
Ο Ω
·ΗΣΟΦΙΑ
ΤΥ͂ΘΥ͂·

NR CRT.	Nume capitol	nr. Pg. elctr.
1	ADUNARE A SF. CANOANE	14
2	SCRIERI VECHI (SF. CLEMENT ROMANUL)	32
3	SF. CLEMENT ROMANUL (EPISTOLE)	34
4	SF. CLEMENT ROMANUL (EPISTOLE)	40
5	CANOANELE SFINTILOR APOSTOLI	42
6	CONSTITUTIILE SF. APOSTOLI	46
7	DIFERITE SINOADE ?	90
8	EPISTOLELE SF. DIONISIE PAPA ROMEI	95
9	SF. GRIGORIE NEOCEZAREEA	96
10	SF. PETRU SI MARTIRUL	106
11	SINODUL DIN ANGHIRA	109
12	SINODUL DIN LAODICEA	111
13	SINODUL 1 ECUMENIC (NICEEA)	113
14	SINODUL DIN GANGRA	143
15	SINODUL DIN ANTIOHIA	157
16	SINODUL DIN SARDICA	161
17	SINODUL 2 ECUMENIC (CONSTANTINOPOL)	183
18	EPISTOLELE CANONICE A SF. ATANSIIE CATRE AMUN	211
19	SF. VASILE CEL MARE ARHIEPISCOPUL CEZAREI	212
20	SF. GRIGORIE DE NYSA	219
21	SF. TIMOTEI	220
22	SINODUL 3 ECUMENIC (EFES) TOMUL 1	224
23	SINODUL 3 ECUMENIC (EFES) TOMUL 2	280
24	SF. CHIRIL ARHIEPISCOPUL ALEXANDRIEI	323



«Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον
καί ὑπήρεισε στύλους ἑπτά». (Παροιμ. 9,1)

ΠΡΑΚΤΙΚΑ
ΤΩΝ
ΑΓΙΩΝ ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΣΥΝΟΔΩΝ

ΤΟΜΟΣ
Α'



Ἔκδοσις
Καλύβης Τιμίου Προδρόμου
Ἱερᾶς Σκήτης Ἁγίας Ἄννης
Ἁγίου Ὄρους

Ὁ παρὼν Πρῶτος Τόμος τῶν «Πρακτικῶν τῶν Ἁγίων καὶ Οἰκουμενικῶν Συνόδων», ἐξετυπώθη εἰς τὴν Θεσσαλονίκην τὸν Σεπτέμβριο τοῦ 1981 μὲ τὴν λιθογραφικὴ μέθοδο Foto – OFFSET, ἐπὶ χάρτου VELVET 105 Γραμμαρίων, μὲ OFFSET A.B. DICK 375. Ἡ ἐκτύπωσις καὶ ἡ καλλιτεχνικὴ ἐπιμέλεια ἔγινε ἀπὸ τὸν Ἁγιορείτη Μοναχὸν Ὀνούφριον Ἁγιαννανίτην. Ἡ δὲ βιβλιοδεσία εἰς τὰς ἐγκαταστάσεις καλλιτεχνικῶν βιβλιοδεσιῶν τοῦ Σάββα Ἠλιάδη (πλατεία Ἁγ. Γεωργίου 13 Ροτόντα, Θεσ/νίκη .Τηλ. 210-654).

Πανομοιότυπος Ἀνατύπωσις τῆς ἐκδόσεως τοῦ Σεπτεμβρίου 1981, ἐπὶ χάρτου VELVET 115 gr. εἰς 1000 ἀντίτυπα. Ἔκδοσις καὶ καλλιτεχνικὴ βιβλιοδεσία ὑπὸ τοῦ Σάββα Ἠλιάδη, Δημ. Γούναρη 63 Θεσ/νίκη, Τηλ. 2310-210654 Μεσολογγίου 21, Τηλ. 2310-925768, Fax. 2310-905450 Τριανδρία Θεσσαλονίκη. Ἡ ἀνατύπωση τοῦ παρόντως τόμου ἔγινε στις ἐκτυπώσεις ΘΩΜΑ, Λητῆ Θεσ/νίκης Γρηγόρη Κίπος 29, Τηλ.: 23940 72394.

Κεντρική Διάθεσις
ΑΓΙΟΝ ΟΡΟΣ: παρά τῶν Ἐκδοτῶν.
ΑΘΗΝΑΙ: Σεργιάδης Γεώργιος, Μέτωνος 2 τ.τ 106
τηλ. 5244711 - 5238045

Ἀ φ ι έ ρ ω μ α

Στήν μνήμη τοῦ Σεβαστοῦ Ἁγιορείτου Γέροντός μας, Χρυσάνθου ἱερομονάχου Ἁγιαννανίτου, τοῦ ταπεινοῦ καί κουρασμένου ἐργάτου τοῦ Ἀμπελῶνος τῆς Ἐκκλησίας.

«Πολλά τά πρός εὐχαριστίαν... ἄγοντα». (P.G. 85, 128^{A}).



Ἱερομόναχος Χρύσανθος Ἁγιαννανίτης - Ἁγιορείτης
(18-4-1894) - (29-5-1981)

«Εἰκάδι ἑνάτῃ, ἀποφράς Μαΐου,
πέπτωκεν, βαβαί, Χρύσανθος στῦλος μέγας».

«Δικαίων δέ ψυχαί ἐν χειρί Θεοῦ
καί οὐ μή ἅψηται αὐτῶν βάσανος». (Σοφ. Σολ. 3,1)

«Ἄνθος χρυσοῦν φανείς ἐν γῇ φερωνύμως,
χρυσοῦς ἐν οὐρανοῖς νυνί καρπούς δρέπεις»

«Βαστάσας τόν καύσωνα πολλῶν καί βάρος τῆς ἡμέρας,
ἔδραμες νῦν τῷ στεφοδότῃ Βασιλεῖ καί Κυρίῳ»

ΤΩ͂Ν ΑΓΙΩΝ ΣΥΝΟΔΩΝ

ΤΗ͂Σ ΚΑΘΟΛΙΚΗ͂Σ ΕΚΚΛΗΣΙΑΣ

ΤΩ͂Ν ΑΝΑΠΑ͂ΣΑΝ ΤΗΝ ΟΙΚΟΥΜΕΝΗΝ

ΣΥΝΑΘΡΟΙΣΘΕΙΣΩΝ ΟΙΚΟΥΜΕΝΙΚΩΝΤΕ, ΚΑΙ ΤΟΠΙΚΩΝ

ΝΕΑ, ΚΑΙ ΔΑΦΙΛΕΣΤΑΤΗ ΣΥΝΑΘΡΟΙΣΙΣ

ΕΝ Η͵ ΠΕΡΙΛΑΜΒΑΝΟΝΤΑΙ ΚΑΙ ΟΙ ΚΑΝΟΝΕΣ ΤΩΝ ΘΕΙΩΝ ΑΠΟΣΤΟΛΩΝ, ΚΑΙ ΑΙ ΔΙΑΤΑΓΑΙ ΤΩΝ ΑΥΤΩΝ

ΔΙΑ͂ ΚΛΗΜΕΝΤΟΣ ΤΟΥ͂ ΡΩΜΑΙΟΥ.

Ἔτι δὲ αἱ Κανονικαὶ Ἐπιστολαὶ τῶν ἁγ. μέρος Ἁγίων Πατέρων. Καὶ τὸ Σύνταγμα Γελασίου τοῦ Κυζικηνοῦ τῶν ἁγ. τῶν ἐν Νικαίᾳ Συνόδου Πραχθέντων.

ΝΥ͂Ν ΠΡΩ͂ΤΟΝ ΕΛΛΗΝΙΣΤΙ͂ ΜΟΝΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΙ͂ΣΑ. ΚΟΣΜΗΘΕΙ͂ΣΑΤΕ, ΚΑΙ ΕΝ ΤΑ͂ΞΕΙ ΑΡΙΣΤΗ. ΤΕΘΕΙ͂ΣΑ. ΣΠΟΥΔΗ͂, ΚΑΙ ΠΟΝΩ.

ΤΟΥ͂ ΠΑΝΑΙΔΕΣΙΜΩΤΑΤΟΥ, ΚΑΙ ΓΕΡΟΛΟΓΙΩΤΑΤΟΥ

ΣΠΥΡΙΔΩΝΟΣ ΜΗΛΙΑ

ΤΟΠΟΤΗΡΗΤΟΥ͂ ΦΙΛΑΔΕΛΦΕΙΑΣ

ΚΑΙ ΤΩ͂Ν ΕΝ ΤΑΙ͂Σ ΚΛΕΙΝΑΙ͂Σ ΕΝΕΤΙΑΙΣ ΕΛΛΗΝΩΝ ΠΡΟΕΔΡΟΥ.

ΣΥΝΔΡΟΜΗ͂, ΔΕ, ΚΑΙ ΑΝΑΛΩΜΑΣΙ ΤΟΥ͂ ΕΥ͂ΣΕΒΕΣΤΑΤΟΥ

ΠΟΛΗΜΕΡΟΥ ΠΑΟΥΛΗΝ ΕΞ ΑΘΗΝΩ͂Ν.

ΤΟΜΟΣ ΠΡΩ͂ΤΟΣ

ΑΠΟ͂ ΧΡΙΣΤΟΥ͂ ΑΧΡΙ ΕΤΟΥΣ. Τ.Δ.Α'. 431.



Παρα' ΑΝΤΩΝΙΩ, τῷ ΤΖΑΤΤΑ Τυπογραφῳ Ενετῷ. ασψξα'. (1761.)

CON LICENZA DE' SUPERIORI, E PRIVILEGIO.

ΚΛΕΙΣ

ΠΑΛΑΙΤΥΠΩΝ ΓΡΑΜΜΑΤΩΝ ΚΑΙ ΣΥΜΠΛΕΓΜΑΤΩΝ

Ὅσοι ἐκ τῶν ἀναγνωστῶν ἀντιμετωπίζουν δυσκολίας μέ τήν ἀνάγνωσιν τοῦ κειμένου τοῦ βιβλίου, παρακαλοῦνται νά συμβουλευθοῦν πρωτίστως τήν κατωτέρω κλεῖδα.

γάρ = γάρ
γεν = γεν (μονογενής = μονογενής)
δια = δια (διασαπέν = διασαπέν)
ἐν = ἐν (ἐννοιῶν = ἐννοιῶν)
ἐξ = ἐξ (ἐξωσμένον = ἐξωσμένον)
ἐπ' = ἐπί
ἐστ' = ἐστί
εὐ = ευ (πνεύματος = πνεύματος)
ην = ην (γῆν, ἣν = ἤν, τήν = τήν)
καί = καί
κ' = καί
κἀγ = καί
κατ' = κατά
μεν = μεν (δυνάμενος = δυνάμενος)
μετ' = μετά
ος = ος (Παῦλος = Παῦλος)
ου = ου (θανάτου = θανάτου, οὖν = οὖν)
περ' = περί
ρι = ρι (κύριος = κὺριος, περὶ = περί)
σθ = σθ (ἀσθενείας = ἀσθενείας)
σπ = σπ (σπορεύς = σπορεύς)
σσ = σσ (ταράσσοντα = ταράσσοντα)
στ = στ (ἐστὶ = ἐστί)
σχ = σχ (συσχεθείς = συσχεθείς)
τ = τῆς
τ = τόν
τρ = τρ (πατρός = πατρός)
τῶν = τῶν
τ = τῶν
υν = υν (δύναμιν = δύναμιν, οὖν = οὖν)
ὑπ = ὑπ (ὑπόστασιν = ὑπόστασιν)
χρ = χρ (χρεία = χρεία)

ΤΩΝ ΙΕΡΩΝ ΣΥΝΟΔΩΝ

ΝΕΑ

ΚΑΙ ΔΑΨΙΛΕΣΤΑΤΗ ΣΥΛΛΟΓΗ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΣΤΗΚΤΕ ἐπὶ ταῖς ὁδοῖς, καὶ ἴδετε καὶ ἐρωτήσατε τρίβους Κυρίου αἰωνίους· καὶ ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθὴ, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν.

Ἱερεμ. Κεφ. 6. 16.



ΕΙΣΑΓΩΓΗ

ὐλογία Θεοῦ πρέπει νά χαρακτηρισθῆ ἡ ἐπανατροφοδοσία τοῦ ὀρθοδόξου λαοῦ μέ τόν αὐθεντικόν καί γνήσιον λόγον τῶν Πατέρων τῆς ἐκκλησίας. Ἡ περίοδος, κατά τήν ὁποίαν ἡ Ὀρθόδοξος Θεολογία, ἀλλά καί ἡ Ὀρθόδοξος εὐσέβεια ἐκυριαρχοῦντο ἀπό ξένας παραμορφωτικάς ἐπιδράσεις, φαίνεται ὅτι ἔχει περάσει. Μετά τήν περιπλάνησιν εἰς αὐλάς ἀλλοτρίας καί τήν διατροφήν μας μέ ξυλοκέρατα ἐπιστρέψαμεν, ὡς ἄσωτοι υἱοί, εἰς τόν οἶκον τῶν Ἁγίων μας Πατέρων καί μετέχομεν τῆς πλουσίας των πνευματικῆς τραπέζης. Νέαι ἐκδόσεις ἤ ἐπανεκδόσεις πατερικῶν ἔργων ἐμφανίζονται καθημερινῶς - πολλαί μέ ἀπόδοσιν εἰς τήν καθομιλουμένην - ὡς ἐπίσης καί μελέται περί τῆς θεολογίας καί τοῦ βίου τῶν Πατέρων. Ἱδρύθησαν ἀκόμη καί εἰδικά ἐπιστημονικά κέντρα ἐρεύνης καί σπουδῆς τῶν συγγραμμάτων τῶν Πατέρων, ὅπως τό εἰς τόν χῶρον τῆς ἐν Θεσσαλονίκῃ Ἱερᾶς Μονῆς Βλατάδων λειτουργοῦν Πατριαρχικόν Ἵδρυμα Πατερικῶν Μελετῶν. Ἡ πανεπιστημιακή θεολογία εἰς ὅλους τούς κλάδους της ἐμποτίζεται πλέον ἀπό τήν ἁγιοπνευματικήν πατερικήν παράδοσιν καί ὄχι, ὡς μέχρι τώρα, ἀπό τόν νοησιαρχικόν δυτικόν σχολαστικισμόν.

Σπουδαῖον τμῆμα τῆς Πατερικῆς παραδόσεως εἶναι τά πρακτικά τῶν Οἰκουμενικῶν Συνόδων καί οἱ κανόνες αὐτῶν. Ἀπό πλευρᾶς αὐθεντίας καί κύρους εὑρίσκονται εἰς τήν κορυφήν, διότι δι' αὐτῶν ἐκφράζεται ἡ γνώμη ὄχι ἑνός Πατρός ἤ διδασκάλου, ἀλλά ἡ σύμφωνος γνώμη πολλῶν Πατέρων, αὐτή αὕτη ἡ ἀλάθητος συνείδησις τῆς Ὀρθοδόξου Καθολικῆς Ἐκκλησίας. Παρά τήν σπουδαιότητά των, ὅμως δέν ἔτυχον εἰς τάς ἡμέρας μας ἀναλόγου ἐνδιαφέροντος. Δέν ἠμπορεῖ κανείς νά εὕρῃ μίαν εὔχρηστον καί περιεκτικήν συλλογήν τῶν πράξεων καί τῶν κανόνων τῶν Συνόδων. Ἡ γνωστή πολύτομος ἔκδοσις τοῦ Mansi, ἐκτός τοῦ ὅτι δέν ἀναπαρήχθη, ὥστε νά τήν εὑρίσκῃ κανείς καί σήμερον, ἐγένετο κατά τάς τάσεις τῶν Ρωμαιοκαθολικῶν Θεολόγων, οἱ ὁποῖοι ρίπτουν τό βάρος ἐπί τῶν Συνόδων τάς ὁποίας αὐτοί θέλουν καί ἀγνοοῦν ἤ μειώνουν ἄλλας.*

Ἡ νεωτέρα προσπάθεια τοῦ Schwartz μέ τήν διάσπασιν τῆς ἐκδόσεως εἰς τόμους καί τομίδια δύσκολα χρησιμοποιεῖται ἀκόμη καί ἀπό εἰδικούς· δέν ἔχει προχωρήσει ἄλλωστε πολύ χρονολογικῶς. Ἀπό ὀρθοδόξου πλευρᾶς ὑπάρχει μέγα κενόν εἰς τόν τομέα αὐτόν, τό ὁποῖον πρέπει συντόμως νά καλυφθῆ. Εἶναι ἀδικαιολόγητον νά ἀσχολῆται ἡ ὀρθόδοξος Θεολογική ἔρευνα μέ ἐπουσιωδέστερα θέματα καί νά ἀφήνῃ ἀνέκδοτον τόν ἀνεκτίμητον θησαυρόν τῶν πράξεων καί κανόνων τῶν Συνόδων.

Μέχρι τῆς καλύψεως αὐτοῦ τοῦ κενοῦ διά μιᾶς πολυτόμου κριτικῆς ἐκδόσεως ὑπάρχει τρόπος θεραπείας τῆς ἐλλείψεως διά τῆς χρησιμοποιήσεως τῆς περιεκτικότητας καί ἀρίστης συλλογῆς τοῦ ἀρχιμανδρίτου Σπυρίδωνος Μήλια, ἡ ὁποία, ἐκδοθεῖσα τό 1761 εἰς Βενετίαν εἰς δύο ὀγκώδεις τόμους, εἶναι πλέον σπανία καί ἀπρόσιτος εἰς πολλούς εὑρισκομένη εἰς τά τμήματα παλαιτύπων μερικῶν βιβλιοθηκῶν. Τήν ἀναγκαιότητα καλύψεως τοῦ κενοῦ καί τήν σπουδαιότητα τῆς ἐν λόγῳ ἐκδόσεως συνειδότα τά μέλη τῆς μοναχικῆς ἀδελφότητος τῆς Καλύβης τοῦ Τιμίου Προδρόμου ἐν τῇ Ἱερᾷ Σκήτει τῆς Θεοπρομήτορος Ἁγίας Ἄννης τοῦ Ἁγίου Ὄρους, ἀπεφάσισαν νά ὑποβληθοῦν εἰς κόπους καί ἔξοδα καί νά προσφέρουν εἰς τόν εὐσεβῆ λαόν, ἀλλά καί εἰς τούς κληρικούς, μοναχούς καί θεολόγους εἰς νέαν ἔκδοσιν τό σπάνιον καί πολύτιμον ἔργον τοῦ Σπυρίδωνος Μήλια. Ἀσφαλῶς ἡ χάρις τοῦ Θεοῦ καί οἱ Ἅγιοι Πατέρες ἐκίνησαν τήν καρδίαν τῶν καλῶν αὐτῶν μοναχῶν εἰς τήν ἀνάληψιν τοῦ σπουδαίου αὐτοῦ ἔργου, τό ὁποῖον θά ἀποδώσῃ καί πάλιν πολλούς καί εὐχύμους καρπούς, ὅπως ἀπέδωσε μετά τήν πρώτην του ἔκδοσιν. Ἀπετέλεσε τότε πολύτιμον ὄργανον εἰς τάς χεῖρας τῶν ποιμένων καί θεολόγων καί καταφύγιον πρός ἀπόκρουσιν ἑτεροδιδασκαλιῶν καί σχισμάτων. Ἐξηγιάσθη δέ κατά κάποιον τρόπον διότι δύο ἐκ τῶν προσώπων τά ὁποῖα δαψιλῶς ἐχρησιμοποίουν αὐτήν κατετάγησαν ὑπό τῆς Ἐκκλησίας εἰς τήν χορείαν τῶν Ἁγίων· πρόκειται περί τῶν ἁγίων Νικοδήμου τοῦ Ἁγιορείτου καί Νεκταρίου μητροπολίτου Πενταπόλεως. Εἰς τά ἔργα των παραπέμπουν συχνάκις εἰς τήν ἔκδοσιν αὐτήν ἀντλοῦντες ὑλικόν καί πληροφορίας.

Ἡ σπουδαιότης τοῦ ἐν λόγῳ ἔργου καταφαίνεται ἐκ τοῦ ὅτι περιέχει πλουσιώτερον ὑλικόν τοῦ Πηδαλίου τοῦ Ἁγίου Νικοδήμου. Περιέχει βεβαίως τούς ἐκεῖ περιεχομένους κανόνας τῶν Συνόδων καί τῶν Πατέρων, ἀλλ' ἐπί πλέον τά πρακτικά τῶν Συνόδων καί πολλάς πληροφορίας περί αὐτῶν, ληφθείσας ἐξ ἔργων ἐκκλησιαστικῶν συγγραφέων καί συλλεγείσας μέ πολύν κόπον καί ἐπιμέλειαν. Προτάσσεται ἐν ἀρχῇ τοῦ τόμου μία θαυμασία ἐπιτομή τῶν ἱερῶν κανόνων, ἔνθα εὑρίσκει κανείς πᾶν ὅ,τι ἀφορᾷ, ἐξ ἐπόψεως κανόνων καί ἑρμηνείας αὐτῶν, εἰς τούς ἐπισκόπους, πρεσβυτέρους, διακόνους καί ὑποδιακόνους, εἰς τούς κληρικούς καί λαϊκούς ἀπό κοινοῦ, εἰς μοναχούς καί μοναστήρια, εἰς λαϊκούς μόνον, εἰς γυναίκας. Εἰς τήν συνέχειαν ὁ Α' Τόμος ἀρχόμενος ἀπό μαρτυρίας παλαιῶν συγγραφέων περί Κλήμεντος Ρώμης καί παραθέτων τά συγγράμματα αὐτοῦ πρό τῶν Ἀποστολικῶν κανόνων φθάνει μέχρι τῆς Γ' ἐν Ἐφέσῳ Οἰκουμενικῆς Συνόδου (431). Ὁ β' τόμος ἄρχεται ἀπό τῆς Δ' ἐν Χαλκηδόνι Οἰκουμενικῆς Συνόδου (451) καί φθάνει μέχρι τῆς ἐν Ἰασίῳ κατά τοῦ Κυρίλλου Λουκάρεως συνελθούσης Συνόδου (1643). Ἐπιτάσσεται σύγγραμμα τοῦ Ἀρμενοπούλου περί αἱρέσεων, μετ' ἄλλων ἐνδιαφερόντων χρονολογικῶν κυρίως περί Συνόδων στοιχείων.

Ἐκ τῆς συντόμου αὐτῆς παρουσιάσεως τοῦ περιεχομένου καταφαίνεται ὅτι ἡ ἔκδοσις αὐτή ἀποτελεῖ μοναδικήν πηγήν διά τήν ἱστορίαν τῶν Συνόδων καί τῶν δογμάτων τῆς Ὀρθοδόξου Ἐκκλησίας. Αὐτό, τό ὁποῖο ἐπετέλεσεν ὁ καθ.

---

* *Χαρακτηριστικά τῆς τάσεως αὐτῆς τῶν Δυτικῶν εἶναι ὅσα λέγει ὁ ἅγιος Νεκτάριος Πενταπόλεως ἐν τῇ μελέτῃ αὐτοῦ περί τῶν αἰτίων τοῦ σχίσματος (σελ. 153): «Οἱ Ρωμαῖοι δέν ἀγαποῦσι τήν Ε' Οἰκουμενικήν Σύνοδον, διότι αὕτη κατεδίκασε τόν Βιγίλιον καί ἐταπείνωσε τήν παπικήν ὀφρύν, δι' ὃ οὐ μόνον δέν διεφύλαξαν Ἑλληνιστί ἐν Ρώμῃ τά πρακτικά ταύτης, ἀλλά καί ἐν τῇ ἐκδόσει τῶν Ἱερῶν Συνόδων ἀφῆρεσαν ὅσα χωρία καθήπτοντο τῆς τιμῆς τοῦ Βιγιλίου ἤ τοῦ Ρωμαϊκοῦ θρόνου».*

Ἰ. Καρμίρης διά τῆς ἐκδόσεως τῶν μεταγενεστέρων δογματικῶν καί συμβολικῶν μνημείων τῆς Ὀρθοδόξου Ἐκκλησίας, εἶχεν ἤδη πράξει πρό πολλοῦ ὁ λόγιος ἀρχιμανδρίτης τοῦ Οἰκουμενικοῦ Πατριαρχείου Σπυρίδων Μήλιας διά τήν πρώτην θεμελιώδη περίοδον τῆς ἱστορίας τῶν Συνόδων καί τῶν δογμάτων. Πρόκειται περί ἔργων ἀλληλοσυμπληρουμένων, ἡ ἀπόκτησις τῶν ὁποίων πρέπει νά ἀποτελῇ ἐπιδίωξιν παντός Ὀρθοδόξου. Μακάρι νά καθίστατο δυνατόν ἐπί τῇ βάσει αὐτῆς τῆς συλλογῆς νά διδάσκωνται οἱ φοιτηταί τῆς θεολογίας τήν γενικήν ἐκκλησιαστικήν ἱστορίαν, τήν ἱστορίαν τῶν δογμάτων, τό κανονικόν δίκαιον, τήν δογματικήν, ἀκόμη δέ καί τήν πατρολογίαν.

Ἡ συλλογή αὐτή τῶν συνόδων ἤ τά συνοδικά ἤ συνοδική ἱστορία, ὅπως χαρακτηρίζεται, μέ τήν ἐπανέκδοσιν καί εὐρεῖαν, ὡς ἐλπίζομεν , διάδοσιν θά δικαιώσῃ ἔτι περισσότερον τάς δαπάνας εἰς τάς ὁποίας ὑπεβλήθη ὁ χρηματοδοτήσας τό ἔργον κατά τήν πρώτην ἔκδοσιν, Πολύμερος Παουλής Ἀθηναῖος, ὅστις τό ἀφιέρωσεν εἰς τόν Οἰκουμενικόν Πατριάρχην Ἰωαννίκιον ὡς καί τήν σπουδήν καί τούς πόνους τοῦ Σπυρίδωνος Μήλια. Θά δικαιώσῃ ἀκόμη καί τόν θεῖον ζῆλον, τάς δαπάνας καί τούς κόπους τῶν νέων ἐκδοτῶν, τῶν ἀδελφῶν τῆς Καλύβης τοῦ Τιμίου Προδρόμου τοῦ Ἁγίου Ὄρους. Ἐξακολουθοῦν οἱ μοναχοί νά προσφέρουν τάς σπουδαίας των ὑπηρεσίας εἰς τήν ἐκκλησίαν καί τούς πιστούς, ὄχι τόσον μέ τήν φιλοξενίαν τῶν ἐπισκεπτῶν καί τήν ἄλλην περί τῶν πτωχῶν καί ἐνδεῶν φροντίδα, ὅσον μέ τήν προσφοράν τοῦ πνευματικοῦ ἄρτου, διά τοῦ ὁποίου τρέφουν τάς πεινώσας ψυχάς. Ἡ παροῦσα ἔκδοσις ἀποτελεῖ πρόσκλησιν εἰς τήν πνευματικήν τῶν ἁγίων Πατέρων καί Συνόδων τράπεζαν.

Θεόδωρος Ν. Ζήσης

Καθηγητής τῆς Πατρολογίας
εἰς τό Πανεπιστήμιον Θεσσαλονίκης

ΠΡΟΛΟΓΟΣ



ΩΝ ἁγίων Πατέρων τὸ στόμα, Θεοῦ κεχρημάτηκε στόμα, διακηρύσσει ὁ τῆς Δαμασκοῦ Ἰωάννης. Αἱ δὲ ἅγιαι τοπικαὶ καὶ οἰκουμενικαὶ Σύνοδοι, ὡς «ἡ κοινὴ τῶν ἐκκλησιῶν ἕνωσις», ἐχρημάτισαν τὸ στόμα τῆς Μιᾶς Ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, διὰ τοῦ ὁποίου αὐτη ὡμολόγησεν, καὶ εἰς ἑκάστην εὐχαριστιακήν της σύναξιν μαρτυρεῖ, πίστιν εἰς τὸν ἴδιον τὸν ἑαυτόν της· «Πιστεύω εἰς... Πατέρα... Υἱόν... καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον... εἰς Μίαν Ἁγίαν Καθολικήν καὶ Ἀποστολικήν Ἐκκλησίαν». Καὶ δὲν ἦτο δυνατὸν νὰ γίνῃ ἄλλως ἀφοῦ ἡ Καθολικὴ Ἐκκλησία εἶναι αὐτὸ τοῦτο τὸ σῶμα τοῦ Χριστοῦ «τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου». Μὲ αὐτὸ τὸ δὲν εἰσάγομεν οὐσιαστικόν τινα διαχωρισμὸν κύρους καὶ αὐθεντίας τῶν συνόδων ἀπὸ τοὺς ἁγίους Πατέρας, ἀφοῦ καὶ ὅταν ἀποφαίνωνται οἱ Πατέρες καὶ ὅταν δογματίζουν αἱ Σύνοδοι, λειτουργεῖ ἡ ἰδία μυστικὴ λειτουργία εἰς τὸ σῶμα τῆς Ἐκκλησίας· προσφέρεται τὸ «ὕδωρ τῆς ὁμολογίας» ποὺ κατέχει μόνον ἡ καθολικὴ Ἐκκλησία καὶ ὄχι τὸ οἱονδήποτε ἀλλότριον «ὕδωρ ἀντιλογίας». Οὕτως εἰς τὴν λειτουργίαν τῆς μνήμης τῆς Ἐκκλησίας δὲν τιμᾶται αὐτὸ καθ' αὐτὸ τὸ γεγονὸς τῆς συγκλήσεως μιᾶς Συνόδου, ἀλλὰ οἱ ἅγιοι Πατέρες οἱ συνελθόντες ἐν αὐτῇ.

Σημαντικὸν γεγονὸς διὰ τὴν ἐκκλησιολογίαν τῆς Καθολικῆς Ἐκκλησίας εἶναι ὅτι ἡ σύνθεσις τῶν ἱερῶν συνόδων ἦτο πάντοτε ἐπισκοπική. Τοῦτο ὀφείλεται εἰς τὴν πίστιν της ὅτι, «οἱ κατὰ τὰ πέρατα (τῆς οἰκουμένης) ὁρισθέντες ἐπίσκοποι ἐν Ἰησοῦ Χριστοῦ γνώμῃ εἰσίν» (Ἅγ. Ἰγνάτιος). Ὁ ἐπίσκοπος ἱσταται εἰς «τόπον καὶ τύπον» Χριστοῦ, εἶναι ἡ ὁρατὴ κεφαλὴ τοῦ σώματος τῆς εὐχαριστιακῆς κοινότητος τῆς ὁποίας προΐσταται, δηλ. τῆς τοπικῆς Καθολικῆς Ἐκκλησίας καὶ παριστᾷ μυστικῶς καὶ πραγματικῶς μὲ πληρότητα καὶ καθολικότητα τὸ σῶμα τοῦ Χριστοῦ, τὸν Κύριον Ἰησοῦν Χριστόν. Ὡς κεφαλὴ καὶ κέντρον τῆς Ἐκκλησίας τοῦ Θεοῦ, ἑνώνει, ἀναφέρει καὶ συνάπτει πάντας τοὺς πιστοὺς ὡς μέλη τοῦ σώματος τοῦ Χριστοῦ καὶ ὡς ἐκ τούτου δὲν παύει νὰ ἐκφράζῃ τὴν «πολυπλήθειαν» τῆς Ἐκκλησίας του, ἀφοῦ εἶναι ὁ μόνος «ἐν Ἰησοῦ Χριστοῦ γνώμῃ» καὶ τὸ θυσιαστήριόν του συνιστᾷ τὴν Ἐκκλησίαν· «ὅπου ὁ ἐπίσκοπος ἐκεῖ καὶ ἡ Ἐκκλησία». Ἄνευ ἐπισκόπου εἶναι ἀδύνατος ἡ σύστασις καὶ ὕπαρξις Ἐκκλησίας.

Ἡ σύνθεσις τῶν συνόδων ἐξ ἐπισκόπων, ἡ ψῆφος τῶν ὁποίων καὶ μόνον διαμορφώνει τὰς ἀποφάσεις των, εἶναι ἀναπόφευκτος ἀπόρροια τῆς ἐκκλησιολογίας τῆς Καθολικῆς Ἐκκλησίας. Ἕκαστος κανονικὸς ἐπίσκοπος ἔχει τὸ «χάρισμα τῆς ἱερωσύνης καὶ τῆς ἀληθείας» (Ἅγ. Εἰρηναῖος). Ὅλοι δὲ οἱ ἐπίσκοποι ἔχοντες τὴν αὐτὴν χειροτονίαν καὶ τὸ αὐτὸ χάρισμα τῆς ἱερωσύνης, εἶναι φορεῖς τῆς αὐτῆς ἀληθείας. Οὕτω δὲν ὑπάρχουν ἐπίσκοποι «πιὸ ἐπίσκοποι» ἀπὸ τοὺς ἄλλους, διότι μεταξύ των εἶναι ἴσοι καθὼς καὶ οἱ Ἀπόστολοι, τῶν ὁποίων εἶναι διάδοχοι. Ὡς ἐκ τούτου ἐντὸς τῶν κόλπων τῆς Καθολικῆς Ἐκκλησίας δὲν μπορεῖ νὰ ἀναπτυχθῇ ἕνας ὑπὲρ-ἐπίσκοπος, ὡς ὁ Πάπας τῶν Λατίνων, οὔτε μία Σύνοδος — Πάπας ἔναντι τῶν ἄλλων συνόδων ἢ ἔναντι τῶν καθ' ἑκάστην τοπικὴν Ἐκκλησίαν ἐπισκόπων. Ὁ ἐπισκοπικὸς θεσμὸς εὑρίσκεται εἰς μίαν ἐκκλησιολογικὴν καὶ κανονικὴν ἰσορροπίαν μὲ τὸν συνοδικὸν θεσμόν, ὥστε ἀφ' ἑνὸς νὰ μὴ παραβλάπτεται ἡ αὐτοτέλεια καὶ καθολικότης τῆς τοπικῆς Ἐκκλησίας καὶ τοῦ ἐπισκόπου της καὶ ἀφ' ἑτέρου νὰ μὴ τίθεται ἐν κινδύνῳ ὁ συνοδικὸς θεσμὸς ὁ ὁποῖος ἐκφράζει τὴν καθολικότητα τῆς κατὰ τὴν οἰκουμένην Ἐκκλησίας. Ὅπως ὅλοι οἱ ἐπίσκοποι εἶναι ἴσοι μεταξύ των, οὕτω καὶ ὅλαι αἱ Σύνοδοι εἶναι ἴσαι μεταξὺ των ἀπὸ θεολογικῆς καὶ ἐκκλησιολογικῆς ἀπόψεως. Τὸ κῦρος καὶ ἡ αὐθεντία μιᾶς συνόδου σὲ θέματα πίστεως δὲν ἐξαρτᾶται ἀπὸ τὴν σύνθεσίν της, (ἐπαρχιακή — τοπικὴ — οἰκουμενική), ἀλλ' ἐκ τοῦ κατὰ πόσον ἐκφράζει αὐτη, δηλ. οἱ συνελθόντες ἐπίσκοποι, τὴν καθολικὴν — τὴν ἐκκλησιαστικὴν — τὴν Ἀποστολικὴν πίστιν — τὴν πίστιν τῶν Πατέρων — τὴν πίστιν τῶν Ὀρθοδόξων. Σύνοδοι οἰκουμενικαί, ὡς ἡ ἐν Ἐφέσῳ τοῦ 449, ἡ ἐν Ἱερείᾳ Κωνσταντινουπόλεως τοῦ 754 καὶ ἡ ἐν Κωνσταντινουπόλει τοῦ 869 ἐχαρακτηρίσθησαν λῃστρικαὶ καὶ αἱρετικαί, ἐνῶ διάφοροι ἀρχαῖαι τοπικαὶ σύνοδοι ἔλαβον οἰκουμενικὸν κῦρος ἀργότερα διὰ τῆς Πενθέκτης οἰκουμενικῆς συνόδου.

Οἱ ἐπίσκοποι ὡς κάτοχοι τοῦ χαρίσματος τῆς ἱερωσύνης καὶ τῆς ἀληθείας, πρέπει νὰ ἐξασφαλίζουν διὰ τοὺς πιστούς των «βεβαίαν εὐχαριστίαν» καὶ «σύμφωνον γνώμην», ἐπαληθεύοντες τὸ τοῦ ἁγ. Εἰρηναίου «ἡμῶν σύμφωνος ἡ γνώμη (τ.ἔ. ἡ ὀρθόδοξος πίστις) τῇ εὐχαριστίᾳ καὶ ἡ εὐχὴ βεβαιοῖ τὴν γνώμην». Διότι εἶναι ἀδύνατος ἡ θεία εὐχαριστία ἄνευ τῆς Ὀρθοδοξίας καὶ ἀδιανόητος ἡ Ὀρθοδοξία ἄνευ τῆς θείας εὐχαριστίας. Ὁ ἐπίσκοπος δὲ ὅστις ἐξασφαλίζει τὰ ἀνωτέρω δι' ἑαυτὸν καὶ τοὺς πιστούς του εἶναι καθολικὸς ἐπίσκοπος καὶ ἡ Ἐκκλησία τῆς ὁποίας προΐσταται καθολικὴ Ἐκκλησία, οἱ δὲ πιστοὶ ὀνομάζονται καθολικοὶ ἢ ἐκκλησιαστικοὶ Χριστιανοί, ἐνῶ οἱ αἱρετικοὶ καὶ σχισματικοὶ ὀνομάζονται μὲ τὸ ὄνομα κυρίως τοῦ αἱρεσιάρχου. Ταῦτα σημαίνουν ὅτι ὁ ἐπίσκοπος ἔχει χειροτονίαν—ἱερωσύνην κατ' εὐθεῖαν ἀπὸ τοὺς Ἁγ. Ἀποστόλους (ἀποστολικὴ διαδοχή), διδάσκει καὶ διοῖ τὴν πίστιν καὶ διδαχὴν τῶν Ἁγ. Ἀποστόλων, τὴν πίστιν καὶ παράδοσιν τῆς πρώτης καὶ ἀρχικῆς Ἐκκλησίας, τὴν διδασκαλίαν τοῦ Ἰησοῦ Χριστοῦ, τὴν πίστιν τῶν ἁγ. Πατέρων (ἀποστολικὴ — ὀρθόδοξος πνευματικότης) καὶ τέλος ὅτι εὑρίσκεται ἐν πλήρει ταυτότητι μὲ τὰς ἄλλας τοπικὰς καθολικὰς Ἐκκλησίας καὶ εἶναι ἡνωμένος μὲ αὐτάς, δηλαδὴ ἔχει ἐπικοινωνίαν μυστηριακὴν καὶ εἰδικώτερον «κοινὸν ποτήριον» μὲ τὴν προϋπόθεσιν βεβαίως πάντα, ὅτι αἱ ἄλλαι Ἐκκλησίαι εὑρίσκονται εἰς πλήρη ταυτότητα μὲ τὴν πρώτην Ἀποστολικὴν Ἐκκλησίαν, τὴν «Μίαν καὶ Ἀρχαίαν Ἐκκλησίαν».

Μία Ἐκκλησία λοιπὸν εἶναι καθολικὴ, ὅταν ἔχῃ Ἀποστολικὴν διαδοχὴν καὶ πνευματικότητα καὶ εἶναι ἑνωμένη μὲ τὰς ἄλλας καθολικὰς Ἐκκλησίας. Καὶ ἡ μὲν ἀποστολικὴ διαδοχὴ καὶ πνευματικότης ἐκφράζεται διὰ τοῦ ἐπισκοπικοῦ θεσμοῦ, ἡ δὲ πλήρης ταυτότης καὶ ἑνότης μετὰ τῆς «κατὰ τὴν οἰκουμένην» Καθολικῆς Ἐκκλησίας διὰ τοῦ συνοδικοῦ θεσμοῦ. Καὶ ἐάν εἶναι ἀριδηλον τὸ «ἐκ τῶν ὧν οὐκ ἄνευ» τοῦ ἐπισκοπικοῦ θεσμοῦ διὰ τὴν ὕπαρξιν τῆς Ἐκκλησίας, ἄλλο τόσον εἶναι καὶ τὸ τοῦ συνοδικοῦ θεσμοῦ, ἀφοῦ εἶναι ἀδύνατος ἡ «κατάστασις»—χειροτονία ἑνὸς ἐπισκόπου ἄνευ συνόδου, οὕτως ὥστε ἡ σύνοδος τῶν ἐπισκόπων καὶ μόνον νὰ δύναται νὰ «ὑποστασιάζῃ» ἑκάστην τοπικὴν καθολικὴν Ἐκκλησίαν. Ὁ ἐπισκοπικὸς καὶ συνοδικὸς θεσμὸς εἶναι δύο βασικοὶ θεμέλιοι λίθοι τῆς ἐκκλησιολογίας τῆς καθολικῆς Ἐκκλησίας καὶ ἐάν κάποιος ἀμφισβητήσῃ τὸν ἕνα ἐκ τῶν δύο θὰ θέσῃ ἐν κινδύνῳ τὴν ὑπόστασίν της.

Εἰς τὴν ζωὴν τῆς καθολικῆς Ἐκκλησίας, ὁσάκις ἐπαρουσιάζετο ὁ κίνδυνος τῆς διασπάσεως τῶν μελῶν της ἀπὸ τὸ σῶμα τοῦ Χριστοῦ, εἴτε διότι «ἐπήγνυτο ἄλλο θυσιαστήριον παρὰ τὸ κείμενον» — δηλαδὴ ἱδρύετο νέα Ἐκκλησία, ἐνῶ «ἕνα ἐπίσκοπον δεῖ εἶναι ἐν τῇ (τοπικῇ) καθολικῇ Ἐκκλησίᾳ», ὅπερ ἀποκλείει τὴν ὕπαρξιν δύο ὀρθοδόξων ἐπισκόπων εἰς μίαν τοπικὴν Ἐκκλησίαν, πρᾶγμα ποὺ δυστυχῶς συμβαίνει σήμερα — εἴτε διότι ἐπαρουσιάζοντο ποικίλαι αἱρέσεις καὶ σχίσματα, τότε ἐτίθετο ἐν λειτουργίᾳ ὁ συνοδικὸς θεσμός, ἔχων ὡς κύριον μέλημά του τὴν ἐξασφάλισιν τῆς ἑνότητος τῶν μελῶν, τόσον τῆς το-

πικης καθολικῆς Ἐκκλησίας, ὅσον καὶ τῶν «κατὰ τὴν οἰκουμένην». Συνήρχοντο ἐν ταὐτῷ οἱ προεστῶτες τῶν τοπικῶν καθολικῶν Ἐκκλησιῶν, δηλαδή οἱ ἐπίσκοποι, καὶ ἐξέφραζον «ἕκαστος τῷ νοῒ αὐτοῦ» (Μ. Ἰουστινιανός), τὴν μυστικήν ἐμπειρίαν τῆς «πολυπληθείας» τῆς εὐχαριστιακῆς των κοινότητος, ὅτι δηλαδή εὑρίσκοντο ἐν «τῇ γνώμῃ Ἰησοῦ». Ὅσοι λοιπὸν εὑρίσκοντο ἐν «τῇ γνώμῃ Ἰησοῦ», εἶχον «νοῦν Χριστοῦ» καὶ ἦσαν μεταξύ των ἡνωμένοι ἐν πλήρει ταυτότητι, μὲ κέντρον ἑνότητος καὶ ταυτότητος τὸν Κύριον Ἰησοῦν Χριστόν. Ὁ «νοῦς Χριστοῦ» ἢ ἡ «γνώμη Ἰησοῦ» ἐκφράζει τὴν καθολικήν πίστιν, τὴν πίστιν τῶν Ἀποστόλων, τὴν πίστιν τῶν Ὀρθοδόξων, τὴν ἐκκλησιαστικήν πίστιν, τὴν πίστιν τῆς Μιᾶς καὶ ἀρχικῆς Ἐκκλησίας, τὴν ὅλην καὶ πλήρη Ἐκκλησίαν, τὴν καθολικήν Ἐκκλησίαν.

Ὁ φορεὺς ἐκφράσεως αὐτῆς τῆς ἐν πλήρει ταυτότητι ἑνότητος τῶν ἐπισκόπων — τοπικῶν Ἐκκλησιῶν εἶναι ἡ κοινωνία ἐν τῷ μυστηρίῳ τῆς θ. εὐχαριστίας, δηλαδή τὸ «κοινὸν ποτήριον», γεγονὸς ἀναδεικνύον τοὺς μετόχους του μέλη τοῦ αὐτοῦ σώματος, τοῦ σώματος τοῦ Χριστοῦ καὶ τῆς Καθολικῆς του Ἐκκλησίας. Οἱ ἐπίσκοποι αὐτοὶ δύνανται νὰ συλλειτουργοῦν καὶ οἱ πιστοὶ ἑκάστου νὰ συμμετέχουν εἰς τὰς εὐχαριστιακὰς συνάξεις καὶ τῶν ἄλλων ἐπισκόπων. Ὅταν ὅμως ἐν τῇ συνόδῳ διεπιστοῦτο ὅτι μερικοὶ ἐκ τῶν ἐπισκόπων ἢ κατ' ἐπέκτασιν ἐκ τῶν πιστῶν των δὲν εὑρίσκοντο ἡνωμένοι ἐν πλήρει ταυτότητι μὲ τὴν Καθολικήν Πίστιν τῶν ἄλλων Ἐκκλησιῶν, τότε ἐτίθετο ἐν κινδύνῳ ἡ ἑνότης τῆς Καθολικῆς Ἐκκλησίας· διὰ τοῦτο τὰ μέλη αὐτὰ τῆς συνόδου, οἱ ἐπίσκοποι μὲ τὰς τοπικάς των Ἐκκλησίας, ἐφ' ὅσον δὲν ὡμολόγουν ἀλλ' ἀντέλεγον εἰς τὴν Καθολικήν Πίστιν τῆς Ἐκκλησίας, ἀπεκόπτοντο τοῦ σώματος αὐτῆς ὡς ἀλλότρια καὶ σεσηπότα μέλη. Τὸ γεγονὸς τῆς ἀποξενώσεως καὶ ἀποκοπῆς ἐκφράζεται διὰ τῆς ἀκοινωνησίας, ἐλλείψεως δηλ. δυνατότητος μυστηριακῆς κοινωνίας, «κοινοῦ ποτηρίου», καὶ ἀποδίδεται διὰ τῶν ὅρων «ἀφορισμὸς» ἢ «ἀνάθεμα».

Οἱ ἐπίσκοποι συνερχόμενοι ἐν συνόδῳ δὲν ἀποσκοποῦν εἰς τὴν ἀνεύρεσιν τῆς ἀληθείας, ἀλλ' εἰς τὴν ὁμολογίαν της, δὲν ζητοῦν μίαν ἐν συνόδῳ ὑπέρβασιν ἢ κατοχύρωσιν τῆς ἀγνοίας ἢ ἀβλεψίας των, ἀλλὰ μίαν φανέρωσιν τῆς κατεχομένης «γνώσεως» τῆς ἀκτίστου καὶ θεουργοῦ δόξης τοῦ Θεοῦ. Ἔχουν πλήρη συνείδησιν ὅτι «κατεστάθησαν» εἰς τὴν καθέδραν τῶν Ἀποστόλων, εἶναι διάδοχοι αὐτῶν καὶ φύλακες τῆς Ἱερᾶς Παρακαταθήκης τὴν ὁποίαν παρέλαβον, διὰ νὰ μεταδίδουν τὴν χάριν, τὸν ἁγιασμὸν καὶ τὴν διδαχὴν εἰς τοὺς πιστούς, διὰ νὰ «φανερώνουν» καὶ μεταλαμπαδεύουν «πᾶσαν τὴν ἀλήθειαν» ποὺ ἐδόθη εἰς Ἐκείνους ἀπὸ τὸν Παράκλητον κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς.

Οἱ ἐπίσκοποι, οἱ ἅγιοι Πατέρες καὶ Ποιμένες τῆς Ἐκκλησίας, δὲν εἶναι στοχασταὶ καὶ φιλόσοφοι, ὥστε μὲ μίαν διαλεκτικήν καὶ στοχαστικήν μέθοδον νὰ προσπαθήσουν ὅλοι μαζί, ἐν συνόδῳ, νὰ ἀνιχνεύσουν τὴν ἀλήθειαν, διὰ νὰ ἀποκτήσουν μίαν συμπληρωματικήν γνῶσίν της ἢ πληρεστέραν κατανόησίν της, διότι τότε αὐτομάτως, ἐξ ὀρθοδόξου ἀπόψεως, καθίστανται αἱρετικοί. Καὶ τοῦτο διότι ἡ Ἀλήθεια τῆς Ἐκκλησίας ἐδράζεται ἐπὶ τῆς ἐμπειρίας τῆς Ἀποκαλύψεως, τῆς θέας τῆς ἀκτίστου δόξης καὶ βασιλείας τοῦ Θεοῦ, ἡ ὁποία ὑπερβαίνει ὅλα τὰ κτιστά, τὴν νόησιν τοῦ ἀνθρώπου καὶ πάντα τὰ κτιστὰ ρήματα καὶ νοήματα αὐτοῦ. Ὅποιος δὲν εἶναι κάτοχος αὐτῆς τῆς «γνώσεως» — ποὺ παρέχεται μὲ τὰ καθαρτικά, φωτιστικά, ἁγιαστικὰ καὶ θεωτικὰ Μυστήρια τῆς Καθολικῆς Ἐκκλησίας διὰ τῆς ἱερωσύνης, ἡ ὁποία μᾶς παρέχει τὸ χάρισμα τῆς υἱοθεσίας, καὶ μὲ τὴν ἀσκητικήν ζωὴν καὶ μέθοδον, διὰ τῆς ὁποίας ἐκφράζεται ἡ συνεργία τοῦ ἀνθρώπου — δὲν δύναται νὰ τὴν φανερώσῃ εἰς οἱανδήποτε σύνοδον καὶ ἂν μετέχῃ, ἀκόμη καὶ οἰκουμενικήν. Οὕτω τὸ κῦρος ἑκάστης συνόδου δὲν εἶναι ἀπόρροια τοῦ γεγονότος τῆς ἐπὶ τῷ αὐτῷ συγκλήσεως τῶν ἐπισκόπων, ἀλλὰ τῆς ἐν αὐτῇ φανερώσεως τῆς Καθολικῆς Πίστεως. Διότι ἄλλως, θὰ ἠδύνατό τις νὰ ἰσχυρισθῇ ὅτι, ὅταν συνέρχωνται εἰς συνέδριον οἱ ἀστρολόγοι τότε μποροῦν νὰ ἐξάγουν ἐπιστημονικὰ ἀστρονομικὰ συμπεράσματα, ἐνῷ ὅταν ἀποφαίνωνται μεμονωμένως ἐκφράζουν τὰς ψευδεῖς ἀστρολογικάς των γνώσεις.

Οἱ ποιμένες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας δὲν θεολογοῦν «ἀριστοτελικῶς ἀλλ' ἁλιευτικῶς» (Ἅγιος Γρηγόριος Θεολόγος), δηλ. Ἀποστολικῶς, ποὺ σημαίνει ὅτι ἡ θεολογία των ἐδράζεται ἐπὶ τοῦ μυστηρίου τῆς Ἱερωσύνης, τῆς ἀσκήσεως καὶ τῆς ἐμπειρίας τῆς θεώσεως. Οἱ θεολόγοι κατὰ τὸν ἅγ. Γρηγόριον Θεολόγον εἶναι «οἱ ἐξητασμένοι καὶ διαβεβηκότες ἐν θεωρίᾳ, καὶ πρὸ τούτων, καὶ ψυχὴν καὶ σῶμα κεκαθαρμένοι ἢ καθαιρόμενοι τὸ μετριώτατον», δηλαδή οἱ ἅγιοι, οἱ ὁποῖοι μὲ τὴν ἀσκητικήν μέθοδον καὶ ὡς ἔχοντες τὸ χάρισμα τῆς υἱοθεσίας γνωρίζουν τὴν δόξαν καὶ βασιλείαν τοῦ Θεοῦ καὶ ὡς ἐκ τούτου τὴν ἑρμηνείαν τῶν Γραφῶν, χωρὶς νὰ εἶναι δι' αὐτοὺς ἀπαραίτητος ἡ μάθησίς των καὶ χωρὶς νὰ κατέχουν διανοητικὴν—νοησιαρχικὴν μόρφωσιν, ὡς μᾶς διδάσκει τὸ καύχημα τῆς Θεσσαλονίκης ὁ ἅγ. Γρηγόριος ὁ Παλαμᾶς «ὁ τοῦτον (τὸν Χριστὸν) διὰ τῆς τηρήσεως τῶν θείων ἐντολῶν ἐν ἑαυτῷ κτησάμενος οὐδὲ τῆς μαθήσεως τῶν Γραφῶν δεήσεται, ἀλλὰ καὶ χωρὶς αὐτῆς πάσας οἶδεν ἀκριβῶς καὶ τῶν διὰ μαθήσεως ὄντων διδάσκαλος ἂν εἴη ἀσφαλής, ὡς ὁ Ἰωάννης (Πρόδρομος) καὶ ὁ Ἀντώνιος». (Δὲν εἶναι ἀρκετὰ ἀμφίβολος ἡ σημερινὴ ἑρμηνεία διὰ τὸ «ἁγιογραφικὸ ἀνάγνωσμα»;). Οἱ θεολόγοι λοιπὸν καὶ διδάσκαλοι τῆς Ἐκκλησίας εἶναι οἱ ἅγιοι. Οὕτως ἡ Καθολικὴ Ἐκκλησία κατέχουσα τὴν θεολογίαν—ἱερὰν παρακαταθήκην δύναται νὰ βεβαιώσῃ τοῦτο, ὅτι δηλ. εἶναι ἡ μόνη ποὺ παρέχει σωτηρίαν καὶ ἁγιασμόν, ἀναδεικνύει μάρτυρας καὶ ἁγίους, προικίζει καὶ κοσμεῖ τὸν κόσμον μὲ ἅγια λείψανα, ἐν ἀντιθέσει πρὸς τοὺς πλανηθέντας σχισματικοὺς καὶ αἱρετικούς, οἱ ὁποῖοι ἔχουν ἐσφαλμένην θεολογίαν—ἱερὰν παρακαταθήκην καὶ δὲν μποροῦν νὰ «βγάζουν» ἁγίους, πρᾶγμα ποὺ ἀπετέλεσε ἕνα ἀπὸ τὰ πλέον συντριπτικὰ ἐπιχειρήματα καὶ ὅπλα τῆς ἀρχαίας Ἐκκλησίας κατὰ τῶν αἱρετικῶν.

Συνερχόμενοι οἱ ποιμένες τῆς Ἐκκλησίας εἰς Σύνοδον ἔρχονται νὰ διδάξουν καὶ κηρύξουν ὅτι «καθὼς παρέδωκαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ Λόγου», «οἱ Προφῆται ὡς εἶδον, οἱ Ἀπόστολοι ὡς ἐδίδαξαν, ἡ Ἐκκλησία ὡς παρέλαβεν, οἱ Διδάσκαλοι ὡς ἐδογμάτισαν, ἡ Οἰκουμένη ὡς συμπεφώνηκεν, ἡ χάρις ὡς ἔλαμψεν, ἡ ἀλήθεια ὡς ἀποδέδεικται, τὸ ψεῦδος ὡς ἀπελήλαται, ἡ σοφία ὡς ἐπαρρησιάσατο, ὁ Χριστὸς ὡς ἐβράβευσεν, οὕτω φρονοῦμεν, οὕτω λαλοῦμεν, οὕτω κηρύσσομεν...» (Συνοδικὸν Ζ΄ Οἰκουμενικῆς Συνόδου). Τοῦτο σημαίνει ὅτι τὸ «κήρυγμά» των εἶναι «κήρυγμα» κατεχόμενον ὑπὸ τῆς Καθολικῆς Ἐκκλησίας καὶ ὁδηγεῖ εἰς σωτηρίαν, ἁγιασμόν, θέωσιν καὶ καθιστᾷ τὸν ἄνθρωπον «ἅγιο λείψανο».

Ἑκάστη Σύνοδος ἐπισκόπων ἔχει ὡς πρότυπόν της τὴν Ἀποστολικὴν Σύνοδον καὶ δι' αὐτὸ αἱ ἀποφάσεις της ἐκφράζονται διὰ τοῦ «ἔδοξε τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν» τῶν Ἁγ. Ἀποστόλων. Ἡ λειτουργικότης αὐτῆς ἐμπνέεται ἀπὸ τὴν ζωὴν τῆς Ἁγίας Τριάδος, διὰ τὴν ὁποίαν ὁ Μ. Φώτιος λέγει: «πρὸς ἑαυτὴν ἡ τῆς Τριάδος ἑνότης — εἰ θέμις εἰπεῖν — ἐκκλησιάσασα... τῷ ἐνισίῳ τῆς γνώμης βουλήματι». Ὅπερ μᾶς ἐπιτρέπει νὰ εἴπωμεν ὅτι Σύνοδος εἶναι ὁ ἐκκλησιασμὸς τῆς Καθολικῆς Ἐκκλησίας. Προκαλεῖ δὲ ἐντύπωσιν τὸ γεγονὸς τῆς λειτουργίας τῆς Συνόδου, ἰδίως σὲ θέματα πίστεως καὶ δόγματος, διὰ

τῆς ἀρχῆς τῆς ὁμοφωνίας — ἥτις τήν ἀναδεικνύει ὡς ἕνα χαρισματικόν θεσμόν ἐκφράσεως καί διοικήσεως τῆς Ἐκκλησίας — καί ὄχι διά τῆς ἀρχῆς τῆς πλειονοψηφίας, ἡ ὁποία εὐκόλως θά τήν μετέτρεπεν εἰς ἕνα κοσμικόν δημοκρατικόν θεσμόν διοικήσεως. Βεβαίως ἡ Σύνοδος πολλάκις ἀναγκάζεται νά λειτουργήσῃ μέ τόν κανόνα «ἡ ψῆφος τῶν πλειόνων κρατείτω», ἀλλά μόνον σέ θέματα τάξεως, διοικήσεως καί λατρείας τῆς Ἐκκλησίας. Ἡ ἀρχή τῆς ὁμοφωνίας εἶναι ἡ ἐξασφαλίζουσα εἰς τήν Σύνοδον τήν δυνατότητα τῆς ἐπί τῷ αὐτῷ κέντρῳ (τῷ Ἰησοῦ Χριστῷ) ταυτίσεως καί ἑνότητος τῶν μελῶν της. Διά τῆς ἀρχῆς τῆς ὁμοφωνίας ἐκφράζεται ἡ ἑνότης τῆς Καθολικῆς Ἐκκλησίας. Οὕτως ἡ καθολική πίστις ταυτίζεται μέ τήν παράδοσιν τῶν Ἁγίων Πατέρων, Ἀποστόλων, Προφητῶν καί ἴσως μέ τήν «μικράν πεῖραν», ὥστε νά δύνανται τά μέλη τῆς Συνόδου νά ἐπαναλαμβάνουν τό τῶν Ἁγιορειτῶν Πατέρων «ταῦτα ὑπό τῶν Γραφῶν ἐδιδάχθημεν, ταῦτα παρά τῶν ἡμετέρων Πατέρων παρελάβομεν, ταῦτα διά τῆς μικρᾶς ἐγνώκαμεν πείρας» (Ἁγιορειτικός τόμος).

Ἡ παροῦσα ἔκδοσις ἀποσκοπεῖ εἰς τήν φανέρωσιν, πρός τά πιστά μέλη τῆς Ἐκκλησίας ἀφ' ἑνός, καί πρός πάντα καλοπροαίρετον ἐρευνητήν, ἀφ' ἑτέρου, τῆς ἐν τῇ Συνόδῳ λειτουργίας τῆς συνειδήσεως τῆς Καθολικῆς Ἐκκλησίας. Πῶς αὕτη ἐκφράζεται ἐν τῷ γεγονότι τῆς κοινωνίας τῶν κατά τόπους Καθολικῶν Ἐκκλησιῶν, ποία εἶναι ἡ λειτουργικότης αὐτῆς καί ποῖα τά κριτήριά της. Οὕτως ἐλπίζομεν εἰς τήν διά πνεύματος μαθητείας ἀπόκτησιν ἀκμαίου καί ρωμαλέου ἐκκλησιαστικοῦ φρονήματος καί ἤθους, τόσον ὑπό τῶν ποιμένων, ὅσον καί ὑπό τῶν ποιμενομένων πιστῶν τῆς Ὀρθοδόξου Καθολικῆς Ἐκκλησίας, τό ὁποῖον δυστυχῶς τόσον ἐξέλιπεν, ὥστε νά παρουσιάζωνται εἰς τούς κόλπους τῆς Ἐκκλησίας ὡς ἀνάξιοι φύλακες τῆς ἱερᾶς παρακαταθήκης οἱ ἀγαπισταί—οἰκουμενισταί ἀφ' ἑνός, οἵτινες ὁδεύουν μέ ἀκατάσχετον φοράν πρός τήν «ὁδόν τῆς ἀπωλείας», ἐπιδιώκοντες «κοινόν ποτήριον» ἄνευ τῶν πρός τοῦτο ὀρθοδόξων προϋποθέσεων καί ἀφ' ἑτέρου οἱ φανατικῶς, οἱ ἀμέτρως καί ἀκαίρως θεολογοῦντες ὀρθόδοξοι, τούς ὁποίους ὁ Ἅγ. Γρηγόριος ὁ Θεολόγος ἀποκαλεῖ «ἄγαν παρ' ἡμῖν ὀρθοδόξους», οἵτινες «δι' ἀπαιδευσίαν καί τήν ἑπομένην ταύτῃ θρασύτητα» καταπατοῦν «συώδει πάθει» τούς μαργαρίτας τῆς ἀληθείας, ἀγωνίζονται διά μικρά καί ἀνωφελῆ, ὑποπτεύονται διαρκῶς ὅτι προσβάλλεται ἡ πίστις καί ἀναμιγνύουν τό ἅγιον τῆς πίστεως μετά προσωπικῶν φιλοδοξιῶν καί φιλονεικιῶν,, γελοιοποιοῦντες οὕτω τήν Ἐκκλησίαν καί προκαλοῦντες «ζυγομαχίαν ἀδελφικήν, ἐξ ἧς καί Θεός ἀτιμάζεται καί ἄνθρωπος». Ἡ σπουδαιότης τῆς ἐκδόσεως αὐτῆς εἶναι τοῖς πᾶσι φανερά καί ἔκδηλος. Ἐκτός δέ τῶν ἄλλων καί τό γεγονός τῆς προετοιμασίας τῆς μελλούσης νά συγκληθῇ Ἁγίας καί Μεγάλης Συνόδου καθιστᾶ πλέον πολύτιμον καί ἐπίκαιρον τήν ἔκδοσιν τῶν «Πρακτικῶν τῶν Συνόδων».

Ἡ ἔκδοσις αὐτή ἔγινε ἀπό τήν πρώτην καί μοναδικήν ἑλληνικήν ἔκδοσιν τῶν Πρακτικῶν τῶν Συνόδων τοῦ Ἀρχιμ. Σπυρίδωνος Μήλια ἐν Βενετίᾳ 1761. Ἡ πρωτότυπος ἔκδοσις τοῦ Μήλια ἀπετελεῖτο ἐκ δύο τόμων, 740 σελίδων τοῦ πρώτου καί 1050 τοῦ δευτέρου. Ὁ πρῶτος τόμος ἐκδίδεται καί ἐν τῇ παρούσῃ ἐκδόσει εἰς ἕνα τόμον ὡς ἔχει. Ὁ δεύτερος τόμος θά ἐκτυπωθῇ διά λόγους πρακτικούς εἰς δύο ἰσομεγέθεις τόμους, οὐ θά κυκλοφορήσουν ἐντός ὀλίγου. Ἡ μόνη σημαντική ἀλλαγή ἐπί τῆς πρωτοτύπου ἐκδόσεως εἶναι ἡ τοποθέτησις νέας ἀριθμήσεως σελίδων. Τό πρόβλημα παρουσιάσθη ἔντονον εἰς τόν πρῶτον κυρίως τόμον, ὅπου ὑπῆρχε πολλαπλῆ ἀρίθμησις. Παρά ταῦτα, παραλλήλως πρός τήν νέαν ἀρίθμησιν σελίδων, ἀφήσαμε καί τήν παλαιάν, μεταθέτοντες τούς ἀριθμούς της εἰς τήν ἐσωτερικήν ὥραν τοῦ βιβλίου, ὥστε νά εὑρίσκῃ τις μετ' εὐκολίας τάς εἰς τήν ἔκδοσιν τοῦ Μήλια παραπομπάς παλαιοτέρων συγγραφέων (π.χ. Ἅγ. Νικόδημος εἰς τό Ἰ. Πηδάλιόν του κλπ.). Ὅσον ἀφορᾷ εἰς τάς φραγκολατινικῆς προελεύσεως εἰκόνας καί λοιπά σχέδια τῆς πρωτοτύπου ἐκδόσεως, ταῦτα ἀφῃρέθησαν καί ἀντ' αὐτῶν προσετέθησαν βυζαντιναί εἰκόνες ἁγίων Πατέρων καί Ἱεραρχῶν συμμετασχόντων εἰς τάς ἁγίας Συνόδους ἤ συνδεθέντων ποικιλοτρόπως μέ αὐτάς καί ἄλλα διάφορα εἰκονογραφικά θέματα τά ὁποῖα ἱστοροῦν ἤ ὑπομνηματίζουν ἀμέσως ἤ ἐμμέσως θέματα ποῦ ἀπησχόλησαν τάς ἐν ἑκάστῳ τόμῳ περιεχομένας Συνόδους. Ἐπ' αὐτοῦ κατεβλήθη ἐπίμονος προσπάθεια ὅσον ἀφορᾷ εἰς τόν ἐμπλουτισμόν καί τήν ἐπιλογήν τῶν θεμάτων, ἐν σχέσει πάντοτε πρός τόν ἤδη διαμορφωμένον ἐκτυπωτικῶς χῶρον. Διά τήν ὑπερπήδησιν κάθε δυσκολίας ὡς πρός τήν ἀνάγνωσιν τῶν παλαιτύπων γραμμάτων καί συμπλεγμάτων τοῦ κειμένου, συνετάγη κλείς καί προετάθη ἑκάστου τόμου. Ἐπίσης διωρθώθησαν μέ «μαρτυρικήν» ὑπομονήν ἕν πρός ἕν τά γράμματα τοῦ κειμένου, ὅπου αὐτά ἦσαν ἐλλιπῆ ἤ ἐφθαρμένα ἐκ τοῦ χρόνου. Δέον νά σημειωθῇ ὅτι ἡ ὅλη ἐκτυπωτική διεργασία (φωτογραφίσεις, ἐμφανίσεις, μοντάζ, τσιγκογραφία, ἐκτύπωσις κλπ.) ἐγένετο «ἰδίαις χερσί» καί ὡς ἐκ τούτου ζητοῦμεν συγγνώμην διά τάς τυχόν ἐλλείψεις τῆς ἐκδόσεως.

Τά «Πρακτικά τῶν Ἁγίων Οἰκουμενικῶν Συνόδων» ἀφιεροῦνται εἰς τόν ἀείμνηστον καί Σεβαστόν ἡμῶν Γέροντα Χρύσανθον Ἱερομόναχον, ὅστις εἰς ἡλικίαν δεκαεπτά ἐτῶν «ἐξῆλθεν» εἰς τό «περιβόλι τῆς Παναγίας» κατά τήν Σκῆτιν τῆς Ἁγίας Ἄννης, διά νά ἐμπαίξῃ τόν «κόσμον» καί τόν διάβολον καί μετά ὁλόκληρον ἑβδομηκονταετίαν ἀσκητικῆς καί μαρτυρικῆς μοναχικῆς πολιτείας, καθ' ἣν «ὡς ζωήν καί πνοήν τήν ἀρετήν ἀτεχνῶς, ὡς ἑνόν, ἐλογίζετο», ἀπέλιπεν τόν μάταιον καί πικρόν τοῦτον κλύδωνα τοῦ βίου καί εἰσῆλθεν εἰς τάς αἰωνίας μονάς Ἐκείνου, ὅν ἐκ νεότητός του ἠγάπησεν πολύ. Αὐτοῦ ἐπιθυμία καί προσπάθεια εἶναι ἡ παροῦσα ἔκδοσις διά τήν ὁποίαν «ἔπασχεν», ἀναλογιζόμενος τόν πολύτιμον θησαυρόν καί τόν πολύν καρπόν ποῦ θά φέρῃ εἰς τήν Ἐκκλησίαν. Ὁ Σεβαστός Γέρων εἰργάσθη, ἐκοπίασε καί ἔπαθεν τά θεῖα εἰς τούς κόλπους τῆς Μιᾶς Ἁγίας Καθολικῆς καί Ἀποστολικῆς Ἐκκλησίας. Ἡ ἀφιέρωσις αὐτή ἂς λογισθῇ ὡς μικρόν ἀντίδωρον τιμῆς καί εὐγνωμοσύνης ὅλων τῶν πνευματικῶν του τέκνων — τά ὁποῖα ὁ μακάριος ἐκεῖνος προσεφώνει «γιόκα μου» — πρός τόν Σεβαστόν «Ἁγιορείτην» Γέροντα καί πνευματικόν των, ἕνα ἐκ τῶν τελευταίων ἐναπομεινάντων γνησίων καί ἀληθῶν Ἁγιορειτῶν πατέρων τῶν ἀρχῶν τοῦ αἰῶνος μας, «Ἡ εὐχή του μετ' ἐμᾶς».

Τέλος, εὐχαριστοῦμεν θερμῶς ὅλους ἐκείνους τούς ἀμέσως ἤ ἐμμέσως, μέ ποικίλους καί διαφόρους τρόπους συνεργήσαντας εἰς τήν ἔκδοσιν τοῦ παρόντος ἔργου καί ἰδιαιτέρως τόν καθηγητήν τῆς Πατρολογίας εἰς τήν Θεολογικήν Σχολήν τῆς Θεσσαλονίκης κ. Θεόδωρον Ζήσην, ὁ ὁποῖος τόσον εὐγενῶς προσεφέρθη εἰς τήν σύνταξιν τῆς προηγηθείσης εἰσαγωγῆς καί τούς εὐχόμεθα ταπεινῶς ἐκ βάθους καρδίας, ὅπως ὁ Δεσπότης Χριστός διά πρεσβειῶν τῆς μάμμης ἡμῶν Θεοπρομήτορος Ἁγίας Ἄννης καί τῆς Παιδός αὐτῆς, τῆς Μητρός καί Τροφοῦ καί Κυρίας ἡμῶν καί Δεσποίνης Θεοτόκου καί Ἀειπαρθένου Μαρίας, χαρίσῃ εἰς αὐτούς τόν γλυκύν παράδεισον, τήν μέθεξιν τῆς ἀκτίστου Δόξης καί Βασιλείας Του.

Ἐν τῇ Ἱερᾷ Σκήτει τῆς Ἁγίας Ἄννης,
κατά τό Σωτήριον ἔτος ,αϡπα΄

Ἐρρῶσθε καί εὔχεσθε
ΟΙ ΕΚΔΟΤΑΙ

ΤΩ͂ ΠΑΝΑΓΙΩΤΑ΄ΤΩ, ΚΑΙ ΟΙ΄ΚΟΥΜΕΝΙΚΩ͂
ΠΑΤΡΙΑ΄ΡΧΗ, ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟ΄ΛΕΩΣ
ΚΥΡΙ΄Ω, ΚΥΡΙ΄Ω,

Ι΄ Ω Α Ν Ν Ι Κ Ι΄ Ω,



ΠΕριμάχητον ΠΑΝΑΓΙΩ΄ΤΑΤΕ ΔΕ΄ΣΠΟΤΑ, μᾶλλον δὲ τῶν ἀναγκαίων, εὖ οἶδα, ἔδοξε τοῖς πολλοῖς, ὅπως ἂν μέγατι, καὶ λαμπρὸν κατωρθωκότες, ἕκαστοι τὸ οἰκεῖον καταλάβοιεν τέλος, καὶ οἱ μὲν πενίαν ἀπώσαντες, βιώσαιεν τοῦ λοιποῦ εὐδαιμόνως, οἱ δὲ δόξης μᾶλλον τοῖς παρ' ἀνθρώποις ἐφιέμενοι, ἀΐδιον τοῖς ἐσέπειτα παραπέμψαιντο τὴν μνήμην. ἔμοιγε μέντοι, καίτοι ἄλλως, οὔτε διέλαθέμε ὅλως, ὡς ἄρα δὴ ἑκάτεροι εὐδοκιμοῖεν παρὰ τοῖς ἄλλοις, ἀλλ' οὖν γε, τοῦτο μὲν, ὅτι αὐτὸς εὐμενεστέρας πως ἔλαχον τῆς τύχης, τοῦτο δὲ, ὅτι μηδὲ κατὰ Χριστιανὸν ἡγοῦμαι, προκεκρί-

σθαι

σθαι τὴν ἐνανθρώποις δόξαν μᾶλλον τῆς τοῦ Θεοῦ, οὐδὲ τὸ σύνολον ἂν δόξειεν ζηλωτέον. καί μοι νὴ τ' ἀληθὲς, Παναγιώτατε, δύω ταυτὶ βάσιμά τε ἀεὶ, καὶ ἀρχαῖα ὑπῆρξε φρονήματα, Θεῷ τὸ πρῶτον ἐν πᾶσι τὸν Χριστιανὸν ἀρέσκειν, εἴτουν ὁ,τιοῦνποτε δρῴη, ἢ διανοοῖτο, ἐς αὐτὸν μόνον ἀφορᾶν, εἶτα δὲ δεῖν, καὶ πᾶσι μὲν συντελεῖν τοῖς πιστοῖς, ἢν ποτε δέῃ, καὶ ἐξῇ, μάλιστα δὲ τοῖς ὁμοφύλοις, οἷς τάτε ἄλλα καὶ τὸ ὁμόγλωττον αὐτὸ μᾶλλόν πως συνοικειοῦται. Ταῦτ' ἄρα καὶ πάλαίποτε περὶ πολλοῦ αὐτὸς ἐποιούμην, ὅπως ἂν τό,τε ὄφλημα τὸ ἐμὸν, ὡς εἰκὸς ἅπαξ ἀποτίσαιμι, καὶ δὴ καὶ συνεισφοράντινα τῷ γε γοῦν ἡμετέρῳ διεπραξάμην γένει, ἢ ἐμοίτε ἀμέλει πρέπουσα, καὶ ἀνάλογος εἴη, καὶ τῷ κοινῷ μὴ μόνον εὐαπόδεκτος, ἀλλὰ δὴ καὶ σύμφορος ὁποσοῦν. καὶ τάχ' ἂν, Παναγιώτατε, ἤδη τὸ μελετώμενον καὶ πρὸ χρόνου ἂν ἦν γεγονὸς, ἀλλὰ γὰρ τίτις ἂν εἴποι, ἢ τίποτ' ἂν δράσειεν, ὁπηνίκα ἀεὶ πρὸς τῶν δυσχερειῶν ἀνθελκόμενος, καὶ ἄλλοτε ἄλλῃ περισπώμενος, καθυστερεῖν ἀναγκάζεται; ἤδη δὲ, ἐπεὶ Θεῷ τε ἴσως ἔδοξε, κἀμοί τε γέγονε ὑποκουφισθῆναι μικρὸν τῶν ἐν ποσὶ πραγμάτων, ἐπισκεψάμενος ἐπὶ πολὺ, καὶ ἃ μὲν τῶν πρακτέων ἀδυνατάμοι διορῶν, ἃ δὲ, εἰ δυνατὰ, ἀλλ' οὖν ἐν μέρει μόνον χρήσιμα, τὸ τελευταῖον παρορμηθεὶς καὶ πρόστινων τῶν ἐνταῦθα, διέγνωκα τύποις ἐκδοῦναι τὰ πρακτικὰ πασῶν τῶν Συνόδων, τῶν Οἰκουμενικῶν δηλονότι, καὶ τῶν τοπικῶν τὰ σωζόμενα. εἰδὼς, ὡς μὴ μόνον ζητοῖτο, ἀλλὰ καὶ ὅτι γε οἱ ἡμέτεροι πλείστην ὅσην καρπώσονται τὴν ὠφέλειαν. καὶ δῆτα ἠντιναοῦν ἀποσεισάμενος φροντίδα, καὶ ἀφειδήσας μὲν χρόνου τε, καὶ δαπάνης, καίτοι μηδὲ μικρᾶς πεπεισμένος ἐσομένης, ἀνελόμενος δὲ πόνον τε πάντα, ἐφ' ὧ εὑρέσθαι πλεῖσθ' ὅσα πρωτότυπα, οἷς ἂν συγκριθήσοιτο, εἴπου καὶ δεήσειε τὰ νέα, οὐ μὴν ἀλλὰ καὶ τὸν ἐπιμελησόμενον, καὶ συγκρινοῦντα, ὡς ἂν ἀκέραιον, καὶ τέλειον ἀποβαίη τὸ ἔργον, ἤδη δὴ μόγις ἐκδίδωμι τῶν εἰς δύω τὸν πρῶτον Τόμον.

Τὸ μὲν οὖν ΠΑΝΑΓΙΩ'ΤΑΤΕ, φρόνημα τὸ ἐμὸν, ἤτοι πρόθεσις ἡ ἐμὴ τάχ' ἂν οἶμαι, καὶ τοιάδεπως ὤφειλεν εἶναι, λείπεται δ' ὅμως ἤδη ἔτι τί; ἦπου ἄρα ἐμὲ μὲν προσαφοσιῶσαι τῇ ὑμετέρᾳ Παναγιότητι τήνδε τὴν ἀπαρχὴν τῆς εὐλαβείας μου, αὐτὴν δέτοι προσίεσθαι ταύτην μετὰ τῆς εὐμενείας ἐκείνης, ἣν ἀείτε, καὶ παντὶ τῷ αἰτοῦντι δαψιλῶς προσεπιχέεται. καίτοι μήτε ἀμφιγνωοίην ὅλως γε αὐτὸς, ὅτι δὴ ἡ προσπεφωνημένη αὕτη πραγματεία μήτοι μὴ ἀπονεμητικὴ εἴη τῆς ὑμετέρας μεγαλειότητος. Ἢ τίνι γάρποτε ἐννομώτερον ἀναθοῖτο τὰ τῶν καλῶν ποιμένων ἀθλήματα, ἅπερ οἱ θεόληπτοι ἐκεῖνοι, οἷα ζήλῳ πυρπολούμενοι τῷ θείῳ ἀνείλοντο ὑπὲρ τῆς Ἐκκλησίας, εἰ μήπου δηλονότι πάλιν ποιμένι, μᾶλλον δ' ἀρχιποιμένι, καὶ παντὸς προϊσταμένῳ τοῦ Ὀρθοδόξου συστήματος; Τίνι δ' ἂν προσφωνηθεῖεν δικαιότερον οἱ τῶν προμάχων τῆς ὀρθοδοξίας διάπυροι ἀγῶνες, οὓς οἱ θεσπέσιοι ἠγωνίσαντο, ὡς ἂν τὴν τῆς κακοφροσύνης στηλιτεύσαιντο λύμην, καὶ ἀπελάσαιεν, ὅτι μὴ τῷ θερμοτάτῳ προμαχοῦντι, καὶ πάνθ' αἱρουμένῳ κίνδυνον ὑπὲρ τῆς εὐσεβείας; Τίνι δὲ τὰ τῶν Ἀρχιερέων ἀγλαὰ δόγματα, τὰ τῶν Πατέρων θεόπνευστα φρονήματα, εἰ μὴ πάλιν Ἀρχιερεῖ, πάλιν Πατρὶ, μᾶλλον δὲ ΠΑΤΡΙΑ'ΡΧΗ, ΚΑΙ' ΤΟΥΤΩ, ΟΙ'ΚΟΥΜΕΝΙΚΩ, ὃς ἀεὶ διατελεῖ τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν; οὐ δῆτα ἀνοίκειον, σεβασμιώτατε, οὔτε τοι ἀνά-

ξιον

ξιον πάντως τῆς Ἱερωτάτης σου Παναγιότητος τὸ δὴ τὸ ἀνάθημα, ἀλλ' οὐδ' ἔμοιγε αὐτῷ περὶ τούτου ὁ λόγος, περὶ δὲ τῆς τόλμης ταυτησὶ τῆς ἐμῆς, ὃς δὴ τῶν κάτωπου, καὶ ἀφανῶν τυγχάνων, καὶ ταῦτα ἀγνώστε, καὶ εἰς ἄγαν ἀφεστικὼς, σπεύδω οὐδὲν ἧττον ἐμφανισθῆναι τῇ αὐτῆς περιφανεστάτῃ, καὶ ἀκροτάτῃ σεβασμιότητι. ἀλλὰ συγγνοίημοι, ἀξιῶ, ἡ ὑμετέρα Παναγιωτάτη ἐπιήκεια. οὔτε γὰρ τόλμα, οὔτε θράσος, ὡς ἂν φαίητις, τὸ τοιοῦτον, ἔργον δὲ μᾶλλον τῆς περὶ αὐτῆς δαιμονίας φήμης, ἥτις ἤδη μικροῦ δὴ πᾶσαν περιηχοῦσα τὴν εὐρώπην, πείθει ἑκαστονοῦν εὐθαρσεῖν. ἢ τί γάρποτ' ἂν πάθοιμι ἀεὶ τὰ ὑμέτερα διανηχούμενον πλεονεκτήματα, ἄλλωστε τὸ εὐσεβὲς ἐκεῖνο, καὶ ὃν ὑπέρτε γένους, καὶ Ἐκκλησίας ἐνδείκνυται ζῆλον, δι' ἃ καὶ αὐτοισὶ τοῖς ἐλαχίστοις, ἀμησγέπως ὅμως μετριόφροσιν, ἐφοῖτ' ἂν παῤῥησιάζεσθαι. καίτοι μήτε ὑπονοήσειέτις, ὡς ἄρ' αὐτὸς βουλοίμην ἄγειν ἐνταῦθα δι' εὐφήμου γλώττης τὸν πρῴην μὲν Πεκίου Πατριάρχην, εἶτα δὲ πρόεδρον Χαλκηδόνος, καὶ ἤδη τὸ τελευταῖον ΔΕΣΠΟΤΗΝ ΟΙΚΟΥΜΕΝΙΚΟΝ. καὶ γὰρ τὰ φύσει αὐτῇ προσόντα προτερήματα, οἷον Ῥώμη, μεγαλόνοια, εὐψυχία, εἴτε ἀπὸ τύχης, οἷον γένους, καὶ πατρίδος περιφάνειαν, παῤῥησίαν πρὸς τοὺς κρατοῦντας, ἀφθονίαν τοῖς περὶ τὸ σῶμα, ταῦτ' ἔγωγε, καὶ ὅσοις ἄλλοις ἡ γαθὴ τύχη, καὶ φύσις, οὐ μὴν ἀλλὰ καὶ αὐτὴ ἡ προαίρεσις, ἅμα συνιοῦσαι, καταγλαΐζοιεν τὴν ἱερὰν κορυφήν σου, παραλείπομαι τοῖς μουσοτρόφοις, καὶ οἷς ἂν οἱ λόγοι, καίτοι οὐδ' αὐτοὶ ἀποχρώντως, διδοῖεν καθυμνῆσαι. ἔγωγε δ' ὅμως ΠΑΝΑΓΙΩΤΑΤΕ, οὐδὲ ἄλλον σκοπὸν προτίθεμαι ἐνταῦθα, ὅτι μὴ ἐπικαλεσάμενος τὴν εὐνοϊκὴν εὐμένειαν τῆς ὑμετέρας μεγαλειότητος, ἀνακηρυχθῆναι μεθ' ὅσης τῆς εὐλαβείας.

Τῆς ὑμετέρας Παναγιότητος.



Ἐλάχιστος, καὶ Ταπεινότατος Δοῦλος
Πολύμερος Παουλὴς Ἀθηναῖος.



Μ. Διονυσίου, Ἰησοῦς Χριστός Ἐμμανουήλ, 16ου αἰ.



Ἅγ. Στέφανος. Σύγχρονος εἰκών.



Ἅγ. Πρόχορος. Σύγχρονος εἰκών



Ἅγ. Γεώργιος, Βενετίας, Χριστός καί Ἰωάννης ὁ Πρόδρομος, 17ου αἰ.



ΤΟΙΣ ΤΩΝ ΘΕΙΩΝ ΛΟΓΩΝ ΕΡΑΣΤΑΙΣ

ΠΡΟΘΕΩΡΙΑ.

ΤΗΣ Ἐκκλησίας εἰρηνευούσης, ὁ τῶν ζιζανίων σπορεὺς ἐπὶ λύμῃ τῆς Ἐκκλησίας ὡς καὶ πρότερον τοῦ σωτῆρος φανερωθέντος, τοὺς ἰουδαίους ἐξέμηνε κατ' αὐτοῦ, καὶ μετὰ τὸ πάθος, τὴν ἔγερσίντε, καὶ ἀνάληψιν αὐτοῦ, καὶ ἐπιδημίαν τοῦ θείου πνεύματος, πάλιν κατὰ τῶν Πνευματοφόρων ἀποστόλων τοὺς ἰουδαίους ἐξήγειρε. καὶ ἔτι πλῆθος ἀντιχρίστωντε, καὶ ψευδαποστόλων πρὸς κατάλυσιν τοῦ κηρύγματος. ὅιον τὸν μάγον ἐκεῖνον σίμωνα. Δημᾶντε, καὶ Ἑρμογένην, Ὑμέναιόντε, καὶ φιλητὸν, Κήρινθόντε, καὶ Καρποκράτην, μανηντέτινα, καὶ Παῦλον Σαμοσατέα, καὶ Σαβέλλιον σὺν Ἀρείῳ, καὶ πλείστους ἄλλους ἀπατεῶνας, μεθ' ὧν, καὶ Εὐνόμιον ὕστερον, καὶ Μακεδόνιον, καὶ Ἀπολινάριον, καὶ τοὺς ὁμοίους κατὰ τῆς ἀληθείας κενὰ μελετήσαντας. Ἀλλ' ἐπειδήπερ τὰ τῆς εὐσεβείας λαμπρότερον ἀνεδόθη, καὶ θεὸς εὐδόκησεν ἀναθάλλειν ὁ ὑπεράγαθος τῇ φιλοχρίστῳ πίστει τοῦ εὐσεβοῦς Κωνσταντίνου, ὥσπερ πάντας ἐκείνους τοὺς ἀποστάτας, καὶ λυμεῶνας Χριστὸς ὡς ἅδου πύλας ὄντας κατέβαλλε, καὶ διωγμοῦ τῶν δυσσεβεστάτων τυράννων ἐπικειμένου χαλεποῦ, καὶ διὰ τῶν ἀποστόλων, καὶ διαδόχων αὐτῶν τὸ ὀρθὸν τῆς πίστεως διετήρησεν, οὕτω καὶ τοὺς ἐπὶ Κωνσταντίνου τοῦ εὐσεβοῦς πολεμίους τῆς εὐσεβείας κατέθραυσε, τῇ τῆς ἀληθοῦς πίστεως ἀκλινεστάτῃ ὁμολογίᾳ τοῦ θείου Πέτρου, τηρήσας αὐτὴν διὰ τῶν πατέρων ἀκλόνητον. καὶ τὸν ἄθεον Ἄρειον σὺν πολλοῖς ἄλλοις δυσσεβέσι καταβαλὼν, καὶ τὰ τῆς ὀρθοδόξου αὐτοῦ πίστεως ἀσινῆ ἡμῖν τοῖς εὐσεβέσι δούλοις αὐτοῦ ἔκτοτε, καὶ νῦν διετήρησε. δι' αὐτοῦ γὰρ τοῦ πρώτου ἐν χριστιανοῖς βασιλέως Συνόδῳ θείᾳ, ὁμολογητῶν ἁγίων πατέρων ἱεραρχῶν, εἰς τριακοσίους, καὶ δεκαοκτὼ ἀριθμουμένων αὐτῶν, τὰ τῆς δυσσεβείας καταργεῖται, καὶ ἀναθέματι καθυποβάλλεται Ἄρειος. κτίσμα τὸν υἱὸν τοῦ θεοῦ, καὶ πατρὸς βλασφημῶν δυσσεβέστατα. ἧς ἐξῆρχον Βίτων, καὶ Βικέντιος πρεσβύτεροι, τὸν τόπον ἐπέχοντες Συλβέστρου ῥώμης, καὶ τοῦ διαδόχου αὐτοῦ ἰουλίου. Ἀλέξανδρος Κωνσταντινουπόλεως, Ἀλέξανδρος ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας, καὶ Μακάριος ἱεροσολύμων. οἷς καὶ ὁ ὅσιος Κουρδούβης Ἐπίσκοπος συνετέτακτο, ἄλλοιτε πλεῖστοι ἀποστολικοῖς χαρίσμασι, καὶ μαρτυρικοῖς παθήμασι διαλάμποντες. ὁμοούσιος δὲ παρὰ τῶν αὐτῶν πατέρων ἡ τριὰς ὁ θεὸς καταγγέλεται. ἐπεὶ καὶ οὕτω παρὰ τῶν προφητῶν, καὶ τοῦ εὐαγγελίου κεκήρυκται. ὧν ἐξαίρετος ὁ καὶ θεοπάτωρ Δαυὶδ, λέγων. τῷ λόγῳ κυρίου τοὺς οὐρανοὺς ἐστερεῶσθαι, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ τὴν αὐτῶν πᾶσαν δύναμιν. ὁδέγε σωτὴρ, ἐν ὄνομα φησὶ, καὶ εἰς τοῦτο πάντας βαπτίζεσθαι, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. καὶ ὁμονογενὴς υἱὸς (τὸ εὐαγγέλιον φησὶν) ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς. καὶ ἐν ἀρχῇ ἦν ὁλόγος, καὶ ὁλόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁλόγος. καὶ πάντα δι' αὐτοῦ ἐγένετο. καὶ ἐν αὐτῷ ζωὴ ἦν. καὶ ἐγὼ καὶ ὁ πατὴρ ἐν ἐσμὲν. καὶ ὅσα τοιαῦτα. καὶ ἐπὶ τούτοις τὸ ἱερὸν ἐξέθεντο Σύμβολον, ἤτοι σημεῖον τῆς πίστεως κατὰ πάσης αἱρέσεως, ἀρείου φημὶ, σαβελλίου, φωτεινοῦ, παύλου τοῦ σαμοσατέως, μάνεντος, οὐαλεντίνου, μαρκίωνος, καὶ τῶν σὺν αὐτοῖς. ἀποκηρύττουσι δὲ καὶ τὸν Θηβαΐδος Μελίτιον, μετὰ τῶν χειροτονιῶν αὐτοῦ. καὶ τὸν Νικομηδείας εὐσέβιον. καὶ τέλος ἀναθέματι καθυποβάλουσιν οἱ πατέρες τὸν παρὰ τὸ θεουργὸν τῆς πίστεως μάθημα φρονήσαντα.

Πρώτη οἰκουμε: συνόδ. Χρόν. ἀπὸ Χριστοῦ 325.

Ψαλμ. 32.

Μαθ. 18.

Γαλ. 4.

Ἐπεὶ

Ἐπεὶ δὲ περὶ τοῦ ἁγίου πνεύματος φανερώτερον ἀκριβέστερον, περὶ τοῦ υἱοῦ μὲν γὰρ πρὸ βλασφημῶν ὑπῆρχεν ὁ ἀληθείας Λόγος. ὕστερον δὲ καὶ ὁ δυσσεβὴς Μακεδόνιος Κωνσταντινουπόλεως τὸ περὶ τοῦ πνεύματος ἐδείκνυτο γλωσσαλγῶν, καὶ κτίσμα τοῦτο καπνομάζει, καὶ ποίημα τοῦ υἱοῦ. Πάλιν τοίνυν τῶν θεοῦ ἱερέων συγκροτεῖται συνάθροισις. καὶ συγκαλεῖται παντίων ὁμόγας καλούμενος, καὶ ὢν ἀληθῶς Θεοδόσιος Βασιλεύς. καὶ τῇ μὲν πρώτῃ συνόδῳ ἡ Νίκαια πόλις ἦν, παύτῃ δὲ τῇ δευτέρᾳ ἡ Κωνσταντίνου φιλόχριστος. μέγιστοι δὲ τῶν ὁμολογητῶν, καὶ πατέρων καὶ οἱ ἐν παύτῃ συναθροισθέντες, Γρηγόριος γὰρ ὁ θεολόγος φωστὴρ. καὶ Γρηγόριος ἄλλος ὁ Νυσσαέων φωστὴρ, μᾶλλον δὲ τῆς οἰκουμένης ἁπάσης, ὁ καὶ τῆς μεγίστης Βασιλείου καὶ ἀδελφὸς, καὶ ὁμόβροπος. Ἀμφιλόχιός τε ὁ Ἰκονίου. ὧν ἐξῆρχον Τιμόθεος Ἀλεξανδρείας, καὶ Μελέτιος Ἀντιοχείας, Κύριλλος Ἱεροσολύμων, καὶ δὴ καὶ Νεκτάριος Κωνσταντινουπόλεως, καὶ πλεῖστοι σὺν αὐτοῖς ἄλλοι τῇ καὶ θεολογίᾳ, καὶ σημείοις λαμπρύνων. ὧν δὴ καὶ ὁ ἀριθμὸς εἰς ἑκατὸν πεντηκοντάδας ὑπῆρχε. καὶ ἔστος τῆς θείας ἁγιάδος παρέσησι τὸ πλήθος ἀριθμός. καὶ τοῦ πνεύματος δὲ ὁμολογίαν ἀληθῆ, καὶ τελείαν παρέδωκεν, ἅμα τῷ πατρὶ, καὶ τῷ υἱῷ ὡς ὁμοούσιον δοξάζεσθαι παραδούς. ἐκτίθεται δὲ ἡδυτέρα οἰκουμενικὴ θεία συνόδος αὕτη, τὸν περὶ τοῦ πνεύματος ἀνωτέρω λόγον, ἐκ τῶν γραφῶν ποιησαμένη τοῦτο ἔκθεσιν. καὶ τῆς προφητικῆς λεγούσης συνόδου μόνον, καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ὃ δὴ καὶ τῷ προφητικῷ, καὶ τῷ εὐαγγελίου ὅτι φωνὴ, τῷ μὲν Δαυὶδ λέγοντος, τὸ πνεύματόν σου τὸ ἅγιον μὴ ἀπανέλῃς ἀπ' ἐμοῦ. τῷ δ' εὐαγγελίστῃ δὲ, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, προστιθέασιν ὅτοι, τὸ Κύριον τὸ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν, εἰς μίαν ἁγίαν, Καθολικὴν, καὶ ἀποστολικὴν ἐκκλησίαν. καὶ τὸ μὲν κύριον, ἀπὸ τῆς ὑποστολῆς τοῦ θείου Παύλου λαμβάνουσιν. ὁδὲ κύριος τὸ πνεῦμα ὅτι λέγοντος. ὃ δὲ τὸ πνεῦμα ζωή ἐστιν ἡ ἁγία, ἐκεῖ ἐλευθερία. τὸ δὲ ζωοποιὸν ἐκ τῆς ἱερᾶς εὐαγγελίου. τὸ πνεῦμα ὅτι τὸ ζωοποιοῦν χάρισμα. ὁμοίως δὲ καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ἐκ τοῦ εὐαγγελίου λαμβάνουσι. αὐτὸς γὰρ εἴρηκεν ὁ Σωτὴρ, τὸ πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ὅθεν καὶ τὸ σὺν πατρὶ, καὶ υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, ἀπὸ τῶν ἁγίων συνελέξαντο γραφῶν. τὸ προσκυνήσωμεν γὰρ ὁ Δαυὶδ λέγει, καὶ τὸ δοξάσατε αὐτὸν. ὅτι δὲ ἡ ἁγιὰς συνδοξάζεται, καὶ ἀπὸ τοῦ ὕμνου τῶν Σεραφὶμ φανερὸν. ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ. πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. Τὸ γὰρ ἅγιος λεγόμενον τρὶς, τοῦ τριάδα σημαίνει. Τὸ δὲ Κς ἅπαξ, τὸ ὁμόδοξον, καὶ συμφυὲς ταύτης παρίστησι· διὸ καὶ πλήρης [φασὶν] ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. ἐκ αὐτῶν, ἐπειδὴ τῶν τριῶν ὑποστάσεων μία ἡ δόξα, καὶ ἡ οὐσία, καὶ δύναμις. καὶ ἡ ἁγία τριὰς ὁμόνους θεός τε, καὶ κύριος, μίαν ἔχει τοῦ δόξαν, καὶ τοῦ προσκύνησιν. διὸ καὶ τὸ πνεῦμα τὸ ἅγιον τῷ πατρὶ, καὶ τῷ υἱῷ συντιμᾶται, καὶ συμπροσκυνεῖται, καὶ παρὰ τῶν ἀγγέλων, καὶ παρ' ἡμῶν. εἷς ἐν ὁ Κύριος ἡ Τριάς, καὶ εἷς τὸ ὄνομα τῆς Τριάδος τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, εἰς ὃ βαπτιζόμεθα. ὅτι καὶ εἷς, καὶ μόνος θεὸς ἡ τριὰς, ἐπεὶ καὶ θεὸς ὅτιν ὁ πατὴρ, καὶ θεὸς ὁ υἱὸς ὁ λόγος, ὃς ὁ ἀπαρχὴ πρὸς τὸν θεόν. καὶ ἵνα τί ἐμφύσω τὸ πνεῦμα τὸ ἅγιον; οὐκ ἐμφύσω ἀνθρώποις, ἀλλὰ θεῷ. Πέρος διδάσκει περὶ τοῦ πνεύματος. τῇ αὐτῇ ἂν δυνάμει, δόξῃ τε, καὶ θεότητι γνωριζόμενον ὅτι τὸ πνεῦμα τοῦ πατρὸς τε, καὶ υἱοῦ. καὶ προνοούμενον ὅτι τῶν κτισμάτων, καὶ ζωοποιοῦν πάντα. καὶ ἴσως μετὰ τοῦ πατρὸς, καὶ τοῦ λόγου δοξάζεται. αὐτὸ τὸ πνεῦμα ὅτι, καὶ τὸ λαλῆσαν [καθὰ φασὶν οἱ θεῖοι πατέρες] διὰ τῶν προφητῶν. εἰς μίαν ἁγίαν Καθολικὴν, καὶ ἀποστολικὴν Ἐκκλησίαν. τοῦτο καὶ ζαχαρίας ὁ τοῦ προδρόμου πατὴρ φησὶ περὶ τοῦ πατρός. καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ, σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν. καὶ ἐν ταῖς πράξεσι δὲ γέγραπται. ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ θεὸς διὰ στόματος πάντων ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος.

Κήρυκες γὰρ, καὶ οἱ προφῆται Χριστοῦ, θείῳ κινούμενοι πνεύματι, καὶ λαλοῦντες ἀμυδρῶς εἰς μίαν ἁγίαν καθολικὴν, καὶ ἀποστολικὴν ἐκκλησίαν. Καθαρώτερον δὲ, καὶ λαμπρότερον οἱ τοῦ σωτῆρος Χριστοῦ μαθηταὶ τοῦτο τὸ πανάγιον πνεῦμα ἔλαβον, ὅτι καθήσαντος αὐτοῖς τοῦ πνεύματος ἐν εἴδει πυρίνων γλωσσῶν. ὃδὴ μᾶλλον δηλοῖ, ὅτι καὶ καθαρώτερον ἐπεφάνη, καὶ ἐδόθη τοῖς ἀποστόλοις, καὶ δι' αὐτῶν τοῖς πιστεύσασιν.

Ἐλάλησεν ἂν τὸ πνεῦμα ὃ εἶχεν ὁ θεὸς ἐν ταῖς ἑκάταις ἡμέραις ὅτι πᾶσαν σάρκα ὡς ἔφησεν ὁ ἰωὴλ, καὶ τοῦ καθολικὴν ἐκκλησίαν ἐποικοδόμησεν. ὅτω δὲ καὶ ὅτος ὁ ἱεραφάντης χορὸς ἀνεθεμάτισε μακεδόνιον, καὶ πάντας τοὺς πνευματομάχους. Τὸ δὲ πανάγιον, καὶ ζωαρχικὸν πνεῦμα, ἅπερ δὴ ὁμοφυὲς, καὶ ὁμοούσιον, ἰσοθεότητος, καὶ παντοδυνάμου τῇ πατρὶ, καὶ τῷ υἱῷ συμπροσκυνεῖσθαι, καὶ συνδοξολογεῖσθαι, κατὰ τὰς πατρικὰς τε, καὶ θεολογικὰς φωνὰς, ἀνεκήρυξεν.

Ἡ δὲ

Δεύτερα οἰκουμ. Συνόδος. Χριστ. ἐτῶ Χεστῶ ϡϛι.

Ψαλμ. ιθ. Ματθ. κη.

β. Κορινθ. Κ. γ. ιζ.

Γαλατ. Κ. 6. 64.

Γαλατ. ιε. κς.

— Ησαΐ. 6. γ.

Πράξ. Κ. γ. κα.

Ἰωὴλ Κ. β. κη. καὶ πράξ Κ. β.

Ἡ δὲ τρίτη ἁγία, καὶ οἰκουμενικὴ σύνοδος ἐν μὲν τῇ κατὰ τὴν Ἀσίαν Ἐφέσῳ συνεκροτήθη ἐπὶ Θεοδοσίου Βασιλέως τοῦ μικροῦ ἐν πατρᾶσι διακοσίοις. ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο, Κύριλλος ὁ τῆς εὐσεβείας πρόμαχος, τὸν τῆς Ἀλεξανδρείας ἰθύνων θρόνον, καὶ τοῦ Ῥώμης Κελεστίνου τὴν Καθέδραν, καὶ τὸ πρόσωπον ἀνεπλήρου. μεθ' ὧν καὶ Μέμνων τῆς ἐφεσίων ἐκκλησίας ἐπίσκοπος. καὶ δὴ καὶ ὁ τῶν ἱεροσολύμων ἰουβενάλιος. οἵτινες σὺν παντὶ τῷ τῆς συνόδου πληρώματι τὸν δυσσεβῆ Νεστόριον Κωνσταντινουπόλεως ἀπεβάλοντο ἀσεβοῦντα διακενῆς, καὶ τὴν θέωσιν ἡμῶν, καὶ σωτηρίαν ἀρνούμενον. ἐπεὶ Χριστὸν τὸν ἕνα θεοῦ υἱὸν, τὸν ἀληθινὸν θεὸν ἡμῶν, ὃς δι' ἡμᾶς, καὶ τὴν ἡμετέραν σωτηρίαν σαρκωθεὶς ἐκ πνεύματος ἁγίου, καὶ μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσας, εἷς ἐκδύο ἐχρημάτησε τῶν ἐναντίων, θεὸς ὁ αὐτὸς ὑπάρχων, καὶ ἄνθρωπος, εἷς χριστὸς, εἷς υἱὸς. ὁ αὐτὸς ἄνω ἐκ πατρὸς ἀμήτωρ, καὶ κάτω ἐκμητρὸς ἀπάτωρ ὁ αὐτὸς, καὶ οὐκ ἄλλος. ἓν πρόσωπον, μία ὑπόστασις. Τοῦτον δὴ τὸν ἕνα Κύριον ἡμῶν ἰησοῦν χριστὸν, εἰς δύο τέμνειν, καὶ διαιρεῖν ὑποστάσεις οὐ πεφρικώς, ψιλὸν ἄνθρωπον εἶναι αὐτὸν ἔλεγε, καὶ οὐ θεὸν σεσαρκωμένον. ὅθεν οὐδὲ θεοτόκον, ἀλλὰ χριστοτόκον τὴν ἁγίαν παρθένον τὴν τεκοῦσαν τὸν Κύριον, καὶ θεὸν ἡμῶν ὀνόμαζε. ὥσπερ γὰρ τὸν υἱὸν ἀπεστέρει τῆς θεότητος, οὕτως ἠλλοτρίου καὶ τὴν γεννησαμένην τῆς θεοτόκου κλήσεως. Τούτου χάριν τῶν μακαρίων Πατέρων ὁ σύλλογος τοιαύτην βλασφημίαν καθεῖλε, καὶ τὸν δυσσεβῆ Νεστόριον τὸν ἰουδαιόφρονα, καὶ ἀνθρωπολάτριν τῷ αἰωνίῳ παρέπεμψεν ἀναθέματι. καὶ πάσης ἱερωσύνης ἐγύμνωσε. Τὸν δὲ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δογματίσαντες, ἐν μιᾷ, καὶ τῇ αὐτῇ ὑποστάσει προσκυνεῖσθαι, καὶ κηρύττεσθαι ὡς θεὸν σεσαρκωμένον. καὶ ἀκολούθως καὶ τὴν ἁγίαν παρθένον μαρίαν, καὶ μητέρα αὐτοῦ, κυρίως, καὶ ἀληθῶς καλεῖσθαι, καὶ ἀνευφημεῖσθαι θεοτόκον παραδεδώκασι. καὶ ἐπὶ τούτοις μὲν, καὶ αὕτη τὸ τέλος ἔσχηκεν.

Τρίτη οἰκουμενικὴ σύνοδος. Χρόνοι ἀπὸ Χριστοῦ 431.

Ἀλλὰ δὴ καὶ ἡ τετάρτη ἁγία, καὶ Οἰκουμενικὴ Σύνοδος γέγονεν ἐν Χαλκηδόνι, πόλιν οὖσαν ἐπίσημον Βιθυνίας. ἥτις ἐντριάκοντα, καὶ ἑξακοσίοις Πατρᾶσι τὸν ἀριθμὸν ἐξετείνετο. συμπαρόντα, καὶ συμπνέοντα ἔχουσα τὸν Εὐσεβέστατον ἐν Βασιλεῦσι Μαρκιανὸν. ἐπὶ Λέοντος τοῦ μεγάλου, καὶ ἁγιωτάτου Πάπα Ῥώμης, οὗ καὶ τὸν τόπον ἐπλήρουν Πασχασῖνός τε, καὶ Ἀουκίνσιος Ἐπίσκοποι, σὺν Βονιφατίῳ Πρεσβυτέρῳ. μεθ' ὧν Ἀνατόλιος Κωνσταντινουπόλεως, Μάξιμός τε ὁ Ἀντιοχείας, καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος. οἵτινες σὺν παντὶ τῶν μακαρίων πατέρων συλλόγῳ Εὐτυχῆ ἀρχιμανδρίτην, καὶ τὸν αὐτοῦ προασπιστὴν Διόσκορον τὸν γενόμενον Πατριάρχην Ἀλεξανδρείας, τῆς ἱερωσύνης ἐγύμνωσαν, καὶ ἅμα τοῖς ὁμόφροσιν αὐτῶν, ἀνεθεμάτισαν. οὗτοι γὰρ τὴν τοῦ σωτῆρος, καὶ θεοῦ ἡμῶν ἐνανθρώπησιν παρῃτοῦντο σχεδὸν, παντελῶς. ἐν φαντασίᾳ τὴν σάρκα μυθολογοῦντες φορέσαι. ὅθεν τὸν ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐκ θεότητος, καὶ ἀνθρωπότητος γνωριζόμενον, καὶ ἐν ταύταις ταῖς δυσὶ προσκυνούμενον φύσεσιν, εἰς μίαν φύσιν ἀφρόνως ἀνεκίρνων, καὶ συνέχεον. ἐπεὶ ἔλεγον τὰς δύο φύσεις τοῦ θεανθρώπου λόγου μετὰ τὴν ἕνωσιν συγκραθῆναι, καὶ εἰς μίαν φύσιν ἀποτελεσθῆναι. διὸ καὶ τῆς τοσαύτης δυσσεβείας οἱ τῶν χριστομάχων τούτων δογμάτων εἰσηγηταὶ ἀξίαν τὴν δίκην ἀπέλαβον, ἐπεὶ γεγόνασιν ἀπὸ πάσης τῆς Ἐκκλησίας ἀνάθεμα. τὸ δὲ ὀρθὸν, καὶ ἀπαράτρωτον τῆς ὀρθοδοξίας φρόνημα, ἔτι μᾶλλον ταῖς γραφικαῖς τε, καὶ πατρικαῖς μαρτυρίαις ἀνεκηρύχθη, καὶ διέλαμψεν. ἕνα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τέλειον θεὸν, καὶ τέλειον ἄνθρωπον, διπλοῦν τῇ φύσει, ἀλλ' οὐ τῇ ὑποστάσει, φυλάξαντα ἀσυγχύτως, καὶ ἀδιαιρέτως ἑκατέρας οὐσίας τὴν ἰδιότητα, οἱ τρισμακάριστοι πατέρες παραδεδώκασιν ὁμολογεῖν, καὶ κηρύττειν ἀδιστάκτως εἰς πάντα τῆς οἰκουμένης τὰ πέρατα. μετὰ δὲ τὴν τοιαύτην τετάρτην σύνοδον ἔσπευδον αὖθις τινὲς ἱερεῖς τε, καὶ μοναχοὶ τὸ τοῦ Εὐτυχοῦς δόγμα συνιστᾶν. ὅθεν ὁ τηνικαῦτα χρηματίζων Πατριάρχης Ἀνατόλιος συμβουλεύει γραφῆναι δυσὶ χάρταις, καὶ ἀμφοτέρων τῶν μερῶν τὰ δόγματα. καὶ τῇ λάρνακι τῆς μεγάλης μάρτυρος Εὐφημίας ἐμβληθῆναι, καὶ οὕτω δηλωθῆναι τὴν ἀλήθειαν. γίνεται ταῦτα, καὶ θαῦμα παράδοξον ἦν ἰδεῖν. Παρὰ γὰρ τοὺς πόδας τῆς ἁγίας ἐρριμμένος εὑρέθη ὁ τῶν ἀντιδικούντων τῇ ἀληθείᾳ χάρτης. ὁ δὲ ἕτερος παρὰ τῇ χειρὶ αὐτῆς. αὕτη ἡ τετάρτη σύνοδος ἐδέξατο Θεοδώρητον, καὶ Ἴβαν, ὡς ἀναθεματίσαντας Νεστόριον.

Τετάρτη οἰκουμενικὴ σύνοδος. Χρόνοι ἀπὸ Χριστοῦ 451.

Ἡ δὲ ἐν Κωνσταντινουπόλει τὸ δεύτερον συναθροισθεῖσα σύνοδος, ἥτις ἐστὶ τῶν οἰκουμενικῶν ἡ πέμπτη. συνεκροτήθη ἐπὶ Ἰουστινιανοῦ τοῦ πάλαι Βασιλέως. Βιγιλίου Πάπα ῥώμης, Μηνᾶ μὲν τὴν ἀρχὴν, εἶτα δὲ καὶ Εὐτυχίου ἐκδιαδοχῆς Κωνσταντινουπόλεως, σὺν οἷς ὑπῆρχον Ἀπολινάριός τε ὁ Ἀλεξανδρείας, καὶ Δόμνος ὁ Ἀντιοχείας. καὶ δὴ καὶ Δίδυμος, καὶ Εὐάγριος, Εὐστοχίου τοῦ Ἱεροσολύμων, τὸν τόπον ἀναπληροῦντες. πέντε δὲ καὶ ἑξήκοντα καὶ ἑκατὸν θεοφόρων πατέρων παρουσίᾳ, καὶ συνδρομῇ ἐκρατύνετο. Ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ, πρῶτον μὲν ἐκυρώθη ἡ τῶν προγεγονυιῶν τεσσάρων συνόδων καθολικῇ ἀπόφασις. Δεύτερον κατεκρίθησαν ὡριγένης, Δίδυμος, καὶ Εὐάγριος, οἵτινες ἐδόξαζον προϋπάρχειν τὰς ψυχὰς τῶν σωμάτων, καὶ πολλὰ σώματα τὴν αὐτὴν ψυχὴν μετενδύεσθαι. καὶ τέλος τῆς ἀτελευτήτου κολάσεως ἐψηφίζοντο, καὶ τοῖς πονηροῖς δαίμοσι τὸ ἀρχαῖον ἀξίωμα ἐχαρίζοντο.

Πέμπτη οἰκουμ. σύνοδος. Χρόνοι ἀπὸ Χριστοῦ. 553

καὶ ἔτι πλείσας ἄλλας δυσφημίας ἔφασκον, ὡς πλατύτερον φαίνονται ἐν τῷ λόγῳ τῶ βασιλέως Ἰουστινιανῦ, καπαπεμφθεὶς πρὸς Μιωᾶν τὸν ἁγιώτατον παῤῥιάρχῃν Κωνσταντινουπόλεως, ἐν τῷ δευτέρῳ τόμῳ τῆς παρούσης συλλογῆς ἐν τῇ πέμπτῃ συνόδῳ. προσέτι ἀπεκήρυξεν ὅπως ὁ ἱερὸς τῶν πατέρων χορὸς τὰ ξία Κεφάλαια, δηλονότι, περὶ τῆς καταχείστεως Θεοδώρα τῦ μοψουεσίας, καὶ τῶν Θεοδωρήτα καπὰ Κυείλλα συγγραφέντων, καὶ τῆς ἴβα ὀπιστολῆς πρὸς Μάριν τὸν πέρσην. ὁμοῦ δὲ Θεόδωρος ἔφασκεν, ἄλλον εἶναι τὸν θεὸν λόγον, καὶ ἄλλον τὸν Χριστὸν, ὑπὸ παθῶν ψυχῆς, καὶ τῶν τῆς σαρκὸς ὀπιθυμιῶν ἀνοχλήμπον, καὶ ἐκ προκοπῆς ἔργων βελτιωθέντα, καὶ βαπτισθέντα εἰς ὄνομα πατρὸς, καὶ υἱῦ, καὶ ἁγίυ πνεύματος καὶ διὰ τῦ βαπτίσματος τὴν χάριν τῦ ἁγίυ πνεύματος λαβεῖν, καὶ υἱοθεσίας ἀξιωθῆναι. καὶ ἄλλας ἀναριθμήτους βλασφημίας ἐναπηρεύξατο. Θεοδώρητος δὲ ὀρθέθετο συγγράμματα ὑπὲρ Νεσορίυ τῦ αἱρετικῦ, καὶ κατὰ τῆς ὀρθῆς πίστεως, καὶ τῆς ἐν Ἐφέσῳ πρώτης ἁγίας συνόδυ, καὶ τῶν ἐν ἁγίοις Κυείλλυ, καὶ τῶν δώδεκα αὐτῦ κεφαλαίων. καὶ πέως Ἴβας ἔγραψεν ὀπιστολὴν πρὸς μάριν τὸν πέρσην τὸν αἱρετικὸν, ἐν ᾗ ἀρνεῖται τὸν θεὸν λόγον ἄνθρωπον γεγονῆναι, καὶ μὴ τὸν θεὸν λόγον ἐκ τῆς παρθένυ σαρκωθέντα γεγονῆναι, ἀλλὰ ψιλὸν ἄνθρωπον ἐξ αὐτῆς γεγονῆναι, ὃν ναὸν ἀποκαλεῖ, ὡς ἄλλον εἶναι τὸν θεὸν λόγον, καὶ ἄλλον τὸν ἄνθρωπον. πρὸς τέτοις δὲ ἐνύβριζε τὴν ἐν Ἐφέσῳ πρώτην συνόδον, ὡς χωρὶς ζητήσεως, καὶ κρίσεως Νεσόριον καταδικάσης, καὶ τὸν ἐν ἁγίοις Κύριλλον αἱρετικὸν ἀπεκάλει, καὶ ἀσεβῆ τὰ δώδεκα αὐτῦ Κεφάλαια. ὅθεν ἡ ἁγία αὕτη οἰκουμενικὴ πέμπτη συνόδος τὰ θεοσυγῆ αὐτῇ συγγράμματα τε, καὶ δόγματα ἀπεβάλετο, καὶ τὸς αἱρετικὸς ἅπαντας ἀνεθεμάτισε. τὰ δὲ ἁπλανῆ, καὶ θεῖα τῆς καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας δόγματα ἐκράτυνε, καὶ ἀπεκύρωσε. Τὰ πρακτικὰ τῆς συνόδυ ταύτης οὐχ εὑρίσκονται πάντα ἑλληνιστὶ, ἀλλὰ λατινιστὶ. διαιρῦνται δὲ εἰς συνελεύσεις ὀκτώ.

Ἕκτη οἰκουμενικὴ σύνοδος. Χρόνοι ἀπὸ Χριστῦ 681.

Ἐπὶ δὲ Κωνσταντίνυ βασιλέως ἀπογόνυ Ἡρακλείυ, καὶ πατρὸς Ἰουστινιανῦ τῦ Νέυ, γέγονε καὶ ἡ Ἕκτη ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἐν Κωνσταντινουπόλει τὸ ξίτον. ὑπῆρχον δὲ τὸν ἀριθμὸν Ἑβδομήκοντα, καὶ Ἑκατὸν θεοφόροι πατέρες. ὧν ἀρχηγοὶ ἦσαν Γεώργιός τε πατριάρχης Κωνσταντινουπόλεως, καὶ Θεόδωρος, καὶ Γεώργιος πρεσβύτεροι, ἅμα δράκοντι Ἰωάννῃ, οἱ ἀντὶ τῦ ἁγιωτάτυ πάπα ῥώμης Ἀγάθωνος εἰς τὴν τῆς ἐξάρχων πάξιν ἠριθμῦντο. καὶ Πέτρος μοναχὸς, ὃς τὸν τόπον τῦ Ἀλεξανδρείας ἀνεπλήρυ. ὅτοι δὲ σὺν τοῖς ἄλλοις ἁγίοις πατράσι Σέργιον, Πύῤῥον, Ὀνώριον, Θεόδωρον τὸν τῆς φαρὰν, καὶ τὸς Ὀμόφρονας αὐτῆς ὡς ψεύδεις σειρὰν διερρήξαν. καὶ ὑπὸ δικαίων καταδίκης ἐποιήσαντο. ὅτι δυσεβῶς ἀπεπόλμησαν εἰπεῖν, μίαν θέλησιν, καὶ μίαν ἐνέργειαν ὅτι Χριστῦ τῦ ἀληθινῦ θεῦ ἡμῶν τῦ ἐκ δύο πεφυκότος φύσεων. πᾶσα γὰρ φύσις πηγὴ ἐνεργείας, καὶ ταῖς διαφόροις ἐνεργείαις αἱ φυσικαὶ θελήσεις συνδιαχίζονται. καὶ εἰ κατὰ τὸν ἐν αὐτοῖς πλανῖλον [καθαφνσιφώτιος] ἡ ἐνέργεια, καὶ ἡ θέλησις μία, καὶ ἡφύσις πως ἐξ ἧς ταῦτα, μία. εἰδὲ δύο αἱ φύσεις, πῶς οὐχὶ ἑκατέρα πηγάσει τὴν οἰκείαν ἐνέργειαν, καὶ τὴν θέλησιν; τότε χάριν ὁ ἱερὸς σύλλογος τῶν τῶν θεοφόρων πατέρων παραδεδώκασι ταῖς ἁπανταχῦ ἐκκλησίαις ὁμολογεῖν, καὶ κηρύσσειν δύο θελήσεις φυσικὰς, καὶ δύο ἐνεργείας ὅτι τῦ ἑνὸς Χριστῦ τῦ θεῦ ἡμῶν, κατὰ τὸ διπλῦν τῆς φύσεων, ὅπω καὶ τῆς ἐνεργειῶν, καὶ θελήσεων.

r. ἐπιστ. x.

Ἡ ἐν Τρούλλῳ συνόδος.

Κανόνας δὲ καὶ αὐτὴ ὡρίσατο, ὥσπερ καὶ ἡ πέμπτη. καὶ διὰ τῦτο ἡ ἐν Τρούλλῳ συνηθροίσθη, ἡ καὶ πενθέκτη λεγομένη, ἥτις κατὰ τὴν Κωνσταντινούπολιν ἐν τῷ Τρούλλῳ συνηθροίσθη τῦ Παλατίυ, Διακοσίων εἴκοσι ἑπτὰ ἁγίων ὁσα Πατέρων. κατὰ Κέλδυσιν Ἰουστινιανῦ τῦ ῥινοτμήτυ, τῦ υἱῦ τῦ Πωγωνάτυ, δι' ἐκθέσιν καὶ μόνον κανόνων. ὅθεν καὶ πενθέκτη ἔκτη προσαγορεύεται, ὡς τὸ τῇ πέμπτῃ, καὶ ἕκτῃ ἐλλεῖπον ἀναπληρῦσα. ὅπερ ὅτι ἡ τῶν Κανόνων ἔκθεσις.

Ἑβδόμη σύνοδος οἰκουμενικὴ. Χρόνοι ἀπὸ Χριστῦ 783.

Γέγονε δὲ πέως, καὶ ἡ Ἑβδόμη ἁγία οἰκουμενικὴ σύνοδος, συνελθῦσα, ἐν Νικαίᾳ τῆς Βιθυνίας τὸ δεύτερον, ὅτι τῆς βασιλείας Κωνσταντίνυ, καὶ Εἰρήνης τῆς μητρὸς αὐτῦ. Ἑπτὰ μὲν καὶ ἑξήκοντα, καὶ Τριακοσίων ἱερῶν ἀνδρῶν τῷ πλήθει πλατυνομένη. Ἐπὶ ἀνασηλώσει τῶν ἁγίων εἰκόνων, καὶ καθαιρέσει τῶν χρισιανοκατηγόρων, οἱ διέσυρον τὸς χρισιανὸς ὡς εἴδωλα τάχα προσκυνῦντας τὰς ἁγίας εἰκόνας. Ἡγῦντο δὲ ταύτης ὁ θεῖος, καὶ πανάριστος Ταράσιος πατριάρχης Κωνσταντινουπόλεως. καὶ δὴ καὶ Πέτρος πρωτοπρεσβύτερος τῆς κατὰ ῥώμην ἁγίας Ἐκκλησίας, καὶ Πέτρος ἄλλος πρεσβύτερος καὶ αὐτὸς, καὶ τῆς ἐκείσε μονῆς, ἡγούμενος τῦ ἁγίυ Σάββα. τὸν τόπον ἐπέχοντες τῆς ἀποστολικῆς καθέδρας, Ἀδριανῦ τότε τὸ ἀρχιερατικὸν κοσμῦντος ἀξίωμα. ἅμα δὲ τέτοις ἦσαν Ἰωάννης, καὶ Θωμᾶς ἱερατικῇ τιμῇ λαμπρύνοντες, καὶ τῆς αὐτοκρατορικῆς ἁπάσης διοικήσεως τῶν ἀποστολικῶν θρόνων τοποτηρηταί. ἤτοι Ἀπολιναρίυ Ἀλεξανδρείας, Θεοδωρήτυ Ἀντιοχείας, καὶ Ἠλία Ἱεροσολύμων. αὕτη τοιγαροῦν ἡ ἱερὰ, καὶ μεγάλη σύνοδος κατεδίκασε τὸς Εἰκονομάχους, ἢ μᾶλλον εἰπεῖν Χρισομάχους. ἀναθεματίσασα τὸς τρεῖς ψευδονύμυς Πατριάρχας, Ἀνασάσιον φημὶ, Κωνσταντῖνον, Νικήταν, καὶ Βασίλειον Ἀντιοχείας τῆς πισιδίας, τὸν

λεγό-

λεγόμενον Τρικάκαβον, καὶ πάντας τοὺς ὁμόφρονας αὐτῶν. Ἔτι δὲ ἀνεθεμάτισε καὶ τὴν ἐπὶ τοῦ Κωνσταντίνου τοῦ Κοπρωνύμου ψευδῆ σύνοδον συναθροισθεῖσαν ἐν τῇ βλαχέρνᾳ, ἣν καὶ Οἰκουμενικὴν ὠνόμασαν. διωρίσαντο δὲ οὗτοι οἱ θεῖοι πατέρες σοφῶς τε, καὶ θεαρέστως τὸν τίμιον Σταυρὸν, καὶ τὰς σεπτὰς εἰκόνας προσκυνεῖσθαι. ἐπεὶ ἡ τιμὴ τῶν εἰκονισμάτων, τιμὴ γίνεται τῶν εἰκονιζομένων, ὥσπερ καὶ ἡ ἀτιμία εἰς αὐτὰ, διαβαίνει τὰ εἰκονιζόμενα. καὶ οὕτω ἡ Καθολικὴ Ἐκκλησία ἀπέλαβε τὸν ἀρχαῖον κόσμον αὐτῆς, καὶ ἀπεδείχθη οἷα νύμφη, οὐκ ἐνκροσσωτοῖς χρυσοῖς, ἀλλ' ἐν ἱεροῖς ἐξωραϊσθεῖσα εἰκονίσμασι. παρισταμένη ἕως τῆς συντελείας τοῦ αἰῶνος ἐκδεξιῶν τοῦ Νυμφίου αὐτῆς Ἰησοῦ Χριστοῦ. Καλοῦνται τέλος οἱ πατέρες ἐν τῇ βασιλευούσῃ πόλει, καὶ προκαθεζομένων τῶν Βασιλέων σὺν τοῖς Ἐπισκόποις ἐν τῷ παλατίῳ τῷ λεγομένῳ μαγναύρᾳ, ὑπανεγνώσθη ὁ Τόμος. καὶ ἐρωτῶνται οἱ πατέρες εἰ ἑκουσίᾳ τῇ γνώμῃ ἐκβεβοήκασι τὸν ὅρον, καὶ καταφάσκουσιν. ὑπέγραψαν δὲ, ὅ, τε Βασιλεὺς, καὶ ἡ μήτηρ αὐτοῦ, κυρώσαντες τὴν εὐσέβειαν, καὶ τὰ τῶν ἁγίων πατέρων ἀρχαῖα δόγματα. γράφει ἡ σύνοδος προσφωνητικὸν πρὸς τοὺς Βασιλεῖς, καὶ ἐγκύκλιον εἰς πάσας τὰς Ἐκκλησίας. ἐπαινεῖται ὁ Βασιλεὺς, καὶ ἐκφωνοῦσιν οἱ πατέρες Κανόνας εἰκοσιδύο. γράφει ὁ Πατριάρχης Ταράσιος πρὸς τὸν ῥώμης Ἀδριανὸν ἐπιστολὴν μίαν περὶ τῶν πραχθέντων ἐν τῇ συνόδῳ, καὶ δευτέραν κατὰ Σιμωνιακῶν. καὶ γίνεται τέλος τῷ ὀγδόῳ ἔτει τῆς αὐταρχίας τῶν Βασιλέων. οἵτινες φιλοτιμησάμενοι τοὺς Ἱερεῖς ἀπέλυσαν. καὶ εἰρήνευσεν ἡ τοῦ θεοῦ Ἐκκλησία, εἰ καὶ ὁ ἐχθρὸς τὰ ἑαυτοῦ ζιζάνια ἐν τοῖς ἰδίοις ἐργάταις σπείρειν οὐ παύεται. ἀλλ' ἡ τοῦ Θεοῦ ἐκκλησία πάντοτε πολεμουμένη Νικᾷ. Ἐν ἑκάστῃ δὲ τῶν εἰρημένων ἁγίων ἑπτὰ οἰκουμενικῶν συνόδων, ἡ ζήτησις γέγονε περὶ πίστεως. καὶ ψῆφος, ἤτοι ὅρος δογματικὸς ἐξενήνεκται. αἱ δὲ λοιπαὶ γεγόνασιν οὐ δογματικόν τι ἐκτιθέμεναι, ἀλλ' ἢ πρὸς βεβαίωσιν τῶν ὁρισθέντων ταῖς οἰκουμενικαῖς ταύταις συνόδοις, ἢ πρὸς καθαίρεσιν τῶν ἐναντιωθῆναι τολμησάντων, ἢ περὶ Κανόνων, καὶ ζητημάτων εἰς ἐκκλησιαστικὴν ὁρώντων εὐταξίαν.

Περὶ τῶν μερικῶν συνόδων.

Τῶν δὲ μερικῶν συνόδων, ἡμὲν ἐστὶν ἡ ἐν Ἀγκύρᾳ, Πρεσβυτέρα τοῖς οἰκουμενικῆς πρώτης ἐν Νικαίᾳ συνόδου. περὶ τῶν παραπεπτωκότων συστᾶσα. Ἡ δὲ ἐν Καισαρίᾳ, πρεσβυτέρα καὶ αὕτη τῆς ἐν Ἀγκύρᾳ. ἐκκλησιαστικῆς ἕνεκα καταστάσεως συναθροισθεῖσα. Ἡ δὲ ἐν Γάγγρᾳ, ἥτις μετὰ τὴν ἐν Νικαίᾳ συνέστη, κατά τινος Εὐσταθίου, τὸν γάμον διαβάλλοντος, καὶ ἄλλα παρὰ τὴν ἐκκλησιαστικὴν νουθετοῦντος παράδοσιν. ἃ καὶ καθ' ἕκαστον ἀναθεματίζει. Ἡ δὲ ἐν Ἀντιοχείᾳ τῆς Συρίας. δύο δὲ ἐν ταύτῃ συνέστησαν σύνοδοι. ἡμὲν ἐπὶ Αὐρηλιανοῦ, κατὰ Παύλου τοῦ Σαμοσατέως, ψιλὸν ἄνθρωπον τὸν Χριστὸν λέγοντος. Ἡ δὲ, ἐπὶ τοῦ Κωνσταντίου, τοῦ υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου, ἥτις καὶ τοὺς κανόνας ἐξέθετο. Ἡ δὲ ἐν Λαοδικίᾳ τῆς Καπατιανῆς φρυγίας. ἔτι γέγονε καὶ ἡ ἐν Σαρδικῇ, δι' αἰτίαν τοιαύτην. Ἀρειανίσαντος Κωνσταντίου, ὁ ἀδελφὸς αὐτοῦ Κώνστας τῆς πρεσβυτέρας ῥώμης κρατῶν, πόλεμον αὐτῷ διὰ γραμμάτων ἠπείλησεν, εἰμὴ πάυσαιτο διαστρέφων τὴν Ἐκκλησίαν. ὁ δὲ ἀντέγραψε, τὸ τῆς πίστεως ἀκριβὲς ζητῶν. καὶ διὰ τοῦτο δόξαν αὐτοῖς τε, καὶ τῷ ῥώμῃς, ἡ σύνοδος αὕτη συνηθροίσθη. Τριακοσίων Τεσσαράκοντα καὶ ἑνὸς ἁγίων οὖσαν πατέρων. ἣ τὴν ἐν Νικαίᾳ κυρώσασα σύνοδον, καὶ κανόνας ἐξέθετο· προσέτι καὶ ἡ ἐν Καρθαγένῃ, ἐπὶ Θεοδοσίου τοῦ μικροῦ συνηθροίσθη, διακοσίων δέκα καὶ ἑπτὰ ἁγίων οὖσα πατέρων. μεθ' ὧν ἦσαν καὶ τοποτηρηταὶ τοῦ Πάπα, ἣ τὴν ἐν Νικαίᾳ καὶ αὕτη κυρώσασα σύνοδον, καὶ κανόνας ἐξέθετο. Καρθάγενα δὲ, μέρος τῆς Καρχηδόνος ἐστὶν. ἡ δὲ Καρχηδὼν, ἐπαρχία ἐστὶ τῆς ἀφρικῆς. ἔστι δὲ τῶν μερικῶν κατὰ τὸν Ἁρμενόπουλον καὶ ἡ κατὰ τὴν Κωνσταντινούπολιν, ἐν τῷ Ναῷ τῶν Ἁγίων Ἀποστόλων συναθροισθεῖσα, ἡ καὶ πρώτη καὶ δευτέρα λεγομένη. καὶ τέλος ἡ ἐπὶ Λέοντος, καὶ Κωνσταντίνου ἐν τῷ περιωνύμῳ Ναῷ τῆς τοῦ θεοῦ ἁγίας Σοφίας, ἥτις τὴν Ἑβδόμην ἐκύρωσε σύνοδον. Καὶ τὰ μὲν τῶν συνόδων, οὕτως ἔχει.

Περὶ τοῦ ἀριθμοῦ Πάντων τῶν κανόνων.

Τῶν δὲ Κανόνων, τῶν μὲν ἁγίων Ἀποστόλων εἰσὶ τὸν ἀριθμὸν ὀγδοήκοντα πέντε. Τῶν δὲ οἰκουμενικῶν συνόδων, τῆς πρώτης κανόνες εἴκοσι. τῆς δευτέρας ἑπτὰ. τῆς Τρίτης ὀκτὼ.

Ὧν οἱ μὲν ἓξ τῆς Τρίτης εἰσὶν ἐν τῇ σελίδι 548. οἱ δὲ δύο, ὁμὲν ζ'. ἐστὶν ἐν τῇ σελίδι 527. καὶ ἐπιφέρει Τίτλον, ὅρος τῆς Συνόδου περὶ τῆς πίστεως, ἐν ᾧ καὶ περὶ ὧν ἀνήνεγκεν ὁ Χαρίσιος. ὁ δὲ η'. ἐστὶν ἐν τῇ σελίδι 545. καὶ φέρει Τίτλον, ψῆφος τῆς αὐτῆς ἁγίας Συνόδου. Τῆς Τετάρτης Τρίακοντα. τῆς ἐν Τρούλλῳ ἑκατὸν δύο. καὶ τῆς ἑβδόμης εἴκοσιδοῦ.

Τῶν δὲ μερικῶν συνόδων. τῆς ἐν ἀγκύρᾳ, εἴκοσι πέντε. τῆς ἐν Καισαρείᾳ δέκα καὶ πέντε. Τῆς ἐν Γάγγρᾳ δέκα καὶ ἐννέα. Τῆς ἐν Ἀντιοχείᾳ εἴκοσι καὶ πέντε. τῆς ἐν Λαοδικίᾳ ἑξήκοντα. τῆς ἐν Σαρδικῇ εἴκοσι καὶ εἷς. Τῆς ἐν Καρθαγένῃ ἑκατὸν Τριάκοντα Τέσσαρες. Τῆς πρώτης, καὶ δευτέρας λεγομένης, δέκα καὶ ἑπτὰ. Καὶ τέλος τῆς τῇ ἁγίᾳ Σοφίᾳ Τρεῖς.

Οἱ δὲ τῶν ἁγίων Κανόνες, οἱ μὲν εἰσὶν ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγίου Διονυσίου Ἀλεξανδρείας, Κανόνες τέσσαρες. Οἱ δὲ τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας δέκα καὶ πέντε. Τοῦ ἁγίου Γρηγορίου

ρίου τοῦ θαυματουργοῦ δυοκαίδεκα. τοῦ μεγάλου Βασιλείου ἐκ τῶν ἐπιστολῶν αὐτοῦ, ὀγδοή-
κοντα ἕξ. Τοῦ ἁγίου Γρηγορίου Νύσσης ἐκ τῆς πρὸς τὸν Λητόϊον Μελιτηνῆς, κανόνες ὀκτῶ
Τιμοθέου Ἀλεξανδρείας ἐκ τῶν αὐτοῦ ἀποκρίσεων, δέκα καὶ ὀκτώ. Νικολάου τοῦ ἁγιωτάτου Πα-
τριάρχου, ἐκ τῶν ἀποκρίσεων τῆς ἐν Κωνσταντινουπόλει συνόδου πρὸς τινας μοναχοὺς, ἐννέα
τοῦ ἁγίου Κυρίλλου ἐκ τῶν αὐτοῦ ἐπιστολῶν, Πέντε. καὶ τοῦ Πατριάρχου ἁγίου Νικηφόρου, δέ-
κα. Τούτων τοίνυν ἡμεῖς τὴν ὑπόθεσιν ἐν τῇ παρούσῃ πραγματείᾳ νῦν διαλαμβάνομεν. Τι-
θέντες ἰδίᾳ ἐν τῇ ἀρχῇ τοῦ παρόντος Τόμου, ἐν ἐπιτομῇ τινὰς κανόνας περὶ διαφόρων ἀ-
ναγκαίων ὑποθέσεων. Καὶ πρῶτον τοὺς περὶ Ἐπισκόπων διαλαμβάνοντας, καὶ ὅσοι τούτων
εἰσὶν ἐχόμενοι. εἶτα τοὺς περὶ Πρεσβυτέρων, Διακόνων, καὶ Ὑποδιακόνων. μετὰ ταῦτα
τοὺς περὶ Κληρικῶν. μεθ' οὓς τοὺς περὶ Μοναχῶν, καὶ Μοναστηρίων. καὶ μετ' αὐτοὺς, τοὺς
περὶ Λαϊκῶν, καὶ ὅσοι καθολικοὶ εἰσὶν. καὶ τέλος τοὺς περὶ γυναικῶν. ἐν ἓξ τμήμασι τὴν
τῶν κανόνων πραγματείαν περιλαμβάνοντες ποιησάμενοι. ἕκαστον δὲ τῶν Τμημάτων, ἐπιγρα-
φὰς πάλιν κέκτηται μερικὰς, εἰς συντομωτέραν ἅμα, καὶ σαφεστέραν εὕρεσιν τοῦ ζητουμένου.

Ταῦτα πάντα, καὶ ἔτι πλείω περιέχονται ἐν τῇ παρούσῃ συλλογῇ, ἅτινα προτίθενται
ὑμῖν τοῖς τῶν ὀρθῶν δογμάτων ἐρασταῖς. ὑμεῖς δὲ οἱ ἐντυγχάνοντες τούτων εὐσεβεῖς παῖδες
τῆς ἁγίας Καθολικῆς, καὶ Ἀποστολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας, πείθεσθε τοῖς Θεοφόροις ἡγουμένοις
τε, καὶ πατράσιν ἡμῶν, καὶ ὑπείκετε. ὁ δὲ Θεὸς, καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς ἀποδώσει
ὑμῖν τὰ τῆς δόξης ἔπαθλα, τοῖς δὲ ἀθετοῦσι τὰ τῆς τόλμης ἐπίχειρα. Ὁ γὰρ αὐτῶν πα-
ρακούων, καὶ αὐτοὺς ἀθετῶν, χριστὸν ἀθετεῖ. διὸ βλέπετε [κατὰ τὴν τοῦ μακαρίου Παύλου
φωνὴν] μήτις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας, καὶ κενῆς ἀπάτης, κατὰ τὴν
παράδοσιν τῶν εἰκαιοβούλων ἀνθρώπων, καὶ οὐ κατὰ Χριστὸν. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς
δύναται θεῖναι εὐσεβοῦς πίστεως παρὰ τὸν κείμενον, ὃς ἐστὶν Ἰησοῦς ὁ Χριστὸς. στήκετε
τοίνυν ἐν ἑνὶ πνεύματι μιᾷ ψυχῇ συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου. καὶ μὴ πτυρό-
μενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων. ἀλλὰ φυλάττοντες τὰς παραδόσεις, ἃς παρελά-
βετε, καὶ ἐδιδάχθητε, ἤτε διὰ λόγου, ἤτε δι' ἐπιστολῆς, παράτε τῶν πνευματοφόρων ἀπο-
στόλων, καὶ τῶν ἁγίων, καὶ μακαρίων πατέρων, τῶν τὴν ὀρθόδοξον πίστιν ἐκθεμένων. ὧν
τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. ἧς γένοιτο καὶ ὑμᾶς ἐπιτυχεῖν. ἔρρωσθε.



Γάλλα Πλακιδία, Ραβέννης, Ὁ Ποιμὴν ὁ Καλός, 6ου αἰ.



Μ. Χελανδαρίου, Εὐαγγ. Λουκᾶς (κῶδ. 13μ.)



Μ. Διονυσίου, Ἀρχιερεῖς, πρεσβύτεροι καί διάκονοι ἐπί ἄμβωνος (κῶδ. 587μ.)



Μ. Χελανδαρίου, Εὐαγγ. Μάρκος (κῶδ. 13μ.)

ΟΙ ΙΕΡΟΙ ΚΑΝΟΝΕΣ ΚΑΤ' ΕΠΙΤΟΜΗΝ.

ΠΕΡΙ ΕΠΙΣΚΟΠΩΝ,

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

Περὶ ψήφου καὶ χειροτονίας αὐτῶν, ἐπιγραφὴ πρώτη.

Ὁ πρῶτος τῶν Ἀποστόλων.

Ἐπίσκοπος ὑπὸ δύο, ἢ τριῶν ὀφείλει χειροτονεῖσθαι.

Ὁ δ'. τῆς ά. ὁ ιθ'. τῆς ἐν ἀντιοχείᾳ. ὁ ιγ'. καὶ μθ'. τῆς ἐν Καρθαγένῃ.

Καθιστάσθω δὲ μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ· εἰ δ' ἂν ὑπὸ τριῶν, τῶν λοιπῶν συμψήφων γινομένων διὰ γραμμάτων· τὸ μέντοι κῦρος ὁ μητροπολίτης ἐχέτω.

ΣΧΟΛΙΟΝ.

Ὁ μὲν τῶν ἀποστόλων κανὼν περὶ καθιερώσεως καὶ χειροθεσίας φησίν. ὁδὲ τῆς ά. συνόδου περὶ ψήφου. ταύτην γὰρ πάσασιν, καὶ χειροτονίαν καλεῖ.

Ὁ ς'. τῆς ά. καὶ ὁ β'. τῆς β'.

Κρατείτω τὰ ἀρχαῖα ἔθη τῶν Ἀρχιεπισκόπων, καὶ τῶν οἰκείων ἐπαρχιῶν ἕκαστος ὀφυσιαζέτω· εἰδέ τις ἐπίσκοπος τῇ τοῦ μητροπολίτου δίχα γένηται γνώμης, καθαιρείσθω.

Ὁ ς'. τῆς ά. καὶ ὁ ιθ'. τῆς ἐν ἀντιοχείᾳ.

Κανονικῶς ψῆφος πολλῶν γινομένης, εἰ δύο ἢ τρεῖς φιλονείκως ἀντιλέγοιεν, τῶν πλειόνων ἡ ψῆφος κρατείτω, καὶ οἱ ἀντιλέγοντες ἔστωσαν ἄκυροι.

ΣΧΟΛΙΟΝ ΦΙΛΟΘΕΟΥ

Πατριάρχου.

Σημείωσαι τὸ Κανονικῶς, καὶ τὸ, εἰ φιλονείκως. καὶ γὰρ ἁπλῶς εἶπε, ψῆφος πολλῶν γινομένης. καὶ εἰ ἀντιλέγοιεν, ἁπλῶς. εἰ δὲ ἀφιλονείκως κὀρθῶς ἀντιλέγοιεν, καὶ οἱ δύο πάντως παροπτέοι.

Ὁ ν'. τῆς ἐν καρθαγένῃ.

Ὑπὸ δὲ τριῶν ἐπισκόπων ἐπισκόπου ψηφιζομένου, εἰ ἀντιλογία περὶ αὐτῆς γένοιτο, καὶ ἕτεροι δύο τοῖς ἑτέροις ἐφαζδιχθήσονται. καὶ ὅπως, εἰ ἀπὸ πάντων καθαρὸς φανείη, χειροτονείσθω.

Ὁ ς'. τῆς ἐν σαρδικῇ.

Εἰ δέ τινι ἐπαρχίᾳ εἷς μόνος ἐπίσκοπος καταλείφθη, κακεῖνος παρὰ τοῦ μητροπολίτου κληθεὶς εἰς ἐπισκόπου χειροτονίαν, μὴ παραγένηται, μήτε μὴν ἀντιγράψῃ, τὸ ἱκανὸν ὁ μητροπολίτης ἐχέτω. μητροπολίτου δὲ χειροτονουμένου, καὶ οἱ πλησιόχωροι τῆς ἐπαρχίας παρέστωσαν.

ΣΧΟΛΙΟΝ ΦΙΛΟΘΕΟΥ.

Τυπῆσιν ἱκανὸς ἔστω καὶ μόνος ὁ μητροπολίτης εἰς τὸ ψηφίσασθαι. ἃ δὴ καὶ χειροτονήσει μεμνωμένος αὐτὸς, εἰ μὴ κατὰ τὸν ἀποστολικὸν κανόνα.

Ὁ κέ. τῆς ἐν Λαοδικείᾳ.

Ἐν κώμῃ δὲ ἢ χώρᾳ, ἐν ᾗ καὶ περισβύτερος ἀρκεῖ, ἐπίσκοπος μὴ γινέσθω. ἵνα μὴ τὸ τοῦ ὀφφικίου καταπτύηται ὄνομα.

Ὁ λ'. τῶν ἀποστόλων, καὶ ὁ γ' τῆς ζ.

Ὃς δὲ δι' ἀρχόντων ἐπίσκοπος γένηται, καθαιρείσθω τε, καὶ ἀφορίζέσθω μετὰ τῶν κοινωνούντων αὐτῷ. πᾶσα δὲ ψῆφος ἱερωμένη παρὰ κοσμικῶν ἀρχόντων, ἄκυρος.

Σ Χ Ο' Λ Ι Ο Ν.

Διὰ τὴν τῆς κακίας ὑπερβολήν. τὸν τοιοῦτον δὲ καὶ ἀναθεματίζει ἡ τοῦ πατριάρχου Γενναδίου ἐγκύκλιος ἐπιστολή.

Ο' ιη'. τῆς ἐν Καρθαγένῃ.

Μανθανέτω ὁ χειροτονούμενος τὰ ταῖς συνόδοις δόξαντα.

Ο' λς'. τῶν ἀποστόλων, καὶ ὁ ζ'. καὶ η'. τῆς ἐν Αντιοχείᾳ.

Ὁ χειροτονηθεὶς ἐπίσκοπος εἰ μὴ τὴν λειτουργίαν δέξαιτο, ἀφοριζέσθω ἕως ἂν δέξηται. εἰ δὲ παρὰ τοῦ λαοῦ μὴ δεχθῇ, ὁ μὲν κλῆρος ἀφοριζέσθω, ὅτι μὴ τὸν ὄχλον πεπαίδευκεν. αὐτὸς δ' ἐπίσκοπος μενέτω.

Ο' ι'. τοῦ Μεγάλου Βασιλείου.

Οἱ τὴν χειροτονίαν ἐξομνύμενοι, μὴ ἀναγκαζέσθωσαν. καὶ μάλιστα, εἰ καὶ μηδεμία παραμυθία ἐκτῶν τοῦ ὅρκου ῥημάτων εἴη.

Ο' ιϛ'. τῆς α'. καὶ β'. λεγομένης,

Ἐπίσκοπος μηδενὶ τρόπῳ ἐν ἐκκλησίᾳ γινέσθω, ἧς ὁ προεστὼς ἐτιζῇ, καὶ τῆς ἰδίας ἀπολαύει τιμῆς. εἰ μὴ πρότερον αὐτὸς τὴν ἐπισκοπὴν παραιτήσαιτο. δεῖ γὰρ πρότερον κανονικῶς μετ' ἐξετάσεως τὸν ἐπίσκοπον καθαιρεθῆναι, καὶ οὕτως ἕτερον ἀντ' αὐτοῦ προβιβασθῆναι.

Ο' δ'. τῆς ἐν Σαρδικῇ.

Καί εἰ παρὰ τῶν γειτονούντων ἐπισκόπων ἐπίσκοπος καθαιρεθῇ, καὶ φάσκει πάλιν ἔχειν ἀπολογίαν, εἰ μὴ ὁ Ῥώμης ὁρίσει, ἕτερος εἰς τὴν αὐτοῦ καθέδραν μὴ καθιστάσθω.

ΤΙ'Σ Ε'ΠΙ'ΣΚΟΠΟΣ ΓΙ'ΝΕΤΑΙ ΚΑΙ' ΤΙ'Σ Ο'Υ ΓΙ'ΝΕΤΑΙ.

Ε'ΠΙΓΡΑΦΗ' ΔΕΥΤΕ'ΡΑ.

Ο' π'. τῶν Α'ποστόλων.

Νεοφώτιστος, ἢ ἐκφάυλης διαγωγῆς, ἐπίσκοπος μὴ γινέσθω, εἰ μὴ θείᾳ χάριτι.

Σ Χ Ο' Λ Ι Ο Ν.

Ἤγουν εἰ ἀποκάλυψις περὶ αὐτοῦ γένηται, ὥς ἅπερ ἀνανίᾳ περὶ παύλου.

Ο' οζ'. αὐτῶν.

Ἑτερόφθαλμος, καὶ χωλὸς, εἰ ἄξιος, ἐπίσκοπος γινέσθω.

Ο' οη'. αὐτῶν.

Τυφλὸς δὲ, καὶ κωφὸς, μὴ γινέσθω.

Ο' ιζ'. τῆς α'. καὶ β'. λεγομένης.

Μηδεὶς τῶν λαϊκῶν, ἡμοναχῶν ἀθρόον εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος ἀναγέσθω, εἰ μὴ τοῖς ἐκκλησιαστικοῖς πρότερον βαθμοῖς ἐξετάζοιτο, ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον χρόνον ἀποπληρῶν.

Ο' ι'. τῆς ἐν σαρδικῇ.

Καὶ ἐξ ἀγορᾶς πλούσιος, ἠσχολαστικὸς, εἰς τὴν ἀρχιερωσύνην μὴ καθιστάσθω, εἰ μὴ διὰ χρόνου, καὶ δοκιμασίας τοὺς ἐκκλησιαστικοὺς πρότερον διέλθοι βαθμοὺς. ὁ γὰρ μὴ οὕτω, νεόφυτος.

Ο' ιβ'. τῆς ἐν λαοδικείᾳ.

Ὁ χειροτονησόμενος, ἐπίσκοπος, εἰ μὴ τὸν ψαλτῆρα γινώσκει, καὶ τὴν θείαν πᾶσαν γραφὴν, καὶ τοὺς ἱεροὺς κανόνας ἐρευνητικῶς, ἀλλὰ μὴ παροδευτικῶς ἀναγινώσκει, ὥστε καὶ αὐτὸν κατὰ τὰ θεῖα ἐντάλματα ἀναστρέφεσθαι, καὶ τὸν ὑπ' αὐτὸν διδάσκειν λαὸν, μὴ χειροτονείσθω.

Ο' κη' τῆς δ'.

Οἱ πόντου, καὶ ἀσίας, καὶ θράκης, καὶ οἱ βάρβαροι, παρὰ τοῦ κωνσταντινουπόλεως χειροτονείσθωσαν, τῶν ἴσων πρεσβείων τῷς ῥώμης ἀξιωθέντος, διὰ τὴν τῶν σκήπτρων μετάθεσιν.

ΤΙ'ΝΑ ΔΕΙ' ΠΟΙΕΙ'Ν τὸν ἐπίσκοπον.

Ε'ΠΙΓΡΑΦΗ' ΤΡΙ'ΤΗ.

Ο' λη'. τῶν ἀποστόλων, καὶ ὁ κε'. τῆς ἐν ἀντιοχείᾳ.

Διοικείτω μετ' ἐξουσίας τὰ τῆς ἐκκλησίας ὁ ἐπίσκοπος πράγματα, μήτι τούτων σφετεριζόμενος, ἢ καταχρώμενος, ἢ τοῖς συγγενέσι διδοὺς, εἰ μὴ που ὡς πένησιν, ἢ τὴν ἐξουσίαν τούτων τοῖς συγγενέσι παρέχων. ὁ δὲ παραβαίνων, ἐπιτιμάσθω παρὰ τῆς ἐκκλησίας.

Ο' μ'. τῶν ἀποστόλων, καὶ ὁ κδ'. τῆς ἐν Α'ντιοχείᾳ.

Φανερούσθω τὰ τοῦ ἐπισκόπου, καὶ τὰ τῆς ἐκκλησίας πράγματα. ὡς ἂν καὶ ὁ ἐπίσκοπος διατίθηται, καὶ ἡ ἐκκλησία μένῃ ἀζήμιος.

Ο' μα'. τῶν ἀποστόλων.

Τῶν τῆς ἐκκλησίας πραγμάτων ὁ ἐπίσκοπος ἐξουσιαζέτω, καὶ διοικείτω ταῦτα κατὰ τὸ θεῷ φίλον.

Ο' κϛ'. τῆς τετάρτης.

Οἰκονόμος ἑκάστῃ τῶν ἐκκλησιῶν ἀπὸ τοῦ κλήρου

ρκ γινέσθω. ὁ δὲ πάπα καταφρονῶν ἐπίσκοπος, ἐπιτιμηθήσεται. τῷ μητροπολίτῃ δὲ μὴ ποιοῦντος οἰκονόμον ἐν τῇ ἐκκλησίᾳ αὐτῷ, ὁ πατριάρχης ποιείτω. καὶ τῷ ἐπισκόπῳ μὴ ποιοῦντος, ὁ μητροπολίτης. κατὰ παντὰ δὲ καὶ ὅτι τῷ μοναστηρίων.

Ο' ιθ'. τῆς ἐν τῷ Τρούλλῳ.

Οἱ τῶν ἐκκλησιῶν προϊσάμενοι, μάλιστα μὲν ἅπαντος. ἐξαιρέτως δὲ ἐν ταῖς κυριακαῖς διδασκέτωσαν, ἐκ τῶν θείων γραφῶν τὰ τῆς γραφῆς ἐξηγούμενοι λόγια.

Ο' κ'. τῆς ἐν Καρθαγένῃ.

Ἐπίσκοποι, πρεσβύτεροι, καὶ διάκονοι, ἐγκρατεῖς ἐν ἅπασιν ἔστωσαν, ἵνα τῶν αἰτουμένων τυγχάνωσι. καὶ γυναικῶν ἀπεχέσθωσαν.

Ο' μγ'. τῆς αὐτῆς.

Τοῖς μετανοοῦσιν ὁ ἐπίσκοπος τὴν μετάνοιαν ὀριζέτω, καὶ παρὰ γνώμην αὐτοῦ, πρεσβύτερος αὐτοὺς, εἰ μὴ δι' ἀνάγκην μὴ καταλλαττέτω. καὶ ὁ μὴ προσδεχόμενος τὰς μετανοίας, καθαιρείσθω.

Ο' δ'. τοῦ Μεγάλου Βασιλείου.

Καὶ εἴτινι πάντων φιλανθρωπότερος δι' ὑπερβολὴν ἐξομολογήσεως γένοιτο, συγγνωστέος.

Ο' ε'. τῆς ἐν Καρθαγένῃ.

Ἔστωσαν ἔκδικοι, ἵνα μὴ ὁ ἐπίσκοπος ἐνοχλῆται.

Ο' νδ'. ταύτης.

Ὁ ἐν παροικίᾳ καὶ γνώμην τοῦ, ὑφ' ὃν ὄφειλεν, ἐπίσκοπος καταστὰς, ἐπὶ τῶν οἰκείων ὅρων μενέτω.

ΤΙΝΑ ΔΕΙ ΜΗ ΠΟΙΕΙΝ

τὸν Ἐπίσκοπον.

ΕΠΙΓΡΑΦΗ ΤΕΤΑΡΤΗ.

Ο' ιδ'. τῶν Ἀποστόλων, καὶ ὁ ιε'. τῆς α'. καὶ β'. λεγομένης.

Ἐπίσκοπος μὴ εἰὼν τὴν ἑαυτοῦ παροικίαν, ἑτέραν ἐπιπηδάτω, εἰ μὴ τοῖς ἐκεῖ λυσιτελέστερος, ὡς διδακτικώτερος, κείνοιτο. καὶ τοῦτο πολλῶν ἐπισκόπων, καὶ κείσει, καὶ παρακλήσει.

Σ Χ Ο Λ Ι Ο Ν.

Οὐκ ἐπὶ τῷ ἀεὶ τοῖς ἐκεῖ συνεῖναι, τοῦτο φησίν. ἀλλὰ πρὸς καιρὸν, ὠφελείας χάριν τοῦ λαοῦ, καὶ πάλιν εἰς τὴν ἰδίαν ἀνακάμψαι.

Ο' ιγ'. καὶ ὁ κβ'. τῆς ἐν ἀντιοχείᾳ.

Εἴτις ἐπίσκοπος ἄνευ πολλῆς παρακλήσεως, καὶ γραμμάτων τοῦ μητροπολίτου εἰς ἑτέραν ἐπαρχίαν ἀφίκοιτο, καὶ χειροτονοίη, καὶ διοικοίη τὰ πράγματα, πάντα πραχθέντα ἄκυρα, καὶ αὐτὸς καθαιρείσθω.

Ο' κά. τῆς ἐν ἀντιοχείᾳ, καὶ ὁ α'. τῆς ἐν καρθαγένῃ.

Ἀπὸ δὲ παροικίας εἰς παροικίαν ἐπίσκοπος μὴ καθιστάσθω, μήτε αὐθαιρέτως, μήτε ὑπὸ λαοῦ ἐκβιαζόμενος, μήτε ὑπὸ ἐπισκόπων ἀναγκαζόμενος.

Ο' α'. τῆς ἐν σαρδικῇ.

Ὁ δὲ ἀπὸ ταπεινοτέρας πόλεως ἐφ' ὑψηλοτέραν μητρόπολιν ἐπίσκοπος, ὡς ἀλαζὼν, καὶ πλεονέκτης, μὴ δὲ λαϊκῆς κοινωνίαν ἐχέτω.

Ο' β'. ταύτης.

Εἰ δέ τις καὶ γράμματα τῆς τοιαύτης πόλεως ἐκείνης, ἐν ᾗ μετέπεσε, δεικνύει, ἀξιοῦντα δηθεὶν αὐτὸν εἰς τὴν αὐτῶν προσασίαν, ὡς ῥαδιεργίαν πεποιηκώς, καὶ στάσεως αἴτιος, μὴ δὲ ἐν τῇ πόλει, τῆς κοινωνίας ἀξιούσθω.

Ο' ις'. τῆς ἐν ἀντιοχείᾳ.

Καὶ χολάζων ἐπίσκοπος, εἰδίχα πολείας συνόδου, [πολεία δὲ ὅση, ὅταν καὶ ὁ μητροπολίτης παρῇ] ἐπὶ χολάζουσαν ἐκκλησίαν ἐπιπηδήσει, κἂν ὁ τῆς πόλεως ἐκείνης λαὸς ἐθελήσῃ, ἀπόβλητος ἔστω.

Σ Χ Ο Λ Ι Ο Ν.

Ἡ συνοδικὴ τοῦ πατριάρχου Μιχαὴλ διάγνωσις, συγχωρεῖ καὶ μεταθέσεις ἐπισκόπων γίνεσθαι, γνώμῃ τοῦ προτεύοντος αὐτῶν, χρείας καταπεπειγούσης πρὸς τὸ λυσιτελέστερον. καὶ καθ' ἑπίδοσιν ἐπισκόπῳ καὶ ἑτέραν ἐπισκοπὴν δίδοσθαι παρὰ τοῦ προτεύοντος ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ, ἐν ᾗ καὶ πάσῃ τῇ ἐπαρχίᾳ αὐτοῦ τὴν διεξαγωγὴν τῶν ἀρχιερατικῶν ἁπάντων δικαίων ποιήσεται, ὅσα καὶ γνήσιος ἀρχιερεὺς αὐτῶν. πάρεξ τοῦ ἐν τῷ ἱερῷ σύνθρόνῳ ἐγκαθιδρύεσθαι.

Ο' ιή'. τῆς ἐν ἀγκύρᾳ.

Ὁ δὲ παρὰ τοῦ αὐτοῦ μὴ δεχθεὶς παροικίας, εἰ ἑτέρας παροικίας ἐπελθὼν τασιάζει, ἀποειζέσθω. συναριθμείσθω δὲ, εἰθέλει, τοῖς πρεσβυτέροις. τασιάζων δὲ καὶ ἐν αὐτοῖς, καὶ τῆς τοῦ πρεσβυτέρου τιμῆς ἀποθείσθω.

Ο' κα'. τῆς ἐν Ἀντιοχείᾳ.

Ἀδίκως δὲ ἐκβληθεὶς εἰς ἑτέραν πόλιν παραγενόμενος, μὴ κωλυέσθω διάγειν, ἕως ἂν εἰς τὴν οἰκείαν ἐπανέλθῃ.

Ο' λε'. τῶν ἀποστόλων.

Ἐπίσκοπος ὑπερόρια μὴ χειροτονείτω, παρὰ γνώμην τῶν ἐγχωρίων. ἐλεγχθεὶς δὲ καθαιρείσθω μετὰ τοῦ χειροτονηθέντος.

ΣΧΟ'ΛΙΟΝ.

Τὸ δὲ συνοδικὸν σημείωμα τοῦ πατρίαρχου Μιχαὴλ, τοῦ καὶ ὑπάτου χρηματίσαντος τῶν φιλοσόφων, τοῦ μὲν ἐπισκόπου ἀργίαν ἐπὶ ῥητῷ καταψηφίζεται χρόνῳ. εἰμήπου μετὰ πρώτην, καὶ δευτέραν παραίνεσιν πεισθῆναι οὐβούλεται. τὸν δὲ χειροτονηθέντα ἐν ἐκείνῃ τῇ ἐνορίᾳ ἱερατεύειν, ἐν ᾗ κεχειροτόνηται. συγχωρεῖ δὲ τοῖς ἀρχιερεῦσι περὶ πίστεως πανταχοῦ διδάσκειν, καὶ κατηχεῖν, καὶ βαπτίζειν τοὺς ὁθενδήποτε ὄντας, καὶ θείων αὐτοῖς μυστηρίων μεταδιδόναι.

Ο' ιϛ'. τῆς α'., καὶ ὁ ιβ'. τῆς ἐν Σαρδικῇ.

Εἴτις ἐπίσκοπος τὸν ἑτέρῳ διαφέροντα παρὰ γνώμην ἐκείνου χειροτονήσει, ἄκυρος ἡ χειροτονία.

Ο' νδ'. τῆς ἐν Καρθαγένῃ.

Καὶ εἰ τοῦτον κατέχει, καὶ μὴ ἀποδῶ, ἐπιτιμάσθω.

Ο' κδ'. τῆς δ'.

Ο' κληρικοὺς ἄλλης ἐκκλησίας δεξάμενος, εἰμήπου δι' ἅλωσιν τῆς αὐτῶν πατρίδος, ἀκοινώνητος σὺν ἐκείνοις ἔστω.

Ο' κ'. τῆς ἐν Τρούλλῳ.

Ἐπίσκοπος ὑπερόρια δημοσίᾳ διδάσκων, τῆς ἐπισκοπῆς παυέσθω, τὰ τῶν πρεσβυτέρων ἐνεργῶν.

Ο' ια'. τῆς ἐν Σαρδικῇ.

Καὶ εἰς ἑτέραν διάτι παραγενόμενος πόλιν, εἰ ὁ τῆς πόλεως ἐκείνης ἐπίσκοπος ἀπείρως ἔχει διδάσκειν, μὴ συνεχέστερον οὗτος ὁμιλείτω, καταισχύνων ἐκεῖνον, καὶ τὴν ἀλλοτρίαν ἀρχὴν ἑαυτῷ μνηστευόμενος.

Ο' λδ'. τῶν ἀποστόλων, καὶ ὁ θ'. τῆς ἐν Ἀντιοχείᾳ.

Δίχα τοῦ πρώτου αὐτῶν, ποιείτωσαν μηδὲν οἱ ἐπίσκοποι. εἰ μὴ τὰ τῆς παροικίας ἕκαστος. ἀλλὰ οὐδὲ ὁ πρῶτος ἄνευ τῶν λοιπῶν, διὰ τὴν ὁμόνοιαν.

ΣΧΟ'ΛΙΟΝ.

Περὶ δογματικῶν λέγει ζητήσεων, σφαλμάτων κοινῶν, κατεστάσεως ἀρχιερέων, καὶ ὅσα τοιαῦτα.

Ο' αὐτὸς.

Δημόσια διαχειρίζων ἐπίσκοπος, εἰ μὴ παύοιτο, καθαιρείσθω.

Ο' β'. τῆς δ'. καὶ ὁ ιθ'. τῆς ζ'.

Ο' χειροτονήσας, ἢ προβαλὼν ἐπὶ χρήμασι, μέχρι καὶ προσμοναρίου, καθαιρείσθω σὺν τῷ χειροτονηθέντι, ἢ προβληθέντι. καὶ οἱ μεσάζοντες, κληρικοὶ μὲν ἐκπιπτέτωσαν. λαϊκοὶ δὲ, ἢ μονάζοντες, ἀναθεματιζέσθωσαν.

παρὰ μονα-
ρίου.

ΣΧΟ'ΛΙΟΝ.

Ἡ τοῦ Ταρασίου πρὸς Ἀδριανὸν πάπαν ῥώμης ἐπιστολὴ, τοὺς ἐπὶ χρήμασι χειροτονοῦντας, δυσσεβεστέρους μακεδονίου, καὶ τῶν περὶ αὐτὸν πνευματομάχων τίθησι, καὶ τοῦ προδότου Ἰούδα λογίζεται παρομοίους, τὸ πνεῦμα καὶ αὐτοὺς τὸ ἅγιον ἀργυρίων πιπράσκοντας, ὡς ἐκεῖνος ἀργυρίων πέπρακε τὸν υἱόν. τὸ δὲ χρυσόβουλλον τοῦ βασιλέως Ἰσαακίου τοῦ κομνηνοῦ, ὅπερ ἐπεκύρωσε καὶ τὸ συνοδικὸν ψήφισμα τοῦ πατριάρχου Μιχαὴλ, φησὶν. ἐπὶ τῇ χειροτονίᾳ τῶν ἱερέων, καὶ ἐπὶ τῷ κανονικῷ τὸν παλαιὸν ἐνεργεῖν τύπον, καὶ μηδὲν ἐπὶ τῇ χειροτονίᾳ λαμβάνειν πλέον τὸν χειροτονοῦντα τούτους ἐπίσκοπον, ἀλλ' ἢ μόνα τὰ ζ'. χρυσᾶ νομίσματα. ἓν μὲν, ὅτε ποιεῖ αὐτὸν ἀναγνώστην. τρίαδὲ, ὅτε χειροτονεῖ αὐτὸν διάκονον. καὶ ἑτέρα τρία ὅτε ποιεῖ αὐτὸν ἱερέα. ὡσαύτως καὶ ὑπὲρ τοῦ κανονικοῦ, ἀπὸ τοῦ ἔχοντος χωρίου λ'. καπνοὺς, νόμισμα χρυσοῦ ἕν. ἀργυρᾶ β'. κριὸν ἕνα, κριθῆς μοδίους ἕξ, οἴνου μέτρα ἕξ, ἀλεύρου μοδίους ϛ', καὶ ὄρνις λ'. ταῦτα δὲ ἐπεκύρωσε καὶ ἕτερον συνοδικὸν σημείωμα τοῦ πατριάρχου Νικολάου.

πληροῖ.
μόδια.
ὄρνιθας.

Ο' δ'. τῆς ζ'.

Ο' χρυσίον, ἢ ἀργύριον, ἢ ἕτερον εἶδος τοὺς ὑπ' αὐτὸν ἀπαιτῶν, καὶ διάτι τούτων τῆς λειτουργίας ἀπείργωντινὰ, ἢ ἀφορίζων, ἤσεπτὸν κλείων ναὸν, μὴ γίνεσθαι ἐν αὐτῷ τὰς τοῦ θεοῦ λειτουργίας, ὑποκείσθω ταυτοπαθείᾳ.

Ἐκ τῆς πρὸς τοὺς ὑπ' αὐτὸν ἐπισκόπους, τοῦ Μεγάλου Βασιλείου.

Μηδεὶς δὲ χειροτονῶν ἐπὶ χρήμασι, σοφιζέσθω τὸ πρᾶγμα, διὰ τοῦ μὴ προλαμβάνειν, ἢ μὴ ἅμα λαμβάνειν, ἀλλὰ μετὰ ταῦτα λαμβάνειν. λαμβάνειν γὰρ ἐστι, τὸ ὁτεδήποτε λαβεῖν. τοῦτο δὲ, φιλαργυρία. ἡ δὲ ἐστιν εἰδωλολατρεία. μὴ οὖν χριστοῦ τὰ εἴδωλα προτιμάσθω, μὴ δὲ τὸν Ἰούδαν μιμήσησθε, προδιδόντες ἐπὶ λήμμασι τὸν ἅπαξ ὑπὲρ ἡμῶν σταυρωθέντα. ἐπεὶ καὶ τὰ χωρία, καὶ αἰχεῖρες τῶν τοὺς καρποὺς τούτους δεχομένων, Ἀκελδαμᾶ κληθήσονται.

Ο' κθ'. τῆς δ'.

Ο' καταβιβάζων ἐπίσκοπον εἰς πρεσβύτερον, ἱερόσυλος. ὁ γὰρ ὑπαίτιος, καὶ ἀνίερος. ὁ δὲ ἀνέγκλητος, ἔστω καὶ ἐπίσκοπος.

Ο' ιβ'. τῆς ἐν τῷ Τρούλλῳ.

Ἐπίσκοπος γυναικὶ συνοικῶν, καθαιρείσθω.

Ο' ιη'. τῆς ζ'.

Μὴ δὲ ἐν ἐπισκοπείοις, ἢ μοναστηρίοις γυναῖκες ἐνδιαιτάσθωσαν. εἰ δὲ τις ἐπίσκοπος, ἢ ἡγούμενος, δούλῃ, ἢ ἐλευθέρᾳ εἰς διακονίαν χρῷτο, ἐπιτιμάσθω. ἐπιμένων δὲ, καθαιρείσθω. ἔνθα δὲ ἐπίσκοπος, ἢ ἡγούμενος καθ' ὁδὸν καταλύσει, αἱ γυναῖκες ἐκείνου παρόντος ἀναχωρείτωσαν.

Ο' κζ'.

Ο' χζ'. τῆς ἐν τῷ Τρούλλῳ.

Ο' λειψάνων ἁνδρὸς ἁγίων ναὸν καθιερῶν, ὡς παραβαίνων τὰς ἐκκλησιαστικὰς παραδόσεις, καθαιρείσθω.

Ο' χή'. ταύτης.

Ἐπίσκοπος ἐκποιῶν τι τῶν προσόδων αὐτουργίων τῆς ἐπισκοπῆς, καὶ μάλιστα ἄρχουσιν ἐκδιωκείσθω. καὶ ἡ πρᾶσις ἄκυρος μενέτω. καὶ ταυτὰ δὲ, καὶ ἐπὶ τῶν ἡγουμένων.

Ο' χς'. τῆς ἐν καρθαγένῃ καὶ ὁ λγ'.

Καὶ ὅλως πρᾶγμα τῆς ἐκκλησίας ἐπίσκοπος μὴ πιπρασκέτω, εἰ μὴ ἄρα ἀπρόσοδον εἴη, καὶ πολλῆτις ἀνάγκη κατεπείγει. καὶ τότε τῇ τῶ πρωτόντος γνώμη, καὶ τῆς συνόδου, ἢ τῶν γειτονούντων καὶν ἐπισκόπων. μὴ ὅπως δὲ ποιήσας, ὑπόδικος.

Ο' ις'. τῆς ἐν τῷ Τρούλλῳ.

Ἐπίσκοπος, ἢ κληρικὸς λαμπραῖς ἑαυτὸν ἐσθῆσι κοσμῶν, ἢ μύρα χειόμενος, εἰ μὴ πάυοιτο, * ἐπιτιμάσθω.

* καθαιρείσθω.

Ο' ις'. τῆς ά., καὶ β'. λεγομένης, ὁ ια'. τῆς ἐν σαρδικῇ, καὶ ὁ α'. τῆς ἐν καρθαγένῃ.

Εἴτις ἐπίσκοπος τῆς ἰδίας ἀμελοίη ποίμνης, καὶ μήτε νόσῳ, ἢ βασιλικῷ, ἢ παξιαρχικῷ κελεύσματι κατεχόμενος, ὑπὲρ ἑξαμηνιαῖον χρόνον ἀποδημοίη, τῆς τῶ ἐπισκόπω τιμῆς, καὶ ἀξίας παντελῶς ἀλλοξιούσθω.

Ο' ιβ'. τῆς ἐν Σαρδικῇ.

Καὶ ὁ εἰς ὑπεροψίας αὐτῷ κτήσεις ἀπερχόμενος, μὴ πλέων τῶν ξ' ἑβδομάδων ἐν αὐτοῖς χρονιζέτω.

Ο' ρκα'. τῆς ἐν καρθαγένῃ.

Οἱ δὲ τῶν ἀννικόντων ἀμελοῦντες, παρὰ τῶν γειτονούντων αὐτοῖς ἐπισκόπων ἐγκαλείσθωσαν. καὶ εἰ μηδὲν ἐντὸς ἓξ μηνῶν δράσαιεν, τῷ δυναμένῳ κερδάναι προσκυρούσθωσαν. εἰ μήτε δι' οἰκονομίαν, ἀλλ' οὐχὶ δι' ἀμέλειαν φανεῖεν τοῦτο ποιοῦντες.

Ο' ιβ'. τῆς ἐν τῇ ἁγίᾳ σοφίᾳ.

Ἀρχιερεὺς εἰς τὴν τῶν μονούντων χώραν ἑαυτὸν μὴ καταβιβαζέτω. καταβιβάσας δὲ, μηκέτι τῆς ἀρχιερατικῆς ἀντιποιείσθω, τιμῆς.

Ο' δ'. τῆς ἐν ἀντιοχείᾳ.

Ἐπίσκοπος ὑπὸ συνόδου καθηρημένος, ἢ πρεσβύτερος, ἢ διάκονος ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, εἰ τολμήσειέτι πρᾶξαι τῆς λειτουργίας, μηκέτι μὴν δὲ ἀποκαταστάσεως ἐλπίδα ἐχέτω. καὶ οἱ τούτῳ κοινωνοῦντες, ἀφοριζέσθωσαν. καὶ μάλιστα, εἰ καὶ τὴν κατ' αὐτοῦ εἰσδεῖεν ἀπόφασιν.

Ο' ια'. τῆς ἐν Ἀντιοχείᾳ.

Ἐπίσκοπος, ἢ πρεσβύτερος παρὰ γνώμην τοῦ ἰδίου μητροπολίτου ἀπελθὼν πρὸς βασιλέα, ἀπόβλητος γινέσθω καὶ τῆς κοινωνίας, καὶ τῆς ἀξίας.

Ο' ζ'. τῆς ἐν Σαρδικῇ.

Ἄλλως δὲ ἐπίσκοπος πρὸς βασιλέα μὴ ἀπιρχέσθω, εἰ μὴ χηρῶν, καὶ ὀρφανῶν, καὶ καταπονουμένων δικαία καταναγκάζει βοήθεια.

Ο' η'. ταύτης.

Εἰ δὲ αὐτὸς ἀπελθὼν διάτι τύπον ἐβάλετο, αἰσχυνόμενος δῆθεν διαξίβειν ἐν γραπτίδῳ, διάκονος ἀποστελλέσθω.

Ο' κά'. ταύτης.

Ἐπίσκοπος ἐπίσκοπον ὁ δεῖνα θεασάμενος, τὴν αἰτίαν τῆς ὁδοιπορίας ἐξεταζέτω. κἂν αὐτὸν δῷρῃ, μὴ διάτι τῷ ἡμῖν ὀφειλόντων ἢ πρὸς βασιλέα, ἢ ἀλλαχόσε ὁ δεῖνα, μὴ τοῖς αὐτοῦ γράμμασιν ὑποχαφέτω, μήτε μὴν αὐτῷ κοινωνείτω.

Ο' ιβ'. τῆς ἐν Ἀντιοχείᾳ.

Ὁ καθηρημένος, εἰ μὴ ἐπὶ μείζονα ξαποίη σύνοδον, καὶ ἃ νομίζει δίκαια ἔχειν προσαναφέροι, ἀλλ' ἐνοχλοίη βασιλεῖ, μήτε χώραν ἀπολογίας ἐχέτω, μήτ' ἐλπίδα μελλούσης ἀποκαταστάσεως.

Ο' μ'. τῆς ἐν Λαοδικείᾳ, καὶ ὁ * νγ'. καὶ ὁ ος'. τῆς ἐν Καρθαγένῃ. * ν'.

Ἐπίσκοπος καλούμενος ἐπὶ συνόδου, καὶ ἀθετῶν, εἰ μὴ δι' ἀσωμαλίαν, ἐπιτιμάσθω. εἰ δὲ καὶ τῷ ἰδίῳ πλήθει θαρρῶν, τῆς ἀδελφικῆς ἀγάπης καταφρονεῖ, ἀρχοντικῶς παιδευέσθω.

Ο' γ'. τῆς ἐν Σαρδικῇ.

Ἐπίσκοπος ἄκλητος εἰς πόλιν μὴ διαβαινέτω. καὶ συνεπισκόπῳ διαφερόμενος, ἄλλην ἐπαρχίαν μὴ ἐκκαλείσθω, εἰ μήτε δόξει τῇ Ῥώμης καὶ παρ' ἄλλοις τοῦτον κριθῆναι.

Ο' θ'. τῆς δ'.

Εἰ δέ τις ἐπίσκοπος, ἢ κληρικὸς πρὸς μητροπολίτην ἀμφισβητοίη, ἐπὶ τῆς Κωνσταντινουπόλεως δικαζέσθω.

Ο' ε'. τῆς ἐν Σαρδικῇ.

Ἐπίσκοπος παρὰ τῶν συνεπισκόπων καταχειρισθεὶς, εἰ τὸν ῥώμης ἐπικαλέσαιτο, καὶ ἐκεῖνος ὀφείσει παρὰ τῶν ἀγχισκόπων αὐτὸν κριθῆναι, γινέσθω. καὶ αὖθις εἰ τοῦτον ἀνακαλέσαιτο, καὶ ὁ Ῥώμης φρισβυτέρους ἀποστείλας, ὀφείσει πάλιν αὐτὸν κριθῆναι, καὶ τοῦτο γινέσθω.

Ο' ιγ'. τῆς ἐν Σαρδικῇ, καὶ ὁ ιθ'. τῆς ἐν Καρθαγένῃ.

Ο' κοινωνίας ἀξιῶν ἐγγράσει τὸν ἀκοινώνητον, ὑπόδικος.

Ο' ς'. τῆς ἐν Ἀντιοχείᾳ.

Ἀκοινώνητος παρ' ἑτέρῳ φρότερον μὴ δεχέσθω,

ἢ παρὰ τοῦ ἰδίου ἐπισκόπου. πλὴν εἰ μὴ συνόδου γενομένης ἀπαντήσας ἀπολογήσεται, καὶ τὴν σύνοδον πείσας, ἑτέραν ἀπόφασιν δέξεται.

Ο' ιγ'. τῆς ἐν Καρθαγένῃ.

Ὁ τῇ ἰδίᾳ ὁμολογίᾳ, ἢ ὑπογραφῇ ἐναντιούμενος ἐπίσκοπος, τῆς τιμῆς ἀποστερείσθω.

Ο' κβ'. ταύτης.

Ἐπίσκοπος, ἢ κληρικὸς αἱρετικὸν μὴ συνεισαγέτω, μὴ δὲ τὶ τῶν ἰδίων δωρείσθω, μὴ δ' ἂν εἴη συγγενής.

Ο' πα'. ταύτης.

Τῷ δὲ αἱρετικοὺς, ἢ ἕλληνας γράφοντι κληρονόμους, ἀνάθεμα.

Ο' κγ'. ταύτης.

Ἐπίσκοπος πέραν θαλάσσης μὴ ἀποδημείτω, εἰ μὴ τοῦ πρώτου τῆς χώρας ἀπολυτικὴν λάβῃ παράθεσιν.

Ο' λβ'. ταύτης.

Ἐπίσκοπος, ἢ κληρικὸς μηδὲν πρότερον ἔχων, εἶτα κτησάμενος πράγματα, εἰ μὴ τῇ ἐκκλησίᾳ ταῦτα ἀφιερώσει, * ὡς διηρπακὼς πράγματα, ἐνεχέσθω. καὶ εἰ συγγενικῶν δικαίων κληρονομήσειε, κἂν τούτων ἀφιερούτω τῇ ἐκκλησίᾳ. ὁ δὲ τιτῶν ἰδίων ἀφιερώσας, εἶτα μεταμεληθεὶς, ἀνάξιος τῆς ἐκκλησιαστικῆς κρινέσθω τιμῆς.

ὡς δεσποτικὰ διηρπακώς.

Ο' λε'. ταύτης.

Ἐπίσκοπος, ἢ κληρικὸς τὰ ἴδια τέκνα πρὸ τῆς τῶν τρόπων αὐτῶν σταθηρότητος, ἢ τῆς ἡλικίας ποιῶν αὐτεξούσια, τῶν πλημμελημάτων αὐτοῖς κοινωνεῖ.

Ο' πϛ'. ταύτης.

Μηδεὶς τῶν ἐπισκόπων προτιμᾶν ἑαυτὸν τολμάτω τῶν πρὸ αὐτοῦ.

ΣΧΟ'ΛΙΟΝ.

Τότε ὁ πρότερον χειροτονηθεὶς τοῦ ὕστερον χειροτονηθέντος προεκάθητο. καὶ διὰ τοῦτο ταῦτα φησίν.

Ο' ρζ' ταύτης.

Εἷς ἐπίσκοπος ἑαυτῷ μὴ ἐκδικείτω διάγνωσιν.

Ο' ρκ'. ταύτης.

Ἐπίσκοπος δίκαιον ἔχων ἐπίλαῳ, εἰ δυναστείᾳ, ἀλλὰ μὴ ἐπισκόπων κρίσει τοῦτο ζητοίη, ἐκπιπτέτω τοῦ δικαίου, εἰ καὶ γράμματα τοῦ πρωτεύοντος κέκτηται.

Ο' ρκγ'. ταύτης.

Ἐπίσκοπος τῆς καθολικῆς ἑνώσεως ἀμελῶν, καὶ περὶ τούτου ὑπομνησθεὶς, μετὰ ἓξ μῆνας ἀκοινώνητος.

Ο' ρκδ'. ταύτης.

Καὶ εἰ τούτου καταψεύδεται, ἢ καὶ αἱρετικοὶ μὴ σπουδάζοντος αὐτοῦ τῇ καθολικῇ προσέλθωσι, τῆς ἐπισκοπῆς ἐκπιπτέτω.

Ο' ρλβ'. ταύτης.

Ἐπίσκοπος λέγων περί τινος, ἐξομολογησασθαί τι κατιδίαν αὐτῷ πλημμέλημα, εἰ ἐκεῖνος ἔξαρνος γένοιτο, ὁ ἐπίσκοπος μὴ πιστευέσθω.

Ο' * ρλγ'. ταύτης.

* ρλϛ'.

Ὁ ἀδίκως μὴ κοινωνῶν τινὶ, καὶ αὐτὸς ἀκοινώνητος.

Ο' β'. τοῦ ἁγίου Κυρίλλου.

Παρὰ τοὺς ἐκκλησιστικοὺς ἐστι θεσμοὺς, τὸ λιβέλλους παραιτήσεων προσάγειν τινὰς τῶν ἱερουργῶν. εἰ γὰρ ἄξιοι λειτουργείτωσαν. εἰ δὲ μὴ, μὴ παραιτείσθωσαν, ἀλλ' ὡς κατεγνωσμένοι ἐξίτωσαν.

Ο' ε'. τούτου.

Εἴτις τῶν δοκούντων τοῖς θεοφόροις πατράσι σαλεύει τὶ, οὐκέτι τοῦτο οἰκονομίαν κλητέον, ἀλλὰ παράβασιν, καὶ προδοσίαν δόγματος, καὶ περὶ τὸ θεῖον ἀσέβειαν.

ΣΧΟ'ΛΙΟΝ ΤΟΥ ΚΙ'ΤΡΟΥΣ.

Ὁ μητροπολίτης ἐνδόσει μὲν τοῦ ὑπ' αὐτὸν ἐπισκόπου, εἰς ἐνορίαν αὐτοῦ ἱερουργείτω. ἀναφορὰν δὲ μὴ τοῦ ἐπισκόπου, ἀλλὰ τοῦ πατριάρχου ποιείτω. ἀνένδεκτον γὰρ, καὶ θείας τάξεως ἔμπαλιν, τὸν ὑπερέχοντα τοῦ ὑποκειμένου τούτω ποιῆσαι ἀναφοράν.

Ο' ϛ'. τῶν ἀποστόλων, καὶ ὁ κδ'. τῆς ἐν Αὐτιοχείᾳ.

Ἐπίσκοπος ὁ ἀνθ' αὐτοῦ καθιστῶν ἕτερον, ἀφοριζέσθω. καὶ ἄκυρος ἡ χειροτονία μενέτω. κοιμηθέντος δὲ τοῦ ἐπισκόπου, ἡ σύνοδος προαγέτω τὸν ἄξιον.

Ο' λα'. τῆς ἐν Τρούλλῳ.

Ἐπισκόπου τελευτήσαντος, ὁ μητροπολίτης αὐτοῦ μὴ σφετεριζέσθω τὰ πράγματα, ἀλλ' ὁ κλῆρος ταῦτα φυλαττέτω τῷ γενησομένῳ ἐπισκόπῳ. εἰ δὲ μὴ κλῆρος εἴη, ὁ μητροπολίτης τότε τὸν ὅμοιον τρόπον.

Ο' κε'. τῆς δ'.

Καὶ ὑπὲρ τρεῖς μῆνας ἐκκλησία μὴ χηρευέτω, ἀλλ' ἐντὸς τούτων ἐπίσκοπος χειροτονείσθω. τῆς προσόδου ταύτης παρὰ τοῦ οἰκονόμου σῴας φυλαττομένης. εἰ δ' οὖν, ὁ μὴ χειροτονῶν ἐπιτιμηθήσεται.

Ο' οδ'. τῆς ἐν Καρθαγένῃ.

Ὁ δὲ καθέδρας μεσίτης, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ ἐπίσκοπον σπεύσει ἐν ἐκείνῃ τῇ καθέδρᾳ γενέσθαι, ἐξωθείσθω.

ΤΙΝΕΣ ΕΙΣ ΚΑΤΗΓΟΡΙΑΝ

Ἐπισκόπου δεκτοί, καὶ τίνες ἄδεκτοι. καὶ τίνες αὐτὸν, καὶ πῶς κρινοῦσι κατηγορούμενον.

ΕΠΙΓΡΑΦΗ Ε'.

Ο' ϛ'. τῆς β'.

Ἐπὶ μὲν οἰκείοις, καὶ κακόδοξος ὡς ἐγκαλείτω κατὰ ἐπισκόπου, ὡς ἀδικούμενος. ἐπὶ δὲ ἐκκλησιαστικοῖς, ὀρθόδοξοί τε, καὶ κοινωνικοί, καὶ παντάπασιν ἀνεπίληπτοι. καὶ οὗτοι ἐπὶ τῶν τῆς ἐπαρχίας ἐγκαλείτωσαν ἐπισκόπων. εἰ δὲ ἀδυνάτως ἔχει παρ' ἐκείνοις λυθῆναι τὸ ἔγκλημα, μείζονι συνόδῳ προσίτωσαν. πλὴν ἄνευ * συγγραφῆς τῆς ταυτοπαθείας μὴ ἀκουέσθωσαν. ὁ δὲ παρὰ ταῦτα ποιῶν, καὶ βασιλεῖ τυχὸν ἐνοχλῶν περὶ τούτων, ἢ κοσμικοῖς ἄρχουσιν, εἰς κατηγορίαν ἀπρόσδεκτος.

* ἐγγραφῆς.

Ο' κδ'. τῆς δ'.

Μήτε δὲ κληρικὸς, μήτε λαϊκὸς ἀδοκιμάστως εἰς ἐπισκόπων, ἢ κληρικῶν κατηγορίαν δεχέσθω.

Ο' η'. καὶ ὁ θ'. τῆς ἐν Καρθαγένῃ.

Ὁ διαβεβλημένος, πατέρων, καὶ ἐπισκόπων κατηγορῶν, μὴ προσδεχέσθω.

Ο' οε'. τῶν Ἀποστόλων.

Ὁμοίως καὶ αἱρετικὸς ἄδεκτος εἰς μαρτυρίαν τὴν κατὰ ἐπισκόπου. ἀλλ' οὐδέπιστος εἶς.

Ο' οδ'. τῶν αὐτῶν.

Εἰ κατηγορηθείη ἐπίσκοπος παρ' ἀξιοπίστου, καὶ δὶς καὶ τρὶς δι' ἐπισκόπων κληθεὶς, καταφρονήσας μὴ ὑπακούσει, τὸ δοκοῦν ἡ σύνοδος ἀποφαινέσθω.

Ο' ιθ'. τῆς ἐν Καρθαγένῃ.

Ἐγκαλούμενος δὲ ἐπίσκοπος, μὴ εὐθὺς ἀκοινώνητος ἔστω. ἀλλ' εἰ μὴ μετὰ μῆνα χωρὶς ἀνάγκης εἰς τὸν μητροπολίτην ἀπαντήσει, ἢ διὰ μεγάλην ἀνάγκην εἰ μὴ μετὰ δύο, τότε μὴ κοινωνείτω, ἕως ἂν καθαρὸς ἀποδειχθείη. ὁ δὲ τούτου κατήγορος, ἐὰν προσεδρεύῃ τῷ δικαστηρίῳ, κοινωνείτω. ἀποφυγὼν δὲ, ἀκοινώνητος ἔστω.

Ο' ιβ'. ταύτης.

Ἐπισκόπου κατηγορουμένου, εἰ δυσχερὲς εἴη τὴν πᾶσαν σύνοδον συνελθεῖν, δωδεκαγοῦν τὴν ὑπόθεσιν ἐξετασάτωσαν ἐπίσκοποι. πρεσβυτέρου δὲ, ἕξ. διακόνου δὲ, τρεῖς.

ΣΧΟΛΙΟΝ.

Ἐντεῦθεν ὁ πατριάρχης Λουκᾶς ἄκυρον ἡγήσατο τὴν τοῦ ἐπισκόπου ἀμαθοῦντος ἰωάννου καθαίρεσιν, ἣν ὁ ἀρχιεπίσκοπος ἐποιήσατο κύπρου, ὅτι ια'. μόνοις συνὼν ἐπισκόποις. μὴ ἐπέκεινα ἦν αὐτὸς τῆς τῶν λοιπῶν δωδεκάδος.

Ο' ιδ'. τῆς ἐν ἀντιοχείᾳ.

Καὶ ἐπισκόπου κρινομένου, εἰ οἱ τῆς ἐπαρχίας ἐπίσκοποι διαφέροιντο, καὶ μὴ τὴν αὐτὴν ψῆφον ἐνέγκοιεν, μετακαλείσθωσαν ἕτεροι παρὰ τοῦ μητροπολίτου ἀπὸ τῶν πέλας, διαλῦσαι τὴν ἀμφισβήτησιν. εἰ δὲ οἱ πάντες συμφωνοῖεν, ἡ ψῆφος ἐχέτω τὸ βέβαιον, καὶ παρ' ἑτέροις οὗτος μὴ δικαζέσθω.

ΠΕΡΙ ΕΠΑΡΧΙΩΝ,

ΕΠΙΓΡΑΦΗ ΕΚΤΗ.

Ο' η' τῆς γ'.

Ἑκάστης ἐπαρχίας ἀβιάστως φυλαττέσθω τὰ δίκαια. ὁ δὲ τύπον ἕτερον ἀντεισάγων ἄκυρος.

Ο' ιβ'. τῆς δ'.

Καὶ ὁμίαν ἐπαρχίαν εἰς δύο τεμὼν ἀνίερος. ἡ δὲ βασιλικῷ γράμματι τιμηθεῖσα πόλις, τῆς τιμῆς μόνης ἀπολαυέτω σὺν τῷ ἐπισκόπῳ. τῇ δὲ ὡς ἀληθῶς μητροπόλει σωζέσθω τὰ δίκαια.

Ο' ιζ'. ταύτης, καὶ ὁ κε', τῆς ἐν Τρούλλῳ.

Ἀγροικικὴ, καὶ ἐγχώριος παροικίᾳ, δικαιούσθω τῷ τριακονταετεῖ χρόνῳ ἀναμφισβητήτως ταύτην κατέχοντι. ἐντὸς δὲ τούτων, ἔστω τῷ περὶ ταύτης ἀμφισβητοῦντι παρὰ τῇ συνόδῳ λέγειν τῆς ἐπαρχίας.

Ο' ρζ', τῆς ἐν Καρθαγένῃ.

Καὶ ὁ τόπον εἰς τὴν καθολικὴν μεταστρέψας, εἰ τοῦτον ἐπὶ τριετίαν ἐπισκόπου τοῦ πλησιοχωροῦντος παρόντος κατάσχοι, ἀνέγκλητος ἔστω.

Ο' νζ', καὶ ὁ υη', τῆς ἐν Λαοδικείᾳ, καὶ ὁ νγ', τῆς ἐν Καρθαγένῃ.

Οἱ μηδέποτε ἐσχηκότες ἐπίσκοπον, ἄλλως οὐχέξουσιν, εἰ μὴ πᾶσα ἡ τῆς ἐπαρχίας σύνοδος γνώμῃ τοῦ, ὑφ' ὃν ἡ παροικία, ψηφίσαιτο.

ΠΕΡΙ ΣΥΝΟΔΩΝ ΚΑΙ ΘΡΟΝΩΝ.

ΕΠΙΓΡΑΦΗ Ζ'.

Ο' λζ'. τῶν ἀποστόλων, ὁ ε', τῆς α', ὁ ιθ', τῆς δ', καὶ ὁ β', τῆς ἐν Ἀντιοχείᾳ.

Ἑκάστης ἐπαρχίας δὶς τοῦ ἔτους συνίτωσαν οἱ ἐπίσκοποι, ἔνθα τῷ τῆς μητροπόλεως ἐπισκόπῳ δοκεῖ, διὰ τὰ δόγματα, καὶ τὰς ἀντιλογίας, τῇ τετάρτῃ τῆς πεντηκοστῆς ἑβδομάδι, καὶ τῇ δωδεκάτῃ τοῦ ὑπερβερεταίου.

Ο' ϛ', τῆς ζ'.

Ἡ ἅπαξ τοῦ ἔτους σύνοδος καθ' ἑκάστην ἐπαρχίαν γινέσθω, ὡς οἱ τῆς ἕκτης συνόδου πατέρες ὥρισαν. καὶ ὁ ταύτην κωλύσων ἄρχων, ἀφοριζέσθω.

σθω. καὶ ὁ ἀμελήσων μητροπολίτης, ἐκτὸς τινὸς ἀνάγκης, ἐπιτιμάσθω. εἰ δὲ γενομένης συνόδου, ἀπαιτῶν ἐλεγχθείη μητροπολίτης ἐπισκόπου κτῆνος, ἢ τὶ ἕτερον εἶδος, τετραπλασίως ἀποτισάτω.

Ο' υέ. τῆς ἐν Καρθαγένῃ.

Ἢ μὴ δὲ κατ' ἐνιαυτὸν, ἀλλὰ χρείας καλούσης, γινέσθω σύνοδος, καὶ αἱ μὴ κοιναὶ αἰτίαι, ἐν ἑκάστῃ ζητείσθωσαν ἐπαρχίᾳ.

Ο' ρκζ'. ταύτης.

Μὴ δυναμένων ἐπὶ πλέον παραμένειν ἐν τῇ συνόδῳ τῶν ἐπισκόπων, τρεῖς ἐξ ἑκάστης ἐπαρχίας ἐκλεγέσθωσαν.

Ο' ιδ'. ταύτης.

Ἀπὸ Τριπόλεως, διὰ τὴν τῆς χώρας ἔνδειαν, εἷς ἐπίσκοπος εἰς τοποτηρησίαν ἐρχέσθω.

Ο' ποέ ταύτης.

Εἰ πρὸς τινας ἐπιστολὰς ἐκ τῆς συνόδου δεήσει γραφῆναι, ὁ προέδρος ταύτης ἐπ' ὀνόματι πάντων γραφέτω.

Ο' γ'. τῆς β'. καὶ ὁ λς'. τῆς ἐν Τρούλλῳ

Ο' Κωνσταντινουπόλεως τῶν ἴσων πρεσβείων μετὰ τὸν Ῥώμης ἀπολαυέτω. μεθ' ὃν, ὁ Ἀλέξανδρείας. εἶτα ὁ Ἀντιοχείας. μετὰ τοῦτον, ὁ Ἱεροσολύμων.

Ο' ζ'. τῆς α'.

Ὃς καὶ τιμάσθω, σωζομένου τῇ μητροπόλει τοῦ ἀξιώματος.

Ο' λθ'. τῆς ἐν Τρούλλῳ.

ἤργησεν οὗτος ὁ κανών.

Ο' τῆς νέας Ἰουστινιανουπόλεως, ἤτοι Κύπρου, τὰ τοῦ Κωνσταντινουπόλεως ἐχέτω δίκαια, καὶ τῶν Ἑλλησποντίων προεδρευέτω, καὶ τὸν Κυζικηκῶν χειροτονείτω.

Ο' νη'. ταύτης.

Ο' πρωτεύων ἐπίσκοπος, ἔξαρχος τῶν ἱερέων, ἢ ἄκρος ἀρχιερεὺς μὴ λεγέσθω. ἀλλ' ἐπίσκοπος τῆς πρώτης καθέδρας.

Ο' αὐτὸς.

Ο' Καρχηδόνος, ὅθεν βούλοιτο προέδρους ταῖς ἐκκλησίαις προχειριζέσθω. κἂν ἕνα τὶς ἔχῃ πρεσβύτερον προστασίας ἄξιον.

Ο' Ι Ε' Χ Ο' Μ Ε Ν Ο Ι

Ε' Π Ι Γ Ρ Α Φ Η' Η'.

Ο' πζ'. τῆς ἐν Καρθαγένῃ.

Ἐπεὶ ὁ Κονοβδελεδέου κατηγορηθεὶς, κατένευσε μὲν τὸ πρῶτον παρὰ τῆς συνόδου κριθῆναι, ὕστερον δ' ἀνένευσεν, ἀκοινώνητος ἔστω, ἕως τὸ πρᾶγμα περατωθῇ. καθαιρεθῆναι γὰρ πρὸ δίκης οὐδεῖς.

Ο' ρ'. τῆς ἐν Καρθαγένῃ.

Τῶν κατηγόρων ἐπισκόπου τοῦ Μαυρεντίου δὶς καὶ τρὶς ζητηθέντων, καὶ μὴ εὑρεθέντων, ἐχρῆν μὲν ψῆφον ἐξενεχθῆναι. ἀλλὰ διὰ τὴν ἐκκλησιαστικὴν ἡμερότητα, δώδεκα τοῦτον τοπικῶς ἐξετασάτωσαν ἐπίσκοποι.

Ἐπιστολὴ τῆς γ', συνόδου πρὸς τὴν ἐν Παμφυλίᾳ εὐαγῆ σύνοδον.

Ἐπίσκοπός τις εὐστάθιος, δι' ἀπραγμοσύνην, ἀπειρηκὼς πρὸς τὴν τῶν ἐπενηνεγμένων αὐτῷ φροντίδων ἀντίστασιν, ἐγγράφως τὴν ἐπισκοπὴν παρῃτήσατο. Καὶ Θεόδωρος ἀντὶ τούτου κεχειροτόνηται. εἶτα μετὰ δακρύων καθικετεύσας, ἀνευθύνου τηρηθέντος τοῦ Θεοδώρου, ὡς ἐννόμως κεχειροτονημένου, διὰ τὴν Εὐσταθίου παραίτησιν, αὐτὸς τοῦ μὲν ὀνόματος μετέχειν, καὶ τοῦ βαθμοῦ, καὶ τῆς ἀξίας συνεχωρήθη. οὐμὴν καὶ ἱερουργεῖν, ἠχειροτονεῖν, εἰμήπου παρ' ἀδελφοῦ καὶ συνεπισκόπου κληθείη.

Πρᾶξις συνοδικὴ.

Ο' Μάκρης Θεόδουλος, ἐπὶ τοῦ πατριάρχου ... ...ἐγγράφως παραιτησάμενος τὴν ἀρχιερατικὴν ἀξίαν, ἐπὶ τοῦ πατριάρχου ὕστερον Μιχαὴλ τοῦ Ἀγχιάλου ταύτην ἀνεκαλέσατο, τὴν ἔγγραφον αὐτοῦ παραίτησιν ἀξιῶν ἐμφανισθῆναι. ἧς καὶ ἐμφανισθείσης, ἐπειδὴ εὑρέθη μὴ διαλαμβάνουσα παραιτεῖσθαι τὸν ἐπίσκοπον ὡς ἀνάξιον, ἀλλ' ὡς μὴ ἄξιον, διέκρινεν ὁ πατριάρχης, ὡς ἀπαράδεκτος ἐστιν ἡ τοιαύτη παραίτησις. οὐ γὰρ ὁ μὴ ἄξιος εἰς τὸ ἱερουργεῖν, ἤδη καὶ ἀνάξιος. ὁ μὲν γὰρ εἰ πῶν ἀνάξιος εἶναι, αὐτοκατάκριτός ἐστιν. ὁ δὲ εἰπὼν μὴ ἄξιος, εὐχαριστητέος ὡς ταπεινόφρων.

Ο' λ'. τῆς τετάρτης.

Ἐπεὶ τοῖς Αἰγυπτίοις εἴθιστο, ἐπιτροπῆς ἄνευ τοῦ σφῶν ἐπισκόπου μὴ ὑπογράφειν, μενέτωσαν ἐπὶ τοῦ σχήματος ἐν τῇ Κωνσταντίνου, ἕως ἂν ὁ Ἀλεξανδρείας * γένηται. ἢ ἐγγύας παραχόντες, ἢ δι' ἐξωμοσίας πιστωσάμενοι.

* παραγένηται.

Ο' δ'. τῆς β'.

Μάξιμος ὁκωνικὸς ἀνεπίσκοπος καὶ πᾶς ἀνίερος ὃς ἐκείνῳ κεχειροτόνηται.

Σ Χ Ο' Λ Ι Ο Ν.

Οὗτος Κυνικὸς ὠνφιλόσοφος, παρὰ θεολόγου βαπτισθεὶς τοῦ ἁγίου Γρηγορίου, διὰ χρημάτων παρὰ τινων Κωνσταντινουπόλεως κεχειροτόνηται. καὶ γνωσθεὶς, ἀπεδοκιμάσθη.

Ο' ξέ. τῆς ἐν Καρθαγένῃ.

Τὸν καθαιρεθέντα αἰκύτιον, καὶ πάλιν ἀναισχυντοῦντα, μὴ παροπτέον, τῆς ἐκκλησιαστικῆς ἕνεκακαταστάσεως.

Ο' έ.

Ο' ε'. τῆς β'.

Εὐαπόδεκτος ὁ τῶν δυτικῶν τόμος, ὁ πατέρα, καὶ υἱόν, καὶ ἅγιον πνεῦμα ὁμολογῶν ὁμοούσια.

ΣΧΟΛΙΟΝ.

Ἀρειανίσαντος Κωνσταντίου, ὁ ῥώμης συνόδον τμα' ἐπισκόπων ποιήσας ἐν Σαρδικῇ, τὸν τόμον τοῦτον τῆς εὐσεβείας ἐξέθετο, συναινοῦντος καὶ Κώνσταντος τοῦ ἀδελφοῦ Κωνσταντίου.

ΠΕΡΙ ΧΩΡΕΠΙΣΚΟΠΩΝ

ΕΠΙΓΡΑΦΗ Θ'.

Ο' ιγ'. τῆς ἐν Ἀγκύρᾳ, ☾ ὁ ι'. τῆς ἐν Ἀντιοχείᾳ.

Χωρεπίσκοπος χωρὶς ἐπιτροπῆς ἐπισκόπου, πρεσβύτερον, ἢ διάκονον, μὴ χειροτονείτω. ἀναγνώστας δὲ, ὑποδιακόνους, καὶ ἐφορκιστὰς, ἤτοι κατηχητὰς, χειροτονείτω. ὁ δὲ παραβαίνων, ἀνίερος.

Ο' θ'. τῆς ἐν Ἀντιοχείᾳ.

Χωρεπίσκοπος κανονικὰς ἐπιστολὰς διδότω.

ΣΧΟΛΙΟΝ.

Χωρεπίσκοποι, οἱ νῦν λεγόμενοι ἔξαρχοι, εἴτε πατριάρχου εἰσὶν, εἴτε μητροπολίτου.

ΕΤΕΡΟΝ.

Ο' δὲ ιδ', τῆς ζ', οὐδὲ ἀναγνώστας χειροτονεῖν τὸν χωρεπίσκοπον δίδωσιν, εἰ μὴ κατ' ἐπιτροπὴν ἐπισκόπου.

ΤΜΗΜΑ Β'.

ΠΕΡΙ ΠΡΕΣΒΥΤΕΡΩΝ, ΔΙΑΚΟΝΩΝ, ΚΑΙ ΥΠΟΔΙΑΚΟΝΩΝ.

Περὶ χειροτονίας αὐτῶν, καὶ τίνες ἱερωθήσονται, καὶ τίνες οὐχ ἱερωθήσονται.

ΕΠΙΓΡΑΦΗ Α'.

Ο' β', τῶν Ἀποστόλων.

Πρεσβύτερος, ἢ διάκονος ὑφ' ἑνὸς ἐπισκόπου χειροτονείσθω.

Ο' ιζ'. τῶν ἀποστόλων, καὶ ὁ ιβ'. τοῦ Μεγάλου Βασιλείου.

Ο' μετὰ τὸ βάπτισμα δίγαμος, οὐχ ἱερᾶται.

ΣΧΟΛΙΟΝ.

Δίγαμος ἐστὶν, ὁ καὶ ἑτέραν μνηστευσάμενος, καὶ ἑτέραν κατὰ νόμους ἀγόμενος. καὶ ὁ τὴν ἑτέρῳ μνηστευθεῖσαν ἀγόμενος.

Ο' ιη', τῶν Ἀποστόλων.

Ὡσαύτως οὐχ ἱερᾶται καὶ ὁ χήραν, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνὴν ἀγόμενος.

Ο' κα', αὐτῶν.

Ο' ἐξ ἐπηρείας ἀνθρώπων, ἢ ἐκ φύσεως εὐνοῦχος, ἄξιος ὤν, ἱερᾶται.

τοῦ πατριάρχου Νικηφόρου.

Οἱ ἀπὸ παλλακίδος, καὶ πορνείας, καὶ διγάμων, καὶ ἀπὸ τριγαμίας τικτόμενοι παῖδες, ἐὰν φανῶσιν ἀρετὰς ἔχοντες, καὶ εἰσὶν ἄξιοι, ἱεράσθωσαν.

τοῦ αὐτοῦ.

Ο' δημοσίου κλοπῆς ἑαλωκὼς περὶ τὰ κεφαλαιώδη κλέμματα, οὐχ ἱερᾶται. ἀλλὰ καὶ ὁ ἱερωθεὶς, καὶ τῷ τοιούτῳ περιπεσὼν, καθαιρεῖται.

Ο' β', τῆς α'.

Τοὺς ἐξ ἐθνῶν μήτε ταχέως βαπτίζειν, μήτε βαπτισθεύτας εὐθὺς ἱεροῦν. ἀλλ' εἰ καὶ τις αὐτῶν ἐλεγχθείη μετὰ τὴν χειροτονίαν ψυχικὸν κεκτημένος ἁμάρτημα, καθαιρείσθω.

ΣΧΟΛΙΟΝ.

Ἡ πᾶν ἁμάρτημα ψυχικὸν λέγεται, διὰ τὸ εἰς ψυχὴν φέρειν τὴν βλάβην, ἢ μᾶλλον διὰ τὸ ἐκ παρατροπῆς τῶν ψυχικῶν δυνάμεων τὴν ἀρχὴν ἔχειν. ἢ ψυχικὰ εἰσὶν ἁμαρτήματα μόνα, τὰ ἐκψυχικῶν παθῶν γινόμενα, ὁποῖα τὰ ἐξ οἰήσεως, καὶ ὑπερηφανίας, καὶ ἀνηκοΐας.

Ο' ιδ', τῆς ἐν Τρούλλῳ, καὶ ὁ ια' τῆς ἐν Καισαρείᾳ.

Πρεσβύτερος πρὸ τριάκοντα ἐτῶν χειροτονηθεὶς, κἂν πάνυ ἄξιος εἴη, καὶ διάκονος πρὸ τῶν εἰκοσιπέντε, καὶ διακόνισσα πρὸ τῶν τεσσαράκοντα, καὶ ὑποδιάκονος πρὸ τῶν εἴκοσι, καθαιρείσθω.

Ο' ιγ', τῆς ἐν τῷ Τρούλλῳ.

Ο' διὰ νόσον φωτισθεὶς, πρεσβύτερος μὴ γινέσθω, εἰ μὴ διὰ σπουδὴν αὐτοῦ, καὶ σπάνιν ἀνθρώπων.

Ο' ιγ', τῆς ἐν Λαοδικείᾳ.

Ὁ νεοφώτιστος μὴ ἱεράσθω.

Ο' ε', τῆς ἐν Τρούλλῳ.

Χειροτονία, ἐπ' ἀκροωμένοις μὴ γινέσθω.

Ο' λς', τῆς ἐν Καρθαγένῃ.

Ο' τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ πάντας μὴ ποιήσας ὀρθοδόξους, μὴ χειροτονείσθω.

Ο' ιδ', τοῦ Μεγάλου Βασιλείου.

Ο' τόκους λαμβάνων εἰ τὸ ἄδικον κέρδος εἰς πτωχοὺς ἀναλώσει, καὶ τοῦ λοιποῦ παύσαιτο τόκους λαμβάνων, δεκτὸς εἰς ἱερωσύνην.

Ο' νζ', τῆς ἐν Καρθαγένῃ.

Οἱ τοῖς Δονατισταῖς νήπιοι βαπτισθέντες, εἰμεταμεληθέντες τὴν ἐκείνων αἵρεσιν ἀναθεματίσαιεν, καὶ εἶεν ἄξιοι, χειροτονείσθωσαν.

Ο' ς',

Ο' ϛ', τῆς τετάρτης.

Πρεσβύτερος, καὶ διάκονος μὴ ἀπολελυμένως, ἀλλ' ἐκκλησίᾳ πόλεως ἰδικῶς, ἢ μαρτυρίῳ, ἢ μοναστηρίῳ χειροτονείσθω. ὁ δὲ μὴ οὕτως, ἀνίερος.

Ο' πθ'. τῆς ἐν Καρθαγένῃ.

Οἱ χειροτονούμενοι γράμματα λαμβανέτωσαν, τὸν ὕπατον δηλοῦντα, καὶ τὴν ἡμέραν.

ΣΧΟΛΙΟΝ.

Ἵνα τούτων ἐμφανιζομένων, προκάθηνται ὧν προκεχειροτόνηνται.

ΤΙΝΑ ΔΕΙ ΤΟΝ ΙΕΡΕΑ.

Προσάγειν, καὶ τίνα μὴ προσάγειν.

ΕΠΙΓΡΑΦΗ Β'.

Ο' γ'. τῶν Ἀποστόλων, καὶ ὁ νζ', τῆς ἐν Τρούλλῳ.

Ὁ Γάλα, ἢ μέλι τῷ θυσιαστηρίῳ προσάγων ἱερεὺς, ἢ ἀντὶ οἴνου σίκερα, ἢ ὄρνις, ἢ ζῶα, ἢ ὄσπρια, πλὴν νέων χίδρων, καὶ σταφυλῆς, καὶ ἐλαίου, καὶ θυμιάματος, καθαιρείσθω.

ΣΧΟΛΙΟΝ.

Οὐχ ὡς θυσία ταῦτα, ἀλλ' ὡς ἀπαρχὴ καρπῶν νέων.

Ο' κη'. τῆς ἐν Τρούλλῳ.

Ὁ σταφυλὴν τῇ ἀναιμάκτῳ τῆς προσφορᾶς θυσίᾳ * συνάπτων, καθαιρείσθω.

προσυνάπτων.

Ο' λβ', τῆς ἐν Τρούλλῳ, καὶ ὁ λζ', τῆς ἐν Καρθαγένῃ.

Εἴτις ὕδωρ μόνον, ὡς οἱ ὑδροπαραστάται, ἢ οἶνον, ὡς οἱ Ἀρμένιοι, ἀλλὰ μὴ οἴνῳ ὕδωρ μιγνὺς, οὕτω τὰ ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω.

ΤΙΝΑ ΔΕΙ ΤΟΝ ΙΕΡΕΑ.

Ποιεῖν, καὶ τίνα μὴ ποιεῖν.

ΕΠΙΓΡΑΦΗ Γ'.

Ο' ε', τῶν Ἀποστόλων, καὶ ὁ ιγ', τῆς δ'.

Ἱερεὺς, ἢ διάκονος ἐγκρατείας προφάσει τὴν ἰδίαν ἐκβάλλων γυναῖκα, ἀφοριζέσθω. ἐπιμένων δὲ, καθαιρείσθω.

Ο' * πθ'. τῆς ἐν Καρθαγένῃ.

* μθ'.

Καὶ ὁ τοῦ χειροτονησομένου πρεσβυτέρου, ἢ διακόνου λύων τὸ συνοικέσιον, καθαιρείσθω.

Ο' ϛ'. τῶν ἀποστόλων.

Κοσμικὰς ἱερεὺς ἀναλαμβάνων φροντίδας, καθαιρείσθω.

ΣΧΟΛΙΟΝ.

Περὶ τούτων καὶ οἱ πολιτικοὶ νόμοι. αὐτοῦ μόνον ὀρφανῶν διοικήσεως.

Ο' κδ'. τῆς ἐν Λαοδικείᾳ.

Καὶ ἱερωμένος ἐκλήπτωρ, ἢ κουράτωρ μὴ γινέσθω.

Ο' πγ', τῶν Ἀποστόλων.

Καὶ * στρατεύων ἱερεὺς, καθαιρείσθω. τὰ γὰρ καίσαρος, καίσαρι. καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ.

* ἀντὶ τοῦ στρατιωτικὰ πράγματα διοικῶν.

Ο' ζ'. τῶν Ἀποστόλων.

Ὁ τελῶν μετὰ Ἰουδαίων τὸ πάσχα, καθαιρείσθω.

Ο' η'. τῶν αὐτῶν.

Ἱερεὺς εἰ μὴ μεταλάβοι, τὴν αἰτίαν λεγέτω. μὴ λέγων δ' ἀφοριζέσθω, ὡς ὕποπτον πεποιηκὼς τὸν προσάγοντα.

Ο' ια'. τῶν αὐτῶν.

Ὁ καθῃρημένῳ συνευχόμενος, καθαιρείσθω.

Ο' ιβ'. τῶν αὐτῶν.

Ἄδεκτος εἰ παρ' ἄλλῳ συστατικῶν ἄνευ δεχθείη, ἀφοριζέσθω σὺν τῷ δεξαμένῳ.

ΣΧΟΛΙΟΝ.

Ἄδεκτός ἐστιν, ὁ μὴ δεχόμενος εἰς μείζω βαθμὸν προβιβασθῆναι παρὰ τοῦ οἰκείου ἐπισκόπου, διὰ τίνας ἴσως ἀμφιβολίας. συστατικαὶ δὲ εἰσὶν ἐπιστολαὶ αἱ διδόμεναι παρὰ ἐπισκόπου κληρικοῖς, ἢ ἱερωμένοις, εἰς ἑτέραν πόλιν ἀπιοῦσι. καὶ συνιστῶσαι τούτους τῷ ἐκεῖ ἐπισκόπῳ, ὡς παντάπασιν ἀναιτίους.

Ο' ιγ'. τῶν αὐτῶν.

Εἰ δὲ καὶ ἀφωρισμένος εἴη, ἐπὶ πλέον ἀφοριζέσθω.

Ο' κε', τῶν αὐτῶν.

Ἱερεὺς, ἢ κληρικὸς ἐπὶ πορνείᾳ, ἢ ἐπιορκίᾳ, ἢ κλοπῇ ἁλοὺς, καθαιρείσθω καὶ μὴ ἀφοριζέσθω. οὐκ ἐκδικήσεις γὰρ, φησὶ, δὶς ἐπὶ τὸ αὐτό.

Ο' κζ', τῶν αὐτῶν, καὶ ὁ θ', τῆς α', καὶ β'.

Ἱερεὺς πιστὸν, ἢ ἄπιστον τύψας, ἢ αὐτοχειρίᾳ, ἢ ἐπιτάγματι, καθαιρείσθω. δεῖ γὰρ αὐτὸν νουθεσίαις, καὶ ἐκκλησιαστικοῖς ἐπιτιμίοις σωφρονίζειν τοὺς πταίοντας. εἰ δὲ μὴ ὑπακούοιεν, παραδιδόναι τοῖς ἄρχουσιν.

Ο' κη', τῶν Ἀποστόλων.

Ὁ δικαίως καθαιρεθεὶς ἐπ' ἐγκλήμασι φανεροῖς, εἰ τῶν θείων ἅψεται πάλιν, ἐκκοπτέσθω τῆς ἐκκλησίας παντάπασιν.

Ο' κθ'. τῶν αὐτῶν.

Ὁ διὰ χρημάτων ἱερεὺς, καθαιρείσθω μετὰ τοῦ χειροτονήσαντος, καὶ ἀκοινώνητος μενέτω, καὶ τὸν Σίμωνα μάγον.

Ο' λα', τῶν αὐτῶν.

Ὁ ἀναιτίως σχισθεὶς ἐπισκόπου, καὶ ἄλλο πήξας θησιαστήριον, εἰ καλούμενος μὴ ὑπακούσει, αὐτὸς μὲν μετὰ τῶν κοινωνούντων αὐτῷ καθαιρείσθω. ὁ δὲ δεξάμενος λαὸς, ἀφοριζέσθω.

Ο' ι', τῆς ἐν Καρθαγένῃ.

Καὶ αὖθις. ἐὰν πρεσβύτερος, κατὰ τοῦ ἰδίου ἐπισκόπου φυσιωθεὶς, σχίσμα ποιήσῃ ἀνάθεμα ἔστω.

Ο' ια',

Ο' ιά'. τ̃ς αὐτ̃ης.

Ὡσαύτως κ̀ ἔιτις παρ' ἐπισκόπ̃ κατ̃αγνωσθεὶς, μὴ δέχ̀ τ̃ῶν πλησιαζόντων ἐπισκόπων σπ̃δύσει τ̃ῷ κατ̃αγινώσκοντι αὐτ̃ῦ ἐπισκόπῳ καταλλαγ̃ῆναι, ἀλλὰ φυσιωθεὶς ἀποχιθ̃ῆ, κ̀ ἀγίασματ̃ωθεὶῳ προσευχ̀ῆ, ἀνάθεμα ἔσω, συὶ τ̃ῷ τὸν ἴδιον ἀπολέσαι τόπον.

Ο' λβ'. τ̃ῶν Ἀποστόλων.

Ἀφωρισμένος ἱερ̀ὺς, παρ' ἑτέρ̃ μὴ δεχέσθω, εἰ μὴ τύχοι ταχέως πεπαυμένος ὁ ἀφορίσας.

Σ Χ Ο Λ Ι Ο Ν.

Οὐ περὶ ἄλλης οὐσίας ἐπισκόπ̃ φησὶν, ἀλλὰ περὶ τ̃ὸ δεδεξαμένου τὴν ἀρχιερατικὴν ἀξίαν τ̃ὸ ἀφορίσαντος, μετὰ τὴν ἐκείν̃ου πεπαυμένην. κ̀ ζῶντος δὲ τ̃ὸ ἀφορίσαντος συνοδικῶς ἀφορισμὸς λύεται, εἰ μὴ δικαίως φανείη γενόμενος.

Ο' θ'. τ̃ῷ πατριάρχ̃ Νικολάου.

Ὁ δὲ ἄλογος δεσμὸς ἀνίσχυρος. κ̀ παρὰ ἀρχιερέως λύεται.

Σ Χ Ο Λ Ι Ο Ν.

Περὶ τούτ̃ κ̀ οἱ πολιτικοὶ, οἳ κ̀ τ̃ῆς κοινωνίας χωρίζουσι τὸν ἀλόγως τινὰ τούτ̃ης χωρίσαντα, ἵνα ὅπερ ἀδίκως ἐποίησε, δικαίως ὑπομείν̃ῃ.

Ο' λγ'. τ̃ῶν ἀποστόλων, ὁ ιγ', τ̃ῆς δ', κ̀ ὁ ζ', τ̃ῆς ἐν Ἀντιοχείᾳ.

Ξένος ἱερ̀ὺς αὐθ̀ὶ συνατικ̃ῷ, ἀναχρινέσθω. κ̀ εἰ ὀρθοτομεῖ προσδεχέσθω. εἰ δ' ὃν ἀποπεμπέσθω τὰ πρὸς χρείαν λαβών.

Ο' μβ'. τῶν ἀποστόλων.

Κυβδίων ἱερ̀ὺς, ἢ μεθύων, εἰμὴ παύοιτο, καθαιρείσθω.

Σ Χ Ο Λ Ι Ο Ν.

Ἡ δὲ ῥηγ', Ἰουστινιάνειος νεαρὰ, ἀφορίζουσα τ̃ὺς πάσης ἱερατικ̃ῆς λειτουργίας ἐπὶ ξυρτίαν, κ̀ μοναστηρίων ἐκβάλλει.

Ο' λθ', κ̀ ὁ μβ', τῶν αὐτῶν.

Ἱερ̀ὺς, ἢ διάκονος μηδὲν τελείπω παρὰ γνώμην τ̃ῷ ἐπισκόπ̃.

Σ Χ Ο Λ Ι Ο Ν.

Ἐπιτιμῶν δηλονότι, ἀφορίζων, ἢ λύων ἀφορισμὸν, ἢ μειῶν, ἢ ἐπιτείνων.

Ο' μγ', τῶν αὐτῶν, ὁ ιζ', τ̃ῆς α', ὁ ι', τ̃ῆς δ', ὁ δ', τ̃ῆς ἐν Λαοδικείᾳ, ὁ ις', τ̃ῆς ἐν Καρθαγένη.

Καὶ τόκ̃ς ἀπαιτῶν, εἰ μὴ παύοιτο, καθαιρείσθω. ὁμοίως κ̀ ἑτερόντι ἐπινοῶν, ἀιχρ̃ κέρδ̃ς ἕνεκα.

Ο' μδ', τῶν ἀποστόλων.

Αἱρετικοῖς ἱερ̀ὺς σωδιξάμενος μόνον, ἀφοριζέσθω. καθαιρείσθω δὲ, εἰ κ̀ κληρικὸς πάντ̃ς ἡγήσαιτο.

Ο' με', τῶν αὐτῶν.

Ὁ βάπτισμα, ἢ θυσίαν αἱρετικῶν δεξάμενος, καθαιρείσθω.

Ο' μζ'. τῶν αὐτῶν.

Ὁ μοίως κ̀ ὁ ἀναβαπτίζων τὸν βεβαπτισμένον, ἢ τὸν μεμολυσμένον παρὰ τ̃ῶν ἀσεβῶν μὴ ἀναβαπτίζων. κ̀ ὁ μὴ βαπτίζων εἰς πατέρα, κ̀ υἱὸν, κ̀ ἅγιον πν̃μα, καθαιρείσθω.

Σ Χ Ο Λ Ι Ο Ν.

Ἀναβαπτίζειν μὲν τὸν βεβαπτισμένον ἀπείρηται, χώρῳ δὲ χρίειν, ὑδαμῶς. εἰ κ̀ τὸ μέρος δοκεῖ τ̃ὸ θείου βαπτίσματος.

Ο' ν'. τῶν αὐτῶν.

Ὡσαύτως καὶ ὁ μὴ ξρισὶ καθαδύσεσιν, ἀλλὰ μιᾷ βαπτίζων.

Ο' γ'. τ̃ῆς ἐν Καρθαγένη.

Ἐπίσκοπος, πρεσβύτερος, κ̀ διάκονος, ἐγκρατεῖς ἐν ἅπασιν ἔσωσαν, ἵνα τ̃ῶν αἰτουμένων τυγχάνωσι, κ̀ γυναικῶν ἀπεχέσθωσαν.

Ο' ια'. τ̃ῆς ἐν ἀντιοχείᾳ.

Ἐπίσκοπος, ἢ πρεσβύτερος παρὰ γνώμην τ̃ῦ ἰδίου μητροπολίτου ἀπελθὼν εἰς βασιλέα, ἀπόβλητος γινέσθω, κ̀ τ̃ῆς κοινωνίας, κ̀ τ̃ῆς ἀξίας.

Ο' νγ'. τῶν Ἀποστόλων.

Ἐν ταῖς ἑορταῖς, ὅτου κ̀ χρεῶν ἱερ̀ὺς μὴ μεταλαμβάνων, εἰ μὴ δι' ἄσκησιν, καθαιρείσθω.

Ο' ιδ', τ̃ῆς ἐν Ἀγκύρᾳ.

Καὶ ἱερωμένος χρεῶν ἀπεχόμενος, γαμάμενος μόνον, ὅπως αὐτ̃ῷ ἀπεχέσθω, ἢ κἂν τ̃ῶν μετὰ χρέαπος λαχάνων.

Ο' νε'. τῶν ἁγίων Ἀποστόλων.

Πρεσβύτερος, ἢ διάκονος ὑβρίζων ἐπίσκοπον ἀφοριζέσθω.

Ο' νζ'. τῶν αὐτῶν.

Ὡσαύτως κ̀ εἰ χωλὸν, ἢ τυφλὸν, ἢ κωφὸν χλευάζει.

Ο' νη'. τῶν αὐτῶν.

Τὴν δυσέβειαν ἱερ̀ὺς μὴ διδάσκων, ἀφοριζέσθω. ἐπιμένων δὲ καθαιρείσθω.

Ο' νθ'. τῶν αὐτῶν.

Ὡσαύτως κ̀ μὴ δι' ποιῶν ἐνδεᾶ κληρικὸν.

Ο' ξ. τῶν αὐτῶν.

Ὁ ἀσεβῆς βιβλίον ἐκκλησιάζων, καθαιρείσθω.

Ο' ξδ'. τῶν αὐτῶν.

Ὁ σωδιχόμενος Ἰουδαίοις, ἢ αἱρετικοῖς, καθαιρείσθω τε, κ̀ ἀφοριζέσθω.

Ο' ξη'. τῶν αὐτῶν.

Ὁ δὶς χειροτονηθεὶς καθαιρείσθω σὺν τ̃ῷ χειροτονήσαντι, εἰ μὴ αἱρετικὴ χεὶρ ἡ πρώτη.

Ο' γ'. τ̃ῆς α'.

Ἱεραμένος συνεισάκτου μὴ ἐκκπέσθω, πλὴν μητρὸς,

μητρὸς, καὶ ἀδελφῆς, καὶ θείας, καὶ ὅσα τῶν προσώπων πᾶσαν διαπέφευγεν ὑποψίαν.

Ο' θ' αὐτῆς.

Οἱ ἀνεξετάστως ἱερωθέντες, ἢ ἀνακρινόμενοι τὰ αὐτῶν ὁμολογήσαντες πλημμελήματα ἱερώθησαν, καθαιρείσθωσαν.

Ο' ι'. αὐτῆς.

Ὅσοι τῶν παραπεσόντων προεχειρίσθησαν, ἢ ἐν γνώσει, ἢ ἐν ἀγνοίᾳ τοῦ προχειρίσαντος, καθαιρείσθωσαν.

Ο' ιϛ'. ταύτης, καὶ τῆς ἐν Ἀντιοχείᾳ λε'.

Πρεσβύτεροι ἢ διάκονοι τῆς ἐκκλησίας ἐκστάντες, ἄδεκτοι παρ' ἄλλοις μενέτωσαν, εἰς τὰς ἑ αὐτῶν ἐκκλησίας ἀναστρέφειν ἀναγκαζόμενοι. ἐπιμένοντες δὲ, τοῖς ἱερεῦσιν ἔστωσαν ἀκοινώνητοι.

Ο' δ'. τῆς ἐν Ἀντιοχείᾳ.

Ἐπίσκοπος ὑπὸ συνόδου καθηρημένος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, ἢ τολμήσειέ τι πρᾶξαι τῆς λειτουργίας, μηκέτι μηδὲ ἀποκαταστάσεως ἐλπίδα ἐχέτω. καὶ οἱ τούτῳ κοινωνοῦντες, ἐπιτιμάσθωσαν. καὶ μάλιστα, εἰ καὶ τὴν κατ' αὐτοῦ εἰδεῖεν ἀπόφασιν.

Ο' ϛ'. τῆς ἐν Τρούλλῳ.

Ἱερεὺς, ἢ διάκονος, ἢ ὑποδιάκονος μετὰ τὴν χειροτονίαν γήμας, καθαιρείσθω.

Σ Χ Ο' Λ Ι Ο Ν.

Ἤγουν τῆς μὲν ἱερωσύνης μετακινείσθω, τῆς δὲ τιμῆς μετεχέτω, καὶ τῆς καθέδρας. πορνεύσας δὲ, ἢ μοιχεύσας, τέλεον ἐξωθείσθω, καὶ εἰς μετάνοιαν ἀγέσθω. οὕτω γὰρ ἔντισι τῶν ἐξηγητῶν εὕρηται.

Ο' κα'. τῆς ἐν Τρούλλῳ.

Ὁ τέλεον καθαιρεθεὶς ἐπ' ἐγκλήματι, εἰ μεταμέλοιτο, τῷ τοῦ κλήρου κειρέσθω σχήματι. εἰ δ' οὖν, καθάπερ οἰλαϊκοὶ τὴν κόμην τρεφέτω.

Ο' κγ'. αὐτῆς.

Ὁ τῆς ἀχράντου μεταδιδοὺς τοῖς πιστοῖς κοινωνίας, καὶ μισθοῦ χάριν τὸ οἱονοῦν αἰτῶν, καθαιρείσθω.

Ο' κϛ'. αὐτῆς, καὶ ὁ κζ'. του Μεγάλου Βασιλείου.

Εἰ κατὰ ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπέσοι πρεσβύτερος, τοῦ συνοικεσίου διαλυθέντος τὴν καθέδραν μόνον ἐχέτω, τῶν ἐνεργειῶν πασῶν ἀπεχόμενος.

Σ Χ Ο' Λ Ι Ο Ν.

Ἤγουν τὴν καθ' αἷμα τυχὸν προσήκουσαν εἰσοικισάμενος, ἢ μονάστριαν τὸ ἱερὸν ἀρνησαμένην σχῆμα, ἢ τῷ πατρὶ αὐτοῦ ἐπιτροπευθεῖσαν.

Ο' κθ'. τῆς ἐν Τρούλλῳ.

Εἰ καὶ ἡ ἐν Καρθαγένῃ διαγορεύει, τῇ ἡμέρᾳ τοῦ θειουδείπνου, μετὰ τὸ δειπνῆσαι τοὺς ἱερέας προσάγειν, μηδεὶς ἔτι τοῦτο ποιείτω, καὶ διὰ τῆς πέμπτης τῆς ἑβδόμης ἑβδομάδος τὴν τεσσαρακοστὴν ὅλην ἀτιμαζέτω.

Ο' λ'. ταύτης.

Οἱ ἐν βαρβαρικαῖς ἐκκλησίαις ἱερεῖς, εἰ ἐκ συμφώνου τῶν συμβίων ἀπέχονται, τέλεον ἀπεχέσθωσαν.

Σ Χ Ο' Λ Ι Ο Ν.

Τοῦτο διὰ τὸ ἀπαγές αὐτῶν καὶ ἀστήρικτον φησίν.

Ο' λα', ταύτης, καὶ ὁ ιβ', τῆς α', καὶ β'.

Ὁ μὴ κατὰ γνώμην ἐπισκόπου, ἐν εὐκτηρίῳ ἔνδον οἰκίας ὄντι, προσάγων, ἢ βαπτίζων, καθαιρείσθω.

Ο' πγ'. τῆς ἐν Τρούλλῳ.

Σώματι νεκρῷ μήτις τῶν ἁγιασμάτων μεταδιδότω.

Ο' υθ'. ταύτης.

Ἱερεὺς ὁ κατὰ τοὺς Ἀρμενίους ἐν τῷ ναῷ κρέα παραχωρῶν ἕψεσθαι, καὶ τινα τούτων παρὰ τῶν προαγόντων δεχόμενος, ἀφοριζέσθω.

Ο' ιγ'. τῆς α'. καὶ β'.

Πρεσβύτερος, ἢ διάκονος, ὡς ἐπ' ἐγκλήματι δῆθεν κατεγνωκὼς τοῦ οἰκείου ἐπισκόπου, καὶ πρὸ συνοδικῆς διαγνώσεως ἀποστῆναι τούτου τῆς κοινωνίας τολμήσας, καθαιρείσθω τὲ, καὶ πάσης ἱερατικῆς ἀποστερείσθω τιμῆς. καὶ οἱ συνεπόμενοι, ἱερωμένοι μὲν, καθαιρείσθωσαν. μοναχοὶ δὲ, ἤλα ἰκοὶ, ἀφοριζέσθωσαν.

Ο' λγ'. τῆς ἐν Καρθαγένῃ.

Πρεσβύτεροι παρὰ γνώμην τοῦ ἐπισκόπου πράγματα τῆς ἐκκλησίας μὴ πιπρασκέτωσαν.

Ο' ιε'. τῆς ἐν Ἀγκύρᾳ.

Ἐὰν δὲ τι τῶν τῆς ἐκκλησίας, πρεσβύτεροι διαπράσωσιν, ἐκκαλείσθω τοῦτο ἡ ἐκκλησία. καὶ περὶ τῆς αὐτοῦ τιμῆς, ὡς δόξει τῷ ἐπισκόπῳ.

Ο' ζ'. τῆς ἐν Καισαρείᾳ.

Πρεσβύτερος εἰς διγάμου γάμον μὴ ἐστιάσθω.

Ο' θ'. καὶ ὁ ι'. ταύτης.

Πρεσβύτερος ὁμολογήσας, ὅτι προήμαρτε, μὴ προσφερέτω, μένων ἐν τοῖς λοιποῖς διὰ τὴν ὁμόνοιαν. μὴ ὁμολογήσας δὲ, μήτε ἐλεγχθεὶς, αὐτὸς τὴν ἐξουσίαν ἐχέτω.

Ο' ιγ'. ταύτης.

Πρεσβύτεροι ἐπιχώριοι ἐν ναῷ πόλεως μὴ προσφερέτωσαν, ἐπισκόπου παρόντος, ἢ πρεσβυτέρου τῆς πόλεως. ἀπόντων δὲ αὐτῶν, εἰ καλοῖντο, προσφερέτωσαν. ὡσαύτως καὶ διάκονος.

Ο' θ'. τῆς ἐν Ἀντιοχείᾳ.

Πρεσβύτερος ἐπιχώριος κανονικὰς ἐπιστολὰς μὴ διδό-

διδότω, ἢ πρὸς μόνον ἐπίσκοπον γείτονα. χωρεπίσκοπος μέντοι διδότω.

Ο' κδ'. τῆς ἐν Λαοδικείᾳ.

Ἱερωμένος ὅλως, ἢ κεκληρωμένος, εἰς καπηλεῖον μὴ εἰσερχέσθω.

Ο' λϛ'. ταύτης.

Ἱερατικὸς, ἢ κληρικὸς, μάγος, ἢ ἐπαοιδὸς, ἢ μαθηματικὸς, ἢ ἀστρολόγος, ἢ περιάπτης, ἐκριπτέσθω τῆς ἐκκλησίας.

Ο' μα'. ταύτης.

Ἱερατικὸς, ἢ κληρικὸς, ἄνευ κελεύσεως τοῦ ἐπισκόπου μὴ ὁδευέτω.

Ο' μβ'. ταύτης.

Μηδὲ ἄνευ κανονικῶν γραμμάτων.

Ο' νϛ'. ταύτης.

Πρεσβύτερος εἰς τὸ βῆμα πρὸ τοῦ ἐπισκόπου μὴ εἰσίτω, ἢ καθεζέσθω.

Ο' ιδ'. τῆς ἐν Σαρδικῇ.

Ὁ παρ' ὀξυχόλου κατακριθεὶς ἐπισκόπου, πρὸς τὸν μητροπολίτην καταφευγέτω. καὶ μένων ἀκοινώνητος, ἀξιούτω τυχεῖν ἐξετάσεως, καὶ ὁ ἐπίσκοπος μὴ ὀργιζέσθω.

Ο' ιζ' ταύτης.

Οἱ τῶν ἐπισκόπων ὡρισμένοι χρόνοι τῆς βραδυτῆτος, καὶ ἐπὶ τῶν πρεσβυτέρων, καὶ διακόνων φυλαττέσθωσαν.

Ο' ϛ'. τῆς ἐν Καρθαγένῃ.

Χρίσματος ποίησις, καὶ μετανοούντων καταλλαγὴ, καὶ καρῶν καθιέρωσις, παρὰ πρεσβυτέρων μὴ γινέσθω.

ΣΧΌΛΙΟΝ.

* Ἡ ἐπὶ τῷ ἀεννάῳ μύρῳ τελετὴ.

Ἤγουν λύσις τοῦ ἐπιτιμίου. ὁ γὰρ τοῦ ἐπιτιμίου λυθεὶς, τῷ θεῷ καὶ τοῖς πιστοῖς καταλλάττεται, κοινωνῶν αὐτοῖς. ἀπηγόρευται καὶ τοῖς ἱερεῦσι, τὰς τῶν πατέρων ἐκείνων δέχεσθαι προσφορὰς, ὧν εἰδήσει οἱ ὑπεξούσιοι παῖδες πορνεύουσιν. ὅτι τὰ τῶν ὑπεξουσίων ἁμαρτήματα, τοῖς δεσπόταις αὐτῶν ἀναφέρεται, ὥς φησιν ὁ μακάριος Ἰωάννης.

Ο' ζ'. ταύτης.

Ἐὰν δέτις κινδυνεύων ἐπισκόπου μὴ παρόντος, αἰτήσῃ καταλλαγῆναι τοῖς θυσιαστηρίοις, ὁ πρεσβύτερος τὸν ἐπίσκοπον ἐρωτησάτω, καὶ κατὰ τὸ λεχθὲν ἐκείνῳ ποιήτω.

Ο' κ'. ταύτης.

Πρεσβύτερος κατηγορούμενος, σὺν ἄλλοις ἓξ ἐπισκόποις, οὓς ὁ κατηγορῶν καὶ ὁ κατηγορούμενος αἱρετήσονται, ὁ ἴδιος ἐπίσκοπος ἐξετασάτω. διάκονον δὲ, σὺν ἄλλοις τρισὶν. ἐπὶ δὲ τῶν λοιπῶν κληρικῶν, μόνος. ἔστω δὲ καὶ ἐπὶ τούτων ἡ αὐτὴ τῶν καιρῶν προθεσμία, ἡ καὶ ἐπὶ τῶν ἐπισκόπων.

Ο' κε'. ταύτης.

Οἱ τὰ ἱερὰ μεταχειριζόμενοι, ἐκτῶν συμβίων ἐγκρατευέσθωσαν. μήποιοῦντες δὲ, καθαιρείσθωσαν.

Ο' κζ'. ταύτης.

Ἱερωμένος ἐλεγχθεὶς, καὶ καθαιρεθεὶς, μήτε ὡς λαϊκὸς μετανοῶν αὖθις χειροτονείσθω, μήτε μὴν ἀναβαπτιζέσθω, ὥς τι προκόψων ἐν ταῦθεν.

Ο' μη'. ταύτης.

Ἀναβαπτίσεις, καὶ ἀναχειροτονήσεις, καὶ μετακινήσεις ἐπισκόπων, μὴ γινέσθωσαν.

Ο' λα'. ταύτης.

Ὁ μείζω τιμὴν ἀπωθούμενος, ἀνάγκης καλούσης, καὶ ἣν ἔχει προσαπολέσει.

Ο' κθ'. ταύτης.

Ἀκοινώνητος κοινωνήσας πρὸ συμπαθείας, αὐτοκατάκριτος.

Ο' ρδ'. ταύτης.

Ἱερωμένος δημοσίαν κρίσιν παρὰ βασιλέως αἰτῶν, καθαιρείσθω.

Ο' ρκβ'. ταύτης.

Τῶν κατὰ κοινὴν συναίνεσιν ἐκλεγέντων τὴν κρίσιν ὁ μὴ δεχόμενος, ἀκοινώνητος.

Ο' ιζ'. τοῦ Μεγάλου Βασιλείου.

Πρεσβύτερος δι' ἀνάγκην ὀμόσας μὴ λειτουργεῖν, μεταμελόμενος ἰδίᾳ, καὶ μὴ δημοσίᾳ λειτουργείτω.

Ο' ο'. τοῦ Μεγάλου Βασιλείου.

Διάκονος, ἢ πρεσβύτερος ὁμολογήσας χείλεσι * μιανθῆναι, τῆς λειτουργίας εἰρχθεὶς, τῶν ἁγιασμάτων μετεχέτω μετὰ τῶν διακόνων, ἢ πρεσβυτέρων. εἰδέτι καὶ πλέον τούτου φανείη ἡμαρτηκὼς, καθαιρείσθω.

* ἤγουν μέχρι τῆς φιλήσεως τινὰ προελθεῖν ἀθέσμως.

Ο' α'. τῆς ἐν Ἀγκύρᾳ.

Πρεσβύτερος ὁ δι' ἀνάγκην τοῖς δαίμοσι θύσας, εἶτα ἀναπαλαίσας, τῆς μὲν τιμῆς μετεχέτω, καὶ τῆς καθέδρας, μηδὲν δέτι τῶν ἱερατικῶν λειτουργείτω.

Ο' β'. ταύτης.

Ὡσαύτως καὶ διάκονος, ἐπιτεινέτω δὲ ὁ ἐπίσκοπος, ἢ ἀφαιρείτω, πρὸς τὴν τούτων μετάνοιαν.

Ο' γ'. τῆς ἐν Τρούλλῳ.

Ἱερεῖς, καὶ διάκονοι, ὅσοι πρὸ τῆς ἡμῶν συνελεύσεως ἀθέσμως δυσὶ προσωμίλησαν γάμοις, ἢ χήρας ἠγάγοντο, ἢ μετὰ τὴν χειροτονίαν ἔγημαν, εἶτα μεταμεληθέντες ἀθέσμους γάμους διέλυσαν, τῆς λειτουργίας ἐπὶ ῥητὸν τινα χρόνον παυσάσθωσαν, τῆς τιμῆς μόνον, καὶ τῆς καθέδρας μετέχοντες, ἕως ἂν τὸ θεῖον ἐξιλεώσωνται δάκρυσιν. * ἀπρόκοποι δὲ τοῦ λοιποῦ μενέτωσαν. ἐν τοῦθεν δὲ καὶ εἰς τὸ ἑξῆς οἰτῶν ἀποστόλων περὶ τούτων κανόνες κρατείτωσαν.

* ἀπρόκοποι.

**** ΣΧΌ-

ΣΧΟΛΙΟΝ.

Διὰ συγκατάβασιν τῶν τότε, πρὸς καιρὸν ὁ παρὼν κανὼν ἐξετέθη, πάντων σχεδὸν παρανομησάντων.

. . . . . .

Οὔτε ἱερεὺς λυθεὶς, δύναται κατὰ τὴν αὐτὴν ἡμέραν ἱερουργῆσαι, οὔτε λαϊκὸς μετὰ τὸ ἀπελθεῖν εἰς βαλανεῖον, αὐθημερὸν τῶν μυστηρίων μεταλήψεται. καὶ ἐκ τοῦ ἐναντίου, οὔτε ἱεροτελεστῆσαι ἱερεὺς, οὔτε λαϊκὸς θείων ἁγιασμάτων ἀξιωθεὶς, λυθήσεται, ἢ φλεβοτομηθήσεται. εἰ μήπου θανάσιμον κατεπείγει νόσημα.

* γ'. Ο' * ιγ'. τοῦ πατριάρχου Νικολάου.

Τὰ περιττὰ τῶν προσφερομένων τῇ ἐκκλησίᾳ, μὴ ὡς ἄρτον κοινὸν οἱ ἱερεῖς ἐσθιέτωσαν. ἀλλ' ἰδιαζόντως, καὶ ἀποτεταγμένως, καὶ μὴ μετὰ γάλακτος, ἢ τυροῦ, ἢ ὠῶν, ἢ ἰχθύων. τῆς δὲ ὑψωθείσης τὰ κλάσματα, ἐν μόνῃ τῇ ἐκκλησίᾳ ἐσθιέτωσαν.

Ὑπὸ κυνῶν, ἢ μυῶν τῶν προηγιασμένων ἄρτων ἐν τῷ ναῷ ἀναλωθέντων, οἱ ἱερεῖς ἐπιτιμάσθωσαν, ὡς μὴ τὴν ἱκανὴν πεποιηκότες ἀσφάλειαν. οἱ δὲ τοὺς ἄρτους ὑπὸ μυῶν ἐν τῇ προσκομιδῇ ἀπολέσαντες, ἀνεπιτίμητοι. ἐπεὶ πολλάκις τὰ τοιαῦτα προβαίνειν εἴωθεν. οἱ, καὶ ἑτέραν εἰσάξουσι προσφορὰν, καὶ προσκομιδὴν ποιήσουσι, καὶ τὴν ἱερουργίαν τελειώσουσιν.

Ο' ιβ'. τῆς ἐν Καρθαγένῃ.

Ἐπισκόπου κατηγορουμένου, εἰ δυσχερὲς εἴη τὴν πᾶσαν σύνοδον συνελθεῖν, δώδεκα γοῦν τὴν ὑπόθεσιν ἐξετασάτωσαν ἐπίσκοποι. πρεσβυτέρου δὲ, ἕξ. διακόνου δὲ, τρεῖς.

ΠΕΡΙ ΔΙΑΚΟΝΩΝ.

ΕΠΙΓΡΑΦΗ Δ'.

Ο' η'. τῆς, α'.

Διάκονος τὴν εὐχαριστίαν τοῖς πρεσβυτέροις ἢ ἑαυτῷ διδούς, ἢ πρὸ τῶν πρεσβυτέρων ταύτην λαμβάνων, ἢ πρεσβυτέρων μέσον καθήμενος, τῆς κοινωνίας πεπαύσθω, ὡς παρὰ κανόνα, καὶ τάξιν ποιῶν.

Ο' ζ'. τῆς ἐν Τρούλλῳ.

Ὀφφίκιον ἔχων διάκονος, εἰ μὴ πρόσωπον ἐπιφέρων τοῦ οἰκείου πατριάρχου, ἢ μητροπολίτου, εἰς ἑτέραν διὰ τινα χρείαν παραγένηται πόλιν, προκαθεζόμενος πρεσβυτέρων, ἔστω, πάντων ἔσχατος.

ΣΧΟΛΙΟΝ.

Ἰστέον, ὅτι μόνῳ τῷ χαρτοφύλακι τῆς μεγάλης ἐκκλησίας δέδοται καὶ ἐξ ἔθους μακροῦ, καὶ ἐξ ἐπιτάγματος ἐγγράφου τοῦ βασιλέως κυρίου Μιχαήλ, καὶ τῶν ἀρχιερέων ἐν ταῖς ἔξω προκαθῆσθαι συνόδοις.

Ο' κ'. τῆς ἐν Λαοδικείᾳ.

Μήτε διάκονος ἀκέλευστος ἔμπροσθεν πρεσβυτέρου καθεζέσθω, μήτε κληρικὸς ἔμπροσθεν διακόνου.

Ο' ι' τῆς ἐν Ἀγκύρᾳ.

Διάκονος εἰ χειροτονούμενος προεμαρτύρατο, μὴ δύνασθε παρθενεύειν, γήμας, μενέτω διάκονος. εἰ δὲ χειροτονούμενος σεσιώπηκε, γαμήσας τῆς διακονίας παυσάσθω.

Ο' ιγ'. τοῦ Μεγάλου Βασιλείου.

Διάκονος πορνεύσας, εἰς τὸν τῶν λαϊκῶν μεταστὰς τόπον, μετεχέτω τῆς κοινωνίας.

Ο' ιε'. τῆς δ'.

Διάκονος γυνὴ χειροτονηθεῖσα, εἰ γάμῳ ἑαυτὴν ἐπιδῶ ἀναθεματιζέσθω.

Ο' ιδ'. τοῦ Μεγάλου Βασιλείου.

Ἡ αὐτὴ ἕλληνι πορνεύσασα, καὶ μεταγνοῦσα, τῷ ἑβδόμῳ ἔτει τῶν ἁγιασμάτων ἀξιωθήσεται.

ΣΧΟΛΙΟΝ.

Ἐν ταῖς λεγομέναις τῶν ἁγίων ἀποστόλων διατάξεσι, ταῦτα διείληπται. Διακόνισσα οὐδὲν, ὧν οἱ πρεσβύτεροι, ἢ διάκονοι ἐπιτελεῖ. ἀλλ' ἢ φυλάσσειν τὰς θύρας, καὶ ἐξυπηρετεῖν τοῖς πρεσβυτέροις ἐν τῷ βαπτίζεσθαι τὰς γυναῖκας, διὰ τὸ εὐπρεπὲς.

Ο' ιϛ'. τῆς ἐν Τρούλλῳ, ἀνατρέπων τὸν ιε'. τῆς ἐν Καισαρείᾳ.

Ὁ λέγων κατὰ πόλιν ἑπτὰ διακόνους δεῖν μόνον εἶναι, κατὰ τὸ ταῖς πράξεσιν εἰρημένον. ἴστω, ὡς οὐ περὶ τῶν τοῖς μυστηρίοις διακόνων ὁλόγος ἐκεῖ, ἀλλὰ τῶν τραπέζαις ὑπηρετούντων.

ΠΕΡΙ ΥΠΟΔΙΑΚΟΝΩΝ ΚΑΙ ΕΦΟΡΚΙΣΤΩΝ.

ΕΠΙΓΡΑΦΗ Ε'.

Ο' κα'. τῆς ἐν Λαοδικείᾳ.

Ὑποδιάκονος ἱερῶν σκευῶν μὴ ἁπτέσθω.

Ο' κβ'. ταύτης.

Μὴ δὲ ὡράριον φορείτω.

Ο' κε'. ταύτης.

Μὴ δὲ τὰς θύρας ἐγκαταλιμπανέτω, μὴ δὲ ἄρτον διδότω, μήτε ποτήριον εὐλογείτω.

Ο' μγ' ταύτης.

Ὑποδιάκονον οὐδεῖ καὶ πρὸς βραχὺ τὰς θύρας καταλιπόντα προσεύχεσθαι.

Περὶ ἐφορκιστῶν.

Ὁ μὴ ὑπὸ ἐπισκόπου προαχθεὶς, μήτε ἐν ταῖς ἐκκλησίαις, μήτε ἐν ταῖς οἰκίαις ἐφορκιζέσθω.

ΟΙ ΕΧΟΜΕΝΟΙ.

ΕΠΙΓΡΑΦΗ ΕΚΤΗ.

Ο νη'. τῆς ἐν Λαοδικείᾳ.

Ἐν τοῖς οἴκοις προσφορὰ μὴ γινέσθω παρ' ἐπισκόπου, ἢ πρεσβυτέρου.

Ο πγ'. τῆς ἐν Καρθαγένῃ.

Καὶ θυσιαστήριον, ἐν ᾧ οὔτε σῶμα, οὔτε λείψανον ἀπόκειται μάρτυρος, καταστρεφέσθω. εἰ δὲ τὰ πλήθη θορυβεῖ, τελετὴ ἐν αὐτῷ μὴ γινέσθω.

ΣΧΟΛΙΟΝ.

Ἡ δὲ ιε' νεαρὰ τοῦ βασιλέως κυρίου Λέοντος καὶ εἰς τοὺς εὐκτηρίους οἴκους διορίζεται ἀδιστάκτως ἱεροτελεστίας, καὶ βαπτίσματα γίνεσθαι. διὸ καὶ ὁ μετὰ ἀντιμινσίου ἱερουργήσας, ἢ βαπτίσας εἰς εὐκτήριον οἶκον μὴ καθιερωθέντα δι' ἐγκαινίων ἀνοιξίων, καὶ τοῦ συνήθους ἐνθρονιασμοῦ, ναὶ μὴν καὶ διὰ λειψάνων καὶ ἁγίων ἐνσοριασμοῦ, ἀλλὰ εἰς εὐχὴν οἰκιακὴν ἀφορισθέντα πιστῶν, ἢ εἰς οἰκίσκον πλοιαρίου τινὸς ἀποταμιευθέντα θεῷ, καὶ ἁγίαις εἰκόσι κοσμούμενον, οὐ προκριματισθήσεται ὡς παραβάτης κανόνων, καὶ ἀδιάφορος.

Ο θ'. τοῦ Τιμοθέου Ἀλεξανδρείας.

Προσφορᾶς γινομένης, αἱρετικοὶ μὴ παρέστωσαν. εἰ μὴ που μετανοεῖν ἐπαγγέλλονται, καὶ φεύγειν τὴν αἵρεσιν.

τοῦ πατριάρχου Νικιφόρου.

Τὰ ἀντιμίνσια, ἔνθα ἂν χρεία γένηται τούτων, ἀκωλύτως παραπέμπονται, καὶ οὐ περιγράφονται ἐν τῇ δὲ τῇ ἐνορίᾳ, ἢ ἐκείνῃ, ἀλλὰ καὶ ὑπερόρια γίνονται, καθὰ καὶ τὸ θεῖον μῦρον. καλοῦνται δὲ οὕτως, ὡς ἀντιπρόσωπα, καὶ ἀντίτυπα τῶν πολλῶν μίνσων, τῶν καταρτιζόντων τὴν ἁγίαν, καὶ δεσποτικὴν τράπεζαν. κυρίως δὲ, ἐπ' ἐκείναις τῶν τραπεζῶν τίθενται, ἃς καθιέρωσις οὐχ ἡγίασεν.

τοῦ αὐτοῦ.

Ἐὰν κατὰ ἄγνοιαν πλυθῇ ἀντιμίνσιον, οὐκ ἀποτίθεται τὸν ἁγιασμὸν, οὐδὲ βέβηλον γίνεται.

τοῦ αὐτοῦ.

*Ἐὰν φθάσῃ ὁ εὐαγγελισμὸς τῇ μεγάλῃ πέμπτῃ, ἢ τῇ μεγάλῃ παρασκευῇ, οὐχ ἁμαρτάνομεν οἴνου τηνικαῦτα μεταλαμβάνοντες, καὶ ἰχθύων.

* Ἤργησεν ὅτης ὁ κανὼν διὰ τὸ αἰδέσιμον τῶν ἁγίων ταθῶν.

τοῦ αὐτοῦ.

Δεῖ μετὰ διδόναι τῆς θείας κοινωνίας τῷ ἀσθενοῦντι, ἀποθανεῖν κινδηνεύοντι, καὶ μετὰ τὸ γεύσασθαι βρώσεως.

ΣΧΟΛΙΟΝ.

Ὁ δὲ μακάριος Ἰωάννης οὕτω φησί. τοῖς ἐξασθενήσασι τέλεον, καὶ λεπτὰ μὲν εἰσέτι ἐμπνέουσιν, ἀναισθητοῦσι δὲ ὅλως, καὶ μήτε πιεῖν, μήτε φαγεῖν δυναμένοις, οὐδεῖ τῶν ἁγιασμάτων μεταδιδόναι. ἀλλὰ διὰ τῆς ἐπαφῆς, καὶ τῆς ἐπιχρίσεως τούτῳ, τάτε χείλη, καὶ τὴν γλῶσσαν αὐτῶν ἐπισφραγίζεσθαι.

Ο νβ', τῆς ἐν Τρούλλῳ.

Δι' ὅλης τῆς τεσσαρακοστῆς, πλὴν σαββάτου, καὶ κυριακῆς, καὶ τῆς ἡμέρας τοῦ εὐαγγελισμοῦ, ἡ τῶν προηγιασμένων λειτουργία τελείσθω.

ΣΧΟΛΙΟΝ.

Τὸ μὴ χρίειν τὰ προηγιασμένα διὰ τῆς λαβίδος ἐν τῷ δεσποτικῷ αἵματι, ἐν τῷ μέλλειν ταῦτα φυλλάττειν, ἀκριβέστερον φησὶν ὁ μακάριος Ἰωάννης, ὡς καὶ ἐν τῇ καθ' ἡμᾶς μεγάλῃ ἐκκλησίᾳ γινόμενον.

Ο μθ', τῆς ἐν Λαοδικείᾳ.

Σαββάτῳ δὲ μόνον, καὶ κυριακῇ δεῖ προσφέρειν ἐν τῇ τεσσαρακοστῇ.

Ο ιδ'. ταύτης.

Εἰς ἑτέραν παροικίαν τὰ ἅγια μὴ πεμπέσθω.

Ο ιδ'. τοῦ Τιμοθέου Ἀλεξανδρείας.

Ὑπὲρ τοῦ ἑαυτὸν ἀνελόντος, προσφορὰ μὴ γινέσθω. εἰ μὴ ἀληθῶς ἔκφρων ἦν.

Ο ιστ'. τῆς ἐν Λαοδικείᾳ.

Εὐαγγέλιον ἐν σαββάτῳ, μεθ' ἑτέρων γραφῶν ἀναγινωσκέσθω.

Ο ζ'. ταύτης.

Ἐν ταῖς συνάξεσι, μεταξὺ τῶν ψαλτῶν, ἀναγνώσεις γινέσθωσαν.

Ο ιζ'. ταύτης.

Ἰδιωτικοὶ ψαλμοὶ, καὶ ἀκανόνιστα βιβλία, ἐν τῇ ἐκκλησίᾳ μὴ λεγέσθωσαν, ἀλλὰ μόνα τὰ τῆς παλαιᾶς, καὶ νέας διαθήκης βιβλία.

Ο *κδ', τῆς ἐν Καρθαγένῃ. *κζ'.

Ἐκτὸς γὰρ τῶν κανονικῶν γραφῶν μηδὲν ἐν τῇ ἐκκλησίᾳ ἀναγινωσκέσθω, ἐπ' ὀνόματι θείων γραφῶν.

Ο πε', τῶν Ἀποστόλων.

Σεβέσθωσαν δὲ μόνα τὰ τῆς παλαιᾶς, καὶ νέας διαθήκης βιβλία.

Ο μστ', τῆς ἐν Καρθαγένῃ.

Τὰ πάθη τῶν μαρτύρων, ἐν ταῖς μνήμαις τῶν ἁγίων ἀναγινωσκέσθωσαν.

Ο να'. τῆς ἐν Λαοδικείᾳ.

Οὐ δεῖ μνείας μαρτύρων τελεῖν ἐν τῇ τεσσαρακοστῇ, εἰ μὴ σάββασι, καὶ κυριακαῖς. οὐδὲ γάμους, ἢ γενέθλια.

ΣΧΟΛΙΟΝ.

Οἱ πεποιηκότες γαμικὰς ἱερολογίας τῇ μεγάλῃ τεσσαρακοστῇ, ἐπιτιμῶνται ἱερεῖς, μετρίως μὲν, εἰ ἐξ ἀφελείας. μειζόνως δὲ, εἰ ἐκ σκαιοτρο-

οτροπίας, καὶ κρύφα. τὸ μὲν τοι συνοικέσιον μένει, ὡς ἱερολογίαν δεξάμενον.

Πρὸ τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων, τῆς γεννήσεως τοῦ χριστοῦ, τῆς μεταμορφώσεως τοῦ χριστοῦ, καὶ τῆς κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου, ἐξανάγκης ἑπταήμεροι προηγοῦνται νηστεῖαι. εἰ δὲ τις καὶ πλέον τῶν ἑπτὰ ἡμερῶν κατὰ τὰς ἑορτὰς τούτων ἢ ἑκοντὶ, ἢ ἀπὸ κτητορικοῦ τυπικοῦ συνωθούμενος νηστεύσει, οὐ καταισχυνθήσεται.

Ο' ια'. τοῦ ἁγίου Κυρίλλου.

Κειμήλια, καὶ κτήσεις ἀκινήτους ἀνεκποιήτους ταῖς ἐκκλησίαις φυλάττεσθαι χρὴ. θαρρεῖσθαι δὲ τοὺς καιρὸν τὴν ἱερωσύνην διέποντας τῶν παραπιπτόντων ἀναλωμάτων τὴν οἰκονομίαν.

ΤΜΗ͂ΜΑ Γ'.

ΠΕΡΙ' ΚΛΗΡΙΚΩ͂Ν.

Τίνες κληροῦνται, καὶ τίνες οὐκληροῦνται.

Ε' Π Ι Γ Ρ Α Φ Η' Α'.

Ο' ιθ', τῶν Α'ποστόλων.

Ο' Δύο ἀδελφὰς, ἢ ἀδελφιδὴν ἀγόμενος, οὐ κληροῦται.

Ο' κβ'. αὐτῶν.

Ο' ἑαυτὸν ἀκρωτηριάσας, οὐ κληροῦται.

Ο' κγ'. αὐτῶν.

Εἰ δὲ καὶ κληρικὸς εἴη, ἀφοριζέσθω.

Ο' α'. τῆς α'.

Ἀνάγκῃ δέ τις χειρουργηθεὶς, καὶ ἄκων ἐκτμηθεὶς, κληρούσθω.

Ο' ξα'. τῶν ἀποστόλων.

Ἐλεγχθεὶς ἐπὶ πορνείᾳ, ἢ μοιχείᾳ, ἢ τινι τῶν ἀπηγορευμένων * πιστὸς μὴ κληρούσθω.

πιστοῖς.

Ο' οθ', αὐτῶν.

Ο' δαιμονῶν μήτε κληρούσθω, μήτε πιστοῖς συνευχέσθω. καθαρισθεὶς δὲ, εἰ ἄξιος, προσδεχθήτω.

Ο' πβ'. αὐτῶν.

Οἰκέτης οὐ κληροῦται παρὰ γνώμην τοῦ δεσπότου.

Ο' λγ'. τῆς ἐν Τρούλλῳ.

Κληρικὸς, μὴ ὁ ἐκ γένους, ἀλλ' ἄξιος, γινέσθω.

Ο' η' τῆς ἐν Καισαρείᾳ.

Λαϊκὸς, οὗ ἡγυνὴ φανερῶς ἠλέγχθη μοιχευθεῖσα, μὴ κληρούσθω. καὶ ὁ κεκληρομένος εἰ κατέχει τὴν μοιχευθεῖσαν, ἐξωθείσθω, τῆς ἐγχειρισθείσης αὐτῷ διακονίας.

Ο' γ'. τοῦ ἁγίου Κυρίλλου.

Ὅταν μέλλῃ χειροτονεῖσθαι κληρικὸς ἐρευνάσθω ὁβίος αὐτοῦ, εἰ γαμετὴν ἔχει, ἢ μὴ, καὶ πῶς, καὶ πότε ἐγήματο, καὶ εἰ ἀπέσχετο, καὶ εἰ μὴ ἐκβέβληται, ἢ παρ' ἐπισκόπου, ἢ ἐκ μοναστηρίου. καὶ οὕτως ἀδιάβλητος εὑρεθεὶς, χειροτονείσθω.

Ο' ι', τῆς δ'.

Μηδεὶς δύο πόλεων ναοῖς κληρούσθω. εἰ δὲ τις ἐξ ἄλλης εἰς ἄλλην ἐκκλησίαν μετετέθη, καὶ μηδὲν μετεχέτω τῶν τῆς προτέρας, ἢ τοῦ ἰδίου βαθμοῦ ἐκπεσεῖται.

Ο' ιε'. τῆς ζ'.

Μηδεὶς ἐν Κωνσταντινουπόλει ἐν δυσὶν ἐκκλησίαις κληρούσθω. αἰσχροκέρδεια γὰρ. ἀλλαχοῦ δὲ τοῦτο γινέσθω, διὰ τὴν τῶν ἀνθρώπων ἔνδειαν.

ΤΙ'ΝΑ ΔΕΙ͂ ΚΛΗΡΙΚΟ'Ν

ποιεῖν, καὶ τίνα μὴ ποιεῖν.

Ε' Π Ι Γ Ρ Α Φ Η' Β'.

Ο' ιε'. τῶν ἀποστόλων, καὶ ὁ ε'. τῆς δ'. καὶ

Ο' γ'. τῆς ἐν Α'ντιοχείᾳ.

Κληρικὸς τῆς * οἰκίας ἐκστὰς, καὶ ἐπ' ἀλλοτρίας οἰκῶν, ὡς ὁλαϊκὸς μενέτω. καὶ μάλιστα, εἰ παρὰ τοῦ ἐπισκόπου καλούμενος, οὐχ ὑπήκουσεν.

* οἰκείας.

Ο' ιστ'. τῶν Α'ποστόλων.

Καὶ ὁ τοῦτον ἐνγνώσει κατέχων ἐπίσκοπος ἀφοριζέσθω.

Ο' ιη. τῆς ἐν Τρούλλῳ.

Καὶ ὁ διὰ βαρβάρων ἐπιδρομὴν, ἢ τινα ἄλλην περίστασιν ἀλλαχοῦ γενόμενος κληρικὸς, εἰ μὴ τοῦ δεινοῦ παυσαμένου, εἰς τὸν οἰκεῖον ἐπανέλθοι κλῆρον, καθαιρείσθω σὺν τῷ κατέχοντι.

Ο' θ', τῆς ἐν Σαρδικῇ.

Ο' δὲ μήβουλόμενος ἀπελθεῖν εἰς ἣν κεκλήρωται, τοῦ λοιποῦ μὴ δεχέσθω.

Ο' κ'. τῶν Α'ποστόλων.

Καὶ εἴτις γνώμης δίχα τοῦ οἰκείου ἐπισκόπου πρὸς ἄλλον κλῆρον ἀπελθῶν προσδεχθείη, καθαιρείσθω σὺν τῷ δεξαμένῳ.

Ο' ς'. τῆς ἐν Καρθαγένῃ.

Ο' γὰρ ἅπαξ ἀναγνοὺς ἐν ἐκκλησίᾳ, ἐν ἄλλῃ πρὸς κλήρωσιν μὴ δεχέσθω.

Ο' κ'. τῶν ἀποστόλων.

Κληρικὸς ἐγγύας διδοὺς, καθαιρείσθω.

Σ Χ Ο' Λ Ι Ο Ν.

Εἰ δι' αἰσχροκέρδειαν, καὶ ἐπὶ τελωνῶν τοῦτο ποιεῖ. εἰ δὲ δι' ἀνάγκην, καὶ ἐπὶ κληρικῶν ἐπαινετέος.

Ο' κς'. αὐτῶν.

Ἀναγνῶσαι μόνον, καὶ ψάλται, καὶ μετὰ τὸ κεκληρῶσθαι, γαμείτωσαν.

ΣΧΟ̅ΛΙΟΝ.

Ἰουστινιάνιος νεαρὰ κελεύει, μὴ γίνεσθαι τινὰ ἀναγνώστην, εἰ μὴ ιη' ἐτῶν γένοιτο.

νεαρ. 123. Κ. 13. Ο' μβ'. τῶν Ἀποστόλων, καὶ ὁ ν', τῆς ἐν Τρούλλῳ.

Κυβεύων κληρικὸς, ἢ μεθύων, εἰ μὴ παύσαιτο, ἀφοριζέσθω.

ΣΧΟ̅ΛΙΟΝ.

Ἡ δὲ ρκγ' νεαρὰ Ἰουστινιάνιος ἀφορίζουσα τούτους, καὶ μοναστηρίῳ ἐμβάλλει.

Ο' νδ', τῶν Ἀποστόλων, καὶ ὁ μ', τῆς ἐν Καρθαγένῃ.

Κληρικὸς ὁ δίχα τῆς καθ' ὁδὸν ἀνάγκης ἐσθίων ἐν καπηλείῳ, ἀφοριζέσθω.

Ο' νε'. τῶν ἀποστόλων.

Ὑβρίζων δ' ἐπίσκοπον, καθαιρείσθω.

Ο' νϛ'. τῶν αὐτῶν.

Πρεσβύτερον δὲ, ἢ διάκονον, ἀφοριζέσθω.

Ο' ξβ', αὐτῶν.

Ὁ τὸν κλῆρον διαφόβον ἀρνησάμενος, καθαιρείσθω. μετανοήσας δὲ, ὡς λαϊκὸς δεχθήτω.

Ο' γ'. τῆς δ'.

Κληρικὸς, ἢ μονάζων κοσμικὰ διοικῶν πράγματα, εἰ μὴ νόμῳ καλεῖται εἰς ἀφηλίκων ἐπιτροπὴν, ἢ παρ' ἐπισκόπου ὀρφανῶν, καὶ χηρῶν ἐπιτραπείη πραγμάτων διοίκησιν ἐπιτιμάσθω.

Ο' ια' τῆς α' καὶ β'.

Καὶ κληρικὸς κοσμικὰς ἀρχὰς, ἤφροντίδας ἀναδεχόμενος, ἢ τὰς λεγομένας κουρατορείας, ἐξωθείσθω τοῦ κλήρου.

Ο' ζ' τῆς δ'.

Ὁ κληρωθεὶς, ἢ μονάσας, εἰ ἐπὶ στρατείαν, ἢ κοσμικὴν ἀξίαν ἔλθοι, καὶ μὴ μεταμέλοιτο, ἀναθεματιζέσθω.

ΣΧΟ̅ΛΙΟΝ.

Περὶ τούτου καὶ ρκγ' νεαρὰ τοῦ Ἰουστινιανοῦ, φησὶ γὰρ. μηδεὶς τὸν οἰκεῖον κλῆρον ἐῶν, γινέσθω κοσμικός. ἐπεὶ καὶ τῆς προσγενομένης αὐτῷ ἀξίας, ἢ στρατείας ἀπογυμνωθήσεται, καὶ τῇ βουλῇ τῆς οἰκείας ἀποδοθήσεται πόλεως. καὶ ἡ ζ' καὶ η' νεαρὰ τοῦ κυρίου Λέοντος, τοὺς μοναχοὺς καὶ κληρικοὺς μετεσχηματισθέντας, καὶ λαϊκοὺς γενομένους, καὶ ἄκοντας πρὸς τὸ πρότερον ἀποκαθίστασθαι σχῆμα κελεύουσιν.

Ο' η'. ταύτης.

Οἱ τοῦ ἐπισκόπου αὐτῶν ἀφηνιάσαντες, κληρικοὶ μὲν ἐπιτιμάσθωσαν. μονάζοντες δὲ, ἢ λαϊκοὶ ἀκοινώνητοι.

Ο' θ', ταύτης.

Κληρικὸς, κληρικῷ μὲν διαφερόμενος, εἰ μὴ γνώμῃ τοῦ ἐπισκόπου εἰς κοσμικὸν κατεδράμοι δικαστήριον, ἐπιτιμάσθω. τῷ ἰδίῳ δὲ, ἢ ἑτέρῳ ἐπισκόπῳ διαφερόμενος, παρὰ τῇ συνόδῳ δικαζέσθω τῆς ἐπαρχίας. εἰ δὲ τις ἐπίσκοπος, ἢ κληρικὸς πρὸς μητροπολίτην ἀμφισβητοίη, ἐπὶ τῷ Κωνσταντινουπόλεως δικαζέσθω.

Ο' ιε'. τῆς ἐν Καρθαγένῃ.

Κληρικὸς, ἢ ἱερωμένος ἐγκαλούμενος, εἰ τὴν ἐκκλησίαν ἀφεὶς, τῷ δημοσίῳ προσδράμοι, εἰ μὲν ἐπ' ἐγκληματικοῖς ἐγκαλοῖτο, καὶ δικαιωθεὶς τὸν ἴδιον ἀπολέσει βαθμὸν. εἰ δὲ ἐπὶ πολιτικοῖς, ἀπολέσει τὸ δίκαιον αὐτοῦ, εἰ τὸν ἴδιον βαθμὸν ἐθελήσει κατέχειν. καὶ ἐὰν ὑπὸ τινων δικαστῶν κατεδικασθεὶς εἰς ἑτέρους μείζονας καταδράμῃ, καὶ παρ' ἐκείνοις δικαιωθῇ, οἱ προδικάσαντες μὴ βλαπτέσθωσαν. εἰ μὴ που κατὰ ἔχθραν, ἢ δωροδοκηθέντες ἐλεγχθῶσιν ἐκεῖνον καταδικάσαι. καὶ τοῖς κατὰ συναίνεσιν ἐκλέξασι δικαστὰς, καὶ ὀλιγωτέροις οὖσι τοῦ δέοντος, μὴ ἐξέστω ἐκκαλεῖσθαι. καὶ τὰ τέκνα τῶν κληρικῶν, θεωρεῖα κοσμικὰ μὴ ποιείτωσαν, μὴ δὲ θεωρείτωσαν. τοῦτο δὲ καὶ πᾶσι χριστιανοῖς ἀπείρηται.

Ο' κη', τῆς ἐν Καρθαγένῃ.

Κληρικοὶ δικαζόμενοι, ἐὰν μὴ τῇ κρίσει τοῦ σφῶν ἐπισκόπου ἀρέσκονται, μετὰ συναινέσεως αὐτοῦ πρὸς τοὺς γείτονας ἀπερχέσθωσαν κριθησόμενοι. εἰ δὲ μὴ τῇ τούτων ἀρέσκοιντο, πρὸς τὸν προτεύοντα τῆς ἐπαρχίας. πρὸς ἕτερον δὲ ἀπελθόντες, ἀκοινώνητοι.

Ο' ρκε'. αὐτῆς.

Καὶ κληρικοὶ δίκας ἔχοντες, εἰ τῷ ἐπισκόπῳ αὐτῶν μεμφόμενοι, μὴ παρὰ τοῖς γείτοσι συναινέσει αὐτοῦ, ἀλλὰ τοῖς πέραν δικάσαιντο, ἀκοινώνητοι.

Ο' νθ'. ταύτης.

Ἐὰν κληρικοὶ δικασθῶσι παρὰ τῇ ἐκκλησίᾳ, καὶ τῷ ἑνὶ τούτων ἡ ψῆφος ἀπαρέσκῃ, οἱ δικάσαντες μὴ καλείσθωσαν εἰς ἕτερον δικαστήριον, περὶ αὐτῶν μαρτυρῆσαι. καὶ ὅλως ἐκκλησιαστικὸς εἰς μαρτυρίαν μὴ καλείσθω.

Ο' θ' τῆς δ'.

Εἴ τις ἐπίσκοπος, ἢ κληρικὸς πρὸς μητροπολίτην ἀμφισβητοίη, ἐπὶ τῷ Κωνσταντινουπόλεως δικαζέσθω.

Ο' κβ'. τῆς ἐν Καρθαγένῃ.

Ἐπίσκοπος, ἢ κληρικὸς αἱρετικὸν μὴ συνεισαγέτω, μὴ δὲ τι τῶν ἰδίων δωρείτω, μὴ δ' ἂν εἴη συγγενής.

Ο' λβ'. ταύτης.

Ἐπίσκοπος, ἢ κληρικὸς μηδὲν πρότερον ἔχων εἶτα κτησάμενος πράγματα, εἰ μὴ τῇ ἐκκλησίᾳ ταῦτ' ἀφιερώσειε, ὡς δεσποτικὰ διηρπακὼς πράγματα, ἐνεχέσθω. καὶ εἰ συγγενικῶν δικαίων κληρονομήσειε, κἀκ τούτων ἀφιερούτω τῇ ἐκκλησίᾳ. ὁ δὲ τι τῶν ἰδίων ἀφιερώσας, εἶτα μεταμεληθεὶς, ἀνάξιος τῆς ἐκκλησιαστικῆς κρινέσθω τιμῆς.

***** Ο' ξβ'

Ο' ξβ'. ταύτης.

Κληρικὸς ἐπισκόπων κρίσει καταδικασθεὶς, παρ' οὐδενὸς ἐκδικείσθω.

Ο' οθ'. ταύτης.

Καὶ κληρικὸς ἐλεγχθεὶς, εἰ μὴ ἐν τὸς ἐνιαυτοῦ δι' ἀπολογίας ἑαυτὸν σπεύσει καθάραι, εἰς ἀπολογίαν ἀπρόσδεκτος.

Ο' ιϛ'. τῆς ἐν Τρούλλῳ.

Ἐπίσκοπος, ἢ κληρικὸς λαμπραῖς ἑαυτὸν ἐσθῆσι κοσμῶν, ἢ μῦρα χριόμενος, εἰ μὴ παύοιτο, καθαιρείσθω.

Ο' λε'. τῆς ἐν Καρθαγένῃ.

Ἐπίσκοπος, ἢ κληρικὸς τὰ ἴδια τέκνα πρὸ τῆς τῶν τρόπων αὐτῶν σταθηρότητος, ἢ τῆς ἡλικίας ποιῶν αὐτεξούσια, τῶν πλημμελημάτων αὐτοῖς κοινωνεῖ.

Ο' ιδ' τῆς δ'.

Ψάλτης, ἢ ἀναγνώστης ἑτερόδοξον μὴ γαμείτω. εἰ δὲ γήμας ἔτυχε, τὰ τέκνα προσαγέτω τῇ κοινωνίᾳ, εἰ καὶ παρὰ τῶν αἱρετικῶν ἐβαπτίσθησαν.

Ο' ιη' ταύτης, καὶ ὁ λδ' τῆς ἐν Τρούλλῳ.

Κληρικοὶ, ἢ μονάζοντες συνομνύμενοι, ἢ φατριάζοντες, ἢ τι κατὰ ἐπισκόπου ἢ, συγκληρικοῦ * τυρεύοντες, τοῦ οἰκείου βαθμοῦ παντάπασιν ἐκπιπτέτωσαν.

* ἐπιχειροῦσι.

Ο' κβ' τῆς δ'.

Οἱ τὰ διαφέροντα τῷ ἐπισκόπῳ τεθνεῶτι διαρπάζοντες κληρικοὶ, τῶν βαθμῶν ἐκπιπτέτωσαν.

Ο' κγ' ταύτης.

Οἱ παρὰ γνώμην τοῦ σφῶν ἐπισκόπου κληρικοὶ, ἢ μονάζοντες τῇ Κωνσταντινουπόλει ἐνδιατρίβοντες, καὶ ἄκοντες ἐλαυνέσθωσαν, ὡς ταράκται τῶν ἐκκλησιαστικῶν καταστάσεων.

Ο' ε' τῆς ἐν Τρούλλῳ.

Κληρικὸς, ἄνευ τῶν ἀνυπόπτων προσώπων, γυναῖκα κεκτημένος, ἢ θεραπαινίδα, καθαιρείσθω. ὡσαύτως δὲ καὶ εὐνοῦχος, κληρικὸς μὲν, καθαιρείσθω. λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ο' θ' ταύτης.

Κληρικὸς καπηλικὸν ἐργαστήριον ἔχων, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ΣΧΟ'ΛΙΟΝ.

Ὁ πατριάρχης Λουκᾶς καὶ μυρεψικὰ ἐργαστήρια, ἤλουτρὰ πρὸς τῶν κληρικῶν ἐνεργεῖσθαι ἀπείρηκε διὰ σημειώματος, ὡς αἰσχροῦ κέρδους, καὶ ψεύδους παραίτια. κωλύει δὲ καὶ τοὺς διακόνους ἰατρικῆς ἀντιποιεῖσθαι, καὶ ἀφορισμῷ καθυποβάλλει τοὺς κοσμικὰ, καὶ δημόσια διενεργοῦντας κληρικοὺς. καὶ ὁ πατριάρχης Μιχαὴλ ὁ τοῦ Ἀγχιάλου, κοσμικὰ ὀφφίκια, ἢ πρακτορικὰς ἐνεργείας, ἢ κουρατωρείας τοὺς κληρικοὺς ἐπισκήπτει διάσημειώματος μὴ ἀναδέχεσθαι.

Ο' ι' τῆς α'. καὶ β'.

Οἱ τὶ τῶν ἐντῷ θυσιαστηρίῳ ἱερῶν σκευῶν, ἢ ἀμφιασμάτων, εἰς ἴδιον ἀφαρπάζοντες κέρδος, ἢ εἰς χρῆσιν ἀνίερον ἀποχρώμενοι, παντελῶς καθαιρείσθωσαν. οἱ δὲ τι τῶν ἔξω τοῦ θυσιαστηρίου ἀφωρισμένων, σκεῦος, ἢ ἄμφιον, εἰς χρῆσιν ἀνίερον ἑαυτοῖς, ἢ ἄλλῳ παρέχοντες, ἀφοριζέσθωσαν. οἱ δὲ παντελῶς ἀφαρπάζοντες, ὡς ἱερόσυλοι καταδικαζέσθωσαν.

Ο' κε'. τῶν Ἀποστόλων.

Ἱρεὺς, ἢ κληρικὸς ἐπὶ πορνείᾳ, ἢ ἐπιορκίᾳ, ἢ κλοπῇ ἁλοὺς, καθαιρείσθω, καὶ μὴ ἀφοριζέσθω. οὐκ ἐκδικήσης γὰρ φησι, δὶς ἐπὶ τὸ αὐτὸ.

Ο' μδ'. τῆς ἐν Λαοδικείᾳ.

Ἱερατικὸς, ἢ κληρικὸς ἀνευκελεύσεως τοῦ ἐπισκόπου μὴ ὁδευέτω.

Ο' κδ' ταύτης.

Ἱερωμένος ὅλως, ἢ κεκληρωμένος εἰς καπηλεῖον μὴ εἰσερχέσθω.

Ο' λϛ' ταύτης.

Ἱερατικὸς, ἢ κληρικὸς, μάγος, ἢ ἐπαοιδὸς, ἢ μαθηματικὸς, ἢ ἀστρολόγος, ἢ περιάπτης ἐκριπτέσθω τῆς ἐκκλησίας.

Ο' κ'. ταύτης.

Μήτε διάκονος ἀκέλευστος ἔμπροσθεν πρεσβυτέρου καθεζέσθω, μήτε κληρικὸς ἔμπροσθεν διακόνου.

Ο' κδ' τῆς α', καὶ β', καὶ ὁ νδ'. τῆς ἐν Λαοδικείᾳ.

Κληρικὸς, ἢ μονάζων ἐν ἱπποδρόμοις, ἢ θυμελικοῖς παιγνίοις παρουσιάζων, ἢ κἂν ἐν γάμῳ κληθείη, τῆς τῶν παιγνίων παρουσίας μὴ προεξερχόμενος, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

Ο' κζ'. τῆς ἐν Τρούλλῳ.

Κληρικὸς ἀνοίκειον ἐσθῆτα ἀμφιεννύμενος, κἂν ἐν ὁδῷ εἴη, ἑβδομάδα μίαν ἀφοριζέσθω.

Ο' λγ' ταύτης.

Τὰ θεῖα λόγια ἐπ' ἄμβωνος μὴ ἀναγινωσκέτω ὁ μὴ κεκαρμένος, καὶ μὴ τυχὼν εὐλογίας. ὁ δὲ παρὰ ταῦτα ποιῶν, ἀφοριζέσθω.

Ο' ιδ' τῆς ζ'.

Καὶ ὁ μὴ χειροθεσίας τυχὼν, εἰ καὶ μοναχὸς εἴη, τὰς ἱερὰς ἐπ' ἄμβωνος βίβλους μὴ ἀναγινωσκέτω. χειροθετείσθω δὲ ἀναγνώστας καὶ ἡγούμενος ἐν τῷ Ἰδίῳ μοναστηρίῳ, εἰ ἱερωμένος εἴη, καὶ παρ' ἐπισκόπου χειροθεσίαν ἔχει. καὶ χωρεπίσκοπος, κατ' ἐπιτροπὴν ἐπισκόπου.

Ο' ιϛ' τῆς ἐν Καρθαγένῃ.

Ὁ ἔνηβος ἀναγνώστης, ἢ γαμείτω, ἢ ἐγκράτειαν ὁμολογείτω. καὶ οἱ ἀναγνῶσται τὸν δῆμον μὴ προσκυνήτωσαν, μετὰ τὴν ἀνάγνωσιν δηλαδὴ.

Ο' ε' τῆς ἐν Τρούλλῳ.

Οἱ ψάλλοντες, μετὰ πολλῆς προσοχῆς καὶ κατανύξεως

νύξεως ψαλέτωσαν, βοαῖς ἀτάκτοις καὶ ἀναρμόστοις μὴ χρώμενοι.

Ο' ιε' τῆς ἐν Λαοδικείᾳ.

Καὶ ἄνευ τῶν κανονικῶν ψαλτῶν, καὶ ἀπὸ διφθέρας ἐπ' ἄμβωνος ψαλλόντων, μηδεὶς ἐν ἐκκλησίᾳ ψαλλέτω.

ΣΧΟΛΙΟΝ.

Ἤγουν τῶν ἀπὸ κανόνος γινομένων. διφθέρας δὲ τὰς βίβλους καλεῖ, διὰ τὸ μεμβράνας αὐτὰς εἶναι. διφθέραι γὰρ, τὰ δέρματα.

Ο' κγ' ταύτης.

Ἀναγνώστης, ἢ ψάλτης, ὡράριον μὴ φορείτω.

Ο' ε' τῆς ἐν Καρθαγένῃ.

Κληρικὸς τόκον μὴ λαμβανέτω. τὸ γὰρ ἐν λαϊκοῖς ἐπιλήψιμον, πολλῷ μᾶλλον ἐν κληρικοῖς.

Ο' κα' ταύτης.

Τέκνα κληρικῶν ἐθνικοῖς, ἢ αἱρετικοῖς μὴ γαμικῶς συναπτέσθωσαν.

Ο' λη' τῆς ἐν Καρθαγένῃ.

Κληρικοὶ ἐγκρατευόμενοι, πρὸς χήρας, ἢ παρθένους, εἰ μὴ κατ' ἐπιτροπὴν τοῦ ἐπισκόπου, ἢ τῶν πρεσβυτέρων, μὴ εἰσίτωσαν. καὶ οὕτω μὴ μόνοι, ἀλλὰ μετὰ συγκληρικῶν, ἢ χριστιανῶν ἐντίμων.

Ο' ς' τοῦ Μεγάλου Βασιλείου.

Ἡ τῶν κανονικῶν πορνεία εἰς γάμον μὴ λογιζέσθω, ἀλλὰ παντὶ τρόπῳ διασπάσθω αὐτῶν ἡ συνάφεια.

Ο' λβ' * αὐτῶν.

Κληρικὸς τὴν πρὸς θάνατον ἁμαρτὼν, τοῦ βαθμοῦ καταγόμενος, μετὰ τῶν λαϊκῶν ταττέσθω.

ΣΧΟΛΙΟΝ.

Πρὸς θάνατον ἁμαρτία ἐστὶν ἡ ψυχικὴ δηλαδὴ, ἡ καὶ μέχρι πράξεως χωρήσασα. ὡς ἥγε μέχρι τοῦ βουληθῆναι μόνον καὶ συγκαταθέσθαι, οὐ πρὸς θάνατον.

Ο' να' αὐτοῦ.

Οἱ κληρικοὶ παραπίπτοντες, τῶν βαθμῶν ἐκπίπτουσιν.

Ο' ξθ', αὐτοῦ.

Ἀναγνώστης πρὸ γάμου τῇ μνηστῇ συναλλάσσων, μετ' ἐνιαυτὸν δεχθεὶς εἰς τὸ ἀναγινώσκειν, ἀπρόσκοπος μενέτω. κλεψίγαμος δὲ μνηστείας ἄνευ, τῆς ὑπηρεσίας παυσάσθω.

Ο' ια'. τῆς δ'.

Εἰρηνικαῖς ἐκκλησιαστικαῖς ἐπιστολαῖς οἱ πένητες ὁδευέτωσαν, ἀλλὰ μὴ συστατικαῖς. αὗται γὰρ τοῖς ἐν ὑπολήψει παρέχονται.

ΣΧΟΛΙΟΝ.

Εἰρηνικαὶ εἰσιν ἐπιστολαὶ, αἱ παρὰ τῶν ἐπισκόπων διδόμεναι τοῖς κληρικοῖς θέλουσι δι' ἔνδειαν εἰς ἑτέραν ἀπελθεῖν πόλιν, καὶ τῷ ἐκεῖ κλήρῳ καταλεγῆναι. ἢ καὶ αἱ τοῖς ἐπισκόποις παρὰ τῶν ἀρχιεπισκόπων διδόμεναι, πρὸς βασιλέα διά τινα χρείαν ἀπερχομένοις. συστατικαὶ δὲ εἰσὶν, αἱ διδόμεναι τοῖς ὑπὸ ἐπιτίμιον εἰς ἀθώωσιν, καὶ ἑτέρῳ αὐτοὺς ἐπισκόπῳ συνιστῶσαι πρὸς κοινωνίαν.

ΚΟΙΝΟΙ ΚΛΗΡΙΚΟΙ ΣΚΑΙ Λαϊκοῖς.

ΕΠΙΓΡΑΦΗ Γ'.

Ο' να', τῶν Ἀποστόλων.

Κληρικὸς ἅπας, ἢ λαϊκὸς, εἰ μὴ δι' ἄσκησιν, γάμου, καὶ κρεῶν, καὶ οἴνου, ἀλλὰ βδελυσσόμενος ἀπέχοιτο, ἢ διορθούσθω, ἢ καθαιρείσθω.

Ο' ξγ', αὐτῶν.

Ὁ πνικτοῦ, ἢ θηριαλώτου, ἢ θνησιμαίου γευόμενος, κληρικὸς μὲν, καθαιρείσθω. λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ο' νε'. τοῦ Μεγάλου Βασιλείου.

Οἱ τοῖς λησταῖς ἀντεπεξιόντες, λαϊκοὶ μὲν τῆς κοινωνίας εἴργονται. κληρικοὶ δὲ καθαιροῦνται.

Ο' ξε', τῶν Ἀποστόλων.

Ὁ φονεὺς, κληρικὸς μὲν, καθαιρείσθω. λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ο' ξς'. αὐτῶν.

Ὡσαύτως καὶ ὀνηστεύων κυριακὴν, ἢ σάββατον, πλὴν ἑνὸς.

ΣΧΟΛΙΟΝ.

Εἰ μὴ που τινὸς δι' ἄσκησιν ὀκτὼ τυχὸν ἡμέρας, ἢ δέκα νηστεύοντος, συνεισαχθῇ ταύταις ἐξανάγκης καὶ σάββατον, καὶ κυριακὴ.

Ο' ξθ' τῶν αὐτῶν.

Καὶ ὁ μὴ νηστεύων τετράδα, καὶ παρασκευὴν, καὶ τὴν ἁγίαν τεσσαρακοστὴν, εἰ μὴ δι' ἀσθένειαν.

Ο' ο' αὐτῶν.

Ἔτι δὲ, καὶ ὁ ἰουδαΐζων.

Ο' ιε' Πέτρου ἀλεξανδρείας.

Τετράδι γὰρ, καὶ παρασκευῇ νηστευτέον. τῇ μὲν, διὰ τὸ κατὰ τοῦ χριστοῦ τῆς προδοσίας συμβούλιον. τῇ δὲ παρασκευῇ, διὰ τὸ σωτήριον πάθος. τῇ μὲν τοι κυριακῇ, χαρμοσύνως ἑορταστέον, διὰ τὴν τοῦ σωτῆρος ἀνάστασιν.

Ο' πδ' τῶν ἀποστόλων.

Βασιλέα παρὰ θέμιν ὑβρίσας, ἢ ἄρχοντα, κληρικὸς μὲν, καθαιρείσθω, λαϊκὸς δὲ, ἀφοριζέσθω.

ΣΧΟΛΙΟΝ.

Βασιλέα μὲν ὑβρίζειν, κεκώλυται. ἐλέγχειν δὲ, οὐ δαμῶς. ὁ δὲ * τς' τίτλος τοῦ ἑξηκοστοῦ βιβλίου ἐν κεφαλαίῳ ιγ' οὕτω φησὶν. ἐὰν κακῶς μνημονεύσῃ τις τοῦ βασιλέως, οὐχ ὑπόκειται τιμωρίᾳ

* Περὶ μοναχῶν.

* αὐτοῦ.

* κα'.

μωρίᾳ. ἀλλὰ χρὴ τὰ περὶ αὐτοῦ τῷ βασιλεῖ μηνυθῆναι. εἰ γὰρ ἀπὸ κουφότητος ἐξῆλθε, καταφρονητέος. εἰ δὲ ἀπὸ μανίας, ἐλέους ἄξιος. εἰ δὲ ὡς ἀδικούμενος, συγχωρητέος.

Ο' κζ' τῆς δ', καὶ ὁ υβ' τῆς ἐν Τρούλλῳ.

Οἱ γυναῖκας ἁρπάζοντες ἐπὶ συνοικέσια, ἢ συναιρόμενοι, κληρικοὶ μὲν, ἐκπιπτέτωσαν. λαϊκοὶ δὲ, ἀναθεματιζέσθωσαν.

Ο' δ'. τῆς ἐν Τρούλλῳ.

Ὁ νύμφῃ τοῦ χριστοῦ συγγενόμενος, κληρικὸς μὲν, καθαιρείσθω. λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ο' ια'. αὐτῆς.

Ὁ τὰ παρὰ Ἰουδαίων ἄζυμα ἐσθίων, ἢ Ἰουδαίους προσοικειούμενος, ἢ λαμβάνων παρ' αὐτῶν ἰατρείας, ἢ ἐνβαλανείῳ τούτοις συλλουόμενος, κληρικὸς μὲν καθαιρείσθω. λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ο' να' αὐτῆς.

Ὡσαύτως καὶ ὁ ἑαυτὸν ἐκδιδοὺς μίμοις, καὶ θεάτροις, καὶ τοῖς τῶν κυνηγίων θεωρείοις, καὶ ταῖς ἐπίσκηναῖς ὀρχήσεσιν.

ΣΧΟ'ΛΙΟΝ.

Ἐν ταῖς μεγίσταις τῶν πόλεων θηρία ἐτρέφετο, λέοντες, καὶ ἄρκτοι, καὶ κατὰ τινας καιροὺς ἐξήγοντο εἰς τὸ θέατρον. καὶ ποτὲ μὲν ταύροις ἐμάχοντο, ποτὲ δὲ ἀνθρώποις, αἰχμαλώτοις τυχὸν, ἢ κατακρίτοις. καὶ ἦσαν ταῦτα τοῖς θεωμένοις καθ' ἡδονὴν. τοῦτο οὖν ὁ κανὼν ἀπαγορεύει, οὐ τὸ διὰ κυνῶν, ἢ ἄλλως θηρεύειν.

Ο' νς'. αὐτῆς.

Ἔτι δὲ καὶ ὁ τυρὸν, καὶ ὠὰ τοῖς τῆς τεσσαρακοστῆς ἐσθίων σάββασι, καθάπερ οἱ Ἁρμένιοι.

Ο' ν' τῆς αὐτῆς.

Κυβεύων, κληρικὸς μὲν, καθαιρείσθω. λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ο' ξβ' αὐτῆς.

Καλάνδαι, καὶ βοτὰ, καὶ βρουμάλια, καὶ ἡ τῇ πρώτῃ τοῦ Μαΐου πανήγυρις, τῆς τῶν πιστῶν πολιτείας περιαιρείσθωσαν. ἀλλὰ μὴν καὶ γυναίων ὀρχήσεις, καὶ προσωπεῖα κωμικὰ, καὶ σατυρικὰ, καὶ τραγικὰ, καὶ ἡ ἐπὶ ληνοῖς τοῦ Διονύσου, ἐπίκλησις, καὶ ὁ ἐν τοῖς πίθοις γέλως τὴν ἀρχὴν ἐπιχεομένου τοῦ οἴνου. ὁ δὲ τούτοις ἐπιμένων, κληρικὸς μὲν, καθαιρείσθω, λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ο' ξε' αὐτῆς.

Οἱ ἐνταῖς νουμηνίαις πρὸ τῶν ἐργαστηρίων πυρκαϊὰς ἀνάπτοντες καὶ ὑπεραλλόμενοι, κληρικοὶ μὲν καθερείσθωσαν. λαϊκοὶ δὲ, ἀφοριζέσθωσαν.

Ο' ξζ' αὐτῆς.

Ὁ ἐσθίων αἷμα ζώου οἵῳ δήποτε τρόπῳ κληρικὸς μὲν, καθαιρείσθω. λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ο' οζ' αὐτῆς.

Καὶ ὁ γυναιξὶ συλλουόμενος.

Ο' οθ' αὐτῆς.

Οἱ μετὰ τὴν ἑορτὴν τῆς τοῦ χριστοῦ γεννήσεως σεμίδαλιν ἕψοντες, καὶ ταύτης ἀλλήλοις μετιδιδόντες ὡς ἐπιλόχιον, κληρικοὶ μὲν, καθαιρείσθωσαν. λαϊκοὶ δὲ, ἀφοριζέσθωσαν.

Ο' π'. αὐτῆς.

Ὁ ἐπὶ τρισὶν ἑξῆς κυριακαῖς, ἀνάγκης δίχα βαρυτάτης, τῆς ἐκκλησίας ἀπολιμπανόμενος, κληρικὸς μὲν, καθαιρείσθω. λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ο' πς' αὐτῆς.

Ὡσαύτως καὶ ὁ πορνοβοσκῶν ἐπὶ ψυχῶν ὀλέθρῳ.

Ο' πη' αὐτῆς.

Καὶ ὁ κτῆνος εἰς ἱερὸν εἰσάγων, χωρὶς τινὸς καθ' ὁδὸν ἀνάγκης.

Ο' υζ' αὐτῆς.

Ὁ γυναικὶ συνοικῶν, μὴ δ' ἐν τοῖς τοῦ ναοῦ κατοικείτω κατηχουμενείοις. ὁ δὲ παραβαίνων, κληρικὸς μὲν, καθαιρείσθω. λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ο' ιγ'. τῆς ζ'.

Οἱ μοναστήρια κοσμικὰ ποιοῦντες καταγώγια, καὶ μὴ ἀποκαθιστῶντες, κληρικοὶ μὲν, καθαιρείσθωσαν. λαϊκοὶ δὲ, ἀφοριζέσθωσαν.

Ο' ιη'. τῆς, α' καὶ β'.

Ὁ εὐνουχίζων τινὰ, ἢ αὐτοχειρίᾳ, ἢ ἐπιτάγματι, χωρὶς ἀνάγκης νόσου, κληρικὸς μὲν, καθαιρείσθω. λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ο' κζ'. τῆς ἐν Λαοδικείᾳ.

Κληρικὸς, ἢ λαϊκὸς εἰς ἀγάπην κληθεὶς μέρος μὴ αἱρείτω. ὑβρίζει γὰρ τὴν τάξιν. Κληρικοὶ, ἢ λαϊκοὶ ἐξ ἐράνου μὴ συμποσιαζέσθωσαν.

ΤΙ'ΝΕΣ ΕΙ'Σ ΚΑΤΗΓΟΡΙ'ΑΝ.

Κληρικῶν ἄδεκτοι.

ΕΠΙΓΡΑΦΗ' Δ'.

Ο' ρκη'. τῆς ἐν Καρθαγένῃ.

Ἀφωρισμένος εἰς κατηγορίαν κληρικῶν μὴ δεχέσθω.

Ο' ρκθ' αὐτῆς.

Μὴ δὲ δοῦλος, ἢ ἀπελεύθερος, ἢ διαβεβλημένος, ἢ μῖμος, ἢ ἕλλην, ἢ αἱρετικὸς, ἢ Ἰουδαῖος.

Ο' ρλ'. αὐτῆς.

Μὴ δὲ ὁ διάφορα κατηγορήσας αὐτῶν, εἰ εἰς ἐν τούτων ψευδόμενος ἐλεγχθείη.

ΟΙ ΕΧΟΜΕΝΟΙ.

ΕΠΙΓΡΑΦΗ Ε'.

Ο' η', τῆς α'.

Οἱ Καθαροὶ λεγόμενοι, προσερχόμενοι, ὁ μολογήσαντες ὅτι διγάμοις κοινωνήσουσι, καὶ συγχωρήσουσι τοῖς παραπεπτωκόσι, καὶ τοῖς ἄλλοις ἅπασι συνθήσονται δόγμασι τῆς ἐκκλησίας, ἐπὶ τοῦ βαθμοῦ, καὶ τῆς ἀξίας τῆς ἱερωσύνης αὐτῶν ἕκαστος μενέτω. εἰ μὴ κατὰ πόλιν εἶεν, ἐν ᾗ κλῆρος εὑρίσκεται, καὶ ἐπίσκοπος. ἐκεῖ γὰρ ὁ μὲν κυρίως ἐπίσκοπος τὸ ἴδιον ἕξει ἀξίωμα. ὁ δὲ παρ' αὐτοῖς ἐπίσκοπος, ὡς πρεσβύτερος ἔσται. εἰ μὴ πουδόξει τῷ ἐπισκόπῳ καὶ τὴν τιμὴν τοῦ ὀνόματος αὐτὸν ἔχειν, ἢ καὶ χωρεπίσκοπον παρ' αὐτοῦ γεγονέναι, ἵνα μὴ ἐν τῇ πόλει δύο ὦσιν ἐπίσκοποι.

Ο' ξη'. τῆς ἐν Καρθαγένῃ.

Οἱ ὑπὸ Δονατιστῶν χειροτονηθέντες, ἐπιστρέφοντες, ἐν ταῖς οἰκείαις τιμαῖς δεχέσθωσαν.

Ο' ξθ'. αὐτῆς.

Οἱ Δονατισταὶ ἐπιστρέφοντες, τοὺς ἰδίους ἐχέτωσαν ἐπισκόπους. καὶ ὅσοι τῶν Δονατιστῶν ἐπισκόπων τοὺς ὑπ' αὐτοὺς λαοὺς προσάγάγωσιν, ἔστωσαν τούτων ἐπίσκοποι.

Ο' ριζ'. ταύτης.

Οἱ Δονατισταὶ ἐπιστρέφοντες, ἐκείνῳ τῷ θρόνῳ λογιζέσθωσαν, ᾧ καὶ ἡ ἔκπαλαι ἐκεῖ καθολικὴ.

ΤΜΗΜΑ Δ'.

ΠΕΡΙ ΜΟΝΑΧΩΝ ΚΑΙ ΜΟΝΑΣΤΗΡΙΩΝ.

Πότε, καὶ πῶς ὁ μονάσων μονάσει.

ΕΠΙΓΡΑΦΗ Δ'.

Ο' μ'. τῆς ἐν Τρούλλῳ.

Δεκαέτης τὶς μοναζέτω, εἰ καὶ τῷ τῆς χώρας ἐπισκόπῳ ἄξιος τούτου τότε δοκεῖ.

ΣΧΟΛΙΟΝ.

Ὁ μὲν ιη' κανὼν τοῦ Μεγάλου Βασιλείου ὑπὲρ τὰ ιϛ', ἢ καὶ τὰ ιζ' ἔτη λέγει ὀφείλειν τὴν εἶναι προσάγουσαν ἑαυτὴν τῷ κυρίῳ, καὶ ἀποτασσομένην τῷ γάμῳ. ὁ δὲ παρὼν κανὼν ἐλαττοῖ τὸν χρόνον, διὰ τὸ τὴν ἐκκλησίαν χάριτι θείᾳ κραταιοτέραν ὁρᾶν, καὶ ἐπὶ τὰ πρόσω βαίνουσαν, καὶ προκόπτουσαν; ζήτει εἰς τὸ περὶ γυναικῶν, Κεφ. ιγ'.

Ο' ε'. τῆς α' καὶ β'.

Μηδεὶς τοῦ μοναχικοῦ καταξιούσθω σχήματος, πρὶν ἢ τριετίαν δοκιμασθεὶς, ἄξιος φανῇ. εἰ μὴ που βαρεῖα τὶς νόσος τὸν χρόνον συστείλειεν, ἢ ἀνὴρ εὐλαβὴς εἴη, καὶ κατὰ μοναχοὺς ἐν τῷ κόσμῳ ζῶν. ἐπὶ τούτου γὰρ, καὶ ἑξαμηνιαῖος χρόνος ἀρκεῖ. εἰ δὲ παρὰ τοῦτο γένηται, ὁ μὲν προϊστάμενος, τῆς ἀρχῆς ἐκπιπτέτω. ὁ δὲ ἀποκαρεὶς, ἑτέρᾳ διδόσθω μονῇ.

Ο' ϛ'. ταύτης.

Ὁ μονάσαι βουλόμενος, περὶ τῶν ἑαυτοῦ πρότερον διατιθέσθω. μετὰ γὰρ τὸ μονάσαι, τῶν αὐτοῦ πάντων κυριεύσει τὸ μοναστήριον. εἰ δὲ τις μοναχὸς φωραθείη ἐκτῶν αὐτοῦ τὶ παρυποκρατήσας, αὐτὸς μὲν προσηκόντως ἐπιτιμάσθω. ἐκεῖνο δὲ παρὰ τοῦ προεστῶτος, ἢ τοῦ ἐπισκόπου πιπρασκόμενον, πτωχοῖς, καὶ ἀπόροις διανεμέσθω.

ΣΧΟΛΙΟΝ.

Ἡ δὲ ριγ' νεαρὰ ἡ κειμένη ἐν βιβλίῳ τῶν Βασιλικῶν, τίτλῳ α' καὶ διατίθεσθαι αὐτὸν δίδωσι μετὰ τὸ μονάσαι. καὶ ἀδιάθετον ἀποθανόν α νομίμως παρὰ τῶν παίδων κληρονομεῖσθαι.

Ο' μγ'. τῆς ἐν Τρούλλῳ.

Ἐξέστω παντὶ βουλομένῳ, καὶ ταμάλιστα ἁμαρτόντι, τὴν βιωτικὴν ζάλην διὰ αφυγεῖν, καὶ ἐν μοναστηρίῳ μονάσαι.

Ο' ρη', τῆς ἐν Καρθαγένῃ.

Καὶ ἕκαστος ἐλευθέρως τὴν ἄσκησιν ἀναδεχέσθω.

Ο' δ'. ταύτης.

Δοῦλος παρὰ γνώμην τοῦ δεσπότου, μοναστηρίῳ μὴ δεχέσθω. ὁ δὲ παρὰ ταῦτα ποιῶν, ἀκοινώνητος.

Ο' β' τῆς α' καὶ β'.

Εἴτις φωραθείη τινὰ ποιῶν μοναχὸν, χωρὶς παρουσίας τοῦ εἰς ὑποταγὴν αὐτὸν παληψομένου, αὐτὸς μὲν καθαιρείσθω. ὁ δὲ ἀποκαρεὶς, εἰς μοναστήριον ἐν ὑποταγῇ διδόσθω παρὰ τοῦ ἐπισκόπου.

Ο' ιθ'. τοῦ Μεγάλου Βασιλείου.

Ὁ ἀποτασσόμενος, περὶ ἀγαμίας ἐρωτάσθω. καὶ ὁ μολογήσας, εἰ παραβαίῃ, ὡς πόρνος ἐπιτιμάσθω.

Ο' κϛ', τῆς ἐν Καρθαγένῃ.

Ὃς δι' ἀνάγκην, καὶ πρὸ τῶν εἰκοσιπέντε ἐτῶν παρθένον τὸ μοναχικὸν, ἢ ἐνέδυσεν, ἢ ἐν δύσει σχῆμα, ἀνέγκλητος.

Ο' κε', τῆς ἐν Τρούλλῳ.

Μὴ στολαῖς λαμπραῖς οἱ γονεῖς τὰς μελλούσας μονάζειν εἰς τὸ μοναστήριον ἀγαγέτωσαν. ἀνάμνησιν γὰρ τοῦτο τοῦ ῥέοντος κόσμου ποιεῖ.

****** ΤΙΝΑ

ΤΙ'ΝΑ ΔΕΓ ΠΟΙΕΓΝ ΤΟΥ'Σ

Μοναχοὺς, καὶ τίνα μὴ ποιεῖν.

Ε'ΠΙΓΡΑΦΗ' Β'.

Ο' δ'. τῆς δ'.

Οἱ μοναχοὶ τῷ ἐπισκόπῳ ὑποταττέσθωσαν, καὶ καθ' ἡσυχίαν μενέτωσαν. μήτ' ἐκκλησιαστικοῖς, μήτε βιωτικοῖς πράγμασι παρενοχλοῦντες. εἰ μήπου δι' ἀνάγκην ὁ ἐπίσκοπος ἐπιτρέψει. ὁ δὲ παρὰ ταῦτα ποιῶν, ἀκοινώνητος.

Ο' ιϛ'. ταύτης.

Μονάζοντες, ἢ μονάζουσαι, εἰ γαμήσειαν, ἔστωσαν ἀκοινώνητοι.

Ο' μδ'. τῆς ἐν Τρούλλῳ.

Πορνεύσας μοναχὸς, ἢ γυναῖκα ἀγόμενος, ὡς πόρνος λογιζέσθω.

Ο' ϛ'. τοῦ Μεγάλου Βασιλείου.

Η' τῶν κανονικῶν πορνεία, εἰς γάμον μὴ λογιζέσθω. ἀλλὰ παντὶ τρόπῳ διασπάσθω αὐτῶν ἡ συνάφεια.

Ο' μϛ', τῆς ἐν Τρούλλῳ.

Αἱ μονάζουσαι τῆς μονῆς μὴ ἐξερχέσθωσαν, εἰ μήπουτὶς ἀνάγκη κατεπείγει. καὶ τότε, γνώμῃ τῆς προεστώσης, καὶ μετὰ πρεσβυτίδων. ἐξώκοιτος δὲ μήγινέσθω. καὶ μονάζοντες μετ' εὐλογίας τοῦ προεστῶτος προΐτωσαν. οἱ δὲ μὴ οὕτως, ἐπιτιμάσθωσαν.

Ο' μζ'. ταύτης καὶ ὁ κ' τῆς ζ'.

Μονάζων ἐν γυναικείᾳ καθεύδων μονῇ, ἢ μονάζουσα ἐν ἀνδρώᾳ εἴτε κληρικὸς, ἢ λαϊκὸς ἀφοριζέσθω.

Ο' η' τῆς ζ.

Μήδὲ ἐν ἐπισκοπείοις, ἢ μοναστηρίοις γυναῖκες ἐνδιετάσθωσαν. εἰ δὲ τις ἐπίσκοπος, ἢ ἡγούμενος δούλῃ, ἢ ἐλευθέρᾳ εἰς διακονίαν χρῷτο, ἐπιτιμάσθω. ἐπιμένων δὲ, καθαιρείσθω. ἔνθα δὲ ἐπίσκοπος, ἢ ἡγούμενος καθ' ὁδὸν, κατὰ λύσει, αἱ γυναῖκες ἐκείνου παρόντος ἀναχωρείτωσαν.

Ο' κα' τῆς ζ', ὁ ιη' τῆς ἐν Καρθαγένῃ, καὶ ὁ ιδ' τῆς ἐν Τρούλλῳ.

Κληρικοὶ, ἢ μονάζοντες συνομνύμενοι, ἢ φατριάζοντες, ἤτι κατ' ἐπισκόπου, ἢ συγκληρικοῦ τυρεύοντες, τοῦ οἰκείου βαθμοῦ παντάπασιν ἐκπιπτέτωσαν.

Ο' κγ'. ταύτης.

Οἱ παρὰ γνώμην τοῦ σφῶν ἐπισκόπου κληρικοὶ, ἢ μονάζοντες τῇ Κωνσταντίνου ἐν διατρίβοντες, καὶ ἄκοντες ἐλαυνέσθωσαν, ὡς ταράκται τῶν ἐκκλησιαστικῶν κατεστάσεων.

Ο' κδ' τῆς α' καὶ β', καὶ νδ' τῆς ἐν Λαοδικείᾳ.

Κληρικὸς, ἢ μονάζων ἐν ἱπποδρόμοις, ἢ θυμελικοῖς παιγνίοις παρουσιάζων, ἢ κἂν ἐν γάμῳ κληθείη, τῆς τῶν παιγνίων παρουσίας μὴ προεξερχόμενος, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

Ο' δ'. τῆς ζ'.

Ο' μὴ χειροθεσίας τυχὼν, εἰ καὶ μοναχὸς εἴη τὰς ἱερὰς ἐπ' ἄμβωνος βίβλους μὴ ἀναγινωσκέτω. χειροθετείτω δὲ ἀναγνώστας καὶ ἡγούμενος ἐν τῷ ἰδίῳ μοναστηρίῳ, εἰ ἱερωμένος εἴη, καὶ παρ' ἐπισκόπου χειροθεσίαν ἔχει. καὶ χωρεπίσκοπος, κατ' ἐπιτροπὴν ἐπισκόπου.

Ο' κα' τῆς αὐτῆς.

Μοναχὸς τὴν ἰδίαν καταλιμπάνων μονὴν, καὶ εἰς ἑτέραν ἀπερχόμενος, ξενοδοχείσθω μὲν. μὴ δεχέσθω δὲ παρὰ γνώμην τοῦ προεστῶτος αὐτοῦ.

Ο' οδ'. τῆς ἐν Καρθαγένῃ.

Εἴτις μοναχὸς τῆς ἰδίας ἀποδράσας μονῆς, εἰς ἕτερον μοναστήριον μεταπέσει, ἢ εἰς κοσμικὸν εἰσκωμάσει καταγώγιον, ἀφοριζέσθω μετὰ τοῦ ὑποδεξαμένου, ἕως ἂν εἰς τὴν ἰδίαν ἐπανέλθοι μονὴν. ὁ δὲ παρ' ἐπισκόπου ὁπουδήποτε καταστὰς, οὐχ ὑπόδικος.

Ο' α'. τοῦ πατριάρχου Νικολάου.

Οἱ μοναχοὶ διὰ τὸ σχῆμα εἰς τὸ θυσιαστήριον εἰσίτωσαν, ὑφάψεως χάριν κηροῦ, καὶ κανδήλας. ἐπ' ἄμβωνος δὲ, δίχα χειροθεσίας, μὴ ἀναγινωσκέτωσαν.

Ο' ιδ' τοῦ πατριάρχου, Νικηφόρου.

Δεῖ τὰς μοναζούσας εἰσιέναι εἰς τὸ ἅγιον θυσιαστήριον, καὶ ἅπτειν κηρὸν, καὶ κανδήλας, καὶ κοσμεῖν τὸν ναὸν. κατὰ περίσασιν καὶ μοναχὸς λιτὸς βαπτίζει. ὡσαύτως καὶ διάκονος. καὶ λαϊκὸς δὲ ἐὰν εὑρεθῇ εἰς τόπον, μὴ ὄντος ἱερέως.

Ο' δ' τοῦ πατριάρχου Νικολάου.

Ο' μοναχὸς διάπροφανῆ ψυχικὸν κίνδυνον παρὰ τοῦ προεστῶτος εἰργόμενος, παρὰ γνώμην αὐτοῦ τῆς μονῆς μὴ ἐξερχέσθω.

Ο' γ'. τῆς α', καὶ β'.

Ἡγούμενος, τοὺς ὑπ' αὐτὸν μοναχοὺς ἀποδιδράσκοντας εἰ μὴ ἐπιμελῶς ἀναζητοίη, ἢ εὑρίσκων οὐκ ἀναλαμβάνει, καὶ προσηκόντως θεραπεύει, ἀφοριζέσθω.

Ο' π' τῆς ἐν Καρθαγένῃ.

Ο' ἐξ ἑτέρας μονῆς μοναχὸν δεξάμενος, καὶ ἢ κληρικὸν αὐτὸν ἡγούμενος, ἢ ἡγούμενον, ἐν τῇ ἰδίᾳ καταστήσει μονῇ ἀκοινώνητος. τῆς πράξεως ἀκυρωθείσης.

Ο' κη'

Ο' κη'. τῆς ἐν Τρούλλῳ.

Ἐπίσκοπος ἐκ ποιῶν τὶ τῶν αὐτουργίων τῆς ἐπισκοπῆς, καὶ μάλιστα ἄρχουσιν, ἐκδιωκέσθω. καὶ ἡ πρᾶσις ἄκυρος μενέτω. κατὰ ταῦτα δὲ, καὶ ἐπὶ τῶν ἡγουμένων.

Ο' μα'. τῆς ἐν Τρούλλῳ.

Ὁ ἐγκλεισθησόμενος, τριετίαν πρότερον διαβιβάσας, ἐν μοναστηρίῳ ὑποτασσόμενος, καὶ ἐνιαυτὸν ἔξω τῆς ἐγκλείστρας προσκαρτερήσας, οὕτω γνώμῃ τοῦ προέδρου τῆς χώρας ἐγκλειέσθω. κἀκεῖθεν μὴ ἐξερχέσθω, εἰ μὴ θάνατος ἀναγκάζει, ἢ κοινὴ λυσιτέλεια, γνώμῃ τοῦ προέδρου τότε.

Ο' κβ' ταύτης.

Οἱ ἐρημῖται λεγόμενοι, κατὰ πόλιν διάγοντες, εἰ μὴ κατὰ μοναχοὺς κειράμενοι, ἐν μοναστηρίῳ τελοῦσι, τῆς πόλεως ἐλαυνέσθωσαν.

Ο' μη'. ταύτης.

Ἡ διαζευχθεῖσα κατὰ κοινὴν συμφωνίαν τοῦ ἐπισκοπὴν ἀναδεξαμένου γυνὴ, μετὰ τὴν ἐκείνου χειροτονίαν μοναζέτω, πόρρω τῆς τοῦ ἐπισκόπου καταγωγῆς. καὶ τῆς παρ' αὐτοῦ προνοίας ἀπολαυέτω.

Ο' κβ' τῆς ζ'.

Λαϊκοὶ μὲν γυναιξὶν εὐχαρίστως, καὶ χωρὶς παιγνίων συνεσθιέτωσαν, μονάζοντες δὲ, ἢ ἱερωμένοι κατ' ἰδίαν γυναιξὶ μὴ δὲ συγγενέσει συνεσθιέτωσαν. εἰ μὴ που μετὰ θεοφόρων, καὶ εὐλαβῶν ἀνδρῶντε, καὶ γυναικῶν.

ΣΧΟΛΙΟΝ.

Ἡ τοῦ χαρτοφύλακος τῆς μεγάλης ἐκκλησίας κυρίου πέτρου διάλεξις, ἀνένδεκτὸν φησι, μοναχὸν δέχεσθαι παιδία ἀπὸ τοῦ ἁγίου βαπτίσματος, καὶ κρατεῖν στεφάνους γάμων, καὶ ἀδελφοποιΐας ποιεῖν.

ΠΕΡΙ ΜΟΝΑΣΤΗΡΙΩΝ.

ΕΠΙΓΡΑΦΗ Γ'.

Ο' δ' τῆς δ'.

Μηδεὶς μηδαμοῦ ναὸν συνιστάσθω, ἄνευ γνώμης τοῦ ἐπισκόπου.

Ο' κς'. τῆς δ'.

Οἰκονόμος ἑκάστῃ τῶν ἐκκλησιῶν ἀπὸ τοῦ κλήρου γινέσθω. ὁ δὲ τούτου καταφρονῶν ἐπίσκοπος, ἐπιτιμηθήσεται. τοῦ μητροπολίτου δὲ μὴ ποιοῦντος οἰκονόμον ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ, ὁ πατριάρχης ποιείτω. καὶ τοῦ ἐπισκόπου μὴ ποιοῦντος, ὁ μητροπολίτης. κατὰ ταυτὰ δὲ καὶ ἐπὶ τῶν μοναστηρίων.

Ο' κδ' τῆς δ', καὶ ὁ μθ'. τῆς ἐν Τρούλλῳ.

Τὰ κατὰ γνώμην ἐπισκόπου καθιερωθέντα μοναστήρια, μενέτω ἀκίνητα εἰς τὸ διηνεκὲς μοναστήρια, καὶ φυλαττέσθω τὰ τούτοις ἀνήκοντα, καὶ κοσμικὰ μὴ γινέσθω καταγώγια. ὁ δ' ἄλλως ποιῶν ἐπιτιμάσθω.

Ο' ιζ' τῆς ζ'.

Ὁβουλόμενος κτίσαι μοναστήριον, εἰ μὴ τὰ πρὸς ἀπαρτισμὸν ἔχει, κωλυέσθω παρὰ τοῦ ἐπισκόπου.

Ο' ιθ'. ταύτης.

Ὁ διὰ * χρυσίου δεχόμενος τοὺς προσερχομένους ἱερατικῷ, ἢ μονήρειβίῳ, ἐπίσκοπος μὲν, ἢ ἡγούμενος, ἢ ὅλως τοῦ ἱερατικοῦ, εἰ μὴ παύοιτο, καθαιρείσθω. ἡγούμενοι δὲ, ἐκδιωχθήτω, καὶ πρὸς ὑποταγὴν ἑτέρῳ μοναστηρίῳ δοθήτω. ὡσαύτως δὲ καὶ ἡγούμενος, εἰ μὴ πρεσβύτερος εἴη. τὰ δὲ παρὰ τῶν προσιόντων τοῖς μοναστηρίοις, ἀφιερούμενα, ἔστωσαν τοῖς μοναστηρίοις, κἂν τε μένοιεν ἐν αὐτοῖς οἱ ἀφιερώσαντες, κἂν τε μὴ. εἰ μὴ αἰτία εἴη τοῦ προεστῶτος.

* χρυσίον.

Ο' κ' τῆς ζ'.

Διπλᾶ μοναστήρια μὴ γινέσθω, μὴ δὲ διαιτάσθωσαν ἅμα μοναχοὶ, καὶ μονάζουσαι, μὴ δὲ ἰδίᾳ προσομιλείτωσαν, μὴ δὲ κοιταζέτω μοναχὸς ἐν γυναικείῳ μοναστήρῳ, μήδε συνεσθίετω καταμόνας μοναζούσῃ. ἀλλὰ καὶ εἴτι ταύτῃ κομίσει ποτὲ, ἔξω μενωνδιδότω. καὶ τὴν συγγενῆ παρουσίᾳ τῆς προεστώσης θεάσθω τὲ, καὶ βραχέα ταύτῃ προσομιλείτω.

ΤΜΗΜΑ Ε'.

ΠΕΡΙ ΛΑΙΚΩΝ.

Περὶ τῶν φωτιζομένων, καὶ τίνες φωτίζονται.

ΕΠΙΓΡΑΦΗ Α'.

Ο' ζ' τῆς β', καὶ ὁ ζ' τῆς ἐν Λαοδικείᾳ.

Ἀρειανοὶ, μακεδονιανοὶ, σαββατιανοὶ, ναυατιανοὶ, τεσσαρεσκαιδεκατῖται, τετραδῖται, καὶ ἀπολιναριασταὶ προσερχόμενοι, τῷ ἁγίῳ μόνον μύρῳ χριέσθωσαν, τὰς αἱρέσεις ἐγγράφως πρότερον ἀναθεματίσαντες. οἱ δὲ τῶν λοιπῶν αἱρέσεων, ὡς ἕλληνες δεχέσθωσαν, καὶ κατηχούμενοι, βαπτιζέσθωσαν.

ΣΧΟΛΙΟΝ.

Οἱ τῶν ἀγαρηνῶν παῖδες βαπτιζόμενοι παρὰ ὀρθοδόξων ἱερέων ἀκόντων, οὐκ εὐσεβεῖ διανοίᾳ τῶν προσαγόντων αὐτοὺς, ἀλλ' ὡς φαρμακείᾳ, ἢ ἐπαοιδίᾳ χρωμένων εἰ προσέλθοιεν ἀληθῶς τῇ πίστει, ἀναβαπτίζονται. ταῦτα γὰρ συνοδικῶς ἀπεφάνθη, ὡς ὁ Βαλσαμὼν λέγει.

Ο' ιθ'

Ο' ιθ' τῆς α'.

Οἱ Παυλιανισαὶ ἀναβαπτιζέσθωσαν, καὶ εἰ ἄμεμπτοι, καὶ ἄυθις χειροτονείσθωσαν, εἰ καὶ φρονιχειροπόνηνται. εἰδὲ ἀνάξιοι, καθαιρείσθωσαν.

Ο' η'. τῆς ἐν Λαοδικείᾳ.

Οἱ ἐκ τῆς τῶν Φρυγῶν αἱρέσεως, ἐπιστρέφοντες, ἀναβαπτιζέσθωσαν. εἰ καὶ παρ' ἐκείνοις κεκλήρωνται.

Ο' α' τῦ Μεγάλυ Βασιλείυ.

Ἄδεκτον τὸ τῶν αἱρετικῶν βάπτισμα, δεκτὸν τὸ τῶν ἀποσχίσων, καὶ παρασυναγώγων.

Ο' μζ' αὐτῦ.

Οἱ ναυατιανοὶ, εἰ πλειόνων ἐπισκόπων δόξει κρίσει, ἀναβαπτιζέσθωσαν.

Ο' η' τῆς ζ'.

Ἑβραῖοι μὴ δεχέσθωσαν, εἰ μὴ φαίνοιντο ἐξ εἰλικρινῦς πίστεως ἐπιστρέφοντες.

Ο' με'. τῆς ἐν Λαοδικείᾳ.

Οὐ δεῖ τὺς μετὰ δύο τῆς πεντηκοστῆς ἑβδομάδας καπνχυμένυς, τῷ μεγάλῳ σαββάτῳ δέχεσθαι εἰς τὸ φώτισμα.

Ο' η'. τῆς ἐν Τρύλλῳ.

Ο' φωτιζόμενος, τλὼ πίστιν ἐκ μανθανέτω.

Ο' με τῆς ἐν Λαοδικείᾳ.

Καὶ τῇ πέμπτῃ τῆς * ἑβδομάδος ταύτλυ ἀπαγγελλέτω.

* μεγάλης ἑβδομ.

Ο' μη'. ταύτης.

Οἱ φωτιζόμενοι, μετὰ τὸ βάπτισμα χριέσθωσαν ἐπουρανίῳ χρίσματι.

Ο' μζ' τῶυτης.

Οἱ ἐν νόσῳ βαπτιζόμενοι, ἀνισάμενοι, τλὼ πίστιν ἐκμανθανέτωσαν.

Ο' πδ' τῆς ἐν Τρύλλῳ, καὶ Ο' ζ' τῆς ἐν Καρθαγένῃ.

Τὰ μὴ γινώσκοντα νήπια, μὴ δὲ μαρτυρόμενα βαπτισθῆναι, βαπτιζέσθωσαν.

τῷ παξιάρχῃ Νικηφόρῳ.

Χρὴ τὰ ἀβάπτιστα νήπια, ἐὰν εὑρεθῇ τὶς, εἰς τόπον μὴ ὄντος ἱερέως, βαπτίσαι. εἰ βαπτίσει δὲ καὶ ὁ ἴδιος πατὴρ, ἢ οἱοσδήποτε ἄνθρωπος χριστιανὸς, οὐκ ἔστιν ἁμαρτία.

Σ Χ Ο Ὑ Λ Ι Ο Ν.

Τὸ νοσῶν παιδίον, ἐνδίδοται, καὶ παραυτίκα βαπτίζεσθαι ὑγιαῖνον δὲ, μὴ μ' ἡμέρας τῆς αὐτῦ γενέσεως. ὁ μακάριος δὲ Ἰωάννης ὕτω φησὶ, τῷ νόσῳ κρατηθὼ, καὶ προσεγγίσαν ἤδηθανὰ τῳ παιδίον, εἰ διὰ τῆς ζωτῆς μόνον καταδύσεως ὁ ἱερεὺς, φόβῳ τῦ μὴ προαναπαυθῆναι πλειώσει, ὑγιεία τύτῳ μεπέπεπα καὶ τὰς ἁμαρτίας, ἃς καταλέλοιπε, καὶ τὰς ἀφορισμὰς ἀναπληρῶσαι.

Ο' με τῆς ἐν Καρθαγένῃ.

Ο' δι' ἀθένειαν ὑπὲρ ἑαυτῦ μὴ δυνάμενος ἀποκρίνεσθε, τότε βαπτιζέσθω, ὅτε τλὼ οἰκείων εἰς τῦτο δείξει προαίρεσιν.

Ο' α'. Τιμοθέυ Ἀλεξανδρείας.

Κατηχύμενος εἰ ἀγνοῶν μεταλάβοι, φωτιζέσθω. παρὰ θεῦ γὰρ κέκληται.

Ο' δ' τύτυ.

Δαιμονῶν κατηχύμενος, εἰ μὴ τῦ δαίμονος καθαρθῇ, ὐ βαπτίζεται. πλὼ εἰ ἐξοδεύει.

Ο' δ' τύτυ.

Κατηχύμενος ἀθενείᾳ ῥωμένος ἔκφρων, βαπτιζέσθω, εἰ μὴ δαιμονᾷ.

ΤΙΝΑ ΔΕΙ ΤΟΥΣ ΛΑΙΚΟΥΣ ποιεῖν, καὶ τίνα μὴ ποιεῖν.

Ε'ΠΙΓΡΑΦΗ' Β'.

Ο' θ', τῶν Α'ποστόλων.

Ο' τῇ εὐχῇ, καὶ τῇ μεπάληψει μὴ παραμένων, ἀφοριζέσθω.

Ο' ι' αὐτῶν.

Ὁμοίως καὶ ὁ συνδυχόμενος ἀκοινωνήτῳ.

Ο' κδ', αὐτῶν.

Λαϊκὸς ἑαυτὸν ἀκροτηριάσας, ἢ τι ξύλα ἀφορυζέσθω.

Ο' μη'. αὐτῶν.

Λαϊκὸς εἰ τλὼ οἰκείαν ἐκβαλὼν γυναῖκα, ἄλλω ἀγάγηται, ἢ ἀπολελυμένῳ, ἀφοριζέσθω.

Ο' οα' αὐτῶν.

Ο' εἰς ἱερὸν ἐθνῶν, ἢ συναγωγλὼ Ἰουδαίων προσευχῶν ἔλαιον, ἀφοριζέσθω.

Ο' οβ', αὐτῷ.

Ὡσαύτως καὶ ὁ κηρὸν, ἢ ἔλαιον ἀπὸ τῆς ἐκκλησίας συλῶν.

Ο' οη'. αὐτῶν.

Καὶ ὁ τὰ ἱερὰ σκεύη εἰς χρῆσιν σφετεριζόμενος.

Ο' νη'. τῆς ἐν Τρύλλῳ.

Λαϊκὸς πρεσβυτέρυ παρόντος, ἢ διακόνυ, εἰ μὴ θείων ἑαυτῷ μυστηίων μεταδῶ, ἑβδομάδα μίαν ἀφοριζέσθω.

Ο' ξδ' ταύτης.

Λαϊκὸς δημοσίᾳ περὶ πίστεως διδάσκων, ἢ μέρας τεσσαράκοντα, ἀφοριζέσθω.

Ο' ξη'. ταύτης.

Ο' τὰ θεῖα βιβλία φθείρων καθ' οἱονδήτινα τρό-

τρόπον, ἢ κατατέμνων, ἐνιαυτὸν ἀφοριζέσθω.

Ο' ξθ' ταύτης.

Ἄνευ βασιλέως, μὴ τις εἰς τὸ ἱλαστήριον εἰσερχέσθω.

Ο' οα' ταύτης.

Ὁ τοὺς πολιτικοὺς μετιὼν νόμους, εἰ ἑλληνικοῖς ἔθεσιν ἐντε στολαῖς, καὶ τοῖς ἄλλοις ἅπασι χρῶτο, ἀφοριζέσθω.

Ο' οβ' ταύτης, καὶ ὁ ι' τῆς ἐν Λαοδικείᾳ.

Πιστὸς ἑτεροδόξῳ γυναικὶ συναφθεὶς, χωριζέσθω. ἐπιμένων δὲ, ἀφοριζέσθω. ἀπίστων δὲ ὁμοζύγων, εἰ ὁ ἕτερος αὐτῶν πιστεύσειε, καὶ συνευδοκεῖ τῷ πιστῷ συνοικεῖν ὁ ἄπιστος, μὴ χωριζέσθωσαν, κατὰ τὴν τοῦ πάυλου φωνὴν.

ΣΧΟΛΙΟΝ.

Ἐπὶ τοῦ πατριάρχου Θεοδοσίου βικινάτωρ βασιλικὸς βαπτισθεὶς, πατριαρχικῷ γράμματι διεζύγη τῆς γυναικὸς, μὴ πειθομένης τῷ ἀνδρὶ, πολλὰ παρακαλοῦντι τὰ τῆς εὐσεβείας ἑλέσθαι. ὅπερ ἐστὶν ἐναντίον τῷ κανόνι τούτῳ.

Ο' λα' τῆς ἐν Καρθαγένη.

Μὴ δὲ αἱρετικοῖς εἰς συνάφειαν τέκνα πιστοὶ διδότωσαν. λαμβανέτωσαν δὲ, χριστιανίσειν ἐπαγγελλόμενα.

Ο' ογ' τῆς ἐν Τρούλλῳ.

Ὁ ἐν ἐδάφει σταυρὸς ἀφανιζέσθω, καὶ ὁ ἐπ' ἐδάφους αὐτὸν χαράττων, ἀφοριζέσθω.

Ο' πβ'. αὐτῆς.

Ἀμνὸς εἰς τύπον χριστοῦ μὴ χαραττέσθω, ὡς ἐν ταῖς παλαιαῖς τῶν εἰκόνων εὕρηται. ἀλλ' αὐτὸς ὁ χριστὸς, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα.

Ο' πε' ταύτης.

Ἐπὶ τρισὶ μάρτυσι δοῦλος ἐλευθερούσθω.

Ο' ρ'. ταύτης.

Ὁ γραφὰς αἰσχρὰς εἴτε ἐν πίνακι, εἴτε καὶ ἄλλως πως γράφων, ἀφοριζέσθω.

Ο' ρα'. ταύτης.

Ὁ τοῦ ἀχράντου μεταληψόμενος δεσποτικοῦ σώματος, εἰ μὴ τὰς χεῖρας ἐκτείνων, καὶ σταυροειδῶς σχηματίζων, ἐν αὐταῖς δέχοιτο, ἀλλὰ τινι δοχείῳ ἀφοριζέσθω σὴν τῷ μεταδιδόντι.

ΣΧΟΛΙΟΝ.

Εὐλαβούμενοι τινὲς δῆθεν διὰ τῶν χειρῶν τὴν ἀναφορὰν δέξασθαι, σκεύη χρυσᾶ κατεσκεύαζον, ἢ ἀργρᾶ, καὶ διὰ τούτων ἐδέχοντο. τοῦτο οὖν ἀναιρεῖ, τιμιώτατον πάντων λέγων τὸν ἄνθρωπον εἶναι.

Ο' β'. τῆς ἐν Ἀντιοχείᾳ.

Ὁ εἰς ἐκκλησίαν εἰσιὼν, καὶ τῶν ἱερῶν ἀκούων γραφῶν, μὴ μέντοι κοινωνῶν τῷ λαῷ τῆς εὐχῆς, τῆς μεταλήψεως, ἀπόβλητος γενέσθω. ἕως μετάνοιαν δείξας, καθικετεύσει συγγνώμης τυχεῖν. καὶ ὁ ἀκοινωνήτῳ κοινωνῶν, ἀκοινώνητος.

Ο' οδ' τῆς ἐν Τρούλλῳ. καὶ ὁ κη' τῆς ἐν Λαοδικείᾳ.

Οὐδεῖ ἐν * τοῖς κυριακοῖς συνεσθίειν, καὶ ἀκούβιτα στρωννύειν. ὁ δὲ ποιῶν, ἢ παυσάσθω, ἢ ἀφοριζέσθω.

* ἤγουν ταῖς ἐκκλησίαις.

ΣΧΟΛΙΟΝ.

Ἀκούβιτα, στρωμιὰς μεγάλας λέγει, κατὰ Λατίνους.

Ο' μβ'. τῆς ἐν Καρθαγένῃ.

Καὶ ἐν τοῖς κυριακοῖς, εἰ μὴ δι' ἐνόδιον ἀνάγκην, μὴ τινες συμποσιαζέσθωσαν.

Ο' οσ'. τῆς ἐν Τρούλλῳ.

Οὐ δεῖ ἐν ναοῦ περιβόλοις καπηλεῖον, ἢ τὰ διὰ βρωμάτων εἴδη προτιθέναι, ἢ ἑτέρας πράσεις ποιεῖσθαι. ὁ δὲ παραβαίνων, ἀφοριζέσθω.

Ο' υδ'. ταύτης.

Ὁ ἑλληνικοὺς ὅρκους ὀμνύων, ἀφοριζέσθω.

Ο' υσ'. ταύτης.

Οἱ τὰς κόμας εὐθετίζοντες πρὸς τὴν τῶν ὁρώντων λύμην, ἀφοριζέσθωσαν.

τῆς ἐν τῇ ἁγίᾳ Σοφίᾳ.

Λαϊκὸς ἐπίσκοπον φυλακίσας, ἢ τύψας, ἢ χωρὶς αἰτίας, ἢ καὶ συμπλασάμενος, ἀνάθεμα ἔστω.

Ο' θ' τῆς ἐν Λαοδικείᾳ.

Ὁ κοιμητηρίοις, ἢ μαρτυρίοις αἱρετικῶν ἐπελθὼν, εὐχῆς, ἢ θεραπείας ἕνεκεν, ἀκοινώνητος ἔστω. μετανοήσας δὲ, δεχέσθω.

Ο' λζ' ταύτης.

Ἰουδαίοις, ἢ αἱρετικοῖς οὐ συνεορταστέον.

Ο' λη'. ταύτης.

Οὐ δὲ τὰ παρ' αὐτῶν ἄζυμα δεκτέον.

Ο' λγ' ταύτης.

Αἱρετικῷ, ἢ σχισματικῷ μηδεὶς συνευχέσθω.

Ο' λθ'. ταύτης.

Οὐδὲ τοῖς ἔθνεσι συνεορταστέον.

Ο' νγ' ταύτης.

Πιστὸν ἐν γάμοις βαλίζειν, ἢ ὀρχεῖσθαι οὐ δεῖ.

Ο' λ'. τῆς ἐν Καρθαγένῃ.

Κατηγορῶν, ἢ κατηγορούμενος, βίαν φοβούμενος, τόπον ἕτερον ἐπιλεξάσθω κριθῆναι.

Ο' μη' ταύτης.

Ὁ τῇ ἐκκλησίᾳ μὴ πειθόμενος ἀρχοντικῶς παιδευέσθω.

****

Ο' ζ' ταύτης.

Τὰ ἑλληνικὰ πεπαύσθω συμπόσια, ἃ δὴ καὶ ἐν ταῖς τῶν μαρτύρων μνήμαις ἀναισχύντως γινόμενα, τὰς σεμνὰς ἀπείργει γυναῖκας ἐν ἐκκλησίᾳ συνάγεσθαι.

Ο' ξα'. ταύτης.

Ὡσαύτως καὶ τὰ ἐν κυριακαῖς, καὶ ἑορταῖς θεώριάτε, καὶ παίγνια. μάλιστα δὲ, τὰ ἐν τῇ ὀγδοάδι τοῦ ἁγίου πάσχα.

Ο' ξς', τῆς ἐν Τρούλλῳ.

Τὴν γὰρ μετὰ τὴν ἀνάστασιν ἑβδομάδα πᾶσαν, πιστὸς πᾶς ἐκκλησιαζέσθω.

Ο' ξγ', τῆς ἐν Καρθαγένῃ.

Σκηνικὸς εἰς σπουδαῖον μετελθὼν βίον, μὴ πρὸς τὸν πρότερον βίον παρὰ τινος ἑλκέθω.

Ο' ξς'. τάυτης.

Οἱ αἱρετικοῖς κριταῖς δικασθέντες, μὴ ἐκκαλείσθωσαν.

Ο' ρβ' ταύτης.

Αἱ τεμνόμεναι συζυγίαι, εἰ μὴ καταλλάττοιντο, μενέτωσαν οὕτως. εἰ δὲ μὴ, πρὸς μετάνοιαν ἀναγκαζέσθωσαν.

ΣΧΟ'ΛΙΟΝ.

Οἱ ἀπὸ τῶν οἰκείων ἀναχωρήσαντες γυναικῶν, καθ' οἱανδήτινα αἰτίαν ἀνεπιστρόφως, αὐτοὶ μὲν ἀφορίζονται, αἱδὲ τούτων γυναῖκες αὐτοὺς περιμένουσιν, εἰ μὴ πενταετία παρῆλθε, καὶ ἄδηλον ὄστιν εἰ περίεισι. τὰ αὐτὰ καὶ περὶ αἰχμαλώτων.

Ο' ρλα'. τάυτης.

Ὁ ἐνάγων μάρτυρας, ἐκ τοῦ ἰδίου οἴκου μὴ κομιζέτω. μὴ δὲ πρὸ δεκατεσσάρων ἐτῶν.

Ο' γ' τοῦ ἁγίου Διονυσίου Ἀλεξανδρείας.

Οἱ γεγαμηκότες, ἀλλήλων ἀπεχέσθωσαν ἐκσυμφώνου, ἵνα τῇ προσευχῇ σχολάζωσιν.

Ο' ε' τοῦ Τιμοθέου Ἀλεξανδρείας.

Καὶ οἱ συγγενόμενοι σύνοικοι, κατὰ τὴν ἡμέραν ἐκείνην οὐμεταλήψονται.

Ο' δ' τοῦ Διονυσίου Ἀλεξανδρείας.

Οἱ ἀπροαιρέτως ἐν νυκτερινῇ ῥύσει γενόμενοι, τῷ ἰδίῳ κατακολουθείτωσαν συνειδότι, καὶ σκοπείτωσαν, εἰ μὴ ἔκτινος ἐμπαθείας, ἢ βρωμάτων ἐξ ἀκρασίας, ἀλλ' αὐτομάτως ἡρύσις αὐτοῖς συμβέβηκε. καὶ οὕτω προσίτωσαν τῷ θεῷ.

ΣΧΟ'ΛΙΟΝ.

Ὁ δὲ νηστευτὴς Ἰωάννης οὕτω φησὶν. ὁ μολυνθεὶς καθ' ὕπνους τῷ τῆς ἐκρύσεως πάθει, ἡμέρανμίαν τῆς κοινωνίας ἐκβάλλεται, τόν ν' ἄσας ψαλμὸν, καὶ μετανοίας ποιήσας μθ'. ὁ δὲ μαλακίαν διαπραξάμενος, μ' ἡμέρας ἐπιτιμᾶται, ξηροφαγίᾳ διαιτώμενος, καὶ μετανόιας ἑκάστης ποιῶν ρ'. ἀλλὰ καὶ γυνὴ ἡ εἰς ἀσπασμὸν ἀνδρὸς μόνον ἐλθοῦσα, τὸ τῆς μαλακίας ἐπιτίμον δέχεται. ὁ δὲ ἐγρηγορότος τοῦ σώματος μολυνθεὶς, εἰς ἑπτὰ ἡμέρας εἴργεται τῆς κοινωνίας, τὸν ν' καθ' ἑκάστην ἄδων, καὶ μετανοίας ποιῶν μθ'.

Ο' ς' Τιμοθέου ἀλεξανδρείας.

Λαϊκὸς ὀνειρασθεὶς εἰ μὲν ἐξ ἔρωτος, μὴ μεταλαμβανέτω. εἰ δ' ἐκπειρασμοῦ δαίμονος μεταλαμβανέτω. ἵνα μὴ χώραν δῶμεν αὐτῷ.

Ο' δ' Διονυσίου Ἀλεξανδρείας.

Οἱ συνοικοῦντες, σαββάτῳ, καὶ κυριακῇ τῆς πρὸς ἀλλήλους ἀπεχέσθωσαν κοινωνίας, διὰ τὸ ἐνταύταις τὴν πνευματικὴν θυσίαν ἀναφέρεσθαι τῷ θεῷ.

Ο' ις' τούτου.

Ὁ τὸ στόμα νιπτόμενος, ἢ λουόμενος, καταπιὼν ὕδωρ, εἰ βούλοιτο, κοινωνείτω. ἵνα μὴ χώραν τὸ πειράζοντι δῶμεν.

Ο' β'. τοῦ πατριάρχου Νικολάου.

Ὁ τῷόντι δαιμονῶν, τῶν ἁγιασμάττων μὴ μεθέξει. εἰ δὲ ἀπὸ μέλανος ἐνοχλεῖται χυμοῦ, μεθέξει.

Ο' γ' Τιμοθέου Ἀλεξανδρείας.

Καὶ πιστὸς δαιμονῶν, εἰ μὴ τὸ μυστήριον ἐξαγορεύει, ἢ ἄλλως βλασφημεῖ, μεταλαμβανέτω. μὴ μέντοι καθεκάστην. ἀρκεῖ γὰρ αὐτῷ κατακυριακὴν μόνον.

Ο' ς' τοῦ πατριάρχου Νικολάου.

Ὁ τῆς ἁγίας κωλυόμενος δωρεᾶς, μὴ δὲ ὑψωμένας προσφορὰς ἐσθιέτω. οὕτω γὰρ ἐν τῷ βίῳ τοῦ ἁγίου Θεοδώρου τοῦ Συκεώτου εὕρηται.

Ο' ιζ' Τιμοθέου Ἀλεξανδρείας.

Ὁ τῶν λόγων τοῦ θεοῦ ἀκούων, καὶ μὴ ποιῶν, μεμφόμενος δὲ ὅμως ἑαυτῷ ὑπὲρ τούτου, μέρος ἔχει σωτηρίας.

Ο' κη'. τοῦ Μεγάλου Βασιλείου.

Ὁ τῶν ὑείων κρεῶν ὑποσχεθεὶς ἀποσχέσθαι, καταγέλαστος. οὐδὲν γὰρ κτίσμα θεοῦ ἀπόβλητον, μετ' εὐχαριστίας λαμβανόμενον.

Ο' λ' αὐτοῦ.

Ἄρχων ὅτι κακῷ τῶν ἀρχομένων ὀμνύων, αὐτὸς μὲν διδασκέσθω μὴ προχείρως ὀμνύειν. ὁ δὲ ὅρκος ἀκυρούσθω, καὶ διὰ μετανοίας λυέσθω.

Ο' λα' αὐτοῦ.

Χριστιανὸς, ὁ τὸν χριστὸν τοῖς ἔργοις ἀρνούμενος, ἀνόνητος ἐκτῆς κλήσεως.

ΕΠΙΤΙΜΙΑ ΤΩ͂Ν ΕΓΚΛΗΜΑΤΩΝ.

ΕΠΙΓΡΑΦῊ Γ'.

Ο' κέ. τῆς ἐν Καισαρείᾳ.

Ο' Κατηχούμενος ἁμαρτάνων, εἰ μὲν γόνυ κλίνων, ἀκροάσθω, μηκέτι ἁμαρτάνων. εἰ δὲ ἀκροώμενος, ἐξωθείσθω.

ΣΧΌΛΙΟΝ.

Δύο τῶν κατηχουμένων ἦσαν τάξεις, ἡ μὲν, τῶν γόνυ κλινόντων, ἡ τελειοτέρα. ἡ δὲ τῶν ἀκροωμένων, ἡ ἀτελεστέρα. λέγει γοῦν, εἰ τῶν γόνυ κλινόντων εἴη, καὶ ἁμάρτοι, παυσάμενος τοῦ ἁμαρτάνειν, ψηφίσθω τῶν ἀκροωμένων. εἰ δὲ τῶν ἀκροωμένων, ἔξω σήπω τῆς ἐκκλησίας. καὶ οἱ ἀκροώμενοι γὰρ, ἐκτὸς ἵσαντο τῆς ἐκκλησίας, μέχρι τῆς ἀναγνώσεως τοῦ ἁγίου διαγγελίου.

Ο' β'. τῆς ἐν Λαοδικείᾳ.

Ο' διαφόρως ἁμαρτῶν, εἰ γνησίως μετανοήσει δεχέσθω.

Ο' θ' τῆς ἐν Ἀγκύρᾳ.

Ο' παρθενίαν ἐπαγγειλάμενος, καὶ ἀθετήσας, ὡς δίγαμος λογιζέσθω.

Ο' ξ. τῆς ἐν Τράλλῳ.

Ο' δαιμονᾶν προαιρούμενος, τοῖς τῶν ὡσαληθῶς δαιμονώντων ἐντίμοις ὑποβαλλέσθω.

Ο' ξά. ταύτης, καὶ ὁ β' τοῦ Μεγάλου Βασιλείου.

Οἱ μάντεσιν, ἢ τοῖς λεγομένοις ἑκατοντάρχοις ἑαυτοὺς δεδωκότες, ὡς τι παρ' ἐκείνων μαθησόμενοι τῶν ἀπορρήτων, ἐξαετίαν ὑποπιπτέτωσαν. ἢ ὡς ὀφονδῖς ἐντιμαθέτωσαν. καὶ ταυτὰ δὲ, καὶ οἱ ἄρκτας ἐντρυφῶντες, καὶ οἱ τύχῃ, καὶ εἱμαρμένῃ, καὶ ψευδαλογίαν φρονοῦντες, καὶ οἱ λεγόμενοι νεφοδιῶκται, καὶ γυρδοὶ, καὶ φυλακτήριοι, καὶ μάντεις. ἐντρυφῶντες δὲ, τῆς ἐκκλησίας ἀπορριπτέσθωσαν.

Ο' κδ' τῆς ἐν Ἀγκύρᾳ, καὶ ὁ πγ' τοῦ Μεγάλου Βασιλείου.

Καὶ ὁμαντδρόμενος, καὶ εἰσαγαγὼν τινὰ εἰς τὸν οἶκον ἐπὶ ἀναιρέσει φαρμακείας, ἢ καθάρσει, ἢ πενταετίας, ἢ ἐξαετίας τὸ πλεῖον τυγχανέτω

Ο' β' τοῦ Νύσσης.

Ο' δὲ προὸς γόητας, καὶ μάντεις ἀπιὼν ἐπ' ἀθετήσει τῆς πίστεως, ὡς μὴ πιστὸν θεὸν εἶναι, τὸν * παρ' ἡμῶν προσκυνούμενον, διὰ βίου ἀκοινώνητος. * παρεμῖν.

Ο' νγ', τῆς ἐν Τράλλῳ.

Ο' τὸν μητέρα τοῦ ἐξ ἁγίου βαπτίσματος ἀναδεχθέντος αὐτῷ χηρεύσαν ἀγαγέσθαι τολμήσας, τοῦ σωοικεσίου λυομένου, τῷ τὸν πορνεύοντος ἐντιμείῳ καθυποβαλλέσθω. μείζων δὲ ἡ κατὰ πνεῦμα οἰκειότης, τῆς κατὰ σῶμα συναφείας.

Ο' νδ' ταύτης.

Ἐξάδελφος ἐξαδέλφῃ μὴ γαμικῶς συναπτέσθω, μὴ δὲ πατὴρ καὶ υἱὸς μιᾷ, καὶ θυγατρὶ, ἅδυσιν ἀδελφαῖς. μηδὲ δύο ἀδελφοὶ μητέρα καὶ θυγατέρα, ἢ δύο ἀδελφὰς λαμβανέτωσαν. οἱδὲ παρὰ ταῦτα, ἐπταετίαν ὑποπιπτέτωσαν, τῆς συζυγίας λυθείσης.

Ο' νε' αὐτῆς.

Ο' τῷ ἑτέρῳ μνησθεῖσαν ζῶντι λαβὼν, μοιχᾶται.

Ο' κέ. τῆς ἐν Ἀγκύρᾳ.

Εἴτις κόρην μνησάμενος, τῇ ἀδελφῇ αὐτῆς συγγένηται πρότερον, καὶ ταύτῃ * ἐπιφορέσει, εἶτα τῷ μνηστῷ γαμήσει, καὶ ἡ φθαρεῖσα ἀγχόνην κτήσαιτο, οἱσυνεδόπες ἐξ' δικαιτίας τυγχανέτωσαν τοῦ πλείου. * ἐπιτιθέναι τοῦτον.

Ο' οδ' τῆς ἐν Καισαρείᾳ.

Ο' γυναικὸς ἐπιθυμήσας, καὶ εἰς ἔργον μὴ χωρήσας, θεόθεν ἐπιπλήττεται.

Ο' κβ'. τοῦ Μεγάλου Βασιλείου.

Ο' γυναῖκα ἁρπάσας, μὴ παραδεχέσθω, πρὶν ἂν ταύτῃ ἀποδῷ. εἰ μὲν μνηστῇ, τῷ μνησθησομένῳ. εἰ δὲ μὴ μνηστῇ, τοῖς γονεῦσι. καὶ ὅπου εἰ καὶ κατὰ γνώμην εἶη τοῖς γονεῦσι συνίσασθαι τὸ συνοικέσιον, ὡς πόρνος ἐντιμάσθω ἔτεσιν.

ΣΧΌΛΙΟΝ.

Ο' πολιτικὸς νόμος σφόδρα κολάζων τὸν ἁρπάσαντα γυναῖκα, καὶ δὲ συζεύγνυσθαι αὐτῷ τὴν ἁρπαγεῖσαν παραχωρεῖ, κἂν οἱ αὐτῇ προσήκοντες τοῦτο βούλωνται.

Ο' κγ' τούτου.

Ο' τὸ ἰδίου ἀδελφοῦ τὴν γυναῖκα λαβὼν, μὴ πρότερον δεχέσθω, ἢ παύσῃ ἀποσῇ.

Ο' κέ' τούτου.

Ο' ἔχων ἐν ἔρωτι, συγχωρούμενος ἔχειν, ἐντιμάσθω.

Ο' κς' τούτου.

Οἱ κατ' πορνείαν συναπτόμενοι, κρατίσει εἰ χωρίζονται. εἰ δὲ συνοικεῖν ἐθέλουσι, συγχωρείσθωσαν ἐντιμώμενοι.

Ο' λ' τούτου.

Ο' ἁρπάζων μετὰ τῶν συναρπαζόντων ξιτείαν ὑποπιπτέτω. τὸ δὲ μὴ βιαίως γινόμενον, ἀνάθυτον.

Ο' λζ τούτου.

Ο' τὴν ἀλλοφίαν ἀφαιρεθεὶς, καὶ γαμήσας, ἐπὶ μὲν τῇ πρώτῃ μοιχείαν ἐγκληθήσεται. ἐπὶ δὲ τῇ δευτέρᾳ, ἀνάθυτος.

Ο' μβ'

Ο' μβ' τύτω.

Οἱ ἄνδρ τῶν χραπάνων γάμοι, πορνεῖαι. ὅπε ἦν παξὸς ζῶντος, ὅπε δεατότω, οἱ σωϊόντες αὐδ'ὅτιοι.

Ο' ιέ. Πέτρω Ἀλεξανδρείας.

Ο' δαιμονῶσαν ἔχων γυναῖκα, εἰ ἄλλω λήψεται, μοιχᾶται.

Σ Χ Ο' Λ Ι Ο Ν.

Η' δὶ τὸ βασιλέως χυρίω Λέοντος νεαρὰ, δίδωσι τῷ αὐδεὶ τῆς δαιμονώσης λύειν τὸν γάμον. τῷ δὶ γάμω λυθεάντος, ἔξεσιν αὐτῷ παύτως χὴ ἑπέραν ἀγαγέσθαι.

Ο' ε'. τῆς ἐν Λαοδικείᾳ.

Ο' μὴ λαθρογαμήσας δίγαμος, μικρὸν χρόνον ἐν ταῖς νησείαις, χὰ ταῖς δ'χαῖς χολάσας, συγγνωμονείσθω.

Ο' δ' τῷ Μεγάλω Βασιλείω.

Δίγαμος, ἑνιαυτὸν ἕνα, ἢ χὰ δύο ἀφορίζεται. Τρίγαμος, ἓξ χὴ τέσσαρας, ἢ χὴ πέντε, χὴ τῷ σωφθείσαν.

Σ Χ Ο' Λ Ι Ο Ν.

Ο' τῆς εὐφώσεως λεγόμενος τόμος περὶ τῶ τρίτω γάμω παῦτα φησὶ. τὸς τεσσαρακονθέπεις τριγαμῆντας, οἷα ῥύπη τῆς ἐκκλησίας, ἀκοινωνήτως εἶναι μέχρι πενταετίας. χὰ τῷ χρόνω πέτε ἐξήκοντος, ἅπαξ τῷ ἔτους τῇ κοινωνίᾳ προσιέναι, χὴ τῷ σιβασμίαν τῶ σωτηρίω πάσχα ἡμέραν, ἐν τῇ προ παύτης νησείᾳ καθ'ὅσον οἱόντε ἀποχαθαίροντας ἑαυτὸς. παῦτα δὶ φαμὲν ὅταν μὴ τέκνα πόθεν ἐκ τῶν προτέρων γάμων παρῇ. εἰ δ'ἦν, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία. εἰ δὶ τις τριακονθέπης ὢν, χὰ τῶ γενὺς ἔχων ἐκ τῶν φθασάντων δεκαδοχῶ γάμων, τρίτῃ σωαφθείσῃ γυναικὶ, ὅπ' πεντεκαιδεκαετίαν ἀκοινώνητος ἔσω. εἰ δ' ὅπω, τρὶς τῶ ἑνιαυτῶ μεταλαμβανέτω. ἐν τῇ ἀναστασίμῳ τῶ πάσχα ἡμέρᾳ, ἐν τῇ κοιμήσει τῆς θεοτόκυ, χὴ ἐν τῇ χριθλίᾳ τῶ κυρίυ ἑορτῇ. τῶν προ τύτων νησειῶν τὸ πλεῖσον τῆς κηλίδος ἀποσμήχειν πιστευομένων. εἰ δὲ ἅπαις εἴη, συγγνώμης ἀξιῶται, δι' ἔφεσιν παιδοποιΐας τὸν τρίτον γάμον αἱρούμενος, χὴ τῷ σωτῆρι βαπτισμάτω θεραπεύθήσεται, ὅπ' τρισὶ χρόνοις τῆς κοινωνίας εἰργόμενος.

Ο' ν' τύτω.

Η' τριγαμία παράνομος, χὴ τῆς ἐκκλησίας ῥύπασμα. ἀσελίτευτος δὲ, ὡς τῆς ἀνειμένης πορνείας αἱρετωτέρα.

Ο' π' τύτω.

Οἱ πολύγαμοι, κτηνωδεις. ἀλλ' ἓν ἑνιαυτὸν προσκλαιέτωσαν, χὴ τριτίαν ὑποπεσόντες, δεχέσθωσαν.

Ο' γ' τῆς ἐν Καισαρείᾳ.

Τῶν πολυγάμων ὁ χρόνος ὥρισται. ἀλλ' ἡ πάντων ἀναστροφὴ, χὴ πίστις σωπέμνει τὸν χρόνον.

Ο' θ' τῶ Μεγάλω Βασιλείω.

Κατὰ τὸν τῶ κυρίω λόγον, ἐξίστω χὴ ὁ ἀνὴρ χὰ ἡ γυνὴ τῇ πορνείᾳ προσδόκητοι. ἡ δὲ σωνήθεια χὴ πορνεύοντα τὸν ἄνδρα, χὴ μοιχεύοντα, τῆς γυναικὸς ἀ προσδόκητοι. Κατὰ τὸ ὁ καταλειφθεὶς διά τι, συγγνωστὸς. χὴ ἡ σωοικοῦσα τύτῳ, οὐχ ὡς μοιχαλὶς καταχείνεται. ἡ δὲ καταλιποῦσα αὐτὸν, μοιχαλὶς. εἰ ἐπ' ἄλλον ἦλθεν ἄνδρα, χὴ ὁ τὴν γυναῖκα καταλιπὼν, χὴ ἐπ' ἄλλω ἐλθὼν, μοιχός. ποιεῖ γὰ αὐτὴν μοιχευθῆναι. χὴ ἡ σωοικοῦσα αὐτῷ μοιχαλὶς.

Ο' κέ τῶ αὐτῶ.

Ἄνδρα πεπορνευκότα, ἡ ἰδία γυνὴ παραλήψεται. παύτην δὲ μιανθεῖσαν, ὁ ἀνὴρ ἀποπέμψεται. πόρνος γὰ, ἡ μοιχὸς, ὁ εἰς ἐλευθέραν ἐκπεσὼν ὑπογύναιος.

Ο' κ' τῆς ἐν Ἀγκύρᾳ.

Ο' μοιχὸς χὴ ἡμοιχαλὶς δι' ἐπταετίας τυγχανέτωσαν τῶ τελείω.

Ο' νὴ τῶ Μεγάλω Βασιλείω.

Ο' μοιχεύσας, πενταικαίδεκαετίαν. τέσσαρα μὲν ἔτη, 1. προσκλαίων. πέντε δὲ, 2. ἀκροώμενος. τέσσαρα, 3. ὑποπίπτων. χὴ ἑνὶ, 4. σωιστῶς.

Σ Χ Ο' Λ Ι Α.

1, Ἤγουν ἔξω τῆς ἐκκλησίας ἱστάμενος, χὰ τῶν εἰσιόντων δεόμενος ὑπὲρ αὐτῶ δ'χεσθαι.

2, Ἤγουν ἔξω ἱστάμενος ἐν τῷ νάρθηκι.

3, Ἤγουν ἐντὸς τῆς ἐκκλησίας ἱστάμενος, ὅπισθεν τῶ ἄμβωνος, χὰ ἐξερχόμενος μετὰ τῶν κατηχυμένων.

4, Ἤγουν τοῖς πιστοῖς συνδυχόμενος, τῶν ἁγιασμάτων μήπω ἀξιύμενος, εἰ μὴ μετὰ τῦτο.

Ο' νθ' τύτω.

Ο' πόρνος, πενταετίαν. δύο μὲν ἔτη, προσκλαίων. δύο δὲ, ἀκροώμενος. χὴ ἑνὶ, σωιστῶς.

Σ Χ Ο' Λ Ι Ο Ν.

Τὸν πόρνον ὁ νηστεύτης ἐπὶ διετίαν καταδικάζει, εἰ μόνον μέχρις ἑσπέρας καθ' ἑκάστω νηστεύει, χὰ ξηροφαγεῖ, χὴ μετανοίας ποιεῖ σν'. τὸν δὲ μοιχὸν, ἐπὶ τριετίαν. εἰ μόνον νηστεύει, χὴ ξηροφαγεῖ, χὴ μετανοίας ποιεῖ σν'.

Ο' γ' τῶ Νύσσης.

Ο' πόρνος δι' ἑνιέα ἐτῶν τῆς κοινωνίας ἀξιύσθω τῶν ἁγιασμάτων.

Ο' δ' αὐτῶ.

Ο' δὲ μοιχὸς, ὁ * ζωοφθόρος, χὴ ὁ ἀρσενοκοίτης, ἐπὶ δεκαοκτὼ. * γρ. τὸν συμβόλων

Ο' ξζ' τῶ Μεγάλω Βασιλείω.

Η' μιξαδελφία τὸν τῶ φονέως χρόνον ἐξομολογήσεται.

Ο' ξη'

Ο' ξη' αὐτοῦ.

Ο' ἀπειρημένος ἐν συγγενείᾳ γάμος, τὸν τοῦ μοιχοῦ

Ο' οα' τούτου.

Ο' συνεγνωκὸς ἑκάστῳ τῶν προειρημένων ἁμάρτημα, καὶ μὴ ὁμολογήσας. ἐλεγχθεὶς, τὸν ἴσον ἐκείνῳ χρόνον ἐπιτιμηθήσεται.

Ο' οε' τούτου.

Ο' ἀδελφῇ ἐκ πατρὸς, ἢ μητρὸς συμμιανθεὶς, εἰς οἶκον προσευχῆς μὴ εἰσερχέσθω, ἕως τῆς παρανόμου πράξεως ἀποστῇ. καὶ τότε τριετίαν προσκλαιέτω, τριετίαν ὑποπιπτέτω, εἶτα τριετίαν συνεστὼς, τῆς κοινωνίας ἀξιούσθω.

ΣΧΟ'ΛΙΟΝ.

Τὸν δὲ τοιοῦτον ὁ νηστευτὴς ἐπὶ τριετίαν καταδικάζει μετὰ νηστείας, καὶ ξηροφαγίας, καὶ μετανοιῶν ἑκάστης ἡμέρας φ'. τὸν δὲ εἰς νύμφην, ἐπὶ διετίαν, μετὰ μετανοιῶν τ'. ὁμοίως δὲ καὶ τὸν εἰς πενθεραὶ. τὸ δὲ γενῦν ἔχον, ἡ σύνοδος ἐπὶ ἑξαετίαν τοὺς τοιούτους καταδικάζει. ἅμα τοῖς γόησι, καὶ τοῖς ἀνδροφόνοις.

Ο' οϛ' τούτου.

Κατὰ ταυτὰ δὲ, καὶ ὁ τὴν νύμφην αὐτοῦ λαβὼν.

Ο' οζ' τούτου.

Ο' τὴν ἰδίαν ἀφεὶς, καὶ ἑτέραν λαβὼν, ἐνιαυτὸν προσκλαιέτω, διετίαν ἀκροάσθω, τριετίαν ὑποπιπτέτω. εἶτα ἐνιαυτὸν συνεστὼς, τῆς κοινωνίας ἀξιούσθω.

Ο' οη' τούτου.

Ὡσαύτως, καὶ ὁδύο ἀδελφὰς λαβὼν, εἰ καὶ κατὰ διαφόρους χρόνους.

Ο' θ' τούτου.

Καὶ ὁ τῇ μητρυιᾷ ἐπιμανεὶς, ὡς ὁ ἀδελφῇ συμμιανθεὶς.

Ο' ζ' τούτου.

Ἀῤῥενοφθόροι, καὶ ζωοφθόροι, καὶ φονεῖς, καὶ φαρμακοὶ, καὶ μοιχοὶ, καὶ εἰδωλολάτραι, κατὰ τὸν αὐτὸν ἐπιτιμάσθωσαν τύπον.

Ο' ξβ' τούτου.

Ο' ἀρσενοκοίτης, ὡς ὁ μοιχὸς.

ΣΧΟ'ΛΙΟΝ.

Τὸν τοιοῦτον ὁνηστευτὴς, ἐπὶ τριετίαν καταδικάζει, μετὰ σ'. μετανοιῶν καθ' ἑκάστην ἡμέραν.

Ο' ξγ' τούτου.

Ὡσαύτως, καὶ ὁ ἀλογευσάμενος, καὶ ἐξαγορεύσας.

Ο' ιϛ' τῆς ἐν Ἀγκύρᾳ.

Ο' ἀλογευσάμενος, εἰκοσαετὴς μὲν τελῶν, πεντεκαιδεκαετίαν ὑποπιπτέτω, καὶ ἑξαετίαν χωρὶς προσφορᾶς κοινωνείτω. τὴν ἡλικίαν δὲ ταύτην ὑπερβὰς, καὶ γυναῖκα ἔχων, πέντε καὶ εἴκοσιν ἔτη ὑποπιπτέτω, καὶ πέντε τῶν εὐχῶν κοινωνείτω. ὁ δὲ πρὸς τῷ γυναῖκα ἔχειν, καὶ ὑπὲρ τὰ πεντήκοντα ἔτη τελῶν, ἐπὶ τῇ τοῦ βίου ἐξόδῳ τυγχανέτω τῆς κοινωνίας.

Ο' ιζ'. τούτης.

Ο' ἀλογευσάμενος, καὶ λεπρὸς ὢν, ἢ λεπρώσας, ἐν τοῖς χειμαζομένοις εὐχέσθω.

ΣΧΟ'ΛΙΟΝ.

Λεπρὸς ὢν, ἤγουν ἀκάθαρτος, καὶ μεμολυσμένος. ἀκάθαρτοι γὰρ οἱ λεπροὶ παρὰ τῷ Μωσαϊκῷ νόμῳ. τὸ δὲ λεπρώσας, ἀντὶ τοῦ μιάνας, τὰ ζῶα δηλονότι. χειμαζομένους δὲ, τοὺς δαιμονῶντας λέγει, ὥς τινες φασὶν.

Ο' κ' τοῦ Μεγάλου Βασιλείου.

Ο' ἀξίνῃ παρὰ τὸν θυμὸν κατὰ τῆς ἑαυτοῦ γαμετῆς χρησάμενος, φονεὺς ἐστὶν ἑκούσιος. ὡσαύτως καὶ ὁ ξίφει κατάτινος χρησάμενος. καὶ ὁ ἐπιδοὺς φάρμακα, εἰ καὶ δι' ἄλλην ταῦτα παρέσχεν αἰτίαν. καὶ ὁληστής, καὶ ὁπολέμιος. καὶ αἱ τὰ ἀμβλωθρίδια διδοῦσαι τε, καὶ λαμβάνουσαι. ἀκούσιος δὲ φονεὺς ἐστὶν, ὁλίθον ἀφεὶς ἐπὶ κῦνα, ἢ δένδρον, καὶ ἀνθρώπου τυχὼν. καὶ ὁ παιδεύων ἱμάντι, καὶ λύγῳ. ὁ μέντοι ξύλῳ, ἢ χειρὶ πλήξας ἐπὶ τὰ καίρια, ἐγγὺς τοῦ ἑκουσίου.

Ο' μγ' τούτου.

Καὶ ὁ πρὸς θάνατον πλήξας, εἴτε ἦρξε τῆς πληγῆς, εἴτε ἠμύνατο, φονεὺς ἐστι.

Ο' νδ' τούτου.

Τὰ τῶν φονέων ἐπιτίμια, καὶ ἐπιτείνεται, καὶ ὑφίεται, κατά τε τὴν αἰτίαν τοῦ φόνου, καὶ τὴν τῆς μετανοίας ποιότητα.

ΣΧΟ'ΛΙΟΝ.

Ἐπὶ τοῦ πατριάρχου Λουκᾶ στρατιώτῃ τινὶ φόνον ἑκούσιον πεποιηκότι, ἐπίσκοπός τις ἐπὶ μετρίῳ πάνυ καιρῷ ἐγγράφως τὴν ἀθώωσιν δέδωκε. καὶ ἐγκαλούμενος παρὰ τῇ συνόδῳ, τὸν κανόνα προέτεινεν, ὃς τοῖς ἐπισκόποις ἐπιτρέπει τὴν ἐξουσίαν, ἢ ἀνεῖναι, ἢ ἐπιτεῖναι τοῖς μετανοοῦσι τὰ ἐπιτίμια. ἀλλ' ἤκουσεν, ὅτι τοῖς ἀρχιερεῦσιν ἐδόθη μὲν τοῦτο, οὐ μὴν ἀνεξετάστῳ, καὶ ὑπερβαλλούσῃ χρῆσθαι συγκαταβάσει. ὅθεν τὸν μὲν στρατιώτην ἡ σύνοδος τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις καθυπέβαλε, τὸν δὲ ἀρχιερέα δίκας ἀπήτησε, τὴν ἐν ὡρισμένῳ καιρῷ τῆς λειτουργίας ἐπίσχεσιν.

Ο' νϛ' τούτου.

Ο' ἑκούσιος φονεὺς, εἰκοσαετίαν ἀκοινώνητος ἔσται τοῖς ἁγιάσμασι. τὰ μὲν τέσσαρα ἔξω ἑστὼς, καὶ

****

τῶν

τῶν εἰσιόντων δεόμενος, εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι, τὴν ἁμαρτίαν ἐξαγορεύων. τὰ δὲ πέντε, ἐν τοῖς ἀκροωμένοις. τὰ δὲ ἑπτὰ, μετὰ τῶν ἐν ὑποπτώσει. τὰ δὲ τέσσαρα, μετὰ τῶν πιστῶν, χωρὶς προσφορᾶς. καὶ οὕτω τῶν ἁγιασμάτων μεθέξει.

Ο' νζ' τούτου.

Ο' ἀκουσίως φονεύσας, δεκαετίαν. δύο μὲν ἔτη προσκλαίων, τρία δὲ ἀκροώμενος, καὶ τέσσαρα ὑποπίπτων, καὶ τῷ ἑνὶ συνεστώς.

Σ Χ Ο' Λ Ι Ο Ν.

Τοὺς φονεῖς ὁνηστευτὴς, τοὺς μὲν ἑκουσίους, ἐπὶ πενταετίαν καταδικάζει. τοὺς δὲ ἀκουσίους, ἐπὶ τριετίαν.

Ο' ε' τοῦ Νύσσης.

Η' ὁ ἑκούσιος φονεὺς, διὰ εἰκοσιεπτὰ. ὁ δὲ ἀκούσιος, διὰ ἐννέα.

Ο' κβ' τῆς ἐν Ἀγκύρᾳ.

Η' ὁ ἀκούσιος φονεὺς, διὰ πενταετίας. ὁ δὲ ἑκούσιος, ἐν τῷ τέλει τοῦ βίου.

Ο' ιγ' τοῦ Μεγάλου Βασιλείου.

Ο' πολέμιον ἀποκτείνας, εἰ καὶ τῆς εὐσεβείας ὑπέρμαχος, τριετίαν μὴ κοινωνείτω.

Σ Χ Ο' Λ Ι Ο Ν.

Ἐπὶ τοῦ πατριάρχου Κωνσταντίνου τοῦ χλιαρηνοῦ διέγνωστο συνοδικῶς, ὅτι εἰ μὲν δυνάμενός τις διαδράναι τὴν ἐπιβουλὴν τοῦ λῃστοῦ, τούτῳ μὲν οὐκ ἠρκέσθη, ἀλλ' ἐκ μελέτης αὐτῷ ἐπιθέμενος ἀνήρηκεν, ὅια φονεὺς ἐπιτιμηθήσεται. εἰ δὲ πρῶτος τὸ ξίφος ὁλῃστὴς ἦρε κατ' αὐτοῦ, τότε οὐκ ἐπιτιμηθήσεται ὁ φονεύσας αὐτὸν. ὃς μέντοι διὰ τὸ κοινῇ συμφέρον πολλὰ παρακληθεὶς, τοῦτον ζητήσας εὗρε, καὶ διεχρήσατο, μὴ ὅτι τιμωρίας, ἀλλὰ καὶ ἐπάθλων ἀξιωθήσεται. ἀσφαλείας δὲ ἕνεκεν ἐπὶ τριετίαν ἤρεσε καὶ τούτους καταδικάζεσθαι. τοὺς δὲ κληρικοὺς οἱονδήποτε φόνον πεποιηκότας, εὐθὺς τιμωρεῖσθαι, μηδὲ μιᾶς οὔσης διαφορᾶς πολεμίου, ἤλῃστοῦ, ἢ οἱουδήποτε. ὅθεν καὶ ἀρχιερεὺς ἀγαρηνὸν φονεύσας, κατ' αὐτοῦ ξίφος ἀνατείναντα ἐν καιρῷ πολέμου, καθῃρέθη συνοδικῶς.

Ο' ς' τοῦ Νύσσης.

Ὁλῃστὴς, ὡς ὁ ἑκούσιος φονεὺς.

Ο' ξα' τοῦ Μεγάλου Βασιλείου.

Ο' κλέψας, καὶ ὁμολογήσας, ἐνιαυτὸν κωλυθήσεται. ἐλεγχθεὶς δὲ, δύο.

Σ Χ Ο' Λ Ι Ο Ν.

Τὸν τοιοῦτον ὁνηστευτὴς ἐπὶ μ' ἡμέρας καταδικάζει. τὸν δὲ ἐλεγχθέντα, ἐπὶ μῆνας ἕξ, ξηροφαγοῦντα, καὶ μετανοίας ρ' ἑκάστης ἡμέρας ποιοῦντα.

Ο' ξδ' τούτου.

Ο' ἐπίορκος, δεκαετίαν. δύο μὲν ἔτη προσκλαίων, τρία δὲ ἀκροώμενος, τέσσαρα ὑποπίπτων, καὶ ἑνὶ συνεστώς.

Σ Χ Ο' Λ Ι Ο Ν.

Τοῦτον ὁνηστευτὴς ἐπὶ ἔτος ἕν ξηροφαγοῦντα, καὶ νηστεύοντα μέχρις ἑσπέρας, καὶ μετανοίας ποιοῦντα σν'.

Ο' πβ' αὐτοῦ.

Η' ὁ ἐκβίας ἐπιορκήσας, διὰ ἑξαετίας δεχέσθω. ὁ δ' ἄνευ ἀνάγκης, διὰ δώδεκαετίας.

Ο' ξε'. αὐτοῦ.

Ο' γόης, καὶ ὁ φαρμακὸς, ὡς ὁ φονεὺς.

Σ Χ Ο' Λ Ι Ο Ν.

Ο' δὲ νηστευτὴς τοὺς γόητας, καὶ τοὺς φαρμακοὺς ἐπὶ τριετίαν καταδικάζει, μετὰ μετανοιῶν ἑκάστης ἡμέρας σν', καὶ νηστείας, καὶ σκληραγωγίας. ὁ μοίως δὲ καὶ τὰς γυναῖκας τὰς ποιούσας περίαπτα, καὶ μαντευομένας.

Ο' ξς' αὐτοῦ.

Ο' τυμβωρύχος, ὡς ὁ ἐπίορκος.

Σ Χ Ο' Λ Ι Ο Ν.

Τοῦτον ὁ νηστευτὴς ἐπὶ ἔτος ἕν καταδικάζει, μετὰ μετανοιῶν ἑκάστης ἡμέρας σ'.

Ο' ζ' τοῦ Νύσσης.

Η' ὁ τυμβωρύχος, εἰ μὲν ὥστελίθους ἐκβαλεῖν, συγγνωστέος. εἰ δὲ πρὸς τὸ λαβεῖν τι τῶν συνταφέντων, τῷ τῆς πορνείας ὑπόκειται κρίματι.

Ο' η', τούτου.

Ο' ἱερόσυλος, δι' ἐλάττονος παρὰ τὸν μοιχὸν χρόνου.

Ο' ις' τούτου.

Ο' τοιχωρύχος ἐξαγορεύων, καὶ τὰ ἴδια διανεμέτω τοῖς πένησι.

Σ Χ Ο' Λ Ι Ο Ν.

Τὸν τοιοῦτον ὁ νηστευτὴς ἐπὶ τριετίαν καταδικάζει. τοῦ αὐτοῦ νηστευτοῦ, καὶ τάδε. ἐμπεσόντος τινὸς ἀκαθάρτου εἰς φρέαρ, ἢ εἰς οἶνον, ἢ εἰς ἔλαιον, ὁ τούτου γευσάμενος, ἐπὶ τρεῖς ἡμέρας κρέατος καὶ τυροῦ μὴ ἁπτέσθω. ἑπτὰ δὲ μὴ κοινωνείτω. ὁ μετὰ τὴν θείαν ἐμέσας μετάληψιν, μ' ἡμέρας τῆς θείας ἀφίσταται κοινωνίας, τὸν ν' ᾄδων καθ' ἑκάστην ψαλμὸν, καὶ μετανοίας ποιῶν ν', κἂν ὁπωσδήποτε τοῦτο συμβαίη.

ΕΠΙΤΙΜΙΑ ΤΩΝ ΠΑΡΑΠΕΣΟΝΤΩΝ.

ΕΠΙΓΡΑΦΗ Δ'.

Ο' ογ' τῦ Μεγάλυ Βασιλείυ, καὶ ὁ α' τῦ Νύσσης.

Ο' ἀρνησίχριστος, διὰ βίυ προσκλαιέτω, καὶ τῶν ἁγιασμάτων ἐν τῷ τέλει, πίστει τῆς τῦ θεῦ φιλανθρωπίας, ἀξιυσθω.

ΣΧΟΛΙΟΝ.

Η' τῦ παξιάρχυ μεθοδίυ διατύπωσις τὰς παραπεσόντας, καὶ ὑποσρέψαντας, νηπίυς μὲν αἰχμαλωτισθέντας, καὶ φόβῳ, ἢ ἀγνοίᾳ καθυπαχθέντας, συγγνώμης ἀξιοῖ, τῷ ἁγίῳ μόνον χρισα μύρῳ. τελείυς δὲ τῇ ἡλικίαν ὄντας, καὶ ἀνάγκη καθυπαχθέντας, συγγνώμης μὲν, καὶ αὐτὰς ἀξιοῖ, τῷ ἁγίῳ χείρσα μύρῳ. νηστεῦσαι δὲ ὁμῶς τεσσαράκοντα ἡμερῶν δύο προστάττει, χρεῶν ἀπεχομένυς, ἐκτενεῖς τε δεήσεις, καὶ γονυκλισίας ποιεῖν ὁπόση δύναμις. τὰς δὲ ἐκ προαιρέσεως αὐτομολήσαντας, ἐπὶ δύο ἐνιαυτὰς νηστεύειν προστάττει, παραπλησίως τοῖς ἄνω δεδηλωμένοις, καὶ γονυκλισίας ἑκάστης ἡμέρας ποιεῖν ρ', ἢ σ', καὶ εἰθ' ὕπω τῷ ἁγίῳ χείεσθαι μύρῳ.

Ο' πά τύτυ.

Οἱ δι' ἀνάγκην παραβάντες τῇ πίστιν, δι' ὀκταετίας δεχέσθωσαν. οἱ καὶ αὐθαιρέτως, διὰ δωδεκαετίας.

Ο' ια' τῆς πρώτης.

Οἱ χωρὶς ἀνάγκης παραπεσόντες, ἀσύγγνωστοι παντάπασιν ὄντες, ὅμως διὰ φιλανθρωπίαν, γνησίως μετανοήσαντες, ξία ἔτη ἐν τοῖς ἀκροωμένοις μενέτωσαν, ἔπειτα ὑποπιπτέτωσαν, καὶ δύο χρὶς προσφορᾶς τῆς δίχων κοινωνείτωσαν.

Ο' ιβ' τάυτης.

Οἱ τῇ πλάνῃ δόξαντες ἀντισῆναι, εἶτα δωρεαῖς ἐπὶ τάυτῃ ἀναδραμόντες, δεκαετίαν ὑποπι-
* μετὰ τριετῆς πτέτωσαν, * ξιετῆς ἀκροάσεως χρόνον. πλὴν ἐφ' ἅπασι τὸ τῆς μετανοίας εἶδος ἐξετασέον, καὶ πῶς θερμοτέρως μετανοήσαντι, φιλανθρωπότερον ὁ ἐπίσκοπος διακείσθω.

Ο' ιδ'. τυύτης.

Κατηχύμενος εἰπαραπέσοι, ξιετίαν ἀκροάσθω. καὶ ὕπω μετὰ τῶν κατηχυμένων δίχέσθω.

Ο' γ' τῆς ἐν Ἀγκύρᾳ.

Ο' βία, καὶ βασάνοις, ἢ θύμα ἐν ταῖς χερσὶν, ἢ βρῶμα δεξάμενος ἐν τῷ σόματι, τῆς κοινωνίας μὴ κωλυέσθω. καὶ εἰ λαϊκὸς δὲ εἴη, καὶ χειροτονίας τυγχανέτω, ἄλλως ἀνεπίληπτος ὢν.

Ο' δ' τυύτης.

* εἰδωλείοις. Ο' βία θύσας, καὶ δειπνήσας ἐν τοῖς * εἰδώλοις, εἰ μὲν ἀπαγόμενος, καὶ χήματι φαιδροτέρῳ, καὶ ἐσθῆτι λαμπροτέρᾳ ἐχρῆτο, καὶ ἀδιαφόρως τῶ δείπνυ μετέσχε, δι' ὀξαετίας τῶ πλείυ τυγχανέτω.

Ο' ε'. ταύτης.

Εἰ δὲ παῦ πανταυτίον, φαγὼν μὲν, δι' ξιετίας. μὴ φαγὼν δὲ, δι' διετίας.

Ο' ς'. ταύτης.

Ο' ἀπειλῇ μόνον εἴξας, εἶτα μετανοήσας, δι' πεντετίας τῶ πλείυ τυγχανέτω.

Ο' ζ'. ταύτης.

Ο' τοῖς ἐθνικοῖς ἐν ταῖς ἑορταῖς αὐτῶν, καὶ μετ' ἰδίων βρωμάτων συνεσιαθεὶς, διετίαν ὑποπιπτέτω.

Ο' η' ταύτης.

Ο' δὶς, καὶ ξὶς, δι' ἀνάγκην θύσας, δι' ἑπταετίας τῶ πλείυ τυγχανέτω.

Ο' θ' ταύτης.

Ο' μὴ μόνον ἀποσὰς, ἀλλὰ καὶ ἄλλυς καταναγκάσας, διὰ δεκαετίας τυγχανέτω τῶ πλείυ.

Ο' α' Πέτρυ Ἀλεξανδρείας.

Οἱ μετὰ πολλὰς αἰκίας τῶν βασάνων ἥττηθέντες, καὶ τὸν χριστὸν ἀρνησάμενοι, ἔπειτα μετανοήσαντες, καὶ πενθοῦντες, τεσσάρων ἐτῶν ἤδη τῶ διαγμῶ παρελθόντων, καὶ ἄλλας ἡμέρας ὑπετιμήσαντο μ'.

Ο' β' τύτυ.

Οἱ δὲ μετὰ τὸ φυλακισθῆναι μόνον παραπεσόντες, καὶ ἕτερον ἐνιαυτὸν ὑπετιμήσαντο.

Ο' γ' τύτυ.

Οἱ δὲ πρὸς τῇ ἀπωλείᾳ χωρὶς ἀνάγκης αὐτομολήσαντες, εἶτα μετανοήσαντες, ὑπὲ ξιετίαν.

Ο' δ' τύτυ.

Οἱ δὲ μετὰ τὸ πεσεῖν ἀμετανόητοι, ἀπόβλητοι.

Ο' ε' τύτυ.

Οἱ δὲ ὑποκρυάμβοι, καὶ διαπαίξαντες τὰς βιάσαντας, καὶ θῦσαι διαφυγόντες, ἑξάμηνον ὑπετιμήσαντο.

Ο' ς' τύτυ.

Οἱ δὲ δῦλυς ἀνθ' αὐτῶν θῦσαι καταναγκάσαντες, αὐτοὶ μὲν ξιετίαν.

Ο' ζ' τύτυ.

Οἱ δὲ καταναγκασθέντες δῦλοι, ἐνιαυτόν.

Ο' η' τύτυ.

Οἱ παραδοθέντες, καὶ δι' ἀνάγκην μὲν ἀρνησάμενοι, εἶτα τῶν ὕστερον ἀναπαλεισάμενοι, καὶ γενναίως ἀγωνισάμενοι, ἐν ἅπασι μετὰ χαρᾶς κοινωνείτωσαν.

Ο' θ' τȣ́τȣ.

Ὡσαύτως, καὶ οἱ εἰς τȣ̀ς ἀγῶνας αὐτομολήσαντες. ὑπὲρ χριστȣ̃ γὰρ, εἰ καὶ μὴ κατὰ χριστὸν πεποιήκασι, φεύγειν καὶ διωκομένȣς κελεύσαντα.

Ο' ί τȣ́τȣ.

Κληρικοὶ δὲ αὐτομολήσαντες εἰς τȣ̀ς ἀγῶνας, μὴ λειτȣργείτωσαν. ὅτι τὸ σφῶν καταλελοίπασι ποίμνιον, ὃ μηδεὶς τῶν ἀποστόλων πεποίηκεν.

Ο' ια' τȣ́τȣ.

Τοῖς αὐθαιρέτως μὲν τὸν ἀγῶνα ὑπεισελθȣ̃σι, διὰ δὲ πολλὰς αἰκίας ἀρνησαμένοις, εἶτα μετανοήσασι, καὶ τοπραχθὲν ἀποδυρομένοις, ἄξιον ἐπινεῦσαι, καὶ συνεύχεσθαι ὑπὲρ αὐτῶν, καὶ τὸ θεῖον ἐξιλεȣ̃ν.

Ο' ιβ' τȣ́τȣ.

Οἱ χρήματα παρασχόντες, ἵναβασάνȣς ἐκφύγωσιν, ἀνέγκλητοι. χρημάτων μᾶλλον ἢ, ψυχῆς ζημίαν ἑλόμενοι.

Ο' ιγ' τȣ́τȣ.

Ὡσαύτως, καὶ οἱ φυγῇ τὴν σωτηρίαν εὑρόντες κἂν ἀντ' αὐτῶν ἕτεροι κατεσχέθησαν.

Ο' ιδ' τȣ́τȣ.

Οἱ μετὰ πολλὰς αἰκίας, καὶ θῦμα ταῖς χερσὶν ἀκȣσίως δεξάμενοι, τῇ τε λειτȣργίᾳ μενέτωσαν, καὶ τοῖς ὁ μολογηταῖς ἐγγραφέσθωσαν.

Ο' α' τȣ̃ ἁγίȣ Γρηγορίȣ τȣ̃ θαυματȣργȣ̃.

Οἱ ἐν αἰχμαλωσίᾳ τῶν βαρβάρων φαγόντες βρώματα ἀνεύθυνοι.

Ο' β' τȣ́τȣ.

Οἱ τὸν καιρὸν τῆς τῶν βαρβάρων καταδρομῆς, τὸν πᾶσιν ὄλεθρον φέροντα, κέρδȣς ἑαυτοῖς καιρὸν ἡγησάμενοι, τὰ ἀλλότρια διηρπάκασι, τῆς ἐκκλησίας ἐκριπτέσθωσαν, ὡς ἀσεβεῖς, καὶ θεοστυγεῖς.

Ο' δ' τȣ́τȣ.

Οἱ τȣ̀ς διαφυγόντας αἰχμαλώτȣς βίᾳ κατέχοντες, ἀποδότωσαν. ἵναμήσκηπτοὶ πέσωσιν ἐπ' αὐτȣ̀ς ȣ̓ρανόθεν.

Ο' θ' τȣ́τȣ.

Οἱ αἰχμαλωσίᾳ ληφθέντες, καὶ τοσȣ̃τον ἐκβαρβαρωθέντες, ὥστε καὶ κατὰ τῶν ὁμοφύλων χωρεῖν. καὶ τῆς ἀκροάσεως ἀπειργέσθωσαν, ἕως ἄντι περὶ αὐτῶν δόξειε τῇ συνόδῳ.

Ο' ι τȣ́τȣ.

Οἱ ἀλλοτρίοις οἴκοις τολμήσαντες * ἐπελθὴν, εἰ μὲν ἐλεγχθῶσι κατηγορίᾳ. καὶ τῆς ἀκροάσεως εἰργέσθωσαν. εἰ δ' ἑκόντες ὁμολογήσȣσι, μετὰ τῶν ὑποστρεφόντων ὑποπιπτέτωσαν.

* ὑπελθεῖν.

Ο' ια' τȣ́τȣ.

Ὡσαύτως, καὶ οἱ ἐν πεδίῳ, ἢ ἐν οἰκίᾳ τὶ εὑρηκότες.

Ο' ιβ' τȣ́τȣ.

Οἱ τὰ εὑρημένα ὁμολογȣ̃ντες, μηδέντι περὶ αὐτῶν αἰτείτωσαν, μήνυτρον δῆθεν, ἢ σῶστρον, ἢ εὕρητρον.

Ο' ιγ' τȣ́τȣ.

Οἱ ἐν ἐπιτιμίῳ ἀποθνήσκοντες, κοινωνείτωσαν γνώμῃ μόνον τȣ̃ ἐπισκόπȣ. εἰ δὲ τις αὐτῶν ὑγιάνοι, μετὰ τῶν κοινωνȣ́ντων τῆς εὐχῆς μόνον ἔστω.

τȣ̃ Μεγάλȣ Βασιλείȣ.

Ὥσπερ ἐν λαχάνοις, ȣ̓́τω καὶ ἐν κρέασι τȣ̃ χρησίμȣ τὸ βλαβερὸν διακρίνομεν. καὶ ὥσπερ κώνειον, ἢ ὑοσκύαμον ȣ̓κ ἄντις φάγοι νȣ̃ν ἔχων, ȣ̓́τως ȣ̓́τε γυπὸς, ȣ̓́τε κυνὸς ἅψαιτο, μήσυν ἀνάγκῃ. ὡς ὅγε φαγὼν, ȣ̓κ ἠνόμησεν.

Ο' πδ' τȣ́τȣ.

Ἐπὶ πᾶσιν ὁ τρόπος τῆς μετανοίας, ἀλλὰ μὴ ὁ χρόνος δοκιμαζέσθω.

Ο' θ' τȣ̃ Νύσσης.

Δεῖ γὰρ ἐν παντὶ πλημμελήματι, τῇ διαθέσει τȣ̃ μετανοȣ̃ντος, ἀλλὰ μὴ τῷ χρόνῳ προσέχειν, καὶ σπȣδῆς ἐσθ' ὅτε θερμότητι, τὸν χρόνον ὑποτέμνειν, καὶ τὸν τȣ̃ ἐπιτιμίȣ χρόνον εἰς τρεῖς μερίζειν. καὶ τὸν μὲν, προσκλαίειν τὸν κάμνοντα. τὸν δὲ, ἀκροᾶσθαι. τὸν δὲ, ὑποπίπτειν. καὶ ȣ̓́τω συνίστασθαι.

Ο' ρβ', τῆς ἐν Τρȣ́λλῳ.

Σκοπείσθω δὲ, καὶ ἡ τῆς ἁμαρτίας ποιότης, καὶ ἡ τȣ̃ ἡμαρτηκότος μετάνοια, καὶ ȣ̓́τω κατάλληλος ἡ θεραπεία προσαγέσθω τῷ ἀῤῥώστήματι. ἵνα μὴ πέρα τȣ̃ δέοντος γενομένη, ζημιώσῃ τὸν κάμνοντα.

Ο' δ' τȣ̃ ἁγίȣ Κυρίλλȣ.

Ὥσπερ οἱ ἐν θαλάσσῃ χειμαζόμενοι, ἀποφορτίζȣσι τινὰ ὑπὲρ τȣ̃ σῶσαι τὰ λοιπὰ, ȣ̓́τω παροπτέον καὶ ἡμῖν τινὰ, ἵνα μὴ τὸ πᾶν ζημιωθῶμεν.

Ο' ιη' Τιμοθέȣ Ἀλεξανδρείας.

Τῶν ἀνθρώπων, τοῖς μὲν, τὰ ἁμαρτήματα ἀπὸ δωδεκαετȣ̃ς ἡλικίας κρίνεται. τοῖς δὲ, ἀπὸ μείζονος, καὶ τελειοτέρας, πρὸς τὴν ἑκάστȣ δηλονότι γνῶσιν, καὶ φρόνησιν.

Σ Χ Ο' Λ Ι Ο Ν.

Φασίτινες, ὅτι μετὰ τὸ γίνεσθαι ἐξαετεῖς ὀφείλȣσι, καὶ ἄῤῥενες καὶ θήλειαι δι' ἐξαγορεύσεως διορθȣ̃σθαι, καὶ ἁγιάζεσθαι.

Ο' ς' τȣ̃ πατριάρχȣ Νικολάȣ.

Τὸ κανονικὸν τȣ̃ νηστευτȣ̃, πολλῇ συγκαταβάσει χρησάμενον, πολλȣ̀ς ἀπώλεσε. καὶ οἱ ἐν γνώσει τȣ̃ καλȣ̃ ὄντες, ἐπανορθωθήσονται.

ΚΑΘΟΛΙΚΟΙ.

ΕΠΙΓΡΑΦΗ Ε'.

Ο' ξγ'. τῆς ἐν Τρύλλῳ.

Τὰ ὑφ' ἑλλήνων συμπλασθέντα μαρτυρολόγια, πυρὸς γενέσθωσαν παρανάλωμα. καὶ οἱ ὡς ἀληθῆ ταῦτα δεχόμενοι ἀναθεματιζέσθωσαν.

ΣΧΌΛΙΟΝ.

Ὡς ἔοικεν, ὑφ' ἑλλήνων συνεγράφησαν τινὰ, ὡς λεχθέντα, καὶ πραχθέντα παρὰ ἁγίων μαρτύρων, ἀλλόκοτα, καὶ γελοῖα. ἵνα δι' αὐτῶν καταγελῶτο μὲν ἡπίστις ἡμῶν, ὑβρίζοιντο δὲ καὶ οἱ μάρτυρες.

Ο' πα'. ταύτης.

Ὁ τῷ τρισαγίῳ ὕμνῳ τὸ, ὁ σταυρωθεὶς, προστιθεὶς. ἀναθεματιζέσθω.

Ο' κθ'. τῆς ἐν Λαοδικείᾳ.

Τῷ τὸ σάββατον ἀργοῦντι, καὶ μὴ τὴν κυριακὴν, ἀνάθεμα.

Ο' λε' ταύτης.

Ὡσαύτως καὶ τῷ τὴν ἐκκλησίαν ἐγκαταλιμπάνοντι, καὶ ἀγγέλους ὀνομάζοντι, εἰδωλολατρείας γὰρ ἐγγὺς.

ΣΧΌΛΙΟΝ.

Αἵρεσις ἦν παλαιὰ, λεγόντων τινῶν, ὡς οὐ δεῖ τὸν χριστὸν εἰς βοήθειαν ἐπικαλεῖσθαι, ἢ εἰς προσαγωγὴν τὴν πρὸς τὸν θεὸν. ἀλλὰ τοὺς ἀγγέλους. τοῦτο δὲ τάχα δι' εὐλάβειαν ἔλεγον ταπεινούμενοι.

Ο' λδ' ταύτης.

Ὁμοίως καὶ τῷ τοὺς ψευδομάρτυρας τιμῶντι, ἀνάθεμα.

ΣΧΌΛΙΟΝ.

Ἤγουν οὓς οἱ ἑτερόδοξοι ὡς ἁγίους τιμῶσι, καὶ μάρτυρας.

Ο' ρθ', τῆς ἐν Καρθαγένῃ.

Τῷ τὸν Ἀδὰμ δογματίζοντι, καὶ δίχα τῆς ἁμαρτίας τεθνήξεσθαι μέλλοντα, ἀνάθεμα.

Ο' ρι' ταύτης.

Τῷ λέγοντι, τὰ μικρὰ, καὶ νεογνὰ βαπτιζόμενα, μὴ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζεσθαι, μὴ δὲ ἕλκειν ἐκ τῆς τοῦ Ἀδὰμ ταῦτα προγονικῆς ἁμαρτίας τὸ ὀφεῖλον καθαρθῆναι, ἀνάθεμα.

Ο' ρια'. ταύτης.

Τῷ λέγοντι, τὸ ἅγιον βάπτισμα ἄφεσιν μόνον τῶν παρεληλυθυῶν ἔχειν ἁμαρτιῶν, οὐ μὴν καὶ τῶν μελλουσῶν βοήθειαν, ἀνάθεμα.

Ο' ριβ'. αὐτῆς.

Τῷ λέγοντι, ὅτι διὰ τοῦ βαπτίσματος γνῶσις ἡμῖν μόνον τῶν πρακτέων ἐντίθεται, καὶ μὴ, οὐ μὴν δὲ καὶ δύναμις τοῦ ἀγαπᾶν τὰ πρακτέα, ἀνάθεμα.

Ο' ριγ' ταύτης.

Τῷ λέγοντι, διὰ τοῦτο ἡμῖν τὴν χάριν δεδόσθαι, ἵνα ὅπερ διὰ τοῦ αὐτεξουσίου ποιεῖν δυνάμεθα, τοῦτο διὰ ταύτης εὐχερέστερον ποιῶμεν, ἀνάθεμα.

Ο' ριδ' αὐτῆς.

Τῷ λέγοντι, τὸ παρὰ τῷ Ἰωάννῃ τῷ θεολόγῳ ῥηθὲν ἐν ἐπιστολῇ. Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς ἀπατῶμεν. διὰ ταπεινοφροσύνην, καὶ οὐχὶ κατὰ ἀλήθειαν εἴρηται, ἀνάθεμα.

Ο' ριε' ταύτης.

Τῷ λέγοντι, τοὺς ἁγίους τὸ, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, οὐχ ὑπὲρ ἑαυτῶν λέγειν, ὡς ὄντων ἀναμαρτήτων, ἀλλ' ὑπὲρ τῶν πολλῶν ἀνάθεμα.

Ο' α' τῆς ἐν Γάγγρᾳ.

Εἴ τις τὸν ἔννομον μέμφοιτο γάμον, ἀνάθεμα.

Ο' β'. ταύτης.

Εἴ τις τὸν εὐλαβῶς ἐσθίοντα κρέα χωρὶς αἵματος, καὶ εἰδωλοθύτου, καὶ πνικτοῦ, κατακρίνει. ἀνάθεμα.

Ο' γ' ταύτης.

Εἴ τις δοῦλον θεοσεβείας προφάσει τοῦ οἰκείου πείθει δεσπότου καταφρονεῖν, ἀνάθεμα.

Ο' δ'. ταύτης.

Ὁ διακρινόμενος παρὰ πρεσβυτέρου γεγαμηκότος μεταλαμβάνειν, εἴη ἀνάθεμα.

Ο' ε' ταύτης.

Ὁ τοῦ θείου καταφρονῶν οἴκου, ἀνάθεμα.

Ο' ς' ταύτης.

Ὡσαύτως, καὶ ὁ ἐκκλησιάζων ἰδίᾳ.

Ο' ζ'. ταύτης.

Τῷ παρὰ γνώμην ἐπισκόπου, ἢ πρεσβυτέρου τὰ τῆς ἐκκλησίας πράττοντι, ἀνάθεμα.

Ο η'. ταύτης.

Ὡσαύτως καὶ τῷ διδόντι, ἢ λαμβάνοντι καρποφορίαν ἄνευ τοῦ ἐπισκόπου, καὶ τοῦ ἐπὶ τὴν οἰκονομίαν τεταγμένου.

Ο' θ' ταύτης.

Ἀλλὰ δὴ, καὶ τῷ παρθενεύοντι, ἢ ἐγκρατευομένῳ,

μονβδελυσσομένῳ.

Ο' ι'. ταύτης.

Ο' διά νομιζομένην ἄσκησιν ῥακενδυτῶν, καὶ τῶν εὐλαβῶς τοὺς βήρους φορούντων καταγινώσκων, εἴη ἀνάθεμα.

Ο' νδ' ταύτης.

Τὰ πιστῶν γονέων ἀναχωρήσαντα τέκνα θεοσεβείας προφάσει, ἀνάθεμα.

Ο' ιστ' ταύτης.

Τῷ καταφρονοῦντι τῶν ἐκπίστεως ἀγάπας ποιούντων, καὶ ταῖς κλήσεσι μὴ κοινωνοῦντι, ἀνάθεμα.

Ο' ιζ'. ταύτης.

Ὡσαύτως καὶ τῷ δι' ἄσκησιν ἐν τῇ κυριακῇ νηστεύοντι.

Ο' ιη' ταύτης,

Καὶ τῷ τὰς νενομισμένας νηστείας χωρὶς ἀνάγκης παραλύοντι.

Ο' ιθ' ταύτης.

Ἀλλὰ δὴ καὶ τῷ βδελυσσομένῳ τὰς τῶν μαρτύρων συνάξεις, καὶ τὰς ἐν αὐτοῖς λειτουργίας.

Ο' ζ'. τοῦ πατριάρχου Νικολάου.

Τὸ κλίνειν ἐν σαββάτῳ γόνυ, παρὰ τοῦ κανόνος οὐ κεκώλυται. οἱ πολλοὶ δὲ, διὰ τὸ μὴ νηστείαν ἐν σαββάτῳ γίνεσθαι, οὐδὲ γόνυ κλίνουσιν.

Ο' κ' τῆς α'.

Ἐν ταῖς κυριακαῖς, καὶ ταῖς τῆς πεντηκοστῆς ἡμέραις, γόνυ τὶς μὴ κλινέτω.

Ο' νε', τῆς ἐν Τρούλλῳ.

Τῶν Ῥωμαίων τὰ τῆς τεσσαρακοστῆς νηστευόντων σάββατα, ὁτῶν ἀποστόλων περὶ τῶν σαββάτων κρατείτω κανών.

Ο' πε' ταύτης.

Τῷ μεγάλῳ σαββάτῳ περὶ μέσας νύκτας τῇ νηστείᾳ διαρκετέον.

Ο' υ' ταύτης.

Ἀπὸ τῆς ἑσπερινῆς εἰσόδου τοῦ σαββάτου, γόνυ τὶς μὴ κλινέτω, μέχρι τῆς ἑσπερινῆς τῆς κυριακῆς εἰσόδου.

Ο' ιε'. Πέτρου Ἀλεξανδρείας.

Τετράδι, καὶ παρασκευῇ νηστευτέον, τῇ μὲν, διὰ τὸ κατὰ χριστοῦ τῆς προδοσίας συμβούλιον. τῇ δὲ παρασκευῇ διὰ τῷ σωτήριον πάθος. τῇ μὲν τοι κυριακῇ χαρμοσύνως ἑορταστέον, διὰ τὴν τοῦ σωτῆρος ἀνάστασιν.

Ο' α' Διονυσίου Ἀλεξανδρείας.

Ἡ τῆς αναστάσεως ὥρα τοῦ κυρίου, οὐκ εὔδηλος. ἀναστάντα γὰρ αὐτὸν εὗρον αἱ εἰς τὸν τάφον ἐλθοῦσαι, ὡς πάντες οἱ εὐαγγελισταὶ μαρτυροῦσι. διὸ τοὺς μὲν πρὸ μεσονυκτίου τὴν νηστείαν λύοντας, μεμφόμεθα. τοὺς δὲ μέχρις ὄρθρου ἐγκαρτεροῦντας, ἀποδεχόμεθα. τοῖς δὲ μεταξὺ τούτων, οὐκ ἐνοχλοῦμεν.

τοῦ πατριάρχου Νικολάου.

Ἡ νηστεία τοῦ Λυγούστου πρότερον οὖσα, ὕστερον μετετέθη, διὰ τὸ ταῖς ἐθνικαῖς ταύτην συμπίπτειν νηστείαις. πλὴν ἔτι πολλοὶ τὴν νηστείαν ταύτην νηστεύουσι.

ΠΕΡΙ' ΒΑΣΙΛΕ'ΩΣ.

Ε'ΠΙΓΡΑΦΗ' Ε"ΚΤΗ.

Ο' υγ' τῆς ἐν Καρθαγένῃ.

Οἱ βασιλεῖς τῇ ἐκκλησίᾳ βοηθείτωσαν, ὡς καὶ παύλῳ ποτὲ κινδυνεύοντι στρατιωτικὴ χείρ ἐβοήθησεν.

Ο' ξθ'. τῆς ἐν Τρούλλῳ.

Ἄνευ βασιλέως, μή τις εἰς τὸ ἱλαστήριον εἰσερχέσθω.

Ο' λ' τοῦ Μεγάλου Βασιλείου.

Ἄρχων ἐπὶ κακῷ τοῖς ἀρχομένοις ὀμνύων, αὐτὸς μὲν ἐπιτιμάσθω, μὴ προχείρως ὀμνύειν ὁ δὲ ὅρκος ἀκυρούσθω.

ΤΜΗ"ΜΑ Ε"ΚΤΟΝ.

ΠΕΡΙ' ΓΥΝΑΙΚΩ"Ν.

Ο' μδ'. τῆς ἐν Καρθαγένῃ.

Αἱ ἱεραὶ παρθένοι τῶν πατέρων ἀφιστάμεναι, τῇ τοῦ ἐπισκόπου, ἢ πρεσβυτέρων προνοίᾳ ταῖς τιμιωτάταις γυναιξὶ παρατιθέσθωσαν.

Ο' ιθ' τῆς ἐν Ἀγκύρᾳ.

Αἱ παρθένοι τισὶν ὡς ἀδελφοῖς μὴ προσίτωσαν.

Ο' ια' ταύτης.

Ἡμνηστευθεῖσα τινὶ κόρη, καὶ ὑπ' ἄλλου ἁρπαγεῖσα, καθιστάσθω τῷ μνηστευσαμένῳ.

Ο' ο' τῆς ἐν Τρούλλῳ.

Αἱ γυναῖκες ἐν τῇ ἐκκλησίᾳ σιγάτωσαν.

Ο' μδ'. τῆς ἐν Λαοδικείᾳ.

Γυνὴ ἐν τῷ θυσιαστηρίῳ μὴ εἰσίτω.

Ο' ς'

Ο' ϛ' τῆς ἐν Καισαρείᾳ.

Ἐγκύου φωτιζομένης, τὸ κυοφορούμενον οὐ φωτίζεται. ἑκάστου γὰρ ἡ προαίρεσις κρίνεται.

Ο' λη' τοῦ Μεγάλου Βασιλείου.

Ἡ παρὰ γνώμην τῶν γονέων ἀκολουθήσασα τινίκορη, τῶν γονέων διαλαγέντων, τριετίαν ἐπιτιμάσθω.

Ο' μ' τούτου.

Ἡ παρὰ γνώμην τοῦ δεσπότου, ἀνδρὶ ἑαυτὴν ἐκδοῦσα, πορνεύει.

Ο' μθ' τούτου.

Αἱ πρὸς ἀνάγκην φθοραὶ, ἀνεύθυνον. καὶ ἡδούλη εἰ ἐβιάσθη παρὰ τοῦ δεσπότου, ἀνεύθυνος.

Ο' λγ' τούτου.

Ἡ ἐν ὁδῷ κυήσασα, καὶ ἀμελήσασα τοῦ κυήματος, φονεύτρια.

Ο' νβ' τούτου.

Ἡ δὲ τὸ κύημα δι' ἐρημίαν, ἢ ἀπορίαν τῶν ἐπιτηδείων ἀπολωλεκυῖα, συγγνωστὴ.

ΣΧΟΛΙΟΝ.

Ἡ ἀκουσίως ἀποβαλοῦσα τὸ βρέφος, ἐπὶ ἔτος ἓν παρὰ τῷ νηστευτῇ καταδικάζεται. ἡ δὲ τῷ βρέφει κοιμωμένῳ ἐμπεσοῦσα, καὶ ἀποπνίξασα, ἐπὶ τριετίαν. ἡ δὲ κατὰ φρονήσασα τοῦ κυήματος, τῇ ἀμελείᾳ ταύτης ἀποφθαρέντος, ἑκουσίου φόνου δίδωσι δίκας. καὶ παδίου ἀβαπτίστου ἀποθανόντος, τῇ τῶν οἰκείων ἀμελείᾳ γονέων, ἐπὶ τριετίαν οἱ γονεῖς καταδικάζονται. περὶ δὲ τῶν ἐκτιθεμένων τὰ οἰκεῖα βρέφη πρὸς ταῖς εἰσόδοις τῶν ἱερῶν, λόγος ἐπὶ τῆς ἱερᾶς συνόδου γέγονε, καὶ ἤρεσεν, ὡς φονευτρίας ταύτας κολάζεσθαι, κἂν ἕτερος ἀνέληται, καὶ ἐπιμελησάμενος ζωογονήσῃ.

Ο' πζ' τῆς ἐν Τρούλλῳ.

Ἡ ἐξ ἀνδρὸς ἐπ' ἄλλον ἰοῦσα, μοιχαλίς. καὶ ἐπιστρέψασα οὐ δεχθήσεται.

Ο' ιη', καὶ ὁ ξ' τοῦ Μεγάλου Βασιλείου.

Μοιχαλὶς καὶ ἡ παρθενίαν μὲν ὁμολογήσασα, τοῖς δὲ τῆς σαρκὸς πάθεσιν ὕστερον ὑποπεσοῦσα. καὶ μοιχὸς, ὁ ταύτῃ συγγενόμενος. παρθενίαν δὲ ὁμολογεῖ, ἡ περὶ τὰ ἑπτακαίδεκα ἔτη ἀνακρινομένη, καὶ προσμένουσα, καὶ λιπαροῦσα παραδεχθῆναι. διὸ καὶ τὸν χρόνον τοῦ μοιχεύσαντος ἐκτελέσει.

Ο' κ' τούτου.

Αἱ ἐν αἱρέσει τὴν τῆς παρθενίας ὁμολογίαν ψευσάμεναι, οὐ καταδικάζονται προσελθοῦσαι. ὅσα γὰρ ὁ νόμος λαλεῖ, τοῖς ἐν νόμῳ λαλεῖ.

Ο' λε' τούτου.

Ἐὰν ἀλόγως ἀνεχώρησεν ἡ γυνὴ, αὐτὴ μὲν οὐκ ἀνεύθυνος, ὁ δὲ ἀνὴρ ἀνεύθυνος.

Ο' υα' τῆς ἐν Τρούλλῳ, καὶ ὁ κα' τῆς ἐν Ἀγκύρᾳ, καὶ ὁ β' τοῦ Μεγάλου Βασιλείου.

Αἱ τὰ ἀμβλωθρίδια διδοῦσαι, καὶ αἱ δεχόμεναι, τῷ τῶν φονέων ἐπιτιμίῳ καθυποβαλέσθωσαν.

Ο' υγ' τῆς ἐν Τρούλλῳ, καὶ ὁ λα', καὶ ὁ λϛ', καὶ Ο' μϛ' τοῦ Μεγάλου Βασιλείου.

Ἡ πρὸ τοῦ πεισθῆναι τὸν τοῦ ἀνδρὸς θάνατον, ἀφανοῦς γενομένου, ἑτέρῳ συναφθεῖσα, μοιχᾶται. πλὴν, αἱ στρατιώτιδες ἔχουσι καὶ τινὰ συγγνώμην, διὰ τὸ πρὸς θάνατον ἀεὶ τοὺς αὐτῶν ἄνδρας εἶναι. διὸ καὶ ὁ στρατιώτης ἐὰν ἐπανέλθῃ ποτὲ, καὶ προαιρῆται, τὴν οἰκείαν αὖθις ἀπολαμβάνει γυναῖκα, συγγνώμης ἀξιουμένην. ἡ δὲ τὸ καταλειφθέντι παρὰ γυναικὸς πρὸς καιρὸν κατὰ ἄγνοιαν συναφθεῖσα, εἶτα ἀφεθεῖσα, διὰ τὸ πρὸς αὐτὸν τὴν προτέραν ἐπανελθεῖν, ὡς ἐν ἀγνοίᾳ πορνεύσασα, γάμου οὐκ εἴργεται. κάλλιον δὲ, ἐὰν μείνῃ οὕτως.

Ο' μη'. τοῦ Μεγάλου Βασιλείου.

Ἡ παρὰ τοῦ ἀνδρὸς ἀφεθεῖσα, οὕτω μενέτω. μοιχαλὶς γὰρ, κατὰ τὸν τοῦ κυρίου λόγον, εἰ ἑτέρῳ ζευχθείη.

Ο' λδ' τούτου.

Αἱ μοιχευθεῖσαι, καὶ ἐξαγορεύουσαι, ἢ καὶ ἐλεγχόμεναι, ἄνευ κοινωνίας ἱστάσθωσαν, καὶ μὴ δημοσιευέσθωσαν.

Ο' λθ' τούτου.

Ἡ τῷ μοιχῷ συζῶσα, διὰ βίου μοιχεύεται.

Ο' ϛ' Τιμοθέου Ἀλεξανδρείας.

Κατηχουμένη ἐὰν ἐνρύσει γένηται, μὴ βαπτιζέσθω, ἕως οὗ καθαρθῇ.

Ο' η' τούτου.

Ἡ ἐν τῇ μεγάλῃ ἑβδομάδι τετοκυῖα, καὶ τροφῆς μεταλαμβανέτω, καὶ οἴνου.

τοῦ πατριάρχου Νικηφόρου.

Ἐὰν γυνὴ γεννήσῃ, καὶ ἔστιν ἐνκινδύνῳ τὸ παιδίον, ἀπὸ ἡμερῶν τριῶν, ἢ πέντε. τὸ μὲν παιδίον φωτισθήτω, ἄλλη δὲ γυνὴ βεβαπτισμένη, καὶ καθαρὰ θηλάσει αὐτό. ἡ δὲ μήτηρ αὐτοῦ μὴ εἰσέλθῃ εἰς τὸν κοιτῶνα, εἰς ὃν τὸ παιδίον ἀνάκειται, μέχρι τῶν μ' ἡμερῶν, ἕως ἂν καθαρθῇ τελείως, καὶ λάβῃ εὐχὴν παρὰ τοῦ ἱερέως, μήτε μὴν ἅψηται τὸ σύνολον αὐτοῦ.

Ο' β' Διονυσίου Ἀλεξανδρείας, καὶ ὁ ζ'. Τιμοθέου.

Αἱ ἐν ἀφέδρῳ, καὶ θείων ναῶν, καὶ ἱερῶν μυστηρίων εἰργέσθωσαν.

ΣΧΟ'.

ΣΧΟΛΙΟΝ.

Ἦγον ἐν καπηλείοις. διὰ τὸ κεχωρισμένως παύπας παρὰ ἰουδαίων καθίζεσθαι.

τῷ παξιάρχῃ Νικηφόρῳ.

Ἐὰν πελεία γυνὴ χριομένη χρισιανὴ, μῦ μίαν, ἢ δύο, ἢ ὅσας δήποτε ἡμέρας μέχρι τῆ ἑπτὰ, ἴδῃ τὰ ἔθιμα αὐτῆς, ἐν τῷ ὄικῳ αὐτῆς κοινωνήσει. εἰς δὲ τὴν ἐκκλησίαν ἐμὴ εἰσέλθῃ, ἕως ἂ καθαρισθῇ.

Ο' β' τῆς ἐν Καισαρείᾳ.

Ἡ δυσὶν ἀδελφοῖς γαμηθεῖσα, διὰ βίας ἐξωσθείθω. ἀποθήσκουσα δὲ, εἰ ὑπισχνοῖτο λύσειν τὸν γάμον ὑγιάνασα, εἰς μῦ'νοιαν ἀγέσθω. εἰ δὲ τῆ σωοίχων ὁ εἷς πελδυήσει, τῷ μείναντι δυχερὴς ἡμιπάνοια.

Ο' χδ' τῆ Μεγάλης Βασιλείου.

Ἑξηκοντάτης χήρα, εἰ γήμοι ἀσύγγνωστος. ἢ μεῦποι φρὸ τῆ ἑξήκοντα χρόνων, συγγνωστέα.

Ο' μά τάτε.

Ἀνέγκλητος ἡχήρα, ἑπέρῳ συνοικήσασα.

Ο' νγ' τάτε.

Ἡ χήρα δύλη πάχα ἢ μέγα ἥμαρτεν, εἰ λοιδεύη δεύτερον γάμον ἐν ἁρπαγῆς χήματι.

Ο' ια' τῆς ἐν Ἀγκύρᾳ.

Ἡ διὰ νομιζομένῳ ἄσκησιν ἀνδρῶν ἀναλαμβάνουσα ἀμφίασμα, εἴη ἀνάθεμα.

Ο' ιβ' ταύτης.

Ὡσαύτως χὴ ἡ τὸν ἄνδρα καταλιμπάνουσα, τὸν γάμον βδελυσσομένη.

Ο' ιγ' ταύτης.

Καὶ ἡ τὰ τέκνα καταλιμπάνουσα, δύλαβείας προφάσει.

Ο' ιέ ταύτης.

Αἱ διὰ νομιζομένῳ θεοσέβειαν τὰς κόμας ἀποχειρόμεναι, ἀνάθεμα.

Ο' β' τῆ ἁγίου Γρηγορίου τῆ θαυματουργῆ.

Αἱ παρὰ τῆ βαρβάρων ὑβρισθεῖσαι τὸ σῶμα γυναῖκες, ἀνδύθυροι. εἰ μήπου, χὴ φρὸ τῆς αἰχμαλωσίας εἶεν κατεγνωσμέναι.

Τῶν ἱερῶν κανόνων ἐπιτομῆς,





Γάλλα Πλακιδία, Ραβέννης, 6ου αι.





Μ. Διονυσίου, Ἀποστολικοί πατέρες, 16ου αι.







Ἅγ. Ἀπολληνάριος ὁ Παλαιός, Θυσία Ἄβελ-Μελχισεδέκ-Ἀβραάμ, 7ου αἰ.





Μ. Διονυσίου, Ἀποστολικοί Πατέρες, 16ου αἰ.



ΠΑΤΕΡΩΝ ΕΥΤΕΡΠΕΩΝ

ΜΑΡΤΥΡΙΑΙ

ΠΕΡΙ ΚΛΗΜΕΝΤΟΣ ΡΩΜΗΣ

Καὶ τῶν αὐτοῦ Συγγραμμάτων.

Παῦλος πρὸς Φιλιππ. δ'. γ'.

ΝΑὶ ἐρωτῶ καί σε σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς, αἵτινες ἐν τῷ Εὐαγγελίῳ συνήθλησάν μοι, μετὰ καὶ Κλήμεντος, καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.

Ἰγνάτιος ἐπισ. πρὸς Τραλλησίους.

Τί δὲ διάκονοι ἀλλ' ἢ μιμηταὶ τῶν Ἀγγελικῶν δυνάμεων; λειτουργοῦντες αὐτῷ λειτουργίαν καθαρὰν, καὶ ἄμωμον, ὡς Στέφανος ὁ Ἅγιος, Ἰακώβῳ τῷ Μακαρίῳ, καὶ Τιμόθεος καὶ Λῖνος Παύλῳ, καὶ Ἀνάκλητος καὶ Κλήμης Πέτρῳ.

Ὁ αὐτὸς πρὸς φιλαδελφίους.

Ὀναίμην ὑμῶν τῆς ἁγιωσύνης, ὡς Ἠλία, ὡς Ἰησοῦ τοῦ Ναυῆ, ὡς Μελχισεδέκ, ὡς Ἐλισσαίου, ὡς Ἰερεμίου, ὡς τοῦ βαπτιστοῦ Ἰωάννου, ὡς τοῦ ἠγαπημένου μαθητοῦ, ὡς Τιμοθέου, ὡς Τίτου, ὡς Εὐοδίου, ὡς Κλήμεντος, τῶν ἐν ἀγνείᾳ ἐξελθόντων τὸν βίον.

Ἰουστῖνος πρὸς ὀρθοδόξους. ἀποκρισ. οδ'.

Εἰ τῆς παρούσης κατασάσεως τὸ τέλος ἐστὶν, ἢ διὰ τοῦ πυρὸς κρίσις τῶν ἀσεβῶν, καθάφασιν αἱ γραφαὶ προφητῶν τε καὶ ἀποστόλων, ὅτι δὲ καὶ τῆς Σιβύλλης, καθώς φησιν ὁ μακάριος Κλήμης ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ.

Εἰρηναῖος βιβ. γ'. Κεφ. γ'. ἐκ τῆς Ἐκλογ. Ἱστορ. Εὐσεβ. βιβ. ε'. κεφ. ε'.

Θεμελιώσαντες οὖν καὶ οἰκοδομήσαντες οἱ μακάριοι ἀπόστολοι τὴν ἐκκλησίαν, Λίνῳ τῷ τῆς ἐπισκοπῆς λειτουργίαν ἐνεχείρισαν, τούτου τοῦ Λίνου Παῦλος ἐν ταῖς πρὸς Τιμόθεον ἐπιστολαῖς μέμνηται· διαδέχεται δὲ αὐτὸν Ἀνάκλητος. μετὰ τοῦτον δὲ τρίτῳ τόπῳ ἀπὸ τῶν ἀποστόλων τὴν ἐπισκοπὴν κληροῦται Κλήμης, ὁ καὶ ἑωρακὼς τοὺς μακαρίους ἀποστόλους, καὶ συμβεβληκὼς αὐτοῖς· καὶ ἔτι ἔναυλον τὸ κήρυγμα τῶν ἀποστόλων, καὶ τὴν παράδοσιν πρὸ ὀφθαλμῶν ἔχων ὁ μόνος· ἔτι γὰρ πολλοὶ ὑπελείποντο τότε ὑπὸ τῶν ἀποστόλων διδαχθέντες. Ἐπὶ τούτου οὖν Κλήμεντος στάσεως οὐκ ὀλίγης τοῖς ἐν Κορίνθῳ γεγενημένης ἀδελφοῖς, ἐπέστειλεν ἡ ἐν Ῥώμῃ ἐκκλησία ἱκανωτάτην γραφὴν τοῖς Κορινθίοις, εἰς εἰρήνην συμβιβάζουσα αὐτοὺς, καὶ ἀνανεοῦσα τὴν πίστιν αὐτῶν, καὶ ἣν νεωστὶ ἀπὸ τῶν ἀποστόλων παράδοσιν εἴληφεν.

Κλήμης Ἀλεξανδ. βιβ. δ'. στρωμάτ.

Ναὶ μὴν ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ ὁ

ἀπόσολος Κλήμης ϗ αὐτὸς ἡμῖν τύπον τινὰ τῆ γνωσικῆ ὑπογράφων λέγει. Τίς γὰρ παρεπιδημίσας πρὸς ὑμᾶς, τίνα παναρετον ϗ βεβαίαν πίσιν ὑμῶν ὐκ ἐδοκίμασεν; τίνα τε σώφρονα ϗ ἐπιεικῆ ἐν Χεισῷ ἀσέβειαν ὐκ ἐθαύμασεν; ϗ τὸ μεγαλοπρεπὲς τῆς φιλοξενίας ὑμῶν ἦθος ὐκ ἐκήρυξεν ϗ τὴν τελείαν ϗ ἀσφαλῆ γνῶσιν ὐκ ἐμακάρισεν; ἀπροσωπολήπτως γὰρ πάντα ἐποιεῖτε, ϗ ἐν τοῖς νομίμοις τῆ Θεῆ ἐπορεύεσθε. Et ſtatim infra. Ἀτενίσωμεν ὖν εἰς τὰς τελείως λειτουργήσαντας αὐτῆ τῆ μεγαλοπρεπεῖ δόξη, λάβωμεν Ἐνώχ, ὃς ἐν ὑπακοῆ δίκαιος, ἀρεθεὶς, μετετέθη, &c. quæ ſequuntur ex Clementis ad Corinthios epiſtola, ſtrictim excerpta.

Ὁ αὐτὸς βιβ. δ'. ſρωμάτ.

Αὐτίκα ὁ Κλήμης ἐν τῆ πρὸς Κορινθίους ἐπιστολῆ, κατὰ λέξιν φησίν, τὰς διαφορὰς ἐκτιθέμενος τῶν κατὰ τὴν ἐκκλησίαν δοκίμων. Ἧτω τίς πιστός· ἧτω δυνατός τις. γνῶσιν ἐξειπεῖν· ἧτω σοφὸς ἐν διακρίσει λόγων· ἧτω γοργὸς ἐν ἔργοις. & quæ ſupra immediate præcedunt. Αὕτη ἡ πύλη τῆ κυρίε, δίκαιοι εἰσελεύσονται ἐν αὐτῆ· πολλῶν τοίνυν ἀνεῳγμένων πυλῶν ἐν δικαιοσυνῃ, αὕτη λέ ἐν Χεισῷ, ἐν ᾗ μακάριοι πάντες οἱ εἰσελθόντες, ϗ κατευθύνοντες τὴν πορείαν αὐτῶν ἐν ὁσιότητι, priora lib. 6. Strom. repetuntur. Ἧτω τοίνυν πιστὸς ὁ τοιοῦτος, &c.

Ὁ αὐτὸς βιβ. ε'. ſρωμάτ.

Ἀλλὰ καὶ τῆ πρὸς Κορινθίους Ῥωμαίων ἐπιστολῆ, ὠκεανὸς ἀπέραντος ἀνθρώποις γέγραπται ϗ οἱ μετ' αὐτὸν κόσμοι.

Ὠριγένης κατὰ Κέλσου. Τομ. β'.

Καὶ Κλήμης δὲ ὁ Ῥωμαῖος Πέτρου ἀποστόλου μαθητὴς συνῳδά τούτοις ἐν τῷ παρόντι προβλήματι πρὸς τὸν πατέρα ἐν Λαοδικείᾳ εἰπὼν ἐν ταῖς περιόδοις, ἀναγκαιότατον τί ἐπὶ πέλει τῶν τοιούτων, λόγων, φησί· περὶ ὧν τῆς γνώσεως δοκούντων ἐμβεβηκέναι, λόγῳ πεισαρεσκαιδεκάτῳ· Καὶ ὁ πατὴρ, σύγγνωθί μοι ὦ τέκνον, οἱ μὲν γὰρ χθὲς σοι λόγοι ἀληθεῖς ὄντες, συνελογίσαντό μοι συνθέσθαι σοι. ἡ δὲ ἐμὴ συνείδησις μικρά με ὥσπερ πυρετῶ ἔλλειμμα πρὸς ἀπιστίαν βραχέα βασανίζει· σύοιδα γὰρ ἐμαυτῷ τὰ τῆς γνώσεως πάντα μοι ἀποτελεσθέντα, &c. quæ ſequuntur.

Εὐσέβ. ἐκκλησ. Ἱστορ. βιβ. γ'. κεφ. ιβ'.

Δωδεκάτῳ δὲ ἔτει τῆς αὐτῆς ἡγεμονίας, τῆς Ῥωμαίων ἐκκλησίας Ἀνάκλητον, ἔτεσιν ἐπισκοπήσαντα δεκαδύο διαδέχεται Κλήμης, ὃν συνεργὸν ἑαυτῶ γενέσθαι Φιλιππησίοις ἐπιστέλλων ὁ ἀπόστολος διδάσκει λέγων. μετὰ ϗ Κλήμεντος ϗ τῶν λοιπῶν συνεργῶν μοι ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. τοῦτο δὴ ἓν ὁμολογουμένη μία ἐπισολὴ φέρεται μεγάλητε ϗ θαυμασία. ἣν ὡς ἀπὸ τῆς Ῥωμαίων ἐκκλησίας τῆ Κορινθίων διετυπώσατο, σάσεως τινικάδε κατὰ τὴν Κόρινθιον γενομένης· ταύτην δὲ ϗ ἐν πλείσαις ἐκκλησίαις ἐπὶ τῶ κοινῶ δεδημοσιευμένην πάλαι τε ϗ καθ' ἡμᾶς αὐτὸς ἔγνωμεν. ϗ ὅτιγε κατὰ τὸν δηλούμενον, τὴ τῆς Κορινθίων κεκίνητο σάσεως, ἀξιόχρεως μάρτυς ὁ Ἡγήσιππος.

Ὁ αὐτὸς βιβ. γ'. Κεφ. λβ'.

Ὥσπερ ὖν ἀμέλει τῶ Ἰγνατίῳ ἐν αἷς κατελέξαμεν ἐπισολαῖς ϗ τῶ Κλήμεντος ἐν τῆ ἀνωμολογημένη παρὰ πᾶσιν, ἣν ἐκ προσώπου τῆς Ῥωμαίων ἐκκλησίας, τῆ Κορινθίων διετυπώσατο. ἐν ᾗ τῆς πρὸς Ἑβραίους πολλὰ νοήματα παρατεθεὶς, ἤδη δὲ ϗ αὐτολεξεὶ ῥητοῖς τισιν ἐξ αὐτῆς χρησάμενος, σαφέσατα παίσησιν ὅτι μὴ νέον ὑπάρχει τὸ σύγγραμμα ὅθεν εἰκότως ἔδοξεν αὐτὸ τοῖς λοιποῖς ἐγκαταλεχθῆναι γράμμασι τῶ Ἀποστόλου. Ἑβραίοις γὰρ διὰ τῆς πατρίου γλώττης ἐγγράφως ὡμιληκότος τῶ Παύλου, οἱ μὲν τὸν εὐαγγελιστὴν Λουκᾶν, οἱ δὲ τὸν Κλήμεντα τοῦτον αὐτὸν, ἑρμηνεῦσαι λέγουσι τῆ γραφῆ ὃ μᾶλλον εἴη ἂν ἀληθές, τὸ τὸν ὅμοιον τῆς φράσεως χαρακτῆρα, τίνι τε τῶ Κλήμεντος ἐπισολῆ, ϗ τῆ πρὸς Ἑβραίους ἀποσώζειν, ϗ τὸ μὴ πόρρω τι ἐν ἑκατέροις τοῖς συγγράμμασι νοήματα καθεσάναι· Ἰσέον δ' ὡς ϗ δεύτερά τις εἶναι λέγεται τῶ Κλήμεντος ἐπισολὴ, ἃ μὴν ἐθ' ὁμοίως τῆ προτέρᾳ ϗ ταύτῃ γνώριμον ἐπισάμεθα. ὅτι μὴ δὲ τὰς ἀρχαίας αὐτῆ κεχρημένας ἴσμεν· ἤδη δὲ ϗ ἕτερα πολυεπῆ ἡμῖ μακρὰ συγγράμματα, ὡς τῶ αὐτῶ, χθὲς ϗ πρῴην τινὲς προήγαγον, Πέτρου δὴ ἡμῖ Πηπίωνος διαλόγους περιέχοντα, ὧν ὐδ' ὅλως μνήμη τις παρὰ τοῖς παλαιοῖς φέρεται, ὐδὲ γὰρ καθαρὸν τῆς ἀποσολικῆς ὀρθοδοξίας ἀποσώζει τὸν χαρακτῆρα. Videpraterea lib. 3. cap. 4. & 28. & lib. 4. cap. 21. & 22.

Κύριλλος Ἱεροσολύμων Κατηχήσ. ιϛ'.

Ἤδει θεὸς τὴν ἀπιστίαν τῶν ἀνθρώπων, ϗ ὄργεον, εἰς τοῦτο κατειργάσατο, φοίνικα ὅπου καλλόμενον, ὡς γράφει Κλήμης, ϗ ἰσορῶσι πλειόνες, μονογενὲς ὑπάρχον κατὰ τὴν Αἰγυπτίων χώραν ἐν περιόδοις πενταικοσίων ἐτῶν ἐρχόμενον, δείκνυσι τὴν ἀνάσασιν, ὐκ ἐν ἐρήμοις τόποις, ἵνα μὴ ἀγνοηθῆ τὸ γινόμενον· ἀλλ' ἐν φανερᾷ πόλει παραγενόμενον, ἵνα ψηλαφηθῆ τὸ ἀπισούμενον, σηκὸν γὰρ ἑαυτῷ ποιῆσαν ἐκ λιβάνου ϗ σμύρνης ϗ λοιπῶν ἀρωμάτων. ϗ ἐν τῆ συμπληρώσει τῶν ἐτῶν εἰς τοῦτον εἰσελθὸν τελευτᾷ φανερῶς ϗ σήπεται· εἶτα ἐκ τῆς σαπείσης σαρκὸς τοῦ τελευτήσαντος, σκώληξ τις γεννᾶται, ϗ ἵστος αὐξηθεὶς εἰς ὄρνεον μορφοῦται, μὴ ἀπιστήσῃς δὲ τοῦτο. ϗ γὰρ τὰ μελισσῶν γεννήματα οὕτω βλέπεις ἐκ τῶν σκωλήκων μορφούμενα, ϗ ἐξ ὠῶν ὑγροτάτων ἐθεώρησας ὀρνέων πτερὰ ϗ ὀσέα, ϗ νεῦρα ἐξερχόμε-

χόμενα. εἶτα, πτεροφυήσας ὁ προειρημένος φοῖνιξ, καὶ τέλειος, οἷος ἦν ὁ πρότερος φοῖνιξ γενόμενος, ἀνίπταται τοιοῦτος εἰς ἀέρα, οἷος καὶ τετελεύτηκεν, σαφεστάτην νεκρῶν ἀνάστασιν ἀνθρώποις ἐπιδείξας. θαυμαστὸν μὲν ὄρνεον ὁ φοῖνιξ ἀλλ' ὄρνεον ἄλογον, καὶ οὐδέποτε ἔψαλε τῷ θεῷ, περιίπταται τὸν ἀέρα, ἀλλ' οὐκ οἶδε τὶς ἐστὶν ὁμονογενὴς υἱὸς τοῦ θεοῦ, &c.

Ἐπιφάνιος Βιβ. α'. κατὰ Καρποκρασιανῶν

Ἐν Ῥώμῃ γὰρ γεγόνασι πρῶτοι Πέτρος καὶ Παῦλος οἱ ἀπόστολοι αὐτοὶ καὶ ἐπίσκοποι, εἶτα Λῖνος, εἶτα Κλῆτος, εἶτα Κλήμης σύγχρονος Πέτρου καὶ Παύλου, οὗ ἐπιμνημονεύη Παῦλος ἐν τῇ πρὸς * Ῥωμαίους ἐπιστολῇ καὶ μηδεὶς θαυμαζέτω, ὅτι πρὸ αὐτοῦ ἄλλοι τὴν ἐπισκοπὴν διεδέξαντο ἀπὸ τῶν ἀποστόλων, ὄντος τούτου συγχρόνου Πέτρου καὶ Παύλου· καὶ οὗτος γὰρ σύγχρονος γίνεται τῶν ἀποστόλων· εἰτ' οὖν ἔτι περιόντων αὐτῶν, ὑπὸ Πέτρου λαμβάνει τὴν χειροθεσίαν τῆς ἐπισκοπῆς καὶ παραιτησάμενος ἤργει. λέγει γὰρ ἐν μιᾷ τῶν ἐπιστολῶν αὐτοῦ, Ἀναχωρῶ, ἄπειμι, * ἐνσταθήτω ὁ λαὸς τοῦ θεοῦ, τισὶ τοῦτο συμβουλεύων (εὕρομεν γὰρ ἐν τισὶν ὑπομνηματισμοῖς τοῦτο ἐγκείμενον) ἤτοι μετὰ τὴν τῶν ἀποστόλων Διαδοχὴν ὑπὸ Κλήτου τοῦ ἐπισκόπου οὗτος καθίσταται, οὐ πάνυ σαφῶς ἴσμεν, &c.

* γρ. Φιλιπ.

* γρ. εὐσταθ.

Ὁ αὐτὸς κατὰ ἐβιωναίων.

Χρῶνται δὲ καὶ ἄλλαις τισὶ βίβλοις, δῆθεν ταῖς περιόδοις καλουμέναις Πέτρου, ταῖς διὰ Κλήμεντος γραφείσαις, νοθεύσαντες μὲν τὰ ἐν αὐταῖς, ὀλίγα δὲ ἀληθινὰ ἐάσαντες, ὡς αὐτὸς Κλήμης αὐτοὺς κατὰ πάντα ἐλέγχει, ἀφ' ὧν ἔγραψεν ἐπιστολῶν ἐγκυκλίων τῶν ἐν ταῖς ἁγίαις ἐκκλησίαις ἀναγινωσκομένων, ὅτι ἄλλον ἔχει χαρακτῆρα ἡ ἑαυτοῦ πίστις καὶ ὁ λόγος, παρὰ τὰ ὑπὸ τούτων εἰς ὄνομα αὐτοῦ ἐν ταῖς περιόδοις νενοθευμένα, αὐτὸς γὰρ παρθενίαν διδάσκει, καὶ αὐτοὶ οὐ δέχονται. αὐτὸς γὰρ ἐγκωμιάζει Ἠλίαν, καὶ Δαβὶδ, καὶ Σαμψὼν, καὶ πάντας τοὺς προφήτας, οὓς οὗτοι βδελύττονται.

Βασίλειος περὶ πνεύματος ἁγίου πρὸς ἀμφιλόχ. κεφ. κθ'.

Εἰρηναῖος ἐκεῖνος, καὶ Κλήμης ὁ Ῥωμαῖος καὶ Διονύσιος ὁ Ῥωμαῖος, καὶ ὁ Ἀλεξανδρεὺς ὁ Διονύσιος. & paulo infra, ἀλλὰ καὶ ὁ Κλήμης ἀρχαιώτερος, Ζῆ φησίν ὁ Θεὸς, καὶ ὁ κύριος Ἰησοῦς χριστὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον. Εἰρηναῖος δὲ ἐκεῖνος ὁ ἐγγὺς τῶν Ἀποστόλων γενόμενος.

Φώτιος εἰς τὴν βιβλιοθήκην. φύλλ. 155.

Ἀνεγνώσθη βιβλιάριον, ἐν ᾧ Κλήμεντος ἐπιστολαὶ πρὸς Κορινθίους δύο ἐνεφέροντο· ὧν ἡ πρώτη δι' αἰτίας αὐτοὺς ἄγει, στάσεσι καὶ ταραχαῖς καὶ σχίσμασι τὴν πρέπουσαν αὐτοῖς εἰρήνην καὶ ὁμόνοιαν ἐμπολιτεύεσθαι, λύσαντας, καὶ παραινεῖ παύσασθαι τοῦ κακοῦ. ἁπλοῦς δὲ κατὰ τὴν φράσιν καὶ σαφὴς ἐστιν, καὶ ἐγγὺς τοῦ ἐκκλησιαστικοῦ καὶ ἀπεριέργου χαρακτῆρος. αἰτιάσαιτο δ' ἄν τις αὐτὸν ἐν ταύταις. ὅτι τὲ τοὺς ὠκεανοῦ ἔξω, κόσμους τινὰς ὑποτίθεται εἶναι. καὶ δεύτερον ἴσως, ὅτι ὡς παναληθεστάτῳ τῷ κατὰ τὸν φοίνικα τὸ ὄρνεον ὑποδείγματι κέχρηται. καὶ τρίτον, ὅτι ἀρχιερέα καὶ προστάτην τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐξονομάζων, οὐδὲ τὰς θεοπρεπεῖς καὶ ὑψηλοτέρας ἀφῆκε περὶ αὐτοῦ φωνάς· οὐ μὲν οὐδ' ἀπαρακαλύπτως αὐτὸν οὐδαμῇ ἐν τούτοις βλασφημεῖ· ἡ δὲ δευτέρα καὶ αὐτὴ, νουθεσίαν καὶ παραίνεσιν κρείττονος εἰσάγει βίου, καὶ ἐν ἀρχῇ Χριστὸν τὸν θεὸν κηρύσσει. πλὴν ὅτι ῥητά τινα ὡς ἀπὸ τῆς θείας γραφῆς ξενίζοντα παρεισάγει. ὧν οὐδὲ ἡ πρώτη ἀπήλλακτο παντελῶς, καὶ ἑρμηνείας δὲ ῥητῶν τινῶν ἀλλοκότους ἔχει. ἄλλως τε δὲ καὶ τὰ ἐν αὐταῖς νοήματα ἐρριμμένα πῶς καὶ οὐ συνεχῆ τὴν ἀκολουθίαν ὑπῆρχε φυλάττοντα.

Ὁ αὐτὸς Φυλλ. 156.

Οὗτος ἐστὶν ὁ Κλήμης, περὶ οὗ φησὶν ὁ θεσπέσιος Παῦλος ἐν τῇ πρὸς Φιλιππησίους ἐπιστολῇ, μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. οὗτος καὶ ἐπιστολὴν ἀξιόλογον πρὸς Κορινθίους γράφει, ἥτις παρὰ πολλοῖς ἀποδοχῆς ἠξιώθη, ὡς καὶ δημοσίᾳ ἀναγινώσκεσθαι· ἡ δὲ λεγομένη δευτέρα πρὸς τοὺς αὐτοὺς, ὡς νόθος ἀποδοκιμάζεται ὥσπερ ἐπιγραφόμενος ἐπ' ὀνόματι αὐτοῦ Πέτρου καὶ Ἀππίωνος πολύστιχος διάλογος. τοῦτον, φασὶν, οἱ μὲν δεύτερον μετὰ Πέτρον ἐπισκοπῆσαι Ῥώμης, οἱ δὲ τέταρτον. Λῖνον γὰρ καὶ Ἀνάκλητον μεταξὺ αὐτοῦ καὶ Πέτρου Ῥώμης ἐπισκόπους διαγεγονέναι· τελευτῆσαι δὲ αὐτὸν τρίτῳ ἔτει Τραϊανοῦ. Ubi & Photii judicium de constitutionibus apostolorum, & recognitionum libris, qui sub Clementis nomine circumferuntur, videre licet.

Ζωναρᾶς χρονικ. Τόμ. β'.

Τῷ δωδεκάτῳ δ' ἔτει τῆς ἡγεμονίας αὐτοῦ (ἤγουν Δομετιανοῦ) τελευτήσαντος Ἀνακλήτου, Κλήμης τὴν ἀρχιερωσύνην τῆς Ῥώμης παρέλαβε, τρίτος ταύτης χρηματισθεὶς ἐπίσκοπος, κατὰ τὸν Εὐσέβιον.

Νικηφόρος Κάλλιστος βιβ. γ'. κεφ. ιη'.

Κατ' ἐκεῖνο δὲ καιροῦ ἔτι Κλήμης ἐν Ῥώμῃ διέπρεπε, πρὸς δὲ καὶ Ἰγνάτιος τὴν Ἀντιόχου διεῖπε· Παπίας τε ἦν ἐν Ἱεραπόλει συγγράφων, Παγγράτιός τε, καὶ ὁ τῆς Σμυρναίων πρόεδρος Πολύκαρπος· ὧν οἱ μὲν Πέτρου, Πολύκαρπος δὲ τοῦ ἐπιστηθίου ἦσαν ὁμιληταί. τούτων ὁ μὲν Κλήμης Ῥωμαῖος ἄνωθεν ἦν, καὶ τῇ βασιλικῇ φυλῇ κατὰ

γένος

γελίος προσήκων, Φαύστε τινὸς καὶ Ματθιδίας υἱός. παντοία δὲ παιδεία ἑλληνικῇ σωτραφεὶς, καὶ πᾶσαν τιμὴν τῆς ὄντων γνῶσιν εἰς ἄκρον ἀσκήσας, καὶ τῷ κορυφαίῳ τῆς ἀποστόλων περιτυχὼν, καὶ τὸ κατὰ Χριστὸν μυστήριον μυηθεὶς κηρύττει τὸ εὐαγγέλιον. ἀπειθῶν δ' ἦν τοῖς ἐντελλομένοις Τραϊανῷ, ὑπερόριος ἐκ Ῥώμης, εἴς τινα πόλιν τῇ Χερσῶνι προσκειμένην ἔρημον πάντῃ καὶ αὐχμηράν, γίνεται· πολλοῖς δὲ δεινοῖς διὰ τιμὴν εἰς χριστὸν ὁμολογίαν ὠμιληκὼς, ὕστερον ἀγκύρᾳ σιδηρᾷ τὸν τραχήλε ἐξαρτηθείσῃ, τῷ τῆς θαλάσσης βυθῷ ἀπορρίπτεται· & paulo infra: ὁμολογουμένως ἦν τότε ἐπιστολὴ Εὐσέβιος ἱστορεῖ ὁ Παμφίλε, μεγάλωτε, καὶ ἄξιαν πολλῆ θαύματος. ἰδοὺ ὡς ἀπὸ τῆς Ῥωμαίων ἐκκλησίας δημοσιευομένην εἶναι. ἐν ᾗ καὶ πολλὰ νοήματα ἐκ τῆς προὸς Ἑβραίους τὸν ἀποστόλε Παύλε χρῆται ἐπιστολῆς· καὶ ἄλλη δὲ αὐτῆ φέρεται ἐπιστολὴ τῆς προτέρας κατὰ πολὺ ἀποδέουσα, περὶ ἧς ὁ αὐτὸς φησιν Εὐσέβιος μὴ ἐν ἐπισήμῃ ταύτης τὲς ἀρχαίους εἶναι. Vide ejusdem Niceph. cap. 35. lib. 2. & cap. 15. lib. 4. δ'

Δαμασκηνὸς εἰς τὰ παράλληλα.

Τῦ ἁγίε Κλήμβυτος ἐκ τῆς πρὸς Κορινθίους β'.

Ὁ τῆς παρόντων αἰθητικὸς σωϊήσιν ὡς ὅτε ἃ λογίζονται τινὲς εἶναι τερπνὰ ξυνά, καὶ μακρὰν ἐστὶ τῆς ἀπεχθῶν· ἀλλὰ καὶ πλῆτος πολλάκις μᾶλλον πενίας ἔθλιψε, καὶ ὑγεία πλέον ἠνίασε νόσε· καὶ καθόλε τῆς λυπηρῶν καὶ φλαυτῆς πάντων ὑπόθεσις καὶ ὕλη ἡ τῆς ἀσπασῶν καὶ κατ' ὄψιν περιβολή γίνεται.



Μ. Διονυσίου, Ἅγ. Κλήμης Ρώμης, 16ου αἰ. καὶ ἐπίτιτλα (κῶδ. 4ος)



Μ. Διονυσίου, Ἀποστολικοί Πατέρες, 16ου αἰ.





Μ. Διονυσίου, Χορός ἱερέων καί ἀναγνωστῶν ἐπί ἄμβωνος (κῶδ. 587 μ).

ΤΟΥ̃ ΑΓΙΟΥ ΚΛΗΜΕΝΤΟΣ,

ΤΟΥ̃ Ρ'ΩΜΗΣ Ε'ΠΙΣΚΟ'ΠΟΥ

ΕΠΙΣΤΟΛΗ' ΠΡΟ'Σ ΚΟΡΙΝΘΙ'ΟΥΣ ΠΡΩ'ΤΗ

Εκ' προσώπου τῆς Ρ'ωμαίων Ε'κκλησίας γραφεῖσα.

ΠΕΡΙ' ΤΟ'Ν ΧΡΟ'Ν. Χυ. 97.

(Η' Ε'κκλη) σία τοῦ Θεοῦ ἡ παροικοῦσα (Ρ'ώμην) τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ πα (ροικούσῃ Κόρινθον, κλητοῖς ἡγι) ασμένοις ἐν θελήματι Θεοῦ, διὰ (τοῦ κυρίου ἡμ.) ὧν Ἰησοῦ Χριστοῦ· (Χάρις ὑ) μῖν καὶ εἰρήνη ἀπὸ παντο (κράτο) ρος Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ πληθυνθείη, (ἐφ' ὑ) μῶν * ἰδίους, καὶ ἐπ' ἀλλήλους.

* f. ἰδίως καὶ ἐπαλλήλως.

(Διὰ γενομ) ένας ἡμῖν συμφορὰς καὶ (περιπτ) ώσεις, ἀδελφοὶ, * βράδειον * (δυσο) ίζομεν ἐπιστροφὴν πεποιη (κέν) αι, περὶ τῶν ἐπιζητουμένων (πα) ρ' ὑμῖν πραγμάτων, ἀγαπητοὶ, τῆς τε ἀλλοτρίας καὶ * ξένοις τοῖς ἐκλεκτοῖς τοῦ Θεοῦ, μιαρᾶς καὶ ἀνοσίου στάσεως, ἣν ὀλίγα πρόσωπα προπετῆ, καὶ αὐθάδη ὑπάρχοντα, εἰς τοσοῦτον ἀπονοίας ἐξέκαυσαν, ὥστε τὸ σεμνὸν, καὶ περιβόητον, καὶ πᾶσιν ἀνθρώποις ἀξιαγάπητον ὄνομα ὑμῶν, μεγάλως βλασφημηθῆναι. Τίς γὰρ παρεπιδημήσας πρὸς ὑμᾶς, τὴν πανάρετον, καὶ βεβαίαν ὑμῶν πίστιν οὐκ ἐδοκίμασεν; τήν τε σώφρωνα, καὶ ἐπιεικῆ ἐν Χριστῷ εὐσέβειαν οὐκ ἐθαύμασεν; καὶ τὸ μεγαλοπρεπὲς τῆς φιλοξενίας ὑμῶν ἦθος οὐκ ἐκήρυξεν; καὶ τὴν τελείαν, καὶ ἀσφαλῆ γνῶσιν οὐκ ἐμακάρισεν; ἀπροσωπολήπτως γὰρ πάντα ἐποιεῖτε, καὶ * τοῖς νόμοις τοῦ Θεοῦ ἐπορεύεσθε, ὑποτασσόμενοι τοῖς ἡγουμένοις ὑμῶν, καὶ τιμὴν τὴν καθήκουσαν ἀπονέμοντες τοῖς πάρ ὑμῶν πρεσβυτέροις· νέοις τε μέτρια, καὶ σεμνὰ νοεῖν ἐπετρέπετε· γυναιξίν τε ἐν ἀμώμῳ καὶ σεμνῇ, καὶ ἁγνῇ συνειδήσει ταῦτα ἐπιτελεῖν παρηγγέλλετε, στεργούσας καθηκόντως τοὺς ἄνδρας ἑαυτῶν ἔν τε τῷ κανόνι τῆς ὑποταγῆς ὑπαρκούσας, τὰ κατὰ τὸν οἶκον σεμνῶς οἰκουργεῖν ἐδιδάσκετε, πάνυ σωφρονούσας.

* f. βράδιον.
* f. νομίζομεν.
* l. ξένης.
* Clem. Al. ἐν τοῖς νομίμοις.

Πάντες τε ἐταπεινοφρονεῖτε, μηδὲν ἀλαζονευόμενοι, ὑποτασσόμενοι μᾶλλον, ἢ ὑποτάσσοντες. μᾶλλον διδόντες, ἢ λαμβάνοντες. τοῖς ἐφοδίοις τοῦ Θεοῦ ἀρκούμενοι, καὶ προσέχοντες τοὺς λόγους αὐτοῦ ἐπιμελῶς ἐστερνισμένοι ἦτε τοῖς σπλάγχνοις, καὶ τὰ παθήματα αὐτοῦ ἦν πρὸ ὀφθαλμῶν ὑμῶν. Οὕτως εἰρήνη βαθεῖα, καὶ λιπαρὰ ἐδέδοτο πᾶσιν, καὶ ἀκόρεστος πόθος εἰς ἀγαθοποιΐαν, καὶ πλήρης πνεύματος ἁγίου ἔκχυσις ἐπὶ πάντας ἐγίνετο. μεστοί τε ὁσίας βουλῆς ἐν ἀγαθῇ προθυμίᾳ μετ' εὐσεβοῦς πεποιθήσεως ἐξετείνατε τὰς χεῖρας ὑμῶν πρὸς τὸν παντοκράτορα Θεὸν, ἱκετεύοντες αὐτὸν * ἵλεως γενέσθαι, εἴτι ἄκοντες ἡμάρτετε. Ἀγὼν ἦν ὑμῖν ἡμέρας τε, καὶ νυκτὸς ὑπὲρ πάσης τῆς ἀδελφότητος, εἰς τὸ σώζεσθαι μετ' ἐλέους, καὶ συνειδήσεως τὸν ἀριθμὸν τῶν ἐκλεκτῶν αὐτοῦ. εἰλικρινεῖς, καὶ ἀκέραιοι ἦτε, καὶ * ἀναμνησίκακοι εἰς ἀλλήλους. Πᾶσα στάσις, καὶ πᾶν σχίσμα βδελυκτὸν ὑμῖν· ἐπὶ τοῖς παραπτώμασι * τοῖς πλησίον ἐπενθεῖτε. τὰ ὑστερήματα αὐτῶν ἴδια ἐκρίνετε. ἀμεταμέλητοι ἦτε ἐπὶ πάσῃ ἀγαθοποιΐᾳ. ἕτοιμοι εἰς πᾶν ἔργον τε ἀγαθόν. Τῇ παναρέτῳ, καὶ σεβασμίῳ πολιτείᾳ κεκοσμημένοι, πάντα ἐν τῷ φόβῳ αὐτοῦ ἐπετελεῖτε. Τὰ προστάγματα τοῦ κυρίου ἐπὶ τὰ πλάτη τῆς καρδίας ὑμῶν ἐγέγραπτο.

1. Πέτρ. 5. 5.
2. Μακαβ. 7. 37.
* f. ἵλεων.
Ἑβρ. 8. 11.
* f. ἀμνησίκακοι.
* f. τῶν τοῦ πλησίον.

Πᾶσα δόξα, καὶ πλατυσμὸς ἐδόθη ὑμῖν. καὶ ἐπετελέσθη τὸ γεγραμμένον. Ἔφαγεν, καὶ ἔπιεν, ἐπλατύνθη, καὶ ἐπαχύνθη, καὶ * ἀπεγαλάκτισεν ὁ ἠγαπημένος. Ἐκ τούτου ζῆλος, καὶ ἔρις, καὶ στάσις, διωγμὸς καὶ ἀκαταστασία, πόλεμος καὶ αἰχμαλωσία. Οὕτως ἐπηγέρθησαν οἱ ἄτιμοι ἐπὶ τοὺς ἐντίμους, οἱ ἄδοξοι ἐπὶ τοὺς ἐνδόξους, οἱ ἄφρονες ἐπὶ τοὺς φρονίμους, οἱ νέοι ἐπὶ τοὺς πρεσβυτέρους. διὰ τοῦτο πόρρω ἄπεστιν ἡ δικαιοσύνη, καὶ εἰρήνη, ἐν τῷ ἀπολείπειν ἕκαστον τὸν φόβον τοῦ Θεοῦ, καὶ ἐν τῇ πίστει αὐτοῦ ἀμβλυωπῆσαι. μεδὲ ἐν τοῖς νομίμοις τῶν προσταγμάτων αὐτοῦ πορεύεσθαι, μηδὲ πολιτεύεσθαι

Δευτερ. 32. 15.
* l. ἀπελάκτισεν.
Ἡσαΐ. 3. 5.

κατὰ τὸ καθῆκον τῷ Χριστῷ, ἀλλὰ ἕκαστον βαδί-
Παροιμ. 2. 24. ζειν κατὰ τὰς ἐπιθυμίας αὐτοῦ τὰς πονηρὰς, ζῆ-
λον ἄδικον, καὶ ἀσεβῆ ἀνειληφότας, δι' οὗ καὶ θάνα-
τος εἰσῆλθεν εἰς τὸν κόσμον.

Γέγραπται γὰρ οὕτως· Καὶ ἐγένετο μεθ' ἡμέ-
Γενέσ. 4. 3. ρας, ἤνεγκεν Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς
θυσίαν τῷ Θεῷ· καὶ Ἄβελ ἤνεγκεν καὶ αὐτὸς
ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων, καὶ ἀπὸ τῶν
στεάτων αὐτῶν. Καὶ ἐπεῖδεν ὁ Θεὸς ἐπὶ Ἄβελ,
καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ· ἐπὶ δὲ Κάϊν, καὶ ἐπὶ
ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν. Καὶ ἐλυπή-
θη Κάϊν ἄγαν, καὶ συνέπεσεν τῷ προσώπῳ
αὐτοῦ. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Κάϊν· ἵνα τί
περίλυπος ἐγένου; καὶ ἵνα τί συνέπεσεν τὸ πρό-
σωπόν σου; οὐκ ἐὰν ὀρθῶς προσενέγκῃς, ὀρθῶς
δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον. Πρός σε ἡ
ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ, Καὶ εἶ-
πεν Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ,
διέλθωμεν εἰς τὸ πεδίον. Καὶ ἐγένετο ἐν τῷ
εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ, ἀνέστη Κάϊν ἐπὶ Ἄβελ
τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν. Ὁρᾶ-
τε ἀδελφοὶ, ζῆλος, καὶ φθόνος ἀδελφοκτονίαν
κατειργάσατο. Διὰ ζῆλον ὁ πατὴρ ἡμῶν Ἰα-
κὼβ ἀπέδρα ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ
αὐτοῦ. Ζῆλος ἐποίησεν Ἰωσὴφ μέχριθανάτου
διωχθῆναι, καὶ μέχρι δουλείας εἰσελθεῖν. Ζῆλος
φεύγειν ἠνάγκασεν Μωϋσῆν ἀπὸ προσώπου Φα-
ραὼ βασιλέως Αἰγύπτου, ἐν τῷ ἀκοῦσαι αὐ-
Ἐξοδ. 2. 14. τὸν ἀπὸ τοῦ ὁμοφύλου· τίς σε κατέστησεν κρι-
τὴν, ἢ δικαστὴν ἐφ' ἡμῶν; μὴ ἀνελεῖν με σὺ
Ἀριθ. 12. θέλεις, ὃν τρόπον ἀνεῖλες ἐχθὲς τὸν Αἰγύ-
πτιον; Διὰ ζῆλον Ἀαρὼν, καὶ Μαριὰμ ἔξω τῆς
παρεμβολῆς ἠυλίσθησαν. Ζῆλος Δαθὰν, καὶ
Ἀριθ. 16. 33. Ἀβειρὼμ ζῶντας κατήγαγεν εἰς ᾅδου, διὰ τὸ στα-
σιάσαι αὐτοὺς πρὸς τὸν θεράποντα τοῦ Θεοῦ Μωϋ-
σῆν. Διὰ ζῆλον Δαβὶδ φθόνον ἔσχεν, οὐ μόνον
1. Βασιλ. 18. 8. ὑπὸ τῶν ἀλλοφύλων, ἀλλὰ καὶ ὑπὸ Σαοῦλ βασι-
λέως Ἰσραὴλ ἐδιώχθη.

Ἀλλ' ἵνα τῶν ἀρχαίων ὑποδειγμάτων παυσώ-
μεθα; ἔλθωμεν ἐπὶ τοὺς ἔγγιστα γενομένους
ἀθλητάς· λάβωμεν τῆς γενεᾶς ἡμῶν τὰ γενναῖα
ὑποδείγματα. Διὰ ζῆλον, καὶ φθόνον, (ἐκκλη-
σίας τοι) στοὶ, καὶ δικαιότατοι στύ (λοι ἐδιώ)
χθησαν, καὶ ἕως θανάτο (υ δεινοῦ.) Λάβωμεν
πρὸ ὀφθαλμῶ (ν ἡμῶν) τοὺς ἀγαθοὺς ἀπο-
στόλου (ς. Πέτρ) ος διὰ ζῆλον ἄδικον οὐχ
(ἕνα, οὐ) δὲ δύο, ἀλλὰ πλείονας ὑπ (έμεινεν)
πόνους, καὶ οὕτω μαρτυ (ρήσας) ἐπορεύθη εἰς τὸν
ὀφειλ (όμενον) τόπον τῆς δόξης. Διὰ ζῆλον (ὁ)
Παῦλος ὑπομονῆς βραβεῖον (ἀπέσχ) εν, ἑπτά-
κις δεσμὰ φορέσας, (ῥαβ) δευθεὶς, λιθασθεὶς,
κήρυξ (γεν) όμενος ἔν τε τῇ ἀνατολῇ, καὶ ἐν
(τῇ) δύσει, τὸ γενναῖον τῆς πίστεως αὐτοῦ κλέος
ἔλαβεν, δικαιοσύνην διδάξας ὅλον τὸν κόσμον,
κ (αὶ ἐπὶ) τὸ τέρμα τῆς δύσεως ἐλθὼν, καὶ
μαρτυρήσας ἐπὶ τῶν ἡγουμένων, οὕτως ἀπηλλάγη
τοῦ κόσμου, καὶ εἰς τὸν ἅγιον τόπον ἐπορεύθη, ὑπομο-
νῆς γενόμενος μέγιστος ὑπογραμμός.

Τούτοις τοῖς ἀνδράσιν θείως πολιτευσαμένοις
συνηθροίσθη πολὺ πλῆθος ἐκλεκτῶν, οἵτινες
* πολλαῖς αἰκίαις, καὶ βασάνοις διὰ ζῆλον παθόν- * ζ. πολλ. αἰκίας καὶ βασάνοις.
τες, ὑπόδειγμα κάλλιστον ἐγένοντο ἐν ἡμῖν. Διὰ
ζῆλον διωχθεῖσαι γυναῖκες Δαναΐδες, καὶ Δίρκη,
αἰκίσματα δεινὰ, καὶ ἀνόσια παθοῦσαι, ἐπὶ τὸν τῆς
πίστεως βέβαιον δρόμον κατήντησ (αν,) καὶ ἔλα-
βον γέρας γενναῖον αἱ ἀσθενεῖς τῷ σώματι. Ζῆ-
λος ἀπηλλοτρίωσεν γαμετὰς ἀνδρῶν, καὶ ἠλλοίωσεν
τὸ ῥηθὲν ὑπὸ τοῦ πατρὸς ἡμῶν Ἀδάμ· τοῦ (το) Γενέσ. 2.
νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός
μου. Ζῆλος, καὶ ἔρις πόλεις μεγάλας κατέστρεψεν,
καὶ ἔθνη μεγάλα ἐξερρίζωσεν.

Ταῦτα, ἀγαπητοὶ, οὐ μόνον ὑμᾶς νουθετοῦντες
ἐπιστέλλομεν, ἀλλὰ καὶ ἑαυτοὺς ὑπομνήσκον (τες.)
ἐν γὰρ τῷ αὐτῷ ἐσμὲν σκάμμ (ατι,) καὶ ὁ αὐ-
τὸς ἡμῖν ἀγὼν ἐπίκει (ται.) Διὸ ἀπολείπωμεν
τὰς κενὰς, κ (αὶ) ματαίας φροντίδας, καὶ ἔλθω
(μεν ἐπὶ τὸν εὐκλεῆ, καὶ σεμνὸν (τῆς ἁγίας κλή)
σεως ἡμῶν κανόνα. (Βλέπω) μεν τὶ καλόν, καὶ
τὶ τερπνὸν (καὶ προ) σδεκτὸν ἐνώπιον τοῦ ποι
(ήσαντ) ος ἡμᾶς. (Ἀτενίσ) ωμεν εἰς τὸ αἷ-
μα τοῦ Χριστοῦ, (καὶ ἴδω) μεν ὡς ἔστιν τίμιον τῷ
Θεῷ (αἷμα) αὐτοῦ, ὅ, τι διὰ τὴν ἡμετέραν
(σωτ) ηρίαν ἐκχυθὲν, παντὶ τῷ κό (σμῳ)
μετανοίας χάριν ὑπήνεγκεν. (Ἀτενίσ) ωμεν
εἰς τὰς γενεὰς πάσας (☾ κ) αταμάθωμεν ὅτι
ἐν γενεᾷ (καὶ) γενεᾷ μετανοίας τόπον ἔδω (κ)
εν ὁ δεσπότης τοῖς βουλομένοις ἐπιστραφῆναι ἐπ'
αὐτόν. Νῶε ἐκήρυξεν μετάνοιαν, καὶ ὑπακούσαντες
ἐσώθησαν. Ἰωνᾶς Νινευΐταις καταστροφὴν ἐκή- Ἰωνᾶ 3.
ρυξεν, οἱ δὲ μετανοήσαντες ἐπὶ τοῖς ἁμαρτή-
μασιν αὐτῶν, ἐξιλάσαντο τὸν Θεὸν ἱκετεύσαν-
τες, καὶ ἔλαβον σωτηρίαν, καί περ ἀλλότριοι τοῦ
Θεοῦ ὄντες.

Οἱ λειτουργοὶ τῆς χάριτος τοῦ Θεοῦ διὰ πνεύμα-
τος ἁγίου περὶ μετανοίας ἐλάλησαν, καὶ αὐτὸς δὲ ὁ
δεσπότης τῶν ἁπάντων περὶ μετανοίας ἐλάλησεν
μετὰ ὅρκου. Ζῶ γὰρ ἐγὼ, λέγει κύριος, οὐβούλο- Γεζεκ. 33.
μαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν·
προστιθεὶς καὶ γνώμην ἀγαθήν· Μετανοήσατε οἶκος
Ἰσραὴλ ἀπὸ τῆς ἀνομίας ὑμῶν. Εἶπον τοῖς υἱοῖς
τοῦ λαοῦ μου· ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ἀπὸ τῆς Ἡσαΐ. 1.
γῆς ἕως τοῦ οὐρανοῦ, καὶ ἐὰν ὦσιν πυῤῥότεραι κόκκου,
καὶ μελανώτεραι σάκκου, καὶ ἐπιστραφῆτε πρός με ἐξ
ὅλης τῆς καρδίας, καὶ εἴπητε, Πάτερ· ἐπακούσομαι
ὑμῶν ὡς * λαῷ ἁγίῳ. Καὶ ἐν ἑτέρῳ τόπῳ λέγει * λαῷ ἁγίῳ
οὕτως. Λούσασθε καὶ καθαροὶ γενέσθε, ἀφελέσθε Ἡσαΐ. 1.
τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, ἀπέναντι
τῶν ὀφθαλμῶν μου· παύσασθε ἀπὸ τῶν πονηριῶν
ὑμῶν, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν,
ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε
χήρᾳ, καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει·
Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς
χιόνα λευκανῷ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς
ἔριον λευκανῷ· καὶ ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ
ἀγαθὰ τῆς γῆς φάγεσθε. ἐὰν δὲ μὴ θέλητε, μηδὲ
εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. τὸ γὰρ
στόμα κυρίου ἐλάλησε ταῦτα. Πάντας οὖν τοὺς ἀγα-
πητοὺς αὐτοῦ βουλόμενος μετανοίας μεταχεῖν, ἐστή-
ριξεν τῷ παντοκρατορικῷ βουλήματι αὐτοῦ.

Διὸ ἐπακούσωμεν τῇ μεγαλοπρεπεῖ, καὶ ἐνδόξῳ
βουλή-

βελήσει αὐτοῦ, καὶ ἱκέται γλυόμβμοι τῆ ἐλέυς, καὶ τ χρησότητος αὐτοῦ, προσπέσωμβμ, ⁊ ἐπισρέψωμβμ ἐπὶ τοὺς οἰκτιρμοὺς αὐτῆ, ἀπολιπόντες τλὶ ματαιοπονοίαν, τλώτε ἔειν, καὶ * τὸ εἰς θάνατον * ἄγον ζῆλος. Ἀτενίσωμβμ εἰς τοὺς τελείως λειτυργήσαντας τῇ μεγαλοπρεπεῖ δόξῃ αὐτοῦ. Λάβωμβμ Ἐνώχ, ὃς ἐν ὑπακοῇ δίκαιος εὑρεθεὶς μετετέθη, καὶ οὐχ εὑρέθη αὐτῆ θάνατος. Νῶε πιστὸς εὑρεθεὶς, διὰ τῆς λειτυργίας αὐτῆ παλιγγλυεσίαν κόσμῳ ἐκήρυξεν, καὶ διέσωσεν δι' αὐτῆ ὁ δεσπότης τὰ εἰσελθόντα ἐν ὁμονοίᾳ ζῶα εἰς τλὼ κιβωτόν.

* f. τὸν.
* f. ἄγοντα ζῆλον.

Εβρ. 11.

Ἀβραὰμ ὁ φίλος προσαγορλθεὶς, πιστὸς εὑρέθη, ἐν τῷ αὐτὸν ὑπήκοον γλυέσθαι τοῖς ῥήμασι τῆ Θεῆ. ὅτος δι' ὑπακοῆς ἐξῆλθεν ἐκ τῆς γῆς αὐτῆ, καὶ ἐκ τῆς συγγενείας αὐτῆ, καὶ ἐκ τῆ οἴκυ τῆ πατρὸς αὐτῆ, ὅπως γλῶ ὀλίγλω, καὶ συγγένειαν ἀσθενῆ, καὶ οἶκον μικρὸν καταλιπὼν, κληρονομήσῃ τὰς ἐπαγγελίας τῆ Θεῆ. Λέγει γὰρ αὐτῷ· Ἄπελθε ἐκ τῆς γῆς συ, καὶ ἐκ τῆς συγγενείας συ, καὶ ἐκ τοῦ οἴκυ τοῦ πατρός συ, εἰς τλὼ γλῶ ἣν ἄν σοι δείξω. καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ ἐλογήσω σε, καὶ μεγαλλωῶ τὸ ὄνομά συ, καὶ ἔσῃ ἐλογημβμένος· καὶ ἐλογήσω τοὺς ἐλογοῦντάς σε, καὶ καταράσομαι τοὺς καταρωμένους σε, ἐλογηθήσονται σὲ σοι πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Καὶ πάλιν ἐν τῷ ὄχλῳ ἐλθεῖν αὐτὸν ἀπὸ Λὼτ, εἶπεν αὐτῷ ὁ Θεός. Ἀναβλέψας τοῖς ὀφθαλμοῖς συ, ἴδε ἀπὸ τῆ τόπυ ὄ νῦν σὺ εἶ, πρὸς βορρᾶν, καὶ λίβα, καὶ ἀνατολὰς, καὶ θάλασσαν. ὅτι πᾶσαν τλὴ γλῶ ἣ σὺ ὁρᾶς, σοὶ δώσω αὐτλὼ, καὶ τῷ σπέρματί συ, ἕως αἰῶνος. καὶ ποιήσω τὸ σπέρμα συ ὡς τλὼ ἄμμον τῆς γῆς. εἰ δυνάται τις ἐξαριθμῆσαι τλὼ ἄμμον τῆς γῆς, καὶ τὸ σπέρμα συ ἐξαριθμηθήσεται. Καὶ πάλιν λέγει. Ἐξήγαγεν ὁ Θεὸς τὸν Ἀβραὰμ, καὶ εἶπεν αὐτῷ· Ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ ἀρίθμησον τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς, ὕτως ἔσαι τὸ σπέρμα συ. Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσλλν. Διὰ πίστιν, καὶ φιλοξενίαν ἐδόθη αὐτῷ υἱὸς ἐν γήρᾳ, καὶ δι' ὑπακοῆς προσλνέγκεν αὐτὸν θυσίαν τῷ Θεῷ πρὸς ἓν τῶν ὀρέων, ὧν ἔδειξεν αὐτῷ.

Γενέσ. 12. 1.

Γενέσ. 13. 14.

Γενέσ. 15. 5 6.

Γενέσ. 22.

Διὰ φιλοξενίαν καὶ ἀσέβειαν Λὼτ ἐσώθη ἐκ Σοδόμων, τῆς περιχώρυ πάσης κριθείσης διὰ πυρὸς καὶ θείυ. Πρόδηλον ποιήσας ὁ δεσπότης ὅτι τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν οὐκ ἐγκαταλείπει, τοὺς δὲ ἑτεροκλινεῖς ὑπάρχοντας εἰς κόλασιν, καὶ αἰχισμὸν τίθησι. σλνεξελθόσης * παρ' αὐτῷ τῆς γυναικὸς, ἑτερογνώμονος ὑπαρχόσης, καὶ οὐκ ἐν ὁμονοίᾳ, εἰς τοῦτο σημεῖον ἐτέθη, ὥσε γλυέσθαι αὐτλὼ σήλλω ἅλὸς ἕως τῆς ἡμέρας ταύτης. εἰς τὸ γνωστὸν εἶναι πᾶσιν, ὅτι οἱ δίψυχοι, καὶ οἱ δισάζοντες περὶ τῆς τῆ Θεῆ δλνάμεως, εἰς κρῖμα, καὶ εἰς σημείωσιν πάσαις ταῖς γενεαῖς γίνονται.

Σοφ. 19. 2. Πέτρ. 2. 6.

* f. γὰρ.

Διὰ πίστιν καὶ φιλοξενίαν ἐσώθη Ῥαὰβ ἡ πόρνη. Ἐκπεμφθέντων γὰρ ὑπὸ Ἰησῆ τῆ Ναυῆ κατασκοπῶν εἰς τλὼ Γεριχῶ, ἔγνω ὁ βασιλεὺς τῆς γῆς ὅτι ἦκασι κατασκοπεῦσαι τλὼ χώραν αὐτῆ, καὶ ἐξέπεμψεν ἄνδρας τοὺς συλλημψομένους αὐτούς, ὅπως συλληφθέντες θανατωθῶσιν. Ἡ δὲ φιλόξεν-

Ἰησ. 2. Εβρ. 11. 31.

Ῥαὰβ εἰσδεξαμένη αὐτές, ἔκρυψεν εἰς τὸ ὑπερῶον ὑπὸ τλὺ λινοκαλάμυ. Ἐπισαθέντων δὲ τῶν παρὰ τῆ βασιλέως, καὶ λεγόντων· (ἄνδρες πορός σε ἦλ) θον οἱ κατασκοποὶ τῆς (γῆς ἡμῶν,) ἐξάγαγε αὐτές, ὁ γὰρ βα(σιλεὺς ἔ) τως κελεύει. Ἡ δὲ ἀπεκρίθη· εἰσῆλθον (οἱ δύο ἂν) ἄρες ὡς ζητεῖτε πρός μέ, (ἀλλὰ ταχέ) ως ἀπῆλθαν, καὶ πορεύον(ται· ἐχ) υποδεικνύσα αὐτοῖς ἑ(κάστης.) Καὶ εἶπεν πρὸς τοὺς ἄνδρας· (γινώ) σκετα γινώσκω ἐγώ, ὅτι (κύριος ὁ Θεὸς) ὑμῶν παραδίδωσιν ὑμῖν (τλὺ πό) λιν ταύτλν, ὁ γὰρ φόβος καὶ (ῥό) μος ὑμῶν ἐπέπεσεν τοῖς κα(τοι) κοῦσιν αὐτλύ. Ὡς ἐὰν ἓν γέ (νηται) λαβεῖν αὐτλὺ ὑμᾶς, θλασώσατέμε, καὶ τὸν οἶκον τῆ πατρός μυ. Καὶ εἶπον αὐτῇ· ἔσαι ὅπως, ὡς ἐλάλησας ἡμῖν· Ὡς ἐὰν ἓν γνῶς παραγινομένους ἡμᾶς, σωκάξεις πάντας τοὺς σοὺς ὑπὸ τὸ στέγος συ, καὶ θλασωθήσονται· ὅσοι γὰρ ἐὰν εὑρεθῶσιν ἔξω τῆς οἰκίας, ἀπολοῦνται. Καὶ προσέθετο αὐτῇ δοῦναι σημεῖον, ὅπως κρεμάσῃ ἐκ τῆ οἴκυ αὐτῆς κόκκινον· προδήλον ποιοῦντες, ὅτι διὰ τῆ αἵματος τῆ κυρίυ λύτρωσις ἔσαι πᾶσι τοῖς πιστεύουσιν, καὶ ἐλπίζουσιν ἐπὶ τὸν Θεόν. Ὁρᾶτε ἀγαπητοὶ, οὐ μόνον πίστις, ἀλλὰ προφητεία ἐν τῇ γυναικὶ γέγονεν.

Ταπεινοφρονήσωμβμ οὖν ἀδελφοὶ, ἀποθέμβμοι πᾶσαν ἀλαζονείαν, καὶ τύφον, καὶ ἀφροσλνην, καὶ ὀργάς, καὶ ποιήσωμβμ τὸ γεγραμμένον· λέγει γὰρ τὸ πνεῦμα τὸ ἅγιον. Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτῆ, μηδὲ ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύι αὐτῆ, μηδὲ ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτῆ· ἀλλ' ὁ καυχώμβμος, ἐν κυρίῳ καυχάσθω, τὸ ἐκζητεῖν αὐτὸν, καὶ ποιεῖν κρῖμα, καὶ δικαιοσλνην (λω.) μάλιστα μεμνημένοι τῶν λόγων τῆ κυρίυ Ἰησῆ, ὡς ἐλάλησε διδάσ(κων) ἐπιείκειαν, καὶ μακροθυμίαν. (Οὕ) τως γὰρ εἶπεν· Ἐλεεῖτε ἵνα ἐλεη(θῆ) τε, ἀφίετε ἵνα ἀφεθῇ ὑμῖν. (ὡς) ποιεῖτε οὕτω ποιηθήσεται ὑ(μῖν,) ὡς δίδοτε, ὕτω δοθήσεται ὑ(μῖν,) ὡς κρίνετε ὕτω κριθήσεται (ὑμῖν,) ὡς χρηστεύεσθε ὕτως χρη(στευθήσ)εται ὑμῖν. ᾧ μέτρῳ με (ξεῖτε,) ἐν αὐτῷ μετρηθήσεται ὑμῖν. (Ταύτῃτ) ῇ συπλῇ καὶ ταῖς παραγγέλ(μασι) πειθόμβμοι ἐαυ(τὸς) τὸ πορεύεσθαι ὑπηκόυς (ἀεὶ) ταῖς ἁγιοπρεπέσι λόγοις αὐ(τῦ,) ταπεινοφρονοῦντες. (Φησί) γὰρ ὁ ἅγι(ος) λόγος· Ἐπί τίνα(ἐπι)βλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πραῦν, καὶ (ἡσύ)χιον, καὶ τρέμοντά μυ τοὺς λόγυς;

Γενέσ. 18. 1. Ἰησ. 6. 16. Δευτ. 8. 16. Ἡσ. 66. 2. Παροιμ. 3. 11. 2. Κορ. 2. 17. 2. Κορ. 10. 17. 1. Κορ. 1. 31.

(Δεῖ) καιον ὂν, καὶ ὅσιον, ἄνδρες ἀδελφοὶ, ὑπηκόυς ἡμᾶς μᾶλλον γενέσθαι τῷ Θεῷ, ἢ τοῖς ἐν ἀλαζονείᾳ, καὶ ἀκαταστασίᾳ μυσαρᾶ ζήλυ ἀρχηγοῖς ἐξακολυθεῖν. Βλάβλω γὰρ ἃ τυχὸσαν, μᾶλλον δὲ κίνδυνον ὑποίσομβμ μέγαν, ἐὰν ῥιψοκινδύνως ἐπιδῶμβμ ἑαυτοὺς τοῖς θελήμασι τῶν ἀνθρώπων, οἵτινες ἐξακοντίζουσιν εἰς ἕεν, καὶ τάσεις, εἰς τὸ ἀπαλλοτριῶσαι ἡμᾶς τῆ καλῶς ἐχόντος. Χρησόμβμεθα αὐτοῖς κατὰ τλὼ εἰσπλαγτος. Χρησόμβμεθα αὐτοῖς κατὰ τλὼ εἰσπλαγχνίαν, καὶ γλυκύτητα τῆ ποιήσαντ@ ἡμᾶς. Γεγραπται γὰρ. Χρηστοὶ ἔσονται οἰκήτορες γῆς, ἄκακοι δὲ ὑπολειφθήσονται ἐπ' αὐτῆς· οἱ δὲ παρανομοῦντες ἐξολοθρλθήσονται ἀπ' αὐτῆς. Καὶ πάλιν λέγει. Εἶδον ἀσεβῆ ὑπερυψόμβμον, καὶ

Παροιμ. 2. 21. 22.

Ψαλμ. 36. 35.

αἰρό-

αἱρόμενον ὡς τὰς χέδρους τοῦ λιβάνου. καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν. καὶ ἐξεζήτησα τὸν τόπον αὐτοῦ, καὶ οὐχ εὗρον. φύλαξαι ἀκακίαν, καὶ ἴδε εὐθύτητα, ὅτι ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.

Τοίνυν κολληθῶμεν τοῖς μετ' εὐσεβείας εἰρηνεύουσιν, ἢ μὴ τοῖς μεθ' ὑποκρίσεως βουλομένοις εἰρηνεύειν. λέγει γάρ που. Οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέστιν ἀπ' ἐμοῦ. Καὶ πάλιν. Τῷ στόματι αὐτῶν εὐλόγουν, τῇ δὲ καρδίᾳ κατηρῶντο. Καὶ πάλιν λέγει· Ἠγάπησαν αὐτὸν τῷ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ, ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. * Ἀλλὰ γενηθήτω τὰ χείλη τὰ δόλια * γλῶσσαν μεγαλορρήμονα. τὸν εἰπόντας. τίνι γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστιν, τίς ἡμῶν κύριός ἐστιν; ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ ἀπὸ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, λέγει κύριος. θήσομαι ἐν σωτηρίᾳ, παρρησιάσομαι ἐν αὐτῷ.

Ταπεινοφρονούντων γάρ ἐστιν ὁ Χριστός, ἐκ ἐπαιρομένων ἐπὶ τὸ ποίμνιον αὐτοῦ. Τὸ σκῆπτρον τῆς μεγαλωσύνης τοῦ Θεοῦ ὁ κύριος ἡμῶν Χριστὸς Ἰησοῦς, ἐκ ἦλθεν ἐν κόμπῳ ἀλαζονείας, οὐδὲ ὑπερηφανίας, καίπερ δυνάμενος· ἀλλὰ ταπεινοφρονῶν, καθὼς τὸ πνεῦμα τὸ ἅγιον περὶ αὐτοῦ ἐλάλησεν. Φησὶ γάρ. Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; ἀνηγγείλαμεν ἐναντίον αὐτοῦ ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ· ὅτι οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα. καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐλλεῖπον παρὰ τὸ εἶδος τῶν ἀνθρώπων. Ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ πόνῳ, καὶ εἰδὼς φέρειν μαλακίαν· ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Πάντες ὡς πρόβατα ἐπλανήθημεν, ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ κύριος παρέδωκεν αὐτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἦρθη· τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἦκεν εἰς θάνατον. Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. Ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν ταῖς πληγαῖς. Ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον. Καὶ κύριος βούλεται ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς· καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. Διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα. ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ τοῖς ἀνόμοις ἐλογίσθη. καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθη. Καὶ πάλιν αὐτός φησιν· Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὀνειδισμὸς ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ. Πάντες οἱ θεωροῦντές με, ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. Ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν, σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν· Ὁρᾶτε, ἄνδρες ἀγαπητοί, τίς ὁ ὑπογραμμὸς ὁ δεδομένος ἡμῖν· εἰ γὰρ ὁ κύριος ὅτως ἐταπεινοφρόνησε, τί ποιήσομεν ἡμεῖς οἱ ὑπὸ τὸν ζυγὸν τῆς χάριτος αὐτοῦ * ἐλθόντος;

Μιμηταὶ γενώμεθα κἀκείνων, οἵτινες ἐν δέρμασιν αἰγείοις, καὶ μηλωταῖς περιεπάτησαν, κηρύσσοντες * τὴν ἔλευσιν τοῦ Χριστοῦ· λέγομεν δὲ Ἠλίαν, καὶ Ἐλισσαῖον, ἔτι δὲ καὶ Ἰεζεκιὴλ τοὺς προφήτας, πρὸς τούτοις καὶ τοὺς μεμαρτυρημένους. Ἐμαρτυρήθη μεγάλως Ἀβραάμ, καὶ φίλος προσηγορεύθη τοῦ Θεοῦ. καὶ λέγει, ἀτενίζων εἰς τὴν δόξαν τοῦ Θεοῦ ταπεινοφρονῶν. Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. Ἔτι δὲ καὶ περὶ Ἰὼβ οὕτω γέγραπται· Ἰὼβ δὲ ἦν ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ· ἀλλ' αὐτὸς ἑαυτὸν κατηγορῶν λέγει, οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου (πολλοὶ δὲ οὐδὲ εἷς) μιᾶς ἡμέρας ἡ ζωὴ αὐτοῦ. Μωϋσῆς πιστὸς ἐν ὅλῳ (τῷ οἴκῳ) αὐτοῦ ἐκλήθη, καὶ διὰ τῆς (σκηνῆς) σίας αὐτοῦ ἔκρινεν ὁ Θεὸς (ῥύσαι τὸν Ἰσραὴλ) ἀπὸ τῶν μασίγων, καὶ τῶν (αἱμάτων) σμάτων αὐτῶν· ἀλλὰ κἀκεῖνος (εἷς) δοξασθεὶς μεγάλως, οὐκ ἐμέ (γε) λοιδορήσει, ἀλλ' εἶπεν, ἐ (κ τῆς) βάτου χρηματισμῷ αὐτῷ δεδο (μέ) νον· Τίς εἶμι ἐγώ, ὅτι με πέμπ (εις;) Ἐγὼ δέ εἰμι ἰσχνόφωνος καὶ β (αρύγλωσσος. Καὶ πάλιν λέγει· Ἐγὼ δέ εἰμι ἀτιμὶς ἀπὸ χύτρας.

Τί δὲ εἴπωμεν ἐπὶ τῷ μεμαρτυρημένῳ Δαβὶδ, πρὸς ὃν εἶπεν ὁ Θεός· Εὗρον ἄνδρα κατὰ τὴν καρδίαν μου, Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἐν ἐλαίῳ αἰωνίῳ ἔχρισα αὐτόν; ἀλλὰ καὶ αὐτὸς λέγει πρὸς τὸν Θεόν· Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐν ὀφθαλμοῖς μου ἐστὶν διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσωμαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μὲ ἀγαλλίασιν, καὶ εὐφροσύνην. ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν (σου) σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός,

* f. ἄλλα
* f. add. πολεμθρίσαι κύριε σύντα τὰ χείλη τὰ δόλια, καὶ
Ψαλ. 30. 19
Ψαλ. 11. 4.
Ἡσαΐ. 29. 13.
Ψαλ. 61. 5.
Ψαλ. 77. 36.
Ἡσαΐ 53. 1.
* f. ἐλθόντος.
Ἑβρ. 11. 13
* τοῦ λαοῦ.
Ἡσαΐ. 41.
Ἰώαν. 1. 29
Γεν. 18. 27
Ἰώβ. 1. 8
Ἰώβ. 14. 4
* f. ἐν ᾧ
Ἀποκ. 11. 3
Ἑβρ. 9. 1.
* f. ὕσσωπος
Ἔξοδ. 3. 11
Ἔξοδ. 4. 10
Ψαλ. 50. 9

ὁ Θεὸς, καὶ πνεῦμα εὐθὺ ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπο (ῤῥί) ψῃς με ἀπὸ προσώπου σου, (καὶ τὸ πνεῦ) μα τὸ ἅγιόν σου μὴ ἀντανέ (λῃς ἀπ' ἐ) μοῦ. Ἀπόδος μοι τὴν ἀγαλ (λίασιν τ) οῦ σωτηρίου σου, καὶ πνεύματι (ἡγεμο) νικῷ στήριξόν με. Διδά- (ξω ἀνό) μους τὰς ὁδούς σου, καὶ ἀ (σεβεῖς) ἐπιστρέψουσιν ἐπὶ σέ. (Ῥῦσαί) με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τ (σωτ) ηρίας μου, (ἀγαλλι) άσεται ἡ γλῶσσά μου τὴν (δικ) αιοσύνην σου. Κύριε τὸ στόμα μου (ἀν) οίξεις, καὶ τὰ χείλη μου ἀναγ (γε) λεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠ (θ) έλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουθενώσει.

Τῶν τοσούτων οὖν καὶ τοιούτων οὕτως μεμαρτυρημένων τὸ ταπεινόφρον, καὶ τὸ ὑποδεὲς διὰ τῆς ὑπακοῆς, οὐ μόνον ἡμᾶς, ἀλλὰ καὶ τὰς πρὸ ἡμῶν γενεὰς, βελτίους ἐποίησεν, τούς τε καταδεξαμένους τὰ λόγια αὐτοῦ ἐν φόβῳ καὶ ἀληθείᾳ. Πολλῶν δὲ μεγάλων καὶ ἐνδόξων μετειληφότες πράξεων, ἐπαναδράμωμεν ἐπὶ τὸν ἐξ ἀρχῆς παραδεδομένον ἡμῖν τῆς εἰρήνης σκοπὸν, καὶ ἀτενίσωμεν εἰς τὸν πατέρα καὶ κτίστην τοῦ σύμπαντος κόσμου, καὶ ταῖς μεγαλοπρεπέσι καὶ ὑπερβαλούσαις αὐτοῦ δωρεαῖς τῆς εἰρήνης, διέργεσίαις τε κολληθῶμεν. Ἴδωμεν αὐτὸν κατὰ διάνοιαν, καὶ ἐμβλέψωμεν τοῖς ὄμμασι τῆς ψυχῆς εἰς τὸ μακρόθυμον αὐτοῦ βούλημα· νοήσωμεν πῶς ἀόργητος, ὑπάρχει πρὸς πᾶσαν τὴν κτίσιν αὐτοῦ.

Οἱ οὐρανοὶ τῇ διοικήσει αὐτοῦ σαλευόμενοι ἐν εἰρήνῃ ὑποτάσσονται αὐτῷ. Ἡμέρα τε καὶ νύξ, τὸν πεταγ (μὸν) ὑπ' αὐτοῦ δρόμον διανύ (ο) υσιν, μηδὲν ἀλλήλοις ἐμποδί (ζ) οντα. Ἥλιός τε καὶ σελήνη, ἀσέ (ρ) ωντε χοροὶ, κατὰ τὴν διαταγὴν (αὐτοῦ ἐν ὁμονοίᾳ δίχα πάσης (πα) ρεκβάσεως, ὑπηρετοῦσιν (το) ὺς ἐπιτεταγμένους αὐτοῖς ὁρισμούς. Γῆ καυχωμένη, κατὰ τὸ θέλημα αὐτοῦ τοῖς ἰδίοις καρποῖς τὴν παμπληθῆ ἀνθρώποις τε καὶ θηρσὶ, καὶ πᾶσι τοῖς ὅσα ἐν αὐτῇ ζώοις ἀνατέλλει τροφὴν, μὴ διχοστατοῦσα μηδὲ ἀλλοιοῦσά τι τῶν δεδογματισμένων ὑπ' αὐτοῦ. Ἀβύσσων τε ἀνεξιχνίαστα, καὶ νερτέρων ἀνεκδιήγητα κρίματα τοῖς αὐτοῖς συνέχεται προστάγμασιν. Τὸ κῦτος τῆς ἀπείρου θαλάσσης κατὰ τὴν δημιουργίαν αὐτοῦ συναθὲν εἰς τὰς συναγωγὰς, οὐ παρεκβαίνει τὰ περιτεθειμένα αὐτῇ χείθρα, ἀλλὰ καθὼς διέταξεν αὐτῇ, ὕδωρ ποιεῖ. Εἶσιν γάρ. Ἕως ὧδε ἥξεις, καὶ τὰ κύματά σου ἐν σοὶ συντριβήσεται. Ὠκεανὸς ἀνθρώποις ἀπέραντος, καὶ οἱ μετ' αὐτὸν κόσμοι ταῖς αὐταῖς ταγαῖς τοῦ δεσπότου διοδεύονται. Καιροὶ ἐαρινοὶ, καὶ θερινοὶ, καὶ μετοπωρινοὶ, καὶ χειμερινοὶ ἐν εἰρήνῃ μεταπαραδίδόασιν ἀλλήλοις. Ἀνέμων σταθμοὶ κατὰ τὸν ἴδιον καιρὸν τὴν λειτουργίαν αὐτῷ ἀπροσκόπως ἐπιτελοῦσιν. Ἀένναοί τε πηγαὶ πρὸς ἀπόλαυσιν καὶ ὑγίειαν δημιουργηθεῖσαι, δίχα ἐλλείψεως παρέχονται τοῖς πρὸς ζωὴν ἀνθρώποις μαζούς. Τά τε ἑλάχιστα τῶν ζώων τὰς συνελεύσεις αὐτῷ ἐν ὁμονοίᾳ καὶ εἰρήνῃ ποιοῦνται. Ταῦτα πάντα ὁ μέγας δημιουργὸς καὶ δεσπότης τῶν ἁπάντων ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ προσέταξεν εἶναι, ἐργάζεται τὰ πάντα, ὑπερεκπερισσῶς δὲ ἡμᾶς τοὺς προσπεφυγότας τοῖς οἰκτιρμοῖς αὐτοῦ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ μεγαλωσύνη εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁρᾶτε, ἀγαπητοὶ, μὴ αἱ διέργεσίαι αὐτοῦ αἱ πολλαὶ γένωνται εἰς κρῖμα πᾶσιν ἡμῖν, ἐὰν μὴ ἀξίως αὐτοῦ πολιτευόμενοι, τὰ καλὰ καὶ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιῶμεν μετ' ὁμονοίας. Λέγει γάρ που. Πνεῦμα κυρίου λύχνος ἐρευνῶν τὰ ταμεῖα τῆς γαστρός. Γνῶμεν πῶς ἐγγύς ἐστιν, καὶ ὅτι οὐδὲν λέληθεν αὐτὸν τῶν ἐνθυμήσεων ἡμῶν, οὐδὲ τῶν διαλογισμῶν ὧν ποιούμεθα. Δίκαιον οὖν ἐστιν μὴ λειποταχτεῖν ἡμᾶς ἀπὸ τοῦ θελήματος αὐτοῦ. Μᾶλλον ἀνθρώποις ἄφροσι καὶ ἀνοήτοις καὶ ἐπαιρομένοις καὶ ἐγκαυχωμένοις ἐν ἀλαζονείᾳ τοῦ λόγου αὐτῶν, προσκόψωμεν, ἢ τῷ Θεῷ. Τὸν κύριον Ἰησοῦν Χριστὸν, ὃ τὸ αἷμα ὑπὲρ ἡμῶν ἐδόθη ἐνθυμηθῶμεν. Τοὺς προηγουμένους ἡμῶν αἰδεσθῶμεν, τοὺς πρεσβυτέρους ἡμῶν τιμήσωμεν, τοὺς νέους παιδεύσωμεν τὴν παιδείαν τοῦ φόβου τοῦ Θεοῦ. Τὰς γυναῖκας ἡμῶν ἐπὶ τὸ ἀγαθὸν διορθωσώμεθα, τὸ ἀξιαγάπητον τῆς ἁγνείας ἦθος ἐνδεικνύσθωσαν, τὸ ἀκέραιον τῆς πραΰτητος αὐτῶν βούλημα ἀποδεικνύτωσαν, τὸ ἐπιεικὲς τῆς γλώσσης αὐτῶν διὰ τῆς * φωνῆς φανερὸν ποιησάτωσαν, τὴν ἀγάπην αὐτῶν μὴ κατὰ προσκλίσεις, ἀλλὰ πᾶσι τοῖς φοβουμένοις τὸν Θεὸν ὁσίως, ἴσην παρεχέτωσαν, τὰ τέκνα * ὑμῶν τῆς ἐν Χριστῷ παιδείας μεταλαμβανέτωσαν, μαθέτωσαν τί ταπεινοφροσύνη παρὰ Θεῷ ἰσχύει, τί ἀγάπη ἁγνὴ παρὰ τῷ Θεῷ δύναται, πῶς ὁ φόβος αὐτοῦ καλὸς καὶ μέγας καὶ σώζων πάντας τοὺς ἐν αὐτῷ ὁσίως ἀναστρεφομένους ἐν καθαρᾷ * διανοίᾳ. Ἐρευνητὴς γάρ ἐστιν ἐννοιῶν καὶ ἐνθυμήσεων, οὗ ἡ πνοὴ αὐτοῦ ἐν ἡμῖν ἐστιν, καὶ ὅταν θέλῃ ἀνέλοι αὐτά.

Ταῦτα δὲ πάντα βεβαιοῖ ἡ ἐν Χριστῷ πίστις. Καὶ γὰρ αὐτὸς διὰ τοῦ πνεύματος τοῦ ἁγίου οὕτως προσκαλεῖται ἡμᾶς· Δεῦτε τέκνα, ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, * καὶ χείλη τοῦ μὴ λαλῆσαι δόλον· ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ πρὸς δέησιν αὐτῶν· πρ (όσωπον δὲ) κυρίου ἐπὶ ποιοῦντας κακὰ, (τοῦ ἐξολο) θρεῦσαι ἐκ γῆς τὸ μνημ (όσυνον) αὐτῶν. Ἐκέκραξεν ὁ δ (ίκαιος,) καὶ ὁ κύριος εἰσήκουσεν αὐ (τοῦ, καὶ ἐκ) τῶν θλίψεων (ἐρρύ) σατο αὐτόν. Πολλαὶ αἱμα (τωλαὶ) τοῦ ἁμαρτωλοῦ, τοὺς δὲ ἐ (λπίζον) τας ἐπὶ κύριον ἔλεος κυκλώσ (ει.)

Ὁ οἰκτίρμων κατὰ πάντα κ (αὶ ἐλε) ητικὸς πατὴρ ἔχει σπλάγχνα ἐ (πὶ) φοβουμένους αὐτὸν, ἡδέως (τε) καὶ προθύμως τὰς χάριτας αὐτ (οῦ) ἀποδίδοῖ, τοῖς προσερχομέν (ο) ις αὐτῷ ἁπλῇ διανοίᾳ. Διὸ μὴ διψυχῶμεν, μηδὲ ἐνδαλλέσθω ἡ ψυχὴ ἡμῶν ἐπὶ ταῖς ὑπερβαλλούσαις καὶ ἐνδόξοις δωρεαῖς αὐτοῦ. Πόρρω γενέσθω ἀφ' ἡμῶν ἡ γραφὴ αὐτὴ, ὅπου λέγει· Ταλαίπωροι εἰσὶν οἱ δίψυχοι,

οἱ διςάζοντες τὴν ψυχὴν, οἱ λέγοντες. Ταῦτα ἠκούσαμεν καὶ ἀπὸ τῶν πατέρων ἡμῶν, καὶ ἰδοὺ γεγηράκαμεν, καὶ οὐδὲν ἡμῖν τούτων συμβέβηκεν. Ὦ ἄνοητοι, συμβάλλετε ἑαυτοὺς ξύλῳ· λάβετε ἄμπελον. πρῶτον μὲν φυλλορροεῖ, εἶτα βλαςὸς γίνεται, εἶτα φύλλον ἄνθος, καὶ μετὰ ταῦτα ὄμφαξ, εἶτα ςαφυλὴ παρεςηκυῖα. Ὁρᾶτε ὅτι ἐν καιρῷ ὀλίγῳ εἰς πέπειρον καταντᾷ ὁ καρπὸς τοῦ ξύλου· ἐπ' ἀληθείας ταχὺ καὶ ἐξαίφνης τελειωθήσεται τὸ βούλημα αὐτοῦ, συνεπιμαρτυρούσης καὶ τῆς γραφῆς, ὅτι ταχὺ ἥξει ὁ κύριος εἰς τὸν ναὸν αὐτοῦ, καὶ ὁ ἅγιος ὃν ἡμεῖς προσδοκᾶτε.

Κατανοήσωμεν, ἀγαπητοὶ, πῶς ὁ δεσπότης ἐπιδείκνυται διηνεκῶς ἡμῖν τὴν μέλλουσαν ἀνάςασιν ἔσεσθαι, ἧς τὴν ἀπαρχὴν ἐποιήσατο τὸν κύριον Ἰησοῦν Χριςὸν, ἐκ νεκρ(ῶν) ἀναςήσας. Ἴδωμεν, ἀγαπητοὶ τὴν κατὰ κα(ιρὸν) γινομένην ἀνάςασιν. Ἡμέρ(α καὶ) νὺξ ἀνάςασιν ἡμῖν δηλοῦσ(ιν,) κοιμᾶται ἡ νὺξ, ἀνίςαται ἡ (μέρα,) ἡ ἡμέρα ἄπεισιν, νὺξ * (ἐπέρχεται. Ἴδωμ) εν τοὺς καρπούς· ὁ σπόρος (πᾶσι δῆλόν) τινα τρόπον γίνεται· Ἐξῆλ(θεν ὁ σπ) είρων καὶ ἔβαλεν εἰς τὴν γῆν, καὶ (βληθέ)ντων σπερμάτων, ἅτινα πέ(πτωκεν ἐ)ις τὴν γῆν ξηρὰ καὶ γυμνὰ, δι(αλύει χρόνος·) εἶτ' ἐκ τῆς διαλύσεως ἡ μεγά(λη δύναμ)ις τῆς προνοίας τοῦ δεσπότου (ἀνίς)ησιν αὐτὰ, καὶ ἐκ τοῦ ἑνὸς πλεί(ονα αὔ)ξει καὶ ἐκφέρει καρπόν.

(Ἴδω)μεν τὸ παράδοξον σημεῖον, τὸ (γιν)όμενον ἐν τοῖς ἀνατολικοῖς (τό)ποις; τουτέςιν τοῖς περὶ τὴν Ἀραβίαν. Ὄρνεον γάρ ἐςιν ὃ προσονομάζεται Φοῖνιξ· τοῦτο μονογενὲς ὑπάρχον ζῇ ἔτη πεντακόσια· γενόμενόν τε ἤδη πρὸς ἀπόλυσιν τοῦ ἀποθανεῖν αὐτὸ, σηκὸν ἑαυτῷ ποιεῖ ἐκ λιβάνου, καὶ σμύρνης, καὶ τῶν λοιπῶν ἀρωμάτων, εἰς ὃν πληρωθέντος τοῦ χρόνου εἰσέρχεται, καὶ τελευτᾷ· σηπομένης δὲ τῆς σαρκὸς σκώληξ τις γενᾶται, ὃς ἐκ τῆς ἰκμάδος τοῦ τετελευτηκότος ζώου ἀνατρεφόμενος, πτεροφυεῖ· εἶτα γενναῖος γενόμενος, αἴρει τὸν σηκὸν ἐκεῖνον, ὅπου τὰ ὀςᾶ τοῦ προγεγονότος ἐςὶν, καὶ ταῦτα βαςάζων, διανεύει ἀπὸ τῆς Ἀραβικῆς χώρας ἕως τῆς Αἰγύπτου, εἰς τὴν λεγομένην Ἡλιούπολιν· καὶ ἡμέρας βλεπόντων πάντων ἐπιπτὰς, ἐπὶ τὸν τοῦ ἡλίου βωμὸν τίθησιν αὐτὰ, καὶ οὕτως εἰς τοὐπίσω ἀφορμᾷ. Οἱ οὖν ἱερεῖς ἐπισκέπτονται τὰς ἀναγραφὰς τῶν χρόνων, καὶ εὑρίσκουσιν αὐτὸν πεντακοσιοςοῦ ἔτους πεπληρωμένου ἐληλυθέναι.

Μέγα καὶ θαυμαςὸν οὖν νομίζομεν εἶναι, εἰ ὁ δημιουργὸς τῶν πάντων ἀνάςασιν ποιήσεται τῶν ὁσίως αὐτῷ δουλευσάντων ἐν πεποιθήσει πίςεως ἀγαθῆς, ὅπου καὶ δι' ὀρνέου δείκνυσιν ἡμῖν τὸ μεγαλεῖον τῆς ἐπαγγελίας αὐτοῦ; (Λ)έγει γάρ που. Καὶ ἐξαναςήσεις με, (κ)αὶ ἐξομολογήσομαί σοι. (Κ)αί· ἐκοιμήθην καὶ ὕπνωσα, ἐξη(γέ)ρθην, ὅτι σὺ μετ' ἐμοῦ εἶ. (Καὶ) πάλιν Ἰὼβ λέγει· Καὶ ἀναςήσεις (τὴν) σάρκα μου ταύτην, τὴν ἀναντλήσασαν ταῦτα πάντα.

Ταύτῃ οὖν τῇ ἐλπίδι προσδεδέσθωσαν αἱ ψυχαὶ ἡμῶν τῷ πιςῷ ἐν ταῖς ἐπαγγελίαις, καὶ τῷ δικαίῳ ἐν τοῖς κρίμασιν. Ὁ παραγγείλας μὴ ψεύδεσθαι, πολλῷ μᾶλλον αὐτὸς οὐ ψεύσεται. Οὐδὲν γὰρ ἀδύνατον παρὰ τῷ Θεῷ, εἰ μὴ τὸ ψεύσασθαι. Ἀναζωπυρησάτω οὖν ἡ πίςις αὐτοῦ ἐν ἡμῖν, καὶ νοήσωμεν ὅτι πάντα ἐγγὺς αὐτῷ ἐςιν. Ἐν λόγῳ τῆς μεγαλωσύνης αὐτοῦ συνεςήσατο τὰ πάντα, καὶ ἐν λόγῳ δύναται αὐτὰ καταςρέψαι. τίς ἐρεῖ αὐτῷ, τί ἐποίησας; ἢ τίς ἀντιςήσεται τῷ κράτει τῆς ἰσχύος αὐτοῦ; ὅτε θέλει καὶ ὡς θέλει, ἐποίησεν πάντα, καὶ οὐδὲν μὴ παρέλθῃ τῶν δεδογματισμένων ὑπ' αὐτοῦ. Πάντα ἐνώπιον αὐτοῦ εἰσι, καὶ οὐδὲν λέληθεν τὴν βουλὴν αὐτοῦ. Εἰ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ ςερέωμα· * ἡ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν· καὶ οὐκ εἰσὶ λόγοι οὐδὲ λαλιαὶ, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

Πάντων οὖν βλεπομένων καὶ ἀκουομένων, φοβηθῶμεν αὐτὸν, καὶ ἀπολείπωμεν φαύλων ἔργων μιαρὰς ἐπιθυμίας, ἵνα τῷ ἐλέει αὐτοῦ * σκεπάσωμεν ἀπὸ τῶν μελλόντων κριμάτων. Ποῦ γάρ τις ἡμῶν δύναται φεύγειν ἀπὸ τῆς κραταιᾶς χειρὸς αὐτοῦ; ποῖος δὲ κόσμος δέξεταί τινα τῶν αὐτομολούντων ἀπ' αὐτοῦ; Λέγει γάρ που τὸ γραφεῖον· Ποῦ ἀφήξω, καὶ ποῦ κρυβήσομαι ἀπὸ τοῦ προσώπου σου; ἐὰν ἀναβῶ εἰς οὐρανόν, σὺ εἶ ἐκεῖ· ἐὰν ἀπέλθω εἰς τὰ ἔσχατα τῆς γῆς, ἐκεῖ ἡ δεξιὰ σου· ἐὰν καταςρώσω εἰς τὰς ἀβύσσους, ἐκεῖ τὸ πνεῦμά σου. Ποῖ οὖν τις ἀπέλθῃ, ἢ ποῦ ἀποδράσῃ ἀπὸ τοῦ τὰ πάντα ἐμπεριέχοντος;

Προσέλθωμεν οὖν αὐτῷ ἐν ὁσιότητι ψυχῆς, ἁγνὰς καὶ ἀμιάντους χεῖρας αἴροντες πρὸς αὐτὸν, ἀγαπῶντες τὸν ἐπιεικῆ καὶ εὔσπλαγχνον πατέρα ἡμῶν, ὃς * ἐκλογῆς μέρος ἐποίησεν ἑαυτῷ. Οὕτω γὰρ γέγραπται, Ὅτε διεμέρισεν ὁ ὕψιςος ἔθνη, ὡς * δὲ ἔσπειρεν υἱοὺς Ἀδὰμ, ἔςησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων· ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακώβ. σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. Καὶ ἐν ἑτέρῳ τόπῳ λέγει· Ἰδοὺ κύριος λαμβάνει ἑαυτῷ ἔθνος ἐκ μέσου ἐθνῶν, ὥσπερ λαμβάνει ἄνθρωπος τὴν ἀπαρχὴν αὐτοῦ τῆς ἅλω, καὶ ἐξελεύσεται ἐκ τοῦ ἔθνους ἐκείνου, ἅγια ἁγίων.

Ἁγίου οὖν μερὶς ὑπάρχοντες, ποιήσωμεν τὰ τοῦ ἁγιασμοῦ πάντα, φεύγοντες καταλαλιὰς, μιαράς τε καὶ * ἁγνοὺς συμπλοκὰς, μέθας τε καὶ νεωτερισμοὺς, καὶ βδελυκτὰς ἐπιθυμίας, μυσαρὰν μοιχείαν, βδελυκτὴν ὑπερηφανίαν. Θεὸς γάρ, φησὶν, ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Κολληθῶμεν οὖν ἐκείνοις, οἷς ἡ χάρις ἀπὸ τοῦ Θεοῦ δέδοται. Ἐνδυσώμεθα τὴν ὁμόνοιαν, ταπεινοφρονοῦντες, ἐγκρατευόμενοι, ἀπὸ παντὸς ψιθυρισμοῦ καταλαλιᾶς πόρρω ἑαυτοὺς ποιοῦντες, ἔργοις δικαιούμενοι, καὶ μὴ λόγοις. Λέγει γάρ. Ὁ τὰ πολλὰ λέγων, καὶ ἀντακούσεται· ἢ ὁ εὔλαλος οἴεται εἶναι δίκαιος; εὐλογημένος γενητὸς γυναικὸς ὀλιγόβιος. Μὴ πολὺς ἐν ῥήμασιν γίνου. Ὁ ἔπαινος ἡμῶν ἔςω ἐν Θεῷ, καὶ μὴ ἐξ αὐτῶν αὐτεπαινετοὺς γὰρ μισεῖ ὁ Θεός. Ἡ μαρτυρία τῆς ἀγαθῆς πράξεως ἡμῶν διδόσθω ὑπ' ἄλλων, καθὼς ἐδόθη τοῖς πατράσιν ἡμῶν τοῖς δικαίοις. Θράσος καὶ αὐθάδεια καὶ τόλμα τοῖς κατηραμένοις ὑπὸ τοῦ Θεοῦ,

Θεοῦ, ἐπιείκεια καὶ ταπεινοφροσύνη καὶ πραΰτης, παρὰ τοῖς εὐλογημένοις ὑπὸ τοῦ Θεοῦ.

Κολληθώμεν οὖν τῇ εὐλογίᾳ αὐτοῦ, καὶ ἴδωμεν τίνες αἱ ὁδοὶ τῆς εὐλογίας. Ἀνατυλίξωμεν τὰ ἀπ' ἀρχῆς γενόμενα. Τίνος χάριν εὐλογήθη ὁ πατὴρ ἡμῶν Ἀβραάμ; οὐχὶ δικαιοσύνην καὶ ἀλήθειαν διὰ πίστεως ποιήσας; Ἰσαὰκ μετὰ πεποιθήσεως γινώσκων τὸ μέλλον, ἡδέ (ὡς ἐγένε) το θυσία. Ἰακὼβ μετὰ ταπεινοφρ (οσύνης) ἐξεχώρησεν τῆς γῆς αὐ (τοῦ φεύγων ἀδελ) φὸν, καὶ ἐπορεύθη πρὸς (Λάβαν, καὶ ἐδούλευσεν· καὶ ἐδό (θη αὐτῷ) τὸ δωδεκασκῆπτρον τοῦ (Ἰσραήλ.) (Εἴ) τις καθ' ἓν ἕκαστον εἰλικρι (νῶς) κατανοήση, ἐπιγνώσεται (τὰ με) γαλεῖα τῶν ὑπ' αὐτοῦ δεδομ(ένων) δωρεῶν. Ἐξ αὐτοῦ γὰρ ἱερεῖ (ς) καὶ λευῖται πάντες οἱ λειτουργ (οῦν) τες τῷ θυσιαστηρίῳ τοῦ Θεοῦ· ἐξ αὐτοῦ ὁ κύριος Ἰησοῦς τὸ κατὰ σάρκα· ἐξ αὐτοῦ βασιλεῖς, καὶ ἄρχοντες, καὶ ἡγούμενοι, κατὰ τὸν Ἰούδαν· τὰ δὲ λοιπὰ σκῆπτρα αὐτοῦ οὐκ ἐν μικρᾷ δόξῃ ὑπάρχουσιν, ὡς ἐπαγγειλαμένου τοῦ Θεοῦ, ὅτι ἔσται τὸ σπέρμα σου· ὡς οἱ ἀστέρες τοῦ οὐρανοῦ.

Πάντες οὖν ἐδοξάσθησαν καὶ ἐμεγαλύνθησαν οὐ δι' αὐτῶν, ἢ τῶν ἔργων αὐτῶν, ἢ τῆς δικαιοπραγίας ἧς κατειργάσαντο, ἀλλὰ διὰ τοῦ θελήματος αὐτοῦ. Καὶ ἡμεῖς οὖν διὰ θελήματος αὐτοῦ ἐν Χριστῷ Ἰησοῦ κληθέντες, οὐ δι' ἑαυτῶν δικαιούμεθα, οὐδὲ διὰ τῆς ἡμετέρας σοφίας, ἢ συνέσεως, ἢ εὐσεβείας, ἢ ἔργων ὧν κατειργασάμεθα ἐν ὁσιότητι καρδίας· ἀλλὰ διὰ τῆς πίστεως. δι' ἧς πάντας τοὺς ἀπ' αἰῶνος ὁ παντοκράτωρ Θεὸς ἐδικαίωσεν· ᾧ ἔστω δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

f. ἀργήσομεν. Τί οὖν ποιήσωμεν ἀδελφοί; * ἀργήσωμεν ἀπὸ τῆς ἀγαθοποιΐας, καὶ ἐγκαταλείπωμεν τὴν ἀγάπην; μηδαμῶς τοῦτο ἐάσαι ὁ δεσπότ (ης) ἐφ' ἡμῖν γενηθῆναι· ἀλλὰ σπεύσωμεν μετὰ ἐκτενεία (ς) καὶ προθυμίας, πᾶν ἔργον ἀγα (θὸν) ἐπιτελεῖν. Αὐτὸς γὰρ δημιουργὸς, καὶ δεσπότης τῶν ἁπάντων ἐπὶ τοῖς ἔργοις αὐτοῦ ἀγαλλιᾶται. Τῷ γὰρ παμμεγεθεστάτῳ αὐτοῦ κράτει οὐρανοὺς ἐστήριξεν καὶ τῇ ἀκαταλήπτῳ αὐτοῦ συνέσει διεκόσμησεν αὐτούς. Γῆν τε ἐχώρισεν ἀπὸ τοῦ περιέχοντος αὐτὴν ὕδατος, καὶ ἥδρασεν ἐπὶ τὸν ἀσφαλῆ τοῦ ἰδίου βου(λήμα) τος θεμέλιον· τά τε ἐν αὐ (τῇ ζῶ) α φοιτῶντα, τῇ ἑαυτοῦ (προστά) ξει ἐκέλευσεν εἶναι. Θάλασ (σάν τε κ) αὶ τὰ ἐν αὐτῇ ζῶα προδημι (ουργήσ) ας, ἐνέκλεισεν τῇ ἑαυτοῦ (δυ) νάμει. Ἐπὶ πᾶσι τὸ ἐξοχώτατον, (καὶ) παμμεγεθὲς κατὰ διάνοιαν, (ἄνθρ) ωπον, ταῖς ἱεραῖς καὶ ἀμώμοις χερσὶν ἔπλασεν, τῆς ἑαυτοῦ εἰκόνος χαρακτῆρα. Οὕτω γάρ φησιν ὁ Θεός· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον. ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Ταῦτα οὖν πάντα τελειώσας, ἐπήνεσεν αὐτὰ. καὶ ηὐλόγησεν, καὶ εἶπεν· Αὐξάνεσθε καὶ πληθύνεσθε· Ἴδωμεν ὅτι τὸ ἐν ἔργοις ἀγαθοῖς πάντες ἐκοσμήθησαν οἱ δίκαιοι. Καὶ αὐτὸς οὖν ὁ κύριος ἔργοις ἑαυτὸν κοσμήσας, ἐχάρη. Ἔχοντες οὖν τοῦτον τὸν ὑπογραμμὸν, ἀόκνως προσέλθωμεν τῷ θελήματι αὐτοῦ· ἐξ ὅλης ἰσχύος ἡμῶν ἐργασώμεθα ἔργον δικαιοσύνης.

Ὁ ἀγαθὸς ἐργάτης μετὰ παῤῥησίας λαμβάνει τὸν ἄρτον τοῦ ἔργου αὐτοῦ· ὁ νωθρὸς καὶ παρειμένος, οὐκ ἀντοφθαλμεῖ τῷ ἐργοπαρέκτῃ αὐτοῦ. Δέον οὖν ἐστι προθύμους ἡμᾶς εἶναι εἰς ἀγαθοποιΐαν· ἐξ αὐτοῦ γάρ ἐστι τὰ πάντα. Προλέγει γὰρ ἡμῖν. Ἰδοὺ ὁ κύριος, καὶ ὁ μισθὸς αὐτοῦ πρὸ προσώπου αὐτοῦ, ἀποδοῦναι ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ. Προτρέπεται οὖν ἡμᾶς ἐξ ὅλης τῆς καρδίας ἐπ' αὐτῷ, μὴ ἀργοὺς μήτε παρειμένους εἶναι ἐπὶ πᾶν ἔργον ἀγαθόν. Τὸ καύχημα ἡμῶν καὶ ἡ παῤῥησία ἔστω ἐν αὐτῷ· ὑποτασσώμεθα τῷ θελήματι αὐτοῦ· κατανοήσωμεν τὸ πᾶν πλῆθος τῶν ἀγγέλων αὐτοῦ, πῶς τῷ θελήματι αὐτοῦ λειτουργοῦσιν παρεστῶτες. Λέγει γάρ ἡ γραφή. Μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ, καὶ χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ. Καὶ ἐκέκραγον. ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαὼθ, πλήρης πᾶσα κτίσις τῆς δόξης αὐτοῦ. Καὶ ἡμεῖς οὖν ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτὸ συναχθέντες, τῇ συνειδήσει, ὡς ἐξ ἑνὸς στόματος βοήσωμεν πρὸς αὐτὸν ἐκτενῶς, εἰς τὸ μετόχους ἡμᾶς γενέσθαι τῶν μεγάλων καὶ ἐνδόξων ἐπαγγελιῶν αὐτοῦ. Λέγει γὰρ Ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ὅσα ἑτοίμασεν τοῖς ὑπομένουσιν αὐτόν.

Ὡς μακάρια καὶ θαυμαστὰ τὰ δῶρα τοῦ Θεοῦ, ἀγαπητοί! ζωὴ ἐν ἀθανασίᾳ, λαμπρότης ἐν δικαιοσύνῃ, ἀλήθειᾳ ἐν παῤῥησίᾳ, πίστις ἐν πεποιθήσει, ἐγκράτεια ἐν ἁγιασμῷ, καὶ ταῦτα ὑπέπιπτεν πάντα ὑπὸ τὴν διάνοιαν ἡμῶν. Τίνα οὖν ἄρα ἐστὶν τὰ ἑτοιμαζόμενα τοῖς ὑπομένουσιν; ὁ δημιουργὸς καὶ πατὴρ τῶν αἰώνων, ὁ πανάγιος, αὐτὸς γινώσκει τὴν ποσότητα καὶ τὴν καλλονὴν αὐτῶν. Ἡμεῖς οὖν ἀγωνισώμεθα εὑρεθῆναι ἐν τῷ ἀριθμῷ τῶν ὑπομενόντων αὐτὸν, ὅπως μεταλάβωμεν τῶν ἐπηγγελμένων δωρεῶν. Πῶς δὲ ἔσται τοῦτο, ἀγαπητοί; ἐὰν ἐστηριγμένη ᾖ διάνοια ἡμῶν ** πίστεως πρὸς τὸν Θεὸν, ἐὰν ἐκζητῶμεν τὰ εὐάρεστα καὶ εὐπρόσδεκτα αὐτῷ, ἐὰν ἐπιτελέσωμεν τὰ ἀνήκοντα τῇ ἀμώμῳ βουλήσει αὐτοῦ, καὶ ἀκολουθήσωμεν τῇ ὁδῷ τῆς ἀληθείας ἀπορρίψαντες ἀφ' ἑαυτῶν πᾶσαν ἀδικίαν καὶ ἀνομίαν, πλεονεξίαν, ἔρεις, κακοηθείας τε καὶ δόλους, ψιθυρισμούς τε καὶ καταλαλιὰς, θεοστυγίαν, ὑπερηφανίαν τε καὶ ἀλαζονείαν, κενοδοξίαν τε καὶ * ἀφιλοξενίαν. Ταῦτα γὰρ οἱ πράσσοντες, στυγητοὶ τῷ Θεῷ ὑπάρχουσιν. οὐ μόνον δὲ οἱ πράσσοντες αὐτὰ, ἀλλὰ καὶ οἱ συνευδοκοῦντες αὐτοῖς. Λέγει γὰρ ἡ γραφή· Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου ἐπὶ στόματός σου; σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις. Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκεν δολιότητας. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. Ταῦτα ἐποίησας, καὶ ἐσίγησα, ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. Ἐλέγξω σε καὶ παραστήσω σε κατὰ πρόσωπόν σου. Σύνετε

** f. add. διὰ

* f. φιλοκενίαν καὶ ἀφιλοξενίαν.

νετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, μήποτε ἁρπάσῃ ὡς λέων, καὶ μὴ ᾖ ὁ ῥυόμενος. Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς ἣν δείξω αὐτῷ τὸ σωτήριον τοῦ Θεοῦ.

Αὕτη ἡ ὁδὸς, ἀγαπητοὶ, ἐν ᾗ εὕρομεν τὸ σωτήριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἀρχιερέα τῶν προσφορῶν ἡμῶν, τὸν προστάτην καὶ βοηθὸν τῆς ἀσθενείας ἡμῶν. Διὰ τούτου ἀτενίσωμεν εἰς τὰ ὕψη τῶν οὐρανῶν, διὰ τούτου ἐνοπτρισώμεθα τὴν ἄμωμον καὶ ὑπερτάτην ὄψιν αὐτοῦ. διὰ τούτου ἠνεώχθησαν ἡμῶν οἱ ὀφθαλμοὶ τῆς καρδίας· διὰ τούτου ἡ ἀσύνετος καὶ ἐσκοτισμένη διάνοια ἡμῶν ἀναθάλλει εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς. διὰ τούτου ἠθέλησεν ὁ δεσπότης τῆς ἀθανάτου γνώσεως ἡμᾶς γεύσασθαι· ὃς ὢν ἀπαύγασμα τῆς μεγαλωσύνης αὐτοῦ, τοσούτῳ μείζων ἐστὶν ἀγγέλων, ὅσῳ διαφορώτερον ὄνομα κεκληρονόμηκεν. Γέγραπται γὰρ οὕτως· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· ἐπὶ δὲ τῷ υἱῷ αὐτοῦ οὕτως εἶπεν ὁ δεσπότης. Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σοῦ, κ(αὶ τὴν * κατά) σχεσιν τὰ πέρατα τ(ῆς γῆς.) Καὶ πάλιν λέγει πρὸς αὐ(τόν. Κάθου) ἐκ δεξιῶν μου, ἕως ἂν (θῶ τοὺς) ἐχθρούς σου ὑποπόδιο(ν τῶν πο) δῶν σου. Τίνες οἱ (ἐχθροὶ αὐτοῦ;) οἱ φαῦλοι καὶ ἀντιτασσ(όμενοι τοῦ Θεοῦ) τῷ θελήματι τὸ θέλημα (ἴδιον.)

Στρατευσώμεθα οὖν, ἂν (δρες ἀδελ) φοὶ, μετὰ πάσης ἐκ τενεί(ας ἐν τοῖς) ἀμώμοις προστάγμασιν (αὐτοῦ.) Κατανοήσωμεν τοὺς στρατ(ευο) μένους τοῖς ἡγουμένοις ἡ(μῶν,) πῶς εὐτάκτως, πῶς εὐεκτ(ικῶς,) πῶς ὑποτεταγμένως ἐπιτελ(οῦ)σι τὰ διατασσόμενα. Οὐ πάντ(ες) εἰσὶν ἔπαρχοι, οὐδὲ χιλίαρχοι, οὐδὲ ἑκατόνταρχοι, οὐδὲ πεντηκόνταρχοι, οὐδὲ τὸ καθεξῆς· ἀλλ' ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι τὰ ἐπιτασσόμενα ὑπὸ τοῦ βασιλέως καὶ τῶν ἡγουμένων ἐπιτελεῖ. Οἱ μεγάλοι δίχα τῶν μικρῶν οὐ δύνανται εἶναι, οὐδὲ οἱ μικροὶ δίχα τῶν μεγάλων· σύγκρασις τίς ἐστιν ἐν πᾶσι, καὶ ἐν τούτοις χρῆσις. Λάβωμεν τὸ σῶμα ἡμῶν· ἡ κεφαλὴ δίχα τῶν ποδῶν οὐδὲν ἐστιν, οὕτως οὐδὲ πόδες δίχα τῆς κεφαλῆς· τὰ δὲ ἐλάχιστα μέλη τοῦ σώματος ἡμῶν ἀναγκαῖα καὶ εὔχρηστά εἰσιν ὅλῳ τῷ σώματι. ἀλλὰ πάντα συμπνεῖ, καὶ ὑπο(τα)γῇ μιᾷ χρῆται εἰς τὸ σώζεσθαι ὅλον.

Σωζέσθω οὖν ἡμῶν ὅλον τὸ σῶμα ἐν Χριστῷ Ἰησοῦ, καὶ ὑποτασσέσ(θω) ἕκαστος τῷ πλησίον αὐτοῦ, κα(θὼς) καὶ ἐτέθη ἐν τῷ χαρίσματι αὐτοῦ. Ὁ ἰσχυρὸς μὴ * πλημμελείτω τὸν ἀσθενῆ, ὁ δὲ ἀσθενὴς ἐντρεπέτω τὸν ἰσχυρόν. ὁ πλούσιος ἐπιχορηγείτω τῷ πτωχῷ, ὁ δὲ πτωχὸς εὐχαριστείτω τῷ Θεῷ, ὅτι ἔδωκεν αὐτῷ δι' οὗ ἀναπληρωθῇ αὐτοῦ τὸ ὑστέρημα· ὁ σοφὸς ἐνδεικνύσθ(ω) τὴν σοφίαν αὐτοῦ, μὴ ἐν λόγοις, ἀλλ' ἐν ἔργοις ἀγαθοῖς· ὁ ταπεινοφρονῶν μὴ ἑαυτῷ μαρτυρείτ(ω,) ἀλλ' ἐάτω * ὑφ' ἑτέρου ἑαυτὸν μ(αρ)τυρεῖσθαι· ὁ ἁγνὸς ἐν τῇ σαρκὶ * καὶ μὴ ἀλαζονευέσθω, γινώσ(κων ὅτι ἔτε)ρός ἐστιν ὁ ἐπιχορηγῶν (αὐτῷ) τὴν ἐγκράτειαν. Ἀναλογι(σώμε)θα οὖν ἀδελφοὶ, ἐκ ποίας (ὕλης) ἐγενήθημεν, ποῖοι καὶ τί(νες εἰ) σήλθομεν εἰς τὸν κόσμον, (ὡς ἐκ τ)οῦ τάφου καὶ σκότους· (ὁ ποιή)σας ἡμᾶς καὶ δημιουργήσας, (εἰσήγ)αγεν εἰς τὸν κόσμον αὐτοῦ, (προε)τοιμάσας τὰς εὐεργεσίας (αὐτ)οῦ, πρὶν ἡμᾶς γενηθῆναι. (Ταῦτ)α οὖν πάντα ἐξ αὐτοῦ ἔχοντες, ὀφείλομεν κατὰ πάντα εὐχαριστεῖν (αὐ)τῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἄφρονες καὶ ἀσύνετοι καὶ μωροὶ καὶ ἀπαίδευτοι χλευάζουσιν ἡμᾶς καὶ μυκτηρίζουσιν, ἑαυτοὺς βουλόμενοι ἐπαίρεσθαι ταῖς διανοίαις αὐτῶν. Τί γὰρ δύναται θνητός; ἢ τίς ἰσχὺς γηγενοῦς; γέγραπται γάρ. Οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου. ἀλλ' ἢ αὔραν καὶ φωνὴν ἤκουον. Τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἔναντι κυρίου; ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνὴρ; εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν. οὐρανὸς δὲ οὐ καθαρὸς ἐνώπιον αὐτοῦ· ἔα δὲ, οἱ κατοικοῦντες οἰκίας πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμὲν; ἔπαισεν αὐτοὺς σητὸς τρόπον, καὶ ἀπὸ πρωΐθεν ἕως ἑσπέρας οὐκ ἔτι εἰσὶν. παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι, ἀπώλοντο. ἐνεφύσησεν αὐτοῖς, καὶ ἐτελεύτησαν, παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν. Ἐπικάλεσαι δὲ εἴ τίς σοι ὑπακούσεται, ἢ εἴ τινα ἁγίων ἀγγέλων ὄψει· καὶ γὰρ ἄφρονα ἀνερεῖ ὀργή· πεπλανημένον δὲ θανατοῖ ζῆλος. Ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζας βάλλοντας, ἀλλὰ εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα. Πόῤῥω γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας· κολαβρισθείησαν ἐπὶ θύραις ἡσσόνων, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος. Ἃ γὰρ ἐκείνοις ἠτοίμασται, δίκαιοι ἔδονται· αὐτοὶ δὲ ἐκ κακῶν οὐκ ἐξαίρετοι ἔσονται.

Προδήλων οὖν ἡμῖν ὄντων τούτων, καὶ ἐγκεκυφότες εἰς τὰ βάθη τῆς θείας γνώσεως, πάντα τάξει ποιεῖν ὀφείλομεν, ὅσα ὁ δεσπότης ἐπιτελεῖν ἐκέλευσεν. Κατὰ καιροὺς τεταγμένους τάς τε προσφορὰς καὶ λειτουργίας ἐπιτελεῖσθαι, καὶ οὐκ εἰκῇ ἢ ἀτάκτως (ἐκέλευσεν) γίνεσθαι, ἀλλ' ὡρισμένοις καιροῖς καὶ ὥραις· ποῦ τε καὶ διά τινων ἐπιτελεῖσθαι θέλει, αὐτὸς ὥρισεν τῇ ὑπερτάτῃ αὐτοῦ βουλήσει· ἵν' ὁσίως πάντα γινόμενα ἐν εὐδοκήσει, εὐπρόσδεκτα εἴη τῷ θελήματι αὐτοῦ. Οἱ οὖν τοῖς προστεταγμένοις καιροῖς ποιοῦντες τὰς προσφορὰς αὐτῶν, εὐπρόσδεκτοί τε καὶ μακάριοι· τοῖς γὰρ νομίμοις τοῦ δεσπότου ἀκολουθοῦντες οὐ διαμαρτάνουσιν. Τῷ γὰρ ἀρχιερεῖ ἰδίαι λειτουργίαι δεδομέναι εἰσὶ, καὶ τοῖς ἱερεῦσιν ἴδιος ὁ τόπος προστέτακται, καὶ λευΐταις ἰδίαι διακονίαι ἐπίκεινται, ὁ λαϊκὸς ἄνθρωπος τοῖς λαϊκοῖς προστάγμασιν δέδεται.

Ἕκαστος ἡμῶν, ἀδελφοὶ, ἐν τῷ ἰδίῳ τάγματι εὐχαριστείτω Θεῷ, ἐν ἀγαθῇ συνειδήσει ὑπάρχων, μὴ παρεκβαίνων τὸν ὡρισμένον τῆς λειτουργίας αὐτοῦ κανόνα, ἐν σεμνότητι. Οὐ πανταχοῦ, ἀδελφοὶ, προσφέρονται θυσίαι ἐνδελεχισμοῦ, ἢ εὐχῶν, ἢ περὶ ἁμαρτίας, καὶ * πλημμελίας, ἀλλ' ἐν Ἱερουσαλὴμ μόνῃ κἀκεῖ δὲ οὐκ ἐν παντὶ τόπῳ προσφέρεται, ἀλλ' ἔμπροσθεν τοῦ ναοῦ πρὸς τὸ θυσιαστήριον, μωμοσκοπηθὲν τὸ προσφερόμενον διὰ τοῦ ἀρχιερέως καὶ τῶν προειρημένων λειτουργῶν. Οἱ οὖν παρὰ τὸ καθῆκον τῆς βουλήσεως αὐτοῦ ποιοῦντές τι, θάνατον τὸ πρόστιμον ἔχουσιν. Ὁρᾶτε.

f. πλημμελείτω vel ἀπημελείτω.

f. ὑφ'.

καὶ deest in Clem. Al.

f. λεί

τε, ἀδελφοὶ, ὅσῳ πλείονος κατηξιώθημεν γνώσεως, τοσούτῳ μᾶλλον ὑποκείμεθα κινδύνῳ.

Οἱ ἀπόστολοι ἡμῖν εὐαγγελίσθησαν ἀπὸ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, Ἰησοῦς ὁ Χριστὸς ἀπὸ τοῦ Θεοῦ. Ἐξεπέμφθη ὁ Χριστὸς οὖν ἀπὸ τοῦ Θεοῦ, καὶ οἱ ἀπόστολοι ἀπὸ τοῦ Χριστοῦ· ἐγένοντο οὖν ἀμφότερα εὐτάκτως ἐκ θελήματος Θεοῦ. Παραγγελίας οὖν λαβόντες, καὶ πληροφορηθέντες διὰ τῆς ἀναστάσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ πιστοθέντες τῷ λόγῳ τοῦ Θεοῦ, μετὰ πληροφορίας πνεύματος ἁγίου, ἐξῆλθον εὐαγγελιζόμενοι τὴν βασιλείαν τοῦ Θεοῦ μέλλειν ἔρχεσθαι. Κατὰ χώρας οὖν καὶ πόλεις κηρύσσοντες καθίστανον τὰς ἀπαρχὰς αὐτῶν, δοκιμάσαντες τῷ πνεύματι, εἰς ἐπισκόπους καὶ διακόνους τῶν μελλόντων πιστεύειν. καὶ τοῦτο οὐ καινῶς· ἐκ γὰρ δὴ πολλῶν χρόνων ἐγέγραπτο περὶ ἐπισκόπων καὶ διακόνων, Οὕτως γάρ που λέγει ἡ γραφή· Καταστήσω τοὺς ἐπισκόπους αὐτῶν ἐν δικαιοσύνῃ καὶ τοὺς διακόνους αὐτῶν ἐν πίστει.

Καὶ τί θαυμαστὸν, εἰ οἱ ἐν Χριστῷ * πιστεύοντες παρὰ Θεοῦ ἔργον τοιοῦτο, κατέστησαν τοὺς προειρημένους; ὅπου καὶ ὁ μακάριος πιστὸς θεράπων ἐν ὅλῳ τῷ οἴκῳ Μωϋσῆς, * τὰ διατεταγμένα αὐτῷ πάντα ἐσημειώσατο ἐν ταῖς ἱεραῖς βίβλοις, ᾧ καὶ ἐπηκολούθησαν οἱ λοιποὶ προφῆται, συνεπιμαρτυροῦντες τοῖς ὑπ' αὐτοῦ νενομοθετημένοις. Ἐκεῖνος γὰρ ζήλου ἐμπεσόντος περὶ τῆς ἱερωσύνης, καὶ στασιαζουσῶν τῶν φυλῶν, ὁποία αὐτῶν εἴη τῷ ἐνδόξῳ ὀνόματι κεκοσμημένη, ἐκέλευσεν τοὺς δώδεκα φυλάρχους προσενεγκεῖν αὐτῷ ῥάβδους, ἐπιγεγραμμένας ἑκάστης φυλῆς κατ' ὄνομα· καὶ λαβὼν αὐτὰς ἔδησεν, καὶ ἐσφράγισεν τοῖς δακτυλίοις τῶν φυλάρχων, καὶ ἀπέθετο αὐτὰς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἐπὶ τὴν τράπεζαν τοῦ Θεοῦ· καὶ κλείσας τὴν σκηνὴν, ἐσφράγισεν τὰς κλεῖδας, ὡσαύτως καὶ τὰς ῥάβδους· καὶ εἶπεν αὐτοῖς· Ἄνδρες ἀδελφοὶ, ἧς ἂν φυλῆς ἡ ῥάβδος βλαστήσῃ, ταύτην ἐκλέλεκται ὁ Θεὸς εἰς τὸ ἱερατεύειν καὶ λειτουργεῖν αὐτῷ. Πρωΐας δὲ γενομένης, συνεκάλεσεν πάντα τὸν Ἰσραὴλ, τὰς ἑξακοσίας χιλιάδας τῶν ἀνδρῶν, (καὶ ἐπε) δείξατο τοῖς φυλάρχοις (τὰς σφρα) γίδας, καὶ ἤνοιξεν τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ προσ (ήνεγκεν) ῥάβδους. καὶ εὑρέθη ἡ ῥά (βδος) Ἀαρὼν οὐ μόνον βεβλα (στηκυῖα, ἀλλὰ καὶ καρπὸν ἔχουσα. Τί δοκεῖτε, ἀγαπητοί; οὐ π(ροέγνω) Μωϋσῆς τοῦτο μέλλειν ἔ (σεσθαι;) μάλιστα ἤδει· ἀλλ' ἵνα μὴ ἀ (καταστα) σία γένηται ἐν τῷ Ἰσραήλ, * οὕτ (ω ἐποί) ησεν εἰς τὸ δοξασθῆναι (τὸ ὄνο) μα τοῦ ἀληθινοῦ καὶ μόνου (Θεοῦ,) ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ οἱ ἀπόστολοι ἡμῶν ἔγνωσαν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἔρις ἔσται ἐπὶ τοῦ ὀνόματος τῆς ἐπισκοπῆς· διὰ ταύτην οὖν τὴν αἰτίαν πρόγνωσιν εἰληφότες τελείαν, κατέστησαν τοὺς προειρημένους, καὶ μεταξὺ ἐπιμονὴν δεδώκασιν ὅπως ἐὰν κοιμηθῶσιν, διαδέξωνται ἕτεροι δεδοκιμασμένοι ἄνδρες, τὴν λειτουργίαν αὐτῶν. Τοὺς οὖν καταστάθεντας ὑπ' ἐκείνων, ἢ μεταξὺ ὑφ' ἑτέρων ἐλλογίμων ἀνδρῶν, συνευδοκησάσης τῆς ἐκκλησίας πάσης, καὶ λειτουργήσαντας ἀμέμπτως τῷ ποιμνίῳ τοῦ Χριστοῦ μετὰ ταπεινοφροσύνης, ἡσύχως καὶ ἀβαναύσως μεμαρτυρημένους τε πολλοῖς χρόνοις ὑπὸ πάντων, τούτους οὐ δικαίως νομίζομεν ἀποβαλέσθαι τῆς λειτουργίας. Ἁμαρτία γὰρ οὐ μικρὰ ἡμῖν ἔσται, ἐὰν τοὺς ἀμέμπτως καὶ ὁσίως προσενέγκοντας τὰ δῶρα τῆς ἐπισκοπῆς ἀποβάλωμεν. Μακάριοι οἱ προοδοιπορήσαντες πρεσβύτεροι, οἵ τινες ἔγκαρπον καὶ τελείαν ἔχον τὴν ἀνάλυσιν· οὐ γὰρ εὐλαβοῦνται μή τις αὐτοὺς μεταστήσῃ ἀπὸ τοῦ ἱδρυμένου αὐτοῖς τόπου. Ὁρῶμεν γὰρ ὅτι ἐνίους ὑμεῖς μετηγάγετε καλῶς πολιτευομένους, ἐκ τῆς ἀμέμπτως αὐτοῖς τετιμημένης λειτουργίας.

Φιλόν (εικοί) ἐστε, ἀδελφοὶ, καὶ ζηλωταὶ περὶ (μὴ) ἀνηκόντων εἰς σωτηρίαν. Ἐ (γκύπτετ) ε εἰς τὰς γραφὰς, τὰς ἀληθεῖς (ῥήσεις) πνεύματος τοῦ ἁγίου ἐπίστασθε· (οὐ) δὲν ἄδικον οὐδὲ παραπε (ποιη) μένον γέγραπται ἐν αὐταῖς. (Οὐ γὰρ ἑ) υρήσετε δικαίους ἀποβε (βλημ) ένους ἀπὸ ὁσίων ἀνδρῶν. (Ἐδι) ώχθησαν δίκαιοι, ἀλλ' ὑπὸ ἀνό (μω) ν· ἐφυλάχθησαν, ἀλλ' ὑπὸ (ἀν) οσίων· ἐλιθάσθησαν ὑπὸ πα (ρα) νόμων· ἀπεκτάνθησαν (ὑπ) ὸ τῶν μιαρῶν, καὶ ἄδικον ζῆλον (παρ) ειληφότων. Ταῦτα πάσχοντες, (εὐ) κλεῶς ἤνεγκαν. (Τί γ) ὰρ εἴπωμεν, ἀδελφοί; Δανιὴλ ὑπὸ τῶν φοβουμένων τὸν Θεὸν (ἐ) βλήθη εἰς λάκκον λεόντων; Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ ὑπὸ τῶν θρησκευόντων τὴν μεγαλοπρεπῆ καὶ ἔνδοξον θρησκείαν τοῦ ὑψίστου κατείρχθησαν εἰς κάμινον πυρός; μηδαμῶς τοῦτο γένοιτο. Τίνες οὖν οἱ ταῦτα δράσαντες; οἱ στυγητοὶ καὶ πάσης κακίας πλήρεις, εἰς τοσοῦτον * ἐξήρισαν θυμοῦ ὥστε τοὺς ἐν ὁσίᾳ καὶ ἀμώμῳ προθέσει δουλεύοντας τῷ Θεῷ εἰς αἰκίαν περιβαλεῖν· μὴ εἰδότες ὅτι ὁ ὕψιστος ὑπέρμαχος καὶ ὑπερασπιστής ἐστιν τῶν ἐν καθαρᾷ συνειδήσει λατρευόντων τῷ ἐναρέτῳ ὀνόματι αὐτοῦ. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Οἱ δὲ ὑπομένοντες ἐν πεποιθήσει, δόξαν καὶ τιμὴν ἐκληρονόμησαν· ἐπήρθησάν τε καὶ * ἔπαφροι ἐγένοντο ἀπὸ τοῦ Θεοῦ ἐν τῷ μνημοσύνῳ αὐτῶν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοιούτοις οὖν ὑποδείγμασι κολληθῆναι καὶ ἡμᾶς δεῖ, ἀδελφοί. Γέγραπται γάρ· Κολλᾶσθε τοῖς ἁγίοις, ὅτι οἱ κολλώμενοι αὐτοῖς ἁγιασθήσονται. Καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ λέγει· Μετὰ ἀνδρὸς ἀθώου ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. Κολληθῶμεν οὖν τοῖς ἀθώοις καὶ δικαίοις· εἰσὶν δὲ οὗτοι ἐκλεκτοὶ τοῦ Θεοῦ. Ἵ (να) τί ἔρεις, καὶ θυμοὶ, καὶ διχοστασίαι, καὶ σχίσματα, πόλεμός τε ἐν * ὑμῖν; ἢ οὐχὶ ἕνα Θεὸν ἔχομεν, καὶ ἕνα Χριστόν: καὶ ἓν πνεῦμα τῆς χάριτος τὸ ἐκχυθὲν ἐφ' ἡμᾶς, καὶ μία κλῆσις ἐν Χριστῷ; ἵνα τί διέλκομεν καὶ διασπῶμεν τὰ μέλη τοῦ Χριστοῦ, καὶ στασιάζομεν πρὸς τὸ σῶμα τὸ ἴδιον, καὶ εἰς τοσαύτην ἀπόνοιαν ἐρχόμεθα, ὥστε ἐπιλαθέσθαι ἡμᾶς ὅτι μέλη ἐσμὲν ἀλλήλων; Μνήσθητε τῶν λόγων Ἰησοῦ τοῦ κυρίου ἡμῶν. Εἶπε γάρ. Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη, ἢ ἕνα τῶν ἐκλεκτῶν μου σκανδαλίσαι· κρεῖττον ἦν αὐτῷ περιτεθῆναι μύλον, καὶ καταποντισθῆναι

* f. πιστευθέντες.
* f. infer ὅς.
* f. ἐξηρίσαν
* f. ἐπαφροι τοῦ ἔπαφροι.
* f. ὑμῖν.

ναι εἰς τλὼ θάλασσαν, ἢ σὰν τῷ μικρῶν μου σκανδαλίσαι. Τὸ χίσμα ὑμῶν πολλὰς διέσρεψεν, πολλὰς εἰς ἀθυμίαν ἔβαλεν, πολλὰς εἰς δισταγμὸν, τοὺς πάντας ἡμᾶς εἰς λύπλω· καὶ ἐπίμονον ὑμῶν ἐσιν ἡ σάσις.

Ἀναλάβετε τλὼ ἐπισολλὼ τῦ μακαρίυ Παύλυ τῦ ἀποσόλυ. Τί πρῶτον ὑμῖν ἐν ἀρχῇ τῦ εὐαγγελίυ ἔγραψεν; ἐπ' ἀληθείας πνευματικῶς ἐπέσειλέν ὑμῖν, περὶ αὐτῦ τε, καὶ Κηφᾶ καὶ Ἀπολλῶ, διὰ τὸ καί τότε προσκλίσεις ὑμᾶς πεποιῆθαι· ἀλλ' ἡ προσκλισις ἐκείνη ἧττον ἁμαρτίαν ὑμῖν προσελόγιζεν. Προσεκλίθητε γὰρ ἀποσόλοις μεμαρτυρημένοις, καὶ ἀνδρὶ δεδοκιμασμένῳ παρ' αὐτοῖς. Νυνὶ δὲ καταγνόησατε τίνες ὑμᾶς διέσρεψαν, καὶ τὸ σεμνὸν τῆς περιβοήτυ φιλαδελφίας ὑμῶν ἐμείωσαν. Αἰσχρὰ, ἀγαπητοὶ, καὶ λίαν αἰσχρὰ, καὶ ἀνάξια τῆς ἐν Χρισῷ ἀγωγῆς, ἀκούεσθαι, τλὼ βεβαιοτάτλω καὶ ἀρχαίαν Κορινθίων ἐκκλησίαν, δι' ἣν ἡ δύο πρόσωπα, σασιάζειν πρὸς τὸς πρεσβυτέρυς. Καὶ αὕτη ἡ ἀκοὴ ὐ μόνον εἰς ἡμᾶς ἐχώρησεν, ἀλλὰ καὶ εἰς τοὺς ἑτεροκλινεῖς ὑπάρχοντας ἀφ' ἡμῶν· ὥσε καὶ βλασφημίας ἐπιφέρεσθαι τῷ ὀνόματι κυρίυ, διὰ τλὼ ὑμετέραν ἀφροσυνλω, ἑαυτοῖς δὲ κίνδυνον ἐπεξεργάζεσθαι.

Ἐξάρωμεν οὖν τοῦτο ἐν τάχει, καὶ προσπέσωμεν τῷ δεσπότῃ, καὶ κλαύσωμεν ἱκετεύοντες αὐτὸν, ὅπως ἵλεως γένωμαι ἐπικαταλλαγῇ ἡμῖν, καὶ ἐπὶ τλὼ σεμνλω τῆς φιλαδελφίας * ἁγνλω ἀγωγλω ἀποκατασήσῃ ἡμᾶς. Πύλη γὰρ δικαιοσύνης ἀνεῳγυῖα εἰς ζωὴν αὕτη, καθὼς γέγραπται· Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ. Αὕτη ἡ πύλη τοῦ κυρίυ, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Πολλῶν οὖν πυλῶν ἀνεῳγυιῶν, ἡ ἐν δικαιοσύνῃ, αὕτη ἐσὶν ἡ ἐν Χρισῷ, ἐν ᾗ μακάριοι πάντες οἱ εἰσελθόντες, καὶ κατευθύνοντες τλὴ πορείαν αὐτῶν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ἀταράχως πάντα ἐπιτελοῦντες. Ἤτω τὶς πιστὸς, ἤτω δυνατὸς γνῶσιν ἐξειπεῖν, ἤτω σοφὸς ἐν * δικαίᾳ κρίσει λόγων, ἤτω ἁγνὸς ἐν ἔργοις· τοσύτῳ μᾶλλον ταπεινοφρονεῖν ὀφείλει, ὅσῳ δοκεῖ μᾶλλον μείζων εἶναι· καὶ ζητεῖν τὸ κοινωφελὲς πᾶσιν, καὶ μὴ τὸ ἑαυτῦ.

Ὁ ἔχων ἀγάπλω ἐν Χρισῷ, τηρησάτω τὰ τῦ Χρισῦ παραγγέλματα. Τὸν δεσμὸν τ ἀγάπης τοῦ Θεῦ τὶς δυνάται ἐξηγήσασθαι; τὸ μεγαλεῖον τῆς καλλονῆς αὐτῦ τὶς ἀρκεῖ, ὡς ἔδει, εἰπεῖν; τὸ ὕψος, εἰς ὃ ἀνάγει ἡ ἀγάπη, ἀνεκδιήγητόν ἐσιν. Ἀγάπη κολλᾷ ἡμᾶς τῷ Θεῷ, ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν· ἡ ἀγάπη πάντα ἀνέχεται, πάντα μακροθυμεῖ· οὐδὲν βάναυσον ἐν ἀγάπῃ, οὐδὲν ὑπερήφανον· ἀγάπη σχίσμα οὐκ ἔχει, ἀγάπη οὐ σασιάζει, ἀγάπη πάντα ποιεῖ ἐν ὁμονοίᾳ· ἐν ἀγάπῃ ἐτελειώθησαν πάντες οἱ ἐκλεκτοὶ τοῦ Θεοῦ· δίχα ἀγάπης οὐδὲν εὐάρεσόν ἐσιν τῷ Θεῷ· ἐν ἀγάπῃ προσελάβετο ἡμᾶς ὁ δεσπότης, διὰ τλὼ ἀγάπλω, λὼ ἔσχεν πρὸς ἡμᾶς, τὸ αἷμα αὐτοῦ ἔδωκεν ὑπὲρ ἡμῶν ὁ Χρισὸς ὁ κύριος ἡμῶν, ἐν θελήματι Θεοῦ, καὶ τλὼ σάρκα ὑπὲρ τῆς σαρκὸς ἡμῶν, καὶ τλὼ ψυχλὼ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁρᾶτε ἀγαπητοὶ, πῶς μέγα καὶ θαυμασόν ἐσιν ἡ ἀγάπη, καὶ τῆς τελειότητος αὐτῆς οὐκ ἔσιν ἐξήγησις. Τίς ἱκανὸς ἐν αὐτῇ εὑρ (εθλῶαι,) εἰ μὴ οὓς ἂν καταξιώσῃ (ὁ Θεός; εὐχώμε) θα ἓν καὶ (ζῶμεν,) δίχα προσκλίσεως ἀνθ (ρωπίνης,) ἄμωμοι. Αἱ γλυεαὶ πᾶσαι ἀπὸ Ἀδὰμ ἕως τῆς δὲ ἡμέρας παρῆ (λθον,) ἀλλ' οἱ ἐν ἀγάπῃ τελειωθεὶ (τες,) κατὰ τλὼ τοῦ * Χρισῦ χάριν, ἔχυ (σιν) χώραν εὐσεβῶν· οἳ φανερ (ωθήσον-) ται ἐν τῇ ἐπισκοπῇ τῆς βασιλ (είας) τῦ Χρισῦ. Γέγραπται γάρ· Εἴσελ (θε) εἰς τὰ ταμεῖα μικρόν (ὅσον ὅσον) ἕως ὗ παρέλθῃ ἡ ὀργὴ καὶ θ (υμός) μυ. Καὶ μνησθήσομαι ἡμέρας ἀγαθῆς, καὶ ἀνασήσω ὑμᾶς (ἐκ) τῶν σηκῶν ὑμῶν· Μακάριοι ἐσμεν, ἀγαπητοὶ, εἰ (προσ) τάγματα τῦ Θεοῦ ἐποιῦμεν ἑ (ν ὀ) μονοίᾳ ἀγάπης, εἰς τὸ ἀφεθῆ(ναι) ἡμῖν δὶ ἀγάπης τὰς ἁμαρτίας (ἡμῶν.) Γέγραπται γάρ. Μακάριοι (ὧν ἀφέ) θησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκα (λύφθησαν αἱ ἁμαρτίαι. Μακάριος ἀ (νὴρ) ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν, οὐδέ ἐσιν ἐν τῷ σόματι αὐτοῦ δόλος. Οὗτος ὁ μακαρισμὸς ἐγένετο ἐπὶ τοὺς ἐκλελεγμένους ὑπὸ τοῦ Θεοῦ διὰ Ἰησοῦ Χρισοῦ τοῦ κυρίου ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμλώ.

Ὅσ (οι οὖν) παρ (έβη) μυ διά τινος τῶν (τοῦ) ἀντιχ (ειμυ) σ *, ἀξιώσωμυ (συγγνώμλω·) καὶ ἐκεῖνοι δὲ οἵτινες ἀρχηγοὶ τῆς σάσεως καὶ διχοσασίας ἐγλυήθησαν, ὀφείλυσιν τὸ κοινὸν τῆς ἐλπίδος σκοπεῖν. Οἱ γὰρ μὴ φόβυ καὶ ἀγάπης (πολι) τλόμυοι, ἑαυτοὺς θέλυσ (ιν) μᾶλλον * οἰκίαις περιπίπτειν, (ἢ τοὺς) πλησίον· μᾶλλον δὲ ἑαυτῶν κατάγνωσιν φέρυσιν, ἢ τῆς παραδεδομυίας ἡμῖν καλῆς καὶ δικαίας ὁμοφωνίας. Καλὸν γὰρ ἀνθρώπῳ ἐξομολογεῖσθαι περὶ τῶν παραπτωμάτων, ἢ σκληρυίαι τλὼ καρδίαι αὐτοῦ, καθὼς ἐσκληρυύθη ἡ καρδία τῶν σασιαζόντων πρὸς τὸν θεράποντα τοῦ Θεοῦ Μωϋσλῶ, ὧν τὸ κρῖμα πρόδηλον ἐγλυήθη, κατέβησαν γὰρ εἰς ᾅδυ ζῶντες, καὶ θά (νατος κατέπιεν ἀ) υτούς. Φαραὼ καὶ ἡ σρα (τία αὐ) τῦ, καὶ πάντες οἱ ἡγούμλυ (οι Αἰγ-) ύπτυ, τότε ἅρματα καὶ οἱ * (ἱππό) ται αὐτων, * οἱ δὶ ἄλλλω τινὰ (αἰτίαν) ἐβυθίσθησαν εἰς θάλασσαν (ἐρυθρ) ὰν, καὶ ἀπώλοντο, ἀλλὰ διὰ (τὸ σκλη) ρυθλῶαι αὐτῶν τὰς ἀσυ (νέτυς) καρδίας μὴ τὸ γλυέσθαι (τηλικαῦ) τα τέρατα ἐν γῇ Αἰγύ(πτυ, διὰ θ) εράποντος τοῦ Θεοῦ Μωϋσέως.

Ἀπροσδεὴς, ἀδελφοὶ, (ὁ) δεσπότης ὑπάρχει τῶν ἁπάντων, (οὐ) δὲ οὐδενὸς χρήζει, εἰ μὴ * τὸ (ἐξ) ομολογεῖσθαι αὐτῳ. Φησὶ γὰρ ὁ ἐκλεκτὸς Δαβίδ. Ἐξομολογήσομαι τῷ κυρίῳ, καὶ ἀρέσει αὐτῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς. Ἴδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν. Καὶ πάλιν λέγει· Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίσῳ τὰς εὐχάς συ. Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς συ, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. Θυσία γὰρ τῷ Θεῷ πνεῦμα συντετριμμένον.

Ἐπίσασθε γὰρ, καὶ καλῶς ἐπίσα (σθε τὰ) ς ἱερὰς γραφὰς, ἀγαπητοὶ, (καὶ ἔγκε) κύφατε εἰς τὰ λόγια τῦ (Θεῦ· εἰς ἃ) νάμνησιν οὖν ταῦτα (λά-

ι8'

* f. infer. καὶ Cl. Alex.

* Cl. Al. διὰ κρίσεων.

f. ἀλλ. ἐμπτῶσι Cl. Al.

f. αἰῶνας.

f. οἱ πεζοὶ l. πεζοὶ.

f. τῶν.

(λάβετε·) Μωϋσέως γὰρ ἀναβαί (νοντος εἰ) ς τὸ ὄρος, καὶ ποιήσαν (τος τεσσαρ) άκοντα ἡμέρας, καὶ τεσσ (αράκοντ) α νύκτας, ἐν νηστείᾳ (καὶ ταπειν) ώσει, εἶπεν πρὸς αὐτὸν (Θεός· Ἀνάστηθ) ι Μωϋσῆ, κατάβηθι (τὸ τάχος) ἐντεῦθεν, ὅτι ἠνόμησεν (ὁ λαός σ) ου, οὓς ἐξήγαγες ἐκ γῆς (Αἰγύπτο) υ, παρέβησαν ταχὺ ἐκ (τῆς ὁδοῦ) ἧς ἐνετείλω αὐτοῖς, (ἐποίησαν) ν ἑαυτοῖς χωνεύματα. (Καὶ εἶπεν) κύριος πρὸς αὐτόν· λελάλη (κα πρό) ς σε ἅπαξ καὶ δὶς λέγων· (ἑώρακα) τὸν λαὸν τοῦτον, καὶ ἰδοὺ (λαὸς σ) κληροτράχηλος, ἔασόν με (ἐξολ) οθρεῦσαι αὐτοὺς, καὶ ἐξα (λείψω τὸ) ὄνομα αὐτῶν ὑποκά (τωθεν) τοῦ οὐρανοῦ, καὶ ποιήσω (σε εἰς ἔ) θνος μέγα καὶ θαυμαστὸν καὶ πολὺ μᾶλλον ἢ τοῦτο. (Εἶπε δὲ Μ) ωϋσῆς· Μηδαμῶς κύριε, (ἄφες τὴν) ἁμαρτίαν τῷ λαῷ τούτῳ, ἢ καί με ἐξάλειψον ἐκ βίβλου ζώντων. Ὦ μεγάλης ἀγάπης, ὦ τελειότητος ἀνυπερβλήτου! Παῤῥησιάζεται θεράπων πρὸς κύριον, αἰτεῖται ἄφεσιν τῷ πλήθει, ἢ καὶ ἑαυτὸν ἐξαλειφθῆναι μετ' αὐτῶν ἀξιοῖ.

Τίς οὖν ἐν ὑμῖν γενναῖος; τίς εὔσπλαγχνος; τίς πεπληροφορημένος ἀγάπης; εἰπάτω· Εἰ δι' ἐμὲ στάσις, καὶ ἔρις, καὶ σχίσματα, ἐκχωρῷ, ἄπειμι οὗ ἐὰν βούλησθε, καὶ ποιῶ τὰ προστασσόμενα ὑπὸ τοῦ πλήθους· μόνον τὸ ποίμνιον τοῦ Χριστοῦ εἰρηνευέτω, μετὰ τῶν καθεσταμένων πρεσβυτέρων. Τοῦτο ὁ ποιήσας, ἑαυτῷ μέγα κλέος ἐν κυρίῳ περιποιήσεται, καὶ πᾶς τόπος δέξεται αὐτόν. Τοῦ γὰρ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. Ταῦτα, οἱ πολιτευόμενοι τὴν ἀμεταμέλητον πολιτείαν τοῦ Θεοῦ, ἐποίησαν, καὶ ποιήσουσιν.

Ἵνα δὲ καὶ ὑποδείγματα ἐθνῶν ἐνέγκωμεν, πολλοὶ βασιλεῖς καὶ ἡγούμενοι, λοιμικοῦ τινος ἐνστάντος καιροῦ, χρησμοδοτηθέντες, παρέδωκαν ἑαυτοὺς εἰς θάνατον, ἵνα ῥύσονται διὰ τοῦ ἑαυτῶν αἵματος τοὺς πολίτας. Πολλοὶ ἐξεχώρησαν ἰδίων πόλεων, ἵνα μὴ στασιάζωσιν ἐπὶ πλεῖον. Ἐπιστάμεθα πολλοὺς ἐν ἡμῖν παραδεδωκότας ἑαυτοὺς εἰς δεσμὰ ὅπως ἑτέρους λυτρώσωνται. Πολλοὶ ἑαυτοὺς παρέδωκαν εἰς δουλείαν, καὶ λαβόντες τὰς τιμὰς αὐτῶν, ἑτέρους ἐψώμισαν. Πολλαὶ γυναῖκες ἐνδυναμωθεῖσαι διὰ τῆς χάριτος τοῦ Θεοῦ, ἐπετελέσαντο πολλὰ ἀνδρεῖα. Ἰουδὶθ ἡ μακαρία, ἐν συγκλεισμῷ οὔσης τῆς πόλεως, ᾐτήσατο παρὰ τῶν πρεσβυτέρων ἐαθῆναι αὐτὴν ἐξελθεῖν εἰς τὴν παρεμβολὴν τῶν ἀλλοφύλων· παραδοῦσα οὖν ἑαυτὴν τῷ κινδύνῳ, ἐξῆλθεν δι' ἀγάπην τῆς πατρίδος καὶ τοῦ λαοῦ τοῦ ὄντος ἐν συγκλεισμῷ καὶ παρέδωκεν κύριος Ὀλοφέρνην ἐν χειρὶ θηλείας. Οὐχ ἧττον αὖ καὶ ἡ τελεία κατὰ πίστιν Ἐσθὴρ, κινδύνῳ ἑαυτὴν παρέβαλεν, ἵνα τὸ δωδεκάφυλον τοῦ Ἰσραὴλ μέλλον ἀπολέσθαι, ῥύσηται. Διὰ γὰρ τῆς νηστείας, καὶ τῆς ταπεινώσεως αὐτῆς, ἠξίωσεν τὸν παντοποιητὴν δεσπότην, Θεὸν τῶν αἰώνων· ὃς ἰδὼν τὸ ταπεινὸν τῆς ψυχῆς αὐτῆς, ἐῤῥύσατο τὸν λαὸν, ὧν χάριν ἐκινδύνευσεν.

Καὶ ἡμεῖς οὖν ἐντύχωμεν περὶ τῶν ἔν τινι παραπτώματι ὑπαρχόντων, ὅπως δοθῇ αὐτοῖς ἐπιείκεια καὶ ταπεινοφροσύνη, εἰς τὸ εἶξαι αὐτοὺς μὴ ἡμῖν, ἀλλὰ τῷ θελήματι τοῦ Θεοῦ· οὕτως γὰρ ἔσται αὐτοῖς ἔγκαρπος καὶ τελεία ἡ πρὸς τὸν Θεὸν καὶ τοὺς ἁγίους μετ' οἰκτιρμῶν μνεία. Ἀναλάβωμεν παιδείαν ἐφ' ᾗ οὐδεὶς * ἐφίλει ἀγανακτεῖν ἀγαπητοί. Ἡ νουθέτησις ἣν ποιούμεθα εἰς ἀλλήλους, καλή ἐστιν, καὶ ὑπεράγαν ὠφέλιμος· κολλᾷ γὰρ ἡμᾶς τῷ θελήματι τοῦ Θεοῦ. Οὕτως γάρ φησιν ὁ ἅγιος λόγος· Παιδεύων ἐπαίδευσέν με ὁ κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέν με. Ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Παιδεύσει με γὰρ, φησὶν, δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με· ἔλαιον δὲ ἁμαρτωλῶν μὴ λιπανάτω τὴν κεφαλήν μου. Καὶ πάλιν λέγει· Μακάριος ἄνθρωπος ὃν ἤλεγξεν ὁ κύριος, νουθέτημα δὲ παντοκράτορος μὴ ἀπαναίνου. Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισεν, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο. Ἑξάκις ἐξ ἀναγκῶν ἐξελεῖταί σε, ἐν δὲ τῷ ἑβδόμῳ οὐχ ἅψεταί σου κακόν. Ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου· ἐν πολέμῳ δὲ ἐκ χειρὸς σιδήρου λύσει σε· καὶ ἀπὸ μάστιγος γλώσσης σε κρύψει· καὶ οὐ μὴ φοβηθήσῃ κακῶν ἐπερχομένων· ἀδίκων καὶ ἀνόμων καταγελάσῃ· ἀπὸ δὲ θηρίων ἀγρίων οὐ μὴ φοβηθῇς. Θῆρες γὰρ ἄγριοι εἰρηνεύσουσίν σοι· εἶτα γνώσῃ ὅτι εἰρηνεύσει σου ὁ οἶκος· ἡ δὲ δίαιτα τῆς σκηνῆς σου οὐ μὴ ἁμάρτῃ. Γνώσῃ δὲ ὅτι πολὺ (τὸ σπέρμα σου, τὰ δὲ τέκνα σου ὥσπερ (τὸ παμβό) τανον τοῦ ἀγροῦ. ἐλεύσῃ (δὲ ἐν τά) φῳ ὥσπερ σῖτος ὥριμος, κατὰ καιρὸν θεριζόμενος, ἢ ὥσ (περ θιμω) νία ἅλωνος καθ' ὥραν συ (γκομι) σθεῖσα. Βλέπετε, ἀγαπη (τοὶ, ὅτι) ὑπερασπισμὸς ἐστιν τ (οῖς παιδευ) ομένοις ὑπὸ τοῦ δεσπό (του. καὶ γὰρ) ἀγαθὸς ὢν παιδ (ευτὴς, θέλει νουθετ) ηθῆναι ἡμᾶς, διὰ τῆς ὁσίας (παι) δείας αὐτοῦ.

Ὑμεῖς οὖν οἱ τὴν καταβολὴν (τῆς) στάσεως ποιήσαντες, ὑποτ (άγη) τε τοῖς πρεσβυτέροις, καὶ π (αιδεύ) θητε εἰς μετάνοιαν· κάμψ (αντες) τὰ γόνατα τῆς καρδίας ὑμῶν, μάθετε ὑποτάσσεσθαι, ἀποθέμενοι τὴν ἀλάζονα καὶ ὑπερήφανον τῆς γλώσσης ὑμῶν αὐθά (δειαν·) ἄμεινον γάρ ἐστιν ὑμῖν (ἐν τῷ) ποιμνίῳ τοῦ Χριστοῦ μικροὺς καὶ ἐλλογίμους εὑρεθῆναι, ἢ καθ' ὑπεροχὴν δοκοῦντας ἐκριφῆναι ἐκ τῆς ἐλπίδος αὐτοῦ. Οὕτως γὰρ λέγει ἡ πανάρετος σοφία· Ἰδοὺ προήσομαι (ὑμῖν ἐμῆς) πνοῆς ῥῆσιν, διδάξ (ω δὲ ὑμᾶς) τὸν ἐμὸν λόγον. (Ἐπειδὴ ἐκάλουν,) καὶ οὐχ ὑπηκούσα (τε, καὶ ἐξέτει) νον λόγους, καὶ οὐ (προσείχετε· ἀλλ' ἀκύρους ἐποιεῖτε ἐμὰς) βουλὰς, τοῖς δὲ ἐμο (ῖς ἐλέγχοις) ἠπειθήσατε. Τοιγα (ροῦν κἀγὼ) τῇ ὑμετέρᾳ ἀπωλεί (ᾳ ἐπιγελάσο) μαι· καταχαροῦμαι (δὲ ἡνίκα ἂν) ἔρχηται ὑμῖν ὄλεθρο (ς, καὶ ὡς ἂν ἀ) φίκηται ὑμῖν ἄφνω θ (όρυβος, ἡ δὲ) καταστροφὴ ὁμοία (καταιγίδι πα) ρῇ, ἢ ὅταν ἔρχηται ὑμ (ῖν θλίψις) καὶ πολιορκία. Ἔσται γὰρ ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ (οὐκ εἰσα) κούσομαι ὑμῶν· ζητή (σουσί) με κακοὶ, καὶ οὐχ εὑρ (ήσουσιν.) Ἐμίσησαν γὰρ σοφίαν, (τὸν δὲ φό) βον τοῦ κυρίου οὐ προείλα (ντο, οὐδὲ) ἤθελον ἐμαῖς προσέχ (ειν βουλαῖς·) ἐμυκτήριζον δὲ ἐμοὺ (ς ἐλέγχους.) Τοιγαροῦν ἔδονται τῆ (ς ἑαυτῶν) ὁδοῦ τοὺς καρπούς, κα (ὶ

τῆς

τῆς ἑαυτῶν) ἀσεβείας πληθήσ (ονται.) * * * *
* *
* *

ητον. Ὁ παντεπόπτης Θεὸς, (καὶ) δεσπότης τῶν πνευμάτων καὶ κύριος (πά) σης σαρκὸς, ὁ ἐκλεξάμενος (τὸ) ν κύριον Ἰησοῦν Χριστὸν, καὶ ἡμᾶς δι' αὐτοῦ (εἰ) ς λαὸν περιούσιον, δῴη πάσῃ (ψ) υχῇ ἐπικεκλημένῃ τὸ μεγάλο (π) ρεπὲς καὶ ἅγιον ὄνομα αὐτοῦ, (π) ίστιν, φόβον, εἰρήνην, ὑπομονὴν, μακροθυμίαν, ἐγκράτειαν, ἁγνείαν καὶ σωφροσύνην, εἰς εὐαρέστησιν τῷ ὀνόματι αὐτοῦ, διὰ τοῦ ἀρχιερέως, καὶ προστάτου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ αὐτῷ δόξα καὶ μεγαλωσύνη, κράτος, τιμὴ, καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοὺς δὲ ἀπεσταλμένους ἀφ' ἡμῶν Κλαύδιον, Ἔφηβον, καὶ Οὐαλέριον, Βίτωνα σὺν Φορτουνάτῳ ἐν εἰρήνῃ μετὰ χαρᾶς ἐν τάχει ἀναπέμψατε πρὸς ἡμᾶς, ὅπως θᾶττον τὴν εὐκταίαν καὶ ἐπιπόθητον ἡμῖν εἰρήνην καὶ ὁμόνοιαν ἀπαγγέλωσιν· εἰς τὸ τάχιον καὶ ἡμᾶς χαρῆναι περὶ τῆς εὐσταθείας ὑμῶν. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν, καὶ μετὰ πάντων πανταχῇ τῶν κεκλημένων ὑπὸ τοῦ Θεοῦ, καὶ δι' αὐτοῦ· δι' οὗ αὐτῷ δόξα, τιμὴ, κράτος, καὶ μεγαλοσύνη, θρόνος αἰώνιος, ἀπὸ τῶν αἰώνων εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ̃ ΑΓΙΟΥ ΚΛΉΜΕΝΤΟΣ

ΤΟΥ̃ Ρ'ΩΜΑΙ'ΩΝ Ε'ΠΙΣΚΟ'ΠΟΥ,

Ἐπιστολὴ πρὸς Κορινθίους δευτέρα.

Ἀδελφοὶ, οὕτως δεῖ ἡμᾶς φρονεῖν περὶ Ἰησοῦ Χριστοῦ, ὡς περὶ Θεοῦ, ὡς περὶ κριτοῦ ζώντων καὶ νεκρῶν· καὶ οὐ δεῖ ἡμᾶς μικρὰ φρονεῖν περὶ τῆς σωτηρίας ἡμῶν. ἐν τῷ γὰρ φρονεῖν ἡμᾶς μικρὰ περὶ αὐτοῦ, μικρὰ καὶ ἐλπίζομεν λαβεῖν· καὶ οἱ ἀκούοντες * ὥσπερ μικρῶν, ἁμαρτάνομεν, οὐκ εἰδότες πόθεν ἐκλήθημεν, καὶ ὑπότινος, καὶ εἰς ὃν τόπον, καὶ ὅσα ὑπέμεινεν Ἰησοῦς Χριστὸς παθεῖν ἕνεκα ἡμῶν. Τίνα οὖν ἡμεῖς αὐτῷ δώσομεν ἀντιμισθίαν, ἤ τινα καρπὸν ἄξιον οὗ ἡμῖν αὐτὸς ἔδωκεν; πόσα δὲ αὐτῷ ὀφείλομεν ὅσια; τὸ φῶς γὰρ ἡμῖν ἐχαρίσατο, ὡς πατὴρ υἱοὺς ἡμᾶς προσηγόρευσεν, ἀπολλυμένους ἡμᾶς ἔσωσεν. * Ποῖον αἶνον αὐτῷ δώσομεν, ἢ μισθὸν ἀντιμισθίας ὧν ἐλάβομεν; πηροὶ ὄντες τῇ διανοίᾳ, προσκυνοῦντες λίθους καὶ ξύλα, καὶ χρυσὸν καὶ ἄργυρον καὶ χαλκὸν, ἔργα ἀνθρώπων, καὶ ὁ βίος ἡμῶν ὅλος ἄλλο οὐδὲν ἦν εἰ μὴ θάνατος. Ἀμαύρωσιν οὖν περικείμενοι, καὶ τοιαύτης ἀχλύος γέμοντες ἐν τῇ ὁράσει, ἀνεβλέψαμεν, ἀποθέμενοι ἐκεῖνο ὃ περικείμεθα, νέφος τῇ αὐτοῦ θελήσει. Ἠλέησε γὰρ ἡμᾶς καὶ σπλαγχνισθεὶς ἔσωσεν, θεασάμενος ἐν ἡμῖν πολλὴν πλάνην καὶ ἀπώλειαν, καὶ μηδεμίαν ἐλπίδα * ἔχοντες σωτηρίας, εἰ μὴ τὴν παρ' αὐτοῦ. Ἐκάλεσεν γὰρ ἡμᾶς οὐκ ὄντας, καὶ ἠθέλησεν ἐκ μὴ ὄντος εἶναι ἡμᾶς.

* περὶ

* l. Ποῖον.

* f. ἔχοντας.

Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου, μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Ὃ εἶπεν· εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ἡμᾶς εἶπεν. στεῖρα γὰρ ἦν ἡ ἐκκλησία ἡμῶν, πρὸ τοῦ δοθῆναι αὐτῇ τέκνα. Ὃ δὲ εἶπεν· βόησον ἡ οὐκ ὠδίνουσα, τοῦτο λέγει, τὰς προσευχὰς ἡμῶν ἁπλῶς ἀναφέρειν πρὸς τὸν Θεὸν, μὴ, ὡς αἱ ὠδίνουσαι, ἐγκακῶμεν. Ὃ δὲ εἶπεν, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου, μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα, ἐπεὶ ἔρημος ἐδόκει εἶναι ἀπὸ τοῦ Θεοῦ ὁ λαὸς ἡμῶν, νυνὶ δὲ πιστεύσαντες, πλείονες ἐγενόμεθα τῶν δοκούντων ἔχειν Θεόν. Καὶ ἑτέρα δὲ γραφὴ λέγει· ὅτι οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλούς. Τοῦτο λέγει, ὅτι δεῖ τοὺς ἀπολλυμένους σώζειν. Ἐκεῖνο γάρ ἐστιν μέγα καὶ θαυμαστὸν, οὐ τὰ ἑστῶτα στηρίζειν, ἀλλὰ τὰ πίπτοντα.

Οὕτως καὶ ὁ Χριστὸς ἠθέλησεν σῶσαι τὰ ἀπολλύμενα, καὶ ἔσωσεν πολλοὺς ἐλθὼν, καὶ καλέσας ἡμᾶς ἤδη ἀπολλυμένους. Τοσοῦτον οὖν ἔλεος ποιήσαντος αὐτοῦ εἰς ἡμᾶς, πρῶτον μὲν ὅτι ἡμεῖς οἱ ζῶντες τοῖς νεκροῖς θεοῖς οὐ θύομεν, καὶ οὐ προσκυνοῦμεν αὐτοῖς, ἀλλὰ ἔγνωμεν δι' αὐτοῦ τὸν πατέρα τῆς ἀληθείας. τίς ἡ γνῶσις ἡ πρὸς αὐτὸν, ἢ τὸ μὴ ἀρνεῖσθαι δι' οὗ ἔγνωμεν αὐτόν; Λέγει δὲ καὶ αὐτός. Τὸν ὁμολογήσαντά με ἐνώπιον τῶν ἀνθρώπων, ὁμολογήσω αὐτὸν ἐνώπιον τοῦ πατρός μου. Οὗτος οὖν ἐστιν ὁ μισθὸς ἡμῶν, ἐὰν οὖν ὁμολογήσωμεν δι' οὗ ἐσώθημεν.

Ἐν τίνι δὲ αὐτὸν ὁμολογοῦμεν, ἐν τῷ ποιεῖν ἃ λέγει, καὶ μὴ παρακούειν αὐτοῦ τῶν ἐντολῶν, καὶ μὴ μόνον χείλεσιν αὐτὸν τιμᾶν, ἀλλ' ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης τῆς διανοίας. Λέγει δὲ καὶ ἐν τῷ Ἠσαΐᾳ. Ὁ λαὸς οὗτος τοῖς χείλεσίν με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἄπεστιν ἀπ' ἐμοῦ. Μὴ μόνον οὖν αὐτὸν καλῶμεν κύριον· οὐ γὰρ τοῦτο σώσει ἡμᾶς. λέγει γάρ· Οὐ πᾶς ὁ λέγων μοι, κύριε, κύριε, σωθήσεται, ἀλλὰ ὁ ποιῶν τὴν δικαιοσύνην. Ὥστε οὖν, ἀδελφοὶ, ἐν τοῖς ἔργοις αὐτὸν ὁμολογῶμεν, ἐν τῷ ἀγαπᾶν αὐτοὺς, ἐν τῷ μὴ μοιχᾶσθαι, μηδὲ καταλαλεῖν ἀλλήλων, μηδὲ ζηλοῦν, ἀλλ' ἐγκρατεῖς εἶναι, ἐλεήμονας, ἀγαθούς· καὶ συμπάσχειν ἀλλήλοις ὀφείλομεν, καὶ μὴ φιλαργυρεῖν· ἔντε ἀγαθοῖς τοῖς ἔργοις ὁμολογῶμεν τὸν Θεὸν, καὶ μὴ ἐν τοῖς ἐναντίοις· καὶ οὐ δεῖ ἡμᾶς φοβεῖσθαι τοὺς ἀνθρώπους μᾶλλον, ἀλλὰ τὸν Θεόν. Διὰ τοῦτο ταῦτα ἡμῶν πρασσόντων εἶπεν ὁ κύριος· Ἐὰν ἦτε μετ' ἐμοῦ συνηγμένοι ἐν τῷ κόλπῳ μου, καὶ μὴ ποιῆτε τὰς ἐντολάς μου, ἀποβαλῶ ὑμᾶς, καὶ ἐρῶ ὑμῖν· ὑπάγετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς πόθεν ἔστε, ἐργάται ἀνομίας.

Ὅθεν, ἀδελφοὶ, καταλείψαντες τὴν παροικίαν τοῦ κόσμου τούτου, ποιήσωμεν τὸ θέλημα τοῦ καλέσαντος ἡμᾶς, καὶ μὴ φοβηθῶμεν ἐξελθεῖν ἐκ τοῦ κόσμου τούτου. Λέγει γὰρ ὁ κύριος· Ἔσεσθε ὡς ἀρνία ἐν μέσῳ λύκων. Ἀποκριθεὶς δὲ ὁ Πέτρος αὐτῷ λέγει· Ἐὰν οὖν διασπαράξωσιν οἱ λύκοι τὰ ἀρνία; Εἶπεν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Μὴ φοβείσθωσαν τὰ ἀρνία τοὺς λύκους μετὰ τὸ ἀποθανεῖν αὐτά· καὶ ὑμεῖς μὴ φοβεῖσθε τοὺς ἀποκτείνοντας ὑμᾶς, καὶ μηδὲν ὑμῖν δυναμένους ποιεῖν, ἀλλὰ φοβεῖσθε τὸν μετὰ τὸ ἀποθανεῖν ὑμᾶς, ἔχοντα ἐξουσίαν

σίαν ψυχῆς καὶ σώματος τὸ βαλεῖν εἰς γέενναν πυρός. Καὶ γινώσκετε, ἀδελφοί, ὅτι ἡ ἐπιδημία ἐν τῷ κόσμῳ τούτῳ τῆς σαρκὸς ταύτης μικρά ἐστιν καὶ ὀλιγοχρόνιος, ἡ δὲ ἐπαγγελία τοῦ Χριστοῦ μεγάλη καὶ θαυμαστή ἐστιν, καὶ ἀνάπαυσις τῆς μελλούσης βασιλείας καὶ ζωῆς αἰωνίου. Τί οὖν ἐστιν ποιήσαντας ἐπιτυχεῖν αὐτῶν; εἰ μὴ τὸ θείως καὶ δικαίως ἀναστρέφεσθαι, καὶ τὰ κοσμικὰ ταῦτα ὡς ἀλλότρια ἡγεῖσθαι, καὶ μὴ ἐπιθυμεῖν αὐτῶν· ἐν γὰρ τῷ ἐπιθυμεῖν ἡμᾶς κτήσασθαι ταῦτα, ἀποπίπτομεν τῆς ὁδοῦ τῆς δικαίας.

Λέγει δὲ ὁ κύριος· Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν. Ἐὰν ἡμεῖς θέλωμεν καὶ Θεῷ δουλεύειν καὶ Μαμμωνᾷ, ἀσύμφορον ἡμῖν ἐστιν. Τί γὰρ τὸ ὄφελος, ἐάν τις τὸν ὅλον κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν ζημιώσῃ; * Ἔστιν δὲ ἕτερος ὁ αἰών, καὶ ὁ μέλλων δύο ἐχθροί. Οὗτος λέγει μοιχείαν, καὶ φθοράν, καὶ φιλαργυρίαν, καὶ ἀπάτην· ἐκεῖνος δὲ τούτοις ἀποτάσσεται. Οὐ δυνάμεθα οὖν τοὺς δύο φίλοι εἶναι· δεῖ δὲ ἡμᾶς τούτῳ ἀποτυχάνοντας ἐκείνῳ χρῆσθαι. * Οἰόμεθα ὅτι βέλτιόν ἐστιν τὰ ἐνθάδε μισῆσαι, ὅτι μικρὰ καὶ ὀλιγοχρόνια καὶ φθαρτά· ἐκεῖνα δὲ ἀγαπῆσαι, τὰ ἀγαθὰ καὶ ἄφθαρτα. Ποιοῦντες γὰρ τὸ θέλημα τοῦ Χριστοῦ, εὑρήσομεν ἀνάπαυσιν· εἰ δὲ μήγε, ὅσον ἡμᾶς ῥύσεται ἐκ τῆς αἰωνίου κολάσεως, ἐὰν παρακούσωμεν τῶν ἐντολῶν αὐτοῦ. Λέγει δὲ καὶ ἡ γραφὴ ἐν τῷ Ἰεζεκιήλ· ὅτι ἐὰν ἀνέσῃ Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, οὐ ῥύσονται τὰ τέκνα αὐτῶν ἐν τῇ αἰχμαλωσίᾳ. Εἰ δὲ καὶ οἱ τοιοῦτοι δίκαιοι οὐ δύανται ταῖς ἀυτῶν δικαιοσύναις ῥύσασθαι τὰ τέκνα αὐτῶν, ἡμεῖς ἐὰν μὴ τηρήσωμεν τὸ βάπτισμα ἁγνὸν καὶ ἀμίαντον, ποίᾳ πεποιθήσει εἰσελεύσόμεθα εἰς τὸ βασίλειον τοῦ Θεοῦ; ἢ τίς ἡμῶν παράκλησις ἔσται, ἐὰν μὴ εὑρεθῶμεν ἔργα ἔχοντες ὅσια καὶ δίκαια.

Ὥστε οὖν, ἀδελφοί μου, ἀγωνισώμεθα, εἰδότες ὅτι ἐγγύς ἐστιν ὁ * αἰών· καὶ ὅτι εἰς τοὺς φθαρτοὺς ἀγῶνας καταπλέουσιν πολλοί, ἀλλ' οὐ πάντες στεφανοῦνται, εἰμὴ οἱ πολλὰ κοπιάσαντες, καὶ καλῶς ἀγωνισάμενοι. Ἡμεῖς οὖν ἀγωνισώμεθα, ἵνα πάντες στεφανωθῶμεν. Ὥστε * θῶμεν τὴν ὁδὸν τὴν ἀθείαν, ἀγῶνα τὸν ἄφθαρτον, καὶ πολλοὶ εἰς * ἑαυτὸν καταπλεύσωμεν, καὶ ἀγωνισώμεθα, ἵνα καὶ στεφανωθῶμεν· καὶ εἰ μὴ δυνάμεθα ἅπαντες στεφανωθῆναι, ἀλλ' ἐγγὺς τοῦ στεφάνου γενώμεθα. Εἰδέναι ἡμᾶς δεῖ ὅτι ὁ τὸν φθαρτὸν ἀγῶνα ἀγωνιζόμενος, ἐὰν εὑρεθῇ φθείρων, μαστιγωθεὶς αἴρεται, καὶ ἔξω βάλλεται τοῦ σταδίου. Τί δοκεῖτε; ὁ τὸν τῆς ἀφθαρσίας ἀγῶνα φθείρας, τί παθεῖται; τῶν γὰρ μὴ τηρησάντων, φησίν, τὴν σφραγίδα, ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.

Ὡς οὖν ἐσμεν, ἐπὶ γῆς, μετανοήσωμεν. Πηλὸς γὰρ ἐσμεν εἰς τὴν χεῖρα τοῦ τεχνίτου. Ὃν τρόπον γὰρ ὁ κεραμεὺς, ἐὰν ποιῇ σκεῦος, καὶ ἐν ταῖς χερσὶν αὐτοῦ διαστραφῇ, ἢ συντριβῇ, πάλιν αὐτὸ ἀναπλάσει· ἐὰν δὲ προφθάσῃ εἰς τὴν κάμινον τοῦ πυρὸς αὐτὸ βαλεῖν, οὐκέτι βοηθήσει αὐτῷ· οὕτως καὶ ἡμεῖς ἕως ἐσμεν ἐν τούτῳ τῷ κόσμῳ, ἐν τῇ σαρκὶ ἁμαρτάνωμεν, μετανοήσωμεν ἐξ ὅλης τῆς καρδίας. ἵνα σωθῶμεν ὑπὸ τοῦ κυρίου, ἕως ἔχομεν καιρὸν μετανοίας. Μετὰ γὰρ τὸ ἐξελθεῖν ἡμᾶς ἐκ τοῦ κόσμου, οὐκέτι δυνάμεθα ἐκεῖ ἐξομολογήσασθαι ἢ μετανοεῖν ἔτι. Ὥστε, ἀδελφοί, ποιήσαντες τὸ θέλημα τοῦ πατρὸς, καὶ τὴν σάρκα ἁγνὴν τηρήσαντες, καὶ τὰς ἐντολὰς τοῦ κυρίου φυλάξαντες, λημψόμεθα ζωὴν αἰώνιον. Λέγει γὰρ κύριος ἐν τῷ Εὐαγγελίῳ· εἰ τὸ μικρὸν οὐκ ἐτηρήσατε, τὸ μέγα τίς ὑμῖν δώσει; λέγω γὰρ ὑμῖν, ὅτι ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστιν. Ἆρα οὖν τοῦτο λέγει· τηρήσατε τὴν σάρκα ἁγνὴν καὶ τὴν σφραγῖδα ἄσπιλον, ἵνα τὴν αἰώνιον ζωὴν * ἀπολάβωμεν. * f. ἀπολά-βωμεν.

Καὶ μὴ λεγέτω τις ὑμῶν, ὅτι αὕτη ἡ σὰρξ κρίνεται, καὶ οὐδὲ ἀνίσταται. Γνῶτε, ἐν τίνι ἐσώθητε, ἐν τίνι ἀνεβλέψατε, εἰ μὴ ἐν τῇ σαρκὶ ταύτῃ ὄντες. Δεῖ οὖν ἡμᾶς ὡς ναὸν Θεοῦ φυλάσσειν τὴν σάρκα. Ὃν τρόπον γὰρ ἐν τῇ σαρκὶ ἐκλήθητε, καὶ ἐν τῇ σαρκὶ ἐλεύσεσθε. Ὁ Ἰησοῦς Χριστὸς ὁ κύριος, ὁ σώσας ἡμᾶς, ὢν μὲν τὸ πρῶτον πνεῦμα, ἐγένετο σάρξ, καὶ οὕτως ἡμᾶς ἐκάλεσεν· οὕτως καὶ ἡμεῖς ἐν ταύτῃ τῇ σαρκὶ ἀπολημψόμεθα τὸν μισθόν. Ἀγαπῶμεν οὖν ἀλλήλους, ὅπως ἐλθωμεν πάντες εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Ἕως ἔχομεν καιρὸν τοῦ ἰαθῆναι, ἐπιδῶμεν ἑαυτοὺς τῷ θεραπεύοντι Θεῷ, ἀντιμισθίαν αὐτῷ διδόντες. Ποίαν; τὸ μετανοῆσαι ἐξ εἰλικρινοῦς καρδίας. Προγνώστης γάρ ἐστιν τῶν πάντων, καὶ εἰδὼς ἡμῶν τὰ ἐν καρδίᾳ. Δῶμεν οὖν αὐτῷ * αἴνεσιν, μὴ ἀπὸ στόματος μόνον, ἀλλὰ καὶ ἀπὸ καρδίας, ἵνα ἡμᾶς προσδέξηται ὡς Θεοῦ υἱούς. Καὶ γὰρ εἶπεν ὁ κύριος· ἀδελφοί μου οὗτοί εἰσιν, οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου. * f. αἴνε-σιν.

Ὥστε, ἀδελφοί μου, ποιήσωμεν τὸ θέλημα τοῦ πατρὸς, τοῦ καλέσαντος ἡμᾶς, ἵνα ζήσωμεν, καὶ διώξωμεν μᾶλλον τὴν ἀρετὴν, τὴν δὲ κακίαν καταλείψωμεν, ὡς προοδοιπόρον τῆς * ἁμαρτιῶν ἡμῶν, καὶ φύγωμεν τὴν ἀσέβειαν, μὴ ἡμᾶς καταλάβῃ τὰ κακά. Ἐὰν γὰρ σπεύδωμεν ἀγαθοποιεῖν, διώκεται ἡμᾶς εἰρήνη. Διὰ ταύτην γὰρ τὴν αἰτίαν οὐκ ἔστιν εὑρεῖν ἄνθρωπον. Οἵτινες γὰρ ἄγουσι φόβους ἀνθρωπίνους, προκρίνοντες μᾶλλον τὴν ἐνθάδε ἀπόλαυσιν, ἢ τὴν μέλλουσαν ἐπαγγελίαν. Ἀγνοοῦσιν γὰρ ἡλίκην ἔχει βάσανον ἡ ἐνθάδε ἀπόλαυσις, καὶ οἵαν τρυφὴν ἔχει ἡ μέλλουσα ἐπαγγελία. Καὶ εἰ μὲν αὐτοὶ μόνοι ταῦτα ἐφρόνουν, ἀνεκτὸν ἦν. Νῦν δὲ ἐπιμένουσιν κακοδιδασκαλοῦντες τὰς * ἀνετίους ψυχὰς, οὐκ εἰδότες ὅτι διπλῆν ἕξουσιν τὴν κρίσιν. αὐτοί τε, καὶ οἱ ἀκούοντες αὐτῶν. * l. ἀνοήτους

Ἡμεῖς οὖν ἐν καθαρᾷ καρδίᾳ δουλεύσωμεν τῷ Θεῷ, καὶ ἐσόμεθα δίκαιοι· ἐὰν δὲ μὴ δουλεύσωμεν, διὰ τοῦ μὴ πιστεύειν ἡμᾶς τῇ ἐπαγγελίᾳ τοῦ Θεοῦ, ταλαίπωροι ἐσόμεθα. Λέγει γὰρ ὁ προφητικὸς λόγος· Ταλαίπωροι εἰσιν οἱ δίψυχοι, οἱ διστάζοντες τῇ καρδίᾳ, οἱ δὲ λέγοντες, ταῦτα πάντα ἠκούσαμεν καὶ * ἐπὶ τῶν πατέρων ἡμῶν, ἡμεῖς δὲ ἡμέραν ἐξ ἡμέρας προσδεχόμενοι, οὐδὲν τούτων ἑωράκαμεν. Ἀνόητοι, συμβάλετε ἑαυτοὺς ξύλῳ λί- * Ep. 1 ad.

λάβετε ἄμπελον· πρῶτον μὲν φυλορροεῖ, εἶτα βλαστὸς γίνεται, μετὰ ταῦτα ὄμφαξ, εἶτα σταφυλὴ παρεστηκυῖα· οὕτως καὶ ὁ λαός μου ἀκαταστασίας καὶ θλίψεις ἔσχεν, ἔπειτα ἀπολήψεται τὰ ἀγαθά. Ὥστε, ἀδελφοί μου, μὴ διψυχῶμεν, ἀλλὰ ἐλπίσαντες ὑπομείνωμεν, ἵνα καὶ τὸν μισθὸν κομισώμεθα. Πιστὸς γάρ ἐστιν, ὁ ἐπαγγειλάμενος τὰς ἀντιμισθίας ἀποδιδόναι ἑκάστῳ τῶν ἔργων αὐτοῦ. Ἐὰν οὖν ποιήσωμεν τὴν δικαιοσύνην ἐναντίον τοῦ Θεοῦ, εἰσήξομεν εἰς τὴν βασιλείαν αὐτοῦ, καὶ ληψόμεθα τὰς ἐπαγγελίας, ἃς οὖς οὐκ ἤκουσεν, οὐδὲ ὀφθαλμὸς ἴδεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη.

Ἐκδεχώμεθα οὖν καθ' ὥραν τὴν βασιλείαν τοῦ Θεοῦ, ἐν ἀγάπῃ καὶ δικαιοσύνῃ· ἐπειδὴ οὐκ οἴδαμεν τὴν ἡμέραν τῆς ἐπιφανείας τοῦ Θεοῦ. Ἐπερωτηθεὶς γὰρ αὐτὸς ὁ κύριος ὑπό τινος, πότε ἥξει αὐτοῦ ἡ βασιλεία, εἶπεν· Ὅταν ἔσται τὰ δύο ἕν, καὶ τὸ ἔξω ὡς τὸ ἔσω, καὶ τὸ ἄρσεν μετὰ τῆς θηλείας οὔτε ἄρσεν οὔτε θῆλυ. Τὰ δύο δὲ ἐν ἐστιν, ὅταν λαλῶμεν αὐτοῖς ἀλήθειαν, καὶ ἐν δυσὶ σώμασιν ἀνυποκρίτως εἴη μία ψυχή. Καὶ τὸ ἔξω ὡς τὸ ἔσω τοῦτο λέγει· τὴν ψυχὴν λέγει τὸ ἔσω, τὸ δὲ ἔξω τὸ σῶμα λέγει. Ὃν τρόπον οὖν σου τὸ σῶμα φαίνεται, οὕτως καὶ ἡ ψυχή σου δῆλος ἔστω ἐν τοῖς καλοῖς ἔργοις. Καὶ τὸ ἄρσεν μετὰ τῆς θηλείας οὔτε θῆλυ, τοῦτο * * * * * * * * * * * * * * *

Τὰ λοιπὰ ἐλλείπουσι.

Θράυσματα τῶν ἄνωθεν ἐπιστολῶν. ἅπερ ἐν ταύταις οὐκ εἰσὶ· εὑρίσκονται δὲ παρὰ τοῖς πάλαι πατρᾶσι.

Ἐκ τῶν τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ ἐκλογῶν· Βιβ'. α'. Τίτλ. μθ'.

Τοῦ ἁγίου Κλήμεντος ἐπισκόπου Ῥώμης.

Αὐτάργης εἰς σωτηρίαν ἡ εἰς Θεὸν ἀνθρώπου ἀγάπη. Εὐγνωμοσύνης γάρ ἐστι τὸ πρὸς τὸν τοῦ εἶναι ἡμᾶς αἴτιον ἀποσώζειν στοργήν, ὑφ' ἧς καὶ εἰς δεύτερον, καὶ ἀγήρω αἰῶνα διασωζόμεθα.

Τοῦ αὐτοῦ. Ἐπείρασεν ὁ Θεὸς τὸν Ἀβραὰμ, οὐκ ἀγνοῶν τίς ἦν, ἀλλ' ἵνα τοῖς μετὰ ταῦτα δείξῃ, καὶ μὴ κρύψῃ τὸν τοιοῦτον, καὶ διεγείρῃ εἰς μίμησιν τῆς ἐκείνου πίστεως καὶ ὑπομονῆς, καὶ πείσῃ καὶ τέκνων στοργῆς ἀμελεῖν πρὸς ἐκπλήρωσιν θείου προστάγματος· ὅθεν ἔγγραφον περὶ αὐτοῦ ἱστορίαν γενέσθαι ᾠκονόμησεν.

Τοῦ αὐτοῦ ἐκ τῶν ἐκλογ. Βιβλ. α'. Τιτλ. κγ'.

Τοῦ ἁγίου Κλήμεντος ἐπισκόπου Ῥώμης ἐκ τῆς β'. πρὸς Κορινθίους ἐπιστολῆς.

Μὴ ταρασσέτω τὴν καρδίαν ὑμῶν, ὅτι βλέπομεν τοὺς ἀδίκους πλουτοῦντας, καὶ στενοχωρουμένους τοὺς τοῦ Θεοῦ δούλους. οὐδεὶς γὰρ τῶν δικαίων ταχὺν καρπὸν ἔλαβεν, ἀλλ' ἐκ δέχεται αὐτόν. εἰ γὰρ τὸν μισθὸν τῶν δικαίων ὁ Θεὸς εὐθέως ἀπεδίδου, ἐμπορίαν ἠσκοῦμεν, καὶ οὐκ εὐσέβειαν, οὐ διὰ τὸ εὐσεβὲς, ἀλλὰ τὸ κερδάλεον διώκοντες.

Τοῦ αὐτοῦ ἐκ τῶν ἐκλογ. στοιχεῖον π'. Τίτλ. λα'.

Τοῦ ἁγίου Κλήμεντος ἐκ τῆς πρὸς Κορινθίους β'.

Ὁ τῶν παρόντων αἰσθητικὸς, συνίησιν ὡς οὔτε ἃ λογίζονταί τινες εἶναι τερπνὰ, ξένα καὶ μακράν ἐστι τῶν ἀπεχθῶν. Ἀλλὰ καὶ πλοῦτος πολλάκις μᾶλλον πενίας ἔθλιψε, καὶ ὑγεία πλέον ἠνίασε νόσου. Καὶ καθόλου τῶν λυπηρῶν καὶ φευκτῶν πάντων ὑπόθεσις καὶ ὕλη, ἡ τῶν ἀσπαστῶν καὶ κατ' εὐχὴν περιβολὴ γίνεται.

Ἐκ τοῦ ὀγδόου λόγου τοῦ ἁγίου Μαξίμου.

Κλήμεντος Ῥώμης.

Οὐ δίκαιόν ἐστι, τοῦ δεδωκότος ἐγκαταλειφθέντος, τὰ δοθέντα παραμένειν τοῖς ἀγνώμοσιν.

Κλήμεντος Ῥώμης.

Διαφορὰ τυγχάνει ἀληθείας καὶ συνηθείας· ἡ μὲν γὰρ ἀλήθεια γνησίως ζητουμένη εὑρίσκεται, τὸ δὲ ἔθος ὁποῖον ἂν παραληφθῇ, εἴτε ἀληθὲς, εἴτε ψευδὲς, ἀκρίτως ὑφ' ἑαυτοῦ κρατύνεται· ἐν αἷς γὰρ ἕκαστος ἐκ παιδόθεν ἐθίζεται, ταύταις * ἐμμαίνειν ἥδεται. ὃ γὰρ μισεῖ τις διὰ τὴν ἐπιοῦσαν τῇ ἡλικίᾳ σύνεσιν, τοῦτο διὰ τὴν πολυχρόνιον τῶν κακιῶν συνήθειαν πράττειν συναγκάζεται, δεινὴν σύνοικον τὴν ἁμαρτίαν παρειληφώς.

* Legimus

Ἐκ τοῦ Βιβλ. περὶ πνεύματος ἁγίου τοῦ ἁγίου Βασιλείου.

Ἀλλὰ καὶ Κλήμης ἀρχαιώτερος, ζῇ, φησιν, ὁ Θεὸς, καὶ κύριος Ἰησοῦς Χριστὸς, καὶ τὸ πνεῦμα ἅγιον.

Ἐκ τοῦ παλαιοῦ Κώδικος τῆς Βασιλικῆς βίβλιοθ.

Τοῦ ἁγίου Κλήμεντος ἐπισκόπου Ῥώμης, μετὰ τὸν ἀπόστολον Πέτρον τοῦ ἀποστολικοῦ θρόνου ἡγησαμένου, εἰς τὸ ἅγιον πνεῦμα.

Μακάριος ὁ κεκλεισμένους ὀφθαλμοὺς ἀνοίξας, καὶ διωκόμενον ἄσθματι πνεῦμα διὰ τοῦ ἐγεῖραι ἀναλαβών. Τὸ χαμαὶ κεῖσθαι τοῦτο ἦν καὶ τὸ ἐπὶ ποδῶν μὴ ἑστᾶναι, τὸ τὴν ἀλήθειαν οὐκ ἔχειν. Ἀνάστασις δέ ἐστι πατρὸς ἡ ἐπίγνωσις, καὶ ἐπιφάνεια τοῦ υἱοῦ, ᾗ τὰς αἰσθήσεις ἐφανέρωσε. Μακάριος ἀνὴρ ὁ γινώσκων τὴν τοῦ πατρὸς δόσιν δι' ἐκπορεύσεως τοῦ παναγίου πνεύματος. Μακάριος ὁ γι-

ὁ γινώσκων καὶ λαβὼν, ὅτι τὸ ἅγιον πνεῦμά ἐστιν ἡ δόσις αὐτοῦ. Καὶ τοῦτο ἐν τύπῳ περιστερᾶς παρέσχε. Τὸ γὰρ ζῶον ἀκακίαν ἔχει, καὶ ἄχολόν ἐστιν. Ἄκακος δὲ ὁ πατὴρ πνεῦμα ἔδωκεν ἄκακον, ἀόργητον, ἀπίκραντον, τέλειον, ἀμίαντον, ἀπὸ σπλάγχνων ἰδίων προϊέμενος, ἵνα ῥυθμήσῃ τοὺς αἰῶνας, καὶ τοῦ ἀοράτου δῷ τὴν ἐπίγνωσιν. ἔστιν οὖν τοῦτο ἅγιον καὶ εὐθὲς, τὸ ἀπ' αὐτοῦ προελθὸν, καὶ δύναμις αὐτοῦ, καὶ θέλημα αὐτοῦ, εἰς πλήρωμα δόξης αὐτοῦ φανερωθέν. τοῦτο οἱ λαβόντες τυποῦνται ἀληθείας τύπῳ, χάριτος τελείας.

ΣΥ'ΝΟΔΟΣ Ε'Ν Ι'ΕΡΟΣΟΛΥ'ΜΟΙΣ Α'ΠΟΣΤΟ'ΛΩΝ.

ΣΥ'ΝΟΔΟΣ θεία καὶ ἱερὰ, συναθροισθεῖσα ἐν Ι'εροσολύμοις, ὑπὸ τῶν θεοδιδάκτων ἁγίων Α'ποστόλων, καὶ μυσταγωγῶν πρεσβυτέρων, καὶ τῶν σὺν αὐτοῖς ἀδελφῶν, κατὰ τῶν ἐπιχειρησάντων πιστῶν φαρισαίων, κρατύνειν τὴν ἐν σαρκὶ περιτομὴν, καὶ τηρεῖν τὰ νόμιμα ἔθη μετὰ τὸ εἰσδέξασθαι καθάπαξ τοὺς πιστοὺς, τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ * προσκύνησιν καὶ λατρείαν. καὶ χάριτι καὶ νόμῳ δουλεύειν, οἱονεὶ δυσὶ κυρίοις. ὅπερ ἀπεῖπεν ὁ τῶν ὑπὲρ νοῦν ἀγαθῶν πάροχος, καὶ τῆς κατάρας τοῦ νόμου ἐξαγορασάμενος ἡμᾶς Χριστὸς ὁ Θεὸς ἡμῶν.

Μετὰ γοῦν τὴν τῶν Α'ποστόλων σύνοδον, ἐξανέστη Σίμων ὁ μάγος, καὶ Κήρινθος, οὓς ἀποκήρυξαν οἱ κορυφαῖοι τῶν Α'ποστόλων, τὸν Σίμωνα, Πέτρος. τὸν δὲ Κήρινθον, ὁ τῆς θεολογίας ἐπώνυμος Ι'ωάννης. Μετὰ τούτους ἐξανέστη Οὐαλεντῖνος, Σεκοῦνδος, Μαρκίων, Βασιλείδης, Σατορνῖνος, Καρποκράτης, Αἰβίων, Ε'ρμογένης, Α'λέξανδρος ὁ Χαλκεὺς, καὶ οἱ σὺν αὐτοῖς.



Μ. Διονυσίου, Πεντηκοστή, 16ου α'ι.







Ἅγ. Μάρκος, Βενετίας, Ἀνάγλυφον προσόψεως.





Ἅγ. Ἀπόστολοι. Σύγχρονον ἔργον



Βαπτιστήριον Ἀρειανῶν, Ραβέννης, Ἀπ. Πέτρος καί Παῦλος μέ τόν Θρόνο, 6ου αἰ.

ΚΑΝΟΝΕΣ

ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΣΕΠΤΩΝ ΑΠΟΣΤΟΛΩΝ.

ά.

ΕΠΙΣΚΟΠΟΣ χειροτονείσθω ὑπὸ ἐπισκόπων δύο ἢ τριῶν.

β'.

Πρεσβύτερος ὑπὸ ἑνὸς ἐπισκόπου χειροτονείσθω, καὶ διάκονος, καὶ οἱ λοιποὶ κληρικοί.

γ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος παρὰ τὸν κυρίου διάταξιν τοῦ ἐπὶ τῇ θυσίᾳ, προσενέγκῃ ἕτεράτινα ἐπὶ τὸ θυσιαστήριον, ἢ μέλι, ἢ γάλα, ἢ ἀντὶ οἴνου σίκερα, ἢ ἐπιτηδειόν, ἢ ὄρνεις, ἢ ζωάτινα, ἢ ὀσπρια, ὡς παρὰ τὸν διάταξιν κυρίου ποιῶν, καθαιρείσθω, πλὴν νέων καρπῶν, ἢ σταφυλῆς, τῷ καιρῷ τῷ δέοντι.

Μὴ ἐξὸν δὲ ἔσω προσάγεσθαί τι ἕτερον * εἰς τὸ θυσιαστήριον, ἢ ἔλαιον εἰς τὸν λυχνίαν, καὶ θυμίαμα τῷ καιρῷ τῆς ἁγίας προσφορᾶς.

* πρὸς τὸ

δ'.

Ἡ ἄλλη πᾶσα ὀπώρα εἰς οἶκον ἀποστελλέσθω, ἀπαρχὴ τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, ἀλλὰ μὴ πρὸς τὸ θυσιαστήριον. Δῆλον δὲ, ὡς ὁ ἐπίσκοπος καὶ πρεσβύτεροι ἐπιμελείσθωσι τοῖς διακόνοις, καὶ τοῖς λοιποῖς κληρικοῖς.

έ.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας. Ἐὰν δὲ * ἐκβάλλῃ, ἀφοριζέσθω· ἐπιμένουσαν δὲ, καθαιρείσθω.

* ἐκβαλῇ,

ς'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω. εἰ δὲ μὴ, καθαιρείσθω.

ζ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος τὴν ἁγίαν τοῦ πάσχα ἡμέραν πρὸ τοῦ ἐαρινοῦ ἰσημερίας μετὰ Ἰουδαίων ἐπιτελέσει, καθαιρείσθω.

η'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἐκ τοῦ καταλόγου τοῦ ἱερατικοῦ, προσφορᾶς γνωμίζοντας μὴ μεταλάβοι, τὴν αἰτίαν ἐκθέσθω. Καὶ ἐὰν εὔλογος ᾖ, συγγνώμης τυγχανέτω. εἰ δὲ μὴ λέγει, ἀφοριζέσθω, ὡς αἴτιος βλάβης γνωμένους τῷ λαῷ, καὶ ὑπόνοιαν * ποιήσας κατὰ τοῦ προσενέγκαντος.

* ἐμποιήσας.

θ'.

Πάντας τοὺς εἰσιόντας πιστοὺς, καὶ τοὺς γραφὴν ἀκούοντας, μὴ παραμένοντας δὲ τῇ προσευχῇ, καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίαν ἐμποιοῦντας * τῇ ἐκκλησίᾳ, ἀφορίζεσθαι χρή.

* τοῦ κοινοσίου.

ι'.

Εἴ τις ἀκοινώνητος, καὶ ἐν οἴκῳ, συνεύξηται, ἔστω ἀφορισμένος.

ια'.

Εἴ τις καθηρημένου * κληρικὸς ὢν ὡς κληρικῷ ξυνεύξηται, καθαιρείσθω καὶ αὐτός.

* κληρικοῦ ὡς κληρικῷ.

ιβ'.

Εἴ τις κληρικὸς ἢ λαϊκὸς ἀφορισμένος, ἔπειτα ἄδεκτος, ἀπελθὼν ἐν ἑτέρᾳ πόλει, δεχθῇ ἄνευ γραμμάτων συστατικῶν, ἀφορίζεσθω καὶ ὁ δεξάμενος καὶ ὁ δεχθείς. Εἰ δὲ ἀφορισμένος εἴη, ἐπιτεινέσθω αὐτῷ ὁ ἀφορισμὸς, ὡς ψευσαμένῳ καὶ ἀπατήσαντι τὴν ἐκκλησίαν τοῦ Θεοῦ.

ιγ'.

Ἐπίσκοπον μὴ ἐξεῖναι καταλείψαντα τὴν ἑαυτοῦ

τοῦ παροικίαν ἑτέρᾳ ἐπιπηδᾶν, κἂν ὑπὸ πλειόνων ἀναγκάζηται· εἰ μή τις εὔλογος αἰτία ἢ τοῦτο βιαζομένη αὐτὸν ποιεῖν, ὡς πλέον τι κέρδος, δυναμένου αὐτοῦ τοῖς ἐκεῖσε λόγῳ εὐσεβείας συμβάλλεσθαι. καὶ τοῦτο δὲ οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ κρίσει πολλῶν ἐπισκόπων καὶ παρακλήσει μεγίστῃ.

ιδ'.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, ἀπολείψας τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἀπέλθῃ, καὶ παντελῶς μεταστὰς, διατρίβῃ ἐν ἄλλῃ παροικίᾳ παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, τοῦτον κελεύομεν μηκέτι λειτουργεῖν, μάλιστα εἰ προσκαλουμένου αὐτὸν τοῦ ἐπισκόπου αὐτοῦ, ἐπανελθεῖν οὐχ ὑπήκουσεν, ἐπιμένων τῇ ἀταξίᾳ· ὡς λαϊκὸς μέντοι ἐκεῖσε κοινωνείτω.

ιε'.

Εἰ δὲ ὁ ἐπίσκοπος, παρ' ᾧ τυγχάνουσι, παρ' οὐδὲν λογισάμενος τὴν κατ' αὐτῶν ὁρισθεῖσαν ἀργίαν, δέξεται αὐτοὺς ὡς κληρικοὺς, ἀφοριζέσθω ὡς διδάσκαλος ἀταξίας.

ιϛ'.

Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βαπτίσμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιζ'.

Ὁ χήραν λαβὼν, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιη'.

* ἀδελφὴν, Ὁ δύο ἀδελφὰς ἀγαγόμενος, ἢ * ἀδελφιδῆν, οὐ δύναται εἶναι κληρικός.

ιθ'.

Κληρικὸς ἐγγύας διδοὺς καθαιρείσθω.

κ'.

Εὐνοῦχος εἰ μὲν ἐξ ἐπηρείας ἀνθρώπων ἐγένετό τις, ἢ ἐν διωγμῷ ἀφῃρέθῃ τὰ ἀνδρῶν, ἢ οὕτως ἔφυ, καὶ ἔστιν ἄξιος, γινέσθω.

κα'.

Ὁ ἀκρωτηριάσας ἑαυτὸν, μὴ γινέσθω κληρικός· αὐτοφονευτὴς γάρ ἐστιν ἑαυτοῦ, καὶ τῆς τοῦ θεοῦ δημιουργίας ἐχθρός.

κβ'.

Εἴ τις κληρικὸς ὢν, ἑαυτὸν ἀκρωτηριάσει, καθαιρείσθω, φονευτὴς γάρ ἐστιν ἑαυτοῦ.

κγ'.

Λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας, ἀφοριζέσθω ἔτη τρία. ἐπίβουλος γάρ ἐστι τῆς ἑαυτοῦ ζωῆς.

κδ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐπὶ πορνείᾳ, ἢ ἐπιορκίᾳ, ἢ κλοπῇ ἁλοὺς, καθαιρείσθω, καὶ μὴ ἀφοριζέσθω. λέγει γὰρ ὁ γραφὴ, οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό· * ὁμοίως δὲ οἱ λοιποὶ κληρικοὶ τῇ αὐτῇ αἱρέσει ὑποκείσθωσαν.

κε'.

Τῶν εἰς κλῆρον προσελθόντων ἀγάμων, κελεύομεν βουλομένους γαμεῖν, ἀναγνώστας, καὶ ψάλτας * μόνους.

κϛ'.

Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον τύπτοντα πιστοὺς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας, τῷ διὰ τοιούτων φοβεῖν * θέλοντα, καθαιρεῖσθαι προστάττομεν. οὐδαμοῦ γὰρ ὁ κύριος τοῦτο ἡμᾶς ἐδίδαξε. Τοὐναντίον δὲ αὐτὸς τυπτόμενος, οὐκ ἀντέτυπτε. λοιδορούμενος, οὐκ ἀντελοιδόρει, πάσχων, οὐκ ἠπείλει.

κζ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος * καθαιρεισθεὶς δικαίως ἐπὶ ἐγκλήμασι φανεροῖς, τολμήσειν ἅψασθαι τῆς πότε ἐγχειρισθείσης αὐτῷ λειτουργίας, οὗτος παντάπασιν ἐκκοπτέσθω τῆς ἐκκλησίας.

κη'.

Εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς, καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω τῆς κοινωνίας παντάπασιν, ὡς Σίμων ὁ μάγος * ἀπὸ ἐμοῦ Πέτρου.

κθ'.

Εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς γένηται ἐκκλησίας, καθαιρείσθω, καὶ ἀφοριζέσθω, καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες.

λ'.

Εἴ τις πρεσβύτερος καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου, χωρὶς * συναγωγὴν, καὶ θυσιαστήριον * πήξει, μηδὲν κατεγνωκὼς τοῦ ἐπισκόπου ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ, καθαιρείσθω ὡς φίλαρχος. τύραννος γάρ ἐστιν. ὡσαύτως δὲ καὶ οἱ λοιποὶ κληρικοὶ, καὶ ὅσοι ἐν αὐτῷ προσθῶνται· οἱ δὲ λαϊκοὶ ἀφοριζέσθωσαν. ταῦτα δὲ μετὰ μίαν καὶ δευτέραν, καὶ τρίτην παράκλησιν τοῦ ἐπισκόπου γινέσθω.

λα'.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος ἀπὸ ἐπισκόπου γένηται * ἀφωρισμένος, τοῦτον μὴ ἐξεῖναι παρ' ἑτέρου δέχεσθαι, ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτὸν, εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτὸν ἐπίσκοπος.

λβ'.

Μηδένα τῶν ξένων ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων ἄνευ συστατικῶν προσδέχεσθαι·

καὶ

καὶ ἐπιφερομένων * αὐτῶν, ἀνακρινέσθωσαν. καὶ εἰ μὲν ὦσι κήρυκες τῆς εὐσεβείας, προσδεχέσθωσαν· εἰ δὲ μήγε, * τὴν χρείαν αὐτοῖς ἐπιχορηγήσαντες, εἰς κοινωνίαν αὐτοὺς μὴ προσδέξησθε. πολλὰ γὰρ κατὰ συναρπαγὴν γίνεται.

* δι' αὐτῶν, * τὰ πρὸς τὰς χρείας αὐτοῖς.

λγ'.

Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν, καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης. ἐκεῖνα δὲ μόνα πράττειν ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ' αὐτὴν χώραις. Ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι. οὕτως γὰρ ὁμόνοια ἔσται, καὶ δωξασθήσεται * ὁ θεὸς διὰ κυρίου ἐν ἁγίῳ πνεύματι.

*, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα.

λδ'.

Ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίαν ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας. εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας, ἢ τὰς χώρας γνώμην, καθαιρείσθω καὶ αὐτὸς, καὶ οὓς ἐχειροτόνησεν.

λε'.

Εἴ τις χειροτονηθεὶς ἐπίσκοπος μὴ καταδέχοιτο τὴν λειτουργίαν καὶ τὴν φροντίδα τοῦ λαοῦ τὴν ἐγχειρισθεῖσαν αὐτῷ, τοῦτον ἀφωρισμένον τυγχάνειν, ἕως ἂν καταδέξηται. ὡσαύτως καὶ πρεσβύτερος καὶ διάκονος. Εἰ * καὶ μὴ δεχθείη, οὐ παρὰ τὴν ἑαυτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ μοχθηρίαν, αὐτὸς * μενέτω ἐπίσκοπος, ὁ δὲ κλῆρος τῆς πόλεως ἀφοριζέσθω, ὅτι τοιούτου λαοῦ ἀνυποτάκτου παιδευταὶ οὐκ ἐγένοντο.

* δι' ἀπιλθὼν, μή. * μὴ ἔστω.

λϛ'.

Δεύτερον τοῦ ἔτους σύνοδος γινέσθω τῶν ἐπισκόπων, καὶ ἀνακρινέτωσαν ἀλλήλους τὰ δόγματα τῆς εὐσεβείας, καὶ τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀντιλογίας διαλυέτωσαν· ἅπαξ μὲν τῇ τετάρτῃ ἑβδομάδι τῆς πεντηκοστῆς, δεύτερον δὲ ὑπερβερεταίου δωδεκάτῃ.

λζ'.

Πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ, ὡς θεοῦ ἐφορῶντος. Μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ θεοῦ χαρίζεσθαι. εἰ δὲ πένητες εἶεν, ἐπιχορηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προφάσει τούτων τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω.

λη'.

Οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι ἄνευ γνώμης τοῦ ἐπισκόπου μηδὲν ἐπιτελείτωσαν. αὐτὸς γάρ ἐστιν ὁ πεπιστευμένος τὸν λαὸν τοῦ κυρίου, καὶ τὸν ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησόμενος.

λθ'.

Ἔστω φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα (εἴγε καὶ ἴδια ἔχει) καὶ φανερὰ τὰ κυριακὰ, ἵνα ἐξουσίαν ἔχῃ τῶν ἰδίων τελευτῶν ὁ ἐπίσκοπος, οἷς βούλεται, καὶ ὡς βούλεται, καταλεῖψαι. καὶ μὴ προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων διαπίπτειν τὰ τοῦ ἐπισκόπου, ἔσθ' ὅτε γυναῖκα καὶ παῖδας κεκτημένου, ἢ συγγενεῖς, ἢ οἰκέτας. Δίκαιον γὰρ τοῦτο παρὰ θεῷ καὶ ἀνθρώποις, τὸ μήτε τὴν ἐκκλησίαν ζημίαν τινὰ ὑπομένειν ἀγνοίᾳ τῶν τοῦ ἐπισκόπου πραγμάτων, μήτε τὸν ἐπίσκοπον ἢ τοὺς αὐτοῦ συγγενεῖς προφάσει τῆς ἐκκλησίας * πημαίνεσθαι, ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, καὶ τὸν αὐτοῦ θάνατον * δυσφημίαις περιβάλλεσθαι.

* δημεύεσθαι, * δυσφημίᾳ.

μ'.

Προστάττομεν ἐπίσκοπον ἐξουσίαν ἔχειν τῶν τῆς ἐκκλησίας πραγμάτων. εἰ γὰρ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς αὐτῷ πιστευτέον, πολλῷ ἂν μᾶλλον δέοι ἐπὶ τῶν χρημάτων ἐντέλλεσθαι, ὥστε κατὰ τὴν αὐτοῦ ἐξουσίαν πάντα διοικεῖσθαι, καὶ τοῖς δεομένοις διὰ τῶν πρεσβυτέρων καὶ διακόνων ἐπιχορηγεῖσθαι μετὰ φόβου τοῦ θεοῦ καὶ πάσης εὐλαβείας. μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων (εἴγε δέοιτο) εἰς τὰς ἀναγκαίας * αὐτῷ χρείας, καὶ τῶν ἐπιξενουμένων ἀδελφῶν, ὡς κατὰ μηδένα τρόπον αὐτοὺς ὑστερεῖσθαι. ὁ γὰρ νόμος τοῦ θεοῦ διετάξατο τοὺς τῷ θυσιαστηρίῳ * ὑπηρετοῦντας ἐκ τοῦ θυσιαστηρίου τρέφεσθαι· ἐπείπερ οὐδὲ * στρατιῶταί ποτε ἰδίοις ὀψωνίοις ὅπλα κατὰ πολεμίων * ἐπιφέρονται.

* αὐτοῦ * προσιδρεύοντας. * στρατιώτης * ἐπιφερέται.

μα'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος κύβοις χολάζων, καὶ μέθαις, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

μβ'.

Ὑποδιάκονος, ἢ ψάλτης, ἢ ἀναγνώστης τὰ ὅμοια ποιῶν, ἢ παυσάσθω, ἢ ἀφοριζέσθω, ὡσαύτως καὶ οἱ λαϊκοί.

μγ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τόκους ἀπαιτῶν τοὺς δανειζομένους, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

μδ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, αἱρετικοῖς συνευξάμενος * μόνον, ἀφοριζέσθω. Εἰ δὲ καὶ ἐπέτρεψεν αὐτοῖς ὡς κληρικοῖς ἐνεργῆσαί τι, καθαιρείσθω.

*, μόνον hoc loco diversa distinctio sensum diversiss. facit.

με'.

Ἐπίσκοπον, ἢ πρεσβύτερον αἱρετικῶν * δεξάμενον βάπτισμα, ἢ θυσίαν, καθαιρεῖσθαι προστάσσομεν. Τίς γὰρ συμφώνησις * τοῦ Χριστοῦ

* δεξαμένου. * Χριστῷ.

* πιστῷ

στῦ πρὸς τῦ βελίαλ; ἢ τὶς μερὶς * πιστῦ μετὰ ἀπίστυ;

μϛ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος τὸν κατ' ἀλήθειαν ἔχοντα βάπτισμα, ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν ἐὰν μὴ βαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν καὶ τὸν τῦ κυρίυ θάνατον, καὶ μὴ διακρίνων ἱερέας τῶν ψευδιερέων.

μζ'.

Εἴ τις λαϊκὸς τὴν ἑαυτῦ γυναῖκα ἐκβάλλων, ἑτέραν λάβῃ, ἢ παρ' ἄλλυ ἀπολελυμένην, ἀφοριζέσθω.

μη'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, κατὰ τὴν τῦ κυρίυ διάταξιν μὴ βαπτίσῃ εἰς πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα, ἀλλ' εἰς τρεῖς ἀνάρχυς, ἢ τρεῖς υἱῦς, ἢ τρεῖς παρακλήτυς, καθαιρείσθω.

μθ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, μὴ τρία βαπτίσματα μιᾶς μυήσεως ἐπιτελέσῃ, ἀλλ' ἓν βάπτισμα * εἰς τὸν θάνατον τῦ κυρίυ διδόμενον, καθαιρείσθω. ὐ γὰρ εἶπεν ὁ κύριος. Εἰς τὸν θάνατόν μυ βαπτίσατε, ἀλλὰ, πορευθέντες μαθητεύσατε πάντα τὸ ἔθνη, βαπτίζοντες αὐτῦς εἰς τὸ ὄνομα τῦ πατέρος, καὶ τῦ υἱῦ, καὶ τῦ ἁγίυ πνεύματος.

* τὸ εἰς

ν'.

Εἴ τις ἐπίσκοπος, καὶ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τῦ καταλόγυ τῦ ἱερατικῦ, γάμων, καὶ κρεῶν, καὶ οἴνυ, ὐ δι' ἄσκησιν, ἀλλὰ διὰ βδελυρίαν ἀπέχεται, ἐπιλαθόμενος ὅτι πάντα καλὰ λίαν, καὶ ὅτι ἄρσεν καὶ θήλυ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, ἀλλὰ βλασφημῶν διαβάλλει τὴν δημιυργίαν, ἢ διορθύσθω, ἢ καθαιρείσθω. καὶ τῆς ἐκκλησίας ἀποβαλλέσθω, ὡσαύτως καὶ λαϊκός.

νά.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος τὸν ἐπιστρέφοντα ἀπὸ ἁμαρτίας ὐ προσδέχεται, ἀλλ' ἀποβάλλεται, καθαιρείσθω, ὅτι λυπεῖ Χριστὸν τὸν εἰπόντα. χαρὰ γίνεται ἐν τῷ ὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοῦντι.

νβ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν ὐ μεταλαμβάνει κρεῶν καὶ οἴνυ, βδελυσσόμενος, καὶ ὐ δι' ἄσκησιν, καθαιρείσθω, ὡς κεκαυτηριασμένος τὴν ἰδίαν συνείδησιν, καὶ αἴτιος σκανδάλου πολλοῖς γινόμενος.

νγ'.

Εἴ τις κληρικὸς ἐν καπηλείῳ φωραθείῃ ἐσθίων, ἀφοριζέσθω, πάρεξ τῦ ἐν πανδοχείῳ ἐν ὁδῷ δι' ἀνάγκην * καταλύσαντος.

* καταλύσαντος.

4

νδ'.

Εἴ τις κληρικὸς ὑβρίζει τὸν ἐπίσκοπον, καθαιρείσθω. ἄρχοντα γὰρ τῦ λαῦ συ ὐκ ἐρεῖς κακῶς.

νε'.

Εἴ τις κληρικὸς ὑβρίζει πρεσβύτερον, ἢ διάκονον, ἀφοριζέσθω.

νϛ'.

Εἴ τις * χωλὸν, ἢ κωφὸν, ἢ τυφλὸν, ἢ * τὰς βάσεις πεπληγμένον χλευάζει, ἀφοριζέσθω. ὡσαύτως καὶ λαϊκός.

* κληρικὸς χωλόν.

νζ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος ἀμελῶν τῦ κλήρυ, ἢ τῦ λαῦ, καὶ μὴ παιδεύων αὐτῦς τὴν εὐσέβειαν, ἀφοριζέσθω, ἐπιμένων δὲ τῇ * ῥαθυμίᾳ, καθαιρείσθω.

* ἀμελείᾳ ῥαθυμίᾳ.

νη'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, τινὸς τῶν κληρικῶν ἐνδεῦς ὄντος, μὴ ἐπιχορηγεῖ τὰ δέοντα, ἀφοριζέσθω· ἐπιμένων δὲ, καθαιρείσθω, ὡς φονεύσας τὸν ἀδελφὸν * αὐτῦ.

* αὐτῦ.

νθ'.

Εἴ τις τὰ ψευδεπίγραφα τῶν ἀσεβῶν βιβλία, ὡς ἅγια, ἐπὶ τῆς ἐκκλησίας δημοσιεύει ἐπὶ * λύμῃ τῦ λαῦ καὶ τῦ κλήρυ, καθαιρείσθω.

* λοίμῃ

ξ'.

Εἴ τις κατηγορία γένηται κατὰ πιστῦ πορνείας, ἢ μοιχείας, ἢ ἄλλης τινὸς ἀπηγορευμένης πράξεως, καὶ ἐλεγχθείη, εἰς κλῆρον μὴ * ἀγέσθω.

* προσαγέσθω

ξά.

Εἴ τις κληρικὸς διὰ φόβον ἀνθρώπινον Ἰουδαίυ, ἢ Ἕλληνος, ἢ αἱρετικῦ, ἀρνήσηται. Εἰ μὲν * ὄνομα Χριστῦ, ἀποβαλλέσθω· Εἰ δὲ καὶ τὸ ὄνομα τῦ κληρικῦ, καθαιρείσθω. Μετανοήσας δὲ, ὡς λαϊκὸς δεχθήτω.

* τὸ ὄνομα τὸ Χριστῦ.

ξβ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τῦ καταλόγυ τῦ ἱερατικῦ, φάγῃ κρέα ἐν αἵματι ψυχῆς αὐτῦ, ἢ θηριάλωτον, ἢ θνησιμαῖον, καθαιρείσθω. Τῦτο γὰρ ὁ νόμος ἀπεῖπεν. Εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

ξγ'.

Εἴ τις κληρικὸς, ἢ λαϊκὸς εἰσέλθῃ εἰς συναγωγὴν Ἰουδαίων, ἢ αἱρετικῶν, * συνεύξασθαι, καθαιρείσθω, καὶ ἀφοριζέσθω.

* προσεύξασθαι.

ξδ'.

Εἴ τις κληρικὸς ἐν μάχῃ τινὰ κρύσας, καὶ ἀπὸ

* ἀπὸ τῦ ἑνὸς abest a Graecis codicibus emendatioribus.

* ἐὰν δὲ λαϊκὸς ᾖ,

* ἀπὸ τῦ ἑνὸς χρίσματος ἀποκτείνει, καθαιρεῖσθω ὄφ' ἑνὶ τῶν προπετείαν αὐτῦ. * εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

ξε.

Εἴ τις κληρικὸς ἁρέθη τῶν κυριακῶν ἡμέραν νηστεύων, ἢ τὸ σάββατον, πλὴν τῦ ἑνὸς μόνου, καθαιρείσθω. εἰ δὲ λαϊκός. ἀφοριζέσθω.

ξ ς΄.

Εἴ τις παρθένον ἀμνήστευτον βιασάμενος ἔχει, ἀφοριζέσθω. Μὴ ἐξεῖναι δὲ αὐτῷ ἑτέραν λαμβάνειν, ἀλλ' ἐκείνην, ὧν * ἡρετίσατο, κἂν πενιχρὰ τυγχάνῃ.

* καθηρετίσατο,

ξζ΄.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος δευτέραν χειροτονίαν δέξεται παρά τινος, καθαιρείσθω κἀ αὐτὸς, κἀ ὁ χειροτονήσας. Εἰ μήγε ἄρα συναίτιος, ὅτι παρὰ αἱρετικῶν ἔχει τὴν χειροτονίαν. Τοὺς γὰρ παρὰ τῶν τοιούτων βαπτισθέντας, ἢ χειροτονηθέντας, ἔτε πιστοὺς, οὔτε κληρικοὺς εἶναι δικαιον.

ξη΄.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, * ἢ ἀναγνώστης, ἢ ψάλτης, τὴν ἁγίαν τεσσαρακοστὴν τῦ πάσχα, ἢ τετράδα, ἢ παρασκευὴν, ἢ σάββατον, καθαιρείσθω, ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο. * Εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

* ἢ ὑποδιάκονος, ἢ,

* ἐὰν μὴ ᾖ,

ξθ΄.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τῶν καταλόγῳ τῶν κληρικῶν, νηστεύσει μετὰ τῶν Ἰουδαίων, ἢ * συνεορτάζοι μετ' αὐτῶν, ἢ δέχοιτο παρ' αὐτῶν τὰ τῆς ἑορτῆς ξένια, οἷον ἄζυμα, ἤτι τοιοῦτον, καθαιρείσθω. Εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

* ἑορτάζοι

ο΄.

Εἴ τις χριστιανὸς ἔλαιον ἀπενέγκῃ * εἰς ἱερὰ ἐθνῶν, ἢ εἰς συναγωγὴν Ἰουδαίων ἐν ταῖς ἑορταῖς αὐτῶν, ἢ λύχνους ἅπτει, ἀφοριζέσθω.

* εἰς

οα΄.

Εἴ τις κληρικὸς ἢ λαϊκὸς ἀπὸ τῆς ἁγίας ἐκκλησίας ἀφέληται κηρὸν, ἢ ἔλαιον, ἀφοριζέσθω *.

* ἢ τὸ ἐπίτιμιον προσθέτω μεθ' ἑλκύσεως.

οβ΄.

Σκεῦος χρυσῶν * ἀργυρῶν ἁγιασθὲν, ἢ σθένει, μηδεὶς ἔτι εἰς οἰκείαν χρῆσιν σφετερίζεσθω· παράνομον γάρ· εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ.

* ἢ ἀργύρεον

ογ΄.

Ἐπίσκοπον κατηγορηθέντα ἐπί τινι παρὰ ἀξιοπίστων ἀνθρώπων, καλεῖσθαι αὐτὸν ἀναγκαῖον ὑπὸ τῶν ἐπισκόπων. Κἂν μὴ * ἀπαντήσῃ καὶ ὁμολογήσῃ, ἢ ἐλεγχθείη, ὀφείλεσθαι τὸ ἐπιτίμιον. Εἰ δὲ καλούμενος μὴ ὑπακούοι, καλείσθω κἂ δεύτερον, ἀποστελλομένων ἐπ' αὐτὸν δύο ἐπισκόπων. ἐὰν δὲ κἂ ὕπως * καταφρονήσας μὴ ἀπαντήσῃ, ἢ συνόδου ἀποφαινέσθω κατ' αὐτὸ τὰ δοκοῦντα, ὅπως μὴ δόξῃ κερδαίνειν φυγοδικῶν.

* ἐκαστέρωσε ἢ ἀπολογήσεται, ἐλεγχθείη αὐτὸ, ἀφορίζεσθω τὸ ἐπιτίμιον.

* ἐὰν δὲ μὴ ὑπακούσει καλούμενος τρίτον, δύο πάλιν ἐπισκόπων ἀποστελλομένων πρὸς αὐτὸν. ἐὰν δὲ κἂ οὕτως.

οδ΄.

Εἰς μαρτυρίαν τῶν κατ' ἐπισκόπου αἱρετικὸν μὴ προσδέχεσθαι, ἀλλὰ μηδὲ * πιστῶν ὄντα μόνον. ἐπὶ στόματος γὰρ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.

al. πιστὸν

οε΄.

Ὅτι * οὐ χρὴ ἐπίσκοπον τῷ ἀδελφῷ * ἢ υἱῷ, ἢ ἑτέρῳ συγγενεῖ χαρίζεσθαι πάσει ἀνθρωπίνῳ. ὁ γὰρ τῶν τῷ θεῷ ἐκκλησίαν ὑπὸ * κληρονόμους ὀφείλει τίθεσθαι. εἰ δέ τις τοῦτο ποιήσει, ἄκυρος * μενέτω ἡ χειροτονία, αὐτὸς δὲ ἐπιτιμάσθω ἀφορισμῷ.

* μὴ χρὴ τὸν ἢ τῷ υἱῷ ἢ τῷ συγγενεῖ χαρίζεσθαι, εἰ τὸ ἄξιον τῆς ἐπισκοπῆς χαρισάμενον ἑαυτὸν ἀναμένει γὰρ τὸν ἐπίσκοπον τεθνάναι, ἵνα τῷ υἱῷ, ἢ συγγενεῖ, τὸ τῦ θεῦ χαριζόμενον τίθηται κλῆρον.

* κληρονόμον

* μὴ ἔστω ἡ

* al. ἢ ἐπὶ ἐπίσκοπον, γενέσθω. ὁ γὰρ

ος΄.

Εἴ τις ἀνάπηρος * ἢ τὸν ὀφθαλμὸν, ἢ τὸ σκέλος πεπληγμένος, ἄξιος δὲ * ἐστιν, ἐπίσκοπος γινέσθω. ὁ γὰρ λοιβὴ σώματος αὐτὸν μιαίνει, ἀλλὰ ψυχῆς μολυσμός.

οζ΄.

Κωφὸς δὲ ὢν κἂ τυφλὸς, μὴ γινέσθω ἐπίσκοπος· ὄχ ὡς * βεβλαμμένῳ, ἀλλ' ἵνα μὴ τὰ * μυστήρια ἐκκλησιαστικὰ παρεμποδίζοιτο.

* μυστηρίοις

οη΄.

Εἴ τις δαίμονα ἔχει, κληρικὸς μὴ γινέσθω, ἀλλὰ μηδὲ τοῖς πιστοῖς συνευχέσθω. καθαιρεθεὶς δὲ προσδεχέσθω· κἂ ἄξιος ᾖ, γινέσθω.

οθ΄.

Τὸν ἐξ ἐθνικῆς βίου προσελθόντα καὶ βαπτισθέντα, ἢ ἐκ φαύλης ἀγωγῆς, ὁ δικαιὸν ἔστι παραυτίκα * προχειρίζεσθαι ἐπίσκοπον. ἄδικον γὰρ τὸν * μηδὲ προπείραν ἐπιδεδεγμένον, ἑτέρων εἶναι διδάσκαλον· εἰ μήτε κατὰ θείαν χάριν τοῦτο * γίνεται.

* μηδένα πρὸ τοῦ χρόνου

* γένηται.

π΄.

Εἰ πομφὸν, ὅτι * ὁ χρὴ ἐπίσκοπον, ἢ πρεσβύτερον καθίστασθαι ἑαυτὸν εἰς δημοσίας διοικήσεις, ἀλλὰ προσδημερεῖν ταῖς ἐκκλησιαστικαῖς χρείαις. ἢ πειθέσθω ἓν τούτῳ μὴ ποιεῖν, ἢ καθαιρείσθω. οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, κατὰ τὴν κυριακὴν παραγγελίαν.

* μὴ χρὴ

πα΄.

Οἰκέτας εἰς κλῆρον προχειρίζεσθαι ἀπὸ τῆς τῶν δεσποτῶν γνώμης, * ἀναξιοπιστοῦντα τὸ τοιοῦτο

* ὃν ἐπιτρέπομεν ἐπὶ τῶν ἐκκλησιαστικῶν τῶν κανόνων. οὐ γὰρ ἐκ τοιούτων

ἐργάζεται, εἰ δή ποτε καὶ ἄξιος φανείη ὁ οἰκέτης πρὸς χειροτονίαν βαθμοῦ, οἷος καὶ ὁ ἡμέτερος Ὀνήσιμος ἐφάνη, καὶ συγχωρήσουσιν οἱ δεσπόται, καὶ ἐλευθερώσουσι, καὶ τοῦ οἴκου ἑαυτῶν ἐξαποστελοῦσι, γινέσθω.

πβ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος στρατείᾳ σχολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, Ῥωμαϊκὴν ἀρχὴν, καὶ ἱερατικὴν διοίκησιν, καθαιρείσθω. τὰ γὰρ τοῦ Καίσαρος, Καίσαρι. καὶ τὰ τοῦ θεοῦ, τῷ Θεῷ.

πγ'.

Ὅστις ὑβρίζει βασιλέα ἢ ἄρχοντα, * τιμωρίαν τιννύτω· καὶ εἰ μὲν κληρικὸς, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφωριζέσθω.

* παρὰ τὸ δίκαιον, τιμωρίαν.

πδ'.

Ἔστω * πᾶσιν ὑμῖν κληρικοῖς καὶ λαϊκοῖς βιβλία σεβάσμια καὶ ἅγια, τῆς μὲν παλαιᾶς διαθήκης, Μωσέως πέντε, Γένεσις, Ἔξοδος, Λευιτικὸν, Ἀριθμοὶ. Δευτερονόμιον. Ἰησοῦ υἱοῦ * Ναυὴ ἕν, Ῥοὺθ ἕν. Βασιλειῶν τέσσαρα, παραλειπομένων τοῦ βιβλίου τῶν ἡμερῶν, * δύο, Ἐστὴρ ἕν, * Μαχαβαϊκῶν τρία, Ἰὼβ ἕν, Ψαλτήριον ἕν. Σολωμῶντος τρία, Παροιμίαι, Ἐκκλησιαστὴς, ᾆσμα ᾀσμάτων. Προφητῶν δεκαδύο, ἕν. Ἡσαΐου ἕν, Ἱερεμίου ἕν, Ἰεζεκιὴλ ἕν, Δανιὴλ ἕν. ἔξωθεν δὲ προσιστορείσθω ὑμῖν, μανθάνειν ὑμῶν τοὺς νέους τὴν σοφίαν τοῦ πολυμαθοῦς Σειράχ.

* δι' ἡμῖν πᾶσι κληρικοῖς καὶ

* Ναβὴ

* δύο, Ἔσδρα δύο, Μακκαβαίων

Ἡμέτερα δὲ, τοῦτ' ἔστι, τῆς καινῆς διαθήκης, Εὐαγγέλια τέσσαρα, Ματθαίου, Μάρκου, Λουκᾶ, Ἰωάννου. Παύλου ἐπιστολαὶ δικατέσσαρες, Πέτρου ἐπιστολαὶ δύο, Ἰωάννου τρεῖς, Ἰακώβου μία, Ἰούδα μία. Κλήμεντος ἐπιστολαὶ δύο, καὶ αἱ διαταγαὶ ὑμῖν τοῖς ἐπισκόποις δι' ἐμοῦ Κλήμεντος ἐν ὀκτὼ βιβλίοις προσπεφωνημέναι (ἃς οὐ * δεῖ δημοσιεύειν ἐπὶ πάντων, διὰ τὰ ἐν αὐταῖς μυστικὰ) καὶ αἱ πράξεις ἡμῶν τῶν ἀποστόλων.

Τέλος τῶν ἀποστολικῶν Κανόνων.

Ταῦτα δὲ περὶ κανόνων διατετάχθω ὑμῖν παρ' ἡμῶν, ὦ ἐπίσκοποι, ὑμεῖς δὲ ἐμμένοντες αὐτοῖς, σωθήσεσθε, καὶ εἰρήνην ἕξετε· ἀπειθοῦντες δὲ κολασθήσεσθε, καὶ πόλεμον μετ' ἀλλήλων ἀΐδιον ἕξετε, δίκην τῆς ἀνηκοΐας τὴν προσήκουσαν τιννύντες. Ὁ θεὸς δὲ ὁ μόνος ἀΐδιος καὶ τῶν ὅλων ποιητὴς, ἅπαντας ὑμᾶς διὰ τῆς εἰρήνης ἐν πνεύματι ἁγίῳ σθενώσει, καὶ καταρτίσει εἰς πᾶν ἔργον ἀγαθὸν, ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους. καὶ καταξιώσει τῆς αἰωνίου ζωῆς σὺν ἡμῖν, διὰ τῆς μεσιτείας τοῦ ἠγαπημένου παιδὸς αὐτοῦ Ἰησοῦ Χριστοῦ, τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν· μεθ' οὗ ἡ δόξα αὐτῷ τῷ ἐπὶ πάντων θεῷ πατρὶ, σὺν ἁγίῳ πνεύματι τῷ παρακλήτῳ, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.







Ἅγ. Ἀπόστολοι. Σύγχρονον ἔργον



Μ. Διονυσίου, Ἀποστολικοί Πατέρες, 16ου αἰ.



Ἅγ. Ἀπολληνάριος ὁ Παλαιός, Χριστός εὐλογῶν, 6ου αἰ.



Ἀπόστολος Τίτος. Ἰγνάτιος ὁ Θεοφόρος. Διονύσιος ὁ Ἀρεοπαγίτης. Σύγχρονα ἔργα.













Μ. Δοχειαρίου, Πατριαρχ. Ἰακώβ, 16ου αἰ.







Μ. Διονυσίου, Ἀποστολικοί Πατέρες, 16ου αἰ. καὶ ἀρχικὸν γράμμα Ε (κῶδ. 4).



Μ. Διονυσίου, Ἅγ. Ἀρίσταρχος, 16ου αἰ.



Μ. Βαρλαάμ, Μετεώρων, Ἀπόστ. Πέτρος καὶ Παῦλος, 17ου αἰ.



Ἅγ. Κρίσπος. Σύγχρονον ἔργον.

ΔΙΑΤΑΓΑΙ ΑΙ' Α'ΠΟΝΕ'ΜΟΝΤΑΙ

ΤΩ̃Ν ΑΓΙ'ΩΝ ΑΠΟΣΤΟ'ΛΩΝ

ΔΙΑ' ΚΛΗ'ΜΕΝΤΟΣ ΤΟΥ̃ Ρ'ΩΜΑΙ'ΩΝ

ΕΠΙΣΚΟ'ΠΟΥ ΤΕ ΚΑΙ' ΠΟΛΙ'ΤΟΥ

Καθολικὴ Διδασκαλία.

ΚΕΦΑ'ΛΑΙΑ ΤΩ̃Ν ΔΙΑΤΑΓΩ̃Ν ΤΩ̃Ν Α'ΓΙ'ΩΝ Α'ΠΟΣΤΟ'ΛΩΝ.

Κεφάλαια τοῦ πρώτου βιβλίου.

Περὶ πλεονεξίας. α'.

Περὶ τοῦ μὴ ἀνθυβρίζειν ἢ ἀμύνασθαι τὸν ἀδικοῦντα. β'.

Περὶ καλλωπισμοῦ καὶ τῆς ἐκεῖθεν ἁμαρτίας. γ'.

Ὅτι οὐ δεῖ περιεργάζεσθαι τοὺς κακῶς ζῶντας, ἀλλὰ τῷ οἰκείῳ ἔργῳ σχολάζειν. δ'.

Ποῖα τῆς γραφῆς βιβλία δεῖ ἀναγινώσκειν. ε'.

Περὶ τοῦ ἀπέχεσθαι πάντων τῶν ἔξωθεν βιβλίων. ϛ'.

Περὶ γυναικὸς φαύλης. ζ'.

Περὶ ὑποταγῆς γυναικὸς πρὸς ἄνδρα καὶ φιλάνδρου καὶ σώφρονος. η'.

Περὶ τοῦ μὴ συλλούεσθαι γυναῖκα ἀνδρᾶσιν. θ'.

Περὶ μαχίμου καὶ γλωσσώδους γυναικός. ι'.

Κεφάλαια τοῦ δευτέρου βιβλίου.

Ὅτι χρὴ τὸν ἐπίσκοπον εἶναι πεπαιδευμένον καὶ ἔμπειρον τοῦ λόγου. α'.

Οἷον εἶναι χρὴ τὸν ἐπίσκοπον καὶ τοὺς λοιποὺς κληρικούς. β'.

Τίνα χρὴ δοκιμάζεσθαι τὸν ἐπίσκοπον προχειριζόμενον. γ'.

Ὅτι οὐχ ἑκάστῃ χήρᾳ δεῖ μεταδιδόναι, ἀλλ' ἐσθ' ὅτε καὶ τὴν ὕπανδρον προκρίνειν. καὶ ὅτι καταφαγᾷ, μεθύσῳ, ἀργῷ οὐ μεταδιδόναι χρή. δ'.

Ὅτι χρὴ ἀπροσωπόληπτον εἶναι τὸν ἐπίσκοπον ἐν τῷ κρίνειν, καὶ τὸ ἦθος μέτριον, καὶ τὸν δίαιταν συνεσταλμένον. ε'.

Περὶ τοῦ μὴ εἶναι τὸν ἐπίσκοπον αἰσχροκερδῆ, μήτε ἐγγυᾶσθαι ἢ συνηγορεῖν. ϛ'.

Οἷον χρὴ εἶναι τὸν μεμυημένον. ζ'.

Περὶ συκοφαντουμένου ἤτοι ἐλεγχομένου. η'.

Ὅτι ἀδωροδόκητον εἶναι χρὴ τὸν ἐπίσκοπον. θ'.

Ὅτι ὁ ἐπίσκοπος ἀκρίτως φειδόμενος τοῦ ἡμαρτηκότος ὑπαίτιος γίνεται. ι'.

Ὅπως χρὴ τὸν ἐπίσκοπον κρίνειν τοὺς ἁμαρτάνοντας. ια'.

Διδασκαλία, ὅπως χρὴ προσφέρεσθαι τοῖς μετανοοῦσι. ιβ'.

Ὅτι φεύγειν χρὴ τῶν ἁμαρτημάτων τὴν πεῖραν. ιγ'.

Περὶ τῶν λεγόντων μὴ δέχεσθαι μετανοοῦντα, καὶ ὅτι δίκαιος κἂν σύνεστιν ἁμαρτωλῷ, οὐ συναπόλληται αὐτῷ. ιδ'.

Ὅτι οὐ χρὴ τὸν ἱερέα μήποτε παρορᾶν τὰ ἁμαρτήματα, μήτε πρόχειρον εἶναι ἐν τῷ τιμωρεῖσθαι. ιε'.

Περὶ μετανοίας, καὶ τίς αὐτῆς ὁ τρόπος, ὅπως κατορθοῦται. ιϛ'.

Ὅτι ἀνεπίληπτον εἶναι χρὴ τὸν ἐπίσκοπον, ὡς τύπον τῶν ἀρχομένων. ιζ'.

Ὅτι χρὴ τὸν ἐπίσκοπον φροντίζειν, ὅπως ὁ λαὸς μὴ πλημμελῇ, διὰ τὸ εἶναι αὐτὸν σκοπόν. ιη'.

Ὅτι καὶ ὁ ποιμὴν ἀμελῶς φερόμενος περὶ τὰ πρόβατα, δίκην τίννυσιν, καὶ τὸ πρόβατον μὴ πειθαρχοῦν τῷ ποιμένι, κολάζεται. ιθ'.

Ὅπως χρὴ τοὺς ἀρχομένους πειθαρχεῖν τοῖς ἄρχουσιν ἐπισκόποις. * * * * * * * * * * * κ'.

Ὅτι κίνδυνος μονομερεῖ κρίσιν ποιήσασθαι, καὶ τιμωρίαν ὁρίσαι κατὰ τοῦ μηδέπω ἐλεγχθέντος. κα'.

Ὅτι μέγα παράδειγμα μετανοίας πρόκειται Δαβὶδ, καὶ Νινευῖται, Ἐζεκίας τε καὶ ὁ τούτου υἱὸς Μανασσῆς. κβ'.

Πρὸς τοὺς ἐκ καταφρονήσεως ἁμαρτάνοντας, ἔστω παράδειγμα Ἀμών. κγ'.

Ὅτι Χριστὸς Ἰησοῦς κύριος παρεγένετο ἁμαρτωλοὺς σῶσαι διὰ μετανοίας. κδ'.

Περὶ ἀπαρχῶν καὶ δεκατῶν, καὶ ὅπως ὀφείλει ὁ ἐπίσκοπος, ἢ αὐτὸς μεταλαμβάνειν ἐξ αὐτῶν, ἢ ἑτέροις διανέμειν. κε'.

Εἰς τίνος τύπον καὶ ἀξίαν ἕκαστος τῶν ἐν τῷ κλήρῳ τέτακται παρὰ Θεῷ. κϛ'.

Ὅτι φρικῶδες ἄνθρωπον σαυτὸν ἐπιρρίπτειν ἀξιώματί τινι ἱερατικῷ, ὡς οἱ Κορεῖται, ὡς Σαοὺλ, ὡς Ὀζίας. κζ'.

Περὶ * εὐχῆς καὶ ὅπως χρὴ ἕκαστον τάγμα τοῦ κλήρου ὑπὸ τῶν προσκαλουμένων τιμᾶσθαι. κη'.

* δεκεῖν.

Τίς

Τίς ἡ ἀξία τοῦ ἐπισκόπου καὶ τοῦ διακόνου. κθ'.

Ὅπως χρὴ τοὺς λαϊκοὺς πειθαρχεῖν τοῖς διακόνοις. λ'.

Ὅτι μὴ χρὴ τὸν διάκονον ἄνευ τοῦ ἐπισκόπου τι πράττειν. λα'.

Ὅτι μὴ χρὴ τὸν διάκονον παρὰ γνώμην τοῦ ἐπισκόπου διδόναι τινί. ἐπὶ ἰδιαβολῇ γὰρ τοῦ ἐπισκόπου τοῦτο πράξει. λβ'.

Ὅπως χρὴ τιμᾶσθαι τοὺς ἱερεῖς, καὶ σεπτοὺς ἡγεῖσθαι πνευματικοὺς ὄντας γονεῖς. λγ'.

Ὅτι τῶν ἀρχόντων καὶ βασιλέων εἰσὶ κρείττους οἱ ἱερεῖς. λδ'.

Ὅτι παρακελεύονται οἱ νόμοι καρποφορεῖν, ὡσαύτως καὶ τὸ εὐαγγέλιον. λε'.

Ὑπόμνησις τῶν δέκα τοῦ Θεοῦ λογίων, καὶ ὅπως αὐτὰ ἐνταῦθα διαγορεύουσι. λϛ'.

Περὶ κατηγόρων καὶ συκοφαντῶν, καὶ ὅπως χρὴ μὴ προχείρως πιστεύειν ἢ ἀπιστεῖν τούτοις τὸν κριτὴν, ἀλλὰ μετὰ ἀκριβοῦς ἐξετάσεως. λζ'.

Ὅτι χρὴ τοὺς ἁμαρτάνοντας ἰδιαζόντως ἐξελέγχειν, καὶ τοὺς μετανοοῦντας προσδέχεσθαι κατὰ τὴν τοῦ κυρίου διάταξιν. λη'.

Παραδείγματα περὶ μετανοίας. λθ'.

Ὅτι οὐ χρὴ ἐχθρωδῶς διακεῖσθαι περὶ τὸν ἅπαξ ἢ δεύτερον ἁμαρτάνοντα. μ'.

Ὅπως δεῖ προσίεσθαι τὸν μετανοοῦντα, καὶ ὅπως διαγίνεσθαι πρὸς ἁμαρτάνοντας, καὶ πότε ἐκκόπτειν τῆς ἐκκλησίας. μα'.

Ὅτι χρὴ ἀπροσωπόληπτον εἶναι τὸν κριτήν. μβ'.

Ὅπως χρὴ τοὺς συκοφάντας τιμωρεῖσθαι. μγ'.

Ὅτι χρὴ τὸν διάκονον ἐπικουφίζειν τὸ βάρος τῶν ἐπισκόπων, καὶ διευθύνειν τὰ κουφότερα. μδ'.

Ὅτι μὴ προσῆκον Χριστιανοῖς ἀντιλογίαι καὶ διαπληκτισμοί. με'.

Ὅτι οὐχρὴ τοὺς πιστοὺς ἐπὶ τῶν ἀπίστων δικάζεσθαι, οὔτε μὴν ἐξ αὐτῶν τινα καλεῖν εἰς μαρτυρίαν Χριστιανῶν. μϛ'.

Ὅτι χρὴ ἐν δευτέρᾳ σαββάτων ποιεῖσθαι τὰς δίκας. μζ'.

Ὅτι μὴ χρὴ ταύτην ἐπάγειν τιμωρίαν ἐπὶ πάσης πλημμελείας, ἀλλὰ διάφορον, πρὸς τὸ διάφορον τοῦ ἁμαρτάνοντος. μη'.

Ὁποίους εἶναι χρὴ τοὺς κατηγόρους καὶ μάρτυρας. μθ'.

Ὅτι ἐγχωρεῖ τινα καὶ ἐκ προτέρων κακῶν μὴ ἀπιστεῖσθαι τὰ δεύτερα. ν'.

Ὅτι οὐ χρὴ μονομερεῖς τὰς κρίσεις ποιεῖσθαι. να'.

Παράδειγμα τοῦ δικαίου κρίματος ἢ τῶν ἔξωθεν δικαστῶν περὶ τὰς ἀποφάσεις ἀσφάλεια. νβ'.

Ὅτι μὴ χρὴ κατ' ἀλλήλων ἔχειν τοὺς πιστούς· νγ'.

Ὅτι χρὴ τοὺς ἐπισκόπους τὰ περὶ εἰρήνης διὰ τοῦ διακόνου ὑπομιμνήσκειν τῷ λαῷ. νδ'.

Ἀπαρίθμησις διαφόρου προνοίας, καὶ ὅπως ἐξ ἀρχῆς καθ' ἑκάστην γενεὰν ἐκάλεσεν ὁ Θεὸς εἰς μετάνοιαν πάντας. νε'.

Ὅτι θέλημα Θεοῦ, ὁμόφρονας εἶναι τοὺς ἀνθρώπους περὶ τὴν εὐσέβειαν, παραπλησίως ταῖς ἐν οὐρανῷ δυνάμεσι. νϛ'.

Διατύπωσις ἐκκλησίας καὶ κλήρου, καὶ τί ἕκαστος ἐπιτελεῖν ὀφείλει τῶν συναθροιζομένων κληρικῶν ἢ λαϊκῶν ἐν τῇ συνάξει. νζ'.

Περὶ συστατικῶν ἤτοι ξένων, λαϊκῶν, κληρικῶν, ἐπισκόπων, καὶ ὡς οὐ χρεία διαφορεῖν. νη'.

Ὅτι χρὴ ἕκαστον ὄρθρου καὶ ἑσπέρας σπουδαῖον εἶναι περὶ τὰς συνάξεις. νθ'.

Παράδειγμα πρὸς ζῆλον ἐνάγον ἡ Ἑλλήνων καὶ Ἰουδαίων μάταιος συνδρομὴ ἐπὶ τοὺς νεὼς καὶ τὰς συναγωγάς. ξ'.

Ὅτι οὐχ ὅσιον προκρίνειν τὰ βιωτικὰ τῶν θείων. ξα'.

Ὅτι πάντα τὰ Ἑλλήνων ἀσεβήματα ἀποστρέφεσθαι χρή. ξβ'.

Ὅτι ἀργὸν οὐ χρὴ ἐσθίειν τινὰ τῶν πιστῶν, ὡς οἱ περὶ Πέτρον ἁλιεῖς καὶ οἱ λοιποὶ ἀπόστολοι, οἱ δὲ περὶ Παῦλον καὶ Ἀκύλαν σκηνοποιοὶ, οἱ δὲ περὶ Ἰούδαν Ἰακώβου γῆς ἐργάται. ξγ'.

Κεφάλαια τοῦ τρίτου βιβλίου.

* * * * * * * * * * * * * * *

Ὅτι παραιτητέον καθιστᾶν νεωτέρας χήρας διὰ τὸ ὕποπτον. β'.

Ὁποίας εἶναι χρὴ τὰς χήρας, καὶ ὅπως ἐπικουρεῖσθαι παρὰ τοῦ ἐπισκόπου. γ'.

Ὅτι πάνθ' ὅντινα οὖν ἐνδεᾶ εὐποιεῖν χρή. δ'.

Ὅτι καὶ τοῦ ἤθους ἐπιμελητέον τὴν χήραν. ε'.

Ὅτι οὐ χρὴ γυναῖκας διδάσκειν· ἀπρεπὲς γάρ. ὡς ποῖαι γυναῖκες εἴποντο τῷ κυρίῳ. ϛ'.

Οἷαί εἰσιν αἱ ψευδοχήραι. ζ'.

Ὅτι οὐ χρὴ παρὰ ἀναξίων λαμβάνειν τὴν χήραν, ἢ τὸν ἐπίσκοπον, ἢ ἄλλον πιστόν. η'.

Ὅτι οὐ χρὴ γυναῖκας βαπτίζειν. ἀσεβὲς γὰρ καὶ τῆς Χριστοῦ διδασκαλίας ἀλλότριον. θ'.

Ὅτι οὐ χρὴ λαϊκὸν ποιεῖν ἱερατικὸν ἔργον, βάπτισμα, ἢ θυσίαν, ἢ χειροθεσίαν, ἢ εὐλογίαν. ι'.

Ὅτι πλὴν ἐπισκόπου ἢ πρεσβυτέρου οὐδενὶ τῶν λοιπῶν κληρικῶν ἐπιτέτραπται τὰ τῶν ἱερέων ἐνεργεῖν, τὸ δὲ χειροτονεῖν μόνῳ ἐπισκόπῳ προσήκει, ἑτέρῳ δὲ οὐδενί. ια'.

Ἀποτροπὴ βασκανίας. ιβ'.

Ὅπως δεῖ προσεύχεσθαι τὰς χήρας ὑπὲρ τῶν διδόντων τὰ πρὸς τὰς χρείας. ιγ'.

Ὅτι οὐ χρὴ κομπάζειν καὶ περιαγγέλλειν τὸ ἑαυτῆς ὄνομα τὴν καρποφοροῦσαν κατὰ τὴν τοῦ κυρίου διάταξιν. ιδ'.

Ὅτι ἀπρεπὲς τὸ λοιδορεῖν τὸν πλησίον, ἀλλότριον γὰρ Χριστιανῶν τὸ καταρᾶσθαι. ιε'.

Περὶ μυήσεως θείας τοῦ ἁγίου βαπτίσματος. ιϛ'.

Ποίαν αἰτίαν ἔχει τὸ εἰς τὸν Χριστὸν βάπτισμα, καὶ διατὶ τῶν ἐν αὐτῷ ἕκαστον λέγεται, ὡς πράττεται. ιζ'.

Οἷος ὀφείλει εἶναι ὁ μεμυημένος. ιη'.

Οἷος ὀφείλει εἶναι ὁ διάκονος. ιθ'.

Ὅτι ὑπὸ τριῶν ἢ δύο ἐπισκόπων ὀφείλει χειροτονεῖσθαι ὁ ἐπίσκοπος, ἀλλ' οὐχ ὑπὸ ἑνός· ἀβέβαιον γάρ.

Κεφάλαια τοῦ τετάρτου βιβλίου.

Ὅπως χρὴ τὸν ἐπίσκοπον προνοεῖν τῶν ὀρφανῶν. α'.

Τίνες ὀφείλουσιν ἐπικουρεῖσθαι κατὰ τὴν κυριακὴν διαταγήν. β'.

Περὶ

Περὶ φιλαργυρίας. γ'.

Μετὰ ποίου φόβου χρὴ τῶν κυριακῶν μετέχειν συνεισφορῶν. δ'.

Τίνων αἱ καρποφορίαι δεκταὶ, καὶ τίνων ἄδεκτοι. ε'.

Ὅτι αἱ τῶν ἀναξίων καρποφορίαι, ἕως ἂν ὦσι τοιοῦτοι, οὐ μόνον οὐκ ἐξιλεοῦνται Θεὸν, ἀλλ' ἐκ τῶν ἐναντίων κινοῦσιν αὐτὸν πρὸς ἀγανάκτησιν. ϛ'.

Ὅτι βέλτιον ἐκ κόπου ἰδίου παρέχειν ταῖς χήραις, κἂν ἦ ἀτελῆ καὶ ὀλίγα, ἢ τὰ παρὰ τῶν ἀσεβῶν, κἂν πολλὰ καὶ μεγάλα τυγχάνῃ. βέλτιον γὰρ λιμῷ διαφθαρῆναι ἢ παρὰ ἀσεβῶν συνεισφορὰν δέξασθαι. ζ'.

Ὅτι χρὴ προτρέπεσθαι τὸν λαὸν ὑπὸ τοῦ ἱερέως εὐποιεῖν τοὺς πένητας, ὡς καὶ ὁ Σολομὼν ὁ σοφός. η'.

Διάταξις ἵν' ἐάντις τῶν ἀσεβῶν βίᾳ προσρίψῃ χρήματα τοῖς ἱερεῦσιν, εἰς ξύλα καὶ ἀνθρακίαν ἀναλώσωσι ταῦτα, ἀλλὰ μὴ εἰς διατροφάς. θ'.

Περὶ γονέων καὶ παίδων. ι'.

Περὶ οἰκετῶν καὶ δεσποτῶν. ια'.

Ἔντισιν ὑποτάσσεσθαι χρὴ τοῖς κοσμικοῖς ἄρχουσιν. ιβ'.

Περὶ παρθένων. ιγ'.

Κεφάλαια τοῦ πέμπτου βιβλίου.

Ὅτι τοῖς διὰ Χριστὸν θλιβομένοις παρὰ ἀπίστων δίκαιον τοῖς πιστοῖς τὰ δέοντα παρέχειν κατὰ τὴν τοῦ κυρίου διάταξιν. α'.

Ὅτι φευκτέον τῆς πρὸς τοὺς ψευδαδέλφους συνουσίας, ὅταν ἐπιμένωσι τῇ φαυλότητι. β'.

Ὅτι τοῖς διὰ Χριστὸν πορθουμένοις χρὴ χεῖρα ὀρέγειν, κἂν κίνδυνος παρῇ. γ'.

Ὅτι φρικτὸν καὶ ὀλέθριον τὸ ἀρνεῖσθαι Χριστὸν, καὶ ὅτι μιμητέον Χριστὸν ἐν τῷ πάσχειν καὶ ζηλωτέον τὴν αὐτοῦ ὑπομονήν. δ'.

Ὅτι χρὴ τὸν πιστὸν μήτε ῥιψοκίνδυνον εἶναι δι' ἀσφάλειαν, μήτε περιδεῆ δι' ἀνανδρίαν, ἀλλὰ καὶ φεύγειν δι' εὐλάβειαν, καὶ ἐμπεσόντα ἀγωνίζεσθαι διὰ τὸν ἀποκείμενον στέφανον. ε'.

Περὶ ἀναστάσεως ἀποδείξεις διάφοροι, περὶ Σιβύλλης, καὶ τί οἱ Στωϊκοὶ περὶ τοῦ Φοίνικος τοῦ ὀρνέου. ϛ'.

Περὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ κυρίου καὶ Στεφάνου τοῦ πρωτομάρτυρος. ζ'.

Περὶ ψευδομαρτύρων. η'.

Ἠθικὴ παραίνεσις, ὅτι δεῖ φεύγειν ματαιολογίας, αἰσχρολογίας, εὐτραπελίας, μέθην, λαγνείαν, θρύψιν. θ'.

Παραίνεσις παιδεύουσα φεύγειν τῆς εἰδωλολατρείας τὸ μῦσος. ι'.

Ὅτι μὴ καθήκει ᾠδὴν ἐθνικὴν, ἢ πορνικὴν ᾄδειν, οὔτε ἐπόμνυσθαι εἴδωλον. ἀσεβὲς γὰρ τοῦτο καὶ τῆς τοῦ Θεοῦ γνώσεως ἐχθρόν. ια'.

Κατάλογος τῶν τοῦ κυρίου ἑορτῶν, ἃς δεῖ φυλάσσειν, καὶ πότε τούτων ἑκάστη ὀφείλει ἐπιτελεῖσθαι. ιβ'.

Περὶ τοῦ πάθους τοῦ κυρίου, καὶ τί ἐν ἑκάστῃ ἡμέρα ἐπράχθη τῶν ἐν τῷ πάθει, καὶ περὶ τοῦ Ἰούδα, καὶ ὅτι οὐ συμπαρῆν Ἰούδας ἐν τῷ τὸν κύριον τοῖς μαθηταῖς παραδιδόναι τὰ μυστηρία. ιγ'.

Περὶ τῆς μεγάλης ἑβδομάδος, καὶ διατὶ τετράδα καὶ παρασκευὴν ἐπιτρέπουσι νηστεύειν. ιδ'.

Ἀπαρίθμησις προφητικῶν προῤῥήσεων τῶν Χριστὸν κηρυττουσῶν, ὧν Ἰουδαῖοι τὴν ἔκβασιν θεασάμενοι ἐκ κακονοίας ἠπίστησαν αὐτὸν εἶναι τὸν Χριστὸν τοῦ Θεοῦ, καὶ σταυρῷ κατέκριναν τὸν τῆς δόξης κύριον. ιε'.

Ὅπως ὀφείλει γίνεσθαι τὸ πάσχα. ιϛ'.

Διάταξις περὶ τῆς μεγάλης τοῦ πάσχα ἑβδομάδος. ιζ'.

Περὶ τῆς παννυχίδος τοῦ μεγάλου σαββάτου καὶ περὶ τῆς ἀναστασίμου ἡμέρας. ιη'.

Προῤῥήσεις προφητείας περὶ Χριστοῦ τοῦ Ἰησοῦ. ιθ'.

Κεφάλαια τοῦ ἕκτου βιβλίου

Τίνες σχίσματα ποιεῖν τολμήσαντες οὐ διέφυγον τὴν τιμωρίαν. α'.

Ὅτι οὔτε βασιλείᾳ, οὔτε ἱερωσύνῃ θεμιτὸν ἀπανίστασθαι. β'.

Περὶ τῆς Μωϋσέως ἀρετῆς καὶ ἀπιστείας τῶν Ἰουδαίων ἔθνους, καὶ ὧν ὁ Θεὸς ἐθαυματούργησε δι' αὐτῶν. γ'.

Ὅτι ἀποσχίζει οὐχ ὁ τῶν ἀσεβῶν χωριζόμενος, ἀλλ' ὁ τῶν εὐσεβῶν ἀφιστάμενος. δ'.

Τίνος χάριν ἀπεβλήθη ὁ ψευδώνυμος Ἰσραὴλ ἀπόδειξις ἐκ προφητικῶν προῤῥήσεων. ε'.

Ὅτι καὶ παρὰ Ἰουδαίοις συνέστη θεομισὴς διδασκαλία διαφόρων αἱρέσεων. ϛ'.

Ὁπόθεν ἀνέφυσαν αἱ αἱρέσεις, καὶ ὅστις αὐτῶν ἀρχηγὸς τῆς ἀσεβείας γεγένηται. ζ'.

Τίνες τῆς Σίμωνος ἀσεβείας διάδοχοι καὶ οἵων αἱρέσεων κατῆρξαν. η'.

Ὅπως ὁ Σίμων γοητείαις τισὶ πτῆναι θελήσας, εὐχαῖς Πέτρου κατενεχθεὶς ἐξ ὕψους κάτω, συνετρίβη τοὺς πόδας, καὶ τὼ χεῖρε τοὺς ταρσούς. θ'.

Ὅπως αἱ αἱρέσεις καὶ πρὸς ἑαυτὰς καὶ πρὸς ἀλήθειαν διαφωνοῦσιν. ι'.

Ἐξήγησις ἀποστολικοῦ κηρύγματος. ια'.

Πρὸς τοὺς ὁμολογοῦντας, Ἰουδαΐζειν δὲ θέλοντας. ιβ'.

Ὅπως χρὴ χωρίζεσθαι τῶν αἱρετικῶν. ιγ'.

Τίνες οἱ κηρύξαντες τὴν καθολικὴν διδασκαλίαν, καὶ τίνα τὰ δι' αὐτῶν παραγγέλματα. ιδ'.

Ὅτι οὔτε ἀναβαπτίζειν χρὴ, οὔτε μὴν παραδέχεσθαι τὸ παρὰ τῶν ἀσεβῶν βάπτισμα δοθὲν, ὃ οὐκ ἔστι βάπτισμα, ἀλλὰ μόλυσμα. ιε'.

Περὶ τῶν ψευδεπιγράφων βιβλίων. ιϛ'.

Περὶ κληρικῶν γαμικὰ παραγγέλματα. ιζ'.

Παραίνεσις κελεύουσα φεύγειν τὴν τῶν ἀσεβῶν αἱρετικῶν κοινωνίαν. ιη'.

Πρὸς φαυλίζοντας τὸν νόμον. ιθ'.

Τίς ὁ φυσικὸς νόμος καὶ τίς ὁ ἐπείσακτος, καὶ δι' ἣν αἰτίαν ἐπεισήχθη. κ'.

Ὅτι ὑπὸ χάριν ἐσμὲν, ἀλλὰ οὐχ ὑπὸ δουλείαν τοῦ ἐπεισάκτου νόμου οἱ εἰς Χριστὸν πιστεύοντες. κα'.

Ὅτι ἐπείσακτος ὁ ἐπὶ θυσιῶν νόμος, ὃν περιεῖλε Χριστὸς παραγενόμενος. κβ'.

Πῶς πληρωτὴς τοῦ νόμου γέγονεν ὁ Χριστὸς καὶ τίνα τούτου ἔπαυσεν, ἢ ἐνήλλαξεν, ἢ μετέθεικεν. κγ'.

Ὅτι καὶ διὰ Ῥωμαίων εὐδόκησεν ὁ κύριος τὸν τῆς δικαιοσύνης νόμον ἐπιδείκνυσθαι, καὶ ὡς Θεὸς Ἰουδαίους διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν αἰχμαλώτους ποιησάμενος ὑπὸ φόρον κατέστησεν. κδ'.

Ὅτι χρὴ φεύγειν τοὺς αἱρεσιώτας, ὡς ψυχῶν φθορέας. κέ.

Περὶ παρατηρημάτων Ἰουδαϊκῶν καὶ Ἑλληνικῶν. κϛ'.

Περὶ παιδεραστίας, μοιχείας τε καὶ πορνείας. κζ'.

Ὅπως χρὴ τὰς γυναῖκας ὑποτάσσεσθαι τοῖς ἰδίοις ἀνδράσι· καὶ τοὺς ἄνδρας στέργειν τὰς ἑαυτῶν γαμετάς. κή.

Ὅτι ἔθος Ἰουδαίοις τε καὶ Ἕλλησι συμπαρατηρεῖσθαι τὰς φυσικὰς καθάρσεις, καὶ τῶν τεθνεώτων τὰ λείψανα βδελύσσεσθαι, Χριστιανῶν δὲ ἀλλότριον. κθ'.

Κεφάλαια τοῦ ἑβδόμου βιβλίου.

Ὅτι δύο ὁδοί εἰσι, μία τῆς ζωῆς ἡ φυσικὴ, καὶ μία τοῦ θανάτου ἡ ἐπείσακτος, καὶ ὅτι ἡ μὲν ἐκ Θεοῦ; ἡ δὲ ἐκτροπῆς κατ' ἐπιβουλὴν τοῦ ἀλλοτρίου. ά.

Ἠθικαὶ παραινέσεις κυριακῶν διατάξεων συμφωνοῦσαι τῇ παλαιᾷ παρακελεύσει τῶν θείων νόμων. β'.

Ἀπαγόρευσις θυμοῦ, φθόνου, διαφθορᾶς, μοιχείας, καὶ πάσης ἀπηγορευμένης πράξεως. γ'.

Ἀπαγόρευσις γοητείας, τεκνοκτονίας, ψευδομαρτυρίας. δ'.

Ἀπαγόρευσις κακολογίας, μηνίδος καὶ ἤθους ὑπούλου, ἀργολογίας, ψεύδους, πλεονεξίας, ὑποκρίσεως. έ.

Ἀπαγόρευσις κακοηθείας, προσωποληψίας, ὀργῆς, μισανθρωπίας, βασκανίας. ϛ'.

Περὶ οἰωνοσκοπικῆς ἐπαοιδῆς. ζ'.

Ἀπαγόρευσις γογγυσμοῦ, καὶ αὐθαδείας, καὶ ὑπερηφανίας, καὶ θρασύτητος. ή.

Περὶ μακροθυμίας, ἀκακίας, πραότητος, ὑπομονῆς. θ'.

Ὅτι χρὴ τοὺς κατὰ Χριστὸν διδασκάλους γονέων πλεῖον ἡγεῖσθαι. οἱ μὲν γὰρ τὸ εὖ εἶναι, οἱ δὲ τὸ εἶναι μόνον παρέχουσιν. ί.

Ὅτι χρὴ μὴ ἀποσχίζειν τῶν ἁγίων, ἀλλ' εἰρηνεύειν μαχομένους, κρίνειν τε δικαίως, καὶ μὴ προσωποληπτεῖν. ιά.

Περὶ διψύχου ἤτοι, * ὀλιγοπίστου. ιβ'.

* ἐν ἄλλῳ ὀλιγοψύχου.

Περὶ εὐποιΐας. ιγ'.

Ὅπως δεῖ προσφέρεσθαι τοῖς οἰκέταις τοὺς κυρίους, καὶ ὅπως χρὴ ὑποτάσσεσθαι τοὺς οἰκέτας. ιδ'.

Περὶ ὑποκρίσεως καὶ προσοχῆς νόμων καὶ ἐξομολογήσεων. ιέ.

Περὶ τῆς πρὸς γονέας θεραπείας. ιϛ'.

Περὶ τῆς πρὸς βασιλέα καὶ ἄρχοντας ὑποταγῆς. ιζ'.

Περὶ καθαροῦ συνειδότος τῶν προσευχομένων. ιή.

Ὅτι ἡ ἐξ ἐπιβουλῆς τοῦ ἀλλοτρίου ἐπεισαχθεῖσα ὁδὸς ἀσεβείας καὶ παρανομίας πεπλήρωται. ιθ'.

Ὅτι μὴ χρὴ τῆς εὐσεβείας ἐκκλίνειν δεξιὰ ἢ εὐώνυμα παραινεῖ ὁ νομοθέτης. κ'.

Ὅτι μὴ χρὴ φαυλίζειν τι τῶν προσφόρων βρωμάτων, ἀλλ' εὐχαρίστως μεταλαμβάνειν καὶ τεταγμένως. κά.

Ὅτι χρὴ φεύγειν τὴν τῶν εἰδωλοθύτων βρῶσιν. κβ'.

Διάταξις κυριακὴ, ὅπως χρὴ βαπτίζειν, καὶ εἰς τὸν τίνος θάνατον. κγ'.

Ποίας νηστευτέον τῆς ἑβδομάδος ἡμέρας, ἢ τίνας οὐ νηστευτέον, καὶ τοῦ χάριν. κδ'.

Οἵους εἶναι χρὴ τοὺς προσευχομένους τὴν ὑπὸ τοῦ κυρίου δοθεῖσαν προσευχήν. κέ.

Εὐχαριστία μυστική. κϛ'.

Εὐχαριστία ἐπὶ τῇ θείᾳ μεταλήψει. κζ'.

Εὐχαριστία περὶ τοῦ μυστικοῦ μύρου. κή.

Ὅτι οὐ χρὴ ἀδιαφορεῖν περὶ τὴν κοινωνίαν. κθ'.

Περὶ καρποφοριῶν διάταξις. λ'.

Ὅπως χρὴ τὴν ἀναστάσιμον τοῦ σωτῆρος ἡμῶν ἡμέραν συναθροιζομένους ἑορτάζειν. λά.

Οἵους εἶναι χρὴ τοὺς χειροτονουμένους. λβ'.

Πρόῤῥησις περὶ τῶν μελλόντων. λγ'.

Προσευχὴ ἐξαγγελτικὴ προνοίας διαφόρου. λδ'.

Προσευχὴ ἐξαγγελτικὴ δημιουργίας διαφόρου. λέ.

Προσευχὴ μετὰ εὐχαριστίας ἐξαγγέλλουσα τοῦ Θεοῦ τὴν περὶ τὰ ὄντα κηδεμονίαν. λϛ'.

Προσευχὴ ὑπομιμνήσκουσα τὴν γενομένην Χριστοῦ ἐνανθρώπησιν, καὶ τὴν εἰς τοὺς ἁγίους διάφορον πρόνοιαν. λζ'.

Προσευχὴ περιέχουσα μνήμην προνοίας καὶ ἀπαρίθμησιν εὐεργεσιῶν διαφόρων τῶν προνοίᾳ Θεοῦ διὰ Χριστοῦ παραχεθεισῶν τοῖς ἁγίοις. λή.

Προσευχὴ ἀντιλήψεως δικαίων. λθ'.

Ὅπως χρὴ τοὺς κατηχουμένους στοιχειοῦσθαι. μ'.

Διάταξις ὅπως χρὴ τοὺς κατηχουμένους ὑπὸ τῶν ἱερέων ἐν τῇ μυήσει εὐλογεῖσθαι, καὶ τίνα διδάσκεσθαι αὐτούς. μά.

Ἀποταγὴ πρὸς τὸν ἐναντίον καὶ συνταγὴ πρὸς τὸν Χριστὸν τοῦ Θεοῦ. μβ'.

Περὶ χρίσματος τοῦ μυστικοῦ ἐλαίου εὐχαριστία. μγ'.

Περὶ τοῦ μυστικοῦ ὕδατος εὐχαριστία. μδ'.

Περὶ τοῦ μυστικοῦ μύρου εὐχαριστία. μέ.

Προσευχὴ τῶν νεοτελῶν. μϛ'.

Τίνας πέμποντες ἐχειροτόνησαν οἱ ἅγιοι ἀπόστολοι. μζ'.

Προσευχὴ ἑωθινή. μή.

Ἑσπερινός. μθ'.

Εὐχὴ ἐπ' ἀρίστῳ. ν'.

Κεφάλαια τοῦ ὀγδόου βιβλίου.

Τίνων χάριν ἐπιτελοῦνται αἱ τῶν σημείων δυνάμεις. ά.

Περὶ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων ἀναξίων. β'.

Ὅτι τὸ διατάσσεσθαι τὰ ἐν ταῖς ἐκκλησίαις ἐπιτελούμενα κορυφαιότατόν ἐστι. γ'.

Περὶ χειροτονιῶν. δ'.

Ἐπίκλησις ἐπὶ χειροτονίας ἐπισκόπων. έ.

Ἡθεία λειτουργία, ἐν ᾗ προσφώνησις ὑπὲρ κατηχουμένων. ϛ'.

Ὑπὲρ τῶν ἐνεργουμένων. ζ'.

Ὑπὲρ τῶν βαπτιζομένων. ή.

Χειροθεσία καὶ εὐχὴ ὑπὲρ τῶν ἐν μετανοίᾳ. θ'.

Προσφώνησις ὑπὲρ τῶν πιστῶν. ί.

Ἐπίκλησις τῶν πιστῶν. ιά.

Διάταξις Ἰακώβου τοῦ ἀδελφοῦ Ἰωάννου τοῦ Ζεβεδαίου. ιβ'.

Προσφώνησις ἐπὶ τῶν πιστῶν μετὰ τὴν θεῖαν ἀναφοράν. ιγ'.

Ποσφώνησις μετὰ τὴν μετάληψιν. ιδ'.

Ἐπίκλησις μετὰ τὴν μετάληψιν. ιέ.

Περὶ

Περὶ χειροτονίας πρεσβυτέρων διάταξις Ἰωάννου τοῦ φιλουμένου ὑπὸ κυρίου. ιϛ'.

Περὶ χειροτονίας διακόνων τοῦ Φιλίππου διάταξις. ιζ'.

Ἐπίκλησις χειροτονίας διακόνου. ιη'.

Περὶ διακονίσσης Βαρθολομαίου διάταξις. ιθ'.

Ἐπίκλησις ἐπὶ χειροτονίας διακονίσσης. κ'.

Περὶ ὑποδιακόνων διάταξις τοῦ Θωμᾶ. κα'.

Περὶ ἀναγνωστῶν τοῦ Ματθαίου διάταξις. κβ'.

Ἰακώβου τοῦ Ἀλφαίου περὶ ὁμολογητῶν διάταξις. κγ'.

Τοῦ αὐτοῦ περὶ παρθένων. κδ'.

Λεββαίου τοῦ ἐπικληθέντος Θαδδαίου περὶ χηρῶν διάταξις. κε'.

Ὁ αὐτὸς περὶ ἐπορκιστοῦ. κϛ'.

Σίμων ὁ Κανανίτης περὶ τοῦ ὑπὸ πόσων ὀφείλει χειροτονεῖσθαι ὁ ἐπίσκοπος. κζ'.

Τοῦ αὐτοῦ κανόνες περὶ ἐπισκόπων, πρεσβυτέρων διακόνων καὶ λοιπῶν κληρικῶν. κη'.

Περὶ εὐλογίας ὕδατος καὶ ἐλαίου τοῦ Ματθαίου διάταξις. κθ'.

Τοῦ αὐτοῦ περὶ ἀπαρχῶν καὶ δεκατῶν. λ'.

Τοῦ αὐτοῦ περὶ περισσευμάτων. λα'.

Κανόνες διάφοροι Παύλου ἀποστόλου, περὶ τῶν προσιόντων τῷ βαπτίσματι, τίνας δεῖ προσδέχεσθαι, καὶ τίνας ἀποβάλλεσθαι. λβ'.

Οἵας ἡμέρας δεῖ ἀργεῖν τοὺς οἰκέτας. λγ'.

Ποίας ὥρας καὶ διατὶ ἐν ταύταις δεῖ προσεύχεσθαι. λδ'.

Ἰακώβου τοῦ ἀδελφοῦ Χριστοῦ διάταξις περὶ ἑσπερινοῦ. λε'.

Προσφώνησις ἐπιλύχνιος. λϛ'.

Εὐχαριστία ἐπιλύχνιος. λζ'.

Εὐχαριστία ὀρθρινή. λη'.

Χειροθεσία ὀρθρινή. λθ'.

Ἐπίκλησις ἐπὶ ἀπαρχῶν. μ'.

Προσφώνησις ὑπὲρ τῶν κεκοιμημένων. μα'.

Πῶς δεῖ, καὶ πότε γίνεσθαι τὰς τῶν κοιμηθέντων πιστῶν μνείας, καὶ ὅτι ἐκ τῶν ὑπαρχόντων αὐτοῖς δεῖ παρέχεσθαι πένησι. μβ'.

Ὅτι τοὺς ἀσεβεῖς τελευτῶντας οὐδὲν ὠφελοῦσι μνεῖα, ἢ ἐντολαί. μγ'.

Περὶ μεθύσων. μδ'.

Περὶ τοῦ ὑποδέχεσθαι τοὺς διὰ Χριστὸν διωκομένους. με'.

Ὅτι ἕκαστος ἐν ᾧ ἐτάχθη κλήρῳ, ὀφείλει ἐμμένειν, καὶ φυλάττειν τὴν τάξιν, ἀλλὰ μὴ ἑαυτῷ ἁρπάζειν τὰ μὴ ἐγχειρισθέντα. μϛ'.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Περὶ Λαϊκῶν.

Οἱ Ἀπόστολοι καὶ οἱ πρεσβύτεροι πᾶσι τοῖς ἐξ ἐθνῶν πιστεύσασιν εἰς τὸν κύριον Ἰησοῦν Χριστὸν χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τοῦ παντοκράτορος Θεοῦ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πληθυνθείη ἐν ἐπιγνώσει αὐτοῦ. Θεοῦ φυτεία ἡ καθολικὴ ἐκκλησία καὶ * ἀμπελὼν αὐτοῦ ἐκλεκτὸς, οἱ πεπιστευκότες εἰς τὴν ἁπλανῆ θεοσέβειαν αὐτοῦ, οἱ τὴν αἰώνιον καρπούμενοι διὰ πίστεως βασιλείαν αὐτοῦ, οἱ δύναμιν αὐτοῦ εἰληφότες καὶ μετουσίαν τοῦ ἁγίου πνεύματος, ὡπλισμένοι διὰ Ἰησοῦ καὶ ἐνστερνισμένοι τὸν φόβον αὐτοῦ, ῥαντίσματος μέτοχοι τοῦ τιμίου καὶ ἀθώου αἵματος τοῦ Χριστοῦ, οἱ παῤῥησίαν εἰληφότες τὸν παντοκράτορα πατέρα καλεῖν, συγκληρονόμοι καὶ συμμέτοχοι τοῦ ἠγαπημένου παιδὸς αὐτοῦ, ἀκούσατε διδασκαλίαν ἱερὰν οἱ ἀντεχόμενοι τῆς ἐπαγγελίας αὐτοῦ ἐκ προστάγματος τοῦ σωτῆρος ὁμόστοιχον ταῖς ἐνδόξοις φθογγαῖς αὐτοῦ. φυλάσσεσθε οἱ Θεοῦ υἱοὶ ἅπαντα εἰς ὑπακοὴν Θεοῦ πράσσειν. καὶ γίνεσθε ἀρεστοὶ ἐν πᾶσι Χριστῷ τῷ Θεῷ ἡμῶν. ἐὰν γάρ τις ἀνομίαν μεταδιώκη καὶ τὰ ἐναντία τῷ θελήματι τοῦ Θεοῦ ποιῇ, ὡς παράνομον ἔθνος, τῷ Θεῷ ὁ τοιοῦτος λογισθήσεται.

* S. Epiph. hær. 41. hæc verba chat.

Περὶ πλεονεξίας.

ΚΕΦΑΛ. α'.

Ἀπέχεσθε οὖν πάσης πλεονεξίας καὶ ἀδικίας, καὶ γὰρ ἐν τῷ νόμῳ γέγραπται· οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὔτε τὴν παιδίσκην αὐτοῦ, οὔτε τὸν βοῦν αὐτοῦ, οὔτε τὸ ὑποζύγιον αὐτοῦ, οὔτε ὅσα τοῦ πλησίον σοῦ ἐστιν, ὅτι ἡ πᾶσα τούτων ἐπιθυμία ἐκ τοῦ πονηροῦ ὑπάρχει· ὁ γὰρ ἐπιθυμήσας τὴν γυναῖκα, ἢ τὸν παῖδα, ἢ τὴν παιδίσκην τοῦ πλησίον, ἤδη κατὰ διάνοιαν μοιχὸς καὶ κλέπτης ἐστίν. ἐὰν μὴ μεταγνῷ, κέκριται ὑπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἡ δόξα τῷ Θεῷ εἰς τοὺς αἰῶνας ἀμήν. λέγει γὰρ ἐν τῷ εὐαγγελίῳ ἀνακεφαλαιούμενος, καὶ στηρίζων καὶ πληρῶν τὴν δεκάλογον τοῦ νόμου, ὅτι ἐν τῷ νόμῳ γέγραπται, οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν· τουτέστιν ἐν τῷ νόμῳ διὰ Μωσέως ἐγὼ ἐλάλησα· νῦν δὲ ὁ αὐτὸς ὑμῖν λέγω· πᾶς ὅστις ἐμβλέψει εἰς τὴν γυναῖκα τοῦ πλησίον πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· οὗτος ἐκρίθη μοιχὸς κατ' ἔννοιαν ἐπιθυμήσας· ὁ δὲ τὸν βοῦν ἢ τὸν ὄνον ἐπιθυμήσας, οὐκ ἐπὶ τῷ κλέψαι, καὶ ἰδιοποιήσασθαι, ἢ καὶ ἀπαγαγεῖν αὐτὰ διανοεῖται; ἢ ὁ τὸν ἀγρὸν πάλιν ἐπιθυμήσας καὶ ἐπιμείνας τῇ τοιᾷδε διαθέσει, οὐ πονηρεύεται, ὅπως ὁρογλυφήσας ἀναγκάσῃ τὸν ἔχοντα τοῦ μηδενὸς ἀποδόσθαι αὐτῷ; φησὶ γάρ που ὁ προφήτης· οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι, δι' ὃ λέγει, μὴ οἰκήσητε μόνοι ἐπὶ τῆς γῆς; ἠκούσθη γὰρ εἰς τὰ ὦτα κυρίου σαβαὼθ ταῦτα· καὶ ἀλλαχοῦ, ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον αὐτοῦ, καὶ ἐρεῖ πᾶς ὁ λαὸς, γένοιτο· διό φησι καὶ ὁ Μωσῆς, οὐ μετακινήσεις ὅρια τοῦ πλησίον, ἃ ἔθεντο οἱ πατέρες σου· διὰ τοῦτο οὖν φόβοι, θάνατοι, δικαστήρια, καταδίκαι, παρὰ τοῦ Θεοῦ τοῖς τοιούτοις ἐπακολουθοῦσι· τοῖς δὲ ὑπηκόοις Θεῷ ἀνθρώποις εἷς νόμος Θεοῦ ἁπλοῦς, ἀληθὴς, ζῶν, οὗτος ἐνυπάρχει. ὃ σὺ μισεῖς ὑφ' ἑτέρου σοι γενέσθαι, σὺ ἄλλῳ οὐ ποιήσεις· οὐ βούλει τῇ γυναικί σου τινὰ ἐμβλέψαι κακῶς εἰς διαφθορὰν αὐτῆς, μηδὲ σὺ τῇ τοῦ πλησίον σου γυναικὶ κακοήθως ἀτενίσης. οὐ βούλει σου τὸ ἱμάτιον ἀρθῆναι, μηδὲ σὺ τὸ τοῦ ἑτέρου ἄρῃς. οὐ θέλεις πληγῆναι, λοιδορηθῆναι, ὑβρισθῆναι, μηδὲ σὺ ἄλλῳ ταῦτα διαθῇς.

Περὶ

Περὶ τοῦ μὴ ἀνθυβρίζειν, ἢ ἀμύνασθαι τὸν ἀδικοῦντα.

ΚΕΦΑ'Λ. β'.

Ἀλλὰ καταρᾶταί σέ τις, σὺ εὐλόγησον αὐτόν· ὅτι γέγραπται ἐν τῇ βίβλῳ τῶν ἀριθμῶν, ὁ εὐλογῶν σε εὐλόγηται· καὶ ὁ καταρώμενός σε, κεκατήραται· ὁμοίως καὶ ἐν τῷ εὐαγγελίῳ γέγραπται· εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς· ἀδικούμενοι μὴ ἀνταδικήσητε, ἀλλ' ὑπομείνατε· ὅτι λέγει ἡ γραφὴ, μὴ εἴπῃς, τίσομαι τὸν ἐχθρὸν, ἅ με ἠδίκησεν, ἀλλ' ὑπόμεινον, ἵνα σε ἐκδικήσῃ ὁ κύριος, καὶ ἐκδικίαν ἐπαγάγῃ τῷ ἀδικοῦντί σε· καὶ γὰρ πάλιν ἐν τῷ εὐαγγελίῳ λέγει· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων· καὶ ἔσεσθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους, καὶ ἀδίκους. προσέχωμεν οὖν ἀγαπητοὶ ταῖς ἐντολαῖς ταύταις, ἵνα τέκνα φωτὸς εὑρεθῶμεν πράσσοντες αὐτάς. βαστάζετε οὖν οἱ δοῦλοι καὶ υἱοὶ τοῦ Θεοῦ ἀλλήλους· ὁ μὲν ἀνὴρ πρὸς τὴν ἑαυτοῦ γυναῖκα ἔστω μὴ ὑπερήφανος, μηδὲ ἀλαζών. ἀλλὰ εὔσπλαχνος, εὐμετάδοτος, τῇ ἰδίᾳ γυναικὶ μόνον βουλόμενος ἀρέσκειν, καὶ ταύτην κολακεύειν ἐντίμως, σπουδάζων καταθύμιος εἶναι αὐτῇ.

Περὶ καλλωπισμοῦ, καὶ τῆς ἐκεῖθεν ἁμαρτίας.

ΚΕΦΑ'Λ. γ'.

Μὴ καλλωπιζόμενος εἰς τὸ ἀγρευθῆναί τινα ἑτέραν ἐπὶ σοί· εἴτε γὰρ ἀναγκασθεὶς ὑπ' αὐτῆς, ἁμαρτήσῃς εἰς αὐτὴν, θάνατος παρὰ Θεοῦ ἐπελεύσεταί σοι αἰώνιος ἐν αἰσθήσει πικρῶς κολαζομένῳ. εἴτε μὴ ποιήσῃς τὸ μῦσος, ἀλλ' ἀποσεισάμενος αὐτὴν, ἀρνήσῃ αὐτὴν, καὶ τοῦτο ἥμαρτες, εἰ καὶ μὴ ποιήσῃς, μόνον δὲ τὸ διὰ καλλωπισμοῦ σου παγιδεῦσαι γυναῖκα εἰς τὸ ἐπιθυμῆσαί σου· ἐποίησας γὰρ τὴν τοῦτο παθοῦσαν διὰ τῆς ὀρέξεως μοιχευθῆναι ἐπὶ σοί· ἀλλ' οὐχ οὕτως αἴτιος ὑπάρχεις διὰ τὸ μὴ προσαποστεῖλαί σε τῇ ἐπὶ σὲ πεπαγιδευμένῃ· οὐ γὰρ σὺ ἐπεθύμησας αὐτῆς, μὴ συνεπιδιδοὺς δὲ αὐτῇ ἑαυτὸν, ἐλεηθήσῃ ὑπὸ κυρίου τοῦ Θεοῦ τοῦ εἰπόντος· οὐ μοιχεύσεις, καὶ οὐκ ἐπιθυμήσεις. εἰ γὰρ ἐκείνη θεασαμένη σε ἢ ἀκαίρως συναντήσασα ἐπλήγη τὴν διάνοιαν, καὶ προσέπεμψέ σοι, σὺ δὲ ὡς θεοσεβὴς ἠρνήσω αὐτὴν, ἐκείνη μέντοι τὴν καρδίαν ἐτραυματίσθη, εὐμόρφου νεωτέρου ὑπάρχοντός σου κεκαλλωπισμένου, ὥστε ἐρασθῆναί σου, ἔνοχος εὑρίσκῃ σὺ τοῦ ἐκείνης παραπτώματος, ὡς αἴτιος αὐτῆς σκανδάλου γενόμενος καὶ τοῦ οὐαὶ κληρονόμος· διὸ δεήθητι κυρίου τοῦ Θεοῦ, ὅπως μηδέν σοι διὰ τούτου κακὸν στηριχθῇ· οὐ γὰρ ἀνθρώποις σε χρὴ ἀρέσκειν εἰς ἁμαρτίαν, ἀλλὰ Θεῷ εἰς ὁσιότητα ζωῆς τε καὶ ἀναπαύσεως τῆς αἰωνίου ἀντέχεσθαι· τὸ ὑπὸ τῆς φύσεώς σοι δεδομένον ἐκ Θεοῦ κάλλος μὴ προσεπικαλλώπιζε, ἀλλὰ ταπεινοφρόνως μετρίασον αὐτὸ πρὸς ἀνθρώπους, οὕτω τὴν τρίχα σου τῆς κόμης μὴ παρατρέφων, μᾶλλον δὲ συγκόπτων καὶ καθαίρων αὐτήν· ἵνα μὴ κατακτενιζομένου σου καὶ ἄσκυλτον τηροῦντος τὴν κεφαλὴν ἢ καταμεμυρισμένου σου, ἐπαγάγῃς σεαυτῷ τὰς οὕτως ἀγρευομένας ἢ ἀγρευούσας γυναῖκας, μηδὲ ἐπιτετηδευμένῃ σὺ τῇ ἐσθῆτι χρήσῃ εἰς ἀπάτην· μηδὲ ἀναξυρίδας, ἢ κρηπίδας σου τοῖς ποσὶ κακοτέχνως ὑπορράψῃς. ἀλλὰ τὸ τῆς σεμνότητος καὶ τῆς χρείας μόνον, μηδὲ χρυσήλατον σφενδόνην τοῖς δακτύλοις σου περιθῇς, ὅτι ταῦτα πάντα ἑταιρισμοῦ τεκμήρια ὑπάρχει, ἅπερ παρὰ τὸ προσῆκον ἐπιτηδεύων οὐ ποιήσεις δικαίως. πιστῷ γάρ σοι ὄντι καὶ ἀνθρώπῳ τοῦ Θεοῦ οὐκ ἔξεστί σοι τρέφειν τὰς τρίχας τῆς κεφαλῆς, καὶ ποιεῖν εἰς ἓν, ὅ ἐστι σπατάλιον, ἢ ἀπόχυμα, ἢ μεμερισμένην τηρεῖν· οὐδὲ μὴν ὀγκοποιεῖν, ἢ διαξαίνοντά τε καὶ πλάσσοντα οὔλην διατιθεῖν, ἢ ξανθοποιεῖν αὐτήν· ἐπείπερ καὶ ὁ νόμος ἀπαγορεύει φάσκων ἐν τῷ Δευτερονομίῳ, οὐ ποιήσετε ὑμῖν σεισόην, οὐδὲ ἀναξυρίδας. * χρὴ δὲ οὐδὲ γενείου τρίχα διαφθείρειν, καὶ τὴν μορφὴν τοῦ ἀνθρώπου παρὰ φύσιν ἐξαλλάσσειν· οὐκ ἀπομαδαρώσετε γάρ φησιν ὁ νόμος, τοὺς πώγωνας ὑμῶν. τοῦτο γὰρ γυναιξὶν εὐπρεπὲς ὁ κτίσας ἐποίησε Θεός· ἀνδράσι δὲ ἀνάρμοστον ἐδικαίωσε· σὺ δὲ ταῦτα ποιῶν διὰ ἀρέσκειαν ἐναντιούμενος τῷ νόμῳ, βδελυκτὸς γενήσῃ παρὰ Θεῷ τῷ κτίσαντί σε κατ' εἰκόνα ἑαυτοῦ, ἐὰν οὖν θέλῃς Θεῷ ἀρέσκειν, ἀπόσχου πάτων ὧν μισεῖ αὐτός· καὶ μηδὲν πράσσε τῶν αὐτῷ ἀπαρεσκόντων.

* S. Epiphanius haer. adversus Messalian. n. 7.

Ὅτι οὐ δεῖ περιεργάζεσθαι τοὺς κακῶς ζῶντας, ἀλλὰ τῷ οἰκείῳ ἔργῳ σχολάζειν.

ΚΕΦΑ'Λ. δ'.

Οὐκ ἔσῃ ὡς πετόμενος καὶ ἐμπεριπατῶν καὶ ἁλώμενος ἐν ταῖς ῥύμαις ἀκαιροεπόπτης τῶν κακῶς ζώντων, ἀλλὰ τῇ τέχνῃ σου, καὶ τῷ ἔργῳ σου προσέχων τὰ τῷ Θεῷ φίλα ἀναζήτει ποιεῖν, καὶ τὰ τοῦ Χριστοῦ λόγια ἀναμιμνησκόμενος διηνεκῶς μελέτα. λέγει γὰρ ἡ γραφή σοι, ὅτι ἐν τῷ νόμῳ αὐτοῦ μελετήσεις ἡμέρας καὶ νυκτὸς περιπατῶν ἐν ἀγρῷ, καὶ ἐν οἴκῳ καθήμενος, κοιταζόμενος, καὶ διανιστάμενος, ἵνα συνιῆς ἐν πᾶσιν. ἀλλ' εἰ καὶ πλούσιος ὑπάρχεις, χρείαν τέχνης πρὸς τὸ τρέφεσθαι οὐκ ἔχων, μὴ ῥεμβὸς γίνου, μηδὲ ἀκαιροπεριπάτητος· ἀλλ' εἴτε προσέρχῃ τοῖς πιστοῖς τε καὶ ὁμοδόξοις, συμβάλλων τὰ ζωοποιὰ προσομίλει ῥήματα.

Ποῖα τῆς γραφῆς βιβλία δεῖ ἀναγινώσκειν.

ΚΕΦΑ'Λ ε'.

Εἰ δὲ μὴ, καθεζόμενος ἔνδον ἀναγίνωσκε τὸν νόμον, τὰς βασιλείους, τοὺς προφήτας· ψάλλε τοὺς ὕμνους Δαβίδ. διέρχου ἐπιμελῶς τὸ εὐαγγέλιον τὸ τούτων συμπλήρωμα.

Περὶ τοῦ ἀπέχεσθαι πάντων τῶν ἔξωθεν βιβλίων.

ΚΕΦΑ'Λ ϛ'.

Τῶν ἐθνικῶν βιβλίων πάντων ἀπέχου· τί γάρ σοι καὶ ἀλλοτρίοις λόγοις ἢ νόμοις, ἢ ψευδοπροφήταις, ἃ δὴ καὶ παρατρέπει τῆς πίστεως τοὺς ἐλαφρούς· τί γάρ σοι καὶ λείπει ἐν τῷ νόμῳ τοῦ Θεοῦ; ἵνα ἐπ' ἐκεῖνα τὰ ἐθνόμυθα ὁρμήσεις; εἴτε γὰρ ἱστορικὰ θέλεις διέρχεσθαι, ἔχεις τὰς βασιλείους

λείους, εἴτε σοφιστικὰ καὶ ποιητικὰ, ἔχεις τοὺς προφήτας, τὸν Ἰὼβ, τὸν παροιμιαστήν· ἐν οἷς πάσης ποιήσεως καὶ σοφιστείας πλείονα ἀγχίνοιαν εὑρήσεις. ὅτι κυρίου τοῦ μόνου σοφοῦ Θεοῦ φθογγαί εἰσιν· εἴτε ἀσματικῶν ὀρέγῃ, ἔχεις τοὺς ψαλμούς. εἴτε ἀρχαιογονίας, ἔχεις τὴν γένεσιν. εἴτε νομίμων καὶ παραγγελιῶν, τὸν ἔνδοξον κυρίου τοῦ Θεοῦ νόμον· πάντων οὖν τῶν ἀλλοτρίων καὶ διαβολικῶν ἰσχυρῶς ἀπόσχου· πλὴν καὶ τὸν νόμον ἀναγινώσκων, τῶν ἐν αὐτῷ ἐπεισάκτων ἀπόσχου· εἰ καὶ μὴ πάντων, ἀλλά τινων τῶν τῆς δευτερώσεως· μόνον δὲ πρὸς ἱστορίαν ἀναγίνωσκε εἰς τὸ γινώσκειν σε καὶ δοξάζειν τὸν Θεὸν, ὅτι ἀπὸ τοιούτων ἐρρύσατό σε δεσμῶν· ἔστω δέ σοι πρὸ ὀφθαλμῶν γινώσκειν, τί νόμος φυσικός· καὶ τί τὰ τῆς δευτερώσεως· τά τε ἐν τῇ ἐρήμῳ τοῖς μοσχοποιήσασι δοθέντα ἐπείσακτα. νόμος γάρ ἐστι, τίνα ἐλάλησε κύριος ὁ Θεὸς πρὸ τοῦ τὸν λαὸν εἰδωλολατρῆσαι καὶ μοσχοποιῆσαι τὸν παρ' Αἰγυπτίοις Ἄπιν· τουτέστιν ἡ δεκάλογος· ἃ δὲ ἁμαρτήσασιν αὐτοῖς ἐπετέθη δεσμὰ, σὺ σεαυτῷ μὴ ἐπισπάσῃ· ὁ γὰρ σωτὴρ ἡμῶν οὐ δι' ἕτερόν τι ἦλθεν, ἢ ἵνα ῥύσηται τοὺς ὑποδίκους τῆς ἀποκειμένης ὀργὴς, καὶ πληρώσῃ τὸν νόμον καὶ τοὺς προφήτας· καὶ τὰ δεσμὰ τῆς δευτερώσεως τῶν ἐπεισάκτων ἢ παύσῃ ἢ μεταθῇ. διὰ γὰρ τοῦτο προσκαλούμενος ἡμᾶς ἔλεγε· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι· κἀγὼ ἀναπαύσω ὑμᾶς. σὺ οὖν ἀναγνοὺς τὸν νόμον σύμφωνον ὄντα τῷ εὐαγγελίῳ, καὶ τοῖς προφήταις ἀναγίνωσκε καὶ βασιλείους, ὅπως εἰδέναι ἔχοις, ὁπόσοι δίκαιοι ἐγένοντο βασιλεῖς· καὶ ηὐξήθησαν ὑπὸ Θεοῦ, καὶ ἡ ἐπαγγελία τῆς αἰωνίου ζωῆς αὐτοῖς διέμεινε παρ' αὐτῷ· ὅσοι δὲ βασιλεῖς ἐξεπόρνευσαν ἀπὸ Θεοῦ. ἐν ἀποστασίᾳ αὐτῶν συντόμως ἀπώλοντο τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ· καὶ τῆς αὐτοῦ ζωῆς ἐστερήθησαν, ἀντὶ ἀναπαύσεως αἰωνίαν κόλασιν κληρωσάμενοι· ταῦτα οὖν ἀναγινώσκων πολὺ τῇ πίστει αὐξηθεὶς προσοικοδομηθήσῃ Χριστῷ, οὗ σῶμα καὶ μέλος τυγχάνεις· περιπατῶν δὲ ἐν τῇ ἀγορᾷ καὶ λούσασθαι βουλόμενος, χρήσῃ βαλανίῳ ἀνδρείῳ, ἵνα μὴ διὰ τὸ ἐπιδεικνύναι σε σῶμα ἐν ἀσχήμῳ ἀποκαλύψει γυναιξὶν, ἢ θεάσασθαι θέαν οὐχ ἁρμόζουσαν ἀνδράσιν, ἢ σὺ παγιδευθῇς ἐπὶ σαυτῷ τὰς οὕτως εὐαλώτους γυναῖκας· φυλάσσου οὖν τὰ τοιαῦτα· ἵνα μὴ λάβῃς βρόχους τῇ ἑαυτοῦ ψυχῇ.

Περὶ γυναικὸς φαύλης.

ΚΕΦΑ'Λ. ζ'.

Μάθωμεν γὰρ, ἐν τῇ σοφίᾳ τί λέγει ὁ ἅγιος λόγος· υἱὲ φύλασσε ἐμοὺς λόγους, τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ· εἶπον τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι, τὴν δὲ φρόνησιν γνώριμον περιποίησαι σεαυτῷ· ἵνα σε τηρήσῃ ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πονηρᾶς· ἐάν σε λόγοις τοῖς πρὸς χάριν ἐμβάληται. ἀπὸ γὰρ θυρίδος οἴκου αὐτῆς εἰς τὰς πλατείας παρακύπτουσα, ὃν ἂν ἴδῃ τῶν ἀφρόνων τέκνων νεανίαν ἐνδεῆ φρενῶν παραπορευόμενον ἐν ἀγορᾷ, ἐνδιόδοις οἴκων αὐτῆς, καὶ λαλοῦντα ἐν σκότει ἑσπερινῷ, ἡνίκα ἂν ᾖ ἡσυχία νυκτερινὴ καὶ γνοφώδης, ἡ δὲ γυνὴ συναντᾷ αὐτῷ εἶδος ἔχουσα πορνικόν· ἢ ποιεῖ νέων ἐξίπτασθαι καρδίας, ἀνεπτερωμένη δέ ἐστιν καὶ ἄσωτος, ἐν οἴκῳ δὲ οὐχ ἡσυχάζουσιν οἱ πόδες αὐτῆς· χρόνον γάρ τινα ἔξω ῥέμβεται· χρόνον δὲ ἐν πλατείαις παρὰ πᾶσαν γωνίαν ἐνεδρεύει· εἶτα ἐπιλαβομένη ἐφίλησεν αὐτόν· ἀναιδεῖ δὲ προσώπῳ προσεῖπεν αὐτὸν θυσία εἰρηνικήμοι ἐστὶ σήμερον, ἀποδίδωμι τὰς εὐχάς μου· ἕνεκα τούτου ἐξῆλθον εἰς συνάντησίν σου· ποθοῦσα τὸ σὸν πρόσωπον εὕρηκά σε· κειρίαις τέτακα τὴν κλίνην μου· ἀμφιτάπησι δὲ ἔστρωσα τοῖς ἀπ' Αἰγύπτου· διέρραγκα τὴν κοίτην μου κρόκῳ· τὸν δὲ οἴκόν μου κινναμώμῳ· ἐλθὲ καὶ ἀπολαύσομεν φιλίας ὄρθρου, δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι· καὶ τὰ ἑξῆς, οἷς ἐπιφέρει· ἀπεπλάνησε δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ· βρόχοις τε τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν· ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθείς· καὶ πάλιν λέγει, μὴ πρόσεχε φαύλῃ γυναικί. μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης· ἢ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα· ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου· καὶ πάλιν· ἀλλὰ ἀποπήδησον, καὶ μὴ ἐγχρονίσῃς, μήτε ἐπιστήσῃς σὸν ὄμμα πρὸς αὐτήν· πολλοὺς γὰρ τρώσασα καταβέβληκε, καὶ ἀναρίθμητοί εἰσιν, οὓς πεφόνευκεν· εἰ δὲ μὴ, φησὶ, μεταμεληθήσῃ ἐπ' ἐσχάτων σου, ἡνίκα ἂν κατατριβῶσι σάρκες σώματός σου, καὶ ἐρεῖς, πῶς ἐμίσησα παιδείαν, καὶ ἐλέγχους δικαίων ἐξέκλινεν ἡ καρδία μου· οὐκ ἤκουον φωνῆς παιδεύοντός με καὶ διδάσκοντός με, οὐ παρέβαλλον τὸ οὖς μου, παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ· ἵνα δὲ διὰ πλειόνων παρεκτείνωμεν τὰς μαρτυρίας, καὶ εἴτινα παρήκαμεν, οἱ σοφοὶ ἑαυτοῖς τὰ καλὰ ἐπιλέγοντες, ἐκ τῶν ἱερῶν γραφῶν ἐπιστερεοῦσθε, παραιτούμενοι πάντα τὰ φαῦλα εἰς τὸ ὁσίους εὑρεθῆναι ὑμᾶς ἐν ζωῇ αἰωνίῳ παρὰ Θεῷ.

Περὶ ὑποταγῆς γυναικὸς πρὸς ἄνδρα, καὶ φιλάνδρου καὶ σώφρονος.

ΚΕΦΑ'Λ. η'.

Ἡ δὲ γυνὴ ὑποτασσέσθω τῷ ἑαυτῆς ἀνδρί· ὅτι κεφαλὴ τῆς γυναικὸς ὁ ἀνὴρ ὑπάρχει, τοῦ δὲ ἀνδρὸς τοῦ πορευομένου ἐν ὁδῷ δικαιοσύνης, κεφαλὴ ἐστιν ὁ Χριστός· τοῦ Χριστοῦ δὲ κεφαλὴ ὁ Θεὸς καὶ πατὴρ αὐτοῦ· μετὰ οὖν τὸν παντοκράτορα Θεὸν ἡμῶν καὶ πατέρα τοῦτε ἐνεστῶτος καὶ τοῦ μέλλοντος αἰῶνος κύριον πάσης τε πνοῆς καὶ δυνάμεως δημιουργὸν, καὶ τὸν ἠγαπημένον αὐτοῦ υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, οὗ ἡ δόξα τῷ Θεῷ, φοβήθητί σου τὸν ἄνδρα ὦ γύναι· καὶ ἐντράπηθι αὐτῷ ὑπάρχουσα εὐάρεστος ἐν ταῖς διακονίαις αὐτοῦ, ἵνα καὶ ἐπὶ σοὶ μακαρισθῇ ὁ ἀνὴρ διὰ τῆς σοφίας τῆς λεγούσης διὰ Σολομῶντος τάδε· γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη· θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς· ἡ τοιαύτη σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ κατὰ πάντα τὸν βίον, μηρυσαμένη ἔριον καὶ λίνον ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς· ἐγένετο, ὡς ναῦς ἐμπορευομένη, μακρόθεν συνάγουσα αὐτῷ τὸν βίον· καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκεν βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις· θεωρήσασα γεώργιον ἐπρίατο· ἀπὸ δὲ καρπῶν τῶν χειρῶν αὐτῆς ἐφύτευσε κτῆμα, ἀναζωσαμένη τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς ἑαυτῆς βρα-

χίονας, καὶ ἐγλύσατο, ὅτι καλὸν τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα· τὰς πήχεις αὐτῆς ἐκτείνει εἰς τὰ χρήσιμα, τὰς χεῖρας αὐτῆς ἐρείδει εἰς ἄξαντον· χεῖρας δὲ αὐτῆς διέλυσε πένητι· καρπὸν δὲ ἐξέτεινε πτωχῷ· ἐφροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς· πάντες γὰρ οἱ παρ' αὐτῇ εἰσὶν ἐνδεδυμένοι δυωδεκάσολας, καὶ χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς ἐκ βύσσου καὶ πορφύρας ἐνδύματα· περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς, ὅταν κάθηται ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων τῶν κατοικούντων· σινδόνας ἐποίησε, καὶ ἀπέδοτο τοῖς Φοινίξι· περιζώματα δὲ τοῖς Χαναναίοις· δόξαν καὶ εὐπρέπειαν ἐνεδύσατο· καὶ ἐφράνθη ἐν ἡμέραις ἐσχάταις· στόμα αὐτῆς διέλυσε σοφῶς καὶ προσηκόντως καὶ παίδευσιν ἐσείλατο τῇ γλώσσῃ αὐτῆς· σεμναὶ δὲ διατελοῦσαι οἴκων αὐτῆς· σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε· τὸ στόμα αὐτῆς ἀνοίξει σοφῶς καὶ ἐννόμως· θεσμοὶ δὲ ἐλεημοσύνης ἐπὶ τῆς γλώσσης αὐτῆς· ἀνέστησαν τὰ τέκνα αὐτῆς καὶ πλουτήσαντα ἐμακάρισαν αὐτήν, καὶ ὁ ἀνὴρ αὐτῆς ἐπῄνεσεν αὐτήν· πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δυνάμεις· σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας· ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικὸς μὴ ἔσωσοι· γυνὴ γὰρ θεοσεβὴς αἰνεῖται, φόβον δὲ κυρίου αὐτὴ αἰνείτω· δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνειάσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς· καὶ πάλιν, γυνὴ ἀνδρεία στέφανος τῷ ἀνδρὶ αὐτῆς· καὶ πάλιν, πολλαὶ γυναῖκες ᾠκοδόμησαν οἶκον· μεμαθήκατε, ὁποῖα ἐγκώμια γυνὴ σώφρων καὶ φίλανδρος λαμβάνει ἀπὸ κυρίου τοῦ Θεοῦ· εἰ πιστὴ καὶ ἀρεστὴ κυρίῳ βάλλει εἶναι ὦ γυναῖ, μὴ καλλωπίζου ἐπὶ τῷ ἀρέσκειν σε ἀλλοτρίοις ἀνδράσι, μηδὲ τὰ τῆς ἑταιριζομένης ἐμπλέγματα, ἢ ἐνδύματα, ἢ θέσεις μιμοῦ φορεῖν ἐπὶ τὸ ὑπάγεσθαί σε τοὺς εἰς τὰ τοιαῦτα παγιδευομένους· καὶ γὰρ εἰ σὺ οὐκ ἐπὶ τὸ ἁμαρτάνειν ταῦτα ποιεῖς τὰ μύστη, ἐπὶ δὲ τὸ μόνον καλλωπίζεσθαι, οὐδ' οὕτως ἐκφοβεῖ τινὰ δίκαιον εἰς τὸ μὴ ταῦτα, ἀναγκάσασα ἐπενεχθῆναί σοι τινά, εἰς τὸ ἐπιθυμῆσαί σε, καὶ μὴ ἑαυτῷ φυλάξασα ἐπὶ τὸ μήτε σε ὑποπεσεῖν ἁμαρτίᾳ, μήτε μιν ἕτερος σκανδάλῳ· εἰ δὲ ἁμαρτήσεις ἐνδυσα ἑαυτῷ, καὶ σὺ ἐπλημμέλησας, κἀκεῖνα ὄμοχος τῆς ψυχῆς ἐγένου· εἶτα ἁμαρτήσασα ἐφ' ᾧτινι, ὥσπερ ἀπογνοῦσα εἰσάπαξ, ἐφ' ἑτέροις ἐξαπήτησε πάλιν ἀπηλγηκυῖα· καθάφησιν ὁ θεῖος λόγος· ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ· ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος· ἡ γὰρ τοιαύτη λοιπὸν ἀφειδῶς τεθωμένη παγιδεύει ψυχὰς ἀφρόνων· μάθωμεν οὖν ἐκ τῶν τοιούτων ὡς θεραπεύει ὁ θεῖος λόγος φάσκων· ἐμίσησα ὑπὲρ τὸν θάνατον τὴν γυναῖκα· ἥτις ἐστὶ θήρευμα καὶ σαγήνη καρδίας· δεσμοὶ δὲ χεῖρες αὐτῆς· καὶ ἐν ἄλλοις, ὥσπερ ἐνώτιον χρυσοῦν ἐν ῥινὶ ὑός, οὕτω γυναικὶ κακόφρονι κάλλος· καὶ πάλιν· ὥσπερ ἐν ξύλῳ σκώληξ, οὕτως ἀπόλλυσιν ἄνδρας γυνὴ κακοποιός· καὶ πάλιν, κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας ὑπαίθρου, ἢ, μετὰ γυναικὸς γλωσσώδους, καὶ μαχίμης· μὴ οὖν μιμεῖσθε τὰς τοιαύτας γυναῖκας ὑμεῖς αἱ Χεισιαναὶ ὑπάρχουσαι· πιστὴ δὲ θέλουσα εἶναι τῷ σῷ ἀνδρὶ, πρόσεχε ἐπὶ τὸ ἀρέσκειν αὐτῷ μόνῳ· ἐν δὲ ταῖς πλατείαις σκέπουσα τὴν κεφαλήν σου· διὰ γὰρ τῆς ἐπικαλύψεως ἀποκλείσεις τὴν θέαν τοῖς περιεργοτέροις· μὴ καταζωγράφει σου τὸ ὑπὸ Θεοῦ πεποιημένον πρόσωπον· οὐδὲν γὰρ ἐν σοί, ὃ κοσμήσεως δέεται· ἐπείπερ πάντα ὅσα ἐποίησεν ὁ Θεὸς, καλὰ λίαν· ἀσελγὴς δ' ἐν καλῷ ἐπικόσμησις, τεχνίτης χάριν ἐνυβρίζει. κάτω βλέπουσα τὴν ὁδοιπορίαν σου ποιοῦ, περικαλυπτουσα ἑαυτήν, καθὼς πρέπει γυναιξίν.

Περὶ τοῦ μὴ συλλύεσθαι γυναῖκα ἀνδράσιν.

ΚΕΦΑΛ. ϑ'.

ΠΕπίσασο καὶ τὴν ἐν βαλανείῳ μετ' ἀνδρῶν ἄταξτον γινομένην λύσιν. πολλὰ γὰρ τὰ δίκτυα τοῦ πονηροῦ. ἀνδρόγυνον γυνὴ πιστὴ μὴ λυέσθω· εἰ γὰρ περικαλύπτεται τὸ πρόσωπον τὴν ἀπ' ἀλλοτρίων ἀνδρῶν ὄψιν μετ' αἰδοῦς κρύπτουσα, πῶς γυμνὴ μετ' ἀνδρῶν ἡ τοιαύτη εἰς λουτρὸν εἰσελεύσεται; γυναικεῖον δὲ ὄντος βαλανείου διάτακτος μετ' αἰδοῦς μεμεσημένως λυέσθω. μὴ πρωϊαιτέραν δὲ λύσιν ποιείσθω, μηδὲ ἐν μέσῃ τῇ ἡμέρᾳ, ἀλλ' εἰ δυνατὸν, μηδὲ καθημέραν· ὥρα δέ σοι ἔσω τακτὴ ἡ τῆς ἡμιολυσίας δεκάτη· δεῖ γάρ σε πιστὴν ὄσαν ἐκ παντὸς καὶ πάντοτε τὴν πολυόφθαλμον περιεργίαν φεύγειν.

Περὶ μαχίμου καὶ γλωσσώδους γυναικός.

ΚΕΦΑΛ. ί.

ΤΟ' δὲ μάχιμόν σου πρὸς πάντας, μάλιστα δὲ καὶ πρὸς τὸν ἄνδρα σου περίοψον πιστὴ ὑπάρχουσα· ἵνα σου ὁ ἀνὴρ ἐὰν ᾖ ἄπιστος, ἢ ἐθνικὸς, μὴ διά σε σκανδαλισθεὶς βλασφημήσῃ Θεὸν, καὶ σὺ τοῦ ὑαὶ κληρονόμος ἀρεθῇς παρὰ Θεῷ· ὑαὶ γάρ φησι δι' ὃ τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν· εἰ δὲ πιστὸς ὑπάρχει σου ὁ ἀνὴρ, ἀναγκασθήσεται, ὡς εἰδὼς τὰς γραφὰς εἰπεῖν τὸ ῥῆμα τὸ γεγραμμένον ἐν τῇ σοφίᾳ, κρεῖσσον οἰκεῖν ἐν ἐρήμῳ, ἢ μετὰ γυναικὸς γλωσσώδους καὶ μαχίμης· αἱ δὲν γυναῖκες διὰ τῆς αἰδοῦς καὶ πραότητος τὴν θεοσέβειαν ἐνδείκνυσθε εἰς ἐπιστροφὴν καὶ προκοπὴν πίστεως· καὶ τοῖς ἐκτὸς πᾶσιν, εἴτε γυναιξὶν, εἴτε ἀνδράσι. καὶ εἰ δι' ὀλίγων νουθετήσαντες ἐπαιδεύσαμεν ὑμᾶς ἀδελφαὶ καὶ θυγατέρες καὶ μέλη ἡμῶν, ὡς σοφαὶ καὶ αὗται ἀλοιδόρητοι τοῦ βίου διαμείνατε· ἐκζητεῖτε μαθήματα γινώσκειν, δι' ὧν δυνήσεσθε τῇ τοῦ κυρίου ἡμῶν ἐγγίσαι βασιλείᾳ διαρέσεως, καὶ ἀναπαύσεσθαι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

Περὶ ἐπισκόπων, πρεσβυτέρων, καὶ διακόνων.

Ὅτι χρὴ τὸν ἐπίσκοπον εἶναι πεπαιδευμένον καὶ ἔμπειρον τοῦ λόγου.

ΚΕΦΑΛ. ά.

ΠΕρὶ δὲ τῶν ἐπισκόπων ἠκούσαμεν παρὰ τοῦ κυρίου ἡμῶν, τὸν ποιμένα τὸν καθισάμενον ἐπίσκοπον εἰς τὰς ἐκκλησίας ἐν πάσῃ παροικίᾳ, δεῖ ὑπάρχειν ἀνέγκλητον, ἀνεπίληπτον, ἀνέπαφον πάσης ἀδικίας ἀνθρώπων, οὐκ ἔλαττον ἑβδομήκοντα· ὅτι ζόφῳ τινὶ τὰς νεωτερικὰς ἀταξίας, καὶ τὰς ἔξωθεν διαβολὰς ἐκπεφεύγως ὑπάρχεις πρὸς τὰς

* pendenta ἑβδομήκοντα esse, errore latitat

τὰς τινῶν ψευδαδέλφων εἰς πολλοὺς ἐπιφερομένας βλασφημίας, οὐ γινωσκόντων ῥῆμα Θεοῦ τὸ ἐν τῷ εὐαγγελίῳ, ὃς ἂν λαλήσῃ ῥῆμα ἀργὸν ἀποδώσει περὶ αὐτοῦ λόγον τῷ κυρίῳ ἐν ἡμέρᾳ κρίσεως· καὶ πάλιν, ἐκ τῶν λόγων σου καταδικασθήσῃ· ἔστω αὖ πεπαιδευμένος καὶ ἔμπειρος τοῦ λόγου· καθήκων τῇ ἡλικίᾳ· εἰ δὲ καὶ ἐν παροικίᾳ μικρᾷ ὑπαρχούσῃ που προβεβηκὼς τῷ χρόνῳ μὴ εὑρίσκηται μεμαρτυρημένος ὑπὸ τῶν συνόντων αὐτῷ ὡς ἄξιος ἐπισκοπῆς, διὰ τῆς νεότητος ἐν πρᾳότητι καὶ εὐταξία γῆρας ἐπιδεικνύμενος δοκιμασθεὶς, εἰ ὑπὸ τῶν τοιούτων μαρτυρεῖται, καθιστάσθω ἐν εἰρήνῃ· καὶ γὰρ Σολομὼν δωδεκκετὴς τοῦ Ἰσραὴλ ἐβασίλευσε, καὶ Ἰωσίας ἐν δικαιοσύνῃ ὀκτὼ ἐτῶν ἐβασίλευσεν· ὁμοίως δὲ καὶ Ἰωὰς ἑπτὰ ἐτῶν ἦρξε τοῦ λαοῦ, ὥστε εἰ καὶ νέος, ἀλλὰ πρᾷος ὑπαρχέτω, δεῖλός τε καὶ ἡσύχιος, ὅτι λέγει διὰ τοῦ Ἡσαΐου κύριος ὁ Θεὸς, ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους διαπαντός· ὁμοίως καὶ ἐν τῷ εὐαγγελίῳ οὕτω· μακάριοι οἱ πρᾳεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν· ἔστω δὲ καὶ ἐλεήμων, ὅτι πάλιν εἴρηται· μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται· γινέσθω δὲ καὶ εὐσυνείδητος· πάσης κακίας καὶ πονηρίας, καὶ ἀδικίας κεκαθαρισμένος, ὅτι πάλιν εἴρηται, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Οἷον εἶναι χρὴ τὸν ἐπίσκοπον καὶ τοὺς λοιποὺς κληρικούς.

ΚΕΦΑΛ. β'.

Ἔστω οὖν καὶ νηφάλιος, σώφρων, κόσμιος, εὐσταθὴς, ἀτάραχος, μὴ πάροινος, μὴ πλήκτης, ἀλλ' ἐπιεικὴς, ἄμαχος, ἀφιλάργυρος, μὴ νεόφυτος, ἵνα μὴ τυφωθεὶς, εἰς κρίμα ἐμπέσῃ, καὶ παγίδα τοῦ διαβόλου, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται. τοιοῦτον δὲ δεῖ εἶναι τὸν ἐπίσκοπον, μιᾶς ἄνδρα γεγενημένον γυναικὸς μονογάμου, καλῶς τοῦ ἰδίου οἴκου προεστῶτα· οὕτω γὰρ δοκιμαζέσθω, ὁπότ' αὐτὴν χειροτονίαν λαμβάνων καθίσταται ἐν τῷ τόπῳ τῆς ἐπισκοπῆς, εἰ ἔστι σεμνὸς, πιστὸς, καὶ κόσμιος, εἰ γυναῖκα σεμνὴν καὶ πιστὴν ἔσχοι, ἢ ἔσχηκεν· εἰ τέκνα θεοσεβῶς ἀναθρέψας καὶ ἐν νουθεσίᾳ κυρίου παιδεύσας προήγαγεν· εἰ οἱ κατ' οἶκον αὐτοῦ εὐλαβούμενοι καὶ ἐντρεπόμενοι αὐτὸν ὑπήκοοι πάντες εἰσὶν αὐτῷ· εἰ γὰρ οἱ κατὰ σάρκα ἴδιοι αὐτοῦ, πρὸς αὐτὸν στασιάζουσι καὶ ἀπειθοῦσι, πῶς οἱ ἔξω τῆς οἰκίας αὐτοῦ ἴδιοι γενόμενοι αὐτῷ ὑποταγήσονται;

Τίνα χρὴ δοκιμάζεσθαι τὸν ἐπίσκοπον προχειριζόμενον.

ΚΕΦΑΛ. γ'.

Δοκιμαζέσθω οὖν, εἰ ἄμωμός ἐστι περὶ τὰς βιωτικὰς χρείας· γέγραπται γὰρ μωμοσκοπεῖσθε τὸν μέλλοντα εἰς ἱερωσύνην προχειρίζεσθαι· ὑπαρχέτω οὖν καὶ ἀόργητος, ὅτι λέγει ἡ σοφία· ὀργὴ καὶ φρονίμους ἀπόλλυσιν· ἔστω δὲ εὔσπλαχνος, ἀβάναυσος, ἀγαπητικός· ὅτι λέγει κύριος, ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους· ἔστω καὶ εὐμετάδοτος, φιλόχηρος, φιλόξενος, ὑπηρετικὸς, εὐδιάκονος, εὔσκυλτος, ἀνεπαίσχυντος, εἰδὼς τὸν μᾶλλον ὄντα ἄξιον ὑπολήψεως.

Ὅτι οὐχ ἑκάστῃ χήρᾳ δεῖ μεταδιδόναι, ἀλλ' ἔσθ' ὅτε τὴν ὕπανδρον προκρίνειν, καὶ ὅτι καταφαγᾶ, μεθύσῳ, ἀργῷ οὐ μεταδιδόναι χρή.

ΚΕΦΑΛ. δ'.

Εἰ γὰρ χήρα τις ὑπάρχουσα ἡ δυναμένη ἐπάρκειν ἐν τῷ βίῳ τὰ χρηστήρια, ἑτέρα δὲ οὐ χήρα, ἀλλ' ἐνδεὴς ὑπάρχει διὰ νόσον, ἢ τεκνοτροφίαν, ἢ δι' ἀσθένειαν χειρῶν, ἐπὶ ταύτην μᾶλλον ἐκτεινάτω τὴν χεῖρα· εἰ δέ τις ὡς καταφαγὰς, ἢ μέθυσος, ἢ ἀργὸς, ἐν τοῖς βιωτικοῖς θλίβεται, οὐκ ἔστιν ἄξιος ἐπικουρίας, οὔτε μὴν ἐκκλησίας Θεοῦ· λέγει γὰρ ἡ γραφὴ περὶ τούτων φάσκουσα, ὅτι κρίψας ὀκνηρὸς τὴν χεῖρα αὐτοῦ ὑπὸ τὸν κόλπον, οὐ δυνήσεται ἀπενεγκεῖν αὐτὴν εἰς τὸ στόμα αὐτοῦ· καὶ πάλιν· ὁ ἀργὸς περιέλαβεν τὰς χεῖρας αὐτοῦ, καὶ ἔφαγε τὰς σάρκας αὐτοῦ· πᾶς γὰρ μέθυσος, καὶ πορνοκόπος, πτωχεύσει, καὶ ἐνδύσεται διερρωγότα καὶ ῥακώδη πᾶς ὑπνώδης. καὶ ἐν ἄλλοις· ἐὰν δὲ εἰς τὰς φιάλας καὶ τὰ ποτήρια δῷς τοὺς ὀφθαλμούς σου, ὕστερον περιπατήσεις γυμνότερος ὑπέρου, ὡς ἀληθῶς γὰρ μήτηρ ἐστὶν ἡ ἀργία τοῦ λιμοῦ.

Ὅτι χρὴ ἀπροσωπόληπτον εἶναι τὸν ἐπίσκοπον ἐν τῷ κρίνειν, καὶ τὸ ἦθος μέτριον, καὶ τὴν δίαιταν συνεσταλμένον

ΚΕΦΑΛ. ε'.

Ἔστω δὲ ὁ ἐπίσκοπος ἀπροσωπόληπτος, μήτε πλούσιον ἐντρεπόμενος ἢ κολακεύων παρὰ τὸ προσῆκον, μήτε πένητα παρορῶν, ἢ καταδυναστεύων· οὐ λήψῃ γὰρ, φησὶν ὁ Θεὸς τῷ Μωσεῖ, πρόσωπον πλουσίου, καὶ πένητα οὐκ ἐλεήσεις ἐν κρίσει, ὅτι τοῦ κυρίου ἡ κρίσις· καὶ πάλιν, δικαίως διώξῃς τὸ δίκαιον· τροφὴ καὶ ποτὸς λυσιτελὴς καὶ αὐτάρκης ὑπαρχέτω τῷ ἐπισκόπῳ, ἵνα δυνηθῇ νήφειν πρὸς τὸ νουθετεῖν τοὺς ἀπαιδεύτους· ἔστω δὲ μὴ δάπανος, μὴ τρυφητὴς, μὴ ἡδύβιος, μὴ χρηστοφάγος· ἔστω δὲ ἀνεξίκακος· μακρόθυμος ἐν ταῖς νουθεσίαις· πολυδίδακτος, μελετῶν καὶ σπουδάζων ἐν ταῖς κυριακαῖς βίβλοις· πολὺς ἐν ἀναγνώσμασιν· ἵνα τὰς γραφὰς ἐπιμελῶς ἑρμηνεύῃ, ὁμοστοίχως τοῖς προφήταις καὶ τῷ νόμῳ τὸ εὐαγγέλιον ἑρμηνεύων· ὁμοίως τῷ εὐαγγελίῳ στοιχείσθωσαν αἱ ἐκ νόμου καὶ προφητῶν ἑρμηνεῖαι· λέγει γὰρ ὁ κύριος Ἰησοῦς· ἐρευνᾶτε τὰς γραφάς· ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ πάλιν· περὶ γὰρ ἐμοῦ Μωσῆς ἔγραψε· πρὸ πάντων δὲ διαστολεὺς ἀγαθὸς γινέσθω, νόμον καὶ δευτέρωσιν διαιρῶν καὶ δεικνύων τί ἐστι νόμος πιστῶν, καὶ τί δεσμὰ ἀπίστων· ἵνα μήτις ὑποπέσῃ τοῖς δεσμοῖς· ἐπιμελοῦ οὖν τοῦ λόγου ἐπίσκοπε, ἵνα ᾖ δυνατόν σοι πάντα κατὰ λέξιν ἑρμηνεύειν,

νάλειν, καὶ ἐν πολλῇ διδαχῇ πλησίως ξέφης καὶ φωτίζης τὸν λαὸν σὺν τὸν φωτισμὸν τῦ νόμυ· φωτίσατε γὰρ φησὶν ὁ Θεὸς ἑαυτοῖς φῶς γνώσεως, ὡς ἔτι καιρός.

Περὶ τῦ μὴ εἶναι τὸν ἐπίσκοπον αἰσχροκερδῆ, μήτε δὲ ἐγγυᾶσθαι ἢ σωσηγορεῖν.

ΚΕΦΑΛ. ε'.

Ἔστω δὲ ὁ ἐπίσκοπος μὴ αἰσχροκερδὴς, καὶ μαλισα ἐπὶ τῶν ἐθνῶν· βλαπτόμενος μᾶλλον ἢ βλάπτων· μὴ πλεονέκτης, μὴ ἅρπαξ, μὴ ἀποστερητὴς, μὴ φιλοπλούσιος, μὴ μισόπτωχος, μὴ κατάλαλος, μὴ ψαλδομάρτυς, μὴ θυμώδης, μὴ φιλόμαχος, μὴ ταῖς τῦ βίυ πραγματείαις συμπεπλεγμένος, μὴ ἐγγυώμενός τινα, ἢ σωσηγορῶν δίκαις χρηματικαῖς, μὴ φίλαρχος, μὴ δίγνωμος, μὴ δίγλωσσος, μὴ πρὸς διαβολὴν, ἢ καταλαλιὰν φιλήκοος, μὴ ὑποκριτὴς, μὴ ταῖς ἑορταῖς τῶν ἐθνῶν ἐπορεγόμενος· ἀπάταις χεναῖς μὴ χρώμενος, μηδὲ ἐπιθυμητικὸς, μηδὲ φιλάργυρος, ὅτι πάντα τὰ τοιαῦτα ἐχθρὰ τῷ Θεῷ ὑπάρχει, καὶ δαιμόνων φίλα· ταῦτα δὲ πάντα ὁ ἐπίσκοπος καὶ τοῖς λαϊκοῖς διαβεβαιύμενος παραγγελλέτω, ἐνάγων αὐτὸς μιμητὰς γίνεσθαι τῦ ἑαυτῦ τρόπυ· ἐλαβεῖς γὰρ φησι, ποιήσατε τὸς υἱὸς Ἰσραήλ· ἔσω δὲ σοφὸς, παιδευόμενος. νουθετητικὸς ἐν ταῖς κυριακαῖς παιδείαις, καλογνώμων, ἀποτεταγμένος πᾶσι τοῖς ἐν τῷ βίῳ πονηροῖς ἐπιτηδεύμασι, καὶ πάσαις ἐθνικαῖς ἐπιθυμίαις· ἔσω δὲ πρόσακτος, ὀξὺς πρὸς τὸ γνῶναι τὰς φαύλας, καὶ φυλάσσεσθαι ἀπ' αὐτῶν· φίλος δὲ ὢν πάντων, δίκαιος, κριτικὸς, καὶ ὅσα καλὰ ἐν ἀνθρώποις ἐστὶν, ἢ ὑπάρχει, ταῦτα ὁ ἐπίσκοπος ἐν ἑαυτῷ κεκτήσθω· ὅτι ἀνεπίληπτος ἀδικίας ὢν ποιμανῶ τὸς ἰδίυς αὐτῦ μαθητὰς ἀναγκάσει καὶ διὰ τῆς ἀναστροφῆς αὐτῦ προσέχεσθαι τῷ ἰδίων αὐτῦ ποιημάτων μιμητὰς ἀξίυς γενηθῆναι, ὡς λέγει που καὶ ὁ προφήτης, καὶ ἔσαι καθὼς ὁ ἱερεὺς, οὕτω καὶ ὁ λαός· καὶ γὰρ ὁ κύριος ἡμῶν καὶ διδάσκαλος Ἰησῦς Χριστὸς ὁ υἱὸς τῦ Θεῦ ἤρξατο πρῶτον ποιεῖν, καὶ τότε διδάσκειν, ὡς που λέγει ὁ Λουκᾶς, ὧν ἤρξατο ὁ Ἰησῦς ποιεῖν καὶ διδάσκειν, διό φησιν, ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῦ Θεῦ· σκοπὸς γὰρ εἶναι δεῖ ὑμᾶς τῷ λαῷ τὸς ἐπισκόπυς, ὅτι καὶ ὑμεῖς σκοπὸν ἔχετε τὸν Χριστὸν, καὶ ὑμεῖς ἦν γίνεσθε σκοποὶ ἀγαθοὶ τῷ λαῷ τῦ Θεῦ, ὅτι λέγει κύριος διὰ τῦ Ἰεζεκιὴλ πρὸς ἕκαστον ἡμῶν φάσκων, υἱὲ ἀνθρώπυ, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραὴλ, καὶ ἀκύσῃ ἐκ στόματός μυ λόγον, καὶ διαφυλάξεις καὶ διαγγελεῖς αὐτὸν παρ' ἐμῦ, ἐν τῷ λέγειν με τῷ ἀνόμῳ, θανάτῳ ἀποθανῇ, καὶ μὴ ἐλάλησας τῦ διαστεῖλαι ἄνομον ἐκ τῆς ἀνομίας αὐτῦ, ὁ ἄνομος ἐκεῖνος ἐν τῇ ἀνομίᾳ αὐτῦ ἀποθανεῖται, ἐκ τὸ αἷμα αὐτῦ ἐκ τῆς χειρός συ ἐκζητήσω· σὺ δὲ ἐὰν διαστείλῃ τῷ ἀνόμῳ ἀπὸ τῆς ὁδῦ αὐτῦ ἀποστρέψαι ἀπ' αὐτῆς μὴ ἀποστρέψῃ, αὐτὸς ἐν τῇ ἀνομίᾳ αὐτῦ ἀποθανεῖτε καὶ σὺ τὴν ψυχήν συ ἐῤῥύσω. ὡσαύτως δὲ μάχαιρα πολέμυ, ἐὰν ἡ ἐρχομένη καὶ σήσῃ ὁ λαὸς σκοπὸν εἰς προφυλακὴν, καὶ ἰδὼν αὐτὴν ἐρχομένην, μὴ προμηνύσῃ, καὶ λάβῃ ψυχήν· ἡ μὲν ψυχὴ τῇ ἁμαρτίᾳ αὐτῆς ἑλήφθη· τὸ δὲ αἷμα ἐκ χειρὸς τῦ σκοπῦ ἐκζητήσεται, ὅτι ἐκ ἐσήμανε τῇ σάλπιγγι· ἐὰν δὲ σημάνῃ, καὶ μὴ φυλάξηται ὁ ἀκύσας, καὶ ἔλθῃ ἡ μάχαιρα, καὶ λάβῃ αὐτὸν, τὸ αἷμα αὐτῦ ἐπ' αὐτὸν ἔσαι ὅτι ἐκ ἐφυλάξατο ἀκύσας τῆς κερατίνης· ὁ δὲ φυλαξάμενος, τὴν ψυχὴν αὐτῦ ἐῤῥύσατο· ἐ ὁ σκοπὸς ὅτι ἐσήμανε, ζωῇ ζήσεται· μάχαιρα μία ἐστὶν ἡ κρίσις· σάλπιγξ δὲ, τὸ ἱερὸν εὐαγγέλιον· σκοπὸς δὲ, ὁ κατασταθεὶς τῇ ἐκκλησίᾳ ἐπίσκοπος· ὃν δεῖ κηρύσσοντα διαμαρτύρασθαι καὶ διαβεβαιῦσθαι περὶ τῆς κρίσεως ἐὰν μὴ διαγγείλητε, καὶ διαμαρτύρησθε τῷ λαῷ, εἰς ὑμᾶς ἡ ἁμαρτία τῶν ἀγνοούντων ἀρεθήσεται· διὸ τὸς ἀναστρεφομένους ἐν ἀπαιδευσίᾳ, νουθετεῖτε. καὶ ἐλέγχετε μετὰ παῤῥησίας, τὸς ἀγνοοῦντας διδάσκετε· τὸς ἐπισταμένους σπείζετε· τὸς πεπλανημένους ἐπιστρέφετε. τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγοντες, ἀδελφοὶ οὐ μὴ ἁμαρτησόμεθα· ἰσχὺς γὰρ τῦ πολλάκις ἀκύειν εἰκός τινας δυσωπηθέντας καὶ ἄπαξ τι τῶν καλῶν ποιῆσαι καὶ τῶν πονηρῶν παραιτήσασθαι· λέγει γὰρ διὰ προφήτυ ὁ Θεὸς, διαμαρτύρει αὐτοῖς ταῦτα· ἴσως ἀκύσονταί συ τῆς φωνῆς· καὶ πάλιν· ἐὰν ἄρα ἀκύσωσι· καὶ ὁ Μωσῆς φησι τῷ λαῷ, ἐὰν ἀκοῇ ἀκύσῃς κυρίυ τῦ Θεῦ· καὶ ποιήσῃς τὸ ἀγαθὸν καὶ τὸ ἀρεστὸν ἐν ὀφθαλμοῖς αὐτῦ· καὶ πάλιν· ἄκυε Ἰσραὴλ, κύριος ὁ Θεός συ, κύριος εἷς ἐστιν· καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ πολλάκις μνημονεύεται λέγων· ὁ ἔχων ὦτα ἀκούειν, ἀκυέτω· καὶ ὁ σοφὸς Σολομὼν φησιν· ἄκυε υἱὲ παιδείαν πατρός συ, καὶ μὴ ἀπωθῇ θεσμὸς μητρός συ· καὶ μέχρι σήμερον οὐκ ἤκυσαν· καὶ δοκοῦντες γὰρ ἀκηκοέναι παρήκυσαν καταλείψαντες τὸν σὸν καὶ μόνον ἀληθινὸν Θεὸν, καὶ εἰς τὰς ὀλεθρίυς, καὶ δεινὰς αἱρέσεις κατασυρέντες, περὶ ὧν αὖθις ἐρῶμεν.

Οἷον χρὴ εἶναι τὸν μεμυημένον.

ΚΕΦΑΛ. ζ'.

Γνωστὸν δὲ ἔστω ὑμῖν ἀγαπητοὶ, ὅτι οἱ βαπτισθέντες εἰς τὸν θάνατον τῦ κυρίυ Ἰησῦ, ἀκέτι ὀφείλυσιν ἁμαρτάνειν οἱ τοιῦτοι· ὡς γὰρ οἱ ἀποθανόντες ἀνενέργητοι πρὸς ἁμαρτίαν ὑπάρχυσιν, οὕτω καὶ οἱ συναποθανόντες τῷ Χριστῷ ἄπρακτοι πρὸς ἁμαρτίαν· ὃ πιστεύομεν ὃν ἀδελφοὶ λυσάμενόν τινα τὸ τῆς ζωῆς λυτρὸν, ἔτι πράσσειν τὰ τῶν ἀνόμων ἀσελγήματα· ὁ δὲ ἁμαρτήσας μετὰ τὸ βάπτισμα οὕτω· ἐὰν μὴ μετανοῷ, καὶ παύσηται τῦ πλημμελεῖν, εἰς γέενναν καταχωσθήσεται.

Περὶ συκοφαντυμένυ ἤτοι ἐλεγχομένυ.

ΚΕΦΑΛ. η'.

Εἰ δέ τις ὑπὸ ἀπίστων συκοφαντηθῇ διὰ τὸ μηκέτι αὐτοῖς συνασελγαίνειν, γινωσκέτω, ὅτι μακάριος ὁ τοιῦτος ὑπάρχει Θεῷ, καθὼς καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ λέγει· μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσιν, καὶ εἴπωσι καθ' ὑμῶν πᾶν πονηρὸν ῥῆμα ψευδόμενοι ἕνεκεν ἐμῦ· χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. εἰ δέ τις βλασφημηθείη ἐπὶ ψεύσματί τι, μακάριος ὁ τοιῦτος· λέγει γὰρ ἡ γραφὴ, ἀνὴρ ἀδόκιμος, ἀπείρασος παρὰ Θεῷ· εἰ δέ τις ἐλεγχθῇ πράξας τι ἄνομον, ὁ τοιῦτος οὐ μόνον ἑαυτὸν ἐβλαψεν, ἀλλὰ καὶ βλασφημίαν προσέθεψε τῷ κοινῷ τῆς

τῆς ἐκκλησίας σώματι, καὶ διδασκαλίᾳ, ὡς μὴ ποιούντων ἐκεῖνα, ἃ λέγομεν εἶναι καλά, καὶ ὀνειδισθησόμεθα καὶ ἡμεῖς ὑπὸ τοῦ κυρίου, ὅτι λέγουσι, καὶ οὐ ποιοῦσιν, ὅθεν τοὺς τοιούτους ἐλεγχθέντας ἀληθῶς παραιτήσεται μετὰ παῤῥησίας ὁ ἐπίσκοπος, εἰ μὴ μεταβάλωνται τὸν τρόπον.

Ὅτι ἀδωροδόκητον εἶναι χρὴ τὸν ἐπίσκοπον.

ΚΕΦΑΛ θ'.

Οὐ γὰρ μόνον ἀπρόσκοπον εἶναι χρὴ τὸν ἐπίσκοπον, ἀλλὰ καὶ ἀπροσωπόληπτον, ἐν χρηστότητι σωφρονίζοντα τοὺς ἁμαρτάνοντας· εἰ δὲ καὶ αὐτὸς οὐκ ἀσυνείδητος ὑπάρχων, προσωπολήπτης γενόμενος διά τινα αἰσχροκερδῆ δωροληψίαν φείσεται τοῦ ἀνόμως ἁμαρτόντος, ἐάσας ἐν τῇ ἐκκλησίᾳ μένειν αὐτὸν, παρακούσας τῆς θείας καὶ κυριακῆς φωνῆς τῆς λεγούσης· δικαίως διώξεις τὸ δίκαιον· οὐ λύψῃ πρόσωπον ἐν κρίσει· οὐ δικαιώσεις τὸν ἀσεβῆ. οὐ λήψῃ δῶρα ἐπὶ ψυχῇ· τὰ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ λυμαίνεται ῥήματα δικαίων· καὶ ἐν ἄλλοις φησὶν, ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν· καὶ ὁ Σολομὼν λέγει ἐν παροιμίαις· ἔκβαλε λοιμὸν συνεδρίου, καὶ συνεξελεύσεται αὐτῷ νεῖκος.

Ὅτι ὁ ἐπίσκοπος ἀκρίτως φειδόμενος τοῦ ἡμαρτηκότος ὑπαίτιος γίνεται.

ΚΕΦΑΛ. ι'.

Ὁ δὲ μὴ προσέχων τούτοις ἀκρίτως φείσεται ἐπὶ τῷ ὀφείλοντι τιμωρίαν, ὡς ὁ Σαοὺλ ἐπὶ τῷ Ἀγάγ. καὶ ὁ Ἡλεὶ ἐπὶ τοῖς υἱοῖς οὐκ εἰδόσι τὸν κύριον, ὅτι οὗτος ἐβεβήλωσε καὶ τὴν οἰκείαν ἀξίαν καὶ τὴν τοῦ Θεοῦ ἐκκλησίαν τὴν κατὰ τὴν παροικίαν αὐτοῦ· ἄδικος οὖν οὗτος καὶ Θεῷ, καὶ ὁσίοις ἀνθρώποις, ὡς αἴτιος σκανδάλου πολλοῖς νεοφωτίστοις, καὶ κατηχουμένοις γενόμενος· ἔτι δὲ νέοις καὶ νέαις τῇ ἡλικίᾳ, ὃν τὸ οὐαὶ περιμένει, καὶ ὀνικὸς μύλος ἐκ τῷ τραχήλῳ, καὶ ὁ βυθὸς, ἐν ᾧ ὑπόδικος ὑπάρχει. διὰ γὰρ τὴν τῆς ἀκρισίας ἀνομίαν βλέποντες τὸν τοιοῦτον αὐτῶν ἄρχοντα, ἐν ἑαυτοῖς διακριθήσονται, καὶ χρησάμενοι τῇ αὐτῇ νόσῳ, συναπολέσθαι αὐτῷ ἀναγκασθήσονται, ὡς τῷ Ἱεροβοὰμ ὁ λαὸς καὶ τῷ Κορὲ οἱ συναράμενοι αὐτῷ· εἰ δὲ βλέποι ὁ ἁμαρτὼν τὸν ἐπίσκοπον καὶ τοὺς διακόνους ἀθώους ἐγκλήματος, καὶ τὸ ποίμνιον καθαρὸν ὑπάρχον, πρῶτον μὲν, οὐ τολμήσει καταφρονήσας εἰς ἐκκλησίαν Θεοῦ εἰσελθεῖν πλησσόμενος τῇ συνειδήσει αὐτοῦ· εἰ δὲ παρ' οὐδὲν ἡγησάμενος εἰσέλθοι, ἢ παραχρῆμα ἐλεγχθήσεται, ὡς Ὀζᾶ ἐπὶ τῆς κιβωτοῦ ἁψάμενος, ὥστε ἐδράσαι, καὶ ὡς Ἄχαρ ἐπὶ τῇ κλοπῇ τοῦ ἀναθέματος, καὶ ὡς Γιεζεῖ ἐπὶ τοῖς τοῦ Νεεμὰν χρήμασιν, καὶ παραυτίκα τιμωρηθήσεται, ἢ νουθετούμενος ὑπὸ τοῦ ποιμένος εἰς μετάνοιαν ὑπαχθήσεται· περιβλεψάμενος γὰρ τοὺς καθένα, καὶ ἐν οὐδενὶ μῶμον εὑρίσκων, οὔτε παρὰ ἐπισκόπῳ, οὔτε μὴν παρὰ τῷ ὑπ' αὐτὸν τεταγμένῳ λαῷ, αἰσχυνθεὶς, μετὰ αἰδοῦς καὶ πολλῶν δακρύων ἐξελεύσεται εἰρηνικῶς κατανενυγμένος, καὶ μένει κεκαθαρισμένον τὸ ποίμνιον προσκλαύσει τε τῷ Θεῷ, καὶ μετανοήσει ἐφ' οἷς ἥμαρτεν, καὶ ἕξει ἐλπίδα, καὶ τὸ ποίμνιον ὅλον θεασάμενον ἐκείνου τὰ δάκρυα, νουθεσίαν ἕξει, ὅτι ὁ ἁμαρτῶν, διὰ μετάνοιαν οὐκ ἀπόλλυται.

Ὅπως χρὴ τὸν ἐπίσκοπον κρίνειν τοὺς ἁμαρτάνοντας.

ΚΕΦΑΛ. ια'.

Διὰ τοῦτο οὖν ἐπίσκοπε σπούδαζε καθαρὸς εἶναι τοῖς ἔργοις, γνωρίζων τὸν τρόπον σου καὶ τὴν ἀξίαν, ὡς Θεοῦ τύπον ἔχων ἐν ἀνθρώποις τῷ πάντων ἄρχειν ἀνθρώπων, ἱερέων, βασιλέων, ἀρχόντων, πατέρων, υἱῶν, διδασκάλων· καὶ πάντων ὁμοῦ τῶν ὑπηκόων, καὶ οὕτως ἐν ἐκκλησίᾳ καθέζου τὸν λόγον ποιούμενος, ὡς ἐξουσίαν ἔχειν κρίνειν τοὺς ἡμαρτηκότας, ὅτι ὑμῖν τοῖς ἐπισκόποις εἴρηται, ὃ ἐὰν δείσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τῷ οὐρανῷ· καὶ ὃ ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τῷ οὐρανῷ.

Διδασκαλία, ὅπως χρὴ προσφέρεσθαι τοῖς μετανοοῦσι.

ΚΕΦΑΛ. ιβ'.

Κρίνε οὖν ὦ ἐπίσκοπε μετὰ ἐξουσίας, ὡς ὁ Θεὸς, ἀλλὰ τοὺς μετανοοῦντας προσλαμβάνου· ὁ γὰρ Θεὸς, Θεός ἐστιν ἐλέους. ἐπίπλησε τοῖς ἁμαρτάνουσι, νουθέτει τοὺς μὴ ἐπιστρέφοντας, παρακάλει τοὺς ἐστῶτας ἐμμένειν τοῖς καλοῖς, τοὺς μετανοοῦντας προσδέχου, ὅτι κύριος ὁ Θεὸς μετὰ ὅρκου ἐπηγγείλατο ἄφεσιν παραχεῖν τοῖς μετανοοῦσιν, ἐφ' οἷς ἥμαρτον· λέγει γὰρ διὰ τοῦ Ἰεζεκιήλ· εἶπον πρὸς αὐτοὺς, ζῶ ἐγὼ, λέγει Ἀδωναῒ κύριος, εἰ θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἢ ἐν τῷ ἀποστρέψαι τὸν ἀσεβῆ ἐκ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. καὶ ζῆν· ἐπιστράφητε οὖν ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν, καὶ ἵνα τί ἀποθνήσκεται οἶκος Ἰσραήλ· ἐνταῦθα ὁ λόγος εὐέλπιδας ἐποίησε τοὺς ἡμαρτηκότας, ὅτι ἐὰν μετανοήσωσιν, ἐλπίδα σωτηρίας ἕξουσι· μήποτε ὡς ἀπηλγηκότες αὐτοὺς ἐνδῶσι ταῖς παρανομίαις· ἀλλ' ἔχοντες ἐλπίδα σωτηρίας ἐπιστραφέντες προσκλαύσωσι Θεῷ περὶ τῶν ἁμαρτιῶν αὐτῶν· καὶ λήψονται παραὐτοῦ τὴν ἀμνηστίαν, ὡς παρὰ πατρὸς ἀγαθοῦ.

Ὅτι φεύγειν χρὴ τῶν ἁμαρτημάτων τὴν πεῖραν.

ΚΕΦΑΛ. ιγ'.

Τοὺς μέντοι ἀναμαρτήτους τοιούτους μένειν χρὴ, καὶ μὴ χρείαν ἔχειν τῆς πείρας τῶν ἁμαρτιῶν, ὅπως μὴ δέωνται ὀδύνης, λύπης, καὶ κλαυθμῶν ἀφέσεως. τί γὰρ οἶδας ἄνθρωπε ἁμαρτήσας, εἰ ἡμέρας ζήσεις ἐν τῷ δὲ τῷ βίῳ, ἵνα καὶ μετανοήσῃς, ὅτι ἄδηλος ἡ ἔξοδός σου ἐκ τοῦ βίου ὑπάρχει, καὶ ἐν ἁμαρτίᾳ τελευτήσαντι μετάνοια οὐκ ἔσται· ὡς λέγει διὰ τοῦ Δαβὶδ, ἐν δὲ τῷ ἅδῃ τίς ἐξομολογήσεταί σοι; δεῖ οὖν ἕτοιμον εἶναι ἐν ἀγαθοῖς· ἵνα ἄνευ λύπης τὴν ὁδὸν ἐκείνην στειλώμεθα· διὸ καὶ παραινεῖ ὁ θεῖος λόγος διὰ Σολομῶντος τοῦ σοφοῦ λέγων σοι· ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργου σου. καὶ παρασκευάζου εἰς τὸν ἀγρὸν, ἵνα μὴ ἐπιλήψῃ ἡμῖν τι τῶν καλῶν· ὥσπερ καὶ ταῖς πέντε ἐν

τῷ ἀγγελίῳ παρθένοις διὰ μωρίαν ἐλείπετο τὸ τῆς εὐσεβείας ἔλαιον, καὶ ἀποσβέσασαι τὰς λαμπάδας τῆς θεογνωσίας ἀπεβλήθησαν τοῦ νυμφῶνος· διὰ τοῦτο ἀκίνδυνος μία πᾶς ὁ φειδόμενος τῆς ἑαυτοῦ ζωῆς, καὶ μιῶν ἀναμάρτητος· ὅπως καὶ τὰς προγονικὰς ὑπ' αὐτοῦ δικαιοσύνας αὐτῷ σωτηρήσῃ· σὺ δὲ οὕτω χρῆσαι, ὡς Θεῷ δικάζων· τὸ γὰρ χρεὼν φησὶν ἡ χρῆσις. πρῶτον μὲν ἀπ' ἐξουσίας τὸν ἔλεγχον κατάδικαζε· ἔπειτα μετὰ ἐλέους καὶ οἰκτιρμοῦ καὶ προσλήψεως οἰκείας ὑπισχνούμενος αὐτῷ σωτηρίαν, εἰ μετάθοιτο τοῦ ἔργου, καὶ πρὸς μετάνοιαν χωρήσῃ, μεταμελόμενον δὲ σὺν πόθῳ προσδέχου μεμνημένος τοῦ χρεὼν εἰπόντος, ὅτι χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

Περὶ τῶν λεγόντων μὴ δέχεσθαι μετανοοῦντα, καὶ ὅτι δίκαιος κἂν σώζειν ἁμαρτωλῷ, οὐ σωζόμενος αὐτῷ.

ΚΕΦΑΛ. ιδ'.

Ἐὰν δὲ τὸν μετανοοῦντα μὴ προσδέξῃ, ἐπιβάλλοις αὐτὸν ἔκδοτον παρέχεις, ἐπιλαθόμενος τοῦ Δαβὶδ λέγοντος, μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένῳ σοι· διὸ παρορμῶν εἰς μετάνοιαν ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; τί ὅτι ἀπέστρεψεν ὁ λαός μου ἀποστροφὴν ἀναιδῆ, καὶ κατεκρατήθησαν ἐν τῇ προαιρέσει αὐτῶν· ἐπιστράφητε υἱοὶ ἀφεστηκότες, καὶ ἐγὼ ἰάσομαι τὰ συντρίμματα ὑμῶν· δέξαι οὖν τὸν μετανοοῦντα, μὴ διστάζων ὅλως, μηδὲ παρεμποδιζόμενος ὑπὸ τῶν ἀνηλεῶς λεγόντων, μὴ δεῖν τοιούτοις συμμολύνεσθαι, μήτε λόγου κοινωνεῖν· αὗται γὰρ αἱ συμβουλίαι ἀγνοούντων εἰσὶ θεὸν καὶ τὴν αὐτοῦ πρόνοιαν· ἀλόγων δὲ κεντρῶν καὶ θηρίων ἀμελίκτων· οὐ γὰρ γινώσκουσιν, ὅτι χρὴ φυλάσσεσθαι οὐ τὴν ἐν λόγῳ κοινωνίαν πρὸς τοὺς ἁμαρτάνοντας, ἀλλὰ τὴν ἐν ἔργῳ· δικαιοσύνη γὰρ δικαίου ἐπ' αὐτὸν ἔσται, καὶ ἀνομία ἐπ' αὐτὸν ἔσται. καὶ πάλιν· ἐὰν ἁμάρτῃ μοι τοῦ ἀδικῆσαι ἀδίκημα, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπ' αὐτὸν, καὶ σώσω ἐπ' αὐτῆς σπέρμα ἄρτου, καὶ ἐξαποστελῶ εἰς αὐτὸν λιμὸν, καὶ ἐξολοθρεύσω αὐτῆς ἄνθρωπον καὶ κτῆνος, κἂν ὦσιν οἱ τρεῖς ἄνδρες ἐν μέσῳ αὐτῆς, Νῶε, καὶ Ἰὼβ, καὶ Δανιὴλ οὗτοι ἐν τῇ δικαιοσύνῃ αὐτῶν σώσουσι τὰς ψυχὰς αὐτῶν, λέγει Ἀδωναὶ κύριος· σαφέστατα δεδήλωσεν ἡ γραφὴ, ὅτι σωὸν δίκαιος ἀδίκῳ οὐ σωσαπόλλυται μετ' αὐτοῦ· ἐν γὰρ τῷ κόσμῳ τούτῳ καὶ δίκαιοι καὶ ἄδικοι ἀλλήλοις συναγελάζονται κοινωνίᾳ βίου, οὐ μὴν καὶ ὁσιότητος, καὶ τοῦτο οὐκ ἀμαρτάνουσιν οἱ θεοφιλεῖς· μιμηταὶ γάρ εἰσι τοῦ πατρὸς αὐτῶν τοῦ ἐν τοῖς οὐρανοῖς τοῦ τὸν ἥλιον αὐτοῦ ἀνατέλλοντος ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ βρέχοντος αὐτοῦ τὸν ὑετὸν ἐπὶ πονηροὺς, καὶ ἀγαθοὺς, καὶ οὐδὲν κινδυνεύσει ὁ δίκαιος ἐκ τούτου· ἐν γὰρ τῷ σαδὶφ καὶ νικηταὶ, καὶ νικώμενοί εἰσιν· ἐν δὲ τῷ στεφάνῳ μόνοι οἱ γνησίως ἀγωνισάμενοι· οὐδεὶς δὲ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ· ἕκαστος γὰρ περὶ ἑαυτοῦ ἐξομολογήσεται, καὶ οὐ μὴ σωσαπολέσῃ ὁ Θεὸς τὸν δίκαιον μετὰ τοῦ ἀδίκου. ἐπεὶπερ παρ' αὐτῷ τὸ ἀναμάρτητον ἀτιμώρητον· ὅτε γὰρ τὸν Νῶε κατέκλυσεν, ὅτε τὸν Λὼτ κατέφλεξεν, ὅτε τοῦ Ῥαὰβ σωσαπώλεσε· εἰ δὲ βούλεσθε γνῶναι καὶ τὰ ἐφ' ἡμῶν γεγόμενα, Ἰούδας σοῦ ἡμῶν ὤν, ἔλαβεν τὸν κλῆρον 18
τῆς διακονίας, ὃν καὶ ἡμεῖς, καὶ Σίμων ὁ μάγος τοῦ ἐν κυρίῳ σφραγίδα· ἀλλ' ἑκάτερος αὐτῶν ἀναδειχθεὶς φαῦλος, ὁ μὲν ἀπήγξατο, ὁ δὲ παρὰ φύσιν ἐπτάμυος, σωετείβη. Καὶ ἐν τῇ κιβωτῷ Νῶε, καὶ οἱ υἱοὶ αὐτοῦ ὑπῆρχον· ἀλλὰ πονηρὸς ὁ Χὰμ εὑρεθεὶς μόνος, εἰς τὸν υἱὸν ἐδέξατο τιμωρίαν· εἰ δὲ οἱ πατέρες ὑπὲρ παίδων οὐ τιμωροῦνται, οὔτε υἱοὶ ὑπὲρ πατέρων, δῆλον, ὡς οὔτε γυναῖκες ὑπὲρ ἀνδρῶν, οὔτε οἰκέται ὑπὲρ δεσποτῶν, οὔτε συγγενεῖς ὑπὲρ συγγενῶν, οὐδὲ φίλοι ὑπὲρ φίλων, οὔτε δίκαιοι ὑπὲρ ἀδίκων, ἀλλ' ἕκαστος ὑπὲρ τοῦ οἰκείου ἔργου τὸν λόγον ἀπαιτηθήσεται· οὔτε γὰρ Νῶε ὑπὲρ τοῦ κόσμου δίκαιος εἰσεφράχθη, οὔτε Λὼτ ὑπὲρ Σοδόμων ἐπυρπολήθη, οὐδὲ Ῥαὰβ ὑπὲρ Ἱεριχουντέων ἐσφάγη, οὔτε ὁ Ἰσραὴλ ὑπὲρ Αἰγυπτίων. οὐ γὰρ ἡ συνοίκησις κατακρίνει τοὺς δικαίους σὺν τοῖς ἀδίκοις, ἀλλ' ἡ τῆς γνώμης ὁμόνοια· οὐ χρὴ οὖν τοῖς ἑτοιμοθανάτοις, καὶ μισανθρώποις, καὶ φιλεγκλήμοσι, καὶ μετὰ προφάσεως θανατοποιοῖς προσέχειν· ἕτερος γὰρ ὑπὲρ ἑτέρου οὐκ ἀποθανεῖται· ἀλλὰ σειραῖς τῆς ἑαυτοῦ ἁμαρτίας ἕκαστος σφίγγεται, καὶ ἰδοὺ ἄνθρωπος, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ· δεῖ δὲ ὑμᾶς βοηθεῖν τοῖς σωζομένοις, καὶ κινδυνεύουσι, καὶ σφαλλομένοις, ὅσον οἷόν τε τῇ παραινέσει τοῦ λόγου ὑγιάζειν αὐτοὺς, καὶ ῥύεσθαι ἐκ θανάτου· οὐ χρείαν γὰρ ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· ἐπειδὰν οὖν ἔστι θέλημα ἔμπροσθεν τοῦ παντοκράτορος, ἵνα ἀπόληται εἷς τῶν μικρῶν· οὐ γὰρ τοῦ τῶν σκληροκαρδίων ἀνδρῶν βούλησιν ἰσχὺν χρὴ, ἀλλὰ τοῦ τοῦ Θεοῦ καὶ παντοκράτορος τῶν ὅλων τοῦ διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. οὐδὲ γὰρ δίκαιον κεφαλὴν ὄντα σε, ὦ ἐπίσκοπε, ὁρᾶν προσέχειν, τοιούτοις λαϊκῷ σασιώδει ἀνθρώπῳ εἰς ἑτέρου ἀπώλειαν, ἀλλὰ Θεῷ μόνῳ· ἄρχειν γάρ σε χρὴ τῶν ὑπηκόων, οὐ μὴν καὶ ὑπ' αὐτῶν ἄρχεσθαι· ὅτε γὰρ υἱὸς ἄρχει πατρὸς κατὰ τὸν τῆς γνώσεως λόγον, ὅτε δοῦλος τοῦ κυρίου αὐτοῦ, κατὰ τὸν τῆς ἐξουσίας, ὅτε μαθητὴς διδασκάλου, ὅτε στρατιώτης βασιλέως, ὅτε μὴν λαϊκὸς ἐπισκόπου· περὶ γὰρ τοῦ μὴ δοκεῖν τοὺς πλησιάζοντας ἀδίκοις, τῇ τοῦ λόγου διδαχῇ συμμολύνεσθαι ἢ κοινωνεῖν ταῖς ἁμαρτίαις ὁ Ἰεζεκιὴλ ἐκκόπτων τὴν τῶν κακοήθων ὑπόνοιαν λέγει· τί ὑμεῖς λέγετε αὐτοῖς τὴν παραβολὴν ταύτην ἐπὶ γῆς Ἰσραὴλ, οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἡμωδίασαν· ζῶ ἐγὼ λέγει Ἀδωναὶ κύριος, εἰ ἔτι ἔσαι ἐν ὑμῖν λεγομένη ἡ παραβολὴ αὕτη ἐν τῷ Ἰσραήλ· ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσιν· ὃν τρόπον ἡ ψυχὴ τοῦ πατρὸς, οὕτως ἡ ψυχὴ τοῦ υἱοῦ ἐμή ἐστιν· ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται· ὁ δὲ ἄνθρωπος, ὃς ἔσαι δίκαιος ποιῶν κρίμα καὶ δικαιοσύνην, καὶ ἐξῆς ἐπιλέγων τὰς λοιπὰς ἀρετὰς, ἐπισφραγίζεται λέγων, ὁ τοιοῦτος δίκαιος ὑπάρχει· ζωῇ ζήσεται, λέγει Ἀδωναὶ κύριος, καὶ ἐὰν γένηται υἱὸς λοιμὸν ἐκχέοντα αἷμα, ἐν τῇ ὁδῷ τοῦ πατρὸς αὐτοῦ τοῦ δικαίου οὐκ ἐπορεύθη, καὶ ἐπαγαγὼν τὰ ἐξῆς, ἐπάγει τοῖς τελευταίοις· ζωῇ οὐ ζήσεται· πάσας τὰς ἀνομίας ταύτας ἐποίησε. θανάτῳ ἀποθανεῖται· τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἔσαι, καὶ ἐρεῖται· ὅτι οὐκ ἔλαβεν ὁ υἱὸς τὴν ἀδικίαν τοῦ πατρὸς, ἢ τὴν δικαιο-

καιοσύνην αὐτοῦ, δικαιοσύνην καὶ ἔλεος πεποιηκὼς, καὶ ἐρεῖς αὐτοῖς. ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται· υἱὸς οὐ λήψεται ἀδικίαν πατρός· καὶ πατὴρ οὐ λήψεται ἀδικίαν υἱοῦ· δικαιοσύνη δικαίου ἐπ' αὐτὸν ἔσται, καὶ ἀνομία ἀνόμου ἐπ' αὐτὸν ἔσται, καὶ μετ' ὀλίγα φησίν· ἐν τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιήσει ἀδικίαν, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, κατὰ πάσας τὰς ἀνομίας αὐτοῦ, ἃς ἐποίησε, οὐ μὴ μνησθῶσιν, ἐν τῇ ἀδικίᾳ αὐτοῦ, ᾗ ἥμαρτεν ᾗ ἠδίκησεν, καὶ ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ, ἐν αὐτῇ ἀποθανεῖται· καὶ μετ' ὀλίγα ἐπάγει, ἐν τῷ ἀποστρέψαι ἄνομον ἀπὸ τῆς ἀνομίας αὐτοῦ ἧς ἐποίησε, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην, οὗτος τὴν ψυχὴν αὐτοῦ ἐφύλαξε, καὶ ἀπέστρεψεν ἀπὸ πασῶν τῶν ἀσεβειῶν αὐτοῦ ὧν ἐποίησε, ζωῇ ζήσεται, καὶ οὐκ ἀποθανεῖται· καὶ ἑξῆς, ἕκαστον κατὰ τὰς ὁδοὺς ὑμῶν κρινῶ ὑμᾶς, οἶκος Ἰσραὴλ, λέγει Ἀδωναὶ κύριος.

Ὅτι χρὴ τὸν ἱερέα μήποτε παρορᾶν τὰ ἁμαρτήματα, μήτε πρόχειρον εἶναι ἐν τῷ τιμωρεῖσθαι.

ΚΕΦΑ'Λ. ιέ.

Ὁρᾶτε τέκνα ἡμῶν ἠγαπημένα, πῶς εὔσπλαγχνος μετὰ δικαιοσύνης κύριος ὁ Θεὸς ἡμῶν, ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ ἀθῶον οὐκ ἀθωώσει τὸν ἔνοχον, καὶ τὸν ἐπιστρέφοντα προσιέμενος καὶ ζωοποιῶν, μὴ καταλιπὼν τόπον ὑπονοίας τοῖς ἀπηνῶς βουλομένοις κρίνειν, καὶ τέλεον ἀποστρέφεσθαι τοὺς ἁμαρτάνοντας, καὶ μὴ κοινωνεῖν αὐτοῖς λόγων παρακλητικῶν πρὸς μετάνοιαν ἐναγαγεῖν δυναμένων, οἷς ἐκ τῶν ἐναντίων ὁ Θεὸς διὰ Ἡσαΐου λέγει πρὸς τοὺς ἐπισκόπους· παρακαλεῖτε τὸν λαόν μου ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλὴμ· χρὴ οὖν ὑμᾶς αὐτοῦ ἀκούοντας παρακαλεῖν τοὺς ἡμαρτηκότας, καὶ πρὸς μετάνοιαν παρορμᾶν, καὶ εὐέλπιδας ποιεῖν καὶ μὴ ὑπονοεῖν, ὡς κοινωνοὺς γινομένους τῶν πλημμεληθέντων αὐτοῖς ἕνεκεν τῆς εἰς αὐτοὺς ἀγάπης· ἀσμένως δὲ τοὺς μετανοοῦντας προσδέχεσθε χαίροντες ἐπ' αὐτοῖς, μετὰ ἐλέους καὶ οἰκτιρμῶν κρίνοντες τοὺς ἁμαρτάνοντας· ἐὰν γὰρ τὸν παρὰ ποταμὸν βαδίζοντα καὶ μέλλοντα ὀλισθαίνειν κεραίαις ὤσας εἰς τὸν ποταμὸν ἐμβάλῃς ἀντὶ τοῦ χεῖρα μᾶλλον ὀρέξαι, ἐφόνευσάς σου τὸν ἀδελφὸν, δέον μᾶλλον τῷ ὀλισθαίνοντι ἐπιδοῦναι δεξιὰν, ἵνα μὴ τελείως ἀπόληται, ὅπως καὶ ὁ λαὸς νουθετῆται, καὶ ὁ ἁμαρτήσας μὴ κατὰ πᾶν ἀπόληται· δεῖ δέ σε ὦ ἐπίσκοπε μήτε παρορᾶν τὰ ἁμαρτήματα τοῦ λαοῦ, μήτε τοὺς μετανοοῦντας ἀποστρέφεσθαι, ὅπως μὴ διαφθείρῃς, ὡς ἄπειρος τὸ ποίμνιον κυρίου καὶ φαυλίσῃς αὐτοῦ τὸ ὄνομα τὸ καινὸν τὸ εἰς τὸν λαὸν αὐτοῦ ἐπιτεθὲν, καὶ ὀνειδισθήσῃ, καθάπερ καὶ οἱ παλαιοὶ ποιμένες, περὶ ὧν ἔλεγεν ὁ Θεὸς τῷ Ἱερεμίᾳ· ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν κληρονομίαν μου, καὶ ἐν ἄλλοις. ἐπὶ τοὺς ποιμένας παρωξύνθη ὁ θυμός μου, καὶ ἐπὶ τοὺς ἀμνοὺς ὀργισθήσομαι, καὶ ἐν ἑτέροις, ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου.

Περὶ μετανοίας, καὶ τὶ αὐτῆς ὁ τρόπος, καὶ ὅπως κατορθοῦται.

ΚΕΦΑ'Λ. ιϛ'.

Ἰδὼν δὲ σὺ τὸν ἡμαρτηκότα πικρανθεὶς κέλευσον αὐτὸν ἔξω βληθῆναι, καὶ ἐξελθόντι αὐτῷ πικραινέσθωσαν οἱ διάκονοι, καὶ ἐπιζητοῦντες κατεχέτωσαν αὐτὸν ἔξω τῆς ἐκκλησίας, καὶ εἰσελθόντες ὑπὲρ αὐτοῦ σε ἐρωτάτωσαν· καὶ γὰρ ὑπὲρ τῶν ἡμαρτηκότων ὁ σωτὴρ τὸν πατέρα ἠξίου, ὡς γέγραπται ἐν τῷ εὐαγγελίῳ· πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασιν ὃ ποιοῦσι· τότε σὺ κελεύσεις εἰσελθεῖν αὐτὸν, καὶ ἀνακρίνας εἰ μετανοεῖ, καὶ ἄξιός ἐστιν, εἰς ἐκκλησίαν ὅλως παραδεχθῆναι, στιβώσας αὐτὸν ἡμέρας νηστειῶν κατὰ τὸ ἁμάρτημα, ἑβδομάδας δύο, ἢ τρεῖς, ἢ πέντε, ἢ ἑπτὰ, οὕτως ἀπόλυσον, εἰπὼν αὐτῷ, ὅσα ἁρμόζει, ἡμαρτηκότι εἰς νουθεσίαν ἐπιπλήσσοντα διδάσκειν καὶ παραινεῖν, ὅπως μείνῃ παρ' ἑαυτῷ ταπεινοφρονῶν καὶ δεόμενος τοῦ Θεοῦ τυχεῖν αὐτοῦ εὐμενοῦς, καὶ λέγειν· ἐὰν ἀνομίας παρατηρήσῃς κύριε, κύριε τίς ὑποστήσεται; ὅτι παρά σοι ὁ ἱλασμός ἐστι· τοιοῦτο γάρ τι ὑπεμφαίνει καὶ τὸ ἐν τῇ γενέσει εἰρημένον τῷ Καΐν, ἥμαρτες, ἡσύχασον· τουτέστι μὴ προσθῇς· ὅτι γὰρ τὸν ἁμαρτήσαντα δεῖ ὑπὲρ τοῦ οἰκείου πλημμελήματος αἰσχύνεσθαι, ἱκανὸν τὸ λόγιον τῷ Μωσεῖ ὑπὲρ Μαρίας εἰρημένον, ἡνίκα ἠξίου ἀφεθῆναι αὐτῇ· φησὶ γὰρ αὐτῷ ὁ Θεὸς, εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ ἐνετράπη, ἑπτὰ ἡμέρας ἀφορισθήτω ἔξω τῆς παρεμβολῆς, καὶ μετὰ ταῦτα εἰσελεύσεται· οὕτως οὖν καὶ ἡμᾶς δέον ἐστὶ ποιεῖν, τοὺς ἐφ' ἁμαρτίας λέγοντας μετανοεῖν, ἀφορίζειν χρόνον ὡρισμένον κατὰ τὴν ἀναλογίαν τοῦ ἁμαρτήματος, ἔπειτα μετανοοῦντας προσλαμβάνεσθαι, ὡς πατέρες υἱούς.

Ὅτι ἀνεπίληπτον εἶναι χρὴ τὸν ἐπίσκοπον, ὡς τύπον τῶν ἀρχομένων.

ΚΕΦΑ'Λ. ιζ'.

Εἰ δὲ ὁ ἐπίσκοπος αὐτὸς ἐν προσκόμματι ὑπάρχει, πῶς ἔτι ἐπεξέλθοι ἐζητῆσαι ἀδίκημά τινος, ἢ ἐπιτιμῆσαί τινι διὰ προσωποληψίαν, ἢ διὰ δωροληψίαν, ἢ αὐτὸς, ἢ οἱ διάκονοι, οὐχ ὑπάρχοντες εὐσυνείδητοι; ὅταν γὰρ ὁ ἄρχων αἱ τῇ, καὶ ὁ κριτὴς λαμβάνῃ, καὶ οὐ διεξάγεται εἰς τέλος κρίσις, κοινωνοὶ δὲ κλεπτῶν καὶ κρίσει χηρῶν οὐ προσέχοντες, οὐ δυνήσονται οἱ ὑπὸ τὸν ἐπίσκοπον συνεπιμαχεῖν τῷ ἐπισκόπῳ· ἐροῦσι γὰρ αὐτῷ τὸ ἐν τῷ εὐαγγελίῳ γεγραμμένον, τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς; εὐλαβείσθω οὖν ὁ ἐπίσκοπος σὺν τοῖς διακόνοις αὐτοῦ ἀκοῦσαι ῥῆμά τι τοιοῦτον· τουτέστι, μὴ διδότω ἀφορμήν· ὁ γὰρ ἁμαρτάνων ἐπὰν ἴδῃ τινὰ ὅμοια αὐτῷ δρῶντα οἰκοδομηθήσεται εἰς τὸ αὐτὰ ποιεῖν· εἶτα ὁ πονηρὸς δι' ἑνὸς ἀφορμὴν λαβὼν, εἰς ἑτέρους ἐνεργεῖ· ὃ μὴ γένοιτο· καὶ οὕτως διαστραφήσεται τὸ ποίμνιον· πλειόνων γὰρ ὄντων τῶν ἁμαρτανόντων, πλείων ἔσται καὶ ἡ δι' αὐτῶν ἐπιτελουμένη κακία· ἁμαρτίᾳ γὰρ ἀνέλεγκτος χείρων ἑαυτῆς

γίνε-

γίνεται· καὶ εἰς ἄλλης τινὸς διανομὴν λαμβάνει, ἐπεὶ καὶ ζύμη μικρὰ πλήρωμα φυράματος δολοῖ, καὶ εἰς κλέπτης εἰς ὅλον ἔθνος τὸ μῦσος ἐπήγαγε, καὶ μυῖαι θανοῦσαι σαπροῦσι σκδασίαν ἡδύσματος ἐλαίου, καὶ βασιλέως ὑπακούοντος λόγον ἄδικον, πάντες οἱ ὑπ' αὐτὸν ὑπηρέται παράνομοι· οὕτω καὶ φόβατον ψωραλέον μεταδίδωσιν ἑτέροις τῆς νόσου μὴ χωριζομένη τῶν ὑγιεινῶν προβάτων, καὶ ἄνθρωπος λοιμώσων πολλοῖς φυλακταῖος, καὶ κύων λύσσῃ συχνοὺς ἐπικίνδυνος παντὶ, ᾧ δ' ἂν προσάψῃ· ἐὰν οὖν ἄνθρωπον παράνομον μὴ τῆς ἐκκλησίας τοῦ Θεοῦ χωρίσωμεν, ποιήσομεν τὸν οἶκον κυρίου σπήλαιον λῃστῶν· δεῖ γὰρ ἐπὶ τῶν ἁμαρτανόντων μὴ παρασιωπᾶν, ἀλλ' ἐλέγχειν, νουθετεῖν, ὑποπιέζειν, σιβᾶν νησείαις· ὅπως καὶ τοῖς ἑτέροις ἀλάβειαν ἐμποιήσῃ· ἀλλαβεῖς γάρ φησιν ποιήσατε τοὺς υἱοὺς Ἰσραὴλ χρὴ γὰρ τὸν ἐπίσκοπον καὶ τὸν ἁμαρτιῶν κωλυτὴν διὰ τῆς νουθεσίας γίνεσθαι, καὶ τῆς δικαιοσύνης σκοπὸν, καὶ τῶν ἡτοιμασμένων ὑπὸ Θεοῦ ἀγαθῶν κήρυκα, καὶ τῆς μελλούσης ὀργῆς ἐν τῇ κρίσει διαγγελτῆρα· ὅπως μὴ καταφρονήσας τῆς τοῦ Θεοῦ φυτουργίας ἀχθῇ διὰ ἀμέλειαν τὸ ἐν τῷ Ὠσηὲ εἰρημένον, ἵνα τί παρεσιωπήσατε ἀσέβειαν, καὶ τὸν καρπὸν αὐτῆς ἐξυγήσατε.

Ὅτι χρὴ τὸν ἐπίσκοπον φροντίζειν, ὅπως ὁ λαὸς μὴ πλημμελῇ. διὰ τὸ εἶναι αὐτῷ σκοπόν.

ΚΕΦΑΛ. ιϛ'.

ΠΑντων οὖν φροντιζέτω ὁ ἐπίσκοπος καὶ τῶν μὴ ἡμαρτηκότων, ἵνα μείνωσιν ἀναμάρτητοι, καὶ τῶν ἁμαρτανόντων, ἵνα μετανοῶσι· λέγει γὰρ ὁ κύριος πρὸς ἡμᾶς· ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. καὶ τοῖς μετανοοῦσιν ἄφεσιν διδόναι χρή· ἅμα γὰρ τῷ εἰπεῖν τινα τῶν πλημμεληκότων γνησίᾳ διαθέσει ἡμάρτηκα τῷ κυρίῳ, ἀποκείνεται τὸ ἅγιον πνεῦμα, καὶ κύριος ἀφῆκέ σοι τὰ ἁμαρτίαν, θάρσει· ἐὰν μὴ ἀποθάνῃς· γνώριζε οὖν ὧν ἐπίσκοπε τὸ ἀξίωμά σου. ὅτι ὡς τοῦ δεσμεῖν ἐκληρώσω τὴν ἐξουσίαν, οὕτω καὶ τοῦ λύειν. ἐξουσίαν οὖν ἔχων τοῦ λύειν γνώριζε σεαυτὸν καὶ ἀξίως τοῦ τόπου σου ἐν τῷ δὲ τῷ βίῳ ἀναστρέφου. εἰδὼς ὅτι πλείονα αὐτὸς ἀπαιτηθήσῃ τὸν λόγον· ᾧ γάρ φησι, παρέθεντο πολὺ, περισσότερον ἀπαιτήσουσι παρ' αὐτοῦ· ἀναμάρτητος μὲν γὰρ ἀνθρώπων οὐδεὶς, πάρεξ τοῦ χριομένου δι' ἡμᾶς ἀνθρώπου, ἐπεὶ γέγραπται· οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ· διάτοῦτο καὶ τῶν προγεγραμμένων δικαίων τε καὶ πατριαρχῶν οἱ βίοι καὶ ἀναστροφαὶ ἀνεγράφησαν· οὐχ ἵνα ἐκείνους ὀνειδίζωμεν ἀναγινώσκοντες, ἀλλ' ἵνα ἡμεῖς μετανοῶμεν, καὶ ἐλπίδες χρώμεθα ὡς ἀφέσεως τυγχάνοντες· τὰ γὰρ ἐκείνων ῥύπη, ἡμέτερα ἀσφάλεια καὶ παραίνεσις, ὅτι καὶ ἡμεῖς ἁμαρτήσαντες, ἐὰν μετανοήσωμεν, συγγνώμην ἕξομεν· ἐπεὶ γέγραπται, τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; οὐδεὶς ὢν ἀναμάρτητος· σὺ ὢν κατὰ δύναμιν, σπούδαζε ἀνεπίληπτος εἶναι· καὶ περὶ πάντων μέριμνα, μὴ διά σέ τις σκανδαλισθεὶς ἀπόληται· ὁ γὰρ λαϊκὸς περὶ ἑαυτοῦ μόνου μεριμνᾷ· σὺ δὲ περὶ πάντων, ὡς πλεῖον ἔχων βάρος, καὶ μείζον βασάζων φορτίον· γέγραπται γάρ, καὶ εἶπε κύριος πρὸς Μωϋσῆν· σὺ καὶ Ἀαρὼν λήψεσθε ἁμαρτίας τῆς ἱερατείας· ὡς περὶ πλειόνων ὢν ἀπολογούμενος περὶ πάντων φρόντιζε, καὶ τοὺς μὲν ὑγιεῖς, σωτήρει· τοὺς δὲ ἡμαρτηκότας, νουθέτει, καὶ σιβῶν ὢν τῇ νησείᾳ, ὢν τῇ ἀφέσει ἐλάφριον, καὶ προσκλαύσαντα εἰσδέχου πάσης τῆς ἐκκλησίας ὑπὲρ αὐτοῦ δεομένης, καὶ χειροθετήσας αὐτὸν, ἔα λοιπὸν εἶναι ὢν τῷ ποιμνίῳ. τοὺς δὲ ὑπνώδεις καὶ παρειμένους ἐπίστρεφε· ὑποσήμαζε, παρακάλει, θεράπευε, ἐπισάμενος ἥλκον μισθὸν ἔχεις τοῦτο ἐπιτελῶν, ὥσπερ οὖν καὶ κίνδυνον ἐὰν ἀμελήσῃς τούτων· λέγει γὰρ πρὸς τοὺς ἀμελοῦντας τοῦ λαοῦ ἐπισκόπους Ἰεζεκιὴλ, καὶ τοῖς ποιμέσι τοῦ Ἰσραὴλ, ὅτι ἐποίμαινον ἑαυτούς· οὐ τὰ πρόβατα ποιμαίνουσιν οἱ ποιμένες, ἀλλ' ἑαυτοὺς, τὸ γάλα κατεσθίετε, καὶ ἔρια περιβάλλεσθε· τὸ ἰσχυρὸν σφάζετε, τὰ πρόβατα δὲ ποιμαίνετε, τὸ ἐνοχλούμενον οὐκ ἐνισχύσατε· καὶ τὸ ἄρρωστον οὐκ ἰάσασθε· καὶ τὸ σωτεριμμένον δὲ κατεδήσατε· τὸ ἐξωστρέμμενον δὲ κατεπερέψατε. καὶ τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε· καὶ ἐν κρατεῖ ἐπαιδεύσατε αὐτὰ, μετ' ἐμπαιγμοῦ, καὶ διεσπάρησαν παρὰ τὸ μὴ εἶναι ποιμένα· καὶ ἐγένοντο εἰς κατάβρωμα πᾶσι τοῖς θηρίοις τοῦ δρυμοῦ. καὶ πάλιν· καὶ οὐκ ἐξεζήτησαν οἱ ποιμένες τὰ πρόβατά μου· καὶ ἐποίμαινον οἱ ποιμένες ἑαυτοὺς, τὰ δὲ πρόβατά μου οὐκ ἐποίμαινον· καὶ μετ' ὀλίγον, ἰδοὺ ἐγὼ πρὸς τοὺς ποιμένας, καὶ ἐκζητήσω ἐγὼ τὰ πρόβατά μου ἐκ χειρὸς αὐτῶν, καὶ καταπαύσω αὐτοὺς τοῦ ποιμαίνειν τὰ πρόβατά μου· καὶ οὐ ποιμανοῦσιν ἔτι οἱ ποιμένες ἑαυτούς· καὶ ῥύσομαι τὰ πρόβατά μου ἐκ χειρὸς αὐτῶν, καὶ οὐκ ἔσονται αὐτοῖς εἰς κατάβρωμα· καὶ ἐπιφέρει καὶ πρὸς τὸν λαὸν λέγων, ἰδοὺ ἐγὼ κρινῶ ἀνὰ μέσον προβάτου εἰς πρόβατον, καὶ κριὸν πρὸς κριόν· μὴ μικρὸν ἐστιν ὑμῖν, ὅτι τῇ νομῇ τῇ καλῇ ἐνέμεσθε, καὶ τὰ κατάλοιπα τῆς νομῆς κατεπατεῖτε τοῖς ποσὶν ὑμῶν, καὶ τὰ πρόβατα τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἤσθιον· καὶ ἐπιφέρει μετ' ὀλίγα. καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος, καὶ ὑμεῖς πρόβατα τῆς νομῆς μου· ἄνθρωποί μου ἐστέ· καὶ ἐγὼ Θεὸς ὑμῶν, λέγει Ἀδωναὶ κύριος.

Ὅτι καὶ ὁ ποιμὴν ἀμελῶς φερόμενος περὶ τὰ πρόβατα, δίκην τίννυσιν, καὶ τὸ πρόβατον μὴ σεσθαρκὸν τῷ ποιμένι, κολάζεται.

ΚΕΦΑΛ. ιθ'.

ΑΚούσατε οἱ ἐπίσκοποι· καὶ ἀκούσατε οἱ λαϊκοὶ, ὡς φησιν ὁ Θεός· κριτὴς κριτὴν πρὸς κριτὴν· καὶ πρόβατον πρὸς πρόβατον. καὶ πρὸς τοὺς ποιμένας λέγει· κριθήσεσθε σύνεσιν τῆς ἀπειλίας αὐτῷ καὶ τῆς εἰς τὰ πρόβατα διαφθορᾶς, τουτέστιν, ἐπίσκοπον πρὸς ἐπίσκοπον κρινῶ· καὶ λαϊκὸν πρὸς λαϊκόν. καὶ ἄρχοντι πρὸς ἄρχοντα· λογικὰ γὰρ τὰ πρόβατα, καὶ οἱ κριοὶ ὅτοι, ἀλλ' οὐκ ἄλογα· ἵνα μήποτε εἴπῃ ὁ λαϊκὸς, ὅτι ἐγὼ πρόβατον εἰμὶ καὶ οὐ ποιμήν· καὶ οὐδὲν λόγον ἐμαυτῷ πεποίημαι· ὁ ποιμὴν ὄψεται, καὶ αὐτὸς μόνος εἰσπραχθήσεται τὴν ὑπὲρ ἐμοῦ δίκην· ὥσπερ γὰρ τῷ καλῷ ποιμένι τὸ μὴ ἀκολουθοῦν πρόβατον λύκοις ἔκκειται εἰς διαφθοράν, οὕτω τῷ πονηρῷ ποιμένι τὸ ἀκολουθοῦν πρόδηλον ἔχει τὸν θάνατον, ὅτι καταξιώξεται αὐτό. διὸ φευκτέον ἀπὸ τῶν φθορέων ποιμένων.

Ὅπως

Ὅπως χρὴ τὰς ἀρχομένους πειθαρχεῖν τοῖς ἄρχουσιν ἐπισκόποις.

ΚΕΦΑΛ. κ'.

ΤΟὺν μέντοι ποιμένα τὸν ἀγαθὸν ὁ λαϊκὸς τιμάτω, ἀγαπάτω, φοβείσθω ὡς κύριον, ὡς δεσπότην, ὡς ἀρχιερέα Θεοῦ, ὡς διδάσκαλον εὐσεβείας· ὁ γὰρ αὐτοῦ ἀκούων, Χριστοῦ ἀκούει. καὶ ὁ αὐτὸν ἀθετῶν, Χριστὸν ἀθετεῖ, καὶ ὁ τὸν Χριστὸν μὴ δεχόμενος, οὐδέχεται τὸν αὐτοῦ Θεὸν καὶ πατέρα· ὁ ὑμῶν γάρ φησιν, ἀκούων, ἐμοῦ ἀκούει. καὶ ὁ ὑμᾶς ἀθετῶν, ἐμὲ ἀθετεῖ· καὶ ὁ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με· ὁμοίως ὁ ἐπίσκοπος ὡς τέκνα τοὺς λαϊκοὺς ἀγαπάτω, θάλπων καὶ σέργων τῇ σπουδῇ τῆς ἀγάπης, ὡς ὠά, εἰς περιποίησιν νοσσίων· ἢ ὡς νοσσία, ἀγκαλιζόμενος εἰς περιποίησιν ὀρνίθων· πάντας νουθετῶν, πᾶσι τοῖς πληκτισμοῦ ἐπιδεομένοις ἐπιπλήσσων, ἀλλὰ μὴ πλήσσων· εὐσπιέζων εἰς ἐνοπλίαν, ἀλλὰ μὴ εἰς ἀνοπλίαν· νουθετῶν εἰς ἐπιστροφήν· ἐπιτιμῶν εἰς διόρθωσιν, καὶ εὐθύτητα πορείας· τὸ ἰσχυρὸν φυλάσσων, τουτέστι, τὸ ἑδραῖον τῇ πίστει ἀσφαλὲς τηρῶν· τὸν λαὸν εἰρηνικῶς ποιμαίνων· τὸ ἐνοχλούμενον ἐνισχύων, τουτέστι, τὸ πειραζόμενον ἐν τῇ νουθεσίᾳ θεραπεύων, τὸ ἀῤῥωστοῦν ἰώμενος, τουτέστι, τὸ νοσοῦν ἐκ τῆς πίστεως ἐν διχονοίᾳ. διὰ τῆς διδασκαλίας θεραπεύων. τὸ συντετριμμένον καταδεσμῶν, τουτέστι, τὸ πεπλανημένον, ἢ τὸ τεθραυσμένον, ἢ τὸ κατεαγμένον ἐν ἁμαρτίαις εἰς χωλείαν ὁδοῦ, ἐπιδεόμενον δηλαδὴ παρακλητικῆς νουθεσίας· ἐλαφρυνόμενος ἀπὸ παραπτωμάτων, καὶ εὐεκτοῦν ποιῶν, οὕτω ῥωμαλέον ἐν τῇ ἐκκλησίᾳ ἀποκαθίσα ἐπανάγων ἐν τῇ αὐλῇ, τὸ ἐξωσμένην ἐπίστρεφε, τουτέστι, τὸ ἐν ἁμαρτίαις γενόμενον καὶ εἰς ἐπιτίμησιν ἐκβεβλημένον μὴ ἐᾶν ἔξω διαμένειν, ἀλλὰ προσλαμβανόμενος καὶ ἐπιστρέφων ἀποκαθίσα ἐν τῇ αὐλῇ, τουτέστιν, ἐν τῷ λαῷ τῆς ἁγίας ἐκκλησίας· τὸ δὲ ἀπολωλὸς ἐκζήτει, τουτέστι, τὸ ὑπὸ πολλῶν παραπτωμάτων ἑαυτῷ ἀπελπίσαν τῆς σωτηρίας, μὴ ἐᾶσης τελέως ἀπολέσθαι· τὸ ὑπὸ πολλῆς ψύξεως καὶ νωχελίας κάθυπνον γενόμενον, καὶ διὰ βαρέος ὕπνου τῆς ἑαυτοῦ ζωῆς ἐπιλαθόμενον· καὶ μακρὰν ἀποσατῆσαν τῆς ἰδίας αὐλῆς, ὡς καὶ λύκοις περιπεσεῖν εἰς βορὰν, σὺ ἀναζήτει· καὶ νουθέτει ἐπίστρεφε, καὶ νήφειν παρακάλει· καὶ ἐλπίδα ὑπόσπειρε, μὴ συγχωρῶν αὐτῷ λέγειν τὸ ὑπό τινων εἰρημένον, ὅτι τὰ ἀσεβήματα ἡμῶν ἐφ' ἡμῖν, καὶ ἡμεῖς ἐν αὐτοῖς τηκόμεθα· καὶ πῶς ζησόμεθα; εἰ οἵ γε ὄντες ἦν, ἰδιοποιείσθω ὁ ἐπίσκοπος τὸ πλημμέλημα καὶ λεγέτω τῷ ἡμαρτηκότι· ὅτι σὺ μόνον ἐπίστρεψον, κἀγὼ τὸν ὑπέρ σου θάνατον ἀναδέξομαι, ὡς ὁ κύριος τὸν ὑπὲρ ἐμοῦ καὶ πάντων· ὁ ποιμὴν γὰρ ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ δὲ μισθωτὸς καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ ἔστι τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, τουτέστι, τὸν διάβολον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει, καὶ ὁ λύκος ἁρπάζει αὐτά· εἰδέναι δὲ προσήκει, ὅτι τοῖς ἡμαρτηκόσιν εὔσπλαγχνος ὢν ὁ Θεὸς, μετὰ ὅρκου μετάνοιαν ἐπηγγείλατο· ὁ δὲ ἁμαρτήσας καὶ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ τὴν περὶ μετάνοιαν ἀγνοῶν, καὶ τὸ μακρόθυμον καὶ ἀνεξίκακον αὐτοῦ μὴ ἐπισάμενος, ἔτι μᾶλλον καὶ τὰς ἁγίας γραφὰς τὰς ταύτην κηρυσσούσας ὀ γινώσκων, ἅτε μὴ μεμαθηκὼς παρά σου ἀπόλλυται· σὺ δὲ ὡς φιλόεργος ποιμὴν καὶ ὡς σπουδαῖος νομεὺς ἀναζήτει ἀεὶ θμῶν τὸν ποίμνιον· τὸ λεῖπον ἐκζήτει, ὡς κύριος ὁ Θεὸς ὁ ἀγαθὸς πατὴρ ἡμῶν ἀποστείλας τὸν ἑαυτοῦ υἱὸν ποιμένα καλὸν καὶ σωτῆρα τὸν διδάσκαλον ἡμῶν Ἰησοῦν· ἐπιβρέψας αὐτῷ ἐᾶσαι τὰ ἐνενηκονταεννέα ἐπὶ τὰ ὄρη, καὶ πορεύθηναι ἐπὶ τὴν ζήτησιν τοῦ πεπλανημένου, καὶ δρόντα ἆραι ἐπὶ τοὺς ἑαυτοῦ ὤμους καὶ φέρειν ἐν τῇ ποίμνῃ χαίροντα ἐπὶ τῇ ἁρέσει τοῦ ἀπολωλότος· ἕτως ἂν ὑπήκοος γένοιο καὶ σὺ ὦ ἐπίσκοπε ἐκζητῶν τὸ ἀπολωλὸς· κατορθώσων τὸ πεπλανημένον· ἐπιστρέφων τὸ ἀφεστός· ἐξουσίαν γὰρ ἔχεις ἐπιστρέφειν καὶ ἀποστέλλειν τεθραυσμένους ἐν ἀφέσει· διό σοι ὁ σωτὴρ λέγει τῷ παρημελημένῳ ἐν ἁμαρτίαις, ἀφέωνταί σοι αἱ ἁμαρτίαι· ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην, εἰρήνη δὲ καὶ λιμὴν γαλήνιός ἐστιν ἡ τοῦ Χριστοῦ ἐκκλησία· εἰς ἣν λίαν τοὺς ἡμαρτηκότας ἀποκαθίσα ὑγιεῖς, καὶ ἀμώμους, ἐλπίδας, σπουδαίους, ἐργοπόνους ἐν τοῖς ἀγαθοῖς ἔργοις· ὡς ἔμπειρος καὶ συμπαθὴς ἰατρὸς πάντας ἰῷ τοὺς ἐν ἁμαρτίᾳ πελαζημένους· οὐ γὰρ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. ἦλθεν γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι, καὶ ζητῆσαι τὸ πεπλανημένον· ἰατρὸς οὖν ὢν τῆς ἐκκλησίας τοῦ κυρίου, φρόντιζε θεραπείαν καταλλήλων ἑκάστῳ τῶν νοσούντων παντὶ τρόπῳ· θεράπευε, ὑγίαζε, σώζου ἀποκαθίσα τῇ ἐκκλησίᾳ· ποίμαινε τὸ ποίμνιον, μὴ ἐν κράτει μετ' ἐμπαιγμοῦ, ὡς καταξουσιάζων, ἀλλ' ὡς ποιμὴν χρηστὸς τῷ κόλπῳ σωάγων τὰ ἀρνία, καὶ τὰς ἐν γαστρὶ ἐχούσας παρακαλῶν.

Ὅτι κίνδυνος μονομερῆ κρίσιν ποιήσασθαι, καὶ τιμωρίαν ὁρίσαι κατὰ τοῦ μηδέπω ἐλεγχθέντος.

ΚΕΦΑΛ. κά.

ΕΣτο δὲ χρηστὸς, ἀγαθὸς, πρᾶος, ἄδολος, ἀψευδὴς, μὴ σκληρὸς, μὴ αὐθάδης, μὴ ἀπότομος, μὴ ἀλαζὼν, μὴ ἀνιλεὴς, μὴ τετυφωμένος, μὴ ἀνθρωπάρεσκος, μὴ δειλὸς, μὴ δίγνωμος, μὴ ἐμπαίζων τοῖς ὑπὸ σὲ λαοῖς, μὴ ἀποκρύπτων ἀπ' αὐτῶν τὰ τοῦ Θεοῦ νόμιμα, καὶ τὸν περὶ μετανοίας λόγους, μὴ πρόχειρος πρὸς τὸ ἐξῶσαι καὶ ἐκβαλεῖν, ἀλλ' ἀσφαλὴς, μὴ φιλεπιτίμητος προπετὴς, μὴ παραδεχόμενος κατὰ τύπον μαρτυρίαν ἀνδρῶν μαρτύρων καὶ τούτων ἂν ὁ ῥόπος ἢ μεμαρτυρημένος πάλαι· καὶ εἰ μὴ ἀπ' ἔχθρας κινοῖμεν, ἢ φθόνου· εἰσὶ γὰρ πολλοὶ ἐπιχαιρεκάκοι, πρόγλωσσοι, τριττὰ γλῶσσαν ἔχοντες· μισάδελφοι, ἔργον τιθέμενοι σκορπίζειν τὰ Χριστοῦ πρόβατα, ὧν εἰ παραδέχεσθαι θέλεις τοὺς λόγους ἀκρίτως, διασπερεῖς σου τὸ ποίμνιον, καὶ παραδώσεις λύκοις εἰς κατάβρωμα, τουτέστι δαίμοσι, καὶ πονηροῖς ἀνθρώποις, μᾶλλον δὲ οὐκ ἀνθρώποις, ἀλλὰ θηρίοις ἀνθρωποειδέσιν, ἐθνικοῖς, καὶ Ἰουδαΐσαις καὶ αἱρεσιώταις ἀθέοις· τῷ γὰρ ἐκβληθέντι τῆς ἐκκλησίας, αὐθις προσπελάζουσιν οἱ λυμεῶνες λύκοι, καὶ ὡς ἄρνα βορὰν ἡγοῦν-

ται, κέρδος ἴδιον ἡγούμενοι τὴν ἐκείνου ἀπώλειαν· καὶ γὰρ ὁ τούτων πατὴρ διάβολος ἀνθρωποκτόνος ἐστὶ, καὶ ὁ διὰ τῆς σῆς ἀκρισίας, ἀδίκως ἀφορισθεὶς, καὶ ἀθυμίᾳ συσχεθεὶς, καὶ ὀλιγοψυχήσας, ἢ εἰς ἔθνη ἀποπλανηθήσεται, ἢ εἰς αἱρέσεις συμποδισθήσεται· καὶ παντελῶς τῆς ἐκκλησίας, καὶ τῆς εἰς θεὸν ἐλπίδος ἀπαλλοτριωθήσεται, καὶ συμποδισθήσεται ὑπὸ ἀσεβείας· καὶ γενήσῃ σὺ τῆς ἐκείνου ἀπωλείας ἔνοχος. οὐ γὰρ δίκαιόν ἐστιν, ἕτοιμον μὲν εἶναι ἐκβάλλειν τὸν ἡμαρτηκότα, ὀκνηρὸν δὲ ὑπάρχειν εἰς τὸ προσδέχεσθαι τὸν ἐπιστρέφοντα, καὶ πρόχειρον μὲν εἰς τὸ ἀποκόπτειν, ἀνηλεῆ δὲ εἰς τὸ τὸν ἀλγοῦντα ἰάσθαι· περὶ γὰρ τῶν τοιούτων λέγει ἡ θεία γραφὴ, οἱ πόδες αὐτῶν εἰς κακίαν τρέχουσι· ταχινοί εἰσι τοῦ ἐκχέειν ἅμα· συντρίμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν. οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. ὁδὸς δὲ εἰρήνης ἐστὶν ὁ σωτὴρ ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ὃς καὶ ἐδίδαξεν ἡμᾶς λέγων· ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν· δίδοτε καὶ δοθήσεται ὑμῖν· τουτέστι, δίδοτε ἄφεσιν ἁμαρτιῶν, καὶ ἀφεθήσηται ὑμῖν τὰ παραπτώματα, ὡς καὶ διὰ τῆς εὐχῆς ἡμᾶς ἐπαίδευσε λέγειν πρὸς τὸν Θεόν, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· ἐὰν οὖν μὴ ἀφῆτε τοῖς ἡμαρτηκόσι, πῶς ὑμεῖς λήψεσθε τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ὑμῶν· οὐχὶ τοὐναντίον ἑαυτοὺς δεσμεύετε λέγοντες ἀφιέναι, καὶ μὴ ἀφιέντες; καὶ οὐ τῷ ἑαυτῶν στόματι ἐναντιωθήσεσθε λέγοντες ἀφιέναι, καὶ μὴ ἀφιέντες; γινώσκετε γὰρ ὅτι ὁ τὸν μὴ ἀδικήσαντα ἐκβάλλων, ἢ τὸν ἐπιστρέφοντα μὴ προσδεχόμενος, φονεὺς τοῦ ἀδελφοῦ αὐτοῦ ἐστι, καὶ αἷμα ἐκχέει, ὡς Κάϊν Ἄβελ τοῦ ἀδελφοῦ. καὶ τὸ αἷμα αὐτοῦ βοῶν πρὸς Θεὸν ἐκζητιθήσεται· δίκαιος γὰρ ἀδίκως φονευθεὶς ὑπό τινος παρὰ Θεῷ ἐν ἀναπαύσει ἔσται εἰς τὸν αἰῶνα· ὡσαύτως, καὶ ὁ ματαίως ἀφορισθεὶς ὑπὸ τοῦ ἐπισκόπου· ὁ μὲν ἐκβαλὼν, ὡς λοιμὸν τὸν ἀναίτιον, πικρότερος φονέως ὁ τοιοῦτος οὐκ ἀφορῶν εἰς τὸ τοῦ Θεοῦ ἔλεος· οὐδὲ μνημονεύων αὐτοῦ τὴν ἐπὶ τοῖς μετανοοῦσιν ἀγαθωσύνην· οὐδὲ λαμβάνων σκοποὺς τῶν τοιούτων τοὺς ἐκ πλήθους παραπτωμάτων ἐν μετανοίᾳ εἰληφότας ἄφεσιν· διὰ τοῦτο ἱταμώτερος σωματικοῦ φονέως ὁ τὸν ἀναίτιον ἀπορρίπτων· ὡσαύτως καὶ ὁ μὴ προσδεχόμενος τοὺς μετανοοῦντας σκορπίζει τὰ τοῦ Χριστοῦ κατ' αὐτοῦ γινόμενος· ὡς γὰρ δίκαιός ἐστιν ὁ Θεὸς ἐν τῷ κρίνειν τοὺς ἁμαρτωλούς· οὕτως ἐλεήμων ἐν τῷ προσδέχεσθαι τοὺς ἐπιστρέφοντας. ἔλεον γὰρ καὶ κρίσιν ᾖδεν αὐτῷ ὁ θεοφιλὴς Δαβίδ.

Ὅτι μέγα παράδειγμα μετανοίας πρόκειται Δαβὶδ καὶ Νινευῖται, Ἐζεκιάς τε, καὶ ὁ τούτου υἱὸς Μανασσῆς.

ΚΕΦΑΛ. κβ΄.

ΧΡὴ δὲ ἐπίσκοπε πρὸ ὀφθαλμῶν ἔχειν καὶ τὰ προωδευκότα, καὶ ἐμπείρως αὐτοῖς κεχρῆσθαι πρὸς νουθεσίαν τῶν συπτικῶν ἢ παρακλητικῶν δεομένων λόγων· ἔτι καὶ ἐν τῷ κρίνειν σε δίκαιον τῷ τοῦ Θεοῦ ἐξακολουθεῖν θελήματι, καὶ ᾗ Θεὸς δικάζει τοὺς ἁμαρτάνοντας, ἢ ἐπιστρέφοντας, παραπλησίως καὶ σὲ κρίνειν· ἢ γὰρ οὐχὶ καὶ τὸν Δαβὶδ ὀλισθήσαντα ὀνειδίσας διὰ τοῦ Νάθαν, καὶ εἰπόντα μετανοεῖν εὐθὺς καὶ τοῦ θανάτου λυτροῦται λέγων, θάρσει, οὐ μὴ ἀποθάνεις; Ἰωνᾶν μὴ θελήσαντα Νινευῖταις κηρύξαι, ὑπὸ θαλάσσης καὶ κήτους καταποθῆναι ποιήσας, εὐξαμένου ἐν κοιλίᾳ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωὴν αὐτοῦ, Ἐζεκίαν πρὸς ὀλίγον τυφωθέντα εὐξάμενον μετὰ δακρύων, ἀφῆκε τοῦ ἐγκλήματος· ἀκούσατε δὲ ὦ ἐπίσκοποι πρὸς τὰ τοιαῦτα ὠφέλιμον ὑπόδειγμα· γέγραπται γὰρ ἐν τῇ τετάρτῃ τῶν βασιλειῶν, καὶ ἐν τῇ δευτέρᾳ τῶν παραλειπομένων τῇ τῶν ἡμερῶν οὕτως· καὶ ἀπέθανεν Ἐζεκίας καὶ ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Μανασσῆς ἐτῶν δώδεκα ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ πεντήκοντα καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἐψιβὰ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, οὐκ ἀπέσχετο ἀπὸ τῶν βδελυγμάτων τῶν ἐθνῶν ὧν ἐξωλόθρευσε κύριος ἀπὸ προσώπου υἱῶν Ἰσραήλ· καὶ ἐπέστρεψε Μανασσῆς, καὶ ᾠκοδόμησε τὰ ὑψηλὰ, ἃ κατέσπασεν Ἐζεκίας ὁ πατὴρ αὐτοῦ· καὶ ἔστησε στήλας τῇ Βάαλ, καὶ ἀνέστησε θυσιαστήριον τῇ Βάαλ, καὶ ἐποίησεν ἄλση· καθὼς ἐποίησεν Ἀχαὰβ βασιλεὺς Ἰσραήλ. καὶ ἐποίησε θυσιαστήρια ἐν οἴκῳ κυρίου ἐν ᾧ εἶπε κύριος πρὸς Δαβὶδ καὶ πρὸς Σολομῶντα τὸν υἱὸν αὐτοῦ, λέγων ὅτι ἐν αὐτῷ θήσω τὸ ὄνομά μου, καὶ ἔστησε Μανασσῆς θυσιαστήρια, καὶ ἐν αὐτοῖς ἐδούλευσε τῇ Βάαλ· καὶ εἶπεν, ἔσται τὸ ὄνομά μου εἰς τὸν αἰῶνα, καὶ ᾠκοδόμησε θυσιαστήρια ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου τῇ στρατιᾷ τοῦ οὐρανοῦ· καὶ αὐτὸς διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ ἐν Γεβαναὶ ἐν ὀνόματι· καὶ ἐκληδωνίζετο, καὶ ἐφαρμακεύετο, καὶ ἐποίησεν ἐγγαστριμύθους, καὶ ἐπαοιδοὺς, καὶ γνώστας, καὶ θεραφεὶν, καὶ ἐπλήθυνε τοῦ ποῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου τοῦ παροργίσαι αὐτὸν, καὶ ἔθηκε τὸ χωνευτὸν καὶ τὸ γλυπτὸν τοῦ ἄλσους τὴν εἰκόνα, ἣν ἐποίησεν ἐν οἴκῳ κυρίου, ἐν ᾧ ἐξελέξατο κύριος θέσθαι τὸ ὄνομα αὐτοῦ, ἐκεῖ ἐν Ἱερουσαλὴμ τῇ ἁγίᾳ πόλει εἰς αἰῶνα, καὶ εἶπεν, οὐ προσθήσω τὸν πόδα μου σαλεῦσαι ἀπὸ τῆς γῆς τοῦ Ἰσραὴλ, ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν· πλὴν ἐὰν φυλάξωνται κατὰ πάντα ὅσα ἐνετειλάμην αὐτοῖς κατὰ πᾶσαν ἐντολὴν, ἣν ἐνετείλατο ὁ δοῦλός μου Μωσῆς, καὶ οὐκ ἤκουσαν, καὶ ἐπλάνησεν αὐτοὺς Μανασσῆς τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου ὑπὲρ τὰ ἔθνη, ἃ ἐξῆρε κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ· καὶ ἐλάλησε κύριος ἐπὶ Μανασσῆν, καὶ ἐπὶ τὸν λαὸν αὐτοῦ, ἐν χειρὶ δούλων αὐτοῦ τῶν προφητῶν λέγων. ἀνθ' ὧν ὅσα ἐποίησε Μανασσῆς ὁ βασιλεὺς Ἰούδα τὰ βδελύγματα τὰ πονηρὰ ταῦτα ἀπὸ πάντων ὧν ἐποίησεν ὁ Ἀμορραῖος ἔμπροσθεν αὐτοῦ, καὶ ἐξήμαρτε τὸν Ἰούδαν ἐν τοῖς εἰδώλοις αὐτοῦ, τάδε λέγει κύριος ὁ Θεὸς Ἰσραήλ. ἰδοὺ ἐγὼ φέρω κακὰ ἐπὶ Γερουσαλὴμ, καὶ Ἰούδαν, ὥστε παντὸς ἀκούοντος αὐτὰ ἠχῆσαι ἀμφότερα τὰ ὦτα αὐτοῦ, καὶ ἐκτενῶ ἐπὶ Ἱερουσαλὴμ τὸ μέτρον Σαμαρείας, καὶ τὸν σταθμὸν οἴκου Ἀχαὰβ, καὶ ἀπαλείψω τὴν Ἱερουσαλὴμ, καθὼς ἀπαλείφεται τὸ πυξίον ἀπαλειφόμενον, καὶ καταστρέψω ἐπὶ πρόσωπον αὐτοῦ καὶ ἀποδώσομαι τὸ ὑπόλειμμα τῆς κληρονομίας μου καὶ παραδώσω αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ ἔσονται εἰς προνομὴν καὶ δι' ἁρπαγὴν πᾶσι τοῖς ἐχθροῖς αὐτῶν· ἀνθ' ὧν ὅσα ἐποίησαν πονηρὰ ἐν ὀφθαλμοῖς μου, καὶ ἦσαν παροργίζοντές με, ἀφ' ἧς ἡμέρας ἐξήγαγον τοὺς πατέρας αὐτῶν ἐκ γῆς Αἰγύπτου

γύπτου καὶ ἕως τῆς ἡμέρας ταύτης, καὶ γὲ αἷμα ἀθῷον ἐξέχεε Μανασσῆς πολὺ σφόδρα ἕως οὗ ἔπλησε τὴν Ἱερουσαλὴμ στόμα ἐπὶ στόματι. πλὴν ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ ὧν ἐξήμαρτε τὸν Ἰούδαν ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ ἤγαγε κύριος ἐπ' αὐτὸν τοὺς ἄρχοντας τῆς δυνάμεως τοῦ βασιλέως Ἀσσὼρ, καὶ κατελάβοντο τὸν Μανασσῆν ἐν δεσμοῖς καὶ ἔδησαν αὐτὸν ἐν πέδαις χαλκαῖς, καὶ ἤγαγον αὐτὸν εἰς Βαβυλῶνα, καὶ ὡς δεδεμένος καὶ κατασεσιδηρωμένος ὅλος ἐν οἴκῳ φυλακῆς, καὶ ἐδίδοτο αὐτῷ ἐκ πιτύρων ἄρτος ἐν σαθμῷ βραχύς, καὶ ὕδωρ σὺν ὄξει ὀλίγον ἐν μέτρῳ, ὥστε ζῆν αὐτόν, καὶ ὡς σωεχόμενος καὶ ὀδυνώμενος σφόδρα, καὶ ὡς βιαίως ἐθλίβη, ἐζήτησε τὸ πρόσωπον κυρίου τοῦ Θεοῦ αὐτοῦ· καὶ ἐταπεινώθη σφόδρα ἀπὸ προσώπου κυρίου τοῦ Θεοῦ τῶν πατέρων αὐτοῦ· καὶ προσηύξατο πρὸς κύριον λέγων· κύριε παντοκράτωρ ὁ Θεὸς τῶν πατέρων ἡμῶν τοῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου· ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν, ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου· ὁ κλείσας τὴν ἄβυσσον, καὶ σφραγισάμενος αὐτὴν τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου· ὃν πάντα φρίσσει, καὶ τρέμει ἀπὸ προσώπου τῆς δυνάμεώς σου. ὅτι ἄσχετος ἡ μεγαλοπρέπεια τῆς δόξης σου, καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοῖς ἀπειλῆς σου. ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου, ὅτι σὺ εἶ κύριος εὔσπλαχνος, μακρόθυμος, πολυέλεος· καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις τῶν ἀνθρώπων, ὅτι σὺ ὁ Θεὸς κατὰ τὴν χρηστότητα τῆς ἀγαθωσύνης σου ἐπηγγείλω μετανοίας ἄφεσιν τοῖς ἡμαρτηκόσι· καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν σου ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν· σὺ οὖν κύριε ὁ Θεὸς τῶν δικαίων οὐκ ἔθου μετάνοιαν δικαίοις τῷ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, τοῖς οὐχ ἡμαρτηκόσι σοι, ἀλλ' ἔθου μετάνοιαν ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης, ἐπληθύνθησαν αἱ ἀνομίαι μου κύριε, ἐπληθύνθησαν αἱ ἀνομίαι μου, καὶ οὐκ ἔτι εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ πλήθους τῶν ἀδικιῶν μου κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρου· διότι παρώργισα τὸν θυμόν σου, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα στήσας βδελύγματα, καὶ πληθύνας προσοχθίσματα, καὶ νῦν κλίνω γόνυ καρδίας μου δεόμενος τῆς παρά σου χρηστότητος, ἥμαρτηκα κύριε, ἥμαρτηκα, καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω, ἀλλ' αἰτοῦμαι δεόμενός σου· ἄνες μοι κύριε, ἄνες μοι, καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου, μηδὲ εἰς τὸν αἰῶνα μνησθῇς τὰ κακά μου· μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς· ὅτι σὺ Θεὸς, Θεὸς τῶν μετανοούντων, καὶ ἐπ' ἐμοὶ δείξεις τὴν ἀγαθωσύνην σου, ὅτι ἀνάξιον ὄντα σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου, καὶ αἰνέσω σε διαπαντὸς ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς μου, ὅτι σε ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν· καὶ ἐστήριξε τῇς φωνῆς αὐτοῦ κύριος, καὶ ὡς ἐτείρησεν αὐτὸν, καὶ ἐγέμετο περὶ αὐτὸν φλὸξ πυρός· καὶ ἐτάκησαν πάντα τὰ τοῖχοι αὐτοῦ σίδηρα, καὶ ἰάσατο κύριος τὸν Μανασσῆ ἐκ τῆς θλίψεως αὐτοῦ, καὶ ἐπέστρεψεν αὐτὸν εἰς Ἱερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, καὶ ἔγνω Μανασσῆς, ὅτι κύριος αὐτός ἐστι Θεὸς μόνος, καὶ ἐλάξευσεν μόνῳ κυρίῳ τῷ Θεῷ ἐν ὅλῃ καρδίᾳ αὐτοῦ· καὶ ἐλογίσθη δίκαιος, καὶ περιεῖλε τοὺς Θεοὺς τοὺς ἀλλοτρίους, καὶ τὸ γλυπτὸν ἐξ οἴκου κυρίου, καὶ πάντα τὰ θυσιαστήρια, ἃ ᾠκοδόμησεν ἐν οἴκῳ κυρίου, καὶ πάντα τὰ θυσιαστήρια τὰ ἐν Ἱερουσαλὴμ, καὶ ἐξέβαλεν ἔξω τῆς πόλεως, καὶ κατέρριψε τὸ θυσιαστήριον, καὶ ἐθυσίασεν ἐπ' αὐτὸ θυσίαν σωτηρίου, καὶ αἰνέσεως· καὶ εἶπε Μανασσῆς τῷ Ἰούδα τοῦ βοηθεῖν κυρίῳ τῷ Θεῷ Ἰσραήλ· καὶ ἐκοιμήθη ἐν εἰρήνῃ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν Ἀμὼν ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου κατὰ πάντα ὅσα ἐποίησε Μανασσῆς ὁ πατὴρ αὐτοῦ ἐν πρώτοις, καὶ παρῴξυνε κύριον τὸν Θεὸν αὐτοῦ· ἠκάσατε τέκνα προθήτα ἡμῶν, ὅπως κύριος ὁ Θεὸς εἰδώλοις προσαναχόντα, καὶ πολλὰς ἀθῴους φονεύσαντα βραχέως τιμωρήσαμος, μεταγνόντα προσελάβετο, καὶ ἀφεὶς αὐτῷ τὰ πλημμελήματα, ἐπέστρεψεν αὐτὸν περὶ τὴν βασιλείαν· ὁ μόνον γὰρ ἀφῆσι τοῖς μετανοοῦσιν, ἀλλὰ καὶ εἰς τὴν προτέραν ἀξίαν αὐτοὺς ἐπανάγει.

Πρὸς τοὺς ἐκ καταφρονήσεως ἁμαρτάνοντας ἔσῳ παράδειγμα Ἀμών.

ΚΕΦΑΛ. κγ'.

Μείζων εἰδωλολατρείας ἐκ ἔστιν ἁμαρτία εἰς Θεὸν γὰρ ἐστι δυσσέβεια· ἀλλ' ὅμως καὶ αὐτὴ διὰ γνησίας μετανοίας συγχεχώρηται· ἐὰν δέ τις ἐκ παραπτώξεως ἁμαρτάνῃ πειράζων τὸν Θεὸν, ὡς μὴ ἐπεξιόντα τοῖς πονηροῖς, ὁ τοιοῦτος ἄφεσιν οὐκ ἔξει· κἂν λέγῃ παρ' ἑαυτῷ, ὅσιά μοι γένοιτο, ὅτι πορεύσομαι ἐν τῇ ἀναστροφῇ τῆς καρδίας μου τῇ πονηρᾷ· τοιοῦτος γάρ τις ἐγένετο καὶ Ἀμὼν ὁ τοῦ Μανασσῆ υἱός· φησὶ γὰρ ἡ γραφὴ, καὶ παρελογίσατο Ἀμὼν λογισμὸν παραβάσεως κακὸν, καὶ εἶπεν· ὁ πατήρ μου ἐκ νεότητος πολλὰ παρηνόμησε, καὶ ἐν γήρᾳ μετέγνω· καὶ νῦν ἐγὼ πορεύσομαι, καθὰ ἐπιθυμεῖ ἡ ψυχή μου καὶ ὕστερον ἐπιστρέψω πρὸς κύριον· καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου παρὰ πάντας τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ· καὶ ἐξωλόθρευσεν αὐτὸν κύριος ὁ Θεὸς ἐν τάχει ἐκ τῆς γῆς τῆς ἁγίας αὐτοῦ. καὶ ἐπέθεντο αὐτῷ οἱ παῖδες αὐτοῦ καὶ ἐθανάτωσαν αὐτὸν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ἐβασίλευσεν ἔτη δύο μόνα.

Ὅτι Χριστὸς Ἰησοῦς κύριος παρεγένετο ἁμαρτωλοὺς σῶσαι δι' μετανοίας.

ΚΕΦΑΛ. πδ'.

Προσέχετε οὖν οἱ λαϊκοὶ· μήτις ἐξ ὑμῶν τὸν λογισμὸν τοῦ Ἀμὼν ἐπὶ καρδίαν αὐτοῦ στηρίξῃ· καὶ ἔσται σωτὸμως ἀπολλύμενος· ὁμοίως ὁ ἐπίσκοπος σωτηρείτω καθὸ δύναται, τοὺς μὴ ἡμαρτηκότας ἀναμαρτήτους μεῖναι· καὶ τοὺς ἀπὸ ἁμαρτιῶν ἐπιστρέφοντας θεραπεύων δεχέσθω· ἐὰν δὲ τὸν μετεγνωκότα ἀπηλεῆς ὢν μὴ προσδέξηται, ἁμαρτήσει εἰς κύριον τὸν Θεὸν αὐτοῦ, δικαιῶν ἑαυτὸν ὑπὲρ τὴν ἐκείνου δικαιοσύνην, καὶ μὴ προσλαμβανόμενος, ὃν προσεδέξατο διὰ Χριστοῦ δι' οὗ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἐπὶ γῆς τοῖς ἀνθρώποις ὡς ἄνθρωπον δι' οὗ ἐδόκησεν ἐκ γυναικὸς αὐτὸν γενέσθαι τὸν ποιητὴν ἀνδρὸς καὶ γυναικός· ἵ χάριν μὴ φεισάμενος σαρκὸς καὶ θανάτου καὶ ταφῆς συνεχώρησε παθεῖν τὸν τῇ φύσει ἀπαθῆ· τὸν υἱὸν τὸν ἀγαπητὸν· τὸν Θεὸν λόγον· τὸν τῆς μεγάλης αὐτοῦ βουλῆς ἄγγελον· ὅπως τοὺς ὑποκειμένους θανάτῳ, ῥύσηται τοῦ θανάτου· τοῦτον παραρρυγίζουσιν οἱ μὴ προσδεχόμενοι τοὺς μετανοοῦντας· ὅτος γὰρ Ματθαῖον ἐμὲ τελώνιον ὄντα πρότερον, οὐκ ἐπαισχύνθη· καὶ Πέτρον ἁρπασάμενον αὐτὸν διὰ δέος τρίτον καὶ

δτὰ μετανοίας ἐξιλεωσάμενον καὶ προσκλαύσαντα πικρῶς, προσήκατο· καὶ ποιμένα τῶν ἰδίων ἀρνῶν κατέστησε· καὶ Παῦλον δὲ τὸν συναπόστολον ἡμῶν πολλὰ τὸ πρότερον εἰς ἡμᾶς ἐπιτριψάμενον κακὰ καὶ βλασφημήσαντα εἰς τὸ ὄνομα τὸ ἅγιον, ἀπόστολον ἀντὶ διώκτου προεχειρίσατο, σαφῶς αὐτὸν ἐκλογῆς ἀναδείξας· καὶ ἄλλῃ τινὶ ἁμαρτωλῷ γυναικὶ λέγει· ἀφέωνταί σου αἱ ἁμαρτίαι αἱ πολλαί, ὅτι ἠγάπησας πολύ· ἑτέραν δέ τινα ἡμαρτηκυῖαν ἔστησαν οἱ πρεσβύτεροι ἔμπροσθεν αὐτοῦ· καὶ ἐπ' αὐτῷ θέμενοι τὴν κρίσιν, ἐξῆλθον· ὁ δὲ καρδιογνώστης κύριος πυθόμενος αὐτῆς, εἰ κατέκριναν αὐτὴν οἱ πρεσβύτεροι· καὶ εἰπούσης ὅτι οὔ, ἔφη πρὸς αὐτήν. ὕπαγε οὖν, οὐδὲ ἐγώ σε κατακρίνω· τοῦτον τὸν σωτῆρα βασιλέα καὶ Θεὸν ἡμῶν Ἰησοῦν ὦ ἐπίσκοποι σκοπὸν ἔχειν δεῖ τούτου μιμητὰς εἶναι· πραεῖς, ἡσυχίους, εὐσπλάχνους, ἐλεήμονας, εἰρηνικοὺς, ἀοργήτους, διδακτικοὺς, ἐπιστρεπτικοὺς, εἰς δεκτικοὺς, παρακλητικοὺς, μὴ πλήκτας, μὴ ὀργίλους, μὴ ὑβριστὰς, μὴ ἀλαζόνας, μὴ ὑπεροπτικοὺς, μὴ οἰνόφλυγας, μὴ μεθύσους, μὴ εἰκαιοδαπάνους, μὴ τρυφητὰς, μὴ πολυδαπάνους, μὴ ὡς ἀλλοτρίοις, ἀλλ' ὡς ἰδίοις τοῖς τοῦ Θεοῦ δόμασι χρωμένοις, ὡς ἀγαθοὺς οἰκονόμους καθεστῶτας, ὡς μέλλοντας ἀπαιτεῖσθαι παρὰ τοῦ Θεοῦ τὸν λόγον. αὐτάρκη ἐχέτω τροφὴν καὶ ἀμφιασμὸν ὁ ἐπίσκοπος τὸν τῇ χρείᾳ καὶ τῇ σεμνότητι προσήκοντα· μὴ τοῖς κυριακοῖς ὡς ἀλλοτρίοις κεχρήσθω, ἀλλὰ μεμετρημένως· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι· μὴ σπάταλος, μὴ πέρπερος· ἀλλὰ μόνων τῶν πρὸς σύστασιν ἐφιέμενος.

Περὶ ἀπαρχῶν καὶ δεκατῶν, καὶ ὅπως ὀφείλει ὁ ἐπίσκοπος ἢ αὐτὸς μεταλαμβάνειν ἐξ αὐτῶν, ἢ ἑτέροις διανέμειν.

ΚΕΦΑ'Λ. κέ.

ΤΑ' διδόμενα κατ' ἐντολὴν Θεοῦ τῶν δεκατῶν καὶ τῶν ἀπαρχῶν ὡς Θεοῦ ἄνθρωπος ἀναλισκέτω· τὰ εἰσφερόμενα ἐπὶ προφάσει πενήτων ἑκούσια, καλῶς οἰκονομείτω, ὀρφανοῖς καὶ χήραις, καὶ θλιβομένοις, καὶ ξένοις ἀπορουμένοις, ὡς ἔχων Θεὸν λογιστευτὴν τούτων. τὸν ἐγχειρίσαντα αὐτῷ ταύτην τὴν οἰκονομίαν· πᾶσι δὲ τοῖς δεομένοις μετὰ δικαιοσύνης ἐπιμερίζοντες, καὶ ὑμεῖς αὐτοὶ χρώμενοι ἐκ τῶν κυριακῶν, ἀλλὰ μὴ παραχρώμενοι, ἐσθίοντες ἐξ αὐτῶν, ἀλλὰ μὴ κατεσθίοντες αὐτὰ μόνοι, κοινωνοῦντες δὲ τοῖς χρήζουσιν, ἀπρόσκοποι Θεῷ γίνεσθε. ἐὰν γὰρ μόνοι αὐτὰ ἀναλώσητε, ὀνειδισθήσεσθε παρὰ Θεοῦ λέγοντος ὡς πρὸς ἀπλήστους καὶ μονοφάγους, τὸ γάλα κατεσθίετε· καὶ τὰ ἔρια περιβάλλεσθε. καὶ ἐν ἄλλοις· μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; διὸ καὶ ἐν τῷ νόμῳ προστέτακται ὑμῖν· ἀγαπήσης τὸν πλησίον σου ὡς σεαυτόν· καὶ ταῦτα λέγομεν, οὐχ ἵνα μὴ μεταλαμβάνητε ὑμῶν τῶν πόνων, γέγραπται γὰρ, οὐ φιμώσεις βοῦν ἀλοῶντα, ἀλλ' ἵνα μεμετρημένως μετὰ δικαιοσύνης. ὃν τρόπον οὖν ὁ βοῦς ἐργαζόμενος ἐν τῇ ἅλῳ ἀκήμωτος, ἐσθίει μὲν, ἀλλ' οὐ τὸ πᾶν κατεσθίει, οὕτω καὶ ὑμεῖς ἐργαζόμενοι εἰς τὴν ἅλω, τουτέστιν εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἐκ τῆς ἐκκλησίας ἐσθίετε· ὃν τρόπον καὶ οἱ Λευῖται οἱ λειτουργοῦντες τῇ σκηνῇ τοῦ μαρτυρίου, ἥτις ἦν τύπος τῆς ἐκκλησίας κατὰ πάντα· προσέτι δὲ καὶ ἐκ τοῦ ὀνόματος μαρτύριον τῆς ἐκκλησίας ἡ σκηνὴ προωρίζετο. ἐνταῦθα γοῦν καὶ Λευῖται τῇ σκηνῇ προσεδρεύοντες, ἐκ τῶν εἰς τὴν προσφορὰν τοῦ Θεοῦ διδομένων ὑπὸ παντὸς τοῦ λαοῦ δώρων καὶ ἀφαιρεμάτων καὶ ἀπαρχῶν, καὶ δεκατῶν, καὶ θυσιῶν, καὶ προσφορῶν μετεῖχον ἀκωλύτως αὐτοὶ καὶ γυναῖκες αὐτῶν καὶ υἱοὶ καὶ θυγατέρες αὐτῶν. ἐπειδὰν δὲ τὸ ἔργον αὐτῶν ἦν λειτουργία τῆς σκηνῆς, διατοῦτο κληροδοσίαν γῆς οὐκ ἔλαβον ἐν τοῖς υἱοῖς Ἰσραήλ· ὅτι αἱ εἰσφοραὶ τοῦ λαοῦ, κληροδοσία τοῦ Λευὶ καὶ κληρονομία τῆς φυλῆς αὐτῶν· ὑμεῖς οὖν σήμερον, ὦ ἐπίσκοποι, ἐστέ τῷ λαῷ ὑμῶν ἱερεῖς Λευῖται οἱ λειτουργοῦντες τῇ ἱερᾷ σκηνῇ τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ, καὶ παρεστῶτες τῷ θυσιαστηρίῳ κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ προσάγοντες αὐτῷ τὰς λογικὰς καὶ ἀναιμάκτους θυσίας διὰ Ἰησοῦ τοῦ μεγάλου ἀρχιερέως· ὑμεῖς τοῖς ἐν ὑμῖν λαϊκοῖς ἐστε προφῆται, ἄρχοντες, καὶ ἡγούμενοι, καὶ βασιλεῖς, οἱ μεσῖται Θεοῦ καὶ τῶν πιστῶν αὐτοῦ· οἱ δοχεῖς τοῦ λόγου καὶ ἀγγελτῆρες· οἱ γνῶσται τῶν γραφῶν καὶ φθόγγοι τοῦ Θεοῦ. καὶ μάρτυρες τοῦ θελήματος αὐτοῦ· οἱ πάντων τὰς ἁμαρτίας βαστάζοντες, καὶ περὶ πάντων ἀπολογούμενοι· οἷς, ὡς ἠκούσατε, ἐμβριθῶς ὁ λόγος ἀπειλεῖ, ἐὰν κρύψητε ἐξ ἀνθρώπων τὴν τῆς γνώσεως κλεῖδα· οἷς κίνδυνος ὀλέθριος, ἐὰν μὴ διαγγείλητε τὸ θέλημα αὐτοῦ τῷ ὑφ' ὑμᾶς λαῷ. οἷς παρὰ Θεοῦ μισθὸς ἀψευδὴς καὶ κλέος ἀνεκδιήγητον ἐν δόξῃ καλῶς λειτουργήσασι τῇ σκηνῇ τῇ ἁγίᾳ· ὡς γὰρ τὸ βάρος ὑμέτερον, οὕτω καὶ τὰς διακονίας τῶν τροφῶν καὶ τὰς ἄλλας χρείας ὑμεῖς καρποῦσθε. μιμηταὶ γάρ ἐστε Χριστοῦ τοῦ κυρίου, καὶ ὡσαύτως πάντων ἡμῶν τὰς ἁμαρτίας ἀνήνεγκεν ἐπὶ τὸ ξύλον σταυρωθεὶς ὁ ἄμωμος ὑπὲρ τῶν κολάσεως ἀξίων· οὕτω καὶ ὑμᾶς τοῦ λαοῦ τὰς ἁμαρτίας ἐξιδιοποιεῖσθαι χρή· εἴρηται γὰρ περὶ τοῦ σωτῆρος ἐν Ἡσαΐᾳ, ὅτι οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται· καὶ πάλιν, αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε· καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη. ὥσπερ οὖν ὑμεῖς σκοποί ἐστε, οὕτω καὶ σκοπὸν ἔχετε τὸν Χριστόν· ὡς οὖν αὐτὸς πάντων ὑμῶν, οὕτω καὶ ὑμεῖς τῶν ὑφ' ὑμᾶς λαϊκῶν. μὴ γὰρ νόμιζε, ὅτι εὐχερὲς ἢ ἐλαφρὸν φορτίον ἐστὶν ἡ ἐπισκοπή· χρὴ οὖν ὡς τὸ βάρος φέρετε, οὕτω καὶ τῶν καρπῶν πρώτους μεταλαμβάνειν, καὶ τοῖς δεομένοις μεταδιδόναι, ὡς λόγον ὑφέξοντες τῷ ἀπαραλογίστως ὑμᾶς μέλλοντι λογιστεύειν· δεῖ γὰρ τοὺς τῇ ἐκκλησίᾳ προσεδρεύοντας, ἐκ τῆς ἐκκλησίας διατρέφεσθαι, ἅτε ἱερεῖς, Λευίτας, Προέδρους, λειτουργοὺς Θεοῦ, καθὼς ἐν βίβλῳ τῶν ἀριθμῶν γέγραπται περὶ τῶν ἱερέων. καὶ εἶπε κύριος πρὸς Ἀαρών· σὺ καὶ οἱ υἱοί σου καὶ ὁ οἶκος πατριᾶς σου λήψεσθε τὰς ἁμαρτίας τῶν ἁγίων τῆς ἱερατείας ὑμῶν· ἰδοὺ δέδωκα ὑμῖν τὴν διατήρησιν τῶν ἀπαρχῶν ἀπὸ πάντων τῶν ἡγιασμένων μοι παρὰ τῶν υἱῶν Ἰσραήλ· σοὶ δέδωκα αὐτὰ εἰς γέρας καὶ τοῖς υἱοῖς σου μετὰ σὲ νόμιμον αἰώνιον, καὶ τοῦτο ἔσται ὑμῖν ἀπὸ τῶν ἡγιασμένων ἐκ τῶν καρπομάτων, καὶ ἀπὸ τῶν δώρων, καὶ ἀπὸ πάντων τῶν θυσιῶν, καὶ ἀπὸ πάσης πλημμελείας καὶ περὶ ἁμαρτιῶν· καὶ ὅσα ἀποδιδόασί μοι ἀπὸ πάντων τῶν ἁγίων, σοὶ ἔσται καὶ τοῖς υἱοίς σου· ἐν τῷ ἁγίῳ φάγεσθε αὐτά· καὶ μετ' ὀλίγα· πᾶσα ἀπαρχὴ ἐλαίου καὶ οἴνου, καὶ σίτου· ὅσα ἂν δῶσι κυρίῳ, σοὶ δέδωκα αὐτὰ, καὶ τὰ πρωτογενήματα πάντα σοι δέδωκα· καὶ συνέρρει πᾶν ἀνάθεμα· πᾶν πρωτότοκον ἀνθρώπου καὶ κτήνους καθαροῦ καὶ ἀκαθάρτου

θάρτου καὶ θυσίας, καὶ στηθηνίου καὶ βραχίονος δεξιοῦ τοῖς ἱερεῦσι προσανήκει. καὶ τοῖς λοιποῖς τοῖς παραμένουσιν αὐτοῖς Λευΐταις· ἀκούετε ταῦτα καὶ ὑμεῖς οἱ λαϊκοί· ἡ ἐκλεκτὴ ἐκκλησία τοῦ Θεοῦ· καὶ γὰρ ὁ λαὸς πρότερον Θεοῦ λαὸς καὶ ἔθνος ἅγιον ὠνομάζετο· καὶ ὑμεῖς οὖν ἐστε ἁγία τοῦ Θεοῦ ἱερὰ ἐκκλησία ἀπογεγραμμένη ἐν οὐρανῷ, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· λαὸς εἰς περιποίησιν· νύμφη κεκαλλωπισμένη κυρίῳ τῷ Θεῷ· ἐκκλησία μεγάλη· ἐκκλησία πιστή· ἃ πρότερον ἐῤῥέθη, νῦν ἐνωτίζου· ἀφαιρέματα καὶ δεκάται, ἀπαρχαὶ τῷ ἀρχιερεῖ Χριστῷ καὶ τοῖς λειτουργοῦσιν αὐτῷ· δεκάται σωτηρίου, ἀρχὴ ὀνόματος Ἰησοῦ. ἄκουε ἱερὰ καθολικὴ ἐκκλησία ἡ τὴν δεκάπληγον ἐκπεφευγυῖα· καὶ τὴν δεκάλογον εἰληφυῖα καὶ τὸν νόμον μεμαθηκυῖα· καὶ * ἐπὶ τὸν Ἰησοῦν πεπιστευκυῖα, καὶ τὸ ὄνομα αὐτοῦ ἐπονομαζομένη, καὶ ἐπὶ τῇ τελειώσει τῆς δόξης αὐτοῦ ἐστηριγμένη, καὶ λάμπουσα· αἱ τότε θυσίαι, νῦν εὐχαί, καὶ δεήσεις, καὶ εὐχαριστίαι· αἱ τότε ἀπαρχαί, καὶ δεκάται, καὶ ἀφαιρέματα, καὶ δῶρα, νῦν προσφοραί, αἱ διὰ τῶν ὁσίων ἐπισκόπων προσφερόμεναι κυρίῳ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ ὑπὲρ αὐτῶν ἀποθανόντος· οὗτοι γάρ εἰσιν ὑμῶν οἱ ἀρχιερεῖς· οἱ δὲ ἱερεῖς ὑμῶν, οἱ πρεσβύτεροι· καὶ οἱ Λευΐται ὑμῶν, οἱ νῦν διάκονοι, καὶ οἱ ἀναγινώσκοντες ὑμῖν, καὶ οἱ ᾠδοί, καὶ οἱ πυλωροί, αἱ διάκονοι ὑμῶν, καὶ αἱ χῆραι, καὶ αἱ παρθένοι, καὶ οἱ ὀρφανοὶ ὑμῶν· ὁ δὲ τούτων πάντων ἀνώτερος ὁ ἀρχιερεύς ἐστι.

* καὶ τὴν πίστιν κεκρατηκυῖα.

Εἰς τίνος τύπον καὶ ἀξίαν ἕκαστος τῶν ἐν τῷ κλήρῳ τέτακται παρὰ Θεῷ.

ΚΕΦΑΛ. κϛ'.

Ὁ Ἐπίσκοπος, οὗτος λόγου διάκονος, γνώσεως φύλαξ, μεσίτης Θεοῦ καὶ ὑμῶν, ἐν ταῖς πρὸς αὐτὸν λαξείαις· οὗτος διδάσκαλος εὐσεβείας· οὗτος μετὰ Θεὸν πατὴρ ὑμῶν, δι' ὕδατος καὶ πνεύματος ἀναγεννήσας ὑμᾶς εἰς υἱοθεσίαν. οὗτος ἄρχων καὶ ἡγούμενος ὑμῶν· οὗτος ὑμῶν βασιλεὺς καὶ δυνάστης· οὗτος ὑμῶν ἐπίγειος Θεὸς μετὰ Θεὸν, ὃς ὀφείλει τῆς παρ' ὑμῶν τιμῆς ἀπολαύειν. περὶ γὰρ τούτου καὶ τῶν ὁμοίων αὐτῶν ὁ Θεὸς ἔλεγεν· ἐγὼ εἶπα θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες, καὶ Θεοὺς οὐ κακολογήσεις· ὁ γὰρ ἐπίσκοπος προκαθεζέσθω ὑμῶν ὡς Θεοῦ ἀξίᾳ τετιμημένος· ᾗ κρατεῖ τοῦ κλήρου καὶ τοῦ λαοῦ παντὸς ἄρχει· ὁ δὲ διάκονος τούτῳ παριστάσθω, ὡς ὁ Χριστὸς τῷ πατρί, καὶ λειτουργείτω αὐτῷ ἐν πᾶσιν ἀμέμπτως. ὡς ὁ Χριστὸς ἀφ' ἑαυτοῦ ποιῶν οὐδὲν, τὰ ἀρεστὰ ποιεῖ τῷ πατρὶ πάντοτε· ἡ δὲ διάκονος εἰς τύπον τοῦ ἁγίου πνεύματος τετιμήσθω ὑμῖν, μηδὲν ἄνευ τοῦ διακόνου πράττουσα ἢ φθεγγομένη· ὡς οὐδὲ ὁ παράκλητος ἀφ' ἑαυτοῦτι λαλεῖ ἢ ποιεῖ, ἀλλὰ δοξάζων τὸν Χριστὸν περιμένει τὸ ἐκείνου θέλημα· καὶ ὡς οὐκ ἔστιν εἰς τὸν Χριστὸν πιστεῦσαι ἄνευ τῆς τοῦ πνεύματος διδασκαλίας, οὕτως ἄνευ τῆς διακόνου μηδεμία προσίτω γυνὴ τῷ διακόνῳ, ἢ τῷ ἐπισκόπῳ· οἵ τε πρεσβύτεροι εἰς τύπον ἡμῶν τῶν ἀποστόλων ὑμῖν νενομίσθωσαν· διδάσκαλοι ἔστωσαν θεογνωσίας· ἐπειδὴ καὶ ὁ κύριος ἡμᾶς ἀποστέλλων ἔλεγε. πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμεῖν· αἵτε χῆραι καὶ ὀρφανοὶ εἰς τύπον τοῦ θυσιαστηρίου λελογίσθωσαν ὑμῖν· αἵτε παρθένοι εἰς τύπον τοῦ θυμιατηρίου τετιμήσθωσαν, καὶ τοῦ θυμιάματος.

Ὅτι φρικῶδες ἄνθρωπον σαυτὸν ἐπιῤῥιπτεῖν ἀξιώματι τινὶ ἱερατικῷ· ὡς οἱ Κορεῖται· ὡς Σαούλ· ὡς Ὀζίας.

ΚΕΦΑΛ. κζ'.

Ὡς οὖν οὐκ ἦν ἐξὸν ἀλλογενῆ μὴ ὄντα Λευΐτην προσενέγκαιτι, ἢ προσελθεῖν εἰς τὸ θυσιαστήριον ἄνευ τοῦ ἱερέως, οὕτω καὶ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου μηδὲν ποιεῖτε· εἰ δέ τις ἄνευ τοῦ ἐπισκόπου ποιεῖ τι, εἰς μάτην ποιεῖ αὐτό· οὐ γὰρ αὐτῷ εἰς ἔργον λογισθήσεται· ὡς γὰρ ὁ Σαοὺλ ἄνευ τοῦ Σαμουὴλ προσενέγκας ἤκουσεν, ὅτι μεματαίωταί σοι, οὕτω καὶ πᾶς λαϊκὸς ἄνευ τοῦ ἱερέως ἐπιτελῶν τι, μάταια πονεῖ. καὶ ὡς Ὀζίας ὁ βασιλεὺς οὐκ ὢν ἱερεὺς τὰ τῶν ἱερέων ἐπιτελῶν ἐλεπρώθη διὰ παρανομίαν, οὕτω καὶ πᾶς λαϊκὸς οὐκ ἀτιμώρητος ἔσται καταφρονήσας Θεοῦ, καὶ τῶν αὐτοῦ καταμανεὶς ἱερέων καὶ τὴν τιμὴν ἁρπάσας ἑαυτῷ μὴ μιμησάμενος Χριστὸν, ὃς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερεὺς, ἀλλὰ περιέμεινεν ἀκοῦσαι τοῦ πατρὸς, ὤμωσε κύριος καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ· εἰ οὖν ἄνευ τοῦ πατρὸς ὁ Χριστὸς οὐ δοξάζει ἑαυτὸν, πῶς οἷόν τε ἄνθρωπον ἑαυτὸν εἰς ἱερωσύνην ἐπιῤῥιπτεῖν μὴ λαβόντα τὸ ἀξίωμα παρὰ κρείττονος, καὶ ποιεῖν ἐκεῖνα, ἃ μόνοις τοῖς ἱερεῦσιν ἔξεστιν; ἢ οὐχὶ οἱ Κορεῖται καίτοι τῆς Λευΐ φυλῆς ὄντες πυρίκαυστοι ἐγένοντο ἐπαναστάντες Μωσεῖ καὶ Ἀαρὼν, καὶ περὶ τῶν μὴ καθηκόντων αὐτοῖς ἀμιλλώμενοι, καὶ Δαθὰν, καὶ Ἀβειρῶν ζῶντες κατέβησαν εἰς ᾅδου, καὶ ῥάβδος βλαστήσασα ἔστειλε τῶν πολλῶν τὴν ἄνοιαν, καὶ τὸν ὑπὸ Θεοῦ χειροτονηθέντα ἀρχιερέα ἀνέδειξε; προσήκει οὖν καὶ ὑμᾶς ἀδελφοὶ τὰς θυσίας ὑμῶν ἤτοι προσφορὰς τῷ ἐπισκόπῳ προσφέρειν ὡς ἀρχιερεῖ· ἢ δι' ἑαυτῶν, ἢ διὰ τῶν διακόνων· οὐ μὴν δὲ, ἀλλὰ καὶ τὰς ἀπαρχὰς, καὶ τὰς δεκάτας, καὶ τὰ ἑκούσια αὐτῷ προσάγετε· αὐτὸς γὰρ γινώσκει τοὺς θλιβομένους, καὶ ἑκάστω δίδωσι πρὸς τὸ ἁρμόζον, ὅπως μὴ δὶς ἢ πλειστάκις τῇ αὐτῇ ἡμέρᾳ, ἢ τῇ αὐτῇ ἑβδομάδι λαμβάνῃ, ἕτερος δὲ οὐδὲ ὅλως· δίκαιον γάρ ἐστι μᾶλλον τοῖς θλιβομένοις κατ' ἀλήθειαν ἐπαρκεῖν, ἢ τοῖς νομιζομένοις θλίβεσθαι.

Περὶ * εὐχῆς καὶ ὅπως χρὴ ἕκαστον τάγμα τοῦ κλήρου ὑπὸ τῶν προσκαλουμένων τιμᾶσθαι.

* δοχῆς

ΚΕΦΑΛ. κη'.

Τοῖς εἰς ἀγάπην, ἤτοι δοχὴν ὡς ὁ κύριος ὠνόμασε, προαιρουμένοις καλεῖν πρεσβυτέρας, ἢν ἐπίστανται οἱ διάκονοι θλιβομένην, αὐτῇ πλειστάκις πεμπέτωσαν· ἀφοριζέσθω δὲ ἐν τῇ δοχῇ τὸ τῷ ποιμένι ἐθίμιον, λέγω δὲ τὸ τῆς ἀπαρχῆς, ὡς ἱερεῖ, κἂν μὴ παρῇ τῇ δοχῇ, εἰς τιμὴν Θεοῦ τοῦ τὴν ἱερατείαν

τείαν αὐτῷ ἐγχειρίσαντος· ὅσον δὲ ἑκάστῃ τῷ πριστείαν αὐτῷ ἐγχειρίσαντος· ὅσον δὲ ἑκάστῃ τῷ πρεσβυτίδων δίδοται, διπλᾶν διδόσθω τοῖς διακόνοις εἰς χήρας Χριστοῦ· τοῖς δὲ πρεσβυτέροις ὡς ἂν κάμνωσι περὶ τὸν τῆς διδασκαλίας λόγον, διπλῆ κὴ αὐτοῖς ἀφοριζέσθω ἡ μοῖρα εἰς χάριν τῷ τοῦ κυρίου ἀποστόλων· ὧν καὶ τὸν τύπον φυλάσσουσιν, ὡς σύμβουλοι τοῦ ἐπισκόπου κὴ τῆς ἐκκλησίας στέφανος. εἰσὶ γὰρ σωτήριον καὶ βουλὴ τῆς ἐκκλησίας· εἰ δὲ εἰσὶ καὶ ἀναγνώστης ἐσί, λαμβανέτω κὴ αὐτὸς μοῖραν μίαν εἰς τιμὴν τῷ προφήτῃ· ὡσαύτως κὴ ψαλτῳδὸς, καὶ πυλωρός· ἑκάστῳ ἓν ἀξιώματι οἱ λαϊκοὶ τιμὴν προσήκουσαν τιμὴν νεμέτωσαν ἐν τοῖς δόμασι κὴ τῇ κατὰ τὸν βίον ἐνδοξότητι· μὴ ῥᾳδίως δὲ ἐνοχλείτωσαν τῷ ἄρχοντι· ἀλλὰ διὰ τῷ ὑπηρετῷ, ἃ βούλονται, σημαινέτωσαν, τουτέστι, διὰ τῷ διακόνων· πρὸς ὃς πλέον παῤῥησιαζέσθωσαν· οὐδὲ γὰρ τῷ παντοκράτορι Θεῷ προσελθεῖν ἐστιν, ἐὰν μὴ διὰ τοῦ Χριστοῦ· οὕτως ὃν κὴ οἱ λαϊκοὶ πάντα, ὅσα βούλονται, διὰ τοῦ διακόνου φανερὰ τῷ ἐπισκόπῳ ποιείτωσαν· κὴ οὕτω κατὰ τὸ δοκοῦν ἐκείνῳ ἐπιτελείτωσαν· οὐδὲ γὰρ πρότερον ἐν τῷ ἱερῷ ἁγιάσματι προσεφέρετο, ἢ ἐγίνετο ἄνευ τοῦ ἱερέως· χείλη γὰρ ἱερέως φυλάξεται γνῶσιν, κὴ νόμον ἐκζητήσουσιν ἐκ τοῦ στόματος αὐτοῦ, φησί που ὁ προφήτης· ὅτι ἄγγελος κυρίου παντοκράτορός ἐστιν· εἰ γὰρ κὴ οἱ τῶν δαιμόνων θεραπευταὶ ἐν τοῖς μυσαροῖς κὴ βδελυκτοῖς, κὴ ἀκαθάρτοις προσοχθίσμασιν αὐτῶν ἄχει τοῦ δεῦρο τὰ ἅγια μιμοῦνται, καὶ μακρὰν μὴ ἐπὶ συγχύσεως τὸ βδέλυγμα κεχωρίσθω τῶν ἁγίων, πολλῷ ἐν τοῖς ἐμπαίγμασιν αὐτῶν, ἄνευ τοῦ μηρέως οὐδὲ προσφέρουσιν, οὐδὲ ἐπιτελοῦσιν, ἀλλὰ σῶμα νομίζουσι τῶν λίθων τὸν μηρέα, πεπεισμένοι τί προσάξει ποιεῖν αὐτοῖς, κὴ πάντα ἃ ἂν προσάξῃ αὐτοῖς, ἐκεῖνα ἐπιτελοῦσι, κὴ ἄνευ αὐτοῦ ποιοῦσιν, οὐδὲ, κὴ τιμῶσιν αὐτὸν τὸν μηρέα κὴ σεπτὸν αὐτοῦ ἡγοῦνται τὸ ὄνομα εἰς τιμὴν τῶν ἀψύχων ξοάνων, κὴ εἰς λατρείαν τῶν πονηρῶν πνευμάτων· εἰ οὖν ἐκεῖνοι μάταια κὴ διεψευσμένα δοξάζοντες, κὴ ἐπ' οὐδενὶ βεβαίῳ ἔχοντες τινὰ ἑαυτῶν ἐλπίδα ἐπιτηδεύουσι μιμεῖσθαι τὰ ἅγια, πόσῳ δίκαιον ὑμᾶς τὴν φανοτάτην πίστιν κὴ ἀψευδῆ ἐλπίδα ἔχοντας, καὶ εὔδοξον κὴ αἰώνιον κὴ ἀδιάπτωτον ἐπαγγελίαν ἀπεκδεχομένους, τιμᾶν διὰ τῶν προεσώτων κύριον τὸν Θεὸν, ἡγουμένους σῶμα Θεοῦ εἶναι τοὺς ἐπισκόπους.

Τίς ἀξία τοῦ ἐπισκόπου κὴ τοῦ διακόνου.

ΚΕΦΑ'. Λ. κθ'.

ΕΙ' γὰρ Ἀαρὼν ἐφειδὴ ἤγγειλε τῷ φαραὼ παρὰ Μωσέως τοὺς λόγους, προφήτης εἴρηται, Μωσῆς δὲ Θεὸς τοῦ Φαραὼ, ὡς βασιλεὺς ὁμοῦ κὴ ἀρχιερεὺς, ὡς φησὶν ὁ Θεὸς πρὸς αὐτὸν, Θεὸν τέθηκά σε τῷ Φαραὼ, κὴ Ἀαρὼν ὁ ἀδελφός σου ἔσαι σου προφήτης, διατὶ μὴ κὴ ὑμεῖς τοὺς μεσίτας ὑμῶν τοῦ λόγου προφήτας εἶναι νομίσητε, κὴ ὡς Θεοὺς σεβασθήσεσθε;

Οὅπως χρὴ τοὺς λαϊκοὺς πειθαρχεῖν τοῖς διακόνοις. 26

ΚΕΦΑ'. Λ'.

ΝΥ̃ν γὰρ ὑμῖν μὲν ὁ Ἀαρών ἐστιν ὁ διάκονος, Μωϋσῆς δὲ ὁ ἐπίσκοπος· εἰ δὲ ὃν ῥῆθη Μωϋσῆς ὑπὸ κυρίου Θεὸς, καὶ ὑμῖν ὁ ἐπίσκοπος εἰς Θεὸν τετιμήσθω καὶ ὁ διάκονος, ὡς προφήτης αὐτοῦ· ὡς γὰρ ὁ Χριστὸς ἄνευ τοῦ πατρὸς οὐδὲν ποιεῖ, οὕτως οὐδὲ ὁ διάκονος ἄνευ τοῦ ἐπισκόπου· καὶ ὥσπερ υἱὸς ἄνευ τοῦ πατρὸς οὐκ ἔστιν, οὕτως οὐδὲ διάκονος ἄνευ τοῦ ἐπισκόπου, καὶ ὥσπερ ὑπόχρεως υἱὸς πατρὶ, οὕτω κὴ πᾶς διάκονος ἐπισκόπῳ· καὶ ὥσπερ ὁ υἱὸς ἄγγελός ἐσι κὴ προφήτης τοῦ πατρὸς, οὕτω κὴ ὁ διάκονος ἄγγελος κὴ προφήτης ἐσὶ τοῦ ἐπισκόπου· διὸ κὴ πάντα τὰ ἐπιτελούμενα ὑπ' αὐτοῦ εἴς τινα, ἐμφανῆ τῷ ἐπισκόπῳ γινέσθω κὴ δι' αὐτοῦ τελειούσθω.

Ὅτι μὴ χρὴ τὸν διάκονον ἄνευ τοῦ ἐπισκόπου τι πράττειν.

ΚΕΦΑ'. Λα'.

ΜΗδεὶς δὲ ποιείτω τὸ σωμάτιον ἄνευ τοῦ ἐπισκόπου, μηδέ τινι διδότω τι ἄνευ τῆς ἐκείνου γνώμης· ἐὰν γὰρ ὡς θλιβομένου τινὸς λάθρα τοῦ ἐπισκόπου δίδῳ τινί, εἰς λοιδορίαν τοῦ ἐπισκόπου δώσει· κὴ διαβάλλει αὐτὸν ὡς ἀμελοῦντα τῶν θλιβομένων· ὁ δὲ ἐπίσκοπον ἢ λόγῳ ἢ ἔργῳ κακολογῶν, Θεῷ προσπταίει, οὐκ ἀκούσας αὐτοῦ εἰπόντος, Θεὸν δὲ κακολογήσεις· οὐ γὰρ περὶ λίθων ἢ ξύλων προσοχθισμάτων ἐνομοθέτει, βδελυκτῶν ὄντων διὰ τὴν ψευδωνυμίαν, ἀλλὰ περὶ τῶν ἱερέων κὴ τῶν χειρῶν· οἷς κὴ εἶπεν, ὅτι θεοί ἐστε κὴ υἱοὶ ὑψίστου.

Ὅτι μὴ χρὴ τὸν διάκονον παρὰ γνώμην τοῦ ἐπισκόπου διδόναι τινὶ, ἐπὶ διαβολῇ γὰρ τοῦ ἐπισκόπου τοῦτο πράξει.

ΚΕΦΑ'. Λβ'.

ΕΙ' ὃν γνώσκεις ὦ διάκονε θλιβόμενόν τινα, ὑπομνήσας τὸν ἐπίσκοπον, οὕτω δίδου· ἀλλὰ μὴ λαθραίως εἰς λοιδορίαν αὐτοῦ τι ἐπιτέλει· ἵνα μὴ κατηγορίας ἐγείρῃς κατ' αὐτοῦ· οὐ γὰρ κατ' αὐτοῦ ὁ γογγυσμὸς ἔσται, ἀλλὰ κατὰ κυρίου τοῦ Θεοῦ· κὴ ἀκούσεται ὁ διάκονος κὴ οἱ λοιποὶ, ὡς Ἀαρὼν κὴ Μαρία κατελάλησαν Μωσέως ἤκουσαν, πῶς οὐκ ἐφοβήθητε κατελαλῆσαι κατὰ Μωσῆ τοῦ θεράποντός μου· κὴ πάλιν αὐτὸς Μωσῆς φησὶ τοῖς ἐπισυναχθεῖσιν αὐτῷ. οὐ γὰρ καθ' ἡμῶν ὁ γογγυσμὸς ὑμῶν ἐστιν, ἀλλὰ κατὰ κυρίου τοῦ Θεοῦ ἡμῶν· εἰ γὰρ ὁ λαϊκὸν εἰρηκὼς ῥακὰ ἢ μωρὸν, οὐκ ἀτιμώρητος, ὡς ὑβρίσας τὸ τοῦ Χριστοῦ ὄνομα, τί ἄντις κατ' ἐπισκόπου εἴπῃ; διὸ ὃ τὸ ἅγιον πνεῦμα ὁ κύριος ἐν ὑμῖν ἔδωκεν ἐν τῇ χειροθεσίᾳ· διὸ ὃ ἅγια δόγματα μεμαθήκατε, κὴ Θεὸν ἐγνώκατε καὶ εἰς Χριστὸν πεπιστεύκατε· διὸ ὃ ἐγνώσθητε ὑπὸ Θεοῦ· διὸ ὃ ἐσφραγίσθητε ἐλαίῳ ἀγαλλιάσεως καὶ μύρῳ σωτήσεως· διὸ ὃ υἱοὶ φωτὸς ἀνεδείχθητε· διὸ ὃ κύριος ἐν τῷ φωτισμῷ ὑμῶν τῇ τοῦ ἐπισκόπου χειροθεσίᾳ μαρτυρῶν ἑφ' ἕκαστον ὑμῶν τὴν ἱερὰν ἐξέτεινε φωνὴν λέγων· υἱός μου εἶ σύ. ἐγὼ

ἐγὼ σήμερον γεγένηκάσε· διὰ τοῦ ἐπισκόπου σου ὁ Θεὸς υἱοποιεῖταί σε ἄνθρωπε· γνώριζε υἱὲ τὴν δεξιὰν τὴν μητέρα σου· στέργε τὸν μετὰ Θεὸν γενόμενόν σου πατέρα, καὶ σέβου τοῦτον.

Ὅπως χρὴ τιμᾶσθαι τοὺς ἱερεῖς καὶ σεπτοὺς ἡγεῖσθαι πνευματικοὺς ὄντας γονεῖς.

ΚΕΦΑ'Λ. λγ'.

ΕΙ' γὰρ περὶ τῶν κατὰ σάρκα γονέων φησὶ τὸ θεῖον λόγιον, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω, πόσῳ μᾶλλον περὶ τῶν πνευματικῶν γονέων ὑμῖν ὁ λόγος παραινέσει τιμᾷν αὐτοὺς, καὶ στέργειν ὡς εὐεργέτας καὶ πρεσβευτὰς πρὸς Θεὸν τοὺς δι' ὕδατος ὑμᾶς ἀναγεννήσαντας· τοὺς τῷ ἁγίῳ πνεύματι πλυρώσαντας· τοὺς τῷ λόγῳ γαλακτοτροφήσαντας· τοὺς ἐν τῇ διδασκαλίᾳ ἀναθρεψαμένους τοὺς ἐν ταῖς νουθεσίαις στηρίξαντας. τοὺς τοῦ σωτηρίου σώματος, καὶ τοῦ τιμίου αἵματος ἀξιώσαντας ὑμᾶς· τοὺς τῶν ἁμαρτιῶν λύσαντας· καὶ τῆς ἁγίας καὶ ἱερᾶς εὐχαριστίας μετόχους ποιήσαντας, καὶ τῆς ἐπαγγελίας τοῦ Θεοῦ κοινωνοὺς καὶ συγκληρονόμους θεμένους ὑμᾶς· τούτους εὐλβούμενοι τιμᾶτε παντοίαις τιμαῖς· οὗτοι γὰρ παρὰ Θεῷ ζωῆς καὶ θανάτου ἐξουσίαν εἰλήφασιν ἐν τῷ δικάζειν τοὺς ἡμαρτηκότας, καὶ καταδικάζειν εἰς θάνατον πυρὸς αἰωνίου· καὶ λύειν ἁμαρτιῶν τοὺς ἐπιστρέφοντας· καὶ ζωογονεῖν αὐτούς.

Ὅτι τῶν ἀρχόντων καὶ βασιλέων εἰσὶ κρείττους οἱ ἱερεῖς.

ΚΕΦΑ'Λ. λδ'.

ΤΟύτους ἄρχοντας ὑμῶν καὶ βασιλεῖς ἡγεῖσθαι νομίζετε, καὶ δασμοὺς ὡς βασιλεῦσι προσφέρετε· ἐξ ὑμῶν γὰρ αὐτούς τε καὶ τοὺς συνοίκους αὐτῶν τρέφεσθαι χρή· ὡς Σαμουὴλ διετάξατο πρὸς τὸν λαὸν περὶ τοῦ βασιλέως, ἐν τῇ πρώτῃ τῶν βασιλειῶν, καὶ Μωσῆς περὶ τῶν ἱερέων ἐν τῷ Λευιτικῷ, οὕτω καὶ ἡμεῖς ὑμῖν περὶ τῶν ἐπισκόπων διατασσόμεθα. εἰ γὰρ ἐκεῖ πλῆθος τηλικούτου βασιλέως ἀναλόγως τὰς ὑπηρεσίας ἐδίδου, πόσῳ μᾶλλον οὐχὶ καὶ νῦν ὁ ἐπίσκοπος λαμβάνειν ὀφείλει παρ' ὑμῶν τὰ ἐκ τοῦ Θεοῦ αὐτῷ ὡρισμένα πρὸς διατροφὴν αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ κληρικῶν; εἰ δὲ δεῖ καὶ τὶ προσθῆναι τῷ λόγῳ· πλεῖον οὗτος λαμβανέτω, ἢ ἐκεῖνος τὸ παλαιόν. ὁ μὲν γὰρ στρατιωτικὰ μόνα διεῖπε, πόλεμον καὶ εἰρήνην ἀναδεδεγμένος εἰς φυλακὴν σωμάτων, ὁ δὲ, τὴν εἰς Θεὸν ἱερωσύνην, σῶμα καὶ ψυχὴν παραιτούμενος κινδύνων· ὅσῳ τοίνυν ψυχὴ σώματος κρείττων, τοσούτῳ ἱερωσύνη βασιλείας· δεσμεύει γὰρ αὐτὴ, καὶ λύει τοὺς τιμωρίας ἢ ἀφέσεως ἀξίους· διὸ τὸν ἐπίσκοπον στέργειν ὀφείλετε ὡς πατέρα, φοβεῖσθαι ὡς βασιλέα· τιμᾷν ὡς κύριον, τοὺς καρποὺς ὑμῶν καὶ τὰ ἔργα τῶν χειρῶν ὑμῶν εἰς εὐλογίαν ὑμῶν προσφέροντες αὐτῷ. τὰς ἀπαρχὰς ὑμῶν, καὶ τὰς δεκάτας ὑμῶν, καὶ τὰ ἀφαιρέματα ὑμῶν καὶ τὰ δῶρα ὑμῶν διδόντες αὐτῷ ὡς ἱερεῖ Θεοῦ ἀπαρχὴν σίτου, οἴνου, ἐλαίου, ὀπώρας, ἐρέας, καὶ πάντων ὧν κύριος, ὁ Θεὸς ἐπιχορηγεῖ ὑμῖν. καὶ ἔσται σοι ἡ προσφορά σου δεκτὴ εἰς ὀσμὴν εὐωδίας κυρίῳ τῷ Θεῷ σου· καὶ εὐλογήσει κύριος τὰ ἔργα τῶν χειρῶν σου· καὶ πληθυνεῖ τὰ ἀγαθὰ τῆς γῆς σου· ἐπείπερ εὐλογία εἰς κεφαλὴν τοῦ μεταδιδόντος.

Ὅτι παρακελεύονται οἱ νόμοι καρποφορεῖν· ὡσαύτως καὶ τὸ εὐαγγέλιον.

ΚΕΦΑ'Λ. λε'.

ΧΡὴ δὲ ὑμᾶς γινώσκειν, ὅτι εἰ καὶ ἐρρύσατο ὑμᾶς κύριος τῆς δουλείας τῶν ἐπεισάκτων δεσμῶν, καὶ ἐξήγαγεν ὑμᾶς εἰς ἀνάψυξιν, μηκέτι ἐάσας ὑμᾶς θύειν ἄλογα ζῶα περὶ ἁμαρτιῶν καὶ καθαρισμοῦ καὶ ἀποπομπαίων καὶ λουτρῶν συνεχῶν καὶ περιραντηρίων, οὐ δήπου καὶ τῶν εἰσφορῶν ὑμᾶς ἠλευθέρωσεν, ὧν ὀφείλετε τοῖς ἱερεῦσι, καὶ τῶν εἰς τοὺς δεομένους εὐποιϊῶν. λέγει γὰρ ὁ κύριος ὑμῖν ἐν τῷ εὐαγγελίῳ· ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· οὕτως οὖν πλεονάσει ἡ δικαιοσύνη ὑμῶν, ἐν τῷ πλέον ὑμᾶς πρόνοιαν ποιεῖσθαι τῶν ἱερέων καὶ τῶν ὀρφανῶν καὶ τῶν χηρῶν· ὡς γέγραπται· ἐσκόρπισεν· ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τοὺς αἰῶνας· καὶ πάλιν· ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι· καὶ πάλιν ψυχὴ εὐλογημένη πᾶσα ἁπλῆ· οὕτως οὖν ποιήσεις σὺ, ὡς ὁ κύριος διετάξατο· καὶ δώσεις τῷ ἱερεῖ τὰ ὀφειλόμενα αὐτῷ, ἀπαρχὴν ἅλωνος καὶ ληνοῦ καὶ περὶ ἁμαρτιῶν ὡς μεσίτῃ Θεοῦ καὶ τῶν δεομένων καθάρσεως, καὶ παραιτήσεως· σὲ μὲν γὰρ διδόναι προσήκει, οἰκονομεῖν δὲ ἐκεῖνον ἅτε οἰκονόμον, καὶ διοικητὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων· οὐ μέν τοι λογιστεύσεις σου τὸν ἐπίσκοπον· οὐ δὲ παρατηρήσεις τὴν οἰκονομίαν αὐτοῦ, πῶς ἐπιτελεῖ· ἢ πότε· ἢ τίσιν· ἢ πῦ· ἢ εἰκαλῶς· ἢ φαύλως· ἢ δεόντως· ἔχει γὰρ λογιστὴν κύριον τὸν Θεὸν τὸν ἐγχειρίσαντα εἰς τὰς χεῖρας αὐτοῦ, τὴν οἰκονομίαν ταύτην· καὶ καταξιώσαντα αὐτὸν τῆς ἱερωσύνης τοῦ τηλικούτου τόπου.

Ὑπόμνησις τῶν δέκα τοῦ Θεοῦ λογίων, καὶ ὅπως, αὐτὰ ἐνταῦθα διαγορεύουσι.

ΚΕΦΑ'Λ. λϛ'.

ΠΡὸ ὀφθαλμῶν ἔχε τὸν τοῦ Θεοῦ φόβον, πάντοτε μεμνημένος τῶν δέκα τοῦ Θεοῦ λογίων· ἀγαπᾷν κύριον τὸν Θεὸν τὸν ἕνα καὶ μόνον ἐξ ὅλης τῆς ἰσχύος· μὴ προσανέχειν εἰδώλοις, ἤ τισιν ἑτέροις· ὡς θεοῖς ἀψύχοις· ἢ ἀλόγοις· ἢ δαίμοσιν· γίνωσκε δημιουργίαν Θεοῦ διάφορον, ἀρχὴν λαβοῦσαν διὰ Χριστοῦ· καὶ σαββατιεὶς διὰ τὸν παυσάμενον μὲν τοῦ ποιεῖν, οὐ παυσάμενον δὲ τοῦ προνοεῖν, σαββατισμὸν μελέτης νόμων, οὐ χειρῶν ἀργίαν· πᾶσαν ἔκνομον ἐπιθυμίαν ἄπωσαι· πᾶσαν λύμην τὸν ἐπὶ διαφθορᾶς ἀνθρώπων· πᾶσαν ὀργήν· γονεῖς τίμα ὡς αἰτίους γενέσεως· ἀγάπα τὸν πλησίον σου ὡς σεαυτόν· κοινώνει βίου τοῖς δεομένοις· ἐπιορκίαν καὶ πολυορκίαν μάταιον φεῦγε, οὐ γὰρ ἀθωωθήσῃ· μὴ ὀφθῆς παρὰ τοῖς ἱερεῦσι κενός· καὶ τὰ ἐκούσιά σου ἐνδελεχίζων πρόσφερε, καὶ τῆς Χριστοῦ ἐκκλησίας

μὴ

μὴ ἀπολίπῃ, ὁρθείζων εἰς αὐτὸν πρὸ πάντος ἔργου. καὶ πάλιν ἐσπέρας εἰς αὐτὸν ἅπαντα, ἀχαριστῶν Θεῷ ὑπὲρ ὧν σοι τὸν ζωὸν κεχάρισται· ἐργοπόνει· συνδελέχιζε· κοπία· προσφέρε κυρίῳ τὰ ἐκκόπτοντα· τίμα γάρ, φησὶ, τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων· εἰ εἰς τὸν κορβανᾶν δύνασαι βάλλειν, κἂν κοινώνει τοῖς ξένοις σὺ, ἢ δύο, ἢ πέντε λεπτά· θησαύριζε σαυτῷ τὸν ἐράνιον πλοῦτον ὃν ἔτι σῆς, ἔτε κλέπται λυμαίνονται· καὶ ποιῶν ὅπω, μὴ κεῖναι τὸν ἐπίσκοπόν σε ἢ τὸν συλλαϊκόν· ἐὰν γάρ κείνης τὸν ἀδελφὸν, κειτὴς ἐγκύμων μηδένός σε προκενεσαμβύνῃ· τοῖς γὰρ ἱερεῦσιν ἐπέταξαν κρίνειν μόνοις· ὅτι εἴρηται αὐτοῖς, κρίμα δίκαιον κρίνατε. καὶ πάλιν, γίνεσθε ἔμπειζεῖται δόκιμοι· ὑμῖν γὰρ ἐκ ἐπιτέτραπται· τἐναντίον γὰρ εἴρηται τοῖς ἔξω τῆς ἀξιώματος τῆς δικαστικοῦ, ἢ διδασκαλικῆς ὑπάρχουσι, μὴ κρίνετε, * καὶ ἵ μὴ κριθήσεσθε. * Ματθ. ζ.

Περὶ κατηγόρων καὶ συκοφαντῶν. καὶ ὅπως χρὴ μὴ προχείρως πιστεύειν ἢ ἀπιστεῖν τούτοις τὸν κριτὴν. ἀλλὰ μετὰ ἀκριβοῦς ἐξετάσεως.

ΚΕΦΑΛ. λζ'.

Τὸν μὲν τοι ἐπίσκοπον δεῖ κρίνειν ὀρθῶς, καθὼς γέγραπται, τὴν δικαίαν κρίσιν κρίνατε· καὶ ἀλλαχοῦ, τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον; γίνεσθε οὖν ὡς ἀργυρόνομοι ἐπιστήμονες· καθάπερ γάρ ὅτοι τὰ φαῦλα τῶν νομισμάτων ἀποκρίνουσι, τὰ δὲ δόκιμα οἰκειοῦνται, τὸν αὐτὸν δὴ τρόπον καὶ τὸν ἐπίσκοπον χρὴ, τὰ μὲν ἄμωμα κατέχειν· τὰ δὲ ἐπίμωμα ἢ θεραπεύειν, ἢ ἀνιάτως νοσοῦντα ἀπορρίπτειν· καὶ μὴ ταχέως κρίνειν, μηδὲ οἷς δή ποτε πιστεύειν· ἐγχωρεῖ γάρ τινας καὶ διὰ ζῆλον ἢ φθόνον κατά τινος ἀδελφοῦ συνήσασθαι ψευδῆ κατηγορίαν· ὡς οἱ δύο πρεσβύτεροι ἐπὶ τῆς Σωσάννης ἐν Βαβυλῶνι, καὶ ἡ Αἰγυπτία ἐπὶ τοῦ Ἰωσὴφ· σὺ δὲ ὡς Θεοῦ ἄνθρωπος τὰ τοιαῦτα μὴ προχείρως παραδέχου, ἵνα μὴ ἀνέλῃς τὸν ἀθῷον καὶ ἀποκτείνῃς τὸν δίκαιον· ὁ γὰρ τοιαῦτα παραδέχεσθαι θέλων, ὀργῆς πατήρ ἐστι μᾶλλον ἢ εἰρήνης· ὅπου δὲ ὀργὴ, ἐκεῖ ὁ κύριος οὐκ ἔστιν· ἡ γὰρ ὀργὴ τοῦ Σατανᾶ ὑπάρχουσα φίλη. λέγω δὲ, ἡ παρὰ τὸ δίκαιον κινουμένη διὰ τοὺς ψευδαδέλφων, οὐδέποτε ἀφίησι γενέσθαι ὁμόνοιαν ἐν τῇ ἐκκλησίᾳ· ὅθεν ἐπιγινώσκοντες τοὺς τοιούτους ἄφρονας, ἐριστὰς, ζηλωτὰς, χαιρεσικάκους, μὴ πιστεύετε αὐτοῖς· ἀλλὰ καὶ παρατηρεῖσθε τοὺς τοιούτους, ἀκούοντές τι παρ' αὐτῶν κατὰ ἀδελφοῦ· ὅτι οὐδὲν ἐν ὀφθαλμοῖς αὐτῶν φόνος· καὶ οὗ τις αὐτῶν ὑπονοεῖ, καταβάλλουσιν ἄνδρα· σὺ οὖν πρόσεχε τῷ κατηγορηθέντι, ἐν σοφίᾳ παρατηρῶν τὸν ἀναστροφὴν αὐτοῦ, τίς καὶ ὁποία τυγχάνει· καὶ εἰ εὕροις αὐτὸν ἀληθεύοντα, κατὰ τὸν τοῦ κυρίου διδαχὴν ποίησον· καὶ μόνον παραλαβὼν τὸν κατηγορηθέντα, ἔλεγξον αὐτὸν, ὅπως μετανοῇ, μηδενός σοι συμπαρόντος· εἰ δὲ ὁ πειθοίη, γενόμενος δεύτερος, ἢ τρίτος, οὕτως αὐτῷ ὑπόδειξον τὸ πλημμέλημα νουθετήσας αὐτὸν ἐν πραότητι καὶ παιδείᾳ· ὅτι ἐν καρδίᾳ ἀγαθῇ ἀναπαύσεται σοφία· ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγνώσεται.

Ὅτι χρὴ τοὺς ἁμαρτάνοντας ἰδιαζόντως ἐξελέγχειν· καὶ τοὺς μετανοοῦντας προσδέχεσθαι κατὰ τὸν τοῦ κυρίου διάταξιν.

ΚΕΦΑΛ. λη.

Ἐὰν οὖν πειθῇ ἐπὶ σώματος τῶν τεκνῶν ὑμῶν, εὖ ἂν ἔχοι· εἰ δέ τις σκληρύνοιτο, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης· καὶ μηκέτι αὐτὸν ὡς Χριστιανὸν παραδέχου ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ὡς ἐθνικὸν παραιτοῦ· εἰ δὲ βούλοιτο μετανοεῖν, προσλαμβάνου· οὐδὲ γὰρ τὸν ἐθνικὸν, ἢ τὸν τελώνην εἰς κοινωνίαν παραδέχεται ἡ ἐκκλησία πρίν γε μεταγνῷ ἕκαστος αὐτῶν ἐκ τῶν προτέρων ἀσεβημάτων· τοῖς γὰρ μεταμελομένοις τόσον μετανοίας ὤρισεν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ Θεοῦ.

Παραδείγματα ἐπὶ μετανοίας.

ΚΕΦΑΛ. λθ'.

Καὶ γὰρ ἐγὼ Ματθαῖος εἷς τῶν δώδεκα ἐν τῇ δὲ τῇ διδασκαλίᾳ λαλούντων ὑμῖν εἰμὶ ἀπόστολος, καὶ αὐτὸς ὢν τελώνης μὲν πρότερον, νυνὶ δὲ διὰ τοῦ πιστεύειν ἠλεημένος, μετεγνωκώς τε τῶν προτέρων πράξεων· καὶ ἠξιωμένος ἀπόστολος εἶναι καὶ κήρυξ τοῦ λόγου· καὶ Ζακχαῖος, ὃν ὁ κύριος προσελάβετο ἐν μετανοίᾳ δεηθέντι αὐτοῦ, ὁμοίως καὶ αὐτὸς τελώνης τὸ πρότερον ὑπῆρχεν· ἤδη δὲ καὶ στρατιῶται καὶ τελωνῶν ὄχλος προσελθόντες τῷ κυρίῳ περὶ μετανοίας λόγῳ, ἀκούσαι παρὰ τοῦ προφήτου Ἰωάννου μετὰ τὸ βάπτισμα, μηθὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν ποιεῖτε· ὁμοίως δὲ καὶ τοῖς ἐθνικοῖς ὐκ ἀπέγνωσαι ἡ ζωὴ, ἐὰν μετανοήσαντες, τὴν ἀπιστίαν ἀποβάλωσιν· ὡς τελώνιον οὖν ἦν ἐθνικὸν ἔχε τὸν ἐπὶ κακῷ ἔργῳ ἐλεγχθέντα, καὶ μὴ μεταγινώσκοντα· ἐὰν δὲ ὕστερον μετανοῇ καὶ ἐπιστρέφῃ ἐκ τῆς πλάνης, ὡς καὶ τοὺς ἐθνικοὺς ὁπόταν θέλωσι μετανοεῖν, εἰς ἐκκλησίαν προσδεχόμεθα, ὅπως τῷ λόγῳ ἀκούσωσιν, ἵ μὴ κοινωνῶμεν αὐτοῖς, μέχρις ἂν τὴν σφαγίδα λαβόντες τελειωθῶσιν, οὕτω καὶ τοῖς τοιούτοις, μέχρις ἂν μετανοίας καρπὸν ἐπιδείξωσιν ἐπιξέπομεν εἰσέρχεσθαι, ὅπως τῷ λόγῳ ἀκούοντες, μὴ τελέως ἀπόλωνται· μὴ κοινωνήσαντες δὲ ἐν τῇ προσευχῇ, ἀλλ' ἐξερχέσθωσαν μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τοῦ εὐαγγελίου· ὅπως διὰ τοῦ ἐξιέναι βελτιωθῶσι τὴν ἀναστροφὴν τοῦ βίου, σπουδάζοντες περὶ τὰς σωτηρίους ἀπαντᾶν ὁσημέραι, καὶ τῇ δεήσει σχολάζειν, ὅπως καὶ αὐτοὶ δωρηθῶσιν εἰς δεχθῆναι· καὶ οἱ θεώμενοι αὐτοὺς καταπυγῶσι, καὶ ἀσφαλέστεροι γένωνται λαβόμενοι τοῖς ὁμοίοις περιπεσεῖν.

Ὅτι οὐ χρὴ ἐχθρωδῶς διακεῖσθαι περὶ τὸν ἅπαξ ἢ δὶς περὶ ἁμαρτάνοντα.

ΚΕΦΑΛ. μ'.

Οὐ μὴν τοί γε βδελύξῃ τὸν περιπεσόντα σοὶ καὶ δὶς περὶ σφάλματι ὦ ἐπίσκοπε· οὐδὲ κωλύ-

σεις

σεις αὐτὸν τοῦ κυριακοῦ λόγου· οὐδὲ κοινῆς διαίτης αὐτὸν ἐξώσεις· ἐπείπερ οὐδὲ ὁ κύριος παρῃτεῖτο μετὰ τῶν τελωνῶν ἐσθίειν καὶ τῶν ἁμαρτωλῶν· καὶ ὑπὸ φαρισαίων ἐγκαλούμενος περὶ τούτου ἔλεγεν. οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· τοῖς οὖν δι' ἁμαρτίας ἀφορισθεῖσι παρ' ὑμῶν, καὶ συναναστρέφεσθε καὶ συναυλίζεσθε, ἐπιμελούμενοι, παρακαλοῦντες, ὑποστηρίζοντες, λέγοντες αὐτοῖς, ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα· παρακαλεῖν γὰρ χρὴ τοὺς πενθοῦντας· καὶ τοῖς ὀλιγοψυχοῦσι προθυμίαν διδόναι· ὅπως μὴ τῇ ἀμετρίᾳ τῆς λύπης εἰς ἀφροσύνην χωρήσωσιν· ἐπείπερ ὀλιγόψυχος ἰσχυρῶς ἄφρων.

Ὅπως δεῖ προσίεσθαι τὸν μετανοοῦντα, καὶ ὅπως διαγίνεσθαι πρὸς ἁμαρτάνοντας, καὶ πότε ἐκκόπτει τῆς ἐκκλησίας.

ΚΕΦΑΛ. μά.

Εἰ δέ τις ἐπιστραφεὶς μετανοίας καρπὸν ἐπιδείξηται, τότε καὶ εἰς προσευχὴν εἰσδέξασθε αὐτὸν ὡς τὸν υἱὸν τὸν ἀπολωλότα, τὸν ἄσωτον, τὸν μετὰ πορνῶν μειώσαντα τὴν πατρικὴν οὐσίαν· τὸν χοίρους βόσκοντα, καὶ κερατίων ἐμπλησθῆναι ἐπιθυμοῦντα καὶ μὴ τυγχάνοντα· μεταγνόντα καὶ παλινδρομήσαντα πρὸς τὸν πατέρα, καὶ εἰπόντα, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος καλεῖσθαι υἱός σου, μετὰ μουσικῶν ὁ φιλότεκνος πατὴρ προσελάβετο· καὶ τὴν ἀρχαίαν στολὴν, καὶ τὸν δακτύλιον, καὶ τὰ ὑποδήματα ἀποδοὺς, σφάξας τε τὸν σιτευτὸν μόσχον ηὐφραίνετο μετὰ τῶν φίλων· οὕτως οὖν καὶ σὺ ποίει ὦ ἐπίσκοπε, ἀλλ' ὥσπερ τὸν ἐθνικὸν λούσας εἰσδέχῃ μετὰ τὴν διδασκαλίαν, οὕτω καὶ τοῦτον χειροθετήσας ὡς ἂν μετανοίᾳ κεκαθαρισμένον, πάντων ὑπὲρ αὐτοῦ προσευχομένων, ἀποκαταστήσεις αὐτὸν εἰς τὴν ἀρχαίαν αὐτοῦ νομήν· καὶ ἔσται αὐτῷ ἀντὶ τοῦ λούσματος ἡ χειροθεσία· καὶ γὰρ διὰ τῆς ἐπιθέσεως τῶν ἡμετέρων χειρῶν ἐδίδοτο πνεῦμα ἅγιον τοῖς πιστεύουσι· κἄν τις τῶν μὴ σεσαλευμένων ἀδελφῶν αὐτοῦ ἐπεγκαλέσῃ σοι, ὅτι δὴ κατηλλάγης αὐτῷ, εἰπὲ πρὸς αὐτόν· σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ τὰ ἐμὰ πάντα σά ἐστιν· εὐφρανθῆναι δὲ ἔδει καὶ χαρῆναι, ὅτι ὁ ἀδελφός σου οὗτος, νεκρὸς ἦν καὶ ἀνέζησε· καὶ ἀπολωλὼς, καὶ εὑρέθη· ὅτι γὰρ οὐ μόνον προσδέχεται ὁ Θεὸς τοὺς μετανοοῦντας, ἀλλὰ καὶ εἰς τὴν προτέραν ἀξίαν ἀποκαθίστησιν, ἱκανὸς μάρτυς ὁ ἅγιος Δαβὶδ, ὃς μετὰ τὴν εἰς τὸν Οὐρίαν ἁμαρτίαν, ηὔχετο τῷ Θεῷ λέγων· ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με· καὶ πάλιν· ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· μὴ ἀπορρίψῃς μὲ ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. καὶ σὺ οὖν ὡς συμπαθὴς ἰατρὸς, τοὺς ἡμαρτηκότας πάντας θεράπευε, χρώμενος σωτηρίοις πρὸς βοήθειαν ἀγωγαῖς· μὴ μόνον τέμνων, ἢ καίων, ἢ ξηρία προσφέρων, ἀλλὰ καὶ ἐπιδεσμῶν, καὶ μοτῶν, καὶ ἐνιεὶς γλυκέα φάρμακα ἐπουλωτικά, καὶ καταβρέχων λόγοις παρακλητικοῖς· ἐὰν δὲ κοῖλον ᾖ τὸ τραῦμα, θρέψον αὐτὸ ἡδεῖ ἐμπλάστρῳ, ἵνα γεμισθὲν ἴσον τῷ ἀρτίῳ ἀποτελεσθῇ· ἐὰν δὲ ῥυπανθῇ, τότε κάθαρον ξηρίῳ, τουτέστι λόγῳ ἐπιτιμητικῷ· ἐὰν δὲ ὑπέρογκον γένηται, δριμεῖ κολλυρίῳ ἐξομάλισον αὐτὸ, ἀπειλῇ κρίσεως. κἂν νομὴ γένηται, καυτηρίασον αὐτὸ, καὶ τὴν σηπεδόνα ἔκκοψον στιβώσας νηστείαις· ἐὰν δὲ ταῦτα ποιήσῃς, καὶ γνῷς, ὅτι ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστι μάλαγμα ἐπιθῆναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους, ἀλλ' ἐπεκτείνεται ἡ νομὴ, καὶ προλαμβάνει πᾶσαν ἴασιν ὡς ἡ γάγγραινα πᾶν μέλος σήπουσα, τότε μετὰ πολλῆς σκέψεως, καὶ συμβουλίας καὶ ἑτέρων ἰατρῶν ἐμπείρων ἀπόκοψον τὸ διασαπὲν μέλος, ἵνα μὴ τὸ πᾶν διαφθαρῇ σῶμα τῆς ἐκκλησίας· μὴ ῥᾳδίως οὖν ἴσθι πρόχειρος εἰς τὸ ἀποκόπτειν· μηδὲ ταχέως ἐπὶ τὸν μυριόδοντα πρίωνα ὅρμα, ἀλλὰ πρῶτα χρῷ σμίλῃ, τὰ ἀποστήματα διαιρῶν, ὅπως τὸ ἐντὸς ἐγκείμενον αἴτιον τὸ τὸν πόνον ποιοῦν ἐκκριθὲν, ἀναλγὲς τὸ σῶμα τηρήσῃ· ἐὰν δέ τινα ἀμετανοήτως ἔχοντα βλέπῃς καὶ ἀπεσκληκότα, τότε μετὰ λύπης καὶ πένθους ἀνιάτως ἔχοντα, τῆς ἐκκλησίας ἀπόκοπτε· ἐξαρεῖτε γὰρ τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν· καὶ εὐλαβεῖς ποιήσετε τοὺς υἱοὺς Ἰσραήλ. καὶ πάλιν· οὐ λήψῃ πρόσωπον πλουσίου ἐν κρίσει, καὶ πένητα οὐκ ἐλεήσεις ἐν κρίσει, ὅτι τοῦ κυρίου ἡ κρίσις.

Ὅτι χρὴ ἀπροσωπόληπτον εἶναι τὸν κριτήν.

ΚΕΦΑΛ. μβ'.

Ἐὰν δὲ ψευδὴς ᾖ ἡ κατηγορία τῆς διαβολῆς, καὶ ὑμεῖς οἱ ποιμένες σὺν τοῖς διακόνοις τὸ ψεῦδος ὡς ἀλήθειαν παραδέξησθε, ἢ διὰ προσωποληψίαν, ἢ διὰ δώρων ἐξαλλαγὴν, βουλόμενοι τὸ ἀρεστὸν τῷ διαβόλῳ ποιεῖν, τὸν κατηγορούμενον μὲν, ὑπάρχοντα δὲ τοῦ ἐγκλήματος ἀλλότριον ἀπώσησθε τῆς ἐκκλησίας, λόγον ὑφέξετε ἐν πῇ ἡμέρᾳ κυρίου· ὅτι γέγραπται, ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς· οὐ λήψῃ δῶρα πατάξαι ψυχήν. τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν· καὶ λυμαίνεται ῥήματα δίκαια· καὶ πάλιν· οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες. προσέχετε οὖν μήπως προσωπολῆπται γενόμενοι ὑποπέσητε τῇ φωνῇ τοῦ κυρίου ταύτῃ· φυλάσσεσθε οὖν τὸ κατακρίνειν τινὰς ἀδίκως, καὶ συνηγορεῖν τοῖς πονηροῖς· οὐαὶ γὰρ τῷ λέγοντι τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν· τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν· τῷ τιθέντι τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· ἐὰν γὰρ ἑτέρους ἀδίκως κατακρίνητε, καθ' ἑαυτῶν ἀποφαίνεσθε· ὅτι λέγει κύριος, ᾧ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ᾧ καταδικάζετε, καταδικασθήσεσθε. εἰ οὖν ἀπροσωπολήπτως κρίνετε, ἐπιγνώσεσθε τὸν κατηγοροῦντα κατὰ τοῦ πλησίον αὐτοῦ μαρτυρήσαντα ψευδῆ· καὶ ἐπιδείξας αὐτὸν συκοφάντην, βάσκανον, φονέα, ταράσσοντα ὡς κακὸν ἀντιλογίαις· ἄστατον ἐν τοῖς λόγοις, ἑαυτῷ ἐναντίον ἐφ' οἷς φθέγγεται, καὶ ἁλισκόμενον ῥήμασιν ἰδίου στόματος· παγὶς γὰρ αὐτῷ ἰσχυρὰ ἐφέστηκε τὰ ἴδια χείλη· ὃν μετὰ τοὺς ἐλέγχους τῆς ψευδολογίας κρινῆς ἀποτόμως· καὶ τῇ μαχαίρᾳ τοῦ πυρὸς παραδώσεις· καὶ ποιήσῃς αὐτῷ, ὃν τρόπον ἐπονηρεύσατο ποιῆσαι τῷ πλησίον· ὅσον γὰρ ἐλάλησεν ἐπ' αὐτῷ, ἐφόνευσε τὸν ἀδελφὸν προλαβὼν τὰ ὦτα τοῦ κριτοῦ. γέγραπται δὲ, ὅτι ὁ ἐκχέων αἷμα ἀνθρώπου,

πυ, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται. καὶ ἐξαρεῖς τὸ αἷμα τὸ ἀναίτιον ἀπὸ σοῦ τὸ ἐκχυθὲν μάτην.

Ὅπως χρὴ τοὺς συκοφάντας τιμωρεῖσθαι.

ΚΕΦΑΛ. μγ΄.

ΠΟιήσεις οὖν αὐτὸν ἀποσυνάγωγον ὡς φονέα ἀδελφοῦ. ἔπειτα χρόνου διαστάντος ἐὰν λέγῃ μετανοεῖν, στιβώσατε αὐτὸν νηστείαις· καὶ μετὰ ταῦτα χειροθετήσαντες αὐτὸν, προσδέξασθε, ἀσφαλισάμενοι μέντοι αὐτόν· μή τινα ταράξῃ πάλιν. εἰ δὲ πάλιν εἰσελθὼν ὁμοίως στασιάζει οὐ παυόμενος τοῦ ταράσσειν, καὶ κατακερτομεῖν τὸν ἀδελφὸν, ἐκ φιλονικείας μώμους ἐπιτηδεύων, ἐκβαλεῖτε αὐτὸν ὡς λοιμόν· ἵνα μὴ τὴν ἐκκλησίαν λυμαίνηται τοῦ Θεοῦ· ὁ τοιοῦτος γὰρ ταραχὰς συνίστησι πόλεσιν, οὗτος γὰρ κἂν ἔσω ᾖ μὴ πρέπων τῇ ἐκκλησίᾳ, περισσὸς καὶ μάταιος τυγχάνει, σπιλῶν, ὅσον τὸ ἐπ' αὐτῷ, τὸ σῶμα τοῦ Χριστοῦ. εἰ γάρ τινες τῶν ἀνθρώπων μενώμενοι καὶ περισσὰ τῶν σωμάτων μέλη προσηρτημένα ἔχοντες, οἷον δακτύλους, ἢ ὑπερσαρκώματα, περικόπτουσιν ἀφ' ἑαυτῶν ταῦτα διὰ τὴν ἀπρέπειαν, καὶ οὐδεμία προσγίνεται ἀπρέπεια ἀπολαβόντος τοῦ ἀνθρώπου διὰ τοῦ τεχνίτου τὴν φυσικὴν εὐκοσμίαν, πόσω μᾶλλον ὑμεῖς οἱ ποιμένες τῆς ἐκκλησίας ὑπαρχούσης σώματος ἀρτίου καὶ μελῶν ὑγιεινῶν ἐπὶ Θεὸν πιστευόντων ἐν φόβῳ κυρίου καὶ ἀγάπῃ, ὅταν εὑρεθῇ ἓν μέλος περισσὸν, πονηρὰ φρονοῦν καὶ τῷ λοιπῷ σώματι ἀπρέπειαν ἐμποιοῦν καὶ χειμάζον αὐτὸ στάσει καὶ μάχῃ καὶ καταλαλιᾷ, παρέχον αὐτῷ φόβους, πράγματα, μώμους, καταλαλιάς, ἐγκλήματα, ἀκαταστασίας, καὶ τὰ τοιαῦτα τοῦ διαβόλου ἐνεργήματα ἐκτελῶν, ὡσὰν κεχειροτονημένος ὑπὸ τοῦ διαβόλου σκυβαλίζειν τὴν ἐκκλησίαν διὰ βλασφημιῶν καὶ πολλῆς ἀκαστασίας καὶ ἔριδος καὶ διχοστασίας. οὗτος οὖν δεύτερον ἔξω τῆς ἐκκλησίας βληθεὶς ἀξίως ἀπετμήθη τῆς τοῦ Κυρίου συναγωγῆς· καὶ μᾶλλον νῦν κεκόσμηται ἡ τοῦ Κυρίου ἐκκλησία ἢ τὸ πρῶτον, ὅτε τὸ περιττὸν ἐκέκτητο καὶ ἑαυτῇ ἀνοίκειον μέλος· διὸ ἀπὸ τοῦ νῦν ἀβλασφήμητός ἐστι καὶ ἀσκυβάλιστος πονηρῶν ἀπαλλαγεῖσα, δολίων, λοιδόρων, ἀνημέρων, προδοτῶν, μισοκάλων, φιληδόνων, κενοδόξων, ἀπατηλῶν, δοξοσόφων, ἔργον θεμένων διασπείρειν, μᾶλλον δὲ διασκορπίζειν τὰ τοῦ κυρίου ἀρνία. σὺ οὖν, ὦ ἐπίσκοπε, σπούδαζε ἅμα τῷ ὑπό σε κλήρῳ ὀρθοτομεῖν τὸν λόγον τῆς ἀληθείας, ὅτι λέγει Κύριος· ἐὰν πλάγιοι πορεύεσθε πρός με, κἀγὼ πρὸς ὑμᾶς πλαγίως πορεύσομαι. καὶ ἀλλαχοῦ· μετὰ ὁσίου ὁσιωθήσῃ· καὶ μετὰ ἀθώου ἀθῶος ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. ὁσίως οὖν πορεύεσθε, ἵνα μᾶλλον ἐπαίνου καταξιωθῆτε ὑπὸ τοῦ κυρίου, ἢ μέμψεως ἐκ τοῦ ἐναντίου.

Ὅτι χρὴ τὸν διάκονον ἐπικουφίζειν τὸ βάρος τῶν ἐπισκόπων, καὶ διευθύνειν τὰ κουφότερα.

ΚΕΦΑΛ. μδ΄.

Ὁ Μόφρονες οὖν ὄντες πρὸς ἀλλήλους, ὦ ἐπίσκοποι, εἰρηνεύετε μετ' ἀλλήλων· συμπαθεῖς, φιλάδελφοι, μετὰ ἀκριβείας ποιμαίνετε τὸν λαόν· ὁμοφρόνως διδάσκοντες τοὺς ὑφ' ὑμᾶς ὁμογνωμονεῖν· καὶ τὸ αὐτὸ περὶ τῶν αὐτῶν δοξάζειν, ὅπως μὴ ᾖ ἐν ὑμῖν σχίσματα. ἦτε δὲ ἓν σῶμα καὶ ἓν πνεῦμα κατηρτισμένοι τῷ αὐτῷ νοΐ, καὶ τῇ αὐτῇ γνώμῃ κατὰ τὴν κυριακὴν θέσιν. καὶ πάντα μὲν ὁ διάκονος τῷ ἐπισκόπῳ ἀναφερέτω, ὡς ὁ Χριστὸς τῷ πατρί· ἀλλ' ὅσα δὲ δύναται, εὐθυνέτω δι' ἑαυτοῦ λαβὼν παρὰ τοῦ ἐπισκόπου τὴν ἐξουσίαν ὡς ὁ κύριος παρὰ τοῦ πατρὸς τὸ δημιουργεῖν, καὶ τὸ προνοεῖν. τὰ δ' ὑπέρογκα ὁ ἐπίσκοπος κρινέτω. πλὴν ἔστω ὁ διάκονος τοῦ ἐπισκόπου ἀκοὴ καὶ ὀφθαλμὸς, καὶ στόμα, καρδία τε, καὶ ψυχή· ἵνα μὴ ᾖ τὰ πολλὰ μεριμνῶν ὁ ἐπίσκοπος, ἀλλὰ μόνα τὰ κυριώτερα· ὥσπερ καὶ ὁ Ἰωθὼρ τῷ Μωϋσεῖ διετάξατο, καὶ ἀπεδέχθη αὐτοῦ ἡ συμβουλία.

Ὅτι μὴ προσῆκον Χριστιανοῖς ἀντιλογίαι καὶ διαπληκτισμοί.

ΚΕΦΑΛ. με΄.

ΚΑλὸν μὲν οὖν ἐστι τῷ Χριστιανῷ ἐγκώμιον πρὸς μηδένα ἔχειν πράγματα· εἰ δὲ ἔκτινος ἐνεργείας, ἢ πειρασμοῦ ἐπισυμβῇ τινι πρᾶγμα, σπουδαζέτω διαλύεσθαι αὐτὰ, κἂν δέῃ βλαβῆναί τι· καὶ μὴ ἐρχέσθω ἐπὶ κριτήριον ἐθνικόν· ἀλλαμὴν μὴ δὲ ἀνέχεσθε κοσμικοὺς ἄρχοντας κατὰ τῶν ὑμετέρων δικάζειν. διὰ γὰρ αὐτῶν ὁ διάβολος ἐπιτηδεύει τοῖς δούλοις τοῦ Θεοῦ, καὶ ὄνειδος ἐπεγείρει ὡς μὴ ἐχόντων ὑμῶν ἕνα σοφὸν τὸν δυνάμενον μεταξὺ βραβεῦσαι τὸ δίκαιον· ἢ τὰς ἀντιλογίας διαλῦσαι.

Ὅτι οὐ χρὴ τοὺς πιστοὺς ἐπὶ τῶν ἀπίστων δικάζεσθαι· οὔτε μὴν ἐξ αὐτῶν τινὰ καλεῖν εἰς μαρτυρίαν τὴν κατὰ Χριστιανῶν.

ΚΕΦΑΛ. μς΄.

ΜΗ' οὖν γινωσκέτωσαν τὰ ἔθνη τὰς πρὸς ἀλλήλους ὑμῶν διαφοράς· μήτε καθ' ἑαυτῶν εἰς μαρτυρίαν παραδέχεσθε τοὺς ἀπίστους· μήτε κρίνεσθε ἐπ' αὐτῶν· μήτε ὀφείλετέ τι τούτοις πρὸς συντέλειαν ἢ φόβον. ἀλλὰ ἀπόδοτε τὰ Καίσαρος Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ· οἷον φόρον, ἢ κῆνσον, ἢ διδραγμον. ὡς καὶ ὁ κύριος ἡμῶν δοὺς τὸν στατῆρα, ἀπηλλάγη πραγμάτων. αἱροῦ οὖν μᾶλλον βλάπτεσθαι καὶ τὰ πρὸς εἰρήνην σπουδάζειν· οὐ μόνον πρὸς τοὺς ἀδελφοὺς, ἀλλὰ καὶ πρὸς τοὺς ἀπίστους· βλαβεὶς γὰρ τῶν βιωτικῶν τι, τὰ πρὸς Θεὸν οὐ ζημιωθήσῃ, ἅτε θεοσεβὴς ὑπάρχων, καὶ κατ' ἐντολὴν Χριστοῦ ζῶν. εἰ δὲ οἱ ἀδελφοὶ εἰς ἀλλήλους ἔχουσιν, ὃ μὴ γένοιτο, αὐτόθεν νοεῖν ὀφείλετε οἱ προηγούμενοι, ὅτι οἱ τοιοῦτοι οὐκ ἀδελφῶν ἐν Κυρίῳ ἔργον ἐπιτελοῦσιν, ἀλλὰ

μᾶλ-

μᾶλλον ἐχθρῶν πολεμίων. καὶ εἷς μὲν αὐτῶν εὑρεθήσεται ἤπιος, ἐπιεικὴς, φωτὸς τέκνον, ἕτερος δὲ ἀνήμερος, αὐθάδης, πλεονέκτης· ὁ οὖν καταγινωσκόμενος ἐπιτιμάσθω· ἀφωριζέσθω· δίκην τῆς μισαδελφίας τιννύτω, εἶτα μεταμελόμενος προσλαμβανέσθω καὶ οὕτω σοφρονιζόμενοι ἐπικουφίσουσιν ὑμῖν τὰ κριτήρια. χρὴ δὲ καὶ συγχωρεῖν τὰ εἰς ἀλλήλους ἀδικήματα· οὐ τοὺς κρίνοντας, ἀλλὰ τοὺς ἔχοντας εἰς ἑαυτοὺς, καθὼς ὁ κύριος ἀπεφήνατο ἐμοῦ ἐρωτήσαντος αὐτόν· ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ, ἕως ἑπτάκις; καὶ εἰπόντος, οὐ λέγω σοι, ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά· οὕτως γὰρ θέλει ὁ κύριος ἀληθῶς εἶναι αὐτοῦ μαθητὰς, καὶ μηδὲν ἔχειν κατὰ μηδενὸς πώποτε· οἷον ὀργὴν ἄμετρον, ἢ θυμὸν ἀνήμερον, ἢ ἐπιθυμίαν ἄδικον, ἢ μῖσος ἄσπονδον. τοὺς οὖν ὀργιζομένους συμβιβάζετε εἰς φιλίαν. τοὺς ἐχθραίνοντας εἰς ὁμόνοιαν· ὅτι λέγει κύριος· μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Ὅτι χρὴ ἐν δευτέρᾳ σαββάτων ποιεῖσθαι τὰς δίκας.

ΚΕΦΑΛ. μζ'.

ΤΑ δικαστήρια ὑμῶν γενέσθω δευτέρᾳ σαββάτων, ὅπως ἐὰν ἀντιλογία τῇ ἀποφάσει ὑμῶν γένηται, ἕως σαββάτου ἔχοντες ἄδειαν δυνηθῆτε εὐθῦναι τὴν ἀντιλογίαν, καὶ εἰρηνεῦσαι εἰς τὴν κυριακὴν τοὺς διαφερομένους πρὸς ἀλλήλους. συμπαρέστωσαν δὲ τῷ δικαστηρίῳ καὶ οἱ διάκονοι, καὶ οἱ πρεσβύτεροι ἀπροσωπολήπτως κρίνοντες ὡς Θεοῦ ἄνθρωποι μετὰ δικαιοσύνης· παραγενομένων οὖν ἑκατέρων τῶν προσώπων, καθὼς καὶ ὁ νόμος λέγει, στήσονται ἑκάτεροι ἐν μέσῳ τῷ κριτηρίῳ οἷς ἐστιν ἡ ἀντιλογία· καὶ ἀκούσαντες αὐτῶν, ὁσίως ἀνενέγκατε τὰς ψήφους, σπουδάζοντες αὐτοὺς φίλους ἀμφοτέρους ποιῆσαι πρὶν ἀποφάσεως τῆς τοῦ ἐπισκόπου· ὅπως μὴ ἐξέλθοι ἐπὶ γῆς κρίσις κατὰ τοῦ ἁμαρτήσαντος. καθότι καὶ ἐν τῷ δικαστηρίῳ σύμψηφον ἔχει καὶ συνίστορα τῆς δίκης τὸν Χριστὸν τοῦ Θεοῦ. εἰδέ τινες ἐν βλασφημίαις τοῦ μὴ καλῶς ὁδεύειν ἐν κυρίῳ ἐλέγχοιντο ὑπότινος, ὁμοίως ἀκούσαντες ἑκατέρων τῶν προσώπων τοῦ τε κατηγοροῦντος, καὶ τοῦ κατηγορουμένου, ἀλλὰ μὴ προλήψει, μὴ δὲ μονομερῶς, ἀλλὰ μετὰ δικαιοσύνης ὡς ὑπὲρ ζωῆς αἰωνίου, ἢ θανάτου διδόντες ἀπόφασιν· δικαίως γὰρ, φησὶν ὁ Θεὸς, διώξει τὸ δίκαιον· ὁ γὰρ δικαίως τιμωρηθεὶς καὶ ἀφορισθεὶς παρ' ὑμῶν, αἰωνίου ζωῆς καὶ δόξης ἀπόβλητος γέγονε· καὶ παρ' ἀνθρώποις ὁσίοις ἄτιμος, καὶ παρὰ Θεῷ κατάδικος.

Ὅτι μὴ χρὴ ταυτὴν ἐπάγειν τιμωρίαν ἐπὶ πάσης πλημμελείας, ἀλλὰ διάφορον πρὸς τὸ διάφορον τοῦ ἁμαρτάνοντος.

ΚΕΦΑΛ. μη'.

ΜΗ πάσης δὲ ἁμαρτίας τὴν αὐτὴν ποιεῖσθε ἀπόφασιν· ἀλλ' ἑκάστης ἰδίᾳ μετὰ πολλῆς φρονήσεως κρίνοντες ἕκαστα τῶν πλημμελημάτων· τάτε σμικρὰ καὶ τὰ μεγάλα· καὶ ἄλλως ἔργου, καὶ λόγου πάλιν ἑτέρως καὶ προθέσεως, ἢ λοιδορίας, ἢ ὑπολήψεως διαφόρως. καὶ τοὺς μὲν ὑποβαλεῖς μόναις ἀπειλαῖς, τοὺς δὲ πενήτων χορηγίαις. ἄλλους δὲ νηστείαις στιβώσεις, καὶ ἑτέρους ἀφορίσεις πρὸς τὸ μέγεθος τοῦ ἐγκλήματος αὐτῶν. καὶ γὰρ καὶ ὁ νόμος οὐ παντὸς ἁμαρτήματος τὴν αὐτὴν ἐποιεῖτο τιμωρίαν· ἀλλὰ ἄλλως μὲν τὰ εἰς Θεὸν, καὶ εἰς ἱερέα, καὶ εἰς ἱερὸν, καὶ εἰς ἱερεῖον· ἑτέρως τὰ εἰς βασιλέα, καὶ ἄρχοντα, καὶ στρατιώτην, καὶ ὑπήκοον ὁμότιμον, ἢ οἰκέτην, ἢ εἰς κτῆμα, ἢ εἰς ἄλογον· καὶ πάλιν παρηλλαγμένως τὰ εἰς γονεῖς καὶ συγγενεῖς· ἄλλως τὰ ἐξ ἐφόδου· καὶ τὰ ἀκουσίως ἑτέρως· καὶ τοῖς μὲν θάνατον ἢ διὰ σταυροῦ, ἢ τὸν διὰ λίθων, τοῖς δὲ ζημίαν, ἢ μάστιγας, ἢ τὸ τὰ ὅμοια παθεῖν οἷς ἔδρασεν· οὐκ οὖν καὶ ὑμεῖς τῶν διαφόρων ἁμαρτημάτων διαφόρους ποιεῖσθε καὶ τὰς τιμωρίας, ἵνα μή τις ἀδικία παρεμπεσοῦσα κινήσῃ τὸν Θεὸν πρὸς ἀγανάκτησιν· ἧς γὰρ ἂν ἀδίκου κρίσεως μεσῖται γένησθε, ταύτης καὶ τὸν ἀπὸ Θεοῦ λήψεσθε μισθόν· ὦ γὰρ κρίματι κρίνετε, κριθήσεσθε.

Ὁποίους εἶναι χρὴ τοὺς κατηγόρους, καὶ μάρτυρας.

ΚΕΦΑΛ. μθ'.

ΚΑθίσαντες οὖν ἐπὶ τὸ κριτήριον παρόντων ἑκατέρων τῶν προσώσων, οὐ γὰρ ἐροῦμεν ἀδελφῶν μέχρις οὗ ἑαυτοὺς ἐν εἰρήνῃ ἀπολάβωσιν, ἐρευνᾶτε ἀκριβῶς περὶ τῶν ἐνεχομένων· καὶ πρῶτον περὶ τοῦ κατηγοροῦντος, εἰ πρώτου τούτου κατηγορεῖ· ἢ καὶ ἑτέροις τισὶν ἐγκλήματα κατενήνοχε· καὶ εἰ μὴ ἐκ μέμψεως αὐτῶν ἡ φιλονεικία καὶ τὸ ἔγκλημα ὑπόκειται· καὶ ὁποία τις ἡ ἀναστροφὴ αὐτοῦ ὑπάρχει· καὶ τοιοῦτος δὲ ὢν εὐσυνείδητος, μὴ πιστευέσθω μόνος· παράνομον γὰρ τὸ τοιοῦτον· ἀλλ' ἐχέτω καὶ ἑτέρους μάρτυρας ὁμοίους αὐτῷ τὸν τρόπον· καθὼς ὁ νόμος λέγει· ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα· διατὶ δὲ εἴπομεν τὸν τρόπον αὐτῶν ἐπιζητεῖσθαι ὁποῖος τυγχάνει; ἐπειδὴ πολλάκις ἐγχωρεῖ καὶ τοὺς δύο, καὶ τοὺς πλείονας ἐπὶ κακῷ μαρτυρῆσαι· καὶ συμφώνως προστῆναι τοῦ ψεύδους· ὡς τοὺς δύο πρεσβυτέρους κατὰ Σωσάννης ἐν Βαβυλῶνι· καὶ τοὺς υἱοὺς τῶν παρανόμων κατὰ τοῦ Ναβουθαὶ ἐν Σαμαρείᾳ· καὶ τὸ πλῆθος τῶν Ἰουδαίων κατὰ τοῦ Κυρίου ἐν Γερουσαλήμ. καὶ κατὰ Στεφάνου τοῦ πρωτομάρτυρος αὐτοῦ. ἔστωσαν οὖν οἱ μάρτυρες πραεῖς, ἀόργητοι, ἐπιεικεῖς, ἀγαπητικοὶ, σώφρονες, ἐγκρατεῖς, ἀπόνηροι, πιστοί, θεοσεβεῖς. ἡ γὰρ τῶν τοιούτων μαρτυρία, καὶ διὰ τοῦ τρόπου αὐτῶν βεβαία καὶ διὰ τῆς ἀναστροφῆς αὐτῶν ἀληθὴς ὑπάρχει· τῶν δὲ μὴ τοιούτων μὴ παραδέχεσθε τὴν μαρτυρίαν, κἂν συμφωνεῖν δοκῶσιν ἐπὶ τῇ καταμαρτυρίᾳ· προστέτακται γὰρ ἐν τῷ νόμῳ, οὐκ ἔσῃ μετὰ πολλῶν ἐπὶ κακίᾳ· οὐ παραδέξῃ ἀκοὴν ματαίαν· οὐ συγκαταθήσῃ μετὰ πλήθους ἐκκλῖναι τὸ δίκαιον· ἐν μέρει δὲ καὶ τὸν κρινόμενον εἰδέναι ὀφείλετε, ὁποῖός ἐστι τῇ τοῦ βίου συνηθείᾳ, καὶ ἀναστροφῇ· εἰ μεμαρτυρημένος τὸν βίον, εἰ ἀνέγκλητος, εἰ ὁσιότητα ἐζηλωκώς, εἰ φιλόχηρος, καὶ φιλόξενος, καὶ φιλόπτωχος, καὶ φιλάδελφος· εἰ μὴ αἰσχροκερδής· καὶ μηβρώτης, καὶ χρηματολαίλαψ· εἰσώφρων, καὶ

μὴ

μὴ ἄσωτος, ἢ μέθησος, ἢ ἁρπαγοφάγος ἢ εὔσπλαγχνος ⁊ ἀμεταδότ⊙.

Ὅτι ἐκχωρεῖ τινὰ ⁊ ἐκ προτέρων κακῶν μὴ ἀπισεῖσθαι τὰ δίκαια.

ΚΕΦΑΛ. ν'.

ΕΙ' γὰρ αὐτῷ προϋπόκειται ἔργα φαῦλα ἤδη ἐκ μέρους, ἀληθεῖς ἂν εἶεν ⁊ νῦν ἐπιφερόμενοι αὐτῷ κατηγορίαι, εἰ μὴ ἂν αὐτῷ τὸ δίκαιον ἔχει συναγωνιζόμενον· ἐγκχωρεῖ γὰρ αὐτὸν ἡμαρτηκέναι μίαν ποτε, τότε δὲ τοῦ ἐγκλήματος ἄθωον ὑπάρχειν· διὸ ἀκριβῶς περὶ τοιαῦτα νήφοντες, ἀσφαλεῖς ⁊ βεβαίας ποιεῖσθε τὰς ἀποφάσεις κατὰ τοῦ ἐλεγχθέντος· ⁊ ἐὰν μὴ τὸν ἀφορισμὸν συγγνώμην αἰτῇ, ⁊ προσπέσῃ τῷ ἐπισκόπῳ, ⁊ ἡμαρτηκέναι ὁμολογῇ, προσδέξασθε αὐτόν· μήτε δὲ τὸν συκοφάντην ἀτιμώρητον ἐάσητε, ἵνα μὴ ⁊ ἕτερόν τινα καλῶς βιοῦντα βλασφημήσῃ· ἢ ἕτερόν τινα προβέψηται τὰ ὅμοια αὐτῷ δρᾶσαι· μήτε μὴν τὸν ἐλεγχθέντα ἀνύβριστον· ὅπως μὴ ἕτερος τοῖς αὐτοῖς ἐνοχεθῇ· ὅτε γὰρ μάρτυς κακῶν ἀτιμώρητος ἔσαι· ὅθ' ὁ πλημμελῶν δίκης ἐκτός.

Ὅτι ὁ χρὴ μονομερεῖς τὰς κρίσεις ποιεῖσθαι.

ΚΕΦΑΛ. να'.

ΕΙ' τομὴν δὲ ὅτι τὰς κρίσεις ὁ δίκαιον μονομερεῖς ποιεῖσθαι· ἐὰν γὰρ τοῦ ἑνὸς προσώπου ἀκούσητε μὴ παρόντος τοῦ ἑτέρου, μηδὲ ἀπολογησαμένου πρὸς τὸ ἐπιφερόμενον ἔγκλημα, προπετῶς ἐξενέγκητε ψῆφον κατακρίσεως, ἔνοχοι τῆς ἀναιρέσεως, ⁊ συμμέξεσθαι τῷ συκοφάντῃ παρὰ Θεῷ ἀρεθήσεσθε τῷ δικαίῳ κριτῇ· ὡς γὰρ ὁ κρατῶν κέρκα κυνός, οὕτως ὁ προεσῶς ἀλλοτρίας κρίσεως. ἐὰν δὲ μιμηταὶ γένησθε τῶν ἐν Βαβυλῶνι πρεσβυτέρων, οἵτινες καταμαρτυρήσαντες τῆς Σωσάννης ἀδίκως κατεδίκασαν αὐτὴν εἰς θάνατον, ἔνοχοι τῆς ἐκείνων κρίσεως ⁊ καταδίκης γένησθε, ὅτι τὴν μὴν Σωσάνναν ὁ κύριος διὰ τοῦ Δανιὴλ ἐρρύσατο ἐκ χειρὸς παρανόμων, τοὺς δὲ ἐνόχους τοῦ αἵματος αὐτῆς πρεσβυτέρους ἐν πυρὶ κατέδικασεν· ὑμᾶς δὲ δι' αὐτοῦ ὠνείδησε λέγων, ὅτως μωροὶ οἱ υἱοὶ Ἰσραὴλ· οὐκ ἀνακρίναντες, οὐδὲ τὸ σαφὲς ἐπιγνόντες κατεκρίνατε θυγατέρα Ἰσραὴλ· ἀνασρέψατε δὴν εἰς τὸ κριτήριον· ψευδῆ γὰρ ἔτοι κατεμαρτύρησαν αὐτῆς.

Παράδειγμα τοῦ δικαίου κρίματος ἡ τῶν ἔξωθεν δικασῶν περὶ τὰς ἀποφάσεις ἀσφάλεια.

ΚΕΦΑΛ. νβ'.

ΘΕάσασθε δὲ ⁊ τὰ κοσμικὰ δικαστήρια· ὧν τῇ ὀξυσίᾳ ὁρῶμεν ἀγομένους φονεῖς, μοιχούς, φαρμακούς, τυμβωρύχους, λῃστάς, ⁊ τὰς ἀνακρίσεις αὐτῶν λαβόντες οἱ ἡγεμόνες ὑπὸ τῶν προσαγόντων, λέγουσι τῷ κακούργῳ, εἰ ταῦτα ὅτως ἔχει· κἀκεῖνος συγκατατιθεμένου, οὐκ ἐξ ἑτέρου ἐπὶ πλεῖον τὴν κόλασιν αὐτοῦ ἐκκέμπουσιν, ἀλλὰ πλείοσιν ἡμέραις ποιοῦνται αὐτοῦ τὴν ἐξέτασιν μετὰ συμβουλίου πολλοῦ, ⁊ παραπετάσματος μέσου. τελεώτατον ὅρον ⁊ ψῆφον θανάτου ὁ μέλλων ἐκφέρειν κατ' αὐτοῦ, πρὸς τὸν ἥλιον ἐπάρας τὰς χεῖρας, διαμαρτύρεται ἀθῷος ὑπάρχειν τοῦ αἵματος τοῦ ἀνθρώπου, καί τοι ὄντες ἐθνικοί, ⁊ οὐ γινώσκοντες θεότητα, ἢ τιμὴν εἰς αὐτοὺς ἀπὸ Θεοῦ ἄμωναν ὑπὲρ τῶν ἀναιτίως κατακεκριθέντων, ἀποφεύγουσιν.

Ὅτι μὴ χρὴ κατ' ἀλλήλων ἔχειν τοὺς πιστούς.

ΚΕΦΑΛ. νγ'.

ΥΜεῖς δὲ γινώσκοντες τίς ὁ Θεὸς ἡμῶν ⁊ ὁποῖα τὰ κρίματα αὐτοῦ, πῶς ἂν κατ' ἐπήρειαν δωρήσεταί τινι ἀπόφασιν δοῦναι τῆς κρίσεως ὑμῶν παράχρημα γινωσκομένης Θεῷ; ⁊ εἰ μὴ δικαίως ἐκρίνατε, δικαίων ἀμοιβῶν καταξιωθήσεσθε ⁊ νῦν ⁊ εἰς αὖθις· εἰ δὲ ἀδίκως, πάλιν τῶν ὁμοίων τεύξεσθε· ἡμεῖς μὴν ὄν, ἀδελφοί, συμβουλεύομεν ὑμῖν μᾶλλον ἐπαίνων ἀξιοῦσθαι παρὰ Θεῷ ἢ ψόγων· ὅτι Θεοῦ ἔπαινος ζωὴ αἰώνιος ἀνθρώποις, ὥσπερ ⁊ ὁ ψόγ⊙ θάνατος αἰώνιος· διὸ γίνεσθε δίκαιοι κριταί, εἰρηνοποιοί, ἀόργητοι· ὁ ὀργιζόμενος γὰρ τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ ἔνοχος ἔσαι τῇ κρίσει· εἰ δὲ ⁊ συμβῇ ἐξ ἐνεργείας τινὸς ὀργισθῆναι ὑμᾶς κατά τινος, ὁ ἥλι⊙ μὴ ἐπιδύετω ἐπὶ τῇ ὀργῇ ὑμῶν· ὀργίζεσθε γάρ φησιν ὁ Δαβὶδ, ⁊ μὴ ἁμαρτάνετε· τουτέστι, ταχέως διαλλάσσεσθε, ὅπως ἡ μὴ ἐπίμονος ὀργὴ μνησικακίαν ποιήσηται, ⁊ ἁμαρτίαν ἀπεργάσεται· ψυχαὶ γὰρ μνησικάκων εἰς θάνατον, φησὶν ὁ Σολομών· λέγει δὲ ὁ κύριος ὑμῶν ⁊ σωτὴρ Ἰησοῦς ὁ Χριστὸς ἐν Εὐαγγελίοις· ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, ⁊ ἐκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου· ⁊ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου· ⁊ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου· δῶρον δέ ἐστιν Θεῷ ἡ ἑκάστου προσευχὴ ⁊ ἱκεσία· ἐὰν οὖν ἔχῃς τι κατὰ τοῦ ἀδελφοῦ σου, ἢ αὐτὸς ἔχῃ τι κατὰ σοῦ, ὅτε αἱ προσευχαί σου εἰσακουσθήσονται· ὅτε αἱ ἱκεσίαι προσδεχθήσονται, διὰ τὴν ὑπακειμένην ὀργήν· χρὴ δὲ συνεχῶς προσεύχεσθαι ὑμᾶς ἀδελφοί· ἀλλ' ἐπειδὴ τῶν ἐν ὀργαῖς ἀδίκως ἐχθραινόντων ἀδελφοῖς ὁ Θεὸς οὐκ ἐπακούει· ⁊ ἐὰν ξεῖς τῆς ὥρας προσεύξωνται, χρὴ διαλύειν πᾶσαν ἔχθραν ⁊ μικροψυχίαν, ἵνα δυνώμεθα προσεύχεσθαι καθαρᾷ τῇ καρδίᾳ ⁊ ἀρύπῳ· ⁊ τοίγε ⁊ ἐχθροὺς ὁ κύριος ἀγαπᾶν προσέταξεν, οὐχὶ δὲ ⁊ τοὺς φίλους μισεῖν· ⁊ ὁ νομοθέτης φησίν· οὐ μισήσεις ἄνθρωπον· οὐ μισήσεις τὸν ἀδελφόν σου τῇ διανοίᾳ σου· ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν σου· ⁊ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν· οὐ μισήσεις Αἰγύπτιον, ὅτι πάροικος ἦσθα παρ' αὐτῷ· οὐ μισήσεις Ἰδουμαῖον, ὅτι ἀδελφός σου ἐστὶ, ⁊ ὁ Δαβὶδ λέγει· εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. ὅθεν εἰ Χριστιανὸς θέλεις εἶναι, ἐξακολούθει τῷ τοῦ κυρίου νόμῳ· λύε πᾶσι σιωδεσμον ἀδικίας· ἐπὶ σοὶ γὰρ ὁ κύριος ἐξουσίαν ἔθετο ἀφιέναι ἁμαρτίας τῷ ἀδελφῷ τὰς εἰς σὲ γινομένας, ἕως ἑβδομηκοντάκις ἑπτά· τουτέστι, τεσσαρακοσίας ἐνενήκοντα· ποσάκις δὴν ἤδη ἀφῆκας τῷ ἀδελφῷ σου, ἵνα μὴ θελήσῃς αὐτῷ ἀφιέναι ⁊ νῦν; καί τοι ἀκούσας τοῦ Ἱερεμίου λέγοντος·

τος· ὅτι ἕκαστος τὴν κακίαν τοῦ πλησίον αὐτοῦ μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν· σὺ δὲ μνησικακεῖς, καὶ συντηρεῖς ἔχθραν καὶ ἐπὶ κρίσιν ἔρχῃ καὶ μῆνιν ὑφορᾷ, καὶ ἡ προσευχή σου ἐμποδίζεται. ἀλλ' εἰ καὶ τὰ τετρακόσια ἐνενήκοντα ἀφεὶς τῷ ἀδελφῷ σου, πλεόνασον τὴν ἀοργησίαν ἐπὶ πλεῖον εἰς ἀγαθωσύνην δι' ἑαυτόν· κἂν ἐκεῖνος μὴ ποιεῖ, ἀλλάγε σὺ διὰ τὸν Θεὸν σπούδαζε ἀφιέναι τῷ πλησίον, ὅπως γένῃ υἱὸς τοῦ πατρός σου τοῦ ἐν οὐρανοῖς, καὶ προσευχόμενος ὑπακούῃ ὡς φίλος Θεοῦ.

Ὅτι χρὴ τοὺς ἐπισκόπους τὰ περὶ εἰρήνης διὰ τοῦ διακόνου ὑπομιμνήσκειν τῷ λαῷ.

ΚΕΦΑΛ. νδ'.

Διὰ τοῦτο ὦ ἐπίσκοποι μελλόντων ὑμῶν εἰς προσευχὴν ἀπαντᾶν μετὰ τὴν ἀνάγνωσιν καὶ τὴν ψαλμῳδίαν, καὶ τὴν ἐπὶ ταῖς γραφαῖς διδασκαλίαν, ὁ διάκονος ἑστὼς πλησίον ὑμῶν μετὰ ὑψηλῆς φωνῆς λεγέτω, μήτις κατάτινος· μήτις ἐν ὑποκρίσει· ἵνα ἐὰν εὑρεθῇ ἔν τισιν ἀντιλογία, συνειδήσει κρουσθέντες, δεηθῶσι τοῦ Θεοῦ, καὶ διαλλαγῶσι τοῖς ἀδελφοῖς. εἰ γὰρ τοὺς ἐν οἰκίᾳ τινὸς εἰσερχομένους πρὸ πάντων δεῖ λέγειν, εἰρήνη τῷ οἴκῳ τούτῳ, ὡς υἱοὺς εἰρήνης εἰρήνην χαριζομένους τοῖς ἀξίοις καθὼς γέγραπται τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν, οὓς ἔγνω κύριος ὄντας αὐτοῦ, πολὺ μᾶλλον τοὺς ἐν ἐκκλησίᾳ Θεοῦ εἰσερχομένους χρὴ πρὸ πάντων ἐπεύχεσθαι τὴν τοῦ Θεοῦ εἰρήνην· εἰ δὲ ἄλλοις ταύτην ἐπεύχεται, πολὺ μᾶλλον αὐτὸς αὐτῆς ἐντὸς ὑπαρχέτω ὡς τέκνον φωτός· ὁ γὰρ μὴ ἔχων αὐτὴν ἐν ἑαυτῷ, οὐκ ἔστιν, ἀξιόπιστος, ἄλλοις αὐτὴν χαρίζεσθαι· διὸ πρὸ πάντων χρὴ εἰς ἑαυτὸν εἰρηνεύειν αὐτόν· ὁ γὰρ μὴ πρὸς ἑαυτὸν στασιάζων, οὐ δ' ἂν πρὸς ἄλλον διαμαχεσθήσεται· ἀλλ' ἔσται εἰρηνικός· φιλικός· συνάγων τὰ τοῦ κυρίου· καὶ συνεργὸς αὐτοῦ γιγνόμενος πρὸς τὸ πλεονάσαι αὐτῷ τοὺς σωζομένους ἐν ὁμονοίᾳ. οἱ γὰρ ἐπινοοῦντες ἔχθρας καὶ μάχας ἀντιλογίας καὶ κρίσεις, πονηροὶ καὶ τοῦ Θεοῦ ἀλλότριοι τυγχάνουσιν.

Ἀπαρίθμησις διαφόρου προνοίας· καὶ ὅπως ἐξ ἀρχῆς καθ' ἑκάστην γενεὰν ἐκάλεσεν ὁ Θεὸς εἰς μετάνοιαν πάντας.

ΚΕΦΑΛ. νε'.

Ὁ Γὰρ Θεὸς, Θεὸς ὢν ἐλέους, ἀπ' ἀρχῆς ἑκάστην γενεὰν ἐπὶ μετάνοιαν καλεῖ διὰ τῶν δικαίων καὶ τῶν προφητῶν· καὶ τοὺς μὲν πρὸ τοῦ κατακλυσμοῦ, διὰ τοῦ Ἄβελ καὶ Σὴμ, καὶ Σὴθ, ἔτι δὲ Ἐνὼς, καὶ τοῦ μεταθέντος Ἐνὼχ ἐσωφρόνιζε. τοὺς δὲ ἐν τῷ κατακλυσμῷ, διὰ τοῦ Νῶε· τοὺς ἐν Σοδόμοις, διὰ τοῦ φιλοξένου Λώτ· τοὺς μετὰ τὸν κατακλυσμὸν, διὰ Μελχισεδέκ· καὶ τῶν πατριαρχῶν· καὶ τοῦ θεοφιλοῦς Ἰώβ· τοὺς ἐν Αἰγύπτῳ, διὰ Μωσέως· τοὺς Ἰσραηλίτας δι' αὐτοῦ καὶ Ἰησοῦ καὶ Χαλὲβ καὶ Φινεὲς καὶ τῶν λοιπῶν· τοὺς μετὰ νόμον, δι' ἀγγέλων καὶ προφητῶν· τοὺς αὐτοὺς, διὰ τῆς ἰδίας ἐνανθρωπήσεως τῆς ἐκ παρθένου γενομένης· τοὺς πρὸ μικροῦ τῆς ἀναδείξεως αὐτοῦ τῆς σωματικῆς, διὰ Ἰωάννου τοῦ προδρόμου· τοὺς δ' αὐτοὺς, διὰ τοῦ αὐτοῦ καὶ μετὰ τὴν γένεσιν αὐτοῦ λέγων· μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· τοὺς μετὰ τὸ πάθος αὐτοῦ δι' ἡμῶν τῶν δώδεκα καὶ τοῦ τῆς ἐκλογῆς σκεύους Παύλου· ἡμεῖς οὖν οἱ καταξιωθέντες εἶναι μάρτυρες τῆς παρουσίας αὐτοῦ σὺν Ἰακώβῳ τῷ τοῦ κυρίου ἀδελφῷ, καὶ ἑτέροις ἑβδομήκοντα δύο μαθηταῖς, καὶ τοῖς ἑπτὰ διακόνοις αὐτοῦ ἐκ στόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠκούσαμεν, καὶ ἀκριβῶς εἰδότες λέγομεν, τί ἐστι τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον τὸ διὰ Ἰησοῦ γνωρισθὲν ἡμῖν, ἵνα μηδεὶς ἀπόληται· ἀλλὰ πάντες ἄνθρωποι συμφώνως πιστεύσαντες αὐτῷ, αἶνον σύμφωνον ἀναπέμψαντες αὐτῷ ζήσωσιν αἰωνίως.

Ὅτι θέλημα Θεοῦ· ὁμόφρονας εἶναι τοὺς ἀνθρώπους περὶ τὴν εὐσέβειαν, παραπλησίως ταῖς ἐν οὐρανῷ δυνάμεσι.

ΚΕΦΑΛ. νϛ'.

Τοῦτο γάρ ἐστιν ὃ ἐδίδαξεν ἡμᾶς ὁ κύριος προσευχομένους λέγειν τῷ πατρὶ αὐτοῦ, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ὅπως ὡς αἱ ἐπουράνιοι φύσεις τῶν ἀσωμάτων δυνάμεων πᾶσαι δοξάζουσι τὸν Θεὸν συμφώνως, οὕτω καὶ ἐπὶ τῆς γῆς πάντες οἱ ἄνθρωποι ἐν ἑνὶ στόματι καὶ μιᾷ διαθέσει δοξάζωσι τὸν μόνον Θεὸν τὸν ἕνα καὶ ἀληθινὸν διὰ τοῦ μονογενοῦς Χριστοῦ· θέλημα οὖν αὐτοῦ ἐστιν αἰνεῖν αὐτὸν ὁμοφρόνως καὶ προσκυνεῖν αὐτὸν συμφώνως· τοῦτο γὰρ αὐτοῦ ἐστι θέλημα ἐν Χριστῷ, πολλοὺς εἶναι τοὺς σωζομένους ἐν αὐτῷ, ἀλλὰ μὴ ζημιοῦν αὐτόν· μηδὲ ἐλαττονεῖν ὑμᾶς τὴν ἐκκλησίαν· ἢ συστέλλειν τὸν ἀριθμὸν διὰ μιᾶς ψυχῆς ἀνθρώπου ὑφ' ὑμῶν ἀναιρεθείσης, ἥτις ἠδύνατο σωθῆναι διὰ μετανοίας· ἀπώλετο δὲ οὐ μόνον ἐξ ἰδίας ὀργῆς, ἀλλ' ἤδη καὶ ἐξ ὑμετέρας ἐπιβουλῆς. καὶ ἐπληρώσατε τὸ γεγραμμένον· ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει· τοιοῦτος δὲ ὤν, σκορπιστής· προβάτων ἀντίδικος· Θεοῦ ἐχθρός· τῶν ἀρνίων φθορεὺς, ὧν ὁ κύριος ποιμὴν ὑπῆρξε· καὶ ἡμεῖς συναγωγοὶ ἐκ διαφόρων ἐθνῶν· καὶ γλωσσῶν ἐν πολλῷ μόχθῳ, καὶ κινδύνῳ καὶ κόπῳ διηνεκεῖ· ἀγρυπνίαις· ἀσιτίαις· χαμευνίαις· διωγμοῖς· πληγαῖς· φυλακαῖς· ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες πληρώσωμεν τὸν τρίκλινον τῶν ἀνακειμένων, τουτέστι, τὴν ἱερὰν καὶ καθολικὴν ἐκκλησίαν εὐφραινομένων· τῶν κλητῶν καὶ ἀγαλλιωμένων· ὑμνούντων καὶ δοξαζόντων τὸν καλέσαντα αὐτοὺς δι' ἡμῶν εἰς ζωὴν Θεόν. ὑμεῖς ὅσον τὸ ἐφ' ὑμῖν διεσκορπίσατε· καὶ ὑμεῖς δὲ οἱ λαϊκοὶ εἰρηνεύετε πρὸς ἀλλήλους σπουδάζοντες ὡς φρόνιμοι τὴν ἐκκλησίαν αὔξειν· καὶ τὰ νομιζόμενα ἄγρια ἐπιστρέφειν εἰς αὐτὴν καὶ ἐξημεροῦν καὶ ἀποκαθιστᾶν· καὶ τοῦτό ἐστιν ὁ μέγιστος ἐξ ἐπαγγελίας μισθὸς παρὰ Θεοῦ, ἐὰν ἐξαγάγῃς ἐξ ἀναξίου ἄξιον καὶ τίμιον, ὡς στόμα μου ἔσῃ.

Διατύπωσις ἐκκλησίας κ) κλήρυ· κ) τί ἕκασος ἐπιτελεῖν ὀφείλει τῶν συναθροιζομένων κληρικῶν ἢ λαϊκῶν ἐν τῇ συνάξει.

ΚΕΦΑΛ. νζ'.

Σὺ δὲ ὁ ἐπίσκοπος ἔσο ἅγιος· ἄμωμος· μὴ πλήκτης, μὴ ὀργίλος· μὴ ἀπλυνής· ἀλλ' οἰκοδόμος, ἐπισροφάς· διδακτικός· ἀνεξίκακος· ἠπιόθυμος· πρᾶος· μακρόθυμος· παρακλητικός· παρακλητικὸς, ὡς Θεοῦ ἄνθρωπος· ὅταν δὲ συναθροίζῃς τὴν τοῦ Θεοῦ ἐκκλησίαν ὡς ἂν κυβερνήτης νηὸς μεγάλης μετ' ἐπισήμης πάσης· κέλευε ποιεῖσθαι τὰς συνόδους, παραγγέλλων τοῖς διακόνοις ὡσανεὶ ναύταις τὰς τόπους ἐκτάσσειν τοῖς ἀδελφοῖς, καθάπερ ἐπιβάταις μ) πάσης ἐπιμελείας κ) σεμνότητος· καὶ πρῶτον μὲν ὁ οἶκος ἔσω ἐπιμήκης, κατ' ἀνατολὰς τετραμμένος· ἐξ ἑκατέρων τῶν μερῶν τὰ πατοφόρια πρὸς ἀνατολήν, ὅσις ἔοικεν· κεῖσθω δὲ μέσος ὁ τοῦ ἐπισκόπου θρόνος. παρ' ἑκάτερα δὲ αὐτοῦ καθεζέσθω τὸ πρεσβυτέριον, κ) οἱ διάκονοι παρεστάσθωσαν ἀσαλεῖς τῆς πλείονος ἐσθῆτος, ἐ οἰκασι γὰρ ναύταις κ) τοιχάρχοις· προνοία δὲ τούτων εἰς τὸ ἕτερον μέρος οἱ λαϊκοὶ καθεζέσθωσαν μ) πάσης ἡσυχίας κ) τάξεως· κ) αἱ γυναῖκες κεχωρισμένως κ) αὗται καθεζέσθωσαν σιωπῇ ἄγουσαι· μέσος δ' ὁ ἀναγνώστης ἐφ' ὑψηλοῦ τινος ἑστώς· ἀναγινωσκέτω τὰ Μωσέως κ) Ἰησοῦ τοῦ Ναυῆ· τὰ τῶν κριτῶν κ) τῶν βασιλειῶν· τὰ τῶν παραλειπομένων κ) τὰ τῆς ἐπανόδου· πρὸς τούτοις τὰ τοῦ Ἰὼβ κ) τοῦ Σολομῶνος· κ) τὰ τῶν ἐννεακαίδεκα προφητῶν· ἀνὰ δύο δὲ γινομένων ἀναγνωσμάτων, ἕτερός τις τοὺς τοῦ Δαβὶδ ψαλλέτω ὕμνους· κ) ὁ λαὸς τὰ ἀκροστίχια ὑποψαλλέτω· μετὰ τοῦτο αἱ πράξεις αἱ ἡμέτεραι ἀναγινωσκέσθωσαν· κ) ἐπιστολαὶ Παύλου τοῦ συνεργοῦ ἡμῶν· ἃς ἐπέστειλε ταῖς ἐκκλησίαις καθ' ὑφήγησιν τοῦ ἁγίου πνεύματος· κ) μ) ταῦτα διάκονος ἢ πρεσβύτερος ἀναγινωσκέτω τὰ Εὐαγγέλια· ἃ ἐγὼ Ματθαῖος, κ) Ἰωάννης παρεδώκαμεν ὑμῖν· κ) ἃ οἱ συνεργοὶ Παύλου παρειληφότες κατέλειψαν ὑμῖν Λουκᾶς κ) Μάρκος· κ) ὅταν ἀναγινωσκόμενον ᾖ τὸ Εὐαγγέλιον, πάντες οἱ πρεσβύτεροι, κ) οἱ διάκονοι, κ) πᾶς ὁ λαὸς σιγάτωσαν μ) πολλῆς ἡσυχίας· γέγραπται γάρ, σιώπα, κ) ἄκουε Ἰσραήλ· κ) πάλιν· σὺ δὲ αὐτοῦ στῆθι κ) ἄκουσον. κ) ἐξῆς παρακαλείτωσαν οἱ πρεσβύτεροι τὸν λαὸν ὁ καθεὶς αὐτῷ, ἀλλὰ μὴ ἅπαντες· κ) τελευταῖος πάντων ὁ ἐπίσκοπος, ὡς ἔοικε κυβερνήτης· σιγάτωσαν δὲ οἱ μὲν πυλωροὶ εἰς τὰς εἰσόδους τῶν ἀνδρῶν, φυλάσσοντες αὐτούς, * οἱ δὲ διάκονοι εἰς τὰς τῶν γυναικῶν δίκλιν ναυστολόγων· κ) γὰρ κ) ἐν τῇ σκιωῇ τοῦ μαρτυρίου ὁ αὐτὸς παρηκολούθει λόγος κ) τύπος, καὶ ἐν τῷ ναῷ τοῦ Θεοῦ· εἰ δέ τις εὑρεθῇ παρὰ τόπον καθεζόμενος, ἐπιπλησσέσθω ὑπὸ τοῦ διακόνου ὡς πρωρέως, κ) εἰς τὸν καθήκοντα αὐτῷ τόπον μεταγέσθω· ἀ μόνον γὰρ νηΐ, ἀλλὰ κ) μάνδρῃ ὡμοίωται ἡ ἐκκλησία· ὡς γὰρ οἱ ποιμένες ἕκασον τῶν ἀλόγων, αἰγῶν φημὶ κ) προβάτων κατὰ συγγένειαν κ) ἡλικίαν ἱστᾶσι· κ) ἕκασον αὐτῷ τὸ ὅμοιον τῷ ὁμοίῳ συνέχει, ὕτω κ) ἐν τῇ ἐκκλησίᾳ· οἱ μὲν νεώτεροι ἰδίᾳ καθεζέσθωσαν, ἐὰν ᾖ τόπος· εἰ δὲ μή, στήτωσαν ὀρθοί. οἱ δὲ τῇ ἡλικίᾳ ἤδη προβεβηκότες καθεζέσθωσαν ἐν τάξει· τὰ δὲ παιδία ἐσῶτα προσλαμβανέσθωσαν αὐτῶν οἱ πατέρες, κ) μητέρες· αἱ δὲ νεωτέραι παλινδίᾳ, ἐὰν ᾖ τόπος· εἰ δὲ μήγε, ὅπισθεν τῶν γυναικῶν ἱσάσθωσαν· αἱ δὲ ἤδη γεγαμηκυῖαι κ) πεπαρχέσαι ἰδίᾳ ἱσάσθωσαν· αἱ παρθένοι δὲ κ) αἱ χῆραι κ) πρεσβύτιδες πρῶται πασῶν στήκέτωσαν, ἢ καθεζέσθωσαν· ἔσω δὲ τῶν τόπων πρόνοος ὁ διάκονος· ἵν' ἕκασος τῶν εἰσερχομένων εἰς τὸν ἴδιον τόπον ὁρμᾷ, κ) μὴ παρὰ τὸ ἐνδέον καθέζωνται· ὁμοίως ὁ διάκονος ἐπισκοπείτω τὸν λαὸν, ὅπως μήτις ψιθυρίσῃ· ἢ νησάζῃ· ἢ γελάσῃ· ἢ νυστάσῃ· χρὴ γὰρ ἐν ἐκκλησίᾳ ἐπισήμους, κ) νηφαλέους, κ) ἐγρηγορότας εἶναι ἐκτεταμένῃ ἔχοντα τὴν ἀκοὴν ἐπὶ τὸν τοῦ κυρίου λόγον· ἐ μ) τοῦτο συμφώνως ἅπαντες ἐξαναστάντες, κ) ἐπ' ἀνατολὰς κατανοήσαντες μ) τὴν τῶν κατηχουμένων κ) τὴν τῶν μετανοούντων ἔξοδον προσδεξάσθωσαν τῷ Θεῷ πῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολὰς, ὑπομιμνησκόμενοι κ) τῆς ἀρχαίας νομῆς τοῦ κατὰ ἀνατολὰς * παραδείσου· ὅθεν ὁ πρῶτος ἄνθρωπος ἀθετήσας τὴν ἐντολὴν ὄφεως συμβουλίᾳ πεισθεὶς ἀπεβλήθη· οἱ δὲ διάκονοι μ) τὴν προσδοκίαν· οἱ μὲν τῇ προσφορᾷ τῆς δεήσεως σχολαζέτωσαν ὑπηρετούμενοι τῷ τοῦ κυρίου σώματι μ) φόβου· οἱ δὲ τοὺς ὄχλους διασκοπείτωσαν, κ) ἡσυχίαν αὐτοῖς ἐμποιείτωσαν· λεγέτω κ) ὁ παρεστὼς τῷ ἀρχιερεῖ διάκονος τῷ λαῷ μήτις κατάτινος. μήτις ἐν ὑποκρίσει· εἶτα κ) ἀσπαζέσθωσαν ἀλλήλους οἱ ἄνδρες· κ) ἀλλήλας αἱ γυναῖκες τὸ ἐν κυρίῳ φίλημα· ἀλλὰ μήτις δολίως ὡς Ἰούδας τὸν κύριον φιλήματι παρέδωκε· καὶ μ) τοῦτο προσδοκάσθω ὁ διάκονος ὑπὲρ τῆς ἐκκλησίας ἁπάσης κ) παντὸς τοῦ κόσμου κ) τῶν ἐν αὐτῷ μερῶν κ) ἐκφορείων· ὑπὲρ τῶν ἱερέων κ) τῶν ἀρχόντων· ὑπὲρ τοῦ ἀρχιερέως κ) τοῦ βασιλέως κ) τῆς καθόλου εἰρήνης· καὶ μ) τοῦτο ὁ ἀρχιερεὺς ἐπεύχόμενος τῷ λαῷ εἰρηνευέτω, εὐλογείτω τοῦτον· ὡς κ) Μωσῆς παρήγγειλατο ἱερεῦσιν εὐλογεῖν τὸν λαὸν τούτοις τοῖς ῥήμασιν. εὐλογήσαι σε κύριος κ) φυλάξαι σε· ἐπιφάναι κύριος τὸ πρόσωπον αὐτοῦ ἐπί σε, κ) δῴη σοι εἰρηνεύειν· ἐπευχέσθω δὲ κ) ὁ ἐπίσκοπος· κ) λεγέτω, σῶσον τὸν λαόν σου κύριε, κ) εὐλόγησον τὴν κληρονομίαν σου· ἣν ἐκτήσω, κ) περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου· ἣν ἐκάλεσας βασίλειον ἱεράτευμα κ) ἔθνος ἅγιον· μ) δὲ ταῦτα γινέσθω ἡ θυσία ἐσώτος παντὸς τοῦ λαοῦ κ) προσδεχομένου ἡσύχως. κ) ὅταν ἀνενεχθῇ, μεταλαμβανέτω ἑκάστη τάξις καθ' ἑαυτὴν τοῦ κυριακοῦ σώματος κ) τοῦ τιμίου αἵματος ἐν τάξει μ) αἰδοῦς κ) εὐλαβείας ὡς βασιλέως προσερχόμενοι σώματι· κ) αἱ γυναῖκες κατακεκαλυμμέναι τὴν κεφαλὴν, ὡς ἁρμόζει γυναικῶν τάξει, προσερχέσθωσαν· φυλαττέσθωσαν δὲ αἱ θύραι, μήτις ἄπιστος εἰσέλθοι, ἢ ἀμύητος.

* Vetus fibi hic locum vindicat ecclesiastica traditio, quae ait, Dominum ad inferos descendisse, ut ibi quoque ecclesiam constituat. Hieronymus.

* αἳ legendum ſi ſincera eſt verſio.

Περὶ συσατικῶν, ἤτοι ξενώνων, λαϊκῶν, κληρικῶν, ἐπισκόπων· κ) ὡς ἡ χρεία διαφορεῖν.

ΚΕΦΑΛ. νή.

Εἰ δέ τις ἀπὸ παροικίας ἀδελφὸς ἢ ἀδελφὴ ἐπιδημήσῃ σύσασιν ἐπικομιζόμενοι· διάκονος ἐπιχωρείτω τὰ κατ' αὐτοὺς ἀνακρίνων εἰ πιστοί· εἰ ἐκκλησιαστικοί· εἰ μὴ ἀπὸ αἱρέσεως εἰσὶ μεμολυσμένοι· κ) πάλιν

λιν εἰ ὕπανδρος, ἢ χήρα· καὶ οὕτω γνοὺς τὰ κατ' αὐτοὺς ὡς εἰσὶν ἀληθῶς πιστοὶ καὶ ὁμογνώμονες ἐν τοῖς κυριακοῖς, ἀπαγέτω ἕκαστον εἰς τὸν προσήκοντα αὐτῷ τόπον· εἰ δὲ καὶ πρεσβύτερος ἀπὸ παροικίας ἐπέλθοι, προσδεχέσθω ὑπὸ τῶν πρεσβυτέρων κοινωνικός· εἰ δὲ διάκονος, ὑπὸ τῶν διακόνων· εἰ δὲ ἐπίσκοπος, σὺν τῷ ἐπισκόπῳ καθεζέσθω τῆς αὐτῆς ἀξιούμενος ὑπ' αὐτοῦ τιμῆς, καὶ ἐρωτήσεις αὐτὸν ὦ ἐπίσκοπε προσλαλῆσαι τῷ λαῷ λόγους διδακτικούς· ἡ γὰρ τῶν ξένων παράκλησις καὶ νουθεσία, εὐπαράδεκτος καὶ ὠφελιμωτάτη σφόδρα· οὐδεὶς γὰρ προφήτης φησὶ δεκτὸς ἐν τῇ ἰδίᾳ πατρίδι. ἐπιτρέψεις δ' αὐτῷ καὶ τὴν εὐχαριστίαν ἀνοῖσαι· ἐὰν δὲ δι' εὐλάβειαν ὡς σοφὸς τὴν τιμήσοι τηρῶν μὴ θελήσῃ ἀνενέγκαι· κἂν εἰς τὸν λαὸν εὐλογίαν αὐτὸν ποιήσασθαι καταναγκάσεις· εἰ δὲ ἐν τῷ καθέζεσθαι ἕτερός τις ἐπέλθοι εὐσχήμων καὶ ἔνδοξος ἐν τῷ βίῳ, ἢ ξένος, ἢ ἐγχώριος, σὺ ὁ ἐπίσκοπος ὁ προσλαλῶν τὸν περὶ Θεοῦ λόγον, ἢ ὁ ἀκούων τοῦ ψάλλοντος, ἢ τοῦ ἀναγινώσκοντος, μὴ προσωποληπτῶν καταλίπῃς τὴν διακονίαν τοῦ λόγου, ἵνα διατάξῃ αὐτῷ προεδρίαν· ἀλλὰ μένε ἡσύχιος μὴ διακόπτων σου τὸν λόγον, ἢ τὴν ἀκοήν· οἱ δὲ ἀδελφοὶ διὰ τῶν διακόνων παραδεχέσθωσαν αὐτόν· εἰ δὲ τόπος οὐκ ἔστιν, ὁ διάκονος τὸν μᾶλλον νεώτερον ἐγείρας μετὰ λόγου, ἀλλὰ μὴ μετ' ὀργῆς, ἐκεῖνον καθισάτω· δίκαιον δὲ τοῦτο καὶ ἀφ' ἑαυτοῦ τὸν φιλάδελφον ποιῆσαι· ἐὰν δὲ ἀνανεύῃ, ἐγείρας αὐτὸν ἀναγκαστῶς, ὀπίσω πάντων στῆσον, ἵνα παιδευθῶσι καὶ οἱ λοιποὶ ἀντιπαραχωρεῖν τοῖς ἐντιμοτέροις· εἰ δὲ πτωχός. ἢ ἀγρυὴς, ἢ ξένος ἐπέλθοι, πρεσβύτης, ἢ νέος τῇ ἡλικίᾳ, καὶ τόπος οὐχ ὑπάρχει, καὶ τούτοις τόπον ποιήσει ἐξ ὅλης τῆς καρδίας αὐτοῦ ὁ διάκονος· ἵνα μὴ πρὸς ἄνθρωπον αὐτοῦ γένηται ἡ προσωπόληψις, ἀλλὰ πρὸς Θεὸν ἡ διακονία εὐάρεστος· τῷ δ' αὐτῷ ποιείτω καὶ ἡ διάκονος ταῖς ἐπερχομέναις γυναιξὶ πτωχαῖς, ἤτοι πλουσίαις.

Ὅτι χρὴ ἕκαστον ὄρθρου καὶ ἑσπέρας σπουδαῖον εἶναι περὶ τὰς συνάξεις.

ΚΕΦΑΛ. νθ'.

Διδάσκων δὲ ὦ ἐπίσκοπε, κέλευε καὶ παραίνει τῷ λαῷ, εἰς τὴν ἐκκλησίαν ἐνδελεχίζειν ὄρθρου καὶ ἑσπέρας ἑκάστης ἡμέρας, καὶ μὴ ἀπολείπεσθαι τὸ σύνολον, ἀλλὰ συνέρχεσθαι διηνεκῶς, καὶ μήτε τὴν ἐκκλησίαν κολοβοῦν ἑαυτὸν ὑφαιροῦντα, καὶ παράμελος ποιεῖν τὸ σῶμα τοῦ Χριστοῦ· οὐ γὰρ μόνον περὶ ἱερέων ἐῤῥέθη, ἀλλὰ καὶ ἕκαστος τῶν λαϊκῶν περὶ ἑαυτοῦ ἀκουέτω· λογιζόμενος, ὅτι εἴρηται ὑπὸ τοῦ κυρίου· ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει· μὴ οὖν ἑαυτοὺς μέλη ὄντας τοῦ Χριστοῦ σκορπίζετε· μὴ συναθροιζόμενοι, Χριστὸν κεφαλὴν ἔχοντες κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ συνόντα καὶ κοινωνοῦντα ἡμῖν· μὴ ἀμελεῖτε ἑαυτῶν· μηδὲ ἀποστερεῖτε τὸν σωτῆρα τῶν οἰκείων μελῶν· μηδὲ διαιρεῖτε τὸ σῶμα αὐτοῦ. μηδὲ σκορπίζετε τὰ μέλη αὐτοῦ· μηδὲ προκρίνετε τοῦ θείου λόγου τὰς βιωτικὰς χρείας· ἀλλ' ἑκάστης ἡμέρας συναθροίζεσθε ὄρθρου καὶ ἑσπέρας, ψάλλοντες καὶ προσευχόμενοι ἐν τοῖς κυριακοῖς· ὄρθρου μὲν λέγοντες ψαλμὸν τὸν ξβ'. ἑσπέρας δὲ τὸν ρμ'· μάλιστα δὲ ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου καὶ ἐν τῇ τοῦ κυρίου ἀναστασίμῳ τῇ κυριακῇ σπουδαιοτέρως ἀπαντᾶτε, αἶνον ἀναπέμποντες τῷ Θεῷ τῷ ποιήσαντι τὰ ὅλα διὰ Ἰησοῦ· καὶ αὐτὸν εἰς ἡμᾶς ἐξαποστείλαντι καὶ συγχωρήσαντι παθεῖν, καὶ ἐκ νεκρῶν ἀναστήσαντι· ἐπεὶ τί ἀπολογήσεται τῷ Θεῷ ὁ μὴ συνερχόμενος ἐν τῇδε τῇ ἡμέρᾳ ἀκούειν τοῦ σωτηρίου περὶ τῆς ἀναστάσεως λόγου, ἐν ᾗ καὶ τρὶς εὐχὰς ἑστῶτες ἐπιτελοῦμεν μνήμης χάριν τοῦ διὰ τριῶν ἀναστάντος ἡμερῶν· ἐν ᾗ προφητῶν ἀνάγνωσις καὶ εὐαγγελίου κηρυκία, καὶ θυσίας ἀναφορὰ, καὶ τροφῆς ἱερᾶς δωρεά.

Παράδειγμα πρὸς ζῆλον ἐνάγον ἡ Ἑλλήνων καὶ Ἰουδαίων μάτοιος συνδρομὴ ἐπὶ τοὺς νεὼς καὶ τὰς συναγωγάς.

ΚΕΦΑΛ. ξ'.

Πῶς δὲ οὐ πολέμιος Θεοῦ ὁ περὶ τὰ πρόσκαιρα μὲν νύκτα καὶ μεθ' ἡμέραν σπουδάζων, τῶν δὲ αἰωνίων ἀμελῶν; καὶ λουτρῶν μὲν καὶ προσκαίρου τροφῆς ἑκάστης μεταποιούμενος, τῶν δὲ ἀεὶ παραμόνων οὐκ ἐπιστρεφόμενος; πῶς δ' οὐχὶ καὶ νῦν ἐρεῖ τῷ τοιούτῳ ὁ κύριος ἐδικαιώθη τὰ ἔθνη ὑπὲρ ὑμᾶς, ὥσπερ καὶ τὴν Ἱερουσαλὴμ ὀνειδίζων, ἔλεγεν· ἐδικαιώθη Σόδομα ἐκ σοῦ· εἰ γὰρ τὰ ἔθνη ἐξ ὕπνου αὐτῶν καθ' ἡμέραν ἀναστάντα τρέχει ἐπὶ τὰ εἴδωλα τοῦ λατρεύειν αὐτοῖς, καὶ πρὸ παντὸς ἔργου καὶ πάσης πράξεως πρῶτον αὐτοῖς προσεύχονται, καὶ ἐν ταῖς ἑορταῖς, καὶ ἐν ταῖς πανηγύρεσιν αὐτῶν οὐκ ἀφυστεροῦσιν, ἀλλὰ σχολάζουσιν, οὐχ οἱ τοπικοὶ μόνον, ἀλλὰ καὶ οἱ πόῤῥωθεν οἰκοῦντες, καὶ ἐν τοῖς θεάτροις αὐτῶν ὡς ἐν συναγωγῇ πάντες συνέρχονται, ὁμοίως καὶ οἱ μάτην λεγόμενοι Ἰουδαῖοι καθ' ἓξ ἡμέρας ἀργοῦντες, τῇ ἑβδόμῃ ἡμέρᾳ συνίασιν εἰς τὴν συναγωγὴν αὐτῶν οὐδέποτε παραφίοντες ἢ παραμελοῦντες, οὔτε τῆς ἀργίας αὐτῶν οὔτε τῆς συναγωγῆς αὐτῶν οἱ τῆς δυνάμεως τοῦ λόγου ἐν τῇ ἀπιστίᾳ αὐτῶν κενωθέντες, προσέτι δὴ καὶ οὗ ὀνόματος ἑαυτοὺς καλοῦσιν Ἰούδα· Ἰούδας γὰρ ἐξομολόγησις ἑρμηνεύεται, οὗτοι δὲ οὐκ εἰσὶ ἐξομολογούμενοι Θεῷ τὸ πάθημα τοῦ Χριστοῦ παρανόμως πεποιηκότες· ἵνα καὶ μεταγνόντες σωθῶσιν· εἰ οὖν οἱ μὴ σωζόμενοι, ἐν οἷς οὐκ ὠφελοῦνται, πυκνάζουσι· σὺ τί ἂν ἀπολογήσῃ κυρίῳ τῷ Θεῷ ὁ τῆς ἐκκλησίας αὐτοῦ ἀπολειπόμενος, καὶ μηδὲ τὰ ἔθνη μιμούμενος, ἀλλὰ διὰ τοῦ ἀπολείπεσθαι ῥαθυμῶν, ἢ ἀποστατῶν, ἢ κακοποιῶν; οἷς λέγει ὁ κύριος διὰ τοῦ Ἱερεμίου, τὰ δικαιώματά μου ἐκ ἐφυλάξατε, ἀλλ' οὐδὲ κατὰ τὰ δικαιώματα τῶν ἐθνῶν ἐπορεύθητε, παρ' ὀλίγον καὶ ὑπερβάλλετε αὐτούς· καὶ πάλιν· ἐδικαίωσε τὴν ψυχὴν αὐτοῦ Ἰσραὴλ ἀπὸ τῆς ἀσυνθέτου Ἰούδα· καὶ ἑξῆς, εἰ ἀλλάξονται ἔθνη Θεοὺς αὐτῶν, καὶ οὗτοι οὐκ εἰσὶ Θεοὶ, διότι διέλθετε εἰς νήσους Χετιεὶμ καὶ ἴδετε· καὶ εἰς Κηδὰρ ἀποστείλατε, καὶ νοήσατε σφόδρα, εἰ γέγονε τοιαῦτα· ὅτι ἐκεῖνα μὲν οὐκ ἀμείβουσι τὰ ἑαυτῶν νόμιμα· ὁ δὲ λαός μου, φησὶν, ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσεται· πῶς οὖν ἀπολογήσεταί τις ὀλιγωρήσας ἢ ἐκστὰς τῆς ἐκκλησίας τοῦ Θεοῦ.

Ὅτι

Ὅτι οὐχ ὅσιον προκρίνειν τὰ βιωτικὰ τῶν θείων.

ΚΕΦΑ'Λ. ξά.

Εἰ δέ τις τὴν τοῦ ἔργου τοῦ ἰδίου πρόφασιν ἐπιφέρων ὀλιγωρεῖ, προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, γινωσκέτω ὁ τοιοῦτος, ὡς αἱ τέχναι τῶν πιστῶν ἐπέργιά εἰσιν. ἔργον δὲ ἡ θεοσέβεια· τὰς οὖν τέχνας ὑμῶν ὡς ἐν παρέργῳ ποιεῖτε εἰς διατροφὴν ὑμῶν· ἔργῳ δὲ τὴν θεοσέβειαν ἀσκεῖτε· ὡς καὶ ὁ κύριος ἔλεγεν· ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον· καὶ πάλιν· τοῦτο δέ ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος· σπουδάζετε οὖν μηδέποτε τὴν ἐκκλησίαν τοῦ Θεοῦ καταλιπεῖν· εἰ δέ τις ταύτην ὑπερίδοι, εἰς μιαρὸν δὲ ἐθνῶν εἰσέλθοι· ἢ εἰς συναγωγὴν Ἰουδαίων, ἢ αἱρετικῶν, ὁ τοιοῦτος τί ἀπολογήσεται τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως; λόγια Θεοῦ ζῶντος καταλιπὼν, ζῶντα καὶ ζωοποιοῦντα καὶ δυνάμενα ῥύσασθαι κολάσεως αἰωνίου· καὶ πορευθεὶς εἰς οἶκον δαιμόνων· ἢ εἰς συναγωγὴν χριστοκτόνων· ἢ ἐκκλησίαν πονηρευομένων· οὐκ ἀκούσας τοῦ εἰπόντος, ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω· καὶ πάλιν· μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν· καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. σὺ δὲ καταλιπὼν τῶν πιστῶν τὸ συνάθροισμα, τοῦ Θεοῦ τὴν ἐκκλησίαν, καὶ τοὺς ἐκείνου νόμους, ἐπιβλέπεις ἐπὶ τὰ σπήλαια τῶν λῃστῶν, ἅγια ἡγούμενος, ἃ ἐκεῖνος βέβηλα ἀπεκάλεσε· καὶ κοινοποιῶν, ἃ ἐκεῖνος ἀπεχώρισε· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἤδη καὶ πομπαῖς Ἑλλήνων συντρέχεις· καὶ ἐπὶ τὰ θέατρα ἐπείγη, ἐπιθυμήσας εἷς τῶν εἰσπορευομένων ἐκεῖ λογισθῆναι, καὶ μετασχεῖν ἀκροαμάτων ἀπρεπῶν, ἵνα μὴ λέγωμεν μυσαρῶν· μὴ ἀκούσας τοῦ Ἱερεμίου λέγοντος. κύριε οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν παιζόντων, ἀλλ' ἐλαβούμην ἀπὸ προσώπου χειρός σου· καὶ τοῦ Ἰὼβ φάσκοντος τὰ ὅμοια· εἰ δὲ καὶ μετὰ γελοιαστῶν ἐπορεύθην ποτέ· ἱστάμην γὰρ ἐν ζυγῷ δικαίῳ· τὶ δὲ βούλῃ μετασχεῖν τῶν Ἑλληνικῶν λογίων ὄντων νεκρῶν ἀνθρώπων ἐξ ἐπιπνοίας διαβόλου ἀποφανθέντων νεκροποιά· καὶ πίστεως ἀναστρεπτικά· καὶ πρὸς πολυθεΐαν ἀπάγοντα τοὺς προσανέχοντας αὐτοῖς· ὑμεῖς οὖν σχολάζοντες τοῖς τοῦ Θεοῦ νόμοις, καὶ τῶν βιωτικῶν χρειῶν τούτους ἡγεῖσθε τιμιωτέρους· καὶ πλείονα τιμὴν νέμοντες αὐτοῖς, συντρέχετε εἰς τὴν ἐκκλησίαν τοῦ κυρίου· ἣν περιεποιήσατο τῷ αἵματι τοῦ Χριστοῦ τοῦ ἠγαπημένου τοῦ πρωτοτόκου πάσης κτίσεως· αὕτη γὰρ θυγάτηρ ἐστὶ τοῦ ὑψίστου ἡ ὠδινήσασα ὑμᾶς διὰ τοῦ λόγου τῆς χάριτος καὶ μορφώσασα ἐν ἡμῖν τὸν Χριστόν· οὗ μέτοχοι γενόμενοι, ἱερὰ μέλη ἐστὲ καὶ ἐκλεκτὰ, μὴ ἔχοντα σπῖλον· ἢ ῥυτίδα· ἤτί των τοιούτων· ἀλλ' ὡς ἅγιοι καὶ ἄμωμοι ἐν πίστει τετελειωμένοι ἐστὲ ἐν αὐτῷ, κατ' εἰκόνα τοῦ κτίσαντος ὑμᾶς Θεοῦ.

Ὅτι πάντα τὰ Ἑλλήνων ἀσεβήματα ἀποστρέφεσθαι χρή.

ΚΕΦΑ'Λ. ξβ'.

Φυλάσσεσθαι οὖν τοῦ μὴ συσχολάζειν τοῖς ἀπολλυμένοις, ὅ ἐστι συναγωγὴ ἐθνῶν εἰς ἀπάτην καὶ ἀπώλειαν· οὐδεμία γὰρ κοινωνία Θεῷ πρὸς διάβολον· ὁ γὰρ συναθροιζόμενος μετὰ τῶν τὰ τοῦ διαβόλου φρονούντων, εἷς ἐξ αὐτῶν λογισθήσεται· καὶ τὸ οὐαὶ κληρονομήσει· φεύγετε δὴ καὶ τὰ ἀπρεπῆ τῶν θεαμάτων, τὰ θέατράφημι, καὶ τὰς Ἑλληνικὰς πομπάς· ἐπαοιδάς· κληδόνας· μαντείας· καθαρισμούς· οἰωνισμούς· ὀρνιθοσκοπίας· νεκυομαντείας· ἐπιφωνήσεις· ὅτι γέγραπται, οὐ γάρ ἐστιν οἰωνισμὸς ἐν Ἰακὼβ, οὐδὲ μαντεία ἐν Ἰσραήλ· καὶ πάλιν· οἰώνισμα ἁμαρτία ἐστί· καὶ ἀλλαχοῦ, οὐκ οἰωνιεῖσθε, καὶ κληδόσι καὶ μαντείαις, καὶ ἐγγαστριμύθοις οὐκ ἐπακολουθήσετε· φαρμακοὺς οὐ περιποιήσετε· διὸ παραινεῖ καὶ ὁ Ἱερεμίας λέγων. κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ πορεύεσθε· καὶ ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε· διόπερ χρὴ τὸν πιστὸν φεύγειν τὰς συνόδους τῶν ἀσεβῶν Ἑλλήνων καὶ Ἰουδαίων καὶ τῶν λοιπῶν αἱρετικῶν· ἵνα μὴ τῷ συσχολάζειν αὐτοῖς, παγίδας λάβωμεν ταῖς ἑαυτῶν ψυχαῖς· ὅπως μὴ συναναστρεφόμενοι ταῖς ἑορταῖς αὐτῶν, αἵτινες ἐπὶ τιμῇ τῶν δαιμόνων ἐπιτελοῦνται. κοινωνήσωμεν αὐτοῖς καὶ τῆς ἀσεβείας· φευκταῖαι δὲ αὐτῶν καὶ αἱ πανηγύρεις. καὶ τὰ ἐν αὐταῖς ἐπιτελούμενα παίγνια. πιστὸν γὰρ ἐν πανηγύρει οὐ χρὴ παραβάλλειν, πλεῖον τοῦ σωμάτιον πρίασθαι, καὶ ψυχὴν περιποιήσασθαι· καὶ ἕτερά τινα συνωνήσασθαι τῶν πρὸς σύστασιν ἁρμοζόντων· ἀπέχεσθε οὖν πάσης τῆς τῶν εἰδώλων πομπῆς· φαντασίας· πανηγύρεως· συμποσίων· μονομαχίας· καὶ πάσης θέας δαιμονικῆς.

Ὅτι ἀργὸς οὐ χρὴν ἐσθίειν τινὰ τῶν πιστῶν· ὡς οἱ περὶ Πέτρον ἁλιεῖς καὶ οἱ λοιποὶ ἀπόστολοι· οἱ δὲ περὶ Παῦλον καὶ Ἀκύλαν σκηνοποιοί· οἱ δὲ περὶ Ἰούδαν Ἰακώβου γῆς ἐργάται.

ΚΕΦΑ'Λ. ξγ'.

Οἱ δὲ νεώτεροι τῆς ἐκκλησίας, ἐν πάσαις ταῖς χρείαις ἀόκνως λειτουργεῖν σπουδάζετε. μετὰ πάσης σεμνότητος τοῖς ἔργοις ὑμῶν σχολάζετε, ὅπως ἐν παντὶ τῷ χρόνῳ ὑμῶν ἦτε ἐπαρκοῦντες καὶ ἑαυτοῖς καὶ τοῖς πενομένοις, πρὸς τὸ μὴ ἐπιβαρεῖν τὴν τοῦ Θεοῦ ἐκκλησίαν· καὶ γὰρ καὶ ἡμεῖς σχολάζοντες τῷ λόγῳ τοῦ εὐαγγελίου, ὅμως καὶ τῶν ἐπεργιῶν οὐκ ἀμελοῦμεν· οἱ μὲν γάρ εἰσιν ἐξ ἡμῶν ἁλιεῖς· οἱ δὲ σκηνοποιοί· οἱ δὲ γῆς ἐργάται, πρὸς τὸ μηδέ ποτε ἡμᾶς ἀργοὺς εἶναι· λέγει δέπου καὶ ὁ Σολομών· ἴσθι πρὸς τὸν μύρμηκα ὦ ὀκνηρὲ, καὶ ζήλωσον ἰδὼν τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος· ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, οὐδὲ τὸν ἀναγκάζοντα ἔχων, οὐδὲ ὑπὸ δεσπότην ὤν, ἑτοιμάζεται θέρους τὴν τροφήν· πολλήν τε ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν· ἢ πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτης ἐστί· τήν τε ἐργασίαν ὡς σεμνὴν ἐμπορεύεται· ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται· ποθεινὴ δέ ἐστι καὶ ἐπίδοξος ὥσπερ οὖσα τῇ ῥώμῃ ἀσθενής, τὴν

σοφίαν

σοφίαν τιμήσασα προήχθη, καὶ ἑξῆς· ἕως πότε ὀκνηρὲ κατάκεισαι; πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ; ὀλίγον μὲν ὑπνοῖς, ὀλίγον δὲ κάθισε· μικρὸν δὲ νυστάζεις ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶ στήθη· εἶτα παραγίνεταί σοι ὥσπερ κακὸς ὁδοιπόρος ἡ πενία· καὶ ἡ ἔνδεια ὥσπερ ἀγαθὸς δρομεύς· ἐὰν δὲ ἄοκνος ᾖς, ἥξει ὥσπερ πηγὴ ὁ ἀμητός σου, καὶ ἡ ἔνδεια ὥσπερ κακὸς ἀνὴρ ἀπαυτομολήσει· καὶ πάλιν· ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν πλησθήσεται ἄρτων· καὶ ἐν ἄλλοις φησίν· ὁ ἀργὸς περιέλαβε τὰς χεῖρας ἑαυτοῦ, καὶ ἔφαγε τὰς σάρκας αὐτοῦ· καὶ ἑξῆς, κρύψας ὀκνηρὸς τὴν χεῖρα αὐτοῦ, οὐ δυνήσεται ἀπενεγκεῖν εἰς τὸ στόμα αὐτοῦ· καὶ πάλιν· δι' ἀργίαν χειρῶν ταπεινωθήσεται ἡ δόκωσις· ἐργάζεσθε οὖν ἐνδελεχῶς· ἀθεράπευτος γάρ ἐστιν ἀργοῦ μῶμος· εἰ δέ τις μὴ ἐργάζεται, οὗτος παρ' ὑμῖν μὴ ἐσθιέτω· ἀργοὺς γὰρ μισεῖ καὶ ὁ κύριος ὁ Θεὸς ἡμῶν· ἀργὸς γὰρ εἶναι οὐκ ὀφείλει οὐδεὶς τῷ Θεῷ προσανεχόντων.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ,

Περὶ χηρῶν.

ΚΕΦΑΛ. α'.

ΧΗρας δὲ καθιστᾶτε μὴ ἔλαττον ἐτῶν τῶν ἑξήκοντα, ἵνα τρόπῳ τινὶ τὸ τῆς διγαμίας αὐτῶν ἀνύποπτον βέβαιον ὑμῖν διὰ τῆς ἡλικίας ὑπάρχῃ· εἰ δὲ νεωτέραν καταστήσητε εἰς τὸ χηρικὸν, καὶ μὴ φέρουσα τὴν ἐν νεότητι χηρίαν γαμηθῇ, ἀπρέπειαν ἐμποιήσει τῇ δόξῃ τοῦ χηρικοῦ, καὶ λόγον ὑφέξει τῷ Θεῷ· οὐχ ὅτι δευτέρῳ γάμῳ συνήφθη, ἀλλ' ὅτι τὴν ἑαυτῆς ἐπαγγελίαν οὐκ ἐφύλαξε καταστρηνιάσασα τοῦ Χριστοῦ· διότι μετὰ πίστεως καὶ φόβου Θεοῦ οὐκ ἦλθε φυλάξαι τὴν ἐπαγγελίαν· διὸ χρὴ μὴ προπετῶς ποιεῖσθαι τὴν ἐπαγγελίαν, ἀλλὰ μετὰ ἀσφαλείας· κρεῖσσον γὰρ αὐτῇ ἐστι μὴ εὔξασθαι, ἢ εὔξασθαι, καὶ μὴ ἀποδοῦναι· εἰ δέ τις νεωτέρα ὀλίγον χρόνον σὺν τῷ ἀνδρὶ ποιήσασα, καὶ ἀποβαλοῦσα αὐτὸν διὰ τελευτῆς, ἢ δι' ἀφορμῆς τινος ἑτέρας, καὶ μείνῃ ἐφ' ἑαυτῆς δῶρον ἔχουσα χηρείας, μακαρία εὑρεθήσεται ὁμοιωθεῖσα τῇ ἐν Σαρεφθοῖς Σιδωνίᾳ χήρᾳ· πρὸς ἣν ὁ ἅγιος τοῦ Θεοῦ προφήτης Ἡλίας ἐξενώθη· ἡ τοιαύτη ἐξομοιωθήσεται Ἄννῃ τῇ θυγατρὶ Φανουὴλ τῇ ἐκ φυλῆς Ἀσήρ· ἣ οὐκ ἀφίστατο τοῦ ἱεροῦ νύκτωρ καὶ μεθ' ἡμέραν προσμένουσα ταῖς δεήσεσι, καὶ ταῖς προσευχαῖς, οὖσα μὲν ἐτῶν ὀγδοήκοντα τεσσάρων, ζήσασα δὲ μετὰ ἀνδρὸς ἐκ τῆς παρθενίας αὐτῆς ἔτη ἑπτά· καὶ τὴν τοῦ Χριστοῦ δοξάσασα παρουσίαν ἀνθωμολογεῖτο τῷ κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδοκῶσι λύτρωσιν ἐν Ἰσραήλ· ἡ τοιαύτη μαρτύριον λαβοῦσα τιμηθήσεται, κλέος ἔχουσα καὶ παρὰ ἀνθρώποις ἐπὶ γῆς, καὶ παρὰ Θεῷ ἐν οὐρανοῖς τὸν αἰώνιον ἔπαινον.

Ὅτι παραιτητέον καθιστᾶν νεωτέρας χήρας διὰ τὸ ὕποπτον.

ΚΕΦΑΛ. β'.

ΑΙ δὲ νεώτεραι χῆραι εἰς χηρικὸν μὲν μὴ ἐνταττέσθωσαν· μήποτε προφάσει τοῦ μὴ δύνασθαι κρατεῖν τῆς ἀκμῆς, ἐπὶ δευτερογαμίαν ἐλθοῦσαι ἐν πράγματι γένωνται· ἐπικουρείσθωσαν δὲ, καὶ βοηθείσθωσαν, ἵνα μὴ προφάσει τοῦ λείπεσθαι ἐπὶ δευτερογαμίαν ἐλθοῦσαι, ἐν πράγματι ἀπρεπεῖ ἐνεχεσθῶσι· καὶ τοῦτο γὰρ εἰδέναι ὀφείλετε, ὅτι μονογαμία μὲν κατὰ νόμον γινομένη, δικαία, ὡς ἂν κατὰ γνώμην Θεοῦ ὑπάρχουσα· διγαμία δὲ μετὰ ἐπαγγελίαν, παράνομον· οὐ διὰ τὴν συνάφειαν, ἀλλὰ διὰ τὸ ψεῦδος· τριγαμία δὲ ἀκρασίας σημεῖον· τὸ δ' ὑπὲρ τὴν τριγαμίαν, προφανὴς πορνεία· καὶ ἀσέλγεια ἀναμφίβολος· ὁ γὰρ Θεὸς μίαν γυναῖκα ἐνὶ ἀνδρὶ δέδωκεν ἐν τῇ δημιουργίᾳ· ἔσονται γὰρ οἱ δύο εἰς σάρκα μίαν· νεωτέραις δὲ μετὰ τὴν τοῦ πρώτου τελευτὴν συγκεχωρήσθω καὶ ὁ δεύτερος. ἵνα μὴ εἰς κρίμα τοῦ διαβόλου ἐμπέσωσι. καὶ παγίδας πολλὰς, καὶ ἐπιθυμίας ἀνοήτους, καὶ ἐπιζημίους ψυχαῖς· αἵτινες κόλασιν προξενοῦσι μᾶλλον ἢ ἄνεσιν.

Ὁποίας εἶναι χρὴ τὰς χήρας καὶ ὅπως ἐπικουρεῖσθαι παρὰ τοῦ ἐπισκόπου.

ΚΕΦΑΛ. γ'.

ΑΙ δὲ ἀληθιναὶ χῆραί εἰσιν, αἱ μόνανδροι ὑπάρξασαι. μαρτυρούμεναι ὑπὸ πλειόνων ἐν ἔργοις ἀγαθοῖς, χῆραι τῷ ὄντι· σώφρονες· ἁγναί· πισταί· εὐσεβεῖς· τεκνοτροφήσασαι καλῶς, καὶ ξενοδοχήσασαι ἀμέμπτως· ὧν καὶ ἀντιλαμβάνεσθαι χρὴ ὡς Θεῷ ἀνακειμένων· ἀλλὰ μὴν καὶ τῷ πενήτων ᾧ ἐπίσκοπε μνημόνευε καὶ αὐτοῖς χεῖρα ὀρέγων ἐπικουρίας, καὶ πρόνοιαν αὐτῶν ποιούμενος ὡς Θεοῦ οἰκονόμος· εὐκαίρως ἑκάστῳ διανέμων τὰ πρόσφορα. χήραις καὶ ὀρφανοῖς καὶ ἀπεριστάτοις καὶ τοῖς ἐν θλίψει ἐξεταζομένοις.

Ὅτι πάνθ' ὁντιναοῦν ἐνδεᾶ εὐποιεῖν χρή.

ΚΕΦΑΛ. δ'.

ΤΙ γὰρ εἴτινες μή εἰσι χῆραι ἢ χῆροι, βοηθείας δὲ χρήζουσι διὰ πενίαν· ἢ διὰ νόσον· ἢ διὰ τεκνοτροφίαν πάντας σε δεῖ ἐφορᾶν καὶ πάντων ἐπιμελεῖσθαι· οἱ γὰρ τὰ δόματα διδόντες, οὐκ αὐτοιχεδίως αὐτὰ διδόασι ταῖς χήραις, ἀλλὰ συνεισφέρουσιν ἁπλῶς, ἑκούσια αὐτὰ ὀνομάζοντες· ὅπως σὺ ὁ ἐπιστάμενος τοὺς θλιβομένους· ἀκριβῶς ὡς ἀγαθὸς οἰκονόμος μερίζης αὐτοῖς ἐκ τοῦ δόματος· ὁ γὰρ Θεὸς γινώσκει τὸν δεδωκότα, κἂν ἀπόντος αὐτοῦ, ὑπὸ σοῦ τοῖς δεομένοις μερίζηται· καὶ ὃς μὲν ἔχει τὸν τῆς εὐποιΐας μισθὸν, σὺ δὲ τὸν τῆς εὐσυνειδήτου οἰκονομίας μακαρισμόν· λέγετε δὲ αὐτοῖς, καὶ τίς ὁ δεδωκὼς, ἵνα καὶ ἐξ ὀνόματος ὑπὲρ αὐτοῦ προσεύχωνται. χρὴ γὰρ εὖ ποιεῖν πάντας ἀνθρώπους, μὴ φιλοκρινοῦντας τοῦτον, ὅς τις ἦ, ἢ ἐκεῖνον· ὁ γὰρ κύ-

εἰός φησι, παντὶ τῷ αἰ τοιῶτί σε δίδω· δῆλον δὲ ὡς τῷ χρήζοντι κατὰ ἀλήθειαν· κἂν φίλος ᾖ· κἂν ἐχθρός· κἂν συγγενής· κἂν ἀλλόφυλος· κἂν ἄγαμος· κἂν γεγαμηκὼς ὑπάρχῃ· ὁ γὰρ γράφῃ ὁ κύριος περὶ τῶν πενήτων παραινεῖ λέγων, διάμοι Ἡσαΐα, διάθρυπτε πεινῶντι τὸν ἄρτον σου. καὶ πτωχὸς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· ἐὰν δὲ ἴδῃς γυμνόν, περίβαλε· καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐκ ὑπερόψῃ· καὶ διὰ τοῦ Δανιὴλ λέγει τῷ δυνάστῃ· διὸ βασιλεῦ ἡ βουλή μου ἀρεσάτω σοι. καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι. καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων· καὶ διὰ Σολομῶνος φησιν, ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι· καὶ διὰ τοῦ Δαβὶδ πάλιν λέγει· μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν, καὶ πενίαν, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος· καὶ πάλιν· ἐσκόρπισεν· ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα· καὶ ὁ Σολομῶν φησιν· ὁ ἐλεῶν πτωχὸν, κυρίῳ δανείζει· κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδοθήσεται αὐτῷ· καὶ ἑξῆς· ὃς φράσει τὰ ὦτα αὐτοῦ μὴ εἰσακοῦσαι τοῦ δεομένου, καὶ αὐτὸς ἐπικαλέσεται, καὶ οὐκ ἔσαι ὁ εἰσακούων αὐτοῦ.

Ὅτι καὶ τὸ ἔθος ἐπιμελητέον τοῦ χήραν.

ΚΕΦΑΛ. ε'.

Ὑπαρχέτω δὲ πᾶσα χήρα σεμνή· ἥσυχος· ἐπιεικής· ἄκακος· ἀόργητος· μὴ πολυλάλος· μὴ κραύγασος· μὴ πρόγλωσσος· μὴ κατιλάλος· μὴ λεξίθηρος· μὴ διαβολόγος· μὴ φιλοπράγμων· βλέπουσά τι σχολιὸν ἢ καὶ ἀκούσασα γινόμενον, ἔσω ὡς μὴ βλέπουσα, καὶ ὡς μὴ ἀκούσασα ὑπαρχέτω· καὶ μηδὲν ἕτερον τῇ χήρᾳ μελέτω· εἰ μὴ τὸ προσεύχεσθαι ὑπὲρ τῶν διδόντων καὶ ὑπὲρ ὅλης τῆς ἐκκλησίας· ἐπερωτωμένη δέ τι ὑπότινος, μὴ ῥᾳδίως ἀποκρινέσθω, πλὴν ὅσα περὶ πίστεως· καὶ δικαιοσύνης· καὶ τῆς εἰς Θεὸν ἐλπίδος· ἀποστέλλουσα τοῖς ἡγουμένοις τοὺς θέλοντας κατηχεῖσθαι τὰ τῆς εὐσεβείας δόγματα· μόνα δὲ ἀποκρινέσθω τὰ περὶ ἀνατροπῆς πολυθέου πλάνης, ἀποδεικνύουσα τὸν περὶ μοναρχίας Θεοῦ λόγον· περὶ δὲ τῶν ἐξῆς προπετῶς τι μὴ ἀποκρινέσθω· ὅπως μήτι ἀμαθῶς φθεγξαμένη βλασφημίαν προσρίψῃ τῷ λόγῳ· κόκκῳ γὰρ σινάπεως ἐοικέναι τὸν λόγον ὁ κύριος ἐδογμάτισε· τοῦτο δ' ἐστὶ διάπυρον· ᾧ ἐάν τις ἀπείρως χρήσηται, πικρὸν αὐτὸ εὑρήσει· χρὴ γὰρ ἐν τοῖς μυστικοῖς μὴ προδότιμον εἶναι, ἀλλ' ἀσφαλῆ· παραινεῖ γὰρ ὑμῖν ὁ κύριος λέγων· μὴ βάλλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς· ἀκούσαντες γὰρ οἱ ἄπιστοι τὸν περὶ Χριστοῦ λόγον οὐ δεόντως, ἀλλ' ἐνδεῶς, καὶ μάλιστα τὸν περὶ ἐνσωματώσεως, ἢ τὰ πάθη αὐτοῦ, μυκτηρίσαντες χλευάσουσι μᾶλλον ὡς ψευδῆ, ἢ δοξάσουσι· καὶ ἔσοχος ἔσαι τῆς προπετείας ἡ πρεσβῦτις καὶ τῆς βλασφημίας, καὶ τὸ οὐαὶ κληρονομήσει· οὐαὶ δέ φησι, δι' ὃ τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν.

Ὅτι δὲ χρὴ γυναῖκας διδάσκειν, ἀπρεπὲς γάρ· καὶ ποῖαι γυναῖκες εἴποντο τῷ κυρίῳ. 38

ΚΕΦΑΛ. ς'.

Οὐκ ἐπιτρέπομεν οὐδὲ γυναῖκας διδάσκειν ἐν ἐκκλησίᾳ, ἀλλὰ μόνον προσεύχεσθαι· καὶ τοῦ διδασκάλου ἐπακούειν· καὶ γὰρ αὐτὸς ὁ διδάσκαλος ἡμῶν καὶ κύριος Ἰησοῦς ἡμᾶς τοὺς δώδεκα πέμψας μαθητεῦσαι τὸν λαὸν καὶ τὰ ἔθνη, γυναῖκας οὐδαμοῦ ἐξαπέστειλεν εἰς τὸ κήρυγμα, καίτοι οὐκ ἀπόρων· σωτῆρος γὰρ ἡμῖν ἦτε μήτηρ τοῦ κυρίου καὶ αἱ ἀδελφαὶ αὐτοῦ· ἔτι δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ Ἰακώβου καὶ Μάρθα καὶ Μαρία αἱ ἀδελφαὶ Λαζάρου Σαλώμη· καὶ ἕτεραί τινες· εἰ γὰρ ἦν ἀναγκαῖον γυναιξὶ διδάσκειν, αὐτὰς ἂν ἐκέλευσε πρώτας καὶ πρώταις σοὶ ἡμῖν κατηχεῖν τὸν λαόν· εἰ γὰρ κεφαλὴ γυναικὸς ὁ ἀνήρ, οὐκ ἔστι δίκαιον τὸ λοιπὸν σῶμα τῆς κεφαλῆς ἄρχειν· γνωριζέτω οὖν ἡ χήρα, ὅτι θυσιαστήριόν ἐστι Θεοῦ καὶ καθίσθω ἐν τῇ οἰκίᾳ αὐτῆς· μὴ μετά τινος προφάσεως ἐν ταῖς τῶν πιστῶν οἰκίαις ἐπὶ τῷ λαμβάνειν εἰσπορευομένη· οὐδὲ γὰρ ποτε τὸ θυσιαστήριον τοῦ Θεοῦ περιέρχεται· ἀλλ' ἐν οἰκίῳ τόπῳ ἵδρυται· ὑπαρχέτω οὖν καὶ ἡ παρθένος καὶ ἡ χήρα μὴ περιέρχουσα, ἢ ῥεμβομένη κατὰ τὰς τῶν ἀλλοφύλων οἰκίας· ὅτι ῥεμβοὶ καὶ ἀναιδεῖς καὶ αἱ τοιαῦται οὐχ ἡσυχάζουσι τοὺς πόδας ἐν οἰκίῳ τόπῳ διὰ τὸ μὴ χήρας, ἀλλὰ πήρας αὐτὰς ὑπάρχειν ἑτοίμους εἰς τὸ λαμβάνειν· φλυαρούς· καταλάλους· μαχοσυμβούλους· ἀναιδεῖς· ἀναισχύντους· αἵ τινες τοιαῦται ὑπάρχουσαι, οὐκ ἄξιαι τοῦ καλέσαντος τυγχάνουσιν· οὐ γὰρ ἐπὶ τὸ κοινὸν τῆς συναγωγῆς ἀνάπαυμα ἐν τῇ κυριακῇ καταντῶσιν ὡς οἱ ἐγρηγορότες· ἀλλ' ἢ νυστάζουσιν· ἢ φλυαροῦσιν· ἢ μασροπόδουσιν· ἢ αἰτοῦσιν· ἢ ἕτερους αἰσχμαλωτίζουσι προσάγοντες τῷ πονηρῷ· οὐκ ἐῶντες αὐτοὺς νήφειν ἐν κυρίῳ, ἀλλὰ παρασκάζοντες τοιούτους αὐτοῖς ὁμοίους. οἵοι καὶ εἰσίασι διάκονοι διὰ τὸ μὴ ἀκούειν τῶν διδασκόντων ἢ τῶν ἀναγινωσκόντων τὸν τοῦ κυρίου λόγον· περὶ γὰρ τῶν τοιούτων καὶ Ἡσαΐας ὁ προφήτης λέγει, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου.

Οἵαι εἰσὶν αἱ ψευδοχῆραι.

ΚΕΦΑΛ. ζ'.

Τὸν αὐτὸν οὖν τρόπον καὶ τῶν τοιούτων χηρῶν ἐκλείσθω τὰ ὦτα τῆς καρδίας εἰς τὸ μὴ χαθεζομένας ἔνδον ἐν ταῖς στέγαις αὐτῶν προλαλεῖν τῷ κυρίῳ, ἀλλὰ περιεχούσας ἐν ἐπινοίᾳ ποιεῖσθαι διὰ τῶν φλυαρειῶν τὰ τοῦ ἀντικειμένου ἐπιθυμήματα πράσσειν· αἱ τοιαῦται οὖν χῆραι οὐ προσήρτηνται τῷ θυσιαστηρίῳ τοῦ Χριστοῦ· εἰσὶ γὰρ ἔνιαι χῆραι ἐργασίαν ἡγούμεναι τὸ πρᾶγμα· καὶ ἐξ ὧν ἀναισχύντως αἰτοῦσι καὶ ἁπλήστως λαμβάνουσιν, ἤδη καὶ ὀκνηροτέρους τοὺς πολλοὺς πρὸς τὸ διδόναι κατέστησαν· δεῖν γὰρ αὐτὰς ἀρκεῖσθαι τοῖς ἐκκλησιαστικοῖς διὰ μεζιότητα γνώμης ἐκ τῶν ἐναντίων ἐμπεριέχουσαι τὰς τοῦ πλησίον οἰκους διασείουσιν ἀπορίαν χρημάτων

των ἑαυταῖς ἐπισωρεύουσαι, καὶ ἐπὶ πικροῖς τόκοις δανείζουσι, καὶ μόνου τοῦ μαμωνᾶ φροντίζουσιν· ὧν ὁ Θεὸς τὸ βαλλάντιον, αἳ τὸ φαγεῖν καὶ τὸ πιεῖν προκρίνουσι πάσης ἀρετῆς, λέγουσαι· φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν· αἵ ὡς ἑστῶτα ταῦτα ἐλογίσαντο· καὶ οὐχ ὡς φεύγοντα· ἡ γὰρ ἠσκηκυῖα περὶ τὸ χρηματολογεῖν, ἀντὶ τοῦ Θεοῦ λατρεύει τῷ μαμωνᾷ· τουτέστι δουλεύει τῷ κέρδει· τῷ δὲ Θεῷ εὐάρεστος εἶναι οὐδύναται· οὐδὲ ταῖς λατρείαις αὐτοῦ ὑπήκοος, συνεχῶς οὐδυναμένη ἐντυγχάνειν αὐτῷ, ἐπὶ τὸ ἀργυρολογεῖν τὸν νοῦν καὶ τὴν διάθεσιν ἔχουσα· ἐπείπερ ὅπου ὁ θησαυρὸς, ἐκεῖ καὶ ἡ καρδία αὐτῆς· ἐννῷ γὰρ διαλαμβάνει, πῶς πορευθῇ λήμματος χάριν, ἢ ὅτι ἡ δεῖνα ἡ φίλη αὐτῆς ἐπιλέλησται, καὶ λόγον τινὰ ταύτῃ προσενεγκεῖν ὀφείλει· ἡ δὲ τοιαῦτα λογιζομένη, οὐκέτι τῇ προσευχῇ προσέξῃ, ἀλλὰ τῇ ἐμπιπτούσῃ ἐννοίᾳ· διὸ κἂν ποτε θελήσῃ προσεύξασθαι ὑπέρ τινος, οὐκ εἰσακουσθήσεται· οὐ γὰρ ἐξ ὅλης καρδίας προσφέρει τὴν δέησιν κυρίῳ, ἀλλὰ μεμερισμένῃ διανοίᾳ. ἡ δὲ Θεῷ βουλομένη προσανέχειν, καθημένη ἔνδον φρονεῖ τὰ τοῦ κυρίου νυκτὸς καὶ ἡμέρας ἀκαταπαύστῳ στόματι· δέησιν προσφέρουσα εἰλικρινῆ· ὥσπερ οὖν καὶ ἡ σοφωτάτη Ἰουδὴθ μαρτυρουμένη ἐπὶ σωφροσύνῃ, νυκτὸς καὶ ἡμέρας ἐδεῖτο τοῦ Θεοῦ ὑπὲρ τοῦ Ἰσραὴλ, οὕτως οὖν καὶ ὁμοία αὐτῇ χήρα ἔντευξιν ἀκατάπαυστον ὑπὲρ τῆς ἐκκλησίας προσοίσει Θεῷ, καὶ εἰσακούσεται αὐτῆς διὰ τὸ τὴν διάνοιαν αὐτῆς πρὸς μόνῳ τούτῳ ἠρτῆσθαι· καὶ μήτε πρὸς ἀπληστίαν, μήτε πρὸς ἐπιθυμίαν πολυδάπανον ἐκκεῖσθαι· ὅτε ὀφθαλμὸς αὐτῆς ἁγνὸς, καὶ ἡ ἀκοὴ καθαρὰ καὶ αἱ χεῖρες ἀμόλυντοι· καὶ οἱ πόδες ἥσυχοι· καὶ τὸ στόμα οὔτε πρὸς λαιμαργίαν, οὔτε πρὸς φλυαρίαν ἕτοιμον· ἀλλὰ λαλοῦν μὲν τὰ δέοντα, μεταλαμβάνον δὲ ὧν προσῆκε διὰ μόνην τὴν σύστασιν· οὕτω σεμνὴ καὶ ἀτάραχος ὑπάρχουσα, εὐάρεστος ἔσται τῷ Θεῷ· καὶ ἅμα τῷ αἰτήσασθαι αὐτήν τι, προφθάσει αὐτὴν ἡ δόσις· ἔτι γάρ σου, φησὶ λαλοῦντος ἐρῶ, ἰδοὺ πάρειμι. τοιαύτη δὲ οὖσα, ὑπαρχέτω ἀφιλάργυρος· ἄτυφος· μὴ αἰσχροκερδής· μὴ ἄπληστος· μὴ λίχνος· ἀλλ' ἐγκρατής· πραεῖα· ἀτάραχος· εὐλαβής· αἰδήμων· καθημένη ἐν τῇ οἰκίᾳ αὐτῆς· ψάλλουσα· προσευχομένη· ἀναγινώσκουσα· ἀγρυπνοῦσα· νηστεύουσα· Θεῷ πάντοτε προσομιλοῦσα ᾠδαῖς καὶ ὕμνοις· ἔριά τε ἐκλαμβάνουσα ἑτέροις μᾶλλον ἐπιχορηγείτω, εἴπερ αὐτή τινος δεέσθω, μιμνησκομένη τῆς ἐν τῷ εὐαγγελίῳ μεμαρτυρημένης ὑπὸ τοῦ κυρίου χήρας· ἥτις ἐλθοῦσα ἐν τῷ ἱερῷ, ἔβαλεν εἰς τὸ γαζοφυλάκιον τὰ δύο λεπτὰ, ὅπερ ἐστὶ κοδράντης· καὶ θεασάμενος αὐτὴν ὁ καρδιογνώστης Χριστὸς ὁ κύριος ἡμῶν, καὶ διδάσκαλος εἶπεν· ἀμὴν λέγω ὑμῖν ὅτι αὕτη ἡ χήρα πλεῖον πάντων ἔβαλεν εἰς τὸ γαζοφυλάκιον· ὅτι οἱ πάντες ἐκ τοῦ περισσεύματος αὐτῶν ἔβαλον· αὕτη δὲ ἐκ τοῦ ὑστερήματος ὅλον αὐτῆς τὸν βίον ὃν εἶχε· σεμνὰς οὖν δεῖ εἶναι τὰς χήρας πειθομένας τοῖς ἐπισκόποις καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις· ἔτι μὴν καὶ ταῖς διακόνοις· εὐλαβουμένας· ἐντρεπομένας· φοβουμένας· μὴ κατεξουσιαζούσας· μήτε παρὰ τὴν διαταγήν τι ποιεῖν θελούσας δίχα γνώμης τοῦ διακόνου, οἷον τὸ πρός τινα ἀπελθούσας ἐπὶ τὸ φαγεῖν παρ' αὐτῷ ἢ πιεῖν, ἢ λαβεῖν τι παρά τινος· εἰ δὲ μὴ κελευσθεῖσα ποιήσῃ ἔν τι τούτων, ἐπιτιμάσθω νηστείᾳ· ἢ ἀφοριζέσθω ὡς προπετής.

Ὅτι οὐ χρὴ παρὰ ἀναξίων λαμβάνειν τὴν χήραν· ἢ τὸν ἐπίσκοπον· ἢ ἄλλον πιστόν.

ΚΕΦΑΛ. η'.

Τί γὰρ ἐπίσταται ὁποία τίς ἐστι, παρ' ἧς λαμβάνει· ἢ ἐκ ποταπῆς διακονίας παρὰ βάλλει τὴν τροφήν· πότερον ἐξ ἁρπαγῆς, ἢ ἑτέρας τινὸς οὐ καλῆς ἀγωγῆς· οὐκ ἐπισταμένη ἡ χήρα ὅτι ὑπὲρ ἑνὸς ἑκάστου τούτων δώσει λόγον Θεῷ, δεχομένη ἀναξίως Θεοῦ· οὔτε γὰρ οἱ ἱερεῖς τοιαύτης ἑκουσιασμὸν δέξονταί ποτε· οἷον ἅρπαγος, ἢ πόρνης· γέγραπται γὰρ, οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον· καὶ οὐ προσοίσεις μίσθωμα πόρνης κυρίῳ τῷ Θεῷ· οὐ δεῖ οὖν δέχεσθαι παρὰ τῶν τοιούτων· οὔτε μὴν παρὰ ἀφωρισμένων· γινέσθωσαν δὲ αἱ χῆραι ἕτοιμοι πρὸς ὑπακοὴν τῶν ἐντεταλμένων αὐταῖς ὑπὸ τῶν κρειττόνων· καὶ κατὰ τὴν διάταξιν τοῦ ἐπισκόπου ποιείτωσαν ὡς Θεῷ ὑπακούουσαι· ὁ γὰρ ἀπὸ τοιούτου ἐπιῤῥήτου, ἢ ἀποσυναγώγου δεχόμενος, καὶ ὑπὲρ τούτου προσευχόμενος ἐμμένειν τοῖς κακοῖς προαιρουμένου, καὶ μὴ θέλοντος μεταμεληθῆναί ποτε, κοινωνεῖ τούτῳ τῇ προσευχῇ καὶ λυπεῖ Χριστὸν τὸν τοὺς ἀδίκους ἀποστρεφόμενον, καὶ οἰκοδομεῖ αὐτοὺς διὰ τῆς ἀναξίου δόσεως· καὶ συμμομύνεται αὐτοῖς, μὴ ἀφίων αὐτοὺς εἰς μετάνοιαν ἐλθεῖν, ὥστε προσκλαῦσαι καὶ δεηθῆναι τοῦ Θεοῦ.

Ὅτι οὐ χρὴ παρὰ ἀναξίων λαμβάνειν τὴν χήραν· ἢ τὸν ἐπίσκοπον· ἢ ἄλλον πιστόν.

ΚΕΦΑΛ. θ'.

Περὶ δὲ τοῦ γυναῖκας βαπτίζειν, γνωρίζομεν ὑμῖν, ὅτι κίνδυνος οὐ μικρὸς ταῖς τοῦτο ἐπιχειρούσαις· διὸ οὐ συμβουλεύομεν, ἐπισφαλὲς γὰρ, μᾶλλον δὲ παράνομον καὶ ἀσεβές· εἰ γὰρ κεφαλὴ γυναικὸς ὁ ἀνὴρ, οὗτος δὲ προχειρίζεται εἰς ἱερωσύνην, οὐ δίκαιον, ἀθετῆσαι δημιουργίαν, καὶ καταλιπόντα τὴν ἀρχὴν, ἐπὶ τὸ ἔσχατον ἐλθεῖν σῶμα· γυνὴ γὰρ σῶμα ἀνδρὸς, ἐκ πλευρᾶς ὄν, καὶ ὑποκείμενον ἐκείνῳ ἐξ οὗπερ καὶ διῃρέθη εἰς παίδων γένεσιν· αὐτὸς γάρ σου, φησὶ, κυριεύσει· ἀρχὴ γὰρ γυναικὸς ὁ ἀνὴρ, ἐπειδὴ καὶ κεφαλή· εἰ δὲ ἐν τοῖς προλαβοῦσι διδάσκειν αὐταῖς οὐκ ἐπετρέψαμεν, πῶς ἱερατεῦσαι ταύταις παρὰ φύσιν τις συγχωρήσει, τοῦτο γὰρ τῆς τῶν ἑλλήνων ἀθεότητος τὸ ἀγνώημα, θηλείαις θεαῖς ἱερείας χειροτονεῖν· ἀλλ' οὐ τῆς Χριστοῦ διατάξεως· εἰ δὲ καὶ ἔδει ὑπὸ γυναικῶν βαπτίζεσθαι, πάντως ἂν καὶ ὁ κύριος ὑπὸ τῆς ἰδίας μητρὸς ἐβαπτίζετο· καὶ οὐχ ὑπὸ Ἰωάννου· ἢ καὶ ἡμᾶς ἀποστέλλων ἐπὶ τὸ βαπτίζειν, συναπέστειλεν ἂν ἡμῖν, καὶ γυναῖκας ἐπὶ τούτῳ· νῦν δὲ οὐδαμοῦ, οὔτε προσέταξεν, οὔτε ἐγγράφως παρέδωκεν, εἰδὼς καὶ τὴν ἀκολουθίαν τῆς φύσεως, καὶ τὴν εὐπρέπειαν τοῦ πράγματος, ὡς καὶ τῆς φύσεως δημιουργὸς, καὶ τῆς διατάξεως νομοθέτης.

Ὅτι

Ο"τι δ' χρὴ λαϊκὸν ποιεῖν ἱερατικὸν ἔργον· βάπτισμα· ἢ θυσίαν· ἢ χειροθεσίαν· ἢ λλογίαν.

ΚΕΦΑ'Λ. ί.

Α'λλ' ὅπε λαϊκοῖς ἐπιξέπομξυ ποιεῖν τι τῆξ ἱερατικῶν ἔργων· οἷον θυσίαν· ἢ βάπτισμα· ἢ χειροθεσίαν· ἢ λλογίαν μικρὰν ἢ μεγάλιω, ὐχ ἑαυτῷ γάρ τις λαμβάνει τιὼ τιμιὼ, ἀλλὰ ὁ καλέμξυος ὑπὸ τῦ Θεῦ. διὰ γὰρ τῆς ἐπιθέσεως τῆξ χειρῶν τῦ ἐπισκόπυ δίδοται ἡ τοιαύτη ἀξία· ὁ δὲ μὴ ἐγχειριθεὶς ταύτιω, ἀλλ' ἁρπάσας αὐτιὼ ἑαυτῷ, τιὼ τιμωρίαν τοῦ Ο'ζία ὑποσήσεται.

Ο"τι πολιὼ ἐπισκόπυ ἢ πρεσβυτέρυ ὄδσνι τῆξ λοιπῶν κληρικῶν ἐπιτέτραπται τὰ τῆξ ἱερέων ἐνεργεῖν, τὸ δὲ χειροτονεῖν μόνῳ ἐπισκόπῳ προσήκει· ἑτέρῳ δὲ ὄδσνί.

ΚΕΦΑ'Λ. ια'.

Α'ΛΛ' ὅπε τοῖς λοιποῖς κληρικοῖς ἐπιξέπομξυ βαπτίζειν, οἷον ἀναγνώσαις· ἢ ψάλταις· ἢ πυλωροῖς, ἢ ὑπηρέταις· ἢ μόνοις ἐπισκόποις, ϗ πρεσβυτέροις, ὑξυπηρετυμξύων αὐτοῖς τῆξ διακόνων· οἱ δὲ τιλμῶντες τοῦτο, τῆξ Κυρίῃξ ὑποίσυσι τιὼ δίκιω· οὐκ ἐπιξέπομξυ δὲ πρεσβυτέροις χειροτονεῖν διακόνους. ἢ διακονίσας· ἢ ἀναγνώσας· ἢ ὑπηρέτας· ἢ ᾠδούς· ἢ πυλωρούς· ἀλλὰ μόνοις τοῖς ἐπισκόποις· αὕτη γὰρ ἐσι τάξις ἐκκλησιαστικὴ ϗ ἁρμονία.

Α'ποξοπὴ βασκανίας.

ΚΕΦΑ'Λ. ιβ'.

ΠΕρὶ δὲ φθόνυ ἢ ζήλου, ἢ καταλαλιᾶς, ἢ ἔριδος, ἢ φιλονεικίας, προείρηται ὑμῖν, ὅτι ταῦτα Χυσιανοῦ ἀλλόξια ϗ μάλισα ἐπὶ χηρῶν· ἐπειδὴ δὲ ὁ ἐνεργῶν διάβολος πολύξοπος ϗ ποικίλος ὑπάρχων εἰς τὰς μὴ χήρας ἐμπομπάει· ὡς καί ποτε εἰς τὸν Καΐν. εἶναι γὰρ λέγουσιν εἶναι χῆραι, τὰ δὲ τῆς χηρείας ἄξια παραγγέλματα οὐ ποιοῦσιν, ὡς οὐδ' ὁ Καΐν τὰ ἀδελφικὰ δικαιώματα· ἀγνοοῦσι γὰρ ὡς οὐ τὸ ὄνομα τῆς χηρείας εἰς βασιλείαν αὐτὰς εἰσάξει· ἀλλ' ἡ ἀληθὴς πίσις καὶ τὰ ὅσια ἔργα· εἰ δέ τις τὸ μιὼ ὄνομα τῆς χηρείας κέκτηται, τὰ δὲ τοῦ ἀντικειμξύου ἐπιτελεῖ ἐπιτηδεύματα, ἡ μιὼ χηρεία αὐτῆς οὐ λογισθήσεται· ἐξωθεῖσα δὲ τῆς βασιλείας, αἰωνίᾳ κολάσει παραδοθήσεται· ἀκούομξυ γάρ τινας χήρας ζηλοτύπυς· φθονερὰς· διαβόλους· βασκαινούσας ταῖς ἑτέρων ἀνέσεσιν· αἱ δὲ τοιαῦται οὐκ εἰσὶ τοῦ Χυσοῦ· οὐδὲ τῆς ἐκείνου διδασκαλίας μαθήξιαι· δέον γὰρ αὐτὰς ἐνδυθείσης αὐτῇξ συγκήρας ὑπό τιν@, ἢ λαβούσης ἀργύρια, ἢ τροφιὼ, ἢ πόμα, ἢ ὑπόδεσιν, θεασαμένας τιὼ ἀδελφιὼ αὐτῇξ ἀναφύξασαν εἰπεῖν.

Ο"πως δεῖ προσδέχεσθαι τὰς χήρας ὑπὲρ τῆξ διδόντων τὰ προὸς τὰς χρείας.

ΚΕΦΑ'Λ. ιγ'.

ΕΥ'λογητὸς εἶ ὁ Θεὸς ὁ ἀναψύξας τιὼ συγκήραν· λόγησον κύριε, ϗ δόξασον τὸν διακονήσαντα αὐτῇ ϵ τὸ ἔργον αὐτῦ ἀναβιῶναι ἐν ἀληθείᾳ προός σε· ϗ μνησθήσῃ αὐτῦ εἰς ἀγαθὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς αὐτῦ. ϗ τὸν ἐπίσκοπόν μυ τὸν καλῶς σοι λειτυργήσαντι ϗ διδάξαντι εὔκαιρον ἐλεημοσιιὼ γυμνῇ ὄσῃ τῇ συγγήρᾳ μυ γενέσθαι, προσθείσης αὐτῷ δόξαν· ϗ δώσης αὐτῷ σέφανον καυχήσεως ἐν ἡμέρᾳ ἀποκαλύψεως ἐπισκοπῆς συ· ὁμοίως ϗ ἡ λαβῦσα χήρα τὸ ἔλεος, συμπροσδεχέσθω τῷ διδόντι αὐτῇ τὴν διακονίαν.

Ο"τι οὐ χρὴ κομπάζειν ϗ περιαγγέλλειν τὸ ἑαυτῆς ὄνομα τὴν καρποφορῦσαν κατὰ τὴν τοῦ κυρίυ διάταξιν.

ΚΕΦΑ'Λ. ιδ'.

Η'Μσί τοι εὖ ποιῦσα, ἀποκρυψάτω τὸ οἰκεῖον ὄνομα ὡς σοφή· μὴ σαλπίζυσα ἔμπροσθεν αὐτῆς· ἵνα γένηται ἡ ἐλεημοσιὼ προὸς τὸν Θεὸν ἐν κρυπτῷ, καθὼς φησιν ὁ κύρι@. ὅτι σῦ δὲ ποιῦντος ἐλεημοσιιὼ, μὴ γνώτω ἡ ἀριστερά συ, τί ποιεῖ ἡ δεξιά συ ὅπως ᾖ συ ἡ ἐλεημοσιὼ ἐν τῷ κρυπτῷ· ϗ ἡ χήρα προσδεχέσθω ὑπὲρ τοῦ δεδωκότος ὅς τις ποτ' ἂν ᾖ, ἅγιον θυσιαστήριον Χυσῦ ὑπάρχυσα· ϗ ὁ πατὴρ ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει τῷ εὖ ποιῦντι ἐν τῷ φανερῷ· ἀλλ' αἱ μὴ κατ' ἐντολὴν Θεοῦ ζῆν θέλουσαι χῆραι φροντίζυσι πολυπραγμονεῖν, τίς ἡ διακονησαμξύη· ϗ τίνες αἱ λαβῦσαι· ϗ μαθῦσα, ἐπιμέμφεται τῇ διακονησαμξύῃ, λέγυσα, οὐκ ἴδης ὅτι ἐγώ σοι μᾶλλον παρ' ἐκείνῃ θλιβομένη; ὅτι ᾗν προετίμησας ἐκείνῃ ἐμῦ; ταῦτα δὲ λέγει ἄφρων ὑπάρχυσα, ϑ νοῦσα ὅτι οὐκ ἀνθρώπυ τοῦτο θέλημα γέγονεν, ἀλλὰ Θεῦ πρόσαγμα. εἰ γὰρ μαρτυρεῖ αὕτη ὅτι ἐγγυτέρω ὑπῆρχε, ϗ ἐν πλείονι ἐνδείᾳ ἐξητάζετο, ϗ μᾶλλον αὐτὴ γυμνὴ ἢ ἐκείνη, ὁ φείλει νοεῖν τὸν διαταξάμξυον, ϗ ἀποσιγήσασα, ϗ μὴ μεμψαμένη τὴν διακονήσασαν, εἰσελθῦσα εἰς οἶκον ἑαυτῆς, ϗ ἐπὶ πρόσωπον ἑαυτὴν βαλῦσα ἱκετεῦσαι τὸν Θεὸν ἀφεθῆναι αὐτῇ τὸ πλημμέλημα· ὁ γὰρ Θεὸς ἐνετείλατο τῇ εὐπροιούσῃ μὴ τραγῳδεῖν τὴν ἀποιίαν· ἡ δὲ ἐμέμφετο ὅτι μὴ ἐκήρυξεν αὐτῆς τὸ ὄνομα· ἵνα ϗ αὐτὴ μαθῦσα δράμῃ εἰς τὸ λαβεῖν· ἐν οὐ μόνον ἐμέμφετο, ἀλλά γε, ϗ κατηρᾶτο αὐτῇ ἐπιλαθομένη τῦ εἰπόντ@· ὁ ἀλλογῶν σε ἀλόγηται, ϗ ὁ καταρώμξυός σε κεκατήραται· λέγει δὲ ὁ κύριος, ὅταν εἰσέρχησθε εἰς οἶκον, λέγετε, εἰρήνη τῷ οἴκῳ τούτῳ· ϗ ἐὰν ᾖ ἐκεῖ υἱὸς εἰρήνης ἡ εἰρήνη ὑμῶν ἐπαναπαύσεται ἐπ' αὐτόν, ἐὰν δὲ μὴ ᾖ ἄξιος, ἡ εἰρήνη ὑμῶν προὸς ὑμᾶς ἐπιστρέψει.

Ὅτι ἀπρεπὲς τὸ λοιδορεῖν τὸν πλησίον· ἀλλότριον γὰρ Χριστιανῶν τὸ καταρᾶσθαι.

ΚΕΦΑΛ. ιε.

Εἰ οὖν ἡ εἰρήνη ἐπὶ τοὺς πέμψαντας αὐτὴν ἐπ' ἐκείνους πάλιν ἐπιστρέφει ἐπὶ τοὺς προηκαμένους αὐτὴν, διὰ τὸ μὴ εὑρεῖν ἀξίους αὐτῆς, πολλὺ μᾶλλον ἡ κατάρα ἐπιστρέψει εἰς κεφαλὴν τοῦ ἀδίκως αὐτὴν ἐκπέμψαντος, ὡς οὐκ ἀξίου ὄντος λαβεῖν αὐτὴν ἐκείνου πρὸς ὅνπερ ἐξαπεστάλη· πᾶς γὰρ ὁ μάτην λοιδορῶν, ἑαυτὸν ἀρᾶται, καθάφησιν ὁ Σολομών· ὥσπερ ὄρνεα πέτονται καὶ στρουθοὶ, οὕτως ἀρὰ ματαία οὐκ ἐπελεύσεται ἐπ' οὐδενί· καὶ πάλιν λέγει, οἱ δὲ ἐκφέροντες λοιδορίας ἀφρονέστατοί εἰσιν· ὥσπερ δὴ ἡ μέλισσα ἐν τῇ δυνάμει αὐτῆς ἀσθενὴς οὖσα ἐπ' ἂν πλήξῃ τινὰ, τὸ κέντρον ἀποβάλλει καὶ γίνεται στεῖρα, τὸν αὐτὸν τρόπον καὶ ὑμεῖς ὃ ἐὰν ποιήσητε ἄδικον εἰς ἑτέρους, τοῦτο εἰς ἑαυτοὺς ἐνεργήσετε· λάκκον γὰρ ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο· καὶ πάλιν· ὁ ὀρύσσων βόθρον τῷ πλησίον αὐτοῦ, ἐμπεσεῖται εἰς αὐτόν· οὐκ οὖν ὁ φεύγων κατάραν, ἕτερον μὴ καταράσθω· ὃ γὰρ μισεῖς σοι γενέσθαι, οὐδὲ ἄλλῳ σὺ ποιήσεις· διὸ νουθετεῖτε τὰς ἀπειθεῖς· ἐπιπλήσσετε ταῖς ἀναισχύντοις· παρακαλεῖτε τὰς ὀλιγοψύχους· ἰσχυροποιεῖτε τὰς ἀθενούσας· ἐπαινεῖτε τὰς ἐν ὁσιότητι ὁδευούσας· εὐλογείτωσαν μᾶλλον, καὶ μὴ λοιδορείτωσαν· εἰρηνοποιείτωσαν· καὶ μὴ πόλεμον ἐμποιείτωσαν· μήτε οὖν ἐπίσκοπος, μήτε πρεσβύτερος, μήτε διάκονος, μήτε ἄλλος τις ἐκ τοῦ καταλόγου τοῦ ἱερατικοῦ λοιδορίᾳ τὴν γλῶσσαν μολυνέτω· ἵνα μὴ ἀντὶ εὐλογίας κατάραν κληρονομήσῃ· ἔστω δὲ σπουδὴ καὶ ἐπιμέλεια τῷ ἐπισκόπῳ ὅπως μηδὲ λαϊκὸς κατάραν ἐκφέρῃ· περὶ πάντων γὰρ αὐτῷ μέλλειν ὀφείλει· περὶ κληρικῶν· περὶ παρθένων· περὶ χηρῶν· περὶ λαϊκῶν· διὰ τοῦτο ὦ ἐπίσκοπε τοὺς συνεργούς σου τῆς ζωῆς καὶ τῆς δικαιοσύνης ἐργάτας, διακόνους εὐαρέστους Θεῷ προχειρίζου, οὓς ἐκ παντὸς τοῦ λαοῦ δοκιμάζεις εἶναι ἀξίους· καὶ εἰς τὰς τῆς διακονίας χρείας εὐσκύλτους· προχείρισαι δὲ καὶ διάκονον πιστὴν καὶ ἁγίαν εἰς τὰς τῶν γυναικῶν ὑπηρεσίας· ἔστι γὰρ ὁπόταν ἔντισιν οἰκίαις ἄνδρα διάκονον γυναιξὶν οὐ δύναται πέμπειν διὰ τοὺς ἀπίστους· ἀποστελεῖς οὖν γυναῖκα διάκονον διὰ τὰς τῶν φαύλων διανοίας· καὶ γὰρ εἰς πολλὰς χρείας, γυναικὸς χρῄζομεν διακόνου· καὶ πρῶτον μὲν ἐν τῷ φωτίζεσθαι γυναῖκας, ὁ διάκονος χρίσει μὲν μόνον τὸ μέτωπον αὐτῶν τῷ ἁγίῳ ἐλαίῳ· καὶ μετ' αὐτὸν ἡ διάκονος ἀλείψει αὐτάς· οὐ γὰρ ἀνάγκη τὰς γυναῖκας ὑπὸ ἀνδρῶν κατοπτεύεσθαι· ἀλλὰ μόνον ἐν τῇ χειροθεσίᾳ τὴν κεφαλὴν αὐτῆς χρίσει ὁ ἐπίσκοπος, ὃν τρόπον οἱ ἱερεῖς καὶ οἱ βασιλεῖς τὸ πρότερον ἐχρίοντο· οὐχ ὅτι καὶ οἱ νῦν βαπτιζόμενοι ἱερεῖς χειροτονοῦνται, ἀλλ' ὡς ἀπὸ τοῦ Χριστοῦ Χριστιανοί· βασίλειον ἱεράτευμα, καὶ ἔθνος ἅγιον· ἐκκλησία Θεοῦ· στύλος καὶ ἑδραίωμα τοῦ *νυμφῶνος, οἱ ποτὲ οὐ λαὸς, νῦν δὲ ἠγαπιμένοι καὶ ἐκλεκτοί· οἷς ἐπεκλήθη τὸ καινὸν αὐτοῦ ὄνομα, ὡς μαρτυρεῖ καὶ Ἡσαΐας ὁ προφήτης λέγων· καὶ καλέσουσι τὸν λαὸν τὸ ὄνομα αὐτοῦ τὸ καινὸν, ὃ ὁ κύριος ὀνομάσει αὐτόν.

* νῦν φωτὶ, legit interpres.

Περὶ μυήσεως θείας τοῦ ἁγίου βαπτίσματος.

ΚΕΦΑΛ. ιϛ.

Σὺ οὖν ὦ ἐπίσκοπε ἐκείνῳ τῷ τύπῳ χρίσεις τὴν κεφαλὴν τῶν βαπτιζομένων εἴτε ἀνδρῶν εἴτε γυναικῶν τῷ ἁγίῳ ἐλαίῳ εἰς τύπον τοῦ πνευματικοῦ βαπτίσματος· ἔπειτα ἢ σὺ ὁ ἐπίσκοπος, ἢ ὁ ὑπό σε πρεσβύτερος τὴν ἱερὰν ἐπ' αὐτοῖς εἰπὼν καὶ ἐπονομάσας ἐπίκλησιν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, βαπτίσεις αὐτοὺς ἐν τῷ ὕδατι· καὶ τὸν μὲν ἄνδρα ὑποδεχέσθω ὁ διάκονος. τὴν δὲ γυναῖκα ἡ διάκονος· ὅπως σεμνοπρεπῶς ἡ μετάδοσις τῆς ἀθραύστου σφραγίδος γένηται. καὶ μετὰ τοῦτο ὁ ἐπίσκοπος χριέτω τοὺς βαπτισθέντας τῷ μύρῳ.

Ποίαν αἰτίαν ἔχει τὸ εἰς τὸν Χριστὸν βάπτισμα· καὶ διατὶ τῶν ἐν αὐτῷ ἕκαστον λέγεται, καὶ πράττεται.

ΚΕΦΑΛ. ιζ.

Ἔστι τοίνυν τὸ μὲν βάπτισμα εἰς τὸν θάνατον τοῦ Ἰησοῦ διδόμενον· τὸ δὲ ὕδωρ ἀντὶ ταφῆς· καὶ τὸ ἔλαιον ἀντὶ πνεύματος ἁγίου· ἡ σφραγὶς ἀντὶ τοῦ σταυροῦ· τὸ μύρον βεβαίωσις τῆς ὁμολογίας· τοῦ πατρὸς ἡ μνήμη ὡς αἰτίου καὶ ἀποστολέως· τοῦ πνεύματος ἡ συμπαράληψις ὡς* μάρτυρος· ἡ κατάδυσις, τὸ συναποθανεῖν· ἡ ἀνάδυσις, τὸ συναναστῆναι· πατὴρ ὁ ἐπὶ πάντων Θεός· Χριστὸς ὁ μονογενὴς Θεός· ὁ ἀγαπητὸς υἱός· ὁ τῆς δόξης κύριος· πνεῦμα ἅγιον ὁ παράκλητος τὸ ὑπὸ Χριστοῦ πεμπόμενον, καὶ ὑπ' ἐκείνου* διδασκόμενον, καὶ ἐκεῖνον κηρύττον.

* Vox ista durior merito judicatur non secus atque alia quæ paulo post iisdem radiis notatur.

Οἷος ὀφείλει εἶναι ὁ μεμυημένος.

ΚΕΦΑΛ. ιη.

Ὁ δὲ βαπτιζόμενος ὑπαρχέτω ἀλλότριος ἀσεβείας πάσης· ἀνενέργητος πρὸς ἁμαρτίαν· φίλος Θεοῦ· ἐχθρὸς διαβόλου· κληρονόμος Θεοῦ πατρός· συγκληρονόμος δὲ τοῦ υἱοῦ αὐτοῦ· ἀποτεταγμένος τῷ Σατανᾷ· καὶ τοῖς δαίμοσι καὶ ταῖς ἀπάταις αὐτοῦ· ἁγνός· καθαρός· ὅσιος· θεοφιλής· υἱὸς τοῦ Θεοῦ. προσευχόμενος, ὡς υἱὸς πατρὶ, καὶ λέγων ὡς ἀπὸ κοινοῦ τοῦ τῶν πιστῶν συναθροίσματος οὕτως· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου. γενηθήτω τὸ θέλημά σου· ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

Οἷος ὀφείλει εἶναι ὁ διάκονος.

ΚΕΦΑΛ. ιθ.

Ἔστωσαν δὲ καὶ οἱ διάκονοι ἐν πᾶσιν ἄμωμοι ὡς καὶ ὁ ἐπίσκοπος, μόνον δὲ εὐσκυλτότεροι· ἀνάλογοι πρὸς τὸ πλῆθος τῆς ἐκκλησίας· ἵνα καὶ τοῖς ἀδυνάτοις ὑπηρετεῖσθαι δύνωνται ὡς ἐργάται ἀνεπαίσχυντοι· καὶ ἡ μὲν γυνὴ τὰς γυναῖκας σπουδάζουσα θεραπεύειν· ἀμφότεροι δὲ τὰ πρὸς ἀγγελίαν· ἐκ-

δημίαν· ὑπηρεσίαν· δουλείαν· ὡς καὶ περὶ τοῦ κυρίου Ἡσαΐας ἔλεγε φάσκων, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς· ἕκαστος οὖν τὸν ἴδιον γνωριζέτω τόπον· καὶ ἐκτελείτω αὐτὸν σπουδαίως· ὁμοφρόνως· ὁμοψύχως· γινώσκοντες τὸν τῆς διακονίας μισθόν· ἔστωσαν δὲ καὶ ἀνεπαίσχυντοι εἰς τὸ ὑπηρετεῖσθαι τοῖς δεομένοις· ὡς καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν· οὕτως οὖν καὶ αὐτοὺς δεῖ ποιεῖν· κἂν δέῃ ψυχὴν ὑπὲρ ἀδελφοῦ ἀποθέσθαι, μὴ διστάσωσιν· οὐδὲ γὰρ ὁ κύριος καὶ σωτὴρ ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐδίστασε τὴν ψυχὴν αὐτοῦ θῆναι, ὡς αὐτὸς ἔφη, ὑπὲρ τῶν φίλων αὐτοῦ· εἰ οὖν ὁ κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς πάντα ὑπέμεινε δι' ἡμᾶς, πῶς ἂν ὑμεῖς διακονῆσαι τοῖς δεομένοις ἐνδοιάσητε; μιμηταὶ ὀφείλοντες αὐτοῦ εἶναι τοῦ καὶ δουλείαν, καὶ ἔνδειαν καὶ πληγὰς, καὶ σταυρὸν δι' ἡμᾶς ὑπομείναντος· χρὴ οὖν καὶ ἡμᾶς δουλεύειν τοῖς ἀδελφοῖς ὡς Χριστοῦ μιμητάς· ὁ θέλων γάρ φησιν ἐν ὑμῖν εἶναι μέγας ἔστω ὑμῶν διάκονος· καὶ ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος ἔστω ὑμῶν δοῦλος· οὕτω γὰρ καὶ αὐτὸς ἔργῳ πεπλήρωκε, τὸ εὖ δουλεύειν πολλοῖς, καὶ οὐ λόγῳ· λαβὼν γὰρ λέντιον διεζώσατο· εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα· καὶ ἡμῶν ἀνακειμένων ἐπελθὼν, πάντων ὑμῶν ἔνιψε τοὺς πόδας. καὶ τῷ λεντίῳ ἐξέμαξε· τοῦτο δὲ ποιῶν ἐπεδείκνυεν ἡμῖν τὸ τῆς φιλαδελφίας ἀγαπητικόν· ἵνα καὶ ἡμεῖς εἰς ἀλλήλους αὐτὸ ποιῶμεν· εἰ οὖν ὁ κύριος ἡμῶν, καὶ ὁ διδάσκαλος οὕτως ἐταπείνωσεν ἑαυτὸν, πῶς ἂν ὑμεῖς ἐπαισχυνθήσεσθε τοῦτο ποιῆσαι τοῖς ἀδυνάτοις καὶ ἀσθενέσι τῶν ἀδελφῶν, ἐργάται ὄντες ἀληθείας, καὶ τῆς εὐσεβείας προστάται; ἐξυπηρετεῖτε οὖν ἀγαπητικῶς· μὴ ἐπιγογγύζοντες· μηδὲ διαστασιάζοντες· οὐ γὰρ διὰ ἄθρωπον ποιεῖτε, ἀλλὰ διὰ τὸν Θεόν· καὶ τὸν μισθὸν τῆς διακονίας παρ' ἐκείνου ἀπολήψεσθε ἐν ἡμέρᾳ ἐπισκοπῆς ὑμῶν· χρὴ οὖν ὑμᾶς τοὺς διακόνους ἐπισκέπτεσθαι πάντας τοὺς δεομένους ἐπισκέψεως· καὶ περὶ τῶν θλιβομένων ἀναγγέλλετε τῷ ἐπισκόπῳ ὑμῶν· ψυχὴ γὰρ αὐτοῦ, καὶ αἴσθησις εἶναι ὀφείλετε· εὔσκυλτοι, καὶ εὐήκοοι εἰς πάντα ὄντες αὐτῷ ὡς ἐπισκόπῳ ὑμῶν, καὶ πατρὶ καὶ διδασκάλῳ.

Ὅτι ὑπὸ τριῶν ἢ δύο ἐπισκόπων ὀφείλει χειροτονεῖσθαι ὁ ἐπίσκοπος· ἀλλ' οὐχ ὑπὸ ἑνὸς· ἀβέβαιον γάρ.

ΚΕΦΑ'Λ. κ'.

Ἐπίσκοπον δὲ προστάσσομεν χειροτονεῖσθαι ὑπὸ τριῶν ἐπισκόπων· ἢ τὸ γοῦν ἔλαττον, ὑπὸ δύο· μὴ ἐξεῖναι δὲ ὑπὸ ἑνὸς ὑμῖν καθίστασθαι· ἡ γὰρ τῶν δύο καὶ τριῶν μαρτυρία βεβαιοτέρα καὶ ἀσφαλής· πρεσβύτερον δὲ καὶ διάκονον ὑπὸ ἑνὸς ἐπισκόπου καὶ τῶν λοιπῶν κληρικῶν· μήτε δὲ καὶ πρεσβύτερον, μήτε διάκονον χειροτονεῖν ἐκ λαϊκῶν κληρικούς· ἀλλὰ μόνον τὸν μὲν πρεσβύτερον διδάσκειν· ἀναφέρειν· βαπτίζειν· εὐλογεῖν τὸν λαόν· τὸν δὲ διάκονον ἐξυπηρετεῖσθαι τῷ ἐπισκόπῳ, καὶ τοῖς πρεσβυτέροις· τουτέστι, διακονεῖν· οὐ μὴν καὶ τὰ λοιπὰ διενεργεῖν.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ

Περὶ Ὀρφανῶν.

Ὅπως χρὴ τὸν ἐπίσκοπον προνοεῖν τῶν ὀρφανῶν.

ΚΕΦΑ'Λ, α'.

Ὀρφανοῦ δέ τινος γενομένου Χριστιανοῦ, ἤτοι παιδὸς ἢ παρθένου, καλὸν μὲν, ἵνα τις τῶν ἀδελφῶν οὐκ ἔχον τέκνον, προσλαβόμενος τοῦτο, ἔχῃ εἰς παιδὸς τόπον· τὴν δὲ παρθένον, ὁ ἔχων υἱὸν δυνάμενον αὐτῷ ταῖς τοῦ γάμου ὥραις συγχρονῆσαι, συζεύξῃ· τοῦτο γὰρ οἱ ποιοῦντες ἔργον μέγα ἐπιτελοῦσιν ὀρφανῶν πατέρες ὑπάρξαντες· καὶ παρὰ κυρίου τοῦ Θεοῦ λήψονται τὸν μισθὸν τῆς διακονίας ταύτης· εἰ δέ τις κατὰ ἀνθρωπαρέσκειαν περιπατῶν ἐπαισχύνοιτο πλούσιος ὢν τὰ τῆς ὀρφανίας μέλη, τοῦ μὲν ὀρφανοῦ πρόνοιαν ποιήσεται ὁ πατὴρ τῶν ὀρφανῶν· καὶ κριτὴς τῶν χηρῶν· αὐτῷ δὲ ἐμπεσεῖται τοιοῦτος, ὅς τις αὐτοῦ δαπανήσει τὴν φειδώ· καὶ γενήσεται ἐπ' αὐτῷ τὸ εἰρημένον, ἃ οὐκ ἔφαγον ἅγιοι, ταῦτα φάγονται Ἀσσύριοι, καθὼς καὶ Ἡσαΐας λέγει· τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν.

Τίνες ὀφείλουσιν ἐπικουρεῖσθαι κατὰ τὴν κυριακὴν διαταγήν.

ΚΕΦΑ'Λ. β'.

Ὑμεῖς οὖν ὦ ἐπίσκοποι μεριμνήσατε τὰ περὶ τῆς ἀνατροφῆς αὐτῶν, μηδὲν ἐλλείποντες αὐτοῖς· τοῖς μὲν ὀρφανοῖς παρέχοντες τὰ γονέων· ταῖς δὲ χήραις τὰ ἀνδρῶν· τοῖς ἀκμαίοις τοὺς γάμους· τεχνίτῃ ἔργον· ἀδρανεῖ ἔλεος· ξένοις στέγος· πεινῶσι ψωμόν· διψῶσι ποτόν· γυμνοῖς ἔνδυμα· νοσοῦσι θέαν· φυλακίταις βοήθειαν· πρὸς τούτοις πλείων ὑμῖν ἔστω φροντὶς περὶ τῶν ἐν ὀρφανίᾳ, ὅπως αὐτοῖς μηδὲν ἐνδέῃ· τῇ μὲν παρθένῳ, μέχρις ἂν ἔλθῃ εἰς ὥραν γάμου· καὶ ἐκδῶτε αὐτὴν ἀδελφῷ· τῷ δὲ παιδὶ χορηγίαν πρὸς τὸ καὶ τέχνην ἐκμαθεῖν· καὶ διατρέφεσθαι ἐκ τῆς ἐπιχορηγίας· ἵν' ὅταν δεξιῶς τὴν τέχνην κατορθώσῃ, τὸ τηνικαῦτα δύνηται καὶ τὰ τῆς τέχνης ἐργαλεῖα ἑαυτῷ πρίασθαι, ὅπως μηκέτι βαρύνη* τινὰ τῶν ἀδελφῶν ἀνυπόκριτον εἰς αὐτὸν ἀγάπην, ἀλλ' ἑαυτῷ ἐπιχορηγῇ· καὶ γὰρ ἀληθῶς μακάριος ἐστιν, ὃς ἂν δυνάμενος βοηθεῖν ἑαυτῷ, μὴ θλίβῃ τόπον ὀρφανοῦ, ξένου τε καὶ χήρας· ἐπεὶ καὶ ὁ κύριος μακάριον εἶπεν εἶναι τὸν διδόντα ἤπερ τὸν λαμβάνοντα· καὶ γὰρ εἴρηται πάλιν ὑπ' αὐτοῦ· οὐαὶ τοῖς ἔχουσιν καὶ ἐν ὑποκρίσει λαμβάνουσιν, ἢ δυναμένοις βοηθεῖν ἑαυτοῖς, καὶ λαμβάνειν παρ' ἑτέρων βουλομένοις· ἑκάτερος γὰρ ἀποδώσει λόγον κυρίῳ τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως· ὁ μὲν γὰρ δι' ἡλικίαν ὀρφανίας, ἢ γήρας ἀτονίαν, ἢ νόσου πρόσπτωσιν, ἢ τέκνων πολυτροφίαν λαμβάνων, ὁ τοιοῦτος οὐ μόνον οὐ μεμφθήσεται, ἀλλὰ καὶ ἐπαινεθήσεται. θυσιαστήριον γὰρ τῷ Θεῷ λελογισμένος ὑπὸ τοῦ Θεοῦ τιμηθήσε-

θήσεται, ἀόκνως ὑπὲρ τῶν διδόντων αὐτῷ διηνεκῶς προσευχόμενος· οὐκ ἀργῶς λαμβάνων, ἀλλὰ τῆς δόσεως αὐτοῦ, ὅση δύναμις τὸν μισθὸν διδοὺς διὰ τῆς προσευχῆς ὁ τοιοῦτος οὖν ἐν τῇ αἰωνίῳ ζωῇ ὑπὸ Θεοῦ μακαρισθήσεται· ὁ δὲ ἔχων, καὶ ἐν ὑποκρίσει λαμβάνων, ἢ δι' ἀργίαν ἀντὶ τοῦ ἐργαζόμενον βοηθεῖν καὶ ἑτέροις, δίκην ὀφλήσει τῷ Θεῷ, ὅτι πενήτων ἥρπασε ψωμόν.

Περὶ φιλαργυρίας.

ΚΕΦΑ'Λ. γ'.

Ὁ Γὰρ ἔχων ἀργύρια, καὶ μὴ μεταδιδοὺς, μήτε μὴν αὐτὸς χρώμενος, τόπον ὄφεως κεκλήρωκεν· ὅν φασιν ἐν τοῖς θησαυροῖς καθεύδειν· καὶ ἔστι καὶ ἐπ' αὐτῷ ἀληθὴς ἡ γραφὴ ἡ φάσκουσα, συνήγαγε πλοῦτον, ἐξ οὗ οὐ γεύσεται· καὶ οὐδὲν αὐτῷ ὄφελος ἀπολλυμένῳ παρὰ τῆς δίκης· οὐκ ὠφελήσει γάρ φησιν ὑπάρχοντα ἐν ἡμέρᾳ ὀργῆς· ὁ γὰρ τοιοῦτος οὐ τῷ Θεῷ πεπίστευκεν, ἀλλὰ τῷ ἑαυτοῦ χρυσίῳ, Θεὸν τοῦτο ἡγούμενος καὶ ἐπ' αὐτῷ πεποιθώς· ὑποκριτὴς ἀληθείας ὁ τοιοῦτος· προσωπολήπτης· ἄπιστος· εἴρων· δειλός· ἄνανδρος· κοῦφος· εὐχερὴς, μεμψίμοιρος· ἐπώδυνος· ἑαυτοῦ ἐχθρὸς καὶ οὐδενὸς φίλος· τούτου τὰ χρήματα ὀλεῖται· καὶ ἀνὴρ ξένος ἔδεται αὐτὰ, ἢ ζῶντος ὑφελόμενος, ἢ θανόντος καρπωσάμενος· πλοῦτος γὰρ ἀδίκως συναγόμενος ἐξεμεθήσεται.

Μετὰ ποίου φόβου χρὴ τῶν κυριακῶν μετέχειν συνεισφορῶν.

ΚΕΦΑ'Λ. δ'.

ΠΑραινοῦμεν οὖν ταῖς χήραις καὶ τοῖς ὀρφανοῖς μετὰ παντὸς φόβου καὶ πάσης εὐλαβείας μεταλαμβάνειν τῶν αὐτοῖς χορηγουμένων· καὶ εὐχαριστεῖν Θεῷ τῷ διδόντι τοῖς πεινῶσι τροφὴν καὶ ἐπ' αὐτῷ τοὺς ὀφθαλμοὺς ἐκτείνειν, τίς γὰρ, φησὶν, ὑμῶν φάγεται, ἢ τὶς πίεται πάρεξ αὐτοῦ· αὐτὸς γὰρ ἀνοίγει τὴν χεῖρα αὐτοῦ, καὶ ἐμπιπλᾷ πᾶν ζῶον εὐδοκίας· σῖτον νεανίσκοις· καὶ οἶνον παρθένοις· καὶ ἔλαιον εἰς εὐφροσύνην τῶν ζώντων· χόρτον τοῖς κτήνεσι· καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων· κρέα τοῖς θηρίοις· σπέρματα τοῖς ὀρνέοις καὶ πᾶσι τὴν πρόσφορον τροφήν· διόφησι καὶ ὁ κύριος· καταμάθετε τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν· οὐδὲ θερίζουσιν· οὐδὲ συνάγουσιν εἰς ἀποθήκας· καὶ ὁ πατὴρ ὑμῶν τρέφει αὐτὰ, οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; μὴ οὖν μεριμνήσετε λέγοντες· τί φάγωμεν ἢ τί πίομεν; οἶδε γὰρ ὁ πατὴρ ὑμῶν, ὅτι χρῄζετε τούτων ἁπάντων· τοσαύτης οὖν τῆς παρ' αὐτοῦ προνοίας ἀπολαύοντες, καὶ τῶν παρ' αὐτοῦ μεταλαμβάνοντες ἀγαθῶν, αἶνον ἀναπέμπειν ὀφείλετε τῷ ὀρφανὸν καὶ χήραν ἀναλαμβάνοντι παντοκράτορι Θεῷ διὰ τοῦ ἠγαπημένου υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν· δι' οὗ ἡ δόξα τῷ Θεῷ ἐν πνεύματι, καὶ ἀληθείᾳ εἰς τοὺς αἰῶνας ἀμήν.

Τίνων αἱ καρποφορίαι δεκταί· καὶ τίνων ἄδεκται.

ΚΕΦΑ'Λ. ε'.

ΧΡὴ δὲ τὸν ἐπίσκοπον εἰδέναι τίνων ὀφείλει δέχεσθαι καρποφορίας, καὶ τίνων οὐκ ὀφείλει· φυλακταῖοι γὰρ αὐτῷ πρὸς δόσιν κάπηλοι· οὐ δικαιωθήσεται γὰρ κάπηλος περὶ ἁμαρτίας· περὶ αὐτῶν γάρ που καὶ Ἡσαΐας ὀνειδίζων τὸν Ἰσραὴλ ἔλεγεν· οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι· φευκταῖοι δι' αὐτῷ καὶ πόρνοι· οὐ προσοίσεις γὰρ τῷ κυρίῳ μίσθωμα πόρνης· καὶ ἅρπαγες καὶ τῶν ἀλλοτρίων ἐπιθυμηταί· καὶ μοιχοί· βδελυκταὶ γὰρ αἱ τούτων θυσίαι παρὰ Θεῷ· ἀλλὰ καὶ οἱ ἐκθλίβοντες χήραν, καὶ ὀρφανὸν καταδυναστεύοντες, καὶ τὰς φυλακὰς πληροῦντες ἀναιτίων, ἢ καὶ τοῖς ἑαυτῶν οἰκέταις πονηρῶς χρώμενοι, πληγαῖς φημι καὶ λιμῷ καὶ κακοδουλίᾳ, ἢ καὶ πόλεις ὅλας λυμαινόμενοι φευκταῖοι ἔστωσάν σοι ὦ ἐπίσκοπε· καὶ αἱ τούτων προσφοραὶ μυσαραί· παραιτήσῃ δὲ καὶ ῥᾳδιουργούς· καὶ ῥήτορας ἀδικίᾳ συναγωνιζομένους· καὶ εἰδωλοποιούς· καὶ κλέπτας· καὶ τελώνας ἀδίκους· καὶ ζυγοκρούστας· καὶ δολομέτρας· καὶ στρατιώτην συκοφάντην, μὴ ἀρκούμενον τοῖς ὀψωνίοις· ἀλλὰ τοὺς πένητας διασείοντα· φονέα τε καὶ δήμιον, καὶ δικαστὴν παράνομον· πραγμάτων ἀναστροπέα· ἀνθρώπων ἐπίβουλον· μιαρῶν ἐργάτην· μέθυσον· βλάσφημον· κίναιδον· τοκογλύφον· καὶ πάντα ὀντινοῦν πονηρόν· καὶ τῇ γνώμῃ τοῦ Θεοῦ διαμαχόμενον· ὅτι λέγει ἡ γραφὴ βδελυκτοὺς εἶναι παρὰ Θεῷ πάντας τοὺς τοιούτους· οἱ γὰρ παρὰ τῶν τοιούτων δεχόμενοι, καὶ τρέφοντες χήρας καὶ ὀρφανοὺς, ὑπεύθυνοι τῷ κριτηρίῳ τοῦ Θεοῦ γενήσονται· ὥσπερ καὶ Ἀδωνίας ὁ ἐν ταῖς βασιλείαις προφήτης παρακούσας Θεοῦ, καὶ φαγὼν ἄρτον καὶ πιὼν ὕδωρ ἐν τῷ τόπῳ, ᾧ ἀπεῖπεν αὐτῷ ὁ κύριος διὰ τὴν τοῦ Ἱεροβοὰμ ἀσέβειαν, ὑπὸ λέοντος ἀναιρεθείς· ὁ γὰρ ἐκ κόπου διακονούμενος ἄρτος χήραις, δίκαιος μᾶλλον, κἂν ᾖ βραχὺς καὶ ὀλίγος, ἢ ἐξ ἀδικίας καὶ συκοφαντίας, κἂν πολὺς καὶ ἐξησκημένος· λέγει γὰρ ἡ γραφὴ κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολήν· εἰ δὲ καὶ ἐξ ἀσεβῶν φαγοῦσα χήρα, καὶ ἐμπλησθεῖσα προσεύξεται ὑπὲρ αὐτῶν, οὐκ εἰσακουσθήσεται. ὅτι ὁ καρδιογνώστης Θεὸς μετὰ κρίσεως ἀπεφήνατο περὶ τῶν ἀσεβῶν λέγων· ἐὰν στῇ Μωσῆς, καὶ Σαμουὴλ πρὸ προσώπου μου ὑπὲρ αὐτῶν, οὐκ εἰσακούσομαι αὐτῶν μου· καὶ σὺ μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου ἐλεηθῆναι αὐτούς· καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαί σου.

Ὅτι τῶν ἀναξίων καρποφορίαι, ἕως ἂν ὦσι τοιοῦτοι, οὐ μόνον οὐκ ἐξιλεοῦνται, ἀλλ' ἐκ τῶν ἐναντίων κινοῦσιν πρὸς ἀγανάκτησιν.

ΚΕΦΑ'Λ, ς'.

ΟΥ' μὴν δὲ, ἀλλὰ καὶ οἱ ἐν ἁμαρτίαις γενόμενοι, καὶ μὴ μεταγνόντες, οὐ μόνον οὐκ εἰσακου-

σακουσθήσονται προσευχόμενοι, ἀλλὰ καὶ τὸν Θεὸν παροξύνουσιν ὑπομιμνήσκοντες αὐτὸν τῆς ἑαυτῶν μοχθηρίας· περιΐστασθε οὖν τὰς τοιαύτας διακονίας· ὡς ἄλλαγμα κυνός· καὶ μίσθωμα πόρνης· ἑκάτερα γὰρ τοῖς νόμοις ἀπηγόρευται· οὔτε γὰρ Ἐλισσαῖος τὰ παρὰ τοῦ Ἀζαὴλ κομισθέντα ἐδέξατο, οὔτε Ἀχίας τὰ παρὰ τοῦ Ἱεροβοάμ· εἰ δὲ οἱ τοῦ Θεοῦ προφῆται τὰ παρὰ τῶν ἀσεβῶν οὐ προσήκαντο ξένια, δίκαιον μήτε ὑμᾶς ὦ ἐπίσκοποι· ἀλλὰ καὶ Σίμων ὁ μάγος ἐμοὶ Πέτρῳ καὶ Ἰωάννῃ χρήματα προσενεγκὼν ἐπειρᾶτο ὠνητὴν τὴν ἀτίμητον χάριν λήψεσθαι· ἅπερ μὴ προσηκάμενοι, ἀραῖς αἰωνίοις αὐτὸν ἐδησάμεθα· ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ οὐκ εὐνοίᾳ τῇ πρὸς Θεὸν, ἀλλὰ χρημάτων ἐναλλαγῇ ἐνόμισε κτᾶσθαι· φεύγετε οὖν τὰς δυσσυνειδήτους εἰς τὸ θυσιαστήριον τοῦ Θεοῦ εἰσφοράς. ἀπέχου γάρ φησιν ἀπὸ ἀδίκου καὶ οὐ φοβηθήσῃ· καὶ τρόμος οὐκ ἐγγιεῖ σοι.

Ὅτι βέλτιον ἐκ κόπου ἰδίου παρέχειν ταῖς χήραις κἂν ᾖ εὐτελῆ καὶ ὀλίγα, ἢ τὰ παρὰ τῶν ἀσεβῶν, κἂν πολλὰ καὶ μεγάλα τυγχάνῃ· βέλτιον γὰρ λιμῷ διαφθαρῆναι, ἢ παρὰ ἀσεβῶν συνεισφορὰν δέξασθαι.

ΚΕΦΑΛ. ζ'.

Ἀλλ' ἐὰν λέγητε, ὅτι οἱ διδόντες τὰς ἐλεημοσύνας. οὗτοί εἰσι, κἂν μὴ λάβοιμεν παρ' αὐτῶν, πόθεν αἱ χῆραι ὑπηρετηθήσονται παρ' ἡμῶν, καὶ οἱ ἐνδεεῖς τοῦ λαοῦ διατραφῶσιν. ἀκούσεσθε παρ' ἡμῶν, ὅτι διὰ τοῦτο ἐλάβετε δόμα Λευιτῶν τὴν καρποφορίαν τοῦ ἐν ὑμῖν λαοῦ, ἵνα ἐπαρκῇ τε καὶ ἑαυτοῖς καὶ τοῖς δεομένοις· καὶ μὴ ἐν ἀπορίᾳ συνεχόμενοι, παρὰ πονηρῶν λαμβάνητε· εἰ δὲ οὕτως ἀποροῦσιν αἱ ἐκκλησίαι, λυσιτελεῖ διαφθαρῆναι, ἢ παρ' ἐχθρῶν τοῦ Θεοῦ λαβεῖν τι ἐφ' ὕβρει καὶ χλεύῃ τῶν αὐτοῦ φίλων· περὶ γὰρ τῶν τοιούτων καὶ ὁ προφήτης λέγει· ἔλαιον ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου· δοκιμασταὶ οὖν γίνεσθε τῶν τοιούτων καὶ παρὰ μὲν τῶν ὁσίως περιπατούντων λαμβάνετε, καὶ τοῖς θλιβομένοις χορηγεῖτε· παρὰ δὲ ἀποσυναγώγων μὴ λαμβάνετε πρὶν ἂν τῆς ἐκκλησίας εἶναι μέλη καταξιωθῶσιν· εἰ δὲ ἐπιλίποι δόμα, προσάγγελε τοῖς ἀδελφοῖς, καὶ ἐξ αὐτῶν συλλογὴν ποιησάμενος, διακόνει τοῖς ὀρφανοῖς καὶ ταῖς χήραις ἐν δικαιοσύνῃ.

Ὅτι χρὴ προτρέπεσθαι τὸν λαὸν ὑπὸ τοῦ ἱερέως εὐποιεῖν τοὺς πένητας, ὡς καὶ ὁ Σολομὼν ὁ σοφός.

ΚΕΦΑΛ. η'.

Λέγε δὲ τῷ ὑπὸ σὲ λαῷ, ἃ καὶ Σολομὼν ὁ σοφός· τίμα τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων· καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης· ἵνα πιμπλᾶται τὰ ταμιεῖά σου πλησμονῆς σίτου· οἴνῳ δὲ αἱ ληνοὶ σου ἐκβλύζωσιν· ἐκ τοῦ δικαίου οὖν κόπου τῶν πιστῶν τρέφετε· καὶ ἀμφιέννυτε τοὺς ὑστερουμένους· καὶ τὰ ἐξ αὐτῶν, ὡς προειρήκαμεν, ἀθροιζόμενα χρήματα διατάσσετε, διακονοῦντες εἰς τοὺς ἀγορασμοῦς τῶν ἁγίων, ῥυόμενοι δούλους· αἰχμαλώτους· δεσμίους· ἐπηρεαζομένους· ἥκοντας ἐκ καταδίκης διὰ τὸ ὄνομα τοῦ Χριστοῦ ὑπὸ τυράννων εἰς μονομαχίαν καὶ θάνατον· λέγει γὰρ ἡ γραφή· ῥῦσαι ἀγομένους εἰς θάνατον· καὶ ἐκπρίου κτεινομένους· μὴ φείσῃ.

Διάταξις, ἵν' ἐάν τις τῶν ἀσεβῶν βίᾳ προσρίψῃ χρήματα τοῖς ἱερεῦσιν· εἰς ξύλα καὶ ἀνθρακιὰν ἀναλώσωσι ταῦτα· ἀλλὰ μὴ εἰς διατροφάς.

ΚΕΦΑΛ. θ'.

Ἐὰν δέ ποτε ἀνάγκη γένηται παρά τινος δέξασθαι ἀνοσίου ἄκοντες ἀργύριον, εἰς ξύλα καὶ ἀνθρακιὰν αὐτὸ δαπανήσατε· ἵνα μὴ λαβοῦσα ἡ χήρα ἐξ αὐτοῦ τι, ἢ ὁ ὀρφανὸς ἀναγκασθῇ ὠνήσασθαι τροφὴν ἢ πόμα παρὰ τὸ προσῆκον· δίκαιον γὰρ τὰ παρὰ ἀσεβῶν ταῦτα πυρὸς εἶναι κατανάλωμα, οὐκ εὐσεβῶν βρῶμα· ταῦτα δὲ καὶ ὁ νόμος διαγορεύει, θυσίαν ὑψισθεῖσαν ἄβρωτον ἀποκαλῶν· καὶ πυρὶ ταύτην ἀναλίσκεσθαι κελεύων· οὐ γὰρ τῇ φύσει φαῦλα τὰ προσφερόμενα, ἀλλὰ τῇ γνώμῃ τῶν προσκομιζόντων αὐτά· τοῦτο δὲ προστάσσομεν ἐπὶ τὸ μὴ ἀποστρέφειν τοὺς πλησιάζοντας ὑμῖν· εἰδότες καὶ τὴν συντυχίαν πολλάκις ἐπωφελῆ τοῖς ἀσεβέσι γεγενῆσθαι τὴν πρὸς τοὺς εὐσεβεῖς· ἐπιβλαβῆ δὲ μόνην τὴν κατὰ τὴν θρησκείαν κοινωνίαν· ταῦτα μὲν οὖν ἐπιτοσοῦτον ἀγαπητοὶ εἰρήσθω ὑμῖν πρὸς ἀσφάλειαν ὑμῶν.

Περὶ γονέων καὶ παίδων.

ΚΕΦΑΛ. ι'.

Οἱ μέντοι πατέρες παιδεύετε τὰ τέκνα ὑμῶν ἐν κυρίῳ, ἐκτρέφοντες αὐτὰ ἐν παιδίᾳ καὶ νουθεσίᾳ κυρίου· καὶ διδάσκετε αὐτὰ ἐπιτηδείους καὶ ἁρμοζούσας τῷ λόγῳ τέχνας· ἵνα μὴ διὰ τῆς εὐκαιρίας στρηνιάσαντα καὶ ἀνεπιτίμητα ὑπὸ τῶν γονέων μείναντα, πρὸς ὥρας ἀνέσεως τυχόντα, ἀφηνιάσωσι τοῦ καλοῦ· διὸ μὴ εὐλαβεῖσθε αὐτοῖς ἐπιπλήσσειν σωφρονίζοντες αὐτὰ μετὰ ἐμβριθείας· οὐ γὰρ ἀποκτενεῖτε αὐτὰ παιδεύοντες· μᾶλλον δὲ σώσετε αὐτά· καθὼς που καὶ ὁ Σολομὼν ἐν τῇ σοφίᾳ φησί· παίδευε υἱόν σου καὶ ἀναπαύσει σε, οὕτω γὰρ ἔσται σοι εὔελπις· σὺ μὲν γὰρ ῥάβδῳ πατάξεις αὐτὸν, τὴν δὲ ψυχὴν αὐτοῦ ῥύσῃ ἐκ θανάτου· καὶ πάλιν λέγη ὁ αὐτὸς οὕτως· ὃς φείδεται τῆς ἑαυτοῦ βακτηρίας, μισεῖ τὸν ἑαυτοῦ υἱόν· καὶ ἑξῆς· κλάσον τὰς πλευρὰς αὐτοῦ, ὡς ἔστι νήπιος, μήποτε σκληρυνθεὶς ἀπειθήσῃ σοι· ὃς φείδεται οὖν παραινεῖν καὶ σωφρονίζειν τὸν ἑαυτοῦ υἱὸν, μισεῖ τὸν ἴδιον παῖδα· ἐκδιδάσκετε οὖν ὑμῶν τὰ τέκνα τὸν λόγον κυρίου· στύφετε δὲ αὐτὰ * καὶ δαρνοῖς· καὶ ποιεῖτε ὑποτακτικὰ, ἀπὸ βρέφους διδάσκοντες αὐτὰ ἱερὰ γράμματα, ὑμέτερά τε καὶ θεῖα· καὶ πᾶσαν γραφὴν θείαν παραδιδόντες, μὴ διδόντες ἄνεσιν αὐτοῖς, κατεξουσιάζειν ὑμῶν παρὰ τὴν ὑμετέραν γνώμην· μετὰ ὁμηλίκων εἰς συμπόσιον μὴ ἐῶντες αὐτὰ συμβάλλειν. οὕτω γὰρ εἰς ἀταξίαν ἐκτραπήσονται· καὶ εἰς πορνείαν περιπεσοῦνται· καὶ ἐὰν παρὰ τὴν τῶν γονέων ἀμέλειαν τοῦτο πάθωσιν, ἔνοχοι τῶν ψυχῶν αὐτῶν οἱ γενήσαντες ὑπάρξουσιν· εἰ γὰρ τῇ τῶν γειναμένων ῥᾳθυμίᾳ σύνεισιν ἀκολάστοις, οἱ παῖδες ἁμαρτήσαντες οὐκ αὐτοὶ μόνοι κολασθήσονται· ἀλλὰ καὶ ὑπὲρ αὐτῶν οἱ γονεῖς αὐτῶν κριθήσονται· διὰ τοῦτο σπουδάζετε ὥρᾳ γάμου ζευγνύναι

* κυρίου [illegible]

γνῶναι καὶ συναλλάσσειν αὐτὰ, ἵνα μὴ τῆς ἡλικίας ἐν τῇ ἀκμῇ ζεούσης, ἔθη πορνοκόπα ἀποβῇ· καὶ ὑμεῖς ἀπαιτηθήσεσθε τὸν λόγον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὑπὸ κυρίου τοῦ Θεοῦ.

Περὶ οἰκετῶν καὶ δεσποτῶν.

ΚΕΦΑΛ. ιά.

ΠΕρὶ δὲ οἰκετῶν τί ἂν εἴποιμεν πλεῖον, ἢ ὅτι καὶ ὁ δοῦλος εὔνοιαν εἰσφερέτω πρὸς τὸν δεσπότην μετὰ φόβου Θεοῦ, κἂν ἀσεβὴς, κἂν πονηρὸς ὑπάρχῃ· οὐκέτι μέν τοι καὶ ὁμόνοιαν κατὰ τὴν θρησκείαν· καὶ ὁ δεσπότης ἀγαπάτω τὸν οἰκέτην· κἂν διάφορος ᾖ, τὸ ἴσον κρινέτω, ἢ καθὸ ἄνθρωπος ὑπάρχει· ὁ δὲ πιστὸν ἔχων δεσπότην σωζομένης αὐτῷ τῆς κυρίας ἀγαπάτω. καὶ ὡς δεσπότην· καὶ ὡς ὁμόπιστον· καὶ ὡς πατέρα. μὴ ὡς ὀφθαλμόδουλος· ἀλλ' ὡς φιλοδέσποτος. εἰδὼς ὅτι ὁ Θεὸς αὐτῷ τὴν μισθαποδοσίαν ἀποτίσει τῆς ὑπηρεσίας· ὡσαύτως καὶ ὁ κύριος ὁ πιστὸν ἔχων οἰκέτην σωζομένης αὐτῷ τῆς θεραπείας, ἀγαπάτω ὡς υἱὸν, ἢ ὡς ἀδελφὸν, διὰ τὴν τῆς πίστεως κοινωνίαν.

Ἐν τίσιν ὑποτάσσεσθαι χρὴ τοῖς κοσμικοῖς ἄρχουσιν.

ΚΕΦΑΛ. ιβ'.

ΠΑ'σῃ βασιλείᾳ καὶ ἀρχῇ ὑποτάγητε ἐν οἷς ἀρέσκει Θεῷ, ὡς διακόνος καὶ τῶν ἀσεβῶν τιμωροῖς· πάντα φόβον τὸν ὀφειλόμενον αὐτοῖς ἀποπληρώσατε· πᾶσαν εἰσφοράν· πᾶν τέλος· πᾶσαν τιμήν· δόσιν· κῆνσον· Θεοῦ γὰρ τοῦτο διάταγμα μηδενί τι χρεωστεῖν εἰ μὴ τὸ τῆς φιλίας σύμβολον, ὃ ὁ Θεὸς διετάξατο διὰ Χριστοῦ.

Περὶ παρθένων.

ΚΕΦΑΛ. ιγ'.

ΠΕρὶ δὲ παρθενίας ἐντολὴν οὐκ ἐλάβομεν· τῇ δὲ τῶν βουλομένων ἐξουσίᾳ τοῦτο ἐπιτρέπομεν ὡς εὐχήν· ἐκεῖνο μὲν οὖν αὐτοῖς πραινοῦντες, μὴ προχείρως τι ἐπαγγείλασθαι, ἐπείπερ ὁ Σολομών φησιν· ἀγαθὸν τὸ μὴ εὔξασθαι, ἢ τὸ εὔξασθαι καὶ μὴ ἀποδοῦναι· ἡ παρθένος οὖν αὕτη ἔστω ἁγία σώματι καὶ ψυχῇ ὡσναὸς Θεοῦ· ὡς οἶκος Χριστοῦ· ὡς πνεύματος ἁγίου καταγώγιον· δεῖ γὰρ τὴν ἐπαγγειλαμένην, ἄξια τῆς ἐπαγγελίας ἔργα διαπρασσομένην, δεικνύειν τὸ ἐπάγγελμα αὐτῆς, ὅτί ἐστιν ἀληθὲς, καὶ διὰ σχολὴν εὐσεβείας, οὐ κατὰ διαβολὴν γάμου γενομένην· ἔστω δὲ μὴ ῥεμβάς· μηδὲ ἀκαιροπεριπάτητος· μὴ δίγνωμος· ἀλλὰ σεμνή· ἐγκρατής· σώφρων· ἁγνή· φεύγουσα τὰς τῶν πολλῶν συντυχίας, καὶ μάλιστα τῶν ἀσέμνων.

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ

Περὶ Μαρτύρων.

Ὅτι τοῖς διὰ Χριστὸν θλιβομένοις παρὰ ἀπίστων δίκαιον τοῖς πιστοῖς τὰ δέοντα παρέχειν κατὰ τὴν τοῦ κυρίου διάταξιν.

ΚΕΦΑΛ. ά.

ΕΙ' τις Χριστιανὸς διὰ τὸ ὄνομα τοῦ Χριστοῦ καὶ τὴν εἰς τὸν Θεὸν ἀγάπην καὶ πίστιν κατακριθῇ ὑπὸ ἀσεβῶν εἰς λοῦδον, ἢ θηρία, ἢ μέταλλον, μὴ παρίδητε αὐτὸν, ἀλλ' ἐκ τοῦ κόπου καὶ ἐκ τοῦ ἱδρῶτος ὑμῶν πέμψατε αὐτῷ εἰς διατροφὴν αὐτοῦ καὶ εἰς μισθαποδοσίαν τῶν στρατιωτῶν· ἵνα ἐλαφρυνθῇ καὶ ἐπιμελείας τύχῃ· ἵν' ὅσον τὸ ἐφ' ὑμῖν, μὴ θλίβηται ὁ μακάριος ἀδελφὸς ὑμῶν· ὁ γὰρ διὰ τὸ ὄνομα κυρίου τοῦ Θεοῦ κατουδικαζόμενος, οὗτος μάρτυς ἅγιος· ἀδελφὸς τοῦ κυρίου· υἱὸς τοῦ ὑψίστου· δοχεῖον τοῦ ἁγίου πνεύματος· δι' οὗ καὶ τὸν φωτισμὸν τῆς δόξης τοῦ ἁγίου εὐαγγελίου ἔλαβεν· ἕκαστος τῶν πιστῶν ἐν τῷ καταξιωθῆναι τοῦ ἀφθάρτου στεφάνου, καὶ τῆς μαρτυρίας τῶν παθημάτων αὐτοῦ καὶ τῆς κοινωνίας τοῦ αἵματος αὐτοῦ, συμμορφωθῆναι τῷ θανάτῳ τοῦ Χριστοῦ υἱοθεσίαν· τούτου οὖν ἕνεκεν ἅπαντες οἱ πιστοὶ διὰ τοῦ ἐπισκόπου ὑμῶν ἐκ τῶν ὑπαρχόντων ὑμῶν καὶ ἐκ τοῦ κόπου διακονήσατε τοῖς ἁγίοις· εἰ δὲ οὐκ ἔχει τις, νηστεύσας τὸ τῆς ἡμέρας, καὶ μερίσας τοῦτο, ἐκταξάτω τοῖς ἁγίοις· εἰ δέ τις ἐν περιουσίᾳ ὑπάρχει, καὶ πλεῖόν τι κατὰ ἀναλογίαν τῆς δυνάμεως αὐτοῦ διακονείτω αὐτοῖς· εἰ δὲ καὶ οἷ ὅς τέ ἐστιν ἅπαντα τὸν βίον ἑαυτοῦ ἀποδόμενος ῥύσασθαι αὐτοὺς ἐκ τοῦ δεσμωτηρίου, μακάριος ἔσται καὶ φίλος τοῦ Χριστοῦ. εἰ γὰρ ὁ τὰ ὑπάρχοντα πτωχοῖς δοὺς, τέλειος μετὰ τὴν περὶ τῶν θείων γνῶσιν, πολλῷ μᾶλλον ὁ ὑπὲρ μαρτύρων· ὁ γὰρ τοιοῦτος, ἄξιος Θεοῦ ὑπάρξας πληρώσει τὸ θέλημα αὐτοῦ χορηγήσας ἐκείνοις, οἵ τινες αὐτὸν ὡμολόγησαν ἐνώπιον ἐθνῶν καὶ βασιλέων, υἱῶν τε Ἰσραὴλ, περὶ ὧν ὁ κύριος ἀπεφήνατο λέγων, ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου· καὶ εἰ τοιοῦτοί εἰσιν ὡς καὶ ὑπὸ Χριστοῦ ἐπὶ τοῦ πατρὸς αὐτοὺς μαρτυρεῖσθαι, ὑμεῖς οὐκ ὀφείλετε ἐπαισχυνθῆναι ἀπιέναι πρὸς αὐτοὺς ἐν ταῖς φυλακαῖς· τοῦτο γὰρ ποιησάντων ὑμῶν, μαρτύριον ὑμῖν λογισθήσεται. ὅτι ἐκείνοις μὲν πεῖρα τὸ μαρτύριον ὑπῆρξεν· ὑμῖν δὲ ἑτέρως προθυμία, ὡς κοινωνοῖς τῆς ἀθλήσεως αὐτῶν· λέγει γάρ που ὁ κύριος πρὸς τοὺς τοιούτους φάσκων, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοισμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς, καὶ περιεβάλετέ με· ἀσθενὴς ἤμην, καὶ ἐπεσκέψασθέ με. ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με· τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι λέγοντες, κύριε πότε σε ἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν, ἢ διψῶντα, καὶ ἐποτίσαμεν, πότε δέ σε ἴδομεν γυμνὸν, καὶ περιεβάλομεν. ἢ ἀσθενῆ, καὶ ἐπεσκεψάμεθα; πότε δέ σε ἴδομεν ξένον, καὶ συνηγάγομεν. ἢ ἐν φυλα-

φυλακῆ, καὶ ἤλθομεν πρός σε; καὶ ἀποκριθεὶς ἐρεῖ αὐτοῖς· ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. καὶ ἀπελεύσονται οὗτοι εἰς ζωὴν αἰώνιον· τότε ἐρεῖ καὶ τοῖς ἐξ ἀριστερῶν· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέμοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνός, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με· τότε ἀποκριθήσονται καὶ αὐτοὶ λέγοντες· κύριε πότε σε εἴδομεν πεινῶντα ἢ διψῶντα· ἢ ξένον· ἢ γυμνόν· ἢ ἀσθενῆ ἢ ἐν φυλακῇ καὶ οὐ διηκονήσαμέν σοι; τότε ἀποκριθήσεται καὶ αὐτοῖς λέγων· ἀμὴν λέγω ὑμῖν· ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε, καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον.

Ὅτι φυλακτέον τῆς πρὸς τοὺς ψευδαδέλφους συνουσίας, ὅταν ἐπιμένωσι τῇ φαυλότητι.

ΚΕΦΑΛ. β'.

Εἰ δέ τις ἀδελφὸν λέγων ἑαυτὸν εἶναι, ἁπατηθεὶς ὑπὸ τοῦ πονηροῦ κακοποιήσῃ, καὶ ἐλεχθεὶς κατακριθῇ θανάτῳ ὡς μοιχὸς, ἢ φονεύς, χωρίζεσθε ἀπ' αὐτοῦ, ἵνα μὴ που ἄσυλοι· καὶ μή τις ὑμῶν ὡς κοινωνὸς τοῦ μύσους ὑποπτευθῇ καὶ κατακέηται βλασφημίαν, ὡς πάντων Χριστιανῶν χαιρόντων ἐπὶ τοῖς παρανόμοις ἔργοις· διὸ μακρὰν ἀπ' αὐτῶν χωρεῖτε· τοῖς μὴν τοι διὰ Χριστὸν κατ' ἐπήρειαν παρὰ τῶν ἀσεβῶν συγκλειομένοις εἰς φυλακὴν ἢ πρὸς θάνατον ἐκδιδομένοις, ἢ πρὸς δεσμὰ, καὶ ἐξορίαν, πάσῃ σπουδῇ βοηθεῖτε, τὰ μέλη ὑμῶν ῥυόμενοι ἐκ χειρῶν ἀθέσμων· ⟨ἐάν τις αὐτοῖς συγκείμενος συλληφθῇ καὶ αἰκίαις ὑποπέσοι, μακάριός ἐστιν, ὅτι κοινωνὸς μάρτυρος ἐγένετο καὶ μιμητὴς τοῦ Χριστοῦ παθημάτων· καὶ γὰρ καὶ ἡμεῖς ὑπὲρ Χριστοῦ πολλάκις ὑπὸ Καϊάφα καὶ Ἀλεξάνδρου καὶ Ἄννα πληγὰς λαβόντες, χαίροντες ἐξήμεν, ὅτι κατηξιώθημεν ὑπὲρ τοῦ σωτῆρος ἡμῶν τοιαῦτα παθεῖν· καὶ ὑμεῖς χαίρετε ταῦτα πάσχοντες· ὅτι μακάριοι γενήσεσθε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

Ὅτι τοῖς διὰ Χριστὸν πορθουμένοις χρὴ χεῖρα ὀρέγειν κἂν κίνδυνος παρῇ.

ΚΕΦΑΛ. γ'.

Καὶ τοὺς διωκομένους δὲ διὰ τὴν πίστιν, καὶ πόλιν ἐκ πόλεως φεύγοντας διὰ τὴν ἐντολὴν τοῦ κυρίου προσλαμβάνεσθε αὐτοὺς ἀντιλαμβανόμενοι αὐτῶν καὶ προσδεχόμενοι αὐτοὺς ὡς μάρτυρας· χαίροντες ὅτι κοινωνοὶ αὐτῶν τοῦ διωγμοῦ γεγένησθε, γινώσκοντες αὐτοὺς ὑπὸ τοῦ κυρίου μεμακαρῆσθαι· φησὶ γὰρ αὐτὸς, μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν· καὶ πάλιν· εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι· καὶ ἐξῆς· ἐὰν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην· ὅτι ἐν τῷ κόσμῳ θλῖψιν ἔχετε· παραδώσουσι γὰρ ὑμᾶς εἰς συναγωγὰς, καὶ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς· καὶ ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται· ὁ γὰρ διωχθεὶς ἕνεκεν τῆς πίστεως καὶ μαρτυρήσας περὶ αὐτοῦ καὶ ὑπομείνας, οὗτος ἀληθῶς ἄνθρωπος Θεοῦ. 46

Ὅτι φευκτὸν καὶ ἀλέθριον τὸ ἀρνεῖσθαι Χριστόν· καὶ ὅτι μιμητέον Χριστὸν ἐν πᾶσι πάσχειν καὶ ζηλωτέον τὴν αὐτοῦ ὑπομονήν.

ΚΕΦΑΛ. δ'.

Ὁ δὲ ἀρνησάμενος ἑαυτὸν Χριστοῦ εἶναι διὰ τὸ μὴ μισεῖσθαι ὑπὸ ἀνθρώπων, φιλήσας τὴν ἑαυτοῦ ψυχὴν μᾶλλον ἢ τὸν κύριον, ὃς ἡ πνοὴ αὐτοῦ ἐν χερσὶν αὐτοῦ, οὗτος ἐλεεινός καὶ ἄθλιος· ὡς ἐναγὴς καὶ βδελυκτὸς· φίλος μὲν ἀνθρώπων θελήσας εἶναι, ἐχθρὸς δὲ τοῦ Θεοῦ· μερίδα λαβὼν οὐκέτι μετὰ τῶν ἁγίων, ἀλλὰ μετὰ τῶν κατηραμένων· ἀντὶ βασιλείας δὲ λογημένων ποθήσας τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ οὐχ ὑπ' ἀνθρώπων ἔτι μισούμενος, ἀλλ' ὑπὸ τοῦ Θεοῦ ἀπωσμένος· καὶ ἀπὸ τοῦ προσώπου αὐτοῦ ἐκβεβλημένος· περὶ γὰρ τούτου ἀπεφθέγξατο ὁ κύριος λέγων, ὅς τις ἀρνήσεταί με ἔμπροσθεν τῶν ἀνθρώπων καὶ ἐπαισχυνθῇ τὸ ὄνομά μου, ἀρνήσομαι αὐτὸν κἀγὼ καὶ ἐπαισχυνθήσομαι ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· καὶ πάλιν λέγει τοῖς μαθηταῖς αὐτοῦ ἡμῖν αὐτοῖς οὕτως, ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν, ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος· καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος· ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν· καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν· τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ; τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ, καὶ ἐξῆς· μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.

Ὅτι χρὴ τὸν πιστὸν μήτε ῥιψοκίνδυνον εἶναι δι' ἀσφάλειαν· μήτε περιδεῆ δι' ἀνδρείαν· ἀλλὰ καὶ φεύγειν δι' ἀλάβειαν, καὶ ἐμπίπτοντι ἀγωνίζεσθαι δι' τὸν ἀποκείμενον στέφανον.

ΚΕΦΑΛ. ε'.

Πᾶς ὃν ὁμανθάνων τέχνην τινὰ βλέπων τὸν διδάσκαλον αὐτοῦ δι' τῆς ἐνεργείας καὶ ἐμπειρίας ἀπαρτίζοντα τὴν τέχνην αὐτοῦ, καὶ αὐτὸς ζηλοῖ ὅμοιον αὐτῷ ποιήσασθαι τὸ ἐγχείρημα· ἐὰν μὴ ἐξισχύσῃ, οὐκ ἔστι τετελειωμένος ἐν τῷ ἔργῳ· καὶ ἡμεῖς ὃν ἔχοντες διδάσκαλον τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν διατί οὐ μιμούμεθα τὴν αὐτοῦ διδαχήν· ὅτι ἐκεῖνος μὴ ἀπετάξατο ἀνέσει· ξύφῃ· δόξῃ· πλούτῳ· τύφῳ· δυνάμει ἀμυντικῇ· μητρὶ καὶ ἀδελφοῖς· ἤδη δὲ καὶ τῇ οἰκείᾳ ζωῇ διὰ τὴν πρὸς τὸν πατέρα δόσεβειαν, καὶ τὴν εἰς ἡμᾶς φιλανθρωπίαν, ὑπομείνας οὐ μόνον διωγμὸν καὶ μάστιγας, ὀνειδισμὸν καὶ ἐμπαιγμόν, ἀλλ' ἤδη καὶ τὴν πρὸς τὸ ξύλον προσπῆξιν, ὅπως Ἰουδαίους καὶ Ἕλληνας μετανοήσαντας σώσῃ· εἰ οὖν αὐτὸς δι' ἡμᾶς ἀπετάξατο ἀναπαύσεως, μὴ ἐκαισχυνθεὶς σταυρὸν, μὴ ἀδοξήσας τὸν θάνατον, τίνος ἕνεκεν ἡμεῖς οὐ μιμούμεθα

μεθα αὐτοῦ τὰ πάθη, καὶ ἀποτασσόμεθα ὑπὲρ αὐτοῦ καὶ αὐτῇ τῇ ζωῇ ἡμῶν, διδόντος αὐτοῦ ἡμῖν τὴν ὑπομονήν; ἐκεῖνος μὲν γὰρ δι' ἡμᾶς, ἡμεῖς δὲ δι' ἑαυτούς· οὐ γὰρ χρῄζει ἡμῶν αὐτὸς, ἡμεῖς δὲ τοῦ ἐλέους αὐτοῦ· μόνον δὲ τὸ τῆς πίστεως ἡμῶν γνήσιον ἐπιζητεῖ καὶ αὐθαίρετον, ὥς φησιν ἡ γραφή· εἰ δίκαιος εἶ, τί δώσεις αὐτῷ; ἢ τί ἐκ χειρός σου λήψεται; ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά σου· καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη σου. ἀποταξώμεθα οὖν καὶ γονεῦσι· καὶ συγγενέσι· καὶ φίλοις· καὶ γυναικί· καὶ τέκνοις· καὶ κτήμασι· καὶ σύμπαντι τῷ βίῳ, ὅταν ᾖτι τούτων κώλυμα πρὸς εὐσέβειαν· δεῖ γὰρ προσεύχεσθαι μὲν ἡμᾶς, ἵνα μὴ εἰσέλθωμεν εἰς πειρασμόν· ἐὰν δὲ κληθῶμεν εἰς μαρτύριον, μετὰ ἐνστάσεως ὁμολογεῖν τὸ τίμιον ὄνομα· καὶ ἐὰν τούτου χάριν κολασθῶμεν, χαίρωμεν ὡς ἐπὶ ἀθανασίαν σπεύδοντες· διωκόμενοι μὴ ξενιζώμεθα· μὴ ἀγαπήσωμεν τὸν νῦν αἰῶνα· μηδὲ τοὺς παρὰ ἀνθρώπων ἐπαίνους, μηδὲ τὴν τῶν ἀρχόντων δόξαν καὶ τιμήν· καθάπερ καί τινες τῶν Ἰουδαίων, θαυμάζοντες τοῦ κυρίου τὰς ἐνεργείας, οὐκ ἐπίστευον εἰς αὐτὸν φόβῳ τῷ πρὸς τοὺς ἀρχιερεῖς, καὶ τοὺς λοιποὺς τῶν ἀρχόντων· ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ· ὁμολογήσαντες δὲ τὴν καλὴν ὁμολογίαν οὐ μόνον ἑαυτοὺς σώζομεν, ἀλλὰ καὶ τοὺς νεοφωτίστους βεβαιοῦμεν καὶ τοὺς κατηχουμένους πιστοποιούμεθα· εἰ δὲ καθυφῶμέν τι τῆς ὁμολογίας ἐξαρνησάμενοι τὴν εὐσέβειαν διὰ γνώμης χαυνότητα καὶ φόβον βραχυτάτης τιμωρίας, οὐ μόνον ἑαυτοὺς ἀποστεροῦμεν τῆς αἰωνίου δόξης, ἀλλ' ἤδη καὶ ἑτέροις αἴτιοι ἀπωλείας γενησόμεθα, καὶ διπλοτέραν ὑποίσομεν τὴν τίσιν, ὡς ὑποψίαν δώσαντες διὰ τῆς ἀρνήσεως, πλάνης διδαχὴν εἶναι τήν ποτε ὑφ' ἡμῶν δοξαζομένην ἀλήθειαν· διὸ μήτε πρόχειροι ὦμεν καὶ ῥιψοκίνδυνοι· λέγει γὰρ ὁ κύριος, προσεύχεσθε μὴ ἐμπεσεῖν εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον· ἡ δὲ σὰρξ ἀσθενής· μηδὲ μὴν ἐμπεσόντες δειλίᾳ καταισχυνώμεν τὴν ὁμολογίαν· εἰ γὰρ ἀρνησάμενός τις τὴν ἑαυτοῦ ἐλπίδα, ὅς ἐστιν Ἰησοῦς ὁ τοῦ Θεοῦ υἱὸς, ἀπολυθῇ τοῦ προσκαίρου θανάτου, αὔριον δ' ἐπὶ κλίνης νόσῳ περιπέση ὀξυτάτη, κοιλίας, ἢ στομάχου, ἢ κεφαλῆς, ἢ τινι πάθει τῶν ἀνιάτων, σήψεως, ἢ γαγγραίνης, ἢ ἀποστάσεως, ἢ ἰλεοῦ, ἢ ὑδέρου, ἢ κόλου, ταχείαν ποιήσηται τὴν καταστροφὴν καὶ τοῦ ζῆν ὑπεξέλθοι, οὐχὶ καὶ τῶν ἐν ταῦθα ἐστερήθη, καὶ τῶν αἰωνίων ἐκπέπτωκε· μᾶλλον δὲ τῆς ἀϊδίου κολάσεως ἐντὸς κατέστη πορευθεὶς εἰς τὸ σκότος τὸ ἐξώτερον, οὗ ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων; ὁ δὲ ἀξιωθεὶς μαρτυρίου χαιρέτω τὴν ἐν κυρίῳ χαρὰν ὡς τηλικούτου ἐπιτυχὼν στεφάνου καὶ δι' ὁμολογίας ποιούμενος τὴν ἔξοδον τοῦ βίου, κἂν κατηχούμενος ᾖ, ἄλυπος ἀπίτω· τὸ γὰρ πάθος τὸ ὑπὲρ Χριστοῦ ἔσται αὐτῷ γνησιώτερον βάπτισμα· ὅτι αὐτὸς μὲν πείρᾳ συναποθνήσκει τῷ κυρίῳ, οἱ δὲ λοιποὶ, τύπῳ· χαιρέτω οὖν μιμούμενος τὸν διδάσκαλον· ἐπειδὴ καὶ προστέτακται, κατηρτισμένος ἔσω πᾶς, ὡς ὁ διδάσκαλος αὐτοῦ· ὁ δὲ διδάσκαλος αὐτοῦ καὶ ἡμῶν Ἰησοῦς ὁ κύριος δι' ἡμᾶς ἐπλήγη, βλασφημίας ὑπέμεινε καὶ ὀνειδισμοὺς μακροθύμως, ἐνεπτύσθη, ἐκολαφίσθη, ἐῤῥαπίσθη, σταυρῷ μετὰ τὸ μαστιχθῆναι προσηλώθη, ὄξος καὶ χολὴν ἐποτίσθη, τελειώσας πάντα τὰ γεγραμμένα, εἶπε τῷ Θεῷ καὶ πατρὶ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου· διὸ καὶ ὁ εὐχόμενος ἐκείνου μαθητὴς εἶναι, ζηλούτω τοὺς αὐτοῦ ἀγῶνας· μιμείσθω τὴν ὑπομονὴν, γινώσκων ὅτι κἂν ἐν πυρὶ ὑπὸ ἀνθρώπων καῇ, οὐδὲν πείσεται, ὡς οἱ τρεῖς παῖδες· ἢ εἰ καὶ πάθῃ τι, μισθὸν παρὰ κυρίου λήψεται, πιστεύων τῷ ἐνὶ καὶ μόνῳ ἀληθινῷ Θεῷ καὶ πατρὶ διὰ Ἰησοῦ Χριστοῦ τοῦ μεγάλου ἀρχιερέως καὶ λυτρωτοῦ τῶν ψυχῶν, καὶ μισθαποδότου τῶν ἄθλων· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

Περὶ ἀναστάσεως ἀποδείξεις διάφοροι· περὶ Σιβύλλης, καὶ τί οἱ Στωϊκοὶ περὶ τοῦ φοίνικος τοῦ ὀρνέου.

ΚΕΦΑΛ. ϛ'.

Αὐτὸς γὰρ ἡμᾶς ἐγερεῖ ὁ παντοκράτωρ Θεὸς διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ τὴν ἀψευδῆ· καὶ ἀναστήσει ἡμᾶς σὺν πᾶσι τοῖς ἀπ' αἰῶνος κοιμηθεῖσι τοιούτους, ὁποῖοι ὑπάρχομεν ἐν τῇ νῦν μορφῇ, μηδὲν ἐλλειπὲς ἔχοντας, ἢ τὴν φθοράν· ἐπείπερ ἄφθαρτοι ἀναστησόμεθα· κἂν τε γὰρ ἐν πελάγει τελευτήσωμεν, κἂν ἐν γῇ διασπαρῶμεν, κἂν ὑπὸ θηρίων ἢ ὀρνέων διασπασθῶμεν, ἀναστήσει ἡμᾶς τῇ ἑαυτοῦ δυνάμει· ὅτι ὁ πᾶς κόσμος τῇ τοῦ Θεοῦ συνέχεται χειρί· θρὶξ δὲ φησιν ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· διὸ παραινεῖ λέγων· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν· περὶ δὲ τῆς τῶν νεκρῶν ἀναστάσεως καὶ τῆς τῶν μαρτύρων μισθαποδοσίας λέγει Γαβριὴλ τῷ Δανιὴλ, καὶ πολλοὶ τῶν κεκοιμημένων ἐκ γῆς χώματος ἀναστήσονται· οἱ μὲν εἰς ζωὴν αἰώνιον, οἱ δὲ εἰς αἰσχύνην καὶ ὀνειδισμὸν αἰώνιον· καὶ οἱ συνιέντες ἐκλάμψουσιν ὡς ὁ ἥλιος, καὶ ὡς τὸ στερέωμα, καὶ οἱ ἀστέρες· ὡς φωστῆρας τοίνυν ἐκλάμψειν τοὺς ἁγίους προεῖπεν ὁ πανάγιος Γαβριὴλ· αὐτοῖς γὰρ τὸ συνιέναι τὴν ἀλήθειαν ἐμαρτύρησε καὶ τὸ ἱερὸν αὐτοῦ ὄνομα· οὐ μόνον δὲ τοῖς μάρτυσιν ἐπήγγελται τὴν ἀνάστασιν, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις δικαίοις τε καὶ ἀδίκοις, εὐσεβέσι καὶ δυσεβέσιν· ἵνα ἕκαστος τὰ πρὸς ἀξίαν τίσῃ· ἄξει γάρ φησιν ὁ Θεὸς σύμπαν τὸ ποίημα εἰς κρίσιν ἐν παντὶ παρεωραμένῳ, ἐὰν ἀγαθὸν, καὶ ἐὰν πονηρόν· ταύτην δὲ τὴν ἀνάστασιν μὴ πιστεύοντες Ἰουδαῖοι, τὸ παλαιὸν ἔλεγον, ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, διαπεφωνήκαμεν· οἷς ὁ Θεὸς ἀποκριθεὶς ἔφη· ἰδοὺ ἐγὼ ἀνοίγω τοὺς τάφους ὑμῶν. καὶ ἀνάξω ὑμᾶς ἐξ αὐτῶν· καὶ δώσω τὸ πνεῦμά μου ἐν ὑμῖν, καὶ ζήσεσθε, καὶ γνώσεσθε, ὅτι ἐγὼ κύριος λελάληκα· καὶ ποιήσω· καὶ διὰ Ἡσαΐου φησίν· ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις· καὶ εὐφρανθήσονται οἱ ἡσυχάζοντες ἐν τῇ γῇ· ὅτι ἡ δρόσος ἡ παρὰ σου ἴαμα αὐτοῖς ἐστι· πολλὰ μὲν οὖν καὶ ἕτερα περὶ τῆς ἀναστάσεως εἴρηται· καὶ περὶ τῆς τῶν δικαίων ἐν δόξῃ διαμονῆς· καὶ περὶ τῆς τῶν ἀσεβῶν τιμωρίας· πτώσεως ἀποστροφῆς·

φῆς· καταδίκης· ἀδοξίας, πυρὸς αἰωνίου, καὶ σκώληκος ἀτελευτήτου· καὶ ὅτι εἰ ἐβούλετο πάντας ἀνθρώπους εἶναι ἀθανάτους, ἠδυνάτο. ἔδειξε τὸν Ἐνὼχ καὶ τὸν Ἠλίαν, μὴ ἑάσας θανάτου πεῖραν λαβεῖν· εἰ δὲ καὶ κατὰ χρεὰν τοὺς τελευτῶντας ἀνιέναι ἤθελε, καὶ δι' ἑαυτοῦ καὶ δι' ἑτέρων τοῦτο δῆλον ἐποίησε. τὸν μὲν υἱὸν τῆς χήρας, διὰ Ἠλιοῦ ἀναστήσας· καὶ τὸν τῆς Σωμανίτιδος διὰ Ἐλισαίου· πειθόμεθα δὲ μὴ μισθὸν τιμωρίας εἶναι τὸν θάνατον, ἐξ ὧν αὐτὸν καὶ ἅγιοι ὑπέστησαν· ἢ καὶ αὐτὸς ὁ τῶν ἁγίων κύριος Ἰησοῦς ὁ Χριστὸς ἡ ζωὴ τῶν πιστῶν καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· διὰ τοῦτο οὐ πρὸς ὡς ἂν ἐν μεγαλοπόλει πολιτδομένοις μετὰ τοὺς ἄθλους ἐπάγει πρὸς ὀλίγον τοῦ διάλυσιν, ἵνα ἀναστήσας ἕκαστον ἀποκρύξῃ ἢ στεφανώσῃ· ὁ γὰρ τοῦ Ἀδὰμ τὸ σῶμα ἐκ γῆς ποιήσας, καὶ τῶν λοιπῶν καὶ τοῦ πρώτου μετὰ διάλυσιν τὸ σῶμα ἀναστήσει πρὸς τὸ χρεωστεῖσθαι τοῦτο τῇ λογικῇ τῶν ἀνθρώπων φύσει, λέγομεν δὴ τὸ διαιωνίζειν· ὁ τοίνυν τοῦ διάλυσιν ἐπάγων, αὐτὸς καὶ τοῦ ἀνάστασιν ποιεῖται· καὶ ὁ εἰπών, ὅτι ἔλαβε κύριος χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, ὁ καὶ μετὰ τοῦ ἀναιρεσίαν ἐπειπών, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, αὐτὸς καὶ εἰς τὰ μετὰ ταῦτα ἐπηγγείλατο ἡμῖν τοῦ ἀνάστασιν· ἀκούσονται γὰρ φησι πάντες οἱ ἐν τοῖς μνημείοις τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ· καὶ οἱ ἀκούσαντες ζήσονται· πρὸς δὲ τούτοις πιστεύομεν τοῦ ἀνάστασιν γίνεσθαι, καὶ ἐκ τῆς τοῦ κυρίου ἀναστάσεως· αὐτὸς γάρ ἐστιν ὁ καὶ Λάζαρον ἀναστήσας τεταρταῖον· καὶ τοῦ θυγατέρα Ἰαείρου, καὶ τὸν υἱὸν τῆς χήρας, καὶ ἑαυτὸν πρωτάγματι τοῦ παρὸς διὰ τριῶν ἡμερῶν ἀνεγείρας ὁ ἀρραβὼν τῆς ἀναστάσεως ἡμῶν· ἐγὼ γάρ φησιν, εἰμὶ ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ τὸν Ἰωνᾶν διὰ τριῶν ἡμερῶν ζῶντα καὶ ἀπαθῆ ἐξαγαγὼν ἐκ τῆς κοιλίας τοῦ κήτους, καὶ τοὺς τρεῖς παῖδας ἐκ καμίνου Βαβυλωνίας, καὶ τὸν Δανιὴλ ἐκ στόματος λεόντων, ὃς ἀπορήσει δυνάμεως, καὶ ἡμᾶς ἀνεγεῖραι· εἰ δὲ χλευάζουσιν Ἕλληνες ἀπιστοῦντες ταῖς ἡμετέραις γραφαῖς, πιστωσάτω αὐτούς, κἂν ἡ αὐτῶν προφῆτις Ἀβύλλα ὅτω πως αὐτοῖς λέγουσα κατὰ λέξιν·

Ἀλλ' ὁπότ' ἤδη πάντα τέφρα σποδόεσσα γένηται,
Καὶ πῦρ κοιμίσῃ Θεὸς ἄφθιτον ὥσπερ ἀνῆψεν
Ὀστέα καὶ σποδιὴν αὖτος Θεὸς ἔμπαλιν αὖτοῖς.
Ἀνδ' ἄρα μορφώσῃ, στήσῃ δὲ βροτοὺς πάλιν ὡς πάρος ἦσαν,
Καὶ τότε δὴ κρίσις ἔσαι, ἐφ' ᾗ δικάσει Θεὸς αὐτὸς
Κόσμων ἔμπαλι κόσμον· ὅσοι δ' ὑπὸ δυσσεβίησιν.
Ἡμάρτοσ θνητοί, τοὺς δ' αὖ πάλιν γαῖα καλύψει.
Ὅσοι δ' ἀσεβέουσι, πάλιν ζήσονθ' ὑπὸ κόσμῳ,
Πνεῦμα Θεοῦ δόντος, ζωὴν θ' ἅμα καὶ χάριν αὐτοῖς
Εὐσεβέσι· πάντες τε τότ' εἰσόψονται ἑαυτούς.

Εἰ τοίνυν καὶ αὐτὴ τοῦ ἀνάστασιν ὁμολογεῖ, καὶ τοῦ παλιγγενεσίαν οὐκ ἀρνεῖται; διακρίνει δὲ τοὺς ἀσεβεῖς ἐκ τῶν ἀσεβῶν, μάτην ἄρα τοῖς ἡμετέροις ἀπιστοῦσι. καὶ τοί φασι εἰδικοῦ δεικνύειν τοῦ ἀνάστασιν μὴ πιστεύοντες οἷς αὐτοὶ διηγοῦνται· φασὶ γὰρ ὄρνεόν τι μονογενὲς ὑπάρχειν πλουσίαν τῆς ἀναστάσεως παρέχον τοῦ ἀπόδειξιν, ὃ λέγουσιν ἄζυγον ὑπάρχειν, καὶ μόνον ἐν δημιουργίᾳ· φοίνικα δὲ τοῦτο προσαγορεύουσιν· οἱ δὲ ἱστοροῦσι κατὰ πεντακόσια ἔτη ἔρχεσθαι εἰς αἴγυπτον ἐπὶ τὸ λεγόμενον ἡλίου βωμὸν φέροντα πλῆθος κινναμώμου κασσίας τε καὶ ξυλοβαλσάμου δὲ σὰν προσ ἀνατολάς, ὡς αὐτοί φασι, τῷ ἡλίῳ προσδεξάμενον, αὐτομάτως φλεχθῆναι καὶ γενέσθαι κόνιν· ἐκ δὲ τῆς σποδιᾶς σκώληκα ἀναφυῆναι, καὶ τοῦτον θερμανθέντα μορφοθῆναι εἰς ἀρτιγενῆ φοίνικα καὶ πτηνὸν γενόμενον ἐπ' Ἀραβίαν πέλασθαι· ὅπερ ἐστὶ περαιτέρω τοῦ Αἰγυπτιακοῦ νομοῦ· εἰ τοίνυν. ὡς καὶ αὐτοί φασι, διὰ τοῦ ἀλόγου ὀρνέου δείκνυται ἡ ἀνάστασις, τί μᾶλλον τὰ ἡμέτερα διαβάλλουσιν ὅταν ὁμολογῶμεν, ὅτι δυνάμει τὸ μὴ ὂν εἰς τὸ εἶναι παραγαγών, ὅτος ἰσχύει τοῦτο καὶ μετὰ τοῦ διάλυσιν εἰς ἀνέγερσιν παρασῆσαι; διὰ γὰρ ταύτην τὴν πληροφορίαν, καὶ μάστιγας, καὶ διωγμούς, καὶ θανάτους ὑπομένομεν· ἐπεὶ μᾶλλον τὰ ποιοῦντι κατεδεξάμεθα μὴ τούτων ἔχοντες τὴν πληροφορίαν ὧν κήρυκες ἐπαγγελλόμεθα εἶναι· ὥσπερ οὖν ἐπείθημεν Μωσῆ εἰπόντι, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ γινώσκομεν ὅτι οὐκ ὕλης ἦν ὁ δεής· ἀλλὰ βουλήσει μόνῃ, ἃ προσετάγη Χριστός, ταῦτα καὶ παρήγαγε· λέγομεν δὴ οὐρανὸν, γῆν, θάλασσαν, φῶς, νύκτα, ἡμέραν, φωστῆρας, ἄστρα, πετεινὰ, νυκτερίδας, τετράποδα, ἑρπετὰ, φυτὰ, βοτάνας· τὸν αὐτὸν τρόπον, καὶ πάντας ἀναστήσει θελήματι σωτηρίας μὴ δεόμενος. τῆς γὰρ αὐτοῦ δυνάμεώς ἐστιν ἔργον τὸ δημιουργῆσαι κόσμον, καὶ τὸ νεκροὺς ἀναστῆσαι: καὶ τότε μὲν μὴ ὄντα τὸν ἄνθρωπον ἐκδιαφόρων ἐποίησεν ἄνθρωπον, δοὺς αὐτῷ τὴν ψυχὴν ἐκ τοῦ μὴ ὄντος· νυνὶ δὲ ταῖς ὔσαις ψυχαῖς τὰ διαλυθέντα σώματα ἀποτίσει· χειμῶνος γάρ ἐστιν ἡ ἀνάστασις, ὄχι δὲ μὴ ὑπαρχόντων· ὁ οὖν τὰ πρῶτα σώματα ἐκ μὴ ὄντων ποιήσας, καὶ ἐξ αὐτῶν διάφορα δημιουργήσας, ὅτος καὶ τοὺς θανόντας ζωοποιήσας ἀναστήσει· ὁ γὰρ ἐν τῇ κοιλίᾳ τὸν ἄνθρωπον ἐκ μικροῦ σπέρματος μορφῶν, καὶ ψυχὴν αὐτῷ ἐκ ὔσαν ἐνδημιουργῶν, καὶ ὡς αὐτὸς φησι τῷ Ἱερεμίᾳ, πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε· καὶ ἀλλαχοῦ, ἐγὼ κύριος στερεῶν οὐρανὸν, καὶ θεμελιῶν γῆν, καὶ πλάσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ, αὐτὸς καὶ πάντας ἀνθρώπους ἀναστήσει αὐτοῦ ὄντας ποιήματι· καθὼς καὶ ἡ θεία γραφὴ μαρτυρεῖ λέγοντα τὸν Θεὸν τῷ μονογενεῖ Χριστῷ, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν· καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς: καὶ ὁ θειότατος καὶ χαριεστὸς Ἰὼβ, περὶ οὗ φησιν ἡ γραφὴ, ὅτι γέγραπται αὐτὸν ἀναστήσεσθαι μεθ' ὧν ὁ κύριος ἀνίστησιν, ὅπερ φησὶ πρὸς τὸν Θεόν· ἢ οὐχ ὥσπερ γάλα με ἤμελξας, ἔπηξας δέ με ἴσα τυρῷ; δέρμα καὶ κρέας με ἐνέδυσας· ὀστέοις δὲ καὶ νεύροις με συνέρας, ζωὴν δὲ καὶ ἔλεον ἔθου παρ' ἐμοί· ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέ μου τὸ πνεῦμα· ταῦτα ἔχων ἐν ἐμαυτῷ οἶδα, ὅτι πάντα δυνάσαι· ἀδυνατεῖ δέ σοι οὐδέν· διόφησιν καὶ ὁ ἡμέτερος σωτὴρ καὶ διδάσκαλος Ἰησοῦς ὁ Χριστός, ὅτι τὸ παρὰ ἀνθρώποις ἀδύνατον, δυνατὸν

τὸν παρὰ τῷ Θεῷ· λέγει δὲ καὶ ὁ θεοφιλὴς Δαβίδ· αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· καὶ πάλιν, σὺ ἔγνως τὸ πλάσμα ἡμῶν· καὶ ἑξῆς· σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου· ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη· οὐ μὴ δύνωμαι πρὸς αὐτήν. τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται· ἀλλὰ καὶ ὁ Ἡσαΐας λέγει προσευχόμενος αὐτῷ· ὅτι ἡμεῖς ὁ πηλὸς καὶ σὺ ὁ πλάστης ἡμῶν· εἰ τοίνυν αὐτοῦ δημιούργημα ὁ ἄνθρωπος διὰ Χριστοῦ γενόμενος, πάντως ὅτι καὶ θανὼν δι' αὐτοῦ ἀναστήσεται· ἐπὶ τῷ ἢ στεφθῆναι ἐπὶ τοῖς κατορθώμασιν, ἢ κολασθῆναι ἐπὶ τοῖς πλημμελήμασιν· εἰ δὲ δικαιοσύνη κρίνει ὡς νομοθέτης, ὥσπερ κολάζει τοὺς ἀσεβεῖς, οὕτως εὐεργετῶν σώζει τοὺς πιστοὺς, καὶ τοὺς δι' αὐτὸν ὑπ' ἀνθρώπων σφαγέντας ἁγίους· τοὺς μὲν ὡς ἄστρα φαιδρύνων, τοὺς δὲ ὡς φωστῆρας λαμπρύνων· καθὼς ὁ Γαβριὴλ τῷ Δανιὴλ ἔλεγε· μαθηταὶ οὖν Χριστοῦ πάντες ὑπάρχοντες οἱ πιστοὶ, πιστεύομεν αὐτοῦ ταῖς ἐπαγγελίαις· ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος· λέγει δὲ ὁ μακάριος προφήτης Δαβίδ· ὅτι πιστὸς κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ· ὁ γὰρ ἐκ παρθένου ἑαυτῷ κατασκευάσας σῶμα, οὗτος καὶ τῶν ἄλλων ἀνθρώπων δημιουργός ἐστι· καὶ ὁ ἑαυτὸν ἀναστήσας ἐκ τῶν νεκρῶν, αὐτὸς καὶ πάντας τοὺς κειμένους ἀναστήσει· ὁ τὸν πυρὸν ἐξ ἑνὸς κόκκου πολύχουν ἐκ γῆς ἀνιστῶν, ὁ τὸ ἐκκοπὲν δένδρον εἰς ῥάδαμνον ἀναθάλλων, ὁ τὴν Ἀαρὼν ῥάβδον ξηράνασαν ἐκφύσας εἰς βλαστὸν, αὐτὸς καὶ ἡμᾶς ἐγερεῖ ἐν δόξῃ· ὁ τὸν παραλυτικὸν σῶον ἀνεγείρας, καὶ τὸν ἐξηραμμένην ἔχοντα τὴν χεῖρα ἰασάμενος καὶ τὸ λεῖπον μέρος ἐν τῷ ἐκ γενετῆς πηρῷ ἐκ γῆς καὶ σιέλου ἀποδοὺς, ὁ αὐτὸς καὶ ἡμᾶς ἀνεγερεῖ· ὁ ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων πεντακισχιλίους κορέσας, καὶ περισσεύσας δώδεκα κοφίνους, καὶ ἐξ ὕδατος οἶνον μεταποιήσας, καὶ ἐκ στόματος ἰχθύος στατῆρα δι' ἐμοῦ Πέτρου τοῖς ἀπαιτοῦσι κῆνσον ἀποστείλας, οὗτος καὶ τοὺς νεκροὺς ἀνεγερεῖ. ταῦτα γὰρ ἅπαντα ἡμεῖς περὶ αὐτοῦ μαρτυροῦμεν· τὰ δ' ἄλλα οἱ προφῆται· ἡμεῖς οἱ συμφαγόντες αὐτῷ καὶ συμπιόντες, καὶ θεαταὶ γενόμενοι τῶν αὐτοῦ τεραστίων καὶ τῆς ζωῆς καὶ τῆς πολιτείας καὶ τῶν λόγων καὶ τῶν παθημάτων καὶ τοῦ θανάτου καὶ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως καὶ συναναστραφέντες αὐτῷ ἡμέρας τεσσαράκοντα μετὰ τὴν ἔγερσιν αὐτοῦ καὶ λαβόντες ἐντολὴν παρ' αὐτοῦ κηρύξαι τὸ εὐαγγέλιον εἰς ὅλον τὸν κόσμον, καὶ μαθητεῦσαι πάντα τὰ ἔθνη, καὶ βαπτίσαι εἰς τὸν αὐτοῦ θάνατον ἐπὶ αὐθεντίᾳ τοῦ Θεοῦ τῶν ὅλων, ὅς ἐστιν αὐτοῦ πατὴρ, καὶ * μαρτυρίᾳ πνεύματος, ὅς ἐστι παράκλητος· διδάσκομεν ὑμᾶς ταῦτα πάντα, ἃ διαταξάμενος ἡμῖν ἀνελήφθη ἐπ' ὄψει ἡμῶν εἰς τὸν οὐρανὸν πρὸς τὸν ἀποστείλαντα αὐτόν· καὶ ἐὰν μὲν πιστεύσητε, μακάριοι γενήσεσθε· εἰ δὲ μὴ πιστεύσητε, ἀθῷοι ἡμεῖς εὑρεθησόμεθα καὶ καθαροὶ τῆς ὑμετέρας δυσπιστίας.

* Hæc vox Mac donicum epus redolet. Eumdem sanctum Spiritum alibi quoque testem nuncupat.

Περὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ κυρίου καὶ Στεφάνου τοῦ πρωτομάρτυρος.

ΚΕΦΑ'Λ. ζ'.

ΠΕρὶ δὲ τῶν μαρτύρων λέγομεν ὑμῖν, ὅπως ἐν πάσῃ τιμῇ ὦσι παρ' ὑμῖν ὡς καὶ παρ' ἡμῖν τετίμηνται ὁ μακάριος Ἰάκωβος ὁ ἐπίσκοπος καὶ ὁ ἅγιος ἡμῶν συνδιάκονος Στέφανος· οὗτοι γὰρ εἰσι καὶ ἐπὸ Θεοῦ μεμακαρισμένοι, καὶ ἐπὸ ὁσίων ἀνδρῶν τετιμημένοι, καθαροὶ πάσης πλημμελίας, ἄτρεπτοι πρὸς ἁμαρτίαν· ἀμετάπιστοι τῶν καλῶν· ἀνενδοίαστοι πρὸς ἐγκώμια, περὶ ὧν καὶ ὁ Δαβὶδ ἔλεγε· τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ· καὶ ὁ Σολομὼν, μνήμη δικαίου μετ' ἐγκωμίου, περὶ ὧν καὶ ὁ προφήτης ἔλεγεν, ἄνδρες δίκαιοι αἴρονται.

Περὶ ψευδομαρτύρων.

ΚΕΦΑ'Λ. η'.

ΤΑῦτα δὲ περὶ τῶν κατὰ ἀλήθειαν ὑπὲρ Χριστοῦ μαρτυρησάντων, εἴρηται, ἀλλ' οὐ περὶ τῶν ψευδομαρτύρων, περὶ ὧν τὸ λόγιον φησιν, ὄνομα δὲ ἀσεβῶν σβέννυται· μάρτυς γὰρ πιστὸς οὐ ψεύδεται· ἐκκαίει δὲ ψευδῆ μάρτυς ἄδικος· ὁ γὰρ ἐν μαρτυρίῳ ἐξελθὼν ἀψευδῶς ὑπὲρ τῆς ἀληθείας, οὗτος ἀληθινὸς μάρτυς ἀξιόπιστος ἐν οἷς συνηγωνίσατο τῷ λόγῳ τῆς εὐσεβείας διὰ τοῦ οἰκείου αἵματος·

Ἠθικὴ παραίνεσις, ὅτι δεῖ φεύγειν ματαιολογίας, αἰσχρολογίας, εὐτραπελίας, μέθην, λαγνείαν, θρύψιν.

ΚΕΦΑ'Λ. θ'.

ΠΑραινοῦμεν δὲ ὑμῖν ἀδελφοὶ καὶ σύνδουλοι φεύγειν τὰς ματαιολογίας καὶ τὰς αἰσχρολογίας· καὶ τὰς εὐτραπελίας· μέθας· λαγνείας· θρύψεις· καὶ τὰς ἀμέτρους ἐν ἄλλῳ * ὀργὰς σὺν ταῖς μωρολογίαις· ὅτι οὐδὲ ἐν ταῖς κυριακαῖς ἡμέραις τῶν εὐφροσυνῶν ἐπιτρέπομεν ὑμῖν ἄσεμνόν τι ἢ φθέγγεσθαι ἢ πράττειν· λέγει γάρ που ἡ γραφή· δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ· καὶ τὰς ἀγαλλιάσεις σὺν ὑμῶν, μετὰ φόβου καὶ τρόμου γίνεσθαι χρή· ὁ γάρ τοι Χριστιανὸς ὁ πιστὸς οὐδὲ ᾠδὴν ἐθνικὴν ὀφείλει λέγειν· οὔτε ἆσμα πορνικόν. ἐπεὶ συμβήσεται αὐτῷ διὰ τῆς ᾠδῆς, εἰδώλων μνημονεύειν ὀνόματα δαιμονικὰ καὶ ἀντὶ τοῦ ἁγίου πνεύματος, εἰς φρήσει ἐν αὐτῷ τὸ πονηρόν.

* ὀργὰς

Παραίνεσις παιδεύουσα φεύγειν τῆς εἰδωλολατρείας τὸ μῦσος.

ΚΕΦΑ'Λ. ι'.

Α'Πείρηται δὲ καὶ τὸ ὀμνύειν ἐν αὐτοῖς, καὶ τὸ διὰ στόματος αὐτῶν προφέρειν τὰ βδελυκτὰ ὀνόματα· ἢ προσκυνεῖν αὐτοῖς· ἢ φοβεῖσθαι αὐτοὺς ὡς Θεούς· οὐ γὰρ εἰσι θεοὶ, ἀλλ' ἢ πονηροὶ δαίμονες ἢ μεμωκημένα ἔργα· λέγει γάρ που ὁ Θεὸς περὶ τῶν Ἰσραηλιτῶν, ἐγκατέλιπόν με καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσι θεοῖς· καὶ ἑξῆς· ἐξαρῶ τὰ ὀνόματα τῶν εἰδώλων ἐκ τοῦ στόματος αὐτῶν· καὶ ἀλλαχοῦ· αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεοῖς, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· καὶ ἐν πάσαις δὲ ταῖς γραφαῖς ἀπηγόρευται ταῦτα ὑπὸ κυρίου τοῦ Θεοῦ.

Ὅτι μὴ καθήκει ᾠδὴν ἐθνικὴν ἢ πορνικὴν ἄδειν· οὔτ' ἐπόμνυσθαι εἴδωλον· ἀσεβὲς γὰρ τοῦτο καὶ τῆς τοῦ Θεοῦ γνώσεως ἐχθρόν.

ΚΕΦΑΛ. ιά.

Οὐ μόνον δὲ περὶ εἰδώλων ἀπαγορεύουσιν, ἀλλὰ καὶ περὶ φωστήρων νομοθετοῦντες παραινοῦσι· μήτε ὀμνύειν ταῦτα· μήτε μὴν λατρεύειν αὐτοῖς· φασὶ γὰρ μὴ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας πλανηθεὶς προσκυνήσης αὐτοῖς· καὶ ἀλλαχοῦ· κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ μανθάνετε· καὶ ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε· τὰ γὰρ ἄστρα καὶ οἱ φωστῆρες εἰς φαῦσιν ἀνθρώποις, ἀλλ' οὐκ εἰς προσκύνησιν ἐδόθησαν, εἰ καὶ οἱ Ἰσραηλῆται μοχθηρίᾳ τρόπου προσεκύνουν ἀντὶ τοῦ κτίστου τὴν κτίσιν· καὶ τὸν μὲν δημιουργὸν καθυβρίσαντες· τὴν δὲ κτίσιν πλεῖον ἤδει θαυμάσαντες· καί τότε μὲν μοσχοποιοῦντες ὡς ἐν ἐρήμῳ· ποτὲ δε τὸν Βεελφεγὼρ προσκυνοῦντες. ἄλλοτε δὲ τὸν Βαάλ· καὶ τὸν Θαμμούς· καὶ τὴν Σιδωνίαν Ἀστάρτην· καὶ πάλιν τὸν Μολὸχ, καὶ Χαμὼς καὶ ἄλλοτε τὸν ἥλιον, ὡς παρὰ τῷ Ἰεζεκιὴλ γέγραπται· ἤδη δὲ καὶ ἄλογα ζῶα, ὡς παρ' Αἰγυπτίοις τὸν Ἄπιν, καὶ τὸν Μενδήσιον τράγον, καὶ θεοὺς ἀργυροὺς καὶ χρυσοῦς ὡς ἐν Ἰουδαῖα· δι' ἅπερ ἅπαντα ἀπειλῶν αὐτοῖς ἔλεγε διὰ τοῦ προφήτου· μὴ μικρὸν τοῦτο τῷ οἴκῳ Ἰούδα· τοῦ ποιεῖν τὰ βδελύγματα ταῦτα, ἃ ἐποίησαν, ὅτι ἔπλησαν τὴν γῆν ἀνομίας τοῦ παροργίσαι με; καὶ ἰδοὺ αὐτοί εἰσιν ὡς μυκτηρίζοντες· καὶ ἐγὼ ποιήσω μετὰ θυμοῦ· οὐφείσεται ὁ ὀφθαλμός μου· οὐδ' οὐ μὴ ἐλεήσω· καὶ κεκράξονται ἐν τοῖς ὠσίν μου φωνῇ μεγάλῃ καὶ οὐκ εἰσακούσομαι αὐτῶν· ὁρᾶτε ἀγαπητοὶ, ὅσα κατὰ τῶν εἰδωλολατρῶν καὶ τῶν σεβομένων ἥλιον καὶ σελήνην ἀποφαίνεται ὁ κύριος· διὸ χρὴ τὸν τοῦ Θεοῦ ἄνθρωπον ὡς Χριστιανὸν μήτε ἥλιον ὀμνύναι, μήτε σελήνην· μήτε ἄστρα, μήτε μὴν τὸν οὐρανὸν, ἢ γῆν, ἤτι τῶν στοιχείων μικρὸν ἢ μέγα· εἰ γὰρ ὁ διδάσκαλος περὶ τοῦ ὄντος Θεοῦ παρήγγειλεν ἡμῖν μὴ ὀμνύειν, ὅπως ὁ λόγος ἡμῶν πιστότερος ᾖ τοῦ ὅρκου, μήτε μὴν τὸν οὐρανὸν αὐτόν· Ἑλληνικὸν γὰρ τὸ δυσσέβημα· μήτε μὴν Ἱερουσαλὴμ, ἢ τὰ τοῦ Θεοῦ ἅγια, ἢ τὸ θυσιαστήριον καὶ τὸ δῶρον, ἢ τὴν τοῦ ναοῦ χρύσωσιν, ἢ τὴν οἰκείαν κεφαλήν· Ἰουδαϊκῆς γὰρ παραφθορᾶς ἡ συνήθεια, διὸ καὶ ἀπηγόρευται· εἶναι δὲ τὸ ναὶ, ναὶ καὶ τὸ οὔ, οὔ, τοῖς πιστοῖς παρεγγυᾶ· καὶ τὰ τούτων περισσὸν, τοῦ πονηροῦ εἶναι λέγει· πόσῳ μᾶλλον ὑπόδικοι οἱ τὰ ψευδώνυμα ὡς ὅρκια ἐπομνύμενοι, καὶ τὰ νομιζόμενα ἀντὶ τῶν ἀληθῶν δοξάζοντες· οὓς ὁ Θεὸς διὰ μοχθηρίαν παρέδωκεν εἰς ἀβουλίαν ἐνεργεῖν τὰ μὴ δέοντα.

Κατάλογος τῶν τοῦ κυρίου ἑορτῶν, ἃς δεῖ φυλάσσειν. Ὁ πότε τούτων ἑκάστη ὀφείλει ἐπιτελεῖσθαι.

ΚΕΦΑΛ. ιβ'.

Τὰς ἡμέρας τῶν ἑορτῶν φυλάσσετε ἀδελφοὶ, καὶ πρώτην γε τὴν γενέθλιον, ἥτις ὑμῶν ἐπιτελείσθω εἰκάδι πέμπτῃ τοῦ * ἐνάτου μηνός· μεθ' ἣν ἡ ἐπιφάνιος ὑμῖν ἔστω τιμιωτάτη καθ' ἣν ὁ κύριος ἀνάδειξιν ὑμῖν τῆς οἰκείας θεότητος ἐποιήσατο· γινέσθω δὲ καὶ αὐτὴ ἕκτη τοῦ * δεκάτου μηνός· μεθ' ἃς ὑμῖν φυλακτέα ἡ νηστεία τῆς τεσσαρακοστῆς μνήμην περιέχουσα τῆς τοῦ κυρίου πολιτείας τε καὶ νομοθεσίας· ἐπιτελείσθω δὲ ἡ νηστεία αὕτη πρὸ τῆς νηστείας τοῦ πάσχα, ἀρχομένη μὲν ἀπὸ δευτέρας, πληρουμένη δὲ εἰς παρασκευήν· μεθ' ἃς ἀπονηστεύσαντες ἄρξασθε τῆς ἁγίας τοῦ πάσχα ἑβδομάδος νηστεύοντες αὐτὴν πάντες μετὰ φόβου καὶ τρόμου, προσευχόμενοι ἐν αὐταῖς περὶ τῶν ἀπολλομένων.

* δεκάτου.

* ἐνδεκάτου.

Περὶ τοῦ πάθους τοῦ κυρίου καὶ τί ἐν ἑκάστῃ ἡμέρᾳ ἐπράχθη τῶν ἐν τῷ πάθει· καὶ περὶ τοῦ Ἰούδα· καὶ ὅτι οὐ συμπαρῆν Ἰούδας ἐν τῷ τὸν κύριον τοῖς μαθηταῖς παραδιδόναι τὰ μυστήρια.

ΚΕΦΑΛ. ιγ'.

Ἤρξαντο γὰρ τὴν κατὰ τοῦ κυρίου βουλὴν ποιεῖσθαι δευτέρᾳ σαββάτων, μηνὶ πρώτῳ, ὅς ἐστι Ξανθικός· καὶ τῇ τρίτῃ τοῦ σαββάτου παρέτεινεν ἡ σκέψις· τῇ δὲ τετράδι ὥρισαν τῷ σταυρῷ ἀνελεῖν αὐτόν· καὶ Ἰούδας γνοὺς τοῦτο, ἐκ πολλοῦ μὲν διαστραφείς· τότε δὲ καὶ ὑπ' αὐτοῦ τοῦ διαβόλου βληθεὶς φιλαργυρίᾳ, καίτοι πάλαι τὸ γλωσσόκομον ἐγκεχειρισμένος καὶ κλέπτων τὰ τῶν πενήτων, οὐκ ἀπεβλήθη ὑπὸ τοῦ κυρίου διὰ μακροθυμίαν· ἀλλὰ καί ποτε μὲν ἐσθιωμένων ἡμῶν σὺν αὐτῷ βουλόμενος καὶ αὐτὸν σωφρονίσαι, καὶ ἡμᾶς παιδεῦσαι τὴν πρόγνωσιν αὐτοῦ, λέγει, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με· καὶ ἑκάστου ἡμῶν λέγοντος μήτι ἐγώ; καὶ τοῦ κυρίου σιωπῶντος, ἀναστὰς ἐγὼ εἷς ἐκ τῶν δώδεκα φιλούμενος πλεῖον τῶν ἄλλων ὑπ' αὐτοῦ, ἐνστερνισάμενος, αὐτὸν ἱκέτευον εἰπεῖν τίς ἂν εἴη ὁ παραδώσων αὐτὸν, καὶ οὐδ' οὕτως ἡμῖν εἴρηκεν αὐτοῦ τὸ ὄνομα ὁ ἀγαθὸς κύριος· ἀλλὰ δύο σημεῖα τοῦ προδότου ἔδωκεν, ἓν μὲν εἰπὼν, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ· δεύτερον δὲ, ᾧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω· καί τοι κἀνείνου λέγοντος, μήτι ἐγώ εἰμι ῥαββί; οὐκ εἶπεν ὁ κύριος, ὅτι ναὶ, ἀλλ' ὅτι σὺ εἶπας· Ὁ φοβῆσαι αὐτὸν ἐπὶ τούτῳ βουληθείς φησιν, οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη· καὶ ταῦτα ἀκούσας ἀπελθὼν εἶπε τοῖς ἱερεῦσιν· τί θέλετέ μοι δοῦναι, καὶ ἐγὼ ὑμῖν αὐτὸν παραδώσω· οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια· καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραὴλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν οἶκον τοῦ κεραμέως· καὶ τῇ πέμπτῃ φαγόντες παρ' αὐτῷ τὸ πάσχα· βάψαντος ἐκείνου τὴν χεῖρα

εἰς

εἰς τὸ τρυβλίον· καὶ τὸ ψωμίον λαβόντος, καὶ ἐξελθόντος νυκτὸς, ἡμῖν εἶπεν ὁ κύριος· ἐλήλυθεν ἡ ὥρα ἵνα σκορπισθῆτε, καὶ ἐμὲ μόνον ἀφῆτε· καὶ ἑκάστου διϊσχυριζομένου μὴ ἐγκαταλεῖψαι αὐτὸν, ἐμοῦ Πέτρου ἐπαγγελλομένου καὶ συναποθανεῖν, εἶπεν, ἀμὴν λέγω σοι, πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με· παραδοὺς δὲ ἡμῖν τὰ ἀντίτυπα μυστήρια τοῦ τιμίου σώματος αὐτοῦ καὶ αἵματος, Ἰούδα μὴ συμπαρόντος ἡμῖν, ἐξῆλθεν εἰς τὸ ὄρος τῶν ἐλαιῶν πλησίον τοῦ χειμάῤῥου τῶν κέδρων, ὅπου ἦν κῆπος· συνῆμεν δὲ καὶ ἡμεῖς καὶ ὑμνήσαμεν κατὰ τὸ ἔθος, καὶ χωρισθεὶς ἡμῶν πολὺ προσηύχετο τῷ πατρὶ λέγων· πάτερ παρένεγκε ἀπ' ἐμοῦ τὸ ποτήριον· πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν· καὶ τοῦτο ποιήσας τρίτον, ἡμῶν ἀπὸ τῆς ἀθυμίας εἰς ὕπνον καταπεσόντων, ἐλθὼν λέγει· ἤγγικεν ἡ ὥρα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν· καὶ ἰδοὺ Ἰούδας, καὶ μετ' αὐτοῦ ὄχλος ἀσεβῶν· καὶ σημεῖον προδοσίας αὐτοῖς δείκνυσι, δόλιον φίλημα· οἱ δὲ δεξάμενοι τὸ σύνθημα, ἐκράτησαν τὸν κύριον· καὶ δέσμιον ποιησάμενοι, ἤγαγον εἰς τὴν οἰκίαν Καϊάφα τοῦ ἀρχιερέως· ἐν ᾗ πολὺς συγκεκρότητο οὐ λαὸς, ἀλλ' ὄχλος, οὐδὲ πρεσβυτέριον ἱερὸν, ἀλλὰ συνέδριον παρανόμων καὶ βουλευτήριον ἀσεβῶν· οἳ καὶ πολλὰ ποιησάμενοι κατ' αὐτοῦ πᾶν εἶδος ὕβρεως οὐ παρέλιπον ἐμπτύοντες· κερτομοῦντες· τύπτοντες· ῥαπίζοντες· λοιδορουῦντες· πειράζοντες· μαντείας ἐπιζητουῦντες ἀντὶ προφητείας· εἴρωνα· βλάσφημον· Μωσέως παραβάτην· ἱεροῦ καθαιρέτην· θυσιῶν ἀναιρέτην· Ῥωμαίων πολέμιον· Καίσαρος ἐναντίον ἀποκαλοῦντες· καὶ ταῦτα μέχρις ὄρθρου βαθέος ἐμπαροινήσαντες αὐτῷ οἱ ταῦροι καὶ οἱ κύνες ἀπάγουσιν αὐτὸν πρὸς Ἄνναν, ὃς ἦν πενθερὸς τοῦ Καϊάφα· κἀκεῖ τὰ ὅμοια δράσαντες παρασκευῆς οὔσης τῷ ἄρχοντι τῶν Ῥωμαίων παρέδωκαν αὐτὸν Πιλάτῳ κατηγορουῦντες αὐτοῦ πολλὰ καὶ βαρέα, ὧν οὐδὲν ἴσχυον ἀπελέγξαι· ἐφ' οἷς ὁ ἄρχων δυσαναχετήσας ἔλεγεν· οὐδεμίαν αἰτίαν κατ' αὐτοῦ εὑρίσκω· οἱ δὲ μάρτυρας δύο ψευδεῖς ἀγαγόντες ἐβούλοντο συκοφαντεῖν τὸν κύριον· ἀσυμφώνων δὲ αὐτῶν εὑρεθέντων εἰς καθοσίωσιν ἀνῆγον τὸ πρᾶγμα λέγοντες· οὗτος ἑαυτὸν λέγει βασιλέα εἶναι, καὶ φόρους Καίσαρι διδόναι κωλύει· καὶ γίνονται αὐτοὶ κατήγοροι καὶ μάρτυρες καὶ κριταὶ, καὶ τῆς ἀποφάσεως ἐξουσιασταὶ, λέγοντες, σταύρωσον, σταύρωσον αὐτόν· ἵνα πληρωθῇ ὅ, τι γέγραπται περὶ αὐτοῦ ἐν τοῖς προφήταις· συνήχθησαν ἐπ' ἐμὲ μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ· καὶ πάλιν· περιεκύκλωσάν με κύνες πολλοί· συναγωγὴ πονηρευομένων περιέσχον με· καὶ ἐν ἑτέροις· ἐγένετο ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς· ὁ οὖν Πιλάτος ἀνανδρίᾳ καταισχύνας τὴν ἀρχὴν, αὐτὸς ἑαυτὸν ἐξελέγχει κακίας, πρὸ τοῦ δικαίου τὰ πλήθη θεραπεύσας, καὶ μαρτυρῶν μὲν αὐτῷ ὡς ἀναιτίῳ ὡς αἴτιον δὲ κολάσει τοῦτον παραδιδοὺς σταυρῷ, καί τοι Ῥωμαίων νόμους τιθεμένων, μηδένα ἀνεξέλεγκτον θνήσκειν· δήμιοι δὲ παραλαβόντες τὸν τῆς δόξης κύριον, ξύλῳ προσήλωσαν, ἕκτῃ μὲν ὥρᾳ σταυρώσαντες αὐτὸν, τρίτῃ δὲ ὥρᾳ τὴν ἀπόφασιν δεξάμενοι τὴν περὶ αὐτοῦ· ἔπειτα ἔδωκαν αὐτῷ ὄξος πιεῖν μετὰ χολῆς· εἶτα τὰ ἱμάτια αὐτοῦ κλήρῳ διεμερίσαντο· ἔπειτα δύο κακούργους ἐσταύρωσαν σὺν αὐτῷ ἐξ ἑκατέρου μέρους, ἵνα πληρωθῇ τὸ γεγραμμένον· ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος· καὶ πάλιν, διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον· καὶ ἐν ἄλλοις, καὶ μετὰ ἀνόμων ἐλογίσθην· ἔπειτα ἐγένετο τρεῖς ὥρας σκότος ἀπὸ ἕκτης ἕως ἐννάτης· καὶ πάλιν φῶς πρὸς δείλην. καθὼς γέγραπται, καὶ οὐχ ἡμέρα· καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς· ἅπερ ἅπαντα θεασάμενοι οἱ συσταυρωθέντες αὐτῷ κακοῦργοι. ὁ μὲν αὐτὸν ἐβλασφήμει ὡσανεὶ δι' ἀσθένειαν μὴ δυνάμενον ἑαυτῷ ἐπαμύνειν· ὁ δὲ τούτῳ μὲν* ἄγνοιαν ἐπετίμα· πρὸς δὲ τὸν κύριον στραφεὶς ὡς ἂν φωτισθεὶς ὑπ' αὐτοῦ, καὶ γνοὺς, ὅς τις ὁ πάσχων, ἠξίου μνήμην αὐτοῦ γενέσθαι ἐν τῇ βασιλείᾳ εἰς τὰ μετὰ ταῦτα· ὁ δ' εὐθὺς ἀμνηστίαν αὐτῷ τῶν προγεγονότων χαρισάμενος, εἰς παράδεισον εἰσήγαγεν ἀπολαύσοντα τῶν μυστικῶν ἀγαθῶν. ὃς καὶ περὶ τὴν ἐννάτην ὥραν ἀναβοήσας εἶπε τῷ πατρὶ, Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; καὶ μετ' ὀλίγον κράξας φωνῇ μεγάλῃ, πάτερ ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι. καὶ ἐπαγαγὼν, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου, ἀπέπνευσεν· καὶ θάπτεται πρὸ ἡλίου δύσεως ἐν μνημείῳ καινῷ· ἐπιφωσκούσης δὲ τῆς μιᾶς σαββάτων ἀναστὰς ἐκ νεκρῶν ἐπλήρωσεν ἐκεῖνα ἃ καὶ πρὸ τοῦ πάθους ἡμῖν προέλεγε φάσκων· ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου ποιῆσαι ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· καὶ ἀναστὰς ἐκ νεκρῶν, πρώτῃ μὲν φανεροῦται Μαρίᾳ τῇ Μαγδαλινῇ καὶ Μαρίᾳ τῇ τοῦ Ἰακώβου· εἶτα Κλεόπᾳ ἐν ὁδῷ· καὶ μετὰ τοῦτο ἡμῖν τοῖς μαθηταῖς αὐτοῦ, φεύγουσι μὲν διὰ τὸν φόβον τῶν Ἰουδαίων, λαθραίως δὲ περιεργαζομένοις τὰ κατ' αὐτόν· ταῦτα δὲ καὶ ἐν τῷ εὐαγγελίῳ ἐγγράφη.

* ἔ. ἄγνοιαν.

Περὶ τῆς μεγάλης ἑβδομάδος, καὶ διατί τετράδα καὶ παρασκευὴν ἐπιτρέπουσι νηστεύειν.

ΚΕΦΑΛ. ιδ'.

ΠΑρήγγειλεν οὖν ἡμῖν αὐτὸς νηστεύειν τὰς ἓξ ἡμέρας ταύτας διὰ τὴν τῶν Ἰουδαίων δυσσέβειαν καὶ παρανομίαν, πενθεῖν αὐτοὺς καὶ ὀδύρεσθαι παρακελευσάμενος ἐπὶ τῇ ἀπωλείᾳ αὐτῶν· καὶ γὰρ αὐτὸς αὐτοῖς ἐπεδάκρυσεν ἀγνοήσασι τὸν καιρὸν τῆς ἐπισκοπῆς αὐτῶν· τετράδα* δὲ καὶ παρασκευὴν προσέταξεν ἡμῖν νηστεύειν τὴν μὲν διὰ τὴν προδοσίαν, τὴν δὲ διὰ τὸ πάθος· ἀπονηστεῦσαι δὲ προσέταξε τῇ ἑβδόμῃ ἡμέρᾳ ἀλέκτορος φωνήσαντος· αὐτὸ δὲ νηστεῦσαι τὸ σάββατον, οὐχ ὅτι δεῖ τὸ σάββατον νηστεύειν κατάπαυσιν δημιουργίας ὑπάρχον, ἀλλ' ὅτι ἐκεῖνο μόνον χρὴ νηστεύειν τοῦ δημιουργοῦ ἐν αὐτῷ ἔτι ὑπὸ γῆν ὄντος· ἐν αὐτῇ γὰρ αὐτῶν τῇ ἑορτῇ κατέσχον τὸν κύριον, ὅπως πληρωθῇ ἐκεῖνο τὸ φάσκον λόγιον· ἔθεντο τὰ σημεῖα αὐτῶν ἐν μέσῳ τῆς ἑορτῆς αὐτῶν, καὶ οὐκ ἔγνωσαν· δεῖ οὖν πενθεῖν ὑπὲρ αὐτῶν, ὅτι ἐλθόντος τοῦ κυρίου οὐκ ἐπίστευσαν αὐτῷ, ἀλλ' ἀπεσείσαντο τὴν διδασκαλίαν αὐτοῦ ἀναξίους κρίναντες ἑαυτοὺς σωτηρίας· ὑμεῖς οὖν μακάρι

* S. Epiphanius hær. 13. adversus Artium.

χαεῖοι οἱ ποτὲ ὁ λαὸς, νυῦ δὲ ἔθνος ἅγιον ῥυθεὶν ἀπὸ πλάνης εἰδώλων· ἀπὸ ἀγνοίας· ἀπὸ δυσεβείας· οἱ ὐκ ἠλεημμένοι, νυῦ δὲ ἐλεηθέντες διὰ τὴν ὑπακοὴν τῆς καρδίας ὑμῶν· ὑμῖν γὰρ ἀνοίγη ἡ πύλη τῆς ζωῆς τοῖς ἐξ ἐθνῶν, οἵ τινές ποτε ὐκ ἠγαπημένοι· νυῦ δὲ πεφιλημένοι· λαὸς εἰς περιποίησιν Θεῦ πεταγμένος τῷ τὰς ἀρετὰς αὐτοῦ ἐξαγγέλλειν· περὶ ὧν εἶπεν ὁ σωτὴρ, ἐρέθιω τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς ἐγνώμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν· εἶπα, ἰδού εἰμι, τῷ ἔθνει, οἵ ὐκ ἐκάλεσαν τὸ ὄνομά μου· μὴ ζητήσαντες γὰρ αὐτὸν, τότε ἐπεζητήθητε παρ' αὐτοῦ· καὶ ὑμεῖς πιστεύσαντες εἰς αὐτὸν ὑπηκόσατε τῇ κλήσει αὐτοῦ καταλείψαντες τὴν πολύθεον μανίαν, καὶ τῇ ἀληθῇ μοναρχίᾳ προσφυγόντες τῷ παντοκράτορι Θῷ διὰ Ἰησοῦ Χριστοῦ. πλήρωμα τοῦ ἀριθμοῦ τῶν σωζομένων γενόμενοι, μύριαι μυριάδες καὶ χίλιαι χιλιάδες, ὡς ἐν τῷ Δαβὶδ γέγραπται· πεσεῖται ἐν τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου· καὶ πάλιν· τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον χιλιάδες ἐνθυμούντων· προὸς δὲ τὸν Ἰσραὴλ τὸν ἄπιστον λέγει· ὅλην τὴν ἡμέραν τὰς χεῖράς μου ἐξεπέτασα προὸς λαὸν ἀπειθοῦντα, καὶ ἀντιλέγοντα, τοῖς πορευομένοις ἐν ὁδῷ οὐ καλῇ, ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν, λαὸν παροξύνοντά με ἐνώπιόν μου.

Ἀποδείξεις προφητικῶν προῤῥήσεων τὸν Χριστὸν κηρυττουσῶν. ὧν Ἰουδαῖοι τὴν ἔκβασιν θεασάμενοι ἐκ κακονοίας ἠπίστησαν αὐτὸν εἶναι τὸν Χριστὸν τοῦ Θεοῦ καὶ σταυρῷ κατέκριναν τὸν τῆς δόξης κύριον.

ΚΕΦΑΛ. ιέ.

Βλέπετε πῶς παρώξυνεν ὁ λαὸς τὸν κύριον μὴ πιστεύσας αὐτῷ· διὸ λέγει παρώξυναν τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν· ἀβλεψία γὰρ αὐτοῖς κατεχύθη διὰ τὴν κακόνοιαν αὐτῶν, ὅτι βλέποντες τὸν Ἰησοῦν ὐκ ἐπίστευον αὐτὸν εἶναι τὸν Χριστὸν τοῦ Θεοῦ τὸν πρὸ πάντων αἰώνων ἐξ αὐτοῦ γεννηθέντα, υἱὸν μονογενῆ λόγον Θεοῦ· ὃν ὐκ ἐπέγνωσαν δι' ἀπιστίαν, ὅτε διὰ τῶν ἐνεργειῶν αὐτοῦ, ὅτε μὴν διὰ τῶν περὶ αὐτοῦ γεγραμμένων προφητειῶν· ὅτι γὰρ ἐκ παρθένου γεννήσεται ἀνεγίνωσκον τὸ, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅτι παιδίον ἐγεννήθη ἡμῖν. υἱὸς καὶ ἐδόθη ἡμῖν. οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος· ὅτι δὲ διὰ κακίαν ὑπερβάλλουσαν ἀπειθήσουσιν αὐτῷ, λέγει κύριος, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; καὶ ἐξῆς· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου· διὸ ἦρθη ἀπ' αὐτῶν ἡ γνῶσις ὅτι ἰδόντες παρεῖδον, καὶ ἀκούσαντες οὐκ ἤκουσαν· ὑμῖν δὲ τοῖς ἐξ ἐθνῶν ἐδόθη ἡ βασιλεία, ὅτι μὴ γινώσκοντες Θεὸν, διὰ τοῦ κηρύγματος πιστεύσαντες ἐγνώτε αὐτόν· μᾶλλον δὲ ἐγνώσθητε ὑπ' αὐτοῦ διὰ Ἰησοῦ τοῦ σωτῆρος, καὶ λυθῶτε τῆς ἐλπιζόντων ἐπ' αὐτόν· μεταβάντες γὰρ ἀπὸ τῆς προτέρας ματαιοπόνου σωφροσύνης, καὶ τῶν ἀψύχων εἰδώλων ὑπεριδόντες, καὶ τῶν ἐν σκότει δαιμόνων καταφρονήσαντες, προσδραμόντες τῷ φωτὶ τῷ ἀληθινῷ, καὶ ἐπιγνόντες δι' αὐτοῦ τὸν πατέρα καὶ μόνον ἀληθινὸν Θεὸν καὶ πατέρα, κληρονόμοι τῆς αὐτοῦ βασιλείας ἀνεφάνητε· βαπτισθέντες γὰρ εἰς τὸν τοῦ κυρίου θάνατον καὶ εἰς τὴν ἀνάστασιν αὐτοῦ ὡς ἀρτιχρὴ βρέφη ἀνενέργητα πρὸς πᾶσαν ἁμαρτίαν ὀφείλετε εἶναι· ὁ γὰρ ἔσε ἑαυτῶν, ἀλλὰ τοῦ ἀγοράσαντος ὑμᾶς τῷ ἑαυτοῦ αἵματι. περὶ γὰρ τοῦ ποτε Ἰσραὴλ, εἶπεν ὁ κύριος διὰ τὴν ἀπιστίαν αὐτῶν, ὅτι ἀρθήσεται ἀπ' αὐτῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς· δηλαδὴ, ὅτι ὑμῖν τοῖς ποτε ὄντιν ἀπεξενωμένοις αὐτοῦ μακρὰν, δὸς τὴν βασιλείαν ἐκδέχεται τοὺς τῆς ἀγνωμοσύνης καρπούς· ὑμεῖς γάρ ἔσε οἵ ποτε ἀποκαλούμενοι εἰς τὸν ἀμπελῶνα, καὶ μὴ ὑπακούσαντες· ἐκεῖνοι δὲ οἱ ὑπακούσαντες· ἀλλὰ ὑμεῖς μοὶ μεταμεληθέντες ἐπὶ τῇ ἀντιλογίᾳ, ἐργάζεσθε ἐν αὐτῷ νῦν· οἱ δὲ δυσχεραίνοντες ἐπὶ ταῖς ἑαυτῶν σωφρήμασι, οὐ μόνον ἀνέργασον κατέλειψαν τὸν ἀμπελῶνα, ἀλλὰ καὶ τοὺς ἐπιβόπους τοῦ κυρίου τοῦ ἀμπελῶνος ἀπέκτειναν· οὓν μοὶ λίθοις, οὓν δὲ ξίφει καὶ τοὺν μοὶ ἔπεισαν· τὸν δὲ υἱὸν ἐν τῷ ἱερῷ ἀνεῖλον μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου· ὕστερον δὲ καὶ αὐτὸν τὸν κληρονόμον ἔξω τοῦ ἀμπελῶνος ἐκβαλόντες ἀπέκτειναν, καὶ παρ' αὐτοῖς ὡς λίθος ἄχρειος ἀπεβλήθη· παρ' ὑμῶν δὲ ὡς ἀκρογωνιαῖος ἐδέχθη· διὸ λέγει περὶ ὑμῶν, λαὸς, οὓν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου.

Ὅπως ὀφείλει γίνεσθαι τὸ πάσχα.

ΚΕΦΑΛ. ιέ.

Δεῖ οὖν ὑμᾶς ἀδελφοὶ τοὺς τῷ τοῦ Χριστοῦ τιμίῳ ἐξηγορασμένους αἵματι, τὰς ὑμέρας τοῦ πάσχα ἀκριβῶς ποιεῖσθαι μετὰ πάσης ἐπιμελείας μετὰ ξόπλου ἰσημερινοῦ· ὅπως μὴ δὶς τοῦ ἰδίου παθήματος μνείαν ποιεῖσθε, ἀλλὰ ἅπαξ τοῦ ἔτους τοῦ ἅπαξ ἀποθανόντος· μηκέτι δὲ παρατηρούμενοι μετὰ Ἰουδαίων ἑορτάζειν· ἀδεμία γὰρ κοινωνία ἡμῖν νῦν πρὸς αὐτούς· πεπλάνηται γὰρ καὶ αὐτοῦ τὴν ψῆφον, οὗ νομίζουσιν ἐπιτελεῖν· ὅπως παντοχόθεν ὦσι πεπλανημένοι, καὶ τῆς ἀληθείας ἀπεχοινισμένοι· ὑμεῖς δὲ φυλάσσεσθε ἀκριβῶς τοῦ ἰσημερινοῦ ξόπλου τῆς ἑαρινῆς ὥρας· ἥτις γίνεται δευτέρᾳ καὶ εἰκάδι τοῦ δωδεκάτου μηνὸς, ὅς ἐστι Δύστρος· ἐπιτηροῦντες ἕως εἰκάδος πρώτης σελήνης· ὅπως μὴ ἐν ἑτέρᾳ ἑβδομάδι ἐμπέσοι ἡ τεσσαρεσκαιδεκάτη τῆς σελήνης· καὶ πλάνης γινομένης, ἀγνοίᾳ δὶς τοῦ ἰδίου ἐπιτελέσωμεν τὸ πάσχα· ἢ ἐν ἄλλῃ ἡμέρᾳ ἑορτάσωμεν τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἀνασάσιμον ἡμέραν· ἀλλ' ἐν κυριακῇ μόνῃ.

Διάταξις περὶ τῆς μεγάλης τοῦ πάσχα ἑβδομάδος.

ΚΕΦΑΛ. ιζ'.

ΕΝ ταῖς ἡμέραις ἐν τὶ πάσχα νηστεύετε, ἀρχόμενοι ἀπὸ δευτέρας μέχρι τῆς παρασκευῆς καὶ σαββάτου ἓξ ἡμέρας, μόνῳ χρώμενοι ἄρτῳ καὶ ἁλὶ καὶ λαχάνοις καὶ ποτῷ ὕδατι· οἴνου δὲ καὶ κρεῶν ἀπέχεσθε ἐν ταύταις· ἡμέραι γάρ εἰσι πανήθεις, ἀλλ' οὐχ ἑορτῆς· τῇ μέντοι παρασκευῇ καὶ τὸ σάββατον ὁλόκληρον νηστεύσατε, οἷς δυνάμις προσεστι τοιαύτη, μηδενὸς γευόμενοι μέχρις ἀλεκτοροφωνίας νυκτός· εἰ δέ τις ἀδυνατεῖ τὰς δύο συνάπτειν ὁμοῦ, φυλασσέσθω κἂν τὸ σάββατον· λέγει γάρ που ὁ κύριος περὶ ἑαυτοῦ φάσκων, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις· ἐν ταύταις οὖν ἦρθη ἀφ' ἡμῶν ὑπὸ τῶν ψευδωνύμων Ἰουδαίων, καὶ σαυρῷ προσεπάγη, καὶ μετ' ἀνόμων ἐλογίσθη.

Περὶ τῆς πανυχίδος τοῦ μεγάλου σαββάτου, καὶ περὶ τῆς ἀναστασίμου ἡμέρας.

ΚΕΦΑΛ. ιή.

ΔΙὸ παραινοῦμεν καὶ ὑμῖν νηστεύειν ταύτας, ὡς καὶ ἡμεῖς ἐνηστεύσαμεν ἐν τῷ ἀναληφθῆναι αὐτὸν ἀφ' ἡμῶν μέχρις ἑσπέρας· ἐν δὲ ταῖς λοιπαῖς ταῖς πρὸ τῆς παρασκευῆς, ἐνάτην ὥραν ἢ ἑσπέραν ἕκαστος ἐσθιέτω. ἢ ὅπως ἄντις δύναιτο· τῷ δὲ σαββάτῳ μέχρις ἀλεκτοροφωνίας παρατείνοντες, ἀπονηστίζεσθε ἐπιφωσκούσης μιᾶς σαββάτων, ἥτις ἐστὶ κυριακή· ἀπὸ ἑσπέρας ἕως ἀλεκτοροφωνίας ἀγρυπνοῦντες, καὶ ἐπὶ τὸ αὐτὸ ἐν τῇ ἐκκλησίᾳ συναθροιζόμενοι γρηγορεῖτε προσευχόμενοι καὶ δεόμενοι τοῦ Θεοῦ, ἐν τῇ διανυκτερεύσει ὑμῶν ἀναγινώσκοντες τὸν νόμον· τοὺς προφήτας· τοὺς ψαλμοὺς μέχρις ἀλεκτρυόνων κραυγῆς· καὶ βαπτίσαντες ὑμῶν τοὺς κατηχουμένους, καὶ ἀναγνόντες τὸ εὐαγγέλιον ἐν φόβῳ καὶ δόμῳ, καὶ προσλαλήσαντες τῷ λαῷ τὰ πρὸς σωτηρίαν, παύσασθε τοῦ πάθους ὑμῶν· καὶ δεήθητε τοῦ Θεοῦ ἐπισκαφλῶσαι τὸν Ἰσραὴλ καὶ λαβεῖν αὐτὸν τόπον μετανοίας, καὶ τῆς ἀσεβείας ἄφεσιν· ὅτι ὁ μὲν ἀλλόφυλος χειτὴς νιψάμενος τὰς χεῖρας εἶπεν· ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε· ὁ δὲ Ἰσραὴλ ἐπεβόησε· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν· καὶ Πιλάτου εἰπόντος, τὸν βασιλέα ὑμῶν σταυρώσω; αὐτοὶ ἐπεβόων οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα· σταύρωσον, σταύρωσον αὐτόν· πᾶς γὰρ ὁ ποιῶν ἑαυτὸν βασιλέα, ἀντιλέγει τῷ Καίσαρι, καὶ ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· καὶ Πιλάτος ὁ ἡγεμὼν καὶ Ἡρῴδης ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν σταυρωθῆναι· καὶ πληρῶται τὸ φάσκον λόγιον· ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ· καὶ ἀπέρριψαν τὸν ἀγαπητὸν ὡς νεκρὸν ἐβδελυγμένον· καὶ αὐτοῦ σταυρωθέντος τῇ παρασκευῇ, καὶ ἀναστάντος ἐπιφωσκούσης κυριακῆς, ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα, ἀνάστα ὁ Θεός· κρῖνον τὴν γῆν· ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι· καὶ πάλιν, ἀναστήσομαι λέγει κύριος, θήσομαι ἐν σωτηρίᾳ, παρρησιάσομαι ἐν αὐτῷ· καὶ σὺ δὲ κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς· διὰ τοῦτο καὶ ἡμεῖς ἀναστάντες τοῦ κυρίου προσενέγκατε τὴν θυσίαν ὑμῶν περὶ ἧς ὑμῖν διετάξατο διὰ ἡμῶν λέγων, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· καὶ λοιπὸν ἀποπαύεσθε βλασφημοῦντες καὶ ἐορτάζοντες, ὅτι ἀρνεῖσθε τῆς ἀναστάσεως ὑμῶν Ἰησοῦς ὁ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν· καὶ τοῦτο ὑμῖν ἔσω νόμιμον αἰώνιον ἕως τῆς συντελείας τοῦ αἰῶνος, μέχρις οὗ ἔλθῃ ὁ κύριος. Ἰουδαίοις γὰρ ὁ κύριος ἔτι πέπτωκε. Χριστιανοῖς δὲ ἐγήγερται· τοῖς μὲν διὰ ἀπιστίαν, τοῖς δὲ διὰ πληροφορίαν, ὅτι ἡ εἰς αὐτὸν ἐλπὶς ἀθάνατος ζωὴ καὶ αἰώνιος· μετὰ δὲ ὀκτὼ ἡμέρας ἔσω ὑμῖν πάλιν ἑορτὴ τιμία αὕτη ἡ ὀγδόη, ἐν ᾗ δυσπιστήσαντι ἐμοὶ Θωμᾶν ἐπὶ τῇ ἀναστάσει, ἐπληροφόρησε δείξας μοι τοὺς τύπους τῶν ἥλων, καὶ τῆς λόγχης ἐν τῇ πλευρᾷ τοῦ ξύλου· καὶ πάλιν, ἀπὸ τῆς πρώτης κυριακῆς ἀριθμήσαντες τεσσαράκοντα ἡμέρας ἀπὸ κυριακῆς μέχρι πέμπτης, ἑορτάσατε τὴν ἑορτὴν τῆς ἀναλήψεως τοῦ κυρίου· καθ' ἣν πληρώσας πᾶσαν οἰκονομίαν καὶ διάταξιν, ἀπῆλθε πρὸς τὸν ἀποστείλαντα αὐτὸν Θεὸν καὶ πατέρα, καθίσας ἐκ δεξιῶν τῆς δυνάμεως καὶ περιμένων ἕως ἂν τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποκάτω τοὺς πόδας αὐτοῦ· ὃς καὶ ἐλεύσεται ἐπὶ συντελείᾳ τοῦ αἰῶνος μετὰ δυνάμεως καὶ δόξης πολλῆς κρῖναι ζῶντας καὶ νεκρούς· καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· καὶ τότε ὄψονται τὸν ἀγαπητὸν υἱὸν τοῦ Θεοῦ, ὃν ἐξεκέντησαν· καὶ ἐπιγνόντες αὐτὸν κόψονται ἐφ' ἑαυτοῖς φυλὴ κατὰ φυλήν, καὶ αἱ γυναῖκες αὐτῶν κατ' ἰδίαν.

Πρόρρησις προφητείας περὶ Χριστοῦ τοῦ Ἰησοῦ.

ΚΕΦΑΛ. ιθ'.

ΚΑὶ γὰρ καὶ τῇ δεκάτῃ τοῦ μηνὸς Γορπιαίου συναθροιζόμενοι, τοὺς θρήνους Ἱερεμίου ἀναγινώσκουσιν, ἐν οἷς εἴρηται· πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν. καὶ τὸν Βαρὺχ, ἐν ᾧ γέγραπται· ἵνα μὴ ὁ Θεὸς ἡμῶν οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν, εὑρὲ πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὸν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συναναστράφη· καὶ ὅταν ἀναγνῶσι, κόπτονται καὶ θρηνοῦσιν, ὡς μὲν αὐτοὶ νομίζουσι, τὴν ἐρημίαν τὴν ὑπὸ Ναβουχοδονόσορ γενομένην· ὡς δὲ ἡ ἀλήθεια ἔχει προοίμια ποιοῦνται ἄκοπτες τοῦ μέλλοντος αὐτοὺς καταλαμβάνειν πάθους· μετὰ δὲ δεκαπέντε ἡμέρας τῆς ἀναλήψεως, ἥτις ἀπὸ τῆς πρώτης κυριακῆς πεντηκοστὴ γίνεται, ἑορτὴ μεγάλη ὑμῖν ἔσω· ἐν αὐτῇ γὰρ ὥρᾳ τείτῃ ἀπέστειλεν εἰς ἡμᾶς ὁ κύριος Ἰησοῦς τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος· καὶ ἐπλήσθημεν αὐτοῦ τῆς ἐνεργείας, καὶ γλώσσαις καιναῖς ἐλαλήσαμεν, καθὼς ἐκεῖνο ὑπῆρχεν ἐν ἡμῖν· καὶ ἐκηρύξαμεν Ἰουδαίοις τε καὶ ἔθνεσιν αὐτὸν εἶναι τὸν Χριστὸν τοῦ Θεοῦ τὸν ὡρισμένον ὑπ' αὐτοῦ κριτὴν ζώντων καὶ νεκρῶν· τούτῳ Μωσῆς μαρτυρῶν ἔλεγεν· ἔλαβε κύριος τὴν γῆν κύκλῳ κυρίου, καὶ ἔβρυξε. τοῦτον εἶδεν Ἰακὼβ ὡς ἄνθρωποι

πον καὶ εἶπεν· εἶδον Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή· τοῦτον Ἀβραὰμ ξενοδοχήσας κριτὴν ὡμολόγει καὶ ἑαυτοῦ κύριον· τοῦτον Μωσῆς ἐπὶ τῆς βάτου τεθέαται· περὶ τούτου ἐν Δευτερονομίῳ ἔλεγε· προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς· ἔσται δὲ, πᾶσα ψυχὴ ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς· τοῦτον εἶδεν Ἰησοῦς ὁ τοῦ Ναυῆ στρατάρχην τῆς δυνάμεως κυρίου καθωπλισμένον σύμμαχον εἰς Ἱεριχώ· ᾧ καὶ πεσὼν προσεκύνησεν ὡς δοῦλος δεσπότην· τοῦτον Σαμουὴλ εἰδὼς Χριστὸν Θεοῦ, τοὺς ἱερεῖς καὶ τοὺς βασιλεῖς Χριστοὺς ὠνόμαζε· τοῦτον εἰδὼς Δαβὶδ ἔψαλλε τὴν ὑπὲρ αὐτοῦ ᾠδὴν λέγων, ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ· καὶ ἐπιφέρων εἰς πρόσωπον αὐτοῦ, ἔφασκεν· περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατὲ, τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου, καὶ ἔντεινον, καὶ κατευοδοῦ, καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου· τὰ βέλη σου ἠκονημένα δυνατὲ, λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· περὶ αὐτοῦ καὶ ὁ Σολομὼν ἔλεγεν ὡς ἐκ προσώπου αὐτοῦ· κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι· πρὸ τοῦ ἐλθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με· καὶ πάλιν· ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον· περὶ αὐτοῦ καὶ Ἡσαΐας ἔλεγεν, ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται· καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. Ζαχαρίας δὲ, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται δίκαιος καὶ σῴζον αὐτὸς, πρᾷος καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου· τοῦτον Δανιὴλ υἱὸν ἀνθρώπου λέγει εἶναι ἐρχόμενον πρὸς τὸν πατέρα καὶ πᾶσαν τὴν κρίσιν καὶ τὴν τιμὴν παρ' ἐκείνου ὑποδεχόμενον, καὶ λίθον ἀπὸ ὄρους ἄνευ χειρῶν τμηθέντα· καὶ γενόμενον εἰς ὄρος μέγα. καὶ πληρώσαντα πᾶσαν τὴν γῆν· συντρίβοντα πολυαρχίαν τοπαρχιῶν· καὶ πολυθείαν Θεῶν· κηρύσσοντα δὲ τὸν ἕνα Θεὸν καὶ χειροτονοῦντα τὴν Ῥωμαίων μοναρχίαν· περὶ τούτου καὶ Ἱερεμίας προφητεύων ἔλεγε, πνεῦμα πρὸ προσώπου ἡμῶν χριστὸς κύριος· συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν· οὗ εἴπομεν, ἐν τῇ σκιᾷ ζησόμεθα ἐν τοῖς ἔθνεσι· καὶ Ἰεζεκιὴλ δὲ καὶ οἱ καθεξῆς προφῆται πανταχοῦ τοῦτον εἶναι Χριστόν· κύριον· βασιλέα· κριτήν· νομοθέτην· ἄγγελον τοῦ πατρός· μονογενῆ Θεόν· τοῦτον οὖν καὶ ἡμεῖς κηρύσσομεν ὑμῖν, καὶ εὐαγγελιζόμεθα Θεὸν λόγον * ὑπηρετούμενον τῷ Θεῷ αὐτοῦ καὶ πατρὶ εἰς τὴν τῶν ὅλων δημιουργίαν· τούτῳ πιστεύοντες ζήσεσθε, ἀπιστοῦντες δὲ καὶ κολασθήσεσθε· ὁ γὰρ ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται τὴν ζωήν· ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν· μετὰ οὖν τὸ ἑορτᾶσαι ὑμᾶς τὴν πεντηκοστὴν, ἑορτάσατε μίαν ἑβδομάδα· καὶ μετ' ἐκείνην νηστεύσατε μίαν· δίκαιον γὰρ καὶ εὐφρανθῆναι ἐπὶ τῇ ἐκ Θεοῦ δωρεᾷ· καὶ νηστεῦσαι μετὰ τὴν ἄνεσιν· καὶ γὰρ καὶ Μωσῆς καὶ Ἡλίας ἐνήστευσαν τεσσαράκοντα ἡμέρας· καὶ Δανιὴλ τρεῖς ἑβδομάδας ἡμερῶν ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγε· καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα αὐτοῦ· καὶ ἡ μακαρία Ἄννα αἰτουμένη τὸν Σαμουὴλ λέγει· οἶνον καὶ μέθυσμα οὐ πέπωκα· καὶ ἐκχεῶ τὴν ψυχὴν ἐνώπιον κυρίου· καὶ Νινευῖται νηστεύσαντες τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, τῆς ὀργῆς τὴν πεῖραν ἀπέφυγον, καὶ Ἐσθὴρ καὶ Μαρδοχαῖοις καὶ Ἰουδὴθ τὴν τῶν ἀσεβῶν ἐπανάστασιν νηστεύσαντες ἀπέφυγον Ὀλοφέρνου καὶ Ἀμάν· καὶ Δαβὶδ λέγει· τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας· καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον· καὶ ὑμεῖς οὖν νηστεύοντες, αἰτεῖσθε παρὰ τοῦ Θεοῦ τὰ αἰτήματα ἡμῶν· μετὰ δὲ τὴν ἑβδομάδα τῆς νηστείας πᾶσαν * τετράδα καὶ παρασκευὴν προστάσσομεν ὑμῖν νηστεύειν, καὶ τὴν περισσείαν ὑμῶν τῆς νηστείας πένησιν ἐπιχορηγεῖν· πᾶν μέντοι σάββατον ἄνευ τοῦ ἑνὸς καὶ πᾶσαν κυριακὴν, ἐπιτελοῦντες συνόδους, εὐφραίνεσθε· ἔνοχος γὰρ ἁμαρτίας ἔσται ὁ τὴν κυριακὴν νηστεύων ἡμέραν ἀναστάσεως οὖσαν, ἢ τὴν πεντηκοστὴν, ἢ ὅλως ἡμέραν ἑορτῆς κυρίου κατηφῶν· εὔφραν θῆκη γὰρ δεῖ ἐν αὐταῖς, ἀλλ' οὐ πενθῆσαι.

* οὐδ' ἔχομαι ὑπηρετούμενον τῷ Θεῷ καὶ παρὰ τὸν υἱόν, ἀλλὰ σὺν αὐτῷ πάντα ποιῆσαι adscripsit vetus criticus teste Turriano nostro.

* Ἐν Ἐρ[illegible] νίου [illegible] κεν. [illegible]

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

Περὶ Σχισμάτων.

Τίνες σχίσματα ποιεῖν τολμήσαντες οὐ διέφυγον τὴν τιμωρίαν.

ΚΕΦΑΛ. α'.

ΠΡὸ πάντων φυλάσσεσθε ὦ ἐπίσκοποι τὰς δεινὰς καὶ χαλεπὰς καὶ ἀθεωτάτους αἱρέσεις, φεύγοντες αὐτὰς ὥσπερ πῦρ φλέγον τοὺς αὐτῷ πλησιάζοντας· φεύγετε δὲ καὶ τὰ σχίσματα· οὔτε γὰρ πρὸς ἀνοσίους αἱρέσεις θεμιτὸν ἐκκλῖναι τὸν νοῦν, οὔτε τῶν ὁμογνωμόνων χωρίζεσθαι θεμιτὸν διὰ φιλαρχίαν· ταῦτα γὰρ καὶ τὸ παλαιόν τινες τολμήσαντες ἐπιχειρῆσαι, οὐ διέφυγον τὴν τιμωρίαν· Δαθὰν γὰρ καὶ Ἀβειρὼν ἀντιπρόσωποι γενόμενοι Μωσεῖ, κατεπόθησαν εἰς γῆν· Κορὲ δὲ καὶ οἱ μετ' αὐτοῦ διακόσιοι πεντήκοντα τῷ Ἀαρὼν διαστασιάσαντες, πυρὸς παρανάλωμα γεγόνασι· Μαρία δὲ ὀνειδίσασα Μωσεῖ ἔξω τῆς παρεμβολῆς ἀπεβλήθη ἑπτὰ ἡμέρας· ἔλεγε γὰρ ὅτι γυναῖκα Μωϋσῆς Αἰθιόπισαν ἔλαβεν· οὐ μὴν δὲ ἀλλὰ καὶ Ἀζαρίας, ὁ καὶ Ὀζίας, οὗτος ἦν βασιλεὺς τοῦ Ἰούδα, κατατολμήσας τῆς ἱερωσύνης καὶ θυμιᾶσαι βουληθεὶς τὸ θυμίαμα, ὃ οὐ προσῆκον αὐτῷ, κωλυόμενος ὑπὸ Ἀζαρίου τοῦ ἀρχιερέως καὶ τῶν ὀγδοήκοντα ἱερέων καὶ μὴ ὑπακούσας ἐξανέτειλε λέπραν ἐν τῷ μετώπῳ, καὶ ἔσπευσεν ἐξελθεῖν, ὅτι ἤλεγξεν αὐτὸν ὁ κύριος.

Ὅτι

Ὅτι οὔτε βασιλείᾳ, οὔτε ἱερωσύνῃ θεμιτὸν ἐπανίστασθαι.

ΚΕΦΑΛ. β'.

ΠΡοσέχωμεν οὖν ἀγαπητοὶ, τί τὸ κλέος τῶν στασιασάντων, καὶ ποταπὴ ἡ ἀπόφασις αὐτῶν. εἰ γὰρ ὁ Βασιλεῦσιν ἐπεγειρόμενος κολάσεως ἄξιος, κἂν υἱὸς ἦ, κἂν φίλος, πόσῳ μᾶλλον ὁ ἱερεῦσιν ἐπανιστάμενος; ὅσῳ γὰρ ἱερωσύνη βασιλείας ἀμείνων περὶ ψυχῆς ἔχουσα τὸν ἀγῶνα, τοσούτῳ καὶ βαρυτέραν ἔχει τὴν τιμωρίαν, ὁ ταύτῃ τολμήσας ἀντομματεῖν, ἤπερ ὅτι βασιλείᾳ· καί τοιγε οὐδὲ εἷς ἀτιμώρητος· οὔτε γὰρ Ἀβεσσαλὼμ καὶ Ἀβεδαδὰν ἔμειναν ἀτιμώρητοι· οὐδὲ Κορὲ καὶ Δαθάν· οἱ μὲν γὰρ τῷ Δαβὶδ περὶ βασιλείας, οἱ δὲ τῷ Μωϋσεῖ περὶ πρωτείων ἐπανέστησαν ἀμιλλώμενοι· καὶ ἐκακολόγουν, ὁ μὲν Ἀβεσσαλὼμ Δαβὶδ τὸν πατέρα ὡς ἄδικον κριτὴν λέγων ἑκάστῳ, οἱ λόγοι σου καλοὶ καὶ οὐκ ἔστιν ὁ ἀκουσόμενός σου καὶ δικαιώσας σε· τίς με ποιήσει ἄρχοντα; ὁ δὲ * Ἀβδαδάν· οὐκ ἔστι μοι, φησί, μέρος ἐν Δαβὶδ, οὐδὲ κληρονομία ἐν υἱῷ Ἰεσσαί· δῆλον ὡς ἀναξιοπαθῶν ἄρχεσθαι ὑπὸ Δαβὶδ, περὶ οὗ εἶπεν ὁ Θεὸς, ὅτι εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου· ὁ δὲ Δαθὰν καὶ Ἀβειρὼν καὶ οἱ Κορεῖται λέγοντες Μωσεῖ, μὴ μικρὸν ὅτι ἀνήγαγες ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ἐκ γῆς ῥεούσης μέλι καὶ γάλα; καὶ τί ὅτι ἐξέκοψας τοὺς ὀφθαλμοὺς ἡμῶν; καὶ σὺ ἄρχεις ἡμῶν; καὶ ἐπισυνέστησαν ἐπ' αὐτὸν ἐκκλησίαν μεγάλην· καὶ οἱ Κορεῖται, μὴ Μωσεῖ λελάληκε μόνῳ ὁ Θεός; τί ὅτι τῷ Ἀαρὼν δέδωκε τὴν ἀρχιερωσύνην μόνῳ; οὐχὶ πᾶσα ἡ συναγωγὴ κυρίου ἁγία; καὶ τί ὅτι Ἀαρὼν ἱερατεύει μόνος; καὶ πρὸ τούτων ἄλλος τις ἔλεγε· τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμῶν;

* an binominis Seba filius Bochri de quo ista referuntur 2. Reg. 20.

Περὶ τῆς Μωϋσέως ἀρετῆς καὶ ἀπιστίας τῶν Ἰουδαίων ἔθνους· καὶ ὧν ὁ Θεὸς ἐθαυματούργησε δι' αὐτῶν.

ΚΕΦΑΛ. γ'.

ΚΑὶ ἐπανέστησαν Μωσῆ τῷ τοῦ Θεοῦ θεράποντι τῷ παρὰ πάντας πρᾳοτάτῳ καὶ πιστῷ καὶ ἠτίμησαν τὸν τηλικοῦτον ἄνδρα οἱ ἀχαριστότατοι· τὸν νομοθέτην· τὸν φύλακα· τὸν ἀρχιερέα καὶ βασιλέα· τὸν μύστην τῶν θείων· τὸν ὡς δημιουργὸν τὰς τοῦ δημιουργοῦ ἐπιδειξάμενον ἐνεργείας· τὸν πρᾳότατον· τὸν ἀτυφώτατον· τὸν καρτερικόν· τὸν φιλανθρωπότατον· τὸν πολλῶν κινδύνων αὐτοὺς ἀπαλλάξαντα, καὶ διαφόρων θανάτων αὐτοὺς ῥυσάμενον τῇ παρ' ἑαυτοῦ ὁσιότητι· τὸν τοσαῦτα παρὰ Θεοῦ σημεῖα καὶ τέρατα τῷ λαῷ πεποιηκότα· τὸν τὰ ἔνδοξα καὶ θαυμαστὰ ἔργα εἰς εὐεργεσίαν αὐτῶν τετελεκότα· τὸν ἐπ' Αἰγυπτίους δεκάπληγον πεπληροκότα· τὸν τὴν ἐρυθρὰν θάλασσαν διῃρηκότα· καὶ ὡς τεῖχος τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν διαστήσαντα· καὶ ὡς δι' ἐρήμου ξηρᾶς τὸν λαὸν ἀγηοχότα· καὶ βυθίσαντα Φαραὼ καὶ τοὺς Αἰγυπτίους καὶ πάντας τοὺς παραὐτῶν μετ' αὐτῶν· τὸν γλυκάναντα πηγὴν αὐτοῖς διὰ ξύλου· καὶ ἐκ πέτρας ἀκροτόμου αὐτοῖς προαγαγόντα ὕδωρ διψῶσι· τὸν ἐξ οὐρανοῦ μαννοδοτήσαντα αὐτοῖς, καὶ ἐξ ἀέρος * κρεωλογήσαντα· τὸν στύλον πυρὸς ἐν νυκτὶ εἰς φωτισμὸν καὶ ὁδηγίαν παρεχόμενον αὐτοῖς καὶ στύλον νεφέλης εἰς σκιασμὸν ἡμέρας διὰ τὸν ἐξ ἡλίου φλογμόν· τὸν νόμον Θεοῦ ἐκ στόματος καὶ χειρὸς καὶ γραφῆς Θεοῦ ἐν πλαξὶ λιθίναις κεκολαμμένον παραχόμενον αὐτοῖς, τελείου ἀριθμοῦ δεκάλογον· ᾧ ὁ Θεὸς ἐνώπιος ἐνωπίῳ ὁμίλει ὡσεί τις λαλήσαι πρὸς ἑαυτοῦ φίλον· περὶ οὗ εἶπεν· καὶ οὐκ ἀνέστη προφήτης ὡς Μωσῆς· τούτῳ ἐπανέστησαν οἱ Κορεῖται καὶ οἱ Ῥουβηνῖται καὶ λίθους ἔβαλλον κατὰ τοῦ Μωσέως προσευχομένου καὶ λέγοντος, μὴ πρόχης εἰς τὴν θυσίαν αὐτῶν· καὶ ὀφθεῖσα ἡ δόξα τοῦ Θεοῦ, τοὺς μὲν εἰς γῆν κατήνεγκε· τοὺς δὲ πυρὶ κατέφλεξε· καὶ οὕτω τοὺς ἀρχηγοὺς τῆς πλάνης τοῦ σχίσματος λέγοντας, δῶμεν ἀρχηγὸν ἑαυτοῖς, ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ κατέπιεν αὐτούς· καὶ τὰς σκηνὰς αὐτῶν· καὶ τὴν ἀποσκευὴν αὐτῶν· καὶ κατῆλθον εἰς ᾅδου ζῶντες· τοὺς δὲ Κορείτας ἀπώλεσε διὰ πυρός.

* αἴτας κρεωλογήσαντα.

Ὅτι ἀποσχίζει οὐχ ὁ τῶν ἀσεβῶν χωριζόμενος, ἀλλ' ὁ τῶν εὐσεβῶν ἀφιστάμενος.

ΚΕΦΑΛ. δ'.

ΕΙ' οὖν τοῖς διὰ φιλαρχίαν ἀποσχίσασιν παραυτίκα Θεὸς ἐπήγαγε τὴν τιμωρίαν, πόσῳ μᾶλλον τοῖς αἱρέσεων ἀσεβῶν καθηγησαμένοις, οὐ σφοδροτέραν ἐπάξει τὴν τίσιν βλασφημοῦσιν αὐτοῦ τὴν πρόνοιαν ἢ τὴν δημιουργίαν; ἀλλ' ὑμεῖς ἀδελφοὶ ἐκ τῆς γραφῆς παιδευόμενοι, φυλάσσεσθε μὴ ποιεῖν τὰ σχίσματα τῆς γνώμης, μήτε μὴν τῆς ἑνώσεως ὑμῶν· ὅτι σκοποὶ ἀπωλείας οἱ δόξης ἀθεμίτου ἄρξαντες καθίστανται τοῖς λαοῖς· ὁμοίως καὶ οἱ λαϊκοὶ τοῖς τῇ γνώμῃ τοῦ Θεοῦ ἐναντία δογματίσασι μὴ πλησιάζετε· μηδὲ κοινωνοὶ τῆς ἀσεβείας αὐτῶν γίνεσθε· λέγει γὰρ ὁ Θεὸς, ἀποσχίσθητε ἐκ μέσου τῶν ἀνδρῶν τούτων, ἵνα μὴ συναπόλησθε αὐτοῖς· καὶ πάλιν· ἐξέλθετε ἐκ μέσου αὐτῶν· ἀφορίσθητε, λέγει κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, κἀγὼ εἰσδέξομαι ὑμᾶς.

Τίνος χάριν ἀπεβλήθη ὁ ψευδώνυμος Ἰσραὴλ, ἀπόδειξις ἐκ προφητικῶν προῤῥήσεων.

ΚΕΦΑΛ. ε'.

ΦΕυκταῖοι γάρ εἰσιν ὡς ἀληθῶς οἱ βλασφημοῦντες Θεόν· οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀσεβῶν ἄγνοιαν ἔχουσι Θεοῦ· οὗτοι δὲ κακόνοιαν ὡς θεομάχοι νοσοῦσιν· ἐκ γὰρ τῆς κακίας τῶν αἱρεσιωτῶν ἐξῆλθε μόλυσμα ἐπὶ πᾶσαν τὴν γῆν, ὥς φησιν Ἱερεμίας ὁ προφήτης· ἀποβληθείσης γὰρ τῆς συναγωγῆς τῆς πονηρᾶς ὑπὸ κυρίου τοῦ Θεοῦ καὶ τοῦ οἴκου ἀποῤῥιφέντος ὑπ' αὐτοῦ καθὼς πούφησιν, ἐγκαταλέλοιπα τὸν οἶκόν μου.

χόν μου· ἀφῆκα τὴν κληρονομίαν μου· καὶ πάλιν Ἡσαΐας, ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ ἐὰν μὴ τμηθῇ, οὐδ' ἐὰν μὴ σκαφῇ, καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα, καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν· ἐγκαταλιπὼν δὲ τὸν λαὸν ὡς σκηνὴν ἐν ἀμπελῶνι καὶ ὡς ὠπωροφυλάκιον ἐν * συκηλάτῳ καὶ ὡς πόλιν πολιορκουμένην, περιελὼν δὲ ἀπ' αὐτῆς καὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ τὸν προφητικὸν ὑετὸν, ἐπλήρωσε τὴν αὐτοῦ ἐκκλησίαν πνευματικῆς χάριτος ὡς ποταμὸν Αἰγύπτου ἐν ἡμέραις νέων· καὶ ὑπερύψωσεν αὐτὴν ὡς οἶκον ἐπ' ὄρους· ἢ ὡς ὄρος ὑπερφερὲς, ὡς ὄρος πετυρωμένον καὶ ὄρος πίον· ἐν ᾧ ἠδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ· καὶ γὰρ ὁ κύριος κατοικήσει εἰς τέλος· καὶ ἐν τῷ Ἱερεμίᾳ λέγει· θρόνος δόξης ὑψωμένος ἁγίασμα ἡμῶν· καὶ ἐν Ἡσαΐᾳ λέγει, καὶ ἔσαι ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν. ἐπεὶ δὲ καὶ τὸν λαὸν ἐγκατέλιπε, καὶ τὸν ναὸν ἀφῆκεν ἔρημον χίσας τὸ καταπέτασμα τοῦ ναοῦ, καὶ λαβὼν ἀπ' αὐτῆς τὸ πνεῦμα τὸ ἅγιον· ἰδοὺ γάρ φησιν, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος, καὶ δὲς ἐφ' ὑμᾶς τὸν ἐξ ἐθνῶν τοῦ πνευματικοῦ χάριν, ὡς λέγει διὰ Ἰωὴλ, καὶ ἔσαι μετὰ ταῦτα λέγει ὁ Θεὸς καὶ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν ὁράσεις ὄψονται· καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται· πᾶσαν γὰρ δυνάμιν λόγου καὶ ἐνέργειαν καὶ τοιάνδε ἐπισκοπῆς ἀπάρας ὁ Θεὸς ἐκ τοῦ λαοῦ εἰς ἡμᾶς τοὺς ἐξ ἐθνῶν ἔθετο· διὰ γὰρ τοῦτο ζηλώσας καὶ ὁ διάβολος τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, μετέσπη εἰς ἡμᾶς ἐπεγείρας ἡμῖν θλίψεις· διωγμοὺς· ἀκαταστασίας· βλασφημίας· σχίσματα· αἱρέσεις· ἐκεῖνον γὰρ τὸν λαὸν διὰ τῆς Χειροκτονίας εἰς ἑαυτὸν ὑπηγάγετο· ἡμᾶς δὲ ἀποσάντας αὐτοῦ τῆς ματαιότητος, ἄλλοτε ἄλλως πειράζει, ὡς καὶ τὸν μακάριον Ἰώβ· καὶ γὰρ τῷ μεγάλῳ ἀρχιερεῖ Ἰησοῦ τῷ τοῦ Ἰωσεδὲκ βραχὺ ἀντέκειτο· καὶ ἡμᾶς πολλάκις ἐξητήσατο * ἐξυδαρωθῆναι, ὅπως ἐκλίπῃ ἡ πίστις ἡμῶν· ἀλλ' ὁ ἡμέτερος κύριος καὶ διδάσκαλος ἐν δίκῃ κατισήσας αὐτὸν ἔλεγεν αὐτῷ· ἐπιτιμήσαι κύριος ἐν σοὶ διάβολε· καὶ ἐπιτιμήσαι κύριος ἐν σοὶ ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ· οὐκ ἰδοὺ τοῦτο ἐξεσπασμένον ὡς δαλός; καὶ ὁ εἰπὼν τότε τοῖς παρεστῶσι τῷ ἀρχιερεῖ περιέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐτοῦ, καὶ ἐπεῖπεν, ἰδοὺ ἀφῄρηκα τὰς ἀνομίας σου ἀπὸ σοῦ, ἔτος ἐρεῖ καὶ νῦν, ὡς καὶ πάλαι σωρηθροισμένων ἡμῶν, ἔλεγεν περὶ ἡμῶν, ὅτι ἐδεήθην, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις ὑμῶν.

* συκηλάτῳ.

* an f προδιρραθῶσι pilo in mortario contundi quasi in notis.

Ὅτι καὶ παρὰ Ἰουδαίοις σωτὴρ θεομισὴς διδασκαλία διαφόρων αἱρέσεων.

ΚΕΦΑΛ. ε'.

Εἶχε μὲν οὖν καὶ ὁ Ἰουδαϊκὸς ὄχλος αἱρέσεις κακίας· καὶ γὰρ καὶ Σαδδουκαῖοι ἐξ αὐτῆς, οἱ μὴ ὁμολογοῦντες νεκρῶν ἀνάστασιν· καὶ φαρισαῖοι, οἱ τύχῃ καὶ εἱμαρμένῃ ἐπιγράφοντες τὸν τῆς ἁμαρτανόντων πρᾶξιν· καὶ * Βασμώθιοι, οἱ πρόνοιαν ἀρνούμενοι, ἐξ αὐτομάτου δὲ φορᾶς λέγοντες τὸ ὄντι συνεστάναι· καὶ Ψυχῆς τὴν ἀθανασίαν πιεκέπτοντες· καὶ ἡμεροβαπτισταί, οἵτινες καθ' ἑκάστην ἡμέραν, ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσιν· ἀλλὰ καὶ τὰς κλίνας καὶ τοὺς πίνακας ἤτοι κρατῆρας καὶ ποτήρια καὶ καθίσματα ἐὰν μὴ καθάρωσιν ὕδατι, οὐδενὶ χρῶνται· καὶ οἱ ἐφ' ἡμῶν νῦν φανέντες Ἐβιωναῖοι, τὸν υἱὸν τοῦ Θεοῦ φιλὸν ἄνθρωπον εἶναι βουλόμενοι ἐξ ἡδονῆς ἀνδρὸς καὶ συμπλοκῆς Ἰωσὴφ, καὶ Μαρίας αὐτὸν γεγονέναι· οἱ δὲ τούτων πάντων ἑαυτοὺς χωρίσαντες ἢ τὰ πάτρια φυλάσσοντές εἰσιν Ἐσσαῖοι· τινὲς μὲν ἦν ἐν τῷ προτέρῳ λαῷ· καὶ νῦν ὁ πανυπερσοφὸς ὢν τοῦ κακοποιῆσαι, καὶ τὸ καλὸν ὅτι ποτέ ἐστιν ἀγνοῶν ἐξ ἡμῶν τινας ἐκβαλὼν, συνῆργησεν ἐν αὐτοῖς αἱρέσεις καὶ σχίσματα.

* Vide Epiphan. Hæres. 18.

Ὁπόθεν ἀνέφυσαν αἱ αἱρέσεις, καὶ ὅς τις αὐτῆς ἀρχηγὸς τῆς ἀσεβείας γεγόνηται.

ΚΕΦΑΛ. ζ'.

Ἡ δὲ καταρχὴ τῶν νέων αἱρέσεων γέγονεν οὕτως· Σίμωνά τινα, ἀπὸ Γιτθῶν, ὅπου καλοῦμαι κώμης, Σαμαρέα, τῇ τέχνῃ μάγον, ἐνδυσάμενος ὁ διάβολος, ὑπηρέτην αὐτοῦ τῆς μοχθηρᾶς γνώμης ἐποιήσατο· ὑπίκα δὲ Φίλιππος ὁ συναπόστολος ἡμῶν τῇ τοῦ κυρίου δόσει, καὶ τῇ τοῦ πνεύματος αὐτοῦ ἐνεργείᾳ δυνάμεις ἰαμάτων ἐπετέλει ἐν Σαμαρείᾳ, ὡς καταπλαγῆναι τοὺς Σαμαρεῖς εἰς πίστιν ἐλθεῖν τοῦ τῶν ὅλων Θεοῦ καὶ τοῦ κυρίου Ἰησοῦ καὶ βαπτίσασθαι εἰς τὸ ὄνομα αὐτοῦ, ἤδη δὲ καὶ αὐτοῦ τοῦ Σίμωνος σημεῖα καὶ τέρατα θεασαμένου ἄνδρα μαγγανείας τινὸς γοητικῆς ἐπιτελούμενα, καὶ εἰς θαῦμα καταπεσόντος καὶ πιστεύσαντος καὶ βαπτισθέντος καὶ προσκαρτερόντος τῇ νηστείᾳ καὶ τῇ προσευχῇ, ἀκούσαντες ἡμεῖς τὸν λόγον τοῦ Θεοῦ τὸν ὑπάρξασαν Σαμαρεῦσι διὰ Φιλίππου, παρεγενόμεθα πρὸς αὐτούς· καὶ πολὺ συμβαλλόμενα τῷ λόγῳ τῆς διδασκαλίας, πᾶσι τοῖς βεβαπτισμένοις ἐπιτιθέντες τὰς χεῖρας ἁγίαις τὸν τοῦ πνεύματος μετουσίαν ἐδωρούμεθα· ἰδὼν δὲ Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ἡμῶν δίδοται τὸ πνεῦμα τοῖς πιστεύουσι, λαβὼν χρήματα προσενέγκας ἡμῖν λέγων, δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην· ἵνα κἀγὼ ᾧ ἂν ἐπιθῶ τὴν χεῖρα λαμβάνῃ πνεῦμα ἅγιον· βουλόμενος ὡς τὸν Ἀδὰμ τῇ γάσει τοῦ ξύλου τῆς κατ' ἐπαγγελίαν ἀθανασίας ἐστέρησεν, οὕτω καὶ ἡμᾶς τῇ λήψει τῶν χρημάτων θέλξας τῆς δόσεως τοῦ Θεοῦ περιγράψαι, ὅπως ἀντικαταλλαξάμενοι ἀποδώμεθα αὐτῷ χρημάτων τὴν ἀτίμητον τοῦ πνεύματος δωρεάν· πάντων δὲ ἡμῶν ἐπὶ τούτῳ πυραχθέντων· ἀτενίσας ἐγὼ Πέτρος εἰς τὸν ἐν αὐτῷ κακοῦργον ὄφιν εἶπον τῷ Σίμωνι· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι, οὐκ ἔστι σοι μερὶς ἐν τῷ λόγῳ τούτῳ οὐδὲ κλῆρος ἐν τῇ πίστει ταύτῃ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ· μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου· εἰς γὰρ χολὴν πικρίας, καὶ σύνδεσμον ἀδικίας θεωρῶ σε ὄντα· ἀλλά τις μοὶ ὁ Σί-

Σίμων ἔμφοβος γενόμενός φησι, παρακαλῶ, δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν κύριον· ὅπως μηδὲν ἐπέλθῃ ἐπ' ἐμὲ, ὧν εἰρήκατε.

Τίνες τῆς Σίμωνος ἀσεβείας διάδοχοι, καὶ οἵων αἱρέσεων κατῆρξαν.

ΚΕΦΑ'Λ. η'.

Ἡ Νίκα δὲ ἐξήλθομεν ἐν τοῖς ἔθνεσι κηρύσσειν τὸν λόγον τῆς ζωῆς, τότε ἐνήργησεν ὁ διάβολος εἰς τὸν λαὸν ἀποστεῖλαι ὀπίσω ἡμῶν ψευδαποστόλους εἰς βεβήλωσιν τοῦ λόγου· καὶ προεβάλοντο Κλεόβιόν τινα, καὶ παρέζευξαν τῷ Σίμωνι· οὗτοι δὲ μαθητεύουσι Δοσιθέῳ τινί· ὃν καὶ παρευδοκιμήσαντες ἐξώσαντο τῆς ἀρχῆς· εἶτα καὶ ἕτεροι ἑτέρων κατῆρξαν ἐκτόπων δογμάτων, Κήρινθος καὶ Μάρκος· καὶ Μένανδρος· καὶ Βασιλείδης· καὶ * Σατορνίλος· τούτων οἱ μὲν πολλοὺς Θεούς· οἱ δὲ, τρεῖς ἐναντίους, ἀνάρχους, ἀεὶ συνόντας ἑαυτοῖς· οἱ δὲ ἀπείρους καὶ ἀγνώστους δοξάζουσι· καὶ οἱ μὲν τὸν γάμον ἀθετοῦσιν οὐκ εἶναι τοῦ Θεοῦ ἔργον δοξάζοντες· ἄλλοι δέ τινα τῶν βρωμάτων βδελύσσονται· οἱ δὲ ἀναίδην ἐκπορνεύουσιν, οἷοι οἱ νῦν ψευδώνυμοι Νικολαΐται. ὁ μέντοι Σίμων ἐμοὶ Πέτρῳ πρῶτον ἐν Καισαρείᾳ τῇ Στράτωνος, ἔνθα Κορνήλιος ὁ πιστὸς ἐπίστευσεν ὢν ἐθνικὸς ἐπὶ τὸν κύριον Ἰησοῦν δι' ἐμοῦ, συντυχών μοι ἐπειρᾶτο διαστρέφειν τὸν λόγον τοῦ Θεοῦ συμπαρόντων μοι τῶν ἱερῶν τέκνων Ζακχαίου τοῦ ποτε τελώνου καὶ Βαρνάβα καὶ Νικήτου καὶ Ἀκύλα ἀδελφῶν Κλήμεντος τοῦ Ῥωμαίων ἐπισκόπου τε καὶ πολίτου, μαθητευθέντος δὲ καὶ Παύλῳ τῷ συναποστόλῳ ἡμῶν καὶ συνεργῷ ἐν τῷ εὐαγγελίῳ. καὶ τρίτον ἐπ' αὐτῶν διαλεχθεὶς αὐτῷ εἰς τὸν περὶ προφήτου λόγον, καὶ περὶ Θεοῦ μοναρχίας, ἡττήσας αὐτὸν δυνάμει τοῦ κυρίου, καὶ εἰς ἀφωνίαν καταβαλὼν, φυγάδα κατέστησα εἰς τὴν Ἰταλίαν.

* ἐν ἄλλῳ τρατόνικος.

Ὅπως ὁ Σίμων γοητείαις τισὶ πτῆναι θελήσας, εὐχαῖς Πέτρου κατενεχθεὶς ἐξ ὕψους κάτω, συνετρίβη τοὺς πόδας καὶ τὼ χεῖρε τοὺς ταρσούς.

ΚΕΦΑ'Λ. θ'.

Γενόμενος δὲ ἐν Ῥώμῃ πολὺ τὴν ἐκκλησίαν ἔσκυλε πολλοὺς ἀνατρέπων, καὶ ἑαυτῷ περιποιούμενος, τὰ δὲ ἔθνη ἐξιστῶν μαγικῇ ἐμπειρίᾳ· ὡς καὶ ποτὲ μέσης ἡμέρας προελθὼν εἰς τὸ θέατρον αὐτῶν, κελεύσας τοῖς δήμοις ἁρπαγῆναι κἀμὲ ἐν τῷ θεάτρῳ, ἐπηγγέλλετο πτῆναι δι' ἀέρος· πάντων δὲ ἐπὶ τούτῳ μετεώρων τυγχανόντων, ἐγὼ προσηυχόμην καθ' ἐμαυτόν· καὶ δὴ μετεωρισθεὶς ὑπὸ δαιμόνων ἵπτατο μετάρσιος εἰς ἀέρα λέγων εἰς οὐρανοὺς ἀνιέναι, κἀκεῖθεν αὐτοῖς τὰ ἀγαθὰ ἐπιχορηγήσειν· τῶν δὲ δήμων ἐπευφημούντων ὡς Θεὸν, ἐκτείνας ἐγὼ τὰς χεῖρας εἰς οὐρανὸν σὺν αὐτῇ διανοίᾳ, ἱκέτευον τὸν Θεὸν διὰ Ἰησοῦ τοῦ κυρίου ῥῆξαι τὸν λυμεῶνα, καὶ τὴν ἰσχὺν τῶν δαιμόνων περικόψαι ἐπ' ἀπάτῃ καὶ ἀπωλείᾳ ἀνθρώπων κεχρημένων αὐτῇ· ῥήξαντα δὲ μὴ θανατῶσαι, ἀλλὰ συντρίψαι· καὶ ὑπολαβὼν, ἀτενίσας εἶπον τῷ Σίμωνι, εἰ Θεοῦ ἄνθρωπος ἐγὼ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ ἀληθὴς, καὶ διδάσκαλος εὐσεβείας, ἀλλ' οὐ πλάνης, οἷος σὺ Σίμων, προστάσσω ταῖς πονηραῖς δυνάμεσι τοῦ τῆς εὐσεβείας ἀποστάτου, ἐφ' αἷς ὀχεῖται Σίμων ὁ μάγος, ἀφεῖναι τῆς κρατήσεως, ὅπως ἐξ ὕψους κατενεχθῇ εἰς γέλωτα τῶν ἀπατηθέντων ὑπ' αὐτοῦ· καὶ εἰπόντος μου ταῦτα, περικοπεὶς τῶν δυνάμεων ὁ Σίμων κατηνέχθη μετὰ μεγάλου ἤχου· καὶ ῥαγεὶς πτῶμα ἐξαίσιον, συντρίβεται τὸ ἰσχίον καὶ τῶν ποδῶν τοὺς ταρσούς· καὶ φωνὴ τῶν ὄχλων λέγουσα, εἷς ὁ Θεὸς ὃν Πέτρος δικαίως καταγγέλει τῇ ἀληθείᾳ μόνος, καὶ πολλοὶ ἀπέστησαν ἀπ' αὐτοῦ· τινὲς δὲ ἄξιοι τῆς ἀπωλείας αὐτοῦ ὄντες παρέμειναν αὐτοῦ τῇ μοχθηρᾷ διδασκαλίᾳ· καὶ οὕτω πρώτη ἐπάγη ἡ τῶν Σιμωνιακῶν ἀθεωτάτη αἵρεσις ἐν Ῥώμῃ· καὶ διὰ τῶν λοιπῶν ψευδαποστόλων ἐνήργει ὁ διάβολος.

Ὅπως αἱ αἱρέσεις καὶ πρὸς ἑαυτὰς καὶ πρὸς ἀλήθειαν διαφωνοῦσιν.

ΚΕΦΑ'Λ. ι'.

Τούτοις δὲ πᾶσιν ἐπίσης σκοπὸς ἦν εἷς καὶ ὁ αὐτὸς ἀθεότητος τὸν μὲν παντοκράτορα Θεὸν βλασφημεῖν, ἄγνωστον δοξάζειν, καὶ μὴ εἶναι πατέρα τοῦ Χριστοῦ· μηδὲ τοῦ κόσμου δημιουργόν· ἀλλ' ἄλεκτον· ἄῤῥητον· ἀκατανόμαστον· αὐτογένεθλον· νόμῳ καὶ προφήταις μὴ χρᾶσθαι· πρόνοιαν μὴ εἶναι· ἀνάστασιν μὴ πιστεύειν· κρίσιν μὴ εἶναι καὶ ἀνταπόδοσιν· ψυχὴν ἀθάνατον μὴ ὑπάρχειν· ἡδονῇ χαίρειν μόνῃ· καὶ πρὸς πᾶσαν θρησκείαν ἀδιαφόρως ἐκκλίνειν· οἱ μὲν γὰρ, πλείους εἶναι Θεοὺς λέγουσιν, οἱ δὲ, τρεῖς ἀνάρχους· οἱ δὲ, δύο ἀγεννήτους· οἱ δὲ, αἰῶνας ἀπείρους· καὶ οἱ μὲν αὐτῶν ἀγαμίαν διδάσκουσι· καὶ κρεῶν ἀποχὴν καὶ οἴνου, βδελυκτὰ λέγοντες εἶναι καὶ γάμον καὶ παίδων γένεσιν· καὶ βρωμάτων μετάληψιν· ἵν' ὡς σεμνοί τινες τὴν πονηρὰν αὐτῶν γνώμην ὡς ἀξιόπιστον παραδεχθῆναι ποιήσωσι· τινὲς δὲ ἐξ αὐτῶν νομοθετοῦσι κρεῶν ἀπέχεσθαι, οὐχ ὡς ἀλόγων ζώων, ἀλλ' ὡς λογικὴν ἐχόντων ψυχὴν, καὶ φόνου δίκην εἰσπράσσεσθαι μελλόντων τῶν ταῦτα κατατολμώντων σφάζειν· ἕτεροι δὲ ἐξ αὐτῶν ἔλεγον μόνου δεῖν φάσκοντες χοιρείου ἀπέχεσθαι· τὰ δὲ κατὰ νόμον καθαρὰ ἐσθίειν· καὶ περιτέμνεσθαι νομίμως· πιστεύειν δὲ εἰς Ἰησοῦν ὡς εἰς ὅσιον ἄνδρα καὶ προφήτην· ἄλλοι δὲ ἀναίδην ἐκπορνεύειν, καὶ παραχρᾶσθαι τῇ σαρκὶ ἐδίδασκον, καὶ διὰ πάσης ἀνοσιουργίας ἰέναι, ὡς οὕτω καὶ μόνως ἐκφεύξεσθαι τὴν ψυχὴν τοὺς κοσμικοὺς ἄρχοντας· οὗτοι δὲ πάντες τοῦ διαβόλου ὄργανα τυγχάνουσι καὶ υἱοὶ ὀργῆς.

Ἐξήγησις ἀποστολικῆ κηρύγματος.

ΚΕΦΑΛ. ιά.

Ἡμεῖς δὲ τέκνα Θεῦ καὶ υἱοὶ εἰρήνης, τὸν ἱερὸν καὶ ἁγὶν λόγον κηρύσσοντες τῆς ἀσεβείας, σὰ μόνον Θεὸν κατανγέλλομεν νόμω καὶ προφητῶν κύριον· τῶν ὄντων δημιουργόν· τὸν Χριστὸν πατέρα· ἐκ αὐταίτιον καὶ αὐτοφύέθλον, ὡς ἐκεῖνοι οἴονται· ἀλλ' ἀίδιον καὶ ἄναρχον, καὶ φῶς οἰκοῦντα ἀπρόσιτον· ὃ δεύτερον ὄντα, ἢ τρίτον· ἢ πολλοσόν· ἀλλὰ μόνον ἀϊδίως· ἐκ ἄγνωστον· ἢ ἄλεκτον· ἀλλὰ διὰ νόμου καὶ προφητῶν κηρυσσόμενον· παντοκράτορα· παντάρχιον· παντεξούσιον· Θεὸν καὶ πατέρα τοῦ μονογενοῦς καὶ πρωτοτόκου πάσης δημιουργίας· σὰν Θεὸν υἱὸς Χριστοῦ πατέρα, ὑ πλειόνων· υἱὸς παράκλητον διὰ Χριστοῦ· τῶν ἄλλων τεγμάτων ποιητικόν· σὰν δημιουργόν· διαφόρων κτίσεως διὰ Χριστοῦ ποιητικόν· τὸν αὐτὸν προνοητικόν· νομοθετικὸν δι' αὐτοῦ· ἀνασάσεως αἴτιον, καὶ κρίσεως καὶ ἀντιποδόσεως δι' αὐτοῦ γινομένων· τοῦτον αὐτὸν καὶ ἄνθρωπον ἀδοκήσαντα γενέσθαι, καὶ πολιτευσάμενον ἄνευ ἁμαρτίας καὶ παθόντα καὶ ἀνασάντα ἐκ νεκρῶν καὶ ἀνελθόντα πρὸς τὸν ἀποστείλαντα· καὶ πᾶν κτίσμα Θεοῦ καλὸν φαῦλον, καὶ οὐδὲν βδελυκτόν, πᾶν τὸ πρὸς σύσασιν δικαίως μεταλαμβανόμενον, ἄρρεσον· πάντα γὰρ κατὰ τὴν γραφὴν καλὰ λίαν· γάμον νόμιμον, καὶ παίδων γένεσιν, τίμιον καὶ ἀμόλυντον εἶναι πιστεύομεν· ἐπαύξησει γὰρ τοῦ γένους τῶν ἀνθρώπων διαφορὰ σχημάτων διεπλάσθη ἐν τῷ Ἀδὰμ καὶ τῇ Εὔα· ψυχὴν ἀσώματον ἐν ἡμῖν καὶ ἀθάνατον ὁμολογοῦμεν· ἀλλ' ἀσθενῆ φθαρτὴν ὡς τὰ σώματα, ἀλλ' ἀθάνατον ὡς λογικὴν καὶ αὐτεξούσιον· πᾶσαν μίξιν παράνομον καὶ τὴν παρὰ φύσιν γινομένην ὑπό τινων βδελυσσόμεθα ὡς ἀθέμιτον καὶ ἀνοσίαν· ἀνάστασιν γίνεσθαι ὁμολογοῦμεν δικαίων τε καὶ ἀδίκων καὶ μισθαποδοσίαν· τὸν Χριστὸν ὑὸν ψιλὸν ἄνθρωπον ὁμολογοῦμεν ἀλλὰ Θεὸν λόγον καὶ ἄνθρωπον· μεσίτην Θεοῦ καὶ ἀνθρώπων· ἀρχιερέα τοῦ πατρός· ὅτε μὴν μετὰ Ἰουδαίων περιπνόμεθα, εἰδότες, ὅτι ἐληλύθει, ᾧ ἀπέκειτο· καὶ δι' ὃν ἐφυλάσσετο τὴν σύγκρισιν, ἡ προσδοκία τῶν ἐθνῶν Ἰησοῦς ὁ Χριστὸς ὁ ἐξ Ἰούδα ἀνατείλας· ὁ ἐκ βλαστοῦ υἱός· τὸ ἐξ Ἰεσσαὶ ἄνθος· ὃ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου.

Πρὸς τοὺς ὁμολογοῦντας, Ἰουδαΐζειν δὲ θέλοντας.

ΚΕΦΑΛ. ιβ.

Ἀλλ' ἐπεὶ τότε αὕτη ἡ αἵρεσις ἰσχυροτέρα πρὸς πλάνην ἔδοξεν εἶναι καὶ τῆς ἐκκλησίας ὅλης κινδυνεύσης, ἡμεῖς οἱ δώδεκα συνελθόντες εἰς Ἱερουσαλήμ, ἀντὶ γὰρ τοῦ προδότου Ματθίας σὺν ἡμῖν κατεψηφίσθη ἀπόστολος εἶναι, λαβὼν τὸν κλῆρον Ἰούδα, ὡς εἴρηται, τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος, ἐπεσκεπτόμεθα ἅμα Ἰακώβῳ τῷ τοῦ κυρίου ἀδελφῷ τὰ γενόμενα· καὶ ἔδοξεν αὐτῷ τε καὶ τοῖς πρεσβυτέροις, λόγους διδασκαλίας προσλαλῆσαι τῷ λαῷ· καὶ γάρ καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας εἰς Ἀντιόχειαν ἐδίδασκον τοὺς ἐκεῖ ἀδελφοὺς λέγοντες· ὅτι ἐὰν μὴ περιτμηθῆτε τῷ ἔθει Μωϋσέως καὶ τοῖς ἄλλοις ἔθεσιν οἷς διετάξατο περιπατῆτε, οὐ δύνασθε σωθῆναι· ἐγνωμένης οὖν στάσεως καὶ ζητήσεως οὐκ ὀλίγης, οἱ ἐν Ἀντιοχείᾳ ἀδελφοὶ γνόντες ὅτι συνελήλυθαμεν πάντες περὶ τούτου ζητήσαντες, ἐξέπεμψαν πρὸς ἡμᾶς ἄνδρας πιστοὺς καὶ τῆς γραφῆς εἰδήμονας μαθεῖν περὶ τοῦ ζητήματος τούτου· οἱ δὲ, παραγενόμενοι εἰς Ἱερουσαλήμ, ἀνήγγειλαν ἡμῖν τὰ ζητηθέντα καὶ ἐν τῇ Ἀντιοχέων ἐκκλησίᾳ, ὡς ὅτι τινὲς ἔλεγον, ὅτι δεῖ περιτέμνεσθαι, καὶ τὰς ἄλλας ἀγνείας παραφυλάττειν· ἄλλων δὲ ἄλλοτι λεγόντων, ἐγὼ Πέτρος ἀναστὰς εἶπον πρὸς αὐτούς· ἄνδρες ἀδελφοί· ὑμεῖς ἐπίστασθε, ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ἐν ὑμῖν ἐξελέξατο ὁ Θεὸς διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι· καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς· Κορνηλίῳ γάρ ποτε ἑκατοντάρχῃ Ῥωμαϊκῆς ἀρχῆς ὤφθη ἄγγελος κυρίου καὶ περὶ ἐμοῦ εἶπεν αὐτῷ, ὅπως μεταπέμψηται με καὶ ἀκούσῃ ῥήματος ἐκ τοῦ στόματός μου· ὁ δὲ, μετεπέμψατό με ἀπὸ Ἰόππης εἰς Καισάρειαν τοῦ Στράτωνος· ὁπότε δὲ ἔμελλον πρὸς αὐτὸν ἐκπορεύεσθαι, ἐβουλήθην ἐροῦς μεταλαβεῖν καὶ παρασκευαζόντων, ἤμην ἐν τῷ ὑπερῴῳ προσδεχόμενος· καὶ θεωρῶ τὸν οὐρανὸν ἀνεῳγότα καὶ πάσαρσιν ἀρχαῖς δεδεμένον σκεῦός τι ὡς ὀθόνην λαμπρὰν, καὶ καθιέμενον ἐπὶ τῆς γῆς· ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα καὶ ἑρπετὰ τῆς γῆς, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἐγένετο φωνὴ ἐκ τοῦ οὐρανοῦ πρός με λέγουσα· ἀναστὰς Πέτρε, θῦσον, καὶ φάγε· κἀγὼ εἶπον, μηδαμῶς κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν καὶ ἀκάθαρτον· καὶ ἐγένετο φωνὴ ἐκ δευτέρου λέγουσα· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου· τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς· καὶ ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν· ὡς δὲ διηπόρουν τί ἂν εἴη τὸ ὅραμα, εἶπέ μοι τὸ πνεῦμα· ἰδοὺ ἄνδρες ζητοῦσίσε, ἀλλὰ ἀναστὰς πορεύθητι σὺν αὐτοῖς, μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλα αὐτούς· ἦσαν δὲ οἱ παρὰ τοῦ ἑκατοντάρχου· καὶ ὅτως ἀναλογισάμενος ἔγνων τὸ ῥῆμα κυρίου τὸ γεγραμμένον, ὅτι πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται· καὶ πάλιν· μακαριεῖται καὶ ἐπιστραφήσεται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, ὅτι τοῦ κυρίου ἡ βασιλεία καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν· καὶ ὡς παντοχοῦ περὶ τῆς κλήσεως τῶν ἐθνῶν εἴρηται, ἐννοήσας, ἀναστὰς ἐπορεύθην σὺν αὐτοῖς· καὶ εἰσῆλθον εἰς τὸν οἶκον τοῦ ἀνδρός· καὶ ἔτι μου διαγγέλλοντος τὸν λόγον, ἔπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτὸν καὶ ἐπὶ τοὺς παρόντας σὺν αὐτῷ, καθὼς καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ, καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν· καὶ ἔγνων ἐγὼ ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει φοβούμενον αὐτὸν καὶ ἐργαζόμενον δικαιοσύνην δεκτὸς αὐτῷ ἐστι· ἐξέστησαν δὲ ἐπὶ τούτῳ οἱ ἐκ περιτομῆς πιστοί· νῦν οὖν τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν βαρὺν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε ἡμεῖς, οὔτε οἱ πατέρες ἡμῶν ἰσχύσαμεν βαστάσαι· ἀλλὰ διὰ τῆς χάριτος τοῦ κυρίου πιστεύομεν σωθῆναι καθ' ὃν τρόπον κἀκεῖνοι· ἔλυσε γὰρ τὰ μὰς ὁ κύριος ἐκ τῶν δεσμῶν καὶ ἠλάφρυνε τὸ φορτίον ἡμῶν·

μων· καὶ τὸν ζυγὸν τῆς βάρους προσότητι ἔλυσεν ἀφ' ἡμῶν· ταῦτα δὲ μου εἰπόντος ἐσίγησεν ἅπαν τὸ πλῆθος· ἀπεκρίθη δὲ Ἰάκωβος ὁ τοῦ κυρίου ἀδελφὸς λέγων, ἄνδρες ἀδελφοὶ ἀκούσατέ μου· Συμεὼν ἐξηγήσατο, καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ· καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς γέγραπται· μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν· καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω· καὶ ἀνορθώσω αὐτήν, ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν κύριον καὶ πάντα τὰ ἔθνη ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει κύριος ὁ ποιῶν ταῦτα· γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ, διὸ ἐγὼ ἔκρινα μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν Θεόν· ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, εἰδωλοθύτου, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας· ἅπερ καὶ τοῖς πάλαι νενομοθέτητο τοῖς κατὰ τὸν νόμον φυσικοῖς· Ἐνώς· Ἐνώχ· Νῶε· Μελχισεδέκ· Ἰὼβ· καὶ ἕτερος τοιοῦτος ἐγεγόνει· τότε ἔδοξεν ἡμῖν τοῖς ἀποστόλοις καὶ τῷ ἐπισκόπῳ Ἰακώβῳ καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ ἐκλεξαμένους ἄνδρας ἐξ ἡμῶν αὐτῶν πέμψαι σὺν τοῖς πρὸ Βαρνάβαν καὶ Παῦλον τὸν τῶν ἐθνῶν ἀπόστολον, τὸν Ταρσέα, καὶ Ἰούδαν τὸν καλούμενον Βαρσαββᾶν, καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, γράψαντες διὰ χειρὸς αὐτῶν τάδε· οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαίρειν· ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ὑμῶν ἐτάραξαν ὑμᾶς λόγοις, ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, οἷς οὐ διεστειλάμεθα· ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδὸν ἐκλεξαμένους ἄνδρας ἐκπέμψαι πρὸς ὑμᾶς σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' ὧν ἐπεστείλατε· ἀπεσταλκαμεν δὲ μετ' αὐτῶν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά· ἔδοξε γὰρ τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τούτων τῶν ἐπ' ἀνάγκαις, ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ, καὶ πορνείας· ἐξ ὧν διατηροῦντες ἑαυτούς, εὖ πράξετε, ἔρρωσθε· τὴν μὲν οὖν ἐπιστολὴν ἐξαπεστείλαμεν· αὐτοὶ δὲ ὑπομείναντες ἡμέραις ἐν Ἱεροσολύμοις ἐπεμείναμεν ἅμα συζητοῦντες πρὸς τὸ κοινωφελὲς εἰς διόρθωσιν.

Ὅπως χρὴ χωρίζεσθαι τῶν αἱρετικῶν.

ΚΕΦΑΛ. ιγ'.

Μετὰ δὲ χρόνον ἱκανὸν ἐπισκεψάμενοι τοὺς ἀδελφοὺς καὶ στείξαντες αὐτοὺς τῷ λόγῳ τῆς ἀληθείας, καὶ παρεγγυησάμενοι φεύγειν αὐτοὺς τοὺς ἐπ' ὀνόματι Χριστοῦ καὶ Μωσέως, πολεμοῦσι Χριστῷ καὶ Μωσεῖ, καὶ ἐν δορᾷ προβάτων τὸν λύκον καταιρύπτουσιν· ἔστι γὰρ εἰσὶ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ ψευδαπόστολοι· πλάνοι καὶ φθορεῖς, ἀλωπέκων μορφὰς καὶ χαμαιζήλων ἀμπελώνων ἀφανισταί· ὧν ἐς ψυχθήσεται ἡ τῶν πολλῶν ἀγάπη· ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται· περὶ ὧν ἀσφαλιζόμενος ἡμᾶς ὁ κύριος παρήγγειλεν, ἐλεύσονται λέγων πρὸς ὑμᾶς ἄνθρωποι ἐν ἐνδύμασι προβάτων· ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες, ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· προσέχετε ἀπ' αὐτῶν, ἀνασήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ πλανήσουσι πολλούς.

Τίνες οἱ κηρύξαντες τὴν καθολικὴν διδασκαλίαν, καὶ τίνα τὰ δι' αὐτῶν παραγγέλματα.

ΚΕΦΑΛ. ιδ'.

Δι' ὃς καὶ ἡμεῖς νῦν ἐπὶ τὸ αὐτὸ γεγόμενοι Πέτρος καὶ Ἀνδρέας, * Ἰάκωβος καὶ Ἰωάννης υἱοὶ Ζεβεδαίου· Φίλιππος & Βαρθολομαῖος. Θωμᾶς, καὶ Ματθαῖος· Ἰάκωβος Ἀλφαίου, καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος· καὶ Σίμων ὁ Κανανίτης· καὶ Ματθίας ὁ ἀντὶ Ἰούδα καταψηφισθεὶς ἡμῖν· Ἰάκωβός τε ὁ τοῦ κυρίου ἀδελφός, καὶ Ἱεροσολύμων ἐπίσκοπος· καὶ Παῦλος ὁ τῶν ἐθνῶν διδάσκαλος· τὸ σκεῦος τῆς ἐκλογῆς, ἅμα πάντες καὶ ἐπὶ τὸ αὐτὸ γενόμενοι, ἐγράψαμεν ὑμῖν τὴν καθολικὴν ταύτην διδασκαλίαν εἰς ἐπισκεψιν ὑμῶν τῶν τὴν καθόλου ἐπισκοπὴν πεπιστευμένων· ἐν ᾗ δηλοῦμεν ὑμῖν Θεὸν παντοκράτορα εἷς μόνον ὑπάρχειν, παρ' ὃν ἄλλος οὐκ ἔστι· & αὐτὸν μόνον σέβειν καὶ προσκυνεῖν διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν ἐν τῷ παναγίῳ πνεύματι· καὶ ταῖς ἱεραῖς γραφαῖς χρῆσθαι, νόμῳ καὶ προφήταις· γονεῖς τιμᾶν· ἅπασαν ἐκθεσμον πρᾶξιν φεύγειν. ἀνάστασιν πιστεύειν καὶ κρίσιν, καὶ ἀνταπόδοσιν προσδοκᾶν· καὶ τοῖς κτίσμασιν αὐτοῦ πᾶσιν ἐγκρατείας προσέρχεσθαι ὡς Θεοῦ ἔργοις καὶ μηδὲν ἐν ἑαυτοῖς ἔχουσι φαῦλον· καὶ γαμεῖν νομίμως· ἄμεμπτος γὰρ ὁ τοιοῦτος γάμος· ὅτι καὶ παρὰ κυρίου ἁρμόζεται γυνὴ ἀνδρί· καὶ ὁ κύριος· λέγει, ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ εἶπεν· ἕνεκα τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· μήτε μὴν μετὰ γάμον ἐκβάλλειν ἀκατάγνωστον ἐξέσω· φυλάξῃ γάρ, φησὶ, τῷ πνεύματί σου· καὶ γυναῖκα νεότητος σου μὴ ἐγκαταλίπῃς, ὅτι αὕτη κοινωνός βίου σου, καὶ ὑπόλειμμα πνεύματός σου· καὶ ἐγὼ ἐποίησα καὶ οὐκ ἄλλος· φάσκει γὰρ ὁ κύριος, ὅτι ἃ ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω· ἡ γὰρ γυνὴ κοινωνός ἐστι βίου σύμβιος εἰς τὸ σῶμα ἐκ δύο παρὰ Θεοῦ· ὁ δὲ τὸ σὸν ἀνάπαλιν διχαίρων εἰς δύο, ἐχθρὸς δημιουργίας Θεοῦ καὶ προνοίας τῆς ἐκείνου ἀντίπαλος· ὡσαύτως ὁ κατέχων τὴν παραφθαρεῖσαν, φύσεως δεσμοῦ παράνομος, ἐπείπερ ὁ κατέχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής. ἀπόπεμε γὰρ αὐτὴν φησὶν ἀπὸ τῶν σαρκῶν σου· ἡ γάρ ἐστι βοηθός, ἀλλ' ἐπίβουλος πρὸς ἄλλαν ἀποκλίνασα τὴν διάνοιαν· μήτε δὲ πιστεύεσθαι τὴν σάρκα· ἀρκεῖσθαι δὲ πίστεσι τὴν τῆς καρδίας πιστομὴν ἐν πνεύματι· πιστωθήτω γάρ φησι, τῷ Θεῷ ὑμῶν, καὶ φοβεῖσθαι τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν.

* Excluso hoc Iacobo videtur Ἰωάννης υἱὸς Ζεβεδαίου.

Ὅτι

Ὅτι ὅτε ἀναβαπτίζειν χρὴ, ὅτε μὴ παραδέχεσθαι τὸ παρὰ τῶν ἀσεβῶν βάπτισμα δοθὲν, ὃ οὐκ ἔστι βάπτισμα, ἀλλὰ μόλυσμα.

ΚΕΦΑΛ. ιέ.

Ὁ Μοίως καὶ βαπτίσματι σὺν ἀρκεῖσθαι μόνῳ τῷ εἰς τὸν τοῦ κυρίου θάνατον δεδομένῳ, ἀλλ' οὐ τῷ παρὰ τῶν δυσωνύμων αἱρετικῶν, ἀλλὰ τῷ παρὰ τῶν ἀμέμπτων ἱερέων δεδομένῳ εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· μήτε δὲ τὸ παρὰ τῶν ἀσεβῶν δεκτὸν ὑμῖν ἔσω· μήτε τὸ παρὰ τῶν ὁσίων ἀχυρέσθω διὰ δεύτερα· ὡς γὰρ εἷς ὁ Θεὸς, εἷς ὁ Χριστὸς, καὶ εἷς ὁ παράκλητος, εἷς δὲ καὶ ὁ τοῦ κυρίου σὺν σώματι θάνατος, οὕτως σὺν ἔσω καὶ τὸ εἰς αὐτὸν διδόμενον βάπτισμα· οἱ δὲ παρὰ ἀσεβῶν δεχόμενοι μόλυσμα κοινωνοὶ τῆς γνώμης αὐτῶν γενήσονται· οὐ γάρ εἰσιν ἐκεῖνοι ἱερεῖς· λέγει γὰρ πρὸς αὐτοὺς ὁ Θεός· ἐπεὶ καὶ σὺ ἀπώσω γνῶσιν· ἀπώσομαί σε ἀρνοῦμαί σοι τοῦ ἱερατεύειν μοι· ὅτε μὴ οἱ βαπτισθέντες ὑπ' αὐτῶν μεμύλωται, ἀλλὰ μεμολυσμένοι ὑπάρχουσιν, οὐκ ἄφεσιν ἁμαρτιῶν λαμβάνοντες, ἀλλὰ δεσμὸν ἀσεβείας· οὐ μὴν δὲ, ἀλλὰ καὶ τοὺς μεμυημένους ἐκ δευτέρου βαπτίζειν πειρώμενοι ἀναιροῦσι τὸν κύριον· ἀναιροῦσιν αὐτὸν ἐκ δευτέρου· γελῶσι τὰ θεῖα· μυκτηρίζουσι τὰ ἅγια· ὑβρίζουσι τὸ πνεῦμα· τὸ αἷμα τὸ ἅγιον ὡς κοινὸν ἀτιμάζουσιν· ἀσεβοῦσιν εἰς τὸν ἀποστείλαντα· εἰς τὸν παθόντα· εἰς τὸν μαρτυρήσαντα· ἀλλὰ καὶ ὁ ἐκ καταφρονήσεως μὴ βουλόμενος βαπτισθῆναι, ὡς ἄπιστος· κατακεκριθήσεται, καὶ ὀνειδισθήσεται ὡς ἀχάριστος καὶ ἀγνώμων· λέγει γὰρ ὁ κύριος· ἐὰν μή τις * βαπτισθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ πάλιν, ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακεκριθήσεται· ὁ δὲ λέγων, ὅτι ὅταν τελευτῶ, βαπτίζομαι, ἵνα μὴ ἁμαρτήσω καὶ ῥυπαίνω τὸ βάπτισμα, ὅστος ἄγνοιαν ἔχει Θεοῦ καὶ τῆς ἑαυτοῦ φύσεως ἐπιλήσμων τυγχάνει· μὴ ἀναβάλλου γὰρ ἐπιστρέψαι πρὸς κύριον· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα· βαπτίζεσθε δὲ ὑμῶν καὶ τὰ νήπια· καὶ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Θεοῦ· ἄφετε γάρ φησι, τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά.

* γενηθῇ in evangelio habetur, quod eodem recidit.

Περὶ τῶν ψευδεπιγράφων βιβλίων.

ΚΕΦΑΛ. ιϛ'.

Ταῦτα πάντα ἐπεστείλαμεν ὑμῖν, ἵνα εἰδέναι ἔχοιτε τὴν ἡμετέραν γνώμην, οἵά τίς ἐστί· καὶ τὰ ἐπ' ὀνόματι ἡμῶν παρὰ τῶν ἀσεβῶν κρατοῦντα βιβλία μὴ παραδέχεσθαι· οὐ γὰρ τοῖς ὀνόμασι χρὴ ὑμᾶς προσέχειν τῶν ἀποστόλων, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων, καὶ τῇ γνώμῃ τῇ ἀληθοφόρῳ· οἴδαμεν γὰρ ὅτι οἱ περὶ Σίμωνα καὶ Κλεόβιον ἰῶδη συντάξαντες βιβλία ἐπ' ὀνόματι Χριστοῦ καὶ τῶν μαθητῶν αὐτοῦ, περιφέρουσιν εἰς ἀπάτην ὑμῶν τῶν πεφιλημένων Χριστὸν καὶ ἡμᾶς τοὺς αὐτοῦ δούλους· καὶ ἐν τοῖς παλαιοῖς δέ τινες συνεγράψαν βιβλία ἀπόκρυφα Μωσέως, καὶ Ἐνὼχ, καὶ Ἀδὰμ, Ἡσαΐου τε καὶ Δαβὶδ, καὶ Ἠλίου, καὶ τῶν τοιούτων πατριαρχῶν, φθοροποιὰ καὶ τῆς ἀληθείας ἐχθρά· ποιαῦτα καὶ νῦν ἐποίησαν οἱ δυσώνυμοι διαβάλλοντες δημιουργίαν· γάμον· προόνοιαν· τεκνογονίαν· νόμον· προφήτας· βάρβαρά τινα ὀνόματα ἐγγράφοντες, καὶ ὡς αὐτοί φασιν, ἀγγέλων· τὸ δ' ἀληθὲς εἰπεῖν δαιμόνων τῶν αὐτοῖς ὑπηχόντων· ὧν ἀποφεύγετε τὴν διδασκαλίαν. ἵνα μὴ μεταίχητε τῆς τιμωρίας τῶν αὐτὰ συγγραψαμένων ἐπ' ἀπάτῃ καὶ ἀπωλείᾳ τῶν πιστῶν καὶ ἀμέμπτων τοῦ κυρίου Ἰησοῦ μαθητῶν.

Περὶ κληρικῶν γαμικὰ παραγγέλματα.

ΚΕΦΑΛ. ιζ'.

Ἐπίσκοπον καὶ πρεσβύτερον καὶ διάκονον ἐπομένους μονογάμους καθίσασθαι, κἂν ζῶσιν αὐτῶν αἱ γαμεταὶ, κἂν τεθνᾶσι· μὴ ἐξεῖναι δὲ αὐτοῖς μηδὲ χειροτονίαν ἀγάμοις οὖσιν ἔτι ἐπὶ γάμον ἔρχεσθαι· ἢ γεγαμηκόσιν, ἑτέραις συμπλέκεσθαι, ἀλλ' ἀρκεῖσθαι, * ἢ ἔχοντες ἦλθον ἐπὶ τὴν χειροτονίαν· ὑπηρέτας δὲ καὶ ψαλτῳδοὺς καὶ ἀναγνώστας καὶ πυλωροὺς καὶ αὐτοὺς μονογάμους εἶναι κελεύομεν· εἰ δὲ πρὸ γάμου εἰς κλῆρον παρέλθωσιν, ἐπιτρέπομεν αὐτοῖς γαμεῖν, εἴγε πρὸς τοῦτο προαίρεσιν ἔχουσιν, ἵνα μὴ ἁμαρτήσαντες κολάσεως τύχωσιν· οὐδενὶ δὲ τῶν ἐν τῷ κλήρῳ κελεύομεν ἢ ἑταίραν, ἢ οἰκέτην, ἢ χήραν, καὶ ἐκβεβλημένῳ λαμβάνειν, ὡς καὶ ὁ νόμος λέγει· διακόνισσα δὲ γινέσθω παρθένος ἁγνή· εἰ δὲ μήγε, κἂν χήρα μονόγαμος, πιστὴ καὶ τιμία.

* vide Ἐπίσκοπον.

Παραίνεσις κελεύουσα φεύγειν τὴν τῶν ἀσεβῶν αἱρετικῶν κοινωνίαν.

ΚΕΦΑΛ. ιή.

Τοὺς δὲ μετανοοῦντας προσδέχεσθε· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ· τοὺς κατηχουμένους σοιχειώσαντες βαπτίσατε· τοὺς ἀθέους αἱρεσιώτας ἀμετανοήτως ἔχοντας διασείλαντες, ἀφορίσατε ἀπὸ τῶν πιστῶν, καὶ τῆς ἐκκλησίας τοῦ Θεοῦ ἐκκυρύκτους ποιήσατε· καὶ παραγγείλατε τοῖς πιστοῖς παντοίως αὐτῶν ἀπέχεσθαι· καὶ μήτε λόγοις, μήτε προσευχαῖς κοινωνεῖν αὐτοῖς. ὅτοι γάρ εἰσιν ἀντίδικοι καὶ ἐπίβουλοι τῆς ἐκκλησίας οἱ διαφθείροντες τὸ ποίμνιον, καὶ μολυνοντες τὴν κληρονομίαν· οἱ δοξόσοφοι, καὶ πανπόνηροι· περὶ ὧν ἔλεγε Σολομὼν ὁ σοφὸς, ὅτι δυσσεβοῦντες ὑποκείνονται ἀσεβεῖν· ἔστι γάρ φησιν, ὁδὸς ἣ δοκεῖ τισιν ὀρθὴ εἶναι, τὰ δὲ τελευταῖα αὐτῆς βλέπει εἰς πυθμένα ᾅδου· ὅτοι εἰσὶ περὶ ὧν ὁ κύριος πικρῶς καὶ ἀποτόμως ἀπεφήνατο λέγων, ὅτι εἰσὶ ψευδόχριστοι καὶ ψευδοδιδάσκαλοι, οἱ βλασφημήσαντες τὸ πνεῦμα τῆς χάριτος καὶ ἀποπτύσαντες τὴν παράταν δωρεὰν μὴ τὴν χάριν· οἷς οὐκ ἀφεθήσεται ἔτι ἐν τῷ αἰῶνι τούτῳ οὔτε ἐν τῷ μέλλοντι· οἱ καὶ Ἰουδαίων δυσσεβέστεροι· καὶ ἑλλήνων ἀθεώτεροι· οἱ Θεὸν μὲν εἰπὶ πάν-

πάντων βλασφημοῦντες· ἐς τὸν υἱὸν αὐτοῦ καταπατοῦντες· καὶ τὴν διδασκαλίαν τοῦ πνεύματος διαπτύοντες· οἱ τοὺς θείους λόγους ἀρνούμενοι, ἢ μεθ' ὑποκρίσεως προσποιούμενοι δέχεσθαι ἐφ' ὕβρει Θεοῦ καὶ ἀπάτῃ τῶν αὐτοῖς προσιόντων· οἱ τὰς ἱερὰς γραφὰς ἐνυβρίζοντες, ἐς τὴν δικαιοσύνην ὅτι ποτέ ἐστιν ἀγνοοῦντες· οἱ τὴν ἐκκλησίαν Θεοῦ διαφθείροντες, ὡς ἀλώπεκες μικροὶ ἀμπελῶνα· οὓς φεύγειν ὑμᾶς παρακαλοῦμεν, ἵνα μὴ λάβητε βρόχους ταῖς ἑαυτῶν ψυχαῖς· ὁ συμπορευόμενος μὲν σοφοῖς, σοφὸς ἔσται ὁ δὲ συμποπορευόμενος ἄφροσι, γνωσθήσεται· οὔτε γὰρ κλέπτῃ δεῖ συντρέχειν· οὐδὲ μετὰ μοιχοῦ τὴν μερίδα τίθεσθαι· ἐπείπερ καὶ ὁ ὅσιός φησι Δαβίδ· κύριε τοὺς μισοῦντάς σε ἐμίσησα· καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην· τέλειον μῖσος ἐμίσουν αὐτούς· εἰς ἐχθροὺς ἐγένοντό μοι· καὶ τῷ Ἰωσαφὰτ ὁ Θεὸς ὀνειδίζει διὰ τὴν πρὸς Ἀχαὰβ φιλίαν καὶ συμμαχείαν καὶ τὴν πρὸς Ὀχοζίαν, λέγων διὰ Ἰωνᾶ τοῦ προφήτου· εἰ ἁμαρτωλῷ σὺ φιλιάζει, ἢ μισουμένῳ ὑπὸ κυρίου βοηθεῖς· διὰ τοῦτο ἐξαίφνης ὀργὴ κυρίου ἐγένετο ἐπί σέ, εἰ μὴ ὅτι εὑρέθη ἡ καρδία σου τελεία πρὸς κύριον· διὰ τοῦτο ἐφείσατό σου κύριος, πλὴν ὅτι διεκόπη τὰ ἔργα σου καὶ συνετρίβησαν αἱ νῆές σου· φεύγετε οὖν τῆς κοινωνίας αὐτῶν καὶ τῆς πρὸς αὐτοὺς εἰρήνης ἀλλότριοι τυγχάνετε· περὶ αὐτῶν γὰρ ὁ προφήτης ἀπεφήνατο λέγων· ὅτι οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσι, λέγει κύριος· οὗτοι γάρ εἰσιν οἱ κρύφιοι λύκοι· οἱ ἐννεοὶ κύνες· οἱ οὐ δυνάμενοι ὑλακτεῖν· οἱ νῦν μένεισιν ὀλίγοι, προκόψαντος δὲ τοῦ χρόνου, καὶ τῆς συντελείας ἐγγιζούσης, πλείονες καὶ χαλεπώτεροι ἔσονται· περὶ ὧν ὁ κύριος ἔλεγεν ὅτι ἄρα ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς; καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν· ἐς ἐλεύσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται· καὶ δώσουσι σημεῖα ἐν οὐρανῷ, ὥστε εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτοὺς ἀπατῆσαι· ὧν τῆς ἀπάτης ῥύσεται ἡμᾶς ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν· καὶ γὰρ καὶ ἡμεῖς διερχόμενοι τὰ ἔθνη καὶ ἐπιστηρίζοντες τὰς ἐκκλησίας, τοὺς μὲν ἐν πολλῇ νουθεσίᾳ καὶ λόγῳ ἰατικῷ ὑγιάσαντες, ἐπανηγάγομεν μέλλοντας ὅσον οὐδέπω θνήσκειν ἀπάτῃ· τοὺς δὲ ἀνιάτως ἔχοντας ἐξεβάλομεν ἀπὸ τῆς ποίμνης, ἵνα μὴ ψωραλέας νόσου μεταδῶσι καὶ τοῖς ὑγιαίνουσιν ἀρνίοις ἀλλὰ καθαρὰ καὶ ἄχραντα, ὑγιᾶ καὶ ἄσπιλα διαμείνῃ κυρίῳ τῷ Θεῷ. καὶ ταῦτα κατὰ πόλιν πανταχοῦ εἰς ὅλην τὴν οἰκουμένην τοῦ κόσμου πεποιήκαμεν, καταλιπόντες ὑμῖν τοῖς ἐπισκόποις καὶ λοιποῖς ἱερεῦσι τήνδε τὴν καθολικὴν διδασκαλίαν ἀξίως καὶ δικαίως εἰς μνημόσυνον ἐπιστηριγμοῦ τοῖς πεπιστευκόσι Θεῷ, διαπεμψάμενοι διὰ τοῦ συλλειτουργοῦ ἡμῶν Κλήμεντος τοῦ πιστοτάτου καὶ ὁμοψύχου τέκνου ἡμῶν ἐν κυρίῳ, ἅμα καὶ Βαρνάβᾳ καὶ Τιμοθέῳ τῷ ποθεινοτάτῳ υἱῷ, καὶ Μάρκῳ τῷ γνησίῳ, σὺν οἷς καὶ Τίτον ὑμῖν γνωρίζομεν, καὶ Λουκᾶν, Ἰάσονά τε, καὶ Λούκιον, καὶ Σωσίπατρον· δι' ὧν καὶ παρακαλοῦμεν ὑμᾶς ἐν κυρίῳ ἀπέχεσθαι παλαιᾶς συνηθείας· δεσμῶν ματαίων· ὀφορισμῶν· παρατηρήσεων· βρωμάτων· διορισμοῦ· βαπτισμάτων καθημερινῶν· τὰ ἀρχαῖα γὰρ παρῆλθεν· ἰδοὺ γέγονε καινὰ τὰ πάντα.

Πρὸς φαυλίζοντας τὸν νόμον.

ΚΕΦΑ'Λ. ιθ'.

ΓΝόντες γὰρ Θεὸν διὰ Ἰησοῦ Χριστοῦ καὶ τὴν σύμπασαν αὐτοῦ οἰκονομίαν ἀρχῆθεν γεγενημένην, ὅτι δέδωκεν νόμον ἁπλοῦν εἰς βοήθειαν τοῦ φυσικοῦ· καθαρόν· σωτήριον· ἅγιον· ἐν ᾧ καὶ τὸ ἴδιον ὄνομα ἐγκατέθετο· τέλειον· ἀνελλειπῆ· δέκα λογίων πλήρη· ἄμωμον· ἐπιστρέφοντα ψυχάς· οὗπερ καὶ ἐπιλαθομένους Ἑβραίους ὑπομιμνήσκει διὰ Μαλαχίου τοῦ προφήτου λέγων· μνήσθητε νόμου Μωσῆ ἀνθρώπου τοῦ Θεοῦ, ὃς ἐνετείλατο ὑμῖν προστάγματα καὶ δικαιώματα· ὃς τοσοῦτόν ἐστιν ἅγιος καὶ δίκαιος, ὡς καὶ τὸν σωτῆρα ποτὲ θεραπεύσαντα λεπρὸν ἕνα, καὶ πάλιν ἐννέα, εἰπεῖν τῷ πρώτῳ· πορευθεὶς δεῖξον σεαυτὸν τῷ ἀρχιερεῖ· καὶ προσένεγκε τὸ δῶρον ὃ προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς· τοῖς δὲ ἐννέα πάλιν· πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσιν· οὐ γάρ που κατέλυσε τὸν νόμον ὡς Σίμων δοξάζει, ἀλλ' ἐπλήρωσε· λέγει γάρ, ἰῶτα ἕν, ἢ μία κεραία, οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται· οὐ γὰρ ἦλθον, φησὶ, καταλύσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι· καὶ γὰρ καὶ Μωσῆς νομοθέτης ὁμοῦ καὶ ἀρχιερεὺς καὶ προφήτης καὶ βασιλεὺς, καὶ Ἠλίας ὁ ζηλωτὴς τῶν προφητῶν ἐν τῇ μεταμορφώσει τοῦ κυρίου ἐν τῷ ὄρει μάρτυρες αὐτοῦ τῆς ἐνανθρωπήσεως, καὶ τῶν παθημάτων, ὡς φίλοι Χριστοῦ καὶ οἰκεῖοι· ἀλλ' οὐχ ὡς ἐχθροὶ ἢ ἀλλότριοι· ἐξ ὧν δείκνυται ὅτι καὶ ὁ νόμος καλὸς καὶ ἅγιος, καὶ οἱ προφῆται.

Τίς ὁ φυσικὸς νόμος καὶ τίς ὁ ἐπείσακτος, καὶ δι' ἣν αἰτίαν ἐπεισήχθη.

ΚΕΦΑ'Λ. κ'.

ΝΟ'μος δέ ἐστιν ἡ δεκάλογος, ἣν πρὸ τοῦ τὸν λαὸν μοχοποιῆσαι τὸν παρ' Αἰγυπτίοις Ἄπιν, Θεὸς αὐτοῖς ἐνομοθέτησεν ἀκουστῇ φωνῇ· οὗτος δὲ δίκαιός ἐστι, διὸ καὶ νόμος λέγεται, διὰ τὸ φύσει δικαίως τὰς κρίσεις ποιεῖσθαι· ὃν οἱ περὶ Σίμωνα φαυλίζουσιν, οἰόμενοι μὴ κριθέντες ὑπ' αὐτοῦ, τὴν κόλασιν ἐκφεύγειν· οὗτος ὁ νόμος ἀγαθὸς, ὅσιος· ἀκατανάγκαστος· φησὶ γὰρ, ἐὰν δὲ ποιήσῃς μοι θυσιαστήριον, ἐκ γῆς ποιήσεις μοι αὐτό· οὐκ εἶπε, ποίησον, ἀλλ' ἐὰν ποιήσῃς· οὐκ ἀνάγκην περιέθηκεν, ἀλλὰ τῇ ἐξουσίᾳ ἐπέτρεψεν ἅτε ἐλευθέρᾳ· οὐ γὰρ θυσιῶν δέεται Θεὸς, ἀνενδεὴς ὑπάρχων τῇ φύσει· ἀλλὰ γινώσκων, καθάπερ καὶ ἤδη πρότερον τὸν φιλόθεον Ἄβελ καὶ Νῶε καὶ Ἀβραὰμ καὶ τοὺς καθεξῆς οὐκ αἰτηθέντας, φυσικῷ δὲ νόμῳ κινηθέντας ἀφ' ἑαυτῶν, προσενέγκαι θυσίαν Θεῷ ἀπὸ γνώμης εὐχαρίστου, ἐπιτρέπει καὶ νῦν Ἑβραίοις, οὐ προστάσσων, ἀλλ' εἰ βουληθῶσι, συγχωρῶν, καὶ εἰ ἀπὸ ὀρθῆς προσοίσωσι γνώμης, εὐδοκῶν ἐπὶ ταῖς θυσίαις αὐτῶν· διὰ τοῦτο, φησὶν, εἰ θύειν ἐπι-

ἐπιθυμεῖς, οὐ δεομένῳ μοι θύε, οὐδενὸς γὰρ ἐν χρείᾳ καθέστηκα· ἐμὴ γὰρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς· ὁπότε δὲ οἱ τοῦ λαοῦ τούτου ἀμνήμονες ὑπῆρξαν, καὶ μόσχον ἀντὶ Θεοῦ Θεὸν ἐπεκαλέσαντο, καὶ τούτῳ τὴν αἰτίαν τῆς ἐξ Αἰγύπτου πορείας ἐπέγραψαν λέγοντες· οὗτοι οἱ Θεοί σου Ἰσραὴλ οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου· καὶ δυσσεβήσαντες εἰς ὁμοίωμα μόσχου ἐσθίοντος χόρτον, ἀπηρνήσαντο Θεὸν τὸν διὰ Μωσέως ἐπισκεψάμενον αὐτοὺς ἐν τῇ θλίψει αὐτῶν, τὸν τὰ σημεῖα ἐπὶ χειρὸς καὶ ῥάβδου ποιησάμενον· καὶ τοὺς Αἰγυπτίους δεκαπλήγῳ πατάξαντα· τὸν τὴν ἐρυθρὰν διελόντα θάλασσαν εἰς διαιρέσεις ὑδάτων· τὸν διαγαγόντα αὐτοὺς ἐν μέσῳ ὕδατος ὡς ἵππον ἐν πεδίῳ· τὸν τοὺς ἐχθροὺς αὐτῶν καὶ ἐπιβούλους βυθίσαντα· τὸν εἰς Μερρὰν τὴν πικρὰν πηγὴν γλυκάναντα· τὸν ἐκ πέτρας ἀκροτόμου καταγαγόντα ὕδωρ εἰς πλησμονήν· τὸν στύλῳ νεφέλης καὶ στύλῳ πυρὸς σκιάζοντα αὐτοῖς διὰ θάλπος ἄμετρον, καὶ φωτίζοντα, καὶ ὁδηγοῦντα τοὺς οὐκ εἰδότας ὅπου πορευθῶσι· τὸν ἐξ οὐρανοῦ μαννοδοτήσαντα αὐτοῖς καὶ ἐκ θαλάσσης κρεωδοτήσαντα ὀρτυγομήτραν· τὸν ἐν τῷ ὄρει νομοθετήσαντα αὐτοῖς· οὗ τῆς φωνῆς ἠξιώθησαν, τοῦτον ἀπηρνήσαντο εἰπόντες τῷ Ἀαρὼν, ποίησον ἡμῖν Θεοὺς, οἳ προπορεύσονται ἡμῶν, καὶ ἐμοσχοποίησαν χωνευτὸν, καὶ ἔθυσαν τῷ εἰδώλῳ· τότε ὀργισθεὶς ὁ Θεὸς ἅτε ἀχαριστηθεὶς ὑπ' αὐτῶν, ἔδησεν αὐτοὺς δεσμοῖς ἀλύτοις, στιβώσει φορτισμοῦ· καὶ σκληρότητι κλοιοῦ· καὶ οὐκέτι, ἐὰν δὲ ποιῇς, ἀλλὰ ποίησον θυσιαστήριον καὶ θύε διηνεκῶς, ἐπιλήσμων γὰρ τυγχάνεις καὶ ἀχάριστος· ὁλοκαύτει οὖν συνεχῶς, ἵν' ὑπομιμνήσκῃς μου· ἐπειδὴ γὰρ τῇ ἐξουσίᾳ κακῶς ἀπεχρήσω, ἀνάγκην ἐπιτίθημί σοι λοιπὸν, καὶ βρωμάτων ἀφιστῶ τοιῶνδε· καὶ ζώων σοι διαφορὰς καθαρῶν καὶ ἀκαθάρτων διαστέλλομαι· καί τοι παντὸς ζώου καλοῦ τυγχάνοντος, ἅτε ὑπ' ἐμοῦ γενομένου· καὶ ἀφορισμοὺς τοιούσδε σοι προστάσσω, καθαρισμοὺς, συνεχῆ βαπτίσματα· ῥαντισμοὺς· ἁγνείας τοιάσδε· ἀργίας διαφόρους· καὶ τούτων ἐφ' ἑκάστῳ ἐὰν παρακούσῃς, τιμωρίαν ὁρίζω, ὡς ἔοικε, τῷ ἀπειθεῖ· ὅπως πιεζόμενος καὶ ὑπὸ τοῦ κλοιοῦ ἀγχόμενος, τῆς πολυθέου πλάνης ἐκστῇς· καὶ παρεὶς τὸ, οὗτοι οἱ θεοί σου Ἰσραὴλ, ὑπομνησθῇς, τὸ, ἄκουε Ἰσραὴλ κύριος ὁ Θεός σου, κύριος εἷς ἐστι· καὶ ἀναδράμῃς ἐπ' ἐκεῖνον τὸν νόμον τὸν ὑπ' ἐμοῦ τῇ φύσει καταβληθέντα τοῖς πᾶσιν ἀνθρώποις· ἕνα μόνον ὑπάρχειν Θεὸν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· καὶ τοῦτον ἀγαπᾷν ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ ἐξ ὅλης τῆς διανοίας· καὶ πλὴν αὐτοῦ μὴ φοβεῖσθαι ἄλλον· μήτε ὄνομα Θεῶν ἑτέρων ἐπὶ διανοίας λαμβάνειν, μήτε προφέρειν γλώσσῃ διὰ στόματος· διὰ τὴν σκληροκαρδίαν αὐτῶν ἐπέδησεν αὐτοὺς, ἵνα διὰ τοῦ θύειν, καὶ ἀργεῖν, καὶ ἁγνίζεσθαι, καὶ τὰ τοιάδε παρατηρεῖσθαι, εἰς ἔννοιαν ἔλθωσι τοῦ Θεοῦ τοῦ ταῦτα διαταξαμένου αὐτοῖς.

Ὅτι ὑπὸ χάριν ἐσμὲν, ἀλλ' οὐχ ὑπὸ δουλείαν τοῦ ἐπεισάκτου νόμου οἱ εἰς Χριστὸν πιστεύοντες.

ΚΕΦΑΛ. κά.

Ὑμῶν δὲ τῶν πιστευσάντων εἰς τὸν ἕνα Θεὸν οὐκ ἀπὸ ἀνάγκης, ἀλλὰ ἀπὸ γνώμης ὑγιοῦς, ὑπακουσάντων τῷ καλέσαντι, μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσι· καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούουσιν· ἀνείθητε γὰρ τῶν δεσμῶν, καὶ ἠλευθερώθητε δουλείας· οὐκέτι γάρ φησιν, λέγω ὑμᾶς δούλους, ἀλλὰ φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν· ἐκείνοις γὰρ μὴ θελήσασιν ἰδεῖν, μήτε ἀκοῦσαι, οὐ στερήσει μορίων, ἀλλὰ κακίας ὑπερβολῇ, ἔδωκα προστάγματα οὐ καλὰ καὶ δικαιώματα, ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς· οὐ καλὰ δὲ τῷ σκοπῷ αὐτῶν· ἐπειδὴ καὶ οἱ καυτῆρες καὶ τὸ ξίφος καὶ τὰ φάρμακα ἐχθρὰ τοῖς οὐχ ὑγιαίνουσιν, ἀφύλακτα δὲ διὰ τὴν αὐτῶν παρακοήν· ὅθεν καὶ θάνατον αὐτοῖς ἐπάγει μὴ φυλασσόμενα.

Ὅτι ἐπείσακτος ὁ ἐπὶ θυσιῶν νόμος, ὃν περιεῖλε Χριστὸς παραγενόμενος.

ΚΕΦΑΛ. κβ'.

Ὑμεῖς οὖν μακάριοι οἱ λυθέντες τῆς κατάρας· Χριστὸς γὰρ παραγενόμενος ὁ τοῦ Θεοῦ υἱὸς, τὸν νόμον κυρώσας ἐπλήρωσε· τὰ ἐπείσακτα περιεῖλεν, εἰ καὶ μὴ πάντα, ἀλλά γε τὰ βαρύτερα, τὸν μὲν βεβαιώσας, τὰ δὲ παύσας· καὶ τὸ αὐτεξούσιον τῶν ἀνθρώπων πάλιν ἀφῆκεν ἐλεύθερον, οὐ προσκαίρῳ θανάτῳ δικάζων, ἀλλ' ἐν ἑτέρᾳ καταστάσει λογοθετῶν αὐτό· διὸ λέγει εἴτις θέλῃ ὀπίσω μου ἐλθεῖν, ἐρχέσθω· καὶ πάλιν· μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; ἤδη δὲ καὶ πρὸ τῆς παρουσίας αὐτοῦ παρῃτεῖτο τὰς τοῦ λαοῦ θυσίας, πολλάκις εἰς αὐτὸν ἐξ ἁμαρτῶντος καὶ οἰομένου διὰ θυσιῶν ἀλλ' οὐ διὰ μετανοίας αὐτὸν ἐξευμενίζεσθαι· λέγει γὰρ οὕτως· ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρεις· καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλοκαυτώματα ὑμῶν οὐκ ἔστι δεκτὰ, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν μοι· καὶ ἑξῆς, τὰ ὁλοκαυτώματα ὑμῶν συναγάγετε μετὰ τῶν θυσιῶν ὑμῶν, καὶ φάγετε κρέα· ὅτι οὐκ ἐνετειλάμην ὑμῖν, ἡνίκα ἐξήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου, περὶ ὁλοκαυτωμάτων καὶ θυσιῶν· καὶ διὰ Ἡσαΐου λέγει· τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ κριῶν, καὶ αἷμα ταύρων, καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν· πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε ἔτι ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον θυμίαμα βδέλυγμά μοί ἐστι· τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα ὑμῶν καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ μοι εἰς πλησμονήν· καὶ δι' ἑτέρου λέγει· ἀπόστησον ἀπ' ἐμοῦ· ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι·

καὶ τῷ

καὶ τῷ Σαοὺλ ὁ Σαμουὴλ λέγει θῦσαι νενομικότι, ἀγαθὴ ἀκοὴ ὑπὲρ θυσίαν· καὶ ἀκρόαμα, ὑπὲρ στέαρ κριῶν· ἰδοὺ γὰρ οὐ θέλει κύριος θυσίαν ὡς τὸ εἰσακέειν αὐτοῦ· καὶ διὰ τοῦ Δαβὶδ λέγει· οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόχους· οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους· ἐὰν πεινάσω, οὐ μή σοι εἴπω, ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς· μὴ φάγομαι κρέα ταύρων ἢ αἷμα τράγων πίομαι; θύσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου· καὶ ἐν πάσαις δὲ ταῖς γραφαῖς ὁμοίως αὐτῶν τὰς θυσίας ἀπαναίνεται διὰ τὸ ἐξαμαρτεῖν αὐτοὺς εἰς αὐτόν· θυσίαι γὰρ ἀσεβῶν βδέλυγμα παρὰ κυρίῳ· καὶ γὰρ παρανόμως προσφέρουσι αὐτάς· καὶ πάλιν, αἱ θυσίαι αὐτῶν ὡς ἄρτος πένθους αὐτοῖς, πάντες οἱ ἐσθίοντες αὐτὰς μολυνθήσονται· εἰ οὖν καὶ πρὸ τῆς παρουσίας αὐτοῦ ὑπὲρ θυσίας καρδίαν καθαρὰν ἐπεζήτει, καὶ πνεῦμα συντετριμμένον, πολλῷ μᾶλλον ἐλθὼν ἔπαυσε ταύτας· φαμὲν τὰς δι' αἱμάτων· ἔπαυσε δὲ αὐτὰς διὰ τοῦ πρότερον πληρῶσαι· καὶ γὰρ περιετμήθη. καὶ ἐρραντίσθη· θυσίας τε προσηνέγκε καὶ ὁλοκαυτώσεις· καὶ τοῖς ἄλλοις ἐθισμοῖς ἐχρήσατο· καὶ ἐγένετο ὁ νομοθέτης αὐτὸς πλήρωμα τοῦ νόμου, οὐκ ἀνελὼν τὸν φυσικὸν νόμον. ἀλλὰ παύσας τὰ διὰ τῆς δευτερώσεως ἐπείσακτα, εἰ καὶ μὴ πάντα.

Πῶς πληρωτὴς τοῦ νόμου γέγονεν ὁ Χριστὸς, καὶ τίνα τούτου ἔπαυσεν· ἢ ἐνήλλαξεν· ἢ μετέθηκεν.

ΚΕΦΑΛ. κγ'.

Τόν τε γὰρ φυσικὸν νόμον οὐκ ἀνεῖλεν, ἀλλ' ἐβεβαίωσεν· ὁ γὰρ εἰρηκὼς ἐν τῷ νόμῳ, κύριος ὁ Θεός σου, κύριος εἷς ἐστιν, ὁ αὐτὸς ἐν τῷ εὐαγγελίῳ λέγει· ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν· καὶ ὁ εἰρηκὼς, ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν, ἐν τῷ εὐαγγελίῳ λέγει ἀνανεούμενος, ἐντολὴν καινὴν δίδωμι ὑμῖν. ἵνα ἀγαπᾶτε ἀλλήλους· ὁ φόνον τότε ἀπαγορεύσας, νῦν εἰκαίαν ὀργήν· ὁ μοιχείαν, νῦν καὶ ἐπιθυμίαν ἔκνομον· ὁ λῃστείαν, νῦν ἐμακάρισε μᾶλλον τὸν ἐξ οἰκείων πόνων ἐπιχορηγοῦντα τοῖς δεομένοις· ὁ μῖσος, νῦν καὶ πρὸς ἐχθροὺς ἀγάπην· ὁ ἄμυναν, νῦν ἀνεξικακίαν. οὐκ ἀδίκου τῆς δικαίας ἀμύνης οὔσης, ἀλλὰ κρείττονος τῆς ἀνεξικακίας· οὔτε δὲ τὰ φυσικὰ πάθη ἐκκόπτειν ἐνομοθέτησεν, ἀλλὰ τὴν τούτων ἀμετρίαν· ὁ γονεῖς προστάξας τιμᾶν, αὐτὸς τούτοις ὑπετάγη· ὁ σαββατίζειν δι' ἀργίας νομοθετήσας διὰ τὴν τῶν νόμων μελέτην, νῦν καθημέραν ἐκέλευσεν ἡμᾶς ἀναλογιζομένους δημιουργίας, καὶ προνοίας νόμον, εὐχαριστεῖν Θεῷ· τὴν περιτομὴν ἔπαυσεν εἰς ἑαυτὸν πληρώσας· αὐτὸς γὰρ ἦν ᾧ ἀπέκειτο ἡ προσδοκία τῶν ἐθνῶν· ὁ εὐορκεῖν νομοθετήσας καὶ τὸ ἐπιορκεῖν ἀπαγορεύσας, τὸ μὴ δ' ὀμνύναι παρήγγειλε· τὸ βάπτισμα· τὴν θυσίαν· τὴν ἱερωσύνην· τὴν τοπικὴν λατρείαν, ἑτέρως μετεποίησεν. ἀντὶ μὲν καθημερινοῦ ἓν μόνον δοὺς βάπτισμα. τὸ εἰς τὸν αὐτοῦ θάνατον· ἀντὶ δὲ μιᾶς φυλῆς, ἀφ' ἑκάστου ἔθνους προστάξας τοὺς ἀρίστους εἰς ἱερωσύνην προχειρίζεσθαι· καὶ οὐ τὰ σώματα μωμοσκοπεῖσθαι, ἀλλὰ θρησκείαν καὶ βίους· ἀντὶ θυσίας τῆς δι' αἱμάτων, λογικὴν καὶ ἀναίμακτον καὶ τὴν μυστικήν· ἥτις εἰς τὸν θάνατον τοῦ κυρίου συμβόλων χάριν ἐπιτελεῖται, τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος· ἀντὶ δὲ τοπικῆς λατρείας, ἀπὸ ἀνατολῶν ἡ λίου καὶ μέχρι δυσμῶν ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ προσέταξε δοξάζεσθαι αὐτόν· καὶ ἐδικαίωσεν· οὐ νόμον οὖν περιεῖλεν ἀφ' ἡμῶν, ἀλλὰ δεσμά· περὶ γὰρ τοῦ νόμου Μωσῆς λέγει· μελετήσεις τὸ ῥῆμα ὃ ἐγώ σοι ἐντέλλομαι καθήμενος ἐν οἴκῳ καὶ ἀνιστάμενος καὶ περιπατῶν ἐν ὁδῷ· καὶ ὁ Δαβὶδ λέγει, ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ· καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός· πανταχοῦ γὰρ ἐννόμους ἡμᾶς εἶναι βούλεται, ἀλλ' οὐχὶ παρανόμους· μακάριοι γάρ φησιν, οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου· μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ ἐν ὅλῃ καρδίᾳ, ἐκζητήσουσιν αὐτόν· καὶ πάλιν· μακάριοί ἐσμεν Ἰσραήλ· ὅτι τὰ ἀρεστὰ τῷ Θεῷ ἡμῖν γνωστά ἐστι· καὶ ὁ κύριος φησιν· εἰ ταῦτα οἴδατε· μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά.

Ὅτι καὶ διὰ Ῥωμαίων εὐδόκησεν ὁ κύριος τὸν τῆς δικαιοσύνης νόμον ἐπιδείκνυσθαι· καὶ ὡς Θεὸς Ἰουδαίους, διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν αἰχμαλώτους ποιησάμενος ὑπὸ φόρον κατέστησεν.

ΚΕΦΑ'Λ. κδ'.

Οὐ μόνον δὲ τὸν τῆς δικαιοσύνης νόμον δι' ἡμῶν ἐπιδείκνυσθαι βούλεται, ἀλλὰ καὶ διὰ Ῥωμαίων εὐδόκησεν αὐτὸν φαίνεσθαι καὶ λάμπειν· καὶ γὰρ καὶ οὗτοι πιστεύσαντες ἐπὶ τὸν κύριον, καὶ πολυθείας ἀπέστησαν καὶ ἀδικίας· καὶ τοὺς ἀγαθοὺς ἀποδέχονται· καὶ τοὺς φαύλους κολάζουσιν· Ἰουδαίους δὲ ὑποφόρους ἔχουσι· καὶ τοῖς ἰδίοις δικαιώμασιν οὐκ ἐῶσι κεχρῆσθαι· ἐπειδὴ καὶ ἑκούσιον ἐπεσπάσαντο τὴν δουλείαν, εἰπόντες, οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα· καὶ ἐὰν μὴ ἀποκτείνωμεν, φησὶ, τὸν Χριστὸν, πάντες εἰς αὐτὸν πιστεύσουσι. καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος· καὶ ἄκοντες προεφήτευσαν· καὶ γὰρ καὶ ἐπίστευσαν εἰς αὐτὸν τὰ ἔθνη· καὶ αὐτοὶ ὑπὸ Ῥωμαίων τῆς ἐξουσίας περιηρέθησαν, καὶ τῆς νομικῆς λατρείας· κεκωλυμένοι δέ εἰσι, καὶ ἀναιρεῖν οὓς ἂν θέλωσι, καὶ θύειν ὅταν θέλωσι· διὸ δέ εἰσιν ἐπικατάρατοι, μὴ δυνάμενοι ποιεῖν τὰ διατεταγμένα· ἐπικατάρατος γάρ φησιν, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά· ἀδύνατον δέ ἐστιν ἐν διασπορᾷ μεταξὺ ἐθνῶν ὄντας, πάντα τὰ τοῦ νόμου ἐπιτελεῖν αὐτούς· ἀπαγορεύει γὰρ αὐτοῖς ὁ θεῖος Μωσῆς καὶ θυσιαστήριον ἔξω Ἱερουσαλὴμ ἱστᾶν· καὶ τὸν νόμον ἔξω τῶν ὅρων τῆς Ἰουδαίας ἀναγινώσκειν· ἑπόμενοι οὖν ἡμεῖς Χριστῷ, τὰς εὐλογίας κληρονομήσωμεν· νόμῳ καὶ προφήταις διὰ τοῦ εὐαγγελίου στοιχήσωμεν· φύγωμεν τοὺς πολυθέους καὶ τοὺς χριστοκτόνους καὶ τοὺς προφητοφόντας· καὶ τοὺς δυσωνύμους καὶ ἀθέους αἱρεσιώτας· πειθαρχήσωμεν ὡς βασιλεῖ· ὡς ἐξουσίαν

σίαν ἔχοντι μετατιθέναι διατάξεις διαφόρους· καὶ ἔχοντι ὡς νομοθέτη σοφίαν τὸ διατάσσεσθαι διαφόρως, πανταχοῦ τοῖς φυσικῶν ἀμεταθέτων φυλαττομένοις.

Ὅτι χρὴ φεύγειν τοὺς αἱρεσιώτας ὡς ψυχῶν φθορέας.

ΚΕΦΑΛ. κε'.

Ἀπέχεσθε οὖν αἱρεσιωτῶν πάντων ὦ ἐπίσκοποι καὶ λαϊκοί, τῶν φαυλιζόντων τὸν νόμον καὶ τοὺς προφήτας· Θεῷ γὰρ παντοκράτορι ἐχθραίνοντες, ἀπειθοῦσι· καὶ Χριστὸν οὐχ ὁμολογοῦσιν υἱὸν Θεοῦ· ἀρνοῦνται γὰρ καὶ τὸν κατὰ σάρκα αὐτοῦ γόνησιν· τὸν σαυρὸν ἐπαισχύνονται· τὸ πάθος καὶ τὸν θάνατον ἀδοξοῦσι· τοῦ ἀνάστασιν ἀγνοοῦσι· τοῦ προ αἰώνων αὐτοῦ γενέσιν περικόπτουσι· τινὲς δὲ ἐξ αὐτῶν ἑτέρως ἀσεβοῦσι, ψιλὸν ἄνθρωπον φαντάζόμενοι τὸν Χριστὸν ἐκ ψυχῆς καὶ σώματος αὐτὸν εἶναι νομίζοντες· ἕτεροι δὲ ἐξ αὐτῶν, αὐτὸν εἶναι τὸν Ἰησοῦν τὸν ἐπὶ πάντων Θεὸν ὑποπτεύουσιν, αὐτὸν ἑαυτοῦ πατέρα δοξάζοντες· αὐτὸν υἱὸν Ⓒ παράκλητον ὑποπτεύοντες· ὧν τί ἂν εἴη ἀναγέστερον; ἄλλοι δ' αὖ πάλιν ἐξ αὐτῶν βρωματάτινα φαυλίζουσι· καὶ γάμον κακὸν σιῶ παιδοποιΐα λέγουσιν εἶναι, διαβόλου τε μηχάνημα· καὶ διὰ τοῦ πονηρίαν αὐτῶν ἀσεβεῖς ὄντες, ὃ θέλουσιν ἐκ νεκρῶν ἀναστῆσαι· διὸ καὶ τοῦ ἀνάστασιν διαβάλλουσι φάσκοντες· ὅτι σεμνοί τινές ἐσμεν, ἐσθίειν καὶ πίνειν μὴ βουλόμενοι, δαιμόνια δὲ ἄσαρκα φανταζόμενοι ἐκ νεκρῶν ἀναστήσεσθαι· οἵτινες καταδικασθήσονται δι' αἰῶνος ἐν τῷ αἰωνίῳ πυρί· φεύγετε οὖν ἀπ' αὐτῶν, ἵνα μὴ συναπόλησθε ταῖς αὐτῶν ἀσεβείαις.

Περὶ παρατηρημάτων Ἰουδαϊκῶν καὶ Ἑλληνικῶν.

ΚΕΦΑΛ. κς'.

Εἰ' δέ τινες παρατηρούμενοι φυλάσσουσιν ἔθιμα Ἰουδαϊκά, γονορρύας, ὀνειρώξεις πλησιασμοὺς τοὺς κατὰ νόμον, λεγέτωσαν ὑμῖν, εἰ ἐν αἷς ὥραις ἢ ἡμέραις ἔστι τούτων ὑποφαίνωσι, παρατηροῦνται προσδέχεσθαι, ἢ βιβλίοις θίγειν· καὶ ἐὰν σωθῶνται, δῆλον ὡς τοῦ ἁγίου πνεύματος κοινοὶ τυγχάνουσι τοῦ ἀεὶ παραμένοντος τοῖς πιστοῖς· περὶ γὰρ τῶν ὁσίων λέγει ὁ Σολομών, ἵν' ἕκαστος ἑαυτὸν δέξεπίζῃ, ὅπως ὅταν καθεύδῃ, φυλάσσῃ αὐτόν, καὶ ὅταν ἐγείρηται, συλλαλῇ αὐτῷ εἰ γὰρ νομίζεις ὦ γύναι ἑπτὰ ἡμέρας ἐν ἀφέδρῳ ὔσα, τοῦ ἁγίου πνεύματος κοινὴ τυγχάνειν, ἄρα τελευτήσασα ἐξαίφνης, κοινὴ πνεύματος καὶ ἀπαρρησίασος τῆς πρὸς Θεὸν ἐλπίδος ἀπελεύσῃ· ἢ μοὶ τὸ πνεῦμα ἔχεις πάντως ἀχώρισον ὅτε μὴ ἐν τόπῳ ὄν, δεῖ δέ σοι προσευχῆς καὶ τῆς τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσεως, ὡς ὅθεν ἐν τούτῳ παρανομοῦσα· ὅτε γὰρ νόμιμος μίξις· ὅτε λέχος· ὅτε αἵματος φορά· οὐκ ὀνείρωξις μιαίνει δυνατοῦ ἀνθρώπου φύσιν, ἢ τὸ ἅγιον πνεῦμα χωρίσαι, ἢ μόνη ἀσέβεια καὶ παράνομος πρᾶξις· τὸ γὰρ ἅγιον πνεῦμα, τοῖς κεκτημένοις αὐτὸ ἀεὶ παραμένον ἐστὶν, ἕως ἂν ὦσιν ἄξιοι· καὶ ὧν ἂν χωρισθῇ, τούτους ἑαυτοῦ καθίστησι καὶ τῷ πονηρῷ πνεύματι ἐκδότους· πᾶς δὲ ἄνθρωπος, ὁ μὲν τῷ πνεύματι πεπλήρωται τῷ ἁγίῳ, ὁ δὲ τῷ ἀκαθάρτῳ· καὶ οὐκ οἷόν τε φυγεῖν αὐτῶν ἑκάτερον, εἰ μὴ ἐναντίον τι πάθωσιν· ὅτε γὰρ παράκλητος μισεῖ πᾶν ψεῦδος· ὅτε διάβολος πᾶσαν ἀλήθειαν· πᾶς δὲ βεβαπτισμένος κατὰ ἀλήθειαν, τοῦ μὲν διαβολικοῦ πνεύματος κεχώρισται, τοῦ δὲ ἁγίου πνεύματος ἐντὸς καθέστηκε· καὶ ἀγαθοεργοῦντι μοὶ παραμένει τὸ πνεῦμα τὸ ἅγιον, πληροῖ αὐτὸ σοφίας καὶ συνέσεως· καὶ τὸ πονηρὸν πνεῦμα οὐκ ἐᾷ αὐτῷ σαλεύσασθαι, ἐπιτηροῦν αὐτοῦ τὰς ἐφόδους· σὺ οὖν ὦ γύναι καθὼς λέγεις, εἰ ἐν ταῖς ἡμέραις τῆς ἀφέδρου κοινὴ τυγχάνεις τοῦ ἁγίου πνεύματος, τοῦ ἀκαθάρτου πεπλήρωσαι· μὴ προσδεχομένη γὰρ μηδὲ ἀναγινώσκουσα, ἄκοντα αὐτὸν προσκαλέσῃ· φιλεῖ γὰρ ὅπως τοὺς ἀχαρίστους, εἰ καί τις ἄλλος· τοὺς ῥαθύμους· τοὺς ἀμελεῖς· τοὺς ὑπνώδεις· ἐπειδὴ καὶ αὐτὸς ἀχαριστία κακόνοιαν νοσήσας ἐγυμνώθη παρὰ Θεοῦ τῆς ἀξίας, ἀντὶ ἀρχαγγέλου διάβολος αἱρετισάμενος εἶναι· διὸ τῶν ματαίων ἀπόσχου λόγων ὦ γύναι· καὶ ἔσο μεμνημένη πάντοτε Θεοῦ τοῦ σὲ δημιουργήσαντος· καὶ προσδέχου τούτῳ· ἔστι γὰρ σοῦ καὶ τῶν ὅλων κύριος· καὶ μελέτα τοὺς αὐτοῦ νόμους μηδὲν παρατηρουμένη· μὴ κάθαρσιν φυσικὴν· μὴ μίξιν νόμιμον· μὴ τοκετὸν ἢ ἀποβολήν· μὴ μῶμον σώματος· ἐπείπερ τὰ τοιαῦτα παρατηρήματα, μωρῶν ἀνθρώπων ἐφευρέματα μάταια καὶ νοῦν οὐκ ἔχοντα· οὔτε δὲ κῆδος ἀνθρώπου, ἔτε ὀστέου νεκροῦ, οὔτε μνῆμα, οὔτε τοιόνδε βρῶμα, οὔτε ὀνειρωγμὸς μιαίνει δυνατοῦ ἀνθρώπου ψυχήν, ἀλλὰ μόνη ἀσέβεια ἡ εἰς Θεὸν, καὶ παρανομία, καὶ εἰς τὸν πλησίον ἀδικία· λέγω δὴ ἁρπαγή, ἢ βία, ἢ εἴτι ἐναντίον τῆς αὐτοῦ δικαιοσύνης, μοιχεία, ἢ πορνεία· ὅθεν τὰ τοιαῦτα περισάμενοι παρατηρήματα, φεύγετε ἀγαπητοί· Ἑλληνικὰ γὰρ τυγχάνει· οὔτε γὰρ τὸν τεθνεῶτα βδελυσσόμεθα ὡς ἐκεῖνοι· ἐλπίζοντες αὖθις πάλιν ἀναβιῶναι· οὔτε τοῦ νόμιμον μίξιν κακίζομεν, ἔθος γὰρ αὐτοῖς τὰ τοιαῦτα ἀσεβεῖν· Θεοῦ γὰρ γνώμῃ, ἀνδρὸς καὶ γυναικὸς συνέλευσις γίνεται, ἡ μὴ δικαιοσύνης· ὁ ποιήσας γὰρ ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ εὐλόγησεν αὐτοὺς καὶ εἶπεν, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τοῦ γῆν· εἰ τοίνυν Θεοῦ βουλήσει παραλλαγὴ σχημάτων γέγονε πρὸς γένεσιν πλήθους, ἄρα κατὰ τοῦ αὐτοῦ γνώμην, καὶ ἡ σύνελευσις τοῦ ἄῤῥενος πρὸς τὸ θῆλυ.

Περὶ παιδερασίας, μοιχείας τε καὶ πορνείας.

ΚΕΦΑΛ. κζ'.

Οὐ' κέτι δὲ καὶ ἡ παρὰ φύσιν βδελυκτὴ μίξις, ἢ ἡ παράνομος πρᾶξις, ἐχθρὰ γὰρ Θεοῦ ὑπάρχουσα· καὶ γὰρ παρὰ φύσιν ἐστὶν ἡ Σοδόμων ἁμαρτία· καὶ ἡ πρὸς ἄλογα· παράνομον δὲ, μοιχεία καὶ πορνεία· ὧν τὰ μὲν, ἀσεβήματα· τὰ δὲ,

τὰ δὲ, ἀδικία· καὶ τὸ τελευταῖον, ἁμάρτημα· οὐδέτερον δὲ αὐτῶν ἀτιμώρητον κατὰ τὴν οἰκείαν διάθεσιν· οἵτε γὰρ πρῶτοι, διάλυσιν κόσμου μηχανῶνται τὰ κατὰ φύσιν, παρὰ φύσιν ἐπιχειροῦντες ποιεῖν· οἱ δὲ δεύτεροι, οἱ μὲν ἀδικοῦσιν ἀλλοτρίους γάμους φθείροντες, καὶ τὸ ὑπὸ Θεοῦ γενόμενον ἕν, διαιροῦσιν εἰς δύο, τούς τε παῖδας ὑπόπτους, καὶ τὸν φυσικὸν ἄνδρα ἐπιβούλευτον· ἥτε πορνεία, φθορὰ τῆς οἰκείας ἐστὶ σαρκὸς, οὐκ ἐπὶ παιδοποιΐᾳ γινομένη, ἀλλ' ἡδονῇ χαριζομένη τὸ πᾶν· ὅπερ ἐστὶν ἀκρασίας σύμβολον, ἀλλ' οὐκ ἀρετῆς σημεῖον· ἀπηγόρευται δὲ τοῖς νόμοις ἅπαντα ταῦτα· φησὶ γὰρ τὰ λόγια οὕτως· οὐ κοιμηθήσῃ μετὰ ἄρρενος κοίτην γυναικείαν· ἐπικατάρατος γὰρ ὁ τοιοῦτος· καὶ λίθοις λιθοβολήσατε αὐτούς· βδέλυγμα ἐποίησαν· πάντα κοιμώμενον μετὰ κτήνους, ἀποκτείνατε αὐτὸν, ἀνομίαν ἐποίησεν ἐν τῷ λαῷ· καὶ ἐάν τις γυναῖκα ὕπανδρον μιάνῃ, ἀποκτείνατε ἀμφοτέρους· ἀνομίαν ἐποίησαν, ἔνοχοί εἰσιν, ἀποθανέτωσαν· καὶ ἑξῆς, οὐκ ἔσται πορνεύων ἐν υἱοῖς Ἰσραήλ· καὶ οὐκ ἔσται πορνεύουσα ἀπὸ θυγατέρων Ἰσραήλ· οὐ προσοίσεις μίσθωμα πόρνης κυρίῳ τῷ Θεῷ σου ἐπὶ τὸ θυσιαστήριον· οὔτε ἄλλαγμα κυνός· οὐ γὰρ ἁγναὶ, φησὶν, εὐχαὶ ἐκ μισθώματος ἑταίρας· ταῦτα μὲν ἀπηγόρευσαν οἱ νόμοι, τὸν δὲ γάμον ἐσέμνυναν, εὐλογημένον αὐτὸν ἀποκαλέσαντες· ἐπειδὴ καὶ εὐλόγησεν ὁ Θεὸς ὁ συζεύξας τὸ θῆλυ τῷ ἄρρενι· λέγει δέ που καὶ ὁ σοφὸς Σολομὼν, παρὰ κυρίου ἁρμόζεται γυνὴ ἀνδρί· καὶ ὁ Δαβὶδ λέγει, ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλήτεσι τῆς οἰκίας σου· οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου· ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον· οὐκοῦν ὁ γάμος τίμιος καὶ σεμνὸς, καὶ ἡ τῶν παίδων γένεσις καθαρά· οὐδὲν γὰρ κακὸν ἐν καλῷ ὑπάρχει· οὔτε οὖν ἡ φυσικὴ κάθαρσις βδελυκτὴ παρὰ Θεῷ, ὃς αὐτὴν ᾠκονόμησε συμβαίνειν γυναιξὶν ἐν τριακονθημέρῳ συστάσεως χάριν καὶ εὐρωστίας, ἀκινητοτέραις ὑπαρχούσαις, ἅτε ἐν οἰκίᾳ καθημέναις τὸ πλεῖον· οὐ μὴν δὲ, ἀλλὰ καὶ ἐν τῷ εὐαγγελίῳ ὁ κύριος τῆς αἱμορροούσης ἁψαμένης τοῦ σωτηρίου κρασπέδου ὑγείας χάριν οὐκ ἠχθέσθη ἐπ' αὐτῇ, οὔτε μὴν ὅλως ᾐτιάσατο· τοὐναντίον δὲ ἰάσατο αὐτὴν φήσας, ἡ πίστις σου σέσωκέ σε· καὶ φυσικῶν μὲν φαινομένων ταῖς γυναιξὶν, οἱ ἄνδρες μὴ συνερχέσθωσαν προνοίας ἕνεκα τῶν γεννομένων· ἀπεῖπε γὰρ ὁ νόμος· πρὸς γυναῖκα γὰρ φησὶν, ἐν ἀφέδρῳ οὖσαν οὐ προσεγγιεῖ· μήτε μὴν ἐγκυμονούσαις ὁμιλείτωσαν αὐταῖς· οὐκ ἐπὶ παίδων γὰρ γενέσει τοῦτο ποιοῦσιν, ἀλλ' ἡδονῆς χάριν· οὐ δεῖ δὲ φιλήδονον τὸν φιλόθεον ὑπάρχειν.

Ὅπως χρὴ τὰς γυναῖκας ὑποτάσσεσθαι τοῖς ἰδίοις ἀνδράσι καὶ τοὺς ἄνδρας στέργειν τὰς ἑαυτῶν γαμητάς.

ΚΕΦΑ'Λ. κή.

Αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσι· καὶ διὰ τιμῆς αὐτοὺς ἔχετε καὶ φόβῳ καὶ ἀγάπῃ δουλεύετε αὐτοῖς ὡς ἡ ἁγία Σάῤῥα τὸν Ἀβραὰμ ἐτίμα· οὐδὲ ἐξ ὀνόματος αὐτὸν ὑπομένουσα καλεῖν, ἀλλὰ κύριον αὐτὸν προσαγορεύουσα ἐν τῷ λέγειν, ὁ δὲ κύριός μου πρεσβύτης· ὁμοίως οἱ ἄνδρες στέργετε τὰς ἑαυτῶν γυναῖκας ὡς ἴδια μέλη· ὡς κοινωνοὺς βίου, καὶ συνεργοὺς πρὸς γένεσιν παίδων· συνευφραίνου γὰρ φησὶ, μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου· ἔλαφος σῆς φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι· ἡ δὲ ἰδία ἡγείσθω σου, καὶ συνέστω σοι ἐν παντὶ καιρῷ· ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος, πολλοστὸς ἔσῃ· ἀγαπᾶτε οὖν αὐτὰς ὡς οἰκεῖα μέλη· ὡς ὑμέτερα σώματα· γέγραπται γὰρ οὕτω, κύριος διεμαρτύρατο ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον γυναικὸς νεότητός σου· καὶ αὕτη κοινωνός σου, καὶ οὐκ ἄλλος ἐποίησε· καὶ ὑπόλειμμα πνεύματός σου, καὶ φυλάξασθε τῷ πνεύματι ὑμῶν, καὶ γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς· ἀνὴρ οὖν καὶ γυνὴ νομίμῳ γάμῳ συνερχόμενοι καὶ ἀπ' ἀλλήλων ἐγειρόμενοι ἀπαρατηρήτως προσευχέσθωσαν· εἰ μὴ λουσάμενοι καθαροί εἰσιν· ὃς δ' ἂν ἀλλοτρίαν γυναῖκα ὑποφθείρας μιάνῃ, ἢ συμμιανθῇ πόρνῃ, ἀναστὰς ἀπ' αὐτῆς οὐδ' ἂν τὸ πέλαγος ὅλον εἰ τοὺς ποταμοὺς πάντας ἀπολούσηται, καθαρὸς εἶναι δυνήσεται.

Ὅτι ἔθος Ἰουδαίοις τε καὶ Ἕλλησι συμπαρατηρεῖσθαι τὰς φυσικὰς καθάρσεις· καὶ τῶν τεθνεώτων τὰ λείψανα βδελύσσεσθαι, Χριστιανῶν δὲ ἀλλότριον.

ΚΕΦΑ'Λ. κθ'.

Μὴ παρατηρεῖσθε οὖν τὰ ἔννομα καὶ φυσικὰ, νομίζοντες μολύνεσθαι δι' αὐτῶν· μηδὲ ἐπιζητεῖτε Ἰουδαϊκοὺς ἀφορισμοὺς, ἢ συνεχῆ βαπτίσματα· ἢ καθαρισμοὺς ἐπὶ θίξει νεκροῦ· ἀπαρατηρήτως δὲ συναθροίζεσθε ἐν τοῖς κοιμητηρίοις, τὴν ἀνάγνωσιν τῶν ἱερῶν βιβλίων ποιούμενοι καὶ ψάλλοντες ὑπὲρ τῶν κεκοιμημένων μαρτύρων καὶ πάντων τῶν ἀπ' αἰῶνος ἁγίων· καὶ τῶν ἀδελφῶν ὑμῶν τῶν ἐν κυρίῳ κεκοιμημένων· καὶ τὴν ἀντίτυπον τοῦ βασιλείου σώματος Χριστοῦ δεκτὴν εὐχαριστίαν προσφέρετε ἔν τε ταῖς ἐκκλησίαις ὑμῶν καὶ ἐν τοῖς κοιμητηρίοις· καὶ ἐν ταῖς ἐξόδοις τῶν κεκοιμημένων ψάλλοντες προπέμπετε αὐτοὺς, ἐὰν ὦσι πιστοὶ ἐν κυρίῳ· τίμιος γὰρ ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ· καὶ πάλιν· ἐπίστρεψον ἡ ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐεργέτησέ σε· καὶ ἐν ἄλλοις· μνήμη δικαίων μετ' ἐγκωμίων· καὶ δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ· οἱ γὰρ Θεῷ πεπιστευκότες, ἐὰν καὶ κοιμηθῶσιν, οὐκ εἰσὶν νεκροί· λέγει γὰρ ὁ σωτὴρ τοῖς Σαδδουκαίοις, περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ γεγραμμένον, ὅτι ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ· οὐκ ἔστιν οὖν ὁ

Θεὸς, Θεὸς νεκρῶν, ἀλλὰ ζώντων, πάντες γὰρ αὐτῷ ζῶσιν· ἐκ ὧν τῆ παρὰ Θεῷ ζώντων ἠδὲ τὰ λείψανα ἄτιμα· καὶ γὰρ καὶ Ἐλισαῖος ὁ προφήτης μὴ τὸ κοιμηθῆναι αὐτὸν, νεκρὸν ἤγειρε πεφονευμένον ὑπὸ πειρατῆ Συρίας· ἔψαυσε γὰρ τὸ σῶμα αὐτῦ τῆ Ἐλισαίε ὀστέων, καὶ ἀναστὰς ἔζησεν, ἐκ ἂν ἐγεγόνει τῦτο, εἰ μὴ ἦν τὸ σῶμα Ἐλισαίε ἅγιον· καὶ Ἰωσὴφ ὁ σώφρων περιεπλέκετο τῷ Ἰακὼβ μὴ τὸ ἀποθανεῖν ὄντι ἐπὶ τῆς κλίνης· καὶ Μωσῆς καὶ Ἰησῦς ὁ τῦ Ναυῆ ἐπεφέροντο τὰ λείψανα Ἰωσὴφ μολυσμὸν ἐχ ἡγέμενοι τῦτο· ὅθεν καὶ ὑμεῖς ὦ ἐπίσκοποι καὶ οἱ λοιποὶ ἀπαρατηρήτως ἁπτόμενοι τῆ κεκοιμημένων μὴ νομίσητε μιαίνεσθαι· μηδὲ βδελύσσεσθε τὰ τύτων λείψανα, περισάμενοι τὰς τοιαύτας παρατηρήσεις μωρὰς ὄσας· καὶ κοσμεῖτε αὐτὰς ἐν ἁγιασμῷ, καὶ σωφροσύνῃ, ὅπως μέτοχοι τῆς ἀθανασίας καὶ κοινωνοὶ τῆς βασιλείας τῦ Θεῦ γένησθε· καὶ τῇ ἐπαγγελίαν τῦ Θεῦ λάβητε ἀναπαυόμενοι σὺν Ἰησῦ Χριστῦ τῦ σωτῆρος αἰωνίως· ᾧ ἔν δωναμένῳ ἀνοῖξαι τὰ ὦτα τῆ καρδιῶν ὑμῶν εἰς τὸ καταδέχεσθαι τὰ διηκονημένα τῦ Θεῦ λόγια διά τε τῦ Εὐαγγελίε καὶ σὺν τῆς διδασκαλίας Ἰησῦ Χριστῦ τῦ Ναζωραίε τῦ σταυρωθέντος ἐπὶ Ποντίε Πιλάτε καὶ Ἡρῴδε, καὶ κοιμηθέντος καὶ ἀναστάντος ἐκ νεκρῶν, καὶ πάλιν ἐρχομένε ἐπὶ συντελείᾳ τῦ αἰῶνος μὴ δόξης καὶ δωνάμεως πολλῆς, καὶ τὺς μὲν νεκρὺς ἀνεγείροντος, τῷ κόσμῳ δὲ τέλος ἐπάγοντος, ἑκάστῳ δὲ τὰ πρὸς ἀξίαν ἀπονέμοντος, τῷ δόντι ἡμῖν ἀῤῥαβῶνα τῆς ἀναστάσεως ἑαυτὸν καὶ εἰς ὐρανὺς ἀναληφθέντι σὺν τῆς δωνάμεως τῦ Θεῦ καὶ παρὸς αὐτῦ ἐπ' ὄψεσιν ἡμετέραις, τοῖς συμφαγῦσιν αὐτῷ καὶ συμπιῦσιν ἐπὶ ἡμέρας τεσσαράκοντα μὴ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν, καὶ καθισθέντι ἐκ δεξιῶν τῦ θρόνε τῆς μεγαλωσύνης τῦ παντοκράτορος Θεῦ ἐπὶ τῆ Χερυβὶμ, τῷ ἀκούσαντι, κάθε ἐκ δεξιῶν με. ἕως ἂν θῶ τὺς ἐχθρύς σε ὑποπόδιον τῆ ποδῶν σε, ὃν ἐθεάσατο Στέφανος ὁ μακαριώτατος ἑστῶτα ἐκ δεξιῶν τῆς δωνάμεως, καὶ ἀναβοήσας εἶπεν, ἰδὺ θεωρῶ τὺς ὐρανὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τῦ ἀνθρώπε ἐκ δεξιῶν ἑστῶτα τῦ Θεῦ ὡς ἀρχιερέα πάντων τῆ λογικῶν ταγμάτων· δι' ὃ τὸ σέβας, καὶ ἡ μεγαλωσύνη, καὶ ἡ δόξα τῷ παντοκράτορι Θεῷ καὶ νῦν καὶ εἰς τὺς αἰῶνας· ἀμήν.

ΒΙΒΛΙΟΝ Ε' ΒΔΟΜΟΝ,

Περὶ πολιτείας καὶ ἀχαριστίας καὶ τῆς κατὰ Χριστὸν μυήσεως.

Ὅτι δύο ὁδοί εἰσι, μία τῆς ζωῆς ἡ φυσικὴ, καὶ μία τῦ θανάτε ἡ ἐπείσακτος· καὶ ὅτι ἡ μὲν ἐκ Θεῦ, ἡ δὲ ἐκ ξοφῆς κατ' ἐπιβολὴν τῦ ἀλλοτρίε.

ΚΕΦΑΛ. ά.

Τοῦ νομοθέτε Μωσέως εἰρηκότος τοῖς Ἰσραηλίταις, ἰδὺ δέδωκα πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς, καὶ τὴν ὁδὸν τῦ θανάτε· καὶ ἐπιφέροντος, ἔκλεξαι τὴν ζωὴν, ἵνα ζήσῃς· καὶ τῦ προφήτε Ἠλία λέγοντος τῷ λαῷ, ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν· εἰ Θεός ἐστι κύριος, πορεύεσθε ὀπίσω αὐτῦ, εἰκότως ἔλεγε καὶ ὁ κύριος Ἰησῦς· οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τῦ ἑτέρε καταφρονήσει· ἀναγκαίως καὶ ἡμεῖς ἑπόμενοι τῷ διδασκάλῳ Χριστῷ, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων μάλιστα πιστῶν, φαμὲν ὡς δύο ὁδοί εἰσι, μία τῆς ζωῆς, καὶ μία τῦ θανάτε· οὐδεμίαν δὲ σύγκρισιν ἔχυσιν πρὸς ἑαυτάς· πολὺ γὰρ τὸ διάφορον· μᾶλλον δὲ φάσκῃ κεχωρισμέναι τυγχάνυσι· καὶ φυσικὴ μέν ἐστιν ἡ τῆς ζωῆς ὁδός· ἐπείσακτος δὲ ἡ τῦ θανάτε, ὑ τῦ κατὰ γνώμην Θεῦ ὑπάρξαντος, ἀλλὰ τῦ ὀξὺ ἐπιβουλῆς τῦ ἀλλοτρίε.

Ἡθικαὶ παραινέσεις κυριακῶν ὀγδοάδων συμφωνῦσαι τῇ παλαιᾷ παραχελεύσει τῆ θείων νόμων.

ΚΕΦΑΛ. β'.

Πρώτη ἔν τυγχάνει ἡ ὁδὸς τῆς ζωῆς· καὶ ἔστιν αὕτη, ἣν καὶ ὁ νόμος ὀγδοάδει, ἀγαπᾶν κύριον τὸν Θεὸν ὀξ ὅλης τῆς διανοίας, καὶ ὀξ ὅλης τῆς ψυχῆς, τὸν ἕνα καὶ μόνον, παρ' ὃν ἄλλος ἐκ ἔστι· καὶ τὸν πλησίον ὡς ἑαυτόν· καὶ πᾶν ὃ μὴ θέλεις γενέσθαι σοι, καὶ σὺ τῦτο ἄλλῳ μὴ ποιήσεις· εὐλογεῖτε τὺς καταρωμένους ὑμᾶς· προσεύχεσθε ὑπὲρ τῆ ἐπηρεαζόντων ὑμᾶς· ἀγαπᾶτε τὺς ἐχθρὺς ὑμῶν· ποία γὰρ ὑμῖν χάρις, ἐὰν φιλεῖτε τὺς φιλοῦντας ὑμᾶς; καὶ γὰρ καὶ οἱ ἐθνικοὶ τῦτο ποιῦσιν· ὑμεῖς δὲ φιλεῖτε τὺς μισῦντας ὑμᾶς, καὶ ἐχθρὸν ὐκ ἕξετε· ὃ μισήσεις γὰρ φησὶ, πάντα ἄνθρωπον· ὐκ Αἰγύπτιον· ὐκ Ἰδουμαῖον· ἅπαντες γὰρ εἰσι τῦ Θεῦ ἔργα· φύγετε δὲ ὃ τὺς φύσεις· ἀλλὰ τὺς γνώμας τῆ πονηρῶν· ἀπέχυ τῆ σαρκικῶν καὶ κοσμικῶν ἐπιθυμιῶν· ἐάν τίς σοι δῷ ῥάπισμα εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, ὃ φαύλης ὕστης τῆς ἀμύνης· ἀλλὰ τιμιωτέρας τῆς ἀνεξικακίας· λέγει γὰρ

γὰρ ὁ Δαβὶδ, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά· ἐὰν ἀγγαρεύσῃ σέ τις μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο, καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· καὶ ἀπὸ τοῦ αἴροντός σου τὰ σὰ μὴ ἀπαίτει· τῷ αἰτοῦντί σε δίδου· καὶ ἀπὸ τοῦ θέλοντος δανείσασθαι παρά σου μὴ ἀποκλείσῃς τὴν χεῖρα· δίκαιος γὰρ ἀνὴρ οἰκτείρει καὶ κιχρᾷ· πᾶσι γὰρ θέλει δίδοσθαι ὁ πατὴρ ὁ τὸν ἥλιον αὐτοῦ ἀνατέλλων ἐπὶ πονηρὸς καὶ ἀγαθούς· καὶ τὸν ὑετὸν αὐτοῦ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους· πᾶσιν οὖν δίκαιον διδόναι ἐξ οἰκείων πόνων· τίμα γὰρ φησί, τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων· προτιμητέον δὲ τοὺς ἁγίους.

Ἀπαγόρευσις θυμοῦ· φθόνου· διαφθορᾶς. μοιχείας· καὶ πάσης ἀπηγορευμένης πράξεως.

ΚΕΦΑΛ. γ'.

ΟΥ' φονεύσεις· τοῦτ' ἔστιν, οὐ φθερεῖς τὸν ὅμοιόν σοι ἄνθρωπον, διαλύεις γὰρ τὰ καλῶς γινόμενα· ἐχ ὡς παντὸς φόνου φαύλου τυγχάνοντος, ἀλλὰ μόνου τοῦ ἀθῴου, τοῦδ' ἐνδίκου ἄρχουσι μόνοις ἀφωρισμένου· ὐ μοιχεύσεις· διαιρεῖς γὰρ μίαν σάρκα εἰς δύο. ἔσονται γάρ φησιν, οἱ δύο εἰς σάρκα μίαν, οὗ γάρ εἰσιν ἀνὴρ καὶ γυνὴ τῇ φύσει· τῇ συμπνοίᾳ· τῇ οἰκείᾳ· τῇ διαθέσει· τῷ βίῳ· τῷ ἤθει· κεχωρισμένοι δέ εἰσι τῷ χήματι καὶ τῷ ἀριθμῷ· ὐ παιδοφθορήσεις, παρὰ φύσιν γὰρ τὸ κακὸν ἐκ Σοδόμων φυσί· ἧτις πυρὸς θεηλάτου παραπάλωμα γέγονεν· ἐπικατάρατος δὲ ὁ τοιοῦτος· καὶ ἐρεῖ πᾶς ὁ λαὸς, γενοίτο· οὐ πορνεύσεις, ἐκ ἔσαι γὰρ φησὶ πορνείων ἐν υἱοῖς Ἰσραήλ· ὐ κλέψεις· Ἄχαρ γὰρ κλέψας ἐν τῷ Ἰσραὴλ ἐν Ἰεριχῷ λίθοις βληθεὶς τοῦ ζωῦ ὑπεξῆλθε· καὶ Γιεζεῖ κλέψας καὶ ψαλσάμενος ἐκληρονόμησε τοῦ Νεεμὰν τὴν λέπραν· καὶ Ἰούδας κλέπτων τὰ τῶν πενήτων τὸν κύριον τῆς δόξης παρέδωκεν Ἰουδαίοις, καὶ μεταμεληθεὶς ἀπήγξατο· καὶ ἐλάκησε μέσος· καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ· καὶ Ἀνανίας καὶ Σαπφείρα ἡ τούτου γυνὴ κλέψαντες τὰ ἴδια, καὶ πειράσαντες τὸ πνεῦμα κυρίου, παραχρῆμα ἀποφάσει Πέτρου τοῦ συναποστόλου ἡμῶν ἐθανατώθησαν.

Ἀπαγόρευσις γοητείας· τεχνοκτονίας· ἐπιορκίας· ψευδομαρτυρίας.

ΚΕΦΑΛ. δ'.

ΟΥ' μαγεύσεις· οὐ φαρμακεύσεις· φαρμακὸς γὰρ φησὶν, οὐ περιβιώσεται· ὐ φονεύσεις τέκνον σου ἐν φθορᾷ, οὐδὲ τὸ γεννηθὲν ἀποκτενεῖς, πᾶν γὰρ τὸ ἐξεικονισμένον ψυχὴν λαβὸν παρὰ Θεοῦ, φονευθὲν ἐκδικηθήσεται ἀδίκως ἀναιρεθέν· ὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον σου οἷον τὴν γυναῖκα· ἢ τὸν παῖδα· ἢ τὴν βοῦν· ἢ τὸν ἀγρόν· οὐκ ἐπιορκήσεις· ἐρρέθη γάρ, μὴ ὀμόσαι ὅλως· εἰ δὲ μήγε, κἂν δικαιοκρισίᾳ· ὅτι ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῇ· ὐ ψευδομαρτυρήσεις· ὅτι ὁ συκοφαντῶν κολάζεται, καθοξύνει τὸν ποιήσαντα αὐτόν.

Ἀπαγόρευσις κακολογίας· μνησικακίας· καὶ ἤθους ὑπούλου· ἀργολογίας· ψεύδους· πλεονεξίας· ὑποκρίσεως.

ΚΕΦΑΛ. ε'.

ΟΥ' κακολογήσεις· μὴ ἀγάπα γὰρ φησὶ, κακολογεῖν, ἵνα μὴ ἐξαρθῇς· ὐδὲ μνησικακήσεις· ὁδοὶ γὰρ μνησικάκων εἰς θάνατον· οὐκ ἔσῃ δίγλωσσος, ὐδὲ δίγλωσσος, παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη· καὶ ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς· ἐκ ἔσαι ὁλόγυος σου κενός· περὶ παντὸς γὰρ λόγου ἀργοῦ δώσετε λόγον· ὐ ψεύσῃ· ἀπολεῖς γὰρ φησὶ, πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· ἐκ ἔσῃ πλεονέκτης· ὐδὲ ἅρπαξ· καὶ γάρ φησιν, ὁ πλεονέκτης τὸν πλησίον πλεονεξίαν κακὴν.

Ἀπαγόρευσις κακοηθείας προσωπολημψίας· ὀργῆς· μισανθρωπίας· βασκανίας.

ΚΕΦΑΛ. ς'.

ΟΥ' κ ἔσῃ ὑποκριτής, ἵνα μὴ τὸ μέρος σου μετ' αὐτῶν θῇς· ἐκ ἔσῃ κακοήθης ὐδὲ ὑπερήφανος· ὑπερηφάνοις γὰρ ὁ Θεὸς ἀντιτάσσεται· οὐ λήψῃ πρόσωπον ἐν κρίσει, ὅτι τοῦ κρίνοντος ἡ κρίσις· ὐ μισήσεις πάντα ἄνθρωπον· ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν σου, καὶ ὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν· καὶ ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε· φεῦγε ἀπὸ παντὸς κακοῦ, καὶ ἀπὸ παντὸς ὁμοίου αὐτῷ· ἄπεχε γὰρ φησὶν, ἀπὸ ἀδίκου· καὶ ζῆλος ἐκ ἐγγιεῖ σοι· μὴ γίνου ὀργίλος· μηδὲ βάσκανος· μηδὲ ζηλωτής· μηδὲ μαχητικός· μηδὲ θρασύς· μὴ πάθῃς τὰ τοῦ Καΐν· καὶ τὰ τοῦ Σαοὺλ· καὶ τὰ τοῦ Ἰωάβ· ὅτι ὃς μὲν ἀπέκτεινε τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ διὰ τὸ προκεῖσθαι αὐτὸν δρεπάνῃ παρὰ Θεῷ· καὶ διὰ τὸ προκεῖσθαι τὴν θυσίαν αὐτοῦ· ὃς δὲ τὸν ὅσιον Δαβὶδ ἐζήλωσε νικήσαντα τὸν Γολιὰδ τὸν Φιλισταῖον, ζηλώσας ἐπὶ τῇ τῶν χορευτῶν δόξῃ· ὃς δὲ τοὺς δύο στρατάρχας ἀνεῖλε τὸν Ἀβεννὴρ τὸν τοῦ Ἰσραὴλ· καὶ Ἀμεσὰ τὸν τοῦ Ἰούδα.

Περὶ οἰωνοσκοπικῆς ἐπαοιδῆς.

ΚΕΦΑΛ. ζ'.

ΜΗ γίνου οἰωνοσκόπος, ὅτι ὁδηγεῖ πρὸς εἰδωλολατρείαν, οἰωνισμὸν δὲ φησὶν ὁ Σαμουὴλ ἁμαρτίαν εἶναι· καὶ ὐκ ἔσαι οἰωνισμὸς ἐν Ἰακὼβ· ὐδὲ μαντεῖα ἐν Ἰσραήλ· ὐκ ἔσῃ ἐπᾴδων ἢ περιεργαζόμενος τὸν υἱόν σου· ὐ κληδονιεῖς· ὐδὲ οἰωνισθήσῃ· ὐδὲ ὀρνεοσκοπήσεις· ὐδὲ μαθήσῃ μαθήματα πονηρά· ταῦτα γὰρ ἅπαντα καὶ ὁ νόμος ἀκτεῖνε· μὴ γίνου ἐπιθυμητὴς κακῶν, ὁδηγηθήσῃ γὰρ εἰς ἀμετρίαν ἁμαρτημάτων· ὐκ ἔσῃ αἰσχρολόγος· ὐδὲ ῥιψόφθαλμος· ὐδὲ μίθυσος· ἐκ γὰρ τούτων πορνεῖαι καὶ μοι-

καὶ

καὶ μοιχεῖαι γίνονται· μὴ γίνε φιλάργυρος· ἵνα μὴ ἀντὶ Θεοῦ δυλεύσῃς τῷ μαμωνᾷ· μὴ γίνε κενόδοξος· μηδὲ μετέωρος· μηδὲ ὑψηλόφρων· ἐκ γὰρ τούτων ἁπάντων ἀλαζονίαι γίνονται· μνήσθητι τοῦ εἰπόντος· κύριε οὐχ ὑψώθη ἡ καρδία μου· οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου· οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ· εἰ μὴ ἐταπεινοφρόνουν.

Ἀπαγόρευσις γογγυσμοῦ· καὶ αὐθαδείας· καὶ ὑπερηφανίας· καὶ θρασύτητος.

ΚΕΦΑΛ. ἡ.

Μὴ γίνε γόγγυσος, μνησθεὶς τῆς τιμωρίας ἣν ὑπέστησαν οἱ καταγογγύσαντες Μωσέως· μὴ ἔσο αὐθάδης· μηδὲ πονηρόφρων· μηδὲ σκληροκάρδιος· μηδὲ θυμώδης· μηδὲ μικρόψυχος· πάντα γὰρ ταῦτα ὁδηγεῖ πρὸς βλασφημίαν· ἴσθι δὲ πρᾶος ὡς Μωϋσῆς καὶ Δαβίδ· ἐπεὶ οἱ πραεῖς κληρονομήσουσι γῆν.

Περὶ μακροθυμίας· ἀκακίας· πραότητος· ὑπομονῆς.

ΚΕΦΑΛ. θ'.

Γίνε μακρόθυμος· ὁ γὰρ τοιοῦτος πολὺς ἐν φρονήσει· ἐπείπερ ὀλιγόψυχος ἰσχυρὸς ἄφρων· γίνε ἐλεήμων· μακάριοι γὰρ οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται· ἔσο ἄκακος· ἡσύχιος· ἀγαθός· τρέμων τοὺς λόγους τοῦ Θεοῦ· οὐχ ὑψώσεις σεαυτὸν ὡς ὁ Φαρισαῖος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· καὶ τὸ ὑψηλὸν ἐν ἀνθρώποις βδέλυγμα παρὰ τῷ Θεῷ· οὐ δώσεις τῇ ψυχῇ σου θράσος· ὅτι θρασὺς ἀνὴρ ἐμπεσεῖται εἰς κακά· οὐ συμπορεύσῃ μετὰ ἀφρόνων, ἀλλὰ μετὰ σοφῶν καὶ δικαίων· ὁ συμπορευόμενος γὰρ σοφοῖς σοφὸς ἔσται· ὁ δὲ συμπορευόμενος ἄφροσι, γνωσθήσεται· τὰ συμβαίνοντά σοι πάθη δίμοιρος δέχου, καὶ τὰς περισάσεις ἀλύπως, εἰδὼς ὅτι μισθὸς παρὰ Θεοῦ σοι δοθήσεται ὡς τῷ Ἰὼβ, καὶ τῷ Λαζάρῳ.

Ὅτι χρὴ τοὺς κατὰ Χριστὸν διδασκάλους γονέων πλεῖον ἡγεῖσθαι· οἱ μὲν γὰρ τὸ εὖ εἶναι· οἱ δὲ τὸ εἶναι μόνον παρέχουσιν.

ΚΕΦΑΛ. ι'.

Τὸν λαλοῦντά σοι τὸν λόγον τοῦ Θεοῦ δοξάσεις· μνησθήσῃ δὲ αὐτοῦ ἡμέρας καὶ νυκτός· τιμήσεις δὲ αὐτὸν οὐχ ὡς γήρεσεως αἴτιον, ἀλλ' ὡς τοῦ εὖ εἶναί σοι πρόξενον γινόμενον, ὅπου γὰρ ἡ περὶ Θεοῦ διδασκαλία, ἐκεῖ ὁ Θεὸς πάρεστιν· ἐκζητήσεις καθημέραν τὸ πρόσωπον τῶν ἁγίων· ἵν' ἐπαναπαύῃ τοῖς λόγοις αὐτῶν.

Ὅτι χρὴ μὴ ἀποχίζειν τῶν ἁγίων, ἀλλ' εἰρηνεύειν μαχομένους, κεῖνεν τε δικαίως, καὶ μὴ προσωπολῃπτεῖν.

ΚΕΦΑΛ. ια'.

Οὐ ποιήσεις χίσματα πρὸς τοὺς ἁγίους, μνησθεὶς τῶν Κορειτῶν· εἰρηνεύσεις μαχομένους, ὡς Μωσῆς, σπαλλάσσων εἰς φιλίαν· κενεῖς δικαίως· τὸ γὰρ κενεῖν ἡ κρίσις· οὐ λήψῃ πρόσωπον ἐλέγξαι ἐπὶ παραπτώματι, ὡς Ἠλίας καὶ Μιχαίας τὸν Ἀχαάβ· καὶ Ἀβδεμέλεχ ὁ Αἰθίοψ τὸν Σεδεκίαν· καὶ Νάθαν τὸν Δαβίδ· καὶ Ἰωάννης τὸν Ἡρώδην.

Περὶ διψύχου ἤτοι ὀλιγοψύχου.

ΚΕΦΑΛ. ιβ'.

Μὴ γίνε δίψυχος ἐν προσευχῇ σου, εἰ ἔσαι, ἢ οὔ· λέγει γὰρ ὁ κύριος ἐμοὶ Πέτρῳ ἐπὶ τῆς θαλάσσης· ὀλιγόπιστε εἰς τί ἐδίστασας; μὴ γίνε πρὸς μοῦ τὸ λαβεῖν ἐκτείνων τὴν χεῖρα, πρὸς δὲ τὸ δῦναι συστέλλων.

Περὶ ἀποιΐας.

ΚΕΦΑΛ. ιγ'.

Ἐὰν ἔχεις δῶρα τῶν χειρῶν σου δός, ἵνα ἐργάσῃ εἰς λύτρωσιν ἁμαρτιῶν σου· ἐλεημοσύναις γὰρ καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι· οὐ δισάσεις δοῦναι πτωχῷ· οὐδὲ δώσεις γογγύσεις· γνώσῃ γὰρ τίς ἐστιν ὁ τοῦ μισθοῦ ἀνταποδότης· ὁ ἐλεῶν γάρ φησι, πτωχόν, κυρίῳ δανείζει· κατὰ δὲ τὸ δόμα αὐτοῦ, οὕτως ἀνταποδοθήσεται αὐτῷ· οὐκ ἀποστραφήσῃ ἐνδεόμενον· ὃς φράσει γὰρ φησι, τὰ ὦτα αὐτοῦ μὴ εἰσακοῦσαι τοῦ δεομένου, καὶ αὐτὸς ἐπικαλέσεται· καὶ οὐκ ἔσαι εἰσακούων αὐτοῦ· κοινωνήσεις εἰς πάντα τῷ ἀδελφῷ σου· καὶ οὐκ ἐρεῖς ἴδια εἶναι· κοινὴ γὰρ ἡ μετάληψις παρὰ Θεοῦ πᾶσιν ἀνθρώποις παρεσκευάσθη. οὐκ ἀρεῖς τὴν χεῖρά σου ἀπὸ τοῦ υἱοῦ σου ἢ ἀπὸ τῆς θυγατρός σου, ἀλλὰ ἀπὸ νεότητος διδάξεις αὐτοὺς τὸν φόβον τοῦ Θεοῦ· παίδευε γάρ φησι, τὸν υἱόν σου· ἔτω γὰρ ἔσαι σοι εὔελπις.

Ὅπως δεῖ προσφέρεσθαι τοῖς οἰκέταις τοὺς κυρίους· καὶ ὅπως χρὴ ὑποτάσσεσθαι τοὺς οἰκέτας.

ΚΕΦΑΛ. ιδ'.

Οὐκ ἐπιτάξεις δούλῳ σου ἢ παιδίσκῃ τοῖς ἐπὶ τὸν αὐτὸν Θεὸν πεποιθόσιν ἐν πικρίᾳ ψυχῆς, μή ποτε στενάξωσιν ἐπί σοι καὶ ἔσαι σοὶ ὀργὴ παρὰ Θεοῦ· καὶ ὑμεῖς οἱ δοῦλοι ὑποτάγητε τοῖς κυρίοις ὑμῶν ὡς τύποις Θεοῦ ἐν προσοχῇ καὶ φόβῳ, ὡς τῷ κυρίῳ, καὶ οὐκ ἀνθρώποις.

Περὶ

Περὶ ὑποκρίσεως καὶ προσοχῆς νόμων καὶ ἐξομολογήσεων.

ΚΕΦΑΛ. ιέ.

Μισήσεις πᾶσαν ὑπόκρισιν· καὶ πᾶν ὃ ἐὰν ᾖ ἀρεστὸν κυρίῳ, ποιήσεις· οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς κυρίου· φυλάξεις δὲ ἃ παρέλαβες παρ' αὐτοῦ, μήτε προστιθεὶς ἐπ' αὐτοῖς· μήτε ἀφαιρῶν ἀπ' αὐτῶν· οὐ προσθήσεις γὰρ τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε καὶ ψευδὴς γένῃ· ἐξομολογήσῃ κυρίῳ τῷ Θεῷ σου τὰ ἁμαρτήματά σου· καὶ οὐκ ἔτι προσθήσεις ἐπ' αὐτοῖς, ἵνα εὖ σοι γένηται παρὰ κυρίῳ τῷ Θεῷ σου· ὃς οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν.

Περὶ τῆς πρὸς γονέας θεραπείας.

ΚΕΦΑΛ. ιϛ'.

Τὸν πατέρα σου καὶ τὴν μητέρα θεραπεύσεις ὡς αἰτίους σοι γενέσεως, ἵνα γένῃ μακροχρόνιος ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ Θεός σου δίδωσί σοι· τοὺς ἀδελφούς σου καὶ τοὺς συγγενεῖς σου μὴ ὑπερίδῃς· τοὺς γὰρ οἰκείους τοῦ σπέρματός σου οὐχ ὑπερόψει.

Περὶ τῆς πρὸς βασιλέα καὶ ἄρχοντας ὑποταγῆς.

ΚΕΦΑΛ. ιζ'.

Τὸν βασιλέα φοβηθήσῃ· εἰδὼς ὅτι τοῦ κυρίου ἐστιν ἡ χειροτονία· τοὺς ἄρχοντας αὐτοῦ τιμήσεις ὡς λειτουργοὺς Θεοῦ, ἔκδικοι γάρ εἰσι πάσης ἀδικίας· οἷς ἀποτίσατε τέλος, φόρον, καὶ πᾶσαν εἰσφορὰν εὐγνωμόνως.

Περὶ καθαροῦ συνειδότος τῶν προσευχομένων.

ΚΕΦΑΛ. ιή.

Οὐ προσελεύσῃ ἐπὶ προσευχήν σου ἐν ἡμέρᾳ πονηρίας σου πρὶν ἂν λύσῃς τὴν πικρίαν σου· αὕτη ἐστὶν ἡ ὁδὸς τῆς ζωῆς· ἧς γένοιτο ἐντὸς ὑμᾶς εὑρεθῆναι διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.

Ὅτι ἡ ἐξ ἐπιβουλῆς τοῦ ἀλλοτρίου ἐπεισαχθεῖσα ὁδὸς ἀσεβείας καὶ παρανομίας πεπλήρωται.

ΚΕΦΑΛ. ιθ'.

Ἡ δὲ ὁδὸς τοῦ θανάτου ἐστὶν ἐν πράξεσιν πονηραῖς θεωρουμένη· ἐν αὐτῇ γὰρ ἄγνοια Θεοῦ καὶ πολλῶν κακῶν, καὶ θολῶν, καὶ ταραχῶν ἐπεισαγωγή· δι' ὧν φόνοι· μοιχεῖαι· πορνεῖαι· ἐπιορκίαι· ἐπιθυμίαι παράνομοι· κλοπαί· εἰδωλολατρεῖαι· μαγίαι· φαρμακεῖαι· ἁρπαγαί· ψευδομαρτυρίαι· ὑποκρίσεις· διπλοκαρδίαι· δόλος· ὑπερηφανία· κακία· αὐθάδεια· πλεονεξία· αἰσχρολογία· ζηλοτυπία· θρασύτης· ὑψηλοφροσύνη· ἀλαζονία· ἀφοβία· διωγμὸς ἀγαθῶν· ἀληθείας ἔχθρα· ψεύδους ἀγάπη· ἄγνοια δικαιοσύνης· οἱ γὰρ τούτων ποιηταὶ οὐ * κολλῶνται ἀγαθῷ, οὐδὲ κρίσει δικαίᾳ· ἀγρυπνοῦσιν οὐκ εἰς τὸ ἀγαθόν· ἀλλ' εἰς τὸ πονηρόν· ὧν μακρὰν πραότης καὶ ὑπομονή· μάταια ἀγαπῶντες· διώκοντες ἀνταπόδομα· οὐκ ἐλεοῦντες πτωχόν· οὐ πονοῦντες ἐπὶ καταπονουμένῳ· οὐ γινώσκοντες τὸν ποιήσαντα αὐτούς· φονεῖς τέκνων· φθορεῖς πλάσματος Θεοῦ· ἀποστρεφόμενοι ἐνδεόμενον· καταπονοῦντες θλιβόμενον· πλουσίων παράκλητοι· πενήτων ὑπερόπται· πανταμάρτητοι· ῥυσθείητε τέκνα ἀπὸ τούτων ἁπάντων.

Ὅτι μὴ χρὴ τῆς εὐσεβείας ἐκκλίνειν δεξιὰ ἢ εὐώνυμα παραινεῖ ὁ νομοθέτης.

ΚΕΦΑΛ. κ'.

Ὅρα μήτις σε πλανήσῃ ἀπὸ τῆς εὐσεβείας· οὐκ ἐκκλίνῃς γὰρ φησὶν, ἀπ' αὐτῆς δεξιὰ ἢ εὐώνυμα· ἵνα συνῇς ἐν πᾶσιν οἷς ἐὰν πράσσῃς· οὐ γὰρ ἐὰν μὴ ἐκτραπῇς ἔξω τῆς εὐθείας ὁδοῦ, δυσσεβήσεις.

Ὅτι μὴ χρὴ φαυλίζειν τι τῶν προσφόρων βρωμάτων, ἀλλ' εὐχαρίστως μεταλαμβάνειν καὶ τεταγμένως.

ΚΕΦΑΛ. κά.

Περὶ δὲ βρωμάτων λέγει σοι ὁ κύριος, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· καὶ πᾶν κρέας ἔδεσθε ὡς λάχανα χλόης· τὸ δὲ αἷμα ἐκχεεῖς· οὐ γὰρ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα· λέγω δὴ βλασφημίαι· καταλαλιαί· καὶ εἴτι τοιοῦτον· σὺ δὲ φαγῇ τὸν μυελὸν τῆς γῆς μετὰ δικαιοσύνης· ὅτι εἴτι καλὸν αὐτοῦ· καὶ εἴτι ἀγαθὸν, αὐτοῦ· σίτος νεανίσκοις, καὶ οἶνος εὐωδιάζων παρθένοις· τίς γὰρ φάγεται· ἢ τίς πίεται πάρεξ αὐτοῦ; παραινεῖ δέ σοι καὶ ὁ σοφὸς Ἔσδρας λέγων· πορεύεσθε καὶ φάγετε λιπάσματα· καὶ πίετε γλυκάσματα, καὶ μὴ λυπεῖσθε.

Ὅτι χρὴ φεύγειν τὴν τῶν εἰδωλοθύτων βρῶσιν.

ΚΕΦΑΛ. κβ'.

Ἀπὸ δὲ τῶν εἰδωλοθύτων φεύγετε, ἐπὶ τιμῇ γὰρ δαιμόνων θύουσι ταῦτα· ἐφ' ὕβρει δηλαδὴ τοῦ μόνου Θεοῦ, ὅπως μὴ γένησθε κοινωνοὶ δαιμόνων.

Διάταξις κυριακὴ ὅπως χρὴ βαπτίζειν· καὶ εἰς τὸν τίνος θάνατον.

ΚΕΦΑΛ. κγ'.

Περὶ δὲ βαπτίσματος, ὦ ἐπίσκοπε ἢ πρεσβύτερε, ἤδη μὲν καὶ πρότερον διεταξάμεθα· καὶ νῦν δέ φαμεν· ὅτι οὕτω βαπτίσεις, ὡς ὁ κύριος διετάξατο ἡμῖν λέγων· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη· βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετει-

* confer vulgatam sub nomine S. Barnabæ epistolam p. 261. edit. Voss. qua utor.

τειλάμιν ὑμῖν· τοῦ ἀποστείλαντος πατρός· τοῦ ἐλθόντος Χριστοῦ· τοῦ μαρτυρήσαντος παρακλήτου· χρίσεις δὲ πρῶτον ἐλαίῳ ἁγίῳ· ἔπειτα βαπτίσεις ὕδατι· καὶ τελευταῖον σφραγίσεις μύρῳ· ἵνα τὸ μὲν χρίσμα μετοχὴ ᾖ τοῦ ἁγίου πνεύματος· τὸ δὲ ὕδωρ σύμβολον τοῦ θανάτου· τὸ δὲ μύρον σφραγὶς τῆς σωθησομένης· εἰ δὲ μήτε ἔλαιον ἦν, μήτε μύρον, ἀρκεῖ ὕδωρ καὶ πρὸς χρῖσιν καὶ πρὸς σφραγῖδα καὶ πρὸς ὁμολογίαν τοῦ ἀποθανόντος, ἤτοι σωναποθνήσκοντος· πρὸ δὲ τοῦ βαπτίσματος νηστευσάτω ὁ βαπτιζόμενος· καὶ γὰρ ὁ κύριος πρῶτον βαπτισθεὶς ὑπὸ Ἰωάννου καὶ εἰς τὴν ἔρημον αὐλισθείς, μετέπειτα ἐνήστευσε τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας· ἐβαπτίσθη δὲ καὶ ἐνήστευσεν οὐχ αὐτὸς ἀπορυπώσεως, ἢ νηστείας χρείαν ἔχων· ἢ καθάρσεως· ὁ τῇ φύσει καθαρὸς καὶ ἅγιος, ἀλλ' ἵνα καὶ Ἰωάννῃ ἀληθειαν προσμαρτυρήσῃ· καὶ ἡμῖν ὑπογραμμὸν παράσχηται· οὐκοῦν ὁ μὲν κύριος οὐκ εἰς ἑαυτὸν πάθος ἐβαπτίσατο ἢ θάνατον, ἢ ἀνάστασιν, οὐδέπω γὰρ οὐδὲν τούτων ἐγεγόνει· ἀλλ' εἰς διάταξιν ἑτέραν· διὸ καὶ ἀπ' ἐξουσίας μὲν τὸ βάπτισμα νηστεύει ὡς κύριος Ἰωάννου· ὁ δὲ εἰς τὸν αὐτοῦ θάνατον μυούμενος, πρότερον ὀφείλει νηστεῦσαι, καὶ τότε βαπτίσασθαι· οὐ γὰρ δίκαιον τὸν σωταφέντα & σωαναστάντα παρ' αὐτῷ τῷ ἀνάστασιν κατηφεῖν· ὁ γὰρ κύριος ὁ ἄνθρωπος τῆς διατάξεως τῆς τοῦ σωτῆρος· ἐπειπερ ὁ μὲν δεσπότης, ὁ δὲ ὑπήκοος.

Ποίας νηστεύειν τῆς ἑβδομάδος ἡμέρας· καὶ τίνας οὐ νηστεύειν· καὶ ὅ χαίρειν.

ΚΕΦΑΛ. κδ'.

Αἱ δὲ νηστεῖαι ὑμῶν μὴ ἔστωσαν μετὰ τῶν ὑποκριτῶν· νηστεύουσι γὰρ δευτέρας σαββάτων καὶ πέμπτης· ὑμεῖς δὲ ἢ τὰς πέντε νηστεύσατε ἡμέρας· ἢ τετράδα καὶ παρασκευήν· ὅτι τῇ μὲν τετράδι * ἡ κρίσις ἐξῆλθεν ἢ κατὰ τοῦ κυρίου, ἵνα ἔχωμεν ἐπαγγελιαμβύου τὴν προδοσίαν· τὴν δὲ παρασκευήν, ὅτι ἔπαθεν ὁ κύριος ἐν αὐτῇ πάθος ἐπὶ τοῦ δι' σταυροῦ ὑπὸ Ποντίου Πιλάτου· τὸ σάββατον μὲν τοι καὶ τὴν κυριακὴν ἑορτάζετε, ὅτι τὸ μὲν δημιουργίας ἐστὶν ὑπόμνημα, ἡ δὲ ἀναστάσεως· σὺ δὲ μόνον σάββατον ὑμῖν φυλακτέον ἐν ὅλῳ τῷ ἐνιαυτῷ, τὸ τῆς ταφῆς τοῦ κυρίου ταφῆς, ὅπερ νηστεύειν προσῆκεν, ἀλλ' οὐχ ἑορτάζειν· ἐν ὅσῳ γὰρ ὁ δημιουργὸς ὑπὸ γῆν τυγχάνει, ἰσχυρότερον τὸ περὶ αὐτοῦ πένθος τῆς κατὰ τὴν δημιουργίαν χαρᾶς, ὅτι ὁ δημιουργὸς τῶν αὐτοῦ δημιουργημάτων φύσει τε καὶ ἀξίᾳ τιμιώτερος.

* διὰ τὸ γινόμενον συμβόλιον ἐπὶ τῇ προδοσίᾳ &c. inquit Petrus citatus.

Οἵους εἶναι χρὴ τοὺς προσδεχομένους τὴν ὑπὸ τοῦ κυρίου δοθεῖσαν προσδοκίαν.

ΚΕΦΑΛ. κε.

Ὅταν δὲ προσδέχησθε, μὴ γίνεσθε ὡς οἱ ὑποκριταί, ἀλλ' ὡς ὁ κύριος ἡμῖν ἐν τῷ εὐαγγελίῳ διετάξατο, οὕτω προσδέχεσθε· πάτερ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία εἰς τοὺς αἰῶνας, ἀμήν· τρεῖς τῆς ἡμέρας ἔτι προσδέχεσθε, προπαρασκευάζοντες ἑαυτοὺς ἀξίους τῆς υἱοθεσίας τοῦ πατρός, ἵνα μὴ ἀναξίως ὑμῶν αὐτὸν πατέρα καλουμένων, ὀνειδισθῆτε ὑπ' αὐτοῦ· ὡς καὶ ὁ Ἰσραὴλ ὁποτὲ πρωτότοκος υἱὸς ἤκουσεν, ὅτι εἰ πατὴρ εἰμὶ ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ κύριός εἰμι, ποῦ ἐστιν ὁ φόβος μου; δόξα γὰρ πατέρων ὁσιότης παίδων, καὶ τιμὴ δεσποτῶν οἰκετῶν φόβος· ὥσπερ οὖν τὸ ἐναντίον ἀδοξία καὶ ἀναρχία· δι' ὑμᾶς γὰρ φησί, τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι.

Εὐχαριστία μυστική.

ΚΕΦΑΛ. κς'.

Γίνεσθε δὲ πάντοτε εὐχάριστοι ὡς πιστοὶ καὶ ἐπιγνώμονες δοῦλοι, περὶ μὲν τῆς εὐχαριστίας, ὧδε λέγοντες· εὐχαριστοῦμέν σοι πάτερ ἡμῶν ὑπὲρ ζωῆς ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου· δι' οὗ καὶ τὰ πάντα ἐποίησας & τὴν ὅλων προνοεῖς· ὃν καὶ ἀπέστειλας ἐπὶ σωτηρίᾳ τῇ ἡμετέρᾳ γενέσθαι ἄνθρωπον· ὃν καὶ συνεχώρησας παθεῖν καὶ ἀποθανεῖν· ὃν καὶ ἀνέστησας καὶ δόξαν ἔδωκας δοξάσαι· καὶ ἐκάθισας ἐκ δεξιῶν σου· δι' οὗ καὶ ἐπαγγέλλῃ ἡμῖν τὴν ἀνάστασιν τῶν νεκρῶν· σὺ δέσποτα παντοκράτωρ θεὲ αἰώνιε, ὥσπερ ἦν τοῦτο διεσκορπισμένον καὶ συναχθὲν ἐγένετο εἷς ἄρτος, οὕτω συνάγαγέ σου τὴν ἐκκλησίαν ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν βασιλείαν· ἔτι εὐχαριστοῦμέν σοι πάτερ ἡμῶν ὑπὲρ τοῦ τιμίου αἵματος Ἰησοῦ Χριστοῦ τοῦ ἐκχυθέντος ὑπὲρ ἡμῶν· καὶ τοῦ τιμίου σώματος· οὗ καὶ ἀντίτυπα ταῦτα ἐπιτελοῦμεν αὐτοῦ διαταξαμένου ἡμῖν καταγγέλλειν τὸν αὐτοῦ θάνατον· δι' αὐτοῦ γάρ σοι καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν· μηδεὶς δὲ ἐσθιέτω ἐξ αὐτῆς τῆς εὐχαριστίας· ἀλλὰ μόνοι οἱ βεβαπτισμένοι εἰς τὸν τοῦ κυρίου θάνατον· καὶ γὰρ περὶ τούτου εἴρηκεν ὁ κύριος· μὴ δῶτε τὸ ἅγιον τοῖς κυσίν· οὐ γὰρ ἔδει τοῦτο ἐσθίειν τοὺς ἀπαιδεύτους· οὐδὲ γὰρ ἡμεῖς ἐσθίομεν πάντοτε· ἀλλὰ μόνον ἐν ταῖς ἁγίαις ἡμέραις· ἐν αἷς ἔδει τὸν κύριον παθεῖν· ἐν αἷς καὶ ἀνέστη· ἐν αἷς καὶ ἀνελήφθη· ἐν αἷς καὶ ἐπιφανήσεται· ἐν αἷς καὶ ἐκήρυξεν· ἐν αἷς καὶ ἐπαγγέλλεται ἐλθεῖν· ἐν αἷς καὶ ἐκδικήσει τοὺς ἀπειθοῦντας· ἐν αἷς καὶ ἐβασίλευσεν· ἐν αἷς καὶ ἐβασιλεύσει· ἐν αἷς καὶ ἐκρίθη· ἐν αἷς καὶ κρινεῖ· ἐν αἷς καὶ ἐκρίνεν

στοιχειώσαντες μυήσατε· ὅπως μὴ καταφρονητὴς ἐξέλθοι.

Εὐχαριστία ἐπὶ τῇ θείᾳ μεταλήψει.

ΚΕΦΑΛ. κζ'.

ΜΕτὰ δὲ τὴν μετάληψιν οὕτως εὐχαριστήσατε· εὐχαριστοῦμέν σοι ὁ Θεὸς καὶ πατὴρ Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν ὑπὲρ τοῦ ἁγίου ὀνόματός σου, οὗ κατεσκήνωσας ἐν ἡμῖν· καὶ ὑπὲρ τῆς γνώσεως καὶ πίστεως καὶ ἀγάπης, καὶ ἀθανασίας· ἧς ἔδωκας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου· σὺ δέσποτα παντοκράτωρ ὁ Θεὸς τῶν ὅλων ἔκτισας τὸν κόσμον, καὶ τὰ ἐν αὐτῷ δι' αὐτοῦ· καὶ νόμον κατεφύτευσας ἐν ταῖς ψυχαῖς ἡμῶν· καὶ τὰ πρὸς μετάληψιν προευτρέπισας ἀνθρώποις· ὁ Θεὸς τῶν ἁγίων καὶ ἀμέμπτων πατέρων ἡμῶν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν πιστῶν δούλων σου, ὁ δυνατὸς Θεὸς, ὁ πιστὸς καὶ ἀληθινὸς, καὶ ἀψευδὴς ἐν ταῖς ἐπαγγελίαις, ὁ ἀποστείλας ἐπὶ γῆς Ἰησοῦν τὸν Χριστόν σου ἀνθρώποις συναναστραφῆναι ὡς ἄνθρωπον, Θεὸν ὄντα λόγον καὶ ἄνθρωπον, καὶ τὴν πλάνην πρόῤῥιζον ἀνελεῖν, αὐτὸς καὶ νῦν δι' αὐτοῦ μνήσθητι τῆς ἁγίας σου ἐκκλησίας ταύτης· ἣν περιεποιήσῳ τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου· καὶ ῥῦσαι αὐτὴν ἀπὸ παντὸς πονηροῦ· καὶ τελείωσον αὐτὴν ἐν τῇ ἀγάπῃ σου καὶ τῇ ἀληθείᾳ σου· καὶ συνάγαγε πάντας ἡμᾶς εἰς τὴν σὴν βασιλείαν, ἣν ἡτοίμασας, αὕτη μαραναθά· Ὡσαννὰ τῷ υἱῷ Δαβὶδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· Θεὸς κύριος ὁ ἐπιφανεὶς ἡμῖν ἐν σαρκί· εἴ τις ἅγος προσερχέσθω· εἰ δέ τις οὐκ ἔστι, γινέσθω διὰ μετανοίας· ἐπιτρέπετε δὲ καὶ τοῖς πρεσβυτέροις ὑμῶν εὐχαριστεῖν.

Εὐχαριστία περὶ τοῦ μυστικοῦ μύρου.

ΚΕΦΑΛ. κη'.

ΠΕρὶ δὲ τοῦ μύρου οὕτως εὐχαριστήσατε· εὐχαριστοῦμέν σοι θεὲ δημιουργὲ τῶν ὅλων καὶ ὑπὲρ τῆς εὐωδίας τοῦ μύρου· καὶ ὑπὲρ τοῦ ἀθανάτου αἰῶνος· οὗ ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου· ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας ἀμήν· ὃς ἐὰν ἐλθὼν οὕτως εὐχαριστῇ, προσδέξασθε αὐτὸν ὡς Χριστοῦ μαθητήν· ἐὰν δὲ ἄλλην διδαχὴν κυρύσσῃ, παρ' ἣν ὑμῖν παρέδωκεν ὁ Χριστὸς δι' ἡμῶν, τῷ τοιούτῳ μὴ συγχωρεῖτε εὐχαριστεῖν· ὑβρίζει γὰρ ὁ τοιοῦτος τὸν Θεὸν ἤπερ δοξάζει.

Ὅτι οὐ χρὴ ἀδιαφορεῖν περὶ τὴν κοινωνίαν.

ΚΕΦΑΛ. κθ'.

ΠΑ̃ς δὲ ὁ ἐρχόμενος πρὸς ὑμᾶς δοκιμασθεὶς, οὕτω δεχέσθω· σύνεσιν γὰρ ἔχετε καὶ δύνασθε γνῶναι δεξιὰν, ἢ ἀριστεράν· καὶ διακρίναι ψευδοδισκάλους διδασκάλων· ἐλθόντι μέντοι τῷ διδασκάλῳ ἐκ ψυχῆς ἐπιχορηγήσατε τὰ δέοντα· τῷ δὲ ψευδοδιδασκάλῳ δώσετε μὲν τὰ πρὸς χρείαν, οὐ παραδέξεσθε δὲ αὐτοῦ τὴν πλάνην οὔτε μὴν συμπροσεύξησθε αὐτῷ· ἵνα μὴ συνμιανθῆτε αὐτῷ· πᾶς προφήτης ἀληθινὸς ἢ διδάσκαλος ἐρχόμενος πρὸς ὑμᾶς ἄξιός ἐστι τῆς τροφῆς, ὡς ἐργάτης λόγου δικαιοσύνης.

Περὶ καρποφοριῶν διάταξις.

ΚΕΦΑΛ. λ'.

ΠΑ'σαν ἀπαρχὴν γενημάτων λινοῦ· ἄλωνος· βοῶν τε καὶ προβάτων· δώσεις τοῖς ἱερεῦσιν, ἵνα εὐλογηθῶσιν αἱ ἀποθῆκαι τῶν ταμείων σου καὶ τὰ ἐκφόρια τῆς γῆς σου· καὶ στηριχθῇς σίτῳ καὶ οἴνῳ καὶ ἐλαίῳ· καὶ αὐξηθῇ τὰ βουκόλια τῶν βοῶν σου· καὶ τὰ ποίμνια τῶν προβάτων σου· πᾶσαν δεκάτην δώσεις τῷ ὀρφανῷ· καὶ τῇ χήρᾳ· τῷ πτωχῷ· καὶ τῷ προσηλύτῳ· πᾶσαν ἀπαρχὴν ἄρτων θερμῶν, κεραμίου οἴνου ἢ ἐλαίου ἢ μέλιτος, ἢ ἀκροδρύων, σταφυλῆς, ἢ τῶν ἄλλων τὴν ἀπαρχὴν δώσεις τοῖς ἱερεῦσιν· ἀργυρίου δὲ καὶ ἱματισμοῦ καὶ παντὸς κτήματος τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ.

Ὅπως χρὴ τὴν ἀναστάσιμον τοῦ σωτῆρος ἡμῶν ἡμέραν συναθροιζομένους ἑορτάζειν.

ΚΕΦΑΛ. λα'.

ΤΗ'ν ἀναστάσιμον τοῦ κυρίου ἡμέραν, τὴν κυριακὴν φαμεν, συνέρχεσθε ἀδιαλείπτως εὐχαριστοῦντες τῷ Θεῷ καὶ ἐξομολογούμενοι ἐφ' οἷς εὐηργέτησεν ὑμᾶς ὁ Θεὸς διὰ Χριστοῦ ῥυσάμενος ἀγνοίας· πλάνης· δεσμῶν· ὅπως ἄμεμπτος ᾖ ἡ θυσία ὑμῶν καὶ εὐανάφορος Θεῷ, τῷ εἰπόντι περὶ τῆς οἰκουμενικῆς αὐτοῦ ἐκκλησίας, ὅτι ἐν παντὶ τόπῳ μοι προσενεχθήσεται θυμίαμα καὶ θυσία καθαρά· ὅτι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει κύριος παντοκράτωρ, καὶ τὸ ὄνομά μου θαυμαστὸν ἐν τοῖς ἔθνεσι.

Οἵους εἶναι χρὴ τοὺς χειροτονουμένους.

ΚΕΦΑΛ. λβ'.

ΠΡροχειρίσασθε δὲ ἐπισκόπους ἀξίους τοῦ κυρίου καὶ πρεσβυτέρους καὶ διακόνους ἄνδρας εὐσεβεῖς· δικαίους· πραεῖς· ἀφιλαργύρους· φιλαλήθεις· δεδοκιμασμένους· ὁσίους· ἀπροσωπολήπτους· δυ-

δωναμῶς διδάσκειν τὸν λόγον τῆς ἀσεβείας· ὀρθοτομοῦντας ἐν τοῖς τοῦ κυρίου δόγμασιν· ὑμεῖς δὲ τιμᾶτε τούτους ὡς πατέρας ὡς κυρίους· ὡς ἀληθεῖς· ὡς τοῦ εὖ εἶναι αἰτίους· ἐλέγχετε δὲ ἀλλήλους μὴ ἐν ὀργῇ ἀλλ' ἐν μακροθυμίᾳ μετὰ χρηστότητος καὶ εἰρήνης· πάντα τὰ προσεταγμένα ὑμῖν ἀπὸ τοῦ κυρίου φυλάξατε· γρηγορεῖτε ὑπὲρ τῆς ζωῆς ὑμῶν· ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι· καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἥξει· ἑσπέρας, ἢ πρωί· ἢ ἀλεκτοροφωνίας, ἢ μεσονυκτίου· ἢ γὰρ ὥρᾳ ὃ προσδοκῶσιν, ἐλθὼν εὑρήσει ὁ κύριος· ἐὰν αὐτῷ ἀνοίξωσι, μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, ὅτι εὑρέθησαν γρηγοροῦντες· ὅτι περιζώσεται, καὶ ἀναπαυεῖ αὐτούς, καὶ παρελθὼν διακονήσει αὐτοῖς· νήφετε οὖν, καὶ προσέχεσθε μὴ ὑπνῶσαι εἰς θάνατον· ὃ γὰρ ὀνήσει ὑμᾶς τὰ πρότερα κατορθώματα· ἐὰν εἰς τὰ ἔσχατα ὑμῶν ἀποπλανηθῆτε τῆς πίστεως τῆς ἀληθοῦς.

Πρόρρησις περὶ τῶν μελλόντων.

ΚΕΦΑ'Λ. λγ'.

Ἐν γὰρ ταῖς ἐσχάταις ἡμέραις πληθυνθήσονται οἱ ψευδοπροφῆται· καὶ οἱ φθορεῖς τοῦ λόγου· καὶ στραφήσονται τὰ πρόβατα εἰς λύκους· καὶ ἡ ἀγάπη εἰς μῖσος· πληθυνθείσης γὰρ τῆς ἀνομίας ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν· μισήσουσι γὰρ ἀλλήλους οἱ ἄνθρωποι, καὶ διώξουσι καὶ προδώσουσι· καὶ τότε φανήσεται ὁ κοσμοπλάνος ὁ τῆς ἀληθείας ἐχθρός· ὁ τοῦ ψεύδους προσάτης· ὃν ὁ κύριος Ἰησοῦς ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ· ὁ δι' χειλέων ἀναιρῶν ἀσεβῆ· καὶ πολλοὶ σκανδαλισθήσονται ἐπ' αὐτῷ· οἱ δὲ ὑπομείναντες εἰς τέλος ὅτοι σωθήσονται· καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ· εἶτα φωνὴ σάλπιγγος ἔσαι δι' ἀρχαγγέλου· καὶ μεταξὺ ἀναβίωσις τῶν κεκοιμημένων· καὶ τότε ἥξει ὁ κύριος καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ ἐν συσεισμῷ ἐπάνω τῶν νεφελῶν μετ' ἀγγέλων δυνάμεως αὐτοῦ ἐπὶ θρόνου βασιλείας καταχεῖναι τὸν κοσμοπλάνον διάβολον· καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὸν πρᾶξιν αὐτοῦ· τότε ἀπελεύσονται οἱ μὲν πονηροὶ εἰς αἰώνιον κόλασιν· οἱ δὲ δίκαιοι πορεύσονται εἰς ζωὴν αἰώνιον· κληρονομοῦντες ἐκεῖνα ἃ ὀφθαλμὸς οὐκ εἶδε· καὶ οὖς οὐκ ἤκουσε· καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· καὶ χαρήσονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ τῇ ἐν Χριστῷ Ἰησοῦ· τοσούτων δὲ ἠξιωμένοι τῶν παρ' αὐτοῦ ἀγαθῶν γενόμεθα αὐτοῦ ἱκέται, ἐπικαλούμενοι αὐτὸν διὰ συνεχοῦς δεήσεως, καὶ λέγοντες.

Προσευχὴ εὐχαριστικὴ προνοίας διαφόρου.

ΚΕΦΑ'Λ. λδ'.

Ἅγιε σῶτερ ἡμῶν ὁ βασιλεὺς τῶν Θεῶν· ὁ ὢν μόνος παντοκράτωρ καὶ κύριος· ὁ Θεὸς πάντων τῶν ὄντων, καὶ Θεὸς τῶν ἁγίων καὶ ἀμέμπτων πατέρων ἡμῶν καὶ τῶν πρὸ ἡμῶν· ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· ὁ ἐλεήμων καὶ οἰκτίρμων· ὁ μακρόθυμος καὶ πολυέλεος· ᾧ πᾶσα γυμνοφανὴς βλέπεται καρδία· καὶ πᾶν κρύφιον ἐνθύμημα ἀποκαλύπτεται· πρόσσε βοῶσι ψυχαὶ δικαίων· ἐπὶ σοὶ πεποίθασιν ἐλπίδες ὁσίων· ὁ τῶν ἀμέμπτων πατήρ, ὁ τῶν μετ' ἀθυτητος ἐπικαλουμένων σε ἐπήκοος· ὁ καὶ σωτὴρ ἐπισάμενος ἐντάξεις· χωρεῖ γὰρ μέχει σπλάγχνων ἀνθρωπίνων ἡ σὴ πρόνοια· καὶ διὰ συνειδήσεως ἐρρωνᾶς ἑκάστῳ τῷ γνώμῃ· καὶ κατὰ πᾶν κλῖμα τῆς οἰκουμένης τὸ διὰ προσευχῆς καὶ λόγων ἀναπέμπεταί σοι θυμίαμα· ὁ τὸν παρόντα αἰῶνα σάδιον δικαιοσύνης ἐνισησάμενος· πᾶσι δὲ ἀνοίξας πύλιν ἐλεημοσύνης, ὑποδείξας δὲ ἑκάστῳ τῶν ἀνθρώπων διὰ τῆς ἐμφύτου γνώσεως, καὶ φυσικῆς κρίσεως, καὶ ἐκ τῆς τοῦ νόμου ὑποφωνήσεως, ὡς πλοῦτος μὲν οὐκ ἀίδιον τὸ κτῆμα· διαφερείας δὲ ἀσύναον τὸ κάλλος· δυνάμεως διάλυτος ἡ ἰσχύς· καὶ ἀτμὸς μὲν καὶ ματαιότης τὰ σώματα· μόνη δὲ συνείδησις πίστεως ἀνύπουλος διαβαίνει· διὰ μέσον οὐρανῶν μετ' ἀληθείας ἀνερχομένη· τῆς μελλούσης δόξης δεξιὰν ἀπολαμβάνει· ἅμα καὶ πρὸ τοῦ παρασταῖναι ὑπόκρισιν τῆς παλιγγενεσίας, αὐτῇ ἡ ψυχὴ τῇ ἐλπίδι γαυρουμένη ἀφραίνεται· ἐξ * ὑπαρχῆς γὰρ τοῦ προπάτορος ἡμῶν Ἀβραὰμ· μεταπονουμένου τὴν ὁδὸν τῆς ἀληθείας, ὁραματισμῷ ὡδήγησας, διδάξας ὅτι ποτέ ἐστιν ὁ αἰὼν οὗτος· καὶ τῆς μὲν πίστεως αὐτοῦ προώδευσεν ἡ γνῶσις· τῆς δὲ γνώσεως ἀκόλουθος γέγονεν ἡ πίστις· τῆς δὲ πίστεως ἰδοὺ ἐπακολούθημα ἡ σωθήκη· εἶπας γάρ, ποιήσω τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· ἀλλὰ μὴν καὶ τὸν Ἰσαὰκ αὐτῷ δωρησάμενος καὶ ὅμοιον αὐτὸν εἰδὼς ἐκείνῳ τῷ ξόπῳ, καὶ αὐτοῦ ἐπεκλήθης Θεός· εἰπών, ἔσομαί σου Θεός· καὶ τοῦ σπέρματός σου μετάσε· ἐν τῷ παξὸς ἡμῶν Ἰακὼβ ἐπὶ Μεσοποταμίαν στελλομένῳ, δείξας τὸν Χριστὸν δι' αὐτοῦ, ἐλάλησας εἰπών, ἰδοὺ ἐγώ εἰμι μετάσοῦ, καὶ αὐξανῶ σε, καὶ πληθυνῶ σε σφόδρα· καὶ ὅπως εἴπας πρὸς Μωϋσῆν τὸν πιστὸν καὶ ἅγιόν σου θεράποντα ἐπὶ τῆς ὀπτασίας τῆς βάτου, ἐγώ εἰμι ὁ ὤν· τοῦτό μοι ὄνομά ἐστιν αἰώνιον· καὶ μνημόσυνον γενεαῖς γενεῶν· ὑπέρμαχε γένους Ἀβραὰμ ἀλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Προσευχὴ εὐχαριστικὴ δημιουργίας διαφόρου.

ΚΕΦΑ'Λ λε.

Εὐλογητὸς εἶ κύριε βασιλεῦ τῶν αἰώνων· ὁ διὰ Χριστοῦ ποιήσας τὰ ὅλα· καὶ δι' αὐτοῦ ἐν ἀρχῇ κοσμήσας τὰ ἀκατασκεύαστα· ὁ διαχωρίσας ὕδατα ὑδάτων στερεώματι, καὶ πνεῦμα ζωτικὸν τούτοις ἐμβαλών· ὁ γῆν ἐδράσας, καὶ οὐρανὸν ἐκτείνας, καὶ τῷ ἑκάστου τῶν κτισμάτων ἀκεραίῳ διάταξιν κοσμήσας· σὴ γὰρ * δυνάμει δέσποτα κόσμος πεφαίδρυται· οὐρανὸς δὲ ὡς καμάρα πεπηγμένος ἠγλάϊσαι ἄστροις ἔσχεν παραμυθίας τοῦ σκότους· φῶς δὲ καὶ ἥλιος εἰς ἡμέρας καὶ καρπῶν γονὰς γεγόνασιν· σελήνη δὲ εἰς καιρῶν ξοπῷ αὐξομένη καὶ μειουμένη· καὶ νὺξ ὠνομάζετο· καὶ ἡμέρα προσηγορεύετο· στερέωμα δὲ διὰ μέσου τῶν ὑδάτων ἐδείκνυτο· καὶ εἴπας συναχθῆναι τὰ ὕδατα

ὕδατα καὶ ὀφθῶναι τῷ ξηρᾷ· αὐτῷ δὲ τῷ θάλασσαν πῶς ἄν τις ἐκφράσειεν; ἥτις ἔρχεται μὲν ἀπὸ πελάγους μανομένη· παλινδρομεῖ δὲ ἀπὸ ψάμμου τῇ σῇ προσαγῇ κωλυομένη· εἶπες γάρ, ἐν αὐτῇ σωτειβήσεσθαι αὐτῆς τὰ κύματα· ζώοις δὲ μικροῖς καὶ μεγάλοις καὶ πλοίοις παραυτῷ αὐτῷ ἐποίησας· εἶτ' ἐχλοάινετο γῆ παντοίοις ἄνθεσι καταγραφομένη· καὶ ποικιλία δενδρων διαφόρων· παμφαεῖς τε φωστῆρες τούτων τιθῶνοι ἀπαράβατον σώζοντες τὸν δολιχόν· καὶ κατ' ὁδὸν παραλλάσσοντες τῆς σῆς προσαγῆς· ἀλλ' ὅπη ἂν κελεύσῃς, ταύτῃ ἀνίσχουσι καὶ δύουσιν εἰς σημεῖα καιρῶν καὶ ἐνιαυτῶν, ἀμειβόμενοι τῷ τῶν ἀνθρώπων ὑπηρεσίαν· ἔπειτα διαφόρων ζώων κατεσκεύάζετο γένη· χερσαίων· ἐνύδρων· ἀεροπόρων· ἀμφιβίων· καὶ τῆς σῆς προνοίας ἡ ἔντεχνος σοφία τῷ κατὰλληλον ἑκάστῳ πρόνοιαν δωρεῖται· ὥσπερ γὰρ διάφορα γῆμη οὐκ ἠτόνησε παραγαγεῖν, οὕτως οὐδὲ διάφορον πρόνοιαν ἑκάστου ποιήσασθαι κατωλιγώρησε· καὶ τέλος τῆς δημιουργίας τὸ λογικὸν ζῶον τὸν κοσμοπολίτην τῇ σῇ σοφίᾳ διαταξάμενος κατεσκεύασας εἰπών, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καθ' ὁμοίωσιν ἡμετέραν, κόσμου κόσμον αὐτὸν ἀναδείξας, ἐκ μὲν τῶν τεσσάρων στοιχείων τῶν σωμάτων διαπλάσας αὐτῷ σῶμα, κατασκευάσας δ' αὐτῷ τὸ ψυχικὸν ἐκ τοῦ μὴ ὄντος, αἴσθησιν δ' αὐτῷ πενταθλον χαρισάμενος καὶ νοῦν τὸν τῆς ψυχῆς ἡνίοχον τοῖς αἰσθήσεσιν ἐπισήσας· καὶ ἐπὶ πᾶσι τούτοις δέσποτα κύριε τίς ἐπαξίως διηγήσεται νεφῶν ὀμβροτόκων φοράν· ἀστραπῆς ἔκλαμψιν· βροντῆς πάταγον εἰς ξοφῆς κατειλήλου χορηγίαν· καὶ κράσιν ἀέρων παναρμόνιον· παρακούσαντα δὲ τὸν ἄνθρωπον ἐμμίσθου ζωῆς ἐστέρησας οὐκ εἰς τὸ παντελὲς ἀφανίσας, ἀλλὰ χρόνῳ πρὸς ὀλίγον κοιμίσας, ὅρκῳ εἰς παλιγγενεσίαν ἐκάλεσας· ὅρον θανάτου ἔλυσας ὁ ζωοποιὸς τῶν νεκρῶν διὰ Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν.

Προσοχὴ μὴ ἀχαριστίας ὑπαγγέλλουσα τῷ Θεῷ τῷ περὶ τὰ ὄντα κηδεμονίαν.

ΚΕΦΑΛ. λϛ'.

ΜΕγας εἶ κύριε παντοκράτωρ, ὡς μεγάλη ἡ ἰσχύς σου καὶ τῆς σωτέσεώς σου οὐκ ἔστιν ἀριθμός· κτίσα, σωτὴρ, πλάσιε ἐν χάρισι· μακρόθυμε καὶ ἐλέους χορηγέ, ὁ μὴ ἀφισῶν τῶν σῶν κτισμάτων τὸ σωτήριον· φύσει γὰρ ἀγαθὸς ὑπάρχεις· φειδῇ δὲ ἁμαρτανόντων, εἰς μετάνοιαν προσκαλούμενος· οἰκτίρμων γάρ σου ἡ νουθέτησις· πῶς γὰρ ἄν * ὑπέσημος ἐπεγομένοις ἀπαιτούμενοι χείσιν, ὁπόταν μακροθυμούμενοι, μόλις ἀναπλώμενοι τῆς ἀσθενείας, σοῦ τὸ κράτος ἀνήγγειλαν οἱ οὐρανοὶ, καὶ γῆ κραδαινομένη, τὸ ἀσφάλειαν ἐπ' ὀδυνος χρεμαμένη· θάλασσα κυμαινομένη καὶ μυῖαν βάσκουσα ζώων ἀγέλων, πεπίδηται ἅμμῳ, τῷ σῷ βέλεσιν πεφευγυῖα· καὶ πάντας ἀναγκάζει βοᾶν, ὡς ἐμεγαλυνθη τὰ ἔργα σου κύριε· πάντα ἐν σοφία ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου· καὶ στρατὸς ἀγγέλων φλεγόμενος· καὶ πνεύματα νοερὰ λέγουσιν, εἷς ἅγιος τῷ φελμοσέ· καὶ σεραφὶμ ἅγια ἅμα τοῖς χερουβὶμ τοῖς ἑξαπτερύγοις σοι τῷ ἐπινίκιον ᾠδὴν ψάλλοντα, ἀστηπτοις φωναῖς βοῶσιν, ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαὼθ πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου· καὶ τὰ ἕτερα τῶν ταγμάτων πλήθη, ἄγγελοι· ἀρχάγγελοι· θρόνοι· κυριότητες· ἀρχαί· ἐξουσίαι· δυνάμεις· ἐπιβοῶντα λέγουσιν, εὐλογημένη ἡ δόξα κυρίου ἐκ τοῦ τόπου αὐτοῦ· * Ἰσραὴλ δὲ ἡ ἐπίγειός σου ἐκκλησία ἡ ἐξ ἐθνῶν ταῖς κατ' οὐρανὸν δυνάμεσιν ἀμιλλωμένη νυκτὶ καὶ ἡμέρᾳ ἐν καρδίᾳ πλήρει καὶ ψυχῇ θελούσῃ ψάλλει, τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες ἀγαθωσύνων, κύριος ἐν αὐτοῖς ἐν Σινᾷ ἐν τῷ ἁγίῳ· οἷδεν οὐρανὸς τὸν ἐπὶ μηδενὸς αὐτὸν καμαρώσαντα ὡς λιθόκυβον· καὶ γῆ καὶ ὕδωρ ἑαυτοῖς σώσαντα· καὶ ἀέρα ὀλαχέαντα ζωοτόφον· καὶ πῦρ τῷ πῦρ συμπλέξαντα εἰς θάλπος, καὶ σκότους παραμυθίαν· ἐκπλήσει χορὸς ἀστέρων τὸν ἀριθμήσαντα σημαίνων, καὶ τὸν ὀνομάσαντα δεικνύων· ζῶα τὸν ψυχώσαντα· δένδρα τὸν ἐκφύσαντα· ἅπερ ἅπαντα τῷ σῷ λόγῳ γενόμενα πρεπόντως τῆς σῆς δυνάμεως τὸ κράτος· διὸ καὶ ὀφείλει πᾶς ἄνθρωπος ἐξ αὐτῶν σέργων σοι διὰ Χριστοῦ τῷ ὑπὲρ πάντων ἡμῶν ἀναπέμπειν διά σε τῷ ἀπάντων κρατοῦντι· σὺ γὰρ εἶ ὁ χρηστὸς ἐν διεργεσίαις, καὶ φιλόδωρος ἐν οἰκτιρμοῖς· ὁ μόνος παντοκράτωρ· ὅτε γὰρ θέλεις, πάρεστί σοι τὸ δύνασθαι· τὸ γὰρ σὸν αἰώνιον κράτος καὶ φλόγα καταψύχει· καὶ λέοντας φιμοῖ· καὶ πύτην καταφραίνει· ἐκ νοσούντος ἐγείρει· καὶ δυνάμεις μετατρέπει· καὶ στρατὸν ἐχθρῶν, καὶ λαὸν ἀριθμούμενον ἐν τῷ ὑπερηφανεύεσθαι καταστρώννυσι· σὺ εἶ ὁ ἐν οὐρανῷ· ὁ ἐπὶ γῆς· ὁ ἐν θαλάσσῃ· ὁ ἐν περατουμένοις ὑπὸ μηδενὸς περατούμενος· τῆς γὰρ μεγαλοσύνης σου οὐκ ἔστι πέρας· μὴ γὰρ ἡμέτερόν ἐστι τὸ δέσποτα· τοῦ θεραπόντος σου ἐστὶ λόγιον φάσκοντος· καὶ γνώσῃ τῇ καρδίᾳ σου, ὅτι κύριος ὁ Θεός σου, Θεὸς ἐν οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω· καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ· οὐδὲ γάρ ἐστι Θεὸς πλὴν σοῦ μόνου· ἅγιος εἶ ἔστι πλὴν σοῦ κύριος Θεὸς γνώσεων, Θεὸς ἁγίων· ἅγιος ὑπὲρ πάντας ἁγίους· οἱ γὰρ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου εἰσίν· σὺ δόξος καὶ ὑπερυψούμενος· ἄφραστος τῇ φύσει· ἀνεξιχνίαστος κέκμασιν· ἀόρατος δεὶς ἡ ζωή· ἄῤῥεπτος καὶ ἀπελλειπὴς ἡ ὁλομονή· ἀκάματος ἡ ἐνέργεια· ἀπερίγραπτος ἡ μεγαλειότης· ἀσύγκριτος ἡ ἐξουσία· ἀπρόσιτος ἡ κατοικία· ἀμετανόητος ἡ κατασκεύωσις· ἀναρχος ἡ γνῶσις· ἀναλλοίωτος ἡ ἀλήθεια· ἀμιστόκτον τὸ ἔργον· ἀνεπιβούλευτον τὸ κράτος· ἀδιάδοχος ἡ μοναρχία· ἀπελλείπτος ἡ βασιλεία· ἀνταγώνιστος ἡ ἰσχύς· τελειόβουλος ἡ σοφία· ἀπερίγραπτος ἡ ἀγαθότης· ἀνεξιχνίαστος ἡ κρίσις· ἀνεξιχνίαστος ἡ ἀγάπη· ἀνεξιχνίαστος ἡ ἀνάπαυσις· ἀνεξιχνίαστος ἡ ἀνάπαυσις· ἀνεξιχνίαστος ἡ ἀνάπαυσις

σρατιά· σὺ γὰρ εἶ ὁ σοφίας πατήρ· ὁ δημιουργίας τῆς διὰ μεσίτου κτίσης, ὡς αἴτιος, ὁ προνοίας χορηγός· ὁ νόμων δοτήρ· ὁ ἐνδείας πληρωτής. ὁ τῷ ἀσεβῶν τιμωρός· ὁ τῷ δικαίων μισθαποδότης· ὁ τῷ Χριστῷ Θεὸς καὶ πατήρ· καὶ τῷ εἰς αὐτὸν ἀσεβούντων κύριος· ὃ ἀδιάψευστος ἡ ἐπαγγελία· ἀδωροδόκητος ἡ κρίσις· ἀμετάπιστος ἡ γνώμη· ἄπαυστος ἡ ἀσέβεια· αἰδοῖος ἡ ἀχαριστία· δι' ἣν σοι καὶ ἡ ἐπάξιος προσκύνησις ὀφείλεται παρὰ πάσης λογικῆς καὶ ἁγίας φύσεως.

Προσευχὴ ὑπομιμνήσκουσα τοῦ χρηματίσαντος Χριστοῦ ἀνθρώπησιν· καὶ τοῦ εἰς τοὺς ἁγίους διάφορον πρόνοιαν.

ΚΕΦΑΛ. κθ'.

Κύριε παντοκράτωρ, κόσμον ἔκτισας διὰ Χριστοῦ· καὶ σάββατον ὥρισας εἰς μνήμιον τούτου· ὅτι ἐν αὐτῷ κατέπαυσας ἀπὸ τῶν ἔργων εἰς μελέτην τῶν σῶν νόμων· καὶ ἑορτὰς διετάξω εἰς ἀφροσύνην τῶν ἡμετέρων ψυχῶν· ὅπως εἰς μνήμιον ἐρχόμεθα τῆς ὑπὸ σοῦ κτισθείσης σοφίας· ὡς δι' ἡμᾶς γενέσιν ὑπέστη τοῦ διὰ γυναικός· ἐπιφάνη τῷ βίῳ ἀναδεικνὺς ἑαυτὸν ἐν τῷ βαπτίσματι· ὡς Θεός ἐστι καὶ ἄνθρωπος ὁ φανείς· ἔπαθε δι' ἡμᾶς σῇ συγχωρήσει· καὶ ἀπέθανε καὶ ἀνέστη σῷ κράτει· διὸ καὶ τοῦ ἀναστάσιμον ἑορτοῦ πανηγυρίζοντες τῇ κυριακῇ, χαίρομεν ἐπὶ τῷ νικήσαντι μὲν τὸν θάνατον, φωτίσαντι δὲ ζωὴν καὶ ἀφθαρσίαν· δι' αὐτοῦ γὰρ προσηγάγου τὰ ἔθνη ἑαυτῷ εἰς λαὸν περιούσιον τὸν ἀληθινὸν Ἰσραὴλ τὸν θεοφιλῆ τὸν ὁρῶντα Θεόν· σὺ γὰρ κύριε καὶ τοὺς πατέρας ἡμῶν ἐξήγαγες ἐκ γῆς Αἰγύπτου· καὶ ἐρρύσω ἐκ καμίνου σιδηρᾶς καὶ ἐκ πηλοῦ καὶ πλινθουργίας· ἐλυτρώσω ἐκ χειρὸς Φαραὼ καὶ τῶν ὑπ' αὐτόν· καὶ διὰ θαλάσσης ὡς διὰ ξηρᾶς αὐτοὺς παρήγαγες· καὶ ἐτροποφόρησας αὐτοὺς ἐν τῇ ἐρήμῳ παντοίοις ἀγαθοῖς· νόμον αὐτοῖς ἐδωρήσω ἢ δεκαλόγιον σῇ φωνῇ φθεγχθέντα· καὶ χειρὶ καταγραφέντα· σαββατίζειν ἐνετείλω οὐ προφάσιν ἀργίας διδοὺς, ἀλλ' ἀφορμὴν εὐσεβείας εἰς γνῶσιν τῆς σῆς δυνάμεως, εἰς κώλυσιν κακῶν ὡς ἐν ἱερῷ καθείρξας περιβόλῳ διδασκαλίας χάριν, εἰς ἀγαλλίαμα ἑβδομάδος· διὰ τοῦτο ἑβδομὰς μία καὶ ἑβδομάδες ἑπτά· καὶ μὴν ἕβδομος· καὶ ἐνιαυτὸς ἕβδομος· καὶ τούτου ἀνταναχύκλησις ἰωβηλαῖος, ὅ ἐστιν ἔτος πεντηκοστὸν εἰς ἄφεσιν, ὅπως μηδεμίαν ἔχωσι πρόφασιν οἱ ἄνθρωποι ἄγνοιαν σκήψασθαι· τούτου χάριν πᾶν σάββατον ἐπέξεψεν ἀργεῖν· ὅπως μηδὲ λόγον τις ἐν ὀργῇ ἐκ τοῦ στόματος αὐτοῦ προέσθαι θελήσῃ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων· σάββατον γάρ ἐστι κατάπαυσις δημιουργίας· τελείωσις κόσμου· νόμων ζήτησις· αἶνος εἰς Θεὸν εὐχάριστος, ὑπὲρ ὧν ἀνθρώποις ἐδωρήσατο· ὧν ἁπάντων ἡ κυριακὴ προεύχουσα αὐτὴν τὴν μεσίτου, τὴν προνοητικὴν, τὸν νομοθέτου, τὸν ἀναστάσεως αἴτιον, τὸν πρωτότοκον πάσης κτίσεως, τὸν Θεὸν λόγον, καὶ ἄνθρωπον, τὸν ἐκ Μαρίας γεννηθέντα μόνον δίχα ἀνδρὸς, τὸν πολιτευσάμενον ὁσίως, τὸν σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου, καὶ ἀποθανόντα, καὶ ἀναστάντα ἐκ νεκρῶν ὑπαδεικνύουσα, ὡς κυριακὴ παρακελεύεται, σοὶ δέσποτα τῷ ὑπὲρ πάντων εὐχαριστίαν προσφέρειν· αὕτη γὰρ ἡ ὑπὸ σοῦ παραχθεῖσα χάρις· ἥτις διὰ μεγέθους πᾶσαν ἐνεργείαν ἐκάλυψεν.

Προσευχὴ περιέχουσα μνήμιον προνοίας καὶ ἀπαριθμησιν ἐνεργειῶν διαφόρων τοῦ προνοίᾳ Θεοῦ διὰ Χριστοῦ παραχθεισῶν τοῖς ἁγίοις.

ΚΕΦΑΛ. λ'.

Ὁ τὰς ἐπαγγελίας τὰς διὰ τοῦ προφήτου πληρώσας· καὶ ἐλεήσας τὸν Σιών· καὶ οἰκτειρήσας τὸν Ἱερουσαλὴμ τῷ τὸν θρόνον Δαβὶδ τοῦ παιδός σου ἀνυψῶσαι ἐν μέσῳ αὐτῆς τῇ χρυσέᾳ τοῦ Χριστοῦ τοῦ ἐκ σπέρματος αὐτοῦ τὸ κατὰ σάρκα γεννηθέντος ἐκ μόνης παρθένου· αὐτὸς καὶ νῦν δέσποτα ὁ Θεὸς, πρόσδεξαι τὰς διὰ χειλέων δεήσεις τοῦ λαοῦ σου τοῦ ἐξ ἐθνῶν τοῦ ἐπικαλουμένου σε ἐν ἀληθείᾳ, καθὼς προσεδέξω τὰ δῶρα τοῦ δικαίου ἐν ταῖς χρυσαῖς αὐτοῦ· Ἄβελ ἐν προθύμοις τῇ θυσίᾳ ἐπεῖδες καὶ προσεδέξω· Νῶε ἐξελθόντος τῆς κιβωτοῦ· Ἀβραὰμ μετὰ τὸ ἐξελθεῖν ἐκ γῆς Χαλδαίων· Ἰσαὰκ ἐν τῷ φρέατι τοῦ ὅρκου· Ἰακὼβ ἐν Βηθλεέμ· Μωσέως ἐν τῇ ἐρήμῳ· Ἀαρὼν ἀνὰ μέσον τῶν ζώντων καὶ τῶν τεθνεώτων· Ἰησοῦ τοῦ Ναυῆ ἐν Γαλγάλοις· Γεδεὼν ἐπὶ τῆς πέτρας καὶ τῶν πόκων πρὸ τῆς ἁμαρτίας· Μανωὲ καὶ τῆς αὐτοῦ γυναικὸς ἐν τῷ πεδίῳ· Σαμψὼν ἐν τῷ δίψει πρὸ τῆς πλημμελείας· Ἰεφθάε ἐν τῷ πολέμῳ πρὸ τῆς ἀχρείου ἐπαγγελίας· Βαρὰκ καὶ Δεββόρας ἐπὶ τοῦ Σισάρα· Σαμουὴλ ἐν Μασπφᾷ· Δαβὶδ ἐν ἅλῳ Ὀρνᾶ τοῦ Ἰεβουσαίου· Σολομῶνος ἐν Γαβαὼν καὶ ἐν Ἱερουσαλήμ· Ἠλίου ἐν τῷ ὄρει τῷ Καρμηλίῳ· Ἐλισαίου ἐπὶ τῆς ἀτεκνούσης πηγῆς· Ἰωσαφὰτ ἐν πολέμῳ· Ἐζεκίου ἐν ἀῤῥωστίᾳ καὶ ἐπὶ τοῦ Σενναχηρείμ· Μανασσῆ, ἐν γῇ Χαλδαίων μετὰ τὴν πλημμέλειαν· Ἰωσίου ἐν τῷ Φασσᾷ· Ἔσδρα ἐν τῇ ἐπανόδῳ· Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων· Ἰωνᾶ ἐν τῇ κοιλίᾳ τοῦ κήτους· τῶν τριῶν παίδων ἐν τῇ καμίνῳ τοῦ πυρός· Ἄννης ἐν τῇ σκιρτήσει ἐνώπιον τοῦ κυρίου· Νεεμίου ἐπὶ τῇ ἀνεγέρσει τῶν τειχῶν καὶ τοῦ Ζοροβάβελ. Ματταθίου καὶ τῶν υἱῶν αὐτοῦ ἐν τῷ ζήλῳ σου· Ἰαβὴλ, ἐν ἀλλογίαις· καὶ νῦν δὲ πρόσδεξαι τὰς τοῦ λαοῦ σου προσευχὰς μετ' ἐπιγνώσεώς σοι διὰ Χριστοῦ προσφερομένας ἐν τῷ πνεύματι.

Προσευχὴ ἀντιλήψεως δικαίων.

ΚΕΦΑΛ. λθ'.

Εὐχαριστοῦμέν σοι περὶ πάντων δέσποτα παντοκράτωρ, ὅτι οὐκ ἐγκατέλιπες τὸ ἐλέησον καὶ τοὺς οἰκτιρμούς σου ἀφ' ἡμῶν· ἀλλὰ καθ' ἑκάστην γενεὰν καὶ γενεὰν σώζεις· ῥύῃ· ἀντιλαμβάνῃ· σκεπάζεις· ἀντελάβου γὰρ ἐν ἡμέραις Ἐνώς, καὶ Ἐνὼχ, ἐν ἡμέραις Μωσῆ, καὶ Ἰησοῦ.

σου· ἐν ἡμέραις τῶν κριτῶν· ἐν ἡμέραις Σαμουὴλ, καὶ Ἠλία, καὶ τῶν προφητῶν· ἐν ἡμέραις Δαβὶδ καὶ τῶν βασιλέων· ἐν ἡμέραις Ἐσθὴρ καὶ Μαρδοχαίου· ἐν ἡμέραις Ἰουδείθ· ἐν ἡμέραις Ἰούδα Μακκαβαίου καὶ τῶν ἀδελφῶν αὐτοῦ· καὶ ἐν ταῖς ἡμέραις ἡμῶν ἀντελάβου ἡμῶν διὰ τοῦ μεγάλου σου ἀρχιερέως Ἰησοῦ Χριστοῦ τοῦ παιδός σου· καὶ ἀπὸ μαχαίρας γὰρ ἐῤῥύσατο, καὶ ἐκ λιμοῦ ἐξείλατο διαθρέψας· ἐκ νόσου ἰάσατο· ἐκ γλώσσης πονηρᾶς ἐσκέπασε· περὶ πάντων σοι διὰ Χριστοῦ εὐχαριστοῦμεν· ὁ καὶ φωνὴν ἔναρθρον εἰς ἐξομολόγησιν δωρησάμενος· καὶ γλῶσσαν εὐάρμοστον δίκην πλήκτρου ὡς ὄργανον ὑποθείς· καὶ γεῦσιν πρόσφορον· καὶ ἀφὴν κατάλληλον· καὶ ὅρασιν θέας· καὶ ἀκοὴν φωνῆς· καὶ ὄσφρησιν ἀτμῶν· καὶ χεῖρας εἰς ἔργον· καὶ πόδας πρὸς ὁδοιπορίαν· καὶ ταῦτα πάντα ἐκ μικρᾶς σταγόνος διαπλάττεις ἐν μήτρᾳ· καὶ ψυχὴν ἀθάνατον μετὰ τὴν μόρφωσιν χαρίζῃ· καὶ προάγεις εἰς φῶς· τὸ λογικὸν ζῶον τὸν ἄνθρωπον νόμοις ἐπαίδευσας· δικαιώμασιν ἐφαίδρυνας· πρὸς ὀλίγον ἐπάγων διάλυσιν, τὴν ἀνάστασιν ἐπηγγείλω· ποῖος τοιγαροῦν αὐτάρκης βίος; αἰώνων δὲ μῆκος πόσον διαρκέσει ἀνθρώποις πρὸς εὐχαριστίαν; ἢ τὸ μὲν πρὸς ἀξίαν ἀδύνατον, τὸ δὲ κατὰ δύναμιν εὐαγές· ἐῤῥύσω γὰρ ἀσεβείας πολυθέων, καὶ χριστοκτόνων αἱρέσεως ἐξείλω· πεπλανημένης ἀγνοίας ἠλευθέρωσας· τὸν Χριστὸν ἀπέστειλας εἰς ἀνθρώπους ὡς ἄνθρωπον, Θεὸν ὄντα μονογενῆ· τὸν παράκλητον ἐνῴκισας ἡμῖν· ἀγγέλους ἐπέστησας· τὸν διάβολον ἤσχυνας· οὐκ ὄντας ἐποίησας· γενομένους φυλάσσεις· ζωὴν ἐπιμετρεῖς· χορηγεῖς τροφήν· μετάνοιαν ἐπηγγείλω· ὑπὲρ ἁπάντων σοι ἡ δόξα καὶ τὸ σέβας διὰ Ἰησοῦ Χριστοῦ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας ἀμήν· ταῦτα μελετᾶτε ἀδελφοί· καὶ εἴη ὁ κύριος μεθ' ὑμῶν ἐπὶ γῆς καὶ ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτοῦ, τοῦ καὶ αὐτὸν ἀποστείλαντος, καὶ ἡμᾶς δι' αὐτοῦ ἐλευθερώσαντος ἐκ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης· καὶ ζωὴν ἐπαγγειλαμένου τοῖς δι' αὐτοῦ πιστεύσασιν εἰς τὸν τῶν ὅλων Θεόν· ὅπως μὲν οὖν ὀφείλουσι ζῆν οἱ κατὰ Χριστὸν μεμνημένοι, καὶ οἵας εὐχαριστίας ἀναπέμπειν τῷ Θεῷ διὰ Χριστοῦ εἴρηται διὰ τῶν προλαβόντων· δίκαιον δὲ, μηδὲ τοὺς ἀμυήτους καταλιπεῖν ἀβοηθήτους.

Ὅπως χρὴ τοὺς κατηχουμένους στοιχειοῦσθαι.

ΚΕΦΑ'Λ. μ'.

Ὁ Μέλλων τοίνυν κατηχεῖσθαι τὸν λόγον τῆς εὐσεβείας, παιδεύεσθω πρὸ τοῦ βαπτίσματος τὴν περὶ τοῦ ἀγενήτου γνῶσιν· τὴν περὶ υἱοῦ μονογενοῦς ἐπίγνωσιν· τὴν περὶ τοῦ ἁγίου πνεύματος πληροφορίαν· μανθανέτω δημιουργίας διαφόρου τάξιν· προνοίας εἱρμόν· νομοθεσίας διαφόρου δικαιωτήρια παιδεύεσθω διατὶ κόσμος γέγονε· καὶ δι' ὃ κοσμοπολίτης ὁ ἄνθρωπος κατέστη· ἐπιγινωσκέτω τὴν ἑαυτοῦ φύσιν, οἵα τις ὑπάρχει· παιδεύεσθω ὅπως ὁ Θεὸς τοὺς πονηροὺς ἐκόλασεν ὕδατι καὶ πυρί· τοὺς δ' ἁγίους ἐδόξασε καθ' ἑκάστην γενεάν· λέγω δὴ τὸν Σήθ· τὸν Ἐνώς· τὸν Ἐνώχ· τὸν Νῶε· τὸν Ἀβραὰμ καὶ τοὺς ἐκγόνους αὐτοῦ· τὸν Μελχισεδέκ· καὶ τὸν Ἰώβ· καὶ τὸν Μωσέα· Ἰησοῦν τε, καὶ Χαλέβ· καὶ Φινεὲς τὸν ἱερέα· καὶ τοὺς καθ' ἑκάστην γενεὰν ὁσίους· ὅπως τε προνοούμενος οὐκ ἀπεστράφη ὁ Θεὸς τὸ τῶν ἀνθρώπων γένος· ἀλλὰ ἀπὸ πλάνης καὶ ματαιότητος εἰς ἐπίγνωσιν ἀληθείας ἐκάλει κατὰ διαφόρους καιροὺς, ἀπὸ τῆς δουλείας καὶ ἀσεβείας εἰς ἐλευθερίαν καὶ εὐσέβειαν ἐπανάγων· ἀπὸ ἀδικίας εἰς δικαιοσύνην· ἀπὸ θανάτου αἰωνίου εἰς ζωὴν ἀΐδιον· ταῦτα καὶ τὰ τούτοις ἀκόλουθα μανθανέτω ἐν τῇ κατηχήσει ὁ προσιών· προσκυνείτω δὲ ὁ χειροθετῶν αὐτὸν τὸν Θεὸν τὸν τῶν ὅλων δεσπότην, εὐχαριστῶν ὑπὲρ τοῦ πλάσματος· ὅτι κατέπεμψε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ Χριστόν· ἵνα σώσῃ τὸν ἄνθρωπον ἐξαλείψας τὰς ἀνομίας· καὶ ἵνα ἀφῇ τὰς ἀσεβείας καὶ τὰς ἁμαρτίας· καὶ καθαρίσῃ ἀπὸ πάντος μολυσμοῦ σαρκὸς καὶ πνεύματος· ἁγιάσῃ δὲ τὸν ἄνθρωπον κατ' εὐδοκίαν τῆς χρηστότητος αὐτοῦ· συνετίσῃ δὲ τὸ θέλημα αὐτοῦ· καὶ φωτίσῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας αὐτοῦ εἰς κατανόησιν τῶν θαυμασίων αὐτοῦ· γνωρίσῃ αὐτῷ· τὰ κρίματα τῆς δικαιοσύνης· ὅπως ἂν μισήσῃ πᾶσαν ὁδὸν ἀδικίας· πορεύηται δὲ τὴν ὁδὸν τῆς ἀληθείας εἰς τὸ καταξιωθῆναι αὐτὸν τοῦ λουτροῦ τῆς παλιγγενεσίας εἰς υἱοθεσίαν τὴν ἐν Χριστῷ· ἵνα σύμφυτος γενόμενος τῇ ὁμοιότητι τοῦ θανάτου τοῦ Χριστοῦ ἐπ' ἐλπίδι τῆς ἐνδόξου κοινωνίας, νεκρωθῇ μὲν τῇ ἁμαρτίᾳ, ζήσῃ δὲ τῷ Θεῷ κατά τε νοῦν καὶ λόγον καὶ πρᾶξιν· καὶ ἐν τῷ βιβλίῳ τῶν ζώντων συναριθμηθῇ· καὶ μετὰ τὴν εὐχαριστίαν ταύτην παιδευσάτω αὐτὸν τὰ περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως· τά τε περὶ τοῦ πάθους αὐτοῦ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ ἀναλήψεως.

Διάταξις ὅπως χρὴ τοὺς κατηχουμένους ὑπὸ τῶν ἱερέων ἐν τῇ μυήσει εὐλογεῖσθαι, καὶ τίνα διδάσκεσθαι αὐτούς·

ΚΕΦΑ'Λ. μα'.

Καὶ ὅταν ᾖ πρὸς αὐτὸ λοιπὸν τὸ βαπτισθῆναι ὁ κατηχηθεὶς, μανθανέτω τὰ περὶ τῆς ἀποταγῆς τοῦ διαβόλου· καὶ τὰ περὶ τῆς συνταγῆς τοῦ Χριστοῦ· δεῖ γὰρ αὐτὸν πρῶτον μὲν ἀποσχέσθαι τῶν ἐναντίων, καὶ τότε ἐντὸς γενέσθαι τῶν μυστηρίων, προκαθάραντα ἑαυτοῦ τὴν καρδίαν πάσης κακοηθείας, σπίλου τε καὶ ῥυτίδος· καὶ τότε τῶν ἁγίων μεταλαχεῖν· ὡς γὰρ γεωργὸς ἄριστος ἐκκαθαίρει τὴν ἄρουραν πρότερον τῶν * ὑπερφυουσῶν ἐν αὐτῇ ἀκανθῶν, καὶ τότε σπείρει * ὑπερπεσῶν τὸν πυρὸν, οὕτω δεῖ καὶ ὑμᾶς πρότερον πᾶσαν ἀσέβειαν ἐξελόντας ἀπ' αὐτῶν, τότε τὴν εὐσέβειαν αὐτοῖς ἐγκαταβάλλεσθαι· καὶ τοῦ βαπτίσματος ἀξιῶσαι· καὶ γὰρ καὶ ὁ κύριος ἡμῶν οὕτως ἡμῖν παρῄνεσεν εἰπὼν, μαθητεύσατε πρότερον πάντα τὰ ἔθνη· καὶ τότε ἐπήγαγε, τὸ, καὶ βαπτίσατε αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ἀπαγγελλέτω οὖν ὁ βαπτιζόμενος ἐν τῷ ἀποτάσσεσθαι.

Α'ποταγὴ πρὸς τὸν Σναντίον καὶ σωταγὴ πρὸς τὸν Χεισὸν τῦ Θεῦ.

ΚΕΦΑ'Λ. μβ.

Α'Ποτάσσομαι τῷ Σατανᾷ καὶ τοῖς ἔργοις αὐτῦ καὶ τοῖς πομπαῖς αὐτῦ· καὶ τοῖς λατρείαις αὐτῦ· καὶ τοῖς ἀγγέλοις αὐτῦ· καὶ ταῖς ἐφευρέσεσιν αὐτῦ· καὶ πᾶσι τοῖς ὑπ' αὐτὸν· μ᷊ δὲ τινὶ ἀποταγνὺς σωτασσόμενος λεγέτω, ὅτι καὶ συντάσσωμαι τῷ Χεισῷ· καὶ πιστεύω· καὶ βαπτίζομαι εἰς Σἷα ἀγέννητον μόνον ἀληθινὸν Θεὸν παντοκράτορα τὸν πατέρα τῦ Χεισῦ· κτίστην καὶ δημιουργὸν τῆς ἁπάντων· ἐξ ὧν τὰ πάντα· καὶ εἰς τὸν κύριον Γησῦν τὸν Χεισὸν τὸν μονογενῆ αὐτῦ υἱόν, τὸν πρωτότοκον πάσης κτίσεως, τὸν πρὸ αἰώνων δόξῃ τῦ πατρὸς γεννηθέντα ἀ κτισθέντα· δι' οὗ τὰ πάντα ἐγένετο τὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς, ὁρατά τε καὶ ἀόρατα· τὸν ἐπ' ἐσχάτων ἡμερῶν καταλθόντα ἐξ οὐρανῶν, καὶ σάρκα ἀναλαβόντα· καὶ ἐκ τῆς ἁγίας παρθένε Μαρίας γενόμενον· ὁσίως κατὰ τὸς νόμος τῦ Θεῦ καὶ πατρὸς αὐτῦ· καὶ σταυρωθέντα ἐπὶ Ποντίε Πιλάτε καὶ ἀποθανόντα ὑπὲρ ἡμῶν· καὶ ἀναστάντα ἐκ νεκρῶν μ᷊ τὸ παθεῖν τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀνελθόντα εἰς τὸς οὐρανὸς καὶ καθεσθέντα ἐν δεξιᾷ τῦ πατρός· καὶ πάλιν ἐρχόμενον ἐπὶ συντελείᾳ τῦ αἰῶνος μ᷊ δόξης κρίναι ζῶντας καὶ νεκρὸς, ἀ τῆς βασιλείας οὐκ ἔσαι τέλος· βαπτίζομαι καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τετέστι τὸν παράκλητον, τὸ ἐνεργῆσαν ἐν πᾶσιν τοῖς ἀπ' αἰῶνος ἁγίοις, ὕστερον δὲ ἀποσταλὲν καὶ τοῖς ἀποστόλοις * παρὰ τῦ πατρὸς κατὰ τὴν ἐπαγγελίαν τῦ σωτῆρος ἡμῶν καὶ κυρίε Γησῦ Χεισῦ, καὶ μ᷊ τὸς ἀποστόλος δὲ πᾶσι τοῖς πιστεύσιν ἐν τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ εἰς σαρκὸς ἀνάστασιν· καὶ εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ εἰς βασιλείαν οὐρανῶν· καὶ εἰς ζωὴν τῦ μέλλοντος αἰῶνος· καὶ μ᷊ τὴν ἐπαγγελίαν ταύτην κατ' ἀκολθίαν ἔρχεται καὶ εἰς τὴν τῦ ἐλαίε χρίσιν.

* ἡμῶν

Περὶ χρίσματος τῦ μυστικῦ ἐλαίε διάχρεισία.

ΚΕΦΑ'Λ. μγ'.

Ε'Υλογεῖται δὲ τῦτο παρὰ τῦ ἀρχιερέως εἰς ἄφεσιν ἁμαρτιῶν καὶ προκατασκθὴν τῦ βαπτίσματος· ἐπικαλεῖται γὰρ ὕπω τὸν ἀγνώνητον Θεόν· τὸν πατέρα τῦ Χεισῦ· τὸν βασιλέα πάσης αἰθητῆς καὶ νοητῆς φύσεως, ἵνα ἁγιάσῃ τὸ ἔλαιον τῷ ὀνόματι τῦ κυρίε Γησῦ· καὶ δώσῃ χάριν πνεματικὴν καὶ δύναμιν ἐνεργητικήν· ἄφεσίν τε ἁμαρτιῶν· καὶ προπαρασκθὴν ὁμολογίας βαπτίσματος, ὥστε τὸν χριόμενον ἀπολυθῆναι πάσης ἀσεβείας, ἄξιον γενέσθαι τῆς μυήσεως κατ' ἐντολὴν τῦ μονογενῦς.

Περὶ τῦ μυστικῦ ὕδατος διάχρεισία.

ΚΕΦΑ'Λ. μδ'.

Ε'Γγὺς ἔρχεται εἰς τὸ ὕδωρ· διλογεῖ καὶ δοξάζει τὸν δεσπότην Θεὸν τὸν παντοκράτορα, τὸν πατέρα τῦ μονογενῦς Θεῦ διάχρεισῶν ὁ ἱερεύς· ὅτι ἀπέστειλεν ἐνανθρωπῆσαι τὸν υἱὸν αὐτῦ δι' ἡμᾶς, ἵνα ἡμᾶς σώσῃ· ὅτι ἠθέλετο τῆς ἐνανθρωπήσεως ὑπήκοον αὐτὸν γενέσθαι ἐν πᾶσι· κηρύξαι βασιλείαν οὐρανῶν· ἄφεσιν ἁμαρτιῶν· νεκρῶν ἀνάστασιν· ἐπὶ τούτοις προσκυνεῖ αὐτὸν τὸν μονογενῆ Θεὸν μετ' αὐτὸν καὶ δι' αὐτὸν διάχρεισῶν αὐτῷ τῷ ἀναδέξασθαι αὐτὸν τὸν ὑπὲρ πάντων θάνατον διὰ τῦ σταυρῦ, ἀ τύπον ἔδωκε τὸ βάπτισμα τῆς σταλιγγενεσίας· δοξάζεται ὅτι ἐν τῷ ὀνόματι τῦ Χεισῦ Θεὸς ὁ τῆς ὅλων κύριος ἐν ἁγίῳ πνεύματι ἐκ ἀπέρριψε τὸ τῆς ἀνθρώπων γένος· ἀλλὰ διαφόροις καιροῖς διαφόρως προνοίας ἐποιήσατο· τότε Α'δὰμ αὐτῷ ἐν παραδείσῳ πρῶτον μὲν ξυφῆς λόγῳ τὸν παράδεισον οἰκητήριον δύς· ἔπειτα προνοίας λόγῳ ἐντολὴν ποιησάμενος· ἁμαρτῶντι δὲ δικαιοσύνῃ ἐζώσας· ἀγαθότητι δὲ μὴ ἀπορρίψας εἰς τὸ παντελὲς, ἀλλὰ καὶ τὸς ἐξ αὐτοῦ κατὰ διαδοχὴν διαφόρως παιδεύσας· δι' ὃν ἐπὶ τὸ τέρμα τοῦ αἰῶνος ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἄνθρωπον γενέσθαι δι' ἀνθρώπους, καὶ πάντα τὰ ἀνθρώπινα πάθη ἀναδέξασθαι χωρὶς ἁμαρτίας· αὐτὸν οὖν καὶ νῦν παρακαλείτω ὁ ἱερεὺς πρὸς τῷ βαπτίσματι· καὶ λεγέτω ὅτι, κάτιδε ἐξ οὐρανοῦ, καὶ ἁγίασον τὸ ὕδωρ τῦτο· δὸς δὲ χάριν καὶ δύναμιν ὥστε τὸν βαπτιζόμενον, κατ' ἐντολὴν τῦ Χεισῦ σε αὐτῷ συσταυρωθῆναι· καὶ συναποθανεῖν· καὶ συνταφῆναι· καὶ συναναστῆναι εἰς υἱοθεσίαν τινὰ ἐν αὐτῷ, τῷ νεκρωθῆναι μὲν τῇ ἁμαρτίᾳ, ζῆσαι δὲ τῇ δικαιοσύνῃ· καὶ μ᷊ τῦτο βαπτίσας αὐτὸν ἐν τῷ ὀνόματι τῦ πατρὸς καὶ τῦ υἱῦ καὶ τῦ ἁγίε πνεύματος, χρισάτω μύρῳ ἐπιλέγων.

Περὶ τοῦ μυστικοῦ μύρου διάχρεισία.

ΚΕΦΑ'Λ. με.

Κ'ύριε ὁ Θεὸς ὁ ἀγνώνητος καὶ ἀδέσποτος, ὁ τῆς ὅλων κύριος, ὁ τινὶ ὀσμῇ τῆς γνώσεως τῦ ἀγγελίε ἐν πᾶσι τοῖς ἔθνεσιν εὐωδίαν παραχώμενος· σὺ καὶ νῦν τῦτο τὸ μύρον δὸς ἐνεργὲς γενέσθαι ἐπὶ τῷ βαπτιζομένῳ, ὥστε βεβαίαν καὶ πάγιον ἐν αὐτῷ τινὶ διάθεσιν μεῖναι τῦ Χεισῦ σε· καὶ συναποθανόντα αὐτὸν συναναστῆναι καὶ συζῆσαι αὐτῷ· ταῦτα καὶ τὰ τούτοις ἀκόλθα λεγέτω· ἐκάστε γὰρ ἡ δύναμις τῆς χειροθεσίας ἐστὶν αὕτη· ἐὰν γὰρ μὴ εἰς ἕκαστον τούτων ἐπίκλησις γένηται παρὰ τῦ διαβεβῦς ἱερέως τοιαύτη τις, εἰς ὕδωρ μόνον καταβαίνει ὁ βαπτιζόμενος, ὡς Γουδαῖοι· καὶ ἀποτίθεται * μόνον τὸν ῥύπον τῦ σώματος· ἀ τὸν ῥύπον τῆς ψυχῆς· μ᷊ τῦτο ἐκὼς προσδεχέσθω τινὶ διάχρεισιν ᾗ ἐδίδαξεν ἡμᾶς ὁ κύριος· ἀναγκαίως δὲ τὸν ἀνασάντα δεῖ ἐκάναι καὶ προσδέχεσθαι διὰ τὸ τὸν ἐγειρόμενον ὄρθιον εἶναι· καὶ αὐτὸς ἂν συναποθανὼν τῷ Χεισῷ καὶ συνεγερθεὶς σπεύδετω· προσδεχέσθω δὲ κατὰ ἀνατολὰς, καὶ γὰρ καὶ τῦτο γέγραπται ἐν τῇ δευτέρᾳ τῆς παραλειπομένων, ὅτι μ᷊ τὸ συντελεσθῆναι τὸν ναὸν τῦ κυρίε ὑπὸ τῦ βασιλέως Σολομῶνος, ἐν αὐτῷ τῷ ἐγκαινισμῷ οἱ ἱερεῖς καὶ οἱ Λευῖται, καὶ οἱ ψαλτῳδοὶ μ᷊ κυμβάλων καὶ ψαλτηρίων εἰσήκεισαν κατὰ ἀνατολὰς αἰνοῦντες καὶ ἐξομολογούμενοι καὶ λέγοντες· αἰνεῖτε τὸν κύριον ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτῦ.

* Hæc paraxesim ut videntur, ita, simpliciter talia sunt; atque in ἀγνώνητος καὶ ἀδέσποτος ministri, de quo dicetur infra, referenda erunt.

Προ-

Προσλχὴ τῆς νεοτελῶν.

ΚΕΦΑΛ. με'.

ΠΡοσλχέσθω δὲ ταῦτα μετὰ τὴν πρωτέραν λέγων· ὁ Θεὸς ὁ παντοκράτωρ ὁ πατὴρ τοῦ Χεισθοῦ τοῦ μονογενοῦς υἱοῦ σου δός μοι σῶμα ἄσπιλον· καρδίαν καθαράν· νοῦν γρήγορον, γνῶσιν ἀπλανῆ· πνεύματος ἁγίου ἐπιφοίτησιν πρὸς κτῆσιν καὶ πληροφορίαν τῆς ἀληθείας διὰ τοῦ Χεισθοῦ σου· δι' οὗ σοι δόξα ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας ἀμήν.

Τίνας πέμποντες ἐχειροτόνησαν οἱ ἅγιοι ἀπόστολοι.

ΚΕΦΑΛ. μζ'.

ΤΑῦτα καὶ περὶ τῆς κατηχουμένων δίκαιον ἡγησάμεθα διατάξασθαι· περὶ δὲ τῆς ὑφ' ἡμῶν χειροτονηθέντων ἐπισκόπων ἐν τῇ ζωῇ τῇ ἡμετέρᾳ γνωρίζομεν ὑμῖν, ὅτι εἰσὶν ὧδε. Ἱεροσολύμων μὲν Ἰάκωβος, ὁ τοῦ κυρίου ἀδελφός· ὃν τελευτήσαντος δεύτερος Συμεὼν ὁ τοῦ Κλεόπα· μεθ' ὃν τρίτος Ἰούδας Ἰακώβου· Καισαρείας δὲ τῆς Παλαισίνης πρότερον μὲν Ζακχαῖος ὁ ποτὲ τελώνης· μεθ' ὃν Κορνήλιος· καὶ τρίτος Θεόφιλος· Ἀντιοχείας δὲ Εὐόδιος μὲν ὑπ' ἐμοῦ Πέτρου· Ἰγνάτιος δὲ ὑστερος Παύλου· τῆς δὲ Ἀλεξανδρέων Ἀννιανὸς πρῶτος ἀπὸ Μάρκου τοῦ εὐαγγελιστοῦ κεχειροτόνηται· δεύτερος δὲ Ἀβίλλιος ὑπὸ Λουκᾶ καὶ αὐτοῦ εὐαγγελιστοῦ· τῆς δὲ Ῥωμαίων ἐκκλησίας Λῖνος μὲν ὁ Κλαυδίας πρῶτος ὑστερος Παύλου· Κλήμης δὲ μετὰ τὸν Λίνου θάνατον ὑπ' ἐμοῦ Πέτρου δεύτερος κεχειροτόνηται· τῆς δὲ Ἐφέσου Τιμόθεος μὲν ὑπὸ Παύλου, Ἰωάννης δὲ ὑπ' ἐμοῦ Ἰωάννου· Σμύρνης δὲ Ἀγάθων πρῶτος· μεθ' ὃν * Σπαταίας ὁ Λωΐδος, καὶ τρίτος Ἀγάθων· Περγάμου δὲ Γάϊος· καὶ Φιλαδελφείας Δημήτριος ὑπ' ἐμοῦ· ὑπὸ δὲ Παύλου Λούκιος Κεγχρεῶν· καὶ τῆς Κρήτης Τίτος· Διονύσιος δὲ ἐν Ἀθήναις· τῆς δὲ ἐν Φοινίκῃ Τριπόλεως Μαραθόνης· τῆς δὲ ἐν Φρυγίᾳ Λαοδικείας Ἄρχιππος· Κολασσαέων δὲ Φιλήμων· Βεροίας δὲ τῆς κατὰ Μακεδονίαν Ὀνήσιμος ὁ Φιλήμονος· Κρήσκης δὲ τῆς κατὰ Γαλατίαν ἐκκλησιῶν, Ἀκύλας δὲ καὶ Νικήτης τῆς κατὰ Ἀσίαν παροικιῶν· Κύπρος δὲ τῆς κατὰ Αἴγιναν ἐκκλησίας ὅτοι οἱ ὑφ' ἡμῶν ἐπισκοπηθέντες τὰς ἐν κυρίῳ παροικίας· ὧν τῆς διδασκαλίας μνημονεύοντες πάντοτε παραφυλάσσεσθε τὰς ἡμετέρας λόγους· καὶ εἴη ὁ κύριος μεθ' ὑμῶν νῦν τε καὶ εἰς τοὺς ἀπεράντους χρόνους, ὡς αὐτὸς εἰρηκὼς ἡμῖν μέλλων ἀναλαμβάνεσθαι πρὸς τὸν ἑαυτοῦ Θεὸν καὶ πατέρα· ἰδοὺ γὰρ φησὶν, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος, ἀμήν.

Προσλχὴ ἑωθινή.

ΚΕΦΑΛ. μή.

ΔΟξα ἐν ὑψίστοις Θεῷ· καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία· αἰνέσωμέν σε· ὑμνήσωμέν σε· εὐλογήσωμέν σε· προσκυνήσωμέν σε διὰ τοῦ μεγάλου ἀρχιερέως σὲ τὸν ὄντα Θεόν, ἀγήρατον εἶναι· ἀπρόσιτον μόνον· διὰ τοῦ μεγάλου σου δόξου κύριε βασιλεῦ ἐπουράνιε· Θεὲ πάτερ παντοκράτωρ· κύριε ὁ Θεὸς ὁ πατὴρ τοῦ Χεισθοῦ τοῦ ἀμώμου ἀμνοῦ· ὃς αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου προσδέξαι τὴν δέησιν ἡμῶν· ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ· ὅτι σὺ μόνος ἅγιος· σὺ μόνος κύριος Ἰησοῦς Χεισθὸς τοῦ Θεοῦ πατρὸς ἀγήρατος φύσεως, τοῦ Βασιλέως ἡμῶν· δι' οὗ σοι δόξα, τιμὴ, σέβας.

Ἑσπερινός.

ΚΕΦΑΛ. μθ'.

ΑΙνεῖτε παῖδες κύριον· αἰνεῖτε τὸ ὄνομα κυρίου· αἰνέσωμέν σε· ὑμνήσωμέν σε· εὐλογήσωμέν σε διὰ τοῦ μεγάλου σου δόξου· κύριε βασιλεῦ ὁ πατὴρ τοῦ Χεισθοῦ τοῦ ἀμώμου ἀμνοῦ, ὃς αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου· σοὶ πρέπει αἶνος· σοὶ πρέπει ὕμνος· σοὶ δόξα πρέπει τῷ Θεῷ καὶ πατρὶ διὰ τοῦ υἱοῦ ἐν πνεύματι τῷ ἁγίῳ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν· νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου· ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Εὐχὴ ἐπ' ἀέρα.

ΚΕΦΑΛ. ν'.

ΕΥλογητὸς εἶ κύριε ὁ ῥέφων με ἐκ νεότητός μου. ὁ διδοὺς τροφὴν πάσῃ σαρκί· πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν· ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθὸν ἐν Χεισθῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· δι' οὗ σοι δόξα, τιμὴ, καὶ κράτος, εἰς τοὺς αἰῶνας, ἀμήν.

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

Περὶ χαεισμάτων, καὶ χειροτονιῶν, καὶ κανόνων ἐκκλησιαστικῶν.

Τίνων χάειν ἐπιτελῦνται αἱ τοῦ σημείων δυνάμεις.

ΚΕΦΑΛ. ά.

ΤΟῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χεισοῦ τὸ μέγα τῆς ἀσεβείας ἡμῖν παραδιδόντος μυσήειον, καὶ προσκαλυμμῦα Ἰουδαίους τε καὶ Ἕλληνας εἰς ἐπίγνωσιν τοῦ ὄντος καὶ μόνου ἀληθινοῦ Θεοῦ παῖδός αὐτοῦ, καθὼς αὐτὸς πέφηνεν ἀχαεισῶν ἐπὶ τῇ σωτηρίᾳ τοῦ πισεύσαντων, ἐφανέρωσά σε τὸ ὄνομα τοῖς ἀνθρώποις, τὸ ἔργον ὃ ἔδωκάς μοι, ἐτελείωσα, καὶ περὶ ἡμῶν λέγοντος τοῦ παῖδὶ, πάτερ ἅγιε, εἰ καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἀλλ' ἐγώ σε ἔγνων καὶ οὗτοί σε ἔγνωσαν, εἰκότως ὡς ἂν πετελειωμένων ἡμῶν φησὶ πᾶσιν ἅμα περὶ τοῦ ἐξ αὐτοῦ διὰ τοῦ πνεύματος διδομένων χαεισμάτων, σημεῖα δὲ τοῖς πισεύσασιν ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις καιναῖς λαλήσουσιν· ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀῤῥώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσι· τούτων τοῦ χαεισμάτων πρότερον μὲν ἡμῖν δοθέντων τοῖς ἀποστόλοις μέλλουσι τὸ εὐαγγέλιον κατηγγέλλειν πάσῃ τῇ κτίσει· ἕπεται δὲ τοῖς δι' ἡμῶν πισεύσασιν ἀναγκαίως χορηγουμένων οὐκ εἰς τιμὴν τοῦ ἐνεργούντων ὠφέλειαν, ἀλλ' εἰς τιμὴν τοῦ ἀπίστων συγκατάθεσιν, ἵνα ὃς οὐκ ἔπεισεν ὁ λόγος, τούτους ἡ τοῦ σημείων δυσωπήσῃ δύναμις· τὰ γὰρ σημεῖα οὐ τοῖς πισοῖς ἡμῖν, ἀλλὰ τοῖς ἀπίστοις, Ἰουδαίων τε καὶ Ἑλλήνων· ὅτε γὰρ τὸ δαίμονας ἐκβάλλειν ἡμέτερον κέρδος, ἀλλὰ τοῦ ἐνεργείᾳ κυρίου καθαιρομένων· καθὼς αὐτός που παιδίων ἡμᾶς ὁ κύριος δείκνυσι λέγων· μὴ χαίρετε ὅτι τὰ πνεύματα ὑμῖν ὑπακούεται· ἀλλὰ χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τῷ οὐρανῷ· ἐπειδὴ τὸ μὲν αὐτοῦ δύναμει γίνεται, τὸ δὲ ἡμετέρᾳ ἀνοίᾳ καὶ σπουδῇ, δῆλον ὅτι βοηθουμένοις ὑπ' αὐτοῦ οὐκ ἐπάναγκες ἦν πάντα πισὸν δαίμονας ἐκβάλλειν· ἢ νεκροὺς ἀνιστᾶν· ἢ γλώσσαις λαλεῖν, ἀλλὰ τὸν ἀξιωθέντα χαρίσματος ἐπί τινι αἰτίᾳ χρησίμῃ εἰς σωτηρίαν τοῦ ἀπίστων δυσωπουμένων πολλάκις οὐ τῇ τοῦ λόγων ἀποδείξει, ἀλλὰ τῇ τοῦ σημείων ἐνεργείᾳ ἀξίων ὄντων σωτηρίας· οὐδὲ γὰρ πάντες οἱ ἀσεβεῖς ὑπὸ τοῦ θαυμάτων ἐνῳκέπονται· καὶ τοῦτο μάρτυς αὐτὸς ὁ Θεὸς ὡς ὅταν λέγῃ ἐν τῷ νόμῳ, ὅτι ἐν ἑτερογλώσσοις λαλήσω τῷ λαῷ τούτῳ, καὶ ἐν χείλεσιν ἑτέροις, καὶ οὐ μὴ πισεύσωσιν· ὅτε γὰρ οἱ Αἰγύπτιοι ἐπίσευσαν τῷ Θεῷ Μωϋσέως τοσαῦτα σημεῖα καὶ τέρατι πεποιηκότος· ὅτε τὰ πλήθη τοῦ Ἰουδαίων τῷ ὡς Μωϋσεῖ Χεισῷ πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν αὐτοῖς θεραπεύσαντι· καὶ ὅτε ἐκείνου ἐδυσώπησε ῥάβδος ἐμψυχουμένη εἰς ὄφιν· καὶ χεὶρ λεπρουμένη· καὶ Νεῖλος αἱματούμενος· ὅτε τούτους τυφλοὶ ἀναβλέποντες· καὶ χωλοὶ περιπατοῦντες· καὶ νεκροὶ ἀνισάμενοι, καὶ τῷ μὲν ἀνθίσαντο Ἰαννῆς καὶ Μαμβρῆς· τῷ δὲ Ἄννας καὶ Καϊάφας· ὅπως δὲ πάντας δυσωπεῖ τὰ σημεῖα, ἀλλὰ μόνους τοὺς ἀγνώμονας· ὧν καὶ χάριν δίδοκεῖ ὁ Θεὸς ἐπιτελεῖσθαι δυνάμεις ὡς σοφὸς οἰκονόμος, οὐ τῇ τοῦ ἀνθρώπων ἰσχύϊ· ἀλλὰ τῇ ἑαυτοῦ βουλήσει· ταῦτα δέ φαμεν ἐπὶ τὸ μὴ ἐπαίρεσθαι τοὺς λαβόντας χαρίσματα τοιάδε κατὰ τοῦ μὴ λαβόντων· χαρίσματι δὲ λέγομεν, τὰ διὰ τοῦ σημείων· ἐπεὶ οὐκ ἔστιν ἄνθρωπος πισεύσας διὰ Χεισοῦ εἰς τὸν Θεὸν, ὃς οὐκ εἴληφε χάρισμα πνευματικόν· αὐτό τε γὰρ τὸ ἀπαλλαγῆναι πολυθέου ἀσεβείας καὶ πισεῦσαι Θεῷ παρὰ διὰ Χεισοῦ χάρισμά ἐστι Θεοῦ· τό, τε ἀπορρίψαι τὸ Ἰουδαϊκὸν κάλυμμα καὶ πισεῦσαι ὅτι δόξῃ Θεοῦ ὁ πρὸ αἰώνων μονογενὴς ἐν ὑστέρῳ καιρῷ ἐκ παρθένου γεγένηται δίχα ὁμιλίας ἀνδρός, καὶ ὅτι ἐπολιτεύσατο ὡς ἄνθρωπος ἄνευ ἁμαρτίας πληρώσας πᾶσαν δικαιοσύνην τοῦ νόμου· καὶ ὅτι συγχωρήσει Θεοῦ σταυρὸν ὑπέμεινεν αἰσχύνης καταφρονήσας ὁ Θεὸς λόγος· καὶ ὅτι ἀπέθανε καὶ ἐτάφη· καὶ ἀνέστη διὰ τριῶν ἡμερῶν καὶ μετὰ τιμὴν ἀνάστασιν τεσσαράκοντα ἡμέρας παραμείνας τοῖς ἀποστόλοις, καὶ πληρώσας πᾶσαν διάταξιν ἀνελήφθη ἐπ' ὄψεσιν αὐτῶν πρὸς τὸν ἀποστείλαντα αὐτὸν Θεὸν καὶ πατέρα· ὁ ταῦτα πισεύσας οὐκ ἁπλῶς, οὐδὲ ἀλόγως, ἀλλὰ κρίσει καὶ πληροφορίᾳ, χάρισμα εἴληφεν ἐκ Θεοῦ· ὡσαύτως δὲ καὶ ὁ πάσης αἱρέσεως ἀπαλλαγείς· μὴ οὖν τις τῶν ποιούντων σημεῖα καὶ τέρατι κρινέτω τινὰ τῶν πισῶν μὴ ἀξιωθέντα ἐνεργεῖν· διάφορα γάρ ἐστι τὰ τοῦ Θεοῦ χαρίσματα παρ' αὐτοῦ διὰ Χεισοῦ δεδόμενα· καὶ σὺ μὲν εἴληφας τοῦτο· ἐκεῖνος δὲ ἄλλο τι· ἢ γὰρ λόγου σοφίας· ἢ γνώσεως· ἢ διακρίσεως πνευμάτων· ἢ προγνώσεως τῶν μελλόντων· ἢ λόγου διδακτικόν· ἢ ἀνεξικακίαν· ἢ ἐγκράτειαν ἔννομον· καὶ γὰρ καὶ Μωϋσῆς ὁ τοῦ Θεοῦ ἄνθρωπος ἐν Αἰγύπτῳ ἐπιτελῶν τὰ σημεῖα ὑπὸ κατεπήρθη τοῦ ὁμοφύλων· καὶ Θεὸς κληθείς, οὐκ ἠλαζονεύσατο κατὰ τοῦ ἰδίου προφήτου Ἀαρών· ἀλλ' ὅτε ὁ τοῦ Ναυῆ Ἰησοῦς ἡγησάμενος μετ' αὐτὸν τοῦ λαοῦ καὶ τῷ πρὸς τοὺς Ἰεβουσίους πολέμῳ στήσας τὸν ἥλιον κατὰ Γαβαών, καὶ τὴν σελήνην κατὰ φάραγγα Αἰλὼν διὰ τὸ μὴ αὐτὸν χεῖν πρὸς τιμὴν νίκην τιμὴν ἡμέραν, ἐπήρθη καὶ τοῦ Φινεές, ἢ τοῦ Χαλέβ· ὅτε Σαμουὴλ τοσαῦτα παράδοξα ποιήσας παρ' ὁδὸν ἠγήσατο τὸν θεοφιλῆ Δαβίδ· καί τοι ἀμφότεροι προφῆται· καὶ ὁ μὲν, ἀρχιερεὺς, ὁ δὲ, βασιλεὺς· καὶ ἑπτὰ χιλιάδων ὑπαρχουσῶν ἐν Ἰσραὴλ ἁγίων, τοῦ μὴ καμψάντων γόνυ τῇ Βάαλ, μόνος Ἠλίας ἐν αὐτοῖς, καὶ ὁ τούτου μαθητὴς Ἐλισαῖος θαυματοποιοὶ γεγένηνται· ἀλλ' ὅτε Ἠλίας τὸν οἰκονόμον Ἀβδιοῦ ἐξεμυκτήρισε φοβούμενον μὲν τὸν Θεὸν, οὐ ποιοῦντα δὲ σημεῖα· οὔτε Ἐλισαῖος τὸν ἑαυτοῦ μαθητὴν φρίττοντα τοὺς πολεμίους ὑπερεῖδεν· ἀλλὰ γὰρ οὔτε Δανιὴλ ὁ σοφὸς ῥυσθεὶς δεύτερον ἐκ στόματος λεόντων, οὔτε οἱ τρεῖς παῖδες ἐκ καμίνου πυρὸς, ἐξουδένωσαν τοὺς λοιποὺς τοῦ ὁμοφύλων· ἠπίσαντο γὰρ ὅτι οὐ τῇ οἰκείᾳ δυνά-

δυνάμει περιεγένοντο τῶν δεινῶν, ἀλλὰ τῇ τοῦ Θεοῦ ἰσχύϊ· καὶ σημεῖα ἐπετέλουν· καὶ τῶν δυσχερῶν ἀπηλλάττοντο· οὐκοῦν μηδεὶς ὑμῶν ἐπαιρέσθω κατὰ τοῦ ἀδελφοῦ, κἂν προφήτης ᾖ, κἂν θαυματοποιός· εἰ γὰρ δοθῇ μηκέτι εἶναί που ἄπιστον, περιττὴ λοιπὸν ἔσται πᾶσα σημείων ἐνέργεια· τὸ μὲν γὰρ εἶναι εὐσεβῆ, ἐκ τῆς τοῦ τινος εὐνοίας· τὸ δὲ θαυματοποιεῖν, ἐκ τῆς τοῦ ἐνεργοῦντος δυνάμεως· ὧν, τὸ μὲν πρῶτον ἡμᾶς αὐτοὺς ὁρᾷ, τὸ δὲ δεύτερον Θεὸν τὸν ἐνεργοῦντα, δι' ἃς προείπομεν αἰτίας· οὐκοῦν μήτε βασιλεὺς ἐξουθενείτω τοὺς ὑπ' αὐτὸν στρατηγούς· μήτε ἄρχοντες τοὺς ὑπηκόους· μὴ ὄντων γὰρ τῶν ἀρχομένων, περιττοὶ οἱ ἄρχοντες· καὶ μὴ ὄντων στρατηγῶν οὐστήσεται βασιλεία· ἀλλὰ μηδὲ ἐπίσκοπος ἐπαιρέσθω κατὰ τῶν διακόνων· ἢ τῶν πρεσβυτέρων· μήτε μὴν οἱ πρεσβύτεροι κατὰ τοῦ λαοῦ· ἐξ ἀλλήλων γάρ ἐστιν ἡ σύστασις τοῦ συναθροίσματος· οἵ τε γὰρ ἐπίσκοποι, καὶ οἱ πρεσβύτεροι τινῶν εἰσὶν ἱερεῖς· καὶ οἱ λαϊκοὶ τινῶν εἰσὶ λαϊκοί· καὶ τὸ μὲν εἶναι χριστιανὸν, ἐφ' ἡμῖν· τὸ δὲ ἀπόστολον, ἢ ἐπίσκοπον, ἢ ἄλλο τι οὐκ ἐφ' ἡμῖν· ἀλλ' ἐπὶ τῷ διδόντι Θεῷ τὰ χαρίσματα· ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον εἰρήσθω διὰ τοὺς ἀξιωθέντας χαρισμάτων ἢ ἀξιωμάτων.

Περὶ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων ἀναξίων.

ΚΕΦΑ'Λ. β'.

Ἐκεῖνο δὲ προστίθεμεν τῷ λόγῳ, ὅτι οὔτε πᾶς ὁ προφητεύων ὅσιος οὔτε πᾶς ὁ δαίμονας ἐλαύνων ἅγιος· καὶ γὰρ καὶ Βαλαὰμ ὁ τοῦ Βεὼρ ὁ μάντις προεφήτευσεν δυσσεβὴς ὤν· καὶ Καϊάφας ὁ ψευδώνυμος ἀρχιερεύς· πολλὰ δὲ καὶ ὁ διάβολος προλέγει· καὶ οἱ ἀμφ' αὐτὸν δαίμονες· καὶ οὐ παρὰ τοῦτο μέν ἐστιν αὐτοῖς εὐσεβείας σπινθήρ· ἀγνοίᾳ γάρ εἰσι πεπιεσμένοι δι' ἑκούσιον μοχθηρίαν· δῆλον οὖν ὅτι οἱ ἀσεβεῖς κἂν προφητεύωσιν οὐ καλύπτουσι διὰ τῆς προφητείας τὴν ἑαυτῶν ἀσέβειαν· οὐδὲ οἱ δαίμονας ἐλαύνοντες, ἐκ τῆς τούτων ὑποχωρήσεως ὁσιωθήσονται· ἀλλήλους γὰρ ἀπατῶσι· καθάπερ οἱ τὰς παιδιὰς γέλωτος ἕνεκα ἐπιδεικνύμενοι· καὶ τοὺς προσανέχοντας αὐτοῖς ἀπολλύουσιν· οὔτε δὲ βασιλεὺς δυσσεβὴς ἔτι βασιλεὺς ὑπάρχει, ἀλλὰ τύραννος· οὔτε ἐπίσκοπος * ἀγνοίᾳ ἢ κακονοίᾳ πεπιεσμένος ἐπίσκοπός ἐστιν, ἀλλὰ ψευδώνυμος, οὐ παρὰ Θεοῦ, ἀλλὰ παρὰ ἀνθρώπων προβληθεὶς, ὡς Ἀνανίας, καὶ Σαμαίας ἐν Ἱερουσαλήμ· καὶ Σεδεκίας καὶ Ἀχίας οἱ ἐν Βαβυλῶνι ψευδοπροφῆται· ἀλλὰ καὶ Βαλαὰμ ὁ μάντις τιμωρίαν ἔτισε διαφθείρας τὸν Ἰσραὴλ ἐν τῷ βεελφεγώρ· καὶ Καϊάφας ὕστερον αὐτοφονευτὴς ἑαυτοῦ ἐγένετο· καὶ οἱ υἱοὶ Σκευᾶ ἐπιχειροῦντες δαίμονας ἐλαύειν ὑπ' αὐτῶν τραυματίαι γενόμενοι, ἔφυγον ἀπρεπῶς· καὶ οἱ βασιλεῖς τοῦ Ἰσραὴλ, καὶ τοῦ Ἰούδα, ἀσεβήσαντες παντοίας τιμωρίας ἔτισαν· δῆλον οὖν ὡς καὶ οἱ ψευδώνυμοι ἐπίσκοποι, καὶ πρεσβύτεροι, οὐκ ἐκφεύξονται τὴν παρὰ Θεοῦ δίκην· ῥηθήσεται γὰρ αὐτοῖς καὶ νῦν, ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντές μου τὸ ὄνομα, παραδώσω ὑμᾶς εἰς σφαγήν· ὡς Σεδεκίαν, καὶ Ἀχίαν· οὓς ἀπετηγάνησε βασιλεὺς Βαβυλῶνος, ὥς φησιν Ἱερεμίας ὁ προφήτης· ταῦτα δέ φαμεν οὐ τὰς ἀληθεῖς προφητείας ἐξουθενοῦντες, ἴσμεν γὰρ αὐτὰς κατ' ἐπίπνοιαν Θεοῦ ἐν τοῖς ὁσίοις ἐνεργεῖσθαι, ἀλλὰ τὸ θράσος τῶν ἀλαζονευομένων καταστέλλοντες καὶ προστιθέντες ἐκεῖνο· ὅτι τῶν τοιούτων Θεὸς περιαιρεῖ τὴν χάριν· ὑπερηφάνοις γὰρ ὁ Θεὸς ἀντιτάσσεται· ταπεινοῖς δὲ δίδωσι χάριν· Σίλας μὲν οὖν καὶ Ἄγαβος ἐφ' ἡμῶν προφητεύσαντες, οὐ παρεξέτειναν ἑαυτοὺς τοῖς ἀποστόλοις, οὐδὲ ὑπερέβησαν τὰ ἑαυτῶν μέτρα, καί τοι θεοφιλεῖς ὄντες· προεφήτευσαν δὲ καὶ γυναῖκες, τὸ μὲν παλαιὸν Μαριὰμ ἡ Μωϋσέως καὶ Ἀαρὼν ἀδελφή· μετὰ δὲ ταύτην Δεββόῤῥα· καὶ μετὰ ταύτας, Ὀλδὰ καὶ Ἰουδήθ· ἡ μὲν ἐπὶ Ἰωσίου· ἡ δὲ ἐπὶ Δαρείου· καὶ ἡ μήτηρ δὲ τοῦ κυρίου προεφήτευσε· καὶ Ἐλισάβετ ἡ συγγενὴς αὐτῆς· καὶ Ἄννα· καὶ ἐφ' ἡμῶν αἱ Φιλίππου θυγατέρες, ἀλλ' οὐκ ἐπήρθησαν κατὰ τῶν ἀνδρῶν αὗται, ἀλλ' ἐφύλαξαν τὰ οἰκεῖα μέτρα· οὐκοῦν καὶ ἐν ὑμῖν κἂν ἀνήρ τις ᾖ κἂν γυνὴ, καὶ τύχη τοιαύτης τινὸς χάριτος, ταπεινοφρονείτω ἵνα ἐπ' αὐτῷ εὐδοκῇ ὁ Θεός· ἐπὶ τίνα γὰρ φησὶν, ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους;

* citatur hic locus homilia 53. operis imperfecti in Evangelium Matthaei ex libro octavo Canonum apostolorum.

Ὅτι τὸ διατάσσεσθαι τὰ ἐν ταῖς ἐκκλησίαις ἐπιτελούμενα κορυφαιότατόν ἐστι.

ΚΕΦΑ'Λ. γ'.

Τὰ μὲν οὖν πρῶτα τοῦ λόγου ἐξεθέμεθα περὶ τῶν χαρισμάτων, ὅσαπερ ὁ Θεὸς κατ' ἰδίαν βούλησιν παρέσχεν ἀνθρώποις, καὶ ὅπως τῶν ψευδῆ ἐπιχειρούντων λέγειν, ἢ ἀλλοτρίῳ πνεύματι κινουμένων ἤλεγξε τὸν τρόπον· καὶ ὅτι πονηροῖς πολλάκις * ἀπεχαρίσατο ὁ Θεὸς πρός τε προφητείαν καὶ τερατοποιΐαν· νυνὶ δὲ ἐπὶ τὸ κορυφαιότατον τῆς ἐκκλησιαστικῆς διατυπώσεως ὁ λόγος ἡμᾶς ἐπείγει· ὅπως καὶ ταύτην παρ' ἡμῶν μαθόντες τὴν διάταξιν οἱ ταχθέντες δι' ἡμῶν γνώμῃ Χριστοῦ ἐπίσκοποι, πάντα κατὰ τὰς παραδοθείσας ἡμῖν ἐντολὰς ποιῆσθε· εἰδότες ὅτι ὁ ἡμῶν ἀκούων, χριστοῦ ἀκούει· ὁ δὲ Χριστοῦ ἀκούων, τοῦ Θεοῦ αὐτοῦ καὶ πατρὸς ἀκούει· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

* ἀπεχρήσατο

Περὶ χειροτονιῶν.

ΚΕΦΑ'Λ. δ'.

Ἅμα τοίνυν ὑπάρχοντες ἡμεῖς οἱ δεκαδύο τοῦ κυρίου ἀπόστολοι τάσδε τὰς θείας ἡμῶν ἐντελλόμεθα διατάξεις περὶ παντὸς ἐκκλησιαστικοῦ τύπου, συμπαρόντων ἡμῖν καὶ τοῦ τῆς ἐκλογῆς σκεύους Παύλου τοῦ συναποστόλου ἡμῶν καὶ Ἰακώβου τοῦ ἐπισκόπου, καὶ τῶν λοιπῶν πρεσβυτέρων, καὶ τῶν ἑπτὰ διακόνων· πρῶτος οὖν ἐγώ φημι Πέτρος, ἐπίσκοπον χειροτονεῖσθαι ὡς ἐν τοῖς προλαβοῦσιν ἅμα πάντες διεταξάμεθα, ἐν πᾶσιν ἄμεμπτον ἀριστίνδην ὑπὸ παντὸς τοῦ λαοῦ ἐκλελεγμένον· οὗ ὀνομασθέντος καὶ ἀρέσαντος, συνελθὼν ὁ λαὸς ἅμα τῷ πρεσβυτερίῳ καὶ τοῖς παροῦσιν ἐπισκόποις ἐν ἡμέρᾳ

χυ-

χυειαχῆ συναδοχήτω· ὁ δὲ προχείτος τῶν λοιπῶν ἐρωτάτω πρεσβυτέριον καὶ τὸν λαόν, εἰ αὐτός ἐστιν, ὃν αἰτοῦνται εἰς ἄρχοντα· καὶ ἐπινεύσαντων, προσεπερωτάτω εἰ μαρτυρεῖται ὑπὸ πάντων ἄξιος εἶναι τῆς μεγάλης ταύτης καὶ λαμπρᾶς ἡγεμονίας, εἰ τὰ κατὰ τὸν εἰς Θεὸν αὐτῷ εὐσέβειαν κατώρθωται· εἰ τὰ πρὸς ἀνθρώπους δίκαια πεφύλακται· εἰ τὰ κατὰ τὸν οἶκον αὐτοῦ καλῶς ᾠκονόμηται· εἰ τὰ κατὰ τὸν βίον ἀνεπιλήπτως· καὶ πάντων ἅμα κατὰ ἀλήθειαν ἀλλ' οὐ κατὰ πρόληψιν μαρτυρησάντων τοιοῦτον αὐτὸν εἶναι, ὡς ἐπὶ δικαιῃ Θεῷ καὶ Χριστῷ, παρόντος δηλαδὴ καὶ τοῦ ἁγίου πνεύματος καὶ πάντων τῶν ἁγίων καὶ λειτουργικῶν πνευμάτων, ἐκ τρίτου πάλιν πυθέσθωσαν, εἰ ἄξιός ἐστιν ἀληθῶς τῆς λειτουργίας· ἵνα ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθῇ πᾶν ῥῆμα· καὶ συνθεμένων αὐτῷ ἐκ τρίτου ἄξιον εἶναι, ἀπαιτείσθωσαν οἱ πάντες σύνθημα· καὶ δόντες προθύμως, ἀκουέσθωσαν· καὶ σιωπῆς γενομένης, εἷς τῶν πρώτων ἐπισκόπων ἅμα καὶ δυσὶν ἑτέροις πλησίον τοῦ θυσιαστηρίου ἑστὼς, τῶν λοιπῶν ἐπισκόπων καὶ πρεσβυτέρων σιωπῇ προσδεχομένων, τῶν δὲ διακόνων τὰ θεῖα διαγγέλια ἐπὶ τῆς τοῦ χειροτονουμένου κεφαλῆς ἀνεπτυγμένα κατεχόντων, λεγέτω πρὸς Θεόν.

Ἐπίκλησις ἐπὶ χειροτονίας ἐπισκόπων.

ΚΕΦΑΛ. έ.

Ὁ Σὺν δέσποτα κύριε ὁ Θεὸς, ὁ παντοκράτωρ, ὁ μόνος ἀγένητος, καὶ ἀβασίλευτος· ὁ ἀεὶ ὢν καὶ πρὸ τῶν αἰώνων ὑπάρχων, ὁ παντὶ ἀνενδεής· καὶ πάσης αἰτίας καὶ γενέσεως κρείττων· ὁ μόνος ἀληθινός· ὁ μόνος σοφός· ὁ ὢν μόνος ὕψιστος· ὁ τῇ φύσει ἀόρατος· ὃ ἡ γνῶσις ἄναρχος· ὁ μόνος ἀγαθὸς καὶ ἀσύγκριτος, ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν· ὁ τῶν κρυπτῶν γνώστης· ὁ ἀπρόσιτος· ὁ ἀδέσποτος· ὁ Θεὸς καὶ πατὴρ τοῦ μονογενοῦς υἱοῦ σου τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, ὁ δημιουργὸς τῶν ὅλων διὰ αὐτοῦ· ὁ προνοητής· ὁ κηδεμών· ὁ πατὴρ τῶν οἰκτιμῶν καὶ Θεὸς πάσης παρακλήσεως· ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν· σὺ ὁ δοὺς ὅρους ἐκκλησίας διὰ τῆς ἐνσάρκου παρουσίας τοῦ Χριστοῦ σου ὑπὸ μάρτυρι τῷ παρακλήτῳ διὰ τῶν σῶν ἀποστόλων καὶ ἡμῶν τῶν χάριτι σῇ παρεσώτων ἐπισκόπων· ὁ προορίσας ἐξ ἀρχῆς ἱερεῖς εἰς ἐπισασίαν λαοῦ σου· Ἄβελ ἐν πρώτοις, Σήθ, καὶ Ἐνώς, καὶ Ἐνώχ, καὶ Νῶε, καὶ Μελχισεδέκ, καὶ Ἰώβ· ὁ ἀναδείξας Ἀβραὰμ, καὶ τοὺς λοιποὺς πατριάρχας σὺν τῇ πίστει σου θεράπαιναν Μωϋσεῖ καὶ Ἀαρών, καὶ Ἐλεαζάρῳ καὶ Φινεές· ὁ ἐξ αὐτῶν προχειρισάμενος ἄρχοντας καὶ ἱερεῖς ἐν τῇ σκιᾷ τοῦ μαρτυρίου· ὁ τὸν Σαμουὴλ ἐκλεξάμενος εἰς ἱερέα καὶ προφήτην· ὁ τῷ ἁγιάσματί σου ἀλειτούργητον μὴ ἐγκαταλιπών· ὁ δοξάσας ἐν οἷς ἠρετίσω δοξασθῆναι, αὐτὸς καὶ νῦν μεσιτείᾳ τοῦ Χριστοῦ σου δι' ἡμῶν ἐπίχεε τὴν δύναμιν τοῦ ἡγεμονικοῦ σου πνεύματος ὅπερ διακονεῖται τῷ ἠγαπημένῳ σου παιδὶ Ἰησοῦ Χριστῷ, ὅπερ ἐδωρήσατο γνώμῃ σου τοῖς ἁγίοις ἀποστόλοις σου τῇ αἰωνίᾳ Θεότητί σου· δὸς ἐν τῷ ὀνόματί σου καρδιογνώστα Θεὲ ἐπὶ τοῦτον δοῦλόν σου τόνδε, ὃν ἐξελέξω εἰς ἐπισκοπον, ποιμαίνειν τὴν ἁγίαν σου ποίμνην, καὶ ἀρχιερατεύειν σοι ἀμέμπτως λειτουργοῦντα νυκτὸς καὶ ἡμέρας· καὶ ἱλάσκεσθαί σου τὸ πρόσωπον, ἐπισυναγαγεῖν τὸν ἀριθμὸν τῶν σῳζομένων, καὶ προσφέρειν σοι τὰ δῶρα τῆς ἁγίας σου ἐκκλησίας· δὸς αὐτῷ δέσποτα παντοκράτωρ διὰ τοῦ Χριστοῦ σου τῇ μετουσίαν τοῦ ἁγίου πνεύματος, ὥστε ἔχειν ἐξουσίαν ἀφιέναι ἁμαρτίας κατὰ τὴν ἐντολήν σου· δοῦναι κλήρους κατὰ τὸ πρόσταγμά σου· λύειν δὲ πάντα σύνδεσμον κατὰ τὴν ἐξουσίαν, ἣν ἔδωκας τοῖς ἀποστόλοις· καὶ ἀρεστεῖν δέ σοι ἐν πραότητι καὶ καθαρᾷ καρδίᾳ, ἀξιέπτως, ἀμέμπτως, ἀνεγκλήτως· προσφέροντά σοι καθαρὰν καὶ ἀναίμακτον θυσίαν· ἣν διὰ Χριστοῦ διατάσσω τὸ μυστήριον τῆς καινῆς διαθήκης, εἰς ὀσμὴν εὐωδίας διὰ τοῦ ἁγίου παιδός σου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, δι' οὗ σοι δόξα τιμὴ καὶ σέβας ἐν ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· καὶ ταῦτα ἐπαξιώσας, οἱ λοιποὶ ἱερεῖς ἐπιλεγέτωσαν, ἀμήν· καὶ σὺν αὐτοῖς ἅπας ὁ λαὸς, καὶ μετὰ τὴν προσδοχὴν, εἷς τῶν ἐπισκόπων ἀναφερέτω τὴν θυσίαν ἐπὶ τῶν χειρῶν τοῦ χειροτονηθέντος· καὶ τῇ ἔωθεν ἐνθρονιζέσθω εἰς τὸν αὐτῷ διαφέροντα τόπον παρὰ τοὺς λοιποὺς ἐπισκόπους πάντων αὐτὸν φιλησάντων τῷ ἐν κυρίῳ φιλήματι· καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν τούτων ἐπιστολῶν ἡμῶν καὶ τῶν πράξεων καὶ τῶν διαγγελίων ἀσπασάσθω ὁ χειροτονηθεὶς τὴν ἐκκλησίαν λέγων· ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ ἀγάπη τοῦ Θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, μετὰ πάντων ὑμῶν· καὶ πάντες ἀποκριθέσθωσαν· καὶ μετὰ τοῦ πνεύματός σου· καὶ μετὰ τὴν πρόσρησιν προσλαλησάτω τῷ λαῷ λόγους παρακλήσεως· καὶ πληρώσαντος αὐτοῦ τὸν τῆς διδασκαλίας λόγον· φησὶ ἐγὼ Ἀνδρέας ὁ ἀδελφὸς Πέτρου· ἀνασάντων ἁπάντων ὁ διάκονος ἐφ' ὑψηλοῦ τινος ἀνελθὼν κηρυττέτω· μήτις τῶν ἀκροωμένων· μήτις τῶν ἀπίστων· καὶ ἡσυχίας γενομένης λεγέτω.

Ἡ θεία λειτουργία, ἐν ᾗ προσφώνησις ὑπὲρ τῶν κατηχουμένων.

ΚΕΦΑΛ. ς'.

Ἐκ ξαθέοι κατηχούμενοι· καὶ πάντες οἱ πιστοὶ κατὰ διάνοιαν ὑπὲρ αὐτῶν προσδοκέσθωσαν λέγοντες· κύριε ἐλέησον· διακονείτω δὲ ὑπὲρ αὐτῶν λέγων· ὑπὲρ τῶν κατηχουμένων πάντες τὸν Θεὸν παρακαλέσωμεν, ἵνα, ὁ ἀγαθὸς, φιλάνθρωπος δι' ἡμῶν εἰσακούσῃ τῶν δεήσεων αὐτῶν καὶ τῶν παρακλήσεων καὶ προσδεξάμενος αὐτῶν τὴν ἱκεσίαν ἀντιλάβηται αὐτῶν· καὶ δῷ αὐτοῖς τὰ αἰτήματα τῶν καρδιῶν αὐτῶν πρὸς τὸ συμφέρον· ἀποκαλύψῃ αὐτοῖς τὸ διαγγέλιον τοῦ Χριστοῦ αὐτοῦ· φωτίσῃ αὐτοὺς καὶ σωφρονίσῃ· παιδεύσῃ αὐτοὺς τὴν θεογνωσίαν· διδάξῃ αὐτοὺς τὰ προσήκοντα· ἐγκαταφυτεύσῃ ἐν αὐτοῖς τὸν ἀγνὸν αὐτοῦ καὶ σωτήριον φόβον, διανοίξῃ τὰ ὦτα

ὦτα τῶν καρδιῶν αὐτῶν πρὸς τὸ ἐν τῷ νόμῳ αὐτοῦ καταγίνεσθαι ἡμέρας καὶ νυκτός· βεβαιώσῃ δὲ αὐτοὺς ἐν τῇ εὐσεβείᾳ· ἑνώσῃ καὶ ἐγκαταριθμήσῃ αὐτοὺς τῷ ἁγίῳ αὐτοῦ ποιμνίῳ· καταξιώσας αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, τῆς ὄντως ζωῆς· ῥύσηται δὲ αὐτοὺς ἀπὸ πάσης ἀσεβείας· καὶ μὴ δῷ τόπον τῷ ἀλλοτρίῳ κατ' αὐτῶν· καθαρίσῃ δὲ αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· ἐνοικήσῃ τε ἐν αὐτοῖς καὶ ἐμπεριπατήσῃ διὰ τοῦ Χριστοῦ αὐτοῦ· εὐλογήσῃ τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους· καὶ κατευθύνῃ αὐτοῖς τὰ προκείμενα εἰς τὸ συμφέρον· ἔτι ἐκτενῶς αὐτῶν ἱκετεύσωμεν· ἵνα ἀφέσεως τυχόντες τῶν πλημμελημάτων διὰ τῆς μυήσεως ἀξιωθῶσι τῶν ἁγίων μυστηρίων, καὶ τῆς μετὰ τῶν ἁγίων διαμονῆς· ἐγείρεσθε οἱ κατηχούμενοι· τὴν εἰρήνην τοῦ Θεοῦ διὰ τοῦ Χριστοῦ αὐτοῦ αἰτήσασθε· εἰρηνικὴν τὴν ἡμέραν καὶ ἀναμάρτητον καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ὑμῶν· χριστιανὰ ὑμῶν τὰ τέλη· ἵλεων καὶ εὐμενῆ τὸν Θεόν· ἄφεσιν πλημμελημάτων ἑαυτοὺς τῷ μόνῳ ἀγενήτῳ Θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ παράθεσθε, κλίνατε, καὶ εὐλογεῖσθε· ἐφ' ἑκάστω δὲ τούτων ὧν ὁ διάκονος προσφωνεῖ, ὡς προείπομεν, λεγέτω ὁ λαός· κύριε ἐλέησον· καὶ πρὸ πάντων τὰ παιδία, κλινόντων δὲ αὐτῶν τὰς κεφαλὰς εὐλογείτω αὐτοὺς ὁ χειροτονηθεὶς ἐπίσκοπος εὐλογίαν τοιάνδε· ὁ Θεὸς ὁ παντοκράτωρ· ὁ ἀγέννητος καὶ ἀπρόσιτος· ὁ μόνος ἀληθινὸς Θεὸς, ὁ Θεὸς καὶ πατὴρ τοῦ Χριστοῦ σου τοῦ μονογενοῦς υἱοῦ σου· ὁ Θεὸς τοῦ παρακλήτου· καὶ τῶν ὅλων κύριος· ὁ διὰ Χριστοῦ διδασκάλους τοὺς μαθητὰς ἐπιστήσας πρὸς μάθησιν τῆς εὐσεβείας, αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους τὸ εὐαγγέλιον τοῦ Χριστοῦ σου· καὶ δὸς αὐτοῖς καρδίαν καινήν· καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις αὐτῶν πρὸς τὸ εἰδέναι καὶ ποιεῖν τὸ θέλημά σου ἐν καρδίᾳ πλήρει καὶ ψυχῇ θελούσῃ· καταξίωσον αὐτοὺς τῆς ἁγίας μυήσεως· καὶ ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου ἐκκλησίᾳ· καὶ μετόχους ποίησον τῶν θείων μυστηρίων διὰ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν τοῦ ὑπὲρ αὐτῶν ἀποθανόντος· δι' οὗ σοι δόξα καὶ τὸ σέβας ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν· καὶ μετὰ τοῦτο ὁ διάκονος λεγέτω· προέλθετε οἱ κατηχούμενοι ἐν εἰρήνῃ· καὶ μετὰ τὸ ἐξελθεῖν αὐτούς· λεγέτω· εὔξασθε οἱ ἐνεργούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων· ἐκτενῶς πάντες ὑπὲρ αὐτῶν δεηθῶμεν· ὅπως ὁ φιλάνθρωπος Θεὸς διὰ Χριστοῦ ἐπιτιμήσῃ τοῖς ἀκαθάρτοις καὶ πονηροῖς πνεύμασι· καὶ ῥύσηται τοὺς αὐτοῦ ἱκέτας ἀπὸ τῆς τοῦ ἀλλοτρίου καταδυναστείας· ὁ ἐπιτιμήσας τῷ λεγεῶνι τῶν δαιμόνων καὶ τῷ ἀρχεκάκῳ διαβόλῳ, ἐπιτιμήσῃ αὐτὸς καὶ νῦν τοῖς ἀποστάταις τῆς εὐσεβείας· καὶ ῥύσηται τὰ ἑαυτοῦ πλάσματα ἀπὸ τῆς ἐνεργείας αὐτοῦ· καὶ καθαρίσῃ αὐτὰ ἃ μετὰ πολλῆς σοφίας ἐποίησεν· ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν δεηθῶμεν· σῶσον καὶ ἀνάστησον αὐτοὺς ὁ Θεὸς ἐν τῇ δυνάμει σου· κλίνατε οἱ ἐνεργούμενοι καὶ εὐλογεῖσθε· καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω λέγων.

Ὑπὲρ τῶν ἐνεργουμένων.

ΚΕΦΑΛ. ζ.

Ὁ Τὸν ἰσχυρὸν δείσας· καὶ πάντα τὰ σκεύη αὐτοῦ διαρπάσας· ὁ δοὺς ἡμῖν ἐξουσίαν ἐπάνω ὄφεων καὶ σκορπίων πατεῖν· καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· ὁ τὸν ἀνθρωποκτόνον ὄφιν δεσμώτην παραδοὺς ἡμῖν ὡς στρουθίον παιδίοις· ὃν πάντα φρίττει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου· ὁ ῥήξας αὐτὸν ὡς ἀστραπὴν ἐξ οὐρανοῦ εἰς γῆν, οὐ τοπικῷ ῥήγματι, ἀλλὰ ἀπὸ τιμῆς εἰς ἀτιμίαν δι' ἑκούσιον αὐτοῦ κακόνοιαν· οὗ τὸ βλέμμα ξηραίνει ἀβύσσους· καὶ ἡ ἀπειλὴ τήκει ὄρη· καὶ ἡ ἀλήθεια μένει εἰς τὸν αἰῶνα· ὃν αἰνεῖ τὰ νήπια· καὶ εὐλογεῖ τὰ θηλάζοντα· ὃν ὑμνοῦσι καὶ προσκυνοῦσιν ἄγγελοι· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται· ὁ ἀπειλῶν θαλάσσῃ καὶ ξηραίνων αὐτήν· καὶ πάντας τοὺς ποταμοὺς αὐτοὺς ἐξερημῶν· οὗ νεφέλαι κονιορτὸς τῶν ποδῶν· ὁ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπ' ἐδάφους· μονογενὴς Θεὲ μεγάλου πατρὸς υἱὲ, ἐπιτίμησον τοῖς πονηροῖς πνεύμασι· καὶ ῥῦσαι τὰ ἔργα τῶν χειρῶν σου ἐκ τῆς τοῦ ἀλλοτρίου πνεύματος ἐνεργείας· ὅτι σοι δόξα, τιμὴ καὶ σέβας, καὶ διὰ σοῦ τῷ σῷ πατρὶ ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν· καὶ ὁ διάκονος λεγέτω· προέλθετε οἱ ἐνεργούμενοι· καὶ μετ' αὐτοὺς προσφωνείτω· εὔξασθε οἱ φωτιζόμενοι· ἐκτενῶς οἱ πιστοὶ πάντες ὑπὲρ αὐτῶν παρακαλέσωμεν, ὅπως ὁ κύριος καταξιώσῃ αὐτοὺς μυηθέντας εἰς τὸν τοῦ Χριστοῦ θάνατον συναναστῆναι αὐτῷ· καὶ μετόχους γενέσθαι τῆς βασιλείας αὐτοῦ· καὶ κοινωνοὺς τῶν μυστηρίων αὐτοῦ ἑνώσῃ καὶ συγκαταλέξῃ αὐτοὺς μετὰ τῶν σωζομένων ἐν τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ· σῶσον καὶ ἀνάστησον αὐτοὺς ἐν τῇ σῇ χάριτι· κατασφραγισάμενοι τῷ Θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ κλίναντες εὐλογείσθωσαν παρὰ τοῦ ἐπισκόπου τήν δε τὴν εὐλογίαν.

Ὑπὲρ τῶν βαπτιζομένων.

ΚΕΦΑΛ. η.

Ὁ Προειπὼν διὰ τῶν ἁγίων σου προφητῶν τοῖς μυουμένοις· λούσασθε, καθαροὶ γίνεσθε· καὶ διὰ τοῦ Χριστοῦ νομοθετήσας τὴν πνευματικὴν ἀναγέννησιν, αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τοὺς βαπτιζομένους· καὶ εὐλόγησον αὐτούς· καὶ ἁγίασον, καὶ παρασκεύασον ἀξίους γένεσθαι τῆς πνευματικῆς σου δωρεᾶς· καὶ τῆς ἀληθινῆς υἱοθεσίας· τῶν πνευματικῶν σου μυστηρίων· τῆς μετὰ τῶν σωζομένων ἐπισυναγωγῆς διὰ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν. δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν· καὶ λεγέτω ὁ διάκονος. προέλθετε οἱ φωτιζόμενοι· καὶ μετὰ τοῦτο κηρυττέτω· εὔξασθε οἱ ἐν τῇ μετανοίᾳ ἐκτενῶς· πάντες ὑπὲρ τῶν ἐν μετανοίᾳ ἀδελφῶν παρακαλέσωμεν· ὅπως ὁ φιλοικτίρμων Θεὸς ὑποδείξῃ αὐτοῖς ὁδὸν μετανοίας· προσδέξηται αὐτῶν τὴν παλινῳδίαν καὶ τὴν ἐξομολόγησιν· καὶ συντρίψῃ τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας αὐτῶν ἐν τάχει·

καὶ λυτρώσηται αὐτὸς ἀπὸ τῆς παγίδος τοῦ διαβόλου καὶ τῆς ἐπηρείας τῶν δαιμόνων· καὶ ἐξέληται αὐτὸς ἀπὸ παντὸς ἀθεμίτου λόγου· ἐκ φάσης ἀτόπου πράξεως καὶ πονηρᾶς ἐννοίας· συγχωρήσῃ δὲ αὐτοῖς πάντα τὰ παραπτώματα αὐτῶν τάτε ἑκούσια καὶ τὰ ἀκούσια, καὶ ἐξαλείψῃ τὸ κατ' αὐτῶν χειρόγραφον· καὶ ἐγγράψηται αὐτὸς ἐν βίβλῳ ζωῆς· καθάρῃ δὲ αὐτὸς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ ἑνώσῃ αὐτὸς ἀποκατασήσας εἰς τὴν ἁγίαν αὐτοῦ ποίμνιον· ὅτι αὐτὸς γινώσκει τὸ πλάσμα ἡμῶν· ὅτι τίς καυχήσεται ἁγνὴν ἔχειν καρδίαν· ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας, πάντες γὰρ ἐσμὲν ἐν ἐπιτιμίοις· ἔτι ὑπὲρ αὐτῶν ἐκτενέστερον δεηθῶμεν· ὅτι χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· ὅπως ἀποστραφῶσιν πᾶν ἔργον ἀθέμιτον, προσοικειωθῶσι πάσῃ πράξει ἀγαθῇ, ἵνα ὁ φιλάνθρωπος Θεὸς ἢ τάχος εὐμενῶς προσδεξάμενος αὐτῶν τὰς λιτὰς· ἀποκαταστήσῃ αὐτοῖς ἀγαλλίασιν τοῦ σωτηρίου· καὶ πνεύματι ἡγεμονικῷ στηρίξῃ αὐτὸς, ἵνα μηκέτι σαλεύθωσι κοινωνοὶ γενέσθαι τῶν ἁγίων αὐτοῦ ἱερῶν καὶ μέτοχοι τῶν θείων μυστηρίων· ἵνα ἄξιοι ἀποφανθέντες τῆς υἱοθεσίας, τύχωσι τῆς αἰωνίου ζωῆς· ἔτι ἐκτενῶς πάντες ὑπὲρ αὐτῶν εὔχωμεν· κύριε ἐλέησον· σῶσον αὐτὸς ὁ Θεός, καὶ ἀνάστησον τῷ ἐλέει σου, ἀναστάντες τῷ Θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ· κλίνατε καὶ εὐλογεῖσθε· ἐπεύχέσθω ὃν ὁ ἐπίσκοπος παιδὸς.

Χειροθεσία καὶ εὐχὴ ὑπὲρ τῶν ἐν μετανοίᾳ.

ΚΕΦΑΛ. θ'.

ΠΑντοκράτωρ Θεὲ αἰώνιε δέσποτα τῶν ὅλων κτίσας καὶ φυτάνι τῶν πάντων· ὁ τὸν ἄνθρωπον κόσμου κόσμον ἀναδείξας διὰ Χριστοῦ, καὶ νόμον δοὺς αὐτῷ ἔμφυτον καὶ γραπτὸν πρὸς τὸ ζῆν αὐτὸν ἐνθέσμως ὡς λογικὸν, καὶ ἁμαρτῶντι ὑποθήκην δοὺς πρὸς μετάνοιαν τοῦ σαυτοῦ ἀγαθότητι, ἔπιδε ἐπὶ τοὺς κεκλικότας σοι αὐχένα ψυχῆς καὶ σώματος, ὅτι οὐ βούλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν, ὥστε ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ζῆν· ὁ Νινευίτῶν προσδεξάμενος τὴν μετάνοιαν· ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ὁ τὸν υἱὸν προσδεξάμενος τὸν καταφαγόντα τὸν βίον αὐτοῦ ἀσώτως πατεικοῖς σπλάγχνοις διὰ τὴν μετάνοιαν, αὐτὸς καὶ νῦν πρόσδεξαι τὴν ἱκετηρίαν σου τὴν μετέγνωσιν, ὅτι ἐκ ἔστιν ὃς οὐχ ἁμαρτήσεταί σοι· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς κύριε· κύριε τίς ὑποστήσεται; ὅτι παρά σοι ὁ ἱλασμός ἐστι· καὶ ἀποκατάστησον αὐτὸς τῇ ἁγίᾳ σου ἐκκλησίᾳ ἐν τῇ προτέρᾳ ἀξίᾳ καὶ τιμῇ διὰ τοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν· δι' οὗ σοι δόξα καὶ προσκύνησις ἐν τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας ἀμήν· καὶ ὁ διάκονος λεγέτω· ἀπολύεσθε οἱ ἐν μετανοίᾳ· καὶ προσευχέσθω· μήτις τῶν μὴ δυναμένων προελθέτω· ὅσοι πιστοὶ, κλίνωμεν γόνυ· δεηθῶμεν τοῦ Θεοῦ διὰ τοῦ Χριστοῦ αὐτοῦ πάντες, σωτόνως τὸν Θεὸν διὰ τοῦ χριστοῦ αὐτοῦ παρακαλέσωμεν.

Προσφώνησις ὑπὲρ τῶν πιστῶν.

ΚΕΦΑΛ. ί.

ΥΠὲρ τῆς εἰρήνης καὶ τῆς βεβαιότητος τοῦ κόσμου καὶ τῶν ἁγίων ἐκκλησιῶν δεηθῶμεν· ὅπως ὁ τῶν ὅλων Θεὸς ἀΐδιον καὶ ἀναφαίρετον τοῦ ἑαυτοῦ εἰρήνην παράσχοιτο, ἵνα ἐν πληροφορίᾳ τῆς κατ' εὐσέβειαν ἀρετῆς διατελοῦντες ἡμᾶς σωτηρήσῃ· ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικοῦ ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων δεηθῶμεν. ὅπως ὁ κύριος ἄσειστον αὐτὴν καὶ ἀκλυδώνιστον διαφυλάξῃ καὶ διατηρήσῃ μέχρι τῆς συντελείας τοῦ αἰῶνος τεθεμελιωμένην ἐπὶ τοῦ πέτρας· καὶ ὑπὲρ τῆς ἐνθάδε ἁγίας παροικίας δεηθῶμεν, ὅπως καταξιώσῃ ἡμᾶς ὁ τῶν ὅλων κύριος ἀνενδότως τὴν ἐπουράνιον αὐτοῦ ἐλπίδα μεταδιώκειν, καὶ ἀδιάλειπτον αὐτῷ δεήσεως ἀποδιδόναι τὴν ὀφειλήν· ὑπὲρ πάσης ἐπισκοπῆς τῆς ὑπὸ τὸν οὐρανὸν τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας δεηθῶμεν· καὶ ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Ἰακώβου καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν, ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Κλήμεντος καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν· ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Εὐοδίου καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν, ὅπως ὁ οἰκτίρμων Θεὸς χαρίσηται αὐτοὺς ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις σώους· ἐντίμους· μακροημερεύοντας. καὶ τίμιον αὐτοῖς τὸ γῆρας παράσχηται ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ· καὶ ὑπὲρ τῶν πρεσβυτέρων ἡμῶν δεηθῶμεν· ὅπως ὁ κύριος ῥύσηται αὐτοὺς ἀπὸ παντὸς ἀτόπου καὶ πονηροῦ πράγματος, καὶ σῶον καὶ ἔντιμον τὸ πρεσβυτέριον αὐτοῖς παράσχοι· ὑπὲρ πάσης τῆς ἐν Χριστῷ διακονίας καὶ ὑπηρεσίας δεηθῶμεν, ὅπως ὁ κύριος ἄμεμπτον τοῦ διακονίαν αὐτοῖς παράσχηται· ὑπὲρ ἀναγνωστῶν· ψαλτῶν· παρθένων· χηρῶντε καὶ ὀρφανῶν δεηθῶμεν, ὑπὲρ τῶν ἐν συζυγίαις καὶ τεκνογονίαις δεηθῶμεν, ὅπως ὁ κύριος τὰς πάντας αὐτοὺς ἐλεήσῃ· ὑπὲρ δυνάσχων ὁσίως πορδομένων δεηθῶμεν· ὑπὲρ τῶν ἐν ἐγκρατείᾳ, καὶ ἁγιαβείᾳ δεηθῶμεν, ὑπὲ τῶν καρποφορούντων ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ ποιούντων τοῖς πένησι τὰς ἐλεημοσύνας δεηθῶμεν, καὶ ὑπὲρ τῶν τὰς θυσίας καὶ τὰς ἀπαρχὰς προσφερόντων κυρίῳ τῷ Θεῷ ἡμῶν δεηθῶμεν· ὅπως ὁ παναγαθος Θεὸς ἀμείψηται αὐτοὺς τοῖς ἐπουρανίοις αὐτοῦ δωρεαῖς, καὶ δῷ αὐτοῖς ἐν τῷ παρόντι ἑκατονταπλασίονα καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον, καὶ χαρίσηται αὐτοῖς ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια· ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια· ὑπὲρ τῶν νεοφωτίστων ἀδελφῶν ἡμῶν δεηθῶμεν· ὅπως ὁ κύριος στηρίξῃ αὐτοὺς καὶ βεβαιώσῃ· ὑπὲρ τῶν ἐν ἀῤῥωστίᾳ ἐξεπιζομένων ἀδελφῶν ἡμῶν δεηθῶμεν· ὅπως ὁ κύριος ῥύσηται αὐτοὺς πάσης νόσου καὶ πάσης μαλακίας, καὶ σώους ἀποκαταστήσῃ τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ· ὑπὲρ πολεόντων καὶ ὁδοιπορούντων δεηθῶμεν· ὑπὲρ τῶν ἐν μετώλλοις καὶ ἐξορίαις, καὶ φυλακαῖς καὶ δεσμοῖς ὄντων διὰ τὸ ὄνομα τοῦ κυρίου δεηθῶμεν· ὑπὲρ τῶν ἐν πικρᾷ δουλείᾳ καταπονουμένων δεηθῶμεν· ὑπὲρ ἐχθρῶν καὶ μισούντων ἡμᾶς δεηθῶμεν· ὑπὲρ τῶν διωκόντων ἡμᾶς διὰ τὸ ὄνομα τοῦ κυρίου δεηθῶμεν· ὅπως ὁ κύριος παύσας τὸν θυμὸν αὐτῶν, διασκεδάσῃ τὴν καθ' ἡμῶν ὀργήν· ὑπὲρ τῶν ἔξω ὄντων καὶ πεπλανημένων δεηθῶμεν· ὅπως ὁ κύριος

ριος αὐτὸς ἐπιστρέψῃ· τῶν νηπίων τῆς ἐκκλησίας μνημονεύσωμεν· ὅπως ὁ κύριος τελειώσας αὐτὰ ἐν τῷ φόβῳ αὐτοῦ εἰς μέτρον ἡλικίας ἀγάγῃ· ὑπὲρ ἀλλήλων δεηθῶμεν· ὅπως ὁ κύριος τηρήσῃ ἡμᾶς καὶ φυλάξῃ τῇ αὐτοῦ χάριτι εἰς τέλος καὶ ῥύσηται ἡμᾶς τοῦ πονηροῦ καὶ πάντων τῶν σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ σώσῃ εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον· ὑπὲρ πάσης ψυχῆς Χριστιανῆς δεηθῶμεν· Σῶσον καὶ ἀνάστησον ἡμᾶς ὁ Θεὸς τῷ ἐλέει σου· ἐγειρώμεθα δεηθέντες ἐκτενῶς ἑαυτοὺς καὶ ἀλλήλους τῷ ζῶντι Θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ παραθώμεθα· ἐπευχέσθω δὲ ὁ ἀρχιερεύς, καὶ λεγέτω.

Ἐπίκλησις τῶν πιστῶν.

ΚΕΦΑΛ. ιά.

Κύριε παντοκράτωρ ὕψιστε ὁ ἐν ὑψηλοῖς κατοικῶν· ἅγιε ἐν ἁγίοις ἀναπαυόμενε· ἄναρχε· μόναρχε· ὁ διὰ Χριστοῦ κήρυγμα γνώσεως δοὺς ἡμῖν εἰς ἐπίγνωσιν τῆς σῆς δόξης καὶ τοῦ ὀνόματός σου, οὗ ἐφανέρωσεν ἡμῖν εἰς κατάληψιν· αὐτὸς καὶ νῦν ἔπιδε δι' αὐτοῦ ἐπὶ τὸ ποίμνιόν σου τοῦτο· καὶ λύτρωσαι αὐτὸ πάσης ἀγνοίας καὶ πονηρᾶς πράξεως· καὶ δὸς φόβῳ φοβεῖσθαί σε καὶ ἀγάπῃ ἀγαπᾷν σε, καὶ στέλλεσθαι ἀπὸ προσώπου δόξης σου· εὐμενὴς αὐτοῖς γενοῦ καὶ ἵλεως καὶ ἐπήκοος ἐν ταῖς προσευχαῖς αὐτῶν· καὶ φύλαξον αὐτοὺς ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους· ἵνα ὦσιν ἅγιοι σώματι καὶ ψυχῇ μὴ ἔχοντες σπῖλον ἢ ῥυτίδα ἤτι τῶν τοιούτων· ἀλλ' ἵνα ὦσιν ἄρτιοι· καὶ μηδεὶς ἐν αὐτοῖς ᾖ κολοβὸς ἢ ἀτελής· ἀρωγέ· δυνατέ· ἀπροσωπόληπτε· γενοῦ ἀντιλήπτωρ τοῦ λαοῦ σου τούτου, ὃν ἐξηγόρασας τῷ τιμίῳ τοῦ Χριστοῦ σου αἵματι· προστάτης· ἐπίκουρος· ταμίας· φύλαξ· τεῖχος ἐρυμνότατον· φραγμός· ἀσφάλεια· ὅτι ἐκ τῆς σῆς χειρὸς οὐδεὶς ἁρπάσαι δύναται· οὐδὲ γάρ ἐστι Θεὸς ὥσπερ σὺ ἕτερος· ὅτι ἐν σοὶ ἡ ὑπομονὴ ἡμῶν· ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου ὅτι ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστιν· ἀπροσχάριστε· ἀπαραλόγιστε· ῥῦσαι αὐτοὺς πάσης νόσου καὶ πάσης μαλακίας, παντὸς παραπτώματος· πάσης ἐπηρείας καὶ ἀπάτης· ἀπὸ φόβου ἐχθροῦ· ἀπὸ βέλους πετωμένου ἡμέρας· ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου· καὶ καταξίωσον αὐτοὺς τῆς αἰωνίου ζωῆς τῆς ἐν Χριστῷ τῷ υἱῷ σου τῷ μονογενεῖ, τῷ Θεῷ καὶ σωτῆρι ἡμῶν· δι' οὗ σοι δόξα καὶ σέβας ἐν ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν· καὶ μετὰ τοῦτο λεγέτω ὁ διάκονος· πρόσχωμεν, καὶ ἀσπαζέσθω ὁ ἐπίσκοπος τὴν ἐκκλησίαν, καὶ λεγέτω· ἡ εἰρήνη τοῦ Θεοῦ μετὰ πάντων ὑμῶν· καὶ ὁ λαὸς ἀποκρινάσθω· καὶ μετὰ τοῦ πνεύματός σου· καὶ ὁ διάκονος εἰπάτω πᾶσιν· ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ· καὶ ἀσπαζέσθωσαν οἱ τοῦ κλήρου τὸν ἐπίσκοπον· οἱ λαϊκοὶ ἄνδρες τοὺς λαϊκούς· αἱ γυναῖκες τὰς γυναῖκας· τὰ παιδία δὲ στηκέτωσαν πρὸς τῷ βήματι· καὶ διάκονος αὐτοῖς ἕτερος ἔστω ἐφεστώς, ὅπως μὴ ἀτακτῶσι· καὶ ἄλλοι διάκονοι περιπατείτωσαν καὶ σκοπείτωσαν τοὺς ἄνδρας καὶ τὰς γυναῖκας ὅπως μὴ θόρυβός τις γένηται, καὶ μήτις νεύσῃ· ἢ ψιθυρίσῃ· ἢ νυστάξῃ· οἱ δὲ διάκονα ἱστάσθωσαν εἰς τὰς τῶν ἀνδρῶν θύρας· καὶ οἱ ὑποδιάκονοι εἰς τὺς τῶν γυναικῶν· ὅπως μήτις ἐξέλθοι· μήτε ἀνοιχθῇ ἡ θύρα κἂν πιστός τις ᾖ κατὰ τὸν καιρὸν τῆς ἀναφορᾶς· εἷς δὲ ὑποδιάκονος διδότω ἀπόνιψιν χειρῶν τοῖς ἱερεῦσι σύμβολον καθαρότητος ψυχῶν Θεῷ ἀνακειμένων.

Διάταξις Ἰακώβου τοῦ ἀδελφοῦ Ἰωάννου τοῦ Ζεβεδαίου.

ΚΕΦΑΛ. ιβ.

Φημὶ δὴ κἀγὼ Ἰάκωβος ὁ ἀδελφὸς Ἰωάννου τοῦ Ζεβεδαίου, ἵν' εὐθὺς ὁ διάκονος λέγῃ· μήτις τῶν κατηχουμένων· μήτις τῶν ἀκροωμένων· μήτις τῶν ἀπίστων· μήτις τῶν ἑτεροδόξων· οἱ τὴν πρώτην εὐχὴν εὐχόμενοι προέλθετε· τὰ παιδία προσλαμβάνεσθε αἱ μητέρες· μήτις κατά τινος· μήτις ἐν ὑποκρίσει· ὀρθοὶ πρὸς κύριον μετὰ φόβου καὶ τρόμου ἑστῶτες ὦμεν προσφέρειν· ὧν γενομένων οἱ διάκονοι προσαγέτωσαν τὰ δῶρα τῷ ἐπισκόπῳ πρὸς τὸ θυσιαστήριον, καὶ οἱ πρεσβύτεροι ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων στηκέτωσαν ὡς ἂν μαθηταὶ παρεστῶτες διδασκάλῳ· δύο διάκονοι ἐξ ἑκατέρων τῶν μερῶν τοῦ θυσιαστηρίου κατεχέτωσαν ἐξ ὑμένων λεπτῶν ῥιπίδιον, ἢ πτερῶν ταώνος, ἢ ὀθόνης· καὶ ἠρέμα ἀποσοβείτωσαν τὰ μικρὰ τῶν ἱπταμένων ζώων, ὅπως ἂν μὴ ἐγχρίμπτωνται εἰς τὰ κύπελλα· εὐξάμενος οὖν καθ' ἑαυτὸν ὁ ἀρχιερεὺς ἅμα τοῖς ἱερεῦσι, καὶ λαμπρὰν ἐσθῆτα μετενδοὺς καὶ στὰς πρὸς τῷ θυσιαστηρίῳ τὸ τρόπαιον τοῦ σταυροῦ κατὰ τοῦ μετώπου τῇ χειρὶ ποιησάμενος εἰς πάντας, εἰπάτω· ἡ χάρις τοῦ παντοκράτορος Θεοῦ καὶ ἡ ἀγάπη τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος ἔστω μετὰ πάντων ὑμῶν· καὶ πάντες συμφώνως λεγέτωσαν· ὅτι καὶ μετὰ τοῦ πνεύματός σου· καὶ ὁ ἀρχιερεύς· ἄνω τὸν νοῦν· καὶ πάντες· ἔχομεν πρὸς τὸν κύριον· καὶ ὁ ἀρχιερεὺς εὐχαριστήσωμεν τῷ κυρίῳ· καὶ πάντες· ἄξιον καὶ δίκαιον· καὶ ὁ ἀρχιερεὺς εἰπάτω, ἄξιον ὡς ἀληθῶς καὶ δίκαιον πρὸ πάντων ἀνυμνεῖν σε τὸν ὄντως ὄντα Θεὸν τὸν πρὸ τῶν γενητῶν ὄντα· ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται· τὸν μόνον ἀγέννητον, καὶ ἄναρχον, καὶ ἀβασίλευτον, καὶ ἀδέσποτον· τὸν ἀνενδεῆ· τὸν παντὸς ἀγαθοῦ χορηγόν· τὸν πάσης αἰτίας καὶ γενέσεως κρείττονα· τὸν πάντοτε κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα· ἐξ οὗ τὰ πάντα καθάπερ ἔκ τινος ἀφετηρίας εἰς τὸ εἶναι παρῆλθεν· σὺ γὰρ εἶ ἡ ἄναρχος γνῶσις· ἡ ἀΐδιος ὅρασις· ἡ ἀγέννητος ἀκοή· ἡ ἀδίδακτος σοφία· ὁ πρῶτος τῇ φύσει· καὶ νόμος τῷ εἶναι, καὶ κρείττων παντὸς ἀριθμοῦ· τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν διὰ τοῦ μονογενοῦ σου υἱοῦ, αὐτὸν δὲ πρὸ πάντων αἰώνων γεννήσας βουλήσει καὶ δυνάμει καὶ ἀγαθότητι ἀμεσιτεύτως· υἱὸν μονογενῆ· λόγον Θεόν· σοφίαν ζῶσαν· πρωτότοκον πάσης κτίσεως· ἄγγελον τῆς μεγάλης βουλῆς σου· ἀρχιερέα σόν· βασιλέα δὲ καὶ κύριον πάσης νοητῆς καὶ αἰσθητῆς φύσεως· τὸν πρὸ πάντων· δι' οὗ τὰ πάντα· σὺ γὰρ Θεὲ αἰώνιε δι' αὐτοῦ τὰ πάντα πεποίηκας· καὶ δι' αὐτοῦ τῆς προσηκούσης προνοίας τὰ ὅλα ἀξιοῖς· δι' οὗ γὰρ τὸ εἶναι ἐχαρίσω, δι' αὐτοῦ καὶ τὸ εὖ εἶναι ἐδωρήσω· ὁ Θεὸς

καὶ

καὶ πατὴρ τοῦ μονογενοῦς υἱοῦ σου, ὁ δι' αὐτοῦ πρὸ
πάντων ποιήσας τὰ Χερουβὶμ & τὰ Σεραφίμ· αἰῶ-
νάς τε καὶ στρατιάς· δυνάμεις τε καὶ ἐξουσίας· ἀρχάς
τε καὶ θρόνους· ἀρχαγγέλους τε καὶ ἀγγέλους· καὶ μὴ
τοῦτα πάντα, ποιήσας δι' αὐτοῦ τὸν φαινόμενον τοῦ-
τον κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ· σὺ γὰρ εἶ ὁ
τὸν οὐρανὸν ὡς καμάραν στήσας· καὶ ὡς δέρριν ἐκτεί-
νας· καὶ τῇ γῇ ἐπ' ὕδατος ἱδρύσας γνώμῃ μό-
νῃ· ὁ πήξας στερέωμα· καὶ νύκτα καὶ ἡμέραν κατυσ-
κιάσας· ὁ ἐξαγαγὼν φῶς ἐκθησαυρῶν· καὶ τῇ
τούτου σοφῇ ἐπαγαγὼν τὸ σκότος εἰς ἀνάπαυλαν τῶν
ἐν τῷ κόσμῳ κινουμένων ζώων· ὁ τὸν ἥλιον τάξας
εἰς ἀρχὰς τῆς ἡμέρας ἐν οὐρανῷ καὶ τὴν σελήνην
εἰς ἀρχὰς τῆς νυκτός· καὶ τὸν χορὸν τῶν ἀστέρων ἐν
οὐρανῷ καταγράψας εἰς αἶνον τῆς σῆς μεγαλοπρε-
πείας· ὁ ποιήσας ὕδωρ πρὸς φόσιν καὶ κάθαρσιν·
ἀέρα ζωτικὸν πρὸς εἰς πνοὴν καὶ φωνῆς ἀπόδοσιν
διὰ γλώττης πληττούσης τὸν ἀέρα· καὶ ἀκοὴν συ-
νεργουμένην ὑπ' αὐτοῦ ὡς ἐπαίειν εἰσδεχομένην τὴν
προσπίπτουσαν αὐτῇ λαλιάν· ὁ ποιήσας πῦρ πρὸς
σκότους παραμυθίαν, πρὸς ἐνδείας ἀναπλήρωσιν,
καὶ τὸ θερμαίνεσθαι ἡμᾶς καὶ φωτίζεσθαι ὑπ' αὐτοῦ·
ὁ τὴν μεγάλην θάλασσαν χωρίσας τῆς γῆς· καὶ
τὴν μὲν ἀναδείξας πλωτήν, τὴν δὲ ποσὶ βάσι-
μον ποιήσας· καὶ τὴν μὲν ζώοις μικροῖς καὶ μεγά-
λοις πληθούσας, τὴν δὲ ἡμέροις καὶ ἀτιθάσσοις
πληρώσας· φυτοῖς τε διαφόροις σέψας· καὶ βοτά-
ναις σεφανώσας· καὶ ἄνθεσι καλλυνάς καὶ σπέρμασι
πλατύσας· ὁ συσησάμενος ἄβυσσον καὶ μέγα κῆτος
αὐτῇ περιθείς, ἁλμυρῶν ὑδάτων σεσωρευμένα πε-
λάγη· περιφράξας δὲ αὐτὴν πύλαις ἄμμῳ λεπ-
τοτάτῃ· ὁ πνεύμασί ποτε μὲν αὐτὴν κορυφῶν εἰς
ὀρέων μέγεθος· ποτὲ δὲ στρωννύων αὐτὴν εἰς πε-
δίον· καί ποτε μὲν ἐκμαίνων χειμῶνι· ποτὲ δὲ
φαίνων γαλήνῃ· ὡς ναυσιπόροις πλωτῆρσιν εὔ-
κολον εἶναι πρὸς πορείαν· ὁ ποταμοῖς διαζώσας
τὸν ὑπὸ σὲ διὰ Χριστοῦ γνυόμενον κόσμον· καὶ χει-
μάρροις ἐπικλύσας· καὶ πηγαῖς ἀενναόις μεθύσας·
ὄρεσι δὲ περισφίγξας εἰς ἕδραν ἄρρεμῆ γῆς ἀσ-
φαλεστάτην· ἐπλήρωσας γάρ σου τὸν κόσμον, καὶ
διεκόσμησας αὐτὸν βοτάναις εὐόσμοις & ἰασίμοις·
ζώοις πολλοῖς καὶ διαφόροις. ἀλκίμοις καὶ ἀοθενε-
στέροις, ἐδωδίμοις καὶ ἐνεργοῖς· ἡμέροις καὶ ἀτιθάσ-
σοις· ἑρπετῷ συριγμοῖς, πτηνῶν ποικίλων κλαγ-
γαῖς· οἰκιακῷ κύκλοις. μηνῶν καὶ ἡμερῶν ἀριθ-
μοῖς, ξύλων τάξεσι· νεφῶν ὀμβροτόκων διαδρομαῖς
εἰς καρπῶν γονὰς καὶ ζώων σύστασιν· σαθμὸν ἀνέ-
μων διαπνεόντων, ὅτε προσαχθῶσι παρά σοῦ· τῷ
φυτῷ καὶ τῷ βοτανῶν τὸ πλῆθος· καὶ ὁ μόνον τὸν
κόσμον ἐδημιούργησας· ἀλλὰ καὶ τὸν κοσμοπολίτην
ἄνθρωπον ἐν αὐτῷ ἐποίησας κόσμου κόσμον αὐτὸν
ἀναδείξας· εἶπας γὰρ τῇ σῇ σοφίᾳ, ποιήσωμεν
ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν·
καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ
τῶν πετεινῶν τοῦ οὐρανοῦ· διὸ καὶ πεποίηκας
αὐτὸν ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος σκεδα-
σοῦ, τῆς μὲν ἐκ τοῦ μὴ ὄντος, τοῦ δὲ ἐκ τῶν τεσ-
σάρων στοιχείων· καὶ δέδωκας αὐτῷ κατὰ μὲν τὴν
ψυχὴν, τὴν λογικὴν διάγνωσιν· δίσεβείας καὶ ἀ-
σεβείας διάκρισιν· δικαίου καὶ ἀδίκου παρατήρησιν·
κατὰ δὲ τὸ σῶμα τὴν πεντάθλον ἐχρείσω αἴσθη-
σιν, καὶ τὴν μεταβατικὴν κίνησιν· σὺ γὰρ Θεὲ
παντοκράτωρ δι' Χριστοῦ παράδεισον ἐν Ἐδὲμ κα-
τὰ ἀνατολὰς ἐφύτευσας παντοίων φυτῶν ἐδωδίμων
κόσμῳ καὶ ἐν αὐτῷ ὡς ἂν ἐν ἑορτῇ πολυτελεῖ εἰ-
σήγαγες αὐτὸν, χάριν τῷ ποιεῖν νόμον δέδωκας αὐτῷ
ἔμφυτον, ὅπως οἰκοθεν καὶ παρ' ἑαυτοῦ ἔχοι τὰ σπέρ-
ματα τῆς θεογνωσίας· εἰσαγαγὼν δὲ εἰς τὸν τῆς
τρυφῆς παράδεισον, πάντων μὲν ἀνῆκας αὐτῷ τὴν
ἐξουσίαν πρὸς μετάληψιν, ἑνὸς δὲ μόνου τοῦ γεύ-
σιν ἀπεῖπας ἐπ' ἐλπίδι κρειττόνων· ἵνα ἐὰν φυλά-
ξῃ τὴν ἐντολὴν, μισθὸν ταύτης τὴν ἀθανασίαν
κομίσηται· ἀμελήσαντι δὲ τῆς ἐντολῆς, καὶ γλυ-
κάμενον ἀπηγορευμένου καρποῦ ἀπάτῃ ὄφεως καὶ συμ-
βουλίᾳ γυναικὸς, τοῦ μὲν παραδείσου δικαίως ἐξω-
σας αὐτὸν, ἀγαθότητι δὲ εἰς τὸ παντελὲς ἀπολ-
λύμενον οὐχ ὑπερεῖδες, σὸν γὰρ ἦν δημιούργημα·
ἀλλὰ καθυποτάξας αὐτῷ τὴν κτίσιν, δέδωκας αὐ-
τῷ οἰκείοις ἱδρῶσι & πόνοις ποριζειν ἑαυτῷ τὴν
τροφὴν, σοῦ πάντα φύοντος καὶ αὔξοντος καὶ πεπαί-
νοντος· χρόνῳ δὲ πρὸς ὀλίγον αὐτὸν χαμίσας, ὅρ-
κῳ εἰς παλιγγενεσίαν ἐκάλεσας· ὅρον θανάτου λύ-
σας, ζωὴν ἐξ ἀναστάσεως ἐπηγγείλω· καὶ ὁ τοῦτο
μόνον, ἀλλὰ καὶ τοὺς ἐξ αὐτοῦ εἰς πλῆθος ἀνάρι-
θμον χέας, τοὺς ἐμμείναντάς σοι ἐνδόξασας· τοὺς δὲ
ἀποστάντας σου ἐκόλασας, καὶ τοῦ μὲν Ἄβελ, ὡς ὁ-
σίου, προσδεξάμενος τὴν θυσίαν, τοῦ δὲ ἀδελ-
φοκτόνου Καΐν ἀποστραφεὶς τὸ δῶρον ὡς σκαιοῦ·
καὶ πρὸς τούτοις τὸν Σήθ, & τὸν Ἐνὼς προσελά-
βου· καὶ τὸν Ἐνὼχ μετατέθεικας· σὺ γὰρ εἶ ὁ δη-
μιουργὸς τῶν ἀνθρώπων καὶ τῆς ζωῆς χορηγὸς, &
τῆς ἐνδείας πληρωτής· καὶ τῶν νόμων δοτὴρ καὶ τῶν
φυλαττόντων αὐτοὺς μισθαποδότης· καὶ τῶν παραβαι-
νόντων αὐτοὺς ἔκδικος· ὁ τὸν μέγαν κατακλυσμὸν
ἐπαγαγὼν τῷ κόσμῳ διὰ τὸ πλῆθος τῶν ἀσε-
βησάντων. καὶ τὸν δίκαιον Νῶε ῥυσάμενος ἐκ τοῦ
κατακλυσμοῦ ἐν λάρνακι σὺν ὀκτὼ ψυχαῖς πέλος
μὲν τῶν παρωχηκότων. ἀρχὴν δὲ τῶν μελλόντων
ἐπιγίνεσθαι· ὁ τὸ φοβερὸν πῦρ κατὰ τῆς Σοδομη-
νῆς πενταπόλεως ἐξάψας· καὶ γῆν καρποφόρον εἰς
ἅλμην θέμενος ἀπὸ κακίας τῶν κατοικούντων ἐν
αὐτῇ· καὶ τὸν ὅσιον Λὼτ ἐξαρπάσας τοῦ ἐμπρησ-
μοῦ· σὺ εἶ ὁ τὸν Ἀβραὰμ ῥυσάμενος προγονικῆς
ἀσεβείας· καὶ κληρονόμον τοῦ κόσμου κατασήσας· καὶ
ἐμφανίσας αὐτῷ τὸν Χριστόν σου· ὁ τὸν Μελχισε-
δὲκ, ἀρχιερέα τῆς λαξείας προχειρισάμενος· ὁ
τὸν πολύτλαν θεράποντά σου Ἰὼβ νικητὴν τοῦ ἀρ-
χεκάκου ὄφεως ἀναδείξας· ὁ τὸν Ἰσαὰκ ἐπαγγε-
λίας υἱὸν ποιησάμενος· ὁ τὸν Ἰακὼβ πατέρα δω-
δεκα παίδων καὶ τοὺς ἐξ αὐτοῦ εἰς πλῆθος χέας·
καὶ εἰσαγαγὼν εἰς Αἴγυπτον ἐν ἑβδομήκοντα πέντε
ψυχαῖς· σὺ κύριε Ἰωσὴφ οὐχ ὑπερεῖδες, ἀλλὰ μι-
σθὸν τῆς δι' σὲ σωφροσύνης ἔδωκας αὐτῷ τὸ τῶν
Αἰγυπτίων ἄρχειν· σὺ κύριε Ἑβραίους ὑπὸ Αἰ-
γυπτίων κατιπονουμένους ἐπείδες διὰ τοὺς πρὸς
τοὺς πατέρας αὐτῶν ἐπαγγελίας· ἀλλ' ἐρρύσω κο-
λάσας Αἰγυπτίους· παραφθειράντων δὲ τῶν ἀν-
θρώπων τὸν φυσικὸν νόμον, καὶ τῇ κτίσιν ποτὲ
μὲν αὐτόματον νομισάντων, ποτὲ δὲ πλεῖον ἢ δεῖ
τιμησάντων, καὶ σοὶ τῷ Θεῷ τῶν πάντων σιωπᾶ-
τόντων,

τόντων, ὐκ εἴασας πλανᾶσθαι· ἀλλὰ ἀναδείξας τὸν ἅγιόν σου θεράποντα Μωϋσῆν δι' αὐτοῦ σοφὸς βοηθειαν τῇ φυσικῇ τὸν γραπτὸν νόμον δέδωκας· καὶ τιμὼ κτίσιν ἔδειξας σὸν ἔργον εἶναι· τιμὼ δὲ πολύθεον πολάνιν ἐξώρισας, τὸν Ἀαρὼν καὶ τοὺς ἐξ αὐτοῦ ἱερατικῇ τιμῇ ἐδόξασας· Ἑβραίους ἁμαρτόντας ἐκόλασας· ἐπεστρέφοντας ἐδίξω· τοὺς Αἰγυπτίους δεκαπλήγῳ ἐτιμωρήσω· θάλασσαν διελών, Ἰσραηλίτας διεβίβασας· Αἰγυπτίους ἐπιδιώξαντας ὑποβρυχίους ἀπώλεσας· ξύλῳ πικρὸν ὕδωρ ἐγλύκανας, ἐκ πέτρας ἀκροτόμου ὕδωρ ἀνέχεας· ἐξ οὐρανοῦ τὸ μάννα ὗσας, βοσφὴν ἐξ ἀέρος ὀρτυγομήτραν· στύλον πυρὸς τὴν νύκτα σοφὸς φωτισμόν· καὶ στύλον νεφέλης ἡμέραν σοφὸς σκιασμὸν θάλπους· τὴν Ἰησοῦν στρατηγὸν ἀναδείξας, ἑπτὰ ἔθνη Χαναναίων δι' αὐτοῦ καθεῖλες· Ἰορδάνιν διέρρηξας· τοὺς ποταμοὺς Ἡθὰμ ἐξήρανας· τείχη κατέρριψας ἀνὰ μηχανημάτων καὶ χειρὸς ἀνθρωπίνης· ὑπὲρ ἁπάντων σοὶ ἡ δόξα δέσποτα παντοκράτωρ· σὲ σοφοσχιωῦσιν ἀνάρίθμοι στρατιαὶ ἀγγέλων· ἀρχαγγέλων· θρόνων· κυριοτήτων· ἀρχῶν· ἐξουσιῶν· δυνάμεων· στρατιῶν αἰώνων· τὰ Χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ, ταῖς μὲν δυσὶ καταπετάζοντα τοὺς πόδας, ταῖς δὲ δυσὶ τὰς κεφαλὰς, ταῖς δὲ δυσὶ πετόμενα καὶ λέγοντα, ἅμα χιλίαις χιλιάσιν ἀρχαγγέλων. καὶ μυρίαις μυριάσιν ἀγγέλων ἀκαταπαύστως καὶ ἀσιγήτως βοώσαις· καὶ πᾶς ὁ λαὸς ἅμα εἰποάτω· ἅγιος ἅγιος ἅγιος κύριος σαβαὼθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ· εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμνύ· καὶ ὁ ἀρχιερεὺς ἐξῆς λεγέτω· ἅγιος γὰρ εἶ. ὡς ἀληθῶς, καὶ πανάγιος· ὕψιστος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας· ἅγιος δὲ καὶ ὁ μονογενὴς σου υἱὸς ὁ κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς ὁ Χριστός· ὃς εἰς πάντα * ὑπηρετησάμενός σοι τῷ Θεῷ αὐτοῦ καὶ πατρὶ εἷς τε δημιουργίαν διάφορον καὶ προνοίαν κατάλληλον, οὐ περιεῖδε τὸ γένος τῶν ἀνθρώπων ἀπολλύμενον, ἀλλὰ μὴ φυσικὸν νόμον, μὴ νομικὴν παραίνεσιν, μὴ προφητικὰς ἐλέγχους, καὶ τὰς τῶν ἀγγέλων ἐφεδρείας παραφθειρόντων σοὶ τῷ θεῷ καὶ τὸν φυσικὸν νόμον, καὶ τῆς μνήμης ἐκβαλλόντων τὸν κατακλυσμὸν, τιμὼ ἐκπύρωσιν, τὰς κατ' Αἰγυπτίων πληγὰς, τὰς κατὰ Παλαιστινῶν σφαγὰς, καὶ μελλόντων ὅσον οὐδέπω ἀπόλλυσθαι φάντων, ἐδόκησεν αὐτὸς γνώμῃ σῇ ὁ δημιουργὸς ἀνθρώπου, ἄνθρωπος γένεσθαι· ὁ νομοθέτης ὑπὸ νόμου· ὁ ἀρχιερεὺς ἱερεῖον· ὁ ποιμὴν πρόβατον· καὶ ἐξομοίωσατό σε τὸν ἑαυτοῦ Θεὸν καὶ πατέρα· καὶ τῷ κόσμῳ κατήλλαξε καὶ τῆς ἐπικειμένης ὀργῆς τοὺς πάντας ἠλευθέρωσε γενόμενος ἐκ παρθένου· γενόμενος ἐν σαρκὶ· ὁ Θεὸς λόγος· ὁ ἀγαπητὸς υἱός· ὁ πρωτότοκος πάσης κτίσεως κατὰ τὰς περὶ αὐτοῦ ὑπ' αὐτοῦ προρρηθείσας προφητείας ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραὰμ φυλῆς Ἰούδα· καὶ γέγονεν ἐν μήτρᾳ παρθένου ὁ σαρκωθεὶς πάντας τοὺς γενομένους· καὶ ἐσαρκώθη ὁ ἄσαρκος ὁ ἀχρόνως γεννηθεὶς, ἐν χρόνῳ γενόμενος, πολιτευσάμενος ὁσίως καὶ παιδεύσας ἐνθέσμως· πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐξ ἀνθρώπων ἀπελάσας· σημεῖά τε καὶ τέρατα ἐν τῷ λαῷ ποιήσας· ζοφῆς καὶ ποτοῦ καὶ ὕπνου μεταλαβών· ὁ ζωφόρος πάντας τοὺς χρήζοντας ζοφῆς, καὶ ἀμπελῶν πᾶν ζῶον ἐδώδιμος· ἐφανέρωσέ σε τὸ ὄνομα τοῖς ἀγνοοῦσιν αὐτό· τιμὼ ἄγνοιαν ἐξαγαθίσει· τιμὼ δίψιβιαν ἀνέζωπύρωσε· τὸ θέλημά σου ἐπλήρωσε· τὸ ἔργον ὃ ἔδωκας αὐτῷ ἐτελείωσε· καὶ ταῦτα πάντα καταρθώσας, χρεὼν ἀνόμων καταχθεὶς ἱερεῖων καὶ ἀρχιερέων ψευδωνύμων καὶ λαοῦ παρανόμου, προδοσίᾳ τοῦ τιμὼ καιροῦ νοσήσαντος, καὶ πολλὰ παθὼν ὑπ' αὐτῶν, καὶ πᾶσαν ἀτιμίαν ὑποσὰς σῇ συγχωρήσει· παραδοθεὶς Πιλάτῳ τῷ ἡγεμόνι· καὶ κριθεὶς ὁ κριτὴς· καὶ καταδικασθεὶς ὁ σωτὴρ· σαυρῷ προσηλώθη ὁ ἀπαθὴς· καὶ ἀπέθανεν ὁ τῇ φύσει ἀθάνατος· καὶ ἔταφη ὁ ζωποιὸς, ἵνα πάθος λύσῃ καὶ θανάτου ἐξέλητε τοὺς τοὺς δι' ὃς παρεγένετο· καὶ ῥῆξε τὰ δεσμὰ τοῦ ᾅδου· καὶ ῥύσηται τοὺς ἀνθρώπους ἐκ τῆς ἀπάτης αὐτοῦ· καὶ ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ· καὶ τεσσαράκοντα ἡμέρας συνδιατρίψας τοῖς μαθηταῖς, ἀνελήφθη εἰς τοὺς οὐρανοὺς, καὶ ἐκαθίσθη ἐκ δεξιῶν σου τοῦ Θεοῦ καὶ πατρὸς αὐτοῦ· μεμνημένος ὧν ὑπὲρ ἡμᾶς ὑπέμεινεν, εὐχαριστοῦμέν σοι Θεὲ παντοκράτωρ· οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα· καὶ τιμὼ διάταξιν αὐτοῦ πληροῦμεν· ἐν ᾗ γὰρ νυκτὶ παρεδίδοτο λαβὼν ἄρτον τοῖς ἁγίοις καὶ ἀμώμοις αὐτοῦ χερσὶ, καὶ ἀναβλέψας πρὸς σὲ τὸν Θεὸν αὐτοῦ καὶ πατέρα, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς εἰπών· τοῦτο τὸ μυστήριόν τῆς καινῆς διαθήκης· λάβετε ἐξ αὐτοῦ· φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου, τὸ περὶ πολλῶν θρυπτόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ πίνητε τὸ ποτήριον τοῦτο, τὸν θάνατον τὸν ἐμὸν καταγγέλλετε ἄχρις οὗ ἔλθω· μεμνημένοι πάντων τῶν παθῶν αὐτοῦ καὶ τοῦ θανάτου καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως καὶ τῆς εἰς οὐρανοὺς ἐποχῆς καὶ τῆς μελλούσης αὐτοῦ δευτέρας παρουσίας, ὅν ἡ ἔρχεται μετὰ δόξης καὶ δυνάμεως κρῖναι ζῶντας καὶ νεκρὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομέν σοι τῷ βασιλεῖ καὶ Θεῷ κατὰ τιμὼ αὐτοῦ διάταξιν τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο εὐχαριστοῦντες σοι δι' αὐτοῦ, ἐφ' οἷς κατηξίωσας ἡμᾶς ἑστάναι ἐνώπιόν σου καὶ ἱερατεύειν σοι· καὶ ἀξιοῦμέν σε, ὅπως ἵλεως ἐπιβλέψῃς ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα ἐνώπιόν σου σὺ ὁ ἀνενδεὴς Θεὸς· καὶ εὐδοκήσῃς ἐπ' αὐτοῖς εἰς τιμὼ τοῦ Χριστοῦ σου· καὶ καταπέμψῃς τὸ ἅγιόν σου πνεῦμα ἐπὶ τιμὼ θυσίαν ταύτην τιμὼ μάρτυρα τῶν παθημάτων τοῦ κυρίου Ἰησοῦ, ὅπως ἀποφήνῃ τὸν ἄρτον τοῦτον σῶμα τοῦ Χριστοῦ σου, καὶ τὸ ποτήριον τοῦτο αἷμα τοῦ Χριστοῦ σου· ἵνα οἱ μεταλαμβάνοντες αὐτοῦ, βεβαιωθῶσι πρὸς εὐσέβειαν· ἀφέσιν ἁμαρτημάτων τύχωσι· τοῦ διαβόλου καὶ τῆς πλάνης αὐτοῦ ῥυσθῶσι· πνεύματος ἁγίου πληρωθῶσι· ἄξιοι τοῦ Χριστοῦ σου γένωνται· ζωῆς αἰωνίου τύχωσι, σοῦ καταλλαγέντος αὐτοῖς δέσποτα παντοκράτωρ· ἔτι δεόμεθά σου κύριε καὶ ὑπὲρ τῆς ἁγίας σου ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου, ὅπως αὐτὴν διαφυλάξῃς ἄσειστον καὶ

* μετὰ τὸν σάρκωσιν ἄντικ τῶν ἐνσαρκίαν δι' αὐτὸν, ἡ μὲν περὶ τῶν σαρκώσεως, inquit vetus quidam annotator apud Turrianum.

ἀκλυδώνιστον, ἄχει τῆς σωτελείας τῦ αἰῶνος· ℭ ὑπὲρ πάσης ἐπισκοπῆς τῆς ὀρθοτομύσης τὸν λόγον τῆς ἀληθείας· ἔτι παρακαλῦμεν σε ℭ ὑπὲρ τῆς ἐμῆς τῦ προσφέροντός σοι θυσίας· καὶ ὑπὲρ παντὸς τῦ πρεσβυτερίυ· ὑπὲρ τῶν διακόνων καὶ παντὸς τῦ κλήρυ, ἵνα φάντας σοφίσας, πνεύματος ἁγίυ πληρώσης· ἔτι παρακαλῦμεν σε κύριε ὑπὲρ τῦ βασιλέως καὶ τῶν ἐν ὑπεροχῇ καὶ παντὸς τῦ στρατοπέδυ, ἵνα εἰρηνεύωνται τὰ πρὸς ἡμᾶς· ὅπως ἐν ἡσυχίᾳ καὶ ὁμονοίᾳ διάγοντες, τὸν πάντα χρόνον τῆς ζωῆς ἡμῶν δοξάζωμεν σε διὰ Ἰησῦ Χριστῦ τῆς ἐλπίδος ἡμῶν· ἔτι προσφέρομεν σοι καὶ ὑπὲρ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων σοι ἁγίων· πατριαρχῶν· προφητῶν· δικαίων· ἀποστόλων· μαρτύρων· ὁμολογητῶν· ἐπισκόπων· πρεσβυτέρων· διακόνων· ὑποδιακόνων· ἀναγνωστῶν· ψαλτῶν· παρθένων· χηρῶν· λαϊκῶν· καὶ πάντων ὧν αὐτὸς ἐπίσασαι τὰ ὀνόματα· ἔτι προσφέρομεν σοι ὑπὲρ τῦ λαῦ τῦτο· ἵνα ἀναδείξῃς αὐτὸν εἰς ἔπαινον τῦ Χριστῦ συ βασίλειον ἱεράτευμα· ἔθνος ἅγιον· ὑπὲρ τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ· ὑπὲρ τῶν χηρῶν τῆς ἐκκλησίας· ὑπὲρ τῶν ἐν σεμνοῖς γάμοις καὶ τεκνογονίαις· ὑπὲρ τῶν νηπίων τῦ λαῦ συ, ὅπως μηδενός ἡμῶν ἀπόβλητον ποιήσῃς· ἔτι ἀξιῦμέν σε καὶ ὑπὲρ τῆς πόλεως ταύτης καὶ τῶν ἐνοικύντων· ὑπὲρ τῶν ἐν ἀῤῥωστίαις· ὑπὲρ τῶν ἐν πικρᾷ δυλείᾳ· ὑπὲρ τῶν ἐν ἐξορείαις· ὑπὲρ τῶν ἐν δημεύσει· ὑπὲρ πλεόντων καὶ ὁδοιπορύντων· ὅπως ἐπίκυρος γένῃ· πάντων βοηθὸς καὶ ἀντιλήπτωρ· ἔτι παρακαλῦμεν σε καὶ ὑπὲρ τῶν μισύντων ἡμᾶς καὶ διωκόντων ἡμᾶς διὰ τὸ ὄνομά συ· ὑπὲρ τῶν ἔξω ὄντων καὶ πεπλανημένων, ὅπως ἐπιστρέψῃς αὐτὺς εἰς ἀγαθόν, καὶ τὸν θυμὸν αὐτῶν παύσῃς· ἔτι παρακαλῦμεν σε καὶ ὑπὲρ τῶν κατηχυμένων τῆς ἐκκλησίας· καὶ ὑπὲρ τῶν χειμαζομένων ὑπὸ τῦ ἀλλοτρίυ· καὶ ὑπὲρ τῶν ἐν μετανοίᾳ ἀδελφῶν ἡμῶν· ὅπως τὺς μὲν τελειώσῃς ἐν τῇ πίστει· τὺς δὲ καθαρίσῃς ἐκ τῆς ἐνεργείας τῦ πονηρῦ· τῶν δὲ τὴν μετάνοιαν προσδέξῃ καὶ συγχωρήσῃς καὶ αὐτοῖς καὶ ἡμῖν τὰ παραπτώματα ἡμῶν· ἔτι προσφέρομεν σοι καὶ ὑπὲρ τῆς εὐκρασίας τῦ ἀέρος καὶ τῆς εὐφορίας τῶν καρπῶν, ὅπως ἀνελλειπῶς μεταλαμβάνοντες τῶν παρά σῦ ἀγαθῶν, αἰνῶμέν σε ἀπαύστως τὸν διδόντα τροφὴν πάσῃ σαρκί· ἔτι παρακαλῦμεν σε καὶ ὑπὲρ τῶν δι' εὐλογον αἰτίαν ἀπόντων· ὅπως ἅπαντας ἡμᾶς διατηρύσας ἐν τῇ εὐσεβείᾳ, ἐπισυναγάγῃς ἐν τῇ βασιλείᾳ τῦ Χριστῦ σου τῦ Θεῦ πάσης αἰσθητῆς καὶ νοητῆς φύσεως, τῦ βασιλέως ἡμῶν, ἀξέπτους· ἀμέμπτους· ἀνεγκλήτους· ὅτι σοι πᾶσα δόξα, σέβας καὶ εὐχαριστία, τιμὴ καὶ προσκύνησις τῷ πατρὶ, καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τὺς αἰῶνας τῶν αἰώνων· καὶ πᾶς ὁ λαὸς λεγέτω· ἀμήν· καὶ ὁ ἐπίσκοπος εἰπάτω· ἡ εἰρήνη τῦ Θεῦ εἴη μετὰ πάντων ὑμῶν· καὶ πᾶς ὁ λαὸς λεγέτω· καὶ μετὰ τῦ πνεύματός συ· καὶ ὁ διάκονος κηρυσσέτω πάλιν.

86

Προσφώνησις ἐπὶ τῇ πίστει μετὰ τὴν θείαν ἀναφοράν.

ΚΕΦΑΛ. ιγ'.

ΕΤι καὶ ἔτι δεηθῶμεν τῦ Θεῦ διὰ τῦ Χριστῦ αὐτῦ, ὑπὲρ τῦ δῶρυ τῦ προσκομισθέντος καὶ ἁγιασθέντος τῷ Θεῷ δεηθῶμεν· ὅπως ὁ ἀγαθὸς Θεὸς προσδέξηται αὐτὸ διὰ τῆς μεσιτείας τῦ Χριστῦ αὐτῦ εἰς τὸ ἐπουράνιον αὐτῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας· ὑπὲρ τῆς ἐκκλησίας ταύτης καὶ τῦ λαῦ δεηθῶμεν· ὑπὲρ πάσης ἐπισκοπῆς, παντὸς πρεσβυτερίυ, πάσης τῆς ἐν Χριστῷ διακονίας καὶ ὑπηρεσίας, παντὸς τῦ πληρώματος τῆς ἐκκλησίας δεηθῶμεν· ὅπως ὁ κύριος πάντας διατηρήσῃ καὶ διαφυλάξῃ· ὑπὲρ βασιλέων καὶ τῶν ἐν ὑπεροχῇ δεηθῶμεν· ἵνα εἰρηνεύωνται τὰ πρὸς ἡμᾶς· ὅπως ἤρεμον καὶ ἡσύχιον βίον ἔχοντες διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι· τῶν ἁγίων μαρτύρων μνημονεύσωμεν, ὅπως κοινωνοὶ γενέσθαι τῆς ἀθλήσεως αὐτῶν καταξιωθῶμεν· ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων δεηθῶμεν· ὑπὲρ τῆς εὐκρασίας τῶν ἀέρων καὶ τελεσφορίας τῶν καρπῶν δεηθῶμεν· ὑπὲρ τῶν νεωφωτίστων δεηθῶμεν· ὅπως βεβαιωθῶσιν ἐν τῇ πίστει· πάντες ὑπ' ἄλλων παρακαλέσθωσαν· ἀνάσησον ἡμᾶς ὁ Θεὸς ἐν τῇ χάριτί συ· ἀνασάντες ἑαυτὺς τῷ Θεῷ διὰ τῦ Χριστῦ αὐτῦ παραθώμεθα· καὶ ὁ ἐπίσκοπος λεγέτω· ὁ Θεὸς ὁ μέγας καὶ μεγαλώνυμος· ὁ μέγας τῇ βυλῇ, καὶ κραταιὸς τοῖς ἔργοις· ὁ Θεὸς καὶ πατὴρ τῦ ἁγίυ παιδός συ Ἰησῦ τῦ σωτῆρος ἡμῶν, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸ ποίμνιόν συ τῦτο· ὃ δι' αὐτῦ ἐξελέξω εἰς δόξαν τοῦ ὀνόματός συ· καὶ ἁγιάσας ἡμῶν τὸ σῶμα, καὶ τὴν ψυχὴν καταξίωσον καθαρὰς γενομένας ἀπὸ παντὸς μολυσμῦ σαρκὸς καὶ πνεύματος τυχεῖν τῶν προκειμένων ἀγαθῶν· ℭ μηδενὸς ἡμῶν ἀνάξιον κρίνῃς, ἀλλὰ βοηθὸς ἡμῶν γενῦ· ἀντιλήπτωρ· ὑπερασπιστὴς διὰ τῦ Χριστῦ συ· μεθ' ὃ σοι δόξα· τιμή· αἶνος· δοξολογία· ἐξομολόγησις καὶ τῷ ἁγίῳ πνεύματι εἰς τὺς αἰῶνας· καὶ μετὰ τὸ πάντας εἰπεῖν, ἀμήν· ὁ διάκονος λεγέτω· προσχωμεν· ℭ ὁ ἐπίσκοπος προσφωνησάτω τῷ λαῷ ὅτω· τὰ ἅγια τοῖς ἁγίοις· ℭ ὁ λαὸς ὑπακυέτω· εἷς ἅγιος, εἷς κύριος· εἷς Ἰησῦς Χριστὸς εἰς δόξαν Θεῦ πατρός· ἀμήν· δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία· Ὡσαννὰ τῷ υἱῷ Δαβίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου Θεὸς, κύριος, καὶ ἐπέφανεν ἡμῖν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· καὶ μετὰ τῦτο μεταλαμβανέτω ὁ ἐπίσκοπος· ἔπειτα οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι, καὶ ὑποδιάκονοι, καὶ οἱ ἀναγνῶσαι, καὶ οἱ ψάλται, καὶ οἱ ἀσκηταὶ καὶ ἐν ταῖς γυναιξὶν αἱ διακόνισσαι, καὶ αἱ παρθένοι, καὶ αἱ χῆραι· εἶτα τὰ παιδία, καὶ τότε πᾶς ὁ λαὸς κατὰ τάξιν μετὰ αἰδῦς καὶ εὐλαβείας ἄνευ θορύβυ· καὶ ὁ μὲν ἐπίσκοπος, διδότω τὴν προσφορὰν λέγων· σῶμα Χριστῦ· καὶ ὁ δεχόμενος λεγέτω· ἀμήν· ὁ δὲ διάκονος κατεχέτω τὸ ποτήριον, καὶ ἐπιδιδὺς λεγέτω· αἷμα Χριστῦ ποτήριον ζωῆς· καὶ ὁ πίνων λεγέτω· ἀμήν· ψαλμὸς δὲ λεγέσθω ϟ΄ καὶ εἶτα ὁ ἐπίσκοπος τῦ μεταλαμβάνειν πάντας τὺς λοιπὺς· καὶ ὅταν πάντες μεταλάβωσι καὶ πᾶσαι, λαβόντες οἱ διάκονοι τὰ πε-

σεμασθέσαντα εἰσφερέτωσαν εἰς τὰ πασοφόρια· καὶ ὁ διάκονος λεγέτω, παυσαμένων τῶ ψάλλοντος.

Προσφώνησις μετὰ τὴν μετάληψιν.

ΚΕΦΑΛ. ιδ'.

Μεταλαβόντες τοῦ τιμίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Χριστοῦ εὐχαριστήσωμεν τῶ καταξιώσαντι ἡμᾶς μεταλαβεῖν τῶν ἁγίων αὐτοῦ μυστηρίων, καὶ παρακαλέσωμεν, μὴ εἰς κρίμα, ἀλλ' εἰς σωτηρίαν ἡμῖν γένεσθαι, εἰς ὠφέλειαν ψυχῆς καὶ σώματος, εἰς φυλακὴν εὐσεβείας, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ζωὴν τοῦ μέλλοντος αἰῶνος· ἐγειρώμεθα ἐν χάριτι Χριστοῦ, ἑαυτοὺς τῶ Θεῶ τῶ μόνω ἀγενήτω Θεῶ, καὶ τῶ Χριστῶ αὐτοῦ παραθώμεθα· καὶ ὁ ἐπίσκοπος εὐχαριστείτω.

Ἐπίκλησις μετὰ τὴν μετάληψιν.

ΚΕΦΑΛ. ιέ.

Δέσποτα ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πατὴρ τοῦ Χριστοῦ σου τοῦ ἐνλογητοῦ παιδός, ὁ τῶν μετ' εὐθύτητος ἐπικαλουμένων σε ἐπήκοος, ὁ καὶ τῶν σιωπώντων ἐπεισάκουστος τὰς ἐντεύξεις, εὐχαριστοῦμέν σοι, ὅτι κατηξίωσας ἡμᾶς μεταλαβεῖν τῶν ἁγίων σου μυστηρίων, ἃ παρέχου ἡμῖν εἰς πληροφορίαν τῶν καλῶς ἐγνωσμένων· εἰς φυλακὴν τῆς εὐσεβείας, εἰς ἄφεσιν πλημμεληματῶν· ὅτι τὸ ὄνομα τοῦ Χριστοῦ σου ἐπικέκληται ἐφ' ἡμᾶς, καὶ σοὶ προσφωνοῦμεν· ὁ χωρίσας ἡμᾶς τῆς τῶν ἀσεβῶν κοινωνίας, σῶσον ἡμᾶς μετὰ τῶν καθωσιωμένων σοι· στήριξον ἡμᾶς ἐν τῆ ἀληθείᾳ τῆ τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσει· τὰ ἀγνοούμενα ἀποκάλυψον· τὰ λείποντα προσαναπλήρωσον· τὰ ἐγνωσμένα κράτωσον· τοὺς ἱερεῖς ἡμῶν διαφύλαξον ἐν τῆ λαμπρότητί σου· τοὺς βασιλεῖς διατήρησον ἐν εἰρήνη· τοὺς ἄρχοντας ἐν δικαιοσύνη· τοὺς ἀέρας ἐν εὐκρασίᾳ· τοὺς καρποὺς ἐν εὐφορίᾳ· τὸν κόσμον ἐν παναλκεῖ προνοίᾳ· τὰ ἔθνη τὰ πολεμικὰ πρᾶυνον· τὰ πεπλανημένα ἐπίστρεψον· τὸν λαόν σου ἁγίασον· τοὺς ἐν παρθενίᾳ διατήρησον· τοὺς ἐν γάμῳ διαφύλαξον ἐν πίστει· τοὺς ἐν ἁγνείᾳ ἐνδυνάμωσον· τὰ νήπια ἄδρυνον· τοὺς νεοτελεῖς βεβαίωσον· τοὺς ἐν κατηχήσει παίδευσον· καὶ τῆς μυήσεως ἀξίους ἀνάδειξον· καὶ πάντας ἡμᾶς ἐπισυνάγαγε εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, ἐν Χριστῶ Ἰησοῦ τῶ κυρίῳ ἡμῶν· μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας καὶ τῶ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν· καὶ ὁ διάκονος λεγέτω· τῶ Θεῶ διὰ τοῦ Χριστοῦ αὐτοῦ κλίνατε τὰς ἐυλογεῖσθε· καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω λέγων· ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἀληθινὸς καὶ ἀσύγκριτος, ὁ πανταχοῦ ὢν καὶ τοῖς πᾶσι παρών, καὶ ἐν οἷς οἶδε μὲν ὡς ἐν οὐδενὶ ὑπάρχων, ὁ τόποις μὴ περιγραφόμενος, ὁ χρόνοις μὴ παλαιούμενος, ὁ αἰῶσι μὴ περατούμενος, ὁ λόγοις μὴ παραγόμενος, ὁ γενέσει μὴ ὑποκείμενος, ὁ φυλακῆς μὴ δεόμενος, ὁ φθορᾶς ἀνώτερος, ὁ ὄψεσι μὴ ἀνεπίδεκτος, ὁ φύσει ἀναλλοίωτος, ὁ φῶς οἰκῶν ἀπρόσιτον, ὁ τῆ φύσει ἀόρατος, ὁ γνωστὸς πάσαις ταῖς μετ' ἐννοίας ἐκζητούσαις σε λογικαῖς φύσεσιν, ὁ καταλαμβανόμενος ὑπὸ τῶν ἐν διανοίᾳ ἐπιζητούντων σε, ὁ Θεὸς Ἰσραὴλ τοῦ ἀληθινῶς ὁρῶντος τοῦ εἰς Χριστὸν πιστεύσαντος λαοῦ σου, δέομαι μόνης σου ἐπακοῆς μου διὰ τὸ ὄνομά σου, καὶ ἀνάλογησον τοῖς σοὶ κεκλικόσι τοὺς ἑαυτῶν αὐχένας· καὶ δὸς αὐτοῖς τὰ αἰτήματα τῶν καρδιῶν αὐτῶν τὰ ἐπὶ συμφέροντι· καὶ μηδέν σου ἀπόβλητον ποιήσῃς ἐκ τῆς βασιλείας σου· ἀλλὰ ἁγίασον αὐτούς· φρούρησον· σκέπασον· ἀντιλαβοῦ· ῥῦσαι τοῦ πολεμίου· καὶ παντὸς ἐχθροῦ, τοὺς οἴκους αὐτῶν φύλαξον· τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους φρούρησον· ὅτι σοι δόξα· αἶνος· μεγαλοπρέπεια· σέβας· προσκύνησις· καὶ τῶ σῶ παιδὶ Ἰησοῦ τῶ Χριστῶ σου τῶ κυρίῳ ἡμῶν καὶ Θεῶ καὶ βασιλεῖ· ᾧ τῶ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν· καὶ ὁ διάκονος ἐρεῖ· ἀπολύεσθε ἐν εἰρήνη· ταῦτα περὶ τῆς μυστικῆς λατρείας διατασσόμεθα ἡμεῖς οἱ ἀπόστολοι ὑμῖν τοῖς ἐπισκόποις, καὶ τοῖς πρεσβυτέροις, καὶ τοῖς διακόνοις.

Περὶ χειροτονίας πρεσβυτέρων διάταξις Ἰωάννου τοῦ φιλεμβύου ὑποκυρίου.

ΚΕΦΑΛ. ιε'.

Περὶ δὲ χειροτονίας πρεσβυτέρων ἐγὼ ὁ φιλέμβυος ὑποκύριος διατάσσομαι ὑμῖν τοῖς ἐπισκόποις· πρεσβύτερον χειροτονῶν ὦ ἐπίσκοπε· τὴν χεῖρα ἐπὶ τῆς κεφαλῆς ἐπιτίθει αὐτῶ τοῦ πρεσβυτερίου παρεστῶτός σοι καὶ τοῦ διακόνου· καὶ λέγε, κύριε παντοκράτωρ ὁ Θεὸς ἡμῶν ὁ διὰ Χριστοῦ τὰ πάντα δημιουργήσας, καὶ δι' αὐτοῦ τὴν ὅλων προνοῶν καταλλήλως· ᾧ γὰρ δυνάμει διάφορα ποιῆσαι, τούτῳ δυνάμει καὶ διαφόρως προνοῆσαι· διὰ γὰρ τοῦτο ὁ Θεὸς προνοεῖς τὴν μὲν ἀθανάτων φυλακὴν μόνην· τὴν δὲ θνητῶν διαδοχὴν· τῆς ψυχῆς, φροντίδι νόμων· τὰ σώματος, ἀναπληρώσει τῆς ἐνδείας· αὐτὸς δέσποτα καὶ νῦν ἐπιβλέψον ἐπὶ τὴν ἁγίαν σου ἐκκλησίαν καὶ αὔξησον αὐτὴν· καὶ πλήθυνον τοὺς ἐν αὐτῆ προεστῶτας· καὶ δὸς δυνάμιν προὸς τὸ κοπιᾶν αὐτοὺς λόγῳ καὶ ἔργῳ εἰς οἰκοδομὴν τοῦ λαοῦ σου· αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τοῦτον τὸν ψηφῳ καὶ χειροθεσίᾳ τοῦ κλήρου πασῶν εἰς πρεσβυτέριον ἐπιδοθέντα· καὶ ἔμπλησον αὐτὸν πνεύματος χάριτος καὶ συμβουλίας τοῦ ἀντιλαμβάνεσθαι καὶ κυβερνᾶν τὸν λαόν σου ἐν καθαρᾶ καρδίᾳ, ὃν τρόπον ἐπίδες ἐπὶ λαὸν ἐκλογῆς σου καὶ προσέταξας Μωυσεῖ αἱρεῖσθαι πρεσβυτέρους οὓς ἔπλησας πνεύματος· καὶ νῦν κύριε παράσχου ἀνελλιπὲς τηρῶν ἐν ἡμῖν τὸ πνεῦμα τῆς χάριτός σου· ὅπως πληθεὶς ἐνεργημάτων ἰατικῶν καὶ λόγου διδακτικοῦ ἐν πραότητι παιδεύσῃ τὸν λαόν· καὶ δυνηθείησαν εἰλικρινῶς ἐν καθαρᾶ ὁμολογίᾳ καὶ ψυχῆ θελήσῃ· καὶ τὰς ὑπὲρ τοῦ λαοῦ ἱερουργίας ἀμώμους ἐκτελῆ ὁμοῦ τοῦ Χριστοῦ σου· μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας καὶ τῶ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν.

Περὶ

Περὶ χειροτονίας διακόνων τοῦ Φιλίππου διάταξις.

ΚΕΦΑ'Λ. ιζ'.

ΠΕρὶ δὲ χειροτονίας διακόνων ἐγὼ Φίλιππος διατάσσομαι· διάκονον καταστήσεις ὦ ἐπίσκοπε ἐπιθεὶς αὐτῷ τὰς χεῖρας· παρεστῶτός σοι παντὸς τοῦ πρεσβυτερίου καὶ τῶν διακόνων, καὶ ἐπευξάμενος ἐρεῖς.

Ἐπίκλησις χειροτονίας διακόνου.

ΚΕΦΑ'Λ. ιη'.

Ὁ Θεὸς, ὁ παντοκράτωρ, ὁ ἀληθινὸς καὶ ἀψευδὴς, ὁ πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους σε ἐν ἀληθείᾳ, ὁ φοβερὸς ἐν βουλαῖς, ὁ σοφὸς διανοίᾳ, ὁ κραταιὸς καὶ μέγας, εἰσάκουσον προσευχῆς ἡμῶν κύριε, καὶ ἐνώτισαι τὴν δέησιν ἡμῶν, καὶ ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου τόνδε τὸν προχειριζόμενόν σοι εἰς διακονίαν· καὶ πλῆσον αὐτὸν πνεύματος ἁγίου καὶ δυνάμεως· ὡς ἔπλησας Στέφανον τὸν μάρτυρα καὶ μιμητὴν τῶν παθημάτων τοῦ Χριστοῦ σου· καὶ καταξίωσον αὐτὸν εὐαρέστως λειτουργήσαντα τὴν ἐγχειρισθεῖσαν αὐτῷ διακονίαν ἀτρέπτως, ἀμέμπτως, ἀνεγκλήτως, μείζονος ἀξιωθῆναι βαθμοῦ διὰ τῆς μεσιτείας τοῦ μονογενοῦς σου υἱοῦ· μεθ' οὗ σοι δόξα τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν.

Περὶ διακονίσσης Βαρθολομαίου διάταξις.

ΚΕΦΑ'Λ. ιθ'.

ΠΕρὶ δὲ διακονίσσης Βαρθολομαῖος διατάσσομαι· ὦ ἐπίσκοπε ἐπιθήσεις αὐτῇ τὰς χεῖρας, παρεστῶτος τοῦ πρεσβυτερίου καὶ τῶν διακόνων καὶ τῶν διακονισσῶν, καὶ ἐρεῖς.

Ἐπίκλησις ἐπὶ χειροτονίας διακονίσσης.

ΚΕΦΑ'Λ. κ'.

Ὁ Θεὸς ὁ αἰώνιος ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἀνδρὸς καὶ γυναικὸς δημιουργὸς, ὁ πληρώσας πνεύματος Μαριὰμ, καὶ Δεβόῤῥαν, καὶ Ἄνναν, καὶ Ὀλδὰν, ὁ μὴ ἀπαξιώσας τὸν μονογενῆ σου υἱὸν γενηθῆναι ἐκ γυναικός· ὁ καὶ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου καὶ ἐν τῷ ναῷ προχειρισάμενος τὰς φρουροὺς τῶν ἁγίων σου πυλῶν, αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὴν δούλην σου τήνδε τὴν προχειριζομένην εἰς διακονίαν· καὶ δὸς αὐτῇ πνεῦμα ἅγιον· καὶ καθάρισον αὐτὴν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος πρὸς τὸ ἐπαξίως ἐπιτελεῖν αὐτὴν τὸ ἐγχειρισθὲν αὐτῇ ἔργον εἰς δόξαν σὴν καὶ ἔπαινον τοῦ Χριστοῦ σου· μεθ' οὗ σοι δόξα καὶ προσκύνησις καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν.

Περὶ ὑποδιακόνων διάταξις τοῦ Θωμᾶ.

ΚΕΦΑ'Λ. κα'.

ΠΕρὶ δὲ ὑποδιακόνων ἐγὼ Θωμᾶς διατάσσωμαι ὑμῖν τοῖς ἐπισκόποις· ὑποδιάκονον χειροτονῶν ὦ ἐπίσκοπε ἐπιθήσεις ἐπ' αὐτῷ τὰς χεῖρας καὶ ἐρεῖς· δέσποτα Θεὲ, οὐρανοῦ καὶ γῆς δημιουργὲ καὶ πάντων τῶν ἐν αὐτοῖς, ὁ καὶ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου τοὺς νεωκόρους ἀναδείξας τῶν ἁγίων σου σκευῶν φύλακας, αὐτὸς καὶ νῦν ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν σου τόνδε τὸν προχειρισθέντα ὑποδιάκονον· καὶ δὸς αὐτῷ πνεῦμα ἅγιον πρὸς τὸ ἐπαξίως ἐφάπτεσθαι τῶν λειτουργικῶν σου σκευῶν, καὶ ποιεῖν τὸ θέλημά σου διαπαντὸς διὰ τοῦ Χριστοῦ σου· μεθ' οὗ σοι δόξα τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν.

Περὶ ἀναγνωστῶν τοῦ Ματθαίου διάταξις.

ΚΕΦΑ'Λ. κβ'.

ΠΕρὶ δὲ ἀναγνωστῶν ἐγὼ Ματθαῖος ὁ καὶ Λευὶς ὁ ποτὲ τελώνης διατάσσομαι· ἀναγνώστην προχείρισαι, ἐπιθεὶς αὐτῷ τὴν χεῖρα· καὶ ἐπευξάμενος πρὸς τὸν Θεὸν λέγε· ὁ Θεὸς ὁ αἰώνιος ὁ πολὺς ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὁ τὴν τοῦ κόσμου σύστασιν διὰ τῶν ἐνεργουμένων φανεροποιήσας, καὶ τὸν ἀριθμὸν τῶν ἐκλεκτῶν σου διαφυλάττων, αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τὸν ἐγχειριζόμενον τὰς ἁγίας σου γραφὰς ἀναγινώσκειν τῷ λαῷ σου· καὶ δὸς αὐτῷ πνεῦμα ἅγιον· πνεῦμα προφητικόν· ὁ σοφίσας Ἔσδραν τὸν θεράποντά σου ἐπὶ τὸ ἀναγινώσκειν τοὺς νόμους σου τῷ λαῷ σου· καὶ νῦν παρακαλούμενος ὑφ' ἡμῶν, σόφισον τὸν δοῦλόν σου· καὶ δὸς αὐτῷ ἔργον ἀκατάγνωστον διανύσαντα τὸ ἐγχειρισθὲν αὐτῷ ἄξιον ἀναδειχθῆναι μείζονος βαθμοῦ διὰ χριστοῦ· μεθ' οὗ σοι ἡ δόξα καὶ τὸ σέβας· καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν.

Ἰακώβου τοῦ Ἀλφαίου περὶ ὁμολογητῶν διάταξις.

ΚΕΦΑ'Λ. κγ'.

Ἰάκωβος δὲ ὁ Ἀλφαίου κἀγὼ διατάσσομαι περὶ ὁμολογητῶν· ὁμολογητὴς οὐ χειροτονεῖται· γνώμης γὰρ τοῦτο καὶ ὑπομονῆς· τιμῆς δὲ μεγάλης ἐπάξιος ὡς ὁμολογήσας τὸ ὄνομα τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ ἐνώπιον ἐθνῶν καὶ βασιλέων· ἐὰν δὲ χρεία αὐτοῦ ᾖ εἰς ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, χειροτονεῖται· εἰ δέ τις ὁμολογητὴς μὴ χειροτονηθεὶς ἁρπάσῃ ἑαυτῷ ἀξίωμά τι τοιοῦτον ὡς διὰ τὴν ὁμολογίαν, οὗτος καθαιρείσθω· καὶ ἀποβαλλέσθω· οὐ γάρ ἐστιν· ἐπείπερ ἤρνηται τὴν Χριστοῦ διάταξιν, καὶ ἔστιν ἀπίστου χείρων.

Τȣ̃ αὐτȣ̃ περὶ παρθένων.

ΚΕΦΑΛ. κδ'.

Ὁ Αὐτὸς περὶ παρθένων διατάσσομαι· παρθένος ȣ̓ χειροτονεῖται· ἐπιτυγὴν γὰρ κυρίȣ ȣ̓κ ἔχομεν· γνώμης γάρ ἐστι τὸ ἔπαθλον, ȣ̓κ ἐπὶ διαβολῇ τȣ̃ γάμȣ, ἀλλ' ἐπὶ σχολῇ τῆς εὐσεβείας.

Λεββαίȣ τȣ̃ ἐπικληθέντος Θαδδαίȣ περὶ χηρῶν διάταξις.

ΚΕΦΑΛ. κε'.

ΚΑ'γὼ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος τάδε περὶ χηρῶν διατάσσομαι· χήρα ȣ̓ χειροτονεῖται· ἀλλ' εἰ μὲν ἐκ πολλȣ̃ ἀπέβαλε τὸν ἄνδρα καὶ σωφρόνως καὶ ἀκαταγνώστως ἔζησε, καὶ τῶν οἰκείων ἄριστα ἐπεμελήθη, ὡς Ἰȣδὶθ, καὶ Ἄννα αἱ σεμνόταται, κατατασσέσθω εἰς τὸ χηρικόν· εἰ δὲ νεωστὶ ἀπέβαλε τὸν ὁμόζυγον, μὴ πιστευέσθω· ἀλλὰ χρόνῳ νεότης κρινέσθω· τὰ γὰρ πάθη ἔσθ' ὅτε καὶ συγγηρᾷ ἀνθρώποις, εἰ μὴ ὑπὸ κρείττονος χαλινȣ̃ εἰργόμεθα.

Ὁ αὐτὸς περὶ ἐπορκιστȣ̃.

ΚΕΦΑΛ. κϛ'.

Ὁ Αὐτὸς περὶ ἐπορκιστȣ̃ διατάσσομαι· ἐπορκιστὴς ȣ̓ χειροτονεῖται· εὐνοίας γὰρ ἑκȣσίȣ τὸ ἔπαθλον καὶ χάριτος Θεȣ̃ διὰ Χριστȣ̃ ἐπιφοιτήσει τȣ̃ ἁγίȣ πνεύματος· ὁ γὰρ λαβὼν χάρισμα ἰαμάτων, δι' ἀποκαλύψεως ὑπὸ Θεȣ̃ ἀναδείκνυται, φανερᾶς ȣ̓σης πᾶσι τῆς ἐν αὐτῷ χάριτος· ἐὰν δὲ χρεία αὐτȣ̃ γένηται εἰς ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον χειροτονεῖται.

Σίμων ὁ Κανανίτης περὶ τȣ̃ ὑπὸ πόσων ὀφείλει χειροτονεῖσθαι ὁ ἐπίσκοπος.

ΚΕΦΑΛ. κζ'.

ΣΙ'μων δὲ ὁ Κανανίτης κἀγὼ διατάσσομαι ὑπὸ πόσων ὀφείλει χειροτονεῖσθαι ὁ ἐπίσκοπος· ἐπίσκοπος ὑπὸ τριῶν ἢ δύο ἐπισκόπων χειροτονείσθω· ἐὰν δέ τις ὑπὸ ἑνὸς χειροτονηθῇ ἐπισκόπου, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας αὐτόν· ἐὰν δὲ ἀνάγκη καταλάβῃ ὑπὸ ἑνὸς χειροτονηθῆναι διὰ τὸ μὴ δύνασθαι πλείονας παραγενέσθαι διωγμȣ̃ ὄντος, ἢ ἄλλης τοιαύτης αἰτίας, ψήφισμα κομιζέσθω τῆς ἐπιτροπῆς πλειόνων ἐπισκόπων.

Τȣ̃ αὐτȣ̃ κανόνες περὶ ἐπισκόπων, πρεσβυτέρων, διακόνων, καὶ λοιπῶν κληρικῶν.

ΚΕΦΑΛ. κη'.

Ὁ Αὐτὸς διατάσσομαι περὶ κανόνων· ἐπίσκοπος εὐλογεῖ ȣ̓κ εὐλογεῖται· χειροθετεῖ, χειροτονεῖ προσφέρει, εὐλογίαν παρὰ ἐπισκόπων λαμβάνει· παρὰ δὲ πρεσβυτέρων ȣ̓δαμῶς· ἐπίσκοπος καθαιρεῖ πάντα κληρικὸν ἄξιον ὄντα καθαιρέσεως, πλὴν ἐπισκόπου· μόνος γὰρ οὐχ οἷός τε· πρεσβύτερος εὐλογεῖ, οὐκ εὐλογεῖται· εὐλογίας δέχεται παρὰ ἐπισκόπου καὶ συμπρεσβυτέρου· ὡσαύτως ἐπιδίδωσι συμπρεσβυτέρῳ, χειροτεθεῖ· ȣ̓ χειροτονεῖ· ȣ̓ καθαίρει· ἀφορίζει δὲ τȣ̀ς ὑποβεβηκότας, ἐὰν ὦσιν ὑπεύθυνοι τῇ τοιαύτῃ τιμωρίᾳ· διάκονος ȣ̓κ εὐλογεῖ· ȣ̓ δίδωσιν εὐλογίαν· λαμβάνει δὲ παρὰ ἐπισκόπȣ καὶ πρεσβυτέρȣ· οὐ βαπτίζει· ȣ̓ προσφέρει· τȣ̃ δὲ ἐπισκόπȣ προσενεγκόντος ἢ τȣ̃ πρεσβυτέρȣ, αὐτὸς ἐπιδίδωσι τῷ λαῷ, ȣ̓χ ὡς ἱερεὺς, ἀλλ' ὡς διακονούμενος ἱερεῦσι· τῶν δὲ ἄλλων κληρικῶν τὸ τοῦ διακόνου ἔργον ποιῆσαι ȣ̓δενὶ ἐξόν· διακόνισσα ȣ̓κ εὐλογεῖ· ἀλλ' ȣ̓δέ τι ὧν ποιȣ̃σιν οἱ πρεσβύτεροι, ἢ οἱ διάκονοι, ἐπιτελεῖ· ἀλλ' ἢ τοῦ φυλάττειν τὰς θύρας, καὶ ἐξυπηρετεῖσθαι τοῖς πρεσβυτέροις ἐν τῷ βαπτίζεσθαι τὰς γυναῖκας διὰ τὸ εὐπρεπές· διάκονος ἀφορίζει ὑποδιάκονον· ἀναγνώστην· ψάλτην· διακόνισσαν· ἐὰν ᾖ τι τοιȣ̃τον μὴ παρόντος πρεσβυτέρου· ὑποδιακόνῳ ȣ̓κ ἔξεστιν ἀφορίσαι, ȣ̓τε μὴν ἀναγνώστην, ȣ̓τε ψάλτην, ȣ̓τε διακόνισσαν, οὐ κληρικὸν, οὐ λαϊκόν· ὑπηρέται γάρ εἰσι διακόνων.

Περὶ εὐλογίας ὕδατος καὶ ἐλαίȣ τȣ̃ Ματθαίȣ διάταξις.

ΚΕΦΑΛ. κθ'.

ΠΕρὶ δὲ ὕδατος καὶ ἐλαίȣ ἐγὼ Ματθαῖος διατάσσομαι· εὐλογείτω ὁ ἐπίσκοπος τὸ ὕδωρ ἢ τὸ ἔλαιον· ἐὰν δὲ μὴ παρῇ, εὐλογείτω ὁ πρεσβύτερος παρεστῶτος τȣ̃ διακόνȣ· ἐπὰν δὲ ὁ ἐπίσκοπος παρῇ, παριστάσθω ὁ πρεσβύτερος καὶ ὁ διάκονος· λεγέτω δὲ ȣ̓τως· κύριε σαβαὼθ ὁ Θεὸς τῶν δυνάμεων, κτίστα τῶν ὑδάτων καὶ χορηγὲ τȣ̃ ἐλαίȣ, οἰκτίρμων καὶ φιλάνθρωπε, ὁ δȣ̀ς τὸ ὕδωρ πρὸς πόσιν καὶ κάθαρσιν, καὶ ἔλαιον τȣ̃ ἱλαρύναι, πρόσωπον εἰς ἀγαλλίαμα εὐφροσύνης, αὐτὸς καὶ νῦν διὰ Χριστȣ̃ ἁγίασον τὸ ὕδωρ τȣ̃το καὶ τὸ ἔλαιον ἐπ' ὀνόματι τȣ̃ προσκομίσαντος, ἢ τῆς προσκομισάσης· καὶ δὸς δύναμιν ὑγείας ἐμποιητικὴν νόσων ἀπελαστικὴν· δαιμόνων φυγαδευτικὴν· πάσης ἐπιβȣλῆς διωκτικὴν διὰ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν· μεθ' ȣ̓ σοι δόξα, τιμὴ, καὶ σέβας, καὶ τῷ ἁγίῳ πνεύματι εἰς τȣ̀ς αἰῶνας, ἀμήν.

Τῦ αὐτῦ περὶ ἀπαρχῶν καὶ δεκάτῃ.

ΚΕΦΑΛ. λ'.

Ο' Αὐτὸς περὶ ἀπαρχῶν καὶ δεκάτῃ· ἔτι προσάσω, πᾶσαν ἀπαρχὴν καὶ προσκομίζεσθαι τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις εἰς διαξοφὴν αὐτῆ· πᾶσαν δὲ δεκάτην προσφέρεσθαι εἰς διαξοφὴν τῆ λοιπῶν κληρικῶν· καὶ τῆ παρθένων· καὶ τῆ χηρῶν· καὶ τῆ ἐν πενία ἐξεταζομένων· αἱ γὰρ ἀπαρχαὶ τῆ ἱερέων εἰσὶ καὶ τῆ αὐτοῖς ὑπηρετουμένων διακόνων.

Τῦ αὐτῦ περὶ περισσωμάτων.

ΚΕΦΑΛ. λά.

Ο' Αὐτὸς περὶ περισσωμάτων διατάσομαι, τὰς περισσεύσας ἐν τοῖς μυστικοῖς ἀλογίας, κατὰ γνώμην τῦ ἐπισκόπε ἢ τῆ πρεσβυτέρων οἱ διάκονοι διανεμέτωσαν τῷ κλήρῳ· τῷ ἐπισκόπῳ μέρη πέσσαρα· πρεσβυτέρῳ μέρη τρία· διακόνῳ μέρη δύο· τοῖς δὲ ἄλλοις ὑποδιακόνοις, ἢ ἀναγνώσαις, ἢ ψάλταις, ἢ διακονίσσαις μέρος εἷς· τῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον σωφρονίου τῦ Θεῦ ἕκαστον τιμᾶσθαι κατὰ τὴν αὐτῦ ἀξίαν· ἡ γὰρ ἐκκλησία ἐκ ἀταξίας, ἀλλ' ἐν τάξίας ἐστὶ διδασκαλεῖον.

Κανόνες διάφοροι Παύλε τῦ ἀποστόλε· περὶ τῆ προσιόντων τῷ βαπτίσματι, τίνας δεῖ προσδέχεσθαι, καὶ τίνας ἀποβάλλεσθαι.

ΚΕΦΑΛ. λβ'.

Κ Α'γὼ Παῦλος ὁ τῆ ἀποστόλων ἐλάχιστος, τάδε διατίσσομαι ὑμῖν τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις περὶ κανόνων· οἱ πρώτως προσιόντες τῷ μυστηρίῳ τῆς εὐσεβείας διὰ τῆ διακόνων προσαγέσθωσαν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις· καὶ τὰς αἰτίας ἐξετιζέσθωσαν, ἕ χάριν προσῆλθον τῷ χυριακῷ λόγῳ· εἶτε προσενεγκόντες μαρτυρείτωσαν αὐτοῖς ἀκριβώσαντες τὰ κατ' αὐτός· ἐξετιζέσθωσαν δὲ αὐτῆ καὶ οἱ ζόποι· καὶ ὁ βίος· καὶ εἰ δοῦλοί εἰσιν ἢ ἐλεύθεροι· καὶ ἐὰν πιστὸς δοῦλος ᾖ, ἐρωτάσθω ὁ κύριος αὐτῦ, εἰ μαρτυρεῖ αὐτῷ· ἐὰν δὲ μή, ἀποβαλλέσθω, ἕως ἂν ἑαυτὸν ἄξιον ἐπιδείξῃ τῷ δεσπότῃ· εἰ δὲ μαρτυρεῖ αὐτῷ, προσδεχέσθω· εἰ δὲ ἐθνικοῦ ἢ οἰκέτης, διδασκέσθω ἀρεσκεῖν τῷ δεσπότῃ· ἵνα μὴ βλασφημῆται ὁ λόγος· εἰ μὲν ἓν ἔχει γυναῖκα, ἢ ἡ γυνὴ ἄνδρα, διδασκέσθωσαν, ἀρκεῖσθαι ἑαυτοῖς· εἰ δ' ἄγαμοί εἰσι, μανθανέτωσαν μὴ πορνεύειν, ἀλλὰ γαμεῖν νόμῳ· εἰ δ' ὁ δεσπότης αὐτῦ πιστὸς ὤν, καὶ εἰδὼς ὅτι πορνεύει, ἐ δίδωσιν αὐτῷ γυναῖκα, ἢ τῇ γυναικὶ ἄνδρα, ἀφοριζέσθω· ἐὰν δέ τις δαίμονα ἔχῃ, διδασκέσθω μὲν τὴν ἀσέβειαν· μὴ προσδεχέσθω δὲ εἰς κοινωνίαν πρὶν ἂν καθαριοθῇ· εἰ δὲ θάνατος κατεπείγοι, προσδεχέσθω· εἴτις πορνοβοσκός· ἢ παυσάσθω τῦ μασροπορεύειν, ἢ ἀποβαλλέσθω· πόρνη προσιοῦσα, ἢ παυσάσθω, ἢ ἀποβαλλέσθω· εἰδωλοποιὸς προσιών, ἢ παυσάσθω, ἢ ἀποβαλλέσθω· τῆ ἐπὶ σκηνῆς ἐάν τις προσέλθῃ ἀνήρ, ἢ γυνὴ, ἢ λυδοχος, ἢ μονομάχος, ἢ σαδιοδρόμος, ἢ λουδεμπιστὴς, ἢ Ο'λυμπικὸς, ἢ χορῳλης, ἢ χιθαεισὴς, ἢ λυεισὴς, ἢ ὁ τλὺ ὄρχησιν ἐπιδεικνύμενος, ἢ κάπηλος, ἢ παυσάσθωσαν, ἢ ἀποβαλλέσθωσαν. Σκρατιώτης προσιὼν διδασκέσθω μὴ ἀδικεῖν· μὴ συκοφαντεῖν· ἀρκεῖσθαι δὲ τοῖς ὀδομίοις ὀψωνίοις· πειθόμενος προσδεχέσθω· ἀντιλέγων δὲ ἀποβαλλέσθω· ἀρρητοποιὸς· κίναιδος· βλάξ· μάγος· ἐπαοιδὸς· ἀστρολόγος· μάντις· θηρεπῳδὸς· λώταξ· ὀχλαγωγὸς· πειράμματα ποιῶν· περικαθαίρων· οἰωνιστὴς· συμβολοδείκτης· παλμῶν ἑρμηνεὺς· φυλακτόμενος ἐν σωαντήσει λώβας ὄψεως· ἢ ποδῶν· ἢ ὀρνίθων· ἢ γαλῶν· ἢ ἐπιφωνήσεων· ἢ παρακροαμάτων συμβολικῶν, χρόνῳ δοκιμάζέσθωσαν· δυσέκνιπτος γὰρ ἡ κακία· παυσάμενοι οὖν προσδεχέσθωσαν, μὴ πειθόμενοι δὲ ἀποβαλλέσθωσαν· παλλακὴ τινος ἀπίσου δούλη ἐκείνῳ μόνῳ σχολάζουσα προσδεχέσθω· εἰ δὲ καὶ πρὸς ἄλλους ἀσελγαίνει, ἀποβαλλέσθω· πιστὸς ἐὰν ἔχῃ παλλακὴν, εἰ μὴ δούλην, παυσάσθω, * καὶ νόμῳ γαμείτω· εἰ δὲ ἐλεύθεραν, ἐγγαμείτω αὐτῆ νόμῳ· εἰ δὲ μή, ἀποβαλλέσθω· Ε'λληνικοῖς τις ἔθεσιν ἐξακολουθῶν, ἢ Ι'ουδαϊκοῖς μύθοις, ἢ μεταθέσθω, ἢ ἀποβαλλέσθω· θεαζομανία εἴτις προσκειται, ἢ χωνηγίοις, ἢ ἱπποδρομίοις, ἢ ἀγῶσιν, ἢ παυσάσθω. ἢ ἀποβαλλέσθω· ὁ μέλλων κατηχεῖσθαι τρία ἔτη κατηχείσθω· εἰ δὲ σπουδαῖός τις ᾖ, καὶ εὔνοιαν ἔχει περὶ τὸ πρᾶγμα, προσδεχέσθω· ὅτι οὐχ ὁ Χρόνος, ἀλλ' ὁ ζόπος κρίνεται· ὁ διδάσκων εἰ καὶ λαϊκὸς ᾖ, ἔμπειρος δὲ τοῦ λόγου καὶ τὸν ζόπον σεμνὸς, διδασκέτω· ἔσονται γὰρ πάντες διδακτοὶ Θεῦ· πᾶς πιστὸς ἢ πιστὴ ἔωθεν ἀνασάντες ἐξ ὕπνου πρὸ τοῦ ἔργον ἐπιτελέσαι, νιψάμενοι, προσερχέσθωσαν· εἰ δέ τις λόγῳ κατήχησις γίνηται, προτιμησάτω τῦ ἔργῳ τὸν λόγον τῆς εὐσεβείας· ὁ πιστὸς, ἢ ἡ πιστὴ, τοῖς οἰκέταις ἐμμόνως προσεχέτωσαν. καθὼς καὶ ἐν τοῖς προλαβῦσι διεταξάμεθα. καὶ ἐν ταῖς ἐπιστολαῖς ἐδιδάξαμεν.

Οἵας ἡμέρας δεῖ ἀργεῖν τὰς οἰκέτας.

ΚΕΦΑΛ. λγ'.

Ε'γὼ Πέτρος καὶ ἐγὼ Παῦλος διατασσόμεθα· ἐργαζέσθωσαν οἱ δοῦλοι ἓξ ἡμέρας· σάββατον δὲ καὶ κυριακὴν σχολαζέτωσαν ἐν τῇ ἐκκλησίᾳ διὰ τὴν διδασκαλίαν τῆς εὐσεβείας· τὸ μὲν γὰρ σάββατον ἐπόμενον δημιουργίας λόγον ἔχειν· τὴν δὲ κυριακὴν ἀναστάσεως· τὴν μεγάλην ἑβδομάδα πᾶσαν καὶ τὴν μετ' αὐτὴν ἀργείτωσαν οἱ δοῦλοι, ὅτι ἡ μὲν πάθος ἐστὶν, ἡ δὲ ἀναστάσεως· καὶ χρεία διδασκαλίας· τίς ὁ παθὼν καὶ ἀναστάς· ἢ τίς ὁ συγχωρήσας· ἢ καὶ ἀναστήσας· τὴν ἀνάληψιν ἀργείτωσαν διὰ τὸ πέρας τῆς κατὰ Χριστὸν οἰκονομίας· τὴν πεντηκοστὴν ἀργείτωσαν διὰ τὴν παρουσίαν τοῦ ἁγίου πνεύματος τὴν δωρηθεῖσαν τοῖς πιστεύσασιν εἰς Χριστόν.

* lege arbitro ꝑ facil aut ux ducat.

σόν· τῇ τῆς χλυεθλίων ἑορτῇ ἀργείπωσαν διὰ τὸ ἐν αὐτῇ τῇ ἀπροσδόκητον χάειν δεδόσθαι ἀνθρώποις χλυνηθῆναι τὸν τῦ Θεῦ λόγον Ἰησῦν Χειστὸν ἐκ Μαείας τῆς παρθένυ ἐπὶ σωτηείᾳ τῦ κόσμυ· τῇ τῆς ἐπιφανίων ἑορτῇ ἀργείπωσαν διὰ τὸ ἐν αὐτῇ ἀνάδειξιν γεχλυῆσθαι τῆς τῦ Χειστῦ θεότητος μαρτυρήσαντος αὐτῷ τῦ παῤ ὸς ἐν τῷ βαπτίσματι καὶ τῦ παραχλήτυ ἐν εἴδει πειστερᾶς ὑποδείξαντος τοῖς παρεσῶσι τὸν μαρτυρηθέντα· τὰς ἡμέρας τῆς ἀποστόλων ἀργείπωσαν· διδάσκαλοι γὰρ ὑμῶν εἰς Χειστὸν κατέστησαν καὶ πνεύματος ὑμᾶς ἠξίωσαν· τῇ ἡμέραν Στεφάνυ τῦ πρωτομάρτυρος ἀργείπωσαν καὶ τῆς λοιπῶν ἁγίων μαρτύρων τῆς προτιμησάντων Χειστὸν τῆς ἑαυτῆς ζωῆς.

Ποίας ὥρας καὶ ὅτι ἐν ταύτης δεῖ προσεύχεσθαι.

ΚΕΦΑΛ. λδ'.

Εὐχὰς ἐπιτελεῖτε ὄρθρυ καὶ τείτῃ ὥρᾳ, καὶ ἕκτῃ καὶ ἐννάτῃ· καὶ ἑσπέρᾳ καὶ ἀλεκτοροφωνίᾳ· ὄρθρυ μὲν εὐχαειστοῦντες ὅτι ἐφώτισεν ὑμῖν ὁ κύειος παραγαγὼν τῇ νύκτι· καὶ ἐπαγαγὼν τῇ ἡμέραν· τείτῃ δὲ, ὅτι ἀπόφασιν ἐν αὐτῇ ὑπὸ Πιλάτυ ἔλαβεν ὁ κύειος. ἕκτῃ δὲ, ὅτι ἐν αὐτῇ ἐσαυρώθη· ἐννάτῃ δὲ, ὅτι πάντα κεκίνητο τῷ δεσπότῃ ἐσαυρωμένῳ φείττονται τῇ τόλμαν τῆς δυσεβῶν Ἰυδαίων, μὴ φέροντι τῷ κυείῳ τῇ ὕβειν· ἑσπέρᾳ δὲ, εὐχαειστοῦντες ὅτι ὑμῖν ἀνάπαυσιν ἔδωκε τῆς μεθημεεινῶν κόπων τῇ νύκτι· ἀλεκτρυόνων δὲ κραυγῇ, διὰ τὸ τῇ ὥραν ἀγγελίζεσθαι τὴν παρυσίαν τῆς ἡμέρας εἰς ἐργασίαν τῆς τῦ φωτὸς ἔργων. εἰ μὴ δυνατὸν ἐν ἐκκλησίᾳ προϊέναι διὰ τὰς ἀπίστυς, κατ' οἶκον συνάξεις ὦ ἐπίσκοπε· ἵνα μὴ εἰσέρχηται ἀσεβὴς εἰς ἐκκλησίαν ἀσεβῶν· οὐ γὰρ ὁ τόπος γὰρ τὸν ἄνθρωπον ἁγιάζει, ἀλλ' ὁ ἄνθρωπος τὸν τόπον· ἐὰν δὲ ἀσεβὴς κατέχυσι τὸν τόπον, φθυταῖός σοι ἔσω διὰ τὸ βεβηλῶσθαι ὑπ' αὐτῆς· ὡς γὰρ οἱ ὅσιοι ἱερεῖς ἁγιάζυσιν, ὕπως οἱ ἐναγεῖς μιαίνυσιν· εἰ μήτε ἐν οἴκῳ, μήτε ἐν ἐκκλησίᾳ συναθροισθῆναι δυνατὸν, ἕκαστος παῤ ἑαυτῷ ψαλλέτω· ἀναγινωσκέτω· προσευχέσθω· ἢ καὶ ἅμα δύο, ἢ τρεῖς· ὅπυ γάρ εἰσι δύο ἢ τρεῖς συηγμένοι ἐν τῷ ὀνόματί μυ, ἐκεῖ, εἰμὶ ἐν μέσῳ αὐτῆς· πιστὸς μὴ κατηχυμένυ μήτε κατ' οἶκον προσευχέσθω· ἐ γὰρ δίκημον τὸν μεμυημένον μὴ τῦ ἀμυήτυ συμμολυνέσθαι· ἀσεβὴς μὴ αἱρετικῦ, μήτε κατ' οἶκον συμπροσευχέσθω· τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος· πιστὸς ἢ πιστὴ δῦλοι σωαφθέντες, ἢ ἀφισάθωσαν, ἢ ἀποβαλλέσθωσαν.

Γαχώβυ τῦ ἀδελφῦ Χειστῦ διάταξις περὶ ἑσπερινοῦ.

ΚΕΦΑΛ. λέ.

Κἀγὼ Γάχωβος ἀδελφὸς μυ κατὰ σάρκα τῦ Χειστῦ, δῦλος δὲ ὡς Θεῦ μονογενῦς, ἐπίσκοπος δὲ ὑπ' αὐτῦ τῦ κυείυ, καὶ τῆς ἀποστόλων Ἱεροσολύμων χειροτονηθεὶς, τάδε φημί· ἑσπέρας γενομένης συναθροίσεις τῇ ἐκκλησίαν ὦ ἐπίσκοπε καὶ μὴ τὸ ῥηθῆναι τὸν ἐπιλύχνιον ψαλμὸν, προσφωνήσει ὁ διάκονος ὑπὲρ τῆς κατηχουμένων καὶ χειμαζομένων καὶ τῆς φωτιζομένων καὶ τῆς ἐν μετανοίᾳ, ὡς προείπομεν· μὴ δὲ τὸ ἀπολυθῆναι αὐτὸς ὁ διάκονος ἐρεῖ· ὅσοι πιστοὶ δεηθῶμεν τῦ κυείυ· καὶ μὴ τὸ προσφωνῆσαι αὐτὸν τὰ τῆς πρώτης δίχης, ἐρεῖ.

Προσφώνησις ἐπιλύχνιος.

ΚΕΦΑΛ. λϛ'.

Σῶσον ἐ ἀνάστησον ἡμᾶς ὁ Θεὸς διὰ τῦ Χειστῦ συ· ἀνασάντες αἰτησώμεθα τὰ ἐλέη τῦ κυείυ καὶ τὰς οἰκτιρμὰς αὐτῦ· τὸν ἄγγελον τῆς εἰρήνης· τὰ καλὰ καὶ τὰ συμφέροντα· Χειστιανὰ τὰ τέλη· τῇ ἑσπέρᾳ καὶ τῇ νύκτι εἰρηνικὴν καὶ ἀναμάρτητον· καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν ἀκατάγνωστον αἰτησώμεθα· ἑαυτὸς ἐ ἀλλήλυς τῷ ζῶντι Θεῷ διὰ τῦ χριστῦ αὐτῦ παραθώμεθα· καὶ ὁ ἐπίσκοπος ἐπιλυχόμενος λεγέτω.

Εὐχαειστία ἐπιλύχνιος.

ΚΕΦΑΛ. λζ'.

Ὁ Ἄναρχος Θεὸς καὶ ἀτελεύτητος, ὁ τῆς ὅλων ποιητὴς διὰ Χειστῦ καὶ κηδεμών, πρὸ δὲ πάντων αὐτῦ Θεὸς καὶ πατὴρ, * ὁ τῦ πνεύματος κυείυ, καὶ τῆς νοητῆς καὶ αἰσθητῆς βασιλεὺς, ὁ ποιήσας ἡμέραν πρὸς ἔργα φωτὸς, καὶ νύκτα εἰς ἀνάπαυσιν τῆς ἀσθενείας ἡμῶν, σὺ γὰρ ἐστιν ἡμέρα καὶ σή ἐστιν ἡ νύξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον, αὐτὸς καὶ νυῖ δέσποτα φιλάνθρωπε καὶ παράγαθε ἀμέμπτως πρόσδεξαι τὴν ἑσπερινὴν δοξαειστίαν ἡμῶν ταύτην· ὁ διαγαγὼν ἡμᾶς τὸ μεχ' τῆς ἡμέρας, καὶ ἀγαγὼν ἐπὶ τὰς ἀρχὰς τῆς νυκτὸς, φύλαξον ἡμᾶς διὰ τῦ Χειστῦ σου· εἰρηνικὴν παράσχου τῇ ἑσπέρᾳ· καὶ τῇ νύκτα ἀναμάρτητον· καὶ καταξίωσον ἡμᾶς τῆς αἰωνίυ ζωῆς διὰ τῦ Χειστῦ συ. δι' ὃν σοι δόξα, τιμὴ, καὶ σέβας ἐν ἁγίῳ πνεύματι εἰς τὸς αἰῶνας, ἀμήν. καὶ ὁ διάκονος λεγέτω· κλίνατε τῇ χειροθεσίᾳ· καὶ ὁ ἐπίσκοπος λεγέτω· Θεὲ πατέρων καὶ κύειε τῦ ἐλέους, ὁ τῇ σοφίᾳ συ κατασκευάσας ἄνθρωπον τὸ λογικὸν ζῶον, τὸ θεοφιλὲς τῆς ἐπὶ γῆς, καὶ δυὺς αὐτῷ τῆς ἐπὶ τῆς χθονὸς ἄρχειν, καὶ καταυσήσας γνώμῃ σῇ ἄρχοντας καὶ ἱερεῖς, τὸς μὲν πρὸς ἀσφάλειαν τῆς ζωῆς, τὸς δὲ πρὸς λατρείαν σύνομον, αὐτὸς καὶ νυῖ ἐπικάμφθητι κύειε παντοκράτωρ· καὶ ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν λαόν σου τὸς καμψαντας αὐχένα καρδίας αὐτῆς· καὶ δίλόγησον αὐτὸς διὰ Χειστῦ· δι' ὃ ἐφώτισας ἡμᾶς φῶς γνώσεως, καὶ ἀπεκάλυψας ἡμῖν σαυτόν· μεθ' ὅσοι καὶ ἡ ἐπάξιος ὀφείλεται προσκυνήσις παρὰ πάσης λογικῆς καὶ ἁγίας φύσεως καὶ πνεύματι τῷ παραχλήτῳ εἰς τὸς αἰῶνας· ἀμήν· ἐ ὁ διάκονος λεγέτω· προέλθετε ἐν εἰρήνῃ· ὡσαύτως ὀρθρευ ὁ διάκονος μὴ τὸ ῥηθῆναι τὸν ὀρθεινὸν, καὶ ἀπολῦσαι αὐτὸν τὸς κατηχυμένυς καὶ χειμαζομένυς, καὶ βαπτιζομένυς, καὶ τὸς ἐν μετανοίᾳ, καὶ τῇ ὀφειλομένῃ ποιήσασθαι προσφώνησιν, ἵνα μὴ πάλιν λέγωμέν τὰ αὐτὰ, ἐπιφερέτω μὴ τὸ, σῶσον αὐτὸς ὁ Θεὸς, καὶ ἀνάστησον ἐν τῇ χάειτί συ· αἰτησώμεθα παρὰ κυείυ τὰ ἐλέη αὐτῦ

* Verba haec Arianismum sapiunt & quædamalia varia locis asperfa. Ἐπιφάνεια inscripserunt inquit Photius tm. 113. Bibliothecæ eruditæ.

αὐτοῦ καὶ τοὺς οἰκτιρμούς· τὸν ὄρθρον τοῦτον καὶ τὴν ἡμέραν, εἰρηνικὴν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς παρεπιδημίας ἡμῶν· τὸν ἄγγελον τὸν ἐπὶ τῆς εἰρήνης· χριστιανὰ τὰ τέλη· ἵλεον καὶ εὐμενῆ τὸν Θεόν· ἑαυτοὺς καὶ ἀλλήλους τῷ ζῶντι Θεῷ διὰ τοῦ μονογενοῦς αὐτοῦ παραθώμεθα· καὶ ὁ ἐπίσκοπος ἐπευχόμενος λεγέτω.

Εὐχαριστία ὀρθρινή.

ΚΕΦΑ'Λ. λή.

Ὁ Θεὸς ὁ τῶν πνευμάτων καὶ πάσης σαρκός· ὁ ἀσύγκριτος καὶ ἀπροσδεὴς, ὁ δοὺς τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, τὴν δὲ σελήνην καὶ τὰ ἄστρα εἰς ἐξουσίαν τῆς νυκτὸς, αὐτὸς καὶ νῦν ἔπιδε ἐφ' ἡμᾶς εὐμενέσιν ὀφθαλμοῖς· καὶ πρόσδεξαι τὰς ἑωθινὰς ἡμῶν εὐχαριστίας· καὶ ἐλέησον ἡμᾶς· οὐ γὰρ διεπετάσαμεν τὰς χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον· οὐ γάρ ἐστιν ἐν ἡμῖν Θεὸς πρόσφατος, ἀλλὰ σὺ ὁ αἰώνιος καὶ ἀτελεύτητος· ὁ τὸ εἶναι ἡμῖν διὰ Χριστοῦ παραχόμενος, καὶ τὸ εὖ εἶναι δι' αὐτοῦ δωρησάμενος, αὐτὸς ἡμᾶς δι' αὐτοῦ καταξίωσον καὶ τῆς αἰωνίου ζωῆς· μεθ' οὗ σοι δόξα καὶ τιμὴ καὶ σέβας, καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν· καὶ ὁ διάκονος λεγέτω· κλίνατε τῇ χειροθεσίᾳ· καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω λέγων.

Χειροθεσία ὀρθρινή.

ΚΕΦΑ'Λ. λθ'.

Ὁ Θεὸς ὁ πιστὸς καὶ ἀληθινός· ὁ ποιῶν ἔλεος εἰς χιλιάδας καὶ μυριάδας τοῖς ἀγαπῶσί σε· ὁ φίλος ταπεινῶν καὶ πενήτων προστάτης, οὗ πάντα ἐν χρείᾳ καθέστηκεν, ὅτι τὰ σύμπαντα δοῦλά σου, ἔπιδε ἐπὶ τὸν λαόν σου τοῦτον τοὺς κεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· καὶ εὐλόγησον αὐτοὺς εὐλογίαν πνευματικήν· φύλαξον αὐτοὺς ὡς κόρην ὀφθαλμοῦ· διατήρησον αὐτοὺς ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ καὶ καταξίωσον αὐτοὺς τῆς αἰωνίου ζωῆς· ἐν Χριστῷ Ἰησοῦ τῷ ἠγαπημένῳ σου παιδί· μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν· καὶ ὁ διάκονος λεγέτω· προέλθετε ἐν εἰρήνῃ· ἐπὶ δὲ ταῖς προσφερομέναις ἀπαρχαῖς οὕτως εὐχαριστεῖ ὁ ἐπίσκοπος.

Ἐπίκλησις ἐπὶ ἀπαρχῶν.

ΚΕΦΑ'Λ. μ'.

Εὐχαριστοῦμέν σοι κύριε παντοκράτωρ δημιουργὲ τῶν ὅλων καὶ προνοητὰ διὰ τοῦ μονογενοῦς σοῦ παιδὸς Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν ἐπὶ ταῖς προσενεχθείσαις σοι ἀπαρχαῖς οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα· τίς γὰρ ἀνθρώπων ἐπαξίως εὐχαριστῆσαί σοι δύναται ὑπὲρ ὧν δέδωκας αὐτοῖς εἰς μετάληψιν· ὁ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ πάντων τῶν ἁγίων, ὁ πάντα τελεσφορήσας διὰ τοῦ λόγου σου καὶ κελεύσας τῇ γῇ παντοδαποὺς ἐκφύσαι καρποὺς εἰς εὐφροσύνην καὶ τροφὴν ἡμετέραν, ὁ δοὺς τοῖς νωθεστέροις καὶ βληχώδεσι χεῖλον, χλοηφάγοις χλόην· καὶ τοῖς μὲν κρέα· τοῖς δὲ σπέρματα· ἡμῖν δὲ σῖτον πρὸς τροφὴν πρόσφορον καὶ κατάλληλον, καὶ ἕτερα διάφορα, τὰ μὲν πρὸς χρῆσιν, τὰ δὲ πρὸς ὑγείαν, τὰ δὲ πρὸς τέρψιν, ἐπὶ τούτοις οὖν ἅπασιν ὑπερύμνητος ὑπάρχεις τῆς εἰς πάντας εὐεργεσίας διὰ Χριστοῦ· δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν· ἐπὶ δὲ τῶν ἐν Χριστῷ ἀναπαυσαμένων, μετὰ τὸ φωνῆσαι τὰ τῆς προσευχῆς, ἵνα μὴ πάλιν λέγωμεν, ὁ διάκονος προσθήσει καὶ ταῦτα.

Προσφώνησις ὑπὲρ τῶν κεκοιμημένων.

ΚΕΦΑ'Λ. μά.

Ὑπὲρ ἀναπαυσαμένων ἐν Χριστῷ ἀδελφῶν ἡμῶν δεηθῶμεν· ὅπως ὁ φιλάνθρωπος Θεὸς ὁ προσδεξάμενος αὐτοῦ τὴν ψυχὴν, παρείδη αὐτῷ πᾶν ἁμάρτημα ἑκούσιον καὶ ἀκούσιον· καὶ ἵλεως καὶ εὐμενὴς γενόμενος, κατατάξῃ εἰς χώραν εὐσεβῶν ἀνειμένων εἰς κόλπον Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ μετὰ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων καὶ ποιησάντων τὸ θέλημα αὐτοῦ· ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός· ἐγειρώμεθα ἑαυτούς· καὶ ἀλλήλους τῷ ἀϊδίῳ Θεῷ διὰ τοῦ ἐν ἀρχῇ λόγου παραθώμεθα· καὶ ὁ ἐπίσκοπος λεγέτω· ὁ τῇ φύσει ἀθάνατος καὶ ἀτελεύτητος, παρ' οὗ πᾶν ἀθάνατον καὶ θνητὸν γέγονεν, ὁ τὸ λογικὸν ζῶον τὸν ἄνθρωπον τὸν κοσμοπολίτην, θνητὸν ἐν κατασκευῇ ποιήσας, καὶ ἀθανασίαν ἐπαγγειλάμενος, ὁ τὸν Ἐνὼχ καὶ τὸν Ἠλίαν θανάτου πεῖραν μὴ ἐάσας λαβεῖν, ὁ Θεὸς Ἀβραὰμ, ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, οὐχ ὡς νεκρῶν, ἀλλ' ὡς ζώντων Θεὸς εἶ· ὅτι πάντων αἱ ψυχαὶ παρά σοι ζῶσι, καὶ τῶν δικαίων τὰ πνεύματα ἐν τῇ χειρί σου εἰσὶν, ὧν οὐ μὴ ἅψηται βάσανος, πάντες γὰρ ἡγιασμένοι ὑπὸ τὰς χεῖρας σου εἰσίν· αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τόνδε ὃν ἐξελέξω, καὶ προσελάβου εἰς ἑτέραν λῆξιν, καὶ συγχώρησον αὐτῷ εἴ τι ἑκὼν ἢ ἄκων ἐξήμαρτε· καὶ ἀγγέλους εὐμενεῖς παράστησον αὐτῷ· καὶ κατάταξον αὐτὸν ἐν τῷ κόλπῳ τῶν πατριαρχῶν, καὶ τῶν προφητῶν, καὶ τῶν ἀποστόλων, καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων· ὅπου οὐκ ἔνι λύπη ὀδύνη καὶ στεναγμός· ἀλλὰ χῶρος εὐσεβῶν ἀνημένος, καὶ γῆ εὐθείων συνανημένη, καὶ τῶν ἐν αὐτῇ ὁρώντων τὴν δόξαν τοῦ Χριστοῦ σου· δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας, εὐχαριστία, προσκύνησις ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν· καὶ ὁ διάκονος λεγέτω· κλίνατε, καὶ εὐλογεῖσθε, καὶ ὁ ἐπίσκοπος εὐχαριστείτω ὑπὲρ αὐτῶν λέγων τοιάδε· Σῶσον κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου· ποίμανον αὐτοὺς ὑπὸ τὴν δεξιάν σου· καὶ σκέπασον αὐτοὺς ὑπὸ τὰς πτέρυγάς σου· καὶ δὸς αὐτοῖς τὸν ἀγῶνα ἀγωνίσασθαι καλόν· τὸν δρόμον τελέσαι· τὴν πίστιν τηρῆσαι ἀτρέπτως, ἀμέμπτως, ἀνεγκλήτως, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀγαπητοῦ σου παιδός· μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας, καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν.

Πῶς

Πῶς δεῖ, καὶ πότε γίνεσθαι τὰς τῶν κοιμηθέντων πιστῶν μνείας· καὶ ὅτι ἐκ τῶν ὑπαρχόντων αὐτοῖς δεῖ παρέχεσθαι πένησι.

ΚΕΦΑ'Λ. μβ'.

Ἐπιτελείσθω δὲ τρίτα τῶν κεκοιμημένων ἐν ψαλμοῖς, καὶ ἀναγνώσεσι, καὶ προσευχαῖς διὰ τὸν διὰ τριῶν ἡμερῶν ἐγερθέντα, καὶ ἔνατα εἰς ὑπόμνησιν τῶν περιόντων καὶ τῶν κεκοιμημένων, καὶ τεσσαρακοστὰ, κατὰ τὸν παλαιὸν τύπον· Μωσῆν γὰρ οὕτως ὁ λαὸς ἐπένθησε· καὶ ἐνιαύσια ὑπὲρ μνείας αὐτοῦ· καὶ διδόσθω ἐκ τῶν ὑπαρχόντων αὐτοῦ πένησιν εἰς ἀνάμνησιν αὐτοῦ.

Ὅτι τοὺς ἀσεβεῖς τελευτῶντας οὐδὲν ὠφελοῦσι μνεῖαι, ἢ ἐντολαί.

ΚΕΦΑ'Λ. μγ'.

Ταῦτα δὲ περὶ εὐσεβῶν λέγομεν· περὶ γὰρ ἀσεβῶν ἐὰν τὰ τοῦ κόσμου δῶς πένησιν, οὐδὲν ὀνήσεις αὐτόν· ᾧ γὰρ περιόντι ἐχθρὸν ἦν τὸ θεῖον, δῆλον ὅτι καὶ μεταστάντι· οὐ γάρ ἐστιν ἀδικία παρ' αὐτῷ· δίκαιος γὰρ ὁ κύριος, καὶ δικαιοσύνας ἠγάπησε· καὶ ἰδοὺ ἄνθρωπος, καὶ τὸ ἔργον αὐτοῦ.

Περὶ μεθύσων.

ΚΕΦΑ'Λ. μδ'.

Ἐν δὲ ταῖς μνείαις αὐτῶν καλούμενοι μετὰ εὐταξίας ἐστιᾶσθε καὶ φόβου Θεοῦ ὡς δυνάμενοι καὶ πρεσβεύειν ὑπὲρ τῶν μεταστάντων· πρεσβύτεροι καὶ διάκονοι Χριστοῦ ὑπάρχοντες, νήφειν ὀφείλετε πάντοτε καὶ πρὸς ἑαυτοὺς καὶ πρὸς ἑτέρους· ἵνα δύνησθε τοὺς ἀτακτοῦντας νουθετεῖν· λέγει δὲ ἡ γραφή· οἱ δυνάσται θυμώδεις εἰσίν· οἶνον δὲ μὴ πινέτωσαν, ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφίας καὶ ὀρθὰ κρίνειν οὐ μὴ δύνωνται· οὐκοῦν καὶ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι μετὰ Θεὸν τὸν παντοκράτορα καὶ τὸν ἠγαπημένον αὐτοῦ υἱὸν δυνάσται ὑπάρχουσι τῆς ἐκκλησίας· τοῦτο δέ φαμεν οὐχ ἵνα μὴ πίνωσιν· ἄλλως γὰρ καὶ ἔστιν ὑβρίσαι τὸ ὑπὸ Θεοῦ γενόμενον εἰς εὐφροσύνην, ἀλλὰ ἵνα μὴ παροινῶσι· οὐ γὰρ εἶπεν ἡ γραφὴ, μὴ πίνειν οἶνον· ἀλλὰ τί φησιν; μὴ πίνε οἶνον εἰς μέθην· καὶ πάλιν· ἄκανθαι φύονται ἐν χειρὶ μεθύσου· τοῦτο δὲ οὐ περὶ τῶν ἐν κλήρῳ μόνον φαμὲν ἀλλὰ καὶ περὶ παντὸς λαϊκοῦ Χριστιανοῦ ἐφ' οὗ ἐπικέκληται τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ αὐτοῖς γὰρ εἴρηται· τίνι οὐαί; τίνι θόρυβος; τίνι ἀηδίαι καὶ λέσχαι; τίνοι πελιδνοὶ οἱ ὀφθαλμοί; τίνι συντρίμματα διακενῆς; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνῳ καὶ τῶν κατασκοπουμένων, ποῦ πότοι γίνονται;

Περὶ τοῦ ὑποδέχεσθαι τοὺς διὰ Χριστὸν διωκομένους.

ΚΕΦΑ'Λ. μέ.

Τοὺς διωκομένους διὰ πίστιν, καὶ εἰς πόλιν ἐκ πόλεως φεύγοντας διὰ τὸ μεμνῆσθαι τῶν λόγων τοῦ κυρίου, προσλαμβάνεσθε· ἐπιστάμενοι γὰρ ὅτι τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενὴς, ἀποδιδράσκουσι· καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων προΐενται· ἵνα ἀνεξάρνητον ἐν ἑαυτοῖς τὸ ὄνομα τοῦ Χριστοῦ διατηρήσωσιν· ἐπικουρεῖτε οὖν αὐτοῖς τὰ πρὸς χρείαν, ἐντολὴν κυριακὴν πληροῦντες.

Ὅτι ἕκαστος ἐν ᾧ ἐτάχθη κλήρῳ ὀφείλει ἐμμένειν, καὶ φυλάττειν τὴν τάξιν, ἀλλὰ μὴ ἑαυτῷ ἁρπάζειν τὰ μὴ ἐγχειρισθέντα.

ΚΕΦΑ'Λ. μϛ'.

Ἐκεῖνο δὲ κοινῇ πάντες παραγγέλλομεν, ἕκαστον ἐμμένειν τάξει τῇ δοθείσῃ αὐτῷ καὶ μὴ ὑπερβαίνειν τοὺς ὅρους· οὐ γάρ εἰσιν ἡμέτεροι, ἀλλὰ τοῦ Θεοῦ· ὁ ὑμῶν γὰρ φησὶν ὁ κύριος, ἀκούων, ἐμοῦ ἀκούει· καὶ ὁ ἐμοῦ ἀκούων, ἀκούει τοῦ ἀποστείλαντός με· καὶ ὁ ὑμᾶς ἀθετῶν, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με· εἰ γὰρ τὰ ἄψυχα γενόμενα τὴν εὐταξίαν ἀποσώζει· οἷον νὺξ, ἡμέρα, ἥλιος, σελήνη, ἄστρα, στοιχεῖα, τροπαὶ, μῆνες, ἑβδομάδες, ἡμέραι, ὧραι, καὶ δουλεύει τῇ διατυπωθείσῃ χρείᾳ κατὰ τὸ εἰρημένον. ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, καὶ πάλιν περὶ τῆς θαλάσσης ἐθέμην αὐτῇ ὅρια, περιθεὶς καὶ κλεῖθρα καὶ πύλας, εἶπα δὲ αὐτῇ μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, πόσῳ μᾶλλον ὑμεῖς οὐδὲν ὀφείλετε τολμᾶν παρακινεῖν τῶν ὑμῖν κατὰ γνώμην Θεοῦ παρ' ἡμῶν ὁρισθέντων; ἀλλ' ἐπειδὴ πάρεργον οἱ πολλοὶ καὶ τοῦτο ἡγήσαντο εἶναι, συγχέειν δὲ τὰς τάξεις καὶ τὴν ἐφ' ἑκάστου χειροτονίαν παρακινεῖν τολμῶσιν, ὑφαρπάζοντες ἑαυτοῖς ἀξιώματα τὰ μὴ διδόμενα, καὶ ἐπιτρέποντες ἑαυτοῖς τυραννικῶς ἃ μὴ ἔχωσιν ἐξουσίαν διδόναι· καὶ διὰ τοῦτο παροργίζουσι μὲν Θεὸν ὥσπερ οἱ Κορεῖται καὶ ὁ βασιλεὺς Ὀζίας παράξιαν ἐπιθέμενοι ἄνευ Θεοῦ τῇ ἀρχιερωσύνῃ, καὶ γενόμενοι οἱ μὲν πυρίφλεκτοι, ὁ δὲ κατὰ τοῦ μετώπου λεπρός· παροξύνουσι δὲ Χριστὸν Ἰησοῦν τὸν διαταξάμενον. λυποῦσι δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον ἀκυροῦντες αὐτοῦ τὴν μαρτυρίαν, εἰκότως τὸν ἐπηρτημένον κίνδυνον τοῖς τὰ τοιαῦτα πράττουσι προειδόμενοι καὶ τὴν εἰς τὰς θυσίας καὶ εὐχαριστίας ἀμέλειαν ἐκ τοῦ ὑφ' ὧν μὴ χρὴ προσαγομένας ἀσεβῶς, παιδίαν ἡγουμένων τὴν ἀρχιερατικὴν τιμὴν, ἥτις μίμησιν περιέχει τοῦ μεγάλου ἀρχιερέως Ἰησοῦ Χριστοῦ τοῦ βασιλέως ἡμῶν, ἀνάγκην ἔχομεν καὶ τοῦτο παραινέσαι· ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τῆς ἑαυτῶν ματαιότητος· λέγομεν ὡς Μωσῆς ὁ τοῦ Θεοῦ θεράπων ᾧ ὁ Θεὸς ἐνώπιος ἐνωπίῳ ὡμίλει, ὡς εἴ τις λαλούσῃ πρὸς ἑαυτοῦ φίλον, ᾧ εἶπεν, οἶδάσε παρὰ πάντας, ᾧ κατὰ πρόσωπον ὡμίλει καὶ οὐ δι' ἀδήλων, ἢ ἐνυπνίων, ἢ ἀγγέ-

λων ἢ αἰνιγμάτων, οὗτος ἡνίκα τὴν θείαν νομοθεσίαν διετάσσετο, διεῖλε τίνα μὲν χρὴ ὑπὸ τῶν ἀρχιερέων ἐπιτελεῖσθαι, τίνα δὲ ὑπὸ τῶν ἱερέων· τίνα δὲ ὑπὸ τῶν Λευϊτῶν, ἑκάστῳ τὴν οἰκείαν καὶ ἀνήκουσαν τῇ λειτουργίᾳ θρησκείαν ἀπονείμας· καὶ ἅπερ μὲν τοῖς ἀρχιερεῦσι προστέτακτο ἐπιτελεῖν, τούτοις τοὺς ἱερέας οὐ θεμιτὸν ἦν προσιέναι· ἅπερ δὲ τοῖς ἱερεῦσιν ὥριστο, τούτοις οἱ Λευῖται οὐ προσίεσαν· ἀλλ' ἕκαστοι ἅπερ παρειλήφεισαν ὑπηρεσίας περιγεγραμμένας, ἐφύλαττον· εἰ δέ τις πέρα τῆς παραδόσεως προσιέναι ἐβούλετο, θάνατος ἦν τὸ ἐπιτίμιον· τοῦτο δὲ μάλιστα διέδειξε καὶ ἡ κατὰ τὸν Σαοὺλ πεῖρα· ὃς θύσαι νενομικὼς δίχα τοῦ προφήτου καὶ ἀρχιερέως Σαμουὴλ, ἔσπασεν εἰς ἑαυτὸν ἁμαρτίαν καὶ κατάραν ἀναπόβλητον· καὶ οὐδὲ τὸ κεχρίσθαι ὑπ' αὐτοῦ εἰς βασιλέα ἐδυσώπησε τὸν προφήτην· ἐνεργεστέρᾳ δὲ τῇ πράξει διέδειξεν ὁ Θεὸς ἐν τοῖς κατὰ τὸν Ὀζίαν οὐκ ἐν * μελισμῷ τὰς ἐπὶ τῇ παρανομίᾳ εἰσπραξάμενος δίκας· καὶ ὁ τῆς ἀρχιερωσύνης καταμανεὶς, καὶ τῆς βασιλείας ἀλλότριος κατέστη· τὰ δὲ ἐφ' ἡμῶν ἴσως οὐκ ἀγνοεῖτε· ἴστε γὰρ πάντως ἐπισκόπους παρ' ἡμῶν ὀνομασθέντας καὶ πρεσβυτέρους καὶ διακόνους εὐχῇ καὶ χειρῶν ἐπιθέσει, τῇ διαφορᾷ τῶν ὀνομάτων καὶ τὴν διαφορὰν τῶν πραγμάτων δεικνύοντας· οὐ γὰρ ὁ βουλόμενος παρ' ἡμῖν ἐπλήρου τὴν χεῖρα ὥσπερ ἐπὶ τῆς κιβδήλου τῶν δαμάλεων ἐπὶ τοῦ Γεροβοὰμ παρακεκομμένης ἱερωσύνης, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ· εἰ μὲν γὰρ μὴ θεσμός τις ἦν καὶ τάξεων διαφορὰ, ἤρκει ἂν δι' ἑνὸς ὀνόματος τὰ ὅλα τελεῖσθαι· ἀλλ' ὑπὸ τοῦ κυρίου διδαχθέντες ἀκολουθίαν πραγμάτων, τοῖς μὲν ἐπισκόποις τὰ τῆς ἀρχιερωσύνης ἐνείμαμεν· τοῖς δὲ πρεσβυτέροις τὰ τῆς ἱερωσύνης· τοῖς δὲ διακόνοις τὰ τῆς πρὸς ἀμφοτέρους διακονίας· ἵν' ᾖ καθαρῶς τὰ τῆς θρησκείας ἐπιτελούμενα· οὔτε γὰρ διακόνῳ προσφέρειν θυσίαν θεμιτὸν, ἢ βαπτίζειν, ἢ εὐλογίαν μικρὰν, ἢ μεγάλην ποιεῖσθαι· οὔτε πρεσβύτερον χειροτονίας ἐπιτελεῖν· οὐ γὰρ ὅσιον, ἀνεστράφθαι τὴν τάξιν· οὐ γάρ ἐστιν ὁ Θεὸς ἀκαταστασίας· ἵνα οἱ ὑποβεβηκότες τὰ τῶν κρειττόνων τυραννικῶς σφετερίζωνται, νομοθεσίαν καινὴν ἀναπλάττοντες ἐπὶ κακῷ τῷ ἑαυτῶν, ἀγνοοῦντες, ὅτι σκληρὸν αὐτοῖς τὸ πρὸς κέντρα λακτίζειν· οὐ γὰρ ἡμᾶς ἢ τοὺς ἐπισκόπους πολεμοῦσιν οἱ τοιοῦτοι, ἀλλὰ τὸν πάντων ἐπίσκοπον καὶ τοῦ πατρὸς ἀρχιερέα Χριστὸν Ἰησοῦν τὸν κύριον ἡμῶν· ὑπὸ Μωσέως μὲν γὰρ τοῦ θεοφιλεστάτου ἀρχιερεῖς κατεστάθησαν, καὶ ἱερεῖς, καὶ Λευῖται· ὑπὸ δὲ τοῦ σωτῆρος ἡμῶν ἡμεῖς, οἱ δεκατρεῖς ἀπόστολοι· ὑπὸ δὲ τῶν ἀποστόλων ἐγὼ Ἰάκωβος καὶ ἐγὼ Κλήμης καὶ σὺν ἡμῖν ἕτεροι· ἵνα μὴ πάντας πάλιν καταλέγωμεν· κοινῇ δὲ ὑπὸ πάντων ἡμῶν πρεσβύτεροι· καὶ διάκονοι· καὶ ὑποδιάκονοι· καὶ ἀναγνῶσται· πρῶτος τοίνυν τῇ φύσει ἀρχιερεὺς ὁ μονογενὴς Χριστὸς οὐχ ἑαυτῷ τὴν τιμὴν ἁρπάσας, ἀλλὰ παρὰ τοῦ πατρὸς καταστάθεις· ὃς γενόμενος ἄνθρωπος δι' ἡμᾶς καὶ τὴν πνευματικὴν θυσίαν προσφέρων τῷ Θεῷ αὐτοῦ καὶ πατρὶ πρὸ τοῦ πάθους ἡμῖν διετάξατο μόνοις τοῦτο ποιεῖν· καί τοι ὄντων σὺν ἡμῖν καὶ ἑτέρων τῶν εἰς αὐτὸν πεπιστευκότων, ἀλλ' οὐ πάντως ὁ πιστεύσας ἤδη καὶ ἱερεὺς κατέστη ἢ ἀρχιερατικῆς ἀξίας ἔτυχε· μετὰ δὲ τὴν ἀνάληψιν αὐτοῦ ἡμεῖς προσενεγκόντες κατὰ τὴν διάταξιν αὐτοῦ θυσίαν καθαρὰν καὶ ἀναίμακτον, προεχειρισάμεθα ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους ἑπτὰ τὸν ἀριθμόν· ὧν εἷς ἦν Στέφανος ὁ μακάριος μάρτυς οὐκ ἀπολειπόμενος ἡμῶν κατὰ τὴν πρὸς Θεὸν εὔνοιαν· ὃς τοσοῦτον τὴν θεοσέβειαν τῇ πίστει ἐνεδείξατο καὶ τὴν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀγάπην, ὡς ὑπὲρ αὐτοῦ δοῦναι καὶ τὴν ψυχὴν, πρὸς τῶν κυριοκτόνων Ἰουδαίων λίθοις βληθείς· ἀλλ' ὅμως ὁ τοιοῦτος καὶ τηλικοῦτος ἀνὴρ, ὁ τῷ πνεύματι ζέων· ὁ τὸν Χριστὸν ὁρῶν ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ τὰς οὐρανίας πύλας ἀνεῳγμένας, οὐδαμοῦ φαίνεται τοῖς μὴ ἀνήκουσι τῇ διακονίᾳ χρησάμενος· ἢ θυσίαν ἀνενεγκών· ἢ χεῖρας ἐπιθείς τινι· ἀλλὰ τὸ τῆς διακονίας τάγμα φυλάξας μέχρι τέλους· οὕτω γὰρ ἔπρεπε τῷ τοῦ Χριστοῦ μάρτυρι τὴν εὐταξίαν ἀποσώζειν· εἰ δὲ Φίλιππον τὸν διάκονον ἡμῶν καὶ Ἀνανίαν τὸν πιστὸν ἀδελφὸν αἰτιῶνταί τινες, ὅτι ὁ μὲν τὸν εὐνοῦχον ἐβάπτισεν, ὁ δὲ ἐμὲ Παῦλον, ἀγνοοῦσιν αὐτοὶ, ὃ λέγομεν ἡμεῖς· εἴπομεν γὰρ ὅτι οὐχ ἑαυτῷ τις ἁρπάζει τὸ ἱερατικὸν ἀξίωμα, ἀλλ' ἢ παρὰ τοῦ Θεοῦ λαμβάνει· ὡς Μελχισεδέκ· καὶ Ἰώβ· ἢ παρὰ ἀρχιερέως ὡς Ἀαρὼν παρὰ Μωσέως· οὐκοῦν καὶ Φίλιππος καὶ Ἀνανίας οὐχ ἑαυτοὺς προείλοντο, ἀλλ' ὑπὸ τοῦ Χριστοῦ προεχειρίσθησαν τοῦ ἀρχιερέως τοῦ ἀσυγκρίτου Θεοῦ.

* μελλησμῷ

ΚΑΝΟΝΕΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΙ

τῶν ἁγίων Ἀποστόλων.

Ἐπίσκοπος ὑπὸ ἐπισκόπων χειροτονείσθω δύο ἢ τριῶν· καὶ τὰ ἑξῆς.

* Ταῦτα δὲ περὶ κανόνων διατετάχθω ὑμῖν παρ' ἡμῶν, ὦ ἐπίσκοποι· ὑμεῖς δὲ ἐμμένοντες αὐτοῖς, σωθήσεσθε, καὶ εἰρήνην ἕξετε· ἀπειθοῦντες δὲ κολασθήσεσθε, καὶ πόλεμον μετ' ἀλλήλων ἀΐδιον ἕξετε, δίκην τῆς ἀνηκοΐας τὴν προσήκουσαν τιννύντες· ὁ Θεὸς δὲ ὁ μόνος * ἀγένητος καὶ τῶν ὅλων ποιητὴς ἅπαντας ὑμᾶς διὰ τῆς εἰρήνης ἐν πνεύματι ἁγίῳ * ἑνώσει· καταρτίσει εἰς πᾶν ἔργον ἀγαθὸν, ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους· καταξιώσει τε τῆς αἰωνίου ζωῆς σὺν ἡμῖν διὰ τῆς μεσιτείας τοῦ ἠγαπημένου παιδὸς αὐτοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, μεθ' οὗ ἡ δόξα αὐτῷ τῷ ἐπὶ πάντων Θεῷ καὶ πατρὶ, ἐν ἁγίῳ πνεύματι τῷ παρακλήτῳ, νῦν τε καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

* Vide [illegible] pag. [illegible]

* ἀΐδιος

* ἐνώσει

Τέλος διαταγῶν τῶν ἁγίων ἀποστόλων διὰ Κλήμεντος καθολικῆς διδασκαλίας.

ΣΥ-



Ἅγ. Πολύκαρπος Σμύρνης.
Σύγχρονον ἔργον



Ἅγ. Ἀβέρκιος Ἱεραπόλεως



Ἅγ. Κυπριανός.

ΣΥΝΟΔΟΙ ΠΛΕΙΣΤΑΙ
ΓΕΝΟΜΕΝΑΙ
ΕΝ ΤΟΥΤΟΙΣ ΤΟΙΣ ΠΡΩΤΟΙΣ ΧΡΟΝΟΙΣ,

Ἐκ τῆς βιβλίου τῆς Συνοδικῆς.

ΣΥΝΟΔΟΣ ΡΩΜΗΣ

ΥΠΟ ΤΕΛΕΣΦΟΡΟΥ.

ἐκ τῆς Συνοδικῆς.

ΣΥΝΟΔΟΣ θεία καὶ ἱερὰ τοπικὴ ἐν Ρώμῃ, δυοκαίδεκα ἐπισκόπων, ὑπὸ * Τελεσφόρου ἱερομάρτυρος, τοῦ ταύτης πάπα, συναθροισθεῖσα κατὰ Θεοδότου σκυτέως τοῦ Βυζαντίου, τοῦ αὐτῶν μαθητοῦ· ὃς εἰς ἄκρον σοφίας ἐληλακὼς, καὶ ἐν τῷ διωγμῷ ἐπιθύσας, καὶ ἐξαρνησάμενος τὸν Χριστὸν, ἐκάτως ὑπὸ τῆς πιστῶν ὀνειδιζόμενος, καὶ μὴ φέρων τὴν αἰσχύνην, εἰπεῖν ἐτόλμησεν ὁ ἀνόσιος, Ἐγὼ Θεὸν οὐκ ἠρνησάμην, ἀλλὰ ἄνθρωπον ψιλόν.

* Βίκτωρος

ΣΥΝΟΔΟΣ ΡΩΜΗΣ

ΥΠΟ ΑΝΙΚΗΤΟΥ.

ἐκ τοῦ Συνοδικοῦ βιβλίου.

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ ἐν Ρώμῃ συναθροισθεῖσα ὑπὸ τοῦ μακαριωτάτου Ἀνικήτου, τοῦ ταύτης πάπα, καὶ Πολυκάρπου ἱερομάρτυρος ἐπισκόπου Σμύρνης, καὶ ἑτέρων ἐπισκόπων δέκα· κατὰ τῆς ἰουδαϊκῶς τῇ δεκάτῃ τετάρτῃ τῆς σελήνης ἑορταζόντων τὸ θεῖον πάσχα, καὶ ἑτέροις ἔθεσι καὶ τύποις τοῦτο ἐκτελούντων. ὁρίσασα τὸ μὲν φρικτὸν καὶ σωτήριον πάθος τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ, τῇ ἁγίᾳ παρασκευῇ μυστικῶς ἐκτελεῖν· τὴν δὲ ζωαρχικὴν ἀνάστασιν, αὐτῇ τῇ περιόδῳ καὶ μεγάλῃ κυριακῇ ἐκ παντὸς τρόπου ἄγειν,

ΕΝ ΛΟΥΓΔΟΥΝΩ,

ΥΠΟ ΕΙΡΗΝΑΙΟΥ.

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ, δύο καὶ δέκα ἐπισκόπων, συναθροισθεῖσα ἐν Λουγδούνῳ μητροπόλει τῆς Γαλλίας, παρὰ τὸν Ροδανὸν ποταμὸν, ὑπὸ Εἰρηναίου ἱερομάρτυρος, ἐπισκόπου τῆς αὐτῆς πόλεως, κατὰ τῶν προγεγραμμένων αἱρετικῶν.

ΕΝ ΙΕΡΑΠΟΛΕΙ

ΥΠΟ ΑΠΟΛΙΝΑΡΙΟΥ.

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ, ἐν Ἱεραπόλει τῆς Ἀσίας, συναθροισθεῖσα ὑπὸ Ἀπολιναρίου, τοῦ ταύτης ὁσιωτάτου ἐπισκόπου, καὶ ἑτέρων εἰκοσιέξ ἐπισκόπων, ἀποκηρύξασά τε καὶ ἐκκόψασα Μοντανὸν καὶ Μαξιμίλλαν, τοὺς ψευδοπροφήτας· οἳ καὶ βλασφήμως, ἤτοι διαμονιῶντες, καθὼς φησιν ὁ αὐτῶν πατὴρ, τὸν βίον κατέσχεψαν. σὺν αὐτοῖς δὲ, κατέκρινε καὶ Θεόδοτον τὸν σκυτέα,

ΕΝ ΑΓΧΙΑΛΩ,

ΥΠΟ ΣΩΤΑ*.

ΣΥνοδος θεία καὶ ἱερὰ μυστικὴ, συναθροισθεῖσα ὑπὸ τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀχιλλῶν, * Σωτᾶ, καὶ ἑτέρων δυοκαίδεκα ἐπισκόπων· ἥτις ἐλέγξασα ἀπεκήρυξε τὸν σκυτέα Θεόδοτον, καὶ Μοντανὸν, σὺν Μαξιμίλλῃ, ἐκτακοσίους καὶ ἑβδομήκοντα ἐκτὸς αἰῶνας δογματίζοντα, καὶ πνεῦμα ἅγιον ἑαυτὸν εἶναι ἐπιφημίζοντα.

* ἐν Ἀγχιάλῳ dicitur Euseb. lib. v. c. 19.

ΕΝ

ΕΝ ΓΑΛΛΙΑ,

ΥΠΟ ΤΩΝ ΟΜΟΛΟΓΗΤΩΝ.

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ ἐν Γαλλίᾳ, συναθροισθεῖσα ὑπὸ τῶν ὁμολογητῶν, ἀποκηρύξασα Μοντανὸν καὶ Μαξιμίλλαν, οἷς ὁ ὅρος πρὸς τοὺς ἐν Ἀσίᾳ πιστοὺς διέβη.

ΕΝ ΕΦΕΣΩ.

ΥΠΟ ΠΟΛΥΚΡΑΤΟΥΣ.

ΣΥνοδος ἀφελὴς, ἀνεξέταστος, μερικὴ, ἐν Ἐφέσῳ μητροπόλει τῆς Ἀσίας, συναθροισθεῖσα ὑπὸ Πολυκράτους, τοῦ ὁσιωτάτου αὐτῆς ἐπισκόπου, ἀξιώσα καὶ ὁρίζουσα ἅπαντας, ὥστε ἐν τῇ δεκάτῃ τετάρτῃ τῆς σελήνης, Ἰουδαϊκῶς πρεπῶς ἄγειν τὸ μυστικὸν πάσχα, ὡς τοῦτο ἀνέκαθεν παραλαβοῦσα, βεβαιούμενον παρὰ Τιμοθέου καὶ Φιλίππου τῶν ἀποστόλων. Βίκτωρ οὖν ὁ τῆς Ῥωμαίων ἐκκλησίας ἁγιώτατος πάπας, ἀκοινωνησίαν στέλλει Πολυκράτει ταύτης προϊσαμένῳ. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ συνοδικῶς τὰ περὶ τῆς αὐτῆς ἑορτῆς διεξέρχεται· καὶ σὺν αὐτῷ ἐν πλείσαις ἐπαρχίαις καὶ μέρεσι τῆς γῆς σύνοδοι συγκροτοῦνται, καὶ συμφώνως ὁρίζουσι. ταῦτα δὲ Κομμόδου βασιλεύοντος, γέγονεν.

ΕΝ ΡΩΜΗ,

ΥΠΟ ΒΙΚΤΩΡΟΣ

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ ἐν Ῥώμῃ συναθροισθεῖσα ὑπὸ τοῦ μακαριωτάτου αὐτῆς πάπα Βίκτωρος, καὶ ἑτέρων ἐπισκόπων δεκατεσσάρων· ἀπαγορεύσα Ἰουδαϊκῶς τελεῖν τῇ δεκάτῃ τετάρτῃ τῆς σελήνης τὸ θεῖον καὶ μυστικὸν πάσχα· ἀλλ' ἐν μόνῃ τῇ μεγάλῃ καὶ ζωοδοτικῇ κυριακῇ.

ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ

ΥΠΟ ΝΑΡΚΙΣΣΟΥ.

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ, συναθροισθεῖσα ἐν Ἱεροσολύμοις ὑπὸ Ναρκίσσου, τοῦ ταύτης ξισμάκαρος ἀρχιεπισκόπου, καὶ ἑτέρων ἐπισκόπων δεκατεσσάρων· ὑπὲρ τοῦ μυστικοῦ πάσχα, ὁρίσασα κατὰ τὸν ἁγιωτάτου Ἀνίκητου καὶ Βίκτωρα.

ΕΝ ΚΑΙΣΑΡΙΑ, ΤΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ

ΥΠΟ ΘΕΟΦΙΛΟΥ.

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ, συναθροισθεῖσα ἐν Καισαρείᾳ τῆς Παλαισίνης, Πυργωτράτωνος, ὑπὸ Θεοφίλου τοῦ αὐτῆς ἁγιωτάτου ἐπισκόπου, καὶ ἑτέρων δυοκαίδεκα, ὑπὲρ τοῦ ἁγίου πάσχα ὁρίσασα ὡσαύτως.

ΕΝ ΛΟΥΓΔΟΥΝΩ,

ΥΠΟ ΕΙΡΗΝΑΙΟΥ.

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ, συναθροισθεῖσα ἐν Λουγδούνῳ τῆς Γαλλίας, ὑπὸ Εἰρηναίου τοῦ ταύτης ἁγιωτάτου ἐπισκόπου, καὶ ἑτέρων δέκα καὶ τριῶν ἐπισκόπων. ὁρίσασα ὑπὲρ τοῦ θείου καὶ μυστικοῦ πάσχα ὁμοίως,

ΕΝ ΚΟΡΙΝΘΩ,

ΥΠΟ ΒΑΚΧΥΛΙΔΟΥ.

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ, συναθροισθεῖσα ἐν Κορίνθῳ ὑπὸ Βακχυλίδου, τοῦ ταύτης ὁσιωτάτου ἀρχιεπισκόπου, καὶ ἑτέρων δέκα καὶ ὀκτὼ ἐπισκόπων· ὁρίσασα περὶ τοῦ μακαρίου πάσχα ὡσαύτως.

ΕΝ ΑΣΙΑ,

ΥΠΟ ΠΛΑΣΜΑ.

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ, συναθροισθεῖσα ἐν Ἀσίᾳ, ὑπὸ Πλασμᾶ * τοῦ ὁσιωτάτου, καὶ ἑτέρων δεκατεσσάρων ἐπισκόπων. ὁρίσασα περὶ τοῦ ἁγίου πάσχα ὁμοίως. * Pelmam vocat Eusebius IV. 23.

ΕΝ ΟΣΡΟΙΝΗ,

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ, ἐν Ὀσροΐνῃ. ὑφ' ὧν καὶ ἡ Ἔδασα καὶ τὰ Ἀδιαβηνῶν χῆ συναθροισθεῖσα ὑπὸ δέκα καὶ ὀκτὼ ἐπισκόπων, ὧν ὁ προκαθήμενος ἤδη δεδήλωται, περὶ τοῦ θείου πάσχα ὡσαύτως ὁρίσασα, Κομμόδου βασιλεύοντος.

ΕΝ ΤΗ ΜΕΣΟΠΟΤΑΜΙΑ,

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ, ὑπὸ δέκα καὶ ὀκτὼ ἐπισκόπων συναθροισθεῖσα ἐν τῇ Μεσοποταμίᾳ, ἐπὶ Κομμόδου τοῦ βασιλέως, περὶ τοῦ ἁγίου πάσχα ὁμοίως ὁρίσασα. ἧς τὸν προκαθεζόμενον, ἤδεις τῶν ἱστορικῶν ἐδήλωσεν.

ΕΝ ΡΩΜΗ,

ΥΠΟ ΒΙΚΤΩΡΟΣ.

Σύνοδος θεία καὶ ἱερὰ τοπικὴ, συναθροισθεῖσα ἐν Ῥώμῃ, ἐπὶ Βίκτωρος τοῦ ἁγιωτάτου πάπα, καὶ ἑτέρων ἐπισκόπων δεκατεσσάρων, ἀποκηρύξασα Θεόδοτον, Αἰβίωνα, καὶ Ἀρτέμονα, τοὺς οὐχ ἧττον Ἰουδαίων τῇ πίστει. οὗτοι γὰρ ἀρχηγοὶ γεγόνασι Παύλου τοῦ Σαμοσατέως καὶ Νεστορίου.

ΕΝ ΡΩΜΗ, ΕΤΕΡΑ

ΥΠΟ ΤΟΥ ΑΥΤΟΥ.

Σύνοδος θεία καὶ ἱερὰ τοπικὴ, συναθροισθεῖσα ἐν Ῥώμῃ, ὑπὸ τοῦ μακαριωτάτου πάπα Βίκτορος, ἀποκηρύξασα Σαβέλλιον καὶ Νόητον, τοὺς ἐπὶ τῆς τρισυποστάτου θεότητος, συναλοιφὴν καὶ συναίρεσιν ὑποστάσεων πρεσβεύοντας, καὶ Οὐαλεντῖνον, τὸν σὺν πολλοῖς ἀτοπήμασι, καὶ οὐράνιον τὸ σῶμα τοῦ Χριστοῦ δογματίζοντα.

ΣΥΝΟΔΟΙ

ΕΝ ΒΟΣΤΡΑ, ΤΗΣ ΑΡΡΑΒΙΑΣ.

Ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

Σύνοδος θεία καὶ ἱερὰ τοπικὴ, συναθροισθεῖσα ὑπὸ τοῦ πολυμαθοῦς Ὠριγένους, ἐν Βόστρᾳ τῆς Ἀῤῥαβίας, ἥτινα Ἡσαΐας πάλαι Βότρον ὠνόμασεν, ἐπώνυμον οὖσαν Βοσόρας, τῆς μητρὸς τοῦ θεσπεσίου Ἰώβ, ἐπὶ διορθώσει τοῦ ἱεροσοφιστοῦ Βηρίλλου, τοῦ τῆς αὐτῆς πόλεως ἐπισκόπου, εἰς τὸ τοῦ σκυτέως Θεοδότου φρόνημα παρασυῤῥέντος, καὶ αὖθις πάλιν δρομήσαντος εἰς τὴν ὀρθόδοξον πίστιν, ταῖς παραινέσεσιν Ὠριγένους.

Σύνοδος θεία καὶ ἱερὰ τοπικὴ, ἐν Ἀῤῥαβίᾳ συναθροισθεῖσα ὑπὸ Ὠριγένους, καὶ ἑτέρων ἐπισκόπων δεκατεσσάρων, ἐπὶ τῇ τῶν πιστῶν διορθώσει, ἔκ τινος λοιμώδους αἱρέσεως, ἀναφανείσης συμφθείρεσθαι τὰς ψυχὰς τοῖς σώμασι, καὶ πάλιν συνανίστασθαι οἰηθέντων, τῇ παραινέσει δὲ τοῦ Ὠριγένους προκαθεζομένου, τὴν πλάνην ἀποθεμένων.

Ὅτι ἕνα Θεὸν δοξάζομεν καὶ αὐτοὶ, ἀλλ' ὡς οἴδαμεν δικαίως δοξάζειν. καὶ ἕνα Χριστὸν ἔχομεν, ἀλλ' ὡς οἴδαμεν ἕνα Χριστὸν υἱὸν Θεοῦ, παθόντα καθὼς ἔπαθεν, ἀποθανόντα καθὼς ἀπέθανεν, ἀναστάντα, ἀνελθόντα εἰς τὸν οὐρανὸν, ὄντα ἐν δεξιᾷ τοῦ Πατρὸς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. ταῦτα λέγομεν μεμαθηκότες ἀπὸ τῶν θείων γραφῶν, ἃ καὶ ἐπιστάμεθα.

ΣΥΝΟΔΟΙ ΤΡΕΙΣ

Ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

ΕΝ ΡΩΜΗ,

ΥΠΟ ΚΟΡΝΗΛΙΟΥ ΤΟΥ ΠΑΠΑ.

Σύνοδος θεία καὶ ἱερὰ τοπικὴ, πατέρων μακαρίων, ἐν Ῥώμῃ συναθροισθεῖσα, ὑπὸ Κορνηλίου τοῦ μακαριωτάτου πάπα, καὶ ἑτέρων δέκα καὶ ὀκτὼ ἐπισκόπων, ἀποκηρύξασα Ναύατον, παγίδα τῶν μετανοεῖν βουλομένων.

ΕΝ ΚΑΡΘΑΓΕΝΗ,

ΥΠΟ ΚΥΠΡΙΑΝΟΥ.

Σύνοδος θεία καὶ ἱερὰ τοπικὴ, ἐν Καρθαγένῃ τῇ Νεαπόλει τῆς Ἀφρικῆς καλουμένῃ, συναθροισθεῖσα ὑπὸ τοῦ ἱερομάρτυρος Κυπριανοῦ, γενομένου αὐτῆς ἐπισκόπου, καὶ ἑτέρων ὀγδόηκοντα τεσσάρων ἐπισκόπων, ἀποκηρύξασα Ναύατον, ὡς τὴν μετάνοιαν τοῖς παιοῦσι κλείοντα.

ΕΝ ΑΝΤΙΟΧΕΙΑ,

ΥΠΟ ΔΗΜΗΤΡΙΑΝΟΥ.

Σύνοδος θεία καὶ ἱερὰ τοπικὴ, ἐν Ἀντιοχείᾳ συναθροισθεῖσα, ὑπὸ Δημητριανοῦ τοῦ ταύτης ἁγιωτάτου ἐπισκόπου, καθελοῦσα Ναύατον, ὡς ὄντα φιλαμαρτήμονα.

Νουατιανῶ μὲν γὰρ εὐλόγως ἀπεχθανόμεθα, διακόψαντι τὴν ἐκκλησίαν, καὶ τινὰς τῶν ἀδελφῶν εἰς ἀσεβείας καὶ βλασφημίας ἑλκύσαντι· καὶ περὶ τοῦ θεοῦ διδασκαλίαν ἀνοσιωτάτην ἐπεισκυκλήσαντι· καὶ τὸν χρηστότατον Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὡς ἀνηλεῆ συκοφαντοῦντι· ἐπὶ πᾶσι δὲ τούτοις τὸ λουτρὸν ἀθετοῦντι τὸ ἅγιον· καὶ τήν τε πρὸ αὐτοῦ πίστιν καὶ ὁμολογίαν ἀνατρέποντι· τό,τε πνεῦμα τὸ ἅγιον ἐξ αὐτῶν, εἰ καὶ τὶς ἐλπὶς τοῦ παραμεῖναι ἢ ἐπανελθεῖν πρὸς αὐτοὺς, παντελῶς φυγαδεύοντι.

ΣΥΝΟΔΟΣ ΕΝ ΡΩΜΗ,

ΥΠΟ ΣΤΕΦΑΝΟΥ.

Ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

Σύνοδος θεία καὶ ἱερὰ τοπικὴ, ἐν Ῥώμῃ συναθροισθεῖσα, ὑπὸ Στεφάνου τοῦ ἱερομάρτυρος πάπα· ἀποκηρύξασα τοὺς ἐν τῇ Ἀφρικῇ συνόδῳ παραλόγως ἐπικεχειρηκότας ἀναβαπτίζειν τοὺς ἐκ πάσης αἱρέσεως προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ.

ΧΡΟΝΟΙ ΑΠΟ ΧΡΙΣΤΟΥ 258. ᾗ 256.

ΣΥΝΟΔΟΣ Η΄ ΓΕΝΟΜΕΝΗ Ε΄ΠΙ Κυπριανῶ τῶ ἁγιωτάτω ἐπισκόπω Καρχηδόνος καὶ μάρτυρος.

ΙΩΑΝΝΗΣ ΖΩΑΡΑΣ.

Αὕτη ἡ σωόδος, πασῶν τῶν σωνόδων προγενεστέρα ἐστί· προτερεῖ μὲν γὰρ τῶν ἄλλων, ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας γεγονυῖα σωόδος κατὰ Παύλου τοῦ Σαμοσατέως, ἥτις ἐπὶ Αὐρηλιανοῦ βασιλέως ἠθροίωθη. αὕτη δὲ χρονικὴν ἀρχαιοτέρα ἐστίν. ὁ γὰρ μέγας Κυπριανός, ἐπὶ Δεκίου Βασιλέως τὸν τῆς μαρτυρίας ἐνίκησε δρόμον, πολλοστὸς δ' ἔστιν ὁ Αὐρηλιανὸς πρὸς τὸν Δέκιον. πολλοὶ γὰρ μετὰ τὸν Δέκιον ἐκράτησαν αὐτοκράτορες, μεθ' οὓς ὁ Αὐρηλιανὸς τῆς βασιλείας ἠξίωτο. ὕστερον μὲν οὖν προγενέστερα πασῶν ἐστιν. ἠθροίσθησαν δ' ἐν αὐτῇ ἐπίσκοποι πρὸς τεσσαράκοντα ὀγδοήκοντα, ζητήσεως γενομένης, εἰ τοὺς ἐξ αἱρέσεως ἐπιστρέφοντας, καὶ τοὺς σχισματικοὺς βαπτίζεσθαι δεῖ προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ. Γοβιανός γάρ τις ἐπίσκοπος ἐπέστειλε περὶ τούτου τῷ θείῳ Κυπριανῷ, ἐρωτῶν, εἰ δεῖ τοὺς τοιούτους βαπτίζεσθαι. τότε γὰρ καὶ ὁ Ναυάτου τῆς τῶν λεγομένων Καθαρῶν αἱρέσεως ἦρξε, πρεσβύτερος γεγονὼς τῆς ἐκκλησίας Ῥωμαίων, σχισματικὸς ὢν τυγχάνων, ἀλλ' οὐχ αἱρετικός. οὐ γὰρ περὶ δόγματι τοῖς ὀρθόφροσι διεφέρετο, ἀλλὰ τοῖς ἐν διωγμοῖς ὑποκύψασί τε καὶ θύσασιν ἀπηγόρευε τὴν μετάνοιαν. ἐπειδὴ ὁ τότε τῆς Ῥωμαίων ἐκκλησίας προεστηκὼς Κορνήλιος μετὰ τῶν ὑπ' αὐτὸν ἐπισκόπων ζητήσαντες περὶ τοῦ εἰσαγομένου, ἐψηφίσαντο δέχεσθαι εἰς μετάνοιαν, καὶ τοὺς ἐπιθύσαντας. ὁ δὲ Ναυάτος τῆς οἰκείας ἐνστάσεως οὐ μεθίετο, ἐξέκοψαν τῆς ἐκκλησίας ἐκεῖνον, καὶ ἀπεκήρυξαν ὡς μισάδελφον. ὁ δὲ καὶ ἄλλους ὁμόφρονας ἐσχηκὼς, καθ' ἑαυτὸν ἐποιεῖτο παρασυναγωγάς, καὶ σχίσμα παρὰ τῇ ἐκκλησίᾳ ὑπ' ἐκείνου καὶ τῶν αὐτῷ συγκοινωνούντων ἐγένετο. περὶ σχισματικῶν τοίνυν καὶ αἱρετικῶν ἐρωτήσαντος Γοβιανοῦ ἀντεπέστειλεν αὐτῷ τε καὶ τοῖς συνεπισκόποις αὐτοῦ ὁ μέγας Κυπριανός, καὶ ἡ σὺν αὐτῷ σύνοδος τῷ ἐπιστολῷ ταύτῃ.

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΜΕΓΑΛΟΥ ΚΥΠΡΙΑΝΟΥ

πρὸς τὸν * Γοβιανὸν καὶ ἑκάστους συνεπισκόπους.

* Γοβιανοῦ

ΕΝ κοινοβουλίῳ ὄντες ἀγαπητοὶ ἀδελφοὶ ἀνέγνωμεν γράμματα ἀφ' ὑμῶν σαλευτὰ παρὰ τοῖς αἱρετικοῖς ἢ σχισματικοῖς δοκοῦντων βαπτίζεσθαι ἐρχομένων πρὸς τὴν καθολικὴν ἐκκλησίαν, ἥτις ἐστὶ μία, ἐν ᾗ βαπτιζόμεθα καὶ ἀναγιώμεθα. περὶ ὧν καὶ πεποίθαμεν, καὶ ὑμᾶς αὐτὰς ἑκεῖνα πράττοντας τὴν σεμνότητα τῆς καθολικῆς ἐκκλησίας κατακρατεῖν. ὅμως ἐπεὶ συγκοινωνοὶ ἡμῶν ἐστε, καὶ ζητῆσαι περὶ τούτου διὰ τὴν κοινὴν ἀγάπην ἠθελήσατε, ὃ πρόσφατον γνώμην, οὐδὲ νεῶν ὑδρασμὸν προσφέρομεν, ἀλλὰ τὴν πάλαι ὑπὸ τῶν προγενεστέρων ἡμῶν μετὰ πάσης ἀκριβείας καὶ ἐπιμελείας δεδοκιμασμένην, καὶ ὑφ' ἡμῶν παρατηρηθεῖσαν, κοινούμεθα ὑμῖν καὶ συζυγνύμεν, τοῦτο καὶ νεῶν χειροτονοῦντες, ὅπως διὰ παντὸς ἰσχυρῶς καὶ ἀσφαλῶς κρατοῦντες μηδενὶ βαπτίζεσθαι δώσωμεν ἔξω τῆς καθολικῆς ἐκκλησίας ὄντος βαπτίσματος, καὶ ἐν μόνῃ καθολικῇ ἐκκλησίᾳ ὑπάρχοντος. γέγραπται γάρ· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους σωτετριμμένους, καὶ μὴ δυναμένους ὕδωρ συσχεῖν. καὶ πάλιν ἡ ἁγία γραφὴ προμηνύουσα λέγει. ἀπὸ ὕδατος ἀλλοτρίου ἀπόσχεσθε, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίητε. δεῖ δὲ καθαρίζεσθαι, καὶ ἁγιάζεσθαι τὸ ὕδωρ πρῶτον ἀπὸ τοῦ ἱερέως, ἵνα δυνηθῇ τῷ ἰδίῳ βαπτίσματι τὰς ἁμαρτίας τοῦ βαπτιζομένου ἀνθρώπου ἀποσμῆξαι. διό τε Ἰεζεκιὴλ τοῦ προφήτου λέγει κυρίου. καὶ ῥαντίσω ὑμᾶς καθαρῷ ὕδατι, καὶ καθαριῶ ὑμᾶς, καὶ δώσω ὑμῖν καρδίαν καινὴν, καὶ πνεῦμα καινὸν δώσω ἐν ὑμῖν. (Πῶς δὲ δύναται καθαρίσαι καὶ ἁγιάσαι ὕδωρ, ὁ ἀκάθαρτος ὢν αὐτὸς, καὶ παρ' ᾧ πνεῦμα ἅγιον οὐκ ἔστι;) λέγοντος τοῦ κυρίου ἐν τοῖς ἀριθμοῖς· καὶ πάντων ὧν ἅψεται ὁ ἀκάθαρτος, ἀκάθαρτα ἔσται, πῶς βαπτίζων δύναται ἄλλο δοῦναι ἄφεσιν ἁμαρτιῶν ὁ μὴ δυνηθεὶς τὰ ἴδια ἁμαρτήματα ἔξω τῆς ἐκκλησίας ἀποθέσθαι; ἀλλὰ καὶ αὐτὴ ἡ ἐρώτησις ἡ ἐν τῷ βαπτίσματι γινομένη, μάρτυς ἐστὶ τῆς ἀληθείας. λέγοντες γὰρ τῷ ἐξεταζομένῳ, πιστεύεις αἰώνιον ζωὴν καὶ ἄφεσιν ἁμαρτιῶν λαμβάνειν, οὐκ ἄλλο τι λέγομεν, εἰ μὴ ὅτι ἐν τῇ καθολικῇ ἐκκλησίᾳ δοθῆναι δύναται. παρὰ δὲ τοῖς αἱρετικοῖς ὅπου ἐκκλησία οὐκ ἔστιν, ἀδύνατον ἁμαρτημάτων ἄφεσιν λαβεῖν, ὃ διὰ τοῦτο οἱ τῶν αἱρετικῶν συνήγοροι ἢ τὴν ἐπερώτησιν ἀλλάξαι ὀφείλουσιν, ἢ τὴν ἀλήθειαν ἐκδικῆσαι, εἰ μή τι αὐτοῖς καὶ τὴν ἐκκλησίαν προσνέμουσιν, ὡς βάπτισμα ἔχειν διαβεβαιῶνται. ἀνάγκη δέ ἐστι καὶ χρίεσθαι τὸν βεβαπτισμένον, ἵνα λαβὼν χρῖσμα, μέτοχος γένηται Χριστοῦ. ἁγιάσαι δὲ ἔλαιον οὐ δύναται ὁ αἱρετικὸς ὁ μήτε θυσιαστήριον ἔχων, μήτε ἐκκλησίαν, ὅθεν ὁ δύναται χρῖσμα τὸ παράπαν παρὰ τοῖς αἱρετικοῖς εἶναι. πρόδηλον γάρ ἐστιν ἡμῖν μηδαμῶς δύνασθαι ἁγιάζεσθαι παρ' ἐκείνοις ἔλαιον εἰς ἁγιασίαν. εἰδέναι γὰρ καὶ μὴ ἀγνοεῖν ὀφείλομεν, ὅτι γέγραπται, ἔλαιον ἁμαρτωλῷ μὴ λιπανάτω τὴν κεφαλήν μου. ὃ δὴ καὶ πάλαι ἐμήνυσε τὸ πνεῦμα τὸ ἅγιον ἐν ψαλμοῖς, μή πως ὑξιχνιασθείς τις, καὶ ἀπὸ τῆς ἀληθείας ὁδῷ πλανηθεὶς παρὰ τοῖς αἱρετικοῖς τοῖς τῷ Χριστῷ ἀντιπάλοις χειωθῇ. πῶς δὲ εὔξεται ὑπὲρ τοῦ βαπτισθέντος ὁ μὴ ἱερεύς, ἀλλ' ἱερόσυλος καὶ ἁμαρτωλὸς, λεγούσης τῆς γραφῆς, ὅτι ὁ Θεὸς ἁμαρτωλῶν οὐκ ἀκούει, ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τοῦτον ἀκούει; διὰ τῆς ἁγίας ἐκκλησίας νοοῦμεν ἄφεσιν ἁμαρτιῶν. τίς δὲ δύναται δοῦναι ὅπερ αὐτὸς οὐκ ἔχει, ἢ πῶς δύναται πνευματικὰ ἐργάζεσθαι, ὁ ἀποβαλὼν πνεῦμα ἅγιον; διὰ τοῦτο καὶ ἀνανεοῦσθαι ὀφείλει ὁ πρὸς τὴν ἐκκλησίαν ἐρχόμενος, ἵνα ἴσω διὰ τῶν ἁγίων ἁγιασθῇ. γέγραπται γὰρ, ὅτι ἅγιοι ἔσεσθε, καθὼς ἐγὼ ἅγιός εἰμι, λέγει κύριος· ἵνα καὶ ὁ ἐπὶ πλάνης βιωθεὶς ἐν τῷ ἀληθεῖ καὶ ἐκκλησιαστικῷ βαπτίσματι καὶ αὐτὸ τοῦτο

ἀπο-

ἀποδύσηται, ὅς τις πρὸς Θεὸν ἐρχόμενος ἄνθρωπος
ἢ ἱερέα ἐπιζητῇ ἐν πλάνῃ ἀρεθεὶς ἱεροσύλῳ προ-
σέσισε. δοκιμάζειν γάρ ἐσι τὸ τῆ αἱρετικῶν καὶ σχισ-
ματικῶν βάπτισμα, τὸ συναδοκεῖν τοῖς ὑπ' ἐκείνων
βιβαπτισμένοις. ὁ γὰρ δύναται ἐν μέρει ὑπερ-
έχειν. εἰ ἠδυνήθη βαπτίσαι, ἴσχυσαι καὶ ἅγιον
πνεῦμα δοῦναι. εἰ δὲ οὐκ ἠδυνήθη, ὅτι ἔξω ὢν πνεῦ-
μα ἅγιον οὐκ ἔχει, ὁ δύναται τὸν ἐρχόμενον βα-
πτίσαι σὺν ὄντος τοῦ βαπτίσματος, καὶ σὺν ὄν-
τος τοῦ ἁγίου πνεύματος, καὶ μιᾶς ἐκκλησίας ὑπὸ
Χριστοῦ τοῦ κυρίου ἡμῶν ἐπάνω Πέτρου τοῦ ἀποστόλου
ἀρχῆθεν λέγοντος σύστητος τεθεμελιωμένης. καὶ διὰ
τοῦτο τὰ ὑπ' αὐτῆς γινόμενα ψευδῆ καὶ κενὰ ὑπάρ-
χοντα πάντα ἐσὶν ἀδόκιμα, οὐδὲ γὰρ δύναται δε-
κτὸν καὶ αἰνετὸν εἶναι παρὰ Θεῷ τῆ ὑπ' ἐκείνων γι-
νομένων, ὃς ὁ κύριος πολεμίους καὶ ἀντιπάλους αὐτοῦ
λέγει ἐν τοῖς εὐαγγελίοις. ὁ μὴ ὢν μετ' ἐμοῦ κατ'
ἐμοῦ ἐσι, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορπίζει. καὶ ὁ
μακάριος ἀπόσολος Ἰωάννης ἐντολὰς κυρίου τηρῶν,
ἐν τῇ ἐπισολῇ προέγραψεν. οἴδατε ὅτι ὁ Ἀντί-
χριστος ἔρχεται, καὶ νῦν δὲ Ἀντίχριστοι πολλοὶ γε-
γόνασιν, ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐσίν. ἐξ
ἡμῶν ἦλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν. ὅθεν καὶ ἡ-
μεῖς σωιέναι ὀφείλομεν καὶ νοεῖν ὡς οἱ ἐχθροὶ κυ-
ρίου καὶ οἱ Ἀντίχριστοι ὀνομασμένοι δυνατοὶ οὐκ εἰσὶν
χάριν δοῦναι τοῦ κυρίου· καὶ διὰ τοῦτο ἡμεῖς τῷ κυρίῳ
ἕπεσθαι, καὶ σύστητα κυρίου κρατοῦντες, καὶ κατὰ τιμὴν ἀ-
ξίαν αὐτοῦ χορηγοῦμενοι, τιμὴν ἱερατείαν αὐτοῦ ἐν τῇ
ἐκκλησίᾳ λειτουργοῦντες, ὅσα οἱ ἀντικείμενοι αὐτῷ,
τουτέσι πολέμιοι καὶ Ἀντίχριστοι ποιοῦσιν, ἀποδοκιμά-
σαι, καὶ ἀποποιῆσαι καὶ ἀπορρίψαι, καὶ ὡς βέβηλα
ἔχειν ὀφείλομεν, καὶ τοῖς ἀπὸ πλάνης καὶ σρεβλότητος
ἐρχομένοις ἐπὶ γνώσει τῆς ἀληθινῆς καὶ ἐκκλησια-
σικῆς πίσεως δοκοῦσαι καθόλου θείας δυνάμεως μυ-
σήριον. σύστητός τε καὶ πίσεως καὶ ἀληθείας.

ΖΩΝΑΡΑΣ. Αὕτη ἡ ἐπισολή, καθάπαξ τοὺς
ὑπὸ αἱρετικῶν ἢ σχισματικῶν βαπτισθέντας, προσερ-
χομένους τῇ καθολικῇ ἐκκλησίᾳ βαπτίζεσθαι διατάτ-
εται καὶ ἐκ διαφόρων ἐνθυμημάτων, καὶ ἐπιχειρημά-
των καὶ ῥητῶν γραφικῶν τὸν οἰκεῖον λόγον κατασκευά-
ζει· ἡ δὲ δευτέρα οἰκουμενικὴ σύνοδος ἐν κανόνι αὐτῆς
ἑβδόμῳ ὁ πάντας ἐξ αἱρέσεων ἐπιστρέφοντας, ἄνωθεν
κελεύει βαπτίζεσθαι, ἀλλ' ἀπαιτεῖ τινας μὲν δεῖν
δέχεσθαι διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας
τοῦτο οἰκείαν αἵρεσιν ἕκασον, καὶ πᾶσαν μὴ φρονοῦ-
σαν, ὡς ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ
ἐκκλησία φρονεῖ, σφραγιζομένους ἤτοι χριομένους
τῷ ἁγίῳ μύρῳ. τοὺς δὲ λοιποὺς πάντας, ὧν τινας καὶ
ὀνόματι καταλέγει, βαπτίζεσθαι αἰτεῖται, δεχομέ-
νους ὡς Ἕλληνας. ὃς δῆτα κανὼν καὶ ἐν τῷ ἰδίῳ τόπῳ
ἐξήγηται. ὅθεν φαίνεται, ὅτι ἐκ δέχθη παρὰ τῶν
μετέπειτα ἁγίων πατέρων ἡ διαταγὴ αὕτη. ἐναντία
τοίνυν ἐν τούτῳ τῷ κεφαλαίῳ τῶν δύο συνόδων εἰσα-
γωγῶν τὴν τῆς δευτέρας κρατεῖ σύνοδος, ὅτι τε μετα-
γενεστέρα ἐσὶ, καὶ ὅτι οἰκουμενική, ἐν ᾗ πάντως ἐκ
πάντων τῶν πατριαρχικῶν θρόνων συνῆσαν, ἢ οἱ
πατριάρχαι αὐτοὶ, ἢ τοποτηρηταί· ὅτι δὲ ἐκ δέχθη
ὁ παρὼν κανὼν παρὰ πάντων τῶν ἁγίων πατέρων,
δηλοῦται, καὶ ἐκ τῆς δευτέρας κανόνος τῆς ἐν τῷ Τρύλ-
λῳ καλουμένης συνόδου λεγομένης ἕκτης. ἀπαιτεῖται-

σιν γὰρ ἐν αὐτῷ οἱ συνόδου ἅγιοι πατέρες ἐκείνους
ποιουμένους τοὺς ὀφειλόντων κρατεῖν κανόνων, ταῦτα
τοῦ κανόνος τούτου ῥήμασιν αὐτοῖς διεξιᾶσιν. ΧΡΟΝΟΙ ΑΠΟ ΧΡΙΣΤΟΥ
ἔτι μὴν καὶ τὸν ὑπὸ Κυπριανοῦ τοῦ γνωμένου ἀρχιε-
πισκόπου τῆς Ἄφρων χώρας, καὶ μάρτυρος, καὶ τῆς
κατ' αὐτὸν συνόδου ἐκτεθέντα κανόνα, ὃς ἐν τοῖς τῆ
προειρημένων τόποις καὶ μόνοις κατὰ τὸ παραδοθὲν αὐ-
τοῖς ἔθος ἐκράτησεν. ἐντεῦθεν οὖν δείκνυται, ὅτι
καὶ ἀρχῆθεν, ὁ παρὰ πᾶσιν ἰσχύων ὁ κανών.
ταῦτα μὲν ἓν τὰ τῆς ἐπισολῆς· αἱ δὲ ἐν τῇ κοι-
νῇ διδασκαλίᾳ δοθεῖσαι γνῶμαι παρ' ἑκάστου τῆ ἐν τῇ
συνόδῳ συλλεγομένων, ἔχουσιν ὕπως κατ' ἐπιτομήν.

Κυπριανὸς εἶπεν.

Ἠκούσατε ἀγαπητοὶ συνεπίσκοποι τί μοι ἔγραψεν
Ἰοβιανὸς ὁ συνεπίσκοπος ἡμῶν συμβουλεύων παρὰ τῆς
μετριότητός μου βουλόμενος λαβεῖν περὶ τοῦ ἀνοσίου καὶ
ἀνόμου βαπτίσματος τῶν αἱρετικῶν, καὶ τί ἐγὼ αὐτῷ
ἀντέγραψα δογματίζων, ὃ ἅπαξ καὶ δεύτερον καὶ πολ-
λάκις ἐκείναμεν, τοὺς αἱρετικοὺς τοὺς προσιρχομένους
τῇ ἐκκλησίᾳ βαπτίσματι βαπτίζεσθαι δεῖν, καὶ
ἁγιάζεσθαι. ἔπειτα δὲ ἀνεγνώσθη ὑμῖν καὶ ἄλλα
γράμματα Ἰοβιανοῦ, δι' ὧν κατὰ τὸ αὐτοῦ ἀσεβὲς
ἀντίγραμμα οὐ μόνον ἡμῖν συναδόκησεν, ἀλλὰ
καὶ τῇ ἐπιγνώσει τῆς ἀληθείας χάριν ὡμολόγη-
σεν, ὑπόλοιπον οὖν περὶ αὐτοῦ ἕκασος ὑμῶν φρο-
νεῖ, εἰπεῖν μηδενὸς ἀφ' ὑμῶν ἐν τούτῳ κεκωμέ-
νου, μηδὲ εἰ ἐναντία φρονοίη, καὶ ἀκοινώνητος γενο-
μένου. οὔτε γάρ τις ἐπίσκοπον ἑαυτὸν καθίσησιν,
οὐδὲ τυραννικῇ αὐθαδείᾳ εἰς ἀνάγκην τοῦ ἕπεσθαι
αὐτῷ τοὺς συνεπισκόπους βιάζεται, ὁπότε εἰς ἕκα-
στον ἐπίσκοπον ἐξουσίαν ἔχει πράττειν ἐλευθε-
ίως, ἃ φρονεῖ. ὡς γὰρ αὐτὸς ἄλλον κρῖναι οὐ δύ-
ναται, οὕτως οὐδὲ ὑπὸ ἄλλου κριθῆναι. περιμένομεν
γὰρ πάντες τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
κρίσιν, ὃς μόνος ἐξουσίαν ἔχει ἐπίσκοπον καθίσαι
ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, καὶ ὃς ἑκάστου τὴν πρᾶ-
ξιν ἐξετάζειν καὶ δοκιμάζειν.

Καικίλιος Λιβεραῖος εἶπεν.

Ἕν βάπτισμα ἐν μόνῃ τῇ ἐκκλησίᾳ οἶδα, καὶ ἐκτὸς
τῆς ἐκκλησίας, οὐδαμοῦ. ἔνθα γάρ ἐσι τὸ ἓν βάπτισ-
μα, ὄντως καὶ ἐλπὶς ἀληθείας ἐσὶ, καὶ πίσις. ὅπου γὰρ
γέγραπται, μία πίσις, ἓν βάπτισμα. οὐ γὰρ πῖς αἱ-
ρετικοῖς, παρ' οἷς οὐδεμία πίσις καὶ ἐλπὶς, ὅπου πάντα
ψευδῆ, ὅπου ἐξορκίζει δαιμονιζόμενος, μυσήριον
ἐρωτᾷ, καὶ τὸ σῶμα λοιμώδη καὶ ἰώδη φθέγγεται. πί-
σιν δὲ δίδωσιν ἄπισος, ἄφεσιν ἁμαρτιῶν παρέχει ἁμαρ-
τωλός. καὶ εἰς ὄνομα Χριστοῦ βαπτίζει Ἀντίχριστος,
ὑπεχνεῖται ζωὴν νεκρός· εἰρήνην δίδωσιν εἰρήνης ἀλ-
λότριος, Θεὸν ἐπικαλεῖται βλάσφημος, ἱερατείᾳ
χέχρηται ἀσεβὴς, θυσιαστήριον προτίθησιν ἱερόσυ-
λος, Θεῷ θυσίαν προσφέρει ὁ διάβολῳ ὑπηρετῶν.
οἱ αὐτοῖς συμφορηθέντες εἰπάτωσαν, ταῦτα πάντα ψευ-
δῆ εἶναι περὶ τῶν αἱρετικῶν. ἰδὰ τίσιν ἀναγκάζεται ἡ
ἐκκλησία συναδοκεῖν, ἵνα χωρὶς βαπτίσματος καὶ ἀφέ-
σεως ἁμαρτιῶν τοιούτοις συγκοινωνήσῃ. ὅθεν ἀδελφοὶ
φεύγειν καὶ ἐκκλίνειν ὀφείλομεν, καὶ χωρίζειν ἑαυτοὺς

ἀπὸ

ΧΡΟΝΟΙ ΑΠΟ ΧΡΙΣΤΟΥ 258. ᾽ 256.

ἀπὸ τοιούτων πλημμελημάτων, καὶ ἓν βάπτισμα κατέχειν τὸ μόνον ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ δεδωρημένον.

Πρίαμος ἀπὸ Μασρίπης εἶπε.

Δογματίζω πάντα ἄνθρωπον ἀπὸ αἱρέσεως ἐρχόμενον, δεῖν βαπτίζεσθαι, μάτην γὰρ αὐτὸν ἐκεῖ βεβαπτίσθαι, μὴ ὄντος, εἰμὴ ἑνὸς βαπτίσματος, ἐν τῇ ἐκκλησίᾳ μόνῃ, ἐπεὶ καὶ ὁ Θεὸς εἷς, καὶ βάπτισμα ἕν, καὶ ἐκκλησία μία, ἐν ᾗ τὸ βάπτισμα καὶ ὁ ἁγιασμὸς καὶ ὅσα ἄλλα εἰς σωτηρίαν καὶ εἰς ζωὴν αἰώνιον ἐπιτελεῖται. τὰ γὰρ ἔξω τῆς ἐκκλησίας γινόμενα, εἰς οὐδὲν τούτων ἀφελοῦνται.

Πολύκαρπος Ἀδραμύτης εἶπεν.

Οἱ τὸ τῶν αἱρετικῶν βάπτισμα δοκιμάζοντες, τὸ ἡμέτερον ἀδόκιμον ποιοῦσι.

Νασάτος ἀπὸ Θαννοβασιλέως εἶπε.

Πᾶσαι αἱ γραφαὶ μαρτυροῦσι περὶ ἑνὸς καὶ μόνου τοῦ ἐν τῇ ἐκκλησίᾳ βαπτίσματος σωτηρίου, ὀφείλομεν τοιγαροῦν ἡμετέραν πίστιν ὁμολογῆσαι, ἵνα τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς προσερχομένους τῇ ἐκκλησίᾳ μὴ τὸ ψευδὲς ἐκείνων βάπτισμα τῷ ἀληθεῖ βαπτίσωμεν. καὶ διὰ τοῦτο ἐγὼ τοὺς ἐκεῖθεν ἐλθόντας πάντας ἐβάπτισα, καὶ τοὺς ἀπὸ κλήρου αὐτῶν λαϊκοὺς ἔσησα.

Νεμεσιανὸς ἀπὸ Θυβύνων εἶπε.

Βάπτισμα ὃ δίδωσιν αἱρετικὸς καὶ σχισματικὸς μὴ εἶναι ἀληθὲς πᾶσαι αἱ γραφαὶ μαρτυροῦσιν, ἐπεὶ αὐτοὶ προφῆται αὐτῶν ψευδόχριστοί εἰσι καὶ ψευδοπροφῆται.

Γαννυάριος ἀπὸ Λαβῆς εἶπε.

Κατὰ τὰ προστάγματα τῶν ἁγίων γραφῶν κρίνω δεῖν πάντας τοὺς αἱρετικοὺς βαπτίζεσθαι, καὶ οὕτως εἰς τὴν ἁγίαν ἐκκλησίαν προσδέχεσθαι.

Λάκιος ἀπὸ Γασρογαλβῆς εἶπεν.

Ὁ κύριος ἐν τῷ εὐαγγελίῳ φησὶν, ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; ὁπότε οὖν σαφές ἐστι τοὺς αἱρετικοὺς τυπτεῖν ἐχθροὺς τοῦ Θεοῦ, μὴ δεῖν δύνασθαι ζωοποιῆσαί τινα πνευματικῇ ὁμολογίᾳ μωρανθέντας αὐτοὺς καὶ ἔξω ὄντας τῆς ἐκκλησίας, ἁγίῳ βαπτίσματι βαπτίζειν αὐτοὺς ἐρχομένους ὀφείλομεν.

Κρίσκης ἀπὸ Κρήτης εἶπε.

Καὶ αὐτοὺς τοὺς αἱρετικοὺς καὶ σχισματικούς, ὁπόταν εἰς τὴν ἐκκλησίαν τὴν καθολικὴν ἔλθωσι, μὴ πρότερον δεχθῆναι, πρὶν ἐξορκισθῶσι καὶ βαπτισθῶσι, χωρὶς ἐκείνων τῶν τῇ ἐκκλησίᾳ βαπτισθέντων καὶ ἀποσάντων. ἵνα γὰρ ὀφείλωσι μετανοήσαντες χειροθεσίας μόνης τυχεῖν.

Νικομήδης ἀπὸ Σεργομέων εἶπεν.

Ἡ ἐμὴ ἀποφασις αὕτη ἐστίν· ἵνα οἱ αἱρετικοὶ τῇ ἐκκλησίᾳ προσερχόμενοι βαπτισθῶσιν. ἐπεὶ μηδεμίαν ἔξω ἄφεσιν ἁμαρτιῶν εἰλήφασιν ὑπὸ τῶν αἱρετικῶν βαπτισθέντες.

Σεκουνδιανὸς ἀπὸ Καινδίας εἶπε.

Ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς λέγει· ὁ μὴ ὢν μετ᾽ ἐμοῦ, κατ᾽ ἐμοῦ ἐστι. καὶ Ἰωάννης ὁ ἀπόστολος τοὺς ἐξερχομένους τῆς ἐκκλησίας Ἀντιχρίστους ὀνομάζει. ἀδύνατον γάρ ἐστιν αὐτοὺς ὑπηρετῆσαι χάριτι Θεοῦ, καὶ σωτηρίῳ βαπτίσματι· καὶ διὰ τοῦτο κρίνω τοὺς τῇ ἐκκλησίᾳ προσελθόντας βαπτισθῆναι παρ᾽ ἡμῶν.

Φίληξ ἀπὸ Γαμεθοῦς εἶπεν.

Ὡς τυφλὸς τυφλὸν ὁδηγῶν ἅμα εἰς βόθρον ἐμπίπτουσιν· οὕτω καὶ αἱρετικὸς αἱρετικὸν βαπτίζων τῷ βαπτιζομένῳ συναποθνήσκει. καὶ διὰ τοῦτο παρ᾽ ἡμῖν τὸν αἱρετικὸν βαπτισθῆναι δεῖ, ἵνα μὴ ἡμεῖς οἱ ζῶντες νεκροῖς κοινωνήσωμεν.

Σύκστιος ἀπὸ Ἀβιργεμανικιανῆς εἶπεν.

Αἱρετικοῖς ἢ ὕδωρ ἔξεστιν, ἢ πάντα. εἰ δύνανται βαπτίσαι, δύνανται καὶ πνεῦμα ἅγιον δοῦναι. ἐπεὶ δὲ μὴ ἔχουσιν, οὐδὲ πνευματικῶς βαπτίζουσι, καὶ διὰ τοῦτο κρίνω δεῖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Φορτουνάτος ἀπὸ Θυχαβῶρ εἶπεν.

Οἱ ἔξω τῆς ἐκκλησίας ὄντες, καὶ ἐναντίοι τῷ Χριστῷ, ὡς τὰ προβατα, καὶ τοῖς ἀγέλαις αὐτοῦ σκορπίζοντες, βαπτίζειν ἔξω οὐ δύνανται.

Θήδατος ἀπὸ Θυρβῶν εἶπε.

Πάσῃ δυνάμει ἀγωνιστέον, ἵνα μὴ ὁτιοῦν τῶν αἱρετικῶν πλάνοις ἀφεὶς, τὸ μόνον τῆς ἐκκλησίας βάπτισμα δισάσῃ λαβεῖν, ᾧ τις μὴ βαπτισθεὶς, ἀλλοτριοῦται τῆς τῶν οὐρανῶν βασιλείας.

Προβατιανὸς ἀπὸ Σοφετίνης εἶπεν.

Εἰ ἀπὸ Θεοῦ ἡ αἵρεσίς ἐστιν, ἔξει αἱρετικὸς καὶ δωρεὰν Θεοῦ. εἰ δὲ μή ἐστιν ἀπὸ Θεοῦ, πῶς δύναται αὐτὸς ἔχειν τιν᾽ χάριν τοῦ Θεοῦ καὶ ἄλλῳ διδόναι;

Μονούαλος ἀπὸ Γέρβης εἶπε.

Τοῦ κυρίου λέγοντος, βαπτίσατε πάντα τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, οἴδαμεν σαφῶς τοὺς αἱρετικοὺς, μήτε πατέρα ἔχειν, μήτε υἱὸν, μήτε πνεῦμα ἅγιον. δεῖ οὖν ἐρχομένους εἰς τὴν ἐκκλησίαν βαπτίζειν, ἵνα ἁγιασθῶσιν.

Πολιτιανὸς ἀπὸ Μίλεως εἶπεν.

Ὀρθόν ἐστι τὸν ἀπὸ αἱρέσεως ἐρχόμενον ἐν τῇ ἐκκλησίᾳ βαπτίζεσθαι.

Θεο-

Θέογνις ἀπὸ Ἱππόνος ῥηγίου εἶπεν.

Ἀκολούθως τῷ μυστηρίῳ τοῦ Θεοῦ, καὶ τῆς οὐρανίου χάριτος, ἣν εἰλήφαμεν, βάπτισμα, ὅ ἐστιν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, οἴδαμεν.

Διατίους ὁ Σεάδης εἶπεν.

Ἡμεῖς ὃ ἐφ' ἡμῖν ἐστιν, αἱρετικοῖς οὐ κοινωνοῦμεν, ἐὰν μὴ ἐν τῇ ἐκκλησίᾳ βαπτισθῇ, καὶ ἄφεσιν ἁμαρτιῶν λάβῃ.

Προβάτος ἀπὸ Ζοφιστοῦ εἶπεν.

Ὁ δοκιμάζων παρὰ τοῖς αἱρετικοῖς βάπτισμα εἶναι, τί ἄλλο, ἢ τοῖς αἱρετικοῖς κοινωνεῖ;

Ὀρτισιανὸς ἀπὸ Λαβούρνης εἶπε.

Καὶ ἡμεῖς ἓν βάπτισμα, ὅπερ ἐν τῇ ἐκκλησίᾳ οἴδαμεν, τοῦτο τῇ ἐκκλησίᾳ ἐκδικοῦμεν.

Κάσιος ἀπὸ Κομαζῶν εἶπεν.

Ἐπεὶ δύο βαπτίσματα εἶναι οὐ δύναται, ὁ συγχωρῶν τοῖς αἱρετικοῖς βάπτισμα, ἑαυτὸν τοῦ βαπτίσματος ἀποστερεῖ. διὸ ἐπικυρῶ αἱρετικοὺς βαπτίζειν δεῖν, ὅταν πρὸς τὴν ἐκκλησίαν ἔρχωνται, χωρὶς τῶν τῆς ἐκκλησίας τῶν πιστῶν χωρισθέντων, καὶ ἑαυτοὺς τῷ σκότει τῆς αἱρέσεως προδόντων, οὓς δεῖ ἐπανελθόντας, μόνῃ τῇ χειροθεσίᾳ προσλαβέσθαι.

Ἰαννουάριος ἀπὸ Οὐβικοῦ εἶπεν.

Εἰ μὴ συγκατατίθεται ἡ πλάνη τῇ ἀληθείᾳ, πολὺ μᾶλλον ἡ ἀλήθεια οὐ συγκατατίθεται τῇ πλάνῃ. διὸ καὶ ἡμεῖς συνιστάμεθα τῇ ἐκκλησίᾳ, ἐν ᾗ καὶ προκαθεδράσθημεν, ἵνα τοὺς ἐν αὐτῇ μὴ βαπτισθέντας βαπτίσωμεν.

Σεκουνδῖνος ὁ ἀπὸ Καλπῶν εἶπεν.

Εἰ Χριστιανοί εἰσιν οἱ αἱρετικοὶ, διατὶ ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ οὐκ εἰσίν; εἰ δὲ μὴ Χριστιανοί εἰσι, γινέσθωσαν. δῆλον οὖν ἐπάνω υἱῶν ἀλλοτρίων καὶ πορᾶς Ἀντιχρίστου, διὰ μόνης χειρεπιθεσίας, μὴ δύνασθαι ἅγιον πνεῦμα κατελθεῖν.

Οὐικτερῖνος ἀπὸ Θαβάκων εἶπεν.

Εἰ ἔξεστι τοῖς αἱρετικοῖς βαπτίσαι, καὶ ἅγιον πνεῦμα δοῦναι καὶ ἄφεσιν ἁμαρτιῶν, τί αὐτῶν καταψευδόμεθα, ἵνα αὐτοὺς αἱρετικοὺς ὀνομάσωμεν.

Ἄλλος Φίληξ ἀπὸ Θύνης εἶπεν.

Ὀφείλομεν διαβεβαιῶσαι ἵνα πάντες οἱ αἱρετικοὶ οἱ προσερχόμενοι τῇ ἐκκλησίᾳ βαπτισθῶσιν, ὅπως ἡ ἔξω γενομένη διαστροφὴ ἐπανορθωθῇ καὶ ἁγιασθῇ.

Κούϊντος ἀπὸ Οὐροὺκ εἶπεν.

Εἰ οἱ παρὰ τοῖς αἱρετικοῖς βαπτιζόμενοι ἀφέσεως ἁμαρτιῶν καὶ αἰωνίου ζωῆς τυγχάνουσι, τί πρὸς τὴν ἐκκλησίαν ἔρχονται; εἰ δὲ εἰς μετάνοιαν ἔρχονται, ἐν ᾗ καὶ ζωοποιοῦνται βαπτίσματι, ὅπερ ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ἐστὶ, βαπτισθῆναι καὶ ἁγιασθῆναι ὀφείλουσιν.

ΧΡΟΝΟΙ ΑΠΟ ΧΡΙΣΤΟΥ 258. 256.

Κάστος ἀπὸ Δίκης εἶπεν.

Ὁ παραπεμπόμενος τὴν ἀλήθειαν, καὶ τῇ συνηθείᾳ ἑπόμενος, ἢ περὶ τοὺς ἀδελφοὺς φθονερὸς, οἷς ἡ ἀλήθεια ἀπεκαλύφθη. ἢ πρὸς Θεὸν τὸν ἀποκαλύψαντα ἀχάριστος.

Εὐκράτιος ἀπὸ Θενῶν εἶπε.

Τοὺς αἱρετικοὺς ἐρχομένους εἰς τὴν ἐκκλησίαν ὀρθῷ καὶ καθολικῷ βαπτίσματι βαπτίζεσθαι δεῖ, ἵνα ἀπονιψάμενοι τὰς ἁμαρτίας ἁγιασθῶσιν.

Λίβυσος ἀπὸ Οὐργάσης εἶπεν.

Ὁ κύριός φησιν· ἐγώ εἰμι ἡ ἀλήθεια. ὥστε ἀποκαλυφθείσης τῆς ἀληθείας παραχωρείτω ἡ συνήθεια, ἵνα, εἰ καὶ τὸ πρότερόν τις ἐν τῇ ἐκκλησίᾳ τοὺς αἱρετικοὺς μὴ ἐβάπτισε, νῦν βαπτίσῃ.

Λευκῖνος ἀπὸ Θιούστου εἶπε.

Τοὺς γὰρ αἱρετικοὺς ὡς βλασφήμους καὶ ἀνοσίους, πλάνοις λόγοις τὰς θείας γραφὰς παραχαράσσοντας, ἀναθεματίζειν δεῖ· καὶ διὰ τοῦτο τοὺς τοιούτους ἐξορκίζειν καὶ βαπτίζειν ὀφείλομεν.

Εὐγένιος Ἀμμεδάρων εἶπε.

Κἀγὼ τοῦτο κρίνω, δεῖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Ἄλλος Φίληξ ἀπὸ Μεκκόρας εἶπε.

Καὶ αὐτὸς ἑπόμενος τῷ κανόνι τῶν θείων γραφῶν, τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς, βαπτίζεσθαι ἀποφαίνομαι.

Ἰαννουάριος ἀπὸ Μουδούζης εἶπεν.

Αἱρετικοὶ ἔχουσι βάπτισμα, ἡμεῖς οὐκ ἔχομεν. εἰ ἡμεῖς ἔχομεν, αἱρετικοὶ ἔχειν οὐ δύνανται. ἀμφισβητήσιμον δὲ οὐκ ἔστι τὴν ἐκκλησίαν τὴν καθολικὴν τῷ τοῦ Χριστοῦ βαπτίσματι κεχρῆσθαι, τὴν μόνην κεκτημένην χάριν καὶ ἀγάπην καὶ ἀλήθειαν τοῦ Χριστοῦ.

Ἀδέλφιδος ἀπὸ Θασβέλθης εἶπε.

Μάτην τινὲς τῇ ἀληθείᾳ πολεμοῦσι, λέγοντες ἡμᾶς ἀναβαπτίζειν. ἡ γὰρ ἐκκλησία τοὺς αἱρετικοὺς οὐκ ἀναβαπτίζει, ἀλλὰ βαπτίζει.

Δημήτριος ἀπὸ πολεμόνου εἶπεν.

Οἱ λέγοντες, ὅτι οἱ αἱρετικοὶ ἀληθῶς καὶ νομίμως βαπτίζουσιν, οὗτοι οὐ μόνον δύο, ἀλλὰ καὶ πολλὰ βαπτίσματα εἰσάγουσιν. ὁπότε γὰρ διάφοροι καὶ πολλαὶ αἱρέσεις εἰσὶ, κατὰ τὸν ἀριθμὸν αὐτῶν, καὶ τὰ βαπτίσματα ἀριθμεῖται.

ΧΡΟΝΟΙ ΑΠΟ ΧΡΙΣΤΟΥ 258. 256.

Οὐικέντιος ἀπὸ Θιβάρης εἶπε.

Τοὺς αἱρετικοὺς οἴδαμεν χείρονας τῶν σχισματικῶν ἐὰν δὲ μετανοήσαντες θελήσωσιν ἐλθεῖν εἰς κανόνα τῆς ἀληθείας, πρότερον ἐξορκίζειν, ἔπειτα βαπτίζειν αὐτοὺς δεῖ. τότε γὰρ δύνανται τῆς Χριστοῦ ἐπαγγελίας τυχεῖν.

Μάρκος ἀπὸ Μαθάρων εἶπε.

Κρίνω ὡς μηδὲν ἔχοντας τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Σάτιος ἀπὸ Σακιλιβύης εἶπεν.

Εἰ τοῖς Αἱρετικοῖς ἐν τῷ βαπτίσματι αὐτῶν ἄφεσις ἁμαρτιῶν γίνεται, μάτην τῇ ἐκκλησίᾳ προσέρχονται. οὐδὲν γάρ ἐστι τὸ δυνάμενον φοβῆσαι αὐτοὺς, ἐν τῇ κρίσει τοῦ Χριστοῦ, ἄφεσιν ἁμαρτιῶν εἰληφότας.

Αὐρήλιος ἀπὸ Ἀττικῆς εἶπε.

Λέγοντος τοῦ ἀποστόλου ἀλλοτρίαις ἁμαρτίαις μὴ κοινωνεῖν, βαπτίζεσθαι τοὺς αἱρετικοὺς, ἵνα λάβωσι πρότερον ἄφεσιν ἁμαρτιῶν, καὶ οὕτω αὐτοῖς κοινωνήσωμεν.

Ἰαμβὸς ἀπὸ Γερμανικείας εἶπεν.

Οἱ τὸ τῶν αἱρετικῶν δοκιμάζοντες βάπτισμα, ἡμέτερον ἀποδοκιμάζουσιν.

Λουκιανὸς ἀπὸ Ῥουκούμης εἶπεν.

Εἰ δυνατὸν φῶς καὶ σκότος κοινωνεῖν, δύναται καὶ ἡμῖν καὶ τοῖς αἱρετικοῖς εἶναί τι κοινόν. κρίνω οὖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Πελάγιος ἀπὸ Λουπερκιανῆς εἶπεν.

Εἰ αἵρεσις οὐκ ἔστιν ἐν ἐκκλησίᾳ, πῶς δύναται παρὰ τοῖς αἱρετικοῖς εἶναι τὸ τῆς ἐκκλησίας βάπτισμα;

Ἰάδερ ἀπὸ Μηδείας εἶπε.

Μία πίστις, ἓν βάπτισμα, ἀλλὰ τῇ καθολικῇ ἐκκλησίᾳ ἔξεστι βαπτίζειν.

Ἄλλος Φίληξ ἀπὸ Μαρδιανῆς εἶπε.

Τὰ αὐτά.

Παῦλος ἀπὸ Σαβᾶς εἶπεν.

Εἰ ὁ Θεὸς ἀληθής ἐστι, πῶς ἔσται παρὰ τοῖς αἱρετικοῖς ἀληθὲς βάπτισμα, παρ' οἷς οὐκ ἔστι Θεός;

Πομπώνιος ἀπὸ Διονυσιανῆς εἶπεν.

Οἱ αἱρετικοὶ οὐ δύνανται βαπτίζειν, οὐδὲ ἄφεσιν ἁμαρτιῶν δοῦναι, οἱ μὴ ἔχοντες ἐξουσίαν λῦσαί τι ἐπὶ τῆς γῆς ἢ δῆσαι.

102

Οὐινάτος ἀπὸ Θηνίσης εἶπεν.

Ὁ τὸ βάπτισμα τῆς ἐκκλησίας τοῖς αἱρετικοῖς κοινῶν, τὴν νύμφην τοῦ Χριστοῦ μοιχοῖς παραδίδωσιν.

Λυμμὸς ἀπὸ Ἀσιάγης εἶπεν.

Ἡμεῖς ἓν βάπτισμα εἰλήφαμεν, καὶ τούτῳ ἐξακολουθοῦμεν. ὁ δὲ λέγων, καὶ τοῖς αἱρετικοῖς ἔξεστι βαπτίζειν, δύο βαπτίσματα εἰσάγει.

Σατορνῖλος ἀπὸ Ἰουκτοριανῆς εἶπεν.

Εἰ ἔξεστι τοῖς αἱρετικοῖς βαπτίζειν ἀνέγκλητοί εἰσιν ἄνομα ποιοῦντες. οὐδὲ εὑρήσεις διὰ τί αὐτοὺς ὁ Χριστὸς ἐναντίους, ἢ ὁ ἀπόστολος Ἀντιχρίστους ὀνομάζει.

Σατορνῖλος ἄλλος ἀπὸ Συκῆς εἶπεν.

Οἱ ἐθνικοὶ εἰ καὶ εἴδωλα σέβονται, ὅμως τὸν Θεὸν πατέρα καὶ κτίστην ἐπιγινώσκουσι καὶ ὁμολογοῦσι δεσπότην. εἰς τοῦτον Μαρκίων βλασφημεῖ, καὶ πῶς οὐκ αἰσχύνονται οἱ τὸ Μαρκίωνος βάπτισμα δοκιμάζοντες;

Μάρκελλος ἀπὸ Ζάμης εἶπεν.

Ὁπότε ἄφεσις ἁμαρτιῶν οὐδαμοῦ, εἰ μὴ ἐν τῇ ἐκκλησίᾳ δίδοται, ὁ αἱρετικοὺς μὴ βαπτίζων, ἁμαρτωλῷ κοινωνεῖ.

Εἰρηναῖος ἀπὸ Οὐλῶν εἶπεν.

Εἰ διὰ τοῦτο ἡ ἐκκλησία τὸν αἱρετικὸν οὐ βαπτίζει, ὅτι ἤδη λέγεται βεβαπτίσθαι, προκρίνει ἡ αἵρεσις καὶ μείζων γίνεται.

Δονάτος ἀπὸ Κιβαλινῆς εἶπεν.

Ὁ λέγων παρὰ τοῖς αἱρετικοῖς χάριν βαπτίσματος εἶναι, πρότερον ἀποδειξάτω ἐκεῖ ἐκκλησίαν.

Ζώσιμος ἀπὸ Θαραζοῦ εἶπεν.

Ἀποκαλυφθείσης τῆς ἀληθείας, παραχωρείτω ἡ πλάνη τῇ ἀληθείᾳ.

Ἰουλιανὸς ἀπὸ Φιλίππου εἶπε.

Γέγραπται, οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ· εἰ ἡ αἵρεσις ἐξ οὐρανοῦ ἐστι, δύναται καὶ οὐράνιον βάπτισμα δοῦναι.

Φαῦστος ἀπὸ Θημίδης εἶπεν.

Οἱ τὸ τῶν αἱρετικῶν πρὸς τὸ τῆς ἐκκλησίας βάπτισμα ἐνιστάμενοι, ἐκείνους μὲν Χριστιανοὺς, ἡμᾶς δὲ αἱρετικοὺς ποιοῦσιν.

Γεμῖνος ἀπὸ Φόρμης εἶπεν.

Ὁ ἅπαξ ἐκρίναμεν, τοῦτο καὶ κατέχομεν· ἵνα τοὺς ἀπὸ αἱρέσεων ἐρχομένους βαπτίζωμεν.

Ῥο-

Ρ'ογατιανὸς ἀπὸ Οὔσης εἶπε.

Τὴν ἐκκλησίαν ὁ Χριστὸς ᾠκοδόμησε, τὴν αἵρεσιν ὁ διάβολος· πῶς οὖν δύναται ἔχειν βάπτισμα Χριστοῦ ἡ συναγωγὴ τοῦ διαβόλου;

Θεράπιος ἀπὸ Βουλισμίου εἶπεν.

Ὁ τοῖς αἱρετικοῖς τὸ βάπτισμα τῆς ἐκκλησίας προδιδοὺς, τί ἄλλο ἢ τῆς νύμφης τοῦ Χριστοῦ προδότης γίνεται;

Λούκιος ἀπὸ Μεμερέσης εἶπε.

Γέγραπται, ὅτι ὁ Θεὸς ἁμαρτωλῶν οὐκ ἀκούει. ὁ δὲ αἱρετικὸς ὢν ἁμαρτωλὸς, πῶς ἀκούεται ἐν τῷ βαπτίζειν;

Ἄλλος Φίληξ ἀπὸ Οὐαγλακηνῆς εἶπεν.

Ἐν τῷ προσδέχεσθαι τοὺς αἱρετικοὺς ἄνευ τοῦ τῆς ἐκκλησίας βαπτίσματος, μηδεὶς τὴν συνήθειαν λόγου καὶ τῆς ἀληθείας προκρινέτω.

Ἄλλος Σατορνῖλος ἀπὸ Πλουτίμνης εἶπεν.

Εἰ δύναται Ἀντίχριστος δοῦναι τὴν χάριν τοῦ Χριστοῦ, δύνανται καὶ οἱ αἱρετικοὶ βαπτίζειν, οἱ ὀνομασθέντες ἀντίχριστοι.

Κοΐντος ἀπὸ Οὐγβᾶς εἶπεν.

Ὁ Θεὸς εἷς ἐστι, καὶ ἐκκλησία μία, καὶ ἓν βάπτισμα. καὶ πῶς δύναταί τις βαπτισθῆναι ἐκεῖ, ὅπου οὔτε Θεὸς, οὔτε Χριστὸς, οὔτε ἐκκλησία ἐστί:

Ἰουλιανὸς ἀπὸ Μαρκελλιανῆς εἶπεν.

Εἰ δύναται ἄνθρωπος δυσὶ κυρίοις δουλεύειν Θεῷ καὶ μαμωνᾷ, δύναται καὶ τὸ βάπτισμα δυσὶν ὑπηρετεῖν.

Τέναξ ἀπὸ Ὁρίων Κελλίων εἶπε.

Βάπτισμα ἕν ἐστιν, ἀλλὰ τῆς ἐκκλησίας, ἧς τὸ βάπτισμα ἀληθές.

Ἄλλος Οὐίκτωρ ἀπὸ Ἀσούρας εἶπεν.

Ὁμοίως.

Δουνατοῦλος ἀπὸ Κάμψης εἶπεν.

Ἀεὶ τοῦτο ἐγὼ ἐφρόνησα, ἵνα οἱ αἱρετικοὶ μηδὲν ἔξω λαβεῖν δυνάμενοι, ὅταν πρὸς τὴν ἐκκλησίαν ἔλθωσι, βαπτισθῶσιν.

Οὐήρουλος ἀπὸ Ρ'ουσιοκάδας εἶπεν.

Ἄνθρωπος αἱρετικὸς * δύναται δοῦναι ὃ μὴ ἔχει, πολὺ μᾶλλον σχισματικὸς, ὅπερ εἶχεν ἀπολέσας.

Πουδεντιανὸς ἀπὸ Κοϊνκόλης εἶπεν.

Ἐάν τις ἀπὸ αἱρέσεως ἔλθῃ βαπτισθῆναι αὐτὸν ὀρθῶς καὶ δικαίως κέκριται.

Πέτρος ἀπὸ ἱππῶνος διαῤῥύτου εἶπεν.

Ἐπεὶ ἓν βάπτισμά ἐστιν ἐν μόνῃ τῇ ἐκκλησίᾳ, διὰ τοῦτο τοὺς ἀπὸ τῶν αἱρετικῶν καὶ σχισματικῶν ἐλθόντας, ὡς μηδὲν ἐκεῖθεν εἰληφότας, ἐν τῇ ἐκκλησίᾳ βαπτίζεσθαι κρίνω.

Ἄλλος Λούκιος ἀπὸ Αὐσάφης εἶπεν.

Ἑνὸς ὄντος Θεοῦ καὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ μιᾶς ἐλπίδος, καὶ μιᾶς ἐκκλησίας, τὰ παρὰ τοῖς αἱρετικοῖς πραττόμενα λύεσθαι δεῖν φημι, καὶ τοὺς ἀπ' αὐτῶν ἐρχομένους ἐν τῇ ἐκκλησίᾳ βαπτίζειν.

Ἄλλος Φίληξ ἀπὸ Τουριτῶν εἶπεν.

Ἐγὼ κρίνω, ἵνα ἀκολούθως ταῖς θείαις γραφαῖς ἄνομοι παρὰ τοῖς αἱρετικοῖς βαπτισθέντες, ἂν πρὸς τὴν ἐκκλησίαν καταφύγωσι, τῷ τῆς ἐκκλησίας βαπτίσματι, ἔνθα πᾶσα ἐξουσία παρὰ τοῦ Θεοῦ δέδοται, βαπτισθῶσιν.

Πλουτιανὸς ἀπὸ Λαβάνης εἶπεν.

Ἐγὼ πιστεύω βαπτίσματι σωτηρίαν μὴ εἶναι, εἰ μὴ ἐν μόνῃ τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ ὅταν ἔξω τῆς ἐκκλησίας γένηται, πιθηκισμὸν εἶναι.

Σαλουϊανὸς ἀπὸ Ζυφάλης εἶπε.

Τοὺς αἱρετικοὺς μηδὲν ἔχειν σύνεστηκε, καὶ διὰ τοῦτο πρὸς ἡμᾶς ἔρχονται, ἵνα λάβωσιν, ὃ μὴ ἔχουσιν.

Ὀνωράτος ἀπὸ Λούγκης εἶπεν.

Ὁπότε ὁ Χριστὸς ἀληθής ἐστι, μᾶλλον τῇ ἀληθείᾳ, ἢ τῇ συνηθείᾳ ἕπεσθαι ὀφείλομεν, ἵνα τοὺς αἱρετικοὺς, διὰ τοῦτο πρὸς ἡμᾶς ἐρχομένους, ὅτι ἔξω μηδὲν λαβεῖν ἠδυνήθησαν, τῷ τῆς ἐκκλησίας βαπτίσματι ἁγιάσωμεν.

Οὐίκτωρ ἀπὸ Ὀκτύβου εἶπε.

Τοῦτο καὶ αὐτὸς φρονῶ, ἵνα οἱ ἀπὸ αἱρέσεως ἐρχόμενοι, ἀδιστάκτως βαπτισθῶσι.

Κλάριος ἀπὸ Μασκούλης εἶπε.

Πρόδηλός ἐστιν ἡ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπόφασις ἀποστέλλοντος τοὺς ἑαυτοῦ ἀποστόλους, καὶ αὐτοῖς μόνοις τὴν ἐξουσίαν ἐπιτρέποντος, οἷς ἡμεῖς ἐξακολουθοῦμεν, τῇ αὐτῶν ἐξουσίᾳ τὴν ἐκκλησίαν Θεοῦ κυβερνῶντες, καὶ τοὺς πιστεύοντας βαπτίζοντες· καὶ διὰ τοῦτο οἱ αἱρετικοὶ, οἱ μήτε τὴν ἐξουσίαν ἔχοντες, μήτε τὴν ἐκκλησίαν, οὐδὲ βαπτίζειν τῷ τῆς ἐκκλησίας βαπτίσματι δύνανται.

Σεκουνδιανὸς ἀπὸ Θάμβης εἶπεν.

Οὐδαμῶς ὀφείλομεν τοὺς αἱρετικοὺς τῇ ἡμετέρᾳ φιλονεικίᾳ ἐνεδρεύειν, ἵνα οἱ ἐν τῇ ἐκκλησίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μὴ βαπτισθέντες, ὁπόταν ἡ ἡμέρα τῆς κρίσεως ἔλθῃ, ἡμᾶς αἰτιάσωνται, ὅτι δι' ἡμᾶς οὐκ ἐβαπτίσθησαν, οὐδὲ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἔλαβον· διόπερ μιᾶς οὔσης τῆς ἐκκλησίας, καὶ ἑνὸς βαπτίσματος,

ΧΡΟΝΟΙ ΑΠΟ ΧΡΙΣΤΟΥ 258. 256.

ΧΡΟΝΟΙ Α' ΙΙΟ' ΧΡΙΣΤΟΥ 238. " 256.

ματος, ὅταν πρὸς ἡμᾶς ἔλθωσι, μὴ τῆς ἐκκλησίας καὶ τοῦ βαπτίσματος τυχεῖν ὀφείλουσιν.

Αὐρήλιος ἀπὸ Χολλαβῆς εἶπεν.

Ἰωάννης ὁ ἀπόστολος ἐν ἐπιστολῇ αὐτοῦ ἔφη· εἴτις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε, ὁ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς λόγοις αὐτοῦ, καὶ τοῖς ἔργοις τοῖς πονηροῖς· πῶς οὖν ἔστι εἰς δεχθῆναι εἰς οἰκίαν τοῦ Θεοῦ δύνανται, ἢ πῶς αὐτοῖς χωρὶς τοῦ τῆς ἐκκλησίας βαπτίσματος κοινωνῆσαι δυνάμεθα, εἰ μὴ τοῖς πονηροῖς αὐτῶν ἔργοις κοινωνοῦμεν.

Βίκτωρ ἀπὸ Γεμέλλων εἶπε.

Τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται· ἐπεὶ οὖν σαφές ἐστι, μὴ δύνασθαι αἱρετικόν τινα φωτίσαι, ἅτε δὴ τυφλῶν αὐτῶν ὄντων, τῶν πιστῶν τὸ βάπτισμα οὐδὲν ἐστι.

Νατάλις ἀπὸ Οἴας εἶπε.

Κἀγὼ παρὼν καὶ Πομπήιος ἀπὸ Σαβράτων, καὶ Δίογας ἀπὸ Λεπτιμάγνης, οἵπερ συνετείλαντό μοι σώματι μὲν ἀπόντες, τῷ δὲ πνεύματι παρόντες κείνομεν, ὅπερ καὶ πολλοὶ συνεπίσκοποι ἡμῶν, τοὺς αἱρετικοὺς κοινωνεῖν ἡμῖν μὴ δοῦναι, ἐὰν μὴ παρ' ἡμῶν βαπτισθῶσιν.

Γοῦνις ἀπὸ Νεαπόλεως εἶπεν.

Ἀπ' ἐκείνης ἧς ἄπαξ ἐκείναμεν, ἃ χωρίζομαι· ἵνα τοὺς αἱρετικοὺς τοὺς ἐρχομένους εἰς τὴν ἐκκλησίαν βαπτίζωμεν.

Κυπριανὸς ἀπὸ Καρχηδόνος εἶπε.

Τῇ ἐμῇ ἀπόφασιν ὁλόκληρος δείκνυσιν ἐπιστολὴ πρὸς Γοβιανὸν συνεπίσκοπον ἡμῶν γραφεῖσα, τοὺς αἱρετικοὺς κατὰ τὴν διαγγελικὴν καὶ ἀποστολικὴν μαρτυρίαν ἐναντίους τοῦ Χριστοῦ καὶ Ἀντιχρίστους ὀνομαθέντας, ὁπόταν τῇ ἐκκλησίᾳ προσέλθωσι, τῷ ἐν τῆς ἐκκλησίας βαπτίσματι, βαπτίζεσθαι δεῖν· ἵνα δυνηθῶσι γενέσθαι ἀντὶ ἐχθρῶν φίλοι, καὶ ἐξ Ἀντιχρίστων Χριστιανοί.

ΖΩΝΑΡΑΣ. Αὗται μὲν οὖν αἱ γνῶμαι τῶν ἐν τῇ συνόδῳ ταύτῃ συνελθόντων πατέρων τῷ μεγάλῳ Κυπριανῷ· ἀλλ' ὅτε ἐπὶ τοῖς αἱρετικοῖς ἐκράτησαν πᾶσιν, ὅτε ἐπὶ τοῖς σχισματικοῖς· ἡ γὰρ δευτέρα οἰκουμενικὴ σύνοδος, ὡς ἤδη εἴρηται, ὑπεξεῖλέ τινας τῶν αἱρετικῶν, καὶ ἄνευ βαπτίσματος δέχεσθαι τούτους θεσπίσασα, χρισμένους μόνον τῷ θείῳ μύρῳ, καὶ ἀναθεματίζοντας τὴν οἰκείαν αἵρεσιν ἕκαστον, καὶ πάσας ἁπλῶς· καὶ διὰ τοῦτο καὶ ἐξηγήθησαν αἱ γνῶμαι αὗται, ὡς μὴ ἀναγκαῖαι, οἷα μηδὲ ἐνεργοῦσαι, ἀλλὰ καὶ κατὰ σύνοψιν ἐγράφησαν.



Nagoricino, Λεπτομέρεια ἐκ τῆς Θ. Μεταδόσεως, 14ου αἰ.



Ἅγ. Γεώργιος, Βενετίας, Μυστικός Δεῖπνος, 16ου αἰ.

ΕΠΙΣΤΟΛΗ Σ Β'.

ΧΡΟ'ΝΟΙ Α' Π Ο' ΧΡΙΣΤΟΥ 260.

ΔΙΟΝΥΣΙ'ΟΥ ΠΑ'ΠΑ

ΚΑΤΑ' ΣΑΒΕΛΛΙΑΝΩ'Ν ΚΛΑ'ΣΜΑ

ΠΡΟ'Σ ΔΙΟΝΥ'ΣΙΟΝ Α'ΛΕΞΑΝΔΡΕΙ'ΑΣ,

ΠΑΡΑ' Α'ΘΑΝΑΣ'ΙΩ.

1. Ἐ'Ξῆς δ' ἂν εἰκότως λέγοιμι καὶ πρὸς διαιροῦντας καὶ κατατέμνοντας καὶ ἀναιροῦντας τὸ σεμνότατον κήρυγμα τῆς ἐκκλησίας τοῦ Θεοῦ, τὴν μοναρχίαν εἰς τρεῖς δυνάμεις τινὰς καὶ μεμερισμένας ὑποστάσεις καὶ θέοτητας τρεῖς· πέπυσμαι γὰρ εἶναί τινας τῶν παρ' ὑμῖν κατηχούντων καὶ διδασκόντων τὸν θεῖον λόγον, ταύτης ὑφηγητὰς τῆς φρονήσεως· οἳ κατὰ διάμετρον, ὡς ἔπος εἰπεῖν, ἀντίκεινται τῇ Σαβελλίου γνώμῃ· ὁ μὲν γὰρ βλασφημεῖ αὐτὸν τὸν υἱὸν εἶναι λέγων τὸν πατέρα, καὶ ἔμπαλιν· οἱ δὲ τρεῖς Θεοὺς τρόπον τινὰ κηρύττουσιν, εἰς τρεῖς ὑποστάσεις ξένας Ἀλλήλων παντάπασι κεχωρισμένας διαιροῦντες τὴν ἁγίαν μονάδα· ἡνῶσθαι γὰρ ἀνάγκη τῷ Θεῷ τῶν ὅλων τὸν θεῖον λόγον, ἐμφιλοχωρεῖν δὲ τῷ Θεῷ καὶ ἐνδιαιτᾶσθαι τὸ ἅγιον πνεῦμα· ἤδη καὶ τὴν θείαν τριάδα εἰς ἕνα, ὥσπερ εἰς κορυφήν τινα, τὸν Θεὸν τῶν ὅλων τὸν παντοκράτορα λέγω, συγκεφαλαιοῦσθαί τε καὶ συνάγεσθαι πᾶσα ἀνάγκη. Μαρκίωνος γὰρ τοῦ ματαιόφρονος δίδαγμα, εἰς τρεῖς ἀρχὰς τῆς μοναρχίας τομὴν καὶ διαίρεσιν, παίδευμα ὂν διαβολικὸν, οὐχὶ δὲ τῶν ὄντως μαθητῶν τοῦ Χριστοῦ καὶ τῶν ἀρεσκομένων τοῖς τοῦ σωτῆρος μαθήμασιν. οὗτοι γὰρ τριάδα μὲν κηρυττομένην ὑπὸ τῆς θείας γραφῆς σαφῶς ἐπίστανται, τρεῖς δὲ Θεοὺς οὔτε παλαιὰν οὔτε καινὴν διαθήκην κηρύττουσαν.

2. Οὐ μεῖον δ' ἄν τις καταμέμφοιτο καὶ τοὺς ποίημα τὸν υἱὸν εἶναι δοξάζοντας, καὶ γεγονέναι τὸν κύριον, ὥσπερ ἕν τι ὄντως γενομένων νομίζοντας, τῶν θείων λογίων γέννησιν αὐτῷ τὴν ἁρμόττουσαν καὶ πρέπουσαν, ἀλλ' οὐχὶ πλάσιν τινὰ καὶ ποίησιν προσμαρτυρούντων. βλάσφημον οὖν οὐ τὸ τυχὸν, μέγιστον μὲν οὖν, χειροποίητον τρόπον τινὰ λέγειν τὸν κύριον· εἰ γὰρ γέγονεν υἱὸς, ἦν ὅτε οὐκ ἦν· ἀεὶ δὲ ἦν, εἴγε ἐν τῷ πατρί ἐστιν, ὡς αὐτός φησι, καὶ εἰ λόγος, καὶ σοφία, καὶ δύναμις ὁ χριστὸς, ταῦτα γὰρ εἶναι τὸν χριστὸν αἱ θεῖαι, λέγουσι γραφαὶ ὥσπερ ἐπίστασθε· ταῦτα δὲ δυνάμεις οὖσαι τοῦ Θεοῦ τυγχάνουσιν· εἰ τοίνυν γέγονεν ὁ υἱὸς, ἦν ὅτε οὐκ ἦν ταῦτα· ἦν ἄρα καιρὸς, ὅτε χωρὶς τούτων ἦν ὁ Θεός· ἀτοπώτατον δὲ τοῦτο· καὶ τί ἂν ἐπὶ πλέον περὶ τούτων πρὸς ὑμᾶς διαλεγοίμην, πρὸς ἄνδρας πνευματοφόρους καὶ σαφῶς ἐπισταμένους τὰς ἀτοπίας τὰς ἐκ τοῦ ποίημα λέγειν τὸν υἱὸν ἀνακυπτούσας; αἷς μοι δοκοῦσι μὴ προσεσχηκέναι τὸν νοῦν οἳ καθηγησάμενοι τῆς δόξης ταύτης, καὶ διὰ τοῦτο κομιδῇ τοῦ ἀληθοῦς διημαρτηκέναι, ἑτέρως ἢ βούλεται ταύτῃ ἡ θεία καὶ προφητικὴ γραφὴ τὸ, κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, ἐκ δεξάμενοι. Οὐ μία γὰρ ἡ τοῦ ἔκτισεν, ὡς ἴστε, σημασία. ἔκτισε γὰρ ἐνταῦθα ἀκουστέον ἀντὶ τοῦ ἐπέστησε τοῖς ὑπ' αὐτοῦ γεγονόσιν ἔργοις, γεγονόσι δὲ δι' αὐτοῦ τοῦ υἱοῦ. οὐχὶ δέ γε τὸ ἔκτισε νῦν λέγοιτ' ἂν ἐπὶ τοῦ ἐποίησε. διαφέρει γὰρ τοῦ ποιῆσαι τὸ κτίσαι. οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔκτισέ σε; τῇ ἐν τῷ δευτερονομίῳ μεγάλῃ ᾠδῇ ὁ Μωσῆς φησι. πρὸς οὓς καὶ εἴποι ἄν τις· ὦ ῥιψοκίνδυνοι ἄνθρωποι. ποίημα ὁ πρωτότοκος πάσης κτίσεως, ὁ ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεννηθεὶς, ὁ εἰπὼν ὡς σοφία, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με; καὶ πολλαχοῦ δὲ τῶν θείων λογίων γεγεννῆσθαι, ἀλλ' οὐ γεγονέναι τὸν υἱὸν λεγόμενον εὕροι τις ἄν. ὑφ' ὧν καταφανῶς ἐλέγχονται τὰ ψεύδη περὶ τῆς τοῦ κυρίου γεννήσεως ὑπολαμβάνοντες, οἳ ποίησιν αὐτοῦ τὴν θείαν καὶ ἄρρητον γέννησιν λέγειν τολμῶντες.

3. Οὔτ' οὖν καταμερίζειν χρὴ εἰς τρεῖς θέοτητας τὴν θαυμαστὴν καὶ θείαν μονάδα, οὔτε ποιήσει κωλύειν τὸ ἀξίωμα καὶ τὸ ὑπερβάλλον μέγεθος τοῦ κυρίου. Ἀλλὰ πεπιστευκέναι εἰς Θεὸν πατέρα παντοκράτορα, καὶ εἰς χριστὸν Ἰησοῦν τὸν υἱὸν αὐτοῦ, καὶ εἰς τὸ ἅγιον πνεῦμα, ἡνῶσθαι δὲ τῷ Θεῷ τῶν ὅλων τὸν λόγον· ἐγὼ γάρ φησι, καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· οὕτω γὰρ ἂν καὶ ἡ θεία τριὰς, καὶ τὸ ἅγιον κήρυγμα τῆς μοναρχίας διασώζοιτο.

ΣΥΝΟΔΟΙ ΕΝ ΑΛΕΞΑΝΔΡΕΙΑ,

ΥΠΟ ΔΙΟΝΥΣΙΟΥ

ἐκ τοῦ βιβλίου τοῦ συνοδικοῦ.

Σύνοδος θεία καὶ ἱερὰ μερικὴ, ἐν Ἀλεξανδρείᾳ συναθροισθεῖσα ὑπὸ τοῦ ὁμολογητοῦ Διονυσίου, τοῦ ταύτης ἀρχιερέως, ἀποκηρύξασα τὸν Σαβέλλιον τὸν ἀντίθεον.

Σύνοδος θεία καὶ ἱερὰ τοπικὴ, συναθροισθεῖσα ἐν Ἀλεξανδρείᾳ, ὑπὸ τοῦ προειρημένου Διονυσίου, καταδικάσασα καὶ ἀποκηρύξασα μετὰ θάνατον Νεποτιανὸν ἐπίσκοπον Αἰγύπτου, καὶ Κήρινθον. ὡς διαβεβαιουμένους, καὶ πλεῖστα ἐξαπατῶντας, ἐν τῇ ἐπιγείῳ Ἱερουσαλὴμ τοῦ Χριστοῦ εἶναι τὴν βασιλείαν, καὶ τὴν χιλιετηρίδα δογματίζοντας πρὸς τούτοις βουθυσίας καὶ μηλοσφαγίας νομοθετοῦντας.

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΜΑΚΑΡΙΟΥ

Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας, πρὸς Βασιλείδην ἐπίσκοπον ἐρωτήσαντα περὶ διαφόρων κεφαλαίων, πρὸς ἃ διὰ τῆς ἐπιστολῆς ὁ Διονύσιος ἀποκρίσεις ἐποιήσατο, αἳ καὶ ὡς κανόνες ἐδέχθησαν.

Διονύσιος Βασιλείδῃ τῷ ἀγαπητῷ μου υἱῷ καὶ ἀδελφῷ συλλειτουργῷ καὶ θεομειθεῖ ἐν κυρίῳ χαίρειν.

Ἀπέστειλάς μοι πιστότατε καὶ λογιώτατε υἱέ μου, πυνθανόμενος καθ' ἣν ὥραν ἀπονηστίζεσθαι δεῖ τὴν τοῦ πάσχα ἡμέραν. τινὰς μὲν γὰρ τῶν ἀδελφῶν λέγειν φῆς, ὅτι χρὴ τοῦτο ποιεῖν πρὸς τὴν ἀλεκτοροφωνίαν. τινὰς δὲ, ὅτι ἀφ' ἑσπέρας χρή· οἱ μὲν γὰρ ἐν Ῥώμῃ ἀδελφοὶ, ὡς φασὶ, περιμένουσι τὸν ἀλέκτορα· περὶ δὲ τῶν ἐνταῦθα, ἔλεγες, ὅτι τάχιον· ἀκριβῆ δὲ ὥραν τιθέναι ἐπιζητεῖς, καὶ ὥραν πάνυ μεμετρημένην, ὅπερ καὶ δύσκολον καὶ σφαλέστερόν ἐστι· τὸ μὲν γὰρ ὅτι μετὰ τὸν τῆς ἀναστάσεως τοῦ κυρίου ἡμῶν καιρὸν χρὴ τῆς ἑορτῆς καὶ τῆς εὐφροσύνης ἐνάρχεσθαι, μέχρις ἐκείνου τὰς ψυχὰς ταῖς νηστείαις ταπεινοῦντας, ὑπὸ πάντων ὁμοίως ὁμολογηθήσεται. κατεσκεύασας δὲ δι' ὧν ἔγραψάς μοι, πάνυ ὑγιῶς καὶ τῶν θείων εὐαγγελιστῶν αἰσθόμενος, ὅτι μηδὲν ἀπηκριβωμένον ἐν αὐτοῖς περὶ τῆς ὥρας, καθ' ἣν ἀνέστη, φαίνεται. διαφόρως μὲν γὰρ οἱ εὐαγγελισταὶ τοὺς ἐπὶ τὸ μνημεῖον ἐλθόντας ἀνέγραψαν κατὰ καιροὺς ἐνηλλαγμένους, καὶ πάντες ἀνεστηκότα ἤδη τὸν κύριον ἔφασαν εὑρηκέναι· καὶ ὀψὲ σαββάτων, ὡς ὁ Ματθαῖος εἶπε· καὶ πρωΐας ἔτι σκοτίας οὔσης, ὡς ὁ Ἰωάννης γράφει. καὶ ὄρθρου βαθέως, ὡς ὁ Λουκᾶς· καὶ λίαν πρωῒ ἀνατείλαντος τοῦ ἡλίου, καὶ ὁ Μάρκος· Καὶ πότε μὲν ἀνέστη, σαφῶς οὐδεὶς ἀπεφήνατο· ὅτι δὲ ὀψὲ σαββάτων τῇ ἐπιφωσκούσῃ μιᾷ σαββάτων μέχρις ἀνατολῆς ἡλίου τῆς μιᾶς σαββάτων, οἱ ἐπὶ τὸ μνημεῖον παραγενόμενοι, οὐκέτι κείμενον αὐτὸν ἐν αὐτῷ κατέλαβον, τοῦτο ἀνωμολόγηται. καὶ μηδὲ διαφωνεῖν, μηδὲ ἐναντιοῦσθαι τοὺς εὐαγγελιστὰς πρὸς ἀλλήλους ὑπολάβομεν· ἀλλ' εἰ καὶ μικρολογία τις εἶναι δόξει περὶ τὸ ζητούμενον, εἰ συμφωνοῦντες πάντες ἐν ἐκείνῃ τῇ νυκτὶ τὸ τοῦ κόσμου φῶς τὸν κύριον ἡμῶν ἀνατεταλκέναι, περὶ τὴν ὥραν διαφέρονται. ἀλλ' ἡμεῖς εὐγνωμόνως τὰ λεχθέντα καὶ πιστῶς ἁρμόσαι προθυμηθώμεν· τὸ μὲν τὸ ὑπὸ τοῦ Ματθαίου λεχθὲν, οὕτως ἔχει· ὀψὲ δὲ σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς λίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον· καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας· Ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ οὐρανοῦ προσελθὼν, ἀπεκύλισε τὸν λίθον, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ· ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών· ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ, ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί· ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπε ταῖς γυναιξὶ, μὴ φοβεῖσθε ὑμεῖς, οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε, οὐκ ἔστιν ὧδε· ἠγέρθη γὰρ καθὼς εἶπε· τοῦτο δὲ τὸ λεχθὲν οἱ μέν τινες οἰήσονται κατὰ τὴν κοινότητα τοῦ ῥήματος, τὴν ἑσπέραν δηλοῦν τοῦ σαββάτου· οἱ δὲ * σοφώτερον ἐξακούοντες, οὐ τοῦτο, ἀλλὰ νύκτα βαθεῖαν ἐροῦσιν εἶναι, βραδύτητα καὶ μακρὸν χρόνον τοῦ ὀψὲ δηλοῦντος· καὶ ὅτι νύκτα λέγει καὶ οὐχ ἑσπέραν, ἐπήγαγε, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, καὶ ἧκον, οὔπω, ὡς οἱ λοιποί φασι, τὰ ἀρώματα φέρουσαι, ἀλλὰ θεωρῆσαι τὸν τάφον, καὶ εὗρον τὸν σεισμὸν γεγονότα καὶ καθήμενον τὸν ἄγγελον ἐπὶ τοῦ λίθου, καὶ ἀκηκόασι παρ' αὐτοῦ, οὐκ ἔστιν ὧδε, ἠγέρθη· ὁμοίως ὁ Ἰωάννης, ἐν μιᾷ τῶν σαββάτων, φησὶ, Μαρία ἡ Μαγδαληνὴ ἦλθε πρωῒ σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον· καὶ βλέπει τὸν λίθον ἠρμένον ἀπὸ τοῦ μνημείου· πλὴν παρὰ τοῦτο σκοτίας ἔτι οὔσης προεληλύθει· ὁ δὲ Λουκᾶς φησι, τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν· τῇ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος ἐπὶ τὸ μνῆμα ἦλθον φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα· εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου· ὁ βαθὺς ὄρθρος ἴσως προϋποφαινομένην· αὐτὴν ἑωθινὴν ἐμφανίζει τῆς μιᾶς τῶν σαββάτων, διὰ τοῦ παρωχηκότος ἤδη τελείως σὺν τῇ μετ' αὐτὸ νυκτὶ πάσῃ τοῦ σαββάτου, καὶ ἑτέρας ἀρχομένης ἡμέρας, ἦλθον τὰ ἀρώματα καὶ τὰ μῦρα φέρουσαι· ὅτε δῆλον ὡς ἀνεστήκει πρὸ πολλοῦ. τούτῳ κατακολουθεῖ καὶ ὁ Μάρκος λέγων, ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν· καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου· λίαν μὲν γὰρ πρωῒ καὶ οὗτος εἶπεν, ὅπερ ταυτόν ἐστι τῷ βαθέος ὄρθρου· καὶ ἐπήγαγεν, ἀνατείλαντος τοῦ ἡλίου· ἡ μὲν ὁρμὴ καὶ ἡ ὁδὸς αὐτῶν, δῆλον ὡς ὄρθρου βαθέος καὶ λίαν πρωῒ προήχθη· παρέτειναν δὲ κατά τε τὴν πορείαν καὶ περὶ τὸ μνημεῖον διατρίβουσαι μέχρις ἀνατολῆς ἡλίου· καὶ λέγει καὶ τότε ταύταις ὁ νεανίσκος ὁ λευχείμων, ἠγέρθη, οὐκ ἔστιν ὧδε· τούτων οὕτως ἐχόντων, τοῦτο τοῖς ἀκριβολογουμένοις * ἀποφαινόμεθα κατὰ ποίαν ὥραν ἢ καὶ ποῖον ἡμιώριον ἢ ὥρας τέταρτον ἄρχεσθαι προσῆκε τῆς ἐπὶ τῇ τοῦ κυρίου ἡμῶν ἐκ νεκρῶν ἀναστάσει χαρᾶς· τοὺς μὲν λίαν ἐπι-

* σοφώτερον

* ἀπολογ-μεθα.

ἐπιταχυύαντας καὶ πρὸ νυκτὸς ἐγγὺς ἤδη μεσούσης ἀνιέντας, ὡς ὀλιγώρους καὶ ἀκρατεῖς μεμφόμεθα, ὡς παρ' ὀλίγον προκαταλύοντας τὸν δρόμον, λέγοντος ἀνδρὸς σοφοῦ, Οὐ μικρὸν ἐν βίῳ τὸ παρὰ μικρόν· τοὺς δὲ ὑφυστερίζοντας καὶ διαρκοῦντας ἐπὶ πλεῖστον καὶ μέχρι τετάρτης φυλακῆς διεγκαρτεροῦντας, καθ' ἣν καὶ τοῖς πλέουσιν ὁ σωτὴρ ἡμῶν περιπατῶν ἐπὶ τῆς θαλάσσης ἐπεφάνη, ὡς γενναίους καὶ φιλοπόνους ἀποδεχόμεθα· τοῖς δὲ μεταξὺ ὡς ἐκινήθησαν ἢ ὡς ἠδυνήθησαν ἀναπαυσαμένους, μὴ πάνυ διοχλῶμεν· ἐπεὶ μηδὲ τὰς ἓξ τῶν νηστειῶν ἡμέρας ἴσως μηδὲ ὁμοίως πάντες διαμένουσιν· ἀλλ' οἱ μὲν καὶ πάσας ὑπερτιθέασιν ἄσιτοι διατελοῦντες, οἱ δὲ, δύο, οἱ δὲ, τρεῖς, οἱ δὲ τέσσαρας, οἱ δὲ οὐδεμίαν. καὶ τοῖς μὲν πάνυ διακονηθεῖσιν ἐν ταῖς ὑπερθέσεσιν, εἶτα ἀποκαμοῦσι καὶ μονονοῦ ἐκλείπουσι, συγγνώμη τῆς ταχυτέρας γεύσεως· εἰ δέ τινες οὐχ ὅπως οὐχ ὑπερτιθέμενοι, ἀλλὰ μηδὲ νηστεύσαντες ἢ καὶ τρυφήσαντες τὰς προαγούσας τέσσαρας, εἶτα ἐλθόντες ἐπὶ τὰς τελευταίας δύο καὶ μόνας ἡμέρας, αὐτὰς ὑπερτιθέντες, τήν τε παρασκευὴν καὶ τὸ σάββατον, μέγα τι καὶ λαμπρὸν ποιεῖν νομίζουσιν ἂν μέχρι τῆς ἕως διαμείνωσιν, οὐκ οἶμαι τὴν ἴσην ἄθλησιν αὐτοὺς πεποιῆσθαι, τοῖς τὰς πλείονας ἡμέρας προησκηκόσι· ταῦτα μὲν ὡς φρονῶ συμβουλεύων περὶ τούτων ἔγραψα.

Κανὼν β'.

Περὶ δὲ τῶν ἐν ἀφέδρῳ γυναικῶν· εἰ προσῆκεν αὐτὰς οὕτω διακειμένας εἰς τὸν οἶκον εἰσιέναι τοῦ Θεοῦ, περιττὸν καὶ τὸ πυνθάνεσθαι νομίζω· οὐδὲ γὰρ αὐτὰς οἶμαι πιστὰς οὔσας καὶ εὐλαβεῖς, τολμήσειν οὕτως διακειμένας, ἢ τῇ τραπέζῃ τῇ ἁγίᾳ προσελθεῖν, ἢ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ προσάψασθαι· οὐδὲ γὰρ ἡ τὴν δωδεκαετῆ ῥύσιν ἔχουσα πρὸς τὴν ἵασιν σπεύδουσα ἔθιγεν αὐτοῦ· ἀλλὰ μόνου τοῦ κρασπέδου· προσεύχεσθαι μὲν γὰρ ὅπως ἂν ἔχῃ τις, καὶ ὡς ἂν διάκειται, μεμνῆσθαι τοῦ δεσπότου, καὶ δεῖσθαι βοηθείας τυχεῖν, ἀνεπίφθονον· εἰς δὲ τὰ ἅγια τῶν ἁγίων, ὁ μὴ πάντῃ καθαρὸς καὶ ψυχῇ καὶ σώματι, προσιέναι κωλυθήσεται.

Κανὼν γ'.

Αὐτάρκεις δὲ καὶ οἱ γεγηρακότες, ἑαυτῶν ὀφείλουσιν εἶναι κριταί· ὅτι γὰρ ἀπέχεσθαι ἀλλήλων προσῆκον, ἐκ συμφωνίας ἵνα πρὸς καιρὸν σχολάσωσι τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ὦσιν, ἀκηκόασι Παύλου γράφοντος.

Κανὼν δ'.

Οἱ δ' ἐν ἀπροαιρέτῳ νυκτερινῇ ῥύσει γενόμενοι, καὶ οὗτοι τῷ ἰδίῳ συνειδότι κατακολουθείτωσαν, καὶ ἑαυτοὺς, εἴτε διακρίνονται περὶ τούτου, εἴτε μὴ, σκοπείτωσαν· καὶ ἐπὶ τῶν βρωμάτων ὁ διακρινόμενος, φησὶν, ἐὰν φάγῃ, κατακέκριται· καὶ ἐν τούτοις εὐσυνείδητος ἔστω καὶ εὐπαρρησίαστος κατὰ τὸ ἴδιον ἐνθύμιον, πᾶς ὁ προσιὼν τῷ Θεῷ.

Ταῦτα, σὺ μὲν, τιμῶν ἡμᾶς (οὐ γὰρ ἀγνοῶν, ἀγαπητὲ) τὰ πύσματα ἡμῖν προσήγαγες, ὁμόφρονας ἡμᾶς, ὥσπερ οὖν ἐσμὲν, καὶ ἰσοψύχους, ἑαυτῷ παρασκευάζων· ἐγὼ δὲ, οὐχ ὡς διδάσκαλος ἀλλ' ὡς μετὰ πάσης ἁπλότητος προσῆκον, ἡμᾶς ἀλλήλοις διαλέγεσθαι, εἰς κοινὸν τὴν διάνοιαν ἐμαυτοῦ ἐξέθηκα· ἣν ἐπικρίνας καὶ σὺ συνετώτατέ μου υἱὲ, ὅ,τι ἄν σοι φανῇ δίκαιον καὶ βέλτιον, ἢ καὶ οὕτως ἔχειν δοκιμάζῃς, περὶ αὐτῶν ἀντιγράψεις· ἐρρῶσθαί σε ἀγαπητὲ υἱέ μου ἐν εἰρήνῃ λειτουργοῦντα τῷ κυρίῳ εὔχομαι.

ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ ΤΟΥ

ἁγίου Γρηγορίου ἀρχιεπισκόπου Νεοκαισαρείας τοῦ Θαυματουργοῦ, περὶ τῶν ἐν τῇ καταδρομῇ τῶν βαρβάρων εἰδωλόθυτα φαγόντων, ἢ καὶ ἕτερά τινα πλημμελησάντων.

Κανὼν α'.

Οὐ τὰ βρώματα ἡμᾶς βαρεῖ, ἱερώτατε πάπα, εἰ ἔφαγον οἱ αἰχμάλωτοι ταῦτα, ἅπερ παρετίθεσαν αὐτοῖς οἱ κρατοῦντες αὐτῶν, μάλιστα ἐπειδὴ εἷς λόγος παρὰ πάντων τοὺς καταδραμόντας τὰ ἡμέτερα μέρη βαρβάρους εἰδώλοις μὴ τεθυκέναι. ὁ δὲ ἀπόστολός φησι, τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει· ἀλλὰ καὶ ὁ σωτὴρ ὁ πάντα καθαρίζων τὰ βρώματα, οὐ τὸ εἰς πορευόμενον κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον. καὶ τὸ τὰς αἰχμαλώτους γυναῖκας διαφθαρῆναι ἐξ ὑβριζόντων τῶν βαρβάρων εἰς τὰ σώματα αὐτῶν· ἀλλ' εἰ μὲν καὶ πρότερον κατέγνωστό τινος βίος πορευομένου ὀπίσω ὀφθαλμῶν τῶν ἐκπορνευόντων κατὰ τὸ γεγραμμένον, δηλονότι ἡ πορνικὴ ἕξις ὕποπτος καὶ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας· καὶ οὐ προχείρως δεῖ ταῖς τοιαύταις κοινωνεῖν τῶν εὐχῶν· εἰ μέντοι τις ἐν ἄκρᾳ σωφροσύνῃ ζήσασα, καὶ καθαρὸν καὶ ἔξω πάσης ὑπονοίας ἐπιδεδειγμένη βίον, τὸν πρότερον, νῦν περιπέπτωκεν ἐκ βίας καὶ ἀνάγκης ὕβρει, ἔχομεν παράδειγμα τὸ ἐν τῷ Δευτερονομίῳ τὸ ἐπὶ τῇ νεανίδι, ἣν ἐν τῷ πεδίῳ εὗρεν ἄνθρωπος, καὶ βιασάμενος αὐτὴν, ἐκοιμήθη μετ' αὐτῆς· τῇ νεανίδι οὐ ποιήσετε, φησὶν, οὐδὲν, οὐκ ἔστι τῇ νεανίδι ἁμάρτημα θανάτου· ὅτι ὡς εἴτις ἀναστῇ ἄνθρωπος ἐπὶ τὸν πλησίον αὐτοῦ καὶ θανατώσει αὐτοῦ τὴν ψυχὴν, οὕτω τὸ πρᾶγμα τοῦτο· ἐβόησεν ἡ νεάνις· καὶ ὁ βοηθῶν οὐκ ἦν αὐτῇ· ταῦτα μέντοι τοιαῦτα.

Κανὼν β'.

Δεινὴ ἡ πλεονεξία, καὶ οὐκ ἔστι δι' ἐπιστολῆς μιᾶς παραθέσθαι τὰ θεῖα γράμματα, ἐν οἷς οὐ τὸ λῃστεύειν μόνον, φρικτὸν καὶ φρικῶδες καταγγέλλεται, ἀλλὰ καθόλου τὸ πλεονεκτεῖν καὶ ἀλλοτρίων ἐφάπτεσθαι ἐπὶ αἰσχροκερδείᾳ· καὶ πᾶς τοιοῦτος ἐκκήρυκτος ἐκκλησίας Θεοῦ. τὸ δὲ ἐν καιρῷ τῆς καταδρομῆς ἐν τοσαύτῃ οἰμωγῇ καὶ τοσούτοις θρήνοις τολμῆ σαί τινας τὸν

ημέρον τὸν πᾶσιν ὄλεθρον φέροντα, νομίσαι ἑαυτοῖς καιρὸν εἶναι χέρδους, ἀνθρώπων ἐστὶν ἀσεβῶν καὶ θεοσυλῶν, οὐδὲ ὑπερβολὴν ἀτοπίας ἐχόντων· διὸ καὶ ἔδοξε τοὺς τοιούτους πάντας ἐκκηρύξαι, μήποτε ἐφ' ὅλον ἔλθῃ τὸν λαὸν ἡ ὀργή, καὶ ἐπ' αὐτοὺς πρῶτον τοὺς προεστῶτας, τοὺς μὴ ἐπιζητοῦντας. φοβοῦμαι γὰρ ὡς ἡ γραφὴ λέγει, μὴ σωκοφαντίσῃ ἀσεβὴς τὸν δίκαιον· πορεία γάρ φησι καὶ ἀκολουθία δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν· ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ, ὡς τέκνα φωτὸς περιπατεῖτε (ὁ γὰρ καρπὸς τοῦ φωτὸς ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ) δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ κυρίῳ, καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν· τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· τοιοῦτα μέν ὁ ἀπόστολος· ἐὰν δὲ διά τινων πρότερον πλεονεξίαν τινὶ ἐν τῇ εἰρηνῇ χρωμένῳ δίκην τινύωντες, ἐν αὐτῷ τῷ καιρῷ τῆς ὀργῆς πάλιν πρὸς τινὰ πλεονεξίαν ἐκδαπῶσί τινες, κερδαίνοντες ἐξ αἵματος καὶ ὀλέθρου ἀνθρώπων ἀνασάτων χρωμένων ἢ αἰχμαλώτων, ἢ πιφονδομένων, τί ἕτερον προσδοκᾶν χρὴ ἢ ὡς ἐπαγωνιζομένους τῇ πλεονεξίᾳ, ἐπισωρεῦσαι ὀργὴν καὶ ἑαυτοῖς καὶ πᾶντι τῷ λαῷ;

Κανὼν γ'.

Οἷα ἐδὰ Ἄχαρ ὁ τοῦ Ζαρᾶ πλημμελείᾳ ἐπλημμέλησεν ἀπὸ τοῦ ἀναθήματος, καὶ ἐπὶ πᾶσαν συναχωλὼ Ἰσραὴλ ἐχρυσήθη ἡ ὀργή; καὶ εἷς μόνος ὅπερ ἥμαρτε, μὴ μόνος ἀπολέσθαι ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ· ἡμῖν δὲ πᾶν τὸ μὴ ἡμέτερον, ἀλλὰ ἀλλότριον, τῷ καιρῷ τούτῳ κέρδος, ἀνάθεμα νομίσθαι προσήκει. κἀκεῖνος μὲν γὰρ ὁ Ἄχαρ, ἐκ τῆς προνομῆς ἔλαβε. καὶ αὐτοὶ νῦν ἐκ προνομῆς· κἀκεῖνος μὲν τὰ τῶν πολεμίων· οἱ δὲ νῦν, τὰ τῶν ἀδελφῶν, κερδαίνοντες ὀλέθριον κέρδος.

Κανὼν δ'.

Μηδεὶς ἐξαπατάτω ἑαυτὸν, μήτε ὡς Δρών· ὅτε γὰρ Δρόντα κερδαίνειν ἔξεστι· φησὶ γὰρ τὸ Δευτερονόμιον, μὴ, ἰδὼν τὸν μόσχον τοῦ ἀδελφοῦ σου καὶ τὸ πρόβατον πλανώμενα ἐν τῇ ὁδῷ, περιίδῃς αὐτά, ἀποστροφῇ ἀποστρέψεις αὐτὰ τῷ ἀδελφῷ σου· ἐὰν δὲ μὴ ἐγγίζῃ ὁ ἀδελφός σου πρὸς σέ, μηδὲ ἐπίστασαι αὐτόν, συναξεις αὐτὰ, καὶ ἔσται μετὰ σοῦ, ἕως ἂν ἐκζητήσῃ αὐτὰ ὁ ἀδελφός σου, καὶ ἀποδώσεις αὐτῷ· καὶ οὕτω ποιήσεις τὸν ὄνον αὐτοῦ, καὶ οὕτω ποιήσεις τὸ ἱμάτιον αὐτοῦ, καὶ οὕτω ποιήσεις κατὰ πᾶσαν ἀπώλειαν τοῦ ἀδελφοῦ σου, ὅσα ἂν ἀπόληται παρ' αὐτοῦ, καὶ εὑρήσῃς αὐτά· ταῦτα τὸ Δευτερονόμιον· ἐν δὲ τῇ Ἐξόδῳ, οὐ μόνον ἐὰν τὰ τοῦ ἀδελφοῦ τις εὕρῃ, ἀλλὰ καὶ ἐχθροῦ, ἀποστροφὴ φησιν, ἀποστρέψεις αὐτὰ εἰς τὸν οἶκον τοῦ κυρίου αὐτῷ· εἰ δὲ ἐν εἰρήνῃ ῥαθυμοῦντος καὶ ξυφωντος καὶ τῶν ἰδίων ἀμελοῦντος ἀδελφοῦ ἢ ἐχθροῦ, κερδάναι ἐκ ἔξεστιν, πόσῳ μᾶλλον δυσυχοῦντος, καὶ πολεμίους φόβῳ ντος, καὶ κατὰ ἀνάγκην τὰ ἴδια ἐγκαταλιπόντος.

Κανὼν ε'.

Ἄλλοι δὲ ἑαυτοὺς ἐξαπατῶσιν, ἀντὶ τῶν ἰδίων τῶν ἀπολλομένων, ἃ εὗρον ἀλλότρια κατέχοντες, ἵνα ἐπειδὴ αὐτοὺς Βοράδοι καὶ Γότθοι τὰ τοῦ πολέμου εἰργάσαντο, αὐτοὶ ἄλλοις Βοράδοι καὶ Γότθοι γίνωνται· ἀπεσείλαμεν ἐν τὸν ἀδελφὸν καὶ συγγέροντα Εὐφρόσυνον διὰ ταύτης πρὸς ὑμᾶς, ἵνα κατὰ τὸν ἐνθάδε τύπον, καὶ αὐτὸς δώῃ ὁμοίως, ἃ ὧν δεῖ τὰς κατηγορίας προσίεσθαι, καὶ ὡς δεῖ ἐκκηρύξαι τῶν δόχων.

Κανὼν ς'.

Περὶ τῶν βίᾳ κατεχόντων τοὺς ἐκ τῶν βαρβάρων αἰχμαλώτους· ἀπηγγέλθη δέ τι ἡμῖν καὶ ἄφισον ἐν τῇ χώρᾳ ὑμῶν, γόνιμον πάντως πρὸ ὀφθαλμῶν ἀφίσεων καὶ ἀσεβῶν καὶ μὴ εἰδότων μηδὲ ὄνομα κυρίου, ὅτι ἄρα εἰς τοσοῦτόν τινες ὠμότητος καὶ ἀπανθρωπίας προεχώρησαν, ὥστε τινὰς τοὺς διαφυγόντας αἰχμαλώτους βίᾳ κατέχειν. ἀποστείλατε τινὰς εἰς τὴν χώραν, μὴ ἃ σκηπτοὶ πέσωσιν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας.

Κανὼν ζ'.

Περὶ τῶν ἐγκαταλεχθέντων τοῖς βαρβάροις, καὶ ἀποπάτινα κατὰ τῶν ὁμοφύλων τολμησάντων· τοὺς μὲν οὖν ἐγκαταλεχθέντας τοῖς βαρβάροις καὶ μετ' αὐτῶν ἐν αἰχμαλωσίᾳ ἐπελθόντας, ἐπιλαθομένους ὅτι ἦσαν Ποντικοὶ ἃ Χερσιανοὶ, ἐκβαρβαρωθέντας δὲ ὡς καὶ φονεύειν τοὺς ὁμοφύλους ἢ ξήλῳ ἢ ἀγχόνῃ, ὑποδεικνῦναι δὲ ἢ ὁδὸς ἢ οἰκίας ἀγνοοῦσι τοῖς βαρβάροις, καὶ τῆς ἀκροάσεως ἀπέχρξαι δεῖ, μέχρις ἂν κοινῇ περὶ αὐτῶν τι δόξῃ συνελθοῦσι τοῖς ἁγίοις, καὶ πρὸ αὐτῶν τῷ ἁγίῳ πνεύματι.

Κανὼν η'.

Περὶ τῶν οἴκοις ἀλλοτρίοις ἐπελθεῖν τολμησάντων ἐν τῇ τῶν βαρβάρων ἐπιδρομῇ· τοὺς δὲ οἴκοις ἀλλοτρίοις ἐπελθεῖν τολμήσαντας, ἐὰν μὲν κατηγορηθέντες ἐλεγχθῶσι, μηδὲ τῆς ἀκροάσεως ἀξιωσαι· ἐὰν δὲ αὐτοὺς ἐξείπωσι καὶ ἀποδῶσιν, ἐν τῇ τῶν ὑποσρεφόντων τάξει ὑποπίπτειν.

Κανὼν θ'.

Περὶ τῶν ἐν τῷ πεδίῳ ἢ ἐν τοῖς ἰδίοις οἴκοις δρόντων τὰ ὑπὸ τῶν βαρβάρων καταλειφθέντα· τοὺς δὲ ἐν πεδίῳ δρόντας τι, ἢ ἐν τοῖς ἑαυτῶν οἰκίαις καταλειφθέν ὑπὸ τῶν βαρβάρων, ἐὰν μὲν κατηγορηθέντες ἐλεγχθῶσιν ὁμοίως ἐν τοῖς ὑποπίπτουσιν. ἐὰν δὲ ἑαυτοὺς ἐξείπωσι καὶ ἀποδῶσι, καὶ τῆς δόχης ἀξιωσαι.

Κα-

Κανὼν ι'.

Τοὺς δὲ τὴν ἐντολὴν πληροῦντας ἐκτὸς πάσης αἰσχροκερδείας πληροῦν δεῖ, μήτε μήτρα ἢ σώστρα ἢ εὔρεξα, ἢ ᾧ ὀνόματι καλοῦσιν, ἀπαιτοῦντας.

Κανὼν ια'.

Ἡ πρόσκλαυσις ἔξω τῆς πύλης τοῦ εὐκτηρίου ἐστὶν, ἔνθα ἑστῶτα τὸν ἁμαρτάνοντα, χρὴ τῶν εἰσιόντων δεῖσθαι πιστῶν, ὑπὲρ αὐτοῦ εὔχεσθαι· ἡ ἀκρόασις, ἔνδοθι τῆς πύλης, ἐν τῷ νάρθηκι, ἔνθα ἑστάναι χρὴ τὸν ἡμαρτηκότα, ἕως τῶν κατηχουμένων καὶ ἐντεῦθεν ἐξέρχεσθαι· ἀκούων γάρ φησι τῶν γραφῶν καὶ τῆς διδασκαλίας ἐκβαλέσθω, καὶ μὴ ἀξιούσθω προσευχῆς· ἡ δὲ ὑπόπτωσις, ἵνα ἔσωθεν τῆς πύλης τοῦ ναοῦ ἱστάμενος, μετὰ τῶν κατηχουμένων ἐξέρχηται· ἡ σύστασις, ἵνα συνίσταται τοῖς πιστοῖς, καὶ μὴ ἐξέρχηται μετὰ τῶν κατηχουμένων. τελευταῖον ἡ μέθεξις τῶν ἁγιασμάτων.

ΕΚΘΕΣΙΣ ΠΙΣΤΕΩΣ ΚΑΤΑ Ἀποκάλυψιν Γρηγορίου * ἐπισκόπου Νεοκαισαρείας.

* ἐπὶ ἐν τῷ ἕνα τὸ αὐτὸ θεὸν Γρηγορίου παρὰ τῷ Γρηγορίου Νύσης.

Εἷς Θεὸς πατὴρ λόγου ζῶντος, σοφίας ὑφεστώσης, καὶ δυνάμεως, καὶ χαρακτῆρος ἀϊδίου τέλειος τελείου γεννήτωρ· πατὴρ υἱοῦ μονογενοῦς· εἷς κύριος, μόνος ἐκ μόνου, Θεὸς ἐκ Θεοῦ, χαρακτὴρ καὶ εἰκὼν τῆς θεότητος, λόγος ἐνεργὸς, σοφία τῆς τῶν ὅλων συστάσεως περιεκτική. καὶ δύναμις τῆς ὅλης κτίσεως ποιητική· υἱὸς ἀληθινὸς ἀληθινοῦ πατρὸς, ἀόρατος ἀοράτου, καὶ ἄφθαρτος ἀφθάρτου, καὶ ἀθάνατος ἀθανάτου, καὶ ἀΐδιος ἀϊδίου· καὶ ἓν πνεῦμα ἅγιον ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, καὶ δι' υἱοῦ πεφηνὸς δηλαδὴ τοῖς ἀνθρώποις· εἰκὼν τοῦ υἱοῦ τελείου τελεία, ζωὴ ζώντων αἰτία, ἁγιότης ἁγιασμοῦ χορηγός· ἐν ᾧ φανεροῦται Θεὸς ὁ πατὴρ ὁ ἐπὶ πάντων καὶ ἐν πᾶσι, καὶ Θεὸς ὁ υἱὸς ὁ διὰ πάντων, τριὰς τελεία δόξῃ καὶ ἀϊδιότητι, καὶ βασιλείᾳ μὴ μεριζομένη, μηδὲ ἀπαλλοτριουμένη· οὔτε οὖν κτιστόν τι ἢ δοῦλον ἐν τῇ τριάδι, οὔτε ἐπείσακτον, ὡς πρότερον μὲν οὐχ ὑπάρχον, ὕστερον δὲ ἐπεισελθόν· οὔτε οὖν ἐνέλιπέ ποτε υἱὸς πατρὶ, οὔτε υἱῷ πνεῦμα, ἀλλὰ ἄτρεπτος καὶ ἀναλλοίωτος ἡ αὐτὴ τριὰς ἀεί.

ΑΝΤΙΓΡΑΦΟΝ ΕΠΙΣΤΟΛΗΣ πεμφθείσης Παύλῳ τῷ Σαμοσάτῳ ὑπὸ τῶν ὀρθοδόξων ἐπισκόπων, πρίνη καθαιρεθῆναι αὐτόν.

Ὑμέναιος, Θεόφιλος, Θεότεκνος, Μάξιμος, Πρόκλος, Βωλανὸς, Παύλῳ ἐν Χριστῷ χαίρειν.

Ἤδη μὲν εἰς λόγους ἀλλήλων ἀφικόμενοι τὴν ἑαυτῶν πίστιν ἐδείξαμεν· ἵνα δὲ φανερώτερα ἅπερ ἕκαστος φρονεῖ, γένηται, καὶ πέρας ἀσφαλέστερον τὰ ἀμφισβητούμενα λάβῃ, ἔδοξεν ἡμῖν ἔγγραφον τὴν πίστιν ἣν ἐξ ἀρχῆς παρελάβομεν, καὶ ἔχομεν παραδοθεῖσαν, καὶ τηρουμένην ἐν τῇ καθολικῇ καὶ ἁγία ἐκκλησίᾳ μέχρι τῆς σήμερον ἡμέρας ἐκ διαδοχῆς ὑπὸ τῶν μακαρίων ἀποστόλων, οἳ καὶ αὐτόπται καὶ ὑπηρέται γεγόνασι τοῦ λόγου καταγγελομένην ἐκ νόμου καὶ προφητῶν, καὶ τῆς καινῆς διαθήκης, ταύτην ἐκθέσθαι· ὅτι ὁ Θεὸς ἀγέννητος, εἷς, ἄναρχος, ἀόρατος, ἀναλλοίωτος, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται, οὗ τὴν δόξαν ἢ τὸ μέγεθος νοῆσαι ἢ ἐξηγήσασθαι καθώς ἐστιν ἀξίως τῆς ἀληθείας, ἀνθρωπίνῃ φύσει ἀνέφικτον. ἔννοιαν δὲ καὶ ὁπωσοῦν μετρίαν περὶ αὐτοῦ λαβεῖν ἀγαπητὸν ἀποκαλύπτοντος τοῦ υἱοῦ αὐτοῦ· καθάφησιν, οὐδεὶς ἔγνω τὸν πατέρα, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ. τοῦτον δὲ τὸν υἱὸν γεννητὸν, μονογενῆ υἱόν. εἰκόνα τοῦ ἀοράτου Θεοῦ τυγχάνοντα, πρωτότοκον πάσης κτίσεως, σοφίαν καὶ λόγον καὶ δύναμιν Θεοῦ πρὸ αἰώνων ὄντα, οὐ προγνώσει. ἀλλ' οὐσίᾳ καὶ ὑποστάσει Θεὸν, Θεοῦ υἱὸν ἔντε παλαιᾷ καὶ νέᾳ διαθήκη ἐγνωκότες ὁμολογοῦμεν καὶ κηρύσσομεν. ὃς δ' ἂν ἀντιμάχεται τὸν υἱὸν τοῦ Θεοῦ Θεὸν μὴ εἶναι πρὸ καταβολῆς κόσμου, πιστεύειν καὶ ὁμολογεῖν φάσκων δύο Θεοὺς καταγγέλλεσθαι, ἐὰν ὁ υἱὸς τοῦ Θεοῦ θεὸς κηρύσσηται, τοῦτον ἀλλότριον τοῦ ἐκκλησιαστικοῦ κανόνος ἡγούμεθα· καὶ πᾶσαι αἱ καθολικαὶ ἐκκλησίαι συμφωνοῦσιν ἡμῖν. περὶ γὰρ τούτου γέγραπται· ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καὶ πάλιν Ἡσαΐας· ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν. καὶ ὦτα κωφῶν ἀκούσονται· τότε ἀλεῖται ὡς ἔλαφος ὁ χωλός· καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων· καὶ πάλιν. ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεός ἐστι. καὶ οὐκ ἔστι Θεὸς πλήν σου· σὺ γὰρ εἶ ὁ Θεὸς καὶ οὐκ ἤδειμεν, ὁ Θεὸς τοῦ Ἰσραὴλ σωτήρ· καὶ παρὰ τῷ ἀποστόλῳ. ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα· ὁ ὢν ἐπὶ πάντων Θεὸς, εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν. τοῦ, ὁ ὢν ἐπὶ πάντων· καὶ τοῦ, πλήν σου, νοουμένου ἐπὶ πάντων γεννητῶν· καὶ ἐν τῷ Ὡσηέ. διότι ὁ Θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος, καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν, ὀπίσω κυρίου πορεύσομαι. καὶ πᾶσαι αἱ θεόπνευστοι γραφαὶ Θεὸν τὸν υἱὸν τοῦ Θεοῦ μηνύουσιν· ἃς καθ' ἑκάστην παρατίθεσθαι τὸν υἱὸν ὑπερτιθέμεθα.

ἄνθρωπος εἶναι οὐ δύνανται αὐτοτελὴς, ἤγουν πρόσωπον· ἡ δὲ μορφὴ τοῦ Θεοῦ, καὶ ὁ λόγος μετ' αὐτοῦ Θεὸς, καὶ υἱὸς Θεοῦ, ἐνυπόστατος λόγος ἐπὶ τοῦ πατρός. καὶ οὕτως ὁμολόγησαν αὐτὸν οἱ ἅγιοι πατέρες, καὶ παρέδωκαν ἡμῖν ὁμολογεῖν, καὶ πιστεύειν. δέδεικται οὖν τὸ σόφισμα ἀδύνατον, ἄνθρωπον σοῦ λέγοντος τὴν μορφὴν τοῦ ἀνθρώπου. καὶ δοῦλον τὴν μορφὴν, καὶ τὸ σχῆμα τοῦ δούλου, διὰ τὸ εἶναι Θεὸν τὴν μορφὴν τοῦ Θεοῦ. ὁ δὲ ἐκ νεκρῶν ἀναστὰς Χριστὸς, ἀπέθανε, καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ· Θεὸς γάρ ἐστι φύσει, ὁ κυριεύων τῶν ἁπάντων· καὶ ἀναστὰς, καὶ ἐπιγνωσθεὶς ἐκ τῶν τραυμάτων Θεὸς εἶναι ἀληθινὸς, ὁ σταυρωθεὶς, καὶ ἀναστὰς, ὁμοτίμως τε Θεὸς κύριος ὑπὸ τοῦ Θωμᾶ κηρηττόμενος· ὁ γὰρ κύριος ὁ Θεὸς, ἔχων ἐν χερσὶν αὐτοῦ τοὺς μώλωπας, ἀνέστη, ὁ τετραυματισμένος δι' ἡμᾶς· Θεὸς γὰρ τῶν ἀποστόλων ὁ ψηλαφηθεὶς, οὐ φύσει ἄνθρωπος, ἀλλὰ φύσει Θεός· ὁ κληρονόμος τῶν ἐθνῶν, καὶ κρίνων πᾶσαν τὴν γῆν, ὡς γέγραπται· ἀνάστα γάρ φησιν, ὁ Θεὸς, κρίνων τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν. υἱὸς Θεοῦ λόγος ὢν ὁ Χριστὸς ὁ κληρονόμος, ἀπέθανεν ὕστερον μετὰ τοὺς δούλους αὐτοῦ τοὺς προφῆτας, ὡς αὐτός φησιν ἐν εὐαγγελίοις· εἶπε πρὸς τοὺς ἀποκτείναντας τοὺς προφήτας· πῶς σὺ λέγεις ἄνθρωπον κατεξαίρετον τὸν Χριστὸν, καὶ οὐ Θεὸν ὄντα ἀληθινὸν, καὶ προσκυνούμενον παρὰ πάσης κτίσεως σὺν πατρὶ, καὶ ἁγίῳ πνεύματι, τὸν σαρκωθέντα ἐκ τῆς ἁγίας παρθένου, καὶ θεοτόκου Μαρίας; δι' ἡμᾶς, γὰρ κατεδέξατο γενέσθαι ἐκ γυναικός. ὅθεν καὶ τὸ πάθος ὑπὲρ ἡμῶν κατεδέξατο, κενώσας ἑαυτὸν, καὶ ταπεινώσας ἕως θανάτου, θανάτου δὲ σταυροῦ, ἴσα Θεοῦ * ὑπάρχει, ὡς γέγραπται· γέγονεν ὑπὸ νόμον ὁ θεϊκῶς νομοθετῶν, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, καὶ ἀπολάβωμεν τὴν υἱοθεσίαν, ὡς γέγραπται· εἷς ἐστιν ὁ Χριστὸς, ὁ ὢν ἐν τῷ πατρὶ συναΐδιος λόγος ἓν αὐτοῦ πρόσωπον, ἀόρατος Θεὸς, καὶ ὁρατὸς γενόμενος· Θεὸς γὰρ ἐφανερώθη ἐν σαρκὶ, γενόμενος ἐκ γυναικὸς, ὁ ἐκ Θεοῦ πατρὸς γεννηθεὶς ἐκ γαστρὸς πρὸ ἑωσφόρου, ὡς ἀπὸ καρδίας λόγος τικτόμενος ἐκ πατρός· καὶ ὁ ἁπλοῦς, καὶ ἀμερὴς, γέγονε σὰρξ ὁ λόγος, κατὰ τὰς γραφάς· οὐ μεριζόμενος εἰς σάρκα, καὶ λόγον, ὡς εἰς ἄνθρωπον οἰκῶν ὁ λόγος· αὕτη γὰρ φυγὴ γεννήσεως· ἐπεὶ ἄρα ἄνωθεν ἐνοικεῖ, ἐν οἷς εὑρεθήσονται πολλαὶ μητέρες. μία δὲ μόνη παρθένος θυγάτηρ ζωῆς ἐγέννησε τὸν ζῶντα λόγον, καὶ ἐνυπόστατον· τὸν ἄκτιστον καὶ δημιουργόν· τὸν ἐλθόντα ἐν τῷ κόσμῳ, καὶ ἄγνωστον Θεὸν, καὶ ὑπερουράνιον Θεὸν, οὐρανοῦ ποιητὴν, τὸν δημιουργὸν τοῦ κόσμου· τὸν ἁγιάζοντα, καὶ ἁγιαζόμενον· οὐκ ἄλλος ὁ ἁγιάζων ἑαυτὸν παρὰ τὸν ἁγιάζοντα, ἀλλ' ὡς ἐξ ἑνός· μόνου γὰρ Θεοῦ τὸ λέγειν. ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ὅπερ ἀδύνατον ἀνθρώπῳ ἁγιάσαι ἑαυτὸν, ἢ ἄλλον ἁγιάσαι. τούτων οὕτως ῥητῶς ἐχόντων, ἐκβέβληταί σου πάντα τὰ ἀποφαντικῶς εἰρημένα, ἄλλον ἄνδρα λέγοντός σου τὸν Χριστὸν παρὰ τὸ Θεὸν λόγον, ἄλλου Χριστοῦ οὐσίᾳ καὶ ἀξιώματι διαφέροντας καὶ ἕνα Χριστὸν ἐγκατοικοῦντα, καὶ ἐνεργοῦντα τὰ τῆς θείας δικαιοσύνης ἔργα. διατρέπου τοίνυν καὶ ἄλογον πνεῦμα, καὶ ἄψυχον ὕλην τὸν Χριστὸν ἐξηγούμενος, γῆν ὑπὸ ἡλίου ἐνεργουμένην· γῆ γὰρ ἀπροαίρετον εἶδος· οὕτω γὰρ εἴρηκας. τὰ ἀσθενήματα τοῦ υἱοῦ ἀνῃρῆσθαι, λέγων, ὡς τὸ ὑγρὸν τῆς γῆς ἀπὸ τοῦ ξηροῦ. ὁρᾶς εἰς πόσην ἀτοπίαν καταφέρῃ; ἄνδρα λέγων εἰλημμένον ὑπὸ τοῦ Θεοῦ λόγου, ὡς μήτε ἄνθρωπον αὐτὸν εἶναι δύνασθαι, τὸ αὐτεξούσιον αὐτῷ φύρων, οὐδὲ κατ' ἐξουσίαν ἰδίαν· ἀνθρώπων γὰρ μόνον τοῦτο, καὶ ἀγγέλων. τὸν δὲ σωτῆρα χριστὸν ἔρημον λέγεις γεγενῆσθαι· ἀφειδήσας * ἑαυτὸν, διὰ τὸ λέγειν αὐτὸν ἐπὶ σταυροῦ· θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; τὸν φύσει κύριον, καὶ λόγον τοῦ πατρὸς, δι' οὗ τὰ πάντα ἐποίησεν ὁ πατὴρ, καὶ ὁμοούσιον τῷ πατρὶ εἰρημένον ὑπὸ τῶν ἁγίων πατέρων· περὶ γὰρ Θεοῦ ἡμᾶς ἐδίδαξαν. σὺ δὲ λέγεις, ὅτι ὁ Χριστὸς ὁ υἱὸς τοῦ ἀνθρώπου, οὐκ ἔστιν οὗτος ὁ λόγος τοῦ πατρός. οὐδὲ τὸν Πέτρον ἠδέσθης τὸν ἐμπνευσθέντα ἄνωθεν ἐκ τοῦ πατρὸς, λέγοντα τὸν Χριστὸν τὸν υἱὸν γενόμενον τοῦ ἀνθρώπου, υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος ὁμολογοῦντα· καὶ τὸν Θωμᾶν, κύριον αὐτοῦ, καὶ Θεὸν, ἐκ τῶν τραυμάτων ἐπεγνωκότα αὐτὸν, καὶ ὁμολογήσαντα ἐπὶ πάντων. γέγραπται γὰρ, ὅτι ὑπὲρ ἡμῶν ὀδυνᾶται· λύπη γὰρ ὀδύνην ἐργάζεται ἐπὶ τῶν καθ' ἡμᾶς ἀνθρώπων. ἐπὶ δὲ Θεοῦ οὐχ οὕτως. ἐσαρκώθη ὑπὲρ ἡμῶν, ἵνα καὶ πάθῃ ὑπὲρ ἡμῶν, ὡς καὶ πειρασθεὶς ὑπὲρ ἡμῶν. αὐτὸς γὰρ γέγονεν, ὡς οἶδε· πῶς δὲ γέγονεν ὡς οἶδεν; ἐν εἴδει τῷ καθ' ἡμᾶς, ἵν' ὅπερ οὐ μὴ κατώρθωσεν ἄνθρωπος, τοῦτο ὁ λόγος τοῦ πατρὸς ὁ σαρκωθεὶς κατορθώσῃ· ὁ γὰρ ἐκ Θεοῦ γεννηθεὶς πρὸ αἰώνων, ὁ αὐτὸς ἐπ' ἐσχάτων ἐκ μητρός. διὰ τοῦτο θεοκτόνοι Ἰουδαῖοι, ἐπεὶ τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. εἰ μὴ γὰρ ἦν ὁ Χριστὸς αὐτὸς ὁ ὢν Θεὸς λόγος, οὗτος ἠδύνατο εἶναι ἀναμάρτητος· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ εἷς ὁ Χριστὸς, ὡς καὶ ὁ πατὴρ τοῦ Χριστοῦ, καὶ τὸ ἅγιον πνεῦμα. ὅθεν καὶ θέλων ἀπέθανε, καὶ ἑκὼν ἠγέρθη, ἐργασάμενος τὰς θεοσημίας, υἱὸς ὢν τοῦ Θεοῦ μονογενής. αὐτός ἐστιν ὁ αἰτῶν τὴν θεϊκὴν δόξαν, ἣν εἶχε πρὸ τοῦ τὸν κόσμον γενέσθαι· οὐ ταύτης ὢν ἔρημος, μὴ γένοιτο, ἀλλὰ λέγει τὴν ἑαυτοῦ πρὸς ἡμᾶς γενέσθαι φανέρωσιν, ἵνα δοξάσωμεν αὐτὸν οἱ πιστοὶ, τὸν δεδοξασμένον ἐν ἰσχύϊ. δικαιον ὄντα φύσει, ὡς Θεὸν, οὐ κατὰ ἄσκησιν, καὶ καμάτους, ὡς πᾶς ἄνθρωπος τῶν θεοσεβῶν, οἷς καὶ τὰ ἐλαττώματα ἐξ ἀνάγκης ἀκολουθεῖ· οὐκ ἔστι γὰρ ἄνθρωπος, φησὶ, δίκαιος ἐπὶ τῆς γῆς, ὃς ποιήσει τὸ ἀγαθὸν, καὶ οὐχ ἁμαρτήσεται. διὸ καὶ ἀγῶνες, καὶ πόνοι τῶν θεοσεβῶν, καὶ πρεσβεῖαι ὑπὲρ τῶν πταιόντων· καὶ τὸ πᾶν γένος τῶν ἀνθρώπων φιλανθρωπίας Θεοῦ χρήζομεν, καὶ ἐλέους, ἀπὸ μικροῦ ἕως μεγάλου. Χριστὸς δὲ οὐκ ἐν ἀσκήσει δέδεικται διὰ πίστεως θεοσεβείας, ὡς ἤδη προείρηται. φυσικὴ γὰρ δικαιοσύνη, καὶ θεϊκὴ δύναμις ὑπάρχει· καὶ αὐτός ἐστι μόνος πιστευόμενος Θεὸς ἀληθινὸς, καὶ ἀπαιτῶν τοὺς ἀνθρώπους τὴν εἰς αὐτὸν ὁμολογίαν τῆς πίστεως· ὁ γὰρ πιστεύων εἰς ἐμὲ, φησὶ, ζήσεται εἰς τὸν αἰῶνα. καὶ ὁ ἀγαπῶν ἐμὲ, τὰς ἐντολάς μου τηρήσει, καὶ τὰ ἑξῆς. τί οὖν ὁμολογήσεις τὸν Χριστόν; εἰπέ· οὔτε ἕνα, οὔτε δύο ὁμολογεῖν δυνάμενος, οὔτε Θεὸν, οὔτε ἄνθρωπον. οὗτος γὰρ ὅρος τῶν εἰρημένων ὑπὸ σοῦ· οὔτε γὰρ φύσει δίκαιον αὐτὸν λέγεις, ὡς Θεὸν Χριστόν. Θεὸς γάρ

ἐστι

* ὑπάρχει

* Fort. αὐτὸν

ἐστι * πᾶς φύσει ὥσπερ ἂν ἀγαθὸν λέγηται περὶ αὐτοῦ. οὐ δὲ δίκαιον αὐτὸν λέγεις, ὡς ἄνθρωπον δικαιοσύνης ἀσκητήν· οὕτω γὰρ ἄνθρωπος δικαιοῦται. εἰς ἄπορον ἐκπεσὼν φαίνῃ, μηδὲν ἔχων λέγειν περὶ Χριστοῦ· εἶτα λέγεις κατὰ κοινωνίαν δικαιοῦσθαι τὸν Χριστὸν, ὑ τῇ φύσει δίκαιον· ὑ δυνάμενος νοῆσαι τὸν ζόφον τῆς κοινωνίας δοσιληψίαν σημαινούσης, ὡς φησι καὶ ἡ σοφία τοῦ Θεοῦ· υἱέ δός μοι τὴν σὴν καρδίαν, ἵνα σοφὸς γένῃ ἐπ' ἐχάτων σου· ὡς καὶ ἀντιρρέφων ἕτερος προφήτης λέγει· θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει. θέλημα ἄρα Θεοῦ θελήματι ὁσίων ἀντιδίδοται· καὶ ὁμολογοῦντες αὐτὸν ὑπὲρ τῶν ἀνθρώπων, ὁμολογηθήσονται ὑπ' αὐτοῦ ἔμπροσθεν τῶν ἀγγέλων αὐτοῦ· ὡς αὐτὸς λέγει· καὶ οἱ συμπάσχοντες Χριστῷ, εἰς συμμορφίαν ἥξουσι τῆς δόξης αὐτοῦ. αὕτη γὰρ ἀληθινὴ κοινωνία ἀνθρώπου πρὸς Θεόν. ὕπως διὰ πίστεως δεχθῆναι δύναται, καὶ τῶν ἐπαξίων ἔργων.

Παύλου Σαμοσατέως αἱρετικοῦ προτάσεις δέκα, ἃς προέτεινε τῷ Πάπα Διονυσίῳ.

Λόγον μὲν ὑμῶν ποιοῦμαι, ὡς ἀξίων τιμῆς, διὰ τὸ πολυχρόνιον, καὶ ὅτι τὰ σίγματι τοῦ Χριστοῦ φέρετε ἐπὶ τοῦ σώματος ὑμῶν. καὶ γὰρ παρὰ πάντων θαυμάζῃ ἐπὶ σοφίᾳ, καὶ φρονήσει· τῶν δὲ παρ' ὑμῶν πρὸς με ὕβρεων ὐδείς μοι λόγος· ὅφιν ἕρποντά με ἀποκαλῶν, γηφάγον πρὸς τοῦτο, καὶ ἐκβολιῶ. ὁ δὲ πρόλογος ὁ νῦν γραφεὶς παρ' ὑμῶν, ὡσεί φησιν, ἵν' εἴπω ὅ βούλομαι ἀπαραιτήτως. ὐδὲν τοίνυν ἴδιον καλῶ, ἀλλὰ τῆς θείας γραφῆς.

Πρότασις ά. τοῦ Σαμοσατέως.

Πῶς δὲ λέγεις, καὶ γράφεις, ὅτι φύσει Χριστὸς Θεὸς τῶν ἀποστόλων ἐστὶ, καὶ οὐχὶ ἄνθρωπος καθ' ἡμᾶς ὁ Χριστός; φαίνεται γὰρ ἐρχόμενος εἰς τὸ πάθος, καὶ λέγων· νῦν ἡ ψυχή μου τετάραχται. εἰπέ, εἰ τοῦτο φύσις Θεοῦ ἐστίν;

Ἀπόκρισις ά. τοῦ Πάπα Διονυσίου.

Θεοῦ φωνὴ, καὶ ὐκ ἀνθρώπου καθ' ἡμᾶς, ὅτε πάλιν ἁγίου ἀνθρώπου τὸ εἰπεῖν, ὅτι νῦν ἡ ψυχή μου τετάραχται· λέγει γὰρ ὁ Θεὸς διὰ Ὡσηὲ τοῦ προφήτου λέγοντος· τί σε διαθῶ Ἐφραΐμ, Ἐφραΐμ; ἤτοι ὁ Ἰσραὴλ εἴρηται· Ἀδαμὰ δὲ καὶ Σεβοεὶμ πόλεις Σοδόμων· ὑπερασπιῶ σου Ἰσραὴλ; τί σε διαθῶ; ὡς Ἀδαμὰ θήσομαί σε, καὶ ὡς Σεβοείμ· μετεστράφη ἡ καρδία μου ἐν τῷ αὐτῷ· ἐταράχθη ἡ μεταμέλειά μου. ὑ μὴ ποιήσω κατὰ τὸν ὀργὴν τοῦ θυμοῦ μου. ὑ μὴ ἐγκαταλίπω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραΐμ· διότι Θεός εἰμι, καὶ ὐκ ἄνθρωπος, ἐν σοὶ ἅγιος. ἆρα ἐν τούτοις ὑ φανερῶς ὁ εἰπὼν διὰ Ὡσηέ, ὁ αὐτὸς πάλιν λέγει ἐπὶ τοῦ πάθους· ὅτι νῦν ἡ ψυχή μου τετάραχται; ὥστε ὃν ὅτε πάλιν ἐπὶ τοῦ πάθους προφήτου ἁγίου ἐστὶν ἡ * ψυχὴ, τὸ, τετάραχται ἡ ψυχή μου, ὅτε τὸ, συνεταράχθη ἡ μεταμέλειά μου, ἐπὶ Ὡσηέ· καὶ ἐν τούτῳ * ἀπόδος, ὅτι ὐκ ἄνθρωπός ἐστιν ὁ σαρωθείς, ἀλλὰ εἷς ἅγιος, εἷς μονογενὴς Χριστὸς υἱὸς τοῦ Θεοῦ, καὶ λόγος.

Πρότασις β'. τοῦ Σαμοσατέως.

Τὸ, περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, ἐπὶ τίνος θέλεις ὁμολογήσεσθαι; ἆρ' ὡ φύσει ἀνθρωπος ὁ περίλυπος τῇ ψυχῇ;

Ἀπόκρισις β'. τοῦ Πάπα Διονυσίου.

Κατὰ πάθος ἐστὶν ἐπ' ἀνθρώπων τὸ μισεῖν τινα, ἢ πάλιν ἀγαπᾶν, ἔτι δὲ καὶ τὸ λυπεῖσθαι. ὐκ ἄνθρωπος οὖν ὁ λέγων, ὅτι περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, ἐπεὶ ἆρα καὶ τὸ πνεῦμα τὸ ἅγιον παθητὸν ἐννοήσει ὁ Σαμοσατεύς. γράφει γὰρ λέγων ὁ Παῦλος· καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. καὶ γράφει Ἡσαΐας λέγοντα τὸν Θεὸν, τὰ σάββατα ὑμῶν, καὶ τὰς νουμηνίας μισεῖ ἡ ψυχή μου. ὥστε ἂν ὁ Θεὸς, ὅτε ὡς ἄνθρωπος, ἐμίσησε τῶν Ἰουδαίων τὰ σάββατα, ὅτε τὸ πνεῦμα τὸ ἅγιον λυπεῖται, ὡς ἄνθρωπος. ὡς ὅτε ὁ μονογενὴς μέλλων ἔρχεσθαι ἐπὶ τὸ πάθος· ἀλλὰ ἂν ζόφον τὸ πνεῦμα τὸ ἅγιον λυποῦσιν οἱ ποιοῦντες τὰ φαῦλα, ὡσαύτως καὶ ὁ μονογενὴς λυπεῖται. προσθήσω δὲ καὶ τὸ εἰρημένον ἐν τῷ Ἡσαΐα. τίς ἐστιν ὁ λέγων, υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν; εἰπάτω οὖν ὁ Σαμοσατεύς, τίς ἠθετήθη, τίνα ἐγκατέλιπον οἱ ἐξ Ἰσραὴλ, καὶ παρώργισαν τὸν ἅγιον τοῦ Ἰσραήλ; καὶ ἕτερος· ὅτι ἆρα ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; κατὰ ἄνθρωπον λέγω. ἆρα λυπούμενος ἐπάγει τὴν ὀργήν. εἰ δὲ ὁ λυπούμενος ἐπάγει τὴν ὀργὴν κατὰ τῶν ἀπειθούντων, ὐκ ἂν εἴη χαρά. καὶ πῶς λέγει ὁ ἀψευδὴς Ἰησοῦς ὁ Θεὸς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι χαρὰ γίνεται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι; καὶ πάλιν γέγραπται, ὅτι, φησὶν, ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν, καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν ἀδικίᾳ κατεχόντων. αὕτη ἡ ὀργὴ τοῦ Θεοῦ κατὰ τῶν λυπησάντων τὸν υἱὸν τοῦ Θεοῦ, τὸν Θεὸν τὸν ἀληθινὸν, ὅτι καὶ τὸν πατέρα ἐλύπησαν τὸν συναίνοντα τοῦ υἱοῦ, καὶ τὸ πνεῦμα τὸ ἅγιον.

Πρότασις γ'. τοῦ Σαμοσατέως.

Σημεῖον αἰτοῦμαι ὁ Ἰησοῦς παρὰ τῶν Ἰουδαίων, εἶπεν αὐτοῖς· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. καὶ ἐπάγει ὁ Εὐαγγελιστὴς, λέγων· τοῦτο δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. ἐπειδὴ οὖν τὰ παρὰ σοῦ γράμματα ἔχει, ὅτι ἡ μορφὴ τοῦ δούλου ὑποστατὸς ἐστιν, ὡς καὶ ὁ λόγος τοῦ ἀνθρώπου, καὶ ἡ σαρξ· μίαν δὲ ὑπόστασιν λέγεις τοῦ σαρωθέντος, καὶ ἓν πρόσωπον· αὐτὸν λέγων εἶναι τὸν λόγον, καὶ τὴν σοφίαν τοῦ πατρὸς, καὶ Θεὸν σωματίδιον τοῦ πατρὸς· καὶ ὐκ ἀνέχῃ, ὑ μορφὴν, ὑ σχῆμα, ὐχ ὑποστᾶσιν δεῖναι τῷ σώματι, ὃ ἐστε ναὸς τοῦ Θεοῦ. ὅπερ γὰρ ὁ λόγος λύεται ὑπὸ Ἰουδαίων, μὴ γένοιτο· ἀλλ' ὁ ναὸς τοῦ λόγου, ὡς αὐτὸς εἶπεν Ἰησοῦς.

Ἀπόκρισις γ'. τοῦ Πάπα Διονυσίου.

Ὥσπερ ἀγνοεῖ ἅπαντα τὰ τῆς θείας γραφῆς ὁ Σαμοσατεύς, καὶ τὴν δύναμιν τῆς προτάσεως ταύτης ἀγνοεῖ, πάλιν μὴ τὴν μορφὴν τοῦ δούλου δοῦλον ὑποστατὸν λέ-

γων· καὶ τὸν λόγον, καὶ τὴν σοφίαν τοῦ ἀνθρώπου ἄνθρωπον ἐνυπόστατον ὁρισάμενος. καὶ νῦν ἐκείνων σαθρωθέντων αὐτοῦ τῶν μὴ ὄντων ὑποστάσεων, τῆς μορφῆς τοῦ δούλου, ἤτοι τοῦ λόγου, ἢ σοφίας τοῦ ἀνθρώπου, ἀγνοεῖ καὶ τὸν ναὸν τοῦ Θεοῦ τὸν λυθέντα, καὶ τὸν Θεὸν τὸν ἐγείραντα τὸν λελυμένον ναὸν τοῦ σώματος αὐτοῦ. πρῶτον τοίνυν παραστήσω τίς ὁ ναὸς ὁ λυθείς. πρῶτος ναὸς τοῦ σώματος αὐτοῦ, οἱ ἅγιοι αὐτοῦ ἀπόστολοι, ἐν οἷς ἐνῴκησε τὸ σῶμα τοῦ Θεοῦ, καὶ τὸ αἷμα. πρῶτος ναὸς τοῦ σώματος αὐτοῦ, ὡς προεῖπον, οἱ ἅγιοι μαθηταί· προέτεινεν ὁ Σαμοσατεὺς, περιοχίσας τὴν περιοχὴν τοῦ εὐαγγελίου· γράφει γὰρ ὁ εὐαγγελιστής· ὅτι τοῦτο δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ, εἰ μὴ ὅτε ἀνέστη ἐκ τῶν νεκρῶν· καὶ ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ ὃν εἶπεν ὁ Ἰησοῦς· ὅτι δὲ οὐκ ἔγνωσαν οἱ μαθηταί, εἰ μὴ ὅτε ἄνεστη ἐκ τῶν νεκρῶν ὁ κύριος, τὸ, λύσατε τὸν ναὸν τοῦτον, * ἠγνόησαν. ἐν ποίᾳ γραφῇ οὖν ἐπίστευσαν οἱ μαθηταὶ αὐτοῦ; ποία ἐστὶ γραφὴ ἡ λέγουσα· ὅτι λύσατε τὸν ναὸν τοῦτον; μόνος ὁ κύριος εἶπεν αὐτολέκτω φωνῇ, τὸ, λύσατε τὸν ναὸν τοῦτον· γέγραπται δὲ ὅτι οἱ μαθηταὶ τῇ γραφῇ ἐπίστευσαν· καὶ αὖθις προστίθησιν ὁ εὐαγγελιστὴς, ὅτι καὶ τῷ λόγῳ, ὃν εἶπεν ὁ Ἰησοῦς, ἡ γραφὴ περιέχει, ὅτι οἰκοδομῶν Ἱερουσαλὴμ ὁ κύριος, καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει· ᾠκοδόμησε τῇ τρίτῃ ἡμέρᾳ τοὺς ἁγίους λίθους, τοὺς ἀποκυλισθέντας ἀπὸ τοῦ θεμελίου· ἀφῆκαν γὰρ οἱ ἅγιοι λίθοι τὸν θεμέλιον, καὶ ἐσκορπίσθησαν καθ' ἑαυτούς. διὸ λέγει Ζαχαρίας ὁ προφήτης· ῥομφαία ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα, καὶ ἐπ' ἄνδρα πολίτην αὐτοῦ πάταξον τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης. ἡ χρεία με καλεῖ εἰπεῖν ἐπὶ ποῖον ποιμένα ἡ ῥομφαία ἐξεγείρεται, καὶ τίς ὁ ἀνὴρ ὁ πολίτης αὐτοῦ. καθὼς τοῦ Γεδεὼν ἡ ῥομφαία ἐπὶ Μαδιὰμ, τὸν αὐτὸν τρόπον καὶ ἡ τοῦ Θεοῦ δίκη ἐπὶ Ἰούδαν. ῥομφαία τοῦ Γεδεὼν ἐπὶ Μαδιάμ· ῥομφαία δὲ ἐπὶ Ἰούδαν τὸν ποιμάναντα τοὺς τῆς πολιτείας αὐτοῦ ἄνδρας. ὅρα ὅτι ἀνὴρ ὁ πολίτης, τὸν Ἰούδαν δηλοῖ, τὸν ποιμάναντα, τοῦτ' ἔστι τὸν ὁδηγήσαντα ἐπὶ τῆς τοῦ κυρίου προδοσίας· τοὺς ἄνδρας τῆς πολιτείας αὐτοῦ, ὡσανεὶ τῆς κακίας αὐτοῦ τοῦ Ἰούδα· τοὺς ὁδηγηθέντας, ὑπάρξαντας. καὶ ἐπάξιον τῶν ἔργων αὐτοῦ τὸν μισθὸν ἀπέλαβε, παταχθεὶς ὑπὸ τῆς τοῦ Θεοῦ ῥομφαίας· ὅπερ προγνοὺς ὁ προφήτης διὰ τοῦ πνεύματος ἐφθέγξατο. καὶ ὅρα ὅτι ἀοράτως αὐτὸν ἐπάταξεν ἡ ῥομφαία τοῦ Θεοῦ, καὶ ἐξεχύθη τὰ σπλάγχνα αὐτοῦ, * δικασάντων ὑπὸ Θεοῦ ῥομφαίας, καθότι τὸν ποιμένα τοῦ Ἰσραὴλ ἐποίησε παταχθῆναι ὑπὸ τῶν Ἰουδαίων, ἐπαξίων τῆς πολιτείας αὐτοῦ τοῦ προδότου. ἐπατάχθη ὁ ποιμὴν, καὶ διεσκορπίσθησαν τὰ πρόβατα τῆς ποίμνης. ἀλλ' ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ ὁ Θεὸς τοῦ Ἰσραὴλ ὁ κύριος τοὺς διασπαρέντας ᾠκοδόμησεν ἐν ἑαυτῷ ναὸν ἅγιον, τοὺς τιμίους λίθους. τὸ δὲ ἄχυρον πυρὶ ἀσβέστῳ παρέδωκεν. ναὸς γὰρ Θεοῦ, ὃν κατέλυσαν οἱ Ἰουδαῖοι, οἱ ἀπόστολοι. γέγραπται γὰρ, ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτοῖς Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός. καὶ γὰρ ζῶντος * * * * *

* Fort. ἠγνόησεν.

* Fort. δικασθέντα, aut, δικάσαντα.

Ἐλλείπουσι τινὰ ἐν τῆς χειρογράφοις Κώδιξι.

* * * * * * * * *

* * σης πρὸς ἀπόδειξιν χρησάμενον καί τινα τῶν ἔξωθεν σοφῶν, καὶ τὸν πάνσοφον Μωϋσέα χρήσεις οὐκ ὀλίγας τεθεικότα ἀνθρώπου ἀλλογενοῦς τοῦ Βαλαάμ. διὸ λέγει ὁ ἀπόστολος. γέγονα ἄφρων· ὑμεῖς με ἠναγκάσατε. ὅταν οὖν τὰ μὴ ὄντα * προβάλλοι, ἀναγκάζει με τὸ πρᾶγμα· πλὴν ἐν ταύτῃ τῇ προτάσει λέγεις, ἵνα μὴ ἀπὸ τῆς σοφίας τῶν ἔξωθεν συλλογίσωμαι τὴν πρότασιν. τίς γὰρ τῶν ἔξωθεν σοφῶν, * ἐφ' ὧν ἤρξαντο λαλεῖν τὰς ψευδοεπείας, εἶπέ ποτε πνεῦμα ἅγιον, ἢ ἄφθαρτον, ἢ ζωοποιὸν, τὸ ἐκχυνόμενον, ἤτοι μεριζόμενον, εἰ μὴ μόνον ἡ θεόπνευστος γραφή; ὥστε οὖν οὐδέν ἐστιν, ὃ ἐπίστασαι, οὐδὲ τὴν ἀνθρωπίνην παιδείαν. τῆς γὰρ θεοπνεύστου γραφῆς ἀπέχεις, ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς· καθὼς εἶπεν ὁ Θεὸς διὰ Ἡσαΐου τοῦ προφήτου· ὅτι ὃν τρόπον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. ἡμᾶς ὁ Θεὸς ἐπότισε τοὺς πιστοὺς, καὶ ἐπεγνωκότας τὴν ἀλήθειαν, τὸν χείμαῤῥον τῆς τρυφῆς αὐτοῦ. γέγραπται γάρ· κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν· ἡ δικαιοσύνη σου, ὡσεὶ ὄρη Θεοῦ· τὰ κρίματά σου ἄβυσσος πολλή· ἀνθρώπους, καὶ κτήνη σώσεις κύριε· ὡς ἐπλήθυνας τὸ ἔλεός σου ὁ Θεός. οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι. μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου. καὶ τὸν χείμαῤῥον τῆς τρυφῆς σου ποτιεῖς αὐτούς· ὅτι παρά σοι πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ· ἐν σκέπῃ τῶν πτερύγων αὐτοῦ * ἐλπίζων, οὐ σαλεύσει μετὰ γραφέντα χειρὶ τοῦ Σαμοσατέως. γέγραπται γάρ· μὴ ἐλθέτω μοι ποῦς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ οὐ σαλεύσει με· ἐκεῖ ἔπεσαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν, καὶ οὐ μὴ δύνωνται στῆναι. τοῦ χειμάῤῥου τῆς τρυφῆς οὐκ * ἐπιλήσσομαι· πηγὴ γὰρ ζωῆς ἐστι, καὶ ἐν τῷ φωτὶ ὄψομαι τὸ φῶς τὸ ἐκ τοῦ φωτός· ἐλπίζω εἰς τὰς ἀφθάρτους αὐτοῦ πτέρυγας. αἵ τινες εἰσὶν αἱ θεῖαι, καὶ δημιουργοὶ τῶν ἀνθρώπων χεῖρες, καὶ ζωῆς χορηγοί· αἵ ἔπλασαν ὀφθαλμοὺς. ἤψαντο νεκρῶν, καὶ ἀνέζησαν· ἐφύτευσαν ὠτίον αἱ χεῖρες τοῦ Θεοῦ Ἰσραήλ· ὅς ἐστιν Ἰησοῦς, ὁ χείμαῤῥος τῆς τρυφῆς, ἡ πηγὴ τῆς ζωῆς, ἡ οὖσα παρὰ τῷ πατρὶ, ὁ ὢν Χριστὸς Ἰησοῦς, ὁ χειμάῤῥους, ὁ ἐν τῷ νότῳ επιστρέψας τὴν αἰχμαλωσίαν ἡμῶν. συστοιχεῖ γὰρ τῇ Παλαιστίνῃ τὰ νότια μέρη, ὡς γράφει ὁ ἀπόστολος, τὴν Αἴγυπτον συστοιχεῖν τῇ νῦν Ἱερουσαλήμ. τὴν γὰρ Ἄγαρ Αἴγυπτον ἐκάλεσε σὺν τῇ Ἀραβίᾳ. ἦλθεν ὁ προδιαγραφόμενος χίμαρος δακτύλῳ Θεοῦ. οὕτω γὰρ προδιαγράφει διὰ Μωϋσέως ὁ τύπος, συμαίνων τὴν ἀλήθειαν· ὑπὲρ ἀφέσεως δύο χίμαροι ὁμοειδεῖς ἤγοντο πρὸς τὸ θυσιαστήριον· τοῖς δύο χιμάροις εἷς ἐπεβέβλητο κλῆρος· ἦσαν γὰρ κατὰ πάντα ὁμοειδεῖς κατὰ τὰς ὑποστάσεις, καὶ τὰς ἰδέας· οὕτω γὰρ ἦν προσταχθὲν ὑπὸ τοῦ Θεοῦ τῷ Μωϋσεῖ. ἐπετίθεντο ἐπὶ τὰς κεφαλὰς τῶν χιμάρων αἱ χεῖρες τῶν ἱερέων. ἦσαν γὰρ αἱ δύο ἅμα ὑποστάσεις τῶν χιμάρων προσδεδεμέναι τῷ θυσια-

* Fort. προβάλλοι.

* Fort. ἀφ'

* Fort. ἐλπίζοντα,

* Fort. ἐπιλήσομαι.

θυσιαστηρίῳ, καὶ ἐλάμβανεν ὁ ἱερεὺς ἕνα τῶν δύο, καὶ ἔσφαζε. καὶ μετὰ τὴν θυσίαν τοῦ ἑνὸς τῶν δύο χιμάρων, ἀπεπέμπετο ὁ ζῶν εἰς τὰ ὄρη, ὁ εἷς ὁ κοινωνήσας τῷ αἵματι, καὶ τῷ κλήρῳ τοῦ τεθυμένου. συμπαρῆν γὰρ τῷ ὁμοειδεῖ αὐτοῦ χιμάρῳ ἕως οὗ ἐποίησαν πάντα τὰ γεγραμμένα· καὶ ἔθυεν ὃν ἠθέλησεν ὁ κατὰ καιρὸν πάλαι ἱερεύς· αὕτη ἡ προδιαγραφὴ τύπος ἦν πατρὸς, καὶ υἱοῦ. μέλλων γὰρ ἄγεσθαι εἰς τὸν ἅγιον αὐτοῦ, καὶ ζωοποιὸν σταυρὸν εἰς τὸ θυσιαστήριον τοῦ Θεοῦ ὁ Θεὸς Ἰσραὴλ Ἰησοῦς ὁ Χριστὸς, οὐκ ἤγετο μόνος, ἀλλ' ἦν μετ' αὐτοῦ ὁ πατήρ. πρὶν γὰρ ἐλθεῖν αὐτὸν εἰς τὸν σταυρὸν, εἶπε τοῖς ἁγίοις ἀποστόλοις, ὅτι ἔρχεται ὥρα, ὅτε πάντες ἀφῆτέ με μόνον. ἀλλ' οὐκ εἰμὶ μόνος. ὁ γὰρ πέμψας με πατὴρ μετ' ἐμοῦ ἐστι, καὶ οὐκ ἀφῆκέ με μόνον. ὥστε οὖν ἐδείχθη ὁ τύπος ἀλήθεια. ὅτι οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ ὁ σταυρὸν ὑπομείνας· ὅς ἐστιν αὐτοῦ μὲν τοῦ πατρὸς λόγος, καὶ υἱὸς, ἡμῶν δὲ Θεὸς κύριος, ὁ ἐπὶ σταυροῦ ὑψωθεὶς, κύριος σαβαὼθ, ὁ ἐπιστρέψας τὴν αἰχμαλωσίαν ἡμῶν, οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων, καθὼς εἶπε κύριος παντοκράτωρ, διὰ μὲν Ἡσαΐου πάλαι, νῦν δὲ διὰ τοῦ μακαρίου Πέτρου ὁ αὐτὸς λαλεῖ. ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ, ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν πλάνης πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου, καὶ ἀσπίλου Χριστοῦ. εἰ γὰρ ἐν τῷ τύπῳ τῆς προδιαγραφῆς οὕτω παρεκελεύετο Μωϋσῆς ὑπὸ τοῦ ἁγίου πνεύματος, ἵνα ἀμώμους ἐπιλέξηται τοὺς χιμάρους, πῶς οὐ μᾶλλον ὁ λογικὸς τῆς τρυφῆς τοῦ πατρὸς ὁμοειδὴς συνάναρχος λόγος, Χριστὸς ὤν, συναΐδιος τοῦ γεννήσαντος; ἀνεγεννήθημεν ἐξ ὕδατος ἀφθάρτου, καὶ πνεύματος. γέγραπται γὰρ, ὅτι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλ' ἀφθάρτου, ὡς προεῖπον, δι' ὕδατος, καὶ πνεύματος, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσι, τὸ ὕδωρ, καὶ τὸ αἷμα, καὶ τὸ πνεῦμα· ἀλλ' ἐρεῖ μοι τίς. χιμάροις τὸν πατέρα, καὶ τὸν υἱὸν ὡμοίωσας; ἐδιδάχθην οὕτως· ὡς ὕψωσε Μωϋσῆς τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ἔδει ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου. καὶ ὡς ἤγαγε Μωϋσῆς τοὺς δύο χιμάρους ὁμοειδεῖς, καὶ ἀμώμους προσάγων τῷ θυσιαστηρίῳ, τῷ τύπῳ ἡ ἀλήθεια· ὁ πατὴρ ἀγομένου τοῦ ἀμνοῦ, ὡς πρόβατον ἐπὶ σφαγὴν, οὐκ ἐχωρίσθη τοῦ ὁμοειδοῦς αὐτοῦ λόγου. αἱ δύο ὑποστάσεις ἀχώριστοι, καὶ τὸ ἐνυπόστατον τοῦ πατρὸς πνεῦμα, ὃ ἦν ἐν τῷ υἱῷ. πεφανέρωται γὰρ πᾶσιν, ὅτι ἐν αὐτῷ ἦν, καὶ ἦλθεν ἐπ' αὐτὸν ἐν εἴδει περιστερᾶς· καὶ αὐτὸς κεκοινώνηκε τῷ πάθει, ὁ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον. ὡς γὰρ οἱ χίμαροι ὁμοειδεῖς, οὕτω καὶ τὰ δύο ὀρνίθια προεγράφησαν ὑπὲρ καθαρισμοῦ. καὶ τὸ ἓν ἐθύετο, καὶ τὸ μὴ τεθυμένον ἐλούετο εἰς τὸ ὕδωρ τὸ μεμιγμένον τῷ αἵματι τοῦ τεθυμένου. καὶ ἔτι ἐπὶ πλεῖον ταύτης ἀπόδειξιν ποιήσωμεν, Θεοῦ θέλοντος, ἀπὸ τῆς θείας γραφῆς, παλαιᾶς, καὶ καινῆς. πνεύματι γὰρ ἁγίῳ σεσοφισμένοι οἱ ἅγιοι μαθηταὶ, καὶ τὴν παλαιὰν ἑρμηνεύοντες, ὁρῶντες, ὅτι ὁ τύπος ἀληθινῶς προδιεγράφη, καὶ ὅτι ὕδωρ ἐν τῇ λεκάνῃ ἐβάλλετο, ἔπειτα ἐθύετο τὸ ἓν τῶν ὀρνιθίων τῶν καθαρῶν, καὶ τὸ αἷμα τοῦ τεθυμένου τῷ ὕδατι τῷ ζῶντι συνεκιρνᾶτο, καὶ εἶθ' οὕτως τὸ ζῶν καὶ μὴ τεθυμένον ἐλούετο ἐν τῷ ὕδατι τῷ καθαρῷ, καὶ τῷ καθαρῷ αἵματι, καὶ οὕτως ἐγίνετο ὑπὲρ καθαρισμοῦ θυσία. διὸ εἶπεν ὁ ἀπόστολος. καθὼς ἡ θυσία τοῦ καθαρισμοῦ, τὸ ὕδωρ, καὶ τὸ αἷμα, καὶ τὸ ἐν εἴδει περιστερᾶς ἅγιον πνεῦμα, ἕν εἰσι. καὶ γὰρ τὸν Χριστὸν ὁ μακάριος Ἱερεμίας πνεῦμα ἐκάλεσε, περὶ τὴν συμπλήρωσιν τῶν θρήνων ἀποδυρόμενος τὸν Ἰουδαϊκὸν λαὸν, οὕτω λέγων· ὅτι πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαβουλαῖς αὐτῶν. (ἔχει δὲ ἡ μία τῶν ἐκδόσεων, ἐν ταῖς διαφθοραῖς αὐτῶν.) ὁμοειδὴς ἐν τῷ εἴδει τῆς περιστερᾶς ὁ Χριστὸς λόγος τῷ πνεύματι τῷ ἁγίῳ, ὁμοειδὲς τῷ πατρὶ τὸ πνεῦμα, Χριστὸς κύριος ἀγόμενος τοῦ θύεσθαι· οὕτως γὰρ λέγει Ἱερεμίας περὶ αὐτοῦ· ὅτι ἐγὼ ὡς ἀρνίον ἄκακον τοῦ θύεσθαι ἀγόμενον, οὐκ ἔγνων. ὁ ἐνυπόστατος ἀεὶ ὢν Χριστὸς, ὁ ἴσος τῷ πατρὶ κατὰ τὸ ἀπαράλλακτον τῆς ὑποστάσεως ὤν, συναΐδιος καὶ τῷ κυρίῳ πνεύματι, ὅπερ ψευσάμενος Ἀνανίας, καὶ Σάπφειρα, οὐκ ἄνθρωπον ψευσάμενος, ἀλλὰ τὸν Θεὸν, ἐξέψυξαν· Θεὸς γὰρ ὁ παράκλητος, ὡς καὶ ὁ πατὴρ τοῦ Χριστοῦ, συναΐδιος τοῦ Χριστοῦ· ἡνίκα ἐπὶ τοῦ μακαρίου Μωϋσέως ἀνέστησαν δύο ἐκ τοῦ λαοῦ προφητεύοντες, Ἀλδᾶ, καὶ Μωδᾶς, καὶ εἶπεν Ἰησοῦς υἱὸς Ναυῆ πρὸς Μωϋσῆν. κύριέ μου Μωϋσῆ, κώλυσον, ἵνα μὴ προφητεύωσιν· ἀπεκρίθη Μωϋσῆς πρὸς Ἰησοῦν τὸν υἱὸν Ναυῆ, λέγων· μὴ ζηλοῖς σύ μοι; τίς δώσει πάντα τὸν λαὸν κυρίου προφήτας γενέσθαι; ὅταν δώσῃ ὁ Θεὸς τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον ἐπὶ τὸν λαὸν αὐτοῦ, γίνονται προφῆται. τοῦ δὲ ἀποστόλου Παύλου ἀληθὴς ἡ ἐν Μιλέτῳ προφητεία· ὅτι ἀναστήσονταί τινες λαλοῦντες διεστραμμένα εἰς τὸ ἀποσπᾶν τὸν λαὸν ὀπίσω αὐτῶν. ὥστε ἀνέστη πρῶτος ὁ Σαμοσατεὺς, λαλῶν ἄδικα, λέγων φθαρτὸν τὸ αἷμα τοῦ Ἰησοῦ, ὥς ἐστι Θεὸς Ἰσραὴλ Ἰησοῦς, καὶ τὸ πάσης φθορᾶς, καὶ θανάτου λυτήριον, τὸ ἐξαγοράσαν ἡμᾶς δουλείας τῆς φθορᾶς. αἷμα θνητοῦ, καὶ παθητοῦ ἀνθρώπου λέγει, διὰ τὸ εἰπεῖν τὸν κύριον τῆς δόξης πρὸς τοὺς μαθητάς· λάβετε τοῦτο, καὶ διαμερίσαθε· ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ αἵματί μου· τοῦτο ποιεῖτε· καὶ ὅτι εἶπεν αὐτὸς, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον· ταῦτα ἀκούσας ὁ Σαμοσατεὺς, ἐκ ταύτης τῆς φωνῆς τοῦ κυρίου ἐπερείδεσθαι δοκεῖ κατὰ τῆς ἀληθείας· ἀγνοεῖ τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου· ὅτι, πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὑπὲρ τὸν ἀθετοῦντα τὸν παρὰ Μωϋσῇ δεδομένον ἀπὸ Θεοῦ νόμον, ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος; ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας; οὕτω γὰρ εἶπεν ὁ ἀπόστολος· ὅτι, ἀθετήσας τις νόμον Μωσέως, ἐπὶ δυσὶν ἢ τρισὶν μάρτυσιν ἀποθνήσκει. κατεπάτησεν αὐτὸν Ἰούδας, καὶ προδέδωκεν· ὁ Γαλιλαῖος Ἰούδας προαπώλετο, μετ' αὐτὸν καὶ οἱ τὰ αὐτοῦ φρονοῦντες· νῦν δὲ ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ σατανᾷ ὁ ἐκ Σαμοσάτων, κατὰ τοῦ αἵματος τοῦ ζωοποιοῦ, καὶ τοῦ πνεύματος ἐπανέστη καταπατῶν· εἰ γὰρ τὸ αἷμα τὸ ἅγιον φθαρτὸν διὰ τὸ μερίζεσθαι αὐτὸ, καὶ ἐκχέεσθαι, εὑρεθήσεται καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὡς καὶ τὸ αἷμα τῆς ζωῆς. ἀναγράφεται γὰρ ὁ εὐαγγελιστὴς Λουκᾶς εἰς τὰς πράξεις τῶν ἀποστόλων· ὅτι συμπληρουμένης τῆς ἡμέρας τῆς πεντηκοστῆς, συνηθροισμένων τῶν ἀποστόλων ἐπιτοαυτὸ, ἐγένετο ἦχος μέγας, ὥσπερ φερομένης πνοῆς βιαίας, ὥστε συσσεισθῆναι πάντα τὸν οἶκον, οὗ ἦσαν καθήμενοι. καὶ ἐπάγει, λέγων. ὅτι ὤφθησαν αὐτοῖς διαμεριζόμεναι

γλῶσ-

γλῶσαι, ὡσεὶ πυρός, καὶ ἐπεκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν· ἀρξαμένων δὲ αὐτῶν λαλεῖν, καὶ πάντων ἀκουόντων ἑκάστων τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν τὰ μεγαλεῖα τοῦ Θεοῦ, ὑπερεθαύμαζον· οἱ δὲ κακόπιστοι Ἰουδαῖοι ἤρξαντο συμβρίζειν τοὺς ἁγίους ἀποστόλους καὶ τὸ πνεῦμα τὸ ἅγιον γλεύκος ἀποκαλοῦντες, ὡσεί φησι, γλεύκους μεμεστωμένοι εἰσὶν οἱ ἅγιοι ἀπόστολοι. ὁ δὲ μακάριος Πέτρος ἀποκριθεὶς εἶπεν. ὦ ἄνδρες Ἰουδαῖοι, οὐκ ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας, ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ Ἰωὴλ τοῦ προφήτου· ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ αὐτῶν, καὶ αἱ θυγατέρες, καὶ τὰ ἀκόλουθα. ἰδοὺ καὶ διαμερίζεται ἐφ' ἕνα ἕκαστον τῶν ἀποστόλων τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐκχέεται ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ τῆς χάριτος καὶ αἱ θυγατέρες· ἦσαν γὰρ καὶ αἱ θυγατέρες προφητεύσαι, ὡς γέγραπται, ὅτι αἱ θυγατέρες Φιλίππου προεφήτευον. ὑπαρὰ τὸ ἐκχυθῆναι ἓν τὸ πνεῦμα τὸ ἅγιόν τις ἂν εἴποι φθαρτόν. μὴ γένοιτο· ὅτε διὰ τὸ μεμερίσθαι· τὸ δὲ αὐτό ἐστι καὶ ἐπὶ τοῦ ζωοποιοῦ αἵματος, καθὼς γέγραπται· ὅτι τὸ ὕδωρ, καὶ τὸ αἷμα, καὶ τὸ πνεῦμα, οἱ τρεῖς τὸ ἕν εἰσιν, οἱ προδιαγραφέντες ὑπὸ Μωϋσέως ἐν τῷ καθαρισμῷ τὸ βαπτισθέντι προδιαγράφοντι, λεχάνῃ ἔχουσαν τὸ ὕδωρ τὸ ζῶν, καὶ τὸ αἷμα τοῦ τεθυμένου πτηνοῦ, καὶ τὸ ζῶν ἐν τῷ ζῶντι ὕδατι, καὶ τῷ αἵματι καταρχόμενον, καὶ βαπτιζόμενον. μία τις πηγὴ ἡ λεχάνη, ἐν ᾗ τὸ σωτήριον τελεῖται βάπτισμα εἰς τὸ ζῶν ὕδωρ, καὶ τὸ ζωοποιὸν αἷμα, καὶ τὸ ἅγιον πνεῦμα, τὸ ἐν εἴδει περιστερᾶς μεῖναν ἐπὶ τὸν ζῶντα λόγον τὸν Χριστόν, καταβὰν, ὡς ἐν λεχάνῃ, τῷ βαπτισθέντι εἰς τὸν Ἰορδάνην. διατὶ δὲ ἐν εἴδει περιστερᾶς τὸ πνεῦμα τὸ ἅγιον; ὅπως ἡμᾶς μυσταγωγήσῃ ὁ πέμψας αὐτό, καὶ δεξάμενος, ὃ κατέπεμψεν· ὥσπερ γὰρ ὁ Νῶε ἐξαπέστειλεν ἐκ τῆς κιβωτοῦ τὸν περιστεράν, καὶ αὐτὸς αὖ τὸν ἐπεδέξατο, κατ' εἰκόνα ἐκείνου νοητέον ἡμᾶς, αὐτοῦ εἶναι τὸ σωναίδιον πνεῦμα, ὅπερ ἐκεῖνος αὐτοῦ, καὶ ἡμῖν ἐχαρίσατο μερίσας, καὶ ἐκχέας ἐπὶ πᾶσαν σάρκα τοῖς πιστεύουσιν, ὅτι Θεός ἐστι, καὶ κύριος ὁ διαμερίσας ἡμῖν αὐτοῦ τὸ αἷμα, καὶ τὸ πνεῦμα. ἀλλ' ὡς γέγραπται, ὅτι τεχνία μου καθὼς ἠκούσατε, ὅτι ἀντίχριστος ἔρχεται. καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν. ὥσπερ ἓν ἀντίχριστος, ἕως καὶ ἀντιχείμαρρος· γέγραπται γάρ· καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με, καὶ ὕδατι ἁγίᾳ, καὶ ὕδατι ἀνυπόστατι. γέγραπται γάρ· χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἆρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον ἰδοὺ καὶ ἐν πᾶσιν ἐδείξαμεν τῷ χειμάρρῳ τῆς ἀνομίας, ὅτι ἀφθαρτὸν τὸ αἷμα τὸ ἅγιον τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ὅτε ἀνθρώπου καθ' ἡμᾶς θνητοῦ, ἀλλὰ Θεοῦ ἀληθινοῦ, ὃς χείμαρρος ξυφῆς τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν.

Πρότασις ε'. τοῦ Σαμοσατέως.

Γέγραπται ἐν εὐαγγελίοις· ὅτι τὸ παιδίον ἠύξανε, καὶ ἐκραταιοῦτο, ὡσεί φησιν, Ἰησοῦς ὁ γενηθεὶς ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου. ὡς ἓν τὸ αὐξον, καὶ κραταιούμενον, λέγεις, ὅτι προαιώνιον καὶ συνάναρχον τῷ ἀγεννήτῳ πατρὶ, καὶ συναΐδιον;

Ἀπόκρισις ε'. τοῦ Πάπα Διονυσίου.

Τὸ, ἀγελίνητον πατέρα, ἐδεμία συγγραφὴ παρέδωκεν· ἡ δὲ θεία γραφὴ διὰ πνεύματος ἁγίου παρέδωκεν ἡμῖν, καὶ γράφει ὁ εὐαγγελιζόμενος ἡμῖν χαρὰν μεγάλην· ὅτι ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. ἔχει δὲ ἡ ἀρχή, ὅτι ἰδοὺ κύριος, αὐτὸς ὑμῖν δώσει σημεῖον· καὶ ἐπάγει τὸ, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται· καὶ δείκνυσιν, ὅτι ἡ θεοτόκος τινὰ σωέλαβεν, ἡ παρθένος δηλονότι· ὃν τινα ἡμεῖς ἐγνωείσαμεν ἡμῶν μὴν Θεὸν, τοῦτο δὲ παῖδα σωναίδιον ὄντα υἱὸν λόγου· καὶ ἐν τῷ φωτὶ αὐτοῦ ὄψομεθα φῶς. αὐτὸς γὰρ λέγει. ὅτι ὁ ἑωρακώς ἐμὲ, ἑώρακε τὸν πατέρα μου. μικρὸν ἐπανάλαβέ μοι· αὐτὸς γὰρ κύριος λέγει διὰ Ἡσαΐου· ὅτι ἰδοὺ κύριος, αὐτὸς ἡμῖν δώσει σημεῖον. ἀκούσωμεν καὶ τοῦ ἀγγέλου πρὸς τοὺς ποιμένας, ὅτι εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη ὑμῖν σήμερον Χριστὸς κύριος ἐν πόλει Δαβίδ. καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανωμένον, καὶ κείμενον ἐν φάτνῃ. ἰδοὺ διὰ Ἡσαΐου ἐμήνυσεν ἡμῖν τὸ σημεῖον, καὶ διὰ τοῦ ἀγγέλου τοῖς ποιμέσι. τίς δὲ ἡ δύναμις τοῦ παιδίου τοῦ ἐν φάτνῃ ἀνακλιθέντος; Θεὸς, ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. εἰ δὲ μέμφῃ τῷ εὐαγγελιστῇ διὰ τί λέγει· ὅτι ἠύξανε, καὶ ἐκραταιοῦτο; καὶ ἐρωτᾷς ἡμᾶς, σοφὲ, καὶ πῶς; ἐρώτα τὸν Δανιὴλ λέγοντα, ὅτι λίθος ἐτμήθη ἐξ ὄρους ἀνθ' χειρῶν· καὶ ἐπάγει· μετὰ τὸ πατάξαι, φησὶ, τὴν εἰκόνα, ἐγένετο ὁ λίθος εἰς ὄρος μέγα. εἰπὲ τοῦτο, πῶς δυνατὸν αὐξῆσαι τὸν λίθον, καὶ γενέσθαι ὄρος; ἐπὶ μὴν ἀνθρώπων οὐ κεῖται, ὅτι ἠύξανέ τις· ἀλλ' αὐξηθέντος, οὐ μὴν μετὰ τὸ τριακοστὸν ἔτος τοῦ ἀνδρὸς ἔτι ἐπαύξησιν ἡλικίας λέγει· καὶ ὅρα τὸν βαπτιστὴν Ἰωάννην λέγοντα· ὅτι ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστί. καὶ μετ' ὀλίγα ἐπάγει περὶ τοῦ αὐξάνοντος Θεοῦ, ὑπωσὶ φήσας. ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. μέχει σήμερον ὁ λόγος τοῦ Θεοῦ ἔχει, καὶ δοξάζεται, καὶ αὔξει, καὶ πληθύνεται ἐν τῇ ἐκκλησίᾳ τῶν ὁσίων· ἐπὰν γὰρ ἔλθῃ ἄνθρωπος εἰς τὸν κόσμον, εἰ γὰρ καὶ μία ἡμέρα ἡ ζωὴ αὐτοῦ, ὅ ἐστι δώδεκα ὧραι, παρέλθωσι δὲ δύο ὧραι τῆς ἡμέρας, ἔλλειψον ὁ γενηθείς· ὑγὰρ προσθήκη ἐστὶ τῷ τινὸς ἀνθρώπου, ἀλλὰ λήγει καθ' ἡμέραν. τὸ δὲ παιδίον Ἰησοῦς, ὁ Θεὸς τοῦ Ἰσραὴλ, Θεός ἐστιν αὐτὸς, καὶ τὰ ἔτη αὐτοῦ οὐκ ἐκλείψουσιν. ἀπαράβατον γὰρ ἔχει τὴν ἱερωσύνην. εἰ δὲ οὐκ ἀπαράβατον εἴποι ὁ Σαμοσατεύς, εἶτα, εἰ διεδέχθη ποτέ. ἐξ ὧν γὰρ κατηξίωσεν ὁ βασιλεὺς τῆς εἰρήνης γενέσθαι ἱερεὺς εἰρήνης, οὐχ ὁρᾶται, μὴ γένοιτο, ὁ διαδεξάμενος αὐτοῦ τὴν ἱερωσύνην. ὅτε ἐν τῇ σκηνῇ αὐτοῦ τῇ ἀληθινῇ εἰσῆλθεν ἕτερος, ὅτε ἐξῆλθεν, εἰ μὴ μόνος κύριος· καὶ ἐσφραγίσθη ἡ πύλη τῆς σκηνῆς σοὰ, καὶ ἄῤῥαγὴς, καὶ ἀμόλυντος· χεὶρ γὰρ πέπηκται Θεοῦ, καὶ ἐσφράγισαι δακτύλῳ. ὅτε χεὶρ ἀνθρώπου ὁ ἡμῶν ἀρχιερεὺς κεχειροτόνητο, ὅτε ἡ σκηνὴ αὐτῷ ὑπ' ἀνθρώπων κατεσκευάσθη· ἀλλὰ πνεύματι ἁγίῳ ἤδρασαι, καὶ σκέπεται τῇ δυνάμει τοῦ ὑψίστου ἡ ἀεί-

ἡ ἀείμνηστος σκλωὴ τῦ Θεῦ, Μαρία ἡ Θεοτόκος, καὶ παρθένος. ὥστε ἓν δεινότητι λέγει ὁ Σαμοσατεὺς τὸ ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας, ἀπατῆσαι θέλει, ὡς τό, φησὶ, γεγραμμένον· ὅτι οὐκ ἐξ αἱμάτων, ἀλλ' ἐκ Θεῦ ἐγεννήθησαν. ὅπωσὶ λέγει καὶ περὶ τῦ γεννηθέντος ἐκ τῆς Θεοτόκυ· τὸ δὲ εἰπεῖν αὐτὸν ἀγέννητον πατέρα, ἵνα διὰ τῦτο φησὶ, δείξῃ πρόσφατον, καὶ κτίσμα· ὅτε γὰρ ἀνέχεται εἰπεῖν χαρακτῆρα σωσίδιον τῆς τῦ Θεῦ παρῦσίας τὸν Χριστόν· πλὴν ὁ Ἀδὰμ χῦς ἀπὸ τῆς γῆς ἐλήφθη παρὰ Θεῦ, καὶ ἐγένετο ὁ Ἀδὰμ ὑπὸ Θεῦ, ἡ πλευρὰ τῦ Ἀδὰμ ᾠκοδόμηται εἰς γυναῖκα. διὰ μέσυ τῶν δύο κατὰ νόμον ἐντολῆς σαρκίνης ἐκ μίξεως, καὶ κράσεως, σωέλαβεν ἡ Εὔα, καὶ ἔτεκε τὸν Σήθ, καὶ τὰς πρὸ αὐτῦ. ὧδε ἓν διήλλαξαν κατὰ τὸ εἶναι ὁμοειδεῖς, καὶ ἐνυπόσατυς τῦ Ἀδὰμ τὰς υἱὰς καὶ τὰς θυγατέρας, καθὼς ὁρῶμεν ἕως σήμερον. καὶ ὁ διήλλαξεν ὁ Σὴθ τὸν Ἀδὰμ, ὅτι ἐκ τῆς ὑποσάσεως ἦν τῆς ὀσφύος τῦ Ἀδάμ. ταῦτα ἐπ' ἀνθρώπων. τῦ μὲν ἀγεννήτυ, τῦ δὲ γεννητῦ. καὶ κατὰ τὸ γεγραμμένον ἀναλόγως ἐκ τῶν κτισμάτων ὁ γενεσιυργὸς θεωρεῖται. ὥσπερ ἓν ἐννοῶμεν, ὅτι εἰ ἐκ τῦ παρ' ἡμῖν ὑλικῦ πυρὸς λάβῃ τις, καὶ πάθος, ἢ τομὴν ὑ ποιεῖ, ἐν τῷ ἀναλάμψαι φῶς ἐκ φωτός. ἀλλ' εἰ μὲν τῦτο, ὅτως ἀκαταλήπτως ἐξ ἀϊδίυ γέννησις τῦ Χριστῦ ἐκ πατρὸς, καὶ μόνῃ τῇ θεοπνεύστῳ ἐξακολυθῶμεν γραφῇ· καθὼς διηγεῖται ἡμῖν ὁ πατὴρ ἐν τῷ φωτὶ αὐτῦ εἴδομεν φῶς, καθὼς ἀνωτέρω εἴπομεν. καὶ ὅτι ὁ λόγος τῦ πατρός ἐστιν ὁ γεννηθεὶς ἐπ ἐσχάτων, καὶ αὐξήσας, καὶ αὔξων φωτισμὸν αὐτῦ ἐν ἡμῖν. ἡ δὲ αὔξησις τῦ Θεῦ εἰς τὴν ἐκκλησίαν ἐστί. γέγραπται γάρ· ὅτι ἡ μὲν ἓν ἐκκλησία καθ' ὅλης τῆς Ἰυδαίας, καὶ Γαλιλαίας, καὶ Σαμαρείας εἶχεν εἰρήνην οἰκοδομυμένη, καὶ πορευομένη τῷ λόγῳ τῦ κυρίυ, καὶ τῇ παρακλήσει τῦ ἁγίυ πνεύματος ἐπληθύνετο· αὔξει γὲν ὁ λόγος τῦ κυρίυ καθ' ἡμέραν, καὶ πληθύνεται τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇ ἐκκλησίᾳ τῦ Θεῦ. ὐκ ἄνθρωπος ἦν καθ' ἡμᾶς ὁ αὔξων ἡλικίᾳ, καὶ σοφίᾳ, ἀλλὰ Θεὸς γεννηθεὶς παιδίον, καὶ δοθεὶς ἡμῖν εἰς υἱὸν, ἀΐδιον ὄντα πρὸ αἰώνων. ἡμῖν καὶ τῇ ἀληθείᾳ ἤυξησε καὶ αὔξῃ καθ' ἡμέραν, καὶ τὰ ἔτη αὐτῦ ὐκ ἐκλείψυσιν. ἀναλλοίωτος γὰρ ὁ Χριστὸς, ὡς Θεὸς λόγος. αἰχμνέσθω οὖν ὁ λαμβάνων τὸ ὄνομα κυρίυ ἐπὶ ματαίῳ· ἄνθρωπος γὰρ ματαιότητι ὡμοιώθη· καθὼς ὁ ἐκκλησιαστής· ματαιότητα τὸν μόχθον ἐκάλεσε τῶν ἀνθρώπων, ὃν μοχθοῦσιν ὑπὸ τὸν ἥλιον· καὶ Δαβὶδ λέγει· ὅτι ματαιότης πᾶς ἄνθρωπος ζῶν· καὶ ὅτι αἱ ἡμέραι αὐτῦ, ὡσεὶ σκιὰ παράγυσιν· ὁ Θεὸς ἡμῶν Ἰησῦς ὁ αὐτός ἐστι, καὶ τὰ ἔτη αὐτῦ ὐκ ἐπιλείψυσιν.

Πρότασις ε'. τῦ Σαμοσατέως.

Γέγραπται· ὅτι ἄγγελος κυρίυ ἐφάνη τῷ Ἰωσὴφ κατ' ὄναρ, λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον, καὶ τὴν μητέρα αὐτῦ, καὶ φεῦγε εἰς Αἴγυπτον· μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὴν ψυχὴν τῦ παιδίυ, τῦ ἀπολέσαι αὐτό· μὴ ἄρα τῦτο λέγεις, τὸ φεῦγον σὺν τῇ μητρὶ, σωσίδιον τῷ Θεῷ καὶ πατρὶ; καὶ πῶς τὸ ἐκ τόπυ εἰς τόπον, τὸ γεννηθὲν ἐν Βηθλεὲμ, σωσίδιον τῦτο τῷ ἀγεννήτῳ λέγεις;

Ἀπόκρισις ε'. τῦ Πάπα Διονυσίυ.

Ἀποκρινήσομαι τοῖς ἐνειδίζεσί με, πρῶτον περὶ τῦ πατρός. ὅτι εἰ διὰ τὸ τόπον ἐκ τόπυ, ὁρίζει τὸν υἱὸν τῦ πατρὸς μὴ ὄντα ἐν τῷ οὐρανῷ· αὐτὸς γὰρ λέγει· ὅτι οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τῦ οὐρανῦ καταβὰς ὁ υἱὸς τῦ ἀνθρώπυ, ὁ ὢν ἐν τῷ οὐρανῷ· ἐρρήθη δὲ, ὅτι γέγραπται ἐν τῷ βιβλίῳ τῷ πρώτῳ, ὅτι ὁ Θεὸς κατῆλθε, καὶ ἐλάλησε τῷ Ἀβραάμ· καὶ μετὰ ταῦτα ἐπάγει τὸ γράμμα τὸ ἱερὸν, ὅτι καὶ ἀνέβη ὁ Θεὸς ἀπὸ Ἀβραάμ· ἆρα τί εἴποι τις; ἐκεῖ γὰρ Θεὸς κεῖται ἀναβαίνων ἀπὸ Ἀβραάμ. ἀληθῆ τὰ λεγόμενα, καὶ ψεῦδος οὐκ ἔστιν· ἀλλ' ἔδει πληρωθῆναι τὸ γεγραμμένον ἐν νόμῳ, καὶ προφήταις, τὸ κατελθεῖν τὸν Θεὸν ἐπὶ νεφέλης κέφης, καὶ ἧξειν εἰς Αἴγυπτον. καὶ ὅτι σεισθήσεται τὰ χειροποίητα Αἰγύπτυ· καὶ ὅτι γνωστὸς ἔσται κύριος τοῖς Αἰγυπτίοις, καὶ Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ. καὶ πάλιν, ἐπανελθεῖν αὐτὸν ἐξ Αἰγύπτυ, ἵνα πληρωθῇ τὸ γεγραμμένον· ὅτι ἐξ Αἰγύπτυ ἐκάλεσα τὸν υἱόν μυ. υἱὸν δὲ λέγει, ὃν προσκυνεῖ ἡ τῶν ἄνω ἁγίων πνευμάτων πληθὺς τὸν σὺν καὶ ἀμέριστον Χριστὸν, τὸν σωσίδιον τῦ πατρὸς, συνάναρχον, συνδημιυργὸν τῷ πατρί· Θεὸς γὰρ Ἰσραὴλ Ἰησῦς ὁ πρὸ αἰώνων λόγος, ὡς καὶ τὸ ἅγιον πνεῦμα. εἰ δὲ διὰ τὸ φεύγειν εἰς Αἴγυπτον τὸν Ἰωσὴφ ἅμα τῇ θετόκῳ Μαρίᾳ ἐν ἀγκάλαις φερόμενον τῶν καταφυγῶν ἡμῶν, καὶ Θεὸν, καὶ δυνάμεν, καὶ τέκνον, ὡς σὰρξ τῶν καθ' ἡμᾶς, ὁρίζει φεύγοντα, ὡς τὸν Δαβὶδ ἀπὸ Σαὺλ, ὥρασοι λέγειν καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὡς τῶν Ἄγαρ ἀποδράσασαν ἐκ τῆς κυρίας αὐτῆς, ἢ ὡς Ἠλίαν τὸν προφήτην ἀπὸ τῆς Ἰεζάβελ· γέγραπται γάρ· ὅτι πνεῦμα ἅγιον σοφίας φεύξεται δόλον· καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων, καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. φιλάνθρωπον γὰρ πνεῦμα σοφίας οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτῦ, ὅτι τῶν νεφρῶν αὐτῦ μάρτυς ὁ Θεός· τῦτο καὶ Δαβὶδ λέγει· ἐτάζων καρδίας, καὶ νεφρὸς ὁ Θεός. οὐκ ἀθῳώσει, φησὶ, βλάσφημον ἀπὸ χειλέων αὐτῦ τὸ φιλάνθρωπον πνεῦμα. ἀλλ' ἐτάζει καρδίας, καὶ νεφρὸς, ὅτι καὶ τὰ βάθη τῦ Θεῦ, ὡς Θεὸς, τὸ πνεῦμα ἐπίσαται. ὥσπερ καὶ τὰ τῦ ἀνθρώπυ οἶδεν ἕκαστος, εἰ μὴ τὸ πνεῦμα τῦ ἀνθρώπυ, τὸ ἐν αὐτῷ. ἐνταῦθα φανερῶς διδάσκει ὁ ἱερὸς Παῦλος, ὅτι τὸ πνεῦμα τὸ ἅγιον μόνον αὐτὸ οἶδε τὸν πατέρα τῦ ἀνθρωπισθέντος λόγυ. καὶ τὸν ἀνθρωπησάντα Χριστὸν τὸν λόγον Ἰησῦν οἶδε τὸ πνεῦμα τὸ ἅγιον, ὅτι ἐν τῷ Χριστῷ ἐστι. ὅτι φησὶν ὁ πατὴρ ὁ μένων ἐν τῷ Χριστῷ λόγῳ, αὐτὸς ποιεῖ τὰ ἔργα, ὡς καὶ ὁ Χριστὸς ὁ ὢν ἐν τῷ πατρὶ αὐτῦ οἶδε τὸ πνεῦμα τὸ ἅγιον, πῶς ὁ πατὴρ χωρεῖ τὸν υἱὸν, καὶ ὁ υἱὸς τὸν πατέρα. φιλάνθρωπον πνεῦμα ἅγιον φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων, ὡς ἀπανέστη ὁ υἱὸς φεύγων εἰς Αἴγυπτον. διδάσκει γὰρ ἡ φυγὴ τῆς καταφυγῆς· ὅτι ὃν τόπον ἐωράκατε, ἰδοὺ ἔδειξα ὑμῖν, ἵνα καὶ ὑμεῖς ποιῆτε· ἄντις γάρ σε διώκῃ, φεῦγε εἰς τὴν ἀλλοδαπήν. οὕτως γὰρ ἐποίησαν καὶ τοῖς προφήταις· ὁ ὢν ἐπὶ πάντων Θεὸς, ἡ καταφυγὴ ἡμῶν, οὐκ ἐν ἀλλοξίοις, ἀλλ' ἐν τοῖς ἰδίοις, ὁ διαγγελιστὴς διδάσκει ἡμᾶς. καὶ αὖθις διδασ-

δάσκων τὸν Κλεώπαν, ἵνα τὴν φιλοξενίαν ἀγαπῶσι, προσεποιεῖτο πόῤῥῳ πορεύεσθαι. ἡ οὖν εἰς Αἴγυπτον πορεία, καὶ ἡ ἐξ Αἰγύπτου ἐπάνοδος, καὶ ἡ πᾶσα αὐτοῦ πορεία, καὶ ἡ μετὰ Κλεώπα, καὶ ἡ εἰς οὐρανοὺς πορεία. ἦσαν γάρ φησιν, οἱ ἀπόστολοι, ὡς ἀτενίζοντες εἰς τὸν οὐρανόν· πάσας περιλαβὼν ὁ Δαβὶδ ἐν πνεύματι, ἀνακέκραγε βοῶν, καὶ λέγων· ἐθεωρήθησαν αἱ πορεῖαί σου ὁ Θεός· αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ. Θεὸν λέγει βασιλέα αὐτοῦ ὁ Δαβὶδ, λέγων· αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ· ἐν πνεύματι ἁγίῳ τὸν υἱὸν τοῦ Θεοῦ, Θεὸν ἑαυτοῦ λέγει ὁ Δαβὶδ ἐν τῷ ἁγίῳ· ἅγιος ὁ πατὴρ τοῦ Χριστοῦ, ἐν αὐτῷ λέγει τῷ ἁγίῳ εἶναι τὸν Θεὸν, καὶ βασιλέα. Χριστὸς ὁ Θεὸς ἐν τῷ πατρὶ διὰ πνεύματος ἁγίου· ὑπὸ Δαβὶδ κηρύττεται ἀεὶ Χριστὸς ὁ δι' ἡμᾶς καταδεξάμενος γενέσθαι σὰρξ, λόγος ὤν, καὶ μείνας Χριστὸς λόγος Ἰησοῦς ὁ Θεός. περὶ οὗ ψάλλει ὁ Δαβὶδ· ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται. τοῦτο γοῦν ἐστι τὸ γεγραμμένον· ὅτι οὐκ ἀθῳώσει τὸν βλάσφημον ἀπὸ χειλέων αὐτοῦ ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεός. οὐκ ἀθῴους ἐποίησε τοὺς ψευσαμένους τὸ φιλάνθρωπον πνεῦμα, τοὺς περὶ Ἀνανίαν, καὶ Σάπφειραν· ἀλλ' ἔδωκαν δίκας ψευσάμενοι τὸ φιλάνθρωπον πνεῦμα. ἑτοιμαζέτω καὶ ὁ Σαμοσατεὺς τὰ ἔργα αὐτοῦ εἰς τὴν ἔξοδον· οὐ γὰρ ἀθῷος ἀπελεύσεται βλασφημῶν κατὰ τοῦ φιλανθρώπου πνεύματος τοῦ ἁγίου· πνεῦμα δὲ ὁ Θεὸς, ὡς ἐδίδαξεν ἡμᾶς ἡ ἀλήθεια Χριστὸς, ὁ ὢν ἐπὶ πάντων Θεὸς, ὁ ἐπὶ νεφέλης κούφης ἐλθὼν εἰς Αἴγυπτον κύριος ὁ Θεὸς Ἰσραὴλ Ἰησοῦς ὁ Χριστός.

Πρότασις ζ'. τοῦ Σαμοσατέως.

Ἐπειδὴ ἐν τῇ θείᾳ γραφῇ οὐχ εὗρον ὅτι ἡ μορφὴ, καὶ ἡ σοφία, ἀνυπόστατά εἰσι τοῦ ἀνθρώπου μέρη, ἐβουλόμην μαθεῖν παρ' ὑμῶν τὸ γεγραμμένον ἐν τῷ ἀποστόλῳ· ὅτι φησὶν, ἐν μορφῇ Θεοῦ ὑπάρχων ὁ Χριστὸς ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. ἣν ἔλαβε μορφὴν ἀνυπόστατον, πῶς δύναται λέγεσθαι, ὅτι μορφὴν, καὶ σχῆμα λέγει ὅτι ἔλαβε; καὶ ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν; * οἶδεν ἡ ἐκκλησία δύο Θεοὺς οὐ λέγει οὔτε παρέλαβεν, ὡς καὶ αὐτὸς οἶδας ἀπὸ γραφῶν, θέλομεν πεισθῆναι μορφὴν ἀνυπόστατον· εἰ μὴ γὰρ ὑποστῇ, τί ἐστί; πῶς ἂν λέγοιτο μορφὴ τὸ μὴ ὑποστάν; ἔδει οὖν εἰπεῖν τὸν ἀπόστολον, ὅτι ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν ἀνυπόστατον, εἰ ἦν ἀνυπόστατος.

* Fort. εἰδ'

Ἀπόκρεισις ζ'. τοῦ Πάπα Διονυσίου.

Λέγει ὁ Σαμοσατεύς· εἰ ἀνυπόστατός ἐστιν ἡ μορφὴ, ἣν ἔλαβεν ὁ Χριστὸς, τὴν τοῦ δούλου, φησὶν, ἔδει εἰπεῖν τὸν ἀπόστολον· ὅτι ὁ Χριστὸς φησὶν, ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν ἀνυπόστατον. καὶ ἐμοὶ λέγει, πεῖσόν με ἐκ τῆς θείας γραφῆς. πλὴν ἀποκριθήσομαι πρὸς τοῦτο. καὶ μανθάνει, μὴ κελεύειν μοι, ἢ ἐπιτρέπειν, πῶς ἀποκριθῶ πρὸς τὰ παρ' αὐτοῦ· οὕτω γὰρ διέκεισο, * γράφειν, ὅτι ἀδύνατον τὰ παρ' ἐμοῦ γραφέντα· ὡσεὶ ὁ Σαμοσατεὺς λέγων, οὐ δύναται παρά τινος ἐπιβληθῆναι. πλὴν συντόμως ἐκβαλῶ σου τὸ πρόβλημα, καὶ ἐκ τοῦ σου στόματος ἐλεγχθήσῃ. εἰ γὰρ ἐνυπόστατον μορφὴν δούλου ἔλαβεν ὁ Χριστὸς, ἵνα εἴη δοῦλος ὁ ληφθείς· (τοῦτο γάρ σου ἐστὶ τὸ δρᾶμα τῆς ῥαψῳδίας) ἔδει, ὡς σὺ λέγεις, εἰπεῖν τὸν ἱερὸν τοῦ Χριστοῦ ἀπόστολον, * ὅτι ἑαυτὸν ἐκένωσε, δοῦλον ἄνθρωπον λαβὼν, τοῦ τίνος ὄντα δοῦλον; καὶ παρὰ τίνος ἑαυτὸν ἠγόρασε; καὶ τὸ πόσου; καὶ ποῦ ἐγένετο τὰ ὀνιακὰ τοῦ δούλου; καὶ διὰ τί πέπρακεν ὁ πεπρακὼς; ἢ διὰ τί ἐχαρίσατο ὁ χαρισάμενος; ἢ ὡς μὴ χρήζων * τῷ χρησομένῳ τί ἐχαρίσατο; εἰ θέλεις κανονίζειν πῶς ὀφείλει γραφῆναι γραφὴ, μὴ ἀπαίτει με λαλεῖν σοι ἀπὸ τῆς γραφῆς. γέγραπται γάρ. μετὰ ὁσίου ὅσιος ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς. καὶ μετὰ στρεβλοῦ διαστρέψεις. πλὴν ὁρᾷς, πῶς ἔφυγες τὸ γεγραμμένον· ὅτι τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. οἶδά σου τὰς μαγγανείας, ὅτι, φησὶν, εἰκὼν λεγόμεθα Θεοῦ, καὶ αὐτὸς ὡς εἷς ἐξ ἡμῶν ὁ Χριστός. ὅτι γέγραπται· ἰδοὺ Ἀδὰμ γέγονεν, ὡς εἷς ἐξ ἡμῶν. ταῦτα φρονεῖς, καὶ λαλεῖς, βλασφημῶν, κατὰ τοῦ Θεοῦ ἀδικίαν ἐπιφημίζων· ὅτι ὁ λέγων Θεὸν τὸν λόγον τοῦ πατρὸς Ἰησοῦν τὸν μονογενῆ, δύο Θεοὺς λέγει· ὥστε κατὰ σὲ ἵνα μή τις εἴποι Θεὸν τὸν Χριστὸν προαιώνιον· καὶ μὴ λέγων προαιώνιον, ἀλλὰ τὴν ἐκκλησίαν σαυτὸν καλῶν, ὅτι, φησὶν, ἡ ἐκκλησία δύο Θεοὺς οὐ λέγει, οὔτε παρέλαβε· σὺ δὲ δύο σαυτῷ παραδέδοκας· ἕνα προαιώνιον λέγων ἀγένητον, καὶ ἕνα χειροτονητὸν Θεὸν ἐπ' ἐσχάτων τὸν Χριστόν· οὕτως γὰρ οὐκ ἐμοὶ ἔγραψας, ἀλλ' οἱ ἀκούσαντες ἔγραψάν μοι, ὅτι οὕτως διδάσκεις· πλὴν, ἵνα μὴ εἰς ἐκεῖνα ἀσχοληθῶ, εἰς τὰ νῦν παρὰ σοῦ γραφέντα ὁρῶ· εἰ, ὡς φῂς σὺ, ἡ μορφὴ, ἣν ἔλαβε τοῦ δούλου ἐνυπόστατον, ὁ ὢν ἐν μορφῇ, καὶ ἰσότητι τοῦ Θεοῦ, ὁ Χριστὸς, ὁ τοῦτο ὢν, καὶ μὴ ἁρπάσας τοῦτο εἶναι· ἀλλὰ ὢν Θεὸς, ἐν μορφῇ τοῦ πατρὸς ὑπάρχων, καὶ ἐκ τούτου δύο ἐνυπόστατοι μορφαὶ πατρὸς, καὶ υἱοῦ· οὐ μὴν ὁ Χριστὸς δύο μορφαί· εἰπὲ ἡμῖν, ὅτε μετεμορφώθη ἐπὶ τῶν ἀποστόλων, τὴν μεταμόρφωσιν ἐκείνην τί λέγεις; λέγει γὰρ ὅτι μετεμορφώθη, ἐνταῦθα γὰρ πέντε εἰσὶ μαρτυρίαι. ὅτι καὶ αὐτὸς μετεμορφώθη καὶ τὸ εἶδος αὐτοῦ ἕτερον· εἰπὲ οὖν εἰ ἡ μορφὴ τοῦ δούλου μετεμορφώθη ἐν τῷ ἁγίῳ ὄρει, ἐνταῦθα δὲ οὐ δύνῃ εἰπεῖν, ὅτι ἡ μορφὴ τοῦ δούλου μετεμορφώθη· γέγραπται γάρ· ὅτι τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, αὐτὸν λέγει Ἰησοῦν τὸν Χριστὸν, ὅτι ἐν μορφῇ Θεοῦ ὑπάρχει. καὶ αὐτὸς λέγει· ὅτι παραλαβὼν ὁ Ἰησοῦς Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην, ἀνέβη εἰς τὸ ὄρος, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. εἰπὲ λοιπὸν, ἣν μετεμορφώθη μορφὴν, ἐνυπόστατον λέγεις, ἢ ἀνυπόστατον; εἰ δὲ οὐ δύνῃ δοῦναι τῇ μεταμορφώσει ὑπόστασιν, οὐδὲ τῇ μορφῇ δυνήσῃ δοῦναι, οὔτε τοῖς ἱματίοις· καὶ αὐτὰ γὰρ γεγόνασιν, ὡσεὶ χιών. πλὴν σὺ ὁ Σαμοσατεὺς ἐκβέβλησαι τοῦ προβλήματος ἔξω μακρὰν. λέγεις γὰρ, ὅτι ὁ λόγος πρὸ Μαρίας ἦν, Χριστὸς δὲ πρὸ Μαρίας οὐκ ἦν· καὶ ὅτι Μαρία τὸν λόγον οὐκ ἐγέννησεν. (οὔτε γὰρ πρεσβυτέρα ἐστὶ τοῦ λόγου.) ἀλλ' ἐγέννησε τὸν Χριστὸν, κατ' ἐξαίρετον τετιμημένον εἰς υἱὸν Θεοῦ. ὁ δὲ ἱερὸς τῶν ἐθνῶν διδάσκαλος γράφει Παῦλος πᾶσιν. ὅτι τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. οὐκ εἶπεν· ὃ καὶ Χριστὸς Ἰησοῦς φρονεῖ, ἀλλ' ἐν Χριστῷ Ἰησοῦ

* γράφων,

* ὅτι

χρησομένῳ

τοῦτο

τοῦτο φρονεῖτε· ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν. ἐν αὐτῷ πιστεύομεν, ὅτι οὕτως παρελάβομεν· ὅτι ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. πῶς οὖν σὺ ὁ Σαμοσατεὺς, μὴ λέγων τὸν Χριστὸν προαιώνιον, λέγεις ὅτι ἔλαβε δούλου μορφήν; εἰ γὰρ ὁ Χριστὸς οὐκ ἐστι πρὸ αἰώνων, ἀλλ' ἐκ Μαρίας, ἄρα κατὰ σὲ ὁ δοῦλος δοῦλον ἔλαβε. τὰ γὰρ σύμπαντα δοῦλα τοῦ Θεοῦ. λοιπὸν οὖν δύο μορφαὶ δούλων εὑρεθήσονται. φράσον οὖν ἡμῖν, πόθεν ὁ Χριστὸς, ὁ ἐκ Μαρίας, ἔλαβε τὴν ἐνυπόστατον μορφὴν τοῦ δούλου; ὁ γὰρ κενὸς λογισμὸς τοῦ Σαμοσατέως ἐξανδραποδιστὴν λέγει τὸν Χριστὸν, ἐὰν μὴ συστῇ, πόθεν ὁ δοῦλος, ὃν ἔλαβεν ἐκ Μαρίας Χριστὸς, ὡς λέγει ὁ ἀπατεών· ἀλλὰ λοιπὸν ἡμεῖς ἐκεῖνον πόῤῥω ἀπόῤῥίψαντες, καὶ τὰ παρ' ἐκείνου γραφέντα, ἔλθωμεν ἐπὶ τὴν διήγησιν τῆς θείας γραφῆς· καὶ προσέχωμεν τῇ ἀναγνώσει, καθὼς παρατίθεται Παῦλος ὁ ἱερὸς Τιμοθέῳ τῷ γνησίῳ τέκνῳ, ἐν πίστει καὶ ἀληθείᾳ. ἐπειδὴ οὖν ὅλον τὸ μυστήριον ὁ ἱερὸς ἀπόστολος ἐν τῇ ὑποθέσει ταύτῃ παρακελεύεται ἡμῖν ἐν Χριστῷ, οὕτωσὶ γράφων ἐν πνεύματι ἁγίῳ, λέγει, τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. ἔστιν ἐν Χριστῷ ὁ πατὴρ τοῦ Χριστοῦ, καὶ τὸ ἅγιον πνεῦμα. ἐν τούτῳ παρακελευόμεθα φρονεῖν, μὴ ὑπερφρονήσωμεν παρ' ὃ παρελάβομεν. ἀεὶ γὰρ Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία ἐν πατρί. καὶ ἐν αὐτῷ φρονοῦμεν ἐν Χριστῷ Ἰησοῦ χωρούμενον τὸν πατέρα, ὡς οἶδε τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἐρευνῶν τὰ βάθη τοῦ Θεοῦ, πῶς ὁ πατὴρ ἐν τῷ υἱῷ αὐτοῦ Χριστῷ λόγῳ, καὶ ὁ Χριστὸς ἐν τῷ πατρί, ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων· τοῦτο λέγει ὁ ἱερὸς ἀνὴρ, τὸ ἐν μορφῇ Θεοῦ ὑπάρχειν τὸν Ἰησοῦν Χριστόν. ὡς προεῖπον, ἐν Θεῷ πατρὶ ὑπάρχων, τὸ, ἐν μορφῇ ὑπάρχειν τοῦ Θεοῦ τὸν υἱὸν τοῦ πατρὸς οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. τοῦτο λέγει, ὅτι οὐ καθάπερ οἱ δι' ἀρετῆς, καὶ πόνων καὶ θλίψεων καὶ ἀγώνων ἁρπάζουσι τὴν βασιλείαν τοῦ Θεοῦ· γέγραπται γάρ. ὅτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ οἱ βιασταὶ ἁρπάζουσιν αὐτὴν, οὐχ οὕτως ὁ ὢν Χριστὸς Ἰησοῦς, οὐ πόνοις ἀρετῆς τελειωθεὶς, ἐκέρδανε τὸ εἶναι ἴσα Θεῷ. ἀλλ' ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ· καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ· φέγγος αὐτοῦ, ὡς φῶς ἔσται. καὶ μαρτυρεῖ αὐτὸς ὁ ἀληθῶς ἀεὶ ὑπάρχων ἐν τῷ πατρί, λέγων, ἐγὼ εἰμι τὸ φῶς τοῦ κόσμου· ὃς ἐστι, δεσπότης τοῦ κόσμου, ἔχων ἐν ἑαυτῷ τὸν πατέρα, καὶ τὸ ζωοποιὸν, καὶ κύριον πνεῦμα. ἀλλ' ἑαυτὸν ἐκένωσε· διὸ καὶ τὸ μυστήριον τὸ ἀνεκδιήγητον οὕτως ὑπ' αὐτοῦ καλεῖται τοῦ Θεοῦ ἡ καινὴ διαθήκη, τὸ ἑαυτὸν ἡμῖν δοῦναι ἐν τῷ μυστικῷ δείπνῳ. οὐ καθάπερ οἱ κατὰ νόμον τῆς τοῦ Ἀαρὼν ἱερατείας κρέα ἀλόγων ἐπὶ τὰ θυσιαστήριον τὸ πάλαι ἐπετίθουν. καὶ γράφει Μωϋσῆς, λέγων ὅτι κρέα ἅγια ἐπὶ τὸ θυσιαστήριον, καὶ ἔδεται ὁ λαὸς, καὶ πᾶς, ὅς τις ἅψεται ἐξ αὐτῶν ἀκάθαρτος, ἐξολοθρευθήσεται. νῦν δὲ οὐχ οὕτως· ἀλλ' αὐτὸς ὁ κύριος, καὶ Θεὸς Ἰσραὴλ, ὁ σωτὴρ ἡμῶν λέγει· ὅτι ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ. Θεὸς ἄρα ὁ ἐνοικῶν ἐν ἡμῖν κατὰ τὴν διαθήκην, ἣν διέθετο πρὸς ἡμᾶς, λέγων· λάβετε τοῦτο, καὶ διαμερίσατε εἰς ἑαυτούς. ἡ καινὴ διαθήκη ἐστί. τοῦτο ποιεῖτε. αὕτη τοῦ Θεοῦ ἡ πρὸς ἡμᾶς κένωσις, ἵνα ἀξιωθῶμεν αὐτὸν χωρῆσαι. τοῦτο γὰρ λέγει ὁ ἀπόστολος τὸ φοβερὸν μυστήριον. ὅτι ἑαυτὸν ἐκένωσεν, οὐ λιπὼν τὸν πατέρα, ἐχωρήθη ἐν ἡμῖν. μὴ γένοιτο. ἀλλ' αὐτοῦ τοῦ Θεοῦ σοι παραστήσω φωνὴν, λέγουσαν· ὅτι ἐγὼ, καὶ ὁ πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν, ὥς φησι, τῷ πιστεύοντι εἰς ἐμέ. ὁρᾶτε, πόσῃ ἀκριβείᾳ χρῆται ὁ μυσταγωγὸς τῆς ἀληθείας, τὸ σκεῦος τῆς ἐκλογῆς. μορφὴν δὲ δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, μετ' ὀλίγα, λέγων τὴν διήγησιν ταύτην, ὡς προεῖπον, τὴν κένωσιν ὁ ἀπόστολος, τὴν πρὸς ἡμᾶς, χώρησιν τοῦ μυστηρίου τῆς ζωῆς διὰ τῶν ἀχράντων, καὶ ἀφθάρτων αὐτοῦ, καὶ θεϊκῶν χειρῶν, ἵνα δυνηθῶμεν οἱ πιστοὶ αὐτοῦ χωρῆσαι αὐτὸν, καὶ γενέσθαι μονὴ τοῦ Θεοῦ, λαβόντες αὐτὸν ὅλον. καὶ τοῦτο ἦν, ὃ προδιεγράφετο πάλαι ὑπὸ Μωϋσέως, τὸ ἄμωμον, καὶ ἐνιαυσιαῖον πρόβατον· ὅπως φάγωσιν αὐτὸ, σφάξαντες, πᾶν τὸ πλήρωμα τῆς συναγωγῆς τῶν υἱῶν Ἰσραὴλ, ἡνίκα ἐπετελοῦσαν τὸ φασέκ, τουτ' ἔστι, τὸ πάσχα· ὀπτὰ πυρὶ τὰ κρέα τοῦ ἀμνοῦ, κεφαλὴν σὺν τοῖς ποσὶ, καὶ τοῖς ἐντοσθίοις μετὰ σπουδῆς παρεκελεύοντο. ἀλλ' ἐκεῖνοι οὐκ ἠδύναντο φαγεῖν κεφαλὴν σὺν τοῖς ποσί. πῶς γὰρ βρωθῇ κεφαλὴ προβάτου εἰς τὸ πάσχα παρὰ Ἰουδαίους, τοῦ νόμου παρακελεύοντος ὅτι ὀστοῦν οὐ συντριβήσεται ἀπ' αὐτοῦ; ἐκείνοις μὲν κώλυμα διὰ τὸ ἀπηνὲς αὐτῶν, καὶ σκληροκάρδιον· ὅτι οὔτε τοῦ ἀλόγου συνεχωροῦντο ὅλου μεταχεῖν· ἀλλ' ὁ κενώσας αὐτὸν Χριστὸς Ἰησοῦς, ἔχων ἐν ἑαυτῷ τὴν κεφαλὴν τὸν πατέρα, κεφαλὴ γὰρ Χριστοῦ ὁ Θεὸς, ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, καὶ ὕψωσε ταπεινοὺς, ἵνα χωρηθῇ ἐν αὐτοῖς ὁ ὕψιστος, καὶ ἐνοικήσῃ ἐν ἡμῖν διὰ τὴν αὐτοῦ φιλανθρωπίαν, καὶ ἀγαθότητα, ἣν ἠγάπησεν ἡμᾶς. αὕτη ἡ κένωσις τῆς δεξιᾶς τοῦ ὑψίστου. ὥστε οὖν ἡ κένωσις οὐ τροπὴν αὐτῷ συμαίνει, μὴ γένοιτο, ἀλλ' ἡμῖν ἀνακαινισμὸν διὰ τῆς κενώσεως αὐτοῦ, ἧς ἐχαρίσατο ἡμῖν ὁ κενώσας ἑαυτὸν ἐκχεόμενον τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πᾶσαν σάρκα, μένει πλῆρες· καὶ ἐκχυθὲν τὸ ἅγιον, καὶ ζωοποιὸν αἷμα ἐκ βάθους τῆς θεϊκῆς πλευρᾶς, μένει πλήρης ὁ κενώσας ἑαυτὸν Ἰησοῦς Χριστὸς καὶ ἐκχέας τὸ ἄφθαρτον, καὶ ζῶν, ζωῆς χορηγὸν αἷμα αὐτοῦ εἰς ἡμᾶς. λοιπὸν τὰ ἀκόλουθα. ὡς προεγράφη· μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, ὡς πλειστάκις εἶπον, μορφὴ δούλου, οὐκ ἔστι δοῦλος· εἰ γὰρ δοῦλον θελήσει ὁ κύριος περιβαλεῖν δορὰν προβάτου, ἢ ἀνακλῖναι αὐτὸν ἐν τῇ πρωτοκλισίᾳ, καὶ μὴ θέλει αὐτὸν ἀπαλλάξαι τοῦ δουλεύειν αὐτῷ, οὐ παρὰ τὸ φορέσαι τὸ κώδιον, πρόβατον, ἔλαβεν· οὔτε διὰ τὴν πρωτοκλισίαν ἀνακλιθεὶς, ἐν τούτῳ ἔλαβεν ἐλευθερίαν, διὰ τὸ εἰς τόπον ἀνακλιθῆναι πρῶτον· μορφὴν οὖν δούλου λαβὼν ὁ Χριστὸς Ἰησοῦς, κύριος ὤν, καὶ Θεὸς τῶν ἀποστόλων, δείπνου γενομένου τοῦ μυστικοῦ, ἐγείρεται ἐκ τοῦ δείπνου ὁ Θεὸς τῶν ἀποστόλων Ἰησοῦς. καὶ τίθησι τὰ ἱμάτια αὐτοῦ. καὶ λαβὼν λέντιον διεζώσατο· αὕτη ἐστὶν ἡ μορφὴ τοῦ δούλου· καὶ χήματι εὑρεθεὶς, ὡς ἄνθρωπος. ἐκεῖ εὑρέθη τοῖς μὴ ζητοῦσιν αὐτὸν, δοῦλος· οὐ γὰρ δούλῳ ἠκολούθησαν οἱ μαθηταὶ καταλιπόντες πάντα (πολὺν γὰρ λῆρον, ἀνθρώπους ἐλευθέρους ἐᾶσαι τὰ ἴδια πάντα, καὶ ἀκολουθῆσαι δούλῳ, μὴ ἔχοντι ἐν χερσὶν ἀργύριον, ἢ χρυσίον,) ἀλλ' ἐκείνῳ αὐτῷ ἠκολούθησαν τῷ υἱῷ τοῦ Θεοῦ Ἰησοῦ,

τῷ

τῷ καταδεξαμένῳ διαζώσασθαι λέντιον, καὶ βαλεῖν ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ πλύνειν τὰς πόδας τῶν δούλων ὁ φύσει κύριος, καὶ οὐχ ὁ φύσει δοῦλος, ὁ λαβὼν τὸ σχῆμα τοῦ δούλου, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· τοῦτο λέγει· ὅτι οὐκ ἔστιν εἷς μόνος δοῦλος ἐν τῷ κόσμῳ, ὃς νίπτει πόδας δεσπότου, ἀλλὰ πολλοί. ἵνα δὲ μὴ νομισθῇ, ὅτι δοῦλον ἔλαβέ τινα, ἐπάγει πολλούς· ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. καὶ μετὰ τὸ νίψαι τὰς πόδας τῶν ἀποστόλων, τίθησι τὸ λέντιον, τὸ μορφὴν, τὸ σχῆμα τοῦ δούλου, καὶ λαμβάνει τὰ ἱμάτια, καὶ μυσταγωγεῖ λέγων· γινώσκετε, τί πεποίηκα ὑμῖν; ὑμεῖς φωνεῖτέ με ὁ κύριος, καὶ ὁ διδάσκαλος, ἔνιψα ὑμῶν τὰς πόδας· καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων τὰς πόδας νίπτειν· ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν, ἵνα ὃ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. πῶς οὖν τὸ ὑπόδειγμα κληθῇ σύντομος δοῦλος; μορφὴν γὰρ δούλου, καὶ σχῆμα ὑπέδειξε· καὶ τοῦτο λέγει· ὅτι δέδωκα ὑμῖν· εἰ δὲ τὸ ὑπόδειγμα σύντομος δοῦλος, ἆρα λοιπὸν τὰς ἀποστόλους ἀπαιτείτω ὁ Σαμοσατεύς, λαβόντας τὴν μορφὴν, ἣν λέγει σύντομον. εἶτα ἐπάγει ὁ ἀπόστολος, λέγων. ἐταπείνωσεν ἑαυτόν. ὁρᾷς, τί λέγει, ὅτι ἑαυτὸν ἐταπείνωσεν; ὁ δοῦλος ἑαυτὸν οὐ ταπεινοῖ, ἀλλ' ἡ δεσποτεία τοῦ δούλου, ἀπαιτοῦσα αὐτὸν δουλεύειν, ὡς ὁ Φαραὼ τὸν Ἰσραὴλ κατεδούλωσεν. ἐνταῦθα λέγει· ὅτι ἑαυτὸν ἐταπείνωσεν. οὐκ ἐδόθη δὲ χώρα τοῖς βλασφήμοις ἐν τούτῳ ἀθετῆσαι τῷ ῥητῷ. ἐμφράττει δὲ αὐτοὺς ὁ ταπεινώσας ἑαυτὸν, μέχρι θανάτου ὑπήκοος γενόμενος· ἑαυτὸν καὶ ὁ Θεὸς ἐδυσώπησε, καὶ ἐπήκουσε τῆς δεήσεως τῆς ἱκετηρίας αὐτοῦ· καὶ ἔκλινεν οὐρανούς, καὶ κατέβη, ἐξελέσθαι ἡμᾶς, ἐλεύθερος ὤν, ὡς Θεὸς, καὶ κύριος τῆς δόξης, Ἰησοῦς Χριστός. ὅταν οὖν λέγῃ· ὑπήκοος γενόμενος, ὡς προεῖπον, ὅτι ὑπήκουσε τῷ ἁγίῳ αὐτοῦ, καὶ μέχρι θανάτου ἦλθεν, ἵνα σώσῃ ἡμᾶς ἐκ θανάτου, θάνατον δὲ σαρκός. διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε. ναί· ὁ Θεὸς γὰρ λέγει τῷ Θεῷ μου Ἰησοῦ Χριστῷ διὰ Δαβίδ· ὑψώθητι ἐπὶ τοὺς οὐρανούς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. τοῦτο ἐστι, διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ τὸ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα· καὶ ἐπάγει. ἵνα ἐν τῷ ὀνόματι αὐτοῦ κάμψῃ πᾶν γόνυ· καὶ τὰ ἑξῆς· ἐδόξασεν αὐτὸν ὁ πατήρ. ἀλλὰ καὶ ὁ υἱὸς ἐδόξασε τὸν πατέρα, λέγων. ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς. ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις· ὡσαύτως καὶ ὁ πατὴρ ἐφανέρωσεν ἡμῖν τὸν ὄντα σὺν αὐτῷ ἀεὶ Χριστόν, ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. ἀκούετε, πῶς λέγει τὸ μυστήριον ὁ ἱερὸς ἀπόστολος Παῦλος. τὸ γὰρ σωματικῶς κατοικεῖν τὸν πατέρα, καὶ τὸ πνεῦμα ἐν τῷ Χριστῷ, ἐπειδὴ σὰρξ γέγονεν ὁ λόγος ὁ Χριστός. ἀπαρὰ τὸ γενέσθαι ἓν σῶμα τὸν Χριστὸν, οὐκ ἐπανέστη ὁ πατὴρ τοῦ χωρισθῆναι τῷ γενομένῳ σαρκί. σὰρξ ὁ λόγος γέγονε. καὶ δείκνυσιν ὅτι ἄῤῥεπτος ὁ Χριστὸς γενόμενος σὰρξ, ἀεὶ συναΐδιος ὢν τῷ γεννήσαντος, ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. εἴ τις οὖν οὐχ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, οὗτός ἐστιν ὁ Ἀντίχριστος. οὐκ εἰς δοῦλον ἐνῴκησεν, ἀλλ' ἐν τῇ ἁγίᾳ αὐτοῦ σκηνῇ τῇ ἀχειροποιήτῳ, ἥ τις ἐστὶν ἡ θεοτόκος Μαρία· ἐκεῖ ἐν αὐτῇ ὁ βασιλεὺς ἡμῶν, βασιλεὺς τῆς δόξης, γέγονεν ἀρχιερεύς· καὶ μένει εἰς τὸ διηνεκές, ἅπαξ εἰσελθὼν εἰς τὰ ἅγια, καὶ αἰώνια, λύτρωσιν ἀιρόμενος. προῆλθεν ἐξ αὐτῆς ὁ λόγος, γενόμενος ἀρχιερεύς, οὐ κατὰ νόμον σαρκίνης, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. γέγονε σὰρξ ὁ λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος, καὶ ἀληθείας. ταύτης ἀνάξιοι τῆς θεωρίας οἱ δοῦλοι τῶν κατακρεμνισθέντων δαιμόνων, οἱ λέγοντες, τὸν κύριον τῆς δόξης δοῦλον, ἢ ἕνα τῶν κατ' ἐξαίρετον δεδιηγημένων· οὐ γὰρ ὅπως ἡμᾶς διδάσκει ἡ γραφὴ, ἵνα μορφὴν δούλου λάμψωμεν γόνυ, καὶ ὁμόσωμον ἐν αὐτῷ· οὐδὲ γὰρ ἐδιδάχθημεν, ἔχειν Θεὸν ἕτερον, πλὴν τοῦ Θεοῦ ἡμῶν. οὐκ ἄγιος ἄνθρωπος, ὅτε δοῦλος ἐποίησε τὸν οὐρανὸν, καὶ τὴν γῆν· θεοὶ δὲ, οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ὑποκάτωθεν παντὸς τοῦ οὐρανοῦ καὶ οἱ προσκυνοῦντες αὐτοῖς.

Πρότασις ἡ. τοῦ Σαμοσατέως.

Εὑρίσκομεν ἐν τοῖς εὐαγγελίοις, ὅτι ἐν τῇ ἑορτῇ, δωδεκαετοῦς ὄντος τοῦ Ἰησοῦ, ἀνέβη Ἰωσὴφ, καὶ Μαρία ἡ μήτηρ τοῦ Ἰησοῦ, ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλήμ. καὶ ὡς ἐπλήρωσαν τὰς ἡμέρας τῆς ἑορτῆς, ἀπῆλθον ὑποστρέψαντες εἰς τὴν Γαλιλαίαν Ἰωσὴφ καὶ Μαρία, Ἰησοῦς δὲ ἀπέμεινεν ἐν Ἱερουσαλήμ· πορευομένων δὲ αὐτῶν, ἔδοξαν αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι. ὡς δὲ ἐζήτησαν αὐτὸν, καὶ οὐχ εὗρον ἐν τοῖς γνωρίμοις, ὑπέστρεψαν πάλιν εἰς Ἱερουσαλήμ. εὗρον δὲ αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον. ἔπειτα ἐπάγει, λέγων ὁ εὐαγγελιστής· ὅτι εἶπεν αὐτῷ ἡ μήτηρ αὐτοῦ· τί ἐποίησας ἡμῖν οὕτως, ὅτι ὠδυνώμεθα ἐγώ τε καὶ ὁ πατήρ σου ζητοῦντές σε; ἆρα ὁ ζητούμενος ὑπὸ τῶν γονέων ἐν τοῖς γνωρίμοις, καὶ ἐν τῇ συνοδίᾳ, τοῦτο ἡμῖν φράσον, πῶς αὐτὸν δοξάζεις τὸν δωδεκαετῆ, καὶ ζητούμενον, δι' ὃν οἱ γονεῖς ὠδυνῶντο, ἕως εὗρον; εἰ οὕτως ἄναρχος, καὶ συναΐδιος τοῦ πατρός· ἐν τούτῳ, οἶδα γὰρ, ἀδύνατόν ἐστιν ἐκ τῆς ἔξω σοφίας συλλογισθῆναι, ὃν τρόπον ἡ μορφὴ τοῦ δούλου, ἣν συνελογίσω, λέγων· ὅτι πόλις ὁ νομοθετεῖ, ὡς βασιλεύς· ὅτε οἰκία μετὰ τοῦ κτίσαντος. ἐνταῦθα τὸν δωδεκαετῆ, ὅτε ἀνυπόστατον λέγεις, ὅτε ἀνέχῃ· ἐπειδὰν τὸ πρᾶγμα καὶ ὁρᾶται, καὶ βαδίζει, καὶ ζητεῖται, καὶ εὑρέθη.

Ἀπόκρισις ἡ. τοῦ Πάπα Διονυσίου.

Περὶ ζητουμένου πράγματος ζυγομαχεῖ ἆρα ὁ Σαμοσατεύς, ἢ λέξιν; καὶ εἰ ταῦτα ζητεῖς, οὐ τῶν δύο, τί μίσγεις τὰ ἄμικτα, ὡσεί φησι συγχέων τὴν διάνοιαν τοῦ ἐρωτωμένου, καὶ προμίσγων ἄλλα ἐν ἄλλοις; πάλιν εἴτε περὶ λέξιν, εἴτε περὶ πράγματος ἐρωτᾷς, προέτεινας ἡμῖν ἕνα εἰποιμι. λέγω σοὶ Θεῷ. γέγραπται, ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα ταῖς χερσί μου, νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην. ἡ μὴν θεοτόκος ὑπέστρεψε τὸν κύριον αὐτῆς καὶ Θεὸν ζητοῦσα, τὸν γενόμενον αὐτῆς υἱόν· αὐτὴ μὴν ποδὶ περιῆλθε ἐπιζητοῦσα οὐκ ἀπολιμπανόμενον, ὡς διδάσκει αὐτὸς ὁ κύριος, ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι. ὁ δὲ Θωμᾶς ὁ καλούμενος Δίδυμος ταῖς χερσὶν αὐτοῦ, ἐναντίον αὐτοῦ ἐξεζήτησεν αὐτὸν, καὶ οὐκ ἠπατήθη, σάρκα τὸν λόγον ψηλαφῶν, τὰ βάθη τοῦ Θεοῦ,

εἰς

εἰς τὸ βάθος ἔσω τῆς θεϊκῆς πλευρᾶς ταῖς χερσὶν αὐτοῦ ἐκζητῶν τὸν Θεόν. σὺ δὲ ὁ Σαμοσατεὺς ἠπάτησαι ἀκούων μορφὴν δούλου, καὶ δοῦλον ἐνόησας ἄνθρωπον ἐνυπόστατον. ὅσοι οὖν ζητοῦσιν αὐτὸν τὸν κύριον, ἡνίκα εὕρωσιν αὐτὸν, ἐπικαλοῦνται· σὺ δὲ ἐνυπόστατον ζητεῖς μορφὴν δούλου ἀκούσας, περιάγεις ἀνοδίας, καὶ κρημνοὺς, δοῦλον τῇ μορφῇ ζητῶν. πάλιν προεγράφη διὰ τοῦ προφήτου, ζητηθῆναι τὸν κύριον μετὰ κλαυθμοῦ· λέγει γὰρ ἡ μήτηρ τοῦ Θεοῦ μου τῷ Θεῷ μου, ὅτι ὠδυνώμεθα ζητοῦντές σε. γέγραπται ἐν τῷ προφήτῃ Ὠσηὲ, λέγων· ἐν πνεύματι ἁγίῳ ἔκλαυσαν, φησὶ, καὶ ἐδεήθησάν μου, ἐν τῷ οἴκῳ μου εὕρεσάν με. καὶ ἐκεῖ ἐλάλησα πρὸς αὐτούς. ὁ δὲ κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ἔσται μνημόσυνον αὐτῶν. ὁρᾷς ποῦ εὑρέθη ὁ ζητούμενος μετὰ κλαυθμοῦ; ἐκεῖ ἐλάλησεν αὐτοῖς κύριος ὁ Θεὸς λέγων· τί ὅτι ἐζητεῖτέ με; οὐκ οἴδατε, φησὶν, ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι; ἐν τῷ οἴκῳ μου εὕρεσάν με, λέγει διὰ τοῦ προφήτου· ἐν δὲ εὐαγγελίοις ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι. πάντα γὰρ ὅσα ἔχει ὁ πατὴρ, αὐτοῦ ἐστίν. εἴ τε οὖν περὶ λέξεις ἀμφισβητεῖ ὁ Σαμοσατεὺς, μὴ δεῖν ζητεῖσθαι τὸν κύριον, ἐπεὶ ἄνθρωπός ἐστιν, ὡς αὐτὸς λέγει· ἰδοὺ ἡ γραφὴ δείκνυσιν αὐτῷ ὅτι Θεὸς ὁ ζητηθεὶς καὶ ἐκζητηθεὶς, καὶ εὑρέθη παρὰ τῶν ζητούντων· ἀπὸ δὲ τῶν τοῦ Σαμοσατέως ἀπανέστη· ἡμεῖς δὲ ζητοῦμεν, ἵνα ἀξιωθῶμεν καὶ ἡμεῖς, ὡς ὁ Φίλιππος εἶπε τῷ Ναθαναὴλ, ὅτι ὃν ἔγραψε Μωϋσῆς καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν τὸν ἐκ Ναζαρέθ.

Πρότασις θ'. τοῦ Σαμοσατέως.

Γέγραπται ἐν τῷ Ἡσαΐα φησί, λέγων. ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος, οὐ πεινάσει, οὔτε κοπιάσει· οὔτε ἐστὶν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ. γέγραπται δὲ περὶ τοῦ Ἰησοῦ, ὅτι καὶ ἐπείνασε καὶ ἐκοπίασεν· ὁ δὲ κύριος αἰώνιος, ὡς προεῖπον, οὐ πεινάσει, οὐδὲ κοπιάσει.

Ἀπόκρισις θ'. τοῦ Πάπα Διονυσίου.

Ὁ ἀπόστολος γράφει· ὅτι οὐκ ἐγώ φησιν ἐκοπίασα, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. ἡ δὲ χάρις τοῦ Θεοῦ οὐκ ἔστιν ἀνυπόστατος· μὴ γένοιτο· ἐπεὶ τὸ ἀνυπόστατον ὤν, οὔτε κοπιᾷ, οὔτε κόπου αἰσθάνεται, κἂν μυριάκις μηχανήσεταί τις εὑρεῖν ἀνυπόστατον κινούμενον, κοπιῶν οὐ δύναται δεῖξαι· ἀφ' ἑαυτῶν οὐ κινοῦνται τὰ ἄψυχα, εἴτε αὐλὸς, εἴτε κιθάρα, οὔτε κόπου αἰσθάνεται. ὁ δὲ ἱερὸς Παῦλος σκεῦος ὢν ἐκλογῆς γράφει· ὅτι περισσότερον πάντων ἐκοπίασα· οὐκ ἐγὼ δέ· αὖθις ἐπάγει· ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. γράφει δὲ καὶ εἷς τῶν σοφῶν, δεόμενος τοῦ Θεοῦ ἀποσταλῆναι αὐτῷ τὴν σοφίαν ἀπὸ θρόνων ἁγίων, καὶ ἀπὸ ὕψους δόξης, ὅπως συμπαροῦσα αὐτῷ συγκοπιάσῃ. περὶ δὲ τῆς χάριτος τοῦ Θεοῦ, ἥ τις ἐκοπίασε σὺν τῷ Παύλῳ τῷ ἀποστόλῳ, τὸ κύριός ἐστι πνεῦμα τὸ ἅγιον. περὶ δὲ τοῦ πεινᾶσαι τὸν Θεὸν, ἢ μὴ πεινᾶσαι, ἢ φαγεῖν ἢ μὴ φαγεῖν, τὸν τρόπον οὐδεὶς δύναται φράσαι. οἶδα δὲ ὅτι γέγραπται· ὅτι εἶπεν ὁ Θεὸς τῶν Θεῶν, ἐὰν πεινάσω οὐ μή σοι εἴπω. εὑρίσκομεν δὲ ὅτι αὐτός ἐστιν ὁ Θεὸς Ἰησοῦς ὁ Χριστός· ὅτι πεινάσας, οὐδενὶ εἶπεν ὅτι πεινῶ. ἀλλὰ προσελθόντες οἱ ἄγγελοι μετὰ τὸν πειρασμὸν, διηκόνουν αὐτῷ. γέγραπται δὲ, μὴ φάγωμαι κρέα ταύρων, ἢ αἷμα τράγων πίωμαι; ὡσεί φησι λέγει ὁ Θεός· ἀλλ' οὐκ εἶπεν ὅτι οὐκ ἔφαγον, ἀψευδὴς γὰρ ὁ Θεός. ἀλήθεια γάρ. παρέθηκεν Ἀβραὰμ τῷ Θεῷ τὸ μοσχάριον ὃ ἐποίησε, καὶ τοὺς ἀζύμους οὓς ἔπεμψε Σάῤῥα, καὶ ἔφαγεν ὁ Θεὸς καὶ οὐκ ἀπέκρυψεν αὐτὸν, ὅτι ἐπανελεύσομαι πρὸς σὲ εἰς ὥρας, καὶ ἔσται τῇ Σάῤῥα υἱός. ἀκούετε Θεοῦ. ἐπανελεύσομαι πρὸς σὲ εἰς ὥρας. ἆρ' οὐ φανερόν ἐστιν ὅτι αὐτός ἐστιν ὁ λέγων τοῖς μαθηταῖς, ὅτι ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς, καὶ παραλήψομαι ὑμᾶς μετ' ἐμοῦ; οὐχ ὁ Θεὸς ὁ εἰρηκὼς, ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· αὐτός ἐστι καὶ οὐκ ἠλλοίωται γενόμενος σὰρξ ὁ λόγος, ὢν Θεὸς καὶ πεινάσας ἑκών. οὐκ εἶπεν ὅτι πεινῶ· ἀλλὰ καὶ τὴν τῶν πτωχῶν πεῖναν, καὶ γυμνίαν, καὶ ξενιτείαν εἰς ἑαυτὸν ἀναφέρει, λέγων· ὅτι ὃς ἂν ποιήσῃ ἑνὶ τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησε. πλὴν γέγραπται ἐπ' ἀνθρώπων, ὅτι, οὔτε πεινάσωσιν, οὔτε κοπιάσωσι, φησὶν, ὡς λέγει Ἡσαΐας· ὅτι οἱ ὑπομένοντες τὸν Θεὸν, ἀλλάξουσιν ἰσχὺν, βαδιοῦνται καὶ οὐ πεινάσωσι· δραμοῦνται καὶ οὐ κοπιάσωσιν. ὥρα σοι τῷ Σαμοσατεῖ εἰπεῖν τὸν ἀπόστολον, ὅτι οὐχ ὑπέμεινε τὸν Θεὸν. γράφει γὰρ λέγων, ὅτι ἐν λιμῷ καὶ δίψει. ὁρᾷς, ὅτι οὔτε τοῦ ὕδατος ἐχορτάζετο; οἱ δὲ ὑπομένοντες τὸν Θεὸν, οὐ πεινάσουσι βαδίζοντες· οὔτε κοπιάσουσι τρέχοντες, ὡς γέγραπται. διατί οὖν ἄρα οὐκ ἐγένοντο τῷ ἀποστόλῳ ταῦτα φησίν; ἀλλ' ὡς γράφει ὅτι καὶ τρίτον ἐναυάγησε; τοῦτο ποιεῖ σου τὴν κακοπιστίαν ἐμφραγῆναι, ὅτι οὐκ ἄνθρωπος ἦν ἅγιος ὁ Χριστός, ἀλλὰ Θεὸς ἅγιος. τὸν γὰρ Παῦλον τὸν ἱερὸν ἄνθρωποι ἐστίασαν, ὧν ἐστιν εἷς ὁ φιλαπόστολος Ὀνήσιμος, ὁ σπουδαῖος περὶ τὴν θεραπείαν τοῦ ἀποστόλου. τούτων δὲ οὐδὲν εὑρίσκομεν ἐπὶ Χριστοῦ. ἀλλ' εὑρίσκομεν ὅτι ὅσα ἐν τῇ παλαιᾷ γέγραπται, λέγων, ὁ Θεὸς, ὁ αὐτὸς ἐπανῆλθε πρὸς ἡμᾶς, ὁ πρὸς Ἀβραὰμ ἐπανελθὼν εἰς ὥρας· ὁ φαγὼν πρὸς Ἀβραὰμ, ἐλθὼν πρὸς ἡμᾶς ἐπείνασεν, ὁ εἰρηκὼς, ἐὰν πεινάσω, οὐ μή σοι εἴπω, σὰρξ γενόμενος ὁ λόγος ἐπείνασεν, ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ Ἰησοῦς ὁ Χριστός. ὥστε ἐκβέβληνται πάλιν αἱ σκαιωρίαι τοῦ Σαμοσατέως.

Πρότασις ι'. τοῦ Σαμοσατέως.

Ὑπολαμβάνω πρεσβύτα, ὅτι πλεῖον πάντων Πέτρος ὁ ἀπόστολος ὡς ὢν τοῦ Χριστοῦ μαθητὴς ἤδει τὴν περὶ Χριστοῦ δόξαν. ταῦτα δὲ οὐ λανθάνει ἡμᾶς, ἀλλὰ καὶ πλεῖον πάντων ἐπίστασαι, ὅτι ἀσφαλίζεται γράφων εἰς τὰς πράξεις ὁ Λουκᾶς· ὅτι ἔστη ὁ Πέτρος ἐπὶ πάντων λέγων, ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι καὶ Χριστὸν καὶ κύριον αὐτὸν ὁ Θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. εἰπὲ οὖν ἡμῖν πρεσβύτα· πῶς ἆρα ἐν τούτῳ ἡμῶν καταγράψῃ, ἐκβολὴν οὑτωσὶ τοῦ ἀποστόλου παραδώσαντος ἡμῖν κρατεῖν μετὰ γνώσεως καὶ ἀσφαλείας τὸν γενόμενον Χριστὸν καὶ κύριον ὑπὸ τοῦ Θεοῦ, ὃν ἐσταύρωσαν οἱ Ἰουδαῖοι; τὰ γὰρ παρ' ὑμῶν γραφέντα Θεὸν ἔχει τὸν

τὸν ἐσταυρωμένον, καὶ συναΐδιον τῷ πατρί. αὐτὸς δὲ λέγει ὁ σταυρωθεὶς, μή μου ἅπτου, φησὶ τῇ Μαρίᾳ. οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου. ἀλλ' ὑμεῖς οὐκ ἀνέχεσθε εἰπεῖν, ὅτι οὔπω ἀνέβη. ἀλλὰ γράφετε πανταχοῦ, ὅτι συναΐδιος ἦν τοῦ πατρὸς, ὁ λέγων, οὔπω ἀναβέβηκα πρὸς τὸν πατέρα.

Α'πόκρισις ι'. τοῦ Πάπα Διονυσίου.

Ὅτι μὲν ἔγραψα, καὶ γράφω, καὶ ὁμολογῶ, καὶ πιστεύω, καὶ κηρύττω συναΐδιον τῷ πατρὶ τὸν Χριστὸν, τὸν μονογενῆ υἱὸν καὶ λόγον τοῦ πατρός. πλὴν οὐδενὶ τῶν αἱρετικῶν οὔτε ἔγραψα, ὡς οὐδὲ νῦν σοι, ἀγένητον πατέρα. τί οὖν ὃ οὐκ ἔγραψά σοι κατηγορεῖς μου; ἃ δὲ ἔγραψα, γνωρίζω, καὶ παρ' ἐμοί εἰσιν. ἰδοὺ δὲ εἰς σὲ πληροῦται καὶ τοὺς κατὰ σέ· ὅτι κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλῃ· καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον· οὐ κατ' ἐμοῦ λέγω, ἀλλὰ κατὰ τοῦ Θεοῦ. οὐκ οἶδα τίς σοι ἐκέρασε τὸ τεθολωμένον τοῦτο δρᾶμα τῆς ἀσεβείας καὶ ἐσκότωσε, μὴ νοῶν ἃ λέγεις· ἔγραψα γάρ σοι καὶ ἐν τῇ ἐπιστολῇ, πρὸς ἣν καὶ ταῦτα ἀντέγραψας, ὅτι ἑκὼν λέληθας ὦ ἑταῖρε. οὐχ ὡς συμπρεσβύτερον ἑταῖρον εἶπον, ἀλλ' ὡς ἕτερον ὄντα, ᾧ ἐῤῥέθη παρὰ τοῦ κυρίου. ἑταῖρε ἐφ' ᾧ πάρει; ἔλθω τοίνυν σὺν Θεῷ ἐπὶ τὴν δίηγησιν, τί τὸ εἰρημένον, ὅτι καὶ Χριστὸν καὶ κύριον αὐτὸν ὁ Θεὸς ἐποίησε· γέγραπται, ὅτι οὕτως ὁ Θεὸς ἠγάπησε τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδοκεν εἰς τὸν κόσμον· γέγονεν ἡμῖν εἰς Θεὸν ὁ Χριστὸς Ἰησοῦς ὁ ὢν ἀεὶ Χριστὸς κύριος· καὶ ἡμεῖς ἐγενόμεθα αὐτοῦ λαὸς, οἱ ποτὲ ὡς πρόβατα πλανώμενοι· νῦν δὲ ἐπεστράφημεν ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ἡμῶν, ἐπὶ τὸν ὄντα ἀεὶ Χριστὸν κύριον ἐπεστράφημεν. ἡμῖν γὰρ ἐγένετο Χριστὸς κύριος. * ὥσπερ γὰρ ἡμῖν ἐγενήθη παιδίον ὁ υἱὸς, ὢν ἀΐδιος· αὐτὸς ἐγένετό μοι εἰς σωτηρίαν· ἡμεῖς οὐκ ἦμεν πάλαι λαὸς αὐτοῦ, καθότι ἠγνοοῦμεν. οὐ λόγῳ παρήχθη ὁ λόγος τοῦ πατρὸς, ὥσπερ ἡ τῶν ἄνω ἁγίων πνευμάτων πληθύς. ἀλλὰ λόγος ὢν ἐκ τῆς ὑποστάσεως τοῦ πατρὸς ἐγενήθη· οὐ γὰρ κτιστὸς ὁ λόγος Ἰησοῦς ὁ Χριστός· διὸ ὡς ἀληθινῷ λατρεύομεν τῷ Χριστῷ· ἐπεὶ ἄρα καὶ ἐν ἐγκλήσει ἐσμὲν λατρεύοντες τῇ κτίσει παρὰ τὸν κτίσαντα. καὶ εἰ, κατὰ τὸν Σαμοσατέα, οὐκ ἀνέβη πρὸς τὸν πατέρα, πόθεν ἦν ὁ εἰπὼν, ὁ πατήρ μου ἐν ἐμοὶ μένει; εἰ γὰρ οὐκ ἀνέβη, τί καὶ λέγει, ὅτι οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς; ἆρα κατὰ τὸν ἑταῖρον τῶν παρανόμων ψεύστην θέλει αὐτὸν δεῖξαι τὸν λέγοντα, ἐγὼ εἰμὶ ἡ ἀλήθεια; ἡμεῖς δὲ διὰ τῶν δύο πραγμάτων ἀμεταθέτων ὄντων συνηγορήσομεν τῇ ἀληθείᾳ. ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. ὥσπερ λέγει. οὐδέπω γὰρ ἦν πνεῦμα, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. ὅτι δὲ ὁ Σαμοσατεὺς λέγει, πρὸ Μαρίας μὲν ἦν πνεῦμα ἅγιον, Χριστὸς δὲ οὐκ ἦν. πῶς ὅτι ἐστὶν αὐτοῦ ἔγγραφος κατάθεσις, ὅτι ἦν πρὸ Χριστοῦ καὶ Μαρίας πνεῦμα ἅγιον; λέγει δὲ ὁ εὐαγγελιστὴς, ὅτι οὔπω ἦν πνεῦμα, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη. ἐν τούτῳ ὁ Σαμοσατεὺς τί λέγει; ὅτι καὶ αἱ δύο φωναὶ αὐτοῦ τοῦ κυρίου εἰσὶ, καὶ ἀδύνατον ψεῦδος ἐν αὐτῷ, μὴ γένοιτο· αὐτὸς γὰρ λέγει ὁ κύριος, ὅτι ὁ λαλῶν τὸ ψεῦδος ἐκ τοῦ πονηροῦ ἐστιν. ὁρᾶτε ἀδελφοὶ, πόση τύφλωσις; ὅλην τὴν ἡμέραν καὶ τὴν νύκτα ἠκόνησε βέλη κατὰ τοῦ κυρίου, καὶ πολεμεῖν πειρᾶται ἄνθρωπος μὴ εἰδὼς, μήτε δεδιδαγμένος πολεμεῖν· καίτοι οἱ πολεμεῖν δεδιδαγμένοι ἄνθρωποι, καὶ ὑψηλοὶ ἐν καιρῷ ἀγώνων ὤλοντο· καὶ διὰ τῶν ἰδίων αὐτῶν ὅπλων, ἐν οἷς ἐπεποίθοσαν ἐπ' αὐτοῖς, δι' αὐτῶν ἀφῃρέθησαν αὐτῶν αἱ κεφαλαὶ μετὰ τοῦ τὰ παράνομα σαλπίζοντος στόματος. οὐδέπω ἦν δεδομένον τὸ πνεῦμα τὸ ἅγιον. οὔπω ἦν ἐλθὸν τὸ κύριον πνεῦμα ὁ παράκλητος, ἵνα ἐπικαθίσῃ ἐφ' ἕνα ἕκαστον τῶν ἁγίων ἀποστόλων οὗ ἦσαν καθήμενοι. γέγραπται γὰρ ὅτι ὀφθήσεται ὁ Θεὸς τῶν Θεῶν ἐν Σιών· ὤφθη αὐτοῖς μετὰ τὸ ἐλθεῖν αὐτοὺς ἐκ τοῦ ὄρους τοῦ καλουμένου ἐλαιῶνος. ἐκεῖθεν ἦλθον εἰς Σιὼν, καὶ πληροῦται τὸ γεγραμμένον, ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ. ἦν γὰρ μετ' αὐτῶν καὶ ὁ οἶκος ὁ μέγας τοῦ Θεοῦ, τὸ ἐμφανὲς ὄρος τοῦ Θεοῦ ἡ θεοτόκος Μαρία· θρόνους δὲ καὶ τοὺς ἀποστόλους ἐκάλεσεν ὁ Δαβὶδ διὰ πνεύματος ἁγίου, διὰ τὸ ἐπικαθίσαι ἐφ' ἕνα ἕκαστον αὐτῶν τὸ πνεῦμα τὸ ἅγιον, τὸ πεφανερωμένον ἐπικαθίσαν ἐπ' αὐτοὺς ἐν εἴδει γλωσσῶν πυρίνων. καὶ περὶ τοῦ εἰπεῖν τὸν ἀληθινὸν Ἰησοῦν τὸν Θεὸν Ἰσραὴλ, ὅτι οὔπω ἀναβέβηκα πρὸς τὸν πατέρα μου, οὐδέπω ἦσαν θεωρήσαντες αὐτὸν ἀνερχόμενον, ὅπου ἦν τὸ πρότερον, αὐτοῦ ἐστι φωνὴ τοῦ ἀνθρωπισθέντος Θεοῦ λόγου. τὸ, ἐὰν οὖν ἴδητε, φησὶ, τὸν υἱὸν τοῦ ἀνθρώπου ἀνερχόμενον, ὅπου ἦν τὸ πρότερον. καὶ πάλιν· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. αὐτὸς ἐγένετό μοι εἰς Θεὸν καὶ κύριον Ἰησοῦν ὁ εἷς ὢν λόγος. μία αὐτοῦ ὑπόστασις καὶ ἓν πρόσωπον· αὐτός ἐστιν ᾧ ὑπετάγη τὰ πάντα παρὰ τοῦ πατρὸς, οὐκ ὢν ἔλαττον τοῦ πατρὸς, ὑπὲρ ἡμῶν προσηύξατο, λέγων· πάτερ ἅγιε ἁγίασον αὐτοὺς, διατήρησον αὐτοὺς ἐν τῷ κόσμῳ· νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα, οἵ τινές εἰσιν οἱ τῶν εἰδώλων λατρευταί. καὶ ἡ τῶν Ἰουδαίων ἀπειθὴς συναγωγὴ, ἡ περιλελυμένη ἀπὸ τοῦ ἀληθινοῦ νημφίου, καὶ τῷ Βαραββᾷ ἑαυτὴν περιπλέξασα. ὁ Σαμοσάτης δὲ σκεῦος ὀργῆς καταρτίσας ἑαυτὸν τῇ ἀπωλείᾳ, ταῖς Ἀρτεμᾶ βλασφημίαις, περιπείρας ἑαυτὸν τοῖς ἐκείνου βρόχοις. οὔτε γὰρ Ἰουδαῖοι ὁμολογοῦσιν ὅτι αὐτός ἐστιν ὁ Χριστὸς ὁ πρὸ αἰώνων λόγος, οὔτε ὁ Σαμοσατεὺς, ἀλλὰ κἀκεῖνοι ἄνθρωπον αὐτὸν λέγουσιν ὡς ἕνα τῶν προφητῶν· καὶ ὁ Σαμοσατεὺς ὡσαύτως, ὡς καὶ ἀρτίως ἔγραψα. ὅταν λέγῃ ὁ Θεὸς τῷ Ἀβραάμ· οὐ μὴ ἀποκρύψω ἀπὸ Ἀβραὰμ πάντα, ἃ μέλλω ποιεῖν· οὐκ εἶπεν, ἅπερ ἐπετράπη μοι. καὶ πάλιν λέγει· ὅτι ἐπανελεύσομαι πρὸς σὲ εἰς ὥρας, καὶ ἔσται τῇ Σάῤῥα υἱός· ἆρα τί φησιν ἐν τούτῳ ὁ ἀμαθής; καὶ ὅτι ἀνέβη ὁ Θεὸς ἀπὸ Ἀβραάμ· μή τόπον ἐκ τόπου ἀνέβη ὁ θεὸς ἀπὸ Ἀβραάμ; ὁ αὐτός ἐστι, καὶ αὗταί εἰσιν αἱ φωναὶ ὅτι ἐν τῷ οὐρανῷ ἐστι. μεῖζον δὲ πάντων τὸ εἶναι αὐτὸν χωρούμενον ἐν πατρὶ, καὶ χωρεῖν ἐν ἑαυτῷ τὸν πατέρα σωματικῶς, καὶ τὸ πνεῦμα τὸ ἅγιον· περὶ ἀσωμάτου πατρὸς, καὶ ἁγίου πνεύματος λαλεῖ ὁ ἱερὸς μαθητής. καὶ σωματικῶς λέγει αὐτὸν ἐν τῷ υἱῷ κατοικοῦντα· τοσαύτας δὲ μαρτυρίας ἐχουσῶν τῶν θείων γραφῶν, μένει μυωπάζων ὁ ἀλλότριος· πεπλήρωται εἰς αὐτὸν τὸ γεγραμμένον, ὅτι ἐτύφλωσεν ὁ Θεὸς τοῦ αἰῶνος τούτου τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ διαυγάσαι ἐν

* Fort. ὅτι

ἐν αὐτοῖς τὸν φωτισμὸν τῆ διαγγελίᾳ· ἵνα κατανοήσωσι * τῷ ἀποστόλῳ λέγοντι· ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας ἐν δεξιᾷ τῆ θρόνῳ τῆ Θεῆ κεκάθικε· πρῶτον ἐρωτῆσαι ἐστιν ὃ λέγει, ὅτι ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας· ὡς πολλάκις ἔγραψα. ὅτι εἶπεν ὁ Θεός, ὅτι ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφήταις ὡμοιώθην· ὡμοιώθη τῷ Ἰωᾷ εἰσελθὼν ἐν μνημείῳ καὶ σὺν πατρὶ προσκυνούμενος· ὑψώθη ἐπὶ σταυρῆ γυμνὸς καὶ ἀνυπόδετος· ὡς Ἡσαΐας προεφητεύων κατὰ τῆς συναγωγῆς τῶν Ἰουδαίων. τὰ δὲ ἄλλα διαφόρως μοι εἴρηται ὡς καὶ ταῦτα. παραλέλειπται δὲ τὸ, πῆ προδιεγράφη, καταφρονήσας αἰσχύνης. ὁ Ἰούδας, ὅτε ἐμοιχεύσατο τῆ νύμφῃ αὐτοῦ ἀγνοῶν, ὡς ἐφανερώθη ἡ σύλληψις τῆς Θάμαρ, ὑπολαβὼν ὁ Ἰούδας, καὶ φησὶ, νομίσας αὐτὴν ἐκπορνείας συνειληφέναι, κατέκρινεν αὐτὴν θανατωθῆναι· ἀγομένη δὲ ἡ Θάμαρ, ἔφη· ἐπίγνωθι ταῦτα, τίνι ῥάβδον καὶ τὸν ὁρμίσκον. ἐξ ὧν γὰρ εἰσι ταῦτα. ἐγὼ ἔχω ἐν γαστί. τότε ὁ Ἰούδας καταφρονήσας τῆς αἰσχύνης, ὡμολόγει λέγων, δεδικαίωται Θάμαρ ἢ ἐγώ. καὶ διασώζεται Θάμαρ μὴ ἀποθανεῖν. εἰ μὴ γὰρ καταφρόνησεν Ἰούδας αἰσχύνης, Θάμαρ ἀπεθνήσκε πικρῶς· ἀλλ' ὁ Ἰούδας οὐκ ἀπέθανεν ὑπὲρ τῆς Θάμαρ. ὁ δὲ Χριστὸς ὑπὲρ πάντων ἀπέθανεν. ἀναλογισώμεθα ἂν τὸν τῆ τοιαύτῃ ὑπομεμνηκότα ὑπὲρ τῆς ἁμαρτωλῶν εἰς ἑαυτὸν ἀντιλογίαν, ἵνα μὴ κάμωμεν ταῖς ψυχαῖς ἐκλυόμενοι· αὐτός ἐστιν ὁ καταβὰς ἐπὶ Ἀβραάμ· αὐτὸς ἐπὶ Μωϋσῆ κατέβη ἐξελέσθαι τὸν λαόν· καὶ νῦν δι' ἡμᾶς ἐπ' ἐσχάτων ἐλθὼν, οὐκ ἐν σχήματι πυρὸς, ἀλλὰ συνελήφθη ἐν γαστὶ παρθένου Μαρίας, τοῦ ἁγίου πνεύματος ἐπελθόντος ἐπ' αὐτήν. καὶ ὡς οἶδεν αὐτὸς μόνος τὸν τρόπον τῆς συλλήψεως καὶ γενέσεως αὐτοῦ, φυλάττων ἄφθαρτον τὴν μητέρα, ἀπὸ ποδῶν ἕως κεφαλῆς ἐλλογημένην. αὕτη γάρ ἐστιν ἡ, προορῶν ὁ Ἰσαὰκ ἔλεγε τῷ Ἰακώβ· δώσει σοι κύριος ἐλλογίαν οὐρανοῦ ἄνωθεν, καὶ ἐλλογίαν γῆς ἐχούσης τὰ πάντα. ὁ γὰρ ἐξ οὐρανοῦ καταβὰς μονογενὴς θεὸς λόγος ἐνθυμηθεὶς κυοφορηθεὶς ἐκ παρθενικοῦ παραδείσου ἔχοντος τὰ πάντα. πνεῦμα ἅγιον ἐπ' αὐτήν. δύναμις ὑψίστου ἐπισκιάζουσα. καὶ τὸ γενόμενον ἅγιον τὸ παιδίον Ἰησοῦς, ὁ ἰσχυρὸς Θεὸς, ὁ ἐξουσιαστὴς, ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας· ἵνα σώσῃ τοὺς διὰ τὴν παρακοὴν ἐκ τοῦ Ἀδὰμ νενεκρωμένους· αὐτὸς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ· εἰ δέ τις εἴπῃ ὁ Σαμοσατεύς, ὅτι ὁ σταυρωθεὶς οὐκ ἦν ἀεὶ ἐν οὐρανῷ, διὰ τὸ εἰρημένον, ὅτι ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικε, συνάγει ἑαυτῷ ἀκάνθας καὶ τριβόλους· ἐρεῖ γὰρ αὐτῷ ὁ Θεὸς τότε· εἰ διὰ τὸ εἰπεῖν τὸν υἱόν μου τὸν μονογενῆ, ὅπου ἀναβέβηκα πρὸς τὸν πατέρα, ἆρα ἄτεκνόν με λέγεις ἐν οὐρανῷ, καὶ ὅτε λέγει, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ· ἢ πρὸς Μωσῆν, ὅτι λέγει κατέβην ἐξελέσθαι αὐτούς· εἰ δὲ περὶ τοῦ παρόντος λέγει, ὅτι ἀνέβη ὁ Θεὸς ἀπὸ Ἀβραάμ. κατὰ τὸν Σαμοσατέα, πάλιν ἄτεκνος ἦν ἐπὶ τῆς γῆς ὁ πατήρ; ὃ μὴ γένοιτο λέγειν· ἀλλὰ ἃ δεῖ ὁμολογεῖν κατὰ τὴν παράδοσιν τοῦ μονογενοῦς περὶ τοῦ παρόντος καὶ τοῦ υἱοῦ τοῦ ἀληθινοῦ. καὶ τοῦ ἁγίου πνεύματος· ὅπως γὰρ αὐτὸν δοξάζοντες χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν· ὃς δ' ἂν γὰρ ὁμολογήσει ἐν αὐτῷ τὸν πατέρα, ὁμολογήσει αὐτὸν υἱὸς ἐμπροσθεν τοῦ παρόντος αὐτοῦ, καὶ νῦν, καὶ ὅταν ἔλθῃ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ, καὶ εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος.

ΕΠΙΣΤΟΛΗ

τῆς ὁλκάδος

ΕΝ ΑΝΤΙΟΧΕΙΑ, ΣΥΝΟΔΟΥ.

Μίαν δὴ ἓν ἐκκοινῆς γνώμης οἱ ἐπὶ ταὐτὸ συγκεκροτημένοι ποιμένες διαχαράξαντες ἐπιστολὴν εἰς πρόσωπον τοῦ τε Ῥωμαίων ἐπισκόπου Διονυσίου, καὶ Μαξίμου τοῦ κατ' Ἀλεξάνδρειαν, ἐπὶ πάσας διαπέμπονται τὰς ἐπαρχίας· τὴν αὐτῆς σπουδὴν τοῖς πᾶσι φανερὰν καθιστάντες, καὶ τοῦ Παύλου τὴν διάστροφον ἑτεροδοξίαν, ἐλέγχους τε καὶ ἐρωτήσεις, ἃς πρὸς αὐτὸν ἀνακεκινήκασι. καὶ ἔτι τὸν φαύλον βίον τε καὶ ζόφον τοῦ ἀνδρὸς διηγούμενοι. ἐξ ὧν μνήμης ἕνεκεν καλῶς ἂν ἔχοι ταύτας αὐτῆς ἐπὶ τοῦ παρόντος διελθεῖν τὰς φωνάς· ἐπιστολή. Διονυσίῳ καὶ Μαξίμῳ καὶ τοῖς κατὰ τὴν οἰκουμένην πᾶσι συλλειτουργοῖς ἡμῶν ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις· καὶ πάσῃ τῇ ὑπὸ τὸν οὐρανὸν καθολικῇ ἐκκλησίᾳ, Ἕλενος καὶ Γρηγόριος καὶ Θεόφιλος, καὶ Θεόκτιστος, καὶ Μάξιμος, Πρόκλος, Νικόμας καὶ Αἰλιανὸς, Παῦλος καὶ Πρωτογένης καὶ Ἱεραξ καὶ Εὐτύχιος καὶ Θεόδωρος καὶ Μαλχίων καὶ Λύκιος, καὶ οἱ λοιποὶ πάντες οἱ σὺν ἡμῖν παροικοῦντες τὰς ἐγγὺς πόλεις καὶ ἔθνη ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι. καὶ αἱ ἐκκλησίαι τοῦ Θεοῦ, ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίῳ χαίρειν. τούτοις μετὰ βραχέα, ἐπιλέγουσι ταῦτα· ἐπεστέλλομεν δὲ ἅμα καὶ παρεκαλοῦμεν πολλοὺς καὶ τῶν μακρὰν ἐπισκόπων, ἐπὶ τὴν θεραπείαν τῆς θανατηφόρου διδασκαλίας· ὥσπερ καὶ Διονύσιον τὸν ἐπὶ τῆς Ἀλεξανδρείας· καὶ Φιρμιλιανὸν τὸν ἀπὸ τῆς Καππαδοκίας, τοὺς μακαρίτας· ὧν ὁ μὲν ἐπέστειλεν εἰς τὴν Ἀντιόχειαν, τὸν ἡγεμόνα τῆς πλάνης οὐδὲ προσρήσεως ἀξιώσας· οὐδὲ πρὸς πρόσωπον γράψας αὐτῷ, ἀλλὰ τῇ παροικίᾳ πάσῃ· ἧς καὶ τὸ ἀντίγραφον ὑπετύξαμεν· ὁ δὲ Φιρμιλιανὸς καὶ δὶς ἀφικόμενος, κατέγνω μὲν τῆς ὑπ' ἐκείνου καινοτομουμένων, ὡς ἴσμεν καὶ μαρτυροῦμεν οἱ παραγενόμενοι, καὶ ἄλλοι πολλοὶ σύνισασιν· ἐπαγγελαμένη δὲ μεταθήσεσθαι, πίστεσας καὶ ἐλπίσας ἀνδρὸς τινὸς περὶ τὸν λόγον λοιδορίας τὸ πρᾶγμα εἰς δέον κατασήσεσθαι, ἀνεβάλετο παρακρουσθεὶς ὑπ' αὐτοῦ τοῦ τὸ καὶ τὸν Θεὸν τὸν ἑαυτοῦ καὶ κύριον ἀρνουμένου· καὶ τίνι τρόπῳ λέγω καὶ αὐτὸς πρότερον εἶχε μὴ φυλάξαντος· ἔμελλε δὲ καὶ νῦν ὁ Φιρμιλιανὸς εἰς τὴν Ἀντιόχειαν διαβήσεσθαι· καὶ μέχρι γε Ταρσῶν ἦκεν, ἔνθεν τῆς ἀρτισθείσης αὐτοῦ κακίας πεῖραν εἰληφώς· ἀλλὰ γὰρ μεταξὺ συνειληλυθότων ἡμῶν καὶ καλούντων καὶ ἀναμενόντων ἄχρις ἂν ἔλθῃ, τέλος ἔχει τοῦ βίου. μεθ' ἕτερα δ' αὖθις τὸν βίον τοῦ αὐτοῦ οἷας ἐτύγχανεν ἀγωγῆς, διαγράφουσιν ἐν τούτοις· ὅπου δὲ ἀποστὰς τῶν κανόνων ἐπὶ κίβδηλα καὶ νόθα δόγματα μετεληλύθει, οὐδὲν δεῖ τοῦ ἔξω ὄντος τὰς φράξεις κρίνειν,

οὐδὲ

οὐδὲ ὅτι πρότερον πένης ὢν καὶ πτωχός· καὶ μήτε παρὰ πατέρων παραλαβὼν μηδεμίαν εὐπορίαν· μήτε ἐκ τέχνης ἤ τινος ἐπιτηδεύματος κτησάμενος, νῦν εἰς ὑπερβάλλοντα πλοῦτον ἐλήλακεν, ἐξ ἀνομιῶν καὶ ἱεροσυλιῶν, καὶ ὧν αἰτεῖ καὶ σείει τοὺς ἀδελφοὺς, καταβραβεύων τοὺς ἀδικουμένους καὶ ὑπισχνούμενος βοηθήσειν μισθοῦ· ψευδόμενος δὲ καὶ τούτους, καὶ μάτην καρπούμενος τὴν τῶν ἐν πράγμασιν ὄντων ἑτοιμότητα πρὸς τὸ διδόναι ὑπὲρ ἀπαλλαγῆς τῶν ἐνοχλούντων· πορισμὸν ἡγούμενος τὴν θεοσέβειαν· οὔτε ὡς ὑψηλὰ φρονεῖ καὶ ὑπερῆρται κοσμικὰ ἀξιώματα ὑποδυόμενος· καὶ δυκηνάριος μᾶλλον ἢ ἐπίσκοπος θέλων καλεῖσθαι. καὶ σοβῶν κατὰ τὰς ἀγοράς· καὶ ἐπιστολὰς ἀναγινώσκων καὶ ὑπαγορεύων ἅμα βαδίζων δημοσίᾳ καὶ δορυφορούμενος, τῶν μὲν προπορευομένων, τῶν δὲ ἐφεπομένων πολλῶν τὸν ἀριθμόν· ὡς καὶ τὴν πίστιν φθονεῖσθαι καὶ μισεῖσθαι διὰ τὸν ὄγκον αὐτοῦ καὶ τὴν ὑπερηφανίαν τῆς καρδίας· οὔτε τὴν ἐν ταῖς ἐκκλησιαστικαῖς συνόδοις τερατείαν, ἣν μηχανᾶται δοξοκοπῶν καὶ φαντασιοκοπῶν· καὶ τὰς τῶν ἀκεραιοτέρων ψυχὰς τοῖς τοιούτοις ἐκπλήττων· βῆμα μὲν καὶ θρόνον ὑψηλὸν ἑαυτῷ κατασκευασάμενος, οὐχ ὡς Χριστοῦ μαθητὴς, σήκρητον δὲ, ὥσπερ οἱ τοῦ κόσμου ἄρχοντες, ἔχων τε καὶ ὀνομάζων. παίων τε τῇ χειρὶ τὸν μηρὸν, καὶ τὸ βῆμα ἀράττων τοῖς ποσὶ, καὶ τοῖς μὴ ἐπαινοῦσι, μὴ δὲ ὥσπερ ἐν τοῖς θεάτροις κατασείουσι ταῖς ὀθόναις, μὴ δ' ἐκβοῶσι τε καὶ ἀναπηδῶσι κατὰ τὰ αὐτὰ τοῖς ἀμφ' αὐτὸν στασιώταις ἀνδράσι τε καὶ γυναίοις, ἀκόσμως οὕτως ἀκροωμένοις. τοῖς δ' οὖν ὡς ἐν οἴκῳ Θεοῦ σεμνοπρεπῶς καὶ εὐτάκτως ἀκούουσιν, ἐπιτιμῶν καὶ ἐνυβρίζων· καὶ εἰς τοὺς ἀπελθόντας ἐκ τοῦ βίου τούτου παροινῶν ἐξηγητὰς τοῦ λόγου, φορτικῶς ἐν τῷ κοινῷ, καὶ μεγαλορρημονῶν περὶ ἑαυτοῦ, καθάπερ οὐκ ἐπίσκοπος, ἀλλὰ σοφιστὴς καὶ γόης· ψαλμοὺς δὲ τοὺς μὲν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παύσας, ὡς δὴ νεωτέρους καὶ νεωτέρων ἀνδρῶν συγγράμματα· εἰς ἑαυτὸν δὲ ἐν μέσῃ τῇ ἐκκλησίᾳ, τῇ μεγάλῃ τοῦ πάσχα ἡμέρᾳ, ψαλμῳδεῖν γυναῖκας παρασκευάζων, ὧν καὶ ἀκούσας ἄν τις φρίξειεν· οἷα καὶ τοὺς θωπεύοντας αὐτὸν ἐπισκόπους τῶν ὁμόρων ἀγρῶν τε καὶ πόλεων, καὶ πρεσβυτέρους, ἐν ταῖς πρὸς τὸν λαὸν ὁμιλίαις καθίησι διαλέγεσθαι. τὸν μὲν γὰρ υἱὸν τοῦ Θεοῦ οὐ βούλεται συνομολογεῖν ἐξ οὐρανοῦ κατεληλυθέναι, ἵνα τὶ προλαβόντες τῶν μελλόντων γραφήσεσθαι θῶμεν· καὶ τοῦτο οὐ λόγῳ ψιλῷ ῥηθήσεται, ἀλλ' ἐξ ὧν ἐπέμψαμεν ὑπομνημάτων δείκνυται πολλαχόθεν. οὐχ ἥκιστα δὲ ὅπου λέγει Ἰησοῦν Χριστὸν κάτωθεν· οἱ δὲ εἰς αὐτὸν ψάλλοντες καὶ ἐγκωμιάζοντες ἐν τῷ λαῷ, ἄγγελον τὸν ἀσεβῆ διδάσκαλον ἑαυτῶν ἐξ οὐρανοῦ κατεληλυθέναι λέγουσι· καὶ ταῦτα οὐ κωλύει, ἀλλὰ καὶ λεγομένοις πάρεστιν ὁ ὑπερήφανος. τὰς δὲ συνεισάκτους αὐτοῦ γυναῖκας ὡς Ἀντιοχεῖς ὀνομάζουσι, καὶ τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων, οἷς καὶ τοῦτο καὶ τὰ ἄλλα ἁμαρτήματα ἀνίατα ὄντα συγκρύπτει, συνειδὼς καὶ ἐλέγξας ὅπως αὐτοὺς ὑπόχρεως ἔχῃ, περὶ ὧν λόγοις καὶ ἔργοις ἀδικεῖ, μὴ τολμῶντας κατηγορεῖν τῷ καθ' ἑαυτοὺς φόβῳ· ἀλλὰ καὶ πλουσίους ἀπέφηνεν· ἐφ' ὧ πρὸς τῶν τὰ τοιαῦτα ζηλούντων φιλεῖται καὶ θαυμάζεται· τί ἂν ταῦτα γράφοιμεν; ἐπιστάμεθα δὲ ἀγαπητοὶ ὅτι τὸν ἐπίσκοπον καὶ τὸ ἱερατεῖον ἅπαν παράδειγμα εἶναι δεῖ τῷ πλήθει πάντων καλῶν ἔργων. καὶ οὐδὲ ἐκεῖνο ἀγνοοῦμεν, ὅσοι ὑπὸ τοῦ συνεισάγειν ἑαυτοῖς γυναῖκας ἐξέπεσον· οἱ δ' ὑπωπτεύθησαν· ὥστ' εἰ καὶ δόιη τὶς αὐτῷ τὸ μηδὲν ἀσελγὲς ποιεῖν, ἀλλὰ τήν γε ὑπόνοιαν τὴν ἐκ τοῦ τοιούτου πράγματος φυομένην, ἐχρῆν εὐλαβηθῆναι, μή τινα σκανδαλίσῃ, τοὺς δὲ καὶ μιμεῖσθαι προτρέψηται· πῶς γὰρ ἂν ἐπιπλήξειεν ἢ νουθετήσειεν ἕτερον, μὴ συγκαταβαίνειν ἐπιπλέον εἰς ταυτὸν γυναικὶ μὴ ὀλίσθῃ φυλαττόμενον ὡς γέγραπται. ὅς τις μίαν μὲν ἀπέστησεν ἤδη, δύο δὲ ἀκμαζούσας καὶ εὐπρεπεῖς τὴν ὄψιν ἔχει μεθ' ἑαυτοῦ. κἂν ἀπίῃ που, συμπεριφέρει. καὶ ταῦτα τρυφῶν καὶ ὑπερεμπιμπλάμενος· ὧν ἕνεκα στενάζουσι μὲν καὶ ὀδύρονται πάντες καθ' ἑαυτοὺς. οὕτω δὲ τὴν τυραννίδα καὶ δυναστείαν αὐτοῦ πεφόβηνται, ὥστε κατηγορεῖν μὴ τολμᾶν· ἀλλὰ ταῦτα μὲν, ὡς προειρήκαμεν, εὔθυνεν ἄν τις τὸν ἄνδρα· τὸ γοῦν φρόνημα καθολικὸν ἔχοντα, καὶ συγκαταριθμούμενον ἡμῖν· τὸν δὲ ἐξορχησάμενον τὸ μυστήριον καὶ ἐμπομπεύοντα τῇ μιαρᾷ αἱρέσει τῇ Ἀρτεμᾷ (τί γὰρ οὐ χρὴ μόλις τὸν πατέρα αὐτοῦ δηλῶσαι) οὐδὲν δεῖν ἡγούμεθα τούτων τοὺς λογισμοὺς ἀπαιτεῖν· εἶτ' ἐπὶ τέλει τῆς ἐπιστολῆς, ταῦτ' ἐπιλέγουσιν· ἠναγκάσθημεν οὖν ἀντιτασσόμενον αὐτὸν τῷ Θεῷ καὶ μὴ εἴκοντα ἐκκηρύξαντες, ἕτερον ἀντ' αὐτοῦ τῇ καθολικῇ ἐκκλησίᾳ καταστῆσαι ἐπίσκοπον Θεοῦ προνοίᾳ ὡς πεπείσμεθα, τὸν τοῦ μακαρίου Δημητριανοῦ καὶ ἐπιφανῶς προστάντος πρὸ τούτου τῆς αὐτῆς παροικίας υἱὸν Δόμνον ἅπασι τοῖς πρέπουσιν ἐπισκόπῳ καλοῖς κεκοσμημένον· ἐδηλώσαμέν τε ὑμῖν, ὅπως τούτῳ γράφητε, καὶ τὰ παρὰ τούτου κοινωνικὰ δέχησθε γράμματα· τῷ δὲ Ἀρτεμᾷ οὗτος ἐπιστελλέτω· καὶ οἱ τὰ Ἀρτεμὰ φρονοῦντες, τούτῳ κοινωνείτωσαν. καὶ ταῦτα μὲν ἐνταυθοῖ κείσθω. τοῦ δὴ οὖν Παύλου σὺν καὶ τῇ τῆς πίστεως ὀρθοδοξίᾳ τῆς ἐπισκοπῆς ἐκπεπτωκότος, Δόμνος, ὡς εἴρηται, τὴν λειτουργίαν τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας διεδέξατο· ἀλλὰ γὰρ μηδαμῶς ἐκστῆναι τοῦ Παύλου τοῦ τῆς ἐκκλησίας οἴκου θέλοντος· βασιλεὺς ἐντευχθεὶς Αὐρηλιανὸς, αἰσιώτατα περὶ τοῦ πρακτέου διείληφε· τούτοις νεῖμαι προστάττων τὸν οἶκον, οἷς ἂν οἱ κατὰ τὴν Ἰταλίαν καὶ τὴν Ῥωμαίων πόλιν ἐπίσκοποι τοῦ δόγματος ἐπιστέλλοιεν· οὕτω δῆτα ὁ προδηλωθεὶς ἀνὴρ μετὰ τῆς ἐσχάτης αἰσχύνης, ὑπὸ τῆς κοσμικῆς ἀρχῆς ἐξελαύνεται τῆς ἐκκλησίας.

ΣΥ'ΝΟΔΟΣ

Ε'Ν Α'ΝΤΙΟΧΕΙ'Α,

ὑπὸ Ε'λενοῦ οὕτω καλουμένης ἐν τῷ συνοδικῷ βιβλίῳ.

ΣΥ'νοδος θεία καὶ ἱερὰ τοπικὴ, ἐν Α'ντιοχείᾳ συναθροισθεῖσα, ἧς ἔξαρχος ἦν Ε'λενὸς, ὁ Ταρσοῦ ἐπίσκοπος, Θεόδωρος, ὁ Μοψουεστίας, ὁ θαυματουργὸς Γρηγόριος, Καισαρίας Πόντου, Α'νατόλιος Λαοδικείας, ὁ ἱερόσοφος, οὗτινος οἱ περὶ τοῦ πάσχα κανόνες ἐκφέρονται, καὶ Μαλχίων, Α'ντιοχείας ὁ ἱερώτατος. καθελοῦσα καὶ ἀποκηρύξασα Παῦλον τὸν Σαμοσατέα, μηδὲν ἧττον Α'ννα καὶ Καϊάφα ἐπὶ Χριστὸν πρεσβεύοντα.

ΚΛΑ'ΣΜΑ Ε'ΠΙΣΤΟΛΗ̃Σ Δ'.

ΦΙ'ΛΗΚΟΣ ΠΑ'ΠΑ Α'.

ΠΡΟ'Σ ΜΑ'ΞΙΜΟΝ Ε'ΠΙ'ΣΚΟΠΟΝ

καὶ πρὸς τὸν Κλῆρον Α'λεξανδρείας.

Περὶ τῆς θεότητος καὶ ἀνθρωπότητος τοῦ Χριστοῦ.

Περὶ δὲ τῆς σαρκώσεως τοῦ λόγου καὶ τῆς πίστεως, πιστεύομεν εἰς τὸν κύριον ἡμῶν Ι'ησοῦν Χριστὸν, τὸν ἐκ τῆς παρθένου Μαρίας γεννηθέντα, ὅτι αὐτός ἐστιν ὁ τοῦ Θεοῦ ἀΐδιος υἱὸς, καὶ λόγος, καὶ οὐκ ἄνθρωπος ὑπὸ Θεοῦ ἀναληφθεὶς, ἵν' ἕτερος ᾖ παρ' ἐκεῖνον. οὐδὲ γὰρ ἄνθρωπον ἀνέλαβεν ὁ τοῦ Θεοῦ υἱὸς, ἵν' ᾖ ἕτερος παρ' αὐτόν. ἀλλὰ Θεὸς ὢν τέλειος, γέγονεν ἅμα καὶ τέλειος ἄνθρωπος σαρκωθεὶς ἐκ παρθένου.

ΣΥ'ΝΟΔΟΣ Ε'Ν ΜΕΣΟΠΟΤΑΜΙ'Α,

ΥΠΟ' Α'ΡΧΕΛΑ'ΟΥ

ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

ΣΥ'νοδος θεία καὶ ἱερὰ μερικὴ συναθροισθεῖσα ἐν τῇ Μεσοποταμίᾳ, ἀπὸ Α'ρχελάου ἐπισκόπου Καρχάρων, καὶ Διοδώρου ἱερέως, κατὰ Μάνεντος τοῦ ἐρεβώδους, καὶ Διοδωριάδου πρεσβυτέρου. ἥτις πολυτρόπως τούτους ἐλέγξασα ἀπεκήρυξε.

ΜΑΝΙΧΑΙ'ΟΣ

Α'πόστολος Ι'ησοῦ Χριστοῦ, καὶ οἱ σὺν ἐμοὶ πάντες ἅγιοι, καὶ παρθένοι, Μαρκέλλῳ τέκνῳ ἀγαπητῷ, χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ κυρίου ἡμῶν Ι'ησοῦ Χριστοῦ, καὶ ἡ δεξιὰ τοῦ φωτὸς διατηρήσει σε ἀπὸ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, καὶ τῶν συμπτωμάτων αὐτοῦ, καὶ παγίδων τοῦ πονηροῦ, ἀμήν.

ΤΗ'ν μὲν περὶ σὲ ἀγάπην μεγίστην οὖσαν αἰσθηθεὶς, λίαν ἐχάρην. τὴν δὲ πίστιν οὐκ οὖσαν κατὰ τὸν ὀρθὸν λόγον ἠχθέσθην. ὅθεν πρὸς ἐπανόρθωσιν τοῦ τῶν ἀνθρώπων γένους ἀποσταλεὶς, φειδόμενός τε τῶν ἀπάτῃ καὶ πλάνῃ ἑαυτοὺς ἐκδεδωκότων, ταῦτα τὰ γράμματα πρὸς σὲ ἀναγκαῖον ἡγησάμην ἀποστεῖλαι, πρῶτον μὲν πρὸς σωτηρίαν τῆς σεαυτοῦ ψυχῆς. ἔπειτα δὲ καὶ τῶν ἅμα σοι τυγχανόντων πρὸς τὸ μὴ ἀδιάκριτόν σε ἔχειν τὸν λογισμὸν, ὡς δὲ τῶν ἁπλουστέρων καθηγεμόνες διδάσκουσι λέγοντες, τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἀπὸ τοῦ αὐτοῦ φέρεσθαι, καὶ μίαν ἀρχὴν εἰσηγούμενοι, οὐ διακρίνοντες, οὐδὲ διαιροῦντες ἀπὸ τοῦ φωτὸς τὸ σκότος, καὶ τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ καὶ φαύλου, καὶ τὸν ἔξωθεν ἄνθρωπον ἀπὸ τοῦ ἔνδον, ὡς προείπομεν, ἀλλὰ κιρνῶντες καὶ ἐγκαταμιγνῦντες θάτερον θατέρῳ, οὐ παύονται. σὺ δὲ, ὦ τέκνον, μὴ ἶσα τοῖς πολλοῖς τῶν ἀνθρώπων ἀλογίστως, καὶ ἁπλῶς ἀμφότερα, ὡς ἂν τύχοι, ἐνώσης μηδὲ τῷ τῆς ἀγαθωσύνης Θεῷ ἀνατίθεσω. ἀρχὴν γὰρ, καὶ τέλος, καὶ τὸν τούτων πατέρα τῶν κακῶν, ἐπὶ τὸν Θεὸν ἀναφέρουσιν, ὧν τὸ τέλος κατάρας ἐγγύς. οὔτε γὰρ ἐν τοῖς εἰρημένοις εὐαγγελίοις παρ' αὐτοῦ τοῦ σωτῆρος ἡμῶν καὶ κυρίου Ι'ησοῦ Χριστοῦ πιστεύουσιν, ὅτι οὐ δύναται δένδρον καλὸν καρποὺς κακοὺς ποιῆσαι, οὐδὲ μὴν δέδρον κακὸν καλοὺς καρποὺς ποιῆσαι. καὶ πῶς τὸν Θεὸν τοῦ Σατανᾶ, καὶ τῶν κακῶν αὐτοῦ πραγμάτων λέγειν τολμῶσι ποιητὴν καὶ δημιουργὸν, θαυμάζειν μοι ἐπέρχεται· καὶ εἴθε μὲν ἄχρι τούτων ἔφθασεν αὐτοῦ ἡ ματαιοπονία, καὶ μὴ τὸν μονογενῆ τὸν ἐκ τῶν κόλπων τοῦ πατρὸς καταβάντα Χριστὸν, Μαρίας τινὸς γυναικὸς ἔλεγον εἶναι υἱὸν, ἐξ αἵματος καὶ σαρκὸς, καὶ τῆς ἄλλης δυσωδίας τῶν γυναικῶν γεγενῆσθαι. καὶ ἵνα μὴ τὰ πολλὰ διὰ τῆς δὲ τῆς ἐπιστολῆς γράφων, εἰς μῆκος χρόνου διασύρω σου τὴν ἐπιείκειαν, οὐκ ἔχων τὰς φυσικὰς φράσεις, ἐπὶ τούτοις ἀρκεσθήσομαι τὸ δι' ὅλον γνώσῃ παρόντος μου πρὸς σὲ, εἴγε τῆς σεαυτοῦ σωτηρίας ἔτι φείδῃ, οὐδὲ γὰρ βρόχον τινὶ ἐπιβάλλω, ὡς δὲ τῶν πολλῶν ἀφρονέστεροι ποιοῦσιν. νόει ἃ λέγω, τέκνον τιμιώτατε.

ΜΑ'ΡΚΕΛΛΟΣ.

Α'νὴρ ἐπίσημος, μανιχαίῳ τῷ διὰ τῆς ἐπιστολῆς δηλουμένῳ, Χαίρειν.

ΤΗ'ν μὲν ὑπὸ σοῦ γραφεῖσαν ἐπιστολὴν προσηκάμην. τὸν δὲ Τύρβωνα προσεδεξάμην κατὰ φιλοφρωσύνην ἐμὴν τῶν δὲ γραμμάτων τὸν νοῦν οὐδαμῶς ἔγνων, εἰ μὴ σὺ παραγενόμενος φράσῃς ἡμῖν καταλογάδην ἕκαστον, ὡς ὑπέσχον διὰ τῆς ἐπιστολῆς ἔρρωσθε.

Εἰ τὴν τοῦ Μάνη πίστιν θέλετε μαθεῖν, παρ' ἐμ

ἀκούσατε συντόμως. οὗτος δύο σέβει Θεοὺς ἀγεννήτους, αὐτοφυεῖς, ἀϊδίους, ἕνα τῷ ἑνὶ ἀντικείμενον, καὶ τὸν μὲν ἀγαθὸν, τὸν δὲ πονηρὸν εἰσηγεῖται, φῶς τῷ ἑνὶ ὄνομα θέμενος, καὶ τῷ ἑτέρῳ σκότος, καὶ τοῦ μὲν φωτὸς εἶναι μέρος τὴν ἐν ἀνθρώποις ψυχὴν, τοῦ δὲ σκότους τὸ σῶμα, καὶ τὸ τῆς ὕλης δημιούργημα. μίξιν δὲ, ἤτοι σύγκρασιν τοῦτον λέγει γεγονέναι τὸν τρόπον, ἀπεικάζων τοὺς δύο τῷδε τῷ παραδείγματι. καθάπερ δύο βασιλεῖς ἀντιμαχόμενοι πρὸς ἀλλήλους, ὄντες ἀπαρχῆς ἐχθροὶ, καὶ ἀναμέρος ἑκάστου τὰ ἴδια ἔχοντος. κατὰ δὲ σύστασιν τὸ σκότος ἐπελθὸν ἐκ τῶν ὁρίων αὐτοῦ προσεμαχήσατο τῷ φωτί· γνόντα δὲ τὸν ἀγαθὸν Πατέρα τὸ σκότος ἐν τῇ γῇ αὐτοῦ ἐπιδεδημηκὸς, προβάλλειν ἐξ αὐτοῦ δύναμιν, λεγομένην Μητέρα τῆς ζωῆς, καὶ αὐτὴν προβεβληκέναι τὸν πρῶτον ἄνθρωπον, τὰ πέντε στοιχεῖα. εἰσὶ δὲ, ἄνεμος, φῶς, ὕδωρ, πῦρ, καὶ ὕλη. καὶ ταῦτα ἐνδυσάμενον, ὡς πρὸς κατασκευὴν πολέμου, κατελθεῖν κάτω, καὶ πολεμῆσαι τῷ σκότει· οἱ δὲ τοῦ σκότους ἄρχοντες ἀντιπολεμοῦντες αὐτῷ, ἔφαγον ἐκ τῆς πανοπλίας αὐτοῦ, ὅ ἐστιν ἡ ψυχή· τότε δεινῶς ἐθλίβη ἐκεῖ κάτω ὁ πρῶτος ἄνθρωπος ὑπὸ τοῦ σκότους, καὶ εἰ μὴ ἐξαμένου εἰσήκουσεν ὁ Πατὴρ, καὶ ἀπέστειλεν ἑτέραν δύναμιν προβληθεῖσαν ὑπ' αὐτοῦ, λεγομένην ζῶν Πνεῦμα, καὶ εἰ μὴ κατελθὼν δέδωκεν αὐτῷ δεξιὰν, καὶ ἀνήνεγκεν ἐκ τοῦ σκότους, πάλαι ἂν ὁ πρῶτος ἄνθρωπος κατεχόμενος, ἐκινδύνευσεν. ἔκτοτε οὖν κατέλειψε κάτω τὴν ψυχήν. καὶ διὰ τοῦτο Μανιχαῖοι ἐὰν συναντήσωσιν ἀλλήλοις, δεξιὰς διδόασιν ἑαυτοῖς σημείου χάριν, ὡς ἀπὸ σκότους σωθέντες. ἐν γὰρ τῷ σκότει πάσας τὰς αἱρέσεις εἶναι λέγει. τότε ζῶν Πνεῦμα ἔκτισε τὸν κόσμον, καὶ αὐτὸ φορέσαν ἑτέρας τρεῖς δυνάμεις, κατελθὸν ἀνήνεγκε τοὺς ἄρχοντας, καὶ ἐστερέωσεν ἐν τῷ στερεώματι, ὅ ἐστὶν αὐτῶν σῶμα ἡ σφαῖρα. Τότε πάλιν τὸ ζῶν Πνεῦμα ἔκτισε τοὺς φωστῆρας, ἃ ἐστὶ τῆς ψυχῆς λείψανα, καὶ οὕτως ἐποίησε τὸ στερέωμα κυκλεῦσαι. καὶ πάλιν ἔκτισε τὴν γῆν εἰς εἴδη ὀκτώ. ὁ δὲ Ὠμοφόρος κάτω βαστάζει, καὶ ἐπὰν κάμῃ βαστάζων, τρέμει, καὶ σεισμοῦ αἴτιος γίνεται παρὰ τὸν ὡρισμένον καιρόν. τούτου ἕνεκα τὸν Υἱὸν αὐτοῦ ἀπέστειλεν ὁ ἀγαθὸς Πατὴρ ἐκ τῶν κόλπων εἰς τὴν καρδίαν τῆς γῆς, καὶ εἰς τὰ ταύτης κατώτατα μέρη, ὅπως αὐτῷ τὴν προσήκουσαν ἐπιτιμίαν δῷ. καὶ ὁσάκις ἂν σεισμὸς γένηται, ἢ τρέμει κάμνων, ἢ ἀντιφέρει εἰς τὸν ἕτερον ὦμον. τότε τοίνυν καὶ ἡ ὕλη ἀφ' ἑαυτῆς ἔκτισε τὰ φυτὰ, καὶ συλωμένων αὐτῶν ἀπὸ τινῶν Ἀρχόντων ἐκάλεσε πάντας τοὺς τῶν Ἀρχόντων προτίστους, καὶ ἔλαβεν ἀπ' αὐτῶν ἀνὰ μίαν δύναμιν, καὶ κατεσκεύασε τὸν ἄνθρωπον, τὸν κατὰ τὴν ἰδέαν τοῦ πρώτου ἀνθρώπου ἐκείνου, καὶ ἔδησε τὴν ψυχὴν ἐν αὐτῷ. αὕτη ἐστὶ τῆς συγκράσεως ἡ ὑπόθεσις.

Ὅτε δὲ εἶδεν ὁ Πατὴρ ὁ ζῶν θλιβομένην τὴν ψυχὴν ἐν τῷ σώματι, εὔσπλαγχνος ὢν καὶ ἐλεήμων, ἔπεμψε τὸν Υἱὸν αὐτοῦ τὸν ἠγαπημένον εἰς σωτηρίαν τῆς ψυχῆς, διὰ γὰρ ταύτην τὴν πρόφασιν, καὶ τὴν τοῦ Ὠμοφόρου, ἀπέστειλεν αὐτόν. καὶ ἐλθὼν ὁ Υἱὸς μετεσχημάτισεν ἑαυτὸν εἰς ἀνθρώπου εἶδος, καὶ ἐφαίνετο τοῖς ἀνθρώποις ὡς ἄνθρωπος, μὴ ὢν ἄνθρωπος, καὶ οἱ ἄνθρωποι ὑπελάμβανον αὐτὸν γεγεννῆσθαι. ἐλθὼν οὖν ποιεῖται τὴν δημιουργίαν πρὸς σωτηρίαν τῶν ψυχῶν, καὶ μηχανὴν συνεστήσατο ἔχουσαν δώδεκα κάδους, ἥ τις ὑπὸ τῆς σφαίρας στρεφομένη, ἀνιμᾶται τῶν θνησκόντων τὰς ψυχάς. καὶ ταύτας ὁ μέγας φωστὴρ ταῖς ἀκτῖσι λαβὼν, καθαρίζει, καὶ μεταδίδωσι τῇ σελήνῃ, καὶ οὕτως πληροῦται τῆς σελήνης ὁ δίσκος, ὁ παρ' ἡμῖν προσαγορευόμενος. πλοῖα γὰρ, ἤτοι πορθμεῖα εἶναι λέγει τοὺς δύο φωστῆρας. εἶτα ἐὰν γεμισθῇ ἡ σελήνη, μεταπορθμεύει εἰς ἀπηλιώτην, καὶ οὕτως ἀπόκρουσιν ποιεῖται, τοῦ γόμου ἐλαφρυνομένη. καὶ οὕτω πληροῖ τὸ πορθμεῖον, καὶ πάλιν ἀπογομοῖ ἀνιμωμένων ὑπὸ τῶν κάδων τῶν ψυχῶν, ἄχρις οὗ τὸ ἴδιον αὐτοῦ μέρος σώσει ' τῆς ψυχῆς. τῆς γὰρ τοῦ ἀγαθοῦ Πατρὸς οὐσίας πᾶσαν ψυχὴν, καὶ πᾶν κινούμενον ζῶον μετέχειν λέγει. τῆς οὖν σελήνης μεταδιδούσης τὸν γόμον τῶν ψυχῶν τοῖς Αἰῶσι τοῦ Πατρὸς, παραμένουσιν ἐν τῷ στύλῳ τῆς δόξης, ὃς καλεῖται ἀὴρ ὁ τέλειος. ὁ δὲ ἀὴρ οὗτος στύλος ἐστὶ φωτὸς, ἐπειδὴ γέμει ψυχῶν τῶν καθαριζομένων. αὕτη ἐστὶν ἡ αἰτία, δι' ἧς αἱ ψυχαὶ σώζονται. ἡ δὲ τοῦ ἀποθανεῖν τοὺς ἀνθρώπους ἐστὶ πάλιν αὕτη. παρθένος τις ὡραῖα κεκοσμημένη, πιθανὴ πάνυ συλᾶν ἐπιχειρεῖ τοὺς ἄρχοντας, τοὺς ἐν τῷ στερεώματι ὑπὸ τοῦ ζῶντος Πνεύματος ἀνενεχθέντας καὶ σταυρωθέντας, φαινομένη δὲ τοῖς ἄρρεσι θήλεια εὔμορφος, ταῖς δὲ θηλείαις νεανίας εὐειδὴς καὶ ἐπιθυμητὸς, καὶ οἱ μὲν Ἄρχοντες ὁπόταν ἴδωσιν αὐτὴν κεκαλλωπισμένην, οἰστροῦνται τῷ φίλτρῳ, καὶ μὴ δυνάμενοι αὐτὴν καταλαβεῖν, δεινῶς φλέγονται τῷ ἐρωτικῷ πόθῳ τὸν νοῦν ἐξαρπασθέντες. ὅταν οὖν τρεχόντων αὐτῶν, ἡ παρθένος ἄφαντος γένηται, τότε ὁ Ἄρχων ὁ μέγας προβάλλει τὰς νεφέλας ἐξ αὐτοῦ, ὅπως σκοτίσῃ τῇ ὀργῇ αὐτοῦ τὸν κόσμον. καὶ οὕτως ἐὰν θλίβῃ πάνυ, καθάπερ ἄνθρωπος ἱδρῶν ἀποκοποῦται. ὁ δὲ ἱδρὼς αὐτοῦ ἐστὶν ἡ βροχὴ ὁμοῦ· καὶ ὁ θερισμὸς ἄρχων ἐὰν συληθῇ ὑπὸ τῆς παρθένου, καταχέει λοιμὸν ἐφ' ὅλης τῆς γῆς, ὅπως θανατώσει τοὺς ἀνθρώπους. τὸ γὰρ σῶμα τοῦτο κόσμος καλεῖται πρὸς τὸν μέγαν κόσμον. καὶ οἱ ἄνθρωποι πάντες ῥίζας ἔχουσι, κάτω συνδεθείσας τοῖς ἄνω, ὁπόταν οὖν συληθῇ ὑπὸ τῆς παρθένου, τότε ἄρχηται κόπτειν τὰς ῥίζας τῶν ἀνθρώπων. καὶ ὅταν κωπῶσιν αἱ ῥίζαι αὐτῶν, τότε ἄρχηται λοιμὸς γίνεσθαι, καὶ οὕτως ἀποθνήσκουσιν. ἐὰν δὲ τὰ ἄνω τῆς ῥίζης πόνῳ σαλεύσῃ, σεισμὸς γίγνεταί τε. καὶ ἐπακολουθεῖ, συγκινουμένου μὲν τοῦ Ὠμοφόρου, αὕτη ἡ αἰτία τοῦ θανάτου.

Ἐρῶ δὲ ὑμῖν καὶ τοῦτο, πῶς μεταγγίζεται ἡ ψυχὴ εἰς πέντε σώματα. πρῶτον καθαρίζεται μικρόν τι ἀπ' αὐτῆς εἶτα μεταγγίζεται εἰς κυνὸς, ἢ εἰς καμήλου, ἢ εἰς ἑτέρου ζώου σῶμα. ἐὰν δὲ ἦ πεφονευκυία ψυχὴ, εἰς κελεφῶν σῶμα μεταφέρεται. ἐὰν δὲ θερίσασα εὑρεθῇ, εἰς μογιλάλους. τῆς δὲ ψυχῆς ἐστὶ τὰ ὀνόματα ταῦτα, νοῦς, ἔννοια, φρόνησις, ἐνθύμησις, λογισμός· οἱ δὲ θερισταὶ, ὅσοι θερίζουσιν, ἐοίκασι τοῖς Ἄρχουσι τοῖς ἀπαρχῆς ὦσιν εἰς σκότος, ὅτε ἔφαγον ἐκ τῆς τοῦ πρώτου ἀνθρώπου πανοπλίας. διὸ ἀνάγκη αὐτοὺς μεταγγισθῆναι εἰς χόρτον, ἢ εἰς

φασή-

φασήλια, ἢ εἰς χειθὴ, ἢ εἰς σάχυν, ἢ εἰς λάχανα, ἵνα θερισθῶσι, καὶ χοπῶσι. καὶ ἐάν τις πάλιν ἐσθίει ἄρτον, ἀνάγκη καὶ αὐτὸν βρωθῆναι, ἄρτον γλυφόμενον. ἐάν τις φονεύσει ὀρνίθιον, ὀρνίθιον ἔσαι. ἔαν τις φονεύσει μῦν, καὶ αὐτὸς μῦς ἔσαι. ἔαν τις πάλιν ἐσι πλάσιος ἐν τούτῳ τῷ κόσμῳ, καὶ ἐὰν ἐξέλθῃ ἐκ τοῦ σκηνώματος αὐτοῦ, ἀνάγκη αὐτὸν εἰς πτωχὸ σῶμα μεταγγισθῆναι, ὥσε περιπατοῦντα αὐτὸν ἐπαιτῆσαι, καὶ μετὰ ταῦτα ἀνελθεῖν αὐτὸν εἰς κόλασιν αἰώνιον. τοῦ δὲ σώματος τούτου ὄντος τῆς Ἀρχόντων, καὶ τῆς ὕλης, ἀνάγκη τὸν φυτεύοντα περσέαν διελθεῖν πολλὰ σώματα, ἕως ἂν καταβληθῇ ἡ περσέα ἐκείνη. εἰ δέ τις οἰκοδομεῖ ἑαυτῷ οἰκίαν, διασταραχθήσεται εἰς τὰ ὅλα σώματα. ἔαν τις λούεται εἰς τὸ ὕδωρ, τὴν ἑαυτοῦ ψυχὴν πήσει. καὶ ἔαν τις δὲ δίδωσι τοῖς ἐκλεκτοῖς αὐτοῦ δόσεβειαν, κολασθήσεται εἰς τὰς γενεὰς, καὶ μετενσωματοῦται εἰς κατηχουμένων σώματα, ἕως ἂν δῷ δόσεβείας πολλὰς, καὶ διὰ τοῦτο, ἔαν τι κάλλιστον ἐν βρώμασι, τοῖς ἐκλεκτοῖς προσφέρουσι. καὶ ὅταν μέλλωσιν ἐσθίειν ἄρτον, προσδίχονται προσῶπον, ὅπω λέγοντες πρὸς τὸν ἄρτον, ὅτε σὲ ἐγὼ ἐθέρισα, ὅτε ἤλεσα, ὅτε ἐθλιψά σε, ὅτε εἰς κλίβανον ἔβαλον. ἀλλὰ ἄλλος ἐποίησε ταῦτα, καὶ ἤνεγκέ μοι, ἐγὼ ἀναιτίως ἔφαγον. καὶ ὅταν καθ' ἑαυτὸν εἴπῃ ταῦτα, λέγει τῷ κατηχουμένῳ, ἠυξάμην ὑπὲρ σοῦ καὶ ὅτως ἀφίσαται ἐκεῖνος. ὡς γὰρ εἶπον ὑμῖν προὸ ὀλίγου, ἔαν τις θερίζει θερισθήσεται. ὅτως ἐὰν εἰς μηχανὴν σίτον βάλλῃ, βληθήσεται καὶ αὐτὸς, ἢ φυράσας φυραθήσεται, ἢ ὀπτήσας ἄρτον ὀπτηθήσεται. καὶ διὰ τοῦτο ἀπείρηται αὐτοῖς ἔργον ποιῆσαι. καὶ πάλιν εἰσὶν ἕτεροι κόσμοι τινὲς, τῆς φωσήρων δυνάντων ἀπὸ τούτου τοῦ κόσμου, ἐξ ὧν ἀνατέλλουσι. καὶ ἔαν τις περιπατεῖ χαμαὶ, βλάπτει τὴν γῆν. καὶ ὁ κινῶν τὴν χεῖρα, βλάπτει τὸν ἀέρα. ἐπειδὴ ὁ ἀὴρ ψυχὴ ἐσὶ τῆς ἀνθρώπων, καὶ τῆς ζώων, καὶ τῆς πετεινῶν καὶ τῆς ἰχθύων, καὶ τῆς ἑρπετῆς. καὶ ἔαν τις ἐν κόσμῳ ἐσὶν, εἶπον ὑμῖν ὅτι τὸ σῶμα τοῦτο οὐκ ἔσι τοῦ Θεοῦ, ἀλλὰ τῆς ὕλης ἐσὶ, καὶ σκότος ἐσὶ, καὶ αὐτὸ σκοτωθῆναι δεῖ.

Περὶ δὲ τοῦ Παραδείσου, ὃς καλεῖται κόσμος. ἐσὶ δὲ τὰ φυτὰ τὰ ἐν αὐτῷ, ἐπιθυμία, καὶ ἄλλαι ἀπάται, διαφθείρουσαι τοὺς λογισμοὺς τῆς ἀνθρώπων ἐκείνων. τὸ δὲ ἐν Παραδείσῳ φυτὸν, ἐξ οὗ γνωρίζουσι τὸ καλὸν, αὐτὸ ἐσὶν ὁ Ἰησοῦς ἡ γνῶσις αὐτοῦ, ἡ ἐν τῷ κόσμῳ. ὁ δὲ λαμβάνων, διακρίνει τὸ καλὸν, καὶ τὸ πονηρόν. ὁ μοὺ τοι κόσμος, οὐδ' αὐτὸς ἐσὶ τοῦ Θεοῦ, ἀλλ' ἢ ἀπὸ μέρους τῆς ὕλης ἐπλάσθη, καὶ διὰ τοῦτο πάντα ἀφανίζεται. ὃ δὲ ἐσύλησαν οἱ Ἄρχοντες ἀπὸ τοῦ προώτου ἀνθρώπου, αὐτὸ ἐσὶ τὸ γεμίζον τὴν σελήνην, τὸ καθαιρεζόμενον καθημερινὸν ἀπὸ τοῦ κόσμου καὶ ἐὰν ἐξέλθῃ ἡ ψυχὴ, μὴ γνοῦσα τὴν ἀλήθειαν, παραδίδοται τοῖς δαίμοσιν, ὅπως δαμάσωσιν αὐτὴν ἐν ταῖς γεέννας τοῦ πυρὸς, καὶ μετὰ τινὰ παίδοσιν μεταγγίζεται εἰς σώματα, ἵνα δαμασθῇ, καὶ οὕτω βάλλεται εἰς τὸ μέγα πῦρ, ἄχρι τῆς συντελείας. Περὶ δὲ τῆς παρ' ὑμῖν Προφητῶν, ὅτως λέγει. Πνεῦμα εἶναι ἀσεβείας, ἤτοι ἀνομίας τοῦ σκότους, τοῦ ἀπ' ἀρχῆς ἀνελθόντος. καὶ διὰ τοῦτο οὐκ πλανηθέντες οὐκ ἐλάλησαν. ἐτύφλωσεν γὰρ αὐτῆς ὁ Ἄρχων τινὰ διάνοιαν. καὶ εἴ τις ἀκολουθεῖ τοῖς λόγοις αὐτῆς, ἀποθνήσκει εἰς τοὺς αἰῶνας, δεδεμένος εἰς τὴν βῶλον, ὅτι οὐκ ἔμαθε τὴν γνῶσιν τοῦ Παρακλήτου. ἐνετείλατο δὲ τοῖς ἐκλεκτοῖς αὐτοῦ μόνοις, ἃ πλέον ἐπτὰ οὖσι τὸν ἀριθμόν, ἐὰν παύσησθε ἐσθίοντες, εὔχεσθε, καὶ βάλλετε ἐπὶ τῆς κεφαλῆς ἔλαιον ἐξορκισμένον ὀνόμασι πολλοῖς, πρὸς σπερμὸν τῆς πίστεως ταύτης. τὰ δὲ ὀνόματα μοι οὐκ ἐφανερώθη. μόνοι γὰρ οἱ ἑωτὰ τούτοις χρῶνται. καὶ πάλιν τὸ παρ' ὑμῖν τίμιον καὶ μέγα ὄνομα Σαβαὼθ, αὐτὸ εἶναι τὸν φύσιν τοῦ ἀνθρώπου, καὶ πατέρα τῆς ἐπιθυμίας, καὶ διὰ τοῦτο ἁπλάστοι προσκυνοῦσι τὸν ἐπιθυμίαν, Θεὸν αὐτὸν ἡγούμενοι. Περὶ δὲ τοῦ Ἀδὰμ πῶς ἐκτίσθη, λέγει αὖτως. ὅτι ὁ εἶπον, δεῦτε, καὶ ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, ἢ καθ' ἣν εἶδομεν μορφὴν, Ἄρχων ἐσὶν, ὁ εἶπον τοῖς ἑτέροις Ἄρχουσιν, ὅτι δεῦτε, δότε μοι ἐκ τοῦ φωτὸς, οὗ ἐλάβομεν, καὶ ποιήσωμεν ἄνθρωπον κατὰ τὴν ἡμῶν τῆς Ἀρχόντων μορφὴν καθ' ἣν εἴδομεν, ὃ ἐσὶ πρῶτος ἄνθρωπος. καὶ οὕτως ἔκτισε τὸν ἄνθρωπον. τὴν δὲ Εὔαν ὁμοίως ἔκτισαν, δόντες αὐτῇ ἐκ τῆς ἐπιθυμίας αὐτῆς, πρὸς τὸ ἐξαπατῆσαι τὸν Ἀδὰμ, καὶ διὰ τοῦτο γέγονεν ἡ πλάσις τοῦ κόσμου, ἐκ τῆς τοῦ Ἀρχοντος δημιουργίας.

Τὸν δὲ Θεὸν μὴ ἔχειν μέρος μετ' αὐτοῦ τὸ κόσμου, μηδὲ χαίρειν ἐπ' αὐτῷ, διὰ τὸ ἐξ ἀρχῆς συλλῆφθαι αὐτὸν ὑπὸ τῆς Ἀρχόντων, καὶ γενέσθαι αὐτῷ θλίψιν, τότου χάριν πέμπει, καὶ συλᾷ ἀπ' αὐτῆς τὴν ψυχὴν αὐτοῦ καθ' ἡμέραν διὰ τῆς φωσήρων τούτων, ἡλίου, καὶ σελήνης, ὑφ' ὧν ὅλος ὁ κόσμος καὶ πᾶσα ἡ κτίσις ἁρπάζεται, τὸν δὲ λαλήσαντα μετὰ Μωϋσέως, καὶ τῆς Ἰουδαίων. ἣ τῆς ἱερέων, τὸν Ἄρχοντα λέγει εἶναι τοῦ σκότους. ὥσε ἓν εἰσι, καὶ τὸ αὐτὸ οἵ τε Χριστιανοὶ, καὶ οἱ Ἰουδαῖοι, καὶ οἱ ἐθνικοὶ, τὸν αὐτὸν Θεὸν σέβοντες. ἐν γὰρ ταῖς ἐπιθυμίαις αὐτοῦ ἐξαπατᾷ αὐτοὺς, ἐκ ὧν ἀληθείας Θεός. διὰ τοῦτο ὃν ὅσοι ἐπ' ἐκεῖνον ἐλπίζουσι τὸν Θεὸν, τὸν μετὰ Μωϋσέως λαλήσαντα, καὶ τῆς προφητῆς, μετ' αὐτοῦ ἔχουσι δεθῆναι, ὅτι ἐκ ἤλπισαν ἐπὶ τὸν Θεὸν τῆς ἀληθείας. ἐκεῖνος γὰρ κατὰ τὰς ἐπιθυμίας αὐτῆς ἐλάλησε μετ' αὐτῆς. μετὰ δὲ πάντα ταῦτα ἐφ' τέλει λέγει, καθὼς αὐτὸς ἔγραψεν, ὁ Πρεσβύτης, ὅταν προφανῇ αὐτοῦ τὴν εἰκόνα, τότε ὁ Ὠμοφόρος ἀφίησιν ἔξω τοῦ γῆν, καὶ ἔτως ἀπολίεται τὸ μέγα πῦρ, καὶ ὅλον ἀναλίσκει τὸν κόσμον. εἶτα πάλιν ἀφίησι τὴν βῶλον μετὰ τὸ νέα αἰῶνος, ὅπως πᾶσαι αἱ ψυχαὶ τῆς ἁμαρτωλῶν δεθῶσιν εἰς τὸν αἰῶνα. τότε δὲ ταῦτα γνώσεται, ὅταν ὁ ἀνδρὸς ἔλθῃ. αἱ δὲ προβολαὶ πᾶσαι, ὁ Ἰησοῦς, ὁ ἐν τῷ μικρῷ πλοίῳ, καὶ ἡ Μήτηρ τῆς ζωῆς, καὶ οἱ δώδεκα κυβερνῆται, καὶ ἡ παρθένος τοῦ φωτὸς, καὶ ὁ Πρεσβύτης ὁ ξίτης, ὁ ἐν τῷ μεγάλῳ πλοίῳ, καὶ τὸ ζῶν Πνεῦμα καὶ τὸ τεῖχος τοῦ μεγάλου πυρὸς, καὶ τὸ τεῖχος τοῦ ἀνέμου, καὶ τοῦ ἀέρος καὶ τοῦ ὕδατος, καὶ τοῦ ἔσωθεν πυρὸς τοῦ ζῶντος, προὸς τὸν μικρὸν φωσῆρα οἰκοῦσιν, ἄχρις ἂν τὸ πῦρ καταναλώσῃ τὸν κόσμον ὅλον, ἐν ποσοῖς ποτ' ἔτεσιν, ὧν οὐκ ἔμαθον τὴν ποσότητα. καὶ μετὰ ταῦτα ἀποκατάστασις ἔσαι τῆς δύο φύσεων. καὶ οἱ

Ἀρ-

Ἄρχοντες οἰκήσουσι τὰ κατώτερα μέρη ἑαυτῶν, ὁ δὲ Πατὴρ τὰ ἀνώτερα, τὸ ἴδιον ἀπολαβών. ταύτην δὲ πᾶσαν τὴν διδασκαλίαν παρέδωκε τοῖς τρισὶν αὐτοῦ μαθηταῖς, κελεύσας ἕκαστον εἰς [10] κλίματα ὁδεύειν. καὶ ὁ μὲν Ἀδδὰς τὰ τῆς Ἀνατολῆς μέρη ἔλαχεν, ὁ δὲ Θωμᾶς τὴν Σύρων γῆν κεκλήρωται, Ἑρμείας δὲ ἄλλος τὴν εἰς Αἴγυπτον πορείαν ἐποιήσατο. καὶ μέχρι σήμερον ἐκεῖσε διατρίβουσι, τὴν τοῦ δόγματος ὑπόθεσιν στῆσαι θέλοντες.

ΚΛΑ'ΣΜΑ Α'ΡΧΕΛΑ'ΟΥ ΣΥ'Ν ΜΑ'ΝΕΝΤΙ

ἐκ τῆς ἕκτης κατηχήσεως Κυρίλλου Ἱεροσολύμων.

Φεύγει ἐκ τῆς φυλακῆς (Μάνης) καὶ ἔρχεται εἰς τὴν Μεσοποταμίαν. ἀλλ' ἀπαντᾷ αὐτῷ ὅπλῳ δικαιοσύνης Ἀρχέλαος ἐπίσκοπος. καὶ ἐπὶ φιλοσόφων κριτῶν ἐλέγξας, ἀκροατήριον ἑλληνικὸν συστησάμενος, ἵνα μὴ χριστιανῶν κρινόντων, δοκῶσιν οἱ κριταὶ χαρίζεσθαι. λέγε φησὶν ὁ Ἀρχέλαος πρὸς τὸν Μάνην, ὃ κηρύσσεις. ὁ δὲ, τάφον ἀνεῳγμένον ἔχων τὸ στόμα, ἀπὸ βλασφημίας πρῶτον τοῦ ποιητοῦ τῶν ἁπάντων ἤρξατο, φάσκων, Ὁ τῆς παλαιᾶς Θεὸς κακῶν ἐστὶν εὑρετὴς, λέγων περὶ ἑαυτοῦ, Ἐγὼ πῦρ καταναλίσκον. ὁ δε σοφὸς Ἀρχέλαος ὑπεξέλυε τὴν βλασφημίαν, εἰπών. Εἰ ὁ τῆς παλαιᾶς Θεὸς κατὰ τὸν σὸν λόγον, πῦρ ἑαυτὸν λέγει τίνος υἱός ἐστὶν ὁ λέγων, Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν; εἰ μέμφῃ τὸν λέγοντα, Κύριος θανατοῖ καὶ ζωογονεῖ. διατὶ τιμᾷς Πέτρον τὴν Θαβιθὰν μὲν ἐγείραντα. τὴν δὲ Σαμφείραν θανατώσαντα; εἰ δὲ καὶ μέμφῃ, ὅτι πῦρ ἡτοίμασε, διὰ τί οὐ μέμφῃ τὸν λέγοντα, Πορεύεσθε ἀπ' ἐμοῦ εἰς τὸν πῦρ τὸ αἰώνιον; εἰ μέμφῃ τὸν λέγοντα, Ἐγὼ θεὸς ποιῶν εἰρήνην, καὶ κτίζων κακὰ, ἐξήγησαι, πῶς λέγει Ἰησοῦς, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; ἀμφοτέρων τὰ ἴσα λεγόντων, δυοῖν θάτερον, ἢ ἀμφότεροι καλοὶ διὰ τὴν ὁμολεξίαν. ἢ εἰ ἀνέγκλητος Ἰησοῦς ταῦτα λέγων, διὰ τί ψέγεις τὸν τὰ ὅμοια ἐν τῇ παλαιᾷ λέγοντα; εἶτα ὁ Μάνης πρὸς τοῦτον λέγει, Καὶ ποῖος θεὸς τυφλοῖ. Παῦλος γὰρ ἐστὶν ὁ λέγων, Ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ διαυγᾶσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου. ὁ δὲ Ἀρχέλαος, καλῶς ὑποκρούσας, Προανάγνωθι, φησὶν, ὀλίγον. εἰ δὲ κεκαλυμμένον ἐστὶ τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον. ὁρᾷς ὅτι ἐν τοῖς ἀπολλυμένοις κεκάλυπται; οὐ δεῖ γὰρ διδόναι τὰ ἅγια τοῖς κυσίν. εἶτα, ἆρα μόνος ὁ τῆς παλαιᾶς θεὸς ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, Ἰησοῦς δὲ αὐτὸς οὐκ εἴρηκε. διὰ τοῦτο αὐτοῖς ἐν παραβολαῖς λαλῶ, ἵνα βλέποντες μὴ βλέπωσι. μὴ μισῶν αὐτοὺς, ἐβούλετο μὴ βλέπειν, ἢ διὰ τὸ ἀνάξιον, ἐπειδὴ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν; ὅπου γὰρ αὐτοπροαίρετος πονηρία, ἐκεῖ καὶ ἀποχὴ τῆς χάριτος. τῷ γὰρ ἔχοντι δοθήσεται. ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται. εἰ δὲ δεῖ καὶ ὥς τινες ἐξηγοῦνται, τοῦτο εἰπεῖν, οὐ φαῦλον γὰρ τὸ ῥῆμα. εἰ καὶ ἐτύφλωσε τῶν ἀπίστων τὰ νοήματος ἐπὶ καλῷ ἐτύφλωσεν, ἵνα εἰς τὰ ἅγια ἀναβλέψωσιν. οὐ γὰρ εἶπεν, Ἐτύφλωσεν αὐτῶν τὴν ψυχὴν, ἀλλὰ τὰ νοήματα τῶν ἀπίστων. τὸ δὲ λεγόμενον, τοιοῦτόν ἐστί. τύφλωσον τοῦ πόρνου τὰ πορνικὰ νοήματα, καὶ σέσωσαι ὁ ἄνθρωπος. τύφλωσον τοῦ λῃστοῦ τὸ ἁρπακτικὸν καὶ λῃστρικὸν, καὶ σέσωσαι ὁ ἄνθρωπος. ἀλλ' οὐ θέλεις οὕτω νοῆσαι. ἐστὶ καὶ ἄλλη ἐξήγησις. τυφλοῖ καὶ ὁ ἥλιος τοὺς ἀμβλυωποῦντας. καὶ οἱ ὀφθαλμιῶντες τυφλοῦνται, βλαπτόμενοι ὑπὸ τοῦ φωτός· οὐχ ὅτι τυφλωτικός ἐστὶν ὁ ἥλιος, ἀλλ' ὅτι ἡ ὑπόστασις τῶν ὀμμάτων οὐ βλέπει. οὕτω καὶ οἱ ἀπιστίᾳ νοσοῦντες ταῖς καρδίαις, οὐ δύνανται ἐνιδεῖν ταῖς τῆς θεότητος ἀκτῖσιν. καὶ οὐκ εἶπεν, Ἐτύφλωσε τὰ νοήματα, εἰς τὸ μὴ ἀκοῦσαι τὸ εὐαγγέλιον, ἀλλ' εἰς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν τῆς δόξης τοῦ εὐαγγελίου τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. τὸ μὲν γὰρ ἀκοῦσαι τοῦ εὐαγγελίου, πᾶσιν ἐφίεται. ἡ δόξα δὲ τοῦ εὐαγγελίου, τοῖς Χριστοῦ μόνοις γνησίοις ἀφώρισται. ἔλεγεν ὁ κύριος, τοῖς μὲν ἀκοῦσαι δυναμένοις, ἐν παραβολαῖς· τοῖς δὲ μαθηταῖς ἐπέλυε κατ' ἰδίαν τὰς παραβολὰς, ὁ αὐγασμὸς τῆς δόξης τοῖς πεφωτισμένοις, ἡ τύφλωσις τῆς ἀπίστοις. ταῦτα τὰ μυστήρια νῦν ἡ Ἐκκλησία διηγεῖται τῷ ἐκ κατηχουμένων μεταβαλλομένῳ. οὐκ ἔστιν ἔθος ἐθνιταῖς διηγεῖσθαι. οὐ γὰρ ἐθνικῷ τὰ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διηγούμεθα μυστήρια. οὐδὲ τῶν μυστηρίων ἐπὶ κατηχουμένων λευκῶς λαλοῦμεν, ἀλλὰ πολλὰ πολλάκις λέγομεν ἐπικεκαλυμμένως, ἵνα οἱ εἰδότες πιστοὶ, νωήσωσι. καὶ οἱ μὴ εἰδότες, μὴ βλαβῶσι.



Μ. Ζάβορδας, Γρεβενῶν, ὁ Ἀμνός, 17ου αἰ.



L' Eglise du Roi, Ἅγ. Πέτρος Ἀλεξανδρείας.



Μουσεῖον Λατερανοῦ, Ἰησοῦς ὁ Ποιμήν, 3ου αἰ.



Μ. Διονυσίου, Ἅγ. Πέτρος Ἀλεξ/ας καὶ Ἰησοῦς, 16ου αἰ.



ΤΟΥ̃ ΜΑΚΑΡΙΟΥ̃ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ̃ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΕΤΡΟΥ̃ ΚΑῚ ΜΑΡΤΥΡΟΣ,

ΚΑΝΟΝΕΣ

Ἐμφερόμενοι ἐν τῷ περὶ μετανοίας αὐτῶ λόγῳ.

Κανὼν ἀ.

Ἐπεὶ πόνων τέταρτον ἤδη πάσχα ἐπικατείληφε τὸν διωγμόν, αὐτάρκως ἔχει τοῖς μὴ προσεχθεῖσι, καὶ φυλακισθεῖσι βασάνους τε ἀνυποίστους ὑπομεμενηκόσι καὶ ἀφορήτους μάστιγας, καὶ πολλὰς ἑτέρας ἀνάγκας δεινάς, ὕστερον δὲ προδιδομένοις ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, εἰ καὶ μὴ ἐξ ἀρχῆς παρεδέχθησαν διὰ τὴν παρακολουθήσασαν μείζονα πτῶσιν, ὅμως διὰ τὸ πολλὰ αὐτοὺς ἠθληκέναι καὶ ἐοικέναι πολὺ ἀντιμάχεσθαι. ὁ γὰρ κατὰ προαίρεσιν ἐν τούτῳ ἐληλύθασιν, ἀλλὰ καταπροδοθέντες ὑπὸ τῆς ἀσθενείας τοῦ σαρκὸς, ἐπειδὴ καὶ σίγματα τοῦ Ἰησοῦ ἐνδείκνυνται ἐν τοῖς σώμασιν αὐτῶν, καὶ ἤδη τινὲς τρίτον ἔτος ἔχουσι καταπεπονθότες· προσεπιτιμηθῆναι αὐτοῖς ἀπὸ τῆς προσελεύσεως καθ' ὑπόμνησιν, ἄλλας τεσσαράκοντα ἡμέρας, ἃς καίπερ νηστεύσας ὁ κύριος καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, μὴ τὸ βαπτισθῆναι, ἐπειράσθη ὑπὸ τοῦ διαβόλου· εἰς ἃς καὶ αὐτοὶ κατὰ τὸ πρέπον διαγυμναθέντες, ἐντονώτερόν τε νήψαντες, χρηματισθήσονται εἰς προσευχὰς τοῦ λοιποῦ, καταμελετῶντες τὸ λεγόμενον ὑπὸ τοῦ κυρίου πρὸς τὸν πειράζοντα αὐτὸν, ἵνα προσκυνήσῃ αὐτῷ, ὕπαγε ὀπίσω μου σατανᾶ· γέγραπται γὰρ, κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

Κανὼν β'.

Τοῖς δὲ μὴ τὸ φυλακισθῆναι καὶ ὑπομεμενηκέναι τὰς ἐν τῷ δεσμωτηρίῳ ὡς ἂν ἐν πολιορκίᾳ, θλίψεις τε καὶ δυσωδίας· ὕστερον δὲ χωρὶς πολέμου βασάνων ῥυομένοις αἰχμαλώτοις κατὰ πολλὴν πτωχείαν δυνάμεως καὶ κατά τινα τυφλότητα τεθραυσμένοις, ἐπαρκέσει ἐνιαυτὸς πρὸς τῷ ἑτέρῳ χρόνῳ· ἐπεὶ ὅλως καὶ αὐτοὶ ἐπιδεδώκασιν ἑαυτοὺς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ θλιβῆναι· εἰ καὶ ἀπήλαυσαν ἐν τῷ δεσμωτηρίῳ τῆς παρὰ τῶν ἀδελφῶν πολλῆς ἀναπαύσεως· οἵτινες πολλαπλασίονα ἀποδώσουσι ποθοῦντες λυθῆναι ἀπὸ τῆς πικροτάτης αἰχμαλωσίας τοῦ διαβόλου, μεμνημένοι μάλιστα τοῦ λέγοντος· πνεῦμα Θεοῦ ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με. εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, κηρύξαι ἐνιαυτὸν κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως.

Κανὼν γ'.

Τοῖς δὲ μηδ' ὅλως μηδέν τι τοιοῦτον πεπονθόσι μηδὲ ἐνδεξαμένοις καρπὸν πίστεως, ἀλλ' αὐτομολήσασι πρὸς τὴν κακίαν, προδεδομένοις ἀπὸ δειλίας καὶ φόβου· νῦν δὲ εἰς μετάνοιαν ἐρχομένοις, ἀναγκαῖόν ἐστι καὶ ἁρμόζον τῇ τῆς ἀκάρπου συκῆς παραβολῇ παραθέσθαι, ὡς ὁ κύριος λέγει· συκῆν εἶχέ τις πεφυτευμένην ἐν τῷ ἀμπελῶνι αὐτοῦ, καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν· εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν, ἰδοὺ τρία ἔτη ἀφ' οὗ ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ καὶ οὐχ εὑρίσκω. ἔκκοψον αὐτήν· ἵνα τί καὶ τὴν γῆν καταργεῖ; ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ, κύριε ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν, καὶ βάλω κόπρια. κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν· ἵνα πρὸ ὀφθαλμῶν λαβόντες, ἐνδεξάμενοί τε καρπὸν ἄξιον τῆς μετανοίας ἐν τῷ διασήματι τοσούτου χρόνου μᾶλλον ὠφεληθήσονται.

Κανὼν δ'.

Τοῖς γὰρ παντάπασιν ἀπεγνωσμένοις, ἀμετανοήτοις, δίρμα τε Αἰθίοπος ἀμεταβλήτον κεκτημένοις, καὶ ποικίλματα παρδάλεως, λεχθήσεται τὸ τῆς ἑτέρας συκῆς· μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα· διὸ καὶ παραχρῆμα ξηραίνεται· ἀποπληρῶται γοῦν ἐπ' αὐτοῖς καὶ τὸ ὑπὸ τοῦ ἐκκλησιαστοῦ εἰρημένον, διεστραμμένον δύναται ἐσταθμηθῆναι, καὶ ὑστέρημα δυνήσεται ἀριθμηθῆναι· εἰ μὴ γὰρ πρότερον τὸ διεστραμμένον διορθωθῇ, ἀδύνατόν ἐστι καὶ ἐσταθμηθῆναι· καὶ εἰ μὴ πρότερον τὸ ὑστέρημα ἀναπληρωθῇ, ἀδύνατόν ἐστιν αὐτὸ ἀριθμηθῆναι. ὅθεν καὶ ἐπὶ τέλει συμβήσεται αὐτοῖς, τὸ λεγόμενον ὑπὸ τοῦ προ-

προφήτου Ἡσαΐου· καὶ ὄψονται γάρ φησι, τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται· καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί· ἐπεὶ καὶ ὡς προλέλεκται ὑπ' αὐτοῦ· οἱ δὲ ἄδικοι ὅπως κλυδωνισθήσονται, καὶ ἀναπαύσασθαι οὐ μὴ δυνήσονται· οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν ὁ Θεός.

Κανὼν ε'.

Τοῖς δὲ καθυποκειναμένοις κατὰ τὸν ἐπιλαπτὸν σάμψον Δαβίδ, ἵνα μὴ ἀποθάνῃ, οὐκ ὄντα ἐπίλαπτον· καὶ μὴ γυμνῶς ἀπογραψαμένοις τὰ πρὸς ἄρνησιν, ἀλλὰ δολοπαίξασι κατὰ πολλὴν συνοχωρίαν, ὡς ἂν παιδία βελτιακὰ ἔμφρονα ἐν παιδίοις ἄφροσι, τὰς τῶν ἐχθρῶν ἐπιβουλάς, ἤτοι ὡς διελθόντες βωμούς, ἤτοι ὡς χειρογραφήσαντες, ἤτοι ὡς ἀνθ' ἑαυτῶν βαλόντες ἐθνικούς, εἰ καί τισιν αὐτῶν συνεχώρησάν τινες τῶν ὁμολογησάντων, ὡς ἤκουσα, ἐπεὶ μάλιστα κατὰ πολλὴν ἐλάβειαν ἐξέφυγον αὐτόχειρες γενέσθαι τοῦ πυρὸς, καὶ τῆς ἀναθυμιάσεως τῶν ἀκαθάρτων δαιμόνων. ἐπεὶ τοίνυν ἔλαθεν αὐτοὺς ἀγνοίᾳ, τοῦ πράξαντος, ὅμως ἐξάμιλλος αὐτοῖς ἐπιτεθήσεται τῆς ἐν μετανοίᾳ ἐπιστροφῆς· οὕτω γὰρ μᾶλλον καὶ αὐτοὶ ὠφεληθήσονται, καταμελετῶντες τὸ προφητικὸν ῥητὸν, καὶ λέγοντες. παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος· ὥσπερ, ὡς ἴσε, ἐν τῷ ἔκτῳ μιλιῷ τῆς συλλήψεως τοῦ ἑτέρου παιδίου τοῦ προχηρύξαντος πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ μετάνοιαν εἰς ἄφεσιν ἁμαρτιῶν, συνελήφθη καὶ αὐτὸς κηρύξαι μετάνοιαν· καὶ γὰρ καὶ τῶν ἀμφοτέρων ἀκούομεν ἐν πρώτοις κηρυττόντων οὐ μόνον περὶ μετανοίας, ἀλλὰ καὶ περὶ βασιλείας οὐρανῶν, ἥτις καθὼς μεμάθηκεν, ἐντὸς ἡμῶν ἐστι, τῷ ἐγγὺς ἡμῶν εἶναι τὸ ῥῆμα ὃ πιστεύομεν ἐν τῷ στόματι ἑαυτῶν καὶ ἐν τῇ καρδίᾳ ἑαυτῶν, ὅτι κύριος Ἰησοῦς. πιστεύοντες ἐν τῇ καρδίᾳ αὐτῶν, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, ἅτε δὴ ἀκούοντες, ὅτι καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.

Κανὼν ς'.

Τοῖς δὲ δούλοις Χριστοῦ ἀνθ' ἑαυτῶν ὑποβεβληκόσιν, οἱ μὲν δοῦλοι ὡς ἂν ὑποχείριοι ὄντες καὶ ξόπον τινὰ καὶ αὐτοὶ φυλακισθέντες ὑπὸ τῶν δεσποτῶν, καταπειληθέντες ὑπ' αὐτῶν, καὶ διὰ τὸν φόβον αὐτῶν εἰς τοῦτο ἐκλιπόντες καὶ ὀλιοθήσαντες, ἐνιαυτῷ τὰ τῆς μετανοίας ἔργα δείξουσι, μανθάνοντες τοῦ λοιποῦ, Χριστῷ ποιεῖν τὸ θέλημα καὶ φοβεῖσθαι αὐτόν· ἀκούοντες μάλιστα ὅτι ἕκαστος ἐάν τι ποιήσῃ ἀγαθὸν, τοῦτο κομίσηται παρὰ κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερός ἐστι.

Κανὼν ζ'.

Οἱ δὲ ἐλεύθεροι, ἐν τισὶν ἔτεσιν ἐξετασθήσονται ἐν μετανοίᾳ, καὶ ὡς ὑποχρεωμένοις, καὶ ὡς καταναγκάσαντες τοὺς ὁμοδούλους θῦσαι, ἅτε δὴ παρακούσαντες τοῦ ἀποστόλου τὰ αὐτὰ θέλοντος ποιεῖν τοὺς δεσπότας τοῖς δούλοις ἀνιέντας τὴν ἀπειλήν, εἰδότας, φησὶν, ὅτι καὶ ἡμῶν καὶ αὐτῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωπολημψία παρ' αὐτῷ οὐκ ἔστιν· εἰ δὲ ἕνα κύριον ἔχομεν οἱ πάντες ἀπροσωπόληπτον, ἐπεὶ καὶ πάντα καὶ ἐν πᾶσίν ἐστιν ὁ Χριστὸς, εἴ τε Βαρβάροις καὶ Σκύθαις, δούλοις καὶ ἐλευθέροις, σκοπεῖν ὀφείλουσιν οἱ κατεργάσαντο θελήσαντες τῷ ψυχρῷ ἑαυτῶν σῶσαι, οἱ τοὺς σωδούλους ἡμῶν ἑλκύσαντες ἐπὶ εἰδωλολατρείαν, δυναμένους καὶ αὐτοὺς ἐκφυγεῖν, εἰ τὸ δίκαιον καὶ τῷ ἰσότητα ἦσαν αὐτοῖς παραχόντες, ὡς πάλιν ὁ ἀπόστολος λέγει.

Κανὼν η'.

Τοῖς δὲ παραδεδομένοις καὶ ἐκπεπτωκόσι τοῖς τε αὐτοῖς προσελθοῦσιν εἰς τὸν ἀγῶνα καὶ ὁμολογοῦσιν εἶναι Χριστιανοῖς, ἐμβεβλημένοις τε ἐν τῇ φυλακῇ μὴ βασάνων, εὔλογόν ἐστιν ἐν ἀγαλλιάσει καρδίας συνεπιχύειν καὶ κοινωνεῖν ἐν πᾶσιν, εἴ τε ταῖς προσευχαῖς καὶ τῇ μεταλήψει τοῦ σώματος καὶ τοῦ αἵματος, καὶ τῇ παρακλήσει τοῦ λόγου, ἵνα εὐτονώτερον ἀγωνισάμενοι καταξιωθῶσι καὶ αὐτοὶ τοῦ βραβείου τῆς ἄνω κληρώσεως. καὶ γὰρ ἐπταικις, φησὶ, πεσεῖται ὁ δίκαιος καὶ ἀναστήσεται· ὅπερ εἰ καὶ πάντες οἱ ἐκπεπτωκότες πεποιήκεσαν, τελειοτάτην καὶ ὁλοκάρδιον μετάνοιαν ἐνεδείξαντο.

Κανὼν θ'.

Καὶ τοῖς δὲ ὡς ἂν ἐξ ὕπνου ἑαυτοῖς παραπηδῶσιν εἰς τὸν ἀγῶνα, ὠδίνοντα καὶ μέλλοντα ἑλκύσαι, ἑαυτοῖς δὲ πειρασμὸν ἐπισπασαμένοις θαλαττομαχίας καὶ πολλῆς κυματώσεως, μᾶλλον δὲ καὶ τοῖς ἀδελφοῖς προσεκκαίουσιν ἄνθρακα ἁμαρτωλῶν, καὶ αὐτοῖς κοινωνητέον, ἅτε δὴ ἐν ὀνόματι Χριστοῦ παρερχομένοις εἰς τοῦτο, εἰ καὶ μὴ προσέχουσιν αὐτοῦ τοῖς λόγοις διδάσκοντος προσεύχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν, καὶ πάλιν ἐν ἄλλῃ λέγειν τῷ παιδὶ, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ἴσως δὲ καὶ ἀγνοοῦσι τὰς πολλάκις γινομένας ἀναχωρήσεις τοῦ οἰκοδεσπότου καὶ διδασκάλου ἡμῶν ἀπὸ τῶν θελόντων ἐπιβουλεύειν, καὶ ὅτι ἐν ὅτε ὅτε παρρησίᾳ περιπατεῖ δι' αὐτοὺς, καὶ ὅτι καὶ ὅτε ὁ καιρὸς τοῦ πάθους αὐτοῦ προσήγγισεν, οὐκ ἑαυτὸν παρέδωκεν, ἀλλ' ἐδέξατο ἕως ἦλθον ἐπ' αὐτὸν κατὰ μαχαιρῶν καὶ ξύλων. λέγει οὖν πρὸς αὐτούς· ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με. οἱ δὲ παρέδωκαν αὐτὸν, φησὶ, Πιλάτῳ· καθ' ὁμοιότητα γοῦν αὐτοῦ καὶ οἱ κατὰ σκοπὸν αὐτοῦ βαίνοντες, πεπόνθασι μεμνημένοι τῶν θείων αὐτοῦ λόγων, δι' ὧν ἐπιστρέζων ἡμᾶς περὶ τῶν διωγμῶν λέγει. προσέχετε ἑαυτοῖς· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς· παραδώσο-

δώσουσι δὲ, εἶπεν, ἀλλ' οὐχ ἑαυτοὺς παραδώσετε, καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε διὰ τὸ ὄνομά μου, ἀλλ' οὐχ ἑαυτοὺς ἄξετε· ἐπεὶ καὶ μεταπηδᾶν ἡμᾶς βούλεται ἀπὸ τόπου εἰς τόπον διωκομένους διὰ τὸ ὄνομα αὐτοῦ· ὡς πάλιν ἀκούομεν αὐτοῦ λέγοντος, καὶ ὅθεν διώκωσιν ἡμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν· οὐ γὰρ θέλει αὐτομολεῖν ἡμᾶς πρὸς τοὺς τοῦ διαβόλου ὑπασπιστὰς καὶ δορυφόρους, ὅπως μὴ καὶ πλειόνων θανάτων αἴτιοι αὐτοῖς γινώμεθα, ὡς ἂν καταναγκάζοντες αὐτοὺς μᾶλλον καταταχύνεσθαι καὶ τελεσιουργεῖν τὰ θανατηφόρα ἔργα. ἀλλ' ἐκδέχεσθαι καὶ προσέχειν ἑαυτοῖς, γρηγορεῖν τε καὶ προσεύχεσθαι ἵνα μὴ εἰσέλθωμεν εἰς πειρασμόν. οὕτω Στέφανος πρῶτος κατ' ἴχνος αὐτοῦ μαρτύριον ἀναδεξάμενος ἐν Ἱεροσολύμοις συναρπασθεὶς ὑπὸ τῶν παρανόμων, καὶ ἀχθεὶς ἐν τῷ συνεδρίῳ, λιθοβολούμενος ἐν ὀνόματι Χριστοῦ ἐδοξάσθη παρακαλῶν καὶ λέγων, κύριε μὴ στήσῃς αὐτοῖς ταύτην τὴν ἁμαρτίαν· οὕτως Ἰάκωβος δεύτερος συλληφθεὶς ὑπὸ Ἡρώδου, μαχαίρᾳ τὴν κεφαλὴν ἀπετμήθη. οὕτως ὁ πρόκριτος τῶν ἀποστόλων Πέτρος πολλάκις συλληφθεὶς καὶ φυλακισθεὶς καὶ ἀτιμασθεὶς, ὕστερον ἐν Ῥώμῃ ἐσταυρώθη· καὶ ὁ περιβόητος Παῦλος πλεονάκις παραδοθεὶς καὶ ἕως θανάτου κινδυνεύσας, πολλά τε ἀθλήσας καὶ καυχησάμενος ἐν πολλοῖς διωγμοῖς καὶ θλίψεσιν, ἐν τῇ αὐτῇ πόλει καὶ αὐτὸς μαχαίρᾳ τὴν κεφαλὴν ἀπετμήθη, ὃς ἐν οἷς ἐκαυχήσατο, κατέληξε· καὶ ὅτι ἐν Δαμασκῷ σπυρίδι ἐχαλάσθη διὰ τοῦ τείχους νυκτὸς, καὶ ἐξέφυγε τὰς χεῖρας τοῦ ζητοῦντος αὐτὸν πιάσαι· τὸ γὰρ προκείμενον ἦν αὐτοῖς ἐν πρώτοις εὐαγγελίζεσθαι καὶ διδάσκειν τὸν λόγον τοῦ Θεοῦ, ἐν οἷς ἐπιστηρίζοντες τοὺς ἀδελφοὺς ἐμμένειν ἐν τῇ πίστει· καὶ τοῦτο ἔλεγον, ὅτι διὰ πολλῶν θλίψεων δεῖ εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· ἐζήτουν γὰρ οὐ τὸ ἑαυτῶν συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. καὶ ἦν πολλὰ λέγειν αὐτοῖς εἰς ταῦτα πρὸς τὸ κατὰ λόγον πράσσειν, εἰ μὴ, ὡς λέγει ὁ ἀπόστολος, ἐπιλίποι δ' ἂν ἡμᾶς διηγουμένους ὁ χρόνος.

Κανὼν ι'.

Ὅθεν οὐκ ἔστιν εὔλογον οὐδὲ τοὺς ἀπὸ κλήρου αὐτομολήσαντας ἐκπεπτωκότας τε καὶ ἀναπαλαίσαντας, ἔτι ἐν τῇ λειτουργίᾳ εἶναι, ἅτε δὴ καταλείψαντας τὸ ποίμνιον κυρίου καὶ μωμησαμένους ἑαυτούς· ὅπερ οὐδεὶς τῶν ἀποστόλων πεποίηκε. καὶ γὰρ ὁ πολλοὺς διωγμοὺς ἐξανύσας, πολλά τε ἆθλα ἀγωνισμάτων ἐνδειξάμενος ὁ μακάριος ἀπόστολος Παῦλος, ἐγνωκώς τε ὅτι κάλλιόν ἐστιν ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, ἐπιφέρει καὶ λέγει· τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ, ἀναγκαιότερον δι' ἡμᾶς· σκοπῶν γὰρ οὐ τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσιν, ἀναγκαιότερον τῆς ἑαυτοῦ ἀναπαύσεως ἡγήσατο τὸ, παραμένειν τοῖς ἀδελφοῖς καὶ ἐπιμελεῖσθαι αὐτῶν· ὃς καὶ τὸν διδάσκοντα θέλει εἶναι ἐν τῇ διδασκαλίᾳ τύπον γινόμενον τῶν πιστῶν· ὅθεν οἱ ἐν τῇ εἱρκτῇ ἐπιδικαζόμενοι τῆς λειτουργίας ἐκπεπτοκότες, καὶ ἀναπαλαίσαντες, πάνυ ἀναισθητοῦσι. πῶς γὰρ αἰτοῦσιν ὃ κατέλειψαν, δυνάμενοι τοῖς ἀδελφοῖς εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ; ἕως μὲν οὖν ἄπταιστοι ἦσαν, συγγνώμην εἶχον ἐπὶ τῇ παραλόγῳ αὐτῶν πράξει. ὅτε δὲ ἔπταισαν ὡς ἂν περπερευσάμενοι καὶ ἑαυτοὺς μωμησάμενοι, οὐκέτι δύνανται λειτουργεῖν· διὸ φροντιζέτωσαν μᾶλλον ἐν ταπεινοφροσύνῃ πῶς ἐκτελέσουσι παυσάμενοι τῆς κενοδοξίας· ἀρκεῖ γὰρ αὐτοῖς ἡ κοινωνία μετ' ἐπιστάσεως καὶ ἀκριβείας πρὸς ἀμφότερον γινομένης, καὶ ἵνα μὴ δόξωσι λυπεῖσθαι μετὰ βίας περιδρασσόμενοι τῆς ἐντεῦθεν ἀναλύσεως, καὶ ἵνα μή τινες ἐκπεσόντες, προφασίζονται ὡς διὰ τὴν ἀφορμὴν τῆς ἐπιτιμίας ὑπεκλελυμένοι· οἵ τινες πλέον ἁπάντων αἰσχύνην καὶ ὄνειδος ἕξουσι, κατ' ἐκεῖνον τὸν τεθεικότα θεμέλιον. καὶ μὴ ἰσχύσαντα ἐκτελέσαι· ἄρξονται γάρ φησι πάντες οἱ παραπορευόμενοι ἐμπαίζειν αὐτὸν λέγοντες, οὗτος ὁ ἄνθρωπος θεμέλιον ἔθηκε καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι.

Κανὼν ια'.

Οἱ γὰρ πρῶτοι παραπηδήσαντες ἐν τῷ βράσματι τοῦ διωγμοῦ, περιεστῶτες εἰς τὸ δικαστήριον, καὶ θεωροῦντες τοὺς ἁγίους μάρτυρας σπεύδοντας ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἐν καλῷ τῷ ζήλῳ προθυμούμενοι ἐπεδίδουν ἑαυτοὺς εἰς τοῦτο πολλῇ τῇ παῤῥησίᾳ χρώμενοι, βλέποντες μάλιστα τοὺς ὑποσυρομένους καὶ ἐκπίπτοντας, δι' οὓς ὑποθερμαινόμενοι ἔσωθεν καὶ ἐνηχουμένοι καταπολεμῆσαι τὸν ὑπεραιρόμενον καὶ ἀντικείμενον ἔσπευδον εἰς τοῦτο, ἵνα μὴ καὶ δοκῇ παρ' ἑαυτῷ φρόνιμος εἶναι ἐφ' οἷς κατὰ πανουργίαν ἔδοξεν ἡττᾶν, εἰ καὶ ἐλάνθανεν ἑαυτὸν νικώμενον ὑπὸ τῶν ἐγκαρτερούντων τὰς τῶν ξυστήρων καὶ μαστίγων βασάνους. τήν τε ὀξύτητα τῆς μαχαίρας, καὶ τὰς καταφλόξεις τοῦ πυρὸς, καὶ τὰς τῶν ὑδάτων καταποντώσεις· καὶ τοῖς κατὰ πίστιν ὑπεξουσιοῦσιν εὐχὰς καὶ δεήσεις γίνεσθαι, ἤτοι ὑπὲρ τῶν ἐν φυλακῇ κατατιμωρηθέντων καὶ προδιδομένων ὑπὸ λιμοῦ καὶ δίψης, ἤτοι ὑπὲρ τῶν ἔξωθεν τῆς φυλακῆς ἐπὶ τοῦ δικαστηρίου καταβασανισθέντων διὰ ξυστήρων καὶ μαστίγων, ὕστερον δὲ ἡττηθέντων ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, ἄξιόν ἐστιν ἐπινεῦσαι· συμπάσχειν γὰρ καὶ συναλγεῖν τοῖς ὀδυρομένοις καὶ στενάζουσιν ὑπὲρ τῶν ἐν ἀγῶνι ἡττηθέντων ὑπὸ τῆς πολλῆς βίας τοῦ κακομηχάνου διαβόλου, ἤτοι ὑπὲρ γονέων ἢ ἀδελφῶν ἢ τέκνων οὐδένα οὐδὲν καταβλάπτει· ἴσμεν γὰρ καὶ δι' ἑτέρων πίστιν ἀπολαύσαντάς τινας τῆς τοῦ Θεοῦ ἀγαθότητος, ἐπί τε ἀφέσει ἁμαρτιῶν καὶ ὑγείᾳ σώματος, καὶ ἀναστάσει νεκρῶν. μεμνημένοι τοίνυν τῶν πολλῶν αὐτῶν καμάτων ὧν προϋπήνεγκαν ἐν ὀνόματι τοῦ Χριστοῦ καὶ τῶν ταλανισμῶν, οὐ μὴν ἀλλὰ καὶ μεταγνόντων αὐτῶν καὶ ἀποδυρομένων τὸ πεπραγμένον αὐτοῖς κατὰ προδοσίαν ἐν ἀτονίᾳ καὶ νεκρότητι τοῦ σώματος, ἔτι τε καὶ μαρτυρουμένων ἀπολιτεύτων γενομένων ἐν τῷ βίῳ αὐτῶν, συνευχόμεθα καὶ συμπαρακαλοῦμεν ὑπὲρ ἱλαστοῦ αὐτῶν μετὰ τῶν ἄλλων καθηκόντων διὰ τοῦ γενομένου ὑπὲρ ἡμῶν παρακλήτου πρὸς τὸν πατέρα ἱλασκομένου ταῖς ἁμαρτίαις ἡμῶν· καὶ ἐάν τις, γάρ φησιν, ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστιν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν.

Κα-

Κανὼν ιβ'.

Τοῖς γὰρ ἀργύρια δεδωκόσι πρὸς τὸ ἀνενοχλήτους αὐτοὺς παντάπασι γενέσθαι ὑπὸ πάσης κακίας, οὐκ ἔστιν ἔγκλημα προσάγειν· ζημίαν γὰρ καὶ ἀπώλειαν χρημάτων ὑπηνέγκαν, ἵνα μὴ τὴν ψυχὴν ἑαυτῶν ζημιωθῶσιν ἢ ἀπολέσωσιν, ὅπερ ἄλλοι κατὰ αἰσχροκέρδειαν οὐ πεποιήκασι. καίτοιγε τοῦ κυρίου λέγοντος· τί γὰρ ὠφελήσει ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ ἢ ἀπολέσῃ; καὶ, ὅτι οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ· ἐφάνησαν γὰρ παρ' ἐκείνοις Θεῷ δουλεύοντες, τὰ ἀργύρια μισήσαντες καὶ καταπατήσαντες, καὶ καταφρονήσαντες αὐτῶν, ἀνεπλήρωσάν τε καὶ ἐν τούτῳ τὸ γεγραμμένον, λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος· ἐπεὶ καὶ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων ἀνέγνωμεν τοὺς συρέντας ἀντὶ Παύλου καὶ Σίλα ἐν Θεσσαλονίκῃ ἐπὶ τοὺς πολιτάρχας μετὰ καὶ πλησμονῆς ἀπολυθέντας. μετὰ γὰρ τὸ καταβαρῆσαι αὐτοὺς πολλὰ διὰ τὸ ὄνομα καὶ ταράξαι τὸν ὄχλον καὶ τοὺς πολιτάρχας, λαβόντες, φησὶ, τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς· οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ νυκτὸς ἐξέπεμψαν τόντε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέρροιαν.

Κανὼν ιγ'.

Ὅθεν οὐδὲ τοῖς καταλείψασι πάντα διὰ τὴν τῆς ψυχῆς σωτηρίαν καὶ ἀναχωρήσασιν, ἔστιν ἐγκαλεῖν ὡς ἂν ἑτέρων δι' αὐτοὺς καταχεθέντων· καὶ γὰρ καὶ ἐν τῇ Ἐφέσῳ ἀντὶ Παύλου συνήρπασαν Γάϊον εἰς τὸ θέατρον καὶ Ἀρίσταρχον συνεκδήμους Παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον· ἐπεὶ καὶ δι' αὐτὸν πείσαντα καὶ μεταστήσαντα πολλὴν ὄχλον ἐπὶ τὴν θεοσέβειαν, ἡ στάσις ἦν γινομένη· οὐκ εἴων αὐτὸν οἱ μαθηταὶ, φησίν· οὐ μὴν ἀλλὰ καί τινες τῶν Ἀσιαρχῶν ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν, παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον. εἰ δὲ ἐπιμένοιέν τινες ἐρεσχελοῦντες τοῖς εἰλικρινῶς πρόσχουσι τῷ λέγοντι, σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν, καὶ μὴ περιβλέψῃς εἰς τὰ ὀπίσω· ὑπομνησθήτωσαν καὶ περὶ τοῦ προκρίτου τῶν ἀποστόλων Πέτρου, βεβλημένου τε ἤδη εἰς φυλακὴν, καὶ παραδοθέντος τέτταρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτὸν, οὗ ἐν νυκτὶ φυγόντος καὶ ἐκ χειρὸς ῥυσθέντος τῶν Ἰουδαίων κατ' ἐντολὴν ἀγγέλου κυρίου, γενομένης, φησὶν, ἡμέρας ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο· Ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν, καὶ μὴ εὑρὼν, ἀνακρίνας τοὺς φύλακας, ἐκέλευσεν ἀπαγχθῆναι, δι' οὓς οὐδεμία αἰτία τῷ Πέτρῳ προσάπτεται· ἐξὴν γὰρ καὶ αὐτοὺς ἑωρακότας τὸ γινόμενον, ἐκφυγεῖν, ὡς καὶ πάντα τὰ παιδία τὰ ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, εἰ ἐγνώκεισαν οἱ γονεῖς αὐτῶν τὸ μέλλον ἔσεσθαι, ἅπερ ἀνῃρέθησαν ὑπὸ τοῦ μιαιφόνου Ἡρώδου διὰ τὸ ὑπ' αὐτοῦ ζητούμενον ἀπολέσθαι ἓν παιδίον, ὅπερ καὶ αὐτὸ κατ' ἐντολὴν ἀγγέλου κυρίου, ἐξέφυγεν, ἤδη ἀρξάμενον ταχέως σκυλεύειν καὶ ὀξέως προνομεύειν, κατὰ τὴν ἐπίκλησιν τοῦ ὀνόματος, καθὼς γέγραπται. κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον. διότι πρινὴ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι Βασιλέως Ἀσσυρίων· οἱ γοῦν μάγοι ὡς ἤδη σκυλευθέντες καὶ προνομευθέντες, ὑποτεταγμένως καὶ τιμητικῶς προσκυνοῦσι τὸ παιδίον, ἀνοίγοντες τοὺς θησαυροὺς αὐτῶν, καὶ προσφέροντες αὐτῷ καιριώτερα καὶ πρεπωδέστερα δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, ὡς βασιλεῖ καὶ Θεῷ καὶ ἀνθρώπῳ· ὅθεν οὐκέτι πρὸς τὸν Ἀσσύριον βασιλέα ἠξιώθησαν ὑποστρέψαι, συνεργούμενοι ὑπὸ τῆς προνοίας· χρηματισθέντες, γάρ φησι, κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. ὅθεν ἰδὼν ὁ αἱμοβόρος Ἡρώδης ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας, φησὶν, ἀνεῖλε πάντας τοὺς παῖδας, τοὺς ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων· μεθ' ὧν καὶ τὸ πρὸ αὐτοῦ γενηθὲν ἕτερον παιδίον ζητήσας ἀποκτεῖναι, καὶ μὴ εὑρὼν, τὸν πατέρα αὐτοῦ Ζαχαρίαν ἐφόνευσε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, ἐκφυγόντος τοῦ παιδὸς μετὰ τῆς μητρὸς Ἐλισάβεθ· ἀφ' ὧν οὐδεμίαν μέμψιν ἔχουσιν.

Κανὼν ιδ'.

Εἰ δέ τινες βίαν πολλὴν καὶ ἀνάγκην πεπόνθασι, χάμον λαβόντες ἐν τῷ στόματι καὶ δεσμοὺς, καὶ ἐπιμείναντες καρτερῶς τῇ διαθέσει τῆς πίστεως, καὶ τὰς χεῖρας αὐτῶν καθῶαι προσαγομένας ἀκοντὶ τῷ ἀνιέρῳ θύματι· ὥσπερ οὖν ἔγραψάν μοι οἱ ἀπὸ τῆς φυλακῆς τρισμακάριοι μάρτυρες περὶ τῶν ἐν Λιβύῃ, καὶ ἕτεροι δὲ συλλειτουργοί. οἱ τοιοῦτοι συμμαρτυρούντων μάλιστα καὶ τῶν ἄλλων ἀδελφῶν, δύνανται εἶναι ἐν τῇ λειτουργίᾳ ταχθέντες ἐν τοῖς ὁμολογηταῖς, ὡς καὶ οἱ κατανεκρωθέντες ἐν ταῖς πολλαῖς βασάνοις, καὶ μηκέτι ἐξισχύσαντες λαλῆσαι ἢ φθέγξασθαι ἢ κινηθῆναι εἰς τὸ ἀντιστῆναι τοῖς εἰς μάτην βιαζομένοις· οὐδὲ γὰρ συγκατέθεντο τῇ βδελυρίᾳ αὐτῶν· ὥσπερ οὖν παρὰ συλλειτουργῶν ἤκουσα, πάλιν ταχθήσονται ἐν τοῖς ὁμολογηταῖς. καὶ πᾶς ὅς τις οὖν κατὰ Τιμόθεον πολιτεύεται, πειθόμενος καὶ αὐτὸς τῷ λέγοντι, δίωκε δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πραϋπάθειαν, ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, ἣν ἐκλήθης, ὁμολογήσας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων.

Κανὼν ιε'.

Οὐκ ἐγκαλέσει τις ἡμῖν παρατηρουμένοις τετράδα καὶ παρασκευὴν, ἐν αἷς καὶ νηστεύειν ἡμῖν κατὰ παράδοσιν εὐλόγως * προσετέτακτο· τὴν μὲν γὰρ τετράδα διὰ τὸ γενόμενον συμβούλιον ὑπὸ τῶν Ἰουδαίων, ἐπὶ τῇ προδοσίᾳ τοῦ κυρίου, τὴν δὲ παρασκευὴν, χαρμοσύνης ἡμέραν ἄγομεν, διὰ τὸν ἀναστάντα ἐν αὐτῇ, ἐν ᾗ οὐδὲ γόνατα κλίνειν παρειλήφαμεν

* Ex MS. Reg. 2038. & & aliis, ita locus legendus, ac supplendus, est, προστέτακται. τὴν μὲν τετράδα — τὴν καὶ παρασκευὴν διὰ τὸ πεπονθέναι αὐτὸν ὑπὲρ ἡμῶν. τὴν γὰρ κυριακὴν, χαρμοσύνης &c. Apud Balsamonem legitur, τὴν δὲ παρασκευὴν ὅτι αὐτὸς ὑπὲρ ἡμῶν ἔπαθε. κυριακὴν δὲ χαρμοσύνης ἡμέραν. &c. Hasd.

ΣΥ'ΝΟΔΟΣ Ε'Ν Ρ'Ω'ΜΗ,.

ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

ΣΥ'νοδος θεία καὶ ἱερὰ τοπικὴ, συναθροισθεῖσα ἐν Ρ'ώμῃ, ὑπὸ Μιλτιάδου τοῦ ἁγιωτάτου πάπα, καὶ Μάρκου τοῦ ὁσιωτάτου, καὶ Κικιλλιανοῦ ἐπισκόπου Καρθαγένης, ἐπὶ τῇ ἑνώσει τῶν ἐπισκόπων. ταύτην τοίνυν, καὶ τὴν ἐν Ἀρελάτῳ, προστάξας συγκροτηθῆναι ὁ μέγας βασιλεὺς Κωνσταντῖνος, ἀπάρας ἀπὸ τῶν ἑσπερίων ἐπὶ τὰ ἑῷα χωρία, ἀμεταστρεπτὶ ἅπασι· μὴ τεθεακὼς Σίλβεστρον ἐπίσκοπον ἐν τῷ θρόνῳ Ρ'ώμης, ἀλλ' ἐπὶ Μιλτιάδου ἀναχωρήσας, ὅθεν ἀληθέστερόν ἐστι κρατεῖν, μὴ βεβαπτίσθαι αὐτὸν ἐν Ρ'ώμῃ, ἀλλ' ἐν Νικομηδείᾳ.

Ἀντίγραφον βασιλικῆς ἐπιστολῆς, δι' ἧς σύνοδον ἐπισκόπων ἐπὶ Ρ'ώμης κελεύει γενέσθαι ὑπὲρ τῆς τῶν ἐκκλησιῶν ἑνώσεώς τε καὶ ὁμονοίας.

Παρὰ Εὐσεβίου· βιβ. ε. κεφ. ε.

ΚΩνσταντῖνος σεβαστὸς Μιλτιάδῃ ἐπισκόπῳ Ρ'ωμαίων καὶ Μάρκῳ· ἐπειδὴ τοιοῦτοι χάρται παρὰ Ἀνυλίνου τοῦ λαμπροτάτου ἀνθυπάτου τῆς Ἀφρικῆς πρός με πλείους ἀπεστάλησαν, ἐν οἷς ἐμφέρεται Καικιλιανὸν τὸν ἐπίσκοπον τῆς Καρταγεννεσίων πόλεως, παρά τινων κολλήγων αὐτοῦ τῶν κατὰ τὴν Ἀφρικὴν καθεστώτων, ἐν πολλοῖς πράγμασιν εὐθύνεσθαι καὶ τοῦτό μοι βαρὺ σφόδρα δοκεῖ, τὸ ἐν ταύταις ταῖς ἐπαρχίαις ἃς τῇ ἐμῇ καθοσιώσει αὐθαίρετος ἡ θεία πρόνοια ἐνεχείρισε, κἀκεῖσε πολὺ πλῆθος λαοῦ, ὄχλον ἐπὶ τὸ φαυλότερον ἐπιμένοντα εὑρίσκεσθαι ὡσανεὶ διχοστατοῦντα, καὶ μεταξὺ ἐπισκόπους διαφορὰς ἔχειν, ἔδοξέ μοι, ἵν' αὐτὸς ὁ Καικιλιανὸς μετὰ δέκα ἐπισκόπων τῶν αὐτὸν εὐθύνειν δοκούντων, καὶ δέκα ἑτέρων οὓς αὐτὸς τῇ ἑαυτοῦ δίκῃ ἀναγκαίους ὑπολάβοι, εἰς τὴν Ρ'ώμην πλῷ ἀπιέναι· ἵν' ἐκεῖσε ὑμῶν παρόντων, ἀλλὰ μὴν καὶ Ρ'ετεκίου καὶ Ματέρνου καὶ Μαρίνου τῶν κολλήγων ὑμῶν, οὓς τούτου ἕνεκεν εἰς τὴν Ρ'ώμην προσέταξα ἐπισπεῦσαι, δυνηθῇ ἀκουσθῆναι, ὡς ἂν καταμάθοιτε τῷ σεβασμιωτάτῳ νόμῳ ἁρμόττειν· ἵνα μέντοι καὶ περὶ πάντων αὐτῶν τούτων πληρεστάτην δυνηθῆτε ἔχειν γνῶσιν, τὰ ἀντίτυπα τῶν ἐγγράφων τῶν πρός με παρὰ Ἀνυλίνου ἀποσταλέντων, γράμμασιν ἐμοῖς ὑποτάξας, πρὸς τοὺς προειρημένους κόλληγας ὑμῶν ἐξέπεμψα· οἷς ἐντυχοῦσα ἡ ὑμετέρα στερρότης, δοκιμάσει ὅν τινα χρὴ τρόπον τὴν προειρημένην δίκην ἐπιμελέστατα διευκρινῆσαι, καὶ κατὰ τὸ δίκαιον τερματίσαι. ὁπότε μὴ δὲ τὴν ἡμετέραν ἐπιμέλειαν λανθάνει, τοσαύτην με αἰδῶ τῇ ἐν θέσμῳ καθολικῇ ἐκκλησίᾳ ἀπονέμειν, ὡς μηδὲν καθόλου σχίσμα ἢ διχοστασίαν ἔν τινι τόπῳ βούλεσθαί με ὑμᾶς καταλιπεῖν. ἡ θειότης ὑμᾶς τοῦ μεγάλου Θεοῦ διαφυλάξοι πολλοῖς ἔτεσι τιμιώτατε.

Ἀντίγραφον βασιλικῆς ἐπιστολῆς δι' ἧς προστάττει δευτέραν γενέσθαι σύνοδον ὑπὲρ τοῦ πᾶσαν τῶν ἐπισκόπων περιελεῖν διχοστασίαν.

ΚΩνσταντῖνος σεβαστὸς, Χρήστῳ ἐπισκόπῳ Συρρακουσίων. ἤδη μὲν πρότερον ὅτε φαύλως καὶ ἐνδιαστρόφως τινὲς περὶ τῆς θρησκείας τῆς ἁγίας καὶ ἐπουρανίου δυνάμεως καὶ τῆς αἱρέσεως τῆς καθολικῆς ἀποδιίστασθαι ἤρξαντο, ἐπιτέμνεσθαι βουληθεὶς τὰς τοιαύτας αὐτῶν φιλονεικίας, οὕτω διετετυπώκειν, ὥστε ἀποσταλέντων ἀπὸ τῆς Γαλλίας τινῶν ἐπισκόπων, ἀλλὰ μὴν καὶ τῶν κληθέντων ἀπὸ τῆς Ἀφρικῆς τῶν ἐξ ἐναντίας μοίρας καταλλήλως ἐνστατικῶς καὶ ἐπιμόνως διαγωνιζομένων, παρόντος τε καὶ τοῦ τῆς Ρ'ώμης ἐπισκόπου, τοῦτο ὅπερ ἐδόκει κεκινῆσθαι, δυνηθῇ ὑπὸ τῆς παρουσίας αὐτῶν μετὰ πάσης ἐπιμελοῦς διακρίσεως, κατορθώσεως τυχεῖν. ἀλλ' ἐπειδὴ, ὡς συμβαίνει, ἐπιλαθόμενοι τινὲς καὶ τῆς σωτηρίας τῆς ἰδίας, καὶ τοῦ σεβάσματος τοῦ ὀφειλομένου τῇ ἁγιωτάτῃ αἱρέσει, ἔτι καὶ νῦν τὰς ἰδίας ἔχθρας παρατείνειν οὐ παύονται, μὴ βουλόμενοι τῇ ἤδη ἐξενεχθείσῃ κρίσει συντίθεσθαι. καὶ διοριζόμενοι ὅτι δὴ ἄρα ὀλίγοι τινὲς τὰς γνώμας καὶ τὰς ἀποφάσεις ἑαυτῶν ἐξηύνεγκαν, ἢ καὶ μὴ πρότερον ἁπάντων τῶν ὀφειλόντων ζητηθῆναι ἀκριβῶς ἐξετασθέντων, πρὸς τὸ τὴν κρίσιν ἐξενέγκαι πάνυ ταχέως καὶ ὀξέως ἔσπευσαν, ἔκ τε τούτων ἁπάντων ἐκεῖνα συμβαίνει γενέσθαι, τὸ καὶ τούτους αὐτοὺς ἀδελφικὴν καὶ ὁμόφρονα ὀφείλοντας ἔχειν ὁμοψυχίαν, αἰσχρῶς, μᾶλλον δὲ μυστερῶς ἀλλήλων ἀποδιεστάναι· καὶ τοῖς ἀνθρώποις τοῖς ἀλλοτρίας ἔχουσι τὰς ψυχὰς ἀπὸ τῆς ἁγιωτάτης θρησκείας, ταύτην πρόφασιν χλεύης διδόναι. ὅθεν προνοητέον μοι ἐγένετο, ὅπως τοῦτο ὅπερ ἐχρῆν μετὰ τὴν ἐξενεχθεῖσαν ἤδη κρίσιν, αὐθαιρέτῳ συγκαταθέσει πεπαῦσθαι, κἂν νῦν ποτὲ δυνηθῇ πολλῶν παρόντων τέλους τυχεῖν. ἐπειδὴ τοίνυν πλείστους ἐκ διαφόρων καὶ ἀμυθήτων τόπων ἐπισκόπους εἰς τὴν Ἀρεταλησίων πόλιν εἴσω Καλανδῶν Αὐγούστων συνελθεῖν ἐκελεύσαμεν. καὶ σοὶ γράψαι ἐνομίσαμεν, ἵνα λαβὼν παρὰ τοῦ λαμπροτάτου Λατρωνιανοῦ τοῦ κοντήκτορος Σικελίας δημόσιον ὄχημα, συζεύξας σεαυτῷ καὶ δύο γέ τινας τῶν ἐκ τοῦ δευτέρου θρόνου οὓς ἂν σὺ αὐτὸς ἐπιλέξασθαι κρίνῃς, ἀλλὰ μὴν καὶ τρεῖς παῖδας τοὺς δυνησομένους ὑμῖν κατὰ τὴν ὁδὸν ὑπηρετήσασθαι παραλαβὼν, εἴσω τῆς αὐτῆς ἡμέρας ἐπὶ τῷ προειρημένῳ τόπῳ ἀπάντησον· ὡς ἂν διά τε τῆς σῆς στερρότητος, καὶ διὰ τῆς λοιπῆς τῶν συνιόντων ὁμοψύχου καὶ ὁμόφρονος συνέσεως, καὶ τοῦτο ὅπερ ἄχρι τοῦ δεῦρο φαύλως δι' αἰσχράς τινας ζυγομαχίας παραμεμένηκεν, ἀκουσθέντων πάντων τῶν μελλόντων λεχθήσεσθαι παρὰ τῶν νῦν ἀπ' ἀλλήλων διεστώτων, οὕσπερ ὁμοίως παρεῖναι ἐκελεύσαμεν, δυνηθῇ εἰς τὴν ὀφειλομένην θρησκείαν καὶ πίστιν, ἀδελφικήν τε ὁμόνοιαν, κἂν βραδέως ἀνακληθῆναι. ὑγιαίνοντά σε ὁ Θεὸς ὁ παντοκράτωρ διαφυλάξοι ἐπὶ πολλοῖς ἔτεσιν.

ΣΥ'ΝΟΔΟΣ Ε'Ν Α'ΡΕΛΑΤΩ,.

ΣΥ'νοδος θεία καὶ ἱερὰ τοπικὴ, ἐν Ἀρελάτῳ, ὑπὸ Χρήστου συναθροισθεῖσα τοῦ ὁσιωτάτου ἐπισκόπου Συρακουσίων τῆς Σικελίας, καὶ τοῦ προειρημένου Κικιλλιανοῦ ἐπισκόπου, ἐπὶ τῇ ἑνώσει τῶν ἐπισκόπων.

ΚΑΝΟ'ΝΕΣ

ΤΩ̃Ν ΕΝ Α'ΓΚΥ'ΡΑ,

ΣΥΝΕΛΘΟ'ΝΤΩΝ ΜΑΚΑΡΙ'ΩΝ ΠΑΤΕ'ΡΩΝ·

Οἵ τινες προγενέστεροι μένεισι τῶν ἐν Νικαίᾳ ἐκτεθέντων κανόνων, δευτερεύουσι δὲ διὰ τὴν τῆς οἰκουμενικῆς συνόδου αὐθεντίαν.

α'.

ΠΡΕΣΒΥΤΕ'ΡΟΥΣ τοὺς ἐπιθύσαντας, εἶτα ἐπαναπαλαίσαντας, μήτε ἐκ μεθόδου τινὸς, ἀλλ' ἐξ ἀληθείας, μήτε προκατασκευάσαντας καὶ ἐπιτηδεύσαντας καὶ πείσαντας, ἵνα δόξωσι μὲν βασάνοις ὑποβάλλεσθαι, ταύτας δὲ τῷ δοκεῖν καὶ τῷ σχήματι προσαχθῆναι· τούτους ἔδοξε τῆς μὲν τιμῆς τῆς κατὰ τὴν καθέδραν μετέχειν, προσφέρειν δὲ αὐτοὺς, ἢ ὁμιλεῖν, ἢ ὅλως λειτουργεῖν τι τῶν ἱερατικῶν λειτουργιῶν, μὴ ἐξ εἶναι.

β'.

Διακόνους ὁμοίως θύσαντας, μετὰ δὲ ταῦτα ἀναπαλαίσαντας, τὴν μὲν ἄλλην τιμὴν ἔχειν, πεπαῦσθαι δὲ αὐτοὺς πάσης τῆς ἱερᾶς λειτουργίας, τῆς τε τοῦ ἄρτου ἢ ποτήριον ἀναφέρειν, ἢ κηρύσσειν. Εἰ μέντοι τινὲς τῶν ἐπισκόπων τούτοις συνίδοιεν κάματόν τινα ἢ ταπείνωσιν πρᾳότητος, καὶ ἐθέλοιεν πλεῖόν τι διδόναι ἢ ἀφαιρεῖν, ἐπ' αὐτοῖς εἶναι τὴν ἐξουσίαν.

γ'.

Τοὺς φεύγοντας καὶ συλληφθέντας, ἢ ὑπὸ οἰκείων παραδοθέντας. ἢ ἄλλως τὰ ὑπάρχοντα ἀφαιρεθέντας, ἢ ὑπομείναντας βασάνους, ἢ εἰς δεσμωτήριον ἐμβληθέντας, βοῶντάς τε ὅτι εἰσὶ χριστιανοὶ, καὶ * περιχισθέντες, ἤτοι εἰς τὰς χεῖρας πρὸς βίαν ἐμβαλλόντων τῶν βιαζομένων, ἢ βρῶμά τι πρὸς ἀνάγκην δεξαμένους, ὁμολογοῦντας δὲ διόλου ὅτι εἰσὶ χριστιανοὶ, καὶ τὸ πένθος τοῦ συμβάντος ἀεὶ ἐπιδεικνυμένους τῇ πάσῃ καταστολῇ, καὶ τῷ σχήματι, καὶ τῇ τοῦ βίου ταπεινότητι· τούτους ὡς ἔξω ἁμαρτήματος ὄντας, τῆς κοινωνίας μὴ κωλύεσθαι. εἰ δὲ καὶ ἐκωλύθησαν ὑπό τινος, περισσοτέρας ἀκριβείας ἕνεκεν, εἰ καί τινων ἀγνοίᾳ, εὐθὺς προσδεχθῆναι. Τοῦτο δὲ ὁμοίως ἐπί τε τῶν ἐκ τοῦ κλήρου καὶ τῶν ἄλλων λαϊκῶν· Προσεξητάσθη δὲ κἀκεῖνο, εἰ δύνανται καὶ λαϊκοὶ τῇ αὐτῇ ἀνάγκῃ ὑποπεσόντες * προσάγεσθαι εἰς τάξιν. Ἔδοξεν οὖν καὶ τούτους, ὡς μηδὲν ἡμαρτηκότας, εἰ καὶ ἡ προλαβοῦσα εὑρίσκοιτο ὀρθὴ τοῦ βίου πολιτεία, προχειρίζεσθαι.

* al. περιχισθέντας,

* προσάγεσθαι

δ'.

Περὶ τῶν πρὸς βίαν θυσάντων, ἐπὶ δὲ τούτοις * καὶ τῶν δειπνησάντων εἰς τὰ εἴδωλα, ὅσοι μὲν ἀπαγόμενοι, καὶ σχήματι * φαιδροτέρῳ ἀνῆλθον, καὶ ἐσθῆτι ἐχρήσαντο πολυτελεστέρᾳ, καὶ μετέσχον τοῦ παρασκευασθέντος δείπνου ἀδιαφόρως· ἔδοξεν ἐνιαυτὸν ἀκροᾶσθαι, ὑποπεσεῖν δὲ τρία ἔτη, εὐχῆς δὲ μόνης κοινωνῆσαι ἔτη δύο, καὶ τότε ἐλθεῖν ἐπὶ τὸ τέλειον.

* al. καὶ δεῖπνον
* al. σφοδροτέρῳ

ε'.

Ὅσοι δὲ ἀνῆλθον μετὰ ἐσθῆτος πενθικῆς, καὶ ἀναπεσόντες ἔφαγον μεταξὺ δι' ὅλης τῆς ἀνακλίσεως δακρύοντες, εἰ ἐπλήρωσαν τὸν τῆς ὑποπτώσεως τριετῆ χρόνον, χωρὶς προσφορᾶς δεχθήτωσαν. εἰ δὲ μὴ ἔφαγον, δύο ὑποπεσόντες ἔτη, τῷ τρίτῳ κοινωνησάτωσαν χωρὶς προσφορᾶς, ἵνα τὸ τέλειον * τῇ * τετραετίᾳ λάβωσι· τοὺς δὲ ἐπισκόπους ἐξουσίαν ἔχειν τὸν τρόπον τῆς ἐπιστροφῆς δοκιμάσαντας φιλανθρωπεύεσθαι, ἢ πλείονα προστιθέναι χρόνον, πρὸ πάντων δὲ καὶ ὁ προάγων βίος, καὶ ὁ μετὰ ταῦτα, ἐξεταζέσθω· καὶ οὕτως ἡ φιλανθρωπία ἐπιμετρείσθω.

* al. τριετὴ

ς'.

Περὶ τῶν ἀπειλῇ μόνον εἰξάντων κολάσεως, καὶ ἀφαιρέσεως ὑπαρχόντων, ἢ μετοικίας, καὶ θυσάντων, καὶ μέχρι τοῦ παρόντος καιροῦ μὴ μετανοησάντων, μηδὲ ἐπιστρεψάντων, νῦν δὲ παρὰ τὸν καιρὸν τῆς συνόδου προσελθόντων, καὶ εἰς διάνοιαν τῆς ἐπιστροφῆς γενομένων· ἔδοξε μέχρι τῆς μεγάλης ἡμέρας εἰς ἀκρόασιν δεχθῆναι, καὶ μετὰ τὴν μεγάλην ἡμέραν ὑποπεσεῖν τρία ἔτη, καὶ μετὰ ἄλλα δύο ἔτη, κοινωνῆσαι χωρὶς προσφορᾶς, καὶ οὕτως ἐλθεῖν ἐπὶ τὸ τέλειον, ὥστε τὴν πᾶσαν ἑξαετίαν πληρῶσαι· εἰ δέ τινες πρὸ τῆς συνόδου ταύτης ἐδέχθησαν εἰς μετά-

τάνοιαν, ἀπ' ἐκείνου τοῦ χρόνου λελογίσθαι αὐτοῖς τὴν ἀρχὴν τῆς ἐξαετίας. εἰ μέντοι κίνδυνος καὶ θανάτου προσδοκία ἐκ νόσου ἢ ἄλλης τινὸς προφάσεως συμβαίη, τούτους ἐπὶ ὅρῳ δεχθῆναι.

ζ'.

Περὶ τῶν συνεστιαθέντων ἐν ἑορτῇ ἐθνικῇ ἐν τόπῳ ἀφωρισμένῳ τοῖς ἐθνικοῖς, ἴδια βρώματα ἐπικομισαμένων καὶ φαγόντων· ἔδοξε διετίαν ὑποπεσόντας δεχθῆναι. Τὸ δὲ εἰ χρὴ μετὰ τῆς προσφορᾶς, ἕκαστον τῶν ἐπισκόπων δοκιμάσαι, καὶ τὸν ἄλλον βίον ἐφ' ἑκάστου * ἀξιῶσαι.

* al. ἐξετάσαι.

ή.

Οἱ δὲ δεύτερον καὶ τρίτον θύσαντες μετὰ βίας, τετραετίαν ὑποπεσέτωσαν, δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνησάτωσαν, καὶ τῷ ἑβδόμῳ τελείως δεχθήτωσαν.

θ'.

Ὅσοι δὲ μὴ μόνον ἀπέστησαν, ἀλλὰ καὶ ἐπανέστησαν καὶ ἠνάγκασαν ἀδελφοὺς, καὶ αἴτιοι ἐγένοντο τοῦ ἀναγκασθῆναι. οὗτοι ἔτη μὲν τρία τὸν τῆς ἀκροάσεως δεξάσθωσαν τόπον, ἐν δὲ ἄλλῃ ἑξαετίᾳ τὸν τῆς ὑποπτώσεως. ἄλλον δὲ ἐνιαυτὸν κοινωνησάτωσαν χωρὶς προσφορᾶς. ἵνα τὴν δεκαετίαν πληρώσαντες, τοῦ τελείου μετάσχωσιν. Ἐν μέντοι τούτῳ τῷ χρόνῳ καὶ τὸν ἄλλον αὐτῶν ἐπιτηρεῖσθαι βίον.

ί.

Διάκονοι, ὅσοι καθίστανται, παρ' αὐτὴν τὴν κατάστασιν εἰ ἐμαρτύραντο καὶ ἔφασαν χρῆναι γαμῆσαι, μὴ δυνάμενοι οὕτως μένειν· οὗτοι μετὰ ταῦτα γαμήσαντες, ἔστωσαν ἐν τῇ ὑπηρεσίᾳ, διὰ τὸ ἐπιτραπῆναι αὐτοὺς ὑπὸ τοῦ ἐπισκόπου. τοῦτο δὲ εἴ τινες σιωπήσαντες, καὶ καταδεξάμενοι ἐν τῇ χειροτονίᾳ μένειν οὕτως, μετὰ ταῦτα ἦλθον ἐπὶ γάμον, πεπαῦσθαι αὐτοὺς τῆς διακονίας.

ιά.

Τὰς μνηστευθείσας κόρας, καὶ μετὰ ταῦτα ὑπ' ἄλλων ἁρπαγείσας, ἔδοξεν ἀποδίδοσθαι τοῖς προμνηστευσαμένοις, εἰ καὶ βίαν ὑπ' αὐτῶν πάθοιεν.

ιβ'.

Τοὺς πρὸ τοῦ βαπτίσματος τεθυκότας, καὶ μετὰ ταῦτα βαπτισθέντας, ἔδοξεν εἰς τάξιν προάγεσθαι, ὡς ἀπολουσαμένους.

ιγ'.

Χωρεπισκόπους μὴ ἐξεῖναι πρεσβυτέρους ἢ διακόνους χειροτονεῖν, ἀλλὰ μηδὲ πρεσβυτέρους πόλεως, χωρὶς τοῦ ἐπιτραπῆναι ὑπὸ τοῦ ἐπισκόπου μετὰ γραμμάτων ἐν ἑτέρᾳ παροικίᾳ.

ιδ'.

Τοὺς ἐν κλήρῳ πρεσβυτέρους ἢ διακόνους ὄντας, καὶ ἀπεχομένους κρεῶν, ἔδοξεν ἐφάπτεσθαι, καὶ οὕτως, εἰ βούλοιντο, κρατεῖν ἑαυτῶν. εἰ δὲ βούλοιντο, ὡς μηδὲ τὰ μετὰ κρεῶν βαλλόμενα λάχανα ἐσθίειν, καὶ εἰ μὴ ὑπείκοιεν τῷ κανόνι, πεπαῦσθαι αὐτοὺς τῆς τάξεως.

ιέ.

Περὶ τῶν διαφερόντων τῷ [3] κυριακῷ, ὅσα ἐπισκόπου μὴ ὄντος πρεσβύτεροι ἐπώλησαν, * ἀναβαλεῖσθαι τὸ κυριακόν· ἐν δὲ τῇ κρίσει τοῦ ἐπισκόπου εἶναι, εἴπερ προσήκει ἀπολαβεῖν τὴν τιμὴν, εἴτε καὶ μή· διὰ τὸ πολλάκις τὴν εἴσοδον τῶν πεπραμένων ἀποδεδωκέναι αὐτοῖς τούτοις πλείονα τὴν τιμήν.

* Ἰσ. ἀνακαλεῖσθαι.

ιϛ'.

Περὶ τῶν ἀλογευσαμένων, ἢ καὶ ἀλογευομένων.

Ὅσοι πρὶν εἰκοσαετεῖς γενέσθαι, ἥμαρτον, πέντε καὶ δέκα ἔτεσιν ὑποπεσόντες, κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχάς. εἶτα ἐν τῇ κοινωνίᾳ διατελέσαντες ἔτη πέντε, τότε καὶ τῆς προσφορᾶς ἐφαπτέσθωσαν. Ἐξεταζέσθω δὲ αὐτῶν καὶ ὁ ἐν τῇ ὑποπτώσει βίος, καὶ οὕτως τυγχανέτωσαν τῆς φιλανθρωπίας. Εἰ δέ τινες κατακόρως ἐν τοῖς ἁμαρτήμασι γεγόνασι, τὴν μακρὰν ἐχέτωσαν ὑπόπτωσιν. Ὅσοι δὲ ὑπερβάντες τὴν ἡλικίαν ταύτην, καὶ γυναῖκας ἔχοντες, περιπεπτώκασι τῷ ἁμαρτήματι, πέντε καὶ εἴκοσι ἔτη ὑποπεσέτωσαν καὶ κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχάς· εἶτα ἐκτελέσαντες πέντε ἔτη ἐν τῇ κοινωνίᾳ τῶν εὐχῶν, τυγχανέτωσαν τῆς προσφορᾶς. Εἰ δέ τινες καὶ γυναῖκας ἔχοντες, καὶ ὑπερβάντες τὸν πεντηκονταετῆ χρόνον, ἥμαρτον, ἐπὶ τῇ ἐξόδῳ τοῦ βίου τυγχανέτωσαν τῆς κοινωνίας.

ιζ'.

Τοὺς ἀλογευσαμένους καὶ λεπροὺς ὄντας, ἤτοι λεπρώσαντας, τούτους προσέταξεν ἡ ἁγία σύνοδος εἰς τοὺς χειμαζομένους εὔχεσθαι.

ιή.

Εἴ τινες ἐπίσκοποι κατασταθέντες, καὶ μὴ δεχθέντες ὑπὸ τῆς παροικίας ἐκείνης, εἰς ἣν ὠνομάσθησαν, ἑτέραις βούλοιντο παροικίαις ἐπιέναι, καὶ βιάζεσθαι τοὺς καθεστῶτας, καὶ στάσεις κινεῖν κατ' αὐτῶν, τούτους ἀφορίζεσθαι. Ἐὰν μέντοι βούλοιντο εἰς τὸ πρεσβυτέριον καθέζεσθαι, ἔνθα ἦσαν πρότερον πρεσβύτεροι, μὴ ἀποβάλλεσθαι αὐτοὺς τῆς τιμῆς. Ἐὰν δὲ διαστασιάζωσι πρὸς τοὺς καθεστῶτας ἐκεῖ ἐπισκόπους, ἀφαιρεῖσθαι αὐτοὺς καὶ τὴν τιμὴν τοῦ πρεσβυτερίου, καὶ γίνεσθαι αὐτοὺς ἐκκηρύκτους.

ιθ'.

Ὅσοι παρθενίαν ἐπαγγελλόμενοι, ἀθετοῦσι τὴν ἐπαγγελίαν, τὸν τῶν διγάμων ὅρον ἐκπληρούτωσαν. τὰς μέντοι συνερχομένας παρθένους τισὶν, ὡς ἀδελφὰς, ἐκωλύσαμεν.

κ'.

Ἐάν τινος γυνὴ μοιχευθῇ, ἢ μοιχεύσῃ τις, ἐν ἑπτὰ ἔτεσι δοκεῖ αὐτὸν τοῦ τελείου τυχεῖν, κατὰ τοὺς βαθμοὺς τοὺς προάγοντας.

κά.

Περὶ τῶν γυναικῶν τῶν ἐκπορνευουσῶν, καὶ ἀναιρουσῶν τὰ γεννώμενα, καὶ σπουδαζουσῶν φθόρια ποιεῖν, ὁ μὲν πρότερος ὅρος μέχρις ἐξόδου ἐκώλυσεν. καὶ τούτῳ συντίθενται. Φιλανθρωπότερον δέ τι εὑρόντες, ὡρίσαμεν δεκαετῆ

τῆ χρόνον κατὰ τοὺς βαθμοὺς τοὺς ὡρισμένους.

κβ'.

Περὶ ἑκουσίων φόνων, ὑποπιπτέτωσαν μὲν, τοῦ δὲ τελείου ἐν τῷ τέλει τοῦ βίου καταξιούσθωσαν.

κγ'.

Ἐπὶ ἀκουσίων φόνων, ὁ μὲν πρότερος ὅρος ἐν ἑπταετίᾳ κελεύει τοῦ τελείου μεταχεῖν, κατὰ τοὺς ὡρισμένους βαθμούς. ὁ δὲ δεύτερος, τὸν πενταετῆ χρόνον πληρώσει.

κδ'.

Οἱ καταμαντευόμενοι, καὶ ταῖς συνηθείαις τῶν * χρόνων ἐξακολουθοῦντες, ἢ εἰσάγοντές τινας εἰς τοὺς ἑαυτῶν οἴκους ἐπὶ ἀνευρέσει φαρμακειῶν, ἢ καὶ καθάρσει, ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς πενταετίας κατὰ τοὺς βαθμοὺς ὡρισμένους, τρία ἔτη ὑποπτώσεως, καὶ δύο ἔτη εὐχῆς χωρὶς προσφορᾶς.

* ἐθνῶν.

κε'.

Μνησευσάμενός τις κόρην, προσεφθάρη τῇ ἀδελφῇ αὐτῆς, ὡς καὶ ἐπιφορέσαι αὐτήν. ἔγημε δὲ τὴν μνηστὴν μετὰ ταῦτα. ἡ δὲ φθαρεῖσα ἀπήγξατο. οἱ συνειδότες ἐκελεύσθησαν ἐν δεκαετίᾳ δεχθῆναι εἰς τοὺς συνεστῶτας, κατὰ τοὺς ὡρισμένους βαθμούς.

ΣΥΝΟΔΟΣ ΕΝ ΑΓΚΥΡΑ.

ΣΥνοδος θεία καὶ ἱερὰ τοπικὴ, δύο καὶ δέκα ἐπισκόπων, συναθροισθεῖσα ἐν Ἀγκύρᾳ τῆς Γαλατίας, ἧς ἐξῆρχε Μάρκελλος τῆς αὐτῆς ἐπίσκοπος, καὶ Ἀγρικόλαος Καισαρείας Καππαδοκίας· κανονικῶς τυπώσασα τὴν διόρθωσιν τῶν ἐν τῷ διωγμῷ παραπεσόντων.

ΚΑΝΟΝΕΣ

ΤΩΝ ΕΝ ΝΕΟΚΑΙΣΑΡΕΙΑ,

Συνελθόντων ἁγίων καὶ μακαρίων πατέρων· οἵ τινες δεύτεροι μένεισι τῶν ἐν Ἀγκύρᾳ, τῶν δὲ ἐν Νικαίᾳ προγενέστεροι. διὰ δὲ σεβασμιότητα προτέτακται αὐτῶν * ἐν Νικαίᾳ.

* al. οἱ ἐν

α'.

ΠΡεσβύτερος ἐὰν γήμῃ, τῆς τάξεως αὐτὸν μετατίθεσθαι. ἐὰν δὲ πορνεύσῃ ἢ μοιχεύσῃ, ἐξωθεῖσθαι αὐτὸν τέλεον, καὶ ἄγεσθαι αὐτὸν εἰς μετάνοιαν.

β'.

Γυνὴ ἐὰν γήμηται δύο ἀδελφοῖς, ἐξωθείσθω μέχρι θανάτου. πλὴν ἐν θανάτῳ, διὰ τὴν φιλανθρωπίαν, εἰποῦσα, ὡς ὑγιάνασα λύσει τὸν γάμον, ἕξει τὴν μετάνοιαν. Ἐὰν δὲ τελευτήσῃ ἡ γυνὴ ἐν τοιούτῳ γάμῳ οὖσα, ἤτοι ὁ ἀνὴρ, δυσχερὴς τῷ μείναντι ἡ μετάνοια.

γ'.

Περὶ τῶν πλείστοις γάμοις περιπιπτόντων, ὁ μὲν χρόνος σαφὴς ὁ ὡρισμένος. ἡ δὲ ἀναστροφὴ καὶ ἡ πίστις αὐτῶν συντέμνει τὸν χρόνον.

δ'.

Ἐὰν πρόθηταί τις ἐπιθυμῆσαι γυναικὸς, * συγκαθεύδῆσαι μετ' αὐτῆς, μὴ ἔλθῃ δὲ εἰς ἔργον αὐτοῦ ἡ ἐνθύμησις, φαίνεται ὅτι ὑπὸ τῆς χάριτος ἐῤῥύσθη.

* πρὸς καθεύδῆσαι.

ε'.

Κατηχούμενος ἐὰν εἰσερχόμενος εἰς κυριακὸν ἐν τῇ τῶν κατηχουμένων τάξει στήκῃ, οὗτος δὲ ἁμαρτάνων· ἐὰν μὲν γόνυ κλίνων, ἀκροάσθω μηκέτι ἁμαρτάνων. ἐὰν δὲ καὶ ἀκροώμενος ἔτι ἁμαρτάνῃ, ἐξωθείσθω.

ϛ'.

Περὶ κυοφορούσης, ὅτι δεῖ φωτίζεσθαι ὁπότε βούλεται. οὐδὲν γὰρ ἐν τούτῳ κοινωνεῖ ἡ τίκτουσα τῷ τικτομένῳ, διὰ τὸ ἑκάστου ἰδίαν τὴν προαίρεσιν ² τὴν ἐπὶ τῇ ὁμολογίᾳ δείκνυσθαι.

ζ'.

Πρεσβύτερον εἰς γάμους διγαμούντων μὴ ἑστιᾶσθαι· ἐπεὶ μετάνοιαν αἰτοῦντος τοῦ διγάμου, τίς ἔσται ὁ πρεσβύτερος, ὁ διὰ τῆς ἑστιάσεως συγκατατιθέμενος τοῖς γάμοις;

η'.

Γυνή τινος μοιχευθεῖσα λαϊκοῦ ὄντος, ἐὰν ἐλεγχθῇ φανερῶς, ὁ τοιοῦτος εἰς ὑπηρεσίαν ἐλθεῖν οὐ δύναται. Ἐὰν δὲ καὶ μετὰ τὴν χειροτονίαν μοιχευθῇ, ὀφείλει ἀπολῦσαι αὐτήν. ἐὰν δὲ συζῇ, οὐ δύναται ἔχεσθαι τῆς ἐγχειρισθείσης αὐτῷ ὑπηρεσίας.

θ'.

Πρεσβύτερος, ἐὰν προημαρτηκὼς σώματι προαχθῇ, καὶ ὁμολογήσῃ, ὅτι ἥμαρτε πρὸ τῆς χειροτονίας, μὴ προσφερέτω, μένων ἐν τοῖς λοιποῖς, διὰ τὴν ἄλλην σπουδήν. Τὰ γὰρ λοιπὰ ἁμαρτήματα ἔφασαν οἱ πολλοὶ καὶ τὴν χειροθεσίαν ἀφιέναι. Ἐὰν δὲ αὐτὸς μὴ ὁμολογῇ, ἐλεγχθῆναι δὲ φανερῶς μὴ δυνηθῇ, ἐπ' αὐτῷ ἐκείνῳ ποιεῖσθαι τὴν ἐξουσίαν.

ι'.

Ὁμοίως καὶ διάκονος ἐὰν ἐν τῷ αὐτῷ ἁμαρτήματι περιπέσῃ, τὴν τοῦ ὑπηρέτου τάξιν ἐχέτω.

ια'.

Πρεσβύτερος πρὸ τῶν τριάκοντα ἐτῶν μὴ χειροτονείσθω, ἐὰν καὶ πάνυ ᾖ ὁ ἄνθρωπος ἄξιος, ἀλλὰ ἀποτηρείσθω. Ὁ γὰρ κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐφωτίσθη, καὶ ἤρξατο διδάσκειν.

ιβ'.

Ἐὰν νοσῶν τις φωτισθῇ, εἰς πρεσβύτερον ἄγεσθαι οὐ δύναται. Οὐκ ἐκ προαιρέσεως γὰρ ἡ πίστις αὐτοῦ, ἀλλ' ἐξ ἀνάγκης· εἰ μὴ τάχα διὰ τὴν μετὰ ταῦτα αὐτοῦ σπουδὴν καὶ πίστιν, καὶ διὰ σπάνιν ἀνθρώπων.

ιγ'.

ιγ'.

Ἐπιχώριοι πρεσβύτεροι ἐν τῷ κυριακῷ τῆς πόλεως προσφέρειν οὐ δύναντοι, παρόντος ἐπισκόπου ἢ πρεσβυτέρων πόλεως, οὔτε μὴν ἄρτον διδόναι ἐν εὐχῇ, οὐδὲ ποτήριον. Ἐὰν δὲ ἀπῶσι, καὶ εἰς εὐχὴν κληθῇ μόνος, δίδωσιν.

ιδ'.

Οἱ δὲ χωρεπίσκοποι, εἰσὶ μὲν εἰς τύπον τῶν ἑβδομήκοντα· ὡς δὲ συλλειτουργοὶ, διὰ τὴν σπουδὴν εἰς τοὺς πτωχοὺς, προσφέρουσι τιμώμενοι.

ιε'.

Διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη εἴη ἡ πόλις. πεισθήσῃ δὲ ἀπὸ τῆς βίβλου τῶν πράξεων.

ΣΥ'ΝΟΔΟΣ

ΕΝ ΚΑΙΣΑΡΕΙ'Α, ΤΟΥ˜ ΠΟ'ΝΤΟΥ.

ΣΥ'νοδος θεία καὶ ἱερὰ τοπικὴ, εἴκοσι καὶ τριῶν ἐπισκόπων, ὧν ἐξῆρχε Βιτάλιος, συναθροισθεῖσα ἐν Καισαρείᾳ τοῦ Πόντου, περὶ τῶν ἐν τῷ διωγμῷ ἐπιθυσάντων, ἢ ἐξομωσαμένων, ἢ εἰδωλοθύτων γευσαμένων· ἢ καὶ πρὸς τὴν διαφορὰν τῆς παραβάσεως, ἀνάλογον καὶ τὴν διόρθωσιν κανονικῶς διετύπωσεν.

ΚΑΘΑΙ'ΡΕΣΙΣ Α'ΡΕΙ'ΟΥ,

καὶ τῶν σὺν αὐτῷ ὑπὸ Α'λεξάνδρου ἀρχιεπισκόπου Α'λεξανδρείας.

Α'λέξανδρος πρεσβυτέροις καὶ διακόνοις Α'λεξανδρείας καὶ Μαρεώτου, παρῶν παροῦσιν, ἀγαπητοῖς ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν. Εἰ καὶ φθάσαντες ὑπεγράψατε οἷς ἐπέστειλα τοῖς περὶ Ἄρειον, προτρέπων αὐτοῖς ἀρνήσασθαι μὲν τὴν ἀσέβειαν, πεισθῆναι δὲ τῇ ὑγιαινούσῃ καὶ καθολικῇ πίστει. καὶ ἐδείξατε ἑαυτῶν ὀρθὴν τὴν προαίρεσιν, καὶ τὴν ἐν τοῖς δόγμασι συμφωνίαν τῆς καθολικῆς ἐκκλησίας· ὅμως ἐπειδὴ καὶ πρὸς τοὺς ἀπανταχοῦ συλλειτουργοὺς ἐπέστειλα περὶ τῶν περὶ Ἄρειον, ἀναγκαῖον ἡγησάμην, ὑμᾶς μὲν τοὺς τῆς πόλεως κληρικοὺς συναγαγεῖν, ὑμᾶς δὲ τοὺς ἀπὸ τοῦ Μαρεώτου μεταπέμψασθαι, μάλιστα ὅτι καὶ ἀφ' ὑμῶν Χάρης καὶ Πιστὸς πρεσβύτεροι, καὶ Σαραπίων, καὶ Παράμμων, καὶ Ζώσιμος, καὶ Εἰρηναῖος διάκονοι, ἀπηκολούθησαν τοῖς περὶ Ἄρειον, καὶ ἠγάπησαν σὺν αὐτοῖς καθαιρεθῆναι. ἵνα καὶ τὰ νῦν γραφόμενα γνῶτε, τήν τε ἐν τούτοις συμφωνίαν ἑαυτῶν ἐπιδείξησθε, καὶ τῇ καθαιρέσει τῶν περὶ Ἄρειον, καὶ τῶν περὶ Πιστὸν σύμψηφοι γένησθε. Πρέπει γὰρ τὰ παρ' ἐμοῦ γραφόμενα γινώσκειν ὑμᾶς, καὶ ἕκαστον ὡς παρ' αὐτοῦ γραφόμενα, ἐν τῇ καρδίᾳ κατέχειν.

Πατρικίου Α'ραρσίου τοῦ μάκαρος, ἐκ τοῦ λόγου αὐτοῦ, τοῦ ἐπιλεγομένου Ὠκεανοῦ.

ΜΕλέτιον τοίνυν ἐπίσκοπον Θηβαΐδος, ἐν τῷ διωγμῷ θύσαντα, καὶ ἐπὶ μυρίοις ἑτέροις φωραθέντα ἐγκλήμασιν, ὁ μακαριώτατος Πέτρος Α'λεξανδρείας ἐπίσκοπος, πρινὴ τὸν τοῦ μαρτυρίου Στέφανον ἀναδήσασθαι, καθεῖλε, καὶ τῆς Χριστοῦ ἐκκλησίας ἐξέωσε· καὶ Ἄρειον διάκονον, ὡς τὸ ἑτεροούσιον πρεσβεύοντα ἐπὶ τοῦ Θεοῦ λόγου, καὶ τὸ, ἐξ οὐκ ὄντων, καὶ τὸ, ἦν ποτὲ, ὅτε οὐκ ἦν ὁ υἱὸς τοῦ Θεοῦ καὶ πατρὸς, διακονεῖν καθάπαξ κεκώλυκε. Πέτρου δὲ ἐν κυρίῳ τελειωθέντος, Α'χιλλᾶς διαδέχεται, καὶ Ἄρειον τῇ αἱρέσει καὶ φιλαρχίᾳ κρατούμενον, καὶ τοῖς Μελετίου τολμήμασιν ἀντιθέως συμπράττοντα, δελεασθεὶς χειροτονεῖ πρεσβύτερον, καὶ τοῦ ἐν Α'λεξανδρείᾳ διδασκαλείου προΐστησιν. Α'χιλλᾶν δὲ οὐ μέντι πολὺ ὁσίως τελειωθέντα, ὁ τῶν ἀποστολικῶν δογμάτων ὑπέρμαχος Α'λέξανδρος διαδέχεται. Ἄρειος γοῦν, ὡς μὴ προκριθεὶς Α'λεξάνδρου, μειζόνως τῇ φιλαρχίᾳ ἀλαζονεύεται, καὶ ἀποσπάσας τῆς ἐκκλησίας Εὐζώϊον τὸν διάκονον, Α'ειθαλᾶν, καὶ ἑτέρους τινὰς, κατὰ τῆς ἐκκλησίας καὶ Α'λεξάνδρου, φρατριάζειν ἀπήρξατο, κρατῆναι πειρώμενος τὸ ἑτεροούσιον. ὁ δὲ μακαριώτατος Α'λέξανδρος πολλαῖς νουθεσίας χρησάμενος, ἐπὶ τὴν ἀποστολικὴν διάταξιν ἔρχεται τὴν λέγουσαν, αἱρετικὸν ἄνθρωπον μέντι μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ. ἰδὼν ἐκείνων καθόλου τὸ ἀνεπίγραφον.

ΣΥ'ΝΟΔΟΣ

ΕΝ Α'ΛΕΧΑΝΔΡΕΙ'Α.

ΣΥ'νοδος θεία καὶ ἱερὰ, μερικὴ δὲ, ὡς φέρε εἰπεῖν ἐστὶ, τῶν προσφάτως εὑρισκομένων καὶ προχείρως ἐπισκόπων συνέλευσις· ἥτις συγκληθεῖσα ἐν Α'λεξανδρείᾳ ὑπὸ Α'λεξάνδρου τοῦ μάκαρος, ἀπεκήρυξε καὶ ἀναθέματι καθυπέβαλεν, ὡς ἐμμένοντας τῇ ἀπειθείᾳ, καὶ σηπεδόνα τῇ ἐκκλησίᾳ προσάγοντας, Ἄρειον, Εὐζώϊον, Α'χιλλᾶν, Α'ειθαλᾶν, Λούκιον, Σαρμάτιον, Ι'ούλιον, Μηνᾶν, Ἄρειον ἕτερον, καὶ Ἑλλάδιον. καὶ τὴν αὐτῶν καθαίρεσιν πανταχοῦ ἐξαπέστειλεν. εἰς ἣν ὑπογράφουσιν ἐπίσκοποι Λιβύης, καὶ Πενταπόλεως, Συρίας, καὶ Λυκίας, Καππαδοκίας, καὶ Α'σίας, καὶ Α'λέξανδρος ὁ Κωνσταντινουπόλεως. γράφει δὲ Ἄρειος τὰ συμβάντα πρὸς τὸν Νικομηδείας Εὐσέβιον, καὶ τὸν ἐκείνου Παλαιστίνης ὁμόφρονα καὶ συνώνυμον· οἳ ὁμονοήσαντες τῇ ἀσεβείᾳ, κατὰ Α'λεξάνδρου, καὶ τῆς Χριστοῦ ἐκκλησίας δυνάμει καὶ κακουργίᾳ πολλῇ παρατάττονται, ὅθεν ὁ φιλόχριστος βασιλεὺς Κωνσταντῖνος συγκροτηθῆναι θεσπίζει τὴν σύνοδον.







Ἁγ. Ἀπόστολοι. Σύγχρονον ἔργον

ΚΑ΄ΝΟ΄ΝΕΣ

ΤΩ͂Ν Ε΄Ν ΛΑΟΔΙΚΕΙ΄Α, ΤΗ͂Σ ΦΡΥΓΙ΄ΑΣ

Συνελθόντων ἁγίων κ᾽ μακαρίων πατέρων,

Ἡ Ἁγία συνοδος, ἡ κατὰ Λαοδικείαν τῆς Φρυγίας Πακατιανῆς συγκροτηθεῖσα ἐκ διαφόρων ἐπαρχιῶν τῆς Ἀσιανῆς, ὅρους ἐξέθετο ἐκκλησιαστικούς, * ὧς ὑποτέτακται.

* alias οἷς

α.

Περὶ τοῦ, δεῖν κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα τοὺς ἐλευθέρως κ᾽ νομίμως συναφθέντας δευτέροις γάμοις, μὴ λαθρογαμίαν ποιήσαντας, ὀλίγου χρόνου παρελθόντος, κ᾽ σχολασάντων ταῖς προσευχαῖς κ᾽ νηστείαις, κατὰ συγγνώμην ἀποδίδοσθαι αὐτοῖς τὴν κοινωνίαν ᾠείσαμεν.

β΄.

Περὶ τοῦ, τοὺς ἐξαμαρτάνοντας ἐν διαφόροις πταίσμασι, κ᾽ προσκαρτεροῦντας τῇ προσευχῇ τῆς ἐξομολογήσεως κ᾽ μετανοίας, κ᾽ τὴν ἀποστροφὴν τῆς κακῶν τελείαν ποιουμένους, κατὰ τὴν ἀναλογίαν τοῦ πταίσματος, καιρὸν μετανοίας δοθήσεσθαι τοῖς τοιούτοις, διὰ τοὺς οἰκτιρμοὺς κ᾽ τὴν ἀγαθότητα τοῦ Θεοῦ προσάγεσθαι τῇ κοινωνίᾳ.

γ΄.

Περὶ τοῦ, μὴ δεῖν προσφάτων φωτισθέντας προσάγεσθαι ἐν τάγματι ἱερατικῷ.

δ΄.

Περὶ τοῦ, μὴ δεῖν ἱερατικοὺς δανείζειν, καὶ τόκους τοὺς, καὶ λεγομένας ἡμιολίας λαμβάνειν.

ε΄.

ε΄. Περὶ τοῦ, μὴ δεῖν τοὺς χειροτονίας ἐπὶ παρουσίᾳ ἀκροωμένων γίνεσθαι.

ς΄.

Περὶ τοῦ, μὴ συγχωρεῖν τοῖς αἱρετικοῖς εἰσιέναι εἰς τὸν οἶκον τοῦ Θεοῦ, ἐπιμένοντας τῇ αἱρέσει.

ζ.

Περὶ τοῦ, τοὺς ἐκ τῆς αἱρέσεων, τοῦτ᾽ ἔστι, Ναυατιανῶν, ἢ τοὺς Φωτεινιανῶν, ἢ Τεσσαρεσκαιδεκατιτῶν, ἐπιστρεφομένους, * ἢ τε πιστοὺς τοὺς παρ᾽ ἐκείνοις μὴ προσδέχεσθαι, πρὶν ἀναθεματίσωσι πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ ἐν ᾗ κατείχοντο. καὶ τότε λοιπὸν τοὺς λεγομένους παρ᾽ αὐτοῖς πιστοὺς, ἐκμανθάνοντας τὰ τῆς πίστεως σύμβολα, χρισθέντας τῷ ἁγίῳ χρίσματι, οὕτω κοινωνεῖν * τῷ μυστηίῳ τῷ ἁγίῳ.

* al. ἅπτ.

* al. ἁγίῳ ἐκ.

η΄.

Περὶ τοῦ, τοὺς ἀπὸ τῆς αἱρέσεως τῆς λεγομένων Φρυγῶν ἐπιστρέφοντας, εἰ κ᾽ ἐν κλήρῳ νομίζομένῳ παρ᾽ αὐτοῖς τυγχάνοιεν, εἰ κ᾽ μέγιστοι λέγοιντο· τοὺς τοιούτους μετὰ πάσης ἐπιμελείας κατηχεῖσθαί τε κ᾽ βαπτίζεσθαι ὑπὸ τῆς τῆς ἐκκλησίας ἐπισκόπων τε κ᾽ πρεσβυτέρων.

θ΄.

Περὶ τοῦ, μὴ συγχωρεῖν εἰς τὰ κοιμητήρια, ἢ εἰς τὰ λεγόμενα μαρτύρια πάντων τῆς αἱρετικῶν, ἀπίστους τοὺς τῆς ἐκκλησίας, ἀρχῆς ἢ θεραπείας ἕνεκα· ἀλλὰ τοὺς τοιούτους, ἐὰν ὦσι πιστοὶ, ἀκοινωνήτους γίνεσθαι μέχρι τότε· μετανοοῦντας δὲ, κ᾽ ἐξομολογουμένους ἐσφάλθαι, παραδέχεσθαι.

ι΄.

Περὶ τοῦ, μὴ δεῖν τοὺς τῆς ἐκκλησίας ἀδιαφόρως πρὸς γάμου κοινωνίαν συναπτεῖν τὰ ἑαυτῆς παιδία αἱρετικοῖς.

ια΄.

Περὶ τοῦ, μὴ δεῖν τοὺς λεγομένας πρεσβύτιδας, ἤτοι προκαθημένας, ἐν ἐκκλησίᾳ καθίσασθαι.

ιβ΄.

Περὶ τοῦ, τοὺς ἐπισκόπους χρίσει τῆς μητροπολιτῆς, κ᾽ τῆς πέριξ ἐπισκόπων, καθίσασθαι εἰς τὸν ἐκκλησιαστικὸν ἄρχοντα, ὄντας ἐκ πολλοῦ δεδοκιμασμένους, καὶ τῷ λόγῳ τῆς πίστεως, κ᾽ τῇ τοῦ βίου λόγου πολιτείᾳ.

ιγ΄.

ιγ'.

Περὶ τοῦ, μὴ τοῖς ὄχλοις ἐπιτρέπειν τὰς ἐκλογὰς ποιεῖσθαι τῶν μελλόντων καθίσασθαι εἰς ἱερατεῖον.

ιδ'.

Περὶ τοῦ, μὴ τὰ ἅγια εἰς λόγον δίλογιῶν κατὰ τὴν ἑορτὴν τοῦ πάσχα, εἰς ἑτέρας παροικίας διαπέμπεσθαι.

ιε'.

Περὶ τοῦ, μὴ δεῖν πλέον τῶν κανονικῶν ψαλτῶν τῶν εἰς τὸν ἄμβωνα ἀναβαινόντων, καὶ ἀπὸ διφθέρας ψαλλόντων, ἑτέρους τινὰς ψάλλειν ἐν ἐκκλησίᾳ.

ις'.

Περὶ τοῦ, ἐν σαββάτῳ τὰ ἅγγελια μετὰ ἑτέρων γραφῶν ἀναγινώσκεσθαι.

ιζ'.

Περὶ τοῦ, μὴ δεῖν ἐπισωρεύειν ἐν ταῖς συναξεσι τοὺς ψαλμούς, ἀλλὰ διὰ μέσου καθ' ἕκαστον ψαλμὸν γίνεσθαι ἀνάγνωσιν.

ιη'.

Περὶ τοῦ, τοῦ αὐτοῦ λειτουργίαν τῶν δύο ἐν ταῖς σύναξεσι τῶν ἑορτῶν γίνεσθαι.

ιθ'.

Περὶ τοῦ, δεῖν ἰδίᾳ τροπον μετὰ τὰς ὁμιλίας τῶν ἐπισκόπων, καὶ τῶν κατηχουμένων λαὸν ἐπιτελεῖσθαι. καὶ μετὰ τὸ ἐξελθεῖν τοὺς κατηχουμένους, τῶν ἐν μετανοίᾳ τοῦ λαοῦ γίνεσθαι· καὶ τούτων προσελθόντων ὑπὸ χεῖρα, καὶ ὑποχωρησάντων, ὅπως τῶν πιστῶν τὰς λαὰς γίνεσθαι ξεῖς· μίαν μὲν τοῦ προῒτου διὰ σιωπῆς, τοῦ δὲ δευτέραν καὶ τρίτου διὰ προσφωνήσεως πληροῦσθαι, εἶθ' ὅπως τοῦ εἰρηνίου δίδοσθαι. Καὶ μετὰ τὸ πρεσβυτέρους δοῦναι τῷ ἐπισκόπῳ τοῦ εἰρηνίου, τότε τοὺς λαϊκοὺς τοῦ εἰρήνου διδόναι· καὶ ὅπω τοῦ ἁγίαν προσφορὰν ἐπιτελεῖσθαι, καὶ μόνοις ἐξὸν εἶναι τοῖς ἱερατικοῖς εἰσιέναι εἰς τὸ θυσιαστήριον, καὶ κοινωνεῖν.

κ'.

Ὅτι ὁ δεῖ διάκονον ἐμπροσθεν πρεσβυτέρου καθέζεσθαι, ἀλλὰ μετὰ κελεύσεως τοῦ πρεσβυτέρου καθέζεσθαι. ὁμοίως δὲ ἔχειν τιμὴν καὶ τοὺς διακόνους ὑπὸ τῶν ὑπηρετῶν, καὶ πάντων τῶν κληρικῶν.

κα'.

Ὅτι ὁ δεῖ ὑπηρέτας ἔχειν χώραν ἐν τῷ διακονικῷ, καὶ ἅπτεσθαι δεσποτικῶν σκευῶν.

κβ'.

Ὅτι ὁ δεῖ ὑπηρέτου ὡράϊον φορεῖν, οὐδὲ τὰς θύρας ἐγκαταλιμπάνειν.

κγ'.

Ὅτι ὁ δεῖ ἀναγνώστας ἢ ψάλτας ὡράϊον φορεῖν, καὶ ὅπως ἀναγινώσκειν ἢ ψάλλειν.

κδ'.

Ὅτι ὁ δεῖ ἱερατικοὺς ἀπὸ πρεσβυτέρων ἕως διακόνων, καὶ ἐξῆς τῆς ἐκκλησιαστικῆς τάξεως ἕως ὑπηρετῶν, ἢ ἀναγνωστῶν, ἢ ψαλτῶν, ἢ ἐξορκιστῶν, ἢ θυρωρῶν, ἢ τοῦ τάγματος τῶν ἀσκητῶν, εἰς καπηλεῖον εἰσιέναι.

κε'.

Ὅτι ὁ δεῖ ὑπηρέτας ἄρτον διδόναι, εἰδὲ ποτήριον δίλογεῖν.

κς'.

Ὅτι ὁ δεῖ ἐπαρκίζειν τοὺς μὴ προσκυθέντας ὑπὸ ἐπισκόπων, μήτε ἐν ταῖς ἐκκλησίαις, μήτε ἐν ταῖς οἰκίαις.

κζ'.

Ὅτι ὁ δεῖ ἱερατικὸς, ἢ κληρικὸς, ἢ λαϊκὸς καλυμβᾶν εἰς ἀγάπην, μέρη αἴρειν, διὰ τοῦ τοῦ ὕβρεως τῇ τάξει προσκρίβεσθαι τῇ ἐκκλησιαστικῇ.

κη'.

Ὅτι ὁ δεῖ ἐν ταῖς κυριακαῖς, ἢ ἐν ταῖς ἐκκλησίαις, τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐσθίειν, καὶ ἀκάβιτα στρωννύειν.

κθ'.

Ὅτι ὁ δεῖ χριστιανὸς ἰουδαΐζειν, καὶ ἐν τῷ σαββάτῳ σχολάζειν, ἀλλὰ ἐργάζεσθαι αὐτὸν ἐν τῇ αὐτῇ ἡμέρᾳ· τὴν δὲ κυριακὴν προτιμῶντας, ἐὰν δύνωνται, σχολάζειν ὡς χριστιανοί. Εἰ δὲ εὑρεθεῖεν ἰουδαΐσαι, ἔστωσαν ἀνάθεμα παρὰ Χριστῷ.

λ'.

Ὅτι ὁ δεῖ ἱερατικὸς, ἢ κληρικὸς, ἢ ἀσκητὴς, ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μηδὲ πάντα χριστιανὸν, ἢ λαϊκόν. Αὕτη γὰρ πρώτη κατάγνωσις παρὰ τοῖς ἔθνεσιν.

λα'.

Ὅτι ὁ δεῖ πρὸς πάντας αἱρετικὰς ἐπιγαμίας ποιεῖν, ἢ διδόναι υἱὸς, ἢ θυγατέρας, ἀλλὰ μᾶλλον λαμβάνειν, ἐὰν ἐπαγγέλλοιντο χριστιανοὶ γίνεσθαι.

λβ'.

Ὅτι οὐ δεῖ αἱρετικῶν δίλογίας λαμβάνειν, αἳ τινές εἰσιν ἀλογίαι μᾶλλον, ἢ δίλογίαι.

λγ'.

Ὅτι ὁ δεῖ αἱρετικοῖς ἢ σχισματικοῖς συνδέχεσθαι.

λδ'.

Ὅτι ὁ δεῖ πάντα χριστιανὸν ἐγκαταλείπειν μάρτυρας Χριστοῦ, καὶ ἀπιέναι πρὸς τοὺς ψευδομάρτυρας, τοῦτ' ἔστιν αἱρετικῶν, ἢ αὐτοὺς πρὸς τοὺς προειρημένους αἱρετικοὺς γνωμίμους· ὅτι γὰρ ἀλλοτρίοι τοῦ Θεοῦ τυγχάνουσιν. Ἔστωσαν δὲ ἀνάθεμα οἱ ἀπερχόμενοι πρὸς αὐτούς.

λε'.

Ὅτι ὁ δεῖ χριστιανὸς ἐγκαταλείπειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἀπιέναι, καὶ ἀγγέλους ὀνομάζειν, καὶ σωμάξεις ποιεῖν. ἅπερ ἀπηγόρευται, Εἴ τις δὲ εὑρεθῇ ταύτῃ τῇ κεκριμμένῃ εἰδωλολατρείᾳ σχολάζων, ἔστω ἀνάθεμα, ὅτι ἐγκατέλιπε τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ, καὶ εἰδωλολατρείᾳ προσῆλθεν.

λς'.

Ὅτι ὁ δεῖ ἱερατικὸς ἢ κληρικὸς, μάγους ἢ ἐπαοιδοὺς εἶναι, ἢ μαθηματικοὺς ἢ ἀστρολόγους, ἢ ποιεῖν τὰ λεγόμενα φυλακτήρια, ἃ τινά

ἐστι

ἐστι δεσμωτήρια τῶν ψυχῶν αὐτῶν· τοὺς δὲ φορουῦντας ῥίπτεσθαι ἐκ τῆς ἐκκλησίας ἐκελεύσαμεν.

λζ'.

Ὅτι οὐ δεῖ παρὰ τῶν Ἰουδαίων ἢ αἱρετικῶν τὰ πεμπόμενα ἑορταστικὰ λαμβάνειν, μηδὲ συνεορτάζειν αὐτοῖς.

λη'.

Ὅτι οὐ δεῖ παρὰ τῶν Ἰουδαίων ἄζυμα λαμβάνειν, ἢ κοινωνεῖν ταῖς ἀσεβείαις αὐτῶν.

λθ'.

Ὅτι οὐ δεῖ τοῖς ἔθνεσι συνεορτάζειν, καὶ κοινωνεῖν τῇ ἀθεότητι αὐτῶν.

μ'.

Ὅτι οὐ δεῖ ἐπισκόπους καλουμένους εἰς σύνοδον καταφρονεῖν, ἀλλ' ἀπιέναι καὶ διδάσκειν ἢ διδάσκεσθαι, εἰς κατόρθωσιν τῆς ἐκκλησίας καὶ τῶν λοιπῶν. Εἰ δὲ καταφρονήσειεν ὁ τοιοῦτος, ἑαυτὸν αἰτιάσεται· παρεκτὸς εἰ μὴ δ' ἀνωμαλίαν ἀπολιμπάνοιτο.

μα'.

Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἄνευ κανονικῶν γραμμάτων ὁδεύειν.

μβ'.

Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἄνευ κελεύσεως ἐπισκόπου ὁδεύειν.

μγ'.

Ὅτι οὐ δεῖ ὑπηρέτας, * κἂν βραχὺ, τὰς θύρας ἐγκαταλείπειν, καὶ τῇ εὐχῇ σχολάζειν.

* al. κἂν. πρὸς βρ.

μδ'.

Ὅτι οὐ δεῖ γυναῖκας ἐν τῷ θυσιαστηρίῳ εἰσέρχεσθαι.

με'.

Ὅτι, οὐ δεῖ μετὰ δύο ἑβδομάδας τῆς τεσσαρακοστῆς δέχεσθαι εἰς τὸ φώτισμα.

μϛ'.

Ὅτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ ἐπισκόπῳ, ἢ τοῖς πρεσβυτέροις.

μζ'.

Ὅτι δεῖ τοὺς ἐν νόσῳ παραλαμβάνοντας τὸ φώτισμα, καὶ εἶτα ἀναστάντας, ἐκμανθάνειν τὴν πίστιν, καὶ γινώσκειν ὅτι θείας δωρεᾶς κατηξιώθησαν.

μη'.

Ὅτι δεῖ τοὺς φωτιζομένους μετὰ τὸ βάπτισμα χρίεσθαι χρίσματι ἐπουρανίῳ, καὶ μετόχους εἶναι τῆς βασιλείας τοῦ Χριστοῦ.

μθ'.

Ὅτι οὐ δεῖ τῇ τεσσαρακοστῇ ἄρτον προσφέρειν, εἰ μὴ ἐν σαββάτῳ καὶ κυριακῇ μόνον.

ν'.

Ὅτι οὐ δεῖ ἐν τεσσαρακοστῇ τῇ ὑστέρᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν. ἀλλὰ δεῖ πᾶσαν τὴν τεσσαρακοστὴν νηστεύειν ξηροφαγοῦντας.

να'.

Ὅτι οὐ δεῖ ἐν τεσσαρακοστῇ μαρτύρων γενέθλιον ἐπιτελεῖν, ἀλλὰ τῶν ἁγίων μαρτύρων μνείαν ποιεῖν ἐν τοῖς σαββάτοις καὶ κυριακαῖς.

νβ'.

Ὅτι οὐ δεῖ ἐν τεσσαρακοστῇ γάμους ἢ γενέθλια ἐπιτελεῖν.

νγ'.

Ὅτι οὐ δεῖ χριστιανοὺς εἰς γάμους ἀπερχομένους βαλλίζειν ἢ ὀρχεῖσθαι, ἀλλὰ σεμνῶς δειπνεῖν ἢ ἀριστᾶν, ὡς πρέπει χριστιανοῖς.

νδ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς τινας θεωρίας θεωρεῖν ἐν γάμοις ἢ δείπνοις, ἀλλὰ πρὸ τοῦ εἰσέρχεσθαι τοὺς θυμελικοὺς, ἐγείρεσθαι αὐτοὺς, καὶ ἀναχωρεῖν.

νε'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἐκ συμβολῆς συμπόσια ἐπιτελεῖν, ἀλλ' οὐδὲ λαϊκούς.

νϛ'.

Ὅτι οὐ δεῖ πρεσβυτέρους πρὸ τῆς εἰσόδου τοῦ ἐπισκόπου εἰσιέναι καὶ καθέζεσθαι ἐν τῷ βήματι, ἀλλὰ μετὰ τοῦ ἐπισκόπου εἰσιέναι, πλὴν εἰ μὴ ἀνωμαλοίη ἢ ἀποδημοῖ ὁ ἐπίσκοπος.

νζ'.

Ὅτι οὐ δεῖ ἐν ταῖς κώμαις, καὶ ἐν ταῖς χώραις καθίστασθαι ἐπισκόπους. * ἢ ἀλλὰ περιοδευτάς. τοὺς μέντοι ἤδη προκαταστάθεντας μηδὲν πράττειν ἄνευ γνώμης τοῦ ἐπισκόπου τοῦ ἐν τῇ πόλει. ὡσαύτως δὲ καὶ τοὺς πρεσβυτέρους μηδὲν πράττειν ἄνευ τῆς γνώμης τοῦ ἐπισκόπου.

νη'.

Ὅτι οὐ δεῖ ἐν τοῖς οἴκοις προσφορὰς γίνεσθαι παρὰ ἐπισκόπων ἢ πρεσβυτέρων.

νθ'.

Ὅτι οὐ δεῖ ἰδιωτικοὺς ψαλμοὺς λέγεσθαι ἐν τῇ ἐκκλησίᾳ, οὐδὲ ἀκανόνιστα βιβλία, ἀλλὰ μόνα τὰ κανονικὰ τῆς καινῆς καὶ παλαιᾶς διαθήκης.

ξ'.

Ὅσα δεῖ βιβλία ἀναγινώσκεσθαι τῆς παλαιᾶς διαθήκης. α'. Γένεσις κόσμου. β'. Ἔξοδος ἐξ Αἰγύπτου. γ'. Λευιτικόν. δ'. Ἀριθμοί. ε'. Δευτερονόμιον. ϛ'. Ἰησοῦς Ναυῆ. ζ'. Κριταί. Ῥοὺθ. η'. Ἐσθήρ. θ'. Βασιλειῶν, α'. β'. ι'. Βασιλειῶν, γ'. δ'. ια'. Παραλειπόμενα, α'. β'. ιβ'. Ἔσδρας, α'. β'. ιγ'. Βίβλος ψαλμῶν ρν'. ιδ'. Παροιμίαι Σολομῶντος. ιε'. Ἐκκλησιαστής. ιϛ'. Ἆσμα ἀσμάτων. ιζ'. Ἰώβ. ιη'. Δώδεκα προφῆται. ιθ'. Ἡσαΐας. κ'. Ἱερεμίας καὶ Βαρούχ, θρῆνοι καὶ ἐπιστολαί. κα'. Ἰεζεκιήλ. κβ'. Δανιήλ. Τὰ δὲ τῆς καινῆς διαθήκης, ταῦτα. Εὐαγγέλια τέσσαρα, κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν, κατὰ Ἰωάννην. Πράξεις ἀποστόλων. Ἐπιστολαὶ καθολικαὶ ἑπτὰ, οὕτως· Ἰακώβου μία, Πέτρου δύο, Ἰωάννου τρεῖς, Ἰούδα μία. Ἐπιστολαὶ Παύλου δεκατέσσαρες· πρὸς Ῥωμαίους μία, πρὸς Κορινθίους δύο, πρὸς Γαλάτας μία, πρὸς Ἐφεσίους μία, πρὸς Φιλιππησίους μία, πρὸς Κολοσσαεῖς μία, πρὸς Θεσσαλονικεῖς δύο, πρὸς Ἑβραίους μία, πρὸς Τιμόθεον δύο, πρὸς Τίτον μία, πρὸς Φιλήμονα μία.

Η' ΕΝ



Μιχ. Δαμασκηνοῦ, Ἡ ἐν Νικαίᾳ Α' Οἰκουμενικὴ Σύνοδος, 16ου αἰ.





Μ. Διονυσίου, Ἀρχικόν γράμμα Θ. (κωδ. 587 μ.).

Μ. Ἀθανάσιος. Σύγχρονον ἔργον.



Μ. Διονυσίου, Ἅγ. Σίλβεστρος.



Ἀλέξανδρος Κων/πόλεως.



Ἀλέξανδρος Ἀλεξ/ας



Nagoricino, Ἅγ. Εὐστάθιος Ἀντιοχείας.

Η' Ε'Ν ΝΙΚΑΙ'Α, ΠΡΩ'ΤΗ ΑΓΙ'Α ΚΑΙ' ΟΙ'ΚΟΥΜΕΝΙΚΗ' ΣΥ'ΝΟΔΟΣ.

Ε'ΠΙΣΤΟΛΗ' Α'ΛΕΞΑ'ΝΔΡΟΥ Α'λεξανδρείας.

Τῷ τιμιωτάτῳ καὶ ὁμοψύχῳ Α'λεξάνδρῳ, Α'λέξανδρος ἐν κυρίῳ χαίρειν.

Θεοδ. βιβ. α. κερ. δ'.

ΗΦΙΛΑΡΧΟΣ τῶν μοχθηρῶν ἀνθρώπων καὶ φιλάργυρος πρόθεσις ταῖς δοκούσαις ἀεὶ μείζοσι παροικίαις πέφυκεν ἐπιβουλεύειν, διὰ ποικίλων προφάσεων τῶν τοιούτων ἐπιτιθεμένων τῇ ἐκκλησιαστικῇ εὐσεβείᾳ. οἱ στρηλατούμενοι γὰρ ὑπὸ τοῦ ἐνεργοῦντος ἐν αὐτοῖς διαβόλου εἰς τὴν προκειμένην αὐτοῖς ἡδονὴν, πάσης εὐλαβείας ἀποσκιρτήσαντες, πατοῦσι τὸν τῆς κρίσεως τοῦ Θεοῦ φόβον. περὶ ὧν ἀναγκαῖον ἦν μοι τῷ πάσχοντι δηλῶσαι τῇ ὑμετέρᾳ εὐλαβείᾳ, ἵνα φηλάττησθε τοὺς τοιούτους, μήτις αὐτῶν τολμήσῃ καὶ ταῖς ὑμετέραις παροικίαις ἐπιβῆναι. εἴτε δι' ἑαυτῶν, εἴτε δι' ἄλλων· ἱκανοὶ γὰρ ὑποκρίνεσθαι πρὸς ἀπάτην οἱ γόητες· ἢ διὰ γραμμάτων ψευδῶς κεκομψευμένων, καὶ δυναμένων ὑφαρπάσαι τὸν ἁπλῇ πίστει καὶ ἀκεραίῳ προσεσχηκότα. Ἄρειος γοῦν καὶ Ἀχιλλᾶς συνωμοσίαν ἔναγχος ποιησάμενοι, τὴν Κολλούθου φιλαρχίαν πολὺ χεῖρον, ἢ ἐκεῖνος, ἐζήλωσαν. ὁ μὲν γὰρ αὐτοῖς τούτοις ἐγκαλῶν, τῆς ἑαυτοῦ μοχθηρᾶς προθέσεως εὗρε πρόφασιν. οἱ δὲ τὴν ἐκείνου χριστεμπορείαν θεωροῦντες, οὐκ ἔτι τῆς ἐκκλησίας ὑποχείριοι μένειν ἐκαρτέρησαν, ἀλλ' ἑαυτοῖς σπήλαια λῃστῶν οἰκοδομήσαντες. ἀδιαλείπτους ἑαυτοῖς προσποιοῦνται συνόδους. νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐν ταῖς κατὰ Χριστοῦ καὶ ἡμῶν διαβολαῖς ἀσκούμενοι, οἳ πάσης τῆς ἀποστολικῆς εὐσεβοῦς δόξης κατηγοροῦντες Ἰουδαϊκῷ προσχήματι χριστομάχον συνεκρότησαν ἐργαστήριον, τὴν θεότητα τοῦ σωτῆρος ἡμῶν ἀρνούμενοι, καὶ τοῖς πᾶσιν ἴσον εἶναι κηρύσσοντες, πᾶσάν τε αὐτοῦ τῆς σωτηρίου οἰκονομίας καὶ δι' ἡμᾶς ταπεινώσεως φωνὴν ἐκλεξάμενοι, ἐξ αὐτῶν συναγείρειν πειρῶνται τῆς ἀσεβείας ἑαυτῶν τὸ κήρυγμα; τῆς ἀρχῆθεν θεότητος αὐτοῦ, καὶ παρὰ τῷ πατρὶ δόξης ἀλέκτου τοὺς λόγους ἀποστρεφόμενοι. τὴν γοῦν ἑλλήνων τε καὶ Ἰουδαίων ἀσεβῆ περὶ Χριστοῦ δόξαν κρατύνοντες, τὸν παρ' αὐτῶν ἔπαινον ὡς ἐνὶ μάλιστα θηρῶνται, πάντα μὲν, ὅσα καθ' ἡμῶν παρ' αὐτοῖς γελᾶται, πραγματευόμενοι, στάσεις δὲ ἡμῖν καθ' ἡμέραν καὶ διωγμοὺς ἐπεγείροντες· καὶ τοῦτο μὲν δικαστήρια συγκροτοῦντες δι' ἐντυχίας γυναικαρίων ἀτάκτων, ἃ ἠπάτησαν· τοῦτο δὲ τὸν χριστιανισμὸν διασύροντες, ἐκ τοῦ περιτροχάζειν πᾶσαν ἀγυιὰν ἀσέμνως τὰς παρ' αὐτοῖς νεωτέρας· ἀλλὰ καὶ τὸν ἄρρηκτον τοῦ Χριστοῦ χιτῶνα, ὃν οἱ δήμιοι διελεῖν οὐκ ἐβουλεύσαντο, αὐτοὶ σχίσαι ἐτόλμησαν. ἡμεῖς μὲν οὖν, ἃ καὶ τῷ βίῳ αὐτῶν, καὶ τῇ ἀνοσίῳ ἐπιχειρήσει πρέπει διὰ τὸ λανθάνειν, βραδέως ἐπιστήσαντες, παμψηφεὶ τῆς προσκυνούσης Χριστοῦ τὴν * θεότητα ἐκκλησίας ἐξηλάσαμεν, ὡς τῆς προσκυνήσεως Χριστοῦ τὴν θεότητα σμικρύναντας. ἐπεχείρησαν δὲ περιδρομαῖς χρώμενοι καθ' ἡμῶν, παρεκβαίνειν πρὸς τοὺς ὁμόφρονας συλλειτουργοὺς, σχήματι μὲν εἰρήνης καὶ ἑνώσεως, ἀξίωσιν ὑποκρινόμενοι, τὸ δ' ἀληθὲς, συναρπάσαι τινὰς αὐτῶν εἰς τὴν ἰδίαν νόσον διὰ χρηστολογίας σπουδάζοντες, καὶ στωμυλώτερα γράμματα παρ' αὐτῶν αἰτοῦνται. ἵνα παραναγινώσκοντες αὐτὰ τοῖς ὑπ' αὐτῶν ἠπατημένοις, ἀμετανοήτους ἐφ' οἷς ἐσφάλησαν κατασκευάζωσιν, ἐπιτριβομένους εἰς ἀσέβειαν, ὡς ἂν συμψήφους αὐτοῖς καὶ ὁμόφρονας ἔχοντες ἐπισκόπους. οὐχ ἅπερ γοῦν παρ' ὑμῖν πονηρῶς ἐδίδαξάν τε καὶ διεπράξαντο, ὁμολογοῦσιν αὐτοὶ, δι' ἃ καὶ ἐξώσθησαν, ἀλλ' ἢ σιωπῇ ταῦτα παραδιδόασιν, ἢ πεπλασμένοις λόγοις καὶ ἐγγράφοις ἐπισκιάζοντες ἀπατῶσι. πιθανωτέραις γοῦν καὶ βωμολόχοις ὁμιλίαις τὴν φθοροποιὸν αὐτῶν διδασκαλίαν ἐπικρύπτοντες, συναρπάζουσι τὸν εἰς ἀπάτην ἐκκείμενον, οὐκ ἀπεχόμενοι καὶ τοῦ παρὰ πᾶσι συκοφαντεῖν τὴν ἡμετέραν εὐσέβειαν. ὅθεν καὶ συμβαίνει τινὰς τοῖς

* ἴσ. θεότητα.

τοῖς γράμμασιν αὐτῶν ὑπογράφοντας, εἰς ἐκκλησίαν εἰς δέχεσθαι· μεγίστης, ὡς οἶμαι, διαβολῆς ἐπικειμένης τοῖς τοῦτο τολμῶσι συλλειτουργοῖς, τῷ μήτε τὸν ἀποστολικὸν κανόνα τοῦτο συγχωρεῖν, ἀλλὰ καὶ ὑπεκκαίειν τὴν ἐπ' αὐτοῖς διαβολικὴν κατὰ Χριστοῦ ἐνέργειαν. διὸ δὴ καὶ οὐδὲν μελλήσας, ἀγαπητοὶ, δηλῶσαι ὑμῖν τὴν τῶν τοιούτων ἀπιστίαν, ἐμαυτὸν διανέστησα, λεγόντων, ὅτι ἦν ποτε, ὅτε οὐκ ἦν ὁ υἱὸς τοῦ Θεοῦ, καὶ γέγονεν ὕστερον ὁ πρότερον μὴ ὑπάρχων, τοιοῦτος γενόμενος ὅτε καί ποτε γέγονεν, οἷα καὶ πᾶσιν εἶναι πέφυκεν ἀνθρώποις· πάντα γὰρ, φησὶν, ὁ Θεὸς ἐξ οὐκ ὄντων ἐποίησε· συναναλαμβάνοντες τῇ τῶν ἁπάντων λογικῶν τε καὶ ἀλόγων κτίσει καὶ τὸν υἱὸν τοῦ Θεοῦ. οἷς ἀκολούθως καί φασιν αὐτὸν τρεπτῆς εἶναι φύσεως, ἀρετῆς τε καὶ κακίας ἐπιδεκτικὸν, καὶ τῇ ἐξ οὐκ ὄντων ὑποθέσει καὶ τὰς θείας τοῦ εἶναι αὐτὸν ἀεὶ συναναιροῦντες γραφὰς, αἳ τὸ ἄτρεπτον τοῦ λόγου καὶ τὴν θεότητα τῆς σοφίας τοῦ λόγου σημαίνουσιν, ἅ ἐστιν ὁ Χριστός. δυνάμεθα γοῦν καὶ ἡμεῖς, φασὶν οἱ ἀλάστορες, υἱοὶ γενέσθαι Θεοῦ, ὥσπερ κἀκεῖνος· γέγραπται γὰρ, υἱοὺς ἐγέννησα καὶ ὕψωσα. ἐπιφερομένου δὲ αὐτοῖς τοῦ λέγοντος ἑξῆς τοῦ ῥητοῦ, αὐτοὶ δέ με ἠθέτησαν· ὅπερ οὐ φυσικόν ἐστι τῷ σωτῆρι ὄντι τῆς φύσεως ἀτρέπτου· πάσης ἀλαβείας ἑαυτοὺς ἐρημώσαντες, τοῦτό φασι, προγνώσει καὶ προθεωρίᾳ περὶ αὐτοῦ εἰδότα τὸν Θεὸν, ὅτι οὐκ ἀθετήσει, ἐξειλέχθαι αὐτὸν ἀπὸ πάντων. οὐ γὰρ φύσει καὶ κατ' ἐξαίρετον τῶν ἄλλων υἱῶν ἔχοντά τι· οὔτε γὰρ φύσει υἱός τις ἐστὶ τοῦ Θεοῦ, φασὶν, οὔτε τινὰ ἔχων ἰδιότητα πρὸς αὐτόν· ἀλλὰ καὶ αὐτὸν τρεπτῆς τυγχάνοντα φύσεως, διὰ τρόπων ἐπιμέλειαν καὶ ἄσκησιν μὴ τρεπόμενον ἐπὶ τὸ χεῖρον, ἐξελέξατο· ὡς εἰ καὶ Παῦλος τοῦτο βιάσαιτο καὶ Πέτρος, μηδὲν διαφέρειν τούτων τὴν ἐκείνου υἱότητα, εἰς παράστασιν τῆς φρενοβλαβοῦς ταύτης διδασκαλίας, καὶ ταῖς γραφαῖς ἐμπαροινοῦντες, καὶ παρατιθέμενοι τὸ ἐν ψαλμοῖς περὶ Χριστοῦ ῥητὸν οὕτως ἔχον· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας * ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. περὶ μὲν οὖν ὅτι ὁ υἱὸς τοῦ Θεοῦ οὔτε ἐξ οὐκ ὄντων γεγένηται, οὔτε ἦν ποτε, ὅτε οὐκ ἦν, αὐτάρκης παιδεῦσαι Ἰωάννης ὁ εὐαγγελιστὴς, γράφων οὕτως περὶ αὐτοῦ. ὁ μονογενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός. προνοούμενος γὰρ ὁ θεῖος δεικνῦναι * διδάσκαλος ἀλλήλων ἀχώριστα πράγματα δύο, τὸν πατέρα καὶ τὸν υἱὸν, ὄντα αὐτὸν ἐν τοῖς κόλποις τοῦ πατρὸς ὠνόμασεν· ἀλλὰ γὰρ καὶ ὅτι τοῖς ἐξ οὐκ ὄντων γενομένοις ὁ λόγος τοῦ Θεοῦ οὐ συναριθμεῖται, πάντα δι' αὐτοῦ γεγονέναι ὁ αὐτός φησιν Ἰωάννης· τὴν γὰρ ἰδιότροπον αὐτοῦ ὑπόστασιν ἐδήλωσεν εἰπών· ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν, πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. εἰ γὰρ πάντα δι' αὐτοῦ ἐγένετο, πῶς ὁ τοῖς γινομένοις τὸ εἶναι χαρισάμενος, αὐτὸς πότε οὐκ ἦν; οὐ γὰρ πῶς ὁ λόγος τὸ ποιοῦν τοῖς γενομένοις τῆς αὐτῆς εἶναι φύσεως διορίζεται. εἴγε αὐτὸς μὲν ἦν ἐν ἀρχῇ, πάντα δὲ δι' αὐτοῦ ἐγένετο, καὶ ἐξ οὐκ ὄντων ἐποίησεν· ἐναντίον γὰρ δοκεῖ τοῖς ἐξ οὐκ ὄντων γενομένοις τὸ ὄν, καὶ ἀφεστηκὸς σφόδρα. τὸ μὲν γὰρ μεταξὺ πατρὸς καὶ υἱοῦ οὐδὲν δείκνυσιν εἶναι διάστημα, οὐδ' ἄχρι τινὸς ἐννοίας τοῦτο φαντασιῶσαι τῆς ψυχῆς δυναμένης. τὸ δὲ ἐξ οὐκ ὄντων δημιουργεῖσθαι τὸν κόσμον, νεωτέραν ἔχει τῆς ὑποστάσεως καὶ πρόσφατον τὴν γένεσιν, ὑπὸ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ πάντων εἰληφότων τὴν τοιαύτην οὐσίωσιν. μακρὸν γοῦν θεωρήσας τοῦ Θεοῦ λόγου, τὸ ἦν, καὶ ὑπεραῖρον τῆς τῶν γενητῶν διανοίας, ὁ εὐλαβέστατος Ἰωάννης, γένεσιν αὐτοῦ καὶ ποίησιν ἀπηξίωσεν εἰπεῖν, οὐδὲ ταῖς ὁμοστοίχοις συλλαβαῖς τὸ ποιοῦν τοῖς γινομένοις ὀνομάσαι τολμήσας· οὐχ ὅτι ἀγένητος ἦν· ἓν γὰρ ἀγέννητον ὁ πατήρ· ἀλλ' ὅτι διανοίας μὲν τῶν εὐαγγελιστῶν, τάχα δὲ καὶ ἀγγέλων καταλήψεως ὑπερεπέκεινά ἐστιν ἡ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ ἀνεκδιήγητος ὑπόστασις· εὐσεβεῖς οὐκ οἶμαι * λογιζομένους τοὺς μέχρι τούτων ἐπερωτᾶν τι τολμῶντας, διὰ τὸ ἀνήκοον τοῦ, χαλεπώτερά σου μὴ ζήτει, καὶ ὑψηλότερά σου μὴ ἐξέταζε· εἰ γὰρ ἑτέρων πολλῶν ἡ γνῶσις, καὶ τούτων ἀσυγκρίτως κολοβωτέρων, κέκρυπται τὴν ἀνθρωπίνην κατάληψιν· οἷά ἐστι παρὰ Παύλῳ· ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· ἀλλὰ καὶ τὰ ἄστρα φησὶν ὁ Θεὸς τῷ Ἀβραὰμ ἀριθμῆσαι μὴ δύνασθαι· καὶ ἔτι, ἄμμον θαλασσῶν, καὶ σταγόνας ὑετοῦ, φησὶ τίς ἐξαριθμήσει; πῶς ἂν περιεργάσαιτό τις τὴν τοῦ Θεοῦ λόγου ὑπόστασιν, ἐκτὸς εἰ μὴ μελαγχολικῇ διαθέσει ληφθεὶς τυγχάνοι; περὶ ἧς τὸ προφιτικὸν πνεῦμά φησι· τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ἣν καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν, τοὺς πάντων εὐεργετῶν τῶν ἐν κόσμῳ κίονας, τὴν περὶ τούτων γνῶσιν αὐτῶν, ἀποφορτίσασθαι ἐσπούδασε· πᾶσι μὲν οὖν αὐτοῖς ἀφύσικον εἶναι λέγων εἰς κατάληψιν, μόνῳ δὲ τῷ πατρὶ ἀνακεῖσθαι τὴν τοῦ θειοτάτου τούτου μυστηρίου εἴδησιν· οὐδεὶς γὰρ ἔγνω τίς ἐστιν ὁ υἱὸς, λέγων, εἰ μὴ ὁ πατήρ· καὶ τὸν πατέρα οὐδεὶς ἔγνω, εἰ μὴ ὁ υἱός· περὶ οὗ καὶ τὸν πατέρα οἶμαι λέγειν· τὸ μυστήριόν μου ἐμοὶ καὶ τοῖς ἐμοῖς· ὅτι δὲ μανιῶδες τὸ ἐξ οὐκ ὄντων τὸν υἱὸν γεγονέναι φρονεῖν, χρονικὴν ἔχοντα τὴν προβολὴν, αὐτόθεν δείκνυται τὸ, ἐξ οὐκ ὄντων, κἂν ἀγνοῶσιν οἱ ἀνόητοι τὴν τῆς φωνῆς αὐτῶν μανίαν· ἢ γὰρ χρόνοις ἐμπολιτεύεσθαι δεῖ τὸ, οὐκ ἦν ἢ αἰῶνός τινι διαστήματι· εἰ τοίνυν ἀληθὲς τὸ, πάντα δι' αὐτοῦ ἐγένετο, δῆλον ὅτι καὶ πᾶς αἰὼν, καὶ χρόνος, καὶ διαστήματα, καὶ τὸ, ποτὲ, ἐν οἷς τὸ, οὐκ ἦν, εὑρίσκεται, δι' αὐτοῦ ἐγένετο· καὶ πῶς οὐκ ἀπίθανον, τὸν καὶ χρόνους, καὶ αἰῶνας, καὶ καιροὺς, ἐν οἷς τὸ, οὐκ ἦν, συμπέφυρται, ποιήσαντα, αὐτόν ποτε μὴ εἶναι λέγειν; ἀδιανόητον γὰρ καὶ πάσης ἀμαθίας ἀνάπλεων, τὸν αἴτιον γενόμενόν τινος, αὐτὸν μεταγενέστερον λέγειν τῆς ἐκείνου γενέ-

ἀνομίαν.

* ἀπόστολος.

* λογιστέος.

γενέσεως· προηγεῖται γὰρ κατ' αὐτοὺς τῆς τὰ ὅλα δημιουργούσης τοῦ Θεοῦ σοφίας ἐκεῖνο τὸ διάστημα, ἐν ᾧ φασι μὴ γεγενῆσθαι τὸν υἱὸν τοῦ πατρὸς, ψευδομένης, κατ' αὐτοὺς, καὶ τῆς πρωτότοκον αὐτὸν εἶναι πάσης κτίσεως ἀναγορευούσης γραφῆς· σύμφωνα γοῦν τούτοις βοᾷ καὶ ὁ μεγαλοφωνότατος Παῦλος φάσκων περὶ αὐτοῦ· ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· ἀλλὰ καὶ ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπεὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, εἴτε κυριότητες, εἴτε θρόνοι. πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων· ἀσεβεστάτης οὖν φανείσης τῆς ἐξ οὐκ ὄντων ὑποθέσεως, ἀνάγκη τὸν πατέρα ἀεὶ εἶναι πατέρα· ἔστι δὲ πατὴρ ἀεὶ παρόντος τοῦ υἱοῦ, διὸ χρηματίζει πατήρ· ἀεὶ δὲ παρόντος αὐτῷ τοῦ υἱοῦ, ἀεί ἐστιν ὁ πατὴρ τέλειος, ἀνελλιπὴς τυγχάνων ἐν τῷ καλῷ, οὐ χρονικῶς, οὐδὲ ἐκ διαστήματος, οὐδὲ ἐξ οὐκ ὄντων γεννήσας τὸν μονογενῆ υἱόν· τί δὲ οὐκ ἀνόσιον τὸ λέγειν, ποτὲ μὴ εἶναι τὴν σοφίαν τοῦ Θεοῦ, τὴν λέγουσαν· ἐγὼ ἤμην παρ' αὐτῷ ἁρμόζουσα, ἐγὼ ἤμην ᾗ προσέχαιρεν; ἢ τὴν δύναμιν τοῦ Θεοῦ μὴ ὑπάρχειν ποτὲ, ἢ τὸν λόγον αὐτοῦ ἠκρωτηριάθαί ποτε, ἢ τὰ ἄλλα, ἐξ ὧν ὁ υἱὸς γνωρίζεται; καὶ πατὴρ χαρακτηρίζεται; τὸ γὰρ ἀπαύγασμα τῆς δόξης μὴ εἶναι λέγειν. συναναιρεῖ καὶ τὸ πρωτότυπον φῶς, οὗ ἐστιν ἀπαύγασμα· εἰ δὲ καὶ ἡ εἰκὼν τοῦ Θεοῦ οὐκ ἦν ἀεὶ, δῆλον ὅτι οὐδὲ οὗ ἐστιν εἰκὼν τοῦ Θεοῦ, ἔστιν ἀεί· ἀλλὰ καὶ τῷ μὴ εἶναι τὸν τῆς ὑποστάσεως τοῦ Θεοῦ χαρακτῆρα, συναναιρεῖται κἀκεῖνος ὁ πάντως παρ' αὐτοῦ χαρακτηριζόμενος· ἐξ ὧν ἐστιν ἰδεῖν τὴν υἱότητα τοῦ σωτῆρος ἡμῶν, οὐδεμίαν ἔχουσαν κοινωνίαν πρὸς τὴν τῶν λοιπῶν υἱότητα· ὃν τρόπον γὰρ ἡ ἄῤῥητος αὐτοῦ ὑπόστασις ἀσυγκρίτῳ ὑπεροχῇ ἐδείχθη ὑπερκειμένη πάντων, οἷς αὐτὸς τὸ εἶναι ἐχαρίσατο· οὕτως καὶ ἡ υἱότης αὐτοῦ κατὰ φύσιν τυγχάνουσα τῆς πατρικῆς θεότητος, ἀλέκτῳ ὑπεροχῇ διαφέρει τῶν δι' αὐτοῦ θέσει υἱοθετηθέντων· ὁ μὲν γὰρ ἀτρέπτου φύσεως τυγχάνει, τέλειος ὢν καὶ διὰ πάντων ἀνενδεής· οἱ δὲ τῇ εἰς ἑκάτερα τροπῇ ὑποκείμενοι, τῆς παρὰ τούτου βοηθείας δέονται· τί γὰρ ἂν καὶ προκόψαι ἔχοι ἡ τοῦ Θεοῦ σοφία; ἢ τί προσλαβεῖν ἡ αὐτοαλήθεια, ἢ ὁ Θεὸς λόγος; πῶς ἂν ἔχοι βελτιωθῆναι ἡ ζωὴ, τὸ ἀληθινὸν φῶς; εἰ δὲ τοῦτο, πόσῳ πλεῖον ἀφύσικον τυγχάνει, μωρίας ποτὲ δεκτικὴν γενέσθαι τὴν σοφίαν; ἢ τὴν τοῦ Θεοῦ δύναμιν ἀσθενείᾳ προσπλακῆναι; ἢ ἀλογίᾳ τὸν λόγον ἀμαυρωθῆναι; ἢ τῷ ἀληθινῷ φωτὶ ἐπιμιχθῆναι σκότος; τοῦ μὲν ἀποστόλου αὐτόθεν λέγοντος· τίς κοινωνία φωτὶ πρὸς σκότος, ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαλ; τοῦ δὲ Σολομῶντος, ὅτι ἀδύνατον ἂν εἴη κἂν μέχρι πρὸς ἐννοίας εὑρεθῆναι ὁδοὺς ὄφεως ἐπὶ πέτρας, ἥτις κατὰ Παῦλόν ἐστιν ὁ Χριστός· οἱ δὲ κτίσματα αὐτοῦ τυγχάνοντες, ἄνθρωποί τε καὶ ἄγγελοι, καὶ εὐλογίας εἰλήφασι προκόπτειν, ἀρεταῖς ἀσκούμενοι καὶ νομίμοις ἐντολαῖς, πρὸς τὸ μὴ ἁμαρτάνειν· διὸ δὴ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς φύσει τοῦ πατρὸς υἱὸς τυγχάνων, ὑπὸ πάντων προσκυνεῖται· οἱ δὲ ἀποθέμενοι τὸ πνεῦμα τῆς δουλείας, ἐξ ἀνδραγαθημάτων καὶ προκοπῆς τὸ τῆς υἱοθεσίας λαβόντες πνεῦμα, διὰ τοῦ φύσει υἱοῦ εὐεργετούμενοι, γίγνονται αὐτοὶ θέσει υἱοί· τὴν μὲν οὖν γνησίαν αὐτοῦ, καὶ ἰδιότροπον, καὶ φυσικὴν, καὶ κατ' ἐξαίρετον υἱότητα ὁ Παῦλος οὕτως ἀπεφήνατο περὶ Θεοῦ εἰπών. ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν, δηλονότι τῶν μὴ φύσει υἱῶν, παρέδωκεν αὐτόν. πρὸς γὰρ ἀντιδιαστολὴν τῶν οὐκ ἰδίων, αὐτὸν ἴδιον υἱὸν ἔφησεν εἶναι· ἐν δὲ τῷ εὐαγγελίῳ· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· ἐν δὲ ψαλμοῖς ὁ σωτήρ φησι· κύριος εἶπε πρὸς μὲ, υἱός μου εἶ σύ· γνησιότητα ἐμφανίζων, σημαίνει μὴ εἶναι αὐτοῦ γνησίους υἱοὺς ἄλλους τινὰς παρ' αὐτόν· τί δὲ καὶ τὸ, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησάσε; οὐχὶ ἄντικρυς πατρικῆς γεννήσεως φυσικὴν ἐνδείκνυται υἱότησα. οὐ τρόπων ἐπιμελείᾳ, καὶ προκοπῆς ἀσκήσει, ἀλλὰ φύσεως ἰδιώματι ταύτην λαχόντος; ὅθεν καὶ ἀμετάπτωτον ἔχει τὴν υἱότητα ὁ μονογενὴς υἱὸς τοῦ πατρός· τὴν δὲ τῶν λογικῶν υἱοθεσίαν, οὐ κατὰ φύσιν ὑπάρχουσαν αὐτοῖς, ἀλλὰ τρόπων ἐπιτηδειότητι, καὶ δωρεᾷ Θεοῦ, καὶ μετάπτωτον οἶδεν ὁ λόγος· ἰδόντες γὰρ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ἔλαβον ἑαυτοῖς γυναῖκας, καὶ τὰ ἑξῆς. καὶ υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν, διὰ Ἡσαΐου εἰρηκέναι τὸν Θεὸν ἐδιδάχθημεν· πολλὰ λέγειν ἔχων, ἀγαπητοὶ, παρέρχομαι, φορτικὸν εἶναι νομίσας διὰ πλειόνων διδασκάλους ὁμόφρονας ὑπομιμνήσκειν, αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε, οὐκ ἀγνοοῦντες ὅτι ἡ ἔναγχος ἐπαναστᾶσα τῇ ἐκκλησιαστικῇ εὐσεβείᾳ διδασκαλία, Ἐβίωνός ἐστι καὶ Ἀρτεμᾶ καὶ ζῆλος τοῦ κατὰ Ἀντιόχειαν Παύλου τοῦ Σαμοσατέως, συνόδῳ καὶ κρίσει τῶν ἀπανταχοῦ ἐπισκόπων ἀποκηρυχθέντος τῆς ἐκκλησίας· ὃν διαδεξάμενος Λουκιανὸς, ἀποσυνάγωγος ἔμεινε τριῶν ἐπισκόπων πολυετεῖς χρόνους· ὧν τῆς ἀσεβείας τὴν τρύγα ἐῤῥοφηκότες, νῦν ἡμῖν οἱ ἐξ οὐκ ὄντων ἐπεφύησαν, τὰ ἐκείνων κεκρυμμένα μοσχεύματα, Ἄρειός τε καὶ Ἀχιλλᾶς, καὶ ἡ τῶν σὺν αὐτοῖς πονηρευομένων συνόδος· καὶ οὐκ οἶδ' ὅπως ἐν Συρίᾳ χειροτονηθέντες ἐπίσκοποι τρεῖς, διὰ τοῦ συναινεῖν αὐτοῖς, ἐπὶ τὸ χεῖρον ὑπεκκαίουσι. περὶ ὧν ἡ κρίσις ὑπανακείσθωτῇ ὑμετέρᾳ δοκιμασίᾳ, οἳ τὰς μὲν τοῦ σωτηρίου πάθους, ταπεινώσεώς τε καὶ κενώσεως, καὶ τῆς καλουμένης αὐτοῦ πτωχείας, καὶ ὧν ἐπικτήτους ὁ σωτὴρ δι' ἡμᾶς ἀνεδέξατο φωνὰς, διὰ μνήμης ἔχοντες, παρατίθενται ἐπὶ παραγραφῇ τῆς ἀνωτάτω καὶ ἀρχῆθεν αὐτοῦ θεότητος. τῶν δὲ τῆς φυσικῆς αὐτοῦ δόξης τε καὶ εὐγενείας, καὶ παρὰ τῷ πατρὶ μονῆς σημαντικῶν λόγων ἐπιλήσμονες γεγόνασιν. οἷόν ἐστι τὸ, ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμεν. ὅπερ φησὶν ὁ κύριος, οὐ πατέρα ἑαυτὸν ἀνα-

γο-

γορεύων, οὐδὲ τὰς τῇ ὑποστάσει δύο φύσεις, μίαν εἶναι σαφηνίζων· ἀλλ' ὅτι τὴν πατρικὴν ἐμφέρειαν ἀκριβῶς πέφυκε σώζειν ὁ υἱὸς τοῦ πατρὸς. τὴν κατὰ πάντα ὁμοιότητα αὐτοῦ ἐκ φύσεως ἀπομαξάμενος, καὶ ἀπαράλλακτος εἰκὼν τοῦ πατρὸς τυγχάνων, καὶ τοῦ πρωτοτύπου ἔκτυπος χαρακτήρ. ὅθεν καὶ τῷ τηνικαῦτα ποθοῦντι ἰδεῖν Φιλίππῳ ἀφθόνως ὁ κύριος ἐμφανίζει πρὸς ὃν λέγοντα, δεῖξον ἡμῖν τὸν πατέρα, λέγει· ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. ὥσπερ δι' ἐσόπτρου ἀκηλιδώτου καὶ ἐμψύχου, θείας εἰκόνος αὐτοῦ, θεωρουμένου τοῦ πατρὸς, ὃν ὅμοιον ἐν ψαλμοῖς οἱ ἁγιώτατοί φασιν. ἐν τῷ φωτίσου ὀψόμεθα φῶς. διὸ δὴ καὶ ὁ τιμῶν τὸν υἱὸν, τιμᾷ τὸν πατέρα· καὶ εἰκότως. πᾶσα γὰρ ἀσεβὴς φωνὴ εἰς τὸν υἱὸν λέγεσθαι τολμωμένη, εἰς τὸν πατέρα τὴν ἀναφορὰν ἔχει. Καὶ τί λοιπόν ἐστι θαυμαστὸν, ὃ μέλλω γράφειν, ἀγαπητοὶ, εἰ τὰς κατ' ἐμοῦ ψευδεῖς διαβολὰς, καὶ τοῦ εὐσεβεστάτου ἡμῶν λαοῦ, ἐκθήσομαι; οἱ γὰρ κατὰ τῆς θεότητος τοῦ υἱοῦ τοῦ Θεοῦ παραταξάμενοι, οὐδὲ τὰς καθ' ἡμῶν ἀχαρίστους παροινίας παραιτοῦνται λέγειν. οἵγε οὐδὲ τῶν ἀρχαίων τινὰς συγκρίνειν ἑαυτοῖς ἀξιοῦσιν, οὐδὲ οἷς ἡμεῖς ἐκ παίδων ὡμιλήσαμεν διδασκάλοις ἐξισοῦσθαι ἀνέχονται, ἀλλ' οὐδὲ τῶν νῦν πανταχοῦ συλλειτουργῶν τινα εἰς μέτρον σοφίας ἡγοῦνται μόνοι σοφοὶ καὶ * ἀκτήμονες καὶ δογμάτων εὑρεταὶ λέγοντες εἶναι, καὶ αὐτοῖς ἀποκεκαλύφθαι μόνοις, ἅπερ οὐδενὶ τῶν ὑπὸ τὸν ἥλιον ἑτέρῳ πέφυκεν ἐλθεῖν εἰς ἔννοιαν. ὦ ἀνοσίου τύφου καὶ ἀμέτρου μανίας, καὶ μελαγχολικοῖς ἡρμοσμένης δόξης κενῆς, καὶ σατανικοῦ φρονήματος εἰς τὰς ἀνοσίους αὐτῶν ψυχὰς ἀποσκιρρώσαντος. οὐ κατήδεσεν αὐτοὺς ἡ τῶν ἀρχαίων γραφῶν φιλόθεος σαφήνεια, οὐδὲ ἡ τῶν συλλειτουργῶν σύμφωνος περὶ Χριστοῦ εὐλάβεια τὴν κατ' αὐτοῦ θρασύτητα αὐτῶν ἠμαύρωσεν. ὧν οὐδὲ τὰ δαιμόνια τῆς ἀνοσιουργίας ἀνέξεται, φωνὴν βλάσφημον κατὰ τοῦ υἱοῦ τοῦ Θεοῦ εἰπεῖν φυλαττόμενα. Ταῦτα μὲν οὖν ἡμῖν κατὰ τὴν παροῦσαν δύναμιν * ἐπηπορήσθω πρὸς τοὺς ἀπαιδεύτῳ ὑλακῇ κατὰ τοῦ Χριστοῦ κονισαμένους, καὶ τὴν εἰς αὐτὸν εὐσέβειαν ἡμῶν συκοφαντεῖν προθεμένους. φασὶ γὰρ ἡμᾶς οἱ φληνάφων ἐφευρεταὶ μύθων, ἀποστρεφομένους τὴν ἐξ οὐκ ὄντων ἀσεβῆ καὶ ἄγραφον κατὰ Χριστοῦ βλασφημίαν, ἀγέννητα διδάσκειν δύο, δυοῖν θάτερον λέγοντες εἶναι οἱ ἀπαίδευτοι, ἢ ἐξ οὐκ ὄντων αὐτὸν εἶναι φρονεῖν, ἢ πάντως ἀγέννητα λέγειν δύο, ἀγνοοῦντες οἱ ἀνάσκητοι, ὡς * μακρὸν ἂν εἴη μεταξὺ πατρὸς ἀγεννήτου, καὶ τῶν κτισθέντων ὑπ' αὐτοῦ ἐξ οὐκ ὄντων, λογικῶν τε καὶ ἀλόγων· ὧν μεσιτεύουσα φύσις μονογενὴς, δι' ἧς τὰ ὅλα ἐξ οὐκ ὄντων ἐποίησεν ὁ πατὴρ τοῦ Θεοῦ λόγου, ἢ ἐξ αὐτοῦ τοῦ ὄντος πατρὸς γεγέννηται· ὡς καὶ αὐτός που διεμαρτύρατο λέγων ὁ κύριος· ὁ ἀγαπῶν τὸν πατέρα, ἀγαπᾷ τὸν υἱὸν τὸν γεγεννημένον ἐξ αὐτοῦ. περὶ ὧν ἡμεῖς οὕτως πιστεύομεν, ὡς τῇ ἀποστολικῇ ἐκκλησίᾳ δοκεῖ. εἰς μόνον ἀγέννητον πατέρα, οὐδένα τοῦ εἶναι αὐτῷ τὸν αἴτιον ἔχοντα, ἄτρεπτόντε καὶ ἀναλλοίωτον, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα, οὔτε προκοπὴν, οὔτε μείωσιν ἐπιδεχόμενον· νόμου καὶ προφητῶν καὶ εὐαγγελίων δωτῆρα, πατριαρχῶν καὶ ἀποστόλων καὶ ἁπάντων ἁγίων κύριον. καὶ εἰς ἕνα Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, γεννηθέντα οὐκ ἐκ τοῦ μὴ ὄντος, ἀλλ' ἐκ τοῦ ὄντος πατρὸς, οὐ κατὰ τὰς τῶν σωμάτων ὁμοιότητας ταῖς τομαῖς, ἢ ταῖς ἐκ διαιρέσεων ἀπορροίαις, ὥσπερ Σαβελλίῳ καὶ Βαλεντίνῳ δοκεῖ· ἀλλ' ἀρρήτως καὶ ἀνεκδιηγήτως κατὰ τὸν εἰπόντα, ὡς ἀνωτέρω παρεθήκαμεν. τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; τῆς ὑποστάσεως αὐτοῦ πάσῃ τῇ γεννητῇ φύσει ἀπεριεργάστου τυγχανούσης; καθὼς καὶ αὐτὸς ὁ πατὴρ ἀπεριέργαστός ἐστι, διὰ τὸ μὴ χωρεῖν τὴν τῶν λογικῶν φύσιν, τῆς πατρικῆς θεογονίας τὴν εἴδησιν· ἅπερ οὐ παρ' ἐμοῦ δεῖ μαθεῖν ἄνδρας τῷ τῆς ἀληθείας πνεύματι κινουμένους, ὑπηχούσης ὑμᾶς καὶ τῆς φθασάσης Χριστοῦ περὶ τούτου φωνῆς, καὶ διδασκούσης· οὐδεὶς οἶδε τίς ἐστιν ὁ πατὴρ, εἰ μὴ ὁ υἱός· καὶ οὐδεὶς οἶδε τίς ἐστιν ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ. ἄτρεπτον τοῦτον καὶ ἀναλλοίωτον ὡς τὸν πατέρα, ἀπροσδεῆ καὶ τέλειον υἱὸν, ἐμφερῆ τῷ πατρὶ μεμαθήκαμεν, μόνῳ τῷ ἀγεννήτῳ λειπόμενον ἐκείνου· εἰκὼν γάρ ἐστιν ἀπηκριβωμένη καὶ ἀπαράλλακτος τοῦ πατρός, πάντων γὰρ εἶναι τὴν εἰκόνα πλήρη, δι' ὧν ἡ μείζων ἐμφέρεια, δῆλον. ὡς αὐτὸς ἐπαίδευσεν ὁ κύριος, ὁ πατήρ μου, λέγων, μείζων μού ἐστι. καὶ κατὰ τοῦτο καὶ τὸ ἀεὶ εἶναι τὸν υἱὸν ἐκ τοῦ πατρὸς πιστεύομεν· ἀπαύγασμα γάρ ἐστι τῆς δόξης, καὶ χαρακτὴρ τῆς πατρικῆς ὑποστάσεως. ἀλλὰ μή τις τὸ, ἀεὶ, πρὸς ὑπόνοιαν ἀγεννήτου λαμβανέτω, ὡς οἴονται οἱ τὰ τῆς ψυχῆς αἰσθητήρια πεπηρομένοι. οὔτε γὰρ τὸ, ἦν, οὔτε τὸ, ἀεὶ, οὔτε τὸ, πρὸ αἰώνων, ταυτόν ἐστι τῷ ἀγεννήτῳ· ἀλλ' οὐδ' ὃ τιοῦν ἀνθρώπων ἔννοια ὀνοματοποιῆσαι σπουδάζει, δηλοῖ τὸ, ἀγέννητον· ὡς καὶ ὑμᾶς οὕτως ἐκδέχεσθαι πιστεύω, καὶ τεθάρρηκα τῇ περὶ πάντων ὑμῶν ὀρθῇ προθέσει, κατὰ μηδένα τρόπον τούτων τῶν ὀνομάτων τὸ ἀγέννητον δηλούντων. ἔοικε γὰρ οἱονεὶ χρόνων εἶναι παρεκτάσεις ταῦτα τὰ ὀνόματα· τὴν μέν τοι κατ' ἀξίαν τοῦ μονογενοῦς θεότητα, καὶ οἷον ἀρχαιότητα σημαίνειν μὴ δυνάμενα· τῶν δὲ ἁγίων ἀνδρῶν, ὡς δύναμις ἑκάστῳ, ἐμφανίσαι τὸ μυστήριον βιαζομένων, καὶ συγγνώμην αἰτούντων παρὰ τῶν ἀκροατῶν δι' εὐλόγου ἀπολογίας, διὰ τοῦ λέγειν· εἰς ἃ ἐφθάσαμεν. εἰ δέ τι παρὰ τὸ ἀνθρώπινον, διὰ χειλέων φθέγμα μεῖζόν τι προσδοκῶσιν οἱ ἄνδρες, τὰ ἐκ μέρους αὐτοῖς γνωρισθέντα καταργεῖσθαι λέγοντες, δῆλον ὅτι πολὺ τοῦ ἐλπιζομένου λείπεται τὸ, ἦν, καὶ τὸ, ἀεὶ, καὶ τὸ, πρὸ αἰώνων· ἅπερ δ' ἂν ᾖ, οὐκ ἔστι ταυτὰ τῷ ἀγεννήτῳ, οὐκοῦν τῷ μὲν ἀγεννήτῳ πατρὶ οἰκεῖον ἀξίωμα φυλακτέον, μηδένα τοῦ εἶναι αὐτῷ τὸν αἴτιον λέγοντας· τῷ δὲ υἱῷ τὴν ἁρμόζουσαν τιμὴν ἀπονεμητέον, τὴν ἄναρχον αὐτῷ παρὰ

τοῦ

* ἴσ. ἀκρίμονες.

* ἴσ. ἐπιπονεῖσθαι.

* ἴσ. οὐκ ἄκρον εἴη.

τοῦ πατρὸς γεννήσιν ἀνατιθέντας, καὶ ὡς ἐφθάσαμεν αὐτῷ σέβας ἀπονέμοντες, μόνον εὐσεβῶς καὶ εὐφήμως τὸ, ἦν, καὶ τὸ ἀεὶ, καὶ τὸ, πρὸ αἰώνων, λέγοντες ἐπ' αὐτοῦ. τὴν μέντοι θεότητα αὐτοῦ μὴ παραιτούμενοι, ἀλλὰ τῇ εἰκόνι καὶ τῷ χαρακτῆρι τοῦ πατρὸς ἀπηκριβωμένην ἐμφέρειαν κατὰ πάντα ἀνατιθέντες· τὸ δὲ ἀγέννητον τῷ πατρὶ μόνον ἰδίωμα παρεῖναι δοξάζοντες, ἅτε δὴ καὶ αὐτοῦ φάσκοντος τοῦ σωτῆρος· ὁ πατήρ μου μείζων μου ἐστί. πρὸς δὲ τῇ εὐσεβεῖ ταύτῃ περὶ πατρὸς καὶ υἱοῦ δόξῃ, καθὼς ἡμᾶς αἱ θεῖαι γραφαὶ διδάσκουσιν, ἓν πνεῦμα ἅγιον ὁμολογοῦμεν τὸ καινίσαν τούς τε τῆς παλαιᾶς διαθήκης ἁγίους ἀνθρώπους, καὶ τοὺς τῆς χρηματιζούσης καινῆς παιδευτὰς θείους. μίαν καὶ μόνην καθολικὴν, τὴν ἀποστολικὴν ἐκκλησίαν, ἀκαθαίρετον μὲν ἀεὶ, κἂν πᾶς ὁ κόσμος αὐτῇ πολεμεῖν βουλεύηται, νικηφόρον δὲ πάσης τῆς τῶν ἑτεροδόξων ἀσεβεστάτης ἐπαναστάσεως, εὐθαρσεῖς ἡμᾶς κατασκευάσαντος τοῦ οἰκοδεσπότου αὐτῆς, διὰ τοῦ βοᾶν. θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. μετὰ τοῦτο ἐκ νεκρῶν ἀνάστασιν οἴδαμεν, ἧς ἀπαρχὴ γέγονεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, σῶμα φορέσας ἀληθῶς καὶ οὐ δοκήσει ἐκ τῆς θεοτόκου Μαρίας, ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας ἐπιδημήσας τῷ γένει τῶν ἀνθρώπων, σταυρωθεὶς καὶ ἀποθανὼν, ἀλλ' οὐ διὰ ταῦτα τῆς ἑαυτοῦ θεότητος ἧττον γεγενημένος· ἀναστὰς ἐκ νεκρῶν, ἀναληφθεὶς ἐν οὐρανοῖς· καθήμενος ἐν δεξιᾷ τῆς μεγαλωσύνης τοῦ Θεοῦ. Ταῦτα ἐκ μέρους ἐνεχάραξα τῇ ἐπιστολῇ, τὸ καθ' ἕκαστον ἐπ' ἀκριβείας γράφειν φορτικὸν, ὡς ἔφην, εἶναι νομίσας, διὰ τὸ μηδὲ τὴν ἱερὰν ὑμῶν ταῦτα λεληθέναι σπουδήν. ταῦτα διδάσκομεν, ταῦτα κηρύττομεν, ταῦτα τῆς ἐκκλησίας τὰ ἀποστολικὰ δόγματα, ὑπὲρ ὧν καὶ ἀποθνήσκομεν, τῶν ἐξόμνυσθαι αὐτὰ βιαζομένων ἧττον πεφροντικότες, εἰ καὶ διὰ βασάνων ἀναγκάζουσι, τὴν ἐν αὐτοῖς ἐλπίδα μὴ ἀποστρεφόμενοι. ὧν ἐναντίοι γενόμενοι οἱ ἀμφὶ τὸν Ἄρειον καὶ Ἀχιλλᾶν, καὶ οἱ τῆς ἀληθείας σὺν αὐτοῖς πολέμιοι, ἀπεώσθησαν τῆς ἐκκλησίας, ἀλλότριοι γενόμενοι τῆς εὐσεβοῦς ἡμῶν διδασκαλίας, κατὰ τὸν μακάριον Παῦλον λέγοντα· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, κἂν ἄγγελος ἐξ οὐρανοῦ εἶναι προσποιῆται· ἀλλὰ καὶ εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται τοῖς ὑγιαίνουσι λόγοις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μηδὲν ἐπιστάμενος· καὶ τὰ ἑξῆς. τούτους οὖν ἀναθεματισθέντας ἀπὸ τῆς ἀδελφότητος, μηδεὶς ὑμῶν δεχέσθω, μηδὲ ἀνεχέσθω τῶν λεγομένων, ἢ γραφομένων ὑπ' αὐτῶν. πάντα γὰρ οἱ γόητες ψεύδονται, ἀλήθειαν οὐ μὴ λαλήσωσι. περιέρχονται γὰρ τὰς πόλεις, οὐδὲν ἕτερον σπουδάζοντες, ἢ τῷ τῆς φιλίας προσχήματι, καὶ τῷ τῆς εἰρήνης ὀνόματι, δι' ὑποκρίσεως, καὶ κολακείας γράμματα διδόναι καὶ λαμβάνειν, πρὸς τὸ πλανᾶν διὰ τούτων τὰ ὑπ' αὐτῶν ἠπατημένα ὀλίγα γυναικάρια σεσωρευμένα ἁμαρτίαις· καὶ τὰ ἑξῆς. τούτους οὖν τοὺς τοσαῦτα κατὰ Χριστοῦ τολμήσαντας, τοὺς τὸν χριστιανισμὸν τοῦτο μὲν δημοσίᾳ διασύραντας, τοῦτο δὲ ἐπὶ δικαστηρίων ἐπιδεικτιᾷν φιλοτιμουμένους, τοὺς διωγμὸν ἡμῖν ἐν εἰρήνῃ, τὸ ὅσον ἐπ' αὐτοῖς, ἐπεγείραντας, τοὺς τὸ ἄῤῥητον μυστήριον τῆς Χριστοῦ γεννήσεως ἐκνευρίσαντας, τούτους ἀποστραφέντες, ἀγαπητοὶ καὶ ὁμόψυχοι ἀδελφοὶ, σύμψηφοι γίνεσθε κατὰ τῆς μανιώδους αὐτῶν τόλμης, καθ' ὁμοιότητα τῶν ἀγανακτησάντων συλλειτουργῶν ἡμῶν, καὶ ἐπιστειλάντων μοι κατ' αὐτῶν, καὶ τῷ τόμῳ συνυπογραψάντων· ἃ καὶ διεπεμψάμην διὰ τοῦ υἱοῦ μου Ἀπίωνος τοῦ διακόνου· τοῦτο μὲν πάσης Αἰγύπτου καὶ Θηβαΐδος, τοῦτο δὲ Λιβύης τε καὶ Πενταπόλεως, καὶ Συρίας, καὶ ἔτι Λυκίας, καὶ Παμφυλίας, Ἀσίας, Καππαδοκίας, καὶ τῶν ἄλλων περιχώρων, ὧν καθ' ὁμοιότητα καὶ παρ' ὑμῶν δέξεσθαι πέποιθα. πολλῶν γάρ μοι βοηθημάτων πρὸς τοὺς βλαβέντας πεπορισμένων, καὶ τοῦτο εὕρηται λυσιφάρμακον τοῦ ὑπ' αὐτῶν ἀπατηθέντος λαοῦ, πειθομένων. καὶ ταῖς τῶν συλλειτουργῶν ἡμῶν συγκαταθέσεσιν εἰς μετάνοιαν διὰ τούτου ἔρχεσθαι σπουδαζόντων. Ἀσπάσασθε ἀλλήλους σὺν τῇ παρ' ὑμῶν ἀδελφότητι. ἐῤῥώσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοὶ, ὀναίμην ὑμῶν τῆς φιλοχρίστου ψυχῆς. εἰσὶ δὲ οἱ ἀναθεματισθέντες αἱρεσιῶται, ἀπὸ πρεσβυτέρων μὲν, Ἄρειος. ἀπὸ διακόνων δὲ, Ἀχιλλᾶς, Εὐζώϊος, Ἀειθαλῆς, Λούκιος, Σαρμάτης, Ἰούλιος, Μηνᾶς, Ἄρειος ἕτερος, Ἑλλάδιος.

ΤΟΥ ΑΥΤΟΥ ΑΛΕΞΑΝΔΡΟΥ

Ἀλεξανδρείας ἐπιστολὴ β'.

Τοῖς ἀγαπητοῖς καὶ τιμιωτάτοις συλλειτουργοῖς, τοῖς ἁπανταχοῦ τῆς καθολικῆς ἐκκλησίας, Ἀλέξανδρος ἐν κυρίῳ χαίρειν.

ΕΝΟΣ σώματος ὄντος τῆς καθολικῆς ἐκκλησίας, ἐντολῆς τε οὔσης ἐν ταῖς θείαις γραφαῖς, τηρεῖν τὸν σύνδεσμον τῆς ὁμονοίας καὶ εἰρήνης *.

Σκηρ. βιβ. ἀ. κεφ. τ'.

* Τοῦ τὰ λοιπὰ κάτωθεν παρὰ Γελασίῳ ἐν τοῖς πρακτικοῖς τῆς ἐν Νικαίᾳ Συνόδου βιβ. 2. κ. 3.

* Εὐσεβ. περὶ βίου Κωνσταν. βιβ. γ'. κεφ. ιβ'.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΒΑΣΙΔΕΩΣ

πρὸς τὴν σύνοδον περὶ εἰρήνης. *

ΕΥΧΗΣ μὲν ἐμοὶ τέλος ἦν ὦ φίλοι, τῆς ὑμετέρας ἀπολαῦσαι χορείας· τούτου δὲ τυχὼν, εἰδέναι τῷ βασιλεῖ τῶν ὅλων τὴν χάριν ὁμολογῷ, ὅτι μοι πρὸς τοῖς ἄλλοις ἅπασι, καὶ τοῦτο κρεῖττον ἀγαθοῦ παντὸς ἰδεῖν ἐδωρήσατο. φημὶ δὴ τὸ συνηγμένους ὁμοῦ πάντας ἀπολαβεῖν, μίαν τε κοινὴν ἁπάντων ὁμόφρονα γνώμην θεάσασθαι. μὴ δὴ οὖν βάσκανός τις ἐχθρὸς τοῖς ἡμετέροις καλοῖς λυμαινέσθω· μηδὲ τῆς τυράννων θεομαχίας ἐκποδὼν ἀρθείσης, Θεοῦ σωτῆρος δυνάμει, ἑτέρως ὁ φιλοπόνηρος δαίμων τὸν θεῖον νόμον βλασφημίαις περιβαλλέτω· ὡς ἔμοιγε παντὸς πολέμου καὶ μάχης δεινὴ καὶ χαλεπωτέρα ἡ τῆς ἐκκλησίας τοῦ Θεοῦ ἐμφύλιος νενόμισται στάσις· καὶ μᾶλλον ταῦτα τῶν ἔξωθεν λυπηρὰ καταφαίνεται. ὅτε γοῦν τὰς κατὰ τῶν πολεμίων νί-

κας νεύματι καὶ συνεργίᾳ τοῦ κρείτονος ἠράμην, οὐδέν τε λείπειν ἐνόμιζον, ἢ Θεῷ μὲν νομίζειν τὴν χάριν, συγχαίρειν δὲ καὶ τοῖς * ὑπὲρ αὐτοῦ δι' ἡμῶν ἠλευθερωμένοις· ἐπειδὴ τὴν ὑμετέραν διάστασιν παρ' ἐλπίδα πᾶσαν ἐπυθόμην, οὐκ ἐν δευτέρῳ τὴν ἀκοὴν ἐθέμην. τυχεῖν δὲ καὶ τοῦτο θεραπείας δι' ἐμῆς εὐξάμενος ὑπηρεσίας, τοὺς πάντας ἀμελλητὶ * συμμετεστειλάμην. καὶ χαίρω μὲν ὁρῶν τὴν ὑμετέραν ὁμήγυριν, τότε δὲ μάλιστα κρίνω κατ' εὐχὰς ἐμαυτὸν πράξειν, ἐπειδὰν ταῖς ψυχαῖς ἀνακραθέντας ἴδοιμι τοὺς πάντας, μίαν τε κοινὴν βραβεύουσαν τοῖς πᾶσιν εἰρηνικὴν συμφωνίαν, ἣν καὶ ἑτέροις ὑμᾶς πρέπον ἂν εἴη πρεσβεύειν, τοὺς τῷ Θεῷ καθιερωμένους. μὴ δὴ οὖν μέλλετε, ὦ φίλοι, μὴ δὴ, λειτουργοὶ Θεοῦ, καὶ τοῦ κοινοῦ πάντων ἡμῶν δεσπότου τε καὶ σωτῆρος ἀγαθοὶ θεράποντες, τὰ τῆς ἐν ὑμῖν διαστάσεως αἴτια ἐντεῦθεν ἤδη φέρειν εἰς μέσον ἀρξάμενοι, πάντα σύνδεσμον ἀμφιλογίας νόμοις εἰρήνης ἐπιλύσασθαι. οὕτω γὰρ καὶ τῷ ἐπὶ πάντων Θεῷ τὰ ἀρεστὰ διαπεπραγμένοι εἴητε ἂν, κἀμοὶ τῷ ὑμετέρῳ συνθεράποντι ὑπερβάλλουσαν δώσετε χάριν.

* ἴσ. εἰπ. αὐτοῦ.

* συμμετεφείσταμεν.

ΣΥ'ΜΒΟΛΟΝ ΤΗ̃Σ ΑΥ'ΤΗ̃Σ ἐν Νικαίᾳ συνόδου.

ΠΙΣΤΕΥΟΜΕΝ * εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός. Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ, καὶ τὰ ἐπὶ τῆς γῆς· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα. παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς. καὶ ἐρχόμενον πάλιν κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. τοὺς δὲ λέγοντας· ἦν ποτε ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ κτιστὸν, ἢ ἀλλοιωτὸν, ἢ τρεπτὸν τὸν υἱὸν τοῦ Θεοῦ· τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

* Ex Athan. in epist. ad Jovianum. Socrat. l. 5. Theod. l. 12. & ex iis fontibus in Trip. l. 17 Cod. canonum ecclesiæ Africanæ, aliisque.

ΚΑΝ'ΟΝΕΣ ΤΩ̃Ν ΤΡΙΑΚΟΣΙΩ̃Ν

δεκαοκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, ἐν ὑπατείᾳ Παυλίνου καὶ Ἰουλιανοῦ τῶν λαμπροτάτων ὑπάρχων, ἔτους ἑξακοσιοστοῦ τριακοστοῦ ἕκτου ἀπὸ Ἀλεξάνδρου. ἐν μηνὶ Δεσίῳ, ἐννεακαιδεκάτῃ πρὸ δεκατριῶν καλανδῶν Ἰουλίων.

α'.

ΕΙ' τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, ἢ ὑπὸ βαρβάρων ἐξετμήθη, οὗτος μενέτω ἐν τῷ κλήρῳ· εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέτεμε, τοῦτον καὶ ἐν τῷ κλήρῳ ἐξεταζόμενον πεπαῦσθαι προσήκει· καὶ ἐκ τοῦ δεῦρο μηδένα τῶν τοιούτων χρῆναι προάγεσθαι. ὥσπερ δὲ τοῦτο πρόδηλον, ὅτι περὶ τῶν ἐπιτηδευόντων τὸ πρᾶγμα, καὶ τολμώντων ἑαυτοὺς ἐκτέμνειν, εἴρηται. οὕτως εἴτινες ὑπὸ βαρβάρων ἢ δεσποτῶν εὐνουχίσθησαν, εὑρίσκοιντο δὲ ἄλλως ἄξιοι, τοὺς τοιούτους εἰς κλῆρον προσίεται ὁ κανών.

β'.

Ἐπειδὴ πολλὰ ἤτοι ὑπὸ ἀνάγκης, ἢ ἄλλως ἐπειγομένων τῶν ἀνθρώπων, ἐγένετο παρὰ τὸν κανόνα τὸν ἐκκλησιαστικὸν. ὥστε ἀνθρώπους ἀπὸ ἐθνικοῦ βίου ἄρτι προσελθόντας τῇ πίστει, καὶ ἐν ὀλίγῳ χρόνῳ κατηχηθέντας, εὐθὺς ἐπὶ τὸ πνευματικὸν λουτρὸν ἄγειν, καὶ ἅμα τῷ βαπτισθῆναι προάγειν εἰς ἐπισκοπὴν ἢ πρεσβυτερεῖον. καλῶς ἔδοξεν ἔχειν τοῦ λοιποῦ μηδὲν τοιοῦτο γίνεσθαι. καὶ γὰρ καὶ χρόνου δεῖ τῷ κατηχουμένῳ, καὶ μετὰ τὸ βάπτισμα δοκιμασίας πλείονος. σαφὲς γὰρ τὸ ἀποστολικὸν γράμμα τὸ λέγων. μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου. εἰ δὲ προϊόντος τοῦ χρόνου, ψυχικόν τι ἁμάρτημα εὑρεθῇ περὶ τὸ πρόσωπον, καὶ ἐλέγχοιτο ὑπὸ δύο ἢ τριῶν μαρτύρων· πεπαύσθω ὁ τοιοῦτος τοῦ κλήρου. ὁ δὲ παρὰ ταῦτα ποιῶν, ὡς ὑπεναντία τῇ μεγάλῃ συνόδῳ θρασυνόμενος, αὐτὸς κινδυνεύσει περὶ * τὸν κλῆρον.

τὸ κλήρ.

γ'.

Ἀπηγόρευσε καθόλου ἡ μεγάλη σύνοδος, μήτε ἐπισκόπῳ, μήτε πρεσβυτέρῳ, μήτε διακόνῳ, μήτε ὅλως τινὶ τῶν ἐν τῷ κλήρῳ, ἐξεῖναι συνείσακτον * ἔχειν. πλὴν εἰ μὴ ἄρα μητέρα, ἢ ἀδελφὴν, ἢ θείαν, ἢ ἃ μόνα πρόσωπα πᾶσαν ὑποψίαν διαπέφευγε.

* al. γυναῖκα ἔχ.

δ'.

Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι. Εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτο, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξ ἅπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι. τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ.

Περὶ

ε'.

Περὶ τῶν ἀκοινωνήτων γενομένων, εἴτε τῶν ἐν τῷ κλήρῳ, εἴτε ἐν λαϊκῷ τάγματι, ὑπὸ τῶν καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπων, κρατείτω ἡ γνώμη κατὰ τὸν κανόνα τὸν ὁριζόμενον, τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας, ὑφ' ἑτέρων μὴ προσίεσθαι. ἐξεταζέσθω δὲ, μὴ μικροψυχίᾳ, ἢ φιλονεικίᾳ, ἢ τινι τοιαύτῃ ἀηδίᾳ τοῦ ἐπισκόπου ἀποσυνάγωγοι γεγένηνται. ἵνα οὖν τοῦτο τοῦ πρέπουσαν ἐξέτασιν λαμβάνῃ, καλῶς ἔχειν ἔδοξεν, ἑκάστου ἐνιαυτοῦ καθ' ἑκάστην ἐπαρχίαν δὶς τοῦ ἔτους συνόδους γίνεσθαι· ἵνα κοινῇ πάντων τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἐπὶ τὸ αὐτὸ συναγομένων, τὰ τοιαῦτα ζητήματα ἐξετάζοιτο καὶ ὅπως οἱ ὁμολογουμένως προσκεκρουκότες τῷ ἐπισκόπῳ, κατὰ λόγον ἀκοινώνητοι παρὰ πᾶσιν εἶναι δόξωσι, μέχρις ἂν τῷ κοινῷ τῶν ἐπισκόπων δόξῃ τοῦ φιλανθρωποτέραν ὑπὲρ αὐτῶν ἐκθέσθαι ψῆφον. αἱ δὲ συνόδοι γινέσθωσαν, μία μὲν πρὸ τῆς τεσσαρακοστῆς, ἵνα πάσης * μικροψυχίας ἀναιρουμένης, τὸ δῶρον καθαρὸν προσφέρηται τῷ Θεῷ· δευτέρα δὲ, περὶ τὸν τοῦ μετοπώρου καιρόν.

* uterque interpres videtur legisse φιλονεικίας, nam hic dissensionem dicit, alter simultatem.

ς'.

Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, ὥστε τὸν Ἀλεξανδρείας ἐπίσκοπον πάντων τούτων ἔχειν τοῦ ἐξουσίαν. ἐπειδὴ καὶ τῷ ἐν τῇ Ῥώμῃ ἐπισκόπῳ τοῦτο συνήθες ἐστιν· ὁμοίως δὲ καὶ κατὰ τοῦ Ἀντιόχειαν, καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις, τὰ πρεσβεῖα σώζεσθαι ταῖς ἐκκλησίαις. καθόλου δὲ πρόδηλον ἐκεῖνο, ὅτι εἴτις χωρὶς γνώμης τοῦ μητροπολίτου γένοιτο ἐπίσκοπος, τὸν τοιοῦτον ἡ μεγάλη σύνοδος ὥρισε μὴ δεῖν εἶναι ἐπίσκοπον. ἐὰν μέντοι τῇ κοινῇ πάντων ψήφῳ καὶ λόγῳ ὀρθῷ, καὶ κατὰ κανόνα ἐκκλησιαστικὸν, δύο ἢ τρεῖς δι' οἰκείαν φιλονεικίαν ἀντιλέγωσι, κρατείτω ἡ τῶν πλειόνων ψῆφος.

ζ'.

Ἐπειδὴ συνήθεια κεκράτηκε καὶ παράδοσις ἀρχαία, ὥστε τὸν ἐν Αἰλίᾳ ἐπίσκοπον τιμᾶσθαι, ἐχέτω τοῦ ἀκολουθίαν τῆς τιμῆς, τῇ μητροπόλει σωζομένου τοῦ οἰκείου ἀξιώματος.

η'.

Περὶ τῶν ὀνομαζόντων μὲν ἑαυτοὺς καθαρούς ποτε, προσερχομένων δὲ τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε χειροθετουμένους αὐτοὺς, μένειν οὕτως ἐν τῷ κλήρῳ. πρὸ πάντων δὲ τοῦτο ὁμολογῆσαι αὐτοὺς ἐγγράφως προσήκει, ὅτι συνθήσονται καὶ ἀκολουθήσουσι τοῖς τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας δόγμασι· τοῦτ' ἔστι, καὶ διγάμοις κοινωνεῖν, καὶ τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσιν. ἐφ' ὧν καὶ χρόνος τέτακται, καὶ καιρὸς ὥρισται. ὥστε αὐτοὺς ἀκολουθεῖν ἐν πᾶσι τοῖς δόγμασι τῆς καθολικῆς ἐκκλησίας. σύνθα μὲν οὖν πάντες εἴτε ἐν κώμαις, εἴτε ἐν πόλεσιν αὐτοὶ μόνοι λειτουργοῦντο χειροτονηθέντες, οἱ λειτουργοῦντες ἐν τῷ κλήρῳ ἔσονται ἐν τῷ αὐτῷ * σχήματι. εἰ δὲ τοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόπου ἢ πρεσβυτέρου

* σχήματι.

ὄντος, προσέρχονταί τινες. πρόδηλον, ὡς ὁ μὲν ἐπίσκοπος τῆς ἐκκλησίας ἕξει τὸ ἀξίωμα τοῦ ἐπισκόπου· ὁ δὲ ὀνομαζόμενος παρὰ τοῖς λεγομένοις καθαροῖς ἐπίσκοπος, τιμὴν τοῦ πρεσβυτέρου τιμὴν ἕξει· πλὴν εἰ μὴ ἄρα δοκοίη τῷ ἐπισκόπῳ τῆς τιμῆς τοῦ ὀνόματος αὐτὸν μετέχειν. εἰ δὲ τοῦτο αὐτῷ μὴ ἀρέσκοι, ἐπινοήσει τόπον ἢ χωρεπισκόπου ἢ πρεσβυτέρου, ὑπὲρ τοῦ ἐν τῷ κλήρῳ ὅλως δοκεῖν εἶναι, ἵνα μὴ ἐν τῇ πόλει δύο ἐπίσκοποι ὦσιν.

θ'.

Εἴ τινες ἀναξετάσως * προσήχθησαν πρεσβύτεροι, ἢ ἀνακεκρυμμένοι ὡμολόγησαν τὰ ἁμαρτήματα αὐτοῖς, καὶ ὁμολογησάντων αὐτῶν, παρὰ κανόνα κινοῦμενοι ἄνθρωποι τοῖς τοιούτοις χεῖρα ἐπιτιθέασι· τούτους ὁ κανὼν οὐ προσίεται. τὸ γὰρ ἀνεπίληπτον ἐκδικεῖ ἡ καθολικὴ ἐκκλησία.

* προσήχθησαν.

ι'.

Ὅσοι προεχειρίσθησαν τῶν παραπεπτωκότων κατὰ ἄγνοιαν, ἢ καὶ προειδότων τῶν προχειρισαμένων, τοῦτο δὲ προκείμενον τῷ κανόνι τῷ ἐκκλησιαστικῷ· γνωσθέντες γὰρ καθαιροῦνται.

ια'.

Περὶ τῶν παραβάντων χωρὶς ἀνάγκης, ἢ χωρὶς ἀφαιρέσεως ὑπαρχόντων, ἢ χωρὶς κινδύνου, ἢ τινος τοιούτου, ὃ γέγονεν ἐπὶ τῆς τυραννίδος Λικινίου. ἔδοξε τῇ συνόδῳ, κἂν ἀνάξιοι ἦσαν φιλανθρωπίας, ὅμως χρησθῆναι εἰς αὐτούς. ὅσοι οὖν γνησίως μεταμέλονται, τρία ἔτη ἐν ἀκροωμένοις ποιήσουσιν οἱ πιστοί, καὶ ἑπτὰ ἔτη ὑποπεσοῦνται. δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνήσουσι τῷ λαῷ τῶν προσευχῶν.

ιβ'.

Οἱ δὲ προσκληθέντες μὲν ὑπὸ τῆς χάριτος, καὶ τῇ πρώτῃ ὁρμῇ ἐνδεξάμενοι, καὶ ἀποθέμενοι τὰς ζώνας, μετὰ δὲ ταῦτα ἐπὶ τὸν οἰκεῖον ἔμετον ἀναδραμόντες ὡς κύνες, ὡς τιμὰς καὶ ἀρχεῖα προῆσθαι, καὶ * βενεφικίοις κατορθῶσαι τὸ ἀναστρατεύσασθαι. ἔτοι δέκα ἔτη ὑποπιπτέτωσαν, μετὰ τὸν τῆς τριετοῦς ἀκροάσεως χρόνον· ἐφ' ἅπασι δὲ τούτοις προσήκει ἐξετάζειν τὴν προαίρεσιν, καὶ τὸ εἶδος τῆς μετανοίας. ὅσοι μὲν γὰρ καὶ φόβῳ καὶ δάκρυσι καὶ ὑπομονῇ καὶ ἀγαθοεργίαις, τῇ ἐπιτροπῇ ἔργῳ καὶ ἀληθείᾳ ἐπιδείκνυνται· ἔτοι πληρώσαντες τὸν χρόνον τὸν ὡρισμένον τῆς ἀκροάσεως, εἰκότως τῶν εὐχῶν κοινωνήσουσι, μετὰ τοῦ ἐξεῖναι τῷ ἐπισκόπῳ καὶ φιλανθρωποτέρόν τι περὶ αὐτῶν βουλεύσασθαι. ὅσοι δὲ ἀδιαφόρως ἤνεγκαν, καὶ τὸ σχῆμα * τοῦ μὴ εἰσιέναι εἰς τὴν ἐκκλησίαν ἀρκεῖν αὐτοῖς ἡγήσαντο πρὸς τὴν ἐπιτροπήν, ἐξ ἅπαντος πληρώσουσι τὸν χρόνον.

* βενεφικίοις κατορθῶσαι. * τοῦ μὴ εἰσιέναι.

ιγ'.

Περὶ δὲ τῶν ἐξοδεύοντων ὁ παλαιὸς καὶ κανονικὸς νόμος φυλαχθήσεται καὶ νῦν· ὥστε εἴτις ἐξοδεύοι, τοῦ πλουτεῖν καὶ ἀναγκαιοτάτου ἐφοδίου μὴ ἀποστερεῖσθαι· εἰ δὲ ἀπογνωσθείς, καὶ κοινωνίας πάλιν τυχών, πάλιν ἐν τοῖς

ζῶσιν

ζῶσιν ἐξετασθῆ, μετὰ τῶν κοινωνούντων τῆς εὐχῆς μόνης ἔστω. καθόλου δὲ καὶ περὶ παντὸς οὐτινοσοῦν ἐξοδεύοντος, αἰτοῦντος τοῦ μεταχεῖν εὐχαριστίας, ὁ ἐπίσκοπος μετὰ δοκιμασίας * ἐπιδότω.

* μεταδιδότω τῆς προσφορᾶς. Zonarat.

ιδ'.

Περὶ τῶν κατηχουμένων καὶ παραπεσόντων, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε τριῶν ἐτῶν αὐτοὺς ἀκροωμένους μόνον, μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων.

ιε'.

Διὰ τὸν πολὺν τάραχον καὶ τὰς στάσεις τὰς γινομένας, ἔδοξε παντάπασι περιερεθῆναι τὴν συνήθειαν τὴν παρὰ τὸν κανόνα εὑρεθεῖσαν ἔν τισι μέρεσιν· ὥστε ἀπὸ πόλεως εἰς πόλιν μὴ μεταβαίνειν, μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον. εἰ δέ τις μετὰ τὸν τῆς ἁγίας καὶ μεγάλης συνόδου ὅρον, τοιούτῳ τινὶ ἐπιχειρήσειεν, ἢ ἐπιδοίη ἑαυτὸν πράγματι τοιούτῳ. ἀκυρωθήσεται ἐξ ἅπαντος τὸ κατασκεύασμα, καὶ ἀποκατασταθήσεται τῇ ἐκκλησίᾳ, ᾗ ὁ ἐπίσκοπος ἢ ὁ πρεσβύτερος ἐχειροτονήθη.

ιϛ'.

Ὅσοι ῥιψοκινδύνως, μήτε τὸ φόβον τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν ἔχοντες, μήτε τὸν ἐκκλησιαστικὸν κανόνα εἰδότες, ἀναχωρήσουσι τῆς ἐκκλησίας, πρεσβύτεροι ἢ διάκονοι, ἢ ὅλως ἐν τῷ κανόνι ἐξεταζόμενοι· οὗτοι οὐδαμῶς δεκτοὶ ὀφείλουσιν εἶναι ἐν ἑτέρᾳ ἐκκλησίᾳ, ἀλλὰ πᾶσαν αὐτοῖς ἀνάγκην ἐπάγεσθαι χρὴ, ἀναστρέφειν εἰς τὰς ἑαυτῶν παροικίας, ἢ ἐπιμένοντας, ἀκοινωνήτους εἶναι προσήκει. εἰ δὲ καὶ τολμήσειέ τις ὑφαρπάσαι τὸν τῷ ἑτέρῳ διαφέροντα, καὶ χειροτονῆσαι ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, μὴ συγκατατιθεμένου τοῦ ἰδίου ἐπισκόπου, οὗ ἀνεχώρησεν ὁ ἐν τῷ κανόνι ἐξεταζόμενος. ἄκυρος ἔστω ἡ χειροτονία.

ιζ'.

Ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξεταζόμενοι τὴν πλεονεξίαν καὶ τὴν αἰσχροκέρδειαν διώκοντες, ἐπελάθοντο τοῦ θείου γράμματος λέγοντος. τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ· καὶ δανείζοντες, ἑκατοστὰς ἀπαιτοῦσιν· ἐδικαίωσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος, ὡς εἴ τις εὑρεθείη μετὰ τὸν ὅρον τοῦτον τόκους λαμβάνων ἐκ μεταχειρίσεως, ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα, ἢ ἡμιολίας ἀπαιτῶν, ἢ ὅλως ἕτερόν τι ἐπινοῶν αἰσχροῦ κέρδους ἕνεκα, καθαιρεθήσεται τοῦ κλήρου, καὶ ἀλλότριος τοῦ κανόνος ἔσται.

ιη'.

Ἦλθεν εἰς τὴν ἁγίαν καὶ μεγάλην σύνοδον, ὅτι ἔν τισι τόποις καὶ πόλεσι, τοῖς πρεσβυτέροις τὴν εὐχαριστίαν οἱ διάκονοι διδόασιν· ὅπερ οὔτε ὁ κανὼν, οὔτε ἡ συνήθεια παρέδοκε, τοὺς ἐξουσίαν μὴ ἔχοντας προσφέρειν, τοῖς προσφέρουσι διδόναι τὸ σῶμα τοῦ Χριστοῦ. κἀκεῖνο δὲ ἐγνωρίσθη, ὅτι ἤδη τινὲς τῶν διακόνων καὶ πρὸ τῶν ἐπισκόπων τῆς εὐχαριστίας ἅπτονται. ταῦτα μὲν οὖν ἅπαντα περιηρήσθω· καὶ ἐμμενέτωσαν οἱ διάκονοι τοῖς ἰδίοις μέτροις, εἰδότες ὅτι τοῦ μὲν ἐπισκόπου ὑπηρέται εἰσὶ, τῶν δὲ πρεσβυτέρων ἐλάττους τυγχάνουσι· λαμβανέτωσαν δὲ κατὰ τὴν τάξιν τὴν εὐχαριστίαν μετὰ τοὺς πρεσβυτέρους, ἢ τοῦ ἐπισκόπου διδόντος αὐτοῖς, ἢ τοῦ πρεσβυτέρου. ἀλλὰ μηδὲ καθῆσθαι ἐν μέσῳ τῶν πρεσβυτέρων ἐξέστω τοῖς διακόνοις· παρὰ κανόνα γὰρ καὶ παρὰ τάξιν ἐστὶ τὸ γινόμενον. εἰ δέ τις μὴ θέλοι πειθαρχεῖν καὶ μετὰ τούτους τοὺς ὅρους, πεπαύσθω τῆς διακονίας.

ιθ'.

Περὶ τῶν Παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθολικῇ ἐκκλησίᾳ, ὅρος ἐκτέθειται ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος. εἰ δέ τινες ἐν τῷ παρεληλυθότι χρόνῳ ἐν τῷ κλήρῳ ἐξητάσθησαν, εἰ μὲν ἄμεμπτοι καὶ ἀνεπίληπτοι φανεῖεν, ἀναβαπτισθέντες χειροτονείσθωσαν ὑπὸ τοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόπου· εἰ δὲ ἡ ἀνάκρυσις ἀνεπιτηδείους αὐτοὺς εὑρίσκοι, καθαιρεῖσθαι αὐτοὺς προσήκει· ὡσαύτως δὲ καὶ περὶ τῶν [1] διακονισσῶν, καὶ ὅλως περὶ τῶν ἐν τῷ κανόνι ἐξεταζομένων, ὁ αὐτὸς τύπος παραφυλαχθήσεται. ἐμνήσθημεν δὲ τῶν διακονισσῶν τῶν ἐν τῷ σχήματι ἐξετασθεισῶν, ἐπεὶ μηδὲ χειροθεσίαν τινὰ ἔχουσιν, ὥστε ἐξάπαντος ἐν τοῖς λαϊκοῖς αὐτὰς ἐξετάζεσθαι.

κ'.

Ἐπειδὴ τινές εἰσιν ἐν τῇ κυριακῇ γόνυ κλίνοντες, καὶ ἐν ταῖς τῆς πεντηκοστῆς ἡμέραις ὑπὲρ τοῦ πάντα ἐν πάσῃ παροικίᾳ φυλάττεσθαι, ἐστῶτας ἔδοξε τῇ ἁγίᾳ συνόδῳ τὰς εὐχὰς ἀποδιδόναι τῷ Θεῷ.

ΥΠΟΓΡΑΦΑΙ.

..... ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἰουστῖνος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Τυανέων μητροπόλεως τῆς δευτέρας Καππαδοκίας, ὁρίσας ὑπέγραψα.

Ὀλύμπιος ἐλέει Θεοῦ ἐπίσκοπος Γαγγρήνων μητροπόλεως τῆς Παφλαγίων ἐπαρχίας, ὁρίσας ὑπέγραψα.

Κυπριανὸς ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Ἡμη..... Διοπολίτων, μητροπόλεως τῆς Ὀναρίστων ἐπαρχίας, ὁρίσας ὑπέγραψα.

Πολύδεκτος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Μυρέων μητροπόλεως τῆς Λυκίων ἐπαρχίας, ὁρ. ὑπ.

Θεάτωρος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Σταυροπόλεων μητροπόλεως τῆς Ἡβρῶν ἐπαρχίας, ὁρ. ὑπ.

Τιβέριος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς.... Λαοδικέων μητροπόλεως τῆς Φρυγῶν ἐπαρχίας, ὁρ. ὑπ.

Κοσμᾶς ἐλέει Θεοῦ ἐπίσκοπος Συμβαδίων μητροπόλεως τῆς Σαλυταρίων ἐπαρχίας, ὁρ. ὑπ.

Κωνσταντῖνος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Βήρ, μητροπόλεως τῆς Λυκαίων " μητροπόλεως, ὁρ. ὑπ. " ἐπαρχίας

Στέφανος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Ἀντιοχέων μητροπόλεως τῆς Παμφίλων ἐπαρχίας, ὁρ. ὑπ.

Θεόπεμπτος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Ἰουστινοπολίτων, ἤτοι Μωκρασήνων, μητροπόλεως δευτέρας τῶν Καππαδοκίων ἐπαρχίας, ὁρ. ὑπ.

Ἰσιόδωρος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Ῥουγίνων μητροπόλεως, τῆς Φρυγῶν Πατακίων, ὁρ. ὑπ.

Θεόδωρος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Ταρσέων μητροπόλεως τῆς Προτηέων ἐπαρχίας, ὁρ. ὑπ.

Στέφανος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Ἀναζαρβέων μητροπόλεως τῆς δευτέρας τῶν Κιλικίων ἐπαρχίας, ὁρ. ὑπ.

Μακρόβιος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Σελονέων μητροπόλεως τῆς Ἰσαύρων ἐπαρχίας, ὁρ. ὑπ.

Ἰωάννης ἐλέει Θεοῦ ἐπίσκοπος Ἀθηναῖος καὶ λεγάτος τῆς ἁγίας συνόδου τοῦ ἀποστολικοῦ Θεσίου τῆς πρεσβυτέρας Ῥώμης, ὁρ. ὑπ.

Γεώργιος χάριτι Θεοῦ ἐπίσκοπος τῆς Βιζυήνων πόλεως τῆς Θράκων χώρας, ὁρ. ὑπ.

Ζαχαρίας ἐλέει Θεοῦ ἐπίσκοπος Λεοντοπολίτων τῆς Ἰσαύρων χώρας, ὁρ. ὑπ.

Θεόδωρος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Πομπηιουπολίτων πόλεως τῆς Παφλαγόνων, ἐπαρχίας, ὁρ. ὑπ.

Γρηγόριος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Μιτυλινέων πόλεως τῆς Λεσβίων νήσου, ὁρ. ὑπ.

Σέργιος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Σελυμβρίων πόλεως τῆς Εὐρώπης νεάνων Θρᾴκων χώρας, ὁρ. ὑπ.

Ἀνδρέας ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Μεθυμνέων πόλεως τῆς Λεσβίων νήσου, ὁρ. ὑπ.

Θεο-

Θεοχάρις ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς Νεάνων πόλεως τῆς Βενδικίων ἐπαρχίας, ὁρ. ὑπ.

Ἀλέξανδρος ἐλέῳ Θεοῦ ἐπίσκοπος πόλεως Κυψαήνων, τῆς Ἰσαύρων χώρας, ὁρ. ὑπ.

Σεπτιμίνος ἀναξίως ἐπίσκοπος τῆς Εὐχαΐτων πόλεως τῆς Ἑλευθερουπόλεως ἐπαρχίας, ὁρ. ὑπ.

Πέτρος χάριτι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐπίσκοπος τῆς μητροπόλεως Φιλοχρίστου πόλεως, ὁρ. ὑπ.

Πέτρος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς Σωζοπόλεως ἐπαρχίας, ὁρ. ὑπ.

..... ἐλέῳ Θεοῦ ἐπίσκοπος Παυβίων, ὁρ. ὑπ.

..... ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς ἁγίας Κυπρίων ἐπαρχίας, ὁρ. ὑπ.

Τύχων ἐλέῳ Θεοῦ ἐπίσκοπος πόλεως τῆς.....

ΒΙΒΛΙΟΝ ΕΥΣΕΒΙΟΥ ΕΠΙΣΚΟΠΟΥ Νικομηδείας, καὶ Θεογνίου Νικαίας.

[1] Συνοδικὸν κεφ. ιδ'.

ΗΔΗ μὲν οὖν καταψηφισθέντες * προχείρως παρὰ τῆς ἀληθείας ὑμῶν, ἐν ἡσυχίᾳ φέρειν τὰ κεκριμένα παρὰ τῆς ἁγίας ὑμῶν ἐπιχειρήσεως ὠφείλομεν. ἀλλ' ἐπειδὴ ἄτοπον καθ' ἑαυτῶν δόξαι τῶν συκοφαντῶν τῇ ἀποδείξει τῇ σιωπῇ, τοῦτο ἕνεκα ἀναφέρομεν, ὡς ἡμεῖς καὶ τῇ πίστει συνεδράμομεν, καὶ τῇ γνώμῃ ἀξιώσαντες ἐπὶ τῷ ὁμοουσίῳ, ὅλοι ἐγκυόμεθα τῆς εἰρήνης, οἱ μηδαμοῦ τῇ αἱρέσει ἐξακολουθήσαντες. ὑπομνήσαντες δὲ ἐπὶ ἀσφαλείᾳ τῶν ἐκκλησιῶν, ὅσα τὸν λογισμὸν ἡμῶν ὑπέξεχε, καὶ πληροφορήσαντες τοὺς δι' ἡμῶν πεισθῆναι ὀφείλοντας, ὑπεσημειωάμεθα τῇ πίστει· τῷ δὲ ἀναθεματισμῷ οὐχ ὑπεγράψαμεν, οὐχ ὡς τῆς πίστεως κατηγοροῦντες, ἀλλ' ὡς ἀπιστοῦντες τοιοῦτον εἶναι τὸν κατηγορηθέντα, ἐκ τῶν ἰδίων προὸς ἡμᾶς παρ' αὐτοῦ διάτε ἐπιστολῶν, καὶ τῶν εἰς πρόσωπον διαλέξεων, πεπληροφορημένοι μὴ τοιοῦτον εἶναι. εἰ δὲ ἐπείσθη ἡ ἁγία ὑμῶν συνοδος, οὐκ ἀντιτείνοντες, ἀλλὰ σωτιθέμενοι τοῖς παρ' ὑμῖν κεκριμένοις, καὶ διὰ τοῦτο τῷ γράμματι πληροφορούμεν τῇ συγκατάθεσιν, οὐ τῇ ἐξουσίαν βαρέως φέροντες, ἀλλὰ τῇ ὑπόνοιαν τῆς αἱρέσεως ἀποδυόμενοι. εἰ γὰρ καταξιώσητε νῦν ἡμᾶς εἰς πρόσωπον ἐπαναλαβεῖν ἡμᾶς, ἔχετε ἐν πᾶσι συμψήφους ἀκολουθοῦντας τοῖς παρ' ὑμῖν κεκριμένοις· ὁπότε αὐτὸν τὸν ἐπὶ τούτοις ἐναγόμενον ἔδοξε τῇ ὑμῶν ἀληθείᾳ φιλανθρωπήσασθαι, καὶ ἀναλέσασθαι. ἄτοπον δὲ τὸ δοκοῦν εἶναι ὑπαληθεύειν, ἀνεκκλημένον καὶ ἀπολογησάμενον ἐφ' οἷς διεβάλλετο, ἡμᾶς σιωπᾷν καθ' ἑαυτῶν διδόντας τὸν ἔλεγχον. καταξιώσατε γοῦν, ὡς ἁρμόζει τῇ φιλοχρίστῳ ὑμῶν ἀληθείᾳ, τὸν θεοφιλέστατον βασιλέα ὑπομνῆσαι, καὶ τὰς δεήσεις ἡμῶν ἐγχειρίσαι, καὶ θᾶττον βαλέσθαι τὰ ὑμῖν ἁρμόζοντα ἐφ' ἡμῖν.

ΕΠΙΣΤΟΛΗ ΤΗΣ ἐν Νικαίᾳ πρώτης Συνόδου.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ, χάριτι τοῦ Θεοῦ, Ἀλεξανδρέων ἐκκλησίᾳ, καὶ τοῖς κατὰ τὴν Αἴγυπτον καὶ Λιβύην καὶ Πενταπόλιν ἀγαπητοῖς ἀδελφοῖς, οἱ ἐν Νικαίᾳ συναχθέντες, καὶ τῇ μεγάλῃ καὶ ἁγίᾳ συνόδῳ συγκροτήσαντες ἐπίσκοποι ἐν κυρίῳ χαίρειν.

ΕΠΕΙΔΗ τῆς τοῦ Θεοῦ χάριτος, καὶ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου συναγαγόντος ἡμᾶς ἐκ διαφόρων ἐπαρχιῶν καὶ πόλεων, ἡ μεγάλη καὶ ἁγία συνοδος ἐν Νικαίᾳ συνεκροτήθη. *

* Περὶ τῆς ἐν τοῖς Γαλατίαις συνόδου. Εὐσ. κεφ. ια'.

ΕΠΙΣΤΟΛΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ βασιλέως, ταῖς ἐκκλησίαις.

Κωνσταντῖνος σεβαστὸς ταῖς ἐκκλησίαις.

ΠΕΙΡΑΝ λαβὼν ἐκ τῆς τῶν κοινῶν διαπραξίας, ὅση τῆς θείας δυνάμεως πέφυκε χάρις. *

Εὐσεβ. περὶ βίου Κωνστ. βιβ. α. κεφ. μ'.

* Περὶ τῶν λοιπῶν τῶν ἐν Γαλατίᾳ βιβ. α. κεφ. ιε.

ΕΠΙΣΤΟΛΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ βασιλέως τῇ ἐκκλησίᾳ Ἀλεξανδρέων.

Κωνσταντῖνος σεβαστὸς τῇ καθολικῇ Ἀλεξανδρέων ἐκκλησίᾳ.

ΧΑΙΡΕΤΕ ἀγαπητοὶ ἀδελφοί. τελείαν παρὰ τῆς θείας προνοίας εἰλήφαμεν χάριν. ἵνα πάσης πλάνης ἀπαλλαγέντες, μίαν καὶ τὴν αὐτὴν ἐπιγινώσκωμεν πίστιν. ὅθεν λοιπὸν τῷ διαβόλῳ ἔξεσι καθ' ἡμῶν· πᾶν * ἔτι δ' ἂν κακοτεχνήσαμεν ἐπεχείρησεν, ἐκ βάθρων ἀνήρηται. τὰς διχονοίας, τὰ σχίσματα, τὰς θορύβους ἐκείνους, καὶ τὰ τῶν διαφωνιῶν, ἵν' ὅπως εἴπω, θανάσιμα φάρμακα, κατὰ τὴν τοῦ Χριστοῦ κέλευσιν, ἡ τῆς ἀληθείας ἐνίκησε λαμπρότης. σὺν τοιγαροῦν ἅπαντες καὶ τῷ ὀνόματι προσκυνοῦμεν, καὶ εἶναι πεπιστεύκαμεν. ἵνα δὲ τοῦτο γένηται, ὑπομνήσει Θεοῦ συνεκάλεσα εἰς τὴν Νικαίων πόλιν τοὺς πλείστους τῶν ἐπισκόπων, * μεθ' ὧνπερ εἷς ἐξ ὑμῶν ἐγὼ ὁ συνθεράπων ὑμέτερος καθ' ὑπερβολὴν εἶναι χαίρων, καὶ αὐτὸς τὴν τῆς ἀληθείας ἐξέτασιν ἀνεδεξάμην· ἠλέγχθη οὖν ἅπαντα καὶ ἀκριβῶς ἐξητάσαι, ὅσα δὶ ἀμφιβολίαν, ἢ διχόνοιαν, προφάσιν ἐδόκει γενέσθαι· καὶ φανερὰν ἡ θεία μεγαλειότης ἀπέφηνε καὶ ὡς δεινὰ τὰ περὶ τὸν μεγάλον σωτῆρα, περὶ τῆς ἐλπίδος καὶ ζωῆς ἡμῶν ἀσεβῶς ἐβλασφήμουν τινές, τοὐναντία ταῖς θεοπνεύστοις γραφαῖς, καὶ τῇ ἁγίᾳ πίστει φθεγγόμενοί τε, καὶ πιστεύειν ὁμολογοῦντες, τεσσαρακοσίων γοῦν καὶ πλειόνων ἐπισκόπων ἐπὶ σωφροσύνῃ τε καὶ ἀγχινοίᾳ θαυμαζομένων, μίαν καὶ τὴν αὐτὴν πίστιν, ἣ καὶ ταῖς ἀληθείαις, καὶ ἀκριβείαις τοῦ θείου νόμου πέφυκε πίστις εἶναι, βεβαιούντων, μόνος Ἄρειος ἐφωράθη τῆς διαβολικῆς ἐνεργείας ἥττημένος, καὶ τὸ κακὸν τοῦτο πρῶτον μὲν παρ' ὑμῖν, ἔπειτα καὶ παρ' ἑτέροις ἀσεβεῖ γνώμῃ διασπείρας. ἀναδεξώμεθα τοιγαροῦν ὡς ὁ παντοκράτωρ παρέσχε γνώμην. ἐπανέλθωμεν ἐπὶ τοὺς ἀγαπητοὺς ἡμῶν ἀδελφούς, ὧν ὑμᾶς τοῦ διαβόλου ἀναιδής τις ὑπηρέτης ἐχώρισεν· ἐπὶ τὸ κοινὸν σῶμα, καὶ τὰ γνήσια ἡμῶν μέλη σπουδῇ πάσῃ ἴωμεν. τοῦτο γὰρ καὶ τῇ ἀγχινοίᾳ, καὶ τῇ πίστει, καὶ τῇ ὁσιότητι τῇ ἡμετέρᾳ πρέπει, ἵνα τῆς πλάνης ἐλεγχθείσης ἐκείνης, ἣν τῆς ἀληθείας εἶναι ἐχθρὸν συνίσχε, πρὸς τὴν θείαν ἐπανέλθητε χάριν. ὃ γὰρ τοῖς τεσσαρακοσίοις ἥρεσεν ἐπισκόποις, οὐδὲν ἕτερον, ἢ τῷ Θεῷ γνώμη, μᾶλλόν γε ὅπερ

* Cel. μετὰ τῶν ἐκ τῆς ἐμῆς ἐγὼ καθάπερ εἷς τις ἐξ ὑμῶν συνθεράπων ἐμὲ πρεσ.

ὅπου τὸ ἅγιον πνεῦμα, τοιούτων καὶ τηλικούτων ἀνδρῶν ταῖς διανοίαις ἐγκείμενον, τὴν θείαν βούλησιν ἐξεφώτισε. διὸ μηδεὶς ἀμφιβαλλέτω, μηδεὶς ὑπερτιθέσθω, ἀλλὰ προθύμως πάντες εἰς τὴν ἀληθεστάτην ὁδὸν ἐπανίτε. ἵν' ἐπειδὰν ὅσον οὐδέπω πρὸς ὑμᾶς ἀφίκωμαι, τὰς ὀφειλομένας τῷ παντεφόρῳ Θεῷ μεθ' ὑμῶν ὁμολογήσω χάριτας, ὅτι τὴν εἰλικρινῆ πίστιν ἐπιδείξας, τὴν εὐκταίαν ἡμῖν ἀγάπην ἀποδέδωκεν. ὁ Θεὸς ὑμᾶς διαφυλάξαι, ἀγαπητοὶ ἀδελφοί.

ΤΟΥ̃ ΑΥΤΟΥ̃ Α'ΓΙ'ΟΥ ΚΩΝΣΤΑΝΤΙ'ΝΟΥ βασιλέως.

Νικητὴς Κωνσταντῖνος, μέγιστος, σεβαστὸς, ἐπισκόποις καὶ λαοῖς.

Συνερ. βιβ. α. κεφ. ζ.

ΤΟΥ'Σ πονηροὺς καὶ ἀσεβεῖς μιμησάμενος Ἄρειος, δίκαιόν ἐστι τὴν αὐτὴν ἐκείνοις ὑπέχειν ἀτιμίαν. *

* τὰ λοιπὰ παρὰ Γελασίῳ βιβ. 2. κεφ. 36.

Ε'ΠΙΣΤΟΛΗ' ΚΩΝΣΤΑΝΤΙ'ΝΟΥ βασιλέως τῇ ἐκκλησίᾳ Νικομηδέων κατὰ Εὐσεβίου, καὶ Θεογνίου.

Κωνσταντῖνος σεβαστὸς τῇ καθολικῇ ἐκκλησίᾳ Νικομηδέων.

ΤΟ'Ν δεσπότην Θεὸν δηλαδὴ καὶ σωτῆρα Χριστὸν ἀκριβῶς ἅπαντες ἴστε, ἀγαπητοὶ ἀδελφοὶ, πατέρα τε καὶ υἱὸν εἶναι. *

* τὰ λοιπὰ παρὰ Γελασίῳ. βιβ. 3. κεφ. 2.

Η' ΑΥ'ΤΗ' ΣΥ'ΝΟΔΟΣ

Οἰκουμενικὴ πρώτη

Η' Ε'Ν ΝΙΚΑΙ'Α,

Τριακοσίων δέκα καὶ ὀκτὼ Πατέρων. ἀπὸ Χριστοῦ 325.

ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

ΣΥ'ΝΟΔΟΣ θεία καὶ ἱερὰ, οἰκουμενικὴ πρώτη, τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων, συναθροισθεῖσα ἐν τῇ Νικαίων μητροπόλει, τῆς Βιθυνῶν ἐπαρχίας· ἧς ἐξῆρχον προκαθεζόμενοι, Βίτων καὶ Βικέντιος πρεσβύτεροι, τὸν τόπον ἐπέχοντες Σιλβέστρου τοῦ πάππα Ρ'ώμης, καὶ τοῦ διαδόχου αὐτοῦ Ι'ουλίου· Α'λεξανδρος, Αλεξανδρείας· Μακάριος, Ι'εροσολύμων· Εὐστάθιος, Α'ντιοχείας. ἐκ προσώπου Μητροφάνους Κωνσταντινουπόλεως, Α'λέξανδρος πρεσβύτερος· Ὅσιος ὁ Κουρδούβης ἐπίσκοπος· καὶ Κωνσταντῖνος, ὁ ἐν Χριστιανοῖς βασιλεῦσιν ἀπόστολος. Ἥτις ἁγία σύνοδος τὸ ὁμοούσιον ἐπὶ τῆς ἁγίας τριάδος ἁρμόσασα, καὶ τὸ θεῖον καὶ μυστικὸν πάσχα ὁρισαμένη, ἐξέθετο κατὰ πάσης αἱρέσεως τὸ θεουργὸν τῆς πίστεως μάθημα· Α'ρείου, Σαβελλίου, Φωτεινοῦ, Παύλου τοῦ Σαμοσατέως, Μάνεντος, Οὐαλεντίνου, Μαρκίωνος, καὶ τῶν σὺν αὐτοῖς. Α'ποκηρύττει δὲ καὶ τὸν τῆς Θηβαΐδος Μελίτιον, μετὰ τῶν χειροτονιῶν αὐτοῦ· καὶ τὸν Νικομηδείας Εὐσέβιον. Τὰς ἐνδιαθήκους βίβλους καὶ ἀποκρύφους, τοιῷδε τρόπῳ καταδήλους ποιήσασα. Ε'ν γὰρ τῷ οἴκῳ τοῦ Θεοῦ, κάτω παρὰ τῇ θείᾳ τραπέζῃ αὐτὰς παραθεμένη προσηύξατο· ὡς εὑρεθῆναι τὰς θεοπνεύστους ἐπάνω, τὸν κύριον ἐξαιτησαμένη, καὶ τὰς κιβδήλους, ὃ καὶ γέγονεν, ὑποκάτωθεν.

Η' ΑΥ'ΤΗ' Ε'Ν ΝΙΚΑΙ'Α, ΣΥ'ΝΟΔΟΣ.

Ε'κ τῆς ἐπιστολῆς Φωτίου Πατριάρχου Κωνσταντινουπόλεως πρὸς Μιχαὴλ τὸν Ἄρχοντα βουλγαρίας περὶ τῶν ἑπτὰ οἰκουμενικῶν Συνόδων.

Η' Πρώτη καὶ οἰκουμενικὴ ἁγία σύνοδος ἐν τῇ κατὰ Βιθυνίαν Νικαίᾳ συνεκροτήθη, ιη'. καὶ τριακοσίων θείων ἀρχιερέων ὁμήγυρις τὴν τῆς ἀληθείας κρίσιν ἐνεχειρίζοντο, ὧν ἦσαν προέχοντες Α'λέξανδρός τε ὁ τὸν τῆς Κωνσταντινουπόλεως ἀρχιερατικὸν θρόνον λαχὼν διευθύνειν ἀνὴρ βαθείᾳ μὲν πολιᾷ, παραπλησίῳ δὲ φρονήματι σεμνυνόμενος, βίου δὲ λαμπρότητι καὶ ὁσιότητι, γνώμης καὶ πίστεως ἀκριβείᾳ τὴν εἰς τὸ θεῖον παῤῥησίαν πολλὴν οἰκειούμενος, καὶ δὴ καὶ Σίλβεστρος καὶ Ι'ούλιος τῆς Ρ'ωμαϊκῆς ἐκκλησίας ἐπίσημοί τε καὶ διαβόητοι πρόεδροι. αὐτῶν μὲν οὐδέτερος παραγεγονὼς, Βίτωνα δὲ καὶ Βικέντιον ἑκάτερος ἀνθ' ἑαυτοῦ κατὰ τὸν οἰκεῖον τῆς ἀρχιερατείας χρόνον τῇ κοινῇ παρεῖναι συνελεύσει προβαλλόμενοι, ἀνθρώπους ἀρετὴν τιμῶντας, καὶ εἰς τὸ τοῦ πρεσβυτερίου ἀξίωμα παραγγέλλοντας οἷς καὶ ὁ Κουρδούβης ἐπίσκοπος συνετέτακτο, ὃς κατὰ τοὺς ἑλληνικοὺς διωγμοὺς τὴν κλῆσιν ἐπαληθεύουσαν ἔδειξεν. Ὅσιος γὰρ ὀνομαζόμενος ἀβέβηλον αὐτοῦ τὴν ὁμολογίαν τῆς εἰδωλολατρείας διετήρησεν. ὁ μέντοι Α'λεξανδρείας Α'λέξανδρος αὐτός τε παρὴν ἱεροῖς ἐνδιαπρέπων κατορθώμασιν. ἤγε δὲ συναγωνιστὴν ἑαυτῷ καὶ Α'θανάσιον, ὃς τότε μὲν τοῦ τάγματος τῶν διακόνων ἡγεῖτο, μετ' οὐ πολὺ δὲ καὶ τοῦ ἀρχιερατικοῦ θρόνου κατέστη διάδοχος. ναὶ δὴ καὶ ὁ κλεινὸς Εὐστάθιος συμπαρὴν τῆς Α'ντιοχέων ἐκκλησίας τὸ ἐγκαλλιώπισμα, πίστεως μὲν ἐναστράπτων καθαρότητι, λόγων δὲ καὶ νοημάτων σωφροσύνῃ θαυμαζόμενος. μεθ' ὧν καὶ ὁ Ι'εροσολύμων Μακάριος, πολλαῖς ἰδέαις ἀρετῶν ἐνευθυνούμενος, ἄλλοι τε πλεῖστοι ἀποστολικοῖς χαρίσμασι καὶ μαρτυρικοῖς παθήμασι διαλάμποντες, ὧν Παφνούτιος καὶ Σπυρίδων, Ι'άκωβός τε καὶ Μάξιμος ἀγαθοῦ καὶ θαυμασίου συστήματος ἀγαθοὶ καὶ θαυμάσιοι πρωτοστάται ἐγνωρίζοντο. ἐφ' οἷς ἅπασι καὶ ὁ μέγας καὶ ἀξιάγαστος Κωνσταντῖνος τῆς Ρ'ωμαϊκῆς ἀρχῆς διϊθύνων τὰ σκῆπτρα διέπρεπεν τήν τε σύνοδον ἀθροίζων, καὶ λαμπροτέραν τῇ παρουσίᾳ ἀπεργαζόμενος. ἀλλ' ἐκ τοσούτων μὲν καὶ τοιούτων ὁ ἱερὸς ἐκεῖνος συνίστατο σύλλογος. Α'ρειόν τινα νεωτεροποιὸν δυσσεβείας δίκας εἰς πραττόμενος, καὶ τὸ ἀποστολικὸν καὶ θεῖον κρατύναντες κήρυγμα. ἦν δὲ οὗτος ὁ δείλαιος ἕλκων μὲν τὸ γένος ἐκ τῆς Α'λεξάνδρου, εἰς κλῆρον δὲ καταλεγεὶς τῆς ἐκεῖσε ἐκκλησίας καὶ εἰς πρεσβυτέρου βαθμὸν ἀνελθὼν, πρότερον μὲν κατὰ

τὰ τῦ ἰδίυ ποιμῆνος ὑπερήφανον ἀνέλαβε φρόνημα, ἐκεῖθεν δὲ κατὰ τῦ κοινῦ ποιμῆνος καὶ δεσπότυ παρέτεινε τλὼ ἀπόνοιαν. τὸν γὰρ υἱὸν καὶ λόγον τῦ Θεῦ, ὧ τ τολμηρᾶς ἐκείνης καὶ γλώττης καὶ διανοίας; εἰς κτίσμα καὶ ποίημα κατεβίβαζεν. ἀδὲ τῦτο σωιδεῖν ἐθέλων, κοινὸν ὑπάρχον πᾶσι καὶ αὐτοδίδακτον ὁμολόγημα, ὡς ἅπας υἱὸς τῆς αὐτῆς ἐσι τῷ γεγμνηκότι καὶ ὐσίας & φύσεως, καὶ ὁ τὸν υἱὸν τάττων ἐν κτίσμασι, καὶ τὸν πατέρα κτίσμα προανηγόρθσεν. ὥσπερ καὶ τὸν πατέρα δημιργικῆς ὐσίας καὶ ἀϊδίυ φύσεως ὁμολογῶν. τῆς αὐτῆς εἶναι καὶ τὸν υἱὸν σωομολογήσειε. τῶ δὲ ἂν εἴη τὸ γνήσιον τῆς υἱότητος, ἄλλης μὴ ὐσίας τῦ πατρὸς, ἑτέρας δὲ τῦ υἱῦ χρηματίζοντος; πῶς δὲ ἡ τῆς ἑλληνικῆς πλάνης ἀνακύψει τὸ πολύθεον, εἰς ἐλάττω καὶ μείζω ὐσίαν τεμνομένης τῆς θεότητος, καὶ τῆς μὴ εἰς πρῶτον καὶ δημιργὸν καὶ πρεσβύτερον Θεὸν ἀφοριζομένης, τῆς δὲ εἰς δεύτερον Θεὸν διαχεομένης καὶ ὑπεργὸν, καὶ νεώτερον; τιῦτι γὰρ τῆς τῦ Ἀρείυ σπορᾶς πονηρᾶς τὰ γμνήματα. ἀλλὰ τῦτον μὴ ὡς χείλη βλάσφημα κατὰ τῦ πεποιηκότος ὁπλισάμενον τῆς ἱερωσύνης ὁ ἱερὸς ἀπεγύμνωσε σύλλογος, τλὼ δὲ δυσσεβεστάτω καὶ θεόμαχον αὐτῦ αἵρεσιν τῷ ἀναθέματι καθυπέβαλεν. ὁμοούσιον καὶ ὁμοφυῆ καὶ σωναΐδιον τὸν υἱὸν καὶ λόγον τῦ Θεῦ τῷ γεγμνηκότι πατρὶ, καὶ τῆς αὐτῆς ἐξυσίας καὶ κυριότητος, ὡς οἱ θεῖοι χρησμοὶ, καὶ τῆ ἀσεβείας τὰ κοινὰ δόγματα ἱερολογήσαντες διεξάνωσαν, καλῶς εἰδότες, ὅτι ὥσπερ τὸ εἰς ἓν συγχλείειν πρόσωπον τλὼ ξιαδιχλῶ μοναρχίαν καὶ κυριότητα ἰυδαϊκόν ἐσι καὶ μισόχριστον, ὕτω καὶ τὸ κατατέμνειν εἰς ἀνίσυς φύσεις καὶ ἀνομοίυς ὐσίας τλὼ ὑπερήστον καὶ ὑπερφυῆ καὶ σύνιαιαν θεότητα, ἑλληνικὸν ὑπάρχει καὶ πολύθεον. ἀλλὰ ἐν τύτοις μὴ ἡ ἁγία καὶ οἰκυμενικὴ σωόδ@ ἡ πρώτη.

Η' αὐτὴ Σωόδος

ΠΑΡΑ' ΝΕΙ'ΛΟΥ Ρ'ΩΔΙ'ΟΥ

Μητροπολίτυ ἐκτῆς σωοπτικῆς ἐξ χρήσεως. ἤτοι βιβλίῳ περὶ τῆ οἰκυμενικῶν Συνόδων.

Η' ἁγία καὶ οἰκυμενικὴ πρώτη σωόδος ἡ ἐν Νικαίᾳ σωαθροισθεῖσα ὑπὸ τιή. θεοφόρων πατέρων ἐπὶ τῆς βασιλείας τῦ μεγάλυ βασιλέως καὶ ἰσαποστόλυ Κωνσαντίνυ κατὰ τῦ ἄφρονος Ἀρείυ πρεσβυτέρυ τῆς Ἀλεξανδρέων ἐκκλησίας. ἠγῦντο δὲ τῆς σωόδυ Σίλβεστρος Ρ'ώμης, Ἀλέξανδρ@ Κωνσαντινυπόλεως, Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐσάθιος Ἀντιοχείας, καὶ Μακάριος Ἱεροσολύμων. γέγονε δὲ κατὰ τὸ εωιέ. ἔτος ἀπὸ κτίσεως κόσμυ, τῆ ἀπὸ Χριστῦ κατὰ τὸ τιή. ἀπὸ τῆς πρώτης σωόδυ ἕως τῆς δευτέρας ἔτη νδ'. ἡμεῖς ὡς παραλάβομεν καὶ παισδίομεν. ὅτι ὁ κτίσμα ὁ κύρι@ ἡμῶν Ἰησῦς Χριστὸς, ἀλλ' ὢν ἐσὶ πάντα Θεὸς Λόγος τὸς κατὰ τλὼ τῦ Παύλυ φωνλὼ καὶ ὁμοούσιος τῷ Θεῷ καὶ πατρὶ αὐτῦ, & τῷ ἁγίῳ πνεύματι κατὰ τὴν αὐτῦ θεότητα, καὶ τὸν μὴ ὕτω φρονῦντα ἀναθεματίζομεν.

Η' ΑΥ'ΤΗ' Ε'Ξ Α'ΝΩΝΥ'ΜΟΥ

Τινὸς περὶ τῆς ἐξ Συνόδων.

ΧΡΗ γινώσκειν ὅτι ς'. εἰσὶν αἱ ἁγίαι, καὶ οἰκυμενικαὶ σωόδοι, καὶ ἡ μὲν ἀ. γέγονεν ἐν Νικαίᾳ καὶ ἐπὶ τῦ ἐν ἁγίοις ἡμῶν βασιλέως Κωνσαντίνυ τῦ μεγάλυ, καὶ Σιλβέστρυ πάπα Ρ'ώμης, καὶ Ἀλεξάνδρυ πατριάρχυ Κωνσαντινοπόλεως. ὑπῆρχον δὲ οἱ ἅγιοι πατέρες τριακόσιοι ιή. σωῆλθον δὲ κατὰ Ἀρείυ τῦ ματαιόφρονος πρεσβυτέρυ, ἡγεμονεύσης τῆς ἐκκλησίας Ἀλεξανδρείας, βλασφημῆντος δὲ τὸν υἱὸν τῦ Θεῦ τὸν κύριον ἡμῶν Ἰησῦν Χριστόν. κτίσμα γὰρ αὐτὸν ἔλεγεν ὁ δυσσεβὴς, καὶ ὐκ ὁμοούσιον τῷ Θεῷ καὶ πατρί. ὅθεν τῦτον ὡς ἐχθρὸν τῆς ἀληθείας ἅμα τοῖς ὁμόφροσιν αὐτῦ ἀναθεματίσαντες ἀπεβάλοντο. τλὼ δὲ ὀρθόδοξον πίστιν ἐκράτωσαν, ὁμοούσιον τῷ πατρὶ κηρύξαντες, κτίσλω δὲ τῶν ἁπάντων, καὶ ὐ κτίσμα, ἀλλὰ θεὸν ἀληθινὸν, καθὼς καὶ τὸ σύμβολον περιέχει τῆς πίστεως ὅπερ αὐτὸ τῇ ἐμπνεύσει τῦ ἁγίυ πνεύματος ὑπηγόρευσαν.

ΠΑΛΑΙΩΝ ΣΥΓΓΡΑΦΕΩΝ μαρτυρίαι περὶ τῦ συντάγματος. Γελασίυ τῦ Κυζικλωῦ.

Φώτι@ πατριάρχης Κ.Π. ἐν βιβλιοθήκῃ.

Ἀνεγνώσθη καὶ πρακτικὸν τῆς πρώτης σωόδυ ἐν τρισὶ τόμοις. Γελασίυ δὲ ἔφερε τὸ βιβλίον ἐπιγραφλὼ· ὐ μᾶλλον ὑπάρχον πρακτικὸν, ἢ ἱσορικόν. διτελὴς δὲ καὶ ταπεινὸς τλὼ φράσιν. πλλώγε λεπτομερῶς διέξεισι τὰ ἐν τῇ σωόδῳ.

Ἀνεγνώσθη βιβλίον, ὡς ἐν ἱσορίας τύπῳ, κεφ. εἰ. τὰ κατὰ τλὼ ἐν Νικαίᾳ σύνοδον πραχθέντα. τόμοι δὲ τῦ βιβλίυ ξεῖς. λέγει δὲ τὸν μὲν Ὅσιον τὸν Κυρδύβης, καὶ Βίτωνα καὶ Βικέντιον Ρ'ωμαίκς ἱερέας, ἐκ προσώπυ Σιλβέστρυ τῦ Ρ'ώμης παρεῖναι· Εὐτάθιον δὲ τὸν Ἀντιοχείας, αὐτὸν ἐκεῖνον. Ἀλέξανδρον δὲ, ὃς τῦ πρεσβυτέρυ ἄξίωμα εἶχεν, εἰς πρόσωπον αὐτῦ τῦ Κωνσαντινυπόλεως Μητροφάνης παρεῖναι. ἐκεῖν@ γὰρ ἐκωλύετο βαθυτάτῳ γήρᾳ· ἐν ἄλλῳ μὲν τοι ἐχοντι τὰ αὐτὰ, Γελασίυ τῦ ἐπισκόπυ Καισαρείας τῆς Παλαισίνης, εὗρον τὸ βιβλίον ἐπιγραφόμενον, καὶ ἀπάρχεται δὲ ὕτω· τὰ κατὰ τὴν ἁγίαν καὶ μεγάλλω καὶ οἰκυμενικλὼ τῶν ἐπισκόπων σωαθροισθεῖσαν σύνοδον ἐκ πασῶν, ὡς ἐπ@ εἰπεῖν, τῆς τῦ Ρ'ωμαίκς κόσμυ ἐπαρχιῶν, καὶ Περσίδ@. φησὶ δὲ αὐτὴν ὁ συγγραφεὺς ἔτος ἐσὶ Βασιλίσκυ, ὃς ἐκβαλὼν Ζλίωνα ἐτυράννησεν, ἀκμάζειν.

Νικήτας Χωνιάτης ἐν πανοπλίᾳ δογματικῇ.

Εὐσέβι@ δὲ ὁ Παμφίλυ ἐν τῷ τρίτῳ λόγῳ τῶν εἰς τὸν βασιλέα Κωνσαντῖνον, ἀπεῖναί φησι τὸν Κωνσαντινυπόλεως διὰ γήρας· ὁ δηλοῖ δὲ καὶ τὸ

καὶ τὸ τότε ὄνομα· ἀντ' αὐτῶν δὲ παρεῖναι πρέσβυτέρους. τὰ δέ γε πρακτικὰ τῆς συνόδου διαλαμβάνουσι Μηξοφάνην μὲν εἶναι Κωνσταντινουπόλεως ἐπίσκοπον, διὰ δὲ βαθὺ γήρας μὴ συνεδρεῦσαι τῇ συνόδῳ, ἀλλὰ πληρῶσαι ἐκείνου τόπον Ἀλέξανδρον. ὃς πρεσβύτερος ὢν, καὶ πρὸς συνοδικοῖς τότε πρὸς τὰ τῆς Εὐρώπης μέρη διεκονήσατο γράμμασι.

Ἰωάννης ὁ Κυπαρισσιώτης δεκάδος γ'. κεφ. δ'.

Ἐν τῇ ἁγίᾳ πρώτῃ ζ οἰκουμενικῇ συνόδῳ, ἀπὸ τῆς δι' Εὐσεβίου τῶν πατέρων ἀποκρίσεως πρὸς τὸν φιλόσοφον, φασι. νοητέον ἂν, ὅτι ἁπλοῦς ἐστιν ὁ χύσις, ὁ κτίσας τῷ λογισικῷ σοφίαν εἰς ἀρχὴν ὁδῶν αὐτοῦ, ἵν' ηὐφράνθη τῷ κατ' εἰκόνα ἀνθρώπῳ αὐτοῦ.

Ο' αὐτὸς δεκάδος ι'. κεφ. β'.

Ἀπὸ τῆς πρὸς Φαίδωνα τὸν φιλόσοφον διαλέξεως, ἐκ τῆς πρώτης συνόδου. ἡ δὲ καθολικὴ πίστις μίαν μόνην οἶδε θεότητα, καὶ ταύτην πρεσβεύει, πατρὸς, υἱοῦ, καὶ ἁγίου πνεύματος· παρ' ἣν ἂν λογισθήσεται ἑτέρα.



Μ. Φανερωμένης, Σαλαμῖνος, Ἄρθρα Συμβόλου Πίστεως, 18ου αἰ.



Ἅγ. Νικόλαος.



Ὅσιος Κορδούης.



Ἀλέξανδρος Ἀντιοχείας.



Ἅγ. Σπυρίδων.

ΓΕΛΑΣΙΟΥ ΤΟΥ ΚΥΖΙΚΗΝΟΥ

ΣΥΝΤΑΓΜΑ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΕΝ ΝΙΚΑΙΑ,

Ἁγίαν Σύνοδον πραχθέντων.

ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

ΤΑ κατὰ τὴν ἁγίαν καὶ μεγάλην καὶ οἰκουμενικὴν τῶν ἐπισκόπων συναθροισθεῖσαν σύνοδον ἐν τῇ Νικαέων, ἐκ πασῶν, ὡς ἔπος εἰπεῖν, τῶν τοῦ Ῥωμαίου κόσμου ἐπαρχιῶν, καὶ Περσίδος, ἔκ τε τῆς τοῦ Θεοῦ χάριτος, καὶ θεσπίσματος τοῦ θεοφιλοῦς καὶ εὐσεβοῦς βασιλέως Κωνσταντίνου τοῦ ἡμετέρου, ὑπὲρ τῆς ἀποστολικῆς καὶ * ὀρθοδόξου πίστεως, κατὰ τῶν μοχθηρῶν καὶ ἀσεβῶν δογμάτων τοῦ θεομάχου Ἀρείου· πάντα τὰ ἐν ἐκείνῃ τῇ ἐναρέτῳ καὶ ἁγία συνόδῳ λεχθέντα τε καὶ πραχθέντα καὶ διατυπωθέντα πάλαι τε καὶ πρόπαλαι ἀναγνοὺς ἔτι ἐν τῇ πατρῴᾳ οἰκίᾳ διάγων, εὑρηκὼς αὐτὰ ἐν βίβλῳ ἀρχαιοτάτη ἐγγεγραμμένα ἐν μεμβράναις ἅπαντα ἀπαραλείπτως ἐχούσαις· γενομένης μὲν τοῦ θείου καὶ ἀοιδίμου Δαλματίου τοῦ ἀρχιεπισκόπου γενομένου τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας τῆς τῶν Κυζικηνῶν λαμπρᾶς μητροπόλεως, περιελθούσης δὲ εἰς τὸν τοῦ ποτε ἡμετέρου οἴκου δεσπότην, λέγω δὴ τὸν κατὰ σάρκα πατέρα ἐμὸν, τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας πρεσβυτερίου ἠξιωμένον. ἦ τινι ἱερᾷ βίλῳ ἐντυχὼν, καὶ σχολὴν πολλὴν ἐν αὐτῇ ποιησάμενος, ἐπὶ μνήμης μὲν φέρειν πάντα οὐχ οἷός τε ἦμην· οὐδὲ γὰρ ἄν τις ἀνθρώπων τὸ ἄφατον ἐκεῖνο πέλαγος τῶν ἐν αὐτῇ ἐγκειμένων ἐπὶ μνήμης διὰ στόματος φέρειν δυνηθείη· πλεῖστά τε ὅσα ἐπεσημηνάμην, τάτε τῶν ἡμετέρων ἁγίων πατέρων καὶ ἐπισκόπων τῆς τοῦ ὑγιαίνοντος λόγου διδασκαλίας αὐτῶν δόγματα, τάς τε πρὸς τοὺς Ἀρειομανίτας αὐτῶν ἀντιθέσεις, καὶ τοὺς κατὰ τῆς ἐκείνων βλασφημίας ἐγγράφους ἐλέγχους, ἧς ἐβλασφήμησαν οἱ μιαροὶ Ἀρειομανῖται κατὰ τοῦ υἱοῦ τοῦ Θεοῦ, οὐ μὴν δὲ ἀλλὰ καὶ κατὰ τοῦ ἁγίου πνεύματος· τάς τε τῶν μισθωτῶν Ἀρείου τῶν φιλοσόφων πρὸς τοὺς ἐπισκόπους ἀντιῤῥήσεις, τάς τε τῶν ἡμετέρων πρὸς ἐκείνους διὰ γραφικῶν διδαγμάτων κατὰ τῶν αὐτῶν σοφισμάτων ἐναργεῖς ἐπιλύσεις· περί τε τῆς ἀνάρχου καὶ ἀεὶ τῷ Θεῷ καὶ πατρὶ συνυπαρχούσης τοῦ υἱοῦ αὐτοῦ καὶ τοῦ ἁγίου πνεύματος προαιωνίου μιᾶς θεότητος, περί τε τῆς αὐτοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ λόγου ἐπ' ἐσχάτων, τῆς ἡμετέρας ἕνεκα σωτηρίας, ἐκ τῆς Θεοτόκου παρθένου Μαρίας ἀπορρήτου σαρκώσεως, καὶ τῶν τῆς ἐκκλησίας ἀποστολικῶν διατυπώσεων, πᾶσαν ἁπλῶς τὴν ἐκεῖσε γεγενημένην πραγματείαν ἐνιστορήσας ἐν τῇ προῤῥηθείσῃ ἱερᾷ βίβλῳ, πρό γε πάντων τὰς τοῦ πιστοτάτου βασιλέως Κωνσταντίνου, τοῦ ἐν τῇ συνόδῳ συνεδρεύσαντος, θείας καὶ ἀληθῶς ἀποστολικὰς ἐννοίας· ἤσθην εἰς τοσοῦτον τοῖς τῇ βίβλῳ ἐκείνῃ τῇ ἱερᾷ περιεχομένοις, ὥστε εἰπεῖν με πρὸς τὸν κύριον· ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. οὕτως ὑπερηγάσθην ἐν τοῖς ἐκεῖ ἀναγεγραμμένοις περὶ τῆς ἀσπίλου καὶ ἀμωμήτου, ὀρθοδόξου καὶ ἀποστολικῆς πίστεως. μετὰ δὲ καιρούς τινας φθάσας ἐνταῦθα, τῇ τῶν Βιθυνῶν ἐπαρχίᾳ λέγω, κατ' εὐδοκίαν τοῦ Θεοῦ, κινήσεώς τε καὶ συζητήσεως πλείστης οὔσης, γεγενημένης ἐπὶ τῆς ἀνταρσίας τοῦ ἀνοσίου Βασιλίσκου κατὰ τῆς ἀποστολικῆς καὶ καθολικῆς ἐκκλησίας τοῦ Θεοῦ καὶ τῆς ἐν αὐτῇ πολιτευομένης ἀποστολικῆς πίστεως, ὑπεκκαιόντων μάλιστα καὶ κινούντων τὰ βασίλεια τῶν τῆς τοῦ αἱρετικοῦ Εὐτυχοῦς ὁμοφρόνων συμμορίας, προβαλλομένων ἡμῖν ὑπούλως, τὴν ἐν Νικαίᾳ φημὶ, ὑπὸ τῶν πατέρων κρατεῖν πίστιν· οἳ διηλέγχοντο πρὸς ἡμῶν πολέμιοι ἐκείνοις ὑπάρχοντες. οὐ γὰρ ἤδεισαν τί λέγουσιν, ἢ περὶ τίνων διαβεβαιοῦνται. προφέροντος γάρ μου τὰ ἐν ἐκείνῃ τῇ ἁγίᾳ χορείᾳ τῶν ὀρθοδόξων τοῦ Θεοῦ ἱερέων ἐν πνεύματι ἁγίῳ * τὰ τοῦ κυρίου δι' αὐτῶν ἐκφωνηθέντα, ἀπεπήδων ἀφ' ἡμῶν, χείρονα τῶν τοῦ Ἀρείου βλασφημιῶν κατὰ τῶν ἐκεῖσε ὁρισθέντων διὰ γλώττης * προσφέροντες, καὶ ἀναθεματισμὸν ῥίπτοντες κατὰ τῶν ταῦτα οὕτως φρονούτων οἱ ἄθλιοι. διὰ ταῦτα καὶ δι' ἄλλα πολλὰ κινηθέντα κατὰ τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως ἡμῶν, τῆς ἀνέκαθεν ἔκ τε τῶν ἁγίων ἀποστόλων καὶ τῶν προῤῥηθέντων ἁγίων ἡμῶν πατέρων τῶν ἐν τῇ Νικαέων συνειλεγμένων, ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ τῇ μητρὶ ἡμῶν πολιτευομένης, πλείστην ὅσην ἔρευναν ἐποιησάμην πάντῃ τε καὶ πανταχοῦ, τὸ δὴ λεγόμενον, πάντα κάλων κινήσας, ἀνερευνῆσαι τὰ ἐν ἐκείνῃ τῇ ἱερᾷ συνόδῳ πεπραγμένα ὑπὲρ τοῦ τῆς αὐτῆς ἁγίας καὶ ἀποστολικῆς πίστεως ὅρου, ἣν οὐκ ἀπ' ἀνθρώπων, οὔτε δι' ἀνθρώπων ἡ τοῦ Θεοῦ ἐκκλησία παρείληφεν, ἀλλ' ἀπ' αὐτοῦ τοῦ πάντων ἡμῶν σωτῆρος καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ,

καθολικῆς

* ἴσ. περὶ

* ἴσ. προφέροντες.

σᾶ, τῦ υἱῦ τῦ Θεῦ τῦ ζῶντος· ὃς μ᾽ τλὼ τῆς ἐνσάρκω αὐτῦ παρυσίας οἰκονομίαν, τὸ μέγα ἀληθῶς τῆς ἀσεβείας μυστήριον, καθὼς γέγραπται, φανερωθεὶς τε σαρκὶ, καὶ ἀγγέλοις ὀφθεὶς. ὅτε γὰρ ἀγγέλοις θεατὸς ὁ μονογενὴς κατὰ τλὼ τῆς θεότητ῟ ὐσίαν, εἰ μὴ ἐσαρκώθη· τὰ πάντα πληρώσας τὰ κατὰ τλὼ οἰκονομίαν, τό, τε ὑπὲρ ἡμῶν ἑκούσιον πάθ῟, κ᾽ τλὼ ταφλὼ, κ᾽ τλὼ ἀνάσασιν τῇ ἁγίᾳ ἐκείνῃ κ᾽ ἀναμαρτήτῳ σαρκὶ * αὐτῦ παραχωρήσας, δι᾽ ἧς τὸ ἡμέτερον ἀπεθανάτισε γέν῟, ἀναβαίνων εἰς τοὺς ὐρανοὺς, ταύτης τῆς ἁγίας κ᾽ ἀμωμήτυ πίστεως τὸν θεῖον κ᾽ προσκυνητὸν ὅρον δι᾽ ἑαυτῦ ἔπηξε. κ᾽ μέγα βροντήσας κατὰ τὸ γεγραμμένον. κύρι῟ ἀνέβη εἰς ὐρανὺς, καὶ ἐβρόντησε. κ᾽ ἐν ἑτέρῳ ἐβρόντησεν ἐξ ὐρανῦ ὁ κύρι῟, κ᾽ ὁ ὕψις῟ ἔδωκε φωνλὼ αὐτῦ. κ᾽ τί ἐβρόντησεν; ποίαν δὲ φωνλὼ ἔδωκεν ὁ ὕψις῟; προφῆται, φησὶ, πρὸς τοὺς ἀποστόλους λέγων, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τῦ παῖ῟, καὶ τοῦ υἱῦ, κ᾽ τῦ ἁγίυ πνεύματ῟. εἰ γὰρ διὰ φιλανθρωπίαν, τλὼ ἡμῶν σάρκα ἔμψυχον κ᾽ νοῦν ἐκ τῆς παναγίας κ᾽ ἀγίας παρθένυ Μαρίας προσείληφεν, ἀλλ᾽ ἡ τῆς σαρκὸς πρόσληψις προσθήκλω τῇ τῦ παῖ῟ κ᾽ υἱῦ κ᾽ τῦ ἁγίυ πνεύματ῟ τριάδι οὐκ ἐποίησεν, ἀλλὰ μένει ἡ τριάς. πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τῦ παῖ῟ κ᾽ τῦ υἱῦ κ᾽ τῦ ἁγίυ πνεύματ῟, τὸν τὸν ἅγιον κ᾽ προσκυνητὸν ὅρον τῆς ὀρθῆς κ᾽ ἀμωμήτυ πίστεως παρὰ τῦ κυρί῟ λαβόντες οἱ ἱεροὶ ἀπόστολοι, πάσῃ τῇ ὑπὸ τὸν ὐρανὸν τοῦ Θεῦ ἐκκλησίᾳ ἐκήρυξαν· ὡς πληρωθλῶναι ἐπ᾽ * αὐτῦ τὸ προφητικὸν λόγιον, τὸ φάσκον· εἰς πᾶσαν τλὴ γλῶ ἐξῆλθεν ὁ φθόγγ῟ αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. * ὃν τινα ὅρον κ᾽ τλὼ προσκυνητλὼ ταύτλω δωρεὰν, τλὼ εἰς ἡμᾶς διὰ τῶν θείων ἀποστόλων παρὰ τῦ υἱῦ τῦ Θεῦ δεδομένλω, * μ᾽ πλείονες ὅσους χαιρὸς παυσαμένυ τῦ κατὰ τῆς ἐκκλησίας τῦ Θεῦ διωγμῦ, δι᾽ Ἀρείυ πάλιν ὁ ἐχθρὸς τῆς ἡμετέρας σωτηρίας κατὰ τῆς αὐτῆς ἁγίας κ᾽ ἀμωμήτυ ὁπλίζεται πίστεως ξένα τινὰ παρεισφέρων κατὰ τῦ σωτῆρος βλάσφημα ῥήματα, δι᾽ ὧν τλὼ εἰς πᾶσαν τλὼ οἰκουμένλω ἐκκλησίαν τῦ κυρί῟ ἐτάραξεν. ὃ χαίρειν κ᾽ τλὼ πολυάνθρωπον ἐκείνλω ἐπὶ τλὼ τῆς Νικαέων πόλιν ὁ πιστότατος βασιλεὺς Κωνσταντῖν῟ συνήγαγε σύνοδον, ἧς τὰ πεπραγμένα πάντα προεγνωκὼς, ὡς ἀνωτέρω ἔφλω, κ᾽ διερευνησάμεν῟, μόλις ἐδυνήθλω εὑρεῖν φανερὰ τῆ ἐκεῖσε ἐσκεμμένων κ᾽ ἐγγραφέντων παρά τισι διαφόροις φιλομαθέσιν ἀνδράσιν, * Γωάννῃ μέν τινι πρεσβυτέρῳ ἀνδρὶ παλαιῷ, ἄγαν γραφικῷ, ἐν τεθραδίοις παλαιοῖς λίαν, ἃ μλὼ ὅλα. κ᾽ ἐξ ἄλλων δὲ συγγραφέων, Εὐσεβίυ τῦ Παμφίλυ ἐπισκόπυ Καισαρείας, * κ᾽ Ῥυφίνυ πρεσβυτέρυ Ῥώμης, * τῆς κ᾽ τῇ ἁγίᾳ ἐκείνῃ κοινωνησάντων συνόδῳ, κ᾽ ἄλλων πλείστων ὅσων. ἃ μλὼ τλὼ ἀκολυθίαν τῆς ὅλης ἁρμονίας εὗρον κατὰ τλὼ ἱερὰν ἐκείνλω βίβλον, ἣ προσέτυχον, ὡς ἀνωτέρω μοι εἴρηται. μόν῟ γὰρ Εὐσεβί῟ ὁ θαυμάσι῟ ὁ Παμφίλυ ἄξεπτί τῇ λεωφόρῳ τῆς ἀληθείας ἀπὸ τῆς τῦ κυρί῟ παρυσίας ἕως τῆς τῦ μεγάλυ Κωνσταντίνυ χρόνων διώδευσεν. ἀλλ᾽ οὐδὲ τὰ ὅλα δρεῖν ἠδυνήθλω, πλλὼ ὅσα γνώσεμά μοι κ᾽ τῆς ἀληθείας ἴδια, κατὰ τλὼ προσαναγνωσθεῖσάν μοι βίβλον, εὗρον. κ᾽ ἐξ ἑκατέρων ἀναλεξάμεν῟, ἀναγκαῖον ᾠήθλω ἐγγράψαι τῷδε τῷ Βιβλίῳ πρὸς ὠφέλειαν κοινλὼ, κ᾽ σήεγμα τῆς ἐντολιζομένων τῷδε τῷ γράμματι. ἄρξεται δήμοι λοιπὸν ὁ λόγ῟, προοδοποιῦντός μοι ☩ ποδηγῦντος τῦ ἀεὶ ζῶντος Θεῦ λόγυ, ἀπὸ τῆς χρόνων τῆς βασιλείας τῦ ἀσεβεστάτυ κ᾽ χειροφόρυ βασιλέως Κωνσταντίνυ, τῦ κ᾽ τλὼ σύνοδον τῆς ἐπισκόπων ἐν τῇ Νικαέων σωναθροισθλῶναι προσάξαντος πόλει. ἐν ἑτέρῳ γὰρ, εἰ τῷ Θεῷ φίλον, τὰ τῆς χρήσεως αὐτῦ, κ᾽ τῆς χρόνων τῆς τῦ παῖ῟ αὐτῦ * Κωνσταντίνυ τῦ θεοφιλεστάτυ βασιλείας τλὼ διαγωγλὼ ἐντάξω συγγράμματι.

ΚΕΦΑΛΑΙΟΝ ά.

ΜΕΤΑ᾽ τλὼ ἀπόθεσιν τῆς βασιλικῆς ἀλουργίδ῟ τῆς τῆς τυράννων Διοκλητιανῦ καὶ Μαξιμιανῦ, τὸν ἰδιωτικὸν ἀπειληφότων αὐτῶν βίον, καθά φησιν Εὐσέβι῟, χρόνυ δὲ πλείστυ μεταξὺ γενομένυ, βασιλεὺς Κωνσταντῖν῟, * (τὸν πάντα βίον πραότατος,) κ᾽ τοῖς ὑπηκόοις ἀνοϊκώτατος, τῷ τε θείῳ λόγῳ προσφιλέστατον ἑαυτὸν διαθέμενος, παῖδα γνήσιον Κωνσταντῖνον αὐτοκράτορα κ᾽ σεβαστὸν ἀνθ᾽ ἑαυτῦ καταλιπὼν, κοινῷ φύσεως νόμῳ τελευτᾷ τὸν βίον. ἁπάσης μ᾽ θάνατον, ὅσῃ βασιλεῦτις ἂν ὠφέλετο, τιμῆς ἠξιωμένος, χρηστότατος, κ᾽ ἡπιώτατος βασιλεὺς γεγονώς. ὃς δὴ ☩ μόνος τῆς καθ᾽ ἡμᾶς ἐπαξίως τῆς ἡγεμονίας τὸν πάντα τῆς ἀρχῆς διατετλέσας χρόνον, κ᾽ τὰ ἄλλα τοῖς πᾶσι δεξιώτατον κ᾽ ἐνεργετικώτατον παραχὼν ἑαυτὸν, τέλ῟ εὐδόκιμον κ᾽ τειμαχάειον ἀπείληφε τῦ βίυ, μόνος, ἐπὶ * τῆς αὐτῦ βασιλείας ἀμέμπτως κ᾽ ἐπιδόξως· ἐπὶ διαδόχῳ γνησίῳ παιδὶ, τὰ πάντα σωφρονεστάτῳ τε κ᾽ εὐσεβεστάτῳ, πελευτήσας. τῦτυ παῖς Κωνσταντῖν῟ εὐθὺς ἀρχόμεν῟, βασιλεὺς τελειότατος κ᾽ σεβαστὸς πρὸς τῆς στρατοπέδων, κ᾽ ἔτι πολὺ τούτων πρότερον παρ᾽ αὐτῦ τῦ παμβασιλέως Θεῦ ἀναγορευθείς, ζηλωτλὼ ἑαυτὸν τῆς πατρικῆς περὶ τὸν ἡμέτερον λόγον εὐσεβείας κατεστήσατο. κ᾽ μεθ᾽ ἕτερα· οὕτω δὴ Κωνσταντίνυ, ὃν βασιλέα ἐκ βασιλέως, εὐσεβῆ τε ἐξ εὐσεβεστάτυ κ᾽ τὰ πάντα σωφρονεστάτυ γεγονέναι εἰρήκαμεν, σωτῆρα τε κ᾽ εὐσεβείᾳ τετιμημένυ, παρὰ τῦ παμβασιλέως Θεῦ τῆς ὅλων κ᾽ σωτῆρ῟ κατὰ τῆς δυσσεβεστάτων τυράννων ἀνεγηγερμένον, Θεῦ συμμαχοῦντος αὐτῷ, παραδοξότατα πίπτει μὲν ἐπὶ Ῥώμης υἱὸς Κωνσταντίνυ Μαξεντί῟· ὁ δ᾽ ἐπ᾽ ἀνατολῆς ἀεὶ πολλὼ ἐπιζήσας ἐκείνῳ χρόνος, ἐχίσῳ κ᾽ αὐτὸς θανάτῳ ὑπὸ Λικινίυ, ὅπω τότε μαχόμενος, * πεμθησομένυ κατ᾽ αὐτῦ ὑπὸ Κωνσταντίνυ τῦ θεοφιλεστάτυ βασιλέως, καταστρέφει τὸν βίον. πρότερός γε μλὼ ὁ κ᾽ τιμῇ κ᾽ τάξει τῆς βασιλείας πρωτ῟ Κωνσταντῖν῟ τῆς ἐπὶ Ῥώμης καταπυρωθεὶς φειδὼ λαβὼν, θεὸν τὸν ὐράνιον, τότε τότε λόγον; αὐτὸν δὴ τὸν πάντων σωτῆρα Ἰησοῦν Χριστὸν σύμμαχον δι᾽ ἀρχῶν ἐπικαλεσάμεν῟, προέσι παντρατιᾷ τὰ τῆς ἐκ προγόνων ἐλευθερίας Ῥωμαίοις προμνώμεν῟. ταῦτα ὁ Εὐσέβι῟. ὁ δὲ

* ἴσ. αὐτῷ

* μεθ᾽ ὕστερα

* πλείστους.

* ἴσ. Κωνσταντῖν.

* ἴσ. πεμθήσομένυ τὸ, ἐπὶ θέσει.

* ἴσ. τῷ.

δὲ Ρ'ουφῖνος, εἰ καὶ μὴ κατὰ τάξιν τὴν ἀκολουθίαν καὶ τὴν τῆς ἀληθείας ἁρμονίαν Εὐσεβίου τοῦ πάνυ τοῦ Παμφίλου τὴν ἱστορίαν ἐνέθηκεν, ἀλλ' ὅμως ὅσα συγγενῆ τῆς Εὐσεβίου πραγματείας εὕροιμι, ἐκ τοῦ αὐτοῦ Ρ'ουφίνου καὶ τῶν ἄλλων συγγραφέων ἀναλεξάμενος ἐνθήσω, καθὰ ἀνωτέρω εἴρηκα, τῷδε τῷ βιβλίῳ. λέγει δὲ καὶ οὗτος. μετὰ γοῦν τοῦ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἀπόθεσιν, καὶ τὴν τελευτὴν Κωνσταντίνου, ὑπολείπονται τῆς Ρ'ωμαίων ἀρχῆς ὁμόχρονοι βασιλεῖς οἵδε. Κωνσταντῖνος μὲν τὴν τοῦ πατρὸς μοῖραν εἰληφώς· αὕτη δὲ ἦν ἀπό τε τῆς καλουμένης εὐρώπης ἀρχομένη, ἐπί τε τὸν Ἴστρον διήκουσα, Σκυθίαν τε ἑκατέραν, καὶ Κελτοὺς ἅπαντας, Ἰλλυρίους τε καὶ Σαυρομάτας, καὶ τὴν ἐπὶ τὸν Ρ'ῆνον ποταμὸν καθήκουσαν τῶν βαρβάρων γῆν, τήν τε Μακεδονίαν, καὶ τὴν πρὸς αὐτὴν θάλασσαν, Θεσσαλίαν τε καὶ Ἀχαΐαν, καὶ ὅσα πρὸς ἥλιον δυόμενον ἐπιστρέφοντα, τὸ Ἰόνιον ὁρίζει πέλαγος. καὶ Μαξιμῖνος δὲ ὁ Διοκλητιανοῦ παῖς, ἅπαντα τὰ κατὰ τὴν ἀνατολὴν ἔθνη, καθάφησιν ὁ Εὐσέβιος. Μαξέντιός τε τὴν Ρ'ώμην, καὶ τὰ ἀπὸ τῆς Ἰταλίας εἰς αὐτὸν καθήκοντα τὸν ὠκεανὸν, διεῖπον.

ΚΕΦΑΛ. β'.

ΚΩΝΣΤΑΝΤΙ̃ΝΟΣ οὖν μετὰ τὴν τοῦ πατρὸς εὔνομον κηδείαν, καὶ τὰς νομιζομένας τιμὰς, ζημίαν ἡγήσατο * τῆς Ρ'ωμαίων συμφορᾶς τὴν ἡσυχίαν. ἤκουε γὰρ τὴν Ρ'ωμαίων πόλιν κάμνουσαν τοῖς Μαξεντίου κακοῖς· εἰς γὰρ ὠμότητα τραννίδος ὁ τῆς βασιλείας αὐτῷ μετεβάλλετο τρόπος. πολλούς τε γὰρ ἀκρίτως τῶν ἐν τέλει θανάτῳ παραδιδοὺς, ζημίας τε καὶ φυγὰς καὶ τῆς γῆς ἀναδασμὸν, καὶ προτιμήσεις ἀνεξετάστως ἐπέβαλλεν. ἤδη δὲ καὶ γυναικῶν ἀλλοτρίων ἐρῶν, ἢ κακίᾳ διέφθειρεν, ἢ τοῖς ἐπιτάγμασιν ἐβιάζετο. καὶ λοιπὸν ἀνασφαλὲς ἦν γυναῖκα ἔχειν εὐπρεπῆ· καὶ διὰ σωφροσύνης φυλακὴν, πολλή τις ἦν κατὰ τὴν πόλιν μιαιφονία. ταῦτα καὶ πλεῖστα ἕτερα ἀκούων ὁ θεοφιλέστατος Κωνσταντῖνος, ἃ μὴ τῆς παρούσης ἐστὶ συντάξεως, παρωξύνετο. ποιεῖ γὰρ οἰκείαν λύπην τοῖς φιλοθέοις ἀνδράσιν ἡ τῶν ἀλλοτρίων πραγμάτων ἀδικία.

* ἴσ. ἐπὶ ταῖς Ρ'ωμ. συμφοραῖς.

Περὶ τοῦ βασιλέως Κωνσταντίνου, ὅπως κατὰ τοῦ τυράννου Μαξεντίου ἐστρατοπεδεύσατο.

ΚΕΦΑΛ. γ'.

Ε'ΔΟ'ΚΕΙ δὴ αὐτῷ λοιπὸν τῶν ὅπλων ἅπτεσθαι, καὶ τοῖς τοιαῦτα πάσχουσι Ρ'ωμαίοις ἐπαμῦναι. τὸ γὰρ ἐκείνους τῶν κακῶν ἐξελέσθαι, ἴσον ἦν εἶπεν, καὶ πάντας ἀνθρώπους διασῶσαι. βουλὴν δὲ λαμβάνει, πρότερον τὰς ἀποστατούσας πόλεις τῆς Ρ'ωμαίων ἡγεμονίας ἀνακαλέσασθαι, τὰς μὲν τοῖς λόγοις, τὰς δὲ τοῖς ὅπλοις, τὰς δὲ τῇ τῆς φιλανθρωπίας εὐποιΐᾳ. τούς τε γὰρ φόρους αὐτοῖς κουφοτέρους ἀπέφηνε, καὶ τὴν τῆς ἀκροάσεως ἰσότητα παρεῖχε, τάς τε νεωτεροποιΐας καὶ ἀπονοίας συνετῶς διέλυε, σιωπῶν μᾶλλον ἢ φοβῶν· εἰδὼς τὰ Σαύρων καὶ τὰ Φράγκων καὶ τὰ Γερμανῶν ἔθνη φιλόκαινά τε εἶναι, καὶ πρὸς τὰς τῶν βασιλέων ἐπαναστάσεις εὐρίπιστον ἔχειν ὁρμὴν, καὶ νόμον πολλάκις τὴν γνώμην ποιεῖσθαι. ὑπηγάγετο δὲ καὶ Σπάνους, καὶ Βρετανοὺς, καὶ τὰς αὐτόθι νήσους, καὶ τὰ λοιπὰ γένη, καὶ ἅπαντας τοὺς τῶν τοῦ ἡλίου δυσμῶν γινομένους μάρτυρας. εἰδέναι φασὶν, εἴτε ἀληθῶς τῷ ὠκεανῷ καταδύεται, εἴτε καὶ περὶ τὸ ὕδωρ φθάσας, πάλιν δι' ἑτέρας ὁδοῦ πρὸς ἡμᾶς ἀνακάμπτει. εἷλε δὲ καὶ τῷ κράτει τῶν ὅπλων τὰ αὐτόθι βάρβαρα φῦλα, παρέργῳ τῆς μάχης πρὸς τὸ ἔργον συγχρησάμενος. τοὺς μὲν γὰρ ὑποτάξας, τοὺς δὲ μισθοδοτήσας, τοὺς φίλους ἀντὶ πολεμίων, καὶ συνήθεις ἀντὶ παλαιῶν ἐχθρῶν καταστήσας, ἐπανήγαγε πάντας συμμάχους, οὐδένα λυπήσας, οὐδὲ πολιορκήσας, καὶ ἐπὶ τὴν ἑτέρων σωτηρίαν ἐπειχθείς. ὅπου γὰρ ὁ Θεὸς συμμαχεῖ, πάντα κατευθύνεται, καὶ τὸν ἀνθρώπινον λογισμὸν ὑπεραίρει. μετὰ τοιαύτης φιλοθέου γνώμης ὁ πάντα πιστότατος Κωνσταντῖνος τὸν Ρ'ῆνον ἐπὶ δεξιᾷ διαβὰς, καὶ πολλὰ μὲν ὄρη, πολλοὺς δὲ ποταμοὺς ἀνωνύμους ὀλίγῳ στρατῷ περαιωθεὶς, πολλά τε βάρβαρα ἔθνη χειρωσάμενος, Γάλλων τε καὶ Φράγκων καὶ Σπάνων δέκα ἔθνη προσαγόμενος, προσῆγε λοιπὸν τῆς Ἰταλίας ὄρεσι τὸ στράτευμα. ταῦτα ἀκούσαντι τῷ Μαξεντίῳ, ταραχή τις ἦν ἀδόκητος. οὐ γὰρ ἄν ποτε τοσαύτην χώραν διαβῆναι προσεδόκα, ὄρεσι, καὶ ποταμοῖς, καὶ ποικίλοις βαρβάροις πεφραγμένην, καὶ ταῖς αὐτοφυέσι τῆς ἐρημίας δυσχερείαις. μέγιστον γὰρ γίνεται πολλάκις ἐπιτείχισμα βασιλείας ἡ τῶν τόπων ἐρημία. καὶ δὴ ἐδόκει, σὺν πολλῷ τάχει τῆς Ρ'ώμης ὑπεξελθόντα τὸν στρατὸν ἀνθυπεξάγειν, καὶ τῆς Ἰταλίας που προανακρούσασθαι. ὡς δὲ ἀντιπαρετάττοντο, καὶ τὰ σημεῖα εἶδον ἀλλήλων, ἐνταῦθα ἡ μάχη λοιπὸν ἄνισον εἶχε τὴν ἐλπίδα. οἱ μὲν γὰρ ἀπὸ Ρ'ώμης προεκτεθέντες, καὶ κατὰ φάλαγγας ἐκχεόμενοι, καὶ ἐκ πολλῆς ἐκεχειρίας διαναπαύσεως ὄντες, ἐδόκουν ἀξιώμαχοι καταφαίνεσθαι φρόνημα φέρειν ἄξιον τῆς πόλεως ἐφάμιλλον. οἱ δὲ μετὰ Κωνσταντίνου παρατεταττόμενοι πολλὴν μὲν κατειλήφεσαν γῆν, πολλὰ δὲ λάφυρα καὶ σκῦλα τοῦ πολέμου συνήγοντο πόθῳ, δρόμῳ δὲ μᾶλλον τῆς νίκης, ἢ ἀπολαύσει τῶν εἰλημμένων χρησάμενοι. ἤδη δὲ λοιπὸν ἦσαν πρὸς τὸν κάματον ἀπαγορεύοντες, καὶ πρὸς τὴν πυκνότητα τῶν πόνων ἐνδιδόντες.

Περὶ τοῦ σταυροῦ τοῦ ὀφθέντος ἐν οὐρανῷ τῷ βασιλεῖ Κωνσταντίνῳ.

ΚΕΦΑΛ. δ'.

ΟΥΤΩ δὲ κεκριμένης τῆς μάχης, καὶ τῆς παρατάξεως ἰσορρόπου οὔσης, οὐρανόθεν ὁ Θεὸς Κωνσταντῖνον ὁπλίζει, δείξας αὐτῷ τὸ σωτήριον τοῦ σταυροῦ σύμβολον φωτοειδῶς ἐν οὐρανῷ· γράμματα δὲ ἐμήνυε τῆς ὄψεως τὴν δύναμιν, λέγοντα· τούτῳ νίκα· τοῦτο τὸ διήγημα τοῖς μὲν ἀπίστοις μῦθος εἶναι δοκεῖ καὶ πλάσμα, τοῖς δὲ ἡμετέροις δόγμασι κεχαρισμένον· τοῖς δ' ἀληθῆ πιστεύειν συνειθισμένοις, ἐναργὴς τοῦ πράγματος ἡ ἀπόδειξις. ὁ γὰρ τοῦ συμβόλου ζωγράφος Θεὸς ἔδειξεν ἔργῳ μετὰ ταῦτα τὴν ἀληθεύσασαν τοῦ γράμματος χάριν. εἰ δὲ μήπω πείθομεν ἃ γράφομεν· πρότερον γὰρ ἱστορίας γράφομεν, διὰ τὸ μικρὸν ἄνωθεν ἡμᾶς τὰ χρήσιμα

μα συλλέγειν τῶν ἐκείνῳ βεβιωμένων. ἀλλ' οὐκ ἐν τοῖς ἐφεξῆς ἀποιστεῖν δεῖ, ἃ καὶ ἐπὶ τῆς ἡμετέρας γενεᾶς οἱ Κωνσταντίῳ τῷ Κωνσταντίνου παιδὶ συμπαραταξάμενοι, καὶ αὐτοπτήσαντες, τὴν παλαιὰν ἀπιστίαν νεαραῖς ὄψεσιν ἐθεράπευσαν. εἴτε γὰρ Ἑβραῖοι εἶεν οἱ τούτοις ἀντιλέγοντες, πολλῷ τούτων ἀπιθανώτερα τὰ ἐν ταῖς ἐκείνων βίβλοις πιστευόμενα· θάλασσα πεζευομένη, καὶ ὕδωρ τειχίζον, καὶ πέλαγος ὁδοιπορούμενον, καὶ Θεὸς ἐν βάτῳ φθεγγόμενος, καὶ φλόγξ νομοθετοῦσα, καὶ σάλπιγξ ἄνευ ὀργάνου τὴν ἔρημον συνηχοῦσα, καὶ ἄγγελοι συμπαρατοττόμενοι, καὶ ἀρχιστράτηγοι δυνάμεως κυρίου τῆς φάλαγγος ὑπερμαχοῦντες, καὶ λίθοι χαλάζης, καὶ βέλη πυρὸς ἀντὶ τῶν συνήθων δοράτων βαλλόμενα· καὶ ὅμως ἀνεξετάστως πάντες οἱ εὖ φρονοῦντες συντιθέμεθα. Θεοῦ γὰρ βουλομένου οὐδὲν ἀνήνυτον. εἴτε Ἕλληνες εἶεν οἱ τὸ θαῦμα μὴ παραδεχόμενοι, πολλὰ ἔχομεν εἰπεῖν, ἃ μὴ βουλόμεθα λέγειν. πόσα Ἀλεξάνδρῳ μέλλοντι περαιοῦσθαι τὸν ἐπὶ Γρανικῷ πόλεμον, καὶ τὴν ἐπὶ Δαρείου παράταξιν, ἐπεθείασαν οἱ χρησμολόγοι; καίτοι τὰ ἐκείνων πλάσματα τὴν φαινομένην ἀπόδειξιν οὐκ ἔχει. πῶς τε Σωκράτει τῷ φιλοσόφῳ δαιμόνιον διὰ φωνῆς προεμήνυε τῶν μὴ πρακτέων τὴν ἔκβασιν; καὶ τὰ περὶ Πυθαγόρου τοῦ Σαμίου ὑπὸ τῶν ἐκείνου μαθητῶν συνταχθέντα; ἐῶ λέγειν καὶ τὰ τῶν ποιητῶν πλάσματα, καὶ πῶς τινες τῶν παρ' αὐτοῖς εὐδοκίμων, καὶ συμπολεμεῖν αὐτοῖς τινας τῶν παρ' αὐτοῖς νομισθέντων Θεῶν· ἵνα μή τις τὰ μυθώδη τοῖς ἀληθέσι, καὶ τὰ μηδαμῶς πραχθέντα τοῖς πραχθεῖσιν ἀντεξετάζειν νομίσῃ. τὴν γὰρ πολυδύναμον τοῦ * Θεοῦ χάριν, ἀφ' οὗπερ εἰς ἀνθρώπους ἤνθησε, καὶ ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς, καὶ ἐν θαλάσσῃ, καὶ ἐν φυτοῖς, καὶ ἐν ξύλοις, καὶ ἐν ἱματίοις, καὶ ἐν νόσῳ, καὶ ἐν ὑγείᾳ, καὶ ἐν βρωτοῖς, καὶ ἐν ποτοῖς, ἀλεξιφάρμακόν τε γενομένην, καὶ γινομένην καὶ ἐσομένην θεραπείαν, καὶ οἱ πειρασθέντες μὲν ἴσασι, καὶ ἡμεῖς δὲ κατὰ τὸν ἴδιον καιρὸν προϊούσης τῆς ἱστορίας ἐκθησόμεθα.

* Χριστοῦ

Περὶ τοῦ σίγνου οὗ ἐποίησεν ὁ βασιλεὺς Κωνσταντῖνος ἀντίτυπον τοῦ ὀφθέντος αὐτῷ σταυροῦ ἐν οὐρανῷ.

ΚΕΦΑΛ. ε'.

Ὁ δ' οὖν Κωνσταντῖνος τὴν τοῦ θαύματος ὄψιν εἰς τροπαίου σχῆμα μεταβαλὼν, καὶ χρησοκολλήτοις λίθοις συναρμόσας, εἰς δόρατός τε ἀπαρτήσας ὑψηλοτάτου ὄψιν, ἐδίδου φέρειν τοῖς προϊππεῦσι, τὴν τῶν γραμμάτων ὑπόσχεσιν διὰ τῶν ἔργων λοιπὸν ἐπιζητῶν. καὶ τῆς ἐλπίδος οὐ διήμαρτε, θάττον μὲν οἷς τεθέαται πιστεύσας, ταχυτέραν δὲ τῆς ὄψεως τὴν νίκην ὑποδεξάμενος.

Περὶ τῆς κατὰ τοῦ ἀσεβοῦς Μαξεντίου νίκης τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου.

ΚΕΦΑΛ. ϛ'.

Ὁ μὲν οὖν Κωνσταντῖνος τὸν πολὺν τοῦ πολέμου κάματον τῇ πίστει ὑποτεμνόμενος, καὶ τὸν ἀπὸ τῆς Ῥώμης στρατὸν οὐχ ὑφορώμενος, γενναίως ἀντιπαρετάττετο. Μαξέντιος δὲ τὴν Κωνσταντίνου ἀλκὴν δείσας, ἔτι τε καὶ τὸ μῖσος Ῥωμαίων ὑφορώμενος· πρὸς γὰρ τοὺς πλείστους διὰ τὴν ἀσωτίαν αὐτοῦ διεβέβλητο· ἐσκέψατο δόλῳ τὴν ἐπιβουλὴν μετελθεῖν· ὁ δὲ δόλος γέφυρα ἦν εἰς μηχανῆς εἶδος ἀπὸ τῶν τοιούτων συμπαγεῖσα. τὸ μὲν γὰρ φαινόμενον ἄνωθεν, διάβασις ἦν τὸν Κωνσταντῖνον ὑποδεξομένη· τὸ δὲ λανθάνον, παγὶς ἦν πλάνης, τοῖς ἐκείνου βήμασι συντεθεῖσα. διαβῆναι γὰρ μικρὸν ἔδει, καὶ τὸ μηχάνημα λέλυτο, καὶ ὁ πολέμιος εἴληπτο, τόφον ἀδόκητον τῆς ἀπωλείας τὸν τόπον λαβών· ἀλλ' ὁ μὲν οὕτως ἐσκεύασε τῆς ἐπιβάσεως τὰ θήραστρα· θεία δὲ χάρις τοῖς οἰκείοις σοφίσμασι τὸν τῶν κακῶν τεχνίτην περιβάλλει. πρὶν γὰρ Κωνσταντῖνον ἁλῶναι, φθάσας αὐτὸς ὑποπίπτει ταῖς οἰκείαις τέχναις ὁ τύραννος, κἀκεῖ τυραννοκτόνος ἑαυτοῦ γεγονὼς, καὶ χρηστὴν ἐπιβουλὴν καθ' ἑαυτοῦ σκευάσας πρὸ τῆς Ῥώμης, περὶ τὴν καλουμένην Μουλαίαν γέφυραν, ὁ προῤῥηθεὶς Μαξέντιος αὐτὸς καταδὺς εἰς τὸν ποταμὸν, ἀποπνιγεὶς ὤλετο. ὥστε τὸν δῆμον ὅλον Ῥωμαίων, καθάφησιν Εὐσέβιος ὁ Παμφίλου, βοῆσαι λέγοντα· ἄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται, φησίν· ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν. βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν. καὶ τίς ὅμοιός σοι ἐν θεοῖς κύριε; τίς ὅμοιός σοι, δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα; οἷς ἐπιλέγει ὁ αὐτὸς ταῦτα, καὶ ὅσα τούτοις ἀδελφά τε καὶ ἐμφερῆ Κωνσταντῖνος τὸν πανηγεμόνα καὶ τῆς νίκης αἴτιον Θεὸν, καὶ τὸν μονογενῆ αὐτοῦ υἱὸν Ἰησοῦν Χριστὸν αὐτοῖς ἔργοις ἀνυμνήσας, ἐπὶ Ῥώμην μετ' ἐπινικίων εἰσήλαυνε, πάντων ἀθρόως αὐτὸν τῶν τε ἀπὸ τῆς συγκλήτου βουλῆς, καὶ τῶν ἄλλως διασημοτάτων, σὺν παντὶ δήμῳ Ῥωμαίων ἅμα κομιδῇ νηπίοις καὶ γυναιξὶ, φαιδροῖς ὄμμασιν, αὐταῖς ψυχαῖς, οἷα λυτρωτὴν, σωτῆρά τε καὶ εὐεργέτην μετ' εὐφημιῶν καὶ ἁπλήστου χαρᾶς ὑποδεχομένων· ὁ δὲ ἔμφυτον τὴν εἰς τὸν Θεὸν εὐσέβειαν κεκτημένος, μηδ' ὅλως ἐπὶ ταῖς βοαῖς παρασαλευόμενος, εὖ μάλα τῆς ἐκ Θεοῦ συναισθόμενος βοηθείας, αὐτίκα τὸ τοῦ σωτηρίου πάθους τρόπαιον ὑπὸ χεῖρα ἰδίας ἐκεῖνος ἀνατεθῆναι προστάττει. καὶ δὴ σταυροῦ σημεῖον ἐν τῇ δεξιᾷ κατέχοντα αὐτὸν ἐν τῷ μάλιστα τῶν ἐπὶ Ῥώμης δεδημοσιευμένων τόπῳ στήσαντες, αὐτὴν δὴ ταύτην προγραφὴν * ἐνταχθῆναι ῥήμασιν αὐτοῖς ἐγκελεύεται, τῇ Ῥωμαίων φωνῇ. τούτῳ τῷ σωτηριώδει σημείῳ τῷ ἀληθινῷ ἐλέγχῳ τῆς ἀνδρείας, τὴν πόλιν ὑμῶν ἀπὸ ζυγοῦ τῶν τυράννων διασώσας ἠλευθέρωσα· ἔτι μὴν καὶ τὴν σύγκλητον καὶ τὸν δῆμον Ῥωμαίων τῇ ἀρχαίᾳ ἐπιφανείᾳ καὶ λαμπρότητι ἐλευθερώσας ἀποκατέστησα. τοσαῦτα Εὐσέβιος.

* ἐκχαράξαι

Περὶ Λικινίου πεμπομένου παρὰ τοῦ εὐσεβοῦς Κωνσταντίνου κατὰ τοῦ ἐπ' ἀνατολῆς τυράννου.

ΚΕΦΑΛ. ζ'.

Ὅτε μὴν Ῥουφῖνος, ἤγουν Γελάσιος, ταῦτα λέγει ὧδε. μετὰ ταῦτα Λικίνιον γαμβρὸν τυγχάνοντα τοῦ θεοφιλοῦς Κωνσταντίνου ἐπὶ τῇ ἀδελφῇ Κωνσταντίᾳ, συμβασιλεύειν τῷ Κωνσταντίνῳ ἡ Ῥω-

Ρωμαίων ἠτήσατο σύγκλητος· ὅν τινα αὖθις ἐπὶ τὴν ἑῴαν ἐξέπεμψε κατὰ τοῦ ἐκεῖσε τυράννου, τὴν σωτηρίαν τῶν ἐκεῖσε χριστιανῶν προμηθούμενος. ἀπολαύσας γὰρ τῶν τηλικούτων εὐεργεσιῶν τοῦ Θεοῦ ὁ εὐσεβὴς Κωνσταντῖνος, εὐχαριστήρια τῷ εὐεργέτῃ προσφέρειν ἐσπούδαζε. ταῦτα δὲ ἦν τὸ ἀνεῖναι τοὺς χριστιανοὺς τοῦ διώκεσθαι, καὶ τοὺς ἐν ἐξορίᾳ ὄντας ἀνακαλεῖσθαι, τοὺς ἐν δεσμωτηρίοις ἀφίεσθαι, καὶ τοῖς δημευθεῖσι τὰς οὐσίας αὐτῶν ἀποκαθίστασθαι, τάς τε ἐκκλησίας αὐτῶν ἀνορθοῦσθαι· καὶ πάντα ἐποίει σὺν προθυμίᾳ πολλῇ, τὰ τοῦ Χριστοῦ φρονῶν. τὰ πάντα χριστιανὸς ὤν, ὡς χριστιανὸς πάντα ἔπραττεν, ἀνεγείρων τὰς ἐκκλησίας τοῦ, Θεοῦ, καὶ πολυτελέσι τιμῶν ἀναθήμασιν, ἔτι δὲ καὶ τοὺς Ἑλλήνων ναοὺς καθαιρεῖσθαι, καὶ πυρὶ διαφθείρεσθαι προστάττων.

Περὶ τῆς τοῦ κατὰ ἀνατολὴν τυράννου Μαξιμίνου ἀπονοίας.

ΚΕΦΑΛ. ή.

Ὁ Μὲν τοι κατὰ τὴν ἀνατολὴν τύραννος τὰς τοῦ θεοῦ ἐκκλησίας ἐπόρθει. ἐκπεριῆλθε δὲ αὐτὸν τοιαύτη τις αἰτία. τὸ μέγεθος τῆς οὐ κατ' ἀξίαν αὐτῷ ἐπιτραπείσης ἡγεμονίας μήτε οἷός τε φέρειν ὤν, ἀλλὰ δὴ ἀπειρίαν σώφρονος καὶ βασιλικοῦ λογισμοῦ ἀπειροκάλως τοῖς πράγμασιν ἐγχειρῶν, ἐπὶ πᾶσι δὲ ὑπερηφανίας μεγαλαυχίᾳ τὴν ψυχὴν ἀλόγως ἀρθεὶς, ἤδη καὶ κατὰ τῶν τῆς βασιλείας κοινωνῶν, καὶ τοῦ μάλιστα Κωνσταντίνου, τοῦ πάντα αὐτοῦ διαφέροντος, γένει τε καὶ τροφῇ καὶ παιδείᾳ, ἀξιώματί τε καὶ συνέσει, καὶ τόγε πάντων κορυφαιότατον, σωφροσύνῃ, καὶ τῇ περὶ τὸν ἀληθῆ Θεὸν εὐσεβείᾳ διαλάμποντος, τολμᾶν ὥρμητο Μαξιμῖνος θρασύνεσθαι, καὶ πρῶτον ἑαυτὸν ταῖς τιμαῖς ὑπαγορεύειν. ἐπιτείνας δὲ εἰς ἀπόνοιαν μανίας, τάς τε συνθήκας, ἃς πρὸς Λικίνιον πεποίητο, παρασπονδήσας, πόλεμον ἄσπονδον αἱρεῖται. εἶτα ἐν βραχεῖ τὰ πάντα κυκήσας, πᾶσάν τε πόλιν ἐκταράξας, καὶ πᾶν στρατόπεδον μυρίανδρον τὸ πλῆθος συναγαγὼν, ἔξεισιν εἰς μάχην πρὸς Λικίνιον, κατά τε αὐτοῦ καὶ τοῦ αὐτὸν στείλαντος Κωνσταντίνου. καὶ δὴ συμβαλὼν εἰς χεῖρας, ἔρημος τῆς ἐκ θεοῦ καθίσταται ἐπισκοπῆς, ἐξ αὐτοῦ τῆς νίκης τοῦ πάντων μόνου Θεοῦ πρυτανευθείσης τῷ τότε κρατοῦντι Κωνσταντίνῳ. ἀπόλλυσι μὲν πρῶτα τὸ ἐφ' ᾧ ἐπεποίθει ὁπλιτικὸν πλῆθος ὁ ἀλιτήριος. τῶν τε ἀμφ' αὐτὸν δορυφόρων γυμνωθεὶς, καὶ πάντων ἔρημον αὐτὸν καταλελοιπότων, τῷ τε κρατοῦντι προσπεφευγότων, ὑπεκδὺς ὁ δείλαιος ὡς τάχιστα, τὸν οὐ πρέποντα αὐτῷ βασιλικὸν κόσμον δειλῶς καὶ δυσμενῶς καὶ ἀνάνδρως ἀποδὺς, ὑποδύνει τὸ πλῆθος, καὶ ἔπειτα διαδιδράσκει, κρυπταζόμενός τε ἀνὰ τοὺς ἀγροὺς καὶ τὰς κώμας, μόλις τῶν πολεμιστῶν τὰς χεῖρας διέξεισι, τὰ τῆς σωτηρίας αὐτῷ προμνώμενος. ἔργοις αὐτοῖς εὖ μάλα πιστοὺς καὶ ἀληθεῖς τοὺς θείους ἀποφῆναι ἔνεστιν ὧδε χρησμοὺς, ἐν οἷς εἴρηται· οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. ψευδὴς ἵππος εἰς σωτηρίαν· ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ· ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν. ὁ δὲ δυσσεβὴς ἀθρόᾳ Θεοῦ πληγεὶς μάστιγι, ἐν δευτέρᾳ πολέμου συμβολῇ καταστρέφει τὸν βίον. γίνεται δὲ αὐτῷ τὰ τῆς καταστροφῆς, οὐχ οἷα στρατηγοῖς πολεμάρχαις ὑπὲρ ἀρετῆς καὶ γνωρίμων πολλάκις ἀνδριζομένοις ἐν πολέμῳ τὴν εὐκλεῆ τελευτὴν εὐθαρσῶς ὑπομεῖναι συνέβη. ἀλλὰ γὰρ ἅτε τις δυσσεβῆς καὶ θεομάχος, τῆς παρατάξεως ἔτ' αὐτῷ πρὸ τοῦ πεδίου συνεστώσης, οἴκοι μένων αὐτὸς καὶ κρυπταζόμενος, τὴν προσήκουσαν τιμωρίαν ὑπέχει, ἀθρόως Θεοῦ πληγεὶς μάστιγι· ὡς ἀλγηδόσι δειναῖς καὶ περιωδυνίαις ἐλαυνόμενος, πρὶν ἢ καταπεσεῖν, λιμῷ τε διαφθείρεσθαι, τάς τε σάρκας αὐτοῦ ὅλας ἀοράτῳ καὶ θεηλάτῳ πυρὶ κατατήκεσθαι· ὡς διαῤῥεῦσαν τὸ μὲν πᾶν εἶδος τῆς παλαιᾶς μορφῆς ἀφανισθῆναι, ξηρὸν δ' αὐτὸν μόνον ὀστέον γεγονέναι, οἷόν τι μακρῷ χρόνῳ κατεσκελετευμένον εἴδωλον ὑπολειφθῆναι· ὡς μηδὲν ἄλλο τι νομίζειν τοὺς παρόντας, ἢ τάφον αὐτῷ τῆς ψυχῆς γεγονέναι τὸ σῶμα, ἐν ἤδη νεκρῷ καὶ παντελῶς ἀποῤῥεύσαντι κατωρυγμένης· σφοδρότερον δὲ ἔτι μᾶλλον τῆς θέρμης αὐτὸν ἐκ βάθους μυελῶν καταφλεγούσης, προπηδῶσιν δὲ αὐτοῦ τὰ ὄμματα, καὶ τῆς ἰδίας λήξεως ἀποπεσόντα, πηρὸν αὐτὸν ἀφιᾶσιν. ὁ δὲ ἐπὶ τούτοις ἀναπνέων, ἀνθομολογούμενος τῷ κυρίῳ, θάνατον ἐπεκαλεῖτο· καὶ τὸ πανύστατον ἐνδίκως ταῦτα τῆς κατὰ τοῦ Χριστοῦ παροινίας ἕνεκα πεπονθέναι ὁμολογήσας, ἀφίησι τὴν ψυχήν.

Περὶ τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως.

ΚΕΦΑΛ. θ.

Οὕτω δῆτα Μαξιμίνου ἐκποδὼν γενομένου, ὃς ἐπιλοίπων τῶν τῆς θεοσεβείας ἐχθρῶν ἁπάντων χείριστος ἀναπέφηνε, τὰ μὲν τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως ἐκ θεμελίων χάριτι Θεοῦ τοῦ παντοκράτορος ἠγείρετο· ὅ, τε τοῦ Χριστοῦ λόγος εἰς δόξαν τοῦ τῶν ὅλων Θεοῦ διαλάμπων, μείζονα τῆς ἔμπροσθεν ἀπελάμβανε παῤῥησίαν. ταῦτα ἐν ἐννάτῳ τόμῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας ὁ πάντα ἄριστος συντέταχεν ὁ Παμφίλου Εὐσέβιος. τῶν γὰρ αὐτοῦ πόνων, ὡς ἀνωτέρω μοι εἴρηται, καὶ τῶν ἄλλων τὴν ἀνάλεξιν ποιούμενος, τοῦ βιβλιδίου τούτου διὰ βραχέων ἐγχαράττω τὴν σύνταξιν, πλείστῃ ὅσῃ σπουδῇ τὴν πορείαν τοῦ λόγου ποιούμενος ἐπὶ τὸ ὑψηλὸν καὶ λαμπροφανὲς ἅγιον καὶ θεῖον ὄρος τῆς κατὰ Νίκαιαν ἀποστολικῆς καὶ ἐναρέτου τῶν τοῦ Θεοῦ ἱερέων συνόδου· ὁρῶν μάλιστα τὸν προφήτην κρατοῦντά με τῆς χειρὸς καὶ προτρέποντα. δεῦτε, φησὶν, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ· καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ. ἀληθῶς γὰρ Σιὼν καὶ Ἱερουσαλὴμ, καὶ ὄρος κυρίου ὑψηλότατον, καὶ οἶκος τοῦ Θεοῦ Ἰακώβ, ὁ θεῖος ἐκεῖνος τῶν τοῦ Θεοῦ ὀρθοδόξων ἱερέων ὅμιλος, πνεύματι ἁγίῳ διασκεψαμένων καὶ παραστησάντων διά τε γραφῶν προφητικῶν καὶ εὐαγγελικῶν καὶ ἀποστολικῶν περὶ τοῦ λόγου τῆς ζωῆς, τοῦτ' ἐστι τοῦ υἱοῦ τοῦ Θεοῦ, ὡς

ἀληθῶς ἄκτιστος τῇ τῆς θεότητος φύσει, καὶ οὐ κτίσμα, καθὼς ὁ θεομάχος καὶ ἀσεβέστατος κατ' αὐτοῦ ἐβλασφήμησεν Ἄρειος· καὶ ὅτι τῆς αὐτῆς οὐσίας, ἧς καὶ ὁ γεννήσας αὐτὸν πρὸ τῶν αἰώνων ἁπάντων ὑπάρχει πατὴρ, καὶ τοῦ αὐτοῦ χρήματος· ὁμίως δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον τῆς αὐτῆς θεότητος καὶ οὐσίας, ἧς ὁ πατὴρ καὶ ὁ υἱὸς, σαφέστατα ἔδειξαν. καὶ ἀληθῶς ὑψηλὸν ὄρος Θεοῦ, ἄνωθεν ἡμῖν, καθὰ προεδήλωσεν ὁ λόγος παρ' αὐτοῦ τοῦ κυρίου διὰ τῶν ἀποστόλων δοθεὶς, καὶ νῦν διὰ τῶν αὐτοῦ ἱερέων κατὰ τὴν Νικαέων γραφικαῖς μαρτυρίαις τρανωθεὶς, ὁ προσκυνητὸς οὗτος καὶ ἅγιος τῆς ἀμωμήτου πίστεως ὄρος· περὶ οὗ σαφέστερος ἡμῖν συνεργίᾳ τῆς τοῦ Θεοῦ χάριτος προϊὼν ἀποδείξει ὁ λόγος. ἀλλ' ἐπὶ τὴν προκειμένην ἡμῖν τῆς ἐκκλησιαστικῆς ἱστορίας ὑπόθεσιν ἐπανέλθωμεν, ἐπαναλαβόντες τὰ περὶ τῆς τοῦ βασιλέως Θεοῦ εἰς τὸν * αὐτὸν λαὸν ἀντιλήψεως, καὶ τῆς τῶν τυράννων καταστροφῆς διὰ τοῦ θεράποντος αὐτοῦ τοῦ θεοφιλοῦς Κωνσταντίνου τοῦ βασιλέως· ἣν δι' αὐτοῦ εἰρήνην ἐπρυτάνευσε ταῖς κατὰ τὴν οἰκουμένην αὐτοῦ ἐκκλησίαις. ὁ μόνος μέγας κύριος, ὁ ποιῶν θαυμάσια μεγάλα μόνος καὶ ἀνεξιχνίαστα, ὧν οὐκ ἔστιν ἀριθμός. ὁ ἀλλοιῶν καιροὺς καὶ χρόνους, μεθιστῶν βασιλεῖς τε καὶ καθιστῶν, ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα· καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενοὺς, καὶ βραχίονας ὑπερηφάνων συνέτριψεν· ὁ θαυματουργὸς, ὁ μεγαλουργὸς, ὁ τῶν ὅλων δεσπότης, ὁ τοῦ σύμπαντος κόσμου δημιουργὸς, ὁ παντοκράτωρ, ὁ πανάγαθος, ὁ εἷς καὶ μόνος Θεός· ᾧ τὸ καινὸν ᾆσμα ἀναπέμπωμεν, προσυπακούοντες τῷ ποιοῦντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· τῷ πατάξαντι βασιλεῖς μεγάλους, καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ κύριος. ἐφ' οἷς ἅπασιν ἀνυμνοῦντες μὴ διαλείψωμεν τὸν τῶν ὅλων Θεὸν, καὶ τὸν τούτου μονογενῆ υἱὸν Ἰησοῦν Χριστὸν τὸν κύριον ἡμῶν, τὸν σὺν τῷ πατρὶ πάντων ἡμῖν τῶν ἀγαθῶν αἴτιον, τὸν τῆς θεογνωσίας αὐτοῦ εἰσηγητὴν ἡμῶν, τὸν τῆς εἰς αὐτὸν εὐσεβείας διδάσκαλον, τὸν τῶν ἀσεβῶν ὀλετῆρα, τὸν τυραννοκτόνον, τὸν τοῦ βίου διορθωτὴν, τὸν τῶν ἀπεγνωσμένων σωτῆρα Ἰησοῦν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ πάντες δοξάζωμεν· ὅτι δὴ μόνος, οἷα παναγάθου πατρὸς μονώτατος ὑπάρχων πανάγαθος παῖς, ἐν βουλῇ τῆς πατρικῆς, καὶ ἑαυτοῦ, καὶ τοῦ ἁγίου πνεύματος φιλανθρωπίας, τῶν κάτω που κειμένων ἐν φθορᾷ τὴν σωτηρίαν ἡμῶν προμηθούμενος, εὖ μάλα προθύμως τὴν ἡμετέραν ὑποδὺς φύσιν, καθάπερ τις ἄριστος ἰατρὸς τὰς ἀσθενείας ἡμῶν ἀναλαβὼν, καὶ τὰς νόσους φέρων, καὶ τότε καὶ ἀεὶ σωτηρίαν καὶ ζωὴν τῷ τῶν ἀνθρώπων κατειργάσατο γένει. ὃς δὴ βασιλεὺς βασιλέων, καὶ τοῦ ἰδίου λαοῦ ἀεὶ προμηθούμενος, τὸν αὐτῷ φίλον καὶ θεράποντα ἴδιον Κωνσταντῖνον τοῖς τῆς εἰς αὐτὸν εὐσεβείας καὶ πίστεως ὅπλοις φράξας, κατὰ τῶν ἀσεβῶν τυράννων. τοῦ τε κατὰ Ῥώμην Μαξεντίου, καὶ τοῦ κατὰ τὴν ἀνατολὴν Μαξιμίνου ἀνεγήγερκεν· οὓς δι' αὐτοῦ ἀνελὼν, φαιδρὰν καὶ βαθεῖαν εἰρήνην τῷ οἰκείῳ λαῷ ἀποδέδωκεν.

* αὐτοῦ

Περὶ τῆς Λικινίου κακοτροπίας.

ΚΕΦΑΛ. ι.

Οὐκ ἦν δὲ ἄρα, φησὶν ὁ Παμφίλου Εὐσέβιος, τῷ μισοκάλῳ φθόνῳ, τῷ τε φιλοπονήρῳ δαίμονι φορητὸς ἡ τῶν ὁρωμένων θέα· ὥσπερ οὖν οὐδὲ Λικινίῳ μεταστραπέντι ἐτύγχανεν αὐτάρκη πρὸς σώφρονα λογισμὸν τὰ τοῖς ἔμπροσθεν δεδηλωμένοις τυράννοις συμβεβηκότα. ὃς εὖ φερομένης αὐτῷ τῆς ἀρχῆς, τῆς βασιλέως μεγάλου Κωνσταντίνου δευτερεύων τιμῆς, ἐπιγαμβρίας τε καὶ συγγενείας ἠξιωμένος, μιμήσεως μὲν τῆς τῶν καλῶν ἀπελιμπάνετο, τῆς δὲ τῶν ἀσεβῶν τυράννων μοχθηρίας ἐζήλου τὴν κακοτροπίαν· καὶ ὧν τοῦ βίου τὴν καταστροφὴν ἐπεῖδεν αὐτοῖς ὀθαλμοῖς, τούτων ἕπεσθαι τῇ γνώμῃ μᾶλλον, ἢ τῇ τοῦ κρείττονος φιλίᾳ τε καὶ διαθέσει ἐμμένειν ἠβούλετο· διαφθονηθεὶς τοιγαροῦν τῷ πανευεργέτῃ, πόλεμον δυσαγῆ καὶ δεινότατον πρὸς αὐτὸν ἐκφέρει, οὐ φύσεως νόμων φεισάμενος, οὐχ ὁρκωμοσιῶν, οὐχ αἵματος, οὐ συνθηκῶν μνήμην ἐν διανοίᾳ λαβών. ὁ μὲν γὰρ αὐτῷ, οἷα πανάγαθος βασιλεὺς, εὐνοίας παρέχων ἀληθοῦς σύμβολα, συγγενείας τῆς πρὸς αὐτὸν οὐκ ἐφθόνησε, γάμων τε λαμπρῶν ἀδελφῆς μετουσίαν οὐκ ἀπηρνήσατο. καὶ μεθ' ἕτερα· ἀλλὰ τούτοις τἀναντία Λικίνιος διεπράττετο, παντοίας ὁσημέραι κατὰ τοῦ κρείττονος μηχανὰς ἐπιτεχνώμενος ὁ μισόθεος, πάντας τε ἐπινοῶν ἐπιβουλῆς τρόπους, ὡς ἂν κακοῖς τὸν εὐεργέτην ἀμείψηται. οἷς ἐπιλέγει· τῷ δὲ ἦν ἄρα ὁ Θεὸς φίλος, κηδεμὼν καὶ φύλαξ, τῷ Κωνσταντίνῳ λέγων, ὃς αὐτῷ τὰς ἐν ἀπορρήτῳ καὶ σκότει μηχανωμένας ὑπὸ τοῦ τυράννου ἐπιβουλὰς εἰς φῶς ἄγων διήλεγχε. τοσοῦτον * ἀρετῆς τὸ μέγα τῆς θεοσεβείας ὅπλον πρὸς ἄμυναν μὲν ἐχθρῶν, οἰκείας δὲ φυλακὴν σωτηρίας ἰσχύει. ᾧ δὴ πεφραγμένος ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς Κωνσταντῖνος, τῇ ἐκ τοῦ Θεοῦ βοηθείᾳ τὰς τοῦ δυσωνύμου πολυπλόκους ἐπιβουλὰς διεδίδρασκεν. ὁ δὲ τύραννος τὴν λαθραίαν συσκευὴν ὡς οὐδαμῶς ἑώρα κατὰ γνώμην χωροῦσαν· τοῦ Θεοῦ πάντα δόλον τε καὶ ῥᾳδιουργίαν τῷ θεοφιλεῖ βασιλεῖ κατάφωρα ποιοῦντος· οὐκ ἔτι οἷός τε ὢν ἐπικρύπτεσθαι, προφανῆ πόλεμον αἱρεῖται· ὁμόσε δῆτα Κωνσταντίνῳ πολεμεῖν διαγνοὺς, ἤδη καὶ κατὰ τοῦ Θεοῦ τῶν ὅλων ὡς φρουροῦ Κωνσταντίνου, ὃν ἠπίστατο σέβειν αὐτὸν, παρατάττεσθαι ὥρμηται· κἄπειτα τοὺς ὑπ' αὐτῷ θεοσεβεῖς ἤλαυνε. καὶ μεθ' ἕτερα· καὶ ὁ τρόπος δὲ τοῦ κατ' αὐτῶν φόνου ξένος τις ἦν, καὶ οἷος οὐδεπώποτε ἠκούσθη. τὰς γοῦν ἀμφὶ τὴν Ἀμάσειαν καὶ τὰς λοιπὰς τοῦ Πόντου πόλεις ὅσοις κακοῖς πιέζεσθαι προσέταξε, πᾶσαν ὑπερβολὴν ὠμότητος ὑπερηκόντισεν. ἔνθα τῶν ἐκκλησιῶν τοῦ Θεοῦ αἱ μὲν ἐξ ὕψους εἰς ἔδαφος αὖθις κατερρίπτοντο, τὰς δὲ ἀποκλείεσθαι ἐκέλευσεν, ὡς ἂν μὴ συνάγοιτό τις τῶν εἰωθότων, μηδὲ τῷ Θεῷ τὰς ὀφειλομένας λατρείας καὶ εὐχὰς ἀποδίδωσι.

* ἀρετὴ

συν-

συντελεῖσθαι γὰρ οὐχ ἡγεῖτο ὑπὲρ αὐτοῦ ταύτας· πῶς γὰρ οἷόν τε ἦν τοῦτο ἐννοεῖν τὸν μισόθεον; φαύλῳ συνειδότι τοῦτο λογιζόμενος· ὑπὲρ δὲ Κωνσταντίνου τοῦ θεοφιλοῦς βασιλέως πράττειν ἡμᾶς, καὶ τὸν Θεὸν ἱλεοῦσθαι ἐπέπεισο. ὅθεν ἐκ τούτου παρορμηθεὶς, τὸν θυμὸν καθ' ἡμῶν ἐπισκήπτει. καὶ μετὰ βραχέα· καὶ δὴ ἀπήγοντο πολλοὶ τῶν ἐπισκόπων, καὶ ἐκολάζοντο ἀπροφασίστως, ὁμοίως τοῖς μιαιφόνοις οἱ μηδὲν ἠδικηκότες, καινοτέραν ὑπομένοντες τελευτὴν, ξίφει τὸ σῶμα εἰς πολλὰ τμήματα κατακρεουργούμενοι, καὶ μετὰ τὴν ἀπηνῆ ταύτην καὶ φρικτοτάτην θέαν, τοῖς τῆς θαλάσσης βυθοῖς, τοῖς ἰχθύσιν εἰς βορὰν ἐρρίπτοντο. φυγαὶ δὲ αὖθις ἐπὶ τούτοις τῶν θεοσεβῶν ἁπάντων ὁμόσε ἀνδρῶν καὶ γυναικῶν σὺν κομιδῇ νηπίοις ἐγίνοντο· καὶ πάλιν ἀγροὶ, καὶ πάλιν ἐρημίαι, νάπαι τε καὶ ὄρη τοὺς τοῦ Χριστοῦ θεράποντας ὑπεδέχοντο, κατὰ πάντων ἀνακινήσαντος τοῦ δυσσεβοῦς τὸν πόλεμον. καὶ μετὰ βραχέα· εἰ μὴ τάχιστα τὸ μέλλον ἔσεσθαι προλαβὼν ὁ τῶν οἰκείων ψυχῶν ὑπέρμαχος Θεὸς, ὡς ἐν βαθεῖ σκότῳ καὶ νυκτὶ ζοφωδεστάτῃ φωστῆρα μέγαν ἀθρόως καὶ σωτῆρα τοῖς πᾶσιν ἐξέλαμψε τὸν αὐτοῦ θεράποντα Κωνσταντῖνον, ὑψηλῷ βραχίονι, γενναιοτάτῃ δὲ χειρὶ χειραγωγήσας. τούτῳ μὲν οὖν ἄνωθεν ἐξ οὐρανῶν καρπὸν εὐσεβείας ἐπάξιον, τρόπαια κατὰ τῶν ἀσεβῶν παρεῖχε νίκης, τὸν δὲ ἀλιτήριον αὐτοῖς συμβούλοις ἅπασι καὶ φίλοις ὑπὸ τοῖς Κωνσταντίνου ποσὶ πρηνῆ κατέβαλεν ὁ Κωνσταντίνου καὶ πάντων ἡμῶν Θεός· ὡς γὰρ εἰς ἔσχατα μανίας τὰ κατ' αὐτὸν ἤλαυνεν, οὐκ ἔτ' ἀνεκτὸν εἶναι λογισάμενος βασιλεὺς Κωνσταντῖνος ὁ τῷ Θεῷ φίλος, τὸν ἔμφυτον σώφρονα καὶ εὐσεβῆ συναγαγὼν λογισμὸν, καὶ τὸν στερρὸν τοῦ δικαίου τρόπον φιλανθρωπία κερασάμενος, ἐπαμῦναι κρίνει τοῖς ὑπὸ τῷ τυράννῳ ταλαιπωρουμένοις· καὶ τό γε πλεῖστον ἀνθρώπων γένος, βραχεῖς λυμεῶνας ἐκποδὼν ποιησάμενος, ἀνασώσασθαι ὁρμᾶται. μόνῃ γὰρ φιλανθρωπίᾳ χρωμένου τοῦ φιλανθρωποτάτου βασιλέως Κωνσταντίνου τὸν πρὸ τούτου χρόνον, καὶ τὸν οὐ συμπαθείας ἄξιον ἐλεοῦντος, τῷ μὲν δυσσεβεῖ αὐτῷ ἐγίνετο πλέον οὐδὲν, τῆς κακίας οὐκ ἀπαλλαττομένῳ, αὔξοντι δὲ μᾶλλον τὴν κατὰ τῶν ὑποχειρίων ἐθνῶν λύτταν· τοῖς δὲ κακουμένοις οὐδεμία ἦν σωτηρίας ἐλπὶς, ὑπὸ δεινοῦ θηρίου καταπονουμένοις. διὸ δὴ τῷ φιλανθρώπῳ μίξας τὸ μισοπόνηρον ὁ τῶν ἀγαθῶν χορηγὸς, πρόσεισιν ἅμα παιδὶ Κρίσπῳ βασιλεῖ φιλανθρωποτάτῳ ἀπὸ τῆς ἑσπερίων τῆς μεγίστης Ῥώμης ἐπὶ τὴν ἑῴαν κατὰ τοῦ τυράννου, σωτηρίας δεξιὰν ἅπασι τοῖς ἀπολλυμένοις ἐκτείνας· παμβασιλεῖ Θεῷ καὶ παιδὶ Χριστῷ σωτῆρι ποδηγῷ καὶ συμμάχῳ χρώμενοι, πατὴρ Κωνσταντῖνος βασιλεὺς ἅμα υἱῷ βασιλεῖ Κρίσπῳ, ἄμφω κύκλῳ διελόντες τὴν κατὰ τῶν θεομισῶν παράταξιν, ῥᾳδίαν τὴν νίκην ἀποφέρονται, τῶν κατὰ τὴν συμβολὴν πάντων ἐξευμαρισθέντων αὐτοῖς καὶ κατὰ γνώμην ὑπὸ τοῦ παμβασιλέως Θεοῦ, καθάφησιν ὁ φιλαληθέστατος Εὐσέβιος ὁ τοῦ πανευφήμου Παμφίλου. Ῥουφῖνος δέφησιν, εἰ καὶ μηδεμίαν μοῖραν τῶν γεγενημένων ἐπὶ Λικινίου πραγμάτων ἐμνημόνευσεν, ὅμως καὶ αὐτὰ τὰ λεξίδια τοῦ προῤῥηθέντος ἀναλεξάμενος, ἐνθήσω τῇ συγγραφῇ. φησὶ δὲ οὗτος· Λικίνιος μὲν οὖν ὁ συμβασιλεύων, αὐτῷ δηλονότι τῷ βασιλεῖ Κωνσταντίνῳ, τὰς Ἑλληνικὰς ἔχων δόξας, ἐμίσει χριστιανούς· καὶ διωγμὸν μὲν προφανῆ κατ' αὐτῶν φόβῳ τοῦ βασιλέως Κωνσταντίνου κινεῖν ὑπεστέλλετο, λεληθότως δὲ πολλοὺς ἐσκευωρῆτο. προϊὼν δὲ, φανερῶς τὸν κατὰ πάντων διωγμὸν ἀνεκίνει ἐν τοῖς ἀνατολῆς τόποις, ὡς καὶ πολλοὺς τοῦ Χριστοῦ μάρτυρας ἀναδειχθῆναι ἐν διαφόροις τόποις, ἐκ δὴ τούτου εἰς ἀπέχθειαν τὴν πρὸς αὐτὸν μεγίστην τὸν βασιλέα Κωνσταντῖνον ἐκίνησεν. ἦσαν δὲ πρὸς ἀλλήλους πολέμιοι. ταῦτα μὲν οὗτος. οἱ δὲ λοιποὶ, ὅσοι τῆς Εὐσεβίου τοῦ Παμφίλου ἀληθείας συνήγοροι, διελόντες, φασὶν, ἄμφω τὴν στρατιὰν, πατὴρ Κωνσταντῖνος βασιλεὺς, καὶ υἱὸς Κρίσπος βασιλεὺς, κατὰ τοῦ ἀσεβοῦς τυράννου ὥρμηντο. ὁ μὲν οὖν υἱὸς Κρίσπος ἐπὶ τὰ κατὰ τὴν Ἀσίαν μέρη σὺν τῇ αὐτοῦ στρατιᾷ τὴν πορίαν ποιούμενος· ὁ δὲ πατὴρ Κωνσταντῖνος κατὰ τῆς Εὐρώπης τοῖς ἀμφ' αὐτὸν δορυφόροις τὴν ὁδὸν διήνυεν. ὁ δὲ μισόθεος, καὶ πάσης ἀσεβείας καὶ μιαιφονίας ἔμπλεος, ἐξ ἀνατολῶν μετὰ πλείστου ὅσου στρατοῦ κατ' αὐτῶν παρατατόμενος, καὶ μεγαλαυχῶν ἤρχετο· φθάσας δὲ ἐν τῇ Νικομηδέων, ἐγνωκὼς καὶ εἰδὼς τὴν τοῦ θεοφιλοῦς Κωνσταντίνου ψυχὴν σέβουσαν τοὺς τοῦ Θεοῦ ἱερεῖς, καὶ ὅτι διὰ πάσης ἄγοι τιμῆς, μισθοδοτεῖ τὸν τῆς Νικομηδέων ἐπίσκοπον Εὐσέβιον, πάλαι πρόσφυγα αὐτοῦ ὄντα, κατὰ τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου, οἰόμενος δι' αὐτοῦ καὶ τῶν ἀμφ' αὐτὸν ἀνελεῖν τὸν τοῖς τοῦ Θεοῦ πεφραγμένον ἀκαταμαχήτοις ὅπλοις Κωνσταντῖνον. συντίθεται οὖν αὐτῷ ὁ θαυμαστὸς Εὐσέβιος, ἐπαγγελίαις λιπαρηθεὶς παρὰ τοῦ συνασεβοῦς αὐτοῦ Λικινίου. ὅτι ταῦτα οὕτως ἔχει, ἐξ αὐτῆς τοῦ φιλοχρίστου βασιλέως ἐπιστολῆς ἔνεστι πληροφορηθῆναι, ἧς τοῖς Νικομηδεῦσιν ἐπέστειλεν, ὧδέ πως λέγων πρὸς τῷ τέλει τῆς ἐπιστολῆς· τίς ἐστιν ὁ ταῦτα διδάξας οὕτως ἄκακον πλῆθος; Εὐσέβιος δηλαδὴ ὁ τῆς τυραννικῆς ὠμότητος συμμύστης. ὅτι γὰρ πανταχοῦ τοῦ τυράννου γεγένηται προσφύλαξ, πολλαχόθεν ἐστὶ συνορᾶν. τοῦτο μὲν αἱ τῶν ἐπισκόπων σφαγαὶ διαμαρτύρονται, ἀλλὰ τῶν ἀληθῶς ἐπισκόπων· τοῦτο δὲ ἡ χαλεπωτάτη τῶν χριστιανῶν ἐκδίωξις διαῤῥήδην βοᾷ. οὐδὲν γὰρ τῶν εἰς ἐμὲ γεγενημένων παρ' αὐτοῦ νῦν ἐρῶ, δι' ὧν ὅτι μάλιστα αἱ τῶν ἐναντίων μερῶν καθ' ἡμῶν ἐπραγματεύοντο συνδρομαί· οὗτος καὶ ὀφθαλμοὺς κατασκόπους ἔπεμπε κατ' ἐμοῦ, καὶ μόνον οὐκ ἐνόπλους τῷ τυράννῳ συνεισέφερεν ὑπουργίας. μηδ' ἐμέ τις οἰέσθω εἶναι πρὸς τὴν τούτων ἀπόδειξιν ἀπαράσκευον· ἔλεγχος γάρ ἐστιν ἀκριβὴς, ὅτι τοὺς πρεσβυτέρους καὶ τοὺς διακόνους τοὺς Εὐσεβίῳ * παραπεμπομένους φανερῶς ὑπ' ἐμοῦ συνειλῆφθαι, * συνέστηκεν. ἀλλὰ ταῦτα μὲν παρ' ἡμῶν νῦν οὐκ ἀγανακτήσεως ἕνεκεν, ἀλλ' εἰς αἰσχύνην ἐκείνων προενήνεκται. ἐκεῖνο μόνον δέδια, ἐκεῖνο διαλογίζομαι, ὅτι ὑμᾶς ὁρῶ πρὸς τὴν τοῦ ἐγκλήματος καλεῖσθαι κοινωνίαν· διὰ γὰρ τῆς Εὐσεβίου διαγωγῆς τε καὶ διαστροφῆς, συνείδησιν κεχωρισμένην τῆς ἀληθείας εἰλήφατε. ἀλλ' ἔστιν οὐ βρά-

* παρεπομένου.
* παρέστηκεν

βραδεία θεραπεία, εἴ γε ἐπίσκοπον πιστόν τε καὶ ἀκέραιον νῦν γοῦν λαβόντες, πρὸς Θεὸν ἀπίδητε. ὅπερ ἐπὶ τοῦ παρόντος ἐν ὑμῖν ἐστιν, ὃ καὶ πάλαι ἐχρῆν τῆς ὑμετέρας κρίσεως ἠρτῆσθαι, εἰ μὴ ὁ προειρημένος Εὐσέβιος δεινῆ τῶν τότε συλλαβομένων αὐτῷ προαιρέσει ἐνταῦθα ἐληλύθει, καὶ τὴν τῆς τάξεως ὀρθότητα ἀναισχύντως* συνεπεπράχει. ἀλλ' ἐπειδὴ περὶ τοῦ αὐτοῦ Εὐσεβίου πρὸς τὴν ὑμετέραν ἀγάπην ὀλίγα προσῆκε φράσαι, μακροθύμως ἀκούσατε. μέμνηται ἡ ὑμετέρα ἀνεξικακία, ἐπὶ τῆς Νικαέων πόλεως γεγενῆσθαι σύνοδον ἐπισκόπων. ᾗ καὶ αὐτὸς ἐγὼ πρεπόντως τῇ τῆς ἐμῆς συνειδήσεως λαβρείᾳ παρήμην, οὐδὲν ἕτερον βουλόμενος, ἢ ὁμόνοιαν ἅπασιν ἐργάσασθαι, καὶ πρὸ πάντων ἐλέγξαι καὶ ἀποσείσασθαι τὸ πρᾶγμα τοῦτο, ὃ τὴν μὲν ἀρχὴν εἰλήφει διὰ τῆς Ἀρείου τοῦ Ἀλεξανδρέως ἀπονοίας, ἰσχυροποιεῖτο δὲ παραχρῆμα διὰ τῆς Εὐσεβίου ἀτόπου τε καὶ ὀλεθρίας σπουδῆς. ἀλλ' αὐτὸς οὗτος Εὐσέβιος, προσφιλέστατοι καὶ τιμιώτατοι, μεθ' ὅσης νομίζετε συνδρομῆς ἅτε δὴ ὑπὸ τῆς συνειδήσεως αὐτῆς ἡττώμενος, μεθ' ὅσης δὲ αἰσχύνης τῇ πανταχόθεν ἐληλεγμένῃ ψευδολογίᾳ αὐτοῦ συνίστατο, ὑποπέμπων μέν μοι διαφόρους τοὺς ὑπὲρ αὐτοῦ ἀξιοῦντας, ἐξαιτούμενος δὲ παρ' ἐμοῦ συμμαχίαν τινὰ, ὅπως μὴ ἐπὶ τοσούτῳ ἐλεγχθεὶς πλημμελήματι, τῆς ὑπαρχούσης αὐτῷ ἐκπέσοι τιμῆς; μάρτυς ἐστί μοι τούτων αὐτὸς ὁ Θεὸς, ὃς ἐμοί τε καὶ ὑμῖν φιλαγάθως ἐπιμένοι· ὅτι καὶ ἐμὲ αὐτὸς ἐκεῖνος Εὐσέβιος περιέτρεψε, καὶ ἀπρεπῶς ὑφήρπασεν· ἀλλ' ἡ θεία με πρόνοια ἐπὶ τὴν ἀληθεστάτην αὐτῆς ὁδὸν ἐπανήγαγεν· ὃ καὶ ὑμεῖς ἐπέγνωτε, καὶ ἐπιγνώσεσθε. πάντα μὲν γὰρ ἐπράχθη παρ' αὐτοῦ τότε, Εὐσεβίου τοῦ ἀνοσίου λέγω, καθὼς αὐτός ἐπόθει, πᾶν ὁ, τιοῦν κακὸν ἐπὶ τῆς αὐτοῦ διανοίας ἀποκρυπτόμενος. ἀλλὰ πρώην, ἵνα τὰ λοιπὰ τῆς τούτου σκαιότητος, παρῶ, τί μάλιστα μετὰ Θεογνίου, ὃν τῆς ἀνοσίας αὐτοῦ πραιρέσεως ἔχει κοινωνὸν διεπράξατο, ἀκούσατε, παρακαλῶ. Ἀλεξανδρέας τινὰς τῆς ἡμετέρας πίστεως ἀναχωρήσαντας, ἐνταῦθα ἐκεκελεύκειν ἀποσταλῆναι, ἐπειδὴ διὰ τῆς τούτων ὑπηρεσίας, διχονοίας ἠγείρετο πυρσός. ἀλλ' οὗτοι οἱ καλοί τε καὶ ἀγαθοὶ ἐπίσκοποι, οὓς ἅπαξ ἡ τῆς συνόδου ἀλήθεια πρὸς μετάνοιαν ἐτετηρήκει, οὐ μόνον ἐδέξαντο ἐκείνους, καὶ παρ' ἑαυτοῖς ἠσφαλίσαντο. ἀλλὰ καὶ ἐκοινώνησαν αὐτοῖς τῆς τῶν τρόπων κακοηθείας. διὰ τοῦτο περὶ τοὺς ἀχαρίστους τούτους ἔκρινα πρᾶξαι. ἁρπαγέντας γὰρ αὐτοὺς ἐκέλευσα ὡς πορρωτάτω ἐξορισθῆναι. νῦν ἡμέτερόν ἐστι πρὸς τὸν θεὸν ἐκείνῃ τῇ πίστει βλέπειν ᾗ πάντοτε καὶ γεγενῆσθαι ἡμᾶς καὶ εἶναι πρέπει, καὶ διαπράξασθαι οὕτως, ἵνα ἐπισκόπους ἁγνούς τε καὶ ὀρθοδόξους καὶ φιλανθρώπους ἔχοντες χαίρωμεν. εἴτις δὲ πρὸς μνήμην τῶν λυμεώνων ἐκείνων, ἢ πρὸς ἔπαινον, ἀπρονοήτως ἐξαφθῆναι τολμήσει, παραχρῆμα τῆς ἰδίας τόλμης, διὰ τῆς τοῦ θεράποντος τοῦ Θεοῦ, τοῦτ' ἔστιν ἐμοῦ, ἐνεργείας ἀνασταλήσεται. ὁ Θεὸς ὑμᾶς διαφυλάξοι, ἀδελφοὶ ἀγαπητοί. ταῦτα καὶ τὰ τοιαῦτα ἡ τοῦ θεοφιλοῦς βασιλέως Κωνσταντίνου ἐπιστολὴ σαφέστατα ἔδειξε περὶ τοῦ ἀσεβοῦς Εὐσεβίου τοῦ Νικομηδείας, ὃς προσφύλαξ οὐ μόνον γέγονε τοῦ θεομισοῦς Λικινίου, ἀλλὰ καὶ συμμύστης καὶ ὑπουργὸς τῆς ἐκείνου τυραννίδος καὶ ἀσεβείας. βαδιῶ δὲ ἐντεῦθεν ἐπὶ τὴν προκειμένην τῆς ἐκκλησιαστικῆς ἱστορίας ὑπόθεσιν.

* ἴσ. συνεπεπράχει.

Περὶ τῆς κατὰ τοῦ ἀσεβοῦς Λικινίου νίκης τοῦ θεοφιλοῦς βασιλέως Κωνσταντίνου.

ΚΕΦΑΛ. ιά.

ΛΙΚΙΝΙΟΥ τοίνυν σὺν στρατιᾷ τῇ σὺν αὐτῷ ἀπὸ τῆς Νικομηδέων ἐξορμήσαντος ἐπὶ τὸ Βυζάντιον κατὰ τοῦ θεοφιλοῦς Κωνσταντίνου τοῦ βασιλέως ἐκεῖσε τότε παρόντος. τῶν δ' ἑκατέρων στρατιωτικῶν φαλάγγων τὸν Χριστοφόρον βασιλέα ἐν κύκλῳ αὐτῶν ἐχουσῶν, ἰδὼν ὁ ἀλιτήριος, καὶ τῶν οἰκείων δὲ στρατιωτῶν ἔρημον ἑαυτὸν θεασάμενος, ἐπὶ τὴν τῶν κρειττόνων ἀσπίδα προσπεφευγότων, τὰ μὲν πρῶτα κρυπτάζεσθαι ἐσπούδαζεν ἐν Χρυσοπόλει τῇ Βιθυνῶν· ἐπίνειον δὲ τοῦτο τῆς Χαλκηδόνος ἐστί. μὴ δυνηθεὶς δὲ, ἰδὼν ἑαυτὸν ἤδη πρηνῆ κείμενον ὑπὸ τοῖς Κωνσταντίνου τοῦ βασιλέως ποσὶν, ἐξέδωκεν ἑαυτόν. ζῶντα οὖν συλλαβὼν ὁ ἐπιεικέστατος καὶ εὐσεβέστατος βασιλεὺς, φιλανθρωπεύεται, καὶ κτείνει μὲν οὐδαμῶς, οἰκεῖν δὲ τὴν Θεσσαλονίκην προσέταξεν ἡσυχάζοντα. ὁ δὲ πρὸς ὀλίγον χρόνον ἡσυχάζειν ἐδόκει· μετὰ δὲ ταῦτα βαρβάρους τινὰς προσκαλούμενος, καὶ σὺν αὐτοῖς διασκεπτόμενος, ἀναμάχεσθαι τὴν ἧτταν ἐσπούδαζε. τοῦτο γνοὺς βασιλεὺς ὁ πιστότατος, ἀναιρεθῆναι τὸν θεομισῆ ἐκέλευσε· καὶ ἀνηρέθη* ὁ τοῦ Χριστοῦ καὶ τοῦ αὐτοῦ θεράποντος τύραννος.

* ἴσ. ἐπὶ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Περὶ τῶν μετὰ τὴν ἀναίρεσιν τοῦ ἀσεβοῦς Λικινίου, καὶ αὐτοκρατορίας τοῦ βασιλέως Κωνσταντίνου, καὶ εἰρήνης τῶν τοῦ Θεοῦ ἐκκλησιῶν.

ΚΕΦΑΛ. ά.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ τοίνυν πάντων γενόμενος ἐγκρατὴς, διὰ τῆς ἐκ Θεοῦ δοθείσης αὐτῷ* συνάρσεως, αὐτοκράτωρ βασιλεὺς ἀναδειχθεὶς, τὰ χριστιανῶν αὔξειν εἰσέτι μᾶλλον καὶ μᾶλλον ἐσπούδαζεν. ἐποίει τε τοῦτο διαφόροις τοῖς τρόποις, ἔμπυρον ἔχων πίστιν, καὶ ἔμφυτον τὴν εἰς τὸν τῶν ὅλων Θεὸν πιστοτάτην εὐσέβειαν. καὶ ἦν πᾶσα ἡ ὑπὸ τὸν οὐρανὸν ἐκκλησία ἐν βαθείᾳ εἰρήνη. ἀκούσωμεν δὴ τί ἐνταῦθα λέγει καὶ ὁ ἀροτὴρ ὁ* κάλλιστος τῆς ἐκκλισιαστικῆς γεωργίας, ὁ φιλαληθέστατος Εὐσέβιος ὁ τοῦ παμφήμου Παμφίλου. ὁ μὲν οὖν Λικίνιος, φησὶ, τὴν ὁμοίαν τοῖς ἀθέοις τυράννοις τῆς ἀσεβείας μετελθὼν ὁδὸν, ἐπὶ τὸν ἴσον αὐτοῖς ἐνδίκως περιηνέχθη κρημνόν. ἀλλ' οὗτος μὲν ταύτῃ περιβεβλημένος ἔκειτο· ὁ δὲ ἀρετῇ πάσῃ τῆς θεοσεβείας ἐκπρέπων μέγιστος, νικητὴς, Αὔγουστος Κωνσταντῖνος σὺν παιδὶ Κρίσπῳ βασιλεῖ θεοφιλεστάτῳ κατὰ πάντων τῷ πατρὶ ὁμοιοτάτῳ, τὴν οἰκείαν ἑῴαν ἀπελάμβανε, καὶ μίαν ἡνωμένην τὴν Ῥωμαίων κατὰ τὸ παλαιὸν παρεῖχον ἀρχὴν, τὴν ἀπ' ἀνίσχοντος ἡλίου πᾶσαν* ἐγκύκλιον καθ' ἑκάτερα τῆς οἰκουμένης, ἄρκτον τε ὁμοῦ καὶ μεσημβρίαν, εἰς ἔσχατα διομένης ἡμέρας ὑπὸ τὴν

* ἴσ. συνάρσεως.

* ἄριστος.

* ἐν κύκλῳ

αὐτῶν

αὐτῷ ἄγοντες εἰρήνην. ἀφηρεῖτο δ' οὐ ὀξ ἀνθρώπων πᾶν δέος τῷ πρὶν αὐτὸς πιεζόντων· λαμπρὰς δὲ ἑτέλουν καὶ πανηγυρικὰς ἑορτῶν ἡμέρας· ἦν δὲ φωτὸς ἔμπλεα τὰ πάντα· καὶ μειδιῶσι προσώποις, ὄμμασί τε φαιδροῖς, οἳ πρὶν κατηφεῖς, ἀλλήλους ἔβλεπον. (παρῆν δὲ αὐτοῖς.) καὶ ὕμνοι κατὰ πόλιν ὁμοῦ καὶ ἀγρὸς τὸν βασιλέα Θεὸν, καὶ τὸν τότε γνήσιον παῖδα Χριστὸν προὔτισα πάντων, ὅτι δὴ τοῦτο ἐδιδάχθησαν, ἐγέραιρον, καὶ ἔπειτα τὸν ὁσιβῆ βασιλέα ἅμα παισὶ * θεοφιλέστιν ἀφήμουν. κακῶν δὲ ἀμνησία παλαιῶν ἦν, καὶ λήθη πάσης δυσσεβείας· * τῶν δὲ ἀγαθῶν ἀπόλαυσις, καὶ προσέτι μελλόντων προσδοκία. ἥπλωντο οὖν κατὰ πάντα τόπον τῆς τοῦ νικητοῦ βασιλέως φιλανθρωπίας ἔμπλεοι διατάξεις, νόμοι τε μεγαλοδωρεᾶς καὶ ἀληθοῦς ὁσιβείας γνωρίσματα ἔχοντες. ὅτω δῆτα πάσης τυραννίδος ἐκκαθαρθείσης, μόνοις ἐφυλάττετο τὰ τῆς προσηκούσης βασιλείας βέβαιά τε καὶ ἀνεπίφθονα Κωνσταντίνῳ καὶ τοῖς τότε παισί. τοσοῦτο τῶν ἀρχαίων ἐκκλησιαστικῶν συγγραφέων ἀξιοπιστότατος Εὐσέβιος ὁ τοῦ Παμφίλου, πλείους ὅσους ἀγῶνας θέμενος, καὶ διερμηνεύσας, ἐκ τῶν ἁπλῶς ἐχόντων τὸν ἀναλογισμὸν ποιησάμενος, ὧν δέκα τόμοις ὅλοις τὰ τῆς ἐκκλησιαστικῆς ἡμῖν ἱστορίας ἀκριβῶς καταλέλοιπεν. ἀρξάμενος μὲν ἀπὸ τῆς τοῦ κυρίου παρουσίας, πληρώσας δὲ εἰς τόσδε τοὺς χρόνους, ἐξ ἀπόνως· πῶς γὰρ οἷόν τε λόγῳ τοσούτῳ ἀναδεξάμενον φροντίδα τοῦ διασώσασθαι τῆς τοιᾶσδε συλλογῆς τὴν ἁρμονίαν; ἀλλ' ὡς ἀρτίως ἔφην, πολλῷ εἰσενεγκάμενος τὸν σπουδὸν καὶ πλοῦτον ἄφατον πόνου, ἀλλὰ μηδεὶς οἰέσθω τὸν ἄνδρα ἐκ τῶν περὶ αὐτοῦ ἐπιπεφημισμένων, ὡς τῆς Ἀρείου βλασφημίας ποτέ τι πεφρονήκει. ἀλλὰ πεπείσθω, ὡς εἰ καί τιν' ἂν ἐλάλησεν ἢ ἔγραψε, μικρόντι τῶν Ἀρείου ὑστερούμενα, ἃ μὴ κατὰ τὴν ἀσεβῆ ἐκείνου σύνοιαν, ἀλλ' ὀξ ἀπειρίαν ἁπλότητος, καθὼς καὶ αὐτὸς ἐν τῷ ἀπολογιτικῷ, * ᾧ διεπέμψατο πρὸς τὸ τῶν ὀρθοδόξων ἐπισκόπων κοινὸν μαρτυράμενος, ταῦτα ἐπληροφόρησε. καὶ ἀληθεύειν τὸν ἄνδρα ὑπολάβοι πᾶς τις εὖ φρονῶν, ὁπότε σωίεσι, καὶ ὀξ ἐκείνου πεισθῆναι μήπω τότε πώποτε τὰ Ἀρείου ἀκολουθήσομεν. δείξει δὲ τὰ ἐν τῇ συνόδῳ τῇ κατὰ τῶν Νικαέων αὐτῷ ἠγωνισμένα κατὰ τῆς ἀσεβείας Ἀρείου ὑπὲρ τῆς ἀποστολικῆς καὶ ὀρθοδόξου πίστεως. ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τῆς ἐκκλησιαστικῆς ἱστορίας ἐπανίωμεν. τῆς ὃν ἀνὰ τὴν οἰκουμένην ἐκκλησίας Χριστοῦ τὸν σωτῆρα ἡμῶν εἰρήνην βαθεῖαν ἐχούσης, πρυτανευθείσης αὐτῇ ταύτης παρὰ τοῦ παμβασιλέως Θεοῦ, ὁμοῦ τοῦ θεράποντος αὐτοῦ Κωνσταντίνου καὶ τῶν αὐτοῦ παίδων, μὴ τὸ μαρτύριον τοῦ θεσπεσίου Πέτρου τοῦ τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπισκόπου γνωσθὲν, πλειωθὲν αὐτοῦ ἐν αὐτῷ τῷ μαρτυρίῳ, καὶ τὸν τῆς ἀθλήσεως ἄφθαρτον στέφανον ἀναδησάμενον, χηρεύει ἡ ἐκεῖσε ἐκκλησία ἐνιαυτὸν ὅλον· μὴ δὲ τὸν ἐνιαυτὸν χειροτονεῖται εἰς τὸν θρόνον αὐτοῦ τοῦ ἁγίου μάρτυρος Πέτρου Ἀχιλλᾶς, ἀνὴρ, σιβαρὸς καὶ μεγαλοφυὴς, ἀγιόφρων, ὁλαβείᾳ ὁμοῦ καὶ σοφίᾳ πλείστη ὅση διαφερέπων, καθὼς ἡμῖν τὰ παλαιὰ καὶ ἁπλανῶς ἔχοντα διηγοῦνται συγγράμματα· ὃς πολλὰ παρακληθεὶς ὑπεδέξατο τὸν Ἄρειον εἰς τιμὴν ὁμοῦ τοῦ θεράποντος αὐτοῦ καὶ τῶν αὐτοῦ παίδων, μὴ τὸ μαρτύριον τοῦ θεσπεσίου Πέτρου τοῦ τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπισκόπου γνωσθὲν, πλειωθὲν αὐτοῦ ἐν αὐτῷ τῷ μαρτυρίῳ, καὶ τὸν τῆς ἀθλήσεως ἄφθαρτον στέφανον ἀναδησάμενον, χηρεύει ἡ ἐκεῖσε ἐκκλησία ἐνιαυτὸν ὅλον· μὴ δὲ τὸν ἐνιαυτὸν χειροτονεῖται εἰς τὸν θρόνον αὐτοῦ τοῦ ἁγίου μάρτυρος Πέτρου Ἀχιλλᾶς, ἀνὴρ, σιβαρὸς καὶ μεγαλοφυὴς, ἀγιόφρων, ὁλαβείᾳ ὁμοῦ καὶ σοφίᾳ πλείστη ὅση διαφερέπων, καθὼς ἡμῖν τὰ παλαιὰ καὶ ἁπλανῶς ἔχοντα διηγοῦνται συγγράμματα· ὃς πολλὰ παρακληθεὶς ὑπεδέξατο τὸν Ἄρειον εἰς τιμὴν ὁμοῦ τοῦ θεράποντος αὐτοῦ Κωνσταντίνου

γραφαῖς, τηρεῖν τὸν σύνδεσμον τῆς ὁμονοίας καὶ εἰρήνης, ἀκόλουθόν ἐστι γράφειν ἡμᾶς, καὶ σημαίνειν ἀλλήλοις τὰ παρ' ἑκάστοις γινόμενα· ἵνα εἴτε πάσχει, εἴτε χαίρει ἓν μέλος, ἢ συμπάσχωμεν, ἢ συγχαίρωμεν ἀλλήλοις. ἐν τῇ ἡμετέρᾳ τοίνυν παροικίᾳ ἐξῆλθον νῦν ἄνδρες παράνομοι καὶ χριστομάχοι, διδάσκοντες ἀποστασίαν, ἣν εἰκότως ἄν τις πρόδρομον τοῦ ἀντιχρίστου ὑπονοήσειε καὶ καλέσειε. καὶ ἐβουλόμην μὲν σιωπῇ παραδοῦναι τὸ τοιοῦτον, ὅπως ἐν τοῖς ἀποστάταις μόνοις ἀναλωθῇ τὸ κακὸν, καὶ μὴ εἰς ἑτέρους τόπους διαβὰν τὸ τοιοῦτο, ῥυπώσῃ τινῶν ἀκεραίων τὰς ἀκοάς. ἐπειδὴ δὲ Εὐσέβιος νῦν ἐν τῇ Νικομηδείᾳ, νομίσας ἐπ' αὐτῷ κεῖσθαι τὰ τῆς ἐκκλησίας, ὅτι καταλείψας τὴν Βηρυτὸν, καὶ ἐποφθαλμίσας τῇ ἐκκλησίᾳ Νικομηδέων, οὐκ * ἐκδεδίκηται τὰ κατ' αὐτὸν, προΐσταται καὶ τούτων τῶν ἀποστατῶν, καὶ γράφειν ἐπεχείρησε πανταχοῦ συνιστῶν αὐτοὺς, ὅπως ὑποσύρῃ τινὰς ἀγνοοῦντας εἰς τὴν ἐσχάτην ταύτην καὶ χριστομάχον αἵρεσιν· ἀνάγκην ἔσχον, εἰδὼς τὸ ἐν τῷ νόμῳ γεγραμμένον, μηκέτι μὲν σιωπῆσαι, ἀναγγεῖλαι δὲ λοιπὸν πᾶσιν ὑμῖν, ἵνα γινώσκητε τούστε ἀποστάτας γενομένους, καὶ τὰ τῆς αἱρέσεως αὐτῶν δύστηνα ῥήματα. καὶ ἐὰν γράφῃ Εὐσέβιος, * προσέχητε. παλαιὰν γὰρ αὐτοῦ κακόνοιαν, τὴν χρόνῳ σιωπηθεῖσαν, νῦν διὰ τούτων ἀνανεῶσαι βουλόμενος, σχηματίζεται μὲν ὡς ὑπὲρ τούτων * γράφειν, ἔργῳ δὲ δείκνυσιν, ὅτι ὑπὲρ αὐτοῦ σπουδάζων τοῦτο ποιεῖ. οἱ μὲν οὖν ἀποστάται γενόμενοι, εἰσὶν Ἄρειος, καὶ * Ἀχιλλεὺς, καὶ * Θαλῆς, καὶ Καρπώνης, καὶ ἕτερος Ἄρειος, καὶ Σαρμάτης, καὶ Εὐζώϊος, καὶ Λούκιος, καὶ Ἰούλιος, καὶ Μηνᾶς, καὶ Ἑλλάδιος, καὶ Γαΐος, ὃς σὺν αὐτοῖς Σεκοῦνδος, καὶ Θεωνᾶς, οἵ ποτε λεχθέντες ἐπίσκοποι. ποῖα δὲ παρὰ τὰ γραφὰς ἐφευρόντες λαλοῦσιν, ἐστι ταῦτα. δόγμα Ἀρείου· οὐκ ἀεὶ ὁ Θεὸς πατὴρ ἦν, ἀλλ' ἦν ὅτε ὁ Θεὸς πατὴρ οὐκ ἦν. οὐκ ἀεὶ ἦν ὁ τοῦ Θεοῦ λόγος, ἀλλ' ἐξ οὐκ ὄντων γέγονεν· ὁ γὰρ ὢν Θεὸς τὸν μὴ ὄντα ἐκ τοῦ μὴ ὄντος πεποίηκε. διὸ καὶ ἦν ποτὲ, ὅτε οὐκ ἦν· κτίσμα γάρ ἐστι καὶ ποίημα ὁ υἱός. οὔτε δὲ ὅμοιος κατ' οὐσίαν τῷ πατρί ἐστιν, οὔτε ἀληθινὸς καὶ φύσει τοῦ πατρὸς λόγος ἐστὶν, οὔτε ἀληθινὴ σοφία αὐτοῦ ἐστιν· ἀλλὰ εἷς μὲν τῶν ποιημάτων καὶ γενητῶν ἐστι, καταχρηστικῶς δὲ λέγεται λόγος καὶ σοφία, γενόμενος καὶ αὐτὸς τῷ ἰδίῳ τοῦ Θεοῦ λόγῳ, καὶ τῇ ἐν τῷ Θεῷ σοφίᾳ, ἐν ᾗ καὶ τὰ πάντα, καὶ αὐτὸν πεποίηκεν ὁ Θεός. διὸ καὶ τρεπτὸς ἐστὶ, καὶ ἀλλοιωτὸς τὴν φύσιν, ὡς καὶ πάντα τὰ λογικά. ξένος τε καὶ ἀλλότριος, καὶ ἀπεσχοινισμένος ἐστὶν ὁ λόγος τῆς τοῦ Θεοῦ οὐσίας, καὶ ἄρρητός ἐστιν ὁ πατὴρ τῷ υἱῷ. οὔτε γὰρ τελείως καὶ ἀκριβῶς γινώσκει ὁ υἱὸς τὸν πατέρα, οὔτε ὁρᾷν αὐτὸν δύναται. ὃς γὰρ καὶ αὐτοῦ τὴν οὐσίαν οὐκ οἶδεν ὁ υἱὸς, ὡς ἔστι. δι' ἡμᾶς γὰρ πεποίηται, ἵνα ἡμᾶς δι' αὐτοῦ ὡς δι' ὀργάνου κτίσῃ ὁ Θεός. καὶ οὐκ ἂν ὑπέστη, εἰ μὴ ἡμᾶς ὁ Θεὸς ἤθελε ποιῆσαι. ἠρώτησε γοῦν τις αὐτοὺς, εἰ δύναται ὁ τοῦ Θεοῦ λόγος τραπῆναι, ὡς ὁ διάβολος ἐτράπη· καὶ οὐκ ἐφοβήθησαν εἰπεῖν, ὅτι ναὶ δύναται.

* ἐκδίδοκται. κατ' αὐτοῦ.

* μὴ προσέχετε.

* γράψων.

* Ἀχιλλᾶς.
* Ἀειθαλῆς.

τρεπτῆς γὰρ φύσεώς ἐστι, γενητὸς καὶ κτιστὸς ὑπάρχων. ταῦτα λέγοντας τοὺς περὶ Ἄρειον, καὶ ἐπὶ τούτοις ἀναισχυντοῦντας, αὐτούς τε καὶ τοὺς συνακολουθήσαντας αὐτοῖς, ἡμεῖς μὲν μετὰ τῶν κατ' Αἴγυπτον καὶ τὰς Λιβύας ἐπισκόπων, ἐγγὺς ἑκατὸν ὄντων, συνελθόντες, ἀνεθεματίσαμεν. οἱ δὲ περὶ Εὐσέβιον προσεδέξαντο, σπουδάζοντες ἐγκαταμίξαι τὸ ψεῦδος τῇ ἀληθείᾳ, καὶ τῇ εὐσεβείᾳ τὴν ἀσέβειαν· ἀλλ' οὐκ ἰσχύουσι. νικᾷ γὰρ ἡ ἀλήθεια. καὶ οὐδεμία ἐστὶ κοινωνία φωτὶ πρὸς σκότος, οὐδὲ συμφώνησις Χριστοῦ πρὸς βελίαρ. τίς γὰρ ἤκουσε πώποτε τοιαῦτα; ἢ τίς νῦν ἀκούων οὐ ξενίζεται, καὶ τὰς ἀκοὰς βύει, ὑπὲρ τοῦ μὴ τὸν ῥύπον τούτων τῶν ῥημάτων ψαῦσαι τῆς ἀκοῆς; τίς γὰρ ἀκούων Ἰωάννου λέγοντος· ἐν ἀρχῇ ἦν ὁ λόγος, οὐ καταγινώσκει τούτων λεγόντων. ἦν ποτε ὅτε οὐκ ἦν; ἢ τίς ἀκούων ἐν τῷ εὐαγγελίῳ· ὁ μονογενὴς υἱός· καὶ δι' αὐτοῦ ἐγένετο πάντα. οὐ * μισήσει τούτους φθεγγομένους, ὅτι εἷς ἐστι τῶν ποιημάτων; πῶς γὰρ δύναται εἷς εἶναι τῶν δι' αὐτοῦ γενομένων, ἢ πῶς μονογενὴς ὁ τοῖς πᾶσι, κατ' ἐκείνους, συναριθμούμενος; πῶς δὲ ἐξ οὐκ ὄντων ἂν εἴη, τοῦ πατρὸς λέγοντος· ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν· καὶ, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε; ἢ πῶς ἀνόμοιος τῇ οὐσίᾳ τοῦ πατρὸς ὁ ὢν εἰκὼν τελεία καὶ ἀπαύγασμα τοῦ πατρὸς, καὶ λέγων· ὁ ἐμὲ ἑωρακὼς, ἑώρακε τὸν πατέρα; πῶς δὲ, εἰ λόγος καὶ σοφία ἐστὶ τοῦ Θεοῦ ὁ υἱὸς, ἦν ποτε ὅτε οὐκ ἦν; ἴσον γάρ ἐστιν αὐτοὺς λέγειν ἄλογον καὶ ἄσοφόν ποτε τὸν Θεόν. πῶς δὲ τρεπτὸς, καὶ ἀλλοιωτὸς ὁ λέγων δι' ἑαυτοῦ μὲν, ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· καὶ, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· διὰ δὲ τοῦ προφήτου· ἴδετέ με, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι; εἰ γὰρ καὶ ἐπ' αὐτόν τις τὸν πατέρα δύναται τὸ ῥητὸν ἀναφέρειν, ἀλλὰ ἁρμοδιώτερον ἂν εἴη, περὶ τοῦ λόγου νῦν λεγόμενον, ὅτι καὶ γενόμενος ἄνθρωπος, οὐκ ἠλλοίωται, ἀλλ' ὡς εἶπεν ὁ ἀπόστολος, Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. τί δὲ ἄρα εἰπεῖν αὐτοὺς ἔπεισεν, ὅτι δι' ἡμᾶς γέγονε, καί τοι τοῦ Παύλου λέγοντος. δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα. περὶ γὰρ τοῦ βλασφημεῖν αὐτοὺς, ὅτι οὐκ οἶδε τελείως ὁ υἱὸς τὸν πατέρα, οὐ δεῖ θαυμάζειν. ἅπαξ γὰρ προθέμενοι χριστομαχεῖν, παρακρούονται καὶ τὰς φωνὰς αὐτοῦ λέγοντος. καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα. εἰ μὲν οὖν ἐκ μέρους ὁ πατὴρ γινώσκει τὸν υἱὸν, δῆλον ὅτι καὶ ὁ υἱὸς μὴ τελείως γινώσκει τὸν πατέρα. εἰ δὲ τοῦτο λέγειν οὐ θέμις, οἶδε δὲ τελείως ὁ πατὴρ τὸν υἱὸν, δῆλον ὅτι καθὼς γινώσκει ὁ πατὴρ τὸν ἑαυτοῦ λόγον, οὕτως καὶ ὁ λόγος γινώσκει τὸν ἑαυτοῦ πατέρα, οὗ καὶ ἔστι λόγος. ταῦτα λέγοντες, καὶ ἀναπτύσσοντες τὰς θείας γραφὰς, πολλάκις ἐνετρέψαμεν αὐτούς. καὶ πάλιν ὡς χαμαιλέοντες μετεβάλλοντο, φιλονεικοῦντες εἰς ἑαυτοὺς ἐφελκύσαι τὸ γεγραμμένον· ὅταν ἀσεβὴς ἔλθῃ εἰς βάθος κακῶν, καταφρονεῖ. πολλαὶ γοῦν αἱρέσεις πρὸ αὐτῶν γεγόνασιν, αἵ τινες πλέον τοῦ δέοντος τολμήσασαι, πεπτώκασιν εἰς ἀφροσύνην.

* μισήσει

οὗτοι.

ὅτοι δὲ δι' ἁπάντων ἑαυτῶν τῷ ῥηματίων ἐπιχειρήσαντες τὰ εἰς ἀναίρεσιν τῆς τοῦ λόγου θεότητος, ἐδικαίωσαν ἐξ ἑαυτῶν ἐκείνας, ὡς ἐγγύτεροι τοῦ ἀντιχείσθαι νενόμιμοι. διὸ καὶ ἐπεκηρύχθησαν, καὶ ἀνεθεματίσθησαν ἀπὸ τῆς ἐκκλησίας. λυπούμεθα μὲν ἐπὶ τῇ ἀπωλείᾳ τούτων, καὶ μάλιστα, ὅτι μαθόντες ποτὲ καὶ αὐτοὶ τὰ τῆς ἐκκλησίας, νῦν ἀπεπήδησαν· ἃ ξενιζόμεθα δέ. τοῦτο δὲ καὶ Τιμόθεος καὶ Φιλητὰς πεπόνθασι, καὶ πρὸ αὐτῶν Γάϊος * ὁ ἀκολουθήσας τῷ σωτῆρι, ὕστερον προδότης καὶ ἀποστάτης γέγονε. καὶ περὶ τούτων δὲ αὐτῶν οὐκ ἀδίδακτοι μεμενήκαμεν, ἀλλ' ὁ μὲν κύριος προείρηκε. βλέπετε μή τις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· ὅτι ἐγώ εἰμι, καὶ ὁ καιρὸς ἤγγικε· καὶ πολλοὺς πλανήσουσι· μὴ πορευθῆτε ὀπίσω αὐτῶν· ὁ δὲ Παῦλος μαθὼν ταῦτα παρὰ τοῦ σωτῆρος, ἔγραψεν· ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες ἀπὸ τῆς ὑγιαινούσης πίστεως, προσέχοντες πνεύμασι πλάνης, καὶ διδασκαλίαις δαιμονίων ἀποτρεφομένων τὴν ἀλήθειαν. τοῦ τοίνυν κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διά τε ἑαυτοῦ παραγγείλαντος, καὶ διὰ τοῦ ἀποστόλου σημάναντος περὶ τῶν τοιούτων, ἀκολούθως ἡμεῖς αὐτήκοοι τῆς ἀσεβείας αὐτῶν γενόμενοι, ἀνεθεματίσαμεν, καθὰ * προείπομεν, τοὺς τοιούτους, ἀποδείξαντες αὐτοὺς ἀλλοτρίους τῆς καθολικῆς ἐκκλησίας τε καὶ πίστεως. ἐδηλώσαμεν δὲ καὶ τῇ ὑμετέρᾳ θεοσεβείᾳ, ἀγαπητοὶ καὶ τιμιώτατοι συλλειτουργοί, ἵνα μήτε τινὰς ἐξ αὐτῶν, εἰ προπετεύσαιντο καὶ πρὸς ὑμᾶς ἐλθεῖν, μὴ προσδέξησθε, μήτε Εὐσεβίῳ, ἢ ἑτέρῳ τινὶ γράφοντι περὶ αὐτῶν, πείθησθε. πρέπει γὰρ ἡμᾶς Χριστιανοὺς ὄντας, τοὺς τοῦ Χριστοῦ λέγοντάς τε καὶ φρονοῦντας, ὡς θεομάχους καὶ φθορέας τῶν ψυχῶν ἀποστρέφεσθαι, καὶ μηδὲ χαίρειν τοῖς τοιούτοις λέγειν· ἵνα μήποτε καὶ ταῖς ἁμαρτίαις αὐτῶν κοινωνοὶ γενώμεθα, ὡς παρήγγειλεν ὁ μακάριος Ἰωάννης. προσέχετε τοὺς παρ' ὑμῖν ἀδελφούς. ὑμᾶς οἱ σὺν ἐμοὶ προσαγορεύουσιν.

* ἴσ. ὅς.

* προεῖπον.

Ἀλεξανδρείας πρεσβύτεροι.

ΚΟΛΛΟΥΘΟΣ πρεσβύτερος σύμψυφός εἰμι τοῖς γεγραμμένοις, καὶ τῇ καθαιρέσει Ἀρείου, καὶ τῶν σὺν αὐτῷ ἀσεβησάντων.

Ἀλέξανδρος πρεσβύτερος, ὁμοίως.
Διόσκορος πρεσβύτερος, ὁμοίως.
Διονύσιος πρεσβύτερος, ὁμοίως.
Εὐσέβιος πρεσβύτερος, ὁμοίως.
Ἀλέξανδρος πρεσβύτερος, ὁμοίως.
Σίλας πρεσβύτερος, ὁμοίως.
Ἀρποχρατίων πρεσβύτερος, ὁμοίως.
Ἀγαθὸς πρεσβύτερος, ὁμοίως.
Νεμέσιος πρεσβύτερος, ὁμοίως.
Λόγγος πρεσβύτερος, ὁμοίως.
Σιλβανὸς πρεσβύτερος, ὁμοίως.
Πρωὼς πρεσβύτερος, ὁμοίως.
Ἄπις πρεσβύτερος, ὁμοίως.
Προτέριος πρεσβύτερος, ὁμοίως.
Παῦλος πρεσβύτερος, ὁμοίως.
Κῦρος πρεσβύτερος, ὁμοίως.

Διάκονοι.

Ἀμμώνιος διάκονος, ὁμοίως.
Μακάριος διάκονος, ὁμοίως.
Πιστὸς διάκονος, ὁμοίως.
Ἀθανάσιος διάκονος, ὁμοίως.
Ἀπολλώνιος διάκονος, ὁμοίως.
Εὔμβιος διάκονος, ὁμοίως.
Ὀλύμπιος διάκονος, ὁμοίως.
Ἀφθόνιος διάκονος, ὁμοίως.
Μακάριος διάκονος, ὁμοίως,
Παῦλος διάκονος, ὁμοίως.
Πέτρος διάκονος, ὁμοίως.
Ἀμμωνιανὸς διάκονος, ὁμοίως.
Γάϊος διάκονος, ὁμοίως.

Μαρεώτου πρεσβύτεροι.

Ἀπολλὼς πρεσβύτερος, ὁμοίως.
Ἰγνάτιος πρεσβύτερος, ὁμοίως.
Ἀμμωνᾶς πρεσβύτερος, ὁμοίως.
Διόσκορος πρεσβύτερος, ὁμοίως.
Σωρᾶς πρεσβύτερος, ὁμοίως.
Θέων πρεσβύτερος, ὁμοίως.
Τύραννος πρεσβύτερος, ὁμοίως.
Κάστρης πρεσβύτερος, ὁμοίως.
Ἀμμωνᾶς πρεσβύτερος, ὁμοίως.
Ὠρίων πρεσβύτερος, ὁμοίως.
Σερῆνος πρεσβύτερος, ὁμοίως.
Δίδυμος πρεσβύτερος, ὁμοίως.
Ἡρακλῆς πρεσβύτερος, ὁμοίως.
Βάκχων πρεσβύτερος, ὁμοίως.
Ἀγαθὸς πρεσβύτερος, ὁμοίως.
Ἀχιλλᾶς πρεσβύτερος, ὁμοίως.

Διάκονοι.

Σαραπίων διάκονος, ὁμοίως.
Ἰσὰς διάκονος, ὁμοίως.
Δίδυμος διάκονος, ὁμοίως.
Δημήτριος διάκονος, ὁμοίως.
Μαῦρος διάκονος, ὁμοίως.
Κομὼν διάκονος, ὁμοίως.
Μάρκος διάκονος, ὁμοίως.
Ἀλέξανδρος διάκονος, ὁμοίως.
Τρύφων διάκονος, ὁμοίως.
Ἀμμώνιος διάκονος, ὁμοίως.
Δίδυμος διάκονος, ὁμοίως.
Πτωλεμαίων διάκονος, ὁμοίως.
Σέρας διάκονος, ὁμοίως.
Γαῖος διάκονος, ὁμοίως.
Γέραξ διάκονος, ὁμοίως.
Μάρκος διάκονος, ὁμοίως.

Τοιαῦτα τοῖς ἀποστηχθεῖσι κατὰ πόλιν Ἀλεξάνδρειαν γράφοντος, χεῖρον ἐχθρὸν τὸ κακὸν. ταῦτα γνοὺς ὁ βασιλεὺς Κωνσταντῖνος, καὶ τῷ ψυχρῷ ὑπεραλγήσας, συμφορά τε οἰκείαν τὸ πρᾶγμα ἡγούμενος, παραχρῆμα τὸ ἀναφθὲν κακὸν κατασβέσαι σπεύδων, γράμματα πρὸς Ἀλέξανδρον καὶ Ἄρειον διαπέμπεται δι' ἀνδρὸς ἀξιοπίστου, ἐπισκόπου πόλεως μιᾶς τῆς Σπανιῶν Κορδύβης· ἐτεθαύμαστο γὰρ καὶ διὰ τιμῆς ἦγεν ὁ βασιλεύς.

Ἐπι-

Ἐπιστολὴ Κωνσταντίνου βασιλέως πρὸς Ἀλέξανδρον καὶ Ἄρειον ὑπαπεμφθεῖσα διὰ Ὁσίου ἐπισκόπου Κορδόβης.

ΚΕΦΑΛ. δ'.

Νικητὴς Κωνσταντῖνος, μέγιστος, σεβαστός, Ἀλεξάνδρῳ καὶ Ἀρείῳ.

ΜΑΝΘΑΝΩ ἐκεῖθεν ὑπῆρχθαι τὸ παρόντος ζητήματος τῷ καταβολῷ, ὅτε σὺ αὐτός, ὦ πάπερ Ἀλέξανδρε, παρὰ τῶν πρεσβυτέρων ἐζήτεις, τί δή ποτε αὐτῶν ἕκαστος φρονεῖ ὑπέρ τινος τόπου τῶν ἐν τῷ νόμῳ γεγραμμένων, μᾶλλον δὲ ὑπὲρ ματαίου τινὸς ζητήματος μέρους πυνθάνοιο· σύτε ὦ Ἄρειε, ὅπερ ἢ μήτε τῷ ἀρχῷ ἐνθυμηθῆναί σε ἔδει, ἢ ἐνθυμηθέντα σιωπῇ παραδοῦναι προσῆκον ἦν, ἀπροόπτως ἀντέθηκας. ὅθεν τῆς ἐν ὑμῖν διχονοίας ἐγερθείσης, ἡ μὲν σύνοδος ἠρνήθη, ὁ δὲ ἁγιώτατος λαὸς εἰς ἀμφοτέρους σχισθείς, ἐκ τῆς τοῦ κοινοῦ σώματος ἁρμονίας ἐχωρίσθη· ἔχων ἑκάτερος ὑμῶν ὀξ ἴσα τῷ * γνώμῃ παραχωρῶν, ὅπερ ἂν ὑμῖν ὁ σωθεράπων ὑμῶν δικαίως παραινεῖ, δεξάσθω. τί δὲ τοῦτό ἐστιν; οὔτε ἐρωτᾶν ὑπὲρ τῶν τοιούτων ὀξ ἀρχῆς προσῆκον ἦν, οὔτε ἐπερωτώμενον ἀποκρίνασθαι. τὰς γὰρ τοιαύτας ζητήσεις πάσας οὐ νόμου τινὸς ἀνάγκη προστάττει, ἀλλὰ ἀνωφελοῦς ἀργίας ἐρεχελία προτίθησιν· εἰ καὶ φυσικῆς τινος γυμνασίας εἵνεκα γίνοιτο, ὅμως ὀφείλομεν ἔσω τῆς διανοίας ἐγκλείειν, καὶ μὴ προχείρως εἰς δημοσίας σωῳδοὺς ἐκφέρειν, μηδὲ ταῖς πάντων ἀκοαῖς ἀπρονοήτως πίπτειν. πόσος γάρ ἐστιν ἕκαστος, ὥστε πραγμάτων οὕτω μεγάλων καὶ λίαν δυσχερῶν δύναμιν ἢ πρὸς τὸ ἀκριβὲς σωιδεῖν, ἢ κατ' ἀξίαν ἑρμηνεῦσαι; καὶ μέντοι βραχέα· οὐκοῦν * φλυκτέον ἐν τοῖς τοιούτοις τῆς πολυλογίας, ἵνα μήπως ἡμῶν ἀσθενείᾳ τῆς φύσεως τὸ προπετὲς ἑρμηνεῦσαι μὴ δυνηθέντων, ἢ τῶν διδασκομένων ἀκροατῶν βραδυτέρα σύνεσις πρὸς ἀκριβῆ τοῦ ῥηθέντος κατάληψιν ἐλθεῖν μὴ * χωρήσασα, αὖθις ἐξ ἑκατέρου τούτων ἢ βλασφημίας, ἢ σχίσματος, εἰς ἀνάγκην ὁ δῆμος πέσοι. καὶ μεθ' ἕτερα. τὸ γὰρ διχονοεῖν οὔτε πρέπον, οὔτε ὅλως θεμιτὸν εἶναι πίστεται. ἵνα δὲ μικρῷ παραδείγματι τὴν ὑμετέραν σύνεσιν ὑπομνήσαιμι, ἴστε δήπου καὶ τοὺς φιλοσόφους αὐτοὺς ὡς ἐν σοὶ μοῦ ἅπαντες δόγματι σωτίθενται. πολλάκις δὲ ἐπειδὰν σύτινι τῶν ἀποφάσεων μέρει διαφωνῶσιν. εἰ καὶ τῇ τῆς ἐπιστήμης ἀρετῇ χωρίζονται, τῇ μοῦ τοι τοῦ * σώματος σύνεσει πάλιν εἰς ἀλλήλους ἐμπνέουσιν. εἰ δὲ τοῦτό ἐστι, πῶς οὐ πολλῷ δικαιότερον ὑμᾶς, τοὺς τοῦ μεγίστου Θεοῦ θεράποντας καθεσῶτας, ἐν τοιαύτῃ προαιρέσει θρησκείας ὁμοψύχους ἀλλήλοις εἶναι; ἐπισκεψώμεθα δὴ λογισμῷ μείζονι, καὶ πλείονι σωέσει τὸ ῥηθὲν ἐνθυμηθῶμεν, εἴπερ ὀρθῶς ἔχει, δι' ὀλίγας καὶ ματαίων ῥημάτων ἐν ὑμῖν φιλονεικίας, ἀδελφὸς ἀδελφοῖς ἀντικεῖσθαι, καὶ τέκνα πατρί, καὶ τὸ τῆς συνόδου τίμιον ἀσεβεῖ διχονοίᾳ χωρίζεσθαι δι' ὑμῶν. ἀποσῶμεν ἐκόντες τῷ διαβολικῶν πειρασμῶν. ὁ μέγας ἡμῶν Θεὸς, ὁ σωτὴρ πάντων, κοινὸν ἅπασι τὸ φῶς ὀξέτειναν· ὑφ' οὗ τῇ προνοίᾳ ταύτην ἐμοὶ τῷ θεραπευτῇ τοῦ κρείττονος τὴν σπουδὴν εἰς τέλος ἐνεγκεῖν συγχωρήσατε, ὅπως ὑμᾶς τοὺς ἐκείνου δήμους ἐμῇ προσφωνήσει καὶ ὑπηρεσίᾳ, καὶ νουθεσίας ἐνστάσει πρὸς τὴν τῆς συνόδου ἁγίαν κοινωνίαν ἐπαγάγοιμι. καὶ μεθ' ἕτερα· περὶ μοῦ τῆς θείας προνοίας μία τις ἐν ὑμῖν ἔσω πίστις, μία σύνεσις, μία συνθήκη τοῦ κρείττονος. ἃ δὲ ὑπὲρ τῶν ἐλαχίστων τούτων ζητήσεων ἐν ἀλλήλοις ἀκριβολογεῖσθε, κἂν μὴ πρὸς μίαν γνώμην συμφέρητε, μοῦνον εἰσω λογισμῷ προσήκει, τῷ τῆς διανοίας ἀπορρήτῳ τηρούμενα. τὸ μοῦ τοι τῆς κοινῆς φιλίας ὀξαίρετον, καὶ ἡ τῆς ἀληθείας πίστις, ἥτε περὶ τὸν Θεὸν καὶ τοῦ νόμου θρησκείαν τιμὴ μοῦνέτω παρ' ὑμῖν ἀσάλευτος. ἐπανέλθετε δὴ πρὸς τὴν ἀλλήλων φιλίαν τε καὶ χάριν· ἀπόδοτε τῷ σύμπαντι λαῷ τὰς οἰκείας περιπλοκάς· ὑμεῖς τε αὐτοί, καθάπερ τὰς ἑαυτῶν ψυχὰς ἐκκαθάραντες, αὖθις ἀλλήλους ἐπίγνωτε. * ἡδεῖα γὰρ πολλάκις γίνεται φιλία μετὰ τὴν τῆς ἔχθρας ἀπόθεσιν, αὖθις εἰς καταλλαγὴν ἐπανελθοῦσα. ἀπόδοτε οὖν μοι γαληνὰς μὲν ἡμέρας, νύκτας δὲ ἀμερίμνους, ἵνα κἀμοί τις ἡδονὴ καθαροῦ φωτὸς, καὶ βίου λοιπὸν ἡσύχου σωφροσύνη σώζηται. εἰ δὲ μή, σχέτλιον ἀνάγκη, καὶ δακρύοις δι' ὅλου συνέχεσθαι, καὶ μηδὲ τὸν τοῦ ζῆν αἰῶνα πράως ὑφίσασθαι. τῶν γάρ τοι τοῦ Θεοῦ λαῶν, τῶν συνθεραπόντων λέγω τῶν ἐμῶν, οὕτως ἀδίκως καὶ βλαβερᾶς πρὸς ἀλλήλους φιλονεικίας κεχωρισμένων, ἐμὲ πῶς συχωρεῖ τῷ λογισμῷ σωθῆναι λοιπόν; ἵνα δὲ τῆς ἐμοὶ τούτου λύπης τῷ ὑπερβολῷ αἰσθήσησθε, ἀκούσατε. πρώην ἐπισκὰς τὴν Νικομηδέων πόλιν παραχρῆμα εἰς τὸν ἑῷον ἠπειγόμην τὴν γνώμην. σπεύδοντι δέ μοι πρὸς ὑμᾶς ἤδη, καὶ τῷ πλείονι μέρει σῷ ὑμῖν ὄντι, ἡ τόδε τὸ πράγματος ἀγγελία πρὸς τὸ ἔμπαλιν τὸν λογισμὸν ἀνεκαίτισεν· ἵνα μὴ τοῖς ὀφθαλμοῖς ὁρᾶν ἀναγκασθείσῃ, ἃ μηδὲ ταῖς ἀκοαῖς προσεῖσθαι δυνατὸν ἡγοῦμαι. ἀνοίξατε δή μοι λοιπὸν ἐν τῇ καθ' ὑμᾶς ὁμονοίᾳ τῆς ἑῴας τὴν ὁδὸν, καὶ ταῖς πρὸς ἀλλήλους φιλονεικίαις ἀπεκλείσατέ μοι· καὶ συγχωρήσατε θᾶττον ὑμᾶς τε ὁμοῦ καὶ τοὺς ἄλλους ἅπαντας δήμους ἐπιδεῖν χαίροντας, καὶ τὴν ὑπὲρ τῆς κοινῆς ἁπάντων ὁμονοίας τε καὶ ἐλευθερίας ὀφειλομένην χάριν, ἐπ' εὐφήμοις λόγων συνθήμασιν, ὁμολογῆσαι τῷ κρείττονι.

Τοιαῦτα μὲν θαυμαστὰ, καὶ σοφίας μεστὰ παρήνει ἡ τοῦ βασιλέως ἐπιστολή. τὸ δὲ κακὸν ἐπικρατέστερον καὶ τῆς βασιλέως σωῳδοῦς, καὶ τῆς ἀξιοπιστίας τοῦ διαγνωσμένου τοῖς γράμμασι.

Ὅπως ὁ θεοφιλέστατος βασιλεὺς Κωνσταντῖνος σύνοδον ἐπισκόπων ἐπὶ τῆς Νικαέων κελεύει γενέσθαι.

ΚΕΦΑΛ. ε'.

ΟΡΩΝ τοίνυν ὁ βασιλεὺς ταραττομένην τὴν ἐκκλησίαν, σύνοδον οἰκουμενικὴν συγκροτεῖ, τοὺς πανταχόθεν ἐπισκόπους ὀξὺ γραμμάτων εἰς Νίκαιαν τῆς Βιθυνίας ἀπαντῆσαι παρακαλῶν· ἦν δὲ αὕτη ἐκκαιδέκατον ἔτος· καὶ μικροῦ ἐξ τῆς βασιλείας, ὅτε ταῦτα αὐτῷ ὑπὲρ τῆς ἐκκλησιαστικῆς εἰρή-

* συγγνώμῃ.

* ἀφικτέον.

* χωρησάντων.

* δόγματος.

εἰρήνης ἐσπούδαστο. παρῆσάν τε ἐκ πολλῶν ἐπαρχιῶν τε καὶ πόλεων οἱ ἐπίσκοποι, περὶ ὧν ὁ Παμφίλου Εὐσέβιος ἐν τῷ τρίτῳ βιβλίῳ τῶν εἰς τὸν Κωνσταντίνου βίον, τάδε κατὰ λέξιν φησίν· τῶν γοῦν ἐκκλησιῶν ἁπασῶν, αἳ τὴν Εὐρώπην ἅπασαν, Λιβύην τε καὶ τὴν Ἀσίαν ἐπλήρουν, ὁμοῦ συνῆκτο τῶν τοῦ Θεοῦ Λειτουργῶν τὰ ἀκροθίνια· εἷς τε οἶκος εὐκτήριος, ὥσπερ ἐκ Θεοῦ πλατυνόμενος, ἔνδον ἐχώρει κατὰ τὸ αὐτὸ Σύρους τε ἅμα καὶ Κίλικας, Φοίνικάς τε καὶ Ἄραβας καὶ Παλαιστίνους, καὶ ἐπὶ τούτοις Αἰγυπτίους, Θηβαίους, Λίβυας, τούς τε ἐκ μέσης τῶν ποταμῶν ὁρμωμένους. ἤδη δὲ καὶ Πέρσης ἐπίσκοπος τῇ συνόδῳ παρῆν, οὐδὲ Σκύθης ἀπελιμπάνετο τῆς χορείας· Πόντος τε καὶ Ἀσία, Φρυγία τε καὶ Παμφυλία τοὺς παρ' αὐτοῖς παρεῖχον ἐκκρίτους. ἀλλὰ καὶ Θρᾶκες καὶ Μακεδόνες, Ἀχαιοί τε καὶ Ἠπειρῶται, οἱ * ἔτι προσωτάτω οἰκοῦντες ἀπήντων. αὐτός τε Σπάνων ὁ πάνυ βοώμενος ὁ Ὅσιος, ἐπέχων καὶ τὸν τόπον τοῦ τῆς μεγίστης Ῥώμης ἐπισκόπου Σιλβέστρου, σὺν πρεσβυτέροις Ῥώμης Βίτωνι καὶ Βικεντίῳ, τοῖς πολλοῖς ἅμα συνεδρεύων. τῆς τε νῦν βασιλευούσης πόλεως ὁ μὲν προεστὼς, Μητροφάνης τοὔνομα, διὰ γῆρας ὑστέρει, πρεσβύτεροι δὲ αὐτοῦ παρόντες τὴν αὐτοῦ τάξιν ἐτέλουν. ὧν ὁ εἷς Ἀλέξανδρος ἦν, ὁ μετ' αὐτὸν ἐπίσκοπος τῆς αὐτῆς γεγονὼς πόλεως. τοιοῦτον μόνος ἐξ αἰῶνος εἷς βασιλεὺς Κωνσταντῖνος Χριστῷ στέφανον δεσμῷ συνάψας εἰρήνης, τῷ αὐτοῦ σωτῆρι τῆς κατ' ἐχθρῶν καὶ πολεμίων νίκης θεοπρεπὲς ἀνετίθει χαριστήριον, εἰκόνα χορείας ἀποστολικῆς, ταύτην καθ' ἡμᾶς συστησάμενος. ἐπεὶ καὶ κατ' ἐκείνους συνῆχθαι, λόγος, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν ἄνδρας εὐλαβεῖς καθὼς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, ἐν οἷς ἐτύγχανον Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται. πλὴν ὅσον ἐκείνοις μὲν ὑστερεῖτο, μὴ ἐκ Θεοῦ λειτουργῶν συνεστάναι τοὺς πάντας. ἐπὶ δὲ τῆς παρούσης χορείας, ἐπισκόπων μὲν πληθὺς ἦν τριακοσίων ἀριθμὸν ὑπερακοντίζουσα· ἑπομένων δὲ τούτοις πρεσβυτέρων, καὶ διακόνων, ἀκολούθων τε πλείστων ὅσων ἑτέρων οὐδ' ἦν ἀριθμὸς εἰς κατάληψιν. τῶν δὲ τοῦ Θεοῦ λειτουργῶν οἱ μὲν διέπρεπον σοφίας λόγῳ. οἱ δὲ βίου στερρότητι καὶ καρτερίας ὑπομονῇ· οἱ δὲ τῷ μέσῳ τρόπῳ κατεκοσμοῦντο. ἦσάν τε τούτων οἱ μὲν χρόνων μήκει τετιμημένοι. οἱ δὲ νεότητι καὶ ψυχῆς ἀκμῇ διαλάμποντες. οἱ δὲ ἄρτι παρελθόντες ἐπὶ τὸν τῆς λειτουργίας δρόμον. οἷς δὴ πᾶσιν ὁ βασιλεὺς ἐφ' ἑκάστης ἡμέρας τὰ σητηρέσια δαψιλῶς χορηγεῖσθαι προσέταττε. τοιαῦτα μὲν περὶ τῶν ἐκεῖ συνελθόντων ὁ Παμφίλου διεξῆλθεν Εὐσέβιος.

Ὅπου ὁ βασιλεὺς συνεδρεύει τοῖς ἐπισκόποις.

ΚΕΦΑΛ. ϛ'.

ΕΠΙΤΕΛΕ'ΣΑΣ δὲ ὁ βασιλεὺς ἐπινίκιον κατὰ Λικινίου ἑορτὴν, ἀπήντα καὶ αὐτὸς εἰς τὴν Νίκαιαν. τῇ δὲ ἑξῆς πάντες ἅμα ἐπίσκοποι εἰς ἕνα τόπον συνήρχοντο· παρῄει δὲ καὶ ὁ βασιλεὺς μετ' αὐτούς· καὶ ἐπεὶ παρῆλθεν, εἰς μέσον ἔστη, καὶ οὐ πρότερον καθίζειν ᾑρῆτο, πρὶν ἂν οἱ ἐπίσκοποι ἐπινεύσειαν. τοσαύτη τις εὐλάβεια καὶ αἰδὼς τῶν ἀνδρῶν τὸν βασιλέα κατεῖχε. πρὸς οὓς ὁ βασιλεὺς ὁ πανεύφημος παραινετικὸν καὶ διδασκαλικὸν προσενήνοχε λόγον, εἰς ὕμνησιν καὶ δοξολογίαν καὶ εὐχαριστίαν τοῦ τῶν πάντων Θεοῦ, τοῦ τοσαῦτα αὐτῷ χαρισαμένου· ὦ δέπως λέγων.

Λόγος Κωνσταντίνου σεβαστοῦ προσφωνητικὸς πρὸς τὴν ἁγίαν σύνοδον.

ΚΕΦΑΛ. ζ.

ΠΟΛΛΑ'Σ μὲν πρὸς εὐποιΐαν τῷ τῶν ἀνθρώπων γένει ἐπιφανεστάτας ὁδοὺς ἡ τοῦ παντοδυνάμου Θεοῦ τρόφιμος δικαιοσύνη ὑπέστρωσεν, οὐχ ἥκιστα τὴν δὲ ἐκείνην ἐπισημοτέραν καὶ μάλιστα ἀστράπτουσαν, ἣν ἐν τῷ κεφαλαίῳ τοῦ ἁγιωτάτου νόμου τῆς καθολικῆς ἐκκλησίας πᾶσιν ἡμῖν, παντὸς θαύματος μεῖζον, ἤθροισε, τῆς πίστεως κυριακὸν οἰκητήριον. τοῦτο δὲ τὴν μὲν κορυφὴν μέχρι τοῦ φέγγους τῶν ἄστρων ἐληλυθέναι ὁρῶμεν· τοὺς δὲ θεμελίους, ἔτι ἀρχομένου τοῦ ἔργου, οὕτως βαθέως, καὶ πιστῶς ἐρριζῶσθαι θείῳ νεύματι γινώσκομεν, ὡς πᾶσαν τὴν οἰκουμένην αἴσθησιν τούτου λαβεῖν. ἀπὸ τῆς κορυφῆς τοίνυν τῆς προειρημένης, ἁπασῶν τῶν λοιπῶν ὅλων ὑπερκειμένης, ἄχρι τοῦ τέλους τῆς ἐξόδου φαίνεται ὁμαλὴ καὶ ἰσόπεδος πορεία, τῇ λαμπρότητι τοῦ φωτὸς χρωμένη· ἧς καὶ τὸ μέτωπον ἀστροειδεῖ σφραγῖδι κεκοσμημένον, δυοκαίδεκα τὸν ἀριθμὸν κίονες, χιόνος λαμπρότεροι, ἀκίνητοι, τῇ θέσει τῆς πίστεως, ἀϊδίως τῇ τῆς θεότητος, τοῦ ἡμετέρου σωτῆρος δυνάμει, βαστάζουσι. τούτου τοίνυν τοῦ τηλικούτου ἔργου οὐ * τέχνη τις προσλαμβάνουσι ἡμῖν, καὶ τὴν ἀπὸ ψυχῆς δικαίαν πίστιν, τοῦ ἀθανάτου αὐτοῦ νόμου εἰς νοῦν ἔδωκεν ἡμῖν τὴν σεμνότητα· οὗπερ πρὸς τοὺς πυλῶνας οὐδὲν ἕτερον, εἰ μὴ ἁγνῆς καὶ εὐσεβοῦς ἐπιθυμίας ἐπειγούσης, μόνῃ καθαρᾶς διανοίας πεποιθήσει πρόσεισιν ὁ βουλόμενος. * τοῦτο δὲ αὐτῷ θαυμαστήν τινα κόσμου λαμπρότητα σωτήριος προσήγαγε λογισμός· λέγω δὲ, ἔνδοθεν πίστις ἀνθρώπων, διὰ παντὸς τοῦ περιβόλου τοῦ κυριακοῦ ἀνθοῦσι στεφάνοις τετιμημένη, ἀθανασίας καρπὸν ἀθροίζουσα, ἁγνοὺς τόνους τῆς ζωῆς τῆς ἀνθρωπείας εἰς φανερὸν ἄγουσα ἐπιφανεῖς καθίστησιν. αὖθις ἐντεῦθεν ἡ ἔξωθεν οὐράνιος δόξα ἐστεμμένη, τοῦ αἰῶνος ἀεὶ τικτομένου, μᾶλλον δὲ φυομένου, βραβεῖα ὑπογράφει, καὶ τραφέντα μετὰ τοῦ προσήκοντος ἐπαίνου, ἅπασαν τοῦ αὐτοῦ ἔργου τὴν τελεσιουργίαν κοσμεῖ· ὁ δὲ αὐτὸς οὗτος ὁ κυριακὸς οἶκος ὑπὸ δύο μόνων φυλάκων φρουρεῖται· καὶ φόβος μὲν θεῖος πρόσεισι τῇ ἐνίων ἐννοίᾳ σωφρονιστήριον· πάρεστι δὲ ἀεὶ καὶ τοῖς εὖ φρονοῦσιν ὁ πρὸς τὸ θεῖον ἔπαινος, τῆς συνέσεως βραβεῖον· τούτων γὰρ ἑκατέρων ἐπικειμένων τοῖς προθύροις τοῦ ἁγιωτάτου τόπου, δικαιοσύνην μὲν αἱ θύραι ἀναπεπταμέναι δέχονται, αὕτη τε εἴσω οἰκισθεῖσα, μένει ἀκήρατος· τῇ δὲ ἀδικίᾳ οὐδὲ θέμις ταῖς θύραις προσελθεῖν, ἀλλὰ ἐξόριστος τούτου τοῦ τόπου ἐκκλείεται· ταῦτά με, ὦ τιμιώτατοι καὶ παντὸς ἐπαίνου ἄξιοι ἀδελφοὶ, τὰ πράγματα οὕτω σαφῆ εἰς τὴν τοῦ ἀϊδίου καὶ ἀθανάτου φωτὸς λαμπρότητα ἤγαγεν. ἵνα μὴ πόρρω με ἐστῶτα ἀμφίβολός τις ἴσως τῆς ψυχῆς πίστις

* ἐστ. τέχνη τινὶ προσλ.

* ἐστ. τούτῳ.

πίστις ἀπεργάσηται τῆς ἀληθείας ἀνάρμοσον. ἀλλὰ τί πρῶτον βεβαιώσομαι; πότερον τῆς δαιμονίας τὸν τύπον, ἥτις εἴσω τοῦ σήθους τοῦ ἐμοῦ συνειλημμένη λανθάνει, ἢ τὰς θείας δι' ἐμοῦ τοῦ παντοδυνάμου Θεοῦ, ἐξ ὧν τὸν ἀριθμὸν πολλῶν ἔργων, ἱκανὸν ἓν λέγωμι, φανεὶς ἤδη καὶ τὴν ἐμὴν μετριότητα ὁ αὐτὸς ἡμέτερος Θεὸς, καὶ πάντων πραγμάτων πατήρ, εἰκότως ἑαυτῷ κατεδουλώσατο· πίστευετε, ὦ τιμιώτατοι ἀδελφοί, προσλαμβάνοντες ἀκέραιον πίστιν, τοῖς λεγομένοις· εἰ καὶ μάλιστα ἡ ἐμὴ διάνοια τῇ θείων δι' ἐργετημάτων χορευθεῖσα δαιμονᾶν δοκεῖ, καὶ ἀπὸ τούτου πράγματος ἐξόχως ἐπαίνους πληρῶσαι δικαίως φαίνεται· ὅμως, ὅπερ τῆς ἀληθείας ἡ πίστις ἐναργῶς δείκνυσιν, ὅτε φωνὴ, ὅτε γλῶττα τῷ προσάγματι τῆς διανοίας ὑπουργῆσαι ἀρκοῦσι. καὶ μάλα εἰκότως. ἀμέτρου γὰρ ὄντος τοῦ μεγέθους τῆς δι' ἐργεσιῶν, ἡ μὲν διάνοια ὑπολήπτις τις ὅσα, τὰς ἀνωτέρω τοῦ σώματος τόπους καταλαμβάνει· ἡ δὲ τῆς γλώττης πορεία εἰς στενὸν κομιδῇ τόπον συγκλεισθεῖσα, δόκιμος σχεδὸν λέγουσα, παντάπασι σιωπᾷ. τίς γὰρ ἡμῶν οὕτω προπετὴς λογισμῷ, ἵνα τοιαύτης πεποιθήσεως ἀπορρίψῃ λόγον, δι' ὃ φάναι ἂν τολμήσειε πάνυ δικόλως τῷ πάντα δυναμένῳ Θεῷ, ἢ καὶ πάντων τῶν καλλίστων δημιουργῷ, ἐνδόξους ἐπαίνους καὶ ἐπαξίους ἐντελῶς εἰπεῖν; ὁπότε εἴ τις μόνῃ τῇ μεγαλοφρέπειαν τοῦ αὐτὸν πεπάχθαι νομοθετήσαντος λογίσαιτο, εἰδὼς ἂν σκοπήσειε μηδὲ δύνασθαι ἀρεσθῆναι, ὅπερ ἄξιον Θεοῦ λεχθῆναι δυνήσεται. τί τοίνυν τῆς ἐμῆς μετριότητος τῇ καθοσίωσιν λέγειν ἐχρῆν, εἰ μὴ τοῦτο, ὅπερ ὁ θεῖος λόγος τῆς ἀληθείας δείκνυσιν; ὃ τὸ μέγεθος ἥτις μεγίστη προσκύνησις σκοπησάτω σαφῶς, εἰ καταντήσαι δυνήσεται ἐν αὐτοῖς τοῖς περὶ αὐτοῦ λεγομένοις, καὶ ὐδεμία πλάνη αὐτὸν ὀλισθήσει. καὶ εἴθε μοι τῷ ὑμετέρῳ σωφρονοῦντι δαψιλὴς ἀπορία τοῦ λέγειν ἀρκέσειεν, ἵνα ἐκεῖνα ἄξια ὄντα τοῦ κηρύττεσθαι ἐγκωμιάσω, ἅπερ ὁ θεῖος σωτὴρ ὁ ἡμέτερος, πραγμάτων τε πάντων φύλαξ, τοῖς προοιμίοις τῆς αὐτοῦ παρουσίας, ὁπότε τῆς ἡμετέρας λυτελείας ἕνεκα, ἀγνοῦ σώματος οἰκητήριον κατηξίωσεν ἐκπαρθένου λαβεῖν, πᾶσιν ἀνθρώποις δίδαγμα τοῦ παρ' αὐτοῦ οἴκτου δηλῶν, γαλιωῷ νάματι τῆς αὐτοῦ θεότητος ἔδευξε. τίνος ἄρξομαι ἆρα; ἀπὸ τῆς αὐτοῦ διδαχῆς καὶ σεμνότητος; ἀλλ' ἀπὸ θείων δασκαλιῶν, ὧν αὐτὸς δι' ἑαυτοῦ, μηδενὸς διδάσκοντος, μόνος διδάσκαλος πέφηνεν; ἀλλ' ὅπως ἀνέπνευσαν, διὰ τῆς αὐτοῦ προνοίας, τοσοῦτοι δῆμοι, ὅσους ὐδὲ ἀριθμῷ περιλαβεῖν οἷόν τε, μικρᾷ τινι ξοφῇ, καὶ ἐλαχίστοις σιτίοις, καὶ μόνοις δύο ἰχθύσι, τῇ τότε θείᾳ προνοίᾳ; καὶ Λαζάρου μὲν τοῦ τελώνου βραχείᾳ τινὶ ῥάβδῳ ἀνάστασιν πεποίηκε, καὶ εἰς τοῦ τοῦ φωτὸς λαμπρότητα αὖθις ἀνήγαγε. πῶς δ' ἂν εἴποιμι τοῦ ἀγγέλου αὐτοῦ θεότητα, δι' ἧς γυναῖκά τινα ἀπορρητοτέρως θεασάμενος, καὶ τῆς ἑαυτοῦ ὁμιλίας μόνης καταξιώσας, ὑγιᾶ τε αὖθις, καὶ παντὸς νοσήματος ἐλεύθεραν ἔδειξε; τίς δ' ἂν κατ' ἀξίαν εἴποι αὐτοῦ τὸ ἀθάνατον ἔργον, δι' ὅτις συνεχεῖ καὶ μακρᾷ νόσῳ τηκεδόνι ἀναλωθεὶς, καὶ τῶν μελῶν αὐτοῦ χυθέντων καὶ διασπασθέντων ὅλων κειμένου, ἄφνω θείῳ ἱδρῶτι ῥωσθεὶς, αὐτὸ τὸ σκιμπόδιον, ἐφ' ᾧ ἔκειτο, τοῖς ὤμοις ἐπέθηκε, καὶ ἀχαρεισίας ἐπαίνους διαχέων, διά τε τῆς πατρίδος, καὶ τῆς συνοικείας διέδραμεν; ἀλλὰ τὸ θεῖον αὐτοῦ, καὶ σαθηρὸν βάδισμα, ὡς ἐπιβαίνων τοῦ ἀγρίαν θάλασσαν καταπατήσας ἐπέζευσε, καὶ τοῖς θείοις ἴχνεσι τῆς βαθυτάτης θαλάττης τοῦ ὑγρότητα ἔπηξε, καὶ διὰ μέσου πελάγους ὁδὸν μέχρι βαθύτητος περιορίζομένην, ὥσπερ διὰ γῆς, τοῦ πορείαν ἐποιήσατο; ἀλλὰ τοῦ ἠπίαν αὐτοῦ ἀνεξικακίαν, δι' ἧς νικητὴς ὢν, ὑπὸ πᾶσι τοῖς ἀνοήτων δήμων τοῦ αὐθάδειαν ἐδάμασε, καὶ δαμασθεῖσαν πόρρω ἀπ' αὐτοῦ διαχωίζων τοῦ ἀγριότητα, τῷ νόμῳ ὑπέταξεν; ἀλλ' ἐκεῖνα τὰ ὑπέρλαμπρα καὶ μέγιστα τῆς αὐτοῦ θεότητος, οἷς ζῶμεν, οἷς δοκοῦμεν, οἵ τινες τῆς μελλούσης δαιμονίας τοῦ ἐλπίδα οὐ μόνον προσδοκῶμεν, ἀλλ' ὥσπερ τινὶ ξόπῳ ἤδη κατέχομεν; τί πλέον τολμῶ λέγειν καὶ μετ' αὐτῆς τῆς μικρᾶς τοῦ λόγου παρασκευῆς, εἰ μὴ μόνον τοῦτο, ὅπερ τῆς ἐμῆς καθωσιωμένης ψυχῆς συνεῖναι χρὴ τοῦ καθαρότητι. ὁποῖος τοίνυν ἐστὶν ὁ πολυδύναμος Θεὸς, ὁ τὸν οὐρανὸν οἰκῶν, καὶ περὶ πᾶν τὸ ἀνθρώπινον γένος, μάλιστα δὲ καὶ ἐξαιρέτως περὶ τοῦ καλλίστου καὶ παντὸς ἐπαίνου μείζονα δικαιοσύνην· ὁπότε καὶ τοῦ ἰδίου θείου πνεύματος τὸ ἁγιώτατον κατ' ἀξίαν σῶμα ἐνοικοῦντος αὐτῷ, καὶ ὅτου σωτηριώδες τοῖς ἀνθρωπίνοις σώμασιν εἶναι κατηξίωσεν. ἐπειδὴ δὲν περὶ τῆς ὅτου ἁγιωτάτης καὶ σωτηρίου τῆς πάντα δυναμένης Θεοῦ τάξεως, ἄμετρος τῇ ἐχθρῶν μανία, ὥσπερ ἀχλύϊ τινὶ συγκεχυμένη ἀληθείας σκαιότητος, ἐρμηνείαν ποιεῖσθαι οὐκ ἀμφιβάλλει. διὰ βραχέων εἰς ὅσον ἡ πίστις καὶ ἡ καθωσίωσις τῆς ψυχῆς τῆς ἐμῆς τοῦ λέγειν ἀπορίαν δαψιλεύεται, διηγήσασθαι πειράσομαι· καὶ γὰρ αἱ τῶν τῇ ἐθνῶν κακόνοιαι τοιοῦτον γένος * εἰσάγει ἀναισχυντίας, ὥστε ἀσεβεῖ σόματι μὴ φοβηθῆναι εἰπεῖν, τὸν Θεὸν, τὸν παντοδυνάμυον, πάντα τὰ τῷ θείῳ νόμῳ δηλούμενα μήτε πεποιηκέναι, μήτε ποιῆσαι βεβουλῆσθαι. ὦ τῆς τοιαύτης ἀσεβοῦς φωνῆς, τῆς κατ' ἀξίαν ἅπασαν ὑπερβολῇ τιμωρίας καθ' ἑαυτῆς ἐπαιτούσης. ὅτως ἐμμανῶς καὶ τολμηρῶς τῆς θείας ταύτης διεργεσίας τοῦ δόξαν τοῦ μηδενὶ τῇ ἀνθρώπων περιληφθῆναι δυναμένῳ, ἀφανῆ κατασῆσαι ἐπιθυμεῖ. τί γὰρ μᾶλλον ἡ ἀγνότης ἄξιον τοῦ Θεοῦ; ἥτις ἐκ τῆς ἁγιωτάτης ὁμιλίας μετὰ τῆς πηγῆς τῆς δικαιοσύνης προελήλυθε, καὶ διὰ πάσης τῆς περιόδου τῆς οἰκουμένης ἐπλήμμυρε, καὶ τὰς δυνάμεις τῇ ἁγιωτάτων ἀρετῶν τοῖς ἀνθρώποις ἐπέδειξεν, ὥσπερ ἑαυτοῖς πρῶτον ἐχθρὰς νομίσαντες πάθει τῶν Ἀσυρίων· οἷς προηγουμένου τοῦ φαύλου παραδείγματος, καὶ τὰ λοιπὰ ἔθνη συνθέσθαι αὐτοῖς ἀνεπείσθη. ἐν οἷς, ὥσπερ ἡμεῖς ἰδίᾳ θεωρίᾳ δοκιμάζομεν, τὸν τοῦ σωτῆρος ἡμῶν Θεοῦ θεῖον ὁρωμένου συνεργεῖν οἶκτον, ὁπότε καὶ καθ' ἡμέραν καὶ κατὰ χρόνους πολλοὺς ἐξ αὐτῶν * πυρώδης μανίαν οἰ- * ἐσπυρμένη
στρυμένου, ὁ αὐτὸς εἰς τοῦ τοῦ σωτηριώδους ἱάματος ἀνεξικακίαν ἐκέλευσεν ἀνήκειν. καὶ ὐδὲ ὅτως τοῖς λοιποῖς τῆς τοιαύτης διεργεσίας τὸ μέγεθος δύναται πρὸς χάριν ἐλθεῖν, τοῦ παρὰ ἀνθρώπων ἄγνοιαν τοῦ θείαν δυνασείαν δύνασθαι πάντα λόγον ὑψῶσαι, καὶ εἰς ὕψος ἀρθέντα βεβαιῶσασθαι, αὖθις καθελεῖν καὶ διαλῦσαι· ἀλλὰ μᾶλλον τοῖς ἀνθρωπίνοις πράγ-

πράγμασιν ἐναντίως ἂν ἀφίβη, εἰ ὁ Θεὸς ὁ τὰ πάντα δυνάμενος σιωπηρῷ τῆς αὐτοῦ θειότητος νεύματι πάντα πράττειν προείθετο. μᾶλλον γὰρ ἂν ἡ τῶν ἀνθρώπων μανία ἐλήφθη συχνή, καὶ ἡ ἀνθρωπεία ὀκ ἔσχασα πέρας, πάσας ἂν τὰς ψυχὰς ἐπόρθησεν· οὐδὲ ἂν τὰ ἄλλα πλεῖσα ὄντα, ἅπερ ἐν τῇ τοῦ κόσμου ἀναστροφῇ τῷ ἰδίαν λειτουργεῖ τάξιν, ἀναφανῆναι δεδύνηται· ἀλλ' ὁμῶς πάντα * μὲν τῆς ἀγνοίας τοῦ θείου, ταχέως ἂν ἀπολώλει, τοῦ δὲ φθόνου καὶ τῆς βασκανίας τὸ ἄδικον ὕπως ἐν * ὀλίγοις μεμενήκει. ἀλλ' οὐδεὶς ἂν ηὑρέθη ταύτης τῆς βασκανίας ἀλλότριος, τῶν θρησκειῶν τὰ χυθέντα εἰς τοσοῦτον μεγάλως τε καὶ πλατέως εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων διαχυθέντων, ὡς ἀξίως τῇ τούτων αἰσχρότητι τὸ φῶς ταύτης τῆς ἡμετέρας λαμπρότητος ἐπισκιασθὲν αὐτοῖς, ἀεὶ ταύτης αὐτοὺς στερίσκεσθαι οὐδεὶς ἂν λόγος δυνήσεται τῶν εἰρημένων τοῦ ἐμοῦ πίστιν ἀπὸ τῆς ἐμῆς ἐξέλκειν ψυχῆς. ἔπεται γὰρ αὐτῇ, μηδενὸς φαύλου ἐμποδὼν ὄντος, δύναμις τελεία, ὁ ζῶν τῆς ἀληθείας λόγος, εἷς πάντα δυνάμενος, φύλαξ πάντων πραγμάτων, τῆς ἡμετέρας σωτηρίας κηδεμών. ὅτως οὖν δοκεῖ τινι ζόπῳ τοῦ ἁγιωτάτου αὐτοῦ λόγου διαψηλαφᾶσθαι τοῦ ὁμιλίαν τοῦ ἐλευθέρου διαφυλάττειν, καὶ τοῦ φωτὸς τοῦ λαμπρότητα ἡμῖν παρέχει. τίνος τοίνυν ἕνεκα καὶ νῦν πάντων τῶν ἐθνῶν οἱ δῆμοι, τὸ ἐράνιον μὴ καθορῶντες φῶς, καὶ τοῦ ἐνδοξοτάτου ὁσίου ὑπερφρονοῦντες, τὸ γήϊνον ἐπιζητοῦσιν, ἐδεμίαν ἔχον ὑπόστασιν ἀληθείας, οὐδὲ φαιδρότητα ἁγνῆς λαμπρότητος, οὐδὲ δυνατείαν τῆς ἐρανίου θεότητος; ὧν ἀναξίου δράματος; ἔτι καὶ νῦν μηδὲν ἐλλείποντες τῆς ἀσεβείας, μηδὲ πρὸς * τὸ δέον ἀφορῶντες, ὑπὸ τῆς ἀθλίας πλάνης καταπίπτοντες οὐχ ὁρῶσι· καὶ τοῖς ῥυπαροῖς τούτοις ἔργοις τοῖς τοῦ κόσμου † λαμπρότητα οὐ πάυονται μιαίνοντες, δηλαδὴ ξύλον, καὶ λίθον, καὶ χαλκόν, καὶ ἄργυρον, καὶ χρυσόν, καὶ ταύτας τὰς γήϊνας, εἰς τὸ προσκυνεῖν καθιδρύντες, καὶ ἀπὸ τούτων ἐλπίδα τῆς ζωῆς ἀπαγγελλόμενοι, ναοὺς αὐτοῖς μὴ ἐπισήμου κόσμου οἰκοδομοῦντες, καὶ ἀπὸ τούτου οὕτως αὔξοντες αὐτῶν τῆς προσκυνήσεως τὰς προσθήκας· ἐπειδήπερ τὸ μέγεθος τῶν οἰκοδομημάτων ὑπ' αὐτῶν ηὐξόμενον, ἄξιον τῆς ἑαυτῶν ὄψεως παρέχεται τὸ θαῦμα. ὁπότε τοίνυν ταῦτα ποιεῖν δοκοῦσι, σαφῶς νοεῖται, εἰ καὶ τὰ μάλιστα αὐτοὶ οὐκ αἰσθάνονται, οὐδὲ ὁρῶσιν, ὅτι τοῖς ἑαυτῶν ἔργοις ὑπερηφάνως αὐχεῖν δοκοῦντες ἁλίσκονται. ἡλίκος τοίνυν καὶ πόσος τε ὁ Θεός ἐστιν ὁ παντοδυνάστης οὐχ * ὁρώμενος, τίς καὶ πάντων αὐθεντὴς ἐστὶ καὶ κτιστής, ὃν τινες αὐτῇ τῇ πεφοιθήσει τῆς ἰδίας, ὡς νομίζουσιν, ἀρετῆς λανθάνουσιν. αὐτοῦ γὰρ τῇ διατυπώσει καὶ τὸ εἶδος τοῦ ἡμετέρου σώματος ἔλαβε τὸν ὀφειλόμενον τύπον, καὶ ἵνα χῶμεν τῆς ἁρμονίας τὴν ἀκμήν, ὁ αὐτὸς πάντων μελῶν τοῦ συζυγίαν ἰσχυροτάτοις νεύροις συνέδησεν. ἵνα ἐν πάσῃ πράξει τῆς ἡμετέρας σπουδῆς ἀκάματον ἔχοιμεν τὴν ἀκμὴν τῆς οἰκείας ἁρμονίας. τούτων τοίνυν σωτηρίωδες διατυπώσει τελεσιουργηθέντων, καὶ πνεῦμα ἡμῖν, ἵνα ταῦτα πάντα κινεῖσθαι καὶ ἀκμάζειν δύναιτο, ἐνέπνευσε, καὶ θέαν τοῖς ἡμετέροις ὀφθαλμοῖς συνεχώρησε, καὶ * πρὸς σύνεσιν τῇ ἡμετέρᾳ κεφαλῇ δέδωκε, καὶ εἴσω τῆς χώρας ταύτης, πάσης τῆς διανοίας τῆς ἡμετέρας τὸν λογισμὸν συνέκλεισε. τοιγαροῦν εἴτις εὐφρονῶν ταύτης τῆς διατυπώσεως τὸν λογισμὸν σκοπήσει, τὰ δὴ λοιπὰ παύσεται, ἃ μήτε λόγῳ, μήτε διανοίᾳ πιεληφθῆναι δύναται, ταχέως ἐνθυμήσει καὶ ἰδεῖν καὶ συνιέναι δυνήσεται τὴν αἰώνιον καὶ σωτηρίαν τοῦ ἀθανάτου Θεοῦ ἐξουσίαν, καὶ οὐ δύναται ἐκεῖνον πλάνης τινὸς χωρὶς ἄνθρωπος διώκησαι· σκέπτεσθαι σαφῶς αὐτῷ ἔξεστι, καὶ ἰδεῖν πάντα τὰ γεγονότα εἶναι δυνάμει τοῦ Θεοῦ, ὡς αὐτὸς πάντα ταῦτα εἶναι βεβούληται. ἵνα δὲ ἔτι ἰδεῖν, ὅτι τις ἀθέμιτος κόσμου πολιτεία τὴν τοῦ Θεοῦ ἀγνωσίαν τοῖς ἀνθρώποις ἐπεργάσατο, λογισμοῦ ἁμαρτήματος πρότερον τεχθέντος ἐκ πλάνης τοῦ ἐχθροῦ ἐν ταῖς τῶν σκαιῶν ἀνθρώπων ἀθλίαις ψυχαῖς, ἐκ τοῦ θείου νόμου λαβεῖν * ἡμῶν ἔνεστι σαφῆ τὴν περὶ τούτου ἀπόδειξιν. ἐξ ἐκείνου γὰρ καιροῦ, ἐξ οὗ ὑπὸ τῶν δύο ἐκείνων, τῶν ἐν ἀρχῇ κατασταθέντων, τὸ θεῖον καὶ ἅγιον πρόσταγμα μετὰ τῆς προσηκούσης ἐπιμελείας οὐκ ἐφυλάχθη, ἐτύχθη μετὰ ταῦτα τῆς προσηγορείας ταύτης τὸ ἄνθος· γέγονε δὲ συνεχές, καὶ μᾶλλον ἐπιξηνθέν, ἐξ οὗ καὶ οἱ προειρημένοι δύο θείῳ νεύματι ἀπεβλήθησαν· ἕως δὲ τοσούτου ἡ ὕλη αὐτὴ μετὰ τῆς σκαιότητος τῶν ἀνθρώπων προήχθη, ὥστε τῆς τε ἐφας, καὶ τῶν πρὸς δίκην χρηπίδων κατεψυφίσατο. αὐτήτε ἡ ὑπερβολὴ τῆς ἐναντίας δυνάμεως τὰς διανοίας τῶν ἀνθρώπων κατέλαβε καὶ ἡμαύρωσεν. ἐν ᾧ μοὶ τοι προσάγματι ἅγιος καὶ ἀθάνατός ἐστι τοῦ τὰ πάντα δυναμένου Θεοῦ ὁ ἀκάματος οἶκτος. πάσαις γὰρ ταῖς ἡμέραις, καὶ τοῖς χρόνοις τοῖς παρελθοῦσιν, ἀναριθμήτων τῶν δήμων πολυπληθείας ἀπὸ τοῦ βάρους τούτου διὰ ἐμοῦ τοῦ αὐτοῦ θεραπόντος ὁ Θεὸς δεδωλωμένος ἐλευθεροῖ, καὶ εἰς ἐντελῆ αἰωνίου φωτὸς ἐξάξει λαμπρότητα. ἀπὸ τούτων τοιγαροῦν ἐγώ, ἀδελφοὶ ποθεινότατοι, οἰκειοτέρα τινὶ προνοίᾳ καὶ ἐνδόξοις διεργεσίαις τοῦ ἀθανάτου καὶ ἡμετέρου Θεοῦ, τὸ λοιπὸν ἐπισημότερος εἶναι τῇ πρὸς αὐτὸν καθαρωτάτῃ πίστει πέποιθα. δεξάσθω τοιγαροῦν με ἡ ἁγιωτάτη σύνοδος τῆς ὑμετέρας ἁγιότητος, καὶ μή μοι τῷ σωφρονεστάτῳ ἐκκλησίαν, καὶ τῆς ἁγίας καινῆς καὶ πάντων ἡμῶν μητρὸς τὰς θύρας ἀντιπεθῶσαι ἀνάσχησθε. εἰ καὶ τὰ μάλιστα καὶ νῦν ὁ λογισμὸς τῆς ἐμῆς ψυχῆς ἐντελῆ τῷ καθαρότητα τῆς καθολικῆς πίστεως ἐπιζητῶν, τοῦτο ἑαυτῷ δοκεῖν οὐκ οἴεται εἶναι ἄξιον, ὅμως προξένει καὶ ὑπομιμνήσκει, καὶ τὸ μέτωπον τῆς οἰκείας αἰδοῦς πασῶν τῶν καλλίστων ἀρετῶν ἀξενήνοχε σφραγῖδα, καὶ τῶν πυλῶν τῆς ἀθανασίας ἤρξατο ἅπτεσθαι, καὶ τούτους χραύειν· ὅπως καὶ ἡμεῖς τῆς ἡμετέρας ἀδελφότητος ἀθῶς συγχωρῆσαι τῷ ἄνευσιν καὶ εἰρήνην τῆς καθολικῆς ἑνώσεως πίστεως βλέψαντες. τοῦτο γὰρ τῷ Θεῷ πρεπῶδες, καὶ τῇ τῆς καθολικῆς ἐκκλησίας πίστει ἁρμόδιον, καὶ τῷ κοινῷ τῶν πραγμάτων συμφέρον· ἵνα τῆς θεοθεν ἡμῖν παραχεθείσης ἐντιμοτάτης εἰρήνης ἀξίαν ἀμοιβὴν τῷ τοιούτῳ ἡμῖν χαρισαμένῳ κοινῶς ἅπαντες προσενέγκωμεν. δεινὸν γὰρ ὡς ἀληθῶς ἂν εἴη, καὶ ἄγαν δεινόν, καταλυθέντων τῶν πολεμίων, καὶ μηδενὸς ἀντιτείνειν ἔτι τολμῶντος, βάλλειν ἡμῶν ἀλλήλους, καὶ τοῖς δυσμενέσιν ἡδονὴν καὶ γέλωτα προξενεῖν, ἄλλως τε δὲ καὶ περὶ θείων διαλεγομένους πραγμάτων, καὶ τῇ παναγίᾳ πυέλματος τιμῇ δεδεκαλιαν

ἀνά-

* μετά.
* ὀλίγοις.
* Γρ. τὸν θεὸν ἀφορῶντες.
* ἰσχύσει, σίς.
* ἰσ. φῶς τινι.

ἀνάγραπτον ἔχοντας. διαγγελικαὶ γὰρ βίβλοι, καὶ ἀποστολικαὶ, καὶ τῶν παλαιῶν προφητῶν τὰ θεσπίσματα σαφῶς ἡμᾶς ἅπερ χρὴ περὶ τοῦ θείου φρονεῖν ἐκπαιδεύουσι. τὴν πολεμοποιὸν οὖν ἀπελάσαντες ἔριν, ἐκ τῶν θεοπνεύστων λόγων λάβωμεν τῶν ζητουμένων τὴν λύσιν.

Ταῦτα καὶ τοιαῦτα παραπλήσια ὁ πάνσοφος βασιλεὺς, οἷα δὴ παῖς φιλοπάτωρ, τοῖς ἱερεῦσιν ὡς παῤῥησίᾳ προσέφερε, τῶν ἀποστολικῶν δογμάτων τὴν συμφωνίαν πραγματευόμενος. τῆς δὲ συνόδου τῶν συνελθόντων ἐπὶ τὸ αὐτὸ ἐπισκόπων· τριακόσιοι δὲ ἦσαν δέκα καὶ ὀκτώ· ἀλλ' οἱ μὲν τριακόσιοι καὶ πρὸς τοῖς λεγομένοις ἐπείθοντο, καὶ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν, τήν τε τῶν δογμάτων ὑγίειαν ἠσπάζοντο. οἱ δὲ λοιποὶ, καθὼς πάλαι εἰρήκαμεν, τοῖς ἀποστολικοῖς ἀντεμάχοντο δόγμασιν· οἵ τινες τὴν τοῦ Ἀρείου δόξαν μεγαλοφυῶς συγχρωτεῖν ἐσπούδαζον, δέκα καὶ ἑπτὰ τὸν ἀριθμὸν ὄντες, Εὐσέβιός τε ὁ Νικομηδείας, ὡς καὶ πρότερον εἴρηται, * Θεόγνις ὁ τῆς Νικαίας, Μάρις Χαλκηδόνος, Θεόδωρος Ἡρακλείας Θράκης, Μηνόφαντος Ἐφέσου, Παῦλος Σκυθοπόλεως, Νάρκισσος Νερωνιάδος Κιλικίας δευτέρας, ἣν νῦν Εἰρηνούπολιν ὀνομάζομεν, Θεωνᾶς ὁ Μαρμαρίτης, Σεκοῦνδος Πτολεμαΐδος Αἰγύπτου, καὶ σὺν αὐτοῖς ἕτεροι ὀκτὼ οἵ τινες ἑαυτοὺς τῷ τῶν ξιακοσίων ἁγίων χορῷ ἐπιμίξαντες, ὡς δῆθεν ὀρθόδοξοι, τοῖς ἀποστολικοῖς ἀντέφαττον δόγμασιν, Ἀρείῳ συνηγοροῦντες· τούτους γνησίως ἀντηγωνίζοντο οἱ ἐν ἁγίοις πατέρες ἡμῶν Ἀλέξανδρος ὁ Κωνσταντινουπόλεως τότε πρεσβύτερος ὢν καὶ Ἀθανάσιος ἀρχιδιάκονος τῆς Ἀλεξανδρέων ἐκκλησίας· διὸ καὶ φθόνῳ ὅπλισε κατ' αὐτῶν, ὡς ὕστερον λέξομεν. οἱ δὲ ἡμέτεροι ἅγιοι ἐπίσκοποι καλοῦσι τὸν Ἄρειον εἰς τὴν συνοδον, ἐπιβέποντες αὐτῷ συνελθεῖν τοῖς ἰδίοις δόγμασι, νομίματι τῷ τὰ πάντα νικηφόρου βασιλέως· ἐπεὶπερ, ὡς ἄρτιος εἰρήκαμεν, καὶ αὐτὸς τῇ συνόδῳ συνήδρευεν.

* Θεογνις.

Ὅπως τοὺς λιβέλλους τῶν ἐπισκόπων ὁ βασιλεὺς δέχεται.

ΚΕΦΑΛ. ή.

Ἀλλὰ τὸ κατὰ τὴν συνοδον γεγονὸς θαυμαστὸν παρὰ τοῦ τὰ πάντα νικηφόρου βασιλέως, οὐκ ἄξιον σιωπῇ παραπέμψασθαι. καὶ γὰρ ἐπισυναχθέντων πάντων τῶν ἐπισκόπων, καὶ καθὼς ἔθος ἐστὶ, γνωμῶν ζητήσεών τε καὶ συγχύσεων παρά τινων τῶν ἐπισκόπων, ἐρεχελιῶν εἵνεκα, ἄλλου πρὸς ἄλλον ἐχόντων, λιβέλλων τε ἐπιδιδομένων ὑπ' αὐτῶν, καὶ ἐγκλημάτων συγχρωτουμένων παρὰ τῷ θεοσεβεῖ βασιλεῖ. δεξάμενος τοὺς λιβέλλους, σφραγίσας τε τῷ δακτυλίῳ αὐτοῦ, ἐκέλευσε φυλάττεσθαι· ὀργῶν τε τῶν τοιούτων ἐπισκόπων τὴν πρὸς ἀλλήλους ζυγομαχίαν, εἶπεν, ὅτι χρὴ πάντας ὁμοῦ ἐν μιᾷ ἡμέρᾳ συνελθόντας, περὶ τούτων διαλαβεῖν. καὶ ἐν τάσει τῆς προθεσμίας, εἰς μέσον καθίσας ὁ βασιλεὺς, καὶ ἡσυχίας γενομένης τῷ καιρῷ πρεπούσης, πάντων τοὺς λιβέλλους προσέταξεν ἐνεχθῆναι· καὶ δὴ δεξάμενος, καὶ ἐν τῷ οἰκείῳ κόλπῳ θέμενος, μήτ' ἐγκύψαι τοῖς ἐμφερομένοις ἐθελήσας, λέγει. τῷ Θεῷ ὑμᾶς προχειρισαμένου ἱερεῖς τε καὶ ἄρχοντας, χρῆναι τε καὶ διαχρῆναι τὰ πολήθη, καὶ θεοὺς εἶναι, ἅπερ δὴ ἀνθρώπων ἁπάντων ὑπερέχοντας, οὐρανομένου, κατὰ τὸ εἰρημένον. ἐγὼ εἶπα θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες, καὶ τό. ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν· χρὴ τοίνυν μὴ κοινῶν ὀλιγωρεῖν πραγμάτων, πᾶσαν δὲ τὴν σπουδὴν περὶ τὰ θεῖα ποιεῖσθαι. καὶ κελεύσας ἐνεχθῆναι πῦρ, ἐμπρησθῆναι τοὺς λιβέλλους προσέταξεν. ἔσεσθαι γὰρ μηδενὶ τῶν ἔξω ἐπιγνῶναι τῶν τοιούτων ἐπισκόπων τὴν ἀνώμαλον ἐπιχείρησιν. τοσαύτη ἡ τοῦ βασιλέως πρὸς τοὺς ἱερεῖς τοῦ Θεοῦ ἀλλάβεια, ὡς θαυμάσειαν ἅπαντες οἱ εὖ φρονοῦντες. χἀκεῖνο δὲ ὁμοιότροπον τούτῳ ὑπ' αὐτοῦ γεγυμνωμένον, οὐ δίκαιον ἡγοῦμαι παραδῆναι σιγῇ. φιλαπεχθήμονες γὰρ ἄνδρες καὶ φιλολοίδοροι λαϊκοὶ ἐγράψαντο τῶν ἐπισκόπων τινὰς, καὶ τῷ βασιλεῖ τὰς ἐγγράφους κατηγορίας ἐπέδοσαν· καὶ ταῦτα πρὸ τῆς γεγυμνωμένης ὁμονοίας. ὁ δὲ καὶ ταύτας δεξάμενος, εἶτα δεσμὸν ἐπιθεὶς, καὶ τῷ δακτυλίῳ συμπιεσάμενος, φυλαχθῆναι καὶ ταύτας ἐκέλευσεν. εἶτα τὴν σύμβασιν τῆς ὁμονοίας ἐργασάμενος, ταύτας προσκομισθῆναι προσέταξας, παρόντων ἁπάντων ἐπισκόπων, πυρὶ καὶ ταύτας κατέκαυσεν, ὁμωμοκὼς μηδενὶ τῶν ἐγγεγραμμένων ἀνεγνωκέναι. ὃ γὰρ ἔφη χρῆναι τῶν ἱερέων τὰ πλημμελήματα δῆλα τοῖς πολλοῖς γίνεσθαι, ἵνα μὴ σκανδάλου πρόφασιν ἐντεῦθεν λαμβάνοντες, ἀδεῶς ἁμαρτάνωσι. φασὶ δὲ αὐτὸν καὶ τοῦτο προσθεῖναι, ὡς εἰ αὐτόπτης ἐπισκόπου * ἐγεγόνει, γάμου ἀλλότριον διορύττοντος, συγκαλύψαι * ἐν τῇ πορφυρίδι τὸ παρανόμως γινόμενον, ὡς ἂν μὴ βλάψαι τοὺς θεωμένους τῶν δρωμένων ἡ ὄψις. τοσαύτη ἡ τοῦ βασιλέως θεοφιλὴς καὶ ἀξιάγαστος σωφροσύνη. ἐπὶ πολλὰς δὲ ἡμέρας, οὐ μόνον δ' ἀλλὰ καὶ μῆνας ἐφεξῆς συνερχόμενος τοῖς ἐπισκόποις ὁ βασιλεὺς, ἅμα αὐτοῖς τὰ περὶ τῆς πίστεως διελάμβανε, τάς τε διαφόρους αὐτῶν γνώμας ἀνελέγετο. ἦσαν γάρ, καθὼς πολλάκις εἰρήκαμεν, ἐν αὐτοῖς τινες τοῖς ἀθεμίτοις Ἀρείου δόγμασι συμφερόμενοι, καὶ τῷ πλήθει τῶν ἁγίων ἐπισκόπων, τῶν τῆς ἀληθείας ὑπερμαχόντων, ἀντιπράττοντες. ἀλλ' οἱ ἅγιοι καὶ τὰ πάντα ἱεροπρεπεῖς πατέρες ἡμῶν, τῷ τῆς ἀληθείας ὅπλῳ ἠσφαλισμένοι, τὴν λαμπρὰν, καὶ ἀμώμητον πίστιν μετὰ παῤῥησίας ἐκήρυττον· μεθ' ὧν καὶ ὁμολογητῶν πολὺς ἀριθμὸς, ἀνδρισαμένων τοῖς ἐθέλουσι πειρᾶσθαι τὰ μοχθηρὰ τοῦ Ἀρείου δόγματα.

* γέγονε.

Περὶ τοῦ ἁγίου Παφνουτίου.

ΚΕΦΑΛ. θ'.

Ἦν δὲ ἐν αὐτοῖς καὶ ὁ μέγας καὶ ἅγιος Παφνούτιος τὸν τῶν ὁμολογητῶν καὶ ἐπισκόπων καταχορμῶν χορὸν, ἀνὴρ Αἰγύπτιος, Θεοῦ δὲ ἄνθρωπος, ἐκ τῆς ὁμηγύρεως ἐκείνης, ἣν Μαξιμῖνος ὁ βασιλεὺς τὸν δεξιὸν ἐξώρυξεν ὀφθαλμὸν, καὶ τὰς λαιὰς ἐνέβροχόπησεν ἀγκύλας παραδοὺς τοῖς μετὰ λοις σωέχεσθαι. ἐν ᾧ τοσαύτη λῶν ἡ τοῦ Θεοῦ χάρις, ὥστε σημεῖα αὐτὸν ποιεῖν μηδενὶ ἐλάττω τῶν πάλαι ὑπὸ τῶν ἀποστόλων γεγενημένων. λόγῳ γὰρ μόνῳ τοὺς δαίμονας ἐφυγάδευε, καὶ δίχῃ διαφόρους ἀσθενοῦντας ἐθεράπευε, τυφλοῖς τε τὸ βλέπειν, τὴν

Θεὸν

Θεὸν ἐξαιτούμενος, παρείχετο· καὶ παρεθέντας ὡρὸς τὸ κατὰ φύσιν ἦγεν ἀκμήν, τὰ μέλη ἐνεργεῖν ποιῶν ὑγιῶς. ὃν ὁ βασιλεὺς σφόδρα διὰ τιμῆς ἦγε, συνεχῶς τε ἐπὶ τὰ βασίλεια μετεπέμπετο, καὶ τὸν ἐξορυγμὸν κατεφίλει. τοσαύτη ὡροσῆν τῷ εὐσεβεῖ βασιλεῖ πρὸς τοὺς ἁγίους πίστις.

Περὶ τοῦ ἁγίου Σπυρίδωνος.

ΚΕΦΑΛ. ί.

ΚΑΙ δὴ καὶ Σπυρίδων Κύπριός τις ἀνὴρ ἐπίσκοπος ἐν χυρίῳ, καὶ τὸ ἐκ παιδὸς ποιμενικὸν πεῖραν τῆς τοῦ Χριστοῦ ποίμνης καθιερωμένος, ὡροφητικῷ βίῳ διαγινόμενος ἐγνωρίζετο. ὃς καὶ γε διέπων τὸ ἐπισκοπεῖον, τὸ ποιμαίνειν τὰ ἴδια ὡρόβατα οὐκ ἐπαύετο. οὕτω δὲ ἦν χρηστὸς καὶ ἀνεξίκακος, ὅτι λῃστῶν ἐφόδῳ δόλῳ ὡροσβαλόντων τῇ ποίμνῃ, ἀοράτοις τε δεσμοῖς κρατυνθῆναι τε μὴ δυναμένων ἕως ὡρωΐ, ἐπισὰς ὁ μακάριος, δι' ἀρχῆς ἀνεθῆναι αὐτοὺς τῆς συνοχῆς ποιεῖ· ἃ μὴν ἀλλὰ καὶ τῶν χειῶν τὸν κράτισον ἀποιχομένοις δίδωσιν, εἰπών· λάβετε ὦ νεανίσκοι ὡρὸς ἀωόχρησιν τοῦτον, μὴ ἄωρακτοι ἀπιόντες τῇ νυκτὶ ταύτῃ δι' ἐμὲ τὴν αἰτίαν τῆς ἀποείας καταμέμψηθε. πολλὰ μὲν καὶ ἄλλα θαύματα περὶ τὸ ἁγίου τούτου ἀκηκόαμεν, ἃ δὲ ἐκ πολλῶν παραθήσομεν.

Ὅπως τὴν θυγατέρα αὐτοῦ τεθνεῶσαν ἐγείρῃ διὰ τὸν ἔμπορον.

ΚΕΦΑΛ. ια.

ΘΥΓΑΤΕΡΑ ἔσχεν ὁ μακάριος καὶ ἀοίδιμος οὗτος τοῦ Θεοῦ ἄνθρωπος, Εἰρήνην τοὔνομα, ἣ τῷ γέροντι προσφόρως διακονήσασα, ἐν παρθενίᾳ τὸν ἀνθρώπινον βίον * διεξέρχεται. ταύτης μὲν θανάσης, ἐξ ἀποδημίας τις ἀνασὰς ἔμπορος, παραθήκην αἰτεῖ τὸν γέροντα, ἣν τῇ αὐτοῦ θυγατρὶ, τῇ παρθενίῳ, ἣν παρατέθειτο· ὁ δὲ μακάριος Σπυρίδων ἠγνόησε παντελῶς τὴν ὑπόθεσιν. ὡς δὲ πολὺς ἦν ἐπιχείμενος αὐτῷ ὁ ἄνθρωπος, πολλὰ ἄνω καὶ κάτω τὸν οἶκον διερευνήσας ὁ γέρων, καὶ μὴ εὑρὼν, ἰώτο σφόδρα, καὶ ὡρὸς τὸν ἄνδρα ἔλεγε, μήτε εἰδέναι, μήτε εἶναί τι, ἐν τῷ οἴκῳ. ὁ δὲ ἔμπορος ἐκβοᾶν, δάκρυσί τε σπενχόμενος, καὶ ὀλοφυρόμενος ἤτει τὴν παρακαταθήκην, λέγων αὐτὸν δυσχερείσασθαι τῆς ἀπωλείας χάριν, εἰ μὴ λάβοι τὰ παρακατατεθέντα, φάσκων ἕνεκα γήρως αὐτῷ ταύτην τὴν παραμυθίαν πεφυλάχθαι, ὡαρ' αὐτῇ τῇ παρθενίῳ παρατεθέναι. ἀναγκάζεται τοίνυν ὁ γέρων ὁ ἅγιος ἐκεῖνος ἐπὶ τὸ μνῆμα τῆς θυγατρὸς ἅμα τῷ ἐμπόρῳ ὁρμῆσαι ὡρὸς πεῦσιν τοῦ ὡράγματος· ὁ δ' ἐλθὼν καλεῖ τὴν θυγατέρα ἐξ ὀνόματος, καὶ φησιν ὡρὸς αὐτήν· τέκνον μου Εἰρήνη. ἡ δὲ ἀποκριθεῖσα ἀπὸ τοῦ τάφου, λέγει ὡρὸς αὐτόν· τί θέλεις, ὦ πάτερ; ὁ δὲ γέρων ὡρὸς αὐτήν· ποῦ ἀπέθου τὴν τόδε τοῦ ἀνθρώου παραθήκην, ὦ θύγατερ; κἀκείνη ὡρὸς αὐτὸν ἔφη· ἐν τῷ δεκεῖται τῷ τόπῳ πάτερ· σαφῶς τὸν τόπον ἐπισταμένη τῷ πατρί· ὁ δὲ ὡρὸς αὐτήν. πορεύου ἐν εἰρήνῃ τέκνον μου Εἰρήνη. ὁ δὲν γέρων ἐπιστρέψας οἴκοι, καὶ ἄρων ὅπερ εἶπεν ἡ παρθένος κεῖσθαι τὴν παραθήκην, ἀπέδωκε τῷ ἀνδρί. πολλὰ δὲ καὶ ἄλλα τοῦ ἀνδρὸς ἄδονται θαύματα, καὶ παραδοξοποιίαι πολλαί, αἳ καὶ μέχρι δεῦρο ὡρὸς τῶν ἐγχωρίων δείκνυνται τοῖς ἐφισταμένοις ὡρὸς πληροφορίαν τῆς ἀληθοῦς ἡμῶν εἰς Χριστὸν πίστεως. τοιούτοις τοιγαροῦν μέχρι τῶν ἡμερῶν ἐκείνων ἁγίοις ἀνδράσιν ἡ ἐκκλησία διεκόσμησεν, ἐξ ὧν πολλοὶ παρῆσαν κατὰ τὴν ἐν Νικαίᾳ συνοδον. ἀλλὰ μὴν καὶ Ἀθανάσιος, περὶ οὗ καὶ ὡρώην εἰρήκαμεν, τηνικάδε διάκονος ὢν, ἐκ μέρους τοῦ τῶν ἁγίων ἐκείνων χορεῦ εἶναι ὑπὸ πάντων ὡμολόγειτο· συνῆν δὲ τῷ Ἀλεξάνδρῳ τῷ τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπισκόπῳ, βοηθὸς ἄριστος ὑπάρχων αὐτῷ. * ἀνεκίνει γὰρ ὁσημέραι οἱ ἡμέτεροι ἅγιοι ἐπίσκοποι, ἐπὶ πλεῖσον ὅσον χρόνον, καὶ πολλὰ περὶ τῆς πίστεως, οἰόμενοι δεῖν μηδὲν διχερὲς ἢ τολμηρὸν περὶ τηλικαύτης ζητήσεως διαπράττεσθαι. συχνῶς τε τὸν Ἄρειον μετεπέμποντο, καὶ πυκνῇ ἀναχρίσει τὰς ὡροτάσεις αὐτοῦ ἀναπτύσσοντες διέλυον· πλείστη τε ὅση σπουδὴ καὶ φροντὶς ἦν αὐτοῖς, πῶς ἐχρῆν ὡρὸς τὴν ἀναξιοπιστίαν τῶν ἀθέσμων αὐτοῦ δογμάτων ψηφίσασθαι καὶ ἀνθορίσασθαι. μετὰ πολλῆς δὲν τῆς σκέψεως, καὶ τῆς ὡρὸς τὸν Θεὸν ἱκεσίας, ταῦτα διελάμβανον. διὸ καὶ σφόδρα σοφῶς, καὶ λίαν ἁρμοδίως, τὰς κατὰ τῶν ἀθεμίτων δογμάτων Ἀρείου, καὶ τῶν σὺν αὐτῷ, ἐλέγχους ἀντέθηκαν, πρόρριζον ἀνασπάσαντες τὰς κατὰ τοῦ υἱοῦ τοῦ Θεοῦ μιαρὰς αὐτῶν βλασφημίας, καὶ ἐξαφανίσαντες. καὶ τῷ μὲν ὄχ ἐκ τοῦ Θεοῦ λέγειν ἐκείνους τὸν υἱὸν αὐτοῦ, ἀντέθηκαν οἱ ἡμέτεροι, τὸ, Θεὸν ἐκ Θεοῦ. καὶ τὸ, μὴ ἀληθινὸν Θεὸν κατ' ἐκείνους, ἐγράψαντο οἱ ἡμέτεροι, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ. καὶ τὸ κτίσμα αὐτὸν λέγειν ἐκείνους, ἀνθωρίσαντο οἱ ἡμέτεροι, γλυπτὸν, ὃ ποιητόν. καὶ τῷ ἑτερουσίῳ ὑπ' ἐκείνων προβαλλομένῳ ἀντέθηκαν οἱ ἡμέτεροι ἐπίσκοποι τὸ ὁμοούσιον εἶναι τὸν υἱὸν τῷ πατρὶ, τοῦτ' ἔστι γλυπτὸν ἐκ τῆς οὐσίας τοῦ πατρός. κτίσμα τε αὐτὸν καὶ δημιουργὸν ὁραπῶν τε καὶ ἀοράτων ἐκήρυξαν, κατὰ τὴν ἀνέκαθεν παραδοθεῖσαν τῇ ἐκκλησίᾳ αὐτοῦ ἀποστολικὴν πίστιν, γραφικαῖς μαρτυρίαις τὰς ἀποδείξεις ἐκδώσαντες, καθὼς προϊὼν ὁ λόγος ἀποδείξει. ταύτῃ τῇ ἀντιδότῳ τὰ θανάσιμα φάρμακα ἀναξηράναντες, ξηροτέραν ἐντεῦθεν ἤδη λοιπὸν τὴν ἀποστολικὴν συμφώνως ἐγγράφονται πίστιν.

Περὶ τοῦ δεῖν ξεῖς ὑποστάσεις νοεῖν καὶ πίστεων ἀχωρίστως ἐπὶ τῆς ἁγίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος μιᾶς θεότητος.

ΚΕΦΑΛ. ιβ.

ΗΑΓΙΑ καὶ μεγάλη καὶ οἰκουμενικὴ συνοδος τῶν ἐν Νικαίᾳ συνελθόντων ἁγίων πατέρων ἡμῶν διὰ τοῦ μακαρίου καὶ ἁγίου ἐπισκόπου Ὁσίου πόλεως Κορδόβης τῆς τῶν Σπανῶν ἐπαρχίας, ἐπέχοντος καὶ τὸν τόπον τοῦ τῆς Ῥωμαίων ἐπισκόπου σὺν τοῖς ἐκ τοῦ αὐτοῦ θρόνου προσαναφωνηθεῖσι πρεσβυτέροις, ἑρμηνεύοντος αὐτὸν ἑτέρου, εἶπεν· ἡ θεότης οὐχ ἓν πρόσωπόν ἐστι, κατὰ τὴν τῶν Ἰουδαίων ὑπόληψιν, ἀλλὰ τρία πρόσωπα καθ' ὑπόστασιν ἀληθινὴν, οὐκ ὀνόματι ψιλῷ· ἃ τοῦτο μαρτυρίαις πολλαῖς ἀπό τε παλαιᾶς καὶ νέας διαθήκης κηρύττεται.

ἡ μὲν παλαιὰ κατὰ τὸν σωματικώτερον ἔτι τρόπον διαλεγομένη, λόγον ὡς λαλούμενον παρέστησεν· ἡ δὲ καινὴ τὸν λόγον Θεὸν ἀπέδειξε, κατὰ τό· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· καὶ πρόσωπον τέλειον ἐκ τελείου· Θεὸς γὰρ, οὐ μέρος ὁ υἱὸς, ἀλλὰ τέλειος ὥσπερ ὁ πατὴρ, τῆς αὐτῆς οὐσίας ὤν, ἧς καὶ ὁ γεννήσας αὐτὸν ἀφράστως πατήρ. συνυπάρχει δὲ ὡσαύτως τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τὸ ἅγιον πνεῦμα, τῆς αὐτῆς οὐσίας καὶ τοῦ αὐτοῦ χρήματος ὄν. ὅπερ ὁ πατὴρ καὶ ὁ υἱὸς μίαν τοίνυν βουλὴν, μίαν βασιλείαν, μίαν αὐθεντίαν, μίαν δεσποτείαν ἐπὶ πάντων τῶν κτιστῶν φύσεων ὁρωμένων τε, καὶ νοουμένων, μίαν θεότητα καὶ τὴν αὐτὴν οὐσίαν ὁμολογητέον πρὸς ἡμῶν, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. οὐ σύγχυσιν ἢ διαίρεσιν τῶν τῆς ἀῤῥήτου ἐκείνης καὶ μακαρίας τριάδος ὑποστάσεων, κηρυττόντων ἡμῶν, ἀλλὰ πατέρα ἀεὶ ἀληθῶς πατέρα ἀληθινοῦ υἱοῦ ἀεὶ ὄντα καὶ ὑφεστῶτα. καὶ υἱὸν ἀληθῶς υἱὸν ἀληθινοῦ πατρὸς ἀεὶ ὄντα καὶ ὑφεστῶτα, καὶ πνεῦμα ἅγιον ἀληθῶς πνεῦμα ἅγιον, ἀεὶ ὂν καὶ ὑφεστός· τριάδα ἀχώριστον, ἄῤῥητον, καὶ ἀληθῶς ἀπερινόητον καὶ ἀνέκφραστον, μίαν θεότητα, καὶ τὴν αὐτὴν οὐσίαν ταύτης εἶναι πιστεύοντες. καὶ ταύτην ὁμολογοῦμεν, κατὰ τὴν ἀνέκαθεν παρὰ τοῦ κυρίου, διὰ τῶν ἱερῶν αὐτοῦ ἀποστόλων, καὶ τῶν τὴν ἐκείνων ἁγίαν πίστιν φυλαξάντων ἀσπίλως, ἀρχαίων ἁγίων ἡμῶν πατέρων, παραδοθεῖσαν ἡμῖν τῆς αὐτῆς πίστεως ἀληθῆ δογμάτων ἀκρίβειαν, ἑτοίμως ἐχόντων ἡμῶν, σὺν εὐδοκίᾳ τοῦ ἁγίου πνεύματος, διὰ πλείστων ὅσων μαρτυριῶν τῶν ἐκ τῶν θείων γραφῶν δεῖξαι, ταῦτα οὕτως ἔχειν. τούτων παρ' αὐτῶν, μᾶλλον δὲ δι' αὐτῶν ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκφωνουμένων οἱ τῆς ἀσεβείας Ἀρείου ἀντιποιούμενοι· ἦσαν δὲ ὑπὲρ Εὐσέβιον τὸν Νικομηδείας, καὶ Θεόγνιν τὸν τῆς Νικαίας, οὓς ἔμπροσθεν ἤδη ἐδηλώσαμεν· ἀπέβλεπον δὲ ὁμοίως εἰς τοὺς μισθωτοὺς Ἀρείου φιλοσόφους τινὰς λογίους ὑπεράγαν, οὓς συνηγόρους τῆς οἰκείας μοχθηρίας μισθωσάμενος Ἄρειος, σὺν αὐτοῖς ἧκεν εἰς τὴν ἁγίαν ἐκείνην καὶ οἰκουμενικὴν σύνοδον. παρῆσαν γὰρ πλεῖστοι ὅσοι φιλόσοφοι, εἰς οὓς ἠλπικότες, ὡς ἀρτίως εἰρήκαμεν, οἱ τῆς ἀληθείας πολέμιοι, εἰκότως ἑάλωνται καὶ μετὰ τοῦ τῆς βλασφημίας αὐτῶν διδασκάλου. πληρουμένης ἐπ' αὐτῷ καὶ αὐτῶν τῆς ἱερᾶς γραφῆς λεγούσης· ἐπικατάρατος πᾶς ἄνθρωπος, ὃς ἔχει τὴν ἐλπίδα αὐτοῦ ἐπ' ἄνθρωπον, καὶ ἀπὸ κυρίου ἀπέστη ἡ καρδία αὐτοῦ. ἀπέστη γὰρ ὄντως ἀπὸ τοῦ κυρίου ἡ βλάσφημος καρδία τοῦ θεομάχου Ἀρείου, καὶ τῶν κοινωνῶν τῆς ἀσεβείας αὐτοῦ, κτίσμα καὶ ποίημα τολμησάντων λέγειν τὸν υἱὸν τοῦ Θεοῦ, τὸν πάντων κτίστην καὶ δημιουργὸν, ἀοράτων καὶ ὁρατῶν κτιστῶν φύσεων.

Ὅπου τῶν φιλοσόφων Ἀρείου, κατὰ τῆς ἁγίας ἐκείνης τῶν ἀποστολικῶν τοῦ Θεοῦ ἱερέων συνόδου, πλεῖστα ὅσα ἀποφθέγγεται.

ΚΕΦΑΛ. ιγ'.

ΕΙΣ δέ τις τῶν μισθωτῶν Ἀρείου φιλόσοφος. λίαν παρὰ πάντας τοὺς ἄλλους θαυμαζόμενος, πολλὰ καὶ πάμπολλα ὑπὲρ Ἀρείου πρὸς τοὺς ἐπισκόπους τοὺς ἡμετέρους διετείνετο ἐπὶ πλείστας ὅσας ἡμέρας, ὥστε γίνεσθαι ἐφ' ἑκάστης ἐκ τῆς διὰ τῶν λόγων συμβολῆς μεγάλην ἀκρόασιν τοῦ πλήθους τῶν συνερχομένων· ἐπισυγχέοντος τοῦ δὲ φιλοσόφου κατὰ τῶν παρὰ τῆς ἁγίας συνόδου λεγομένων, τὰς ἀσεβεῖς Ἀρείου βλασφημίας προβαλλομένου, λέγοντος περὶ τοῦ υἱοῦ τοῦ Θεοῦ τό, ἦν ποτε ὅτε οὐκ ἦν. καὶ ὅτι κτίσμα καὶ ποίημα ἐξ οὐκ ὄντων, καὶ ἐξ ἑτέρας οὐσίας καὶ ὑποστάσεώς ἐστι. καὶ ὑπὲρ τούτων τῶν μιαρῶν δογμάτων Ἀρείου πολὺς ἦν αὐτῷ ὁ ἀγὼν, καὶ αἱ τῶν λόγων νιφάδες. λυττῶντος αὐτοῦ κατὰ τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ κατατρέχοντος τοῦ τῶν ἁγίων ἱερέων ἐκείνων χοροῦ, λαλοῦντος ἐν αὐτῷ, καὶ δι' αὐτοῦ τοῦ τῆς τῶν ἀνθρώπων σωτηρίας ἐχθροῦ. οἱ δὲ τῆς ἀληθείας ὑπέρμαχοι, οἱ ἡμέτεροι ἐπίσκοποι, τὰς ὀφειλομένας καὶ πρεπούσας ὑπὲρ τῶν ἀποστολικῶν δογμάτων ἀντιθέσεις ἀταράχως τῷ φιλοσόφῳ προσέφερον· τὸν μέγαν προφήτην ὁμοῦ καὶ βασιλέα Δαυὶδ μιμούμενοι, λέγοντα· ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην. πάσας γὰρ τὰς τοῦ φιλοσόφου πολυπλόκους προτάσεις, ὡς πυρὶ, τῷ θείῳ λόγῳ, στυππίου δίκην, κατανήλισκον. ἀλλὰ καὶ οὗτος ὁ φιλόσοφος τῇ τῶν λόγων διαβολικῇ εὐτεχνίᾳ θαῤῥῶν, τὴν διὰ τῶν ἐπισκόπων ἀλήθειαν κηρυττομένην ἀντιτοξεύειν ἐνίστατο· εὖ μάλα ῥᾷστα πᾶσι τοῖς ἐπαγομένοις αὐτῷ ὡς ᾤετο, προσφερόμενος, ἐπιλύειν τε ἐβιάζετο τὰ κινούμενα δίκην ἐγχέλυος· ἐν οἷς γὰρ ἐδόκει ἑαυτῷ συνίστασθαι, διολισθαίνων τῶν ἐπικρατεστέρων αὐτῷ προσφερομένων νοημάτων. ἀλλὰ καὶ οὕτως κορυβαντιῶν ἀλαζονικῶς κατὰ τῆς εἰρηνικωτάτης συνόδου ἐφέρετο, ἐλπίζων νικᾶν τοῦ ἐν αὐτοῖς ἀκτίστου πνεύματος Χριστοῦ τὴν ἀκαταμάχητον δύναμιν, ἐκ τῶν οἰκείων ῥημάτων ἁλισκόμενος συγκατέπιπτεν· ἵνα δείξῃ ὁ Θεὸς ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, ὅτι οὐκ ἐν λόγῳ ἡ βασιλεία αὐτοῦ, ἀλλ' ἐν δυνάμει συνίσταται, δι' ἑνὸς τῶν ἐκεῖσε δούλων αὐτοῦ τὸν ἐν τῷ φιλοσόφῳ λαλοῦντα πονηρὸν δαίμονα ἰσχυρῶς κατεσίγησεν, οὐ μόνον, ἀλλὰ καὶ ἐξέβαλεν. ἀνὴρ γάρ τις ἐκ τῶν παρόντων τῇ συνόδῳ ἁγίων ὁμολογητῶν, ἁπλοῦς τὴν φύσιν, εἴπερ τις ἄλλος τῶν ἁγίων, καὶ μηδὲν ἕτερον εἰδὼς εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον σαρκὶ, κατὰ τὰς γραφὰς, συνὼν τοῖς ἐπισκόποις, καὶ ὁρῶν τὸν φιλόσοφον κατεπαιρόμενον τῶν ἡμετέρων ἁγίων ἐπισκόπων, καὶ τῇ μοχθηρᾷ αὐτοῦ συζητήσει καταλαζονευόμενον, αἰτεῖ παρὰ τῶν ἐπισκόπων τῶν τοῦ Θεοῦ ἱερέων χώραν αὐτῷ συνομιλίας παρ' αὐτῶν πρὸς τὸν φιλόσοφον δοθῆναι. τότε οἱ καθ' ἡμᾶς ἅγιοι ἐπίσκοποι θεωροῦντες τοῦ ἀνδρὸς τὴν ἁπλότητα, καὶ τὸ ἄπειρον αὐτὸν εἶναι γραμμάτων, ἔπειθον μὴ δοῦναι ἑαυτὸν εἰς τὸ μέσον, μήποτε παρὰ τοῖς μοχθηροῖς, καὶ τῆς ἀληθείας ἐχθροῖς, γέλως γένηται. ὁ δὲ μὴ ἀνασχόμενος πρόσεισι τῷ φιλοσόφῳ, καὶ φησι πρὸς αὐτόν· ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ἀεὶ σὺν τῷ πατρὶ ὄντος Θεοῦ λόγου, ἄκουσον τὰ τῆς ἀληθείας δόγματα, ὦ φιλόσοφε. ὁ δὲ πρὸς αὐτόν· ἐὰν εἴποις. καὶ ὁ ἅγιος πρὸς αὐτόν· εἷς ἐστιν ὁ Θεὸς, φησὶν, ὁ τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ τὰ ἐν αὐτοῖς πάντα δημιουργήσας, ὁ καὶ τὸν ἄνθρωπον ἐκ γῆς διαπλάσας, ὑπεστήσατό τε τὰ πάντα τῷ λόγῳ αὐτοῦ,

αὐτοῦ, καὶ τῷ ἁγίῳ πνεύματι. τοῦτον τὸν λόγον, ὦ φιλόσοφε, Θεοῦ υἱὸν ἡμεῖς εἰδότες προσκυνοῦμεν, πιστεύοντες διὰ τὴν ἡμετέραν ἀπολύτρωσιν ἐκ παρθένου αὐτὸν σεσαρκῶσθαι, καὶ τετέχθαι καὶ ἐνηνθρωπηκέναι, καὶ διὰ τοῦ τῆς σαρκὸς αὐτοῦ πάθους τοῦ ἐν τῷ σταυρῷ καὶ τοῦ θανάτου ἠλευθερωκέναι αὐτὸν ἡμᾶς ἐκ τῆς αἰωνίου κατακρίσεως διά τε τῆς ἀναστάσεως αὐτοῦ ζωὴν ἡμῖν αὐτὸν αἰώνιον περιποιεῖσθαι· ὃν καὶ εἰς οὐρανοὺς ἀνελθόντα ἐλπίζομεν πάλιν ἐλεύσεσθαι, κριτήν τε ἔσεσθαι περὶ πάντων ὧν διεπραξάμεθα. πιστεύεις τούτοις, ὦ φιλόσοφε; ὁ δὲ φιλόσοφος, ὡς ἂν μηδεπώποτε πεῖραν λόγων εἰς ἀντίθεσιν ἐσχηκὼς, ἀπηνεώθη, καὶ ὡς κωφὸς ἢ ἄλαλος, οὕτως ἀπεσιώπησε· τοῦτο μόνον οἰκτρᾷ λίαν τῇ φωνῇ πρὸς αὐτὸν εἰρηκὼς, ὅτι κἀμοὶ ταῦτα οὕτως ἔχειν δοκεῖ, μηδὲν ἕτερον εἶναι, ἢ πάντα καθὼς προείρηκας. ὁ δὲ γέρων πρὸς αὐτὸν ἔφη· εἰ ταῦτα οὕτως ἔχειν πιστεύεις, ὦ φιλόσοφε, ἀναστὰς ἀκολούθει μοι, καὶ ἐπὶ τὴν ἐκκλησίαν σπουδάσωμεν, ἐν ᾗ λήψῃ τὸ σημεῖον ταύτης τῆς πίστεως. ὁ δὲ φιλόσοφος μεταβαλὼν ὅλον ἑαυτὸν πρὸς τὴν ἀληθῆ εἰς τὴν τῶν ὅλων Θεὸν εὐσέβειαν, ἀναστὰς ἠκολούθει τῷ γέροντι, καὶ ἐπιστραφεὶς λέγει τοῖς μαθηταῖς αὐτοῦ, καὶ πᾶσι τοῖς συνελθοῦσιν εἰς τὴν ἀκρόασιν· ἀκούσατε φησὶν, ὦ ἄνδρες, ἕως ὅτε λόγων ἐποιούμην σπουδὴν, λόγους ἀντετίθουν, καὶ τὰ προσφερόμενα τέχνῃ τοῦ λέγειν ἀνέτρεπον· ὅτε δὲ ἀντὶ λόγων δυνάμίς τις θεία ἐκ στόματος τοῦ ζητοῦντος προελήλυθεν, οὐκ ἴσχυσαν οἱ λόγοι λοιπὸν τῇ δυνάμει ἀντιτάξεσθαι· οὔτε γὰρ ἄνθρωπος Θεῷ οἷός τέ ἐστιν ἀντιστήσεσθαι. διά τοι τοῦτο εἴτις ὑμῶν δύναται συνιέναι, ὡς ἐγὼ νενόμικα, πιστεύσει εἰς Χριστὸν, καὶ ἀκολουθησάτω τούτῳ τῷ γέροντι, ἐν ᾧ ἐλάλησεν ὁ Θεός. τοῦτον τὸν τρόπον ἀναλαβὼν ὁ φιλόσοφος, φωτισθεὶς, καὶ γενόμενος χριστιανὸς, ἔχαιρεν ἡττηθεὶς ὑπὸ τοῦ γέροντος· τούτου δὲ τοῦ φιλοσόφου βαπτισθέντος, καὶ τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ συναφθέντος, καὶ διαναπαυομένου καὶ ἀγαλλιῶντος ἐπὶ τοῖς μεγαλείοις τοῦ Θεοῦ, ἡ σύνοδος ἔχαιρεν.

Ἀντίῤῥησις ἑτέρου φιλοσόφου τοὔνομα Φαίδωνος, ποιουμένου καὶ αὐτοῦ τοὺς λόγους ὑπὲρ τοῦ θεομάχου Ἀρείου, καὶ τῆς ἐφευρεθείσης ὑπ' αὐτοῦ βλασφημίας.

ΚΕΦΑΛ. ιδ'.

Πρότασις τοῦ φιλοσόφου πρὸς τὴν ἁγίαν σύνοδον εἰς τό· ποιήσωμεν ἄνθρωπον.

ΚΑΙ' εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν. εἰ οὖν ὡς ἡ φωνὴ δηλοῖ ἢ καὶ ὁ νοῦς ἐξαπαχθεὶς, ἀνθρωπόμορφον ἄν τις λέξοι τὸν Θεόν. τὸν δὲ Θεὸν ἴσμεν ἁπλοῦν, καὶ ἀσχημάτιστον. τί οὖν βούλονται αἱ σημασίαι τῶν προσηγοριῶν τούτων; φατὲ, μὴ ἄρα ἀνθρωπόμορφον τὸ θεῖον;

Ἀπόκρισις τῶν ἁγίων πατέρων διὰ Εὐσταθίου ἐπισκόπου Ἀντιοχείας.

Οὐχ οὕτως ὦ φιλόσοφε, ἀλλ' ἢ τὸ εἰπεῖν τὸν Θεόν· ἀρχέτωσαν πάσης τῆς γῆς· καὶ τὸ, κατακυριευσάτωσαν αὐτῆς, καὶ πάντων τῶν ἐν αὐτῇ, τοῦτο τὸ κύριόν ἐστι, τοῦ ποιῆσαι τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ, καὶ ἄρχειν αὐτὸν πάσης τῆς γῆς. ἐπείπερ, ὡς ἄρχει ὁ Θεὸς ἁπάσης τῆς γῆς, καὶ τῶν ἐν αὐτῇ πάντων, οὕτω καὶ τὸν ἄνθρωπον δεύτερον ἄρχοντα πάσης τῆς γῆς καὶ τῶν ἐν αὐτῇ κατέστησε. τοῦτο εἶναι τὸ, κατ' εἰκόνα Θεοῦ καὶ καθ' ὁμοίωσιν γενέσθαι τὸν ἄνθρωπον φημί.

Ἔτι ἀντιπόκρισις τῶν ἁγίων πατέρων διὰ τοῦ αὐτοῦ ἐπισκόπου Εὐσταθίου.

ΚΕΦΑΛ. ιε'.

ΚΑΙ' εἶπεν ὁ Θεός. ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. ἀλλὰ πρός τίνα ἔφη, ζητήσωμεν φιλόσοφε. ἐν τῷ γὰρ εἰπεῖν. καὶ εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον· ἐπήγαγε λέγων. καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. ἡ οὖν τοῦ ποιήσωμεν σημασία τὸ εἶναι πρόσωπον συνδημιουργὸν σημαίνει, καὶ συνισοπροσήγορον εἰσάγει. ὡς γὰρ Θεὸς ὁ πατήρ ἐστιν, ὁ εἰπὼν, ποιήσωμεν ἄνθρωπον· οὕτως ὁ Θεός ἐστι καὶ πρὸς ὃν τὸ ποιήσωμεν εἴρηκε, μιᾶς οὔσης τῆς τῶν ἀμφοτέρων προσώπων θεότητος, τοῦ τε εἰπόντος, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ τοῦ ποιήσαντος τὸν ἄνθρωπον. τὸ γὰρ ποιήσωμεν, τὸ πανάγαθον καὶ ἀπαράλλακτον τῆς τοῦ πατρὸς καὶ υἱοῦ θεότητος παρίστησιν ἡ φωνή. ἡ γὰρ τοῦ Θεοῦ εἰκὼν ἁπλῆ καὶ ἀσύνθετός ἐστι, πῦρ οὖσα τῇ φύσει.

Ἀπόκρισις σύμφωνος τῶν ἁγίων πατέρων.

Φῶς ἀπρόσιτον καὶ ἄστεκτός ἐστι φύσις, ἡ τῆς ἁγίας τριάδος οὐσία. αὕτη ἐστιν ἡ διάνοια τοῦ, ποιήσωμεν.

Ἀντίῤῥησις τοῦ φιλοσόφου ὑπὲρ Ἀρείου.

ΚΕΦΑΛ. ιϛ'.

ΠΑ'ΛΙΝ ἐρῶ τὸ τὸν Θεὸν ἁπλοῦν εἶναι, καὶ ἀσχημάτιστον, καὶ ἀσύνθετον. πῶς οὖν ἄρα νοητέον, τὸ, κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, καὶ τὸ μὴ προϋπάρχειν τὸν εἰπόντα τοῦ πρὸς ὃν ἔλεγε, ποιήσωμεν ἄνθρωπον· καὶ τὰ ἑξῆς; φατὲ ἡμῖν σαφῆ τὴν περὶ τούτων ἀπόδειξιν, εἰ δύνασθε.

Οἱ ἅγιοι ἐπίσκοποι διὰ Ὁσίου ἐπισκόπου πόλεως Κουρδούβης, ἑρμηνεύοντος αὐτὸν ἑτέρου, εἶπον.

Εἰ προϋπῆρχεν, ὡς σὺ φῄς, τοῦ υἱοῦ ὁ πατὴρ, καὶ μεταγενέστερος ὁ υἱὸς μετὰ χρόνους τινὰς κτισθεὶς ὑπὸ τοῦ Θεοῦ, καὶ εἰς υἱὸν αὐτοῦ μετὰ ταῦτα ὑπ' αὐτοῦ τοῦ πατρὸς ἀναγορευθεὶς, καθάφατε ἀσεβῶς βλασφημοῦντες, εἰς ποίησιν τῶν κτιστῶν φύσεων προκεκτίσθαι αὐτὸν ὑπ' αὐτοῦ· εἶπεν ἂν, κατὰ τὴν ὑμετέραν ἀσέβειαν, ὁ ἄκτιστος Θεὸς πρὸς τὸν κτιστὸν υἱὸν καθ' ὑμᾶς· ποίησόν μοι ἄνθρωπον κατ' εἰκόνα ἐμὴν καὶ ὁμοίωσιν. ἀλλ' ἐπείπερ ἀεὶ πατὴρ ὁ Θεὸς, ὡς προαπεδείξαμεν, καὶ ἀεὶ συνυπάρχει τῷ πατρὶ ὁ υἱὸς, οὐ μεταγενέστερος χρόνοις, οὐκ ἐλάσσων δυνάμει, οὐ περιγραπτὸς τόπῳ, ἀλλ'

ἀεὶ

ἀεὶ καὶ ὡσαύτως ἀϊδίως συνυπάρχων τῷ πατρὶ, γεγενημένος ἐξ αὐτοῦ ἀπερινοήτως καὶ ἀνεκφράστως, καθὰ προειρήκαμεν, Θεὸς ἀληθινὸς ὢν ἀεὶ, ἐκ τοῦ ἀεὶ ὄντος ἀληθινοῦ Θεοῦ, καὶ πατρὸς, συνάναρχος τῷ πατρὶ, συναΐδιος τῷ πατρὶ, συμβασιλεύων ἀεὶ τῷ πατρὶ, ὁμοούσιος τῷ πατρὶ, ἰσοδύναμος τῷ πατρὶ, συνδημιουργὸς τῷ πατρί. εἰ γὰρ διὰ τοῦ υἱοῦ γεγενῆσθαι λέγει ἡ θεία τῶν εὐαγγελίων φωνὴ, καὶ ὅτι χωρὶς αὐτοῦ γέγονεν οὐδὲ ἓν ὃ γέγονεν, ἀλλ' ὅμως οὐ δίχα τοῦ πατρὸς ἐδημιούργησεν. ἀλλ' ἐπείπερ μία θεότης, καὶ βουλὴ μία τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἀχωρίστως ἀεὶ ὄντος τοῦ πατρὸς πρὸς τὸν υἱὸν, καὶ τοῦ υἱοῦ πρὸς τὸν πατέρα· νοητέον οὖν, ὦ φιλόσοφε, ὅτι ἓν κατὰ τὴν τῆς θεότητος οὐσίαν ὁ πατὴρ καὶ ὁ υἱὸς, καθὰ καὶ ἐν εὐαγγελίοις ὁ αὐτὸς υἱὸς βοᾷ· ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμεν. πρὸς ὃν ἔλεγε· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν.

Ἀντίῤῥησις τοῦ φιλοσόφου.

Καὶ ἤδη ἐν ταῖς προτέραις ἐπερωτήσεσιν ἔφαμεν, μὴ εἶναι τὸν Θεὸν ἀνθρωπόμορφον. τίνα οὖν ἔχει τὴν σημασίαν ἡ ῥῆσις αὕτη, τὸ κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν; φατὲ ἡμῖν. οὐ γὰρ μικρὸν ἡμῖν ἡ λέξις παρέχει ἀγῶνα. τέως τοῦτο λεκτέον.

Ἀπόκρισις τῆς ἁγίας συνόδου διὰ τοῦ αὐτοῦ ἐπισκόπου Ὁσίου πόλεως Κουρδούβης.

Τὸ κατ' εἰκόνα, ὦ φιλόσοφε, νοητέον οὐ κατὰ τὴν σωμάτων σύνθεσιν, ἀλλὰ κατὰ νοερὸν ἐντετυπῶσθαι ὁ τῆς ἀληθείας παρίστησι λόγος. ἄκουε τοίνυν καὶ σύνες. ἀγαθὸς ὢν ὁ Θεὸς τῇ φύσει, ἐνέπηξε τῇ νοερᾷ τοῦ ἀνθρώπου οὐσίᾳ τὸ, κατ' εἰκόνα αὐτοῦ καὶ ὁμοίωσιν, οἷον τὴν ἀγαθότητα, τὴν ἁπλότητα, τὴν ἁγιότητα, τὴν καθαρότητα, τὴν ἀφθονίαν, τὴν χρηστότητα, τὴν μακαριότητα, καὶ τὰ τούτοις ὅμοια· ἵνα ἅπερ ἐστὶν ὁ Θεὸς τῇ φύσει, ταῦτα κατὰ τὴν αὐτοῦ χάριν ἔχειν δυνηθῇ καὶ ὁ ὑπ' αὐτοῦ κτισθεὶς ἄνθρωπος, τοῦτ' ἔστι τὸ νοερὸν αὐτοῦ. καὶ ὥσπερ οἱ τῶν ζωγράφων ἐπιστήμονες γράφοντες ἐν σανίσι τὰς ὁμοιώσεις τῶν εἰκόνων, ἐκ διαφόρων καὶ οὐκ ἐξ ἑνὸς χρώματος τὰς εἰκόνας ἀπαραλείπτως γράφουσιν· οὕτω δέδωκεν ὁ Θεὸς τῷ ἀνθρώπῳ τῷ ὑπ' αὐτοῦ κτισθέντι ἐν τῷ νοερῷ ταμείῳ τῆς ψυχῆς, τοῦτ' ἔστι τῷ νῷ, ἔχειν διὰ τῶν ἀρετῶν τὸ κατ' εἰκόνα αὐτοῦ καὶ ὁμοίωσιν· τῆς εἰκόνος ἀπαραλείπτου εὑρισκομένης ἐν τῷ ἀνθρώπῳ διὰ τῶν προῤῥηθέντων θείων πραγμάτων, ὧν ἀνέθηκεν αὐτῷ ὁ Θεὸς, εἰπών. ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν.

Ἀντίῤῥησις τοῦ φιλοσόφου.

ΚΕΦΑΛ. ιζ'.

Ὑπερκείσθω μοι ταῦτα ἐπὶ τοῦ παρόντος καιροῦ· ἐκεῖνο δὲ μᾶλλον ἐπερωτητέον περὶ τοῦ, δι' οὗ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, καὶ πάντα τότε ὁρώμενα, τότε μὴ ὁρώμενα. οὐ γάρ μοι δοκεῖ εὖ ἔχειν, ἅπερ εἰρήκατε, ὅτι ἓν κατὰ τὸ αὐτὸ ὁ πατὴρ καὶ ὁ υἱὸς ἀϊδίως ἅμα, καὶ ὅτι Θεὸς ἀεὶ συμπροϋπάρχων τῷ πατρὶ ὁ υἱός. ἐγὼ δὲ φαίην ὑπουργὸν ἐν τοῖς κτίσμασι γεγενῆσθαι αὐτὸν ὑπὸ τοῦ Θεοῦ· ἐδεῖτο γὰρ ὁ Θεὸς ὑπουργοῦ εἰς τὴν τοῦ ἀνθρώπου καὶ τοῦ κόσμου κατασκευήν. διὸ μέλλων ὁ δημιουργὸς Θεὸς κτίζειν τὰς κτιστὰς φύσεις, ὑποστήσατο ἑαυτῷ ἐργαλεῖον, δι' οὗ κτίσει πάσας τὰς φύσεις. ὥσπερ γὰρ ὁ τέκτων προυφιστᾷ ἐργαλεῖα εἰς τὴν τῶν ὑπ' αὐτοῦ μελλόντων γίνεσθαι κατασκευήν. οὕτως ἐστὶ νοῆσαι καὶ ἐπὶ τοῦ Θεοῦ, ὅτι ὑποστήσας ἑαυτῷ ὡς ἐργαλεῖον τὸν υἱὸν, ἔκτισε δι' αὐτοῦ τὸν κόσμον. τὸ γὰρ ὑπὸ τοῦ ἀποστόλου ῥηθὲν, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, ὡς δι' ἐργαλείου ἐκτίσθησαν αἱ δι' αὐτοῦ φύσεις. ὡς τὸ κατ' εἰκόνα δὲ ἡμετέραν καὶ καθ' ὁμοίωσιν εἰπεῖν τὸν Θεὸν κτισθῆναι τὸν ἄνθρωπον, διὰ τοῦ ἐργαλείου, τοῦτ' ἔστι διὰ τοῦ υἱοῦ κατὰ τὴν ἑαυτοῦ εἰκόνα καὶ ὁμοίωσιν, εἶπεν ὁ Θεός.

Ἀνταπόκρισις τῶν ἁγίων πατέρων διὰ Λεοντίου ἐπισκόπου Καισαρίας Καππαδοκίας, καὶ Εὐψυχίου ἐπισκόπου Τυάννων.

Εἰ οὖν, ὡς σὺ φῄς, ἐργαλεῖον ὁ υἱὸς εἰς ποίησιν τῶν κτιστῶν φύσεων ὑπὸ τοῦ πατρὸς ἐκτίσθη, ἐκ τῶν σεαυτοῦ καταπίπτεις λόγον, ὦ φιλόσοφε. λέγει γὰρ ἡ τοῦ εὐαγγελίου φωνὴ, ὡς καὶ αὐτὸς ἀρτίως ἐμνήσθης· πάντα δι' αὐτοῦ ἐγένετο. καὶ ἐπάγει· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. εἰ οὖν πᾶν τὸ κτιστὸν δι' αὐτοῦ γέγονε, καὶ χωρὶς αὐτοῦ γέγονεν οὐδὲν ὃ γέγονε, κτίσμα δὲ καὶ ὁ υἱὸς, ὡς αὐτὸς φῄς· ἑαυτὸν ἔκτισεν ἄρα, καὶ οὐχ ὁ πατήρ.

Ἀντίῤῥησις τοῦ φιλοσόφου.

Ἅπαξ εἶπον, ὅτι πάντα δι' ἐργαλείου, δι' αὐτοῦ ἐποίησεν ὁ Θεὸς, εἰς αὐτὸ τοῦτο ποιήσας αὐτὸν * πάσης κτίσεως, καὶ πρὸς ποίησιν τῶν κτιστῶν φύσεων ἐργαλεῖον εὐτρεπίσας αὐτόν.

* ἴσ. καὶ πάσης.

Ἀνταπόκρισις τῶν ἁγίων πατέρων διὰ τῶν αὐτῶν ἐπισκόπων Λεοντίου καὶ Εὐψυχίου.

Εἰπὲ ὦ βέλτιστε, ποῦ σοί τις ἐργαλεία ἀνεβόησε τὸν υἱὸν τοῦ Θεοῦ; * τί καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα; παράσχου ἡμῖν τὰς μαρτυρίας τῶν ὑποθέσεων. τίνος πνευματοφόρου ἔχεις τὰς ὑπογραφὰς, ἐκδώσαντος ἐργαλεῖον τὸν υἱὸν τοῦ Θεοῦ τὸν κτίστην πάντων τῶν αἰώνων καὶ πασῶν στρατιῶν ἐπουρανίων, καὶ πάντων ἐπιγείων; ἐπάκουσον τοίνυν, ὦ φιλόσοφε, τῶν μαρτυριῶν τῶν ἐκ τῶν θείων γραφῶν, τῶν ἐκθησάντων Θεὸν ὡς ἀΐδιον τῷ πατρὶ τὸν υἱὸν αὐτοῦ, κτίστην τε καὶ δημιουργὸν πασῶν τῶν κτιστῶν φύσεων. ἐν μὲν βίβλῳ κτίσεως ἔχεις Μωσῆν τὸν προφήτην, ὡς συνδημιουργὸν τῷ θεῷ καὶ πατρὶ τὸν υἱὸν ἐξέδωκε, λέγων καθὰ προειρήκαμέν σοι ὦ βέλτιστε· εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. πρόσωπον συνδημιουργὸν συγκαλεῖν πέφυκεν, ἀλλ' οὐχὶ ἐργαλεῖα. τὸ γὰρ εἰπεῖν· καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτὸν ἄῤῥεν καὶ θῆλυ ἐποίησεν αὐτούς· αὐθεντίαν προσώπου σημαίνει. ἐν τῷ γὰρ εἰπεῖν· ποιήσωμεν ἄν-

* ἴσ. καὶ τὸ

ἄνθρωπον· ἀναιρεῖ τιὼ τῆ ἐργαλείων ἐποίνοιαν. ξανωτέραν δέχε μαρτυρίαν αὐθεντικήν, εἰς μόνον τὸ πρόσωπον τῦ υἱῦ ἐκτεθεῖσαν, δεικνῦσαν αὐτὸν δημιυργὸν πασῶν τῆ γλυπτῶν φύσεων, ὡς γέγραπται ἐν βίβλῳ Βαρὲχ, ἐκ σόματ Ἱερεμίε προφήτε λέγοντ. ὁ κατασκλάσας τ γλιῦ εἰς τὸν αἰῶνα χρόνον, ἐνέπλησεν αὐτιὼ κτιμῶν τετραπόδων. ὁ ἀποστέλλων τὸ φῶς, κ πορεύεται· ἐκάλεσεν αὐτὸς, κ ὑπήκυσεν αὐτῳ ξόμῳ. οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν τοῖς φυλαξαῖς αὐτῶν, κ ηὐφράνθησαν. ἐκάλεσεν αὐτὸς, κ εἶπαν. πάρεσμι. ἔλαμψαν μετ' εὐφροσυνης τῷ ποιήσαντι αὐτός. ἔτ ὁ Θεὸς ἡμῶν, ὁ λογισθήσεται ἕτερ πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, κ ἔδωκεν αὐτιὼ Ἰακὼβ τῷ παιδὶ αὐτ, κ Ἰσραὴλ τῷ ἠγαπημμύῳ ὑπ' αὐτ. μ τ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, κ μετ τοῖς ἀνθρώποις συνανεστράφη. κ ὁ Ἡσαΐας λέγει τῷ Ἰσραήλ· κ νυ οὐκ ἔγνως, ἢ μὴ ἤκυσας; Θεὸς αἰωνι Θεὸς ὁ κατασκλάσας τὰ ἄκρα τῆς γῆς. τίς ἔν ἔτ ὁ Θεὸς ὁ αἰωνι, ὦ φιλόσοφε, ὁ κατασκλάσας τὰ ἄκρα τῆς γῆς, ὁ ἐπὶ γῆς ὀφθεὶς, κ τοῖς ἀνθρώποις συναναστραφείς; τὸν υἱὸν λέγεις συνανεστράφθαι τοῖς ἀνθρώποις, ἢ τὸν πατέρα;

Ἀπόκρισις τ φιλοσόφυ.

Ὁ υἱός φημι συνανεστράφθαι, καθὼς εἰρήκασιν αἱ θεῖαι γραφαὶ, κἀγὼ πιστωθεὶς ἐξ αὐτῶν ἀποδέδειγμαι. ἀλλ' ἔστι μοι ἔτι δυνατωτέρη κ ἀναντίῤῥητ ἀντίθεσις περὶ αὐτ, ὅτι πρὸ πάσης κτίσεως ἔκτισεν αὐτὸν ὁ Θεὸς, ἵνα δι' αὐτ τὰ πάντα κτίσῃ. κ ταῦτα ἀποδείξω ἐν τοῖς ἔμπροσθεν τῆ ἀγώνων.

Ἀπόκρισις τῆ ἁγίων πατέρων διὰ τῆ αὐτῆ ὁσιοτάτων ἐπισκόπων Λεοντίυ κ Εὐψυχίυ.

Οὐχ ὅτως, ὦ φιλόσοφε, ὐκ ἔνεστι δεῖξαί σε ταῦτα ἅπερ ἔφης. γλύμμα γάρ ἐστι τῦ Θεῦ, κ ὐ ποίημα, καθάπερ διὰ πλειόνων ἀπεδείξαμεν. καὶ τίς γάρ, ὦ φιλόσοφε, τῆ ἐν ἀσεβείᾳ κ ἀγχινοίᾳ πλατόντων ἀνδρῶν ὐκ ἐκπλήττεται ἐπὶ ταῖς τοσαύταις αὐτῦ ἐνεργείαις τῆ ὑπ' αὐτῦ δημιυργηθεισῶν φύσεων, ὡς ὑπὸ Θεῦ, τῦτ' ἔστιν ὑπ' αὐτῦ κτισθεισῶν, τῆς γραφῆς βοώσης· ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον. κ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε. κ ἰδὺ καλὰ λίαν; Ἰωάννης δὲ ὁ ἀγγελιστὴς σαφεστέρως δείκνυσιν αὐτὸν ἀεὶ συνὢν πάρχοντα τῷ πατρὶ, συναΐδιόν τε κ συνάναρχον τῷ πατρί. ἐν ἀρχῇ γάρ, φησὶν, ἦν ὁ λόγ, κ ὁ λόγ ἦν πρὸς τὸν Θεὸν, κ Θεὸς ἦν ὁ λόγ· ἔτ ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. πάντα δι' αὐτῦ ἐγένετο κ χωρὶς αὐτῦ ἐγένετο ὐδὲ ἕν, ὃ γέγονεν. ἰδὺ σαφέστατα δέδεικται, ὦ φιλόσοφε, ὅτι πάσης γενητῆς φύσεως δημιυργὸς ὁ υἱός· εἰ δὲ δημιυργὸς τῶν ὅλων κτισμάτων ἐστὶν, ὥσπερ δὲ κ ἔστιν, ὁρωμένων τε κ νοημένων, δῆλον ὅτι Θεὸς ἀληθῶς φύσει, κ ὐκ ἐργαλεῖον, ὡς φῂς, ὐδὲ κτίσμα, ἤτε ποίημα, ἤτε μετεγγείρ τῆ παρ' ὃ. τὸ γὰρ ἐν, πρόσκεις λεχθὲν ὑπὸ τῆ Εὐαγγελιστῆ, τὸ προϋπάρχον ὐκ ἔχει. ἵνα δὲ πλειοτάτως γνῶσι ὅτι ὐκ ὑπεξούσι, ἀλλ' αὐτεξούσι, ὡς κ ὁ πατὴρ, δέχε κ ἄλλην ἐναργεστάτην μαρτυρίαν. ἄκυε τοίνυν τῆ θεσπεσίυ Ἡσαΐυ βοῶντ. κ θελήσετε, φησὶν, εἰ ἐβουλήθησαν πειθαρχῆσαι. τοῖς Ἰουδαίοις προκαφωνῶν· ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς ἐδόθη ἡμῖν, ἧ ἡ ἀρχὴ ἐπὶ τῶ ὤμυ αὐτ, κ καλεῖται τὸ ὄνομα αὐτ μεγάλης βουλῆς ἄγγελ, θαυμαστὸς σύμβουλ, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τ μέλλοντ αἰῶν. ἄκυε φιλόσοφε ἐξουσιαστιὼ αὐτὸν προκηρυττόμενον, κ ὐχ ὑπεξούσιον, καθὼς ἡμεῖς φατέ. ἐν δὲ μιᾷ τῆ αὐτ ἐξηγήσεων παείσης ἑαυτὸν ὁ αὐτὸς μονογενὴς υἱὸς τῦ Θεῦ αὐτεξούσιόν τε κ κτίσμα τῦ ἀνθρώπυ ἐπὶ τῇ τῦ ἐκγενητῆς τυφλῦ ἀναπλήρωσει, ὑπ' αὐτῦ τῦ υἱῦ τῦ Θεῦ γενομένη. ἀπαύγασμα γάρ ἐστι τῦ παρ' ὃ συναΐδιον, κ χαρακτὴρ ἀπαράλλακτ τῆς ὅλης αὐτ ὑποστάσεως, καθά φησι Παῦλ ὁ ἀπόστολ, τὸ σκεῦ τῆς ἐκλογῆς. ἰδὺ φιλόσοφε, ποσῶς ἄναρχον, ἐπείπερ κ συνάκτισον τῷ πατρὶ, κτίσμα τε πασῶν τῆ κτιστῶν φύσεων, καθὰ πλειστάκις εἰρήκαμεν, τῆ τε ὁρωμένων, τῆ τε νοουμένων, τὸν υἱὸν τῦ Θεῦ ἀπέδειξαν. πῦ δὲ κ οἱ μάρτυρες τῆ ἐργαλείων, φῆσον εἰ ἔχεις. τάχα ἐν κ εἰς ἐργαλεῖα πιστεύσας ἐβαπτίσθης, εἴπερ, ὡς φῂς, πιστὸς ὑπάρχεις τῷ Θεῷ.

Ἀντίῤῥησις τῦ φιλοσόφυ περὶ τῦ· κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτ εἰς ἔργα αὐτ· ἐκ τῆ παροιμιῶν Σολομῶντος.

ΚΕΦΑΛ. ιή.

Ἐπεί, φησὶ, ποσῶς βιάζεσθε ὑμεῖς τ ἀληθείαν, τί ἑτοιμῶ περὶ ταύτης τῆς φανερᾶς λέξεως, τῆς· κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτ εἰς ἔργα αὐτ.

Ἀπόκρισις τῆ ἁγίων πατέρων τῆ ἐπισκόπων διὰ Εὐσεβίυ τῦ Παμφίλυ ἐπισκόπυ Καισαρείας Παλεστίνης.

Τί πιθανῶς κ ῥᾳδίως, ὡς οἴει, τὰς βυθὰς διατιθῴσκεις; μὴ σαυτῷ, ὦ φιλόσοφε, ἀφορμὰς ἀνάνδρως ἐπισωρεύε· ὅρα μή πως δυσεπιβάτοις χρημνοῖς ἀπαραφυλάκτως ἐπιβὰς χρημνιοβατῆς· ἀλλ' εἰς τὸ, κύριος ἔκτισέ με, νῦν φήσομεν ὅ οἱ πρὸ ἡμῶν ἐξέδωκαν περὶ τῆς λέξεως ταύτης, τῆς, ὅτι κύριος ἔκτισέ με, πολλὰ μὲν κ ἄλλα, κ εἰς τιὼ κατὰ σάρκα δὲ οἰκονομίαν τῆς ἐπιφανείας τῦ κυρίυ ἡμῶν Ἰησῦ Χριστῦ, καὶ ὅπως διεληφαν, πάντως ἴστε τὰς ἐκδόσεις. ἡμεῖς δὲ κ ἐπ' ἄλλαις ἰσομοίραις τιὼ ἐκδοσιν νῦν ποιησόμεθα, τῦ κυρίυ Ἰησῦ Χριστῦ συνεργοῦντος. καὶ εἰ θέλεις, φιλόσοφε, αὐτιὼ ὅλως τιὼ λέξιν προτεθήσομεν μ τ κ τῆς ἀρχῆς αὐτῆς· λέγει γὰρ ἡ ἀρχὴ αὐτῆς. ἐν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀειθμῆσαι. εἶτα ἐπάγει λέγων· κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτ εἰς ἔργα αὐτ, πρὸ τῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τῦ τιὼ γῆν ποιῆσαι, πρὸ τῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τῦ προελθεῖν τὰς πηγὰς τῶ ὑδάτων, πρὸ τῦ ὄρη ἑδρασθῆναι· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. ὅθεν κατασκλάζω τὸ, ὅτι κύριος ἔκτισέ με, ἐπισημαίνας εἶπε· κύριος ἐποίησε χώρας κ ἀοικήτους· ζητῶμεν λοιπὸν κύριον τὸν κτίσαντα αὐτὸν, τὸν κ ποιήσαντα χώρας κ ἀοικήτους· νενομισμένος γὰρ ὁ Σολομὼν ἐκ τῆ

τῦ * παξὸς Ἰῶβ εἰπόντος · πῦ ἦθα ὅν τῷ θεμελιῶν με τλὼ γλῶ; εἶπε · κύριος ἐποίησε χώρας καὶ ἀοικήτυς. ὅν δὲ βίβλῳ Βαρὺχ ἐκ σόματος Ἱερεμίυ τῦ προφήτυ, καθὼς προαπεδείξαμεν, περὶ τῦ ποιήσαντος χώρας καὶ ἀοικήτυς λέγει · υἱοὶ Ἀγὰρ οἱ ἐκζητῦντες τλὼ σωέσιν ἐπὶ τῆς γῆς, οἱ ἔμποροι τῆς Μερὰν καὶ Θαιμὰν, καὶ οἱ μυθολόγοι, καὶ οἱ ἐκζητηταὶ τῆς σωέσεως · ὁδὸν δὲ σοφίας ὐκ ἔγνωσαν, ὐδὲ ἐμνήθησαν τὶς τρίβυς αὐτῆς · καὶ μετ' ὀλίγον · ἀλλ' ὁ εἰδὼς τὰ πάντα, γινώσκει αὐτλὼ, ἐξεῦρεν αὐτλὼ τῇ σωέσει αὐτῦ, εἰπὼν περὶ τῦ ἐξλρόντος τλὼ σοφίαν τῇ σωέσει αὐτῦ, ἐπάγει αὐτῦ καὶ τὶς ἐνεργείας, λέγων · ὁ καταστλάσας τλὼ γλῶ εἰς τὸν αἰῶνα χρόνον. ἐνέπλησεν αὐτλὼ κτλωῶν τεσσαράποδων. ὁ ἀποστέλλων τὸ φῶς, καὶ πορεύεται. ὐ παραβλεπτέον γὰρ, ὦ φιλόσοφε, τὰ αὐτὰ πάλιν διαγορεῦσαι πρὸς ἐναργῆ ἀπόδειξιν τῆς προκειμένης ὑποθέσεως, ὁ ἀποστέλλων, φησὶ, τὸ φῶς, καὶ πορεύεται. ἐκάλεσεν αὐτὸ, καὶ ὑπήκυσεν αὐτῷ ξόμῳ, οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν, καὶ ἠυφράνθησαν. ἐκάλεσεν αὐτὺς, καὶ εἶπαν · πάρεσμυ. ἔλαμψαν μετ' εὐφροσήνης τῷ ποιήσαντι αὐτύς · ὗτος ὁ θεὸς ἡμῶν, ὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτλὼ Ἰακὼβ τῷ παιδὶ αὐτῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημύῳ ὑπ' αὐτῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. τὰς δύο φύσεις προθήσαντες κυρίως, ποιήσαντος χώρας (ἀοικήτυς, ἃς εἶπε Σολομὼν καὶ Βαρὺχ. ἤτοι Ἱερεμίας. εἰπὼν γὰρ, ἔκτισέ με, ἐπήγαμυ αὐτῦ καὶ τὺς ἐνεργείας, λέγων · κύριος ἐποίησε χώρας καὶ ἀοικήτυς · συλλογισώμεθα, ὦ βέλτισε, τὸ τὶς κύριος ὁ ποιήσας χώρας καὶ ἀοικήτυς. νοήσωμυ ὅτι ὐκ ἄλλος, ἀλλ' ἢ πάντως ὁ καταστλάσας τλὼ γλῶ εἰς τὸν αἰῶνα χρόνον · ὃν γὰρ τῷ καταστλάζειν τλὼ γλῶ, ποιεῖν, ἐστι χώρας καὶ ἀοικήτυς. ὁ καὶ ἐμπλήσας αὐτλὼ κτλωῶν τεσσαράποδων, ὁ καὶ καλέσας τὸ φῶς, καὶ ὑπήκυσεν αὐτῷ ξόμῳ · καὶ τὰ ἑξῆς. περὶ ὗ λέγει, ὅτι ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. νοητέον ὅν, ὅτι ὅτις ἐστὶν ὁ κύριος ὁ κτίσας τλὼ λογιστλὼ σοφίαν εἰς ἀρχλὼ ὁδῶν αὐτῦ, λῶ ἠυξέπισε τῷ κατ' εἰκόνα αὐτῦ ἀνθρώπῳ, ὁ ποιήσας χώρας καὶ ἀοικήτυς, ὁ καταστλάσας τλὼ γλῶ εἰς τὸν αἰῶνα χρόνον. ἀλλὰ καὶ πάλιν τλὼ ἀρχλὼ τῆς λέξεως ἴδωμυ · ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμυα. ἀλλ' ὐκ εἶπε · τὰ μέλλοντα. καὶ πάλιν λέγει · μνημονεύσω τὰ ἐξ αἰῶνος ἐξαιρεθμῆσαι · ἀλλ' ὐ τὰ πρὸ αἰῶνος. ἐγνώσθη ὑμῖν, ὅτι ὁ υἱὸς τῦ Θεῦ ἐστιν, ὁ καὶ τλὼ λογιστικὴν σοφίαν κτίσας, ὁ καταστλάσας τλὼ γῆν εἰς τὸν αἰῶνα χρόνον, ὁ ποιήσας χώρας καὶ ἀοικήτυς, ὁ καὶ τῷ Ἰῶβ εἰπών · ὅτε ἐγλυκάνθησαν ἄστρα, ἤνεσάν με πάντες ἄγγελοί μυ. Μωσῆς δὲ λέγει περὶ τῦ ποιήσαντος τὸ φῶς · καὶ εἶπεν ὁ θεὸς, γλυπθήτω φῶς. καὶ ἐπήγαγε λέγων · καὶ ἐποίησεν Θεὸς τὺς δύο φωστῆρας τὺς μεγάλυς, καὶ τὺς ἀστέρας, καὶ τὰ ἑξῆς. ἱκανὰ εἶναι μοι δοκεῖ τὰ λεχθέντα. καὶ αἱ ἀποδείξεις παρέσησαν, ὦ φιλόσοφε, ὅτι ὁ υἱὸς τῦ Θεῦ ἐστιν, ὁ καὶ τλὼν Σολομὼν τι λογιστικλὼ σοφίαν κτίσας, καὶ πάντα τὰ κτισθέντα καὶ ἐκ ἐργαλείου, ἵνα δέ σοι σαφεστέραν τλὼ ἀληθῆ τῷ πραγμάτων ἀπόδειξιν παρασήσωμυ, καὶ τάχιον ἔλθωμυ ἐπὶ τὸν νῦν τῦ πράγματος, καὶ * τῆς θεωρίας αὐτῦ, τὰ ἐκ τῆς γραφῆς λέξωμυ · μέλλων ὁ προφήτης Μωσῆς ἐξιέναι τὸν βίον, ὡς γέγραπται ὅν βίβλῳ ἀναλήψεως Μωσέως, προσκαλεσάμυος Ἰησῦν υἱὸν Ναυῆ, καὶ διαλεγόμυος πρὸς αὐτὸν, ἔφη · καὶ προεθεάσατό με ὁ Θεὸς πρὸ καταβολῆς κόσμυ, εἶναί με τῆς διαθήκης αὐτῦ μεσίτλω. καὶ ὅν βίβλῳ λόγων μυστικῶν Μωσέως, αὐτὸς Μωσῆς προεῖπε περὶ τῦ Δαυὶδ καὶ Σολομῶντος. περὶ τῦ Σολομῶντος ὕτω προεῖπε. καὶ * διαδοχόσει αὐτὸν ὁ Θεὸς σοφίαν καὶ δικαιοσωίλω, καὶ ἐπισήμλω πλήρη. αὐτὸς οἰκοδομήσει τὸν οἶκον τῦ Θεῦ. καὶ τὰ ἑξῆς. ἵνα δὲ σαφέστερον εἴπω ὅ φημι, ὅτως ἐξετάσωμυ τὸν νῦν. ὁ ἄνθρωπος διὰ τὸν κόσμον, ἢ ὁ κόσμος διὰ τὸν ἄνθρωπον; ὁ φιλόσοφος · πάντως ὁ κόσμος διὰ τὸν ἄνθρωπον.

* φέρε.

* Ἴσ. ἐν τλὼ διωρίαν

* Ἴσ. ἐν χάσκ.

Οἱ ἅγιοι ἐπίσκοποι οἱ ἡμέτεροι διὰ τῦ αὐτῦ ἐπισκόπυ Εὐσεβίυ τῦ Παμφίλυ εἶπαν.

Καὶ εἰ ὁ κόσμος διὰ τὸν ἄνθρωπον, πάντως ὡς προγλυέστερυ τῦ ἀνθρώπυ ἐν τῇ τῦ Θεῦ ἐνθυμήσει ὄντος, ὁ δὲ κόσμος μεταγλυέστερος λῶ τῦ ἀνθρώπυ καὶ τῆς λογιστικῆς σοφίας ἐν τῇ τῦ Θεῦ ἐνθυμήσει · ὁ ἄνθρωπος ὅν προγλυέστερός ἐστι τῦ κόσμυ, προϋπάρχει καὶ τλὼ τῦ κόσμυ φύσεων, οἷον ὐρανῦ καὶ τῆς γῆς, ἡμέρας, νυκτὸς, νεφῶν, ἀνέμων, ἀβύσσων, πηγῶν, ὀρέων, βυνῶν. τύτων πάντων προγλυέστερα ἐστὶν ἡ σοφία, καὶ ὁ ἄνθρωπος ἐν τῇ τῦ Θεῦ ἐνθυμήσει ἤδη τῶ οὐπάρχει τῦ κόσμυ. ἀλλ' ὅτος μλὼ ὅν μεταγλυέστερος κτισθεὶς λῶ ἐχθη ἐν τῇ τῆς κτίσεως παρόδῳ. ὁ δὲ μεταγενέστερος τῦ ἀνθρώπυ ἐν τῇ τῦ Θεῦ ἐνθυμήσει ὅτος μεταγενέστερος παρλωέχθη ἐν τῇ τῆς κτίσεως παρόδῳ · ἀλλ' ὅτι καὶ ἡ σοφία, λῶ ἐξεῦρε σωέσει αὐτῦ ὁ υἱὸς τῦ Θεῦ ἦν, δέδωκε τῷ κατ' εἰκόνα ἑαυτῦ ἀνθρώπῳ, καὶ αὕτη προϋπῆρξε τῦ κόσμυ καὶ τλὼ φύσεων αὐτῦ ἐν τῇ τῦ Θεῦ ἐνθυμήσει. εἰδὼς οὖλ ἐν ἑαυτῷ ὁ Σολομὼν, διδαχθεὶς ἐκ τῆς τῦ Θεῦ δοθείσης αὐτῷ σοφίας, ὅτι ὁ ἄνθρωπος καὶ ἡ σοφία προϋπῆρξαν τῦ κόσμυ καὶ τλὼ φύσεων αὐτῦ, ἐν τῇ τῦ Θεῦ ἐνθυμήσει, βασανίσας τὸ ἤδη προϋπάρχων τῦ κόσμυ, καὶ ἐν τῇ τῦ Θεῦ ἐνθυμήσει πρὸ καταβολῆς κόσμυ, ὁ ἐξεῦρε τῇ σωέσει αὐτῦ ὁ κύριος, τῦτο ἤδη ἔκτισεν ὁ αὐτὸς κύριος μεταγενέστερον τῦ κόσμυ καὶ τλὼ φύσεων αὐτῦ. λέγει οὖν ὁ Σολομὼν ὡς ἐκ προσώπυ τῆς ἐν ἀνθρώπῳ σοφίας τῆς προϋπαρξάσης τῦ κόσμυ ἐν τῇ τῦ Θεῦ ἐνθυμήσει · κύριος ἔκτισέ με ἀρχλὼ ὁδῶν αὐτῦ εἰς ἔργα αὐτῦ. τῇ ἐν τῷ ἀνθρώπῳ σοφίᾳ ἀνῆκεν ἐκφωνεῖν τῇ λογιστικῇ, τῇ ἐξεπιθείσῃ τῷ ἀνθρώπῳ τύτῳ, τῷ κατ' εἰκόνα τῦ Θεῦ γενομύῳ. τὸ δὲ οὖν λῶ, κύριος ἔκτισε, τῷ προϋπάρξαντι τῦ κόσμυ ἐν τῇ τῦ Θεῦ ἐνθυμήσει, * τῦτο τύτῳ προσέρρηξε. τὸ δὲ γενν᾽ με σωεὶς πάλιν εἰς τὺς μετὰ ταῦτα ἐκφύσεως παιδοποιήσεις ἐκδιδρμύῳ εἶπε τὸ, γενν᾽ με. νόει τοίνυν φιλόσοφε, τῆς αὐτῆς φύσεως παλαιυμύης καὶ ἀνανεουμύης ἀχεῖ σωτελείας. τὸ οὖν, κύριος ἔκτισέ με ἀρχλὼ ὁδῶν αὐτῦ εἰς ἔργα αὐτῦ, εἰς τλὼ τῷ ἀνθρώπων δοθεῖσαν λογιστικλὼ σοφίαν δυσληπτέον · τὸ δὲ γενν᾽ με, τὸ κατὰ προγνωσιν τῦ Θεῦ αὐτῆς τῆς φύσεως, τὸ ἐξ αὐτῆς ἐξ εἰκόνων ὡς ἔχον εἰλιττόμυον ἐπ' αὐτὸν τὸν καμπτῆρα ἐπανιὸν ἀπὸ τῆς ἀρχῆς τὸ πρωτοκτίσυ ἀνθρώπυ τῷ κατ' εἰκόνα Θεῦ κτισθέντος,

* Ἴσ. τλὼ σωεῖαν

ὅν ᾧ

ἐν ᾧ τὴν λογιστικὴν σοφίαν τὴν κτιστὴν ἐνέθηκεν, ἐν ᾧ τὴν εἰλικρινῆ αὐτοῦ ἀγάπην ἐνετύπωσεν ὁ Θεός. ὅπερ τὴν ἀνάκτισιν ἐν ἑαυτῷ ποιούμενος ὁ σωτὴρ ἔλεγε πρὸς τὸν πατέρα οἰκονομικῶς· ὅτι ἠγάπησάς με, φησὶ, πρὸ καταβολῆς κόσμου. τὸ δὲ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ, ἱστορήσας ὁ Σολομὼν, ὅτι οἱ αἰῶνες οἱ ἐν τῷ δὲ τῷ κόσμῳ ἐκ τῆς περιόδου τῆς ἡμέρας καὶ τῆς νυκτὸς τὴν σύστασιν ἔχουσι. τὸ δὲ προϋπάρξαι τῆς ἡμέρας καὶ τῆς νυκτὸς, προϋπάρξαι ἐστὶ τοῦ αἰῶνος τούτου· ταύταις ταῖς ἱστορίαις θεωρήσας ὁ Σολομὼν, ἥρμοσεν εὐαρμόστως τῷ τε ἀνθρώπῳ καὶ τῇ σοφίᾳ. διὸ ἐκ προσώπου αὐτῆς ἐκφωνήσας λέγει τό· κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ. συλλογισάμενος ἐν ἑαυτῷ πάλιν, ὅτι μέλλοντος τοῦ Θεοῦ παράγειν ταύτας τὰς φύσεις τὰς ἐγκοσμίους, προγενεστέρας τοῦ τε ἀνθρώπου καὶ τῆς σοφίας, εἰς τὸ εἶναι, καὶ ὅτι δεῖ τοὺς προγενεστέρους παρεῖναι παραγενομένων τε τῶν φύσεων ἱστορεῖν κατὰ τάξιν τὰς φύσεις παραγινομένας, καὶ ὅτι ὁ ἄνθρωπος καὶ ἡ σοφία ἡγεῖσθαι τῶν ἔργων ἐτέθησαν. ἡ οὖν τῷ ἀνθρώπῳ δοθεῖσα ὑπὸ τοῦ Θεοῦ λογιστικὴ καὶ κριτικὴ σοφία, ἡ διαδοχεύσασα ἐπὶ Σολομῶντα, καθά φησιν ὁ μέγας Μωσῆς, λέγει ἐν Σολομῶντι· κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· καὶ τὰ ἑξῆς· ἧς ἐκ προσώπου τῆς προγενεστέρας σὺν τῷ ἀνθρώπῳ τοῦ κόσμου, διηγούμενος τὰς ἐνεργείας τοῦ Θεοῦ, τὰς ἐν τῷ κόσμῳ παράγοντος τὰς φύσεις, φησὶν αὐτός· κύριος ἐποίησε χώρας καὶ ἀοικήτους, καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανόν. ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ, ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων· ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' οὐρανόν· ἐν τῷ τιθέναι τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ. καὶ ὕδατα οὐ παρελεύσονται λόγον στόματος αὐτοῦ. καὶ ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα, ἐγὼ ἤμην ᾗ προσέχαιρε· ταῦτα ἐκ προσώπου τῆς σοφίας· καὶ δείκνυσιν ἀσφαλῶς, ὅτι ὁ προϋπάρξας τοῦ κόσμου, ἐν τῇ τοῦ Θεοῦ ἐνθυμήσει· διὸ καὶ ὁ κόσμος εὐτρεπίσθη, δηλονότι καὶ τῶν τοῦ κόσμου φύσεων προϋπῆρξεν· ἵστωρ οὖν γενόμενος τῆς παρόδου τῶν φύσεων, ὑπαριθμεῖ τὴν τάξιν αὐτῶν, ὁ προγενέστερος αὐτῶν, ἡ σοφία, ἣν ἐξεῦρε τῇ συνέσει αὐτοῦ, ἣν εὐτρέπισε τῷ ἀνθρώπῳ. τίς οὖν ὁ ταύτην τὴν σοφίαν προευτρεπίσας καὶ δεδωκὼς τῷ ἀνθρώπῳ, ἢ ὑφηγήσατο αὐτοῦ τὰς ἐνεργείας; ὅτι οὐκ ἄλλος, ἀλλ' ἢ πάντως ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον, ὁ καὶ ἐμπλήσας αὐτὴν κτηνῶν τετραπόδων, ὁ καλέσας τὸ φῶς, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ· ὁ ἐπὶ γῆς ὀφθεὶς, καὶ συναστραφεὶς ἀνθρώποις. τούτῳ κεκλήρωται τῆς σοφίας. οὐχὶ τοῦ υἱοῦ τοῦ Θεοῦ τὸ, κύριος ἔκτισέ με, ἀλλ' ἢ τῆς λογικῆς σοφίας, τῆς ὑπ' αὐτοῦ τοῦ κυρίου εὐτρεπισθείσης καὶ δοθείσης τῷ ἀνθρώπῳ, δι' ὃν ὁ κόσμος ἐγένετο. σαφέστατα διὰ πάντων δέδεικται, ὅτι εἰς τὸ πρόσωπον εἴρηται, τῆς λογικῆς σοφίας. βεβαιοῖ δὲ τὰ προειρημένα ὁ κύριος ἐν τῷ εὐαγγελίῳ λέγων. τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον· προσωποποιήσας τὸν κόσμον εἰς πρόσωπον τοῦ σαββάτου, ἀντὶ τοῦ· ὁ κόσμος διὰ τὸν ἄνθρωπον, ἀλλ' οὐχ ὁ ἄνθρωπος διὰ τὸν κόσμον.

Ἑτέρα ἀντίφρασις τοῦ φιλοσόφου.

Ἀλλὰ, φησὶν, ἡ σοφία ἡ ἐν Σολομῶντι, ὁ υἱὸς τοῦ Θεοῦ ἐστι, τοῦτ' ἔστιν ἡ σοφία τοῦ Θεοῦ, ὁ εἰπών· κύριος ἔκτισέ με, καὶ τὰ ἑξῆς.

Ἀπόκρισις τῶν ἁγίων ἐπισκόπων πρὸς τὸν φιλόσοφον διὰ τοῦ ἐπισκόπου Εὐσεβίου τοῦ Παμφίλου.

Εἰπὲ, ὦ φιλόσοφε, ἡ σοφία ἡ ἐν Σολομῶντι ὡς σὺ φῂς, ἡ τοῦ Θεοῦ ἐστι σοφία; ὁ φιλόσοφος· ναὶ, φησὶν, οὕτως ἔχει. ὁ ἐπίσκοπος· εἰπὲ, ἡ σοφία τοῦ Θεοῦ πρόγνωσιν ἔχει, ἢ οὔ; ὁ φιλόσοφος· ναὶ ἔχει. ὁ ἐπίσκοπος· ἡ σοφία τοῦ Θεοῦ ὁ υἱὸς τοῦ Θεοῦ ἐστιν, ἣν φῂς ἐν Σολομῶντι; ὁ φιλόσοφος· ναὶ, φησὶν. ὁ ἐπίσκοπος· πῶς κρίνει ὁ κρίνων, κατὰ πρόγνωσιν, ἢ οὔ; ὁ φιλόσοφος, ναὶ, φησὶν. ἀλλὰ πῶς; ὁ ἐπίσκοπος· ὁ οὖν κρίνων, κατὰ πρόγνωσιν κρίνει, καὶ κατὰ τὰ ἔργα, ὡς προγνώστης; ὁ φιλόσοφος· ναὶ εἶπον. ὁ ἐπίσκοπος· πῶς οὖν ἡ σοφία ἡ ἐν Σολομῶντι λέγει· τρία ἐστὶν ἀδύνατά μοι νοῆσαι, καὶ τὸ τέταρτον οὐκ ἐπιγινώσκω; τὰ τρία εἰρηκυῖα ἡ ἐν Σολομῶντι σοφία. ἀδυνατεῖ αὐτὴν νοῆσαι, περὶ τοῦ τετάρτου εἶπεν οὐ γινώσκειν, καὶ ὁδοὺς ἀνδρὸς ἐν νεότητι. εἰ οὖν ἡ σοφία τοῦ Θεοῦ ἐστιν ἡ ἐν Σολομῶντι, πῶς κρίνει τὸν κόσμον, μὴ εἰδυῖα ἀνδρὸς ὁδοὺς ἐν νεότητι; καὶ πῶς τοῦτο ἀληθὲς, ὅτι ὁ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ, τοῦτ' ἔστιν, ὁ υἱὸς τοῦ Θεοῦ, καθώς φησι Μωσῆς ὁ προφήτης, ἔτι δὲ καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς, πάντα δι' αὐτοῦ, φησὶν, ἐγένετο· οὐκ ἐπίσταται ὁδοὺς ἀνδρὸς ἐν νεότητι; ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν, ὁ ἐτάζων καρδίας καὶ νεφροὺς, κατὰ τὸν προφήτην τὸν εἰπόντα· σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου· σὺ συνῆκας πάντας τοὺς διαλογισμούς μου, φησὶν, ἀπὸ μακρόθεν, τὴν τρίβον μου, καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας, καὶ πάσας τὰ ὁδούς μου προεῖδες. καὶ ἐν ἑτέρῳ πάλιν· ὁ παιδεύων ἔθνη, οὐχὶ ἐλέγξει, ὁ διδάσκων ἄνθρωπον γνῶσιν; κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι· ὁ οὖν ταῦτα ἐπιστάμενος, καὶ πάντα προγινώσκων, οὐκ ἐπίσταται ὁδοὺς ἀνδρὸς ἐν νεότητι; καὶ πολλά ἐστιν εὑρεῖν ἐκ τῶν γραφῶν, τὰ ἐλέγχοντα τὴν ἄνοιαν τῶν κακῶς ὑπειληφότων περὶ τοῦ ῥητοῦ τούτου· πῶς γὰρ ὁ διδάσκων ἄνθρωπον γνῶσιν, αὐτὸς οὐκ ἐπίσταται ὁδοὺς ἀνδρὸς ἐν νεότητι; εὖ ἴσθι οὖν ὦ φιλόσοφε, ὅτι Σολομὼν κριτὴν ἔλαβε σοφίαν, ἣν ἐξεῦρε συνέσει αὐτοῦ ὁ υἱὸς τοῦ Θεοῦ, ἣν ἠυτρέπισε τῷ κατ' εἰκόνα αὐτοῦ ἀνθρώπῳ, συλλογιστικήν. ἀμέλει δὲ ἐπιβεβαιοῖ τὰ ῥηθέντα ὁ κύριος ἐν εὐαγγελίοις λέγων τὸ, καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε· ἀνέτρεψε τοὺς λέγοντας αὐτὸν εἶναι τὴν ἐν Σολομῶντι σοφίαν. εἰ γὰρ * τῇ ψήφῳ τῆς φωνῆς ἰσοπροσήγορός ἐστιν ὁ τῇ σοφίᾳ· ἡ γὰρ τοῦ Θεοῦ σοφία ὁ υἱὸς τοῦ Θεοῦ. Θεὸς προγνώστης ἐστὶ, καὶ κατὰ πρόγνωσιν κρίνει, καὶ κατὰ τὰ ἔργα, ὡς κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, καθώς φησι καὶ ὁ Παῦλος τὸ σκεῦος τῆς ἐκλογῆς, Ἑβραίοις γράφων, ὧδέ πως λέγει περὶ αὐτοῦ· ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος

* τῇ ψήφῳ.

νος ἄχει μεεισμοῦ ψυχῆς καὶ πνεύματος, καὶ χειτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τεθραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτῶ, πρὸς ὃν ἡμῖν ὁ λόγος. καὶ πρὸς Ῥωμαίους δὲ ὁ αὐτὸς γράφει, λέγων· ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν. δείκνυσι δὲ ὧδε, ὅτι ἡ τοῦ Θεοῦ καὶ πατρὸς σοφία Θεός ἐστιν ἀληθῶς ἐξ αὐτοῦ τοῦ Θεοῦ, ἀίδιος ἐξ ἀϊδίου, καὶ ἀληθινὸς ἐξ ἀληθινοῦ, φύσει ὢν ἀεὶ υἱὸς τοῦ ἀεὶ ὄντος Θεοῦ καὶ πατρός.

Ἀντίῤῥησις τοῦ φιλοσόφου.

ΚΕΦΑΛ. ιθ'.

Τί ἔστιν ὃ φῄς· ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν, οὐδὲ ἐμνήσθησαν τὰς τρίβους αὐτῆς; καὶ τὰ ἑξῆς.

Ἀπόκρισις τῶν ἁγίων ἐπισκόπων διὰ τοῦ αὐτοῦ ἐφεσκόπου Εὐσεβίου τοῦ Παμφίλου.

Πολλάκις πρὸς τὰ ῥήματα τῆς σοφίας ἀπιδών, ὦ φιλόσοφε, ἐθαύμασας τῆς σοφίας τινὰ δύναμιν, ὅτι δὴ μεγίστων νοημάτων ἀληθείαν ἔστιν εὑρεῖν ἐν αὐτῇ βραχυτάταις λέξεσι. καὶ τάχα δικαίως ἄν τις παρεικάσειε ῥήματα τῆς γραφῆς τῇ διαγορεύσῃ ἐοικέναι τινὰ βασιλείαν τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὅ, τι βραχύτερον μέν ἐστι πάντων τῶν σπερμάτων τῶν ἐπὶ τῆς γῆς, φυὲν δὲ καὶ ἀναπληρωθὲν ἱκανῶς σκέπῃ τοῖς πετεινοῖς δίδωσιν. ὅπως ὁρῶμέν τινα τῶν θείων ῥημάτων δύναμιν ἐν βραχέσι σπειρομένῳ λέξεσιν· ἀναπληρουμένων δὲ τῶν νοημάτων, καὶ ὥσπερ κλάδων ἐπί τινα διάνοιαν, τῶν πετεινῶν ἐπεκτεινομένων, τουτ' ἔστι, τῶν ἀνθρώπων, τοσαύτη τις εὑρίσκεται δύναμις, ὥστε μὴ μόνοις τοῖς γεωργοῖς, ἀλλὰ καὶ τοῖς παρεσῶσι πετεινοῖς ἱκανὴν παρέχειν τὴν σκέπην. πόθεν οὖν ἐκινήθη πρός τινα τὴν ἔννοιαν, ἢ ἐκ τῆς τοῦ λόγου τῆς ἱερᾶς γραφῆς ἱεροψάλτου Δαυὶδ, πρὸς ἀπόδειξιν καὶ σύστασιν, οὐ τῆς λογικῆς σοφίας, ὡς αὐτὸς ὑπείληφας, ἀλλὰ τῆς καὶ ταύτην καὶ πάντα τὰ γένητα δημιουργησάσης ἀκαταλήπτου σοφίας τῆς ἀρχῆς καὶ ἀνάρχου, τουτ' ἔστι Χριστοῦ· ἐπείπερ Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία κατὰ τὸν τῆς ἀῤῥήτου καὶ ἀπερινοήτου θεότητος αὐτοῦ τρόπον, ὁ ἀληθὴς τοῦ Θεοῦ Θεὸς λόγος. τῷ γὰρ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. ἤκουσας λόγον κυρίου, ἤκουσας πνεῦμα τοῦ στόματος αὐτοῦ. καὶ ἄκουε τοίνυν καὶ πάλιν περὶ τῆς συστάσεως τῆς ἀληθοῦς πίστεως τῆς εὐσεβοῦς ὑπὸ τῶν εὐσεβῶν νομιζομένης τε καὶ κηρυττομένης. ἐπείπερ οἶμαι ἐδόκει τῶν προαναφωνηθέντων σοι παρὰ τοσαύτης ἁγίων ἀρχιερέων πνευματικῆς χορείας τινὰ αἴσθησιν δέδεξαι. ἄκουε τοίνυν εὐσεβῶς, καὶ μὴ τοῖς ἀνθρωπίνοις λογισμοῖς διερευνᾶσθαι πειρῶ τὰ ἀπόῤῥητα. ὁ τέλειος ἔτε μειοῦται, ἔτε αὔξει. εἷς ἀγέννητος ὁ Θεὸς καὶ πατήρ. εἷς ὁ γεγεννημένος ἐξ αὐτοῦ μονογενὴς υἱὸς Θεοῦ λόγος· ὥσπερ οὖν οὐκ ἔστι συναγέννητος τῷ Θεῷ καὶ πατρὶ Θεὸς ἕτερος, οὕτως οὐδὲ συγγεγεννημένος ἢ προγεγεννημένος, ἢ μεταγεγεννημένος υἱὸς ἕτερος τοῦ Θεοῦ τῷ μονογενεῖ υἱῷ αὐτοῦ Θεῷ λόγῳ. εἷς ὄντως Θεὸς καὶ πατήρ, εἷς ὄντως καὶ ὁ γεγεννημένος ἐξ αὐτοῦ ἀφράστως υἱὸς Θεοῦ λόγος. ὥσπερ οὖν οὐ λόγῳ μόνῳ πατὴρ ὁ Θεός, οὕτως οὐδὲ λόγῳ μόνῳ υἱός, ἀλλ' ἀληθῶς υἱός· γνήσιος ὁ πατήρ, γνήσιος ὁ υἱός· Θεὸς ὁ πατήρ, Θεὸς καὶ ὁ ἐξ αὐτοῦ γεγεννημένος υἱός· τέλειος ὁ πατήρ, τέλειος αὐτοῦ καὶ ὁ υἱός· ἀσώματος ὁ πατήρ, ἀσωμάτου καὶ ὁ υἱός. καὶ ἀσωμάτου γὰρ χαρακτὴρ, καὶ ἡ εἰκὼν ἀσωμάτου δηλονότι. πίστευεις τοῦτο ὦ φιλόσοφε, ὅτι γεγέννηται ἐκ τῆς οὐσίας τοῦ πατρὸς ὁ μονογενὴς υἱὸς αὐτοῦ, καθάπερ ἐξ ὑπαρχῆς τῆς λόγων διὰ πλείστων ὅσων γραφικῶν μαρτυριῶν ἀπεδείξαμεν, ἢ οὔ;

Ἀντεπερώτησις τοῦ φιλοσόφου.

Πῶς καὶ τίνι τρόπῳ, φράσον;

Οἱ ἅγιοι ἐπίσκοποι διὰ τοῦ αὐτοῦ Εὐσεβίου Παμφίλου εἶπαν.

Μὴ ζήτει πῶς φιλόσοφε· εἰ δὲ μή, καθάπερ ἤδη διὰ πλειόνων εἴρηταί σοι, καὶ ἐν ἀρχῇ τῆς διαλέξεως διεμαρτυράμεθα, ὅτι κρημνίσαι σεαυτὸν σπουδάζεις, διερευνᾶν πειρώμενος τὰ ἀνεξερεύνητα. εἰ μὲν γὰρ ἐνδέχεται ζητεῖν πῶς ὁ ἀγέννητος, ἐνδέχεται καὶ ζητεῖν πῶς καὶ ὁ γεγεννημένος. εἰ δὲ ὑπολείπεις ζήτησιν, πῶς γεγέννηται· μὴ ζήτει τὰ ἀνερεύνητα, ὑπολείπεις γάρ. τὰ ὑπολειπόμενα ζήτει, καὶ ὑπολείπεις. ἐὰν γὰρ ζητῇς, παρὰ τίνος ἔχεις μαθεῖν; παρὰ τῆς γῆς; ἐχώρισεν. παρὰ θαλάσσης; οὐδέπω ἐκτίσθη ἡ ὑγρά. παρὰ οὐρανοῦ; ἐκλιῶ ποιηθείς. παρὰ ἡλίου καὶ σελήνης καὶ ἄστρων; οὐδέπω δεδημιούργηντο. παρὰ ἀγγέλων καὶ ἀρχαγγέλων; οὐδέπω ἦσαν, ἐπείπερ καὶ αὐτῶν ποιητὴς ὁ υἱός. ἀλλὰ παρὰ αἰώνων; πρὸ αἰώνων ὁ μονογενής. μὴ ἐξέταζε τὰ μὴ ἀεὶ ὄντα περὶ τοῦ ἀεὶ ὄντος. ἄῤῥητος, ἀγέννητος ὁ πατήρ· ἄῤῥητος, ἀῤῥήτως γεγεννημένος ἐξ αὐτοῦ ὁ υἱός. σιώπησον περὶ τοῦ πῶς, καὶ παραχώρει τοῦτο τῷ γεγεννηκότι, καὶ τῷ γεγεννημένῳ. ὁ γὰρ πατὴρ μόνος γινώσκει τὸν υἱὸν τίς ἐστι, καὶ ὁ υἱὸς τὸν πατέρα, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι, καθάπερ καὶ τὸ εὐαγγέλιον αὐτοῦ. εἰ δὲ μὴ θέλεις παύσασθαι τοῦ πῶς, ἀλλὰ φιλονεικεῖς διερευνᾶν τὰ ἀνεξερεύνητα, καταγελῶμέν σου τῆς τόλμης, μᾶλλον δὲ καὶ πανδημεί σε, ὅτι οὐ πίστει θέλεις νοεῖν τὸν Θεὸν ἀεὶ πατέρα τοῦ υἱοῦ αὐτοῦ, καὶ τὸν μονογενῆ υἱὸν αὐτοῦ, ἀεὶ υἱὸν αὐτοῦ, συνυπάρχοντα ἀεὶ τῷ πατρί, καὶ οὐ μεταγενέστερον, καθὼς σὺ ἀσεβῶς φῄς. ἀλλὰ νόει πίστει, καὶ ὁμολόγει τέλειον ἐκ τελείου τὸν υἱόν, ὡς πολλάκις ἤκουσας, φῶς ἀίδιον ἐκ φωτὸς ἀϊδίου, Θεὸν ἀληθινὸν ἐξ ἀληθινοῦ Θεοῦ καὶ πατρός, ἄκτιστον ἐξ ἀκτίστου, ἀσώματον ἐξ ἀσωμάτου, ἀεὶ ὄντα πρὸς τὸν πατέρα· ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος, καθάφησιν Ἰωάννης ὁ εὐαγγελιστής, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος· τὸ ἦν, φιλόσοφε, τὸ προϋπάρχον ἐκ ἔχει. τὸ ἦν, φιλόσοφε, περιγράφει τὸ ἐκ ἦν, καθὰ προαπεδείξαμεν. καὶ τὸ Θεὸς περιγράφει τὸ ὁ Θεός. τοῖς γεγραμμένοις πίστευε, τὰ μὴ γεγραμμένα μὴ ἐννόει, μηδὲ ζήτει. πίστευε ὅτι πάντα αὐτὸς ἐδημιούργησεν ὁ υἱὸς τὰ γεγενημένα

νδ-

νάμματι πατεικῷ, ἐκ ὀφθαλμῶν βλέμματι· ἀσύγκριτος γὰρ ὁ Θεός, ὡς προειρήκαμεν. ἀλλὰ νάμματι, ὡς αὐτὸς οἶδε μάνος. ὅπερ ἡμεῖς πίστει νοοῦντες κηρύττομεν, μὴ τῇ διδασκαλίαν τῶν ἱερῶν γραφῶν, ὅτι βουλῇ τοῦ πατρὸς καὶ ἑαυτοῦ δεδημιούργηκε πᾶσαν τὴν κτίσιν τήν τε ἐπουράνιον καὶ ἐπίγειον, τήν τε ὁρωμένην καὶ νοουμένην, ἐκ ὀργάνοις, ἤτε μυχαναῖς, ἤδὲ συνεργίᾳ τινὸς ἑτέρᾳ, ἀλλὰ βουλήσει πατρὸς, καθάπερ ἀρτίως εἰρήκαμεν, τοῦ εἰπόντος πρὸς αὐτὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. ἐκ εἶπε ποίησον, ἢ ποιήσατε, ἀλλὰ ποιήσωμεν, δεικνὺς τὸ ὁμοούσιον καὶ ὁμότιμον ἑαυτοῦ τῆς μακαρίας ἐκείνης καὶ ἀφράστου τριάδος. καὶ μὴ ὑπογόγγυζε, ὦ φιλόσοφε, καὶ τὰς ὀφθαλμὰς ἀνακίνει, ἀλλὰ ὅρα πῶ τῆς διανοίας βλέμματι τοῦ τῶν ἀποστολικῶν δογμάτων ἀκρίβειαν, καὶ δέχου πίστει, μὴ ἐπὶ πλεῖον γυμνάζου ἄπιστος, ἀλλὰ πιστός. ἄκουε δὴ καὶ σώζῃ. ὁ τοῦ Θεοῦ λόγος, ὁ πρὸ αἰώνων αὐτοῦ υἱός, πρὸς ὃν εἶπε· ποιήσωμεν ἄνθρωπον, καὶ τὰ ἑξῆς. αὐτὸς πάλιν ἐπ' ἐσχάτων τῶν ἡμερῶν βουλῇ πατρικῇ καὶ οἰκείᾳ ἄνθρωπος γέγονε, σαρκωθεὶς ἐκ παρθένου διὰ τὸν ἐκπεσόντα ἄνθρωπον Ἀδάμ· ὁ ἀσώματος ἐν σώματι κενώσας ἑαυτὸν, ὡς εἶπεν ὁ ἀπόστολος Παῦλος, διὰ τὸ σῶμα, ἔλαβε νέφος ὁ Θεὸς λόγος τὸ σῶμα, ἵνα μὴ καταφλέξῃ τὰς κτισὰς φύσεις τὰς ἐν τῷ κόσμῳ· Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε. ἐκρατήθη σαρκὶ, ἵνα καὶ ἡ σὰρξ διὰ τῆς πρὸς αὐτὸν ἕνώσεως ἐλευθερωθῇ τοῦ θανάτου, ἀόρατος, ἐν ὁράτῳ, ἵνα ὑπομένῃ τὰ ὁρώμενα· ὡς ἄνθρωπος ὑπὸ χρόνον, ἀλλ' ἀληθείᾳ κατ' ἀμφότερα Θεὸς καὶ ἄνθρωπος, ἄνθρωπος καὶ Θεὸς ὁ αὐτός· ἓν γὰρ ἐξ ἀμφοῖν Χριστὸς νοουμένης καὶ γνωριζομένης τῆς διαφορᾶς τῶν φύσεων, τῆς τε θεότητος αὐτοῦ καὶ τῆς σαρκός, Θεὸς ὢν καὶ ἔστι. γέγονεν ἄνθρωπος δι' οἰκονομίαν. δι' αὐτὸν προφῆται, δι' αὐτὸν ἀπόστολοι, δι' αὐτὸν μάρτυρες· προφῆται διὰ τὸν προφητευθέντα, ἀπόστολοι διὰ τὸν ἀπεσταλμένον οἰκονομικῶς, μάρτυρες διὰ τὸν πρωτομάρτυρα. ἦλθε Θεὸς ἐπὶ γῆς, ὁ υἱὸς σαρκὶ κρύψας, ὡς ἠβουλήθη, τὸ τῆς αὐτοῦ θεότητος μέγεθος, ἐκ ἐρημώσας τὰ ἐν οὐρανοῖς· οὐδὲ γὰρ πρὸ τοῦ σαρκωθῆναι ἔρημος αὐτοῦ ὁ κόσμος, Θεὸς ὢν καὶ ἔστι, γέγονε καὶ ἄνθρωπος δι' οἰκονομίαν, σαρκωθεὶς καὶ τεχθεὶς ἐκ παρθένου δι' οἰκείαν φιλανθρωπίαν. ἄξιον ἑαυτοῦ καὶ ἴσον υἱὸν ἐγέννησεν ὁ πατὴρ, ὡς οἶδεν ὁ γεννήσας αὐτὸν Θεὸς καὶ πατὴρ, καὶ ὁ ἐξ αὐτοῦ γεγεννημένος υἱὸς, ὦ φιλόσοφε.

Ἀντίῤῥησις τοῦ φιλοσόφου.

Μὴ ἐπὶ πλεῖσον ὅσον ἐπίμενε βιαζόμενος τῇ ἀληθείαν, καὶ τῇ τῶν λόγων τέχνῃ ἐπισχιάζειν ὡς νίφος πειρῶ τῆς γραφῆς ἀνάμαυρον φέγγος· ἀλλὰ εἰς τὸ προφανὲς τῆς γραφῆς ἐλθὲ, τὸ προτεθὲν σοι. καὶ μὴ φεῦγε τὸ, κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· καὶ τὸ, κύριος ἐποίησε χώρας καὶ ἀοικήτους, καὶ ἄκρα οἰκουμένης τῆς ὑπ' οὐρανόν· μίαν καὶ τὴν αὐτὴν ἔχει σημασίαν περὶ τοῦ υἱοῦ κυρίου. τοῦτ' ἔστι τοῦ Θεοῦ, τοῦ καὶ πρωτόκτιστον κτίσαντος εἰς ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, ὃν καὶ υἱὸν αὐτοῦ προσηγόρευσε, τοῦ καὶ κτίσαντος δι' αὐτοῦ, ὡς δι' ἐργαλείου, χώρας καὶ οἰκήτους. εἰ γὰρ καὶ ἡ κτίσις τοῦ Θεοῦ σοφία, τοῦτ' ἔστιν, ὁ υἱὸς ἐργάζεται, ἀλλ' ὁ Θεὸς ὢν ὁ κτίζων δι' αὐτοῦ τὰ μὴ ὄντα, ὡς δι' ἐργαλείου.

Ἀπόκρισις τῶν ἁγίων ἐπισκόπων διὰ τοῦ αὐτοῦ ἐπισκόπου Εὐσεβίου τοῦ Παμφίλου.

Πολὺ διαστήκαμεν τῆς βασιλικῆς λεωφόρου, τοῦτ' ἔστι τῆς ἀποστολικῆς πίστεως, ἔξω πῶς ταύτης φέρεσθαι ἀνέχῃ; χρημάτισαι σεαυτὸν ἄπαξ ἐλόμενος, καὶ μακρὰν ἀναδύσας ἐκ τοῦ περιέχοντός σε τῆς ἀσεβείας βυθοῦ. ὅταν ἥκουσας παρὰ τῆς ἁγίας συνόδου ταύτης τῶν προφητείαν τοῦ μεγάλου Ἱερεμίου δακτυλοδεικτοῦντος, ὡς ἂν εἴποι τις, καὶ λέγοντος. ἔτος ὁ Θεὸς ἡμῶν, ἐλογιοθήσεται ἕτερος πρὸς αὐτόν· καὶ τὰ ἑξῆς. οἷς ἐπιλέγει· μὴ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη. καὶ οἶδα ὦ φιλόσοφε, ἐπερωτηθεὶς παρὰ τῶν ἁγίων ἐπισκόπων, τίς ἐπὶ τῆς γῆς ὀφθεὶς, καὶ τοῖς ἀνθρώποις συναναστραφείς, ὁ πατὴρ ἢ ὁ υἱός; καὶ ὁμολογήσας, ὅτι ὁ υἱὸς, καθὼς αἱ θεῖαι γραφαὶ λέγουσιν. ἃ ταῦτα εἴρηκας; πῶς πάλιν ἐπὶ τὸν βυθὸν τῆς μοχθηρίας Ἀρείου ἑαυτὸν ἀκοντίζεις, μᾶλλον δὲ βυθίζεις; ἃ γὰρ ἀνέζαξας χρησθεὶς ἐκείνοις, ὡς ἑαυτὸν συνέζαξας. προκείμενος ὦ ἄθλιε τῶν ἀποστολικῶν δογμάτων τὰ Ἀρείου βλάσφημα ῥήματα, κτίσμα καὶ ἐργαλεῖον τὸν υἱὸν τοῦ Θεοῦ ἀποκαλῶν. ἄκουε τοίνυν πρὸς ἡμῶν, ὦ φιλόσοφε, εἴπερ φιλόσοφος εἶ, καὶ πείθου, μὴ αὐτὸν εἶναι τὸν υἱὸν τοῦ Θεοῦ τὴν κτιστὴν σοφίαν, τὴν λογικὴν, τὴν τῷ ἀνθρώπῳ ὑπ' αὐτοῦ υἱοῦ τοῦ Θεοῦ δοθεῖσαν, τοῦ κτίσαντος χώρας καὶ οἰκήτους. ἐπίστησόν σε τὸν νοῦν, μὴ πρὸς ἀπέχθειαν βλέπων, ἀλλὰ πρὸς ἀλήθειαν, καὶ ὁδηγήσει σε αὐτὴ ἡ ἀλήθεια· καὶ γνώσῃ, ὅτι οὐ κτίσμα ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, ἀλλὰ αὐτὸς κτίστης καὶ δημιουργὸς πασῶν τῶν κτιστῶν φύσεων, καθὼς καὶ αὐτὸς μικρὸν διαβλέψας νοήσεις, καὶ νοήσεις, ὡς γε ἐγὼ πέπεισμαι, εἴπερ σωθῆναι ποθεῖς.

Ἀντίῤῥησις τοῦ φιλοσόφου κατὰ τοῦ ἁγίου πνεύματος.

ΚΕΦΑΛ. κ'.

ἜΣΤΩ, φησὶ, πιστὰ περὶ τοῦ υἱοῦ, καὶ ἀναμφίλεκτα, ὡς φατε, ὅτι ἔκτισε, ἢ ὅτι συνέκτισε τῷ Θεῷ καὶ πατρὶ, ὡς αἱ μαρτυρίαι δηλοῦσι, καὶ ὅτι οὐ ποίημα, ἀλλὰ γνήσιον τοῦ Θεοῦ, φύσει ἐξ αὐτοῦ γεγεννημένον, καὶ εἰδὼ δεχόμεθα. μὴ καὶ περὶ τοῦ πνεύματος ἔτι λέγειν; τίς γὰρ τολμήσει φῆσαι τὸ ἅγιον πνεῦμα κτίσμα τῶν γενητῶν φύσεων; πῶς δὲ καὶ μαρτυρίαι περὶ αὐτοῦ λέγουσι, δι' ἐμοῦ ἐκτίσθαι αὐτό τι τῶν ὁρατῶν καὶ ἀοράτων κτισμάτων; τίς δὲ ὅλως ἀνεγράψατο περὶ αὐτοῦ, ὡς περὶ τοῦ υἱοῦ; ἐκβοήσει τις ὑμῶν, εἰ ἔχοι.

Ἀντιπόκρισις τῶν πατέρων διὰ Πρωτογένους ἐπισκόπου Σαρδικῆς.

Οὐκ ἔστι δυσχερὲς, ὦ φιλόσοφε, ἐπιδεῖξαί σοι τὰς μαρτυρίας τῶν ἐνεργειῶν τοῦ ἁγίου πνεύματος, ἃς οἱ πατέρες ἡμῶν ἐξέθεντο περὶ αὐτοῦ, ὅτι ἔκτισε. πάλιν ἐρήσομεν τὸ περὶ τῆς κτίσεως ῥηθέν· καὶ εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. καὶ ἐπήγαγε λέγων. καὶ ἐποίησε τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς· ὡς οὖν Θεός ἐστιν ὁ πατὴρ ὁ εἰπὼν τῷ υἱῷ, ποιήσωμεν, ὁ δὲ δὲ υἱὸς Θεὸς ὢν ἐποίησε τὸν ἄνθρωπον. εἰ οὖν Θεὸν λέγομεν τὸν εἰπόντα, καὶ τὸν ποιήσαντα τὸν Ἀδὰμ καὶ τὴν Εὔαν, λοιπὸν ἄκουσον περὶ τοῦ ἁγίου πνεύματος· ὁ ποιήσας τὸν Ἀδὰμ Θεὸς ἦν, ἢ οὔ; ὁ φιλόσοφος. ναὶ Θεός ἐστιν. ὁ ἐπίσκοπος. ἐν τῇ βίβλῳ Ἰὼβ, Ἐλιοὺμ ὁ Βουζανίτης λέγει πρὸς Ἰώβ· πνεῦμα θεῖον τὸ ποιῆσάν με. εἰ οὖν Θεός ἐστιν ὁ ποιήσας τὸν Ἀδὰμ, τί εἴποις τὸν ποιήσαντα τὸν Ἐλιούμ; ἢ ἑτερούσιος δοκεῖ σοι εἶναι ὁ Ἐλιοὺμ τοῦ Ἀδάμ; τῶν γὰρ δημιουργῶν ἐπὶ τῆς ἴσης ἐπιστήμης, τὸ ἰσοσχέδιον τοῦ συμπεράσματος φανεροῦσθαι, πέφυκεν ἐπὶ τὸ τοῦ ἀνθρώπου πρόσωπον. τί οὖν λέξεις φιλόσοφε τὸν ποιήσαντα τὸν Ἐλιούμ; ἆρα οὐχὶ Θεὸν καὶ ποιητὴν ἀνθρώπου; ὡς γὰρ ἔφη περὶ τοῦ ποιήσαντος τὸν Ἀδὰμ, καὶ ἐποίησεν ὁ Θεὸς τὸν Ἀδὰμ. οὕτως εἰπεῖν ἡμᾶς δίκαιον καὶ περὶ τοῦ ποιήσαντος τὸν Ἐλιοὺμ, ὅτι Θεὸς τὸ ἅγιον πνεῦμα ὄν· ἴση τῆς δημιουργίας ἡ πλάσις, ἴση καὶ ἡ τῶν δημιουργῶν προσηγορία· εἴπερ μία θεότης τῆς ἁγίας τριάδος ἐν τρισὶν ὑποστάσεσι τελείαις καὶ ἴσαις νοουμένη. τὸ, ὅτι, καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον. καὶ, τὸ θεῖον πνεῦμα τὸ ποιῆσαν τὸν Ἐλιούμ. ἐν βίβλῳ δὲ ἀναλήψεως Μωσέως, Μιχαὴλ ὁ ἀρχάγγελος διαλεγόμενος τῷ διαβόλῳ λέγει. ἀπὸ γὰρ πνεύματος ἁγίου αὐτοῦ πάντες ἐκτίσθημεν. καὶ πάλιν λέγει· ἀπὸ προσώπου τοῦ Θεοῦ ἐξῆλθε τὸ πνεῦμα αὐτοῦ, καὶ ὁ κόσμος ἐγένετο. ἀχώριστος γὰρ ἀεὶ ἡ θεία καὶ ἄρρητος τριὰς, ὅ, τε πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα, δημιουργήσασα ἅμα πᾶσαν τὴν κτίσιν, τήν τε νοητὴν, καὶ τὴν αἰσθητήν. λέγει γὰρ ἐν τῷ λβ'. ψαλμῷ. τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. ἄκουε δὴ τοῦ Θεοῦ ἐν Ἡσαΐᾳ λέγοντος. ἐγὼ κύριος ὁ Θεός σου, ἐπακούσομαί σου Θεὸς Ἰσραήλ. εἰπὼν δὲ περὶ τῶν εὐεργεσιῶν τὰ πρὸς τὸν λαὸν, ἐπάγει λέγων ἵνα ἴδωσι, καὶ νοήσωσι, καὶ ἐπίστωνται ἅμα, ὅτι χεὶρ κυρίου ἐποίησε πάντα ταῦτα, καὶ ὁ ἅγιος τοῦ Ἰσραὴλ κατέδειξεν αὐτά· χεῖρα φήσας τὸ ἅγιον πνεῦμα τοῦ Θεοῦ, ἅγιον δὲ τοῦ Ἰσραὴλ τὸν υἱὸν αὐτοῦ. καὶ πάλιν πρὸς Ἰακὼβ εἶπεν· ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν. καθὰ καὶ Ἰεζεκιὴλ, λέγων· ἐγένετο χεὶρ κυρίου ἐπ' ἐμέ. εἴωθεν ἡ γραφὴ, ὦ φιλόσοφε, ἢ χεῖρα ἢ βραχίονα καλεῖν τὸ πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, δεξιὰν δὲ τὸν υἱὸν αὐτοῦ.

Ἔτι οἱ ἅγιοι πατέρες εἶπαν διὰ Λεοντίου ἐπισκόπου Καισαρείας Καππαδοκίας.

Ἱκανὰ μὲν τὰ λεχθέντα περὶ τῶν ἐνεργειῶν τοῦ ἁγίου πνεύματος πεῖσαί σε φιλόσοφε, ὅτι συνδημιουργὸν τῷ πατρὶ καὶ τῷ υἱῷ πασῶν τῶν κτιστῶν φύσεων, καὶ τῆς αὐτῆς θεότητος καὶ οὐσίας, ἧς ὁ πατὴρ καὶ ὁ υἱός. ἐπιστήσας οὖν τὸν νοῦν σου, ἐκ τῶν προλεχθέντων σοι, ἄκουε καὶ νῦν σαφεστέρας ἀποδείξεις περὶ αὐτοῦ ἐκ τῶν ἱερῶν γραφῶν. λέγει ὁ προφήτης Δαυὶδ ἐν τῷ ἐνενηκοστῷ ἑβδόμῳ ψαλμῷ· ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν. διὰ τί; ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος, ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ· ἀντὶ τοῦ ὁ υἱὸς αὐτοῦ· καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ· τὸ πνεῦμα λέγων τὸ ἅγιον. καὶ ἐν καθολικαῖς δὲ Ἰωάννης ὁ εὐαγγελιστὴς βοᾷ, περὶ τοῦ πνεύματος τοῦ ἁγίου θεολογῶν αὐτὸ καὶ αὐτὸς, καθὰ καὶ πάντες· τὸ πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμα ἐστὶν ἡ ἀλήθεια. καὶ μετ' ὀλίγα· ὁ πιστεύων. φησὶν, εἰς τὸν υἱὸν τοῦ Θεοῦ, ἔχει τὴν μαρτυρίαν τοῦ Θεοῦ ἐν ἑαυτῷ· ἀντὶ τοῦ, τὸ πνεῦμα τοῦ Θεοῦ· ὁ δὲ μὴ πιστεύων τῷ υἱῷ, ψεύστην πεποίηκεν αὐτόν. καὶ ὁ μέγας δὲ τῶν ἀποστόλων πρόβολος ὁ θεῖος Πέτρος φησὶ πρὸς Ἀνανίαν· εἰς τί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον; καὶ μετ' ὀλίγα· οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ. καὶ ἐν τῇ παλαιᾷ, πάλαι· τὸν οὐρανὸν, φησὶ, καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει κύριος. καὶ ὁ Σολομὼν δὲ δεικνὺς τίς ὁ πληρῶν, λέγει· πνεῦμα κυρίου πεπλήρωκε τὴν οἰκουμένην. πείθου τοίνυν καὶ περὶ τῆς τοῦ ἁγίου πνεύματος δεσποτείας, καὶ δέχου καὶ τὰς περὶ αὐτοῦ μαρτυρίας, πιστεύων ὅτι τῆς αὐτῆς θεότητος καὶ οὐσίας, καὶ τοῦ αὐτοῦ* κρίματος, τὸ πνεῦμα τὸ ἅγιον, οὗπερ ὁ πατὴρ καὶ ὁ υἱὸς, καὶ συνυπάρχον ἀεὶ τῷ πατρὶ καὶ τῷ υἱῷ. ἀκούεις φιλόσοφε.

* ἴσ. χρήματος.

Ἀπόκρισις τοῦ φιλοσόφου πρὸς τοὺς ἁγίους ἡμῶν πατέρας.

Οὐκοῦν, καθώς φατε, καὶ αἱ μαρτυρίαι δὲ τῶν γραφῶν, ὧν παρηγάγετε, δηλοῦσι, θεολογεῖν δεῖ καὶ τὸ πνεῦμα τὸ ἅγιον. καί μοι δοκεῖ βεβιασμένην εἶναι τὴν ἔννοιαν, εἰ μὴ τὰ τῶν γραφῶν ὑφ' ἡμῶν παρήχθη. πλὴν τὸ μὲν περὶ Ἐλιοὺμ τοῦ Βουζανίτου σαφὴς ἡ ἀπόδειξις. περὶ δὲ τῆς ῥηθείσης ἀναλήψεως Μωσέως, περὶ ἧς ἀρτίως εἰρήκατε, οὐδέ ἀκήκοά ποτε, εἰ μὴ νῦν· ὅθεν αἰτῷ ὑμᾶς σαφεστέραν μοι τῶν λεχθέντων παραστῆσαι τὴν σύστασιν. πρὸς ἐντελεστάτην γὰρ πληροφορίαν περὶ τοῦ πνεύματος οὐκ αὐτάρκη μοι τὰ ἤδη παρ' ὑμῶν λεχθέντα· λευκοτέρας γὰρ δεῖται φράσεως καὶ γενναιοτέρας ἡ ὑπόθεσις. οὐ γὰρ περὶ τῶν τυχόντων ἡ ζήτησις.

Ἀπόκρισις τῶν ἁγίων ἡμῶν πατέρων διὰ τοῦ αὐτοῦ ἐπισκόπου Λεοντίου πρὸς τὸν φιλόσοφον.

Πολλῆς οὔσης τῆς τῶν εἰσηγηθέντων σοι ἀποδείξεως, καὶ ἐναργεστάτων τῶν μαρτυριῶν τῶν ἐκ τῶν θείων γραφῶν, πεῖσαί σε δυναμένων περὶ τῆς προκειμένης ὑποθέσεως, ὦ φιλόσοφε, θαυμάζομεν πῶς τοσαύτης

της συνέσεως δοκῶν ἔμπλεως εἶναι, ἔτι ἀμφιβάλλεις. ἀλλ' ἐπειδή σε πρὸς τὴν ἀλήθειαν βλέπειν ἐθέλομεν, καὶ τοῦτο εὐχόμεθα, παραινοῦμεν σου τῇ συνέσει ἄρξασθαι πίστει νοεῖν τὴν ἄκτιστον φύσιν ἐκείνην, καὶ ἄτρεπτον· καὶ μὴ ἀνθρωπίνοις λογισμοῖς, ὡς πολλάκις εἰρήκαμεν, πολυπραγμονεῖν κατατόλμα τὰ ὑπὲρ νοῦν· μὴ ταῖς κακοδόξοις καὶ ἀσεβέσιν ἐννοίας Ἀρείου συμφέρεσθαι ἐπὶ πλεῖστον ὅσον ἀνέχου, φιλόσοφος ὤν, ὡς φῆς φιλόσοφε, ἀλλὰ δέχου πιστῶς, ὡς ἀρτίως εἰρήκαμεν, τά τε νῦν ῥηθέντα σοι, τά τε μέλλοντα ῥηθήσεσθαι. δέχου μίαν θεότητα τοῦ πατρὸς τοῦ γεννήσαντος τὸν υἱὸν ἀνεκφράστως, καὶ τοῦ υἱοῦ τοῦ γεγεννημένου ἐξ αὐτοῦ, καὶ τοῦ ἁγίου πνεύματος τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ πατρὸς, ἰδίου δὲ ὄντος τοῦ υἱοῦ, καθά φησιν ὁ θεῖος ἀπόστολος Παῦλος· εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. καὶ ἀλλαχοῦ ὁ αὐτός· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστι. καὶ πάλιν· διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς κύριος· καὶ διαρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. καὶ μετ' οὐ πολλά· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. ἰδοὺ ὦ φιλόσοφε, σαφεστάτη καὶ τρανωτέρα ἀπόδειξις θεολογοῦσα τὸ πνεῦμα τὸ ἅγιον, δεικνύουσα αὐτοῦ τὴν αὐτεξουσιότητα. ὅρα πῶς ὧδε λέγει·· διαιρέσεις δὲ ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. καὶ τό· πάντα δὲ ταῦτα ἐνεργεῖ το ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. καὶ ὁ κύριος δὲ ἐν εὐαγγελίοις, ὡς οἶσθα, σαφῶς διαλεγόμενος πρὸς τὴν Σαμαρίτιδα, τί φησι; πνεῦμα ὁ Θεός. εἰ οὖν πνεῦμα Θεὸς, πάντως Θεὸς καὶ τὸ πνεῦμα, ἀλλ' οὐκ ἄλλος καὶ ἄλλος, ἀλλὰ μία θεότης τῶν θατέρων προσώπων, κατὰ τὴν τῶν ὑποστάσεων ἔννοιαν. ἀλλὰ πρόσωπον ἀκούοντες, μὴ ἀνθρωπόμορφον τὸ θεῖον ὑπολάβωμεν. ἀσύνθετον γὰρ καὶ ἀσχημάτιστον, καθὼς καὶ ἐν ἀρχῇ τῶν λόγων, καὶ αὐτὸς, ὡς καὶ ἡμεῖς, καθωμολόγησας. καὶ γὰρ καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ πρόσωπον ἔχειν μεμαρτύρηται, καθὰ αὐτὸς ὁ κύριος ἐν εὐαγγελίοις πρὸς τοὺς γραμματεῖς καὶ φαρισαίους διαλεγόμενος ἔφη· ὑποκριταὶ, τὸ πρόσωπον τοῦ οὐρανοῦ καὶ τῆς γῆς οἴδατε δοκιμάζειν, καὶ τὰ ἑξῆς. πᾶν γὰρ τὸ ὑφεστὸς ἐφ' ὅσον ὑφίσταται, πρόσωπον ἔχειν λέγεται τῆς οἰκείας φύσεως, ἤτοι σχῆμα. ἀλλὰ μὴν ὁ οὐρανὸς καὶ ἡ γῆ κτιστὰ, καθὰ καὶ πᾶσα ἡ τῶν γενητῶν φύσις· ἡ δὲ θεία καὶ ἄῤῥητος οὐσία, ἄκτιστος· ἐπείπερ ἁπλοῦς καὶ ἀσύνθετος, καὶ ἀσχημάτιστος, ἀΐδιός τε καὶ ἀθάνατος. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθομεν. ἀπεδείξαμεν διὰ πλειόνων τῶν ἐκ τῶν θείων γραφῶν μαρτυριῶν, συνδημιουργὸν τῷ πατρὶ καὶ τῷ υἱῷ πάσης κτίσεως ὁρωμένης τε καὶ νοουμένης εἶναι τὸ πνεῦμα τὸ ἅγιον· ἐπείπερ καὶ ἀχώριστον ἀεί ἐστι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καθὰ καὶ ὁ υἱὸς τοῦ πατρὸς, καὶ ὁ πατὴρ τοῦ υἱοῦ. δεῦρο δὲ, εἰ δοκεῖ, λάμβανε καὶ δι' ὑποδειγμάτων, εἰ καὶ ἀσθενεστέρων, χρηστὰς ὑποθήκας· ὁ λόγος ὁ σὸς, καθὰ καὶ παντὸς ἀνθρώπου, προφορικὸς μέν ἐστι, γενναῖται δὲ ἀτμήτως ἐκ τοῦ σοῦ νοῦ. ὁμοίως καὶ τὸ πνεῦμά σου, καὶ ἐκπορεύεται ἐκ σοῦ. καὶ οὐκ ἂν οὐδὲ τὸν λόγον σου, οὔτε τὸ πνεῦμά σου εἴποις ἀλλότριόν σου. καὶ ταῦτα μὲν οὐκ ἂν ἀπαξιώσῃς ἐπ' ἀνθρώπων νοεῖν· ἐπὶ δὲ τῆς ἀῤῥήτου καὶ ἀπερινοήτου καὶ ἀκαταλήπτου οὐσίας ἐκείνης τοῦ Θεοῦ, ἀλλότριον τὸν οὐ προφορικὸν αὐτοῦ λόγον, ἀλλὰ ζῶντα ἀεὶ, καὶ ἐνεργῆ, καὶ τομώτερον ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, κριτήν τε πάντων ὄντων, ἐπείπερ καὶ δημιουργόν· ᾧ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. καὶ τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον τὸ ἐρευνῶν τὰ βάθη τοῦ θεοῦ, τολμᾷ τις ἀλλότριον εἶναι εἰπεῖν, ἢ τὸν λόγον, ἢ τὸ πνεῦμα τοῦ Θεοῦ; ἢ τοὺς ταῦτα λέγοντας προσίεσθαι, ναὶ φιλόσοφε.

Ἀπόκρισις τοῦ φιλοσόφου πρὸς τὸ κοινὸν τῶν ἁγίων ἐπισκόπων.

ΚΕΦΑΛ. κά.

Ἐ'ΠΕΙΔΗ' εἰς ὑψηλοτέραν ἔννοιάν με ἠγάγετε, φήσαντες δεῖν μίαν θεότητα νοεῖσθαι καὶ πιστεύεσθαι τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· ἐπιμέμνημαι δὲ τῶν παρ' ὑμῖν ἔμπροσθεν ῥηθέντων, ὅτι Θεὸς ὁ Πατὴρ, καὶ Θεὸς ὁ υἱὸς, καὶ Θεὸς τὸ πνεῦμα ἅγιον· νῦν δέ φατε μίαν θεότητα τῶν τριῶν τελείων ὑποστάσεων, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. λευκότερον σαφηνίσατέ μοι τὰς ῥήσεις, παρακαλῶ.

Ἀπόκρισις τῶν ἁγίων πατέρων πρὸς τὸν φιλόσοφον, διὰ τοῦ αὐτοῦ Λεοντίου ἐπισκόπου.

Ἀνέκφραστός ἐστιν, ἐπείπερ καὶ ἀπερινόητος, καὶ ἀνεπιλόγιστος, καὶ πάντῃ ἀνεξιχνίαστος ἡ θεία καὶ ἄῤῥητος οὐσία ἐκείνη, ἡ τὰ πάντα ὑπερέχουσα, καὶ τὰ πάντα περιέχουσα. πλὴν ἄκουε πρὸς ἡμῶν. οὐκ ἄλλον σοι Θεὸν καὶ ἄλλον εἰρήκαμεν, καθάπερ καὶ ὁ ἀσεβὴς ἐβλασφήμησεν Ἄρειος, ἕνα Θεὸν ἄκτιστον, καὶ ἄλλον κτιστὸν εἰρηκὼς, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ ὁμοίως κτιστὸν κεκηρυχώς· μὴ γένοιτο· ἀλλὰ μίαν θεότητα νοεῖσθαι καὶ πιστεύεσθαι εἰρήκαμεν, μίαν, οὐσίαν, κυριότητά τε καὶ βουλὴν μίαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· εἰδέναι τε τὰς τῆς ἁγίας τριάδος ὑποστάσεις οὐ διεζευγμένας, οὐδὲ τοπικὰς, ἀλλὰ πίστει μόνῃ μίαν θεότητα νοεῖσθαι καὶ πιστεύεσθαι, καθὰ καὶ πολλάκις εἰρήκαμεν, τῆς ἁγίας καὶ ὁμοουσίου καὶ προσκυνητῆς τριάδος. ἰδοὺ διὰ πάντων ἔδειξεν ἡ ἀληθὴς πίστις. μὴ δεῖν ἐπὶ τῆς ἁγίας τριάδος νοεῖν διαφοράν. ὧδε δὲ μικρόν σου τὸν νοῦν δοῦναι ἡμῖν ἐθέλησον, καὶ πιστωθήσῃ ἐπὶ πλεῖον, δεχόμενος ὑπὸ τοῦ ἁγίου πνεύματος δι' ἡμῶν σωτηριώδεις ὑποθήκας, ἵνα γνῷς τῆς ἁγίας τριάδος μίαν θεότητα ἀεὶ οὖσαν καὶ ὑφεστῶσαν, τριάδα ἀληθῶς τριάδα, καὶ μηδὲν ἐν αὐτῇ προϋπάρχον ποτὲ, ἀλλὰ ἀεὶ καὶ ὡσαύτως οὖσαν ἀδιαίρετον καὶ ὁμοούσιον τριάδα.

Ἀπόκρισις τοῦ φιλοσόφου.

Μή με οἴεσθε ἀποστρέφεσθαι τὰ τῆς ἀληθείας δόγματα· οὐ γὰρ ἂν ἐκ πρώτης καταρχῆς τῶν λόγων παρωσάμην ὑμῶν τοὺς λόγους. ἀλλὰ διὰ τοῦτο ἐρευνῶ τὰς τῶν νοημάτων ὑμῶν σημασίας, ἵνα σαφεστέρα μοι καὶ διευκρινὴς γένηται ἡ τῶν λεγομένων παρ' ὑμῶν ὑπόθεσις.

Ἀπό-

Ἀπόκρισις τῶν ἁγίων πατέρων ὑποθετικὴ πρὸς τὸν φιλόσοφον περὶ πυρὸς καὶ ἀπαυγάσματος καὶ φωτὸς, διὰ τοῦ αὐτοῦ Λεοντίου ἐπισκόπου.

Ἄκουε δὴ καὶ νῦν, ἄκουε ὦ φιλόσοφε. ἤδη* προαπεθέμεθά σου τῇ διανοίᾳ διὰ πλείστων ὅσων τῶν ἐκ τῶν θείων γραφῶν, ὅτι ἡ θεότης ἁπλῆ τίς ἐστι ἀσύνθετος, ὡς καὶ αὐτὸς καθωμολόγησας ἐν ἀρχῇ σου τῶν προτάσεων· καὶ ὅτι πῦρ ἀθάνατόν τε καὶ ἀΐδιον καὶ ἄκτιστον οὖσα τῇ φύσει, φῶς τε ἀχώρητον καὶ ἀκατάληπτον, καὶ οὐκ ἐν ἑνὶ πρώπῳ κατὰ τὸ δοκοῦν Ἰουδαίοις νοουμένη, ἀλλ' ἐν τριάδι ἀεὶ ἀχωρίστοις οὖσι προσώποις, παρὰ πᾶσι χριστιανοῖς πιστεύεται καὶ κηρύττεται ἡ ἀχώριστος τριὰς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καθάπερ ἀποδέδεικται. μάνθανε δὲ καὶ νῦν, ὦ φιλόσοφε, εἰ καὶ τολμηρὸν ποιοῦμεν, ἀλλὰ ἵλεως ἡμῖν ἡ θεία μεγαλειότης· ὑπὲρ γὰρ τῆς σῆς καὶ τῶν λοιπῶν σωτηρίας ὁ πόνος ἡμῖν διανύεται. μάνθανε τοίνυν ἐκ τῶν αἰσθητῶν περὶ τῶν νοητῶν, καὶ ἐκ τῶν κατὰ νοῦν περὶ τῶν ὑπὲρ νοῦν, καὶ ἐκ τῶν λεγομένων περὶ τῶν ὑπὲρ λόγον· εἰ καὶ ἀσύγκριτα πάντα τά τε ὁρώμενα, τά τε νοούμενα, τῶν τε οὐρανίων καὶ ἐπιγείων καὶ καταχθονίων κτισμάτων, πρὸς τὴν ἄκτιστον ἐκείνην καὶ ἀκατάληπτον καὶ ἀθάνατον τοῦ Θεοῦ οὐσίαν· πλὴν τὸ ἐμπεσὸν ὑπόδειγμα οὐ μέτριον πρὸς ὠφέλειαν τοῖς πιστῶς δεχομένοις, ἀλλ' ἱκανὴν εἰκόνα παρέχον τῆς εὐσεβείας τοῖς εὐσεβῶς ἐθέλουσι νοεῖν, λέξομεν. τὸ αἰσθητὸν τοῦτο πῦρ φύσις μία ὄν, ἤτοι οὐσία, τριάς ἐστι κατὰ ταυτὸ, πῦρ, ἀπαύγασμα, φῶς. καὶ οὐδὲν τούτων προϋπάρχον τοῦ θατέρου εὑρίσκεται, ἀλλ' ἔστιν ἀχωρίστως ἀλλήλων τὰ τρία, τὸ πῦρ, τὸ ἐξ αὐτοῦ ἀπαύγασμα, καὶ τὸ φῶς. διαχώρισον τοίνυν, εἰ δύνῃ, ὦ φιλόσοφε, τὰ τρία, καὶ δεῖξον ἡμῖν θάτερον τοῦ θατέρου προϋπάρχον, ἢ τοῦ ἀπαυγάσματος τὸ πῦρ καθ' ἑαυτὸ προϋπάρχον, καὶ μεταγενέστερον μετὰ χρόνους τινὰς τοῦ πυρὸς τὸ ἀπαύγασμα, ἢ μεταγενέστερον πάλιν ἢ μεταχρόνιον τοῦ πυρὸς καὶ τοῦ ἀπαυγάσματος τὸ φῶς, ἢ προχρόνιον. δεῖξον ἡμῖν, εἰ δύνῃ, διαχωρίσας ἀπ' ἀλλήλων τὰ τρία, καὶ μὴ οὐχὶ ὡσαύτως ὢν πῦρ, ἀπαύγασμα, φῶς, μιᾶς οὔσης τῆς τοῦ πυρὸς φύσεως. ταῦτα κατὰ νοῦν λαβὼν τὰ αἰσθητὰ καὶ κτιστὰ, εἰ καὶ ἀσύγκριτα, ὡς ἀρτίως εἰρήκαμεν, πρὸς τὴν ἀΐδιον καὶ ἄκτιστον τοῦ Θεοῦ οὐσίαν, πλὴν δέχου ἐκ τούτων ἀφορμὰς σωτηρίους, καὶ πτερώσας τῇ πίστει τὸ τῆς διανοίας σου ὄμμα, ἀνάβηθι ἐπὶ τὴν ὑψηλὴν τοῦ Θεοῦ ἐπίγνωσιν· ἃ ἀπαντήσει σοι, ὥς γε εὐχόμεθα καὶ πιστεύομεν, ἐναστράπτουσά σοι ἡ χάρις ἡ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, δεικνύουσά σοι μίαν θεότητα πῦρ οὖσαν ἀθάνατον, καὶ ἀπαύγασμα, καὶ φῶς, ἁπλῆν καὶ ἀσύνθετον, ἀχώριστον, ἀδιαίρετον, ἀπερινόητον, καὶ ἀνέκφραστον τριάδα ἀληθῶς ὁμοούσιον, τὴν τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

Ὅπου πιστεύει ὁ φιλόσοφος εἰς τὴν ἁγίαν τριάδα.

Ταῦτα ἀκούσας ὁ φιλόσοφος, καὶ ὡς ἐν ἐκστάσει γενόμενος, ἀπηνεώθη ἐπὶ πλεῖστον ὅσον, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτὸν, φόβος τε πολὺς ἐπέπεσεν ἐπ' αὐτόν· εἶτα εἰς ἑαυτὸν ἐλθὼν ἀνεκραύγασε μέγα, εἰπών· δόξα σοι ὁ Θεὸς ὁ ἐμπνεύσας τούτοις τοῖς ἁγίοις σου τὸ ὑπὲρ πάντα νοῦν μυστήριον τῆς ἀχράντου καὶ ἀχωρίστου καὶ ἀκτίστου θεότητος. ἀλλὰ δέομαί σου Χριστὲ, ὡς παναγάθου πατρὸς πανάγαθος υἱὸς, πάρες ἅπερ εἰς σὲ, ὑπαχθεὶς ταῖς ἀσεβέσι παρὰ τοῦ Ἀρείου δόξαις, ἥμαρτον, καὶ μὴ εἰσπραχθήσομαι δίκας παρὰ σοὶ τῷ δικαίῳ κριτῇ ὑπὲρ τῶν ἀσεβῶν ῥημάτων ἐκείνων, ὧν κατὰ σοῦ ἀπέφηνα ὁ τάλας. οὐαὶ Ἀρείῳ καὶ τῇ συμμορίᾳ αὐτοῦ τῇ ἀσεβεῖ, βλασφημήσασιν εἰς τὸν υἱὸν τοῦ Θεοῦ, λέγουσιν· ἦν ποτε ὅτε οὐκ ἦν· καὶ ὅτι κτίσμα καὶ ποίημα, καὶ ἐξ ἑτέρας οὐσίας ὁ υἱὸς τοῦ Θεοῦ, καὶ τὸ πνεῦμα τὸ ἅγιον, καὶ μὴ τῆς αὐτῆς οὐσίας ἧς ὁ πατὴρ εἰρηκόσι τὸν υἱὸν τοῦ Θεοῦ καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἀναθεματίζω νῦν καὶ* πάντως Ἄρειον καὶ τὰς ἀσεβεῖς αὐτοῦ δόξας, καὶ τοὺς τὰ αὐτοῦ φρονοῦντας πάντας, καὶ τοὺς βλασφημοῦντας κατά τε τοῦ πατρὸς, κατά τε τοῦ υἱοῦ, καὶ κατὰ τοῦ ἁγίου πνεύματος. ὁ γὰρ τὸν υἱὸν μὴ ἔχων, οὐδὲ τὸν πατέρα ἔχει· καὶ ὁ εἰς τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον βλασφημήσας, εἰς τὸν πατέρα ἐβλασφήμησε· καθικετεύω τὴν ὑμετέραν ἱερὰν γερουσίαν, βοηθήσατέ μοι διὰ τῶν ὑπὲρ ἐμοῦ πρὸς τὸν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ ἱκεσιῶν ὑμῶν, ἀκολουθοῦντι μάλιστα τοῖς δι' ὑμῶν ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκτεθεῖσι καὶ ὁριζομένοις· καὶ ὁμολογῶ ταῦτα ἀληθῆ εἶναι, καὶ βέβαια. τοῦτο γὰρ πιστεύων εἶναι, ὅπερ ὁ ἱεροφάντης εἶπε Παῦλος· τὸ μυστήριον τὸ ἀποκεκριμμένον ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ τῶν γενεῶν, ὃ νῦν ἀπεκαλύφθη, καθὼς εἴρηται τοῖς ἁγίοις αὐτοῦ ἀποστόλοις καὶ προφήταις, καὶ ὑμῖν ἐν πνεύματι, ἀεὶ ὄντα καὶ συνυπάρχοντα καὶ συνδιαμένοντα τῷ Θεῷ καὶ πατρὶ τὸν υἱὸν αὐτοῦ, καὶ τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον.

Προσθέντες οἱ ἅγιοι πατέρες εἶπον πρὸς τὸν φιλόσοφον περὶ πηγῆς, καὶ ποταμοῦ, καὶ ὕδατος, διὰ τοῦ ἐπισκόπου Λεοντίου.

ΚΕΦΑΛ. κβ'.

Κἀκεῖνο δὲ νοητέον ὦ φίλε λοιπὸν τῆς ἀληθείας φιλόσοφε. πηγὴν νοήσωμεν γεννῶσαν ποταμὸν ὕδατος· πᾶς γὰρ ποταμὸς, ὡς οἶσθα, πηγὴν ἔχει γεννήτειραν· εἶτα προέρχεται μὲν ὁ ποταμὸς τοῦ ὕδατος. ἀλλ' οὐθεὶς καλεῖ τὸν ποταμὸν πηγὴν, ἢ τὴν πηγὴν ποταμόν· ἀλλ' ἡ πηγὴ πηγὴ καλεῖται, καὶ ὁ ποταμὸς ποταμός· καὶ ἀμφότερα ἐν ὕδωρ. ἐπὰν δέ τις ἐθέλοι ἀρύσασθαι ἐκ τοῦ ποταμοῦ ἢ τῆς πηγῆς ὕδωρ, μεταβάλλει τὴν προσηγορίαν. οὐκ ἐρεῖ γὰρ, ἄπελθε, πορευθεὶς ἄντλησον, καὶ φέρε μοι τὴν πηγὴν, ἢ τὸν ποταμὸν, ἀλλ' ὕδωρ. καὶ μία μὲν ἡ φύσις, τρία δὲ πρόσωπα λεκτέα, πηγὴ, ποταμὸς, ὕδωρ. ἀλλὰ καὶ ἡ θεία γραφὴ ταῦτα φράζουσα δείκνυται· οὐ γὰρ ἀλλότρια ταύτης ἡμεῖς σοι φθεγγόμεθα, γνήσιον λοιπὸν τέκνον τῆς χάριτος· εἰ καὶ ὡς ἐν ὑποδείγμασι, καὶ τύποις, καὶ εἰκόσι τῆς ἀληθείας τὸν λόγον εἰσηγησάμεθα. λέγει οὖν περὶ τοῦ υἱοῦ ἡ θεία γραφή· κλίνω, φησὶν, ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης· ἐκπορευόμενος δηλονότι ἐκ τῆς ἀληθοῦς πηγῆς τῆς ζωῆς, τῆς τοῦ πατρὸς θεότητος, καθά φημι αὐτὸς ὁ κύριος ἐν εὐαγγελίοις βοᾷ· ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον, καὶ ἥκω. κἀκεῖνο δὲ ὅπερ ἔφη λευκότατα. ἐγὼ καὶ ὁ πατὴρ ἐν ἐσμεν. καὶ τὸ, ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ

καὶ ὁ πατὴρ ἐν ἐμοί. καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον ὅτι ἐξ αὐτοῦ λαμβάνομεν ἅπαντες οἱ πιστοί, τῆς αὐτῆς ὀν οὐσίας, ἧς ὁ πατὴρ καὶ υἱός, ἐκπορευόμενον μὲν ἐκ τοῦ πατρὸς, ἴδιον δὲ ὀν τοῦ υἱοῦ, καθάπερ ἀνωτέρω ἀπεδείξαμεν. ὅτι δὲ ἐξ αὐτοῦ ἡμῖν ἀναβλύζον ἐστὶ, σαφέστατα ἐν εὐαγγελίοις ἐδίδαξεν αὐτὸς ὁ κύριος εἰπών. ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω, ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. οἷς ὁ εὐαγγελιστὴς θεόθεν ἐμπνευσθεὶς, τὸ ῥηθὲν ἑρμηνεύων, ἐπιφέρει λέγων· τοῦτο δὲ ἔλεγε περὶ τοῦ πνεύματος ὃ ἤμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. καὶ ὁ προφήτης δὲ Δαβὶδ ὅρα τί περὶ ταύτης τῆς πηγῆς τῆς ὄντως ζωῆς τῆς ἁγίας τριάδος βοᾷ. ὅτι παρά σοι πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς· πηγὼ ζωῆς τὸν Θεὸν καὶ πατέρα καλῶν. πρὸς τὸν υἱὸν δὲ λέγων, ἐπείπερ ὁ πατὴρ ἐν τῷ υἱῷ, καὶ ὁ υἱὸς ἐν τῷ πατρί. φῶς δὲ τὸν υἱὸν ὑπαγορεύει, ἐν ᾧ φωτὶ λέγει ὄψεσθαι φῶς, τὸ πνεῦμα τὸ ἅγιον. ἐν γὰρ τῷ φωτί σου, φησὶν, ὀψόμεθα φῶς· πηγὴ γὰρ ὄντως τῆς ζωῆς καὶ φωτὸς ὁ πατήρ· φῶς καὶ ὁ υἱὸς, ἐκ φωτὸς τοῦ πατρός· φῶς καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐξ αὐτοῦ τοῦ φωτός. ἐπείπερ, ὡς πολλάκις ἡμῖν λεκτέον, μία θεότης τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καθὰ αὐτὸς βοᾷ διὰ τῶν προφητικῶν λόγων· ἐγώ εἰμι Θεὸς, καὶ οὐκ ἔστιν ἄλλος· καὶ ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ εἰς τὸν αἰῶνα ἐγώ εἰμι. καὶ πάλιν· ἐγὼ εἰμὶ, καὶ οὐκ ἀλλοιοῦμαι, καὶ εἰς τὸν αἰῶνα ἐγώ εἰμι. καὶ τὰ ἑξῆς. καὶ κατὰ τὰ προαποδεικνύμενα, ἀναγκαῖον γάρ οἶμαι ἐπαναλαβεῖν τὰς ῥήσεις, εἰ καὶ μὴ πάσας διὰ τὸ πλῆθος, ἀλλ' ἔν τὰς σαφεστέρας, πρὸς τὸ βεβαιότερον τοῖς σύσασιν ἔχειν τὰ εἰρημένα. τὰ ἓν ἐκ στόματος Ἱερεμίου τοῦ προφήτου παραθήσομαι· ὁ κατασκιάσας, φησὶ, τοῖς ἐμοῖς εἰς τὸν αἰῶνα χρόνον, ἐνέπλησεν αὐτοὺς ἐκ τῶν ἐκτρωμάτων τῆς ἐκ τῶν τεσσάρων ὁδῶν. ὁ ἀποστέλλων τὸ φῶς, καὶ πορεύεται, ἐκάλεσεν αὐτὸ, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ· οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν, καὶ ηὐφράνθησαν· ἐκάλεσεν αὐτοὺς, καὶ εἶπαν· πάρεσμεν· ἔλαμψαν μετ' εὐφροσύνης τῷ ποιήσαντι αὐτούς. οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν· καὶ ἐκ τῶν ἑξῆς. ἀναγκαῖον οὖν, ὦ θεοφιλέστατε φιλόσοφε, ἐπισῆσαι ὧδε τὸν νοῦν, καὶ ἀναπτύξαι τῆς γραφῆς τὴν διάνοιαν. ἔδειξε γάρ, καθὰ καὶ αὐτὸς συνωμολόγησας, ὅτι περὶ τοῦ υἱοῦ ταῦτα προείρηται. μετὰ ταῦτα γάρ, φησὶν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη, εἰ οὖν κατὰ τὴν ἀσεβῆ μοχθηρίαν Ἀρείου, ἄλλη τις οὐσία κτιστὴ ἐστὶ τοῦ υἱοῦ καὶ μεταγενέστερος τοῦ πατρὸς Θεός· λέγει δὲ περὶ αὐτοῦ ἡ γραφή. οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· οὐ Θεὸς ὁ πατὴρ κατὰ τὴν Ἀρείου ἀσέβειαν, ἐπείπερ λέγει περὶ τοῦ υἱοῦ, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· καὶ ἐλέγχονται οἱ ἀσεβεῖς Ἀρειομανῖται σὺν τῇ τῆς βλασφημίας αὐτῶν αὐθεσίᾳ, πρὸ τῆς περὶ τοῦ υἱοῦ ἀρνήσεως, αὐτὸν τὸν πατέρα ἐκβαλόντες τῆς θεότητος· καὶ ἄθεοι παντελῶς δείσκονται οἱ τῆς ἀληθείας πολέμιοι. ὁ γὰρ τὸν υἱὸν μὴ ἔχων, καθάπερ αὐτοὶ ἐν καθολικαῖς, οὐδὲ τὸν πατέρα ἔχει. ἡ δὲ καθολικὴ πίστις μίαν θεότητα οἶδε, καὶ ταύτην προσκυνεῖ, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· πάλιν οὐ λογισθήσεται ἕτερα. τὸ δὲ μυστήριον τοῦτο τῆς ἁγίας καὶ προσκυνητῆς καὶ ὁμουσίου τριάδος, ἀπερινόητον καὶ ἀνέκφραστον καὶ πάντῃ ἀκατάληπτον ὑπάρχει, πίστει μόνῃ νοεῖσθαι δυνάμενον.

Ὁ φιλόσοφος.

ΚΕΦΑΛ. κγ'.

ΘΕῖα ὡς ἀληθὼς καὶ φωτὸς ἔμπλεα, τὰ παρὰ τοῦ ἁγίου πνεύματος δι' ὑμῶν ἐκφωνηθέντα. δέομαι δὲ ὑμῶν, ἐρασμίων μοι ὄντων τῶν ἱερῶν τῆς διδασκαλίας ὑμῶν λόγων, ὑπόσχετέ μοι τὰς διαγεῖς ὑμῶν ἀκοὰς, καὶ πρὸς ἃ ἐπερωτῶ διδάξατε, ἵνα πληρεστάτῳ λήψεσθε παρὰ τοῦ Θεοῦ τὸν ὑπὲρ τῆς ἐμῆς σωτηρίας ἀμοιβόν.

Ἀπόκρισις τῶν ἁγίων πατέρων πρὸς τὸν φιλόσοφον διὰ τοῦ αὐτοῦ Λεοντίου ἐπισκόπου.

Εἰπέ ὃ βούλει, ἐπιθυμητὸν γὰρ ἡμῖν πληροφορῆσαί σε ἐν πᾶσιν, ἐμφρόνως δυναμένῳ σε πᾶν μᾶλλον δέχεσθαι τὰς ἀποδείξεις τῶν ῥήσεων, ἐλλαμφθέντα σου ὑπὸ τοῦ ἁγίου πνεύματος.

Εὐχαριστία τοῦ φιλοσόφου, καὶ ἐπερώτησις περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως.

Χάρις ὑμῶν τῇ ἱερᾷ κεφαλῇ. φαίνεσθέ μοι ὦ ἱερώτατοι, πῶς νοητέον τὸν τοῦ Θεοῦ λόγον, τὸν τοῦ Θεοῦ υἱὸν, ἐπὶ τῆς γῆς ὦφθαι, καὶ τοῖς ἀνθρώποις συναναστράφθαι, ἀθέατον ὄντα πάσῃ κτιστῇ φύσει, ὁρωμένῃ τε καὶ νοουμένῃ· καὶ τίς ἡ αἰτία δι' ἣν ταῦτα ἐνεφαγματεύσατο, διδάξατε, παρακαλῶ.

Ἀπόκρισις τῶν ἁγίων πατέρων πρὸς τὸν φιλόσοφον διὰ τοῦ ἐπισκόπου Λεοντίου.

Ἡ μὲν αἰτία τῆς αὐτοῦ παρουσίας φανερωθήσεται ὑπ' αὐτοῦ διὰ τοῦ ἐν τῷ παραδείσῳ τῶν πρωτοπλάστων ἀνθρώπων τοῦ τε Ἀδὰμ καὶ τῆς Εὔας γενομένου ἁμαρτήματος, ἢ τις ἅπαν τὸ αὐτῷ ἐπισυμβὰν γένος. ἐπεὶ ἓν παραβάντες τοῦ ἐντολοῦ, τῷ θείᾳ χαρίσματος ἐστερήθησαν, τοῦ ἀποδύναι ἠθέλησεν ὁ δημιουργὸς τῷ ἀνθρώπῳ γυμνέα. καὶ νοητέον ἐνταῦθα, ὅτι ὥσπερ εἶπεν ὁ Θεὸς· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατὰ τὰς προῤῥηθείσας ἀποδείξεις· ὁ αὐτὸς πάλιν εἶπε, σώσωμεν τὸν ἀπολωλότα ἄνθρωπον, ὃν κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν ἐποιήσαμεν. καὶ ὥσπερ ὁ Θεὸς ὁ πατὴρ εἶπε τό· ποιήσωμεν, καὶ ὁ υἱὸς ἐδημιούργησεν, Θεὸς ὢν ἐκ Θεοῦ· ὁ αὐτὸς πάλιν· βουληθεὶς παρίστασθαι ἐν ἑαυτῷ ἠβουλήθη τὸν ἄνθρωπον.

Ἐπερώτησις τοῦ φιλοσόφου περὶ τοῦ αὐτοῦ.

Καὶ πῶς ἐπὶ τῆς γῆς ὤφθη, καὶ συναναστράφη ὡς ἄνθρωπος τοῖς ἀνθρώποις, Θεὸς ὢν ἀναλλοίωτος.

Ἀπόκρισις παρὰ τῶν ἁγίων πατέρων διὰ Μακαρίου ἐπισκόπου Ἱεροσολύμων.

Κατὰ τὴν φωνὴν τοῦ θεσπεσίου Παύλου, μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, ὃ ἐφανερώθη ἐν σαρκί. τοῦτ' ἔστιν, ὁ τοῦ Θεοῦ υἱός. τοῦτο αὐτὸς ὤφθη καὶ ἄγγελος.

οὐδὲ γὰρ ἀγγέλοις, ἢ ἀρχαγγέλοις, ἢ τισι τῶν ἐπουρανίων δυνάμεων θεατὸς ὁ μονογενής· ἐπείπερ Θεὸν οὐδεὶς ἑώρακε πώποτε. οὗπερ τὴν ἐξ οὐρανῶν καταφοίτησιν ἀκούων, μὴ τοπικὴν μετάστασιν τῆς ἀχωρήτου αὐτοῦ ὑποπτεύσῃς θεότητος, οἰκονομίαν δὲ νόει τὸ ὅλον τοῦτο τὸ μέγα ὡς ἀληθῶς τῆς εὐσεβείας μυστήριον, ἐν ᾧ ἀνεκαινίσθημεν. ἀνακαίνισις γὰρ γέγονε καινότητος ἐπανάληψις. διὰ δὴ τοῦτο ἀποδιδοὺς ἡμῖν τὴν πρὸς ἑαυτὸν ὁμοίωσιν, ὁ αὐτὸς τοῦ Θεοῦ λόγος εἰς ὁμοίωσιν ἡμῶν κατῆλθεν. ἀδύνατον δὲ ἦν Θεὸν ὁμοιωθῆναι ἡμῖν μὴ σαρκωθέντα· οὐ γὰρ ἀσώματον εἶδος αὐτῷ ἀσωμάτου οὐσίας προσεγίνετο, ὅπερ ἦν αὐτός. ἀλλὰ τὸ σωματικόν· σωματικὴ δὲ οὐσία ἄνευ προσλήψεως οὐκ ἐγίνετο· διὰ τοῦτο σῶμα ἀληθῶς προσέλαβεν, ἵνα οἱ τῆς ἐξ ἀρχῆς ἀδελφότητος ἐκπεσόντες, διὰ τὴν τοῦ ἀσωμάτου εἴδους ἀλλαγήν, τοῦτ' ἔστι τῆς τοῦ πνεύματος χάριτος, ἧς διὰ τῶν πρώτων ἀνθρώπων τοῦ τε Ἀδὰμ καὶ τῆς Εὔας ἀπωλέσαμεν, εἰς ἀδελφότητα εἰσαχθῶμεν διὰ τῆς σωματικῆς προσλήψεως, καὶ πάλιν τὸ ἀσώματον εἶδος τὸ θεῖον ἀπολάβωμεν. λαμβάνει δὲ σάρκα ἐκ γυναικός. οὕτως γὰρ καὶ ὁμονογενὴς ἡμῖν καθίσταται, ἵνα καὶ ὡς ὁμογενέσιν ἡμῖν μεταδῷ τῆς δόξης τῆς ἑαυτοῦ, ἵνα καὶ τὴν γυναῖκα διὰ τῆς γεννήσεως ἀνασώσῃ. σωθήσεται γὰρ, φησίν, ἡ γυνὴ διὰ τῆς τεκνογονίας. σὰρξ δὲ προσείληπτο τὸ κατὰ φύσιν ἔχουσα ζωτικόν· οὐδεμία γὰρ σὰρξ ἄνευ τοῦ ζωτικοῦ, ὃ καὶ ψυχὴν ἰδίως ἡ γραφὴ καλεῖ.

Ὁ φιλόσοφος.

Τίς οὐκ ἂν ἐκπλαγῇ ἐπὶ τοῖς μεγαλείοις τοῦ Θεοῦ τούτοις, ὡς ἔφατε; πλὴν πῶς λαμβάνει σάρκα ἐκ γυναικὸς, καθὼς ἀρτίως εἰρήκατε.

Ἀπόκρισις τῶν ἁγίων πατέρων διὰ τοῦ αὐτοῦ Μακαρίου ἐπισκόπου Ἱεροσολύμων.

Ἤδη εἰρήκαμέν σοι, ὦ βέλτιστε, μηδαμῶς ἐπὶ τῶν τοῦ Θεοῦ μυστηρίων λέγειν τὸ ὅπως· ἀπόρρητα γάρ εἰσι καὶ ἀνεπιλόγιστα· ὡς δὲ ἐκ τῶν ἱερῶν λόγων ἐδιδάχθημεν, ἐροῦμεν ὅσον ὁ λόγος παραστῆσαι δυνήσεται. τὸ γὰρ παντελῶς καταληπτικὸν τοῦ μυστηρίου ἐκείνου, τῆς τοῦ κυρίου ἐνσάρκου οἰκονομίας, πῶς γέγονεν, οἶδεν ἀνθρώπων οὐδὲ ἀγγέλων οὐδεὶς, οὐδὲ αὐτὸς Γαβριὴλ ὁ διακονησάμενος τῷ μυστηρίῳ ἐκείνῳ, οὐδὲ ἡ πάναγνος καὶ καθαρὰ καὶ ἁγία παρθένος Μαρία παραστῆσαι δυνήσεται τὴν ὅλην τῆς αὐτῆς τοῦ Θεοῦ λόγου σαρκώσεως κατάληψιν. αὐτὸς γὰρ μόνος ὁ μονογενὴς τοῦ Θεοῦ υἱὸς τὸ ἀκριβὲς οἶδε τῆς ἑαυτοῦ δι' ἡμᾶς ἐν ἀνθρωπήσεως. εἰ γὰρ καὶ παρέδωσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, καθά φησιν ὁ Λουκᾶς, περὶ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας· ὅτι ἐκ σπέρματος Δαυὶδ καὶ Ἀβραὰμ τὸ κατὰ σάρκα, καὶ τὸ ἐξ ἧς ἐγεννήθη Ἰησοῦς, τοῦτ' ἔστιν ἐκ τῆς παρθένου, ὁ λεγόμενος Χριστός· καὶ ὅτι ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα· καὶ ὅτι οὐκ ἀγγέλων, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπελάβετο, καὶ ὅτι κατὰ πάντα ὡμοιώθη ἡμῖν, πλὴν τῆς ἁμαρτίας, ταῦτα ἴσμεν· ὁ δὲ τρόπος, πῶς ταῦτα γεγένηται, πάσης λογικῆς φύσεως ὑπερβαίνει διάνοιαν. λέγει γὰρ καὶ περὶ τούτου Ἱερεμίας ὁ προφήτης· καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν; θαυμάζοντος δὲ τοῦ φιλοσόφου, καὶ παντὸς τοῦ συναθροισθέντος πλήθους εἰς τὴν ἀκρόασιν, προσθέντες οἱ ἅγιοι πατέρες, διὰ Μακαρίου ἐπισκόπου Ἱεροσολύμων εἶπαν.

Ἤδη διὰ πλείστων ὅσον ἀπεδείξαμεν, ὅτι Θεὸς ἦν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, * γέγονεν ἄνθρωπος διὰ φιλανθρωπίαν, σαρκωθεὶς καὶ γεννηθεὶς ἐκ τῆς παρθένου Μαρίας ἀπορρήτῳ γεννήσει. ἐπειδὴ γὰρ ἠβουλήθη, ὡς προαπέδειξεν ὁ λόγος, ἀνακαινίσαι τὰ διὰ τὴν ἀπόπτωσιν τῶν πρωτοπλάστων λυθέντα, γέγονεν ἐν τοῖς ἡμετέροις, ἵνα ἡμᾶς ποιήσῃ ἐν τοῖς ἑαυτοῦ, συγκαταβὰς ὡς ἰατρὸς ἄριστος τῇ ἀσθενείᾳ ἡμῶν. πάλιν ἐροῦμεν τὸ συγκαταβὰν, καὶ τὸ κατελθεῖν, καὶ τὸ ἀπεστάλθαι, κατὰ τὸν τῆς ἐνανθρωπήσεως αὐτοῦ τρόπον διαληπτέον, ὡς προαπεδείξαμεν, τῇ γὰρ θεότητι αὐτοῦ τὰ πάντα σὺν τῷ πατρὶ πληροῖ ἀεὶ κατὰ τὰς προαποδοθείσας ἐννοίας. ἄκουε τοίνυν. γεννώμεθα ἐκ γυναικός· ἦλθε διὰ φιλανθρωπίαν εἰς τοῦτο. ἀλλ' ἡμεῖς μὲν ἐξ ἡδονῆς ὕπνου, καὶ σπέρματος ἀνδρός. αὐτὸς δὲ μόνος ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου. γαλακτοτροφούμεθα· ἦλθε καὶ εἰς τοῦτο σαρκὶ, ὁ τῇ θεότητι αὐτοῦ διδοὺς τροφὴν πάσῃ σαρκί. γινόμεθα εἰς προκοπὴν καὶ αὔξησιν ἡλικίας· οὐκ ἀπηξίωσε γενέσθαι καὶ αὐτὸς τοῦτο σωματικῶς, καθὼς γέγραπται, ὅτι Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις· καὶ ἕως τριακοστοετοῦς χρόνου διανύσας. ἵνα πᾶσαν ἡλικίαν εὐλογήσῃ· τότε ἐπὶ τὸ βάπτισμα ἔρχεται, κηρύσσοντος Ἰωάννου υἱοῦ Ζαχαρίου τῷ λαῷ βάπτισμα μετανοίας, οὐκ ἀφέσεως ἁμαρτιῶν, οὔτε υἱοθεσίας δῶρον διδόντος· οὐ γὰρ ἦν Ἰωάννου ταῦτα δοῦναι, ἀλλ' οὔτε ἀγγέλου, ἀλλ' αὐτοῦ τοῦ σαρκωθέντος καὶ ἐνανθρωπήσαντος Θεοῦ λόγου. καὶ ἀνέχεται τὸ ὑπὲρ ἡμῶν βάπτισμα, καὶ Θεὸς ὢν ἀναμάρτητος ἐβαπτίσθη σωματικῶς ὡς ἄνθρωπος, οὐκ αὐτὸς δεόμενος βαπτίσματος, ἀλλ' ἵνα τὸ ἡμέτερον βάπτισμα δοξάσῃ· ἵνα πιστεύωμεν, ὅτι ὥσπερ ἐπ' αὐτὸν κατῆλθε τὸ πνεῦμα τὸ ἅγιον, οὕτως καὶ ἐφ' ἡμᾶς τοὺς εἰς αὐτὸν βαπτιζομένους. εἶτα συναναστραφεὶς τοῖς ἀνθρώποις, τάς τε τῶν θείων αὐτοῦ ἐντολῶν παραδοὺς ἐκδόσεις, τάς τε τῶν σημείων ἐργασάμενος θαυματουργίας, ἐπὶ τριετῆ χρόνον, καὶ τετάρτου ἀρξαμένου, οὕτως ἐπὶ τὸ ὑπὲρ ἡμῶν ἑκούσιον αὐτοῦ σωματικὸν ἔρχεται πάθος· ἡμῖν γὰρ κεχρεώστητο τιμωρία σταυροῦ· ἀλλ' εἰ πάντες ἐσταυρώθημεν, οὔτε ἑαυτοὺς ἐκ τοῦ θανάτου ἁρπάσαι ἰσχύσαμεν. ἐβασίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας. πολλοὶ ἅγιοι, πολλοὶ προφῆται, πολλοὶ δίκαιοι. καὶ οὐδεὶς αὐτῶν τῆς τοῦ θανάτου ἐξουσίας ἑαυτὸν ἠδυνήθη λυτρώσασθαι. ἀλλὰ ἦλθεν αὐτὸς ὁ τῶν πάντων σωτὴρ, καὶ τὰς ἡμῖν χρεωστουμένας τιμωρίας εἰς τὴν ἐξ ἡμῶν, ἀνθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἀναμάρτητον αὐτοῦ ὑπεδέξατο σάρκα. κατεφερόμεθα μετὰ τὸν θάνατον εἰς τὸν ᾅδην· ἀνεδέξατο, καὶ τοῦτο, καὶ κατῆλθεν ἑκουσίως εἰς αὐτόν· οὐ κατηνέχθη καθάπερ ἡμεῖς, ἀλλὰ κατῆλθεν· οὐ γὰρ ἦν ὑποκείμενος τῷ θανάτῳ, ἀλλ' ἐξουσιαστὴς τοῦ θανάτου καὶ μόνος κατελθὼν, μετὰ πλήθους ἀνελήλυθεν. αὐτὸς γὰρ ἦν ὁ νοερὸς κόκκος τοῦ σίτου, ὁ ὑπὲρ ἡμῶν πεσὼν εἰς τὴν γῆν, καὶ ἀποθανὼν, σαρκὶ, ὃς τῇ τῆς θεότητος αὐτοῦ δυνάμει ἀνέστησε τὸν σωματικὸν αὐτοῦ

ναὸν

ναὸν, κατὰ τὰς γραφὰς, καρποφορήσαντα τὴν τοῦ παντὸς ἀνθρωπίου γένους ἀνάστασιν, καὶ ἐμφανίσας τοῖς μαθηταῖς μετὰ τὴν τριήμερον ταφὴν, καὶ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ἐπέδειξεν αὐτοῖς τὰ ἐν τῷ σταυρῷ τοῦ σώματος αὐτοῦ πάθη, εἰπών· ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ θαυματουργῶν, ὁ καὶ τὰ ὑπὲρ τοῦ ὑμετέρου γένους ἐν τῇ σαρκί μου καταδεξάμενος πάθη. εἶτα ἐπὶ τεσσαράκοντα ἡμέρας συναυλιζόμενος αὐτοῖς, δούς τε αὐτοῖς σωτηρίων ἐντολῶν ὑποθήκας, ἀνελήλυθεν εἰς τοὺς οὐρανοὺς, βλεπόντων αὐτῶν, ἐν δεξιᾷ τε τοῦ πατρὸς κεκαθικέναι αὐτὸν οἱ ἱεροὶ ἐδίδαξαν λόγοι. ὃν δὲ ἥξειν προσδοκῶμεν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος κρῖναι ζῶντας καὶ νεκροὺς, ἀϊδίως, ὡς ἀεὶ συμβασιλεύοντα τῷ πατρὶ εἰς τοὺς ἀπείρους αἰῶνας. αὕτη ἡ τῆς ἐκκλησίας ἀποστολικὴ καὶ ἀμώμητος πίστις, ἣν τινα ἄνωθεν παρ' αὐτοῦ τοῦ κυρίου διὰ τῶν ἀποστόλων ἐκ προγόνων εἰς ἐκγόνους παραδοθεῖσαν ἡ ἐκκλησία πρεσβεύει, καὶ νῦν καὶ εἰς ἀεὶ ταύτην κρατεῖ, εἰπόντος τοῦ κυρίου τοῖς μαθηταῖς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Περὶ τῆς τῶν πατέρων ὁμοφωνίας τῆς εἰς τὸ ὁμοούσιον.

ΚΕΦΑΛ. κδ'.

ΤΟΥΤΩΝ οὕτως ὑπὸ τοῦ ἁγίου πνεύματος διὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν ἐκείνῃ τῇ ἁγίᾳ συνόδῳ συνειλεγμένων, ἐκφωνηθέντων, ἐμεγάλυνε τὸν Θεὸν ἅπαν τὸ πλῆθος ἐκεῖνο, τὸ εἰς τὴν ἀκρόασιν ἐκείνην συνελθόν. ἐπηκροᾶτο δὲ καὶ αὐτὸς ὁ θεοφιλέστατος βασιλεὺς, συμπαρὼν δὲ αὐτὸς τὰ πλεῖστα τῇ συνόδῳ· καὶ ὑπεραγασθεὶς, ἐδόξαζε τὸν Θεὸν, τοιούτων ἐπακούσας θείων δογμάτων, χαίρων δῆτα ἐπὶ τῇ τῶν ἡμετέρων ἐπισκόπων συμφωνίᾳ, ἠγαλλιᾶτο τῷ πνεύματι. ἔσπευδε γὰρ μηδένα, μὴ μέγαν, μὴ μικρὸν διαφωνῆσαι ταύτης τῆς σωτηρίου ὁμολογίας μετὰ γοῦν τὴν πολλὴν ταύτην καὶ χρονίαν τῆς προσκυνητῆς σκέψεως ἐκπλήρωσιν, ἔδοξε πᾶσιν ὁμοῦ τοῖς ἡμετέροις, τὸ ὁμοούσιον δεῖν ὁρίσασθαι ἐπὶ τῆς ἐκκλησιαστικῆς πίστεως ὃν τρόπον καὶ οἱ μετὰ τοὺς ἀποστόλους ἅγιοι ἡμῶν πατέρες ταύτην παρέδοσαν τὴν πίστιν, τοῦτ' ἔστι τῆς αὐτῆς οὐσίας τῆς τοῦ πατρὸς ὁμολογεῖν τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἣν τινα πίστιν πάντες οἱ ἐν τῇ Νικαέων συναθροισθέντες ἅγιοι ἐπίσκοποι ἐβεβαίωσαν, τό, τε τῶν ἱερατικῶν καὶ ὁμολογητῶν ἀνδρῶν πλῆθος, αὐτός τε ὁ πανεύφημος δὲ θεοφιλέστατος βασιλεὺς, καὶ ἅπαν τὸ ἐκεῖσε τῶν πιστῶν συνεληλυθὸς πλῆθος, χαίροντες ἀπεδέξαντο τὴν ὁμολογίαν τῆς πίστεως, παρεκτὸς ἑπτακαίδεκα ἐπισκόπων τὸν ἀριθμὸν, περὶ ὧν καὶ ἀνωτέρω εἰρήκαμεν· οἷς ὁ Ἄρειος ἐπιτέρπεσθαι δοκῶν, σὺν αὐτοῖς ἑάλω, συμφώνοις αὐτῷ οὖσι, λεγόντων αὐτῶν σὺν αὐτῷ, ἔξωθεν τὸν υἱὸν δεδημιουργῆσθαι τῷ Θεῷ ἐκ μὴ ὄντων τινῶν ὑποστάσεων, καὶ οὐκ ἀπ' αὐτῆς τῆς τοῦ πατρὸς θεότητος γεννηθέντα.

Ὅπου ὑπὸ τοῦ κοινοῦ τῆς συνόδου ἐκκηρύττεται ὁ ἀσεβὴς Ἄρειος, καὶ οἱ σὺν αὐτῷ

ΚΕΦΑΛ. κε'.

ΔΙΟ' ἐκκηρύκτους αὐτοὺς καὶ αὖθις γενέσθαι σὺν Ἀρείῳ τῆς καθολικῆς ἐκκλησίας, παμψηφὶ πάντες οἱ ἅγιοι ἡμῶν πατέρες ὡρίσαντο, ἀναθεματίσαντες αὐτούς τε καὶ τὴν ἀσεβῆ αὐτῶν δόξαν, καὶ τὰ ῥήματα, καὶ τὰ νοήματα αὐτῶν τὰ βλάσφημα, οἷς ἐκέχρηντο κατὰ τοῦ υἱοῦ τοῦ Θεοῦ λέγοντες ἐξ οὐκ ὄντων αὐτὸν εἶναι, καὶ ὅτι· ἦν ποτε ὅτε οὐκ ἦν· καὶ αὐτεξουσιότητι κακίας καὶ ἀρετῆς δεκτικὸν αὐτὸν εἶναι τὸν υἱὸν τοῦ Θεοῦ, κτίσμα λέγοντες αὐτὸν εἶναι καὶ ποίημα. ἀνεθεμάτισεν ἅπαντα ταῦτα καὶ αὐτοὺς ἡ ἁγία σύνοδος, οὐδὲ ὅσον ἀκοῦσαι τῆς ἀσεβοῦς δόξης αὐτῶν, καὶ ἀπονοίας, καὶ τῶν βλασφήμων αὐτῶν ῥημάτων ἀνασχομένη. ἀλλὰ καὶ τὸ πιττάκιον δὲ αὐτῶν, ὅπερ γέμον τῆς ἀσεβείας αὐτῶν ἐπιδοῦναι ἐτόλμησαν, παραχρῆμα διέρρηξαν. καὶ τὰ μὲν κατ' ἐκείνους τοιοῦτον εἴληφε παρὰ τῆς ἁγίας συνόδου τέλος. τὰ δὲ περὶ τῆς ὀρθοδόξου πίστεως συμφώνως ἅπαντες οἱ ἐπίσκοποι ἐν ὀλίγοις ῥήμασι, διὰ τὴν τοῦ πιστοῦ πλήθους τῶν λαῶν ἁπλότητα τὸ ὅλον περιλαβόντες, ὧδέ πως ἐγγράφως ἐκτίθενται τὸ τῆς καθολικῆς πίστεως σύμβολον.

Ἔκθεσις τῆς καθολικῆς καὶ ἀποστολικῆς πίστεως, ἐκτεθείσης ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου, ἐπὶ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου, ἐν ὑπατείᾳ Παυλίνου καὶ Ἰουλιανοῦ τῶν λαμπρῶν, ἔτους ἀπὸ Ἀλεξάνδρου χλς'. ἐν μηνὶ Δεσίῳ τῇ πρὸ δεκατριῶν καλανδῶν Ἰουλίου, ἐν Νικαίᾳ μητροπόλει τῆς Βιθυνίας.

ΚΕΦΑΛ. κς'.

ΠΙστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ὁρατῶν τε πάντων καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τοῦτ' ἔστιν ἐκ τῆς οὐσίας τοῦ πατρὸς Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τὰ ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα, ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρὸς, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον αὐτοῦ πνεῦμα. τοὺς δὲ λέγοντας, ἦν ποτε ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ Θεοῦ· τοὺς τοιούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. αὕτη ἐστὶν ἡ πίστις, ἣν ἐξέθεντο οἱ ἐν Νικαίᾳ ἅγιοι ἡμῶν πατέρες οἱ ὀρθόδοξοι ἐπίσκοποι· πρῶτον μὲν κατὰ Ἀρείου βλασφημοῦντος καὶ λέγοντος κτίσμα τὸν υἱὸν τοῦ Θεοῦ, καὶ κατὰ Σαβελλίου τε καὶ Φωτεινοῦ, καὶ Παύλου τοῦ Σαμοσατέως, καὶ Μανιχαίου, καὶ Οὐαλεντίνου, καὶ Μαρκίωνος, καὶ κατὰ πάσης δὲ αἱρέσεως,

ἥ τις

ἢ τις ἐπανέστη τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ· ὃς κατέχειν ἐν τῇ Νικαέων πόλει συναγμένη τῶν ἁγίων ὀρθοδόξων συνόδος, ὧν τὰ ὀνόματα, καὶ τῶν ἐπαρχιῶν αὐτῶν, ἐστὶν ὑποτεταγμένα. ἀναφέρεται τοίνυν ἐπὶ τὸν θεοσεβῆ καὶ πανεύφημον βασιλέα τὰ ὑπὸ τῆς συνόδου κεκειμένα, ἥ τε κατὰ τῶν θεομάχων ἀπόφασις, καὶ ἡ τῆς ὀρθοδόξου πίστεως ἔκθεσις· ἃ ὡς θεόθεν προενεχθεῖσαν ἀσμένως προσεδέξατο μετὰ πλείστης ὅσης εὐσεβασμιότητος· τὰς δὲ ταύτης πολεμίους, ὡς ἄτε Θεῷ ἐναντιουμένους, ἐξοδείαν ὑποσιῶναι ψηφίζεται. ἐξ οὗ τοίνυν ἐκ τῶν μετὰ Ἀρείου ἐπισκόπων συνῳδὰ αὐτῷ Ἀρείῳ καὶ τοῖς περὶ αὐτὸν συναποθλιβῆναι ἠνέχοντο. οἱ δὲ γὰρ σύνδεκα δείσαντες τὸν τε θεοφιλῆ βασιλέως τιμὴν παρησίαν, καὶ τῆς συνόδου τῶν ἐπισκόπων τὸ πλῆθος, μὴ ἐξοσρακισθεῖεν, ὑποχειριάμενοι ὑπογράφουσιν εἰς τὸ ὁμοούσιον, χειρὶ, ἃ προὔθέσει. ταύτης τῆς ὑπογραφῆς ἔξαρχος ὁ Νικομηδείας Εὐσέβιος, ὃς καὶ μέχρι τέλους δείκνυται τῇ ἐφ' ἑκάτερα κεχρημένος γνώμῃ, καθὰ Εὐσάθιός τε ὁ τῆς Ἀντιοχέων, καὶ Εὐσέβιος ὁ Παμφίλου, Ἀθανάσιός τε ὁ μέγας, καὶ πάντες οἱ τὰ τῆς συνόδου συγγραφάμενοι διηγοῦνται. τῇ τε πρὸς ἡμᾶς δι' ὑποκρίσεως τὸν ἄνδρα τοῦ δοκεῖν εἶναι καὶ τῆς τῶν ἐναντίων συμμορίας ζηλωταὶ ὑπερμαχοῦντες.

Αἱ τῆς πίστεως ὑπογραφαὶ τῶν ἐπισκόπων.

ΚΕΦΑΛ. κζ.

ΟΣΙΟΣ ἐπίσκοπος πόλεως Κουρδούβης τοῖς κατὰ Ῥώμην καὶ Σπανίαν καὶ Ἰταλίαν πᾶσαν, καὶ ταῖς ἐν τοῖς λοιποῖς ἔθνεσι, τοῖς ἐπέκεινα κατ' ἐμὲ ὄσιν, ἕως τοῦ Ὠκεανοῦ, ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, σὺν τοῖς σὺν αὐτῷ πρεσβυτέροις Ῥώμης Βίτωνι καὶ Βικεντίῳ.

Ἀλέξανδρος Ἀλεξανδρείας σὺν Ἀθανασίῳ τότε ἀρχιδιακόνῳ ὄντι, ταῖς κατ' Αἴγυπτον πᾶσαν καὶ Λιβύην, καὶ Πεντάπολιν καὶ τὰ ὅμορα τούτοις, ἕως τῶν τῆς Ἰνδίας ἐπαρχιῶν.

Εὐσάθιος Ἀντιοχείας τῆς μεγάλης τῆς κατὰ Συρίαν κοίλην, καὶ Μεσοποταμίαν πᾶσαν, καὶ Κιλικίαν ἑκατέραν.

Ἰωάννης Πέρσης * τῆς ἐν Περσίδι πάσῃ, καὶ τῇ μεγάλῃ Ἰνδίᾳ.

Λεόντιος Καισαρείας Καππαδοκίας, τὸ τῆς ἐκκλησίας τοῦ κυρίου καλλώπισμα, ταῖς κατ' αὐτὴν Καππαδοκίαν, Γαλατίαν, Πόντον Διοσπόντου, Παφλαγονίαν, Πόντον Πολεμαϊκὸν, Ἀρμενίαν μικρὰν καὶ μεγάλην.

Θεωνᾶς Κυζίκου, ταῖς κατὰ τὴν Ἀσίαν καὶ Ἑλλήσποντον, Λυδίαν τε καὶ Καρίαν, διὰ τῶν ὑπ' αὐτὸν ἐπισκόπων, Εὐτυχίου Σμύρνης, καὶ Μαξίμου Τρῳάδος.

Μακάριος Ἱεροσολύμων σὺν Εὐσεβίῳ τῷ Παμφίλου ἐπισκόπῳ Καισαρείας τῆς κατὰ Παλαιστίνην καὶ Ἀραβίαν καὶ Φοινίκην.

Ἀλέξανδρος Θεσσαλονίκης διὰ τῶν ὑπ' αὐτὸν τελούντων, ταῖς κατὰ Μακεδονίαν πρώτην καὶ δευτέραν, σὺν τῇ Ἑλλάδι, τήν τε Εὐρώπην πᾶσαν, Σκυθίαν ἑκατέραν, καὶ ταῖς κατὰ τὸ Ἰλλυρικὸν ἀπάσαις, Θεσσαλίαν τε καὶ Ἀχαΐαν.

Νουμέριος Λαοδικείας ταῖς κατὰ τὴν Φρυγίαν πρώτην καὶ δευτέραν.

Πρωτογένης ὁ θαυμάσιος πόλεως Σαρδικῆς. ταῖς ἐν Δακίᾳ, Καλαμείᾳ, Δαρδανίᾳ, καὶ ταῖς ὁμόροις τούτοις.

Κεκιλιανὸς Καρθαγένης ταῖς κατὰ πάσας τὰς ἐπαρχίας, τάς τε Ἀφρικὰς, καὶ τὰς Νουμιδίας, καὶ Μαυριτανίας ἀμφοτέρας, θείαις ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις.

Πιστὸς Μαρκιανουπόλεως ταῖς κατὰ τὴν Μυσίαν, καὶ τὰ τῶν Ἀθίγγων καὶ Γάλλων ἔθνη, καὶ ταῖς πλησιοχώροις τούτων πόλεσιν.

Ἀλέξανδρος Κωνσταντινουπόλεως τότε πρεσβύτερος ἔτι ὤν, εἰς ὕστερον δὲ καὶ τῆς ἐπισκοπικῆς ἱερατείας τῆς αὐτόθι ἐκκλησίας λαχών, σὺν Παύλῳ ἔτι τότε ἀναγνώστῃ ὄντι καὶ νοταρίῳ αὐτοῦ, πᾶσι τοῖς ἐν ταῖς νήσοις πάσαις κυκλάσιν.

Οὗτοι πάντες οἱ ἅγιοι καὶ ἀποστολικοὶ ἄνδρες πάσαις ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις τὸν ἐν τῇ Νικαέων ἁγίᾳ μεγάλῃ καὶ οἰκουμενικῇ συνόδῳ κεκειμένα διαπορθμεύσαντες, παντοχοῦ γῆς παρέδωκαν.

Ὅπου ὁ βασιλεὺς ἀνασὰς ἐκ τοῦ θρόνου, εὐχαριστήρια φωνὰς ἀναπέμπει τῷ Θεῷ.

ΚΕΦΑΛ. κή.

Ὁ δὲ βασιλεὺς Κωνσταῖνος ἐπὶ τῇ ἐκθέσει τῆς ὀρθῆς καὶ ἀποστολικῆς πίστεως, τῆς ἐκ πνεύματος ἁγίου διὰ τῶν τριακοσίων ἁγίων ἡμῶν πατέρων ἐκφωνηθείσης, ὥσπερ δι' ἑνὸς στόματος, καὶ κυρωθείσης παρὰ πάντων τῶν συνδραμόντων εἰς τὴν ἁγίαν ἐκείνην τῆς πίστεως ἀκρόασιν, καὶ τὰς χεῖρας ἁπλώσας, καὶ τὸ ὄμμα τείνας εἰς τὸν οὐρανὸν πρὸς τὸν Θεὸν, ἀφήμοις ῥήμασιν ἀνύμνησε τὸν τῶν πάντων ἡμῶν σωτῆρα καὶ εὐεργέτην Θεὸν, ὅτι τὴν ποθουμένην αὐτῷ τῶν ἐπισκόπων ὁμόνοιαν, καὶ τὴν περὶ τῆς ὀρθῆς καὶ σωτηρίου πίστεως αὐτῶν ὁμοφωνίαν, αὐτῷ ἐπραγματεύσατο. τοσοῦτος δὲ ὁ πάντα ἄριστος ἐκεῖνος καὶ θεοφιλὴς βασιλεὺς περὶ τὴν τῶν τοῦ Θεοῦ ἐκκλησιῶν φροντίδα καὶ τὴν τῶν ποιμένων εἰρηνικωτάτην ὁμόνοιαν. οὐκ ἄτοπον δὲ ἡγοῦμαι καὶ τὰ Εὐσεβίου τοῦ Παμφίλου, ἅπερ περὶ τούτων, τῶν ἐν τῇ συνόδῳ πραγματευθέντων λέγω, ποιεῖσθαι τὸν λόγον ἀρχόμενος καλῶς διελάβετο ἐν τῷ τρίτῳ αὐτοῦ βιβλίῳ τῷ εἰς τὸν βίον Κωνσταντίνου τοῦ θεοφιλοῦς βασιλέως, ἐνταῦξαι τῇδε τῇ συγγραφῇ. ἔστι δὲ ταῦτα· πλείστων δεῖται ὑφ' ἑκατέρου τάγματος προτεινομένων, πολλῆς τε ἀμφιβολίας τὰ πρῶτα παρά τινων γινομένης, ἐπεχρᾶτο πάντων ὁ βασιλεὺς ὁ πανεύφημος, σχολῇ τε διστωτάτῃ τὰς προτάσεις θατέρων τῶν μερῶν ὑπεδέχετο· ἐν μέρει τε ἀντιλαμβανόμενος τῶν παρ' ἑκατέρου τάγματος λεγομένων, ῥήματά τε σωφρονέστερα τὰ φιλονεικίας ἐνισαμένους, σιωπᾶν τε ποιούμενος τοὺς πρὸς ἔχασιν ὁμιλίας, ἑλληνίζοντά τε τῇ φωνῇ, ἐπειδὴ μηδὲ ταύτης ἀμαθῶς εἶχε, γλυκερός τις ἦν καὶ ἡδύς, τοὺς μὲν συμπείθων, τοὺς δὲ καταδυσωπῶν τῷ λόγῳ, τοὺς δὲ εὖ λέγοντας ἐπαινῶν, πάντας τε εἰς ὁμόνοιαν ἐλαύνων ἕως ὅτε ὁμογνώμονας καὶ ὁμοδόξους * ἐπ' αὐτῷ κατεστήσατο. (ι' κεφ.

το· ὡς ὁμοφρόνως μὲν κρατῆσαι τὴν ἀσεβῆ δοξολογίαν, κρατυνθῆναί τε τὴν ἀληθῶς ἐκ πνεύματος ἁγίου παρὰ πάντων τῶν προρρηθέντων ἁγίων ἡμῶν πατέρων ἐκφωνηθεῖσαν σωτήριον πίστιν. ἐν τ' αὐτῷ δὲ καὶ περὶ τῆς σωτηρίου ἑορτῆς τὸ πάσχα ἵνα παρὰ πᾶσιν ὁμολογηθῇ καιρὸν ἐνομοθέτησε. τότε δὴ καὶ ἐγράφως δι' ὑποσημειώσεως ἑκάστῃ τὴ κοινῇ διδομένῃ κυρωθῆναι ὡρίσατο· καὶ περὶ τῶν καθ' ἕκαστον ἐκκλησιαστικῶν διατυπώσεων καὶ κανόνων ἐγγράφως ἐκθεῖναι τοὺς ἐπισκόπους παρεγγυᾷ.

Περὶ Ἀχεσίου ἐπισκόπου τῶν Ναυατιανῶν, καὶ τῶν σὺν αὐτῷ.

ΚΕΦΑΛ. κθ'.

Κινεῖ δὲ ἡμᾶς ἡ τοῦ βασιλέως πίστις καὶ ἑτέρου πράγματος ἐπιμνησθῆναι ὃς τῇ συνόδῳ καὶ φρόνοιαν τῆς ἐκκλησιαστικῆς εἰρήνης ἐποιεῖτο, ὡς μηδὲ τὰ ἐλάχιστα αὐτὸν παραλιπεῖν. καὶ Ἀχέσιον γὰρ τῆς τῶν Ναυατιανῶν θρησκείας ἐπίσκοπον καὶ τοὺς σὺν αὐτῷ ἐκεκλήκει εἰς τὴν σύνοδον, ὡς καὶ αὐτοὺς τὸ ὁμοούσιον καὶ τὴν τεσσαρακοστὴν δοξάζοντας. μεθ' ὃν τὸ ἐκτεθῆναι καὶ ὑπογραφῆναι παρά τε τῆς συνόδου καὶ τοῦ βασιλέως τὸν ὅρον τῆς πίστεως, ἠρώτα τὸν Ἀχέσιον Κωνσταντῖνος ὁ βασιλεύς, εἰ καὶ αὐτὸς τῇ πίστει συντίθεται καὶ τῷ ὁρισμῷ τῆς περὶ τοῦ πάσχα ἑορτῆς. ὁ δὲ Ἀχέσιος πρὸς αὐτὸν, ὕδωρ ἡμῖν, ἔφη, ὦ βασιλεῦ, ἡ συνόδος ὥρισεν οὕτω γὰρ ἄνωθεν ἅπαντες ἐκ τῶν ἀποστολικῶν θρόνων παρειλήφαμεν καὶ τὸν ὅρον τῆς πίστεως, καὶ τὸν χρόνον τῆς τοῦ πάσχα ἑορτῆς. καὶ ὁ βασιλεὺς πρὸς αὐτόν· τί οὖν τῆς κοινωνίας ἡμῶν χωρίζῃ; ὁ δὲ Ἀχέσιος τὰ ἐπὶ Δεκίου κατὰ τὸν διωγμὸν γινόμενα περὶ τῶν ἐν τῷ μαρτυρίῳ μὴ δεηθέντων ἀγωνίσασθαι, ἀλλὰ ἀρνησαμένων, διηγεῖτο, καὶ ἀκρίβειαν αὐτῶν κανόνα προεβάλλετο, λέγων· ὡς ἆρα οὐ χρὴ τοὺς μετὰ τὸ βάπτισμα ἡμαρτηκότας δέχεσθαι μετανοοῦντας, ἢ τῆς κοινωνίας τοῦ μυστηρίου τοῦ λοιποῦ ἀξιοῦσθαι. ταῦτα εἰπόντος τοῦ Ἀχεσίου, ἔφη πρὸς αὐτὸν ὁ βασιλεύς· θὶς ὦ Ἀχέσιε κλίμακα μόνον, καὶ ἀνάβηθι εἰς τὸν οὐρανόν. μετὰ ταῦτα πάντες οἱ ἐπίσκοποι διατυπώσεις ἐκκλησιαστικὰς διαφόρους ἐκτίθενται.

Περὶ τῶν ἐκκλησιαστικῶν διατυπώσεων λόγος διδασκαλικός.

ΚΕΦΑΛ. λ'.

ΟΜΙΛΗΣΩΜΕΝ τῷ φωτὶ, ὅ ἐστιν ὁ Χριστὸς, ὡς πλησίον αὐτοῦ ἑστῶτες, ὡς ὁρῶντες αὐτὸν, ὅπως πολιτευσώμεθα ταῖς δικαίαις ἀγιαζούσαις. δίκαι γὰρ ἁγιάζουσιν, ἐὰν λόγῳ θείῳ προσευχώμεθα· λόγος δὲ θεῖος πάρεστιν, εἰ θέλοι καρδία καὶ πολιτεία καθαρὰ ἐν ταπεινοφροσύνῃ φυλάττεται. ἔκαμεν ὁ Ἰσραὴλ τὰς θυσίας ἐπιπελῶν· ἔκραζον οἱ προφῆται πρὸς τὸν Θεόν· ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου. ἐκεῖνοι ἔκραζον, καὶ ἡμεῖς ἐλάβομεν· ἄλλοι κεκοπιάκασι, καθὼς εἶπεν ὁ Κύριος, καὶ ἡμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθαμεν. ἦλθε γὰρ πρὸς ἡμᾶς αὐτὸς ὁ Κύριος λέγων. ἐγώ εἰμι τὸ φῶς, ἐγώ εἰμι ἡ ἀλήθεια. ἀκαμάτως ἐλάβομεν τὴν χάριν, ἀλλὰ διὰ καμάτου δεῖ ἡμᾶς φυλάξαι τὴν χάριν.

Περὶ τῶν λεγόντων μὴ δεῖν Χριστιανοὺς ἐργάζεσθαι.

Ἐπείπερ τινὲς οὐκ ἐργάζεσθαι βουλόμενοι, ἀλλὰ περιεργάζεσθαι, ἐκλαμβάνουσι κακῶς τὰς τοῦ Κυρίου ἱερὰς φωνὰς, εἰπόντος· μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε· ὡς οὐ χρὴ λέγοντες, ἀκολουθοῦντας τῇ φωνῇ ταύτῃ ἐργάζεσθαι εἰς τὴν γῆν Χριστιανούς· ἀποδεικτέον ἡμῖν μὴ οὕτως εἰρῆσθαι τὸν Κύριον. ἐγχωρεῖ γὰρ καὶ ἐργάζεσθαι καὶ μὴ μεριμνᾶν, εἰδότας ἡμᾶς καὶ πιστεύοντας, ὅτι τῶν ἔργων ἡμῶν τὴν αὔξησιν, καὶ τοὺς καρποὺς αὐτὸς ὁ Κύριος δίδωσιν, εἰπών· οὕτως ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, ὡς ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ καθεύδῃ, καὶ ἐγείρεται νύκτα καὶ ἡμέραν· καὶ ὁ σπόρος βλαστάνει καὶ μηκύνεται, ὡς οὐκ οἶδεν αὐτός.

Περὶ τῶν ἱερουμβῶν.

Τοὺς ἱερουμβοὺς εἰς τύπον καὶ εἰκόνα χρὴ εἶναι τῶν ἐπουρανίων· καὶ τὸν μὲν ἐπίσκοπον ἐπέχειν τὸν τόπον τοῦ Κυρίου, ὡς κεφαλὴν μετ' αὐτὸν ὄντα τῆς ἐκκλησίας, ἧς παρείληφε. τὸν δὲ πρεσβύτερον, τὸν σεραφικὸν ἐπέχειν θρόνον· τὸν δὲ διάκονον, τὸν χερουβικόν· τὸν ὑπηρέτην εἰς διακονίαν τούτων εἶναι προσήκει.

Περὶ τοῦ μὴ δεῖν λαϊκοὺς ἀνίστασθαι ἐν τῷ ἄμβωνι.

Περὶ τοῦ μὴ δεῖν λαϊκοὺς ἀνίστασθαι ἐν τῷ ἄμβωνι, πλὴν τῶν τεταγμένων ἀναγινώσκειν ἢ ψάλλειν ἐν ταῖς διφθέραις.

Περὶ τοῦ ἁγίου βαπτίσματος.

Τὸ βάπτισμα ἡμῶν οὐ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς καταληπτέον, ἀλλὰ τοῖς νοεροῖς. ὕδωρ ὁρᾷς, νόησον τὴν ἐν τοῖς ὕδασι κρυπτομένην τοῦ Θεοῦ δύναμιν. ἐν γὰρ πνεύματι ἁγίῳ καὶ πυρὶ βαπτίζεσθαι ἡμᾶς οἱ ἱεροὶ διδάσκουσι λόγοι. ἐν γὰρ πίστει τοῦ βαπτίζοντος, καὶ ἐν πίστει τοῦ βαπτιζομένου, διὰ τῆς ἱερᾶς ἐπικλήσεως, πλήρη τοῦ ἁγιασμοῦ τοῦ πνεύματος καὶ τοῦ θείου πυρὸς νόει τὰ ὕδατα. αὐτὸς γάρ, φησὶ, βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ καὶ πυρί. κατέρχεται μὲν ὁ βαπτιζόμενος ὑπὸ θνητὸς ἁμαρτημάτων, καὶ τῆς τοῦ φθορᾶς δουλείας ἐνεχόμενος· ἀνέρχεται δὲ ἐλεύθερος θεὶς τῆς τε τοιαύτης δουλείας καὶ τῆς ἁμαρτίας, υἱὸς τοῦ Θεοῦ καὶ κληρονόμος χάριτι αὐτοῦ γεγονὼς, συγκληρονόμος δὲ Χριστοῦ, αὐτὸν ἐνδυσάμενος τὸν Χριστὸν, καθὼς γέγραπται· ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.

Περὶ τῆς θείας βαπτίσεως, καὶ τοῦ ἐπ' αὐτῷ μυστηρίου τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ.

Ἐπὶ τῆς θείας βαπτίσεως πάλιν χρὴ ταῦθα μὴ τῷ προκειμένῳ ἄρτῳ καὶ τῷ ποτηρίῳ ταπεινοὺς προσέχωμεν. ἀλλ' ὑψώσαντες ἡμῶν τὴν διάνοιαν, φίσει νοήσωμεν κεῖσθαι ἐπὶ τῆς ἱερᾶς ἐκείνης βαπτίσεως τὸν ἀμνὸν

τῦ Θεῦ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀθύτως ὑπὸ τῶν ἱερέων θυόμενον. καὶ τὸ τίμιον αὐτοῦ σῶμα καὶ αἷμα ἀληθῶς λαμβάνοντες ἡμᾶς, * πιστεύειν ταῦτα εἶναι τὰ τῆς ἡμετέρας ἀναστάσεως σύμβολα. διὰ τοῦτο γὰρ οὔτε πολὺ λαμβάνομεν, ἀλλ' ὀλίγον, ἵνα γνῶμεν ὅτι οὐκ εἰς πλησμονὴν, ἀλλ' εἰς ἁγιασμόν.

* Forte πιστεύομεν.

Περὶ τῶν ἐκ νεκρῶν ἀναστάσεως.

Οὐχ ἁπλῶς ὁ κύριος τὸν ἑαυτοῦ σάρκα ὑπὲρ ἡμῶν παρέδωκεν εἰς πάθος καὶ θάνατον, ἀλλ' ἵνα τὴν ἡμετέραν σωτηρίαν πραγματεύσηται, καὶ περ ἐλεύθερος ὢν τοῦ θανάτου, καθὼς ἀνωτέρω ὁ λόγος ἀπέδειξε. βοᾷ ὁ προφήτης ὡς ἐκ προσώπου αὐτοῦ, προαναφωνῶν τὸ μέλλον τῆς κατὰ σάρκα αὐτοῦ οἰκονομίας μυστήριον. ἐλυθήθην, φησὶν, ὡσεὶ ἄνθρωπος ἀβοηθήτος, ἐν νεκροῖς ἐλεύθερος. τίς δὲ ἐλεύθερος θανάτου, εἰ μὴ Θεός; ἀλλὰ κατὰ τὰς προαποδειχθείσας ἀποδείξεις σαρκωθεὶς διὰ φιλανθρωπίαν, γέγονεν ὡσεὶ ἄνθρωπος ἀβοηθήτος, τιπεινώσας τὸν ἑαυτοῦ σάρκα μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, ἢ καὶ ἐγηγέρθαι κηρύττεται, ἵνα ἡμᾶς ἀποθανατίσας, προτυπώσῃ ἡμῖν τοῖς ἀπεγνωσμένοις δι' αὐτῆς τῆς ἡμετέρας ἀπαρχῆς τὸν τῆς ἀναστάσεως ἡμῶν ἐλπίδα· ὅπως μηκέτι ὦμεν δοῦλοι τῷ αἰωνίῳ θανάτῳ, ἀλλ' ἐλεύθεροι, καθάπερ καὶ ἡ ἀπαρχὴ ἡμῶν Χριστός, καθά φησιν ὁ μακάριος ἀπόστολος Παῦλος· ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. ὃν καὶ σωτῆρα αὐτὸν δὴ τοῦτον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ καὶ πατρὸς υἱὸν μονογενῆ ἀπεκδεχόμεθα ἡμᾶς ἐξ οὐρανῶν, ἀναστήσοντα ἡμῶν ἐκ τῶν τάφων τὰ σώματα, ἐπιμαρτύρεται, λέγων· ἡμῶν τὸ πολίτευμα, φησὶν, ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον Ἰησοῦν Χριστὸν, ὃς μεταχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. οὕτω γὰρ δεῖ τὸ σῶμα ἡμῶν δοξασθῆναι, ὡς τὸ τοῦ δεσπότου, ἀνεπίδεκτον κακίας καὶ πάντων τῶν νῦν παθῶν, ἐλεύθερον τοῦ θανάτου καὶ τῆς ἁμαρτίας, ἅγιον· ἵνα ἐν καινότητι ζωῆς σὺν αὐτῷ περιπατήσαι δυνηθῶμεν ἐν φωτὶ ἐπουρανίῳ, συμβασιλεύοντες ἀεὶ αὐτῷ τῷ Χριστῷ. ἐν ταύτῃ γὰρ τῇ ἐλπίδι καὶ τὸ ἅγιον εἰλήφαμεν βάπτισμα, καὶ τὴν σωτήριον τῶν ἁγίων αὐτοῦ μελῶν μετουσίαν προσδεχόμεθα. ταῦτα τῆς καθολικῆς ἐκκλησίας τὰ δόγματα.

Ὅτι μία ἡ ἐκκλησία τοῦ Θεοῦ.

Μία ἡ ἐκκλησία ἐν οὐρανοῖς, ἡ αὐτὴ καὶ ἐπὶ γῆς. ἐν ταύτῃ τὸ πνεῦμα τὸ ἅγιον ἐπαναπαύεται. αἱ ἔξω ταύτης οὖσαι αἱρέσεις, ἃς ἔχουσιν οἱ ἄνθρωποι, οὐκ εἰσὶ διδασκαλίαι τοῦ σωτῆρος ἡμῶν, οὐδὲ τῶν ἀποστόλων· ἀλλὰ τοῦ σατανᾶ, καὶ τῶν παρ' αὐτῶν τοῦ διαβόλου. τὰ γὰρ Ἰουδαίων καὶ Ἑλλήνων ἑτέρῳ σχήματι ἐκδιδάσκουσιν, ἵνα ἀφέλωνται τῶν ἀνθρώπων τὴν ὄντως ζωήν.

Περὶ τῆς τοῦ Θεοῦ προγνώσεως, καὶ τοῦ κόσμου.

Μικρότερος ὁ κόσμος ἐγένετο διὰ τὴν πρόγνωσιν· προέγνω γὰρ ὁ Θεὸς ὅτι ἁμαρτήσει ὁ ἄνθρωπος. διὰ τοῦτο καινοὺς οὐρανοὺς καὶ καινὴν γῆν προσδοκῶμεν, κατὰ τὰ ἱερὰ γράμματα, φανησομένης ἡμῖν τῆς ἐπιφανείας καὶ βασιλείας τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ παραλήψονται τότε, καθάφησι Δανιὴλ, τὴν βασιλείαν ἅγιοι ὑψίστου, καὶ ἔσται ἡ γῆ καθαρὰ, ἁγία γῆ ζώντων, καὶ οὐ νεκρῶν. ἣν προεωράκως Δαυὶδ τῷ τῆς πίστεως ὀφθαλμῷ, βοᾷ· πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων, γῇ πραέων καὶ ταπεινῶν. μακάριοι γάρ, φησιν, οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν· καὶ ὁ προφήτης· καὶ πατήσουσιν αὐτὴν, φησὶ, πόδες πραέων καὶ ταπεινῶν. ταῦτα ἐκ τῶν σπερδαθέντων τοῖς ἁγίοις ἡμῶν πατράσιν ἐκκλησιαστικῶν διατυπώσεων, μικρὰ ἐκ πολλῶν, τῇ δὲ τῇ συγγραφῇ συνετάξαμεν. ἐξέθεντο δὲ καὶ ἐκκλησιαστικὰς κανόνας εἴκοσιν ἐν αὐτῇ τῇ ἐν Νικαίᾳ συνόδῳ, ὃς καὶ αὐτὸς ἀναγαῖον ὠήθην συντάξαι τῷ γράμματι.

Ὅροι ἐκκλησιαστικοὶ συναχθείσης τῆς ἁγίας καὶ μεγάλης συνόδου ἐν Νικαίᾳ.

Ὠείθη τὰ ὑποτεταγμένα.

ΚΕΦΑΛ. λά.

Περὶ δινύχων ἀποκοψάντων ἑαυτούς.

ά.

Εἴ τις ἐκ νόσου ὑπὸ ἰατρῶν ἐχειρουργήθη, ἢ ὑπὸ βαρβάρων ἐξετμήθη, οὗτος μενέτω ἐν τῷ κλήρῳ. εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέτεμε, τοῦτον καὶ ἐν τῷ κλήρῳ ἐξεταζόμενον πεπαῦσθαι προσήκει, καὶ ἐκ τοῦ δεῦρο μηδένα τῶν τοιούτων χρῆναι * προσάγεσθαι. ὥσπερ δὲ τοῦτο πρόδηλον, ὅτι περὶ τῶν ἐπιτηδευόντων τὸ πρᾶγμα, καὶ τολμώντων ἑαυτοὺς ἐκτέμνειν, εἴρηται· οὕτως εἴ τινες ὑπὸ βαρβάρων ἢ δεσποτῶν εὐνουχίσθησαν, εὑρίσκοιντο δὲ ἄλλως ἄξιοι, τούτους εἰς κλῆρον προσίεται ὁ κανών.

* Ἴσ. προάγειν.

* Ἴσ. προάγεσθαι.

Περὶ τῶν ἀπὸ ἐθνικῶν εἰς χειροτονίαν προαχθέντων.

β'.

Ἐπειδὴ πολλὰ εἴτε ὑπὸ ἀνάγκης, ἢ ἄλλως πως ἐπεγομένων τῶν ἀνθρώπων ἐγένετο παρὰ τὸν κανόνα τὸν ἐκκλησιαστικὸν, ὥστε ἀνθρώπους ἀπὸ ἐθνικοῦ βίου ἄρτι προσελθόντας τῇ πίστει, καὶ ἐν ὀλίγῳ χρόνῳ κατηχηθέντας, εὐθὺς ἐπὶ τὸ πνευματικὸν λουτρὸν ἄγεσθαι, καὶ ἅμα τῷ βαπτισθῆναι * προσάγεσθαι εἰς ἐπίσκοπον, ἢ πρεσβύτερον, καλῶς ἔχειν ἔδοξε τοῦ λοιποῦ μηδενὶ τοιοῦτον γίνεσθαι· καὶ γὰρ καὶ χρόνου δεῖ τῷ κατηχουμένῳ, καὶ μετὰ τὸ βάπτισμα δοκιμασίας πλείονος. σαφὲς γὰρ τὸ ἀποστολικὸν γράμμα τὸ λέγον· μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου. εἰ δὲ προϊόντος τοῦ χρόνου ψυχικόν τι ἁμάρτημα εὑρεθείη περὶ τὸ πρόσωπον, καὶ ἐλέγχοιτο ὑπὸ δύο καὶ τριῶν μαρτύρων, παύσεται ὁ τοιοῦτος τοῦ κλήρου· ὁ δὲ παρὰ ταῦτα ποιῶν, ὡς ὑπεναντία τῇ μεγάλῃ συνόδῳ θρασυνόμενος, αὐτὸς κινδυνεύσει περὶ τοῦ κλήρου.

* Ἴσ. προάγειν.

Περὶ τῶν τὰς συνεισάκτους ἐχόντων.

γ'.

Ἀπηγόρευσε καθόλου ἡ μεγάλη συνόδος, μήτε ἐπισκόπῳ, μήτε πρεσβυτέρῳ, μήτε διακόνῳ, μήθ' ὅλως τῶν ἐν τῷ κλήρῳ τινὶ ἐξεῖναι συνείσακτον ἔχειν. πλὴν εἰ μὴ ἄρα μητέρα ἢ ἀδελφὴν ἢ θείαν, ἢ ἃ μόνα προ-

πρόσωπα διαπέφευγε πᾶσαν ὑποψίαν. ὁ δὲ παρὰ ταῦτα ποιῶν κινδυνεύσει περὶ τὴν ἑαυτοῦ ἀξίαν.

Περὶ καταστάσεως ἐπισκόπων.

δ'.

Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον, ἡ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξάπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γενομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων δια γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθα. τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι εἰς ἑκάστην ἐπαρχίαν τῷ Μητροπολίτῃ ἐπισκόπῳ.

Περὶ τῶν ἀκοινωνήτων γινομένων.

ε'.

Περὶ τῶν ἀκοινωνήτων γινομένων, εἴτε τῶν ἐν τῷ κλήρῳ, εἴτε τῶν ἐν τῷ λαϊκῷ τάγματι, ὑπὸ τῶν καθ' ἑκάστην ἐπαρχίαν επισκόπων, κρατείτω ἡ γνώμη κατὰ τὸν κανόνα, τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας, ὑφ' ἑτέρων μὴ προσίεσθαι. ἐξεταζέσθω δὲ, μὴ μικροψυχία, ἢ φιλονεικίᾳ, ἤ τινι τοιαύτῃ ἀηδίᾳ τοῦ ἐπισκόπου, ἀποσυνάγωγοι γεγένηνται· ἵνα οὖν τοῦτο τὴν πρέπουσαν ἐξέτασιν λαμβάνῃ, καλῶς ἔχει ἔδοξεν ἑκάστου ἐνιαυτοῦ καθ' ἑκάστην ἐπαρχίαν δὶς τοῦ ἔτους συνόδους γίνεσθαι, ἵνα κοινῇ πάντων τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἐπὶ τὸ αὐτὸ συναγομένων, τὰ τοιαῦτα ζητήματα ἐξετάζοιτο· καὶ οὕτως οἱ ὁμολογουμένως προσκεκρουκότες τῷ ἐπισκόπῳ κατὰ λόγον ἀκοινώνητοι παρὰ πάντων εἶναι δοκῶσι, μέχρις ἂν τῷ κοινῷ ἢ τῷ ἐπισκόπῳ δόξῃ τὴν φιλανθρωποτέραν περὶ αὐτῶν ἐκθέσθαι ψῆφον. αἱ δὲ σύνοδοι γινέσθωσαν, μία μὲν πρὸ τῆς τεσσαρακοστῆς ἵνα πάσης μικροψυχίας ἀναιρουμένης, τὸ δῶρον καθαρὸν προσφέρηται τῷ Θεῷ· δευτέρα δὲ περὶ τὸν τοῦ μετοπώρου καιρόν.

Περὶ τῶν ἐξαιρέτων τιμῶν, αἱ πρὸς τοὺς μείζονας * κυβερνῶσιν ἐπισκόπους ἐκκλησιαστικῶς ἐκανονίσθησαν.

ς'.

Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύαις καὶ Πενταπόλει, ὥστε τὸν ἐν Ἀλεξανδρείᾳ ἐπίσκοπον πάντων ἔχειν τὴν ἐξουσίαν, ἐπειδὴ καὶ τῷ ἐν Ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν. ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀντιόχειαν, καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις τὰ πρεσβεῖα σώζεσθαι ταῖς ἐκκλησίαις. καθόλου δὲ πρόδηλον ἐκεῖνο, ὅτι εἴ τις χωρὶς γνώμης τοῦ μητροπολίτου γένοιτο ἐπίσκοπος, τὸν τοιοῦτον ἡ σύνοδος ἡ μεγάλη ὥρισε μὴ δεῖν εἶναι ἐπίσκοπον· ἐὰν μέν τοι τῇ κοινῇ πάντων ψήφῳ εὐλόγῳ οὔσῃ καὶ κατὰ τὸν κανόνα τὸν ἐκκλησιαστικὸν, δύο ἢ τρεῖς δι' οἰκείαν φιλονεικίαν ἀντιλέγωσι, κρατείτω ἡ τῶν πλειόνων ψῆφος.

Περὶ τοῦ ἐν Αἰλίᾳ ἐπισκόπου.

ζ'.

Ἐπειδὴ συνήθεια κεκράτηκε, καὶ παράδοσις ἀρχαία, ὥστε τὸν ἐν Αἰλίᾳ ἐπίσκοπον τιμᾶσθαι, ἐχέτω τὴν ἀκολουθίαν τῆς τιμῆς, τῇ μητροπόλει σωζομένου τοῦ οἰκείου ἀξιώματος.

Περὶ ὀνομαζομένων καθαρῶν.

η'.

Περὶ τῶν ἑαυτοὺς μὲν ὀνομαζόντων καθαρούς ποτε, προσερχομένων δὲ τῇ ἁγιωτάτῃ ἀποστολικῇ καὶ καθολικῇ ἐκκλησίᾳ, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε χειροτονουμένους αὐτοὺς οὕτως μένειν ἐν τῷ κλήρῳ. πρὸ ἁπάντων δὲ τούτων ὁμολογῆσαι αὐτοὺς ἐγγράφως προσήκει, ὅτι συνθήσονται καὶ ἀκολουθήσουσι τοῖς τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας δόγμασι, τοῦτ' ἔστι διγάμοις κοινωνῶν, καὶ τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσιν, ἐφ' ὧν καὶ χρόνος τέτακται, καὶ καιρὸς ὥρισται, ὥστε αὐτοὺς ἀκολουθεῖν ἐν πᾶσι τοῖς δόγμασι τῆς καθολικῆς ἐκκλησίας. ἔνθα μὲν οὖν πάντες εἴτε ἐν κώμαις, εἴτε ἐν πόλεσιν αὐτοὶ μόνοι εὑρίσκοιντο χειροτονηθέντες, εὑρισκόμενοι ἐν τῷ κλήρῳ, ἔσονται ἐν τῷ αὐτῷ σχήματι. ὅσοι δὲ τοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόπου ἢ πρεσβυτέρου ὄντος, προσέρχονται, πρόδηλον ὡς ὁ μὲν ἐπίσκοπος τῆς ἐκκλησίας ἕξει τὸ ἀξίωμα τοῦ ἐπισκόπου· ὁ δὲ ὀνομαζόμενος παρὰ τοῖς καθαροῖς ἐπίσκοπος τὴν τοῦ πρεσβυτέρου τιμὴν ἕξει· πλὴν εἰ μὴ ἄρα δοκοίη τῷ ἐπισκόπῳ τῆς τιμῆς τοῦ ὀνόματος αὐτὸν μετέχειν. εἰ δὲ μὴ τοῦτο αὐτῷ ἀρέσκοι, ἐπινοήσει τόπον ἢ χωρεπισκοπῆς ἢ πρεσβυτέρου, ὑπὲρ τοῦ ἐν τῷ κλήρῳ ὅλως δοκεῖν εἶναι, ἵνα μὴ ἐν τῇ πόλει δύο ἐπίσκοποι ὦσιν.

Περὶ χειροτονίας πρεσβυτέρων.

θ'.

Εἴ τινες ἀνεξετάστως προήχθησαν πρεσβύτεροι, ἢ ἀνακρινόμενοι ὡμολόγησαν τὰ ἡμαρτημένα αὐτοῖς, καὶ ὁμολογησάντων, παρὰ κανόνα κινούμενοι ἄνθρωποι χεῖρας ἐπιτεθείκασι, τοὺς τοιούτους ὁ κανὼν οὐ προσίεται. τὸ γὰρ ἀνεπίληπτον * ἐκδικήσει ἡ καθολικὴ ἐκκλησία.

Περὶ τῶν * παυόντων, καὶ προχειρισθέντων κατὰ ἄγνοιαν.

ι'.

Ὅσοι προεχειρίσθησαν τῶν παραπεπτωκότων κατὰ ἄγνοιαν, ἢ καὶ προειδότων τῶν προχειρισαμένων, τοῦτο οὐ προκρίνει τῷ κανόνι τῷ ἐκκλησιαστικῷ. γνωσθέντες γὰρ καθαιροῦνται.

Περὶ τῶν παραβάντων χωρὶς ἀνάγκης.

ια'.

Περὶ τῶν παραβαινόντων χωρὶς ἀνάγκης, ἢ ἀφαιρέσεως ὑπαρχόντων, ἢ χωρὶς κινδύνων, ἤ τινος τοιούτου, ὃ γέγονεν ἐπὶ τῆς τυραννίδος Λικινίου· ἔδοξε τῇ συνόδῳ, εἰ καὶ ἀνάξιοι ἦσαν φιλανθρωπίας, ὅμως χρηστεύσασθαι εἰς αὐτούς. ὅσοι οὖν γνησίως μεταμελῶνται, τρία ἔτη ἐν ἀκροωμένοις ποιήσουσι, καὶ

ἑπτὰ

* κυβερνῶντας.

* γρ. ἐκδικῆ.

* ἴσ. παραπεπτωκότων.

ἑπτὰ ἔτη ὑποπεσοῦνται· δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνήσουσι τῷ λαῷ τῶν εὐχῶν.

Περὶ τῶν ἀποταξαμένων, καὶ πάλιν εἰς κόσμον ἀναδραμόντων.

ιβ'.

Οἱ προσκληθέντες ὑπὸ τῆς χάριτος, καὶ τὴν πρώτην ὁρμὴν ἐνδειξάμενοι, καὶ ἀποθέμενοι τὰς ζώνας, μετὰ δὲ ταῦτα ἐπὶ τὸν οἰκεῖον ἔμετον ἀναδραμόντες, ὥς τινας καὶ ἀργύρια προΐεσθαι, καὶ βενεφικίοις κατορθῶσαι τὸ στρατεύεσθαι· οὗτοι δέκα ἔτη ὑποπιπτέτωσαν, μετὰ τὸν τῆς τριετοῦς ἀκροάσεως χρόνον. ἐφ' ἅπασι δὲ τούτοις προσήκει ἐξετάζειν τὴν προαίρεσιν, καὶ τὸ εἶδος τῆς μετανοίας. ὅσοι μὲν γὰρ καὶ φόβῳ, καὶ δάκρυσι, καὶ ὑπομονῇ, καὶ ἀγαθοεργίαις τὴν ἐπιστρέφειαν ἔργῳ οὐ σχήματι ἐπιδείκνυνται, οὗτοι πληρώσαντες τὸν χρόνον τὸν ὡρισμένον τῆς ἀκροάσεως, τῶν εὐχῶν κοινωνήσουσι. μετὰ τοῦ ἐξεῖναι τῷ ἐπισκόπῳ φιλανθρωπότερον τι περὶ αὐτῶν βουλεύσασθαι. ὅσοι δὲ διαφόρως ἤνεγκαν, καὶ τὸ σχῆμα τοῦ εἰσιέναι εἰς τὴν ἐκκλησίαν ἀρκεῖν ἑαυτοῖς ἡγήσαντο πρὸς τὴν ἐπιστροφὴν, ἐξάπαντος πληρούτωσαν τὸν χρόνον.

Περὶ τῶν ἐν τῷ ἀποθνήσκειν κοινωνίαν ἐπιζητούντων.

ιγ'.

Περὶ τῶν ἐξοδευόντων ὁ παλαιὸς καὶ κανονικὸς νόμος φυλαχθήσεται καὶ νῦν, ὥστε εἴ τις ἐξοδεύοι, τοῦ δεσποτικοῦ ἐφοδίου μὴ ἀποστερείσθω· εἰ δὲ ἀπογνωσθεὶς, καὶ κοινωνίας τυχὼν, καὶ προσφορᾶς μεταχὼν, πάλιν ἐν τοῖς ζῶσιν ἐξετασθείη, ἔστω μετὰ τῶν κοινωνούντων τῆς εὐχῆς μόνης. καθόλου δὲ καὶ περὶ παντὸς οὗτινος ἐξοδεύοντος αἰτοῦντος μεταχεῖν εὐχαριστίας ὁ ἐπίσκοπος μετὰ δοκιμασίας μεταδιδότω τῆς προσφορᾶς.

Περὶ τῶν κατηχουμένων, παραπεσόντων δέ.

ιδ'.

Περὶ τῶν κατηχουμένων καὶ παραπεσόντων ἐν τῇ κατηχήσει, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε τριῶν ἐτῶν αὐτοὺς ἀκροασαμένους μόνον, μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων.

Περὶ τοῦ μὴ δεῖν μετατίθεσθαι ἀπὸ ἑτέρας πόλεως εἰς ἑτέραν.

ιε'.

Διὰ τὸν πολὺν τάραχον, καὶ στάσεις τὰς γινομένας, ἔδοξε παντάπασι περιαιρεθῆναι τὴν συνήθειαν τὴν παρὰ τὸν κανόνα εὑρεθεῖσαν ἔν τισι μέρεσιν, ὥστε ἀπὸ πόλεως εἰς πόλιν μὴ μεταβαίνειν, μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον. εἰ δέ τις μετὰ τὸν τῆς ἁγίας συνόδου ὅρον τοιοῦτό τι ἐπιχειρήσειεν, ἢ ἐπιδῷ ἑαυτὸν πράγματι τοιούτῳ, ἀκυρωθήσεται ἐξάπαντος τὸ κατασκεύασμα, καὶ ἀποκατασταθήσεται τῇ ἐκκλησίᾳ, ἧς ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος ἐχειροτονήθη.

Περὶ τῶν ἐν αἷς προὐβλήθησαν ἐκκλησίαις οὐκ ἐμμενόντων.

ιϛ'.

Ὅσοι ῥιψοκινδύνως, μήτε τὸν φόβον τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν ἔχοντες, μήτε τὸν ἐκκλησιαστικὸν κανόνα εἰδότες, ἀναχωροῦσι τῆς ἐκκλησίας, πρεσβύτεροι, ἢ διάκονοι, ἢ ὅλως ἐν τῷ κλήρῳ ἐξεταζόμενοι· οὗτοι οὐδαμῶς δεκτοὶ ὀφείλουσιν εἶναι ἐν ἑτέρᾳ ἐκκλησίᾳ ἀλλὰ πᾶσαν αὐτοῖς ἀνάγκην ἐπάγεσθαι χρὴ ἀναστρέφειν εἰς τὰς ἑαυτῶν παροικίας· ἐπιμένοντας δὲ ἀκοινωνήτους εἶναι προσήκει. εἰ δὲ καὶ τολμήσειέ τις ὑφαρπάσαι τὸν τῷ ἑτέρῳ διαφέροντα, καὶ χειροθετήσει ἐν τῇ ἑαυτοῦ ἐκκλησίᾳ, μὴ συγκατατιθεμένου τοῦ ἐπισκόπου, οὗ ἀνακεχώρηκεν ὁ ἐν τῷ κανόνι ἐξεταζόμενος, ἄκυρος ἔστω ἡ χειροθεσία.

Περὶ κληρικῶν τοκιζόντων.

ιζ'.

Ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξεταζόμενοι, τὴν πλεονεξίαν καὶ τὴν αἰσχροκέρδειαν διώκοντες, ἐπελάθοντο τοῦ θείου γράμματος λέγοντος· τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ. καὶ δανείζοντες ἑκατοστὰς ἀπαιτοῦσιν· ἐδικαίωσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος, ὡς εἴτις εὑρεθείη μετὰ τὸν ὅρον τοῦτον τόκους λαμβάνων ἐκ μεταχειρίσεως, ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα, ἢ ἡμιολίας ἀπαιτῶν, ἢ ἕτερόν τι ἐπινοῶν αἰσχροῦ κέρδους ἕνεκα, καθαιρεθήσεται τοῦ κλήρου, καὶ ἀλλότριος τοῦ κανόνος ἔσται.

Περὶ πρεσβυτέρων λαμβανόντων παρὰ διακόνων τὴν εὐχαριστίαν.

ιη'.

Ἦλθεν εἰς τὴν ἁγίαν καὶ μεγάλην σύνοδον, ὅτι ἔν τισι τόποις ἢ πόλεσι, πρεσβυτέροις τὴν εὐχαριστίαν οἱ διάκονοι διδόασιν· ὅπερ οὔτε ὁ κανὼν, οὔτε ἡ συνήθεια παρέδωκε, τοὺς ἐξουσίαν μὴ ἔχοντας προσφέρειν τούτους τοῖς προσφέρουσι διδόναι τὸ σῶμα τοῦ Χριστοῦ. κἀκεῖνο δὲ ἐγνωρίσθη ὅτι ἤδη τινὲς τῶν διακόνων καὶ πρὸ τῶν ἐπισκόπων τῆς εὐχαριστίας ἅπτονται. ταῦτα οὖν πάντα περιῃρήσθω, καὶ ἐμμενέτωσαν οἱ διάκονοι τοῖς ἰδίοις μέτροις, εἰδότες ὅτι τοῦ μὲν ἐπισκόπου ὑπηρέται εἰσί, τῶν δὲ πρεσβυτέρων ἐλάττους τυγχάνουσι. λαμβανέτωσαν δὲ κατὰ τάξιν τὴν εὐχαριστίαν μετὰ τοὺς πρεσβυτέρους, ἢ τοῦ ἐπισκόπου αὐτοῖς διδόντος, ἢ τοῦ πρεσβυτέρου. ἀλλὰ μήτε καθῆσθαι ἐν μέσῳ τῶν πρεσβυτέρων ἐξέστω τοῖς διακόνοις. παρὰ κανόνα γὰρ καὶ παρὰ τάξιν ἐστὶ τὸ γινόμενον. εἰ δέ τις μὴ θέλοι πειθαρχεῖν καὶ μετὰ τοὺς ὅρους πεπαύσθω τῆς διακονίας.

Περὶ τῶν ἐκ Παύλου τοῦ Σαμοσατέως προσελθόντων ἢ προσιόντων τῇ καθολικῇ ἐκκλησίᾳ.

ιθ'.

Περὶ τῶν Παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθολικῇ ἐκκλησίᾳ, ὅρος ἐκτέθειται, ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος. εἰ δέ τινες ἐν τῷ παρεληλυθότι χρόνῳ, ἐν τῷ κλήρῳ ἐξητάσθησαν, εἰ μὲν ἄμεμπτοι καὶ ἀνεπίληπτοι φανεῖεν, ἀνα-

ἀναβαπτισθέντες χειροτονείσθωσαν ὑπὸ τοῦ τῆς ἐκκλησίας ἐπισκόπου· εἰ δὲ ἀνακριθέντες ἀνεπιτήδειοι εὑρίσκονται, καθαιρεῖσθαι αὐτοὺς προσήκει. ὡσαύτως δὲ καὶ περὶ τῶν διακόνων, καὶ ὅλως περὶ τῶν ἐν τῷ αὐτῷ κανόνι ἐξεταζομένων ὁ αὐτὸς τύπος φυλαχθήσεται. ἐμνήσθημεν δὲ καὶ τῶν διακονισσῶν, τῶν ἐν αὐτοῖς, τῶν ἐν τῷ σχήματι ἐξετασθεισῶν, ἐπεὶ μὴ χειροθεσίαν τινὰ ἔχουσιν, ὡς ἐξάπαντος ἐν τοῖς λαϊκοῖς αὐτὰς ἐξετάζεσθαι.

Περὶ τῶν ἐν τῇ κυριακῇ γόνυ κλινόντων.

κ'.

Ε'πειδὴ εἰσί τινες ἐν τῇ κυριακῇ γόνυ κλίνοντες, καὶ ἐν ταῖς τῆς πεντικοστῆς ἡμέραις· ὑπὲρ τούτου πάντα ὁμοίως ἐν πάσῃ παροικίᾳ ὁμοφρόνως φυλάττεσθαι, ἑστῶτας ἔδοξε τῇ ἁγίᾳ συνόδῳ τὰς εὐχὰς ἀποδιδόναι τῷ κυρίῳ.

Τούτους τοὺς εἴκοσι νόμους τὸ αὐτὸ ἅγιον αὐτῶν συνέδριον ἐπὶ παρουσίᾳ τοῦ θεοφιλεστάτου καὶ πανευφήμου βασιλέως Κωνσταντίνου, περὶ τῆς ἐκκλησιαστικῆς πολιτείας ἐγράψαντο. ἐβουλεύσαντο δὲ καὶ ἕτερον νόμον ἐκθέσθαι τῶν ἐπισκόπων, ὃν ὁ θεῖος ἐκώλυσε Παφνούτιος, περὶ οὗ ἀναγκαῖον ᾠήθην διηγήσασθαι μεγίστου θαύματος ἄξιον διήγημα. ἐδόκει τισὶ τῶν ἐπισκόπων νόμον νεαρὸν εἰς τὴν ἐκκλησίαν εἰσαγαγεῖν ἐν τῇ συνόδῳ, ὡς περὶ τῶν ἄλλων τῆς ἐκκλησίας, οὕτω καὶ τοῦτον ὁρίσαι,

Περὶ τοῦ μὴ δεῖν τοὺς ἱερωμένους ἕκαστον τὴν ἑαυτοῦ γαμετὴν ἐκβάλλειν.

ΚΕΦΑΛ. λβ'.

Ε'ΓΡΑΦΟΝ οὖν περὶ τοῦ μὴ δεῖν τοὺς ἱερωμένους, εἴτε ἐπίσκοποι, εἴτε πρεσβύτεροι, εἴτε διάκονοι, εἴτε ὑποδιάκονοι, εἴτε τις τοῦ ἱερατικοῦ καταλόγου, συγκαθεύδειν ταῖς γαμεταῖς, ἃς ἔτι λαϊκοὶ ὄντες ἠγάγοντο. τούτων οὕτω διατυπουμένων, ἀναστὰς ἐν μέσῳ τοῦ ὄχλου τῶν ἐπισκόπων ὁ θεῖος Παφνούτιος, μεγάλῃ τῇ φωνῇ ἐβόησε, λέγων· μὴ βαρύνετε τὸν ζυγὸν τῶν ἱερωμένων· τίμιος γάρ, φησιν, ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. μὴ τῇ ὑπερβολῇ τῆς ἀκριβείας τὴν ἐκκλησίαν μᾶλλον προσβλάψητε· οὐ γάρ φησι πάντας δύνασθαι φέρειν τῆς ἀπαθείας τὴν ἄσκησιν. οὐδεὶς, ὡς οἶμαι, φυλαχθήσεται ἐν τῇ σωφροσύνῃ, τῆς ἑκάστου γαμετῆς τοῦ ἀνδρὸς στερουμένου. σωφροσύνην δὲ καλὴν καὶ τῆς νομίμου γαμετῆς ἑκάστου τὴν συνέλευσιν λέγω· μὴ μὴν ἀποζεύγνυσθαι ταύτην ἣν ὁ Θεὸς ἔζευξε, καὶ ἣν ἅπαξ ἀναγνώστης, ἢ ψάλτης, ἢ λαϊκὸς ὢν ἠγάγετο· καὶ ταῦτα ἔλεγεν ὁ μέγας Παφνούτιος ἄπειρος ὢν γάμου, διὰ τὸ νηπιόθεν ἐν ἀσκητηρίοις ἀνατρέφεσθαι αὐτόν. διὸ πεισθεὶς ὁ πᾶς τῶν ἐπισκόπων σύλλογος τῇ τοῦ ἀνδρὸς συμβουλίᾳ, ἀπεσίγησε περὶ τοῦ ζητήματος τούτου, τῇ γνώμῃ καταλήψαντες τῶν βουλομένων κατὰ συμφωνίαν ἀπέχεσθαι τῆς ἰδίας γαμετῆς.

Ταῦτα ἐπράχθησαν ἐπὶ τῆς ἁγίας καὶ μεγάλης καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Νικαίᾳ τῆς Βιθυνίας ἀθροισθείσης· Εὐσέβιος δὲ καὶ Θεόγνιος, καὶ οἱ σὺν αὐτοῖς Ἀρειανοὶ, οὐκ ἐνεγκόντες τὴν τῆς ἀληθοῦς πίστεως κρατυνθεῖσαν βεβαίωσιν, ἔτι μὴν καὶ τὸν Ἄρειον ἀναθεματίσαι μὴ ἀνασχόμενοι φωραθέντες καὶ αὖθις ἐπὶ τούτῳ, ἐξορίᾳ ὑπέπεσον ψήφῳ τοῦ θεοφιλεστάτου βασιλέως, καὶ κρίσει τῆς ἁγίας τῶν ἐπισκόπων συνόδου, ἄλλων ἄντ' αὐτῶν ἐν ταῖς αὐτῶν παροικίαις καταστάντων ψήφῳ τῆς αὐτῆς συνόδου, καὶ τοῦ τῆς ἑκάστου παροικίας κλήρου καὶ λαοῦ· καὶ Ἀμφίων μὲν τὴν τῆς Νικομηδέων ἐκκλησίας ἡγεμονίαν παρέλαβε, Χρῆστος δὲ τὴν τῆς Νικαίας, καὶ ἄλλοι τὰς τῶν ὁμοφρόνων αὐτῷ. ἀλλὰ μὲν καὶ πάλιν ταῖς ἐξ ἔθους χρησάμενοι μηχαναῖς Εὐσέβιος καὶ Θεόγνις, καὶ τὴν βασιλέως φιλανθρωπίαν ἐφόδιον ἐξ ἀπάτης εὑρόντες, ἀναπαλαῖσαι πάλιν καὶ τὴν προτέραν δυναστείαν ἀπολαβεῖν ἐπειρῶντο. καὶ τὰ μὲν τούτων κάκιστα μηχανήματα πάμπολλα ὄντα, καὶ πάσης ἀσεβείας ἔμπλεα τυγχάνοντα, πρὸς τὴν Θεοδωρίτου καὶ τῶν λοιπῶν συγγραψάντων ἐκκλησιαστικὴν ἱστορίαν τοὺς βουλομένους καταμαθεῖν παραπέμψοιμι. βαδιῶ δὲ ἐγὼ ἐντεῦθεν τῷ λόγῳ ἐπὶ τὰ ἑξῆς, περὶ ὧν ἡ τῶν ἐπισκόπων ἀπέστειλε σύνοδος τοῖς ἀπολειφθεῖσιν ἐπισκόποις, καὶ ταῖς ἑαυτῶν παροικίαις· οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ νικηφόρος καὶ πιστότατος βασιλεὺς, εἰς σύστασιν τῆς τε ἐκτεθείσης ἁγιωτάτης πίστεως, καὶ τῆς ἁγίας ἑορτῆς τοῦ πάσχα, εἰς ἔλεγχον δὲ τῶν τῆς ἀσεβείας πρωτοστατῶν. ἐπὶ τούτοις γὰρ πᾶσι μεγαλοφυῶς συγκροτηθείσης τῆς συνόδου, καὶ θεοπρεπῶς ἐκφωνηθείσης τῆς πίστεως, τάτε κατὰ τὴν ἐκκλησιαστικὴν εὐταξίαν τυπώσαντες ἅπαντα οἱ ἅγιοι πατέρες, δηλῶσαι πάντα τὰ ὡρισμένα διὰ γραμμάτων πάσαις ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις ἐσπούδασαν, συνάψαντες καὶ τὰ κατὰ Μελήτιον.

Περὶ τοῦ ἀνοσίου Μελητίου.

ΚΕΦΑΛ. λγ'.

Ε'ΠΕΙ δὲ καὶ Μελήτιός τις ἐπισκοπῆς χειροτονίας ἠξιωμένος οὐ πρὸ πολλοῦ τῆς Ἀρείου μανίας, διελεγχθεὶς ὑπὸ τοῦ θειοτάτου Πέτρου τοῦ τῆς Ἀλεξανδρέων ἐπισκόπου, τοῦ καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀναδησαμένου, καθαιρεθεὶς ὁ αὐτὸς Μελήτιος οὐκ ἔστερξε τὴν τῆς καθαιρέσεως ψῆφον, ἀλλὰ τήν τε Θηβαΐδα καὶ τὴν πελάζουσαν Αἴγυπτον θορύβων καὶ ζάλης ἐνέπλησε, τυραννίδι κατὰ τῆς Ἀλεξάνδρου τοῦ ἐπισκόπου χρώμενος προεδρίας· ἔγραψε δὲ τὸ κοινὸν τῆς συνόδου πρὸς τὴν τῶν Ἀλεξανδρέων ἐκκλησίαν, ἅπερ περὶ τῆς τούτου * νεωτεροποιΐας ἐνομοθέτησεν.

* νεωτερίας.

Συνοδικὴ ἐπιστολὴ γραφεῖσα τοῖς κατὰ Ἀλεξάνδρειαν καὶ Αἴγυπτον, καὶ Πεντάπολιν, καὶ Λιβύην καὶ ταῖς κατὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, κλήροις τε καὶ λαοῖς τῆς ὀρθοδόξου πίστεως, παρὰ τῆς ἐν Νικαίᾳ ἁγίας συνόδου τῶν ἐπισκόπων.

Ἡ ἁγία καὶ μεγάλη σύνοδος τῇ ἁγίᾳ καὶ μεγάλῃ Θεοῦ χάριτι Ἀλεξανδρέων ἐκκλησίᾳ, καὶ τοῖς κατὰ τὴν Αἴγυπτον, καὶ Πεντάπολιν, καὶ Λιβύην, καὶ τοῖς κατὰ τὴν ὑπ' οὐρανὸν ἀγαπητοῖς ἀδελφοῖς, κλήροις τε καὶ λαοῖς ὀρθοδόξοις, οἱ ἐν Νικαίᾳ σύνοδον συγκροτήσαντες ἐπίσκοποι ἐν κυρίῳ χαίρειν.

ΕΠΕΙΔΗ τῆς τοῦ Χριστοῦ χάριτος καὶ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου συναγαγόντος ἡμᾶς ἐκ διαφόρων ἐπαρχιῶν καὶ πόλεων, ἡ μεγάλη καὶ ἁγία σύνοδος ἐν Νικαίᾳ συγκροτηθεῖσα τὰ περὶ τῆς ἐκκλησιαστικῆς πίστεως διείληφεν, ἅ τινα ἀναγκαῖον ἡμῖν ἐφάνη ἀποσταλῆναι παρ' ἡμῶν πρὸς ὑμᾶς διὰ γραμμάτων, ἵνα εἰδέναι ἔχοιτε, τίνα μὲν ἐκινήθη καὶ ἐξητάσθη, τίνα δὲ ἔδοξε καὶ ἐκρατύνθη.

Πρῶτον μὲν οὖν ἁπάντων ἐξητάσθη τὰ κατὰ τὴν ἀσέβειαν καὶ παρανομίαν Ἀρείου καὶ τῶν σὺν αὐτῷ ἐπὶ παρουσίᾳ τοῦ θεοφιλεστάτου ἡμῶν βασιλέως Κωνσταντίνου· καὶ παμψηφεὶ ἔδοξαν ἀναθεματισθῆναι αὐτὸν, καὶ τὴν ἀσεβῆ αὐτοῦ δόξαν, καὶ τὰ ῥήματα, καὶ τὰ νοήματα αὐτοῦ τὰ βλάσφημα, οἷς ἐκέχρητο βλασφημῶν τὸν υἱὸν τοῦ Θεοῦ, λέγων ἐξ οὐκ ὄντων εἶναι, καὶ πρὶν γενηθῆναι μὴ εἶναι, καὶ ἦν ποτε ὅτε οὐκ ἦν, καὶ αὐτεξουσιότητι κακίας καὶ ἀρετῆς δεκτικὸν τὸν υἱὸν τοῦ Θεοῦ λέγοντος, καὶ κτίσμα· ταῦτα πάντα ἀνεθεμάτισεν ἡ ἁγία σύνοδος, οὐδὲ ὅσον ἀκοῦσαι τῆς ἀσεβοῦς δόξης, καὶ τῆς ἀπονοίας, καὶ τῶν βλασφήμων ῥημάτων αὐτοῦ ἀναχομένη. καὶ τὰ μὲν κατ' ἐκεῖνον οἵου τέλους τετύχηκε, πάντως ἢ ἀκηκόατε, ἢ ἀκούσεσθε, ἵνα μὴ δόξωμεν ἐπεμβαίνειν ἀνδρὶ δι' οἰκείαν ἁμαρτίαν ἄξια τἀπίχειρα κομισαμένῳ. τοσοῦτον δὲ ἴσχυσεν αὐτοῦ ἀσέβεια, ὡς καὶ παραπολέσαι Θεωνᾶν τὸν ἀπὸ Μαρμαρικῆς, καὶ Σεκοῦνδον τὸν ἀπὸ Πτολεμαΐδος· τῶν γὰρ αὐτῶν κἀκεῖνοι σὺν τοῖς ἄλλοις τετυχήκασιν. ἀλλ' ἐπειδὴ ἡ τοῦ Θεοῦ χάρις τῆς μὲν κακοδοξίας ἐκείνης καὶ βλασφημίας, καὶ τῶν προσώπων τῶν τολμησάντων διάστασιν καὶ διαίρεσιν ποιήσασθαι τοῦ εἰρηνευομένου ἄνωθεν λαοῦ, ἠλευθέρωσε τὴν Αἴγυπτον· ἐλείπετο δὲ τὸ κατὰ τὴν προπέτειαν Μελητίου καὶ τῶν ὑπ' αὐτοῦ χειροτονηθέντων· καὶ περὶ τούτου τοῦ μέρους ἃ ἔδοξε τῇ συνόδῳ, ἐμφανίζομεν ὑμῖν ἀγαπητοὶ ἀδελφοί. ἔδοξεν οὖν Μελήτιον μὲν, φιλανθρωπότερον κινηθείσης τῆς συνόδου· κατὰ γὰρ τὸν ἀκριβῆ λόγον οὐδεμιᾶς συγγνώμης ἄξιος ἦν. μένειν ἐν τῇ αὐτοῦ πόλει, καὶ μηδεμίαν ἐξουσίαν ἔχειν, μήτε χειροτονεῖν, μήτε χειρίζειν, μήτε χειροθετεῖν, μήτε ἐν χώρᾳ, μήτε ἐν πόλει ἑτέρᾳ φαίνεσθαι ταύτης τῆς προφάσεως ἕνεκα· ψιλὸν δὲ τὸ ὄνομα τῆς τιμῆς κεκτῆσθαι· τοὺς δὲ ὑπ' αὐτοῦ καταστασθέντας, μυστικωτέρᾳ χειροτονίᾳ βεβαιωθέντας, κοινωνηθῆναι ἐπὶ τούτοις· ἐφ' ᾧ τε ἔχειν μὲν αὐτοὺς τὴν τιμὴν, καὶ λειτουργεῖν, δευτέρους δὲ εἶναι ἐξάπαντος πάντων τῶν ἐν ἑκάστῃ παροικίᾳ καὶ ἐκκλησίᾳ ἐξεταζομένων, τῶν ὑπὸ τὸν τιμιώτατον καὶ συλλειτουργὸν ἡμῶν Ἀλέξανδρον προκεχειρισμένων. ὡς τούτοις μὲν μηδεμίαν ἐξουσίαν εἶναι τοὺς ἀρέσκοντας αὐτοῖς προχειρίζεσθαι, ἢ ὑποβάλλειν ὀνόματα, ἢ ὅλως ποιεῖν τι χωρὶς γνώμης τῶν τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἐπισκόπων τῶν ὑπὸ Ἀλέξανδρον τελούντων, τὸν ὁσιώτατον συλλειτουργὸν ἡμῶν. τοὺς δὲ χάριτι Θεοῦ καὶ εὐχαῖς ὑμετέρας ἐν μηδενὶ σχίσματι εὑρεθέντας, ἀλλὰ ἀκηλιδώτους ἐν τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ ὄντας, ἐξουσίαν ἔχειν καὶ προχειρίζεσθαι, καὶ ὀνόματα ἐπιλέγεσθαι τῶν ἀξίων τοῦ κλήρου, καὶ ὅλως πάντα ποιεῖν καὶ κατὰ νόμον καὶ θεσμὸν τὸν ἐκκλησιαστικόν. εἰ δέ τινα συμβαίνῃ ἀναπαύσασθαι τῶν ἐν τῇ ἐκκλησίᾳ, τηνικαῦτα προσαναβαίνειν εἰς τὴν τιμὴν τοῦ τετελευτηκότος τοὺς ἄρτι προληφθέντας, μόνον εἰ ἄξιοι φαίνοιντο, καὶ ὁ λαὸς αἱροῖτο, συνεπιψηφίζοντος αὐτῷ, καὶ ἐπισφραγίζοντος τοῦ τῆς Ἀλεξανδρείας ἐπισκόπου. τοῦτο δὲ τοῖς μὲν ἄλλοις ἅπασι συνεχωρήθη. ἐπὶ δὲ τοῦ Μελητίου προσώπου οὐκέτι τὰ αὐτὰ ἔδοξε, διὰ τὴν ἀνέκαθεν αὐτοῦ ἀταξίαν, καὶ διὰ τὸ πρόχειρον καὶ προπετὲς τῆς γνώμης, ἵνα μηδεμία ἐξουσία ἢ αὐθεντία αὐτῷ δοθείη, ἀνθρώπῳ δυναμένῳ πάλιν τὰς αὐτὰς ἀταξίας ἐμποιῆσαι· ταῦτά ἐστι τὰ ἐξαίρετα καὶ διαφέροντα Αἰγύπτῳ καὶ τῇ ἁγιωτάτῃ Ἀλεξανδρέων ἐκκλησίᾳ. εἰ δέ τι ἄλλο ἢ ἐκανονίσθη ἢ ἐδογματίσθη συμπαρόντος τοῦ κυρίου καὶ τιμιωτάτου συλλειτουργοῦ καὶ ἀδελφοῦ ἡμῶν Ἀλεξάνδρου, αὐτὸς πάρων ἀκριβέστερον ἀνοίσει ταῦτα πρὸς ὑμᾶς, ἅτε δὴ καὶ κύριος καὶ κοινωνὸς τῶν γεγενημένων τυγχάνων. εὐαγγελιζόμεθα δὲ ὑμᾶς καὶ περὶ τῆς συμφωνίας τοῦ ἁγίου πάσχα, ὅτι ὑμετέραις εὐχαῖς κατωρθώθη καὶ τοῦτο τὸ μέρος, ὥστε πάντας τοὺς ἐν τῇ ἑώᾳ ἀδελφοὺς, τοὺς μετὰ τῶν Ἰουδαίων τὸ πρότερον ποιοῦντας, συμφώνως Ῥωμαίοις καὶ ὑμῖν, καὶ πᾶσιν ἡμῖν τοῖς ἐξ ἀρχαίου μεθ' ὑμῶν φιλάσσουσι τὸ πάσχα, ἐκ τοῦ δεῦρο ἄγειν τὴν αὐτὴν ἁγνοτάτην ἑορτὴν τοῦ πάσχα. χαίροντες οὖν ἐπὶ τοῖς κατορθώμασι, καὶ ἐπὶ τῇ κοινῇ εἰρήνῃ καὶ συμφωνίᾳ, καὶ ἐπὶ τῷ πᾶσαν αἵρεσιν ἐκκοπῆναι, ἀποδέξασθε μὲν μετὰ μείζονος τιμῆς καὶ πλείονος ἀγάπης τὸν συλλειτουργὸν ἡμῶν, ὑμῶν δὲ ἐπίσκοπον Ἀλέξανδρον, τὸν εὐφράναντα ἡμᾶς τῇ αὐτοῦ παρουσίᾳ, καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ τοσοῦτον πόνον ὑποστάντα ὑπὲρ τοῦ εἰρήνην γενέσθαι παρά τε ὑμῖν καὶ πᾶσιν. εὔχεσθε δὲ καὶ περὶ ἡμῶν ἁπάντων, ἵνα τὰ καλῶς ἔχειν δόξαντα, ταῦτα βέβαια μένοι, κατ' εὐδοκίαν γεγενημένα, ὡς πιστεύομεν, παρὰ τοῦ παντοκράτορος Θεοῦ, καὶ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐγ-

Ἐγκύκλιος ἐπιστολὴ γραφεῖσα παρὰ Εὐσεβίου ἐπισκόπου Καισαρείας τῆς ἐν Παλαιστίνῃ.

ΚΕΦΑΛ. λδ'.

ΤᾺ περὶ τῆς ἐκκλησιαστικῆς πίστεως πραγματευθέντα κατὰ τὴν μεγάλην σύνοδον τὴν ἐν Νικαίᾳ συγκροτηθεῖσαν, εἰκὸς μὲν ὑμᾶς ἀγαπητοί, καὶ ἄλλοθεν μεμαθηκέναι, τῆς φήμης προτρέχειν εἰωθυίας τὸν περὶ τῶν πραττομένων πραγμάτων ἀληθῆ λόγον. ἀλλ' ἵνα μὴ ἐκ τοιαύτης ἀκοῆς τὰ τῆς ἀληθείας ἑτεροίως ὑμῖν ἀπαγγέλληται, ἀναγκαίως διεπεμψάμεθα ὑμῖν, πρῶτον μὲν τὴν ὑφ' ἡμῶν προτεθεῖσαν περὶ τῆς πίστεως γραφὴν, ἔπειτα δὲ τὴν δευτέραν, ἣν ταῖς ἡμετέραις φωναῖς προσθήκας ἐπιβαλόντες ἐκδεδώκασι. τὸ μὲν οὖν παρ' ἡμῶν γράμμα ἐπὶ παρουσίᾳ τοῦ θεοφιλεστάτου ἡμῶν βασιλέως ἀναγνωσθὲν, εὖτε ἔχειν καὶ δοκίμως ἀποφανθὲν, τοῦτον ἔχει τὸν τρόπον.

Η' ὑφ' ἡμῶν ἐκτεθεῖσα πίστις.

Καθὼς παρελάβομεν παρὰ τῶν πρὸ ἡμῶν ἐπισκόπων, καὶ ἐν τῇ πρώτῃ κατηχήσει, καὶ ὅτε τὸ λουτρὸν ἐλαμβάνομεν, καὶ καθὼς ἀπὸ τῶν θείων γραφῶν μεμαθήκαμεν, καὶ ὡς ἐν τῷ πρεσβυτερίῳ ἐν αὐτῇ τῇ ἐπισκοπῇ ἐπιστεύομέν τε καὶ ἐδιδάσκομεν, οὕτω καὶ νῦν πιστεύοντες τὴν ἡμετέραν πίστιν ὑμῖν προαναφέρομεν· ἔστι δὲ αὕτη.

Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, τὸν τῶν ἁπάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν τοῦ Θεοῦ λόγον, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, ζωὴν ἐκ ζωῆς, υἱὸν μονογενῆ, πρωτότοκον πάσης κτίσεως, πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεγενημένον, δι' οὗ καὶ ἐγένετο τὰ πάντα· τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα, καὶ ἐν ἀνθρώποις πολιτευσάμενον, καὶ παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα πρὸς τὸν πατέρα, καὶ ἥξοντα πάλιν ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς. πιστεύομεν καὶ εἰς ἓν πνεῦμα ἅγιον, ἀληθῶς πνεῦμα ἅγιον, καθὼς καὶ ὁ κύριος ἡμῶν ἀποστέλλων εἰς τὸ κήρυγμα τοὺς ἑαυτοῦ μαθητὰς, εἶπε· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. περὶ ὧν καὶ διαβεβαιούμεθα οὕτως ἔχειν, καὶ οὕτω φρονεῖν, καὶ πάλιν οὕτως ἐσχηκέναι καὶ μέχρι θανάτου ὑπὲρ ταύτης ἐνίστασθαι τῆς πίστεως. ἀναθεματίζοντες πᾶσαν ἄθεον αἵρεσιν. ταῦτα ἀπὸ καρδίας καὶ ψυχῆς πάντας πεφρονηκέναι, ἐξ οὗπερ ἔγνωμεν ἑαυτοὺς, καὶ νῦν φρονεῖν τε, καὶ λέγειν ἐξ ἀληθείας ἐπὶ τοῦ Θεοῦ τοῦ παντοκράτορος καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μαρτυρόμεθα, δεικνύναι ἔχοντες, καὶ δι' ἀποδείξεων πείθειν ὑμᾶς, ὅτι καὶ τοὺς παρεληλυθότας χρόνους οὕτως ἐπιστεύομέν τε καὶ ἐκηρύσσομεν. ταύτης ὑφ' ἡμῶν ἐκτεθείσης τῆς πίστεως, οὐδενὶ παρῆν ἀντιλογίας τόπος· ἀλλ' αὐτός τε πρῶτος ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς, ὀρθότατα περιέχειν αὐτὴν ἐμαρτύρησεν· οὕτω τε καὶ ἑαυτὸν φρονεῖν συνωμολόγησε, καὶ ταύτῃ τοὺς πάντας συγκατατίθεσθαι, ὑπογράφειν τε τοῖς δόγμασι, καὶ συμφωνεῖν τούτοις αὐτοῖς παρεκελεύετο, ἑνὸς μόνου προσεγγραφέντος ῥήματος τοῦ ὁμοουσίου, ὃ καὶ αὐτὸ ἡρμήνευσε, λέγων· ὅτι μὴ κατὰ τὰ τῶν σωμάτων πάθη λέγοιτο τῷ πατρὶ ὁμοούσιος, οὔτε κατὰ διαίρεσιν, οὔτε κατά τινα ἀποτομὴν ἐκ τοῦ πατρὸς ὑποστῆναι· μηδὲ γὰρ δύνασθαι τὴν ἄϋλον, καὶ νοερὰν, καὶ ἀσώματον φύσιν σωματικόν τι πάθος ὑφίστασθαι· θείοις δὲ καὶ ἀπορρήτοις λόγοις προσήκειν τὰ τοιαῦτα νοεῖν. καὶ ὁ μὲν σοφώτατος ἡμῶν καὶ εὐσεβέστατος βασιλεὺς τὰ τοιάδε ἐφιλοσόφει· οἱ δὲ προφάσει τῆς τοῦ ὁμοουσίου προσθήκης, τήν δε τὴν γραφὴν πεποιήκασι.

Η' ἐν τῇ συνόδῳ ὑπαγορευθεῖσα πίστις.

ΚΕΦΑΛ. λέ.

ΠΙστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τοῦτ' ἔστιν, ἐκ τῆς οὐσίας τοῦ πατρὸς, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ, τά τε ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα, ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας, ἦν ποτε ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ κτιστὸν, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ Θεοῦ ἀναθεματίζει ἡ ἀποστολικὴ καὶ καθολικὴ ἐκκλησία.

Καὶ δὴ ταύτης τῆς γραφῆς ὑπ' αὐτῶν ὑπαγορευθείσης, ὅπως εἴρηται αὐτοῖς τὸ, ἐκ τῆς οὐσίας τοῦ πατρὸς, καὶ τὸ, τῷ πατρὶ ὁμοούσιον, οὐκ ἀνεξέταστον αὐτοῖς * καταλαμβάνομεν. ἐπερωτήσεις τοιγαροῦν καὶ ἀποκρίσεις ἐντεῦθεν ἀνεκινοῦντο, καὶ ἐβασανίζετο ὁ λόγος τὴν διάνοιαν τῶν εἰρημένων. καὶ δὴ τὸ ἐκ τῆς οὐσίας τοῦ πατρὸς ὡμολογεῖτο πρὸς αὐτῶν δηλωτικὸν εἶναι τοῦ ἐκ μὲν τοῦ πατρὸς εἶναι, οὐ μὴν ὡς μέρος ὑπάρχειν τοῦ πατρός. ταύτῃ δὲ καὶ ἡμῖν ἐδόκει καλῶς ἔχειν συγκατατίθεσθαι τῇ διανοίᾳ τῆς εὐσεβοῦς διδασκαλίας, ὑπαγορευούσης ἐκ τοῦ πατρὸς εἶναι τὸν υἱὸν, οὐ μὴν μέρος τῆς οὐσίας αὐτοῦ τυγχάνειν. διόπερ τῇ διανοίᾳ καὶ αὐτοὶ συνετιθέμεθα, οὐδὲ * τὴν φωνὴν παραιτούμενοι, τοῦ τῆς εἰρήνης σκοποῦ πρὸ ὀφθαλμῶν ἡμῖν κειμένου, καὶ τοῦ μὴ τοὺς ὀρθῆς ἐκπεσεῖν διανοίας. κατὰ τὰ αὐτὰ δὲ, καὶ τὸ, γεννηθέντα, καὶ οὐ ποιηθέντα καταδεξάμεθα. Ἐπειδὴ τὸ ποιηθὲν κοινὸν ἔφασκον εἶναι πρόσρημα τῶν λοιπῶν κτισμάτων τῶν διὰ τοῦ υἱοῦ γενομένων, ὧν οὐδὲν ὅμοιον ἔχειν τὸν υἱόν· διὸ δὴ μὴ εἶναι αὐτὸν ποίημα τοῖς δι' αὐτοῦ γενομένοις ἐμφερὲς, κρείττονος δὲ ἢ κατὰ πᾶν ποίημα τυγχάνειν οὐσίας, ἣν ἐκ τοῦ πατρὸς γεγεννῆσθαι τὰ θεῖα διδάσκει λόγια, τοῦ τρόπου τῆς γεννήσεως ἀνεκφράστου καὶ ἀνεπιλογίστου πάσῃ γενητῇ φύσει

* καταλαμβάνομεν.

* τὴν φ. τοῦ ὁμοουσίου παρ. ex Soc.

σει τυγχάνοντος. οὕτω δὲ καὶ τὸ, ὁμοούσιον εἶναι τοῦ πατρὸς τὸν υἱὸν, ἐξεταζόμενος ὁ λόγος συνίστη, οὐ κατὰ τὸν τῶν σωμάτων τρόπον, οὐδὲ τοῖς θνητοῖς ζώοις παραπλησίως· οὔτε γὰρ κατὰ διαίρεσιν τῆς οὐσίας, οὔ τε κατὰ ἀποτομὴν, ἀλλ' οὐδὲ κατά τι πάθος, ἢ τροπὴν, ἢ ἀλλοίωσιν τῆς τοῦ πατρὸς δυνάμεως. τούτων γὰρ πάντων ἀλλοτρίαν εἶναι τὴν ἀγένητον τοῦ πατρὸς φύσιν· παραστατικὸν δὲ εἶναι τὸ, ὁμοούσιον τῷ πατρὶ, τὸ μηδεμίαν ἐμφέρειαν πρὸς τὰ γενητὰ κτίσματα τὸν υἱὸν τοῦ Θεοῦ φέρειν, μόνῳ δὲ τῷ πατρὶ τῷ γεγεννηκότι κατὰ πάντα τρόπον ἀφομοιοῦσθαι, καὶ μὴ εἶναι ἐξ ἑτέρας τινὸς ὑποστάσεώς τε καὶ οὐσίας, ἀλλ' ἐκ τοῦ πατρός. ᾧ καὶ αὐτῷ τοῦτον ἑρμηνευθέντι τὸν τρόπον καλῶς ἔχειν ἐφάνη συγκαταθέσθαι· ἐπεὶ καὶ τῶν παλαιῶν τινας λογίους καὶ ἐπιφανεῖς ἐπισκόπους καὶ συγγραφέας ἔγνωμεν, ἐπὶ τῆς τοῦ πατρὸς καὶ υἱοῦ θεολογίας τῷ τοῦ ὁμοουσίου χρησαμένους ὀνόματι· ταῦτα μὲν οὖν περὶ τῆς ἐκτεθείσης εἰρήσθω πίστεως, ᾗ συνεφωνήσαμεν οἱ πάντες· οὐκ ἀνεξετάστως, ἀλλὰ κατὰ τὰς ἀποδοθείσας διανοίας, ἐπ' αὐτοῦ τοῦ θεοφιλεστάτου βασιλέως ἐξεταθείσας. καὶ τὸν ἀναθεματισμὸν δὲ τὸν μετὰ τὴν πίστιν πρὸς αὐτῶν ἐκτεθέντα, * ἄλυτον εἶναι ἡγησάμεθα, διὰ τὸ ἀπείργειν ἀγράφοις χρῆσθαι φωναῖς, δι' ἃς σχεδὸν ἡ πᾶσα γέγονε σύγχυσις καὶ ἀκαταστασία τῆς ἐκκλησίας. μηδεμιᾶς γοῦν θεοπνεύστου γραφῆς, τῷ, ἐξ οὐκ ὄντων, καὶ τῷ, ἦν ποτε ὅτε οὐκ ἦν, καὶ τοῖς ἑξῆς ἐπιλεγομένοις, κεχρημένης, οὐκ εὔλογον ἐφάνη ταῦτα λέγειν καὶ διδάσκειν. ᾧ καὶ αὐτῷ καλῶς δόξαντι συνεθέμεθα. ἐπεὶ δὲ ἐν τῷ πρὸ τούτου χρόνῳ τούτοις εἰώθαμεν συγχρῆσθαι τοῖς ῥήμασιν, ἔτι μὴν τὸ ἀναθεματίζεσθαι, τὸ πρὸ τοῦ γεννηθῆναι οὐκ ἦν, οὐκ ἄτοπον ἐνομίσθη, τῷ παρὰ πᾶσιν ὁμολογεῖσθαι εἶναι αὐτὸν υἱὸν τοῦ Θεοῦ πρὸ τῆς κατὰ σάρκα γεννήσεως. ἤδη δὲ ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς καὶ αὐτὸς τῷ λόγῳ κατεσκεύαζεν, ὡς καὶ κατὰ τὴν ἔνθεον αὐτοῦ γένησιν τὴν πρὸ πάντων αἰώνων εἶναι αὐτόν. ἐπεὶ καὶ πρὶν ἐνεργείᾳ γεννηθῆναι, δυνάμει ἦν ἐν τῷ πατρὶ ἀγεννήτως, ὄντος τοῦ πατρὸς ἀεὶ πατρὸς, ὡς καὶ βασιλέως ἀεὶ, καὶ σωτῆρος ἀεὶ, δυνάμει πάντα ὄντος, ἀεί τε κατὰ τὰ * αὐτοῦ καὶ ὡσαύτως ἔχοντος.

* γρ. ἄλυτον.

* ἴσ. αὐτά.

Ταῦτα ὑμῖν ἀναγκαίως διεπεμψάμεθα, ἀγαπητοὶ, τὸ κεκριμένον τῆς ἡμετέρας ἐξετάσεώς τε καὶ συγκαταθέσεως φανερὸν ὑμῖν καθιστῶντες· καὶ ὡς εὐλόγως τότε μὲν καὶ μέχρις ὑστάτης ὥρας ἐνιστάμεθα, ὅτε ἡμῖν τὰ ἑτεροίως γραφέντα προσέκοπτε· τότε δὲ ἀφιλονείκως τὰ μὴ λυποῦντα κατεδεξάμεθα, ὅτε ἡμῖν εὐγνωμόνως τῶν λόγων ἐξετάζουσι τὴν διάνοιαν, ἐφάνη συντρέχειν τοῖς ὑφ' ἡμῶν αὐτῶν ἐν τῇ προεκτεθείσῃ πίστει ὡμολογημένοις. ἀσπαζόμεθα ὑμᾶς σὺν τῇ παρ' ὑμῖν ἀδελφότητι. ἐρρῶσθαι ὑμᾶς ἐν κυρίῳ εὐχόμεθα, ἀδελφοὶ τιμιώτατοι.

Νικητὴς Κωνσταντῖνος, μέγιστος, σεβαστὸς, ἐπισκόποις καὶ λαοῖς.

ΚΕΦΑΛ. λϛ'.

ΤΟΥ'ς πονηροὺς καὶ ἀσεβεῖς μιμησάμενος Ἄρειος, δίκαιόν ἐστι τὴν αὐτὴν ἐκείνοις ὑπέχειν ἀτιμίαν. ὥσπερ τοίνυν Πορφύριος ὁ τῆς θεοσεβείας ἐχθρὸς συντάγματα ἄττα παράνομα κατὰ τῆς θρησκείας συστησάμενος, ἄξιον εὕρατο μισθὸν, καὶ τοιοῦτον, ὥστε ἐπονείδιστον μὲν αὐτὸν πρὸς τὸν ἑξῆς γενέσθαι χρόνον, καὶ πλείστης ἀναπλησθῆναι κακοδοξίας, ἀφανισθῆναι δὲ τὰ ἀσεβῆ αὐτοῦ συγγράμματα· οὕτω καὶ νῦν ἔδοξεν, Ἄρειόν τε καὶ τοὺς αὐτῷ ὁμογνώμονας Πορφυριανοὺς μὲν καλεῖσθαι, ἵν' ὧν περ τοὺς τρόπους μεμίμηνται, τούτων ἔχωσι καὶ τὴν προσηγορίαν. πρὸς δὲ τούτῳ καὶ εἴτι σύγγραμμα ὑπὸ Ἀρείου συντεταγμένον εὑρίσκοιτο, τοῦτο πυρὶ παραδίδοσθαι· ἵνα μὴ μόνον τὰ φαῦλα αὐτοῦ τῆς διδασκαλίας ἀφανισθείη, ἀλλὰ μηδὲ ὑπόμνημα αὐτοῦ ὅλως ὑπολείποιτο. ἐκεῖνο μέντοι προαγορεύω, ὡς εἴτις σύγγραμμα ὑπὸ Ἀρείου συνταγὲν φωραθείη κρύψας, καὶ μὴ εὐθέως προσενεγκὼν καὶ πυρὶ καταναλώσας, τούτῳ θάνατος ἔσται ζημία· παραχρῆμα γὰρ ἁλοὺς, ἐπὶ τούτῳ, κεφαλῆς ὑποστήσεται τιμωρίαν. ὁ Θεὸς ὑμᾶς φυλάξῃ, ἀδελφοὶ ἀγαπητοί.

Καὶ ἄλλας δὲ ἐπιστολὰς ὁ βασιλεὺς κατὰ Ἀρείου καὶ τῶν ὁμοδόξων αὐτοῦ πανηγυρικώτερον γράψας, πανταχοῦ κατὰ πόλιν προέθηκεν.

Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς Ἀλεξανδρεῖς κατὰ Ἀρείου, καὶ πρὸς πάντας ὀρθοδόξους.

Κωνσταντῖνος σεβαστὸς τῇ καθολικῇ Ἀλεξανδρέων καὶ πάντων τῶν ὀρθοδόξων ἐκκλησίᾳ. Χαίρετε ἀγαπητοὶ ἀδελφοί.

ΤΕΛΕΙ'ΑΝ παρὰ τῆς θείας προνοίας εἰλήφαμεν χάριν, ἵνα πάσης πλάνης ἀπαλλαγέντες, μίαν καὶ τὴν αὐτὴν ἐπιγινώσκωμεν πίστιν. οὐδὲν λοιπὸν τῷ διαβόλῳ ἔξεστι * μεθ' ἡμῶν· πᾶν ὅ,τι δ' ἂν κακοτεχνησάμενος ἐπεχείρησεν, ἐκ βάθρων ἀνήρηται· τὰς διχονοίας, τὰ σχίσματα, τοὺς θορύβους ἐκείνους, καὶ τὰ τῶν διαφωνιῶν, ἵν' οὕτως εἴπω θανάσιμα φάρμακα ἡ τῆς ἀληθείας, κατὰ Θεοῦ κέλευσιν, ἐνίκησε λαμπρότης· ἕνα τοιγαροῦν ἅπαντες καὶ τῷ ὀνόματι προσκυνοῦμεν, καὶ εἶναι πεπιστεύκαμεν. ἵνα δὲ τοῦτο γένηται, θελήσει Θεοῦ, συνεκάλεσα εἰς τὴν Νικαέων πόλιν τοὺς πλείστους τῶν ἐπισκόπων, μεθ' ὧν καὶ αὐτὸς ἐγὼ καθάπερ εἷς τις ἐξ ὑμῶν, συνθεράπων ὑμετέρος καθ' ὑπερβολὴν εἶναι χαίρων, καὶ αὐτὸς τὴν τῆς ἀληθείας ἐξέτασιν ἀνεδεξάμην.

* ἴσ. καθ' ἡμῶν.

Ἠλέγχθη γοῦν ἅπαντα, καὶ ἀκριβῶς ἐξήτασται, ὅσα ἀμφιβολίας καὶ διχονοίας προφάσεις ἐδόκει γενναῖν· καὶ φεισάσθω ἡ θεία μεγαλειότης· ἡλίκα, καὶ ὡς δεινὰ περὶ τοῦ ἡμετέρου σωτῆρος, περὶ τῆς ἐλπίδος καὶ ζωῆς ἡμῶν, ἀπρεπῶς ἐβλασφήμησάν τινες, τἀναντία ταῖς θεοπνεύστοις γραφαῖς καὶ τῇ ἁγίᾳ πίστει φθεγ-

φθεγγόμενοί τε, καὶ πίστιν ὁμολογοῦντες. τεσσαρακοσίων γὰρ καὶ πλειόνων ἐπισκόπων ἐπὶ σωφροσύνη τε καὶ ἀγχινοίᾳ θαυμαζομένων, μίαν καὶ τὴν αὐτὴν πίστιν, ἢ καὶ ταῖς ἀληθείαις ἀκεραίως τὸ θεῖον νόημα πέφυκε πίστις, εἶναι βεβαιούντων, μόνος Ἄρειος ἐφωράθη τῆς διαβολικῆς ἐνεργείας ἠττημένος, καὶ τὸ κακὸν τοῦτο πρῶτον μὲν παρ' ἡμῖν, ἔπειτα δὲ καὶ παρ' ἑτέροις ἀσεβεῖ γνώμῃ διασπείρας. ἀναδεξώμεθα τοίνυν ἵνα ὁ παντοκράτωρ Θεὸς παρέχῃ πίστιν· ἐπανέλθωμεν ἐπὶ τοὺς ἀδελφούς, ὧν ἡμᾶς τὸ διαβόλου ἀναιδὴς τις ὑπηρέτης ἐχώρισεν· ἐπανίωμεν ἐπὶ τὸ κοινὸν ἡμῶν σῶμα, καὶ τὰ γνήσια ἡμῶν μέλη σπουδῇ πάσῃ ἰώμεθα. τοῦτο γὰρ ἡ τῇ ἀγχινοίᾳ, καὶ τῇ πίστει, καὶ τῇ ὁσιότητι τῇ ὑμετέρᾳ πρέπει, ἵνα τῆς πλάνης ἐλεγχθείσης ἐκείνης, ἣν καὶ τῆς ἀληθείας ἐχθρὸν εἶναι σωρέσηκε, πρὸς τὴν θείαν ἐπανέλθητε χάριν. ὁ γὰρ τοῖς τριακοσίοις ἁγίοις ἥρεσεν ἐπισκόποις, οὐδὲν ἔστιν ἕτερον ἢ μόνα τὰ υἱοῦ τοῦ Θεοῦ γνώμη, μάλιστα ὅπου γε καὶ τὸ ἅγιον πνεῦμα τοιούτων καὶ τηλικούτων ἀνδρῶν ταῖς διανοίαις ἐγκείμενον, τὴν θείαν βούλησιν ἐξεφώτισε. διὸ μηδεὶς ἀμφιβαλλέτω, μηδεὶς ὑπερτιθέσθω, ἀλλὰ προθύμως πάντες εἰς τὴν ἀληθεστάτην ὁδὸν ἐπανίητε· ἵν' ἐπειδὰν ὅσον οὐδέπω πρὸς ὑμᾶς ἀφίκωμαι, τὰς ὀφειλομένας τῷ παντεφόρῳ Θεῷ μεθ' ὑμῶν ὁμολογήσω χάριτας, ὅτι περὶ τὴν ἐκλεκτὴν πίστιν ἐπιδείξας, τὴν δικαίαν ἡμῖν ἀγάπην ἀποδέδωκεν. ὁ Θεὸς ὑμᾶς φυλάξῃ, ἀδελφοὶ ἀγαπητοί.

Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς τὴν Νικαέων ἀπέστειλε τοῖς ἀπολειφθεῖσι τῇ συνόδῳ ἐπισκόποις.

Κωνσταντῖνος σεβαστὸς ἐκκλησίαις καὶ ἐπισκόποις τοῖς τῆς ἁγίας καὶ μεγάλης ἐν Νικαίᾳ συνόδου ἀπολειφθεῖσι, χαίρειν.

ΠΕΙΡΑΝ λαβὼν ἐκ τῆς τῶν κινῶν δ' πραξίας, ὅση τῆς θείας δυνάμεως πέφυκε χάρις, τοῦτον καὶ πρὸ πάντων ἔκεινα εἶναί μοι σκοπὸν προσήκειν, ὅπως παρὰ τοῖς μακαριωτάτοις τῆς καθολικῆς ἐκκλησίας πλήθεσι πίστις μία καὶ εἰλικρινὴς ἀγάπη, ὁμογνώμονες δ' εἰσέβεια περὶ τὸν παντοκράτορα Θεὸν τηρῆται. ἀλλ' ἐπειδὴ τοῦτο ἕτερος οὐκ οἷόν τε ἦν ἀκλινῆ καὶ βεβαίαν * ἴασιν λαβεῖν, εἰ μὴ εἰς ταυτὸν πάντων ὑμᾶς, ἦγον τῶν πλειόνων ἐπισκόπων συνελθόντων, ἑκάστου τῶν προσηκόντων τῇ ἀγνωτάτῃ θρησκείᾳ διάκρισις ἦν γένοιτο· τοῦτο οὖν ἕνεκα πλειόνων ὅσων συναθροισθέντων ἐν ταύτῃ τῇ Νικαέων πόλει θεοφιλεστάτων ἐπισκόπων, καὶ αὐτὸς δὲ ἐγὼ καθάπερ εἷς ἐξ ὑμῶν τυγχάνων, συμπαρών· ἐγὼ γὰρ ἁρπαίμην ἄν, ἐφ' ᾧ μάλιστα χαίρω, συνθεράπων ὑμέτερος πεφυκέναι· ἄχρι τοσούτου ἅπαντα τῆς προσηκούσης τετύχηκεν ἐξετάσεως, ἄχρις οὗ ἡ τῷ παντεφόρῳ Θεῷ ἀρέσκουσα γνώμη πρὸς τὴν τῆς σύνοδος συμφωνίαν εἰς φῶς προήχθη. ὡς μηδὲν ἔτι πρὸς δισσόνοιαν ἢ πίστεως ἀμφισβήτησίν τι, ὑπολείπεσθαι. σύνθα καὶ περὶ τῆς τὰ πάσχα ἁγιωτάτης ἡμέρας γνωσθείσης ζητήσεως ἔδοξε κοινῇ γνώμῃ καλῶς ἔχειν, ἐπὶ μιᾶς ἡμέρας ἅπαντας τοὺς ἀπανταχόσε Χριστιανοὺς τὴν σωτήριον ἑορτὴν ἐπιτελεῖν τὰ ἁγιωτάτα πάσχα. τί γὰρ ἡμῖν κάλλιον, τί δὲ σεμνότερον ὑπάρξει δυνήσεται, τῶν τὴν ἑορτὴν ταύτην, παρ' ἧς τὴν τῆς ἀληθείας εἰλήφαμεν ἐλπίδα, μιᾷ τάξει καὶ φανερῷ λόγῳ παρὰ πᾶσιν ἀδιαπτώτως φυλάττεσθαι; καὶ πρῶτον μὲν ἀνάξιον ἴδοξεν εἶναι τὸ τὴν ἁγιωτάτην ἑορτὴν ἐκείνην τῇ τῶν Ἰουδαίων ἐπομένης συνηθείᾳ πληροῦν· οἳ τὰς ἑαυτῶν χεῖρας ἀθεμίτῳ πλημμελήματι χράσαντες, εἰκότως τὰς ψυχὰς οἱ μιαροὶ τυφλώττουσιν. ἔξεστι γὰρ τὸ ἐκείνων ἔθος ἀποβληθέντα, ἀληθεστέρᾳ τάξει, ἵνα ἐκ σωτῆρος τὸ πάθος ἡμέρας μέχρι τοῦ παρόντος ἐφυλάξαμεν, καὶ ἐπὶ τὸν μέλλοντα αἰῶνα τὴν τῆς ἐπιτηρήσεως ταύτης συμπλήρωσιν ἐγγίνεσθαι. μηδὲν τοίνυν ἔσω ἡμῖν κοινὸν μετὰ τοῦ ἐχθίστου τῶν Ἰουδαίων ὄχλου. εἰληφαμεν παρὰ τοῦ σωτῆρος ἑτέραν ὁδόν· πρόκειται δρόμος τῇ ἱερωτάτῃ ἡμῶν θρησκείᾳ, καὶ νόμος σωφρόνων. τούτου συμφώνως ἀντιλαμβανόμενοι, τῆς αἰσχρᾶς ἐκείνης συνειδήσεως ἑαυτοὺς ἀποσπάσωμεν, ἀδελφοὶ τιμιώτατοι. ἔστι γὰρ ἀληθῶς ἀτοπώτατον, ἐκείνους ἀυχεῖν καθ' ἡμῶν, ὡς ἄρα παρεκτὸς τῆς αὐτῶν διδασκαλίας ταῦτα φυλάττειν οὐκ ἦμεν ἱκανοί. τί δὲ φρονεῖν ὀρθῶς ἐκεῖνοι δυνήσονται, οἱ μετὰ τὴν χυδιοκτονίαν ἐκείνην ἐκστάντες τῶν φρενῶν, ἄγονται οὐ λογισμῷ τινι, ἀλλ' ὁρμῇ ἀκατασχέτῳ, ὅπου ἂν αὐτοὺς ἡ ἔμφυτος αὐτῶν ἀπάγοι μανία. ἐκεῖθεν τοίνυν καὶ ἐν τούτῳ τῷ μέρει τὴν ἀλήθειαν οὐχ ὁρῶσιν, ὡς ἀεὶ κατὰ τὸ πλεῖστον αὐτοὺς πλανωμένους, ἀντὶ τῆς προσηκούσης ἐπανορθώσεως, ἐν τῷ αὐτῷ ἔτει δεύτερον αὐτοὺς τὸ πάσχα ἐπιτελεῖν. τίνος οὖν χάριν τούτοις ἑπόμεθα τοῖς δεινῶς πλάνῃ ὡμολογημένως ἔχουσι; δεύτερον γὰρ τὸ πάσχα ἐν ἐνιαυτῷ οὐκ ἄν ποτε ποιεῖν ἀνεξόμεθα. ἀλλ' εἰ καὶ ταῦτα μὴ προὔκειτο, τὴν ὑμετέραν ἀγχίνοιαν ἐγρῆν πάντως μηδενὸς ὁμοιότητι ἐκείνων τὸ καθαρὸν τῆς ἡμετέρας ψυχῆς κοινωνεῖν δοκεῖν ἀνθρώπων ἔθεσι παγκάκων. πρὸς τούτοις, καὶ ἐκεῖνο παρεσιωπᾶν, ὡς ἐν τηλικούτῳ πράγματι, καὶ τοιαύτης θρησκείας ἑορτῇ διαφωνίαν ὑπάρχειν ἐστὶν ἀθέμιτον. μίαν γὰρ ἡμῖν τὴν τῆς ἡμετέρας ἐλευθερίας ἡμέραν, τοῦτ' ἔστι τὰ ἁγιώτατα πάθη, ὁ ἡμέτερος παρέδοκε σωτήρ, μίαν εἶναι τὴν καθολικὴν αὐτοῦ ἐκκλησίαν βεβούληται· ἐν καὶ τὰ μάλιστα εἰς πολλὰς καὶ διαφόρους τόπους τὰ μέλη συνάγοιτο, ἀλλ' ὅμως ἐν ἑνὶ πνεύματι, τοῦτ' ἔστι τῷ θείῳ βουλήματι θάλπεται. λογισάσθω δὴ ἡ τῆς ὑμετέρας ὁσιότητος ἀγχίνοια, ὅπως ἐστὶ δεινόν τε καὶ ἀνοσιώτατον ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ ἑτέρους μὲν τοὺς ἐν εὐωχίαις σχολάζειν, ἑτέρους δὲ συμπόσια ἐπιτελεῖν· καὶ μετὰ τὰς τοῦ πάσχα ἡμέρας, ἄλλους μὲν ἐν ἑορταῖς καὶ ἀνέσεσιν ἐξεπίζεσθαι, ἄλλους δὲ ταῖς μεστὰς ἡμέραις ἐκδίδοσθαι νηστείαις. ὅθεν τοῦτο γοῦν τῆς προσηκούσης ἐπανορθώσεως τυχεῖν, καὶ πρὸς μίαν διατύπωσιν ἄγεσθαι τοῦτο, ἡ θεία προνοήσεται βούλησις, ὡς ἑνὶ πάντας ἡνῶσθαι σωφρόνως. ἔθος ἐπειδὴ τοῦτο ἅπασι ἐπανορθοῦσθαι προσῆκεν, ὡς μηδὲν μετὰ τὴν πάσχα ἑορτὴν τῶν τε ἐκτεινῶν καὶ χυδιοκτόνων ἐκείνων ἡμῖν κοινόν· ἔστι δὲ τάξις ἀπρεπὴς, ἵνα ἅπασαι αἱ τῆς δυτικῆς καὶ μεσημβρινῆς, καὶ ἀρκτῴων τῆς οἰκουμένης μερῶν φιλάττουσαι ἐκκλησίαι, ἵνα τινες τῇ κατὰ τὸν ἑφεσίων τόπον ἀποσίζωσι. ἐν ἔνεκεν ἐπὶ τοῦ παρόντος τούτων ἀποσίζωσι. ἐν ἔνεκεν ἐπὶ τοῦ παρόντος καλῶς ἔχειν ἅπαντες ἡγήσαντο. καὶ αὐτὸς δὲ τῇ ὑμετέρᾳ καλῶς ἔχειν ἅπαντες ἡγήσαντο. καὶ αὐτὸς δὲ τῇ ὑμετέρᾳ ἀγχινοίᾳ ἀρίστως ὑπειλήφειν ὑπερχόμην, ἵν' ὅπερ δ' ἂν κατὰ

κατὰ τὴν Ῥωμαίων πόλιν, Ἰταλίαν τε, καὶ Ἀφρικὴν πᾶσαν, Σπανίαν τε, καὶ Γαλλίαν, Βρετανίαν, Αἴγυπτόν τε, καὶ Λιβύας, ἑλλάδα τε ὅλην, Ἀσιανήν τε διοίκησιν, καὶ Ποντικὴν, καὶ Κιλικίαν, μιᾷ καὶ τῇ αὐτῇ συμφώνῳ φυλάττεται γνώμῃ, ἀσμένως τοῦτο καὶ ἡ ὑμετέρα προσδέξηται σύνεσις, λογιζομένη, ὡς οὐ μόνον πλείων ἐστὶν ὁ τῶν κατὰ τοὺς προειρημένους τόπους ἐκκλησιῶν ἀριθμὸς, ἀλλὰ καὶ ὡς τοῦτο μάλιστα κοινῇ πάντας ὁσιωτάτους ἐστὶ βουλεύεσθαι, ὅπερ καὶ ὁ ἀκριβὴς λογισμὸς ἀπαιτεῖν δοκεῖ, τὸ μηδεμίαν μετὰ τῆς Ἰουδαίων ἐπιορκίας ἔχειν κοινωνίαν. ἵνα δὲ τὸ κεφαλαιωδέστερον συντόμως εἴπω, κοινῇ πάντων ἤρεσε κρίσει, τὴν ἁγιωτάτην τοῦ πάσχα ἑορτὴν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ συντελεῖσθαι. οὐδὲ γὰρ πρέπει ἐν τοσαύτῃ ἁγιότητι εἶναί τινα διαφορὰν, καὶ κάλλιον ἕπεσθαι τῇ γνώμῃ ταύτῃ, ἐν ᾗ οὐδεμία ἐστὶν ἀλλοτρίας πλάνης καὶ ἁμαρτήματος ἐπιμιξία. τούτων θείᾳ κρίσει διὰ τῶν τοσούτων καὶ τηλικούτων ἁγίων ἐπισκόπων διατηπωθέντων, ἀσμένως δέχεσθε τὴν οὐράνιον χάριν, καὶ θείαν ὡς ἀληθῶς ἐντολήν. πᾶν γὰρ ὅ,τι δ' ἂν ἐν τοῖς ἁγίοις τῶν ἐπισκόπων συνεδρίοις ἐπράχθη, τοῦτο πρὸς τὴν θείαν βούλησιν τὴν ἀναφορὰν ἔχει. διὸ πᾶσι τοῖς ἀγαπητοῖς ἡμῶν ἀδελφοῖς ἐμφανίσαντες τὰ προγεγραμμένα ἤδη, καὶ τὸν προειρημένον τῆς καθολικῆς πίστεως λόγον, καὶ τὴν παρατήρησιν τῆς ἁγιωτάτης τοῦ πάσχα ἡμέρας ὑποδέχεσθαί τε καὶ διαπράττειν ὀφείλετε· ἵν' ἐπειδὰν πρὸς τὴν πάλαι μοι ποθουμένην τῆς ἡμετέρας διαθέσεως ὄψιν ἀφίκωμαι, ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ τὴν ἁγίαν μεθ' ὑμῶν ἑορτὴν ἐπιτελέσαι δυνηθῶ, καὶ πάντων ἕνεκα μεθ' ὑμῶν εὐδοκήσω, συνορῶν τὴν διαβολικὴν ὠμότητα ὑπὸ τῆς θείας δυνάμεως διὰ τῶν ὑμετέρων πράξεων ἀνῃρημένην· ἀκμαζούσης δὲ πανταχοῦ τῆς ἡμετέρας πίστεως καὶ εἰρήνης καὶ ὁμονοίας, εὐχαριστηρίους ὕμνους μεθ' ὑμῶν ἀναπέμψω τῷ πανευεργέτῃ καὶ σωτῆρι Θεῷ. ὁ Θεὸς ὑμᾶς φυλάξοι ἀδελφοὶ ἀγαπητοί.

Ταῦτα μὲν οὖν τοῖς ἀπολειφθεῖσι τῆς συνόδου ἀπέστηλε. τοὺς δὲ συνεληλυθότας ἐφιλοφρονήσατο καὶ λόγοις καὶ δώροις. πολλὰς δὲ στιβάδας εὐτρεπισθῆναι κελεύσας, κατὰ ταὐτὸν ἑστίασεν ἅπαντας· τοὺς μὲν ἐπισημοτέρους ὁμοτραπέζους λαβὼν, τοὺς δὲ ἄλλους διελὼν εἰς τὰς ἄλλας τραπέζας. θεασάμενος δέ τινας τοὺς δεξιοὺς ὀφθαλμοὺς οὐκ ἔχοντας, ἀλλ' ἐκκεκομμένους, καὶ μαθὼν ὡς τὸ περὶ τὴν εὐσέβειαν τὸ εἰς Χριστὸν ἑδραῖον τοῦ πάθους ἐγένετο αἴτιον, τὰ χείλη τοῖς τραύμασι προσενηνοχὼς, ἑλκύσειεν ἐκεῖθεν τῷ φιλήματι τὴν εὐλογίαν ἐπίστευε. τέλος δὲ τοῦ συμποσίου λαβόντος, ἕτερα πάλιν αὐτοῖς προσενήνοχε δῶρα· καὶ μέντοι καὶ γράμματα πρὸς τοὺς τῶν ἐθνῶν προστατεύοντας δέδωκεν ἄρχοντας, καθ' ἑκάστην πόλιν χορηγῆσθαι παρεγγυῶν ἀείπαρθένοις καὶ χήραις, καὶ τοῖς τῇ θείᾳ λειτουργίᾳ ἀφιερωμένοις ἐτήσια σιτηρέσια, φιλοτιμίᾳ μᾶλλον, ἢ χρείᾳ ταῦτα μετρήσας. περὶ ὧν καὶ Εὐσέβιος ὁ Παμφίλου διαλαμβάνων ὧδέ πως λέγει· οὕτω δὴ τοὺς ἁγίους ἐπισκόπους μετὰ πλείστης ὅσης εὐλαβείας διαναπαύσας ὁ πανεύφημος καὶ πιστότατος βασιλεὺς Κωνσταντῖνος, συνταξάμενός τε σφᾶς ἐπανιέναι οἴκαδε, τοὺς πάντας ἠφίει. οἱ δὲ ἐπανῄεσαν σὺν εὐφροσύνῃ πολλῇ. ἐκράτει τε λοιπὸν μία γνώμη παρὰ τοῖς πᾶσι, παρ' αὐτῷ βασιλεῖ συμφωνηθεῖσα, συναπτομένων ὥσπερ εἰς ἓν σῶμα τῶν ἐκ μακροῦ διῃρημένων. χαίρων δῆτα ὁ βασιλεὺς ἐπὶ τὸ κατορθώματι, τοῖς μὴ παρατυχοῦσι τῇ συνόδῳ ἐπισκόποις καρπὸν εὐθαλῆ δι' ἐπιστολῶν ἐδωρεῖτο· λαοῖς τε πᾶσι, τοῖς τε κατ' ἀγροὺς καὶ τοῖς ἀμφὶ τὰς πόλεις οἰκοῦσι, χρημάτων ἀφθόνους διαδόσεις ποιεῖσθαι παρεκελεύετο· ὧδέ πη γεραίρων τὴν ἑορτὴν τῆς εἰκοσαετοῦς αὐτοῦ βασιλείας· ἑκκαιδεκάτῳ μὲν ἔτει καὶ μησὶν ἓξ τῆς βασιλείας αὐτοῦ, καθὼς καὶ ἀνωτέρω ὁ λόγος ἀπέδειξε, κατὰ τὰ παλαιὰ διηγήματα, τὴν ἁγίαν τῶν ἐπισκόπων συναθροίσας σύνοδον. εἰκοστῷ δὲ ἔτει διαλυσάντων τὸ τῆς σύνοδου συνέδριον, ἀνέλυσεν ἕκαστον εἰς τὰς ἰδίας παροικίας, καθὼς προανατέτακται. ἐγὼ δὲ τὰ ἐν αὐτῇ τῇ ἁγίᾳ συνόδῳ περὶ τῶν τῆς καθολικῆς καὶ ὀρθοδόξου πίστεως, τῆς τε σεβασμίου ἑορτῆς τοῦ ἁγίου πάσχα, τῶν τε τῆς ἐκκλησιαστικῆς θείας λειτουργίας διατυπώσεων, τῶν τε περὶ τῆς ἐν αὐτῇ εὐταξίας κανόνων κριθέντα καὶ ὁρισθέντα ἐντάξας κατὰ δύναμιν τῇ δε τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ, πρὸς πληρεστάτην ἀσφάλειαν τῶν ἐντευξομένων τῷ δε τῷ γράμματι, ἐνταῦθα καταπαύσω τὸν λόγον· τὰ λοιπὰ τοῦ πανευφήμου καὶ πιστοτάτου βασιλέως εὐσεβῆ ὑπὲρ τῆς πίστεως σπουδάσματα ἐν τρίτῳ κατατάξαι συνιδὼν συντάγματι, εἰς δόξαν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, καὶ εἰς ἐναργεστάτην ἀπόδειξιν τῆς τοῦ πιστοτάτου τοῦ βασιλέως εὐσεβείας. ἐκεῖνο μόνον προσθεῖναι ἐνταῦθα ἀναγκαῖον ᾠήθην· μὴ πάρεργον ἡγησάμενος, ἀλλὰ καὶ λίαν ἁρμόδιον· τὰ τῶν ἐπισκόπων ὀνόματα, τῶν ὑπὸ τοῦ κοινοῦ πάντων τῶν ἐπισκόπων εἰς τὰς ἁπανταχοῦ γῆς ἐπαρχίας σταλέντων· δι' ὧν τὰ ὑπὸ τῆς συνόδου κριθέντα, διὰ συνοδικῶν ἐπιστολῶν καὶ τῶν τοῦ πανευφήμου βασιλέως γραμμάτων, πάσαις διεπέμψατο ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, εἰς δόξαν τοῦ Θεοῦ καὶ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, καὶ τοῦ ἁγίου πνεύματος. Ἀμήν.

Κατάλογος τῶν ἁγίων ἐπισκόπων, δι' ὧν ἡ σὺν αὐτοῖς ἐν Νικαίᾳ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ταῖς ἀνὰ τὴν οἰκουμένην ἐκκλησίαις τοῦ Θεοῦ διεπέμψατο τὰ ἐν αὐτῇ δι' αὐτῶν κεκριμένα ὑπὸ τοῦ ἁγίου πνεύματος.

Ὁ Ὅσιος ἐπίσκοπος Κουρδούβης ταῖς κατὰ Ῥώμην, καὶ Ἰταλίαν, καὶ Σπανίαν πᾶσαν, καὶ ταῖς ἐν τοῖς λοιποῖς ἔθνεσι τοῖς ἐπέκεινα κατ' ἐμὲ οὖσιν ἕως τοῦ Ὠκεανοῦ, ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, διὰ τῶν σὺν αὐτῷ πρεσβυτέρων Ῥώμης Βίτωνος καὶ Βικεντίου.

Ἀλέξανδρος Ἀλεξανδρείας σὺν Ἀθανασίῳ τότε ἀρχιδιακόνῳ ὄντι, ταῖς κατ' Αἴγυπτον πᾶσαν, καὶ Λιβύην, καὶ Πεντάπολιν, καὶ τὰ ὅμορα τούτοις, ἕως τῶν τῆς Ἰνδίας ἐπαρχιῶν.

Μακάριος Ἱεροσολύμων σὺν Εὐσεβίῳ τῷ Παμφίλου ἐπισκόπῳ Καισαρείας, ταῖς κατὰ Παλαιστίνην, καὶ Ἀραβίαν καὶ Φοινίκην.

Εὐστάθιος Ἀντιοχείας τῆς μεγάλης ταῖς κατὰ Συρίαν κοίλην, καὶ Μεσοποταμίαν πᾶσαν, καὶ Κιλικίαν ἑκατέραν.

Ἰωάννης Πέρσης τῆς ἐν Περσίδι πάσῃ, καὶ τῇ μεγάλῃ Ἰνδίᾳ.

Λεόν-

Λεόντιος Καισαρείας Καππαδοκίας, τὸ τῆς ἐκκλησίας τοῦ κυρίου καλλώπισμα, ταῖς κατ' αὐτὴν Καππαδοκίαν, Γαλατίαν, Πόντον Διοσπόντου, Παφλαγονίαν, Πόντον * Πολεμαϊκὸν, Ἀρμενίαν μικρὰν καὶ μεγάλην.

* πολεμονιακόν.

Θεωνᾶς Κυζίκου ταῖς κατὰ τὴν Ἀσίαν καὶ Ἑλλήσποντον, Λυδίαν τε, καὶ Καρίαν, διὰ τῶν ὑπ' αὐτὸν ἐπισκόπων Εὐτυχίου Σμύρνης, καὶ Μαρίνου Τρωάδος.

Ἀλέξανδρος Θεσσαλονίκης διὰ τῶν ὑπ' αὐτὸν τελούντων, ταῖς κατὰ Μακεδονίαν πρώτην καὶ δευτέραν, σὺν τῇ Ἑλλάδι, τήν τε Εὐρώπην πᾶσαν, Σκυθίαν ἑκατέραν, καὶ ταῖς κατὰ τὸ Ἰλλυρικὸν ἁπάσαις, Θεσσαλίαν τε καὶ Ἀχαΐαν.

Νουνέχιος Λαοδικείας ταῖς κατὰ τὴν Φρυγίαν πρώτην καὶ δευτέραν.

Πρωτογένης ὁ θαυμάσιος πόλεως Σαρδικῆς, τῆς ἐν Δακίᾳ Καλαυρίᾳ, Δαρδανίᾳ, καὶ ταῖς ὁμόροις τούτοις.

Κεκιλιανὸς πόλεως Καρθαγένης, ταῖς κατὰ πάσας τὰς ἐπαρχίας, τάς τε Ἀφρικὰς, καὶ τὰς Νουμιδίας, καὶ Μαυριτανίας ἀμφοτέρας, οὔσαις ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις.

Πιστὸς Μαρκιανουπόλεως, ταῖς κατὰ τὴν Μυσίαν, καὶ τὰ τῶν Ἀθηνῶν καὶ Γάλλων ἔθνη, καὶ ταῖς πλησιοχώροις τούτων πόλεσιν.

Ἀλέξανδρος Κωνσταντινουπόλεως τότε πρεσβύτερος ἔτι ὤν, εἰς ὕστερον δὲ καὶ τῆς ἐπισκοπικῆς ἱερατείας τῆς αὐτόθι ἐκκλησίας λαχὼν, σὺν Παύλῳ ἔτι τότε ἀναγνώστῃ ὄντι, καὶ νοταρίῳ αὐτοῦ, ταῖς ἐν ταῖς νήσοις πάσαις Κυκλάσιν.

Οὗτοι πάντες οἱ ἅγιοι καὶ ἀποστολικοὶ ἄνδρες πάσαις ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις τὰ ἐν τῇ Νικαέων ἁγίᾳ μεγάλῃ καὶ οἰκουμενικῇ συνόδῳ κεκριμένα διαπορθμεύσαντες, πανταχοῦ γῆς παρέδωκαν, καθὰ ἀρτίως ὁ λόγος ἀπέδειξεν.

ΛΟ'ΓΟΣ ΤΡΙ'ΤΟΣ.

Κωνσταντῖνος σεβαστὸς Ἀρείῳ καὶ Ἀρειανοῖς.

ΚΑΚΟ'Σ ἑρμηνεὺς αὐτόχρημα εἰκών τε καὶ ἀνδριάς ἐστι τοῦ διαβόλου. ὥσπερ γὰρ ἐκεῖνον οἱ δεινοὶ πλάσται πρὸς ἀπάτης δέλεαρ πλάττουσιν, οἱ ὀνεὶ κάλλους αὐτῷ εὐπρέπειαν προσμηχανώμενοι, αἰσχίστῳ καθάπαξ ὄντι τῇ φύσει, ὅπως ἂν τοὺς ταλαιπώρους ἀπολλύοι πλάνην αὐτοῖς προτείνων· τὸν αὐτὸν οὗτος ἂν οἶμαι τρόπον ποιήσειεν, ὦ μόνον σπουδῆς ἄξιον τοῦτ' εἶναι δοκεῖ, τὸ, τὰ τῆς οἰκείας ἰταμότητος δηλητήρια ἀφειδῶς προβάλλεσθαι. τοιγάρ τοι καινὴν, καὶ ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, οὐδεπώποτε φανεῖσαν ἀπιστίας εἰσάγει πίστιν. διόπερ οὐδὲν τῆς ἀληθείας ἄρα ἀπᾷδον ἐκεῖνο φαίνεται, τὸ πάλαι τῇ θείᾳ ῥήσει διηρθρωμένον, ὅτι πρὸς τὸ κακόν εἰσι σοφοί. τί δ' ἄν τις ἐκεῖνο λέγεσθαι τὴν τοῦ βουλεύεσθαι χάριν αὐτὸν ἀπολωλεκότα, μηκέτι κουφισμοῦ τινα ἐπικουρίαν εὕρασθαι ἐπιθυμεῖν; τί τοίνυν φημὶ, Χριστὲ Χριστὲ, κύριε κύριε; τί δήποτε ἡμᾶς τὸ λῃστήριον ὁσημέραι τιτρώσκει; ἕστηκεν ἐξεναντίας δεινή τις βιαία τόλμα, βρυχᾶται ἐπιπρίουσα τὸν ὀδόντα δύσμορφος ὑπ' ἀτιμίας, καὶ παντοδαποῖς περιτετρωμένη ἐγκλήμασιν. αὕτη μέν τοι ἐν τῷ νόμῳ καὶ τῷ περὶ σοῦ κηρύγματι, ὥσπερ τισι ζάλαις τρικυμίαις κακῶν διαφορουμένη, ἐξερεύγεται μὲν ἐξώλεις λόγους, γράφουσα δὲ τούτους ἐκφαίνει, οὓς οὐδέποτε ὁ τῷ ἀϊδίῳ τῆς σαυτοῦ πηγῆς τῷ πατρὶ συνυπάρχων, ταῖς περὶ σεαυτοῦ γνώσεσιν ἀφώρισας. συνάγει δὲ ὅλως καὶ συμφορεῖ δεινὰ ἅττα καὶ ἄνομα ἀσεβήματα· νῦν μὲν τὰς γλώττας κραδαίνουσα, νῦν δ' αὖ πάλιν ταῖς τῶν ἀθλίων σπουδαῖς ἐπαιρομένη, οὓς ἐπ' ἀδείας αὐτὴ παρόντας ἐξαπατᾷ καὶ φθείρει. βούλομαι δὲ ἤδη τοῦ προέδρου αὐτῆς τὴν φύσιν ἐξετάσαι. τί γὰρ δὴ λέγει; ἢ κατέχωμεν, φησὶν, οὗ ἤδη ἐκγρατεῖς γεγόναμεν. ἢ γενέσθω ὡς αὐτοὶ βουλόμεθα. πέπτωκε, καὶ ταῦτα πέπτωκεν ἀναιρούμενος. δόλῳ, φησὶν, ἢ δεινότησι πανουργίας, οὐδὲν διαφέρει. σεμνὸν μόνον ἡγεῖται, ὁ διὰ πονηρᾶς ἐπινοίας εἰς αὐτὸν εἰσερρύη. πλήθη, φησὶν, ἔχομεν· προβήσομαι δὴ μικρὸν αὐτὸς ἐπὶ τὸ πρόσθεν, ὡς ἂν τῶν τῆς μανίας πολέμων θεατὴς γένωμαι. αὐτὸς ἔφην ἐγὼ προβήσομαι, ὁ τοὺς τῶν ἀφρόνων πολέμους παύειν εἰωθὼς, ἄγε δὴ Ἄρες Ἄρειε, ἀσπίδων * ἢ χρεία. μὴ σύ γε τοῦτο ποιήσῃς ἱκετεύομεν. ἐπιχέτω γοῦν σε ἡ τῆς Ἀφροδίτης ὁμιλία. ἀλλὰ γὰρ εἴθε ὡς τοῖς ὄχλοις ἄριστα συνεκκροτεῖσθαι δοκεῖς, οὕτω σοι τῇ περὶ τὸν Χριστὸν εὐσεβείᾳ προσῆν ἀκμάζειν. ἰδοὺ δὴ πάλιν αὖ ἱκέτης ἔρχομαι, καὶ τοῖς ὅπλοις πᾶν πλῆθος ἰσχύων, μάχεσθαι μὲν οὐκ ἐθέλω. τῇ δὲ τοῦ Χριστοῦ πεφραγμένος πίστει, σέ τε ἰάσασθαι καὶ τοὺς ἄλλους θεραπεῦσαι βούλομαι. τί οὖν φῄς ταῦτα πράττειν, ἃ μὴ τοῖς ἤθεσι προσῆκε τοῖς σοῖς; ἀλλὰ μετὰ ποίας ἡσυχίας, εἰπέ μοι, ἢ τινα περιουσίαν περιβεβλημένος, μᾶλλον δὲ, ἐφ' ὅ,τι προπετείας ἐληλακώς; ὦ τόλμης ὑπὸ κεραυνῶν ἀξίας καθαιρεθῆναι; ἀκούσατε γὰρ ἃ δεδήλωκε πρώην πρός με, ἰὸν ἀποστάζοντι γράφων τῷ καλάμῳ. οὕτω, φησὶ, πιστεύομεν. εἶτ' οἶμαι προσθεὶς οὐκ οἶδα ἅττα σοβαρῶς πως καὶ μάλα ἀκριβῶς ἐξησκημένα, προϊὼν πορρωτέρω, οὐδὲν ὅ,τι τῶν δεινῶν ἀπεσιώπησεν· ἀλλ' ὅλον ὡς ἂν εἴπῃ τις τὸν τῆς παρανοίας ἠνέῳξε θησαυρόν. ἀπελαυνόμεθα, φησὶ, καὶ τὴν τοῦ εἰσδεχθῆναι ἡμᾶς ἄδειαν ἀφαιροῦνται· ἀλλ' οὐδέν πω ταῦτα πρὸς τὸ πρᾶγμα· τοῖς δὲ ἑξῆς προσέχετε τὸν νοῦν. αὐτοῦ γὰρ χρήσομαι τοῖς ῥήμασι. δεόμεθα, φησὶν, ἐὰν ἐπὶ τῆς αὐτῆς ἐπιμένῃ γνώμης ὁ τῆς Ἀλεξανδρείας ἐπίσκοπος, ἡμῖν τοῦ λοιποῦ δοθῆναι κατὰ τὴν τοῦ νόμου διάταξιν, τὰς ἐνθέσμους καὶ ἀπαραιτήτους θεραπείας τῷ Θεῷ ἐπιτελεῖν. ὦ δεινῆς ἀναιδείας, ἣν σπουδῇ τῆς ἀληθείας ἀπελέγξαι προσῆκεν, ὁ γὰρ αὐτῷ καθ' ἡδονὴν ἐτύγχανεν ὄν, τοῦτο τῇ συντομοίᾳ τῆς φράσεως ἀπετυπώσατο· τί φῄς ἄτοπε; διάστασιν εὐπρόσωπον ἡμῖν τὸ σαθρὸν τῆς κατ' ἐμὲ ἀγρίας σου διανοίας ἐπιτειχίζειν μηχανᾷ; καὶ τοὺς ἐπὶ κακῷ σοι προσπλακέντας ἀπολέσαι σπεύδεις; τί οὖν, φῄς, πράξω, εἰ μηδεὶς ἄξιον ἡγεῖταί με δέξασθαι. τοῦτο γὰρ πολλάκις ἐκ τῆς ἀνοσίας φάρυγγος ἐκβοᾷς· ἐγὼ δὲ τοὐναντίον ἔρομαί σε. ποῦ δὲ σαφὲς γνώρισμα καὶ μαρτύριον τῆς σεαυτοῦ διανοίας ἐπεδείξω; ἣν ἐχρῆν σε διαπτύξαντα, καὶ τοῖς θείοις καὶ τοῖς ἀνθρωπίνοις σαφῆ καταστῆσαι, καὶ μάλισθ' ὅτι τὰ ἰοβόλα τῶν ἑρπετῶν καὶ τηνικαῦτα μᾶλλον ἀγριαίνειν πέφυκεν, ὅταν ἑαυτὰ τοῖς τῶν φωλεῶν μυχοῖς ἐνιδρυθέντα αἴσθηται. ἐκεῖνο δέ γε λίαν ἀστεῖον αὐτοῦ, τὸ σπουδαίως εὖ μάλα καθάπερ ὑπό τι προσωπεῖον αἰδοῦς σιγὴν πλάττεσθαι. τῇ μὲν τοῦ σχήματος τέχνῃ, τεθαυτὸν σεαυτὸν καὶ χειροήθη σύ γε παρέχεις. κακῶν δὲ

Ισ. ξ.

μυ-

μυρίων καὶ ἐπιβουλῶν ἔνδον γέμων, τοὺς πολλοὺς λέληθας. ἀλλ' ὦ τῆς ἀθλιότητος. ὡς ὁ πονηρὸς βεβούληται, οὕτως Ἄρειον ἡμῖν ἀνομίας ἐργαστήριον κατεστήσατο. λέγε δὲ νῦν μοι παρελθὼν τῆς σεαυτοῦ πίστεως τὸ γνώρισμα, καὶ μηδαμῶς γε ἀποσιωπήσῃς, ὦ τὸ μὲν στόμα διάστροφον, τὴν δὲ φύσιν ὀξύῤῥοπον πρὸς πονηρίαν κεκτημένε· ἕνα λέγεις Θεόν; σύμψηφον ἔχεις κἀμὲ, οὕτω φρόνει. τῆς οὐσίας αὐτοῦ ἄναρχον καὶ ἀτελεύτητον λόγον εἶναι φῄς; στέργω τοῦτο. οὕτω πίστευε. εἴτι περαιτέρω προσπλέκεις, τοῦτ' ἀναιρῶ· εἴτι πρὸς ἀσεβῆ χωρισμὸν συγκατατάττεις, τοῦτο οὔτε ὁρᾷν, οὔτε νοεῖν ὁμολογῶ. εἰ τὴν τοῦ σώματος ξενίαν πρὸς οἰκονομίαν τῶν θείων ἐνεργειῶν παραλαμβάνεις, οὐκ ἀποδοκιμάζω. εἰ τὸ πνεῦμα τῆς ἀϊδιότητος ἐν τῷ ὑπερέχοντι λόγῳ γεγενῆσθαι λέγεις, δέχομαι. τίς ἔγνω τὸν πατέρα, εἰ μὴ ὁ ἐλθὼν ἀπὸ τοῦ πατρός; τίνα ἔγνω ὁ πατὴρ, εἰ μὴ ὃν ἀϊδίως καὶ ἀνάρχως ἐξ αὐτοῦ γεγένηκε; σὺ μὲν ὑπόστασιν ξένην ὑποτάττειν οἴει δεῖν, κακῶς δή που πιστεύων· ἐγὼ δὲ τῆς ὑπερεξόχου καὶ ἐπὶ πάντα διηκούσης δυνάμεως τὸ πλήρωμα πατρὸς καὶ υἱοῦ, οὐσίαν μίαν εἶναι γινώσκω, εἰ τοίνυν μὲν σὺ ἀφαιρεῖς ἀπ' ἐκείνου, ἀφ' οὗ χωρισθῆναι οὐδὲ διάνοια τῶν ἐρεσχελούντων δεδύνηται οὐδεπώποτε οὐδέν. προσθήκης δὲ χαρακτήρας ὁδοποιεῖς, καὶ ὅλως γνωρίσματα ζητήσεων διορίζεις, ἐκείνῳ ᾧ ὁλόκληρον μὲν ἐξ ἑαυτοῦ τὴν ἀϊδιότητα δέδωκεν, ἀδιάφθορον δὲ τὴν ἔννοιαν, ἀθανασίας τε δι' ἑαυτοῦ καὶ ἐκκλησίας ἔνειμε πίστιν. κατάβαλε οὖν δὴ, κατάβαλε τὸ εὔηθες τοῦτο ἀνόμημα, ὦ ἀστεῖε σὺ καὶ εὔφωνε, καὶ τὰ κακὰ πρὸς ἀπιστίαν τῶν ἀνοήτων ἐξάδων. εἰκότως ἄρα σε ὁ πονηρὸς τῇ ἑαυτοῦ κατεστρέψατο κακίᾳ, καὶ τοῖς μὲν ἴσως ἤδη τὸ τοιοῦτον εἶναι δοκεῖ. οὕτω γὰρ σεαυτὸν πέπεικας. ἔστι δὲ πάντη ὀλέθριον τὸ κακόν. φέρε δὴ τῆς ἐν τοῖς ἀτοπήμασι διατριβῆς ἀπαλλαγεῖς, ἄκουε ὦ δαιμόνιε Ἄρειε· σοὶ γὰρ διαλέγομαι. τῆς ἐκκλησίας δή που τοῦ Θεοῦ ἀποκεκηρυγμένος οὐκ αἰσθάνη; ἀπώλωλας, εὖ ἴσθι, ἐὰν μὴ βλέψας εἰς σεαυτὸν, τὴν παροῦσάν σοι κατακρίνῃς ἄνοιαν. ἀλλ' ἐρεῖς, ὡς ὄχλοι συμπράττουσί σοι, καὶ τὰς φροντίδας ἀπελαύνουσιν. ἄκουε δὴ μικρὸν ὑποσχὼν τὰ ὦτα, ὦ ἀνόσιε Ἄρειε, καὶ σύνες τῆς σεαυτοῦ ἄνοιαν. σὺ δὲ ὦ πάντων κηδεμὼν Θεὸς, εὐμενὴς εἴης τῷ λεγομένῳ, εἰ πίστεως ἔχοιτο. ἐγὼ γὰρ ὁ σὸς ἄνθρωπος ἵλεω ἔχων τὴν παροῦσαν προμήθειαν, καὶ ἐξ ἑλληνικῆς, καὶ ἐκ Ῥωμαϊκῆς γραφῆς πάνυ ἀρχαιοτάτης σαφῶς ἀποδείξω τὴν Ἀρείου μανίαν, πρὸ τρισχιλίων που ἐτῶν ὑπὸ τῆς Ἐρυθρᾶς προῤῥηθεῖσάν τε καὶ προφημισθεῖσαν. ἔφη γὰρ ἐκείνηγε. Οὐαί σοι Λιβύη ἐν παραλίοις κειμένη χώροις· ἥξει γάρ σοι καιρὸς, ἐν ᾧ μετὰ τῶν δήμων καὶ τῶν σαυτῆς θυγατέρων δεινὸν ἀγῶνα καὶ ὠμὸν καὶ παγχάλεπον ὑπελθεῖν ἀναγκασθήσῃ, ἀφ' οὗ κριτήριον μὲν εἰς ἅπαντας πίστεώς τε καὶ εὐσεβείας διαδοθήσεται· σὺ δὲ πρὸς ἔσχατον ἀποκλίνεις καταστροφῆς· ὑμεῖς γὰρ τῶν οὐρανίων ἀνθῶν τὸ δεκτήριον ἀνασπάσαι τετολμήκατε, καὶ δήγματι σπαράξαι· καὶ μὲν δὴ σιδηροῖς ἐχράνατε τοῖς ὀδοῦσι. τί δῆτα, ὦ πανοῦργε; ποῦ γῆς σαυτὸν εἶναι νῦν ὁμολογεῖς; ἐκεῖ δηλονότι· κατέχω γάρ σου τὰ γράμματα, ἃ τῷ τῆς μανίας καλάμῳ πρὸς μὲ διεχάραξας, ἐν οἷς φῄς πάντα τὸν Λίβυν δῆμον σύμψηφον εἶναί σοι πρὸς σωτηρίαν δήπου. εἰ δὲ οὐ φήσεις ταυτὶ οὕτως ἔχειν, μαρτύρομαι ἤδη τὸν Θεόν, ἢ μὴν ἀρχαιότατον τῆς Ἐρυθρᾶς πυκτίον, δι' ἑλληνικῆς συντεταγμένον γλώττης, εἰς Ἀλεξάνδρειαν ἀποστέλλειν, ὡς ἂν θᾶττον ἀπόλοιο. εἶτα σὺ ἀναμάρτητος, ὦ δικρανόφορε; εἶτα οὐ σαφῶς ἀπόλωλας ὦ ἄθλιε, τοιούτῳ δεινῷ περιεστοιχισμένος; ἴσμεν, ἴσμεν σου τὸ ἐγχείρημα· ποία φροντὶς, ποῖόν σε θράττει δέος, οὐ λέληθεν ἡμᾶς, ὦ δύστηνε καὶ ταλαίπωρε. ὦ τῆς ἀμβλύτητος τῶν σῶν φρενῶν, ὃς οὐδὲ τὴν νόσον καὶ τὴν ἀμηχανίαν τῆς σεαυτοῦ ψυχῆς ἀναστέλλεις ὦ ἀνόσιε· ὃς τὴν ἀλήθειαν ποικίλοις διορύττεις λόγοις· καὶ τοιοῦτος ὢν οὐκ αἰσχύνῃ ἡμᾶς ψέγων, καὶ νῦν μὲν ἐλέγχων ὥς γε οἴει· νῦν δ' αὖ πάλιν νουθετῶν, ὡς πίστει καὶ λόγοις ὑπερφέρων* περὶ οὗ δῆτα οἱ ἄθλιοι ἐπικουρίαν ἑαυτοῖς πορίζεσθαι γλίχονται· καί τοι οὐδὲ συγγίνεσθαι τῷ τοιούτῳ ἐχρῆν, οὐδὲ ὅλως αὐτὸν προσφθέγγεσθαι, πλὴν εἰ μή τις ἐν τοῖς ὑπούλοις τούτου ῥήμασι τὴν τοῦ ὀρθῶς βιοῦν ἐλπίδα τοῖς μέτροις ἀποκεῖσθαι οἴεται. ἀλλ' οὐκ ἔστι τοῦτο. πολλοῦ γε δεῖ. τὸ δὲ ἀληθὲς, ὦ τῆς ὑμετέρας ἀνοίας, ὅσοι τούτῳ συναναγίνεσθε! τίς ἄρα ἶστρος ὑμᾶς τῆς χαλεπῆς τούτου γλώττης καὶ τῆς ὄψεως ἀνασχέσθαι κατηνάγκασεν; ἀλλ' ἐπ' αὐτὸν ἤδη σε βαδιοῦμαι τῷ λόγῳ, ὦ τὴν μὲν ψυχὴν ἄφρων σὺ, τὴν δὲ γλῶτταν σωμύλε, ἄπιστε δὲ τὰς φρένας, δὸς δή μοι τοῦ λόγου οὐκ ἀμφιλαφές τι λέγω καὶ ἱππήλατον πεδίον, ἀλλ' οὖν κύκλῳ γε εὐπερίγραφον· μὴ σαθρὸν μόνον, ἀλλ' ἐῤῥωμένον τε καὶ στερρὸν τῇ φύσει, ὦ ἀνόσιε δῆτα καὶ κάκιστε, καὶ κρυψίνου· ἐξάγομαι γὰρ ταῦτα λέγειν· μᾶλλον δὲ βρόχον ἤδη σοι περιάψας, καὶ συμποδίσας τῷ λόγῳ εἰς μέσους σε καταστήσω, ὡς ἂν πᾶς ὁ δῆμος τὴν σὴν καταμάθῃ φαυλότητα. ἐπ' αὐτὸ δὲ πορεύσομαι ἤδη τὸ πρᾶγμα. νενιμμέναι δήπουθέν εἰσιν αἱ χεῖρες, προσίωμεν ταῖς εὐχαῖς ἐπικαλέσαι δὴ τὸν Θεόν. μᾶλλον δὲ μικρὸν ἐπισχὼν, εἰπέ μοι ὦ θερμότατε σὺ, τίνα Θεὸν ἐπικαλέσῃ πρὸς βοήθειαν; ἀλλὰ γὰρ ἠρεμεῖν οὐ δύναμαι. ὦ τῶν πάντων ἔχων τὸ κῦρος δέσποτα, ὦ τῆς μονήρους δυνάμεως, ὦ πάτερ, διὰ τουτονὶ τὸν ἀνόσιον ὀνείδη τε, καὶ λύπας, καὶ μέν τοι καὶ τραύματα, καὶ ὀδύνας ἡ σὴ ἔχει ἐκκλησία. Ἄρειος σοι τόπον ἤδη προσαρμόζει, καὶ μάλα γε εὐφυῶς, ἐφ' οὗ καθιζάνων οἶμαι σύνοδον ἑαυτῷ, ἢ παῖδα τὸν Χριστὸν τὸν σὸν, τὸν ἐκ σοῦ, τὸν τῆς ἡμετέρας ἐπικουρίας ἀρχηγέτην, θέσεως νόμῳ περιποιεῖται καὶ ἴσχει. ἐπάκουσον ἀντιβολῶ σε, τῆς θαυμασίας πίστεως. σὲ τὴν κατὰ τὸν τόπον κινεῖσθαι δέσποτα κίνησιν οἴεται. σὲ τῆς ἀφωρισμένης καθέδρας κύκλῳ περιγράφειν τολμᾷ. ποῦ γὰρ οὐκ ἔστιν ἡ σὴ παρουσία; ἢ ποῦ τὴν σὴν οὐ πάντες ἐνεργειαν ἐκ τῶν πάντα σου διηκόντων νόμων αἰσθάνονται; πάντα γὰρ αὐτὸς περιέχεις, καὶ ἔξω σου οὔτε τόπον, οὔτε ἄλλο οὐδὲν ἐπινοῆσαι θέμις. οὕτως ἡ σὴ δύναμις μετ' ἐνεργείας ἐστιν ἄπειρος. σὺ μὲν δὴ ἐπάκουσον ὁ Θεός. ὑμεῖς δὲ πᾶς ὁ λαὸς προσέχετε τὸν νοῦν. ὁ γὰρ ἀναίσχυντος οὗτος καὶ ἀχρεῖος, ὁ ἐπ' ἄκρον μοχθηρίας τε καὶ ἀνομίας ὁμοίως ἐληλακὼς, εὐλάβειαν σκήπτεται. ἄπαγε, φησὶν, οὐ βούλομαι τὸν Θεὸν ἐγὼ ὕβρεων πάθει δοκεῖν ἐνέχεσθαι· καὶ διὰ τοῦτο ὑποτίθεμαι καὶ πλάττω θαυμάσιά γε τῇ πίστει, ὡς ὁ Θεὸς νεογενῆ καὶ νεόκτιστον οὐσίαν Χριστοῦ ποιησάμενος, βοήθειαν ἑαυτῷ παρεσκευάσατο, ὥς γε μοι δοκεῖ, ὃ γὰρ ἂν φησὶν, ἀπ' αὐτοῦ ἀφέλης, τοῦτο ἔλαττον πεποίηκας. εἶτα, ὦ λυμεὼν καὶ ὀλέθριε, σοὶ τοῦτό ἐστι πίστις; σὺ κατ' ὑπόθεσιν καὶ πλάσμα λαμβάνεις τὸν τὰ πλάσματα τῶν ἐθνῶν κατακρίναντα; σὺ ἐπείσακτον καλεῖς, καὶ ὥσπερ καθηκόντων ὑπηρέτην, τὸν

ἄνευ

ἀνὰ ἐνθυμήσεως καὶ λογισμῶν, τῷ συνυπάρχειν τῇ τῶν παθῶν αἰδιότητι, πάντα δραγνύσαντα; ἐφάρμοσον νῦν, εἰ δὴ τολμᾷς, ἐφάρμοσον τῷ Θεῷ καὶ τὸ δύλαβεῖσθαι, καὶ τὸ φοβεῖσθαι, καὶ τὸ ἐλπίζειν τὸ ἐκβησόμενον· ἔτι δὲ τὸ ἐνθυμεῖσθαι, τὸ λογίζεσθαι, τὸ σκεπτόμενον γνώμην ἀποφαίνεσθαι καὶ διαρθροῦν, καὶ ὅλως τὸ τέρπεσθαι, τὸ γελᾶν, τὸ λυπεῖσθαι. τί τοίνυν φῆς ὦ τῶν ἀθλίων ἀθλιώτερε; ὦ τῆς κακίας αὐτόχρημα μήτωρ, σωμᾶς δεῖ εἰ δυνάσαι, ὡς ἐν αὐτῇ γέσῃ πανουργίᾳ μοχθηρὸς ἂν ἀναλίσκῃ. ὁ Χριστὸς, φησὶ, δι' ἡμᾶς πέπονθεν. ἀλλ' ἤδη φθάσας ἔγωγε εἶπον, ὡς μορφῇ σώματος ἀπεσάλη. καὶ φησιν, ἀλλὰ δέος μὴ δόξωμεν κατά τι ἐλαττοῦν. εἶτα ὦ τῶν θηρίων μεσίτα, ταῦτα λέγων ἡμαίνῃ καὶ σαφῶς λυττᾷς; ἰδοὺ γὰρ ὁ κόσμος, μορφὴ, εἴτουν σχῆμα τυγχάνει ὤν· καὶ οἱ ἀστέρες γε χαρακτῆρας προβέβληνται· καὶ ὅλως τὸ πνεῦμα τὸ σφαιροειδῶς τότε κύκλῳ, εἶδος τῶν ὄντων τυγχάνει ὄν, καὶ ὥσπερ μόρφωμα. καὶ ὅμως ὁ Θεὸς παντοχοῦ πάρεστι. πῦ ποίνων εἰσὶν ἐν τῷ Θεῷ αἱ ὕβρεις; ἢ κατά τί ὁ Θεὸς ἐλαττοῦται; ὦ παξοκτόνε τῆς ἐπιεικείας σύ. λόγισαι δὴ ἂν ἐκ σαυτοῦ τεκμαιρόμενος, καὶ ἐνθυμήθητι, εἰ ἁμάρτημα εἶναι δοκεῖ, τὸ ἐν Χριστῷ παρεῖναι τὸν Θεόν. ἐκεῖνος μὲν ἂν κατεῖδε τὴν ἀτιμίαν τοῦ λόγου καὶ τὴν τιμωρίαν ἐβράδεως ἐπήγαγε. χωρὶς δὲ τούτων καθ' ἑκάστην δήπουθεν ἡμέραν ἁμαρτήματι ἐν τῷ κόσμῳ γίνεται· καὶ ὅμως ὁ Θεὸς πάρεστι, καὶ τὰ τῆς δίκης οὐχ ὑστερίζει. τί ἂν κατὰ τοῦτο ἐλαττοῦται εἰς τὸ μέγεθος τῆς αὐτοῦ δυνάμεως, εἰ τὰ παντοχοῦ διαιθάνεται; οὐδὲν οἶμαι. ὁ μὲν γὰρ τοῦ κόσμου νοῦς διὰ τοῦ Θεοῦ· δι' αὐτοῦ πᾶσα διάμονή, δι' αὐτοῦ πᾶσα δίκη. ἡ δὲ τοῦ Χριστοῦ πίστις ἀνάρχως ἐξ αὐτοῦ. ὅλως δὲ Θεοῦ νόμος ἐστὶ Χριστὸς, δι' αὐτοῦ τὸ ἄπειρον ἅμα καὶ ἀτελεύτητον ἔχων. ἀλλὰ γὰρ σὺ κατὰ σεαυτὸν ἐννοῶν φαίνῃ; ὦ τῆς μανίας λίαν! πεπίρεψον νοῦν εἰς τὴν σαυτοῦ ἀπώλειαν τὸ τοῦ διαβόλου ξίφος. ὁρᾶτε δὴ, ὁρᾶτε πάντες, ὡς γοερὰς ἤδη προΐεται φωνὰς, τῷ τοῦ ἔχεως ἐνεχημένος δήγματι· ὡς αἱ φλέβες αὐτοῦ καὶ σάρκες τῷ Ἰῷ ἐγκατειλημμέναι, δεινὰς ἀναμιγνύουσιν ὀδύνας· ὡς διερρύηκεν αὐτοῦ τὸ σῶμα πᾶν, αὐχμοῦ τε ἐνθλιῶν, καὶ ὠχρειάσεως, καὶ φείκης, καὶ μυρίων γέμει κακῶν, καὶ δεινῶς κατέσκληκεν· ὡς εἰδεχθὲς καὶ κατάρρυπον τὸ τῆς κόμης δάσος, ὡς ὅλος ἡμιθανὴς, καὶ ἐξαθρῶν ἤδη τὸ βλέμμα· ὡς ἄναιμον τὸ πρόσωπον, καὶ ὑπὸ μελίμνης ἐκτετηκός· ὡς ὁμοῦ πάντα εἰς αὐτὸν συνδραμόντα, οἶστρος, μανία τε καὶ ματαιότης, δι' ὃ τὸ χρόνιον τοῦ πάθους, ἀγελόν τε καὶ θηριώδη σε πεποιήκασιν. αὐτίκα καὶ δὲ ἐπαιθανόμενος ὃ δὴ κακοῦ τυγχάνει ὤν· αἴρομαι, φησὶν, ὑφ' ἡδονῆς, καὶ πηδῶ γε σκιρτῷ ὑπὸ χαρᾶς, καὶ ὑπερβάλλομαι. καὶ πάλιν νεανικῶς γε λίαν· εἶεν, φησὶν, ἀπωλόμεθα. τοῦτο μὲν γε καὶ ἀληθές ἐστι· σοὶ γὰρ μόνῳ ἡ κακία τὰς παρ' ἑαυτῆς σπουδὰς δαψιλῶς κεχορήγηκε· καὶ ὃ πολλῆς ἐώνητο τιμῆς, τοῦτό σοι ῥᾳδίως δεδώρηται. φέρε δὴ νῦν εἰπὲ, πῦ τὰ σεμνά σου ἐστὶ παραγγέλματα; ἀπόνηψαι δὴ σαυτὸν τῷ Νείλῳ. εἰ οἷόν τε, ὦ ἀτόπου γέμων ἀνθρωπε ἀναισθησίας· καί τοι σύγε τῷ οἰκουμένῳ ἅπασαν τοῖς αὐτοῦ ἀσεβήμασι βεβαπτίκασι ἱστορίαν, ἆρα γε σωφρονῶς ὡς ἅπαντα νῦν ὁ τοῦ Θεοῦ ἄνθρωπος ἐγὼ ἐπίσταμαι; ἀλλὰ γὰρ ἀπορῶ, πότερον μανίαν, ἢ ἀναισθησίαν δεῖ. οὔτε γὰρ βλέπειν εἰς τοσοῦτόν ἔτι δύναμαι, καὶ τὴν ἁμαρτίαν ἐπαισχύνομαι, ὦ Ἄρειε. ἡμᾶς μὲν εἰς φῶς κατέστησας, σαυτὸν δὲ εἰς σκότος, ὦ ταλαίπωρε, καταβαλές. τοῦτό σοι τῶν πόνων πέφυκε τὸ τέλος. ἀλλ' ἐκεῖσε πάλιν ἐπάνειμι. πλῆθος εἶναι φῆς τῶν περὶ σὲ ἀλιτομένων. εἰκὸς οἶμαι, καὶ δέδεγμαι τοῦτο, δέδεγμαι φημί. λύκοις γὰρ καὶ λέουσιν ἑαυτοὺς βρωθησομένους ἐκδεδώκασι. πλὴν ἀλλὰ καὶ τούτων ἕκαστος προσθήκην κεφαλῶν δέκα, καὶ τελέσμασι τούτων πειθεὶς, αὐτίκα δὴ μάλα ἐδρώσει, ἐὰν μὴ τῷ ταχίστῳ ἐπὶ τὸ σωτήριον δρομεῖν ἐκκλησίαν, τῷ τῆς ἀγάπης εἱρμῷ τῷ φίλτρῳ τῆς ὁμονοίας ἐπανέλητται. ἐγὼ γὰρ δὴ ὑπὸ σοῦ λοιπὸν ἐξαπατηθήσονται ἐπὶ πονηρᾷ συνειδήσει κατεγνωσμένοι. οὐ ἀνέξονται τέλεον ἀπολέσθαι, ταῖς μαραῖς σε ζητήσεσιν ἐμπλακέντες. σαφῆ καὶ γνώσεσθε πᾶσι, πρὸς γοῦν τὸν ἐξῆς χρόνον, τὰ σὰ ἐκεῖσε σοφίσματα. καὶ μὴν οὐδὲ αὐτὸς ἀνύσαι τι δυνήσῃ, ἀλλὰ μάτην σχηματικῇ, ἐπιεικείᾳ τε καὶ πραότητι λόγων καθυποκρινόμενος, καὶ ἁπλότητος, ὡς εἰπεῖν, πρόσωπον ἔξωθεν περιτιθέμενος. μάταιον ἔσαι σε τὸ ὅλον πέφυκας· αὐτίκα γάρ σε ἡ ἀληθεία περιστήσεται· αὐτίκα σε τοὺς φλόγας ὁ τῆς θείας δυνάμεως, ὡς εἰπεῖν, ὄμβρος ἀποσβέσει. καὶ μὴν τοι καὶ τοὺς ἑταίρους καὶ ὁμογνώμονάς σε ἐνόχους εἶναι τῇ βελῇ γνωμένης, αἱ τῶν δημοσίων λειτουργημάτων καταλήψονται φροντίδες, ἐάν γε μὴ τῷ ταχίστῳ ἀποφυγόντες τῷ πρὸς σὲ συνέσται, τῷ ἀδιάφθορον ἀντιλλάξωνται πίστιν. σὺ δὲ ὁ σιδηρόφρων ἀνὴρ, δεῖγμά μοι δὸς τῆς σῆς προαιρέσεως, εἰ σαυτῷ πιστεύεις, καὶ ἔρρωσαι τῷ βεβαίῳ τῆς πίστεως, καὶ καθαρὰν ὅλως ἔχεις συνείδησιν. ἦκε πρὸς ἐμὲ, ἦκε, φημὶ, πρὸς Θεὸν ἄνθρωπον. πίστευσον ὡς ταῖς ἐμαυτοῦ πίστεσι διερευνήσομαί σε τὰ ἀπόρρητα τῆς καρδίας· καὶ μὴν τι μανικὸν σκιᾶναι δόξῃ, τῷ θείᾳ ἐπικαλεσάμενος χάριτι, παραδείγματός σε κάλλιον ἰάσομαι. ἐὰν δὲ ὑγιαίνων τὰ κατὰ ψυχὴν φανῇς, τὸ τῆς ἀληθείας φῶς ἐπιγνοὺς, ἐν σοὶ καὶ τῷ Θεῷ χάριν εἴσομαι, καὶ ἐμαυτῷ τῆς δυσεβείας συμπαθήσομαι· καὶ ἄλλη χειρί. ὁ Θεὸς ὑμᾶς διαφυλάξοι, ἀγαπητοί.

Διὰ Συγκλητίου καὶ Γαυδεντίου μαγιστριανῶν ἐκομίσθη καὶ ταῦτα, ὅτε Πατέριος ἦν ἔπαρχος Αἰγύπτου, καὶ ἀνεγνώσθη ἐν τῷ παλατίῳ.

Κατὰ Εὐσεβίου καὶ Θεογνίου.

Κωνσταντῖνος σεβαστὸς τῇ καθολικῇ ἐκκλησίᾳ Νικομηδέων. περὶ Γελασ. βιβ. γ'.

ΤΟΝ δεσπότην Θεὸν δηλαδὴ καὶ σωτῆρα Χριστὸν ἀκριβῶς ἅπαντες ἴστε, ἀγαπητοὶ ἀδελφοὶ, πατέρα τε καὶ υἱὸν εἶναι. πατέρα φημὶ ἄναρχον, ἀϊδῆ τε καὶ γονέα τοῦ αἰῶνος αὐτοῦ· υἱὸν δὲ, τοῦτ' ἔστι τὸν παρ' ἐξοὸς βέλησιν, ὅτις ἔπ' ἐσὶ ἐνθυμήσεως τινος ἀνείληπται, ἔπι πρὸς τὸν τῆς ἐργων αὐτοῦ τελεσιουργίαν διά τινος ἐξειλημμένης οὐσίας καταλήφθη. ὃς γὰρ τοῦτο καὶ νοεῖ καὶ νοήσει, ὅπερ ἔξει πρὸς ἅπαν τιμωρίας γένος ἀκάματον ὑπομονήν. ἀλλὰ γὰρ ὁ τοῦ Θεοῦ υἱὸς Χριστὸς ὁ τῶν ἁπάντων δημιουργὸς, καὶ τῆς ἀθανασίας αὐτῆς χορηγὸς, ἐβουλήθη ὅσον πρὸς τὸν πίστιν αἰτῆσαι ἢ πεπίστευκεν· ἐβουλήθη, μᾶλλον δὲ προεβλήθη αὐτὸς, καὶ πάντοτε ἐν τῷ παρεῖναι, ἐπὶ τῷ ὑπ' αὐτοῦ γεγενημένων διακόσμησιν. ἐβουλήθη τοίνυν ἀμείβειν προσενηνεγμένων διακόσμησιν· ἡ γὰρ βέλησις ὁμοῦ καὶ τῷ οἰκτιρεῖν αὐτῆς ἐμπλάσει· ἡ γὰρ βέλησις ὁμοῦ καὶ τῷ οἰκτιρεῖν αὐτῆς ἐμ- Θεοδωρ. λεγ. α'. κεφ. α'.

πέπηγε, καὶ ταῦθ' ἅπερ διαφόρου δέεται ἐπιμελείας, κατὰ τὴν ἑκάστου ποιότητα πράττει τε καὶ διοικεῖ. τί οὖν ἐστι; τί μεταξὺ τοῦ Θεοῦ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ; οὐδὲν δηλαδή· αὕτη γὰρ ἡ τῶν πραγμάτων συμπλήρωσις αἰσθήσει παρείληφε τὸ τῆς βουλήσεως πρόσταγμα, οὐχὶ δὲ μερισθεῖσα ἐκ τῆς τοῦ πατρὸς οὐσίας τὴν βούλησιν διέστησεν. ὃ δὲ τούτοις ἕπεται, τίς ἐστιν, ὃς τοῦ Χριστοῦ τοῦ ἐμοῦ δεσπότου παιδὸς δι' αἰδῶ μᾶλλον ἢ μωρίαν δέδιεν; ἆρ' οὖν πάσχει τὸ θεῖον; ἐπειδὰν ἡ τοῦ σεμνοῦ σώματος οἴκησις πρὸς ἐπίγνωσιν τῆς ἰδίας ἁγιότητος ὁρμᾷ· ἢ ὑποπίπτει θίξει τὸ τοῦ σώματος ἐκκεχωρισμένον; ἆρ' οὐχὶ διέστηκε τοῦθ' ὅπερ ἐκ τῆς τοῦ σώματος ἀφήρηται ταπεινότητος; οὐχὶ δὲ ζώμεν, κἂν πρὸς θάνατον ἡ τῆς ψυχῆς εὔκλεια τὸ σῶμα προσκαλέσηται; τί τοίνυν ἐνταῦθα ἡ ἀβλαβής τε καὶ εἰλικρινὴς πίστις ἄξιον ἀμφιβολίας κατείληφεν; ἢ οὐχ ὁρᾷς ὅτι σεμνότερον σῶμα ὁ Θεὸς ἐξελέξατο, δι' οὗ τὰ τῆς πίστεως τεκμήρια καὶ τὰ τῆς οἰκείας ἀρετῆς ὑποδείγματα ἔμελλεν ἐμφανίζειν; καὶ τὴν ἤδη συγκεχυμένην ὀλεθρίῳ πλάνην τοῦ ἀνθρωπίνου γένους ἀπώλειαν ἀποσείεσθαι, καινήν τε θρησκείας διδόναι διδασκαλίαν τῷ τῆς ἀγνοίας ὑποδείγματι, τὰς ἀναξίας τοῦ νοῦ πράξεις καθαίρειν, ἔπειτα δὲ τὴν μὲν τοῦ θανάτου βάσανον ἐκλύειν, τὰ δὲ τῆς ἀθανασίας ἔπαθλα προαναφωνεῖν. ἀλλ' ὑμεῖς, οὓς λοιπὸν ἀδελφοὺς ἡ τῆς ἀγάπης κοινωνία εἰκότως ὑπ' ἐμοῦ προσαγορεύεσθαι ποιεῖ, οὐκ ἀγνοεῖτέ με τὸν ὑμέτερον συνθεράποντα, οὐκ ἀγνοεῖτε τὸ τῆς ὑμετέρας σωτηρίας ὀχύρωμα, οὗ τὴν φροντίδα γνησίως ἐπανήρημαι, καὶ δι' οὗ τῶν ἡμετέρων ἐχθρῶν οὐ μόνον τὰ ὅπλα κατεμαχεσάμεθα, ἀλλὰ καὶ ζῶντας ἔτι τὴν ψυχὴν συγκατείρξαμεν πρὸς τὸ τῆς φιλανθρωτίας ἀληθῆ πίστιν ἐκφάναι. ἀλλ' ἐγὼ ἐπὶ τοῖς ἀγαθοῖς τούτοις διὰ τὴν τῆς οἰκουμένης μάλιστα ἀνανέωσιν ἔχαιρον. καὶ γὰρ θαύματος ἦν ἄξιον ἀληθῶς ἔθνη τοσαῦτα εἰς ὁμόνοιαν ἐπαγαγεῖν, ἃ πρὸ βραχέος ἐλέγετο τὸν Θεὸν ἀγνοεῖν. πλὴν τί ἔμελλε γινώσκειν τὰ ἔθνη ταῦτα, ἃ οὐδεμίαν φιλονεικίας ἐπανήρηντο φροντίδα; τί οὖν νοεῖτε, ἀδελφοὶ ἀγαπητοὶ, ὡς ἡμᾶς αὐτοὺς αἰτιῶμαι; Χριστιανοί ἐσμεν καὶ οἰκτρᾷ διαθέσει διχονοοῦμεν. αὕτη ἄρα ἐστὶν ἡ ἡμετέρα πίστις; αὕτη ἡ τοῦ ἁγιωτάτου νόμου διδασκαλία; ἀλλὰ τίς ἐστιν αἰτία, δι' ἣν ὁ τοῦ παρόντος κακοῦ ὄλεθρος ἐξεγήγερται; ὦ τῆς ἀτοπίας; ὦ μίσους ὑπερβολὴ πάσης ἀγανακτήσεως μέγεθος ὑπερπαίουσα; τίς ἡ τοῦ λῃστηρίου τούτου ἀναπέφανται δεινότης, ἢ τὸν τοῦ Θεοῦ υἱὸν ἀρνεῖται ἐξ ἀμερίστου τοῦ πατρὸς οὐσίας προεληλυθέναι, ἆρ' οὐχὶ πανταχοῦ ἐστιν ὁ Θεός; καί τοι γε τοῦτον πάντοτε παρεῖναι ἡμῖν αἰσθανόμεθα, ἆρ' οὐχὶ διὰ τῆς τούτου δυνάμεως ἡ τῶν ὅλων συνέστηκεν εὐκοσμία, καί τοι γε τῆς τοῦ χωρισμοῦ διαστάσεως ἐστέρηται; μὴ οὖν ἡμῖν τι πέπρακται, ὦ ἀγαπητοὶ ἀδελφοὶ, καταμάθετε νῦν ἀξιῶ τὰς βασάνους τῆς παρούσης ἀλγηδόνος. ὁμολογητὰς ὑμᾶς εἶναι τούτου ἐπαγγέλλεσθε, ὃν εἶναι ἀρνεῖσθε, ὑμᾶς τοῦ πανώλους διδασκάλου πείθοντος. ἱκετεύω, τίς ἐστι ὁ ταῦτα διδάξας οὕτως ἄκακον πλῆθος; Εὐσέβιος δηλαδὴ, ὁ τῆς τυραννικῆς ὠμότητος συμμύστης. ὅτι γὰρ πανταχοῦ τοῦ τυράννου γεγένηται προσφύλαξ, πανταχόθεν ἐστὶ συνορᾶν. τοῦτο μὲν γὰρ αἱ τῶν ἐπισκόπων σφαγαὶ διαμαρτύρονται, ἀλλὰ τῶν ἀληθῶς ἐπισκόπων· τοῦτο δὲ ἡ χαλαλεπωτάτη τῶν Χριστιανῶν ἐκδίωξις διαρρήδην βοᾷ. οὐδὲν γὰρ τῶν περὶ τῶν εἰς ἐμὲ γεγενημένων ὕβρεων νῦν ἐρῶ, δι' ὧν ὅτι μάλιστα αἱ τῶν ἐναντίων μερῶν ἐπραγματεύσαντο συνδρομαί. οὗτος καὶ ὁ φθαλμοὺς κατασκόπους ὑπέπεμπε κατ' ἐμοῦ, καὶ μόνον οὐκ ἐνόπλους τῷ τυράννῳ συνεισέφερεν ὑπουργίας. μὴ δ' ἐμέ τις οἰέσθω εἶναι πρὸς τὴν τούτων ἀπόδειξιν ἀπαράσκευον. ἔλεγχος γάρ ἐστιν ἀκριβὴς, ὅτι τοὺς πρεσβυτέρους καὶ διακόνους τοὺς Ἀσεβίῳ παρεπομένους φανερῶς ὑπ' ἐμοῦ συνειλῆφθαι συνέστηκεν. ἀλλὰ ταῦτα μὲν παρίημι, ἃ νῦν οὐκ ἀγανακτήσεως ἕνεκεν, ἀλλ' εἰς ἐκείνων αἰσχύνην ὑπ' ἐμοῦ προενήνεκται. ἐκεῖνο μόνον δέδια, ἐκεῖνο διαλογίζομαι, ὅτι ὑμᾶς ὁρῶ πρὸς τὴν τοῦ ἐγκλήματος καλεῖσθαι κοινωνίαν. διὰ γὰρ τῆς Εὐσεβίου ἀγωγῆς τε καὶ διαστροφῆς συνείδησιν τῆς ἀληθείας κεχωρισμένην ἀνειλήφατε. ἀλλ' ἔστιν οὐ βραδεῖα θεραπεία, εἴ γε ἐπίσκοπον πιστόν τε καὶ ἀκέραιον νῦν γοῦν λαβόντες, πρὸς τὸν Θεὸν ἀπίδητε· ὅπερ ἐπὶ τοῦ παρόντος ἐν ὑμῖν ἐστι. καὶ πάλαι ἐχρῆν τῆς ὑμετέρας κρίσεως ἠρτῆσθαι, εἰ μὴ ὁ προειρημένος Εὐσέβιος δεινῇ * τότε συλλαβομένων αὐτῷ ἐνταῦθα ἐληλύθει, καὶ τὴν τῆς τάξεως ὀρθότητα ἀναισχύντως συνετεταράχει. ἀλλ' ἐπειδὴ περὶ αὐτοῦ τοῦ Εὐσεβίου πρὸς τὴν ὑμετέραν ἀγάπην ὀλίγα προσῆκε φράσαι, μέμνηται ἡ ὑμετέρα ἀνεξικακία ἐπὶ τῆς Νικαέων πόλεως γεγενῆσθαι σύνοδον, ᾗ καὶ αὐτὸς ἐγὼ πρεπόντως τῇ τῆς ἐμῆς συνειδήσεως λατρείᾳ παρήμην, οὐδὲν ἕτερον βουλόμενος, ἢ ὁ μόνοιαν ἅπασιν ἐργάσασθαι, καὶ πρὸ πάντων ἐλέγξαι τε καὶ ἀποσείσασθαι τὸ πρᾶγμα τοῦτο, ὃ τὴν μὲν ἀρχὴν εἰλήφει διὰ τῆς Ἀρείου τοῦ Ἀλεξανδρέως ἀπονοίας, ἰσχυροποιεῖτο δὲ παραχρῆμα διὰ τῆς Εὐσεβίου ἀτόπου τε καὶ ὀλεθρίας σπουδῆς. ἀλλ' αὐτὸς οὗτος Εὐσέβιος, προσφιλέστατοι καὶ τιμιώτατοι, μεθ' ὅσης νομίζετε συνδρομῆς, ἅτε δὴ ὑπὸ τῆς συνειδήσεως αὐτῆς ἡττώμενος. μεθ' ὅσης δὲ αἰσχύνης, τῇ πανταχόθεν ἐληλεγμένῃ ψευδολογίᾳ συνίστατο, ὑποπέμπων μέν μοι διαφόρους τοὺς ἀξιοῦντας ὑπὲρ αὐτοῦ. ἐξαιτούμενος δὲ παρ' ἐμοῦ συμμαχίαν τινὰ, ὅπως μὴ ἐπὶ τοσούτῳ ἐλεγχθεὶς πλημμελήματι, τῆς ὑπαρχούσης αὐτῷ τιμῆς ἐκβάλλοιτο. μάρτυς ἐστί μοι τούτου ὁ Θεὸς αὐτὸς, ὃς ἐμοί τε καὶ ὑμῖν φιλαγάθως ἐπιμένοι, ἐπεὶ κἀμὲ ἐκεῖνος περιέτρεψε, καὶ ἀπρεπῶς ὑφήρπασεν· ὃ καὶ ὑμεῖς ἐπιγνώσεσθε. πάντα μὲν γὰρ ἐπράχθη τότε καθὼς αὐτὸς ἐπόθει, πᾶν ὁτιοῦν κακὸν ἐπὶ τῆς ἑαυτοῦ διανοίας ἀποκρυπτόμενος. ἀλλὰ πρώην, ἵνα τὰ λοιπὰ τῆς τούτου σκαιότητος παρῶ, τί μάλιστα μετὰ Θεογνίου, ὃν τῆς ἀνοίας ἔχει κοινωνὸν, διεπράξατο, ἀκούσατε παρακαλῶ. Ἀλεξανδρέας τινὰς τῆς ἡμετέρας πίστεως ἀναχωρήσαντας ἐνταῦθα κεκελεύκειν ἀποσταλῆναι, ἐπειδὴ διὰ τῆς τούτων ὑπηρεσίας ὁ τῆς διχονοίας ἠγείρετο πυρσός. ἀλλ' οὗτοι καλοί τε καὶ ἀγαθοὶ ἐπίσκοποι, οὓς ἅπαξ ἡ τῆς συνόδου ἀλήθεια πρὸς μετάνοιαν τετηρήκει, οὐ μόνον ἐκείνους ὑπεδέξαντο, καὶ παρ' ἑαυτοῖς ἠσφαλίσαντο, ἀλλὰ καὶ ἐκοινώνησαν αὐτοῖς τῆς τῶν τρόπων κακοηθείας. διὸ τοῦτο περὶ τοὺς ἀχαρίστους τούτους ἔκρινα πρᾶξαι· ἁρπαγέντας γὰρ αὐτοὺς ἐκέλευσα ὡς πορρωτάτω ἐξωρισθῆναι. νῦν ἡμέτερόν ἐστι, πρὸς τὸν Θεὸν ἐκείνῃ τῇ πίστει βλέπειν, ᾗ πάντοτε καὶ γεγενῆσθαι καὶ συνεστηκέναι καὶ εἶναι πρέπει, καὶ διαπράξασθαι. οὕτως ἐπισκόπους ἁγνούς τε καὶ ὀρθοδόξους, καὶ φιλανθρώπους ἔχοντες χαίρομεν. εἴτις δὴ ἢ πρὸς μνήμην τῶν λυμεώνων ἐκείνων,

νων, ἢ πρὸς ἔπαινον ἀπρονοήτως ἐξαφθῆναι τολμήσει, παραχρῆμα τῆς ἰδίας τόλμης διὰ τῆς τοῦ θεράποντος τοῦ Θεοῦ, τοῦτ' ἔστιν ἐμοῦ, ἐνεργείας ἀνασταλήσεται. ὁ Θεὸς ὑμᾶς φυλάξοι, ἀγαπητοὶ ἀδελφοί.

Νικητὴς Κωνσταντῖνος σεβαστὸς Θεοδότῳ.

παρὰ Γιλασ. βίβ. γ'.

ΟΣΗ τῆς θείας ὀργῆς ἡ ἰσχὺς πέφυκε, καὶ ἐξ ὧν Εὐσέβιός τε καὶ Θεόγνιος πεπόνθασιν εὐχερὲς καί σε μαθεῖν· οἳ εἰς τὴν ἁγιωτάτην παροινοῦντες θρησκείαν, τὸ τοῦ σωτῆρος Θεοῦ ὄνομα τῷ συστήματι τοῦ οἰκείου λῃστηρίου καὶ μετὰ τὸ τυχεῖν συγγνώμης ἐμίαναν. ὅτε γὰρ μάλιστα μετὰ τὴν τῆς συνόδου ὁμογνώμονα συμφωνίαν ἐχρῆν τὴν προτέραν ἐπανορθώσασθαι πλάνην, τότε τοῖς αὐτοῖς ἀτοπήμασιν ἐμμένοντες ἑάλωσαν. διὰ τοῦτο γοῦν ἡ θεία πρόνοια αὐτοὺς τοῦ ἑαυτῆς ἀπώσατο λαοῦ· ἐπειδὴ μηδὲ ἔφερε τὰς ἀκάκους ψυχὰς ὀλίγον ἀπονοίᾳ φθειρομένας καθορᾶν. καὶ νῦν μὲν ἀξίαν παρ' αὐτῶν ἤτησε δίκην, μείζονα δὲ καὶ εἰς τὸ ἑξῆς διὰ τοῦ παντὸς αἰῶνος λήψεται. ὅπερ τῇ σῇ ἀγχινοίᾳ δηλωθῆναι δεῖν ἡγησάμην, ἵν' εἴτις κακὴ παραίνεσις τῶν τοιούτων, ὡς ἔγωγε οὐκ οἶμαι τῇ σῇ ἐνεκαθέσθη προαιρέσει, ταύτην τῆς ψυχῆς ἀφελόμενος καθαρὰν ὡς προσῆκε τὴν διάνοιαν, εἰλικρινῆ τε καθοσίωσιν, καὶ ἄχραντον πίστιν τῷ σωτῆρι Θεῷ παρασχέσθαι προθυμηθῇς. καὶ γὰρ τοῦτο προσῆκόν ἐστὶν ὑπὸ τούτου πράττεσθαι, ὃς δ' ἂν ἀκεραίων τῶν τῆς αἰωνίου ζωῆς ἐπάθλων ἀξιοῦσθαι βουλεύηται. ὁ Θεός σε διαφυλάξοι, ἀδελφὲ ἀγαπητέ.

ΕΠΙΣΤΟΛΗ' ΚΩΝΣΤΑΝΤΙ'ΝΟΥ

ΠΡΟ'Σ Α'ΝΤΙΟΧΗ̃Σ

Μὴ ἀποσπᾶν Εὐσέβιον Καισαρείας, ἀλλ' ἕτερον ζητῆσαι.

Νικητὴς Κωνσταντῖνος, μέγιστος, σεβαστὸς, τῷ λαῷ ἀντιοχέων.

Εὐσέβ. εἰς τὸν βίον Κωνσταντ. φυλλ. 141.

ΩΣ κεχαρισμένῃ γε τῇ τοῦ κόσμου συνέσει τὲ καὶ σοφίᾳ ἡ παρ' ἡμῶν ὁμόνοια, καὶ ἔγωγῇ ὑμᾶς ἀδελφοὶ ἀθάνατον φιλίαν φιλεῖν ἔγνωκα, προκληθεὶς τῷ τὲ νόμῳ καὶ τῷ βίῳ, καὶ ταῖς σπουδαῖς ταῖς ὑμετέραις. τοῦτ' οὖν ἐστιν ὡς ἀληθῶς, ὀρθῶς τὰ καλὰ καρποῦσθαι, τὸ ὀρθῇ τὲ καὶ ὑγιεῖ κεχρῆσθαι διανοίᾳ. τὶ γὰρ ἂν οὕτως ὑμῖν ἁρμόσειεν. οὐκοῦν θαυμάσαιμ' ἄν, εἰ τὴν ἀλήθειαν σωτηρίας μᾶλλον ὑμῖν, ἢ μίσους αἰτίαν φήσαιμι. ἐν οὖν τοῖς ἀδελφοῖς, οὓς μία τὲ καὶ ἡ αὐτὴ διάθεσις ὀρθῆς καὶ δικαίας ὁδοῦ πορείαν τῷ θεῷ καταγγέλλεται, εἰς ἀγνὴν τε καὶ ὁσίαν ἑστίαν ἐγγράφειν. τὶ ἄντιμιώτερον γένοιτο τοῖς πάντων καλοῖς ὁμογνωμονεῖν; μάλιστα ὅπου τὴν πρόθεσιν ὑμῶν ἡ τοῦ νόμου παίδευσις εἰς καλλίω διόρθωσιν φέρει; καὶ τὴν ἡμετέραν κρίσιν τοῖς ἀγαθοῖς ἀπιθυμοῦμεν δόγμασι; θαυμαστὸν τοῦτο ἴσως ὑμῖν καταφαίνεται. τὶ δή ποτε τὸ προοίμιόν μοι τοῦ λόγου βούλεται, οὐ δὴ παραιτήσομαι, οὐ δ' ἀρνήσομαι τὴν αἰτίαν εἰπεῖν. ὁμολογῶ γὰρ ἀνεγνωκέναι τὰ ὑπομνήματα, ἐν οἷς λαμπραῖς τ' εὐφημίαις καὶ μαρτυρίαις, αἷς εἰς εὐσέβιον τῶν καισαρέων ἐπίσκοπον ὄντα, ὃν καὶ αὐτὸς παιδευσεώς τε καὶ ἐπιεικείας ἕνεκεν καλῶς τε ἐκ πολλοῦ γινώσκω, ἑώρων ὑμᾶς ἐγκειμένους αὐτὸν σφετεριζομένους. τὶ οὖν ἡγεῖσθέ με πρὸς ἀκριβῆ τοῦ κρείττονος ἐπιζήτησιν ἐπιγινόμενον δὴ ἐντεθυμῆσθαι; τίνα δὲ ἐκ τῆς ὑμετέρας σπουδῆς ἀνειληφέναι φροντίδα; ὦ πίστις ἁγία, εἰ διὰ τοῦ λόγου καὶ τῆς γνώμης τοῦ σωτῆρος ἡμῶν εἰκόνα, ὥσπερ ἡμῖν τοῦ βίου δίδως. ὡς δυσχερῶς ἂν καὶ αὐτὴ τοῖς ἁμαρτήσασιν ἀντιβαίης, εἰμὴ τὴν πρὸς κέρδος ὑπηρεσίαν ἀρνήσαιο. καὶ ἔμοιγε δοκεῖ αὐτῆς τῆς νίκης περιγενέσθαι ὁ τῆς εἰρήνης μᾶλλον ἀντιποιούμενος, ὡς ὅπου γέτοι τινὶ τὸ πρέπον ἔξεστιν, οὐδεὶς ἂν ὁ μὴ τερπόμενος εὑρεθείη. ἀξιῶ τοίνυν ἀδελφοὶ, τοῦ χάριν οὕτω διαγινώσκομεν, ὥς θ' ἑτέροις ὕβριν δι' ὧν αἱρούμεθα προστρίψασθαι, τοῦ χάριν ταῦτ' ἐπισπώμεθα, ἃ τὴν πίστιν τῆς ὑπολήψεως ἡμῶν καθαιρήσει. ἐγὼ μὲν οὖν ἐπαινῶ τὸν ἄνδρα, ὃς καὶ ὑμῖν τιμῆς τε καὶ διαθέσεως ἄξιος δοκιμάζεται. οὐ μὴν οὕτω γ' ἐξησθενηκέναι τὸ παρ' ἑκάστοις κυριόν τε καὶ βέβαιον ὀφεῖλον μένειν χρὴ, ὡς μὴ ταῖς ἰδίαις γνώμαις ἕκαστος ἀρκεῖσθαι, καὶ τῶν οἰκείων πάντας ἀπολαύειν, ἔν τε ἐφαμίλλῳ διασκέψει εἰς τὴν τοῦ δε τοῦ ἀνδρὸς σύγκρισιν οὐχ' ἕνα μόνον, ἀλλὰ καὶ πλείους ἐκφῆναι. διὸ δὴ οὐδὲν οὔτ' ἐκ πλήξεως οὔτε τραχύτητος ἐνοχλούσης ταῖς περὶ τὴν ἐκκλησίαν τιμαῖς, ὁμοίας τε καὶ διὰ πάντων ἐπίσης ἀγαπητὰς εἶναι συμβαίνει. οὐδὲ γὰρ εὔλογον εἰς ἕτερον πλεονέκτημα ποιεῖσθαι τὴν περὶ τούτου ἐπίσκεψιν τῆς πάντως διανοίας ἐπίσης, ἂν τ' ἐλάττους ἄν τε μείζους εἶναι δοκοῖεν τὰ θεῖα δόγματα ὑποδεχομένης τε καὶ φυλαττούσης, ὡς κατὰ μηδὲν τοὺς ἑτέρους εἰς τὸν κοινὸν νόμον ἐλαττοῦσθαι. εἰ δὴ τ' ἀληθὲς γνώριμον διαρρήδην ἀποφαινόμεθα, ὡς οὐ κάθεξιν, ἀλλ' ἀφαίρεσιν μᾶλλον ἂν εἴποι τὶς ἔσεσθαι τ' ἀνδρὸς, καὶ βίας ἔργα οὐ δικαιοσύνης γενήσεσθαι τὸ γινόμενον, ἂν θ' οὕτως, ἂν θ' ἑτέρως τὰ πλήθη φρονῇ, ὡς ἔγωγε διαρρήδην καὶ εὐτόλμως ἀποφαίνομαι ἐγκλήσεως ὑπόθεσιν εἶναι τοῦτο προσκαλουμένην, οὐ τῆς τυχούσης στάσεως ταραχήν. ἐπισημαίνουσι γοῦν τὴν τῶν ὀδόντων φύσιν τε καὶ δύναμιν, καὶ ἀρνειοὶ, ὅταν τοῦ ποιμένος τῆς συνηθείας τε καὶ θεραπείας ὑπολισθούσης ἐπὶ τὰ χείρω, τῆς πρὶν διαγωγῆς ἀποστερηθῶσιν. εἰ δὴ ταῦθ' οὕτως ἔχει, καὶ οὐ σφαλλόμεθα, τοῦτο πρῶτον θεάσασθε ἀδελφοί. πολλὰ γὰρ ὑμῖν καὶ μεγάλα ἐκ πρώτης ἀπαντήσεται. πρῶτον ἁπάντων, ἡ πρὸς ἀλλήλους γνησιότης τε καὶ διάθεσις, εἰ μηδὲν αὐτῆς ἐλαττωθὲν αἰσθήσεται. εἶθ' ὅτι καὶ δι' ὀρθὴν συμβουλὴν ἀφικόμενος, τὸ κατ' ἀξίαν ἐκ τῆς θείας κρίσεως καρποῦται. οὐ τὴν τυχοῦσαν χάριν εἰληφὼς τῷ περὶ αὐτοῦ τοσαύτην ὑμᾶς ἐπιεικείας ψῆφον ἐνέγκασθαι.

ἐπὶ

ἐπὶ τούτοις, ὃ τῆς ὑμετέρας συνηθείας ἐστὶν ἀγαθὴ γνώμη, σπουδὴν τὴν πρέπουσαν εἰσενέγκασθε εἰς ἐπιζήτησιν ἀνδρὸς οὗ χρήζετε, ἀποκλείσαντες πᾶσαν κατιώδη καὶ ἄπακτον βολήν. ἀεὶ γὰρ ἄδικος ἡ τοιαύτη, καὶ τῆς τῶν διαφορῶν συγχύσεως, σπινθῆρές τε καὶ φλόγες ἐξανίσανται. ὅτως οὖν τῷ θεῷ τ' ἀρέσαιμι κἀγὼ ὑμῖν, κατ' ἴχνός τε τὰς ὑμετέρας διαζήσαιμι, ὡς ὑμᾶς ἀγαπῶ, καὶ τὸν ὅρμον τῆς ὑμετέρας πρᾳότητος, ἐξ οὗ τὸν ῥοῦν ἐκεῖνον ἀποσάμενοι, ἀντεισενέγκατε ἤθει ἀγαθῷ τὴν ὁμόνοιαν, βέβαιον τὸ σημεῖον ἐνθέμενοι, δρόμον τε ἱκάνιον εἰς φῶς δραμόντες, πηδαλίοις δ', ὡς ἂν εἴποι τις σιδηροῖς. διόπερ κἀγὼ τὸν ἄφθαρτον, φθαρτὸν ἡγεῖσθε. πᾶν γὰρ τὴν ναῦν λυμαινόμενον, ὥσπερ ἐξ ἀντλίας ἀνάλωται. διὸ δὴ νῦν προνοήσασθε τῆς ἀπολαύσεως τοῦ πάντων οὕτως ἔχειν, ὡς ἂν μὴ δεύτερον ἀβούλῳ κἀλυσιτελεῖ σπουδῇ τὸ καθόλου τι πήξασθαι, ἢ τῇ ἀρχῇ ἐπιχειρῆσαι συμφέρον δοκοίημι. Ὁ Θεὸς ὑμᾶς διαφυλάξοι ἀδελφοὶ ἀγαπητοί.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΕΠΙΣΤΟΛΗ

Ἐγκωμιαστικὴ πρὸς Εὐσέβιον ἐπὶ τῇ παραιτήσει τῆς Ἀντιοχέων Ἐπισκοπῆς.

Νικητὴς Κωνσταντῖνος, μέγιστος, σεβαστὸς, Εὐσεβίῳ.

Εὐτέβ. ἐν τῷ βίῳ Κωνστ.

Ἀνέγνων πληρέστατα τῷ ἐπισκοπῷ, καὶ τὸν κανόνα τῆς ἐκκλησιαστικῆς ἐπιστήμης εἰς ἀκρίβειαν φυλαχθέντα κατενόησα. ἐμμένειν γοῦν τούτοις ἅπερ ἀρεστά τε τῷ θεῷ καὶ τῇ ἀποστολικῇ παραδόσει σύμφρονα φαίνεται. μακάριον δὴ σαυτὸν καὶ ἐν αὐτῷ τούτῳ νόμιζε. ὡς τῇ τοῦ κόσμου παντὸς, ὡς ἔπος εἰπεῖν, μαρτυρίᾳ ἄξιος ἐκείνης πάσης ἐκκλησίας ἐπίσκοπος εἶναι. εἰ γὰρ ποθοῦσιν ἅπαντες εἶναι σὲ παρ' αὐτοῖς, ταύτην σοὶ τῷ δαιμονίαν ἀναμφισβητήτως συναύξουσιν. ἀλλ' ἡ σὴ σύνεσις, ἧγουν τὰς τε ἐντολὰς τοῦ Θεοῦ καὶ τὸν ἀποστολικὸν κανόνα καὶ τῆς ἐκκλησίας φυλάττειν ἔγνωκεν, ὑπέρβαλλε πεποίηκε, παραιτουμένη τὴν ἐπισκοπίαν τῆς κατὰ τὴν ἀντιόχειαν ἐκκλησίας. ἐν ταύτῃ δὲ διαμεῖναι σπουδάζουσα, εἰς ὃν ἐκ πρώτης Θεοῦ βουλήσει τὴν ἐπισκοπίαν ὑπεδέξατο. περὶ δὴ τούτου πρὸς τὸν λαὸν ἐπιστολὴν ἐποιησάμην, πρόσθε τοὺς ἄλλους συλλειτουργοὺς οἳ καὶ αὐτοὶ περὶ τούτων ἐτύγχανόν μοι γεγραφηκότες. ἅπερ ἡ σὴ καθαρότης ἀναγνοῦσα, ῥᾳδίως ἐπιγνώσεται, ὅτι τῆς δικαιοσύνης ἀντιφθεγγομένης αὐτοῖς, προὔξοπῇ τοῦ θείου πρὸς αὐτοὺς ἔγραψα. ὧν τῷ συμβουλίῳ, καὶ τῷ σῷ σύνεσιν παρεῖναι δεήσει, ὡς ἂν τοῦτο ἐπὶ τῆς ἀντιοχέων ἐκκλησίας τυπωθείη. ὁ Θεός σε διαφυλάξοι ἀδελφὲ ἀγαπητέ.

ΕΤΕΡΑ ΕΠΙΣΤΟΛΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ

Πρὸς τὴν Σύνοδον, μὴ ἀποκωλύεσθαι καισαρείας Εὐσέβιον.

Νικητὴς Κωνσταντῖνος, μέγιστος, σεβαστὸς, θεοδότῳ, θεοδώρῳ, ναρκίσσῳ, ἀετίῳ, ἀλφειῷ, καὶ τοῖς λοιποῖς ἐπισκόποις τοῖς ὄσιν ἐν ἀντιοχείᾳ.

Ἀνέγνων τὰ γραφέντα παρὰ τῆς ὑμετέρας σωφροσύνης, Εὐσέβιόν τε τὸν ἅμα ὑμῖν ἱερωμένον τὴν ἔμφρονα πρόθεσιν ἀπεδεξάμην, ἐπιγνούς τε τὰ πεπραγμένα σύμπαντα, τοῦτο μὲν τοῖς ὑμετέροις γράμμασι. τοῦτο δὲ τοῖς ἀκακίου καὶ στρατηγίου τῶν διασημοτάτων κομήτων, διασκεψίν τε τιὼ δέουσαν ποιησάμενος, πρὸς τὸν λαὸν τῶν ἀντιοχέων ἔγραψα, ὅπερ ἀρεστόν τε τῷ θεῷ ἴσθι καὶ ἁρμόζον τῇ ἐκκλησίᾳ ἀντιγραφόν τε τῆς ἐπιστολῆς ὑποταχθῆναι τοῖς γράμμασι τούτοις ἐνετειλάμην. ὡς ἂν καὶ αὐτοὶ γινώσκητε ὅ,τι πότε τῷ τοῦ δικαίου λόγῳ προσκληθεὶς πρὸς τὸν λαὸν γράψαι προειλόμην. ἐπειδὴ τοῦτο τοῖς γράμμασιν ὑμῶν περιέχετο, ὥς τε κατάγε τιὼ τοῦ λαοῦ καὶ τῆς ὑμετέρας προαιρέσεως σωφρονεῖν τε καὶ βούλησιν, Εὐσέβιον τὸν ἱερώτατον ἐπίσκοπον τῆς καισαρέων ἐκκλησίας, ἐπὶ τῆς ἀντιοχέων προκαθέζεσθαι, καὶ τιὼ ὑπὲρ ταύτης ἀναδέξασθαι φροντίδα τιὼ ἐμιὼ τὰ τοῦ βίου γράμματα ἃ τὸν θεσμὸν ἐκκλησίας μάλιστα φυλάττοντα ἐφαίνετο. ἐχρῆν δ' ὑμῶν τῇ συνέσει καὶ τιὼ ἐμιὼ γνώμην ἐμφανῆ γενέσθαι. ἀφῖκται γὰρ εἰς ἐμὲ, Εὐφρόνιόν τε τὸν πρεσβύτερον πολίτην ὄντα τῆς κατὰ καππαδοκίαν ἡγεμονείας, καὶ γεώργιον τὸν ἀρειανῶν πρεσβύτερον. ὡσαύτως δὲ ἐπὶ τῆς τάξεως ταύτης ἀλέξανδρος ὁ ἀλεξανδρείας κατέστησατο εἶναι, τιὼ πίστιν δοκιμώτατος. καλῶς δ' ἂν εἶχε δηλῶσαι τῇ σωφροσύνῃ ὑμῶν, τούς τε προχειρισαμένους καὶ ἑτέρους ὃς ἂν ἀξίους ἡγήσησθε πρὸς τὸ τῆς ἐπισκοπῆς ἀξίωμα, ὁρίσαι ταῦτα, ἃ τῇ τῶν ἀποστόλων παραδόσει σύμφωνα ἂν εἴη. τῶν γὰρ τοιούτων ἀξιωθέντων, δυνήσεται ὑμῶν ἡ σύνεσις κατὰ τὸν τῆς ἐκκλησίας κανόνα καὶ τὴν ἀποστολικὴν παράδοσιν ὕστερον ῥυθμίσαι τὴν χειροτονίαν, ὡς ἂν ὁ τῆς ἐκκλησιαστικῆς ἐπιστήμης ὑφηγῆται λόγος. ὁ θεὸς ὑμᾶς διαφυλάξοι ἀδελφοὶ ἀγαπητοί.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ τοῦ Σωσοδικοῦ.

Οὐμιὼ δὲ, ἀλλὰ καὶ ὁ Νικομηδείας Εὐσέβιος, ἁπάρας μετιὼ θέαν, καὶ τὰ ἐν Ἱεροσολύμοις ἐγκαίνια, ἐπὶ τιὼ Ἀντιόχειαν παραγίνεται, καὶ σωσόδον κατὰ τοῦ θείου συμβόλου, καὶ Εὐσαθίου συνέσησε τοῦ μάκαρος· πλέξας σαβελλισμὸν αὐτῷ καὶ μοιχίαν· δι' ὧν καθαίρεσιν ἐψηφίσατο, καὶ ἐκ τοῦ βασιλέως κατάκεισιν ἐξορίας ἐν τῷ Ἰλλυρικῷ παρεσκάσατο. Μόνον τοῦ ἑτεροκοῦ γυναίου ἔχοντος ἐν ἀγκάλαις τὸ βρέφος, καὶ Εὐσαθίου εἶναι διομνυμένου, τοὺς ὅρκους λήθη καλύψαι οὐκ ἴσχυσε. Τοῦτο γὰρ καὶ μακροτάτῃ κλινοβατίᾳ περιπεσόντος, κλῆρος καὶ λαὸς ἐξαγορεύοντος ἤκουον, ὧν παρὰ τῆς αἱρετικῶν χρυσίου κατὰ τοῦ μακαρίου Εὐσαθίου ποσότητα ἔλαβε· ἐπὶ τῆς ὅρκων φάσκοντος μὴ διαμαρτεῖν, ὡς ἔοικε, τοῦ ὀνόματος. Εὐσαθίου σπέρμα τοῦ χαλκέως, τοῦ ἐπιδεικνυμένου βρέφους καὶ καθάπαξ ὑπάρχοντος.

ΚΑ-



Μ. Διονυσίου, Ἅγ. Ὑπάτιος, 16ου αἰ.



Σκήτη Ἅγ. Ἄννης, Ἅγ. Μητροφάνης, 18ου αἰ.



Ἅγ. Ἀχίλλιος.



Nagoricino, Ἅγ. Εὐσέβιος Καισαρείας

ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΝ ΓΑΓΓΡΑ

ΣΥΝΕΛΘΟΝΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

Οἵτινες μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον ἐξετέθησαν.

Κυρίοις τιμιωτάτοις ἐν Ἀρμενίᾳ συλλειτουργοῖς, Εὐσέβιος, Αἰλιανὸς, Εὐγένιος, Ολύμπιος, Βιθυνικὸς, Γρηγόριος, Φιλητὸς, Πάππος, Εὐλάλιος, Ὑπάτιος, Προαιρέσιος, Βασίλειος, Βάσσος, οἱ συνελθόντες εἰς τὴν κατὰ Γάγγραν ἁγίαν σύνοδον, ἐν κυρίῳ χαίρειν.

ΕΠΕΙΔΗ συνελθοῦσα ἡ ἁγιωτάτη σύνοδος τῶν ἐπισκόπων ἐν τῇ κατὰ Γάγγραν ἐκκλησίᾳ διά τινας ἐκκλησιαστικὰς χρείας, ζητουμένων καὶ τῶν κατ' Εὐστάθιον, εὕρισκεν πολλὰ ἀθέσμως γινόμενα ὑπὸ τούτων αὐτῶν τῶν περὶ Εὐστάθιον. ἀναγκαίως ὥρισεν, καὶ πᾶσι φανερὸν ποιῆσαι ἐσπούδασεν, εἰς ἀναίρεσιν τῶν ὑπ' αὐτοῦ κακῶς γινομένων. καὶ γὰρ ἐκ τοῦ καταμέμφεσθαι αὐτοὺς τὸν γάμον, καὶ ὑποτίθεσθαι, ὅτι οὐδεὶς τῶν ἐν γάμῳ ὄντων ἐλπίδα παρὰ Θεῷ ἔχει, πολλαὶ γυναῖκες ὕπανδροι ἀπατηθεῖσαι τῶν ἑαυτῶν ἀνδρῶν ἀνεχώρησαν, καὶ ἄνδρες τῶν ἰδίων γυναικῶν· εἶτα ἐν τῷ μεταξὺ μὴ δυνηθεῖσαι ἐγκρατεῖν ἐμοιχεύθησαν, καὶ διὰ τὴν τοιαύτην ὑπόθεσιν ὠνειδίσθησαν. εὑρίσκοντο δὲ καὶ ἀναχωρήσεις ἐκ τῶν οἴκων τοῦ Θεοῦ καὶ τῆς ἐκκλησίας ποιούμενοι, καταφρονητικῶς διακείμενοι κατὰ τῆς ἐκκλησίας καὶ τῶν ἐν τῇ ἐκκλησίᾳ, καὶ ἰδίᾳ, συνάξεις ποιούμενοι, καὶ ἐκκλησιάσεις, καὶ διδασκαλίας ἑτέρας, καὶ τὰ ἄλλα κατὰ τῶν ἐκκλησιῶν καὶ κατὰ τῶν ἐν τῇ ἐκκλησίᾳ, ξένα ἀμφιάσματα ἐπὶ καταπτώσει τῆς κοινότητος τῶν ἀμφιασμάτων συνάγοντες· καρποφορίας τε τὰς ἐκκλησιαστικὰς τὰς ἀνέκαθεν διδομένας τῇ ἐκκλησίᾳ, ἑαυτοῖς καὶ τοῖς σὺν αὐτοῖς, ὡς ἁγίοις, τὰς διαδόσεις ποιούμενοι· καὶ δοῦλοι δεσποτῶν ἀναχωροῦντες, καὶ διὰ τοῦ ξένου ἀμφιάσματος καταφρόνησιν κατὰ τῶν δεσποτῶν ποιούμενοι· καὶ γυναῖκες παρὰ τὸ σύνηθες ἀντὶ ἀμφιασμάτων γυναικείων ἀνδρικὰ ἀμφιάσματα ἀναλαμβάνουσαι, καὶ ἐκ τούτων οἰόμεναι δικαιοῦσθαι. πολλαὶ δὲ καὶ ἀποκείρονται προφάσει θεοσεβείας τὴν φύσιν τῆς κόμης τῆς γυναικείας. νηστείας τε ἐν κυριακῇ ποιούμενοι, καὶ τῆς ἁγιότητος τῆς ἐλευθέρας ἡμέρας καταφρονοῦντες, καὶ τῶν νηστειῶν τῶν ἐν ταῖς ἐκκλησίαις τεταγμένων ὑπερφρονοῦντες, καὶ ἐσθίοντες, καί τινες αὐτῶν μεταλήψεις κρεῶν βδελυττόμενοι· καὶ ἐν οἴκοις γεγαμηκότων εὐχὰς ποιεῖσθαι μὴ βουλόμενοι, καὶ γινομένων εὐχῶν καταφρονοῦντες, καὶ πολλάκις προσφορῶν ἐν αὐταῖς ταῖς οἰκίαις μετὰ γεγαμηκότων γινομένων μὴ μεταλαμβάνοντες· καὶ πρεσβυτέρων γεγαμηκότων ὑπερφρονοῦντες, καὶ τῶν λειτουργιῶν τῶν ὑπ' αὐτῶν γινομένων μὴ ἁπτόμενοι, καὶ τῶν ἐκεῖ συνερχομένων καὶ λειτουργούντων καταγινώσκοντες καὶ πλουσίων δὲ τῶν μὴ πάντων τῶν ὑπαρχόντων ἀναχωρούντων, ὡς ἐλπίδα παρὰ Θεῷ μὴ ἐχόντων· καὶ πολλὰ ἄλλα, ἃ ἀριθμῆσαι οὐδεὶς ἂν δυνηθείη. ἕκαστος γὰρ αὐτῶν, ἐπειδὴ τοῦ κανόνος τοῦ ἐκκλησιαστικοῦ ἐξῆλθεν, ὥσπερ νόμους ἰδιάζοντας ἔχεν. οὔτε γὰρ κοινὴ γνώμη αὐτῶν ἁπάντων ἐγένετο· ἀλλ' ἕκαστος, ὅπερ ἂν ἐνεθυμήθη, τοῦτο προσέθηκεν ἐπὶ διαβολῇ τῆς ἐκκλησίας, καὶ ἑαυτοῦ βλάβῃ. διὰ οὖν ταῦτα ἠναγκάσθη ἡ παραγενομένη ἐν Γάγγραις ἁγία σύνοδος καταψηφίσασθαι αὐτῶν, καὶ ὅρους ἐκθέσθαι, ἐκτὸς αὐτοὺς εἶναι τῆς ἐκκλησίας· εἰ δὲ μεταγνοῖεν, καὶ ἀναθεματίζοιεν ἕκαστον τούτων τῶν κακῶς λεχθέντων, δεκτοὺς αὐτοὺς γίνεσθαι· καὶ διὰ τοῦτο ἐξέθετο ἡ ἁγία σύνοδος ἕκαστον, ὃ ὀφείλουσιν ἀναθεματίσαντες δεχθῆναι. εἰ δέ τις μὴ πεισθείη τοῖς λεχθεῖσιν, ὡς αἱρετικὸν αὐτὸν ἀναθεματισθῆναι, καὶ εἶναι ἀκοινώνητον καὶ κεχωρισμένον τῆς ἐκκλησίας. καὶ δεήσει τοὺς ἐπισκόπους ἐπὶ πάντων τῶν εὑρισκομένων παρ' αὐτοῖς τοιοῦτον παραφυλάξασθαι.

ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΝ ΓΑΓΓΡΑ.

α'.

Ἔ τις τὸν γάμον μέμφοιτο, καὶ τὴν καθεύδουσαν μετὰ τοῦ ἀνδρὸς αὐτῆς, οὖσαν πιστὴν καὶ εὐλαβῆ, βδελύσσοιτο ἢ μέμφοιτο, ὡς ἂν μὴ δυναμένην εἰς βασιλείαν εἰσελθεῖν, ἀνάθεμα ἔστω.

β'.

Εἴ τις ἐσθίοντα κρέα χωρὶς αἵματος καὶ εἰδωλοθύτου καὶ πνικτοῦ, μετ' εὐλαβείας καὶ πίστεως, κατακρίνοι, ὡς ἂν διὰ τὸ μεταλαμβά-

βάνειν, ἐλπίδα μὴ ἔχοντα, ἀνάθεμα ἔσω.

γ'.

Εἴ τις δῆλον προφάσει θεοσεβείας διδάσκοι καταφρονεῖν δεσπότου, καὶ ἀναχωρεῖν τῆς ὑπηρεσίας, καὶ μὴ μετ' εὐνοίας καὶ πάσης τιμῆς τῷ ἑαυτοῦ δεσπότῃ ἐξυπηρετεῖσθαι. ἀνάθεμα ἔσω.

δ'.

Εἴ τις διαχέοιτο παρὰ πρεσβυτέρου γεγαμηκότος, ὡς μὴ χρῖσαι λειτουργήσαντος αὐτοῦ προσφορᾶς μεταλαμβάνειν, ἀνάθεμα ἔσω.

ε'.

Εἴ τις διδάσκοι τὸν οἶκον τοῦ Θεοῦ ἀκατάφρονητον εἶναι, καὶ τὰς ἐν αὐτῷ συναξεις, ἀνάθεμα ἔσω.

ς'.

Εἴ τις παρὰ τὴν ἐκκλησίαν ἰδίᾳ ἐκκλησιάζοι, καὶ καταφρονῶν τῆς ἐκκλησίας, τὰ τῆς ἐκκλησίας ἐθέλοι πράττειν, μὴ συνόντος τοῦ πρεσβυτέρου κατὰ γνώμην τοῦ ἐπισκόπου, ἀνάθεμα ἔσω.

ζ'.

Εἴ τις καρποφορίας ἐκκλησιαστικὰς ἐθέλοι λαμβάνειν, ἢ διδόναι ἔξω τῆς ἐκκλησίας, παρὰ γνώμην τοῦ ἐπισκόπου, ἢ τοῦ ἐγχειρισμένου τὰ τοιαῦτα, καὶ μὴ μετὰ γνώμης αὐτοῦ ἐθέλοι πράττειν, ἀνάθεμα ἔσω.

θ'.

Εἴ τις διδοῖ ἢ λαμβάνοι καρποφορίαν παρεκτὸς τοῦ ἐπισκόπου, ἢ τοῦ ἐπιτεταγμένου εἰς οἰκονομίαν ἀποιΐας, καὶ ὁ διδούς, καὶ ὁ λαμβάνων, ἀνάθεμα ἔσω.

ι'.

Εἴ τις παρθενεύοι, ἢ ἐγκρατεύοιτο, ὡς ἂν βδελύττων, τοὺς γάμων ἀναχωρήσας, καὶ μὴ δι' αὐτὸ τὸ καλὸν καὶ ἅγιον τῆς παρθενίας, ἀνάθεμα ἔσω.

ι'.

Εἴ τις τοὺς παρθενευόντων διὰ τὸν κύριον, καταπαίροιτο τοὺς γεγαμηκότων, ἀνάθεμα ἔσω.

ια'.

Εἴ τις καταφρονοίη τοὺς ἐκ πίστεως ἀγάπας ποιούντων, καὶ διὰ τιμιὼ τοῦ κυρίου συγκαλούντων τοὺς ἀδελφούς, καὶ μὴ ἐθέλοι κοινωνεῖν ταῖς κλήσεσι, διὰ τὸ ἐξουτελίζειν τὸ γινόμενον, ἀνάθεμα ἔσω.

ιβ'

Εἴ τις ἀνδρῶν διὰ νομιζομένω ἄσκησιν περιβολαίῳ χρῆται, καὶ ὡς ἂν ἐκ τούτου τιμὴ δημοσιεύων ἔχων, καταψηφίσοιτο τοὺς μετ' ἀλλαβείας τοὺς βήρους φορέντων, καὶ τῇ ἄλλῃ κοινῇ καὶ ἐν συνηθείᾳ ὄσῃ ἑαθῆτι κεχρημένων, ἀνάθεμα ἔσω.

ιγ'.

Εἴ τις γυνὴ διὰ νομιζομένω ἄσκησιν μεταβάλλοιτο ἀμφίασμα, καὶ ἀντὶ τοῦ ἐιωθότος γυναικείου ἀμφιάσματος, ἀνδρεῖον ἀναλάβοι, ἀνάθεμα ἔσω.

ιδ'.

Εἴ τις γυνὴ καταλιμοάνοι τὸν ἄνδρα, καὶ ἀναχωρεῖν ἐθέλοι, βδελυττομένη τὸν γάμον, ἀνάθεμα ἔσω.

ιε'.

Εἴ τις καταλιμπάνῃ τὰ ἑαυτοῦ τέκνα, καὶ μὴ τεκνοτροφῇ, καὶ ὅσον ἐν ἑαυτῷ πρὸς θεοσέβειαν τιμὼ προσήκουσαν ἀνάγῃ, ἀλλὰ προφάσει τῆς ἀσκήσεως ἀμελοίη, ἀνάθεμα ἔσω.

ις'.

Εἴ τινα τέκνα γονέων, μάλισα πιστῶν, ἀναχωροίη προφάσει θεοσεβείας, καὶ μὴ τιμὼ καθήκουσαν τιμιὼ τοῖς γονεῦσιν ἀπονέμοι, προτιμωμένης δηλονότι παρ' αὐτοῖς τῆς θεοσεβείας, ἀνάθεμα ἔσω.

ιζ'.

Εἴ τις γυναικῶν διὰ τιμὼ νομιζομένω ἄσκησιν ἀποκείροιτο τὰς κόμας, ἃς ἔδωκεν ὁ Θεὸς εἰς ὑπόμνησιν τῆς ὑποταγῆς, ὡς ἀναλύουσα τὸ πρόσαγμα τῆς ὑποταγῆς, ἀνάθεμα ἔσω.

ιη'.

Εἴ τις διὰ νομιζομένω ἄσκησιν ἐν τῇ κυριακῇ νηστεύοι, ἀνάθεμα ἔσω.

ιθ'.

Εἴ τις τῶν ἀσκουμένων χωρὶς σωματικῆς ἀνάγκης ὑπερηφανεύοιτο, καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν, καὶ φυλασσομένας ὑπὸ τῆς ἐκκλησίας, παραλύοι ἀποκυρῶντος ἐν αὐτῷ πελείῳ λογισμοῦ, ἀνάθεμα ἔσω.

κ'.

Εἴ τις αἰτιῷτο, ὑπερηφάνῳ διαθέσει κεχρημένος καὶ βδελυσσόμενος, τὰς σωάξεις τῶν μαρτύρων, ἢ τὰς ἐν αὐτοῖς γινομένας λειτουργίας, καὶ τὰς μνήμας αὐτῶν, ἀνάθεμα ἔσω.

κα'.

Ταῦτα δὲ γράφομεν, οὐκ ἐκκόπτοντες τοὺς ἐν ἐκκλησίᾳ τοῦ Θεοῦ κατὰ τὰς γραφὰς ἀσκεῖσθαι βουλομένους. ἀλλὰ τοὺς λαμβάνοντας τιμὼ ὑπόθεσιν τῆς ἀσκήσεως εἰς ὑπερηφανίαν, κατὰ τῶν ἀφελέστερον βιούντων ἐπαιρομένους τε, καὶ παρὰ τὰς γραφὰς καὶ τοὺς ἐκκλησιαστικοὺς κανόνας, καὶ νεωτερισμοὺς εἰσάγοντας. ἡμεῖς τοιγαροῦν καὶ παρθενίαν μετὰ ταπεινοφροσύνης θαυμάζομεν, καὶ ἐγκράτειαν μετὰ σεμνότητος καὶ θεοσεβείας γινομένω ἀποδεχόμεθα· καὶ ἀναχώρησιν τῶν ἐγκοσμίων πραγμάτων μετὰ ταπεινοφροσύνης ἀποδεχόμεθα, καὶ γάμου συνοίκησιν σεμνιὼ τιμῶμεν· καὶ πλοῦτον μετὰ δημοσίας καὶ ἐποιΐας οὐκ ἐξουθενοῦμεν· καὶ λιτότητα καὶ ἀτέλειαν ἀμφιασμάτων, δι' ἐπιμέλειαν μόνον τοῦ σώματος, ἀπεργον ἐπαινοῦμεν· τὰς δὲ ἐκλύτους καὶ τεθρυμμένας ἐν τῇ ἑαθῆτι προόδους οὐκ ἀποδεχόμεθα, καὶ τοὺς οἴκους τοῦ Θεοῦ τιμῶμεν, καὶ τὰς συνόδους τὰς ἐπ' αὐτοῖς, ὡς ἁγίας καὶ ἐπωφελεῖς ἀποδεχόμεθα· ἃ συγκλείοντες τιμὼ ἀσέβειαν ἐν τοῖς οἴκοις, ἀλλὰ πάντα τύπον τὸν ἐπ' ὀνόματι τι

τι τȣ̃ Θεȣ̃ οἰκοδομηθέντα τιμῶντες· ϗ τὴν ἐν αὐτῇ τῇ ἐκκλησίᾳ τοῦ Θεȣ̃ σύνοδον κοινὴν, εἰς ὠφέλειαν τοῦ κοινοῦ, ἀποδεχόμεθα· ϗ τὰς καθ' ὑπερβολὴν ἐποιίας τῶν ἀδελφῶν, τὰς κατὰ τὰς παραδόσεις διὰ τῆς ἐκκλησίας εἰς τοὺς πτωχοὺς γινομένας, μακαρίζομεν· ϗ πάντα συνελόντας εἰπεῖν, τὰ παραδοθέντα ὑπὸ τῶν θείων γραφῶν καὶ τῶν ἀποστολικῶν παραδόσεων, ἐν τῇ ἐκκλησίᾳ γίνεσθαι ἐχόμεθα.

Ε'Κ ΤΟΥ̃ ΒΙΒΛΙ'ΟΥ

τȣ̃ Συνοδικȣ̃.

ΤΩΝ μαθητῶν δὲ τȣ̃ Εὐσταθίȣ Ἀρμενίας τὴν οἰκείαν λύμην διανεμόντων εἰς πλείονας· Δαδόη γὰρ τȣ̃ Μασσαλιανῶν μετεῖχον φρονήματος παλίμβȣλοι· ϗ ταῖς γνώμαις ὑπάρχοντες ἀμφιτάλαντοι, καθὼς ὁ ἐκείνων διδάσκαλος, Θεὸν τὸν ποιήσαντα ἄρσεν ϗ θῆλυ, ἐκ τῆς κατηγορίας τȣ̃ γάμȣ ἐνδιαβάλλοντες· ἡ ἐν Γάγγρᾳ ἁγία συναθροισθεῖσα σύνοδος, φέρȣσα Δίον τὸν πάνυ αὐτῆς προκαθήμενον· ἥτις ὅρον θεόπνευστον ἐξενέγκασα, πρὸς ἀδελφȣ̀ς τοὺς ἐν Ἀρμενίᾳ ἐξέπεμψεν.

ΣΥ'ΝΟΔΟΣ Α'ΡΕΙΑΝΩ̃Ν

ἐν Καισαρίᾳ τῆς Παλαιστίνης.

Ε'κ τȣ̃ βιβλίȣ τȣ̃ Συνοδικȣ̃.

Α'ΛΕΞΑΝΔΡΟΥ τοίνυν τοῦ πάπα Ἀλεξανδρείας κατὰ πενταμηναῖον χρόνον τοῦ ἀναστρέψαι ἀπὸ Νικαίας, πρὸς κύριον ἐκδημήσαντος, Ἀθανάσιος τὴν προεδρίαν ἀξίως εἰς δέχεται. Οἱ δὲ προῤῥηθέντες κακόδοξοι μεμαθηκότες, μεγάλως ἐτάκησαν. πείρᾳ τὸν ἄνδρα γινώσκοντες, ϗ ὡς φόνιον τῷ φιλοχρίστῳ βασιλεῖ Κωνσταντίνῳ τȣ̃τον ἀναδιδάξαντες, ἐν Καισαρείᾳ Παλαιστήνης σύνοδον κατ' αὐτοῦ γενέσθαι παρώτρυναν. Ἀθανασίȣ γȣ̃ν ἐκεῖσε μὴ παραγενομένου, ϗ τὸν αὐτῆς ἐπίσκοπον προδήλως αὐτῷ ἐκ πάλαι ϗ τῇ ἀληθείᾳ χρηματίσαντος δυσμενέστατον, ἡ μανικὴ ἄπρακτος διελύετο σύνοδος.

Τῷ μακαρίῳ πάπᾳ Ἀθανασίῳ Ἰσχύρας ἐν κυρίῳ χαίρειν.

Ε'Πειδὴ προσῆλθόν μοι κύριε ἐπίσκοπε βȣλόμενος τῆς ἐκκλησίας εἶναι, ᾐτιάσω δέ με ἐφ' οἷς πρότερον ἐφθεγξάμην, ὡς ἐμȣ̃ ἀπὸ προαιρέσεως εἰς τȣ̃το παρελθόντος, τȣ́τȣ ἕνεκεν ταύτην τὴν ἀπολογίαν ἐγγράφως σοι ἐπιδίδωμι, ἵν' εἰδέναι ἔχοις ὅτι βίας μοι γενομένης, ϗ πληγῶν ἐπιτεθεισῶν ἀπὸ Ἰσαὰκ ϗ Ἡρακλείδȣ. ϗ Ἰσαὰκ τȣ̃ τῆς Λητȣ̃ς, ϗ ὑπὸ τῶν σὺν αὐτοῖς· ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν εἰς τȣ̃το λαμβάνων, ἀπολογȣ̃μαι ὅτι ȣ̓δὲν ὧν ἐκεῖνοι εἰρήκασι συνοῖδά σε πεποιηκέναι· ȣ̓̃τε γὰρ ποτηρίου κλάσις γέγονεν, ȣ̓̃τε τῆς ἁγίας τραπέζης καταστροφὴ γεγένηται, ἀλλὰ ταῦτα πάντα ἐκεῖνοι βίαν ἐπιθέντες μοι, εἰς τȣ̃το παρώρμησάν με. ταῦτα δὲ ἀπελογησάμην σοι ϗ ἐγγράφως ἐπιδέδωκα αἱρȣ́μενος ϗ ἐπιδικαζόμενος τῶν ἐπί σε συναγομένων, ἐῤῥῶσθαί σε ἔχομαι ἐν κυρίῳ· ἐπιδέδωκα δὲ τὴν δέ μȣ τὴν χεῖρα, σοι τῷ ἐπισκόπῳ Ἀθανασίῳ, ἐπὶ παρȣσίᾳ τῶν πρεσβυτέρων, Ἀμμωνᾶ Δικέλλης, Ἡρακλείȣ Φάσκω, Βόκκονος Κενεβρὶ, Ἀχιλλᾶ Μυρσήνης, Διδύμȣ Ταφοσίρεως, ϗ Ἰȣ́στȣ ἀπὸ βαμοθέȣ. ϗ Διακόνων, ἀπὸ μὲν Ἀλεξανδρείας Παύλȣ ϗ Πέτρȣ, ϗ Ολυμπίȣ, ἀπὸ δὲ Μαρεώτȣ, Ἀμμωνίȣ, ϗ Πιστοῦ, ϗ Δημητρίȣ ϗ Γαΐȣ. Καὶ ταῦτα μὲν ὁ Ἰσχύρας.

ἘΠΙΣΤΟΛΗ' ΚΩΝΣΤΑΝΤΙ'ΝΟΥ

πρὸς τȣ̀ς Καθολικȣ̀ς τῆς ἐν Ἀλεξανδρείᾳ Ε'κκλησίας.

Κωνσταντῖνος μέγιστος σεβαστὸς, τῷ λαῷ τῷ κατ' Ἀλεξάνδρειαν καθολικῆς ἐκκλησίας.

Α'Γαπητοὶ ἀδελφοὶ, προσαγορεύω ὑμᾶς, ἐπικαλȣ́μενος τὸν Θεὸν τὸν τῆς ἐμῆς βȣλήσεως μέγιστον μάρτυρα, ϗ τὸν τȣ̃ ἡμετέρȣ νόμȣ μονογενῆ δημιȣργὸν, ὃς ϗ τῆς ζωῆς προκαθέζεται τῶν ἁπάντων ϗ τὰς διχονοίας μισεῖ· πλὴν τί ἂν εἴποιμι ὅτι καλῶς ὑγιαίνομεν, ἀλλ' ἐξὴν καλλίονος ἀπολαῦσαι τῆς εὐρωστίας, εἰ ὑμᾶς αὐτȣ̀ς ἀμοιβαδεῖς ἠγαπᾶτε, ἀποσεισάμενοι τὰ μίση, δι' ὧν ταῖς τῶν ἐρεσχηλȣ́ντων τρικυμίαις, τὸν λιμένα τῆς ἀγάπης ἐγκατελίπομεν. φεῦ τῆς ἀτοπίας ταύτης, ὅσα καθ' ἑκάστην ἡμέραν συμπτώματος τȣ̃ συνκεχυμένȣ φθόνȣ κινεῖται. οὕτω πρὸς τὸν λαὸν τȣ̃ Θεȣ̃ μετωκίσθησαν αἱ δυσφημίαι. πȣ̃ τοίνυν τῆς δικαιοσύνης ἡ πίστις ἀνακεχώρηκεν; ὅπȣ γε εἰς τοσȣ̃τον τῇ τȣ̃ σκότȣς ἀχλύϊ περιβεβλήμεθα, ȣ̓ μόνον διὰ τὴν πολύπλοκον πλάνην, ἀλλὰ ϗ διὰ τὰ τῶν ἀχαρίστων ἐλαττώματα, τῶν μὲν τὴν ἄνοιαν βραβευόντων ἀνεχόμεθα, τῶν δὲ τῆς ἐπιείκειαν ϗ τὴν ἀλήθειαν διακρȣομένων αἰσθανόμενοι παρενθυμȣ́μεθα, τί τὸ δεινὸν τȣ̃το τῆς ἡμετέρας κακίας; τȣ̀ς ἐχθρȣ̀ς ȣ̓κ ἐλέγχομεν, ἀλλ' ἑπόμεθα τῷ λῃστηρίῳ, δι' ȣ̃ ὁδόν τινα ἑαυτῇ ἵν' ȣ̓̃τως εἴπω, ἡ τῆς ἀπωλείας ἀπάτη μηδενὸς ἀντικειμένȣ ῥᾳδίως εἰργάσατο. ἄρα ȣ̓δεμία ἐστὶν αἴσθησις, ȣ̓δὲ κατὰ χάριν τῆς κοινῆς ἁπάντων φύσεως, εἴ γε τῶν τȣ̃ νόμȣ προσταγμάτων ἐμελήσαμεν; ἀλλ' ἐρεῖ τις, κατὰ φύσιν ἡ ἀγάπη ἐξευρίσκεται, τί ȣ̓ν ὅτι ἡμεῖς ϗ τὸν τȣ̃ Θεȣ̃ νόμον πρὸς τῇ εὐφυίᾳ χόντες, ἀνεχόμεθα τῆς ὀχλήσεως ϗ τοῦ θορύβȣ τῶν ἐχθρῶν πυρσοῖς τισιν ὡς ἔοικεν ἐξαπτομένων, ϗ ȣ̓χ' ὁρῶμεν ὀφθαλμȣ̀ς ἔχοντες, ȣ̓δὲ αἰσθανόμεθα, καίτοι ταῖς τȣ̃ νόμȣ αἰσθήσεσιν ὄντες πεφραγμένοι, ὁπόση ἄρα πτόησις τὴν ἡμετέραν ζωὴν κατείληφεν, ὅπȣ γε ἡμῶν ἐκ τῶν ȣ̓̃τως ἀμελȣ̃μεν, ϗ ταῦτα ἐπομιμνήσκον-

κοντος τȣ̃ Θεȣ̃; εἶτα, ȣ̓κ ἐςιν ἀφόρητον τὸ κακόν; ȣ̓ πολεμίȣς ἡγεῖσθαι προσήκει τȣ́τȣς; ȣ̓ τὸν οἶκον κ̀ τὸν λαὸν τȣ̃ Θεȣ̃, ἐμπαροινȣ̃σιν ἡμῖν κ̀ ἐγκαλȣ̃σί γε οἱ πανώλεις ἐκεῖνοι καὶ ἐπιπλήσσȣσιν ἐκ τῶν ἐναντίων ἡμῖν; μεθ' ὅσης δὲ ἀπονοίας τȣ̃το πράττȣσιν, ὑμᾶς αὐτοὺς ἐννοεῖν ἀξιῶ. οἱ γὰρ μωροὶ ἐπὶ τῆς γλώττης κειμένην ἔχȣσι τὴν κακίαν. ȣ̃τοι γȣ̃ν μολιβδίνας τινὰς ὀργὰς περιφέρονται, ὡς ἑαυτȣ̀ς μὲν κατ' ἀντίδοσιν πλήττειν, ἡμᾶς δὲ πρὸς κέρδος τῆς οἰκείας κολάσεως ἀπάγειν, κ̀ ὁ μὲν καλῶς διδάξας, πολέμιος κρίνεται, ὁ δὲ τὴν φθόνȣ κακίαν προβεβλημένος ἐκεῖνος τὴν τȣ̃ λαοῦ ἡμερότητα, ȣ̓δὲ ὄντος καταλαμβάνει, πορθεῖ, καταναλίσκει, κ̀ ἑαυτὸν κακοθελεῖ, ἐγκωμίῳ κοσμεῖ κ̀ συντίθησι, τὴν δὲ ἀλήθειαν ἀνατρέπει κ̀ τὴν πίςιν ἀπατᾷ μέχρις ȣ̃ τῷ οἰκείῳ συνειδότι, φωλεὸν κ̀ κρυπτηρίαν ἐπιζητήσας εὕρῃ. αὕτη γȣ̃ν αὐτȣ̀ς ἡσκαιότης ἀθλίȣς ποιεῖ, ὅταν προπετῶς ἑαυτȣ̀ς ἀναξίȣς ὄντας ἀποδέχωνται, λέγοντες, φεῦ τῶν κακῶν, ἐκεῖνος πρεσβύτερός ἐςι, κ̀ ἐκεῖνος παῖς; ἐμȣ̃ ἅπτεται ἡ τιμὴ, ἐμοὶ ὀφείλεται, ἐκείνȣ περιαιρεθῇ, ἐπεὶ αὐτὸς ἐμαυτῷ ἀφαρπάσας ἅπαντας, ἐπ' ἐξȣσίας ἀπολέσαι πειράσομαι. λαμπράτις ἡ τῆς μανίας ἐκβόησις, τάγματα κ̀ συλλόγȣς, ἢ ἵν' ȣ̃τως εἴπω ἀρχιερεσίαν τῶν ἀτόπων τȣ́των συςημάτων ἰδεῖν. ὦ τῆς ἀτοπίας ἡμῶν ἵν' ȣ̃τως εἴπω, ἐπὶ τῆς ἐκκλησίας τοῦ Θεȣ̃, ἀνοίας ἐςὶν ἐπίδειξις. εἶτα, οὐκ αἰδȣ̃νται; ȣ̓κ αὐτοὶ ἑαυτȣ̀ς ψέγȣσιν; ȣ̓δὲ τὰς ψυχὰς δάκνονται, ἵνα νῦν γοῦν καταντικρὺ τῆς ἀπάτης κ̀ τῆς ἐρεχελίας ἄξιόν τι φρονεῖν δόξωσι; βία μόνη ἐςὶ τȣ̃ φθόνȣ τοῖς ἰδίοις ἐπερειδομένη φαρμάκοις· ȣ̓δὲν ἴσχυσαν οἱ πονηροὶ κατὰ τȣ̃ ἐπισκόπȣ ὑμῶν. ἐμοὶ πιςεύσατε ἀδελφοὶ, ȣ̓δὲν ἕτερον ἐσπȣδάκασιν, ἢ ἵνα κατατρίψαντες τȣ̀ς ἡμετέρȣς χρόνȣς, μὴ δὲ μίαν χώραν ἐν τῇ ζωῇ ταύτῃ μεταμελείας ἔχωσιν. ἐπικȣρήσατε τοίνυν ὑμῖν αὐτοῖς, παρακαλῶ τὸ φίλτρον τὸ ἡμέτερον ἀγαπήσατε; κ̀ παντὶ σθένει διώξατε τȣ̀ς τὴν τῆς ἡμετέρας ὁμονοίας χάριν ἀφανίζειν ἐπιθυμȣ̃ντας, κ̀ πρὸς τὸν Θεὸν ἀπιδόντες, ὑμᾶς αὐτȣ̀ς ἀγαπᾶτε. ἐγὼ γὰρ τὸν ἐπίσκοπον Ἀθανάσιον, ἀσμένως προσηκάμην, οὕτως τε προσεφθεγξάμην, ὡς ἄνθρωπον αὐτὸν Θεȣ̃ ὄντα πεπεισμένος. ὑμέτερόν ἐςι ταῦτα συνιέναι, οὐκ ἐμὸν κρίνειν. τὴν γὰρ παρ' ἐμȣ̃ πρόσρησιν, αὐτὸν Ἀθανάσιον ὑμῖν διακονῆσαι τὸν αἰδεσιμώτατον ἀναγκαῖον ἡγησάμην, ἐννοῶν τὴν ἐπιμέλειαν τῆς ἐπιεικείας αὐτȣ̃, ἥτις ȣ̓κ ἀναξίως τῆς εἰρηνικῆς μȣ πίςεως, εἰς τὸ ἀγαθὸν τῆς σωτηριώδȣς γνώμης κατέχεται διαπαντὸς, κ̀ ἕξει τὸν προτρέποντα λογισμόν. ὁ Θεὸς ὑμᾶς διαφυλάξοι ἀδελφοὶ ἀγαπητοί.

ΕΠΙΣΤΟΛΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ

πρὸς Ἀθανάσιον.

Νικητὴς Κωνςαντῖνος μέγιςος σεβαςὸς τῷ πάπᾳ Ἀθανασίῳ.

ΤΟῖς παρὰ τῆς σῆς συνέσεως ἐντυχὼν γράμμασι, ταύτης γνώμης ἐγὼ ἐγενόμην, ὡς ἀντιγράφων τῇ σῇ ςερρότητι, προςρέψασθαί σε, ὅπως πρὸς εὐταξίαν κ̀ οἶκτον τὸν τȣ̃ Θεȣ̃ λαὸν ἄγειν σπȣδάσῃς. ταῦτα γὰρ μάλιςα προηγȣ́μενα ἐν τῇ ἐμαυτȣ̃ ψυχῇ κατέχω, ὡς ἀλήθειαν τὸ ἀσκεῖν, κ̀ ἐν τῇ διανοίᾳ δικαιοσύνην ἀεὶ φηλάττειν, κ̀ τȣ́τοις μάλιςα χαίρειν, τοῖς ὀρθὸν ὁδὸν τȣ̃ βίȣ πορευομένοις· περὶ δὲ ἐκείνων τῶν πάσης ἀρᾶς ἀξίων, τῶν Μελιτιανῶν δηλαδὴ τῶν σκαιοτάτων κ̀ ἀθεμίτων, οἵ τινες τῇ ἐμπληξίᾳ λοιπὸν ἀπονεναρκήκασι, κ̀ μόνον φθόνῳ κ̀ ζάλῃ κ̀ θορύβοις τὰ ἄτοπα κινȣ̃σι, τὴν ἀθέμιτον αὐτῶν διάνοιαν ἐπιδεικνύντες, ταῦτα φθέγξομαι. ὁρᾷς γὰρ ὅπως οἱ ἄνδρες ȣ̓ς ἐκεῖνοι ξίφει ἀνῃρῆσθαι ἔφασκον, ἐν μέσοις νῦν εἰσὶ κ̀ τῆς ζωῆς ἀπολαύȣσι. πρὸς δὴ ταῦτα τί ἂν γένοντο πρόκριμα χεῖρον, ȣ̃τω φανερῶς κ̀ σαφῶς ἐπιφερόμενον τῇ ἐκείνων δίκῃ, ἢ τὸ τȣ́τȣς ȣ̓ς ἀνῃρῆσθαι ἔλεγον, ζῆν τε κ̀ τȣ̃ βίȣ ἀπολαύειν, οἵ τινες δηλονότι κ̀ ὑπὲρ ἑαυτῶν φθέγξασθαι δυνήσονται; προσέκειτο δὲ τοῖς παρὰ τῶν Μελιτιανῶν ἐκείνων κ̀ τȣ̃το. διεβεβαιȣ̃ντο γὰρ ἀθεμίτως, ὁρμῇ ἐπεισελθόντα σε κ̀ ἁρπάσαντα ποτήριον ἐν τῷ ἁγιωτάτῳ ἀποκείμενον τόπῳ, κεκλακέναι, ȣ̃ πράγματος ἀληθῶς ȣ̓δὲν μεῖζον ἦν ἔγκλημα ȣ̓τε τηλικȣ̃τον ἀτόπημα, εἰ τȣ̃το ȣ̃τως πεπρᾶχθαι κ̀ ἡμαρτῆσθαι συνέβαινεν. Ἀλλὰ γὰρ τίς ἡ κατηγορία αὕτη; τίς δὲ ἡ μετάβασις κ̀ ποικιλία τȣ̃ πράγματος; ὡς νῦν εἰς ἕτερον πρόσωπον τὴν κατηγορίαν τȣ̃ ἐγκλήματος τȣ́τȣ μετάγειν, ὅπερ δηλονότι πρᾶγμα, αὐτȣ̃ τȣ̃ φωτός ἐςιν ὡς εἰπεῖν τηλαυγέςερον, ὅτι τῇ σῇ συνέσει ἐπιβȣλεῦσαι ἐσπȣ́δαζον; μετὰ δὴ ταῦτα, τίς ἂν ἐκείνοις τοῖς ἀνθρώποις τοσαῦτα εἰς βλάβην ἀναπλασαμένοις, ἀκολȣθῆσαι ἐθελήσειεν; ὅταν μάλιςα αὐτοὶ ἑαυτȣ̀ς εἰς ὄλεθρον ἄγωσι, κ̀ συνορῶσιν ὅτι πεπλασμένων κ̀ ψευδῶν πραγμάτων εἰσὶ κατήγοροι· ὡς ἔφην τοίνυν, τίς ἂν ἐκείνοις ἐξακολȣθήσειε, κ̀ εἰς τὴν ὁδὸν τῆς ἀπωλείας, πρηνὴς ἀπέλθοι; εἰς ἐκείνην δηλαδὴ εἰς ἣν ἐκεῖνοι μόνοι τὴν ἐλπίδα τῆς σωτηρίας κ̀ τῆς ἐπικȣρίας ἔχειν οἴονται. εἰ γὰρ βȣ́λοιντο ἐπὶ καθαρὰν ἐλθεῖν συνείδησιν, κ̀ ὑπομνησθῆναι τῆς ἀρίςης γνώμης, κ̀ ἐπὶ τὴν ὑγιαίνȣσαν ἐλθεῖν διάνοιαν, ῥᾳδίως γνώσονται, ȣ̓δὲ μίαν αὐτοῖς ὑπάρχειν ἐπικȣρίαν παρὰ τῆς προνοίας, ἐπειδήπερ τοιȣ́των εἰσὶ ζηλωταὶ κ̀ ἐπὶ τῷ οἰκείῳ ὀλέθρῳ πειράζονται. ταύτην δὴ ȣ̃ν ȣ̓ τραχύτητά τινα, ἀλλὰ ἀλήθειαν δικαίως ἂν εἴποιμι. τὸ τελευταῖον δὲ κ̀ τȣ̃το προςίθημι, ὅπερ βȣλόμεθα δημοσία παρὰ τῆς σῆς συνέσεως πολλάκις ἀναγνωσθῆναι ταῦτα. ὡς ἂν ἐντεῦθεν εἰς τὴν ἁπάντων γνῶσιν ἔλθοι, κ̀ μάλιςα εἰς τὴν ἐκείνων ἀφικέσθαι δυνηθείη, οἵ τινες ȣ̃τω πράττȣσιν, ȣ̃τως ἀναςρέφουσιν, ὡς ταῦτα ἅπερ παρ' ἡμῶν εὐθείας λέγεται λόγῳ, τῇ τῆς ἀληθείας εἰρῆσθαι πράξει. ἐπειδὴ τοίνυν ἐν τȣ́τῳ τῷ πράγματι τηλικȣ̃τόν ἐςιν ἀτόπημα γινωσκέτωσαν ȣ̃τω με κεκρικέναι, κ̀ ταύτης εἶναι τῆς προαιρέσεως, εἴτι τοιȣ̃τον κινοῖεν, μηκέτι λοιπὸν κατὰ τȣ̀ς τῆς ἐκκλησίας, ἀλλὰ κατὰ τȣ̀ς δημοσίȣς νόμȣς, αὐτόν με δι' ἐμαυτȣ̃, τῶν πραγμάτων ἀκροασόμενον, κ̀ λοιπὸν εὑρήσοντα αὐτȣ̀ς, ὅτι μὴ μόνον κατὰ τȣ̃ ἀνθρωπίνȣ γένȣς λῃςαί τινες ὄντες, ἀλλὰ γὰρ κ̀ κατ' αὐτῆς τῆς θείας διδασκαλίας φαίνονται. ὁ Θεός σε διαφυλάξει ἀδελφὲ ἀγαπητέ.

Κυ-

Ε'ΠΙΣΤΟΛΗ Α'ΛΕΞΑ'ΝΔΡΟΥ

Ε'πισκόπου Θεσσαλονίκης, πρὸς Α'θανάσιον.

Συγχαίρει ἐπὶ τῇ Νίκῃ κατὰ Εὐσεβιανῶν.

Κυρίῳ ἀγαπητῷ υἱῷ καὶ ὁμοψύχῳ συλλειτουργῷ Ἀθανασίῳ Αλέξανδρος ἐπίσκοπος ἐν κυρίῳ χαίρειν.

ΣΥγχαίρω τῷ βελτίστῳ Σαραπίωνι, οὕτως ἱεροῖς αὐτὸν ἤθεσι κοσμεῖν ἀγωνιζομένῳ, καὶ τήν τε τοῦ πατρὸς μνήμην ἐγκωμιαστικώτερον ἐπαύξοντι. ἐτελεύτησε γὰρ ὥς που ἱεράφησι γραφὴ, ὁ πατὴρ αὐτοῦ, καὶ οὐκ ἀπέθανε· κατέλιπε γὰρ τῷ βίῳ μνημόσυνον. ὅπως μὲν οὖν διεκείμεθα περὶ τὸν μνήμης ἄξιον σώζοντα. οὐδ' αὐτὸς ἀγνοεῖς δέσποτα, τὴν περὶ ἐκεῖνον ἱερὰν μνήμην, καὶ τὴν προσοῦσαν τῷ νεωτέρῳ ἐπιείκειαν, μίαν μόνην τὴν διὰ τοῦ νεωτέρου τούτου ἐδεξάμην παρὰ τῆς σεμνότητός σου ἐπιστολήν· ἐδήλωσα οὖν σοι αὐτὸ τοῦτο, ἵν' εἰδέναι ἔχῃς δέσποτα. ὁ ἀγαπητὸς ἡμῶν καὶ συνδιάκονος Μακάριος, εὔφρανέ με ἀπὸ τῆς Κωνσταντίνου πόλεως γράψας, ὅπως Ἀρκὰφ ὁ συκοφάντης ἠσχημόνησε, τὸν ζῶντα ὡς φονευθέντα παρὰ πᾶσι κηρύξας. ὅτι γὰρ τὴν ἐπὶ τοῖς τολμηθεῖσιν αὐτῷ ἀξίαν εἰς πρᾶξιν κομιεῖται παρὰ τοῦ δικαίου κριτοῦ μετὰ τοῦ ὁμοτρόπου στίφους, αἱ ἀψευδεῖς ἀναφωνοῦσι γραφαί. ὁ τῶν ὅλων διατηροίη σε ἐπὶ μήκιστον δεσπότης, κύριε πάντων χάριν, χρηστότατε.

ΕΠΙΣΤΟΛΗ ΑΡΣΕΝΙΟΥ ΕΠΙΣΚΟΠΟΥ.

Ἀθανασίῳ Μακαρίῳ πάπᾳ, Ἀρσένιος ἐπίσκοπος τῶν ποτὲ ὑπὸ Μελίτιον τῆς Ὑψηλιτῶν πόλεως, ἅμα πρεσβυτέροις καὶ διακόνοις, ἐν κυρίῳ πλεῖστα χαίρειν.

ΚΑΙ ἡμεῖς ἀσπαζόμενοι τὴν εἰρήνην καὶ ἕνωσιν πρὸς τὴν καθολικὴν ἐκκλησίαν, ἧς σὺ κατὰ χάριν Θεοῦ προΐστασαι, προῃρημένοι τε τῷ ἐκκλησιαστικῷ κανόνι κατὰ τὸν παλαιὸν νόμον ὑποτάσσεσθαι, γράφομέν σοι, ἀγαπητὲ πάπα, ὁμολογοῦντες ἐν ὀνόματι κυρίου τοῦ λοιποῦ μὴ κοινωνήσειν τοῖς ἐτιχίζουσι, καὶ μηδέπω εἰρηνεύουσιν πρὸς τὴν καθολικὴν ἐκκλησίαν, ἐπισκόποις τε καὶ πρεσβυτέροις καὶ διακόνοις, μήτε συνθέσθαι αὐτοῖς βουλομένοις τι ἐν συνόδῳ, μήτε γράμματα εἰρηνικὰ ἀποστέλλειν. μήτε δέξασθαι παρ' αὐτῶν, μὴ δ' αὖ δίχα γνώμης σου τοῦ τῆς μητροπόλεως ἐπισκόπου, ὅρον τινὰ ἐκφέρειν περὶ ἐπισκόπων, ἢ περὶ δόγματος ἑτέρου κοινοῦ ἐκκλησιαστικοῦ. ἀλλ' εἴκειν πᾶσι τοῖς προτετυπωμένοις κανόσι καθ' ὁμοιότητα τῶν ἐπισκόπων Ἀμμωνιάνου καὶ Τυράννου, καὶ Πλουσιανοῦ καὶ τῶν λοιπῶν ἐπισκόπων. πρὸς ταῦτα οὖν ἀξιοῦμεν τὴν χρηστότητα, ἀντιγράψαι μὲν ἡμῖν διὰ τάχους, ὡσαύτως τε καὶ τοῖς συλλειτουργοῖς περὶ ἡμῶν, ὅτι εἴημεν ἤδη ἐπὶ τοῖς προειρημένοις ὅροις, εἰρηνεύσαντες πρὸς τὴν καθολικὴν ἐκκλησίαν, καὶ ἑνωθέντες τοῖς συλλειτουργοῖς ἐπὶ τῶν τόπων. πιστεύομεν δὲ ὡς εὐχαί σου ἐνεργήσουσιν εὐπρόσδεκτοι οὖσαι, ὥστε τὴν τοιαύτην εἰρήνην, βεβαίαν καὶ ἀδιάλυτον εἶναι μέχρι τέλους, κατὰ τὸ βούλημα τοῦ δεσπότου τῶν ἁπάντων Θεοῦ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. τὸ ὑπό σε ἱερατεῖον, ἡμεῖς, καὶ οἱ σὺν ἡμῖν, προσαγορεύομεν, ὅσον δὲ οὔπω, Θεοῦ ἐπιτρέποντος, ἀπαντήσομεν πρὸς τὴν σὴν χρηστότητα. Ἀρσένιος ἐῤῥῶσθαί σε εὔχομαι ἐν κυρίῳ πολλοῖς χρόνοις, μακαριώτατε πάπα.

Ε'ΠΙΣΤΟΛΗ ΚΩΝΣΤΑΝΤΙ'ΝΟΥ

πρὸς τὴν ἐν Τύρῳ Συνόδον.

Κωνσταντῖνος σεβαστὸς, τῇ ἁγίᾳ συνόδῳ τῇ κατὰ Τύρον.

ΗΝ μὲν ἴσως ἀκόλουθον καὶ τῇ τῶν καιρῶν εὐκαιρίᾳ μάλιστα πρέπον ἀστασίαστον εἶναι τὴν καθολικὴν ἐκκλησίαν καὶ πάσης λοιδορίας τοὺς τοῦ Χριστοῦ νῦν ἀπηλλάχθαι θεράποντας. ἐπειδὴ δὲ οὐχ' ὑγιοῦς φιλονεικίας οἴστρῳ τινὲς ἐλαυνόμενοι, οὐ γὰρ ἂν εἴποιμι βιοῦντες ἑαυτῶν ἀναξίως, τὰ πάντα συγχέειν ἐπιχειροῦσιν, ὅπερ πάσης συμφορᾶς ἐπέκεινα κεχωρηκέναι μοι δοκεῖ. τούτου χάριν θέοντας ὑμᾶς, τὸ τοῦ λόγου, προτρέπομαι χωρὶς τινὸς ὑπερθέσεως εἰς ταὐτὸ συνδραμεῖν, καὶ πληρῶσαι τὴν σύνοδον, ἐπαμῦναι τοῖς χρῄζουσιν ἐπικουρίας, τοὺς ἀδελφοὺς ἰατρεῦσαι κινδυνεύοντας, εἰς ὁμόνοιαν ἐπαναγαγεῖν τὰ διεστῶτα τῶν μελῶν, διορθώσασθαι τὰ πλημμελούμενα ὡς καιρὸς ἐπιπρέπει ἵνα ταῖς τοσαύταις ἐπαρχίαις τὴν πρέπουσαν ἀποδῶτε συμφωνίαν, ἣν φεῦ τῆς ἀτοπίας, ἐλαχίστων ἀνθρώπων ἀπώλεσεν ὑπεροψία. ὅτι δὲ τοῦτο καὶ τῷ δεσπότῃ τῶν ὅλων Θεῷ ἐστὶν ἀρεστὸν, καὶ ἡμῖν πάσης εὐχῆς ὑπέρτερον, καὶ ὑμῖν αὐτοῖς ἐάν γε τὴν εἰρήνην ἐπικαλέσησθε, οὐτ' γε τυχούσης ἄξιον εὐδοξίας, ἅπαντας ἀνθρώπους συνομολογεῖν ἡγοῦμαι. μὴ τοίνυν μέλλετε λοιπὸν, ἀλλ' ἐπιτείναντες ἐντεῦθεν ἤδη τὰ τῆς προθυμίας, τοῖς προκειμένοις ὅρον ἐπιθεῖναι σπουδάσατε τὸν προσήκοντα, μετὰ πάσης εἰλικρινείας δηλαδὴ καὶ πίστεως συνελθόντες, ἣν ἑκασταχοῦ μονονουχὶ φωνὴν ἀφιεὶς ὁ σωτὴρ ἐκεῖνος ᾧ λατρεύομεν, ἀπαιτεῖ μάλιστα. παρ' ἡμῶν δὲ οὐδὲν τῶν εἰς τὴν ἐμὴν εὐλάβειαν ἡκόντων ἐνδεήσει. πάντα μοι πέπρακται ὅσα γράφοντες ἐδηλώσατε. ἀπέστειλα (οὖν) πρὸς οὓς ἐβουλήθητε τῶν ἐπισκόπων, ἵνα παραγενόμενοι, κοινωνήσωσιν ὑμῖν τῶν φροντισμάτων. ἀπέστειλα Διονύσιον τὸν ἀπὸ ὑπατικῶν, ὃς καὶ τοὺς ὀφείλοντας εἰς τὴν σύνοδον ἀφικέσθαι μεθ' ὑμῶν ὑπομνήσει. καὶ τῶν πραττομένων, ἐξαιρέτως δὲ τῆς εὐταξίας κατάσκοπος παρέσται. ἐὰν γάρ τις, ὡς ἔγω γε οὐκ οἶμαι, τὴν ἡμετέραν κέλευσιν καὶ νῦν διακρούσασθαι πειρώμενος μὴ βουληθῇ παραγενέσθαι, ἐντεῦθεν παρ' ἡμῖν ἀποσταλήσεται, ὃς ἐκ βασιλικοῦ προστάγματος αὐτὸν ἐκβαλὼν, ὡς οὐ προσῆκον ὅροις αὐτοκράτορος ὑπὲρ τῆς ἀληθείας ἐξενεχθεῖσι μὴ ἀντιτείνειν διδάξει. λοιπὸν ἔσται τῆς ὑμετέρας ὁσιότητος ἔργον ὁμογνώμονι κρίσει, μήτε πρὸς ἀπέχθειαν, μήτε πρὸς χάριν, ἀκολούθως δὲ τῷ ἐκκλησιαστικῷ καὶ ἀποστολικῷ κανόνι, τοῖς πλημμεληθεῖσιν, εἴτ' οὖν κατὰ σφάλμα συμβεβηκόσι, τὴν ἁρμόττουσαν θεραπείαν ἐπινοῆσαι ἵνα καὶ πάσης βλασφημίας ἐλευθερώσητε τὴν ἐκκλησίαν, καὶ τὰς ἐμὰς ἐπι-

κουφίσητε φροντίδας, καὶ τὴν τῆς εἰρήνης χάριν τοῖς νῦν στασιαζομένοις ἀποδόντες, μεγίστην εὔκλειαν ὑμῖν αὐτοῖς προξενίσητε. ὁ Θεὸς ὑμᾶς διαφυλάττει ἀδελφοὶ ἀγαπητοί.

Ε'ΠΙΣΤΟΛΗ' ΠΡΟΣΦΕΡΟΜΕ'ΝΗ

ἐν τῇ ἐν Τύρῳ Συνόδῳ παρὰ τεσσαράκοντα καὶ ἑπτὰ ὀρθοδόξων Ε'πισκόπων τῆς Αἰγύπτου.

Τοῖς ἐν Τύρῳ συνελθοῦσιν ἐπισκόποις, κυρίοις τιμιωτάτοις, οἱ ἀπ' Αἰγύπτου σὺν Ἀθανασίῳ ἐλθόντες τῆς καθολικῆς ἐκκλησίας ἐν κυρίῳ χαίρειν.

Ο Υκέτινομίζομεν τὴν συσκευὴν ἄδηλον εἶναι, τὴν παρὰ τῶν περὶ Εὐσέβιον καὶ Θεόγνιον καὶ Μάρι, καὶ Νάρκισσον, καὶ Θεόφιλον, καὶ Πατρόφιλον ἡμῖν γινομένην, καὶ κατ' ἀρχὴν μὲν παρῃτούμεθα πάντες διὰ τοῦ συλλειτουργοῦ ἡμῶν Ἀθανασίου, παρόντων αὐτῶν, τὴν ἀκρόασιν γενέσθαι. εἰδότες ὅτι καὶ ἑνὸς μόνου ἐχθροῦ παρουσίᾳ μήτιγε πολλῶν, ταράττειν καὶ βλάπτειν δύναται τὴν ἀκρόασιν. οἴδατε γὰρ καὶ ὑμεῖς αὐτοὶ τὴν ἔχθραν αὐτῶν, ἣν οὐ πρὸς ὑμᾶς μόνον ἐσχήκασιν, ἀλλὰ καὶ πρὸς πάντας τοὺς ὀρθοδόξους, ὅτι διὰ τὴν Ἀρείου μανίαν, καὶ τὴν ἀσεβῆ διδασκαλίαν ἐκείνου, κατὰ πάντων ἐπιφύονται καὶ πᾶσι συσκευάζονται, ἐπειδὴ δὲ θαρροῦντες ἡμεῖς τῇ ἀληθείᾳ δεῖξαι τὴν συκοφαντίαν τὴν κατὰ τῆς ἐκκλησίας ὑπὸ τῶν Μελιτιανῶν γινομένην ἠθελήσαμεν, οὐκ οἴδαμεν πῶς οἱ περὶ Εὐσέβιον ταράττειν τὰ παρ' ἡμῶν λεγόμενα, ἐπειρῶντο. καὶ ἐπὶ πολὺ ἐσπούδαζον τὰ παρ' ἡμῶν λεγόμενα ἐκβάλλεσθαι, τοῖς μὲν ἀκεραίως δικάζουσιν ἀπειλοῦντες, τοὺς δὲ καὶ ὑβρίζοντες, μόνον ἵνα τὸ καθ' ἡμῶν σπουδαζόμενον αὐτοῖς γένηται, καὶ ἴσως ἡ ἔνθεος ὑμῶν εὐλάβεια κύριοι τιμιώτατοι, ἠγνόει τὴν γενομένην παρ' αὐτῶν συσκευήν. ἀλλὰ νῦν νομίζομεν, φανερὰν γεγενῆσθαι αὐτήν. ἰδοὺ γὰρ φανερῶς αὐτοὶ τὴν συσκευὴν ἐνεδείξαντο, τοὺς γὰρ ἐξ αὐτῶν ὑποπτευομένους, ἀποστεῖλαι ἠθέλησαν εἰς τὸν Μαρεώτην, ἵνα ἀπόντων ἡμῶν καὶ ἐνταῦθα μενόντων, τοὺς λαοὺς ταράξωσιν, ἃ δὲ βούλονται, διαπράξωνται. εἶδον γὰρ ὅτι οἱ Ἀρειομανῖται καὶ Κολλουθιανοὶ, καὶ Μελιτιανοὶ, ἐχθροὶ τῆς καθολικῆς ἐκκλησίας εἰσὶ, διὰ τοῦτο ἐσπούδασαν ἀποστεῖλαι τούτους, ἵνα παρόντων ἐχθρῶν, καττύσωσι, καθ' ἡμῶν ἃ βούλονται, καὶ γὰρ οἱ ἐνταῦθα τῶν Μελιτιανῶν, ἀπέστειλαν ἐξ αὐτῶν τινὰς, καὶ πρὸ τεσσάρων μὲν ἡμερῶν, ὥσπερ εἰδότες τοῦτο τὸ σκέμμα γιγνόμενον ἔσεσθαι, καὶ ἑσπέραν δὲ βηριδαρίους πρὸς τὸ καὶ ἀπὸ τῆς Αἰγύπτου Μελιτιανοὺς συναγαγεῖν εἰς τὴν Μαρεώτην, διὰ τὸ μὴ εἶναι ἐκεῖ μηδένα καθόλου, καὶ Κολλουθιανοὺς, καὶ Ἀρειομανίτας ἀπὸ ἄλλων τόπων, καὶ καττύσαι καθ' ἡμῶν αὐτοὺς λέγειν. οἴδατε γὰρ καὶ ὑμεῖς, ὅτι αὐτὸς Ισχύρας ὡμολόγησεν ἐφ' ὑμῶν, οὐ πλέον ἑπτὰ συναγομένων ἔχειν. ἐπεὶ οὖν μετὰ τὸ αὐτοὺς κατασκευάσαι ὅπερ βούλονται, καὶ ἀποστεῖλαι τοὺς ὑπόπτους, ἠκούσαμεν, ὅτι καθ' ἕκαστον ὑμῶν περιερχόμενοι ἀπαιτοῦσιν ὑπογραφὴν, πρὸς τὸ δοκεῖν τῇ πάντων ὑμῶν σκέψει γεγενῆσθαι, τούτου ἕνεκεν γράψαι ὑμῖν ἠπείχθημεν, καὶ ἐπιδοῦναι τόδε τὸ μαρτύριον. μαρτυρόμενοι μὲν ὅτι συσκευαζόμεθα καὶ πάσχομεν ὑπ' αὐτῶν καὶ δι' αὐτῶν ἐπιβουλὴν, ἀξιοῦντες δὲ ὅπως ἐν νῷ λαβόντες τὸν Θεοῦ φόβον, καὶ καταγνόντες ὅτι χωρὶς ἡμῶν ἀπέστειλαν οὓς ἠθέλησαν, μὴ ὑπογράψητε, ἵνα μὴ ἅπερ αὐτοὶ καθ' ἑαυτοὺς καττύουσι, ταῦτα ὡς παρ' ὑμῶν γιγνόμενα λέγωσι, καὶ γὰρ πρέπει τοὺς ἐν Χριστῷ ἀνθρώπους, μὴ εἰς ἀνθρώπινα βλέπειν, ἀλλὰ τὴν ἀλήθειαν πάντων ὑποκρίνειν, καὶ μήτε ἀπειλὴν, ᾗ χρῶνται πρὸς πάντας, μήτε συσκευὴν φοβηθῆτε, ἀλλὰ μᾶλλον τὸν Θεόν. ἔδει γὰρ εἴπερ ἦν ὅλως ἀκόλουθον εἰς τὸν Μαρεώτην ἀποσταλῆναι, καὶ ἡμᾶς συμπαρεῖναι, ἵνα τοὺς μὲν ἐχθροὺς τῆς ἐκκλησίας ἐλέγξωμεν, τοὺς δὲ ξένους ἀποδείξωμεν. καὶ καθαρὰ τοῦ πράγματος ἡ ἔρευνα γένηται. οἴδατε γὰρ ὅτι οἱ περὶ Εὐσέβιον ἐκάττυσαν ἐπιστολὴν ἐπιδοθῆναι, ὡς ἀπὸ Κολλουθιανῶν καὶ Μελιτιανῶν καὶ Ἀρειανῶν, γραφεῖσαν καθ' ἡμῶν, καὶ δῆλον ὅτι αὐτοὶ οἱ ἐχθροὶ τῆς καθολικῆς ἐκκλησίας οὐδὲν ἀληθὲς περὶ ἡμῶν, ἀλλὰ πάντα καθ' ἡμῶν λέγουσιν. ὁ δὲ νόμος τοῦ Θεοῦ, οὔτε ἐχθρὸν μάρτυρα, οὔτε κριτὴν εἶναι βούλεται. λοιπὸν ὡς ἐν ἡμέρᾳ κρίσεως λόγον μέλλοντες διδόναι, λαβόντες τὸ μαρτύριον τοῦτο, καὶ γνόντες συσκευὴν τὴν καθ' ἡμῶν γενομένην, παρακληθέντες φυλάξασθε μηδέν τι καθ' ἡμῶν πρᾶξαι, μὴ δὲ συνάρασθαι τῇ τῶν περὶ Εὐσέβιον σκέψει. καὶ γὰρ πάλιν οἴδατε ὡς προείπομεν, ὡς ἐχθροί εἰσιν ἡμῶν, καὶ διά τι Εὐσέβιος ὁ τῆς Καισαρείας, ἐχθρὸς γέγονεν ἀπὸ πέρυσιν. ἐρρῶσθαι ὑμᾶς εὐχόμεθα κύριοι ποθεινότατοι.

Ἀδαμάντιος ἐπίσκοπος ἐπιδέδωκα, Ἰσχύρας, Ἄμμων, Πέτρος, Ἀμμωνιανὸς, Τύραννος, Ταυρῖνος, Σαραπάμμων, Αἰλουρίων, Ἀρποκρατίων, Μουσῆς, Ὀπτάτος, Ἀνουβίων, Σαπρίων, Ἀπολλώνιος, Ἰσχυρίων, Ἀρβαιθίων, Ποτάμων, Παφνούτιος, Ἡρακλείδης, Θεόδωρος, Ἀγαθάμμων, Γαῖος, Πιστὸς, Ἀθὰς, Νίκων, Πελάγιος, Θέων, Πανινούθιος, Νόννος, Ἀρίστων, Θεόδωρος, Εἰρηναῖος, Βλαστάμμων, Φίλιππος, Ἀπολλὼς, Διόσκορος, Τιμόθεος Διοπόλεως, Μακάριος, Ἡρακλάμμων, Κρόνιος, Μοῦις, Ἰάκωβος, Ἀρίστων, Ἀρτεμίδωρος, Φινεὲς, Ψάϊς, Ἡρακλείδης.

Ε'ΠΙΣΤΟΛΗ' ΠΡΟ'Σ ΔΙΟΝΥ'ΣΙΟΝ

Κόμητα παρὰ τῶν αὐτῶν τεσσαράκοντα ἑπτὰ Ε'πισκόπων.

Φλαυίῳ Διονυσίῳ, τῷ λαμπροτάτῳ κόμητι, οἱ ἐν Τύρῳ ἀπ' Αἰγύπτου ἐλθόντες ἐπίσκοποι τῆς καθολικῆς ἐκκλησίας.

Πολλὰς ὁρῶντες συσκευὰς καθ' ἡμῶν γινομένας, καὶ ἐπιβουλὰς, συσκευῆς, τῶν περὶ Εὐσέβιον καὶ Νάρκισσον, καὶ Φλάκιλλον, καὶ Θεόγνιον, καὶ Μάριν, καὶ Θεόδωρον, καὶ Πατρόφιλον, οὓς κατὰ τὴν ἀρχὴν θελήσαντες παραιτήσασθαι, οὐκ ἐπετράπημεν, ἀνάγκην ἔχομεν, ἐπὶ τήνδε τὴν διαμαρτυρίαν ἐλθεῖν. καὶ γὰρ πολλὴν ὑπὲρ Μελιτιανῶν ὁρῶμεν σπουδὴν γιγνομένην, κατὰ δὲ τῆς καθολικῆς ἐκκλησίας, τῆς ἐν Αἰγύπτῳ δι' ἡμῶν ἐπιβουλήν. ὅθεν ἐπιδίδομέν σοι τήνδε τὴν ἐπιστολὴν, ἀξιοῦντες ἐν νῷ σε λαβεῖν τὸν Θεὸν τὸν παντοκράτορα, τὸν τὸν βασιλείαν τοῦ εὐσεβεστάτου καὶ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου διαφυλάττοντα, τηρῆσαι τὴν ἀκροά-

ἀκρόασιν τ καθ' ἡμᾶς πραγμάτων, αὐτῷ τῷ ἀσεβεσάτῳ βασιλεῖ. καὶ γὰρ ἄλογον ἀποσαλεύτα σε παρὰ τ βασιλείας αὐτ, αὐτῷ τηρῆσαι τὸ πρᾶγμα. ἀκέτι γὰρ φέρομεν συσκιαζόμενοι καὶ ἐπιβαλλόμενοι διὰ τῆ περὶ Εὐσέβιον, τ προειρημένων, καὶ διὰ τοῦτο τῷ ἀσεβεσάτῳ καὶ θεοφιλεσάτῳ βασιλεῖ τηρηθῆναι τὸ πρᾶγμα ἀξιοῦμεν, παρ' ᾧ δυνάμεθα καὶ τὰ δίκαια τῆς ἐκκλησίας καὶ ἑαυτῆ παραθέσθαι. πιστεύομεν γὰρ ὅτι ἡ ἀσέβεια αὐτ ἀκούσασα, ἃ καταγνώσεται ἡμῶν, καὶ πάλιν ὃν ὀρκίζομέν σε τὸν παντοκράτορα Θεόν. ὅτω τὸν ἀσεβέσατον βασιλέα ἀεὶ εἰς πολλὰς ἐτῶν περιόδους νικῶντα καὶ ὑγιαίνοντα μετὰ τῆ παίδων τῆς ἀσεβείας αὐτ, μηδὲν πλέον πρᾶξαι, μὴ δὲ ἐπιβλέψαι τι σεαυτῷ σὺν τῇ σωτῆρι κινῆσαι περὶ τῆ καθ' ἡμᾶς πραγμάτων, ἀλλὰ τηρῆσαι τῇ ἀσεβείᾳ αὐτ τὴν ἀκρόασιν, περὶ δὲ τῆ αὐτῆ, καὶ τοῖς κυρίοις μου ἐπισκόποις τοῖς ὀρθοδόξοις ἐδηλώσαμεν.

Ε'ΠΙΣΤΟΛΗ' Α'ΛΕΞΑ'ΝΔΡΟΥ

Ε'πισκόπου Θεσσαλονίκης πρὸς Διονύσιον Κόμητα.

Τῷ δεσπότῃ μου Διονυσίῳ Ἀλέξανδρος ἐπίσκοπος.

ΦΑνερὰν ὁρῶ κατὰ Ἀθανασίου συσκιαζὼ γενομένῳ· πάντας γὰρ ὃς παρῃτήσατο, οὐκ οἶδά τι πεπονθότες, ἀποσεῖλαι ἠθέλησαν, μὴ δὲ σημάναντες ἡμῖν. ὧ γὰρ δόξαν κατὰ τὸ αὐτὸ σκέψασθαι, τίνας δεήσει ἀποσαλεῦσαι. συμβέλλον ὖν μήτι προφῆται γενέσθαι. ἐληλύθασι γὰρ πρός με τεθορυβημένοι, λέγοντες ἤδη τὰ θηρία ἐσφρίχθαι καὶ μέλλειν ἐξορμᾶν. περιεχήθησαν γὰρ ὡς Ἰωάννου τινὰς ἀποσείλαντος, μὴ προλαβόντες καττύσσειν ὡς ἂν ἐθέλοιεν. οἶδας γάρ ὅτι καὶ Κολλουθιανοὶ τῆς ἐκκλησίας ἐχθροὶ ὄντες, καὶ Ἀρειανοὶ, καὶ Μελιτιανοὶ, ἅτοι πάντες ἀλλήλοις σύμψηφοι γενόμενοι, δύνανται μεγάλα κακὰ ἐργάσασθαι. σκέψαι ὖν τί συμφέρον, ἵνα μὴ ἀνακύψητι σκυθρωπόν. καὶ αἰτίᾳ ὑποβληθῶμεν ὡς ἃ κατὰ τὸ δίκαιον κρίναντες, κἀκεῖνοι μάλιστα ὑφορῶνται μὴ διοδεύοντες τὰς ἐκκλησίας ὧν οἱ ἐπίσκοποί εἰσιν. ἐνταῦθα φόβον ἐμποιήσαντες, ταράξωσι πᾶσαν τὴν Αἴγυπτον, ὡς τοῖς Μελιτιανοῖς παραδοθέντες. ἐκ τοῦ πλείστου γὰρ τοῦτο σωωρῶσι γινόμενον.

ΕΠΙΣΤΟΛΗ' ΔΙΟΝΥΣΙΟΥ

Κόμητος τοῖς περὶ Εὐσέβιον.

Πρὸς ταῦτα Διονύσιος ὁ κόμης ἔγραψε τοῖς περὶ Εὐσέβιον ταῦτα.

ΤΑῦτα ὧν ἄγαν διελεγόμην τοῖς κυρίοις μου τοῖς περὶ Φλάκιλλον, ὅτι Ἀθανάσιος ἐπισὰς, ἣ τιάσατο ὃς παρῃτησάμην, λέγων, τέτυς ἀποστέλλεσθαι, καὶ βοῶν ὡς ἀδικούμενος καὶ περιγραφόμενος. ταῦτα καὶ ὁ κύριός μου τῆς ψυχῆς Ἀλέξανδρος ἐπέστειλε. καὶ ἵνα γνῶτε ὅτι κατὰ λόγον ἔχει τὰ γραφέντα μοι παρὰ τῆς χρηστότητος αὐτ, ὑπέταξα αὐτί. ἀναγνωσθησόμενα ὑμῖν, μέμνησθε δὲ καὶ τῆ ἄνωθεν παρ' ἐμῦ γραφέντων. ἐπέστειλα γὰρ ὑμῶν τῇ χρηστότητι κύριοι, ὅτι χρὴ τὰς ἀποστελλομένας, κοινῇ κρίσει καὶ δόγματι ἀποσαλεῦσαι. ὁρᾶτε τοίνυν μὴ ἐγκλήματι ὑποπέσῃ τὰ γινόμενα, μὴ δὲ δικαίας μέμψεως ἀφορμὴν τοῖς βουλομένοις ἡμᾶς αἰτιάσασθαι δῶμεν. ὥσπερ γὰρ βαρεῖσθαι τὸ μέρος τῆ κατηγόρου ἐ προσήκει, ἕτως οὐδὲ τὸ τῆ φυγόντων. νομίζω δὲ ἐμικρὰν εἶναι ἀφορμὴν καθ' ὑμῶν μέμψεως, ὅταν φαίνηται ὁ κύριός μου Ἀλέξανδρος, μὴ συναινῶν τοῖς πραττομένοις.

Ε'ΠΙΣΤΟΛΗ' ΤΩ'Ν ΚΛΗΡΙΚΩΝ

τῆς Α'λεξανδρείας ὑπὲρ Α'θανασίου.

Θεογνίῳ, Μάρει, καὶ Μακεδονίῳ, Θεοδώρῳ, καὶ Οὐρσακίῳ, καὶ Οὐάλεντι, τοῖς ἀπὸ Τύρου ἐλθοῦσιν ἐπισκόποις παρὰ τῆ πρεσβυτέρων καὶ Διακόνων τ καθολικῆς ἐκκλησίας Ἀλεξανδρείας, ὑπὸ τὸν αἰδεσιμώτατον ἐπίσκοπον Ἀθανάσιον.

ΕΠρεπεν ὑμᾶς ἐρχομένους καὶ ἄγοντας μεθ' ἑαυτῆ τὸν κατήγορον, ἀγαγεῖν καὶ Μακάριον τ πρεσβύτερον, αἱ γὰρ κρίσεις ἕτως σωίσανται κατὰ τὰς ἁγίας γραφὰς, ὥσε τ κατήγορον, μετὰ τοῦ κατηγορουμένου ἑσάναι. ἐπειδὴ δὲ ὅτε Μακάριον ἠγάγετε, ὅτε ὁ αἰδεσιμώτατος ἡμῶν ἐπίσκοπος Ἀθανάσιος μεθ' ὑμῶν εἰσῆλθεν, ἠξιώσαμεν κἀν αὐτοὶ παρεῖναι ἐν τῇ κρίσει, ἵνα παόντων ἡμῶν, ἀσφαλὴς ἡ ἐξέτασις γένηται, καὶ πειθῶμεν καὶ ἡμεῖς. ἐπειδὴ δὲ ὁ τοῦτο συνεχωρήσατε, ἀλλὰ μόνοι μετὰ τοῦ ἐπάρχου τ Αἰγύπτου ἐ τοῦ κατηγόρου ἐθελήσατε πράττειν ἃ βούλεσθε, ὁμολογοῦμεν ὅτι ὑποψίαν εἴδομεν ἐν τῷ πράγματι πονηρὰν, καὶ ἐθεωρήσαμεν ὅτι συσκιὴ καὶ ἐπιβολὴ μόνον ἐστὶν ἡ εἴσοδος ὑμῶν, διὰ τοῦτο πιστὴν ὑμῖν ἐπιδίδομεν τὴν ἐπιστολὴν, μαρτύριον ἐσομένην εἰς ἀληθινὴν σωδον, ἵνα γνωσθῇ πᾶσιν ὅτι κατὰ μονομέρειαν ἅπερ ἠθελήσατε, ἐπράξετε, καὶ οὐδὲν ἕτερον ἢ συσκιὴν ἠθελήσατε σωθεῖναι καθ' ἡμῶν. τούτων δὲ τὰ ἴσα ἐπιδεδώκαμεν καὶ Παλλαδίῳ τῷ χαριώτῳ τοῦ Αἰγύπτου, ἵνα μὴ κρυβῇ παρ' ὑμῶν. ἃ γὰρ ἐπράξετε, τοιαῦτα λοιπὸν ἡμᾶς ὑποπτεύειν καὶ λογίζεσθαι ποιεῖ περὶ ὑμῶν. Διονύσιος πρεσβύτερος ἐπιδέδωκα, Ἀλέξανδρος πρεσβύτερος, Νεῖλας πρεσβύτερος, Λόγγος πρεσβύτερος, Ἀφθόνιος πρεσβύτερος, Ἀθανάσιος πρεσβύτερος, Ἀμμώτιος πρεσβύτερος, Πιτὸς πρεσβύτερος, Πλυτίων πρεσβύτερος, Διόσκορος πρεσβύτερος, Ἀπολλώνιος πρεσβύτερος, Σαραπίων πρεσβύτερος, Ἀμμώνιος πρεσβύτερος, Γάϊος πρεσβύτερος, Ρῖνος πρεσβύτερος, Αἰθαλὴς πρεσβύτερος, Μαρκελλῖνος διάκονος, Ἀππιανὸς διάκονος, Θέων διάκονος, Τιμόθεος διάκονος, καὶ Τιμόθεος ἄλλος διάκονος.

ΕΠΙΣΤΟΛΗ ΤΩΝ ΚΛΗΡΙΚΩΝ

Μαρεώτου ὑπὲρ Ἀθανασίου.

Φλαβίῳ Φιλαγρίῳ, καὶ Φλαβίῳ Παλλαδίῳ Δεκεναλείῳ, Παλατίνῳ Κυρώσῳ, καὶ Φλαβίῳ Ἀντωνίνῳ βιάρχῳ κεντυριωνείῳ τῷ κυρίων μου τῷ λαμπροτάτων ἐπάρχων τοῦ ἱεροῦ πραιτωρίου, παρὰ τῶν πρεσβυτέρων καὶ διακόνων τοῦ Μαρεώτου, παρὰ τοῦ καθολικῆς ἐκκλησίας τῆς ὑπὸ τὸν αἰδεσιμώτατον ἐπίσκοπον Ἀθανάσιον, διὰ τῶν ἐξῆς ἀπογραφόντων, τάδε [x] μαρτυρόμενοι ἐπιδιδόαμεν.

Ἐπειδὴ Θεόγνιος, καὶ Μάρις, καὶ Μακεδόνιος, καὶ Θεόδωρος καὶ Οὐρσάκιος καὶ Οὐάλης, ὡς ἀποσταλέντες ὑπὸ πάντων τῶν ἐπισκόπων τῶν συνελθόντων ἐν τῇ Τύρῳ, ἀπήντησαν ἐν τῇ ἡμετέρᾳ παροικίᾳ, φάσκοντες ἐντολὰς εἰληφέναι ὡς ζητῆσαί τινα ἐκκλησιαστικὰ πράγματα, ἐν οἷς ἔλεγον καὶ περὶ ποτηρίου κυριακοῦ κεκλασμένου, ὑποβληθέντος αὐτοῖς ὑπὸ Ἰσχύρα, ὃν ἤγαγον μεθ' ἑαυτῶν, λέγοντος ἑαυτὸν εἶναι πρεσβύτερον, ὃς οὐκ ἔστι πρεσβύτερος. ὑπὸ γὰρ Κολλούθου τοῦ πρεσβυτέρου φανταθέντος ἐπισκοπεῖν, καὶ ὕστερον ὑπὸ κοινῆς συνόδου Ὁσίου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων κελευσθέντος πρεσβυτέρου εἶναι καθὸ καὶ πρότερον ἦν, κατεστάθη, καὶ κατὰ ἀκολουθίαν πάντες οἱ ὑπὸ Κολλούθου καταταγέντες, ἀνέδραμον εἰς τὸν αὐτὸν τόπον, εἰς ὃν καὶ πρότερον ἦσαν, ὡς καὶ αὐτὸς Ἰσχύρας λαϊκὸς ὤφθη, ὥστε λέγειν ἔχειν ἐκκλησίαν, μηδὲ πώποτε ἐκκλησίαν γεγονέναι, ἀλλ' οἰκητικὸν οἰκημάτιον μικρὸν ὀρφανοῦ παιδίου, Ἰσίωνος τοὔνομα, καὶ διάτοι τοῦτο, τῇ δὲ τῇ [2] μαρτυρίᾳ ἐχρησάμεθα, ἐφορκίζοντές σε κατὰ τοῦ παντοκράτορος Θεοῦ, καὶ κατὰ τοῦ δεσπότου ἡμῶν Κωνσταντίνου τοῦ Αὐγούστου, καὶ τῶν ἐπιφανεστάτων Καισάρων παίδων αὐτοῦ, ταῦτα αὐτὰ εἰς γνῶσιν ἀνενεγκεῖν τῇ εὐσεβείᾳ αὐτῶν. ὅτε γὰρ πρεσβύτερός ἐστι τῆς καθολικῆς ἐκκλησίας, ὅτε ἐκκλησίαν ἔχει, ὁτέποτε ποτήριον ἐκλάσθη, ἀλλὰ πάντα ψεύδεται καὶ πλάττεται. Ὑπατείᾳ Ἰουλίου Κωνσταντίνου τοῦ λαμπροτάτου παρικίου, ἀδελφοῦ τοῦ εὐσεβεστάτου βασιλέως Κωνσταντίνου τοῦ Αὐγούστου, καὶ Ῥυφίνου Ἀλβίνου τῶν λαμπροτάτων, θὼθ δεκάτῃ.

Ε' ΠΙΣΤΟΛΗ

τῆς αὐτῆς ὑπὲρ Ἀθανασίου.

Τῇ ἁγίᾳ συνόδῳ τῶν ἁγίων ἐπισκόπων τῆς καθολικῆς ἐκκλησίας, οἱ κατὰ Μαρεώτιδα πάντες πρεσβύτεροι καὶ διάκονοι, ἐν κυρίῳ χαίρειν.

Εἰδότες τὸ γεγραμμένον, ὅτι ἃ εἶδον οἱ ὀφθαλμοί σου, λέγε, καὶ ὅτι μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσαι, ἃ εἴδομεν μαρτυροῦμεν, μᾶλλον ὅτι ἀναγκαίαν ἡμῶν ἐποίησεν εἶναι τὴν μαρτυρίαν, ἡ γενομένη συνκλονὴ κατὰ τοῦ ἐπισκόπου ἡμῶν Ἀθανασίου. Θαυμάζομεν γὰρ πῶς ὅλως Ἰσχύρας, κἂν εἰς μέσον τὴν ἐκκλησίας ἐπεκλήθη, περὶ ὧν πρῶτον διηγήσασθαι [x] ἀναγκαῖον ἡγούμεθα. Ἰσχύρας οὐδέποτε λειτουργὸς τῆς ἐκκλησίας γέγονεν· ἀλλ' ἑαυτὸν μόνον πρὸ τούτου ἐφήμισε Κολλούθου πρεσβύτερον, οὐκ ἔχει δὲ τὴν πειθόμενον αὐτῷ, εἰ μὴ μόνον τοὺς συγγενεῖς ἑαυτοῦ, ὅτε γὰρ ἐκκλησίαν ἔχει ποτὲ, ὅτε ὅλως κληρικὸς ἐνομίσθη παρὰ τοῖς ὀλίγον διεσῶσιν ἀπὸ τῆς κώμης αὐτοῦ, πλὴν μόνοις ὡς προείπομεν τοῖς συγγενέσιν ἑαυτοῦ. ἀλλὰ καὶ ὅμως τοιαύτην ἑαυτῷ προσηγορίαν ἐπιφημίσας. ἐπὶ τῆς συνόδου τῆς συγκροτηθείσης ἐν Ἀλεξανδρείᾳ, ἐπὶ τῇ παρουσίᾳ τοῦ πατρὸς ἡμῶν Ὁσίου, καθηρήθη, καὶ λαϊκὸς συνήχθη, καὶ οὕτως ἔμεινε τὸν ἐξῆς χρόνον ἐκπεσὼν καὶ τῆς ψευδοῦς ὑπονοίας τοῦ πρεσβυτερίου. περὶ γὰρ τῶν ἠθῶν αὐτοῦ, περιττὸν ἡγούμεθα λέγειν, δυναμένων πάντων εἰδέναι τὰ τοιαῦτα, ἐπειδὴ δὲ περὶ κλάσεως ποτηρίου καὶ τραπέζης, ἐσυκοφάντησεν ἡμῶν τὸν ἐπίσκοπον Ἀθανάσιον καὶ περὶ τούτου διηγήσασθαι ὑμῖν ἀναγκαῖον ἠπείχθημεν, φθάσαντες γὰρ εἴπομεν ἐκκλησίαν αὐτὸν μηδέποτε ἐσχηκέναι ἐν τῷ Μαρεώτῃ, ὡς δὲ ἐπὶ Θεοῦ μάρτυρος, οὐδὲ ποτήριον κέκλασαι, οὐδὲ τράπεζα ἀνετράπη παρὰ τοῦ ἐπισκόπου ἡμῶν, οὐδὲ παρ' ἄλλου τινὸς τῶν σωόντων αὐτῷ. ἀλλὰ πάντα ἐστὶ τὰ λεγόμενα συκοφαντία, καὶ ταῦτα λέγομεν, οὐ μακρὰν τοῦ ἐπισκόπου [2] ἀπόντας, πάντες γὰρ σὺν αὐτῷ ἐσμεν ὅταν περιοδεύῃ τὸν Μαρεώτιδα. καὶ οὐδέποτε μόνος περιέρχεται, ἀλλὰ μετὰ πάντων ἡμῶν τῶν πρεσβυτέρων καὶ τῶν διακόνων καὶ λαῶν ἱκανῶν. διὸ καὶ ὡς συμπαρόντες αὐτῷ ἐν πάσῃ περιοδείᾳ ᾗ πεποίηται πρὸς ἡμᾶς, ταῦτα λέγομεν καὶ μαρτυρόμεν, ὅτι οὔτε ποτήριον κατέαγεν, οὔτε τράπεζα ἀνετράπη, ἀλλὰ πάντα ψεύδεται, ὡς καὶ αὐτὸς διὰ τῆς ἑαυτοῦ χειρὸς μαρτυρεῖ. θελήσαντα γὰρ αὐτὸν σωαχθῆναι μετὰ τὸ ἀπελθεῖν αὐτὸν μετὰ Μελιτιανῶν, καὶ τοιαῦτα φημίσαι κατὰ τοῦ ἐπισκόπου ἡμῶν Ἀθανασίου, οὐκ ἐδέξαντο αὐτὸν, καὶ τοι γράψαντα καὶ ἰδίᾳ χειρὶ ὁμολογήσαντα, μηδὲν τούτων γεγονέναι, ἀλλ' ὑποβεβλῆσθαι ὑπό τινων ταῦτα εἰπεῖν. διὸ καὶ ἐλθόντες οἱ περὶ Θεόγνιον, καὶ Θεόδωρον, καὶ Μάριν, καὶ Μακεδόνιον, καὶ Οὐρσάκιον, καὶ Οὐάλεντα, εἰς τὸν Μαρεώτιδα, ἐδόκουν εὑρόντες ἀληθές. ἀλλὰ μέλλοντος τοῦ πράγματος ἐλέγχεσθαι, ὅτι συκοφαντίαν εἰργάσαντο κατὰ τοῦ ἐπισκόπου ἡμῶν Ἀθανασίου, αὐτοὶ οἱ περὶ Θεόγνιον ἐχθροὶ τυγχάνοντες, τοὺς συγγενεῖς αὐτοῦ καί τινας Ἀρειομανίτας πεποιήκασιν εἰπεῖν, ἅπερ ἤθελον. οὐδὲ γάρ τις τοῦ λαοῦ κατὰ τοῦ ἐπισκόπου εἴρηκεν, ἀλλ' αὐτοὶ τῷ φόβῳ τοῦ ἐπάρχου τῆς Αἰγύπτου Φιλαγρίου, καὶ ταῖς ἀπειλαῖς καὶ τῇ προσασίᾳ τῶν Ἀρειομανιτῶν, ἅπερ ἐθέλησαν πεποιήκασι. καὶ γὰρ ἐλθόντας ἡμᾶς ἐλέγξαι τὴν συκοφαντίαν, οὐκ ἐπέτρεψαν, ἀλλ' ἀπέῤῥιπτον μοῦ ἡμᾶς, ὡς δὲ ἤθελον συσκοτάζομεν, προσεδέχοντο, καὶ σωετίθεντο αὐτοῖς διὰ τὸν φόβον τοῦ ἐπάρχου Φιλαγρίου, δι' οὗ, ὅτε παρεῖναι ἡμᾶς ἐκώλυσαν, ἵνα κἂν τοὺς ὑποβαλλομένους ὑπ' αὐτῶν δυνηθῶμεν ἐλέγξαι εἰ τῆς ἐκκλησίας εἰσὶν, ἢ Ἀρειομανῖται. [3] οἴδατε γὰρ ἀγαπητοὶ πατέρες καὶ ὑμεῖς ὡς διδάσκετε ἡμᾶς ὅτι ἐχθρῶν οὐκ ἰσχύει μαρτυρία. καὶ ὅτι μὲν ἀληθεύομεν, μαρτυρεῖ μὲν καὶ ἡ χεὶρ Ἰσχύρα, μαρτυρεῖ δὲ καὶ τὰ πράγματα αὐτὰ, ὅτι ἡμῶν μὲν μηδενὸς συνειδότων, τοιοῦτόν τι γεγονέναι, Φιλάγριον παρέλαβον μεθ' ἑαυτοῦ, ἵνα τῷ φόβῳ τοῦ ξίφους καὶ τῆς ἀπει-

ἀπειλαῖς, ἃ βούλονται συσκευάσωνται. ταῦτα ὡς ἐπὶ Θεοῦ μαρτυροῦμεν, ταῦτα ὡς εἰδότες καὶ ἐσομένην κρίσιν παρὰ Θεοῦ λέγομεν, θέλοντες μὲν ἐλθεῖν πάντες πρὸς ὑμᾶς, ἀρεσθέντες δὲ τοῖς ἐξ ἡμῶν, ἵνα τὰ γράμματα τὴν τῶν μὴ παραγενομένων παρουσίαν ἀποπληρώσῃ. Ἰγγένιος πρεσβύτερος ἐρρῶσθαι ὑμᾶς εὔχομαι ἐν κυρίῳ ἀγαπητοὶ πατέρες, Θέων πρεσβύτερος, Ἀμμωνᾶς πρεσβύτερος, Ἡράκλειος πρεσβύτερος, Βόκκων πρεσβύτερος, Τρύφων πρεσβύτερος, Πέτρος πρεσβύτερος, Ἱέραξ πρεσβύτερος, Σαραπίων πρεσβύτερος, Μάρκος πρεσβύτερος, Πολλαρίων πρεσβύτερος, Γάϊος πρεσβύτερος, Διόσκορος πρεσβύτερος, Δημήτριος πρεσβύτερος, Θύρσος πρεσβύτερος. Διάκονοι, Πιστὸς διάκονος, Ἀπολλὼς διάκονος, Σερρᾶς διάκονος, Πιστὸς διάκονος, Πολυνίκος διάκονος, Ἀμμώνιος διάκονος, Μαῦρος διάκονος, Ἥφαιστος διάκονος, Ἀπολλὼς διάκονος, Μετωπᾶς διάκονος, Ἀπολλὼς διάκονος, Σεραπᾶς διάκονος, Μελίφθογγος διάκονος, Λούκιος διάκονος, Γρηγορᾶς διάκονος.

Η' Ε'Ν ΤΥ'ΡΩ, ΣΥ'ΝΟΔΟΣ

ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

ΟΘΕΝ καὶ μᾶλλον οἱ ἀσεβεῖς κακουργοῦσι, καὶ τὸν θυμὸν τοῦ εὐσεβοῦς βασιλέως ἀνάπτουσι, κατὰ τὸν πολύαθλον Ἀθανάσιον· συνοδικῶς ἐν Τύρῳ κριθῆναι παρασκευάζουσι διατάξασθαι. Εὐσέβιος δὲ ὁ Νικομηδείας, ταῖς πειθανολογίαις βουκολήσας τὸν αὐτοκράτορα, ὡς ἐν τάξει θέας τῶν παρὰ τῆς μακαρίας Ἑλένης πρὸς δόξαν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν οἰκοδομηθεισῶν ἐκκλησιῶν ἐν Ἱερουσαλὴμ, (προεχουσῶν πολλῶν θεαμάτων, ὧν τὰ μεγέθη ἑλλήνων παῖδες ἱστορίαις παραδεδώκασιν) ὀχήματι ἐπιβάς, καὶ ἀριθμὸν πλείστων ἐπισκόπων, καὶ συγκλητικῶν λογάδων ἐπισυρόμενος, τὴν Τύρον κατέλαβεν, Ἀθανασίῳ πραγματευόμενος τὴν ἐκβολὴν καὶ καθαίρεσιν· ἐς σύνοδον συκοφαντίας ἀνάμεστον, κατὰ τοῦ θείου συμβόλου, καὶ Ἀθανασίου τοῦ μάκαρος, ἐν αὐτῇ συνεκρότησε· πόρνην παραστησάμενος τῷ ἀθώῳ κατήγορον. Ἀθανασίου δὲ τὴν συσκευὴν διὰ Τιμοθέου πρεσβυτέρου καθολικῶς διελέγξαντος· ἐπὶ τὴν ἐκκοπὴν τῆς χειρὸς Ἀρσηνίου τοῦ Μιλιτιανῶν διακόνου *** πλὴν καὶ ἐν τούτῳ συκοφάντας αὐτοὺς παραστήσας ὁ μακάριος Ἀθανάσιος, διὰ τῶν δύο χειρῶν Ἀρσηνίου τῆς ὑποδείξεως. οὐκ ἐδυσώπησεν αὐτοὺς λωφῆσαι τοῦ λυσσώδους φρονήματος· ἀλλ' ὑπ' αὐτῶν ἀναθεματίζεται, καὶ ὡς κακοῦργος ἐκβάλλεται· Ἄρειος δὲ καὶ Εὐζώιος εἰς κοινωνίαν εἰς δέχονται. Ἀθανάσιος μέν τοι τὰ κατ' αὐτοῦ θεασάμενος, φυγὰς ἐν Κωνσταντίνου πόλει πρὸς τὸν φιλόχριστον βασιλέα κατήντησε· τὰ τῆς συκοφαντίας αὐτῶν ἐξηγούμενος.

Ε'ΠΙΣΤΟΛΗ' ΚΩΝΣΤΑΝΤΙ'ΝΟΥ

ἐντίμως Ἄρειον πρὸς αὐτὸν προσκαλῶν.

Νικητὴς Κωνσταντῖνος, μέγιστος, σεβαστός.

ΠΆλαι μὲν ἐδηλώθη τῇ στερρότητί σου, ὅπως ἂν εἰς τὸ ἐμὸν στρατόπεδον ἀφίκοιο, ἵνα τῆς ἡμετέρας θέας ἀπολαῦσαι δυνηθείης. θαυμάζομεν δὲ σφόδρα, μὴ παραχρῆμα τοῦτο πεποιηκότα. διόπερ νῦν ἐπιβὰς ὀχήματος δημοσίου, εἰς τὸ ἡμέτερον στρατόπεδον ἀφικέσθαι ἐπείχθητι. ὅπως ἂν τῆς παρ' ἡμῶν εὐμενείας τε καὶ ἐπιμελείας τυχὼν, ἐπὶ τὴν πατρίδα ἀφικέσθαι δυνηθῇς. ὁ Θεός σε διαφυλάττοι ἀγαπητέ. ἐδόθη τῇ πρὸ πέντε καλανδῶν δεκεμβρίων.

ΛΙ'ΒΕΛΛΟΣ ΠΙ'ΣΤΕΩΣ

προσφερόμενος παρὰ Ἀρείου καὶ Εὐσωίου πρὸς τὸν Αὐτοκράτορα Κωνσταντῖνον.

Τῷ εὐλαβεστάτῳ καὶ θεοφιλεστάτῳ δεσπότῃ ἡμῶν βασιλεῖ Κωνσταντίνῳ, Ἄρειος καὶ Εὐζώϊος.

ΚΑθὼς προσέταξεν ἡ θεοφιλής σου εὐσέβεια, δέσποτα βασιλεῦ, ἐκτιθέμεθα τὴν ἑαυτῶν πίστιν, καὶ ἐγγράφως ὁμολογοῦμεν περὶ Θεοῦ, οὕτω πιστεύειν καὶ αὐτοὶ, καὶ οἱ σὺν ἡμῖν, ὡς ὑποτέταχθαι. Συνοδ. ἐκκλ. ἱστορ. βιβ. ἀ κεφ. κτ'.

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, καὶ εἰς κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ τὸν ἐξ αὐτοῦ πρὸ πάντων τῶν αἰώνων γεγενημένον Θεὸν λόγον, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς. τὸν κατελθόντα καὶ σαρκωθέντα, καὶ παθόντα, καὶ ἀναστάντα, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ ἅγιον πνεῦμα, καὶ εἰς σαρκὸς ἀνάστασιν, καὶ εἰς ζωὴν τοῦ μέλλοντος αἰῶνος, καὶ εἰς μίαν καθολικὴν ἐκκλησίαν τοῦ Θεοῦ, τὴν ἀπὸ περάτων ἕως περάτων. ταύτην δὲ τὴν πίστιν παρειλήφαμεν ἐκ τῶν ἁγίων εὐαγγελίων, λέγοντος τοῦ κυρίου τοῖς ἑαυτοῦ μαθηταῖς. πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· ὡς πᾶσα καθολικὴ ἐκκλησία, καὶ αἱ γραφαὶ διδάσκουσιν, αἷς κατὰ πάντα πιστεύομεν. κριτὴς ἡμῶν ἐστὶν ὁ Θεὸς, καὶ νῦν, καὶ ἐν τῇ μελλούσῃ κρίσει. διὸ παρακαλοῦμέν σου τὴν θεοσέβειαν θεοφιλέστατε βασιλεῦ, ἐκκλησιαστικοὺς ἡμᾶς ὄντας, καὶ πίστιν, καὶ τὸ φρόνημα τῶν ἁγίων γραφῶν ἔχοντας ἑνοῦσθαι ἡμᾶς διὰ τῆς εἰρηνοποιοῦ σου καὶ θεοσεβοῦς εὐσεβείας, τῇ μητρὶ ἡμῶν, τῇ ἐκκλησίᾳ δηλαδὴ, περιῃρημένων τῶν ζητημάτων καὶ περισσολογιῶν· ἵνα καὶ ἡμεῖς καὶ ἡ ἐκκλησία εἰρηνεύσαντες, μετ' ἀλλήλων τὰς συνήθεις εὐχὰς, ὑπὲρ τῆς εἰρηνικῆς σου Βασιλείας, καὶ παντὸς τοῦ γένους σου κοινῇ πάντες ποιησώμεθα.

Ε'ΠΙΣΤΟΛΗ' ΣΥΝΟΔΙΚΗ'

Περὶ τῶν πραχθέντων ἐν τῇ Σανόδῳ.

Ἡ ἁγία σύνοδος ἡ ἐν Ἱεροσολύμοις Θεοῦ χάριτι συναχθεῖσα τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ ἐν Ἀλεξανδρείᾳ, καὶ τοῖς κατὰ πᾶσαν τὴν Αἴγυπτον καὶ Θηβαΐδα καὶ Λιβύην καὶ Πεντάπολιν, καὶ τοῖς κατὰ τὴν οἰκουμενικὴν ἐπισκόποις καὶ πρεσβυτέροις, καὶ διακόνοις, ἐν κυρίῳ χαίρειν.

περὶ ταύτης τῆς συνόδ. ἰδὲ Εὐσέβ. βιβ. δ'. ἔτις τὸν βίον Κωνσ. Σωκρ. βιβ. α. κεφ. 33. Σωζόμ. βιβ. β. κεφ. 26. καὶ Θεοδ. βιβ. α. κεφ. 31.

ΠΑσι μὲν ἡμῖν τοῖς ἐπὶ τὸ αὐτὸ συνελθοῦσιν ἐξ ἐπαρχιῶν διαφόρων, πρὸς τῇ μεγάλῃ Πανηγύρει, ἢν ἐπὶ τῇ ἀφιερώσει τοῦ σωτηρίου μαρτυρίου, σπουδῇ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου, τῷ πάντων βασιλεῖ Θεῷ καὶ τῷ Χριστῷ αὐτοῦ κατασκευασθέντες ἐπιτελέσαμεν, πλείονα θυμηδίαν ἡ τοῦ Χριστοῦ χάρις παρέσχεν, ἢν ἐποίησεν αὐτός τε ὁ θεοφιλέστατος βασιλεὺς διὰ γραμμάτων οἰκείων, τοῦθ' ὅπερ ἐχρῆν παρορμήσας· πάντα μὲν ἐξορίσας τῆς ἐκκλησίας τοῦ Θεοῦ· φθόνον, καὶ πᾶσαν μακρὰν ἀπελάσας βασκανίαν, δι' ἧς τὰ τοῦ Χριστοῦ μέλη πάλαι πρότερον διεστήκει· ἡπλωμένῃ δὲ καὶ εἰρηναίᾳ ψυχῇ δέξασθαι τοὺς περὶ Ἄρειον, οὓς πρός τινα καιρὸν ὁ μισόκαλος φθόνος ἔξω γενέσθαι τῆς ἐκκλησίας εἰργάσατο, ἐμαρτύρει δὲ τοῖς ἀνδράσιν ὁ θεοφιλέστατος βασιλεὺς διὰ τῆς ἐπιστολῆς, πίστεως ὀρθοδοξίαν, ἢν παρ' αὐτῶν πυθόμενος, αὐτός τε δι' ἑαυτοῦ παρὰ ζώσης φωνῆς αὐτῶν ἀκούσας ἀπεδέξατο, ἡμῖν τε φανερὰν κατεστήσατο, ὑποτάξας τοῖς ἑαυτοῦ γράμμασιν ἔγγραφον τὴν τῶν ἀνδρῶν ὀρθοδοξίαν, ἢν ἐπέγνωμεν οἱ πάντες, ὑγιῆ τε οὖσαν καὶ ἐκκλησιαστικήν. καὶ εἰκότως παρεκάλει τοὺς ἄνδρας ὑποδεχθῆναι καὶ ἑνωθῆναι τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. ὥσπερ οὖν καὶ αὐτὰ ἐκ τῆς ἰσοτύπης εἴσεσθε τῆς αὐτῆς ἐπιστολῆς, ἧς πρὸς τὴν ὑμετέραν εὐλάβειαν διεπεμψάμεθα, πιστεύομεν ὅτι καὶ ὑμῖν αὐτοῖς ὡς ἂν τὰ οἰκεῖα μέλη τοῦ ὑμετέρου σώματος ἀπολαμβάνωσι, μεγάλη χαρὰ καὶ εὐφροσύνη γενήσεται, τὰ ἑαυτῶν σπλάγχνα καὶ τοὺς ἑαυτῶν ἀδελφούς τε καὶ πατέρας γνωρίζουσί τε καὶ ἀπολαμβάνουσιν. οὐ μόνον τῶν πρεσβυτέρων τῶν περὶ Ἄρειον ἀποδοθέντων ὑμῖν, ἀλλὰ καὶ παντὸς τοῦ λαοῦ καὶ τῆς πληθύος ἁπάσης, ἣ προφάσει τῶν εἰρημένων ἀνδρῶν μακρῷ χρόνῳ παρ' ὑμῖν διεστήκει. καὶ πρέπει γε ἀληθῶς γνόντας ὑμᾶς τὰ πεπραγμένα, καὶ ὡς ἐκοινώνησαν οἱ ἄνδρες, παρεδέχθησάν τε ὑπὸ τῆς τοσαύτης ἁγίας συνόδου, προθυμότατα καὶ αὐτοὺς ἀσπάσασθαι τὴν πρὸς τὰ οἰκεῖα μέλη συνάφειάν τε καὶ εἰρήνην. ὅτι μάλιστα τὰ τῆς ἐκτεθείσης ὑπ' αὐτῶν πίστεως, ἀναμφήριστον σώζει τὴν παρὰ τοῖς πᾶσιν ὁμολογουμένην ἀποστολικὴν παράδοσίν τε καὶ διδασκαλίαν.

ΣΥ'ΝΟΔΟΣ ΜΑΡΕΩΤΙΚΗ'.

ἐκ τοῦ βιβλίου τοῦ συνοδικοῦ.

ΟΙ δὲ περὶ τὸν Εὐσέβιον, ἐπὶ τὴν θέαν τῶν Ἱεροσολύμων χωροῦντες, καὶ τὰ ἐγκαίνια· τὸν Νικαίας Θεόγνιον, καὶ τὸν Περίνθου Θεόδωρον, Νάρκισσον καὶ Μάριν Χαλκηδόνος, μετὰ συμμορίας ὁμόφρονος, κατὰ τοῦ θεόφρονος Ἀθανασίου ἐν τῷ Μαρεώτῃ ἐξέπεμψαν· ᾧ τινι ἐκ τῆς πλησιοχώρου λίμνης, καλουμένης Μαρίας, πρόσκειται τὸ ἐπώνυμον. Ἔστι γὰρ ἀκολούθως οὕτως· Αἴγυπτος, Θηβαΐς ἡ ἄνω καὶ κάτω, Μαρεώτης, Αὔγασις, Μαρμαρικὴ, Λιβύη, Πεντάπολις, Ἀφρικὴ, Βαρβαρία, Βοιωτία, Γάδειρα, Ὠκεανός. Θεόγνιος τοίνυν ἐν τῷ Μαρεώτῃ μετὰ τοῦ συνεδρίου τῆς ἀσεβείας γενόμενος, Ἰσχυρίωνα τὸν αὐτοχειροτάνητον Μαρεώτου ἐπίσκοπον, κατήγορον τοῦ θεοφόρου Ἀθανασίου, ἐν τῇ παρ' αὐτοῖς συνόδῳ προεστήσατο, κατ' αὐτοῦ μὴ παρόντος δεχόμενος τὰ ἐγκλήματα βέβαια.

Ε'Κ ΤΟΥ̃ ΒΙΒΛΙ'ΟΥ

τοῦ Συνοδικοῦ.

ΟΙ γοῦν περὶ τὸν Νικομηδείας Εὐσέβιον καὶ οἱ ἐν τῷ Μαρεώτῃ, ἐλθόντες εἰς τὸ Βυζάντιον, εὗρον τὸν ἅγιον Ἀθανάσιον, Κωνσταντῖνον, τὸν εὐσεβέστατον βασιλέα αἰτούμενον, ἐπὶ τῇ ἐν Τύρῳ συκοφαντία κανονικὴν γενέσθαι ἐπὶ τοῖς διαβλήτορσιν ἐπεξέλευσιν· καὶ πρὸς τοὺς ἑαυτῶν φωλεοὺς καταπλήξαντες οἱ ἀνήμεροι θῆρες κατέδυσαν. Εὐσέβιος δὲ ἀναιδῶς φρυαττόμενος κατ' αὐτοῦ ὄνομα φέροντος ἐπισκόπου, τέσσαρας συκοφάντας παρέστησεν· οἳ περὶ σιτοπομπίου, καὶ τῶν λοιπῶν ὅρκοις τὰς λοιδορίας ἐκύρωσαν, τὸν βασιλέα συνοδικῶς ἐν Κωνσταντινουπόλει τὰ κατὰ τὸν ἀοίδιμον πείσαντες Ἀθανάσιον ἐξετασθῆναι. Ὃ καὶ γέγονεν, συνεδρίου αἱρετικῶν κατὰ τοῦ ἁγίου συμβόλου πάντα λίθον κινήσαντος, καὶ Ἀθανάσιον τὸν ἀνεύθυνον, εἰς Τρίβεριν τῆς Γαλλίας ἐξόριστον κατακρίναντος, καὶ τὸν ὅσιον Κιματᾶν, καὶ Εὐφρατᾶν Ἀνταράδου, Εὐπρέπιον Ἀδριανουπόλεως, καὶ Λούκιον τὸν ὁμολογητὴν, ὃς τελειοῦται ἐν ταῖς ἁλύσεσι, καὶ Μάρκελλον τὸν Ἀγκύρας, ὡς ἀνθρωπολάξην, κατάραντος.

Ε'ΠΙΣΤΟΛΗ' Ι'ΟΥΛΙ'ΟΥ

Ε'πισκόπου Ρ'ώμης, πρὸς Διονύσιον τῆς Ἀλεξανδρείας Ε'πίσκοπον.

ΘΑυμάζω πυνθανόμενος περὶ τινῶν ὁμολογούντων μὲν θεὸν ἔνσαρκον τὸν Κύριον, περιπιπτόντων δὲ τῇ διαιρέσει τῇ κακῶς ὑπὸ τῶν Παυλιανιζόντων εἰσαχθείσῃ. Ε'κεῖνοι μὲν γὰρ Παύλῳ τῷ Σαμοσατεῖ δουλεύοντες, ἄλλον μὲν τὸν ἐξ οὐρανοῦ λέγουσι, θεὸν ὁμολογοῦντες αὐτὸν, ἄλλον δὲ τὸν ἐκ γῆς ἄνθρωπον λέγοντες: τὸν μὲν ἄκτιστον, τὸν δὲ κτιστὸν: τὸν μὲν αἰώνιον, τὸν δὲ χθεσινὸν: τὸν

μὲν

μὲν δεσπότην, τὸν δὲ δοῦλον: ἀσεβοῦντες, ἄντε προσκυνῶσιν, ὃν λέγουσι δοῦλον, καὶ κτιστὸν, ἄντε μὴ προσκυνῶσι τὸν ἐξαγοράσαντα ἡμᾶς τῷ ἰδίῳ αἵματι. Οἱ δὲ τὸν ἐξ οὐρανοῦ θεὸν ὁμολογοῦντες ἐκ τῆς παρθένου σεσαρκῶσθαι, καὶ ἕνα εἶναι μετὰ τῆς σαρκὸς, μάτην ταράσσουσιν, εἰς τὰ ῥήματα τῆς ἐκείνων ἀσεβείας ἐκφερόμενοι. Λέγουσι γὰρ καὶ αὐτοὶ, ὡς ἀκούω, δύο φύσεις, καίτοι τοῦ Ἰωάννου σαφῶς ἕνα ἀποδείξαντος τὸν Κύριον ἐν τῷ λέγειν: ὁ λόγος σὰρξ ἐγένετο, καὶ τοῦ Παύλου ἐν τῷ λέγειν: εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. Εἰ γοῦν εἷς ὁ ἐκ τῆς ἁγίας παρθένου τεχθεὶς ὠνόμασται, καὶ αὐτὸς ἐστὶ, δι' οὗ τὰ πάντα γέγονε, μία φύσις ἐστὶν, ἐπειδὴ πρόσωπον ἓν ἔχων εἰς δύο οὐ διαιρεῖται, ἐπεὶ μὴ δὲ ἰδία φύσις τὸ σῶμα, ὡς ἰδία φύσις ἡ θεότης κατὰ τὴν σάρκωσιν, ἀλλ' ὥσπερ ἄνθρωπος μία φύσις, οὕτω καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος Χριστός. Εἰ δὲ οὐκ ἐπιγιγνώσκουσι τὸ καθ' ἕνωσιν ἕν, δύνανται καὶ εἰς πολλὰ μερίζειν τὸν ἕνα, καὶ πολλὰς λέγειν φύσεις, ἐπειδὴ πολυειδὲς τὸ σῶμα ἐξ ὀστέων, καὶ νεύρων, καὶ φλεβῶν, καὶ σαρκος, καὶ δέρματος, ὀνύχων τε, καὶ τριχῶν, αἵματός τε, καὶ πνεύματος, ἅπερ ἅπαντα διαφορὰν μὲν ἔχει πρὸς ἄλληλα, μία δὲ φύσις ἐστὶν ἀνθρώπου. ὥστε καὶ ἡ τῆς θεότητος ἀλήθεια μετὰ τοῦ σώματος ἐστὶ, καὶ εἰς δύο φύσεις οὐ μερίζεται. Οὔτε γὰρ οἷόν τε ἦν τὸ ὅλον υἱὸν ἀνθρώπου καλεῖσθαι καταβεβηκότα ἐξ οὐρανοῦ, καὶ υἱὸν θεοῦ γεννηθέντα ἐκ γυναικὸς, εἰ δύο φύσεων διαίρεσιν ἐπιδέχεται. Ἀλλὰ τὸ μὲν καταβεβηκὸς ἐξ οὐρανοῦ ἐκαλεῖτο ἂν υἱὸς θεοῦ, καὶ οὐχ υἱὸς ἀνθρώπου: τὸ δὲ γεννηθὲν ἐκ γυναικὸς ἐκαλεῖτο υἱὸς ἀνθρώπου, καὶ οὐχ υἱὸς θεοῦ: καὶ τοῦτο ἕπεται τῇ Παυλιανικῇ διαιρέσει. Ἡμᾶς δὲ αἱ Θεῖαι γραφαὶ διδάσκουσιν, ὡς περὶ ἑνὸς τοῦ Κυρίου φρονεῖν κατὰ τὴν ἐξ οὐρανοῦ κατάφασιν, καὶ τὴν ἐκ γυναικὸς ἐπὶ γῆς γένησιν. Οἱ τοίνυν οὕτω φρονοῦντες μὴ εἰς ὁμοφωνίαν τῶν τὰ ἐναντία φρονούντων ἐκβαινέτωσαν, ἵνα μὴ τῇ διανοίᾳ εὐφημοῦντες τοῖς ῥήμασι * δυσφημῶσιν. Ἀνάγκη γὰρ αὐτοὺς δύο λέγοντας φύσεις, τὴν μὲν μίαν προσκυνεῖν, τὴν δὲ ἑτέραν μὴ προσκυνεῖν, καὶ εἰς μὲν θεϊκὴν βαπτίζεσθαι, εἰς δὲ τὴν ἀνθρωπίνην μὴ βαπτίζεσθαι. Εἰ δὲ εἰς τὸν θάνατον τοῦ Κυρίου βαπτιζόμεθα, μίαν ὁμολογοῦμεν φύσιν τῆς ἀπαθοῦς θεότητος, καὶ τῆς παθητικῆς σαρκὸς, ἵνα οὕτως εἰς θεὸν ᾖ τὸ βάπτισμα ἡμῶν, καὶ εἰς τὸν θάνατον τοῦ Κυρίου τελούμενον. Καὶ γὰρ οὐ φοβούμεθα τοὺς συκοφάντας τοὺς διαιροῦντας εἰς δύο πρόσωπα τὸν Κύριον, ἐὰν ἡμῶν τὴν ἕνωσιν πρεσβευόντων τὴν εὐαγγελικὴν, καὶ ἀποστολικὴν, βλασφημῶσιν ἡμᾶς, ὡς τὴν σάρκα λέγοντας ἐξ οὐρανοῦ. οὐδὲ γὰρ, ὅτε λέγομεν τὸν υἱὸν τοῦ θεοῦ γενόμενον ἐκ γυναικὸς, δυνάμεθα βλασφημεῖσθαι, ὡς τὸν λόγον ἐκ γῆς λέγομεν, καὶ μὴ ἐξ οὐρανοῦ. Λέγομεν δὲ τὰ ἀμφότερα, καὶ ἐξ οὐρανοῦ τὸ ὅλον διὰ τὴν θεότητα. καὶ ἐκ γυναικὸς τὸ ὅλον διὰ τὴν σάρκα, οὐκ εἰδότες διαίρεσιν τοῦ ἑνὸς προσώπου, οὐδὲ ἀποτέμνοντες τοῦ οὐρανίου τὸ γήϊνον, οὐδὲ τοῦ γηΐνου τὸ οὐράνιον, ἀσεβὴς γὰρ ἡ διατομή. Μὴ οὖν τοῖς διατέμνουσι πρόφασιν διδότωσαν οἱ δύο λέγοντες φύσεις, οὔτε γὰρ τὸ σῶμα καθ' ἑαυτὸ φύσις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ, ἐπεὶ μηδὲ ζωοποιὸν καθ' ἑαυτὸ, μηδὲ διατέμνεσθαι δυνάμενον ἄνευ τοῦ ζωοποιοῦ λόγου, οὔτε ὁ λόγος καθ' ἑαυτὸν εἰς ἰδίαν μερίζεται φύσιν, ἣν ἔχει κατὰ τὸ ἄσαρκον, ἐπειδὴ ἐν σαρκὶ ὁ Κύριος, καὶ οὐκ ἄσαρκος ἐπεδήμησε τῷ κόσμῳ, οὔτε τὸ κτιστὸν σῶμα χωρίζει τῆς ἀκτίστου θεότητος, ἵνα χωρίζῃ τις φύσιν κτιστὴν, οὔτε μὴν ὁ ἄκτιστος λόγος ἐπεδήμησε χωρὶς σώματος, ἵνα μερίζῃ τις ἀκτίστου φύσιν. Εἰ δὲ ἓν ἑκάτερον ἐστὶ κατὰ τὴν ἕνωσιν, καὶ τὴν σύνοδον, καὶ τὴν σύνθεσιν τὴν ἀνθρωποειδῆ, ἓν καὶ τὸ ὄνομα τῷ συνθέτῳ προσεφαρμόζεται, ἀπὸ μὲν τῆς θεότητος τὸ ἀπαθὲς, ἀπὸ δὲ τοῦ σώματος τὸ παθητόν. Καὶ ὥσπερ ἀκούοντες τοῦ Παύλου τὸν Χριστὸν παθητὸν λέγοντος, οὐ μερικῶς ἠκούσαμεν, οὔτε τὴν θεότητα παθητὴν ἐνομίσαμεν, οὕτως καὶ τὸ κτιστὸν, καὶ δοῦλον, οὔτε μερικῶς λέγεται, οὔτε τὴν θεότητα ποιεῖ κτιστὴν, οὔτε δούλην. καὶ πάλιν τὸ ἄκτιστον οὔτε τὴν σάρκα ἄκτιστον ποιεῖ, οὔτε μερικῶς ἐπὶ τῆς θεότητος μόνης λέγεται. Ταῦτα δὲ οὕτω φρονοῦντες μενέτωσαν ἐν ἡσυχίᾳ τὰς περιττὰς ζητήσεις ἐκκλίνοντες, καὶ ῥημάτων ἕνεκα μὴ διαιρώμεν τὰ δόγματα. Συμπεφώνηται οὖν, καὶ συμφώνως ὡμολόγηται τὸ σῶμα ἐκ τῆς παρθένου, ἡ θεότης ἐξ οὐρανοῦ, τὸ σῶμα πέπλασται ἐν κοιλίᾳ, ἡ θεότης ἄκτιστος αἰώνιος, ἵνα ἑνωθέντος τοῦ λόγου τῷ σώματι ἀδιαίρετος μείνῃ ἡ θεότης. Εἰ δὲ τῇ γραφῇ σύνηθες, καὶ τὸ ὅλον θεολογεῖν, καὶ τὸ ὅλον ἀνθρωπολογεῖν, ἑπώμεθα καὶ ἡμεῖς τοῖς θείοις ῥήμασι, καὶ μὴ μερίζωμεν τὰ ἀμέριστα, μή τε τὴν θεότητα διαιροῦντες τοῦ σώματος, ὡς δι' εὐφημίαν, ὅταν τὸ σῶμα πεπλασμένον ἐκ κοιλίας λέγηται, μή τε τὸ σῶμα μερίζοντες τῆς θεότητος, ὡς δι' ὁμολογίαν τῆς παρουσίας, ὅταν ἡ θεότης ἄκτιστος δοξάζεται. Πῶς οὖν οὐ λυπηρὸν τοὺς ταῦτα καλῶς οὕτως ὁμολογοῦντας, ἢ φρονοῦντας, καθὼς καὶ παρέλαβον, διστάζειν πρὸς ἀλλήλους διὰ ῥήματα; ὅταν οἱ μὲν τῷ τοῦ σώματος ὀνόματι χρῶνται ἐπὶ τοῦ λόγου, καθάπερ ὁ Ἰωάννης σάρκα λέγων γεγενῆσθαι τὸν λόγον. οἱ δὲ τὸ τῆς θεότητος ὄνομα λαμβάνουσιν ἐπὶ τοῦ ὅλου δούλου, ὥσπερ ὁ Παῦλος: λέγω δὲ, ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. Προσκυνεῖν ὁμολογεῖ Χριστὸς κατὰ τὴν σάρκα τὸν πατέρα λέγων: ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν. καὶ οὐ χωρίζεται ἡ θεότης. προσκυνεῖται κατὰ τὴν θεότητα, καὶ οὐ χωρίζεται τὸ σῶμα τῇ τῆς θεότητος προσκυνήσει. οὔτε ἀφιστῶμεν τὸ σῶμα, (οὐδὲ γὰρ δυνατὸν) ὅτε προσκυνοῦμεν τοῦ σώματος τοῦ πεπονθότος, καὶ οὐ χωρίζεται ἡ θεότης, ἥνωται γὰρ. ἔδει γὰρ νικηθῆναι τὸν θάνατον ὑπὸ τοῦ θεοῦ, καὶ νενίκηται. Παραινεῖτε δὲ τοῖς μάτην περὶ ταῦτα διαφερομένοις, καὶ φυλασσέσθω ἡ κατὰ τὸ δόγμα ὁμολογία, μὴ διαιρώμεθα διὰ τὰ ῥήματα. τὸ μὲν γὰρ τοῖς δόγμασι διαφέροντας τοῖς ῥήμασι προσποιεῖσθαι συμφωνεῖν ἀσεβὲς, τὸ δὲ τοῖς δόγμασι συμφωνοῦντας τοῖς ῥήμασι διαφέρεσθαι μάταιον, καὶ μωρόν. Τοῦτο δὲ συμφωνούμενον ἔχοντες, ὅτι θεὸς ἔνσαρκος ὁ Χριστὸς καὶ ἐξ οὐρανοῦ, καὶ γῆς, ὁ αὐτὸς τῇ μορφῇ δοῦλος, καὶ τῇ δυνάμει θεὸς, μενέτωσαν ἐν ὁμονοίᾳ,

καὶ μὴ

*MS. habet διαφημῶσιν

κ᾽ μὴ μάτλῳ διαφερέσθωσαν, μηδὲ εἰς τλῳ τῆ αἱρετικῶν λογομαχίαν ἐκπιπτέτωσαν, ἀλλὰ τῆς Ἐκκλησίας τὴν ἁπλότητα μᾶλλον ζηλωσάτωσαν. ἔῤῥωσο.

ΕΠΙΣΤΟΛΗ ΙΟΥΛΙΟΥ ΠΑΠΑ Α'.

πρὸς τοὺς ἀνατολικούς.

Ἐπιστολὴ Ἰουλίου. Ἰούλιος, Δανίῳ καὶ Φλακίλλῳ, Ναρκίσσῳ, Εὐσεβίῳ, Μάρει, Μακεδονίῳ, Θεοδώρῳ κ᾽ τοῖς σὺν αὐτοῖς, τοῖς ἀπὸ Ἀντιοχείας, γράψασιν ἡμῖν ἀγαπητοῖς ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν.

ΑΝέγνων τὰ γράμματα τὰ διὰ τῆς πρεσβυτέρων μου Ἐλπιδίου κ᾽ Φιλοξένου ἀποκομισθέντα καὶ ἐθαύμασα· πῶς ἡμεῖς μὲν ἀγάπῃ καὶ σπουδῇσει ἀληθείας ἐγράψαμεν, ὑμεῖς δὲ μετὰ φιλονεικίας κ᾽ οὐχ ὡς ἔπρεπεν, ἐπεσείλατε. ὑπεροψία γὰρ κ᾽ ἀλαζονεία τῆς γραψάντων διὰ τῆς ἐπιστολῆς ἐδείκνυτο. ταῦτα δὲ ἀλλόξια τῆς ἐν Χριστῷ πίστεώς ἐστιν. ἔδει γὰρ τὰ μετὰ ἀγάπης γραφέντα, ἀμοιβῆς τῆς ἴσης μετὰ ἀγάπης τυχεῖν. κ᾽ μὴ μετὰ φιλονεικίας. ἢ οὐχὶ ἀγάπης ἐστὶ γνώρισμα πρεσβυτέρους ἀποστεῖλαι συμπαθεῖν τοῖς πάθεσι, προτρέψασθαι τοὺς γράψαντας ἐλθεῖν, ἵνα πάντα θᾶττον, λύσιν λαβόντα διορθωθῆναι δυνηθῇ, κ᾽ μηκέτι μήτε οἱ ἀδελφοὶ ἡμῶν πάθωσι, μήτε ὑμᾶς τινες διαβάλλωσιν; ἀλλ᾽ οὐκ οἶδατί τὸ δόξαν οὕτως ὑμᾶς διατεθῆναι, ὥστε κ᾽ ἡμᾶς ποιῆσαι λογίζεσθαι, ὅτι κ᾽ ἐν οἷς ἐδόξατε ῥήμασιν ἡμᾶς τιμᾶν, ταῦτα μετασχηματιζόμενοι μετὰ εἰρωνείας τινὸς εἰρήκατε. κ᾽ γὰρ οἱ πρεσβύτεροι οἱ ἀποσταλέντες ὡς ἔδει μετὰ χαρᾶς ἐπανελθεῖν τἀναντία λυπούμενοι ἐπανῆλθον ἐφ᾽ οἷς ἑωράκασιν ἐκεῖ γινομένοις. κ᾽ ἔγωγε τοῖς γράμμασιν ἐντυχὼν, πολλὰ λογισάμενος, κατέχον παρ᾽ ἐμαυτῷ τλῳ ἐπιστολίῳ, νομίζων. ὅμως ἦξειν τινὰς κ᾽ μὴ χρείαν εἶναι τῆς ἐπιστολῆς ἵνα μὴ κ᾽ ἐς φανερὸν ἐλθοῦσα, πολλοὺς τῆς ἐνταῦθα λυπήσῃ. ἐπειδὴ δὲ μηδενὸς ἐλθόντος, ἀνάγκη γέγονεν αὐτλῳ προκομισθῆναι, ὁμολογῶ ὑμῖν, πάντες ἐθαύμασαν, κ᾽ ἐγγὺς ἀπιστίας γεγόνασιν, εἰ ὅλως παρ᾽ ὑμῶν τοιαῦτα ἐγράφη. φιλονεικίας γὰρ μᾶλλον κ᾽ οὐκ ἀγάπης ἦν ἡ ἐπιστολή. εἰμὴ ἂν φιλοτιμίας λόγων ἕνεκεν ὁ ὑπαγορεύσας ἔγραψεν, ἄλλων τὸ τοιοῦτον ἐπιτήδευμα. ἐν γὰρ τοῖς ἐκκλησιαστικοῖς οὐ λόγων ἐπίδειξίς ἐστὶν, ἀλλὰ κανόνες ἀποστολικοὶ καὶ σπουδὴ τοῦ μὴ σκανδαλίζειν ἕνα τῆς μικρῶν ἐν τῇ ἐκκλησίᾳ. συμφέρει γὰρ κατὰ τὸν ἐκκλησιαστικὸν λόγον, μύλον ὀνικὸν κρεμασθῆναι εἰς τὸν τράχηλον κ᾽ καταποντισθῆναι ἢ σκανδαλίσαι κἂν ἕνα τῆς μικρῶν. εἰ δὲ ὡς τινῶν λελυπημένων διὰ τλῳ πρὸς ἀλλήλους μικροψυχίαν, οὐ γὰρ ἂν ἔφθασε πάντων εἶναι τούτῳ γνώμῃ, τοιαύτη γέγονεν ἡ ἐπιστολὴ, ἔπρεπε μὲν μὴ δὲ ὅλως λυπηθῆναι μηδὲ ἐπιδῦναι τὸν ἥλιον ἐπὶ τῇ λύπῃ. ἔδει δὲ ὅμως μὴ εἰς τοσοῦτον προαχθῆναι, ὥστε κ᾽ ἔγγραφον αὐτλῳ ἐπιδείξασθαι. τί γὰρ κακὸν γέγονεν ἄξιον λύπης; ἢ ἐν τίνι ἐστὶν ἄξιον λυπηθῆναι ὑμᾶς, οἷς κ᾽ ἐγράψαμεν; ἢ ὅτι προεῤῥέψαμεθα εἰς σπουδὴν, ἀπαντῆσαι; ἀλλὰ τοῦτο μᾶλλον ἔδει μετὰ χαρᾶς δέξασθαι εἰ γὰρ παῤῥησίαν ἔχοντες ἐφ᾽ οἷς πεποιήκασι, κ᾽ ὡς αὐτοὶ λέγουσι κεχρίκασιν, οὐκ ἀγανακτοῦσιν εἰ παρ᾽ ἑτέρων ἐξετάζοιτο ἡ κρίσις, ἀλλὰ θαῤῥοῦσιν ὅτι ἃ δικαίως ἐκεῖναν, ταῦτα ἄδικα οὐκ ἂν ποτε γένοιτο, διὰ τοῦτο οἱ ἐν τῇ κατὰ Νίκαιαν μεγάλῃ συνόδῳ συνελθόντες ἐπίσκοποι, οὐκ ἄνευ Θεοῦ βουλήσεως συνεχώρησαν ἐν ἑτέρᾳ συνόδῳ τὰ τῆς προτέρας ἐξετάζεσθαι, ἵνα κ᾽ οἱ κρίνοντες πρὸ ὀφθαλμῶν ἔχοντες τλῳ ἐσομένῳ δικαίαν κρίσιν, μετὰ πάσης ἀσφαλείας ἐξετάζωσι, κ᾽ οἱ κεκινόμενοι πιστεύωσι, μὴ κατ᾽ ἔχθραν τῆς προτέρων, ἀλλὰ κατὰ τὸ δίκαιον ἑαυτοὺς κρίνασθαι. εἰδὲ τὸ τοιοῦτον ἔθος παλαιὸν τυγχάνον, μνημονεύεσθαι δὲ κ᾽ γραφὴ ἐν τῇ μεγάλῃ συνόδῳ, ὑμεῖς τοῦτο παρ᾽ ὑμῖν ἰσχύειν οὐ θέλετε, ἀπρεπὴς μὲν ἡ τοιαύτη παραίτησις, τὸ γὰρ ἅπαξ συνήθειαν ἐσχηκὸς ἐν τῇ ἐκκλησίᾳ, κ᾽ ὑπὸ συνόδων βαιωθὲν, οὐκ εὔλογον ὑπὸ ὀλίγων παραλύεσθαι, ἄλλως τε οὐδὲ ἐν τούτῳ δικαίως ἂν φανεῖεν λυπηθέντες, οἱ γὰρ παρ᾽ ὑμῶν τῆς περὶ Εὐσέβιον ἀποσάντες, μετὰ γραμμάτων λέγω δὴ Μακαρίου ὁ πρεσβύτερος κ᾽ Μαρτύριος κ᾽ Ἡσύχιος οἱ διάκονοι ἀπαντήσαντες ἐνταῦθα, ὡς οὐκ ἠδυνήθησαν πρὸς τοὺς ἐλθόντας Ἀθανασίου πρεσβυτέρους ἀντισῆναι, ἀλλ᾽ ἐν πᾶσι διεξέποντο κ᾽ διηλέγχοντο, τὸ τλωι καῦτα ἠξίωσαν ἡμᾶς, ὥστε συνόδου συγχρότῆσαι, κ᾽ γράψαι κ᾽ Ἀθανασίῳ τῷ ἐπισκόπῳ εἰς Ἀλεξάνδρειαν, γράψαι δὲ κ᾽ τοῖς περὶ Εὐσέβιον, ἵνα ἐπὶ παρουσίᾳ πάντων, ἡ δικαία κρίσις ἐξενεχθῆναι δυνηθῇ, τότε γὰρ κ᾽ ἀποδεικνύναι πάντα τὰ κατὰ Ἀθανάσιον ἐπηγγείλαντο, κοινῇ γὰρ ὑφ᾽ ὑμῶν διηλέγχθησαν οἱ περὶ Μαρτύριον κ᾽ Ἡσύχιον, κ᾽ οἱ Ἀθανασίου τοῦ ἐπισκόπου πρεσβύτεροι, μετὰ πεποιθήσεως ἀνθίσαντο, οἱ δὲ περὶ Μαρτύριον, εἰ δεῖ ἀληθὲς εἰπεῖν, ἐν πᾶσι διεξέποντο, ὅθεν κ᾽ ἠξίωσαν συνόδου γενέσθαι. εἰ τοίνυν μὴ δὲ τῆς περὶ Μαρτύριον κ᾽ Ἡσύχιον ἀξιωσάντων γενέσθαι συνόδου, προεξεψάμενος ἡμῖν ἐγὼ σκύλαι τοὺς γράψαντας ἕνεκεν τῆς ἀδελφῶν τῆς αἰτιωμένων ἀδικίαν πεπονθέναι, κ᾽ ὅτως ἄλογος ἐστὶ καὶ δικαία ἡ προξοπή. ἔστι γὰρ ἐκκλησιαστικὴ κ᾽ Θεῷ ἀρέσκουσα, ὅτι δὲ ὃς ὑμεῖς αὐτοὶ οἱ περὶ Εὐσέβιον ἀξιοπίστους ἡγήσασθε, κ᾽ ὅτοι ἠξίωσαν ἡμᾶς συγκαλέσαι, ἀκόλουθον ἐστὶ τοὺς κληθέντας μὴ λυθῆναι, ἀλλὰ μᾶλλον προθύμως ἀπαντῆσαι. οὐκ ἦν ἡ μὲν δόξασα ἀγανάκτησις τῆς λυπηθέντων, προπετὴς, ἡδὲ παραίτησις τῆς μὴ θελησάντων ἀπαντῆσαι, ἀπρεπὴς κ᾽ ὕποπτος ἐκ τούτων δείκνυται· αἰτιᾶται τις ἃ πράττων αὐτὸς ἀποδέχεται, εἰ παρ᾽ ἑτέρου γενόμενα βλέποι; εἰ γὰρ ὡς γράφετε ἀσάλευτον ἔχει τλῳ ἰσχὺν ἑκάστη σύνοδος, κ᾽ ἀτιμάζεται ὁ κρίνας, ἐὰν παρ᾽ ἑτέρων ἡ κρίσις ἐργάζηται, σκοπεῖτε ἀγαπητοὶ τίνες εἰσὶν οἱ συνόδου ἀτιμάζοντες κ᾽ τίνες τὰ τῆς φθασάντων κεῖναι, ὀφαλύουσι, κ᾽ ἵνα μὴ τὰ καθ᾽ ἕκαστον νῦν ἐξετάζων ἐπιβαρεῖν τινας δοκῶ, ἀλλὰ τότε τελευταῖον γνώμενον ἐφ᾽ ᾧ κ᾽ φρίξειεν ἄντις ἀκέων ἀρκεῖ πρὸς ἀποδεῖξιν πάντων τῆς παραλειφθέντων. οἱ Ἀρειανοὶ οἱ ἀπὸ τοῦ τῆς μακαρίας μνήμης

μης Ἀλεξάνδρου τοῦ γενομένου ἐπισκόπου τῆς Ἀλεξανδρείας, ἐπὶ ἀσεβείᾳ ἐκβληθέντες οὐ μόνον ὑπὸ τῶν καθ' ἑκάστην πόλιν ἀπεκηρύχθησαν, ἀλλὰ καὶ ὑπὸ πάντων τῶν κοινῇ συνελθόντων ἐν τῇ κατὰ Νίκαιαν μεγάλῃ συνόδῳ ἀνεθεματίσθησαν, οὐ γὰρ ἦν αὐτῶν, τὸ τυχὸν πλημμέλημα οὐδὲ εἰς ἄνθρωπον ἦσαν ἁμαρτήσαντες, ἀλλ' εἰς αὐτὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν, τοῦ Θεοῦ τοῦ ζῶντος. καὶ ὅμως οἱ ὑπὸ πάσης τῆς οἰκουμένης ἀποκηρυχθέντες, καὶ κατὰ πᾶσαν ἐκκλησίαν στηλιτευθέντες, νῦν λέγονται δεδέχθαι. ἐφ' ᾧ καὶ ὑμᾶς ἀκούσαντας, χαλεπαίνειν δίκαιον ἡγοῦμαι, τίνες οὖν εἰσὶν οἱ σύνοδον ἀτιμάζοντες, οὐχὶ οἱ τῶν τριακοσίων τὰς ψήφους παρ' οὐδὲν θέμενοι, καὶ ἀσέβειαν εὐσεβείας προκρίναντες; ἡ μὲν γὰρ τῶν ἀρειομανιτῶν αἵρεσις, ὑπὸ πάντων ἀπανταχοῦ ἐπισκόπων κατεγνώσθη καὶ ἀπεκηρύχθη. Ἀθανάσιος δὲ καὶ Μάρκελλος οἱ ἐπίσκοποι, πλείονας ἔχουσι τοὺς ὑπὲρ ἑαυτῶν λέγοντας καὶ γράφοντας, Μάρκελλος μὲν γὰρ ἐμαρτυρήθη, ἡμῖν, καὶ ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ, τοῖς τὰ Ἀρείου φρονοῦσιν ἀντειρηκώς. Ἀθανάσιος δὲ ἐμαρτυρήθη μὴ δὲ ἐν Τύρῳ καταγνωσθεὶς, ἐν δὲ τῷ Μαρεώτῃ μὴ παρεῖναι ἔνθα τὰ ὑπομνήματα κατ' αὐτοῦ γεγενῆσθαι λέγεται. οἴδατε δὲ ἀγαπητοὶ ὅτι τὰ κατὰ μονομέρειαν ἰσχὺν οὐκ ἔχει, ἀλλ' ὕποπτα τυγχάνει, καὶ ὅμως τούτων ὄντων, ἡμεῖς ὑπὲρ ἀκριβείας, οὔτε ὑμῖν, οὔτε τοῖς ὑπὲρ αὐτῶν γράψασι πρόκριμα ποιοῦντες προετρεψάμεθα τοὺς γράψαντας ἐλθεῖν, ἵν' ἐπειδὴ πλείους εἰσὶν οἱ ὑπὲρ αὐτῶν γράψαντες ἐπὶ συνόδου πάντα ἐξετασθῇ. πρὸς τὸ μὴ δὲ τὸν ἀναίτιον κατακριθῆναι, μήτε τὸν ὑπεύθυνον ὡς καθαρὸν λογισθῆναι. οὐκ οὖν οὐ παρ' ἡμῶν ἀτιμάζεται σύνοδος, ἀλλὰ παρ' ἐκείνων τῶν ἁπλῶς καὶ ὡς ἔτυχε τοὺς παρὰ πάντων κατακριθέντας Ἀρειανοὺς, καὶ παρὰ γνώμην τῶν κρινάντων, δεξαμένων. οἱ γὰρ πλείονες ἤδη ἀναλύσαντές εἰσι σὺν Χριστῷ. οἱ δὲ ἔτι καὶ νῦν ἐν τῷ βίῳ τούτῳ ἐξετάζονται, ἀγανακτοῦντες ὅτι τὴν αὐτῶν κρίσιν ἔλυσάν τινες, τοῦτο δὲ καὶ ἀπὸ τῶν γενομένων μὲν ἐν τῇ Ἀλεξανδρείᾳ ἔγνωμεν, καὶ γὰρ καὶ Καρπώνης τις ἐκβληθεὶς ὑπὸ Ἀλεξάνδρου διὰ τὴν Ἀρείου αἵρεσιν μετά τινων καὶ αὐτῶν ἐκβληθέντων διὰ τὴν αὐτὴν αἵρεσιν ἐληλύθασιν ἐνταῦθα ἀποσταλέντες παρὰ Γρηγορίου τινος, ὅμως δὲ ἐμάθομεν, καὶ παρὰ Μακαρίου πρεσβυτέρου, καὶ Μαρτυρίου καὶ Ἡσυχίου τῶν διακόνων, πρὸ τοῦ γὰρ ἀπαντῆσαι τοὺς Ἀθανασίου πρεσβυτέρους, προτρέποντο ἡμᾶς γράφειν ἐν Ἀλεξανδρείᾳ Πιστῷ τινι, ἣν ἱκα καὶ Ἀθανάσιος ὁ ἐπίσκοπος ἐν Ἀλεξανδρείᾳ ἦν. τοῦτον δὲ τὸν Πιστὸν, οἱ Ἀθανασίου τοῦ ἐπισκόπου πρεσβύτεροι παραγενόμενοι, ἀπέδειξαν εἶναι Ἀρειανὸν ἐκβληθέντα μὲν ὑπὸ Ἀλεξάνδρου τοῦ ἐπισκόπου. καὶ τῆς κατὰ Νίκαιαν συνόδου, κατασταθέντα δὲ ὑπὸ Σεκούνδου τινός, ὃν ἡ μεγάλη σύνοδος, Ἀρειανὸν ὄντα, ἐξέβαλε. τοῦτο δὲ οὐδὲ αὐτοὶ οἱ περὶ Μαρτύριον ἀντέλεγον, οὐδὲ ἠρνοῦντο τὸν Πιστὸν ὑπὸ Σεκούνδου ἐσχηκέναι τὴν κατάστασιν. σκοπεῖτε τοίνυν καὶ ἐκ τούτων τίνες ἂν ὑπὸ μέμψιν δικαίως γένοιντο, οἱ μὴ πεισθέντες ἡμεῖς ὥστε Πιστῷ τῷ Ἀρειανῷ γράψαι, ἢ οἱ συμβουλεύοντες ἀτιμάσαι τὴν μεγάλην σύνοδον, καὶ τοῖς ἀσεβέσιν ὡς εὐσεβέσι γράψαι, καὶ γὰρ καὶ Μακάριος ὁ πρεσβύτερος, ὁ παρὰ Εὐσεβίου μετὰ τῶν περὶ Μαρτύριον ἀποσταλεὶς, ὡς ἤκουσεν ἐπιστάντας τοὺς πρεσβυτέρους Ἀθανασίου ἐκδεχομένων ἡμῶν τὴν παρουσίαν αὐτοῦ, μετὰ τῶν περὶ Μαρτύριον καὶ Ἡσύχιον, ἀπεδήμησε νυκτὸς καί τοι νοσῶν τῷ σώματι, ὡς ἐκ τούτου λοιπὸν ἡμᾶς ἀκολούθως ἀποστοχάζεσθαι ὅτι αἰσχυνόμενος τὸν κατὰ Πιστοῦ ἔλεγχον, ἀνεχώρησεν. ἀδύνατον γὰρ τὴν κατάστασιν Σεκούνδου τοῦ Ἀρειανοῦ, ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ἰσχύσαι. ἀτιμία γὰρ ἀληθῶς αὕτη κατὰ τῆς συνόδου καὶ τῶν ἐν αὐτῇ συνελθόντων ἐπισκόπων, ἐὰν τὰ μετὰ τοσαύτης σπουδῆς καὶ εὐλαβείας ὡς Θεοῦ παρόντος γενόμενα, ἀντὶ μηδενὸς λυθῇ. εἴπερ οὖν ὡς γράφετε ἐκ τοῦ κατὰ Νοβάτον καὶ τὸν Σαμοσατέα Παῦλον παραδείγματος τὰ τῶν συνόδων ἰσχύειν δόγματα χρὴ, ἔδει μᾶλλον, μὴ λυθῆναι τῶν τριακοσίων τὴν ψῆφον ἔδει τὴν καθολικὴν σύνοδον ὑπὸ τῶν ὀλίγων μὴ ἀτιμασθῆναι. αἱρετικοὶ γὰρ οἱ Ἀρειανοὶ ὥσπερ κἀκεῖνοι, καὶ ὅμοιαι αἱ κατὰ τούτων ψῆφοι ταῖς κατ' ἐκείνων. τούτων δὲ τολμηθέντων, τίνες εἰσὶν οἱ φλόγα διχονοίας ἀνάψαντες; ἡμᾶς γὰρ τοῦτο πεποιηκέναι γράψαντες ἐμέμψασθε. ἆρ οὖν ἡμεῖς διχονοίας εἰργασάμεθα οἱ συναλγοῦντες τοῖς πάσχουσιν ἀδελφοῖς, καὶ κατὰ κανόνα πάντα πεποιηκότες, ἢ οἱ φιλονείκως καὶ παρὰ κανόνα τῶν τριακοσίων τὴν ψῆφον λύσαντες, καὶ κατὰ πάντα τὴν σύνοδον ἀτιμάσαντες. οὐ γὰρ μόνον οἱ Ἀρειανοὶ ἐδέχθησαν, ἀλλὰ καὶ ἀπὸ τόπου εἰς τόπον μεμελετήκασιν ἐπίσκοποι διαβαίνειν, εἰ οὖν ἀληθῶς ἴσην καὶ τὴν αὐτὴν ἡγεῖσθε τιμὴν τῶν ἐπισκόπων καὶ μὴ ἐκ τοῦ μεγέθους τῶν πόλεων ὡς γράφετε, κρίνετε τοὺς ἐπισκόπους, ἔδει τὸν πεπιστευμένον μικρὰν, μένειν ἐν τῇ πιστευθείσῃ, καὶ μὴ ἐξουθενεῖν μὲν τὸν πεπιστευμένον, μεταβαίνειν δὲ εἰς τὴν μὴ ἐγχειρισθεῖσαν, ἵνα τῆς μὲν παρὰ Θεοῦ δοθείσης καταφρονῇ, τὴν δὲ τῶν ἀνθρώπων κενοδοξίαν ἀγαπήσῃ. οὐκ οὖν ἀγαπητοὶ ἔδει ἀπαντῆσαι καὶ μὴ παραιτήσασθαι, ἵνα καὶ τέλος λάβῃ τὸ πρᾶγμα, τοῦτο γὰρ ὁ λόγος ἀπαιτεῖ. ἀλλ' ἴσως ἡ προθεσμία ἐνεπόδισε, γράψαντες, γὰρ ἐμέμψασθε, ὅτι στενὴν τὴν προθεσμίαν τῆς συνόδου ὡρίσαμεν. ἀλλὰ καὶ τοῦτο ἀγαπητοὶ πρόφασίς ἐστιν εἰ μὲν γὰρ ἐρχομένους τινὰς συνέκλεισεν ἡ ἡμέρα. στενὸν ἂν τὸ διάστημα τῆς προθεσμίας ἠλέγχθη, εἰ δὲ οἱ ἐλθεῖν μὴ βουλόμενοι, κατεσχήκασι καὶ τοὺς πρεσβυτέρους ἕως αὐτοῦ τοῦ Ἰουαννιαρίου μηνὸς, μὴ θαρρούντων ἐστὶν ἡ πρόφασις, ἦλθον γὰρ ἂν, ὡς προεῖπον, εἰ ἐθάρρουν, οὐ πρὸς τὸ διάστημα τῆς ὁδοῦ σκοποῦντες, οὐδὲ πρὸς τὴν προθεσμίαν ὁρῶντες, ἀλλ' ἐπὶ τοῖς δικαίοις καὶ τοῖς εὐλόγοις παρρησιαζόμενοι. ἀλλὰ ἴσως διὰ τὸν καιρὸν οὐκ ἀπήντησαν, τοῦτο γὰρ γράφοντες πάλιν ἐδηλώσατε, ὡς ἄρα ἔδει ἡμᾶς σκοπήσαντας τὸν ἐπὶ τῆς ἑῴας καιρὸν, μὴ προτρέψασθαι ὑμᾶς ἀπαντῆσαι. εἰ μὲν οὖν διὰ τὸ τοιοῦτον εἶναι τὸν καιρὸν, οὐκ ἀπηντήσατε, ὡς φατέ, ἔδει προτέρου ὑμᾶς τὸν καιρὸν τοῦτον σκοπήσαντας, μὴ αἰτίους σχίσματος μηδὲ ὀλολυγῆς καὶ θρήνων ἐν ταῖς ἐκκλησίαις γενέσθαι. νῦν δὲ οἱ ταῦτα πεποιηκότες, ἔδειξαν μὴ τὸν καιρὸν αἴτιον, ἀλλὰ τὴν προαίρεσιν τῶν μὴ θελησάντων ἀπαντῆσαι. Θαυμάζω δὲ κἀκεῖνο τὸ μέρος τῆς ἐπιστολῆς πῶς ὅλως κἂν ἐγράφη παρ' ὑμῶν, ὅτι δὴ τοῖς περὶ Εὐσέβιον μόνοις, καὶ οὐ πᾶσιν ὑμῖν

μόνος ἔγραψα. εὐχέρειαν γὰρ τῶν μεμψαμένων ἄν τις εὕροι, ἤπερ ἀλήθειαν. ἐγὼ γὰρ οὐκ ἄλλοθεν λαβὼν κατὰ Ἀθανασίου γράμματα ἢ διὰ τῶν περὶ Μαρτύριον καὶ Ἡσύχιον, ἐκείνοις ἀνάγκη ἔγραψα τοῖς καὶ γράψασι κατ' αὐτοῦ. ἔδει τοίνυν ἢ τοὺς περὶ Εὐσέβιον μὴ μόνους χωρὶς πάντων ὑμῶν γράψαι, ἢ ὑμᾶς, οἷς μὴ ἔγραψα μὴ λυπεῖσθαι, εἰ ἐκείνοις ἐγράφη τοῖς καὶ γράψασιν. εἰ γὰρ ἐχρῆν καὶ πᾶσιν ὑμῖν ἐπιστεῖλαι, ἔδει καὶ ὑμᾶς σὺν ἐκείνοις γράψαι, νῦν δὲ τὸ ἀκόλουθον σκοποῦντες, ἐκείνοις ἐγράψαμεν, τοῖς καὶ δηλώσασιν ἡμῖν καὶ τοῖς ἀποστείλασι πρὸς ἡμᾶς, εἰ δὲ καὶ τὸ μόνον ἐμὲ γεγραφέναι ἐκείνοις ἐκίνησεν ὑμᾶς, ἀκόλουθόν ἐστιν ὑμᾶς ἀγανακτεῖν, ὅτι καὶ μόνῳ ἐμοὶ ἔγραψαν. ἀλλὰ καὶ ἐν τούτῳ πιθανὴ μὲν καὶ οὐκ εὔλογος ἡ πρόφασις, ἀγαπητοὶ, ὅμως δὲ γνωρίσαι ὑμῖν ἀναγκαῖον, ὅτι εἰ καὶ μόνος ἔγραψα, ἀλλ' οὐκ ἐμοῦ μόνου ἔστιν αὕτη ἡ γνώμη ἀλλὰ καὶ πάντων τῶν κατὰ τὴν Ἰταλίαν, καὶ τῶν ἐν τούτοις τοῖς μέρεσιν ἐπισκόπων. καὶ ἔγω γε τοὺς πάντας οὐκ ἠθέλησα ποιῆσαι γράψαι, ἵνα μὴ παρὰ πολλῶν τὸ βάρος ἔχωσιν. ἀμέλει καὶ νῦν τῇ ὁρισθείσῃ προθεσμίᾳ συνῆλθον ἐπίσκοποι, καὶ ταύτης τῆς γνώμης γεγόνασιν ἣν πάλιν γράφων ὑμῖν σημαίνω. ὥστε ἀγαπητοὶ εἰ καὶ μόνος ἐπιστέλλω, ἀλλὰ πάντων εἶναι γνώμην ταύτην γινώσκετε, ταῦτα μὲν οὖν περὶ τοῦ μὴ εὐλόγως τινὰς ἐξ ὑμῶν προφάσεις, ἀλλὰ ἀδίκους καὶ ὑπόπτους πορίσασθαι. περὶ δὲ τοῦ μὴ εὐχερῶς μηδὲ ἀδίκως ἡμᾶς ὑποδεδέχθαι εἰς κοινωνίαν τοὺς συνεπισκόπους ἡμῶν Ἀθανάσιον καὶ Μάρκελλον, εἰ καὶ τὰ προλεχθέντα ἱκανὰ, ὅμως διὰ βραχέων εὔλογον ὑμῖν δεῖξαι. ἔγραψαν οἱ περὶ Εὐσέβιον πρότερον κατὰ τῶν περὶ Ἀθανάσιον. ἐγράψατε δὲ καὶ νῦν ἡμεῖς, ἔγραψαν δὲ καὶ πλεῖστοι ἐπίσκοποι ἀπὸ τῆς Αἰγύπτου καὶ ἐξ ἄλλων ἐπαρχιῶν ὑπὲρ Ἀθανασίου. πρῶτον μὲν οὖν τὰ κατ' αὐτοῦ γράμματα παρ' ὑμῶν μάχεται πρὸς ἑαυτὰ, καὶ οὐδὲ μίαν συμφωνίαν ἔχει τὰ δεύτερα πρὸς τὰ πρῶτα, ἀλλ' ἐν πολλοῖς τὰ πρῶτα ὑπὸ τῶν δευτέρων λύεται, καὶ τὰ δεύτερα ὑπὸ τῶν πρώτων διαβάλλεται. ἀσυμφώνων δὲ ὄντων τῶν γραμμάτων, οὐδεμία πίστις περὶ τῶν λεγομένων ἐστίν. ἔπειτα εἰ τοῖς παρ' ὑμῶν γραφεῖσιν ἀξιοῦτε πιστεύειν, ἀκόλουθόν ἐστι καὶ τοῖς ὑπὲρ αὐτοῦ γράψασι μὴ ἀπιστῆσαι καὶ μάλιστα, ὅτι ὑμεῖς μὲν πόρρωθεν, ἐκεῖνοι δὲ ἐν τοῖς τόποις ὄντες καὶ εἰδότες τὸν ἄνδρα καὶ τὰ ἐκεῖ γινόμενα πράγματα γράφουσι, μαρτυροῦντες αὐτοῦ τῷ βίῳ καὶ διαβεβαιούμενοι ἐν πᾶσιν αὐτὸν συσκευὴν πεπονθέναι, καὶ πάλιν, Ἀρσένιός τις ἐπίσκοπος ἐλέχθη ποτὲ ὡς ἀναιρεθεὶς παρὰ Ἀθανασίου, ἀλλὰ τοῦτον ἐμάθομεν ζῆν, ἀλλὰ καὶ φιλίαν ἔχειν πρὸς αὐτὸν τὰ ὑπομνήματα τὰ ἐν Μαρεώτῃ γενόμενα διεβεβαιώσατο κατὰ μονομέρειαν γεγενῆσθαι, μήτε γὰρ ἐκεῖ παρεῖναι Μακάριον τὸν πρεσβύτερον τὸν κατηγορούμενον μήτε αὐτὸν τὸν ἐπίσκοπον αὐτοῦ Ἀθανάσιον, καὶ τοῦτο οὐ μόνον ἐκ τῶν αὐτοῦ λόγων, ἀλλὰ καὶ ἐξ ὑπομνημάτων ὧν ἐκόμισαν ἡμῖν οἱ περὶ Μαρτύριον καὶ Ἡσύχιον ἔγνωμεν. ἀναγνόντες γὰρ εὕρομεν, ὅτι ὁ μὲν κατήγορος Ἰσχύρας ἐκεῖ παρῆν, οὔτε δὲ Μακάριος, οὔτε ὁ ἐπίσκοπος Ἀθανάσιος, ἀλλὰ καὶ πρεσβυτέρους ἀξιοῦντας παρεῖναι, καὶ μὴ συγχωρηθέντας. ἔδει δὲ ἀγαπητοὶ, εἴπερ μετὰ ἀληθείας ἐγίνετο τὸ κριτήριον, μὴ μόνον τὸν κατήγορον, ἀλλὰ καὶ τὸν κατηγορούμενον παρεῖναι. ὥσπερ γὰρ ἐν τῇ Τύρῳ Μακάριος παρῆν ὁ κατηγορούμενος, καὶ Ἰσχύρας ὁ κατήγορος καὶ οὐδὲν ἐδείχθη, οὕτως ἔδει καὶ ἐν τῷ Μαρεώτῃ μὴ μόνον ἀπελθεῖν τὸν κατήγορον, ἀλλὰ καὶ τὸν κατηγορούμενον ἵνα παρὼν ἢ ἐλεγχθῇ ἢ μὴ ἐλεχθεὶς, δείξῃ τὴν συκοφαντίαν. νῦν δὲ τούτου μὴ γενομένου, ἀλλὰ μόνου ἀπελθόντος τοῦ κατηγόρου, μεθ' ὧν παρῃτήσατο Ἀθανάσιον, ὕποπτα τὰ πράγματα φαίνεται. ᾐτιᾶτο δὲ καὶ τοὺς ἀπελθόντας εἰς τὸν Μαρεώτην παρὰ γνώμην αὐτοῦ ἀπεληλυθέναι ἔλεγε γὰρ ὅτι Θεόγνιον καὶ Μάριν, καὶ Θεόδωρον, Οὐρσάκιον καὶ Οὐάλεντα καὶ Μακεδόνιον ὑπόπτους ὄντας ἀπέστειλαν, καὶ τοῦτο οὐκ ἐκ τῶν λόγων αὐτοῦ μόνον. ἀλλὰ καὶ ἐκ τῆς ἐπιστολῆς Ἀλεξάνδρου τοῦ γενομένου ἐπισκόπου τῆς Θεσσαλονίκης ἐδείκνυε. προήνεγκε γὰρ ἐπιστολὴν αὐτοῦ γραφεῖσαν πρὸς Διονύσιον τὸν ἐν τῇ συνόδῳ κόμητα, ἐν ᾗ δηλοῖ φανερὰν συσκευὴν γενέσθαι κατὰ Ἀθανασίου, καὶ αὐτοῦ δὲ τοῦ κατηγόρου Ἰσχύρα, προεκόμισε χεῖρα ὁλόγραφον αὐθεντικὴν ἐν ᾗ μάρτυρα τὸν Θεὸν τὸν παντοκράτορα ἐπικαλούμενος, μήτε ποτηρίου κλάσιν, μήτε τραπέζης ἀναστροπὴν γεγενῆσθαι ἔλεγεν, ἀλλ' ὑποβεβλῆσθαι ἑαυτὸν ὑπό τινων, πλάσασθαι ταύτην τὴν κατηγορίαν, ἀπαντήσαντες δὲ καὶ πρεσβύτεροι τοῦ Μαρεώτου, διεβεβαιώσαντο μήτε τὸν Ἰσχύραν πρεσβύτερον εἶναι τῆς καθολικῆς ἐκκλησίας, μήτε τὶ τοιοῦτον πεπλημμεληκέναι Μακάριον ὁποῖον ἐκεῖνος κατηγόρησεν. οἱ πρεσβύτεροι δὲ καὶ οἱ διάκονοι ἀπαντήσαντες ἐνταῦθα, οὐκ ὀλίγα ἀλλὰ καὶ πολλὰ ἐμαρτύρησαν ὑπὲρ τοῦ ἐπισκόπου Ἀθανασίου, διαβεβαιούμενοι μηδὲν ἀληθὲς εἶναι τῶν κατ' αὐτοῦ λεγομένων, συσκευὴν δὲ αὐτὸν πεπονθέναι. καὶ οἱ ἀπὸ τῆς Αἰγύπτου δὲ καὶ Λιβύης πάντες ἐπίσκοποι, γράφοντες διεβεβαιώσαντο, καὶ τὴν κατάστασιν αὐτοῦ ἔννομον καὶ ἐκκλησιαστικὴν γεγονέναι, καὶ πάντα τὰ παρ' ὑμῶν λεγόμενα κατ' αὐτοῦ, εἶναι ψευδῆ, οὔτε γὰρ φόνον γεγενῆσθαι, οὔτε τινὰς ἀναιρεθῆναι δι' αὐτὸν, οὔτε κλάσιν ποτηρίου γεγενῆσθαι. ἀλλὰ πάντα εἶναι ψευδῆ. καὶ ἐκ τῶν ὑπομνημάτων δὲ τῶν ἐν Μαρεώτῃ κατὰ μονομέρειαν γεγενημένων ἐδείκνυεν ἐπίσκοπος εἰπόντα ἔνδον εἶναι μετὰ Ἰσχύρα, ὅτε Μακάριος ὁ πρεσβύτερος Ἀθανασίου ὡς λέγουσιν, ἐπέστη τῷ τόπῳ καὶ ἄλλους δὲ ἐξετασθέντας καὶ εἰπόντας τὸν μὲν ἐν κελλίῳ μικρῷ, τὸν δὲ ὄπισθεν τῆς θύρας κατακεῖσθαι τὸν Ἰσχύραν τότε, νοσοῦντα, ὅτε Μακάριον λέγουσιν ἀπηντηκέναι ἐκεῖ. ἀπὸ δὴ τούτων ὧν ἔλεγε καὶ ἡμεῖς ἀκολούθως στοχαζόμεθα, ὅτι πῶς οἷόν τε τὸν ὄπισθεν τῆς θύρας νόσῳ κατακείμενον, τότε ἑστηκέναι καὶ λειτουργεῖν καὶ προσφέρειν; ἢ πῶς οἷόν τε ἦν προσφορὰν προκεῖσθαι, ἔνδον ὄντων τῶν κατηχουμένων; εἰ γὰρ ἔνδον ἦσαν οἱ κατηχούμενοι, οὔπω ἦν ὁ καιρὸς τῆς προσφορᾶς, ταῦτα, ὥσπερ εἴρηται, ἔλεγεν ὁ ἐπίσκοπος Ἀθανάσιος, καὶ ἐκ τῶν ὑπομνημάτων ἐδείκνυε, διαβεβαιουμένων καὶ τῶν σὺν αὐτῷ, μὴ δὲ ὅλως αὐτὸν πρεσβύτερον γεγενῆσθαί ποτε ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, μὴ δὲ συνῆχθαι αὐτόν ποτε ἐν τῇ ἐκκλησίᾳ ὡς

πρεσ-

πρεσβύτερον. οὐδὲ γὰρ οὐδὲ ὅτι Ἀλέξανδρος ἐδέχετο κατὰ φιλανθρωπίαν τῆς μεγάλης συνόδου τοὺς ἀπὸ σχίσματος Μελιτίου ὠνομᾶσθαι αὐτὸν ὑπὸ Μελιτίου μετὰ τῶν αὐτοῦ διεβεβαιοῦντο, ὃ καὶ μέγιστόν ἐστι τεκμήριον, μὴ εἶναι αὐτὸν μήτε Μελιτίου. εἰ γὰρ ἦν, πάντως καὶ αὐτὸς αὐτοῖς συνηριθμεῖτο. ἄλλως τε καὶ ἐν ἄλλοις ὁ Ἰσχύρας ψευσάμενος ἐδείκνυτο ὑπὸ Ἀθανασίου, ἐκ τῶν ὑπομνημάτων. κατηγορήσας γὰρ ὡς βιβλίων κεκαυμένων, ὅτε ὡς λέγουσι Μακάριος ἐπέστη, ἠλέγχθη ὑφ' ὧν αὐτὸς ἤνεγκε μαρτύρων ψευσάμενος. τούτων τοίνυν οὕτως λεγομένων καὶ τοσούτων μὲν ὄντων τῶν μαρτύρων τῶν ὑπὲρ αὐτοῦ, τοσούτων δὲ δικαιωμάτων προφερομένων ὑπ' αὐτοῦ, τί ἔδει ποιεῖν ἡμᾶς; ἢ τί ἐκκλησιαστικὸς κανὼν ἀπαιτεῖ; ἢ μὴ καταγνῶναι τοῦ ἀνδρὸς, ἀλλὰ μᾶλλον ἀποδέξασθαι καὶ ἔχειν αὐτὸν ἐπίσκοπον ὥσπερ καὶ εἴχομεν, καὶ γὰρ πρὸς τούτοις πᾶσι, παρέμεινεν ἐνταῦθα ἐνιαυτὸν καὶ ἓξ μῆνας ἐκδεχόμενος τὴν παρουσίαν ὑμῶν, ἢ τῶν βουλομένων ἐλθεῖν, τῇ δὲ παρουσίᾳ ἐδυσώπει πάντας, ὅτι οὐκ ἂν παρῆν, εἰμὴ ἐθάρρει. καὶ γὰρ οὐκ ἀφ' ἑαυτοῦ ἐλήλυθεν, ἀλλὰ κληθεὶς, καὶ λαβὼν γράμματα παρ' ἡμῶν, καθάπερ καὶ ὑμῖν ἐγράψαμεν, καὶ ὅμως μετὰ τοσαῦτα, ὑμεῖς ὡς παρὰ κανόνας ποιήσαντας ἡμᾶς ἐμέμψασθε. σκοπεῖτε τοίνυν τίνες εἰσὶν οἱ παρὰ κανόνας πράξαντες, ἡμεῖς, οἱ μετὰ τοσούτων ἀποδείξεων τὸν ἄνδρα δεξάμενοι, ἢ οἱ ἀπὸ τριάκοντα καὶ ἓξ μόνων ἐν Ἀντιοχείᾳ ὀνομάσαντές τινα ὡς ἐπίσκοπον ξένον, καὶ ἀποστείλαντες εἰς Ἀλεξάνδρειαν μετὰ στρατιωτικῆς ἐξουσίας; ὅπερ οὐ γέγονεν οὐδ' εἰς Γαλλίας αὐτοῦ ἀποσταλέντος. ἐγεγόνει γὰρ ἂν καὶ τότε, εἰ ὄντως ἦν καταγνωσθείς. ἀμέλει ἐπανελθὼν σχολάζουσαν καὶ ἐκδεχομένην αὐτὸν τὴν ἐκκλησίαν εὗρεν, ἀλλὰ νῦν οὐκ οἶδα ποίῳ τρόπῳ γέγονε τὰ γενόμενα. πρῶτον μὲν γὰρ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, οὐκ ἔδει γραψάντων ἡμῶν σύνοδον γενέσθαι, προλαβεῖν τινας τὴν ἐκ τῆς συνόδου κρίσιν, ἔπειτα, οὐκ ἔδει τοιαύτην καινοτομίαν κατὰ ἐκκλησίας γενέσθαι. ποῖος γὰρ κανὼν ἐκκλησιαστικὸς, ἢ ποία παράδοσις ἀποστολικὴ τοιαύτη; ὥστε εἰρηνευούσης ἐκκλησίας, καὶ ἐπισκόπων τοσούτων ὁμονίαν ἐχόντων πρὸς τὸν ἐπίσκοπον τῆς Ἀλεξανδρείας Ἀθανάσιον, ἀποσταλῆναι Γρηγόριον, ξένον μὲν τῆς πόλεως, μήτε ἐκεῖ βαπτισθέντα, μήτε γινωσκόμενον τοῖς πολλοῖς, μὴ αἰτησθέντα παρὰ πρεσβυτέρων, μὴ παρ' ἐπισκόπων, μὴ παρὰ λαῶν, ἀλλὰ καταστῆναι μὲν ἐν Ἀντιοχείᾳ, ἀποσταλῆναι δὲ εἰς τὴν Ἀλεξάνδρειαν οὐ μετὰ πρεσβυτέρων, οὐ μετὰ διακόνων τῆς πόλεως, οὐ μετὰ ἐπισκόπων τῆν Αἰγύπτου, ἀλλὰ μετὰ στρατιωτῶν, τοῦτο γὰρ ἔλεγον καὶ ᾐτιῶντο οἱ ἐνταῦθα ἐλθόντες. εἰ γὰρ καὶ μετὰ τὴν σύνοδον ὑπεύθυνος ἦν εὑρεθεὶς ὁ Ἀθανάσιος, οὐκ ἔδει τὴν κατάστασιν οὕτως παρανόμως καὶ παρὰ τὸν ἐκκλησιαστικὸν κανόνα γενέσθαι, ἀλλὰ ἐπ' αὐτῆς τῆς ἐκκλησίας, ἀπ' αὐτοῦ τοῦ ἱερατείου, ἀπ' αὐτοῦ τοῦ κλήρου, τοὺς ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπους ἔδει καταστῆσαι, καὶ μὴ νῦν τοὺς ἀπὸ τῶν ἀποστόλων κανόνας παραλύεσθαι. ἆρα γὰρ εἰ καθ' ἑνὸς ὑμῶν ἐγεγόνει τὸ τοιοῦτον, οὐκ ἀνεβοήσατε, οὐκ ἂν ἠξιώσατε ὡς παραλελυμένων τῶν κανόνων, ἐκδικηθῆναι; ἀγαπητοὶ ὡς Θεοῦ παρόντος, μετὰ ἀληθείας φθεγγόμεθα καὶ λέγομεν, οὐκ ἔστι τοῦτο εὐσεβὲς, οὐδὲ νόμιμον, οὐδὲ ἐκκλησιαστικόν. καὶ γὰρ καὶ τὰ λεγόμενα γεγενῆσθαι παρὰ Γρηγορίου ἐν τῇ εἰσόδῳ αὐτοῦ δείκνυσι τὴν τῆς καταστάσεως τάξιν. ἐν γὰρ τοιούτοις εἰρηνικοῖς καιροῖς, ὡς αὐτοὶ οἱ ἐλθόντες ἀπὸ τῆς Ἀλεξανδρείας ἀπήγγειλαν, καθὼς καὶ οἱ ἐπίσκοποι ἔγραψαν, ἡ ἐκκλησία ἐμπρησμὸν ὑπέμεινε, παρθένοι ἐγυμνώθησαν, μονάζοντες κατεπατήθησαν, πρεσβύτεροι καὶ πολλοὶ τοῦ λαοῦ ᾐκίσθησαν, καὶ βίαν πεπόνθασιν, ἐπίσκοποι ἐφυλακίσθησαν, περιεσύρησαν πολλοὶ, τὰ ἅγια μυστήρια ἐφ' οἷς ᾐτιῶντο Μακάριον τὸν πρεσβύτερον, ὑπὸ ἐθνικῶν διηρπάζετο, καὶ εἰς γῆν κατεβάλλετο, ἵνα τὴν Γρηγορίου τινὲς κατάστασιν δέξωνται. τὰ δὲ τοιαῦτα δείκνυσι τοὺς παραλύοντας τοὺς κανόνας. εἰ γὰρ νομίμη ἦν ἡ κατάστασις, οὐκ ἂν διὰ παρανομίας ἠνάγκαζε πείθεσθαι τοὺς νομίμως ἀπειθοῦντας αὐτῷ, καὶ ὅμως τοιούτων γενομένων. γράφετε εἰρήνην μεγάλην γεγενῆσθαι ἐν Ἀλεξανδρείᾳ, καὶ τῇ Αἰγύπτῳ, ἐκτὸς εἰ μὴ ἀντιμεταβέβληται τὸ ἔργον τῆς εἰρήνης, καὶ τὰ τοιαῦτα εἰρήνην ὀνομάζετε. κἀκεῖνο δὲ ὑμῖν ἀναγκαῖον ἐνόμισα δηλῶσαι, ὅτι Ἀθανάσιος διεβεβαιοῦτο Μακάριον ἐν Τύρῳ ὑπὸ στρατιώτας γεγενῆσθαι, καὶ μόνον τὸν κατήγορον ἀπεληλυθέναι μετὰ τῶν ἀπελθόντων εἰς τὸν Μαρεώτην, καὶ τοὺς μὲν πρεσβυτέρους ἀξιοῦντας, παρεῖναι ἐν τῇ ἐξετάσει μὴ συγκεχωρῆσθαι, τὴν δὲ ἐξέτασιν γεγενῆσθαι περὶ ποτηρίου καὶ τραπέζης, ἐπὶ παρουσίᾳ τοῦ ἐπάρχου καὶ τῆς τάξεως αὐτοῦ, παρόντων Ἐθνικῶν καὶ Ἰουδαίων. τοῦτο δὲ κατὰ τὰς ἀρχὰς ἄπιστον ἦν, εἰ μὴ καὶ ἐκ τῶν ὑπομνημάτων ἐδείκνυτο, ἐφ' ᾧ καὶ ἐθαυμάσαμεν, νομίζω δὲ καὶ ὑμᾶς ἐπιθαυμάζειν ἀγαπητοί. πρεσβύτεροι μὲν οὐκ ἐπιτρέπονται παρεῖναι οἱ καὶ τῶν μυστηρίων λειτουργοὶ τυγχάνοντες, ἐπὶ δὲ ἐξωτικοῦ δικαστοῦ παρόντων κατηχουμένων, καὶ τὸ τε χείριστον ἐπὶ Ἐθνικῶν καὶ Ἰουδαίων τῶν διαβεβλημένων περὶ τὸν χριστιανισμὸν ἐξέτασις περὶ αἵματος Χριστοῦ καὶ σώματος Χριστοῦ γίνεται. εἰ γὰρ καὶ ὅλως ἐγεγόνει τι πλημμέλημα, ἔδει ἐν τῇ ἐκκλησίᾳ ὑπὸ κληρικῶν νομίμως ἐξετάζεσθαι τὰ τοιαῦτα, καὶ μὴ ὑπὸ ἐθνικῶν τῶν τὸν λόγον βδελυσσομένων, καὶ μὴ εἰδότων τὴν ἀλήθειαν. τοῦτο δὲ τὸ ἁμάρτημα ἡλίκον καὶ ὁποῖον ἐστί, συνορᾷν καὶ ὑμᾶς καὶ πάντας πεπίστευκα. Περὶ μὲν Ἀθανασίου τοιαῦτα περὶ δὲ Μαρκέλλου ἐπειδὴ καὶ περὶ αὐτοῦ ὡς ἀσεβοῦντος εἰς τὸν Χριστὸν ἐγράψατε, δηλῶσαι ὑμῖν ἐσπούδασα, ὅτε ἐνταῦθα γενόμενος, διεβεβαιώσατο μὲν μὴ εἶναι ἀληθῆ τὰ περὶ αὐτοῦ γραφέντα παρ' ὑμῶν, ὅμως δὲ ἀπαιτούμενος παρ' ὑμῶν εἰπεῖν περὶ τῆς πίστεως, οὕτως μετὰ παρρησίας ἀπεκρίνατο δι' ἑαυτοῦ, ὡς ἐπιγνῶναι μὲν ἡμᾶς ὅτι μηδὲν ἔξωθεν τῆς ἀληθείας ὁμολογεῖ, οὕτως γὰρ εὐσεβῶς περὶ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὡμολόγησε φρονεῖν, ὥσπερ καὶ ἡ καθολικὴ ἐκκλησία φρονεῖ, καὶ οὐνῦν ταῦτα πεφρονηκέναι διεβεβαιώσατο, ἀλλὰ καὶ ἔκπαλαι, ὥσπερ οὖν καὶ οἱ ἡμέτεροι πρεσβύτεροι, τότε ἐν κατὰ Νίκαιαν συνόδῳ γενόμενοι, ἐμαρτύρησαν αὐτοῦ τῇ ὀρθοδοξίᾳ καὶ γὰρ καὶ τότε καὶ νῦν μετὰ τῆς αἱρέσεως τῶν Ἀρειανῶν πεφρονηκέναι διϊσχυρίσατο, ἐφ' ᾧ ὑμᾶς ὑπομνῆσαι δίκαιόν ἐστιν, ἵνα μηδεὶς τὴν

τοιαύ-

τοιαύτῃ αἱρέσει ἀποδέχηται, ἀλλὰ βδελύττηται ὡς ἀλλοφίαν τῆς ὑγιαινούσης διδασκαλίας. ὀρθὰ τοίνυν αὐτὸν φρονοῦντα, καὶ ἐπὶ ὀρθοδοξίᾳ μαρτυρούμενον, τί πάλιν καὶ ἐπὶ τούτοις ἔδει ποιεῖν ἡμᾶς, ἢ ἔχειν αὐτὸν ὥσπερ καὶ εἴχομεν, ἐπίσκοπον, καὶ μὴ ἀποβάλλειν τῆς κοινωνίας; ταῦτα μὲν οὖν ἐγὼ οὐχ ὡς ὑπερπολογούμενος αὐτῷ γέγραφα, ἀλλὰ ἕνεκα τοῦ πεισθῆναι ὑμᾶς, ὅτι δικαίως καὶ κανονικῶς ἐδεξάμεθα τοὺς ἄνδρας, καὶ μᾶλλον φιλονεικεῖτε. ὑμᾶς δὲ δίκαιον ἦν σπουδάσαι, καὶ πάντα τρόπον καμεῖν, ἵνα τὰ μὲν παρὰ κανόνα γινόμενα, διορθώσεως τύχῃ, αἱ δὲ ἐκκλησίαι εἰρήνην ἔχωσι, πρὸς τὸ τοῦ κυρίου εἰρήνην τοῦ δοθεῖσαν ἡμῖν παραμεῖναι· ὁμολογῶ γὰρ ὑμῖν τὰ γινόμενα οὐκ εἰρήνης, ἀλλὰ σχίσματος προφάσεις εἰσίν. οὐ γὰρ μόνον οἱ περὶ Ἀθανάσιον καὶ Μάρκελλον οἱ ἐπίσκοποι ἐληλύθασιν ἐνταῦθα, αἰτιώμενοι κατ' αὐτῶν ἀδικίαν γεγονέναι, ἀλλὰ καὶ πλεῖστοι ἄλλοι ἐπίσκοποι ἀπὸ Θρᾴκης, ἀπὸ κοίλης Συρίας, ἀπὸ Φοινίκης καὶ Παλαιστίνης, καὶ πρεσβύτεροι μὲν οὐκ ὀλίγοι, ἄλλοι δὲ τινες ἀπὸ Ἀλεξανδρείας, καὶ ἄλλοι ἐξ ἄλλων μερῶν ἀπλώτησαν εἰς τὴν ἐνταῦθα συνοδον ἐπὶ πάντων τῶν συνελθόντων ἐπισκόπων πρὸς τοῖς ἄλλοις οἷς ἔλεγον, ὅτι καὶ ἀπωδύροντο. βίαν καὶ ἀδικίαν τὰς ἐκκλησίας πεπονθέναι, καὶ ὅμοια τῶν κατὰ Ἀλεξάνδρειαν καὶ τὰς ἑαυτῶν, ἃ μὴ ἐν ἄλλαις ἐκκλησίαις γενέσθαι διεβεβαιοῦντο, οὐ λόγῳ μόνον, ἀλλὰ καὶ πράγματι, καὶ ἐξ Αἰγύπτου δὲ καὶ τῆς Ἀλεξανδρείας πάλιν ἐλθόντες νῦν πρεσβύτεροι μετὰ γραμμάτων ἀπωδύροντο ὅτι πολλοὶ ἐπίσκοποι καὶ πρεσβύτεροι θέλοντες ἐλθεῖν εἰς τὴν συνοδον, ἐκωλύθησαν, μέχρι γὰρ νῦν καὶ μετὰ τὴν τοῦ ἐπισκόπου Ἀθανασίου ἀποδημίαν, ἔλεγον ἐπισκόπους ὁμολογητὰς κατακόπτεσθαι πληγαῖς, καὶ ἄλλους φυλακίζεσθαι, ἤδη δὲ καὶ ἀρχαίους, πλεῖσον ὅσον χρόνον ἔχοντας ἐν τῇ ἐπισκοπῇ, εἰς λειτουργίας δημοσίας παραδίδοσθαι, καὶ σχεδὸν πάντας τοὺς τῆς καθολικῆς ἐκκλησίας κληρικοὺς καὶ λαοὺς ἐπιβουλεύεσθαι καὶ διώκεσθαι καὶ γὰρ καί τινας ἐπισκόπους, καί τινας ἀδελφοὺς ὑπερορίους ἔλεγον γενέσθαι, δι' ὕδρεως ἕτερον ἢ ἵνα καὶ ἄκοντες ἀναγκάζονται κοινωνοῦν Γρηγορίῳ, τοῖς σὺν αὐτῷ Ἀρειανοῖς, καὶ ἐν Ἀγκύρᾳ δὲ τῆς Γαλατίας, οὐκ ὀλίγα γενέσθαι, ἀλλὰ τὰ αὐτὰ πάλιν τοῖς κατὰ Ἀλεξάνδρειαν γινομένοις ἠκούσαμεν, καὶ παρ' ἑτέρων, καὶ Μάρκελλος δὲ ὁ ἐπίσκοπος διεμαρτύρατο. πρὸς δὲ τούτοις καὶ τοιαύτας κατηγορίας, καὶ οὕτω δεινὰς κατά τινων ἐξ ὑμῶν, ἵνα μὴ λέγω τὰ ὀνόματα, οἱ ἀπαντήσαντες εἰρήκασιν, ἃς ἐγὼ μὲν γράψαι παρῃτησάμην. ἴσως καὶ ὑμεῖς παρ' ἑτέρων ἀκηκόατε· διὰ τοῦτο γὰρ μᾶλλον καὶ ἔγραψα προσεπόμενος ὑμᾶς ἐλθεῖν, ἵνα καὶ παρόντες ἀκούσητε, καὶ πάντα διορθωθῆναι καὶ θεραπευθῆναι δυνηθῇ. ἐπὶ δὲ τοῦ προθυμοτέρως ἔδει τοὺς καθηκόντας ἀπαντῆσαι καὶ μὴ παραιτήσασθαι, ἵνα μὴ τέως ὕποπτοι περὶ τὰ λεχθέντα ἐῶ μὴ ἀπαντήσωσι νομισθῶσιν, ὡς μὴ δυνάμενοι ἐλέγξαι ἃ ἔγραψαν. τόπων τοίνυν ὅπως, λεγομένων, καὶ ὅπως τῶν ἐκκλησιῶν παροησῶν καὶ ἐπιβουλευομένων ὡς οἱ ἀπαγγέλλοντες διεβεβαιοῦντο. τίνες εἰσὶν οἱ φλόγα διχονοίας ἀνάψαντες, ἡμεῖς οἱ λυπούμενοι ἐπὶ τοῖς τοιούτοις, καὶ συμπάσχοντες τοῖς πάθεσιν ἀδελφοῖς ἢ οἱ τὰ τοιαῦτα ἐργασάμενοι;

θαυμάζω γὰρ πῶς τοιαύτης καὶ τοσαύτης ἐκεῖ ἀκαταστασίας καθ' ἑκάστην ἐκκλησίαν οὔσης, δι' ἣν καὶ οἱ ἀπαντήσαντες ἦλθον ἐνταῦθα, γράφετε ὑμεῖς ὁμόνοιαν γεγονέναι ἐν ταῖς ἐκκλησίαις, τὰ δὲ τοιαῦτα οὐκ ἐπὶ οἰκοδομῇ τῆς ἐκκλησίας ἀλλ' ἐπὶ καθαιρέσει ταύτης γίνεται, καὶ οἱ ἐκ τούτων δὲ χαίροντες οὐκ εἰσὶν εἰρήνης υἱοὶ ἀλλ' ἀκαταστασίας. ὁ δὲ Θεὸς ἡμῶν οὐκ ἔστιν ἀκαταστασίας ἀλλ' εἰρήνης. διόπερ ὡς οἶδεν ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κηδόμενος καὶ τῆς ἡμῶν ὑπολήψεως, ἀνέχόμενος δὲ καὶ τὰς ἐκκλησίας μὴ ἐν ἀκαταστασίᾳ εἶναι, ἀλλὰ διαμένειν ὥσπερ ὑπὸ τῶν ἀποστόλων ἐκανονίσθη, γράψαι ὑμῖν ταῦτα ἀναγκαῖον ἡγησάμην ἵνα ἤδη ποτὲ δυσωπήσητε τὰς διὰ τοῦ πρὸς ἀλλήλους ἀπέχθειαν, ἔτως διαθεμένους τὰς ἐκκλησίας. ἤκουσα γὰρ ὅτι τινές εἰσὶν ὀλίγοι οἱ τούτων πάντων αἴτιοι τυγχάνοντες, καὶ σπουδάσατε ὡς σφάλαγγα ἔχοντες οἰκτιρμῶν διορθώσασθαι ὡς πρόσθεν, τὰ παρὰ κανόνα γινόμενα, ἵνα εἴ καί τι προελήφθη. τοῦτο τῇ ὑμετέρᾳ σπουδῇ θεραπευθῇ καὶ μὴ γράφητε ὅτι τὴν Μαρκέλλου καὶ Ἀθανασίου, ἢ τὴν ἡμῶν ἑνοῦν κοινωνίαν, οὐ γὰρ εἰρήνης, ἀλλὰ φιλονεικίας, καὶ μισαδελφίας τὰ τοιαῦτα γνωρίσματα. διὰ τοῦτο οὖν κἀγὼ τὰ προειρημένα ἔγραψα, ἵνα μαθόντες ὅτι οὐκ ἀδίκως ἐδεξάμεθα αὐτοὺς παύσησθε τῆς τοιαύτης ἔριδος, εἰ μὲν γὰρ ἐλθόντων ὑμῶν ἦσαν καταγνωσθέντες, εἰ μὴ λόγους ἀποδείξεις ἔχειν ἐφαίνοντο ὑπὲρ ἑαυτῶν, καλῶς ἂν τὰ τοιαῦτα γεγραφήκειτε ἐπειδὴ δὲ, ὡς πρόσθεν, κανονικῶς καὶ οὐκ ἀδίκως, τοῦ πρὸς αὐτοὺς ἔχομεν κοινωνίαν, παρακαλῶ ὑπὲρ Χριστοῦ μὴ ἐπιτρέψητε διασχισθῆναι τὰ μέρη τοῦ Χριστοῦ. μὴ δὲ τοῖς προλήμμασι πιστεύσητε, ἀλλὰ τὸν τοῦ κυρίου δι' ὀλίγων μικροψυχίαν τοὺς μὴ καταγνωσθέντας ἀπορρίπτειν καὶ λυπεῖν ἐν τούτῳ τὸ πνεῦμα. εἰ δὲ νομίζετε δύνασθαι τινα κατ' αὐτῶν ἀποδεῖξαι, καὶ εἰς πρόσωπον αὐτοὺς ἐλέγξαι, ἐλθέτωσαν βουλόμενοι. ἑτοίμους γὰρ ἑαυτοὺς καὶ αὐτοὶ εἶναι ἐπηγγείλαντο, ὥστε καὶ ἀποδεῖξαι καὶ διελέγξαι περὶ ὧν ἡμῖν ἀπήγγειλαν. σημάνατε οὖν ἡμῖν, ἀγαπητοὶ, περὶ τούτου, ἵνα κἀκείνοις γράψωμεν, καὶ τοῖς ὀφείλουσι πάλιν συνελθεῖν ἐπισκόποις, πρὸς τὸ πάντων παρόντων, τοὺς ὑπολαμβάνοντας καταγνωσθῆναι καὶ μηκέτι ἀκαταστασίαν ἐν ταῖς ἐκκλησίαις γενέσθαι. ἀρκεῖ γὰρ τὰ γινόμενα, ἀρκεῖ, ὅτι παρόντων ἐπισκόπων, ἐπίσκοποι ἐξωρίζοντο, περὶ τοῦ μὴ δὲ μακρηγορεῖν δεῖ, ἵνα μὴ βαρεῖσθαι οἱ παρόντες τότε δικάσωσιν, εἰ γὰρ δεῖ τ' ἀληθὲς εἰπεῖν, οὐκ ἔδει μέχρι τόπων φθάσαι, οὐδὲ εἰς τοσοῦτον ἐλθεῖν τὰς μικροψυχίας. ἔσω δὲ Ἀθανάσιος καὶ Μάρκελλος, ὡς γράφετε, μετετέθησαν ἀπὸ τῶν ἰδίων τόπων, τί καὶ περὶ τῶν ἄλλων ἄν τις εἴποι; τῶν ἐκ διαφόρων τόπων, ὡς προεῖπον, ἐλθόντων ἐνταῦθα ἐπισκόπων καὶ πρεσβυτέρων· καὶ αὐτοὶ γὰρ πάλιν ἡρπάσθαι ἑαυτοὺς, καὶ τοιαῦτα πεπονθέναι ἔλεγον, ὦ ἀγαπητοὶ, οὐκέτι κατὰ τὸ διαγγέλιον, ἀλλὰ λοιπὸν, ἐπὶ ἐξορισμῷ καὶ θανάτῳ αἱ κρίσεις τῆς ἐκκλησίας εἰσίν. εἰ γὰρ καὶ ὅλως, ὡς φατὲ, γέγονέ τι εἰς αὐτοὺς ἁμάρτημα ἔδει κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα, καὶ μὴ οὕτως γενέσθαι τῇ κρίσιν, ἔδει γραφῆναι πᾶσιν ἡμῖν, ἵνα οὕτως παρὰ πάντων ὁρισθῇ τὸ δίκαιον. ἐπίσκοποι γὰρ

ἦσαν

ἦσαν οἱ πάσχοντες, καὶ οὐκ αἱ τυχοῦσαι ἐκκλησίαι αἱ πάσχουσαι, ἀλλ' ὧν αὐτοὶ οἱ ἀπόστολοι δι' ἑαυτῶν καθηγήσαντο· διατί δὲ περὶ τῆς Ἀλεξανδρέων [3] πόλεως μάλιστα οὐκ ἐγράφετε ἡμῖν; ἢ ἀγνοεῖτε, ὅτι τοῦτο ἔθος ἦν. πρότερον γράφεσθαι ἡμῖν, καὶ οὕτως ἔνθεν ἦν ὁρίζεσθαι τὰ δίκαια; εἰ μὲν οὖν τι τοιοῦτον ἦν ὑποπτευθὲν εἰς τὸν ἐπίσκοπον τὸν ἐκεῖ, ἔδει πρὸς τὴν ἐνταῦθα ἐκκλησίαν γραφῆναι. νῦν δὲ οἱ ἡμᾶς μὴ πληροφορήσαντες, πράξαντες δὲ αὐτοὶ ὡς ἠθέλησαν, λοιπὸν καὶ ἡμᾶς οὐ καταγνόντας βούλονται συμψήφους εἶναι. οὐχ' οὕτως αἱ Παύλου διατάξεις. οὐχ οὕτως οἱ πατέρες παραδεδώκασιν, ἄλλος τύπος ἐστὶν οὗτος καὶ καινὸν τὸ ἐπιτήδευμα. παρακαλῶ, μετὰ προθυμίας ἐνέγκατε, ὑπὲρ τοῦ κοινῇ συμφέροντός ἐστιν ἃ γράφω. ἃ γὰρ παρειλήφαμεν παρὰ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, ταῦτα καὶ ὑμῖν δηλῶ, καὶ οὐκ ἂν ἔγραψα φανερὰ ἡγούμενος εἶναι ταῦτα παρὰ πᾶσιν, εἰ μὴ τὰ γενόμενα ἡμᾶς ἐτάραξεν. ἐπίσκοποι ἁρπάζονται καὶ ἐκτοπίζονται. ἄλλοι δὲ ἀλλαχόθεν ἀντιτίθενται, καὶ ἄλλοι ἐπιβουλεύονται, ὥστε ἐπὶ μὲν τοῖς ἁρπασθεῖσιν, αὐτοὺς πειθεῖν, ἐπὶ δὲ τοῖς πεμπομένοις, ἀναγκάζεσθαι, ἵνα οὓς μὲν θέλουσι μὴ ἐπιζητῶσιν, οὓς δὲ μὴ βούλονται, δέχωνται. ἀξιῶ ὑμᾶς μηκέτι τοιαῦτα γίνεσθαι. γράψατε δὲ μᾶλλον κατὰ τῶν τὰ τοιαῦτα ἐπιχειρούντων, ἵνα μηκέτι τοιαῦτα πάσχωσιν αἱ ἐκκλησίαι, μηδέ τις ἐπίσκοπος ἢ πρεσβύτερος ὕβριν πάσχῃ, ἢ παρὰ γνώμην ὥσπερ ἐδήλωσαν ἡμῖν ἀναγκάζηταί τις ποιεῖν, ἵνα μὴ καὶ παρὰ τοῖς ἔθνεσι γέλλωτα ὀφλήσωμεν, καὶ πρό γε πάντων, τὸν Θεὸν παροξύνωμεν. ἕκαστος γὰρ ἡμῶν ἀποδώσει λόγον ἐν ἡμέρᾳ κρίσεως περὶ ὧν ἐνταῦθα ἔπραξε. γένοιτο δὲ πάντας κατὰ Θεὸν φρονῆσαι. ἵνα καὶ αἱ ἐκκλησίαι τοὺς ἐπισκόπους αὐτῶν ἀπολαβοῦσαι, χαίρωσι διαπαντὸς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, δι' οὗ τῷ πατρὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἐῤῥῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί.

ΕΠΙΣΤΟΛΗ ΙΟΥΛΙΟΥ ΡΩΜΗΣ, πρὸς τοὺς ἐν Ἀλεξανδρείᾳ κληρικούς τε καὶ λαούς.

Συκρ. ἐκκλ. ἱστορ. κεφ. 23. Ἰούλιος ἐπισκόποις καὶ πρεσβυτέροις, καὶ διακόνοις, καὶ λαῷ παροικοῦντι Ἀλεξάνδρειαν, ἀγαπητοῖς ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν.

ΣΥΓΧΑΙΡΩ κἀγὼ ὑμῖν, ἀδελφοὶ ἀγαπητοὶ, ὅτι τὸν καρπὸν τῆς ἑαυτῶν πίστεως ἐπ' ὀφθαλμῶν λοιπὸν ὁρᾶτε. τοῦτο γὰρ ἀληθῶς ἄν τις ἴδοι γενόμενον ἐπὶ τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου μου Ἀθανασίου. ὃν διά τε τὴν καθαρότητα τοῦ βίου, καὶ διὰ τὰς ὑμετέρας εὐχὰς, ὁ Θεὸς ὑμῖν ἀποδίδωσιν. ἐκ δὴ τούτου συνορᾶν ἐστὶν καθαρὰς ὑμῶν καὶ μεστὰς ἀγάπης ἀεὶ τὰς εὐχὰς ἀνενηνοχέναι πρὸς τὸν Θεόν. μνήμονες γὰρ ὄντες τῶν οὐρανίων ἐπαγγελιῶν, καὶ τῆς πρὸς αὐτὰς ἀγάπης, ἣν ἐκ τῆς διδασκαλίας τοῦ προειρημένου ἀδελφοῦ μου ἐπαιδεύθητε, ἔγνωτε ἀληθῶς, καὶ κατὰ τὴν προσοῦσαν ὑμῖν ὀρθὴν πίστιν κατειλήφατε τοῦτο. ὡς οὐκ ἂν εἰς τέλος οὕτως ἀφ' ὑμῶν ἀποσχοινισθήσεται. ὃν ἐν ταῖς θεοσεβέσιν ὑμῶν ψυχαῖς ἐσχήκατε ὡς παρόντα ἀεί. οὐκοῦν, οὐ πολλῶν μοι χρεία λόγων πρὸς ὑμᾶς ἐπιστέλλοντι. ὅσα γὰρ ὑμῖν λέλεκται παρ' ἐμοῦ, ταῦτα ἡ ὑμετέρα πίστις προῦλαβε, καὶ πεπλήρωται κατὰ Χριστοῦ χάριν τὰ τῆς κοινῆς ὑμῶν πάντων εὐχῆς. συγχαίρω τοίνυν ὑμῖν. πάλιν γὰρ ἐρῶ, ὅτι τὰς ψυχὰς ἀκαταμαχήτους ἐν τῇ πίστει τετηρήκατε. καὶ αὐτῷ δὲ τῷ ἀδελφῷ μου Ἀθανασίῳ οὐκ ἔλαττον συγχαίρω, ὅτι καίπερ πολλὰ πάσχων λυπηρὰ, οὐδεμίαν ὥραν ἐπιλήσμων γέγονε τῆς ὑμετέρας ἀγάπης, καὶ τοῦ ὑμετέρου πόθου. εἰ γὰρ καὶ τῷ σώματι πρὸς καιρὸν ἔδοξεν ἀφ' ὑμῶν ἀφελκυσθῆναι, ἀλλὰ τῷ πνεύματι διαπαντὸς, ὡς συνὼν ὑμῖν διῆγε. καὶ ἔγωγε ἀγαπητοὶ τὸν γενόμενον κατ' αὐτοῦ πάντα πειρασμὸν, οὐκ ἄδοξον ἡγοῦμαι γεγενῆσθαι· καὶ γὰρ καὶ ἡ ὑμετέρα καὶ ἡ τούτου πίστις ἐγνώσθη παρὰ πᾶσι καὶ δεδοκίμασται. εἰ γὰρ μὴ τοσαῦτα συμβεβήκει, τίς ἂν ἐπίστευσεν, ἢ εἰς ὑμᾶς τοσαύτην κρίσιν, καὶ τοσαύτην ἀγάπην περὶ τὸν τηλικοῦτον ἐπίσκοπον ἔχειν, ἢ ἐκεῖνον τοσαύταις ἀρεταῖς περιβεβλῆσθαι, δι' ἃς καὶ τῆς ἐν οὐρανοῖς ἐλπίδος οὐκ ἀλλότριος γένοιτο. ἐπέτυχε τοίνυν οἵῳ δήποτε τρόπῳ καὶ ἐν τῷ νῦν, καὶ ἐν τῷ μέλλοντι, καὶ ὁμολογίας ἔνδοξον μαρτυρίαν. διαφόρως γὰρ κατά τε γῆν καὶ κατὰ θάλατταν πολλὰ πειρασθεὶς, τὴν σκευωρίαν πάσαν τῆς Ἀρειανῆς αἱρέσεως κατεπάτησε. καὶ πολλάκις διὰ φθόνον, καὶ εἰς κίνδυνον ἐπιβουλευθεὶς, κατεφρόνησε θανάτου, φρουρούμενος, ὑπὸ τοῦ παντοκράτορος Θεοῦ, καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐλπίζων ἅμα καὶ τὰς ἐπιβουλὰς ἐκκλίνειν, καὶ ἀποκατασταθήσεσθαι πρὸς ἡμετέραν παράκλησιν, φέρων ὑμῖν ἅμα, ἐκ τῆς ὑμετέρας συνειδήσεως μείζονα τὰ τρόπαια. ἐν οἷς καὶ ἄχρι τερμάτων πάσης τῆς γῆς ἔνδοξος ἐγνώσθη δοκιμασθεὶς ἐκ τοῦ βίου, παῤῥησιασάμενος μὲν τῇ προθέσει καὶ τῇ οὐρανίᾳ διδασκαλίᾳ ἀποδειχθεὶς δὲ ἀθανάτῳ κρίσει παρ' ὑμῶν ἀγαπώμενος. Ἐπανέρχεται τοιγαροῦν πρὸς ὑμᾶς λαμπρότερος νῦν, ἢ ὅτε παρ' ὑμῶν ἀπεδήμησεν. εἰ γὰρ καὶ τὰς τιμίας ὕλας, χρυσὸν δὴ λέγω καὶ ἄργυρον, εἰς καθαρότητα τὸ πῦρ δοκιμάζει, τί ἂν τις εἴποι κατ' ἀξίαν τοῦ τοσούτου ἀνδρὸς ὃς τοσούτων θλίψεων πυρὰν, καὶ τοσούτους κινδύνους ἀποδεχθεὶς; ὑποδέξασθε τοίνυν ἀγαπητοὶ ἀδελφοί, μετὰ πάσης τῆς κατὰ Θεὸν δόξης τε καὶ χαρᾶς τὸν ἐπίσκοπον ὑμῶν Ἀθανάσιον, μετὰ τούτων οἵ τινες αὐτῶν κοινωνοὶ γεγόνασι. καὶ χαίρετε τῶν εὐχῶν ἀπολαύοντες οἳ τὸν ποιμένα τὸν ὑμέτερον, ἵν' οὕτως εἴπω, ποθοῦντα, καὶ διψῶντα τὴν ὑμετέραν θεοσέβειαν, σωτηρίαις γραφαῖς ἐθρέψατέτε καὶ ἐποτίσατε. καὶ γὰρ καὶ ἐπὶ τῆς ξένης αὐτοῦ διατριβῆς, ὑμεῖς παραμυθεία γεγόνατε. καὶ διωκόμενον, καὶ ἐπιβουλευόμενον ἐθάλψατε ταῖς πιστοτάταις ἑαυτῶν ψυχαῖς καὶ διανοίαις. ἐμὲ δὲ ἤδη εὐφραίνει, ἐννοούμενον καὶ προορῶντα τῷ λογισμῷ, τὴν ἐπὶ τῇ ἐπανόδῳ, ἑκάστου ὑμῶν χαρὰν, καὶ τοῦ πλήθους τὰς θεοσεβεστάτας ἀπαντήσεις, καὶ τὴν ἔνδοξον τῶν συντρεχόντων ἑορτήν. καὶ τίς ἐκείνη ἡ ἡμέρα ὑμῖν, καὶ ποία ἔσται, ἐπανερχομέ-

χομένου μὲν τοῦ ἀδελφοῦ μου, παυσαμένων δὲ τῶν προγενομένων, καὶ τῆς πολυτιμήτου κατ' εὐχὴν ἐπανόδου εἰς εὐφροσύνην τινα πληρεστάτης χαρᾶς συναπτούσης τοὺς πάντας. ἡ τοιαύτη χαρὰ τὸ κατὰ μέγιστον μέχρις ἡμῶν φθάνει. οἷς θεόθεν καὶ τοῦτο συγκεχωρῆσθαι συνέστηκεν, ὅπως εἰς γνῶσιν τοῦ τηλικούτου ἀνδρὸς ἐλθεῖν δυνηθῶμεν. εἰς εὐχὴν οὖν τὴν ἐπιστολὴν τελειῶσαι καλόν. ὁ Θεὸς ὁ παντοκράτωρ, καὶ ὁ τούτου υἱὸς ὁ κύριος καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, διηνεκῆ τὴν χάριν ταύτην ὑμῖν παράσχοι διδοὺς ἔπαθλον τῇ θαυμαστῇ ἡμῶν πίστει, ἣ περὶ τὸν ἐπίσκοπον ὑμῶν ἐνδόξῳ μαρτυρίᾳ ἐνεδείξασθε. ἵνα ὑμῖν τε καὶ τοῖς μεθ' ὑμᾶς ἐνταῦθα, καὶ ἐν τῷ μέλλοντι τὰ βελτίονα μένοι. ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. δι' οὗ τῷ παντοκράτορι Θεῷ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἐρρῶσθαι ὑμᾶς εὔχομαι, ἀγαπητοὶ ἀδελφοί.

Ὧδε μὲν εἰσι παρ' ἐμοὶ Ἀθανάσιος καὶ Παῦλος. ἀλλὰ πυνθανόμενος διέγνων εὐσεβείας αὐτοὺς χάριν διώκεσθαι. εἰ μὲν οὖν ἐπαγγέλλῃ ἀποδιδόναι τούτοις τοὺς θρόνους ἐπαμυνόμενος τοὺς μάτην αὐτοὺς προσφυομένους, ἀποστελῶ πρὸς σὲ τοὺς ἄνδρας, εἰ δ' ἀνανεύοις ταῦτα οὕτω ποιεῖν, εὖ ἴσθι, ὅτι αὐτὸς ἐγὼ αὐτόθι γενόμενος, καὶ ἄκοντί σου τούτοις τοὺς οἰκείους ἀποδίδωμι θρόνους.

Κωνστάντιος νικητὴς Αὔγουστος Ἀθανασίῳ ἐπισκόπῳ.

παρὰ Σωκρ. ἐκκλ. ἱστορ. κεφ. 23. φ. 200.

Ἐπὶ πολύ σε κλυδωνίζεσθαι, καὶ χειμάζεσθαι τοῖς τῆς θαλάσσης ὁμοίως κύμασιν ἀγρίοις, οὐκ ἀφῆκεν ἡ τῆς ἡμετέρας ἡμερότητος φιλανθρωπία. γυμνωθέντα σε τῆς πατρώας ἑστίας, καὶ στερηθέντα τῶν ἰδίων, καὶ πλανώμενον ἐν θηριώδεσιν ἀνοδίαις, οὐ παρεῖδεν ἡ ἀκάματος ἡμῶν εὐσέβεια. εἰ καὶ ταμάλιστα ἐπιπολὺ ὑπερεθέμην γράψαι τὴν πρόθεσιν τῆς ἐμῆς διανοίας προσδοκῶν αὐθαίρετόν σε παραγενέσθαι πρὸς ἡμᾶς, καὶ τῶν καμάτων αἰτεῖν θεραπείαν· ὅμως ἐπειδὴ ἴσως ὁ φόβος, τὴν προαίρεσιν τῆς σῆς προθέσεως ἐνεπόδιζε, διὰ τοῦτο δωρεᾶς πληρέστατα γράμματα πρὸς τὴν σὴν στερρότητα διεπεμψάμεθα· ἵνα ἀφόβως ταῖς ἡμετέραις προσόψεσι ταχεῖαν τὴν σαυτοῦ παρουσίαν παρασχεῖν σπουδάσῃς, ὑπὲρ τοῦ τῆς σαυτοῦ ἐπιθυμίας ἀπολαύσας καὶ πειρασθεὶς ἡμῶν τῆς φιλανθρωπίας, τοῖς ἰδίοις ἀποκατασταθῇς. τούτου γὰρ ἕνεκα καὶ τὸν δεσπότην καὶ ἀδελφόν μου Κώνσαντα τὸν νικητὴν Αὔγουστον, ὑπὲρ σοῦ παρεκάλεσα, ἵνα τοῦ ἐλθεῖν ἐξουσίαν σοι δῷ, ἐπὶ τῷ ἀμφοτέρων ἡμῶν ἐπινευσάντων, τῇ πατρίδι ἀποκατασταθῇς. ἔχων τοῦτο τῆς ὑμῶν χάριτος ἐνέχυρον.

Ἄλλη ἐπιστολὴ πρὸς τὸν αὐτόν.

Εἰ καὶ μάλιστα διὰ προτέρων γραμμάτων ἐδηλώσαμεν, ὅπως ἀμερίμνως, εἰς τὸ ἡμέτερον κομιτάτον παραγένῃ, διὰ τὸ μάλιστα βουλεύεσθαι ἡμᾶς ἀποστεῖλαί σε εἰς τὰ ἴδια, ὅμως καὶ νῦν ταῦτα τὰ γράμματα, πρὸς τὴν σὴν στερρότητα δεδηλώκαμεν. διὸ, προτρεπόμεθα χωρὶς τινὸς ἀπιστίας καὶ φόβου, ἐπιβῆναί σε δημοσίοις ὀχήμασι καὶ σπουδάσαι πρὸς ἡμᾶς, ἵνα ὧν ἐπιθυμεῖς, ἀπολαῦσαι δυνηθῇς.

Ἄλλη πρὸς τὸν αὐτὸν Ἀθανάσιον.

Ἡνίκα ἐν τῇ Ἐδέσῃ διετρίβομεν, παρόντων τῶν σῶν πρεσβυτέρων, ἤρεσεν ὅπως ἀποσταλέντος πρεσβυτέρου πρὸς σὲ, ἐλθεῖν πρὸς τὸ ἡμέτερον κομιτάτον σπουδάσῃς, ἐπὶ τῷ ἰδόντα σε τὴν ἡμετέραν πρόσοψιν, εὐθέως εἰς τὴν Ἀλεξάνδρειαν ὁδεῦσαι. ἀλλ' ἐπειδὴ πλεῖστος χρόνος παρῆλθεν, ἀφ' οὗ γράμματα δεξάμενος παρ' ἡμῶν οὐκ ἀπήντησας, διὰ τοῦτο καὶ νῦν ὑπομνῆσαι ἐσπουδάσαμεν, ἵνα καὶ νῦν τὴν σὴν παρουσίαν ταχεῖαν ποιῆσαι πρὸς ἡμᾶς σπουδάσῃς, καὶ οὕτω δυνηθῇς τῇ πατρίδι σου ἀποκατασταθῆναι. καὶ τῆς εὐχῆς σου ἐπιτυχεῖν. πρὸς δὲ πληρεστάτην διήγησιν, Ἀχήταν τὸν διάκονον ἀπεστείλαμεν, παρ' οὗ δυνήσῃ μαθεῖν, τῆς τε ἡμετέρας ψυχῆς τὴν προαίρεσιν, καὶ ὅτι τούτων ὧν ἔχῃ, τυχεῖν δυνήσῃ.

Νικητὴς Κωνστάντιος, μέγιστος, σεβαστὸς, ἐπισκόποις καὶ πρεσβυτέροις τῆς καθολικῆς ἐκκλησίας.

Οὐκ ἀπελείφθη τῆς τοῦ Χριστοῦ χάριτος ὁ αἰδεσιμώτατος ἐπίσκοπος Ἀθανάσιος. ἀλλ' εἰ καὶ ἐν βραχεῖ χρόνῳ τῇ κατὰ ἀνθρώπους δοκιμασίᾳ ὑπεβλήθη, ὅμως τὴν ὀφειλομένην παρὰ τῆς παντεφόρου προνοίας ὑπηνέγκατο ψῆφον, ἀπολαβὼν βουλήσει τοῦ κρείττονος, καὶ κρίσει τῇ ἡμετέρᾳ τὴν πατρίδα ὁμοῦ καὶ τὴν ἐκκλησίαν, ἧς θείῳ νεύματι προστάτης ἐτύγχανε. τούτῳ τὰ ἀκόλουθα ἔδει παρὰ τῆς ἡμετέρας ὑπᾶρξαι πραότητος. ὥστε πάντα τὰ πρὸ τούτου κατὰ τῶν αὐτῶν κεκοινωνηκότων ὡρισμένα νῦν, ἀμνηστίᾳ παραδοθήσεται. πᾶσάν τε ὑποψίαν τὴν κατ' αὐτοῦ σχολάσαι τοῦ λοιποῦ, τήν τε ἀτέλειαν ἧς ἔτυχον πάλαι οἱ ἅμα αὐτῷ κληρικοὶ, τούτοις δὲ βεβαιωθῆναι προσηκόντως. ἀλλὰ μὴν καὶ τοῦτο τῇ εἰς αὐτὸν χάριτι προστεθῆναι ἐδικαιώσαμεν. ὥς τε πάντας τοὺς τοῦ ἱεροῦ καταλόγου γινώσκειν ἐκδεδόσθαι τὸ ἄφοβον πᾶσι τοῖς αὐτῷ προστεθειμένοις, εἴτε ἐπισκόποις, εἴτε κληρικοῖς. ἱκανὸν δὲ γνώρισμα, τῆς ἑκάστου ὀρθῆς προαιρέσεως, ἔσται ἡ πρὸς τοῦτον ἕνωσις. ὅσοι γὰρ ἂν τῆς καλλίονος ὁμοῦ κρίσεώς τε καὶ μοίρας γενόμενοι, τὴν τούτου ἕλωνται κοινωνίαν, τούτους πάντας ἐκελεύσαμεν, καθ' ὁμοιότητα τῆς φθανούσης προνοίας, καὶ νῦν τῇ ὑφ' ἡμῶν βουλήσει, τοῦ κρείττονος παρασχεθείσης χάριτος ἀπολαύειν.

Νικη-

Νικητὴς Κωνσάντιος, μέγιστος, σιβαστὸς, τῷ λαῷ τῆς κατὰ Ἀλεξάνδρειαν καθολικῆς ἐκκλησίας.

ΣΚοπὸν ποιούμενοι τὴν ὑμετέραν ἐν ἅπασιν εὐνομίαν, εἰδότες τε ὡς ἐπιπολὺ τῆς τοῦ ἐπισκοποῦντος προνοίας ἐστερῆσθαι Ἀθανάσιον τὸν ἐπίσκοπον, ἄνδρα τοῖς πᾶσι, διά τε τὴν προσοῦσαν ὀρθότητα, καὶ διὰ τὴν οἰκείαν εὐτροπίαν, γνώριμον πάλιν πρὸς ὑμᾶς ἀποστεῖλαι ἐδικαιώσαμεν. τοῦτον συνήθως καὶ προσηκόντως ὑποδεξάμενοι, καὶ ταῖς πρὸς τὸν Θεὸν εὐχαῖς βοηθὸν προστησάμενοι, τὴν ὑμῖν τε πρέπουσαν καὶ ἡμῖν ἀρεστὴν ὁμόνοιαν καὶ εἰρήνην κατὰ τὸν τῆς ἐκκλησίας θεσμὸν διαρκῆ φυλάττειν σπουδάσατε. οὐδὲ γὰρ εὔλογόν ἐστι, διχόνοιαν τινὰ, ἢ στάσιν ἐν ὑμῖν κινηθῆναι, ὑπεναντίαν τῆς τῶν ἡμετέρων καιρῶν εὐμοιρίας. ἐς τοῦτο μὲν ἀπεῖναι ἀφ' ὑμῶν παντελῶς βουλόμεθα. τὸ δέ γε ταῖς εὐχαῖς ὑμᾶς διαρκῶς αὐτῷ, ὡς προείρηται, προστάτῃ καὶ ἐπικούρῳ χρωμένους πρὸς τὸ θεῖον ἐμμένειν, συνήθως παραινοῦμεν ὡς ἂν τῆς τοιαύτης ὑμῶν προθέσεως εἰς τὰς ἁπάντων εὐχὰς διαβαινούσης, καὶ ἐκ τῶν ἐθνῶν, οἳ τῇ τῶν εἰδώλων πλάνῃ ἔτι καὶ νῦν προανέχοντες, ἐπὶ τὴν τῆς ἱερᾶς θρησκείας ἐπίγνωσιν, προθυμότατα σπεύδοιεν, Ἀλεξανδρεῖς προσφιλέστατοι. καὶ αὖθις οὖν παραινοῦμεν, τοῖς προειρημένοις ἐμμένειν. τὸν δὲ ἐπίσκοπον, ψήφῳ τοῦ κρείττονος, καὶ ἡμετέρα γνώμῃ ἀπεσταλμένον, ἡδέως δέξασθαι, πάσης ψυχῆς γνώμῃ ἀσπαστὸν ἡγήσασθε. τοῦτο γὰρ καὶ ὑμῖν πρέπει, καὶ τῇ ἡμετέρᾳ πρᾳότητι προσήκειν συνέστηκεν. ὑπὲρ γὰρ τοῦ πᾶσαν ἀνασκευὴν, καὶ στάσεως πρόφασιν περιαρεθῆναι τῶν ἐθελοκακίᾳ χρωμένων, τοῖς παρ' ὑμῖν δικαστᾶις διὰ γραμμάτων προσετάξαμεν ἅπαντας, οὓς ἂν στασιώδεις καταμάθοιεν τῇ τῶν νόμων ὑποβάλλειν ἐκδικίᾳ. ἀμφότερα τοίνυν συνορῶντες, καὶ τὴν ἡμετέραν μετὰ τοῦ κρείττονος γνώμην, καὶ τῶν ὑπὲρ ὑμῶν καὶ τῆς ὁμονοίας λόγων. καὶ τὴν κατὰ τῶν ἀτάκτων τιμωρίαν, τὰ πρέποντα καὶ ἁρμόζοντα τῷ τῆς ἱερᾶς θρησκείας θεσμῷ διαφυλάττοντες, καὶ τὸν προειρημένον διὰ πάσης αἰδοῦς καὶ τιμῆς ἄγοντες. τὰς εὐχὰς ἅμα αὐτῷ ὑπέρ τε ἑαυτῶν ἐς τῆς τοῦ βίου εὐνοίας τῶν ὅλων Θεῷ πατρὶ ἀναπέμπειν σπουδάζετε.

Νικητὴς Κωνσάντιος Αὔγουστος Νεστορίῳ. τῷ δὲ αὐτῷ τύπῳ καὶ τοῖς ἐν Αὐγουστομνίκῃ, καὶ Θηβαΐδι, καὶ Λιβύῃ, ἡγεμόσιν.

ΕΙ' τι ποτὲ πρὸ τούτου ἐπὶ βλάβῃ καὶ ὕβρει τῶν κοινωνούντων Ἀθανασίῳ τῷ ἐπισκόπῳ πραχθὲν εὑρίσκεται, τοῦτον νῦν ἀπαλειφθῆναι βουλόμεθα καὶ γὰρ τὴν ἀλειτουργησίαν ἣν οἱ αὐτοῦ κληρικοὶ εἶχον, τὴν αὐτὴν πάλιν θέλομεν ἔχειν. ταύτην δὲ τὴν ἡμετέραν πρόσταξιν φυλαχθῆναι βουλόμεθα. ὥστε ἀποδοθέντος Ἀθανασίου τοῦ ἐπισκόπου τῇ ἐκκλησίᾳ, τοὺς κοινωνοῦντας αὐτῷ ἔχειν ἀλειτουργησίαν ἣν ἀεὶ ἔσχον, ἣν καὶ οἱ λοιποὶ κληρικοὶ ἔχουσιν ἵν' οὕτως ἔχοντες καὶ αὐτοὶ χαίρωσιν.

Νικητὴς Κωνσάντιος Αὔγουστος, Ἀθανασίῳ.

ΕΥχὴν ἀεί μοι ταύτην γεγενῆσθαι, ὥστε πάντα καταθυμίως ἀποβαίνειν, τῷ ποτὲ μου ἀδελφῷ Κώνσαντι, οὐδὲ τὴν σὴν σύνεσιν ἔλαθεν, ἐν ὅσῃ τὲ λύπῃ διετέθην, μαθὼν τοῦτον ἀνῃρῆσθαι παρά τινων ἀνοσιωτάτων, στοχάζεσθαι πάλιν δύναται ἡ σὴ φρόνησις. ἐπεὶ οὖν τινές εἰσιν οἱ ἐν τῷ παρόντι καιρῷ, τῷ οὕτως πενθικῷ πειρώμενοί σε ἐκφοβεῖν, διὰ τοῦτο ταῦτα πρὸς τὴν σὴν στερρότητα, δοθῆναι τὰ γράμματα ἐδικαίωσα, προτρεπόμενός σε, ἵνα ὡς πρέπει, ἐπίσκοπον τοὺς λαοὺς τὰ ὀφειλόμενα τῇ θείᾳ θρησκείᾳ διδάσκῃς, καὶ μετ' αὐτῶν συνήθως εὐχαῖς σχολάζῃς, καὶ μὴ ματαίοις θύλοις, οἵ τίνες ἂν γένοιντο πιστεύσῃς, ἡμῖν γὰρ τοῦτο ἐν ψυχῇ πέπηγεν, ὥστε σε ἀκολούθως τῇ ἡμετέρᾳ προαιρέσει, διὰ παντὸς ἐν τῷ τόπῳ σου θέλειν ἐπίσκοπον εἶναι. ἡ θεία πρόνοια πολλοῖς ἔτεσί σε διατηροίη, γονεῦ προσφιλέστατε.

Τοῦ μακαρίου Ἰουλίου ἀρχιεπισκόπου Ῥώμης πρὸς Προσδόκιον ἐπιστολή.

Τῷ δεσπότῃ μου τῷ ποθεινοτάτῳ Προσδοκίῳ Ἰούλιος ἐν κυρίῳ χαίρειν.

1. ΤΟ' φρόνημα ἡμῶν κατὰ τὴν ἀποστολικὴν παράδοσιν· πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μία θεότης ἀληθινή· μία προσκύνησις καὶ δοξολογία υἱοῦ πρὸς πατέρα ἐν τῇ προσκυνήσει τοῦ ἁγίου πνεύματος. ὁ δὲ θεότητα ἑτέραν ἐπεισάγων, ἀνάθεμα. καὶ ὁ προστιθεὶς ἑτέραν ὁμολογίαν παρὰ τὰς φωνὰς τῶν Σεραφείμ. τῶν ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ, ἀνυμνούντων εἰς τὴν θεϊκὴν τριάδα, ὡς ὁ Ἰωάννης καὶ ὁ Παῦλος μαρτυροῦσιν· ὁ μὲν Ἰωάννης υἱοῦ δόξαν πεπληρωκέναι εἰπὼν τὸν προφήτην ὑμνηθεῖσαν· ὁ δὲ Παῦλος πνεύματος ἁγίου τὴν αὐτὴν δόξαν δηλῶν, ἐν τῷ λέγειν, ἁγίου πνεύματος εἶναι τὰς φωνὰς τὰς ἀληθεῖς, *ἃς ὑπὸ τοῦ θεωρηθέντος καὶ δοξασθέντος. ὅτι πνεύματος δόξα υἱοῦ δόξα, καὶ υἱοῦ δόξα καὶ πατρὸς δόξα· διὸ μία οὐσία τῆς τριάδος ὑπὸ τῶν συνόδων διὰ τῆς οἰκουμένης ἀναβοᾶται. πᾶς οὖν ὅς τις χωρίζει τῆς τοῦ Θεοῦ μόνου οὐσίας τὸν υἱὸν καὶ τὸ πνεῦμα, ὡς ἐκ βουλῆς ὄντα καθάπερ καὶ ἡμεῖς, οὐκ ἐκ τῆς οὐσίας αὐτῆς, ὡς ἐν ὁμοιώματι κατὰ τὴν αὐτὴν, ἔστω ἀνάθεμα.

2. Κηρύσσεται δὲ εἰς συμπλήρωσιν τῆς πίστεως καὶ σαρκωθεὶς ἐκ παρθένου Μαρίας ὁ τοῦ θεοῦ υἱός, καὶ σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσας. τοῦτο γὰρ ἐπὶ προφητῶν ἐστι καὶ ἀποστόλων. τέλειος θεὸς ἐν σαρκὶ καὶ τέλειος ἄνθρωπος

ἐν

ἐν πνεύματι, οὐ δύο υἱοὶ, εἷς μὲν γνήσιος υἱὸς ἀναλαβὼν ἄνθρωπον, ἕτερος δὲ θνητὸς ἄνθρωπος ἀναληφθεὶς ὑπὸ θεοῦ· ἀλλ' εἷς μονογενὴς ἐν οὐρανῷ, μονογενὴς ἐπὶ γῆς. Θεὸς ἐν ἀληθείᾳ, ἄνθρωπος τῇ σαρκικῇ μορφώσει καθ' ὁμοίωσιν ἑαυτοῦ, σώζων κόσμον κατὰ μετάληψιν τοῦ ἰδίου πνεύματος, ὃ δωρεῖται δι' ἐμφυσήσεως. ὡς ἄνθρωπος ἐν σχήματι ἀνθρωπίνῳ βασιλεύων ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, ὑπὸ πάντων ὡς εἷς καὶ μόνος κύριος δοξαζόμενος εἰς δόξαν τοῦ πατρὸς, Ἀμήν.

3. Εἰ δέ τις ἄνθρωπον ὑπὸ θεοῦ προσληφθέντα λέγει τὸν ἐκ Μαρίας υἱὸν, καὶ δύο πρόσωπα ἑνωθέντα, γινωσκέτω τῆς θείας ἐλπίδος ἀλλότριος ὤν. ὁ γὰρ θεὸς λόγος δι' οὗ τὰ πάντα, ὡς Ἰωάννης καὶ Παῦλος ἐδίδαξαν, οὐ τὸν λόγον ἀνειληφέναι Ἰησοῦν τὸν ἐκ Μαρίας τεχθέντα, ἀλλ' αὐτὸν ἐλθεῖν εἰς τὸν κόσμον * γενώμενον ἐκ γυναικός. οὐδὲ κατῳκηκέναι τὸν ἐξ οὐρανοῦ ἐν ἀνθρώπῳ τῷ ἐκ γῆς χοϊκῷ, ἀλλ' αὐτὸν τὸν δεύτερον Ἀδὰμ ἐπουράνιον εἶναι· ὅτε ἐπουράνιός ἐστιν ὁ λόγος ὁ τὴν σάρκα ἔχων ἐκ Μαρίας, καὶ ἡμᾶς δὲ διὰ τοῦ ἐπουρανίου ἐπουρανίους καθ' ὁμοίωσιν ποιῶν ὄντως χοϊκούς. ἐκλήθημεν γὰρ εἰς κοινωνίαν υἱοῦ τοῦ θεοῦ, ὃς ἐκοινώνησεν ἡμῖν καὶ τοῦ θανάτου καὶ ὀφειλομένου ἀνθρώπῳ σταυροῦ, κύριος ὢν τῆς δόξης, οὐ κρατούμενος ὑπὸ θανάτου ὡς πᾶς ἄνθρωπος. ἀλλὰ καταργῶν τὸν θάνατον, καὶ φῶς καὶ ζωὴν καὶ ἀφθαρσίαν καὶ τὴν ἰδίαν ἡμῖν νίκην διδούς.

4. Ὥστε καὶ ἀνάθεμα ἔστω πᾶς, ὃς τὸν ἐκ Μαρίας υἱὸν οὐχ ὁμολογεῖ θεὸν λόγον ἔνσαρκον, ὁμοούσιον τῷ πατρὶ, καὶ ἐξ ἀρχῆς ὄντα, ἄτρεπτον δὲ ἐν τῇ σαρκώσει καὶ ἀπαθῇ ἐν τοῖς πάθεσιν. ὁμοίως ἀνάθεμα ἔστω καὶ ὁ τὴν σάρκα τοῦ σωτῆρος μὴ λέγων ἐκ Μαρίας, ἀλλ' ἐξ οὐρανοῦ, ἢ ἄκτιστον φύσει τὴν κτίσιν καὶ ἐξ οὐκ ὄντων. τῇ δὲ πρὸς τὸν ἄκτιστον Θεὸν ἑνώσει ὁ λέγων Θεϊκὸν τὸ σῶμα, καὶ προσκυνοῦν κατὰ τὸ συναμφότερον ὡς ἕνα ἄκτιστον Θεὸν, μακάριος ἔσται. μὴ σκανδαλισθῇς ἐπὶ τῇ σαρκὶ καὶ τοῖς πάθεσιν αὐτοῦ· ἀλλ' αὐτὸν ἀσωμάτως προσκύνει τὸν μετὰ τοῦ ἰδίου σώματος προσκυνούμενον, ὡς ἕνα καὶ μόνον υἱὸν τοῦ Θεοῦ ἐξ αἰῶνος καὶ εἰς αἰῶνας· ὁμολογεῖν δὲ μεμαθήκαμεν καὶ τὴν δευτέραν αὐτοῦ παρουσίαν, ἐν * ᾗ διδασκαλίᾳ τοῦ ἁγίου βαπτίσματος, Ἀμήν.

Ἰουλίου ἐπισκόπου Ῥώμης ἐν τῷ λόγῳ τῷ περὶ ὁμοουσίου.

Ὅθεν ἐξ ἀνάγκης καὶ τὸ σωματικὸν καθ' ὅλου, καὶ τὸ θεϊκὸν καθ' ὅλου λέγεσθαι. καὶ ὁ μὴ δυνάμενος ἐν τοῖς ἡνωμένοις διαφόροις εἰδέναι τί τὸ ἴδιον ἑκατέρου, ἐν ἐναντιώμασιν ἀσυμφώνοις περιπεσεῖται. ὁ δὲ καὶ τὰ ἴδια γινώσκων, καὶ τὴν ἕνωσιν φυλάττων, οὔτε τὰς φύσεις ψεύδεται, οὔτε τὴν ἕνωσιν ἀγνοήσειεν.

Μέγας κόπος καὶ στέρησις γίνεται εἰς τὰς μεγάλας καὶ λαμπρὰς ἑορτὰς, ὅτι τελοῦνται ἐν μιᾷ ἡμέρᾳ. καὶ τὰ ἀναγνώσματα, καὶ ἡ ἀκολουθία ἀπομένουσιν ἡμιτελῆ τῶν δύο ἑορτῶν, διὰ τὸ μὴ δύνασθαι τὴν γένησιν καὶ τὸ βάπτισμα ἐκτελέσαι τοῦ Κυρίου. ὡς δὴ οὐ δυνάμεθα ἐν μιᾷ ἡμέρᾳ ἀπαντῆσαι εἰς τόπον τοῦ βαπτίσματος· ἐπεὶ ἡ Βηθλεὲμ τρία μίλια ἀπέχει ἀπὸ Ἱερουσαλὴμ κατὰ νότον, καὶ ὁ Ἰορδάνης ιέ μίλια ἀπέχει κατὰ ἀνατολάς· προσταξάτω οὖν ἡ ἁγιωσύνη σου ἐρευνῆσαι πάντα τὰ συγγράμματα τῶν Ἰουδαίων, ἅ τινα σκυλεύσας ὁ Καίσαρ Τίτος ἀπήγαγεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ῥώμην. ἴσως εὕροις βεβαίως τὴν ἡμέραν τῆς γενήσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν.

Οὐ δύναμαι ἐν μιᾷ ἡμέρᾳ ἀπαντῆσαι εἰς Βηθλεὲμ, καὶ εἰς τὸν Ἰορδάνην. καὶ γὰρ Ἰορδάνης ἀπέχει τῆς πόλεως Ἱερουσαλὴμ κατὰ ἀνατολὰς μίλια κέ, ἡ δὲ ἁγία Βηθλεὲμ κατὰ νότον τῆς πόλεως μίλια ἕξ· καὶ οὐ δύναμαι ἐν μιᾷ ἡμέρᾳ τὰς δύο ἑορτὰς ἀποτελεῖν. παρακαλῶ οὖν τὴν σὴν ὁσιότητα, πάτερ, ἵνα ἐρευνήσῃς τὰ ὑπομνήματα, ἢ καὶ δώσῃς ἡμῖν ἐν ἀκριβεῖ ἐρεύνῃ διὰ γραφῆς σου, τίμιε, τὴν περὶ τούτων εἴδησιν, ἐν ποίᾳ ἡμέρᾳ ἐτέχθη Χριστὸς ὁ Κύριος, καὶ ἐν ποίᾳ ἡμέρᾳ ἐβαπτίσθη. ὡς γὰρ ἀκριβῶς ἔγνωμεν, ὅτι τὰ ἐξαρχῆς ὑπομνήματα ἐξ Ἱεροσολύμων εἰς τὴν Ῥώμην ἤχθησαν ὑπὸ Τίτου καὶ Οὐεσπασιανοῦ.

Κωνσταντῖνος Καῖσαρ τῷ λαῷ τῆς καθολικῆς ἐκκλησίας πόλεως Ἀλεξανδρείας.

Οὐδὲν τῆς ὑμετέρας ἱερᾶς ἐννοίας ἀποπεφευγέναι εἰς γνῶσιν οἶμαι, διὰ τοῦτο Ἀθανάσιον τὸν τοῦ προσκυνητοῦ νόμου ὑποφήτην πρὸς καιρὸν εἰς τὰς Γαλλίας ἀπεστάλθαι, ἵν' ἐπειδὴ ἡ ἀγριότης τῶν αἱμοβόρων αὐτοῦ καὶ πολεμίων ἐχθρῶν εἰς κίνδυνον τῆς ἱερᾶς αὐτοῦ κεφαλῆς ἐπέμενον, μὴ ἄρα διὰ τῆς τῶν φαύλων διαστροφῆς ἀνήκεστα ὑποστῇ. πρὸς τὸ διαπαῖξαι τοίνην ταύτην ἀφῃρέθης τῶν φαρύγγων τῶν ἐπικειμένων αὐτῷ ἀνδρῶν, ὑπ' ἐμοὶ διάγειν κελευθείς. οὕτως ὡς ἐν ταύτῃ τῇ πόλει ἐν ᾗ διέτριβε, πᾶσι τοῖς ἀναγκαίοις ἐμπλεονάζειν, εἰ καὶ τὰ μάλιστα αὐτοῦ ἡ ἀοίδιμος ἀρετὴ ταῖς θείαις πεποιθυῖα βοηθείαις, καὶ τὰ τῆς τραχυτέρας τύχης ἄχθη ἐξουθενεῖ. τοιγαροῦν εἰ καὶ τὰ μάλιστα πρὸς τὴν προσφιλεστάτην ὑμῶν θεοσέβειαν, ὁ δεσπότης ἡμῶν ὁ τῆς μακαρίας μνήμης Κωνσταντῖνος ὁ σεβαστὸς ὁ ἐμὸς πατὴρ, τὸν αὐτὸν ἐπίσκοπον τῷ ἰδίῳ τόπῳ παραχεῖν προῄρητο, ὅμως ἐπειδὴ ἀνθρωπίνῳ κλήρῳ προληφθεὶς πρὸ τοῦ τὴν εὐχὴν πληρῶσαι ἀνεπαύσατο, ἀκόλουθον ἡγησάμην τὴν προαίρεσιν τοῦ τῆς θείας μνήμης βασιλέως διαδεξάμενος πληρῶσαι. ὅστις ἐπειδὰν τῆς ὑμετέρας τύχοι προσόψεως, ὅσης παρ' ἐμοῦ αἰδοῦς τετύχηκε γνώσεσθε. οὐ γὰρ θαυμαστὸν εἴτι δ' ἂν ὑπὲρ αὐτοῦ πεποίηκα, καὶ γὰρ τὴν ἐμὴν ψυχὴν ἥτε τοῦ ὑμετέρου πόθου εἰκὼν, καὶ τὸ τοῦ τηλικούτου ἀνδρὸς σχῆμα, εἰς τοῦτο ἐκίνει καὶ προέτρεπεν. ἡ θεία πρόνοια ὑμᾶς διαφυλάξαι, ἀγαπητοὶ ἀδελφοί. ἐδόθη πρὸ δεκαπέντε καλανδῶν Ἰουλίων ἐν Τριβέροις.

ΚΩΝ-

ΚΩΝΣΤΑΝΤΙΝΟΣ μὲν οὖν, ὁ ἐν Χριστιανοῖς βασιλεὺς ἀποστέλλει διὰ τῆς ἐξορίας, τὴν ὁρίαν Ἀθανασίῳ πραγματευσάμενος, ἐλθὼν ἐπὶ Νικομήδειαν, καὶ ἀσθενείᾳ περιπεσὼν, ἐβαπτίσατο· καὶ μέλλων ἐκδημεῖν πρὸς τὸν κύριον, ἐνδιαθήκως ἀνακληθῆναι τῆς ἐξορίας τὸν θεσπέσιον διετύπωσεν Ἀθανάσιον· Κωνσταντῖνον καὶ Κώνσταντα τοὺς υἱοὺς αὐτοῦ, τῶν ἑῴων Ρωμαίων, ἐκ Ρώμης ἀπάραντας, τῆς βασιλείας ἀντέχεσθαι. καὶ Κωνσάντιον ἀπὸ Ἀντιοχείας εἰς Ρώμην, ὁμοίως ἀντιπορεύεσθαι. Ἀλλὰ τῆς διαθήκης φαλσευθείσης ὑπὸ Εὐσταθίου τοῦ πρεσβυτέρου καὶ ἐπιτρόπου κεκρυμένου Ἀρειανοῖς χρηματίζοντος· Κωνσάντιος βασιλεὺς τῆς ἑῴας ἀναγορεύεται· καὶ τῶν ἀδελφῶν αὐτοῦ ὀρθοδοξούντων, μόνος εἰς τὸ Ἀρειανικὸν κατωλίσθησε φρόνημα. Εὐθὺς γὰρ οἱ περὶ τὸν Νικομηδείας Εὐσέβιον, αὐτῷ κατὰ τοῦ μακαριωτάτου Παύλου προσέρχονται· σὺν πολλαῖς διαβολαῖς, καὶ τοῦτο φαίνοντες, ὡς δίχα τῆς σῆς, βασιλεῦ, διαγνώσεως, Ἀλεξάνδρου τελειωθέντος, εἰς τὸν θρόνον Κωνσταντινουπόλεως ἑαυτὸν ἐνεκαθίδρευσεν. Ὁ δὲ συνέδριον αἱρετικῶν ἐν Κωνσταντινουπόλει συγκροτηθῆναι κατὰ τοῦ θείου συμβόλου διαταξάμενος, Παῦλον τὸν ὁμολογητὴν ἐκβληθῆναι τῆς ἐκκλησίας ἐκέλευσε. καὶ ἀντεισαχθῆναι πρώην Βηρυτοῦ, Νικομηδείας Εὐσέβιον.

ΕΠΙΣΤΟΛΗ' ΣΥΝΟΔΙΚΗ.

Ἡ ἁγία σύνοδος ἡ ἐν Ἀλεξανδρείᾳ συναχθεῖσα, ἀπὸ τε τῆς Αἰγύπτου καὶ τῆς Θηβαΐδος, καὶ Λιβύης, καὶ Πενταπόλεως, τοῖς ἁπανταχοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόποις, ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς ἐν κυρίῳ χαίρειν.

ΗΔΥΝΑΜΕΘΑ μὲν ἀγαπητοὶ ἀδελφοὶ καὶ κατὰ τὴν ἀρχὴν ἅμα τῷ συσκευασθῆναι τὸν συλλειτουργὸν ἡμῶν Ἀθανάσιον, ἢ καὶ μετὰ τὸ εἰσελθεῖν αὐτὸν εἰς τὴν Ἀλεξάνδρειαν, ἀπολογήσασθαι περὶ ὧν συνεσκευάσαντο αὐτῷ οἱ περὶ Εὐσέβιον, καὶ αἰτιάσασθαι περὶ ὧν πέπονθε παρ' αὐτῶν, καὶ δεῖξαι πάσας τὰς γεγενημένας κατ' αὐτοῦ συκοφαντίας. ἐπειδὴ δὲ τότε μὲν οὐκ ἐπέτρεπε τὰ πράγματα, ὡς ἴστε καὶ ὑμεῖς. νῦν δὲ νομίζομεν μετὰ τὴν ἐπάνοδον Ἀθανασίου τοῦ ἐπισκόπου, δυσωπεῖσθαι καὶ ἐρυθριᾶν αὐτοὺς ἐπὶ οὕτω φανεροῖς αὐτῶν ἀδικήμασι, τούτου ἕνεκεν σιγᾷν ἑαυτοὺς ἐπείσαμεν. ἐπεὶ δὲ μετὰ τὸ παθεῖν τοσαῦτα τὸν ἄνδρα, μετὰ τὴν εἰς Γαλλίας ἀποδημίαν, μετὰ τὴν ἐπὶ ξένης ἀντὶ τῆς οἰκείας καὶ πορρωτάτω διατριβὴν, μετὰ τὸ ὀλίγου δεῖν αὐτὸν ἀποθανεῖν ἐκ τῶν διαβολῶν αὐτῶν, εἰ μὴ βασιλέως ἔτυχε φιλανθρώπου. ἐφ' οἷς ἂν καὶ πᾶς ἐχθρὸς ἐκορέσθη, κἂν τὸν θυμὸν ὠμότατος, οὐκ ἐρυθριῶσιν, ἀλλὰ πάλιν ἐπινεανιεύονται κατὰ τῆς ἐκκλησίας καὶ τὸν Ἀθανάσιον, καὶ πρὸς τὴν ἄφεσιν ἀγανακτοῦντες αὐτοῦ, χείροσιν ἐπιτολμῶσι δευτέροις, καὶ κατηγοροῦσι μὲν εὐχερῶς, οὐ φοβοῦνται δὲ τὸ ἐν ταῖς ἁγίαις γραφαῖς γεγραμμένον, μάρτυς ψευδὴς, οὐκ ἀτιμώρητος ἔσται, καὶ στόμα καταψευδόμενον, ἀναιρεῖ ψυχήν. διά τοι τοῦτο, οὐκέτι μὲν δυνάμεθα σιγᾷν, θαυμάζομεν δὲ τὴν πονηρίαν αὐτῶν, καὶ τὴν ἀκόρεστον ἐπὶ συσκευαῖς φιλονεικίαν. ἰδοὺ γὰρ οὐ παύονται πάλιν βασιλικὰς ἀκοὰς κινοῦντες καθ' ἡμῶν, οὐ παύονται γράφοντες ὀλέθρου γράμματα, πρὸς ἀναίρεσιν ἐπισκόπου τοῦ τῆς ἀσεβείας αὐτῶν ἐχθροῦ. πάλιν γὰρ ἔγραψαν τοῖς βασιλεῦσι κατ' αὐτοῦ, πάλιν αὐτὸν συσκευάσασθαι βούλονται, σφαγὰς αἰτιώμενοι μὴ γενομένας, πάλιν αὐτὸν φονεῦσαι βούλονται, φόνους αἰτιώμενοι μὴ γενομένους. καὶ τότε γὰρ ἂν ἐφόνευσαν διαβάλλοντες, εἰ μὴ φιλανθρώπου βασιλέως ἐτύχομεν, πάλιν αὐτὸν ἵνα τὸ ἔλαττον εἴπωμεν, ἐπ' ἐξορίαν ἀπελθεῖν ἐπείγονται συμφορὰς ἐξορίστων ὡς παρ' αὐτοῦ γενομένων, προσποιούμενοι θρηνεῖν, καὶ θρηνοῦσι μὲν παρ' ἡμῖν τὰ μὴ γενόμενα, οὐκ ἀρκοῦνται δὲ τοῖς γενομένοις κατ' αὐτοῦ. ἀλλὰ καὶ δεύτερα καὶ χείρονα προσάψαι βούλονται, οὕτως εἰσὶ πρᾷοι καὶ φιλάνθρωποι καὶ τὸν τρόπον ἐπιεικεῖς. μᾶλλον δὲ, εἰρήσεται γὰρ τ' ἀληθὲς, πονηροὶ καὶ πικροί. καὶ ἐκ φόβων καὶ ἀπειλῶν, ἢ ἐξ εὐσεβείας καὶ ἐπιεικείας, ἃ τοῖς ἐπισκόποις πρέπει, τιμώμενοι. οἷα γὰρ μὴ δὲ τῶν ἔξω τις φιλοπραγμόνων φθέγξαιτο, τοιαῦτα ῥήματα καταχέαι τετολμήκασιν, ὧν πρὸς τοὺς βασιλέας ἔγραψαν· καὶ τοσούτων φόνων καὶ σφαγῶν κατηγόρησαν, οὐκ ἐπὶ ἡγεμόνος, οὐκ ἐπ' ἄλλου τινὸς μείζονος, ἀλλ' ἐπὶ τῶν Αὐγούστων τῶν τριῶν. οὐδὲ πρὸς διαστήματα τῶν ὁδῶν ἀποκνήσαντες, μόνον ἵνα πάντα μείζονα δικαστήρια τῆς κατηγορίας αὐτῶν ἐμπλησθῇ. κατηγορία γὰρ ἀληθῶς ἀγαπητοὶ, τὰ παρ' αὐτῶν γενόμενα. καὶ πασῶν ἀνωτάτω κατηγορία. ὅπου γε καὶ πάντων τῶν ἀνθρωπίνων, ἀνωτάτω τὰ δικαστήρια. τί γὰρ ἄλλο τέλος τῆς ἐπὶ τούτοις ἐξετάσεως, ἢ θάνατος ἐκ βασιλικῆς κινήσεως ἐπαγόμενος; οὐκ οὖν οὐ τὰ παρὰ Ἀθανασίου, ἀλλὰ τὰ παρ' αὐτῶν γινόμενα, θρήνου καὶ οἰμωγῆς ἄξια· οὐκοῦν αὐτοὺς μᾶλλον ἄντις δικαίως θρηνήσειεν. ἐπὶ τούτοις γὰρ ὀδύρεσθαι χρή. ἐπεὶ καὶ γέγραπται. μὴ κλαίετε τὸν τεθνηκότα; μήτε θρηνεῖτε αὐτόν. κλαύσατε κλαυθμῷ τὸν ἐκπορευόμενον, ὅτι οὐκ ἐπιστρέψει ἔτι. πᾶσα γὰρ αὐτῶν ἡ ἐπιστολὴ οὐδὲν ἄλλο, ἢ πρὸς θάνατον ὁρᾷ, καὶ φονεύειν ἐπιχειροῦσιν, ἐὰν συγχωρῶνται, καὶ ποιεῖν ἐξορίστους. συνεχωρήθησαν γὰρ, τοῦ θεοφιλεστάτου πατρὸς τῶν βασιλέων, ἀντὶ θανάτου τῇ μεταθέσει τοῦ τόπου, τὸν θυμὸν αὐτῶν ἐκπλήσαντος. ταῦτα γὰρ ὅτι μὴ δὲ ψιλῶν Χριστιανῶν ἔργα, σπανίως δὲ καὶ ἐθνικῶν, μήτιγε ἐπισκόπων δοκούντων καὶ τοὺς ἄλλους τὰ δίκαια διδάσκειν, συνορᾷν ὑμῶν τὴν ἐν Χριστῷ συνείδησιν ἡγούμεθα. πῶς γὰρ οἱ τοὺς ἄλλους κωλύοντες κατηγορεῖν, αὐτοὶ κατήγοροι καὶ μέχρι βασιλέων γίνονται; πῶς οἱ συμφορὰς ἐλεεῖν διδάσκοντες, οὐδὲ κατὰ τὴν ἐξοριστίαν ἡμῶν ἡσυχάζουσι. κοινὸς γὰρ γέγονεν ἡμῶν τῶν ἐπισκόπων ὁμολογούμενος ἐξορισμός. καὶ πάντες ἑαυτοὺς ἐξορίστους εἴχομεν. καὶ νῦν ὡς σὺν Ἀθανασίῳ ταῖς πατρίσιν ἀποδοθέντας, πάλιν ἀντὶ τῶν προτέρων ὀδυρμῶν καὶ θρήνων ἐπ' αὐτῷ μεγίστην εὐθυμίαν ἀπολαβόντας καὶ χάριν, ἣν ὁ κύριος διαφυλάξειε, καὶ ἀνατρέψαι τοῖς περὶ Εὐσέβιον μὴ ἐπιτρέψῃ. Ταῦτα μὲν εἰ καὶ ἀληθῆ ἦν ἃ κατη-

κατηγόρουν αὐτὸν, ἦν τινα κατηγορήματα. ὅτι παρὰ τὸ πρόσταγμα τοῦ Χριστιανισμοῦ, καὶ μετὰ τὸν πειρασμοῦ ἐξορισμὸν, ἐπεμβαίνοντες πάλιν, φόνων καὶ σφαγῶν καὶ ἄλλων ἐγκλημάτων κατηγοροῦσι, καὶ βασιλικαῖς ἀκοαῖς ταῦτα κατὰ τῶν ἐπισκόπων ἐπηχοῦσιν. ὅτε δὲ πάντα ψεύδονται καὶ πάντα συκοφαντοῦσι, καὶ μὴ πρόσεστιν αὐτῶν ἀλήθεια τοῖς στόμασι, μὴ δὲ τοῖς γράμμασι, ποσαπλοῦν τὸ κακὸν παρ' αὐτοῖς, ἢ ποταποὺς εἶναι τοὺς ἀνθρώπους ὑπολαμβάνετε; ἤδη τοίνυν ἐπ' αὐτὸ χωρήσωμεν, καὶ πρὸς τὰς κατηγορίας αὐτῶν τὰς νῦν γινομένας ἀπαντήσωμεν. καὶ γὰρ ἀπὸ τούτων, οὐδὲ τὰ πρότερα παρ' αὐτῶν ἐπὶ συνόδῳ καὶ κρίσει θρυλλούμενα, καλῶς πεπραγμένα μᾶλλον δὲ οὐδὲ ἀληθῆ λεγόμενα ἐλεγχθήσεται, καὶ πάλιν ἐπὶ τούτοις καταγνωσθήσονται. δυσωπούμεθα μὲν οὖν περὶ τοιούτων ἀπολογούμενοι. πλὴν ἐπειδήπερ πρὸς πάντα ἑαυτοὺς οἱ προπετεῖς ἐπάγουσι κατήγοροι, καὶ μετὰ τὴν εἴσοδον Ἀθανασίου, φόνους καὶ σφαγὰς αἰτιῶνται γεγενῆσθαι, παρακαλοῦμεν ἀνασχέσθαι τῆς ἀπολογίας κἂν διὰ πλειόνων ᾖ. τὰ γὰρ πράγματα ἀναγκάζει. φόνος μὲν οὔτε παρὰ Ἀθανασίου γέγονεν, οὔτε δι' αὐτόν· Ἐπειδὴ καὶ εἰς ταύτην ἡμᾶς τὴν ἄδοξον ἀπολογίαν ὡς προείπομεν ἐμβιβάζουσιν οἱ κατήγοροι, σφαγαὶ δὲ καὶ δεσμοὶ, τῆς ἐκκλησίας ἡμῶν ἀλλότρια· δημίῳ παραδέδωκεν Ἀθανάσιος οὐδένα. καὶ τὸ δεσμωτήριον, ὅσον ἐπ' αὐτῷ, οὐδέποτε ἐνοχληθὲν παρ' αὐτοῦ. τὰ παρ' ἡμῖν ἱερατεῖα, ὥσπερ ἀεὶ καὶ νῦν καθαρά. μόνῳ σεμνυνόμενα τῷ αἵματι τοῦ Χριστοῦ, καὶ τῇ εἰς αὐτὸν εὐσεβείᾳ. οὐ πρεσβύτερος, οὐ διάκονος ἀνηρέθη παρὰ Ἀθανασίου. οὐ φόνον, οὐκ ἐξοριστίαν ἔδρασεν ὁ ἄνθρωπος. ἀλλ' εἴθε μὴ δὲ ἐκεῖνοι κατ' αὐτοῦ τοῦτ' ἔδρασαν ἀληθείᾳ τὴν πεῖραν ἐπαγαγόντες. οὐδεὶς γὰρ ἐξόριστος ἐνταῦθα γέγονε δι' αὐτὸν, πλὴν αὐτοῦ τοῦ ἐπισκόπου Ἀθανασίου Ἀλεξανδρείας παρ' αὐτῶν, ὃν ἀφεθέντα, καὶ πάλιν τοῖς αὐτοῖς ἢ καὶ χείροσι περιβάλλειν ἐπιζητοῦσι, πάντα πρὸς ψευδῆ καὶ θανατηφόρα ῥήματα, τὴν γλῶτταν ἑαυτῶν ὀτρύνοντες. ἰδοὺ γὰρ λοιπὸν καὶ τὰς τῶν δικαστῶν πράξεις ἐπ' αὐτὸν μεταφέρουσι. καὶ τὸν μὲν ἔπαρχον τῆς Αἰγύπτου φανερῶς ὁμολογοῦσιν ἐν τῇ ἐπιστολῇ, κατὰ τίνων ἀπέφανται. πάλιν δὲ οὐ δυσωποῦντος καὶ ταύτας τὰς ἀποφάσεις Ἀθανασίῳ προσάπτοντες. καὶ ταῦτα μηδέπω τῆς Ἀλεξανδρείας ἐπιβάντι ἀλλ' ἔτι τῆς ὁδοῦ τῆς ἀπὸ τῆς ἐξοριστίας ἐχομένῳ, καὶ κατὰ τὴν Συρίαν ὄντι. εἴγε δεῖ καὶ μακρὰν ἀποδημίαν εἰς ἀπολογίαν φέρειν, ὑπὲρ τοῦ μὴ δὲ ὑπεύθυνον εἶναί τινα, οἷς ἐὰν ἡγεμὼν ἢ ἔπαρχος Αἰγύπτου πράξῃ. εἰ γὰρ καὶ ἐπὶ τῆς Ἀλεξανδρείας ἦν, τί πρὸς Ἀθανάσιον αἱ τοῦ ἐπάρχου πράξεις; ἀλλ' ὅμως οὐδὲ ἐπεδήμει τοῖς τόποις, καὶ τὰ πραχθέντα οὐ διὰ προφάσεις ἐκκλησιαστικὰς πέπρακται παρὰ τοῦ ἐπάρχου τῆς Αἰγύπτου. ἀλλὰ διά τινας ἃς ἐκ τῶν ὑπομνημάτων εἴσεσθε. ἅπερ μετὰ τὸ γνῶναι τὰ παρὰ τούτων γραφέντα, πολυπραγμονήσαντες ἀπεστείλαμεν ὑμῖν. Οὐκ οὖν ὅτι καὶ νῦν τὰ μὴ γενόμενα, μήτε παρ' αὐτοῦ, μήτε δι' αὐτὸν, βοῶσιν ὡς γενόμενα, καὶ τοσούτοις μαρτυροῦσιν ὡς πληροφορηθέντες κακοῖς, εἰπάτωσαν ἐκ ποίας συνόδου καὶ ταῦτα ἔγνωσαν; ἐκ ποίων ἀποδείξεων; ἐκ ποίας κρίσεως; εἰ δὲ μηδὲν ἔχοντες τοιοῦτον ἁπλῶς διαβεβαιοῦνται καὶ τὰ πρότερα πῶς γέγονεν; ἢ πῶς λέγουσιν, ὑμῖν κατελίπομεν σκοπεῖν. οὐδὲν γὰρ ἄλλο ἐστὶν, ἢ συκοφαντία καὶ ἐχθρῶν ἐπιβουλὴ, καὶ θυμὸς ἄσχετα φρονῶν, καὶ κατὰ τῆς εὐσεβείας ἡ ὑπὲρ τῶν Ἀρειομανιτῶν ἀσέβεια λυττῶσα, ἵν' ἐκ ποδῶν μὲν οἱ ὀρθόδοξοι γένωνται, μετ' ἀδείας δὲ λοιπὸν ἃ βούλονται [2] κηρύττουσιν οἱ προστάται τῆς ἀσεβείας. καὶ γὰρ οὕτως ἔχει. Ἀρείου τοῦ ἀσεβήσαντος, ἀφ' οὗ ἡ Ἀρειομανιτῶν δι' αὐτὸν αἵρεσις κέκληται, τῆς ἐκκλησίας ἐκβληθέντος ὑπὸ τοῦ μακαρίτου ἐπισκόπου Ἀλεξάνδρου, οἱ περὶ Εὐσέβιον μαθηταὶ τῆς ἀσεβείας αὐτοῦ καὶ κοινωνοὶ τυγχάνοντες ἑαυτοὺς ἐκβεβλῆσθαι νομίζοντες, ἔγραφον πολλὰ παρακαλοῦντες Ἀλέξανδρον τὸν ἐπίσκοπον, μὴ ἀφεῖναι τὸν αἱρετικὸν Ἄρειον ἔξω τῆς ἐκκλησίας, Ἀλεξάνδρου δὲ διὰ τὴν εἰς Χριστὸν εὐσέβειαν μὴ δεχομένου τὸν ἀσεβῆ, εἰς Ἀθανάσιον τότε διάκονον ὄντα, ἐλυποῦντο. ἐπειδὴ τὰ πλεῖστα συνόντα Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ πολυπραγμονοῦντες αὐτὸν ἤκουον, καὶ τιμώμενον παρ' αὐτοῦ, πεῖραν δὲ αὐτοῦ καὶ τῆς εὐσεβείας τῆς εἰς Χριστὸν λαβόντες ἐκ τῆς συνόδου τῆς κατὰ Νικαίαν συγκροτηθείσης, ἐν οἷς ἐπαρρησιάζετο κατὰ τῆς ἀσεβείας τῶν Ἀρειομανιτῶν, μειζόνως τὸ μῖσος ἤυξανον. ὡς δὲ ἐπὶ τὴν ἐπισκοπὴν αὐτὸν ὁ Θεὸς ἤγαγε. τὴν ἐκ παλαιοῦ τρεφομένην αὐτοῖς κακίαν ἀναζωπυρήσαντες, καὶ φοβούμενοι τὴν ὀρθοδοξίαν αὐτοῦ, καὶ τὴν κατὰ τῆς ἀσεβείας παράστασιν, Εὐσέβιος δὲ πλεῖον καὶ ἀπὸ τῆς συνειδήσεως ὧν οἶδε πλαττόμενος, πάντα τρόπον ἐπεβούλευον καὶ συνεσκευάζοντο τῷ ἀνδρί. ἐκίνουν βασιλέα κατ' αὐτοῦ, συνόδους ἠπείλουν πολλάκις. καὶ τέλος ἐν Τύρῳ συνῆλθον. καὶ μέχρι νῦν οὐκ ἀφίστανται κατ' αὐτοῦ γράφοντες. καὶ οὕτως εἰσὶν ἀπαραίτητοι, ὡς καὶ τὴν κατάστασιν τῆς ἐπισκοπῆς αὐτοῦ μέμφεσθαι. πανταχοῦ δεικνύοντες ἑαυτοὺς ἐχθροὺς, καὶ μισοῦντας τὸν ἄνδρα. καὶ ψευδῆ λέγοντες, μόνον ἵνα ἐκφαυλίσωσιν αὐτὸν ἐν ταῖς ψευδολογίαις. ἀλλὰ καὶ ἐξ αὐτῶν τούτων ὧν ψεύδονται, τὰ πρότερα διελέγχουσι ψευδῆ καὶ συσκευῆς μεστά. μετὰ γὰρ τὴν τελευτὴν, [2] φησὶν, Ἀλεξάνδρου τοῦ ἐπισκόπου ὀλίγων τινῶν Ἀθανασίου μνήμην ποιουμένων, ἓξ ἢ ἑπτὰ ἐπισκόπων λάθρα καὶ ἐν παραβύστῳ χειροτονοῦσιν αὐτόν. ταῦτα ἔγραψαν καὶ βασιλεῦσιν, οἱ μηδὲν ψευδὲς γράφειν παραιτούμενοι. ὅτι δὲ πᾶν τὸ πλῆθος, καὶ πᾶς ὁ λαὸς τῆς καθολικῆς ἐκκλησίας ὥσπερ ἐκ μιᾶς ψυχῆς καὶ σώματος συνεληλυθότες, ἀνεβόων, ἔκραζον, αἰτοῦντες Ἀθανάσιον ἐπίσκοπον τῇ ἐκκλησίᾳ. τοῦτο ηὔχοντο δημοσίᾳ τῷ Χριστῷ, καὶ τοῦτο ἡμᾶς ὥρκιζον ποιεῖν ἐπὶ πλείστας ἡμέρας καὶ νύκτας, μήτε αὐτοὶ τῆς ἐκκλησίας ἀφιστάμενοι, μήτε ἡμᾶς ἐπιτρέποντες ἀφίστασθαι· τούτου καὶ ἡμεῖς μάρτυρες, τούτου καὶ ἡ πόλις πᾶσα καὶ ἡ ἐπαρχία. οὐδὲν μὲν ἐναντίον. ὡς ἔγραψαν ἐκεῖνοι, κατ' αὐτοῦ λέγοντες. πάντα δὲ τὰ βέλτιστα, σπουδαῖον, εὐλαβῆ, Χριστιανὸν, ἕνα τῶν ἀσκητῶν, ἀληθῶς ἐπίσκοπον ὀνομάζοντες. ὅτι δὲ οἱ πλείονες ἡμῶν αὐτὸν ἐχειροτόνησαν ὑπὸ ταῖς πάντων ὄψεσι καὶ βοαῖς, μάρτυρες πάλιν ἡμεῖς ἀξιοπιστότεροι τῶν ἀπόντων καὶ ψευδομέ-

δομένων, οἱ χειροτονήσαντες. ἀλλ' ὅμως Εὐσέβιος τῷ κατάσασιν Ἀθανασίῳ μέμφεται, ἄνθρωπος τάχα μὴ δὲ κατάσασιν ὅλως ἐχηκώς. εἰδέπω καὶ ἔχων, αὐτὸς ἀκυρώσας αὐτῷ. ὢν Βηρυτῷ μὲν ἦν ἀπ' ἀρχῆς, Βηρυτὸν δὲ ἀφεὶς, εἰς Νικομήδειαν ἦλθε. τῷ μὲν, παρὰ νόμον ἀφείς· εἰς ᾧ δὲ παρὰ νόμον ἐπεβαίνων. καὶ τῷ μὲν οἰκείαν, ἀσόργως κατελελοιπώς. τῷ δὲ ἀλλοξίαν, ἀλόγως κατέχων. καὶ τῆς μὲν ὡρώτης τῷ σοργήν, ὑπὸ τῆς ἀλλοξίας ἐπιθυμίας παειδών, τῇ δὲ δευτέρᾳ, μὴ δὲ ᾧ ὑπὸ τῆς ἐπιθυμίας ἔχε τηρήσας. ἰδὼ γὰρ χάκεῖθεν ἀποσὰς, ἀλλοξίαν πάλιν κατέχει· πανταχῇ ταῖς ἀλλοξίαις ἐποφθαλμιῶν πόλεσι. καὶ ὢν πλήτῳ καὶ ὢν μεγέθει πόλεων νομίζων εἶναι τῷ ἀσέβειαν, καὶ τὸν κλῆρον τοῦ Θεῦ καθ' ὃν ἐτύχθη τις, μηδὲν ἡγούμενος. ἀκ εἰδὼς ὅτι καὶ ὅπου δύο, ἢ ξεῖς σωηγμένοι εἰσὶν ἐπὶ τῷ ὀνόματι τῦ κυρίυ, ἐκεῖ ἐστιν ἐν μέσῳ αὐτῷ ὁ κύριος. ἀκ ἐνθυμούμενος τὸ παρὰ τῦ ἀποστόλυ λεχθὲν, ὅτι ἀκ ³ ἀλλοξίοις καμάτοις καυχήσομαι. ἃ σωορῶν τὸ παρ' αὐτῦ παράγγελμα, δέδεσαι γυναικὶ μὴ ζήτει λύσιν. εἰ δὲ ἐπὶ γυναικὸς τὸ ῥητὸν, πόσῳ μᾶλλον ἐπὶ ἐκκλησίας ἐκ τῆς αὐτῆς ἐφισκοπῆς, ἢ ὁ σωδεθεὶς, ἄλλην ἀκ ὀφείλει ζητεῖν, ἵνα μὴ καὶ μοιχὸς παρὰ ταῖς θείαις λύσκηται γραφαῖς. ἀλλὰ καὶ τοιαῦτα ἑαυτῷ σωειδὼς, τετόλμηκε τῷ κατάσασιν Ἀθανασίου τῷ ὑπὸ πάντων ἐφὶ καλοῖς μαρτυρυμένῳ, ὀλιγαβάλλειν. καὶ καθαίρεσιν ὀνειδίζειν αὐτῷ τολμᾷ, καθαιρεθεὶς αὐτὸς, καὶ μάρτυρα τῆς καθαιρέσεως ἔχων, τῷ ἀντ' αὐτῷ κατάσασιν· πῶς ἂν ἢ αὐτὸς ἢ Θεόγνιος ἠδύναντο καθαιρεῖν ἄλλον, αὐτοὶ καθαιρεθέντες, καὶ ταῖς ἀντ' αὐτῷ κατασάσεσιν ἐλεγχόμενοι; οἴδατε γὰρ ἀκριβῶς, ὅτι Ἀμφίων μὲν ὢν Νικομηδείᾳ Χρῆσος δὲ ὢν Νικαίᾳ κατεσάθησαν ἀντ' αὐτῷ, διὰ τῷ οἰκείαν ἀσέβειαν, καὶ τὴν πρὸς τὰς Ἀρειομανίτας κοινωνίαν, τὰς ἀπὸ τῆς συνόδυ τῆς οἰκυμενικῆς ἀποδοκιμασθέντας. κἀκείνην τὴν τῷ ὄντι σωόδον ἀναιρεῖν θέλοντες. τῷ ἑαυτῷ ἄδικον σύσασιν ὀνομάζειν σωόδον ἐπιχειροῦσι, καὶ τὰ παρ' ἐκείνων κρατεῖν μὴ θέλοντες, τὰ παρ' αὐτοῖς κρατεῖν βούλονται. καὶ σωόδον ὀνομάζυσιν, οἱ σωόδῳ τηλικαύτῃ μὴ πειθόμενοι. ὅπως οὐ σύνοδον πεφροντίκασιν, ἀλλὰ σχηματίζονται φροντίζειν, ἵνα ἀνελόντες τὰς ὀρθοδόξυς, τὰ δόξαντα τῇ ἀληθεῖ καὶ μεγάλῃ σωόδῳ κατὰ τῦ Ἀρειανῶν, λίσωσιν. ὧν προϊσάμενοι καὶ ἀεὶ καὶ νῦν, ψεύδεσθαι τολμῶσι κατὰ Ἀθανασίυ τὸ ἐπισκόπυ. ὅμοια γὰρ κἀκεῖνα τοῖς νῦν, ἃ ψεύδονται ὅτι πρὸς τὴν εἴσοδον αὐτῦ, σάσεις καὶ θρῆνοι καὶ ὀδυρμοὶ γεγόνασι τῦ λαῦ, πρὸς τὴν ὑποδοχὴν αὐτῦ δωώσαν ἀχετόντων. οὐδὲν γὰρ τοιῦτον γέγονεν, ἀλλὰ πᾶν τοὐναντίον, χαρὰ καὶ εὐθυμία, καὶ δρόμος τῶν λαῶν, πρὸς τὴν δίκταίαν αὐτῦ θείαν ἐπεισγομένων. εὐφροσύνης δὲ αἱ ἐκκλησίαι μεσαί. καὶ εὐχαρισίαι πρὸς τὸν κύριον ἀναφερόμεναι πανταχῇ. λειτυργοὶ δὲ καὶ κληρικοὶ πάντες ὅπως αὐτὸν ἐωράκασιν, ὡς εὐφρανθῆναι τὰς ψυχὰς, κἀκείνην τὴν ἡμέραν, πασῶν εὐθυμοτέραν ἐκκεῖναι πιστεύειν. τῷ γὰρ ἡμῶν τῶν ἐπισκόπων ἀνεκλάλητον χαρὰν, τί χρὴ γράφειν; προλαβόντες γὰρ εἰρήκαμεν, ὡς σὺν αὐτῷ πάσχειν νομίζομεν. τότων τοίνυν ὅπως ὁμολογουμένων, καὶ παρ' αὐτῶν σαφῶς προφερομένων, ποίαν ἔχει πίστιν ἡ παρ' αὐτῶν θρυλλουμένη σύνοδος ἡ κρίσις; οἱ γὰρ ὅπως ἐπιβαίνειν τολμῶντες, οἷς οὐκ εἶδον, οἷς οὐκ ἐδίκασαν, οἷς οὐ συνῆλθον, καὶ γράφειν ὡς πληροφορηθέντες, πῶς ἐφ' οἷς συνελήλυθέναι λέγουσι πιστευθῆναι δύνανται; ἀλλ' ὁ κατ' ἔχθραν κἀκεῖνα πεποιηκέναι καὶ ταῦτα πιστευθήσονται; ποία γὰρ καὶ συνόδος ἐπισκόπων ᾧδε τότε; ποῖον συνέδριον ἀληθείας ἐχόμενον; τίς τῶν πλειόνων ἐν αὐτοῖς οὐκ ἐχθρὸς ἡμέτερος ᾧδε; ὁ διὰ τὴν Ἀρείαν μανίαν οἱ περὶ Εὐσέβιον καθ' ἡμῶν ὥρμησαν; οὐ τοὺς ἄλλους συμφρονοῦντας αὐτοῖς ἐπήγοντο; οὐκ ἀεὶ κατ' αὐτῷ ἐγράφομεν ὡς τὰ Ἀρείυ φρονοῦντων; οὐκ Εὐσέβιος ὁ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ἐπὶ θυσίᾳ κατηγορεῖτο ὑπὸ τῷ σὺν ἡμῖν ὁμολογητῷ; ὁ Γεώργιος ὡς καθαιρεθεὶς ὑπὸ Ἀλεξάνδρυ τῦ μακαρίυ ἠλέγχετο; οὐκ ἐπ' ἄλλοις ἄλλοι καὶ διαφόροις ἠθύοντο; πῶς ἂν ἔτοι σωιέναι καθ' ἡμῶν ἤθελον; πῶς δὲ σωόδον ὀνομάζειν τολμῶσιν, ἧς Κόμης προκάθηντο, καὶ παρὼν Σπεκυλάτωρ· καὶ Κομεντάριοι ἡμᾶς εἰσῆγον ἀντὶ διαγκώνων τῆς ἐκκλησίας; ἐκεῖνο ἐφθέγγετο, καὶ οἱ παρόντες ἐσιώπων, μᾶλλον δὲ ὑπήκουον τῷ Κόμητι. καὶ τὸ κινῶν τὸς δοκοῦντας ἐπισκόπυς, ὑπὸ τῆς ἐκείνυ βυλῆς ἐνεποδίζετο. ἐκεῖνος ἐκέλευεν· ἡμεῖς ὑπὸ στρατιωτῷ ἡγόμεθα, μᾶλλον δὲ τῷ περὶ Εὐσέβιον κελευόντων ἐκεῖνοι ταῖς τότων ὑπηρετεῖτο γνώμαις. τὸ δὲ ὅλον ἀγαπητοὶ, ποία σωόδος ἔνθα τὸ τέλος ἐξουσία, καὶ φόνος, εἰς δόξαν ᾧ βασιλεῖ; ποῖα δὲ καὶ τὰ ἐγκλήματα; μεῖζον γὰρ ἐπὶ τότοις τὸ κατ' αὐτῷ θαῦμα. Ἀρσένιός τις ᾧ. ὃν πεφονεῦσθαι ἐμέμφοντο, καὶ ποτήριον διεβάλλον κεκλᾶσθαι μυστικόν. Ἀλλ' Ἀρσένι μὲν ζῇ καὶ μεθ' ἡμῶν ἔχεται σωάγεσθαι, καὶ ἐκ ἄλλας ἀναμένει μαρτυρίας, ἵνα ζῶν φανῇ, ἀλλ' αὐτὸς ὁμολογεῖ ζῶ, οἰκείοις γράμμασι πρὸς τὸν σωεπίσκοπον ἡμῶν Ἀθανάσιον γράφων, ὃν αὐτῦ φωνέα διεβεβαιῦτο. καὶ ἐκ ἠδύναντο οἱ ἀσεβεῖς ἄνδρα πρὸ τοσύτυ ὀλασήματος, καὶ πλῷ καὶ πεζῇ πάμπολυ μῆκος ἀπέχοντα, παρ' αὐτῦ πεφονεῦσθαι κατηγορῆντες, ὃ κατ' ἐκείνας τὰς χρόνας, μὴ δὲ τῷ χώραν εἶδεν ἄνθρωπος. ἀλλὰ καὶ κρύψαι πετολμήκασι, καὶ ἀφανῆ κατασῆναι μηδὲν παθόντα. καὶ εἰ οἷόν τε ᾧ εἰς ἄλλῳ οἰκυμένῳ ἂν μετετίθεσαν, μᾶλλον δὲ καὶ τῦ ζῆν ἀληθῶς ἂν ἐξήγαγον, ἵνα εἶτε ἐπαληθεύοντες εἶτε πλασάμενοι φόνον, ἀληθῶς Ἀθανάσιον ἀποκτείνωσιν. ἀλλὰ τῇ θείᾳ φρονοίᾳ καὶ ἐν τότῳ χάρις, τῇ μηδὲν ἄδικον ἐχύειν ἐπιξεπάσῃ, ἀλλ' ὑπὸ τὰς πάντων ὄψεις, Ἀρσένιον ὑπαγάσῃ ζῶντα, καὶ φανερῶς τῷ πότε συσκᾷ καὶ συκοφαντίαν ἐλέγχοντα, ὃ γὰρ ὡς φονίας ἀποστρέφεται, ὐδὲ ὡς ἠδικηκότας μισεῖ, πέπουθε γὰρ ὅλως ὐδέν. ἀλλὰ κοινωνεῖν ἡμῖν ἀξιοῖ. ἐ σωαειθμεῖσθαι βούλεται δι' ὧν ἔγραψε, καὶ ὅμως Ἀθανάσι μὲν, συνεσκάζετο παρ' αὐτῷ, ὡς τὸν ζῶντα πιφονδικαὶς, ἐξωείζετο δὲ παρ' αὐτῶν. οὐδὲ γὰρ ὁ πατὴρ τῷ βασιλέων τὸν ἐξώεισεν, ἀλλ' αἱ τότων ὀλιγαβολαί. σκοπεῖτε γὰρ εἰ μὴ ὅπως ἔχει. ὡς ὐδὲ μὲν ἠνείσχετο κατὰ τὸ συλλειτυργὸ ἡμῶν Ἀθανασίυ, ὁ δὲ κόμης ἐβιάζετο, καὶ πολὺς ᾧ σπε-

σπουδάζων κατ' αὐτοῦ, ὁ μὲν ἐπίσκοπος Ἀθανάσιος φυγὼν τὴν γενομένην βίαν, ἀνῆλθε πρὸς τὸν εὐσεβέστατον βασιλέα, παραιτούμενος ἅμα καὶ τὸν κόμητα καὶ τὰς ἐκείνων συσκευὰς, ἀξιῶν δὲ νόμιμον ἐπισκόπων σύνοδον συγκροτηθῆναι, ἢ καὶ αὐτὸν δέξασθαι τὴν ἀπολογίαν ὧν ἐπήγαγον αὐτῷ καὶ γράφει μὲν βασιλεὺς ἀγανακτῶν, καὶ προσκαλεσάμενος αὐτοὺς, ἐπαγγελλόμενός τε αὐτὸς ἀκροάσασθαι; ὁ καὶ τὴν σύνοδον κελεύσας γενέσθαι. οἱ δὲ περὶ Εὐσέβιον ἀνελθόντες, διαβάλλουσιν Ἀθανάσιον, οὐκ ἔτι μὲν τὰ ἐν Τύρῳ θρυλλούμενα παρ' αὐτῶν, περὶ σίτου δὲ καὶ πλείων ἐποχῆς, ὡς Ἀθανασίου ἐπαγγειλαμένου δύνασθαι κωλύειν, τῆς ἀπὸ Ἀλεξανδρείας εἰς Κωνσταντινούπολιν τοῦ σίτου μετακομιδήν. ταῦτά τινες τῶν ἐξ ἡμῶν ἔνδον ὄντες μετὰ Ἀθανασίου, ἀκηκόασι τοῦ βασιλέως ἀπειλοῦντος. εἶτα τοῦ Ἀθανασίου ὀδυρομένου ἐπὶ τῇ διαβολῇ καὶ διαβεβαιουμένου μὴ εἶναι ταύτην ἀληθῆ. πῶς γὰρ ἂν ἰδιώτης ἄνθρωπος καὶ πένης τηλικαῦτα δύναιτο; Εὐσέβιος οὐδὲ δημοσίᾳ παραιτησάμενος τὴν διαβολὴν, ὤμνυε τὸν Ἀθανάσιον εἶναι πλούσιον καὶ δυνατὸν καὶ ἱκανὸν πρὸς πάντα· ἵνα ἐκ τούτων κἀκεῖνα εἰρηκὼς Ἀθανάσιος νομισθῇ. ταῦτα μὲν οἱ σεμνοὶ κατηγόρουν ἐπίσκοποι. ἡ δὲ τοῦ Θεοῦ χάρις, κρείττων τῆς πονηρίας αὐτῶν γεγένηται. τὴν γὰρ εὐσέβειαν τοῦ βασιλέως, εἰς φιλανθρωπίαν κεκίνηκε. καὶ ἀντὶ θανάτου, τὴν ἐξοριστίαν παρέσχεν. οὐκ οὖν αἱ διαβολαὶ, καὶ οὐδὲν ἄλλο, τούτων αἴτιαι. ὁ μὲν οὖν βασιλεὺς πρὸ τούτου γράφων, τὴν συσκευὴν ἐμέμψατο, τὴν ἐπιβουλὴν ᾐτιάσατο, τῶν Μελιτιανῶν κατεψηφίσατο, ἀθεμίτους ἀρὰς ἀξίους τὰ δεινότατα αὐτοὺς ἐγγράφως εἰπών. κεκίνηται γὰρ νεκρὸν ἀκηκοὼς ἄνθρωπον, ὃς ἐν τοῖς ζῶσιν ἦν. κεκίνηται φόνον ἀκούσας ἐπὶ ζῶντι, καὶ τοῦ βίου μὴ στερηθέντι. καὶ τὴν ἐπιστολὴν ἀπεστείλαμεν. οἱ δὲ περὶ Εὐσέβιον οἱ θαυμαστοὶ, ἵνα καὶ τὴν ἀλήθειαν καὶ τὰ γραφέντα λύειν δόξωσιν, ὄνομα συνόδου σχηματίζονται, καὶ τὸ ἔργον αὐτῆς παρὰ βασιλέως λαμβάνουσι, καὶ κόμης ἐπὶ τούτῳ καὶ στρατιῶται δορυφόροι τῶν ἐπισκόπων, καὶ βασιλικὰ γράμματα συνελθεῖν οὓς ἤτησαν ἐπαναγκάζοντα. ἐνταῦθα τὸ παράδοξον τῆς ἐπιβουλῆς αὐτῶν ἐνθυμήθητε, καὶ τὴν ἀνωμαλίαν τῶν τολμωμένων αὐτοῖς, ἵνα ὅθεν δήποτε παντὶ τρόπῳ τὸν ἄνθρωπον ἐξ ἡμῶν ἁρπάσωσιν. εἰ μὲν γὰρ ἐπέτρεπον ἑαυτοῖς τὴν κρίσιν μόνοις ὡς ἐπίσκοποι, τίς κόμητος καὶ στρατιωτῶν χρεία; ἢ πῶς ὑπὸ βασιλικοῖς συνήγοντο γράμμασιν; εἰ δὲ βασιλέως ἐδέοντο καὶ παρ' αὐτοῦ τὸ κῦρος ἔχειν ἤθελον, διατί τὴν κρίσιν αὐτοῦ παρέλυον; ἢ πῶς ἐκείνου, τοὺς μὲν Μελιτιανοὺς. συκοφάντας ἀθεμίτους, Ἀθανάσιον δὲ καθαρώτατον δι' ὧν ἔγραψε κρίναντος, καὶ τὸν φόνον ἐκτραγωδοῦντος τὸν ἐπὶ τῷ ζῶντι πεπλασμένον, οὗτοι καὶ Μελιτιανοὺς ἀληθεύειν, κἀκεῖνον ὑπεύθυνον εἶναι διωρίζοντο; καὶ μὴ αἰδούμενοι τὸν ζῶντα νεκρὸν ἐποίουν; ζῶντα καὶ μετὰ τὴν κρίσιν τοῦ βασιλέως, καὶ ὅτε συνῄεσαν, καὶ ἄχρι νῦν σὺν ἡμῖν ὄντα. ταῦτα μὲν περὶ Ἀρσενίου. ποτήριον δὲ μυστικὸν, ποῖον ἢ ποῦ κατεαγὲν παρὰ Μακαρίου; τοῦτο γὰρ ἄνω καὶ κάτω περιϊόντες θρυλλοῦσι. καίτοι Ἀθανάσιον μὲν, οὐδὲ οἱ κατήγοροι τετολμήκασιν αἰτιάσασθαι, εἰ μὴ παραὐτῶν ὑπεβλήθησαν. ἀλλ' ὅμως αὐτοὶ τὸ τέλος τῆς μέμψεως ὑπ' αὐτὸν ἄγουσιν. ὃ μὴ δὲ ἐπὶ Μακάριον ἔδει χωρεῖν, οὐκ ἐλεγχθέντα. καὶ οὐκ αἰσχύνονται ταῦτα ἐπὶ κατηχουμένων, καὶ, τόγε χείριστον, ἐπὶ ἑλλήνων τραγῳδοῦντες τὰ μυστήρια. δέον ὡς γέγραπται μυστήριον βασιλέως καλὸν κρύπτειν, καὶ ὡς ὁ κύριος παρήγγειλε, μὴ δῶτε τὰ ἅγια τοῖς κυσὶ, μὴ δὲ βάλητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. οὐ χρὴ γὰρ τὰ μυστήρια ἀμυήτοις τραγῳδεῖν, ἵνα μὴ ἕλληνες μὲν ἀγνοοῦντες γελῶσι, κατηχούμενοι δὲ περίεργοι γενόμενοι, σκανδαλίζωνται. ἀλλὰ καὶ ὅμως ποῖον, ἢ ποῦ, ἢ παρὰ τίσι κατεαγὲν ποτήριον; Μελιτιανοὶ μὲν γάρ εἰσιν οἱ κατηγοροῦντες, καθόλου πιστεύεσθαι μὴ ὀφείλοντες. σχισματικοὶ γὰρ καὶ ἐχθροὶ τῆς ἐκκλησίας γεγόνασιν, οὐ νῦν, ἀλλ' ἀπὸ τοῦ μακαρίου Πέτρου, ἐπισκόπου καὶ μάρτυρος γενομένου, οἳ καὶ αὐτῷ Πέτρῳ ἐπιβουλεύσαντες, καὶ Ἀχιλλᾶν τὸν μετ' ἐκεῖνον διαβαλόντες, καὶ Ἀλεξάνδρου κατηγορήσαντες μέχρις αὐτοῦ βασιλέως. οὕτως γὰρ δὴ μελετήσαντες, λοιπὸν καὶ εἰς Ἀθανάσιον διέβησαν. οὐδὲν ξένον τῆς πονηρίας ἑαυτῶν ποιοῦντες. καὶ γὰρ ὥσπερ τοὺς πρὸ αὐτοῦ, οὕτως καὶ τοῦτον ἐσυκοφάντησαν, ἀλλὰ νῦν αὐτῶν καὶ οὐ πρότερον ἡ συκοφαντία καὶ αἱ διαβολαὶ κεκρατήκασιν, ὅτι τοὺς περὶ Εὐσέβιον ἔσχον συνεργοὺς καὶ προστάτας, διὰ τὴν οἰκείαν ἀσέβειαν τῶν Ἀρειομανιτῶν, δι' ἣν ὥσπερ πολλοῖς ἐπισκόποις, οὕτω καὶ Ἀθανασίῳ συνεσκευάσαντο. καὶ γὰρ ὁ τόπος ἐκεῖνος ἐν ᾧ κεκλᾶσθαι τὸ ποτήριόν φησιν, οὐκ ἦν ἐκκλησία, πρεσβύτερος οὐκ ἦν ἡ τὸν τόπον παροικῶν, ἡμέρα καθ' ἣν Μακάριον τοῦτο πεποιηκέναι φασὶν, οὐκ ἦν κυριακή. μήτε τοίνυν ἐκκλησίας οὔσης ἐκεῖ, μήτε τοῦ ἱερουργοῦντος, μήτε τῆς ἡμέρας ἀπαιτούσης, ποῖον ἢ πότε, ἢ ποῦ τὸ ποτήριον κέκλασται μυστικόν; ποτήρια γὰρ εἶναι πολλὰ κατὰ τὰς οἰκίας, καὶ ἐν ἀγορᾷ μέσῃ, δῆλον, καὶ τούτων οὐδὲν ὁ θραύων ἀσεβεῖ, τὸ δὲ μυστικὸν ποτήριον ὅ, τι ἂν θραύσαι ἄρ' ἑκών τις, ἀσεβῆ τὸν ἐπικεχειρηκότα, παρὰ μόνοις τοῖς νομίμως προεστῶσιν εὑρίσκεται. Οὗτος ὁ τρόπος τούτου τοῦ ποτηρίου μόνος, ἄλλος οὐδεὶς, τοῦτο ὑμεῖς νομίμως προπίνετε τοῖς λαοῖς, τοῦτο ὑμεῖς ὑπὸ τοῦ ἐκκλησιαστικοῦ κανόνος παρελάβετε. τοῦτο μόνον ἐπὶ τῶν τῆς καθολικῆς ἐκκλησίας προεστώτων. μόνον γὰρ ὑμῶν ἐστι προπίνειν τὸ αἷμα τοῦ Χριστοῦ. τῶν δὲ ἄλλων, οὐδενὸς, ἀλλ' ὅσον τὸ μυστικὸν ὁ θραύων ἀσεβὴς, τοσοῦτον ἀσεβέστερος, ὁ ἐνυβρίζων τὸ αἷμα τοῦ Χριστοῦ· ἐνυβρίζει γὰρ ὁ παρὰ τὸν ἐκκλησιαστικὸν θεσμὸν τοῦτο ποιῶν. καὶ ταῦτα μὲν οὐχ ὅτι κἂν σχισματικῶν ποτήριον κέκλασται παρὰ Μακαρίου, ἀλλ' ὅτι μηδὲν ἦν ὅλως ἐκεῖ. πῶς γάρ; ὅπου μήτε τόπος κυριακῆς, μήτε τὶς ἐκεῖ τῆς ἐκκλησίας, ἀλλὰ μήτε ὁ καιρὸς μυστηρίων ἦν. οὗτος δέ ἐστιν ὁ πολυθρύλλητος Ἰσχύρας, ὁ μήτε ὑπὸ τῆς ἐκκλησίας χειροτονηθείς; καὶ ὅτε τοὺς ὑπὸ Μελιτίου καταστασθέντας πρεσβυτέρους Ἀλέξανδρος ἐδέχετο, μὴ δὲ ἐκείνοις συναριθμηθείς, οὕτως οὐδὲ ἐκεῖθεν κατεστάθη. πόθεν οὖν πρεσβύτερος Ἰσχύρας; τίνος καταστήσαντος; Ἆρα Κολούθου; τοῦτο γὰρ λοιπόν. ἀλλ' ὅτι Κόλουθος πρεσβύτερος ὢν ἐτελεύτησε, καὶ πᾶσα χεὶρ αὐτοῦ γέγονεν ἄκυρος, καὶ πάντες, οἱ παρ' αὐτοῦ καταστασθέντες, ἐν τῷ σχίσματι, λαϊκοὶ γεγόνασι, καὶ οὕτως συνα-

συνάγονται δῆλον, καὶ οὐδενὶ κατέστηκεν ἀμφίβολον. πῶς οὖν ἰδιώτης ἄνθρωπος, καὶ οἰκίσκον οἰκῶν ἰδιωτικὸν, ποτήριον ἔχειν μυστικὸν πιστευθείη, ἀλλὰ τότε τὸν ἰδιώτην πρεσβύτερον ὠνόμαζον, καὶ τὴν προσηγορίαν αὐτῷ ταύτην διὰ τὴν καθ' ἡμῶν ἀδικίαν ἐχαρίζοντο, καὶ νῦν μισθὸν τῆς κατηγορίας, ἐκκλησίας οἰκοδομὴν προξενοῦσιν, οὕτως οὐκ εἶχεν ἐκκλησίαν ἄνθρωπος, ἀλλὰ μισθὸν τῆς κακοηθείας, καὶ τῆς πρὸς τὴν κατηγορίαν ὑπακοῆς, νῦν ἣν οὐκ εἶχε λαμβάνει, καὶ τάχα καὶ ἐπισκοπὴν ἀντέδοσαν αὐτῷ, ταῦτα γὰρ θρυλλεῖ περιϊὼν, καὶ οὕτω καθ' ἡμῶν βρενθύεται, οὕτω λοιπὸν τηλικαῦτα ἔπαθλα παρὰ τῶν ἐπισκόπων τοῖς κατηγόροις καὶ συκοφάνταις προστίθεται· εἰκότως· οἱ γὰρ συνεργὸν εἰς ἃ ἤθελον αὐτὸν ἐσχηκότες, ὡς τῶν πραγμάτων κοινωνὸν, οὕτως καὶ τῆς ὁμοίας ἐπισκοπῆς ἠξίωσαν. ἀλλὰ μήπω ταῦτα, ἔτι δὲ τὰς ἀκοὰς τοῖς τότε πραχθεῖσι παρ' αὐτῶν, ἔνδοτε· μὴ δυνηθέντες πρὸς τὴν ἀλήθειαν καίτοι κατ' αὐτῆς παρασκευασμένοι, καὶ ἐν Τύρῳ μηδὲν ἀποδείξαντος Ἰσχύρα, ἀλλὰ σικοφάντου δεικνυμένου, καὶ τὴν συσκευὴν αὐτῶν τῆς συκοφαντίας λυούσης, εἰς ἀπόδειξιν ὑπερτίθενται, καὶ ἐπαγγέλλονται πέμψειν ἐξ ἑαυτῶν τοὺς κατὰ Μαρεώτην πολυπραγμονήσοντας, καὶ οὓς ἡμεῖς παρητούμεθα φανερῶς διὰ πολλὰ, καὶ ὡς τὰ Ἀρείου φρονοῦντας καὶ διατοῦτο ἡμῶν ἐχθροὺς, ἀπέστειλαν αὐτοὶ κρύφα, χρώμενοι τῇ δυναστείᾳ, Διόγνιον, Μάριν, Θεόδωρον, Μακεδόνιον, δύο νεωτέρους τὴν ἡλικίαν καὶ τὸν τρόπον, Οὐρσάκιον καὶ Οὐάλην ἀπὸ Παννονίας, καὶ οὗτοι μετὰ τὴν τοσαύτην ὁδὸν ἣν ὑπέμειναν ἵνα δικάσωσι τῷ ἐχθρῷ, πάλιν ἀπὸ Τύρου καὶ εἰς Ἀλεξάνδρειαν ἐπείγοντο, μηδὲ τὸ μάρτυρες οἱ δικασταὶ γενέσθαι παραιτησάμενοι, ἀλλὰ πάντα τρόπον ἐπιβουλῆς ἀναδεξάμενοι φανερῶς, καὶ πάντα κάματον καὶ πᾶσαν ὁδὸν ὑποστάντες. ἵνα τὴν κατασκευαζομένην συσκευὴν πληρώσωσι, καὶ τὸν μὲν ἐπίσκοπον Ἀθανάσιον κατεχόμενον περὶ ξένης ἠφίεσαν, αὐτοὶ δὲ εἰς τὴν τοῦ ἐχθροῦ πόλιν εἰσήεσαν, ὥσπερ ἐπικωμάζοντες τῇ ἐκκλησίᾳ ἐν τῷ λαῷ, καὶ τὸ παραλογώτερον, Ἰσχύραν τὸν κατήγορον μεθ' ἑαυτῶν ἐπαγόμενοι Μακάριον τὸν κατηγορούμενον, οὐκ ἐπέτρεψαν ἀκολουθῆσαι, ἀλλ' ἔμφρουρον ἀφῆκαν ἐν Τύρῳ. ἄνω γὰρ καὶ κάτω Μακάριος ὁ πρεσβύτερος τῆς Ἀλεξανδρείας ὑπήγετο παρ' αὐτῶν τῷ ἐγκλήματι. μόνοι τοίνυν μετὰ τοῦ κατηγόρου τὴν Ἀλεξάνδρειαν εἰσελθόντες, σύνοικον αὐτὸν καὶ συνέστιον καὶ συμπότην ἔχοντες, καὶ τὸν ἔπαρχον τῆς Αἰγύπτου φιλάγριον παραλαβόντες, ἐπὶ τὸν Μαρεώτην ἀπῆλθον, κἀκεῖ δῆθεν ἐποιοῦντο τὴν ἐξέτασιν μόνοι ὡς ἤθελον μετὰ τοῦ προειρημένου, πολλὰ τοὺς πρεσβυτέρους παρεῖναι παρακαλέσαντας, οὐκ ἐπιτρέψαντες. ἠξίουν δὲ παρεῖναι οἵτε τῆς πόλεως καὶ τῆς χώρας πάσης πρεσβύτεροι, ἵνα τοὺς ὑποβαλλομένους παρὰ Ἰσχύρα διελέγξωσι πόθεν καὶ τίνες εἰσί. καὶ τοὺς μὲν λειτουργοὺς, ἐκώλυον παρεῖναι, ἐπὶ δὲ τῶν ἐθνικῶν ἐξήταζον περὶ ἐκκλησίας, περὶ ποτηρίου, περὶ τραπέζης, καὶ τῶν ἁγίων, καὶ τὸ δεινότερον, ἐθνικοὺς ἐκάλουν μάρτυρας, περὶ ποτηρίου μυστικοῦ ζητοῦντες, καὶ οὓς ἡρπᾶσθαι παρὰ Ἀθανασίου διωρίζοντο, ἐκ μετακλήσεως τοῦ καθολικοῦ, καὶ μὴ δὲ ὅποι γῆς ἐστι γινώσκειν, τούτους εἰσῆγον ἐφ' ἑαυτῶν καὶ τοῦ ἐπάρχου μόνον, καὶ οὐκ ἠδοῦντο τούτους ἀφανίσθαι παρὰ τοῦ ἐπισκόπου Ἀθανασίου λέγοντες, ὧν ταῖς μαρτυρίαις συγχρῆσθαι δοκοῦσιν. ἀλλὰ κἀνταῦθα μόνον φονεῦσαι βουλόμενοι, πάλιν τοὺς ζῶντας ὡς ἀποθανόντας, τὸν ἐπὶ Ἀρσενίου τρόπον μιμούμενοι πλάττονται. οὕτως γὰρ τοὺς ἀνθρώπους καὶ φαινομένους ἐπὶ τῆς ἰδίας ὑμῖν τοῖς μακρὰν, ὡς ἀφανεῖς ἐκτραγῳδοῦσιν, ἵνα μακρὰν ὄντων τῶν ἐλέγχων, τὸν συλλειτουργὸν ἡμῶν διαβάλλωσιν ὡς βίᾳ καὶ δυναστείᾳ χρώμενον, καίτοι πάντα αὐτοὶ μετὰ δυναστείας καὶ προστασίας πράττοντες. καὶ γὰρ ὅμοια πάλιν τὰ κατὰ Μαρεώτην, τοῖς κατὰ Τύρον ἐγίνετο, ὥσπερ γὰρ ἐκεῖ κόμης ἦν μετὰ στρατιωτικῆς ὑπηρεσίας, οὐδενὶ ἐπιτρέπον παρὰ τὰ ἐκείνοις δοκοῦντα ἢ λέγεσθαι ἢ πράττεσθαι, οὕτως καὶ ἐνταῦθα ὁ τῆς Αἰγύπτου ἔπαρχος μετὰ τῆς τάξεως ἦν, πάντας μὲν τοὺς τῆς ἐκκλησίας ἐκφοβῶν, μηδένα δὲ μετὰ ἀληθείας ἐπιτρέπων μαρτυρεῖν, καὶ τὸ παραδοξότερον ἐν αὐτῷ τῷ τόπῳ καὶ τῇ οἰκίᾳ τοῦ κατηγόρου, καὶ ᾤκουν καὶ ἐξετάζειν ἐδόκουν ἃ ἡ βούλοντο οἱ εἴτε δικασταὶ, εἴτε μάρτυρες, εἴτε τῆς ἑαυτῶν καὶ Εὐσεβίου σπουδῆς, ὅπερ ἀληθέστερον, ὑπηρέται παραγενόμενοι. καὶ τίνα τὰ παρ' αὐτῶν εἰς τὴν Ἀλεξάνδρειαν τολμηθέντα, νομίζομεν ὑμᾶς μὴ ἀγνοεῖν; πανταχοῦ γὰρ διαδιδόναι, ξίφη γυμνὰ κατὰ ἁγίων παρθένων, καὶ τῶν ἀδελφῶν ἐχώρει, καὶ μάστιγες κατὰ τῶν ἐντίμων παρὰ Θεῷ σωμάτων, καὶ τοὺς πόδας ἐχώλευον ὑπὸ τῶν πληγῶν, αἱ τὴν ψυχὴν ἐν ἁγνείᾳ καὶ πᾶσιν ὁλόκληροι τοῖς καλοῖς, ἐργασίαι τε κατ' αὐτῶν ἐπεσείοντο. καὶ ἐθνικοὶ δῆμοι πρὸς τὸ γυμνοῦν, τύπτειν, ἀσελγαίνειν κατ' αὐτῶν, βωμούς τε καὶ θυσίας ἐπαπειλεῖν αὐταῖς. καί τις ἀσελγὴς ἀνὴρ ὡς ἐξουσίας λοιπὸν δοθείσης ὑπὸ τοῦ ἐπάρχου πρὸς χάριν τῶν ἐπισκόπων, χεῖρα παρθένου κατεῖχε, καὶ πρὸς τυχόντα βωμὸν εἷλκεν, ἀνάγκην θυσίας καὶ διωγμοῦ μιμούμενος, καὶ ταῦτα ἐπράττετο, καὶ φυγὴ τῶν παρθένων ἦν, καὶ γέλως τῶν ἐθνικῶν κατὰ τῆς ἐκκλησίας, τῶν ἐπισκόπων ἔνδον ὄντων καὶ ταύτην τὴν οἰκίαν οἰκούντων ἐν ᾗ ταῦτα ἐπράττετο, καὶ ἀφ' ἧς διὰ τὴν εἰς αὐτοὺς χάριν, ξιφῶν οἱ παρθένοι γυμνῶν, καὶ παντὸς κινδύνου, καὶ ὕβρεων, καὶ παροινίας πεπείρανται. καὶ ταῦτα ἔπαρχον ἐν νηστείᾳ παρὰ τῶν τοῖς ἐπισκόποις ἔνδον συνεστιωμένων. ταῦτα προειδότες, ὡς ἐχθρῶν εἴσοδος οὐχ' ἡ τυχοῦσα βλάβη, τὴν παραίτησιν ἐποιησάμεθα. ταῦτα καὶ Ἀλέξανδρος ἐν τῷ λαβεῖν ὁ τῆς Θεσσαλονίκης ἐπίσκοπος, γράφει πρὸς τοὺς ἐκεῖ μείναντας τὴν συσκευὴν ἐλέγχων, καὶ τὴν ἐπιβουλὴν μαρτυρούμενος. ὃν κἂν συναριθμῶσιν ἑαυτοῖς, καὶ τῆς ἐπιβουλῆς μετρῶσιν ἕνα, οὐδὲν ἄλλο, ἢ κατ' ἐκείνου τὴν βίαν δεικνύουσι. καὶ γὰρ καὶ ὁ παμπόνηρος Ἰσχύρας οὐδὲ αὐτὸς ἄνευ φόβου καὶ βίας ἐπ' αὐτὸ ὥρμησεν, ἀλλ' ἀνάγκῃ τὴν κατηγορίαν ὑπέδυ. τούτου τεκμήριον, αὐτὸς ἔγραψεν Ἰσχύρας πρὸς τὸν συνεπίσκοπον Ἀθανάσιον, ὅτι μηδὲν ἐκεῖ πέπρακται τοιοῦτον, ἀλλ' ὑπεβλήθη πλάσασθαι, καὶ ταῦτα ἔγραψεν, οὐ δεχθεὶς παρ' αὐτοῦ ὡς πρεσβύτερος, οὐ τοιαύτην χάριτος προσηγορείαν λαβὼν, οὐκ οἰκοδομὴν ἐκκλησίας εἰς ἀμοιβὴν τυχὼν, οὐ μισθὸν ἐπισκοπῆς προσδοκήσας. ὧν πάντων ἔτυχε παρ' αὐτῶν, διὰ τὴν κατηγορίαν. ἀλλὰ καὶ τὸ γένος αὐτοῦ πᾶν μεθ' ἡμῶν συνήγετο. καὶ οὐκ ἂν συναχθέντες, εἴγε τὸ τυχὸν, ἠδίκηντο. ταῦτα

τα μὲν οὖν ὅτι μὴ λόγος, ἀλλ' ἔργον, μάρτυρες μὲν, οἱ τοῦ Μαρεώτου πρεσβύτεροι πάντες, οἱ ἀεὶ συνόντες ἐν ταῖς περιοδίαις τῷ ἐπισκόπῳ· οἱ καὶ τό τε γράψαντες κατὰ Ἰσχύρα. καὶ μήτε ἐν Τύρῳ, οἱ ἐλθόντες ἐξ αὐτῶν ἐπιτραπέντες εἰπεῖν τὴν ἀλήθειαν, μήτε ἐν τῷ Μαρεώτῃ ἀπομείναντες, συγχωρηθέντες ἐλέγξαι τὸν Ἰσχύραν συκοφάντην. καὶ αὐτὰ δὲ τὰ ἀντίγραφα τῶν Ἀλεξάνδρου γραμμάτων, καὶ τῶν πρεσβυτέρων, καὶ τοῦ Ἰσχύρα, ἀπεστείλαμεν δὲ καὶ τὴν τοῦ πατρὸς τῶν βασιλέων ἐπιστολήν. ἔνθα οὐ μόνον ἐπ' Ἀρσενίῳ δυσχεραίνει, ὅτι ζῶντος ἀνθρώπου φόνος ἐνεκαλεῖτο, ἀλλὰ καὶ ἐπὶ τῷ ποτηρίῳ ἐθαύμαζε, τὸ ποικίλον τῆς κατηγορίας καὶ πεπλανημένον, ὅτι πῇ μὲν Μακαρίου τοῦ πρεσβυτέρου, πῇ δὲ Ἀθανασίου τοῦ ἐπισκόπου κατηγόρουν, ὡς κλάσαντος ταῖς χερσὶ τὸ ποτήριον, καὶ πάλιν συκοφάντας τοὺς Μελιτιανοὺς, καὶ πάλιν Ἀθανάσιον καθαρώτατον ἀποφαίνεται. πῶς γὰρ οὐ συκοφάνται Μελιτιανοὶ, καὶ πρό γε πάντων Ἰωάννης; ὁ εἰσελθὼν εἰς τὴν ἐκκλησίαν κοινωνήσας ἡμῖν, καταγνοὺς ἑαυτοῦ, μηδὲν ἔτι περὶ τοῦ ποτηρίου κινήσας, ἐπειδὴ τοὺς περὶ Εὐσέβιον εἶδε σπουδάζοντας τοῖς Ἀρειομανίταις· οὐκ ἀποτολμῶντας δὲ φανερῶς αὐτοῖς συνεργεῖν. ἀλλὰ ζητοῦντας ἄλλοις χρῆσθαι προσώποις, ἑαυτὸν ὑποβέβληκεν ὥσπερ τῶν ἔξω θεάτρων ὑποκριτὴν, καὶ ἡ μὲν ὑπόθεσις ἦν Ἀρειανῶν ἀγών. καὶ τὸ πρωτότυπον, ἐκείνους κατορθοῦν, ὑποβολὴ δὲ καὶ παράρτημα τούτων, Ἰωάννης καὶ οἱ σὺν αὐτῷ, ἵνα οἱ τῶν Ἀρειανῶν σπουδασταὶ, διὰ τῆς τούτων προφάσεως, δικαστῶν σχήματι, τοὺς ἐχθροὺς τῆς ἀσεβείας ἀπώσωνται, καὶ τὴν ἀσέβειαν ἐγκαταπήξωσι, καὶ τοὺς Ἀρειανοὺς εἰσαγάγωσι τῇ ἐκκλησίᾳ. καὶ οἱ τὴν Εὐσέβειαν ἐξωθῆναι θέλοντες, δι' ἀσέβειαν κινῆσαι βιάζονται. καὶ οἱ τὴν ἀσέβειαν τὴν κατὰ Χριστοῦ προελόμενοι, τοὺς τῆς ἀσεβείας ἐχθροὺς, ὡς ἀσεβεῖς ἀνελεῖν ἐπεχείρησαν. καὶ ποτήριον ὑμῖν προφέρουσι κεκλασμένον, ἵνα δόξῃ καὶ Ἀθανάσιος κατὰ Χριστοῦ συνασεβεῖν αὐτοῖς. ποῖα γὰρ καὶ μνήμη παρ' αὐτοῖς ὀφείλεται ποτηρίου μυστικοῦ; πόθεν ἀσεβείας τῆς εἰς Χριστὸν προστάταις, περὶ ποτηρίου νοῦς εὐσεβής; πόθεν τοῖς τὸν Χριστὸν μὴ γνωρίζουσι ποτήριον Χριστοῦ γνώριμον; πῶς οἱ ποτήριον τιμᾷν προσποιούμενοι, τὸν τοῦ ποτηρίου Θεὸν ἀτιμάζουσιν; ἢ πῶς οἱ ποτήριον ὀδυρόμενοι, τὸν ἐπίσκοπον τὸν ἐν αὐτῷ μυσταγωγοῦντα, φονεῦσαι ζητοῦσι; καὶ ἐφόνευσαν ἂν τὸ ὅσον ἐν ἑαυτοῖς. πῶς δὲ οἱ τὸν θρόνον τὸν ἐστολισμένον ἐπισκοπικῶς ὀδυρόμενοι, τὸν ἐν αὐτῷ καθήμενον ἐπίσκοπον ἀνελεῖν ζητοῦσιν; ἵνα καὶ ὁ θρόνος τὸν ἐπίσκοπον ζητῇ καὶ οἱ λαοὶ τῆς εὐσεβοῦς διδασκαλίας στερηθῶσιν. οὔτε οὖν ποτήριον, οὔτε φόνος, οὔτε τι τῶν ὑπ' αὐτῶν τερατολογηθέντων εἰς τοῦτο αὐτοὺς προήγαγεν, ἀλλ' ἡ προειρημένη τῶν Ἀρειανῶν ἀσέβεια. δι' ἣν καὶ Ἀθανασίῳ καὶ ἄλλοις ἐπισκόποις ἐπιβουλεύσαντες, ἔτι καὶ νῦν τῇ ἐκκλησίᾳ πολεμοῦσιν. ἆρα γὰρ τίνες οἱ φόνους καὶ ἐξοριστίας ποιήσαντες. οὐχ' οὗτοι; ἆρα τίνες ταῖς ἔξωθεν προστασίαις χρώμενοι. τοῖς ἐπισκόποις ἐπιβουλεύουσιν· οὐχ' οἱ περὶ Εὐσέβιον μᾶλλον, καὶ οὐκ Ἀθανάσιος ὡς αὐτοὶ γράφουσι; παρ' αὐτῶν γὰρ αὐτὸς καὶ ἄλλοι πεπόνθασι. καὶ γὰρ καὶ πρεσβύτεροι τοῖς Ἀλεξανδρείας τέσσαρες κατ' ἐκεῖνον τὸν καιρὸν, καίτοι μηδὲ εἰς Τύρον ἐξελθόντες ὑπερόριοι παρ' αὐτῶν γεγόνασιν. ἆρα τίνες οἱ θρήνων καὶ δακρύων ἄξιοι, οὐχ' οἱ καὶ τὰ πρῶτα ποιήσαντες, καὶ δεύτερα συνάπτειν μὴ παραιτούμενοι, καὶ πάντα συκοφαντοῦντες, ἵνα ἐπίσκοπον ἀπολέσωσι μὴ ὑπείκοντα τῇ τῆς ἀσεβείας αὐτῶν αἱρέσει; διὰ τοῦτο ἡ ἔχθρα τῶν περὶ Εὐσέβιον. διατοῦτο τὰ ἐν Τύρῳ κινηθέντα. διατοῦτο αἱ προσποίητοι κρίσεις. διατοῦτο νῦν καὶ χωρὶς κρίσεως παρ' αὐτῶν ὡς πεπληροφορημένων, γράμματα, διατοῦτο οἱ πρὸς τὸν πατέρα τῶν βασιλέων καὶ πρὸς αὐτοὺς τοὺς εὐσεβεστάτους βασιλεῖς, διαβολαί. οἷα γὰρ καὶ νῦν κατείρηται ὁ συλλειτουργὸς ἡμῶν Ἀθανάσιος, ἀναγκαῖον ὑμᾶς εἰδέναι, ἵνα καὶ ἐκ τούτου καταγνῶτε τῆς πονηρίας αὐτῶν, καὶ γινώσκητε, ὅτι μηδὲν ἄλλο, ἢ φονεῦσαι ζητοῦσι τὸν ἄνδρα. Σῖτος δὲ παρὰ τοῦ πατρὸς τῶν βασιλέων ἐδίδοτο πρὸς τὰς τῶν χηρῶν διατροφὰς. Ἰδίᾳ μὲν Λίβυας, ἰδίᾳ δὲ τισὶν ἐξ Αἰγύπτου. τοῦτον πάντες λαμβάνουσιν ἄχρι νῦν, Ἀθανασίου μηδὲν ἐξ αὐτοῦ κομιζομένου, πλὴν μόνου τοῦ συγκάμνειν αὐτοῖς, ἀλλὰ νῦν ἐκείνων λαμβανόντων μὴ πεμψαμένων, ὁμολογούντων λαμβάνειν, διαβέβληται Ἀθανάσιος ὡς ὅλον τὸν σῖτον πιπράσκων; καὶ εἰς τὸ ἴδιον ἀποφερόμενος, καὶ τοῦτο ἔγραψε βασιλεὺς, αἰτιώμενος ἐκ τῶν γεγενημένων διαβολῶν. τίνες τοίνυν οἱ διαβεβληκότες; οὐχ οἱ καὶ τὰ πρῶτα ποιήσαντες, καὶ τὰ δεύτερα κρίνειν μὴ παραιτούμενοι; τίνες οἱ τῶν γραμμάτων τούτων αἴτιοι παρὰ τοῦ βασιλέως λεγομένων, οὐχ οἱ Ἀρειανοὶ σπουδάζοντες, καὶ μηδὲν κατὰ τοῦ ἀνδρὸς παραιτησάμενοι μήτε λέγειν, μήτε γράφειν; οὐδεὶς γὰρ τοὺς τοσαῦτα ποιήσαντας ἀφεὶς, ἄλλους ὑποπτεύσειε. καὶ γὰρ ἐναργέστατον αὐτῶν τὸ δεῖγμα τῆς διαβολῆς φαίνεται. σπουδάζουσι γὰρ τῆς ἐκκλησίας ἀφελέσθαι τὸν σῖτον, τῇ προφάσει τῆς διαβολῆς, καὶ Ἀρειανοῖς παρασχεῖν. ὃ πάντων μάλιστα, εἰς τοὺς αἰτίους τῆς σπουδῆς, καὶ τοὺς ἐξάρχους αὐτῶν ἀνατρέχει, τοὺς μήτε φόνους κατὰ τοῦ ἀνδρὸς κινῆσαι παραιτησαμένους, δι' ὧν ψευδῆ διαβεβλήκασι βασιλεῖ, μήτε τῶν κλήρων τῆς ἐκκλησίας ἀφελέσθαι τὰς τροφὰς, ἵνα τῷ ὄντι κέρδος αἱρετικοῖς παράσχονται. ἀπεστείλαμεν δὲ καὶ τὴν μαρτυρίαν τῶν κατὰ Λιβύην καὶ Πεντάπολιν καὶ τῶν ἐξ Αἰγίπτου συλλειτουργῶν ἡμῶν, ἵνα καὶ ἐκ τούτου γνῶτε, τὴν κατὰ Ἀθανασίου γεγενημένην συκοφαντίαν. ταῦτα δὲ ποιοῦσιν, ἵνα φόβῳ λοιπὸν ἡσυχαζόντων τῶν τὰ τῆς εὐσεβείας φρονούντων, ἡ τῶν ἀσεβῶν Ἀρειανῶν αἵρεσις ἀντεισαχθῇ. ἀλλὰ καὶ τῇ μὲν ὑμῶν εὐλαβείᾳ χάρις ἀγαπητοὶ, ὅτι πολλάκις τοὺς Ἀρειανοὺς ἀναθεματίζοντες ἐγράψατε. καὶ χώραν αὐτοῖς εἰς τὴν ἐκκλησίαν οὐ δεδώκατε. τῶν δὲ περὶ Εὐσέβιον ὁ ἔλεγχος, ἐγγύς. ἰδοὺ γὰρ μετὰ τὰ πρότερα παρ' αὐτῶν περὶ τῶν Ἀρειανῶν γράμματα, ὧν καὶ ἀπεστείλαμεν τὰ ἀντίγραφα, φανερῶς λοιπὸν, τοὺς παρὰ πάσης τῆς καθολικῆς ἐκκλησίας ἀναθεματισθέντας Ἀρειομανίτας, ἐπεγείρουσι κατὰ τῆς ἐκκλησίας καὶ ἐπίσκοπον αὐτοῖς κατέστησαν, καὶ ταῖς ἀπειλαῖς καὶ τοῖς φόβοις διαιροῦσι τὰς ἐκκλησίας, ἵνα πανταχοῦ συνεργοὺς ἔχωσι τῆς ἀσεβείας αὐτῶν. καὶ γὰρ καὶ διακόνους πρὸς τοὺς Ἀρειομανίτας ἀποστέλλουσιν, οἳ φανερῶς συνάγονται παρ' αὐτοῖς, καὶ γράφουσιν αὐτοῖς καὶ ἀντίγραφα παρ' αὐτῶν κομίζονται, τὴν ἐκκλησίαν κατασχίζοντες, καὶ κοινωνοῦντες αὐτοῖς,

καὶ γραμ-

καὶ γράμματα ἀποστέλλοντες πανταχοῦ, τὴν αἵρεσιν αὐτῶν συνιστῶντα, καὶ τὴν ἐκκλησίαν ἀποκηρύττοντα, ὡς δυνήσεσθε μαθεῖν, ἀφ' ὧν αὐτοὶ τῷ Ρ'ωμαίων ἐπισκόπῳ, καὶ τάχα καὶ πρὸς ἡμᾶς ἔγραψαν. ὡς οὖν ἀνεκδίκητα ταῦτά ἐστι, συνορᾶτε καὶ ὑμεῖς ἀγαπητοί. δεινὰ γὰρ καὶ ἀλλότρια τῆς κατὰ Χριστὸν διδασκαλίας ἐστί. τούτου γοῦν ἕνεκεν κοινῇ συνελθόντες ἐγράψαμεν ὑμῖν ἀξιοῦντες ὑμῶν τὴν ἐν Χριστῷ σύνεσιν ἀποδέξασθαι μὲν τὴν ὁμολογίαν ταύτην καὶ συναλγῆσαι τῷ συνεπισκόπῳ ἡμῶν Α'θανασίῳ, ἀγανακτῆσαι δὲ κατὰ τῶν περὶ Εὐσέβιον, τῶν τὰ τοιαῦτα ἐπιχειρούντων, πρὸς τὸ μηκέτι τοιαύτην κακίαν καὶ πονηρίαν κατὰ τῆς ἐκκλησίας ἰσχύειν. ὑμᾶς γὰρ ἐκδίκους κατὰ τῆς τοιαύτης ἀδικίας ἐπικαλούμεθα, ὑπομιμνήσκοντες τὸ ἀποστολικὸν, ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν. πονηρὰ γὰρ ἀληθῶς καὶ οὐκ ἄξια κοινωνίας τὰ παρ' αὐτῶν πραχθέντα. οὐκ οὖν μηκέτι προσέχετε κἂν πάλιν ὑμῖν γράφωσι κατὰ τοῦ ἐπισκόπου Α'θανασίου. πάντα γὰρ ψευδῆ τὰ παρ' αὐτῶν. μηδ' ἂν ὀνόματα δὲ ἐπισκόπων Αἰγυπτίων ἐγχαράττωσιν ἐπιστολαῖς. δῆλον γὰρ ὅτι οὐχ ἡμεῖς ἐσμὲν οἱ γράφοντες, ἀλλὰ Μελιτιανοὶ, ὡς ἀεὶ σχισματικοὶ, οἳ καὶ μέχρι νῦν τὰς ἐκκλησίας ταράττοντες, καὶ στάσεις κινοῦντες, καταστάσεις γὰρ ἀλόγους καὶ σχεδὸν ἐθνικῶν ποιοῦνται καὶ τοιαῦτα πράττουσιν ἃ δυσωπούμεθα μὲν γράφειν, δύνασθε δὲ μαθεῖν παρὰ τῶν ἀποσταλέντων παρ' ἡμῶν, τῶν καὶ τὴν ἐπιστολὴν ὑμῖν ἐπιδιδόντων.



S. Maria Maggore, Ρώμης, Φιλοξενία τοῦ 'Αβραάμ, 5ου αἰ.



Μ. Δαφνίου, Ἅγ. Γρηγόριος Θαυματουργός, 11ου αἰ.



Μ. Ζάβορδας, Γρεβενῶν, Ἀδιάγνωστος Ἅγιος.



Σκήτη Ἁγ. Ἄννης, Ἅγ. Παῦλος ὁ Ὁμολογητής, 18ουαί.

ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΝ ΑΝΤΙΟΧΕΙΑ

ΣΥΝΕΛΘΟΝΤΩΝ ΑΓΙΩΝ

κὴ μακαρίων πατέρων.

Ἡ ἁγία κὴ οἰκουμενικωτάτη σύνοδος, ἡ ὑπὸ τῆ Θεῆ συγκροτηθεῖσα ἐν Ἀντιοχείᾳ, ἐξ ἐπαρχίας Συρίας κοίλης, Φοινίκης, Παλαιστίνης, Ἀραβίας, Μεσοποταμίας, Κιλικίας, Ἰσαυρίας, τοῖς κατ' ἐπαρχίαν ὁμοψύχοις κὴ ἁγίοις συλλειτουργοῖς, ἐν κυρίῳ χαίρειν.

ΗΧΑΡΙΣ κὴ ἀλήθεια Ἰησοῦ Χριστοῦ τοῦ κυρίου κὴ σωτῆρος ἡμῶν, ἐπισκεψαμένη τῇ Ἀντιοχέων ἁγίαν ἐκκλησίαν, κὴ κατὰ τὸ αὐτὸ σωάπτουσα μίαν ὁμονοίας, κὴ συμφωνίας, κὴ πνεύματος οἰκουμενικοῦ· πολλὰ μὲν κὴ ἄλλα κατώρθωσεν, ἐν πᾶσι δὲ κὴ τοῦτο κατορθοῖ ἐξ ὑποβολῆς τοῦ ἁγίου κὴ οἰκουμενικοῦ πνεύματος. Ἀ γὰρ καλῶς ἔχειν ἔδοξεν, μίαν πλείονος σκέψεως, κὴ ἐπιχειρίσεως ὁμοῦ πάντων ἡμῶν τῶν ἐπισκόπων κατὰ τὸ αὐτὸ συγκροτηθέντων ἐπὶ τῆς Ἀντιοχείας ἐκ διαφόρων ἐπαρχιῶν, ἐπὶ τῷ ὑμετέραν γνῶσιν ἀνενέγκαμεν, πιστεύσαντες τῇ τοῦ Χριστοῦ χάριτι, κὴ τῷ τῆς εἰρήνης ἁγίῳ πνεύματι, ὅτι κὴ αὐτοὶ συμπνεύσητε, ὡς ἂν δυνάμει συνόντες ἡμῖν, κὴ ταῖς δόξαις συνεργοῦντες, μᾶλλον δὲ ἰδιωμένοι ἡμῖν, κὴ τῷ ἁγίῳ πνεύματι συμπαρόντες· τὰ αὐτά τε ἡμῖν συμφωνήσαντες κὴ ὁρισάμενοι, κὴ τὰ ὀρθῶς δόξαντα ἐπισφραγιζόμενοι, κὶ βεβαιοῦντες τῇ τοῦ ἁγίου πνεύματος συμφωνίᾳ. Εἰσὶ δὲ οἱ ὁρισθέντες ἐκκλησιαστικοὶ κανόνες οἱ ὑποτεταγμένοι.

ΚΑΝΟΝΕΣ ΣΥΝΟΔΟΥ

ΤΩΝ ΕΝ ΑΝΤΙΟΧΕΙΑ.

ά.

ΠΑΝΤΑΣ τοὺς τολμῶντας παραλύειν τὸν ὅρον τῆς ἁγίας κὴ μεγάλης συνόδου τῆς ἐν Νικαίᾳ συγκροτηθείσης ἐπὶ παρουσίᾳ τῆς θεοσεβείας τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου, περὶ τῆς ἁγίας ἑορτῆς τοῦ σωτηριώδους πάσχα, ἀκοινωνήτους κὴ ἀποβλήτους εἶναι τῆς ἐκκλησίας, εἰ ἐπιμένοιεν φιλονεικότερον ἐνιστάμενοι πρὸς τὰ καλῶς δεδογμένα. κὴ ταῦτα εἰρήσθω περὶ τῶν λαϊκῶν. εἰ δέ τις τῶν προεστώτων τῆς ἐκκλησίας ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, μετὰ τὸν ὅρον τοῦτον τολμήσειεν ἐπὶ διαστροφῇ τῶν λαῶν, κὴ ταραχῇ τῶν ἐκκλησιῶν, ἰδιάζειν κὴ μετὰ τῶν Ἰουδαίων ἐπιτελεῖν τὸ πάσχα· τοῦτον ἡ ἁγία σύνοδος ἤδη ἀλλότριον ἔκρινεν τῆς ἐκκλησίας· ὡς οὐ μόνον ἑαυτῷ ἁμαρτίας, ἀλλὰ πολλοῖς διαφθορᾶς κὴ διαστροφῆς γινόμενον αἴτιον. κὴ οὐ μόνον τοὺς τοιούτους καθαιρεῖ τῆς λειτουργίας, ἀλλὰ κὴ τοὺς τολμῶντας τούτοις κοινωνεῖν μετὰ τὴν καθαίρεσιν· τοὺς δὲ καθαιρεθέντας ἀποστερεῖσθαι κὴ τῆς ἔξωθεν τιμῆς, ἧς ὁ ἅγιος κανὼν κὴ τὸ τοῦ θεοῦ ἱερατεῖον μετείληφεν.

β.

Πάντας τοὺς εἰσιόντας εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ, κὴ τῶν ἱερῶν γραφῶν ἀκούοντας, μὴ κοινωνοῦντας δὲ δόξης ἅμα τῷ λαῷ, ἢ ἀποστρεφομένους τὴν μετάληψιν τῆς εὐχαριστίας κατάτινα ἀταξίαν. τούτους ἀποβλήτους γίνεσθαι τῆς ἐκκλησίας, ἕως ἂν ἐξομολογησάμενοι κὴ δείξαντες καρποὺς μετανοίας, κὴ παρακαλέσαντες, τυχεῖν δυνηθῶσι συγγνώμης: μὴ ἐξεῖναι δὲ κοινωνεῖν τοῖς ἀκοινωνήτοις, μηδὲ κατ' οἴκους συνελθόντας συνδόξεσθαι τοῖς μὴ τῇ ἐκκλησίᾳ συνδοξομένοις, μηδὲ ἐν ἑτέρᾳ ἐκκλησίᾳ ὑποδέχεσθαι τοὺς ἐν ἑτέρᾳ ἐκκλησίᾳ μὴ συναγομένους. εἰ δὲ φανείη τις τῶν ἐπισκόπων, πρεσβυτέρων, ἢ διακόνων, ἢ τις τῷ κανόνι, τοῖς ἀκοινωνήτοις κοινωνῶν, κὴ τοῦτον ἀκοινώνητον εἶναι, ὡς ἂν συγχέοντα τὸν κανόνα τῆς ἐκκλησίας.

γ.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τῶν τοῦ ἱερατείου τις καταλιπὼν τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἀπέλθοι· ἔπειτα παντελῶς μεταστὰς, διαζῆσαι ἐν ἄλλῃ παροικίᾳ πειρᾶται ἐπὶ πολλῷ χρόνῳ, μηκέτι λειτουργεῖν, εἰ μάλιστα καλοῦντι τῷ ἐπισκόπῳ τῷ ἰδίῳ, κὴ ἐπανελθεῖν εἰς παροικίαν τῷ ἑαυτοῦ παραινοῦντι μὴ ὑπα-

ὑπακούοι. εἰ δὲ καὶ ἐπιμένοι τῇ ἀταξίᾳ, παντελῶς αὐτὸν καθαιρεῖσθαι τῆς λειτουργίας, ὡς μηκέτι χώραν ἔχειν ἀποκαταστάσεως. εἰ δὲ καθαιρεθέντα διὰ ταύτην τὴν αἰτίαν δέχοιτο ἕτερος ἐπίσκοπος, κἀκεῖνον ἐπιτιμίας τυγχάνειν ὑπὸ κοινῆς συνόδου, ὡς παραλύοντα τοὺς θεσμοὺς τοὺς ἐκκλησιαστικούς.

δ'.

Εἴ τις ἐπίσκοπος ὑπὸ συνόδου καθαιρεθείς, ἢ πρεσβύτερος, ἢ διάκονος ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, τολμήσειέν τι πρᾶξαι τῆς λειτουργίας, εἴτε ὁ ἐπίσκοπος κατὰ τὴν προάγουσαν συνήθειαν, εἴτε ὁ διάκονος· μηκέτι ἐξὸν εἶναι αὐτῷ, μηδ' ἐν ἑτέρᾳ συνόδῳ ἐλπίδα ἀποκαταστάσεως, μήτε ἀπολογίας χώραν ἔχειν. ἀλλὰ δὲ τοὺς κοινωνοῦντας αὐτῷ πάντας ἀποβάλλεσθαι τῆς ἐκκλησίας, καὶ μάλιστα εἰ μαθόντες τὴν ἀπόφασιν τὴν κατὰ τῶν προειρημένων ἐξενεχθεῖσαν τολμήσειαν αὐτοῖς κοινωνεῖν.

ε'.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, καταφρονήσας τοῦ ἐπισκόπου τοῦ ἰδίου, ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας, καὶ ἰδίᾳ συνήγαγεν, καὶ θυσιαστήριον ἔστησεν, καὶ τοῦ ἐπισκόπου προσκαλεσαμένου ἀπειθοίη, καὶ μὴ βούλοιτο αὐτῷ πείθεσθαι μηδὲ ὑπακούειν καὶ πρῶτον καὶ δεύτερον καλοῦντι· τοῦτον καθαιρεῖσθαι παντελῶς, καὶ μηκέτι θεραπείας τυγχάνειν, μηδὲ δύνασθαι λαμβάνειν τὴν ἑαυτοῦ τιμήν. εἰ δὲ παραμένοι θορυβῶν καὶ ἀναστατῶν τὴν ἐκκλησίαν, διὰ τῆς ἔξωθεν ἐξουσίας ὡς στασιώδη αὐτὸν ἐπιστρέφεσθαι.

ϛ'.

Εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἀκοινώνητος γέγονεν, μὴ πρότερον αὐτὸν παρ' ἑτέρων δεχθῆναι, (εἰ μὴ ὑπ' αὐτοῦ παραδεχθείη τοῦ ἰδίου ἐπισκόπου) ἢ συνόδου γενομένης ἀπαντήσας ἀπολογήσεται, πείσας τε τὴν σύνοδον, καταδέξοιτο ἑτέραν ἀπόφασιν. ὁ αὐτὸς δὲ ὅρος ἐπὶ λαϊκῶν, καὶ πρεσβυτέρων, καὶ διακόνων καὶ πάντων τῶν ἐν τῷ κανόνι.

ζ'.

Μηδένα ἄνευ εἰρηνικῶν δέχεσθαι τῶν ξένων.

η'.

Μηδὲ πρεσβυτέρους τοὺς ἐν ταῖς χώραις κανονικὰς ἐπιστολὰς διδόναι, ἢ πρὸς μόνους τοὺς γείτονας ἐπισκόπους ἐπιστολὰς ἐκπέμπειν. τοὺς δὲ ἀνεπιλήπτους χωρεπισκόπους διδόναι εἰρηνικάς.

θ'.

Τοὺς καθ' ἑστάστην ἐπαρχίαν ἐπισκόπους εἰδέναι χρὴ τὸν ἐν τῇ μητροπόλει προεστῶτα ἐπίσκοπον, καὶ τὴν φροντίδα ἀναδέχεσθαι πάσης τῆς ἐπαρχίας, διὰ τὸ ἐν τῇ μητροπόλει πανταχόθεν συντρέχειν πάντας τοὺς πράγματα ἔχοντας. ὅθεν ἔδοξε καὶ τῇ τιμῇ προηγεῖσθαι αὐτὸν, μηδέν τε πράττειν περιττὸν τοὺς λοιποὺς ἐπισκόπους ἄνευ αὐτοῦ, κατὰ τὸν ἀρχαῖον κρατήσαντα τῶν πατέρων ἡμῶν κανόνα, ἢ ταῦτα μόνα, ὅσα τῇ ἑκάστου ἐπιβάλλει παροικίᾳ, καὶ ταῖς ὑπ' αὐτὴν χώραις. ἕκαστον γὰρ ἐπίσκοπον ἐξουσίαν ἔχειν τῆς ἑαυτοῦ παροικίας, διοικεῖν τε κατὰ τὴν ἑκάστῳ ἐπιβάλλουσαν εὐλάβειαν, καὶ πρόνοιαν ποιεῖσθαι πάσης τῆς χώρας τῆς ὑπὸ τὴν ἑαυτοῦ πόλιν, ὡς καὶ χειροτονεῖν πρεσβυτέρους καὶ διακόνους, καὶ μετὰ κρίσεως ἕκαστα διαλαμβάνειν· περαιτέρω δὲ μηδὲν πράττειν ἐπιχειρεῖν δίχα τοῦ τῆς μητροπόλεως ἐπισκόπου, μηδὲ αὐτὸν ἄνευ τῆς τῶν λοιπῶν γνώμης.

ι'.

Τοὺς ἐν ταῖς κώμαις, ἢ ταῖς χώραις, ἢ τοὺς καλουμένους χωρεπισκόπους, εἰ καὶ χειροθεσίαν εἶεν ἐπισκόπων εἰληφότες, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ εἰδέναι τὰ ἑαυτῶν μέτρα, καὶ διοικεῖν τὰς ὑποκειμένας αὐτοῖς ἐκκλησίας, καὶ τῇ τούτων ἀρκεῖσθαι φροντίδι καὶ κηδεμονίᾳ, καθιστᾶν δὲ ἀναγνώστας καὶ ὑποδιακόνους, καὶ ἐφορκιστὰς, καὶ τῇ τούτων ἀρκεῖσθαι προαγωγῇ. μήτε πρεσβύτερον, μήτε διάκονον χειροτονεῖν τολμᾶν, δίχα τοῦ ἐν τῇ πόλει ἐπισκόπου, ᾗ ὑπόκεινται αὐτός τε καὶ ἡ χώρα. εἰ δὲ τολμήσειέ τις παραβῆναι τὰ ὁρισθέντα, καθαιρεῖσθαι αὐτὸν καὶ ἧς μετέχει τιμῆς. Χωρεπίσκοπον δὲ γίνεσθαι ὑπὸ τοῦ τῆς πόλεως, ᾗ ὑπόκειται, ἐπισκόπου.

ια'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ ὅλως τοῦ κανόνος, ἄνευ γνώμης καὶ γραμμάτων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων, καὶ μάλιστα τοῦ κατὰ τὴν μητρόπολιν, ὁρμήσειεν πρὸς βασιλέα ἀπελθεῖν, τοῦτον ἀποκηρύττεσθαι καὶ ἀπόβλητον γίνεσθαι, οὐ μόνον τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς ἀξίας, ἧς μετέχων τυγχάνει· ὡς παρενοχλεῖν τολμῶντα τὰς τοῦ θεοφιλεστάτου βασιλέως ἡμῶν ἀκοὰς, παρὰ τὸν θεσμὸν τῆς ἐκκλησίας. εἰ δὲ ἀναγκαία καλοίη χρεία πρὸς βασιλέα ὁρμᾶν, τοῦτο πράττειν μετὰ σκέψεως καὶ γνώμης τοῦ κατὰ τὴν μητρόπολιν τῆς ἐπαρχίας ἐπισκόπου, ἢ τῶν ἐν αὐτῇ, τοῖς τε τούτων γράμμασιν ἐφοδιάζεσθαι.

ιβ'.

Εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου καθαιρεθεὶς πρεσβύτερος, ἢ διάκονος, ἢ καὶ ἐπίσκοπος ὑπὸ συνόδου, ἐνοχλῆσαι τολμήσειε τὰς βασιλέως ἀκοὰς, δέον ἐπὶ μείζονα ἐπισκόπων σύνοδον τρέπεσθαι, καὶ ἃ νομίζει δίκαια ἔχειν, προσαναφέρειν πλείοσιν ἐπισκόποις, καὶ τὴν αὐτῶν ἐξέτασίν τε καὶ ἐπίκρισιν ἐκδέχεσθαι. εἰ δὲ τούτων ὀλιγωρήσας, ἐνοχλήσειεν τῷ βασιλεῖ. καὶ τοῦτον μηδεμιᾶς συγγνώμης ἀξιοῦσθαι, μηδὲ χώραν ἀπολογίας ἔχειν, μηδὲ ἐλπίδα ἀποκαταστάσεως προσδοκᾶν.

ιγ'.

Μηδένα ἐπίσκοπον τολμᾶν ἀφ' ἑτέρας ἐπαρχίας εἰς ἑτέραν μεταβαίνειν, καὶ χειροτονεῖν τινας εἰς προαγωγὴν λειτουργίας, μηδὲ εἰ συνεπάγοιτο ἑαυτῷ ἑτέρους. εἰ μὴ παρακληθεὶς ἀφίκοιτο διὰ γραμμάτων τοῦτε μητροπολίτου, καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων, ὧν εἰς τὴν χώραν

ραν παρίρχοιτο. εἰ δὲ μηδενὸς καλοῦντος ἀπέλθοι ἄπακτος ἐπὶ χειροθεσίᾳ τινῶν, καὶ κατασάσοι τῶν ἐκκλησιαστικῶν πραγμάτων μὴ προσηκόντων αὐτῷ, ἄκυρα μὲν τὰ ὑπ' αὐτοῦ πεπραγμένα τυγχάνειν, καὶ αὐτὸν δὲ ὑπέχειν τῆς ἀταξίας αὐτοῦ, καὶ τῆς παραλόγου ἐπιχειρήσεως τῷ προσήκουσαν δίκην, καθηρημένον ἐντεῦθεν ἤδη ὑπὸ τῆς ἁγίας συνόδου.

ιδ'.

Εἴ τις ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασι κείνοιτο, ἔπειτα συμβαίη περὶ αὐτῶν διαφωνεῖν τοὺς ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπους, τῶν μὲν ἀθῷον τὸν κεινόμενον ἀποφαινόντων, τῶν δὲ ἔνοχον· ὑπὲρ ἀπαλλαγῆς πάσης ἀμφισβητήσεως, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ τὸν τῆς μητροπόλεως ἐπίσκοπον ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας μεταλεῖσθαι ἑτέρους τινὰς τοὺς ἐπικρινοῦντας, καὶ τὴν ἀμφισβήτησιν διαλύσοντας, τοῦ βεβαιῶσαι σὺν τοῖς τῆς ἐπαρχίας τὸ πρεσβεῖον.

ιε'

Εἴ τις ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασιν κατηγορηθείς, χειροθείη ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων, πάντες τε σύμφωνοι μίαν κατ' αὐτοῦ ἐξενέγκοιεν ψῆφον· τοῦτον μηκέτι παρ' ἑτέροις δικάζεσθαι, ἀλλὰ μένειν βεβαίαν τὴν σύμφωνον τῶν ἐπὶ τῆς ἐπαρχίας ἐπισκόπων ἀπόφασιν.

ις'

Εἴ τις ἐπίσκοπος χολάζων ἐπὶ χολάζουσαν ἐκκλησίαν ἑαυτὸν ἐπιῤῥίψας, ὑφαρπάζοι τὸν θρόνον δίχα συνόδου πλείας, τοῦτον ἀπόβλητον εἶναι, καὶ εἰ πᾶς ὁ λαὸς, ὃν ὑφάρπασεν, ἔλοιτο αὐτόν. πλείαν δὲ ἐκείνῳ εἶναι σύνοδον, ἣ συμπάρεσι καὶ ὁ τῆς μητροπόλεως.

ιζ'.

Εἴ τις ἐπίσκοπος χειροθεσίαν ἐπισκόπου λαβών, καὶ ὁρισθεὶς προεσάναι λαοῦ, μὴ καταδέξοιτο τὴν λειτουργίαν, μηδὲ πείθοιτο ἀπιέναι εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ ἐκκλησίαν, τοῦτον εἶναι ἀκοινώνητον, ἕως ἂν ἀναγκασθεὶς καταδέξοιτο, ἢ δόξοι τι περὶ αὐτοῦ ἡ πλείων σύνοδος τῶν κατὰ τὴν ἐπαρχίαν ἐπισκόπων.

ιή.

Εἴ τις ἐπίσκοπος χειροτονηθεὶς εἰς παροικίαν, μὴ ἀπέλθῃ εἰς ἣν ἐχειροτονήθη, ἢ παρὰ τὴν ἑαυτοῦ αἰτίαν, ἀλλ' ἤτοι διὰ τὴν τοῦ λαοῦ παραίτησιν, ἢ δί ἑτέραν αἰτίαν οὐκ ἐξ αὐτοῦ ἡγουμένου, τοῦτον μετέχειν τῆς τιμῆς καὶ τῆς λειτουργίας, μόνον μηδὲν παρενοχλοῦντα τοῖς πράγμασι τῆς ἐκκλησίας, ἔνθα ἂν συνάγοιτο. ἐκδέχεσθαι δὲ τοῦτον, ὃ ἂν ἡ τῆς ἐπαρχίας πλείων σύνοδος κρίνασα τὸ πρεσβεῖον δόῃ.

ιθ'.

Ἐπίσκοπον μὴ χειροτονεῖσθαι δίχα συνόδου, καὶ παρουσίας τοῦ ἐν τῇ μητροπόλει τῆς ἐπαρχίας. τούτου δὲ παρόντος ἐξάπαντος βέλτιον μὲν συνεῖναι αὐτῷ πάντας τοὺς ἐν τῇ ἐπαρχίᾳ συλλειτουργούς, καὶ προσήκει δι' ἐπιστολῆς τὸν ἐν τῇ μητροπόλει συγκαλεῖν, καὶ εἰ μὴ ἀπαντοῖεν οἱ πάντες, βέλτιον. εἰ δὲ δυσχερὲς εἴη τοῦτο, τούς γε πλείους ἐξάπαντος παρεῖναι δεῖ, ἢ διὰ γραμμάτων ὁμοψήφους γενέσθαι· καὶ ἔτως μετὰ τῆς τῶν πλειόνων ἤτοι παρουσίας, ἢ ψήφου γίνεσθαι τὴν κατάστασιν. εἰ δὲ ἄλλως παρὰ τὰ ὡρισμένα γίγνοιτο, μηδὲν ἰσχύειν τὴν χειροτονίαν. εἰ δὲ κατὰ τὸν ὡρισμένον κανόνα γένοιτο ἡ κατάστασις, ἀντιλέγοιεν δέ τινες δι' οἰκείαν φιλονεικίαν, κρατεῖν τὴν τῶν πλειόνων ψῆφον.

κ'.

Διὰ τὰς ἐκκλησιαστικὰς χρείας, καὶ τὰς τῆς ἀμφισβητουμένων διαλύσεις, καλῶς ἔχειν ἔδοξε συνόδους καθ' ἑκάστην ἐπαρχίαν τῆς ἐπισκόπων γίνεσθαι δεύτερον τοῦ ἔτους· ἅπαξ μὲν μετὰ τὴν ἕκτην ἑβδομάδα τῆς ἑορτῆς τοῦ πάσχα, ὥστε τῇ τετάρτῃ ἑβδομάδι τῆς πεντηκοστῆς ἐπιτελεῖσθαι τὴν σύνοδον, ὑπομιμνήσκοντος τοὺς ἐπαρχιώτας τοῦ ἐν τῇ μητροπόλει. τὴν δὲ δευτέραν συνόδον γίνεσθαι Ἰδοῖς Ὀκτωβρίαις, ἥτις ἐστὶ δεκάτη Ὑπερβερεταίου· ὥστε ἐν ταύταις ταῖς συνόδοις προσιέναι πρεσβυτέρους, καὶ διακόνους, καὶ πάντας τοὺς ἠδικῆσθαι νομίζοντας, καὶ παρὰ τῆς συνόδου ἐπικρίσεως τυγχάνειν. μὴ ἐξεῖναι δέ τινας καθ' ἑαυτοὺς ποιεῖσθαι ἄνευ τῆς πεπεισμένων τὰς μητροπόλεις.

κά.

Ἐπίσκοπον ἀπὸ παροικίας ἑτέρας εἰς ἑτέραν μὴ μεθίσασθαι, μήτε αὐθαιρέτως ἐπιῤῥίπτοντα ἑαυτὸν, μήτε ἀπὸ λαῶν ἐκβιαζόμενον, μήτε ὑπὸ ἐπισκόπων ἀναγκαζόμενον· μένειν δὲ εἰς ἣν ἐκληρώθη ὑπὸ τοῦ Θεοῦ ἐξαρχῆς ἐκκλησίαν, καὶ μὴ μεθίσασθαι αὐτῆς, κατὰ τὸν ἤδη πρότερον ἐξενεχθέντα ὅρον.

κβ'

Ἐπίσκοπον μὴ ἐπιβαίνειν ἀλλοδαπῇ πόλει τῇ μὴ ὑποκειμένῃ αὐτῷ, μηδὲ χώρᾳ τῇ αὐτῷ μὴ διαφερούσῃ ἐπὶ χειροτονίᾳ τινὸς, μηδὲ καθίσᾳ πρεσβυτέρους, ἢ διακόνους, εἰς τόπους ἑτέρῳ ἐπισκόπῳ ὑποκειμένους, εἰ μὴ ἄρα μετὰ γνώμης τοῦ οἰκείου τῆς χώρας ἐπισκόπου. εἰ δὲ τολμήσειέν τις τοιοῦτο, ἄκυρον εἶναι τὴν χειροθεσίαν, καὶ αὐτὸν ἐπιτιμίας ὑπὸ τῆς συνόδου τυγχάνειν.

κγ'.

Ἐπίσκοπον μὴ ἐξεῖναι ἀντ' αὐτοῦ καθισᾶν ἕτερον ἑαυτοῦ διάδοχον, κἂν πρὸς τῇ τελευτῇ τοῦ βίου τυγχάνει. εἰ δέ τι τοιοῦτο γίγνοιτο, ἄκυρον εἶναι τὴν κατάστασιν, φυλάττεσθαι δὲ τὸν θεσμὸν τὸν ἐκκλησιαστικὸν, περιέχοντα, μὴ δεῖν ἄλλως γίνεσθαι, ἢ μὴ σύνοδον, καὶ ἐπισκόπων. τῶν, μὴ τὴν κοίμησιν τοῦ ἀναπαυσαμένου, τὴν ἐξουσίαν ἐχόντων τοῦ προάγεσθαι τὸν ἄξιον.

κδ'.

Τὰ τῆς ἐκκλησίας, τῇ ἐκκλησίᾳ καλῶς ἔχειν φυλάττεσθαι δεῖν, μὴ πάσης ἐπιμελείας, καὶ ἀγαθῆς συνειδήσεως, καὶ πίστεως τῆς εἰς τὸν πάντων ἔφορον καὶ κύριον Θεόν· ἃ καὶ διοι-

διοικεῖσθαι προσήκει μετὰ κρίσεως καὶ ἐξουσίας τοῦ ἐπισκόπου τοῦ πεπιστευμένου πάντα τὸν λαὸν, καὶ τὰς ψυχὰς τῶν συναγομένων. φανερὰ δὲ εἶναι, τὰ διαφέροντα τῇ ἐκκλησίᾳ μετὰ γνώσεως τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων· ὥστε τούτους εἰδέναι, καὶ μὴ ἀγνοεῖν, τίνα ποτέ ἐστι τῆς ἐκκλησίας, ὥστε μηδὲν αὐτοὺς λανθάνειν· ἵν' εἰ συμβαίη τὸν ἐπίσκοπον μεταλλάττειν τὸν βίον, φανερῶν ὄντων τῶν διαφερόντων τῇ ἐκκλησίᾳ πραγμάτων, μήτε αὐτὰ διαπίπτειν καὶ ἀπόλλυσθαι, μήτε τὰ ἴδια τοῦ ἐπισκόπου ἐνοχλεῖσθαι προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων. δίκαιον γὰρ καὶ ἀρεστὸν παράτε τῷ Θεῷ καὶ ἀνθρώποις, τὰ ἴδια τοῦ ἐπισκόπου, οἷς ἂν αὐτὸς βούλεται, καταλιμπάνεσθαι· τὰ μέντοι τῆς ἐκκλησίας, αὐτῇ φυλάττεσθαι. καὶ μήτε τὴν ἐκκλησίαν ὑπομένειν ζημίαν, μήτε τὸν ἐπίσκοπον προφάσει τῆς ἐκκλησίας δημεύεσθαι, ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, μετὰ τοῦ καὶ αὐτὸν μετὰ θάνατον δυσφημίᾳ περιβάλλεσθαι.

κε'.

Ἐπίσκοπον ἔχειν τῶν τῆς ἐκκλησίας πραγμάτων ἐξουσίαν, ὥστε διοικεῖν εἰς πάντας τοὺς δεομένους μετὰ πάσης εὐλαβείας καὶ φόβου Θεοῦ. μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων (εἴγε δέοιτο) εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας, καὶ τῶν παρ' αὐτῷ ἐπιξενουμένων ἀδελφῶν, ὡς κατὰ μηδένα τρόπον αὐτοὺς ὑστερῆσθαι, κατὰ τὸν θεῖον ἀπόστολον λέγοντα· ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. εἰ δὲ μὴ τούτοις ἀρκοῖτο, μεταβάλλοι δὲ τὰ πράγματα εἰς οἰκιακὰς αὐτοῦ χρείας, καὶ τοὺς πόρους τῆς ἐκκλησίας, ἢ τοὺς τῶν ἀγρῶν καρπούς, μὴ μετὰ γνώμης τῶν πρεσβυτέρων, ἢ τῶν διακόνων, χειρίζοι, ἀλλ' οἰκείοις αὐτοῦ, καὶ συγγενέσιν, ἢ ἀδελφοῖς, ἢ υἱοῖς, παράσχοιτο τὴν ἐξουσίαν, εἰς τὸ, διὰ τῶν τοιούτων λεληθότας βλάπτεσθαι τοὺς λόγους τῆς ἐκκλησίας· τοῦτον εὐθύνας παρέχειν τῇ συνόδῳ τῆς ἐπαρχίας. εἰ δὲ καὶ ἄλλως διαβάλλοιτο ὁ ἐπίσκοπος, ἢ οἱ σὺν αὐτῷ πρεσβύτεροι, ὡς τὰ τῇ ἐκκλησίᾳ διαφέροντα, ἤτοι ἐξ ἀγρῶν, ἢ καὶ ἐξ ἑτέρας προφάσεως ἐκκλησιαστικῆς εἰς ἑαυτοὺς ἀποφερόμενοι, ὡς θλίβεσθαι μὲν τοὺς πένητας, διαβολὴν δὲ καὶ δυσφημίαν προστρίβεσθαι τῷ τε λόγῳ, καὶ τοῖς οὕτω διοικοῦσιν. καὶ τούτους διορθώσεως τυγχάνειν, τὸ πρέπον δοκιμαζούσης τῆς ἁγίας συνόδου.

ΕΠΙΣΤΟΛΗ' ΠΕΡΙ' ΠΙ'ΣΤΕΩΣ

ἣν ἐξέθεντο οἱ συνελθόντες ἐν Ἀντιοχείᾳ, ὑπὸ Εὐσεβίου Νικομιδείας τὰ τοῦ ἀρείου φρονοῦντος.

περὶ ταύτης ὁρα Σωβρα. Ε.Β.Β. κεφ. ι.

Ἡμεῖς οὔτε ἀκόλουθοι Ἀρείου γεγόναμεν. πῶς γὰρ ἐπίσκοποι ὄντες ἀκολουθήσομεν πρεσβυτέρῳ, οὔτε ἄλλην τινὰ πίστιν παρὰ τὴν ἐξ ἀρχῆς ἐκτεθεῖσαν ἐδεξάμεθα. Ἀλλὰ ἡμεῖς ἐξετασταὶ καὶ δοκιμασταὶ τῆς πίστεως αὐτοῦ γενόμενοι, μᾶλλον αὐτὸν προσηκάμεθα ἤπερ ἡμεῖς ἠκολουθήσαμεν. καὶ γνώσεσθε ἀπὸ τῶν λεγομένων. μεμαθήκαμεν γὰρ ἐξ ἀρχῆς, εἰς ἕνα Θεὸν τὸν τῶν ὅλων πιστεύειν τῶν πάντων νοητῶν τε καὶ αἰσθητῶν δημιουργόντε καὶ προνοητήν. καὶ εἰς ἕνα υἱὸν τοῦ Θεοῦ μονογενῆ, πρὸ πάντων τῶν αἰώνων ὑπάρχοντα, καὶ συνόντα τῷ γεγενηκότι αὐτὸν πατρὶ, δι' οὗ καὶ τὰ πάντα ἐγένετο τὰ ὁρατὰ καὶ τὰ ἀόρατα. τὸν καὶ ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατ' εὐδοκίαν τοῦ πατρὸς κατελθόντα, καὶ σάρκα ἐκ τῆς ἁγίας παρθένου ἀνειληφότα· καὶ πᾶσαν τὴν πατρικὴν αὐτοῦ βουλὴν συνεκπεπληρωκότα, πεπονθέναι καὶ ἐγηγέρθαι, καὶ εἰς οὐρανοὺς ἀνεληλυθέναι, καὶ ἐν δεξιᾷ τοῦ πατρὸς καθέζεσθαι. καὶ ἐρχόμενον κρίναι ζῶντας καὶ νεκρούς, καὶ διαμένοντα βασιλέα καὶ Θεὸν εἰς τοὺς αἰῶνας. πιστεύομεν καὶ εἰς τὸ ἅγιον πνεῦμα. εἰ δὲ δεῖ προσθεῖναι πιστεύσομεν καὶ περὶ σαρκὸς ἀναστάσεως, καὶ ζωῆς αἰωνίου.

Πιστεύομεν ἀκολούθως τῇ εὐαγγελικῇ καὶ ἀποστολικῇ παραδόσει, εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, τὸν τῶν ὅλων δημιουργόντε καὶ ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ Θεὸν, δι' οὗ τὰ πάντα ἐγένετο. τὸν γεννηθέντα πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς, Θεὸν, ἐκ Θεοῦ· ὅλον, ἐξ ὅλου μόνον, ἐκ μόνου. τέλειον, ἐκ τελείου. βασιλέα, ἐκ βασιλέως· κύριον, ἀπὸ κυρίου. Λόγον ζῶντα, σοφίαν, ζωὴν, φῶς ἀληθινὸν, ὁδὸν ἀληθείας, ἀνάστασιν, ποιμένα, θύραν, ἄτρεπτόντε καὶ ἀναλλοίωτον. τὴν τῆς θεότητος οὐσίας τε καὶ δυνάμεως, καὶ βουλῆς καὶ δόξης τοῦ πατρὸς ἀπαράκλακτον εἰκόνα. τὸν πρωτότοκον πάσης κτίσεως, τὸν ὄντα ἐν ἀρχῇ πρὸς τὸν Θεὸν λόγον θεὸν, κατὰ τὸ εἰρημένον ἐν τῷ εὐαγγελίῳ. καὶ Θεὸς ἦν ὁ λόγος, δι' οὗ τὰ πάντα ἐγένετο, καὶ ἐν ᾧ τὰ πάντα συνέστηκε. τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατελθόντα ἄνωθεν, καὶ γεννηθέντα ἐκ παρθένου κατὰ τὰς γραφὰς, καὶ ἄνθρωπον γενόμενον, μεσίτην Θεοῦ καὶ ἀνθρώπων, ἀπόστολόν τε τῆς πίστεως ἡμῶν, καὶ ἀρχηγὸν τῆς ζωῆς, ὥς φησι, καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με· τὸν παθόντα ὑπὲρ ἡμῶν, καὶ ἀναστάντα ὑπὲρ ἡμῶν τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀνελθόντα εἰς οὐρανοὺς, καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ πατρὸς. καὶ πάλιν ἐρχόμενον μετὰ δόξης καὶ δυνάμεως, κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ εἰς παράκλησιν καὶ ἁγιασμὸν, καὶ τελείωσιν τοῖς πιστεύουσι διδόμενον, κοθὼς καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διετάξατο τοῖς μαθηταῖς λέγων. πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. δῆλον ὅτι πατρὸς ἀληθινῶς πατρὸς ὄντος, καὶ υἱοῦ ἀληθινῶς υἱοῦ ὄντος, καὶ πνεύματος ἁγίου ἀληθῶς ὄντος πνεύματος ἁγίου, καὶ ὀνομάτων οὐχ ἁπλῶς οὐδὲ ἀργῶν κειμένων, ἀλλὰ σημαινόντων ἀκριβῶς τὴν ἰδίαν ἑκάστου τῶν ὀνομαζομένων ὑπόστασίν τε, καὶ τά-

τάξιν, καὶ δόξαν· ὡς εἶναι τῇ μιᾷ ὑποστάσει τρία. τῇ δὲ συμφωνίᾳ, ἕν. ταύτῃ οὖν ἔχοντες τὴν πίστιν ἐναντίον τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ, πᾶσαν αἱρετικὴν ἀναθεματίζομεν κακοδοξίαν. καὶ εἴ τις παρὰ τὴν ὑγιῆ τῶν γραφῶν ὀρθὴν πίστιν διδάσκει λέγων, ἢ κτιστὸν, ἢ κτιστὸν εἶναι, ἢ γεγονέναι πρὸ τούτου, υἱὸν τοῦ Θεοῦ ἀνάθεμα ἔστω. καὶ εἴ τις λέγει τὸν υἱὸν κτίσμα ὡς ἓν τῶν κτισμάτων, ἢ ποίημα ὡς ἓν τῶν ποιημάτων, καὶ μὴ ὡς αἱ θεῖαι γραφαὶ παραδεδώκασι τῶν προειρημένων ἕκαστα· ἢ εἴ τις ἄλλο διδάσκει ἢ εὐαγγελίζεται παρ' ὃ παρελάβομεν, ἀνάθεμα ἔστω. ἡμεῖς γὰρ πᾶσι τοῖς ἐκ τῶν θείων γραφῶν παραδεδομένοις, ὑποκρισταῖς καὶ ἀποστόλοις, ἀληθινῶς τε καὶ [3] ἐμφανῶς, καὶ πιστεύομεν, καὶ ἀκολουθοῦμεν.

Οἶδεν ὁ Θεὸς ὃν μάρτυρα καλῶ ἐπὶ τὴν ἐμὴν ψυχήν, ὅτι οὕτως πιστεύω· εἰς Θεὸν πατέρα παντοκράτορα, τὸν τῶν ὅλων κτίστην καὶ ποιητήν, ἐξ οὗ τὰ πάντα. καὶ εἰς τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ Θεὸν λόγον, δυνάμιν καὶ σοφίαν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, δι' οὗ τὰ πάντα, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς πρὸ τῶν αἰώνων, Θεὸν τέλειον ἐκ Θεοῦ τελείου, καὶ ὄντα πρὸς τὸν Θεὸν ἐν ὑποστάσει, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν κατελθόντα, καὶ γεννηθέντα ἐκ τῆς παρθένου κατὰ τὰς γραφάς, ἀνθρωπήσαντα, παθόντα, καὶ ἀναστάντα ἀπὸ τῶν νεκρῶν, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεσθέντα ἐκ δεξιῶν τοῦ πατρὸς αὐτοῦ, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, καὶ δυνάμεως, κρῖναι ζῶντας καὶ νεκροὺς καὶ μένοντα εἰς τοὺς αἰῶνας. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸν παράκλητον, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ καὶ διὰ τοῦ προφήτου ἐπηγγείλατο ὁ Θεὸς ἐκχέειν ἐπὶ τοὺς ἑαυτοῦ δούλους, καὶ ὁ κύριος ἐπηγγείλατο πέμψαι τοῖς ἑαυτοῦ μαθηταῖς, ὃ καὶ ἔπεμψεν, ὡς αἱ πράξεις τῶν ἀποστόλων μαρτυροῦσιν. εἰ δέ τις παρὰ ταύτην τὴν πίστιν διδάσκει, ἢ ἔχει ἐν ἑαυτῷ, ἀνάθεμα ἔστω· καὶ Μαρκέλλου τοῦ Ἀγκύρας, ἢ Σαβελλίου, ἢ Παύλου τοῦ Σαμοσατέως, ἀνάθεμα ἔστω καὶ αὐτὸς, καὶ πάντες οἱ κοινωνοῦντες αὐτῷ.

ἜΚΘΕΣΙΣ ΠΊΣΤΕΩΣ

Μάρκου Ἀρεθουσίου.

Σωκρατ. ἐκκλ. ἱστορ. βιβ. β. κεφ. κδ'.

Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, τὸν κτίστην καὶ ποιητὴν τῶν πάντων. ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς, καὶ ἐπὶ γῆς ὀνομάζεται. καὶ εἰς τὸν μονογενῆ αὐτοῦ υἱὸν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεννηθέντα, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς δι' οὗ ἐγένετο τὰ πάντα, τὰ ἐν οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ τε ὁρατὰ καὶ τὰ ἀόρατα, λόγον ὄντα καὶ σοφίαν, καὶ δύναμιν, καὶ ζωὴν καὶ φῶς ἀληθινόν. τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς ἀνανθρωπήσαντα, καὶ γεννηθέντα ἐκ τῆς ἁγίας παρθένου, τὸν σταυρωθέντα, καὶ ἀποθανόντα, καὶ ταφέντα, καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀναληφθέντα εἰς οὐρανὸν, καὶ καθίσαντα ἐκ δεξιῶν τοῦ πατρὸς, καὶ ἐρχόμενον ἐπισυντελείᾳ τοῦ αἰῶνος κρῖναι ζῶντας καὶ νεκροὺς καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὗ ἡ βασιλεία ἀκατάπαυστος ἥτις διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας. ἔσται γὰρ καθεζόμενος ἐν δεξιᾷ τοῦ πατρὸς, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τουτέστι τὸ παράκλητον· ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις μετὰ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον ἀπέστειλε διδάξαι, καὶ ὑπομνῆσαι αὐτοὺς πάντα. δι' οὗ καὶ ἁγιασθήσονται αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί. [2] τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν υἱὸν, ἢ ἐξ ἑτέρας ὑποστάσεως, καὶ μὴ ἐκ τοῦ Θεοῦ, καὶ ποτε ὅτε οὐκ ἦν χρόνος ἢ αἰὼν ὅτε οὐκ ἦν, ἀλλοτρίους οἶδεν, ἡ ἁγία καθολικὴ ἐκκλησία. Πάλιν δὲ ἐρωτῶμεν, εἴ τις τὸν πατέρα καὶ τὸν υἱὸν δύο λέγει Θεοὺς, ἀνάθεμα ἔστω. καὶ εἴ τις λέγων. Θεὸν τὸν Χριστὸν προαιώνιον, υἱὸν τοῦ Θεοῦ ὑπάρχοντα τῷ πατρὶ εἰς τὴν τῶν ὅλων δημιουργίαν μὴ ὁμολογοῖ, ἀνάθεμα ἔστω. εἴ τις τὸ ἀχώρητον, ἢ μέρος αὐτοῦ ἐκ Μαρίας λέγειν γεγωνῆσθαι τολμᾷ, ἀνάθεμα ἔστω. εἴ τις κατὰ πρόγνωσιν τὸν ἐκ Μαρίας λέγοι υἱὸν εἶναι καὶ μὴ πρὸ αἰώνων ἐκ τοῦ πατρὸς γεγωνημένον πρὸς τὸν Θεὸν εἶναι, καὶ δι' αὐτοῦ γεγωνῆσθαι τὰ πάντα, ἀνάθεμα ἔστω. εἴ τις τὴν οὐσίαν τοῦ Θεοῦ πλατυνέσθαι, ἢ συστέλλεσθαι φάσκοι, ἀνάθεμα ἔστω. εἴ τις πλατυνομένην τὴν οὐσίαν τοῦ Θεοῦ τὸν υἱὸν λέγοι ποιεῖν, ἢ τὸ πλατυσμὸν τῆς οὐσίας αὐτοῦ υἱὸν ὀνομάζει, ἀνάθεμα ἔστω. εἴ τις ἐνδιάθετον ἢ προφορικὸν λόγον λέγοι τὸν υἱὸν τοῦ Θεοῦ, ἀνάθεμα ἔστω. εἴ τις ἄνθρωπον μόνον λέγοι τὸν υἱὸν τὸν ἐκ Μαρίας λέγων, Θεὸν τὸν ἀχώρητον, ἀχώρητον αὐτὸν νοεῖ, ἀνάθεμα ἔστω, εἴ τις τὸ, ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι Θεὸς τὸ ἐπ' ἀναιρέσει εἰδώλων, καὶ τῶν μὴ ὄντων Θεὸν εἰρημένον ἐπ' ἀναιρέσει τοῦ μονογενοῦς πρὸ τῶν αἰώνων Θεοῦ Ἰουδαϊκῶς ἐκλαμβάνοι, ἀνάθεμα ἔστω. εἴ τις τὸ, ὁ λόγος σὰρξ ἐγένετο ἀκούων, τὸν λόγον εἰς σάρκα μεταβεβλῆσθαι νομίζοι, ἢ τροπὴν ὑπομεμενηκότα ἀνειληφέναι τὴν σάρκα, ἀνάθεμα ἔστω. εἴ τις τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ ἐσταυρωμένον ἀκούων, φθορὰν, ἢ πάθος, ἢ τροπὴν, ἢ μείωσιν, ἢ ἀναίρεσιν ὑπομεμενηκέναι λέγοι, ἀνάθεμα ἔστω. εἴ τις τὸ, ποιήσωμεν ἄνθρωπον, μὴ τὸν πατέρα πρὸς τὸν υἱὸν λέγειν, ἀλλὰ αὐτὸν πρὸς ἑαυτὸν τὸν Θεὸν εἰρηκέναι, ἀνάθεμα ἔστω. εἴ τις τῷ Ἰακὼβ μὴ τὸν υἱὸν ὡς ἄνθρωπον πεπαλαικέναι, ἀλλὰ τὸν ἀχώρητον Θεὸν, ἢ μέρος αὐτοῦ λέγοι, ἀνάθεμα ἔστω. εἴ τις τὸ, ἔβρεξε κύριος παρὰ κυρίου, μὴ ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκλαμβάνοι, ἀλλ' αὐτὸν παρ' ἑαυτοῦ λέγοι βεβρεχέναι, ἀνάθεμα ἔστω. ἔβρεξε γὰρ κύριος ὁ υἱὸς παρὰ κυρίου τοῦ πατρός. εἴ τις

εἴτις ἀχράων χύειον τὸν πατέρα, καὶ τὸν υἱὸν χύειον, καὶ χύειον τὸν πατέρα, καὶ τὸν υἱὸν χύειον, καὶ τὸν χύειον τὸν πατέρα, καὶ τὸν υἱὸν εἶποι, καὶ χύεια ἐκ χυείων λέγων, δύο λέγοι Θεοὺς, ἀνάθεμα ἔσω. οὐ γὰρ σωτάσομεν τὸν υἱὸν τῷ πατεῖ, ἀλλ' ὑποτεταγμένον τῷ πατεῖ. οὔτε γὰρ κατῆλθεν εἰς σῶμα ἄνευ βουλῆς τοῦ πατρός. οὐδὲ ἔβρεξεν ἀφ' ἑαυτοῦ, ἀλλὰ παρὰ χυείου αὐθεντοῦντος, δηλαδὴ τοῦ πατρὸς, οὔτε κάθηται ἐκ δεξιῶν ἀφ' ἑαυτοῦ, ἀλλ' ἀκούει τοῦ πατρὸς λέγοντος, κάθου ἐκ δεξιῶν μου, ἀνάθεμα ἔσω. εἴτις τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα εἷς πρόσωπον λέγοι, ἀνάθεμα ἔσω. εἴτις τὸ πνεῦμα τὸ ἅγιον παράκλητον λέγων, τὸν ἀγέννητον λέγοι Θεὸν, ἀνάθεμα ἔσω. εἴτις ὡς ἐδίδαξεν ἡμᾶς μὴ ἄλλον λέγειν τὸν παράκλητον, παρὰ τὸν υἱὸν, εἴρηκε γὰρ, ἄλλον παράκλητον πέμψει ὑμῖν ὁ πατὴρ, ὃν ἐγὼ ἐρωτήσω, ἀνάθεμα ἔσω. εἴτις τὸ πνεῦμα μέρος λέγοι τοῦ παξὸς, καὶ τοῦ υἱοῦ, ἀνάθεμα ἔσω. εἴτις τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα τρεῖς λέγοι Θεοὺς, ἀνάθεμα ἔσω. εἴτις βουλήσει τοῦ θεοῦ, ὡς εἷν τῶν κτισμάτων γεγονέναι λέγοι τὸν υἱὸν τοῦ Θεοῦ, ἀνάθεμα ἔσω. εἴτις μὴ θελήσαντος τοῦ πατρὸς γεγεννῆσθαι τὸν υἱὸν λέγοι, ἀνάθεμα ἔσω. οὐ γὰρ μὴ βουλομένου τοῦ πατρὸς, βιασθεὶς ὁ πατὴρ ὑπὸ ἀνάγκης φυσικῆς, αὖθις ὡς οὐκ ἤθελεν ἐγέννησε τὸν υἱὸν, ἀλλ' ἅμα τε ἐβουλήθη καὶ ἀχρόνως, καὶ ἀπαθῶς ἐξ αὐτοῦ αὐτὸν γεννήσας ἀπέδειξεν, ἀνάθεμα ἔσω. εἴτις ἀγέννητον, καὶ ἄναρχον λέγοι τὸν υἱὸν, ὡς δύο ἄναρχα, καὶ δύο ἀγεννήτους λέγων, καὶ δύο ποιῶν θεούς, ἀνάθεμα ἔσω. κεφαλὴ γάρ ἐστι, καὶ ἀρχὴ πάντων ὁ υἱὸς. κεφαλὴ δέ ἐστι τοῦ Χριστοῦ, ὁ Θεός. οὕτω γὰρ εἰς μίαν ἄναρχον τῆς ὅλων ἀρχὴν διὰ υἱοῦ ἁγίου τὰ πάντα ἀναγόμεθα, καὶ πάλιν ἓν ὁμολογοῦντος τὸν χριστιανισμὸν τὴν σύνοιαν λέγομεν, ὅτι εἴτις Χριστὸν Ἰησοῦν υἱὸν τοῦ Θεοῦ πρὸ αἰώνων ὄντα ὑπουργηκότα τῷ πατρὶ, εἰς τὴν τῆς ὅλων δημιουργίαν μὴ λέγοι, ἀλλ' ἐξ οὗ ἐγεννήθη ἐκ Μαρίας, ἔκτοτε καὶ υἱὸν, καὶ Χριστὸν κεκλῆσθαι, καὶ ἀρχὴν εἰληφέναι τοῦ Θεοῦ εἶναι, ἀνάθεμα ὡς ὁ Σαμοσατεύς.

ΣΥΝΟΔΟΣ ΤΩΝ ΑΡΕΙΑΝΩΝ

Ἐν Ἀντιοχείᾳ. Χρόνοι ἀπὸ Χριστοῦ 341.

ΣΥΝΟΔΟΣ αἱρετικὴ ἐν Ἀντιοχείᾳ τῆς Συρίας, ὧν ἐννενήκοντα καὶ ἑπτὰ ἐπισκόπων συνελθόντων· λόγῳ μὲν καὶ προφάσει τῆς ἐγκαινίων τῆς Κωνσταντιανικῆς ἐκκλησίας, οὖσα ὑπαρχούσης τῆς θεάματος· σκοπῷ δὲ καὶ πράγματι κατὰ τὴν θείαν συμβόλου, καὶ τὴν Ἀθανασίου τοῦ μεγαλοφρονος· ἧσπερ ἐξῆρχον ὁ Νικομηδείας Εὐσέβιος, καὶ Παλαιστίνης Ἀκάκιος, καὶ Καισαρείας Καππαδοκίας Διάνιος, Ἀστέριον ἔχων τὸν Καππαδόκιον φιλόσοφον. Οἱ καὶ τὸ ἅγιον μεταποιήσαντες σύμβολον, ἐν Ἀλεξανδρείᾳ Γρηγόριον ἐξαπέστειλαν, ὅστις ἐπίσκοπος, σὺν τεθρακισχιλίοις ἐπλίτοις τὸν μακάριον Ἀθανάσιον ἐξεδίωξεν· καὶ αὐτὸς λυμαίνεσθαι τὴν ἐκκλησίαν κατέστησεν. Οἱ γοῦν περὶ Εὐσέβιον Ἀρειανοὶ, τῆς συνόδου κρατοῦντες, καὶ ὑπῆρχον ἐν αὐτῇ καὶ ὀρθόδοξοι, τὸ θεῖον πάσχα κατὰ τὴν ἀγλαὸν ἐν Νικαίᾳ ὁρίζουσι σύνοδον· καὶ τοὺς ἐμφερομένους πάλαι κανόνας ἐξέθεντο.

Ἑτέρα Σύνοδος ἐν Ἀντιοχείᾳ τῆς αὐτῆς.

ΠΑΥΛΟΝ τὸν ἐν Ρώμῃ, καὶ Ἀθανάσιον ὁ μακάριος πάπας Ἰούλιος, καὶ Κῶνστας ὁ εὐσεβέστατος βασιλεὺς θεασάμενοι * * καὶ οἰκείους θρόνους ἀποδεδώκασι. διόπερ οἱ ἑτερόδοξοι, καὶ αὐθις ἐν Ἀντιοχείᾳ κατὰ τὸ θεῖον συμβόλον συναθροίσαντες σύνοδον, Παῦλον, καὶ Ἀθανάσιον ἀπεχήρυξαν· καθαψάμενοι πλεῖστα Ἰουλίου, ὡς μὴ καλῶς αὐτοῖς ἀντικανονίσαντος.

ΣΥΜΒΟΛΟΝ ΤΟΥ ΜΕΓΑΛΟΥ Ἀθανασίου.

ΟΣΤΙΣ ἂν βούληται σωθῆναι, πρὸ πάντων χρὴ κρατεῖν τὴν καθολικὴν πίστιν.

Ἣν ἐὰν μὴ εἷς ἕκαστος σῶον καὶ ἀμώμητον τηρήσῃ, ἄνευ δισταγμοῦ εἰς τὸν αἰῶνα ἀπολεῖται.

Πίστις δὲ καθολικὴ αὕτη ἐστὶν, ἵνα σέβωμεν Θεὸν ἐν Τριάδι, καὶ Τριάδα ἐν μονάδι σεβώμεθα.

Μήτε συγχέοντες τὰς ὑποστάσεις, μήτε τὴν οὐσίαν διαχωρίζοντες.

Ἄλλη γάρ ἐστιν ἡ ὑπόστασις τοῦ παξὸς, ἄλλη τοῦ υἱοῦ, καὶ ἄλλη τοῦ ἁγίου πνεύματος.

Ἀλλὰ παξὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, μία ἐστὶν ἡ θεότης, ἴση ἡ δόξα, συναΐδιος ἡ μεγαλειότης.

Οἷος ὁ πατὴρ, τοιοῦτος καὶ ὁ υἱὸς, τοιοῦτον καὶ τὸ πνεῦμα τὸ ἅγιον.

Ἄκτιστος ὁ πατὴρ, ἄκτιστος ὁ υἱὸς, ἄκτιστον καὶ τὸ πνεῦμα τὸ ἅγιον.

Ἀκατάληπτος ὁ πατὴρ, ἀκατάληπτος ὁ υἱὸς, ἀκατάληπτον τὸ πνεῦμα τὸ ἅγιον.

Αἰώνιος ὁ πατὴρ, αἰώνιος ὁ υἱὸς, αἰώνιον τὸ πνεῦμα τὸ ἅγιον.

Καὶ γὰρ οὐ τρεῖς αἰώνιοι, ἀλλ' εἷς αἰώνιος.

Ὥσπερ οὐ τρεῖς ἄκτιστοι, οὐδὲ τρεῖς ἀκατάληπτοι, ἀλλ' εἷς ἄκτιστος, καὶ εἷς ἀκατάληπτος.

Ὁμοίως παντοδυνάμος ὁ πατὴρ, παντοδυνάμος ὁ υἱὸς, παντοδυνάμον τὸ πνεῦμα τὸ ἅγιον.

Καὶ γὰρ οὐ τρεῖς κύριοι, ἀλλ' εἷς ἐστὶ κύριος.

Ὅτι ὡς ἰδίαν μίαν ἑκάστην ὑπόστασιν Θεὸν, καὶ κύριον ὁμολογεῖν τῇ χριστιανικῇ ἀληθείᾳ βιαζόμεθα. ὕπου τρεῖς Θεοὺς, ἢ τρεῖς Κυρίους λέγειν τῇ καθολικῇ εὐσεβείᾳ κωλυόμεθα.

Ὁ πατὴρ ἀπ' οὐδενός ἐστιν, οὔτε ποιητὸς, οὔτε κτιστὸς, οὔτε γεννητός.

Ὁ υἱὸς ἀπὸ τοῦ πατρὸς μόνος ἐστὶν, οὐ ποιητὸς, οὐ κτιστὸς, ἀλλὰ γεννητὸς ἐκ τοῦ παξός.

Τὸ πνεῦμα τὸ ἅγιον, ἀπὸ τοῦ παξὸς οὐ ποιητὸν, οὐ κτιστὸν, οὐ γεννητὸν, ἀλλ' ἐκπορευόμενον.

Εἷς οὖν ἐστὶ πατὴρ, οὐ τρεῖς πατέρες. εἷς υἱὸς, οὐ τρεῖς υἱοί. ἓν πνεῦμα ἅγιον, οὐ τρία πνεύματα ἅγια.

Καὶ ἐν ταύτῃ τῇ Τριάδι, οὐδὲν πρότερον, ἢ ὕστερον,

ρον, οὐδὲ μεῖζον, ἢ ἔλαττον, ἀλλὰ πᾶσαι αἱ τρεῖς ὑποστάσεις συναΐδιοι εἰσὶν ἑαυταῖς καὶ ἴσαι.

Οὕτω κατὰ πάντα, καθὼς εἴρηται, καὶ τὴν μονάδα ἐν Τριάδι, καὶ Τριάδα ἐν μονάδι σεβώμεθα.

Ὁ οὖν βουλόμενος σωθῆναι, οὕτω περὶ τῆς ἁγίας Τριάδος φρονείτω.

Πλὴν ἀναγκαῖόν ἐστιν πρὸς αἰώνιον σωτηρίαν, ὅπως καὶ τὴν σάρκωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὀρθῶς πιστεύσῃ.

Ἔστι γὰρ πίστις ὀρθὴ, ἵνα πιστεύωμεν καὶ ὁμολογῶμεν, ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τοῦ Θεοῦ υἱὸς, Θεὸς καὶ ἄνθρωπός ἐστι.

Θεὸς ἐκ τῆς οὐσίας τοῦ πατρὸς, πρὸ αἰώνων γεννηθεὶς, καὶ ἄνθρωπος ἐκ τῆς οὐσίας τῆς μητρὸς ἐν τῷ αἰῶνι τεχθείς.

Τέλειος Θεὸς, καὶ τέλειος ἄνθρωπος ἐκ ψυχῆς λογικῆς, καὶ ἀνθρωπίνης σαρκὸς ὑφιστάμενος.

Ἴσος τῷ πατρὶ κατὰ τὴν θεότητα, ἐλάττων τῷ πατρὶ κατὰ τὴν ἀνθρωπότητα.

Ὅς, εἰ καὶ ἄνθρωπος καὶ Θεός ἐστιν, οὐ δύο ὅμως, ἀλλ' εἷς ἐστὶ Χριστός.

Εἷς δὲ, οὐ τροπῇ τῆς θεότητος εἰς σάρκα, ἀλλὰ προσλήψει τῆς ἀνθρωπότητος εἰς Θεόν.

Εἷς πάντως, οὐ συγχύσει τῆς οὐσίας, ἀλλ' ἑνότητι τῆς ὑποστάσεως.

Καὶ γὰρ ὡς ἡ λογικὴ ψυχὴ καὶ ἡ σάρξ εἷς ἐστὶν ἄνθρωπος, οὕτω Θεὸς καὶ ἄνθρωπος εἷς ἐστι Χριστός.

Ὃς ἔπαθε διὰ τὴν ἡμετέραν σωτηρίαν, κατῆλθεν ἐν ᾅδῃ, ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν.

Ἀνῆλθεν εἰς τοὺς οὐρανοὺς, κάθηται ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ πατρὸς παντοκράτορος. ὅθεν ἥξει κρῖναι ζῶντας καὶ νεκρούς.

Οὗ τῇ παρουσίᾳ πάντες οἱ ἄνθρωποι παραστήσονται μετὰ τῶν σωμάτων αὐτῶν, καὶ ἀποδώσουσιν ἐξ ἰδίων ἔργων τὴν ἀπολογίαν.

Καὶ οἱ τὰ ἀγαθὰ πράξαντες πορεύσονται εἰς ζωὴν αἰώνιον. οἱ δὲ τὰ φαῦλα εἰς τὸ πῦρ τὸ αἰώνιον.

Αὕτη ἐστὶν ἡ καθολικὴ πίστις, ἣν εἰ μὴ εἷς ἕκαστος ἐκ πίστεως βεβαίως πιστεύσει, σωθῆναι οὐ δυνήσεται.

Ἐκ τῆς * ἁγίας, καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Νικαίᾳ, περὶ πίστεως κατὰ συντομίαν, καὶ πῶς δεῖ πιστεύειν τὸν ἀληθῆ Χριστιανόν.

Εἴ τις βούλοιτο σωθῆναι, πρὸ πάντων αὐτῷ χρεία κρατῆσαι τὴν ὀρθόδοξον πίστιν. ἣν ἐὰν μή τις ἀμόλυντον, καὶ ἄφθορον τηρήσῃ, αἰώνιον εὑρήσει τὴν ἀπώλειαν. Πίστις οὖν ἡ ὀρθόδοξος αὕτη ἐστὶν, ἵνα ἕνα Θεὸν ἐν τριάδι καὶ τριάδα ἐν μονάδι σέβωμεν, μήτε συγχέοντες τὰς ὑποστάσεις, μήτε τὴν οὐσίαν διαιροῦντες. ἄλλη γὰρ ὑπόστασις τοῦ πατρὸς, ἄλλη τοῦ υἱοῦ, ἄλλη τοῦ ἁγίου πνεύματος. Ἀλλὰ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, μία ἐστὶν ἡ θεότης, ἓν τὸ κράτος, μία ἐξουσία, μία βασιλεία, ἴση ἡ δόξα, ἴση ἡ μεγαλωσύνη, καὶ αἰώνιος. οἷος ὁ πατὴρ, τοιοῦτος ὁ υἱὸς, τοιοῦτον τὸ πνεῦμα τὸ ἅγιον. ἄκτιστος ὁ πατὴρ, ἄκτιστος ὁ υἱὸς, ἄκτιστον τὸ πνεῦμα τὸ ἅγιον. καὶ οὐ τρεῖς ἄκτιστοι, ἀλλ' εἷς ἄκτιστος. Παντοκράτωρ ὁ πατὴρ, παντοκράτωρ ὁ υἱὸς, παντοκράτωρ τὸ πνεῦμα τὸ ἅγιον. καὶ οὐ τρεῖς παντοκράτορες, ἀλλ' εἷς παντοκράτωρ. αἰώνιος ὁ πατὴρ, αἰώνιος ὁ υἱὸς, αἰώνιον τὸ πνεῦμα τὸ ἅγιον. καὶ οὐ τρεῖς αἰώνιοι, ἀλλ' εἷς αἰώνιος. παντοδύναμος ὁ πατὴρ, παντοδύναμος ὁ υἱὸς. παντοδύναμον τὸ πνεῦμα τὸ ἅγιον. καὶ οὐ τρεῖς παντοδύναμοι, ἀλλ' εἷς παντοδύναμος. οὕτω Θεὸς ὁ πατὴρ, Θεὸς ὁ υἱὸς, Θεὸς τὸ πνεῦμα τὸ ἅγιον. καὶ οὐ τρεῖς Θεοὶ, ἀλλ' εἷς ἐστὶ Θεός. κύριος ὁ πατὴρ, κύριος ὁ υἱὸς, κύριος τὸ πνεῦμα τὸ ἅγιον. καὶ οὐ τρεῖς κύριοι, ἀλλ' εἷς ἐστὶ κύριος. καὶ ὥσπερ μοναδικῶς μίαν ἑκάστην ὑπόστασιν Θεὸν καὶ κύριον ὁμολογεῖν Χριστιανικῇ ἀληθείᾳ συνηγοροῦμεν, οὕτω τρεῖς Θεοὺς, ἢ τρεῖς κυρίους λέγειν οὐ συναινοῦμεν, ἀλλὰ παντελῶς ἀπαγορεύομεν. πατὴρ γὰρ παρ' οὐδενός ἐστι ποιητὸς, οὐ κτιστὸς, ἀλλ' ἀγεννητος. ὁ υἱὸς ἀπὸ τοῦ πατρός ἐστιν, οὐ ποιητὸς, οὐ κτιστὸς, ἀλλὰ γεννητός. τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ πατρός ἐστιν, οὐ ποιητὸν, οὐ κτιστὸν, οὐ γεννητὸν, ἀλλ' ἐκπορευτόν. εἷς λοιπὸν ὁ πατὴρ, οὐ τρεῖς, εἷς υἱὸς, οὐ τρεῖς υἱοὶ, ἓν πνεῦμα ἅγιον, οὐ τρία πνεύματα ἅγια. καὶ ἐν ταύτῃ τῇ τριάδι, οὐδεὶς πρῶτος, ἢ ἔσχατος, οὐδεὶς μέγας, ἢ μικρός. ἀλλὰ αἱ τρεῖς αὗται ὑποστάσεις, αἰώνιαί τε εἰσὶ, καὶ ἴσαι εἰς πάντα, ὡς προείρηται. μονάδα γοῦν ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι, πᾶς Χριστιανὸς εὐσεβέσθω, καὶ οὕτω περὶ τῆς ἁγίας, καὶ ζωοποιοῦ, καὶ ὁμουσίου τριάδος δοξαζέτω.

Ἀναγκαῖον δέ ἐστι καὶ τὴν σάρκωσιν τοῦ υἱοῦ Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὀρθῶς πιστεύειν. ἔστι γοῦν ἡ πίστις ἡ ὀρθὴ, ἵνα πιστεύωμεν, καὶ ὁμολογῶμεν, ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ τοῦ Θεοῦ υἱὸς, Θεὸς καὶ ἄνθρωπός ἐστιν * ἄκτιστός ἐστι καὶ οὐσία πατρός. ἄνθρωπός ἐστιν ἐκ τῆς οὐσίας τῆς μητρός. ἐπειδὴ γὰρ ἁμαρτήσας ὁ Ἀδὰμ θανάτω τὸ γένος τῶν ἀνθρώπων ὑπέβαλε, καὶ τὴν φύσιν ἡμῶν ὑπεύθυνον τῷ χρέει πεποίηκεν, ὁ υἱὸς λοιπὸν τοῦ ἀοράτου πατρὸς καὶ Θεοῦ, τῶν οὐρανῶν οὐκ ἐκστὰς πρὸς ἡμᾶς κατῆλθε. καὶ δι' ἀκοῆς εἰσδὺς τὴν νηδὺν τῆς ἁγίας παρθένου, μυστικῶς τὴν κυοφορίαν εἰργάσατο, ἐνδὺς τὴν ἡμετέραν φύσιν κατ' ἄκραν ἕνωσιν. Θεὸς ὁμοῦ καὶ ἄνθρωπος προελθὼν, οὕτω τὴν καθ' ἡμᾶς οἰκονομίαν ἐπλήρωσε δι' ἄφατον ἔλεον. καὶ τέλειος Θεὸς ὢν γέγονε τέλειος ἄνθρωπος. μὴ τραπεὶς, μὴ ἀλλοιωθεὶς τὴν ὑπερούσιον, καὶ ἄφραστον οὐσίαν τῆς αὐτοῦ θεότητος. ἐκ ψυχῆς λογικῆς, καὶ ἀνθρωπίνης σαρκὸς οὐσιωθείς· αὐτὸς ἑαυτῷ σὺν τῷ συμφυεῖ αὐτοῦ παναγίῳ πνεύματι, δημιουργήσας τὴν παναγίαν τῆς σαρκὸς πρόσληψιν. τελείαν οὐσίαν ἀνθρωπίνην, ἐνιπόστατον αὐτῷ καὶ ἀδιαίρετον ἐξ αὐτοῦ, ἁμαρτίας ἀμέθεκτον. ἐκ τῶν παρθενικῶν ἁγνῶν αἱμάτων τῆς θεομήτορος συμπαγεύτος τοῦ σώματος, χωρὶς τινὸς θελήματος, ἢ ἐννοήματος σαρκικοῦ. τῆς δὲ ψυχῆς ἀΰλως κτισθείσης, νοερᾶς, λογικῆς, θελητικῆς, ἐνυργητικῆς, ὅλης τεθεωμένης σὺν τῇ σαρκὶ, ἐξ αὐτῆς ἀρχῆς, ἐκ πρώτης ὑπάρξεως, διὰ τὴν πρὸς αὐτὸν τὸν Θεὸν λόγον ἄκραν ἕνωσιν, ἀσύγχυτον καθ' ὑπόστασιν.

Ἴσος οὖν ἐστὶ τῷ πατρὶ κατὰ τὴν θεότητα, ἐλάττων δὲ τοῦ πατρὸς κατὰ τὴν ἀνθρωπότητα. καὶ ὄντως ἀληθινὸς ὑπάρχει Θεὸς καὶ ἄνθρωπος, ὅμως οὐ δύο, ἀλλ' εἷς ἐστὶν ὁ Χριστός. εἷς δέ, οὐ τραπεῖσα ἡ σὰρξ, ἀλλὰ ἀναληφθεῖσα εἰς τὸν Θεόν. εἷς ὁλικῶς, οὐ συγχύσει οὐσιῶν, ἀλλ' ἑνώσει τὸ καθ' ὑπόστασιν, καὶ γὰρ ὥσπερ

* Θεός ἐστι ἐκ τῆς οὐσίας.

ψυχὴ

ψυχὴ λογικὴ καὶ σὰρξ εἷς ὑπάρχει ἄνθρωπος, οὕτω καὶ Θεὸς καὶ ἄνθρωπος εἷς ἐστὶν ὁ Χριστός. ὃς ἔπαθε τῇ σαρκὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἀπαθοῦς τῆς θεότητος μενούσης. καὶ ταφεὶς, καὶ ἀναστὰς, καὶ ἀναληφθεὶς εἰς τοὺς οὐρανοὺς, ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ πατρός. ἐκεῖθεν δὲ πάλιν ἐρχόμενος κρινεῖ ζῶντας καὶ νεκρούς. ἢ τῇ παρουσίᾳ πάντες οἱ ἀπ' αἰῶνος κεκοιμημένοι ἄνθρωποι ἀναστήσονται, λόγον ἀποδοῦναι περὶ τῶν πράξεων αὐτῶν. καὶ οἱ μὲν τὰ ἀγαθὰ πράξαντες, πορεύσονται τῷ κελεύσματι αὐτοῦ εἰς αἰώνιον ζωήν. οἱ δὲ τὰ φαῦλα πράξαντες, πορεύσονται εἰς αἰωνίους κολάσεις. αὕτη τοίνυν ἐστὶν ἡ ὀρθόδοξος πίστις, ἣν ὁ μὴ τηρήσας ἀμώμητον, σωθῆναι οὐ δύναται.

Ἔκθεσις Πίστεως τῶν ἑώων Ἐπισκόπων· ἣν οἱ ἀνὰ τὴν δύσιν ἱερεῖς οὐπροσεδέξαντο. ἐπεὶ οὐσίας μὲν ἐν ταύτῃ θεοῦ μνήμην οὐκ ἐποιήσαντο.

Συκρ. βιβ. β. κεφ. ιε'. Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα κτίστην καὶ ποιητὴν τῶν ὄντων· ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεννηθέντα, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, δι' οὗ ἐγένετο τὰ πάντα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τά τε ἀόρατα, λόγον ὄντα καὶ σοφίαν, καὶ δύναμιν, καὶ ζωὴν, καὶ φῶς ἀληθινόν. τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα καὶ γεννηθέντα ἐκ τῆς ἁγίας παρθένου, τὸν σταυρωθέντα καὶ ἀποθανόντα, καὶ ταφέντα, καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀναληφθέντα εἰς οὐρανὸν, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρὸς, καὶ ἐρχόμενον ἐπὶ συντελείᾳ τοῦ αἰῶνος κρῖναι ζῶντας καὶ νεκρούς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. οὗ ἡ βασιλεία ἀκατάλυτος οὖσα διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας· ἔσται γὰρ καθεζόμενος ἐν δεξιᾷ τοῦ πατρὸς, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. καὶ εἰς τὸ ἅγιον πνεῦμα· τουτέστι τὸν παράκλητον· ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις, μετὰ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον ἀπέστειλε, διδάξαι αὐτοὺς καὶ ὑπομνῆσαι πάντα. δι' οὗ καὶ ἁγιασθήσονται αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί. τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν υἱὸν ἢ ἐξ ἑτέρας ὑποστάσεως καὶ μὴ ἐκ τοῦ Θεοῦ· καὶ ἦν ποτὲ χρόνος, ὅτε οὐκ ἦν, ἀλλοτρίους οἶδεν ἡ καθολικὴ ἐκκλησία.

Συκρ. βιβ. β κεφ. ιθ'. Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, κτίστην καὶ ποιητὴν τῶν πάντων. ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται. καὶ εἰς τὸν μονογενῆ αὐτοῦ υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεννηθέντα, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, δι' οὗ ἐγένετο τὰ πάντα τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, λόγον ὄντα καὶ σοφίαν καὶ δύναμιν καὶ ζωὴν, καὶ φῶς ἀληθινὸν, τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα καὶ γεννηθέντα ἐκ τῆς ἁγίας παρθένου, τὸν σταυρωθέντα καὶ ἀποθανόντα, καὶ ἀναστάντα ἐκ τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀναληφθέντα εἰς τὸν οὐρανὸν, καὶ καθεσθέντα ἐκ δεξιῶν τοῦ πατρὸς, καὶ ἐρχόμενον ἐπὶ συντελείᾳ τοῦ αἰῶνος κρῖναι ζῶντας καὶ νεκρούς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, οὗ ἡ βασιλεία ἀκατάπαυστος οὖσα διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας. καθέζεται γὰρ ἐν δεξιᾷ τοῦ πατρὸς οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. πιστεύομεν δὲ καὶ εἰς τὸ πνεῦματο ἅγιον, τουτέστι τὸν παράκλητον, ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις, μετὰ τὴν εἰς οὐρανὸν ἄνοδον ἀποστεῖλαι καὶ διδάξαι αὐτοὺς καὶ ὑπομνῆσαι πάντας δι' οὗ καὶ ἁγιασθήσονται αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί. τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν Θεὸν ἢ ἐξ ἑτέρας ὑποστάσεως, καὶ μὴ ἐκ τοῦ Θεοῦ, καὶ ὅτι ἦν χρόνος ποτὲ ἢ αἰὼν ὅτε μὴ ἦν, ἀλλοτρίους οἶδεν ἡ καθολικὴ καὶ ἁγία ἐκκλησία. ὁμοίως καὶ τοὺς λέγοντας τρεῖς εἶναι Θεοὺς, ἢ τὸν Χριστὸν μὴ εἶναι Θεὸν, ἢ πρὸ τῶν αἰώνων μήτε Χριστὸν αὐτὸν, μήτε υἱὸν εἶναι Θεοῦ, ἢ τὸν αὐτὸν εἶναι πατέρα καὶ υἱὸν ἢ ἅγιον πνεῦμα, ἢ ἀγέννητον υἱὸν, ἢ ὅτι οὐ βουλήσει οὐδὲ θελήσει ἐγέννησε τὸν υἱὸν ὁ πατὴρ, ἀναθεματίζει ἡ ἁγία καὶ καθολικὴ ἐκκλησία· οὔτε γὰρ ἐξ οὐκ ὄντων τὸν υἱὸν λέγειν ἀσφαλὲς, ἐπεὶ μηδαμοῦ τοῦτο τῶν θεοπνεύστων γραφῶν φέρεται περὶ αὐτοῦ, οὔτε μὴν ἐξ ἑτέρας τινὸς ὑποστάσεως παρὰ τὸν πατέρα προϋποκειμένης, ἀλλ' ἐκ μόνου τοῦ Θεοῦ γνησίως αὐτὸν γεγεννῆσθαι διοριζόμεθα. ἓν γὰρ τὸ ἀγέννητον καὶ ἄναρχον τὸν Χριστοῦ πατέρα ὁ θεῖος διδάσκει λόγος. ἀλλ' οὐδὲ τὸ ἦν ποτὲ ὅτε οὐκ ἦν, ἐξ ἀγράφων ἐπισφαλῶς λέγοντας χρονικόν τι διάστημα προενθυμητέον αὐτοῦ, ἀλλὰ μόνον τὸν ἀχρόνως αὐτὸν γεγεννηκότα Θεόν· καὶ χρόνοι γὰρ καὶ αἰῶνες γεγόνασι δι' αὐτοῦ. οὔτε μὴν συνάναρχον καὶ συναγέννητον τὸν υἱὸν τῷ πατρὶ εἶναι νομιστέον· συνανάρχου γὰρ καὶ συναγεννήτου, οὐ δεῖς κυρίως πατὴρ ἢ υἱὸς λεχθήσεται. ἀλλὰ τὸν μὲν πατέρα μόνον ἄναρχον ὄντα καὶ ἀγέννητον γεγεννηκέναι ἀνεφίκτως καὶ πᾶσιν ἀκαταλήπτως οἴδαμεν· τὸν δὲ υἱὸν γεγεννῆσθαι πρὸ αἰώνων, καὶ μηκέτι ὁμοίως τῷ πατρὶ ἀγέννητον εἶναι καὶ αὐτὸν, ἀλλ' ἀρχὴν ἔχειν τὸν γεννήσαντα πατέρα· κεφαλὴ γὰρ Χριστοῦ ὁ Θεός. οὔτε μὴν τρία ὁμολογοῦντες πράγματα καὶ τρία πρόσωπα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος κατὰ τὰς γραφὰς, ἢ τρεῖς διατοῦτο τοὺς Θεοὺς ποιοῦμεν. ἐπειδὴ τὸν αὐτοτελῆ καὶ ἀγέννητον ἄναρχόν τε καὶ ἀόρατον Θεὸν, ἕνα μόνον οἴδαμεν, τὰ Θεὸν καὶ πατέρα τοῦ μονογενοῦς, τὸν μόνον μὲν ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχοντα, μόνον δὲ τοῖς ἄλλοις πᾶσιν ἀφθόνως τοῦτο χαριζόμενον· οὔτε μὴν ἕνα Θεὸν μόνον εἶναι λέγοντες τὸν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πατέρα τὸν μόνον ἀγέννητον, διὰ τοῦτο ἀρνούμεθα καὶ τὸν Χριστὸν Θεὸν εἶναι πρὸ αἰώνιον· ὁποῖοί εἰσιν οἱ ἀπὸ Παύλου τοῦ Σαμοσατέως, ὕστερον αὐτὸν μετὰ τὴν ἐνανθρώπησιν ἐκ προκοπῆς τεθεοποιῆσθαι λέγοντες, τῷ τὴν φύσιν ψιλὸν ἄνθρωπον γεγονέναι. οἴδαμεν γὰρ καὶ αὐτὸν εἰ καὶ ὑπο-

ὑποπεπτωκται τῷ παρὶ καὶ τῷ Θεῷ, ἀλλ' ὅμως πρὸ αἰώνων γεγεννῆσθαι ἐκ τοῦ Θεοῦ, Θεὸν κατὰ φύσιν τέλειον εἶναι καὶ ἀληθῆ, καὶ μὴ ἐξ ἀνθρώπων μετὰ ταῦτα Θεὸν, ἀλλ' ἐκ Θεοῦ ἀνανθρωπῆσαι δι' ἡμᾶς, καὶ μηδέποτε ἀπολωλεκότα τὸ εἶναι. βελτιούμεθα δὲ πρὸς τούτοις καὶ ἀναθεματίζομεν καὶ τοὺς λόγον μὲν μόνον αὐτὸν ψιλὸν τοῦ Θεοῦ καὶ ἀνύπαρκτον ἐπιπλάσεως καλοῦντας ἐν ἑτέρῳ τὸ εἶναι ἔχοντι, νυνὶ μὲν, ὡς τὸν προφορικὸν λεγόμενον ὑπό τινων, νῦν δὲ ὡς τὸν ἐνδιάθετον. Χριστὸν δὲ αὐτὸν, καὶ υἱὸν τοῦ Θεοῦ, καὶ μεσίτην, καὶ εἰκόνα τοῦ Θεοῦ μὴ εἶναι πρὸ αἰώνων θέλοντας, ἀλλ' ἐκ τοῦ Χριστὸν αὐτὸν γεγονέναι καὶ υἱὸν τοῦ Θεοῦ ἐξ οὗ τὸν ἡμέτερον ἐκ τῆς παρθένου σάρκα ἀνείληφε πρὸ πεντακοσίων ὅλων ἐτῶν· ἔκτοτε γὰρ τὸν Χριστὸν ἀρχὴν βασιλείας ἐληλέναι ἐθέλουσι· καὶ τέλος ἕξειν αὐτὴν μετὰ τὴν σωτέλειαν καὶ τὴν κρίσιν. τοιοῦτοι δέ εἰσιν, οἱ ἀπὸ Μαρκέλλου καὶ Φωτεινοῦ τῆς Ἀγκυρογαλατῶν, οἱ τὸν προαιώνιον ὕπαρξιν τοῦ Χριστοῦ, καὶ τὸν θεότητα, καὶ τὸν ἀτελεύτητον αὐτοῦ βασιλείαν ὁμοίως Ἰουδαίοις ἀθετοῦσιν, ἐπὶ προφάσει τοῦ συνίεσθαι δοκεῖν τῇ μοναρχίᾳ. ἴσμεν γὰρ αὐτὸν ἡμεῖς, οὐχ' ἁπλῶς λόγον προφορικὸν ἢ ἐνδιάθετον τοῦ Θεοῦ, ἀλλὰ ζῶντα Θεὸν, λόγον καθ' ἑαυτὸν ὑπάρχοντα καὶ υἱὸν Θεοῦ καὶ Χριστὸν, καὶ προγνωστικῶς συνόντα καὶ συνδιαβιβόντα πρὸ αἰώνων τῷ ἑαυτοῦ παρὶ, καὶ πρὸς πᾶσαν δημιουργίαν συμπαρόντα αὐτῷ τὴν δημιουργίαν εἴτε τῶν ὁρατῶν, εἴτε τῶν ἀοράτων. ἀλλ' ἐνυπόστατον ὄντα λόγον τοῦ παρὸς, καὶ Θεὸν ἐκ Θεοῦ. εἷς γάρ ἐστι πρὸς ὃν εἶπεν ὁ πατὴρ ὅτι ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, ὁ καὶ τοῖς παρὶ ἀρχαῖς αὐτοπροσώπως ὀφθεὶς δεδωκὼς τὸν νόμον, καὶ λαλήσας διὰ τῶν προφητῶν, καὶ τὸ τελεώτατον ἐνανθρωπήσας, καὶ τὸν ἑαυτοῦ πατέρα πᾶσιν ἀνθρώποις φανερώσας, καὶ βασιλεύων εἰς τοὺς ἀτελευτήτους αἰῶνας. οὐδὲν γὰρ πρόσφατον ὁ Χριστὸς προσείληφεν ἀξίωμα, ἀλλ' ἄνωθεν τέλειον αὐτὸν, καὶ τῷ παρὶ κατὰ πάντα ὅμοιον εἶναι πεπιστεύκαμεν· καὶ τοὺς λέγοντας δὲ τὸν αὐτὸν εἶναι πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματός τε καὶ προσώπου τὰ ἅγια ὀνόματα ἀσεβῶς ἐκλαμβάνοντας, εἰκότως ἀποκηρύττομεν τῆς ἐκκλησίας, ὅτι τὸν ἀχώρητον καὶ ἀπαθῆ πατέρα, χωρητὸν ἅμα καὶ παθητὸν διὰ τῆς ἐνανθρωπήσεως ὑποτίθενται. τοιοῦτοι γάρ εἰσιν οἱ Παῤῥοφασιανοὶ μὲν παρὰ Ρωμαίοις· Σαβελλιανοὶ δὲ καλούμενοι παρ' ἡμῖν. οἴδαμεν γὰρ ἡμεῖς τὸν μὲν ἀποστείλαντα πατέρα, ἐν τῷ οἰκείῳ τῆς ἀναλλοιώτου θεότητος ἤθει μεμενηκέναι, τὸν δὲ ἀποσταλέντα Χριστὸν τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν πεπληρωκέναι· ὁμοίως δὲ καὶ τοὺς ἐθελήσει ἐδὲ θελήσει γεγεννῆσθαι τὸν Χριστὸν εἰρηκότας ἀνελλαβῶς, ἀνάγκῃ δὲ δηλονότι ἀβούλητον καὶ ἀπροαίρετον πεπιστευκότας τῷ Θεῷ, ἵνα ἄκων γεννήσῃ τὸν υἱὸν, δυσεβεστάτους καὶ τῆς ἐκκλησίας ξένους γινώσκομεν· ὅτι τε παρὰ τὰς κοινὰς ἐννοίας περὶ Θεοῦ, καὶ δὴ καὶ παρὰ τὸ βούλημα τῆς θεοπνεύστου γραφῆς, τοιαῦτα τετολμήκασι περὶ αὐτοῦ διορίσασθαι. αὐτοκράτορα γὰρ ἡμεῖς τὸν Θεὸν καὶ κύριον αὐτὸν ἑαυτοῦ εἰδότες, ἐκουσίως αὐτὸν καὶ ἐθελοντὶ υἱὸν γεγεννηκέναι δυσσεβῶς ὑπειλήφαμεν. οἱ δὲ ἐμφόβως καὶ τὸ περὶ ἑαυτοῦ λεγόμενον· κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, οὐχ ὁμοίως αὐτὸν τοῖς δι' αὐτοῦ γενομένοις κτίσμασιν ἢ ποιήμασι γεγονέναι νοοῦμεν. ἀσεβὲς γὰρ καὶ τῆς ἐκκλησιαστικῆς πίστεως ἀλλότριον, τὰ τὸν κτίσμα, τοῖς δι' αὐτοῦ ἐκτισμένοις δημιουργήμασι παραβάλλειν· καὶ τὸν αὐτὸν τῆς γενέσεως τοῖς ἀλλοτρίοις τρόπον ἔχειν καὶ αὐτὸν νομίζειν. μόνον γὰρ καὶ μόνως τὸν μονογενῆ υἱὸν γεγεννῆσθαι γνησίως τε καὶ ἀληθῶς διδάσκουσιν ἡμᾶς αἱ θεῖαι γραφαί. ἀλλ' οὐδὲ τὸν υἱὸν καθ' ἑαυτὸν εἶναι, ζῆν τε καὶ ὑπάρχειν ὁμοίως τῷ παρὶ λέγοντες, διὰ τοῦτο χωρίζομεν αὐτὸν τοῦ παρὸς, τόπου καὶ διαστήματά τινα μεταξὺ τῆς σωματικῶς ἐπινοουμένης. πεπιστεύκαμεν γὰρ ἀμεσιτεύτως αὐτοὺς καὶ ἀδιαστάτως ἀλλήλοις ἐπισωρεύεσθαι, καὶ ἀχωρίστως ὑπάρχειν ἑαυτοῖς. ὅλον μὲν τοῦ παρὸς ἐνσερνισμένου τὸν υἱὸν, ὅλου δὲ τοῦ υἱοῦ ἐξηρτημένου καὶ προσπεφυκότος τῷ παρὶ, καὶ μόνου τοῖς παρῴοις κόλποις ὑπαναπαυομένου διηνεκῶς· πιστεύομεν ἓν εἰς τὴν παντέλειον τριάδα τῷ ἁγιωτάτῳ, τουτέστιν εἰς τὸν πατέρα, καὶ εἰς τὸν υἱὸν, καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, καὶ Θεὸν μὲν τὸν πατέρα λέγοντες, Θεὸν δὲ καὶ τὸν υἱὸν, οὐ δύο τούτους Θεοὺς, ἀλλ' ἓν ὁμολογοῦμεν τῆς θεότητος ἀξίωμα, καὶ μίαν ἀκεραιοῦσθαι τῆς βασιλείας τῷ συμφωνίαν· παντοκράτορος μὲν καθόλου τοῦ παντὸς πάντων, καὶ αὐτοῦ τοῦ υἱοῦ, τοῦ δὲ υἱοῦ ὑποτεταγμένου τῷ παρὶ. ἐκτὸς δὲ αὐτοῦ, πάντων τῶν μετ' αὐτὸν βασιλεύοντος τῆς δι' αὐτοῦ γενομένων, καὶ τὴν τοῦ ἁγίου πνεύματος χάριν, ἀφθόνως τοῖς ἁγίοις δωρουμένην παρικῷ βουλήματι. ὅπου γὰρ τὸν περὶ τῆς εἰς Χριστὸν μοναρχίας συνίεσθαι λόγον παρέδοσαν ἡμῖν οἱ ἱεροὶ λόγοι. ταῦτα ἠναγκάσθημεν μετὰ τοῦ ἐν ἐπιτομῇ προεκτεθεῖσαν πίστιν, πλατύτερον ἐπεξεργάσασθαι, οὐ κατὰ περιττὴν φιλοτιμίαν, ἀλλ' ἵνα πᾶσαν τοῦ κατὰ τὴν ἡμετέρας ὑπολήψεως ἀλλοτρίαν ἀνακαθάρωμεν ὑποψίαν, παρὰ τοῖς τὰ καθ' ἡμᾶς ἀγνοοῦσι· καὶ γνῶσιν οἱ κατὰ τοῦ δόσιν πάντες, ὁμοῦ μὲν τῆς συκοφαντίας τῆς ἑτεροδόξων τὴν ἀναίδειαν, ὁμοῦ δὲ τῆς ἀνατολικῶν τὸ ἐκκλησιαστικὸν ἐν κυρίῳ φρόνημα, μαρτυρούμενον ἀβιάστως ὑπὸ τῆς θεοπνεύστου γραφῶν παρ' αὐτοῖς διαστρόφως.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ τοῦ Σωνοδικοῦ.

ΚΩΝΣΤΑΝΤΟΣ γοῦν καὶ Ιουλίου διὰ τὸ ἅγιον σύμβολον τοῖς αὐτῷ συμμαχοῦντων σωίσουσιν, ἡ ἀληθὴς σωτήριος πίστις ἠυξάνετο. Οὗσιν καὶ φάλαγξ αἱρετικὴ πάλιν ἐν Ἀντιοχείᾳ κατὰ τοῦ θείου συμβόλου συῤῥέουσα, φωτεινὸν, καὶ Σαβέλλιον, καὶ Μάρκελλον Ἀγκύρας, ἀνεθεμάτισε· καὶ εἰς Ρώμην ὅρον ἐκτιθεμένη τῆς πίστεως ὑπεξαπέστειλεν. ὃν οἱ ἐσπέριοι καὶ Ιούλιος οὐ προσήκαντο.



Μιχ. Δαμασκηνοῦ, ὁ Ἅγ. Ἀντώνιος, 16ου αἰ.





Μ. Ὁσίου Λουκᾶ, ὁ Παντοκράτωρ, 11ου αἰ.





Πρωτᾶτον, Ἅγ. Εὐραίμ ὁ Σῦρος, 14ου αἰ.

ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΝ ΣΑΡΔΙΚΗ ΧΡΟΝΟΥ ΧΡΙΣΤΟΥ

347.

ΣΥΝΕΛΘΟΝΤΩΝ ΑΓΙΩΝ

καὶ μακαρίων πατέρων.

Η ΑΓΙΑ ΣΥΝΟΔΟΣΗ ΕΝ

Σαρδικῇ συγκροτηθεῖσα ἐκ διαφόρων ἐπαρχιῶν, ὥρισε τὰ ὑποτεταγμένα.

α.

ΟΣΙΟΣ ἐπίσκοπος πόλεως Κορδούβης εἶπεν. οὐ τοσοῦτον ἡ φαύλη συνήθεια, ὅσον ἡ βλαβερωτάτη τῶν πραγμάτων διαφθορὰ ἐξ αὐτῶν τῶν θεμελίων ἐστὶν ἐκριζωτέα· ἵνα μηδενὶ τῶν ἐπισκόπων ἐξῇ ἀπὸ πόλεως μικρᾶς εἰς ἑτέραν πόλιν μεθίστασθαι, ἡ γὰρ τῆς αἰτίας ταύτης πρόφασις φανερά ἐστι, δι' ἣν τὰ τοιαῦτα ἐπιχειρεῖται. οὐδεὶς γὰρ πώποτε εὑρεθῆναι ἐπισκόπων δεδύνηται, ὃς ἀπὸ μείζονος πόλεως εἰς ἐλαχιστοτέραν πόλιν ἐσπούδασε μεταστῆναι· ὅθεν συνέστηκε διαπύρῳ πλεονεξίας τρόπῳ ὑπεκκαίεσθαι τοὺς τοιούτους, καὶ μᾶλλον τῇ ἀλαζονείᾳ δουλεύειν, ὅπως ἐξουσίαν δοκοῖεν μείζονα κεκτῆσθαι. εἰ πᾶσι τοίνυν τοῦτο ἀρέσκει, ὥστε τὴν τοιαύτην σκαιότητα αὐστηρότερον ἐκδικηθῆναι; ἡγοῦμαι γὰρ μηδὲ λαϊκῶν ἔχειν τοὺς τοιούτους χρῆναι κοινωνίαν· πάντες οἱ ἐπίσκοποι εἶπον· ἀρέσκει πᾶσιν.

β'.

Ὅσιος ἐπίσκοπος εἶπεν. εἰ δέ τις τοιοῦτος εὑρίσκοιτο μανιώδης ἢ τολμηρὸς, ὡς περὶ τῶν τοιούτων δόξαι τινὰ φέρειν παραίτησιν, διαβεβαιούμενον ἀπὸ τοῦ πλήθους ἑαυτὸν κεκομίσθαι γράμματα· δῆλόν ἐστιν, ὀλίγους τινὰς δεδυνῆσθαι μισθῷ καὶ τιμήματι διαφθαρέντας ἐν τῇ ἐκκλησίᾳ στασιάζειν, ὡς δῆθεν ἀξιοῦντας τὸν αὐτὸν ἔχειν ἐπίσκοπον καθάπαξ οὖν τὰς ῥᾳδιουργίας τὰς τοιαύτας καὶ τέχνας κολαστέας εἶναι νομίζω, ὥστε μηδένα τοιοῦτον μηδὲ ἐν τῷ τέλει λαϊκῆς γοῦν ἀξιοῦσθαι κοινωνίας. εἰ τοίνυν ἀρέσκει ἡ γνώμη αὕτη, ἀποκρίνασθε. ἀπεκρίναντο· τὰ λεχθέντα ἤρεσεν.

γ'.

Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο προστεθῆναι ἀναγκαῖον, ἵνα μηδεὶς ἐπισκόπων ἀπὸ τῆς ἑαυτοῦ ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν, ἐν ᾗ τυγχάνουσιν ὄντες ἐπίσκοποι, διαβαίνῃ, εἰ μή τοι παρὰ τῶν ἀδελφῶν τῶν ἑαυτοῦ κληθείη. διὰ τὸ μὴ δοκεῖν ἡμᾶς τὰς τῆς ἀγάπης ἀποκλείειν πύλας. καὶ τοῦτο δὲ ὡσαύτως προνοητέον, ὥστε ἐὰν ἔντινι ἐπαρχίᾳ ἐπισκόπων τις ἄντικρυς ἀδελφοῦ ἑαυτοῦ καὶ συνεπισκόπου πρᾶγμα χοίη, μηδέτερον ἐκ τούτων ἀπὸ ἑτέρας ἐπαρχίας ἐπισκόπους ἐπιγνώμονας ἐπικαλεῖσθαι. εἰ δὲ ἄρα τις ἐπισκόπων ἔν τινι πράγματι δόξῃ κατακρίνεσθαι, καὶ ὑπολαμβάνει ἑαυτὸν μὴ σαθρὸν, ἀλλὰ καλὸν ἔχειν τὸ πρᾶγμα, ἵνα καὶ αὖθις ἡ κρίσις ἀνανεωθῇ· εἰ δοκεῖ ἡμῶν τῇ ἀγάπῃ Πέτρου τοῦ ἀποστόλου τὴν μνήμην τιμήσωμεν, καὶ γραφῆναι παρὰ τούτων τῶν κρινάντων Ἰουλίῳ τῷ ἐπισκόπῳ Ῥώμης, ὥστε διὰ τῶν γειτνιώντων τῇ ἐπαρχίᾳ ἐπισκόπων, εἰ δέοι, ἀνανεωθῆναι τὸ δικαστήριον, καὶ ἐπιγνώμονας αὐτὸς παράσχοι. εἰ δὲ μὴ συστῆναι δύναται τοιοῦτον αὐτοῦ εἶναι τὸ πρᾶγμα, ὡς παλινδικίας χρήζειν, τὰ ἅπαξ κεκριμένα μὴ ἀναλύεσθαι. τὰ δὲ ὄντα, βέβαια τυγχάνειν.

δ'.

Γαυδέντιος ἐπίσκοπος εἶπεν· εἰ δοκεῖ, ἀναγκαῖον προστεθῆναι ταύτῃ τῇ ἀποφάσει, ἣν τινα ἀγάπης εἰλικρινοῦς πλήρῃ ἐξενήνοχας, ὥστε ἐάν τις ἐπίσκοπος καθαιρεθῇ τῇ κρίσει τούτων τῶν ἐπισκόπων τῶν ἐν γειτνίᾳ τυγχανόντων, καὶ φάσκῃ πάλιν ἑαυτῷ ἀπολογίας πρᾶγμα ἐπιβάλλειν, μὴ πρότερον εἰς τὴν καθέδραν αὐτοῦ ἕτερον ὑποκαταστῆναι, ἐὰν μὴ ὁ τῆς Ῥωμαίων ἐπίσκοπος ἐπιγνοὺς περὶ τούτου, ὅρον ἐξενέγκῃ.

ε'.

Ὅσιος ἐπίσκοπος εἶπεν· ἤρεσεν, ἵν' εἴ τις ἐπίσκοπος καταγγελθείη, καὶ συναθρισθέντες οἱ ἐπίσκοποι τῆς ἐνορίας τῆς αὐτῆς, τοῦ βαθμοῦ αὐτὸν ἀποκινήσωσι. καὶ ὥσπερ ἐκκαλεσάμενος καταφύγῃ ἐπὶ τὸν μακαριώτατον τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον, καὶ βουληθείη αὐτοῦ

τοῦ διακοῦσαι, δίκαιόν τε εἶναι νομίσῃ ἀνανεώσασθαι αὐτοῦ τὴν ἐξέτασιν τοῦ πράγματος, γράφειν τούτοις τοῖς συνεπισκόποις καταξιώσῃ, τοῖς ἀγχιστεύουσι τῇ ἐπαρχίᾳ, ἵνα αὐτοὶ ἐπιμελῶς καὶ μετὰ ἀκριβείας ἕκαστα διερευνήσωσι, καὶ κατὰ τὴν τῆς ἀληθείας πίστιν, ψῆφον περὶ τοῦ πράγματος ἐξενέγκωσιν. Εἰ δέ τις ἀξιῶν καὶ πάλιν αὐτοῦ τὸ πρᾶγμα ἀκουσθῆναι, καὶ τῇ δεήσει, τῇ ἑαυτοῦ τὸν Ρωμαίων ἐπίσκοπον *δόξειεν, ἀπὸ τοῦ ἰδίου πλευροῦ πρεσβυτέρους ἀποστείλοι, * εἶναι ἐν τῇ ἐξουσίᾳ αὐτοῦ τοῦ ἐπισκόπου, ὅπερ ἂν καλῶς ἔχειν δοκιμάσῃ, * καὶ ὁρίσῃ δεῖν ἀποσταλῆναι τοὺς μετὰ τῶν ἐπισκόπων κρινοῦντας, ἔχοντάς τε τὴν αὐθεντίαν τούτου παρ' οὗ ἀπεστάλησαν· καὶ τοῦτο θετέον. εἰ δὲ ἐξαρκεῖν νομίσῃ πρὸς τὴν τοῦ πράγματος ἐπίγνωσιν, καὶ ἀπόφασιν τοῦ ἐπισκόπου, ποιήσει ὅπερ ἂν τῇ ἐμφρονεστάτῃ αὐτοῦ βουλῇ καλῶς ἔχειν δόξῃ. ἀπεκρίναντο οἱ ἐπίσκοποι· τὰ λεχθέντα ἤρεσεν.

* κινεῖν δόξῃ, ἵν' ἀπὸ
* ἵνα ἐν
* ἴσως, κἂν

ϛ'.

Ὅσιος ἐπίσκοπος εἶπεν· ἐὰν συμβῇ ἐν μιᾷ ἐπαρχίᾳ ἐν ᾗ πλεῖστοι ἐπίσκοποι τυγχανούσιν, ἕνα ἐπίσκοπον ἀπομεῖναι, κἀκεῖνος κατά τινα ἀμέλειαν μὴ βουληθῇ συνελθεῖν καὶ συναινέσαι τῇ καταστάσει τῶν ἐπισκόπων, τὰ δὲ πλήθη συναθροισθήντα παρακαλοῖεν γίγνεσθαι τὴν κατάστασιν τοῦ παρ' αὐτῶν ἐπιζητουμένου ἐπισκόπου. χρὴ πρότερον ἐκεῖνον τὸν ἐναπομείναντα ἐπίσκοπον ὑπομιμνήσκεσθαι διὰ γραμμάτων τοῦ ἐξάρχου τῆς ἐπαρχίας, λέγω δὴ τοῦ ἐπισκόπου τῆς μητροπόλεως, ὅτι ἀξιοῖ τὰ πλήθη ποιμένα αὐτοῖς δοθῆναι· ἡγοῦμαι καλῶς ἔχειν καὶ τοῦτον ἐκδέχεσθαι, ἵνα παραγένηται. εἰ δὲ μὴ διὰ γραμμάτων ἀξιωθεὶς παραγένηται, μήτε μὴν ἀντιγράφοι, τὸ ἱκανὸν τῇ βουλήσει τοῦ πλήθους χρὴ γενέσθαι. χρὴ δὲ καὶ μετακαλεῖσθαι καὶ τοὺς ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας ἐπισκόπους πρὸς τὴν κατάστασιν τοῦ τῆς μητροπόλεως ἐπισκόπου· μὴ ἐξεῖναι δὲ ἁπλῶς καθιστᾶν ἐπίσκοπον ἐν κώμῃ τινὶ ἢ βραχείᾳ πόλει, ᾗ τινι καὶ εἷς μόνος πρεσβύτερος ἐπαρκεῖ. οὐκ ἀναγκαῖον γὰρ ἐπισκόπους ἐκεῖσε καθίστασθαι, ἵνα μὴ κατευτελίζηται τὸ τοῦ ἐπισκόπου ὄνομα καὶ ἡ αὐθεντία. ἀλλ' οἱ τῆς ἐπαρχίας, ὡς προεῖπον, ἐπίσκοποι ἐνταύταις ταῖς πόλεσι καθιστᾶν ἐπισκόπους ὀφείλουσιν, ἔνθα καὶ πρότερον ἐτύγχανον γεγονότες ἐπίσκοποι. εἰ δὲ εὑρίσκοιτο οὕτως πληθύνουσά τις ἐν πολλῷ ἀριθμῷ λαοῦ πόλις, ὡς ἀξίαν αὐτὴν καὶ ἐπισκοπῆς νομίζεσθαι, λαμβανέτω. εἰ πᾶσιν ἀρέσκει τοῦτο; ἀπεκρίναντο πάντες, ἀρέσκει.

ζ'.

Ὅσιος ἐπίσκοπος εἶπεν· ἡ ἀκαιρία ἡμῶν, καὶ ἡ πολλὴ συνέχεια, καὶ αἱ ἄδικοι ἀξιώσεις πεποιήκασιν ἡμᾶς μὴ τοσαύτην ἔχειν χάριν καὶ παῤῥησίαν, ὅσην ὀφείλομεν κεκτῆσθαι. πολλοὶ γὰρ τῶν ἐπισκόπων οὐδιαλείπουσιν εἰς τὸ στρατόπεδον παραγενόμενοι, καὶ μάλιστα οἱ Ἄφροι· οἵ τινες, καθὼς ἔγνωμεν παρὰ τοῦ ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου Γράτου, τὰς σωτηριώδεις συμβουλὰς οὐ παραδέχονται, ἀλλὰ καταφρονοῦσιν οὕτως, ὡς ἕνα ἄνθρωπον εἰς τὸ στρατόπεδον πλείστας καὶ διαφόρους καὶ μὴ δυναμένας ὠφελῆσαι τὰς ἐκκλησίας, δεήσεις διακομίζειν, καὶ μὴ ὡς ὀφείλει γίνεσθαι, καὶ ὡς προσῆκόν ἐστι, τοῖς πένησι καὶ τοῖς λαϊκοῖς, ἢ ταῖς χήραις συναίρεσθαι καὶ ἐπικουρεῖν, ἀλλὰ κοσμικὰ ἀξιώματα καὶ πράξεις περινοεῖν τισίν. αὕτη τοίνυν ἡ σκαιότης τὸν θραυσμὸν οὐκ ἄνευσκανδάλου τινὸς ἡμῖν καὶ καταγνώσεως προξενεῖ. πρεπωδέστερον δὲ εἶναι ἐνόμισα ἐπίσκοπον τὴν ἑαυτοῦ βοήθειαν παρέχειν ἐκείνῳ, ὅστις ἂν ὑπό τινος βιάζηται, ἢ εἴ τις τῶν χηρῶν ἀδικοῖτο, ἢ αὖ πάλιν ὀρφανός τις ἀποστεροῖτο τῶν αὐτῷ προσηκόντων, εἴπερ ἄρα καὶ ταῦτα τὰ ὀνόματα δικαίαν ἔχει τὴν ἀξίωσιν. εἰ τοίνυν, ἀγαπητοὶ ἀδελφοί, πᾶσι τοῦτο δοκεῖ, ἐπικρίνατε μηδένα ἐπίσκοπον χρῆναι εἰς τὸ στρατόπεδον παραγίνεσθαι, παρεκτὸς τούτων, οὓς ἂν ὁ εὐλαβέστατος βασιλεὺς ἡμῶν τοῖς ἑαυτοῦ γράμμασι μετακαλοῖτο. ἀλλ' ἐπειδὴ πολλάκις συμβαίνει τινὰς οἴκτου δεομένους καταφυγεῖν ἐπὶ τὴν ἐκκλησίαν, διὰ τὰ ἑαυτῶν ἁμαρτήματα εἰς περιορισμὸν ἢ νῆσον καταδικασθέντας, ἢ δ' αὖ πάλιν οἱαδηποτοῦν ἀποφάσει ἐκδεδομένους· τοῖς τοιούτοις μὴ ἀρνητέαν εἶναι τὴν βοήθειαν, ἀλλὰ χωρὶς μελησμοῦ καὶ ἄνευ τοῦ διστάσαι τοῖς τοιούτοις αἰτεῖσθαι συγχώρησιν. εἰ τοίνυν καὶ τοῦτο ἀρέσκει, σύμψηφοι γίνεσθαι ἅπαντες. ἀπεκρίναντο ἅπαντες· ὁριζέσθω καὶ τοῦτο.

η'.

Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο ἡ ἀγχίνοια ὑμῶν κρινάτω, ἵν' ἐπειδὴ ἔδοξε, διὰ τὸ μὴ πίπτειν ὑπὸ κατάγνωσίν τινα τῶν ἐπισκόπων ἀφικνούμενον εἰς τὸ στρατόπεδον, εἴ τινες αὐτῶν τοιαύτας ἔχοιεν δεήσεις, οἵων ἐπάνω ἐπεμνήσθημεν, διὰ ἰδίου διακόνου ἀποστέλλοιεν. τοῦτο γὰρ ὑπηρέτου τὸ πρόσωπον οὐκ ἐπίφθονον τυγχάνει, καὶ τὰ παρασχεθησόμενα θᾶττον διακομισθῆναι δυνήσεται. ἀπεκρίναντο πάντες. καὶ τοῦτο ὁριζέσθω.

θ'.

Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο ἀκόλουθον νομίζω εἶναι, ἵνα ἐὰν ἐν οἱαδηποτοῦν ἐπαρχίᾳ ἐπίσκοποι πρὸς ἀδελφὸν καὶ συνεπίσκοπον ἑαυτῶν ἀποστέλλοιεν δεήσεις, ὁ ἐν τῇ μείζονι τυγχάνων πόλει, τοῦτ' ἔστι τῇ μητροπόλει, αὐτὸς καὶ τὸν διάκονον αὐτοῦ καὶ τὰς δεήσεις ἀποστέλλοι, παρέχων αὐτῷ καὶ συστατικὰς ἐπιστολὰς, γράφων δηλονότι κατὰ ἀκολουθίαν καὶ πρὸς τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, εἴ τινες ἐν ἐκείνῳ τῷ καιρῷ ἐν τοῖς τόποις ἢ ἐν ταῖς πόλεσι διάγοιεν, ἐν αἷς ὁ εὐσεβέστατος βασιλεὺς τὰ δημόσια πράγματα διακυβερνᾷ. εἰ δὲ ἔχοι τις τῶν ἐπισκόπων φίλους ἐν τῇ αὐλῇ τοῦ παλατίου, καὶ βούλοιτο περὶ τινος, ὅπερ πρεπωδέστερον εἴη, ἀξιῶσαι, μὴ κωλύοιτο διὰ τοῦ ἑαυτοῦ διακόνου καὶ ἀξιῶσαι καὶ ἐντείλασθαι τούτοις, ὥστε τὴν αὐτῶν ἀγαθὴν βοήθειαν ἀξιοῦντι αὐτῷ παρέχειν. οἱ

δὲ

δὲ εἰς Ρώμην παραγινόμενοι, καθὼς προείρηκα, τῷ ἀγαπητῷ ἀδελφῷ ἡμῶν καὶ συνεπισκόπῳ Ιουλίῳ τὰς δεήσεις, ἃς ἔχοιεν διδόναι, ὀφείλουσι παρέχειν, ἵνα πρότερος αὐτὸς δοκιμάζῃ, εἰ μή τινες ἐξ αὐτῶν ἀ αἰσχυντοῖεν. καὶ οὕτως τὴν ἑαυτοῦ προστασίαν καὶ φροντίδα παρέχων, εἰς τὸ στρατόπεδον αὐτοὺς ἀποστέλλοι. ἅπαντες οἱ ἐπίσκοποι ἀπεκρίναντο, ἀρέσκειν αὐτοῖς, καὶ πρεπωδεστάτην εἶναι τὴν συμβουλὴν ταύτην.

ι.

Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο ἀναγκαῖον εἶναι νομίζω, ἵνα μετὰ πάσης ἀκριβείας καὶ ἐπιμελείας ἐξετάζοιτο, ὥστε ἐάν τις πλούσιος, ἢ σχολαστικὸς ἀπὸ τῆς ἀγορᾶς ἀξιοῖτο ἐπίσκοπος γίνεσθαι, μὴ πρότερον καθίστασθαι, ἐὰν μὴ καὶ ἀναγνώστου, καὶ διακόνου, καὶ πρεσβυτέρου ὑπηρεσίαν ἐκτελέσῃ· ἵνα καθ' ἕκαστον βαθμὸν, ἐάν περ ἄξιος νομισθείη, εἰς τὴν ἀψίδα τῆς ἐπισκοπῆς κατὰ προκοπὴν διαβῆναι δυνηθείη. ἕξει δὲ ἑκάστου τάγματος ὁ βαθμὸς οὐκ ἐλαχίστου δηλονότι χρόνου μῆκος, δι' οὗ ἡ πίστις αὐτοῦ, καὶ ἡ τῶν τρόπων καλοκαγαθία, καὶ ἡ στερρότης, καὶ ἡ ἐπιείκεια γνώριμος γενέσθαι δυνήσεται· καὶ αὐτὸς ἄξιος τῆς θείας ἱερωσύνης νομισθεὶς τῆς μεγίστης * ἀπολαῦσαι τιμῆς. οὔτε γὰρ προσῆκόν ἐστιν, οὔτε ἡ ἐπιστήμη, οὔτε ἡ ἀγαθὴ ἀναστροφὴ ἐπιδέχεται, τολμηρῶς καὶ κούφως ἐπὶ τοῦτο ἰέναι, ὥστε ἢ ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον προχείρως καθίστασθαι. οὕτω γὰρ ἂν εἰκότως νεόφυτος νομισθείη, ἐπειδὴ μάλιστα καὶ ὁ μακαριώτατος ἀπόστολος, ὃς καὶ τῶν ἐθνῶν γεγένηται διδάσκαλος, φαίνεται κωλύσας ταχείας γίνεσθαι τὰς καταστάσεις. τοῦ γὰρ μηκίστου χρόνου ἡ δοκιμασία τὴν ἀναστροφὴν καὶ τὸν ἑκάστου τρόπον οὐκ ἀπεικότως ἐκτυποῦν δυνήσεται. ἅπαντες εἶπον ἀρέσκειν αὐτοῖς, καὶ καθάπαξ μὴ δεῖν ἀνατρέπειν ταῦτα.

* al. ἀπολαύσει.

ια.

Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο δὲ ὁρίσαι ὀφείλομεν, ἵνα ἐπίσκοπος, ὅταν ἐξ ἑτέρας πόλεως παραγένηται εἰς ἑτέραν πόλιν, ἢ ἀπὸ ἑτέρας ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν, κόμπου χάριν ἐγκωμίοις οἰκείοις ὑπηρετούμενος, ἢ θρησκείας καθοσιώσει, καὶ πλείονα χρόνον βούλοιτο διάγειν, καὶ μὴ ὁ τῆς πόλεως ἐκείνης ἐπίσκοπος ἔμπειρος ᾖ διδασκαλίας· μὴ καταφρονῇ ἐκείνου, καὶ συνεχέστερον ὁμιλῇ, καταισχύνειν καὶ κατευτελίζειν τὸ πρόσωπον τοῦ αὐτόθι ἐπισκόπου σπουδάζων. αὕτη γὰρ ἡ πρόφασις εἴωθε ταράχους ποιεῖν· καὶ ἐκ τῆς τοιαύτης πανουργίας τὴν ἀλλοτρίαν καθέδραν ἑαυτῷ προμνηστεύεσθαι, καὶ παρασπᾶσθαι σπουδάζῃ, μὴ διστάζων τὴν αὐτῷ παραδοθεῖσαν ἐκκλησίαν καταλιμπάνειν, καὶ εἰς ἑτέραν μεθίστασθαι. ὁριστέον τοίνυν ἐπὶ τούτῳ χρόρον· ἐπειδὴ καὶ τὸ μὴ ὑποδέχεσθαι ἐπίσκοπον, τῶν ἀπανθρώπων καὶ σκαιῶν εἶναι νενόμισται. μέμνησθε δὲ καὶ ἐν τῷ προάγοντι χρόνῳ τοὺς πατέρας ἡμῶν κεκρικέναι, ἵνα εἴ τις λαϊκὸς ἐν πόλει διάγων, τρεῖς κυριακὰς ἡμέρας ἐν τρισὶν ἑβδομάσι μὴ συνέρχοιτο, ἀποκινοῖτο τῆς κοινωνίας. εἰ τοίνυν περὶ τῶν λαϊκῶν τοῦτο τεθέσπισται, οὐ χρὴ, οὐδὲ πρέπει, ἀλλ' οὐδὲ συμφέρει, ἐπίσκοπον, εἰ μηδεμίαν βαρυτέραν ἀνάγκην ἔχοι, ἢ πρᾶγμα δυσχερὲς, ἐπιπλεῖστον ἀπολείπεσθαι τῆς ἑαυτοῦ ἐκκλησίας, καὶ * λυπεῖν τὸν ἐμπεπιστευμένον αὐτῷ λαόν. ἅπαντες οἱ ἐπίσκοποι εἰρήκασι· καὶ ταύτην τὴν γνώμην σφόδρα εἶναι πρεπωδεστάτην ὁριζόμεθα.

* al. λυπεῖν.

ιβ'

Ὅσιος ἐπίσκοπος εἶπεν. ἐπειδὴ οὐδέν ἐστι παραλειπτέον, καὶ τοῦτο ὁρισθήτω. τινὲς τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἐν ταῖς πόλεσιν, ἐν αἷς ἐπίσκοποι καθίστανται, δοκοῦσι κεκτῆσθαι σφόδρα ὀλίγα ὑπάρχοντα ἴδια· ἐν ἑτέροις δὲ τόποις κτήσεις μεγάλας, ἐξ ὧν καὶ ἐπικουρεῖν δυνατοί εἰσι τοῖς πένησιν. οὕτως οὖν αὐτοῖς συγχωρητέον εἶναι κρίνω, ἵνα εἰ μέλοιεν εἰς τὰς ἑαυτῶν παραγίνεσθαι κτήσεις, καὶ τὴν συγκομιδὴν τῶν καρπῶν ποιεῖσθαι, τρεῖς κυριακὰς ἡμέρας, τοῦτ' ἔστι, τρεῖς ἑβδομάδας ἐν τοῖς ἑαυτῶν κτήμασιν αὐτοὺς διάγειν, καὶ ἐν τῇ ἀγχιστεύουσῃ ἐκκλησίᾳ, ἐν ᾗ πρεσβύτερος συνάγοι, ὑπὲρ τοῦ μὴ χωρὶς συνελεύσεως αὐτὸν δοκεῖν εἶναι, συνέρχεσθαι καὶ λειτουργεῖν, καὶ μὴ συνεχέστερον εἰς τὴν πόλιν, ἐν ᾗ ἐστιν ἐπίσκοπος, παραγίγνοιτο. τοῦτον γὰρ τὸν τρόπον καὶ τὰ οἰκεῖα αὐτοῦ πράγματα παρὰ τὴν αὐτοῦ ἀπουσίαν οὐδεμίαν ὑπομενεῖ ζημίαν, καὶ τὸ τῆς ἀλαζονείας καὶ τοῦ τύφου ἐκκλίνειν δόξει ἔγκλημα. ἅπαντες οἱ ἐπίσκοποι εἶπον. ἀρέσκει καὶ αὕτη ἡ διατύπωσις.

ιγ'.

Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο πᾶσιν ἀρεσάτω, ἵνα εἴ τις διάκονος, ἢ πρεσβύτερος, ἢ καί τις τῶν κληρικῶν ἀκοινώνητος γένηται, καὶ πρὸς ἕτερον ἐπίσκοπον τὸν εἰδότα αὐτὸν καταφύγοι, γινώσκοντα ἀποκεκινῆσθαι αὐτὸν τῆς κοινωνίας παρὰ τοῦ ἰδίου ἐπισκόπου, μὴ χρῆναι τῷ ἐπισκόπῳ καὶ ἀδελφῷ αὐτοῦ ὕβριν ποιοῦντα παρέχειν αὐτῷ κοινωνίαν. εἰ δὲ τολμήσοι τις τοῦτο ποιῆσαι, γινωσκέτω συνελθόντων ἐπισκόπων ἀπολογίᾳ ἑαυτὸν ὑπεύθυνον καθιστάναι. ἅπαντες οἱ ἐπίσκοποι εἶπον· αὕτη ἡ κρίσις καὶ τὴν εἰρήνην πάντοτε διαφυλάξει, καὶ διατηρήσει τὴν πάντων ὁμόνοιαν.

ιδ'.

Ὅσιος ἐπίσκοπος εἶπε· τὸ δὲ πάντοτέ με κινοῦν ἀποσιωπῆσαι οὐκ ὀφείλω. εἴ τις ἐπίσκοπος ὀξύχολος εὑρίσκοιτο· ὅπερ οὐκ ὀφείλει ἐν τοιούτῳ ἀνδρὶ πολιτεύεσθαι· καὶ ταχέως ἀντικρὺ πρεσβυτέρου ἢ διακόνου κινηθεὶς ἐκβαλεῖν ἐκκλησίας * αὐτὸν ἐθελήσοι· προνοητέον ἐστὶ μὴ * ἀθρόον τὸν τοιοῦτον κατακρίνεσθαι, καὶ τῆς κοινωνίας ἀποστερεῖσθαι. πάντες εἰρήκασιν· ὁ ἐκβαλλόμενος ἐχέτω ἐξουσίαν ἐπὶ τὸν ἐπίσκοπον τῆς μητροπόλεως τῆς αὐτῆς ἐπαρχίας καταφυγεῖν· εἰ δὲ ὁ τῆς μητροπόλεως ἄπεστιν,

* al. κινεῖ.

* al. ἀθρόον.

ἐπὶ

ἐπὶ τὸν πλησιόχωρον καταστρέχειν, καὶ ἀξιοῦν, ἵνα μετὰ ἀκριβείας αὐτοῦ ἐξετάζηται τὸ πρᾶγμα. οὐ χρὴ γὰρ μὴ ὑπέχειν τὰς ἀκοὰς τοῖς ἀξιοῦσι. κἀκεῖνος δὲ ὁ ἐπίσκοπος ὁ δικαίως ἢ ἀδίκως ἐκβαλὼν τὸν τοιοῦτον, γενναίως φέρειν ὀφείλει, ἵνα ἡ ἐξέτασις τοῦ πράγματος γένηται· καὶ ἢ κυρωθῇ αὐτοῦ ἡ ἀπόφασις, ἢ διορθώσεως τύχη πρὶν δὲ ἐπιμελῶς καὶ μετὰ πίστεως ἕκαστα ἐξετασθῇ, ὁ μὴ ἔχων τὴν κοινωνίαν, πρὸ τῆς διαγνώσεως τοῦ πράγματος, ἑαυτῷ οὐκ ὀφείλει ἐκδικεῖν τὴν κοινωνίαν. ἐὰν δὲ συνεληλυθότες τῶν κληρικῶν τινὲς, κατίδωσι τὴν ὑπεροψίαν καὶ τὴν ἀλαζονείαν αὐτοῦ· ἐπειδὴ οὐ προσῆκόν ἐστιν ὕβριν ἢ μέμψιν ἄδικον ὑπομένειν, πικροτέροις καὶ βαρυτέροις ῥήμασιν ἐπιστρέφειν τὸν τοιοῦτον ὀφείλουσιν, ἵνα τῷ τὰ πρέποντα κελεύοντι ὑπηρετῶνται καὶ ὑπακούωσιν. ὥσπερ γὰρ ὁ ἐπίσκοπος τοῖς ὑπηρέταις εἰλικρινῆ ὀφείλει τὴν ἀγάπην καὶ τὴν διάθεσιν παρέχειν, τὸν αὐτὸν τρόπον καὶ οἱ ὑποτεταγμένοι * ἄδολα τοῖς ἐπισκόποις τὰ τῆς ὑπηρεσίας ἐκτελεῖν ὀφείλουσιν.

* ἀρίδηλα.

ιέ.

Ὅσιος ἐπίσκοπος εἶπε. καὶ τοῦτο δὲ πάντες ὁρίσωμεν, ἵνα εἴ τις ἐπίσκοπος ἐξ ἑτέρας παροικίας βουληθῇ ἀλλότριον ὑπηρέτην, χωρὶς τῆς συγκαταθέσεως τοῦ ἰδίου ἐπισκόπου, εἴς τινα βαθμὸν καταστῆσαι, ἄκυρος καὶ ἀβέβαιος ἡ κατάστασις ἡ τοιαύτη νομίζοιτο. εἴ τινες δ' ἂν τοῦτο ἑαυτοῖς ἐπιτρέψειαν, παρὰ τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν καὶ ὑπομιμνήσκεσθαι καὶ διορθοῦσθαι ὀφείλουσιν. ἅπαντες εἰρήκασι· καὶ οὗτος ὁ ὅρος * στήτω ἀσάλευτος.

* στηκέτω.

ιϛ'.

Ἀέτιος ἐπίσκοπος εἶπεν· οὐκ ἀγνοεῖτε ὁποία καὶ πηλίκη τυγχάνει ἡ τῶν Θεσσαλονικέων μητρόπολις. πολλάκις τοιγαροῦν εἰς αὐτὴν ἀπὸ ἑτέρων ἐπαρχιῶν πρεσβύτεροι καὶ διάκονοι παραγίνονται, καὶ οὐκ ἀρκούμενοι βραχέος διαγωγῇ χρόνου, ἐναπομένουσι, καὶ ἅπαντα τὸν χρόνον αὐτόθι ποιοῦντες διατελοῦσιν. ἢ μόλις μετὰ πλεῖστον χρόνον εἰς τὰς ἑαυτῶν ἐπανιέναι ἐκκλησίας ἀναγκάζονται. περὶ τούτων οὖν ὁριστέον. Ὅσιος ἐπίσκοπος εἶπεν· οὗτοι οἱ ὅροι, οἱ καὶ ἐπὶ τῶν ἐπισκόπων ὡρισμένοι, φυλαττέσθωσαν καὶ ἐπὶ τούτων τῶν προσώπων.

ιζ'.

Ὑποβάλλοντος καὶ τοῦ ἀδελφοῦ ἡμῶν Ὀλυμπίου, καὶ τοῦτο ἤρεσεν, ἵνα εἴ τις ἐπίσκοπος βίαν ὑπομείνας ἀδίκως ἐκβληθῇ, ἢ διὰ τὴν ἐπιστήμην, ἢ διὰ τὴν ὁμολογίαν τῆς καθολικῆς ἐκκλησίας, ἢ διὰ τὴν τῆς ἀληθείας ἐκδικίαν, καὶ φεύγων τὸν κίνδυνον, ἀθῷος καὶ καθωσιωμένος ὢν εἰς ἑτέραν ἔλθοι πόλιν, μὴ κωλυέσθω ἐκεῖ ἐπὶ τοσοῦτον διάγειν, ἕως ἂν ἐπανέλθῃ, ἢ τῆς ὕβρεως τῆς γεγενημένης αὐτῷ ἀπαλλαγὴν εὑρέσθαι δυνηθῇ. σκληρὸν γὰρ καὶ βαρύτατον, ἐλασίαν ἄδικον ὑπομεμενηκότα μὴ ὑποδέχεσθαι ὑφ' ἡμῶν, πλείστῃ γὰρ καλοκἀγαθίᾳ καὶ φιλοφρονήσει ὀφείλει παραδέχεσθαι ὁ τοιοῦτος. πάντες εἰρήκασιν. ἤρεσε καὶ τοῦτο.

ιη'.

Γαυδέντιος ἐπίσκοπος εἶπεν· οἶδας ἀδελφὲ Ἀέτιε, ὡς τὸ τηνικαῦτά ποτε κατασταθέντος σου ἐπισκόπου, ἡ εἰρήνη λοιπὸν ἐβράβευσεν, ἵνα μή τινα λείψανα διχονοίας περὶ τῶν ἐκκλησιαστικῶν ἐναπομείνῃ· ἔδοξε καὶ τοὺς παρὰ Μουσαίου κατασταθέντας, καὶ τοὺς παρὰ Εὐτυχιανοῦ, ἐπειδὴ αὐτῶν οὐδεμία αἰτία εὑρίσκοιτο, πάντας ὑποδεχθῆναι.

ιθ'.

Ὅσιος ἐπίσκοπος εἶπε· τῆς ἐμῆς μετριότητος ἡ ἀπόφασίς ἐστιν αὕτη· ἐπειδὴ ἥσυχοι καὶ ὑπομονητικοὶ ὀφείλομεν εἶναι, καὶ διαρκῆ τὸν πρὸς πάντας ἔχειν οἶκτον, ἅπαξ τοὺς εἰς κλῆρον ἐκκλησιαστικὸν προαχθέντας ὑπό τινων ἀδελφῶν ἡμῶν, ἐὰν μὴ βούλοιντο ἐπανέρχεσθαι εἰς ἃς κατωνομάσθησαν ἐκκλησίας, τοῦ λοιποῦ μὴ ὑποδέχεσθαι. Εὐτυχιανὸν δὲ μήτε ἐπισκόπου ἑαυτῷ διεκδικεῖν ὄνομα· ἀλλ' οὐδὲ Μουσαῖον ὡς ἐπίσκοπον νομίζεσθαι. εἰ δὲ λαϊκὴν κοινωνίαν ἀπαιτοῖεν, μὴ χρῆναι αὐτοῖς ἀρνεῖσθαι. πάντες εἶπον· ἀρέσκει.

κ'.

Γαυδέντιος ἐπίσκοπος εἶπε· ταῦτα σωτηριωδῶς καὶ ἀκολούθως ὁρισθέντα, καὶ πρεπόντως τῇ ἐπιτιμίᾳ ἡμῶν τῶν ἱερέων, καὶ Θεῷ ἀρέσαντα καὶ ἀνθρώποις, τὴν δύναμιν καὶ τὴν ἰσχὺν ἑαυτῶν κατασχεῖν οὐ δυνήσονται· ἐὰν μὴ καὶ φόβος ταῖς ἐξενεχθείσαις ἀποφάσεσιν ἀκολουθήσῃ. ἴσμεν γὰρ καὶ αὐτοὶ, πλεονάκις διὰ τὴν ὀλίγων ἀναισχυντίαν τὸ θεῖον καὶ σεβασμιώτατον ὄνομα τῆς ἱερωσύνης εἰς κατάγνωσιν ἐληλυθέναι. εἰ τοίνυν τις παρὰ τὰ πᾶσι δόξαντα τολμήσοι, σπουδάζων τύφῳ μᾶλλον καὶ ἀλαζονείᾳ, ἢ τῷ Θεῷ ἀρέσαι, ἕτερόν τι διαπράξασθαι· ἤδη γινωσκέτω ἐγκλήματι ἀπολογίας ἑαυτὸν ὑπεύθυνον * καθιστᾶν, καὶ τὴν τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἀποβάλλειν. ἅπαντες ἀπεκρίναντο, πρέπει, καὶ ἀρέσκει ἡμῖν ἡ τοιαύτη γνώμη.

* al. καθίστασθαι.

Καὶ τοῦτο δὲ ἐκεῖθεν μάλιστα γνώριμον γενήσεται, καὶ πληρωθήσεται, ἐὰν ἕκαστος ἡμῶν τῶν ἐν ταῖς παρόδοις ἤτοι καναλίῳ καθεστώτων ἐπισκόπων, θεασάμενος ἐπίσκοπον, ἐπιζητοίη τὴν αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν ποιεῖται. καὶ ἐὰν μὲν εὕρῃ αὐτὸν ἐπὶ τὸ στρατόπεδον ἀπιόντα, ἐπιζητήσει τὰς αἱρέσεις τὰς ἐπάνω προκειμένας. κἂν κεκλημένος ἀφικνῆται, ἀπιόντι αὐτῷ μηδὲν ἐμπόδιον γίγνοιτο· εἰ δὲ ἐπιδείξεως χάριν, καθὼς προείρηται τῇ ὑμετέρᾳ ἀγάπῃ, ἢ διά τινων ἀξιώσεις σπουδάζοι ἐπὶ τὸ στρατόπεδον, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογράφειν, μήτε κοινωνεῖν τῷ τοιούτῳ. ἅπαντες εἶπον. ὁριζέσθω καὶ τοῦτο.

ΕΠΙ-

ΕΠΙΣΤΟΛΗ ΤΗΣ ΕΝ ΣΑΡΔΙΚΗ,

Συναχθείσης συνόδου, τῇ ἐκκλησίᾳ

Ἀλεξανδρέων.

Ἀθάν. ἀπολογ. β'. Ἡ ἁγία σύνοδος ἡ κατὰ Θεοῦ χάριν ἐν Σαρδικῇ συναχθεῖσα, ἀπὸ Ῥώμης, καὶ Σπανιῶν, Γαλλιῶν, Ἰταλίας, Ἀφρικῆς, Σαρδινίας, Παννονιῶν, Μυσιῶν, Δακίας, Νωρίκου, Τουσκίας, Δαρδανίας, ἄλλης Δακίας, Μακεδονίας, Θεσσαλίας, Ἀχαΐας, Ἠπείρων, Θράκης, καὶ Ῥοδόπης, καὶ Παλαιστίνης, καὶ Ἀραβίας, καὶ Κρήτης, καὶ Αἰγύπτου, πρεσβυτέροις, καὶ διακόνοις, καὶ πάσῃ τῇ ἁγίᾳ ἐκκλησίᾳ τοῦ Θεοῦ, τῇ ἐν Ἀλεξανδρείᾳ παροικούσῃ, ἀγαπητοῖς ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν.

ΚΑΙ πρὶν μὲν λαβεῖν ἡμᾶς τὰ γράμματα τῆς εὐλαβείας ὑμῶν, οὐκ ἠγνοοῦμεν, ἀλλὰ καὶ φανερὸν ἡμῖν ἦν, ὡς ὅτι οἱ τῆς δυσωνύμου τῶν Ἀρειανῶν αἱρέσεως προστάται πολλὰ καὶ δεινὰ, μᾶλλον δὲ καὶ ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν ψυχῆς, ἢ κατὰ τῆς ἐκκλησίας ἐμηχανῶντο. αὕτη γὰρ ἦν αὐτῶν ἡ τέχνη καὶ πανουργία, ταύτης ἀεὶ τῆς θανατηφόρου γεγόνασι προθέσεως, ὅπως πάντας τοὺς ὁποιδήποτε τυγχάνοντας τῆς ὀρθῆς δόξης, καὶ τὴν τῆς καθολικῆς ἐκκλησίας διδασκαλίαν κατέχοντας, τὴν παρὰ τῶν πατέρων αὐτοῖς παραδοθεῖσαν, σπουδάζειν ἐλαύνειν καὶ διώκειν· τοὺς μὲν γὰρ πλαστοῖς ἐγκλήμασιν ὑπέβαλλον, ἄλλους εἰς ἐξορισμὸν ἀπέστελλον, ἄλλους ἐν αὐταῖς ταῖς τιμωρίαις κατεπόνουν· ἀμέλει καὶ τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν Ἀθανασίου τὴν καθαρότητα βίᾳ καὶ τυραννίδι συλλαβέσθαι ἐσπούδασαν. καὶ διὰ τοῦτο οὔτε ἐπιμελὴς, οὔτε μετὰ πίστεως, οὐθ' ὅλως δικαία γέγονεν ἡ παρ' ἐκείνων κρίσις. διόπερ οὐδὲ θαρροῦντες οἷς ἐδραματούργησαν, οὐδὲ οἷς ἐθρύλλησαν κατ' αὐτοῦ, ἀλλὰ καὶ θεωροῦντες ὡς οὐ δύνανται περὶ τούτων ἀποδείξεις ἔχειν ἀληθεῖς, παρόντες εἰς τὴν Σαρδῶν πόλιν, οὐκ ἠθέλησαν εἰς τὴν σύνοδον πάντων τῶν ἁγίων ἐπισκόπων ἀπαντῆσαι. ἐκ δὴ τούτου φανερὰ καὶ δικαία καθέστηκεν ἡ κρίσις τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν Ἰουλίου. οὐ γὰρ ἀσκεπτὶ βεβούλευται, ἀλλὰ καὶ μετ' ἐπιμελείας ὥρισεν, ὥστε μηδὲ ὅλως διστάσαι περὶ τῆς κοινωνίας τοῦ ἀδελφοῦ ἡμῶν Ἀθανασίου· εἶχε γὰρ ἐπισκόπων ὀγδοήκοντα ἀληθεῖς μαρτυρίας· εἶχε καὶ τοῦτο δίκαιον, ὅτι διὰ τῶν ἀγαπητῶν ἀδελφῶν ἡμῶν τῶν πρεσβυτέρων ἑαυτοῦ, καὶ διὰ γραμμάτων μεθώδευσε τοὺς περὶ Εὐσέβιον, τοὺς οὐκ ἐπὶ κρίσει, ἀλλ' ἐπὶ βίᾳ μᾶλλον ἐπερειδομένους. ὅθεν οἱ πανταχοῦ πάντες ἐπίσκοποι τὴν κοινωνίαν Ἀθανασίου ἐβεβαίωσαν διὰ τὴν καθαρότητα αὐτοῦ. κἀκεῖνο δὲ ὑμῶν ἡ ἀγάπη συνοράτω· ἐπειδὴ εἰς τὴν ἁγίαν σύνοδον τὴν ἐν Σαρδικῇ συναχθεῖσαν παρεγένετο, τότε δὴ καθὰ προείπομεν καὶ διὰ γραμμάτων, καὶ διὰ ἀγράφων ἐντολῶν ὑπεμνήσθησαν οἱ τῆς ἑώας, καὶ ἐκλήθησαν παρεῖναι. ἀλλ' ἐκεῖνοι ὑπὸ τῆς συνειδήσεως καταγινωσκόμενοι, ἀπρεπέσι χρώμενοι προφάσεσι, φυγοδικεῖν ἤρξαντο· ἠξίουν γὰρ τὸν ἀθῷον ὡς ὑπεύθυνον ἀπὸ τῆς ἡμετέρας κοινωνίας ἐκβάλλεσθαι, οὐ συνορῶντες ὡς ἀπρεπὲς, μᾶλλον δὲ ἀδύνατον ἦν τοῦτο· καὶ τὰ ὑπομνήματα δὲ τὰ ἐν τῷ Μαρεώτῃ γενόμενα ὑπὸ παμπονήρων καὶ ἐξωλεστάτων τινῶν νεωτέρων, οἷς οὐκ ἄν τις ἐπίστευσεν οὐδὲ τὸν τυχόντα βαθμὸν τοῦ κλήρου, συνέστηκε κατὰ μονομέρειαν πεπρᾶχθαι. οὔτε γὰρ ὁ ἀδελφὸς ἡμῶν Ἀθανάσιος ὁ ἐπίσκοπος, οὔτε Μακάριος ὁ πρεσβύτερος ὁ κατηγορούμενος ὑπ' αὐτῶν, παρῆν. καὶ ὅμως ἡ παρ' αὐτῶν ἐρώτησις, μᾶλλον δὲ ὑποβολὴ ἡ γενομένη, πάσης αἰσχύνης ἦν μεστή. πῇ μὲν γὰρ ἐθνικοὶ, πῇ δὲ κατηχούμενοι ἠρωτῶντο, οὐχ ἵνα ἅπερ ἴσασιν, εἴπωσιν, ἀλλ' ἵνα ἅπερ παρ' αὐτῶν μεμαθήκασι, ψεύσωνται. καὶ γὰρ καὶ ὑμῶν τῶν πρεσβυτέρων φροντιζόντων ἐπὶ τῇ ἀπουσίᾳ τοῦ ὑμετέρου ἐπισκόπου, καὶ βουλομένων παρεῖναι ἐπὶ τῇ ἐξετάσει, καὶ τὴν ἀλήθειαν δεῖξαι, καὶ τὰ ψευδῆ διελέγξαι, οὐδεὶς λόγος γέγονεν. οὐκ ἐπέτρεψαν γὰρ ὑμᾶς παρεῖναι, ἀλλὰ καὶ μεθ' ὕβρεως ἐξέβαλον. καὶ εἰ καὶ τὰ μάλιστα φανερὰ πᾶσι καθέστηκε καὶ ἐκ τούτων ἡ συκοφαντία, ὅμως ἀναγινωσκομένων τῶν ὑπομνημάτων, εὕρομεν αὐτὸν τὸν παμπόνηρον Ἰσχύραν τὸν ἐπὶ τῇ συκοφαντίᾳ μισθὸν παρ' αὐτῶν λαβόντα, τὸ δοκοῦν ὄνομα τῆς ἐπισκοπῆς, διελέγχοντα ἑαυτοῦ τὴν συκοφαντίαν. αὐτὸς γὰρ ὁ Ἰσχύρας ἐν αὐτοῖς τοῖς ὑπομνήμασι διελάλησε κατ' ἐκείνην τὴν ὥραν, ἐν ᾗ Μακάριον ἐληλυθέναι εἰς τὸ κελλίον αὐτοῦ διεβεβαιοῦτο, νοσοῦντα τότε κατακεῖσθαι ἑαυτόν· καί τοι τῶν περὶ Εὐσέβιον γράψαι τολμησάντων, ἑστάναι τότε τὸν Ἰσχύραν, καὶ προσφέρειν, ὅτε Μακάριος ἐπέστη. κἀκείνη δὲ πᾶσι φανερὰ καθέστηκεν ἡ συκοφαντία καὶ διαβολὴ, ἣν ᾐτιάσαντο μετὰ ταῦτα. ἔφασαν γὰρ καὶ κατεβόησαν, φόνον δεδρακέναι τὸν Ἀθανάσιον, καὶ ὡς Ἀρσένιόν τινα Μελιτιανὸν ἐπίσκοπον ἀνῃρηκέναι· ἐφ' ᾧ προσποιητῷ στεναγμῷ καὶ πεπλασμένοις δάκρυσιν ὑπεκρίνοντο, καὶ ἠξίουν τοῦ ζῶντος ὡς τεθνηκότος τὸ σῶμα ἀποδοθῆναι· ἀλλ' οὐκ ἄγνωστα γέγονε τὰ σοφίσματα τούτων. ἔγνωσαν γὰρ πάντες ζῆν τὸν ἄνθρωπον, καὶ ἐν τοῖς ζῶσιν ἐξετάζεσθαι. καὶ ἐπειδὴ ἑώρων ἑαυτοὺς οἱ πρὸς πάντα εὐχερεῖς, διελεγχομένους ἐπὶ τοῖς ψεύσμασι τούτοις· αὐτὸς γὰρ ζῶν ὁ Ἀρσένιος ἐδείκνυεν ἑαυτὸν μὴ ἀνῃρῆσθαι, μήτε τεθνηκέναι· ὅμως οὐχ ἡσύχασαν, ἀλλ' ἑτέρας συκοφαντίας πρὸς ταῖς προτέραις συκοφαντίαις ἐπεζήτουν, ἵνα πάλιν μηχανησάμενοι διαβάλωσι τὸν ἄνθρωπον. τί οὖν ἀγαπητοί; οὐκ ἐταράχθη ὁ ἀδελφὸς ἡμῶν Ἀθανάσιος, ἀλλὰ πάλιν πολλῇ παῤῥησίᾳ χρώμενος προεκαλεῖτο καὶ ἐπὶ τούτοις αὐτούς. καὶ ἡμεῖς δὲ ηὐχόμεθα, καὶ προετρεπόμεθα ἐλθεῖν αὐτοὺς εἰς τὴν κρίσιν, καὶ εἴπερ δύνανται, διελέγξαι. ὦ τῆς πολλῆς πλεονεξίας, ὦ τῆς δεινῆς ὑπερηφανίας· μᾶλλον δὲ, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ὦ κακῆς καὶ ὑπευθύνου συνειδήσεως· τοῦτο γὰρ πᾶσι πεφανέρωται. ὅθεν ἀγαπητοὶ ἀδελφοὶ, ὑπομιμνήσκομεν καὶ προτρεπόμεθα ὑμᾶς, πρὸ πάντων τὴν ὀρθὴν πίστιν τῆς καθολικῆς ἐκκλησίας κατέχειν. πολλὰ μὲν γὰρ καὶ δεινὰ καὶ χαλεπὰ πεπόνθατε· πολλὰς δὲ ὕβρεις καὶ ἀδικίας ὑπέμεινεν ἡ καθολικὴ ἐκκλησία· ἀλλ' ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. διόπερ κἂν ἔτι

ἔτι ποιεῖν τολμήσωσι καθ' ὑμῶν, ἡ θλίψις ἀντὶ χαρᾶς ὑμῖν ἔστω. τὰ γὰρ τοιαῦτα παθήματα μέρος ἐστὶ μαρτυρίου, καὶ αἱ τοιαῦται ὑμῶν ὁμολογίαι καὶ αἱ βάσανοι οὐκ ἄμισθοι τυγχάνουσιν· ἀλλ' ἀπολήψεσθε παρὰ τοῦ Θεοῦ τὰ ἔπαθλα. διό τι μάλιστα ἀγωνίζεσθε ὑπὲρ τῆς ὑγιαινούσης πίστεως, καὶ τῆς καθαρότητος τοῦ ἐπισκόπου ὑμῶν Ἀθανασίου τοῦ συλλειτουργοῦ ἡμῶν. καὶ γὰρ οὐδὲ ἡμεῖς παρεσιωπήσαμεν, οὐδὲ ἠμελήσαμεν τῆς ὑμῶν ἀμεριμνίας χάριν· ἀλλ' ἐφροντίσαμεν καὶ πεποιήκαμεν, ἅπερ ὁ τῆς ἀγάπης λόγος ἀπαιτεῖ. συμπάσχομεν γὰρ τοῖς πάσχουσιν ἀδελφοῖς ἡμῶν, καὶ τὰ ἐκείνων παθήματα ἴδια ἡγούμεθα, καὶ τοῖς δάκρισιν ὑμῶν τὰ ἡμετέρα δάκρυα συνεμίξαμεν. οὐχ ὑμεῖς δὲ μόνοι πεπόνθατε ἀδελφοὶ, ἀλλὰ καὶ πολλοὶ ἄλλοι συλλειτουργοὶ ὑμῶν ταῦτα ἐλθόντες ἀπωδύροντο. διόπερ ἀνυνέγκαμεν, καὶ ἠξιώσαμεν τοὺς εὐσεβεστάτους καὶ θεοφιλεστάτους βασιλέας, ὅπως ἡ φιλανθρωπία αὐτῶν καὶ τοὺς ἔτι κάμνοντας καὶ πιεζομένους ἀνεθῆναι κελεύσῃ, καὶ προστάξωσι μηδένα τῶν δικαστῶν, οἷς περὶ μόνων τῶν δημοσίων μέλειν προσήκει, μήτε κρίνειν κληρικοὺς, μήτε ὅλως τοῦ λοιποῦ προφάσει τῶν ἐκκλησιῶν ἐπιχειρεῖν τι κατὰ τῶν ἀδελφῶν· ἀλλ' ἵνα ἕκαστος χωρίς τινος διωγμοῦ, χωρίς τινος βίας καὶ πλεονεξίας, ὡς εὔχεται καὶ βούλεται, ζῇ, καὶ μεθ' ἡσυχίας καὶ εἰρήνης τὴν καθολικὴν καὶ ἀποστολικὴν πίστιν μετέρχηται. Γρηγόριος μέντοι ὁ παρανόμως ὑπὸ τῶν αἱρετικῶν λεγόμενος καταστασθῆναι, καὶ εἰς τὴν ἡμετέραν πόλιν παρ' αὐτῶν ἀποσταλεὶς, καὶ τοῦτο γὰρ γινωσκέτω ὑμῶν ἡ ὁμοψυχία, ὅτι κρίσει τῆς ἱερᾶς πάσης συνόδου καθῃρέθη, εἰ καὶ τὰ μάλιστα οὐδεπώποτε, οὐδὲ ὡς ἐπίσκοπος ὅλως γενόμενος ἐνομίσθη. χαίρετε τοίνυν ἀπολαμβάνοντες ἑαυτῶν τὸν ἐπίσκοπον Ἀθανάσιον· διὰ τοῦτο γὰρ καὶ μετ' εἰρήνης αὐτὸν ἀπελύσαμεν. ὅθεν καὶ παραινοῦμεν πᾶσι τοῖς ἢ διὰ φόβον, ἢ διὰ περιδρομήν τινων κοινωνήσασι Γρηγορίῳ, ἵνα νῦν ὑπομνησθέντες καὶ προτραπέντες καὶ ἀναπεισθέντες παρ' ἡμῶν, παύσωνται τῆς πρὸς ἐκεῖνον μυσαρᾶς κοινωνίας, καὶ λοιπὸν ἑαυτοὺς συνάψωσι τῇ καθολικῇ ἐκκλησίᾳ. ἐπειδὴ δὲ ἔγνωμεν, ὅτι καὶ Ἀφθόνιος, καὶ Ἀθανάσιος ὁ Καπίτωνος, καὶ Παῦλος, καὶ Πλουτίων, οἱ συμπρεσβύτεροι ὑμῶν, συσκευὴν καὶ αὐτοὶ πεπόνθασιν ὑπὸ τῶν περὶ Εὐσέβιον, ὥστε τοὺς μὲν ἐξορισμοῦ πειραθῆναι, τοὺς δὲ καὶ θανάτων ἀπειλὰς διαπεφευγέναι· τούτου ἕνεκεν καὶ περὶ τούτου δηλῶσαι ὑμῖν ἀναγκαῖον ἡγησάμεθα, ἵνα γινώσκητε, ὅτι καὶ τούτους ἀπεδεξάμεθα, καὶ ἀθῴους ἀπελύσαμεν, εἰδότες ὅτι πάντα τὰ παρὰ τῶν περὶ Εὐσέβιον κατὰ τῶν ὀρθοδόξων γενόμενα, ἐπὶ δόξῃ καὶ συστάσει τῶν συσκευασθέντων ὑπ' αὐτῶν γέγονεν. ἔπρεπε μὲν οὖν τὸν ὑμέτερον ἐπίσκοπον τὸν συλλειτουργὸν ἡμῶν Ἀθανάσιον περὶ αὐτῶν, ὡς περὶ ἰδίων ὑμῖν δηλῶσαι. ἐπειδὴ δὲ ὑπὲρ πλείονος μαρτυρίας, καὶ τὴν ἁγίαν σύνοδον ἠθέλησεν ὑμῖν γράψαι, διὰ τοῦτο ἐκ ἀνεβαλόμεθα, ἀλλὰ καὶ σημᾶναι ὑμῖν ἐσπουδάσαμεν· ἵν' ὥσπερ ἡμεῖς, οὕτως καὶ ὑμεῖς αὐτοὺς ἀποδέξησθε· ἄξιοι γὰρ καὶ αὐτοὶ ἐπαίνου, ὅτι διὰ τὴν εἰς Χριστὸν εὐσέβειαν καὶ αὐτοὶ ἠξιώθησαν παρὰ τῶν αἱρετικῶν ὕβριν ὑπομεῖναι. τίνα δέ ἐστι τὰ παρὰ τῆς ἁγίας συνόδου δογματισθέντα κατὰ Θεοδώρου, καὶ Ναρκίσσου, καὶ Στεφάνου, καὶ Ἀκακίου, καὶ Μηνοφάντου, καὶ Οὐρσακίου, καὶ Οὐάλεντος, καὶ Γεωργίου, τῶν προϊσταμένων τῆς Ἀρειανῆς αἱρέσεως, καὶ πλημμελησάντων καθ' ὑμῶν, καὶ κατὰ τῶν ἄλλων ἐκκλησιῶν, γνώσεσθαι ἐκ τῶν ὑποτεταγμένων. ἀπεστείλαμεν γὰρ ὑμῖν, ἵνα καὶ ἡ ὑμετέρα θεοσέβεια σύμψηφος τοῖς παρ' ἡμῖν ὁρισθεῖσι γένηται, καὶ γινώσκητε, ὅτι ἡ καθολικὴ ἐκκλησία, οὐ παρορᾷ τοὺς εἰς αὐτὴν πλημμελοῦντας.

ΕΠΙΣΤΟΛΗ ΤΗΣ ΕΝ ΣΑΡΔΙΚΗ συνόδου, τοῖς ἁπανταχοῦ ἐπισκόποις.

Ἡ ἁγία σύνοδος ἡ κατὰ Θεοῦ χάριν ἐν Σαρδικῇ συναχθεῖσα, τοῖς ἁπανταχοῦ ἐπισκόποις καὶ συλλειτουργοῖς τῆς καθολικῆς ἐκκλησίας, ἀγαπητοῖς ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν.

ΠΟΛΛΑ' μὲν καὶ πολλάκις ἐτόλμησαν οἱ Ἀρειομανῖται κατὰ τῶν δούλων τοῦ Θεοῦ, τῶν τὴν πίστιν φυλαττόντων τὴν ὀρθήν. νόθον γὰρ ὑποβάλλοντες διδασκαλίαν, τοὺς ὀρθοδόξους ἐλαύνειν ἐπειράθησαν. τοσοῦτον δὲ λοιπὸν κατεπανέστησαν κατὰ τῆς πίστεως, ὡς μηδὲ τὴν εὐλάβειαν τῶν εὐσεβεστάτων βασιλέων λαθεῖν. τοιγαροῦν τῆς χάριτος τοῦ Θεοῦ συνεργούσης, καὶ αὐτοὶ οἱ εὐσεβέστατοι βασιλεῖς συνήγαγον ἡμᾶς ἐκ διαφόρων ἐπαρχιῶν καὶ πόλεων, καὶ τὴν ἁγίαν ταύτην σύνοδον ἐν τῇ Σαρδῶν πόλει γενέσθαι δεδώκασιν, ἵνα πᾶσα μὲν διχόνοια περιαιρεθῇ, πάσης δὲ κακοπιστίας ἐξελαθείσης, ἡ εἰς Χριστὸν εὐσέβεια μόνη παρὰ πάντων φυλάττηται. ἦλθον γὰρ καὶ οἱ ἀπὸ τῆς ἑῴας ἐπίσκοποι, προτραπέντες καὶ αὐτοὶ παρὰ τῶν εὐσεβεστάτων βασιλέων, μάλιστα δι' ἅπερ ἐθρύλλουν πολλάκις περὶ τῶν ἀγαπητῶν ἀδελφῶν ἡμῶν καὶ συλλειτουργῶν, Ἀθανασίου ἐπισκόπου τῆς Ἀλεξανδρείας, καὶ Μαρκέλλου ἐπισκόπου τῆς Ἀγκυρογαλατίας· ἴσως γὰρ καὶ εἰς ὑμᾶς ἔφθασαν αὐτῶν αἱ διαβολαὶ, καὶ ἴσως καὶ τὰς ὑμετέρας ἀκοὰς ἐπεχείρησαν παρασαλεῦσαι· ἵνα κατὰ μὲν τῶν ἀθῴων ἃ λέγουσι πιστεύσητε, τῶν δὲ τῆς μοχθηρᾶς αὐτῶν αἱρέσεως ὑπόνοιαν ἐπικρύψωσιν. ἀλλ' οὐκ ἐπὶ πολὺ ταῦτα ποιεῖν συνεχωρήθησαν. ἔστι γὰρ ὁ προϊστάμενος τῶν ἐκκλησιῶν κύριος, ὁ ὑπὲρ τούτων καὶ πάντων ἡμῶν θάνατον ὑπομείνας, καὶ δι' ἑαυτοῦ τὴν εἰς οὐρανὸν ἄνοδον πᾶσιν ἡμῖν δεδωκώς. πάλαι μὲν οὖν γραψάντων τῶν περὶ Εὐσέβιον Ἰουλίῳ τῷ συλλειτουργῷ ἡμῶν, τῷ τῆς Ρωμαίων ἐκκλησίας ἐπισκόπῳ, κατὰ τῶν προειρημένων συλλειτουργῶν ἡμῶν, λέγομεν δὴ Ἀθανασίου, καὶ Μαρκέλλου, καὶ Ἀσκληπᾶ· ἔγραψαν καὶ οἱ ἀπὸ τῶν ἄλλων μερῶν ἐπίσκοποι, μαρτυροῦντες μὲν τῇ καθαρότητι τοῦ συλλειτουργοῦ ἡμῶν Ἀθανασίου, τὰ δὲ παρὰ τῶν περὶ Εὐσέβιον γενόμενα, μηδὲν ἕτερον ἢ ψευδῆ καὶ συκοφαντίας εἶναι μεστά· καὶ εἰ καὶ τὰ μάλιστα ἐκ τοῦ κληθέντας αὐτοὺς παρὰ τοῦ ἀγαπητοῦ ἡμῶν καὶ συλλειτουργοῦ Ἰουλίου, φανερὰ τούτων ἡ συκοφαντία πέφηνεν· ἦλθον γὰρ ἂν εἴπερ ἐθάρρουν οἷς ἔπραξαν καὶ πεποιήκασι κατὰ τῶν συλλειτουργῶν ἡμῶν· ὅμως καὶ ἐξῶν πεποιήκασιν ἐν ταύτῃ τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, φανερωτέραν τὴν ἑαυτῶν συσκευὴν ἀπέδειξαν. ἀπαντήσαντες γὰρ εἰς τὴν Σαρδῶν πόλιν,

Ἀθανασ. ἀπολ. β'.

λιν, ἰδόντες τοὺς ἀδελφοὺς ἡμῶν Ἀθανάσιον, καὶ Μάρκελλον, καὶ Ἀσκληπᾶν, καὶ τοὺς ἄλλους, ἐφοβήθησαν εἰς κρίσιν ἐλθεῖν· καὶ οὐχ ἅπαξ, οὐδὲ δεύτερον, ἀλλὰ καὶ πολλάκις κληθέντες οὐκ ἐπήκουσαν ταῖς κλήσεσι. καί τοι πάντων ἡμῶν συνελθόντων ἐπισκόπων, καὶ μάλιστα τοῦ εὐγηροτάτου Ὁσίου, τοῦ καὶ διὰ τὸν χρόνον, καὶ τὴν ὁμολογίαν, καὶ διὰ τὸ τοσοῦτον κάματον ὑπομεμενηκέναι πάσης αἰδοῦς ἀξίου τυγχάνοντος, ἀναμενόντων καὶ προτρεπομένων αὐτοὺς εἰσελθεῖν εἰς τὴν κρίσιν, ἵν' ἅπερ ἀπόντων τῶν συλλειτουργῶν ἡμῶν ἐθρύλλησαν καὶ ἔγραψαν κατ' αὐτῶν, ταῦτα παρόντες ἐλέγξαι δυνηθῶσιν. ἀλλ' οὐκ ἦλθον κληθέντες καθάπερ προείπομεν, δεικνύντες καὶ ἐκ τούτων τὴν συκοφαντίαν ἑαυτῶν, καὶ μονονουχὶ τὴν ἐπιβουλὴν καὶ συσκευὴν, ἣν πεποιήκασι, βοῶντες διὰ τῆς παραιτήσεως. οἱ γὰρ θαρροῦντες οἷς λέγουσι, τούτοις καὶ εἰς πρόσωπον συστῆναι δύνανται. ἐπειδὴ δὲ οὐκ ἀπήντησαν, νομίζομεν λοιπὸν μηδένα ἀγνοεῖν, κἂν ἐκεῖνοι πάλιν κακουργεῖν ἐθέλωσιν, ὅτι μηδὲν ἔχοντες κατὰ τῶν συλλειτουργῶν ἡμῶν ἐλέγξαι, τούτους μὲν διαβάλλουσιν ἀπόντας, παρόντας δὲ φεύγουσιν. ἔφυγον γὰρ, ἀγαπητοὶ ἀδελφοὶ, οὐ μόνον διὰ τὴν τούτων συκοφαντίαν, ἀλλ' ὅτι καὶ τοὺς ἐπὶ διαφόροις ἐγκαλοῦντας αὐτοῖς ἐθεώρουν ἀπαντήσαντας· δεσμὰ γὰρ ἦν καὶ σίδηρα προφερόμενα, ἀπ' ἐξοριστίας ἐπανελθόντες ἄνθρωποι· καὶ παρὰ τῶν ἔτι κατεχομένων εἰς ἐξοριστίαν ἐλθόντες ἦσαν συλλειτουργοὶ, συγγενεῖς, καὶ φίλοι δὲ τῶν δι' αὐτῶν ἀποθανόντων παρεγένοντο· καὶ τὸ μέγιστον, ἐπίσκοποι παρῆσαν, ὧν ὁ μὲν τὰ σίδηρα καὶ τὰς ἁλύσεις περιέφερεν, ἃς δι' αὐτοὺς ἐφόρεσεν· οἱ δὲ τὸν ἐκ τῆς διαβολῆς αὐτῶν θάνατον ἐμαρτύραντο· εἰς τοσοῦτον γὰρ ἔφθασαν ἀπονοίας, ὡς καὶ ἐπισκόπους ἐπιχειρεῖν ἀνελεῖν· καὶ ἀνεῖλον ἂν, εἰ μὴ ἐξέφυγον τὰς χεῖρας αὐτῶν. ὁ οὖν συλλειτουργὸς ἡμῶν, ὁ μακαρίτης Θεόδουλος φεύγων αὐτῶν τὴν διαβολήν· ἐκεκέλευστο γὰρ ἐκ διαβολῆς αὐτῶν ἀποθανεῖν. ἄλλοι δὲ πληγὰς ξίφων ἐπεδείκνυντο, ἄλλοι δὲ λιμὸν ὑπομεμενηκέναι παρ' αὐτῶν ἀπωδύροντο. καὶ ταῦτα οὐχ οἱ τυχόντες ἐμαρτύρουν ἄνθρωποι, ἀλλ' ἐκκλησίαι ὅλαι ἦσαν, ὑπὲρ ὧν οἱ ἀπαντήσαντες καὶ πρεσβεύοντες ἐδίδασκον, στρατιώτας ξιφήρεις, ὄχλους μετὰ ῥοπάλων, δικαστῶν ἀπειλὰς, πλαστῶν γραμμάτων ὑποβολάς. ἀνεγνώσθη γὰρ γράμματα τῶν περὶ Θεόγνιον, πλαττομένων κατὰ τῶν συλλειτουργῶν ἡμῶν Ἀθανασίου καὶ Μαρκέλλου καὶ Ἀσκληπᾶ, ἵνα καὶ βασιλέας κατ' αὐτῶν κινήσωσι. καὶ ταῦτα ἤλεγξαν οἱ γενόμενοι τότε διάκονοι Θεογνίου. πρὸς τούτοις, παρθένων γυμνώσεις, ἐμπρησμοὺς ἐκκλησιῶν, φυλακὰς κατὰ τῶν λειτουργῶν. καὶ ταῦτα πάντα δι' οὐδὲν ἕτερον, ἢ διὰ τὴν δυσώνυμον αἵρεσιν τῶν ἀρειομανιτῶν. οἱ γὰρ παραιτούμενοι τὴν πρὸς τούτους κοινωνίαν, ἀνάγκην εἶγον πειρᾶσθαι τούτων. ταῦτα τοίνυν συνορῶντες, εἰς στενὸν εἶχον τὰ τῆς προαιρέσεως. ἠχύνοντο μὲν γὰρ ὁμολογεῖν, ἃ δεδράκασι· διὰ δὲ τὸ μὴ δύνασθαι λοιπὸν ἔτι ταῦτα κρύπτεσθαι, ἀπήντησαν εἰς τὴν Σαρδῶν πόλιν, ἵνα διὰ τῆς ἀφίξεως, ὑπόνοιαν, ὡς μὴ πλημμελήσαντες, δόξωσιν ἀποφέρεσθαι. ἰδόντες δὲ τοὺς παρ' αὐτῶν συκοφαντηθέντας, καὶ τοὺς παρ' αὐτῶν παθόντας, τοὺς κατηγόρους, τοὺς ἐλέγχους πρὸ ὀφθαλμῶν ἔχοντες, ἐλθεῖν οὐκ ἐβούλοντο κληθέντες· καί τοι τῶν συλλειτουργῶν ἡμῶν Ἀθανασίου καὶ Μαρκέλλου καὶ Ἀσπληπᾶ, πολλῇ τῇ παρρησίᾳ χρωμένων, ἀποδυρομένων καὶ ἐπικειμένων καὶ προκαλουμένων αὐτοὺς, καὶ ἐπαγγελλομένων μὴ μόνον ἐλέγχειν τὴν συκοφαντίαν ἀλλὰ καὶ δεικνύναι ὅσα κατὰ τῶν ἐκκλησιῶν αὐτῶν ἐκοινώνησαν. οἱ δὲ τοσούτῳ φόβῳ τοῦ συνειδότος κατεσχέθησαν, ὡς φεύγειν αὐτοὺς, καὶ διὰ τῆς φυγῆς τὴν συκοφαντίαν αὐτῶν ἐλέγξαι, καὶ ἅπερ ἐπλημμέλησαν, διὰ τὸν δρασμὸν ὁμολογῆσαι. εἰ καὶ τὰ μάλιστα τοίνυν οὐ μόνον ἐκ τῶν προτέρων, ἀλλὰ καὶ ἐκ τούτων, αὐτῶν ἡ κακοτροπία δείκνυται καὶ συκοφαντία· ὅμως ἵνα μηδὲ ἐκ τῆς φυγῆς πρόφασίν τινα ἑτέρας κακουργίας πορίσασθαι δυνηθῶσιν. ἐσκεψάμεθα κατὰ τὸν τῆς ἀληθείας λόγον τὰ παρ' ἐκείνων δραματουργηθέντα ἐξετάσαι. καὶ τοῦτο προσθέμενοι, εὕρομεν αὐτοὺς καὶ ἐκ τῶν πραχθέντων συκοφάντας, καὶ μηδὲν ἕτερον ἢ ἐπιβουλὴν κατὰ τῶν συλλειτουργῶν ἡμῶν πεποιηκότας. ὃν γὰρ ἔλεγον παρὰ Ἀθανασίου πεφονεῦσθαι Ἀρσένιον, οὗτος ζῇ, καὶ ἐν τοῖς ζῶσιν ἐξετάζεται· ἀπὸ δὲ τούτου καὶ τὰ περὶ τῶν ἄλλων θρυλληθέντα παρ' αὐτῶν φαίνεται πλάσματα. ἐπειδὴ δὲ καὶ περὶ ποτηρίου ἐθρύλλουν, ὡς κλασθέντος παρὰ Μακαρίου τοῦ πρεσβυτέρου καὶ Ἀθανασίου, ἐμαρτύρησαν μὲν οἱ παραγενόμενοι ἀπὸ τῆς Ἀλεξανδρείας καὶ Μαρεώτου, καὶ τῶν λοιπῶν τόπων, ὅτι μηδὲν τούτων πέπρακται· καὶ οἱ ἐπίσκοποι δὲ γράφοντες, οἱ ἀπὸ τῆς Αἰγύπτου, πρὸς Ἰούλιον τὸν συλλειτουργὸν ἡμῶν, ἱκανῶς διεβεβαιοῦντο, μηδὲ ὑπόνοιαν ὅλως τοιαύτην ἐκεῖ γεγενῆσθαι. ἄλλως τε ἃ λέγουσιν ὑπομνήματα ἔχειν κατ' αὐτοῦ, κατὰ μονομέρειαν συνέστηκε γεγενῆσθαι. καὶ ὅμως καὶ ἐν τοῖς ὑπομνήμασι τούτοις, ἐθνικοὶ καὶ κατηχούμενοι ἠρωτῶντο. ἐξ ὧν εἷς κατηχούμενος ἐρωτώμενος ἔφασκεν ἔνδον εἶναι, ὅτε Μακάριος ἐπέστη τόπῳ· καὶ ἕτερος ἐρωτώμενος ἔλεγε, τὸν θρυλλούμενον παρ' αὐτῶν Ἰσχύραν, νοσοῦντα τότε κατακεῖσθαι ἐν κελλίῳ· ὡς ἀπὸ τούτου φαίνεσθαι, μηδόλως γεγενῆσθαί τι τῶν μυστηρίων, διὰ τὸ τοὺς κατηχουμένους ἔνδον εἶναι, καὶ τὸν Ἰσχύραν μὴ παρεῖναι, ἀλλὰ νοσοῦντα κατακεῖσθαι, καὶ γὰρ καὶ αὐτὸς ὁ παμπόνηρος Ἰσχύρας ψευσάμενος ἐπὶ τῷ εἰρηκέναι, κεκαυκέναι τὸν Ἀθανάσιόν τινα τῶν θείων βιβλίων, καὶ διηλέγχθαι, ὡμολόγησε κατ' ἐκεῖνο καιροῦ νοσεῖν, ὅτε Μακάριος παρῆν, καὶ κατακεῖσθαι· ὡς καὶ ἐκ τούτου συκοφάντην αὐτὸν εἶναι· ἀμέλει τῆς συκοφαντίας ταύτης μισθὸν αὐτῷ τῷ Ἰσχύρᾳ δεδώκασιν, ἐπισκοπῆς ὄνομα, τῷ μηδὲ πρεσβυτέρῳ τυγχάνοντι. ἀπαντήσαντες γὰρ δύο πρεσβύτεροι σὺν Μελιτίῳ ποτὲ γενόμενοι, ὕστερον δὲ ὑπὸ τοῦ μακαρίτου Ἀλεξάνδρου τοῦ γενομένου ἐπισκόπου Ἀλεξανδρείας δεχθέντες, καὶ νῦν σὺν Ἀθανασίῳ ὄντες, ἐμαρτύρησαν μηδεπώποτε τοῦτον πρεσβύτερον Μελιτίου γεγενῆσθαι, μηδὲ ὅλως ἐσχηκέναι Μελίτιον εἰς τὸν Μαρεώτην ἐκκλησίαν, ἢ λειτουργόν. καὶ ὅμως τὸν μηδὲ πρεσβύτερον τυγχάνοντα, νῦν ὡς ἐπίσκοπον ἤγαγον, ἵνα τῷ ὀνόματι τούτῳ δόξωσι τῇ συκοφαντίᾳ καταπλήττειν τοὺς ἀκούοντας. ἀνεγνώσθη δὲ καὶ τὸ σύγγραμμα τοῦ συλλειτουργοῦ Μαρκέλλου, καὶ εὑρέθη τῶν περὶ Εὐσέ-

σέβιον ἡ κακοτεχνία. ἃ γὰρ ὡς ζητῶν ὁ Μάρκελλος εἴρηκε, ταῦτα ὡς ὁμολογούμενα διαβεβλήκασιν. ἀνεγνώσθη γοῦν τὰ ἐξῆς, καὶ τὰ πρὸ αὐτῶν τῶν ζητημάτων, καὶ ὀρθὴ ἡ πίστις τοῦ ἀνδρὸς ἐρρέθη. ὅτε γὰρ ἀπὸ τῆς ἁγίας Μαρίας, ὡς αὐτοὶ διεβεβαιώσαντο, ἀρχὴν εἰδίδου τῷ Θεοῦ λόγῳ, οὔτε πέλος ἴσχειν τὴν βασιλείαν αὐτοῦ, ἀλλὰ καὶ τὴν βασιλείαν ἄναρχον καὶ ἀπερίτμητον εἶναι τοιαῦτα ἔγραψε. καὶ Ἀσκληπᾶς δὲ ὁ συλλειτουργὸς προμίσγων ὑπομνήματα γενόμενα ἐν Ἀντιοχείᾳ, παρόντων τῶν κατηγόρων, καὶ Εὐσεβίου τοῦ ἀπὸ Καισαρείας, καὶ ἐκ τῶν ἀποφάσεων τῶν δικασάντων ἐπισκόπων ἔδειξεν ἑαυτὸν ἀθῷον εἶναι. εἰκότως ἦν, ἀγαπητοὶ ἀδελφοί, καλόμενοι πολλάκις οὐχ ὑπήκουσαν, εἰκότως ἔφυγον· ὑπὸ γὰρ τοῦ συνειδότος ἐλαυνόμενοι, φυγῇ τὰς συκοφαντίας ἑαυτῷ ἐβεβαίωσαν, καὶ πεισθῆναι κατ' αὐτῶν πεποιήκασιν, ἃ παρόντες οἱ κατηγοροῦντες ἔλεγον καὶ ἐπεδείκνυον. ἐπεὶ τοίνυν πρὸς τούτοις πᾶσι, καὶ τοὺς πάλαι καθαιρεθέντας καὶ ἐκβληθέντας διὰ τὴν Ἀρείου αἵρεσιν, οὐ μόνον, ἐδέξαντο, ἀλλὰ καὶ εἰς μείζονα βαθμὸν προήγαγον, διακόνους μὲν εἰς πρεσβυτέριον, ἀπὸ δὲ πρεσβυτέρων εἰς ἐπισκόπους, δι' ἄδειν ἕτερον, ἢ ἵνα τὴν ἀσέβειαν διασπείρωσι καὶ πλατυνθῶσι διανηθῶσι, καὶ τῷ δυσεβῆ διαφθείρωσι πίστιν. εἰσὶ δὲ τούτων, μετὰ τοὺς περὶ Εὐσέβιον, νῦν ἔξαρχοι, Θεόδωρος ὁ ἀπὸ Ἡρακλείας, Νάρκισσος ὁ ἀπὸ Νερωνιάδος τῆς Κιλικίας, Στέφανος ὁ ἀπὸ Ἀντιοχείας, Γεώργιος ὁ ἀπὸ Λαοδικείας, Ἀχάκιος ὁ ἀπὸ Καισαρείας τῆς Παλαιστίνης, Μιλιόφαντος ὁ ἀπὸ Ἐφέσου τῆς Ἀσίας, Οὐρσάκιος ὁ ἀπὸ Σιγγιδόνου τῆς Μυσίας, Οὐάλης ὁ ἀπὸ Μυρσῶν τῆς Παιονίας, καὶ γὰρ ὅτοι τοὺς σὺν αὐτοῖς ἐλθόντας ἀπὸ τῆς ἑῴας οὐκ ἐπέτρεπον ὅτι εἰς τὴν ἁγίαν σύνοδον εἰσελθεῖν, ὅπου ὅλως εἰς ἐκκλησίαν τοῦ Θεοῦ παραβάλλειν. καὶ ἐρχόμενοι δὲ εἰς τὴν Σαρδικὴν, κατὰ τόπους συνόδους ἐποιοῦντο πρὸς ἑαυτούς, καὶ συνθήκας μετὰ ἀπειλῶν· ὥστε ἐλθόντας αὐτοὺς εἰς τὴν Σαρδικὴν, μηδὲ ὅλως εἰς τὴν χεῖσιν ἐλθεῖν, μηδὲ ἐπὶ τὸ αὐτὸ συνελθεῖν τῇ ἁγίᾳ συνόδῳ· ἀλλὰ μόνον ἐλθόντας, καὶ ἀφοσιώσει τὴν ἐπιδημίαν ἑαυτῶν ἐπιδειξαμένους, ταχέως φυγεῖν. ταῦτα γὰρ γνῶναι δεδυνήμεθα παρὰ τῶν συλλειτουργῶν ἡμῶν, Μακαρίου ἀπὸ Παλαιστίνης, καὶ Ἀσερίου ἀπὸ Ἀραβίας. τῶν ἐλθόντων σὺν αὐτοῖς, καὶ ἀναχωρησάντων ἀπὸ τῆς ἀπιστίας αὐτῶν. ὅτε γὰρ ἐλθόντες εἰς τὴν ἁγίαν σύνοδον, τὴν μεγάλην βίαν, ἣν ἔπαθον, ἀπωδύροντο. ἔδει δὲ παρ' αὐτοῖς ὀρθὸν ἔλεγον πράττεσθαι. προσιθέντες καὶ τοῦτο, ὡς ἄρα εἰσὶν ἐκεῖ πολλοὶ τῆς ὀρθῆς ἀντιποιούμενοι δόξης, καὶ κωλυόμενοι παρ' αὐτῶν ἐλθεῖν ἐνταῦθα διὰ τὸ ἀπειλεῖν καὶ ἐπαγγέλλεσθαι κατὰ τῶν βουλομένων ἀναχωρεῖν ἀπ' αὐτῶν. τούτου γοῦν ἕνεκα ἐν ἑνὶ οἴκῳ πάντας μεῖναι ἐσπούδασαν, μηδὲ τὸ βραχύτατον ἰδιάζειν αὐτοὺς ἐπιτρέψαντες. ἐπεὶ οὖν οὐκ εἶδεν παρασιωπῆσαι, οὐδὲ ἀνεκδιηγήτους ἐᾶσαι τὰς συκοφαντίας, τὰ δεσμὰ, τοὺς φόνους, τὰς πληγὰς, τὰ περὶ τῶν πλασσῶν ἐπιστολῶν, τὰς αἰτίας, τὰς γυμνώσεις τῶν παρθένων, τὰς ἐξορισίας, τὰς καταλύσεις τῶν ἐκκλησιῶν, τοὺς ἐμπρησμοὺς, τὰς μεταθέσεις ἀπὸ μικρῶν πόλεων εἰς μείζονας παροικίας, καὶ πρό γε πάντων τὴν κατὰ τῆς ὀρθῆς πίστεως ἐπανασᾶσαν δυσώνυμον Ἀρειανῶν αἵρεσιν δι' αὐτῶν, τούτου ἕνεκεν τοὺς μὲν ἀγαπητοὺς ἀδελφοὺς ἡμῶν καὶ συλλειτουργοὺς Ἀθανάσιον, καὶ Μάρκελλον, καὶ Ἀσκληπᾶν, καὶ τοὺς σὺν αὐτοῖς συλλειτουργοῦντας πανχυείῳ, ἀθῴους καὶ καθαροὺς εἶναι ἀπεφηνάμεθα· γράψαντες καὶ εἰς τὴν ἑκάστου παροικίαν, ὥστε γινώσκειν ἑκάστης ἐκκλησίας τοὺς λαοὺς τοῦ ἰδίου ἐπισκόπου τὴν καθαρότητα, καὶ τοῦτον μὲν ἔχειν ἐπίσκοπον καὶ προσδοκᾶν· τοὺς δὲ εἰς τὰς ἐκκλησίας αὐτῶν ἐπελθόντας δίκην λύκων, Γρηγόριον τὸν ἐν Ἀλεξανδρείᾳ, Βασίλειον τὸν ἐν Ἀγκύρᾳ, καὶ Κοϊντιανὸν τὸν ἐν Γάζῃ, τούτους μηδὲ ἐπισκόπους ὀνομάζειν, μηδὲ ὅλως κοινωνίαν τινὰ πρὸς αὐτοὺς ἔχειν, μηδὲ δέχεσθαί τινα παρὰ τούτων γράμματα, μηδὲ γράφειν πρὸς αὐτούς. τοὺς δέ γε περὶ Θεόδωρον, καὶ Νάρκισσον, καὶ Ἀχάκιον, καὶ Στέφανον, καὶ Οὐρσάκιον, καὶ Οὐάλεντα, καὶ Μιλιόφαντον, καὶ Γεώργιον, εἰ καὶ φοβηθεὶς μὴ παρεγένετο ἀπὸ τῆς ἑῴας, ὅμως διὰ τὸ ἀπὸ τοῦ μακαρίτου Ἀλεξάνδρου * καθηρῆσθαι αὐτὸν, καὶ διὰ τὸ εἶναι καὶ αὐτὸν καὶ τούτους τῆς Ἀρείου μανίας, καὶ διὰ τὰ ἐπενεχθέντα αὐτοῖς ἐγκλήματα, τούτους παμψηφεὶ καθεῖλεν ἡ ἁγία σύνοδος ἀπὸ τῆς ἐπισκοπῆς· καὶ ἐκείναμεν μὴ μόνον αὐτοὺς ἐπισκόπους μὴ εἶναι, ἀλλὰ μηδὲ κοινωνίας μετὰ τῶν πιστῶν αὐτοὺς καταξιοῦσθαι. τοὺς δὲ χωρίζοντας τὸν υἱὸν, καὶ ἀπαλλοτριοῦντας τὸν λόγον ἀπὸ τοῦ πατρὸς, χωρίζεσθαι τῆς καθολικῆς ἐκκλησίας προσήκει, καὶ ἀλλοτρίους εἶναι τοῦ Χριστιανῶν ὀνόματος· ἔσωσαν τοίνυν ὑμῖν ἀνάθεμα, διὰ τὸ κεκαπηλεύκέναι τὸν λόγον τῆς ἀληθείας. ἀποστολικόν ἐστι τὸ παράγγελμα· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. τούτοις μηδενὶ κοινωνεῖν παραγγέλλατε· ὑδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος. τούτων πάντες μακρὰν ποιεῖτε· ὑδεμία γὰρ συμφωνία Χριστῷ πρὸς Βελίαρ. καὶ φυλάξασθε ἀγαπητοὶ, μήτε γράφειν πρὸς αὐτοὺς, μήτε γράμματι παρ' αὐτῶν δέχεσθαι. σπουδάσατε δὲ μᾶλλον καὶ ὑμεῖς ἀδελφοὶ καὶ συλλειτουργοὶ, ὡς τῷ πνεύματι συνόντες τῇ συνόδῳ ἡμῶν, συνεπιψηφίσασθαι δι' ὑπογραφῆς ὑμετέρας, ὑπὲρ τοῦ παρὰ πάντων τῆς παντοχοῦ συλλειτουργῶν τὴν ὁμοφωνίαν διασώζεσθαι. ἡ θεία πρόνοια καθωσιωμένους ὑμᾶς καὶ διαθυμοῦντας διαφυλάττοι, ἀγαπητοὶ ἀδελφοί.

Ὅσιος ἐπίσκοπος * ἔγραψα, καὶ οὕτω πάντες· ταῦτα γράψασα ἡ ἐν Σαρδικῇ συνόδος, ἀπέστειλε καὶ πρὸς τοὺς μὴ δυνηθέντας ἀπαντῆσαι· καὶ γεγόνασι καὶ αὐτοὶ σύμψηφοι τοῖς κεκριμένοις. τῆς δὲ ἐν τῇ συνόδῳ γραψάντων, καὶ τῆς ἄλλων ἐπισκόπων τὰ ὀνόματά ἐστι ταῦτα.

Ὅσιος ἀπὸ Σπανίας. Ἰούλιος Ῥώμης διὰ Ἀρχιδάμου καὶ Φιλοξένου πρεσβυτέρων. Πρωτογένης Σαρδικῆς. Γαυδέντιος. Μακεδόνιος. Σεβῆρος. Πραιπεξτᾶτος. Οὐρσίκιος. Λέκιλλος. Εὐγένιος. Βιτάλιος. Καλεπόδιος. Φλωρέντιος. Βάσσος. Βικέντιος. Στερκόριος. Παλλάδιος. Δομιτιανός. Γάλβας· Γερόντιος. Πρωτάσιος. Εὐλόγιος. Πορφύριος. Διόσκορος. Ζώσιμος. Ἰανουάριος. Ζώσιμος. Ἀλέξανδρος. Εὐτύχιος. Σωκράτης. Διόδωρος. Μαρτύριος. Εὐθήριος. Εὔχαρπος. Ἀθηνόδωρος. Εἰρηναῖος. Ἰουλιανός. Ἀλύπιος. Ἰωνᾶς. Αἰ-

Ἀέτιος. Ρεστιτοῦτος. Μαρκελλῖνος. Ἀπριανός. Βιτάλιος. Οὐάλης. Ἑρμογένης. Κάστος. Δομετιανός. Φορτουνᾶτος. Μάρκος. Ἀννιανός. Ἡλιόδωρος. Μουσαῖος. Ἀστέριος. Παρηγόριος. Πλούταρχος. Ὑμένιαιος. Ἀθανάσιος. Λούκιος. Ἀμάντιος. Ἄρειος. Ἀσκληπιός. Διονύσιος. Μάξιμος. Τρύφων. Ἀλέξανδρος. Ἀντίγονος. Αἰλιανός. Πέτρος. Σύμφορος. Μουσώνιος. Εὐτύχιος. Φιλολόγιος. Σπουδάσιος. Ζώσιμος. Πατρίκιος. Ἀδόλιος. Σαπρίκιος.

Οἱ Γαλλίας.

Μαξιμιανός. Βηρίσσιμος. * Βήκτουρος. Βαλεντῖνος. Δησιδέριος. Εὐλόγιος. Σαρβάτιος. Δυσκόλιος. * Συπερίωρ. Μερκούριος. Δηκλοπετός. Εὐσέβιος. Σεβηρῖνος. Σάτυρος. Μαρτῖνος. Παῦλος. Ὀπτατιανός. Νικάσιος. Βίκτωρ. Σεμπρώνιος. Βαλερῖνος. Πάκατος. Ἰεσσῆς. Ἀρίστων. Σιμπλίκιος. Μετιανός. Ἀμάντος. Αἰμιλιανός. Ἰουστινιανός. Βικτωρῖνος. * Σατουρνῖλος. Ἀβουνδάντιος. Δωνατιανός. Μάξιμος.

* Ἴσως, Βίκτωρ.
* Συπερίων.
* Ἴσως, Σατουρνῖνος.

Οἱ Ἀφρικῆς.

Νέσσος. Γρᾶτος. Μεγάσιος. Κολδαῖος. Ρογατιανός. Κονσόρτιος. Ρουφῖνος. Μαννῖνος. Καικιλιανός. * Ἐρεννιανός. Μαριανός. Οὐαλέριος. Δυνάμιος. Μυζόνιος. Ἰοῦστος. Καιλεστῖνος. Κυπριανός. Βίκτωρ. Ὀνωρᾶτος. Μαρῖνος. Παντάγαθος. Φῆλιξ. Βαύδιος. Λίβερ. Καπίτων. * Μινερβάλις. Κόσμος. Βίκτωρ. Ἑσπερίων. Φῆλιξ, Σεβηριανός. Ὀσπάντιος. Ἕσπερος, Φιδέντιος. Σαλούστιος. Παχάσιος.

* Ἀρρινιανός.
* Μινερβάλις.

Οἱ Αἰγύπτου.

Λιβούρνιος. Ἀμάντιος. Φῆλιξ. Ἰσχυράμμων. Ρωμῦλος. Τιβερῖνος. Κονσόρτιος. Ἡρακλείδης. * Φορτουνᾶτος. Διόσκορος. Φορτουνατιανός. Βαστάμων. Δάτυλλος. Ἀνδρέας. Σερῆνος. Ἄρειος. Θεόδωρος. Εὐαγόρας. Ἠλίας. Τιμόθεος. Ὠρίων. Ἀνδρόνικος. Παφνούτιος. Ἑρμίας. Ἀραβίων. Ψενόσιρις. Ἀπολλώνιος. Μοῦϊς. Σαραπάμπων. Σερῆνος. Φίλων. Φίλιππος. Ἀπολλώνιος. Παφνούτιος. Παῦλος. Διόσκορος. Νειλάμμων. Σερῆνος. Ἀκύλας. Ἀωτᾶς. Ἀρποκρατίων. Ἰσαάκ. Θεόδωρος. Ἀπολλώς. Ἀμμωνιανός. Νεῖλος. Ἡράκλειος. Ἀρείων. Ἀθάς. Ἀρσένιος. Ἀγαθάμμων. Θέων. Ἀπολλώνιος. Ἠλίας. Πανινούθιος. Ἀνδραγάθιος. Νεμεσσίων. Σαραπίων. Ἀμμώνιος. Ξένων. Γερόντιος. Κόϊντος. Λεωνίδης. Σεμπρωνιανός. Φίλων. Ἡρακλείδης. Ἱέρακυς. Ροῦφος. Πανσόφιος. Μακεδόνιος. Ἀπολλόδωρος. Φλαβιανός. Ψάης. Σύρος. Ἀπφούς. Σαραπίων. Ἡσαΐας. Παφνούτιος. Τιμόθεος. Ἐλουρίων. Γάϊος. Μουσαῖος. Πιστός. Ἡρακλάμμων. Ἥρων. Ἠλίας. Ἀνάγαμφος. Ἀπολλώνιος. Γάϊος. Φιλωτᾶς. Παῦλος. Τιθώης. Εὐδαίμων. Ἰούλιος.

* Φορτουνάτιος.

Οἱ ἐν τῷ καναλίῳ τῆς Ἰταλίας.

Προβάτιος. Βιάτωρ. Φακουνδῖνος. Ἰωσῆς. Νουμίδιος. Σπηράντιος. Σεβῆρος. Ἡρακλειανός. Φαυστῖνος. Ἀντωνίνος. Ἡράκλειος. Οὐϊτάλιος. Φῆλιξ. Κρισπῖνος. Παυλιανός.

Οἱ Κύπρου.

Αὐξίβιος. Φώτιος. Γηράσιος. Ἀφροδίσιος. Εἰρηνικός. Νουνέχιος. Ἀθανάσιος. Μακεδόνιος. Τριφύλλιος. Σπυρίδων. Νόρβανός. Σωσικράτης.

Οἱ Παλαιστίνης.

Μάξιμος. Ἀέτιος. Ἄρειος. Θεοδόσιος. Γερμανός. Σιλουανός. Παῦλος. Κλαύδιος. Πατρίκιος. Ἐλπίδιος. Γερμανός. Εὐσέβιος. Ζηνόβιος. Παῦλος. Πέτρος.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ τοῦ συνοδικοῦ.

ΚΩΝΣΤΑΣ δὲ ὁ θειότατος, Κωνστάντιον τὸν ἀδελφὸν αὐτοῦ θεασάμενος εὐριπόφρονα, καὶ τοῖς Ἀρειανοῖς χαριζόμενον, δηλοποιεῖ σύνοδον ἁγίαν, ἐν Σάρδῃ τῇ μητροπόλει τῶν Ἰλλυρικῶν καὶ Δακῶν ἀθροισθεῖσαν, ἐξετάσαι τὰ κατὰ Παῦλον καὶ Ἀθανάσιον. Εν ᾗ συνῆλθον ἀπότε Ρώμης, καὶ τῶν Σπανιῶν, Γαλλίας, Ἰταλίας, Καμπανίας, Ἀφρικῆς, Σαρδινίας, Δαρδανίας, Μακεδονίας, Θεσσαλίας, Παιονίας, Μυσίας, Ἀχαΐας, Ἠπείρου, Θράκης, Εὐρώπης, Ἀσίας, Καρίας, Βιθυνίας, Ἑλλησπόντου, Φρυγίας, Πισσιδίας, Καππαδοκίας, Εὐξείνου, Πόντου, Κιλικίας, Φρυγίας ἄλλης, Παμφυλίας, Λυδίας, νήσων Κυκλάδων, Αἰγύπτου, Θηβάϊδος, Λιβύης, Γαλατίας, Παλαιστίνης, Ἀρραβίας, ὁ. καὶ στ'. λογάδες ἐπίσκοποι. ὧν ἐξῆρχον, Ὅσιος Κουρδούβης ἐπίσκοπος, Ἀβραμιαῖος, καὶ Πρωτογένης ὁ ταύτης ἀρχιεπίσκοπος. Ἡ τὸ ὑγιὲς τρανώσασα μάθημα, προσεδέξατο Παῦλον καὶ Ἀθανάσιον· εἰς παντελῆ καθαίρεσιν Γρηγόριον τὸν Ἀλεξανδρείας ἀποκηρύξασα, Κυντιλιανὸν Γάζης, καὶ τὸν Ἀγκύρας Βασίλειον· μὴ κοινωνεῖν αὐτοῖς, καὶ ἐπισκόπους οὐκ ὀνομάζεσθαι παρὰ παντὸς πιστοῦ κρίνασα, ὡς τυραννικῶς τῶν θρόνων κρατησάντων. Θεόδωρον δὲ τὸν Ἡρακλείας, καὶ Παλαιστίνης Ἀκάκιον, Στέφανον Ἀντιοχείας, καὶ τὸν Συγγιδόνου Ἰσαάκιον, Μηνόφαντα Ἐφέσου, καὶ τὸν Μύδας Οὐάλεντα, ἀπεκήρυξε μόνον, καὶ τὸν Κιλικίας Γεώργιον, οὓς τινας μετὰ θάνατον ἀπεβάλλετο, παρὰ τοῦ Κωνσταντινουπόλεως Ἀλεξάνδρου καταδίκους τὸ πρὶν ἐξιχνεύσασα.

Προσθήκη τῆς τρίτης Ἐπιστολῆς τῆς ἐν Σαρδικῇ Συνόδου.

Ἀποκηρύττομεν δὲ ἐκείνους, καὶ ἐξορίζομεν τῆς καθολικῆς ἐκκλησίας τοὺς διαβεβαιουμένους, ὅτι Θεός ἐστιν ὁ Χριστὸς δηλονότι, ἀλλὰ μὴν ἀληθινὸς Θεὸς οὐκ ἔστιν. ὅτι υἱός ἐστιν, ἀλλὰ ἀληθινὸς υἱὸς οὐκ ἔστιν. ὅτι γενητός ἐστιν ἅμα καὶ ἀγένητος. οὕτως ἑαυτοὺς νοεῖν τὸν γεγεννημένον ὁμολογοῦσιν, ὅτι οὕτως εἶπον τὸ γεγεννημένον ἐστί. καὶ ὅτι τοῦ Χριστοῦ πρὸ αἰώνων ὄντος, διδόασιν αὐτῷ ἀρχὴν, καὶ τέλος, ὅπερ οὐκ ἐν καιρῷ, ἀλλὰ πρὸ παντὸς χρόνου γένεσιν ἔχει. καὶ ὑπόγυιον δὲ δύο ἔχεις ἀπὸ τῆς ἀσπίδος τῆς Ἀρειανῆς ἐγεννήθησαν, Οὐάλης καὶ Οὐρσάκιος, οἵ τινες καυχῶνται καὶ οὐκ ἀμφιβάλλουσι λέγοντες ἑαυτοὺς Χριστιανοὺς εἶναι, καὶ ὅτι ὁ λόγος, καὶ ὅτι τὸ πνεῦμα καὶ ἐσταυρώθη, καὶ ἐσφάγη, καὶ ἀπέθανεν, καὶ ἀνέστη· καὶ ὅτι περ τὸ τῶν αἱρετικῶν σύστημα φιλονεικεῖ, διαφό-

ρους εἶναι τὰς ὑποστάσεις τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, καὶ εἶναι κεχωρισμένας. ἡμεῖς δὲ ταύτην παρειλήφαμεν καὶ δεδιδάγμεθα, καὶ ταύτην ἔχομεν τὴν καθολικὴν παράδοσιν, καὶ πίστιν, καὶ ὁμολογίαν, μίαν εἶναι ὑπόστασιν, ἣν αὐτοὶ οἱ αἱρετικοὶ οὐσίαν προσαγορεύουσι, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. καὶ εἰ ζητοῖεν, τίς τοῦ υἱοῦ ἡ ὑπόστασίς ἐστιν, ὁμολογοῦμεν ὡς αὕτη ἣν ἡ μόνη τοῦ πατρὸς ὁμολογουμένη· μηδέποτε πατέρα χωρὶς υἱοῦ, μηδὲ υἱὸν χωρὶς πατρὸς γεγεννῆσθαι, μηδὲ εἶναι δύνασθαι ὅ ἐστι λόγος πνεῦμα οὐκ ἔχων. ἀτοπώτατον γάρ ἐστι λέγειν ποτὲ πατέρα γεγεννῆσθαι χωρὶς υἱοῦ, μήτε ὀνομάζεσθαι, μήτε εἶναι δύνασθαι, ἐστὶν αὐτοῦ μαρτυρία τοῦ υἱοῦ λέγουσα, ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. καὶ, ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν. οὐδεὶς ἡμῶν ἀρνεῖται τὸν γεγεννημένον, ἀλλὰ τισι γεγεννημένον πρὸ πάντων, ἅπερ ἀόρατα καὶ ὁρατὰ προσαγορεύεται, ποιητὴν καὶ τεχνίτην καὶ ἀρχαγγέλων, καὶ ἀγγέλων, καὶ κόσμου, καὶ ἀνθρωπίνου γένους· ὅτι φησίν, ἡ πάντων τεχνίτις ἐδίδαξέμε σοφία. καὶ πάντα δι' αὐτοῦ ἐγένετο. οὐ πάντοτε γὰρ εἶναι ἠδύνατο, εἰ ἀρχὴν ἔλαβεν, ὅτι ὁ πάντοτε ὢν ἀρχὴν οὐκ ἔχει λόγος· Θεὸς δὲ οὐδέποτε ὑπομένει τέλος. οὐ λέγομεν τὸν πατέρα υἱὸν εἶναι, οὐδὲ πάλιν τὸν υἱὸν πατέρα εἶναι· ἀλλ' ὁ πατὴρ πατήρ ἐστι, καὶ ὁ υἱὸς πατρὸς υἱός. ὁμολογοῦμεν δύναμιν εἶναι τοῦ πατρὸς τὸν υἱόν. ὁμολογοῦμεν τὸν λόγον Θεοῦ πατρὸς εἶναι, παρ' ὃν ἕτερος οὐκ ἔστι· καὶ τὸν λόγον ἀληθῆ Θεὸν, καὶ σοφίαν, καὶ δύναμιν· ἀληθῆ δὲ υἱὸν παραδιδόαμεν, ἀλλ' οὐχ ὥσπερ οἱ λοιποὶ υἱοὶ προσαγορεύονται, τὸν υἱὸν λέγομεν· ὅτι ἐκεῖνοι ἢ διὰ τοῦτο θεοὶ εἶεν τῷ ἀναγεννᾶσθαι χάριν, ἢ διὰ τὸ καταξιωθῆναι, υἱοὶ προσαγορεύονται, οὐ διὰ τὴν μίαν ὑπόστασιν, ἥ τις ἐστὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. ὁμολογοῦμεν μονογενῆ, καὶ πρωτότοκον· ἀλλὰ μονογενῆ τὸν λόγον, ὃς πάντοτε ἦν καὶ ἐστιν ἐν τῷ πατρὶ, τὸ πρωτότοκος δὲ, τῷ ἀνθρώπῳ. διαφέρει δὲ τῇ κοινῇ κτίσει, ὅτι καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν. ὁμολογοῦμεν εἶναι Θεόν· ὁμολογοῦμεν μίαν πατρὸς καὶ υἱοῦ θεότητα. οὐδέ τις ἀρνεῖταί ποτε τὸν πατέρα τοῦ υἱοῦ μείζονα, οὐ δι' ἄλλην ὑπόστασιν, οὐδὲ διὰ ἄλλην διαφορὰν, ἀλλ' ὅτι αὐτὸ τὸ ὄνομα τοῦ πατρὸς μεῖζόν ἐστι τοῦ υἱοῦ. αὕτη δὲ αὐτῶν ἡ βλάσφημος καὶ διεφθαρμένη ἑρμηνεία. τούτου ἕνεκα εἰρηκέναι αὐτὸν φιλονεικοῦσιν, ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμεν, διὰ τὴν συμφωνίαν καὶ τὴν ὁμόνοιαν. κατέγνωμεν δὲ πάντες οἱ καθολικοὶ τῆς μωρᾶς καὶ οἰκτρᾶς αὐτῶν διανοίας. καὶ ὥσπερ γὰρ οἱ ἄνθρωποι θνητοὶ ἐπειδὴ διαφέρεσθαι ἤρξαντο, προσκεκρουκότες διχονοοῦσι, καὶ εἰς διαλλαγὴν ἐπάνεισιν· οὕτως διάστασις καὶ διχόνοια μεταξὺ πατρὸς Θεοῦ παντοκράτορος καὶ τοῦ υἱοῦ εἶναι δύναται, λέγουσιν· ὅπερ ἀτοπώτατον καὶ ὑπονοῆσαι καὶ ὑπολαβεῖν. ἡμεῖς δὲ καὶ πιστεύομεν καὶ διαβεβαιούμεθα, καὶ οὕτω νοοῦμεν, ὅτι ἡ ἱερὰ φωνὴ ἐλάλησεν, ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμεν, καὶ διὰ τὴν τῆς ὑποστάσεως ἑνότητα, ἥ τις ἐστὶ μία τοῦ πατρὸς, καὶ μία τοῦ υἱοῦ. καὶ τοῦτο δὲ πιστεύομεν, πάντοτε, ἀνάρχως, καὶ ἀτελευτήτως τοῦτον μετὰ τοῦ πατρὸς βασιλεύειν, καὶ μὴ ἔχειν μήτε χρόνον διορίζοντα, μήτε ἐκλείπειν αὐτοῦ τὴν βασιλείαν· ὅτι ὃ πάντοτέ ἐστιν, οὐδέποτε τοῦ εἶναι ἤρξατο, οὐδὲ ἐκλείπειν δύναται. πιστεύομεν δὲ καὶ περιλαμβάνομεν τὸν παράκλητον τὸ ἅγιον πνεῦμα, ὅπερ ἡμῖν αὐτὸς ὁ κύριος καὶ ἐπηγγείλατο καὶ ἔπεμψε, καὶ τοῦτο πιστεύομεν πεμφθέν. καὶ τοῦτο οὐ πέπονθεν, ἀλλ' ὁ ἄνθρωπος ὃν ἐνεδύσατο, ὃν ἀνέλαβεν ἐκ Μαρίας τῆς παρθένου, τὸν ἄνθρωπον τὸν παθεῖν δυνάμενον· ὅτι ἄνθρωπος θνητὸς, καὶ Θεὸς δὲ ἀθάνατος. πιστεύομεν ὅτι τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη, οὐχ ὁ Θεὸς ἐν τῷ ἀνθρώπῳ, ἀλλ' ὁ ἄνθρωπος ἐν τῷ Θεῷ ἀνέστη, ὅν τινα καὶ προσήνεγκε τῷ πατρὶ ἑαυτοῦ δῶρον, ὃν ἠλευθέρωσεν ἐκ τῆς ἁμαρτίας καὶ τῆς φθορᾶς. πιστεύομεν δὲ ὅτι εὐθέτῳ καιρῷ καὶ ὡρισμένῳ πάντας καὶ περὶ πάντων αὐτὸς κρινεῖ. τοσαύτη δὲ αὐτῶν ἐστιν ἡ ἄνοια, καὶ οὕτω παχεῖ σκότει ἡ διάνοια αὐτῶν ἐκτετύφλωται, ἵνα μὴ δυνηθῶσιν ἰδεῖν τὸ φῶς τῆς ἀληθείας. οὐ συνιᾶσιν ᾧ λόγῳ εἴρηται, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι. σαφές ἐστι διὰ τί ἓν. ὅτι οἱ ἀπόστολοι πνεῦμα ἅγιον τοῦ Θεοῦ ἔλαβον, ἀλλ' ὅμως αὐτοὶ οὐκ ἦσαν πνεῦμα, οὐδέ τις αὐτῶν ἢ λόγος, ἢ σοφία, ἢ δύναμις ἦν, οὐδὲ μονογενὴς ἦν. ὥσπερ ἐγώ, φησι, καὶ σὺ ἓν ἐσμεν οὕτως καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν. ἀλλὰ καὶ ἀκριβῶς διέστειλεν ἡ θεία φωνὴ, ἐν ἡμῖν ἓν ὦσι, φησίν. οὐκ εἶπεν, ὥσπερ ἡμεῖς ἓν ἐσμεν ἐγὼ καὶ ὁ πατήρ. ἀλλ' ἵνα οἱ μαθηταὶ ἐν αὐτοῖς σύζυγοι καὶ ἡνωμένοι ἓν ὦσι τῇ πίστει, τῇ ὁμολογίᾳ, καὶ ἐν τῇ χάριτι καὶ εὐσεβείᾳ τῇ τοῦ Θεοῦ πατρὸς, καὶ τῇ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν συγχωρήσει καὶ ἀγάπῃ ἓν εἶναι δυνηθῶσιν.

Κυρίῳ ἀδελφῷ καὶ συλλειτουργῷ λιβερίῳ, εὐστάθιος, θεόφιλος, σιλβανὸς, ἐν κυρίῳ χαίρειν.

Διὰ τὰς τῶν αἱρετικῶν μανιώδεις ὑπονοίας, οἳ οὐ παύονται ταῖς καθολικαῖς ἐκκλησίαις σκάνδαλα ἐπιφέροντες, τούτου χάριν, πᾶσαν ἀφορμὴν αὐτῶν ἀναιροῦντες, ὁμολογοῦμεν τὴν σύνοδον τὴν γενομένην ἐν λαμψάκῳ, καὶ ἐν σμύρνῃ, καὶ ἐν ἑτέροις διαφόροις τόποις τῶν ὀρθοδόξων ἐπισκόπων. ἧς συνόδου πρεσβείαν ποιούμενοι πρὸς τὴν χρηστότητα σου, καὶ πάντας τοὺς ἰταλοὺς τὲ, καὶ δυτικοὺς ἐπισκόπους γράμμα κομίζομεν τὴν καθολικὴν πίστιν κρατεῖν καὶ φυλάττειν, ἥτις ἐν τῇ ἁγίᾳ νικαέων συνόδῳ, ἐπὶ τοῦ μακαρίου κωνσταντίνου, ὑπὸ τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων βεβαιωθεῖσα, ἀκεραίᾳ καὶ ἀσαλεύτῳ καταστάσει ἕως νῦν καὶ διηνεκῶς διαμένει, ἐν ᾗ τὸ ὁμοούσιον ἁγίως καὶ εὐσεβῶς κεῖται ὑπεναντίως τῆς ἀρείου διαστροφῆς. ὁμοίως καὶ ἡμᾶς καὶ τὰ τῶν προειρημένων τὴν αὐτὴν πίστιν κεκρατηκέναι, καὶ κρατεῖν, καὶ ἄχρι τέλους φυλάσσειν, ἰδίᾳ χειρὶ ὁμολογοῦμεν, κατακρίνοντες ἄρειον, καὶ τὴν ἀσεβῆ διδαχὴν αὐτοῦ, σὺν τοῖς μαθηταῖς αὐτοῦ, καὶ τοὺς ὁμόφρονας αὐτοῦ, καὶ πᾶσαν αἵρεσιν σαβελλίου, παυλοπασσιανοὺς, μαρκιωνιστὰς, φωτιανοὺς, μαρκελλιανοὺς, καὶ παῦλον τὸν σαμοσατέως. καὶ τούτων τὴν διδαχὴν, καὶ πάντας τοὺς ὁμόφρονας αὐτῶν, καὶ πάσας τὰς αἱρέσεις, τὰς ἐναντιουμένας τῇ προειρημένῃ ἁγίᾳ πίστει, ἥτις εὐσεβῶς καὶ καθολικῶς ὑπὸ τῶν ἁγίων ἐξετέθη πατέρων ἐν νικαίᾳ, ἀναθεματίζοντες ἐξαιρέτως, καὶ τὴν ἐν ἀριμήνῳ συνόδῳ ἀναγνωσθεῖσαν ἔκθεσιν, ὡς ὑπεναν-

ναντίως τῆς προειρημένης ταύτης πίστεως τῆς ἁγίας συνόδου τῆς ἐν νικαίᾳ πραχθεῖσαν. οἷς δόλῳ καὶ ἐπιορκίᾳ ὑποπεισθέντες ἐν κωνσταντίνου πόλει κομισθεῖσαν ἀπὸ νίκης τῆς θράκης ὑπέγραψαν. ἔστι δὲ ἡ πίστις ἡμῶν καὶ αὐτῶν ὧν προείρηται, ὧν καὶ τὴν πρεσβείαν ποιούμεθα, αὕτη. πιστεύομεν εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν καὶ ἀοράτων ποιητὴν, καὶ εἰς ἕνα μονογενῆ θεὸν, κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ. γεννηθέντα ἐκ τοῦ πατρὸς, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός. θεὸν, ἐκ θεοῦ. φῶς, ἐκ φωτός. θεὸν ἀληθινὸν, ἐκ θεοῦ ἀληθινοῦ. γεννηθέντα, οὐ ποιηθέντα. ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ, καὶ τὰ ἐπὶ τῆς γῆς. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα. παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ. ἀνελθόντα εἰς οὐρανοὺς. καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκροὺς. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. τοὺς δὲ λέγοντας ἦν ποτὲ ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας φάσκοντας εἶναι, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία τοῦ θεοῦ. ἐγὼ δὲ εὐστάθιος ἐπίσκοπος πόλεως σεβαστείας, καὶ θεόφιλος, καὶ σιλβανὸς. πρέσβεις συνόδου λαμψάκων, σμύρνης, καὶ τῶν λοιπῶν, ταύτην τὴν ὁμολογίαν χερσὶν ἡμῶν, καὶ οἰκείαις προαιρέσεσιν ἐγράψαμεν. εἰ δὲ τις μετὰ τὴν ἐκτεθεῖσαν παρ' ἡμῶν πίστιν, καθ' ἡμῶν ἤτοι τῶν ἀποστειλάντων ἡμᾶς ἔγκλημάτι προσενεγκεῖν θελήσει μετὰ γραμμάτων τῆς σῆς ἁγιοσύνης, πρὸς οὓς ἐὰν δοκιμάσῃ ἡ σὴ ἁγιότης, ὀρθοδόξους ἐπισκόπους ἔρχεσθαι, καὶ ἐπ' αὐτῶν μεθ' ἡμῶν διαδικάζεσθαι. καὶ εἴ τι ἐγκλήματος ἕνεκεν συσταθῇ, εἰς τὸν αἴτιον ἐκδικηθείη. τούτῳ δὴ τῷ βιβλίῳ τοὺς πρέσβεις ἀσφαλισάμενος ὁ λιβέριος, εἰς κοινωνίαν τὲ ἐδέξατο, καὶ τάδε τὰ γράμματα τοὺς αὐτοῖς, ἀπέλυσεν.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ

τοῦ Συνοδικοῦ.

Οἱ γοῦν Ἀρειανοὶ διὰ τὸν Παῦλον καὶ Ἀθανάσιον ἀποχίσαντες, παρασύναγμα ἐν Φιλιππουπόλει ἐπισκόπων ἑξήκοντα ἐποιήσαντο· καὶ δύσφημον ὅρον ἐκθέμενοι, Παῦλον καὶ Ἀθανάσιον ἀπεκήρυξαν.

ΣΥΝΟΔΟΣ ΕΝ ΑΝΤΙΟΧΕΙΑ,

Ἀρειανῶν.

Ἀλλὰ καὶ ὁ ἀσεβέστατος Κώνστας, εἰς Ἀντιόχειαν ἐκ Ῥώμης πρὸς Κωνστάντιον τὸν ἴδιον ἀδελφὸν, ἐκδικῶν Παῦλον καὶ Ἀθανάσιον, ἐξαπέστειλε δύο αἰδεσιμωτάτους ἐπισκόπους, καλουμένους Εὐφρατᾶν καὶ Βικέντιον, μεθ' ὧν καὶ τὸν φιλόχριστον στρατηγέτην, ὀνομαζόμενον Σαλῖνον. Στέφανος δὲ ὁ ἄθεος, ὁ Ἀντιοχείας ἐπίσκοπος, αἱρετικῶν συνέδριον συκοφαντίας μεστὸν ποιησάμενος, χαμαιτύπην διά τινος νεανίου, νυκτὸς πρὸς τοὺς ἐλαβεῖς ἐπισκόπους Ῥωμαίων εἰσήγαγεν, ὅπερ Σαλῖνος ῥᾳδιουργηθὲν ὑπὸ Στεφάνου διήλεγξε. διὸ ἡ συναχθεῖσα σύνοδος καθελοῦσα Στέφανον Ἀρειανὸν Λεόντιον ἀντεχειροτόνησεν, ἐκτομίαν αὐτόχειρα. Ὃς τὸν ΚΑΙ σύνδεσμον ἐπὶ τῆς τοῦ υἱοῦ δοξολογίας τινὰς τιθέντας ἐνσημηνάμενος, καὶ τὴν ΔΙΑ ἄλλους πρόθεσιν, ἑτέρους τὴν ΕΝ τῷ πνεύματι προσαρμόζοντας· σιγῇ τὸ τέλος τῆς δοξολογίας ἐπλήρου, μόνον ἐκφωνῶν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΠΙΣΤΟΛΗ ΕΙΡΗΝΟΠΟΙΟΣ,

καὶ Κοινωνιτικὴ, Οὐρσακίου, καὶ Οὐάλεντος πρὸς Ἀθανάσιον.

Κυρίῳ ἀδελφῷ Ἀθανάσιῳ ἐπισκόπῳ Οὐρσάκιος καὶ Οὐάλης ἐπίσκοποι.

Ἀφορμὴν εὑρόντες διὰ τοῦ ἀδελφοῦ καὶ συμπρεσβυτέρου ἡμῶν Μουσαίου ἐρχομένου πρὸς τὴν σὴν ἀγάπην, ἀδελφὲ ἀγαπητὲ δι' αὐτοῦ σε καὶ πάνυ προσαγορεύομεν ἀπὸ τῆς Ἀκυλίης, καὶ εὐχόμεθα ὑγιαίνοντά σε τὰ γράμματα τὰ ἡμέτερα ἀναγνῶναι· δώσεις γὰρ καὶ ἡμῖν θαῤῥεῖν, ἐὰν καὶ σὺ ἐν τῷ γράφειν τὴν ἀμοιβὴν ὑμῖν ἀποδῷς· γίνωσκε γὰρ ἡμᾶς εἰρήνην ἔχειν μετὰ σοῦ, καὶ κοινωνίαν ἔχειν ἐκκλησιαστικὴν, καὶ τούτου γνώρισμα, ἡ διὰ τούτων τῶν γραμμάτων προσηγορία· ἡ θεία πρόνοιά σε διαφυλάττοι, κύριε ἀγαπητὲ ἀδελφέ. Παρὰ Ἀθαν. Ἀπολογ. β'.

Ἑρμηνεία ἀπὸ τοῦ Ῥωμαϊκοῦ, τῆς πρὸς Ἰούλιον ἐπιστολῆς, περὶ τῆς μετανοίας Οὐρσακίου καὶ Οὐάλεντος, κυρίῳ μακαριωτάτῳ πάπᾳ Ἰουλίῳ, Οὐρσάκιος καὶ Οὐάλης.

Ἐπειδὴ σύνεστηκεν ἡμᾶς πρὸ τούτου, πολλά τε καὶ δεινὰ περὶ Ἀθανασίου τοῦ ἐπισκόπου διὰ γραμμάτων ὑποβεβληκέναι, γράμμασί τε σῆς χρηστότητος μεθοδευθέντες, τοῦ πράγματος χάριν περὶ οὗ ἐδηλώσαμεν, οὐκ ἠδυνήθημεν λόγον ἀποδοῦναι, ὁμολογοῦμεν παρὰ τῇ σῇ χρηστότητι, παρόντων τῶν ἀδελφῶν ἡμῶν πάντων τῶν πρεσβυτέρων, ὅτι πάντα τὰ πρὸ τούτου ἐλθόντα εἰς ἀκοὰς ὑμῶν περὶ τοῦ ὀνόματος τοῦ προειρημένου Ἀθανασίου, ψευδῆ καὶ πλαστά ἐστι, πάσῃ τε δυνάμει ἀλλότρια αὐτοῦ τυγχάνει· διά τε τοῦτο ἡδέως ἀντιποιούμεθα τῆς κοινωνίας τοῦ προειρημένου Ἀθανασίου, μάλιστα ὅτι ἡ θεοσέβειά σου, κατὰ τὴν ἔμφυτον αὐτοῦ καλοκἀγαθίαν, τῇ πλάνῃ ἡμῶν κατηξίωσε συγγνώμην δοῦναι, ὁμολογοῦμεν δὲ καὶ τοῦτο, ὅτι ἄν ποτε ἡμᾶς οἱ ἀνατολικοὶ θελήσωσιν, ἢ καὶ αὐτὸς Εὐσέβιος κακοτρόπως περὶ τούτου εἰς κρίσιν καλέσαι, μὴ ἀπέρχεσθαι παρὰ γνώμην τῆς σῆς διαθέσεως. τὸν δὲ αἱρετικὸν Ἄρειον καὶ τοὺς ὑπερασπίζοντας αὐτοῦ, τοὺς λέγοντας ἦν ποτε ὅτε οὐκ ἦν ὁ υἱὸς, καὶ ὅτι ἐκ τοῦ μὴ ὄντος

ὁ υἱός

ὁ υἱός ἐστι, καὶ τὰς ἀρνουμένους τὸν χριστὸν Θεὸν εἶναι Θεοῦ υἱὸν πρὸ αἰώνων, καθὼς καὶ ἐν τῷ προτέρῳ λιβέλλῳ ἑαυτῶν ἐν τῇ Μεδιολάνῳ ἐπιδεδώκαμεν, καὶ νῦν καὶ ἀεὶ ἀναθεματίζομεν. Ταῦτα δὲ τῇ χειρὶ ἑαυτῶν γράψαντες, ὁμολογοῦμεν πάλιν ὅτι τῶν Ἀρειανῶν αἵρεσιν καθὰ προείπομεν, καὶ τὰς ταύτης αὐθεντίας, κατεχόμεν εἰς τὸν αἰῶνα ἐγὼ Οὐρσάκιος τῇ ὁμολογίᾳ μου ταύτῃ παρὼν ὑπέγραψα, ὁμοίως καὶ Οὐάλης.

ΕΠΙΣΤΟΛΗ ΣΥΝΟΔΙΚΗ

τῆς ἐν ἱεροσολύμοις Συνόδου.

Ἡ ἁγία σύνοδος ἐν ἱεροσολύμοις συναχθεῖσα, τοῖς ἐν Αἰγύπτῳ καὶ Λιβύαις συλλειτουργοῖς, καὶ τοῖς ἐν Ἀλεξανδρείᾳ πρεσβυτέροις καὶ διακόνοις καὶ λαῷ ἀγαπητοῖς, καὶ ποθεινοτάτοις ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν.

Κατ' ἀξίαν τῷ τῶν ὅλων Θεῷ δυσαρεστεῖν ὑκ ἀρκοῦμεν ἀγαπητοὶ, ἐφ' οἷς θαυμασίοις ἐποίησε πάντοτε, ἐποίησε δὲ καὶ νῦν μετὰ τὰ ὑμετέρας ἐκκλησίας, τὸν ποιμένα ὑμῶν καὶ κύριον, καὶ συλλειτουργὸν ἡμῶν Ἀθανάσιον, ἀποδὺς ὑμῖν. τίς γὰρ ἤλπισέ ποτε τοῦτο ὀφθαλμοῖς ἰδεῖν, ἃ νῦν ὑμεῖς ἔργῳ ἀπολαμβάνετε; ἀληθῶς αἱ προσδυχαὶ ὑμῶν εἰσηκούσθησαν παρὰ τῷ τῶν ὅλων Θεῷ τῷ κηδομένῳ τῆς ἑαυτοῦ ἐκκλησίας καὶ ἐπιδόντι ὑμῶν τὰ δάκρυα καὶ τὰς ὀδυρμούς, καὶ διὰ τοῦτο τὰ δεήσεων ὑμῶν ἐπαχθέντι. ἦτε γὰρ ὡς πρόβατα ἐρριμμένα καὶ ἐσκυλμένα μὴ ἔχοντα ποιμένα. διὰ τοῦτο ἐπεσκέψατο ὑμᾶς ὁ ἀληθὴς ποιμὴν οὐρανόθεν, ὁ τὰ ἰδίων προβάτων κηδόμενος, ἀποδὺς ὑμῖν, ὃν ἐπιθυμεῖτε. ἰδοὺ γὰρ καὶ ἡμεῖς πάντα ὑπὲρ τὰ ἐκκλησιαστικῆς εἰρήνης πράττοντες, καὶ τῇ ὑμετέρᾳ συμπνέοντες ἀγάπῃ, προλαβόντες αὐτὸν ἠσπασάμεθα, καὶ κοινωνήσαντες δι' αὐτοῦ ὑμῖν, ταύτας τὰς προσρήσεις διαπεμπόμεθα. καὶ τὰς εὐχαριστήριους ὑμῶν εὐχὰς, ἵν' εἰδῆτε τῷ συνδέσμῳ τῆς πρὸς αὐτὸν κοινωνίας καὶ ἡμᾶς ἡνῶσθαι. ὀφείλετε δὲ καὶ ὑπὲρ τὰ εὐσεβείας τὰ θεοφιλεστάτων βασιλέων εὔχεσθαι, οἵτινες καὶ αὐτοὶ γνόντες τὸ πόθον ὑμῶν, τὸ περὶ αὐτὸν καὶ τὴν αὐτοῦ καθαρότητα, ἀποκαταστῆσαι αὐτὸν ὑμῖν μετὰ πάσης τιμῆς κατηξίωσαν· ὑπτίαις δὲ ὑποδεξάμενοι αὐτὸν χερσὶ, καὶ τὰς ὀφειλομένας περὶ τούτου εὐχαριστήριους εὐχὰς ἀναπέμψαι τῷ ταῦτα ὑμῖν χαρισαμένῳ Θεῷ σπουδάσατε, ὑπὲρ τοῦ διαπαντὸς ὑμᾶς χαίρειν σὺν Θεῷ καὶ δοξάζειν ἡμῶν τὸν κύριον, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, δι' οὗ τῷ πατρὶ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

* Τῶν δὲ ὑπογραψάντων τὰ ὀνόματα εἰ καὶ φθάσας ἐδήλωσα, ἀλλὰ καὶ νῦν ἔγραψα. εἰσὶ γὰρ, Μάξιμος, Ἀέτιος, Ἄρειος, Θεόδωρος, Γερμανὸς, Σιλβανὸς, Παῦλος, Παξίκιος, Ἐλπίδιος, Γερμανὸς, Εὐσέβιος, Ζηνόβιος, Παῦλος, Μακρῖνος, Πέξος, Κλαύδιος.

ΣΥΝΟΔΟΣ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΟΡΘΟΔΟΞΩΝ.

Ἐκ τοῦ βιβλίου τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ οὖν τῷ φιλοχείστῳ διὰ Σαλίνης Κωνσαντίῳ πόλεμον ἀπειλήσαντος, εἰ Παύλῳ καὶ Ἀθανασίῳ τοὺς ἰδίους θρόνους ἀποδοῦναι διαναβάλλοιτο, σύνοδος θεία καὶ ἱερὰ τοπικὴ ἐν Ἱεροσολύμοις ἠθροίζετο· Μάξιμον τὸν ὁμολογητὴν καὶ μακάριον ἐκ τοῦ πάλαι διωγμοῦ, ἀγκύλῃ καὶ ὀφθαλμὸν, καὶ τὸν δεξιὸν μηρὸν ἀφηρημένον, ἔξαρχον τῆς ἁγίας πόλεως ἀρχιεπίσκοπον ἔχουσα· ἡ τὸ σωτηριῶδες μάθημα βεβαιώσασα, Παῦλον καὶ Ἀθανάσιον προσεδέξατο.

ΣΥΝΟΔΟΣ

Ἐκ τοῦ Συνοδικοῦ.

ΔΙΟΠΕΡ Κυρδύβης ἐπίσκοπος ὁ πανόσιος σύνοδον θείαν καὶ ἱερὰν ἐπισκόπων ἐν τῇ οἰκείᾳ πόλει προσκαλεσάμενος, τὸ θεουργὸν ἐξήνωσε μάθημα· καταχείνας οὓς ἡ Σαρδικὴ ἀπεκήρυξε σύνοδος· καὶ οὓς πάλιν ἐδικαίωσε, προσδεξάμενος.

ΣΥΝΟΔΟΣ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ

τῆς Ἀρειανῶν.

ΑΘΑΝΑΣΙΟΥ γὰρ καὶ Παύλου τιμίους πορθμοὺς πρὸς τὰ ἴδια ποίμνια, τῆς ἀσεβείας οἱ πρόμαχοι σύνοδον ἐν Ἱεροσολύμοις αἱρετικῶς συνεκρότησαν, ἐν τὸν μὲν ὁμολογητὴν ἀπεβάλλοντο Μάξιμον· τὸν δὲ κατηχιστὴν ὡς Ἀρειανὸν ἐχειροτόνησαν Κύριλλον. οὗ ἡ ἐπὶ Δαμάσου ἐν Ρώμῃ, καὶ ἡ ἐπὶ Νεκταρίου ἐν Κωνσαντινουπόλει, πολλοῖς ἐπαίνοις ἐξαίρουσι σύνοδοι. καὶ Ἀχάκιος ὁ Καισαρείας τῆς Φιλίππου, Εὐσεβίου τοῦ Παμφίλου φοιτητὴς καὶ διάδοχος, χάριν πρωτείων τοῦ θρόνου τούτου ἐξήγαγεν.

ΣΥΝΟΔΟΣ ΕΝ ΣΥΡΜΙΩ.

Ἐκ τῆς βιβλίου τοῦ Συνοδικοῦ.

ΑΝΤΑΡΑΝΤΟΣ ἦν Μαγνεντίου, καὶ τὸν μακάριον Κώνσαντα παταίξαντος· μεμαθηκὼς ὁ Κωνσάντιος, Γάλλον μὲν τὸν ἀδελφὸν Ἰουλιανοῦ τοῦ παραβάτου ἀναγορεύσας Καίσαρα, τῷ ἐφῶν ἐκέλευσε φρουτίζειν· αὐτὸς δὲ μετὰ μεγίστης δυνάμεως δι' Εὐρώπης ἐχώρησε· τοὺς πολεμίους χειρούμενος, καὶ ταῖς ἐκκλησίαις κλόνον προσφέρων οὐ μέτριον. ὅθεν καὶ κελεύει συνοδον αἱρετικὴν ἐν Συρμίῳ ἀθροίζεσθαι· προφάσει μὲν Φωτεινοῦ τοῦ ἐπισκόπου αὐτῆς, ὄντος ἀνθρωπολάτρου καὶ ἄφρονος· ἀληθείᾳ δὲ, κατὰ τοῦ θείου συμβόλου, καὶ Ἀθανασίου τοῦ γενναιοφρονος, ἥτις ὅρον πίστεως ἐξέθετο ἄθεον, φύσιν, ἢ οὐ-

ἢ οὐσίαν ἐπὶ Θεοῦ λέγειν ἀπαγορεύοντα· ὅν τινα φασὶν ἐπὶ παραβάτου Ἰουλιανοῦ, Μάρκον ἐκθέσθαι τὸν Ἀρεθούσιον, παρὰ τῶν Ἀρεθουσίων πολλὰ παθόντα διὰ τὸν κύριον ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου. Οὕτω σάρκας, μακαρίας ὁμοῦ καὶ ἀθλίας, ὁ Θεολόγος ἔφη Γρηγόριος.

ΛΙΒΕΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΡΩΜΗΣ ἐπιστολὴ πρὸς τὸν αὐτὸν Ἀθανάσιον, ὅτι τέλειον ἄνθρωπον ἔλαβεν ὁ Θεὸς λόγος.

Ἀθανασ. φυλ. 396

Ἔστιν οὖν ἡμῖν ὁμολογία, ἐπιπόθητέ μοι Ἀθανάσιε, λόγος Θεοῦ υἱὸς κατὰ φύσιν ἐκ τοῦ Θεοῦ καὶ πατρὸς γεννηθεὶς, οὐ κτισθεὶς, ἀλλ' ἀεὶ ὢν συνάναρχος τῷ Θεῷ καὶ πατρὶ, καὶ ἀκαταπαύστως τὸ βασίλειον ἔχων εἰς τοὺς ἀτελευτήτους αἰῶνας, ἀμήν. καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον ἀληθῶς ἐκ τοῦ Θεοῦ κατὰ φύσιν τῇ φύσει Θεὸν ἀμέριστον ἐκ Θεοῦ κατὰ τὰς ἁγίας γραφὰς, τοῦ εἶναι ἀληθῶς τὸν πατέρα, καὶ τοῦ εἶναι ἀληθῶς τὸν υἱὸν, καὶ τοῦ εἶναι ἀληθῶς τὸν ἅγιον πνεῦμα, ἕκαστον ὄνομα μὴ μεταβαλλόμενον ἐπὶ ἀναθέματι ἐκ τῆς οἰκείας ἐπονομασίας τοῦ εἶναι τὴν τριάδα ἀληθῶς τριάδα ἐν μιᾷ θεότητι καὶ μιᾷ δυνάμει, καὶ μιᾷ οὐσίᾳ, καὶ μιᾷ ὑποστάσει. οὐ γὰρ μερίζεται ὁ υἱὸς ἐκ τῆς πατρικῆς ὑποστάσεως, οὐδὲ τὸ πνεῦμα τὸ ἅγιον τῆς πληρούσης τὸν οὐρανὸν καὶ τὴν γῆν. ἔστιν οὖν καθὼς προεῖπον, ἡ τριὰς ἐν μιᾷ ὑποστάσει μὴ μεριζομένη, καὶ τῇ οὐσίᾳ ἓν, καὶ τῇ θεότητι ἓν, καὶ τῇ δυνάμει ἓν, καὶ τῇ βασιλείᾳ ἓν, καὶ τῇ δοξολογίᾳ ἓν, καὶ τῇ εἰκόνι ἓν, καὶ τῷ πνεύματι ἕν. πνεῦμα γὰρ οὐ μερίζεται. ἀνάθεμα οὖν λέγω Σαβελλίου τὸ δόγμα καὶ Ἀρείου, καὶ τὰς προαπηγορευμένας αἱρέσεις, εἰς αἰωνίαν κολασιν κατὰ τὴν τοῦ σωτῆρος φωνήν. ταύτῃ οὖν τῇ ὁμολογίᾳ, ἀδελφὲ Ἀθανάσιε, τῇ οὔσῃ μόνῃ καὶ ἀληθῶς πίστει ἐν τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, εἰ ὁμωφρονεῖς μοι ὡς ἐπὶ κρίσει Θεοῦ καὶ Χριστοῦ, γράψον μοι εἰ οὕτω φρονεῖς καθὰ καὶ ἡμεῖς, καὶ τὰ ἴσα ἐν τῇ ἀληθινῇ πίστει, ἵνα κἀγὼ πεποιθὼς ὦ ἀδιακρίτως περὶ ὧν ἀξιοῖς κελεύειν μοι. καὶ τοῦτο δέ σε χρὴ εἰδέναι ἀγαπητὲ, ὅτι οἱ υἱοὶ τῆς ἀληθείας, ἀπαθῆ τὴν θεότητα ὁμολογοῦσι καὶ τὴν ἔνσαρκον ἐπιδημίαν τοῦ λόγου καὶ Θεοῦ, ὅτι τέλειον ἄνθρωπον ἀνέλαβεν χωρὶς ἁμαρτίας, τὸν γεννηθέντα ἐκ πατρὸς ἁγίου καὶ Μαρίας τῆς παρθένου, κατὰ τὰ εὐαγγέλια ἐν Χριστῷ Ἰησοῦ, ἀμήν.

Ἐπιστολὴ Λιβερίου τοῦ ἐπισκόπου τῆς Ρωμαίων, πρὸς τοὺς ἐπισκόπους τῆς ἀνατολῆς τῶν Μακεδονιανῶν.

Σωκρα. ἐκκλ. ἱστορ. βιβ. δ'. κεφ. 18'.

Τοῖς ἀγαπητοῖς ἀδελφοῖς, καὶ συλλειτουργοῖς Ὑθίῳ, Κυρίλλῳ, Ὑπερεχίῳ, Οὐρανίῳ, Ἥρωνι, Ἐλπιδίῳ, Μαξίμῳ, Εὐσεβίῳ, Εὐκαρπίῳ, Ἑορτασίῳ καὶ τοῖς ἑξῆς, τοῖς ἐν τῇ ἀνατολῇ ὀρθοδόξοις ἐπισκόποις Λιβέριος ἐπίσκοπος Ἰταλίας, καὶ οἱ κατὰ τὴν δύσιν ἐπίσκοποι, ἐν κυρίῳ πάντοτε χαίρειν. Τὴν εὐκταιοτάτην ὑμῖν χαρὰν τῆς εἰρήνης, καὶ τῆς ὁμονοίας ἤνεγκε τὰ ὑμέτερα γράμματα, τῷ τῆς πίστεως φωτὶ προλαμπόμενοι ἀδελφοὶ ἀγαπητοὶ, τὰ ἀποδοθέντα ἡμῖν διὰ τῶν τιμιωτάτων ἀδελφῶν ἐπισκόπων, Εὐσταθίου, Σιλβανοῦ καὶ Θεοφίλου. καὶ ταύτῃ μάλιστα, ὅτι τὴν ὑμετέραν γνώμην καὶ τὰ ὑμέτερα φρονήματα συμφωνεῖν καὶ συνᾴδειν, πρός τε τὴν ἐμὴν ἐλαχιστότητα, καὶ τῶν ἐν Ἰταλίᾳ καὶ δυτικῶν πάντων διεβεβαιώσαντο, καὶ ἀπέδειξαν. καὶ ταύτην εἶναι γινώσκομεν τὴν καθολικὴν καὶ ἀποστολικὴν πίστιν, ἥτις μέχρι τῆς κατὰ Νίκαιαν συνόδου, ἀκεραία καὶ ἀσάλευτος διέμεινε. ταύτην τε αὐτοῖς ἔχειν ὡμολόγησαν, καὶ χαρᾶς ἀναπλησθέντες, πᾶν ἴχνος καὶ ζώπυρον ἀτόπου ὑπονοίας ἐκβάλλοντες, οὐ μόνον διὰ λόγου, ἀλλὰ καὶ ἐγγράφως, ταύτην ἐξέθεντο. ἧς καὶ τὸ ἀντίτυπον ἀναγκαίως τούτοις τοῖς γράμμασιν ὑποτάξαι ἡγησάμεθα δεῖν. μή τινα πρόφασιν τοῖς αἱρετικοῖς, εἰς ἐπιβουλὴν αὖθις καταλείπωμεν, ἐν ᾗ πάλιν τὰ ὑπεκκαύματα τῆς ἰδίας κακίας ἀνακινοῦντες, πυρκαϊὰς διὰ διχοστασιῶν συνήθως ἐξάπτοιεν. ἐπείτε καὶ τοῦτο ὡμολόγησαν οἱ τιμιώτατοι ἀδελφοὶ ἡμῶν, Εὐστάθιος καὶ Σιλβανὸς καὶ Θεόφιλος, ἑαυτούς τε καὶ τὴν ὑμετέραν ἀγάπην, πάντοτε ταύτην τὴν πίστιν ἐσχηκέναι, καὶ ταύτην μέχρι τέλους διαφυλάξειν, δηλαδὴ τὴν ἐν Νικαίᾳ δοκιμασθεῖσαν ὑπὸ τριακοσίων δέκα καὶ ὀκτὼ ὀρθοδόξων ἐπισκόπων, ἥτις τὴν τελείαν περιέχει ἀλήθειαν καὶ πάντα τὰ τῶν αἱρετικῶν πλήθη ἐπιστομίζει τε καὶ ἀνατρέπει. οὐδὲ γὰρ ἀπὸ ταυτομάτου, ἀλλὰ θείῳ νεύματι ὁ τῶν τοσούτων ἀριθμὸς ἐπισκόπων συνεκροτήθη, κατὰ τῆς Ἀρείου μανίας. ἀλλ' ὅσω ἀριθμῷ ὁ μακάριος Ἀβραὰμ τοσαύτας χιλιάδας διὰ πίστεως κατεστρέψατο· ἥτις πίστις ἐν τῇ ὑποστάσει καὶ τῷ ὀνόματι τοῦ ὁμοουσίου περιεχομένη, ὥσπερ ἔρυμα ὀχυρὸν καὶ ἄμαχον, πάσας τὰς προβολὰς, καὶ τὰς κακομηχανίας τῆς Ἀρείου κακοδοξίας. τοιγαροῦν, πάντων τῶν κατὰ τὴν δύσιν ἐπισκόπων, τῶν εἰς τὸ Ἀρίμινον συνελθόντων, ὁπότε τούτους ἡ κακοήθεια τῶν Ἀρειανῶν συνεκρότησεν, ὅπως ἢ διὰ πειθοῦς τινὸς, ἢ ἵνα ἀληθέστερον εἴπω, κοσμικῆς δυνάμεως, τοῦθ' ὅπερ ἀσφαλέστατον ἦν ἐν τῇ πίστει κείμενον ἀνέλοιεν, ἢ πλαγίως ἀρνήσωνται, οὐδὲν τούτων ὠφέλησεν ἡ πανουργία. καὶ γὰρ σχεδὸν πάντες ἐκεῖνοι οἱ ἐν τῇ Ἀριμίνῳ γενόμενοι, καὶ δελεασθέντες, ἢ ὑπαχθέντες τότε, νῦν ἀναφρονήσαντες, καὶ ἀναθεματίσαντες τὴν ἔκθεσιν τῶν ἐν Ἀριμίνῳ συνελθόντων, καὶ ὑπογράψαντες τῇ καθολικῇ καὶ ἀποστολικῇ πίστει, τῇ κατὰ Νίκαιαν θεσπισθείσῃ· οἳ καὶ ἡμῖν κοινωνήσαντες ἐκθυμότερον κατὰ τοῦ Ἀρείου δόγματος, καὶ κατὰ τῶν αὐτοῦ μαθητῶν χαλεπαίνουσιν. οὗ τινος πράγματος τὸν ἔλεγχον οἱ πρέσβεις τῆς ὑμετέρας ἀγάπης ἐπιγνόντες, καὶ ὑμᾶς αὐτοὺς τῇ οἰκείᾳ ὑπογραφῇ συνέζευξαν, καὶ ἀναθεματίζοντες Ἄρειον, καὶ τὰ ἐν Ἀριμίνῳ πραχθέντα κατὰ τῆς πίστεως τῆς ἐν Νικαίᾳ θεσπισθείσης. οἷς καὶ ὑμεῖς αὐτοὶ δελεασθέντες, δι' ὁρκωμοσιῶν ὑπεγράψατε. ὅθεν ἀκόλουθον ἡμῖν ἐφάνη, γράψαι πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ βοη-

βοηθῆσαι τοῖς δίκαια αἰτουμένοις. μάλιστα δὲ, ὅτε διὰ τῆς ὁμολογίας τῶν ὑμετέρων πρεσβειῶν ἀναφρονήσαντας τοὺς ἀνατολικοὺς, συμφωνεῖν πρὸς τοὺς ὀρθοδόξους τῶν δυτικῶν ἐπέγνωμεν. καὶ δηλοῦμεν ὅπως εἰδέναι ἔχοιτε τὰς ἐν τῇ Ἀριμίνῳ βλασφημίας, καὶ ὑπὸ τῶν δοξασάντων τότε κατὰ συναρπαγὴν παραβεβλάφθαι νῦν ἀναθεματισθείσας, καὶ πάντας πρὸς τὴν κατὰ Νίκαιαν πίστιν συμπεπνευκέναι. καὶ χρὴ δι' ὑμῶν τοῦτο πᾶσι γνωσθῆναι, ὅπως δυνηθεῖεν καὶ οἱ κατ' ἐπήρειαν παραβλαφθέντες, ἤδη ποτὲ ἐκ τοῦ αἱρετικοῦ σκότους, πρὸς τὸ θεῖον φῶς τῆς καθολικῆς ἐλευθερίας ἀνακάμψαι. οἵ τινες μετὰ ταύτην τὴν συνόδον, εἰ μὴ θελήσειαν ἀποπτύσαι τὸν τῆς κακοδοξίας ἰὸν, καὶ τὰς βλασφημίας Ἀρείου πάσας ἀνελεῖν, ταύτας τε ἀναθεματίσαι, γινωσκέτωσαν ἑαυτοὺς μετὰ τοῦ Ἀρείου καὶ τῶν τούτου μαθητῶν, καὶ τῶν λοιπῶν ὄφεων, ἤτοι Σαβελλιανῶν, ἢ Παστοπασσιανῶν, ἢ οἱασδήποτε ἄλλης αἱρέσεως, ἐκσπόνδους εἶναι, καὶ ἀκοινωνήτους τῶν ἐκκλησιαστικῶν συνάψεων, ἥτις τοὺς ἐκ μοιχείας υἱοὺς οὐ προσίεται· ὁ Θεὸς ὑμᾶς ἐῤῥωμένους διαφυλάξοι ἀδελφοὶ ἀγαπητοί.

ΕΠΙΣΤΟΛΗ

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἀντίγραμμα πρὸς Λιβέριον ἐπίσκοπον Ρώμης.

Ὅτι τέλειον ἄνθρωπον ἀνέλαβεν ὁ θεὸς λόγος ὑπὲρ τῆς ἡμετέρας σωτηρίας.

παρὰ Ἀθανάσ. φυλλ. 397.

Εἷς Θεὸς ἀθάνατος, ἀόρατος, ἀψηλάφητος· πνεῦμα γὰρ ὁ θεός. οὗτος * ἀχώριστος, μὴ ἔχων τόπον, ὅπου οὐκ ἔστιν. ὁ τούτου λόγος, ἀθάνατος σοφία, ἄφθαρτος, ἀόρατος, υἱὸς πρωτότοκος, συνεργὸς, ἄναρχος, ἀψηλάφητος, μήτε ἀρχὴν ἡμερῶν ἔχων, μήτε τέλος ζωῆς προσδοκῶν. διὰ τούτου ἐγένετο τὰ πάντα, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. αὐτὸς ὁ πλάσας τὸν ἄνθρωπον· οὗτος ὁ τὴν κιβωτὸν δείξας, πῶς ἵνα γένηται· οὗτος ὁ τὴν ἐπαγγελίαν δοὺς τῷ Ἀβραάμ· οὗτος ὁ καταβὰς ἐπὶ τὸ σῶσαι τὸν λαὸν, ὁ Μωσῇ τὸν νόμον δούς· οὗτος ὁ θεὸς Ἀβραὰμ, καὶ θεὸς Ἰσαὰκ, καὶ θεὸς Ἰακώβ· ὁ ἐν προφήταις λαλήσας, ὁ διαθέμενος τὴν παλαιὰν καὶ τὴν καινὴν διαθήκην, ὁ ἐπ' ἐσχάτων τῶν ἡμερῶν σάρκα ἐκ παρθένου λαβὼν θνητὴν, οὐκ αὐτὸς ὢν θνητός· ἀσθενῆ, οὐκ αὐτὸς ἀσθενής· ὀφειλομένην θανάτῳ, οὐκ αὐτὸς ὀφειλόμενος· ὁρατὴν, οὐκ αὐτὸς ὁρατός. αὕτη ἐκρεμάσθη, οὐκ αὐτός· αὕτη ἐτάφη, οὐκ αὐτός· αὕτη πάντα τὰ ἀνθρώπινα πάθη ὡς ἄνθρωπος ὑπέμεινεν, οὐκ αὐτός. ἐκεῖνος δὲ δύναμις θεοῦ, τουτέστι θεὸς, ὁ τὰ ἄλυτα τοῦ ᾅδου λύσας, καὶ τὸ κράτος τοῦ διαβόλου καταργήσας, ἀνέβη ὅθεν καὶ κατέβη· ἐγείρας ἐκεῖνο τὸ ταφὲν, προσήνεγκε τῷ πατρὶ, ἐλευθερώσας οὗ ἐκρατεῖτο θανάτου. ἐν τούτῳ τὸν πατέρα νοοῦμεν, ἐν γὰρ καὶ τοῦτο τῇ θεότητι, τῇ δυνάμει, τῇ οὐσίᾳ, τῇ ὑποστάσει, τῇ δόξῃ, τῷ ὀνόματι τοῦ θεοῦ, καὶ αὐτὸν τὸν υἱὸν ἐν τῷ πατρί. οὗτος ὁ μετὰ τὸ λαβεῖν τὴν σάρκα Ἰησοῦς κληθεὶς, καθότι καὶ ἄνθρωπος· τουτέστιν ἀνέλαβεν ἄνθρωπον ἐν ἑαυτῷ, ἐν ᾧ πᾶν τὸ πλήρωμα τῆς θεότητος οἰκεῖ σωματικῶς. τοῦτον ἔχομεν οὐ διακεχωρισμένον ἀπὸ τοῦ πατρὸς, ἢ τοῦ ἁγίου πνεύματος· οὐδὲ τὸν πατέρα λέγοντες καταβεβηκέναι, καὶ ἐν ἀνθρώπῳ γενέσθαι. οὕτως εἷς θεὸς πατὴρ παντοκράτωρ παρ' ἡμῖν πιστεύεται, καὶ διὰ τοῦτο ἡ πίστις ἡμῶν ἐστιν. εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, καὶ εἰς τὸν υἱὸν αὐτοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ εἰς τὸ ἅγιον πνεῦμα. ταῦτα δὲ ἐξ ἑνότητος, μιᾶς δυνάμεως, μιᾶς ὑποστάσεως, μιᾶς οὐσίας, μιᾶς δοξολογίας, μιᾶς κυριότητος, μιᾶς βασιλείας, μιᾶς εἰκόνος, τῆς τριάδος ὁμοούσιον, δι' οὗ τὰ πάντα ἐγένετο. οὕτως καὶ σαρκὸς ἀνάστασιν πιστεύομεν, τουτέστι, τοῦ σώματος ἡμῶν κατὰ τὰς ἁγίας γραφὰς, τοῦ φθαρτοῦ καὶ θνητοῦ αὐτοῦ μεταβαλλομένου εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ὑπὸ τοῦ θεοῦ, ἀμήν.

ΔΙΑΛΟΓΟΣ ΚΩΝΣΤΑΝΤΙΟΥ

βασιλέως καὶ Λιβερίου πάπα Ρώμης.

παρὰ Θεοδωρίτῳ βιβ. β. κεφ. ιε'.

Κωνστάντιος ὁ βασιλεὺς εἶπεν. ἡμεῖς καὶ διὰ τὸ χριστιανόν σε εἶναι καὶ ἐπίσκοπον τῆς ἡμετέρας πόλεως, ἄξιον ἐκρίναμεν. καὶ τοῦτο μεταστειλάμενοι παραινοῦμένοι, τῆς ἀπορρήτου ἀπονοίας τοῦ ἀνοσίου Ἀθανασίου τὴν κοινωνίαν ἀρνήσασθαι. τοῦτο γὰρ ἡ οἰκουμένη εὖ ἔχειν ἐδοκίμασε, συνόδου τὲ ψηφίσματι ἀλλότριον τῆς ἐκκλησιαστικῆς κοινωνίας ἔκρινε. Λιβέριος ἐπίσκοπος εἶπε. Βασιλεῦ, τὰ ἐκκλησιαστικὰ κρίματα μετὰ πολλῆς δικαιοκρισίας γίνεσθαι ὀφείλει. διόπερ εἴ σου δοκεῖ τῇ εὐσεβείᾳ, κριτήριον συσταθῆναι κέλευσον. καὶ εἰ ὀφθείη Ἀθανάσιος ἄξιος καταδίκης, τότε κατὰ τὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τύπον ἐξενεχθήσεται ἡ κατ' αὐτοῦ ψῆφος. οὐδὲ γὰρ οἷόν τε καταψηφίσασθαι ἀνδρὸς ὃν οὐκ ἐκρίναμεν. Κωνστάντιος βασιλεὺς εἶπε. πᾶσα ἡ οἰκουμένη κατεψηφίσατο περὶ τῆς ἀνοσιότητος αὐτοῦ, καὶ ὡς ἐξ ἀρχῆς τὸν καιρὸν διαπαίζει. Λιβέριος ἐπίσκοπος εἶπεν. ὅσοι ὑπέγραψαν, οὐκ αὐτόπται τῶν γεγενημένων ἦσαν. ἀλλὰ διὰ δόξαν καὶ φόβον καὶ ἀτιμίαν τὴν παρὰ σοῦ. ὁ βασιλεύς. τί ἐστι δόξα καὶ φόβος καὶ ἀτιμία; Λιβέριος. ὅσοι τὴν δόξαν τοῦ Θεοῦ οὐκ ἀγαπῶσι, τὰς παρὰ σοῦ μᾶλλον δωρεὰς προτιμήσαντες, ὃν μὴ ταῖς ὄψεσιν εἶδον, οὐ κρίναντες κατεδίκασαν, ὅπερ ἐστὶν ἀλλότριον Χριστιανῶν. ὁ βασιλεύς. καίτοι κέκριται κατὰ πρόσωπον καὶ ἐν τῇ γενομένῃ συνόδῳ ἐν Τύρῳ, καὶ ἐν τῇ συνόδῳ κατεψηφίσαντο πάντες οἱ ἐπίσκοποι τῆς οἰκουμένης. Λιβέριος. οὐδέποτε κατὰ πρόσωπον κέκριται ἄνθρωπος. ὅσοι γὰρ τότε συνελθόντες κατεψηφίσαντο αὐτοῦ, ἀναχωρήσαντος Ἀθανασίου ἐκ τοῦ κριτηρίου, κατεψηφίσαντο ἀλόγως.

Εὐσέβιος ὁ εὐνοῦχος εἶπεν. ἐν τῇ συνόδῳ τῇ κατὰ Νίκαιαν ἀλλότριος ἀπεδείχθη τῆς καθολικῆς πίστεος. Λιβέριος. πέντε μόνοι ἔκριναν τῶν συμπλευσάντων αὐτῷ ἐν τῷ Μαρεώτῃ, οὓς ἀπέστειλαν κατὰ τοῦ ἐγκαλουμένου συστήσασθαι κατ' αὐτοῦ

τοῦ ὑπομνήματα. ἀπὸ τούτων τοίνυν τῶν ἀποσταλέντων, οἱ δύο τεθνήκασι, Θεόγνιος, καὶ Θεόδωρος. οἱ δὲ λοιποὶ τρεῖς ζῶσι, τουτέστι Μάρης καὶ Οὐάλης καὶ Οὐρσάκιος. ἀπὸ τούτων τῶν ἀποσταλέντων κατὰ Σαρδικὴν τοῦ πράγματος τούτου ἕνεκα συνεκροτεῖτο ψῆφος, οἳ ἐν τῇ συνόδῳ βιβλία ἐπιδεδώκασι συγγνώμην αἰτοῦντες, ἐφ' οἷς ἐν τῷ Μαρεώτῃ κατὰ συκοφαντίαν ἐκ μονομεροῦς συνεθήκαντο κατὰ Ἀθανασίου ὑπομνήματα, ἅτινα βιβλία αὐτῶν νῦν ἔχομεν μετὰ χεῖρας. τίνι τούτων δεῖ πείθεσθαι ἡμᾶς βασιλεῦ κοινωνεῖν, τοῖς πρότερον καταψηφισαμένοις, καὶ ἐκ δευτέρου συγγνώμην αἰτήσασιν, ἢ τοῖς νῦν τούτων καταψηφισαμένοις;

Ἐπίκτητος ἐπίσκοπος εἶπε. βασιλεῦ, οὐ πίστεως ἕνεκεν σήμερον, οὐδὲ κριμάτων ἐκκλησιαστικῶν ἀντιποιούμενος Λιβέριος τὸν λόγον ποιεῖται, ἀλλ' ἵνα τοῖς ἐν Ρώμῃ συγκλητικοῖς καυχήσηται ὡς συλλογισάμενος τὸν βασιλέα. ὁ δὲ βασιλεὺς εἶπε Λιβερίῳ. πόστον εἶμέρος τῆς οἰκουμένης, ὅτι σὺ μόνος συναίρῃ ἀνθρώπῳ ἀνοσίῳ, καὶ τῆς οἰκουμένης τὴν εἰρήνην καὶ ὅλου τοῦ κόσμου λύεις. Λιβέριος. οὐ διὰ τὸ εἶναί με μόνον, ὁ τῆς πίστεως ἐλαττοῦται λόγος. καὶ γὰρ κατὰ τὸ παλαιὸν, τρεῖς μόνοι εὑρίσκονται ἀντιστάντες προστάξει. Εὐσέβιος εὐνοῦχος εἶπε. τὸν βασιλέα ἡμῶν Ναβουχοδονόσορ ἐποίησας. Λιβέριος. οὐχὶ, ἀλλ' οὕτως ἀλόγως καταδικάζεις ἄνθρωπον ὃν οὐκ ἐκρίναμεν. ἀλλὰ κἀγὼ ἀξιῶ πρότερον οἰκουμενικὴν ὑπογραφὴν προχειρίσαι βεβαιοῦσαν τὴν πίστιν τὴν κατὰ Νίκαιαν ἐκτεθεῖσαν, ἵν' οὕτως ἀνακληθέντων τῶν ἀδελφῶν ἡμῶν ἀπὸ τοῦ ἐξορισμοῦ καὶ ἀποκατασταθέντων τοῖς ἰδίοις τόποις, εἰ ὀφθείησαν νῦν θορύβους ἐγγεννῶντες ταῖς ἐκκλησίαις συγκατατιθέμενοι τῇ ἀποστολικῇ πίστει, τότε ἐπὶ τὴν Ἀλεξανδρέων οἱ πάντες ἀπαντήσαντες ἔνθα ὁ ἐγκαλούμενος καὶ οἱ ἐγκαλοῦντες εἰσὶ, καὶ ὁ ἀντιποιούμενος αὐτῶν, ἐξετάσαντες τὰ περὶ αὐτῶν, συμπεριενεχθῶμεν.

Ἐπίκτητος ἐπίσκοπος εἶπεν. ἀλλ' ὁ δρόμος τῶν δημοσίων οὐχ' ὑποστήσεται τὴν χρείαν τῆς τῶν ἐπισκόπων παρόδου. Λιβέριος. οὐ χρείαν ἔχει τὰ ἐκκλησιαστικὰ δημοσίου δρόμου, αἱ γὰρ ἐκκλησίαι, ἱκαναὶ εἰσιν ἕως τῆς θαλάσσης διαπέμψασθαι τοὺς ἑαυτῶν ἐπισκόπους. ὁ βασιλεύς. τὰ ἤδη τύπον ἐσχηκότα ἀναλύεσθαι οὐ δυνατὸν ἐστι. τῶν γὰρ πλειόνων ἐπισκόπων ἡ ψῆφος ἰσχύειν ὀφείλει. σὺ μόνος εἶ ὁ ἀντιποιούμενος τῆς φιλίας τοῦ ἀνοσίου ἐκείνου. Λιβέριος εἶπεν. βασιλεῦ, οὐδέποτε ἠκούσαμεν μὴ παρόντος τοῦ ἐγκαλουμένου, κριτοῦ ἀνοσιότητα καταγγέλλοντος, ὡς ἰδίαν ἔχθραν εἰσφέροντος τῷ ἀνθρώπῳ. ὁ βασιλεύς. πάντας μὲν κοινῶς ἠδίκησεν, οὐδένα δὲ οὕτως ὡς ἐμέ. ὅστις μὴ ἀρκεσθεὶς ἐπὶ τῇ ἀπωλείᾳ τοῦ μειζοτέρου μου ἀδελφοῦ, οὐδὲ τὸν μακαρίτην Κώνσαντα ἐπαύσατο παροξύνων εἰς ἡμετέραν ἔχθραν, εἰ μὴ ἡμεῖς πλείονι ἡμερότητι ὑπηνέγκαμεν τὴν τοῦ παροξύνοντος καὶ τοῦ παροξυνομένου ῥοπήν. οὐδὲν δέ μοι τοιοῦτον κατόρθωμα, οὐδὲ τὸ κατὰ Μαγνέντιον καὶ Σιλβανὸν, ὡς τοῦ μιαροῦ ἐκείνου περιαιρουμένου τῶν ἐκκλησιαστικῶν πραγμάτων.

Λιβέριος. μὴ διὰ τῶν ἐπισκόπων ἀμύνου τὴν ἔχθραν βασιλεῦ. αἱ γὰρ χεῖρες τῶν ἐκκλησιαστικῶν εἰς τὸ ἁγιάζειν εὐκαιρεῖν ὀφείλουσιν. ὅθεν εἴ σοι δοκεῖ, κέλευσον ἀνακληθῆναι τοὺς ἐπισκόπους εἰς τοὺς ἰδίους τόπους. καὶ εἰ ὀφθείησαν ὁμόφρονες τοῦ σήμερον ἀντιποιουμένου τῆς κατὰ Νίκαιαν ἐκτεθείσης ὀρθοδόξου πίστεως. τότε συνελθόντες ἐπὶ τὸ αὐτὸ ἴδοιεν ὑπὲρ εἰρήνης τοῦ κόσμου, ἵνα μὴ τὸν μὴ ἁμαρτήσαντα ἄνδρα χαραχθῆναι δοκιμασθῇ. ὁ βασιλεύς. ἓν ἐστιτὸ ζητούμενον. βούλομαι γάρ σε ἀσπασάμενον τὴν πρὸς τὰς ἐκκλησίας κοινωνίαν, πάλιν εἰς τὴν Ρώμην ἀποστεῖλαι. διὰ τοῦτο πείσθητι τῇ εἰρήνῃ, καὶ ὑπογράψας ὑπόστρεψον εἰς τὴν Ρώμην. Λιβέριος. ἤδη τοῖς ἀδελφοῖς τοῖς ἐν Ρώμῃ ἀπεταξάμην. μείζους γὰρ εἰσιν οἱ ἐκκλησιαστικοὶ θεσμοὶ, τῆς ἐν Ρώμῃ διατριβῆς. ὁ βασιλεύς. οὐκοῦν τριῶν ἡμερῶν ἔχεις σκέψεως διάστημα, εἰ βούλει ὑπογράψας ὑποστρέψαι εἰς τὴν Ρώμην, ἢ ἐννοῆσαι ἐν ποίῳ τόπῳ μετατεθῆναι βούλει. Λιβέριος. τὸ τῶν τριῶν ἡμερῶν ἢ μηνῶν διάστημα οὐ μετατίθησι λογισμόν. ὅθεν ὅπου βούλει ἀπόστειλόν με. ὁ βασιλεύς. μετὰ δύο ἡμέρας κριθέντος Λιβερίου, καὶ μὴ μετατεθέντος τοῦ λογισμοῦ, εἶπεν ἐξορισθῆναι εἰς τὴν Βέροιαν τῆς Θρᾴκης.

ΕΠΙΣΤΟΛΗ ΟΣΙΟΥ

πρὸς Κωνστάντιον αὐτοκράτορα.

Ἐγὼ μὲν ὡμολόγησα καὶ τὸ πρῶτον ὅτε διωγμὸς γέγονεν ἐπὶ τῷ πάππῳ σου Μαξιμιανῷ. εἰ δὲ καὶ σύ με διώκεις, ἕτοιμος, καὶ νῦν πᾶν ὁτιοῦν ὑπομένειν, ἢ ἐκκενοῦν ἀθῷον αἷμα καὶ προδιδόναι τὴν ἀλήθειαν, σὲ δὲ οὐκ ἀποδέχομαι τοιαῦτα γράφοντα καὶ ἀπειλοῦντα. παῦσαι τοῦ τοιαῦτα γράφειν καὶ μὴ φρόνει τὰ Αρείου, μηδὲ ἄκουε τῶν ἀνατολικῶν, μηδὲ πίστευε τοῖς περὶ Οὐρσάκιον καὶ Οὐάλεντα, ἃ γὰρ ἐκεῖνοι λέγουσιν, οὐ δι' Ἀθανάσιον φθέγγονται, ἀλλὰ διὰ τὴν ἰδίαν αἵρεσιν, πίστευέ μοι Κωνστάντιε, πάππος εἰμί σου καθ' ἡλικίαν, ἐγενόμην αὐτὸς ἐν τῇ κατὰ Σαρδικὴν συνόδῳ, ὅτε σύτε καὶ ὁ μακαρίτης ἀδελφός σου Κώνστας, πάντας ἡμᾶς συνήγαγε, καὶ δι' ἐμαυτοῦ τοὺς ἐχθροὺς Ἀθανασίου προσεκαλεσάμην, ἐλθόντας αὐτοὺς εἰς τὴν ἐκκλησίαν ἐν ᾗ ᾤκουν ἐγὼ, ἵν' εἴτι ἔχοιεν κατ' αὐτοῦ λέγωσιν, ἐπαγγειλάμενος αὐτοῖς θαῤῥεῖν, καὶ μὴ ἄλλοτι προσδοκᾶν ἢ ὀρθὸν τὸ κριτήριον ἐπὶ πᾶσιν ἔσεσθαι. τοῦτο δὲ οὐχ' ἅπαξ, ἀλλὰ καὶ δεύτερον ἐποίησα, προτρέπων εἰ μὴ θέλοιεν ἐπὶ πάσης τῆς συνόδου, κἂν ἐπ' ἐμοῦ μόνου. ἐπαγγειλάμενος πάλιν ὅτι ἂν μὲν ὑπεύθυνος δειχθῇ πάντως ἀποβληθήσεται καὶ παρ' ἡμῶν· ἂν δὲ ἀναίτιος εὑρεθῇ, καὶ ἐλέγξῃ συκοφάντας ὑμᾶς, εἰ παραιτεῖσθε τὸν ἄνθρωπον, ἐγὼ μετ' ἐμαυτοῦ πείθω τὸν Ἀθανάσιον ἐλθεῖν εἰς τὰς Σπανίας. καὶ ὁ μὲν Ἀθανάσιος ἐπὶ τούτοις ἐπείθετο καὶ οὐκ ἀντέλεγεν· ἐκεῖνοι δὲ πρὸς πάντα μὴ θαῤῥοῦντες ἴσως ἀνένευον. ἐγένετο δὲ πάλιν ὁ Ἀθανάσιος εἰς τὸ σὸν στρατόπεδον ἡνίκα μετεπέμψω γράψας αὐτῷ, καὶ παρόντας ἐν αὐτῇ τῇ Ἀντιοχείᾳ τοὺς ἐχθροὺς, κληθῆναι πάντας ἢ

ἐνα-

ἕκαστον αὐτῶν ἠξίωσεν, ἵν' ἢ ἐλέγξωσιν, ἢ ἐλεγχθῶσι, καὶ ἵνα ἢ παρόντα δείξωσιν, οἷον λέγουσιν, ἢ ἀπόντα μὴ διαβάλλωσι, καὶ οὔτε σὺ λέγοντος ἠνέχου, ἀλλὰ κἀκεῖνοι παρῃτήσαντο. τί τοίνυν ἀκούεις ἔτι τῶν κακολογούντων αὐτόν; πῶς ἀνέχῃ Οὐάλεντος καὶ Οὐρσακίου, καίτοι μετανοησάντων αὐτῶν, καὶ ἐγγράφως αὐτῶν ὁμολογησάντων τὴν συκοφαντίαν; ὡμολόγησαν γὰρ, οὐ βίαν παθόντες, ὡς αὐτοὶ προφασίζονται, οὐ στρατιωτῶν ἐπικειμένων, οὐκ εἰδότος τοῦ ἀδελφοῦ σου. οὐκ ἐγίγνετο γὰρ παρ' αὐτῷ τοιαῦτα οἷα νῦν γίγνεται. μὴ γένοιτο· ἀλλ' αὐτοὶ θέλοντες, ἑαυτοῖς ἀνῆλθον εἰς τὴν Ρώμην, καὶ τοῦ ἐπισκόπου καὶ τῶν πρεσβυτέρων παρόντων ἔγραψαν, γράψαντες πρῶτον καὶ Ἀθανασίῳ φιλικὴν καὶ εἰρηνικὴν ἐπιστολήν. εἰ δὲ βίαν προφασίζονται, καὶ τοῦτο γινώσκουσι κακὸν, οὐκ ἀποδέχῃ δὲ οὐδὲ σὺ, παῦσαι τοῦ βιάζεσθαι, καὶ μήτε γράφε, μήτε πέμπε κόμητας· ἀλλὰ καὶ τοὺς ἐξορισθέντας ἀπόλυσον, ἵνα μὴ βίαν αἰτιωμένου σου, μείζονας βίας ἐκεῖνοι ποιῶσι. τί γὰρ τοιοῦτον γέγονε παρὰ Κώνσταντος: τίς ἐπίσκοπος ἐξωρίσθη; πότε κρίσεως ἐκκλησιαστικῆς μέσος γέγονε; ποῖος αὐτοῦ Παλατῖνος ἠνάγκασε κατά τινος ὑπογράψαι, ἵνα οἱ περὶ Οὐάλεντα τοιαῦτα λέγωσι; παῦσαι παρακαλῶ καὶ μνήσθητι ὅτι θνητὸς ἄνθρωπος τυγχάνεις, φοβήθητι τὴν ἡμέραν τῆς κρίσεως, φύλαξον σεαυτὸν εἰς ἐκείνην καθαρὸν, μὴ τίθει σεαυτὸν εἰς τὰ ἐκκλησιαστικὰ, μὴ δὲ σὺ περὶ τούτων ἡμῖν παρακελεύου, ἀλλὰ μᾶλλον παρ' ἡμῶν σὺ μάνθανε ταῦτα. σοὶ βασιλείαν ὁ Θεὸς ἐνεχείρισεν, ἡμῖν τὰ τῆς ἐκκλησίας ἐπίστευσε· καὶ ὥσπερ ὁ τὴν σὴν ἀρχὴν ὑποκλέπτων ἀντιλέγει τῷ διαταξαμένῳ Θεῷ, οὕτω φοβήθητι, μὴ καὶ σὺ τὰ τῆς ἐκκλησίας εἰς ἑαυτὸν ἕλκων, ὑπεύθυνος ἐγκλήματι μεγάλῳ γένῃ· ἀπόδοτε, γέγραπται, τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. οὔτε τοίνυν ἡμῖν ἄρχειν ἐπὶ τῆς γῆς ἔξεστιν, οὔτε σὺ τοῦ θυμιᾶν ἐξουσίαν ἔχεις βασιλεῦ. ταῦτα μὲν οὖν κηδόμενος τῆς σῆς σωτηρίας γράφω· περὶ δὲ ὧν ἐπέστειλας, ταύτης εἰμὶ τῆς γνώμης. ἐγὼ οὔτε Ἀρειανοῖς συγκατατίθεμαι, ἀλλὰ καὶ τὴν αἵρεσιν αὐτῶν ἀναθεματίζω, οὔτε κατὰ Ἀθανασίου γράφω, ὃν ἡμεῖς τε καὶ ἡ Ρωμαίων ἐκκλησία καὶ πᾶσα ἡ σύνοδος ἐκαθάρισε. καὶ γὰρ ταῦτα καὶ σὺ συνορῶν μετεπέμψω τὸν ἄνθρωπον, καὶ συνεχώρησας αὐτῷ μετὰ τιμῆς εἰς τὴν πατρίδα καὶ τὴν ἐκκλησίαν ἐπανελθεῖν. τίς τοίνυν γέγονε πρόφασις τῆς τοσαύτης μεταβολῆς; οἱ αὐτοὶ γὰρ ἐχθροὶ, οἱ καὶ πρότερον ὄντες καὶ νῦν εἰσιν αὐτοῦ, καὶ ἃ νῦν ψιθυρίζουσιν· οὐ γὰρ παρόντος αὐτοῦ φθέγγονται. ταῦτα καὶ πρὶν πέμψῃ τὸν Ἀθανάσιον κατελάλουν, ταῦτα καὶ ἐλθόντες εἰς τὴν σύνοδον διεθρύλλουν, καὶ ἀπαιτούμενοι παρ' ἐμοῦ, καθὰ προεῖπον, τὰς ἀποδείξεις οὐκ ἴσχυσαν παρασχεῖν. εἰ γὰρ εἶχον οὐκ ἂν ἔφυγον οὕτως αἰσχρῶς. τίς οὖν ἔπεισέ σε μετὰ τοσοῦτον χρόνον ἐπιλαθέσθαι τῶν σαυτοῦ γραμμάτων καὶ ῥημάτων; ἐπίσχες, καὶ μὴ πείθου κακοῖς ἀνθρώποις, ἵνα μὴ διὰ τὸ πρὸς ἀλλήλους καθῆκον, σαυτὸν ὑπεύθυνον ποιήσῃς. ὧδε γὰρ τούτοις καθικετεύεις, ἐν δὲ τῇ κρίσει μόνος μέλλεις ἀπολογεῖσθαι. οὗτοι τὸν ἴδιον ἐχθρὸν διὰ σοῦ θέλουσιν ἀδικεῖν, καὶ βούλονταί σε διάκονον τῆς ἑαυτῶν πονηρίας γενέσθαι, ἵνα διὰ σοῦ καὶ τὴν μυσαρὰν αἵρεσιν εἰς τὴν ἐκκλησίαν ἐπισπείρωσιν, οὐκ ἔστι δὲ φρόνιμον δι' ἄλλων ἡδονὴν, ἑαυτὸν εἰς προὔπτον κίνδυνον ἐμβάλλειν· παῦσαι παρακαλῶ, καὶ πείσθητί μοι Κωνστάντιε. ταῦτα γὰρ πρέπει καὶ ἐμὲ γράφειν, καὶ σὲ τούτων μὴ καταφρονεῖν.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ τοῦ συνοδικοῦ.

ΜΕΤΑ γοῦν τὴν σύνοδον ταύτην, Κωνστάντιος ἐν Μεδιολάνῳ πόλει τῆς Ἰταλίας, ἑτέραν γενέσθαι διαταξάμενος, τοὺς ἑσπερίους συνήθροισεν. Ἥτις ἁγία θεόπνευστος σύνοδος, μὴ ἀναχομένη τοῦ βασιλέως, καὶ τῆς Ἀρειανικῆς οὐ φροντίσασα φάλαγγος, ἀνατρέψαι τὸ θεῖον σύμβολον, καὶ τὴν ἐν Τύρῳ κυρῶσαι Ἀθανασίου καθαίρεσιν ἀπηρνήσατο. Διὸ τοὺς ἐξάρχους αὐτῆς ἐξορίᾳ Κωνστάντιος κατεδίκασε, τὸν τῶν ἀποστόλων διδαχῶν κήρυκα, τὸν Ρώμης πάπαν Λιβέριον πρὸς αὐτοκράτορα πολλοῖς ἐλέγχοις τηνικαῦτα χρησάμενον, τοὺς Γαλλιῶν μητροπολίτας Παῦλον καὶ Διονύσιον, τὸν Ἰταλίας μητροπολίτην Εὐσέβιον τὸν μακάριον, καὶ Λουκίφερον Σαρδινίας τῆς νήσου ἀρχιεπίσκοπον.

Πίστις ἀριανῶν ἐκτεθεῖσα ἑτέρως ἐν Σιρμίῳ Ρωμαϊστὶ, καὶ ἑρμηνευθεῖσα ἑλληνιστὶ.

ΕΠειδὴ περὶ πίστεως ἔδοξέ τινα διάσκεψιν γεγενῆσθαι, πάντα ἀσφαλῶς ἐζητήθη, καὶ διερμηνεύθη ἐν τῷ Σιρμίῳ ἐπὶ παρουσίᾳ Οὐάλεντος καὶ Οὐρσακίου, καὶ Γερμηνίου καὶ τῶν λοιπῶν συνέστηκεν, ἕνα Θεὸν εἶναι, πατέρα παντοκράτορα, καθὼς ἐν πάσῃ τῇ οἰκουμένῃ καταγγέλλεται καὶ ἕνα μονογενῆ αὐτοῦ υἱὸν, Ἰησοῦν Χριστὸν, καὶ σωτῆρα ἡμῶν, ἐξ αὐτοῦ πρὸ αἰώνων γεννηθέντα· δύο δὲ θεοὺς μὴ χρῆναι λέγειν, ἐπειδὴ καὶ αὐτὸς ὁ κύριος εἴρηκεν, πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. διὰ τοῦτο, καὶ πάντων Θεός ἐστι, καθὼς καὶ ὁ ἀπόστολος ἐδίδαξεν, ἢ Ἰουδαίων ὁ Θεὸς μόνον, οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν. ἐπείπερ εἷς Θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως. καὶ τὰ μὲν λοιπὰ πάντα συμφωνεῖ, καὶ οὐδεμίαν ἀμφιβολίαν ἔχει. ἐπεὶ δὲ πολλούς τινας κινεῖ περὶ τῆς λεγομένης Ρωμαϊστὶ μὲν σουβσταντίας, Ἑλληνιστὶ δὲ λεγομένης οὐσίας, τουτέστιν ἵνα ἀκριβέστερον γνωσθῇ τὸ ὁμοούσιον, ἤτοι λεγόμενον ὁμοιούσιον, οὐ χρή τινα τούτων παντελῶς μνήμην γενέσθαι, οὐδὲ περὶ τούτων ἐξηγεῖσθαι τῇ ἐκκλησίᾳ. διὰ ταύτην τὴν αἰτίαν, καὶ διὰ τοῦτον τὸν λογισμὸν ὅτι ἐν ταῖς θείαις γραφαῖς οὐ γέγραπται περὶ τούτων, καὶ ὅτι ταῦτα ὑπὲρ τὴν τῶν ἀνθρώπων γνῶσιν καὶ τὸν ἀνθρώπινον νοῦν ἐστίν, καὶ ὅτι οὐδεὶς δύναται τὴν γενεὰν τοῦ υἱοῦ διηγήσασθαι, καθὼς γέγραπται, τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; μόνον γὰρ εἰδέναι τὸν πάτερα φανερόν ἐστι, πῶς τὸν υἱὸν ἐγέν-

Σωκρ. βιβ. 5. κεφ. λ'. Καὶ Ἀθαν. φύλλ. 695.

ἐγέννησε· καὶ πάλιν τὸν υἱὸν, πῶς γεγέννηται ἐκ τοῦ πατρός. οὐδενὶ δὲ ἀμφίβολόν ἐστι μείζονα εἶναι τὸν πατέρα, τιμῇ, καὶ ἀξίᾳ, καὶ θεότητι, καὶ αὐτῷ τῷ ὀνόματι τῷ πατρικῷ, μείζονα εἶναι. διαμαρτυρομένου αὐτοῦ τοῦ υἱοῦ, ὁ ἐμὲ πέμψας πατὴρ μείζων μου ἐστί. καὶ τοῦτο δὲ καθολικὸν εἶναι οὐδεὶς ἀγνοεῖ, δύο πρόσωπα εἶναι πατρὸς καὶ υἱοῦ, καὶ τὸν μὲν πατέρα, μείζονα· τὸν δὲ υἱὸν ὑποτεταγμένον, μετὰ πάντων ὧν αὐτῷ ὁ πατὴρ ὑπέταξεν. τὸ δὲ πατέρα ἀρχὴν μὴ ἔχειν, καὶ ἀόρατον εἶναι, καὶ ἀθάνατον εἶναι, καὶ ἀπαθῆ εἶναι, τὸν δὲ υἱὸν, γεγεννῆσθαι ἐκ τοῦ πατρὸς, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός, καὶ τούτου τὴν γένεσιν, καθὼς προείρηται, μηδένα γινώσκειν, εἰ μὴ μόνον τὸν πατέρα· αὐτὸν δὲ τὸν υἱὸν τὸν κύριον καὶ Θεὸν ἡμῶν, σάρκα ἤτοι σῶμα, τουτέστιν ἄνθρωπον εἰληφέναι, καθάπερ, καὶ ὁ ἄγγελος εὐηγγελίσατο. καθὼς δὲ καὶ πᾶσαι αἱ γραφαὶ διδάσκουσι, καὶ μάλιστα αὐτὸς ὁ ἀπόστολος, ὁ διδάσκαλος τῶν ἐθνῶν, ἄνθρωπον ἀνέλαβεν ὁ Χριστὸς ἀπὸ Μαρίας τῆς παρθένου, δι' οὗ πέπονθεν. τὸ δὲ κεφάλαιον πάσης τῆς πίστεως καὶ ἡ βεβαιότης ἐστὶν, ἵνα τριὰς ἀεὶ φυλάττηται, καθὼς ἀνέγνωμεν ἐν τῷ εὐαγγελίῳ. πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ἀκέραιος δὲ καὶ τέλειός ἐστιν ὁ ἀριθμὸς τῆς τριάδος. ὁ δὲ παράκλητος τὸ πνεῦμα τὸ ἅγιον δι' υἱοῦ ἀποσταλὲν, ἦλθεν κατὰ τὴν ἐπαγγελίαν, ἵνα τοὺς ἀποστόλους, καὶ πάντας τοὺς πιστεύοντας ἀναδιδάξῃ καὶ ἁγιάσῃ.

Ἑτέρα πίστις ἐκτεθεῖσα ἐν Σιρμίῳ ἀρειανῶν.

Σκηρ. βιβ. β'. κεφ. λζ'. Καὶ Ἀθαν. φύλλ. 674.

Πιστεύομεν εἰς ἕνα τὸν μόνον καὶ ἀληθινὸν Θεὸν, πατέρα παντοκράτορα, κτίστην καὶ δημιουργὸν τῶν πάντων· καὶ εἰς ἕνα μονογενῆ υἱὸν τοῦ Θεοῦ, τὸν πρὸ πάντων τῶν αἰώνων, καὶ πρὸ πάσης ἀρχῆς καὶ πρὸ παντὸς ἐπινοουμένου χρόνου, καὶ πρὸ πάσης καταληπτῆς ἐπινοίας, γεγεννημένον ἀπαθῶς ἐκ τοῦ Θεοῦ, δι' οὗ οἵτε αἰῶνες κατηρτίσθησαν, καὶ τὰ πάντα ἐγένετο· γεγεννημένον δὲ μονογενῆ μόνον ἐκ μόνου ὑπὸ τοῦ πατρὸς, Θεὸν ἐκ Θεοῦ, ὅμοιον τῷ γεννήσαντι αὐτὸν πατρὶ, κατὰ τὰς γραφάς. οὗ τὴν γέννησιν οὐδεὶς ἐπίσταται, ἢ μόνος ὁ γεννήσας αὐτὸν πατήρ. τοῦτον ἴσμεν τὸν μονογενῆ αὐτοῦ υἱὸν, νεύματι πατρικῷ παραγενόμενον ἐκ τῶν οὐρανῶν εἰς ἀθέτησιν τῆς ἁμαρτίας· καὶ γεννηθέντα ἐκ Μαρίας τῆς παρθένου, καὶ ἀναστραφέντα μετὰ τῶν μαθητῶν, καὶ πᾶσαν τὴν οἰκονομίαν πληρώσαντα, κατὰ τὴν πατρικὴν βούλησιν· σταυρωθέντα, καὶ παθόντα, καὶ ἀποθανόντα, καὶ εἰς τὰ καταχθόνια κατελθόντα καὶ τὰ ἐκεῖσε οἰκονομήσαντα· ὃν πυλωροὶ ᾅδου ἰδόντες ἔφριξαν· καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ. καὶ ἀναστραφέντα μετὰ τῶν μαθητῶν· καὶ τεσσαράκοντα ἡμερῶν ἀναπληρουμένων, ἀναληφθέντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός· καὶ ἐλευσόμενον τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ δόξῃ τῇ πατρικῇ ἀποδιδόντα ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· καὶ εἰς τὸ ἅγιον πνεῦμα, ὃ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ υἱὸς Ἰησοῦς Χριστὸς ἐπηγγείλατο πέμψαι τῷ γένει τῶν ἀνθρώπων, τὸν παράκλητον κατὰ τὸ γεγραμμένον, ἀπέρχομαι πρὸς τὸν πατέρα μου, καὶ παρακαλέσω τὸν πατέρα μου, καὶ ἄλλον παράκλητον πέμψαι ὑμῖν, τὸ πνεῦμα τῆς ἀληθείας. ἐκεῖνος ἐκ τοῦ ἐμοῦ λείψεται, καὶ διδάξει, καὶ ὑπομνήσει ὑμᾶς πάντα. τὸ δὲ ὄνομα τῆς οὐσίας διὰ τὸ ἁπλούστερον ὑπὸ τῶν πατέρων τεθεῖσθαι, ἀγνοούμενον δὲ ὑπὸ τῶν λαῶν, σκάνδαλον φέρειν διὰ τὸ μήτε τὰς γραφὰς τοῦτο περιέχειν, ἤρεσε τοῦτο περιαιρεθῆναι, καὶ παντελῶς μηδεμίαν μνήμην οὐσίας ἐπὶ τοῦ Θεοῦ εἶναι του λοιποῦ, διὰ τὸ τὰς θείας γραφὰς μηδαμοῦ περὶ πνεύματος καὶ υἱοῦ οὐσίας μεμνῆσθαι ὅμοιον δὲ λέγομεν τὸν υἱὸν τῷ πατρὶ κατὰ πάντα, ὡς αἱ ἅγιαι γραφαὶ λέγουσί τε καὶ διδάσκουσιν.

ΕΠΙΣΤΟΛΗ ΣΥΝΟΔΙΚΗ.

παρὰ Ἐπιφαν. αἱρεσ. 739. φυλ. 360.

Ἡ Ἁγία Συνόδος ἡ ἐν Ἀγκύρᾳ προσεγγίζοντος τοῦς Πάσχα ἐκ διαφόρων ἐπαρχιῶν συγκροτηθεῖσα, Κυρίοις τιμιωτάτοις καὶ ὁμοψύχοις συλλειτουργοῖς ἐν Φοινίκῃ, καὶ τοῖς λοιποῖς, τοῖς τὰ αὐτὰ ἡμῖν φρονοῦσιν, ἐν Κυρίῳ χαίρειν. εὐχόμεθα μὲν μετὰ τὴν ὡς ἐν πυρὶ τοῖς ἐν μέσῳ γεγενημένοις ὑπὲρ τῆς πίστεως πειρασμοῖς βάσανον τῆς Ἐκκλησιαστικῆς πίστεως, καὶ τὰ ἐπὶ τῆς Κωνσταντινουπόλεως, διὰ Μάρκελλον γεγενημένα, καὶ μετὰ τὴν ἔκθεσιν τῆς πίστεως ἐν τῇ Συνόδῳ συγκροτηθείσης ἐπὶ τοῖς ἐγκαινίοις τῆς ἐν Ἀντιοχείᾳ Ἐκκλησίας, καὶ μετὰ ταῦτα κατὰ Σαρδικὴν, καὶ τὴν ἐκεῖ αὖθις ἀνθήσασαν πίστιν, καὶ ἔτι μετὰ τὰ ἐν Σιρμίῳ ἐπὶ Φωτεινῷ γεγενημένα, εἰ μὲν λογισμοῖς, οὓς ἐφ' ἑκάστῳ περὶ τῆς πίστεως κεφαλαίῳ ἐπερωτηθέντες περὶ τῶν ἐν Σαρδικῇ πρὸς τὴν ἀνατολὴν διεστώτων ἐξεθέμεθα, ἠρεμῆσαι λοιπὸν, καὶ ἑνωθείσης ἐν τῇ εὐσεβεῖ βασιλείᾳ τοῦ δεσπότου ἡμῶν Κωνστατίου τῆς ἀπὸ ἀνατολῆς ἕως δυσμῶν Ἐκκλησίας, ἐκβεβλημένων τῶν σκανδάλων, εἰρηνεύειν καὶ ταῖς λατρείαις τοῦ Θεοῦ προσανέχειν. ἐπειδὴ δὲ, ὡς ἔοικεν, οὐ παύεται ὁ Διάβολος διὰ τῶν οἰκείων σκευῶν σπουδάζων καθ' ἑαυτὸν, ἵνα δὴ πάντως τάτε * περὶ τοῦ Κυρίου προῤῥηθέντα, καὶ διὰ τοῦ ἁγίου Ἀποστόλου σύμφωνα ὡς ἐπὶ προφυλακῇ τῶν πιστῶν κηρυχθέντα εἰς ἀποστασίαν ἐργάσηται, ἐπινοῶν καινισμοὺς κατὰ τῆς Ἐκκλησιαστικῆς πίστεως, καὶ νῦν ἐν μορφώσει τινὰς εὐσεβείας οἰκειώσασθαι, καὶ βεβήλους καινοφωνίας δι' αὐτῶν ἐπινοῆσαι κατὰ τῆς εὐσεβοῦς γνησιότητος τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, πρότερον μὲν ἀκούοντες κατὰ τὴν Ἀντιόχειαν διατρέχειν τινὰς, ἀλλὰ καὶ κατὰ τὴν Ἀλεξάνδρειαν, ἔτι τε καὶ τὴν Λυδίαν, εἴτε κατὰ τὴν Ἀσίαν, καὶ ἐμβάλειν σπινθῆρας ἀσεβείας ταῖς τῶν ἁπλουστέρων ψυχαῖς, ἐλπίζομεν διὰ τὸ τολμηρὸν τῆς ἀσεβείας, καὶ τοσοῦτον ἀναιδὲς αὐτῶν ὑπερμαχούντων, καὶ τῶν κατὰ τόπον κυρίων συλλειτουργῶν, μαρανθῆναι τὴν ἐπινοηθεῖσαν Αἵρεσιν, καὶ σβεσθῆναι τὴν κακίαν. ἐπειδὴ δὲ ἑξῆς οἵ τε ἐκ τῶν προειρημένων τόπων

* F. παρά.

ἐωιδημῶντες, ϗ οἱ ἀπὸ τῆ κατὰ τὸ Ἰλλυρικὸν ἀπαγγέλλουσιν, ὡς σπουδῇ τιθέντες οἱ τότε τῇ κακῇ ἐξῃρέτει, ϗ πλείονας βλάπτειν τολμῶντες, ϗ ὡρὸς κακίαν ζυμῶν, ἐκέτι ἀναχόμβυοι ὑπερτίθεσθαι, ἀλλὰ ϗ τοῖς γράμμασιν ἐντυγχάνοντες τοῖς τῇ ὁμοψύχῳ συλλειτουργῇ ἡμῶν Γεωργίῳ τοῦ τῆς Λαοδικείας Ἐκκλησίας, ὧν τὰ ἀντίτυπα ὑπετάξαμβυ, ϗ τὰς μαρτυρίας τῆ δεδαμαρτυριασμένων ὡρὸς ἡμᾶς ἐπὶ Θεῷ, ἀλαβηθέντες, ὡς ἐνεδίδου ὁ ϗμὸς, τῆς ἁγίας ἡμέρας τῇ Πάσχα ἐπικειμένης, σωαχθέντες ὅσοι γε ἠδυνήθημβυ (ϗ) συναχθῆναι, διὰ * ϗ τὸν χειμῶνα τοῖς πολλοῖς ἐμποδὼν γενέσθαι, ὡς διὰ τῆ γραμμάτων ἐσήμαναν, ἐκθέσθαι εἰς τοῦτο τὸ εἶδος τῆς πίστεως τὸ ἴδιωμα ἐσπουδάσαμβυ, ὅσον ἐπὶ τοῖς λοιποῖς, τῇ ἐν Ἀντιοχείᾳ, ὡς ὡροέφαμβυ, ἐκτεθείσῃ τε πίστει τῇ ἐν τοῖς ἐγκαινίοις· ἀλλὰ ϗ ἐν τῇ Σαρδικῇ ὧ ἀνέληφεν ἡ ἐν Σιρμίῳ Σιώδος, ϗ τοῖς ἐκεῖθεν λογισμοῖς, δεδαρθρώσειν ἀκριβῶς τι εἰς τὴν ἁγίαν Τριάδα τῆς Καθολικῆς Ἐκκλησίας πίστιν. ὡρὸς δὲ τοῦτο, ὡς ὡροέφημβυ, τῆς ϗμοτομίας τὸ εἶδος μόνον, ὡς ἐνεδίδου τὸ πνεῦμα, ὑπαγορεύσαντες. ϗ παρακαλῶμβυ ὑμᾶς Κύριοι τιμιώτατοι συλλειτουργοί, ἐντυχόντες, * ὅτι ἐράθητε τῇ ἐκ πατέρων παραδοθείσῃ πίστει, ϗ ὡς σύμφωνα ὑμῖν φρονοῦμβυ, ὡς πεπιστεύκαμβυ ὑποσημήνασθαι, ἵνα πληροφορηθέντες οἱ τοῦ αὐτοῦ ἀσέβειαν ἐπεισάγειν τολμῶντες, ὅτι καθάπερ χλῆρόν τινα τοῦ ἐκ τῆ Ἀποστολικῶν χρόνων διὰ τῆ ἐν τῷ μέσῳ ἄχει ϗ ἡμῶν Πατέρων ὑποδεξάμβυοι πίστιν φυλάσσομβυ, ἣν αἰσχυνθέντες διορθωθήσονται, ἢ ἐπιμβύοντες ἀποκηρυχθῶσι τῆς Ἐκκλησίας, τοῦ ἀποστασίαν τῷ Υἱῷ τῆς ἀνομίας, ὃς τολμᾷ ἀπειλεῖ ϗ εἰς τὸν ναὸν τοῦ Θεοῦ καθίσαι ἤδη, δι' ἑαυτὸν ὡροπαρασκευάζοντες.

* ἐράθητε sed parum fincerus hic locus.

Ἡ πίστις ἡμῶν εἰς Πατέρα ϗ Υἱὸν ϗ ἅγιον Πνεῦμα, (ὃ) ἐστιν. ὅτω γὰρ ἐδίδασκε τοὺς ἑαυτῆ μαθητὰς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰπών· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τῆ Πατρὸς, ϗ τοῦ Υἱῆ, ϗ τῆ ἁγίῳ Πνεύματος. οὐκοῦν οἱ ἀναγμνώμβυοι εἰς ταύτην τὴν πίστιν, δίσεβῶς νοεῖν τοὺς ἐκ τῆ ὀνομάτων ἐννοίας ὀφείλομβυ. ὃ γὰρ εἶπε, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τῆ ἀσάρκῳ ϗ σαρκωθέντος, ἢ τῆ ἀθανάτῳ ϗ θανάτῳ πεῖραν λαβόντος, ἢ τῆ ἀγεννήτῳ ϗ γεννητῆ, ἀλλ' εἰς τὸ τῆ πατρὸς, ϗ τῆ Υἱῆ ϗ τῆ ἁγίῳ Πνεύματος. ἵνα ὀνομάτων ὡροσαχθέντες ἀπὸ τῆ φυσικῶν, (ἐν οἷς) τὸν Πατέρα αἴτιον ὁμοίας αὐτῆ οὐσίας ἐννοῶμβυ, ϗ τὸ ὄνομα τῆ Υἱῆ ἀκούοντες, ὅμοιον νοήσωμβυ τὸν Υἱὸν τῆ Πατρὸς, ὃ ἐστιν ὁ Υἱός. ἐπισταμβυ ἓν εἰς Πατέρα, ϗμὶ Υἱὸν, ϗ ἅγιον Πνεῦμα, οὐκ εἰς κτίσιν ϗ κτίσμα, ἄλλο γάρ ἐστι κτίσις ϗ κτίσμα, ἄλλο Πατὴρ ϗ ὁ Υἱὸς, διότι κεχώρεσαι τούτων ἑκάτερον τῇ ἐννοίᾳ. τὸ γὰρ κτίσμα λέγων, ὡρῶτον κτίσιν φημὶ, ϗμὶ τὸ Υἱὸς, ὡς ἀπὸ σωματικῶν ὡροσλαμβανόμβυον, ϗ διὰ τὰ πάθη ϗ τὰς ἀπορρροίας τῆ σωματικῶν πατέρων, ϗ υἱῶν καθαρῶς τινὶ τῷ ἐξ ἀσωμάτου Πατρὸς ἀσωμάτου Υἱῆ ὕπαρξιν, ἴσησιν ἔννοιαν. διὰ τοῦτο, ϗ τινὶ τῷ κτίσματος ἀπὸ σωματικοῦ παρέπλεξεν ἔννοιαν. ϗ ἐπειδὴ τὸ κτίσμα, * ὃ ποιεῖ Υἱὸν μόνον, ἀπὸ τῆ κτίσαντος ϗμὶ τῆ κτίσματος λαβὼν τὸ ἀπαθὲς τῆ κτίζοντος, ὡς ὡρὸς τὸ κτίσμα, ϗ τῆ κτίσματος, τὸ ἐξ ἀπαθοῦς τῆ κτίζοντος ὑφεστὸς πάγιον * κτίζων, ἐβάλετο τελείαν ἐκ τῆ σωματικῆ Πατρὸς, ϗ Υἱὸν ἐκ σωματικῆ κτίσαντος ϗμὶ κτίσματος, τινὶ περὶ Πατρὸς ϗμὶ Υἱῆ καθαρῶς ἡμᾶς ἐπαίδευσεν ἔννοιαν. ἀφαιρεμβύου γὰρ ἀπὸ τῆ κτίσματος τῆ τε ἔξωθεν ὑφεστῶτος, ϗ τῆ ὑλικῆ, ϗ τῆ ἄλλων, * ὅσα περὶ σωματικῆ κτίσματος τὸ ὄνομα περιέχει, μόνη ἀπὸ τῆ κτίσματος μβύει ἡ ἀπαθὴς φημὶ τοῦ κτίσματος, ϗ τελεία τῆ κτιζομβύου, ϗ * ὃν ἠβούλετο ὁ κτίζων κτίζεσθαι τὸ κτιζόμβυον, ἔννοια. εἰ δὲν ἀπὸ τῆ κτίσαντος, ϗ τῆ κτίσματος τὰ ἄλλα πάλιν ἐκβάλλοντες, τινὶ ἐξ ἀπαθοῦς τοῦ κτίζοντος, ϗ τελείου τε, ϗ παγίου, ϗ οἷον ἐβούλετο εἶναι τὸ κτίσμα, μόνιον λαμβάνομβυον ἔννοιαν, ἀκόλουθόν ἐστιν ἀπὸ τῆ Πατρὸς ϗ τῆ Υἱῆ ὀνομάτων, ἐπειδὴ μάλιστα εἰς Πατέρα, ϗ Υἱὸν πιστεύειν ἐδιδάχθημβυ. μίαν δὲν τινα δίσεβῶς λαμβάνειν ἡμᾶς ἔννοιαν δεῖ.

* ὃ ποιεῖ sed parum fincerus hic locus.

* ὃν F. al. ἣν

Διὸ ϗ ἐπὶ τούτῳ ἐκβαλομένῳ τῇ κατὰ τὸ πάθος, ἢ ἀπορρροιῶ, τὸν Πατέρα πατέρα νοεῖσθαι τῆ Υἱοῦ, ϗ τὸν Υἱὸν μὴ σπερματικῶς καταβεβλημένον σωματικοῖς φύσεως τελειοῦσθαι, ϗ κινημένοις ἀεὶ ὡρὸς αὔξιν ϗ φθορὰν, ὡς τὰ σωματικὰ ἔχειν τὰς χαρακτῆρας, μόνη παραληφθήσεται ἔννοια τῇ ὁμοίῳ. ὡς γὰρ ἀπὸ τῆ κτίσματος, πάλιν ἐρῶμβυ, πάντων ἐκβεβλημένων, παρελήφθη ἡ ἀπαθὴς μὲν τῆ κτίζοντος, τελεία, ϗ οἵαν ἠβούλετο, ϗ ἡ παγία τῆ κτίσματος· ὅτω ϗ ἐπὶ τῆ Πατρὸς ϗ Υἱῆ, ἐκβεβλημένων τῶν σωματικῶν πάντων, παραληφθήσεται μόνη ἡ ὁμοίῳ, ϗ κατ' οὐσίαν ζωῇ ϗμιουργία. ἐπειδὴ πᾶς πατὴρ ὁμοίας οὐσίας αὐτῆ νοεῖται πατήρ· εἰ δὲ μετὰ τῆ λοιπῶν ἁπάντων, ἔκτε τῆ Παῤῥὸς, ϗ Υἱῆ σωματικῶν ὀνομάτων ἐκβαλομένων ἐννοιῶν, συνεκβάλλοιτο ϗ ἡ ὁμοία κατ' οὐσίαν ζωῇ τῆ Παῤῥὸς παρέχουσα ἡμῖν νοεῖν, οὐκέτι ἔσαι Πατὴρ ϗ Υἱὸς πιστόμβυον, ἀλλὰ κτίσις ϗ κτίσμα, ϗ περιττὰ ὀνόματα, μηδὲν παρ' ἑαυτῶν εἰσφερόμβυα. ϗ ἔσαι ὅτως κτίσις μβύ ὡς Θεὸς, κατ' οὐδὲν ὅλως Πατὴρ. ὅτι γὰρ οὐκ ἐνεργείας λέγεται Πατὴρ ὁ Πατὴρ, ἀλλ' ὁμοίας ἑαυτῷ οὐσίας τῆς κατὰ τινὶ τοιάνδε ἐνέργειαν ὑποσάσης, δῆλον ἐκ τῆ φυσικῶν καθέστηκε λογισμῶν. πολλὰς γὰρ ἐνεργείας ἔχων ὁ Θεὸς, ἄλλῃ μβύ ἐνεργείᾳ κτίσις νοεῖται, καθὸ οὐρανοῦ, ϗ γῆς, ϗ πάντων τῆ ἐν τούτοις, ἀλλὰ ϗ τῆ ἀοράτων κτίσις ἐστί. Πατὴρ δὲ μονογμνῆς ὢν οὐχ ὡς κτίσις, ἀλλ' ὡς Πατὴρ γμνήσας νοεῖται. εἰ δὲ διὰ τινὶ ὑπόνοιαν τινὶ περὶ τοὺς σωματικοὺς πατέρας τε, ϗ υἱοὺς, τῆ παθῶν δεδιὼς μή τι πάθη γμνῶν ὁ ἀσώματος, εἰ μὴ ἀτελὲς εἴη τὸ γμνόμβυον, ϗ ὅσα συμβαίνειν περὶ τὸν σωματικὸν πατέρα τε ϗμὶ υἱὸν δίλαβέμβυος, ἀφέλοιτο τινὶ γνησίαν ἐπὶ Παῤῥὸς ϗ Υἱῆ ἔννοιαν, ὁποῖόν ἂν λέγοι ἕτερον ποίημα, ϗ ὁδέποτε ἐρεῖ τὸν Υἱὸν Υἱόν. εἴ τε γὰρ μεγέθει ὑπερβάλλοντα λέγοι, ὡς

ὡς ὐρανὸν ὄρυς, ἡ βυνῦ, τοῦ τῆς ποιημάτων γένους αὐτὸν, κἂν μεγέθει ὑπερβάλλων νοοῖτο, ἐλέγξει. εἴπε χρείᾳ ὡς πρωτον αὐτὸν γεγονότα, εἴτε εἰς τὴν ἄλλων δημιουργίαν ὑπαρχήσαντα, ὅτε αὐτὸν ὅτως ἕξω ποιήσει τῆς τῆς ποιημάτων ἐννοίας. ὡς γὰρ οὐδὲν διαφέρει τὸ τῇ λαβίδι ἐκ τοῦ θυσιαστηίυ τὸν ἄνθρακα, μὴ αὐτῇ τῇ χειρὶ λαμ-
F. ἡ χαλκ. βάνεσθαι, κ᾽ διὰ ταύτης * ἡ χαλκευτικὴ εἴη ἐπελαύνειν τὸν σίδηρον· ἔσαι γὰρ κ᾽ ἡ λαβὶς, κ᾽ ὁ διὰ ταύτης ἐλαυνόμυ σίδηρ τοῦ χάρις τῆς ποιημάτων· οὕτως ὐδὲν διοίσει τῆς ποιημάτων ὁ δι᾽ ὃ τὰ πάντα, εἰ μὴ ἔστιν Υἱός. ὡς ἡ φυσικὴ ἔννοια ὑποβάλλει, ποιηθεὶς δὲ πρῶτος ἔσαι τῆς ποιημάτων, κ᾽ ὄργανον γινόμυ τῷ ποιητῇ, δι᾽ ὃ τὰ πάντα ὁ κτίσης ἐργάζεται.

Καὶ ὐκ ἄν τις σοφίσαιτο τὴν τῦ ἰδίως Πατρὸς κ᾽ τοῦ ἰδίως Υἱῦ ἔννοιαν ἐκ τῆς κοινοτέρων
Ησαΐα 1. 2. Υἱῶν λεγομένων, ἐπεὶ οὕτως πολλοὶ ἔσονται Υἱοὶ
Μαλαχ. 1. 10. τοῦ Θεοῦ· ὅταν λέγῃ, Υἱοὺς ἐθρέψησα, κ᾽ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. κ᾽ τὸ, οὐχὶ Πατὴρ
Ἰωὴν. 1. εἷς πάντων ἡμῶν, κ᾽, ὅσοι ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεῦ γένεσθαι. οἳ οὐκ
Γέν. 38. 28. ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματ ἀνδρὸς, ἀλλ᾽ ἐκ Θεῦ ἐγεννήθησαν. καὶ πρὸς τούτοις περὶ ἀψύχων, ὡς ὁ τετοκὼς, φησὶ, βόλυς δρόσυ. ἐπὶ γὰρ πλέον διὰ τούτων κατασκλαθήσεται ἀπὸ τῆς κοινῆς " τὸ μὴ εἶναι μῦ αὐτὸν
Deest forte κλήσεως. Υἱὸν, ὡς ὐδὲ ταῦτα, ποίημα δὲ ὄντα ὡς ταῦτα, κλήσεως Υἱῦ μόνης μετέχειν. ἡ δὲ Ἐκκλησία πεπίσκεν, ὅτι Θεὸς ὐ μόνον ἐσὶ κτίσης κτισμάτων· τῦτο γὰρ Ἰυδαῖοί τε, κ᾽ Ἕλληνες ἐπίστανται· ἀλλ᾽ ὅτι κ᾽ πατὴρ ἐσὶ μονογενῦς, οὐ μόνον τὴν κτισικὴν ἔχων ἐνέργειαν, ἀφ᾽ ἧς κτίσης νοεῖται, ἀλλὰ κ᾽ ἰδίως, κ᾽ μονογενῶς γεννητικῶ, καθ᾽ ὃν πατὴρ μονογενῦς ἡμῖν νοεῖται. τῦτο γὰρ παιδεύων ἡμᾶς ὁ μακάριος παῦλ γράφει. τύτυ γὰρ χάριν κάμπτω τὰ γόνατά μυ πρὸς τὸν πατέρα, ἐξ ὗ πᾶσα πατριὰ ἐν οὐρανῷ, κ᾽ ἐπὶ
Deest fortasse aliquid. γῆς ὀνομάζεται, " καθ᾽ ὁμοιότητα τῆς οἰκείων ὐσιῶν τὺς Υἱὺς ἔχοντες. ὅπω κ᾽ πατὴρ ἐν οὐρανοῖς ὀνομάζεται, ἀφ᾽ ὃ οἱ πατέρες οἱ ἐπὶ γῆς κατ᾽ οὐσίαν ὠνομάσθησαν, καθ᾽ ὁμοιότητα τῆς ἑαυτῦ οὐσίας πάντως τὸν ἐξ αὐτῦ ἔχων γεγεννημένον Υἱόν. κ᾽ οὐ δύναται ἡ ἐπὶ τῆς καταχρησικῶς κ᾽ ὁμωνύμως λεγομένων Υἱῶν ἔννοια τῷ μονογενεῖ ἁρμόζειν. ὥσπερ γὰρ τυξίον μὲν λέγεται κυρίως τὸ ἐκ πυξίυ κατεσκλασμένον, κοινότερον δὲ, κ᾽ καταχρησικῶς ἀπ᾽ ἐκείνυ τυξίον κ᾽ τὸ ἐκ μολίβυ, κ᾽ χαλκῦ, κ᾽ ἄλλης τινὸς ὕλης γεγονός. ὅτε ὃν ὡς ὁ τετοκὼς βόλους δρόσυ, τετέσιν οὐσιωδῶς, κ᾽ καταχρησικῶς γὰρ ἐνταῦθα ἐπὶ τοῦ ποιήματ τὸ τῦ τόκυ παρείληπται. ὅτε ὡς τὸ, Υἱοὺς ἐθρέψησα, κ᾽ ὕψωσα. κ᾽ ἐνταῦθα γὰρ καταχρησικῶς ἀπὸ τῆς διανοίας καὶ τιμῆς προσωνόμασαι. ὅτε τὸ, ἔδωκεν αὐτοῖς ἐξυσίαν τέκνα Θεῦ γένεσθαι. κ᾽ τῦτο γὰρ τῆς κατ᾽ ἀρετὴν κ᾽ μίμησιν τῆς ποιήσεως εἴληπται, ὅτως ὁ μονογενὴς νοηθήσεται. ἀλλὰ κυρίως, ὡς μόνος ἐκ μόνυ ὅμοι κατ᾽ ὐσίαν ἐκ τῦ πατρὸς, ὅπερ κ᾽ ὠνομάσθη κ᾽ ἐνοήθη Υἱὸς γνησιος.

Εἰ δὲ διὰ τὸ ἀδύνατον τῆς λογισμῶν μὴ ἔχοιτό τις τὸν λογισμὸν γνῶσει ὅτως νοηθείη πατὴρ, πάθος, ἢ μερισμὸν, ἢ ἀπόῤῥοιαν ὑπομένοντ τῦ πατρὸς, κ᾽ παρωσάμενον τὴν πίσιν, * ἢ ὑφίσηται τὴν ὐσιωδῆ περὶ πατρὸς κ᾽ Υἱῦ ἔννοιαν, λογισμὸς ἀπαιτοίη, ἀπαιτητέον αὐτὸν λογισμούς, πῶς ὁ Θεὸς σαυρῦται, κ᾽ πῶς τὸ μωρότερον τῦ Εὐαγγελικοῦ κηρύγματ διὰ τὸ ἀσυλλόγιστον παρὰ τοῖς δοκῦσιν εἶναι τοῦ κόσμυ σοφοῖς, σοφώτερον * ἀνθρώποις ἐσὶν, οὓς οὐδὲ λόγυ ἀξιοῖ ὁ μακάριος παῦλ. διότι τῷ ἀσυλλογίστῳ τῆς δυνάμεως ἐμώρανε τὴν σοφίαν τῆς συλλογίζεσθαι δυναμένην. εἴρηκε γὰρ, ἦλθον καταγγέλλων ὑμῖν τὸ μυστήριον τῦ Θεῦ, οὐκ ἐν σοφίᾳ λόγυ, ἵνα μὴ κενωθῇ ὁ σαυρὸς τῦ Χριστῦ. ὁ ὃν ἐν σοφίᾳ λόγου ἀπαιτῶν τὸ μυστήριον, μετὰ τῆς μωρανθείσης σοφίας ἔχων τὸ μέρ, * ἀπιστείτω τῷ μυστηίῳ, ὅτε κἂν ἐκεῖν ἀπιστεῖται ἐν σοφίᾳ λόγυ ὁ παῦλ, ἵνα μὴ κενωθῇ ὁ σαυρὸς τῦ Χριστῦ. εἰ δὲ ἐν τύτοις ἀποκρύνεται, οὐκ ἐν σοφίᾳ λόγυ, ἀλλὰ μοίραν πᾶσαν συλλογιστικὴν σοφίαν ἐλέγξας διὰ τῆς ἀσυλλογίστυ δυνάμεως, τὴν πίσιν μόνην λαμβάνει πρὸς σωτηρίαν τῆς τὸ κήρυγμα δεχομένων. ὐδὲ ἀποκρίνεται πῶς ὁ πατὴρ ἀπαθῶς γεννᾷ τὸν Υἱὸν, ἵνα μὴ κενωθῇ τὸ μυστήριον τ ἐκ πατρὸς υἱότητ τῦ μονογενῦς, ἀλλὰ μωραινομένην τὴν σοφίαν τῆς συνετῆς, καθὰ γέγραπται· ποῦ σοφὸς, ποῦ γραμματεὺς, ποῦ συζητητὴς τοῦ αἰῶν τύτυ; ἐλέγχων, οὐκ ἐν σοφίᾳ λόγυ, ἵνα μὴ διὰ τὴν ἐκ λογισμῶν ὑποπτευόμενα κενωθῇ, φημὶ, ἀσεβὴς ἔννοια, ἡ περὶ πατρὸς, κ᾽ Υἱῦ· ἀλλ᾽ ἀπαθῶς πατέρα, κ᾽ Υἱὸν, πατέρα μὲν ἐξ ἑαυτῦ γεγεννηκότα ἄνευ ἀπορῥοίας, κ᾽ παθῶς τὸν υἱὸν, υἱὸν δὲ ὅμοιον, κ᾽ κατ᾽ ὐσίαν ἐκ τῦ πατρὸς, τέλειον ἐκ τελείυ, μονογενῆ ὑποσάντα, τοῖς πιστοῖς, ἢ ἐποπτευόμενα ἀσυλλογίστως κηρύξει. τῆς γὰρ ἀτόπων ἐσὶν, ἐκ σοφῦ Θεῦ σοφίαν ὑφισαμένυ ἀκούοντα, ὡς σοφῶς οἶδε τῆς ἐξ ἑαυτῦ γεννηθείσης σοφίας γένεσθαι πατὴρ, πάθ ἐννοεῖν περὶ τὴν σοφίαν ὑφίσασθαι, εἰ μέλλοι ἐξ αὐτοῦ κατ᾽ ὐσίαν ὁμοία τῷ σοφῷ ἡ σοφία ὑφίσασθαι. εἰ γὰρ μήτε ὁ σοφὸς Θεὸς * μεθέξει σοφίας, σωθέτως σοφὸς ἡμῖν νοεῖται, ἀλλ᾽ ἀσωθέτως αὐτὸς ἐσὶ σοφὸς, * ὐσίας ἐσὶ, μήτε ἡ σοφία ἐσὶν ὁ υἱὸς, ἐξῆς νοεῖται. ἀλλὰ ἡ σοφία * ὐσίας ἐσὶν ἀπὸ σοφῦ ὐσίας, ὃ ἐσὶ σοφία, ὐσία ὁ υἱὸς ὑποσὰς, ὁμοία ἔσαι κ᾽ κατ᾽ ὐσίαν τῦ σοφοῦ πατρὸς, ἀφ᾽ ὅπερ ὑπέστη σοφία ὁ υἱός.

Διὸ κ᾽ εἰκότως ὁ μακάριος παῦλος καλῶς τὰ Ἑβραίων πεπαιδευμένυ ἀπὸ τοῦ αὐτοῦ πνεύματος τῦ ἐν παλαιᾷ κ᾽ καινῇ διαθήκῃ λαλήσαντ τὰς αὐτὰς ἔλαχεν ἐννοίας, ὥσπερ ἀπὸ τῆς δύο ψαλμῶν, ἀπὸ τῦ τε λέγοντ, τὰ χρίματά σε ἄβυσσος πολλὴ, κ᾽ ἀπὸ τῦ, αἱ ἶβοί σε ἐν ὕδασι πολλοῖς, κ᾽ τὰ ἴχνη σε ὐ γνωσθήσονται, τὸν περὶ χειμάτων τῦ Θεῦ λόγον μετέβαλε. ἀντὶ μὲν τῦ ἄβυσσ πολλὴ, τὸ, ὦ βάθος πλύτυ. ἀντὶ δὲ τῦ, αἱ ἶβοί σε ἐν ὕδασι πολλοῖς, κ᾽ τὰ ἴχνη σε ὐ γνωσθήσονται, τὸ, ἀνιχνίαστον. ἀντὶ δὲ τῦ, τὰ χρίματά σε ἄβυσσ πολλὴ, τὸ, ἀνεξερεύνητα τὰ χρίματά σε.

ὅπω

ὅτω καὶ παρ' αὐτῆς τῆς σοφίας τὴν περὶ ἑαυτῆς καὶ τοῦ πατρὸς, καὶ τοῦ πρὸς τάδε γινόμενα σχέσιν μαθῶν, ἐν τοῖς ἑαυτοῦ ἡμῖν τοῦ περὶ πατρὸς καὶ υἱοῦ, καὶ τῆς ἐκ πατρὸς δι' υἱοῦ γεγονότων παρίσησιν ἔννοιαν. τῆς γὰρ σοφίας εἰ πάσης, ἐγὼ ἡ σοφία κατασκευάσασα βάλλω, καὶ τὰ ἑξῆς. καὶ μεταβάσης εἰς τὸν δι' οὗ Λόγον. εἴρηκε γάρ, δι' ἐμοῦ βασιλεῖς. καὶ τό, ἐὰν ἀναγγείλω ὑμῖν τὰ δι' ἐμοῦ, μνημονεύσω τὰ ἀπ' αἰῶνος ἀειθμήσαι. καὶ εἰπόσης, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, πρὸ δὲ πάντων γεννᾷ με. ἀντὶ μὲν τοῦ, ἀρχήν, ἔλαβον ὁ Ἀπόστολος τό, πρῶτος. ἀντὶ δὲ τοῦ, γεννᾷ με, τὸ τέκνος. ἀντὶ δὲ τοῦ ὅλου ὁμοῦ, * τὸ ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ. καὶ γεννᾷ με, τὸ, πρωτότοκον πάσης κτίσεως. ἀντὶ δὲ τοῦ, ἐθεμελίωσε, τὸ, ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα. ἀντὶ δὲ τοῦ, δι' ἐμοῦ. τὰ ἀπ' αἰῶνος, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισαι. πάντων δὴ πρὸς λέξιν ἐξισαζόντων Ἀποστολικῶν, ὡς τὰ παρὰ τῆς σοφίας, τοτέσι τοῦ τε ἀρχὴν πρὸς τὸ πρῶτος, καὶ τοῦ γεννᾷ * πρωτότοκος, καὶ τό, ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸς τό, πρωτότοκος πάσης κτίσεως. ἀντὶ δὲ τοῦ, ἐθεμελίωσέ με, τὸ, ἐν αὐτῷ ἐκτίσθη. ἀντὶ δὲ τοῦ, δι' ἐμοῦ, ὡς πρὸς τὸ, δι' αὐτοῦ, φανερὸν, καὶ ἡ εἰκὼν ὑπ' ἐν πάθει. ἀλλ' ἀντὶ τοῦ, ἐγὼ ἡ σοφία, παρείληπται, καὶ ὡς ἡ σοφία τοῦ σοφοῦ υἱὸς, οὐσία οὐσίας, ὅτως ἡ εἰκὼν οὐσίας ὁμοία ἐστί. διὸ καὶ εἰκὼν ἐνοήθη τοῦ Θεοῦ τοῦ ἀοράτου, ὅς ἐστιν υἱός. καὶ ἔχομεν ἐξισαζούσας τὰς λέξεις πάσας. ἀντὶ μὲν τοῦ σοφοῦ, τὸ Θεός. ἀντὶ δὲ τῆς σοφίας, τὸ, εἰκών. ἀντὶ δὲ τοῦ ἀρχὴ, πρῶτος. ἀντὶ δὲ τοῦ γεννᾷ, τὸ, τέκνον. ἀντὶ δὲ ὅλου, ὁμοῦ φαμὲν. ἀντὶ δὲ τοῦ, ἀρχὴν ὁδῶν αὐτοῦ, ἔκτισέ με εἰς ἔργα αὐτοῦ, καὶ γεννᾷ με, τὸ, πρωτότοκος πάσης κτίσεως. ἀντὶ δὲ τοῦ, ἐθεμελίωσέ με, τὸ, ἐν αὐτῷ ἐκτίσθη. ἀντὶ δὲ τοῦ, δι' ἐμοῦ, τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτόν. φανερὸν ὡς εἰκόνα ἀχράντου τὸν υἱὸν τοῦ Θεοῦ τοῦ ἀοράτου. καὶ ὅτως ἀναιδῶς σοφίζεσθαι τινὰ κατ' οὐσίαν ὁμοιότητα τοῦ υἱοῦ πρὸς πατέρα ἐπιχειροῦντας τοῖς πᾶσιν ἐλέγχει παραπεσόντας, ὁ παῦλός γε μόνος, ἀλλὰ καὶ πρὸ τούτου Ἰωάννης, ὁ υἱὸς ὄντως βροντῆς τῇ οἰκείᾳ μεγαλοφωνίᾳ, ὅσπερ ἐκ τινων νεφελῶν τῆς τῆς σοφίας αἰνιγμάτων, τινὰ ἀσεβῆ ἡμῖν ἔννοιαν τοῦ υἱοῦ κατὰ τὸν ὅμοιον ζόφον ἀνῆκεν.

Ὅρα γὰρ, ὅτι καὶ αὐτὸς ἃ ἐδιδάχθη παρὰ τῆς σοφίας, ταῦτα ἐν τῷ παρ' αὐτοῦ κηρυχθέντι ἡμῖν Εὐαγγελίῳ παραδέδωκε. τῆς γὰρ σοφίας εἰπούσης, ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, τὸ ἐν ἀρχῇ ἐξέθετο, εἰποῦν, ἐν ἀρχῇ ἦν ὁ Λόγος. ἀντὶ δὲ τοῦ, ἔκτισέ με, καὶ Θεὸς ἦν. ἵνα μὴ τὸν ἐν προφορᾷ, ἀλλὰ τὸν ἐν ὑποστάσει παγίᾳ ἀπαθῆ ἐκ Πατρὸς Θεὸν Λόγον νοήσωμεν. ἀντὶ δὲ τοῦ, F. ἦν μόνον. * ἦν παρ' αὐτοῦ, τὸ, πρὸς Θεόν. ἀντὶ δὲ τοῦ, δι' ἐμοῦ, τὸ, (ἀπ' αἰῶνος, τὸ) πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ἀντὶ δὲ τοῦ, ἐθεμελίωσε, τὸ, ὃ γέγονεν. ἐν αὐτῷ ζωὴ ἦν, ᾧ ἴσον τὸ, ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα. ἀντὶ δὲ τοῦ, ὁ Λόγος σὰρξ ἐγένετο, ἡ σοφία οἰκοδόμησεν ἑαυτῇ οἶκον. ἀντὶ δὲ τοῦ, ἡμῖν παρ' αὐτῷ ἁρμόζουσα, τὸ, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ· ὡς ἔχειν τὴν ἐπὶ σώματος δύο καὶ ξύλων * μαρτύρων, εἰς ἀπόδειξιν τῆς κατ' οὐσίαν πρὸς πατέρα τοῦ υἱοῦ ὁμοιότητος. ὁ μὲν γὰρ τοῦ σοφοῦ τὴν σοφίαν υἱόν· ὁ δὲ τοῦ Θεοῦ τὸν Λόγον μονογενῆ Θεόν· ὁ δὲ τοῦ Θεοῦ τὸν υἱὸν, εἰκόνα φησί. ὡς τὸν Θεοῦ Λόγον, καὶ τινὰ σοφίαν, καὶ τινὰ εἰκόνα ὅμοιον ἐκπάντων, καθὰ προείρηται, καὶ κατ' οὐσίαν υἱὸν τοῦ Θεοῦ καὶ πατρὸς τοῖς πᾶσι κηρύττεσθαι. ἔτι δὲ μᾶλλον ὡς τὸν Θωμᾶν ἡμᾶς τῇ ψηλαφίᾳ τῆς * ἐνεργείας τῆς κατ' οὐσίαν ὁμοιότητος, ὁ τοῦ Θεοῦ Λόγος προσάγει λέγων· ὡς ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, ὅτω καὶ τῷ υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ. εἰ γὰρ τό, ὡς ὁ πατὴρ ἔχει, οὐχ ὡς ἐν ἄλλῳ νοεῖται. οὐ γὰρ ἄλλο μέν ἐστιν ὁ πατὴρ, ἄλλο δὲ ἡ ζωὴ ἡ ἐν αὐτῷ, ἵνα τὸ μὲν ἔχον, τὸ δὲ ἐχόμενον νοῆται. ἀλλ' αὐτὸς ἀσωμάτως ἐστὶ ζωὴ ὁ πατὴρ, καὶ ὡς ἔχει αὐτὸς, ὅτω δέδωκε καὶ τῷ υἱῷ, δηλονότι ἀσωμάτως ὡς ὁ πατήρ. φανερὸν ὅτι ὅτως ἔχων, ἐπεὶ μὴ ἀγλυνήτως ἔχει, μηδὲ σωματέτως ἔχει, ὁμοίως πάντα κατ' οὐσίαν, καὶ ἀσωματέτως, ὡς ὁ πατήρ· δηλονότι, ὅτι τὸ ὅμοιον οὐδέποτε ταὐτὸν εἶναι δύναται ᾧ ἐστιν ὅμοιον, * ἀπόδειξιν τοῦ ἐν ὁμοιώματι ἀνθρώπων γινόμενον τὸν υἱὸν τοῦ Θεοῦ, ἄνθρωπον μὲν γενέσθαι, μὴ κατὰ πάντα δὲ ταυτὸν γενέσθαι ἀνθρώπῳ· καὶ ὁμοιώματι σαρκὸς ἁμαρτίας γενόμενον, γενέσθαι μὲν ἐν τοῖς πάθεσι τοῖς αἰτίοις τῆς ἐν σαρκὶ ἁμαρτίας, πείνης φαμὲν, καὶ δίψης, καὶ τῶν λοιπῶν, μὴ γενέσθαι, δὲ ἐν ταυτότητι τῆς σαρκὸς ἁμαρτίας. ὥστε καὶ ἀπὸ τῶν Ἀποστολικῶν μαρτυριῶν, καὶ τινὰ κατ' οὐσίαν ὁμοιότητα τοῦ υἱοῦ πρὸς πατέρα κηρύττεσθαι.

Ὡς γὰρ ἐν ὁμοιώματι ἀνθρώπων γινόμενος, καὶ ἄνθρωπος λέγεται, καὶ ὁ κατὰ πάντα ἄνθρωπος. ἀνθρώπῳ μὲν τῷ καὶ σάρκα ἀναλαβεῖν ἀνθρωπίνην, ἐπειδὴ ὁ Λόγος σὰρξ ἐγένετο οὐκ ἄνθρωπος δὲ λέγεται, ἐπεὶ οὐχ ὁμοίως ἀνθρώποις ἐγένετο. οὐ γὰρ ἐκ σπορᾶς, καὶ συνδυασμοῦ. ὅτω καὶ ὁ πρὸ αἰώνων υἱὸς Θεὸς μὲν, καθὸ υἱὸς Θεοῦ, ὡς ἄνθρωπος, καθὸ υἱὸς ἀνθρώπου. οὐ ταυτὸν δὲ τῷ Θεῷ καὶ πατρὶ τῷ γεννήσαντι, ὡς ὁ ταυτὸν τῷ ἀνθρώπῳ, καθὸ ἄνθρωπος καὶ πάθους, καθὸ ἀνθρωπος καὶ ἡδονῆς. καὶ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καθὸ πεῖναν τε, καὶ δίψαν, καὶ ὕπνον ἐν τῇ σαρκὶ ὑπέμεινεν, ἐξ ὧν παθῶν * ἁμαρτητικῶν κινεῖται τὰ σώματα. ὑπομενῶν δὲ τὰ σαρκὸς προειρημένα πάθη, οὐκ ἐξ αὐτῶν ἁμαρτητικῶς ἐκινεῖτο. ὅτω καὶ ὁ υἱὸς ὢν τοῦ Θεοῦ, καὶ ἐν μορφῇ ὑπάρχων Θεοῦ, καὶ ἴσα ὢν Θεῷ, τὰ μὲν ἰδιώματα εἶχε τῆς θεότητος, κατ' οὐσίαν ἀσώματος ὢν, καὶ ὅμοιος τῷ πατρὶ κατὰ τινὰ θεότητα, καὶ ἀσωματότητα, καὶ τὰς ἐνεργείας, ὥσπερ ὁμοίως τῇ σαρκὶ τὸ σάρξ εἶναι, καὶ πάθη σαρκὸς ὑπομένειν, μὴ μέντοι τὸν αὐτὸν εἶναι, καθὸ Θεὸς ὢν, ὅτε μορφὴ ἐστι τοῦ Θεοῦ, ἀλλὰ * Θεοῦ τος,

F. οὕτω καὶ παρ' αὐτῆς τῆς σοφίας τὴν περὶ ἑαυτῆς καὶ τοῦ πατρὸς, καὶ τοῦ πρὸς τάδε γινόμενα σχέσιν μαθῶν, ἐν τοῖς ἑαυτοῦ ἡμῖν τοῦ περὶ πατρὸς καὶ υἱοῦ, καὶ τῆς ἐκ πατρὸς δι' υἱοῦ γεγονότων παρίσησιν ἔννοιαν. τῆς γὰρ σοφίας εἰ πάσης, ἐγὼ ἡ σοφία κατασκευάσασα βάλλω, καὶ τὰ ἑξῆς. καὶ μεταβάσης εἰς τὸν δι' οὗ Λόγον. εἴρηκε γάρ, δι' ἐμοῦ βασιλεῖς. καὶ τό, ἐὰν ἀναγγείλω ὑμῖν τὰ δι' ἐμοῦ, μνημονεύσω τὰ ἀπ' αἰῶνος ἀειθμήσαι. καὶ εἰπόσης, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, πρὸ δὲ πάντων γεννᾷ με. ἀντὶ μὲν τοῦ, ἀρχήν, ἔλαβον ὁ Ἀπόστολος τό, πρῶτος. ἀντὶ δὲ τοῦ, γεννᾷ με, τὸ τέκνος. ἀντὶ δὲ τοῦ ὅλου ὁμοῦ, * τὸ ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ. καὶ γεννᾷ με, τὸ, πρωτότοκον πάσης κτίσεως. ἀντὶ δὲ τοῦ, ἐθεμελίωσε, τὸ, ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα. ἀντὶ δὲ τοῦ, δι' ἐμοῦ. τὰ ἀπ' αἰῶνος, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισαι. πάντων δὴ πρὸς λέξιν ἐξισαζόντων Ἀποστολικῶν, ὡς τὰ παρὰ τῆς σοφίας, τοτέσι τοῦ τε ἀρχὴν πρὸς τὸ πρῶτος, καὶ τοῦ γεννᾷ * πρωτότοκος, καὶ τό, ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸς τό, πρωτότοκος πάσης κτίσεως. ἀντὶ δὲ τοῦ, ἐθεμελίωσέ με, τὸ, ἐν αὐτῷ ἐκτίσθη. ἀντὶ δὲ τοῦ, δι' ἐμοῦ, τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτόν. φανερὸν ὡς εἰκόνα ἀχράντου τὸν υἱὸν τοῦ Θεοῦ τοῦ ἀοράτου. καὶ ὅτως ἀναιδῶς σοφίζεσθαι τινὰ κατ' οὐσίαν ὁμοιότητα τοῦ υἱοῦ πρὸς πατέρα ἐπιχειροῦντας τοῖς πᾶσιν ἐλέγχει παραπεσόντας, ὁ παῦλός γε μόνος, ἀλλὰ καὶ πρὸ τούτου Ἰωάννης, ὁ υἱὸς ὄντως βροντῆς τῇ οἰκείᾳ μεγαλοφωνίᾳ, ὅσπερ ἐκ τινων νεφελῶν τῆς τῆς σοφίας αἰνιγμάτων, τινὰ ἀσεβῆ ἡμῖν ἔννοιαν τοῦ υἱοῦ κατὰ τὸν ὅμοιον ζόφον ἀνῆκεν.

Ὅρα γὰρ, ὅτι καὶ αὐτὸς ἃ ἐδιδάχθη παρὰ τῆς σοφίας, ταῦτα ἐν τῷ παρ' αὐτοῦ κηρυχθέντι ἡμῖν Εὐαγγελίῳ παραδέδωκε. τῆς γὰρ σοφίας εἰπούσης, ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, τὸ ἐν ἀρχῇ ἐξέθετο, εἰποῦν, ἐν ἀρχῇ ἦν ὁ Λόγος. ἀντὶ δὲ τοῦ, ἔκτισέ με, καὶ Θεὸς ἦν. ἵνα μὴ τὸν ἐν προφορᾷ, ἀλλὰ τὸν ἐν ὑποστάσει παγίᾳ ἀπαθῆ ἐκ Πατρὸς Θεὸν Λόγον νοήσωμεν. ἀντὶ δὲ τοῦ, F. ἦν μόνον. * ἦν παρ' αὐτοῦ, τὸ, πρὸς Θεόν. ἀντὶ δὲ τοῦ, δι' ἐμοῦ, τὸ, (ἀπ' αἰῶνος, τὸ) πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ἀντὶ δὲ τοῦ, ἐθεμελίωσε, τὸ, ὃ γέγονεν. ἐν αὐτῷ ζωὴ ἦν, ᾧ ἴσον τὸ, ἐν αὐτῷ ἐκτίσθη τὰ πάν-

F. οὕτω καὶ ὁ υἱὸς ὢν τοῦ Θεοῦ, καὶ ἐν μορφῇ ὑπάρχων Θεοῦ, καὶ ἴσα ὢν Θεῷ, τὰ μὲν ἰδιώματα εἶχε τῆς θεότητος, κατ' οὐσίαν ἀσώματος ὢν, καὶ ὅμοιος τῷ πατρὶ κατὰ τινὰ θεότητα, καὶ ἀσωματότητα, καὶ τὰς ἐνεργείας, ὥσπερ ὁμοίως τῇ σαρκὶ τὸ σάρξ εἶναι, καὶ πάθη σαρκὸς ὑπομένειν, μὴ μέντοι τὸν αὐτὸν εἶναι, καθὸ Θεὸς ὢν, ὅτε μορφὴ ἐστι τοῦ Θεοῦ, ἀλλὰ * Θεοῦ τος,

Cor. ὁμοίως τῇ σαρκὶ

Desid. ἀπόδειξιν

F. ἁμαρτητικῶς.

Cor. ἀλλὰ Θεοῦ, & mox pro ἀλλὰ Θεῷ.

οὔτε ἴσα ἐστὶ τῷ Θεῷ, ἀλλὰ Θεῷ. οὔτε αὐθεντικῶς ὡς ὁ πατήρ. ὥσπερ γὰρ οὐχ ἁμαρτητικῶς ἄνθρωπος, ἀλλ' ὁμοίως ἐνεργείᾳ ὡς ἄνθρωπος. ἅπερ γὰρ ἂν ὁ πατὴρ ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. ὥσπερ οὖν ἐνταῦθα οὐχ ἁμαρτητικῶς, ἀλλ' ὁμοίως τοῖς ἐν σαρκὶ ἐκινεῖτο. τῶν γὰρ ἀτόπων ἐστὶν ἀπὸ μὲν τοῦ κατὰ φύσιν ἐλθεῖν αὐτὸν εἰς τὸ παρὰ φύσιν, τουτέστιν ἀπὸ Θεοῦ γενόμενον υἱὸν ἀνθρώπου, ὅμοιον γενέσθαι τοῖς κατὰ φύσιν, τουτέστι τοῖς φύσει ἀνθρώποις ἐν τῷ ἑαυτοῦ παρὰ φύσιν· ἐν δὲ τῷ κατὰ φύσιν ἑαυτοῦ μὴ εἶναι ὅμοιον ἑαυτὸν τῷ κατὰ φύσιν πατρὶ ἐκ θεοῦ θεὸν γεννηθέντα. καὶ φανερὸν ὅτι οἱ μὴ κατ' οὐσίαν λέγοντες ὅμοιον τῷ πατρὶ τὸν υἱὸν, οὔτε υἱὸν λέγουσιν, ἀλλὰ κτίσμα μόνον. οὔτε τὸν πατέρα πατέρα, ἀλλὰ κτίστην· τῆς ὁμοίου ἐννοίας, οὐκ ἐπὶ τὴν ταυτότητα τοῦ πατρὸς ἀγούσης τὸν υἱὸν, ἀλλ' ἐπὶ τὴν κατ' οὐσίαν ὁμοιότητα, καὶ ἀπόῤῥητον ἐξ αὐτοῦ ἀπαθῶς γεννησιότητα. ὡς γὰρ, πάλιν ἐρῶ, ἐν ὁμοιώματι ἀνθρώπων, καὶ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας οὐκ ἐπὶ τὴν ταυτότητα ἤγετο τοῦ ἀνθρώπου, ἀλλ' ἐπὶ τὴν τῆς σαρκὸς οὐσίας ὁμοιότητα διὰ τὰ εἰρημένα· οὕτως οὐδὲ ὁ υἱὸς ὅμοιος κατ' οὐσίαν γενόμενος τῷ γεννήσαντι πατρὶ, εἰς ταυτότητα ἄξει τοῦ πατρὸς τὴν ἑαυτοῦ οὐσίαν, ἀλλ' ἐπὶ τὴν ὁμοιότητα.

Καὶ εἴ τις τῇ σοφίᾳ τοῦ κόσμου προσέχων, ἣν ἐμώρανεν ὁ θεὸς, μὴ προσέχοι τῷ ἐν σοφίᾳ λόγου κηρύγματι, καὶ μετὰ πίστεως τὴν ὁμοιότητα, καὶ κατ' οὐσίαν τοῦ υἱοῦ πρὸς πατέρα ὁμολογοίη, ὡς ψευδωνύμως λέγων τὸν πατέρα καὶ τὸν υἱὸν, καὶ μήτε πατέρα λέγων ἀληθῶς, μήτε υἱὸν, ἀλλὰ κτίστην, καὶ κτίσμα, καὶ κοινοποιῶν τὴν τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ ἔννοιαν ἐπὶ τῶν λοιπῶν ποιημάτων, καὶ σοφίζεσθαι θέλων εἴ τις χρεία, ὡς τὸ πρῶτον ποιημάτων δι' αὐτοῦ, εἴ τε ὑπερβολῇ τοῦ μεγέθους, καὶ κατὰ μηδὲν ὁμολογῶν τὴν Ἐκκλησιαστικὴν πίστιν τὴν εἰς πατέρα τε καὶ υἱὸν, ὡς παρ' ὃ εὐαγγελίσαντο ἡμᾶς οἱ Ἀπόστολοι θέλων εὐαγγελίσασθαι, ἀνάθεμα ἔστω. καὶ, κατὰ τὸν μακάριον παῦλον, προειρήκαμεν, καὶ * ἄρτι πάλιν λέγω ἀνειληφότες, καὶ (τὸ) ἀναγκαίως φαμεν· εἴ τις τὸν σοφὸν μόνον ἀκούων πατέρα, καὶ σοφίαν τὸν μονογενῆ τούτου υἱὸν, ταυτὸν εἶναι λέγοι τὴν σοφίαν τῷ μόνῳ σοφῷ, ἀναιρῶν τὸ εἶναι υἱὸν, ἀνάθεμα ἔστω. καὶ εἴ τις τὸν σοφὸν ἀκούων πατέρα, καὶ σοφίαν τὸν υἱὸν αὐτοῦ ἀνόμοιον λέγων, καὶ κατ' οὐσίαν τὴν σοφίαν τοῦ σοφοῦ θεοῦ, ὡς μὴ λέγων τὸν σοφὸν τῆς σοφίας ἀληθῶς πατέρα, ἀνάθεμα ἔστω. καὶ εἴ τις τὸν θεὸν νοῶν τὸν πατέρα, τὸν δὲ ἐν ἀρχῇ Λόγον τε καὶ θεὸν τοῦτον λέγοι πρὸς τὸν θεὸν Λόγον τε καὶ θεὸν αὐτῷ τῷ θεῷ τῷ πρὸς ὃν Λόγος τε * θεὸς, ὡς μὴ λέγων ἀληθῶς υἱὸν, ἀνάθεμα ἔστω. καὶ εἴ τις τὸν μονογενῆ θεὸν Λόγον υἱὸν ἀκούων τοῦ θεοῦ, πρὸς ὃν ὁ Λόγος τε καὶ θεὸς ἀνόμοιον λέγοι, καὶ κατ' οὐσίαν τὸν θεὸν λόγον τοῦ πατρὸς, τὸν θεὸν, τοῦ θεοῦ καὶ πατρὸς, πρὸς ὃν ὁ μονογενὴς ἐν ἀρχῇ ἦν θεὸς Λόγος, ὡς μὴ λέγων ἀληθῶς υἱὸν, ἀνάθεμα ἔστω. καὶ εἴ τις εἰκόνα ἀκούων τὸν υἱὸν τοῦ θεοῦ τοῦ ἀοράτου, ταυτὸν λέγοι τὴν εἰκόνα τῷ θεῷ τῷ ἀοράτῳ, ὡς μὴ ὁμολογῶν ἀληθῶς υἱὸν, ἀνάθεμα ἔστω. καὶ εἴ τις εἰκόνα ἀκούων τὸν μονογενῆ υἱὸν τοῦ ἀοράτου θεοῦ, ἀνόμοιον λέγοι καὶ κατ' οὐσίαν τὸν υἱὸν, εἰκόνα ὄντα τοῦ θεοῦ τοῦ ἀοράτου, οὗ εἰκὼν καὶ κατ' οὐσίαν νοεῖται, ὡς ἀληθῶς μὴ λέγων Υἱὸν, ἀνάθεμα ἔστω. καὶ εἴ τις ἀκούων τοῦ Υἱοῦ λέγοντος· ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ, ταυτὸν λέγει τὸν εἰληφότα παρὰ τοῦ πατρὸς τὴν ζωὴν, καὶ ὁμολογοῦντα τὸ, κἀγὼ ζῶ διὰ τὸν πατέρα, τῷ δεδωκότι, ἀνάθεμα ἔστω. καὶ εἴ τις ἀκούων τό· ὥσπερ γὰρ ὁ πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ ἔδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ, ἀνόμοιον λέγοι κατ' οὐσίαν τὸν Υἱὸν τῷ πατρὶ, διαμαρτυρόμενος ὅτι οὕτως ἔχει ὡς εἴρηκεν, ἀνάθεμα ἔστω. φανερὸν γὰρ ὅτι τῆς ζωῆς τῆς ἐν τῷ πατρὶ νοουμένης οὐσίας σημαινομένης, καὶ τῆς ζωῆς τῆς τοῦ μονογενοῦς τῆς ἐκ τοῦ πατρὸς γεγενημένης οὐσίας νοουμένης, τὸ, οὕτως, τὴν ὁμοιότητα τῆς οὐσίας πρὸς οὐσίαν σημαίνει, (ἀνάθεμα ἔστω.)

Καὶ εἴ τις τὸ, ἔκτισέ με, καὶ τὸ γεννᾷ με, παρ' αὐτοῦ ἀκούων, τὸ γεννᾷ με μὴ ἐπὶ τοῦ αὐτοῦ καὶ κατ' οὐσίαν ἐννοεῖ, ἀλλὰ ταυτὸν λέγοι τὸ, γεννᾷ με, τῷ ἔκτισέ με, ὡς μὴ λέγων τὸν Υἱὸν τὸν ἀπαθῶς τέλειον ἐκ τῶν δύο ὀνομάτων, τοῦ ἔκτισέ με, καὶ τοῦ γεννᾷ με, κτίσμα μόνον ὁμολογῶν, καὶ μηκέτι Υἱὸν, ὡς παραδέδωκεν ἡ σοφία ἐκ τῶν δύο εὐσεβῶς τὴν ἔννοιαν, ἀνάθεμα ἔστω. καὶ εἴ τις τοῦ Υἱοῦ τὴν μὲν κατ' οὐσίαν πρὸς τὸν ἑαυτοῦ πατέρα ὁμοιότητα ἡμῖν ἀποκαλύπτοντος, δι' ὧν φησι, ὥσπερ γὰρ ὁ πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως καὶ τῷ Υἱῷ ἔδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ· τὴν δὲ κατ' ἐνέργειαν δι' ὧν παιδεύει· ἃ γὰρ ἂν ὁ πατὴρ ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ, μόνην τὴν κατ' ἐνέργειαν ὁμοιότητα διδούσης κατ' οὐσίαν, ἥ ἐστι τὸ κεφαλαιωδέστατον ἡμῶν τῆς πίστεως, ἀποστεροίη τοῦ Υἱοῦ, ὡς ἑαυτὸν ἀποστερῶν τῆς ἐν γνώσει πατρὸς, καὶ Υἱοῦ αἰωνίου ζωῆς, ἀνάθεμα ἔστω. καὶ εἴ τις εἰς πατέρα, καὶ Υἱὸν πιστεύειν ἐπαγγελλόμενος, τὸν πατέρα μὴ οὐσίας ὁμοίας αὐτοῦ λέγοι πατέρα, ἀλλὰ ἐνεργείας, ὡς βεβήλους καινοφωνίας κατὰ τῆς οὐσίας τοῦ Υἱοῦ τοῦ θεοῦ φθέγγεσθαι τολμῶν, καὶ ἀναιρῶν τὸ εἶναι ἀληθῶς Υἱὸν, ἀνάθεμα ἔστω. καὶ εἴ τις Υἱὸν ὅμοιον κατ' οὐσίαν νοῶν ἐκείνου, οὗ καὶ νοεῖται Υἱὸς, ἢ ταυτὸν λέγοι τῷ πατρὶ τὸν Υἱὸν, ἢ μέρος τοῦ πατρὸς, ἢ κατὰ ἀπόῤῥοιαν, καὶ κατὰ πάθος, ὡς σωματικοὺς υἱοὺς, τὸν ἐκ τοῦ ἀσωμάτου πατρὸς ἀσώματον Υἱὸν ὑποστάντα, ἀνάθεμα ἔστω. καὶ εἴ τις διὰ τὸ τὸν πατέρα μήποτε Υἱὸν νοεῖσθαι, καὶ τὸν Υἱὸν μήποτε πατέρα νοεῖσθαι, ἕτερον λέγων τὸν Υἱὸν τὸν παρὰ τὸν πατέρα, διὰ τὸ τὸν πατέρα ἕτερον εἶναι, καὶ τὸν Υἱὸν, καθὼς εἴρηται· ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ. καὶ μαρτυρεῖ γὰρ, φησὶ, ὁ πέμψας με πατήρ. διὰ ταύτην τὴν εὐσεβῆ ἐν τῇ Ἐκκλησίᾳ νοουμένην ἰδιότητα τῶν προσώπων, πατρὸς μὲν, καὶ Υἱοῦ, δεδιὼς, μή ποτε ταυτὸν νοηθῇ Υἱὸς πατρὶ, ἀνόμοιον λέγοι κατ' οὐσίαν τὸν Υἱὸν τῷ πατρὶ, ἀνάθεμα ἔστω.

Fol. λεγομεν.

Cor. καὶ θεόν.

Εἰ τις ἐν χρόνῳ τὸν πατέρα πατέρα νοεῖ τοῦ μονογενοῦς Υἱοῦ, καὶ μὴ ὑπὲρ χρόνους, καὶ κατὰ πάσας ἀνθρωπίνας ἐννοίας πιστεύει τὸν μονογενῆ υἱὸν ἐκ τοῦ πατρὸς ἀπαθῶς ὑφεστᾶναι, ὡς παραβαίνων τὸ Ἀποστολικὸν κήρυγμα, χρόνους μὲν περὶ πατρὸς καὶ Υἱοῦ παρωσάμενον, πιστῶς δὲ ἡμᾶς παιδεῦσαν, τό. ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ Λόγος, ἀνάθεμα ἔστω. καὶ εἴ τις τὸν πατέρα πρεσβύτερον χρόνῳ λέγοι τοῦ ἐξ ἑαυτοῦ μονογενοῦς Υἱοῦ· νεώτερον δὲ χρόνῳ τὸν υἱὸν τοῦ πατρὸς, ἀνάθεμα ἔστω. καὶ εἴ τις τὸ ἄχρονον τῆς τοῦ μονογενοῦς Χριστοῦ ἐκ πατρὸς ὑποστάσεως ἐπὶ τὴν ἀγέννητον τοῦ θεοῦ οὐσίαν ἀναφέρει, ὡς υἱοπάτορα λέγων, ἀνάθεμα ἔστω. καὶ εἴ τις ἐξουσίᾳ μόνῃ τὸν πατέρα λέγοι τοῦ μονογενοῦς υἱοῦ, καὶ μὴ ἐξουσίᾳ ὁμοῦ καὶ οὐσίᾳ πατρὸς τοῦ μονογενοῦς υἱοῦ, ὡς μόνην τὴν ἐξουσίαν λαμβάνων, καὶ κοινοποιῶν αὐτὸν πρὸς τὰ λοιπὰ ποιήματα, καὶ οὐ λέγων ἀληθῶς ἐκ πατρὸς γνήσιον Υἱὸν, ἀνάθεμα ἔστω. Εἰ τις ἐξουσίᾳ καὶ οὐσίᾳ λέγων τὸν πατέρα, πατέρα τοῦ Υἱοῦ, ὁμοούσιον δὲ ἢ ταυτοούσιον λέγοι τὸν Υἱὸν τῷ πατρὶ, ἀνάθεμα ἔστω.

Καὶ εἰσιν οἱ ὑπογράψαντες, Βασίλειος, Εὐστάθιος, Ὑπερέχιος, Λητόϊος, Ἑορτικὸς, Γυμνάσιος, Μεμνόνιος, Εὐτυχὴς, Σεληρῖνος, Εὐτύχιος, Ἀλκιμήδης, Ἀλέξανδρος. οὕτω πιστεύω (καὶ) ὡς ὑπογέγραπται, καὶ δι' ὑπογραφῆς ὁμολογῶ.

Σωζομ. βιβ. 4. κεφ. 13. Ἐν αὐτῇ τῇ Συνόδῳ ἀνεγνώσθη ἡ Ἐπιστολὴ Γεωργίου Ἐπισκόπου Λαοδικέας κατὰ Εὐδοξίου καὶ Ἀετίου. ἥτις οὕτως ἔχει.

Κυρίοις τιμιωτάτοις, μακεδονίῳ, βασιλείῳ, κεκροπίῳ, εὐγενίῳ, γεώργιος ἐν κυρίῳ χαίρειν.

Τὸ ἀετίου ναυάγιον, σχεδόν που πᾶσαν κατείληφε τὴν ἀντιόχειαν. τοὺς γὰρ παρ' ὑμῖν ἀτιμαζομένους μαθητὰς τοῦ δυσωνύμου ἀετίου πάντας καταλαβὼν εὐδόξιος, εἰς κληρικοὺς προβάλλεται, ἐν τοῖς μάλιστα τετιμημένοις ἔχων τὸν αἱρετικὸν ἀέτιον· καταλάβετε οὖν τὴν τηλικαύτην πόλιν, μὴ τῷ ναυαγίῳ αὐτῆς καὶ ἡ οἰκουμένη παρασυρῇ· καὶ εἰς ταυτὸν γενόμενοι, ὅσους καὶ γενέσθαι ἐγχωρεῖ, παρὰ τῶν ἄλλων ἐπισκόπων ὑπογραφὰς ἀπαιτήσατε. ἵνα καὶ ἀέτιον ἐκβάλῃ τῆς ἀντιοχέων ἐκκλησίας εὐδόξιος, καὶ τοὺς αὐτοῦ μαθητὰς ὄντας, προχειρισθέντας εἰς κανόνας ἐκπέμψῃ· ἢ ἐὰν ἐπιμείνῃ μετὰ ἀετίου ἀνόμοιον καλῶν, καὶ τοὺς τοῦτο τολμῶντας λέγειν τῶν μὴ λεγόντων προτιμῶν, οἴχεται ὑμῖν, ὡς φθάσας ἔφην τέως, ἡ ἀντιόχεια.

ΑΠΟΦΑΣΙΣ ΤΗΣ ΣΥΝΟΔΟΥ.

Ἕως προσῆκον ἦν καὶ δυνατὸν, ἀδελφοὶ τιμιώτατοι, ἡ καθολικὴ σύνοδος καὶ ἡ ἁγία ἐκκλησία τῇ ἰδίᾳ ὑπομονῇ καὶ ἀνεξικακίᾳ ἤνεγκεν οὐκ ἀγενῶς Οὐρσάκιον καὶ Οὐάλην καὶ Γάϊον καὶ Γερμήνιον, καὶ Αὐξέντιον, οἵ τινες ἄλλοτε ἄλλα φρονοῦντες πάσας τὰς ἐκκλησίας συνετάραξαν, οἱ καὶ νῦν ἐπιχειρῆσαι τετολμήκασι τὸν αἱρετικὸν λογισμὸν τῇ τῶν ὀρθοδόξων πίστει συνάψαι, καὶ διαλῦσαι τὴν ἐν Νικαίᾳ σύνοδον. ἥτις ἀντίμαχος ὑπάρχει τῇ τῶν Ἀρειανῶν αἱρέσει. ἔξωθεν ἰδίαν τινὰ καὶ ἀλλοτριωτάτην τῆς ἁγιωτάτης ἐκκλησίας συγγραφεῖσαν πίστιν προσφέροντες. ἦν τινα ἡμᾶς δέξασθαι, ἀθέμιτον ἡγησάμεθα. ἔκπαλαι γὰρ οὗτοι αἱρετικοὶ ὄντες καὶ τ' ἀναντία φρονοῦντες καὶ νῦν ἀπεδείχθησαν. οὓς πρὸς τὴν ἡμετέραν κοινωνίαν συνελθεῖν ἐπιτρέπομεν, τῇ ἰδίᾳ φωνῇ παρόντας αὐτοὺς κατακρίναντες, καὶ καθαιροῦντες. νῦν τοίνυν, ὅπερ δοκεῖ, ἀποφήνασθε, ἵνα ἑνὸς ἑκάστου ἡ γνῶσις ἐκ τῆς ὑπογραφῆς εἴη βέβαιος. ὁμοθυμαδὸν οἱ ἐπίσκοποι φάσκομεν, οἱ προειρημένοι ἐχθροὶ καθαιρεθῶσιν, ἵνα ἡ καθολικὴ πίστις ἐν εἰρήνῃ διαμείνῃ.

ΕΠΙΣΤΟΛΗ ΤΗΣ ΕΝ ΑΡΙΜΙΝΩ,

συνόδου πρὸς τὸν βασιλέα.

ΕΚΤΕ τῆς τοῦ Θεοῦ κελεύσεως, καὶ τῆς σῆς εὐσεβείας προστάγματος, τὰ πάλαι δογματισθέντα γεγενῆσθαι πιστεύομεν. εἰς γὰρ Ἀρήμινον ἐκ πασῶν τῶν πρὸς δύσιν πόλεων, εἰς τὸ αὐτὸ πάντες ἐπίσκοποι συνήλθομεν. ἵνα καὶ ἡ πίστις τῆς καθολικῆς ἐκκλησίας γνωρισθῇ, καὶ οἱ τἀναντία φρονοῦντες ἔκδηλοι γένωνται. ὡς γὰρ ἐπὶ πλεῖστον διασκοποῦντες εὑρήκαμεν, ἀρεστὸν ἐφάνη τὴν πίστιν τὴν ἔκπαλαι διαμένουσαν, ἣν καὶ οἱ προφῆται καὶ τὰ εὐαγγέλια, καὶ οἱ ἀπόστολοι διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκήρυξαν, τοῦ καὶ τῆς σῆς βασιλείας φρουροῦ, καὶ τῆς σῆς ῥώσεως προστάτου· ἵνα ταύτην καταχόντες φυλάξωμεν, καὶ φυλάττοντες μέχρι τέλους διατηρήσωμεν. ἄτοπον γὰρ καὶ ἀθέμιτον ἐφάνη τῶν ὀρθῶς καὶ δικαίως ὡρισμένων τι μεταλλάσσειν, καὶ τῶν ἐν Νικαίᾳ κοινῇ μετὰ τοῦ ἐνδοξοτάτου σου πατρὸς καὶ βασιλέως Κωνσταντίνου ἐσκεμμένων, ὧν ἡ διδασκαλία τε καὶ τὸ φρόνημα διῆλθε καὶ ἐκηρύχθη εἰς πάσας ἀνθρώπων ἀκοάς τε καὶ διανοίας· ἥτις ἀντίπαλος μόνη καὶ ὀλετὴρ τῆς Ἀρείου αἱρέσεως ὑπῆρξε· δι' ἧς οὐ μόνον αὐτὴ, ἀλλὰ καὶ αἱ λοιπαὶ αἱρέσεις καθῃρέθησαν· ἐν ᾗ ὄντως καὶ τὸ προσθεῖναί τι σφαλερὸν, καὶ τὸ ἀφελέσθαι ἐπικίνδυνον ὑπάρχει. ὡς εἴπερ καὶ θάτερον γένοιτο, ἔσται τοῖς ἐχθροῖς ἄδεια τοῦ ποιεῖν ἅπερ βούλοιντο. ὅθεν Οὐρσάκιός τε καὶ Οὐάλης ἐπειδὴ ἔκπαλαι μέτοχοί τε καὶ σύμφρονες τοῦ ἀρειανικοῦ δόγματος ἦσαν καθεστηκότες, καὶ τῆς ἡμετέρας κοινωνίας χωρισθέντες ἀπεφάνθησαν. ἧς ἵνα μετάσχωσιν, ἐφ' οἷς ἑαυτοῖς συνεγνώκεισαν πλημμελήσαντες, μετανοίας τε καὶ συγγνώμης ἠξίουν τυχεῖν, ὡς καὶ τὰ ἔγγραφα τὰ ὑπ' ἐκείνων γεγενημένα μαρτυρεῖ, δι' ὧν ἁπάντων φειδὼ γεγένηται, καὶ τῶν ἐγκλημάτων συγγνώμη. ἦν δὲ ὁ καιρὸς καθ' ὃν ταῦτα ἐπράττετο, ὅτε ἐν Μεδιολάνῳ τὸ συνέδριον τῆς συνόδου συνεκροτεῖτο. συμπαρόντων δὲ καὶ τῶν πρεσβυτέρων τῆς Ῥωμαίων ἐκκλησίας. ἐγνωκότες δὲ ἅμα καὶ τὸν μετὰ τὴν τελευτὴν ἄξιον μνήμης Κωνσταντῖνον, μετὰ πάσης ἀκριβείας, καὶ ἐξετάσεως τὴν συγγραφεῖσαν πίστιν ἐκτεθεικότα. ἐπειδὴ δὲ ὡς ἐξ ἀνθρώπων ἐγένετο βαπτισθεὶς, καὶ πρὸς

τὴν

τὴν ὀφειλομένην εἰρήνην ἀνεχώρησεν, ἄτοπον ἐνομίσαμεν εἶναι μετ' ἐκεῖνον τὶ καινοτομεῖν, καὶ τοσούτους ἁγίους ὁμολογητὰς καὶ μάρτυρας, τοὺς καὶ τοῦ δὲ τοῦ δόγματος συγγραφεῖς τε καὶ εὑρετὰς ὑπεριδεῖν. οἵ τινες κατὰ τὸν παλαιὸν τῆς καθολικῆς ἐκκλησίας θεσμὸν, ἅπαντα φρονοῦντες διαμεμενήκασιν. ὧν ὁ Θεὸς τὴν πίστιν καὶ εἰς τοὺς σοὺς χρόνους τῆς βασιλείας μετέδωκε, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗσοι καὶ τὸ βασιλεύειν οὕτως ὑπῆρξεν, ὡς καὶ τῆς καθ' ἡμᾶς οἰκουμένης κρατεῖν. πάλιν γοῦν οἱ ἐλεεινοὶ καὶ οἰκτροὶ τῷ φρονήματι, ἀθεμίτῳ φρονήματι τῆς δυσσεβοῦς φρονήσεως, κήρυκας ἑαυτοὺς ἀνήγγειλαν, καὶ ἐπιχειροῦσιν ἀνατρέπειν πᾶν τὸ τῆς ἀληθείας σύνταγμα. ὡς γὰρ κατὰ τὸ σὸν πρόσταγμα τὸ συνέδριον τῆς συνόδου συνεκροτεῖτο, κἀκεῖνοι τῆς ἰδίας ἀπάτης ἐγύμνουν τὴν σκέψιν. ἐπειρῶντο γὰρ πανουργία τινὶ καὶ ταραχῇ προσφέροντές τι καινοτομεῖν τῆς τοιαύτης ἑτεροίας τοὺς συναλισκομένους, εὑρόντες Γερμήνιον Αὐξέντιον καὶ Γάϊον, τοὺς τὴν ἔριν, καὶ διχοστασίαν ἐμποιοῦντας. ὧν ἡ διδασκαλία μία μὲν οὖσα, πᾶν πλῆθος βλασφημιῶν ὑπερβέβηκεν. ὡς δὲ συνεῖδον οὐχὶ τῆς αὐτῆς προαιρέσεως ὄντας, οὔτε ὁμογνωμονοῦντας ἐφ' οἷς κακῶς ἐφρόνουν, εἰς τὸ συμβούλιον ἡμῶν μετήγαγον ἑαυτοὺς, ὡς δοκεῖν ἕτερον γράφειν. ἦν δὲ ὁ καιρὸς βραχὺς, ὁ καὶ τὰς γνώμας αὐτῶν ἐξελέγχων. ἵνα μὴ οὖν μὴ τοῖς αὐτοῖς ἀεὶ τὰ τῆς ἐκκλησίας περιπίπτῃ, καὶ ταραχὴ καὶ θόρυβος κυλινδούμενος ἅπαντα συγχέῃ, βέβαιον ἐφάνη τὰ πάλαι ὡρισμένα, ἔμμονα καὶ ἀμετακίνητα διαφυλάττειν. τοὺς δὲ προειρημένους, ἀπὸ τῆς ἡμετέρας κοινωνίας ἀποκεχωρίσθαι. δι' ἣν αἰτίαν, τοὺς ἀναδιδάξαντας πρέσβεις πρὸς τὴν σὴν ἐπιείκειαν ἀπεστάλκαμεν, τὴν γνώμην τοῦ συνεδρίου, διὰ τῆς ἐπιστολῆς μηνύσοντας. τοῖς γε πρεσβεύουσι, πρὸ γε πάντων τοῦτο παρακελευόμεθα τῷ τὴν ἀλήθειαν πιστώσασθαι, ἐκ τῶν πάλαι ἀρχαίων καὶ δικαίων ὁρμωμένους, οἳ καὶ τὴν σὴν ἀναδείξουσιν ὁσιότητα, ὅτι οὐχ' ὥσπερ ἔφησαν Οὐρσάκιός τε καὶ Οὐάλης, ἔσται εἰρήνη, εἴπερ τι τῶν δικαίων ἀνατραπείη. πῶς γὰρ εἰρήνην τε οἷόν τε ἄγειν, τοὺς τὴν εἰρήνην καταλύοντας. μᾶλλον γὰρ ἔρις καὶ ταραχὴ ἐκ τούτων σὺν ταῖς λοιπαῖς πόλεσι, καὶ τῇ Ρωμαίων ἐκκλησίᾳ γενήσεται. διὸ δὴ καὶ ἱκετεύομεν τὴν σὴν ἐπιείκειαν, ἵνα προσηνέσιν ἀκοαῖς, καὶ γαληναίῳ βλέμματι τὰ τῆς ἡμετέρας πρεσβείας ἀθρήσειας μή τε πρὸς ὕβριν τῶν τετελευτηκότων καινόν τι μεταλλάττειν ἐπιτρέψειας, ἀλλ' ἐάσεις ἡμᾶς ἐμμένειν τοῖς παρὰ τῶν προγόνων ὁρισθεῖσί τε, καὶ νενομοθετημένοις. οὓς ἅπαντα μετὰ ἀγχινοίας τὲ καὶ φρονήσεως, καὶ πνεύματος ἁγίου πεποιηκέναι φήσαιμεν ἄν. τὰ γὰρ νῦν παρ' ἐκείνων καινοτομούμενα, τοῖς μὲν πιστεύσασιν, ἀπιστίαν ἐμποιεῖ. τοῖς δὲ ἀπιστήσασιν, ὠμότητα. ἱκετεύομεν δὲ ἔτι ἵνα κελεύσῃς τοὺς ἐπισκόπους, τοὺς ἐν ταῖς ἀλλοδαπαῖς διατρίβοντας, οὓς καὶ τὸ τῆς ἡλικίας ἐπίπονον, καὶ τὸ τῆς πενίας ἐν δεὲς τρύχει, τὴν εἰς τὴν οἰκίαν ἀνακομιδὴν ποιήσασθαι ῥᾳδίαν. ἵνα μὴ ἔρημοι τῶν ἐπισκόπων ἀφωρισμένων αἱ ἐκκλησίαι διαμένωσιν. ἔτι δὲ πρὸς ἅπασι καὶ τοῦτο δεόμεθα, ἵνα μή τε ἐλλείπῃ τὶ τῶν προϋπαρξάντων, μή τε πλεονάζῃ, ἀλλὰ πάντα ἄῤῥηκτα διαμένῃ ἐκ τῆς τοῦ σοῦ πατρὸς εὐσεβείας, καὶ εἰς τὸν νῦν χρόνον διαφυλαττόμενα. μήτε λοιπὸν ἡμᾶς μοχθεῖν, καὶ ἐκτὸς τῶν ἰδίων παροικιῶν ἀλλοτρίους ἐπιτρέψειας γενέσθαι, ἀλλ' ἵνα οἱ ἐπίσκοποι σὺν τοῖς ἰδίοις λαοῖς μετ' εἰρήνης εἰς εὐχάς τε καὶ λατρείας σχολὴν ἄγοιεν, ἱκετεύοντες ὑπὲρ τῆς σῆς σωτηρίας καὶ βασιλείας καὶ εἰρήνης, ἣν ἡ θειότης σοι εἰς τὸ διηνεκὲς χαριεῖται. οἱ δὲ ἡμέτεροι πρέσβεις τὰς ὑπογραφὰς, καὶ τὰς τῶν ἐπισκόπων προσηγορίας κομίζουσιν, οἵ τινες καὶ ἐξ αὐτῶν τῶν θείων γραφῶν, τὴν σὴν ἀναδιδάξουσι θειότητα.

ΕΠΙΣΤΟΛΗ ΚΩΝΣΤΑΝΤΙΟΥ

πρὸς τὴν σύνοδον.

Κωνστάντιος, νικητὴς καὶ θριαμβευτὴς, Αὔγουστος, πᾶσι τοῖς ἐν Ἀριμίνῳ ἐπισκόποις συνελθοῦσιν.

ΑΕΙ μὲν προηγουμένην ἔχειν ἡμᾶς φροντίδα, περὶ τοῦ θείου καὶ προσκυνητοῦ νόμου οὐδὲ ἡ ὑμετέρα χρηστότης ἀγνοεῖ. ἀλλὰ νῦν τοὺς ἀπὸ τῆς συνέσεως ἡμῶν ἀποσταλέντας εἴκοσι ἐπισκόπους ἀναδεξαμένους τὴν παρ' ἡμῶν πρεσβείαν, τέως οὐκ ἠδυνήθημεν ἰδεῖν. ἀναγκαία γὰρ ἡμῖν ἡ πρὸς τοὺς βαρβάρους ὁδός. καὶ ὡς οἴδατε, πρέπει τὴν ψυχὴν καθαρὰν οὖσαν ἀπὸ πάσης φροντίδος, τὰ περὶ τοῦ θείου νόμου γυμνάζειν. τοιγαροῦν τοὺς ἐπισκόπους ἐκελεύσαμεν ἐν τῇ Ἀδριάνου πόλει, ἐκδέξασθαι τὴν ἡμετέραν ἐπάνοδον. ἵν' ἐπειδὰν πάντα καλῶς διατεθῇ τὰ δημόσια, τότε λοιπὸν ὅπερ ὑποβάλλουσιν ἀκοῦσαι, καὶ δοκιμάσαι δυνηθῶμεν. τῇ μέντοι στερρότητι ὑμῶν μὴ βαρὺ φανέσθω, ὥστε ἐκδέξασθαι τὴν αὐτῶν ἐπάνοδον· ἵν' ἐπειδὰν ἐπανέλθωσι κομίζοντες ὑμῖν τὰς ἡμετέρας ἀποκρίσεις, δυνηθῆτε εἰς πέρας ἀγαγεῖν τὰ πρὸς τὴν λυσιτέλειαν ἀνήκοντα τῇ καθολικῇ ἐκκλησίᾳ.

Συκρ. βιβ. ε. κεφ. κθ'.

Ἐπιστολὴ τῆς ἐν Ἀριμίνῳ Συνόδου πρὸς Κωνστάντιον.

ΤΑ γράμματα τῆς σῆς φιλανθρωπίας ἐδεξάμεθα, κύριε θεοφιλέστατε βασιλεῦ, τὰ περιέχοντα διὰ τὴν τῶν δημοσίων ἀνάγκην, τέως μὴ δέδυνῆσθαί σε τοὺς ἡμετέρους πρέσβεις θεωρῆσαι. ἡμᾶς δὲ κελεύεις ἐκδέξασθαι τὴν αὐτῶν ἐπάνοδον ἕως ἂν τὰ παρ' ἡμῶν ὁρισθέντα ἀκολούθως τοῖς προγόνοις ἡμῶν ἐπιγνῷ παραὐτῶν ἡ σὴ εὐλάβεια. ἀλλὰ καὶ νῦν διὰ τούτων τῶν γραμμάτων ὁμολογοῦμεν καὶ διαβεβαιούμεθα, μηδαμῶς ἡμᾶς ἀναχωρεῖν τῆς ὑμετέρας προθέσεως. τοῦτο γὰρ καὶ τοῖς πρέσβεσιν ἡμῶν ἐνετειλάμεθα. ἀξιοῦμεν τοίνυν ὅπως γαληναίᾳ τῇ προσόψει, τάτε νῦν γράμματα τῆς ἡμετέρας μετριότητος κελεύσεις ἀναγνωσθῆναι. ἀλλὰ γὰρ κἀκεῖνα ἃ διὰ τῶν πρέσβεων ἡμῶν ἐνετειλάμεθα ἡδέως ὑπόδεξαι. ἐκεῖνο μέντοι συνορᾷ μεθ' ἡμῶν καὶ ἡ σὴ ἡμερότης, ὅση νῦν ἐστὶ λύπη καὶ κατήφεια, ὅτι ἐν τοῖς σοῖς μακαριωτάτοις καιροῖς, τοσαῦται ἐκκλησίαι χωρὶς ἐπισκόπων εἰσί. καὶ διὰ τοῦτο πάλιν τὴν σὴν φιλανθρωπίαν ἀξιοῦμεν, κύριε θεοφιλέστατε βασιλεῦ, ὅπως πρὸ τῆς τραχύτητος τῶν χειμώ-

Συκρ. βιβ. ε. κεφ. κθ'.

μώνων, εἴπερ ἀρέσειε τῇ σῇ ἀσεβείᾳ, κελεύσεις ἡμᾶς εἰς τὰς ἡμετέρας ἐκκλησίας ἐπανελθεῖν, ὑπὲρ τοῦ δύνασθαι ἡμᾶς τῷ παντοκράτορι Θεῷ καὶ τῷ δεσπότῃ καὶ σωτῆρι ἡμῶν Χριστῷ, τῷ υἱῷ αὐτοῦ τῷ μονογενεῖ, ὑπὲρ τῆς σῆς βασιλείας, τὰς ἐθίμους ἀναχὰς μετὰ τῶν λαῶν ἀποπληροῦν, καθὼς καὶ ἀεὶ ἐπετελέσαμεν καὶ νῦν ἐχόμεθα.

Ἡ αὐτὴ ἐν Ἀριμίνῳ Συνόδου.
ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

ΤΟΥΤΩΝ ἐξορισθέντων, ἐνδελεχισμῷ τῶν ὀρθοδόξων, Κωνσάντιος ἐν Ἀριμίνῳ συνόδου ἁγίων ἐπισκόπων Ἑσπερίων διακοσίων συγχροτηθῆναι προσέταξε· καὶ τοὺς περὶ Εὔδοξιον Γερμανικείας, βραχυτελεῖς Ἀρειόφρονας. Ἥτις θεία μὲν ἱερὰ συνόδος, τὸ θεῖον κυρώσασα σύμβολον, ἀνεθεμάτισεν Ἄρειον καὶ τοὺς ἐκείνου συνίσορας. ὅπερ οἱ ἑτερόδοξοι, Εὐσέβιος καὶ Οὐρσάκιος, Δημόφιλος καὶ Γρηγόριος ὑπερώρισαντο, διὰ τοῦτό γε τῆς συνόδου ἀπεκηρύχθησαν. ὕστερον μέντοι τινὲς γνησίως μετανοήσαντας, Οὐάλλιόν τε καὶ Οὐρσάκιον, καίπερ Ἀθανασίῳ συκοφάντας δεινοὺς χρηματίσαντας, ὡς ἐπισκόπους ἐδέξαντο. Καί ἔνιοι ταύτῃ, καὶ τῇ ἐν Νικαίᾳ, διὰ τοὺς ἀρεθέντας αἱρετικοὺς ἐν αὐταῖς, κακῶς διέκειντο.

Πίστις ἐκτεθεῖσα ἐν νίκῃ τῆς Θράκης, οὐκ οὖσα ἔχουσα.

Πιστεύομεν εἰς ἕνα καὶ μόνον ἀληθινὸν θεὸν πατέρα παντοκράτορα, ἐξ οὗ τὰ πάντα καὶ εἰς τὸν μονογενῆ Υἱὸν τοῦ θεοῦ, τὸν πρὸ πάντων αἰώνων καὶ πρὸ πάσης ἀρχῆς γεννηθέντα ἐκ τοῦ θεοῦ. δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα. γεννηθέντα δὲ μονογενῆ μόνον ἐκ μόνου τοῦ πατρός, θεὸν ἐκ θεοῦ, ὅμοιον τῷ γεγεννηκότι αὐτὸν πατρὶ κατὰ τὰς γραφάς· ὃ τινὶ γέννησιν οὐδεὶς οἶδεν, εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν πατήρ. τοῦτον οἴδαμεν μονογενῆ θεοῦ Υἱόν, πέμποντος τοῦ πατρὸς παραγεγενῆσθαι ἐκ τῶν οὐρανῶν καθὼς γέγραπται, εἰς καθαίρεσιν ἁμαρτίας καὶ θανάτου, καὶ γεννηθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καθὼς γέγραπται, κατὰ σάρκα. καὶ συναναστραφέντα μετὰ τῶν μαθητῶν, καὶ πάσης τῆς οἰκονομίας πληρωθείσης κατὰ τὴν βούλησιν πατρὸς σαρκὶ προσηλωθέντα, ἀποθανόντα καὶ ταφέντα, καὶ εἰς τὰ καταχθόνια κατελθόντα. ὃν αὐτὸς ὁ ᾅδης ἐτρόμαξε. καὶ ἀνελθόντα ἀπὸ τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, συναναστραφέντα μετὰ τῶν μαθητῶν τεσσαράκοντα ἡμερῶν πληρουμένων· καὶ ἀναληφθέντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός. ἐρχόμενον τε τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς ἀναστάσεως μετὰ δόξης πατρικῆς, ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. καὶ εἰς πνεῦμα ἅγιον, ὅπερ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς Ἰησοῦς Χριστὸς ὁ θεὸς καὶ κύριος ἐπηγγείλατο ἀποστεῖλαι τῷ γένει τῶν ἀνθρώπων, τὸν παράκλητον καθὼς γέγραπται, τὸ πνεῦμα τῆς ἀληθείας. ὅπερ καὶ αὐτὸς ἀπέστειλεν ἀνελθὼν εἰς τοὺς οὐρανούς, καὶ καθίσας ἐν δεξιᾷ τοῦ πατρός, ἐκεῖθεν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. τὸ δὲ ὄνομα τῆς οὐσίας, ὅπερ ἁπλούστερον ἐκτέθη ὑπὸ τῶν πατέρων, οὐ νοούμενον δὲ τοῖς λαοῖς σκάνδαλον ἔφερε, διὰ τὸ ἐν ταῖς γραφαῖς τοῦτο μὴ ἐκφέρεσθαι, ἤρεσε περιαιρεθῆναι, καὶ παντελῶς μηδεμίαν μνήμην οὐσίας τοῦ λοιποῦ γίνεσθαι, διὰ τὸ μάλιστα τὰς θείας γραφὰς μηδαμοῦ περὶ τοῦ πατρὸς καὶ τοῦ Υἱοῦ οὐσίας μεμνῆσθαι. μήτε μὴν δεῖν ἐπὶ προσώπου πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου πνεύματος, μίαν ὑπόστασιν ὀνομάζεσθαι· ὅμοιον δὲ λέγομεν τῷ πατρὶ τὸν Υἱὸν καθὼς καὶ αἱ θεῖαι γραφαὶ λέγουσι καὶ διδάσκουσι. πάσας δὲ τὰς αἱρέσεις τὰς ἤδη πρότερον καθαιρεθείσας, ἢ καὶ εἴ τινες νεωστὶ ἀνεφύησαν ὑπεναντίαι ταύτης τῆς ἐκτεθείσης, ἀνάθεμα ἔσωσαν.

Ἡ αὐτὴ Σύνοδος ἐν Νίκῃ τῆς Θράκης.
ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

Οἱ γοῦν περὶ Εὔδοξιον τῆς ἀσεβείας ὑπέρμαχοι δόκιμοι, Εὐσεβίῳ συνάρσει πείθουσι τὸν Κωνσάντιον, ἐν Νίκῃ τῆς Θράκης κατὰ τὸ θεῖον σύμβολον, σύνοδον αἱρετικῆς συστήσασθαι φάλαγγος, εἰς ἅπαν ἐξαίροντα τὸ ὁμοούσιον, πίστεως ὅρον ἐκθέμενοι. εἰς ὃν μὴ δεῖ, οὐδὲ φεναξισμῷ, τῶν ὀρθοδόξων ὑπέγραψαν. Ὧν οἱ σωθέντες μὴ βληθέντες, εἰς τὰς ἑκατίας τῆς οἰκουμένης ἐξόδους διεπέμφθησαν.

Σύνοδος ἐν Νικαίᾳ τῆς Βιθυνίας.

ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

ΤΟΝ ὅρον τοίνυν τοῦτον τῶν ἑσπερίων πατέρων καθυποβαλλόντων τοῖς προτέροις ἀναθέμασιν, μαθόντες οἱ ἑτερόδοξοι, συναρπάσαντες τὸν Κωνσάντιον, ἐν Νικαίᾳ τῆς Βιθυνίας συνεκρότησαν σύνοδον, τὸ θεῖον ἀράσασθαι σύμβολον. Ἀλλὰ καὶ πλὴν τῆς βλασφημίας ἐνάρξαντο, θεὸς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων καταστείσας τὴν πόλιν, συντεθειμένους αὐτοὺς ἐκεῖθεν ἐξέβαλεν.



Ἅγ. Ἀπολλινάριος ὁ Παλαιός, ψηφιδωτόν θριαμβευτικοῦ τόξου, 6ου αἰ.
«...τὸν ἐπινίκιον ὕμνον, ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα...»

ΔΙΑΣΑ΄ΦΥΣΙΣ ΠΙ΄ΣΤΕΩΣ Η΄ΜΙΑΡΕΙ΄ΩΝ ΚΑΙ΄ Α΄ΡΕΙΑΝΩ΄Ν

Ε΄κδοθεῖσα ἐν τῇ ἐν Σελευκείᾳ Συνόδῳ.

Ἐπιφ. αἱρ. 73.

Οἱ συνελθόλτες ἐπίσκοποι ἐκ διαφόρων ἐπαρχιῶν ἐν σελευκείᾳ τῆς ἰσαυρίας, κατὰ πρόσταγμα τῆς εὐσεβείας τοῦ θεοσεβεστάτου βασιλέως ἡμῶν κωνσταντίου, τάδε διελαλήσαμεν ἡμεῖς οἱ συναχθέντες ἐν σελευκείᾳ τῆς ἰσαυρίας κατὰ βασιλικὸν βούλημα.

Τῇ χθὲς ἡμέρᾳ, ἥ τις ἦν πρὸ πεντε καλανδῶν ὀκτώ, πᾶσαν σπουδὴν εἰσηνεγκάμεθα μετὰ πάσης εὐταξίας τὴν εἰρήνην τῇ ἐκκλησίᾳ διαφυλάξαι, καὶ * τῆς πίστεως εὐσταθῶς διαλαβεῖν, ὡς προσέταξεν ὁ θεοφιλέστατος βασιλεὺς ἡμῶν κωνστάντιος, κατὰ τὰς προφητικὰς φωνὰς, καὶ μηδὲν παρὰ τὰς θείας γραφὰς παρεισενέγκαι τῇ ἐκκλησιαστικῇ πίστει. ἐπειδὴ δὲ ἐν τῇ συνόδῳ τινὲς, τοὺς μὲν ἡμῶν ὕβρισαν, τοὺς δὲ ἐπεστόμισαν, οὐσυγχωροῦντες λαλεῖν, τοὺς δὲ ἀπέκλεισαν ἄκοντας, καὶ τοὺς καθηρημένους δὲ ἐκ διαφόρων ἐπαρχιῶν εἶχον μεθ' ἑαυτῶν, καὶ τοὺς παρὰ κανόνα καταστα-θέντας ἦγον μεθ' ἑαυτῶν, ὡς πανταχόθεν θορύβου πλῆρες γενέσθαι τὸ συνέδριον, καθὼς καὶ ὁ λαμπρότατος κόμης λεωνᾶς, καὶ ὁ λαμπρότατος ἡγούμενος τῆς ἐπαρχίας λαυρίκιος αὐτοψίᾳ παρέλαβε, τούτου ἕνεκεν διαλαλοῦμεν, ὡς οὐ φεύγομεν, τὴν αὐθεντικὴν πίστιν ἐν τοῖς ἐγκαινίοις τοῖς κατὰ ἀντιόχειαν προκομίζοντες. * οἱ καὶ αὐτοὶ μάλιστα οἱ πατέρες ἡμῶν κατ' ἐκεῖνο καιροῦ πρὸς τὸ ὑποκείμενον τῆς ζητήσεως συνέδραμον.

Ἐπειδὴ πολλοὺς ἐθορύβησε τὸ ὁμοούσιον καὶ τὸ ὁμοιούσιον ἐν τοῖς παρελθοῦσι χρόνοις, καὶ μέχρι νῦν, ἀλλὰ καὶ ἕως ἄρτι λέγεται καινοτομεῖσθαι ὑπό τινων τὸ ἀνόμοιον υἱοῦ πρὸς πατέρα, τούτου χάριν τὸ ὁμοούσιον ὡς ἀλλότριον τῶν γραφῶν ἐκβάλλομεν, τὸ δὲ ἀνόμοιον ἀναθεματίζομεν, καὶ πάντας, ὅσοι τοιοῦτοι τυγχάνουσιν, ἀλλοτρίους ἡγούμεθα τῆς ἐκκλησίας· τὸ δὲ ὅμοιον τοῦ υἱοῦ πρὸς πατέρα σαφῶς ὁμολογοῦμεν, κατὰ τὸν ἀπόστολον τὸν λέγοντα περὶ τοῦ υἱοῦ, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου. ὁμολογοῦμεν δὲ καὶ πιστεύομεν εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα, τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατοῦ τε καὶ ἀοράτων. πιστεύομεν δὲ καὶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, τὸν ἐξ αὐτοῦ γεννηθέντα ἀπαθῶς πρὸ πάντων αἰώνων, θεὸν λόγον, θεὸν ἐκ θεοῦ μονογενῆ, φῶς, ζωὴν, ἀλήθειαν, σοφίαν, δύναμιν, δι' οὗ τὰ πάντα ἐγένοντο, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ, εἴ τε ἀόρατα. τοῦτον πιστεύομεν ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας, σάρκα ἀνειληφέναι ἐκ τῆς ἁγίας παρθένου, καὶ ἐνανθρωπήσαντα, παθόντα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἀναστάντα, καὶ ἀναληφθέντα εἰς οὐρανοὺς, καθέζεσθαι ἐν δεξιᾷ τοῦ πατρὸς, πάλιν ἐρχόμενον ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς. πιστεύομεν δὲ καὶ εἰς ἓν ἅγιον πνεῦμα, ὃ καὶ παράκλητον ὠνόμασεν ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἐπαγγειλάμενος μετὰ τὸ ἀνελθεῖν αὐτὸν πέμψαι τοῖς μαθηταῖς τοῦτο, ὃ καὶ ἀπέστειλεν, δι' οὗ καὶ ἁγιάζει τοὺς ἐν τῇ ἐκκλησίᾳ πιστεύοντας, καὶ βαπτιζομένους ἐν ὀνόματι πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. τοῦτο δὲ παρὰ ταύτην τὴν πίστιν ἄλλό τι κηρύττοντας, ἀλλοτρίους οἴδεν ἡ καθολικὴ ἐκκλησία. ὅτι δὲ ταύτῃ τῇ πίστει ἰσοδυναμεῖ καὶ ἡ ἐν σιρμίῳ πρώην ἐκτεθεῖσα πίστις, ἐπὶ τῆς εὐσεβείας τοῦ βασιλέως ἡμῶν, γνωρίζουσιν οἱ ἐντυγχάνοντες τῇ πίστει.

Ἐπιφ. αἱρ. 74.

Ὑπέγραψαν οἱ παρόντες, Βασίλειος, Μάρκος, καὶ Γεώργιος ὁ τῆς Ἀλεξανδρείας Ἐπίσκοπος, Παγκράτιος, καὶ Ὑπατιανὸς, καὶ οἱ πλεῖστοι Ἐπίσκοποι τῆς δύσεως. Γεώργιος Ἐπίσκοπος Ἀλεξανδρείας ἐξεθέμην τὴν πίστιν οὕτως, ὁμολογῶ φρονεῖν ὡς πρόκειται. Ἀκάκιος Ἐπίσκοπος Καισαρείας ἐξεθέμην τὴν πίστιν οὕτως, ὁμολογῶ φρονεῖν ὡς πρόκειται. Οὐράνιος Ἐπίσκοπος Τύρου, Εὐτύχιος Ἐπίσκοπος Ἐλευθεροπόλεως, Ζώϊλος Ἐπίσκοπος Λαρίσσης τῆς Συρίας, Σέρας Ἐπίσκοπος ἐκ * Παρατονίου τῆς Λιβύης, Παῦλος Ἐπίσκοπος Ἐμίσης, Εὐστάθιος Ἐπίσκοπος Ἐπιφανίας, Εἰρηναῖος Ἐπίσκοπος Τριπόλεως τῆς Φοινίκης, Εὐσέβιος Ἐπίσκοπος Σελευκείας τῆς Συρίας, Εὐτυχιανὸς Ἐπίσκοπος Πατάρων τῆς Λυκίας, Εὐστάθιος Ἐπίσκοπος Πιναρῶν καὶ Διδύμων, Βασίλειος Ἐπίσκοπος Καυνίων τῆς Λυδίας, Πέτρος Ἐπίσκοπος Ἱππου Παλαιστίνης, Στέφανος Ἐπίσκοπος Πτολεμαΐδος τῆς Λιβύης, Εὐδόξιος Ἐπίσκοπος, Ἀπολλώνιος Ἐπίσκοπος Ὀξυρύγχου, Θεόκτιστος Ἐπίσκοπος Ὀστρακίνης, Λεόντιος Ἐπίσκοπος Λυδίας, Θεοδόσιος Ἐπίσκοπος τῆς Φιλαδελφίας Λυδίας, Φοῖβος Ἐπίσκοπος Πολυχαλάνδου τῆς Λυδίας, Μάγνος Ἐπίσκοπος Θεμισῶν τῆς Φρυγίας, Εὐάγριος Ἐπίσκοπος Μιτυλήνης τῶν νήσων, Κυρίων Ἐπίσκοπος Δολίχης, Αὔγουστος Ἐπίσκοπος Εὐφράτης, (Μάγνος Ἐπίσκοπος Θεμισῶν τῆς Φρυγίας,) Πολυδεύκης Ἐπίσκοπος Ἐπαρχίας Δευτέρας Λιβύης, Παγκράτιος Ἐπίσκοπος Πηλουσίου, Φιλίκαδος Ἐπίσκοπος Αὐγουστάδων Φρυγίας ἐπαρχίας, Σεραπίων Ἐπίσκοπος Ἀντιπύργου τῆς Λιβύης, Εὐσέβιος Ἐπίσκοπος Σεβαστῆς τῆς Παλαιστίνης, Ἡλιόδωρος Ἐπίσκοπος Σωζούσης τῆς Πενταπόλεως, Πτολεμαῖος Ἐπίσκοπος Θμούεως Αὐγουστονίκης, Αὔγαρος Ἐπίσκοπος Κύρου Εὐφρασίας, Ἐξερέσιος Ἐπίσκοπος Περασῶν, Ἀραβίων Ἐπίσκοπος Ἀδράων, Χαρίσιος Ἐπίσκοπος Ἀζώτου, Ἐλισσαῖος Ἐπίσκοπος Διοκλητιανουπόλεως. Γερμανὸς Ἐπίσκοπος Πέτζων, * Βαρόχιος Ἐπίσκοπος Ἀραβίας ὁμοῦ Ἐπίσκοποι μγ.

ΣΥ΄ΝΟΔΟΣ Α΄ΡΕΙΑΝΩ΄Ν Ε΄Ν ΣΕΛΕΥΚΕΙΑ.

ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

ΜΕΜΩΛΩΠΙΣΜΕΝΟΙ γοῦν διασπαρέντες οἱ ἑτερόδοξοι, τὸν Κωνστάντιον ἐν Σελευκείᾳ

χείρ τῆς Ἰσαυρίας, ποιῆσαι παρασκλάζουσι σύνοδον· ὅρον ἐκθέμενοι, περὶ τῆς ἐσπερίων ὀρθοδόξων, πολλοῖς βαλλόμενον ἀναθέμασιν. Ἐν ᾗ τὸν κατηχητὴν Κύριλλον Ἱεροσολύμων ἀρχιεπίσκοπον, παρὰ τῷ θείῳ Σιλβανῷ Σελευκείας Φιλίππου. * Ἀκάκιος Εὐδόξιον μετασάντα εἰς Συρίας τὴν Ἀντιόχειαν μεθ' ἑαυτῆς προσλαβόμενος, ἐν Κωνσταντινουπόλει ὥρμησε πρὸς Κωνσταντῖνον.

Α' ΝΤΙ' Γ Ρ Α Φ Ο Ν

τῆς γραφέντων ὑπὸ πάσης τῆς Συνόδου Γεωργίῳ Ἀλεξανδρείας κατὰ Ἀετίου Διακόνου αὐτῆς ὄντος τῆς ἀθεμίτου αὐτοῦ βλασφημίας.

Η' ΑΓΙ' Α ΣΤΝΟΔΟΣ Η' Ε' Ν

Κωνσταντίνου πόλει συνελθοῦσα κυρίῳ τιμιωτάτῳ ἐπισκόπῳ τῆς Ἀλεξανδρείας Γεωργίῳ χαίρειν.

παρὰ Θεοδωρίτῳ βιβ. β', κεφ. ιά'.

ΤΗΣ ἐπ' Ἀετίου δυσμενοῦς καταγνώσεως ὑπὸ τῆς συνόδου διὰ τὰς ἀθεμίτους αὐτοῦ καὶ σκανδάλων γεμούσας λογογραφίας, τὸ μὲν ἀκόλουθον τοῖς ἐκκλησιαστικοῖς κανόσιν ἐπ' αὐτῷ παρὰ τῶν ἐπισκόπων ἐπράχθη. καθηρέθη γὰρ τῆς διακονίας, καὶ ἀλλοτριώθη τῆς ἐκκλησίας, καὶ παραινέσεις παρ' ἡμῶν παρηκολούθησαν, μήτε εἰς ἀνάγνωσιν ἔρχεσθαι τὰς ἀθεμίτους αὐτοῦ ἐπιστολάς, ῥιπτάζεσθαι δὲ αὐτὰς διὰ τὸ ἄχρηστον καὶ ἀνωφελές. προσίθεμεν δὲ τούτοις καὶ ἀναθεματίζεσθαι αὐτὸν ἐπιμείναντα τῇ αὐτοῦ προθέσει μετὰ τῶν συναινούντων αὐτῷ. τὸ μὲν οὖν ἀκόλουθον ἦν κοινῇ πάντας τοὺς συνελθόντας ἐν τῇ συνόδῳ ἐπισκόπους ἀποστυγεῖν τὸν τῶν σκανδάλων καὶ τῶν ταραχῶν καὶ χισμάτων αἴτιον καὶ θρύλλου τοῦ κατὰ τοῦ οἰκουμένου, καὶ στάσεως πρὸς ἀλλήλας τῶν ἐκκλησιῶν, ὁμονοεῖν δὲ πρὸς ἐξενεχθεῖσαν κατ' αὐτοῦ ψῆφον. ἀλλὰ παρ' ἡμᾶς ἡμετέρας καὶ παρὰ προσδοκίαν πᾶσαν, Σεραπᾶς καὶ Στέφανος, καὶ Ἡλιόδωρος, καὶ Θεόφιλος, καὶ οἱ σὺν αὐτοῖς, οὐ συνεψηφίσαντο ταῖς ἡμετέραις γνώμαις, οὐδὲ συνυπογράψαι ταῖς περὶ αὐτοῦ ψήφοις ἐξενεχθείσαις ἐβουλήθησαν, καὶ τοι τοῦ Σεραπᾶ καὶ ἄλλου ἀλαζονείαν μανιώδη κατηγοροῦντος τοῦ προειρημένου Ἀετίου. ἔφασκε γὰρ αὐτὸν θρασυτέρᾳ τόλμῃ προπηδῶντα λέγειν, ὅσαπερ ὁ Θεὸς ἀπέκρυψεν ἀπὸ τῶν ἀποστόλων μέχρι νῦν, ταῦτα ἀποκεκαλύφθαι αὐτῷ διαβεβαιοῦσθαι. καὶ μετὰ τοὺς μανιώδεις καὶ ἀλαζονικοὺς τούτους λόγους ὑπὸ τοῦ Σεραπᾶ μεμαρτυρημένους περὶ Ἀετίου, οὐκ ἐδυσωποῦντο, οὐδὲ παρεκαλοῦντο συμψηφίσασθαι πᾶσιν ἡμῖν περὶ αὐτοῦ οἱ προειρημένοι κρίνειν. ὅμως δὲ ἡμεῖς μακροθυμοῦντες ἐπὶ πλείονα χρόνον συμπεριεψηφισάμην αὐτοῖς, τὰ μὲν ἀγαναχτοῦντες, τὰ δὲ παρακαλοῦντες, τὰ δὲ ἐπιτιμῶντες, τὰ δὲ καὶ δυσωποῦντες συνιέναι αὐτοὺς καὶ σύμφωνα ἀποφαίνεσθαι τῇ συνόδῳ πάσῃ. προσεκαρτερούμεν δὲ ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα συνῶσι καὶ ἐνδῶσιν. ὡς δὲ ἐπὶ πολλῷ τῷ χρόνῳ προσκαρτερήσαντες ἡμεῖς οὐκ ἐδυσωπούμεν αὐτοὺς ἀκολουθεῖν ταῖς περὶ τοῦ προειρημένου ἀνδρὸς ἀποφάσεσι, τὸν κανόνα τῆς ἐκκλησίας τιμιώτερον ἡγούμενοι τῆς φιλίας τῶν ἀνδρῶν, ὠείσαμεν κατ' αὐτῶν ἀκοινωνησίαν, χρόνον εἰς τοῦτο διδόντες αὐτοῖς μῆνας ὅλους ἓξ πρὸς ἐπιστροφὴν καὶ μετάνοιαν, καὶ πρὸς ἐπιθυμίαν ἑνώσεως καὶ συμφωνίας τῆς πρὸς τὴν συνοδον, ἐὰν εἴσω τῆς δοθείσης αὐτοῖς προθεσμίας ἐπιστρέψαντες ἕλωνται τὴν πρὸς τοὺς ἀδελφοὺς αὐτῶν ὁμόνοιαν, καὶ σωθῶνται τοῖς περὶ αὐτῶν ὁρισθεῖσι, δεκτοὺς εἶναι τῆς ἐκκλησίας ἐδοκιμάσαμεν, καὶ ἐν ταῖς συνόδοις καὶ τὴν οἰκείαν παῤῥησίαν καὶ ἀγάπην πρὸς ἡμᾶς ἀπολαμβάνειν. εἰδὲ ἐπιμένοιεν ἀμετεμέλητοι τολμῶντες διὰ φιλανθρωπίαν ἀνθρώπων καὶ τῶν κανόνων τῆς ἐκκλησίας ἧττον φροντίσαντες, τότε ἀλλοτρίους αὐτοὺς ἡγούμεθα τῆς ἐπισκοπικῆς ἀξίας. καθαιρέσιν δὲ αὐτῶν ὑπομενόντων ἀναγκαῖον εἰς τοὺς τόπους αὐτῶν ἑτέρους καθίσθαι ἐπισκόπους, ἵνα ὁ ἅθεσμος ἐκκλησία τὴν προσήκουσαν τάξιν λαβοῦσα συμφωνῇ πρὸς ἑαυτήν, τῶν πανταχόθεν ἐπισκόπων τὸν συνδεσμον τῆς ἀγάπης φυλαττόντων, διὰ τὸ λέγειν τὰ αὐτὰ, κατηρτισμένως τῷ αὐτῷ νοὶ καὶ τῇ αὐτῇ γνώμῃ. ἵνα ἓν γινώσκῃς τὸ τῇ συνόδῳ δόξαντα ταῦτα πρὸς τὴν σὴν ἀλάβειαν ἀπεστείλαμεν, ἅπερ ἀσχόμεθα σε συμφυλάττοντα χάριτι Χριστοῦ εἰρηνικῶς καὶ ἐνθέσμως κυβερνᾶν τὰς ὑπὸ σὲ ἐκκλησίας.

Ε' ν αὐτῇ τῇ ἐν Κωνσταντινουπόλει Συνόδῳ βεβαιοῦσι τὴν ἐν Ἀριμίνῳ ἀναγνωσθεῖσαν πίστιν.

Πιστεύομεν εἰς ἕνα μόνον θεόν, πατέρα παντοκράτορα, ἐξ οὗ τὰ πάντα· καὶ εἰς τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, πρὸ πάντων τῶν αἰώνων καὶ πρὸ πάσης ἀρχῆς γεγεννημένον ἐκ τοῦ θεοῦ· δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα· γεγεννημένον δὲ μονογενῆ, μόνον ἐκ μόνου τοῦ πατρὸς, θεὸν ἐκ θεοῦ, ὅμοιον τῷ γεννήσαντι αὐτὸν πατρὶ κατὰ τὰς γραφάς· ὃν τὴν γέννησιν οὐδεὶς γινώσκει, εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν πατήρ· τοῦτον οἴδαμεν μονογενῆ τοῦ θεοῦ Υἱὸν, πέμποντος τοῦ πατρὸς παρεγγυέσθαι ἐκ τῶν οὐρανῶν, ὡς γέγραπται, ἐπὶ καταλύσει τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. καὶ γεννηθέντα ἐκ πνεύματος ἁγίου, καὶ μαρίας παρθένου τὸ κατὰ σάρκα, ὡς γέγραπται, καὶ ἀναστραφέντα μετὰ τῶν μαθητῶν, τῆς πάσης τῆς οἰκονομίας πληρωθείσης κατὰ τὸ πατρικὸν βούλησιν, σταυρωθέντα καὶ ἀποθανόντα, καὶ ταφέντα, καὶ εἰς τὰ καταχθόνια κατελθόντα· ὃν τινα καὶ αὐτὸς ὁ ἅδης ἔπτηξεν· ὃς τις καὶ ἀνέστη ἀπὸ τῶν νεκρῶν τῇ τρίτῃ, * καὶ διέτριψε μετὰ τῶν μαθητῶν. καὶ πληρωθεισῶν τῶν τεσσαράκοντα ἡμερῶν, ἀνελήφθη εἰς τοὺς οὐρανούς, καὶ καθέζεται ἐν δεξιᾷ τοῦ πατρὸς, ἐλευσόμενον ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς ἀναστάσεως ἐν τῇ πατρικῇ δόξῃ, ἵνα ἀποδῷ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, καὶ εἰς τὸ ἅγιον πνεῦμα, ὅπερ αὐτὸς ὁ μονογενὴς τοῦ θεοῦ ὁ χριστὸς, ὁ κύριος καὶ θεὸς ἡμῶν ἐπηγγείλατο πέμπειν τῷ γένει τῶν ἀνθρώπων παράκλητον, καθάπερ γέγραπται, τὸ πνεῦμα τῆς ἀληθείας ὅπερ αὐτοῖς ἔπεμψεν, ὅτε ἀνελήφθη εἰς τοὺς οὐρανούς· τὸ δὲ ὄνομα τῆς οὐσίας, ἁπλούστερον ὑπὸ τῶν πατέρων ἐτέθη, ἀγνοούμενον δὲ τοῖς λαοῖς, σκάνδαλον ἔφερε, διότι μηδὲ αἱ γραφαὶ τοῦτο περιέχουσιν, ἤρεσε περιαιρεθῆναι, καὶ παντελῶς μηδεμίαν μνήμην τοῦ λοιποῦ γενέσθαι, ἐπειδήπερ καὶ αἱ θεῖαι γραφαὶ οὐδαμοῦ ἐμνημόνευσαν περὶ οὐσίας πατρὸς καὶ Υἱοῦ· καὶ γὰρ οὐκ ὠφέλει ὑπόσασις περὶ πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου πνεύματος ὀνο-

Σωζ. ἐκκλ. ἱστ. κεφ. 41. Καὶ Ἀθανασ. ἐπ. τῆς συνόδ. φθ. 697.

* ἐμπν.

ὀνομάζεσθαι· ὅμοιον δὲ λέγομεν τὸν Υἱὸν τῷ πατρὶ, ὡς λέγουσιν αἱ θεῖαι γραφαὶ καὶ διδάσκουσι. πᾶσαι δὲ αἱ αἱρέσεις, αἵ τε ἤδη πρότερον κατεκρίθησαν, καὶ αἵ τινες ἐὰν καινότεραι γένωνται, ἐναντίαι τυγχάνουσαι τῆς ἐκτεθείσης ταύτης γραφῆς ἀνάθεμα ἔστωσαν.

ΣΥ'ΝΟΔΟΣ Ε'Ν ΒΥΖΑΝΤΙ'Ω,

ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

Ὁ δὲ βασιλεὺς τῇ δυάδι τῆς εὐσεβείας φενακιζόμενος, ἐν βυζαντίῳ αἱρετικὴν συνεκρότησε σύνοδον, πολλῇ δυνάμει σπουδάσασαν τοῦ θείου συμβόλου καταγωνίσασθαι. Καὶ οὐχ ἡ τυχοῦσα στάσις ἐντεῦθεν μεταξὺ τῶν ἑτεροδόξων καὶ ὀρθοδόξων παρηκολούθησεν. Ὁ γὰρ μακαρίτης Εὐστάθιος Ἀντιοχείας, ἐκ τοῦ παρ' αὐτοῦ ἐκτεθέντος ἀσεβοῦς τόμου, ἀνόμοιον λέγοντος τὸ Ἐξ οὗ, τοῦ Δι' οὗ, τὸν ἄθεον Εὐσέβιον διήλεγξε καὶ Ἀέτιον. Τέλος καθελοῦσα, μὴ ὡς λέγοντα κτίσμα τὸν υἱὸν τοῦ Θεοῦ, Μακεδόνιον· ἀλλ' εἰς τὸ θεῖον πνεῦμα μόνον προσκρούοντα, καὶ ἀλλότριον αὐτὸ φάσκοντα εἶναι παντελῶς τῆς θεότητος. ἀντεισάγει εἰς βυζάντιον τὸν ἐκ Γερμανικείας κατελθόντα εἰς Ἀντιόχειαν, Εὐδόξιον τὸν παμμιαρὸν, ἤδη τοῦ δυσσεβοῦς Εὐσεβίου τὸν βίον τελέσαντος, καὶ τοῦ ὁμολογητοῦ Παύλου πρὸς κύριον ἐκδημήσαντος. πρὸς τούτοις ἀνεθεμάτισε καὶ τὸν διάκονον Ἀλεξανδρείας Ἀέτιον, τὸν ἀρχηγὸν Εὐνομίου καὶ Θεοφρονίου διδάσκαλον.

Ε'Ν Α'ΝΤΙΟΧΕΙ'Α, ΣΥ'ΝΟΔΟΣ

ἐπὶ Κωνσταντίου.

ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

ΜΕΤΑ δὲ ταῦτα μαθὼν ὁ Κωνστάντιος τοὺς Πέρσας πολιορκεῖν τὸν Ἰτζίβιον, ἐπὶ Ἀντιοχείας ὥρμησε· καὶ Σαβωρίου ἀναχωρήσαντος, αὐτὸν εἰς ἅπαν ἐξάρας τὸ ὁμοούσιον φρυαττόμενος, καὶ τὸ ἑτεροούσιον κηρύξας, σύνοδον συνεκρότησε. τοῦ δὲ θρόνου Ἀντιοχείας χηρεύοντος, Ἀρειανοίτε καὶ ὀρθόδοξοι, Σεβαστείας Ἀρμενίας ἀρχιεπίσκοπον Μελέτιον προχειρίζονται. Ὁ δὲ βασιλεὺς τὴν ἑρμηνείαν τοῦ, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, παρὰ τῶν ἐπισκόπων ἰδιοσυστάτως ἐξαιτησάμενος, πλείστων δυσσεβῶν προσελθόντων· Μελέτιος ὀρθοδόξως ἐκθέμενος, μεγαλοφώνως ὁμούσιον τὴν ἁγίαν τριάδα ἐκήρυξε. Καὶ τοῦ ἀρχιδιακόνου τὸ στόμα τούτου φιμώσαντος, ἐκεῖνος διὰ τῶν δακτύλων, τὸ θεουργὸν ἐκήρυξε μάθημα. Ὅπερ οἱ κακόδοξοι θεασάμενοι, Σαβελλιανισμὸν αὐτῷ πλέξαντες, ἐξορίᾳ παρέπεμψαν· καὶ τὸν σὺν Ἀρείῳ ἀναθεματισθέντα Εὐδόξιον προχειρίζονται· ὑφ' οὗ καινοσήσας Κωνστάντιος βαπτισθεὶς, τὸν βίον κατέλιπεν.

ΠΡΟΣ ΤΟΥΣ ΑΝΤΙΟΧΕΙΣ ΕΠΙΣΤΟΛΗ.

Τοῖς ἀγαπητοῖς καὶ ποθεινοτάτοις συλλειτουργοῖς Εὐσεβίῳ, Λουκίφερι, Ἀστερίῳ, Κυματίῳ, καὶ Ἀνατολίῳ, Ἀθανάσιος καὶ οἱ παρατυχόντες ἐν Ἀλεξανδρείᾳ ἐπίσκοποι, ἀπὸ τῆς Ἰταλίας καὶ Ἀραβίας, Αἰγύπτου καὶ Λιβύης, Εὐσέβιος, Ἀστέριος, Γάϊος, Ἀγαθὸς, Ἀμμώνιος, Ἀγαθοδαίμων, Δρακόντιος, Ἀδέλφιος, Ἑρμαίων, Μάρκιος, Θεόδωρος, Ἀνδρέας, Παφνούτιος, Μάρκος, Ζωΐλος, Γεώργιος, Λούκιος, * Μάκαρις, καὶ οἱ λοιποὶ ἐν Χριστῷ, πλεῖστα χαίρειν.

παρὰ Ἀθανάσ. φυλλ. 447.

* Μακάριος.

ΠΕπείσμεθα μὲν ὅτι λειτουργοὶ Θεοῦ καὶ οἰκονόμοι καλοὶ τυγχάνοντες, ἱκανοί ἐστε πρὸς ἅπαντα τὰ τῆς ἐκκλησίας ἁρμόζεσθαι. ἐπειδὴ δὲ καὶ εἰς ἡμᾶς ἦλθεν ὅτι πλεῖστοι πρότερον διὰ φιλονεικίαν διαιρεθέντες ἀφ' ἡμῶν εἰρηνεύειν βούλονται, πολλοὶ δὲ καὶ τῆς πρὸς τοὺς Ἀρειομανίτας σχέσεως ἀποστάντες ἀντιποιοῦνται τῆς πρὸς ἡμᾶς κοινωνίας, ἀναγκαῖον ἡγησάμεθα ταῦθ' ἅπερ ἐγράψαμεν ἡμεῖς τε καὶ οἱ ἀγαπητοὶ ἡμῶν Εὐσέβιός τε καὶ Ἀστέριος, γράψαι τε ὑμῶν χρηστότητι, καὶ αὐτοὶ ἀγαπητοὶ καὶ ὡς ἀληθῶς ποθεινότατοι συλλειτουργοὶ, χαίροντες μὲν ἐπὶ τῇ τοιαύτῃ ἀκοῇ, εὐχόμεθα δὲ, ἵνα καὶ εἴτις ἔτι περιλείπεται μακρὰν ἀφ' ἡμῶν, καὶ εἴτις ἔτι τοῖς Ἀρειανοῖς συνερχόμενος φαίνεται, οὕτως ἀποπηδήσῃ τῆς ἐκείνων μανίας, ὥστε πάντας πανταχοῦ λοιπὸν λέγειν εἷς κύριος, μία πίστις. τί γὰρ οὕτω καλὸν, ὡς ὁ ὑμνῳδὸς ἔφη, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸν κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; οὕτω γὰρ πιστεύομεν καὶ τὸν κύριον μεθ' ἡμῶν κατοικήσειν λέγοντα, ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ὧδε κατοικήσω ὅτι ἠρετησάμην αὐτήν. ὧδε δὲ ποῦ; ἢ ἔνθα μία πίστις καὶ εὐσέβεια κηρύττεται. ἐβουλόμεθα μὲν οὖν ἀληθῶς, καὶ ἡμεῖς οἱ ἀπὸ τῆς Αἰγύπτου ἅμα τοῖς ἀγαπητοῖς ἡμῶν ἀδελφοῖς Εὐσεβίῳ, καὶ Ἀστερίῳ, διὰ πολλὰ μὲν, μάλιστα δὲ τούτου χάριν ἐλθεῖν, ἵν' ἅμα τὴν ἡμετέραν περιπτυξώμεθα διάθεσιν, καὶ κοινῇ τῆς τοιαύτης ἀπολαύσωμεν εἰρήνης τε καὶ ὁμονοίας· ἐπειδὴ δὲ, καθὼς ἐν ταῖς ἄλλαις ἐπιστολαῖς ἐδηλώσαμεν, καὶ δύνασθε μαθεῖν περὶ τῶν αὐτῶν συλλειτουργῶν ἡμῶν, αἱ ἐκκλησιαστικαὶ χρεῖαι [10] κατεπείγουσιν ἡμᾶς, ἐλυπήθημεν μὲν, ὅμως δὲ ἠξιώσαμεν τοὺς αὐτοὺς συλλειτουργοὺς ἡμῶν Ἀστέριον καὶ Εὐσέβιον ἐλθεῖν ἀνθ' ἡμῶν πρὸς ὑμᾶς. καὶ χάρις αὐτῶν τῇ θεοσεβείᾳ, ὅτι καίπερ αὐτοὶ δυνάμενοι σπεύδειν εἰς τὰς παροικίας ἑαυτῶν, προέκριναν πάντων τὴν πρὸς ὑμᾶς ὁδὸν, ἕνεκα τῆς κατεπειγούσης ἐκκλησιαστικῆς χρείας. συνθεμένων οὖν αὐτῶν παρεμυθησάμεθα ἑαυτοὺς, ὅτι αὐτῶν τε καὶ ἡμῶν ἐκεῖ τυγχανόντων, πάντες ἑαυτοὺς ἡγούμεθα συνεῖναι ὑμῖν. πάντας τοίνυν τοὺς βουλομένους εἰρηνεύειν πρὸς ἡμᾶς μάλιστα τοὺς ἐν τῇ παλαιᾷ συναγομένους, καὶ τοὺς ἀπὸ τῶν Ἀρειανῶν προσκαλέσασθε παρ' ἑαυτοῖς, καὶ ὡς μὲν πατέρες υἱοὺς προσλάβεσθε, ὡς δὲ διδάσκαλοι καὶ κηδεμόνες ἀποδείξασθε καὶ συνάψαντες ἑαυτοὺς τοῖς ἀγαπητοῖς ἡμῶν τοῖς περὶ Παυλῖνον, μηδὲν πλεῖον ἀπαιτήσητε παρ' αὐτῶν, ἢ ἀναθεματίζειν μὲν τὴν Ἀρειανὴν αἵρεσιν, ὁμολογεῖν

δὲ

δὲ τὴν παρ' αὐτῷ ἁγίων πατέρων ὁμολογηθεῖσαν ἐν Νικαίᾳ πίστιν. ἀναθεματίζειν δὲ καὶ τοὺς λέγοντας κτίσμα εἶναι τὸ πνεῦμα τὸ ἅγιον, καὶ διηρημένον ἐκ τῆς οὐσίας τοῦ Χριστοῦ, τοῦτο γάρ ἐστιν ἀληθῶς τὸ ἀποπηδᾶν ἀπὸ τῆς μυσαρᾶς αἱρέσεως τῶν Ἀρειανῶν, τὸ μὴ διαιρεῖν τὴν ἁγίαν Τριάδα, καὶ λέγειν τι τούτης εἶναι κτίσμα. οἱ γὰρ προσποιούμενοι μὲν ὀνομάζειν τὸ ὁμολογηθεῖσαν ἐν Νικαίᾳ πίστιν, τολμῶντες δὲ κατὰ τοῦ ἁγίου πνεύματος βλασφημεῖν, οὐδὲν πλέον ποιοῦσιν, ἢ τὴν Ἀρειανὸν αἵρεσιν τοῖς μὲν ῥήμασιν ἀρνοῦνται, τῷ δὲ φρονήματι ταύτῃ κατέχουσιν. ἀναθεματιζέσθω δὲ παρὰ πάντων ἡ Σαβελλίου καὶ Παύλου τοῦ Σαμοσατέως ἀσέβεια, καὶ Οὐαλεντίνου καὶ Βασιλείδου ἡ μανία καὶ τῶν Μανιχαίων ἡ παραφροσύνη· τούτων γὰρ οὕτω γινομένων πᾶσα παρὰ πάντων ὑποψία φαύλη περιαιρεθήσεται, καὶ μόνη τῆς καθολικῆς ἐκκλησίας ἡ πίστις καθαρὰ δειχθήσεται. ὅτι μὲν οὖν ταύτῃ τῇ πίστιν ἔχομεν, ἡμεῖς τε καὶ οἱ ἀεὶ μεθ' ἡμῶν τὴν κοινωνίαν ἐχηκότες, οὐδένα, οἶδε ὑμᾶς, οὔτ' ἕτερόν τινα ἀγνοεῖν ἡγούμεθα. ἐπειδὴ δὲ συγχαίρομεν τοῖς βουλομένοις συνάπτεσθαι πᾶσι μέν, ἐξαιρέτως δὲ τοῖς ἐν τῇ παλαιᾷ συναγομένοις, καὶ μάλιστα τὸν κύριον ἐδοξάσαμεν ὡς ἐπὶ πᾶσι, καὶ ἐπὶ τῇ ἀγαθῇ προθέσει τούτων, παρακαλοῦμεν ὑμᾶς ἐπὶ τούτοις γίγνεσθαι τούτων τὴν ὁμόνοιαν καὶ μηδὲν πλέον τούτων καθ' ἃ προείπομεν μήτε τὰς ἐν τῇ παλαιᾷ συναγομένους ἀπαιτεῖσθαι παρ' ὑμῶν, μήτε τὰς περὶ Παυλῖνον ἕτερόν τι μηδὲ πλέον τῆς ἐν Νικαίᾳ προβάλλεσθαι ἢ τὸ ἐρρυθμισμένον γοῦν παρά τινων πιπτάκιον· ὡς ἐν τῇ κατὰ Σαρδικὴν συνόδῳ συνταχθὲν περὶ πίστεως, κωλύετε κἂν ὅλως ἀναγινώσκεσθαι, ἢ προφέρεσθαι. οὐδὲν γὰρ τοιοῦτον ὥρισεν ἡ σύνοδος. ἠξίωσαν μὲν γάρ τινες, ὡς ἐνδεῶς ἐχούσης τῆς κατὰ Νίκαιαν συνόδου γράψαι περὶ πίστεως, καὶ ἐπεχείρησάν γε προπετῶς, ἡ δὲ ἁγία σύνοδος ἡ ἐν Σαρδικῇ συναχθεῖσα ἠγανάκτησε, καὶ ὥρισε μηδὲν ἔτι περὶ πίστεως γράφεσθαι, ἀλλ' ἀρκεῖσθαι τῇ ἐν Νικαίᾳ παρ' αὐτῶν πατέρων ὁμολογηθείσῃ πίστει διὰ τὸ μηδὲν αὐτῇ λείπειν, ἀλλὰ πλήρη εἶναι τῆς εὐσεβείας καὶ ὅτι μὴ δεῖν ἐκτίθεσθαι δευτέραν πίστιν, ἵνα μὴ ἐν Νικαίᾳ γραφεῖσα, ὡς ἀτελὴς ἅπασα νομισθῇ, καὶ πρόφασις δοθῇ τοῖς ἐθέλουσι πολλάκις γράφειν καὶ ὀρίζειν περὶ πίστεως. ὅθεν κἂν τοῦτό τις ἢ ἕτερον προβάληται παύεται τοὺς τοιούτους καὶ μᾶλλον εἰρηνεύειν αὐτοὺς ποιεῖτε· καὶ γὰρ οὐδὲν πλέον σωτηρίου ἐν τούτοις ἢ φιλονεικίαν μόνην· ὃς γὰρ ἐμέμφοντό τινες ὡς ξένης λέγοντας ὑποστάσεις, διὰ τὸ ἀγράφους καὶ ὑποστάτους εἶναι τὰς λέξεις, ἠξιοῦμεν μηδὲν πλέον ἐπιζητεῖν τῆς κατὰ Νίκαιαν ὁμολογίας. ἀναχρίνειν δὲ ὅμως τούτους διὰ τὴν φιλονεικίαν μὴ ἀρ' ὡς Ἀρειομανῖται λέγουσιν ἀπηλλοτριωμένας καὶ ἀπεξενωμένας, ἀλλοτριότητι τὰ ἀλλήλων, καὶ ἑκάστην καθ' ἑαυτὴν ὑπόστασιν διηρημένην, ὡς ἔστι τάττε ἄλλα κτίσματα, καὶ οἱ ἐξ ἀνθρώπων γεγενημένοι· ἢ ὥσπερ διαφόρους οὐσίας, ὥσπερ ἐστὶ χρυσὸς ἢ ἄργυρος ἢ χαλκός οὕτω καὶ αὐτοὶ λέγουσιν, ἢ ὡς ἄλλοι αἱρετικοὶ τρεῖς ἀρχὰς, καὶ τρεῖς θεοὺς λέγουσιν, οὕτω καὶ ὅτοι φρονοῦντες τρεῖς ὑποστάσεις λέγουσι, διεβεβαιώσαντο μήτε λέγειν, μήτε πεφρονηκέναι ποτέ. οὕτως ἐρωτώντων δὲ ἡμῶν αὐτούς· πῶς οὖν ταῦτα λέγετε, ἢ διατί δὲ ὅλως τοιαύταις χρῆσθε λέξεσιν; ἀπεκρίναντο, διὰ τὸ εἰς ἁγίαν τριάδα πιστεύειν οὐκ ὀνόματι τριάδα μόνον, ἀλλ' ἀληθῶς οὖσαν καὶ ὑφεστῶσαν, πατέρα τε ἀληθῶς ὄντα καὶ ὑφεστῶτα, καὶ υἱὸν ἀληθῶς ὁμοούσιον ὄντα καὶ ὑφεστῶτα, καὶ πνεῦμα ἅγιον ὑφεστὸς καὶ ὑπάρχον οὐδαμοῦ. μήτε δὲ εἰρηκέναι τρεῖς θεοὺς, τρεῖς ἀρχὰς, μήτ' ὅλως ἀνέχεσθαι τῶν τοῦτο λεγόντων ἢ φρονούντων, ἀλλ' εἰδέναι ἁγίαν μονὰς τριάδα, μίαν δὲ θεότητα· μίαν ἀρχὴν, καὶ υἱὸν μὲν ὁμοούσιον τῷ πατρὶ, ὡς εἶπον οἱ πατέρες, τὸ δὲ ἅγιον πνεῦμα, οὐ κτίσμα, οὐδὲ ξένον, ἀλλ' ἴδιον καὶ ἀδιαίρετον τῆς οὐσίας τοῦ υἱοῦ καὶ τοῦ πατρός.

Ἀποδεξάμενοι δὲ τούτων τὴν ἑρμηνείαν τῶν λέξεων καὶ τὴν ἀπολογίαν ἀνεχώρησαν τοὺς αἰτιαθέντας παρὰ τούτων ὡς λέγοντας μίαν ὑπόστασιν, μὴ ἄρα ὡς Σαβέλλιος φρονεῖ, οὕτω καὶ οὗτοι λέγουσιν, ἐπὶ ἀναιρέσει τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἢ ὡς ἀνυσίου ὄντος τοῦ υἱοῦ, ἢ ἀνυποστάτου τοῦ ἁγίου πνεύματος; οἱ δὲ καὶ αὐτοὶ διεβεβαιώσαντο, μήτε τοῦτο λέγειν, μήτε οὕτω πεφρονηκέναι πώποτε, ἀλλ' ὑποστασιν μὲν λέγομεν, ἡγούμενοι ταυτὸν εἶναι ἐπὶ τῇ ὑπόστασιν καὶ οὐσίαν. μίαν δὲ φρονοῦμεν διὰ τὸ ἐκ τῆς οὐσίας τοῦ πατρὸς εἶναι τὸν υἱὸν, καὶ διὰ τὴν ταυτότητα τῆς φύσεως. μίαν γὰρ θεότητα καὶ μίαν εἶναι τὴν ταύτης φύσιν πιστεύομεν, καὶ οὐκ ἄλλην μὲν τὴν τοῦ πατρὸς, ξένην δὲ τούτου τὴν τοῦ υἱοῦ καὶ τὴν τοῦ ἁγίου πνεύματος. ἀμέλει κἀκεῖνοι οἱ αἰτιαθέντες ὡς εἰρηκότες τρεῖς ὑποστάσεις, συνετίθεντο τούτοις, καὶ αὐτοὶ δὲ οἱ εἰρηκότες μίαν οὐσίαν τὰ ἐκείνων ὥσπερ ἡρμήνευσαν καὶ ὡμολόγουν. καὶ ἀνεθεματίζετο παρ' ἀμφοτέρων τῶν μερῶν Ἄρειός τε ὡς χρισομάχος, καὶ Σαβέλλιος καὶ Παῦλος ὁ Σαμοσατεὺς ὡς ἀσεβεῖς, καὶ Οὐαλεντῖνος καὶ Βασιλείδης, ὡς ἀλλότριοι τῆς ἀληθείας. Μανιχαῖος δὲ ὡς ἐφευρετὴς κακῶν· πάντες τε τῇ τοῦ Θεοῦ χάριτι καὶ μετὰ τὰς τοιαύτας ἑρμηνείας ὁμοῦ συνετίθεντο τῶν τοιούτων λέξεων, βελτίονα καὶ ἀκριβεστέραν εἶναι τὴν ἐν Νικαίᾳ παρὰ τῶν πατέρων ὁμολογηθεῖσαν πίστιν, καὶ τοῦ λοιποῦ τοῖς ταύτης ἀρκεῖσθαι μᾶλλον καὶ χρῆσθαι ῥήμασιν. ἀλλὰ καὶ τὸ περὶ τῆς κατὰ σάρκα οἰκονομίας τοῦ σωτῆρος, ἐπειδὴ καὶ περὶ τούτου ἐδόκουν φιλονεικεῖν τινες πρὸς ἀλλήλους, ἀνεχώρησαν καὶ τούτους κἀκείνους, καὶ ἅπερ ὡμολόγουν οὗτοι, συνετίθεντο κἀκεῖνοι, ὅτι οὐχὶ εἰς τοὺς προφήτας ἐγένετο ὁ λόγος κυρίως, οὕτω καὶ εἰς ἅγιον ἄνθρωπον ἐνεδήμησεν ἐπὶ συντελείᾳ τῶν αἰώνων, ἀλλ' αὐτὸς ὁ λόγος σὰρξ ἐγένετο· καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων ἔλαβεν δούλου μορφὴν, ἔκτε τῆς Μαρίας τὸ κατὰ σάρκα γεγένηται ἄνθρωπος δι' ἡμᾶς, καὶ οὕτω τελείως, καὶ ὁλοκλήρως τὸ ἀνθρώπινον γένος ἐλευθερούμενον ἀπὸ τῆς ἁμαρτίας ἐν αὐτῷ καὶ ζωοποιούμενον ἐκ τῶν νεκρῶν εἰσάγεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὡμολόγουν γὰρ καὶ τοῦτο, ὅτι ὁ σῶμα ἄψυχον, οὐδ' αἰσθητὸν, οὐδ' ἀνόητον εἶχεν ὁ σωτὴρ, οὐδὲ γὰρ οἱονεὶ τῷ κυρίῳ δι' ἡμᾶς ἀνθρώπῳ γενομένῳ, ἀνόητον εἶναι τὸ σῶμα αὐτοῦ, ἢ δὲ σώματος μόνον, ἀλλὰ καὶ ψυχῆς ἐν αὐτῷ τῷ λόγῳ σωτηρία γέγονεν. υἱὸς τε ὢν ἀληθῶς τοῦ Θεοῦ, γέγονε καὶ υἱὸς ἀνθρώπου, καὶ μονογενὴς ὢν υἱὸς τοῦ Θεοῦ, γέγονεν ὁ αὐτὸς καὶ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς. διὸ ἄλλος μὲν ἕτερος ἐστὶν ὁ πρὸ τοῦ Ἀβραὰμ υἱὸς τοῦ Θεοῦ, ἕτερος δὲ ὁ μετ' Ἀβραὰμ, οὐθ' ἕτερος ἐστὶν ὁ τὸν Λάζαρον ἐγείρας, ἕτερος δὲ ὁ πα-

θανό-

θανόμβυος περὶ αὐτῦ, ἀλλ' ὁ αὐτὸς ἰῶ ἀνθρωπίνως μβὼ λέγων, πῦ Λάζαρος κεῖται; θεϊκῶς δὲ τῦ τὸν ἀνεγείρων· ὁ αὐτὸς δὲ ἰῶ σωματικῶς μβὼ ὡς ἄνθρωπος πτύων, πνβματικῶς δὲ, ὡς υἱὸς τοῦ Θεῦ ἀνοίγων τοὺς ὀφθαλμὺς τῦ ἐκ γβμητῆς τυφλῦ. ϗ σαρκὶ μβὼ πάσχων, ὡς εἶπεν ὁ Πέτρος, θεϊκῶς δὲ ἀνοίγων τὰ μνήματα, ϗ ἀνεγείρων τὺς νεκρύς. ἐξ ὧν ϗ πάντα τὰ ἐν τῷ βαγγελίῳ ὕτω νοῦντες τὸ αὐτὸ φρονεῖν περὶ τῆς σαρκώσεως ϗ ἐνανθρωπήσεως τοῦ λόγυ διεβεβαιώσαντο.

Τούτων τοίνυν οὕτως ὁμολογηθέντων, παρακαλῦμβυ ὑμᾶς τοὺς μβὼ ὕτως ὁμολογῦντας ϗ ἑρμηνβόντας ὕτω, τὰς λέξεις ἃς λέγυσι, μὴ κατακρίνετε προπετῶς, μηδὲ ἀποβάλλετε, ἀλλὰ μᾶλλον εἰρηνβόντας ϗ ἀπολογβμβύς προσλαμβάνεσθε· τὺς δὲ μὴ βυλομβύς ὕτως ὁμολογεῖν ϗ διερμηνβόειν τὰς λέξεις, τύτυς κωλύετε ϗ ἐντρέπετε ὡς ὑπόπτυς τῷ φρονήματι· τύτων τε μὴ ἀνεχόμβυοι συμβυλβόετε κἀκείνοις τοῖς ὀρθῶς ἑρμηνβόυσί τε ϗ φρονοῦσι· μηδὲν πλέον ἀλλήλυς ἀναχρίνειν, μηδὲ λογομαχεῖν ἐπ' ὠδὲν χρήσιμον, μήτε ταῖς τοιαύταις λέξεσι βλαμάχεσθαι, ἀλλὰ τῷ φρονήματι τῆς βσεβείας συμφωνεῖν. οἱ γὰρ μὴ ὕτως βλαγνβόμβυοι, ἀλλὰ μόνον ἐπὶ τοῖς τοιύτοις λεξιδίοις φιλονεικοῦντες, ϗ παρὰ τὰ ἐν Νικαίᾳ γραφέντα ζητῦντες, ὠδὲν ἕτερον ποιῦσιν, ἢ ποτίζυσιν ἀναξοπὴν θολερὰν τὸν πλησίον, ὡς φθονῦντες τῳ εἰρήνῳ ϗ ἀγαπῶντες τὰ χίσματα. ἀλλ' ὑμεῖς ὡς ἀγαθοὶ ἄνθρωποι ϗ πιστοὶ δῦλοι ϗ οἰκονόμοι τοῦ κυρίυ, τὰ μβὼ σκανδαλίζονται ϗ ξενίζονται παύετε ϗ κωλύετε, φάντων δὲ μᾶλλον προχεύετε τῳ τοιύτῳ εἰρήνῳ, ὅσης ὑγιαινούσης πίστεως. ἴσως ὁ κύριος ἐλεήσει ἡμᾶς ϗ συνάψει τὰ διηρημβύα, ϗ γβομβύης μιᾶς ποίμνης πάλιν, πάντες ἕνα ἔχομβυ καθηγεμόνα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ταῦτα ἡμεῖς μβὼ, εἰ ϗ μηδὲν πλέον ἔδει ζητεῖν τῆς ἐν Νικαίᾳ συνόδυ μηδὲ ἀνέχεσθαι τῆς ἐκ φιλονεικίας ῥημάτων, ἀλλάγε διὰ τῳ εἰρήνῳ ϗ ἕνεκα τοῦ μὴ ἀποβάλλειν τὺς ὀρθῶς πιστεύειν ἐθέλοντας ἀνεχόμβυ, ϗ ἅπερ ὡμολόγησαν, σωτόμως ὑπηγορεύσαμβυ, οἱ περιληφθέντες ἐν τῇ Ἀλεξανδρείᾳ κοινῇ μετὰ τῆς συλλειτργῶν ἡμῶν Ἀσερίυ ϗ Εὐσεβίυ, οἱ γὰρ πλείσοι ἐξ ἡμῶν ἀπεδήμησαν εἰς τὰς παροικίας ἑαυτῆς. ὑμεῖς δὲ πάλιν κοινῇ ἔνθα ϗ εἰώθατε σωάγεσθαι, ἀνάγνωτε ταῦτα, κἀκεῖ πάντας προσκαλέσασθαι καταξιώσατε. δίκαιον γὰρ ἐκεῖ πρῶτον τῳ ἐπισολῷ ἀναγνωσθῆναι, κἀκεῖ τὺς βυλομένυς ϗ ἀντιποιβμβύς τῆς εἰρήνης σωάπτεσθαι, ϗ λοιπὸν σωαφθέντων αὐτῆς, ἔνθα ἂν ἀρέσῃ πᾶσι τοῖς λαοῖς, παρύσης τῆς ὑμετέρας χρηστότητος, ἐκεῖ τὰς σωτάξεις ἐπιτελεῖσθαι, ϗ τὸν κύριον κοινῇ παρὰ πάντων δοξάζεσθαι. προσαγορεύυσιν ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. ἐῤῥῶσθαι ὑμᾶς ϗ μνημονεύειν ἡμῶν τῷ κυρίῳ εὔχομαι. Ἐγὼ τε Ἀθανάσιος, ὁμοίως ϗ οἱ ἄλλοι ἐπίσκοποι οἱ σωνελθόντες ὑπέγραψαν, ϗ οἱ ἀποσαλέντες δὲ παρὰ μὲν Λυκίφερος τοῦ ἐπισκόπυ Σαρδίας νήσυ, διάκονοι δύο, Ἐρέννιος ϗ Ἀγαπητὸς, παρὰ δὲ Παυλίνυ Μάξιμος ϗ Καλήμερος, ϗ αὐτοὶ διάκονοι. παρῆσαν δέ καί τινες Ἀπολιναρίυ τοῦ ἐπισκόπυ μονάζοντες, παρ' αὐτοῦ εἰς τοῦτο πεμφθέντες· ἔσι δὲ ἕκασος τῶν προκειμβύων ἐπισκόπων, πρὸς οὓς ἡ ἐπισολὴ ἐγράφη· Εὐσέβιος πόλεως Βιργίλλων τῆς Γαλλίας, Λυκίφερ τῆς Σαρδίας νήσυ, Ἀσίε Πέζων τῆς Ἀραβίας, Κυμάτιος Παλτῦ Κοίλης Συρίας, Ἀνατόλιος Εὐβοίας. οἱ δὲ ἐπισείλαντες, ὅ, τε πάπας Ἀθανάσιος, ϗ οἱ παρατυχόντες σὺν αὐτῷ ἐν Ἀλεξανδρείᾳ, αὐτός τε Εὐσέβιος ϗ Ἀσέριος ϗ οἱ λοιποὶ, Γαΐος Παρατονίυ τῆς ἐγγυτὰ Λιβύης, Ἀγαθὸς Φραγώνεως ϗ μέρες Ἐλεαρχίας τῆς Αἰγύπτυ, Ἀμμώνιος Παχυμένεως, ϗ τῦ λοιπῦ μέρες τῆς Ἐλεαρχίας, Ἀγαθοδαίμων Σχεδίας ϗ Μενελαΐτυ. Δρακόντιος Ἑρμυπόλεως μικρᾶς, Ἀδέλφιος Ὀνύφεως τῆς Λίχνων, Ἑρμίων Τάνεως, Μάρκος Ζίγρων τῆς ἐγγὺς Λιβύης, Θεόδωρος Ἀθριβέως, Ἀνδρέας Ἀρσενοίτυ, Παφνύτιος Σάεως, Μάρκος Φίλων, Ζωΐλος Ἀνδρωμνᾶς, Ἀντίφρω. τύτοις ϗ Εὐσέβιος ὑπέγραψε Ρωμαϊστὶ, ὧν ἡ ἑρμηνεία. ἐγὼ Εὐσέβιος ἐπίσκοπος κατὰ τῳ ἀκρίβειαν ἡμῶν τῳ παρ' ἑκατέρων τῶν μερῶν ὁμολογηθεῖσαν ἀλλήλοις σωτιθεμβύων περὶ τῶν ὑποσάσεων ϗ αὐτὸς σωκατατίθεμαι, ὁ μὲν ἀλλὰ ϗ περὶ τῆς σαρκώσεως τοῦ σωτῆρος ἡμῶν, ὅτι ὁ τοῦ Θεοῦ υἱὸς ϗ ἄνθρωπος γέγονεν, ἀναλαβὼν πάντα ἄνευ ἁμαρτίας, οἷος ὁ παλαιὸς ἡμῶν ἄνθρωπος σωέσηκε, κατὰ τὸ τῆς ἐπισολῆς ὕφος ἐπισωσάμβυ, ϗ ἐπειδὴ ἔξωθεν λέγεται τὸ τῆς Σαρδικῆς πιπτάκιον ἕνεκε τοῦ μὴ παρὰ τῳ ἐν Νικαίᾳ πίστιν δοκεῖν ἐκτίθεσθαι, ϗ ἐγὼ σωκατατίθεμαι· ἵνα μὴ ἡ ἐν Νικαίᾳ πίστις διὰ τύτυ ἐκκλείεσθαι δόξῃ, μήτ' εἶναι προκομιστέον. ἐῤῥῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι. ἐγὼ Ἀστέριος σωδιδοχῶ τοῖς προγεγραμβύοις, ϗ ἐῤῥῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι. ϗ μετὰ τὸ ἀποσαλῆναι ἀπὸ Ἀλεξανδρείας τὸν τόμον τοῦτον, ὕτως παρὰ τῶν προειρημβύων ὑπογεγραμβύον, μετὰ ταῦτα ϗ αὐτοὶ ὑπέγραψαν, ἐγὼ Παυλῖνος ὕτως φρονῶ καθὼς παρέλαβον παρὰ τῶν πατέρων, ὄντα ϗ ὑφεσῶτα πατέρα τέλειον, ϗ ὑφεσῶτα υἱὸν τέλειον, ϗ ὑφεσηκὸς τὸ πνῦμα τὸ ἅγιον τέλειον. διὸ ϗ ἀποδέχομαι τῳ προγεγραμβύῳ ἑρμηνείαν περὶ τῶν τριῶν ὑποσάσεων ϗ τῆς μιᾶς ὑποσάσεως ἤτοι ὐσίας, ϗ τοὺς φρονοῦντας ὕτως· ἀσεβὲς γὰρ ἐσι φρονεῖν ϗ ὁμολογεῖν τῳ ἁγίαν Τριάδα ἐν μιᾷ θεότητι. ϗ περὶ τῆς ἐνανθρωπήσεως δὲ τῆς δι' ἡμᾶς γενομβύης τοῦ λόγυ τῦ παντὸς, οὕτως φρονῶ καθὼς γέγραπται, ὅτι κατὰ τὸν Ἰωάννην, ὁ λόγος σὰρξ ἐγβέτο, ἐκατὰ τὺς ἀσεβεσάτυς, τὺς λέγοντας, μεταβολῇ αὐτῳ πεπονθέναι, ἀλλ' ὅτι ἄνθρωπος δι' ἡμᾶς γέγονεν ἐκ τῆς ἁγίας παρθένυ Μαρίας, ϗ ἁγίυ πνβματος γενηθείς, ὅτε γὰρ ἄψυχον, ὅτε ἀναίσθητον, ὅτε ἀνόητον σῶμα εἶχεν ὁ σωτὴρ, ὅτε γὰρ οἷόν τ' ἦν τῦ κυρίυ ἀνθρώπυ δι' ἡμᾶς γβομβύυ, ἀνόητον αὐτῦ εἶναι τὸ σῶμα. ὅθεν ἀναθεματίζω τοὺς τῳ ἐν Νικαίᾳ ὁμολογηθεῖσαν πίστιν ἀθετοῦντας, ϗ μὴ λέγοντας ἐκ τῆς ὐσίας τοῦ πατρὸς, ϗ ὁμοούσιον εἶναι τὸν υἱὸν τῷ σαρκὶ. ἀναθεματίζω δὲ ϗ τοὺς λέγοντας τὸ πνεῦμα τὸ ἅγιον κτίσμα δι' υἱοῦ γεγονός· ἔτι δὲ ἀναθεματίζω Σαβελλίυ, ϗ Φωτεινῦ, ϗ πᾶσαν αἵρεσιν, στοιχῶν τῇ πίστει τῇ κατὰ Νικαίαν ϗ πᾶσι τοῖς προγεγραμβύοις. ἐῤῥῶσθαι ὑμᾶς εὔχομαι ἐγὼ Καρπήσιος.

ΣΥΝΟΔΟΣ ΕΝ ΑΛΕΞΑΝΔΡΕΙΑ ΑΘΑΝΑΣΙΟΥ.

ἐκ τῆ βιβλ. τῆ Συνοδικῆ.

ΑΥΤΟΚΡΑΤΩΡ τοίνυν Ρωμαίων Ἰουλιανὸς ὁ παραβάτης γενόμενος τοὺς ὑπὸ Κωνσταντίου ἐξορισθέντας ἐπισκόπους, προφάσει συμπαθείας ἀνεκαλέσατο. Ἀθανάσιος οὖν ὁ μακάριος ἐν Ἀλεξανδρείᾳ συναθροίσας τοὺς ἀφεθέντας ἐπισκόπους ἐκ τῆς ἀλύσεων, συνοδικῶς τὰ ἐν Νικαίᾳ δογματισθέντα ἐκύρωσε, καὶ Ἀρειανικαὶ ἀνεθεμάτισεν ἀθεότητα. Ἐπισκόπους δὲ τοὺς μέχρι τότε τῆ πλάνη ἐμμείναντας, μετανοοῦντας εἰς κοινωνίαν δεξάμενος, ἱερουργεῖν διεκέλευσεν.

ΕΝ ΑΛΕΞΑΝΔΡΕΙΑ ΣΥΝΟΔΟΣ ΑΘΑΝΑΣΙΟΥ.

ἐκ τῆ βιβλ. τῆ Συνοδικῆ.

ΕΤΙ γε μὴν καὶ ὁ πολύαθλος Ἀθανάσιος τοὺς ὑπ' αὐτὸν ἀρχιερεῖς ἐν Ἀλεξανδρείᾳ προσκαλεσάμενος. ἀναθεματίζει συνοδικῶς τὸν ἄνομον Ἀπολιναρίου. καὶ τὴν σάρκα Χριστοῦ τοῦ κυρίου ἡμῶν, ἔμψυχον, νοερὰν, λογικὴν, κατὰ τοὺς παλαιοὺς πατέρας, ὁσίως ἀνεκήρυξε. καθ' ὃν χρόνον καὶ Ἰουλιανὸς ὁ παραβάτης ἐν Περσίδι ἀνῄρητο.

ΕΠΙΣΤΟΛΗ ΑΘΑΝΑΣΙΟΥ

ΠΡΟΣ ΡΟΥΦΙΝΙΑΝΟΝ.

Κυρίῳ ἀγαπητῷ καὶ ποθεινοτάτῳ συλλειτουργῷ Ρουφινιανῷ Ἀθανάσιος ἐν κυρίῳ χαίρειν.

Καὶ μετ' ὀλίγα.

Ἐπειδὴ φιλοκάλως καὶ ἐκκλησιαστικῶς. τοῦτο γὰρ πάλιν πρέπει τῇ σῇ εὐλαβείᾳ. ἠρώτησας περὶ τῶν διὰ ἀνάγκην ὑποσυρέντων, μὴ φθαρέντων δὲ ἐν τῇ κακοπιστίᾳ. καὶ ἠθέλησας γράψαι με τὰ δόξαντα ἐν ταῖς συνόδοις καὶ πανταχοῦ περὶ αὐτῶν. γίνωσκε κυρίέ μου ποθεινότατε, ὅτι ἐν ἀρχῇ μὲν παυσαμένης τῆς γεγομημένης βίας, γέγονε σύνοδος παρόντων καὶ τῶν ἀπὸ τῶν ἔξω μερῶν ἐπισκόπων. γέγονε δὲ καὶ παρὰ τοῖς τῶν Ἑλλάδα κατοικοῦσι συλλειτουργοῖς, ὅδε δὲ ἧττον καὶ τοῖς ἐν Ἱσπανίᾳ καὶ Γαλλίᾳ. καὶ ἤρεσεν ὅπερ ὧδε, καὶ πανταχοῦ. ὥστε τοῖς μὲν καταπεπτωκόσι καὶ προϊσαμένοις τῆς ἀσεβείας συγγινώσκειν μὲν μετανοοῦσι, μὴ δίδόναι δὲ αὐτοῖς ἔτι τόπον κλήρου. τοῖς δὲ μὴ αὐθεντοῦσι μὲν τῆς ἀσεβείας, ὑποσυρεῖσι δὲ δι' ἀνάγκην καὶ βίαν, ἔδοξε δίδοσθαι μὲν συγγνώμην, ἔχειν δὲ καὶ τὸν τόπον τοῦ κλήρου, μάλιστα δὲ ὅτι ἀπολογίαν πιθανὴν ἐποιήσαντο. καὶ ἔδοξε τοῦτο πως οἰκονομικῶς γεγενῆσθαι. διεβεβαιώσαντο γὰρ μὴ μεταβεβλῆσθαι μὲν εἰς ἀσέβειαν, ἵνα δὲ μὴ καταλαθόντες τινὲς ἀσεβέστατοι διαφθείρωσι τὰς ἐκκλησίας, εἵλοντο μᾶλλον συνδραμεῖν τῇ βίᾳ. καὶ βασάσαι τὸ βάρος. ἢ λαοὺς ἀπολέσθαι. τοῦτο δὲ λέγοντες, ἔδοξαν καὶ ἡμῖν πιθανῶς λέγειν, διὰ τὸ καὶ προφασίζεσθαι αὐτοὺς τὸν Ἀαρὼν τὸν Μωϋσέως ἀδελφὸν ἐν τῇ ἐρήμῳ συνδραμεῖν μὲν τῇ τοῦ λαοῦ παραβάσει, ἀπολογίαν δὲ ἐχηκέναι, ἵνα μὴ ὁ λαὸς ὑποσρέψας εἰς Αἴγυπτον ἐπιμείνῃ τῇ εἰδωλολατρείᾳ. καὶ γὰρ καὶ φαινόμενον ἔυλογον, ὅτι μένοντες ἐν τῇ ἐρήμῳ δύνανται παύσασθαι τῆς ἀσεβείας, εἰσελθόντες δὲ εἰς Αἴγυπτον ἐπεξίβοντο, καὶ νύξανον ἐν ἑαυτοῖς τὴν ἀσέβειαν. τοῦτο τοίνυν ἕνεκα συγγνωστὸν πρὸς τὸν κλῆρον γέγονε. τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν παθοῦσι συγγνώμην διδόναι ταῦτα καὶ ἐν Ρώμῃ ἐγράφη, καὶ ἀπεδέξατο ἡ Ρωμαίων ἐκκλησία. ταῦτα καὶ τὴ σῇ εὐλαβείᾳ δηλῶ θαρρῶν, ὅτι τὰ δόξαντα ἀποδέξεταί σου ἡ θεοσέβεια.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΑΘΑΝΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

πρὸς Ἰωβιανὸν, περὶ πίστεως.

ΠΡΕΠΟΥΣΑ θεοφιλεῖ βασιλεῖ, προαίρεσις, καὶ πόθος τῆς οὐρανίων. οὕτω γὰρ ἀληθῶς καὶ τὴν καρδίαν ἕξεις ἐν χειρὶ Θεοῦ. θελησάσης τοίνυν τῆς σῆς εὐσεβείας μαθεῖν παρ' ἡμῶν τὴν τῆς καθολικῆς ἐκκλησίας πίστιν, ἐχαρισήσαντες ἐπὶ τούτοις τῷ κυρίῳ, ἐβουλόμεθα μᾶλλον πάντων τὴν παρὰ τῆς πατέρων ἐν Νικαίᾳ ὁμολογηθεῖσαν πᾶσιν. ὑπομνῆσαι τὴν σὴν εὐσέβειαν. ταύτην γὰρ ἀθετήσαντές τινες, ἡμῖν μὲν ποικίλως ἐπεβούλευσαν ὅτι μὴ ἐπειθόμεθα τῇ αἱρετικῇ αἱρέσει, αἴτιοι δὲ γεγόνασιν αἱρέσεως καὶ σχισμάτων τῇ καθολικῇ ἐκκλησίᾳ. ἡ μὲν γὰρ ἀληθὴς καὶ εὐσεβὴς εἰς τὸν κύριον πίστις, φανερὰ πᾶσι καθέστηκεν ἐκ τῶν θείων γραφῶν γινωσκομένη τε καὶ ἀναγινωσκομένη. ἐν ταύτῃ γὰρ καὶ οἱ ἅγιοι τελειωθέντες ἐμαρτύρησαν, καὶ νῦν ἀναλύσαντες εἰσὶν ἐν κυρίῳ. καὶ ἔμεινεν ἂν ἡ πίστις ἀβλαβὴς διὰ παντὸς, εἰ μὴ φονηρία τινῶν αἱρετικῶν παραποιῆσαι ταύτην ἐτόλμησεν. Ἄρειος γάρ τις καὶ οἱ σὺν αὐτῷ διαφθεῖραι ταύτην, καὶ ἀσέβειαν κατ' αὐτῆς ἐπεισαγαγεῖν ἐπεχείρησαν φάσκοντες, ἐξ οὐκ ὄντων, καὶ κτίσμα, καὶ ποίημα, καὶ ξεπτὸν εἶναι τὸν υἱὸν τοῦ Θεοῦ. πολλοὺς δὲ τότοις ἠπάτησαν τοῖς λόγοις, ὥστε καὶ τοὺς δοκοῦντας εἶναί τι ἓν ἁπαχθῆναι αὐτῷ τῇ βλασφημίᾳ· καὶ τοι φθάσαντες οἱ ἅγιοι πατέρες ἡμῶν σὺν ἐλθόντες, ὡς προείπομεν κατὰ τὴν ἐν Νικαίᾳ σύνοδον, ἀνεθεμάτισαν. τὴν δὲ τῆς καθολικῆς ἐκκλησίας πίστιν ὡμολόγησαν ἐγγράφως· ὥστε ταύτην πανταχοῦ κηρυττομένην, ἀποσβεσθῆναι τὴν ἀναφθεῖσαν αἵρεσιν παρὰ τῶν αἱρετικῶν· ἣν μὲν ἔν αὐτῇ πανταχοῦ κατὰ πᾶσαν ἐκκλησίαν ἀδόλως γινωσκομένη τε καὶ κηρυττομένη. ἀλλ' ἐπειδή νῦν τὴν Ἀρειανὴν αἵρεσιν ἀνανεῶσαι βουλόμενοί τινες ταύτην μὲν τὴν ἐν Νικαίᾳ παρὰ τῶν πατέρων ὁμολογηθεῖσαν πίστιν ἐτόλμησαν ἀθετῆσαι, καὶ σχηματίζονται μὲν ὁμολογεῖν, ταῖς δὲ ἀληθείαις ἀρνοῦνται παρερμηνεύοντες τὸ ὁμοούσιον. καὶ αὐτοὶ βλασφημοῦντες εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἐν τῷ φάσκειν αὐτοὺς, κτίσμα εἶναι αὐτὸ, καὶ ποίημα διὰ

τοῦ

τοῦ υἱοῦ γεγενῆσθαι. ἀναγκαίως θεωρήσαντες τὴν ἐκ τῆς τοιαύτης βλασφημίας βλάβην γενομένην κατὰ τῶν λαῶν ἐπιδοῦναι τῇ σῇ εὐλαβείᾳ τὴν ἐν Νικαίᾳ ὁμολογηθεῖσαν πίστιν, ἐσπουδάσαμεν. ἵνα γνῷ σου ἡ θεοσέβεια, ἃ μετὰ πάσης ἀκριβείας γέγραπται, καὶ ὅσον πλανῶνται, οἱ παρὰ ταύτην γινώσκοντες. γίνωσκε γὰρ θεοφιλέστατε Αὔγουστε, ὅτι ταῦτα μὲν ἐξ αἰῶνός ἐστι κηρυττόμενα, ταύτην δὲ οἱ ἐν Νικαίᾳ συνελθόντες ὡμολόγησαν πατέρες, καὶ ταύτης σύμψηφοι τυγχάνουσι πᾶσαι αἱ πανταχοῦ κατὰ τόποι ἐκκλησίαι, ὥστε κατὰ τὴν Σπανίαν, καὶ Βρετανίαν, καὶ Γαλλίας, καὶ τῆς Ἰταλίας πάσης, καὶ Δαλματίας, Δακίας τε καὶ Μυσίας, Μακεδονίας καὶ πάσης τῆς Ἑλλάδος, καὶ κατὰ τὴν Ἀφρικὴν πᾶσαν, καὶ Σαρδανίαν καὶ Κύπρον καὶ Κρήτην, Παμφυλίαν τε καὶ Λυκίαν καὶ Ἰσαυρίαν, καὶ αἱ κατ' Αἴγυπτον καὶ τὰς Λιβύας, καὶ Πόντον καὶ Καππαδοκίαν, καὶ αἱ πλησίον ἡμῶν, καὶ τοὺς κατὰ τὴν ἀνατολὴν ἐκκλησίας πάρεξ ὀλίγων τῶν τὰ Ἀρείου φρονούντων. ἁπάντων γὰρ τῶν προειρημένων, καὶ πείρᾳ ἐγνώκαμεν τὴν γνώμην καὶ γράμματα ἔχωμεν. καὶ οἶδας ὦ θεοφιλέστατε Αὔγουστε; ὅτι κἂν ὀλίγοι τινὲς ἀντιλέγωσι ταύτῃ τῇ πίστει, οὐ δύνανται πρόκριμα ποιεῖν πάσης οἰκουμένης τὴν ἀποστολικὴν πίστιν κρατούσης. ἐκεῖνοι γὰρ πολλῷ χρόνῳ βλαβέντες ἀπὸ τῆς Ἀρειανῆς αἱρέσεως φιλονεικότερον ἀνθίστανται νῦν τῇ εὐσεβείᾳ, καὶ ὑπὲρ τοῦ γινώσκειν τὴν εὐσέβειαν καίτοι γινώσκουσιν ὅμως ἐσπουδάσαμεν τὴν ἐν Νικαίᾳ πίστιν ὁμολογηθεῖσαν ὑπὸ τῶν ἐπισκόπων, ὑποτάξαι. ἔστι μὲν οὖν ἡ παρὰ τῶν πατέρων ὁμολογηθεῖσα πίστις ἐν Νικαίᾳ αὕτη. Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα.

τὰ λοιπὰ ἴδε παρὰ Ἀθαν.

Ταύτῃ τῇ πίστει, Αὔγουστε, πάντας ἐπιμένειν, ἀναγκαῖον, ὡς θείᾳ καὶ ἀποστολικῇ, καὶ μηδένα μετακινεῖν αὐτὴν πιθανολογίαις καὶ λογομαχίαις, ὅπερ πεποιήκασιν οἱ Ἀρειομανῖται, ἐξ οὐκ ὄντων τὸν υἱὸν τοῦ Θεοῦ λέγοντες, καὶ ὅτι ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ κτιστός, καὶ ποιητὸς, καὶ τρεπτός ἐστι. διὰ τοῦτο γὰρ καθὰ προείπομεν καὶ ἡ ἐν Νικαίᾳ σύνοδος ἀνεθεμάτισε τὴν τοιαύτην αἵρεσιν, τὴν δὲ τῆς ἀληθείας πίστιν ὡμολόγησαν, οὐ γὰρ ἁπλῶς ὅμοιον εἰρήκασι τὸν υἱὸν τῷ πατρὶ, ἵνα μὴ ἁπλῶς ὅμοιος Θεῷ, ἀλλ' ἐκ Θεοῦ Θεὸς ἀληθινὸς πιστεύηται· ἀλλ' ὁμούσιος ἔγραψαν, ὅπερ ἴδιον ἦν γνησίου καὶ ἀληθινοῦ υἱοῦ, ἀληθινοῦ καὶ φύσει τοῦ πατρός. ἀλλ' οὐδὲ ἀπηλλοτρίωσαν τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἀλλὰ μᾶλλον συνεδόξασαν αὐτὸ, τῷ πατρὶ καὶ τῷ υἱῷ ἐν τῇ μιᾷ τῆς ἁγίας τριάδος πίστει διὰ τὸ καὶ μίαν εἶναι ἐν τῇ ἁγίᾳ τριάδι θεότητα.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ

τοῦ Συνοδικοῦ.

Ὁ δὲ θειότατος Ἰωβιανὸς ὁ αὐτοκράτωρ, ἀποστείλας εἰς Ἀλεξάνδρειαν Ἀθανασίῳ, τὸν ἀπαράλλακτον ὅρον τῆς ἀληθοῦς ὀρθοδοξίας ἐζήτησεν. ὃς συναγαγὼν τοὺς λογάδας τῶν ἐπισκόπων Αἰγύπτου, Θηβαΐδος καὶ Λιβύης, ὅρον συνοδικὸν πλήρη ἀληθείας καὶ χάριτος, Ἰωβιανῷ τῷ φιλοχρίστῳ ἀπέστειλεν, οὐ μετὰ πολὺ ἐκ τῶν ἐπιγείων πρὸς τὰ οὐράνια μετελθόντι βασίλεια.

ΣΥΝΟΔΙΚΗ ΕΠΙΣΤΟΛΗ.

Τῷ εὐσεβεστάτῳ καὶ θεοφιλεστάτῳ δεσπότῃ ἡμῶν Ἰωβιανῷ, νικητῇ, Αὐγούστῳ, ἡ τῶν ἐν Ἀντιοχείᾳ παρόντων ἐπισκόπων ἐκ διαφόρων ἐπαρχιῶν.

παρὰ Σωκρ. βιβ. 3. κεφ. 25. καὶ παρὰ Σωζομ. βιβ. 6. κεφ. 4.

ΤΗΝ ἐκκλησιαστικὴν εἰρήνην τε καὶ ὁμόνοιαν, ὅτι σοῦ καὶ πρώτη προσβεύειν ἐσπούδασεν ἡ εὐσέβεια, εὖ ἴσμεν καὶ αὐτοὶ, θεοφιλέστατε βασιλεῦ. ὅτι δὲ κεφάλαιον τῆς τοιαύτης ἑνότητος τῆς ἀληθοῦς καὶ ὀρθοδόξου πίστεως καλῶς ὑπείληφας τὸν χαρακτῆρα, οὐδὲ τοῦτο ἀγνοοῦμεν. ἵνα μὴ τοίνυν μετὰ τῶν παραχαρασσόντων τὸ δόγμα τῆς ἀληθείας τετάχθαι νομιζώμεθα, ἀναφέρομεν τῇ σῇ εὐλαβείᾳ, ὅτι τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίᾳ πάλαι πρότερον συγκροτηθείσης τὴν πίστιν, καὶ ἀποδεχόμεθα, καὶ κατέχομεν. ὁπότε καὶ τὸ δοκοῦν ἐν αὐτῇ ξένον τισὶν ὄνομα, τὸ τοῦ ὁμουσίου φαμὲν, ἀσφαλοῦς τετύχηκε παρὰ τοῖς πατράσιν ἑρμηνείας, σημαινούσης ὅτι ἐκ τῆς οὐσίας τοῦ πατρὸς ὁ υἱὸς ἐγεννήθη, καὶ ὅτι ὅμοιος κατ' οὐσίαν τῷ πατρὶ, οὔτε δὲ ὡς πάθους τινὸς περὶ τὴν ἄρρητον γέννησιν ἐπινουμένου, οὔτε κατά τινα χρῆσιν Ἑλληνικὴν λαμβάνεται τοῖς πατράσι τὸ ὄνομα τῆς οὐσίας, εἰς ἀνατροπὴν τοῦ ἐξ οὐκ ὄντων περὶ τοῦ Χριστοῦ ἀσεβῶς τολμηθέντος παρὰ τοῦ Ἀρείου, ὅπερ καὶ οἱ νῦν ἐπιφοιτήσαντες ἀνόμοιοι, ἔτι θρασύτερον καὶ τολμηρότερον ἐπὶ λύμῃ τῆς ἐκκλησιαστικῆς ὁμονοίας ἀναισχύντως παρρησιάζονται. διὸ συνετάξαμεν τῇ δι' ἡμῶν ἀναφορᾷ, καὶ τὸ ἀντίγραφον τῆς πίστεως τῆς ἐν Νικαίᾳ ὑπὸ τῶν συγκροτηθέντων ἐπισκόπων ἐκτεθείσης, ἣν τινα καὶ ἀγαπῶμεν, ἥτις ἐστὶν, πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, καὶ τὰ λοιπὰ τοῦ μαθήματος πλήρη.

Μελίτιος ἐπίσκοπος Ἀντιοχείας, ἔδωκα συναινῶν τοῖς προγεγραμμένοις· Εὐσέβιος Σαμοσάτων· Εὐάγριος Σικελός· Οὐράνιος, Ἀπαμείας· Ζωΐλος, Λαρίσων· Ἀκάκιος, Καισαρείας· Ἀντίπατρος, Ρώσου· Ἀβράμιος, Οὐρίμων· Ἀριστόνικος, Σελευκοβήλου· Βαρλαμένος, Περγάμου· Οὐράνιος, Μελιτινῆς· Μάγνος, Χαλκηδόνος· Εὐτύχιος, Ἐλευθεροπόλεως· Ἰσαακόκις, Ἀρμενίας μεγάλης· Τῖτος, Βόστρων· Πέτρος, [2] Σίππων· Πελάγιος, Λαοδικείας· Ἀραβιανὸς, [3] Ἄντρου· Πίσων, Ἀδάνων, διὰ Λαμυδρίωνος πρεσβυτέρου· Σαβινιανὸς, Ζευγματος· Ἀθανάσιος, Ἀγκύρων, διὰ Ὀρφίτου, καὶ Ἀετίου πρεσβυτέρων· Εἰρηνίων, Γάζης· Πίσων, Αὐγούστης· Πατρίκιος, Πάλτου διὰ Λαμυδρίωνος πρεσβυτέρου, Ἀνατόλιος, Βεροίων· Θεότιμος, Ἀράβων· Λουκιανὸς, Ἄρκων· τοῦτο μὲν δὴ τὸ βιβλίον τῇ συναγωγῇ τῶν συνοδικῶν Σαβίνου γεγραμμένον εὑρίκαμεν.

ΣΥΝΟΔΟΣ ΕΝ ΑΝΤΙΟΧΕΙΑ, ΜΕΛΕΤΙΟΥ.

ἐκ τῆ βιβλ. τῆ Σωωδικῆ.

ΟΜΟΙΩΣ δὲ ϗ Μελέτιος ὁ ἁοίδιμος, ἀναλαβὼν Εὐσέβιον ϗ Λυκίφερτον, ἐν Ἀντιοχείᾳ τοῖς Εὐσαθιανοῖς Παυλῖνον χειροτονήσαντα, ϗ πολλὰς ϗμνοτομίας παραδεδωκότα τῷ ὑπ' αὐτοῦ διδασκομβίῳ ποιμνίῳ, ϗ αὐτὸς θρόνον τὸν ἑαυτοῦ καταλαμβάνει, τῇ Ἀντιόχειαν. Ἐν ᾗ τοὺς ἐκ Συρίας ϗ Φοινίκης ἀρχιερεῖς συλλεξάμενος, τὰ ἐν Νικαίᾳ σωωδικῶς ἐκήρυξεν.

ΕΠΙΣΤΟΛΗ ΛΙΒΕΡΙΟΥ

πρὸς τοὺς Ἐπισκόπους

ΤΩΝ ΜΑΚΕΔΟΝΙΑΝΩΝ.

[a] Epiph. Eusthio, Sed in Græcis mss. Auxo, forte pro Auxω.
[b] Epiph. Proclo. παρὰ Σωκρατ. βιβ. ϝ. κεφ. ϛ.

ΤΟῖς ἀγαπητοῖς ἀδελφοῖς ϗ συλλειτουργοῖς, Εὐηθίῳ, Κυρίλλῳ, Ὑπερεχίῳ, ἐρανίῳ Ἥρωνι, Ἐλφιδίῳ, Μαξίμῳ, Εὐσεβίῳ, Εὐκαρπίῳ, Ἑορτασίῳ, Νέωνι, Εὐμαθίῳ, Φαυσίνῳ, [b] Προχλίνῳ, Πασινίκῳ, Ἀρσενίῳ, Σαβήρῳ, Διδυμίωνι, Βρεττανίῳ, Καλλικράτει, Δαλματίῳ, Αἰδεσίῳ, Εὐτυχίῳ, Ἀμβροσίῳ, Γελωνίῳ, Παρδαλίῳ, Μακεδονίῳ, Παύλῳ, Μαρκέλλῳ, Ἡρακλείῳ, Ἀλεξάνδρῳ, Ἀβολίῳ, Μαρκιανῷ, Σθενέλῳ, Ἰωάννῃ, Μάκει, Χαρισίῳ, Σιλβανῷ, Φωτεινῷ, Ἀντωνίῳ, Ἀνίθῳ, Κέλσῳ, Εὐφράνορι, Μιλησίῳ, Παξικίῳ, Σαβειανῷ, Εὐσεβίῳ, Εὐμολπίῳ, Ἀθανασίῳ, Διοφάντῳ, Μιωνοδώρῳ, Διοκλεῖ, Χρυσομπέλῳ, [c] Νέωνι, Εὐγλυίῳ, Εὐσαθίῳ, Καλλικράτει, Ἀρσενίῳ, Εὐγλυίῳ, Μαρτυρίῳ, Ἱεράκιῳ, Λεοντίῳ, Φιλαγρίῳ, Λυκίῳ, ϗ πᾶσι τοῖς ἐν ἀνατολῇ ὀρθοδόξοις ἐπισκόποις, Λιβέριος ἐπίσκοπος Ἰταλίας, ϗ οἱ κατὰ τὴν δύσιν ἐπίσκοποι, ἐν κυρίῳ πάντοτε χαίρειν.

[c] Neoni deest in Epiphan.

Τὴν δικταιοτάτην ἡμῖν χαρὰν τῆς εἰρήνης, ϗ τῆς ὁμονοίας ἤνεγκε τὰ ὑμέτερα γράμματα, τῷ τῆς πίστεως φωτὶ [d] προλαμπόμενοι. ἀδελφοὶ ἀγαπητοὶ, τὰ ἀποδοθέντα ἡμῖν διὰ τῆς τιμιωτάτων ἀδελφῶν ἐπισκόπων, Εὐσαθίου, Σιλβανῦ, ϗ Θεοφίλου. ϗ ταύτῃ μάλιστα, ὅτι τὴν ὑμετέραν γνώμην ϗ τὰ ὑμέτερα φρονήματα συμφωνεῖν ϗ συνᾴδειν, πρός τε τὴν ἐμὴν ἐλαχιστότητα, ϗ τῆς ἐν Ἰταλίᾳ ϗ δυτικῶν πάντων διεβεβαιώσαντο, ϗ ἀπέδειξαν. ϗ ταύτην εἶναι γινώσκομεν τὴν καθολικὴν ϗ ἀποστολικὴν πίστιν, ἥτις μέχρι τῆς κατὰ Νίκαιαν συνόδου, ἀκεραία ϗ ἀσάλευτος διέμεινε. ταύτην τε [e] αὐτοῖς ἔχειν ὡμολόγησαν, ϗ χαρᾶς ἀναπληθέντες, πᾶν ἴχνος ϗ ζώπυρον ἀτόπου ὑπονοίας ἐκβάλλοντες, ὃ μόνον διὰ λόγου, ἀλλὰ ϗ ἐγγράφως, ταύτην ἐξέθεντο. ἧς ϗ τὸ ἀντίτυπον ἀναγκαίως τύποις τοῖς γράμμασιν ὑποτάξαι ἡγησάμεθα δεῖν. μή τινα πρόφασιν τοῖς αἱρετικοῖς, εἰς ἐπιβολὴν αὖθις καταλείπωμεν, ἐν ᾗ πάλιν τὰ ὑπεκκαύματα τῆς ἰδίας κακίας ἀνακινοῦντες,

[d] Legendum, προλαμπόμενοι, nisi malis referre ad ἀδελφοί.

[e] Epiph. αὐτοί legit, refle.

πυρκαϊὰς δι' ἀλλήλων διὰ διχοστασιῶν συνήθως ἐξάπτουσιν. ἐπειδὴ ϗ τοῦτο ὡμολόγησαν οἱ τιμιώτατοι ἀδελφοὶ ἡμῶν, Εὐσάθιος ϗ Σιλβανὸς ϗ Θεόφιλος, ἑαυτούς τε ϗ τὴν ὑμετέραν ἀγάπην, πάντοτε ταύτην τὴν πίστιν ἐσχηκέναι, ϗ ταύτην μέχρι τέλους διαφυλάξειν, δηλαδὴ τὴν ἐν Νικαίᾳ δοκιμασθεῖσαν ὑπὸ ἑξακοσίων δέκα ϗ ὀκτὼ ὀρθοδόξων ἐπισκόπων, ἥ τις τὴν τελείαν περιέχει ἀλήθειαν, ϗ πάντα τὰ τῆς αἱρετικῶν πλήθη ἐπισομίζει τε ϗ ἀναῤῥέπει. οὐδὲ γὰρ ἀπὸ ταυτομάτου, ἀλλὰ θείῳ νεύματι ὁ τῆς τοσούτων ἀριθμὸς ἐπισκόπων συνεκροτήθη, κατὰ τῆς Ἀρείου μανίας. ἀλλ' ὅσῳ ἀριθμῷ ὁ μακάριος Ἀβραὰμ τοσαύτας χιλιάδας διὰ πίστεως κατεσκέψατο. ἥ τις πίστις ἐν τῇ ὑποστάσει ϗ τῷ ὀνόματι τοῦ ὁμοουσίου περιεχομένη, ὥσπερ ῥομφαία ὀξυτόμος ϗ ἄμαχος, πάσας τὰς προβολὰς, ϗ τὰς κακομηχανίας τῆς Ἀρείου κακοδοξίας. [f] τοιγαροῦν, πάντων τῶν κατὰ τὴν δύσιν ἐπισκόπων, τῆς εἰς τὸ Ἀρίμινον συνελθόντων, ὁπότε τούτους ἡ κακοήθεια τῆς Ἀρειανῶν συνεκρότησεν, ὅπως ἢ διὰ πειθοῦς τινος, ἢ ἵνα ἀληθέστερον εἴπω, κοσμικῆς δυνάμεως, τοῦθ' ὅπερ ἀσφαλέστατον ἦν ἐν τῇ πίστει κείμενον ἀνέλοιεν, ἢ πλαγίως ἀρνήσωνται, οὐδὲν τούτων ὠφέλησεν ἡ πανουργία. ϗ γὰρ σχεδὸν πάντες ἐκεῖνοι οἱ ἐν τῇ Ἀριμίνῳ γνώμενοι, ϗ δελεασθέντες, ἢ ὑπαχθέντες τότε, νῦν ἀναφρονήσαντες, ϗ ἀναθεματίσαντες τὴν ἔκθεσιν τῆς ἐν Ἀριμίνῳ συνελθόντων, ϗ ὑπογράψαντες τῇ καθολικῇ ϗ ἀποστολικῇ πίστει, τῇ κατὰ Νίκαιαν θεσπισθείσῃ· οἵ ϗ ἡμῖν κοινωνήσαντες ἐκθυμότερον κατὰ τοῦ Ἀρείου δόγματος, ϗ κατὰ τῆς αὐτοῦ μαθητείας χαλεπαίνουσιν. ὅ τινος πράγματος τὸν ἔλεγχον οἱ πρέσβεις τῆς ὑμετέρας ἀγάπης ἐπιγνόντες, ϗ ὑμᾶς αὐτοὺς τῇ οἰκείᾳ ὑπογραφῇ συνέζευξαν, ϗ ἀναθεματίζοντες Ἄρειον, ϗ τὰ ἐν Ἀριμίνῳ πραχθέντα κατὰ τῆς πίστεως τῆς ἐν Νικαίᾳ θεσπισθείσης· οἷς ϗ ὑμεῖς αὐτοὶ δελεασθέντες δι' ὁρκωμοσιῶν, ὑπεγράψατε, ὅθεν ἀκόλουθον ἡμῖν ἐφάνη, γράψαι πρὸς τὴν ὑμετέραν ἀγάπην, ϗ βοηθῆσαι τοῖς δίκαια αἰτουμένοις. μάλιστα δὲ, [g] ὅτε διὰ τῆς ὁμολογίας τῶν ὑμετέρων πρεσβέων ἀναφρονήσαντας τοὺς ἀνατολικοὺς, συμφωνεῖν πρὸς τοὺς ὀρθοδόξους τῆς δυτικῆς ἐπέγνωμεν. ϗ δηλοῦμεν ὅπως εἰδέναι ἔχοιτε τοὺς ἐν τῇ Ἀριμίνῳ βλασφημίας, ϗ ὑπὸ τῆς [h] δοξασάντων τότε κατὰ συναρπαγὴν παραβεβλάφθαι, νυνὶ ἀναθεματισθείσας, ϗ πάντας πρὸς τὴν κατὰ Νίκαιαν πίστιν συμπεπνευκέναι. ϗ χρὴ δι' ὑμῶν τοῦτο πᾶσι γνωσθῆναι, ὅπως δυνηθεῖεν ϗ οἱ κατ' ἐπήρειαν παραβλαφθέντες, ἤδη ποτὲ ἐκ τοῦ αἱρετικοῦ σκότους, πρὸς τὸ θεῖον φῶς τῆς καθολικῆς ἐλευθερίας ἀνακάμψαι. οἵ τινες μετὰ ταύτην τὴν σύνοδον, εἰ μὴ θελήσειαν ἀποπτύσαι τὸν τῆς κακοδοξίας ἰὸν, ϗ τὰς βλασφημίας Ἀρείου πάσας ἀνελεῖν, ταύτας τε ἀναθεματίσαι, γινωσκέτωσαν ἑαυτοὺς μετὰ τοῦ Ἀρείου ϗ τῆς τούτου μαθητῶν, ϗ τῆς λοιπῶν ὄφεων, ἤτοι Σαβελλιανῶν, ἢ Παῤῥοπασιανῶν, ἢ οἱασδήποτε ἄλλης αἱρέσεως, ἐκσπόνδους εἶναι, ϗ ἀκοινωνήτους τῶν ἐκκλησιαστικῶν συνάψεων, ἥ τις τὰς ἐκ μοιχείας υἱὰς ὑποτίθεται. ὁ Θεὸς ὑμᾶς ἐῤῥωμένους διαφυλάξαι, ἀδελφοὶ ἀγαπητοί.

[f] Hic desiderantur aliqua, forte ἐπειδὴ. Christophorson addit, καὶ θυμῷ ϗ ἀποτρόπαιον, fundit. e. vertit.

[g] Melius Epiph. legit, ὅτι.

[h] Reflexivum ξάντων, vel mss. habent δεξαμένων.

ΕΠΙ-

ΕΠΙΣΤΟΛΗ ΣΥΝΟΔΙΚΗ ΤΩΝ ΕΠΙΣΚΟΠΩΝ

τῆ Ἰλλυρικῆ πρὸς τὸς Ἀνατολικές.

ΟΙ ΕΠΙΣΚΟΠΟΙ ΤΟΥ ΙΛΛΥΡΙΚΟΥ

Ταῖς ἐκκλησίαις τῆ Θεῆ, καὶ ἐπισκόποις διοικήσεως Ἀσιανῆς, Φρυγίας, Καροφρυγίας, Παχατιανῆς ἐν κυρίῳ χαίρειν.

ΣΥΝΕΛΘΟΝΤΩΝ ἡμῶν ἐπὶ τὸ αὐτὸ, καὶ ζητήσεως πολλῆς γεγομένης περὶ τῆ σωτηρίε λόγε, ἀπεδείξαμεν ὁμοούσιον εἶναι τὴ Τριάδα πατρὸς καὶ υἱῆ καὶ ἁγίε πνεύματος. καὶ ἵνα δίκαιον γράμματα ἀποχαράξαι πρὸς ὑμᾶς, ἃ σοφίσμασι τὰ τῆς θρησκείας τῆς Τριάδος γράφοντας, ἀλλ' ἐν ταπεινοφροσύνῃ καταξιωθέντας. τῆτο ἡμῶν τὸ γράμμα ἀπεσάλκαμεν, διὰ τῆ ἀγαπητῆ ἀδελφῆ ἡμῶν καὶ συλλειτργῆ Ἐλπιδίε τῆ πρεσβυτέρε. ὃ γὰρ ἐν τοῖς τῆ ἡμετέρων χειρῶν γράμμασιν, ἀλλ' ἐν ταῖς τῆ σωτῆρος ἡμῶν Ἰησῆ Χριστῆ βίβλοις γέγραπται, ἐγὼ μέν εἰμι Παύλε. ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ. μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ἡμῶν, ἢ εἰς τὸ ὄνομα Παύλε ἐβαπτίσθητε; καὶ ταῦτα μὲν ἤρκει τῇ ἡμετέρᾳ ταπεινώσει, μήτε τὸ καθόλε γράμματα ἀποχαράξαι πρὸς ὑμᾶς, διὰ τὸν τηλικῆτον φόβον ὃν αὐτόθι κυρύσσετε πάσῃ τῇ ὑφ' ὑμᾶς ἐπαρχίᾳ, ἀποχωρίζοντες τὸ ἅγιον πνεῦμα ἀπὸ τῆ πατρὸς καὶ τῆ υἱῆ. ἀνάγκλω δὲ ἔχομεν πέμψαι πρὸς ὑμᾶς τὸ κύριον ἡμῶν συλλειτργόν· Ἐλπίδιον ἀπὸ τῆ βασιλίδος Ρωμαίων ἀρχῆς, τῆτο τὸ γράμμα ἔχοντα, καταμαθόντα, εἴγε ἄρα ὅτως ἔχει τὸ κήρυγμα ὑμῶν. οἱ γὰρ μὴ ὁμοούσιον τῇ Τριάδα δοξάζοντες, ἀνάθεμα ἔσωσαν. καὶ εἴτις τότοις φωραθείη κοινωνῶν, ἀνάθεμα ἔσω. τοῖς δὲ κηρύττεσιν ὁμοούσιον τὴ Τριάδα, ἡ βασιλεία τῶν οὐρανῶν ἡτοίμασαι. παρακαλῶμεν δὲν ὑμᾶς ἀδελφοί, μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ ἑτεροδοξεῖν, ἀλλ' ὁμοούσιον ἀεὶ καὶ διὰ παντὸς κηρύττοντες τῇ Τριάδα, δυνηθῆτε κληρονομῆσαι τὴν τῆ Θεῆ βασιλείαν. περὶ τότε γράφοντες, καὶ ὑπόμνησιν ἔχοντες ἐχαράξαμεν τῳτὶ ἡμῶν τὸ γράμμα, καὶ περὶ τῶν καθισαμένων ἐπισκόπων, ἢ καταστάντων συλλειτργῶν, ἐὰν μὲν εἶσιν ἐκ τῶν ἐν τέλει χρησαμένων ἐπισκόπων ὑγιεῖς, εἰ δὲ μή, ἐξ αὐτῆ τῆ πρεσβυτερίε, ὁμοίως τε καὶ πρεσβυτέρες καὶ διακόνες, ἐξ αὐτῆ τῆ ἱερατικῆ τάγματος, ἵνα ὦσιν ἀνεπίληπτοι πανταχόθεν, καὶ μὴ ἀπὸ τῆ βαλλτηρίε καὶ στρατιωτικῆς ἀρχῆς. εἰς τῆτο δὲν αὐτὸ ἀκ ἠβαλήθημεν διὰ πολλῶν ἀποχαράξαι, διὰ τὸ ἀποσαλῆναι ἕνα ἐκ πάντων τὸν κύριον ἡμῶν καὶ συλλειτργὸν Ἐλπίδιον ἐπισπέδως καταμαθόντα τὸ κήρυγμα ὑμῶν, εἴγε ὅτως ἔχει ὥσπερ ἀκηκόαμεν παρὰ τῆ κυρίε ἡμῶν τῆ συλλειτργῆ Εὐσταθίε. λοιπὸν εἰ καὶ ποτὲ ἐν πλάνῃ γεγυμνωμένοι ἦτε, ἀποθέμενοι τὸν παλαιὸν ἄνθρωπον, ἐνδύσασθε τὸν καινόν. καὶ γὰρ καὶ ὁ αὐτὸς ἀδελφὸς καὶ συλλειτργὸς Ἐλπίδιος, διδάξει ὑμᾶς κηρῦξαι τῳὶ ἀληθῆ πίστιν. ὅτι ἡ ἁγία Τριὰς, ἡ ὁμοούσιῳ τῷ Θεῷ καὶ πατρὶ, σὺν υἱῷ καὶ ἁγίῳ πνεύματι ἡγίασαι, δεδόξασαι, πεφανέρωται, πατὴρ ἐν υἱῷ, υἱὸς ἐν πατρὶ σὺν ἁγίῳ πνεύματι εἰς τὸς αἰῶνας. φανερωθέντος γὰρ τότε, φανερῶς δυνησόμεθα τῳὶ ἁγίαν Τριάδα ὁμολογεῖν ὁμοούσιον, κατὰ τῳὶ πάλαι ἐκτεθεῖσαν πίστιν τῳὶ ἐν Νικαίᾳ, ἣν καὶ οἱ πατέρες ἐβεβαίωσαν. κηρυττομένης δὲν τῆς πίστεως ταύτης, δυνησόμεθα τὸ ἀλιτηρίε δαίμονος ἐκφυγεῖν τὰ σκήπτρα. σβεσθέντος γὰρ τότε, δυνησόμεθα εἰρηνικοῖς γράμμασιν ἑαυτὸς προσκυνεῖν, ἐν εἰρήνῃ διάγοντες. ἐγράψαμεν δὲν ὑμῖν, ἵνα εἰδέναι ἔχητε τὸς καθαιρεθέντας Ἀρειομανίτας, τὸς μὴ ὁμολογοῦντας ἐκ τῆς οὐσίας τῆ πατρὸς τὸν υἱόν, μήτε τὸ ἅγιον πνεῦμα. ὧν τὰ ὀνόματα ὑπετάξαμεν. Πολυχρόνιος, Τηλέμαχος, Φαῦστος, Ἀσκληπιάδης, Ἀμάντιος, Κλεόπατρος. καὶ ταῦτα μὲν ὅτως εἰς δόξαν πατρὸς, καὶ υἱῆ, καὶ ἁγίε πνεύματος, εἰς τὸς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἐῤῥῶσθαι ὑμᾶς εὐχόμεθα ἐν τῷ πατρὶ καὶ τῷ υἱῷ σωτῆρι ἡμῶν Χριστῷ, σὺν ἁγίῳ πνεύματι, πολλαῖς ἐτῶν περιόδοις.

ΕΠΙΣΤΟΛΗ

Αὐτοκρατόρων Βαλεντινιανῆ καὶ Οὐάλη, καὶ Γρατιανῆ πρὸς τὸς Ἀσιανός.

ΑΥΤΟΚΡΑΤΟΡΕΣ ΜΕΓΙΣΤΟΙ ΑΕΙ σεβασοὶ νικηταὶ Αὔγυστοι, Βαλεντινιανὸς καὶ Οὐάλης, καὶ Γρατιανὸς, ἐπισκόποις διοικήσεως Ἀσιανῆς, Φρυγίας, Καροφρυγίας, Παχατιανῆς, ἐν κυρίῳ χαίρειν.

ΣΥΝΟΔΟΥ τηλικαύτης συγκροτηθείσης ἐν τῷ Ἰλλυρικῷ, καὶ ζητήσεως πολλῆς γεγομένης περὶ τῆ σωτηρίε λόγε, ἀπέδειξαν οἱ θεοσεβεστατοι ἐπίσκοποι τὴν Τριάδα ὁμοούσιον πατρὸς καὶ υἱῆ καὶ ἁγίε πνεύματος. καὶ δὲ ὅλως ἐκ-

φειν διὰ δεήσεως σπουδάζοντες, καὶ τὰ δημόσια κατὰ νόμους εἰσκομίζειν ἴσασι, καὶ οὐκ ἀντιλέγουσι τῇ τοῦ κρατοῦντος ἐξουσίᾳ. ἀλλ' εἰλικρινῶς καὶ τὴν τοῦ μεγάλου βασιλέως καὶ Θεοῦ ἐντολὴν φυλάττουσι, καὶ τοῖς ἡμετέροις νόμοις ὑποτάσσονται. ὑμεῖς δὲ ἀπειθεῖς ἐδείχθητε εἶναι. ἡμεῖς μὲν ἐχρησάμεθα τῷ ἄλφα ἕως τοῦ ω, ὑμεῖς δὲ ἑαυτοὺς ἀπεδώκατε. ἡμεῖς μέντοι καθαροὺς ἑαυτοὺς ἀφ' ὑμῶν εἶναι θέλοντες, ὡς καὶ Πιλάτος ἐπὶ τῆς ἐξετάσεως τοῦ ἐν ἡμῖν πολιτευομένου Χριστοῦ, μὴ θέλοντος αὐτὸν ἀνελεῖν, καὶ ὑπὲρ τοῦ παθεῖν αὐτὸν παρακληθέντα ἐπιστραφεὶς ἐπὶ τὰ τῆς ἀνατολῆς μέρη, καὶ αἰτήσας ὕδωρ ἐπὶ χειρῶν, ἐνίψατο αὐτοῦ τὰς χεῖρας λέγων. ἀθῶος εἰμὶ ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου. οὕτως καὶ τὸ ἡμέτερον κράτος διὰ παντὸς ἐνετείλατο, μὴ διώκειν, μήτε ἐπικλύζειν, μήτε ζηλοῦν τοὺς ἐργαζομένους τὸ χωρίον τοῦ Χριστοῦ, μήτε τοὺς διοικητὰς ἀπελαύνειν τοῦ μεγάλου βασιλέως, ἵνα μὴ σήμερον μὲν, ἐπὶ τοῦ ἡμετέρου κράτους, αὔξειν δόξητε καὶ μεταξὺ τοῦ παρακεκλημένου παθεῖν τὰ τῆς διαθήκης αὐτοῦ, ὡς ἐπὶ Ζαχαρίου τοῦ αἵματος. ἀλλ' οἱ μετ' αὐτοῦ μεταξὺ τῆς ἀφίξεως ὑπὸ τοῦ ἄνωθεν βασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ ἐῤῥάγησαν, παραδοθέντες εἰς κρίσιν θανάτου μετὰ τοῦ συνδραμόντος αὐτοῖς φθοριμαίου δαίμονος. τοῦτο προσετάξαμεν ἐπ' Ἀμεγετίου καὶ Κηρωνίου, καὶ Δαμάσου, καὶ Δαϊλάμπωνος, καὶ Βρετησίου, ἀκροατῶν γενομένων. ἅπερ καὶ αὐτὰ τὰ πραχθέντα ἐξαπεστάλκαμεν πρὸς ὑμᾶς, ἵνα γνῶναι ἔχητε τὰ πραχθέντα ἐν τῇ ἐναρέτῳ συνόδῳ. Τούτοις συνεζεύξαμεν τοῖς γράμμασι καὶ τῆς συνόδου τὰ δόγματα ἐν κεφαλαίῳ ταῦτα δηλοῦντα. Ὁμολογοῦμεν ἀκολούθως τῇ μεγάλῃ καὶ ὀρθοδόξῳ συνόδῳ ὁμούσιον εἶναι τῷ πατρὶ τὸν υἱόν. καὶ οὐχ' οὕτω νοοῦμεν τὸ ὁμούσιον, ὡς καὶ πάλαι τινὲς ἐξηγήσαντο, μὴ ἀληθινῶς ὑπογράψαντες, καὶ νῦν ἕτεροι πατέρας ἐκείνους καλοῦντες, τὴν δύναμιν τῆς λέξεως ἀθετήσαντες καὶ ἑπόμενοι τοῖς γράψασι, τὸ ὅμοιον δηλοῦσθαι διὰ τοῦ ὁμουσίου, καθ' ὃ οὐδενὶ τῶν λοιπῶν κτισμάτων δι' αὐτοῦ γενομένων ἐμφερὴς ὁ υἱὸς, ἀλλ' ἢ μόνῳ τῷ πατρὶ ἀφωμοίωται. οἱ γὰρ ταῦτα ἐξηγούμενοι, κτίσμα ἐξαίρετον ἀσεβῶς τὸν υἱὸν τοῦ Θεοῦ δογματίζουσιν. ἡμεῖς δὲ φρονοῦμεν ὡς καὶ αἱ σύνοδοι νῦν, ἥτε κατὰ Ῥώμην καὶ ἡ κατὰ Γαλλίαν, μίαν εἶναι καὶ τὴν αὐτὴν οὐσίαν, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἐν τρισὶ προσώποις, τοῦτ' ἔστιν, ἐν τρισὶ τελείαις ὑποστάσεσιν. ὁμολογοῦμεν δὲ κατὰ τὴν ἔκθεσιν τὴν ἐν Νικαίᾳ καὶ σεσαρκῶσθαι τὸν υἱὸν τοῦ Θεοῦ, τὸν ὁμούσιον, ἐκ τῆς ἁγίας παρθένου Μαρίας, καὶ ἐν ἀνθρώποις ἐσκηνωκέναι, καὶ πεπληρωκέναι πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν, ἐν γενέσει καὶ πάθει καὶ ἀναστάσει, καὶ τῇ εἰς οὐρανοὺς ἀναβάσει. καὶ πάλιν ἥξειν ἀποδιδόντα ἡμῖν κατὰ τὴν ἑκάστου βιοτὴν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως σαρκὶ ὁρώμενον καὶ τὴν ἑαυτοῦ θείαν δύναμιν ἐπιδεικνύντα Θεὸν ὄντα σαρκοφόρον καὶ οὐκ ἄνθρωπον θεοφόρον. καὶ τοὺς ἐναντία φρονοῦντας ἀναθεματίζομεν. ὁμοίως ἀναθεματίζομεν καὶ τοὺς μὴ γνησίως ἀναθεματίζοντας τὸν εἰπόντα, ὅτι πρὶν γεννηθῆναι οὐκ ἦν ὁ υἱός. ἀλλὰ γράψαντα, ὅτι καὶ πρὶν ἐνεργείᾳ γεννηθῆναι, δυνάμει ἦν ἐν τῷ πατρί. τοῦτο γὰρ καὶ ἐπὶ πάντων τῶν κτισμάτων ἐστὶ τῶν μὴ ἀεὶ ὄντων μετὰ τοῦ Θεοῦ, καθὸ ὁ υἱὸς ἀεὶ μετὰ τοῦ πατρὸς ἐστιν, ἀϊδίῳ γεννήσει γεγεννημένος.

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ ΤΗ, ΒΟΥΛΗ, ΤΥΑΝΩΝ.

Ὁ Ἀνακαλύπτων βαθέα, καὶ φανερῶν βουλὰς καρδιῶν, ὁ κύριος ἔδωκε καὶ τοῖς ταπεινοῖς σύνεσιν τῶν δυσθεωρήτων, ὥς τινες οἴονται, τεχνασμάτων. οὐδὲν οὖν ἡμᾶς ἔλαθεν, οὐδὲ τῶν πεπραγμένων τὶ κεκρυμμένον. Ἀλλ' ὅμως ἡμεῖς, οὔτε ὁρῶμεν, οὔτε ἀκούομεν, ἄλλό τι, ἢ τὴν εἰρήνην τοῦ Θεοῦ, καὶ ὅσα (τοιαῦτα) πρὸς αὐτὴν φέρει. εἰ γὰρ καὶ ἕτεροι δυνατοὶ καὶ μεγάλοι καὶ ἑαυτοῖς πεποιθότες· ἀλλ' ἡμεῖς οἱ μηδὲν, καὶ τοῦ μηδενὸς ἄξιοι, οὐκ ἄν ποτε τοσοῦτον ἑαυτοὺς ὑπολάβοιμεν, ὥστε ἐν τῇ μονώσει δύνασθαι νομίσαι περιέσεσθαι τῶν πραγμάτων. ἀκριβῶς εἰδότες ὅτι πλέον ἡμεῖς τῆς ἑνὸς ἑκάστου τῶν ἀδελφῶν ἐπικουρίας δεόμεθα, ἢ ὅσον ἡ ἑτέρα τῶν χειρῶν τῆς ἑτέρας. ἐπεὶ καὶ ἐξ αὐτῆς τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς, τὸ ἀναγκαῖον τῆς κοινωνίας ὁ κύριος ἡμᾶς ἐδίδαξεν. ὅταν γὰρ πρὸς αὐτὰ ταυτὰ ἀπίδωμεν τὰ μέλη ἡμῶν, ὅτι ἓν οὐδὲν ἑαυτῷ πρὸς ἐνέργειαν αὔταρκες, πῶς ἐμαυτὸν λογίσομαι ἐξαρκεῖν ἑαυτῷ πρὸς τὰ τοῦ βίου πράγματα; οὔτε γὰρ ἂν ποῦς ἀσφαλῶς βαδίσειε μὴ συνυποστηρίζοντος τοῦ ἑτέρου, οὔτ' αὖ ὀφθαλμὸς ὑγιῶς ἴδοι, μὴ κοινωνὸν ἔχων τὸν ἕτερον, καὶ μετ' αὐτοῦ συμφώνως προσβάλλων τοῖς ὁρατοῖς. καὶ ἀκοὴ ἀκριβεστέρα, ἡ δι' ἀμφοῖν τοῖν πόροιν τὴν φωνὴν δεχομένη, καὶ ἀντίληψις κραταιοτέρα, τῇ κοινωνίᾳ τῶν δακτύλων.

Καὶ ἁπαξαπλῶς οὐδὲν οὔτε τῶν ἐκ φύσεως, οὔτε τῶν ἐκ προαιρέσεως κατορθουμένων ὁρῶ, ἄνευ τῆς τῶν ὁμοφύλων συμπνοίας ἐπιτελούμενον· ὅπου γε καὶ αὐτὴ ἡ προσευχὴ μὴ ἔχουσα τοὺς συμφωνοῦντας ἀδρανεστέρα ἐστὶ πολλῷ ἑαυτῆς. καὶ ὁ κύριος ἐπηγγείλατο μέσος γενήσεσθαι δύο ἢ τριῶν, ἐπικαλουμένων αὐτὸν ἐν ὁμονοίᾳ. καὶ αὐτὴν δὲ τὴν οἰκονομίαν ὁ κύριος κατεδέξατο, ἵνα εἰρηνοποιήσῃ, διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. ὥστε διὰ πάντα ταῦτα, ἐν εἰρήνῃ μένειν τὰς λειπομένας ἡμῶν ἡμέρας, εὐχόμεθα. ἐν εἰρήνῃ δὲ γενέσθαι τὴν κοίμησιν ἡμῶν αἰτοῦμεν. ὑπὲρ ταύτης οὐδὲ πόνον ἐλλείπειν ὅντινα οὖν ἔγνωκα, οὐ ταπεινόντι φθέγξασθαι ἢ ποιῆσαι, οὐχ' ὁδοιπορίας μῆκος ὑπολογίσασθαι, οὐκ ἄλλό τι τῶν ὀχληρῶν ὑποστείλασθαι, ὥστε τῶν μισθῶν τῆς εἰρηνοποιΐας ἐπιτυχεῖν. κἂν μὲν ἕποιτάι τις ταῦτα καθηγουμένοις ἡμῖν, τοῦτο ἄριστον, καὶ εὐχῆς τυγχάνει πέρας. ἐὰν δὲ πρὸς τὴν ἐναντίαν ἀφέλκοι, ἐγὼ μὲν οὐδὲ οὕτω τῆς αὐτῆς κρίσεως ἀποστήσομαι. αὐτὸς δὲ ἕκαστος τῆς οἰκείας ἐργασίας ἐν ἡμέρᾳ τῆς ἀνταποδόσεως, τοὺς καρποὺς ἐπιγνώσεται.

ΣΥΝΟΔΟΣ ΕΝ ΤΥΑΝΟΙΣ ΟΡΘΟΔΟΞΟΣ.

ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

ΑΥΤΙΚΑ γοῦν οἱ τῆς ἀληθείας παῤῥησιασταὶ πρὸς Οὐαλεντινιανὸν ἐποιήσαντο δέησιν, ἐν Τυάνοις ἀθροισθῆναι ὀρθόδοξον σύνοδον. ὡς ἂν τὰ ἐν Νικαίᾳ συναθροισθέντα κυρώσειεν. ἐν ᾗ Γρηγόριος Ναζιανζοῦ τοῦ θεολόγου πατὴρ, καὶ ὁ

Και-

Καισαρείας Καππαδοκίας ὑπῆρχεν Εὐσέβιος, ὁ Μελιτηνῆς Ὀτρήιος, καὶ ἄλλοι πολλοὶ ἐνθέου ζήλου ἀνάμεστοι. Ὁ πάπας τοίνυν Ρώμης Λιβέριος πρὸς αὐτοὺς τὴν τῆς ὀρθοδοξίας τύπον ἀπέστειλε, καὶ χαρᾶς μεγίστης ἐνέπλησεν. Οὐάλης δὲ ὑπὸ Εὐδοξίου ἐν τῷ βαπτίζεσθαι ὅρκοις τὸν Ἀρειανισμὸν κρατύνειν διαβεβαιωσάμενος, τοὺς συνελθόντας ἐκεῖσεν ἀπέλυσεν.

ΤΟΙ῞Σ ΤΗ'Ν Ε'Ω΄ΑΝ Ι'ΘΥ'ΝΟΥΣΙΝ Ε'πισκόποις, Δάμασος.

Θεοδώρ. ἐκκλ. ἱστορ. βιβ. ἰ. κ. β'.

Ὅτι τῇ ἀποστολικῇ καθέδρᾳ τὴν ὀφειλομένην αἰδῶ ἡ ἀγάπη ὑμῶν ἀπονέμει, ἑαυτοῖς τὸ πλεῖστον παρέχετε, υἱοὶ τιμιώτατοι· καὶ γὰρ εἰ τὰ μάλιστα ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, ἐν ᾗ ὁ ἅγιος ἀπόστολος καθεζόμενος ἐδίδαξε πῶς προσήκει ἡμᾶς τοὺς οἴακας ἰθύνειν, οὓς ἀνεδεξάμεθα, ὅμως ὁμολογοῦμεν ἑαυτοὺς ἐλάττονας εἶναι τῆς τιμῆς. ἀλλὰ διὰ τοῦτο οἰῳδήποτε τρόπῳ σπουδάζομεν, εἴπως δυνηθείημεν πρὸς τὴν δόξαν τῆς μακαριότητος αὐτοῦ παραγενέσθαι. γινώσκετε τοίνυν, ὅτι τὸν πάλαι Τιμόθεον τὸν βέβηλον, τὸν μαθητὴν Ἀπολλιναρίου τοῦ αἱρετικοῦ, μετὰ τοῦ ἀσεβοῦς αὐτοῦ δόγματος καθείλομεν, καὶ οὐδαμῶς πιστεύομεν αὐτοῦ τὰ λείψανα λόγῳ τινὶ τοῦ λοιποῦ ἰσχύειν. εἰ δ' ἔτι ἐκεῖνος ὁ ὄφις ὁ παλαιὸς, ἅπαξ καὶ δεύτερον καταδηχθεὶς πρὸς ἰδίαν τιμωρίαν ἀναζῇ, ὅς τις ἐκτὸς τῆς ἐκκλησίας ὑπάρχει, ὃς σφῆλαι τοῖς ἑαυτοῦ θανατηφόροις φαρμάκοις τινὰς ἀπίστους διαπειράζων οὐ παύεται, ταύτην ὥσπερ φθοράν τινα ἐκκλίνατε, ὅμως μεμνημένοι τῆς ἀποστολικῆς πίστεως, ταύτης μάλιστα ἥτις ἐν Νικαίᾳ παρὰ τῶν πατέρων ἐγγράφως ἐξετέθη, βεβαίῳ βαθμῷ ἰσχυρῶς τῇ πίστει ἀμετακίνητοι διαμείνατε, καὶ μὴ ματαιολογίας καὶ ἠφανισμένας ζητήσεις, μετὰ τοῦτο ὑπομείνατε ἀκούειν τοὺς κληρικοὺς ἢ τοὺς λαϊκοὺς ὑμῶν, ἤδη γὰρ ἅπαξ τύπον ἐδώκαμεν, ἵνα ὁ γινώσκων ἑαυτὸν Χριστιανὸν, ἐκεῖνο φυλάττοι, ὅπερ παρὰ τῶν ἀποστόλων παρεδόθη, λέγοντος τοῦ ἁγίου Παύλου, εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. ὁ γὰρ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ ὁ κύριος ἡμῶν τῷ γένει τῶν ἀνθρώπων διὰ τοῦ ἰδίου πάθους πληρεστάτην ἀπέδωκε τὴν σωτηρίαν, ἵνα ὅλον τὸν ἄνθρωπον ταῖς ἁμαρτίαις ἐνεχόμενον, πάσης ἁμαρτίας ἐλευθερώσῃ. τοῦτον εἴ τις ἤτοι ἀνθρωπότητος, ἢ θεότητος ἔλαττον ἐσχηκέναι εἴποι, πνεύματος διαβόλου πεπληρωμένος, τῆς γεέννης υἱὸν ἑαυτὸν ἀποδείκνυσι. τί τοίνυν πάλιν παρ' ἐμοῦ ζητεῖτε τὴν καθαίρεσιν Τιμοθέου, ὃς καὶ ἐνταῦθα κρίσει τῆς ἀποστολικῆς καθέδρας παρόντος καὶ Πέτρου τοῦ ἐπισκόπου τῆς Ἀλεξανδρέων πόλεως καθῃρέθη, ἅμα τῷ διδασκάλῳ αὐτοῦ Ἀπολλιναρίῳ, καὶ ἐν ἡμέρᾳ τῆς κρίσεως τὰς ὀφειλομένας τιμωρίας καὶ βασάνους ὑπομενεῖ. εἰ δέ τινας κουφοτέρους πείθει ἐκεῖνος, ὡς τινὰ ἐλπίδα ἔχων, ὅς τις τὴν ἀληθῆ ἐλπίδα τὴν εἰς Χριστὸν τῇ ὁμολογίᾳ μετέβαλε, μετὰ τούτου ὁμοίως ἀπολεῖται, ὅς τις δήποτε βούλεται, τῷ κανόνι τῆς ἐκκλησίας ἀντιπαλαίσας. ὁ Θεὸς ὑμᾶς ὑγιαίνοντας διαφυλάττοι, υἱοὶ τιμιώτατοι.

ΔΥ'Ο ΣΥ'ΝΟΔΟΙ

ἐν Ρ'ώμῃ ἐπὶ Δαμάσου.

ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

Λιβεριου τοίνυν πάπα Ρ'ώμης τελειωθέντος τοῦ μάκαρος, Δάμασος ἀξιοπρεπῶς προχειρίζεται· ὁ πάντα λέγειν καὶ πράττειν ὑπὲρ τῶν ἀποστολικῶν δογμάτων αἱρούμενος. Ὃς αὐτίκα σύνοδον ἐννενήκοντα πατέρων συνήθροισε· καὶ ἀναθεματίσας αὐξέντιον, τὸ θεῖον ἐτράνωσε μάθημα· ὅρον εὐσεβείας ἐκθέμενος, ὃν πρὸς Ἰλλυρικοὺς ἀπέστειλεν.

Ἀ'ΛΛΑ' καὶ δευτέραν ὁ αὐτὸς πανίερος ὑπὲρ τοῦ ὁμουσίου κατὰ Αὐξεντίου συνεκρότησε θεοσύλλεκτον σύνοδον.

ΣΥ'ΝΟΔΟΣ Ε'Ν ΛΑΜΨΑ'ΚΩ

* ἐκ τοῦ ἴχουσα.

ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

Ὁ'ΜΟΙ'ΩΣ δὲ καὶ οἱ πρεσβεύοντες ἐξ ἑῴας τὸ ὁμούσιον, Οὐαλεντινιανῷ προσῆλθον σύνοδον ἐν Λαμψάκῳ αἰτούμενοι, κυρῶσαι τὰ ἐν Νικαίᾳ, καὶ ἀποκηρῦξαι τὸν Ἡρακλείας Περίνθου Υπέτιον. συνελθόντες οὖν καὶ μηνὰς δύο ἐκεῖσε τελέσαντες, ἄκυρα μένειν τὰ ἐν Κωνσταντινουπόλει πεπραγμένα Εὐδοξίῳ καὶ Ἀκακίῳ ψηφίζονται· καὶ τὴν ἐν Σελευκείᾳ πίστιν κρατεῖν ἀφρόνως θεσπίζουσιν. Ὅπερ Οὐάλης πυθόμενος, τὰ γεγονότα πάντα συνέχεε, τοὺς ἐπισκόπους ὅλους ἐξορίᾳ διοξάμενος, καὶ τὰς ἐκκλησίας τῷ Εὐδοξίῳ παρέδωκεν.

ΣΥ'ΝΟΔΟΣ Ε'Ν ΠΟΥ'ΖΗ Α'ΕΤΙΑΝΩ'Ν

ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

Σωκρατ. Ἐκκλησ. ἱστορ. βιβ. δ'. κ. κη'. καὶ Σωζόμ. βιβ. γ'. κ. κδ'.

Καὶ οἱ ἐν Φρυγίᾳ δὲ Ἀετιανοὶ, σύνοδον * ἐν Πούζῃ τῇ κώμῃ ποιήσαντες, ὥστε μετὰ Ἰουδαίων ἐκτελεῖν τὸ πάσχα, ὅρον ἐκτίθενται. ὃν κρατύνας Σαββάτιος, πολλοὺς τῶν Βυζαντίων συνήρπασε, παρ' οὗ Σαββατιανοὶ μέχρι καὶ σήμερον λέγονται.

* habet ἐν πάζῳ.

ΣΥ'ΝΟΔΟΣ

ἐν τῷ Ἰλλυρικῷ ὀρθόδοξος.

ἐκ τοῦ βιβλ. τοῦ Συνοδικ.

Ο'ΥΑΛΕΝΤΙΝΙΑΝΟ'Σ γοῦν ὁ μέγας τοῖς ὀρθοδόξοις τῆς πίστεως προτερήμασι θεσπίζει

ζει ἐν τῷ Ἰλλυρικῷ θείαν γενέσθαι καὶ πανίερον σύνοδον. Ἡ τὴν ἐν Νικαίᾳ πίστιν καλῶς ἐβεβαίωσεν, ἀναθεματίσασα Πολυχρόνιον, Τηλέμαχον, Φαῦστον, Ἀσκληπιάδην, Κλεόπατρον, καὶ Ἀμάντιον. ἑαυτῆς δὲ τόμον ἐν Ἀσίᾳ, Καρίᾳ, Φρυγίᾳ, ἐπισκόποις Ἀρειανοῖς διεπέμψατο. καὶ ὁ φιλόχριστος βασιλεὺς ὡσαύτως ἐξ ἴσου τὸ Ἐδίκτον.

ΣΥΝΟΔΟΣ

Καισαρείας Καππαδοκίας, Βασιλείου.

ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

Μετὰ ταῦτα τοῦ Εὐσεβίου τοῦ Καισαρείας Καππαδοκίας τελειωθέντος, ὁ μέγας Βασίλειος ὑπὸ πάντων εἰς τὸν θρόνον ψηφίζεται· καὶ τοὺς ἐκ τῆς ὑπερορίας ἀνακληθέντας προσκαλεσάμενος, τὸν Σαμοσατέα Εὐσέβιον, καὶ τὸν Σάρδεων Λουκίφερτον, καὶ τὴν σὺν αὐτοῖς ὀρθόδοξον σύνοδον, ἀρχιερεὺς ὑπ' αὐτῶν προχειρίζεται· καὶ ἀναθεματίζει Διάνιον τῆς αὐτῆς πρὸ Εὐσεβίου ἐπίσκοπον, Ἀστέριον, Εὐνόμιον, καὶ Θεοφρόνιον, τοὺς Καππαδόκας.

ΟΙ ΕΠΙΣΚΟΠΟΙ ΟΙ ΕΠΙ ΤΗΣ ΡΩΜΑΙΩΝ

Εἰς τὸ ἱερὸν συνελθόντες συνέδριον, Δάμασος καὶ Οὐαλεριανὸς, καὶ οἱ λοιποὶ, τοῖς ἀγαπητοῖς ἀδελφοῖς τοῖς ἐν Ἰλλυρικῷ καθεστῶσιν ἐπισκόποις, ἐν Θεῷ χαίρειν.

Θεοδώρ. βιβ. β'. κεφ. κβ'. καὶ Σωζόμεν. βιβ. ϛ'. κ. κγ'.

Πιστεύομεν τὴν ἁγίαν πίστιν ὑμῶν ἐν τῇ διδασκαλίᾳ τῶν ἀποστόλων θεμελιωθεῖσαν, ταύτην ὑμᾶς κατέχειν, καὶ ταύτην τῷ λαῷ ὑφηγεῖσθαι, ἥτις ἀπὸ τῶν ὁρισθέντων παρὰ τῶν πατέρων οὐδενὶ λόγῳ διαφωνεῖ, Θεοῦ ἱερεῖς, ὑφ' ὧν δίκαιον ἐστι τοὺς λοιποὺς παιδεύεσθαι. ἀλλὰ δι' ἀναφορᾶς τῶν ἐν Γαλλίᾳ καὶ Βενετίᾳ ἀδελφῶν ἔγνωμεν τινὰς εἰς αἵρεσιν σπουδάζειν. ὅπερ κακὸν οὐ μόνον παραφυλάττεσθαι ὀφείλουσιν οἱ ἐπίσκοποι, ἀλλὰ καὶ ὅσα ἀπειρίᾳ τινῶν ἢ ἁπλότητι τῶν σκαιαῖς κεχρημένων ἑρμηνείαις ἀνθίστασθαι ἀπὸ τοῦ νῦν διαφόροις διδασκαλίαις, διανουμένους μὴ πάλιν ὀλισθαίνειν, ἀλλὰ μᾶλλον τῶν πατέρων ἡμῶν κατέχειν τὴν γνώμην, ὁσάκις ἂν διάφοροι βουλαὶ ταῖς ἀκοαῖς αὐτῶν ἐπεισφέρωνται. Τοιγαροῦν Αὐξέντιον τὸν Μεδιολάνου ἐξαιρέτως ἐν τούτῳ τῷ πράγματι κατακεκρίσθαι προγέγραπται. δίκαιον οὖν ἐστὶ πάντας τοὺς ἐντῷ Ρωμαίων κόσμῳ διδασκάλους τοῦ νόμου τὰ περὶ τοῦ νόμου φρονεῖν. καὶ μὴ διαφόροις διδασκαλίαις τὴν πίστιν μιαίνειν. καὶ γὰρ ἡνίκα πρῶτον ἡ κακία τῶν αἱρετικῶν ἀκμάζειν ἤρξατο, ὡς καὶ νῦν μάλιστα ὑφέρπει τῶν Ἀρειανῶν ἡ βλασφημία, οἱ πατέρες ἡμῶν τριακόσιοι δέκα καὶ ὀκτὼ ἐπίσκοποι καὶ οἱ ἐκ τῆς Ρωμαίων ἁγιωτάτης ἐπίσκοποι εἰς Νίκαιαν γινομένου τοῦ σκέμματος, τοῦτο τὸ τεῖχος ὑπεναντίον τῶν ὅπλων τοῦ διαβόλου ὥρισαν, καὶ ταύτῃ ἀντιδότῳ τὰ θανάσιμα φάρμακα ἀπεώσαντο. ὥστε τὸν πατέρα καὶ τὸν υἱὸν μιᾶς οὐσίας, μιᾶς θεότητος, μιᾶς ἀρετῆς, μιᾶς δυνάμεως, καὶ ἑνὸς χαρακτῆρος πιστεύεσθαι χρὴ, καὶ τῆς αὐτῆς ὑποστάσεως καὶ οὐσίας καὶ τὸ πνεῦμα τὸ ἅγιον. τὸν δὲ ἄλλως φρονοῦντα, ἀλλότριον εἶναι τῆς ἡμετέρας κοινωνίας ἔκριναν. ὅνπερ σωτηριώδη ὅρον καὶ τὴν προσκυνητὴν σκέψιν διαφθεῖραι μετὰ ταῦτα ἄλλαις σκέψεσι, τινὲς καὶ μιᾶναι ἠθέλησαν. ἀλλὰ ἐν αὐτῇ τῇ ἀρχῇ ἀπ' αὐτῶν τούτων οἵ τινες ἐν Ἀριμίνῳ ἀνανεῶσαι ἢ ψηλαφῆσαι ἠναγκάζοντο μέχρι τούτων διωρθώθη, ὡς ὁμολογεῖν αὐτοὺς ἑτέρᾳ διαλέξει ὑφηρπάσθαι, ἢ ὅτι οὐκ ἐνενόησαν τῇ τῶν πατέρων γνώμῃ τῇ ἐν Νικαίᾳ ἀρεσάσῃ ἐναντίον εἶναι. οὐδὲ γὰρ προκριμάτι ἐδυνήθη γενέσθαι ὑπὸ τοῦ ἀριθμοῦ τῶν ἐν Ἀριμίνῳ συναχθέντων, ὁπότε συνέστηκε, μήτε τῶν Ρωμαίων ἐπισκόπου, οὗ πρὸ πάντων ἔδει τὴν γνώμην ἐκδέξασθαι, οὔτε Οὐϊκεντίου, ὃς ἐπὶ τοσούτοις ἔτεσι τὴν ἐπισκοπὴν ἀσπίλως ἐφύλαξεν, οὔτε τῶν ἄλλων τοῖς τοιούτοις συγκαταθεμένων. ὁπότε καὶ μάλιστα καθὰ προειρήκαμεν, αὐτοὶ οὗτοι οἵ τινες κατὰ συσκευὴν ὑποκλίνεσθαι ἔδοξαν, οἱ αὐτοὶ καλλίονι γνώμῃ χρησάμενοι, ἀπαρέσκειν αὐτοῖς ταῦτα ἐμαρτύραντο. συνορᾷ οὖν ἡ ἡμετέρα καθαρότης, ταύτην μόνην τὴν πίστιν ἥτις ἐν Νικαίᾳ κατὰ τὴν αὐθεντίαν τῶν ἀποστόλων ἐθεμελιώθη, διηνεκεῖ βεβαιότητι καθεκτέαν εἶναι. καὶ μεθ' ἡμῶν τοὺς ἀνατολικοὺς οἵ τινες ἑαυτοὺς τῆς καθολικῆς εἶναι ἐπιγινώσκουσι, τοὺς δὲ δυτικοὺς καυχᾶσθαι. πιστεύομεν δὲ οὐκ εἰς μακρὰν τοὺς ἄλλα νοσοῦντας αὐτῇ τῇ ἐπιχειρήσει ἀπὸ τῆς ἡμετέρας κοινωνίας χωρισθήσεσθαι, καὶ περιαιρεθήσεσθαι ἀπ' αὐτῶν τὸ τοῦ ἐπισκόπου ὄνομα, ὥστε τοὺς λαοὺς τῆς πλάνης αὐτῶν ἐλευθερωθέντας ἀναπνεῦσαι. οὐδενὶ γὰρ τρόπῳ διορθοῦσθαι δυνήσονται τὴν πλάνην τῶν ὄχλων, ὁπότε αὐτοὶ ὑπὸ τῆς πλάνης κατέχονται. συμφωνείτω τοίνυν μετὰ πάντων τῶν τοῦ Θεοῦ ἱερέων καὶ τῆς ὑμετέρας τιμιότητος ἡ γνώμη, ἐν ᾗ ὑμᾶς παγίους καὶ βεβαίους εἶναι πιστεύομεν. οὕτω καὶ ἡμεῖς μεθ' ὑμῶν ὀρθῶς πιστεύειν ὀφείλομεν. τοῖς ἀμοιβαίοις τῆς ὑμετέρας ἀγάπης εὐφράνατε ἡμᾶς. ἔρρωσθε ἀδελφοὶ τιμιώτατοι.

Ἔκθεσις πίστεως πρὸς Ἀθανάσιον ὑπὸ Εὐγενίου διακόνου.

Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἐπισκόπῳ Ἀθανασίῳ, Εὐγένιος διάκονος.

1. Οἱ μὲν κληρικοὶ καὶ οἱ λοιποὶ ἐν Ἀγκύρᾳ τῆς Γαλατίας μετὰ τοῦ πατρὸς ἡμῶν Μαρκέλλου συναγόμενοι, ἀπέστειλαν ἡμᾶς πρὸς τὴν σὴν θεοσέβειαν, ἔχοντας παρὰ τε τῶν τῆς Ἑλλάδος καὶ τῆς Μακεδονίας ἐπισκόπων συστατικά. ἐπειδὴ δὲ ἐλθόντες ἐμάθομεν διαβληθέντας ἑαυτοὺς ὡς ἑτεροδόξους· σύ τε καλῶς ποιῶν, ἠθέλησας μαθεῖν πῶς φρονοῦμεν περὶ τῆς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εὐσεβείας· ἀναγκαίως καὶ προθύμως γράφομεν ταῦτα πρὸς τὴν σὴν εὐλάβειαν· ἵνα γινώσκῃς τοὺς μὲν διαβάλλοντας ἡμᾶς, μάτην εἰρηκότας καθ' ἡμῶν· ἡμᾶς δὲ ἔχοντας τὴν καθολικὴν τῆς ἐκκλησίας πίστιν. ἡμᾶς δὲ λέγομεν, συναριθμοῦν-

τες

τες καὶ τοὺς ἀποστείλαντας ἡμᾶς πάντας λαούς. οὐ γὰρ ὀλίγοι, ἀλλ' ἀναρίθμητον πλῆθός εἰσιν.

2. Ἡμῆς τοίνυν προηγουμένως μὲν ἀναθεματίζομεν τὴν Ἀρειανὴν αἵρεσιν· πιστεύομεν δὲ, ὡς οἱ πατέρες ἡμῶν ὡμολόγησαν ἐν τῇ κατὰ Νίκαιαν γενομένῃ συνόδῳ. ἐκ τῆς οὐσίας τοῦ πατρὸς εἶναι τὸν υἱὸν καὶ ὁμοούσιον τῷ πατρὶ, καὶ μήτε κτίσμα, μήτε ποίημα εἶναι αὐτόν· ἀλλὰ δι' αὐτοῦ πάντα τὰ γενητὰ γεγενῆσθαι. οὐ γὰρ ἄλλον τὸν υἱὸν, καὶ ἄλλον τὸν λόγον φρονοῦμεν, ὡς τινὲς ἡμᾶς διέβαλον· ἀλλὰ τὸν λόγον εἶναι υἱὸν, σοφίαν, δύναμιν τοῦ πατρὸς, ἐν ᾗ τὰ πάντα, ὡς ἐδίδαξεν ὁ ἀπόστολος, τάτε ὁρατὰ, καὶ τὰ ἀόρατα· εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἐκτίσθαι. οὕτω δὲ φρονοῦντες ἀναθεματίζομεν καὶ ἐξ ὀνόματος τὸν ἀσεβέστατον Σαβέλλιον, καὶ μετ' αὐτοῦ τοὺς τὰ ἐκείνου φρονοῦντας, καὶ λέγοντας αὐτὸν τὸν πατέρα εἶναι υἱόν· καὶ ὅτε μὲν γίνεται υἱὸς, μὴ εἶναι τότε αὐτὸν πατέρα· ὅτε δὲ γίνεται πατὴρ, μὴ εἶναι τότε υἱόν. ἡμεῖς γὰρ ὁμολογοῦμεν πατέρα ἀΐδιον, υἱοῦ ἀϊδίου ὄντος, καὶ ὑφεστῶτος. καὶ πνεῦμα ἅγιον ἀϊδίως ὂν καὶ ὑφεστός. οὐ γὰρ ἀνυπόστατον τὴν τριάδα λέγομεν· ἀλλ' ἐν ὑποστάσει αὐτὴν γινώσκομεν.

3. Καὶ εἰ αὐτάρκη ταῦτα δεῖξαι τὴν πρὸς τοὺς πατέρας ἡμῶν ὁμοφροσύνην. ὅμως ἐπειδὴ τινὲς τῶν ἐπαγγελλομένων μὴ φρονεῖν τὰ Ἀρείου, ὑποκρινόμενοι φρονοῦσι λέγοντες, τὸν μὲν υἱὸν ἀνόμοιον εἶναι τοῦ πατρὸς, τὸ δὲ πνεῦμα τὸ ἅγιον, κτίσμα, καὶ ἓν τῶν ποιημάτων ἐστίν· ἀναθεματίζομεν, ἡμεῖς τε καὶ οἱ ἀποστείλαντες ἡμᾶς, τὰς αἱρέσεις ταύτας. οὔτε γὰρ ἀνόμοιος ὁ υἱὸς τῷ πατρὶ, ἀλλ' ὁμοούσιός ἐστι τῷ πατρί. οὔτε τὸ πνεῦμα τὸ ἅγιον κτιστὸν, ἢ ἓν τῶν ποιημάτων ἐστὶν, ἀλλὰ τῆς ἁγίας τριάδος ἐστίν· καὶ τεθαρρήκαμεν ὅτι οὐδὲν ἐπείσακτον, οὐδὲ κτίσμα ἐστὶν ἐν τῇ τριάδι. πνεῦμα γὰρ ἁγιωσύνης ἐστιν οὐχ ἁγιαζόμενον, ἀλλ ἐν αὐτῷ πάντων τῶν ἁγίων ἁγιαζομένων. καὶ γὰρ ἡ τελειότης ἡμῶν ἐν πατρὶ, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι δίδοται, καὶ γίνεται. καὶ μία πίστις ἐστὶν εἰς ἕνα θεὸν δι' υἱοῦ ἐν πνεύματι ἁγίῳ. ὑπὲρ πλείονος γοῦν μαρτυρίας, ἀναθεματίζομεν τοὺς φρονοῦντας, καὶ λέγοντας· ἦν ποτε μονὰς, μὴ ὄντος υἱοῦ· καὶ ἦν ποτε δυὰς, μὴ ὄντος ἁγίου πνεύματος· ἀΐδιον γὰρ καὶ ἀειτελείαν οἴδαμεν, καὶ ὡσαύτως ἔχουσαν τὴν ἁγίαν τριάδα. διὸ καὶ ἀλλοτρίους τῆς ἐκκλησίας ἔχομεν τοὺς φρονοῦντας, καὶ λέγοντας, ἦν ποτε ὅτε οὐκ ἦν ὁ υἱὸς, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο τὸ πνεῦμα τὸ ἅγιον.

4. Ἵνα δὲ μή τις ποτὲ ἡμὰς καὶ περὶ τῆς ἐνσάρκου παρουσίας τοῦ σωτῆρος ἡμῶν διαβάλη ματαιολογῶν. ἀναγκαίως καὶ περὶ τούτου γράφομεν, ὅτι ὁ κύριος, καὶ σωτὴρ ἡμῶν ὁ Χριστὸς, οὐχ ὥσπερ εἰς τοὺς προφήτας ἐγίνετο, οὕτως καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων ἦλθεν εἰς ἅγιον ἄνθρωπον· ἀλλὰ πιστεύομεν ὅτι κατὰ τὸν Ἰωάννην, ὁ λόγος σὰρξ ἐγένετο, καὶ κατὰ τὸν ἀπόστολον ἐν μορφῇ Θεοῦ ὑπάρχων ἔλαβεν δούλου μορφὴν, τὸ κατὰ σάρκα γεννηθεὶς ἐκ Μαρίας ἄνθρωπος δι' ἡμᾶς· ἵνα, ὡς εἶπεν αὐτὸς, τελειώσῃ τὸ ἔργον τοῦ πατρὸς, καὶ οὕτως τὸ ἀνθρώπινον γένος ἐν αὐτῷ τελειώσας, καὶ συνάψας τῇ θεότητι, εἰσαγάγῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ εἰ ταῦτα πάλιν αὐτάρκη δεῖξαι τὴν πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστιν, ὅμως ὑπὲρ πλείονος ἀσφαλείας ἀναλαμβάνοντες ταῦτα λέγομεν, καὶ ἀναθεματίζομεν τοὺς λέγοντας, καὶ φρονοῦντας, ποτὲ τὸν πατέρα εἶναι χωρὶς τοῦ υἱοῦ, καὶ ποτὲ τὸν πατέρα, καὶ τὸν υἱὸν χωρὶς τοῦ ἁγίου πνεύματος. πνεῦμα γὰρ Θεοῦ ἐστιν, καὶ τελεία, καὶ ἀΐδιός ἐστιν ἡ τριάς. ἀναθεματίζομέν τε καὶ τοὺς νῦν ἐξελθόντας, καὶ λεγομένους ἀνομοίους· καὶ σὺν αὐτοῖς τὴν τοῦ Σαμοσατέως, καὶ Φωτεινοῦ παραφροσύνην, καὶ τοὺς τὰ αὐτὰ φρονοῦντας αὐτοῖς. ὅτι μὴ λέγουσι τὸν τοῦ Θεοῦ λόγον, ζῶντα λόγον εἶναι καὶ ἐνεργῆ, δι' οὗ τὰ πάντα ἐγένετο· ἀλλὰ ὡς ἀνθρώπου λόγον προφορικὸν μόνον. καὶ ὅτι μὴ φρονοῦσι τὸν υἱὸν τοῦ Θεοῦ αὐτὸν εἶναι τὸν λόγον· ἀλλὰ διαιροῦσιν ἀλόγως, καὶ ἀρχὴν τῷ υἱῷ διδοῦσιν ἀπὸ τῆς ἐκ Μαρίας κατὰ σάρκα γεννέσεως, βλασφημοῦντες· ὅτι μηδὲ θεὸν ἀληθινὸν αὐτὸν εἶναι πιστεύουσιν.

5. Ταῦτα τοιγαροῦν φρονοῦντες, καὶ ἐγγράφως ὁμολογοῦντες. διαβεβαιούμενοί τε ταῦτα φρονεῖν καὶ τοὺς ἀποστείλαντας ἡμᾶς, ἀξιοῦμεν τὴν σὴν θεοσέβειαν μηκέτι πιστεύειν τοῖς καθ' ἡμῶν λέγουσιν· ἀλλὰ μᾶλλον τοῖς ἀποστείλασιν ἡμᾶς ταῦτα γνωρίσαι, καὶ γράψαι καὶ οἷς ἂν γινώσκεις ὀρθοδόξοις ἐπισκόποις, ἵνα εἰ καὶ πρὸς αὐτοὺς ἡ καθ' ἡμῶν διαβολὴ ἐγένετο, μαθόντες τὴν ὁμολογίαν ἡμῶν ταύτην, καταγνῶσι τῶν θελησάντων ἡμῖν ἁπλῶς φθόνον κινῆσαι. Θεόδουλος ἐπίσκοπος Ὀξυρύγκου. Πλήνης ἐπίσκοπος Ἑρμοθιὲ, Ἰσχυρίων ἐπίσκοπος Λεοντῶ, Ἰσαὰκ ἐπίσκοπος. Ἀμήν.

ΣΥΝΟΔΟΣ

ἐν Μεδιολάνῳ Ἀμβροσίου.

ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

ΟΥΑΛΕΝΤΙΝΙΑΝΟΥ τοίνυν τοῦ αὐτοκράτορος τὸν ἴδιον ἀδελφὸν Οὐάλεντα, βασιλέα τῶν Ῥωμαίων ἀναγορεύσαντος, καὶ πρὸς τὴν Ῥώμην ἀπαίροντος, ἐν Μεδιολάνῳ συναθροίζεται σύνοδος, ὅπως Εὐδόξιον τὸν ἐκεῖσε καὶ γεγονότα ἐπίσκοπον Ἀρειανὸν καὶ Πνευαμτομάχον ὑπάρχοντα, καὶ μετὰ θάνατον ἀναθέματι καθυποβάλλῃ τῷ πρέποντι, θεόφρονα, καὶ ποιμένα τῷ θρόνῳ ἐγκαθιδρύσειεν. Ἀρειανῶν τοιγαροῦν ἐπὶ τούτοις στασιαζόντων, Ἀμβρόσιος κατέλαβεν ὁ τῆς πόλεως ἔπαρχος ἀναστεῖλαι τὸν θόρυβον. τὸ δὲ ἄθροισμα τῶν ἑτεροδόξων αὐτὸν θεασάμενον, καὶ τῶν πιστῶν τὴν κραυγὴν ἀπωσάμενον, ἐπίσκοπον ἀνηγόρευσεν. ὃν ἡ συνελθοῦσα θεία σύνοδος ἐπ' ὄψεσι τοῦ βασιλέως καταχοῦσα, ἐμύησε τῷ ἁγίῳ βαπτίσματι, καὶ χειροτονηθέντος αὐτῷ, τοιοῦτον ὕμνον ὁ βασιλεὺς τῷ Θεῷ πάντων ἐπ' ὄψεσιν ἐνεπέμψατο. χάρις σοὶ δέσποτα παντοκράτωρ, καὶ σῶτερ ἡμέτερε· ὅτι τῷδε τῷ ἀνδρὶ ἐγὼ μὲν τὰ σώματα, σὺ δὲ τὰς ψυχὰς ἐνεχείρισας, καὶ τὰς ἐμὰς ψήφους δικαίας ἀπέφηνας.

ΑΝΑΘΕΜΑΤΙΣΜΟΙ ΔΕΚΑ

κατὰ Ἀπολιναρίου.

α'. Εἴ τις οὐ θεοτόκον τὴν Μαρίαν ὑπολαμβάνει χωρίς ἐστι τῆς θεότητος.

β'. Εἴ τις ὡς διὰ σωλήνος τῆς παρθένου δραμεῖν. ἀλλὰ μὴ ἐν αὐτῇ διαπεπλάσθαι λέγοι θεϊκῶς ἅμα καὶ ἀνθρωπικῶς· θεϊκῶς μὲν, ὅτι χωρὶς ἀν-

ἀνδρός. ἀνθρωπικῶς δὲ, ὅτι νόμῳ κυήσεως, ὁμοίως ἄθεος.

γ'. Εἴ τις διαπεπλάσθαι τὸν ἄνθρωπον, εἶθ' ὑποδεδυκέναι λέγοι Θεὸν, κατάκριτος.

δ'. Εἴ τις εἰσάγει δύο υἱοὺς, ἕνα μὲν τὸν ἐκ Θεοῦ πατρὸς, δεύτερον δὲ τὸν ἐκ τῆς μητρὸς, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτὸν, καὶ τῆς υἱοθεσίας ἐκπέσοι τῆς ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσι·

ε'. Εἴ τις ὡς ἐν προφήτῃ λέγοι κατὰ χάριν ἐνηργηκέναι, ἀλλὰ μὴ κατ' οὐσίαν συνῆφθαί τε καὶ συνάπτεσθαι, εἴη κενὸς τῆς κρείττονος ἐνεργείας, μᾶλλον δὲ πλήρης τῆς ἐναντίας.

ϛ'. Εἴ τις μὴ προσκυνεῖ τὸν ἐσταυρωμένον ἀνάθεμα ἔστω, καὶ τετάχθω μετὰ τῶν θεοκτόνων.

ζ'. Εἴ τις ἐξ ἔργων τετελειωμένων, ἢ μετὰ τὸ βάπτισμα, ἢ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν υἱοθεσίας ἠξιῶσθαι λέγοι, καθάπερ οὓς Ἕλληνες παρεγγράπτους εἰσάγουσιν, ἀνάθεμα ἔστω. τὸ γὰρ ἠργμένον, ἢ προκόπτον, ἢ τελειούμενον, οὐ Θεὸς, κἂν διὰ τὴν κατὰ μικρὸν ἀνάδειξιν οὕτω λέγειται.

η'. Εἴ τις ἀποθετεῖσθαι νῦν τὴν σάρκα λέγοι, καὶ γυμνὴν εἶναι τὴν θεότητα σώματος, ἀλλὰ μὴ μετὰ τοῦ προσλήμματος καὶ εἶναι καὶ ἥξειν, μὴ ἴδοι τὴν δόξαν τῆς παρουσίας.

θ'. Εἴ τις λέγοι τὴν σάρκα ἐξ οὐρανοῦ κατεληλυθέναι, ἀλλὰ μὴ ἐντεῦθεν εἶναι καὶ παρ' ἡμῶν, ἀνάθεμα ἔστω.

ι'. Εἴ τις εἰς ἄνουν ἄθρωπον ἤλπικεν, ἀνόητος ὄντως ἐστι καὶ οὐκ ἄξιος ὅλως σώζεσθαι.

ΣΥΝΟΔΟΣ ΕΝ ΡΩΜΗ,

τρίτῃ ἐπὶ Δαμάσου.

ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

ΑΘΑΝΑΣΙΟΥ τοῦ πανιέρου μετελθόντος γῆθεν πρὸς τὰ οὐράνια, Πέτρος ὁ πολλὰ συνιδρώσας αὐτῷ, ψήφοις ἐκείνου τοῦ θρόνου διάδοχος γίνεται. ὃν οἱ τῆς κιβδήλου δόξης ἐχόμενοι, τὴν Ἀλεξάνδρειαν καταλαβόντες, Ἑλληνικῇ χειρὶ ἐξελαύνουσι· τὸν λύκον Λούκιον ἀντισάξαντες. Πέτρος δὲ τὴν Ρώμην κατέλαβε· καὶ πάπας Δάμασος αὐτὸν προσλαβόμενος, ἐν Ρώμῃ σύνοδον θείαν καὶ ἱερὰν συνεκρότησεν. ἢ τὸν ἄνουν Ἀπολινάριον, Στέφανόν τε τὸν μαθητὴν αὐτοῦ ἀνεθεμάτισε, καὶ τὸν φόνιον Λούκιον.

ΤΟΥ̃ ΑΥ'ΤΟΥ̃ ΔΑΜΑ'ΣΟΥ

τετάρτῃ Σύνοδος ἐν Ρώμῃ.

ἐκ τοῦ αὐτοῦ βιβλίου.

ΟΥ'ΑΛΗΣ μὲν ἐν Θράκῃ Γότθοις συμβαλών. ὑπ' αὐτῶν εἰς Χαλκίδα, πυρίκαυστος ἐν ἀχυρῶνι γενόμενος, πρὸς τὸ αἰώνιον πῦρ ἐξεδήμησε· καὶ Γρατιανὸς Οὐαλεντινιανοῦ τελευτήσαντος ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν, τοῦ πατρὸς αὐτοῦ, ἑσπερίων, καὶ τῶν ἑῴων αὐτοκράτωρ γενόμενος, τοὺς ἐν ἐξορίᾳ εὐσεβεῖς ἐπισκόπους ἀνεκαλέσατο. Καθ' ὃν χρόνον καὶ ὁ μακάριος Δάμασος, ἐν Ρώμῃ ἁγίαν συγκαλεσάμενος σύνοδον, κατὰ Ἀρειανῶν, καὶ Πνευματομάχων, καὶ ἄλλων πλείστων αἱρετικῶν· ὅρων θείων κεφαλαίων ἐκθέμενος, ἐν Θεσσαλονίκῃ πρὸς τὸν Παυλῖνον ἀπέστειλεν, ἐκ θείας οἰκονομίας πανταχοῦ τὰ μέγιστα διανύσαντα, προσκυνεῖν γὰρ τριάδα πάντας ἔπεισεν ὁμοούσιον.

ΣΥΝΟΔΟΣ ΕΝ ΑΝΤΙΟΧΕΙΑ

ἐπὶ Μελετίου.

ΑΛΛΑ' καὶ Μελέτιος, ἀνακληθεὶς ὁ ἀοίδιμος, ἐν τῷ οἰκείῳ θρόνῳ Ἀντιοχείας, θείαν, καὶ ἱερὰν συνεκαλέσατο σύνοδον· ἢ τὸ θεοποιὸν κυρώσασα σύμβολον, καὶ ἀναθεματίσασα Μάρκελλον, Φωτινὸν, καὶ Ἀπολινάριον, ὅρον θεῖον πρὸς Δάμασον, καὶ τοὺς ἱεράρχας τῆς ἑσπέρας ἀπέστειλε.

ΟΜΟΛΟΓΙΑ ΤΗ̃Σ ΚΑΘΟΛΙΚΗ̃Σ

πίστεως, ἣν ὁ πάπας Δάμασος ἀπέστειλεν πρὸς ἐπίσκοπον Παυλῖνον Θεσσαλονίκης.

ΕΠειδὴ μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον, αὕτη ἡ πλάνη ἀνέκυψεν, ὥστε τολμᾶν τινὰς βεβήλῳ σώματι εἰπεῖν, τὸ πνεῦμα τὸ ἅγιον γεγενῆσθαι διὰ τοῦ υἱοῦ. Θεοδάρ. ἐκκλ. ἱστορ. βιβ. ἐ. κεφ. ἰ.

Ἀναθεματίζομεν τοὺς μὴ μετὰ πάσης ἐλευθερίας κηρύττοντας σὺν τῷ πατρὶ, καὶ τῷ υἱῷ τῆς μιᾶς, καὶ τῆς αὐτῆς οὐσίας τε, καὶ ἐξουσίας ὑπάρχειν τὸ ἅγιον πνεῦμα.

Ὁμοίως δὲ ἀναθεματίζομεν, καὶ τοὺς τῇ Σαβελλίου ἀκολουθοῦντας πλάνῃ, τὸν αὐτὸν λέγοντας καὶ πατέρα εἶναι, καὶ υἱόν.

Ἀναθεματίζομεν Ἄρειον, καὶ Εὐνόμιον οἱ τῇ ἴσῃ δυσσεβείᾳ εἰ, καὶ τοῖς ῥήμασι διαφέρονται τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα κτίσμα εἶναι διϊσχυρίζονται.

Ἀναθεματίζομεν τοὺς Μακεδονιανοὺς, οἵ τινες ἐκ τῆς Ἀρείου ῥίζης καταγόμενοι, οὐχὶ τὴν ἀσέβειαν, ἀλλὰ τὴν προσηγορίαν ἐνήλλαξαν.

Ἀναθεματίζομεν Φωτεινὸν, ὃς τὴν τοῦ Ἐβίωνος αἵρεσιν ἀνακενίζων, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, μόνον ἐκ τῆς Μαρίας ὡμολόγει.

Ἀναθεματίζομεν καὶ τοὺς δύο εἶναι υἱοὺς διϊσχυριζομένους, ἕνα πρὸ τῶν αἰώνων, καὶ ἄλλον μετὰ τὴν τῆς σαρκὸς ἐκ τῆς Μαρίας ἀνάληψιν.

Ἀναθεματίζομεν κἀκείνους, οἵ τινες ἀντὶ λογικῆς ψυχῆς διϊσχυρίζονται, ὅτι ὁ τοῦ Θεοῦ λόγος ἐστράφη ἐν τῇ ἀνθρωπίνῃ σαρκί. αὐτὸς γὰρ οὗτος ὁ τοῦ Θεοῦ λόγος, οὐχὶ ἀντὶ τῆς λογικῆς, καὶ νοερᾶς ψυχῆς ἐν τῷ ἑαυτοῦ σώματι γέγονεν, ἀλλὰ τὴν ἡμετέραν, τοῦτ' ἔστι λογικὴν, καὶ νοερὰν, ἄνευ τῆς ἁμαρτίας, ψυχὴν ἀνέλαβε, καὶ ἔσωσεν.

Ἀναθεματίζομεν καὶ τοὺς λέγοντας τὸν λόγον τοῦ Θεοῦ, τῇ ἐκτάσει, καὶ τῇ συστολῇ ἀπὸ τοῦ πατρὸς κεχωρίσθαι, καὶ ἀνυπόστατον αὐτὸν εἶναι, ἢ μέλλειν τελευτᾶν βλασφημοῦντας.

Τοὺς δὲ ἀπὸ ἐκκλησιῶν εἰς ἑτέρας ἐκκλησίας μετελθόντας, ἄχρι τοσούτου ἀπὸ τῆς ἡμετέρας κοινωνίας ἀλλοτρίους ἔχομεν, ἄχρις οὗ πρὸς αὐτὰς ἐπανέλθωσι τὰς

πόλεις

πόλεις ἐν αἷς πρῶτον ἐχειροτονήθησαν. ἐὰν δέ τις ἄλλου ἀπὸ τόπου εἰς τόπον μετελθόντος, ἐν τόπῳ τοῦ ζῶντος ἐχειροτονήθη, ἄχρι τοσούτου σχολάσῃ ἀπὸ τοῦ ἱερατικοῦ ἀξιώματος ὁ τὴν ἰδίαν πόλιν καταλείψας, ἄχρις οὗ ὁ διαδεξάμενος αὐτὸν ἀναπαύσηται ἐν κυρίῳ.

Εἴ τις μὴ εἴπῃ, τὸν πατέρα ἀεὶ, καὶ ἀεὶ τὸν υἱὸν, καὶ ἀεὶ τὸ πνεῦμα τὸ ἅγιον εἶναι, ἀνάθεμα ἔστω.

Εἴ τις μὴ εἴπῃ, τὸν υἱὸν γεννηθέντα ἐκ πατρὸς, τουτέστιν ἐκ τῆς οὐσίας τῆς θείας αὐτοῦ, ἀνάθεμα ἔστω.

Εἴ τις μὴ εἴπῃ, ἀληθινὸν Θεὸν τὸν υἱὸν τοῦ Θεοῦ, ὡς ἀληθινὸν Θεὸν τὸν πατέρα αὐτοῦ, καὶ πάντα δύνασθαι, καὶ πάντα εἰδέναι, καὶ τῷ πατρὶ ἶσον, ἀνάθεμα ἔστω.

Εἴ τις εἴπη, ὅτι ἐν σαρκὶ διάγων ὁ υἱὸς τοῦ Θεοῦ, ὅτε ἦν ἐν τῇ γῇ, ἐν τοῖς οὐρανοῖς, καὶ σὺν τῷ πατρὶ οὐκ ἦν, ἀνάθεμα ἔστω.

Εἴ τις εἴπη, ὅτι ἐν τῷ πάθη τοῦ σταυροῦ τὴν ὀδύνην ὑπέμεινεν ὁ υἱὸς τοῦ Θεοῦ θεότητι, καὶ οὐχὶ σαρκὶ, καὶ ψυχῇ λογικῇ, ἥν περ ἀνέλαβεν ἐν τῇ τοῦ δούλου μορφῇ, ὡς εἴρηκεν ἡ ἁγία γραφὴ, ἀνάθεμα ἔστω.

Εἴ τις μὴ εἴπῃ, τὸν τοῦ Θεοῦ λόγον παθόντα σαρκὶ, καὶ ἐσταυρωμένον σαρκὶ, καὶ θανάτου γευσάμενον σαρκὶ, γεγονότα τὲ πρωτότοκον ἐκ τῶν νεκρῶν καθὸ ζωή ἐστι, καὶ ζωοποιὸς ὡς Θεὸς, ἀνάθεμα ἔστω.

Εἴ τις μὴ εἴπῃ, ὅτι ἐν σαρκὶ ἥν περ ἀνέλαβε, καθέζεται ἐν τῇ δεξιᾷ τοῦ πατρὸς, ἐν ᾗ καὶ ἐλεύσεται κρῖναι ζῶντας, καὶ νεκρὺς, ἀνάθεμα ἔστω.

Εἴ τις μὴ εἴπῃ, τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς εἶναι ἀληθῶς καὶ κυρίως, ὡς καὶ τὸν υἱὸν ἐκ τῆς θείας οὐσίας, καὶ Θεὸν Θεοῦ λόγον, ἀνάθεμα ἔστω.

Εἴ τις μὴ εἴπη, πάντα δύνασθαι τὸ πνεῦμα τὸ ἅγιον, καὶ πάντα εἰδέναι. καὶ πανταχοῦ γῆς παρεῖναι, ὡς καὶ τὸν υἱὸν καὶ τὸν πατέρα, ἀνάθεμα ἔστω.

Εἴ τις εἴπῃ τὸ πνεῦμα τὸ ἅγιον ποίημα, ἢ διὰ τοῦ υἱοῦ γεγενῆσθαι, ἀνάθεμα ἔστω.

Εἴ τις μὴ εἴπῃ, πάντα διὰ τοῦ υἱοῦ τοῦ σαρκωθέντος, καὶ τοῦ ἁγίου πνεύματος τὸν πατέρα πεποιηκέναι, τοῦτ' ἔστι τὰ ὁρατὰ, καὶ τὰ ἀόρατα, ἀνάθεμα ἔστω.

Εἴ τις μὴ εἴπῃ, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος μίαν θεότητα, ἐξουσίαν, δυναστείαν, μίαν δόξαν, κυριότητα μίαν, βασιλείαν μίαν, θέλησιν, καὶ ἀλήθειαν, ἀνάθεμα ἔστω.

Εἴ τις τρία πρόσωπα μὴ εἴπῃ ἀληθινὰ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, εἰς ἀεὶ ζῶντα, τὰ πάντα κατέχοντα τὰ ὁρατὰ, καὶ τὰ ἀόρατα, πάντα δυνάμενα, πάντα κρίνοντα, πάντα ζωοποιοῦντα, πάντα δημιουργοῦντα, πάντα σώζοντα, ἀνάθεμα ἔστω.

Εἴ τις μὴ εἴπῃ, προσκυνητὸν τὸ πνεῦμα τὸ ἅγιον παρὰ πάσης τῆς κτίσεως, ὡς καὶ τὸν υἱὸν, καὶ τὸν πατέρα, ἀνάθεμα ἔστω.

Εἴ τις περὶ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ καλῶς φρονήσει, περὶ δὲ τοῦ ἁγίου πνεύματος οὐκ ὀρθῶς ἔχει, αἱρετικός ἐστιν, ὅτι πάντες οἱ αἱρετικοὶ περὶ τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ περὶ τοῦ ἁγίου πνεύματος κακῶς φρονοῦντες, ἐν τῇ τῶν Ἰουδαίων, καὶ τῶν ἐθνικῶν ἀπιστίᾳ τυγχάνειν ἐλέγχονται.

Εἴ τις δὲ μερίσει θεότητα, Θεὸν τὸν πατέρα λέγων ἀνὰ μέρος, καὶ Θεὸν τὸν υἱὸν, καὶ Θεὸν τὸ ἅγιον πνεῦμα, καὶ διϊσχυρίσαιτο Θεοὺς λέγεσθαι, καὶ οὐ Θεὸν διὰ τὴν μίαν Θεότητα, καὶ δυναστείαν, ἥν περ εἶναι πιστεύομεν, καὶ οἴδαμεν, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, Θεὸν ἕνα ἐν τρισὶν ὑποστάσεσιν, ἢ πάλιν ὑπεξελόμενος τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὡς μόνον ὑπονοῆσαι τὸν πατέρα Θεὸν λέγεσθαι, ἢ μὴ πιστεύεσθαι ἕνα Θεὸν, ἀνάθεμα ἔστω. Τὸ γὰρ ὄνομα τῶν Θεῶν, καὶ τοῖς ἀγγέλοις, καὶ πᾶσιν τοῖς ἁγίοις παρὰ Θεοῦ ἐχαρίσθη. περὶ δὲ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, δια τὴν μίαν, καὶ ἴσην θεότητα, οὐχὶ τῶν Θεῶν ὀνόματα, ἀλλα τοῦ Θεοῦ ἡμῶν ἐνδείκνυται, καὶ σημαίνεται, ἵνα πιστεύωμεν ὅτι εἰς πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα βαπτιζόμεθα, καὶ οὐχὶ εἰς τὰ τῶν ἀρχαγγέλων, ἢ ἀγγέλων, ὀνόματα, ὡς οἱ αἱρετικοὶ, ἢ ὡς Ἰουδαῖοι, ἢ ἐθνικοὶ παραφρονοῦντες.

Αὕτη τοίνυν ἡ τῶν Χριστιανῶν σωτηρία ἐστὶν, ὥστε πιστεύοντες τῇ τριάδι, τοῦτ' ἐστι τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, καὶ βαπτιζόμενοι εἰς τὴν αὐτὴν, μίαν θεότητα, καὶ δυναστείαν, καὶ θειότητα, καὶ οὐσίαν, εἰς αὐτὸν πιστεύωμεν.

Α'ΜΦΙΛΟΧΙ'ΟΥ Ε'ΠΙΣΚΟ'ΠΟΥ Ι'ΚΟΝΙ'ΟΥ.

Καὶ πρὶν κομίζεσθαι τὰ παρὰ τῆς ἀγάπης ὑμῶν γράμματα, περιήγγειλεν εἰς ἡμᾶς ἡ φήμη, καὶ τὸ τῆς πίστεως ὑμῶν ἀκραιφνὲς, καὶ πρὸς τοὺς κινδύνους παρατεταμένον, καὶ πρὸς τὰ παθήματα τὰ ὑπὲρ Χριστοῦ καρτερικὸν, καὶ τῆς εἰς θεὸν ἀγάπης, καὶ τὸ τῆς μελλούσης ἐλπίδος ἐν ὑμῖν βέβαιον. ἐπεὶ δὲ καὶ τοῖς γράμμασι τῆς εὐλαβείας ὑμῶν ἐντετυχήκαμεν, εἰδομεν ὄντως ἐκκλησίας ἀποστολικὸν χαρακτῆρα, καὶ ποιμένων ἀγαθῶν ζῆλον, καὶ σπουδὴν ἄοκνον ἀληθινοῖς Χριστιανοῖς πρέπουσαν. τὸ γὰρ μήτε τῆς ὁδοῦ μῆκος ὑπολογίσασθαι, μήτε διεσπασμένως τὰς πεύσεις προσαγαγεῖν, ἀλλὰ κοινῇ διὰ τῶν γραμμάτων ποιήσασθαι τὴν ἐρώτησιν, λίαν ἡμᾶς εὐέλπιδας πεποίηκεν, ὅτι συμφώνως ἐπιστείλαντες, συμφώνως καὶ τὰς ἀποκρίσεις παρ' ἡμῶν * δέξασθαι· καὶ οἷόν τι προοίμιον τῆς τελειοτέρας ὁμονοίας τὴν ἐν τοῖς γράμμασιν ὑμῶν ὁμόνοιαν ἐδεξάμεθα. καὶ δι' εὐχῆς μετὰ ἦν ἡμῖν, καὶ τὸν θαυμασιώτατον καὶ μετὰ πάσης αἰδοῦς ὀνομαζόμενον ἐπίσκοπον Βασίλειον, καὶ παρόντα δέξασθαι τῇ συνόδῳ, καὶ κοινωνὸν, μᾶλλον δὲ ἔξαρχον τῶν πρὸς ὑμᾶς * γραμμάτων ἔχειν. ἐπεὶ δὲ ἐκεῖνον ἀῤῥωστία σώματος ὑπερβάλλουσα, πρὸς τὴν ἄφιξιν διεκώλυσεν, τελείας μὲν ἐστιν ἀγάπης ἡμῶν, μήτε τὰ τῆς ἡμετέρας βραχύτητος παριδεῖν γράμματα· οὐ μέν τοι τὴν ἁγίαν ὑμῶν ἐκκλησίαν ἄμοιρον, καὶ τῆς ἐκείνου φωνῆς περιείδομεν· ἀλλ' ἔχοντες αὐτοῦ σύγγραμμα περὶ ταύτης ἰδικῶς αὐτῷ τῆς ὑποθέσεως πεπονημένον, κἀκεῖνον διὰ τοῦ γράμματος ἔχομεν ἡμῖν συμφθεγγόμενον. τίς οὖν ἡ πρὸς τὴν πεῦσιν ἀπόκρισις; τὴν ἁγίαν σύνοδον τὴν πατέρων τῶν ἐν Νικαίᾳ, σύνοδον ὄντως καθολικὴν, καὶ ἀποστολικὴν γνωρίζομεν, καὶ πίστιν τὴν ἐκτεθεῖσαν ὑπὸ τῶν πατέρων τηνικαῦτα, φυλάττομεν ἀκίνητον, * καὶ πρὸς τὸ διηνεκὲς ἀσπάρακτον μένην * εὔχομαι. γέγονε δὲ τότε τοῖς πατράσιν ἀναγκαιότερον, πλα-

* Al. δέξασθαι.

* Al. πραγματων.

* Al. ἀδάτου καὶ ἀσαλεύτου.

* f. εὐχόμεθα

πλατύτερον ἐξηγήσασθαι περὶ τῆς δόξης τοῦ μονογενοῦς· ἐπειδὴ τότε νεωστὶ φυομένην τὴν αἵρεσιν τοῦ Ἀρείου, διὰ σπουδῆς ἔσχον ἐκκόψαι, τὰ πρῶτα αὐτῆς προαναιροῦντες σπέρματα, πρὶν τελέως ἐκτραχυνθῆναι τὴν ἄκανθαν. σεσίγημεν δὲ τηνικαῦτα τοῦ κατὰ τὸ πνεῦμα ζητήματος. διὰ τοῦτο πλατύτερον μετὰ οὐδὲν προσέθεσαν. τοῖς μέν τοι γε συνετῶς ἀναγινώσκουσιν, αὐτάρκης καὶ ἡ περὶ τοῦ πνεύματος ἐν ἐκείνῃ τῇ πίστει διδασκαλία. ὥσπερ * εἰς πατέρα καὶ υἱὸν πιστεύειν, οὕτω καὶ εἰς τὸ πνεῦμα πιστεύειν ἐδογμάτισαν· μήτε ἑτέραν τινὰ φύσιν ἐπεισάγοντες τῇ θείᾳ, καὶ μακαρίᾳ τριάδι· μήτε τι τῶν ἐκ τῆς τριάδος ἀποτέμνοντες, εἰς τὴν τῆς πίστεως ἔκθεσιν. ἐπὶ δὲ πρόσφατον ὁ Σατανᾶς διασαλεύειν τὰς ἐκκλησίας ἐπιχειρῶν, ἐνέβαλέ τισι περὶ τοῦ πνεύματος δισταγμὸν, ἀναγκαῖον ἐπὶ τὴν πηγὴν ἀνατρέχειν τῆς πίστεως· ἐξ ἧς καὶ οἱ κατὰ Νίκαιαν πατέρες ἀναρυσάμενοι, τὴν ἔκθεσιν τῆς πίστεως ἐποίησαν. τίς οὖν ἡμῶν ἡ τῆς πίστεως τελειότης; ἡ τοῦ κυρίου παράδοσις, ἣν μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς ἐνετείλατο, προστάξας. πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. δῆλον ὅτι τὴν ἐντολὴν ἐδεξάμεθα, οὐ μόνον εἰς τὸ βαπτίζειν οὕτως, ἀλλὰ καὶ εἰς τὸ μαθητεύειν οὕτως ὡς διὰ ταύτης τῆς ἐντολῆς, καὶ τὴν Σαβελλίου νόσον ἀποκλεισθῆναι, τῶν τριῶν ὑποστάσεων καθαρῶς ἡμῖν παραδοθεισῶν καὶ τῶν Ἀνομοίων, καὶ τῶν Ἀρειανῶν καὶ τῶν Πνευματομάχων * ἐμφραγῆναι τὰ στόματα· τῶν μετὰ προσώπων, καὶ τῶν ὑποστάσεων τριῶν δηλουμένων, τῆς δὲ φύσεως, καὶ τῆς θεότητος μιᾶς ὁμολογηθείσης; ἀνάγκη τοίνυν οὕτως ἡμᾶς βαπτίζειν, ὡς ἐδιδάχθημεν· καὶ οὕτω πιστεύειν, ὡς ἐβαπτίσθημεν. καὶ οὕτω δοξάζειν, ὡς ἐπιστεύσαμεν. πολλὰ γὰρ τῇ διανοίᾳ περισκοποῦντες, καὶ πανταχοῦ στραφέντες τοῖς λογισμοῖς, οὐδὲν ἐπινοῆσαι δυνάμεθα μεταξὺ τοῦ κτίστου καὶ τῆς κτίσεως· ὥστε εἰ τῆς θεότητος τὸ πνεῦμα χωρίζομεν, * ἀνάγκης μετὰ τῶν κτισμάτων αὐτὸ καταριθμεῖν. εἰ δὲ κτίσμα τολμήσοιμεν εἰπεῖν, πῶς δυνατὸν ἐν τῷ βαπτίσματι μιχθῆναι; τὴν πολυθεΐαν οὕτως, ὡς καὶ τὴν ἀθεΐαν κακίζομεν· καὶ οὔτε τρεῖς ἀρχὰς, οὔτε τρεῖς Θεοὺς, οὔτε τρεῖς διαφόρους καταγγέλλομεν φύσεις· ἀλλὰ ἀρχὴν τῶν ὅλων τὸν πατέρα γινώσκοντες, οὔτε τινὰ τῶν τριῶν ὑποστάσεων ἀθετοῦμεν, καὶ τὸ σεμνὸν τῶν * τριῶν γραφῶν, καὶ τὰς ἐφ' ἕκαστον μαρτυρίας προσάγοντες. ἀλλ' ἐπειδὴ καὶ μέτρον ἐπιστολῆς ἐκφεύγει τὸ περὶ τούτων λεπτολογεῖν, καὶ τὴν ὑμετέραν ἀγάπην ἐπιστεύσαμεν ἀρκεσθήσεσθαι τῷ κεφαλαίῳ τῆς ἡμετέρας ἐκθέσεως, καὶ τὰ λοιπὰ προσθήσειν οἴκοθεν. δίδου γάρ φησι, σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται· καὶ ταῦτα ἀποχρώντως γεγραφέναι νομίζομεν. οἷς ἀρκεῖ βραχεῖαν προσθεῖναι παράκλησιν. παρακαλοῦμεν γὰρ μένειν ὑμᾶς υἱοὺς εἰρήνης· ἵνα πληρώσητε τὴν ἀποστολικὴν ἐντολὴν, σύμψυχοι, τὸ ἓν φρονοῦντες. καὶ τῶν παθημάτων τῶν ὑπὲρ Χριστοῦ κεκοινωνηκότες. μὴ δῶτε τῷ πονηρῷ διαζεῦξαι τὰ καλῶς συνημένα, μήτε τοῖς λύκοις ἑαυτοὺς εὐαλωτοτέρους ποιήσητε τῇ διχοστασίᾳ, τὰς ἐκείνων βεβαιοῦντες εὐχάς. ἐμάθομεν γὰρ ὅσους ἄθλους

* Al. inf. γάρ.

* Al. ἀποφραγῆναι.

* Al. ἀνάγκη.

* f. θείαν.

ὑπὲρ τῆς ὀρθοδοξίας ὑπέστητε τὰς οὖν ἀπειλὰς, καὶ τὰς ἀνάγκας τὰς παρὰ τῶν ὑπεναντίων νικήσαντες, μηδένα δῶτε διαστάσει καιρόν· μήποτε κατὰ βραχὺ παρεισρυόμενον μῖσος, ἐὰν σχῇ τόπον, μεγάλους ὑμῖν κρημνοὺς ὑποθήσει. ἀλλὰ καὶ ἐν ταῖς δοξολογίαις τὸ πνεῦμα πατρὶ, καὶ Υἱῷ * συνδοξάζειν, καὶ εἰδέναι τοῦτο, ὅτι οἱ τὴν ἀσυγχώρητον ἁμαρτίαν, διὰ τῆς εἰς τὸ πνεῦμα βλασφημίας ἐξαμαρτάνοντες, εἰκῇ παραιτοῦνται τὴν πρὸς τοὺς Ἀρειανοὺς κοινωνίαν. μετὰ γὰρ ἐκείνων κατακριθήσονται. εὐχόμεθα δὲ ὑμᾶς ἄτμητον τὸ σῶμα τῆς ἐκκλησίας ἀφιλονείκως φυλάξαντας, εἰρηνικῶς μὲν ἐν τῷ νῦν αἰῶνι τὸν λειπόμενον διάγειν χρόνον, ἐνδόξως δὲ ἐν ἡμέρᾳ τῆς κρίσεως παραστῆναι τῷ τοῦ Χριστοῦ βήματι.

ΣΥΝΟΔΟΣ ΕΝ ΑΝΤΙΟΧΕΙΑ,

Ἐπιστολὴ Συνοδικὴ πρὸς τοὺς Ἐπισκόπους τῆς Ἰταλίας, καὶ Γαλλίας.

Τοῖς θεοφιλεστάτοις, καὶ ὁσιωτάτοις ἀδελφοῖς συλλειτουργοῖς κατὰ τὴν Ἰταλίαν, καὶ Γαλλίαν ὁμοψύχοις ἐπισκόποις Μελέτιος, Εὐσέβειος, Βασίλειος, Βάσσος, Γρηγόριος, Πελάγιος, Παῦλος, Ἄνθιμος, Θεόδοτος, Βῖθος, Ἀβραάμιος, Σαβίνος, Ζηνῶν, Θεοδόριτος, Μαρκιανὸς, Βάραχος, Ἀβράμιος, Λιβάνιος, Θάλασσος, Ἰωσὴφ, Βοηθὸς, Ἰάτριος, Θεόδοτος, Εὐστάθιος, βαρσούμας, Ἰωάννης Χοσρόης, Ἰωσάκης, Νάρσης, Μάρις, Γρηγόριος, Δαφνὸς, καὶ οἱ λοιποὶ, ἐν κύριῳ χαίρειν.

ΦΕρει μέν τινα παραμυθίαν ταῖς ὀδυνομέναις ψυχαῖς, καὶ στεναγμὸς πολλάκις ἐκ τοῦ Βάθους τῆς καρδίας ἀναπεμπόμενος, καί που καὶ δάκρυον ἀποστάξαν τὸ πολὺ τῆς θλίψεως διεφόρησε ἡμῖν δὲ οὐχ ὅσον στεναγμὸς, καὶ δάκρυον παραμυθίαν ἔχει τὸ ἐξειπεῖν ἡμῶν τὰ πάθη, πρὸς τὴν ἀγάπην ὑμῶν. ἀλλά τις ὑμᾶς καὶ ἐλπὶς χρηστοτέρα θάλπει, ὡς τάχα ἂν εἰ ἐξαγγείλαιμεν ὑμῖν τὰ λυποῦντα ἡμᾶς, διαναστήσομεν ἡμᾶς, πρὸς τὴν ἀντίληψιν ἡμῶν, ἣν πάλαι μὲν προσεδοκήσαμεν παρ' ὑμῶν ταῖς κατὰ τὴν ἀνατολὴν ἐκκλησίαις γενήσεσθαι. οὐδέποτε δὲ τετυχήκαμεν, πάντως (ποῦ) τοῦ τὰ πάντα ἐν σοφίᾳ τὰ ἡμέτερα διοικοῦντος Θεοῦ, κατὰ τὰ ἀθεώρητα αὐτοῦ τῆς δικαιοσύνης κρίματα, πλείονι χρόνῳ παραταθῆναι ἡμᾶς ἐν τοῖς πειρασμοῖς τούτοις οἰκονομίσαντος. οὐ γὰρ δήπου ἠγνοήσατε τὰ καθ' ἡμᾶς, ἀδελφοὶ τιμιώτατοι. ὦ ἡ ἀκοὴ καὶ εἰς τὰ ἔσχατα τῆς οἰκουμένης διέδραμεν. οὐδὲ ἀσυμπαθεῖς που ὑμεῖς πρὸς τοὺς ὁμοψύχους τῶν ἀδελφῶν, μαθηταὶ ὑπάρχοντες τοῦ ἀποστόλου, τοῦ πλήρωμα εἶναι τοῦ νόμου τὴν πρὸς τὸν πλησίον ἀγάπην διδάσκοντος. ἀλλ' ὅπερ εἴπομεν, ἐπέσχεν ὑμῶν τὴν ὁρμὴν ἡ δικαία τοῦ Θεοῦ κρίσις, ἐκπληρωθῆναι ἡμῖν τὴν διατεταγμένην ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν θλίψιν ἐπιμετρήσασα. ἀλλὰ νῦν γοῦν, καὶ πρὸς τὸν ὑπὲρ τῆς ἀληθείας ζῆλον, καὶ τὴν ἡμετέραν συμπάθειαν διαναστῆναι ἡμᾶς παρακαλοῦμεν, πάντα μαθόντας, καὶ ὅσα πρὸ τούτου τὰς ἀκοὰς ἡμῶν διέφυγε, παρὰ τοῦ εὐλαβεστάτου ἀδελφοῦ ἡμῶν

τοῦ

τοῦ συνδιακόνου Σαβίνου, ὃς δυνήσεται ὑμῖν, καὶ ὅσα τὴν ἐπιστολὴν διαφεύγει, παρ' ἑαυτοῦ διηγήσασθαι. δι' οὗ παρακαλοῦμεν ὑμᾶς, ἐνδύσασθαι σπλάγχνα οἰκτιρμῶν. καὶ ἀποθέσθαι μὲν πάντα ὄκνον. ἀναλαβεῖν δὲ τὸν κόπον τῆς ἀγάπης· καὶ μήτε ὁδοῦ μῆκος, μήτε τὰς κατ' οἶκον ἀσχολίας, μήτ' ἄλλό τι τῶν ἀνθρωπικῶν ὑπολογίσασθαι. οὐ γὰρ περὶ μιᾶς ἐκκλησίας ὁ κίνδυνος. οὐδὲ δύο ἢ τρεῖς αἱ τῷ χαλεπῷ τούτῳ χειμῶνι περιπεσοῦσαι. σχεδὸν γὰρ ἀπὸ τῶν ὅρων τοῦ Ἰλλυρικοῦ μέχρι Θηβαΐδος, τὸ τῆς αἱρέσεως κακὸν ἐπινέμεται. ἧς τὰ πονηρὰ σπέρματα, πρότερον μὲν ὁ δυσώνημος Ἄρειος κατεβάλλετο, ῥιζωθέντα δὲ διὰ βάθους ὑπὸ πολλῶν τῶν ἐν μέσῳ τὴν ἀσέβειαν φιλοπόνως γεωργησάντων, νῦν τοὺς φθοροποιοὺς καρποὺς ἐξεβλάστησαν. ἀνατέτραπται μὲν γὰρ, τὰ τῆς εὐσεβείας δόγματα. συγκέχονται δὲ ἐκκλησίας θεσμοί. φιλαρχίαι δὲ τῶν μὴ φοβουμένων τὸν κύριον ταῖς προστασίαις ἐπιπηδῶσι. καὶ ἐκ τοῦ προφανοῦς λοιπὸν, ἆθλον δυσσεβείας ἡ προεδρία πρόκειται. ὥστε ὁ τὰ χαλεπώτερα βλασφημήσας, εἰς ἐπίσκοπον λαοῦ προτιμώτερος. οἴχεται σεμνότης ἱερατική. ἐπιλελοίπασιν οἱ ποιμαίνοντες μετ' ἐπιστήμης τὸ ποίμνιον τοῦ κυρίου· οἰκονομίας πτωχῶν εἰς ἰδίας ἀπολαύσεις, καὶ δώρων διανομὰς παραναλισκόντων ἀεὶ τῶν φιλαρχούντων. ἡμαύρωται κανόνων ἀκρίβεια. ἐξουσία τοῦ ἁμαρτάνειν πολλή. οἱ γὰρ σπουδαῖς ἀνθρωπίναις παρελθόντες ἐπὶ τὸ ἄρχειν, ἐν αὐτῷ τούτῳ τῆς σπουδῆς τὴν χάριν ἀνταναπληροῦσιν τῷ πάντα πρὸς ἡδονὴν διδόναι τοῖς ἁμαρτάνουσιν. ἀπόλωλε κρίμα δίκαιον. πᾶς τις τῷ θελήματι τῆς καρδίας αὐτοῦ πορεύεται. ἡ πονηρία ἄμετρος, οἱ λαοὶ ἀνουθέτητοι, οἱ προεστῶτες ἀπαρρησίαστοι. δοῦλοι γὰρ τῶν δεδωκότων τὴν χάριν, οἱ δι' ἀνθρώπων ἑαυτοῖς τὴν δυναστείαν κατακτησάμενοι. ἤδη δὲ καὶ ὅπλον τισὶ, τοῦ πρὸς ἀλλήλους πολέμου, ἡ ἐκδίκησις δῆθεν τῆς ὀρθοδοξίας ἐπινενόηται. καὶ τὰς ἰδίας ἔχθρας ἐπικρυψάμενοι, ὑπὲρ τῆς εὐσεβείας ἐχθραίνειν κατασχηματίζονται. ἄλλοι δὲ τὸν ἐπὶ τοῖς αἰσχίστοις ἐκκλίνοντες ἔλεγχον, τοὺς λαοὺς εἰς τὴν κατ' ἀλλήλων φιλονεικίαν ἐκμαίνουσιν, ἵνα τοῖς κοινοῖς κακοῖς, τὸ κατ' ἑαυτοὺς συσκιάσωσι. διὸ καὶ ἄσπονδός ἐστιν ὁ πόλεμος οὗτος, τῶν τὰ πονηρὰ εἰργασμένων, τὴν κοινὴν εἰρήνην ὡς ἀποκαλύπτουσαν αὐτῶν τὰ κρυπτὰ τῆς αἰσχύνης ὑφορωμένων. ἐπὶ τούτοις γελῶσιν οἱ ἄπιστοι, σαλεύονται οἱ ὀλιγόπιστοι· ἀμφίβολος ἡ πίστις, ἄγνοια κατακέχυται τῶν ψυχῶν, διὰ τὸ μιμεῖσθαι τὴν ἀλήθειαν τοὺς δολοῦντας τὸν λόγον ἐν κακουργίᾳ. σιγᾷ μὲν γὰρ τὰ τῶν εὐσεβούντων στόματα. ἀνεῖται δὲ πᾶσα βλάσφημος γλῶσσα. ἐβεβηλώθη τὰ ἅγια, φεύγουσι τοὺς εὐκτηρίους οἴκους οἱ ὑγιαίνοντες τῶν λαῶν, ὡς ἀσεβείας διδασκαλεῖα· κατὰ δὲ τὰς ἐρημίας, πρὸς τὸν ἐν τοῖς οὐρανοῖς δεσπότην, μετὰ στεναγμῶν, καὶ δακρύων τὰς χεῖρας αἴρουσιν. ἔφθασε δὲ καὶ μέχρις ὑμῶν τὰ γενόμενα ἐν ταῖς πλείσταις τῶν πόλεων· ὅτι οἱ λαοὶ σὺν γυναιξὶ, καὶ παισὶ, καὶ αὐτοῖς τοῖς πρεσβύταις πρὸ τῶν πυλῶν ἐκχυθέντες, ἐν τῷ ὑπαίθρῳ τελοῦσι τὰς προσευχὰς, φέροντες πάσας τὰς ἐκ τοῦ ἀέρος κακοπαθείας σὺν πολλῇ τῇ μακροθυμίᾳ, τὴν παρὰ τοῦ κυρίου ἀντίληψιν ἀναμένοντες. τίς θρῆνος τῶν συμφορῶν τούτων ἄξιος; ποῖαι πηγαὶ δακρύων κακοῖς τοσούτοις ἐπαρκέσουσιν; ἕως οὖν ἔτι δοκοῦσιν ἑστᾶναι τινές; ἕως ἔτι ἴχνος τῆς παλαιᾶς καταστάσεως διασώζεται, πρὶν τέλεον ταῖς ἐκκλησίαις ἐπέλθῃ τὸ ναυάγιον, ἐπείχθητε πρὸς ἡμᾶς, ἐπείχθητε ἤδη, ναὶ δεόμεθα ἀδελφοὶ γνησιώτατοι. δότε χεῖρα τοῖς εἰς γόνυκλειθεῖσι. συγκινηθήτω ἐφ' ἡμῖν τὰ ἀδελφικὰ ὑμῶν σπλάγχνα, προχυθήτω δάκρυα συμπαθείας, καὶ μὴ περιίδητε τὸ ἥμησυ τῆς ἥμησυ τῆς οἰκουμένης ὑπὸ τῆς πλάνης καταποθέν. μὴ ἀνάσχησθε ἀποσβεσθῆναι τὴν πίστιν, παρ' οἷς πρῶτον ἐξέλαμψε. τί οὖν ποιήσαντες ἀντιλήψεσθε τῶν πραγμάτων; καὶ πῶς τὸ πρὸς τοὺς θλιβομένους συμπαθὲς ἐπιδείξεσθε, οὐ παρ' ἡμῶν πάντως δεήσει μανθάνειν, ἀλλ' αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον ὑμῖν ὑποθήσεται. πλὴν γε ὅτι τάχους χρεία πρὸς τὸ περισώσασθαι τοὺς περιλειφθέντας· καὶ παρουσίας ἀδελφῶν πλειόνων, ὥστε πλήρωμα εἶναι συνόδου τοὺς ἐπιδημοῦντας, ἵνα μὴ μόνον ἐκ τῆς τῶν ἀποστηλάντων σεμνότητος, ἀλλὰ καὶ ἐκ τοῦ οἰκείου ἀριθμοῦ τὸ ἀξιόπιστον ἔχωσιν εἰς διόρθωσιν· οἳ καὶ τὴν ἐν Νικαίᾳ γραφεῖσαν παρὰ τῶν πατέρων ἡμῶν πίστιν ἀνανεώσονται, καὶ τὴν αἵρεσιν ἐκριζώσουσι, καὶ ταῖς ἐκκλησίαις τὰ εἰρηνικὰ διαλέξονται· τοὺς τὰ αὐτὰ φρονοῦντας συνάγοντες εἰς ὁμόνοιαν. τοῦτο γὰρ δήπου τῶν πάντων ἐλεεινότερον, ὅτι καὶ τὸ δοκοῦν ὑγιαίνειν ἐφ' ἑαυτὸ ἐμερίσθη. καὶ περιέστηκεν ἡμᾶς, ὡς ἔοικε, παραπλήσια πάθη, τοῖς ποτὲ κατὰ τὴν Οὐεσπεσιανοῦ πολιορκίαν τὰ Γεροσόλυμα περίσχουσιν. ἐκεῖνοί τε γὰρ, ὁμοῦ μὲν τῷ ἔξωθεν συνείχοντο πολέμῳ, ὁμοῦ δὲ καὶ τῇ ἔνδοθεν στάσει τῶν ὁμοφύλων καταναλίσκοντο ἡμῖν δὲ πρὸς τῷ φανερῷ πολέμῳ τῶν αἱρετικῶν, ἔτι καὶ ὁ παρὰ τῶν δοκούντων ὀρθοδοξεῖν ἐπαναστὰς, πρὸς ἔσχατον ἀσθενίας τὰς ἐκκλησίας κατήγαγεν. ἐφ' ἅπερ καὶ μάλιστα τῆς παρ' ὑμῶν χρήζομεν βοηθείας, ὥστε τοὺς τὴν ἀποστολικὴν ὁμολογοῦντας πίστιν, ἅπερ ἐπενόησαν σχίσματα διαλύσαντας, ὑποταγῆναι τοῦ λοιποῦ τῇ αὐθεντίᾳ τῆς ἐκκλησίας. ἵνα ἄρτιον γένηται τὸ σῶμα τοῦ Χριστοῦ, πᾶσι τοῖς μέλεσι εἰς ὁλοκληρίαν ἐπανελθόν· καὶ μὴ μόνον τὰ παρ' ἑτέροις μακαρίζομεν ἀγαθὰ, ὅπερ νῦν ποιοῦμεν, ἀλλὰ καὶ τὰς ἡμετέρας αὐτῶν ἐπίδωμεν ἐκκλησίας τὸ ἀρχαῖον καύχημα τῆς ὀρθοδοξίας ἀπολαβούσας. τῷ ὄντι γὰρ τοῦ ἀνωτάτου μακαρισμοῦ ἄξιον, τὸ τῇ ὑμετέρᾳ θεοσεβείᾳ χαρισθὲν παρὰ τοῦ κυρίου, τὸ μὲν κίβδηλον, ἀπὸ τοῦ δοκίμου, καὶ καθαροῦ διακρίνειν· τὴν δὲ τῶν πατρῶν πίστιν ἄνευ τινὸς ὑποστολῆς κηρύσσειν. ἣν καὶ ἡμεῖς ἐδεξάμεθα. ἐπέγνομεν ἐκ μὲν ἀποστολικῶν χαρακτήρων μεμορφωμένην, συνθέσμοι καὶ αὐτῇ, καὶ πᾶσι τοῖς ἐν τῷ συνοδικῷ γράμματι κανονικῶς, καὶ ἐνθέσμως, δεδογματισμένοις.



Πρωτᾶτον, Ἅγ. Δημήτριος, 14ου αἰ.



Ἰησοῦς Χριστός, ἡ Σοφία τοῦ Θεοῦ.
Σύγχρονον ἔργον.



Πρωτᾶτον, Μ. Κωνσταντῖνος, 14ου αἰ.







Μ. Διονυσίου, Μεσοπεντηκοστή, ὁ Ἰησοῦς δωδεκαετής εἰς τόν Ναόν (κῶδ. 587 μ.).



Μ. Παντελεήμονος, Ἅγ. Γρηγόριος ὁ Θεολόγος μεταξύ τῶν ἑκατόν πεντήκοντα ἐπισκόπων (κῶδ. 6).



Arbanasi, Βουλγαρίας, Β' Οἰκουμενική Σύνοδος, 17ος αἰ.



Μ. Ὁσίου Λουκᾶ, Πνεῦμα ἐπί θρόνου



Μ. Βασίλειος. Σύγχρονον ἔργον



Μ. Διονυσίου, Γρηγόριος ὁ Θεολόγος, 16ου αἰ



Μ. Ζάβορδας, Γρεβενῶν, Ἅγ. Γρηγόριος ὁ Θεολόγος, 17ου αἰ.



Ἅγ. Νεκτάριος Κων/πόλεως.



Ἅγ. Δονᾶτος.



Μ. Διονυσίου, Γρηγόριος Νύσσης. 16ου αἰ.

Η' Α'ΓΙ'Α Ε'Ν ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟ'ΛΕΙ ΣΥ'ΝΟΔΟΣ ΟΙ'ΚΟΥΜΕΝΙΚΗ' ΔΕΥΤΕ'ΡΑ.

ΤΟΥ' Ε'Ν Α'ΓΙ'ΟΙΣ

ΓΡΗΓΟΡΙ'ΟΥ ΤΟΥ' ΝΑΖΙΑΝΖΙΝΟΥ'.

Συντακτήριος εἰς τὴν τῶν ἑκατὸν πεντήκοντα ἐπισκόπων παρουσίαν.

ΧΡΟ'ΝΟΙ ΑΠΟ' ΧΡΙ. 381.

ΠΩ'Σ ὑμῖν τὰ ἡμέτερα, ὦ φίλοι ποιμένες καὶ συμποίμενες; ὧν ὡραῖοι μὲν οἱ πόδες, εὐαγγελιζομένων εἰρήνην καὶ ἀγαθὰ, μεθ' ὧν ἐληλύθατε. Ρωμ. 10. 15. ὡραῖοι δὲ τὰ πρὸς ἡμᾶς, οἷς εἰς καιρὸν ἐληλύθατε, οὐχ ἵνα πρόβατον πλανώμενον ἐπιστρέψητε, ἀλλ' ἵνα ποιμένα ἔκδημον ἐπισκέψησθε. Λεκ. 15. 4. πῶς τὰ τῆς ἐκδημίας ὑμῖν ἔχει τῆς ἡμετέρας; καὶ τίς ὁ ταύτης καρπὸς; μᾶλλον δὲ τοῦ ἐν ἡμῖν πνεύματος, ᾧ κινούμεθά τε ἀεὶ, καὶ νῦν κεκινήμεθα, μηδὲν ἴδιον ἔχειν ἐπιθυμοῦντες, μήτ' ἴσως ἔχοντες; ἆρά γε συνίετε παρ' ὑμῶν αὐτῶν, καὶ καταμανθάνετε, καὶ λογισταὶ τῶν ἡμετέρων ἐστὲ χρηστότεροι; ἢ δεῖ, καθάπερ τοὺς στρατηγίας, ἢ δημαγωγίας, ἢ διοικήσεως χρημάτων λόγον ἀπαιτουμένους, δημοσίᾳ καὶ αὐτοὺς ὑποσχεῖν ὑμῖν τὰς εὐθύνας ὧν διῳκήκαμεν; οὐ γὰρ αἰσχυνόμεθα κρινόμενοι, ὅτι καὶ κρίνομεν ἐν τῷ μέρει, καὶ μετὰ τῆς αὐτῆς ἀγάπης ἀμφότερα. παλαιὸς δὲ ὁ νόμος. ἐπεὶ καὶ Παῦλος τοῖς ἀποστόλοις ἐκοινοῦτο τὸ Γαλατ. 2. 2. εὐαγγέλιον, οὐχ ἵνα φιλοτιμήσηται· πόρρω γὰρ τὸ πνεῦμα πάσης φιλοτιμίας· ἀλλ' ἵν', ἢ βεβαιωθῇ τὸ κατορθούμενον, ἢ διορθωθῇ τὸ ὑστερούμενον. εἰ ἄρα τι καὶ τοιοῦτον ἦν ἐν τοῖς ὑπ' ἐκείνου λεγομένοις, ἢ πραττομένοις, ὡς αὐτὸς παραδηλοῖ περὶ ἑαυτοῦ γράφων· ἐπειδὴ καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται, 1. Κορ. 14. 32. κατὰ τὴν εὐταξίαν τοῦ πάντα καλῶς οἰκονομοῦντος, καὶ διαιροῦντος πνεύματος. εἰ δὲ ἐκεῖνος μὲν ἰδίᾳ καί τισιν, ἐγὼ δὲ δημοσίᾳ καὶ πᾶσιν ὑπέχω λόγον, μηδὲν θαυμάσητε· καὶ γὰρ χρήζω μᾶλλον ὠφεληθῆναι τῇ τῶν ἐλέγχων ἐλευθερίᾳ, ἤπερ ἐκεῖνος, εἴ τι φαινοίμην ἐλλείπων τοῦ δέοντος· Γαλ. 2. 2. μήπως εἰς κενὸν τρέχω, ἢ ἔδραμον. Ὁ οὐκ ἔστιν ἄλλως ἀπολογήσασθαι, ἢ ἐν εἰδόσι τοὺς λόγους ποιούμενον. τίς οὖν ἡ ἀπολογία; καὶ εἰ μὲν ψευδὴς, ἐλέγξατε· εἰ δὲ ἀληθὴς, μαρτυρήσατε ὑμεῖς, ὑπὲρ ὧν, καὶ ἐν οἷς ὁ λόγος. ὑμεῖς 1. Θεσσαλ. 2. 19. γάρ μοι καὶ ἀπολογία, καὶ μάρτυρες, καὶ καυχήσεως στέφανος, ἵνα τολμήσω κἀγώ τι τῶν τοῦ ἀποστόλου νεανιεύσασθαι. τοῦτο τὸ ποίμνιον ἦν, ὅτε μικρόν τε καὶ ἀτελὲς ἦν, ὅσον ἐπὶ τοῖς ὁρωμένοις, καὶ οὐδὲ ποίμνιον, ἀλλὰ ποίμνης τι μικρὸν ἴχνος, ἢ λείψανον, ἀσύντακτον, καὶ ἀνεπίσκοπον, καὶ ἀόριστον, μήτε νομὴν ἐλευθέραν ἔχον, μήτε μάνδρᾳ περιεχόμενον, πλανώμενον ἐν ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, Ἑβρ. 11. 38. ἄλλο ἀλλαχοῦ διεσπαρμένοντε, καὶ διερρημμένον, ὡς ἕκαστον ἔτυχε, σκεπόμενον, ἢ νεμόμενον, καὶ διακλέπτον τὴν ἑαυτοῦ σωτηρίαν· οἷον ἐκεῖνο τὸ ποίμνιον, ὃ λέοντες ἐξῶσαν, ἢ ζάλη διέλυσεν, ἢ σκοτόμαινα διεσκέδασεν· ὃ θρηνοῦσι μὲν προφῆται, τοῖς τοῦ Ἰσραὴλ ἀπεικάζοντες πάθεσι παραδεδομένου τοῖς ἔθνεσιν. Γερ. 50. 17. ἐθρηνήσαμεν δὲ καὶ ἡμεῖς, ἐφ' ὅσον θρήνων ἐπράττομεν ἄξια. τῷ ὄντι γὰρ καὶ ἡμεῖς ἐξώσθημεν, καὶ ἀπερρίφημεν, καὶ ἐπὶ πᾶν ὄρος, καὶ βουνὸν διεσπάρημεν, ὡς ἐν ἐρημίᾳ ποιμένος· καὶ πονηρός τις χειμὼν κατέσχε τὴν ἐκκλησίαν, καὶ δεινοὶ θῆρες ἐπιπεπτώκασιν, οἱ μηδὲ νῦν, μετὰ τὴν αἰθρίαν, ἡμῶν φειδόμενοι, ἀλλ' ἀναισχυντοῦντες εἶναι ὁ τοῦ καιροῦ δυνατώτεροι· καὶ σκυθρωπή τις σκοτόμαινα ἐπέλαβε πάντα, ὁ συνεκάλυψε πολὺ τῆς ἐννάτης τῶν Αἰγυπτίων πληγῆς βαρυτέρα, τοῦ ψηλαφητοῦ λέγω σκότους, ὑφ' οὗ μικροῦ μηδὲ ἀλλήλους ἰδεῖν ἠδυνήθημεν. Ἐξοδ. 10. 22. καὶ ἵν' εἴπω τι συμπαθέστερον, ὡς πατρὶ τῷ παραδεδωκότι θαρρήσας· Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, Ἡσαΐ. 63. 16. καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς· ἀλλὰ σὺ πατὴρ ἡμῶν εἶ, καὶ πρὸς σὲ βλέπομεν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. διὰ τοῦτο ἀπολογήσομαι, πλὴν κρίματα λαλήσω πρὸς σὲ, φησὶν Γερεμίας. Γερ. 22. ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν. καὶ ἐπελάθου διαθήκης ἁγίας σου, καὶ ἀπέκλεισας ἀφ' ἡμῶν τὰ ἐλέη σου. διὰ τοῦτο ἐγενήθημεν ὄνειδος τῷ ἀγαπητῷ σου; Ἡσαΐ. 63. 19. οἱ τῆς τριάδος προσκυνηταὶ, οἱ τέλειοι Ψαλ. 78. 4. τῆς τελείας θεότητος πρόσφυγες, καὶ μὴ τολμωντές τι

ΕΠΙ ΑΥΤΟΚΡΑΤ. ΘΕΟΔΟΣΙΟΥ.

τῶν

τῶν ὑπὲρ ἡμᾶς εἰς ἡμᾶς κατάγειν, μηδὲ τοσοῦτον ἐπαί-
ρεσθαι, κατὰ τὰς ἀθέους γλώσσας καὶ θεομάχους, ὥστε
τὴν δεσποτείαν ποιεῖν ὁμόδουλον. ἀλλὰ παρεδόθημεν
δηλαδὴ διὰ τὰς ἄλλας ἁμαρτίας ἡμῶν, καὶ τὸ μὴ ἀξίως
τῶν ἐντολῶν σου ἀναστραφῆναι, ἀλλ' ὀπίσω τῆς διανοίας
ἡμῶν τῆς πονηρᾶς πορευθῆναι· διατὶ γὰρ ἕτερον; ἀνδρά-
σιν ἀδικωτάτοις, καὶ πονηροτάτοις παρὰ πάντας τοὺς κατοι-
κοῦντας τὴν γῆν. ὁ πρῶτος Ναβουχοδονόσορ ἐξέθλι-
ψεν ἡμᾶς, ὁ μετὰ Χριστὸν κατὰ Χριστοῦ μανεὶς, καὶ διὰ
τοῦτο μισήσας Χριστὸν, ὅτι δι' αὐτοῦ ἐσέσωστο, καὶ τῶν
ἱερῶν βίβλων τὰς ἀθέους θυσίας ἀντιλαβὼν, κατέφα-
γέ με, ἐμερίσατό με, ἐκάλυψέ με σκότος λεπτὸν,
Γερ. 51. 34. ἵνα μὴ ἀποστῶ μηδὲ θρηνῶν τῆς γραφῆς· εἰ μὴ ὅτι
Ψαλ. 54. 6. κύριος ἐβοήθησέ μοι, καὶ χερσὶν ἀνόμων δικαίως αὐτὸν
παρέδωκεν, ἐκτοπίσας εἰς Πέρσας, οἷα τὰ Θεοῦ κρί-
ματα, καὶ ὑπὲρ αἱμάτων ἀνοσίων αἷμα ἐχύθη δίκαιον,
ἐνταῦθα μόνον οὐδὲ μακροθυμῆσαι ἀναχομένης τῆς
δίκης, παραβραχὺ παρώκησε τῷ ἅδῃ ἡ ψυχή μου. ὁ
Ψαλ. 93. 17. δεύτερος οὐδὲν ἐκείνου φιλανθρωπότερος. ὅτι μὴ καὶ βα-
ρύτερος, ὅσῳ τὸ Χριστοῦ φέρων ὄνομα, ψευδόχριστος
ἦν, καὶ Χριστιανοῖς ὄνειδος, οἷς καὶ τὸ ποιεῖν ἄθεον,
καὶ τὸ πάσχειν ἄδοξον, τῷ μηδὲ ἀδικεῖσθαι δοκεῖν, μη-
δὲ τὸ μεγαλοπρεπὲς ὄνομα προσεῖναι, τὴν μαρτυ-
ρίαν· ἀλλὰ κἀνταῦθα κλέπτεσθαι τὴν ἀλήθειαν· πά-
σχοντας ὡς Χριστιανοὺς, ὡς ἀσεβεῖς κολάζεσθαι. οἴμοι
ὅτι ἐπλουτήσαμεν ἐν τοῖς κακοῖς, ὅτι πῦρ κατέφαγε τὰ
Γωήλ. 1. 4. ὡραῖα τῆς οἰκουμένης· τὰ κατάλοιπα τῆς κάμπης κα-
τέφαγεν ἡ ἀκρὶς, καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος κατέφα-
γεν ἡ ἐρυσίβη, εἶτα ὁ βροῦχος. εἶτα οὐκ οἶδ' ὅ, τι πρὸς
τούτοις καὶ ἄλλο ἐπ' ἄλλῳ κακῷ φυόμενον. τί ἄν τις ἐκ-
τραγῳδοίη πάντα τὰ τοῦ καιροῦ κακὰ; καὶ τὴν τότε καταχοῦ-
σαν ἡμᾶς, εἴτε εἴσπραξιν χρὴ λέγειν, εἴτε δοκιμα-
σίαν, καὶ πύρωσιν; πλὴν ὅτι διήλθομεν διὰ πυρὸς καὶ
ὕδατος, καὶ προήλθομεν εἰς ἀναψυχὴν, εὐδοκίᾳ τοῦ
Ψαλ. 65. 12. σώζοντος Θεοῦ. ἀλλ' ὅ μοι λέγειν ἀπ' ἀρχῆς ὁ λόγος
ὥρμητο. τοῦτο τὸ γεώργιον ἦν ὅτε μικρόν τε, καὶ πενι-
χρὸν ἦν, καὶ οὐχ ὅπως Θεοῦ τοῦ τὸν Κόσμον ὅλον γεωρ-
γήσαντός τε, καὶ γεωργοῦντος τοῖς καλοῖς τῆς εὐσεβείας
σπέρμασί τε, καὶ δόγμασιν. ἀλλ' οὐδὲ πένητος ἑνὸς τῶν
ἐνδεῶν, καὶ μετρίων, ὥς γε ἐδόκει. ἀλλ' οὐδὲ γεώργιον
ὅλως, οὐδὲ ἀποθηκῶν, οὐδὲ ἅλω τυχὸν, οὐδὲ δρεπά-
νης ἄξιον. οὐδὲ θημὼν, οὐδὲ δράγματα, ἢ δράγματα
μικρά τε, καὶ ἄωρα, καὶ οἷα τὰ ἐκ δωμάτων· μήτε χεῖρα
πληροῦντα τοῦ θερίζοντος, μήτε τῶν παριόντων προκα-
λούμενα εὐλογίαν. τοιοῦτον ἡμῶν τὸ γεώργιον, τοσοῦ-
τον τὸ θέρος. μέγα μὲν καὶ εὔσταχυ, καὶ ποῖον τῷ θεωρη-
τῇ τῶν κρυπτῶν, καὶ τοιούτου γεωργοῦ πρέπον εἶναι, ὃ
πληθύνουσι κοιλάδες ψυχῶν καλῶς τῷ λόγῳ γεωργου-
Μιχ. 7. μένων· οὐ μὴν γνωριζόμενον τοῖς πολλοῖς, οὐδὲ εἰς ἓν
συναγόμενον, ἀλλὰ κατὰ μικρὸν συλλεγόμενον, ὡς
Ὠσηὲ 9. 10. καλάμη ἐν ἀμητῷ, καὶ ὡς ἐπιφυλλὶς ἐν τρυγητῷ, μὴ
ὑπάρχοντος βότρυος. προσθήσειν μοι δοκῶ κἀκεῖνα,
καὶ λίαν κατὰ καιρόν· ὡς σκοπὸν ἐν ἐρήμῳ εὗρον τὸν
Ἡσαΐ. 65. 8. Ἰσραὴλ, καὶ ὡς ῥάγα μίαν, ἢ δευτέραν ὥριμον ἐν ἀώ-
ρῳ τῷ βότρυι, εὐλογίαν μὲν κυρίου τετηρημένην, καὶ
ἀπαρχὴν καθιερωμένην, πλὴν ὀλίγην ἔτι καὶ σπά-
νιον, καὶ οὐ πληροῦσαν στόμα ἔσθοντος, καὶ ὡς σημαίαν
Ἡσαΐ. 30. 17. ἐπὶ βουνοῦ, καὶ ὡς ἱστὸν ἐπ' ὄρους, ἢ εἴ τι ἄλλο τῶν μονα-
δικῶν τε, καὶ οὐ σὺν πλείωσι θεωρουμένων. ταῦτα μὲν τὰ
τῆς προτέρας πενίας, καὶ κατηφείας. ἀφ' οὗ δὲ ὁ πτω-
χίζων, καὶ πλουτίζων Θεὸς, ὁ θανατῶν, καὶ ζωογονῶν, 1. Βασιλ. 2. 6.
ὁ ποιῶν πάντα καὶ μετασκευάζων μόνω τῷ βούλεσθαι·
ὁ ποιῶν ἐκ μὲν νυκτὸς ἡμέραν, ἐκ δὲ χειμῶνος ἔαρ,
ἐκ δὲ ζάλης γαλήνην, ἐκ δὲ αὐχμῶν ἐπομβρίαν. 3. Βασιλ. 18.
καὶ τοῦτο δι' ἑνὸς δικαίου πολλάκις εὐχὴν ἐπιπολὺ διω-
χθέντος· ὁ ἀναλαμβάνων πρᾳεῖς εἰς ὕψος, καὶ Ψαλ. 146. 6.
ταπεινῶν ἁμαρτωλοὺς ἕως γῆς, ἐκεῖνο πρὸς αὐτὸν
εἶπεν. ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ Ἰσραὴλ, καὶ οὐ Ἐξοδ. 3. 3.
μὴ προσθῶσιν ἔτι τῷ πηλῷ, καὶ τῇ πλινθείᾳ ταλαι-
πωρεῖν. καὶ εἰπὼν, ἐπεσκέψατο. καὶ ἐπισκεψάμενος Ψαλ. 135. 12.
ἔσωσε, καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν χειρὶ κρα-
ταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ. ἐν χειρὶ Μωϋσῆ καὶ
Ἀαρὼν τῶν ἐκλεκτῶν αὐτοῦ. τί γίνεται; καὶ τί θαυ- Ψαλ. 76. 11.
ματουργεῖται; ἃ βίβλοι, καὶ μνῆμαι φέρουσιν. ἐκτὸς
γὰρ τῶν κατὰ τὴν ὁδὸν θαυμασίων, καὶ τῆς μεγά-
λης ἐκείνης βομβήσεως, ἵν' εἴπω τι συντομώτατον·
Ἰωσὴφ εἰς Αἴγυπτον εἷς, καὶ μυριάδες ἑξήκοντα μετ' Γεν. 37.
ὀλίγον ἐξ Αἰγύπτου. τί τούτου θαυμασιώτερον, ἢ Ἐξοδ. 11. 37.
μεῖζον τῆς τοῦ Θεοῦ μεγαλονοίας τεκμήριον; ὅταν
ἐκ τῶν ἀπόρων θέλῃ πόρον δοῦναι τοῖς πράγμασι,
καὶ γῆ τῆς ἐπαγγελίας κληροδοτεῖται δι' ἑνὸς μιση-
θέντος· καὶ ὁ πραθεὶς ἔθνη μεθίστησι, καὶ εἰς ἔθ-
νος καθίσταται μέγα· καὶ ἡ μικρὰ παραφυὰς ἐκείνη, Ψαλ. 77. 55.
ἄμπελος εὐκληματοῦσα γίνεται, καὶ τοσαύτη, ὡς ἐ-
πεμβαίνειν μὲν ποταμοῖς, ἐκτείνεσθαι δὲ μέχρι θα-
λάσσης, ἐξ ὁρίων εἰς ὅρια πλατυνομένην· καλύ-
πτειν δὲ ὄρη τῷ ὕψει τῆς δόξης, κέδρων δὲ ὑπεραί-
ρεσθαι, καὶ ταῦτα τῶν τοῦ Θεοῦ· ἅ τινα δὴ τὰ ὄρη ταῦ-
τα, καὶ ἅς τινας τὰς κέδρους ὑποληπτέον· τοιοῦτόν ποτε
τοῦτο τὸ ποίμνιον, καὶ τοιοῦτον νῦν, οὕτως εὐεκτοῦντε καὶ
πλατυνόμενον· εἰ δὲ μήπω τελείως, ἀλλ' εἰς τούτο
γε ταῖς κατὰ μέρος ὁδεῦον προσθήκαις· καὶ προφη-
τεύσω δὲ, ὅτι καὶ ὁδεῦσον. τοῦτό μοι τὸ πνεῦμα προ-
λέγει τὸ ἅγιον, εἴ τι προφητικὸς ἐγὼ, καὶ βλέπων
τὰ ἔμπροσθεν. καὶ ἅμα τοῖς προλαβοῦσιν ἔχω θαρ-
ρεῖν, καὶ λογισμῷ γινώσκειν, ὡς λόγου συνέτροφος.
πολὺ γὰρ παραδοξότερον ἐξ ἐκείνου τοσαύτην γενέ-
σθαι, ἢ τὴν νῦν οὖσαν εἰς ἄκρον προελθεῖν λαμ-
πρότητος. ἐξ οὗ γὰρ συνάγεσθαι ἤρξατο παρὰ τοῦ
ζωογονοῦντος τοὺς νεκροὺς, ὀστᾶ πρὸς ὀστᾶ, καὶ ἁρμο- Γεζεκ. 37.
νία πρὸς ἁρμονίαν, καὶ τοῖς ξηροῖς ἐδόθη πνεῦμα
ζωῆς καὶ παλιγγενεσίας, πᾶσαν εὖ οἶδα πληρωθῆ-
ναι δεῖ τὴν ἀνάστασιν. ὥστε μὴ ὑψούθωσαν ἐν ἑαυ- Ψαλ. 65. 7.
τοῖς οἱ παραπικραίνοντες, μηδὲ σκιὰν κρατοῦντες, ἢ
ἐνύπνιον ἐξεγειρομένων, ἢ αὔρας διαπνεούσας, ἢ νηὸς
ἴχνη καθ' ὕδατος, ἔχειν τι νομιζέτωσαν· ὀλολυ-
ζέτω πύτυς, ὅτι πέπτωκε κέδρος. τοῖς τῶν ἄλλων κα- Ἐκελ. 34. 2.
κοῖς παιδευέσθωσαν, καὶ μανθανέτωσαν, ὅτι οὐκ εἰς
τέλος ἐπιλησθήσεται ὁ πτωχὸς, οὐδὲ ἀνέξεται μὴ ἐνεκ- Ψαλ. 72. 10.
στάσει διακόψαι κεφαλὰς δυναστῶν, ὡς ὁ Ἀββακούμ
φησιν, ἡ διακοπτομένη θεότης, καὶ διαιρουμένη κακῶς
εἴς τε τὸ ἄρχον καὶ τὸ ἀρχόμενον, ὡς ἂν μάλιστα καὶ θεό-
της ὑβρισθείη καταγομένη, καὶ βαρυνθείη κτίσις ὁμο-
τιμίᾳ θεότητος. δοκῶ μοι κἀκείνης ἀκούειν τῆς φωνῆς
παρὰ τοῦ συνάγοντος τοὺς συντετριμμένους, καὶ τοὺς πε-
πιεσμένους εἰσδεχομένου· πλάτυνον τὰ χοινίσματά
σου ἔτι, ἐκπέτασον εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ, πῆ- Ἀββακ. 3. 14.
ξον, τῶν αὐλαιῶν μὴ φείσῃ. ἐγὼ παραδέδωκά σε, καὶ
ἐγὼ βοηθήσω σοι. ἐν θυμῷ μικρῷ ἐπάταξά σε, καὶ
ἐν ἐλέῳ αἰωνίῳ δοξάσω σε. μεῖζον τὸ μέτρον τῆς φι- Ἡσαΐ. 54. 2.

λαν-

λανθρωπίας, ὑπὲρ τὸ μέτρον τῆς παιδαγωγίας. ἐκεῖνα διὰ τὴν πονηρίαν, ταῦτα διὰ τὴν τριάδα προσκυνουμένην. ἐκεῖνα διὰ τὴν κάθαρσιν, ταῦτα διὰ τὴν ἐμὴν δόξαν, ὃς δοξάζω τοὺς δοξάζοντας, καὶ παραζηλῶ τοὺς παραζηλοῦντας. ἰδοὺ ταῦτα ἐσφράγισαι παρ' ἐμοὶ, καὶ οὗτος ἄλυτος νόμος ἀντιμετρήσεως. σὺ δέ μοι περιείχου τῶν τοίχων, καὶ τῶν πλακῶν, καὶ τῆς κεκομψευμένης ψηφίδος, καὶ τῶν μακρῶν δρόμων, καὶ περιδρόμων, καὶ χρυσῷ κατελάμπου καὶ περιελάμπου, * τὸν μὲν ὡς ὕδωρ ἔσπειρες, τὸν δὲ ὡς ἄμμον ἐθησαύριζες· ἀγνοῶν ὅτι κρείσσων ὕπαιθρος πίστις πολυτελοῦς ἀσεβείας, καὶ πλείους Θεῷ τρεῖς συνηγμένοι ἐν ὀνόματι κυρίου, πολλῶν μυριάδων ἀρνουμένων θεότητα. ἢ καὶ τοὺς Χαναναίους ἅπαντας προτιμήσεις ἐνὸς τοῦ Ἀβραάμ; ἢ καὶ τοὺς Σοδομίτας ἐνὸς τοῦ Λώτ; ἢ καὶ Μαδιηναίους Μωσέως, τῶν παροίκων καὶ ξένων; τί δὲ τοὺς μετὰ Γεδεὼν τριακοσίους τοὺς λάψαντας ἀνδρικῶς, τῶν ἀποστραφεισῶν χιλιάδων; τί δὲ τοὺς οἰκογενεῖς Ἀβραάμ, τοὺς μικρὸν ὑπὲρ τούτους τῷ ἀριθμῷ, τῶν πολλῶν βασιλέων, καὶ τῶν τοῦ στρατοῦ μυριάδων, ἃς καί περ ὄντες ὀλίγοι κατεδίωξαν, καὶ ἐτρέψαντο. ἐκεῖνο δὲ πῶς νοεῖς. ὅτι ἐὰν γένηται ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται; τί δὲ τὸ κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵ τινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν, οὐκ ἐν τοῖς πλείοσιν εὐδόκησεν ὁ Θεός. σὺ μὲν ἀριθμεῖς τὰς μυριάδας, ὁ Θεὸς δὲ τοὺς σωζομένους. καὶ σὺ μὲν τὸν ἀμέτρητον χοῦν, ἐγὼ δὲ τὰ σκεύη τῆς ἐκλογῆς. οὐδὲν γὰρ οὕτω Θεῷ μεγαλοπρεπὲς, ὡς λόγος κεκαθαρμένος, καὶ ψυχὴ τελεία τοῖς τῆς ἀληθείας δόγμασιν. ἄξιον μὲν γὰρ οὐδέν ἐστι τοῦ τὰ πάντα πεποιηκότος, καὶ παρ' οὗ τὰ πάντα, καὶ εἰς ὃν τὰ πάντα, δοῦναι Θεῷ, καὶ προσενεγκεῖν, μὴ ὅτι μιᾶς χειρὸς ἔργον ἢ περιουσίας, ἀλλ' οὐδ' εἰ πᾶσάν τις τὴν ἐν ἀνθρώποις εὐπορίαν ἢ χεῖρα εἰς ἓν συνενεγκὼν τιμῆσαι θελήσειεν. οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει κύριος; καὶ, ποῖον οἶκον οἰκοδομήσετέ μοι; ἢ τίς τόπος τῆς καταπαύσεώς μου; ἐπεὶ δὲ τῆς ἀξίας διαμαρτεῖν ἀναγκαῖον, ὃ δεύτερόν ἐστιν, αἰτῷ παρ' ὑμῶν, τὴν εὐσέβειαν. τὸν κοινὸν πλοῦτον ἐμοὶ καὶ ὁμότιμον, ἐν ᾧ τυχὸν ὑπερβαλεῖται καὶ τὸν λίαν λαμπρὸν ὁ πάνυ πένης, ἂν ᾖ μεγαλόψυχος. προαιρέσεως γὰρ, οὐκ εὐπορίας ἡ τοιαύτη φιλοτιμία. λήψομαι μὲν οὖν καὶ ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν, εὖ ἴστε, πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε, ἀλλὰ πατήσουσιν αὐτὴν πόδες πραέων τῶν ἐπεγνωκότων ἐμὲ, καὶ τὸν μονογενῆ μου λόγον, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὑγιῶς καὶ γνησίως. μέχρι τίνος κληρονομήσετε τὸ ὄρος τὸ ἅγιόν μου; μέχρι τίνος ἡ κιβωτὸς παρὰ τοῖς ἀλλοφύλοις; νῦν δὲ μικρὸν ἔτι ἐντρυφήσατε τοῖς ἀλλοτρίοις, καὶ τοῦ βούλεσθαι ἀπολαύσατε· ὅτι ὃν τρόπον ἐβουλεύσασθε τοῦ ἀπώσασθαί με, κἀγὼ ἀπώσομαι ὑμᾶς, λέγει κύριος παντοκράτωρ. ταῦτα καὶ ἀκούειν λέγοντος ἐδόκουν, καὶ ποιοῦντος αἰσθάνεσθαι, καὶ ἔτι πρὸς τούτοις, πρὸς μὲν τὸν λαὸν βοῶντος τὸν ἐξ ὀλίγου πολὺν ἤδη, καὶ συγκείμενον ἱκανῶς ἐκ διεσπαρμένου, καὶ ἐξ ἐλευμένου τυχὸν καὶ ἐπίφθονον· πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ πλατύνεσθε. μὴ διὰ πατὸς δεῖ κάμνειν ὑμᾶς ἐκ σκηναῖς κατοικοῦντας, καὶ τοὺς θλίβοντας ὑμᾶς ὑπερευφραίνεσθαι; πρὸς δὲ τοὺς ἐφεστῶτας ἀγγέλους. πείθομαι γὰρ ἄλλους ἄλλης προστατεῖν ἐκκλησίας, ὡς Ἰωάννης διδάσκει με διὰ τῆς ἀποκαλύψεως. ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε· ἵνα μηδὲν ᾖ σκῶλον, μηδὲ κώλυμα τῷ λαῷ τῆς θείας ὁδοῦ καὶ εἰσόδου, νῦν μὲν ἐπὶ τὰ χειροποίητα, μικρὸν δὲ ὕστερον ἐπὶ τὴν ἄνω Ἱερουσαλὴμ, καὶ τὰ ἐκεῖσε ἅγια τῶν ἁγίων· ἃ τέλος οἶδα τῆς ἐνταῦθα κακοπαθείας καὶ συντονίας τοῖς καλῶς ὁδεύουσιν. ἐν οἷς ἐστε, καὶ ὑμεῖς κλητοὶ ἅγιοι, λαὸς περιούσιος, βασίλειον ἱεράτευμα, σχοίνισμα κυρίου τὸ κράτιστον, ἀπὸ σταγόνος ποταμὸς ὅλος, ἀπὸ σπινθῆρος λαμπὰς οὐράνιος, ἀπὸ κόκκου σινάπιος δένδρον πτηνῶν ἀνάπαυμα. τούτους δωροφοροῦμεν ὑμῖν, ὦ φίλοι ποιμένες καὶ συμποίμενες, τούτους προσάγομεν, τούτοις δεξιούμεθα τοὺς ἡμετέρους φίλους, καὶ ξένους, καὶ συνεκδήμους· τούτων οὐδὲν κάλλιον προσενεγκεῖν εἴχομεν ὑμῖν, οὐδὲ λαμπρότερον, ὧν ἔχομεν τὸ μεῖζον ἐπιζητήσαντες. ἵν' εἰδῆτε καὶ ξένους ὄντας ἡμᾶς, καὶ οὐκ ἐνδεεῖς. ἀλλὰ πτωχοὺς μὲν, πολλοὺς δὲ πλουτίζοντας. ταῦτα εἰ μὲν μικρὰ καὶ οὐδενὸς λόγου ἄξια, πεισθῆναι βούλομαι, τίνα τὰ μείζω καὶ λόγου πλείονος; εἰ γὰρ τὸ πόλιν τῆς οἰκουμένης ὀφθαλμὸν, γῆς καὶ θαλάσσης ὅτι κράτιστον, ἑῴας τε καὶ ἑσπερίου λήξεως οἷον σύνδεσμον, εἰς ἣν τὰ πανταχόθεν ἄκρα συντρέχει, καὶ ὅθεν ἄρχεται ὡς ἐμπορίου κοινοῦ τῆς πίστεως· εἰ τὸ ταύτην στηρίξαι τε, καὶ σθενῶσαι τοῖς ὑγιαίνουσι λόγοις, τῶν οὐμεγάλων· καὶ ταῦτα τοσαύταις δονουμένην γλώσσαις, καὶ οὕτω παντοχόθεν, σχολῆγ' ἂν ἄλλο τι φανείη μέγα καὶ σπουδῆς ἄξιον. εἰ δὲ τῶν ἐπαινουμένων καὶ τιμωμένων, δότε τι καὶ ἡμῖν τῆς ἐπὶ τούτοις φιλοτιμίας, καὶ αὐτοὶ μερίδα τινὰ τοῖς ὁρομένοις τούτοις συνεισηνέγκαμεν. ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ οἶδε πᾶς ὁ τῶν ἐμῶν λόγων ἐξεταστής. ἴδε τὸν στέφανον τὸν πλακέντα τῆς δόξης ἀντὶ τῶν μισθωτῶν Ἐφραὶμ, καὶ τοῦ στεφάνου τῆς ὕβρεως. ἴδε πρεσβυτέρων συνέδριον πολιᾷ, καὶ συνέσει τετιμημένων, διακόνων εὐταξίαν, οὐ πόρρω τοῦ αὐτοῦ πνεύματος· ἀναγνωστῶν εὐκοσμίαν, λαοῦ φιλομάθειαν, ὅσον ἐν ἀνδράσιν, ὅσον ἐν γυναιξὶ, τὴν ἀρετὴν ὁμοτίμοις· καὶ ἀνδρῶν, ὅσον ἐν φιλοσόφοις, ὅσον ἐν ἁπλουστέροις, πᾶσι σοφοῖς τὰ θεῖα· ὅσον ἐν ἄρχουσιν, ὅσον ἐν ἀρχομένοις, ἐνταῦθα πᾶσι καλῶς ἀρχομένοις· ὅσον ἐν στρατιώταις, ὅσον ἐν εὐγενέσιν, ὅσον ἐν λόγοις καὶ περὶ λόγους, πᾶσι Θεοῦ στρατιώταις, ἡμέροις τ' ἄλλα, πολεμικοῖς ὑπὲρ πνεύματος· πᾶσι τὴν ἄνω τιμῶσι σύγκλητον· εἰς ἣν οὐ τὸ γράμμα εἰσάγει τὸ πεζὸν, ἀλλὰ τὸ ζωοποιοῦν πνεῦμα, ἅπασι λογίοις ὡς ἀληθῶς, καὶ τοῦ ὄντως λόγου θεραπευταῖς. καὶ γυναικῶν ὅσον ὑπὸ ζυγὸν, Θεῷ μᾶλλον ἢ σαρκὶ συνδεδεμένων, ὅσον ἄζυγον καὶ ἐλεύθερον, Θεῷ τὸ πᾶν καθιερωμένον. ὅσον ἐν νέοις, ὅσον ἐν γέρουσιν· ὧν τὸ μὲν ἐπὶ γῆρας καλῶς ὁδεύει, τὸ δὲ βιάζεται μεῖναι ἀθάνατον, ταῖς κρείττοσι τῶν ἐλπίδων ἀνακαινούμενον. τούτου τοῦ στεφάνου, ὃ λαλῶ, οὐ κατὰ κύριον λαλῶ. λαλήσω δὲ ὅμως, κἀγώ τι συνεβαλλόμην τοῖς πλέκουσι. τούτων τις καὶ τῶν ἐμῶν λόγων ἔργον, οὐχ οὓς ἐρρίψαμεν, ἀλλ' οὓς ἠγαπήσαμεν· οὐδὲ τῶν πορνικῶν, ὥς τις ἔφη διασύρων ἡμᾶς, τῶν πόρνων καὶ λόγον καὶ τρόπον. ἀλλὰ καὶ λίαν σωφρόνων. τούτων τις καὶ τοῦ ἐμοῦ πνεύματος γένημα, καὶ καρπὸς, ὡς γενναῖν οἶδε πνεῦμα τοὺς ἐπανισταμένους σώματος. μαρτυρήσωσιν εὖ οἶδ' ὅτι καὶ ὑμῶν οἱ εὐγνώμονες, ἢ καὶ πάντες, ἐπεὶ καὶ πάντας ἐγεωργήσα-

7. 5.
* ἴσ. καὶ τὸ μὲν ὡς ὕδωρ ἔσπειρες.
1. Βασιλ. 2. 30.
Ματθ. 18. 20.
Γεν. 19.
Ἐξοδ. 2.
Κριτῶν 7. 7.
Γεν. 14. 14.
Ἡσαΐ. 10. 22.
Γεν. 23. 24.
Ἡσαΐ. 66.
Ἡσαΐ. 26. 6.
Ἡσαΐ. 61. 10.
Ἀποκαλ. 2. 2.
1. Πετρ. 2. 9.
Μεχ. 2. 22.
1. Κρ. 6. 10.

σαμεν, καὶ μισθὸς ἡ ὁμολογία μόνη· ὁ γὰρ ἄλλο τι ἐπιζητοῦμεν ἢ ἐζητήσαμεν. ἅμιλλα γὰρ ἡ ἀρετή, ἵνα καὶ ἀρετὴ μείνῃ, πρὸς τὸ καλὸν μόνον βλέπουσα. βούλεσθε προσθῶμέν τι καὶ νεανικώτερον; ὁρᾶτε τὰς ἐναντίας γλώσσας ἡμερωμένας, καὶ τοὺς θεότητι πολεμοῦντας, ὑμῖν ἡσυχάζοντας. καὶ τοῦτο τοῦ πνεύματος, καὶ τοῦτο τῆς γεωργίας τῆς ἡμετέρας. ὁ γὰρ ἀπαιδεύτως παιδεύομεν, οὐδὲ ταῖς ὕβρεσι βάλλομεν, ὅπερ πάσχουσιν οἱ πολλοί, μὴ τῷ λόγῳ μαχόμενοι, τοῖς δὲ λέγουσι, καὶ τιμὴ ἀσθένειαν ἐσὶν ὅτε τῶν λογισμῶν ταῖς ὕβρεσι συγκαλύπτοντες. ὥσπερ τοὺς σηπίας λόγος ἐμεῖν τὸ μέλαν πρὸ ἑαυτῶν, ἵνα τοὺς θηρεύοντας διαφύγωσιν, ἢ τῷ λανθάνειν θηράσωσιν. ἀλλὰ τὸ περὶ Χριστοῦ πολεμεῖν δείκνυμεν ἐν τῷ μάχεσθαι, κατὰ Χριστὸν τὸν εἰρηνικόν τε καὶ πρᾶον, καὶ τὰς ἀσθενείας ἡμῶν βασάσαντα, ὅτε εἰρηνεύομεν, κατὰ τοῦ λόγου τῆς ἀληθείας ὑφιέντες τι διὰ δόξαν ἐπιεικείας· ὁ γὰρ κακῶς τὸ καλὸν θηρεύομεν, καὶ εἰρηνεύομεν ἀνόμως μαχόμενοι, καὶ εἴσω τῶν ἡμετέρων ὅρων καὶ κανόνων τοῦ πνεύματος. περὶ μὲν οὖν τούτων ὅπω γινώσκω, καὶ νόμον τίθημι πᾶσι τοῖς ψυχῶν οἰκονόμοις, καὶ τοῦ λόγου ταμίαις. μήτε τῷ σκληρῷ ξαχύνειν, μήτε τῷ ὑπερβάλλοντι κατεπαίρειν, ἀλλ' ἀλόγους εἶναι περὶ τὸν λόγον, μηδετέρῳ τὸ μέσον ὑπερβαίνοντας. δεῖ δὲ ἴσως ποθοῦσιν ὑμῖν καὶ τὸν τῆς πίστεως αὐτῆς ἐπιδείξασθαι λόγον, ἢ τίς ποτέ ἐστιν ἡ καθ' ἡμᾶς. ἐγώτε γὰρ ἁγιασθήσομαι τῷ σωτῆρι τῆς μνήμης, ὃ, τε λαὸς ὅτῳ ὀνήσεται, χαίρων, εἴπερ ἄλλῳ τινὶ, τοῖς τοιούτοις λόγοις. καὶ ὑμεῖς ἐπιγνώσεσθε, εἰ μὴ μάτην φθονούμεθα, τῇ φανερώσει τῆς ἀληθείας τοῖς μὲν ἀμιλλωμένοις, τοὺς δὲ φθάνοντες. ὥσπερ γὰρ τῶν βρυχίων ὑδάτων τὰ μὲν ἐν βάθει κρύπτεται παντελῶς, τὰ δὲ παφλάζει σκοχωρούμενα, καὶ τιμὴ ἔκρηξιν ὑπιχνεῖται μὲν ταῖς ἀκοαῖς, μέλλει δὲ ἔτι. τὰ δὲ καὶ ἀναρρήγνυται· οὕτω καὶ τῶν φιλοσοφούντων περὶ Θεοῦ, ἵνα μὴ λέγω τοὺς παντελῶς ἀγνώμονας· οἱ μὲν πάντῃ κρύφιον καὶ λανθάνουσαν ἔχουσιν ἐν ἑαυτοῖς τὴν δυσέβειαν, οἱ δὲ τῆς ὠδῖνος ἐγγύς, ὅσοι τὸ μὲν ἀσεβὲς φεύγουσι, τὸ δὲ δυσεβὲς οὐ παῤῥησιάζονται, εἴτε οἰκονομίᾳ τινὶ χρώμενοι περὶ τὸν λόγον, εἴτε δειλίᾳ πρὸς τοῦτο καταφεύγουσιν, ἀλλὰ τὴν μὲν διάνοιαν ὑγιαίνουσιν, ὡς φασι, τὸν λαὸν δὲ οὐχ ὑγιάζουσιν, ὥσπερ ἑαυτῶν, οὐκ ἄλλων προσασίαν ἐγχειρισθέντες. οἱ δὲ καὶ δημοσιεύουσι τὸν θησαυρὸν, ὑσέγοντες τὴν ὠδῖνα τ εὐσεβείας, οὐδὲ τὸ μόνοι σώζεσθαι σωτηρίαν νομίζοντες, εἰ μὴ καὶ ἄλλοις τὸ καλὸν ὑπερβλύσειε, μεθ' ὧν ἐγὼ ταττοίμην, ἢ εἴ τινες μετ' ἐμοῦ τιμὴ καλιὰ τόλμαν τολμῶντες, ὁμολογεῖν τιμὴ εὐσέβειαν. ἓν μὲν οὖν καὶ σώτομον πρόγραμμα τὸ καθ' ἡμᾶς λόγος, καὶ οἷον σηλογραφία τις πᾶσι γνώριμος, ὁ λαὸς οὗτος, γνήσιος ὢν τῆς τεμάδος προσκυνητής. ὡς θᾶττον ἄντινα διαζεύχθηναι τ ζωῆς ταύτης, ἢ τι τῶν ξυῶν ἐν διαζεῦξαι τῆς θεότητος· σύμφρονες ὁμόζηλοι, ἑνὶ λόγῳ πρός τε ἀλλήλους, καὶ πρὸς ἡμᾶς καὶ τιμὴ ξιάδα κρατούμενοι. τὰ δὲ καθ' ἕκαστον ἵν' ἐπέλθω σωτόμως, ἄναρχον, καὶ ἀρχὴ, καὶ τὸ μετὰ τῆς ἀρχῆς, εἱθεός. ὅτε τὸ ἀνάρχῳ τὸ ἄναρχον φύσις, ἢ τὸ ἀχθώητον. ὐδεμία γὰρ φύσις, ὅτι μὴ τόδε ἐσὶν, ἀλλ' ὅτι τόδε· ἡ τοῦ ὄντος θέσις, οὐχὶ τοῦ μὴ ὄντος ἀναίρεσις. ὅτε ἡ ἀρχὴ τῷ ἀρχὴ εἶναι, τοῦ ἀνάρχου διείργεται· ὁ γὰρ φύσις αὐτῷ ἡ ἀρχὴ, ὥσπερ ὐδ' ἐκείνῳ τὸ ἄναρχον· περὶ γὰρ τιὼ φύσιν, ὁ ταῦτα φύσις, καὶ τὸ μετὰ τοῦ ἀνάρχου καὶ τῆς ἀρχῆς, ὐδ' ἄλλο τι, ἢ ὅπερ ἐκεῖνα. ὄνομα δὲ, τῷ μὲν ἀνάρχῳ, πατήρ· τῇ δὲ ἀρχῇ, υἱός· τῷ δὲ μετὰ τῆς ἀρχῆς, πνεῦμα ἅγιον. φύσις δὲ τοῖς τρισὶ μία, Θεός. ἕνωσις δὲ, ὁ πατὴρ, ἐξ οὗ καὶ πρὸς ὃν ἀνάγεται τὰ ἐξῆς, οὐχ ὡς σωαλεῖφεσθαι, ἀλλ' ὡς ἔχεσθαι· μήτε χρόνου διείργοντος, μήτε θελήματος, μήτε δυνάμεως· ταῦτα γὰρ ἡμᾶς πολλὰ εἶναι πεποίηκεν, αὐτοῦ τε ἑκάστου πρὸς ἑαυτὸν καὶ πρὸς τὸ ἕτερον σασιάζοντος. οἷς δὲ ἁπλῆ φύσις, καὶ τὸ εἶναι ταυτὸν, τούτοις καὶ τὸ ἓν κύριον. τὰς μὲν οὖν φιλονείκους ἐπὶ θάτερα μεταχλίσεις τοῦ λόγου καὶ ἀντισηκώσεις χαίρειν ἐάσαμεν. οὔτε τῷ ἑνὶ σαβελλίζοντες κατὰ τῶν ξιῶν, καὶ συναιρέσει κακῇ τὴν διαίρεσιν λύοντες· ὅτε τοῖς τρισὶν ἀρειανίζοντες κατὰ τοῦ ἑνὸς, καὶ πονηρᾷ διαιρέσει τὸ ἓν ἀναξέποντες. ὁ γὰρ κακῷ κακὸν ἀλλάξασθαι τὸ ζητούμενον; ἀλλὰ τοῦ καλοῦ τὸ μὴ διαμαρτεῖν. ὡς ταῦτά γε τοῦ πονηροῦ παίγνια, κακῶς τὰ ἡμέτερα ταλαντεύοντος. αὐτοὶ δὲ τὴν μέσην βαδίζοντες καὶ βασιλικὴν, ἐν ᾗ καὶ τὸ πᾶν ἀρετῶν ἔσηκεν, ὡς δοκεῖ τοῖς ταῦτα δεινοῖς, πιστεύομεν εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, ὁμοουσιά τε καὶ ὁμόδοξα· ἐν οἷς καὶ τὸ βάπτισμα τιμὴ τελείωσιν ἔχει, ἔν τε ὀνόμασι καὶ πράγμασιν· οἶδας ὁ μυηθείς, ἄρνησιν ὀν ἀθείας, καὶ ὁμολογία θεότητος, καὶ ὕτω καταρτιζόμεθα. τὸ μὲν ἓν τῇ οὐσίᾳ γινώσκοντες καὶ τῷ ἀμερίσῳ τῆς προσκυνήσεως. τὰ δὲ τρία ταῖς ὑποσάσεσιν εἴτ' οὖν προσώποις, ὅ, τισι φίλον. μηδὲ γὰρ οἱ περὶ ταῦτα ζυγομαχοῦντες ἀχρημονέπωσαν, ὥσπερ ἐν ὀνόμασι κειμένης ἡμῖν τῆς δυσεβείας, ἀλλ' οὐκ ἐν πράγμασι. τί γάρ φατε, οἱ τὰς ξεῖς ὑποσάσεις εἰσφέροντες; μὴ ξεῖς οὐσίας ὑπολαμβάνοντες, τοῦτο λέγετε; μέγα δ' οἶδ' ὅτι βοήσετε κατὰ τῶν οὕτως ὑπειληφότων· μίαν γὰρ καὶ τὴν αὐτιμὴ τῶν τριῶν δογματίζετε. τί δὲ οἱ τὰ πρόσωπα, μὴ ἕν, οἱόντι σύνθετον ἀναπλάσσετε, καὶ ξιοπρόσωπον ἢ ἀνθρωπόμορφον ὅλως; ἄπαγε. καὶ ὑμεῖς ἀντιβοήσετε, μηδὲ πρόσωπον ὅ, τι ποτέ ἐστιν ἴδοι Θεοῦ, ὃς οὕτως ἔχει. τί ὖν ὑμῖν αἱ ὑποσάσεις βούλονται, ἢ ὑμῖν τὰ πρόσωπα; προσερήσομαι γάρ· τὸ ξία εἶναι τὰ διαιρούμενα, ὁ φύσεσιν, ἀλλ' ἰδιότησιν, ὑπέρβλεπε. πῶς ἂν τινες συμφωνοῖεν μᾶλλον, καὶ τὸ αὐτὸ λέγοιεν, ἢ ὅπως ἔχοντες, κἂν ταῖς συλλαβαῖς διαφέρωσιν; ὁρᾶτε οἷος ἐγὼ διαλλακτὴς ὑμῖν πρὸς τὸν νοῦν ἄγων ἀπὸ τοῦ γράμματος, ὥσπερ τιμὴ παλαιὰν καὶ τιμὴ νέαν; ἀλλ' ἐπανιτέον μοι πάλιν πρὸς τὸν αὐτὸν λόγον. τὸ μὲν οὖν ἀχθώητον, καὶ τὸ γθυνητὸν, καὶ τὸ ἐκπορθητὸν λεγέσθωτε καὶ νοείσθω, εἰ τῷ φίλον δημιουργεῖν ὀνόματα. ὁ γὰρ δείσομεν, μή ποτε νοῆται σωματικῶς τὰ ἀσώματα. ὅπερ δοκεῖ τοῖς ἑπτρεασαῖς τῆς θεότητος· κτίσμα δὲ, Θεῷ μὲν λεγέσθω. μέγα γὰρ ἡμῖν καὶ τοῦτο, Θεὸς δὲ μηδα-

δαμῶς· ἢ τότε δέξομαι κτίσμα εἶναι Θεὸν, ὅταν κἀγὼ γένωμαι κυρίως Θεός. ἔχει γὰρ οὕτως. εἰ μὲν Θεὸς, οὐ κτίσμα· μεθ' ἡμῶν γὰρ τὸ κτίσμα, τῶν οὐ Θεῶν. εἰ κτίσμα δὲ, οὐ Θεός· ἤρξατο γὰρ χρονικῶς· ὃ δὲ ἤρξατο, ἦν ὅτε οὐκ ἦν. οὗ δὲ πρεσβύτερον τὸ οὐκ ἦν, τοῦτο οὐ κυρίως ὄν. τὸ δὲ μὴ κυρίως ὄν, πῶς Θεὸς; οὔτε οὖν κτίσμα τῶν τριῶν οὐδεὲν· οὔτε, ὃ τούτου χεῖρον, δι' ἐμὲ γενόμενον· ἵνα μὴ κτίσμα ᾖ μόνον, ἀλλὰ καὶ ἡμῶν ἀτιμότερον. εἰ γὰρ ἐγὼ μὲν εἰς δόξαν Θεοῦ, τοῦτο δὲ δι' ἐμὲ, ἡ πυράγρα διὰ τὴν ἅμαξαν, ἢ ὁ πρίων διὰ τὴν θύραν, νικῷ τῇ αἰτίᾳ. ὅσῳ γὰρ κτισμάτων Θεὸς ὑψηλότερος, τοσούτῳ τοῦ διὰ Θεὸν ὑποστάντος ἐμοῦ, τὸ δι' ἐμὲ γενόμενον ἀτιμότερον. πρὸς ταῦτα Μωαβίταις μὲν καὶ Ἀμμωνίταις μηδὲ εἰσιτητὸν εἰς ἐκκλησίαν ἔστω Θεοῦ, λόγοις διαλεκτικοῖς τε καὶ κακοπράγμοσιν· οἳ γένησιν Θεοῦ πολυπραγμονοῦντες, καὶ πρόοδον ἄῤῥητον, κατεξανίστανται τολμηρῶς θεότητος· ὡς δέον, ἢ ἐφικτὰ μόνοις εἶναι τὰ ὑπὲρ λόγον, ἢ μηδὲ εἶναι, ὅτι μὴ αὐτοὶ κατειλήφασιν. ἡμεῖς δὲ ταῖς θείαις γραφαῖς ἑπόμενοι, καὶ τὰ ἐγκείμενα σκῶλα τοῖς τυφλώττουσι λύοντες τῆς σωτηρίας ἑξόμεθα, πᾶντα τολμῶντες πρότερον, ἢ κατὰ Θεοῦ τι νεανιεύεσθαι. τὰς μὲν δὴ μαρτυρίας ἄλλοις παρήσομεν, πολλοῖς τε λογογραφείσας ἤδη πολλάκις, καὶ ἡμῖν οὐ παρέργως. καὶ ἁμαλίαν αἰσχρὸν ἐμοὶ γοῦν, νῦν τὰς πίστεις συλλέγειν τῶν πάλαι πεπιστευμένων. τάξις γὰρ οὐκ ἀρίστη, διδάσκειν πρότερον, εἶτα μανθάνειν, μὴ ὅτι τὰ θεία καὶ τηλικαῦτα τὸ μέγεθος, ἀλλ' οὐδὲ ἄλλο τι τῶν μικρῶν καὶ τοῦ μηδενὸς ἀξίων. καὶ τὰ ἐκ τῶν γραφῶν προσκόμματα λύειν καὶ διαρθροῦν, οὐ τοῦ παρόντος καιροῦ. σπουδῆς δὲ τελεωτέρας καὶ μείζονος, ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τῆς ὑποθέσεως. ὁ δ' οὖν λόγος ἡμῶν, ὡς ἐν κεφαλαίῳ περιλαβεῖν, ἔστιν οὗτος. καὶ ταῦτα διῆλθον, οὐχ ἵν' ἀγωνίσωμαι πρὸς τοὺς ἀντιθέτους· πολλάκις γὰρ ἤδη διηγωνισάμεθα, εἰ καὶ μετρίως, ἀλλ' ἵν' ὑμῖν ἐπιδείξω τὸν χαρακτῆρα τῶν ἐμῶν διδαγμάτων, εἰ μὴ τῶν ὑμετέρων ἐγὼ συναγωνιστὴς, καὶ κατὰ τῶν αὐτῶν καὶ ὑπὲρ τῶν αὐτῶν ἱστάμενος. οὗτος ὑμῖν, ὦ ἄνδρες, ὁ τῆς ἐμῆς ἀπόλογος παρουσίας. εἰ μὲν ἐπαινετῶς ἔχων, τῷ Θεῷ χάρις καὶ ὑμῖν τοῖς καλέσασιν· εἰ δὲ τῆς ἐλπίδος ἐνδεέστερον, καὶ οὕτω χάρις· οὐ γὰρ πάντῃ ψεκτῶς, εὖ εἶδα, καὶ ὑμῖν οὐκ ἀπιστῶ λέγουσιν. μή τι τὸν λαὸν τοῦτον ἐπλεονεκτήσαμεν; μή τι τῶν ἡμετέρων ᾠκονομήσαμεν, ὃ τοὺς πολλοὺς ὁρῶ πάσχοντας; μή τι τὴν ἐκκλησίαν παρελιπήσαμεν; ἄλλους μὲν ἴσως, οἷς ἐρήμην ἡμᾶς ἠρηκέναι νομίζουσι, τὸν ἡμέτερον ἀντεστήσαμεν λόγον· ὑμᾶς δὲ οὐδὲν, ὅσα ἐμαυτῷ συνεπίσταμαι· οὐ βοῦν ὑμῶν εἴληφα, φησὶ Σαμουὴλ ὁ μέγας, πρὸς τὸν Ἰσραὴλ ὑπὲρ τοῦ βασιλέως διαφερόμενος· οὐ ψυχῶν ὑμῶν ἐξίλασμα· μάρτυς κύριος ἐν ὑμῖν· οὐ τὸ, καὶ τὸ, πλείονα λέγων, ἵνα μὴ αὐτὸς ἀπαριθμῶμαι καθ' ἕκαστον· ἀλλὰ καθαρὰν καὶ ἀκίβδηλον τὴν ἱερωσύνην ἐφύλαξα. εἰ δὲ δυναστείαν ἠγάπησα, ἢ θρόνων ὕψος, ἢ βασιλέων πατεῖν αὐλὰς, μηδὲ ἄλλο τι λαμπρὸν ἔχοιμι, ἢ ῥίψαιμι κεκτημένος. τί οὖν ἐστιν, ὅ φημι; οὐ γὰρ ἄμισθος ἐγὼ τῆς ἀρετῆς ἐργάτης, οὐδ' εἰς τοσοῦτον ἀρετῆς ἀφικόμην. δότε μοι τῶν πόνων μισθόν. τίνα τοῦτον; οὐχ ὃν ἄν τινες ὑπολάβοιεν τῶν πάντα ῥαδίων, ἀλλ' ὃν ἐμοὶ ζητεῖν ἀσφαλές. ἀναπαύσατε τῶν μακρῶν πόνων ἡμᾶς, αἰδέσθητε τὴν πολιὰν ταύτην, τιμήσατε τὴν ξενιτείαν· ἄλλον ἀντεισαγάγετε, τὸν ὑπὲρ ὑμῶν διωκόμενον. ὅστις καθαρὸς χεῖρας, ὅστις φωνὴν οὐκ ἀσύνετος, ὅστις ἱκανὸς τὰ πάντα ὑμῖν χαρίζεσθαι, καὶ συνδιαφέρειν τὰς ἐκκλησιαστικὰς φροντίδας· ἐπειδὴ τούτων μάλιστα νῦν ὁ καιρός. ἐμοὶ δὲ ὁρᾶτε καὶ τὸ σῶμα ὡς ἔχει τοῦτο, καὶ χρόνῳ καὶ νόσῳ καὶ πόνῳ δαπανηθέν. τί δεῖ γέροντος ὑμῖν δειλοῦ καὶ ἀνάνδρου, καὶ καθ' ἑκάστην, ὡς εἰπεῖν, ἀποθνήσκοντος τὴν ἡμέραν, οὐ τῷ σώματι μόνον, ἀλλὰ καὶ ταῖς φροντίσιν. ὃς μόλις καὶ ταῦτα ὑμῖν διαλέγομαι. μὴ ἀπιστήσητε φωνῇ διδασκάλου· καὶ γὰρ οὐδὲ ἠπιστήσατε πώποτε. κέκμηκα τὴν ἐπιείκειαν ἐγκαλούμενος, κέκμηκα καὶ λόγῳ καὶ φθόνῳ μαχόμενος, καὶ πολεμίοις, καὶ ἡμετέροις. οἱ μὲν τὰ στέρνα παίουσι, καὶ ἧττον ἐπιτυγχάνουσι· τὸ γὰρ προδήλως ἐχθρὸν, εὐφύλακτον. οἱ δὲ τὰ νῶτα τηροῦσι, καὶ μᾶλλόν εἰσι λυπηροί. τὸ γὰρ ἀνύποπτον, καιριώτερον. εἰ δὲ καὶ κυβερνήτης ἦν, καὶ τῶν λίαν ἐπιστημόνων, εἶτα πολλὴ μὲν ἦν περὶ ἡμᾶς ἡ θάλασσα, καὶ περὶ τὴν ναῦν ζέουσα· πολλὴ δὲ τῶν ἐμπλεόντων ἡ στάσις, ἄλλων περὶ ἄλλου ζυγομαχούντων, καὶ ἀντικτυπούντων ἀλλήλοις τε καὶ τοῖς κύμασι, πόσον ἀντέχον ἂν ἐπὶ τῶν οἰάκων καθήμενος, ὥστε καὶ θαλάσσῃ καὶ τοῖς πλέουσι μάχεσθαι, καὶ διασώζειν ἀκινδύνως τὴν ναῦν ἐκ διπλοῦ τοῦ κλύδωνος. ὧν γὰρ παντὶ τρόπῳ συναγωνιζομένων, χαλεπὸν ἦν τὸ τῆς σωτηρίας, τούτων πῶς οἷόν τε ἀνταγωνιζομένων μὴ καταδύεσθαι; τί τἆλλα δεῖ λέγειν; ἀλλὰ πῶς οἴσω τὸν ἱερὸν τοῦτον πόλεμον; λεγέσθω γάρ τις καὶ πόλεμος ἱερὸς, ὥσπερ καὶ βαρβαρικός. πῶς συνάψω καὶ εἰς ἓν ἀγάγω τοὺς ἀντικαθεζομένους τούτους καὶ ἀντιποιμαίνοντας, καὶ τὸν συναπερρωγότα τούτοις λαὸν καὶ ἀντίθετον· ὥσπερ ἐν τοῖς χάσμασι τῶν σεισμῶν τὰ γειτονοῦντα καὶ πλησιάζοντα, ἢ ταῖς λοιμικαῖς νόσοις τοὺς θεραπευτὰς καὶ οἰκείους, ἄλλοις ἀπ' ἄλλων διαδιδομένης εὐκόλως τῆς ἀῤῥωστίας· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ τῆς οἰκουμένης τμήματα, συμπεπονθότα τοῖς στασιάζουσιν, ὥστε καὶ εἰς ἀντίπαλον μοῖραν ἀποκριθῆναι τό, τε ἑῷον καὶ τὸ ἑσπέριον, καὶ κινδυνεύειν τῆς γνώμης οὐχ ἧττον, ἢ τῶν περάτων ταῦτα γενέσθαι τμήματα; μέχρι τίνος γὰρ ὁ ἐμὸς καὶ ὁ σὸς, καὶ ὁ παλαιὸς καὶ ὁ νέος, ὁ λογιώτερος ἢ ὁ πνευματικώτερος, ὁ εὐγενέστερος ἢ ὁ δυσγενέστερος, ὁ τῷ πλήθει πλουσιώτερος, ἢ ὁ πενέστερος; αἰσχύνομαι τὸ γῆρας, ἄλλων καλούμενος, ὑπὸ Χριστοῦ σεσωσμένος. οὐ φέρω τοὺς ἱππικοὺς ὑμῶν καὶ τὰ θέατρα, καὶ τὴν ἀντίῤῥοπον ταύτην μανίαν ἔν τε δαπανήμασι καὶ σπουδάσμασι. μεταζευγνύμεν, ἀντιζευγνύμεν, ἀντιφρυασσόμεθα, μικροῦ καὶ τὸν ἀέρα παίομεν, ὥσπερ ἐκεῖνοι, καὶ βάλλωμεν κόνιν εἰς οὐρανὸν, ὥσπερ οἱ ἐξεστηκότες, καὶ ὑπ' ἄλλοις προσώποις τὰς ἡμετέρας

τέρας ἐκπληροῦμεν φιλονεικίας. κακὰ γινόμεθα τῆς φιλοτιμίας διαιτηταὶ, καὶ κριταὶ, τῶν πραγμάτων ἀγνώμονες. σήμερον σύνθρονοι καὶ καὶ ὁμόδοξοι, ἂν οὕτω φέρωσιν ἡμᾶς οἱ ἄγοντες· αὔριον ἀντίθρονοι καὶ ἀντίδοξοι, ἐὰν ἀντιπνεύσῃ τὸ πνεῦμα. μετὰ τῆς ἔχθρας καὶ τῆς φιλίας, καὶ τὰ ὀνόματα· καὶ τὸ δεινότατον, οὐκ αἰσχυνόμεθα τοῖς αὐτοῖς χρώμενοι τῶν ἐναντίων ἀκροαταῖς· οὐδὲ ἐπὶ τῶν αὐτῶν βεβήκαμεν ἄλλοτε ἄλλους ποιούσης ἡμᾶς τῆς φιλονεικίας· εὐρίπων μεταβολαί τινες ἢ ἀμπώτιδες. ὥσπερ οὖν εἰ μειρακίων ἐν ἀγορᾷ παιζόντων ἐν μέσῳ καὶ παιζομένων, αἰσχρὸν ἂν ἦν λίαν καὶ οὐχ ἡμῶν, καταλιπόντας τὰς οἰκείας διατριβὰς ἐκείνοις συμφέρεσθαι· οὐ γὰρ ὡραῖον γήρᾳ παίδων ἀθύρματα· οὕτως οὐδ' εἰ φερόντων καὶ φερομένων, αὐτός τι βέλτιον τῶν πολλῶν γινώσκων δεξαίμην ἂν ἐκείνων εἷς εἶναι μᾶλλον, ἢ ὅπερ εἰμὶ μετὰ τῆς ἀφανίας ἐλεύθερος. πρὸς γὰρ αὖ τοῖς ἄλλοις πάσχω τι καὶ τοιοῦτον. οὐ τὰ πολλὰ συμφέρομαι τοῖς πολλοῖς, οὐδὲ τὴν αὐτὴν βαδίζειν ἀνέχομαι· θρασέως μὲν ἴσως καὶ ἀμαθῶς, πάσχω δ' οὖν ὅμως. ἀνιᾷ με τὰ τῶν ἄλλων τερπνὰ, καὶ τέρπομαι τοῖς ἑτέρων ἀνιαροῖς. ὥστε οὐκ ἂν θαυμάσαι μι οὐδὲ τοῦτο, εἰ καὶ δεθείην ὡς δύσχρηστος, καὶ ἀνοηταίνειν δόξαι μι τοῖς πολλοῖς· ὅ, τις λέγεται τῶν παρ' ἕλλησι φιλοσοφησάντων παθεῖν, ἐγκληθεὶς ὡς μανίαν τὴν σωφροσύνην, ὅτι διεγέλα τὰ πάντα, γέλωτος ὁρῶν ἄξια τὰ τοῖς πολλοῖς σπουδαζόμενα· ἢ καὶ γλεύκους νομισθείην εἶναι μεστὸς, ὡς ὕστερον οἱ Χριστοῦ μαθηταὶ, τῷ λαλεῖν γλώσσαις, ἀγνοηθέντες ὅτι πνεύματος δύναμις ἦν, οὐ φρενῶν ἔκστασις. σκοπεῖτε γὰρ καὶ ἡμῶν τὰ ἐγκλήματα. τοσοῦτος χρόνος, φασὶν, ἐξ οὗ τὴν ἐκκλησίαν ἄγεις μετὰ τῆς τοῦ καιροῦ ῥοπῆς, καὶ τῆς τοῦ κρατοῦντος ὁρμῆς, τοσούτου πράγματος. τί τῆς μεταβολῆς ἡμῖν ἐπεσήμηνε; πόσοι καθ' ἡμῶν ἔμπροσθεν γεγόνασιν ὑβρισταί; τί δεινὸν οὐ πεπόνθαμεν; οὐχ ὕβρεις; οὐκ ἀπειλάς; οὐ φηγάς; οὐ χρημάτων ἁρπαγάς; οὐ δημεύσεις; οὐ πρεσβυτέρων ἐμπρησμοὺς θαλαττίους; οὐ ναοὺς βεβηλωμένους ἁγίων αἵμασι, καὶ γενομένους ἀντὶ ναῶν πολυάνδρια; οὐ πρεσβυτέρων, ἐπισκόπων, οἰκειότερον δὲ πατριαρχῶν εἰπεῖν, σφαγὰς δημοσίας; οὐ τὸ, πάντα τόπον ἄβατον εἶναι τοῖς εὐσεβέσι μόνοις; οὐχ ὅ, τι ἂν εἴποι τις τῶν δεινῶν; ὧν τί τοῖς πεποιηκόσιν ἀντιδεδώκαμεν; ἐπειδὴ τὸ ἐξεῖναι ποιεῖν, εὖ ποιοῦν ἀντεστράφη, καὶ παιδεύειν ἔδει τοὺς ὑβριστάς. ἐῶ τἆλλα, τὰ δὲ ἡμέτερα, ἵνα μὴ τὰ σὰ λέγωμεν, οὐ δεδιώγμεθα; οὐχ ὑβρίσμεθα; οὐκ ἀπεληλάμεθα ἐκκλησιῶν, οἰκιῶν, ἐρημιῶν αὐτῶν τὸ δεινότατον; οὐκ ἠνέγκαμεν δῆμον μαινόμενον; ὑπάρχους ὑβρίζοντας; βασιλέας ὑβριζομένους καὶ μετὰ τῶν προσταγμάτων; εἶτα τί; γεγόναμεν ἰσχυρότεροι, καὶ διαπεφεύγασιν οἱ διώκοντες. τοῦτο γὰρ αὐτάρκης ἐμοὶ τιμωρία κατὰ τῶν ἀδικούντων, ἡ τοῦ ἀντιδρᾷν ἐξουσία. τοῖς δὲ οὐχ οὕτω δοκεῖ. λίαν γάρ εἰσιν ἐντελεῖς καὶ δίκαιοι περὶ τὴν ἀντίδοσιν, καὶ διὰ τοῦτο ἀπαιτοῦσι τὰ τοῦ καιροῦ. τίς ὕπαρχος, φησίν, ἐζημίωται; τίς δῆμος σεσωφρόνισται; τίνες δήμων ἀνάπται; τίνα φόβον ἡμῖν αὐτοῖς, κἂν πρὸς τὸ μέλλον, ἐχαρισάμεθα; τάχα δ' ἂν καὶ ταῦτα ἡμῖν ὀνειδίσαιεν· καὶ γὰρ ὠνειδίκασι· τὸ δὲ τῆς τραπέζης φιλότιμον, τὸ δὲ τῆς ἐσθῆτος αἰδέσιμον. αἱ δὲ πρόοδοι, τὸ δὲ σοβαρὸν πρὸς τοὺς ἐντυγχάνοντας. ἠγνόουν γὰρ ὅτι πρὸς ὑπάτους ἡμῖν καὶ ὑπάρχους ἡ ἅμιλλα, καὶ στρατηγῶν τοὺς εὐδοκιμωτάτους, οἳ μὴ ἔχουσιν ὅποι τὰ ἑαυτῶν ῥίψουσι. καὶ δεῖ περιστέλλειν μὲν ἡμῖν τὴν γαστέρα κατατρυφῶσι τῶν πτωχικῶν, ὡς δὲ εἰς τὰ περιττὰ κεχρῆσθαι τοῖς ἀναγκαίοις, καὶ τῶν θυσιαστηρίων κατερεύγεσθαι· ἵπποις δὲ φέρεσθαι τρυφεροῖς, καὶ δίφρων ὑπεραίρεσθαι περιλάμπρως, προπομπεύεσθαί τε καὶ περιποππύζεσθαι, καὶ πάντας ὑποχωρεῖν ἡμῖν ὥσπερ θηρίοις, καὶ περισχύζεσθαι, ἢ καὶ πόρρωθεν εἶναι δήλους ἐπερχομένους. εἰ ταῦτα δεινὰ γέγονε, παρελήλυθε· χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. ἄλλον προστήσασθε τὸν * ἀρέσκοντα τοῖς πολλοῖς, ἐμοὶ δὲ τὴν ἐρημίαν, καὶ τὴν ἀγροικίαν, καὶ τὸν Θεὸν, ᾧ μόνῳ καὶ διὰ τῆς εὐτελείας ἀρέσομεν. δεινὸν, εἰ στερησόμεθα λόγων, καὶ συλλόγων, καὶ πανηγύρεων, καὶ τῶν κρότων τούτων, ὑφ' ὧν πτερούμεθα, καὶ οἰκείων, καὶ φίλων, καὶ τιμῶν, καὶ κάλλους πόλεως, καὶ μεγέθους, καὶ τῆς πανταχόθεν περιλαμπούσης ἀστραπῆς τοὺς πρὸς αὐτὰ βλέποντας, ἀλλὰ μὴ εἴσω συνενευκότας. ἀλλ' οὔπω τοσοῦτον, ὅσον εἰ θορυβηθήσομαι καὶ χρανθήσομαι τοῖς ἐν μέσῳ ταράχοις καὶ βράσμασι, καὶ ταῖς πρὸς τοὺς πολλοὺς μετακλίσεσιν. οὐ γὰρ ζητοῦσιν ἱερεῖς, ἀλλὰ ῥήτορας· οὐδὲ ψυχῶν οἰκονόμους, ἀλλὰ χρημάτων φύλακας· οὐδὲ θύτας καθαροὺς, ἀλλὰ προστάτας ἰσχυρούς. ἀπολογήσομαί τι περὶ αὐτῶν· οὕτως ἡμεῖς αὐτοὺς ἐπαιδεύσαμεν, οἳ πᾶσι πάντα γινόμεθα, οὐκ οἶδα πότερον ἵνα σώσωμεν πάντας, ἢ ἀπολέσωμεν. τί φατέ; πείθομεν ὑμᾶς τοῖς λόγοις τούτοις, καὶ νενικήκαμεν; ἢ δεῖ καὶ στερρότερων λόγων ἡμῖν πρὸς τὸ πείθειν; ναὶ, πρὸς τῆς τριάδος αὐτῆς, ἣν πρεσβεύομεν, καὶ πρεσβεύετε· πρὸς τῆς κοινῆς ἡμῶν ἐλπίδος, καὶ τῆς τοῦ λαοῦ τοῦδε συμπήξεως, δότε μοι τὴν χάριν ταύτην, μετὰ εὐχῶν ἡμᾶς ἀποπέμψατε· αὕτη γενέσθω μοι τῆς ἀθλήσεως ἡ ἀνάρρησις. δότε μοι τὸ γράμμα τῆς ἀφέσεως, ὥσπερ τοῖς στρατιώταις οἱ βασιλεῖς· καὶ εἰ βούλεσθε, μετὰ δεξιᾶς τῆς μαρτυρίας, ἵν' ἔχω τὸ ἐπιτίμιον· εἰ δὲ μὴ, ὅπως βούλεσθε· οὐδὲν περὶ τούτου διοίσομαι, ἕως ἂν Θεὸς ἴδῃ τὰ ἡμέτερα, ὅπως ἂν ἔχῃ. τίνα οὖν ἀντεισάξομεν; ὄψεται ἑαυτῷ κύριος ποιμένα εἰς προστασίαν, ὡς πρόβατον εἶδεν εἰς ὁλοκάρπωσιν. ἓν τοῦτο ἐπιζητῶ μόνον· τῶν φθονουμένων ἔστω τις, μὴ τῶν ἐλεουμένων, μὴ τῶν πάντα πᾶσι χαριζομένων, ἀλλ' ἔστιν ἃ καὶ προσκρούειν εἰδότων ὑπὲρ τοῦ βελτίονος. τὸ μὲν γὰρ, ἐνταῦθα ἥδιστον· τὸ δὲ, ἐκεῖθεν λυσιτελέστατον. ὑμεῖς μὲν οὖν τοὺς προπεμπτηρίους ἡμῖν μελετήσατε λόγους, ἐγὼ δὲ ὑμῖν ἀποδώσω τὸν συντακτήριον. χαίροις Ἀναστασία μοι, τῆς εὐσεβείας ἐπώνυμε.

ἴσ. ἀρέσκοντα

νυμε. σὺ γὰρ τὸν λόγον ἡμῖν ἐξανέστησας ἔτι καταφρονούμενον, τὸ τῆς κοινῆς νίκης χωρίον, ἡ νέα Σηλὼμ, ἐν ᾗ πρῶτον τὴν σκηνὴν ἐπήξαμεν, τεσσαράκοντα ἔτη περιφερομένην ἐν τῇ ἐρήμῳ. σύ τε ὁ μέγας ναὸς οὗτος καὶ περιβόητος, ἡ νέα κληρονομία, τὸ νῦν μέγας εἶναι παρὰ τοῦ λόγου λαβών· ὃν Ἰεβοῦς πρότερον ὄντα, Ἱερουσαλὴμ πεποιήκαμεν. ὑμεῖς τε ὅσοι μετὰ τοῦτον εὐθὺς τοῖς κάλλεσιν, ἄλλος ἄλλο τι τῆς πόλεως μέρος διειληφότες, ὥσπερ σύνδεσμοί τινες, καὶ τὸ γειτονοῦν οἰκειούμενοι· οὓς μετὰ τῆς ἀσθενείας ταύτης, οὐχ ἡμεῖς, ἡ χάρις δὲ σὺν ἡμῖν ἐπλήρωσε τοῖς ἀπεγνωσμένοις. χαίρετε ἀπόστολοι, ἡ καλὴ μετοικία, οἱ ἐμοὶ διδάσκαλοι τῆς ἀθλήσεως· εἰ καὶ μὴ πολλάκις ὑμῖν ἐπανηγύρισα. ἴσως τὸν τοῦ ὑμετέρου Παύλου σατᾶν * περιφέρομεν τῷ σώματι πρὸς τὸ συμφέρον, δι' ὃν νῦν ὑμῶν ἀποικίζομαι. χαῖρέ μοι ὦ καθέδρα, τὸ ἐπίφθονον ὕψος τοῦτο καὶ ἐπικίνδυνον, ἀρχιερέων συνέδριον, ἱερέων αἰδοῖ καὶ χρόνῳ τετιμημένων, ὅσον τε ἄλλο περὶ τὴν ἱερὰν τράπεζαν λειτουργικὸν Θεοῦ, καὶ ἐγγίζον Θεῷ τῷ ἐγγίζοντι. χαίρετε Ναζωραίων χοροστασίαι, ψαλμῳδιῶν ἁρμονίαι, στάσεις πάννυχοι, παρθένων σεμνότης, γυναικῶν εὐκοσμία, χηρῶν, ὀρφανῶν συστήματα, πτωχῶν ὀφθαλμοὶ πρὸς Θεὸν καὶ πρὸς ἡμᾶς βλέποντες. χαίρετε οἶκοι φιλόξενοι καὶ φιλόχριστοι, καὶ τῆς ἐμῆς ἀσθενείας ἀντιλήπτορες. χαίρετε τῶν ἐμῶν λόγων ἐρασταὶ, καὶ δρόμοι, καὶ συνδρομαὶ, καὶ γραφίδες φανεραὶ καὶ λανθάνουσαι· καὶ ἡ βιαζομένη κιγκλὶς αὕτη τοῖς περὶ τὸν λόγον ὠθιζομένοις. χαίρετε ὦ βασιλεῖς καὶ βασίλεια, ὅσον τε περὶ τὸν βασιλέα θεραπευτικὸν, καὶ οἰκίδιον· εἰ μὲν καὶ βασιλεῖ πιστὸν, οὐκ οἶδα· Θεῷ δὲ τὸ πλεῖον ἄπιστον. κροτήσατε χεῖρας, ὀξὺ βοήσατε, ἄρατε εἰς ὕψος τὸν ῥήτορα ὑμῶν. σεσίγηκεν ἡμῖν ἡ πονηρὰ γλῶσσα καὶ λάλος, οὐ μὴν σιγήσεται παντάπασι. μαχήσεται γὰρ διὰ χειρὸς καὶ μέλανος. τὸ δ' οὖν παρὸν σεσιγήκαμεν. χαῖρε ὦ μεγαλόπολις καὶ φιλόχριστε· μαρτυρήσω γὰρ τἀληθῆ· καὶ εἰ μὴ κατ' ἐπίγνωσιν ὁ ζῆλος· πεποίηκε χρηστοτέρους ἡμᾶς ἡ διάζευξις. πρόσιτε τῇ ἀληθείᾳ, μετασκευάζεσθε ὀψὲ γοῦν, τιμήσατε Θεὸν πλέον τῆς συνηθείας. οὐχ ἡ μετάθεσις τὸ αἰσχρὸν ἔχει, ἀλλ' ἡ τοῦ κακοῦ τήρησις τὴν ἀπώλειαν. χαίροις ἀνατολὴ, καὶ δύσις, ὑπὲρ ὧν καὶ ὑφ' ὧν πολεμούμεθα. μάρτυς ὁ εἰρηνεύσων ἡμᾶς, ἂν ὀλίγοι μιμήσωνται τὴν ἐμὴν ὑποχώρησιν. οὐ γὰρ καὶ τὸν Θεὸν ἀπολοῦσιν οἱ τῶν θρόνων παραχωρήσαντες, ἀλλ' ἕξουσι τὴν ἄνω καθέδραν, ἣ πολὺ τούτων ἐστὶν ὑψηλοτέρα τε καὶ ἀσφαλεστέρα. ἐπὶ πᾶσι, καὶ πρὸ πάντων βοήσομαι· χαίρετε ἄγγελοι τῆσδε τῆς ἐκκλησίας ἔφοροι, καὶ τῆς ἐμῆς παρουσίας καὶ ἐκδημίας, εἴπερ ἐν χειρὶ Θεοῦ τὰ ἡμέτερα. χαῖρέ μοι ὦ τριὰς, τὸ ἐμὸν μελέτημα καὶ καλλώπισμα, καὶ σώζοιο τοῖσδε, καὶ σώζοις τούσδε, τὸν ἐμὸν λαόν· ἐμὸς γὰρ, κἂν ἄλλως οἰκονομώμεθα, καὶ ἀγγέλλοιό μοι διαπαντὸς ὑψουμένη καὶ αὐξομένη, καὶ λόγῳ καὶ πολιτείᾳ. τεκνία φυλάσσοιτέ μοι τὴν παρακαταθήκην, μέμνησθέ μου τῶν λιθασμῶν. ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

* περιφέρων ἐν τῷ.

ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΚΑΤΟΝ

πεντήκοντα ἁγίων πατέρων τῶν ἐν Κωνσταντινουπόλει συνελθόντων ἐν ὑπατείᾳ Φλαβίου Εὐχερίου, καὶ Φλαβίου Εὐαγρίου, τῶν ἐκλαμπροτάτων, πρὸ ἑπτὰ εἰδῶν Ἰουλίων.

Προσφωνητικὸς τῆς αὐτῆς ἁγίας συνόδου πρὸς τὸν εὐλαβέστατον βασιλέα Θεοδόσιον τὸν μέγαν· ᾧ * ὑπέταξε τοὺς παρ' αὐτῶν ἐκτεθέντας κανόνας.

* ὑπέταξαν.

Τῷ εὐσεβεστάτῳ καὶ θεοφιλεστάτῳ βασιλεῖ Θεοδοσίῳ ἡ ἁγία σύνοδος τῶν ἐπισκόπων τῶν ἐκ διαφόρων ἐπαρχιῶν συνελθόντων ἐν Κωνσταντινουπόλει.

ΑΡΧΗ μὲν ἡμῖν τοῦ πρὸς τὴν σὴν εὐσέβειαν γράμματος, εὐχαριστία πρὸς τὸν Θεὸν τὸν ἀναδείξαντα τῆς ὑμετέρας εὐσεβείας τὴν βασιλείαν, ἐπὶ κοινῇ τῶν ἐκκλησιῶν εἰρήνῃ καὶ τῆς ὑγιοῦς πίστεως στηριγμῷ· ἀποδιδόντες δὲ τῷ Θεῷ τὴν ὀφειλομένην εὐχαριστίαν, ἀναγκαίως καὶ τὰ γεγενημένα κατὰ τὴν ἁγίαν σύνοδον πρὸς τὴν σὴν εὐσέβειαν ἀναφέρομεν· καὶ ὅτι συνελθόντες εἰς τὴν Κωνσταντινούπολιν κατὰ τὸ γράμμα τῆς σῆς εὐσεβείας, πρῶτον μὲν ἀνενεωσάμεθα τὴν πρὸς ἀλλήλους ὁμόνοιαν· ἔπειτα δὲ καὶ συντόμους * ὅρους ἐξεφωνήσαμεν, τήν τε τῶν πατέρων πίστιν τῶν ἐν Νικαίᾳ κυρώσαντες, καὶ τὰς κατ' αὐτῆς ἐκφυείσας αἱρέσεις ἀναθεματίσαντες. πρὸς δὲ τούτοις, καὶ ὑπὲρ τῆς εὐταξίας τῶν ἐκκλησιῶν ῥητοὺς κανόνας ὡρίσαμεν· ἅπερ ἅπαντα τῷδε ἡμῶν τῷ γράμματι * ὑπετάξαμεν. δεόμεθα τοίνυν τῆς σῆς ἡμερότητος γράμματι τῆς σῆς εὐσεβείας ἐπικυρωθῆναι τῆς συνόδου τῆς ψῆφον· ἵν' ὥσπερ τοῖς τῆς κλήσεως γράμμασι τὴν ἐκκλησίαν τετίμηκας, οὕτω καὶ τῶν δοξάντων ἐπισφραγίσης τὸ τέλος. ὁ δὲ κύριος στηρίξῃ σου τὴν βασιλείαν ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ, καὶ παραπέμψῃ γενεαῖς γενεῶν, καὶ προσθείῃ τῷ ἐπιγείῳ κράτει καὶ τῆς βασιλείας τῆς ἐπουρανίου τὴν ἀπόλαυσιν. ἐῤῥωμένον σε, καὶ ἐν πᾶσι τοῖς καλοῖς διαπρέποντα ὁ Θεὸς χαρίσαιτο τῇ οἰκουμένῃ, εὐχαῖς τῶν ἁγίων, τὸν ὡς ἀληθῶς εὐσεβέστατον καὶ θεοφιλέστατον βασιλέα.

* τόμους.

* παραθέμενος

Τάδε ὥρισαν οἱ ἐν Κωνσταντινουπόλει χάριτι Θεοῦ συνελθόντες ἐπίσκοποι ἐκ διαφόρων ἐπαρχιῶν κατὰ κλῆσιν τοῦ εὐσεβεστάτου βασιλέως Θεοδοσίου.

Καν. α'.

ΜΗ ἀθετεῖσθαι τὴν πίστιν τῶν πατέρων τῶν τριακοσίων δεκαοκτὼ, τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελθόντων· ἀλλὰ μένειν ἐκείνην κυρίαν, καὶ ἀναθεματισθῆναι πᾶσαν αἵρεσιν· καὶ ἰδικῶς τὴν τῶν Εὐνομιανῶν, εἴτουν ἀνομοίων· καὶ τὴν τῶν Ἀρειανῶν, εἴτουν Εὐδοξιανῶν· καὶ τὴν τῶν * Ἡμιαρειανῶν [1], ἤγουν Πνευματομάχων· καὶ τὴν τῶν Σαβελλιανῶν, * Μαρκελ-

* Ἡμιαρείων.

* καὶ τὴν Μαρ-

χελλιανῶν, καὶ τῆς τῶν Φωτεινιανῶν, καὶ τῆς τῶν * Ἀπολιναριστῶν. * Ἀπολλιναριστῶν.

β'.

Τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους, ταῖς ὑπεροχίοις ἐκκλησίαις μὴ ἐφιέναι, μηδὲ συγχέειν τὰς ἐκκλησίας· ἀλλὰ κατὰ τοὺς κανόνας, τὸν μὲν Ἀλεξανδρείας ἐπίσκοπον τὰ ἐν Αἰγύπτῳ μόνον οἰκονομεῖν· τοὺς δὲ τῆς ἀνατολῆς ἐπισκόπους τὴν ἀνατολὴν μόνην διοικεῖν· φυλαττομένων τῶν ἐν τοῖς κανόσι τοῖς κατὰ Νίκαιαν πρεσβείων τῇ Ἀντιοχέων ἐκκλησίᾳ· καὶ τοὺς τῆς Ἀσιανῆς διοικήσεως ἐπισκόπους τὰ κατὰ τὴν * Ἀσίαν μόνην οἰκονομεῖν· καὶ τοὺς τῆς Ποντικῆς, τὰ τῆς Ποντικῆς μόνον· καὶ τοὺς τῆς Θρᾴκης, τὰ τῆς Θρᾳκικῆς μόνον οἰκονομεῖν. * Ἀσιανὴν μόνην.

Ἀκλήτους δὲ ἐπισκόπους ὑπὲρ διοίκησιν μὴ ἐπιβαίνειν ἐπὶ χειροτονίαις, ἢ τισιν ἄλλαις οἰκονομίαις ἐκκλησιαστικαῖς. φυλαττομένου δὲ τοῦ προγεγραμμένου περὶ τῆς διοικήσεων κανόνος, δῆλον ὡς τὰ καθ' ἑκάστην ἐπαρχίαν ἡ τῆς ἐπαρχίας συνόδος διοικήσει, κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα.

Τὰς δὲ ἐν τοῖς βαρβαρικοῖς ἔθνεσι τοῦ Θεοῦ ἐκκλησίας οἰκονομεῖσθαι χρὴ κατὰ τὴν * συνήθειαν χρατήσασαν * συνήθειαν τῶν πατέρων.

γ'.

Τὸν μέντοι Κωνσταντινουπόλεως ἐπίσκοπον ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ρώμης ἐπίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ρώμην.

δ'.

Περὶ Μαξίμου τοῦ Κυνικοῦ, καὶ τῆς κατ' αὐτὸν ἀταξίας τῆς ἐν Κωνσταντινουπόλει γεγενημένης. ὥστε μήτε τὸν Μάξιμον ἐπίσκοπον ἢ γενέσθαι ἢ εἶναι, μήτε τοὺς παρ' αὐτῷ χειροτονηθέντας ἐν οἱῳδήποτε βαθμῷ κλήρου, πάντων καὶ τῆς περὶ αὐτὸν καὶ τῆς παρ' αὐτοῦ γεγενημένων ἀκυρωθέντων.

ε'.

Περὶ τοῦ τόμου τῆς δυτικῶν, καὶ τοὺς ἐν Ἀντιοχείᾳ ἀπεδεξάμεθα τοὺς μίαν ὁμολογοῦντας πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος θεότητα.

ς'.

Ἐπειδὴ πολλοὶ τὴν ἐκκλησιαστικὴν διάταξιν συγχεῖν καὶ ἀνατρέπειν * βουλόμενοι, φιλέχθρως καὶ συκοφαντικῶς αἰτίας τινὰς κατὰ τῶν οἰκονομούντων τὰς ἐκκλησίας ὀρθοδόξων ἐπισκόπων συμπλάσσουσιν, οὐδὲν ἕτερον ἢ χραίνειν τὰς τῶν ἱερέων ὑπολήψεις, καὶ ταραχὰς τοῖς εἰρηνεύουσι λαοῖς κατασκευάζειν ἐπιχειροῦντες· τούτου ἕνεκεν ἤρεσε τῇ ἁγίᾳ συνόδῳ τῶν ἐν Κωνσταντινουπόλει συνδραμόντων ἐπισκόπων, μὴ ἀνε- * τυρόμενοι.

ξετάσως προσίεσθαι τοὺς κατηγόρους, μηδὲ πᾶσιν * ἐπιτρέπεσθαι τὰς κατηγορίας ποιεῖσθαι κατὰ τῶν οἰκονομούντων τὰς ἐκκλησίας, μηδὲ μὴν πάντας ἀποκλείειν· ἀλλ' εἰ μή τις οἰκείαν τινὰ μέμψιν, τοῦτ' ἔστιν, ἰδιωτικὴν ἐπαγάγοι τῷ ἐπισκόπῳ, ὡς πλεονεκτηθείς, ἢ ἄλλο τι παρὰ τὸ δίκαιον παρ' αὐτοῦ πεπονθώς· ἐπὶ τῶν τοιούτων κατηγορειῶν μὴ ἐξετάζεσθαι μήτε πρόσωπον τοῦ κατηγόρου, μήτε τὴν θρησκείαν. χρὴ γὰρ παντὶ δόπῳ τὸ, τε σωματικὸς τοῦ ἐπισκόπου ἐλεύθερον εἶναι, καὶ τὸν ἀδικεῖσθαι λέγοντα, οἵας ἂν ᾖ θρησκείας, τῆς δικαίων τυγχάνειν. εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ ἐπιφερόμενον ἔγκλημα τῷ ἐπισκόπῳ, τότε δοκιμάζεσθαι χρὴ τῶν κατηγορούντων τὰ πρόσωπα· ἵνα πρῶτον μὲν αἱρετικοῖς μὴ ἐξῇ κατηγορίας κατὰ τῶν ὀρθοδόξων ἐπισκόπων ὑπὲρ ἐκκλησιαστικῶν πραγμάτων ποιεῖσθαι. αἱρετικοὺς δὲ λέγομεν, τούς τε πάλαι τῆς ἐκκλησίας ἀποκηρηχθέντας, καὶ τοὺς μετὰ ταῦτα ὑφ' ἡμῶν ἀναθεματισθέντας· πρὸς δὲ τούτοις, καὶ τοὺς τῇ πίστιν μὲν τῇ ὑγιῇ προσποιουμένους ὁμολογεῖν, * ἀποκρίσαντας δὲ καὶ ἀντισωμάγοντας τοῖς * κανονικοῖς ἡμῶν ἐπισκόποις. ἔπειτα δὲ καὶ εἴτινες * τούτων ἀπὸ τῆς ἐκκλησίας ἐπὶ αἰτίαις τισὶ προκατεγνωσμένοι εἰσὶν καὶ ἀποβεβλημένοι, ἢ ἀκοινώνητοι, εἴτε ἀπὸ κλήρου, εἴτε ἀπὸ λαϊκῆς τάγματος, μηδὲ τούτοις ἐξεῖναι κατηγορεῖν ἐπισκόπου, πρὶν ἂν τὸ οἰκεῖον ἔγκλημα πρότερον ἀποδύσωνται. ὁμοίως δὲ καὶ τοὺς ὑπὸ κατηγορίαν προλαβοῦσαν ὄντας, μὴ πρότερον εἶναι δεκτοὺς εἰς ἐπισκόπου κατηγορίαν, ἢ ἑτέρων κληρικῶν, πρὶν ἂν ἀθῴους ἑαυτοὺς τῶν ἐπαχθέντων αὐτοῖς ἀποδείξωσιν ἐγκλημάτων. εἰ μέντοι τινὲς, μήτε αἱρετικοὶ, μήτε ἀκοινώνητοι εἶεν, μήτε προκατεγνωσμένοι ἢ προκατηγορημένοι ἐπὶ τισι πλημμελήμασι, λέγοιεν δὲ ἔχειν τινὰ ἐκκλησιαστικὴν κατὰ τοῦ ἐπισκόπου κατηγορίαν, τούτους κελεύει ἡ ἁγία σύνοδος πρῶτον μὲν ἐπὶ τῆς τῆς ἐπαρχίας πάντων ἐπισκόπων σπεύσασθαι τὰς κατηγορίας, καὶ ἐπ' αὐτῶν ἐλέγχειν τὰ ἐγκλήματα τὸν ἐν αἰτίαις τισὶν ἐπίσκοπον. εἰ δὲ συμβαίη ἀδυνατῆσαι τοὺς ἐπαρχιώτας πρὸς διόρθωσιν τῶν ἐπιφερομένων ἐγκλημάτων τῷ ἐπισκόπῳ, τότε αὐτοὺς προσιέναι μείζονι συνόδῳ τῶν τῆς διοικήσεως ἐπισκόπων ἐκείνης, ὑπὲρ τῆς αἰτίας ταύτης συγκαλυμμένων· καὶ μὴ πρότερον σπεύσασθαι τὴν κατηγορίαν, πρὶν ἢ ἐγγράφως αὐτοὺς τὸν ἴσον * ἀντιμίσασθαι αὐτοῖς * ὑποτιμήσασθαι κίνδυνον, εἴπερ ὁν τῇ τῶν πραγμάτων * τάξει συκοφαντοῦντες τὸν * ἐξετάσει. κατηγορούμενον ἐπίσκοπον ἐλεγχθεῖεν. εἰ δέ τις καταφρονήσας τῶν κατὰ τὰ προδηλωθέντα δεδογμένων, τολμήσειεν ἢ βασιλικὰς ἐνοχλεῖν ἀκοὰς, ἢ κοσμικῶν ἀρχόντων δικαστήρια, ἢ οἰκουμενικὴν σύνοδον ταράσσειν, πάντως ἀτιμάσας τὰς τῆς διοικήσεως ἐπισκόπους, τὸν τοιοῦτον τὸ παράπαν εἰς κατηγορίαν μὴ εἶναι δεκτὸν, ὡς καθυβρίσαντα τοὺς κανόνας, καὶ τὴν ἐκκλησιαστικὴν λυμηνάμενον διάταξιν.

ζ'.

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν, δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν καὶ συνήθειαν. Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς, καὶ Σαββατιανοὺς, καὶ Ναυατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς καθαροὺς καὶ ἀριστεροὺς, καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας, εἴτουν Τετραδίτας, καὶ Ἀπολλιναριστὰς δεχόμεθα διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία· καὶ σφραγιζομένους, ἢ τοιχριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τὸ, τε μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα καὶ σφραγίζοντες αὐτοὺς λέγομεν· Σφραγὶς δωρεᾶς πνεύματος ἁγίου. Εὐνομιανοὺς μέν τοι, τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους φρύγας, καὶ Σαβελλιανοὺς τοὺς υἱοπατορίαν * διδάσκοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας. καὶ τὰς ἄλλας πάσας αἱρέσεις, ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῆς χώρας * ἐρχόμενοι, πάντας τοὺς ἀπ' αὐτῆς θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς ἕλληνας δεχόμεθα. καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανοὺς, τὴν δὲ δευτέραν κατηχουμένους· εἶτα τὴν τρίτην ἐξορκίζομεν αὐτοὺς μετὰ τοῦ ἐμφυσᾶν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα αὐτῆς· καὶ οὕτως κατηχοῦμεν αὐτοὺς, καὶ ποιοῦμεν αὐτοὺς χρωνίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῆς γραφῶν· καὶ τότε αὐτοὺς βαπτίζομεν.

* δοξάζοντας,

* ὁρμόμενοι,

ΤΟ' Ε'ΚΤΕΘΕ'Ν ΠΑΡΑ' ΤΗ̃Σ αὐτῆς συνόδου τῆς ἐν Κωνσταντινουπόλει σύμβολον.

ΠΙΣΤΕΎΟΜΕΝ εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῆς τε πάντων καὶ ἀοράτων. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῆς αἰώνων, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῆς οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα· σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς· καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ πατρὸς ἐκ πορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογοῦμεν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. προσδοκῶμεν ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

ΕΠΙΣΤΟΛΗ ΤΩ̃Ν Ε'Ν ΚΩΝΣΤΑΝτινουπόλει συνελθόντων ἐπισκόπων.

Κυρίοις τιμιωτάτοις, καὶ εὐλαβεστάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς, Δαμάσῳ, Ἀμβροσίῳ, Βρίττωνι, Οὐαλεριανῷ, Ἀσχολίῳ, Ἀνεμίῳ, Βασιλείῳ, καὶ τοῖς λοιποῖς ἁγίοις ἐπισκόποις τοῖς συνεληλυθόσιν ἐν τῇ μεγάλῃ πόλει Ρώμῃ, ἡ ἁγία σύνοδος τῶν ὀρθοδόξων ἐπισκόπων τῶν συνεληλυθότων ἐν τῇ μεγάλῃ πόλει Κωνσταντινουπόλει, ἐν κυρίῳ χαίρειν.

Θεοδ. ἱστορ. ἐκκλη. βιβ. ε. κεφ. θ'.

ΤΟ' μὲν ὡς ἀγνοοῦσαν τὴν ὑμετέραν εὐλάβειαν διδάσκειν, καὶ διηγεῖσθαι τῶν * παθῶν τὸ πλῆθος τῶν ἐπαχθέντων ἡμῖν παρὰ τῆς τῶν * Ἀρειομανῶν δυναστείας, περιττὸν ἴσως. οὔτε γὰρ οὕτω πάρεργον τὰ καθ' ἡμᾶς κρίνειν τὴν ὑμετέραν ἡγούμεθα θεοσέβειαν, ὡς δεῖσθαι τοῦ μαθεῖν ταῦτα, οἷς ἐχρῆν συναλγεῖν· οὔτε τοιοῦτοί τινες οἱ περιοχόντες ἡμᾶς χειμῶνες, ὡς λανθάνειν ἀπὸ σμικρότητος. ὅ, τε χρόνος τῶν διωγμῶν νεαρὸς, ἔναυλον ἔτι φυλάττων τὴν μνήμην, οὐ τοῖς πεπονθόσι μόνον, ἀλλὰ καὶ τοῖς δι' ἀγάπην τὰ τῶν πεπονθότων οἰκειουμένοις. χθὲς γὰρ ὡς εἰπεῖν, ἔτι καὶ πρώην, οἱ μὲν τῶν τῆς ἐξορίας λυθέντες δεσμῶν, εἰς τὰς ἑαυτῶν ἐκκλησίας διὰ μυρίων ἐπανήκασι θλίψεων· τῶν δὲ καὶ τελειωθέντων ἐν ταῖς ἐξορίαις ἐπανεκομίσθη τὰ λείψανα. τινὲς δὲ καὶ μετὰ τὴν τῆς ἐξορίας ἐπάνοδον, ἔτι βράζοντι τῷ τῶν αἱρετικῶν περιπεσόντες θυμῷ, πικρότερα τῶν ἐπὶ τῆς ἀλλοτρίας, ἐπὶ τῆς οἰκείας ὑπέμειναν, λίθοις παρ' αὐτῶν τελειωθέντες κατὰ τὸν μακάριον Στέφανον. ἄλλοι διαφόροις καταξανθέντες αἰκίαις, ἔτι τὰ στίγματα τοῦ Χριστοῦ καὶ τοὺς μώλωπας ἐν τῷ σώματι περιφέρουσι. χρημάτων δὲ ζημίας καὶ * προτιμήσεις πόλεων, καὶ τὰς τῶν καθ' ἕνα * δημοσιεύσεις, καὶ συσκευὰς, καὶ ὕβρεις, καὶ δεσμωτήρια τίς ἂν ἐξαριθμήσασθαι δύναιτο; πᾶσαι γὰρ ὄντως ἐφ' ἡμᾶς αἱ θλίψεις ἐπληθύνθησαν ὑπὲρ ἀριθμὸν, ἴσως μὲν, ἐπειδὴ δίκας ἁμαρτημάτων ἐτίναμεν· ἴσως δὲ καὶ τοῦ φιλανθρώπου Θεοῦ διὰ τοῦ πλήθους τῶν παθημάτων ἡμᾶς γυμνάζοντος. τούτων μὲν οὖν τῷ Θεῷ χάρις, ὃς καὶ διὰ τοσούτων θλίψεων τοὺς ἑαυτοῦ δούλους ἐξεπαίδευσε, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν αὐτοῦ πάλιν ἐξήγαγεν ἡμᾶς εἰς ἀναψυχήν. ἡμῖν δὲ μακρᾶς μὲν ἔδει χολῆς, καὶ πολλοῦ χρόνου καὶ πόνου πρὸς τὴν τῶν ἐκκλησιῶν ἐπανόρθωσιν, ἵν' ὥσπερ ἐκ μακρᾶς ἀῤῥωστίας ταῖς κατὰ μικρὸν ἐπιμελείαις τὸ σῶμα τῆς ἐκκλησίας ἐκνοσηλεύοντες, πρὸς τὴν ἀρχαίαν τῆς εὐσεβείας ὑγίειαν ἐπαναγάγωμεν. καὶ γὰρ εἰ τὰ μάλιστα δοκοῦμεν τῆς τῶν διωγμῶν ἀπηλλάχθαι σφοδρότητος, καὶ τὰς ἐκκλησίας χρονίως παρὰ τῶν αἱρετικῶν καταχεθείσας ἀρτίως ἀνακομίζεσθαι. πλὴν ἀλλὰ βαρεῖς ἡμῖν λύκοι, καὶ μετὰ τὸ τῆς μάνδρας ἐξωσθῆναι κατὰ τὰς νάπας τὰ ποίμνια διαρπάζοντες,

* παθημάτων.

* Ἀρειομανιτῶν.

* ἴσως; προτιμήσεις,

* δημεύσεις,

πες, ἀντισωαξεις τολμῶντες, δήμων χινοῦντες ἐπανασάσεις, ὀχνοῦντες ὁδὸν εἰς τὸ τῶν ἐχκλησιῶν βλάβος. ὧν μὲν οὖν, ὅπερ εἰρήκαμεν, ἀναγκαῖον, πλείονα ἡμᾶς προσαχολησθῆναι χρόνον. ἐπειδὴ μέντοι τῷ ἀδελφικῷ περὶ ἡμᾶς ἀγάπῳ ἐπιδεικνύμενοι, σύνοδον ἐπὶ τῆς Ρώμης Θεοῦ βουλήσει συγχροτοῦντες, καὶ ἡμᾶς ὡς οἰκεῖα μέλη προσεκαλέσασθε διὰ τῶν τοῦ θεοφιλεστάτου βασιλέως γραμμάτων· ἵν' ἐπειδὴ τότε τὰς θλίψεις μόνοι κατεδικάσθημεν, νῦν ὂν τῇ τῶν αὐτοκρατόρων περὶ τὸ εὐσέβειαν συμφωνίᾳ μὴ χωρὶς ἡμῶν βασιλεύσητε, ἀλλὰ καὶ ἡμεῖς ὑμῖν, κατὰ τὸ ἀποστολικὸν φωνὸν, συμβασιλεύσωμεν. εὐχὴ μὲν οὖν ἡμῖν, εἰ δυνατὸν, ἅπασιν ἀθρόως καταλιπεῖσι τὰς ἐκκλησίας, τῷ πόθῳ ἢ τῇ χρείᾳ χαρίσασθαι. τίς γὰρ ἡμῖν δώσει πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πεταθησόμεθα, καὶ προς ὑμᾶς καταπαύσομεν; ἐπειδὴ δὲ τοῦτο παντελῶς ἐγύμνου τὰς ἐκκλησίας, ἄρτι τῆς ἀνανεώσεως ἀρχομένης, καὶ τὸ πρᾶγμα παντάπασιν ἦν τοῖς πολλοῖς ἀδύνατον· συνεδεραμήκειμεν γὰρ εἰς τὴν Κωνσταντινούπολιν, ἐκ τῶν πέρυσι γραμμάτων τῶν παρὰ τῆς ὑμετέρας τιμιότητος μετὰ τοῦ ἐν Ἀκυληίᾳ συνόδου πρὸς τὸν θεοφιλέστατον βασιλέα Θεοδόσιον ἐπισταλθέντων, πρὸς μόνῳ τούτῳ τὴν ἀποδημίαν τοῦ μέχρι Κωνσταντινουπόλεως * παρασχολασάμενοι, καὶ περὶ ταύτης μόνης τῆς συνόδου τοῦ τῶν ἐν ταῖς ἐπαρχίαις μεινάντων ἐπισκόπων συγκατάθεσιν ἐπαγόμενοι· μείζονος δὲ ἀποδημίας μήτε προσδοκήσαντες χρείαν, μήτε * προσακούσαντες ὅλως, πρὶν εἰς Κωνσταντινούπολιν συνελθεῖν. πρὸς δὲ τούτοις καὶ τῆς προθεσμίας διὰ σεγότητα, μήτε πρὸς παρασκευὴν μακροτέρας ἀποδημίας ἐνδιδούσης καιρὸν, μήτε πάντας τοὺς ἐν ταῖς ἐπαρχίαις κοινωνικοὺς ἐπισκόπους ὑπομνησθῆναι, καὶ τὰς παρ' αὐτῶν συγκαταθέσεις λαβεῖν. ἐπειδήπερ ταῦτα καὶ πολλὰ πρὸς τούτοις ἕτερα τὴν τῶν πλειόνων ἄφιξιν διεκώλυσεν, ὃ δεύτερον ἦν, εἵς τε τὴν πραγμάτων ἐπανόρθωσιν, καὶ τὴν τῆς ὑμετέρας περὶ ἡμᾶς ἀγάπης ἀπόδειξιν, τοῦτο πεποιήκαμεν, τοὺς αἰδεσιμωτάτους καὶ τιμιωτάτους ἀδελφοὺς καὶ συλλειτουργοὺς ἡμῶν ἐπισκόπους, Κυριακὸν, Εὐσέβιον, καὶ Πεισκιανὸν, προθύμως καμεῖν ἄχρις ὑμῶν δυσωπήσαντες, δι' ὧν καὶ τὴν ἡμετέραν προαίρεσιν εἰρηνικὴν οὖσαν, καὶ σκοπὸν ἑνώσεως ἔχουσαν, ἐπιδείξωμεν· καὶ τὸν ζῆλον ἡμῶν, τὸ ὑπὲρ τῆς ὑγιοῦς πίστεως φανερὸν ποιῆμεν. ἡμεῖς γὰρ εἴτε διωγμοὺς, εἴτε θλίψεις, εἴτε * βασιλέως ἀπειλὰς, εἴτε τὰς τῶν ἀρχόντων ὠμότητας, εἴτέ τινα πειρασμὸν ἕτερον παρὰ τῶν αἱρετικῶν ὑπεμείναμεν, ὑπὲρ τοῦ εὐαγγελικῆς πίστεως τῆς ἐν Νικαίᾳ τῆς Βιθυνίας παρὰ τῶν ἑξακοσίων δέκα καὶ ὀκτὼ ἁγίων θεοφόρων πατέρων κυρωθείσης ὑπέσημεν. ταύτῃ γὰρ καὶ ἡμῖν, καὶ ὑμῖν, καὶ πᾶσι τοῖς μὴ διαστρέφουσι τὸν λόγον τῆς ἀληθοῦς πίστεως, συναρέσκειν * δεῖ· ὧν μόλις ποτὲ πρεσβυτάτῳ τε ὄντα, καὶ ἀκόλουθον τῷ βαπτίσματι, καὶ διδάσκοντα ἡμᾶς πιστεύειν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, δηλαδὴ θεότητός τε καὶ δυνάμεως καὶ οὐσίας μιᾶς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος πιστευομένης, ὁμοτίμου τε τῆς ἀξίας, καὶ συναϊδίου τῆς βασιλείας, ἐν τρισὶ τελειοτάταις ὑποστάσεσιν, ἤτοι τρισὶ τελείοις προσώποις· ὡς μήτε τῷ Σαβελλίου νόσον χώραν λαβεῖν, συγχεομένων τὰς ὑποστάσεων, ἤγουν τὰς ἰδιοτήτων ἀναιρουμένων· μήτε μὴν τῷ τῶν Εὐνομιανῶν, καὶ Ἀρειανῶν, καὶ πνευματομάχων τὴν βλασφημίαν ἔχειν, τὴν οὐσίας, ἢ τῆς φύσεως, ἢ τῆς θεότητος τεμνομένης, καὶ τῇ κτίσῃ, καὶ ὁμοουσίῳ, καὶ συναϊδίῳ ξιάδι μεταγενεστέρας τινὸς, ἢ κτιστῆς, ἢ ἑτεροουσίου φύσεως ἐπαγομένης. καὶ τὸν τῆς ἐνανθρωπήσεως δὲ τοῦ κυρίου λόγον ἀδιάστροφον σώζομεν, ὅτε ἄψυχον, οὔτε ἄνουν ἢ ἀτελῆ τῷ τῆς σαρκὸς οἰκονομίαν παραδεχόμενοι· ὅλον δὲ εἰδότες τέλειον μὲν ὄντα πρὸ αἰώνων Θεοῦ λόγον, τέλειον δὲ ἄνθρωπον ἐφ' ἑκάστων τῶν ἡμερῶν διὰ τὴν ἡμετέραν σωτηρίαν γενόμενον. Τὰ μὲν οὖν κατὰ τὴν πίστιν τὴν παρ' ἡμῶν ἀνυποστόλως κηρυττομένην, ὡς ἐν κεφαλαίῳ τοιαῦτα· περὶ ὧν καὶ ἐπὶ πλεῖον ψυχαγωγηθῆναι δυνήσεσθε, τῷ τε ἐν Ἀντιοχείᾳ τόμῳ παρὰ τῆς ἐκεῖ συνελθούσης συνόδου γεγραμμένῳ καταξιώσαντες ἐντυχεῖν, καὶ τῷ πέρυσιν ἐν Κωνσταντινουπόλει παρὰ τῆς οἰκουμενικῆς, ἐκτεθείσῃ συνόδου· ἐν οἷς πλατύτερον τὴν πίστιν ὡμολογήσαμεν, καὶ τῆς ἐναγοῦς καινοτομηθεισῶν αἱρέσεων ἀναθεματισμὸν ἔγγραφον πεποιήκαμεν. περὶ δὲ τῆς οἰκονομιῶν τῶν κατὰ μέρος ἐν ταῖς ἐκκλησίαις, παλαιός τε, ὡς ἴσε, θεσμὸς κεκράτηκε, καὶ τῆς ἁγίων ἐν Νικαίᾳ πατέρων ὅρος, καθ' ἑκάστην ἐπαρχίαν τοὺς τῆς ἐπαρχίας, καὶ ὑπερ ἐκεῖνοι βούλοιντο, σὺν αὐτοῖς τοὺς ὁμόρους πρὸς τὸ συμφέρον ποιεῖσθαι τὰς χειροτονίας. οἷς ἀκολούθως τάς τε λοιπὰς ἐκκλησίας παρ' ἡμῖν οἰκονομεῖσθαι γινώσκετε, καὶ τῆς ἐπισημοτάτων ἐκκλησιῶν ἀναδεδέχθαι τοὺς ἱερεῖς. ὅθεν τῆς μὲν ἐν Κωνσταντινουπόλει νεοσαγοῦς, ὡς ἄν εἴποι τις, ἐκκλησίας, ἣν ὥσπερ ἐκ στόματος λέοντος, τῆς τῆς αἱρετικῶν βλασφημίας ὑπόγυιον ἐξηρπάσαμεν διὰ τῆς οἰκτιρμῶν τοῦ Θεοῦ, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον Νεκτάριον ἐπίσκοπον κεχειροτονήκαμεν ἐπὶ τὸ οἰκουμενικῆς συνόδου, μετὰ κοινῆς ὁμονοίας, ὑπ' ὄψεσι καὶ τοῦ θεοφιλεστάτου βασιλέως Θεοδοσίου, παντός τε τοῦ κλήρου, καὶ πάσης ἐπιψηφιζομένης τῆς πόλεως. τὸ δὲ πρεσβυτάτης καὶ ὄντως ἀποστολικῆς ἐκκλησίας τῆς ἐν Ἀντιοχείᾳ τῆς Συρίας, ἐν ᾗ πρώτῃ τὸ τίμιον τῆς Χριστιανῶν ἐχρημάτισεν ὄνομα, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον ἐπίσκοπον Φλαβιανὸν, οἵ τε τῆς ἐπαρχίας καὶ τῆς ἀνατολικῆς διοικήσεως σωδραμόντες, κανονικῶς ἐχειροτόνησαν, πάσης συμψήφου τῆς ἐκκλησίας, ὥσπερ διὰ μιᾶς φωνῆς τὸν ἄνδρα τιμησάσης, ὧπερ ἔνθεσμον χειροτονίαν ἐδέξατο καὶ τὸ τῆς συνόδου κοινόν. τῆς δέ γε μητρὸς ἁπασῶν τῆς ἐκκλησιῶν τῆς ἐν Ἱεροσολύμοις, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον Κύριλλον ἐπίσκοπον εἶναι γνωρίζομεν, κανονικῶς τε παρὰ τῆς τῆς ἐπαρχίας χειροτονηθέντα πάλαι, καὶ πολεῖσα πρὸς τοὺς Ἀρειανοὺς ἐν διαφόροις τόποις ἀθλήσαντα. οἷς ὡς ἐνθέσμως καὶ κανονικῶς παρ' ἡμῖν κεκρατηκόσι, καὶ τὴν ὑμετέραν συγχαίρειν παρακαλοῦμεν ἀλάβειαν, τῆς πνευματικῆς μισιτευούσης ἀγάπης, καὶ τοῦ κυριακοῦ φόβου πᾶσαν μὴ κατασιλλοντος ἀνθρωπίνου προσπάθειαν, ἢ δὲ τῶν ἐκκλησιῶν οἰκοδομὴν προτιμοτέραν ποιοῦντος τοῦ πρὸς τὸν καθ' ἕνα

* περιεχει αρμένι.

* περιεχέ σωτῆς.

βασιλικάς.

* γρ. ἀεὶ, πρεσβυτάτῳ τι.

ἕνα συμπαθείας ἢ χάριτος. οὕτω γὰρ τοῦ τε τῆς πίστεως συμφωνηθέντος λόγου, καὶ τῆς Χριστιανικῆς κυρωθείσης ἐν ἡμῖν ἀγάπης, παυσόμεθα λέγοντες τὸ παρὰ τῶν ἀποστόλων κατεγνωσμένον· ἐγὼ μὲν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλὼ, ἐγὼ δὲ Κηφᾶ· πάντες δὲ Χριστοῦ φανέντες, ὃς ἐν ἡμῖν οὐ μεμέρισται, Θεοῦ καταξιοῦντος, ἄσχιστον τὸ σῶμα τῆς ἐκκλησίας τηρήσομεν, καὶ τῷ βήματι τοῦ κυρίου μετὰ παῤῥησίας παραστησόμεθα.

ΣΥΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει οἰκουμενικὴ δευτέρα.

ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

ΘΕΟΔΟΣΙΟΥ δὲ, τοῦ ἀληθῶς ἐν θεοσεβείᾳ μεγάλου τὴν βασιλίδα καταλαβόντος Κωνσταντινουπόλεως, Ἀγελίου Ἀρειανῶν, καὶ Γρηγορίου τοῦ θεολόγου τῶν ὀρθοδόξων ἐν Βυζαντίῳ ἐξαρχόντων, ἡ τῶν ἑκατὸν πεντήκοντα θεοφόρων πατέρων, οἰκουμενικὴ δευτέρα σύνοδος συνήθροιστο. ἧς ἐξῆρχον προκαθεζόμενοι, ὁ Ἀλεξανδρείας Τιμόθεος, Κύριλλος Ἱεροσολύμων, ἤδη ἀποσχίσας Σιλβανοῦ καὶ τῶν σὺν αὐτῷ Πνευματομάχων, ἕξτε καὶ τριάκοντα· καὶ ὁ φιλόχριστος βασιλεὺς Θεοδόσιος. Ἥτις ἁγία σύνοδος, βιθυνοῦς, Εὐσέβιον καὶ Θέογνιον· Πατρόφιλον καὶ Ἀέτιον, ἀπεκήρυξε Παλαιστινούς· Παυλῖνόν τε καὶ Γρηγόριον, Φοίνικας· Θεόδοτον καὶ Γεώργιον, Κίλικας· Νάρκισσον καὶ Ἀθανάσιον· Μηνοφάντιον Ἐφέσου, καὶ Πειρίνθου Θεόδωρον, Μάρκελλον Ἀγκύρας, καὶ Ἀπολινάριον. Μάξιμόν τε, καὶ τὴν αὐτοῦ χειροτονίαν ἀργὴν καθόλου θεσπίσασα. Καθ' ὃν χρόνον καὶ τὸν ἐν ἁγίοις Σαμοσατέα Εὐσέβιον, Γρατιανὸς τῆς Θρᾳκικῆς ἐξορίας ἀφέμενος, πρὸς τὸ ἴδιον ποίμνιον ἐξαπέστειλε· καὶ πρὸς τὴν τῆς πόλεως πύλην ἐξερχόμενον, ἄνωθεν γυνὴ κεράμῳ Ἀρειανὴ ἐθανάτωσεν.

Ἡ αὐτὴ ἐκ τοῦ βιβλίου

ΤΟΥ ΦΩΤΙΟΥ ΠΕΡΙ ΣΥΝΟΔΩΝ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος τῶν μὲν ἱερῶν φροντισμάτων τὴν βασιλίδα πόλιν, ἱερὸν ἐδείκνυ φροντιστήριον εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας ἱεροὺς συνηγείρετο, ἐξάρχους ἔχουσα Τιμόθεόν τε τὸν Ἀλεξανδρείας, καὶ τὸν ἀξιοθαύμαστον τῆς Ἀντιοχείας Μελέτιον, Κύριλλόν τε τῶν Ἱεροσολύμων, τοὺς ἱεροὺς θρόνους ἰθύνοντας, καὶ δὴ καὶ Νεκτάριον, ὃς ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφοριοθεὶς, καὶ τῷ λουτρῷ θείῳ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, καθαρὸς ἤδη τὸ καθαρώτατον τῆς ἀρχιεραρχίας ἀξίωμα περιβάλλεται ψήφῳ μὲν κοινῇ τῆς συνόδου, χειροθεσία δὲ τῶν προκέλτων καὶ ἅμα τε βασιλευούσης ἐπισκοπῆς, καὶ τῆς συνόδου ἐχρημάτιζεν ἔξαρχος, μεθ' ὧν Γρηγόριος, ὅ, τε τῆς ἐν Καππαδοκίᾳ Νύσσης ἐπίσκοπος, καὶ ὁ τῆς θεολογίας ἐξ ἔργων ἐπώνυμος· οἷς οὐ πολὺς χρόνος καὶ Δάμασος ὁ τῆς Ῥώμης τὰ αὐτὰ κρατύνων ἐγνωρίζετο σύμφωνος, τοῖς προλαβοῦσι καθιστάμενος· οὗτος δὴ ὁ ἱεροφάντης χορὸς Μακεδόνιόν τινα τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἅρπαγμα πάλαι ποιησάμενον, ὅτι τὸ πανάγιον καὶ ζωαρχικὸν, ἐδυσφήμει πνεῦμα, εὐθύνας ἐδικαίου· ὡς γὰρ Ἄρειος κατὰ τοῦ υἱοῦ, οὕτω καὶ αὐτὸς κατὰ τοῦ πνεύματος παρατατόμενος εἰς δούλους καὶ ὑπηρέτας, καὶ τὴν δεσποτικὴν καὶ τὴν ὑπερκειμένην αὐτοῦ συνέταττε κυριότητα· καίτοι ῥᾷον ἦν τῷ ἀθλίῳ, εἴπερ ἐβούλετο, συνορᾷν, ὅτι καθάπερ οἱ τὸν υἱὸν εἰς κτίσμα τάττοντες, τὴν ὕβριν οὐδὲν ἧττον τῷ πατρὶ προσάπτουσι, οὕτω καὶ οἱ τὸ πανάγιον αὐτοῦ πνεῦμα τοῖς ποιήμασι συναριθμοῦντες, τὴν ἴσην καὶ ὁμοίαν βλασφημίαν ἀφιᾶσι κατ' αὐτοῦ. εἰ γὰρ τὸ πνεῦμα κτίσμα, κἀκεῖνος οὗ τὸ πνεῦμα μετὰ τῶν κτισμάτων. οὐδὲ καὶ ἀκοαῖς ἀφόρητος ἡ τῆς ἀθεότητος ταύτης ὑπερβολὴ, πῶς οὐ συνῆκεν ὁ ταλαίπωρος ἐκεῖνο φυγεῖν, δι' οὗ πρὸς τούτους ἀνάγκη πεσεῖν τοὺς θεομάχους λογισμοὺς, ἀθετῆσαι τὸ πνεῦμα εἶναι Θεόν. πῶς γὰρ ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ; καὶ οὐδὲν κρύφιον ἀπ' αὐτοῦ; πῶς ἐστὶν ἄλλος παράκλητος; πῶς συντάσσεται πατρὶ καὶ υἱῷ; πορευθέντες γὰρ, φησὶν αὐτὸς ὁ υἱὸς, μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. εἰ εἰς ἐν τῶν τριῶν κτίσμα φωτιζόμεθα, οὐδὲ τὰ λοιπὰ καθαρεύει τῆς ὕβρεως. ἀλλ' εἰ κτίσμα, πῶς κτίζει; πῶς ζωοποιεῖ; πῶς διαιρεῖ χαρίσματα; πῶς δὲ Θεός; ἀλλὰ τούτων οὐδὲν ἐκεῖνος ὁ φρενοβλαβὴς ἐπὶ νοῦν θέμενος, τῆς μοναρχικῆς αὐτὸ καὶ μιᾶς ἀδιαιρέτου θεότητος διασπᾷν ἐτόλμα, καὶ ἐπεθρασύνατο. διὸ καὶ τῆς ἀσεβείας ἐπάξια εἴληφε τὰ ἐπίχειρα, αὐτός τε ἀφαιρέσει τῆς ἱερωσύνης ζημιούμενος, καὶ πάντες ὅσοι τῆς αὐτοῦ θεομαχίας τὸ ἀνίατον παρεζήλωσαν, καὶ ὡς ἐκεῖνος τὸ πανάγιον πνεῦμα τῆς τριαδικῆς μιᾶς θεότητός τε καὶ κυριότητος ἀλλοτριοῦν ἐφρυάττετο, οὕτως αὐτὸν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος καὶ τῆς ἱερωσύνης, καὶ τῆς τῶν πιστῶν μερίδος, οἷα δεύτερον ἠλλοτρίωσαν Ἄρειον. τὸ δὲ πανάγιον καὶ παντοδύναμον, ἅτε δὴ ὁμοφυές τε καὶ ὁμοούσιον, ἰσοσθενές τε καὶ παντοδύναμον τῷ πατρὶ καὶ τῷ υἱῷ συνπροσκυνεῖσθαι καὶ συνδοξολογεῖσθαι κατὰ τὰς πατρικάς τε καὶ θεολογικὰς φωνὰς ἀνεκήρυξεν, ἐκθερίσαντες τέλεον, καὶ εἴ τι τῆς Ἀρειανῶν σπορᾶς ζιζάνιον ὑπεφύετο. τηνικαῦτα δὲ τὰς τῆς βασιλείας ἡνίας ὁ μέγας ὡς ἀληθῶς καὶ μεγάλης εὐφημίας ἄξιος περιεζώννυτο Θεοδόσιος πρόμαχος καὶ αὐτὸς τῆς εὐσεβείας γνωριζόμενος. ἀλλ' ἐν τούτοις μὲν καὶ αὕτη ἡ ἁγία σύνοδος.

Ἡ αὐτὴ ἐκ τοῦ βιβλίου

ΤΟΥ ΝΕΙΛΟΥ ΠΕΡΙ ΣΥΝΟΔΩΝ.

Ἡ Ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος ἡ ἐν Κωνσταντίνου πόλει γέγονεν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου συγκροτηθεῖσα ὑπὸ ἑκατὸν πεντήκοντα ἐπισκόπων κατὰ Μακεδονίου τοῦ πνευματομάχου πατριάρχου Κωνσταντινουπόλεως, καὶ Σαβελίου τοῦ Λίβυος, καὶ Ἀπολιναρίου Λαοδικείας. ἡγοῦντο δὲ τῆς συνόδου Δάμασος Ῥώμης,

Νεκτάριος, Κωνσταντινουπόλεως, Τιμόθεος Ἀλεξανδρείας, Κύριλλος Ἱεροσολύμων, Μελέτιος Ἀντιοχείας, Γρηγόριος ὁ θεολόγος, Γρηγόριος Νύσσης, καὶ Ἀμφιλόχιος Ἰκονίου· ἡν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη εωοβ'· ἀπὸ δὲ Χριστοῦ τοβ'. ἀπὸ τῆς δευτέρας ἕως τῆς τρίτης ἔτη μά. ἡμεῖς παρελάβομεν καὶ πιστεύωμεν, ὅτι τὸ πανάγιον πνεῦμα Θεός ἐστιν ἀληθινὸς, ὡς ὁμοούσιον τῷ Θεῷ καὶ πατρὶ καὶ τῷ υἱῷ, ἐπεὶ ὁ κύριος Ἰησοῦς οὕτως εἶπε, βαπτίζεσθαι καὶ πιστεύειν εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ὅπερ οὐκ ἂν εἶπεν, εἰ κτίσμα ἦν. τῷ οὖν μὴ οὕτω φρονοῦντι ἀνάθεμα.

Η' ΑΥ'ΤΗ' Ε'Ξ Α'ΝΩΝΥ'ΜΟΥ.

βιβλίου περὶ Συνόδων.

Ἀπέχει ἡ σύνοδος β'. ἀπὸ τῆς α'. ἔτη ν'.

Ἡ δὲ δευτέρα ἁγία καὶ οἰκουμενικὴ σύνοδος τῶν ἁγίων ρν'. πατέρων γέγονεν ἐν Κωνσταντινουπόλει ἐπὶ τοῦ βασιλέως Θεοδοσίου τοῦ μεγάλου, καὶ Δαμάσου πάππα Ρώμης, καὶ Νεκταρίου πατριάρχου Κωνσταντινουπόλεως, καὶ Γρηγορίου τοῦ Θεολόγου, κατὰ Μακεδονίου τοῦ δυσσεβοῦς τοῦ λῃστρικῶς μὲν τὸν πατριαρχικὸν θρόνον ἁρπάσαντος, βλασφημοῦντος δὲ πνεῦμα τὸ ἅγιον. ἔλεγε γὰρ αὐτὸ μὴ εἶναι Θεὸν, ἀλλὰ τῆς θεότητος τοῦ πατρὸς ἀλλότριον. ὅθεν τοῦτον μὲν ὡς ἐχθρὸν τῆς εὐσεβείας ἅμα τοῖς ὁμόφροσιν αὐτοῦ ἀναθεματίσαντες κατέκριναν. Θεὸν δ' ἀληθινὸν καὶ κύριον καὶ ζωοποιὸν τὸ πανάγιον πνεῦμα ἐτράνωσαν, ὁμοούσιον τῷ πατρὶ καὶ τῷ υἱῷ ὑπάρχειν αὐτὸ κηρύξαντες, καὶ τῆς αὐτοῦ θεότητος καὶ δυνάμεως, καθὼς τὸ σύμβολον περιέχει τῆς πίστεως, ὅπερ αὐτοὶ τρανώτερον τῇ τοῦ ἁγίου πνεύματος ἐξεφώνισαν χάριτι. ἔτι δὲ καὶ Απολιναρίου τοῦ Λαοδικείας τὴν βλασφημίαν σὺν αὐτῷ καὶ τοῖς ὅμοια φρονοῦσιν ἀναθεματίσαντες, ὡς ἄψυχον τὴν τοῦ κυρίου ἡμῶν σάρκα λέγοντος ἔμψυχον εἶναι, ταύτην ἐβεβαιώσαντο, ψυχὴν ἔχουσαν ταῖς ἡμετέραις ψυχαῖς ὁμοούσιον.

ΣΥ'ΝΟΔΟΣ Ε'Ν Α'ΚΥΛΙ'Α, Ε'ΠΙ' Α'ΜΒΡΟΣΙ'ΟΥ.

ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ.

ΓΡΑΤΙΑΝΟΥ τοίνυν κατὰ Γότθων στρατοπεδεύσαντος, καὶ Θεοδόσιον τὸν ἐπ' ἀδελφῇ γαμβρὸν αὐτοῦ στρατηγὸν ἀναδείξαντος· εἰρήνευον πολέμιοι, καὶ τροπαιοφόρος πρὸς τὸν κρατοῦντα ὁ στρατηγέτης ἐπάνεισι. Διὸ Γρατιανὸς ἀμοιβῇ πρεπούσῃ τιμήσας τὸν μέγιστον Θεοδόσιον, τοῦ οἰκείου αὐτοῦ πατραδέλφου τὴν ἡγεμονίαν διέπειν ἐκέλευσεν· ἧν περ Κωνστάντιος καὶ Οὐάλης, Ἀρειανοῖς χαριζόμενοι ἐλυμήναντο· καὶ βασιλέα τῶν ἑῴων Ρωμαίων προεχειρίσατο. Δαμάσῳ προστάξας τῷ πάπᾳ ἐν Ἀκυλίᾳ συστήσασθαι σύνοδον· ἧς ἐξῆρχον ὁ Μεδιολάνου Ἀμβρόσιος, καὶ ὁ Θεσσαλονίκης Ἀσχόλιος. Ἡ τις ἁγία σύνοδος ἐκθεμένη τόμον παραινέσεως γέμοντα, ὡς ἂν οἰκουμενικὴ γένοιτο σύνοδος, πρὸς Θεοδόσιον τὸν εὐσεβέστατον βασιλέα, σὺν ἀξιοπίστοις ἀνδράσιν ἀπέστειλε. Ρωμαίων γὰρ καὶ οἱ τῆς Ἱσπανικῆς Γαλλίας, τῆς αἱρετικῆς λύμης ὑπῆρχον ἀλώβητοι. Σπανογαλλίας, Ἰταλίας, Καμπανίας, Δαλματίας, Σαρδινίας, Ἀχαΐας, ὅσοι τῶν Ἑσπερίων τῇ Γρατιανοῦ βασιλείᾳ ὑπέκειντο.

Εὐνομίου ἔκθεσις.

ΤΟῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ δικαίαν κρίσιν φήσαντος ὁμολογεῖν ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς τοὺς ὁμολογοῦντας αὐτὸν ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ἀπαρνῖσθαι τοὺς ἀρνουμένους αὐτόν· καὶ τῆς ἀποστολικῆς διδασκαλίας προτρεπούσης ἡμᾶς, ἑτοίμους εἶναι πρὸς ἀπολογίαν παντὶ τῷ ἐπερωτῶντι λόγον· καὶ τῶν βασιλικῶν προσταγμάτων ταύτην ἐπιζητούντων τὴν ὁμολογίαν, προθύμως ὁμολογοῦμεν ἃ φρονοῦμεν, καὶ ὅτι πιστεύομεν εἰς τὸν ἕνα καὶ μόνον ἀληθινὸν θεὸν, κατὰ τὴν αὐτοῦ διδασκαλίαν, οὐκ ἐψευσμένῃ φωνῇ τιμῶντες· ἐστὶ γὰρ ἀψευδὴς· ἀλλ' ὄντως ὄντα φύσει τε καὶ δόξῃ θεὸν ἕνα· ἀνάρχως, ἀϊδίως. ἀτελευτήτως μόνον· οὐ τὴν οὐσίαν καθ' ἣν ἐστιν εἷς χωριζόμενον ἢ μεριζόμενον εἰς πλείους· ἢ ἄλλοτε ἄλλον γινόμενον, ἢ τοῦ εἶναι ὅ ἐστι μεθιστάμενον. οὔτε ἐκ μιᾶς οὐσίας εἰς ὑποστάσεις τρεῖς σχηματιζόμενον· πάντη γὰρ καθάπαξ ἐστὶν εἷς, καὶ κατὰ τὰ αὐτά τε καὶ ὡσαύτως διαμένων μόνος· οὐ κοινωνὸν ἔχων τῆς θεότητος, οὐ μεριστὴν τῆς δόξης, οὐ σύγκληρον τῆς ἐξουσίας, οὐ σύνθρονον τῆς βασιλείας· εἷς γάρ ἐστι καὶ μόνος θεὸς παντοκράτωρ, θεὸς θεῶν, βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων· ὕψιστος ἐπὶ πάσαν τὴν γῆν, ὕψιστος ἐν οὐρανοῖς, ὕψιστος ἐν ὑψίστοις, τοῖς ἐπουρανίοις· ἀληθινὸς ἐν τῷ εἶναι ὅ ἐστιν ἀεὶ καὶ διαμένει· ἀληθινὸς ἐν ἔργοις, ἀληθινὸς ἐν λόγοις. ἀρχὴ ἁπάσης ὑποταγῆς, ἐξουσίας, βασιλείας ἀνώτερος τροπῆς, καὶ μεταβολῆς ἐλεύθερος, ὡς ἀκήρατος. οὐκ ἐν τῷ γεννᾷν τὴν ἰδίαν οὐσίαν μερίζων, καὶ ὁ αὐτὸς γεννῶν καὶ γεννώμενος, ἢ ὁ αὐτὸς πατὴρ γινόμενος καὶ υἱὸς· ἐστὶ γὰρ ἄφθαρτος· οὐκ ἐν τῷ ποιεῖν ἢ μερῶν ἢ φυσικῶν ὀργάνων προσδεόμενος· ἐστὶ γὰρ πάντων ἀπροσδεής· Πιστεύομεν καὶ εἰς τὸν τοῦ θεοῦ υἱὸν, τὸν μονογενὴ θεὸν, τὸν προτότοκον πάσης κτίσεως, χριστὸν ἀληθινὸν θεὸν, οὐκ ἀγένητον· οὐκ ἄνευ πρὸ τοῦ εἶναι γεννήσεως ὀνομαζόμενον υἱὸν, πρὸ πάσης κτίσεως γενόμενον· οὐκ ἄκτιστον· ἀρχὴν ὁδῶν ἔργων τοῦ θεοῦ, καὶ ἐν ἀρχῇ ὄντα λόγον· οὐκ ἄναρχον· σοφίαν ζῶσαν, ἀλήθειαν ἐνεργοῦσαν, δύναμιν ὑφεστῶσαν, ζωὴν γεννητήν· ὡς υἱὸν θεοῦ ζωόγονοῦντα τοὺς ζῶντας. καὶ ζωοποιοῦντα τοὺς νεκρούς· φῶς ἀληθινὸν, φοτίζον πάντα ἄνθρωπον εἰσερχόμενον εἰς τὸν κόσμον· ἀγαθὸν καὶ χορηγὸν ἀγαθῶν ὡς ἀγαθότητι καὶ δυνάμει γεννηθέντα τοῦ πατρὸς. οὐχὶ τῷ μερίσαντι συμμερισάμενον τὴν ἀξίαν, οὐκ ἄλλῳ τινὶ τὴν πατρικὴν οὐσίαν, οὐ τὴν βασιλείαν· ἄλλα γενόμενον ἐκ γεννήσεως ἔνδοξον, καὶ τῆς δόξης κύριον· καὶ λαβόντα παρὰ τοῦ πατρὸς τὴν δόξαν, οὐ τῆς ἐκείνου μεταλαβόντα δόξης· ἀμετάδο-

πάδοτος γὰρ ἡ δόξα τῦ παντοκράτορος, καθὼς εἶπε, τιμῶ δόξαν μυ ἑτέρω οὐ δώσω· δεδοξασμένον ὑπὸ τῦ πατρὸς πρὸ τῶν αἰώνων· δεδοξασμένον ὑπὸ τῦ πατρὸς δι' αἰῶνος, καὶ πάσης λογικῆς καὶ ἁγνῆς οὐσίας· δορυφορούμενον ὑπὸ πάσης ἐπουρανίου στρατιᾶς· κύριος γάρ ἐστι καὶ βασιλεὺς τῆς δόξης, ὡς υἱὸς θεῦ καὶ θεός· δημιουργὸς ἀθανάτων καὶ θνητῶν, δημιουργὸς τῶν πνευμάτων καὶ πάσης σαρκός· πάντα γὰρ δι' αὐτῦ ἐγένετο, καὶ χωρὶς αὐτῦ ἐγένετο οὐδέν· βασιλεὺς καὶ κύριος πάσης ζωῆς καὶ πνοῆς τῶν δι' αὐτῦ γεγονότων· πάντα γὰρ αὐτῷ παρεδόθη παρὰ τοῦ πατρός, κατὰ τὴν ἁγίαν αὐτῦ φωνήν, καὶ πάντα δέδωκεν ὁ πατὴρ ἐν τῇ χειρὶ αὐτῦ· ὑπήκοος τοῦ τὴν τῶν ὄντων δημιουργίαν καὶ γένεσιν· ὑπήκοος πρὸς πᾶσαν διοίκησιν· οὐκ ἐκ τῆς ὑπακοῆς προσλαβὼν τὸ εἶναι υἱὸς ἢ θεός· ἀλλ' ἐκ τῦ υἱὸς εἶναι καὶ γεννηθῆναι μονογενὴς θεὸς γεγόνεν· ὑπήκοος ἐν ἔργοις· ὑπήκοος ἐν λόγοις· μεσίτης ἐν δόγμασι· μεσίτης νόμοις· τῦτον ἴσμεν υἱὸν τῦ θεῦ καὶ μονογενῆ θεόν· τῦτον ὅμοιον τῷ γεννήσαντι μόνον καθ' ἐξαίρετον ὁμοιότητα καὶ τιμῶ ἰδιάζουσαν ἔννοιαν· οὐχ ὡς πατρὶ πατέρα· οὐ γὰρ εἰσὶ δύο πατέρες· οὐδὲ ὡς υἱῷ υἱόν, οὐκ ὄντων δύο υἱῶν· οὐδὲ ὡς ἀγέννητον ἀγεννήτῳ· μόνος γάρ ἐστιν ἀγέννητος ὁ παντοκράτωρ· καὶ μόνος υἱὸς ὁ μονογενής· ἀλλ' ὡς υἱὸν πατρὶ· ὡς εἰκόνα καὶ ὡς σφραγῖδα πάσης τῆς τῦ παντοκράτορος ἐνεργείας καὶ δυνάμεως· σφραγῖδα τῶν τῦ πατρὸς ἔργων καὶ λόγων καὶ βουλευμάτων· τῦτον ὁμολογοῦμεν ἕνα τὸν ἐν ὕδασιν ἐπικεύσαντα τιμῶ γῆν· τὸν πυρὶ καταφλέξαντα σοδομίτας· τὸν ἐπισπόντα δίκιν αἰγυπτίοις· τὸν θέμενον τοὺς νόμους κατ' ἐπιταγὴν τοῦ αἰωνίου θεῦ· τὸν ἐπὶ τῶν προφητῶν ὁμιλήσαντα τοῖς παλαιοῖς· τὸν καλέσαντα τοὺς ἀπειθοῦντας· τὸν λαβόντα πᾶσαν τὸ κρίνειν τιμῶ ἐξουσίαν· ὁ γὰρ πατὴρ κρίνει οὐδένα· τὴν γὰρ κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ· τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν γενόμενον ἐν σαρκί· γενόμενον ἐκ γυναικός. γενόμενον ἄνθρωπον ἐπὶ ἐλευθερίᾳ καὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν ἀναλαβόντα τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον· τὸν διὰ γλώσσης καὶ σώματος εὐαγγελισάμενον τὴν εἰρήνην τοῖς ἐγγὺς καὶ τοῖς μακράν· τὸν γενόμενον ὑπήκοον μέχρι σταυροῦ καὶ θανάτου· καὶ μὴ ἰδόντα διαφθοράν, ἀλλ' ἀναστάντα τῇ τρίτῃ τῶν ἡμερῶν· καὶ μετὰ τιμῶ ἀνάστασιν ἀναχεφαλαιωσάμενον τοῖς ἑαυτοῦ τὸ μυστήριον· καὶ καθήμενον ἐν δεξιᾷ τοῦ πατρός· τὸν ἐρχόμενον κρίναι ζῶντας καὶ νεκρούς· καὶ μετὰ τοῦτον· πιστεύομεν εἰς τὸν παράκλητον τὸ πνεῦμα τῆς ἀληθείας· τὸν δεδωκότα τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ εἰς τὸ βαπτίσαι εἰς μετάνοιαν πάντα τὰ ἔθνη· τὸν λαλήσαντα ἐν παντὶ νόμῳ καὶ προφήταις καὶ αὐτῷ τῷ κατελθόντι ἐπὶ τὸν Ἰορδάνην εἰς τὸν Ἰωάννην· τὸν λαλήσαντα ἐν τοῖς ἀποστόλοις πάντα καὶ ἐνοικοῦντα καὶ συμπαρόντα ἐν πάσῃ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ· τὸν δοθησόμενον τοῖς ἁγίοις ἐν τῇ μελλούσῃ ζωῇ τῆς αἰωνίου βασιλείας· τὸν φυλάξαντα τὰς ψυχὰς τῶν ἁγίων ἀπὸ τῆς ἀρχῆς τοῦ κόσμου μέχρι τῆς τελευταίας ἡμέρας· τὸν ἐλεγκτικὸν τοῦ κόσμου περὶ ἁμαρτίας καὶ δικαιοσύνης καὶ κρίσεως· τὸν ἐλέγξαντα τὸν διάβολον ἐν τῇ ἐρήμῳ καὶ πειράσαντα καὶ ἡττηθέντα· τὸν ἐλέγξαντα τὸν ἄρχοντα τοῦ κόσμου τούτου· τὸν ἐλέγξαντα τὸν ἀντικείμενον καὶ ἀντιπολιτευόμενον τῇ τοῦ θεοῦ βασιλείᾳ· τὸν ἐλέγξαντα τὸν ἐχθρὸν καὶ ἀντικείμενον τῇ τοῦ θεοῦ ἐκκλησίᾳ· τὸν ἐλέγξαντα τὸν ἐπὶ τῆς γῆς ἐξουσιάσαντα θάνατον· τὸν καταργήσαντα τὸν θάνατον καὶ τὸν ἐπὶ τῆς γῆς ἐξουσιάσαντα θάνατον· τὸν ἀναστήσαντα τοὺς νεκροὺς καὶ ἀναστησόμενον ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν Λάζαρον· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν υἱὸν τῆς χήρας· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἀρχισυνάγωγον· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον τριήμερον· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον τετραήμερον· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον πολλῶν ἡμερῶν· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὄζοντα· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη σηπόμενον· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη σαπρόν· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὑπὸ τῶν σκωλήκων βεβρωμένον· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὑπὸ τῶν σκωλήκων βεβρωμένον καὶ ἀποπεσόντα· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὑπὸ τῶν σκωλήκων βεβρωμένον καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὑπὸ τῶν σκωλήκων βεβρωμένον καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὑπὸ τῶν σκωλήκων βεβρωμένον καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὑπὸ τῶν σκωλήκων βεβρωμένον καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὑπὸ τῶν σκωλήκων βεβρωμένον καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὑπὸ τῶν σκωλήκων βεβρωμένον καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὑπὸ τῶν σκωλήκων βεβρωμένον καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὑπὸ τῶν σκωλήκων βεβρωμένον καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα καὶ ἀποπεσόντα· τὸν ἀναστήσαντα καὶ ἀναστησόμενον τὸν ἐν τῷ μνημείῳ τεθειμένον ἐπὶ πλείονας ἡμέρας καὶ ἤδη ὑπὸ τῶν σκωλήκων βεβρωμένον καὶ ἀποπεσόντα

ΒΙΒΛΟΣ ΚΑΝΟ'ΝΩΝ ΤΗ̃Σ Ε'Ν ΑΦΡΙΚΗ, ΕΚΚΛΗΣΙΑΣ.

Τίθεμεν τὴν τὴν βίβλον τῶν κανόνων τῆς ἐν Ἀφρικῇ χάριν περιεργείας. Χρόνοι Χριστοῦ 419.

ΜΕΤΑ' τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ὄγδοον, τῶν αὐγούστων, τῇ πρὸ ὀκτὼ καλανδῶν Ἰουνίων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς ἐκκλησίας Φαύστου συνελθόντων. Αὐρηλίου τοῦ πάπα, ἅμα Βαλεντίνῳ τῆς πρώτης καθέδρας τῆς Νουμιδικῆς χώρας, Φαυστίνῳ ἀπὸ Πικένου τῆς Ποτεντίνης ἐκκλησίας τῆς Ἰταλῶν χώρας, τοποτηρητῇ τῆς ἐκκλησίας Ρώμης· ἀλλὰ καὶ διαφόροις τοποτηρηταῖς τῶν Ἀφρικανῶν ἐπαρχιῶν, τοῦτ' ἔστι, τῶν δύο Νουμιδιῶν, τῆς Βυζακηνῆς, Μαυριτανίας Σιτιφέντης, καὶ Μαυριτανίας τῆς Καισαρειανῆς, καὶ Τριπόλεως· καὶ Βικεντίῳ Κολουσιτάνῳ, Φορτουνατιανῷ Νεαπολίτῃ, καὶ τοῖς λοιποῖς ἐπισκόποις τῆς ἀνθυπατιανῆς χώρας, διακόσιοι δεκαεπτά· οὐ μὴν ἀλλὰ καὶ Φιλίππῳ καὶ Ἀσέλλῳ τοῖς πρεσβυτέροις τοποτηρηταῖς τῆς ἐκκλησίας Ρώμης· (ταῦτα ἅπερ καὶ αὐτοῖς ἤρεσε,) παρεστώτων τῶν διακόνων.

Αὐρήλιος ἐπίσκοπος εἶπε· μετὰ τὴν ὁρισθεῖσαν ἡμέραν τῆς συνόδου, ὡς μέμνησθε ἀδελφοὶ μακαριώτατοι, πολλὰ ἐζητήσαμεν ἐν τῷ ἀναμένειν ἡμᾶς τοὺς ἀδελφοὺς ἡμῶν, τοὺς νῦν εἰς τὴν παροῦσαν σύνοδον τοποτηρητὰς, αὐτοῖς πεπραγμένοις ἀνάγκη ἐστὶν ἐντεθῆναι. διὸ τῷ δεσπότῃ ἡμῶν περὶ τῆς συνελεύσεως τοῦ τοσούτου ἀθροίσματος ὑπολέλειπται χάριτας ἀναπέμψαι· ἵνα τοῦτο μὲν, τὰ ἴσα τῆς ἐν Νικαίᾳ συνόδου, ἃ νῦν ἔχομεν καὶ ἀπὸ τῶν πατέρων κατέστησαν· τοῦτο δὲ, καὶ ἅπερ ἐνταῦθα ἀπὸ τῶν προηγησαμένων ἡμᾶς τὴν αὐτὴν σύνοδον βεβαιωσάντων, καὶ τὰ κατὰ τὸν αὐτὸν τύπον ἀνὰ πάντας τοὺς τῶν κληρικῶν βαθμοὺς ἀπὸ τοῦ ἄκρου ἕως τοῦ ἐσχάτου σωτηριωδῶς ταχθέντα, εἰς μέσον προενεχθῶσιν. ἀπὸ πάσης τῆς συνόδου ἐλέχθη· προενεχθῶσιν.

Δανιὴλ νοτάριος ἀνέγνω· τῆς ἐν Νικαίᾳ συνόδου ἡ ὁμολογία τῆς πίστεως, ἤτοι τὰ ὁρισθέντα οὕτως ἔχει. καὶ ἐν τῷ λέγειν, Φαυστῖνος ἐπίσκοπος Πικένου, τοῦ λαοῦ τοῦ Ποτεντήνου τῆς Ἰταλῶν χώρας, τοποτηρητὴς τῆς Ρωμαίων ἐκκλησίας, εἶπεν· Ἐπεστάπη ἡμῖν ἀπὸ τῆς ἀποστολικῆς καθέδρας, τινὰ ἐγγράφως, τινὰ δὲ καὶ ἀγράφως στακταϊστέα, ὡς αὐτῶν μεμνήμεθα ἐν τοῖς ἀνωτέρω πεπραγμένοις, τοῦτ' ἔστι περὶ τῶν ἐν Νικαίᾳ κανόνων, ἵνα φυλαχθῶσι καὶ ὁ ὁρισμὸς αὐτῶν, καὶ ἡ συνήθεια· ἐπειδή τινα τάξει καὶ κανόνι κρατοῦνται, τινὰ δὲ συνηθείᾳ ἐτυπώθη. περὶ τούτων τοίνυν ἐν πρώτοις, ἐὰν ἀρέσκῃ τῇ μακαριότητι ὑμῶν, συζητήσωμεν, καὶ μετὰ ταῦτα, τὰ λοιπὰ πεπραγμένα καὶ ἐναρχθέντα, ἐνταττόμενα βεβαιωθῶσιν· ἵνα καὶ πρὸς τὴν ἀποστολικὴν καθέδραν ἀντιγράφοις ὑμετέροις ἐμφανίσαι δυνηθῆτε, καὶ τῷ αὐτῷ προσκυνητῷ πάπᾳ δηλώσητε, ὡς ἐπιμελῶς * ἀνεμνήσθημεν· εἰ καὶ ὅτι τὰ κεφάλαια τῶν πράξεων ἤδη τοῖς πεπραγμένοις ἐνεβλήθησαν. περὶ τούτων τοίνυν, ὡς προεῖπον, τί ἀρέσκει τῇ ὑμετέρᾳ μακαριότητι, πρᾶξαι ὀφείλομεν. ἐλθέτω τοιγαροῦν εἰς μέσον τὸ κομμονιτώριον, ἵνα δυνηθῆτε γνῶναι, τί ἐν αὐτῷ περιέχεται, ὅπως πρὸς ἕκαστα ἀπόκρισις δοθῇ.

* ἀνεμνήσαμεν.

Αὐρήλιος ἐπίσκοπος εἶπε· Προκομισθήτω τὸ κομμονιτώριον, ὅπερ οἱ ἀδελφοὶ καὶ συλλειτουργοὶ ἡμῶν τοῖς πεπραγμένοις ἔναγχος ἐνεφάνισαν, καὶ τὰ λοιπὰ ἀκολούθως, τά γε πεπραγμένα καὶ τὰ πρακτέα.

Δανιὴλ νοτάριος ἀνέγνω κομμονιτώριον· τῷ ἀδελφῷ Φαυστίνῳ, καὶ τοῖς τέκνοις Φιλίππῳ καὶ Ἀσέλλῳ τοῖς πρεσβυτέροις, Ζώσιμος ἐπίσκοπος. Τὰ καταπιστευθέντα ὑμῖν πράγματα οὐ λανθάνουσιν ὑμᾶς. οὕτως ὡς ἵνα ἡ ἡμετέρα ἐκεῖσε, μᾶλλον δὲ ἐπειδὴ ἡ ἡμέτερα ἐκεῖσε ἐν ὑμῖν παρουσία ἐστὶ, πάντα ἐκτελέσατε· μάλιστα καὶ τοῦτο ἡμῶν ἔχοντες τὸ ἔνταλμα καὶ τὰ ῥήματα τῶν κανόνων, ἅτινα πρὸς πλείονα βεβαίωσιν, τῷ παρόντι κομμονιτωρίῳ ἐνετάξαμεν. οὕτως γὰρ εἶπον οἱ ἀδελφοὶ, οἱ τῆς ἐν Νικαίᾳ συνόδου, ὅτε περὶ τῆς τῶν ἐπισκόπων ἐκκλήτου ἐψηφίζοντο.

Ἤρεσε δὲ, ὥστε ἐὰν ἐπίσκοπος κατηγορηθῇ, καὶ κρίνωσιν οἱ συνελθόντες ἐπίσκοποι τῆς ἰδίας αὐτοῦ ἐπαρχίας, καὶ τοῦ βαθμοῦ αὐτοῦ καθέλωσιν αὐτὸν, καὶ δόξῃ ἐκκαλεῖσθαι καὶ καταφεύγειν πρὸς τὸν μακαριώτατον ἐπίσκοπον Ρώμης· καὶ αὐτὸς θελήσῃ ἀκουσθῆναι, καὶ τὸ τοιοῦτον δίκαιον νομίσῃ, ὥστε ἀνανεωθῆναι τὴν ἐξέτασιν· γράψαι καταξιώσει πρὸς τοὺς ἐν τῇ ὁμορούσῃ ἐπαρχίᾳ ἐπισκόπους· ἵνα αὐτοὶ ἐπιμελῶς πάντα συζητήσωσι, καὶ κατὰ τὸ ἀληθὲς περαιώσωσι, διὸ ἐάν τις ἀξιοῖτο πρᾶγμα αὐτοῦ πάλιν ἀκουσθῆναι, καὶ οἰκείᾳ δεήσει κινήσοι τὸν ἐπίσκοπον Ρώμης, ἵνα ἐκ τοῦ πλευροῦ αὐτοῦ πρεσβύτερον ἀποστείλῃ, ἐν τῇ ἐξουσίᾳ αὐτοῦ εἴη ὅπερ βούλεται, καὶ ὅπερ ὑπολαμβάνει. καὶ ἐὰν ψηφίσηται ὀφείλειν πεμφθῆναί τινας, ὥστε παρόντας αὐτοὺς μετὰ τῶν ἐπισκόπων κρῖναι, ἔχοντας τὴν αὐθεντίαν τοῦ ἀποστείλαντος αὐτοὺς, ἐν τῇ κρίσει αὐτοῦ εἴη. ἐὰν δὲ καὶ νομίσῃ ἀρκεῖν τοὺς ἐπισκόπους, ἵνα πέρας τῷ πράγματι ἐπιθῶσι, ποιήσει τὸ τῇ αὐτοῦ βουλῇ παριστάμενον. Καὶ ἀναγνωσθέντων.

Ἀλύπιος ἐπίσκοπος τῆς Θεαγαστέων ἐκκλησίας, τοποτηρητὴς τῆς Νουμιδικῆς ἐπαρχίας, εἶπεν· Περὶ τούτου ἤδη καὶ τοῖς ἀνωτέροις γράμμασι τῆς συνόδου ἡμῶν ἀντεγράψαμεν· καὶ τοῦτο ἡμᾶς φυλάξειν ὁμολογοῦμεν, τὸ ὁρισθὲν ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου· ὅμως ἔτι ἐμὲ κινεῖ, ὅτι ἐν τῷ ἐπισκήπτειν ἡμᾶς τοῖς γραικηκοῖς * ἴσως ταύτης τῆς ἐν Νικαίᾳ συνόδου, ταῦτα ἐκεῖ, οὐκ οἶδα ποίῳ λόγῳ, οὐδαμῶς εὕρομεν· ὅθεν αἰτοῦμεν τὴν τιμιότητα τὴν σὴν ἁγιώτατε πάπα Αὐρήλιε, ἐπειδὴ τὰ αὐθεντικὰ τῆς ἐν Νικαίᾳ συνόδου ἐν Κωνσταντινουπόλει λέγεται εἶναι, τινὰς μετὰ γραμμάτων τῆς ὑμετέρας ἁγιωσύνης πέμψαι καταξιώσατε· καὶ μὴ μόνον πρὸς αὐτὸν τὸν ἁγιώτατον ἀδελφὸν ἡμῶν τὸν τῆς Κωνσταντινουπόλεως ἐπίσκοπον, ἀλλὰ καὶ τὸν τῆς Ἀλεξανδρείας καὶ Ἀντιοχείας τοὺς προσκυνητοὺς ἱερεῖς, οἵτινες τὴν αὐτὴν σύνοδον ἡμῖν μεθ' ὑποσημειώσεως τῶν οἰκείων γραμμάτων ἀποστείλωσιν, ὥστε πᾶσαν μετὰ ταῦτα ἀμφισβήτησιν ἀφαιρεθῆναι· ἐπειδὴ καὶ ἡμεῖς οὕτως, ὡς ὁ ἀδελφὸς Φαυστῖνος ἤγαγεν, οὐδαμῶς εὕρομεν ταῦτα· ὅμως ἡμᾶς πρὸς ὀλίγον φυλάξαντας, ὡς προεῖπον ἕως

* ἴσα.

οὗ τὰ

ϑ τὰ σύπλη ἴσα ἔλθωσιν, ὁμολογοῦμεν. ὀφείλομεν δὲ αἰτῆσαι γράμμασιν ἡμετέροις καὶ τὸν σεβασμιώτατον τῆς ἐκκλησίας Ρώμης ἐπίσκοπον Βονιφάτιον, ἵνα καὶ αὐτὸς ὁμοίως καταξιώσῃ πρὸς τοὺς μνημονευθείσας ἐκκλησίας σεῖλαί τινας, ὀφείλοντας τὰ αὐτὰ ἴσα κατὰ τὰ παρ' αὐτῶ γραφέντα ἀγαγεῖν. νῦν δὲ τῆς μνημονευθείσης ἐν Νικαίᾳ συνόδου ἅπερ ἔχομεν ἴσα, τοῖς πεπραγμένοις τούτοις συζεύξωμεν.

Φαυστῖνος ἐπίσκοπος τοποτηρητὴς τοῦ Ρώμης εἶπεν· οὐδὲ ἡ ὑμετέρα ἁγιωσύνη προκείμενα ποιεῖ τῇ ἐκκλησίᾳ Ρώμης, εἴτε περὶ τούτου τοῦ κεφαλαίου, εἴτε περὶ ἄλλων· ἐπειδὴ ἠξίωσεν ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Ἀλύπιος ἀμφιβόλους εἶναι τοὺς κανόνας. ἀλλὰ ταῦτα πρὸς τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν ἡμῶν γράψαι καταξιώσατε, ἵνα καὶ ὅτως ὁλοκλήρους τοὺς κανόνας συζητῶν, μετὰ τῆς ὑμετέρας ἁγιωσύνης περὶ πάντων τῷ ὁρισθέντων ξαχτιΐσῃ. ἀρκεῖ γὰρ ἵνα, καθὼς ἡ ὑμετέρα ἁγιωσύνη παρ' ἑαυτῇ ξαχτιΐζει, ὅτω καὶ αὐτὸς καθ' ἑαυτὸν συζητήσῃ· μήπως φιλονεικία μεταξὺ τῶν ἐκκλησιῶν τις ἀναφυῇ· ἀλλὰ μᾶλλον ἀδελφικῇ ἀγάπῃ βυλεύσασθαι, ἀντιγράφοντος αὐτοῦ, τί ὀφείλει χρειττόνως φυλαχθῆναι.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἐκτὸς ὧν προτεθείκαμεν ἐν τοῖς πεπραγμένοις, ἀνάγκη ἐστὶ καὶ γράμμασι τῆς ἡμετέρας βραχύτητος τῷ ἁγιωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν Βονιφατίῳ πάντα ὅσα ψηλαφῶμεν, εἰς πλῆρες ἐμφανίσαι. ἐὰν τοίνυν πᾶσιν ἀρέσκῃ ἡ ἡμετέρα ἐπακολούθησις, μάθωμεν σόματι πάντων. σύμφασα ἡ σύνοδος εἶπεν· ἀρέσκει.

Ναυᾶτος ἐπίσκοπος τοποτηρητὴς Μαυριτανίας Σιτιφένσης εἶπεν· μεμνήμεθα νῦν τοῦτο τὸ κομμονιτώριον περὶ πρεσβυτέρων, ἔτι μὴν καὶ διακόνων περιέχειν, πῶς ὀφείλουσιν ἀπὸ τῆς ἰδίων ἐπισκόπων ἢ ἐκ τῆς ὁμορούντων ἀκούεσθαι, ὅπερ ἐν τῇ Νικαίων συνόδῳ ἐδαμῶς ἀνέγνωμεν. διὸ τοῦτο αὐτὸ κελεύσει ἡ ὑμετέρα ἁγιωσύνη ἀναγνωσθῆναι.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἀναγνωσθῇ ἐπὶ τόπου καὶ τοῦτο τὸ ζητούμενον.

Δανιὴλ νοτάριος ἀνέγνω· Περὶ ἐκκλήτων δὲ κλειχῶν, τοῦτ' ἔστι, τοῦ ἥττονος τόπου, τῆς συνόδου βεβαία ἐστὶν ἀπόκρισις· περὶ ἧς τί μέλλετε πράττειν, ἡγησάμεθα ὀφείλειν ἀναγῆναι, ἐπειδὴ ὅτως λέλεκται.

Ὅσιος ἐπίσκοπος εἶπεν· Τὸ ἔτι κινοῦν με, σιωπῆσαι οὐκ ὀφείλω. ἐάν τις τυχὸν ἐπίσκοπος ὀργίλος, ὅπερ οὐκ ὀφείλει, ταχέως ἢ καὶ βραχέως κινηθεὶς κατὰ πρεσβυτέρου ἢ διακόνου ἰδίου, ἀφορίσαι τοῦτον τῆς ἰδίας θελήσει ἐκκλησίας· προνοητέον ἐστίν, ἵνα μὴ ἀναιτίως καταχειθῇ, ἢ ἀπολέσῃ τινὰ κοινωνίαν· ἐχέτω ἐξουσίαν ὁ ἐκβληθεὶς προσελθεῖν τοῖς ὁμόροις, ὥστε ἀκουσθῆναι τινὰ αἰτίαν αὐτοῦ, καὶ ἐπιμελέστερον ψηλαφηθῆναι· οὐκ ὀφείλει γὰρ αὐτῷ παρακαλοῦντι ὑπακοὴ ἀρνηθῆναι, κἀκεῖνος δὲ ὁ ἐπίσκοπος, ὁ εἴτε δικαίως, εἴτε ἀδίκως ἐκβαλὼν αὐτόν, ἀνεξικάκως δέξεται, ὅπως τὸ πρᾶγμα σκοπηθῇ, καὶ ἢ κυρωθῇ ἢ διορθωθῇ ἡ ψῆφος αὐτοῦ. καὶ τὰ λοιπά. Καὶ τούτων ἀναγνωσθέντων.

Αὐγουστῖνος ἐπίσκοπος τῆς ἐκκλησίας Ἱππώνης τῆς Νουμιδικῆς χώρας εἶπεν· Καὶ τοῦτο φυλάξοντες ὁμολογοῦμεν, σωζομένης τῆς ἐπιμελεστέρας ζητήσεως τῆς ἐν Νικαίᾳ συνόδου.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· Εἰ ἔτι μὴ καὶ τοῦτο ἀρέσκει, τῇ ἀποκρίσει τῆς πάντων ὑμῶν ἀγάπης βεβαιώσατε. σύμπασα ἡ σύνοδος εἶπεν. πάντα ἐν τῇ Νικαίων συνόδῳ ὁρισθέντα πᾶσιν ἡμῖν ἀρέσκουσιν. Ἰσχάνδος ἐπίσκοπος τῆς Σικκαφετάνης ἐκκλησίας, τοποτηρητὴς τῆς βυζακηνῆς χώρας εἶπε· Τὸ ὁρισθὲν ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου παραξαπῆναι ὑπό τινος ἐδαμῶς δύναται. Φαυστῖνος ἐπίσκοπος τοποτηρητὴς τῆς ἐκκλησίας Ρώμης εἶπεν· Ἀκμὴν κατὰ τὴν ἐπαγγελίαν τῆς ὑμετέρας ἁγιωσύνης, τοῦτο μέν, τοῦ ἁγίου Ἀλυπίου, τοῦτο δέ, καὶ τοῦ ἀδελφοῦ ἡμῶν Ἰσχάνδου, τινὰ ἀκυροῦσθαι πιστεύω, τινὰ βεβαιοῦσθαι· ὅπερ οὐκ ὀφείλει ἀμφίβολον εἶναι, ἐχομένων τῶν αὐτῶν κανόνων. τοιγαροῦν ὡς ἀρέσκει καὶ ἡμῖν καὶ ὑμῖν, πρὸς τὸν ἁγιώτατον καὶ σεβασμιώτατον ἐπίσκοπον τῆς ἐκκλησίας Ρώμης ἀναγαγεῖν ἡ ὑμετέρα ἁγιωσύνη καταξιώσει. ἵνα καὶ αὐτὸς, ὅπερ καὶ ὁ ἁγιώτατος Αὐγουστῖνος ὁρίσαι κατηξίωσε, σκέψασθαι δυνηθῇ ἑκάτερον. καὶ γὰρ τοῦτο παραχωρητέον ἐστὶ, καὶ συγχωρητέον, τοῦτ' ἔστι περὶ τῶν ἐγκλήτων τοῦ καταστέρου βαθμοῦ, ἐὰν ἀκμὴν εἰς ἀμφίβολόν ἐστι. καὶ περὶ τούτου τοῦ κεφαλαίου δίκαιόν ἐστι τὸν ἐπίσκοπον τοῦ μακαρίου θρόνου ὀφείλει τυπῶσαι, εἰ μοί τοι ἀποδέχεσθαι τοῦτο ἐν τοῖς κανόσιν εὑρεθῆναι δύναται. Αὐρήλιος ἐπίσκοπος εἶπε· τὰ ἐκπαλαι τῇ ὑμετέρᾳ ἀγάπῃ παρ' ἡμῶν τῷ ἐμφανισθέντα ἴσα ὁρισθέντων τῆς ἐν Νικαίᾳ συνόδου, νῦν καταδέξασθαι· ἀλλὰ καὶ τὰ ἐκ τῶν ἡμετέρων καθηγητῶν, κατὰ τὸν τῆς αὐτῆς συνόδου τύπον σωτηρίως ἔτι μὴν καὶ τὰ νῦν παρ' ἡμῶν ταχθέντα ἀναγνωσθῆναι, καὶ τοῖς πεπραγμένοις ἐμβληθῆναι. σύμπασα ἡ σύνοδος εἶπε· τὰ ἴσα τῆς πίστεως, καὶ τοὺς ὅρους τῆς ἐν Νικαίᾳ συνόδου, τοὺς πάλαι πρὸς ἡμᾶς διὰ Κεκιλιανοῦ τοῦ προηγητοῦ τῆς ὑμετέρας ἁγιωσύνης προσενεχθέντας· ἔτι μὴν καὶ ἅπερ τούτοις ἑπόμενα τὰ μέρη ἐνταῦθα κατέστησαν, καὶ νῦν δὲ κοινῇ συζητήσει παρ' ἡμῶν ὡρίσθησαν, τούτοις τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις ἐμβληθέντα μένωσι δηλονότι, καθὼς προλέλεκται, πρὸς τοὺς σεβασμίους ἐπισκόπους τῶν ἐκκλησιῶν Ἀντιοχείας, Ἀλεξανδρείας, καὶ Κωνσταντινουπόλεως, γράψαι καταξιώσης τῆς ὑμετέρας μακαριότητος, ἵνα τὰ ἀληθέστατα ἴσα τῆς ἐν Νικαίᾳ συνόδου μετ' ὑποσημειώσεως οἰκείων γραμμάτων ἀποσείλωσιν· ὅπως φανερωθείσης τῆς ἀληθείας, τὰ κεφάλαια ταῦτα, ἅπερ ἐν τῷ κομμονιτωρίῳ ὁ ἀδελφὸς καὶ συνεπίσκοπος ἡμῶν Φαυστῖνος, καὶ οἱ συμπρεσβύτεροι Φίλιππος καὶ Ἀσέλλος μετ' ἑαυτῶν ἤγαγον, ἢ ἐκεῖνα δείσκομεν ἀφ' ἡμῶν χυρωθῶσιν· ἢ ἐὰν μὴ διρεθῶσι, συνημμένης ἔτι τῆς συνόδου, περὶ τούτων ἐξῆς συζητήσωμεν. Δανιὴλ νοτάριος ἀνέγνω τῆς ἐν Νικαίᾳ συνόδου τῇ ὁμολογίαν τῆς πίστεως καὶ τοὺς ὅρους αὐτῆς, ἐν τῇ τῶν Ἀφρων συνόδῳ.

Ἡ ὁμο-

Ζήτει ἐπὶ Κεκιλιανοῦ τοῦ ἐπισκόπου Καρθαγένης.

Καρθαγ. κεφ. 6. κεφ. 1. 2. 3.

Ἡ ὁμολογία τῆς πίστεως τῆς ἐν Νικαίᾳ συνόδου.

ΠΙΣΤΕΥΟΜΕΝ εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, ὁρατῶν τε καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τοῦτ' ἔστιν ἐκ τῆς οὐσίας τοῦ πατρός· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί· δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ, τά τε ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα· παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρός, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. τοὺς δὲ λέγοντας, ἦν ὅτε οὐκ ἦν, καὶ πρὸ τοῦ γεννηθῆναι, οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἄλλης οὐσίας, λέγοντας ἀλλοιωτὸν ἢ τρεπτὸν τὸν υἱὸν τοῦ Θεοῦ· τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

Ὁμοίως δὲ καὶ οἱ ὅροι τῆς ἐν Νικαίᾳ συνόδου ἐν εἴκοσι κεφαλαίοις ἀνεγνώσθησαν· ἔπειτα τὰ ἐν ταῖς συνόδοις τῆς Ἀφρικῆς νομοθετηθέντα, τοῖς παροῦσι πεπραγμένοις ἐντιθέμενα γινώσκονται.

Ὡσε τὰ ἐν τῇ Νικαέων συνόδῳ ὁρισθέντα, παντὶ τρόπῳ παραφυλαχθήσεται.

ά.

ΑΤΡΗΛΙΟΣ ἐπίσκοπος εἶπεν· ταῦτα ὅσα παρ' ἡμῖν ἔχονται τὰ ἴσα τοῖς ὁρισθέντων, ἅπερ τότε οἱ πατέρες ἡμῶν ἐκ τῆς ἐν Νικαίᾳ συνόδου μεθ' ἑαυτοῖς κατήγαγον· ἧς τὸν τύπον φυλάττοντα τὰ ἑπόμενα καὶ ὁρισθέντα παρ' ἡμῶν βεβαιωθέντα φυλαχθῶσιν.

Περὶ κηρυκτέας τῆς ἁγίας Τριάδος.

β.

Καρθαγ. Καν. 2. κεφ. 1.

Σύμπασα ἡ συνοδος εἶπεν· θέλοντος τοῦ Θεοῦ, ἵση ὁμολογία ἡ ἐκκλησιαστικὴ πίστις, ἡ δι' ἡμῶν παραδιδομένη ἐν ταύτῃ τῇ ἐνδόξῳ συνελεύσει, πρωτοτύπως ὁμολογητέα ἐστίν· ἔπειτα ἡ ἐκκλησιαστικὴ τάξις μὴ συναινέσεως ἑκάστου ἢ ὁμοῦ πάντων φυλακτέα ἐστί· πρὸς βεβαιωτέας καὶ τὰς τοῦ ἀδελφοῦ καὶ συνεπισκόπων ἡμῶν τοῦ ἐναγχος χειροτονηθέντων διανοίας, ταῦτα δεῖ προσθεῖναι, ἃ παρὰ τοῦ πατέρων βεβαίᾳ διατυπώσει παρελάβομεν· ὥσε τῆς Τριάδος, τοῦτ' ἔστι τοῦ πατέρος καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος τὴν ἑνότητα, τὴν μυστηρίαν ἔχειν διαφορὰν γινωσκομένην, ἣν ταῖς ἡμετέραις διανοίαις ἐγκαθιερωθεῖσαν κατέχομεν, καὶ καθὼς ἐμάθομεν, οὕτω τοὺς λαοὺς τοῦ Θεοῦ διδάξωμεν. ὁμοίως ἀπὸ πάντων τοῦ ἐπισκόπων τοῦ ἐναγχος προαχθέντων ἐλέχθη φανερῶς· οὕτως δεχόμεθα, οὕτως κατέχομεν, οὕτως διδάσκομεν, τῇ πίστει τῇ ἀγγελικῇ ἅμα τῇ ὑμετέρᾳ διδασκαλίᾳ ἑπόμενοι.

Περὶ ἐγκρατείας.

γ.

Καρθαγ. Καν. 2. κεφ. 1.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἐν τῇ προλαβούσῃ συνόδῳ ὡς περὶ ῥυθμοῦ ἐγκρατείας καὶ ἁγνείας ἐζητεῖτο, ἤρεσεν ὥσε τοὺς τρεῖς βαθμοὺς τούτους τοὺς συνδέσμῳ τινὶ τῆς ἁγνείας διὰ τῆς * καθιερωσύνης συμπεπλεγμένους (φημὶ δὴ ἐπισκόπους, πρεσβυτέρους καὶ διακόνους) ὡς πρέπει ὁσίοις ἐπισκόποις καὶ ἱερεῦσι Θεοῦ καὶ Λευίταις καὶ ὑπηρετοῦσι θείοις καθιερώμασιν, ἐγκρατεῖς εἶναι ἐν πᾶσιν, ὅπως δυνηθῶσιν ὃ παρὰ τοῦ Θεοῦ ἁπλῶς αἰτοῦσιν, ἐπιτυχεῖν. ἵνα καὶ τὸ διὰ τῶν ἀποστόλων παραδοθέν, καὶ ἐξ αὐτῆς τῆς ἀρχαιότητος κρατηθὲν, καὶ ἡμεῖς ὁμοίως φυλάξωμεν.

* καθιερωσύνης

Περὶ διαφόρων τάξεων ὀφειλουσῶν ἀπέχεσθαι γυναικῶν.

δ.

Καρθαγ. Καν. 2. κεφ. 1.

Φαυστῖνος ἐπίσκοπος Πικένης τῆς Ποπεντίνης χώρας, τοποτηρητὴς τῆς ἐκκλησίας Ῥώμης, εἶπεν· ἀρέσκει ἵνα ἐπίσκοπος καὶ πρεσβύτερος καὶ διάκονος, καὶ πάντες οἱ τὰ ἱερὰ ψηλαφῶντες, τῆς σωφροσύνης φύλακες, γυναικῶν ἀπέχωνται. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· ἀρέσκει, ὥστε πάντας σωφροσύνῃ τηρεῖν τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, ἤτοι διακόνους.

Περὶ ἀπλησίας.

ε.

Αὐρηλίου ἐπίσκοπος εἶπε. τὴν τῆς ἀπλησίας ἐπιθυμίαν, ἣν πάντων τῶν κακῶν μητέρα εἶναι οὐδεὶς ἀμφιβάλλει, δέον ἀπέχειν· ἵνα μή τις τοῖς ἀλλοτρίοις ὅροις καταχέχρηται, μηδὲ ἵνα διὰ κέρδος τοὺς τῶν πατέρων ὅρους ὑπερβαίνῃ. μηδὲ ἵνα παντοίως τινὶ κλοιῷ ἐξὸν εἴη ἀπὸ οἱουδήποτε πράγματος τόκον λαβεῖν. καὶ τὰ μὴ νεωστὶ ἀνενεχθέντα ἁμαρτὰ ὄντα, καὶ καθόλου λανθάνοντα, σκοπούμενα παρ' ἡμῶν τυπωθήσονται· περὶ δὲ ὧν φανερώτατα ἡ θεία γραφὴ ἐθέσπισεν, οὐ δεῖ ψηφίζεσθαι, ἀλλὰ μᾶλλον ἕπεσθαι. ἀκολούθως καὶ τὸ ἐν λαϊκοῖς ἐπιλήψιμον, πολλῷ μᾶλλον ἐν κληρικοῖς ὀφείλει κατακρίνεσθαι σύμπασα ἡ συνοδος εἶπεν· οὐδεὶς κατὰ τοῦ προφητῶν, οὐδεὶς κατὰ τῶν εὐαγγελίων χωρεῖς κινδύνου ἐποίησεν.

Ὡσε χεῖσμα ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι.

ς.

Καρθαγ. κεφ. 1.

Φορτουνάτος ἐπίσκοπος εἶπεν· ἐν ταῖς προλαβούσαις συνόδοις μεμνήμεθα ὁρισθέντα, ὥσε χρίσμα ἢ καταλλαγὴν μετανοούντων, ἢ χορῶν καθιέρωσιν ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι. ἐὰν δέ τις ἀναφυῇ τοῦτο πράττων, τί δεῖ περὶ τούτου ὁρίσαι; Αὐρήλιος ἐπίσκοπος εἶπεν· τὸ ὑμέτερον ἄξιωμα ἤκουσε τὸ ἀνενεχθὲν παρὰ τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Φορτουνάτου· τί πρὸς ταῦτα λέγετε; ἀπὸ πάντων τῶν ἐπι-

ἐπισκόπων ἐλέχθη· χρίσματος ποίησις, καὶ κορῶν καθιέρωσις, ἀπὸ πρεσβυτέρων μὴ γίνηται· μήτε δὲ καταλλάξαι τινὰ εἰς δημοσίαν λειτουργίαν πρεσβυτέρῳ ἔξεῖναι, τοῦτο πᾶσιν ἀρέσκει.

Περὶ τῆς τῶν ἐν κινδύνῳ καθεσώτων καταλλαγῆς.

ζ.

Καρθαγ. 3. κεφ. 4. Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἐάν τις ἐν κινδύνῳ καθεσὼς αἰτήσῃ ἑαυτὸν καταλλαγῆναι τοῖς ἱεροῖς μυστηρίοις τοῦ ἐπισκόπου ἀπόντος, ὀφείλει εἰκότως ὁ πρεσβύτερος ἐρωτῆσαι τὸν ἐπίσκοπον, καὶ οὕτως τὸν ἐν κινδύνῳ καταλλάξαι κατὰ τιμὴ ἐκείνου παραγγελίαν. τοῦτο δὲ τὸ πρᾶγμα ὀφείλομεν σωτηρίῳ βουλῇ κυρῶσαι. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη. ἀρκεῖ ὅπερ ἡ ὑμετέρα ἁγιωσύνη ἀναγκαίως ἡμᾶς ὠφελῆσαι κατηξίωσεν.

Περὶ τῶν τοὺς πατέρας αἰτιωμένων, καὶ ὥστε μηδενὶ διαβεβλημμένῳ ἐξεῖναι ἐπισκόπου κατηγορεῖν.

η.

Νουάδιος ἐπίσκοπος Μαζουλιτάνος εἶπεν· εἰσὶ πολλοὶ οὐκ ἀγαθῆς ἀναστροφῆς, οἵτινες ἡγοῦνται τοὺς πατέρας καὶ ἐπισκόπους, ὡς ἔτυχεν, ὀφείλειν ἐνάγεσθαι· τοὺς τοιούτους δεῖ προσδέχεσθαι, ἢ μή; Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἀρέσκει τοίνυν τῇ ἁγίᾳ πάσῃ ἡμῶν, τοὺς εἴς τινα * μίσει ἐμπεπλεγμένους, κατὰ πατέρων φωνὴν κατηγορίας ἀποτίθεσθαι; ἐκ πάντων τῶν ἐπισκόπων ἐλέχθη· ἐὰν διαβέβληται ὁ τοιοῦτος, μὴ προσδεχθῇ. * al. μέσῃ.

Περὶ τῶν κατ' ἀξίαν τῶν οἰκείων ἀτοπημάτων, ἐκ τοῦ ἐκκλησιαστικοῦ συλλόγου ἐκβαλλομένων.

θ'.

Αὐγουστῖνος ἐπίσκοπος τοποτηρητὴς τῆς Νουμιδικῆς χώρας εἶπεν· τοῦτο ὁρίσαι καταξιώσατε, ὥστε τοὺς ἀξίως τῶν οἰκείων ἐγκλημάτων ἀπὸ τῆς ἐκκλησίας διωχθέντας, ἐάν τις ἐπίσκοπος ἢ πρεσβύτερος δέξηται εἰς κοινωνίαν, καὶ αὐτὸς ἔτι μᾶλλον τῷ ἴσῳ ἐγκλήματι ὑπόδυνος φανῇ ἅμα τοῖς τοῦ οἰκείου ἐπισκόπου τοῦ κανονικοῦ ψῆφον ἀποφέρουσιν. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· πᾶσιν ἀρέσκει.

Περὶ πρεσβυτέρων τῶν ἀπὸ τῶν οἰκείων καταγινωσκομένων ἐπισκόπων.

ι'.

Αὐρήλιος * ἐπίσκοπος τοποτηρητὴς τῆς Νουμιδικῆς χώρας εἶπεν· οὐκ ἐκεῖνο δεῖ παρεάσαι, ἵνα ἐάν τις τυχὸν πρεσβύτερος ἀπὸ τοῦ ἰδίου ἐπισκόπου καταγνωσθεὶς, φυσιότητί τινι καὶ ὑπερηφανίᾳ ἐπαρθεὶς, ἡγήσεται ὀφείλειν κεχωρισμένως ἅγια τῷ Θεῷ προσφέρειν, ἢ ἄλλο ἀνορθοῦν θυσιαστήριον οἱῳδήποτε κατὰ τῆς ἐκκλησιαστικῆς πίστεως καὶ κατασάσεως· ὁ τοιοῦτος ἀτιμώρητος μὴ ὀφείλῃ. Βαλε- * Ἀλύπιος, Καρθαγ. 3. κεφ. 8.

τῖνος ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Νουμιδικῆς χώρας εἶπεν· ἀναγκαίως τῇ ἐκκλησιαστικῇ πίστει καὶ τάξει σύμφωνά εἰσι τὰ παρὰ τοῦ ἀδελφοῦ ἡμῶν Ἀλυπίου προσενεχθέντα. λοιπὸν τί δοκεῖ τῇ ὑμετέρᾳ ἀγάπῃ, εἴπατε.

Ἐάν τις πρεσβύτερος κατὰ τοῦ ἰδίου ἐπισκόπου φυσιωθεὶς σχίσμα ποιήσῃ ἀνάθεμα ἔσω.

ια.

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη. ἐάν τις πρεσβύτερος ἐν τῇ διαγωγῇ αὐτοῦ καταγνωσθῇ, ὀφείλει ὁ τοιοῦτος τοῖς γειτνιῶσιν ἐπισκόποις προαγγεῖλαι· ἵνα αὐτοὶ τὰ πράγματος ἀκροάσωνται, καὶ δι' αὐτῶν τῷ ἰδίῳ ἐπισκόπῳ καταλαγῇ· τοῦτο δὲ ἐὰν μὴ ποιήσῃ, ἀλλ', ὅπερ ἀπεῖπεν, ὑπεροψίᾳ φυσιούμενος ἐκ τῆς τοῦ ἰδίου ἐπισκόπου κοινωνίας ἑαυτὸν χωρίσῃ, καὶ παρὰ μίαν μετά τινων σχίσμα ποιῶν, ἁγίασμα τῷ Θεῷ προσενέγκῃ· ὁ τοιοῦτος ἀνάθεμα λογιωθήτω, καὶ τὸν ἴδιον τόπον ἀπολεσάτω· σχοπουμένου, μήποτε κατὰ τοῦ ἐπισκόπου μέμψιν ἔχοι δικαίαν.

Εἰ τις ἐπίσκοπος χωρὶς καιροῦ συνόδου ἐγκλήματι περιβληθῇ, ὁ τοιοῦτος ἀκουσθῇ ἀπὸ δώδεκα ἐπισκόπων.

ιβ'.

Φῆλιξ ἐπίσκοπος εἶπεν· ἀναφερέτω κατὰ τὰ ὁρισθέντα ἐκ τῶν παλαιῶν συνόδων, ἵνα ἐάν τις ἐπίσκοπος, ὅπερ ἀπεῖπεν, ἔν τινι ἐγκλήματι περιπέσῃ, καὶ γένηται πολλὴ ἀνάγκη τοῦ μὴ δύνασθαι πολλοὺς συνελθεῖν, διὰ τὸ μὴ ἀπομένειν αὐτὸν ἐν τῷ ἐγκλήματι, ἀπὸ δώδεκα ἐπισκόπων ἀκουσθῇ· καὶ ὁ πρεσβύτερος, ἀπὸ ἓξ ἐπισκόπων καὶ τοῦ ἰδίου· καὶ ὁ διάκονος, ἀπὸ ξ' ἐπισκόπων. Καρθαγ. 4. κεφ. 20.

Περὶ τοῦ μὴ ἐξεῖναι ἐπίσκοπον, εἰ μὴ ἀπὸ πολλῶν, χειροτονεῖσθαι· εἰ δὲ ἀνάγκη γένηται, καὶ ἀπὸ ξ' ἐπισκόπων ὁ ἐπίσκοπος χειροτονηθείη.

ιγ'.

Αὐρήλιος ἐπίσκοπος εἶπε· τί πρὸς ταῦτα λέγει ἡ ὑμῶν ἁγιωσύνη; ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· ὀφείλει παρ' ἡμῶν τὰ ὁρισθέντα ἐκ τῶν πρὸ ἡμῶν φυλαχθῆναι, ὧν τινων ὡς ἔτυχεν ἀβέλως οἱ πρωτεύοντες τῆς οἰκείας δήποτε ἐπαρχίας ἢ κατατολμῶσι. πολλοὶ γὰρ ἐπίσκοποι συναχθέντες, ἐπίσκοπον χειροτονήσουσιν· εἰ δὲ ἀνάγκη γένηται, ξξ ἐπίσκοποι ἐν οἱῳδήποτε ἂν τόπῳ ὦσι, τῷ τοῦ πρωτεύοντος παραγγέλματι χειροτονήσουσι τὸν ἐπίσκοπον· καὶ ἐάν τις ἐν τινι ἐναντιωθῇ τῇ ἰδίᾳ ὁμολογίᾳ ἢ τῇ ὑπογραφῇ, αὐτὸς ἑαυτὸν ἀποστερήσῃ τῆς τιμῆς. Καρθαγ. 4. κεφ. 11.

Ὥστε ἀπὸ Τριπόλεως ἕνα ἐπίσκοπον εἰς τοποτηρησίαν ἐλθεῖν· καὶ ὥστε τὸν πρεσβύτερον ἐκεῖσε ἀπὸ πέντε ἀκούεσθαι ἐπισκόπων.

ιδ'.

Καρθαγ. 3. κιφ. 2 καὶ 8. Ὁμοίως ἤρεσεν ἀπὸ Τριπόλεως, διὰ τὴν τῆς χώρας ἔνδειαν, ἕνα ἐπίσκοπον εἰς τοποτηρησίαν ἐλθεῖν, καὶ ἵνα ὁ πρεσβύτερος ἐκεῖσε ἀπὸ πέντε ἀκούηται ἐπισκόπων· καὶ ὁ διάκονος ἀπὸ τριῶν, ὡς ἀνωτέρω εἴρηται· τοῦ ἰδίου αὐτοῦ δῆλον ὅτι ἐπισκόπου προκαθημένου.

Περὶ διαφόρων τάξεων τῇ ἐκκλησίᾳ δουλευουσῶν· ὥστε ἐάν τις εἰς ἐγκληματικὸν πρᾶγμα περιπέσῃ, καὶ παραιτήσηται τὸ ἐκκλησιαστικὸν δικαστήριον, ὀφείλειν τὸν τοιοῦτον κινδυνεύειν· καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων κοσμικοῖς θεωρίοις μὴ προσιέναι.

ιέ.

Καρθαγ. 3. κιφ. 9. Ὁμοίως ἤρεσεν, ἵνα ὅστις δήποτε τῶν ἐπισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων ἢ κληρικῶν, πράγματος αὐτοῦ ἐγκληματικοῦ ἢ πολιτικοῦ ἐν τῇ ἐκκλησίᾳ κινουμένου, ἐὰν παραιτούμενος τὸ ἐκκλησιαστικὸν δικαστήριον, δημοσίοις θελήσῃ καθαρθῆναι δικαστηρίοις· κἂν ὑπὲρ αὐτοῦ ἡ ψῆφος ἐκφωνηθῇ, ὅμως τὸν ἴδιον τόπον ἀπολέσῃ· καὶ τοῦτο μὲν ἐπὶ τοῦ ἐγκληματικοῦ· ἐπὶ δὲ πολιτικοῦ, ἀπολέσῃ τὸ εἰς ὃ ἐνίκησεν, ἐὰν τὸν ἴδιον τόπον θελήσῃ κατέχειν· καὶ τοῦτό γε μὴν ἤρεσεν, ὥστε ἐὰν ἀπὸ οἱωνδήποτε δικαστῶν ἐκκλησιαστικῶν ἐπὶ ἄλλους δικαστὰς ἐκκλησιαστικοὺς ἔχοντας μείζονα τὴν αὐθεντίαν ἔκκλητος γένηται, μηδὲν βλάπτειν τούτους ὧν ἡ ψῆφος λύεται, ἐὰν ἐλεγχθῆναι μὴ δυνηθῶσιν, ἢ κατὰ ἔχθραν ἢ κατὰ προσπάθειαν δεδικακέναι, ἤ τινι χάριτι ὑποφθαρῆναι. ἐὰν δὲ κατὰ συναίνεσιν τῶν μερῶν ἐπιλεγέντες ὦσι δικασταὶ, εἰ καὶ ὀλιγώτεροι ἔσονται τῶν ὁρισθέντων, μὴ ἐξεῖναι ἐκκαλεῖσθαι· καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων θεώρια κοσμικὰ μὴ ἐκτελεῖν μηδὲ θεωρεῖν. τοῦτο δὲ πᾶσι τοῖς χριστιανοῖς ἀεὶ κεκήρυκται, ὥστε ὅπου βλασφημίαι εἰσὶ, μὴ προσιέναι.

Ὥστε μηδένα ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον ἔκληψίν τινα λαμβάνειν· καὶ ὥστε τοὺς ἀναγνώστας γαμετὰς λαμβάνειν· καὶ ἵνα οἱ κληρικοὶ γυναικῶν ἀπέχωνται· καὶ ποίῳ δεῖ καιρῷ ἢ αὐτοὺς, ἢ τὰς παρθένους καθιεροῦσθαι.

ιϛ'.

Καρθαγ. 2. κιφ. 15. Ὁμοίως ἤρεσεν ἵνα ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι, ἐκλήπτορες μὴ γίνωνται, ἢ προκουράτωρες, μηδὲ ἔκ τινος αἰσχροῦ ἢ ἀτίμου πράγματος τροφὴν πορίζωνται· ὀφείλουσι γὰρ ἀποβλέψαι εἰς τὸ γεγραμμένον· οὐδεὶς στρατευόμενος τῷ Θεῷ, ἐμπλέκει ἑαυτὸν πράγμασι κοσμικοῖς. ἤρεσεν, ὥστε τοὺς ἀναγνώστας εἰς τὸν καιρὸν τῆς ἥβης ἐρχομένους, ἀναγκάζεσθαι ἢ συμβίους ἀγαγέσθαι, ἢ ἐγκράτειαν ὁμολογεῖν. ὁμοίως ἤρεσεν, ἵνα κληρικὸς, ἐὰν χρήματα δῷ καὶ χρήματα λάβῃ, ἐὰν εἶδος, ὅσον δέδωκε, λάβῃ. καὶ ἵνα πρὸ τῶν εἰκοσιπέντε ἐνιαυτῶν, μήτε διάκονοι χειροτονῶνται· ἀλλὰ οἱ ἀναγνῶσται τὸν δῆμον μὴ προσκυνῶσιν.

Ὥστε ἑκάστην ἐπαρχίαν διὰ τὸ μακροδαπὲς πρωτεύοντα ἔχειν ἴδιον.

ιζ'.

Ἤρεσεν ἵνα ἡ Μαυριτανία Σιτιφένσης, ὡς ᾔτησε, τὸν πρωτεύοντα τῆς Νουμιδικῆς χώρας, ἧς τινος ἐκ τῆς συνόδου κεχώρισται, ἴδιον ἔχῃ πρωτεύοντα· συναινέσει πάντων τῶν πρωτευόντων τῶν Ἀφρικανῶν ἐπαρχιῶν, καὶ πάντων ἐπισκόπων, διὰ τὸ μακροδαπὲς ἔχειν, ἐπετράπη.

Ἐάν τις κληρικὸς χειροτονῆται, ὀφείλει ὑπομιμνήσκεσθαι τοὺς ὅρους φυλάττειν· καὶ ἵνα τοῖς σώμασι τῶν ἀποθανόντων εὐχαριστία μὴ διδῶναι, μηδὲ βάπτισμα· καὶ ἵνα καθ' ἕκαστον ἐνιαυτὸν εἰς πάσας τὰς ἐπαρχίας πρὸς σύνοδον οἱ μητροπολῖται ἔρχωνται.

ιή.

Ὁμοίως ἤρεσεν, ὥστε χειροτονουμένου ἐπισκόπου ἢ κληρικοῦ, πρότερον ἀπὸ τῶν χειροτονούντων αὐτοὺς τὰ δεδογμένα ταῖς συνόδοις εἰς τὰς ἀκοὰς αὐτῶν ἐντίθεσθαι· ἵνα μὴ ποιοῦντες κατὰ τῶν ὅρων τῆς συνόδου μεταμεληθῶσιν. ὁμοίως ἤρεσεν, ἵνα τοῖς σώμασι τῶν τελευτώντων εὐχαριστία μὴ δοθῇ. γέγραπται γάρ· λάβετε, φάγετε. τὰ δὲ τῶν νεκρῶν σώματα οὐδὲ λαβεῖν δύναται, οὐδὲ φαγεῖν. καὶ ἵνα μὴ τοὺς ἤδη τελευτῶντας βαπτισθῆναι ποιήσῃ ἡ τῶν πρεσβυτέρων ἄγνοια. διὸ βεβαιωτέον ἐστὶν ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ, ὥστε κατὰ τοὺς ἐν Νικαίᾳ ὅρους διὰ τὰς ἐκκλησιαστικὰς αἰτίας, αἵ τινες πολλάκις πρὸς ὄλεθρον τοῦ λαοῦ παλαιοῦνται, καθ' ἕκαστον ἐνιαυτὸν σύνοδον συγκαλεῖσθαι, πρὸς ἣν πάντες οἱ τῶν ἐπαρχιῶν τὰς πρώτας καθέδρας ἐπέχοντες, ἐκ τῶν οἰκείων συνόδων δύο, ἢ καὶ ὅσους ἐπιλέξωνται ἐπισκόπους τετοποτηρητὰς ἀποστείλωσιν· ἵνα ἐν τῇ συναχθείσῃ συνελεύσει πλήρης εἶναι δυνηθῇ ἡ αὐθεντία.

Ὥστε ἐπισκόπου κατηγορουμένου, πρὸς τὸν πρωτεύοντα τῆς αὐτοῦ ἐπαρχίας τὸ πρᾶγμα ἀνενεχθῆναι.

ιθ'.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἐάν τις τῶν ἐπισκόπων κατηγορῆται, παρὰ τοῖς τῆς αὐτοῦ χώρας πρωτεύουσιν, ὁ κατήγορος ἀναγάγῃ τὸ πρᾶγμα· καὶ μὴ ἀπὸ τῆς κοινωνίας κωλυθῇ ὁ κατηγορούμενος, εἰ μηδ' ἂν πρὸς ἀπολογίαν ἐν τῷ δικαστηρίῳ τῶν ἐπιλεγέντων δικάζειν, γράμμασι προκληθεὶς, τῇ ὡρισμένῃ ἡμέρᾳ οὐδαμῶς ἀπαντήσοι, τοῦτ' ἔστιν, ἐντὸς προθεσμίας μηνὸς ἀφ' ἧς ἡμέρας φανείη τὰ γράμματα δεξάμενος. ἐὰν δὲ ἀληθεῖς τινας καὶ ἀναγκαστι- Καρθαγ. 1. κιφ. 7.

κασικὰς αἰτίας ἀποδείξῃ τὰς αὐτὸν κωλυσάσας ἀπαντῆσαι πρὸς ἀπολογίαν τῶν κατ' αὐτοῦ προτεθέντων, ἐντὸς ἑτέρου μηνὸς ἀκεραίαν ἐχέτω εὐχέρειαν. μετὰ δὲ τὸν δεύτερον μῆνα μὴ κοινωνήσῃ, ἕως οὗ καθαρὸς ἀποδειχθείη. εἰ δὲ πρὸς σύμπασαν τὴν ἐτησίαν σύνοδον ἀπαντῆσαι μὴ βουληθείη, ἵνα κἂν ἐκεῖ τὸ πρᾶγμα αὐτοῦ περαιωθῇ, αὐτὸς καθ' ἑαυτοῦ τῆς καταδίκης τὴν ψῆφον ἐκπεφωνηκέναι κριθήσηται· ἐν δὲ τῷ καιρῷ ᾧ οὐ κοινωνεῖ, μηδὲ ἐν τῇ ἰδίᾳ ἐκκλησίᾳ, μηδὲ ἐν παροικίᾳ κοινωνήσῃ. ὁ δὲ τούτου κατήγορος, ἐὰν μηδαμοῦ ἀπολειφθείη ἐν αἷς ἡμέραις γυμνάζεται τὰ τοῦ πράγματος, μηδαμῶς κωλυθῇ ἀπὸ τῆς κοινωνίας· ἐὰν δέ ποτε ἐλλείψῃ ἑαυτὸν ὑποσύρας, ἀποκαθισταμένου τῇ κοινωνίᾳ τοῦ ἐπισκόπου, αὐτὸς ἀπὸ τῆς κοινωνίας ἐκβληθῇ ὁ κατήγορος· οὕτως μέντοι, ὡς μὴ καὶ τὴν εὐχέρειαν αὐτῷ ἀφαιρεῖσθαι τῆς κατηγορίας τοῦ πράγματος, ἐὰν δυνηθῇ ἀποδεῖξαι κατὰ τὴν προθεσμίαν, οὐχὶ μὴ τεθεληκέναι, ἀλλὰ μὴ δεδυνῆσθαι ἀπαντῆσαι. ἐκείνου δήλου ὄντος, ὡς ἐν τῷ κινεῖσθαι τὰ τοῦ πράγματος ἐν τῷ τῶν ἐπισκόπων δικαστηρίῳ, ἐὰν διαβέβληται τὸ πρόσωπον τοῦ κατηγόρου, μὴ προσδεχθῇ εἰς κατηγορίαν· εἰ μηδ' ἂν ὑπὲρ ἰδίου πράγματος, μὴ μέντοι περὶ ἐκκλησιαστικοῦ, θελήσῃ ἐπιβαλέσθαι.

Περὶ πρεσβυτέρων καὶ κληρικῶν κατηγορουμένων.

κ'.

Ἐὰν δὲ πρεσβύτεροι ἢ διάκονοι κατηγορηθῶσι, προσζευγνυμένου τοῦ νομίμου ἀριθμοῦ τῶν ἐκ τῆς πλησιαζούσης τοποθεσίας αἱρετικῶν ἐπισκόπων, οὓς οἱ κατηγορούμενοι αἰτήσονται· τοῦτ' ἔστιν, ἐπ' ὀνόματι τοῦ πρεσβυτέρου ἕξ, καὶ τοῦ διακόνου τριῶν. σὺν τούτοις αὐτὸς ὁ ἴδιος τῶν κατηγορουμένων ἐπίσκοπος τὰς αἰτίας αὐτῶν ἐξετάσει, τοῦ αὐτοῦ τῶν ἡμερῶν καὶ ὑπερθέσεων καὶ ἐξετάσεων καὶ προσώπων μεταξὺ τῶν κατηγορούντων καὶ κατηγορουμένων τόπουφυλαττομένου. τῶν δὲ λοιπῶν κληρικῶν τὰς αἰτίας καὶ μόνος ὁ ἐντόπιος ἐπίσκοπος διαγνῷ καὶ περατώσῃ.

Ὥστε τὰ τέκνα τῶν κληρικῶν ἐν συνοικεσίῳ μὴ συνάπτεσθαι αἱρετικοῖς.

κα'.

Ὁμοίως ἤρεσεν, ὥστε τέκνα τῶν κληρικῶν ἐθνικοῖς ἢ αἱρετικοῖς γαμικῶς μὴ συνάπτεσθαι.

Ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μηδένα συνεισάγειν τοῖς μὴ ὀρθοδόξοις χριστιανοῖς, εἰ καὶ συγγενεῖς ἔτι μὴν ὦσιν.

κβ'.

Μηδὲν διὰ δωρεᾶς τῶν οἰκείων πραγμάτων, ὡς εἴρηται, τοὺς ἐπισκόπους ἢ κληρικοὺς τούτοις συνεισάγειν.

Ὥστε τοὺς ἐπισκόπους πέραν θαλάσσης μὴ ἀποδημεῖν.

κγ'.

Ὁμοίως ἐπίσκοποι πέραν θαλάσσης μὴ ἀποδημείτωσαν, εἰ μὴ μετὰ ψηφίσματος τῆς πρώτης καθέδρας τοῦ ἰδίου ἑκάστης χώρας ἐπισκόπου· τοῦτ' ἔστιν, εἰ μὴ ἀπ' αὐτοῦ πρωτεύοντος κατεξαίρετον λάβῃ τὴν, ἥτις λέγεται ἀπολυτικὴ, τετυπωμένην, ἤτοι παράθεσιν.

Ὥστε ἐκτὸς τῶν κανονικῶν γραφῶν, μηδὲν ἐν τῇ ἐκκλησίᾳ ἀναγινώσκεσθαι.

κδ'.

Ὁμοίως, ἵνα ἐκτὸς τῶν κανονικῶν γραφῶν, μηδὲν ἐν τῇ ἐκκλησίᾳ ἀναγινώσκηται, ἐπ' ὀνόματι θείων γναφῶν. εἰσὶ δὲ αἱ κανονικαὶ γραφαὶ τοῦτ' ἔστι. Γένεσις, Ἔξοδος, Λευιτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον, Ἰησοῦς ὁ τοῦ Ναυῆ, Ροὺθ, Κριταὶ, τῶν βασιλειῶν τέσσαρες, τῶν παραλειπομένων βίβλοι δύο, Ἰὼβ, Ψαλτήριον, Σολομῶνος βίβλοι πέντε, τῶν προφητῶν βίβλοι δώδεκα, Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιὴλ, Δανιὴλ, Τωβίας, Ἰουδίθ, Ἐσθὴρ. Ἔσδρου βίβλοι δύο. Τῆς νέας διαθήκης, εὐαγγέλια τέσσαρα, πράξεων ἀποστόλων βίβλος μία, ἐπιστολαὶ Παύλου δεκατέσσαρες, Πέτρου ἀποστόλου δύο, Ἰωάννου ἀποστόλου τρεῖς, Ἰακώβου ἀποστόλου μία, Ἰούδα ἀποστόλου μία. Ἀποκάλυψις Ἰωάννου, βίβλος μία. τοῦτο δὲ τῷ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν Βονιφατίῳ καὶ τοῖς ἄλλοις τῶν αὐτῶν μερῶν ἐπισκόποις, πρὸς βεβαίωσιν τοῦ προκειμένου κανόνος γνωρισθῇ, ἐπειδὴ παρὰ τῶν πατέρων ταῦτα ἐν ἐκκλησίᾳ ἀναγνωστέα παρελάβομεν.

Περὶ ἐπισκόπων καὶ τῶν ἑπομένων τάξεων τῶν τὰ ἅγια μυστήρια ψηλαφουσῶν, ἤρεσεν ἀπὸ γυναικῶν ἐγκρατεύεσθαι.

κε'.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· προστίθημι ἀδελφοὶ τιμιώτατοι πρὸς τούτοις, ἐν τῷ ἀναφέρεσθαι ἕνεκεν ἐγκρατείας τῆς περὶ τὰς ἰδίας γυναῖκάς τινων τῶν κληρικῶν, ἐξαιρέτως ἀναγνωστῶν, τὸ καὶ ἐν διαφόροις συνόδοις βεβαιωθέν· ὥστε τοὺς ὑποδιακόνους τοὺς τὰ ἱερὰ μυστήρια ψηλαφῶντας, καὶ τοὺς διακόνους καὶ πρεσβυτέρους, ἀλλὰ καὶ ἐπισκόπους, κατὰ τοὺς ἰδίους ὅρους καὶ ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι, ἵνα ὡς μὴ ἔχοντες ὦσιν· ὅπερ εἰ μὴ ποιήσωσι, τοῦ ἐκκλησιαστικοῦ ἀποκινηθῶσι καθήκοντος. τοὺς δὲ λοιποὺς κληρικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, εἰ μὴ ἐν προβεβηκυίᾳ κείρᾳ. ἀπὸ πάσης ἐλέχθη συνόδου· ἅπερ ἡ ὑμετέρα ἁγιωσύνη δικαίως ἠρίθμησεν, ἱεροπρεπῇ ὄντα καὶ θεάρεστα βεβαιοῦμεν.

Ὥστε

Ὥστε μὴ ὑπό τινος διασπᾶσθαι τὰ τῆς ἐκκλησίας πράγματα.

κϛ'.

Ὁμοίως ἤρεσεν, ἵνα πρᾶγμα ἐκκλησιαστικὸν μηδεὶς πιπράσκῃ ὅπερ πρᾶγμα ἐὰν προσόδους μὴ ἔχῃ, καὶ πολλή τις ἐπείγῃ ἀνάγκη, τοῦτο ἐμφανίζεσθαι τῷ πρωτεύοντι τῆς αὐτῆς ἐπαρχίας, καὶ κατὰ τοῦ ὡρισμένου ἀριθμοῦ τῶν ἐπισκόπων βουλεύεσθαι, τί δεῖ πρᾶξαι. εἰ δὲ τοσαύτη ἐπείγει ἀνάγκη τῆς ἐκκλησίας, ὡς μὴ δύνασθαι πρὸ τοῦ πωλεῖν βουλεύεσθαι, καὶ τοὺς γειτνιῶντας εἰς μαρτυρίαν καλέσῃ ὁ ἐπίσκοπος, φροντίδα ποιούμενος τοῦ ἀποδεῖξαι τῇ συνόδῳ πάσας τὰς συμβάσας τῇ ἐκκλησίᾳ αὐτοῦ περιστάσεις· ὅπερ εἰ μὴ ποιήσῃ, ὑπεύθυνος τῷ Θεῷ καὶ τῇ συνόδῳ φανῇ, καὶ ἀλλότριος τῆς οἰκείας τιμῆς.

Πρεσβύτεροι καὶ διάκονοι ἐπὶ βαρυτέρῳ ἁμαρτήματι ἐλεγχθέντες, χειροθεσίαν ὡς λαϊκοὶ, μηδαμῶς ὑποδέξωνται.

κζ'.

Ὁμοίως ἐβεβαιώθη, ὡς ἐάν ποτε πρεσβύτεροι ἢ διάκονοι, ἐπί τινι βαρυτέρᾳ ἁμαρτίᾳ ἐλεγχθῶσι τῇ ἀναγκαίως αὐτοὺς τῆς λειτουργίας ἀποκινούσῃ, μὴ ἐπιτίθεσθαι αὐτοῖς χεῖρας ὡς μετανοοῦσιν, ἢ ὡς πιστοῖς λαϊκοῖς· μηδὲ ἐπιτρέπεσθαι αὐτοῖς, ὥστε ἀναβαπτιζομένους πρὸς τὸν τοῦ κλήρου βαθμὸν προκόπτειν.

Πρεσβύτεροι καὶ διάκονοι καὶ κληρικοὶ, οἱ ἐν τῷ ἰδίῳ πράγματι ἔκκλητον παρέχοντες ἐπὶ τὰ πέραν τῆς θαλάσσης, εἰς κοινωνίαν μηδαμῶς δεχθῶσιν.

κη'.

Ὁμοίως ἤρεσεν, ἵνα οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι, καὶ οἱ λοιποὶ κατώτεροι κληρικοὶ, ἐν αἷς ἔχωσιν αἰτίαις, ἐὰν τὰ δικαστήρια μέμφωνται τῶν ἰδίων ἐπισκόπων, οἱ γείτονες ἐπίσκοποι ἀκροάσωνται αὐτῶν, καὶ μετὰ συναινέσεως τοῦ ἰδίου ἐπισκόπου, τὰ μεταξὺ αὐτῶν διαθῶσιν οἱ προσκαλούμενοι δι' αὐτῶν ἐπίσκοποι. διὸ εἰ καὶ περὶ αὐτῶν ἔκκλητον παρέχειν νομίσωσι, μὴ ἐκκαλέσωνται εἰς τὰ πέραν τῆς θαλάσσης δικαστήρια, ἀλλὰ πρὸς τοὺς πρωτεύοντας τῶν ἰδίων ἐπαρχιῶν, ὡς καὶ περὶ τῶν ἐπισκόπων πολλάκις ὥρισται. οἱ δὲ πρὸς περαματικὰ δικαστήρια διεκαλούμενοι, παρ' οὐδενὸς ἐν τῇ Ἀφρικῇ δεχθῶσιν εἰς κοινωνίαν.

Εἴ τις ἀπὸ κοινωνίας ὤν, πρὸ τοῦ ἀκουσθῆναι κοινωνῆσαι τολμήσοι, αὐτὸς καθ' ἑαυτοῦ τὴν καταδίκην προήγαγεν.

κθ'.

Ὁμοίως ἤρεσε συμπάσῃ τῇ συνόδῳ, ἵνα ὁ διὰ ῥαθυμίαν αὐτοῦ ἀπὸ κοινωνίας γενόμενος, εἴτε ἐπίσκοπος, εἴτε οἱοσδήποτε κληρικὸς, ἐὰν ἐν τῷ καιρῷ τῆς ἀκοινωνησίας αὐτοῦ, πρὸ τοῦ ἀκουσθῆναι, εἰς κοινωνίαν τολμήσοι, αὐτὸς καθ' ἑαυτοῦ τῆς καταδίκης τὴν ψῆφον ἐξενηνοχέναι κριθῇ.

Περὶ κατηγοροῦντος ἢ κατηγορουμένου.

λ'.

Ὁμοίως ἤρεσεν, ἵνα ὁ κατηγορούμενος ἢ ὁ κατηγορῶν ἐν τῷ τόπῳ, ὅθεν ἐστὶν ὁ κατηγορούμενος, ἐὰν φοβῆται ἀτιμίαν προπετοῦς πολυπληθίας, τόπον ἑαυτῷ ἐπιλέξηται ἔγγιστα, ἐν ᾧ οὐκ ἔστιν αὐτῷ δυσχέρεια μάρτυρας προκομίσαι, ἔνθα τὸ πρᾶγμα περατοῦται.

Ἐάν τινες κληρικοὶ ἐκ τῶν ἰδίων ἐπισκόπων προβιβαζόμενοι καταφρονῶσι, μηδὲ ἐκεῖ μείνωσιν, ὅθεν ἀναχωρῆσαι οὐκ ἠθέλησαν.

λα'.

Ὁμοίως ἤρεσεν, ἵνα οἱοιδήποτε κληρικοὶ καὶ διάκονοι, ἐὰν μὴ πειθαρχῶσι τοῖς ἐπισκόποις αὐτῶν βουλομένοις διά τινας ἀναγκαστικὰς αἰτίας τῶν ἐκκλησιῶν αὐτῶν, τούτους πρὸς μείζονας ἀναβιβάζειν τιμὰς ἐν τῇ ἐκκλησίᾳ αὐτῶν, μηδὲ ἐν ἐκείνῳ τῷ βαθμῷ διακονήσωσιν, ἐξ οὗ ἀναχωρῆσαι οὐκ ἠθέλησαν.

Ἐάντις τῶν κληρικῶν πενιχρὸς, προκόψας εἴς τινα τάξιν κτήσηται τί ποτε, ὑποκεῖσθαι τῇ ἐξουσίᾳ τῶν ἐπισκόπων.

λβ'.

Ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι, πρεσβύτεροι, διάκονοι, ἢ καὶ οἱοιδήποτε κληρικοὶ οἱ μηδὲν ἔχοντες, ἐὰν προκόψαντες τῷ καιρῷ τῆς ἐπισκοπῆς ἢ τῆς κληρώσεως αὐτῶν, ἀγροὺς ἢ οἱαδήποτε χωρία ἐπ' ὀνόματι αὐτῶν ἀγοράσωσιν, ἵνα ὡς κατὰ δεσποτικῶν πραγμάτων ἔφοδον πεποιηκότες, ἐνέχωνται· εἰ μὴ ἄρα λοιπὸν ὑπομνησθέντες, τῇ ἐκκλησίᾳ ταῦτα εἰσκομίσωσιν. ἐὰν δὲ εἰς αὐτοὺς κυρίως φιλοτιμία τινὸς, ἢ διαδοχὴ συγγενείας περιέλθῃ, ἐξ αὐτοῦ ποιήσωσιν ὃ ἔχει ἡ πρόθεσις αὐτῶν. εἰ δὲ καὶ μετὰ τὸ προθέσθαι εἰς τοὐπήσω μεταστραπῶσι, τῆς ἐκκλησιαστικῆς τιμῆς ἀνάξιοι, ὡς ἀδόκιμοι, κριθῶσιν.

"Ωσε πρεσβυτέρους πρᾶγμα τῆς ἐκκλησίας ἐν ᾗ καθιέρωνται, μὴ πιπράσκειν· καὶ ὥσε μηδενὶ ἐπισκόπῳ ἐξεῖναι πράγματι καταχεχρῆσθαι τῷ τίτλῳ ἐκκλησιαστικῆς μάξικ@.

λγ'.

Ὁμοίως ἤρεσεν, ὥσε τοὺς πρεσβυτέρους παράγνώμιν τῶν ἰδίων αὐτῶν ἐπισκόπων πρᾶγμα μὴ πιπράσκειν τῆς ἐκκλησίας, ἐν ᾗ καθιέρωνται· ὃν τρόπον καὶ τοῖς ἐπισκόποις οὐκ ἔξεσι πιπράσκειν χωρία τῆς ἐκκλησίας, ἀγνοούσης τῆς συνόδου, ἢ τῶν ἰδίων πρεσβυτέρων. μὴ ὄσης τοίνυν ἀνάγκης, μηδὲ ἐπισκόπῳ ἐξεῖναι καταχρήσασθαι πράγματι ἐκ τοῦ τίτλου τῆς ἐκκλησιαστικῆς μάξικος.

ΚΑΝΟΝΕΣ ΔΙΑΦΟΡΩΝ ΤΗΣ ΕΝ ΑΦΡΙΚΗ ΕΚΚΛΗΣΙΑΣ ΣΥΝΟΔΩΝ.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ ἔτι μὴν ἐν ταύτῃ τῇ συνόδῳ διάφοροι σύνοδοι πάσης τῆς τῶν Ἄφρων χώρας, ἐπιτελεσθεῖσαι ἐν τοῖς προλαβοῦσι χρόνοις Αὐρηλίου ἐπισκόπου Καρχηδόνος.

Ἐκ τῆς συνόδου τῆς ἐν Ἱππῶνι Ρεγίῳ γνωμμύης.

Ἐπὶ τοῦ ἐνδοξοτάτου βασιλέως Θεοδοσίου Αὐγούστου τῷ τρίτῳ, καὶ ἐπὶ Ἀβυνδαντίου τοῦ λαμπροτάτου ὑπάτου ὀγδόῳ εἰδοῖς Ὀκτωβρίαις ἐν Ἱππῶνι Ρεγίῳ εἰς τὸ σήκρητον τῆς ἐκκλησίας πάκης. καὶ τὰ λοιπὰ πεπραγμμία ταύτης τῆς συνόδου διὰ τοῦτο οὐκ ἐγράφησαν, ἐπειδὴ τὰ ἐν αὐτῇ ὀειωθέντα, ἐν τοῖς ἀνωτέροις δείκνυται ἐγκείμμυα.

Ἐκ τῆς συνόδου Καρχηδόνος, ἔνθα τοποτηρηταὶ ἐπίσκοποι τῆς ἀνθυπατιανῆς πρὸς τὴν σύνοδον ἀποστέλλονται Ἀδρυμέτου.

Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ἀρκαδίου τῷ ξίτῳ, καὶ Ὀνωρίου τῷ δευτέρῳ, τῶν Αὐγούστων ὑπάτων, πρὸ δεκαέξ καλανδῶν Ἰουλίων εἰς Καρχηδόνα. ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρηταὶ ἐπελέγησαν ἐπίσκοποι ἀνθυπατιανοὶ πρὸς τοῦ Ἀδρυμετινοῦ σύνοδον.

Ἐκ τῆς συνόδου Καρχηδόνος, ἔνθα πολλὰ ὡρίσθησαν.

Ἐπὶ Καισαρίου καὶ Ἀττικοῦ τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ πέντε καλανδῶν Σεπτεμβρίων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς ἐκκλησίας Ρεσιτούτης ἐν τῷ προκαθέζεσθαι Αὐρήλιον ἐπίσκοπον ἅμα ἐπισκόποις, παρεσώτων διακόνων, παραγγυομμύων ἔτι μὴν Βίκτωρος τοῦ γέροντος τοῦ Πυπιανίτου, Τίτου τοῦ Μυγιρπηταυοῦ, Εὐαγγέλου Ἀσυρειταυοῦ, Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Μετὰ τοῦ προοιμιασθέντος ἡμέραν τῆς συνόδου καθημμύων ἡμῶν, ὡς μέμνησθε ἀδελφοὶ μακαριώτατοι, προσδοκώντων ἐκ πασῶν τῶν ἐπαρχιῶν τῆς Ἀφρικῆς τοποτηρητὰς παραγμμέσθαι πρὸς τοῦ ἡμέραν τῆς ἡμετέρας συζητήσεως, τοῦ ὡς εἶπον προοιμιασθέντος, ἀλλὰ καὶ ἀναγνωσθείσης ἐπιστολῆς τῶν ἀπὸ τοῦ Βυζακίου συλλειτουργῶν ἡμῶν· κἀκεῖνο ὅτι μὴν παραναγινωσκομένη τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅτι ἅμα ἐμοὶ συνεζήτησαν οἱ τὸν κυρίον καὶ τοῦ ἡμέραν τῆς συνόδου προλαβόντες, ἔτι μὴν ἀνεγνώσθη καὶ ἀπὸ τῶν ἀδελφῶν Ὀνωράτου καὶ Οὐρβανοῦ τῶν ἅμα ἡμῖν σήμερον τῆς συνόδου μετεχόντων, τοποτηρησία ἀποσταλεῖσα τῆς Σιτιφένσης χώρας. πάλιν δὲ καὶ ὁ ἀδελφὸς Ρηγῖνος τῆς Βεγιτσελιτάνης χώρας γράμματα τῇ ἐμῇ μετριότητι ἐνεφάνισεν, ἀπὸ Κεγχρεαντιάνου καὶ Αὐρηλίου τῶν συλλειτουργῶν ἡμῶν τῶν τῆς πρώτης καθέδρας τῆς δύο Νεμιδιῶν· ἐν οἷς γράμμασι τοῦτος ἐπαγγέλλεσθαι μέμνηται ἅμα ἐμοὶ ὑμετέρᾳ ἀγάπῃ, ὅτι ὁ αὐτοὶ κατηξίουν ἐλθεῖν πρὸς ταύτην τὴν συνόδου, ἢ κατὰ τὸ ἔθος ἀποστεῖλαι εἶχον τοποτηρητάς. ἐπειδὴ δὲ τοῦτο ἐδαμῶς γέγονε, διαμαρτύρονται ἀπὸ τοσούτου μήκους τῆς Μαυρετανίας Σιτιφένσης ἐλθόντες τοποτηρηταί. ἐπὶ πολὺ μὴ δύναθαι ἐμβραδύνειν. διὰ ὃν τοῦτο ἀδελφοί, ἐὰν δοκῇ τῇ ὑμετέρᾳ ἀγάπῃ, τὰ γράμματα τὰ ἀπὸ τοῦ Βυζακίου ἀδελφῶν ἡμῶν, καὶ τὸ βρεβίον ὅπερ τῇ αὐτῇ ἐπιστολῇ προσέδησαν, ἐν ταύτῃ τῇ παρακλήτῳ συνελθόσι ἀναγνωσθῶσιν, ἵνα ἐάν τινα τυχὸν ἐξ αὐτῶν ἐνεθῶσι τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅσα τῇ ἐπιμελείᾳ δυνηθῶσι διορθωθῆναι, εἰς κρεῖττον μεταπεμφθῶσι. τοῦτο γὰρ ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Μειζώνιος, ὁ τῆς πρώτης καθέδρας περιφανέστατος ἀνὴρ, ἀξίως τοῦ ὄγκου καὶ τῆς συνέσεως αὐτοῦ γράφων πρὸς τοῦ ἐμοῦ τελείαν ἤτησεν. ἐὰν δὲν ἀρέσκῃ τὰ συζητηθέντα, ἀναγνωσθῶσι, καὶ ἕκαστα τῆς ὑμετέρας κατανοηθῶσιν ἀγάπης.

Ὅτι δεῖ ἐκ τῆς ἐξ Ἱππῶνι συνόδου εἶναι διορθωτέων.

λδ'.

Ἐπίγον@ ἐπίσκοπ@ εἶπεν· ἐν τούτῳ τῷ βρεβίῳ τῷ ἀποδρεφθέντι ἐκ τῆς ἐν Ἱππῶνι συνόδου, δεῖ νομίζομμυ εἶναι διορθωτέον ἢ προσθετέον, εἰ μὴ ἵνα ἡ ἡμέρα τοῦ ἁγίου πάκα ἐν τῷ καιρῷ τῆς συνόδου γνωρισθείη.

Περὶ τοῦ, τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μὴ δι' ἐχερῶς τὰ τέκνα αὐτῶν ποιεῖν ἐμαγκήπατα.

λέ.

Ὥσε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς τὰ τέκνα αὐτῶν μὴ ἐξ αὐπεξουσίου ἀπιέναι διὰ ἐμαγκηπατίωνος, εἰ μὴ ἂν εἰς τοὺς τρόπους καὶ εἰς τοῦ ἡλικίαν αὐτῶν πληροφορηθῶσιν, ὡς λοιπὸν ἁμαρτήματα αὐτῶν εἰς αὐτοὺς συντείνειν.

Περὶ

Ἱππῶνος ῥηγίου καρχηδόν. τῆς πλ. ε.

Περὶ τοῦ, τοὺς ἐπισκόπους καὶ κληρικοὺς μὴ χειροτονεῖσθαι, εἰ μὴ πάντας τοὺς ἰδίους χριστιανοὺς ποιήσωσιν.

λε'.

Ὥστε ἐπισκόπους καὶ διακόνους καὶ πρεσβυτέρους μὴ χειροτονεῖσθαι πρὶν πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτῶν χριστιανοὺς ὀρθοδόξους ποιήσωσιν.

Περὶ τοῦ μὴ ὀφείλειν προσφορὰν ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου, τί ποτε ἐν τοῖς ἁγίοις προσφέρειν.

λϛ'.

Ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου προσενεχθείη, ὡς καὶ αὐτὸς ὁ κύριος παρέδωκε· τοῦτ' ἔστιν ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου. ἀπαρχὴ δέ, ὅτε μέλι, ὅτε γάλα, ὡς ἔθος, προσφέρεσθαι ἐν μιᾷ ἡμέρᾳ ἑτοίμου εἰς τὸ ἅγιον ποτήριον· εἰ καὶ τὰ μάλιστα γάλα ἐν θυσιαστηρίῳ προσφέρεται, ὅμως ἰδίαν ἔχέτω κυρίως εὐλογίαν, ὡς ἐκ τοῦ ἁγιάσματος τοῦ κυριακοῦ σώματος καὶ αἵματος δίδοσθαι· μηδὲν δὲ πλέον ἐν τοῖς ἀπαρχαῖς προσφέρεσθαι, ἢ ἀπὸ σαφυλῶν καὶ σίτου.

Ὥστε κληρικοὺς ἢ ἐγκρατευομένους πρὸς παρθένους ἢ χήρας μὴ εἶσιέναι.

λζ'.

Κληρικοὶ ἢ ἐγκρατευόμενοι πρὸς χήρας ἢ παρθένες, εἰ μὴ κατ' ἐπιτροπὴν καὶ συναίνεσιν τοῦ ἰδίου ἐπισκόπου ἢ καὶ πρεσβυτέρων, μὴ εἰσίτωσαν καὶ τοῦτο δὲ μόνοι ποιείτωσαν, ἀλλὰ μετὰ συγκληρικῶν, ἢ μετὰ τούτων μεθ' ὧν ὁ ἐπίσκοπος ἢ οἱ πρεσβύτεροι μόνοι ἔχέτωσαν τὴν εἴσοδον πρὸς τὰς τοιαύτας γυναῖκας, ἢ ὅπου πάρεισι κληρικοὶ ἢ ἔντιμοί τινες χριστιανοί.

Περὶ τοῦ τὸν πρώτων ἐπίσκοπον μὴ προσαγορεύεσθαι ἔξαρχον ἢ ἱερέων.

λθ'.

Ὥστε τὸν τῆς πρώτης καθέδρας ἐπίσκοπον μὴ λέγεσθαι ἔξαρχον ἢ ἱερέων, ἢ ἄκρον ἱερέα, ἢ τοιοῦτόν τι ποτε· ἀλλὰ μόνον ἐπίσκοπον τῆς πρώτης καθέδρας.

Περὶ τοῦ μὴ καπηλεύεσθαι τοὺς κληρικούς, εἰ μὴ ἐπιξενεμένους.

μ'.

Ὥστε τοὺς κληρικοὺς χάριν τοῦ ξενίζειν ἢ πίνειν μὴ εἰσιέναι εἰς καπηλεῖα, εἰ μὴ ἀναγκαίας ξενίας ἀναγκαίας συμβαινούσης.

Περὶ τοῦ ἀπὸ νηστειῶν τῷ Θεῷ προσάγεσθαι θυσίας.

μά.

Ὥστε ἅγια θυσιαστήρια, εἰ μὴ ἀπὸ νηστειῶν ἀνθρώπων, μὴ ἐπιτελεῖσθαι, ὑπερημέρου μιᾶς ἑτησίας ἡμέρας, ἐν ᾗ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται. εἰ δέ τινων κατὰ τὴν θειοτάτην νηστείαν πεπλανημένων, εἴτε ἐπισκόπων εἴτε τῶν λοιπῶν, παράθεσις γίνηται, μόναις ἐξαίς ἐκτελείσθω, εἰ καὶ ταύτας ποιοῦντες, ἀφιστάσθωσαν.

Περὶ τοῦ μηδαμῶς συμπόσια ἐν ταῖς ἐκκλησίαις ἐπιτελεῖσθαι.

μβ'.

Ὥστε ἐπισκόπους ἢ κληρικοὺς ἐν τῇ ἐκκλησίᾳ μὴ συμποσιάζεσθαι· εἰ μήθ' ἡ τυχὸν ἀνάγκη ξενίας ἐξαβάντας ἐκεῖ καταλύσωσι. καὶ οἱ λαοὶ δὲ ἀπὸ τῶν τοιουτοτρόπων συμποσίων, ὅσον δυνατόν ἐστι, κωλυέσθωσαν.

Περὶ τῶν μετανοούντων.

μγ'.

Ὥστε τοῖς μετανοοῦσι κατὰ τὴν τῶν ἁμαρτημάτων διαφορὰν τῇ τῶν ἐπισκόπων κρίσει τὰς μετανοίας ἐν καιρῷ ψηφίζεσθαι. πρεσβύτερος δὲ παρὰ γνώμην τοῦ ἐπισκόπου μὴ καταλλάσσει μετανοοῦντα, εἰ μήθ' ἡ ἀνάγκης σωματικῆς ἐν τῇ ἀπουσίᾳ τοῦ ἐπισκόπου. ἔστιν δ' ὅτε δὲ μετανοοῦντες, εἰ πολυχρόνιον καὶ τεθρυλημένον ἐστὶ τὸ ἔγκλημα τὸ σύμπασαν τὴν ἐκκλησίαν κινοῦν, πρὸ τῆς ἀφέσεως τούτῳ ἡ χεὶρ ἐπιτεθῇ.

Περὶ παρθένων.

μδ'.

Ὥστε τὰς ἱερὰς παρθένους, ὅτε τῶν πατέρων χωρίσωνται, ἐξ ὧν ἐφυλάττοντο, τῇ τοῦ ἐπισκόπου, ἢ, αὐτοῦ ἀπόντος, τῇ τοῦ πρεσβυτέρου προνοίᾳ ταῖς τιμιωτέραις γυναιξὶ παρατίθεσθαι, ἢ ἅμα κατοικέσας ἀλλήλας φυλάττειν, ἵνα μὴ παντάχοθεν πλανώμεναι, τὴν ὑπόληψιν βλάψωσι τῆς ἐκκλησίας.

Περὶ τῶν ἀδυνάτων, καὶ ὑπὲρ αὐτῶν ἀποκρίνεσθαι μὴ δυναμένων.

με'.

Ὥστε τοὺς ἀδυνάτους, οἵτινες ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι οὐ δύνανται, τότε βαπτίζεσθαι, ὅτε τῇ αὐτῶν προαιρέσει τὴν περὶ αὐτῶν μαρτυρίαν κατὰ νοῦν ἰδίῳ εἴπωσιν. ὥστε τοῖς σκληροῖς καὶ μίμοις, καὶ τοῖς λοιποῖς τοιούτοις προσώποις, ἢ ἀποστάταις, μετανοοῦσι καὶ ἐπιστρέφουσι πρὸς τὸν Θεόν, χάριν ἢ καταλλαγὴν μὴ ἀρνεῖσθαι.

Ὥστε

Περὶ τῶν παθῶν τῶν μαρτύρων.

μϛ'.

Ἐξέστω ἔτι μὴν ἀναγινώσκεσθαι τὰ πάθη τῶν μαρτύρων, ἡνίκα αἱ ἐτήσιαι αὐτῶν ἡμέραι ἐπιτελοῦνται.

Περὶ Δονατιστῶν, καὶ παιδίων τῶν παρὰ τοῖς Δονατισταῖς βαπτιζομένων.

μζ'.

Ἤρεσεν ἵνα ἐρωτήσωμεν τοὺς ἀδελφοὺς καὶ συνιερεῖς ἡμῶν Σιρίκιον καὶ Σιμπλικιανὸν περὶ μόνων τῶν νηπίων τῶν παρὰ τοῖς Δονατισταῖς βαπτιζομένων, μήπως τοῦτο ὅπερ οἰκείᾳ προθέσει οὐκ ἐποίησαν, τῇ τῶν γονέων πλάνῃ ἐμποδίσῃ αὐτοῖς πρὸς τὸ μὴ προκόπτειν εἰς ὑπουργίαν τοῦ ἁγίου θυσιαστηρίου, ὅταν πρὸς τὴν τοῦ Θεοῦ ἐκκλησίαν σωτηριώδει προθέσει ἐπιστρέψωσι. τούτων δὲ ἐναρχθέντων, Ὀνωρᾶτος καὶ Οὐρβανὸς, οἱ ἐπίσκοποι τῆς Μαυριτανίας Σιτιφένσης χώρας, εἶπον· ἐκπολλοῦ, ὅτε πρὸς τὴν ὑμετέραν ἁγιωσύνην ἀπεστελλόμεθα, τὰ γραφέντα ὑπερεθέμεθα ταύτῃ τῇ κατανοήσει, ὅτι προσεδοκῶμεν ἀδελφοὺς ἡμῶν παραγενέσθαι τοποτηρητὰς Νουμιδίας. ἀλλ' ἐπειδὴ οὐκ ὀλίγαι ἡμέραι εἰσὶν ἀφ' οὗ οἱ προσδοκώμενοι οὐδαμῶς κατέλαβον, περαιτέρω παριδεῖν τὰ ἐνταλέντα ἡμῖν ἀπὸ τῶν συνεπισκόπων οὐ δεῖ. καὶ διὰ τοῦτο ἀδελφοὶ τὴν ἀναφορὰν ἡμῶν προθύμως εἰσδέξασθε. περὶ τῆς πίστεως γὰρ τοῦ ἐν Νικαίᾳ τρακτάτου ἠκούσαμεν· ἀληθές ἐστι περὶ τῶν γινομένων μετὰ τὸ ἄριστον ἁγίων, ἵνα ἀπὸ νηστικῶν, ὡς ἔστιν ἄξιον, προσφέρωνται· καὶ τότε ἐβεβαιώθη.

Περὶ ἀναβαπτισμάτων καὶ ἀναχειροτονιῶν ἢ μεταβάσεων ἐπισκόπων.

μη'.

Ἐκεῖνο δὲ ἀναφέρομεν ἐνταλὲν ἡμῖν τὸ καὶ ἐν τῇ συνόδῳ τῇ ἐν Καπούῃ ὁρισθὲν, ὥστε μὴ ἐξεῖναι γίνεσθαι ἀναβαπτίσεις ἢ ἀναχειροτονήσεις ἢ μετακινήσεις ἐπισκόπων. Κρεσκώνιος οὖν τοῦ Ρεκένσης ἀγροῦ ἐπίσκοπος καταφρονήσας τοῦ ἰδίου λαοῦ, τῇ Τουβηκένῃ ἐπέβη ἐκκλησίᾳ, καὶ ἕως τῆς σήμερον πολλάκις ὑπομνησθεὶς κατὰ τὸ ὁρισθὲν καταλιπεῖν τὴν αὐτὴν ἐκκλησίαν, ᾗ τινι ἐπῆλθεν, οὐχ εἵλετο. περὶ τούτου δὲ τὰ προαγγελθέντα, βέβαια ἠκούσαμεν· καὶ αἰτοῦμεν κατὰ τὸ ἐνταλὲν ἡμῖν, ἵνα καταξιώσητε δοῦναι παῤῥησίαν ἐπ' ἀδείας ἡμῖν γενέσθαι· ὅτι αὕτη ἡ ἀνάγκη παρασκευάζει τῷ ἄρχοντι τῆς χώρας κατ' ἐκείνου προσελθεῖν, κατὰ διατάξεις τῶν ἐνδοξοτάτων βασιλέων, ἵνα ὁ τῇ πρᾴῳ ὑπομνήσει τῆς ὑμετέρας ἁγιωσύνης πειθαρχῆσαι μὴ θελήσας, καὶ διορθώσασθαι τὸ ἀσυγχώρητον, αὐθεντίᾳ ἀρχοντικῇ παραχρῆμα κωλυθῇ. Αὐρήλιος ἐπίσκοπος εἶπεν· Φυλαχθέντος τοῦ τύπου τῆς καταστάσεως μὴ κριθῇ τῆς συνόδου ὑπάρχων, ἐὰν ἐπιεικῶς αἰτηθεὶς παρὰ τῆς ὑμετέρας ἀγάπης, ἀποστῆναι παρῃτήσατο· ἐπειδὴ ἐκ τῆς οἰκείας καταφρονήσεως καὶ μονοτονίας περιῆλθεν εἰς ἀρχοντικὴν ἐξουσίαν· Ὀνωρᾶτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον· τοῦτο οὖν πᾶσιν ἀρέσκει; ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· δίκαιόν ἐστιν, ἀρέσκει.

Πόσοι ἐπίσκοποι ἐπίσκοπον χειροτονεῖν ὀφείλουσιν.

μθ'.

Ὀνωρᾶτος καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον· κἀκεῖνο ἡμῖν ἐνετάλη, ἐπειδὴ ἐκ τοῦ πλησίον ἀδελφοὶ ἡμῶν δύο ἐπίσκοποι τῆς Νουμιδίας χειροτονῆσαι ἐτόλμησαν ἱερέα, κρίνατε μὴ γενέσθαι χειροτονίας ἐπισκόπων, εἰ μὴ ἀπὸ δώδεκα.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· ὁ ἀρχαῖος τύπος φυλαχθήσεται, ἵνα μὴ ἥττονες τριῶν τῶν ὁρισθέντων εἰς χειροτονίαν ἐπισκόπων ἀρκέσωσι· διότι ἐν Τριπόλει τυχὸν καὶ ἐν Ἀρζούῃ δῆλον παρέγκεινται βάρβαρα ἔθνη. ἐν Τριπόλει δὲ πέντε καὶ μόνον εἰσὶν, ὡς γινώσκετε, ἐπίσκοποι· καὶ δυνατὸν ἐξ αὐτοῦ πολλάκις τοῦ ἀριθμοῦ τοὺς δύο ἀνάγκῃ τινὶ κατέχεσθαι. δυσχερὲς γάρ ἐστιν ἐξ οἰουδήποτε ἀριθμοῦ πάντας δύνασθαι ἀπαντῆσαι· μὴ ὀφείλει τοῦτο αὐτὸ παρεμποδὼν εἶναι τῷ χρησίμῳ τῆς ἐκκλησίας, καὶ γὰρ εἰς ταύτην τὴν ἐκκλησίαν, εἰς ἣν κατηξίωσεν ἡ ὑμετέρα συνελθεῖν ἁγιωσύνη, συχνῶς καὶ σχεδὸν κατὰ κυριακὴν χειροτονουμένους ἔχομεν· μὴ ἄρα δύναμαι συνεχῶς δώδεκα ἢ δέκα, ἢ οὐχὶ πολὺ ἐλάττους συγκαλεῖν ἐπισκόπους; δύο δὲ γείτονας προσζεῦξαι δυσχερές ἐστι τῇ ἐμῇ βραχύτητι, διὸ ὁρᾷ σὺν ἐμοὶ ἡ ὑμετέρα ἀγάπη, τοῦτο αὐτὸ μὴ δύνασθαι παραφυλαχθῆναι.

Πόσοι ἐπίσκοποι προστεθῆναι ὀφείλουσι τῷ ἀριθμῷ τῶν χειροτονούντων, ἐὰν περὶ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἀντιλογία γένηται.

ν'.

Ἐκεῖνο δὲ ὁρίσαι δεῖ, ὥστε ἐάν ποτε πρὸς ἐπιλογὴν ἐπισκόπου προσέλθωμεν, καὶ ἀναφυῇ τις ἀντιλογία, ἐπειδὴ τὰ τοιαῦτα παρ' ἡμῖν ἐτρακταίσθησαν, τολμηρὸν εἶναι λοιπὸν, τρεῖς μόνους πρὸς τὸ καθᾶραι τὸν χειροτονηθησόμενον εὑρεθῆναι· ἀλλὰ τῷ προλεχθέντι ἀριθμῷ προστεθῇ εἷς καὶ δύο. καὶ ἐπὶ αὐτοῦ τοῦ λαοῦ οὗ μέλλει χειροτονεῖσθαι, ἐξετασθῶσι πρῶτον πρόσωπα τῶν ἀντιλεγόντων· εἰς ὕστερον γὰρ καὶ τὰ προτεθειμένα συζευχθῶσι καὶ ὅτε καθαρὸς φανείη ἐπὶ δημοσίας προσόψεως, εἶθ' οὕτως χειροτονηθείη. ἐὰν τοῦτο καταδέχηται ἡ ὑμετέρα ἁγιωσύνη, τῇ ὁμονοητικῇ ἀποκρίσει τοῦ ὑμετέρου ἀξιώματος βεβαιωθείη.

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· πάνυ ἀρέσκει.

Ὥστε

Ὥστε ἀπὸ τῆς ἐκκλησίας Καρχηδόνος ἀγγέλλεσθαι τὴν ἡμέραν τοῦ πάσχα.

νά.

Ὀνωρᾶτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον· ἐπειδὴ τὰ ἐν τῷ κομμονιτωρίῳ ἡμῶν πάντα δεῖ συζεῦξαι, προστίθεμεν ἔτι μὴν ἐνταλὲν ἡμῖν περὶ τῆς ἡμέρας τοῦ πάσχα· ἵνα κατὰ τὸ εἰωθὸς ἀπὸ τῆς ἐκκλησίας Καρχηδόνος ἀεὶ παρασκευαζώμεθα, καὶ μὴ ἐν στενῷ τοῦ χρόνου διαστήματι. Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἐὰν δοκῇ τῇ ἁγιωσύνῃ ὑμῶν, ἐπειδὴ μεμνήμεθα ἤδη ἐκ πολλοῦ ἡμᾶς ἐπαγγελαμένους, ὥστε ἐν ἑκάστοις ἐνιαυτοῖς συνέρχεσθαι πρὸς τὸ συζητεῖν, ὅταν εἰς ἓν συνέλθωμεν τότε διαδοθήσεται τοῦ ἁγίου πάσχα ἡ ἡμέρα διὰ τῶν εὑρεθησομένων ἐν τῇ συνόδῳ τοποτηρητῶν. Ὀνωρᾶτος καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον· νῦν διὰ τῆς παρούσης συνελεύσεως αἰτοῦμεν, ἵνα γράμμασι τυπῶσαι τὰς ἡμετέρας ἐπαρχίας καταξιώσητε. Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἀναγκαῖόν ἐστιν οὕτω γενέσθαι.

Περὶ τοῦ τὰς ἐπαρχίας ἐπισκέπτεσθαι.

νβ'.

Κἀκεῖνο ἡμῖν διὰ λόγου ἐντέταλται, ὥστε καὶ ἡμᾶς καταξιῶσαι τὸ ὁρισθὲν ὑπὸ τῆς ἐν Ἱππῶνι συνόδου, ὀφείλομεν ἑκάστην ἐπαρχίαν ἐν τῷ καιρῷ τῆς συνόδου ἐπισκέπτεσθαι, καὶ ὅτι ἐν τούτῳ καὶ τῷ ἄλλῳ ἐνιαυτῷ ὑπερέθεσθε κατὰ τάξιν ἐπισκέψασθαι τὴν Μαυριτανίαν. Αὐρήλιος ἐπίσκοπος εἶπε· τότε περὶ τῆς τῶν Μαυριτανῶν χώρας οὐδὲν ὡρίσαμεν, διὰ τὸ εἰς τὰ τέλη τῆς Ἀφρικῆς κεῖσθαι αὐτήν· καὶ ὅτι τῷ βαρβαρικῷ παράκεινται. ὁ δὲ Θεὸς παράσχοι ἐκ περιουσίας δύνασθαι ἡμᾶς καὶ μὴ ἐπαγγειλαμένους τοῦτο ποιεῖν, καὶ παραγίνεσθαι εἰς τὴν χώραν ὑμῶν. ὀφείλετε γὰρ ἐννοεῖν ἀδελφοὶ, ὅτι ἐὰν λογισμὸς ἀπαιτῇ, τοῦτο περὶ ἑαυτῶν διεξελθεῖν ἠδύναντο καὶ οἱ Τριπολιτανοὶ καὶ οἱ Ἀρζουϊτανοὶ ἀδελφοί.

Ὥστε τὰς διοικήσεις, εἰ μὴ κατὰ συναίνεσιν τοῦ ἰδίου ἐπισκόπου, ἐπίσκοπον ἕτερον μὴ δέχεσθαι.

νγ'.

Ἐπίγονος ἐπίσκοπος εἶπεν· ἐν πολλαῖς συνόδοις ὥρισται συνεδρίῳ ἱερατικῷ, ἵνα τὰ πλήθη τὰ ἐν ταῖς παροικίαις ἀπὸ τῶν ἐπισκόπων κατεχόμενα, τὰ ἴδιον ἐπίσκοπον μηδέποτε ἐσχηκότα, εἰ μὴ κατὰ συναίνεσιν τοῦ ἐπισκόπου, παρ' οὗ ἐξαρχῆς κατέχονται, μὴ λαμβάνοιεν ἰθυντὰς ἰδίους, τοῦτ' ἔστιν ἐπισκόπους. ἐπειδή τινες δηλαδὴ τυραννίδος τινὸς ἐπιτετυχηκότες, τὴν τῶν ἀδελφῶν κοινωνίαν ἀποστρέφονται· καὶ ὅταν δὲ ἀποφαυλισθῶσιν, ὡς ἂν εἴ τινι παλαιᾷ τυραννίδι δεσποτείας ἑαυτοῖς ἐκδικοῦσι· πολλοὶ δὲ καὶ ἐκ τῶν πρεσβυτέρων φυσιούμενοι καὶ μωροὶ, τοὺς αὐχένας ἐπανιστῶσι κατὰ τῶν οἰκείων ἐπισκόπων, τὸ πλῆθος συμποσίοις καὶ κακοηθέσι συμβουλίαις διεγείροντες, ὡς εὐνοίᾳ τούτους ἑαυτοὺς ἰθυντὰς καθιστάνειν. τοῦτο δὲ ἐπισήμως εὐκταῖον παρὰ τῆς ὑμετέρας κατέχομεν διανοίας, πιστότατε ἀδελφὲ Αὐρήλιε, ὅτι πολλάκις τὰς τοιαύτας ὁρμὰς μὴ προσδεχόμενος ἐκώλυσας· διὰ δὲ τὰς τῶν τοιούτων κακοθελεῖς ἐννοίας, καὶ τὰ φαύλως συμφρονούμενα βουλεύματα, τοῦτο λέγω, μὴ ὀφείλειν καθηγητὴν ἴδιον δέξασθαι τὸ πλῆθος τὸ ἐν τῇ λεγομένῃ παροικίᾳ ὑποκείμενον ἀρχαίῳ ἐπισκόπῳ, καὶ μηδέποτε ἴδιον ἐπίσκοπον ἐσχηκός. διὸ ἐὰν συμπάσῃ τῇ ἁγιωτάτῃ συνόδῳ ἀρέσκῃ τὸ παρ' ἐμοῦ ῥηθὲν βεβαιωθῆτο. Αὐρήλιος ἐπίσκοπος εἶπε. τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν τῇ ἐξακολουθήσει οὐκ ἀνθίσταμαι, ἀλλὰ τοῦτο ἐμὲ καὶ πεποιηκότα καὶ ποιήσαντα ὁμολογῶ, δηλαδὴ περὶ τοὺς ὁμονοοῦντας, οὐ μόνον τῇ ἐν Καρχηδόνι ἐκκλησίᾳ, ἀλλὰ καὶ πάσῃ τῇ ἱερατικῇ συγκληρώσει. εἰσὶ γὰρ πλεῖστοι συμπνέοντες τοῖς οἰκείοις πλήθεσιν, ἅ τινα, ὡς λέλεκται, ἀπατῶσι, κνήθοντες τὰς ἀκοὰς αὐτῶν, καὶ κολακεύοντες πρὸς ἑαυτοὺς ἀνθρώπους κατεγνωσμένου βίου· μᾶλλον δὲ φυσιούμενοι καὶ ἐκ τῆς συγκληρώσεως ταύτης ἑαυτοὺς χωρίζοντες· οἵ τινες τῷ ἰδίῳ πλήθει ἐπερειδόμενοι, πολλάκις συγκληθέντες ἐλθεῖν εἰς σύνοδον παραιτοῦνται, ὡς φοβούμενοι μήπως τὰ τούτων ἀτοπήματα φανερωθῶσι. λέγω οὖν, ἐὰν δοκῇ, ὀφείλομεν παντὶ τρόπῳ ἀγωνίσασθαι, ἀλλὰ μηδὲ τὰς ἰδίας ἐκκλησίας τὰς κακῶς εἰς αὐτοὺς περιελθούσας, καὶ ἵνα αὐθεντικῶς δημοσίᾳ ἐκβάλλωνται, καὶ αὐτῇ τῇ τῶν πρωτεύοντων καθέδρᾳ ἀποκινῶνται. χρὴ γὰρ τοὺς σύμπασι τοῖς ἀδελφοῖς καὶ ὅλῃ τῇ συνόδῳ προσκολλωμένους, μὴ μόνον τὴν οἰκείαν κατέχειν δικαίως καθέδραν, ἀλλ' ἔτι μὴν τὰς τοιαύτας διοικήσεις κεκτῆσθαι. τοὺς δὲ δοκοῦντας τοῖς ἰδίοις ὄχλοις ἀρκεῖσθαι, καὶ τῆς ἀδελφικῆς ἀγάπης καταφρονοῦντας, μὴ μόνον τὰς διοικήσεις ἀπολλύειν, ἀλλ' ἔτι μὴν, ὡς εἶπον, καὶ τῶν ἰδίων τόπων ἀρχοντικῇ * στερῆσαι ὡς ἀντάρτας δυναστείᾳ. Ὀνωρᾶτος καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον. ἡ μεγίστη πρόνοια τῆς ὑμετέρας ἁγιωσύνης ταῖς πάντων διανοίαις ἐνεκαθέσθη, καὶ λογιζόμεθα ὀφείλειν τῇ πάντων ἀποκρίσει βεβαιωθῆναι τὴν ὑμετέραν ἐξακολούθησιν. σύμπαντες οἱ ἐπίσκοποι εἶπον· ἀρέσκει, ἀρέσκει.

* ἱστερῆσθαι

Περὶ τοῦ ἀλλοτρίους κληρικοὺς μηδαμῶς παρ' ἑτέρων ὑποδέχεσθαι ἐπισκόπων.

νδ'.

Ἐπίγονος ἐπίσκοπος εἶπεν· ἐν πολλαῖς συνόδοις τοῦτο ὁρισθὲν, καὶ νῦν ἔτι μὴν ἐξ ὑμετέρας ἐβεβαιώθη συνέσεως, μακαριώτατοι ἀδελφοὶ, ὥστε μηδένα ἐπίσκοπον ἰδιοποιεῖσθαι ἀλλότριον κληρικὸν, παρὰ τὴν κρίσιν τοῦ προτέρου αὐτοῦ ἐπισκόπου· ἀναφέρω δὲ Ἰουλιανὸν ἀχαρίστως ἐνεχθέντα περὶ τὰς διὰ τῆς ἐμῆς βραχύτητος εἰς αὐτὸν σωρευθείσας τοσαύτας τοῦ Θεοῦ εὐεργεσίας, καὶ οὕτως προπετῶς καὶ τολμηρῶς διαγενόμενον

μβυον, ὥστε τὸν ἀπὸ νηπίας ἡλικίας ὑπ' ἐμῦ βαπτισθέντα, τὸν κ διὰ πολλῶ ἔνδειαν ὀξ αὐτῦ παρατεθσόντα μοι, κ ἐπὶ πολλὰ ἔτη ὀξ ἐμῦ ῥαφσόντα κ αὐξηθσόντα, τὸν, ὡς εἶπον, σντῇ ἐμῇ ἐκκλησίᾳ τῇ χειρὶ τῆς ἐμῆς μεξιότητος βαπτισθσόντα, κ δεικνύμβυον σν τῇ τῶ Μαπαλιτῶν παροικίᾳ ἀναγνώστω γβυόμβυον, κ ἐπὶ δύο ἔτη ἐκεῖσε ἀναγινώσκοντα· τοῦτον σκ οἶδα ποίᾳ κατιφρονήσει τῆς ἐμῆς μεξιότητος ἁφαρπάσαι τον αὐτὸν Ἰβλιανὸν, κ λέγειν πολίτω τῦ διαφέροντος αὐτῷ Βαζαειτάνω τόπω, κ παρὰ τὴν ἐμὸν γνώμω τούτῳ καταχεχρῆσθαι· κ γὰρ κ διάκονον τοῦτον ἐχειροτόνησεν. τοῦτο εἰ ἔξεσι, γνωσθῆ ὑμῖν ἡ τοιαύτη ἄδεια, μακαειώτατοι ἀδελφοί· εἰ δὲ μήγε, τὸ ὅπως ἀναιδὲς χωλυθῆ, ἵνα μὴ ὁ λεχθεὶς Ἰβλιανὸς ἐπικοινωνῇ ἀλλοτείοις. Νεμήδιος ἐπίσκοπος εἶπεν· ἐὰν μὴ ἐρωτηθείσης μηδὲ αἰτηθείσης τῆς σῆς ἀξίας φανείη τοῦτο πράξας Ἰβλιανὸς, κρίνωμβυ πάντες ἀδίκως γβυόμβυον κ μὴ ἀξίως. διὸ εἰ μὴ ὁ αὐτὸς Ἰβλιανὸς διορθώσηται τὴν οἰκείαν πλάνω, κ μετὰ ἀποθεραπάσεως τῷ ὑμετέρῳ λαῷ αὐτὸν ἀποκατασήσῃ κληρικὸν, ὃν ἐτόλμησε χειροτονῆσαι κατὰ τῶν ὀειθσόντων τῇ σωόδῳ πράττων, κ χωειθεὶς ἀφ' ἡμῶν τῆς οἰκείας μονοτονίας ἀπενέγκοι τιὼ κείσιν. Ἐπίγονος ἐπίσκοπος εἶπεν· ὁ κατὰ τιὼ κεῖραν πατὴρ, κ αὐτῇ τῇ προκοπῇ ἀρχαιότατος καὶ ἐπαινετὸς ἀνὴρ ὁ ἀδελφὸς κ συλλειτουργὸς ἡμῶν Βίκτωρ, τιὼ αἴτησιν ταύτιω γβυκιὼ βούλεται ἐπὶ πᾶσιν ἐκτελεσθῆναι.

Περὶ τῦ ὀξεῖναι τῷ ἐπισκόπῳ Καρχηδόνος, ὅθεν θέλει, κληρικὸν χειροτονεῖν.

νέ.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· τὸν λόγον μου προσδέξασθε ἀδελφοί. σωέβη πολλάκις αἰτηθῆναί με ἀπὸ ἐκκλησιαστικῶν ἐνδεομβύων ὀλιγόνων ἢ πρεσβυτέρων ἢ ἐπισκόπων· κ ὅμως μεμνημβύος τῶν ὀειθσόντων, τούτοις ἕπομαι, ὥστε σωελθεῖν με τῷ ἐπισκόπῳ αὐτῦ τῦ ζητουμβύου κληρικῦ, κ ταῦτα αὐτῷ ἐμφανίσαι, ὅτι κληρικὸν αὐτῦ αἰτοῦνται οἱ τῆς οἱασδήποτε ἐκκλησίας. ἰδὼ ἓν ἐπὶ τῦ παρόντος οὐκ ἀντιλέγω. διὰ δὲ τὸ μήτε μ' ταῦτα συμβιῶναι, τοῦτ' ἔστιν ἐναντιῶσθαί μοι τοὺς ἐν τούτῳ τῷ πράγματι παρ' ἐμῦ αἰτουμένους· ἐπειδὴ οἴδατε πολλῶν ἐκκλησιῶν κ χειροτονιῶν φροντίδα με βασάζειν, ὥστε νιδήποτε τῶν σωιερέων σωέλθω μ' δύο ἢ ξιῶν μαρτύρων τῆς ἡμετέρας συγκληρώσεως, ἐὰν ἀκαθοσίωτος ἁρεθείη, δίκημόν ἐστι κεῖναι τὴν ὑμετέραν ἀγάπιω, τί δεῖ ποιῆσαι. ἐγὼ γὰρ, ὡς ἴστε ἀδελφοί, κατὰ συγχώρησιν Θεῦ πολλῶν ἐκκλησιῶν φροντίδος ἀντέχομαι. Νεμήδιος ἐπίσκοπος εἶπεν· ἀεὶ ὑπῆρξεν ἡ αὐθεντία αὕτη τῷ θρόνῳ τούτῳ, ἵνα ὅθεν ἦλθε, κ περὶ οἱασδήποτε προεξάπη ὀνόματος κατὰ τιὼ ἐπιθυμίαν ἑκάστης ἐκκλησίας ἐχειροτονήθη ἐπίσκοπον. Ἐπίγονος ἐπίσκοπος εἶπεν· ἡ ἀγαθοθέλεια μεσάζει τιὼ ὀξυσίαν. ἧττον γὰρ τολμᾷς, ἥπερ δωῇ, ἀδελφὲ, σντῷ πᾶσιν ἑαυτὸν ἀποδεικνύειν ἀγαθὸν καὶ φιλάνθρωπον· ἔχεις γὰρ τοῦτο ἐν τῇ χρίσει σου, τὸ ἀποθεραπεῦσαι ἑνὸς ἑκάστου τὸ πρόσωπον· ἐν πρώτῃ δὲ κ μόνον συνελθόσει, εἰ σωιδῇς τὸ ἐπ' ὀξουσίας ταύτῃ τῇ καθέδρᾳ εἶναι ἐκδικητέον· ἐπειδὴ ἀνάγκιω ἔχεις αὐτὸς πάσας τὰς ἐκκλησίας ὑποστηρίζειν· ὅθεν ὀξουσίαν σοι ἡμεῖς ὁ δίδομβυ, ἀλλ' ἐπισφραγίζομβυ ταύτιω τῇ σῇ προαιρέσει, ὥστε ὀξεῖναι σὲ κρατεῖν ὃ ἂν θέλῃς, κ προχειρίζεσθαι προεσῶτας ταῖς ἐκκλησίαις, καὶ ταῖς λοιπαῖς τὰς ζητουμβύας, κ ὅθεν συνίδῃς. Ποσειδώνιος ἐπίσκοπος εἶπεν· εἶτα, ἑάντις ἕνα κ μόνον σχῇ πρεσβύτερον, μὴ ὀφείλει κ αὐτὸς ὁ εἷς ὀξ αὐτῦ ἀφαιρεθιῶναι; Αὐρήλιος ἐπίσκοπος εἶπε· κατὰ συγχώρησιν Θεῦ δυνάται ὁ εἷς ἐπίσκοπος πολλοὺς χειροτονεῖν πρεσβυτέρους· πρεσβύτερος δὲ πρὸς ἐπισκοπιὼ ἐπιτήδειος δυσχερῶς ἁρίσκεται. διὸ ἑάντις ἁρεθῇ ἔχων ἕνα μόνον πρεσβύτερον, κ αὐτὸν ἐπιτήδειον τῇ ἐπισκοπῇ, κ αὐτὸν τὸν ἕνα ὀφείλει δοῦναι πρὸς χειροτονίαν. Ποσειδώνιος ἐπίσκοπος εἶπεν· ἐκοῦν ἐὰν ἄλλος ἐπίσκοπος ἔχῃ πλῆθος κληρικῶν, ὀφείλει μοι τὸ ἕτερον πλῆθος συνελθεῖν. Αὐρήλιος ἐπίσκοπος εἶπε· δηλαδὴ ὃν ξόπον σὺ τῇ ἑτέρᾳ ἐκκλησίᾳ συνῆλθες, συνωθηθήσεται κ ὁ τοὺς πλείονας ἔχων κληρικούς, ἕνα ὀξ αὐτῶ εἰς χειροτονίαν σοι δαψιλάσασθαι.

Περὶ τῦ τοὺς ἐν ταῖς παροικίαις χειροτονημβύους ἐπισκόπους μή τινα ἑαυτοῖς ἐκδικεῖν διοίκησιν.

ις'.

Ὀνωρᾶτος κ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον· ἠκέσαμβυ ὀειθσόν, ἵνα αἱ παροικίαι μὴ ἀξιῶνται λαμβάνειν ἐπισκόπους, εἰ μὴ κατὰ συναίνεσιν τούτου, ὑφ' ὃν καθίσαντο. ἐν δὲ τῇ χώρᾳ ἡμῶν κατὰ συγχώρησιν τῦ ὀξαρχῆς κατέχοντος τὰς διοικήσεις ἐπισκόπου, τινὲς εἰς τὰς αὐτὰς παροικίας χειροτονηθέντες ἐπίσκοποι ἑαυτοῖς ἔτι μιὼ ἑτέρας διεκδικῶσι· τοῦτο κ κωλυθῆναι τῇ ἀγάπῃ τῆς ὑμετέρας χρίσεως, κ ἀναρτηθιῶναι τὸ λοιπὸν ὀφείλει. Ἐπίγονος ἐπίσκοπος εἶπεν· ἑκάστῳ ἐπισκόπῳ τὸ πρέπον ἐφυλάχθη, ἵνα ἐκ τῆς συγκτησίας τῶν παροικιῶν μηδὲν ἀποδρεφθείη πρὸς τὸ ἴδιον κτήσασθαι ἐπίσκοπον, εἰ μὴ κατὰ συναίνεσιν τοῦ τιὼ ὀξουσίαν ἔχοντος. ἐὰν δὲ αὐτὸς παραχωρήσῃ, ὥστε τὴν αὐτιὼ διοίκησιν ἐπιξαπεῖσαν ἴδιον κτήσασθαι ἐπίσκοπον, εἰς τὰς λοιπὰς τὸν προχειρισθέντα μὴ ἐπιβάλλεσθαι διοικήσεις, διότι μία ἐκ τοῦ σώματος τῶν πολλῶν ἀφαιρεθεῖσα, αὐτὴ κ μόνη ἠξιώθη τιμὴν ἰδίας ἐπισκοπῆς ἀναδέξασθαι· Αὐρήλιος ἐπίσκοπος εἶπεν· οὐκ ἀμφιβάλλω τῇ πάντων ὑμῶν ἀγάπῃ ἀρέσκειν, ὥστε τὸν κατὰ τὴν συγχώρησιν τοῦ προτέρου ἐπισκόπου ἐν τῇ διοικήσει προχειρισθέντα ἐπίσκοπον, μόνον αὐτὸν κατέχειν τὸν λαὸν εἰς ὃν ἐχειροτονήθη. ἐπειδὴ δὲν πάντα νομίζω εἶναι πιξαπαϊσμβύα, ἐὰν πάντα σοιχῇ τῷ λογισμῷ ὑμῶν, πάντα βεβαιώσατε τῇ ὑμετέρᾳ ἐκφωνήσει. πάντες οἱ ἐπίσκοποι εἶπον· πᾶσιν ἡμῖν ταῦτα ἤρεσε· κ τῇ ἡμετέρᾳ ὑπογραφῇ ταῦτα βεβαιοῦμβυ. κ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐκκλησίας Καρχηδόνος τῷ πα-

(Hinc tit. Carthaginensis ms. C.)

παρόντι δεκρέτῳ συνῄνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

Ἐν ταύτῃ τῇ συνόδῳ ὡρίσθη, ἵνα ἐπίσκοπος χωρὶς ἀπολυτικῆς μὴ πλεύσῃ.

Ἰστέον ὅτι αὕτη τρίτη τάττεται ταῖς ἐν Καρχηδόνι συνόδοις ex mf. C.

Ἐπὶ Καισαρίου καὶ Ἀττικοῦ τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ ἓξ καλανδῶν Ἰουλίων, ἤρεσε μηδένα τῶν ἐπισκόπων πλέειν χωρὶς ἀπολυτικῆς τοῦ πρωτεύοντος. τὰ πεπραγμένα ὁ ζητῶν, ἐν τοῖς αὐθεντικοῖς εὑρήσει.

Ἐκ τῆς συνόδου ταύτης τοποτηρηταὶ πρὸς βασιλέας ὑπογεγραμμένοι ἐπίσκοποι ἀπεστέλλοντο.

τὸ τέταρτον.

Μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων, Ὀνωρίου Αὐγούστου τῷ τετάρτῳ, καὶ Εὐτυχιανοῦ τοῦ λαμπροτάτου, τῇ πρὸ πέντε καλανδῶν Μαΐων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ρεστιτούτης ἐκκλησίας. ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρησίαν ἀνεδέξαντο Ἐπιγόνιος καὶ Βικεντιανὸς οἱ ἐπίσκοποι· ἵνα νόμου ἀξιωθῶσι παρὰ τῶν ἐνδοξοτάτων βασιλέων περὶ τῶν καταφευγόντων εἰς τὴν ἐκκλησίαν, καὶ οἱαισδήποτε * ἐγκελευσμένων εὐθύναις, ὥστε μηδένα τολμᾶν ἀποσπᾶν.

* al. ἐνιχομένων.

Ἐν ταύτῃ τῇ συνόδῳ πρεσβεία ἀποστέλλεται πρὸς τοὺς Ρώμης καὶ Μεδιολάνου ἐπισκόπους περὶ τῶν νηπίων τῶν παρὰ τοῖς αἱρετικοῖς βαπτισθέντων· καὶ παρὰ τῷ βασιλεῖ δὲ, περὶ τοῦ τὰ ἐγκαταλείμματα τῶν εἰδώλων ἀφαιρεθῆναι, καὶ περὶ ἄλλων δὲ πλείστων πραγμάτων.

Μετὰ τὴν ὑπατείαν Φλαβίου Στελίχωνος τοῦ λαμπροτάτου, τῇ πρὸ δεκαέξ καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ρεστιτούτης ἐκκλησίας, προκαθίσας ἅμα τοῖς συνεπισκόποις αὐτοῦ, παρεστώτων τῶν διακόνων, Αὐρήλιος ἐπίσκοπος εἶπε· τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν ἀνὰ πᾶσαν τὴν τῶν Ἄφρων χώραν καθιδρυμένων τὰς ἀνάγκας ἀκριβῶς ἅμα ἐμοὶ ἐπίσταται ἡ ὑμετέρα ἀγάπη, ἁγιώτατοι ἀδελφοί. καὶ ἐπειδὴ τοῦ κυρίου παρέχοντος κἂν ἐν μέρει συνήχθη ἡ παρουσία τῆς ὁσίας ὑμῶν συνελεύσεως, δοκεῖ μοι εἰς μέσον προκομίσαι τὰς αὐτὰς, ὡς εἴρηται ἀνάγκας, ἅσπερ οἰκείᾳ φροντίδι ἡ δυνήθην ἀνιχνεῦσαι· ἅς τινας ἡνίκα ἐπικυρώσῃ ἡ ὑμετέρα εἰλικρινότης, ἀκόλουθον ἔσται ἀποδέξασθαι ἕνα συνιερέα ἐκ τοῦ ἡμετέρου ἀριθμοῦ, τὸν ὀφείλοντα τῇ τοῦ κυρίου βοηθείᾳ διὰ τῶν εὐχῶν ὑμῶν, ταύτας αὐτὰς τὰς ἀνάγκας ἀναδέξασθαι, καὶ ἀνδρείως ἐξανιστέας ἀποκομίσαι πρὸς τὰ περαματικὰ τῆς Ἰταλίας μέρη, ὅστις δυνηθῇ αὐτήν τε τὴν ἀνάγκην καὶ τὸν πόνον καὶ τὴν ἔνδειαν ἡμῶν παραστῆσαι τοῖς ἁγιωτάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς ἡμῶν· τοῦτο μὲν Ἀναστασίῳ τῷ προσκυνητῷ ἁγίῳ τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπῳ· τοῦτο δὲ ἔτι μὴν τῷ ἁγιωτάτῳ ἀδελφῷ Βενερίῳ τῷ ἱερεῖ τῆς ἐν Μεδιολάνῳ ἐκκλησίας. ἐκ τούτων γὰρ τῶν θρόνων ἐκωλύθη, ὅπερ ἐπιγνοῖεν κοινῷ κινδύνῳ μεγάλως ὀφείλειν προνοηθῆναι· ὅτι τοσαύτη ἐστὶ κληρικῶν ἔνδεια, καὶ πολλαὶ ἐκκλησίαι οὕτως ὑπάρχουσιν ἔρημοι, ὡς μηδένα διάκονον κἂν ἀγράμματον ἔχειν εὑρίσκεσθαι. περὶ δὲ τῶν λοιπῶν ἀνωτέρων βαθμῶν καὶ τάξεων σιωπητέον ὑπολαμβάνω· ἐπειδὴ, ὡς εἶπον, ἐὰν ἡ τοῦ διακόνου ὑπουργία οὐκ εὐχερῶς εὑρίσκηται, πολλῷ πλέον περὶ τῶν ἀνωτέρων τιμῶν κατάδηλον ὑπάρχει. καὶ τοὺς καθημερινοὺς τῶν διαφόρων καὶ σχεδὸν ἀποθνησκόντων λαῶν τοῦ λοιποῦ οὐχ ὑποφέρομεν· οἷς εἰ μηδέποτε θελήσωμεν βοηθῆσαι, βαρυτάτη καὶ ἀναπολόγητος αἰτία τῶν ἀπολλυμένων ψυχῶν ἐκδέχεται ἡμᾶς παρὰ τῷ Θεῷ.

Ὥστε τοὺς μικροὺς παρὰ τοῖς Δονατισταῖς βαπτιζομένους, ἐν τῇ καθολικῇ κληρικοὺς χειροτονεῖσθαι.

νζ'.

Διὸ ἐπειδὴ ἐν τῇ ἀνωτέρᾳ συνόδῳ ὁρισθὲν μέμνηται ἅμα ἐμοὶ ἡ ὑμετέρα ὁμοψυχία, ὥστε τοὺς παρὰ τοῖς Δονατισταῖς μικροὺς βαπτιζομένους, μηδέπω δυναμένους γινώσκειν τῆς πλάνης αὐτῶν τὸν ὄλεθρον, μετὰ τὸ εἰς κεῖραν λογισμοῦ δεκτικὴν παραγενέσθαι, ἐπιγνωσθείσης τῆς ἀληθείας, τὴν φαυλότητα ἐκείνων βδελυττομένους πρὸς τὴν καθολικὴν τοῦ Θεοῦ ἐκκλησίαν τὴν ἀνὰ πάντα τὸν κόσμον διακεχυμένην, τάξει ἀρχαίᾳ διὰ τῆς ἐπιθέσεως τῆς χειρὸς ἀναδεχθῆναι, τοὺς τοιούτους ἐκ τοῦ τῆς πλάνης ὀνόματος μὴ ὀφείλειν ἐμποδίζεσθαι εἰς τάξιν κληρώσεως, ὁπόταν τὴν ἀληθινὴν ἐκκλησίαν ἰδίαν ἑαυτῶν ἐλογίσαντο τῇ πίστει προσερχόμενοι, καὶ ἐν αὐτῇ τῷ Χριστῷ πιστεύσαντες, τῆς τριάδος τὰ ἁγιάσματα ὑπεδέξαντο. ἅ τινα πάντα ἀληθῆ καὶ ἅγια καὶ θεῖα εἶναι δῆλόν ἐστι, καὶ ἐν τούτοις πᾶσαν τὴν τῆς ψυχῆς ἐλπίδα ὑπάρχειν. κἂν εἰ τὰ μάλιστα οὖν καὶ ἡ τῶν αἱρετικῶν προληφθεῖσα τόλμα τῷ ὀνόματι τῆς ἀληθείας ἐναντιούμενά τινα παραδιδόναι προπετεύεται, ταῦτα ἐπειδὴ ἁπλᾶ εἰσιν, ὡς διδάσκει ὁ ἅγιος ἀπόστολος λέγων· εἷς Θεὸς, μία πίστις, ἓν βάπτισμα· καὶ τὸ ὀφεῖλον προσάπαξ δίδοσθαι, ἐπαναληφθῆναι οὐκ ἔξεστιν, ἀναθεματιζομένου τοῦ τῆς πλάνης ὀνόματος, διὰ τῆς ἐπιθέσεως τῆς χειρὸς ἀναδεχθῶσιν εἰς τὴν μίαν ἐκκλησίαν, τὴν, ὡς εἴρηται, περιστερὰν καὶ μόνην μητέρα τῶν χριστιανῶν, ἐν ᾗ πάντα τὰ ἁγιάσματα σωτηριωδῶς αἰώνια καὶ ζωτικὰ παραλαμβάνονται· ἅτινα τοῖς ἐπιμένουσιν ἐν τῇ αἱρέσει μεγάλην τῆς καταδίκης τὴν τιμωρίαν πορίσουσιν, ἵνα ὅπερ ἦν αὐτοῖς ἐν τῇ ἀληθείᾳ πρὸς τὴν αἰωνίαν ζωὴν ἀκολουθητέον φωτεινοτέρως, τοῦτο γένηται αὐτοῖς ἐν τῇ πλάνῃ σκοτεινότερον καὶ πλέον καταδεδικασμένον· ὅπερ τινὲς ἔφυγον, καὶ τῆς ἐκκλησίας τῆς καθολικῆς μητέρος τὰ εὐθύτατα ἐπιγνόντες, πάντα ἐκεῖνα τὰ ἅγια μυστήρια φίλτρῳ τῆς ἀληθείας ἐπίστευσαν καὶ ὑπεδέξαντο, τοῖς τοιούτοις, ὅταν δοκιμὴ χρηστοῦ βίου προσέλθοι, ἀναμφιβόλως καὶ κλῆρος πρὸς ὑπουργίαν τῶν ἁγίων προσκυρωθήσεται· καὶ μάλιστα ἐν τῇ τοσαύτῃ τῶν πραγμάτων ἀνάγ-

ἀνάγκῃ, οὐδείς ἐστιν ὁ μὴ τοῦτο παραχωρῶν. εἰ δέ τινες τοῦ αὐτοῦ δόγματος κληρικοὶ μετὰ τοῦ πλήθους καὶ τῶν τιμῶν αὐτῶν πρὸς ἡμᾶς μετελθεῖν ποθήσουσιν, οἵ τινες τῷ ἔρωτι τῆς τιμῆς συμβουλεύουσι πρὸς ζωὴν καὶ κατέχουσι πρὸς σωτηρίαν. ἀλλὰ τοῦτο * καταληπτέον κρίνω τῇ μείζονι κατανοήσει ψηφιζομένων τῶν προλεχθέντων ἀδελφῶν, ἵνα τῇ συνετωτέρᾳ αὐτῶν βουλῇ τῆς ἡμετέρας ἀναφορᾶς τὸν λόγον διαγνῶσι, καὶ ἡμᾶς βεβαιῶσαι καταξιώσωσιν εἰς τὸ ὀφεῖλον περὶ τούτου τοῦ πράγματος παρ' ἡμῶν τυπωθῆναι. μόνον δὲ περὶ τῶν ἐν νηπιότητι βαπτισθέντων ἀρκούμεθα, ἵνα εἰ ἀρέσκει αὐτοῖς, τῇ ἡμετέρᾳ συναινέσωσι προαιρέσει περὶ τοῦ χειροτονεῖσθαι τούτους. πάντα τοίνυν ἃ ἀνωτέρω συνηγάγομεν παρὰ τοῖς ἁγιωτάτοις ἐπισκόποις, πρακτέα εἶναι δικαιοῖ ἅμα ἐμοὶ ἡ ἔντιμος ὑμῶν ἀδελφότης.

Περὶ τῶν ἐγκαταλειμμάτων τῶν εἰδώλων, καὶ ναῶν τῶν ὀφειλόντων ἐξαλειφθῆναι.

νή.

Ὧν χάριν αἰτῆσαι δεῖ τοὺς θρησκευτικωτάτους βασιλεῖς, ὥστε τὰ ἐγκαταλείμματα τῶν εἰδώλων τὰ κατὰ πᾶσαν τὴν Ἀφρικὴν κελεῦσαι παντελῶς ἀνακοπῆναι· καὶ γὰρ ἐν πολλοῖς τόποις παραθαλασσίοις καὶ διαφόροις κτήσεσιν, ἀκμάζει ἔτι τῆς πλάνης ταύτης ἡ ἀδικία· ἵνα παραγγελθῶσι καὶ αὐτὰ ἀπαλειφθῆναι, καὶ οἱ ναοὶ αὐτῶν οἱ ἐν τοῖς ἀγροῖς καὶ ἐν ἀποκεκρυμμένοις τόποις χωρὶς τινὸς εὐκοσμίας καθεστῶτες, παντὶ τρόπῳ κελευσθῶσι καταστραφῆναι.

Περὶ τοῦ, κληρικοὺς χάριν διαγνώσεως τῆς οἰκείας αὐτῶν κρίσεως, μὴ ἀναγκάζεσθαι δημοσίως μαρτυρεῖν.

νθ'.

Δεῖ αἰτῆσαι ἔτι μὴν, ἵνα ὁρίσαι καταξιώσωσιν, ὥστε ἐάν τινες ἐν ἐκκλησίᾳ οἱανδήποτε αἰτίαν ἀποστολικῷ δικαίῳ τῷ ταῖς ἐκκλησίαις ἐπικειμένῳ γυμνάσαι θελήσωσι, καὶ ἴσος ἡ τομὴ τῶν κληρικῶν τῶν ἑνὶ μέρει ἀπαρέσοι, μὴ ἐξεῖναι πρὸς δικαστήριον εἰς μαρτυρίαν προκαλεῖσθαι τὸν κληρικὸν ἐκεῖνον τὸν πρότερον τὸ αὐτὸ πρᾶγμα σκοπήσαντα, ἢ καὶ σκοπουμένῳ παρατυχόντα· καὶ ἵνα μηδὲ προσώπῳ τις ἐκκλησιαστικῷ προσήκων ἐναχθείη περὶ τοῦ ὀφείλειν μαρτυρεῖν.

Περὶ τοῦ ἀφελέσθαι τὰ τῶν Ἑλλήνων συμπόσια.

ξ'.

Κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι παρὰ τῶν χριστιανῶν βασιλέων, ἐπειδὴ παρὰ τὰ θεῖα παραγγέλματα ἐν πολλοῖς τόποις συμπόσια οὕτως ἐπιτελοῦνται ἐκ τῆς ἐθνικῆς πλάνης προσενεχθέντα, ὡς καὶ χριστιανοὺς τοῖς Ἕλλησι λάθρα πρὸς συνάγεσθαι ἐν τῇ τούτων τελετῇ· ἵνα κελεύσωσι τὰ τοιαῦτα κωλυθῆναι καὶ ἐκ τῶν πόλεων καὶ ἐκ τῶν κτήσεων· μάλιστα, ὅτι καὶ ἐν αὐτοῖς τοῖς γενεσίοις τῶν μακαρίων μαρτύρων ἀνά τινας πόλεις καὶ εἰς αὐτοὺς τοὺς ἱεροὺς τόπους τὰ τοιαῦτα πλημμελήματα φωρῶνται· ἐν αἷς ἡμέραις, ὅπερ καὶ λέγειν αἰσχύνη ἐστὶν, ὀρχήσεις μυσαρὰς εἰς τοὺς ἀγροὺς καὶ εἰς τὰς πλατείας ἐκτελοῦσι, ὥστε τῇ τῶν οἰκοδεσποινῶν τιμῇ, καὶ ἄλλων ἀναριθμήτων γυναικῶν τῇ αἰδοῖ τῶν εὐλαβῶν εἰς τὴν ἁγίαν ἡμέραν παραγενομένων, λάγναις ὕβρεσιν ἐφορμᾷν· ὡς καὶ αὐτῆς τῆς ἁγίας πίστεως σχεδὸν φεύγεσθαι τὴν προσέλευσιν.

Περὶ θεωριῶν, ἵνα ἐν τῇ κυριακῇ καὶ ἐν ταῖς λοιπαῖς τῶν ἁγίων ἑορταῖς μηδαμῶς ἐπιτελῶνται.

ξά.

Κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι. ἵνα τὰ θεώρια τῶν θεατρικῶν παιγνίων ἐν τῇ κυριακῇ καὶ ἐν ταῖς λοιπαῖς φαιδραῖς τῆς τῶν Χριστιανῶν πίστεως κωλύωνται· μάλιστα, ὅτι ἐν τῇ ὀγδοάδι τοῦ ἁγίου πάσχα οἱ ὄχλοι μᾶλλον εἰς τὸ ἱπποδρόμιον ἤπερ εἰς τὴν ἐκκλησίαν συνέρχονται· ὀφείλειν μετενεχθῆναι τὰς ὡρισμένας αὐτῶν ἡμέρας, ὅτε ἀπαντήσῃ, καὶ μὴ ὀφείλειν τινὰ τῶν χριστιανῶν πρὸς τὰ θεώρια ταῦτα ἀναγκάζεσθαι.

. . . . . .
. . . . . .
. . . . . .
. . . . . .
. . . . . .

Περὶ τῶν καταδικαζομένων κληρικῶν,

ξβ'.

Κἀκεῖνο δεῖ αἰτῆσαι, ἵνα ὁρίσαι καταξιώσωσιν, ὥστε κληρικὸν οἱασδήποτε τιμῆς τυγχάνοντα, ἐπ' οἱῳδήποτε ἐγκλήματι τῇ τῶν ἐπισκόπων κρίσει καταδικασθέντα, μὴ ἐξεῖναι τὸν αὐτὸν εἴτε παρὰ τῆς ἐκκλησίας ἧς ὑπῆρχεν, εἴτε ἐπὶ οἱουδήποτε ἀνθρώπου διεκδικεῖσθαι, ποινῆς ἐπὶ τοῦτο παρεντεθείσης ζημίας χρημάτων τε καὶ τιμῆς, ὅπως μηδὲ κεῖραν μηδὲ φύσιν ἀπολογητέαν εἶναι κελεύσωσιν.

Περὶ τῶν μίμων τῶν γινομένων χριστιανῶν.

ξγ'.

Περὶ τούτων ἔτι μὴν αἰτῆσαι δεῖ, ἵνα ἐάν τις ἐξ οἱουδήποτε παιγνιώδους ἐπιτηδεύματος πρὸς τὴν τοῦ χριστιανισμοῦ χάριν ἐλθεῖν θελήσοι, καὶ ἐλεύθερος ἀπ' ἐκείνων τῶν σπιλάδων διαμεῖναι, μὴ ἐξὸν εἴη τινὶ τὸν τοιοῦτον πρὸς τὰ αὐτὰ γυμνάσματα πάλιν προτρέπεσθαι ἢ καταναγκάζειν.

Περὶ ἐλευθεριῶν τῶν ἐν τῇ ἐκκλησίᾳ γινομένων, αἰτητέον ἀπὸ τοῦ βασιλέως.

ξδ'.

Περὶ ἐλευθεριῶν δηλαδὴ ἐν τῇ ἐκκλησίᾳ κηρυκτέων, ἐὰν τοῦτο οἱ ἡμέτεροι συνιερεῖς φαίνονται ποιοῦντες ἀνὰ τὴν Ἰταλίαν, καὶ ἡ ἡμετέρα δῆλον πεποίθησις

θησις τῇ τούτων τάξει ἕπηται, δοθείσης φανερῶς ἀδείας πεμπομένου τοποτηρητοῦ, ἵνα οἱαδήποτε ἄξια πίστεως ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ τῆς τῶν ψυχῶν σωτηρίας ἐκτελέσαι δυνηθείη, καὶ ἡμεῖς ἐπαινετῶς ἐνώπιον τοῦ κυρίου ὑποδεξώμεθα ταῦτα πάντα. ἐὰν τῇ ἡμετέρᾳ ἁγιωσύνῃ ἀρέσκῃ, ἐξείπατε, ἵνα καὶ τὴν ἐμὴν ἀναφορὰν βεβαίαν οὖσαν ὑμῖν ἐπιδείξω, καὶ τὰ παρὰ τῆς πάντων ἡμῶν συναινέσεως ἡ αὐτῶν εἰλικρινότης ἡδέως προσδέξηται. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη. πᾶσιν ἀρέσκει, τὰ προτεθέντα καὶ συνετῶς ἀπὸ τῆς σῆς ἁγιωσύνης ἐξηγηθέντα ὀφείλειν ἐκτελεσθῆναι.

Περὶ Αἰκυτίου ἐπισκόπου τοῦ καταδικασθέντος.

ξέ.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· τοῦ Αἰκυτίου ἔτι μὴν τοῦ ἔκπαλαι κατὰ τὴν ἰδίαν ἀξίαν τῇ τῶν ἐπισκόπων γνώμῃ καταδικασθέντος, τὸ πρᾶγμα οὐκ οἶμαι παρεατέον τῇ πρεσβείᾳ. ἵνα, ἐὰν τυχὸν τοῦτον εὕροι ἐν ἐκείνοις τοῖς μέρεσιν, ἔστω πρὸς φροντίδος τῷ αὐτῷ ἀδελφῷ ἡμῶν ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως, ὡς χρὴ καὶ ὅπου ἐξὸν εἴη, κατ' ἐκείνου διαπράξασθαι. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· πολὺ ἀρέσκει καὶ αὕτη ἡ ἐξακολούθησις· μάλιστα, ὅτι ἔκπαλαι καταδεδίκασται ὁ αὐτὸς Αἰκύτιος, καὶ ἡ τούτου ἀναίσχυντος ἀνησυχία, ὑπὲρ τῆς καταστάσεως καὶ σωτηρίας τῆς ἐκκλησίας, μᾶλλον καὶ μᾶλλον πανταχοῦ καταμαχητέα ἐστίν· καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

Ἐν ταύτῃ τῇ συνόδῳ γράμματα ἀναγινώσκονται Ἀναστασίου τοῦ ἱερέως Ρώμης, περὶ τῶν Δονατιστῶν ὑπομιμνήσκοντα τοὺς καθολικοὺς ἐπισκόπους.

Φλαβίτου τετάρτη σύνοδος τῶν ἐν Καρχηδόνι.

Ἐπὶ Βικεντίου καὶ Φλαβίου τῶν λαμπροτάτων ὑπάτων, εἰδοῖς Σεπτεμβρίαις, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ρεστιτούτης ἐκκλησίας πρὸς σύνοδον συναχθέντες καὶ προκαθίσαντες οἱ ἐκ πασῶν τῶν ἐν Ἀφρικῇ ἐπαρχιῶν ἐπίσκοποι, τοῦτ' ἔστιν, Αὐρήλιος ὁ τοῦ αὐτοῦ θρόνου ἐπίσκοπος μετὰ τῶν ἑταίρων αὐτοῦ, οὓς δηλοῖ ἡ οἰκεία ὑπογραφὴ, εἶπεν· ἀναγνωσθέντων γραμμάτων τοῦ μακαριωτάτου ἀδελφοῦ καὶ συνιερέως ἡμῶν Ἀναστασίου τοῦ τῆς Ρωμαίων ἐκκλησίας ἐπισκόπου, δι' ὧν ἀδελφικῆς, μᾶλλον δὲ πατρικῆς ἀγάπης μερίμνῃ καὶ εἰλικρινότητι ἡμᾶς προετρέψατο, ἵνα περὶ τῆς τῶν αἱρετικῶν καὶ σχισματικῶν Δονατιστῶν ἐπιβουλῆς καὶ ἀναισχυντίας τῆς τὴν κατὰ πᾶσαν τῶν Ἄφρων χώραν καθολικὴν ἐκκλησίαν βαρέως πορθούσης, μηδαμῶς παραπροσποιησώμεθα, χάριτας ὁμολογοῦμεν τῷ δεσπότῃ ἡμῶν Θεῷ, ὅτι τοιαύτην εὐσεβῆ φροντίδα ἐμπνεῦσαι κατηξίωσε τῷ οὕτως καλλίστῳ καὶ ἁγιωτάτῳ αὐτοῦ ἱερεῖ ὑπὲρ τῶν μελῶν τοῦ Χριστοῦ, τῶν κἂν ἐν διαφόροις τῆς γῆς μέρεσιν, ἀλλ' ἐν μιᾷ σώματος ἁρμονίᾳ καθισταμένοις.

Περὶ τοῦ μετὰ τῶν Δονατιστῶν πρᾴως διαπράξασθαι.

ξς'.

Μετὰ ταῦτα ψηλαφηθέντων καὶ κατανοηθέντων πάντων τῶν τῇ ἐκκλησιαστικῇ χρησιμότητι συντρέχειν δοκούντων, ἐπινεύσαντος καὶ ἐνηχήσαντος τοῦ πνεύματος τοῦ Θεοῦ, ἐπελεξάμεθα ἠπίως καὶ εἰρηνικῶς διαπράξασθαι μετὰ τῶν μνημονευθέντων ἀνθρώπων, κἂν εἰ τὰ μάλιστα ἐκ τῆς τοῦ κυριακοῦ σώματος ἑνώσεως ἀνησυχάστῳ διχονοίᾳ ἀποσχίζωσιν, ἵνα ὅσον τὸ ἐν ἡμῖν, πᾶσι καθόλου γνωσθῇ τοῖς τῇ ἐκείνων κοινωνίᾳ καὶ ἑταιρίᾳ σαγηνευθεῖσιν ἀνὰ πάσας τὰς τῆς Ἀφρικῆς ἐπαρχίας πῶς ἐλεεινῇ πλάνῃ κατεδέθησαν. ἴσως, καθὼς λέγει ὁ ἀπόστολος, ἡμῶν ἐν ἡμερότητι συναγόντων τοὺς τὰ διάφορα φρονοῦντας, δώσει αὐτοῖς μετάνοιαν πρὸς τὸ ἐπιγνῶναι τὴν ἀλήθειαν, καὶ ἵνα ἀνασφήλωσιν ἐκ τῶν τοῦ διαβόλου βρόχων οἱ αἰχμαλωτισθέντες αὐτῷ εἰς τὸ αὐτοῦ θέλημα.

Περὶ γραμμάτων ὀφειλόντων τοῖς ἄρχουσιν ἀποσταλῆναι, ὥστε κατάδηλα γενέσθαι τὰ μεταξὺ τῶν Δονατιστῶν καὶ Μαξιμιανιστῶν πραχθέντα.

ξζ'.

Ἤρεσε τοίνην, ἵνα ἐκ τῆς ἡμετέρας συνόδου γράμματα πρὸς τοὺς τῆς Ἀφρικῆς ἄρχοντας δοθῶσιν, ἀφ' ὧν αἰτῆσαι ἁρμόδιον ἔδοξε περὶ τοῦ βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ ἐκκλησίᾳ, ἐν οἷς ἡ τῶν ἐπισκόπων αὐθεντία ἐν ταῖς πόλεσι καταφρονεῖται· τοῦτ' ἔστιν, ἵνα ἀρχοντικῇ δυναστείᾳ καὶ ἐπιμελείᾳ, καὶ χριστιανικῇ πίστει ἀναζητήσωσι τὰ γενόμενα ἐν ὅλοις τοῖς τόποις, ἐν οἷς οἱ Μαξιμιανισταὶ τὰς ἐκκλησίας κατέσχον· ἔτι δὲ καὶ τοὺς ἀπ' αὐτῶν ἀποσχίσαντας· καὶ δημοσίοις πεπραγμένοις τὴν περὶ τούτων γνῶσιν βεβαίαν πᾶσιν ἀναγκαίως ποιήσωσιν ἐντεθῆναι.

Περὶ τοῦ τοὺς κληρικοὺς τῶν Δονατιστῶν ἐν τῷ κλήρῳ τῆς καθολικῆς ἐκκλησίας ἀναδέχεσθαι.

ξή.

Εἰς ὕστερον ἤρεσεν, ἵνα γράμματα πεμφθῶσι πρὸς τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, καὶ μάλιστα πρὸς τὴν ἀποστολικὴν καθέδραν, ἐν ᾗ προκάθηται ὁ μνημονευθεὶς προσκυνητὸς ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Ἀναστάσιος· ἐπειδὴ γινώσκει τὴν Ἀφρικὴν μεγάλην ἔχειν ἀνάγκην, ὥστε διὰ τὴν τῆς ἐκκλησίας εἰρήνην καὶ χρησιμότητα, καὶ δι' αὐτῶν τῶν Δονατιστῶν, οἵ τινες δήποτε κληρικοὶ διορθουμένης τῆς βουλῆς πρὸς τὴν καθολικὴν ἑνότητα μετελθεῖν θελήσοιεν κατὰ τὴν ἑνὸς ἑκάστου καθολικοῦ ἐπισκόπου προαίρεσιν, καὶ βουλὴν τοῦ ἐν τῷ αὐτῷ τό-

πῳ χυβερνῶντος τὴν ἐκκλησίαν, ἐὰν τοῦτο συμβάλλεσθαι τῇ τῆς χερσιανῶν εἰρήνῃ φανείῃ, ἐν ταῖς ἰδίαις τιμαῖς αὐτὰς ἀναδεχθῆναι, καθὼς καὶ ἐν τοῖς προλαβοῦσι χρόνοις περὶ τῆς αὐτῆς διχασάσεως γενέσθαι φανερόν ἐστιν· ὅπερ πολλῶν καὶ σχεδὸν πασῶν τῆς ἐν τῇ Ἀφρικῇ ἐκκλησιῶν, ἐν αἷς ἡ τοιαύτη πλάνη ἀνεφύη, τὰ παραδείγματα μαρτύρονται. ὄχ ἵνα ἡ συνοδος ἡ ἐν τοῖς περαματικοῖς μέρεσι περὶ τούτου τοῦ πράγματος γνωμμίη διχαλυθῇ, ἀλλ' ἵνα ἐκεῖνο μείνῃ περὶ τοὺς ὕστως μετελθεῖν προὸς τὴν καθολικὴν ἐκκλησίαν βουλομμένους, ὥσε μηδεμίαν ἐπὶ τούτων τῆς ἑνότητος σωτομίαν προεργάζεσθαι. δι' ὧν δὲ παντὶ τρόπῳ ἐκτελεσθῆναι καὶ προσβοηθῆναι ἡ καθολικὴ ἑνότης φανερῷ κέρδει τῆς ἀδελφικῶν ψυχῶν φανείη ἐν τοῖς τόποις οἷς διάγουσι, μὴ ἐμποδίσῃ τούτοις τὸ ἐρεθὲν κατὰ τῆς τιμῶν αὐτῆς τῇ περαματικῇ συνόδῳ, ὁπόταν τὸ σωθῆναι ὑδενὶ προσώπῳ ἀποκέκλεισαι· τοῦτ' ἔστιν, ἵνα οἱ χειροτονηθέντες ἐν τῷ τῆς Δονατισῶν μέρει, ἐὰν πρὸς τὴν καθολικὴν πίστιν διορθωθέντες μετελθεῖν θελήσουσιν, μὴ κατὰ τὴν περαματικὴν συνοδον μὴ δεχθῶσιν ἐν ταῖς οἰκείαις τιμαῖς· ἀλλὰ μᾶλλον ὅτοι προσδεχθῶσι, δι' ὧν τῇ καθολικῇ ἑνότητι γίνεται προόνοια.

Περὶ τοῦ προεσβείαν προὸς τοὺς Δονατισὰς ἀποσαλῆναι χάριν τοῦ τὴν εἰρήνην σωθεῖναι.

ξθ'.

Ἤρεσεν ἔπειτα, ὥσε τούτων προαχθέντων τοποτηρητὰς περὶ τοῦ κηρύξαι εἰρήνην καὶ ἑνότητα, ἧς τὴν χωρὶς ἡ τῆς χρισιανῶν σωτηρία καθίσασθαι ὁ δύναται, πεμφθῆναι ἐκ τοῦ ἡμετέρου ἀριθμοῦ προὸς τοὺς τῆς αὐτῶν Δονατισῶν, εἴτε τινὰς ἔχουσιν ἐπισκόπους, εἴτε λαούς· δι' ὧν τοποτηρητῶν πᾶσιν ἐνγνώσει γένηται, πῶς ὑδὲν ἔχουσιν λόγου κατὰ τῆς καθολικῆς ἐκκλησίας· μάλισα ἵνα φανερὸν πᾶσι γένηται διὰ τῶν πολιχνιωτικῶν πεπραγμμένων προὸς πίστωσιν τῆς ἀποδείξεως. ἅπερ αὐτοὶ τῶν μαξιμιανισῶν τὰ ἴδια σχισματικὰ ἔπραξαν. ἔνθα αὐτοῖς θεόθεν ἀποδείκνυται, ἐὰν ἐπισκῆψαι θελήσουσιν, ὕτως ἀδίκως τότε αὐτοὺς ἀπὸ τῆς ἐκκλησιαστικῆς ἑνώσεως ἀποχίσαντας, ὥσπερ κράζουσιν ἀδίκως ἀπ' αὐτῶν τοὺς Μαξιμιανιστὰς νῦν ἀποχίσαι. ἐκ δὲ τοῦ ἀριθμοῦ τούτων, οὕς τινας φανερᾷ τῆς οἰκείας βουλῆς αὐθεντίᾳ κατεδίκασαν, μὴ ταῦτα ἐν ταῖς ἰδίαις τιμαῖς ἀνεδέξαντο· καὶ τὸ βάπτισμα, ὃ οἱ παρ' αὐτοῖς καταδεδικασμμένοι καὶ ἐκβεβλημμένοι δεδώκασι, προσεδέξαντο, προὸς τὸ δειχθῆναι, πῶς μωρᾷ καρδίᾳ ἀντιτάσονται τῇ εἰρήνῃ τῆς ἐκκλησίας τῆς ἐν παντὶ τῷ κόσμῳ διαπεχυμέ-νης, ταῦτα ποιοῦντες ὑπὲρ τοῦ μέρους τοῦ Δονάτου, καὶ μὴ λέγοντες ἑαυτοὺς μολύνεσθαι τῇ κοινωνίᾳ τῆς παρ' αὐτοῖς ὕτως διὰ τὸ ἀκόσιον τῆς εἰρήνης ἀναδεχθέντων· ἡμῖν δὲ φιλονεικοῦντες, τοῦτ' ἔστι τῇ καθολικῇ ἐκκλησίᾳ, ἔτι μᾶλλον καὶ τῇ ἐν τοῖς ἐκάστοις μέρεσι τῆς γῆς καθεσώσῃ, διὰ τῆς μιᾶς μόνου τούτων κοινωνίας, ὧν τινων προῶλον κατηγοροῦντο πάντες, ἐλέγξαι αὐτοὺς οὐκ ἠδυνήθησαν.

Περὶ τοῦ, ποῖοι ὀφείλουσι κληρικοὶ γαμετῶν ἀπέχεσθαι.

ό.

Πρὸς ἐπὶ τούτοις ἐν τῷ περὶ ἐγκρατείας τῆς περὶ τὰς οἰκείας γαμετάς τινων μνημονεύεσθαι κληρικῶν, ἤρεσεν, ὥσε τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους κατὰ τοὺς ἰδίους ὅρους, καὶ ἐκ τῆς ἰδίων ἔτι μὴν ἀπέχεσθαι γαμετῆς· ὅπερ εἰ μὴ ποιήσαιεν, ἀπὸ τῆς ἐκκλησιαστικῆς ἀποκινηθῶσι τάξεως· τοὺς δὲ λοιποὺς κληρικοὺς προὸς τοῦτο μὴ ἀναγκάζεσθαι, ἀλλ' ὀφείλειν κατὰ τὴν ἑκάστης ἐκκλησίας σωμηθειαν παραφυλάττεσθαι.

Περὶ τῶν τοὺς ἰδίους λαοὺς ἐγκαταλιμπανόντων.

οά.

Πάλιν ἤρεσεν, ὥσε μηδενὶ ἐξεῖναι ἐπισκόπῳ καταλειφθείσης τῆς αὐθεντικῆς αὐτοῦ καθέδρας, προὸς τινα ἐκκλησίαν ἐν διοικήσει καθεσῶσαν ἑαυτὸν ἀποφέρειν· ἢ ἐν οἰκείῳ πράγματι ὑπὲρ ὃ χρὴ ἐπιπολὺ ἀπασχολουμμένῳ, ἀμελεῖν τῆς φρατρίδος καὶ τῆς συνεχείας τοῦ ἰδίου θρόνου.

Περὶ νηπίων ὀφειλόντων βαπτίζεσθαι ὁσάκις ἀμφιβάλλεται περὶ αὐτῶν, εἰ ἄρα ἐβαπτίσθησαν.

οβ'.

Ὁμοίως ἤρεσε περὶ τῶν νηπίων, ὁσάκις μὴ διορίσκονται βέβαιοι μάρτυρες, οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες· καὶ ὑδὲ αὐτὰ διὰ τὴν χεῖραν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσαγωγίας ἀποχρίνεσθαι ἐπιτηδείως ἔχουσι, χωρίς τινος προσχόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι, μή ποτε ὁ τοιοῦτος δισαγμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως. ἐκ τούτου γὰρ οἱ τοποτηρηταὶ τῶν Μαύρων ἀδελφοὶ ἡμῶν τοῦτο ἐβουλεύσαντο, ὅτι πολλοὺς τοιούτους ἀπὸ τῆς βαρβάρων ἐξαγοράζονται.

Περὶ τοῦ τὴν ἡμέραν τοῦ πάσχα ἐν τῇ ἡμέρᾳ τῆς συνόδου ἀγγέλλεσθαι.

ογ'.

Ὁμοίως ἤρεσεν, ὥσε τὴν ἡμέραν τοῦ προσκυνητοῦ πάσχα διὰ τῆς πετυπωμμένων ὑπογραφῆς πᾶσιν ἐμφανίζεσθαι. ἡ δὲ τῆς συνόδου ἡμέρα, ἡ αὐτὴ φυλαχθῇ, ἥτις ὡρίσθη ἐν τῇ Ἱππῶνι συνόδῳ· τοῦτ' ἔστιν, ἡ πρὸ δέκα καλανδῶν Σεπτεμβρίων. ὀφείλει γὰρ καὶ γραφῆναι πρὸς τοὺς πρωτοδοντας πασῶν τῶν ἐπαρχιῶν, ἵνα ὅπε παρ' ἑαυτοῖς συνόδου προσκαλοῦνται, ταύτῃ τὴν ἡμέραν φυλάττωσιν.

Περὶ

Περὶ τῦ μὴ ὀφείλειν ἐπίσκοπον ἐπιξενόμβυον καθέζεσθαι ἐν ᾗ καθέδρᾳ ἐπιξενῦται.

οδ'.

Ὁμοίως ὡρίσθη, ὥσε μηδενὶ ἐξεῖναι μεσίτῃ τὴν καθέδραν κατέχειν, ᾗ τινι μεσίτης δέδοται, διὰ οἰασδήποτε τῶν λαῶν σπουδὰς ἢ διχοστασίας, ἀλλὰ σπουδάζειν αὐτὸς ἑνιαυτῦ τοῖς αὐτοῖς προνοεῖσθαι ἐπίσκοπον. εἰ δὲ περὶ τῦτο ἀμελήσοι, μ͞η τιὼ περαίωσιν τῦ ἑνιαυτῦ ἕτερος ψηφισθῇ μεσίτης.

Περὶ ἐκδίκων τῶν ἐκκλησιῶν, τῶν ὀφειλόντων ἀπὸ τῦ βασιλέως αἰτηθῆναι.

οε.

Σύμπασιν ἔδοξεν αἰτῆσαι ἀπὸ τ͞ῆς βασιλέως διὰ τιὼ πενήτων κάκωσιν, ὧν ταῖς ἐπαχθείαις ἀπαύσως ἡ ἐκκλησία παρενοχλεῖται, ὥσε ἐκδίκυς τύτοις μετὰ τ͞ῆς τ͞ῆς ἐπισκόπων προνοίας ἐπιλεγιῶαι κατὰ τ͞ῆς τ͞ῆς πλυσίων τυραννίδος.

Περὶ τ͞ῆς μὴ ἀπαντώντων ἐν ταῖς συνόδοις ἐπισκόπων.

ος'.

Ὁμοίως ὥρεσεν, ἵνα ὁσάκις δήποτε σύνοδον δεῖ συναχθῆναι, οἱ ἐπίσκοποι, οἵτινες ὅτε * κείρᾳ, ὅτε ἀσθενείᾳ, οὔτε τινὶ βαρυτέρᾳ ἀνάγκῃ ἐμποδίζονται, ἁρμοδίως ἀπαντῶσι, καὶ τοῖς πρωτοβύλοις ἐκάστης ἰδίας αὐτῶν ἐπαρχίας ἐμφανισθείη περὶ πάντων τῶν ἐπισκόπων, εἴτε δύο, εἴτε τρεῖς συναθροίσεις ποιῶνται, καὶ ἀπὸ ἑκάστυ δὲ ἀθροισμῦ εἰς ἀμοιβιὼ ὅσοι δήποτε ἐπιλεγῶσι, πρὸς τιὼ ἡμέραν τῆς συνόδυ ἐνσατικῶς ἀπαντήσωσιν. ἐὰν δὲ μὴ δυνηθῶσιν ἀπαντῆσαι, ἀθρόων τινῶν ἀναγκῶν, ὡς εἰκὸς, ἀναφυομβύων, εἰ μὴ τὸν λόγον τῦ οἰκείυ ἐμποδισμῦ παρὰ τῷ οἰκείῳ πρωτοβίοντι ἀποδώσωσιν, ὀφείλειν τὺς τοιύτυς τ͞ῇ κοινωνίᾳ τ͞ῆς ἰδίας αὐτῶν ἄρχεσθαι ἐκκλησίας.

* κείρα ἀντὶ κλικίας λαμβάνται.

Περὶ Κρεσκωνίυ.

οζ'.

Περὶ Κρεσκωνίυ τῦ Βιλλαρεκσντίυ τῦτο πᾶσιν ἔδοξεν, ἵνα ἐντεῦθεν ὁμοίως ἐμφανείη τῷ πρωτβίοντι τῆς Νυμιδίας πρὸς τὸ εἰδέναι αὐτὸν ὀφείλειν γράμμασιν οἰκείοις πρὸς συνέλβσιν προβλέψασθαι τὸν μνημονβθέντα Κρεσκώνιον, ὥσε μὴ ὑπερθέσθαι τιὼ παρυσίαν αὐτῦ τ͞ῇ πλησιαζύσῃ συμπάσῃ Ἀφρικανῇ συνόδῳ παραχεῖν. ἐὰν δὲ τῦ ἐλθεῖν καταφρονήσῃ, ἔσαι εἰδὼς κατ' αὐτῦ ψῆφον νομοθετησομένῳ.

Περὶ τ͞ῆς ἐν Ἱππῶνι φροντισῶν τῆς ἐκκλησίας.

οη.

Πάλιν ὥρεσεν, ἵνα ἐπειδὴ τῆς ἐκκλησίας τ͞ῆς ἐν Ἱππῶνι φροντισῶν ἡ * ἐκκατάληψις ἐκ ὀφείλει ἐπὶ πολὺ ἀμεληθιῶαι· καὶ ἐπειδὴ αἱ ἐκεῖ ἐκκλησίαι * καταδέχονται παρὰ τῶν τιὼ ἄτοπον τοῦ Αἰκυτίυ κοινωνίαν παραιτησαμβύων, πεμφθέντων ἐκ τῆς παρύσης συνόδυ ἐπισκόπων, Ρηγίνυ, Ἀλυπίυ, Αὐγυστίνυ, Ματέρνυ, Θεασίυ, Εὐοδίυ, Πλαυτιανῦ, Οὐρβανῦ, Βαλερίυ, Ἀμβιβίυ, Φυρτυνάτυ, Κυοδβυλτδέυ, Ὀνωράτυ, Ἰαννυαρίυ, Ἄπτυ, Ὀνωράτυ, Ἀμπελίυ, Βικτοριανῦ, Εὐαγγέλλυ, καὶ Ρογατιανῦ· καὶ συναχθέντων καὶ διορθωθέντων τ͞ῆς ἐπὶ ψόγῳ μονοτονίᾳ τιὼ φυγιὼ τῦ αὐτῦ Αἰκυτίυ προσδοκητέαν λογισαμβύων, μ͞η τῆς πάντων ἀρχῆς ἐπίσκοπος τύτοις χειροτονηθῇ. ἐὰν δὲ μὴ θελήσωσιν ἐκεῖνοι τιὼ εἰρήνιω κατανοῆσαι, μὴ ἐμποδίσωσι τῇ ἐπιλογῇ τῦ προέδρυ πρὸς τὸ χειροτονηθῆναι εἰς χρησιμότητα τῆς ἐπὶ τοσῦτον χρόνον ἐγκαταλειφθείσης ἐκκλησίας.

* ἐκλιγκαλήψις.

* ἐκκαθίζονται.

Περὶ τ͞ῆς μὴ φροντιζόντων κληρικῶν ἐντὸς ἑνιαυτῦ πρᾶξαι τὸ ἴδιον πρᾶγμα.

οθ'.

Πάλιν ὡρίσθη, ἵνα ὁσάκις κληρικῶν ἐλεγχθέντων καὶ καταθεμβύων τινὰ ἐγκλήματα, εἴτε διὰ τὸ τῆς ἐκκλησίας ὄνειδος, εἴτε διὰ τιὼ αἰδεσιμότητα· ὧν χάριν τύτοις φειδὼ γίνεται· εἴτε διὰ τὴν ἀλαζόνα τ͞ῆς αἱρετικῶν καὶ ἐθνικῶν ἐπιγαυρίασιν, ἐὰν ὡς εἰκὸς ἐπαγωνίσασθαι τῷ ἰδίῳ πράγματι, καὶ τῆς ἰδίας ἀβλαβείας φροντίσαι θελήσωσιν, ἑνὸς ἀκοινωνησίας ἑνιαυτῦ τῦτο ποιήσωσιν· ἐὰν δὲ ἐντὸς ἑνιαυτῦ τὸ πρᾶγμα αὐτῦ καθᾶραι καταφρονήσωσι, μηδεμία τύτων τῦ λοιπῦ φωνὴ παντελῶς προσδεχθείη.

Ὡς τὺς ἀπὸ ἀλλοτρίυ μοναστηρίυ ὑποδεχθέντας, μηδὲ ἡγυμβύυς τῦ μοναστηρίυ, μηδὲ κληρικοὺς ἐξεῖναι χειροτονεῖν.

π'.

Ὁμοίως ὥρεσεν, ἵνα ἐάν τις ἀπὸ ἀλλοξίου μοναστηρίυ ὑποδέξηταί τινα, καὶ πρὸς κλήρωσιν προσαγαγεῖν ἐθελήσοι, ἢ τῦ ἰδίυ μοναστηρίυ ἡγύμενον καταστήσοι, ὁ τῦτο ποιῶν ἐπίσκοπος, ἀπὸ τῆς τῶν λοιπῶν κοινωνίας χωριζόμβυ, τῇ τῦ ἰδίυ λαῦ κοινωνίᾳ ἀρκεσθῇ μόνῃ· ἐκεῖνος δὲ, μηδὲ κληρικὸς μηδὲ ἡγύμβυος ἐπιμεάνῃ.

Περὶ

Περὶ ἐπισκόπων τῶν αἱρετικὰς ἢ Ἕλλησας κληρονόμους καταλιμπανόντων.

πά.

Ὁμοίως ὠρίσθη, ἵνα ἐάν τις ἐπίσκοπος κληρονόμους συγγενεῖς, ἢ ἐκτὸς τῆς ἰδίας συγγενείας αἱρετικὰς ἢ Ἕλληνας προτιμήσῃ τῆς ἐκκλησίας, καὶ μὴ θάνατον ἀνάθεμα τῷ τοιούτῳ λεχθείη, καὶ τὸ ὄνομα αὐτοῦ μηδαμῶς παρὰ τοῖς τοῦ Θεοῦ ἱερεῦσιν ἀνενεχθῇ, μηδὲ δωρηθῇ ἀπολογηθῆναι, ἐὰν ἀδιάθετος ἀποθάνηται· ἐπειδὴ κωλυόμενος ἐπίσκοπος, εἰκότως ὀφείλει τῆς πραγμάτων αὐτοῦ τὴν διατύπωσιν ἁρμοδίαν τῷ ἑαυτοῦ ἐπαγγέλματι ποιήσασθαι.

Περὶ ἐλαθερειῶν.

πβ.

Ὁμοίως ἤρεσεν, ἵνα περὶ τῆς ἐν τῇ ἐκκλησίᾳ γινομένων ἐλαθερειῶν, ἀπὸ τοῦ βασιλέως αἴτησις γίνηται.

Περὶ τῶν πλατῶν μνημείων τῶν μαρτύρων.

πγ.

Ὁμοίως ἤρεσεν, ἵνα πανταχοῦ ἀνὰ τοὺς ἀγροὺς καὶ τοὺς ἀμπελῶνας θυσιαστήρια, ὡσανεὶ εἰς μνήμην μαρτύρων καθισάμενα, ἐν οἷς οὐδὲ ἓν σῶμα ἢ λείψανον μαρτύρων ἀποκείμενα δείκνυνται, ἀπὸ τῶν ἐντοπίων ἐπισκόπων, εἰ ἐστὶ δυνατόν, καταστρέφωνται. εἰ δὲ τοῦτο θορύβοις δημοτικοῖς οὐ συγχωρεῖται, ὅμως τὰ πλήθη νουθετηθῶσι, μὴ ὀχλαγωγεῖν τοὺς τόπους ἐκείνους, καὶ ἵνα οἱ τὰ ὀρθὰ φρονοῦντες μηδεμιᾷ δεισιδαιμονίᾳ τῶν τοιούτων τόπων καταδεσμῶνται. καὶ παντελῶς μηδὲ μνήμη μαρτύρων ἐπιτελεσθῇ, εἰ μή που τὸ σῶμα ἢ τινα λείψανα ὦσιν, ἢ ἀρχαιότητι παραδιδῶνται. ὅσα γὰρ δι' ἐνυπνίων καὶ ματαίων ἀποκαλύψεων ἀνθρώπων τινῶν ὁπουδήποτε καθίσανται θυσιαστήρια, παντὶ τρόπῳ τὰ τοιαῦτα ἀποδοκιμασθῶσιν.

Περὶ τοῦ τὰ λείψανα τῶν εἰδώλων ἐκκριζωθῆναι.

πδ.

Ὁμοίως ἤρεσεν αἰτηθῆναι ἀπὸ τῶν ἐνδοξοτάτων βασιλέων, ἵνα τὰ λείψανα τῆς εἰδωλολατρείας, μὴ μόνον τὰ ἐν ξοάνοις, ἀλλὰ καὶ ἐν οἱουσδήποτε τόποις ἢ δένδροις, παντὶ τρόπῳ ἐξαλειφθῶσιν.

Ὥστε γράφεσθαι καὶ ὑπογράφεσθαι, ὁσάκις χρεία, ἐκ τοῦ ἐν Καρχηδόνι ἐπισκόπου ἐπ' ὀνόματι πάντων τῶν ἐπισκόπων ἐπιστολάς.

πέ.

Ἀπὸ συμπάντων τῶν ἐπισκόπων εἰλέχθη, ἵνα ἐὰν ἤρεσέ τινα γράμματα ὀφείλειν ὑπαγορεύεσθαι ἐν τῇ συνόδῳ, ὁ προκαθήμενος ἐπίσκοπος ὁ ἐν τῷ θρόνῳ τούτῳ προκαθήμενος, καταξιοῖ ἐπ' ὀνόματι πάντων ὑπαγορεύειν καὶ ὑπογράφειν. ἐν οἷς ἤρεσεν ἔτι μὲν τοῖς τοποτηρηταῖς ἐπισκόποις τοῖς ὀφείλουσιν ἀποσαλῆναι εἰς τὰς τῆς Ἀφρικῆς ἐπαρχίας ἔνιοι τῶν Δονατιστῶν, γράμματα δοθῆναι, δύναμιν ἐντολικὴν περιέχοντα, ἣν δύναμιν μὴ παρεξελθῶσι. καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς Καρχηδονίων ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

Ἐν ταύτῃ τῇ συνόδῳ τὰ προλαβόντα ψηφίσματα κυρῶνται.

Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ἀρκαδίου καὶ Ὀνωρίου τῶν Αὐγούστων ὑπάτων, τῇ πρὸ ἑξ καλανδῶν Σεπτεμβρίων, ἐν τῇ Μιλεβιτανῇ πόλει εἰς τὸ σηκρητον τῆς ἐκκλησίας. Αὐρήλιος ἐπίσκοπος τῆς Καρχηδονίων ἐκκλησίας προκαθίσας ἐν πάσῃ τῇ συνόδῳ παρεσώτων τῶν διακόνων εἶπεν· ἐπειδὴ τῆς ἁγιωτάτης ἐκκλησίας ἓν σῶμα ὑπάρχει, καὶ πάντων τῶν μελῶν μία ἐστὶ κεφαλή, συνέβη θέλοντος τοῦ Θεοῦ, καὶ τὴν ἡμετέραν ἀσθένειαν ἐνδυναμοῦντος, ὥστε πρὸς ταύτῃ τὴν ἐκκλησίαν ἐλθεῖν ἡμᾶς, ἀγάπης καὶ ἀδελφότητος χάριτι προξαπεσταλκότας. διὸ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην, ἐπειδὴ ὅτως ἐστὶ πιστεύτεον, ὅτι ἡ ἡμετέρα παρ' ὑμῖν προσέλευσις ὅτε περισσή, ὅτε ἡδυτάτη πᾶσίν ἐστιν, ἵνα ἡ συναίνεσις πάντων ἡμῶν φανερωθῇ ὁμογνωμονεῖν τοῖς συνόδοις τῶν ψηφισμάτων τῶν πάλαι, εἴτε κατὰ τὴν ἐν Ἱππῶνι σύνοδον βεβαιωθέντων, εἴτε μὴ ταῦτα τῇ ἐν Καρχηδόνι χρείττονι συνόδῳ ὁρισθέντων, ὁμοίως δὲ καὶ νῦν κατὰ τάξιν ἡμῖν ἀναγινωσκομένων. τότε γὰρ τῆς ὑμετέρας ἀδελφότητος ἡ ὁμόνοια λαμπροτέρα τοῖς φωτὶ ἀναδειχθήσεται, ἐὰν τὰ παρ' ἡμῶν ἐν ταῖς ἀνωτέραις συνόδοις νομίμως ὁρισθέντα, μὴ μόνον τῇ ἐν τοῖς παροῦσι πεπραγμένοις συναινέσει ἡμῶν, ἀλλὰ καὶ ὑπογραφαῖς ἔτι μᾶλλον φανερώσητε. Ξανθίππος ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Νουμιδίας εἶπεν· πιστεύω, ὅτι * ἡ πάσῃ τῇ ἀδελφότητι ἤρεσεν· ὑπογράφοντες δὲ ἡμεῖς τῇ ἰδίᾳ ὑποσημειώσει βεβαιοῦμεν αἱρέσαι. καὶ τὰ ὁρισθέντα ἰδιοχείρως ἐβεβαίωσαν. Νικήτιος ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Μαυριτανίας Σιτιφένσης εἶπεν· τὰ ἀναγνωσθέντα ψηφίσματα, ἐπειδὴ λογισμῷ ἐκ ἐστίλωται, καὶ ἀπὸ πάντων ἐκυρώθησαν, ἔτι μᾶλλον καὶ τῇ ἐμῇ βραχύτητι ταῦτα ἀρέσκουσιν, ἅπερ τῇ οἰκείᾳ γραφῇ βεβαιώσω.

* illa negatio videtur superflua & abesse a veri. Lat.

Περὶ ταξεως ἐπισκόπων. ὥστε τοὺς μεταξυτέρας χειροτονηθέντας μὴ τολμᾶν ἑαυτοὺς προτιμᾶν τῶν πρώτων.

πς.

Βαλεντῖνος ἐπίσκοπος εἶπεν· τὸ ἀγαθὸν τῆς ὑμετέρας ἀνεξικακίας ἐὰν ἐπιτρέπῃ, ἀκολούθως ἐξηγήσομαι τὰ ἐν τῷ προλαβόντι χρόνῳ εἰς τὴν Καρχηδο-

χηδονίων ἐκκλησίαν πραχθέντα, καὶ ταῖς τῶν ἀδελφῶν ὑπογραφαῖς φανερῶς κυρωθέντα, καὶ ἡμᾶς ἔτι μὴν φυλάξοντας ὁμολογήσω. ἐκεῖνο τοίνυν ἐπιστάμεθα, ἀμίαντον ἀεὶ τὴν ἐκκλησιαστικὴν φυλάττεσθαι κατάστασιν οὕτως, ὡς μηδένα τῶν ἀδελφῶν τολμᾷν ἑαυτὸν προτιμᾷν προπετῶς τῶν πρὸ αὐτοῦ· ἀλλὰ ταῖς τῆς ἀγάπης τάξεσιν ἀεὶ παρεσχέθη τοῖς προτέροις, ὅπερ οἱ ἐπακολουθοῦντες χαριέντως κατεδέξαντο. ταύτην οὖν τὴν πρᾶξιν κελεύσει ἡ ὑμετέρα ἁγιωσύνη κρείττονος ταῖς ὑμετέραις διαλαλιαῖς βεβαιῶσαι. Αὐρήλιος ἐπίσκοπος εἶπεν· οὐκ ἐχρῆν μὲν ταῦτα ἡμᾶς ἐπαναλαμβάνειν, εἰ μὴ ἐὰν τυχὸν ἀκατανόητοι διάνοιαί τινων ἀνεφύησαν, αἱ πρὸς τοὺς ὅρους τούτους τὰς ἡμετέρας αἰσθήσεις ὀξύνουσαι. ἀλλ' ἐπειδὴ αὕτη κοινή ἐστιν αἰτία, ἣν νῦν ἐνεφάνισεν ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν, ὥστε ἕκαστον ἡμῶν ἐπιγινώσκειν τὴν παρὰ τοῦ Θεοῦ ψηφισθεῖσαν αὐτῷ τάξιν, καὶ ἵνα οἱ μεταγενέστεροι τοῖς προτέροις ἀναφέρωσι, καὶ μὴ τολμήσωσι παρὰ γνώμην τούτων τί ποτε πράττειν. διὰ τοῦτο λέγω καθὼς τὸν ἐμὸν ὑποτρέχει λογισμὸν, τοὺς καταφρονοῦντας τῶν πρὸ αὐτῶν, καί τινα ἀποτολμῶντας, κωλυτέους ἁρμοδίως εἶναι ἀπὸ πάσης τῆς συνόδου. Ξάγκτιππος ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Νουμιδίας εἶπεν· ἤκουσεν ἡ πάντων τῶν ἀδελφῶν παρουσία τὴν ἐξακολούθησιν τοῦ ἀδελφοῦ καὶ συνιερέως ἡμῶν Αὐρηλίου, τί πρὸς ταῦτα ἀποκρίνεται;

* Δαπανός Διατίμιος * ἐπίσκοπος εἶπεν· ταῦτα παρὰ τῆς ψήφου τῶν ἀρχαίων ὁρισθέντα, τῇ ἡμετέρᾳ συναινέσει ἐκδοθήσονται, ἵνα τὰ περιεχόμενα τοῖς πεπραγμένοις τῶν προτέρων συνόδων ἐν τῇ ἐν Καρχηδόνι ἐκκλησίᾳ κατὰ τὴν ἡμετέραν συναίνεσιν πεπληρωμένως βέβαια παρὰ πᾶσι φυλαχθῶσι. σύμπαντες οἱ ἐπίσκοποι εἶπον· ἡ τάξις αὕτη καὶ ἀπὸ τῶν πατέρων καὶ ἀπὸ τῶν ἀρχαίων ἐφυλάχθη, καὶ ἀφ' ἡμῶν κατὰ συγχώρησιν Θεοῦ φυλαχθήσεται· σωζομένων ἔτι μὴν τοῦ δικαίου τῶν προτεύοντων τῆς Νουμιδίας καὶ Μαυριτανίας.

Περὶ τοῦ χαρτοθεσίου καὶ μαξικίου τῆς Νουμιδίας.

Ἔπειτα ἤρεσε πᾶσι τοῖς ἐπισκόποις τοῖς ἐν ταύτῃ τῇ συνόδῳ ὑπογράψασιν, ἵνα τὸ μαξίκιον καὶ ἀρχέτυπον τῆς Νουμιδίας, καὶ εἰς τὴν πρώτην καθέδραν ᾖ, καὶ εἰς τὴν μητρόπολιν Κωνσταντίναν.

Περὶ Κουοδβουλτδέου ἐπισκόπου.

πζ'.

Περὶ Κουοδβουλτδέου ἔτι μὴν τοῦ Κεντυριάτου, ἐπειδὴ τοῦ ἐναντίου αὐτοῦ αἰτήσαντος παρὰ τῇ ἡμετέρᾳ εἰσενεχθῆναι συνόδῳ, ἐρωτηθεὶς εἰ ἄρα βούλεται μετ' αὐτοῦ παρὰ τοῖς ἐπισκόποις ἀποπειραθῆναι, πρῶτον μὲν ὑπέσχετο, τῇ δὲ ἄλλῃ ἡμέρᾳ τοῦτο μὴ ἀρέσκειν αὐτῷ ἀπεκρίνατο, καὶ ἀνεχώρησεν· ἤρεσε πᾶσι τοῖς ἐπισκόποις, ἵνα μηδεὶς τῷ αὐτῷ Κουοδβουλτδέῳ κοινωνήσῃ, ἕως οὗ τὸ κατ' αὐτὸν πρᾶγμα περατωθῇ· τὴν γὰρ ἐπισκοπὴν ἀπ' αὐτοῦ ἀφαιρεθῆναι πρὸ τῆς ἐκβάσεως τοῦ κατ' αὐτὸν πράγματος, οὐδενὶ χριστιανῷ δύναται δοκεῖν.

Περὶ Μαξιμιανοῦ ἐπισκόπου.

πη'.

Περὶ Μαξιμιανοῦ δὲ τοῦ Βαγενσίου, ἤρεσεν ἐκ τῆς συνόδου γράμματα δοθῆναι καὶ πρὸς αὐτὸν καὶ πρὸς τὸν λαὸν, ἵνα κἀκεῖνος ἑαυτοῖς ἄλλον ἀναζητήσωσιν.

Ὥστε τοὺς χειροτονουμένους ἐπισκόπους ἀπὸ τῶν χειροτονούντων αὐτοὺς ἐπιστολὰς λαμβάνειν, ἐν αἷς ἥτε ἡμέρα καὶ ὁ ὕπατος προφέρεται.

πθ'.

Ἔπειτα ἤρεσεν, ἵνα οἵ τινες δήποτε μετὰ ταῦτα χειροτονῶνται ἀνὰ τὰς τῆς Ἀφρικῆς ἐπαρχίας, γράμματα λάβωσι παρὰ τῶν χειροτονούντων αὐτοὺς, τῇ χειρὶ αὐτῶν ὑπογεγραμμένα, περιέχοντα τὸν ὕπατον καὶ τὴν ἡμέραν· ὥστε μηδεμίαν ἀμφισβήτησιν περὶ ὑστέρων ἢ προτέρων ἀναφυῆναι.

Περὶ τοῦ, τοὺς κἂν ἅπαξ ἐν τῇ ἐκκλησίᾳ ἀναγνόντας μὴ δύνασθαι ἀπὸ ἄλλων προχειρίζεσθαι.

ιγ'.

Ὁμοίως ἤρεσεν, ἵνα ὅστις δήποτε ἐν ἐκκλησίᾳ κἂν ἅπαξ ἀναγνῷ, ἀπ' ἄλλης ἐκκλησίας πρὸς κλήρωσιν μὴ καταδέχηται. καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας τῷ παρόντι ψηφίσματι συνῄνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

Ἐν ταύτῃ τῇ συνόδῳ ἐμφανίζονται τὰ πραχθέντα ἀπὸ τῶν πέραν τῆς θαλάσσης ἀποσταλέντων τοποτηρητῶν ἐπισκόπων.

Ἐπὶ τοῦ ἐνδοξοτάτου βασιλέως Θεοδοσίου τοῦ Αὐγούστου, καὶ Ρουμορίδου τοῦ λαμπροτάτου ὑπάτου, τῇ πρὸ ὀκτὼ καλανδῶν Σεπτεμβρίων ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν Σεκούνδου· Αὐρήλιος ἐπίσκοπος συμπάσῃ τῇ συνόδῳ προκαθίσας, παρεστώτων τῶν διακόνων, εἶπεν· λόγου ἀπαιτήσαντος, ἡ ὑμετέρα ἀδελφότης παρὰ τῆς ἐμῆς μετριότητος εἰς ταύτην τὴν σύνοδον προετράπη. ἔκπαλαι γὰρ, ὡς μέμνηται ἡ ὑμετέρα ἁγιωσύνη, συνόδου σχεθείσης, ἀπεστείλαμεν ἀδελφοὺς ἡμῶν πρὸς τὰ πέραν τῆς θαλάσσης τοποτηρητὰς, οὓς ἐχρῆν ἐν τῇ συνελεύσει τῆς ὑμετέρας ἁγιωσύνης τὴν κίνησιν διηγήσασθαι τῆς ἐξανυσθείσης πρεσβείας· καὶ κἂν εἰ τῇ χθεσινῇ ἡμέρᾳ περὶ τοῦ αὐτοῦ πράγματος καθεσθέντων ἐκτὸς τῶν ἐκκλησιαστικῶν πραγμάτων ἐπιμελῶς, ἃ ἔπραξαν, ἐψηλαφήσαμεν, ὅμως πρέπει σήμερον τὴν ἀναζήτησιν τῆς χθεσινῆς ἡμέρας τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις ἐκβεβαιώσειν.

ἕκτη σύνοδος τῶν ἐν Καρχηδόνι. ex ms. c.

Περὶ τῶν ἐπισκόπων τῶν ἐπαρχιῶν τῆς Ἀφρικῆς, τῶν μὴ παραγενομένων ἐν τῇ παρούσῃ συνόδῳ.

Ἡ τάξις οὖν ἀπαιτεῖ τῶν πραγμάτων, ἵνα ἐν πρώτοις παρὰ τῶν ἀδελφῶν καὶ συνιερέων ἡμῶν τῶν πρὸς ταύτην τὴν σύνοδον εἴτε ἐκ τοῦ Βυζακίου, εἴτε ἀπὸ Μαυριτανίας παραγενομένων, ζητήσωμεν, πῶς συμφέρειν ψηφίζονται τῇ παρούσῃ συνόδῳ. καὶ προσενεγκόντων Φιλολογίου, Γέτα, Βεουστιανοῦ, Φιλικιανοῦ, τῶν ἐπισκόπων τῆς Βυζακηνῆς χώρας, τὰ γράμματα τῆς τοποτηρησίας, τὰ καὶ ἀναγνωσθέντα· ἔτι δὲ προσενεγκόντων Λουκιανοῦ καὶ Σιλβανοῦ, τῶν τοποτηρητῶν τῆς Μαυριτανίας χώρας τῆς Σιτιφένσης, τὰ γράμματα τῆς τοποτηρησίας, καὶ τούτων ἀναγνωσθέντων, Αὐρήλιος ἐπίσκοπος εἶπεν· τούτων τῶν ἐγγράφων ἡ ὑφὴ τοῖς πεπραγμένοις συζευχθείη.

Περὶ τῶν τοῦ Βυζακίου ἐπισκόπων.

Νουμήδιος ἐπίσκοπος εἶπεν· προσέχομεν τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν τοὺς τῆς Βυζακηνῶν χώρας καὶ Μαυριτανίας Σιτιφένσης, εἰς τὴν σύνοδον τοποτηρητὰς ἀποστεῖλαι. νῦν ζητήσωμεν, ἐὰν τοποτηρηταὶ τῆς Νουμιδίας παρεγένοντο, ἢ δηλαδὴ τῆς Τριπολιτανῆς χώρας, ἢ τῆς Καισαριανῆς Μαυριτανίας.

Περὶ τῶν τῆς Μαυριτανίας Σιτιφένσης ἐπισκόπων.

Λουκιανὸς καὶ Σιλβανὸς ἐπίσκοποι τοποτηρηταὶ τῆς Μαυριτανίας Σιτιφένσης χώρας εἶπον· βραδέως πρὸς τοὺς τῆς Καισαριανῆς ἀδελφοὺς ἡμῶν ἡ συνοδικὴ ἦλθεν, ἐπεὶ κἀκεῖνοι λοιπὸν εἶχον φθάσαι, ὅμως πάντες ἐλεύσονται, καὶ θαρροῦμεν περὶ τῶν ψυχῶν αὐτῶν, ὅτι εἴτι δήποτε ἐν ταύτῃ τῇ συνόδῳ πραχθήσεται, καὶ αὐτοὶ ἀναμφιβόλως τὰς ἰδίας συναινέσεις παρέξοιεν.

Περὶ τῶν τῆς Νουμιδίας ἐπισκόπων.

Ἀλύπιος ἐπίσκοπος εἶπεν· ἡμεῖς μὲν ἀπὸ τῆς Νουμιδίας ἤλθομεν, ἐγώ τε καὶ οἱ ἁγιώτατοι ἀδελφοὶ Αὐγουστῖνος καὶ Ποσείδιος· ἀλλ' ἀπὸ τῆς αὐτῆς Νουμιδίας τοποτηρηταὶ πεμφθῆναι οὐκ ἠδύναντο, ὅτι ἀκμὴν τῷ θορύβῳ τοῦ τιρωνάτου οἱ ἐπίσκοποι ἰδίαις ἀνάγκαις ἐν ταῖς πόλεσιν αὐτῶν ἀπασχολοῦνται ἐμποδιζόμενοι· ἐπεὶ καὶ τὴν συνοδικὴν τῆς ὑμετέρας ἁγιωσύνης τῷ ἁγιωτάτῳ γέροντι Ξαγκτίππῳ ὡς ἀνήγαγον, συνεῖδε περὶ τῆς παρούσης ζητήσεως σύνοδον καταμηνυθῆναι, ὅπως καταρτηθεῖσαι τοποτηρησία πρὸς ταύτην ἀποσταλῇ τὴν σύνοδον. ἀλλὰ δευτέροις γράμμασιν ἐμοῦ τοῦτον ἀναμνήσαντος, ἀπελογήσατο δι' οἰκείων γραμμάτων περὶ τοῦ ἀπὸ τῶν τιρώνων ἐμποδισμοῦ, ὡς ἀνωτέρω εἶπον. Αὐρήλιος ἐπίσκοπος εἶπεν. οὐκ ἔστιν ἀμφίβολον, ὅτι οἱ προλεχθέντες ἀδελφοὶ καὶ συνεπίσκοποι ἡμῶν οἱ ἐκ τῆς Νουμιδίας, ὅτε τὰ πεπραγμένα τῆς συνόδου λάβωσιν, εὐθέως καὶ τὰς ἰδίας παρέξουσι συναινέσεις, καὶ εἰς πέρας ἀγαγεῖν σπουδάσουσιν, ὅσα δήποτε ἀρέσουσιν. ἀνάγκη τοίνυν ἐστὶ τῇ φροντίδι τῆς καθέδρας ταύτης προνοηθῆναι, τοῦτο αὐτὸ τοῖς προλεχθεῖσιν ἐμφανὲς καταστῆναι.

Περὶ τῶν Τριπολιτανῶν ἐπισκόπων.

Περὶ τῶν ἀπὸ Τριπόλεως ἀδελφῶν ἡμῶν τοῦτο ἠδυνήθην γνῶναι, ὅτι Δουλκίτιον ἀδελφὸν ἡμῶν ἀπέστειλαν τοποτηρητήν. ἀλλ' ἐπειδὴ ἀπαντῆσαι οὐκ ἠδυνήθη, τοῦτό τινες τῶν τέκνων ἡμῶν διεβεβαιώσαντο ἐλθόντες ἐκ τῆς προλεχθείσης χώρας, ὅτι ὁ μνημονευθεὶς Δουλκίτιος εἰς πλοῖον εἰσῆλθεν· καὶ δεῖ πιστεύσαί τινα παρολκὴν ἐκ τοῦ χειμῶνος αὐτῷ συμβῆναι, τὴν αὐτὸν ἀναγκάσασαν βραδύναι· ὅμως καὶ περὶ τούτου, ἐὰν ἀρέσκῃ τῇ ὑμετέρᾳ ἀγάπῃ, ὁ αὐτὸς τύπος φυλαχθείη, ἵνα τὰ ἀρέσαντα τῇ συνόδῳ πρὸς αὐτὸν ἀποσταλῶσιν. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· τὰ ὁρισθέντα ὑπὸ τῆς σῆς ἁγιωσύνης πᾶσιν ἀρέσκει.

Περὶ τοῦ τῆς Δονατισταῖς συνελθεῖν.

ιγά.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· τὸ εἰς ψηλάφησιν ἐλθὸν τῆς ἡμετέρας ἀγάπης, λογίζομαι ὀφείλειν τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις βεβαιωθῆναι. ἡ γὰρ ὑπόσχεσις πάντων ὑμῶν τοῦτο προεβάλετο, ὀφείλειν ἕνα ἕκαστον ἡμῶν ἐν τῇ ἰδίᾳ πόλει καθ' ἑαυτὸν συνελθεῖν τοῖς ἀρχηγοῖς τῶν Δονατιστῶν, ἢ προσζεῦξαι ἑαυτῷ γείτονα ἕτερον, ἵνα ὁμοίως τοῖς τοιούτοις ἐν ἑκάστῃ πόλει καὶ τόπῳ διὰ τῶν ἀρχόντων ἢ τῶν πρῶτα φερόντων ἐν τοῖς αὐτοῖς τόποις συνέλθωσι· τοῦτο ἐὰν ἀρέσκῃ πᾶσι, παραγγελθείη· ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· πᾶσιν ἀρέσκει. καὶ πάντες τοῦτο τῇ ἡμετέρᾳ ὑπογραφῇ ἐκυρώσαμεν. αἰτοῦμεν ἔτι μὴν, ἵνα ταῖς ἐπιστολαῖς, ταῖς ὀφειλούσαις ἐκ τῆς συνόδου πρὸς τοὺς ἄρχοντας ἀποπεμφθῆναι, ὑπὲρ πάντων ἡ σὴ ὑπογράψῃ ἁγιωσύνη. Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἐὰν δοκῇ τῇ ὑμετέρᾳ ἀγάπῃ, ὁ τύπος τῆς πρὸς ἐκείνους συνελεύσεως ἀναγνωσθείη, ὅπως τοῦτον τὸν τόνον τῆς ἐπακολουθήσεως πάντες, ἐὰν ἀρέσκῃ, κρατήσωμεν, ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· ἀναγνωσθείη. Λαιτὸς νοτάριος ἀνέγνω.

Ὁ τύπος τῆς πρὸς τοὺς Δονατιστὰς συνελεύσεως.

ιγβ'.

Ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας εἶπεν· τὸ παρὰ τῆς αὐθεντίας ἐκείνης τῆς μεγίστης καθέδρας ἡμῖν ἐπιτραπὲν αἰτοῦμεν τὴν ὑμετέραν τιμιότητα ἀναγνωσθῆναι, καὶ εἰς πέρας ἀχθῆναι, κελεῦσαι. ἀναγνωσθείσης δὲ τῆς κελεύσεως, καὶ τοῖς πεπραγμένοις ἐντιθεμένης, ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας εἶπεν· τὸ διὰ τῆς ὑμετέρας τιμιότητος πρὸς τοὺς Δονατιστὰς ὀφεῖλον ἀπενεχθῆναι ἐντολικὸν, ἀκοῦ-

ἀκῦσαι, καὶ παραγμβίναι ἐμβαλεῖν, καὶ πρὸς αὐτὰς ἀποκομίσαι καταξιώσατε, καὶ τιμὴ τούτων ἀπόκεισιν πάλιν διὰ τῆς ὑμετέρων παραγμβίων ὑμῖν ἐμφανίσαι. συνερχόμεθα ὑμῖν αὐθεντικῶς ἀποσταλέντες ἐκ τῆς ἡμετέρας καθολικῆς συνόδου, ἐπιθυμοῦντες χαρίσαι περὶ τῆς ὑμετέρας διορθώσεως. ἐπιστάμεθα γὰρ τιμὴ ἀγάπῃ τὸ κυρίου εἰπόντος· μακάριοι εἰρηνοποιοί· ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. ὑπέμνησε δὲ ὄχλα τὸ προφήτου, ὥστε ἔτι μιὰ καὶ τοῖς μὴ βουλομένοις λέγεσθαι ἀδελφοῖς ἡμῶν, λέγειν ἡμᾶς· ἀδελφοὶ ὑμῶν ἐσέ. ταύτῃ τοίνυν τιμὴ ἐξ ἀγάπης εἰρηνικὴ ἐρχομένῃ ἡμετέραν ἀνάμνησιν ἐξεθέσησαι οὐκ ὀφείλετε, ἵνα ἐάν τί ποτε ἀληθείας ἔχειν ἡμᾶς οἴεσθε, ἀντιλαβέσθαι τούτου μὴ ἀμφιβάλητε· τοῦτ' ἔστιν, ἵνα σωσαχθείσης συνόδου ἡμῶν, ἐπιλέξασθε ἐξ ὑμῶν αὐτῶν τοὺς ὀφείλοντας τὸ πρᾶγμα ἐμπεδῶσαι τῆς τοιαύτης ἡμῶν δικαιολογίας, ὅπως καὶ ἡμεῖς δυνηθῶμεν τὸ αὐτὸ ποιῆσαι· τοῦτ' ἔστιν, ἵνα ἐκ τῆς ἡμετέρας συνόδου ἐπιλεγῶσιν οἱ ὀφείλοντες μετὰ τῶν ἐξ ὑμῶν ἐπιλεγέντων ἐν ὡρισμένῳ τόπῳ καὶ καιρῷ πᾶν τὸ τῆς ζητήσεως ἐχόμενον, τὸ τιμὴ ὑμετέραν ἀφ' ἡμῶν κοινωνίαν χωρίζον, εἰρηνικῶς ἐξετάσαι· καὶ κἂν ὀψέ ποτε τῇ βοηθείᾳ τοῦ κυρίου ἡμῶν καὶ Θεοῦ, τέλος ἡ παλαιὰ δέξηται πλάνη, μήποτε ὄχλα πεῖσμα ἀνθρώπων ἀθλίας ψυχαὶ καὶ ἄπειροι λαοὶ ἱεροσύλῳ τινὶ χωρισμῷ ἀπόλωνται. ἐὰν γὰρ τοῦτο ἀδελφικῶς καταδέξησθε, ἑκατέρως ἡ ἀλήθεια διαφανήσεται· εἰδὲ τοῦτο ποιῆσαι μὴ θελήσητε, ἡ ἀπιστία ὑμῶν δικαίως γνωρισθήσεται. καὶ ἀναγνωσθέντος τοῦ τοιούτου τύπου, ἀπὸ πάντων ἐπισκόπων ἐλέχθη. πάνυ ἀρέσκει· τοῦτο γενήσεται. καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

Αὕτη ἡ συνόδος κατὰ τῶν Δονατιστῶν πρεσβεύτας πρὸς τοὺς αὐτοκράτορας ἀποστέλλει.

ἐβδόμη σύνοδος τῶν ἐν Καρθαγένῃ ἐπ' ἐ.

Τῷ ἐνδοξοτάτῳ βασιλεῖ. Ὀνωρίῳ Αὐγούστῳ τῷ ἕκτῳ ὑπάτῳ, τὴ πρὸ ιε'. καλανδῶν Ἰουλίων ἐν Καρχηδόνι εἰς τιμὴ ἐκκλησίαν τῆς βασιλικῆς Σεκούνδης. ἐν ταύτῃ τῇ συνόδῳ τοσοτηρσίαν ἀνεδέξαντο Θεάσιος καὶ Εὐόδιος κατὰ τῶν Δονατιστῶν. ἐν ᾗ συνόδῳ συνετάχθη κομμονιτώριον περιέχον ὅπως.

Τὸ κομμονιτώριον, ὅπερ ἔλαβον οἱ κατὰ τῶν Δονατιστῶν πρεσβεῖται.

ργ'.

Κομμονιτώριον τοῖς ἀδελφοῖς, Θεασίῳ καὶ Εὐοδίῳ, τοῖς πεμφθεῖσι πρεσβεύταις ἐκ τῆς ἐν Καρχηδόνι συνόδου πρὸς τοὺς ἐνδοξοτάτους καὶ θρησκευτικωτάτους αὐτοκράτορας. ἰδίκα τῇ τοῦ κυρίου βοηθείᾳ τοῖς εὐσεβεστάτοις * προσελθοῦσι βασιλεῦσι, τούτοις ἐμφανίσουσι, ποίῳ ζόπῳ τελείᾳ τῇ παῤῥησίᾳ κατὰ τιμὴ τοῦ ἀνωτέρω ἐνιαυτοῦ συνόδου οἱ πρωτεύοντες τῆς Δονατιστῶν τοῖς πολυχνιωτικοῖς πεπραγμένοις συνελθεῖν προεξάπεσαν, ἵνα εἰ ἐθάῤῥουν τοῦ οἰκείου δόγματος ἀντιλαβέσθαι, ἐπιλεγόντων τινῶν ἱκανῶν ἐκ τοῦ αὐτοῦ ἀριθμοῦ, μεθ' ἡμῶν εἰρηνικῶς ἀμφιβαλον, καὶ ἡμερότητι χριστιανικῇ ἀναμφιβόλως εἶχον ἐπιδεῖξαι, εἴτι ποτ' ἀληθείας κατεῖχον, ὅπως ἐκ τούτου ἡ καθολικὴ εἰλικρινότης, ἣ ἔκπαλαι τοῖς ἀνωτέρω διαλάμψασα χρόνοις, καὶ νῦν ὁμοίως διὰ τῆς ἀπειρίας καὶ μονοτονίας τῶν ἀτιλεγόντων ἐγνωρίζετο. ἀλλ ἐπειδὴ τὸ μὴ θαῤῥεῖν συνείχοντο χεδὸν ὁδὸν ἐπάλμησαν ἀποκρύπτεσθαι. διό, ἐπειδὴ ἐπισκοπικὴ καὶ εἰρηνικὴ τάξις περὶ τοὺς τοιούτους πεπλήρωται, κἀκεῖνοι τῇ ἀληθείᾳ μὴ δυνηθέντες ἀποκρυβῆναι, εἰς ἀτόπους βίας μετεσράφησαν, ὡς πολλοὺς ἐπισκόπους καὶ πολλοὺς κληρικούς· ἵνα τὸ περὶ τῶν λαϊκῶν σιωπήσωμεν, ἐπιβουλαῖς συχεῖν. καὶ τινες δὲ ἔτι μικὰ ἐκκλησίας ἐπέβησαν, καὶ ἄλλαις ἐπελθεῖν ὁμοίως ἐπειράθησαν· τῆς αὐτῆς φιλανθρωπίας λοιπόν ἐστι προνοήσασθαι, ἵνα ἡ καθολικὴ ἐκκλησία ἡ τοῖς θρησκευτικοῖς ἐν Χριστῷ γρυήσασα γαστρὶ, καὶ τῇ βεβαιώσει τῆς πίστεως ἐκθρέψασα, τῇ αὐτῆς ἔτι μικὰ προνοίᾳ ὀχυρωθῇ· μή ποτε προπετεῖς ἄνθρωποι ἐκ τῆς δυσεβῶν αὐτῆς χρόνων φόβῳ τινὶ τῆς ἀθλίων λώβικα καταδυνασεύσωσιν· ἐπειδὴ ὑποπεπόθοντες τούτους, ἀποφαυλίσαι οὐ δύνανται. ἔγνωσαι γὰρ, καὶ πολλάκις τοῖς νόμοις ἐκβοᾶται τῆς παρασυναγόντων ἡ βδελυκτὴ πλανοῦς, ποῖα διαπράττεται, ἅτινα καὶ πολλάκις τοῖς θεσπίσμασιν αὐτῶν τῆς προλεχθέντων δυσεβεστάτων αὐτοκρατόρων κατεδικάσθησαν. κατὰ ἓν τῆς ἐκείνων μανίας δυνάμεθα συμμαχίας θείας τυχεῖν, οὐκ ἀπήθως δὲ, οὐδὲ ἀλλοτρίας ἀπὸ τῆς ἁγίων γραφῶν, ὁπόταν Παῦλος ὁ ἀπόστολος, ὡς ταῖς ἀληθιναῖς πράξεσι τῆς ἀποστόλων δεδήλωται, τιμὴ σύμπνοιαν τῆς ἀτάκτων στρατιωτικὴ ἀπεκίνησε βοηθείᾳ. ἡμεῖς τοίνυν τοῦτο αἰτοῦμεν, ἵνα ταῖς καθολικαῖς τάξεσι τῆς ἐκκλησιῶν. ἀνὰ ἑκάστην πόλιν ἑκάστων κτήσεων, ἀνυπερθέτως παραφυλακὴ παραχεθῇ. ἅμα καὶ τοῦτο δεῖ αἰτῆσαι, ὥστε τὸν νόμον τὸν ἐκτεθέντα παρὰ τοῦ τῆς δυσεβοῦς μνήμης πατέρος αὐτῶν Θεοδοσίου, τὸν περὶ τῆς δέκα τοῦ χρυσίου λιβρῶν, τὸν κατὰ τῆς χειροτονούντων καὶ χειροτονουμένων αἱρετικῶν φυλάξωσιν, ἔτι μικὰ καὶ κατὰ τῆς κτητόρων τῆς παρ' οἷς ἡ ἐκείνων εὑρεθῇ συναγωγή. εἶθ' ὅπως βεβαιωθῶσι τὸν τοιοῦτον νόμον κελεύσωσιν, ὡς ἰσχύειν κατὰ τούτων, ὧν διὰ τὰς ἐπιβουλὰς οἱ τῆς καθολικῆς προφασιζόντες διαμαρτυρίαν ἀπέθεντο· ἵνα κἂν τούτῳ τῷ φόβῳ ἐκ τοῦ ποιεῖν σχίσματα καὶ ἀπὸ τῆς τῆς αἱρετικῶν φαυλότητος παύσωνται. οἱ τῇ καταγνόσει τῆς αἰωνίας χολάσεως καθαρθῶσι καὶ διορθωθῶσι ὑπερτιθέμενοι. κἀκεῖνο ἔτι μικὰ αἰτῆσαι δεῖ, ἵνα τῇ αὐτῶν δυσεβείᾳ ὁ μέχρι τοῦ παρόντος νόμος ἐπαναληφθείη, ὁ τιμὴ δυχέρειαν τῆς αἱρετικῶν ἀφαιρούμενος τοῦ εἴτε ἀπὸ χειροτονιῶν, εἴτε ἀπὸ διαθηκῶν τούτους δύνασθαι λαμβάνειν τί ποτε ἢ καταλιμπάνειν· καὶ ἁπλῶς εἰπεῖν, τοῦ εἴτε καταλιμπάνειν τι * ἰδίᾳ πείσματος τυφλωθέντων, καὶ ἐν τῇ τῆς Δονατιστῶν πλάνῃ ἐσομένων βουλομένων. τοῖς δὲ τῇ καταγνόσει τῆς ἑνότητος καὶ εἰρήνης ἑαυτοὺς διορθώσασθαι βουλομένοις, ὑπερκειμένου τοῦ τοιούτου νόμου, ἀνοιχθείη ἡ ἀκρόασις τοῦ λαμβάνειν κληρονομίαν· εἰ καὶ ἔτι τούτοις αὐτοῖς ἐν τῇ τῆς αἱρετικῶν πλάνῃ καθεστῶσι προσαρμόζει τί ποτε ἀπὸ δωρεᾶς ἢ κληρονομίας, ἐξῃρημένων ἐκείνων

* Γενέσθαι δυσί.

* ἁπλασθέντων τοῦ ἰδίου ἁμάτος, τῇ τοῦ φυσικοῦ.

νων δηλαδὴ, οἵτινες μετὰ τὸ εἰς δίκην ἀναχθῆναι ἐλογίσαντο ὀφείλειν πρὸς τὴν καθολικὴν μετελθεῖν. περὶ γὰρ τῶν τοιούτων πιστευτέον ἐστὶ, μὴ τῷ φόβῳ τῆς οὐρανίας κρίσεως, ἀλλὰ τῇ ἀπληστίᾳ τῆς γηΐνης λυσιτελείας, τὴν καθολικὴν ἑνότητα ἐπιποθῆσαι. πρὸς τούτοις δὲ πᾶσι, τῆς βοηθείας χρεία ἐστὶ τῶν δυναστειῶν ἑκάστης ἐπαρχίας ἰδίας· καὶ ἄλλο δὲ, εἴτι δήποτε κατανοήσουσι τῇ ἐκκλησιαστικῇ χρησιμότητι λυσιτελοῦν, τοῦτο διαπράττεσθαι καὶ ἐξανύειν, αὐτεξούσιον ψηφιζόμεθα τοποτηρησίαν. κἀκεῖνο δὲ πρὸς τούτοις ἤρεσεν, ἵνα γράμματα ἐκ τῆς ἡμετέρας συνελεύσεως πρὸς τοὺς ἐνδοξοτάτους βασιλέας καὶ τὰς ὑπερεχούσας ἀξίας ἀποσταλῶσι, δι' ὧν πληροφοροῦνται ὡς τῇ συναινέσει πάντων ἡμῶν ἐπὶ τὸ εὐτυχέστατον κομιτᾶτον τοὺς τοποτηρητὰς παρ' ἡμῶν εἶναι ἀποσταλέντας. ἀλλ' ἐπειδὴ τοῖς αὐτοῖς γράμμασι πάντας ἡμᾶς ὑπογράψαι βραδύτατόν ἐστιν, ἵνα μὴ ταῖς ἑκάστου ἡμῶν ὑπογραφαῖς τὰ αὐτὰ γράμματα φορτωθῶσιν, αἰτοῦμεν ἀδελφὲ Αὐρήλιε, ἵνα ἐν τούτοις ἡ σὴ ἀγάπη ὑπογράψαι ἐπ' ὀνόματι πάντων ἡμῶν καταξιώσῃ. καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνῄνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα· ὁμοίως καὶ οἱ λοιποὶ ὑπέγραψαν. γράμματα ἔτι μὴν πρὸς τοὺς ἄρχοντας πέμψαι δεῖ, ἵνα ἕως οὗ ὁ κύριος τοὺς τοποτηρητὰς ὑποστρέψαι πρὸς ἡμᾶς ἀξιώσῃ, παραφυλακὴν ἀνὰ τὰς τῶν πόλεων τάξεις καὶ κτήτορας τῶν χωρίων τῆς καθολικῆς ἐκκλησίας ἐπιμερίσοσιν. ἔτι μὴν δεῖ προσζεῦξαι καὶ περὶ τοῦ Αἰκυτίου, ἵνα ἡ ἀναίδεια αὐτοῦ ἐξωθηθῇ ἀπὸ τῶν διοικήσεων, ἃς ἐκ τῶν φροντιστῶν τῆς ἐν Ἱππῶνι ἐκκλησίας ἱερατικῶν δικαίων πρὸς ἑαυτὸν διεκδικεῖ, καὶ γράμματα δὲ πρὸς τὸν ἐπίσκοπον τῆς Ῥωμαϊκῆς ἐκκλησίας περὶ τοῦ παραθέσθαι τοὺς τοποτηρητὰς, πεμφθῆναι ὀφείλουσι, καὶ πρὸς τοὺς ἄλλους δὲ, ὅπου ἐστὶν ὁ βασιλεύς. καὶ ὑπέγραψαν ὁμοίως. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνῄνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα· ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

Ἐν ταύτῃ τῇ συνόδῳ τὰ ὁρισθέντα ἡ βραχεῖα σαφηνίζει πρόσθεσις.

Ἐπὶ Στελίχωνος πάλιν καὶ Ἀνθεμίου τῶν λαμπροτάτων, τῇ πρὸ δεκάτῃ καλανδῶν Σεπτεμβρίων ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν τοῦ δευτέρου κλίματος· τὰ πεπραγμένα τῆς παρούσης συνόδου διὰ τοῦτο ἐξολοκλήρου οὐκ ἐγράφησαν, ἐπειδὴ μᾶλλον τὰ κατὰ τὸν καιρὸν ἀναγκαῖα, ἤπερ τινὰ γενικὰ, ὡρίσθησαν. δι' ὧν βραχεῖα σύνεσις τῶν σπουδασμάτων τῆς αὐτῆς συνόδου διετυπώθη.

Τὸ βρέβιον τῶν κεφαλαίων.

ιδ'.

Ἵνα ἐλευθέρα τοποτηρησία ἐκ πασῶν τῶν ἐπαρχιῶν εἰς τὴν σύνοδον ἀποσταλῇ πρὸς Μιζόνιον. τοποτηρηταὶ καὶ γράμματα ἀποσταλῆναι παρηγγέλθησαν, διὰ τὸ ὀφείλειν ἐλευθέραν ἐκπέμψαι τοποτηρησίαν· ἵνα ἐπειδὴ ἐν Καρχηδόνι μόνον ἕνωσις ἐγένετο, πεμφθῶσι γράμματα πρὸς τοὺς ἄρχοντας, ὅπως καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις καὶ πόλεσιν οἱ αὐτοὶ ἄρχοντες σπουδὴν ἐπιχορηγηθῆναι κελεύσωσι τῇ ἑνότητι, ἵνα ἐν Καρχηδόνι εὐχαριστίαι ἀπὸ τῆς ἐκκλησίας ὑπὲρ πάσης τῆς Ἀφρικῆς περὶ τοῦ ἀπελαθῆναι τοὺς Δονατιστὰς, μετὰ γραμμάτων τῶν ἐπισκόπων ἐπὶ τὸ κομιτᾶτον πεμφθῶσι. γράμματα ἀνεγνώσθησαν Ἰννοκεντίου πάπα· ἵνα οἱ ἐπίσκοποι ὡς ἔτυχεν πρὸς τὰ περαματικὰ ἀπιέναι μὴ δύνονται. ὅπερ τοῦτο αὐτὸ ταῖς γνώμαις τῶν ἐπισκόπων βεβαιοῦται. ἵνα διὰ τὴν εὐχαριστίαν τὴν περὶ τοῦ διωχθῆναι τοὺς Δονατιστὰς, δύο κληρικοὶ τῆς ἐν Καρχηδόνι ἐκκλησίας ἐπὶ τὸ κομιτᾶτον πεμφθῶσιν.

Ἐν ταύτῃ τῇ συνόδῳ τινὰ ἐκ τῶν ἀνωτέρω ὁρισθέντων διορθοῦνται.

Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ ἑβδομον, καὶ Θεοδοσίου τὸ δεύτερον, Αὐγούστων ὑπάτων πάλιν εἰδοῖς Ἰουλίαις ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν τοῦ δευτέρου κλίματος, Αὐρηλίου ἐπισκόπου ἅμα τοῖς συνεπισκόποις αὐτοῦ προκαθίσαντος, παρεστώτων τῶν διακόνων· ἐπειδὴ πάλαι ὡρίσθη εἰς τὴν ἐν Ἱππῶνι σύνοδον, ὥστε καθ' ἕκαστον ἐνιαυτὸν πλήρη συνάγεσθαι σύνοδον τῆς Ἀφρικῆς, μὴ μόνον ἐνταῦθα ἐν Καρχηδόνι, ἀλλὰ καὶ ἀνὰ τὰς διαφόρους ἐπαρχίας τῇ ἰδίᾳ αὐτῶν τάξει· καὶ τοῦτο δὲ ἐφυλάχθη, ὥστε μηνύειν ἡμᾶς εἰς τὴν Νουμιδίαν, ποτὲ δὲ εἰς τὸ Βυζάκιον, καὶ τοῦτο ἐπίσκοπον πᾶσι τοῖς ἀδελφοῖς ἔδοξε.

ὀγδόα σύνοδος τῶν ἐν Καρχηδόνι ex ms. cod.

Σύνοδον μὴ γίνεσθαι κοινήν τε καὶ ὁλοτελῆ, εἰ μὴ ἐξ ἀνάγκης.

ιε'.

Ἤρεσεν, ὥστε μὴ εἶναι περαιτέρω ἐνιαυσίαν ἀνάγκην τοῦ συντρίβεσθαι τοὺς ἀδελφούς· ἀλλ' ὁσάκις ἂν κοινὴ χρεία καλέσοι, τοῦτ' ἔστι πάσης τῆς Ἀφρικῆς, γραμμάτων διδομένων ὅθεν δήποτε πρὸς ταύτην τὴν καθέδραν, σύνοδον ὀφείλειν συνάγεσθαι ἐν ταύτῃ τῇ ἐπαρχίᾳ, ἔνθα ἡ χρεία καὶ ἐπιτηδειότης συνωθήσει· αἱ δὲ αἰτίαι μὴ οὖσαι κοιναὶ, ἐν ταῖς ἰδίαις ἐπαρχίαις κριθῶσιν.

Ἵνα αἱρετοὺς δικαστὰς μὴ ἐξὸν εἴη ἐκκαλεῖσθαι.

ιϛ'.

Ἐὰν δὲ γένηται ἔκκλητος, καὶ ἐπιλέξηται ὁ ἐκκαλεσάμενος δικαστὰς, καὶ μεθ' οὗ ἐξεκαλέσατο, τοῦ λοιποῦ ἀπὸ τούτων μηδενὶ ἐξέστω ἐκκαλεῖσθαι.

Περὶ τοποτηρησιῶν διαφόρων ἐπαρχιῶν.

Ὑφ' ἓν τοποτηρησίαι διαφόρων ἐπαρχιῶν ἐμφανισθεῖσαι, χαριέντως προσεδέχθησαν· τοῦτ' ἔστι τῶν Νουμιδίων, τῶν Βυζακηνῶν, τῶν Μαύρων Σιτιφεν-

σίων,

σίων, ὁμοίως δὲ καὶ Καισαρειανῶν, ἀλλὰ καὶ τῆς ἀπὸ Τειπόλεως.

Περὶ ἐκβιβασῶν τῆς ἐκκλησίας.

Ἤρεσε τοῖς τόποις, ὥστε ἐκβιβασὰς ἐν πᾶσι τοῖς τῆς ἐκκλησίας χρειώδεσι πάντε ἐπιλεγῆναι αἰτηθῆναι, οἵτινες ἐν ταῖς διαφόροις ἐπιμεληθήσονται ἐπαρχίαις.

Ἵνα ἀπὸ τῆς βασιλέων αἰτηθῇ συνηγόρων ἀντίληψις ὑπὲρ τῆς κεφαλαίων τῆς ἐκκλησίας.

ιζ'.

Ἤρεσεν ἔτι μὴν, ἵνα ἐξ ὀνόματος πασῶν τῆς ἐπαρχιῶν οἱ παρεσβεύσαι μέλλοντες πρεσβεύται, Βικεντιος καὶ Φορτουνατιανὸς, αἰτήσωσιν ἀπὸ τῆς ἐνδοξοτάτων βασιλέων, ὥστε δοθῆναι ἄδειαν τοῦ κατασῆσαι ἐνδίκους σχολαστικούς, οἵτινες αὐτὸ τοῦτο τὸ λειτούργημα τοῦ ἐκδικεῖν τὰ πράγματα, ἐπιτήδευμα ἔχουσι· καὶ ἵνα ὡς ἱερεῖς τοῖς τῆς ἐπαρχίας οἱ αὐτοὶ οἱ τὴν ἐκδίκησιν τῆς ἐκκλησιῶν ἀναδεξάμενοι, δίκαιος δυνηθῶσιν ὑπὲρ τῆς τῆς ἐκκλησίας πραγμάτων, ὁσάκις ἀνάγκη ἀπαιτήσει, πρὸς τὸ ἀντιστῆναι τοῖς ἀναισχύντοις, καὶ ἀναφέρειν τὰ ἀναγκαῖα, καὶ εἰς τὰ σήκρητα τῆς δικαστηρίων εἰσίεναι.

Περὶ τοῦ εἶναι ἐλευθέραν τὴν τοποτηρησίαν.

Ἤρεσεν, ὥστε αὐτεξούσιον τὴν τοποτηρησίαν ἔχειν τὸν ἐπὶ τὸ κομιτᾶτον προβεβηκότας ἐπιλέκτους τοποτηρητάς.

Προμαρτυρία τῆς Μαυρετανῶν ἱερέων περὶ Πειμόσου.

Πρὸς ἐπὶ τούτοις δῆλον, ὅτι προμαρτυρομένους εἶναι γράμμασιν ἰδίοις τοὺς Μαυρετανοὺς Καισαρειανοὺς, Πείμοσον διὰ τῆς ἐξεχόντων τῆς Θιγαβρησίας πόλεως, περὶ τοῦ σωελθεῖν, ἵνα κατὰ τὰς βασιλικὰς διατυπώσεις ἐντελῶς παράσχοι τὴν ἑαυτοῦ παρουσίαν· καὶ ὡς ἐχρῆν, ἀναζητηθεὶς ὁ αὐτὸς Πρίμοσος, οὐχ εὑρέθη, ὡς οἱ διάκονοι ἀνήγγειλαν· ἀλλ' ἐπειδὴ ἠτήσαν οἱ αὐτοὶ Μαῦροι ἐκ πάσης τῆς συνόδου ὀφείλειν γράμματα ἀποσταλῆναι τῷ προσκυνητῷ ἀδελφῷ γέροντι Ἰννοκεντίῳ, ἤρεσε πεμφθῆναι, ἵνα γνῷ ζητηθέντα τὸν Πρίμοσον ἐν τῇ συνόδῳ, καὶ μηδαμῶς εὑρεθέντα.

Περὶ τῆς λαῶν τῆς μηδέποτε ἐπισκόπους. ἐχηκότων.

ιή.

Ἤρεσε κἀκεῖνο, ἵνα οἱ ὄχλοι, οἱ μηδέποτε ἰδίους ἐχηκότες ἐπισκόπους, εἰ μὴ ἐκ πάσης τῆς συνόδου ἑκάστης ἐπαρχίας καὶ τοῦ πρωτεύοντος ψήφισμα γένηται, καὶ κατὰ συναίνεσιν ἐκείνου, ὅτινος ὑπὸ τὴν διοίκησιν καθέστατο ἡ αὐτὴ ἐκκλησία, μηδαμῶς δέξωνται.

Περὶ λαῶν καὶ διοικήσεων τῆς ἀπὸ Δονατισῶν ἐπιστρεφόντων.

ιθ'.

Ἵνα δηλαδὴ ἐκείνων οἱ λαοὶ οἱ ἀπὸ τῆς Δονατισῶν ἐπιστρέφοντες, καὶ ἐπισκόπους ἐχηκότες παραγνώμην τῆς συνόδου, τούτους ἀναμφιβόλως ἔχειν ἀξιωθῶσιν· οἵτινες δὲ λαοὶ ἐχήκασιν ἐπίσκοπον, καὶ τούτου τελευτήσαντος οὐκ ἠθέλησαν ἴδιον ἐπίσκοπον ἔχειν, ἀλλὰ πρὸς ἄλλου τινὸς ἐπισκόπου διοίκησιν ἀναδραμεῖν ἀνήκειν, τοῦτο μὴ ὀφείλειν τούτοις ἁρμόζειν. οὐ μὴν ἀλλὰ καὶ κἀκεῖνο ἀνηνέχθη, ὅτι οἱ ἐπίσκοποι οἱ πρὸ τοῦ βασιλικοῦ νόμου, τοῦ περὶ οἰκότητος προκομιζομένου, οἵτινες δήποτε πρὸς τὴν καθολικὴν ἐπιστρέψουσι τοὺς λαούς, οὓς εἶχον αὐτοὶ, τούτους κατέχειν ὀφείλουσι. μὴν δὲ τὸν νόμον τῆς οἰκότητος καὶ ἐπέκεινα, χρὴ πάσας τὰς ἐκκλησίας καὶ τὰς διοικήσεις αὐτῶν, καὶ ἐάν τινα τυχὸν οἰκήματα τοῖς δικαίοις ἀνήκοντα τῶν αὐτῶν ἐκκλησιῶν διεκδικεῖσθαι ὑπὸ τῶν καθολικῶν ἐπισκόπων τῶν ἐν τοῖς τόποις ἐκείνοις, ἐν οἷς κατεῖχοντο παρὰ τῶν αἱρετικῶν, εἴτε ἐπιστρεφόντων λοιπὸν πρὸς τὴν καθολικήν, εἴτε μὴ ἐπιστρεφόντων. καὶ ἐὰν τὴν αἴθησιν ἐκ τούτων κατεχρήσαντο μὴν τῶν βασιλικῶν νόμων, ὀφείλει ταῦτα ἀποκαθίσασθαι.

Περὶ τῆς ἀναφορᾶς Μαυρεντίου τοῦ ἐπισκόπου.

ρ.

Κατὰ τοῦ ἀναφορὰν καὶ αἴτησιν τοῦ ἐπισκόπου Μαυρεντίου, ἀναγνωσθέντος τοῦ χεδαρίου, ὅπερ προσλώεγχε Πλακεντιος ὁ ἐπίσκοπος, ὁ τὸ πρόσωπον τοῦ τοποτηρητοῦ τῆς Νουμιδίων ἀναπληρῶν, ὅπερ κατὰ τοῦγνώμιον τοῦ αὐτοῦ Πλακεντίου ἀνεγνώσθη ἐνώπιον τῶν ἐπισκόπων· καὶ ζητηθέντων πρὸ τῶν θυρῶν τῶν λεγομένων παρεσάναι διακόνων, τοῦτ' ἔστι τῶν γερόντων τῶν ἀπὸ τῆς νέας Γερμανοῦ, καὶ μηδαμῶς εὑρεθέντων, καὶ δεύτερον, καὶ τρίτον ζητηθέντων. ἔκρινε διὰ τοῦτο ἡ ἁγία συνόδος, ὥστε γράμματα πρὸς τὸν αὐτὸν γέροντα Ξάγκτιππον ἐκπεμφθῆναι, διὰ τὸ γνῶναι, ὅτι ὁ προαιρέσει τοῦ μνημονευθέντος λαοῦ ὕβρει ὑποπέπτωκεν ὁ ἐπίσκοπος. Μαυρέντιος ἐπίσκοπος εἶπεν· ἐπειδήπερ ἐζητήθησαν οἱ γέροντες οἱ ἀπὸ νέας Γερμανοῦ δεύτερον καὶ τρίτον, καὶ οὐχ εὑρέθησαν, οἷς ἰδοὺ παραγγελθὲν ἀπὸ τοῦ πρωτεύοντος πρὸς τινὰ νεῶν ἐν ταῖς εἰδοῖς χθομεσίνῳ προσκυνητινῷ συνόδου ἀπαντῆσαι, τὴν νησείας ἑαυτῆς ἅπαντες ἐφρόντισαν. καὶ διὰ τοῦτο κεῖνη ἡ ὑμετέρα ἁγιωσύνη περὶ τούτου τοῦ πράγματος, ἀναιτίως, μὴ συνεξιβλῦαί με τῇ ἐσιμονῇ τῆς ἐκείνων συκοφαντίας. ἡ ἁγία συνόδος ὥρισεν· ὀφείλει μὲν κατὰ τινὰ ἱερατικὸν κρίσιν ἐκ τῆς συνόδου ταύτης κατὰ τῆς μονοτονάντων ψῆφον ἐκφέρεσθαι· ἀλλ' ἐπειδὴ ἡμερότητα ἐκκλησιαστικὴν δεῖ φυλάττειν ἐν ὅλοις τοῖς πράγμασιν, ὑπεσχέθησαν γράμματα πρὸς τὸν γέροντα Ξάγκτιππον, ὅπως γνῷ κελεύσας ἐπιλεγέντας ἀπὸ τῆς συνόδου, τοὺς ὀφείλοντας ἀνυπερθέτως σκοπῆσαι ἐν Θυβρσικεσίνῃ τῇ πόλει, πρὸς τὸ ἀρ-

μοδίαν τῆς πραγμάτων παραχεθλῶαι διάγνωσιν. Μαυρέντιος ἐπίσκοπος εἶπεν. κειτὰς αἰτῶ τὸν ἁγιώτατον Ξάγχτιππον, Αὐγυστῖνον τὸν ἁγιώτατον, Φλορεντῖνον, Θεάσιον, Σαμψύχιον, Σεκοῦνδον κὴ Ποσείδιον· τοῦτο ψηφισθῆναί μοι κελεύσατε· ἡ ἁγία συνόδος ἐπένευσε τοὺς αἰτηθέντας κειτάς· τοὺς λοιποὺς δὲ ἀναγκαίους δικασὰς πρὸς ἀναπλήρωσιν τοῦ ἀριθμοῦ, αὐτὸς τοῖς ἀπὸ τῆς νέας Γερμανοῦ γέρουσιν ἐπιλέξασθαι ψηφίσεται ὁ γέρων Ξάγχτιππος.

Περὶ τοῦ εἰρηνοποιηθῆναι τὰς ἐκκλησίας Ρώμης κὴ Ἀλεξανδρείας.

ρά.

Ἤρεσεν ἔτι μηνὶ, ὥστε περὶ τῆς διχονοίας τ῀ Ρωμαϊκῆς κὴ Ἀλεξανδρινῆς ἐκκλησίας πρὸς τὸν ἁγιώτατον πάπαν Ἰννοκέντιον γραφῆναι, ὅπως ἑκατέρα ἐκκλησία πρὸς ἀλλήλας εἰρηνικῶ φυλάξωσιν, ὡς κύριος παραγγέλλει.

Περὶ τῆς τοὺς ἄνδρας ἢ τὰς γυναῖκας ἀπολυόντων, ἵνα ὕστως μείνωσιν.

ρβ'.

Ἤρεσεν, ὥστε κατὰ τὸν εὐαγγελικὸν κὴ ἀποστολικὸν ἐπισήμωνα, μήτε ὁ ἀπὸ γυναικὸς ἐαθεὶς, μήτε ἡ ἀπὸ ἀνδρὸς καταλειφθεῖσα, ἑτέρῳ συζεύχθῆ· ἀλλ' ἢ ὕστως μείνωσιν, ἢ ἑαυτοῖς καταλλαγῶσιν· ὅπερ ἐὰν καταφρονήσωσι, τῆς μετάνοιαν καταναγκαθῶσιν. ἐν ᾧ πράγματι νόμου βασιλικοῦ ἐκτεθῆναι χρεὼν αἰτῆσαι.

Περὶ τῶν πρὸς τὸ θυσιαστήριον ὀφειλόντων λέγεσθαι ἱκεσιῶν.

ργ'.

Ἤρεσε κὴ τοῦτο, ὥστε τὰς κεκυρωμένας ἐν τῇ συνόδῳ ἱκεσίας, εἴτε προοίμια, εἴτε παραθέσεις, εἴτε τὰς τῆς χειρὸς ἐπιθέσεις, ἀπὸ πάντων ἐπιτελεῖσθαι, κὴ παντελῶς ἄλλας κατὰ τῆς πίστεως μηδέποτε προσενεχθῆναι· ἀλλ' αἵ τινες δήποτε ἀπὸ τῶν συνετωτέρων συνήχθησαν, λεχθήσονται.

Περὶ τῶν τὴν διάγνωσιν τῶν δημοσίων δικαστηρίων ἀπὸ τοῦ βασιλέως αἰτούντων.

ρδ'.

Ἤρεσεν, ἵνα ὅσις δήποτε ἀπὸ τοῦ βασιλέως διάγνωσιν δημοσίων δικαστηρίων αἰτήσοι, τῆς ἰδίας τιμῆς στερηθείη· ἐὰν δὲ κρίσιν ἐπισκοπικὴν ἀπὸ τοῦ βασιλέως αἰτήσοι, μηδεὶς αὐτῷ ἐμποδίσοι.

Περὶ τῶν ἐν Ἀφρικῇ μὴ κοινωνούντων, κὴ θελόντων πέραν τῆς θαλάσσης ὑποσυρῆναι.

ρά.

Ὅσις δήποτε μὴ κοινωνῶν ἐν τῇ Ἀφρικῇ, εἰς τὰ περατικὰ πρὸς τὸ κοινωνεῖν ὑφερπύσει, τὴν ζημίαν τῆς κληρώσεως ἀναδέξεται.

Ἵνα οἱ ἐπὶ τὸ κομιτᾶτον πορεύωμαι, τὴν αἰτίαν ἑαυτῶν κὴ τῷ ἐν Καρχηδόνι κὴ τῷ Ρωμαϊκῷ ἱερεῖ σπουδάσωσιν ἐμφανίσαι.

ρε'.

Ἤρεσεν, ἵνα ὅσις δήποτε πρὸς τὸ κομιτᾶτον πορευθῆναι θελήσοι, ἐν τῇ ἀπολυτικῇ τῇ ἐπὶ τῇ ἐκκλησίᾳ Ρώμης πεμπομένῃ κατάδηλος γένηται, κὴ ἵνα ἐκεῖθεν ἔτι μηνὶ ἀπολυτικὴν λάβῃ ἐπὶ τὸ κομιτᾶτον. διὸ ἐὰν ὁ λαβὼν ἀπολυτικὴν πρὸς τὴν Ρώμην μόνον, σιωπήσας τὴν ἀνάγκην, δι' ἣν εἰς τὸ κομιτᾶτον αὐτὸν χρὴ πορευθῆναι, θελήσῃ δόλῳ εἰς τὸ κομιτᾶτον βαδίσαι, ἀποκινηθῇ τῆς κοινωνίας. ἐὰν δὲ ἐκεῖσε ἐν τῇ Ρώμῃ αἰφνιδία ἀνάγκη ἀναφυῇ τοῦ ἀπελθεῖν εἰς τὸ κομιτᾶτον, ἐμφανίσῃ αὐτὴν τὴν ἀνάγκην τῷ ἐπισκόπῳ Ρώμης, κὴ παρακομίσῃ ἀντίγραφον τοῦ αὐτοῦ τῆς Ρώμης ἐπισκόπου· αἱ ἀπολυτικαὶ δὲ αἱ ἀπὸ τῶν πρωτευόντων ἢ τῶν οἱωνδήποτε ἐπισκόπων τοῖς ἰδίοις κληρικοῖς διδόμεναι, χωρὶς τῆς ἡμέρας τοῦ πάσχα· ἐὰν δὲ ἀκμὴν ἡμέρα τοῦ πάσχα τοῦ αὐτοῦ ἑνιαυτοῦ κατάδηλος οὐκ ἔστιν, ἢ τοῦ προηγησαμένου προσθήκην, ὃν τρόπον εἴωθε μὴ τὴν ὑποστατείαν γράφεσθαι ἐν τοῖς δημοσίοις πεπραγμένοις. ἤρεσε κἀκεῖνο, ὥστε κατὰ τῶν Δονατιστῶν κὴ τ῀ Ἑλλήνων κὴ τῶν θρησκειῶν αὐτῶν, τοὺς πεμφθέντας τοποτηρητὰς ἐκ τ῀ τιμίας ταύτης συνόδου, πᾶν ὁτιοῦν χρήσιμον συνιδῶσιν, ἐκ τῶν ἐνδοξοτάτων αἰτήσασθαι βασιλέων. ἤρεσεν ἔτι μηνὶ τῇ αἰτήσει πάντων τῶν ἐπισκόπων, ἵνα πάσαις ταῖς ὀφειλούσαις δοθῆναι ἐκ τῆς συνόδου ἐπιστολαῖς ἡ σὴ ἁγιωσύνη μόνη ὑπογράψῃ. κὴ ὑπέγραψαν· Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, ἀναγνωσθέντι ὑπέγραψα.

Συνόδου κατὰ τῶν Ἑλλήνων κὴ τῶν αἱρετικῶν.

Ἐπὶ Βάσσου κὴ Φιλίππου, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ ἓξ κὴ δεκάτῃ καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ρεσιτούτης ἐκκλησίας.

. . . . . .

. . . . . .

. . . . . .

Ἐν ταύτῃ τῇ συνόδῳ πρεσβεῖαν ἀνεδέξαντο Ρεσιτοῦτος κὴ Φλορέντιος οἱ ἐπίσκοποι, κατὰ τῶν Ἑλλήνων κὴ τῶν αἱρετικῶν, ἐν ἐκείνῳ τῷ καιρῷ, καθ' ὃν Σαλῆρος κὴ Μαχάριος ἀνηρέθησαν· κὴ διὰ τοῦτων αἰτίαν Εὐόδιος, Θεάσιος κὴ Βίκτωρ οἱ ἐπίσκοποι * ἐσφράγισαν.

* ἐσφράγισαν.

Σύνο-

Συνόδος περὶ διαγνώσεως ἐπισκόπων.

ρζ'.

Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ ἕβδομον, καὶ Θεοδοσίου τὸ τρίτον, τῶν Αὐγούστων ὑπάτων, τῇ πρὸ ἑπτακαιδεκάτῃ καλανδῶν Ἰουλίων, εἰς Καρχηδόνα ἐν τῇ Σεκούνδου ἐκκλησίᾳ. εἰς ταύτην τὴν συνόδον ἤρεσεν. ὥστε ἕνα ἐπίσκοπον μὴ ἐκδικεῖν ἑαυτῷ διάγνωσιν. τὰ πεπραγμένα τῆς παρούσης συνόδου διὰ τοῦτο οὐκ ἐγράφη, ἐπειδὴ ἐπιχωρίως καὶ οὐ κατὰ κοινοῦ ἐπετελέσθη.

Συνόδος κατὰ τῶν Δονατιστῶν.

Μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ ὄγδοον, καὶ Θεοδοσίου τὸ τέταρτον, τῶν Αὐγούστων, πρὸ ὀκτωκαιδεκάτῃ καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν τοῦ κλίματος τῆς Σεκούνδης. ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρησίαν ἐδέξαντο κατὰ τῶν Δονατιστῶν Φλορέντιος, Ποσείδιος, Πραισίδιος, καὶ Βενάντιος, οἱ ἐπίσκοποι. ἐν τούτῳ τῷ καιρῷ νόμος ἐδόθη, ἵνα ἐλευθέρᾳ προαιρέσει ἕκαστος τῆς Χριστιανότητος τὴν * αὔξησιν ἀναδέξηται.

* ἰσ. ἄσκησιν.

Συνόδος κατὰ τῆς αἱρέσεως Πελαγίου καὶ Κελεστίου.

ρη'.

ἐννάτη τῶν ἐν Καρχηδόνι συνόδων. ita ms. C.

Ἐπὶ τῶν ἐνδοξοτάτων ὑπάτων Ὀνωρίου τὸ δωδέδατον. καὶ Θεοδοσίου τὸ ὄγδοον, τῶν Αὐγούστων, καλάνδαις Μαΐαις, εἰς Καρχηδόνα ἐν τῷ σηκρήτῳ τῆς Φαύστου ἐκκλησίας, Αὐρηλίου τοῦ ἐπισκόπου συμπάσῃ τῇ συνόδῳ προκαθίσαντος, παρεστώτων τῶν διακόνων, ἤρεσε πᾶσι τοῖς ἐπισκόποις τῆς ἐν Καρχηδόνι ἐκκλησίας, ἁγίᾳ συνόδῳ καθεστῶσιν, ὧν τὰ ὀνόματα καὶ αἱ ὑπογραφαὶ ἐνετέθησαν.

Ὅτι Ἀδὰμ θνητὸς ἀπὸ τοῦ Θεοῦ οὐκ ἐγένετο.

ρθ'.

Ἵνα ὅστις λέγῃ τὸν Ἀδὰμ τὸν πρωτόπλαστον ἄνθρωπον, θνητὸν γενόμενον οὕτως, ὡς εἴτε ἁμαρτήσει, εἴτε μὴ ἁμαρτήσει, τεθνηξόμενον ἐν τῷ σώματι, τοῦτ' ἔστιν ἐξελθεῖν ἐκ τοῦ σώματος, μὴ τῇ ἀξίᾳ τῆς ἁμαρτίας, ἀλλὰ τῇ ἀνάγκῃ τῆς φύσεως, ἀνάθεμα ἔστω.

Ὅτι τὰ μικρὰ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζονται.

ρι'.

Ὁμοίως ἤρεσεν, ἵνα ὁστισδήποτε τὰ μικρὰ καὶ νεογένητα ἐκ τῶν γαστέρων τῶν μητέρων βαπτιζόμενα ἀρνεῖται, ἢ λέγει εἰς ἄφεσιν ἁμαρτιῶν αὐτὰ βαπτίζεσθαι, μηδὲν δὲ ἐκ τῆς τοῦ Ἀδὰμ ἕλκειν προγονικῆς ἁμαρτίας τὸ ὀφεῖλον καθαρθῆναι τῷ λουτρῷ τῆς παλιγγενεσίας (ὅθεν γίνεται ἀκόλουθον, ὅτι ἐν τούτοις ὁ τύπος τοῦ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίσματος οὐκ ἀληθὴς, ἀλλὰ πλαστὸς νοεῖται) ἀνάθεμα εἴη· ἐπειδὴ οὐκ ἄλλως δεῖ νοῆσαι τὸ εἰρημένον τῷ ἀποστόλῳ· δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος· καὶ οὕτως εἰς πάντας ἀνθρώπους διῆλθεν, ἐν ᾧ πάντες ἥμαρτον· εἰ μὴ ὃν τρόπον ἡ καθολικὴ ἐκκλησία, ἡ πανταχοῦ διακεχυμένη τε καὶ ἡπλωμένη, ἀεὶ ἐνόησε. διὰ γὰρ τὸν κανόνα τοῦτον τῆς πίστεως, καὶ οἱ μικροὶ ἔτι μὴν οἱ μηδὲν ἁμαρτημάτων εἰς ἑαυτοὺς ἔτι μὴν πλημμελεῖν δυνάμενοι, εἰς ἄφεσιν ἁμαρτιῶν ἀληθινῶς βαπτίζονται· ἵνα καθαρθῇ ἐν αὐτοῖς διὰ τῆς παλιγγενεσίας, ὅπερ εἴλκησαν ἐκ τῆς ἀρχαιογονίας.

Ὅτι ἡ τοῦ Θεοῦ χάρις οὐ μόνον ἄφεσιν χαρίζεται ἁμαρτιῶν, ἀλλὰ καὶ βοήθειαν παρέχει τοῦ μηκέτι ἁμαρτάνειν.

ριά.

Ὁμοίως ἤρεσεν, ἵνα ὅστις δήποτε εἴποι τὴν χάριν τοῦ Θεοῦ, ᾗ τινι δικαιοῦται διὰ Ἰησοῦ τοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, πρὸς μόνην ἄφεσιν ἁμαρτιῶν ἰσχύειν τῶν ἤδη πεπλημμελημένων, καὶ μὴ παρέχειν ἔτι μὴν βοήθειαν πρὸς τὸ μὴ ἕτερα πλημμελεῖσθαι, ἀνάθεμα εἴη.

Ὅτι ἡ χάρις τοῦ Θεοῦ οὐ μόνον γνῶσιν παρέχει, ὡς δεῖ πράττειν, ἀλλὰ καὶ ἀγάπην ἔτι μὴν ἐμπνέει ἡμῖν, ἵνα ὃ ἐὰν ἐπιγινώσκωμεν, καὶ πληρῶσαι ἰσχύσωμεν.

ριβ'.

Ὁμοίως, ὅστις δήποτε εἴποι τὴν αὐτὴν χάριν τοῦ Θεοῦ τὴν διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, εἰς τοῦτο μόνον ἡμῖν βοηθεῖν, πρὸς τὸ μὴ ἁμαρτάνειν, ὅτι δι' αὐτῆς ἡμῖν ἀποκαλύπτεται καὶ φανεροῦται ἡ γνῶσις τῶν ἁμαρτημάτων, ὥστε γινώσκειν ἃ δεῖ ἐπιζητεῖν, καὶ ἃ δεῖ ἐκκλίνειν· οὐ μὴν δι' αὐτῆς ἡμῖν παρέχεται, ἵνα ὅπερ γνῶμεν ποιητέον, καὶ ποιῆσαι ἔτι μὴν ἀγαπήσωμεν καὶ ἰσχύσωμεν· ἀνάθεμα εἴη· τοῦ γὰρ ἀποστόλου λέγοντος, ὅτι ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ· ἀσεβὲς πάνυ ἐστὶ πιστεύειν, πρὸς μὲν τὸ φυσιοῦν ἡμᾶς ἔχειν τὴν χάριν τοῦ Χριστοῦ, πρὸς οἰκοδομεῖν μὴ ἔχειν· ὁπόταν ἑκάτερον δῶρόν ἐστι τοῦ Θεοῦ, καὶ τὸ εἰδέναι τί ποιεῖν δεῖ, καὶ τὸ ἀγαπᾷν ὃ δεῖ ποιεῖν· ἵνα τῆς ἀγάπης οἰκοδομούσης, ἡ γνῶσις φυσιοῦν μὴ δυνηθῇ. ὥσπερ γὰρ ἐκ τοῦ Θεοῦ γέγραπται· ὁ διδάσκων ἄνθρωπον γνῶσιν· οὕτως ἔτι μὴν γέγραπται· ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστιν.

Ὅτι ἄνευ τῆς τοῦ Θεοῦ χάριτος οὐδὲν δυνάμεθα πληροῦν.

ριγ'.

Ὁμοίως ἤρεσεν, ἵνα ὅστις δήποτε εἴποι, διὰ τοῦτο τὴν χάριν ἡμῖν τῆς δικαιοσύνης δεδόσθαι, ἵνα ὅπερ ποιεῖν

ποιεῖν διὰ τοῦ αὐτεξουσίου δυνάμεθα, εὐχερεστέρως πληρῶμεν διὰ τῆς χάριτος· ὡσανεὶ καὶ * ἡ χάρις μὴ ἐδίδοτο, οὐκ εὐχερῶς μὲν, ἀλλ' ὅμως ἠδυνάμεθα καὶ δίχα ἐκείνης ἔτι μὴν πληρῶσαι τὰς θείας ἐντολάς· ἀνάθεμα εἴη. περὶ γὰρ τῶν καρπῶν τῶν ἐντολῶν ὁ κύριος ἐλάλει· ὅπου οὐκ εἶπεν, χωρὶς ἐμοῦ δυσχερῶς δύνασθε ποιεῖν· ἀλλ' εἶπεν, χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν.

Ὅτι οὐ μόνον ταπεινὴ, ἀλλὰ καὶ ἀληθινὴ ἡ φωνὴ τῶν ἁγίων ἐστὶν αὕτη· ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν.

ριδ'.

Ὁμοίως ἤρεσεν, ἵνα ὅπερ εἶπεν ὁ ἅγιος Ἰωάννης ὁ ἀπόστολος· ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς ἀπατῶμεν, καὶ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν· ὅστις δήποτε οὕτως παραληπτέον νομίσει, ὡς εἰπεῖν διὰ ταπεινοφροσύνην μὴ ὀφείλειν λέγεσθαι ἡμᾶς μὴ ἔχειν ἁμαρτίαν, οὐχ ὅτι ἀληθὼς οὕτως ἐστὶν, ἀνάθεμα εἴη. ἐπακολουθεῖ γὰρ ὁ ἀπόστολος, καὶ προσζεύγνυσιν οὕτως· ἐὰν δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ὅστις ἀφήσει ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσει ἡμᾶς ἀπὸ πάσης ἀδικίας. ἔνθα πάνυ δεδήλωται τοῦτο μὴ μόνον ταπεινοφρόνως, ἀλλ' ἔτι μὴν ἀληθῶς λέγεσθαι. ἠδύνατο γὰρ ὁ ἀπόστολος εἰπεῖν· ἐὰν εἴπωμεν, οὐκ ἔχομεν ἁμαρτίαν, ἑαυτοὺς ἐξυψοῦμεν, καὶ ταπεινοφροσύνη ἐν ἡμῖν οὐκ ἔστι· πάνυ ἀπέδειξε τὸν λέγοντα ἑαυτὸν μὴ ἔχειν ἁμαρτίαν, μὴ ἀληθεύειν, ἀλλὰ ψεύδεσθαι.

Ὅτι ἐν τῇ δεσποτικῇ εὐχῇ οἱ ἅγιοι ὑπὲρ ἑαυτῶν λέγουσιν· ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν.

ριέ.

Ὁμοίως ἤρεσεν, ἵνα ὅστις δήποτε εἴποι, ἐν τῇ δεσποτικῇ εὐχῇ διὰ τοῦτο λέγειν τοὺς ἁγίους· ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν· οὐχ ὅτι ὑπὲρ ἑαυτῶν τοῦτο λέγουσιν, ἐπειδὴ αὐτοῖς λοιπὸν οὐκ ἔστιν ἀναγκαία αὕτη ἡ αἴτησις, ἀλλ' ὅτι ὑπὲρ ἄλλων τῶν ὄντων ἐν τῷ λαῷ αὐτῶν ἁμαρτωλῶν· καὶ μὴ λέγειν ἕνα ἕκαστον τῶν ἁγίων, ἄφες μοι τὰ ὀφειλήματά μου, ἀλλ' ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν· ὡς ὑπὲρ ἄλλων τοῦτο μᾶλλον ἢ ὑπὲρ ἑαυτοῦ τὸν δίκαιον αἰτοῦντα νοεῖσθαι· ἀνάθεμα εἴη. ἅγιος γὰρ καὶ δίκαιος ἦν Ἰάκωβος ὁ ἀπόστολος, ὅτε ἔλεγεν· ἐν πολλοῖς γὰρ ἁμαρτάνομεν πάντες. ἐπεὶ διὰ τί προστέθειται τὸ πάντες, εἰ μὴ ἵνα ἡ ἔννοια αὕτη ἁρμοσθῇ καὶ τῷ ψαλμῷ, ὅπου ἀναγινώσκεται. μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου· καὶ ἐν τῇ εὐχῇ τοῦ σοφωτάτου Σολομῶντος· οὐκ ἔστιν ἄνθρωπος, ὃς οὐχ ἥμαρτεν· καὶ ἐν τῇ βίβλῳ τοῦ ἁγίου Ἰὼβ τό· ἐν χειρὶ παντὸς ἀνθρώπου σημαίνει, ὥστε εἰδέναι πάντα ἄνθρωπον τὴν ἀσθένειαν αὐτοῦ· ὅθεν ἔτι μὴν ὁ ἅγιος καὶ δίκαιος Δανιὴλ ὁ προφήτης, πληθυντικῶς λέγων τὸ, ἡμάρτομεν, ἠνομήσαμεν, καὶ τὰ λοιπὰ ἃ ἐκεῖ ταπεινοφρόνως καὶ ἀληθινῶς ὁμολογεῖ, ἵνα μὴ νομισθείη, ὥς τινες νοοῦσι, τοῦτο μὴ περὶ τῶν ἰδίων, ἀλλὰ περὶ τῶν τοῦ λαοῦ αὐτοῦ μᾶλλον λέγειν ἁμαρτιῶν, μετὰ ταῦτα εἶπεν· ὅτι εὐχόμην καὶ ἐξωμολογούμην τὰς ἁμαρτίας μου καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου κυρίῳ τῷ Θεῷ μου· οὐκ ἠθέλησεν εἰπεῖν τὰς ἁμαρτίας ἡμῶν, ἀλλὰ τοῦ λαοῦ αὐτοῦ εἶπε, καὶ ἑαυτοῦ· ἐπειδὴ μέλλοντας τούτους κακῶς νοεῖν ὡσανεὶ προεῖδεν ὁ προφήτης.

Ὅτι ἀληθῶς ἀπὸ τῶν ἁγίων λέγεται τό· ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν.

ριστ'.

Ὁμοίως ἤρεσεν, ἵνα οἵ τινες δήποτε αὐτὰ τὰ ῥήματα τῆς δεσποτικῆς εὐχῆς, ὅπου λέγομεν· ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν· οὕτως βούλονται ἀπὸ τῶν ἁγίων λέγεσθαι, ὡς ταπεινοφρόνως καὶ οὐκ ἀληθῶς ταῦτα λεχθῆναι, ἀνάθεμα εἴη. τίς γὰρ ὑπενέγκοι τὸν εὐχόμενον μὴ ἀνθρώποις, ἀλλ' αὐτῷ τῷ κυρίῳ ψευδόμενον, τὸν τοῖς χείλεσιν αὐτοῦ λέγοντα θέλειν * ἀφεθῆναι· τῇ δὲ καρδίᾳ λέγοντα, τὰς ὀφειλούσας ἀφεθῆναι ἁμαρτίας αὐτῷ, μὴ ἔχειν;

* αἱ. ἀφαιρεθῆναι.

Περὶ τῶν λαῶν τῶν ἀπὸ τῶν Δονατιστῶν ἐπιστρεφόντων.

ριζ'.

Ὁμοίως ἤρεσεν, ἐπειδὴ πρό τινων ἐνιαυτῶν ἐν ταύτῃ τῇ ἐκκλησίᾳ πεπληρωμένῃ τῇ συνόδῳ ὡρίσθη, ἵνα οἱαιδήποτε ἐκκλησίαι, ἐν διοικήσει καθεστῶσαι, πρὸ τῶν νόμων τῶν περὶ τῶν Δονατιστῶν ἐντεθέντων καθολικαὶ γένωνται, ἐκείνοις τοῖς θρόνοις ἀνήκωσιν, ὧν τινων διὰ τῶν ἐπισκόπων προτραπεῖσαι τῇ καθολικῇ ἑνότητι ἐκοινώνησαν· μετὰ δὲ τοὺς νόμους οἱαιδήποτε ἐκοινώνησαν, ἐκείνοις ἀνήκωσιν, οἷς καὶ ὅτε ἦσαν εἰς τὸ μέρος τοῦ Δονάτου, καὶ ἐπειδὴ πολλαὶ φιλονεικίαι ὕστερον μεταξὺ τῶν ἐπισκόπων περὶ τῶν διοικήσεων ἀνεφύησαν καὶ ἀναφύονται, οἷς τότε οὐ τελεία δοκεῖ γενέσθαι πρόνοια, νῦν ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ ἤρεσεν, ἵνα ὁπουδήποτε καθολικὴ ἐγένετο, καὶ τοῦ μέρους τοῦ Δονάτου, καὶ διαφόροις θρόνοις ἀνήκουσαι ἦσαν, ἐν οἱῳδήποτε καιρῷ ἕνωσις ἐκεῖ ἐγένετο ἢ ἔσται, εἴτε πρὸ τῶν νόμων, εἴτε μετὰ τοὺς νόμους, ἐκείνῳ τῷ θρόνῳ ἀνήκωσιν. ᾧ τινι ἡ ἔκπαλαι ἐκεῖ ὑπάρξασα καθολικὴ ἀνῆκεν.

Περὶ τοῦ, πῶς μεταξὺ ἀλλήλων μερίσονται τὰς διοικήσεις οἱ ἐπίσκοποι, τοῦτο μὲν οἱ καθολικοί, τοῦτο δὲ οἱ ἐκ τοῦ Δονάτου ἐπιστρέψαντες.

ριή.

Οὕτω δηλαδὴ, ἵνα εἴπερ ἐπίσκοποι ἀπὸ τῶν Δονατιστῶν πρὸς τὴν καθολικὴν ἑνότητα ἐπέστρεψαν, ἐξίσου πρὸς ἀλλήλους διέλωσι τὰς οὕτως εὑρισκομένας διοικήσεις, ἔνθα ἦσαν ἀμφότερα τὰ μέρη· τοῦτ' ἔστιν, ἵνα ἄλλοι τόποι πρὸς ἐκεῖνον, καὶ ἄλλοι πρὸς ἐκεῖνον ἀνήκωσιν οὕτως, ἵνα ὁ παλαιότερος ἐν τῇ ἐπισκοπῇ

σκοπῇ μερίζῃ, καὶ ὁ ἥττων ἐπιλέγηται. εἰ δὲ τυχὸν εἷς ἔσται τόπος, προσχωρήσῃ ᾧ τινι μᾶλλον γειτνιάζειν εὑρίσκεται. ἐὰν δὲ ἀμφοτέροις τοῖς θρόνοις ἴσως γειτνιάζῃ, ἐκείνῳ παραχωρηθῇ, ὃν τὸ πλῆθος ἐπιλέξηται. εἰ δὲ τυχὸν οἱ ἀρχαῖοι καθολικοὶ τὸν ἴδιον θελήσουσι, καὶ οἱ ἐκ τοῦ μέρους τοῦ Δονάτου μεταστρέψαντες τὸν ἴδιον, τῶν πλειόνων ἡ γνώμη προτιμηθῇ τῶν ὀλιγωτέρων, εἰ δὲ τὰ μέρη εἰσὶν ἴσα, τῷ παλαιοτέρῳ ἐπισκόπῳ καταλογισθείη. ἐὰν δὲ οὕτως πλεῖστοι οἱ τόποι εὑρεθῶσιν, ἐν οἷς ἀμφότερα τὰ μέρη εἰσὶν ὡς μὴ δύνασθαι ἐξ ἴσου μερισθῆναι; τοῦ ἀριθμοῦ τῶν αὐτῶν τόπων ἀνίσου ὑπάρχοντος· πρῶτον μερισθῶσιν οἱ ἴσοι ἀριθμοὶ, καὶ τῷ ἀπομένοντι τόπῳ τοῦτο φυλαχθῇ, ὅπερ ἀνωτέρῳ λέλεκται, ὅτε περὶ τοῦ ἑνὸς ἐζητεῖτο τόπου.

Περὶ τοῦ, ἐάν τινα διοίκησιν ἐξ αἱρέσεως ἐλευθερώσῃ ἐπίσκοπος, καὶ περὶ τριετίαν κατάσχῃ, μηδένα ταύτην ἀναζητεῖν.

ριθ'.

Ὁμοίως ἤρεσεν, ἵνα ἐάν τις κατὰ τοὺς νόμους τόπον τινὰ πρὸς τὴν καθολικὴν ἑνότητα μεταστρέψῃ, καὶ τοῦτον ἐπὶ τριετίαν μηδενὸς ἀναζητοῦντος κατάσχοι, τοῦ λοιποῦ παρ' αὐτοῦ μὴ ἀναζητηθῇ· ἐὰν μέν τοι ἐντὸς τῆς αὐτῆς τριετίας ὑπῆρχεν ἐπίσκοπος ὁ ὀφείλων ἀναζητῆσαι, καὶ ἡσύχασεν. εἰ δὲ μὴ ἦν, μὴ προκριματισθῇ ἐν τῇ μάτρικι, ἀλλ' ὅτε ὁ χηρεύων τόπος λάβῃ ἐπίσκοπον, ἐξὸν εἴη αὐτῷ ἀπ' αὐτῆς τῆς ἡμέρας ἐντὸς τριετίας ἀναζητῆσαι. ὁμοίως δὲ καὶ ἐὰν ἐπίσκοπος ἐκ τῶν τοῦ Δονάτου μερῶν πρὸς τὴν καθολικὴν ἐπιστρέψῃ, μὴ προκριματισθείη περὶ τοῦ ὁρισθέντος χρόνου, ἀλλ' ἐξ ἧς ἡμέρας ἐπέστρεψεν, ἐχέτο ἐξουσίαν ἀναζητεῖν ἐντὸς τριετίας τοὺς τόπους τῇ αὐτοῦ ἀνήκοντας καθέδρᾳ.

Περὶ τῶν τοῖς λαοῖς, οὓς νομίζουσιν αὐτοῖς ἀνήκειν, ἐπιβαινόντων παρὰ γνώμην τῶν αὐτοὺς κατεχόντων.

ρκ'.

Ὁμοίως ἤρεσεν, ἵνα οἱοιδήποτε ἐπίσκοποι τὰ πλήθη, ἃ νομίζουσι τῷ θρόνῳ αὐτῶν ἀνήκειν, μὴ οὕτως ἀναζητῶσιν, ὥστε ἄλλων ἐπισκόπων κρινόντων τοῦτο πράττειν, ἀλλ' ὑπὸ ἑτέρου κατεχομένοις ἐπέλθωσι τοῖς λαοῖς εἴτε θέλουσιν, εἴτε μὴ θέλουσι τοῦ ἰδίου πράγματος τὴν ζημίαν ὑπομείνωσι. καὶ οἵ τινες δήποτε τοῦτο ἐποίησαν, εἰ μὴ ἡ μεταξὺ τῶν ἐπισκόπων συνέλευσις * ἐπερωτηθῇ, ἀλλ' ἀκμὴν περὶ τοῦ αὐτοῦ φιλονεικοῦσιν, ἐκεῖνος ἀποστῇ ἐκεῖθεν, περὶ οὗ δειχθείη, ὅτι παρεάσας τοὺς ἐκκλησιαστικοὺς δικαστὰς, ἔφοδον ἐποίησεν. καὶ μὴ ἑαυτόν τις κολακεύσῃ, εἰ ἐκ τοῦ πρωτεύοντος γράμματα περὶ τοῦ κατέχειν ἔλαβεν· ἀλλ' εἴτε γράμματα ἔχει, εἴτε οὐκ ἔχει, συνέλθοι τῷ κατέχοντι, καὶ παρ' αὐτοῦ γράμματα λάβοι· ὥστε φανῆναι τοῦτον εἰρηνικῶς τὴν αὐτῷ ἀνήκουσαν κατασχεῖν ἐκκλησίαν. ἐὰν δὲ κἀκεῖνός τινα ζήτησιν ἀντεναγάγῃ, καὶ αὐτὴ περατωθῇ μεταξὺ ἐπισκόπων κρινόντων, εἴτε οὓς ὁ πρωτεύων αὐτοῖς δῷ, εἴτε οὓς γειτνιῶντες * κατὰ συναίνεσιν ἐπιλέξωνται.

* ἴσ. περατωθῇ.

Περὶ τῶν ἀμελούντων τῶν αὐτοῖς ἀνηκόντων λαῶν.

ρκα'.

Ὁμοίως ἤρεσε, ἵνα οἵ τινες δήποτε ἀμελοῦσι τῶν τόπων τῶν ἀνηκόντων τῇ αὐτῶν καθέδρα, πρὸς τούτους κερδᾶναι πρὸς τὴν καθολικὴν ἑνότητα, ἐγκληθῶσιν ἀπὸ τῶν γειτνιώντων αὐτοῖς ἐπιμελῶν ἐπισκόπων, περὶ τοῦ μὴ ἀναβάλλεσθαι τοῦτο πρᾶξαι. διὸ ἐὰν ἐντὸς προθεσμίας μηνῶν ἓξ ἀπὸ τῆς ἡμέρας τῆς περὶ τούτου συνελεύσεως μηδὲν ἀνύσωσι, τῷ δυναμένῳ λοιπὸν τούτους κερδᾶναι προσκυρωθῶσιν· οὕτως μέν τοι ἵνα ἐὰν ἐκεῖνος πρὸς ὃν δείκνυται, ἀνήκη, ἢ τοιοῦτος ἐξεπίτηδες διά τινα οἰκονομίαν ἔδοξεν ἀμελεῖν, τοῦτο τῶν αἱρετικῶν ἐπιλεξαμένων, ὥστε ἀθορύβως αὐτοὺς παραδέξασθαι· καὶ ἐν τοσούτῳ ἡ αὐτοῦ ἐπιμέλεια ἀπὸ ἑτέρου προελήφθη, ἢ τινι εἰ κατεχρήσατο τοὺς αὐτοὺς αἱρετικοὺς πλέον ἐκάκιζεν· τούτου μεταξὺ ἐπισκόπων κρινόντων διαγινωσκομένου, οἱ τόποι τῇ αὐτοῦ καθέδρᾳ ἀποκατασταθῶσι· τῶν δὲ κρινόντων ἐπισκόπων ἐκ διαφόρων ὄντων ἐπαρχιῶν, ἐκεῖνος ὁ πρωτεύων τοὺς δικαστὰς δώσει, οὗ τινος ἐν τῇ χώρᾳ ὁ αὐτὸς ὑπάρχει τόπος, περὶ οὗ φιλονεικεῖται. ἐὰν δὲ κατὰ κοινὴν συναίνεσιν γείτονας ἐπιλέξωνται κριτὰς, ἢ εἷς ἐπιλεγῇ, ἢ τρεῖς· καὶ ἐὰν τρεῖς ἐπιλέξωνται, καὶ ἀρεσθῶσι, ἢ τῇ τῶν ὅλων ψήφῳ ἐξακολουθήσωσιν, ἢ τῇ τῶν δύο.

Ὅτι οὐκ ὀφείλει τῶν ἐπιλεγομένων δικαστῶν ἡ γνώμη ἐξουθενεῖσθαι.

ρκθ'.

Ἀπὸ δὲ τῶν δικαστῶν τῶν κατὰ κοινὴν συναίνεσιν ἐπιλεγέντων, μὴ ἐξεῖναι ἐκκαλεῖσθαι. ὅστις δὲ δήποτε ἀποδειχθείη διὰ μονοτονίαν μὴ θέλειν τοῖς δικασταῖς πειθαρχῆσαι, τοῦτο γινώσκων ὁ τῆς πρώτης καθέδρας ἐπίσκοπος δώσει γράμματα, ὥστε μηδένα τῶν ἐπισκόπων αὐτῷ κοινωνῆσαι, ἕως οὗ πειθαρχήσῃ.

Ὥστε τὸν καταφρονοῦντα τῆς ἰδίας διοικήσεως. ἐπίσκοπον στερεῖσθαι τῆς κοινωνίας.

ρκγ'.

Ἐὰν ἐν τοῖς μαστρικίοις, ἤγουν ἐν ταῖς καθέδραις ἐπίσκοπος ἀμελὴς γένηται κατὰ τῶν αἱρετικῶν, ὑπομνησθείη ἀπὸ τῶν γειτνιώντων ἐπισκόπων ἐπιμελῶν, καὶ ὑποδειχθείη αὐτῷ ἡ ἰδία περιφρόνησις πρὸς τὸ μὴ ἔχειν ἀπολογίαν. ἐὰν δὲ ἀφ' ἧς ἡμέρας ὑπομνησθῇ, ἐντὸς μηνῶν ἓξ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγων, μὴ τῶν ὀφειλόντων πρὸς τὴν καθολικὴν ἑνότητα ἐπιστραφῆναι τὴν φροντίδα ποιήσηται· τῷ τοιούτῳ μὴ συγκοινωνηθῇ, ἕως οὗ τοῦτο πληρώσῃ· εἰ δὲ ὁ ἐπεξεργαστὴς εἰς τοὺς αὐτοὺς τόπους μὴ παραγένηται, τῷ ἐπισκόπῳ μὴ ἐπιγραφῇ.

Περὶ τῆς τὰς Δονατισὰς κοινωνῆσαι ψαδομβίων ἐπισκόπων.

ρκδ'.

Ε'ὰν δὲ ἀποδειχθῇ τὸν τοιοῦτον ψαδσάμβυον περὶ τῆς ἐκείνων κοινωνίας, ὡν τῷ λέγειν αὐτὸς κεκοινωνηκέναι, ὃς δείκνυται σωνειδήσει αὐτοῦ μὴ κοινωνῆσαι, καὶ τῷ ἐπισκοπῷ ἔτι μιῷ ἀπολέσει.

Περὶ πρεσβυτέρων καὶ κληρικῶν, ἵνα μὴ ἐκκαλῶνται, εἰ μὴ πρὸς τὰς τῆς Α'φρικῆς σωόδους.

ρκέ.

Ο'μοίως ἤρεσεν, ἵνα πρεσβύτεροι, διάκονοι, καὶ οἱ λοιποὶ κατώτεροι κληρικοὶ, ὧν αἷς ἔχουσιν αἰτίαις, ἐὰν περὶ τῆς ψήφου τοὺς ἰδίους ἐπισκόπους μέμφωνται, οἱ γειτνιῶντες ἐπίσκοποι τούτων ἀκροάσωνται, καὶ τὰ μεταξὺ τούτων περατώσωσιν οἱ παρ' αὐτῶν κατὰ συναίνεσιν τῶν ἰδίων αὐτῶν ἐπισκόπων προσλαμβανόμενοι. ἐὰν δὲ καὶ ἀπ' αὐτῶν ἐκκαλέσασθαι θελήσωσι, μὴ ἐκκαλέσονται, εἰ μὴ πρὸς τὰς τῆς Α'φρικῆς σωόδους, ἢ πρὸς τοὺς πρωτεύοντας τῶν ἰδίων αὐτῶν ἐπαρχιῶν· πρὸς δὲ τὰ πέραν τῆς θαλάσσης ὁ βουλόμενος ἐκκαλεῖσθαι, ἀπὸ μηδενὸς ἐν Α'φρικῇ δεχθείη εἰς κοινωνίαν.

Περὶ παρθένων μικρῶν ἔτι μιῷ καλυπτέων.

ρκς'.

Ο'μοίως ἤρεσεν, ἵνα ὅσις δήποτε τῶν ἐπισκόπων δι' ἀνάγκην τῆς παρθενικῆς σοφροσύνης κινδυνεύσῃ, ὅτε ἡ ἐρασὴς δυνατὸς, ἢ ἄρραξ τίς ἐστιν ἐν ὑποψίᾳ, ἢ ἔτι μιῷ ὑπό τινος θανατηφόρου κινδύνου αὔτη ἔσηται νυχθεῖσα, παρακαλούντων ἢ τῶν γονέων αὐτῆς, ἢ ὧν τῇ φροντίδι ἀνάκειται, διὰ τὸ μὴ χωρὶς τοῦ σχήματος τελειωθῆναι, καλύψῃ παρθένον, ἢ ἐκάλυψεν ἐντὸς χειρὸς ἐνιαυτῶν εἰκοσιπέντε, μηδὲ τὸν τοιοῦτον βλάψῃ ἡ περὶ τούτου τοῦ ἀριθμοῦ τῆς ἐνιαυτῶν καταξαθεῖσα σωόδος.

Διὰ τὸ μὴ τοὺς ἐπισκόπους ἐπιπολὺ ἐν τῇ σωόδῳ κατέχεσθαι, ἐξ ἑκάστης ἐπαρχίας ἀνὰ ξεῖς ἐπιλέξονται δικαστάς.

ρκζ'.

Ο'μοίως ἤρεσε πάσῃ τῇ σωόδῳ, διὰ τὸ μὴ ἐπιπολὺ τοὺς πρὸς τιμὴν σύνοδον σωαχθέντας ἐπισκόπους σύμπαντας κατέχεσθαι, ἐξ ἑκάστης ἐπαρχίας ἀνὰ ξεῖς ἐπιλεγῆναι δικαστάς. καὶ ἐπελέγησαν, ἐκ τῆς ἐν Καρχηδόνι ἐκκλησίας, Βικεντίου, Φορτουνατιανὸς, καὶ Κλάρου· ἐκ τῆς Νουμιδικῆς ἐπαρχίας, Α'λύπιος, Αὐγουστῖνος, καὶ Ρ'εσιτοῦτος· ἐκ τῆς Βυζακιωῆς ἐπαρχίας, μετὰ τοῦ ἁγιωτάτου γέροντος Δονατιανοῦ τοῦ πρωτεύοντος, Κρεσκώνιος, Ἰουκοῦνδος, Αἰμιλιανός· ἐκ τῆς Μαυριτανίας Σιτιφενσίας, Σεβηριανὸς, Α'σιατικὸς, καὶ Δονᾶτος· ἐκ τῆς Τριπολιτιανῆς ἐπαρχίας, Πλαύτιος, ὁ κατὰ τὰ ἔθος εἰς τοποτηρησίαν πεμφθείς, οἵτινες πάντες μετὰ τοῦ ἁγιωτάτου γέροντος Αὐρηλίου σύμπαντα σκοπήσουσιν· ἀλλ' ὃ ἤτησε σύμπασα ἡ σύνοδος, ἵνα πάσι εἴτε πεπραγμένοις τοῖς ἤδη ἐκτελεσθεῖσιν, εἴτε ἐπιστολαῖς, αὐτὸς ὑπογράψῃ. καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα· ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπεγράψαν.

Πάλιν ἐν ταύτῃ τῇ συνόδῳ παρὼν τῆς Ρωμαϊκῆς ἐκκλησίας ἡ τοποτηρησία.

Μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων, Ο'νωρίου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ὄγδοον, τῶν Αὐγούστων, τῷ πρὸ ξ ἰῶν καλανδῶν Ἰουνίων, ἐν Καρχηδόνι εἰς τὸν σήκρητον τῆς Ρ'εσιτούτης ἐκκλησίας, Αὐρηλίου τοῦ ἐπισκόπου ἅμα Φαυστίνῳ Πικεντίνου τοῦ Ποτεντίνης ἐκκλησίας τῆς Ἰταλῶν χώρας, τοποτηρητῇ τῆς Ρ'ωμαϊκῆς ἐκκλησίας, Βικεντίῳ Κελεστίνῳ, Φορτουνατιανῷ Νεαπολίτῃ, Μαυρικίῳ Οὐζιτασαρενσιώτῃ, Α'δεωδάτῳ Σιμιδικίτῃ, Πεντασίῳ, Καρπιτανῷ, Ρ'εφιανῷ Μαζενσιανῷ, Πραιτεξτάτῳ Σικηλιβενσιώτῃ, Κυοδβαλτδέῳ Οὐκρενσιανῷ, Καιδίδῳ Α'ββιεπανῷ, Γαλλωνίῳ Οὐνικενσιώτῃ, τοῖς τοποτηρηταῖς τῆς ἀνθυπατιανῆς χώρας, Α'λυπίῳ Θαγαβενσινῷ, Αὐγουστίνῳ Ἱππονηρεγιανῷ, Ποσειδίῳ Καλαμβυσινῷ, τοῖς τοποτηρηταῖς τῆς Νουμιδικῆς χώρας· Μαξιμιανῷ Α'κυρεγουσιώτῃ, Ἰουκούνδῳ Σουφετουλενσιανῷ, Μαξιμιανῷ ἐκ τοῦ αὐτοῦ, καὶ Ἰλαριανῷ τῷ ἀπὸ Ο'ρρεοκελίων, τοῖς τοποτηρηταῖς τῆς Βυζακιωῆς χώρας· Νοβάτῳ Σιτιφενσιώτῃ, καὶ Λέοντι Ο'πτενσιανῷ, τοῖς τοποτηρηταῖς τῆς Μαυριτανῶν χώρας τῆς Σιτιφένσης· Νινέλλῳ Ρ'ουσπενσιανῷ, Λαυρεντίῳ Ἰκοστιανῷ, καὶ Νουμεριανῷ Ρ'ουσπωνιώτῃ, τοῖς τοποτηρηταῖς τῆς Καισαριανῆς Μαυριτανῶν χώρας, ἐκ πάσης τῆς συνόδου κριταῖς ἐπιλεγεῖσι, παρεδρῶντων τῷ δικαστῶν, προκαθίσαντος· καὶ τινῶν ἐξανυσθέντων, πολλῷ ἐπὶ τοῖς λοιποῖς ἐξανυσθησομένοις παρέλκειν ὀδυρομένων, καὶ ὑποφέρειν μὴ δυναμένων, διὰ τὸ πρὸς τὰς ἰδίας ἐπείγεσθαι ἐκκλησίας· ἤρεσε συμπάσῃ τῇ σωόδῳ, ὥστε ἀπὸ πάντων ἐπιλεγῆναι ἐκ μιᾶς ἑκάστης ἐπαρχίας τοὺς ὀφείλοντας ἀποκαθίσαι χάριν τοῦ τὰ λοιπὰ περατῶσαι. καὶ ἐγένετο, ὥστε παρεῖναι, ὧν ὑπογραφαὶ τῇ αὐτῶν παρουσίᾳ μαρτύρονται.

Ο'τι οἱ ἀπὸ κοινωνίας ὄντες, εἰς κατηγορίαν οὐκ ὀφείλουσι προσδεχθῆναι.

ρκή.

Η'ρεσε τοίνυν πᾶσιν, ἐπειδὴ τοῖς ἀνωτέροις τῶν συνόδων ψηφίσμασι περὶ προσώπων κληρικῶν τῶν μὴ ὀφειλόντων εἰς κατηγορίαν προσδεχθῆναι, ᾠήθη, καὶ ἐκ ἐπεξεργάσθη ποῖα πρόσωπα μὴ προσδεχθῶσι· διὰ τοῦτο οἰόμην τοῦτον ὀρθῶς πρὸς κατηγορίαν μὴ εἰσδέχεσθαι, ὅσις μετὰ τὸ ἀπὸ κοινωνίας

ἐ διακόπτει ἐν Καρχηδόνι συνοδικῇ σύνοδῳ. ex mf. c.

νίας γενέσθαι, ἐν αὐτῷ ἔτι τῷ ἀφορισμῷ ὑπάρχει, εἴτε κληρικὸς εἴη, εἴτε λαϊκὸς, ὁ κατηγορῆσαι βουλόμενος.

Ὅτι δοῦλοι καὶ ἀπελεύθεροι, καὶ πάντα τὰ ἠτιμωμένα πρόσωπα, κατηγορεῖν οὐκ ὀφείλουσιν.

ρκθ'.

Ὁμοίως ἤρεσεν, ἵνα πάντες οἱ δοῦλοι καὶ οἱ ἴδιοι ἀπελεύθεροι, εἰς κατηγορίαν μὴ δεχθῶσι· καὶ πάντες, οὓς πρὸς κατηγορητέα ἐγκλήματα οἱ δημόσιοι νόμοι οὐ προσδέχονται· πάντες ἔτι μὴν οἱ τοῖς τῆς ἀτιμίας σπίλοις ἐρρ'αντισμένοι, τοῦτ' ἔστι μῖμοι, καὶ ὅσα ταῖς αἰσχρότησι ὑποβέβληνται πρόσωπα· αἱρετικοὶ ἔτι μὴν, εἴτε Ἕλληνες, εἴτε Ἰουδαῖοι· πλὴν ὅμως πᾶσιν οἷς ἡ τοιαύτη κατηγορία ἀρνεῖται, ἐν ταῖς ἰδίαις αἰτίαις τὴν τοῦ κατηγορεῖν ἄδειαν μὴ ὀφείλειν ἀρνεῖσθαι.

Ἵνα ὁ περὶ ἑνὸς ἐγκλήματος ἀποδεῖξαι μὴ δυνάμενος, πρὸς ἕτερον μὴ εἰσδεχθῇ.

ρλ'.

Ὁμοίως ἤρεσεν, ἵνα ὁσάκις δήποτε κληρικοῖς ἀπὸ κατηγόρων πολλὰ ἐγκλήματα ὑποβάλλωνται, καὶ * ἐὰν ἐξ αὐτῶν περὶ οὗ πρῶτον ἐπράχθη, ἀποδειχθῆναι οὐκ ἠδυνήθη, πρὸς τὰ λοιπτὰ μετὰ ταῦτα μὴ προσδεχθῶσιν.

Τίνας δεῖ προσδέχεσθαι εἰς μαρτυρίαν.

ρλα'.

Μάρτυρας δὲ εἰς μαρτυρίαν μὴ εἰσδέχεσθαι, τοὺς μηδὲ πρὸς κατηγορίαν εἰσδεχθῆναι παραγγελθέντας, ἢ ἔτι μὴν οὓς αὐτὸς ὁ κατήγορος ἐκ τοῦ ἰδίου οἴκου προσκομίσει. μαρτυρία δὲ ἐντὸς κείρας ἐνιαυτῶν δεκατεσσάρων μὴ προσδεχθείη.

Περὶ ἐπισκόπου τοῦ ἀπὸ κοινωνίας ποιοῦντος τὸν αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁμολογήσαντα.

ρλβ'.

Ὁμοίως ἤρεσεν, ἵνα ἐάν ποτε ἐπίσκοπος λέγῃ τινὰ αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁλομογεῖσαι, καὶ ἐκεῖνος ἀρνῆται, μὴ λογίσηται ὁ ἐπίσκοπος εἰς ἐδίαν ὕβριν συντείνειν, ὅτι αὐτὸς μόνος οὐ πιστεύεται, εἰ καὶ τῷ σκινδαλμῷ τῆς ἰδίας συνειδήσεως λέγει μὴ θέλειν ἑαυτὸν κοινωνεῖν τῷ ἀρνουμένῳ.

Ἵνα μὴ ὡς ἔτυχέ τινα στερήσῃ τῆς κοινωνίας ὁ ἐπίσκοπος.

ρλγ'.

Ἐφ' ὅσον τῷ ἀφωρισμένῳ μὴ κοινωνεῖ ὁ ἴδιος ἐπίσκοπος, τῷ αὐτῷ ἐπισκόπῳ ἄλλοι μὴ συγκοινωνήσουσιν ἐπίσκοποι, ὥστε μᾶλλον παραφυλάττεσθαι τὸν ἐπίσκοπον μὴ λέγειν κατά τινος, ὅπερ ἀποδείξεσι μὴ ἐλέγξαι παρ' ἑτέροις.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· κατὰ τὰ ὁρισθέντα τῇ γνώμῃ πάσης τῆς συναθροισθείσης συνόδου καὶ τῆς ἐμῆς μετριότητος, ἀρέσκει, πάντων τῶν πραγμάτων τοῦ προδηλωθέντος ὁλοτελοῦς τίτλου ποιῆσαι τὸ συμπέρασμα, καὶ τὴν συζήτησιν τῆς διατυπώσεως τῆς παρούσης ἡμέρας τὰ ἐκκλησιαστικὰ πεπραγμένα ἀναδέξωνται· ἅτινα δὲ ἀκμὴν οὐκ ἀπεξειργάσθησαν, τῇ ἑξῆς ἡμέρᾳ διὰ τῶν ἀδελφῶν ἡμῶν Φενστίνου τοῦ ἐπισκόπου, Φιλίππου καὶ Ἀσέλλου τῶν πρεσβυτέρων, τῷ προσκυνητῷ ἀδελφῷ καὶ συνεπισκόπῳ ἡμῶν Βονιφατίῳ ἀντιγράψομεν. καὶ ὑπέγραψαν.

Αὐρήλιος ἐπίσκοπος τοῖς παροῦσι τῶν ὅρων πεπραγμένοις τοῖς παρ' ἡμῖν ἐχομένοις ὑπέγραψα.

Βαλεντῖνος τῆς πρώτης καθέδρας ἐπίσκοπος τῆς Νουμιδικῆς χώρας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Φαυστῖνος ἐπίσκοπος τῆς Ποτεντίνης ἐκκλησίας, ἐπαρχίας Πικένου, τοποτηρητὴς τῆς Ῥωμαϊκῆς ἐκκλησίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ἀλύπιος ἐπίσκοπος Θυγατένσης, τοποτηρητὴς τῆς Νουμιδικῆς χώρας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Αὐγουστῖνος ἐπίσκοπος Ἱππώνης, τοποτηρητὴς τῆς Νουμιδικῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ποσσείδιος ἐπίσκοπος Καλαμένσης, τοποτηρητὴς τῆς Νουμιδικῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Βικέντιος Κουλουσιτάνος, τοῖς παροῦσι πεπραγμένοις.

Φουρτουνατιανὸς Νεαπολίτης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Πεντάδιος Καρπετανὸς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ρουφιανὸς Μουζουενσιανὸς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Πραιτεξτᾶτος Σικηλιβένσης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Κουοδβουλτδέος Βερίσης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Κάνδιδος Γερμανίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Γαλλώνιος Οὐτικένσης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Μαξιμιανὸς Ἀκυρεγενσιώτης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ἰουκοῦνδος Συφφετουλένσης, τοποτηρητὴς τῆς Βυζακηνῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Μαξιμιανὸς, τοποτηρητὴς τῆς Βυζακηνῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ἰλαριανὸς Ὀρρεοκίλης, τοποτηρητὴς τῆς Βυζακηνῆς χώρας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Νοβᾶτος Σιτιφενσιώτης, τοποτηρητὴς τῆς Βυζακηνῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Νίνελλος Ρουσουρρηανίτης, τῆς Καισαρειανῆς χώ-

χώρας τοποτηρητὴς, τοῖς παρῦσι πεπραγμένοις ὑπέγραψα.

Λαυρέντιος Ἰκοσιτανὸς, τῆς Καισαρειανῆς χώρας τοποτηρητὴς, τοῖς παρῦσι πεπραγμένοις ὑπέγραψα.

Νουμεριανὸς Ρουσουγουριώτης, τῆς Καισαρειανῆς χώρας τοποτηρητὴς, τοῖς παρῦσι πεπραγμένοις ὑπέγραψα.

Λέων ἀπὸ Μόκτης, τῆς Καισαρειανῆς χώρας τοποτηρητὴς, τοῖς παρῦσι πεπραγμένοις ὑπέγραψα.

Ἄλλος Λέων, τῆς Σιτιφένσης ἐπαρχίας τοποτηρητὴς, τοῖς παρῦσι πεπραγμένοις ὑπέγραψα.

Καὶ οἱ λοιποὶ ἐπίσκοποι διακόσιοι δεκαεπτὰ, ὁμοίως ὑπέγραψαν.

Φίλιππος πρεσβύτερος τοποτηρητὴς τῆς Ρωμαϊκῆς ἐκκλησίας, τοῖς παρῦσι πεπραγμένοις ἀφ' ἡμῶν ἀναγνωσθεῖσιν ὑπέγραψα.

Ἄσελλος πρεσβύτερος, τοποτηρητὴς τῆς Ρωμαϊκῆς ἐκκλησίας, τοῖς παρῦσι πεπραγμένοις ὑπέγραψα, τοῖς δι' ἡμῶν ἀποσταλεῖσιν.

Ἡ ἀπὸ πάσης τῆς ἐν Ἀφρικῇ συνόδου πρὸς Βονηφάτιον τὸν τῆς Ρωμαίων ἐκκλησίας ἐπίσκοπον, διὰ Φαυστίνου ἐπισκόπου, Φιλίππου καὶ Ἀσέλλου πρεσβυτέρου, τῶν τοποτηρητῶν τῆς Ρωμαϊκῆς ἐκκλησίας, ἀποσταλεῖσα ἐπιστολή.

ρλδ'.

Δεσπότῃ μακαριωτάτῳ καὶ τιμιωτάτῳ ἀδελφῷ Βονηφατίῳ, Αὐρήλιος, Βαλεντῖνος τῆς πρώτης καθέδρας τῆς Νουμιδικῆς ἐπαρχίας, καὶ οἱ λοιποὶ οἱ παραγενόμενοι τὸν ἀριθμὸν διακόσιοι δεκαεπτά. ἐκ πάσης τῆς ἐν Ἀφρικῇ συνόδου.

ΕΠΕΙΔΗ' τῷ κυρίῳ ἤρεσεν, ἵνα περὶ ὧν ἅμα ἡμῖν διεπράξαντο οἱ ἁγιώτατοι ἀδελφοὶ ἡμῶν, Φαυστῖνος ὁ συνεπίσκοπος, καὶ οἱ συμπρεσβύτεροι Φίλιππος καὶ Ἄσελλος, μὴ τῷ τῆς μακαρίας μνήμης Ζωσίμῳ τῷ ἐπισκόπῳ, ἀφ' οὗ πρὸς ἡμᾶς γράμματα, καὶ ἐντολὰς ἤγαγον, ἀλλὰ τῇ ὑμετέρᾳ τιμιότητι εἰς τὸν ἐκείνου τόπον θεόθεν κατασταθείσῃ ἡ ἡμετέρα βραχύτης ἀντιγράψῃ, τὰ τῇ ἑκατέρων ἡμῶν ὁμονοίᾳ περάτωθέντα ὀφείλομεν διὰ βραχέων ἐμφανῆ καταστῆσαι, οὐ μὴν τὰ τοῖς ἐκτεταμένοις τῶν πεπραγμένων κυλίσμασι κατεχόμενα· ἐν οἷς σωζομένης μὲν τῆς ἀγάπης, οὐ χωρὶς δὲ μικροῦ τῆς ἀμφισβητήσεως καμάτου παρειλκύσαμεν, σκεπτόμενοι τὰ εἰς τὸ πρᾶγμα συντείνοντα, τοῖς πεπραγμένοις ἐνθεῖναι. κἀκεῖνος γὰρ, εἰ ἔτι ἦν ἐν τῷ σώματι τούτῳ, χαριεστέρως ἐδέχετο, ὅπερ ἔβλεπεν εἰρηνικωτέρως περατωθὲν, κύριε ἀδελφέ. Ἀπιάριος ὁ πρεσβύτερος, οὗ τινος καὶ περὶ τῆς χειροτονίας καὶ τῆς ἀκοινωνησίας καὶ προκλήσεως ἀνεφύη οὐ μόνον τῇ ἐν Σίκῃ, ἀλλὰ καὶ τῇ ἐν πάσῃ τῇ Ἀφρικῇ ἐκκλησίᾳ, οὐ μικρὸν σκάνδαλον, περὶ πάντων ὧν ἐπλανήθη, συγγνώμην αἰτήσας, τῇ κοινωνίᾳ ἀποκατέστη. πρῶτος δὲ ὁ συνεπίσκοπος ἡμῶν Οὐρβανὸς ὁ τῆς Σίκης, ὅσον ἦν αὐτῷ διορθωτέον, ἀναμφιβόλως διορθώσατο. ἐπειδὴ δὲ τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ ἡσυχίας οὐ μόνον πρὸς τὸ παρὸν, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς ἔδει πρόνοιαν ποιήσασθαι, ὅτι πολλὰ τοιαῦτα προηγήσαντο, ὅπως ἀπὸ τῶν ὁμοίων ἢ καὶ βαρυτέρων τῶν μετὰ ταῦτα προπαραφυλαξώμεθα· ἤρεσεν ἡμῖν ἵνα ἐκ τῆς ἐν Σίκῃ ἐκκλησίας ἀποκινηθῇ ὁ πρεσβύτερος Ἀπιάριος, φυλαττομένης αὐτῷ δηλονότι τῆς τιμῆς τοῦ βαθμοῦ αὐτοῦ. καὶ λαμβάνων ἐπιστολὴν, ὁπουδήποτε ἀλλαχοῦ βουληθείη καὶ δυνηθείη, τῷ καθήκοντι τοῦ πρεσβυτερίου λειτουργήσῃ ὅπερ τῷ αὐτῷ Ἀπιαρίῳ δι' οἰκείων γραμμάτων αἰτήσαντι χωρίς τινος δυσχερείας συνεχωρήσαμεν. πρὸ τοῦ δὲ ἡ αἰτία αὕτη τῷ τοιούτῳ πέρατι παραδοθῇ. μεταξὺ τῶν ἄλλων, ἅ τινα διηνεκέσι διαγνώσεσιν ἀνεστρέφομεν, αὐτοῦ τοῦ λόγου ἀπαιτήσαντος, ὥστε τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις ζητῆσαι ἡμᾶς παρὰ τῶν ἀδελφῶν ἡμῶν Φαυστίνου τοῦ συνεπισκόπου, καὶ Φιλίππου καὶ Ἀσέλλου τῶν συμπρεσβυτέρων, ἵνα προενέγκωσιν εἴτι δήποτε ἦν αὐτοῖς ἅμα ἡμῖν πρακτέον ἐπιτραπὲν, τινὰ μὲν ἀγράφως διὰ λόγων ἐπεξειργάσαντο· ἡμῶν δὲ ἀπαιτησάντων ὅπερ ἐπεφέροντο ἔγγραφον κομμονιτώριον, τοῦτο προήγαγον· ὅπερ ἀναγνωσθὲν παρ' ἡμῶν, τοῖς πεπραγμένοις ἔτι μὴν ἐνετάγη, τοῖς καὶ πρὸς ἡμᾶς δι' αὐτῶν ἐπὶ τοῦ παρόντος φερομένοις· ἐν ὧ τέσσαρα αὐτοῖς τινα ἅμα ἡμῖν πρατέα ἐνετάλησαν. ἐν περὶ ἐγκλήτων ἐπισκόπων πρὸς τὸν τῆς Ρωμαίων ἐκκλησίας ἱερέα· δεύτερον, ἵνα ἐπὶ τὸ κομιτᾶτον ἐπίσκοποι ὡς ἔτυχε μὴ πλεύσωσι· τρίτον, περὶ τοῦ, τὰς αἰτίας τῶν πρεσβυτέρων καὶ διακόνων ζητεῖσθαι παρὰ τοῖς ὁμόροις ἐπισκόποις ἐὰν ἐκ τῶν ἰδίων ἀπὸ κοινωνίας προπετῶς γένωνται· τέταρτον, περὶ Οὐρβανοῦ τοῦ ἐπισκόπου ἀποκοινωνητέου, ἢ ἔτι μὴν ἐν Ρώμῃ κλητέου, εἰ μὴ τὰ ὀφείλοντα διορθωθῆναι, διορθώσηται. ἐξ ὧν πάντων περὶ τοῦ πρώτου καὶ τρίτου, τοῦτ' ἔστιν ἵνα ἔξεστιν εἰς Ρώμην τοῖς ἐπισκόποις ἐκκαλεῖσθαι, καὶ ὅτι τῶν κληρικῶν αἱ αἰτίαι παρὰ τοῖς τῶν ἐπαρχιῶν* αὐτοῖς ἐπισκόποις περατῶνται, ἤδη ἐν τῷ προλαβόντι ἐνιαυτῷ γράμμασιν ἔτι μὴν ἡμετέροις πεμφθεῖσι τῷ αὐτῷ τῆς προσκυνητῆς μνήμης Ζωσίμῳ τῷ ἐπισκόπῳ ἐσπουδάσαμεν ἐμφανίσαι, ἵνα ταῦτα χωρίς τινος ὕβρεως αὐτοῦ πρὸς ὀλίγον φυλάξωμεν, ἕως οὗ ζήτησις γένηται τῶν ὅρων τῆς ἐν Νικαίᾳ συνόδου. καὶ νῦν δὲ ἀπὸ τῆς σῆς αἰτούμεθα ἁγιωσύνης, ἵνα ὃν τρόπον ταῦτα τὰ ἐν Νικαίᾳ ἀπὸ τῶν πατέρων ἐπράχθησαν καὶ ὡρίσθησαν, οὕτως αὐτὰ παρ' ἡμῶν φυλαχθῆναι ποιήσῃς, καὶ αὐτόθι παρ' ὑμῖν τὰ ἐν τῷ αὐτῷ κείμενα κομμονιτωρίῳ γυμνασθῆναι ποιήσῃς· τοῦτ' ἔστιν, ἐὰν ἐπίσκοπος κατηγορηθῇ, καὶ οἱ συνελθόντες* ἐπισκόπῳ τῆς αὐτοῦ ἐπαρχίας κρίνωσι, καὶ ἐκ τοῦ βαθμοῦ αὐτοῦ καθέλωσιν αὐτόν. ὅταν δόξῃ ἐκκαλεῖσθαι, καὶ πρὸς τὸν μακαριώτατον τῆς Ρωμαίων ἐκκλησίας ἐπίσκοπον καταφύγῃ· ἐὰν συνίδῃ αὐτὸν ἀκουσθῆναι, καὶ δίκαιον λογίσηται, ὥστε ἀνεῳχθῆναι τὴν κρίσιν, γράψαι καταξιώσῃ τοῖς ἐν τῇ ὁμόρῳ καὶ ἐγγιζούσῃ ἐπαρχίᾳ καθεστῶσιν ἐπισκόποις, ἵνα αὐτοὶ πάντα ἐπιμελῶς ἀναζητήσωσι. καὶ κατὰ τὴν πίστιν τῆς ἀληθείας περατώσωσιν. ἐὰν δὲ καὶ ὁ παρακαλῶν τὴν αἰτίαν αὐτοῦ ἄνωθεν ἀκουσθῆναι, ἰδίᾳ ἱκεσίᾳ κινήσῃ τὸν Ρωμαϊκὸν ἐπίσκοπον, ἵνα ἐκ τοῦ ἰδικοῦ αὐτοῦ πλευροῦ πρεσβύτερον ἀποστείλῃ, ἐν τῇ ἐξουσίᾳ τοῦτ' ἔστι τοῦ ἐπισκόπου, τί βουληθῇ καὶ τί κρίνῃ. καὶ ἐὰν ψηφίσηται τοὺς ὀφείλοντας μετὰ τῶν ἐπισκόπων παρόντας κρῖναι, ἔχοντας τὴν αὐθεντίαν αὐτοῦ ἐξ οὗ ἀπεστάλησαν

* Τοῦ αὐτοῦ.

σαν, ἔσται ἐν τῇ κρίσει αὐτοῦ. ἐὰν δὲ καὶ πιστεύσῃ ἀρκεῖν τοὺς ἐπισκόπους πρὸς τὸ περατῶσαι τὰ τοῦ πράγματος, ποιήσῃ ὅπερ τῷ σοφωτάτῳ αὐτοῦ συνείδῃ βουλεύματι. ὁμοίως περὶ πρεσβυτέρων καὶ διακόνων, ἐάν τις ἐπίσκοπος ὀργίλος· ὅπερ εἶναι οὐκ ὀφείλει· ταχέως ἢ τραχέως κινηθῇ κατὰ πρεσβυτέρου ἢ διακόνου ἰδίου, καὶ θελήσοι τοῦτον ἐκ τῆς ἰδίας ἐξορίσαι ἐκκλησίας. προνοητέον ἐστὶν, ἵνα μὴ ἀδίκως καταδικασθῇ ἢ ἀπολέσῃ τὴν κοινωνίαν. καὶ ἐχέτω ὁ ἐκβληθεὶς ἐξουσίαν προσελθεῖν τοῖς ὁμοροῦσι, καὶ ἡ αἰτία αὐτοῦ ἀκουσθῇ καὶ ἐπιμελέστερον ζητηθῇ· ὅτι οὐκ ὀφείλει παρακαλοῦντι αὐτῷ ἡ ἀκρόασις ἀρνηθῆναι. κἀκεῖνος δὲ ὁ ἐπίσκοπος ὁ ἢ δικαίως ἢ ἀδίκως ἐκβαλὼν, ἀνεξικάκως καταδέξηται τὰ τοῦ πράγματος ἐξετασθῆναι, ἵνα ἢ κυρωθῇ ἢ διορθωθῇ ἡ γνώμη αὐτοῦ. ταῦτα δηλονότι ἕως τῆς παρουσίας τῶν ἀληθεστάτων ἐξέμπλων τῆς ἐν Νικαίᾳ συνόδου, τοῖς πεπραγμένοις ἐνεβλήθησαν, ἅτινα, ἐὰν ἐκεῖ ὃν τρόπον ἐν αὐτῷ τῷ κομμονιτωρίῳ περιέχονται, τῷ ἡμῖν διὰ τῶν ἀποσταλέντων ἀδελφῶν ἐκ τῆς ἀποστολικῆς καθέδρας ἐμφανισθέντι, καὶ παρ' ὑμῖν τῇ αὐτῇ τάξει ἐν Ἰταλίᾳ φυλάττονται, οὐδαμῶς καὶ ἡμεῖς τῶν τοιούτων μεμνῆσθαι βουλόμεθα· ἢ οὐχ ὑποφέρειν ἐπειγόμεθα, ἀλλὰ πιστεύομεν ὅτι βοηθοῦντος τοῦ ἐλέους κυρίου τοῦ Θεοῦ ἡμῶν, τῆς σῆς ἁγιωσύνης προεστώσης τῆς Ῥωμαϊκῆς ἐκκλησίας, οὐκέτι λοιπὸν ὑπομένομεν τὸν τύφον τοῦτον· φυλαχθῶσι δὲ περὶ ἡμᾶς ἅτινα καὶ μὴ λαλούντων ἡμῶν ὀφείλουσι φυλαγχθῆναι ἀδελφικῇ ἀγάπῃ, ἅπερ κατὰ τὴν σοφίαν καὶ δικαιοσύνην, ἣν σοι ὁ ὕψιστος ἐδωρήσατο, καὶ αὐτὸς ἔτι μὴν συνορᾷς ὀφείλειν φυλαχθῆναι, ἐὰν τυχὸν ἀλλοίως ἔχωσιν οἱ κανόνες τῆς ἐν Νικαίᾳ συνόδου. ἡμεῖς γὰρ πλείστοις ἐντυγχάνοντες βιβλίοις, οὐδαμοῦ ἀνέγνωμεν εἰς τὴν ἐν Νικαίᾳ σύνοδον ἐν Ῥωμαϊκοῖς βιβλίοις, ὃν τρόπον ἐν τῷ προλεχθέντι κομμονιτωρίῳ αὐτόθεν ἀπεστάλησαν. ὅμως, ἐπειδὴ ἐνταῦθα εἰς οὐδὲν βιβλίον Γραικὸν ταῦτα εὑρεῖν ἠδυνήθημεν, ἐκ τῶν ἀνατολικῶν ἐκκλησιῶν, ἔνθα λέγονται τὰ αὐτὰ ψηφίσματα δύνασθαι τὰ αὐθεντικὰ ἔτι μὴν εὑρεθῆναι, ἡμῖν προσενεχθῆναι μᾶλλον ποθοῦμεν. διὸ καὶ τὴν σὺν σεβασμιότητα δυσωποῦμεν, ἵνα γράψαι καὶ αὐτὸς ἔτι μὴν καταξιώσης πρὸς τοὺς ἐκείνων τῶν μερῶν ἱερεῖς, τοῦτ' ἔστι τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας, καὶ τῆς Ἀλεξανδρέων, καὶ τῆς ἐν Κωνσταντινουπόλει, καὶ ἄλλοις δὲ, ἐὰν παραστῇ τῇ σῇ ἁγιωσύνῃ, ὅπως ἐκεῖθεν πρὸς ἡμᾶς οἱ ἐν Νικαίᾳ παρὰ τῶν ἁγίων πατέρων ὁρισθέντες ἔλθωσι κανόνες, σοῦ κατ' ἐξαίρετον τὴν εὐεργεσίαν ταύτην πάσαις ταῖς δυτικαῖς ἐκκλησίαις, τῇ τοῦ κυρίου βοηθείᾳ, συνεισάγοντος. τίς γὰρ ἀμφιβάλλει τὰ ἴσα ἀληθέστατα εἶναι ἐν Γραικοῖς τῆς ἐν Νικαίᾳ συναθροισθείσης συνόδου, ἅτινα ἀπὸ οὕτως διαφόρων τόπων καὶ ἐπισήμων Γραικῶν ἐκκλησιῶν προσενεχθέντα καὶ συγκριθέντα ὁμονοοῦσιν; ὅπερ ἕως οὗ γένηται, τὰ ἐν τῷ προλεχθέντι κομμονιτωρίῳ ἡμῖν προσενεχθέντα περὶ τῶν πρὸς τὸν τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἱερέα ἐκκλήτων τῶν ἐπισκόπων, καὶ περὶ τῶν αἰτιῶν τῶν κληρικῶν, τῶν ὀφειλουσῶν περατοῦσθαι παρὰ τοῖς τῶν ἰδίων αὐτῶν ἐπαρχιῶν ἐπισκόποις, ἡμεῖς ὁμολογοῦμεν καὶ φυλάξοντας ἕως τῆς ἐπικυρώσεως, καὶ τὴν ὑμετέραν μακαριότητα, θέλοντος τοῦ Θεοῦ, πρὸς τοῦτο ἡμῖν βοηθήσουσαν θαρροῦμεν. τὰ δὲ λοιπὰ τὰ ἐν τῇ ἡμετέρᾳ συνόδῳ πραχθέντα καὶ βεβαιωθέντα, ἐπειδὴ οἱ προλεχθέντες ἀδελφοὶ ἡμῶν Φαυστῖνος ὁ συνεπίσκοπος φίλιππος καὶ Ἄσελλος οἱ πρεσβύτεροι, μεθ' ἑαυτῶν ἐπιφέρονται, ἐὰν καταξιώσητε, γνωστὰ ποιήσουσι τῇ ὑμετέρᾳ ἁγιωσύνῃ καὶ ὑπέγραψαν. ὁ κύριος ἡμῶν φυλάξει σε ἡμῖν ἐπὶ πλείστους χρόνους, μακαριώτατε ἀδελφέ. ὑπέγραψαν ὁμοίως, Ἀλύπιος, Αὐγουστῖνος, Ποσσείδιος, Μαρῖνος, καὶ οἱ λοιποὶ ἐπίσκοποι.

Ἄρχεται τὰ πρὸς τὴν ἐν Ἀφρικῇ σύνοδον ἀντίγραφα Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων ἐπισκόπου, ἐν οἷς τὰ αὐθεντικὰ τῆς ἐν Νικαίᾳ συνόδου ἀπὸ Γραικοῦ μεταβληθέντα διὰ Ἰννοκεντίου πρεσβυτέρου ἀπέστειλεν· αἵτινες ἐπιστολαὶ μετὰ τῆς ἐν Νικαίᾳ συνόδου διὰ τοῦ μνημονευθέντος Ἰννοκεντίου πρεσβυτέρου, καὶ Μαρκέλλου ὑποδιακόνου τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ ἁγιωτάτῳ Βονιφατίῳ ἐπισκόπῳ τῆς Ῥωμαϊκῆς ἐκκλησίας, τῇ πρὸ ἓξ καλανδῶν Δεκεμβρίων ἀπεστάλησαν.

ρλέ.

Κυρίοις τιμιωτάτοις καὶ ἁγιωτάτοις ἀδελφοῖς καὶ συνεπισκόποις, Αὐρηλίῳ, Βαλεντίνῳ, καὶ πάσῃ τῇ ἐν Καρχηδόνι συναθροισθείσῃ ἁγιωτάτῃ συνόδῳ, Κύριλλος ἀσπαζόμενος ἐν κυρίῳ τὴν ὑμετέραν ἀγάπην.

ΤΑ' γραφέντα παρὰ τῆς ὑμετέρας τιμιότητος πολλὴν ἔχοντα θρησκίαν, μετὰ πάσης χαρᾶς διὰ τοῦ τέκνου ἡμῶν Ἰννοκεντίου τοῦ πρεσβυτέρου ἐδεξάμην, τούτων δὲ παρ' ὑμῶν ἐλπισθέντων, ὥστε ἐκ τοῦ τῆς ἡμετέρας, ἐκκλησίας σκρινίου τὰ ἀληθέστατα ἴσα τῆς ἐν τῇ Νικαέων μητροπόλει τῆς Βιθυνίας αὐθεντικῆς συνόδου, τὰ παρὰ τῶν ἁγίων πατέρων ὁρισθέντα καὶ βεβαιωθέντα, ὑποκάτω τῆς ὁμολογίας τῆς ἡμετέρας πίστεως, τῇ ὑμετέρᾳ ἀγάπῃ ἡμᾶς ἀποστεῖλαι, ἀναγκαῖον ἡγησάμην, κύριοι τιμιώτατοι ἀδελφοὶ, ἀσπασμοῦ προηγουμένου, διὰ τοῦ αὐτοῦ τέκνου ἡμῶν Ἰννοκεντίου τοῦ πρεσβυτέρου, τὰ πιστότατα ἴσα τὰ τῆς αὐθεντικῆς συνόδου τῆς ἐν τῇ Νικαέων πόλει τῆς Βιθυνίας ἐχόμενα, τῇ ὑμετέρᾳ ἀποστεῖλαι ἀγάπη· ὅπερ καὶ ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ ζητοῦντες εὑρήσετε. περὶ δὲ τοῦ πάσχα, ὡς ἐγράψατε, ἀγγέλλομεν ὑμῖν, τῇ πρὸ δεκαεπτὰ καλανδῶν Μαΐων ἡμᾶς ἐπιτελέσοντας τῇ ὑπεισερχομένῃ ἰνδικτιῶνι. ἡ ὑπογραφή. ὁ Θεὸς καὶ ὁ κύριος ἡμῶν τὴν ἁγίαν ὑμῶν σύνοδον φυλάξει, ὅπερ εὐχόμεθα, τιμιώτατοι ἀδελφοί.

Ἄρχεται ἡ ἐπιστολὴ Ἀττικοῦ τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως, πρὸς αὐτούς.

ρλϛ'.

Τοῖς κυρίοις τιμιωτάτοις καὶ μακαριωτάτοις ἀδελφοῖς καὶ συνεπισκόποις, Αὐρηλίῳ, Βαλεντίνῳ, καὶ τοῖς λοιποῖς τοῖς ἐν τῇ Ἀφρικῇ συνελθοῦσι συνόδῳ, Ἀττικὸς ἐπίσκοπος.

ΔΙΑ' τοῦ τέκνου ἡμῶν Μαρκέλλου τοῦ ὑποδιακόνου ὑμῶν, γράμματα τῆς ὑμετέρας ἀγάπης μετὰ πάσης εὐχαριστίας ἐδεξάμην, τῷ κυρίῳ εὐχαρι-

χαριστῶν, ὅτι ἠξιώθην τοσούτων ἀλδελφῶν εὐλογίας ἀπολαῦσαι. κύριοι μακαριώτατοι ἀδελοὶ, ἐγράψατε δηλαδὴ, ἵνα τοὺς ἀληθεστάτους κανόνας τοὺς ἐν τῇ Νικαέων μητροπόλει τῆς Βιθυνίας παρὰ τῶν πατέρων ὁρισθέντας μετὰ τὴν τῆς πίστεως ἔκθεσιν ἀποστείλω. καὶ τίς ἐστιν ὁ τὴν κοινὴν πίστιν καὶ τοὺς ὅρους τοὺς ἀπὸ τῶν πατέρων βεβαιωθέντας τοῖς ἰδίοις ἀδελφοῖς ἀρνούμενος; ὅθεν διὰ τοῦ αὐτοῦ τέκνου ὑμῶν Μαρκέλλου τοῦ ὑποδιακόνου ὑμῶν πάνυ σπεύδοντος, καθὼς οἱ ἐν Νικαίᾳ ἀπὸ τῶν πατέρων ὡρίσθησαν κανόνες, ἐν ὁλοκλήρῳ, ὡς ἐκελεύσατε, ἀπέστειλα, αἰτῶν τὴν ὑμετέραν ἁγίαν σύνοδον ὑπὲρ ἐμοῦ πλείστας εὔξασθαι καταξιῶσαι. ἡ ὑπογραφή. ὁ κύριος ἡμῶν φυλάξει τὴν ὑμετέραν ἁγιωσύνην, ὅπερ εὐχόμεθα. ἁγιώτατοι ἀδελφοί.

Ἄρχεται τὰ ἴσα τῆς ἐν Νικαίᾳ συνόδου, τὰ ἀποσταλέντα τῇ πρὸ ἓξ καλανδῶν Δεκεμβρίων, μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ἔννατον, τῶν Αὐγούστων, Βονιφατίῳ τῷ ἐπισκόπῳ Ῥώμης.

ρλζ'.

ΠΙΣΤΕΥΟΜΕΝ εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ὁρατῶν τε καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ πατέρος μονογενῆ, τοῦτ' ἔστιν ἐκ τῆς οὐσίας τοῦ πατέρος· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ πατέρι· δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα· παθόντα, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας, καὶ νεκρούς. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. τοὺς δὲ λέγοντας· ἦν καιρὸς ὅτε οὐκ ἦν· καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ Θεοῦ. τοὺς τοιούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. Τῷ παρόντι συμβόλῳ τῆς πίστεως καὶ τὰ ἴσα τῶν ὅρων τῆς αὐτῆς ἐν Νικαίᾳ συνόδου ἐκ τῶν μνημονευθέντων ἱερέων προσεζεύχθησαν, ὡς ἀνωτέρω ἐν πᾶσι περιέχονται· ἅπερ ἡμεῖς ἐνταῦθα πάλιν τὰ αὐτὰ γραφῆναι ἀναγκαῖον οὐχ ἡγησάμεθα.

Ἄρχεται ἡ ἐπιστολὴ τῆς ἐν Ἀφρικῇ συνόδου πρὸς Κελεστῖνον τὸν πάπαν, τῆς Ῥωμαίων πόλεως ἐπίσκοπον.

ρλή.

Δεσπότῃ ἀγαπητῷ καὶ τιμιωτάτῳ ἀδελφῷ Κελεστίνῳ, Αὐρήλιος, Παλατῖνος, Ἀντώνιος, Τοῦτος, Σερβουσδέϊ, Τερέντιος, φουρτουνᾶτος, Μαρτῖνος, Ἰαννουάριος, Ὀπτᾶτος, Κελτίκιος, Δονᾶτος, Θεάσιος, Βιγκέντιος, Φουρτουνατιανὸς, καὶ οἱ λοιποὶ οἱ ἐν πάσῃ τῇ συνόδῳ τῆς Καρχηδόνος εὑρεθέντες.

ΗΥΧΟΜΕΘΑ ὃν τρόπον ἡ σὴ ἁγιωσύνη περὶ τῆς παρουσίας τοῦ Ἀπιαρίου χαρέντας ὑμᾶς ἐδήλωσε, γραμμάτων πεμφθέντων διὰ τοῦ συμπρεσβυτέρου ἡμῶν Λέοντος, οὕτως καὶ ἡμεῖς ὁμοίως περὶ τοῦ καθαρισμοῦ τοῦ αὐτοῦ τὰ παρόντα γράμματα μετὰ χαρᾶς ἀπεστείλαμεν. ἦν γὰρ δηλαδὴ καὶ ἡμετέρα καὶ ἡ ὑμετέρα προθυμία ἀσφαλεστέρα, καὶ οὐδὲ σπευτικὴ ἐδόκει ἡ ἐπὶ τοῦ ἀκμὴν ἀκουστέου, ἥπερ ὡς περὶ ἀκουσθέντος προηγησαμένη. παραγενομένου τοίνυν πρὸς ἡμᾶς τοῦ ἁγιωτάτου ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν Φαυστίνου, συνήξαμεν σύνοδον, καὶ ἐπιστεύσαμεν διὰ τοῦτο αὐτὸν μετ' ἐκείνου πεμφθέντα, ἵνα ὥσπερ * ὁ τούτου τῇ αὐτοῦ σπουδῇ τῷ * πρεσβυτέρῳ ἀπεδόθη, οὕτως καὶ νῦν δυνηθῇ τῷ αὐτοῦ σκοπῷ ἐκ τῶν ἐν Θαβρακηναῖς ὑποβληθέντων τοσούτων ἐγκλημάτων καθαρθῆναι· οὗ τινος τὰ τοσαῦτα καὶ οὕτως παμμεγέθη ἀτοπήματα ἡ πληθὺς καταδραμοῦσα τῆς ἡμετέρας συνόδου εὗρεν, ὅτι καὶ τοῦ μνημονευθέντος τὴν πατρωνίαν μᾶλλον ἥπερ κρίσιν, καὶ τὴν ὡς ἐκδίκου σπουδὴν μᾶλλον ἥπερ διαγνώστου δικαιοσύνην ὑπερενίκησεν. πρῶτον μὲν γὰρ ἀντέστη μεγάλως πάσῃ τῇ συνόδῳ διαφόρους ὕβρεις ἐπιφέρων, ὡσανεὶ τὰ πριβιλέγια τῆς Ῥωμαϊκῆς ἐκκλησίας διεκδικῶν, καὶ θέλων αὐτὸν παρ' ἡμῶν εἰς κοινωνίαν δεχθῆναι, ὃν ἡ σὴ ἁγιωσύνη πιστεύσασα ἐκκαλεῖσθαι, ὅπερ ἀποδεῖξαι οὐκ ἠδυνήθη, τῇ κοινωνίᾳ ἀποδέδωκεν. ὅμως ἧττον αὐτῷ τοῦτο ἐξεγένετο, ὅπερ ἔτι μὴν τῇ ἀναγνώσκει τῶν πεπραγμένων κρειττόνως γνοίης. τριημέρου μέντοι δίκης ἐπὶ μόχθου κινηθήσης, ἐν ὅσῳ τὰ διάφορα τῷ αὐτῷ ὑποβληθέντα συντριβόμενοι ἐζητοῦμεν, ὁ Θεὸς ὁ δίκαιος κριτὴς, ὁ ἰσχυρὸς καὶ μακρόθυμος, τάς τε παρολκὰς τοῦ συνεπισκόπου ἡμῶν Φαυστίνου, καὶ τὰς τριψεργίας τοῦ αὐτοῦ Ἀπιαρίου, οἷς τὰς ἀθεμίτους αὐτοῦ αἰσχρότητας συγκαλύψαι ἐπηρείδετο, μεγάλῃ συντομίᾳ ἔτεμε, τῆς σιχαντῆς δηλαδὴ καὶ δυσωδεστέρας ἐπιμονῆς καταργηθείσης, καὶ τῆς ἀναισχυντίας τῆς ἀρνήσεως, δι' ἧς τῶν τοσούτων ἡδονῶν τὸν βόρβορον ἐβούλετο καταβυθίσαι. τοῦ γὰρ Θεοῦ ἡμῶν τὴν συνείδησιν αὐτοῦ στενοχωρήσαντος, καὶ τὰ ἐν τῇ καρδίᾳ κρυπτὰ ὡς ἐν ἰλύϊ τῶν ἐγκλημάτων ἤδη καταδεδικασμένα, πᾶσιν ἔτι μὴν τοῖς ἀνθρώποις δημοσιεύσαντος, αἰφνιδίως εἰς ὁμολογίαν πάντων τῶν ὑποβληθέντων αὐτῷ ἐγκλημάτων ὁ δόλιος ἀρνητὴς ἐξέρρηξεν. καὶ μόλις ποτὲ περὶ πάντων τῶν ἀπιθάνων ὀνειδῶν ἑκοντὶ αὐτὸς ἑαυτὸν ἤλεγξε, καὶ αὐτὴν ὁμοίως τὴν ἡμετέραν ἐλπίδα, ᾗ τινι καὶ ἐπι-

* Ἰσ. ἢ τοῦ πρεσβυτερίου

πιστεύσαμεν αὐτὸν, καὶ ηὐχόμεθα ἐκ τῶν οὕτως ἐπαιχυντέων σπίλων δύνασθαι καθαρθῆναι, μετέστρεψεν εἰς στεναγμούς· εἰ μὴ ὅτι ταύτην ἡμῶν τὴν λύπην μιᾷ καὶ μόνῃ παραμυθίᾳ κατεπράϋνεν, ὅτι καὶ ἡμᾶς τοῦ ὀδυρμοῦ τοῦ διηνεκοῦς καμάτου ἀπέλυσε, καὶ τοῖς ἰδίοις τραύμασιν ὁτεδήποτε ἴασιν, εἰ καὶ ἀκουσίως, καὶ τῆς ἰδίας συνειδήσεως ἀντιμαχομένης, ὁμολογήσας προενοήσατο, κύριε ἀδελφέ. ἐν προφάτῳ τοίνυν τοῦ καθήκοντος τῆς ὀφειλομένης προσκυνήσεως ἐκπληρουμένου, ἱκετεύομεν, ἵνα τοῦ λοιποῦ πρὸς τὰς ὑμετέρας ἀκοὰς τοὺς ἐντεῦθεν παραγινομένους εὐχερῶς μὴ προσδέχησθε, μηδὲ τοὺς παρ' ἡμῶν ἀποκοινωνητέους εἰς κοινωνίαν τοῦ λοιποῦ θελήσητε δέξασθαι· ἐπειδὴ τοῦτο καὶ τῇ ἐν Νικαίᾳ συνόδῳ ὁρισθὲν εὐχερῶς εὕροι ἡ σὴ σεβασμιότης. εἰ γὰρ καὶ περὶ κατωτέρων κληρικῶν καὶ περὶ λαϊκῶν φαίνεται ἐκεῖ παραφυλάττεσθαι, πόσῳ μᾶλλον τοῦτο περὶ ἐπισκόπων βούλεται παραφυλαχθῆναι; μὴ οὖν οἱ ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ ἀπὸ τῆς κοινωνίας ἀναρτηθέντες, παρὰ τῆς σῆς ἁγιωσύνης σπουδαίως καὶ καθὼς μὴ χρὴ φανῶσιν ἀποκαθιστάμενοι τῇ κοινωνίᾳ. καὶ τῶν πρεσβυτέρων δὲ ὁμοίως, καὶ τῶν ἑπομένων κληρικῶν τὰς ἀναιδεῖς ἀποφυγὰς, ὡς ἔστι σου ἄξιον, ἀποδιώξει ἡ ἁγιωσύνη ἡ σή· ἐπειδὴ καὶ οὐ διά τινος ὅρου τῶν πατέρων τοῦτο ἀπηγόρευτε τῇ ἐν Ἀφρικῇ ἐκκλησίᾳ, καὶ τὰ ψηφίσματα τῆς ἐν Νικαίᾳ συνόδου, εἴτε κληρικοὺς τοῦ κατωτέρου βαθμοῦ, εἴτε αὐτοὺς τοὺς ἐπισκόπους τοῖς ἰδίοις μητροπολίταις φανερώτατα κατέπεμψαν. συνετῶς γὰρ καὶ δικαίως συνεῖδεν, ἅτινα δήποτε πράγματα ἀναφυῶσι, ταῦτα ἐν τοῖς ἰδίοις ὀφείλειν περατοῦσθαι τόποις· οὔτε γὰρ μιᾷ καὶ ἑκάστῃ προνοίᾳ ἐλογίσαντο ἐλλείπειν τὴν χάριν τοῦ ἁγίου πνεύματος, δι' ἧς δικαιοσύνη ἀπὸ τῶν τοῦ Χριστοῦ ἱερέων καὶ ὁρᾶται φρονίμως, καὶ κατέχεται σταθερῶς· μάλιστα, ὅτι ἐπὶ καὶ ἑκάστῳ συγκεχώρηται, ἐὰν περὶ τῆς δίκης τῶν διαγνωστῶν προΐσταται αὐτῷ πρὸς τὰς συνόδους τῆς ἰδίας ἐπαρχίας, ἢ ἔτι μὴν εἰς οἰκουμενικὴν σύνοδον ἐκκαλέσασθαι· εἰ μὴ ἄρα τίς ἐστιν, ὅστις πιστεύσει, ἐπὶ ὡτινιδήποτε δύνασθαι τὸν Θεὸν ἡμῶν ἐμπνεῦσαι τὴν δικαιοσύνην, τοῖς δὲ ἀναριθμήτοις εἰς σύνοδον συνηθροισμένοις ἱερεῦσιν ἀρνεῖσθαι. πῶς δὲ αὕτη ἡ περαματικὴ κρίσις βεβαία ἔσται, πρὸς ἣν τῶν μαρτύρων τὰ ἀναγκαῖα πρόσωπα, ἢ διὰ τὴν τῆς φύσεως, ἢ διὰ τὴν τοῦ γήρως ἀσθένειαν, ἢ πολλοῖς ἄλλοις ἐμποδισμοῖς ἐνεχθῆναι οὐ δύναται; περὶ γὰρ τοῦ, τινὰς ὡσανεὶ ἐκ τοῦ πλευροῦ τῆς σῆς ἁγιωσύνης πέμπεσθαι, οὐδεμιᾷ τῶν πατέρων συνόδῳ ὁρισθὲν εὑρίσκομεν. ἐπειδὴ ὅπερ πάλαι διὰ τοῦ αὐτοῦ συνεπισκόπου ἡμῶν Φαυστίνου, ὡσανεὶ ἐκ μέρους τῆς ἐν Νικαίᾳ συνόδου αὐτόθεν ἀπέσταλτο ἐν ταῖς ἀληθεστέραις ἀπογραφαῖς τῆς ἐν Νικαίᾳ, ἅσπερ ἐδεξάμεθα ἀπὸ τοῦ ἁγιωτάτου Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων ἐκκλησίας συνεπισκόπου ἡμῶν, καὶ παρὰ τοῦ προσκυνητοῦ Ἀττικοῦ τοῦ ἐν Κωνσταντινουπόλει ἐπισκόπου, πεμφθήσας ἐκ τῶν αὐθεντικῶν· αἵτινες ἔτι μὴν πρὸ τούτου διὰ Ἰννοκεντίου τοῦ πρεσβυτέρου, καὶ Μαρκέλλου ὑποδιακόνου, δι' ὧν πρὸς ἡμᾶς παρ' ἐκείνων ἀπεστάλησαν, τῷ τῆς προσκυνητῆς μνήμης Βονιφατίῳ τῷ ἐπισκόπῳ τῷ προηγήσαμένῳ ὑμᾶς παρ' ἡμῶν ἐξεπέμφθησαν, τοιοῦτο τί ποτε οὐκ ἠδυνήθημεν εὑρεῖν. ἐκβιβαστὰς τοίνυν κληρικοὺς * ἡμῶν, τινῶν αὐτῶν, μὴ θέλετε ἀποστέλλειν, μήτε παραχωρεῖν, ἵνα τὸν καπνώδη τύφον τοῦ κόσμου δόξωμεν εἰσάγειν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ, ἥτις τὸ φῶς τῆς ἁπλότητος καὶ τῆς ταπεινοφροσύνης τὴν ἡμέραν τοῖς τὸν Θεὸν ἰδεῖν ἐπιθυμοῦσι προφέρει. τοῦ γὰρ κλαυσίμου Ἀπιαρίου ἤδη ἀπὸ τοῦ ἀδελφοῦ ἡμῶν Φαυστίνου κατὰ τὰς ἰδίας ἀθεμίτους ἀχρειοσύνας ἐκ τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἀποκινηθέντος, ὅτι τοῦτον τῇ δοκιμῇ καὶ ῥυθμίσει τῆς σῆς ἁγιωσύνης ἐν τῷ σώζεσθαι τὴν ἀδελφικὴν ἀγάπην, περαιτέρω ἡ Ἀφρικὴ οὐδαμῶς ὑπομείνη. ἡ ὑπογραφή· ὁ Θεὸς ἡμῶν τὴν ἁγιωσύνην ὑμῶν ἐπὶ μήκιστον χρόνον φυλάξει ὑπὲρ ἡμῶν εὐχομένην, κύριε ἀδελφέ.

* al. ἡμῶν,

Ἐκ τῶν πραχθέντων ὑπομνημάτων ἐν Κωνσταντινουπόλει περὶ Ἀγαπίου καὶ Βαγαδίου, ἑκατέρου ἀντεχομένου τῆς ἐπισκοπῆς Βόστρων.

Ἐπὶ ὑπατίας τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων ἡμῶν Φλαβίου Ἀρκαδίου, Αὐγούστου τῷ τρίτῳ, καὶ Ὠνωρίου τῷ δευτέρῳ τῷ πρὸ τριῶν καλανδῶν Ὀκτωβρίων, ἐν τῷ φωτιστηρίῳ τῆς ἐν Κωνσταντινουπόλει ἁγιωτάτης ἐκκλησίας καθεσθέντων τῶν ἁγιωτάτων ἐπισκόπων, Νεκταρίου Κωνσταντινουπόλεως, Θεοφίλου Ἀλεξανδρείας, Φλαβιανοῦ Ἀντιοχείας, Παλλαδίου Καισαρείας Καππαδοκίας, Γελασίου Καισαρείας Παλαιστίνης, Γρηγορίου Νύσσης, Ἀμφιλοχίου Ἰκονίου, Παύλου Ἡρακλείας, Ἀραβιανοῦ Ἀγκύρας, Ἄμμωνος Ἀδριανουπόλεως, Φαλερίου Ταρσοῦ, Λουκίου Ἱεραπόλεως, Ἐλπιδίου Λαοδικείας, Παύλου Ἀλεξανδρῶν, Διοσκόρου Ἑρμουπόλεως, Προβατίου Βερονίκης, Θεοδώρου Μοψουεστίας, Βίζου Σελευκείας, Ἐπαγάθου Μαρκιανουπόλεως, Γεροντίου Κλαυδιανουπόλεως, καὶ ἑτέρων διαφόρων ἐπισκόπων, καὶ παντὸς τοῦ ἱερατείου, Νεκτάριος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπε. Τῆς ἁγίας ταύτης συνόδου κατὰ Θεοῦ χάριν πάλιν ἐν τῷ ἁγίῳ τόπῳ τούτῳ συνειλεγμένης, εἰ δοκιμάζει ἡ αὐτὴ τῶν ἁγίων ἀδελφῶν καὶ συλλειτουργῶν σύνοδος, ἐπειδὴ καὶ ἑστῶτας ὁρῶ τοὺς διαφερομένους πρὸς ἑαυτοὺς περὶ τῆς τῶν Βοστρηνῶν ἐπισκοπῆς. τοὺς ἀδελφοὺς ἡμῶν Βαγάδιον καὶ Ἀγάπιον, τῶν πρὸς ἀλλήλους ἐνάρξασθαι δικαίων. καὶ μετὰ τὸ πραχθῆναί τινα παρ' αὐτοῖς χάριν τῆς αὐτῆς ὑποθέσεως, καὶ ἐμφανισθῆναι καθαίρεσιν τοῦ ῥηθέντος Βαγαδίου γενομένην ὑπὸ δύο καὶ μόνων ἐπισκόπων τῶν καὶ τελευτησάντων ἤδη, Ἀραβιανὸς ἐπίσκοπος Ἀγκύρας εἶπεν. οὐ τῆς παρούσης ἕνεκα δίκης, ἀλλὰ τοῦ ὑφεξῆς βίου παντὸς δεδοικὼς, τοῦτο ἀξιῶ τὴν ἁγίαν σύνοδον διαλαλῆσαι, ἔξεστι γενέσθαι καθαίρεσιν παρὰ δύο ἐπισκόπων, ἢ οὔ; καὶ κατὰ ἀπόντος ἔξεστιν ἢ οὔ; οὐδὲν πρόκριμα πρὸς τὴν παροῦσαν ὑπόθεσιν. δέδοικα δὲ μὴ ἐκ τῶν ὑπομνημάτων τούτων τινὲς λαβόμενοι ἐξουσίας, τοιαῦτα τολμήσωσιν. ἀξιῶ οὖν ὑμᾶς ἀποκρίνασθαι. Νεκτάριος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· ἐπαινετῶς εἰσηγήσατο ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀραβιανός· οὐ μὴν δυναμένης δίκης ἐξομοιοῦσθαι τὸ παρελθὸν, μὴ κατακρίναντες, τὸ ἑξῆς ἀσφαλισώμεθα. Ἀραβιανὸς ἐπίσκοπος Ἀγκύρας εἶπε. τὸ παρελθὸν ἡ τῶν μακα-

καρίων πατέρων τῶν ἐν Νικαίᾳ συνόδος κατακρίνει, ἡ κελεύουσα μὴ ἐλάττους εἶναι τριῶν, τοὺς χειροτονοῦντας, μηδὲ ἀπόντος τοῦ μητροπολίτου. τοῦ δὲ μέλλοντος ἕνεκεν δεδοικὼς ἐγὼ, τὴν ἐρώτησιν ἐποιησάμην. ἀξιῶ οὖν ὑμᾶς σαφῶς διαλαλῆσαι, καὶ μήτε ἠρτημένως, μήτε ἀμφιβόλως, ὥστε μὴ ἐξεῖναι ὑπὸ δύο ἀνθρώπων, μήτε χειροτονεῖσθαι μήτε καθαιρεῖσθαι ἐπίσκοπον, ἀκολούθως τῇ ἐν Νικαίᾳ συνόδῳ. καὶ μεθ' ἕτερα, Θεόφιλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν, ἐπὶ τῶν ἀπελθόντων οὐ δυνατὸν ψῆφον ἐκφέρει ἀγανακτήσεως· ἐπειδήπερ μὴ παρόντες κατεκρίθησαν εἰ μεύτοιγε περὶ τῶν μελλόντων διασκοποίη τις τῶν ὀφειλόντων καθαιρεῖσθαι, φαίνεται μὴ μόνον τρεῖς παρεῖναι προσήκειν, ἀλλ' εἰ δυνατὸν τοὺς πάντας ἐπαρχεώτας, ἵνα τῇ τῶν πολλῶν ψήφῳ, ἀκριβεστέρα ἡ κατάκρισις τοῦ ἀξίου τῆς καθαιρέσεως δεικνύηται παρόντος καὶ κρινομένου. Νεκτάριος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπε· νομίμων εἰσηγήσεων καὶ δογμάτων πρυτανευομένων ἀκόλουθον οὐ διὰ προσώπων τινὰς αἰτίας τὰ τοιαῦτα δογματίζεσθαι. τοιγαροῦν καθάπερ ὁ ἁγιώτατος ἐπίσκοπος Ἀραβιανὸς εἰσηγήσατο, τὰ μέλλοντα ἀσφαλίσασθαι βουλόμενος, ἀκολούθως καὶ φιλανθρώπως ἡ τοῦ ἁγιωτάτου ἐπισκόπου Θεοφίλου ψῆφος διωρίσατο μὴ χρῆναι πρὸς τὸ ἑξῆς μηδὲ παρὰ τριῶν μή τοίγε παρὰ δύο τὸν ὑπεύθυνον δοκιμαζόμενον καθαιρεῖσθαι. ἀλλὰ γὰρ πλείονος συνόδου ψήφῳ καὶ τῶν τῆς ἐπαρχίας, καθὼς οἱ ἀποστολικοὶ κανόνες διωρίσαντο. Φλαβιανὸς ἐπίσκοπος Ἀντιοχείας εἶπεν· ὅπερ κατέθεντο οἱ περὶ τὸν ἁγιώτατον ἐπίσκοπον Νεκτάριον, καὶ τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἐπίσκοπον Θεόφιλον, δῆλα. καὶ στέργομεν πάντες οἱ ἐκκλησιαστικοί.

ΣΥΝΟΔΟΣ ΕΝ ΚΑΡΘΑΓΕΝΗ,

ἐπὶ Αὐρηλίου.

ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

ΘΕΟΔΟΣΙΟΥ γοῦν καὶ Νεκταρίου μεθαρμοσθέντων πρὸς τὰ οὐράνια· τοῦ μὲν τὴν Βασιλείαν ὁ υἱὸς Ἀρκάδιος διαδέχεται· Γρατιανοῦ δὲ, ὁ ἀδελφὸς Ἀρκαδίου Ὀνώριος. Ἐν οἷς χρόνοις ἐν Καρθαγένῃ συνόδος τοπικὴ καὶ ἱερὰ συναθροίζεται, πατέρων ἑκατὸν εἴκοσι καὶ ἑπτὰ συνέλευσιν φέρουσα· κατὰ * εἰδόλων Δονατιστῶν, καὶ ἄλλης ἑκάστης αἱρέσεως, καὶ τῶν ἐκτόποις ἐκείνοις ἀτόποις σφαλμάτων, τὰς πράξεις ποιήσασα. Ἧς ἡγεῖτο Αὐρήλιος ὁ Καρθαγένης ἐπίσκοπος. Καὶ κανόνας ἱεροὺς ἐκθεμένη καὶ θείους, ἕως καιρῶν τοῦ μικροῦ Θεοδοσίου διήρκεσε.

χρόνοι Χριστοῦ 399.

Ἐκ τῆς ἐκτεθείσης ὑπὸ τῶν κατ' Αἴγυπτον καὶ Ἀλεξάνδρειαν ἐπισκόπων συνοδικῆς ἐπιστολῆς κατὰ τῶν Ὠριγένους δογμάτων.

ΟΥ τος τοίνυν ὁ προκείμενος Ὠριγένης, καθάπερ τὸ τῆς ἐρημώσεως βδέλυγμα ἐν μέσῳ τῆς ἀληθοῦς ἐκκλησίας γεγένηται. καὶ πρεσβύτερος χειροτονηθεὶς ὑπὸ τῆς κανονικῆς τε καὶ μιᾶς χειρὸς ἀληθινῆς, εἶχε τὸ ἀξίωμα τοῦ πρεσβυτέρου ψιλόν τε καὶ μόνον. καθάπερ καὶ τὸ τῆς ἀποστολῆς εἶχεν ὁ κλέπτης καὶ προδότης Ἰούδας. ἀρξαμένου γὰρ αὐτοῦ βλασφήμους ὁμιλίας ὁμιλεῖν, ὁ κατ' ἐκεῖνο μακαρίτης Ἡρακλᾶς ὁ ἐπίσκοπος, ὡς ἀροτὴρ καὶ ἀμπελουργὸς φιλαλήθης τοῦ τῆς ἐκκλησίας χωρίου τυγχάνων, ἐκ μέσου τοῦ καλοῦ σίτου τοῦτον ἐξέτιλεν, ὡς τοῦ πονηροῦ ζιζανίου ὄντα ἀληθῶς. καὶ μετ' ὀλίγα. ἐκπεσὼν οὖν οὗτος ἐπὶ τὴν γῆν οὐρανόθεν ὡς ἀστραπὴ, καθάπερ ὁ τούτου πατὴρ ὁ διάβολος, θυμοῦ πνέων πολλοῦ καὶ δεινοῦ κατὰ τῆς ἀληθείας, ἐπὶ τὴν καλουμένην Παλαιστίνην χώραν ἔπλευσε· καὶ καθίσας ἐν τῇ Καισαρέων μητροπόλει, κἀκεῖθεν τὸ προσωπεῖον ἀποκαλύψας ὅλον ἐξ ὅλου τοῦ καλύμματος, καθάπερ ὁ ἰχθὺς ἡ σηπία παρά τισι καλουμένη, ὅπερ αὐτοῦ καθ' ἡδονὴν ἐτύγχανε, σκοτεινόντε καὶ μέλανα βίου ἰὸν ἐξεμέσας ἐκεῖσε ἐγγράφως ἀπετυπώσατο· καὶ καθάπερ Ἰουδαϊκὸς κάπηλος προσχήματι ἀγαθοῦ πικρῷ γλυκὺ κατέμιξε. τί γὰρ ὁ κακομήχανος, καὶ μανιώδης λέγει; ἦν φησι πρὸ σώματος ἡ ψυχὴ ἐν οὐρανοῖς προοῦσα. κἀκεῖσε φησὶν ἁμαρτήσασαν ἐν φυλακῇ κατήγγισε, τουτέστιν ἐν τῷ σώματι κατέπεμψεν, εἰς καθαρισμὸν φησὶ καὶ σωφρονισμὸν τῶν ἐν οὐρανοῖς αὐτῇ γεγενημένων ἁμαρτημάτων. πρῶτον ἔνθεν εὐθὺς ὁ ἀσεβέστατος μυθολογεῖ, καὶ μάχεσθαι τῇ ἀληθείᾳ θέλει. καὶ μετ' ὀλίγα· Εἰ δὲ προὴν ἡ ψυχὴ ἐν τοῖς οὐρανοῖς, καὶ προημάρτηκεν ἐκεῖσε, καθὼς Ὠριγένης ὁ μανιώδης καὶ θεομάχος ἔφησεν, ἔδει μὴ λέγειν τὸν ἁγιώτατον προφήτην, καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ, ἀλλὰ μᾶλλον· καταγγίζων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ, ἢ τάχα καταπέμπων. νῦν δὲ μὴ τοῦτο λέγων, ἀλλὰ πλάσσων ἐν αὐτῷ, δείκνυσι τοῦτον λύκον ὄντα βαρύτατον, ἐνδεδυμένον ἔξωθεν πρὸς ἀπάτην ἀπωλείας τὰ κώδια. ὡς οὐρανόθεν γὰρ ὁ ἐπίληπτος, καὶ τὰ ἐκεῖσε διατετυπωμένα ἐπιστάμενος προφανῶς, οὐ μόνον προοῦσαν, ἀλλὰ καὶ προημαρτηκέναι τὴν ψυχὴν λέγει.

ΕΠΙΣΤΟΛΗ ΙΝΝΟΚΕΝΤΙΟΥ ΡΩΜΗΣ

χρόνοι Χριστοῦ 403.

Ἀρχιερέως πρὸς Ἀρκάδιον αὐτοκράτορα.

ΦΩΝΗ αἵματος τοῦ ἀδελφοῦ μου Γωάννου βοᾶ πρὸς τὸν Θεὸν κατὰ σοῦ βασιλεῦ, ὥς ποτε Ἄβελ τοῦ δικαίου κατὰ τοῦ ἀδελφοκτόνου Κάϊν, καὶ παντὶ τρόπῳ ἐκδικηθήσεται. οὐ μόνον δὲ τοῦτο πέπραχας, ἀλλὰ καὶ ἐν καιρῷ εἰρήνης διωγμὸν μέγαν κατὰ τῆς τοῦ Θεοῦ ἐκκλησίας καὶ τῶν ἱερέων αὐτοῦ συνεστήσω. ἐξέωσας τὸν μέγαν τῆς οἰκουμένης διδάσκαλον τοῦ θώκου τῆς ἐπισκοπῆς αὐτοῦ ἀκρίτως, συνεκδιώξας αὐτῷ καὶ τὸν Χριστόν. Οὔτε γὰρ οὕτως ὀδύρομαι περὶ ἐκείνου. οὗτος γὰρ τὸν κλῆρον ἔλαχε μετὰ τῶν ἁγίων ἀποστόλων ἐν τῇ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Γησοῦ Χριστοῦ βασιλείᾳ. ἀλλὰ θλίβομαι φροντίζων, πρῶτον μὲν, τῆς σωτηρίας τῶν ὑμετέρων ψυχῶν καὶ περὶ τῶν στερηθέντων καὶ λιμωξάντων τῆς ἐκείνου πανσόφου καὶ πνευματικῆς θείας διδαχῆς καὶ νουθεσίας. οὐ γὰρ μόνον ἡ Κωνσταντινουπολιτῶν ἐκκλησία ἐζημιώθη τῆς ἐκείνου μελιρρύτου γλώττης, ἀλλὰ καὶ πᾶσα ἡ ὑφήλιος ἐχήρευσεν ἀπολέσασα τοιοῦτον ἔνθεον ἄνδρα. πειθηνίας μιᾶς γυναικὸς παραχωρησάσης τοῦτο γενέσθαι τὸ δρα-

αὕτη ἡ ἐπιστολὴ νόθος κηρύσσεται παράτισι.

μα-

ματούργημα. πλὴν ἐκδέξηται τὴν ἐντεῦθεν τιμωρίαν καὶ τὴν μέλλουσαν ἀτελεύτητον κόλασιν, οὐ μετὰ πολλὰς ἡμέρας ἐπερχομένην αὐτῇ. Εἰ καὶ γὰρ ὁ μακάριος Ἰωάννης τὸν βίον κατέλιπε, τὴν πίστιν τηρήσας, καὶ στηρίξας τοὺς σαλευομένους, ἀλλ' εἰς ἀλήκτους αἰῶνας τὴν ἀδαπάνητον τρυφὴν καὶ ἀθάνατον ζωὴν ἐκληρονόμησεν. ἡ δὲ νέα Δαλιδὰ Εὐδοξία ἡ κατὰ μικρὸν τῷ ξυρῷ τῆς πλάνης ξυρήσασά σε, ἐπήγαγεν ἑαυτῇ κατάραν ἐκ πολλῶν στομάτων, δεσμεύσασα φορτίων ἁμαρτημάτων βαρὺ καὶ δυσβάστακτον προσθεῖσα τοῦτο τοῖς πρώην αὐτῆς ἁμαρτήμασι. διὸ ἐγὼ ὁ ἐλάχιστος, καὶ ἁμαρτωλὸς ὡς πιστευθεὶς τὸν θρόνον τοῦ μεγάλου ἀποστόλου Πέτρου, ἀφορίζω σέ τε, κἀκείνην τῆς μεταλήψεως τῶν ἀχράντων μυστηρίων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. οὐ μὴν ἀλλὰ καὶ παντοῖον ἐπίσκοπον ἢ κληρικὸν ὄντα τοῦ τάγματος τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας τολμῶντας ἐπιχειρῆσαι καὶ μεταδοῦναι ὑμῖν, ἀφ' ἧς ὥρας ἀναγνωτέμου τὸν πεμφθέντα σύνδεσμον, ὑπὸ καθαίρεσιν εἶναι. Εἰ δὲ βιάσησθέ τινα ὡς ἐξουσιασταὶ καὶ παρεξέλθητε τοὺς δοθέντας ὑμῖν κανόνας παρὰ τοῦ σωτῆρος διὰ τῶν ἁγίων ἀποστόλων, ἔσεσθε ἐπιστάμενοι, ὡς πρῶτον μὲν οὐ μικρὸν ὑμῖν τὸ ἁμάρτημα γενήσεται ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, οὔτε οὐ δυνήσεται ἀξίωμα βιωτικόν τινα ὠφελῆσαι. ἐκείνων δὲ τὰ ἐντὸς ἐκχυθήσονται πρὸς ὑπόδειγμα πάντων, Ἀρσάκιον δὲ, ὃν εἰσάγετε εἰς τὸν θρόνον τῆς ἐπισκοπῆς ἀντὶ τοῦ μεγάλου Ἰωάννου, καὶ μετὰ θάνατον καθαιρούμεν σὺν πᾶσι τοῖς συνκοινωνήσασιν αὐτῷ ἐπισκόποις. οὔ τινος μηδὲ τὸ ὄνομα αὐτοῦ ἐγγραφήτω τοῖς ἱεροῖς διπτύχοις. ἀνάξιος γάρ ἐστιν, ὡς μοιχεύσας τὴν ἐπισκοπήν. πᾶσα γὰρ φυτεία μὴ φυτευθεῖσα παρὰ τοῦ πατρὸς ἡμῶν τοῦ ἐν οὐρανοῖς ἐκριζωθήσεται. προστιθέμεθα δὲ τῇ καθαιρέσει Θεοφίλου ἀφορισμὸν, καὶ τελείαν ἀλλοτρίωσιν τοῦ Χριστιανισμοῦ.

ΕΠΙΣΤΟΛΗ ΑΡΚΑΔΙΟΥ ΑΥΤΟΚΡΑτορος πρὸς Ἰννοκέντιον Ῥώμης ἀρχιερέα.

ΠΑΝΤΕΣ ἄνθρωποι ἴσασιν οἱ εὐφρονοῦντες ὅτι περ τὰ κατὰ ἄγνοιαν γινόμενα οὔτε Θεός, οὔτε νόμοι κολάζουσιν. ἀλλ' οὐδέ τις ὑπὲρ ἑτέρου δίκην εἰσπράττεται. ὅθεν ταῦτα γέγραφα πληροφορῶν τὴν ὑμετέραν πρᾳότητα, ὡς ἐπιμαρτυροῦντος τοῦ φιλανθρώπου Θεοῦ, οὐκ ἔγνων τι τῶν συμβάντων τῆς ἡμετέροις ἐπισκόποις καὶ κληρικοῖς, ἀλλ' ἀθῶός εἰμι τοῦ κρίματος αὐτῶν. εἰ γὰρ ἤμην συμμέτοχος αὐτῶν εἰς τοῦτο οὐκ εἶχον τούτους κακῶσαι. περὶ δὲ τῆς σῆς θυγατρὸς Εὐδοξίας, γνῶθι ὅτι καὶ αὐτῇ ἀνταπέδωκα κατὰ τὸ σφᾶλμα αὐτῆς οὐ μετρίως, ὡς ἐκ τῆς τοιαύτης λύπης καὶ θλίψεως ἐν ἀῤῥωστίᾳ βαρυτάτῃ κατακεῖσθαι αὐτήν. παρακαλῶ λοιπὸν, ἵνα τοῦ ἀφορισμοῦ λύσῃς ἡμᾶς, καὶ μὴ ἐκδικήσῃς πολλαχῶς. οὐ γὰρ πατάξει κύριος δὶς ἐπὶ τὸ αὐτό.

ΟΝΩΡΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ

Ἐπιστολὴ πρὸς Ἀρκάδιον τὸν ἀδελφόν.

ΟΥΚ οἶδα ποῖα ἀνταρτικὴ καὶ δαιμονιώδης ἐνέργεια παρέπεισέ σε, ἀδελφὲ, γυναικὶ καταπιστεῦσαι σαυτὸν, καὶ διαπράξασθαι τοιαῦτα, οἷα οὐδεὶς ἄλλος εὐσεβὴς Χριστιανῶν διεπράξατο βασιλεύς. καὶ γὰρ καὶ οἱ ἐνταῦθα ὁσιώτατοι τῶν ἐπισκόπων τῆς ὑμῶν καταβοῶσι βασιλείας, ὅτι τε τὸν μέγαν τοῦ Θεοῦ ἀρχιερέα Ἰωάννην ἀκρίτως καὶ ἀκανονίστως τοῦ τῆς ἐπισκοπῆς θρόνου κατενεγκόντες, καὶ πικροτάταις ἐξορίαις, καὶ ἀφορήτοις αἰκίαις ὑποβαλόντες, βιαίως τοῦ ζῆν ἐστερήσατε. καὶ ὅτι τοὺς τοποτηρητὰς τῆς Ῥωμαίων ἐκκλησίας, τοὺς εἰς ὑμετέραν τιμὴν καὶ τῆς δικαιοκρισίας βεβαίωσιν σταλέντας, καὶ ἐπιστολὰς ἐντεῦθεν ἐπὶ λυσιτελείᾳ τῶν πάντων ἐπιφερομένους, ἐφ' οἷς οὐδὲν ἐφιλανθρωπεύσασθε, ἔτι καὶ * φρουρίοις διαφόροις ἐγκατακλείοντες, καὶ λιμῷ διαφθείροντες, καὶ ἃ μεθ' ἑαυτῶν ἐπεφέροντο ἀργύρια εἰς ἐφόδιον χρείας σωματικῆς, καὶ ταῦτα ἀφελεῖν αὐτῶν διετάξασθε, καταβοῶντας ὑμῶν πρὸς τὸν Θεὸν καὶ καταστενάζοντας παρ' οὐδὲν ἡγησάμενοι. πρὸς δὴ τούτοις, τῶν ἀποστολικῶν ἐνταλμάτων λόγον οὐδένα ποιούμενοι, ἐπισκόπους ὁσίους ἀνοσίως καθαιροῦντες, καὶ μυρίαις κακώσεσι καὶ ὑπερορίαις ἀδίκως καταδικάζοντες, ἄλλους ἀντ' αὐτῶν ἀναξίους ἀναξίως ἐγκαθιδρύεσθε. σπεῦσον οὖν, ἀδελφὲ, μὴ λόγοις, ἀλλ' ἔργοις καὶ Θεὸν καὶ ἀνθρώπους τὴν διόρθωσιν τῶν οὐκ ὀρθῶς πραχθέντων ἤδη πληροφορεῖν. πληροφορούμενος καὶ αὐτὸς, ὡς αἱ τῶν ἱερέων προσευχαὶ τὴν ἡμετέραν στερεοῦσι βασιλείαν, καὶ κατευθύνουσιν. ἔῤῥωσο.

ΑΡΚΑΔΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΕΠΙΣΤ.

ΟΛΩΣ οὐδὲν ἀρχιερεῦ τοῦ Θεοῦ, οὔτε τῶν εἰς τοὺς πρέσβεις τετολμημένων διέγνωκα, καὶ δῆλον ἐξ ὧν τοὺς αἰτίους οὐ κατὰ πάρεργον ἠμυνάμην, οὔτε τῆς κατὰ τὸν μέγαν Ἰωάννην καθαιρέσεως κατέστην ὑπαίτιος, ἀλλ' ἐπίσκοποι δείλαιοι, οἳ κανόνας δῆθεν ἐκκλησιαστικοὺς προτεινάμενοι, τὸ κρίμα τῆς ἐκείνου καθοσιώσεως ἐπὶ τὰς ἑαυτῶν βεβήλους κεφαλὰς ἀνεδέξαντο. ὧν τοῖς λόγοις οὐκ οἶδ' ὅπως ὑποσυρεὶς καὶ αὐτὸς, τῇ αὐτῶν ὡς οὐκ ὤφελον ἀθεωτάτη ἐπένευσα ψήφῳ. ἀνθ' ὧν ἐκεῖνοι μᾶλλον ἡμῶν ὑπεύθυνοι, ὧν καὶ τοὺς ἔτι πρὸς ἡμᾶς ἐνδημοῦντας Ἀκάκιόν τε καὶ Σεβηριανὸν, καὶ τοὺς πρὸς γένους τοῦ πονηροῦ Θεοφίλου τυγχάνοντας, πέπομφά σου τῇ ὁσιότητι. γράψω δὲ καὶ Θεοφίλῳ, βιαίῳ τάχει καταλαβεῖν τὰ αὐτόθι, τοῦ δοῦναι δίκην τοῖς τολμηθεῖσιν ἁρμόδιον. ἐφ' ἡμῖν δὲ ἡ σὴ πατρικὴ φιλανθρωπία παρακληθείη. καὶ μὴ ἀμοίρους τῶν ἀχράντων μυστηρίων ἐάσῃς. ἰδοὺ γὰρ καὶ τὸ τέκνον σου Εὐδοξίαν ἀνθ' ὧν ἥμαρτεν, ἠμυνάμην. ἢ καὶ βαρυτάταις ἐντεῦθεν ἀῤῥωστίαις περιπεσοῦσα, κλινήρης κατάκειται. μὴ οὖν πολλαχῶς ἐκδικήσῃς, ὦ τιμιώτατε πάτερ. οὐδὲ γὰρ κύριος * διεκδικῶν ἐπὶ τὸ αὐτὸ, καθὰ γέγραπται. πῶς δὲ καὶ τὸ τῆς μετανοίας καλὸν, εἰ μὴ συγγνώμη τοῖς μεταμελομένοις ἐπιβραβεύεται; εἰ μὲν οὖν τῶν μετα-

μετανοούντων οὐκ ἦμεν, εἰκότως ἡμῖν καὶ τὰ τῆς συγγνώμης ἐναπεκλείετο. εἰ δὲ φθάσαντες ἐφ' οἷς ἐπράξαμεν ἑαυτῶν κατέγνωμεν, μηδὲ τοῦ τῆς μετανοίας καλοῦ, τῆς συγχωρήσεως ἀποτύχωμεν.

ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ

Ἐπισκόπου Κωνσταντινουπόλεως πρὸς Ἰννοκέντιον Ῥώμης κατὰ τῆς μοχθηρίας Θεοφίλου Ἀλεξανδρείας.

Τῷ δεσπότῃ μου τῷ αἰδεσιμωτάτῳ καὶ ὁσιωτάτῳ ἐπισκόπῳ Ἰννοκεντίῳ Ἰωάννης ἐν κυρίῳ χαίρειν.

1. Καὶ πρὸ τῶν γραμμάτων οἶμαι τῶν ἡμετέρων ἀκηκοέναι τὴν εὐλάβειαν ὑμῶν τὴν παρανομίαν τὴν ἐνταῦθα τολμηθεῖσαν. τὸ γὰρ μέγεθος τῶν δεινῶν οὐδὲ ἓν μέρος σχεδὸν τῆς οἰκουμένης ἀφῆκεν ἀνήκοον εἶναι τῆς χαλεπῆς ταύτης τραγῳδίας. καὶ γὰρ εἰς αὐτὰς τῆς γῆς τὰς ἐσχατιὰς φέρουσα ἡ φήμη τὰ γενόμενα, πολὺν πανταχοῦ θρῆνον καὶ ὀλοφυρμὸν εἰργάσατο. ἀλλὰ ἐπειδὴ οὐ θρηνεῖν δεῖ μόνον, ἀλλὰ καὶ διορθοῦν καὶ σκοπεῖν ὅπως ἂν ὁ χαλεπώτατος οὗτος τῆς ἐκκλησίας σταίη χειμών· ἀναγκαῖον εἶναι ἐνομίσαμεν τοὺς κυρίους μου τοὺς τιμιωτάτους καὶ εὐλαβεστάτους ἐπισκόπους Δημήτριον, Πανσόφιον, Πάππον, καὶ Εὐγένιον πεῖσαι τάς τε ἑαυτῶν ἐκκλησίας ἀφεῖναι, καὶ πελάγους * κατατολμῆσαι τοιούτου, καὶ μακρὰν ἀποδημίαν στείλασθαι, καὶ πρὸς τὴν ἡμετέραν * ἀναδραμεῖν ἀγάπειν, καὶ πάντα σαφῶς ἀναδιδάξαντας, ταχίστην παρασκευάσαι γενέσθαι τὴν διορθωσιν· οἷς καὶ τοὺς τιμιωτάτους ἀγαπητοὺς τοὺς διακόνους Παῦλον καὶ Κυριακὸν συνεπέμψαμεν· καὶ αὐτοὶ δὲ ὡς ἐν εἴδει ἐπιστολῆς, ἐν βραχεῖ διδάξομεν ὑμῶν τὴν ἀγάπην τὰ γεγενημένα.

2. Ὁ γὰρ τῆς ἐκκλησίας τῆς ἐν Ἀλεξανδρείᾳ τὴν προεδρίαν ἐγχειρισθεὶς Θεόφιλος, ἐντυχόντων τινῶν τῷ * εὐσεβεστάτῳ βασιλεῖ κατ' αὐτοῦ, κελευσθεὶς ἀφικέσθαι μόνος, συναγαγὼν μεθ' ἑαυτοῦ πλῆθος Αἰγυπτίων οὐκ * ὀλίγον, παραγίνεται, καθάπερ ἐκ προοιμίων δεῖξαι βουλόμενος, ὅτι εἰς πόλεμον καὶ παράταξιν ἀφικνεῖται. εἶτα τῆς μεγάλης καὶ θεοφιλοῦς Κωνσταντινουπόλεως ἐπιβὰς, οὐκ εἰς ἐκκλησίαν εἰσῆλθε κατὰ τὸ εἰωθὸς, καὶ τὸν ἄνωθεν κρατήσαντα θεσμὸν, οὐχ ἡμῖν συνεγένετο, οὐ λόγου μετέδωκεν, οὐκ εὐχῆς, οὐ κοινωνίας· ἀλλ' ἀποβὰς τοῦ πλοίου, καὶ τὰ πρόθυρα τῆς ἐκκλησίας παραδραμὼν, ἔξω που τῆς πόλεως ἀπελθὼν ἠυλίζετο· καὶ πολλὰ παρακαλεσάντων ἡμῶν, καὶ αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ παραγενομένους παρ' ἡμῖν καταχθῆναι (καὶ γὰρ ἅπαντα ἠυτρέπιστο, καὶ καταγώγια, καὶ ὅσα εἰκὸς ἦν, οὔτε ἐκεῖνοι, οὔτε αὐτὸς ἠνέσχετο, ταῦτα ὁρῶντες ἡμεῖς, καὶ ἐν ἀπορίᾳ ἦμεν πολλῇ, μηδὲ τὴν αἰτίαν δυνάμενοι τῆς ἀδίκου ταύτης * ἀπεχθείας εὑρεῖν· ἀλλ' ὅμως τὰ παρ' ἑαυτῶν ἐπληροῦμεν, τὸ πρέπον ἡμῖν αὐτοῖς ποιοῦντες, καὶ συνεχῶς αὐτὸν παρακαλοῦντες συγγενέσθαι τε ἡμῖν, καὶ εἰπεῖν τίνος ἕνεκεν τοσοῦτον ἐκ προοιμίων ἀνερρίπισε πόλεμον, καὶ τηλικαύτην ἐσκανδάλισε πόλιν. ὡς δὲ οὐδὲ οὕτως ἠβούλετο λέγειν τὴν αἰτίαν, οἵτε κατηγοροῦντες αὐτοῦ ἀπέκειντο, καλέσας ἡμᾶς ὁ εὐσεβέστατος βασιλεὺς ἐκέλευσε πέραν ἔνθα διέτριβεν ἀπιέναι, καὶ τῆς κατ' αὐτὸν ἀκούειν ἐποθέσεως. καὶ γὰρ καὶ ἐφόδον, καὶ σφαγὰς, καὶ ἕτερα ἐνεκάλουν μυρία. ἀλλ' ἡμεῖς καὶ τοὺς νόμους τῶν πατέρων, καὶ τὸν ἄνδρα αἰδούμενοι καὶ τιμῶντες, καὶ αὐτοῦ δὲ τὰ γράμματα ἔχοντες τὰ δηλοῦντα μὴ δεῖν ὑπερορίους ἕλκεσθαι τὰς δίκας, ἀλλ' ἐν ταῖς ἐπαρχίαις τὰ τῶν ἐπαρχιῶν γυμνάζεσθαι, οὐ κατεδεξάμεθα δικάσαι, ἀλλὰ καὶ μετὰ πολλῆς παρητησάμεθα τῆς σφοδρότητος. ὁ δὲ ὥσπερ τοῖς προτέροις ἐπαγωνιζόμενος, τὸν ἀρχιδιάκονον καλέσας τὸν ἐμὸν ἐξ αὐθεντίας πολλῆς, ὥσπερ ἤδη χηρευούσης τῆς ἐκκλησίας, καὶ οὐκ ἐχούσης ἐπίσκοπον, δι' ἐκείνου τὸν κλῆρον ἅπαντα πρὸς ἑαυτὸν μετέστησε. καὶ ἀνάστατοι αἱ ἐκκλησίαι ἐγένοντο, ἀπαγομένων τῶν ἐν ἑκάστῃ κληρικῶν, καὶ παρασκευαζομένων λιβέλλους * διδόναι καθ' ἡμῶν, καὶ πρὸς κατηγορίαν ἀλειφομένων.

3. Καὶ ταῦτα ποιήσας ἔπεμπε, καὶ ἐκάλει ἡμᾶς εἰς δικαστήριον, μηδέπω τὰς καθ' ἑαυτοῦ ἀποδυσάμενος αἰτίας, ὃ μάλιστα καὶ παρὰ κανόνας, καὶ παρὰ πάντας τοὺς νόμους ἦν· ἀλλ' ἡμεῖς συνειδότες ὅτι οὐ πρὸς δικαστήριον ἀφικνούμεθα, (ἢ γὰρ ἂν μυριάκις παρεγενόμεθα) ἀλλὰ πρὸς ἐχθρὸν καὶ πολέμιον, καθάπερ τάτε ἔμπροσθεν γεγενημένα καὶ τὰ μετὰ ταῦτα ἐδήλωσεν, ἀπεστάλκαμεν πρὸς αὐτὸν ἐπισκόπους, * τῶν Πισινούντων Δημήτριον, τῆς Ἀπαμείας Ἐλεύσιον, τῆς Ἀπιαρίας * Λουπικινὸν, πρεσβυτέρους δὲ Γερμανὸν καὶ Σεύηρον μετὰ τῆς προσηκούσης ἡμῖν ἐπιεικίας ἀποκρινόμενοι, καὶ λέγοντες μὴ παραιτεῖσθαι * κρίσιν, ἀλλ' ἐχθρὸν πρόδηλον καὶ πολέμιον φανερόν. ὁ γὰρ μηδέπω λιβέλλους δεξάμενος, καὶ τοιαῦτα ἐκ προοιμίων ποιήσας, καὶ ἀπορρήξας ἑαυτὸν * ἐκκλησίας, κοινωνίας, εὐχῆς, καὶ κατηγόρους ἀλείφων, καὶ κλῆρον μεθιστὰς, καὶ ἐκκλησίαν ἐρημῶν, πῶς ἂν ᾖ δίκαιος ἐπὶ τὸν τοῦ δικαστοῦ θρόνον ἀναβαίνειν οὐδαμόθεν αὐτῷ προσήκοντα; οὐδὲ γὰρ ἀκόλουθόν * ἐστι, τὸν ἐξ Αἰγύπτου, τοὺς ἐν Θρᾴκῃ δικάζειν, * καὶ τοῦτον ὑπεύθυνον αἰτίας ὄντα, καὶ ἐχθρὸν καὶ πολέμιον. ἀλλ' ὅμως οὐδὲν τούτων αἰδεσθεὶς, ἀλλ' ἅπερ ἐβεβούλευτο πληρῶσαι ἐπειγόμενος, ἡμῶν δηλωσάντων ὅτι ἕτοιμοί ἐσμεν καὶ ἑκατὸν καὶ χιλίων ἐπισκόπων παρόντων ἀποδύσασθαι τὰ ἐγκλήματα, καὶ δεῖξαι ὄντας καθαροὺς ἑαυτοὺς, ὥσπερ οὖν καὶ ἐσμεν, οὐκ ἠνέσχετο· ἀλλὰ ἀπόντων ἡμῶν, καὶ σύνοδον ἐπικαλουμένων, καὶ κρίσιν ἐπιζητούντων, καὶ οὐκ κρόασιν φευγόντων, ἀλλ' ἀπέχθειαν φανερὰν, καὶ κατηγόρους ἐδέχετο, καὶ τοὺς παρ' ἐμοῦ δεδεμένους ἔλυσε, καὶ παρ' αὐτῶν, ἐκείνων οὐδέπω τὰ ἐγκλήματα ἀπωδησαμένων, λιβέλλους ἐλάμβανε, καὶ ὑπομνήματα ἔπραττε, ἅπερ ἅπαντα παρὰ θεσμὸν καὶ κανόνων ἀκολουθίαν ἦν. τί δὲ δεῖ πολλὰ λέγειν; οὐκ ἀπέστη πάντα ποιῶν, καὶ πραγματευόμενος ἕως ἡμᾶς μετὰ δυναστείας καὶ αὐθεντίας πάσης, καὶ τῆς πόλεως καὶ τῆς ἐκκλησίας ἐξέβαλε. καὶ πρὸς ἑσπέραν βαθεῖαν τοῦ δήμου παντὸς ἡμῖν συσπηρομένου, ἑλκόμενος ὑπὸ τοῦ κυριωσοῦ τῆς πόλεως ἐν μέσῃ τῇ πόλει, καὶ πρὸς βίαν συρόμενος κατηγόμην, καὶ εἰς πλοῖον ἐνεβαλλόμην, καὶ διὰ νυκτὸς ἀπέπλεον, ἐπειδὴ σύνοδον πρὸς δικαίαν ἀκρόασιν προεκαλούμην. τίς ταῦτα ἀδακρυτὶ, κἂν λιθίνην ἔχῃ * καρδίαν, ἀκούσειεν;

4. Ἀλλ'

* Hamburg. ms. κατατολμῆν τοσοῦτο
* Coiff. ms. & Hamb. δραμεῖν
* In ms. εὐλαβεστάτῳ
* Ita ms. Amb. Alias autem, ὀλίγον
* Coiff. ms. ἐχθρὸν
* Coiff. ms. ἐπιδιδόναι
* In mss. τὸν Πισινοῦντος
* Apud Chrys. Λουπῖνον
* Iid. mss. κριτήριον
* Coiff. codex, ἐκκλησιαστικῆς κοινωνίας τε καὶ εὐχῆς
* Hamb. ms. cum Pallad. ἀκόλουθον ἦν
* Coiff. ms. κἂν ὑπεύθυνον αἰτιάσαντας καὶ ἐχθρὸν πολέμιον.
* Hamburg & Coiff. mss. διάνοιαν

4. Ἀλλ' ἐπειδὴ, καθάπερ ἔφθημεν εἰπών, ὕβρηνεῖν μόνον, ἀλλὰ καὶ διορθῶν δεῖ, παρακαλῶ τὴν ὑμετέραν ἀγάπην διαναστῆναι καὶ συναλγῆσαι, πάντα ποιῆσαι, ὥστε σβεσθῆναι ταύτῃ τὰ κακά. ὐδὲ γὰρ ἐνταῦθα τὰ τῆς παρανομίας ἀρτίως κατέλυσεν, ἀλλὰ καὶ μετὰ ταῦτα τοῖς πρότερον ἐπαπεδύετο. ἐπειδὴ γὰρ ὁ ἀσεβέστατος βασιλεὺς ἐπιπηδήσαντας αὐτοὺς τῇ ἐκκλησίᾳ ἀναιχμώπως καὶ ἀδίκως ἐξέβαλε, καὶ πολλοὶ τῶν παρόντων ἐπισκόπων ἰδόντες αὐτῶν τὴν παρανομίαν, εἰς τὰ ἑαυτῶν ἀνεχώρησαν, τὴν ἔφοδον αὐτῶν ὥσπερ πυράντινα πάντα ἐπινεμομένην φεύγοντες· ἡμεῖς μὲν πάλιν εἰς τὴν πόλιν ἀνεκαλούμεθα, καὶ εἰς τὴν ἐκκλησίαν, ἧς ἀδίκως ἐξεβλήθημεν, ἐπισκόπων τε ἡμᾶς πλειόνων ἢ τεσσάρακοντα εἰσαγόντων, καὶ τοῦ θεοσεβεστάτου βασιλέως νοτάριον εἰς τοῦτο ἀποστείλαντος· ἐκεῖνος δὲ ἐδραπέτευσεν ἀθέως, τίνος ἕνεκεν καὶ διὰ τί μὴ γινώσκοντες. εἰσελθόντες παρεκαλέσαμεν τὸν θεοσεβέστατον βασιλέα σωτῆρα σωαγαγεῖν εἰς ἐκδικίαν τῶν γεγυμνασμένων. σωνειδὼς τοίνυν ἃ ἔδρασε, καὶ τὸν ἔλεγχον δεδοικὼς, καὶ γραμμάτων βασιλικῶν πανταχοῦ διαπεμφθέντων πάντοθεν πάντας σωαγόντων, λάθρα μέσων νυκτῶν εἰς ἑκάστην ἐαυτὸν ἐμβαλὼν ὥτως ἀπέδρα, τοὺς μεθ' ἑαυτοῦ πάντας ἐσαγόμενος. ἀλλ' ἡμεῖς οὐδ' ὅπως ἀπέστημεν, διὰ τὸ τῷ σωνειδότι θαρρεῖν τῷ ἡμετέρῳ, τὰ αὐτὰ πάλιν παρακαλοῦντες τὸν ἀσεβέστατον βασιλέα· ὃς καὶ πρεπόντως αὐτοῦ ποιῶν τῇ ἀσεβείᾳ, ἔπεμψε πρὸς αὐτὸν πάλιν ἐν τάχει ἐξ Αἰγύπτου ἀνιέναι ἐπὶ τοὺς μετ' αὐτοῦ πάντας, ὥστε δοῦναι λόγον τῶν γεγυμνασμένων, καὶ μὴ τὰ ἀδίκως ὅπως ἐκ μιᾶς μοίρας, καὶ ἀπόντων ἡμῶν τολμηθέντα, καὶ παρὰ ποσότες κανόνας, νομίζειν ἀρκεῖν εἰς ἀπολογίαν * ἑαυτῷ. ὁ δὲ οὐδὲ τῶν βασιλικῶν ἠνέσχετο γραμμάτων, ἀλλ' ἔμενεν οἴκοι, προβαλλόμενος σάσιν τοῦ δήμου καὶ σπουδὴν ἀκμὴν τινων δοῦναι αὐτοῦ· καί τινες πρὸ τῶν γραμμάτων τῶν βασιλικῶν αὐτὸς ὅτος ὁ δῆμος μυρίαις αὐτὸν ἠδη πολλαῖς λοιδορίαις. ἀλλ' ὑπὲρ ταῦτα περιεργαζόμεθα νῦν. ἀλλ' ἐκεῖνο δεῖξαι βουλόμενοι, ὅτι κακουργῶν ἀπελείφθη, τοῦτο εἰρήκαμεν. πλὴν ὐδὲ μετὰ ταῦτα ἡμεῖς ἡσυχάσαμεν, * ἀλλ' ἐπεκείμεθα ἀξιοῦντες δικαστήριον γενέσθαι κατὰ πεῦσιν καὶ ἀπόκρισιν. ἕτοιμοι γὰρ ἦμεν δῶξαι ἑαυτοὺς τε ἀνδραποδώδεις ὄντας, ἐκείνους δὲ τὰ ἔσχατα παρανομήσαντας. καὶ γὰρ ἦσάν τινες Σύροι τῶν ποτε μετ' αὐτοῦ παρόντων ἐνταῦθα, ἀπολειφθέντες, οἳ * κοινῇ μετ' αὐτοῦ τὸ πᾶν ἐδραματούργησαν. καὶ πρὸς τούτους ἕτοιμοι ἦμεν δικάζεσθαι, καὶ πολλάκις ἰδιοχλήσαμεν ὑπὲρ τούτου, ἀξιοῦντες τὸ ὑπομνήματι ἡμῖν δοθῆναι, ἢ λιβέλλους κατηγορίων, ἢ φύσιν ἐγκλημάτων γνωσθῆναι, ἢ αὐτοὺς τοὺς κατηγόρους· καὶ οὐδενὸς τούτων τετυχήκαμεν, ἀλλὰ πάλιν ἐξωσθημεν τῆς ἐκκλησίας.

5. Πῶς ἂν τὰ ἐνταῦθα διηγησαίμην λοιπὸν πᾶσαν ὑπερβαίνοντα ἀγωγὴν; τίς ταῦτα παρασκὴν λόγος; ποία χωρὶς φθόνου δέξεται ἀκοή; ἡμῶν γὰρ αὐτὰ, καθάπερ ἔμπροσθεν εἶπον, προτεινόντων, ἀθρόον στρατιωτῶν πλῆθος αὐτῷ τῷ μεγάλῳ σαββάτῳ, πρὸς ἑσπέραν λοιπὸν τῆς ἡμέρας ἐπεγομένης, ταῖς ἐκκλησίαις * ἐπεισελθὸν, τὸν κλῆρον ἅπαντα τὸν σὺν ἡμῖν πρὸς βίαν ἐξέβαλον, καὶ ὅπλοις τὸ βῆμα περιεσοιχίζετο· καὶ γυναῖκες τῶν ἀκτενῶν οἰκῶν πρὸς τὸ βάπτισμα ἀποδυσάμεναι κατ' αὐτὸν τὸν καιρὸν, γυμναὶ ἔφυγον ὑπὸ τὸ φόβος τῆς χαλεπῆς ταύτης ἐφόδου, ὐδὲ τοῦ πρέπουσαν γυναιξὶν ἀσχημοσύνῃ συγχωρήσαι πειθέσθαι· πολλαὶ δὲ καὶ ῥεύματι διεξάμεναι ἐξεβάλλοντο, καὶ αἵματος αἱ κολυμβῆθραι ἐπληροῦντο, καὶ τὰ ἱερὰ ἀπὸ * τοιούτων τραυμάτων ἐφοινίσσετο νάματα. καὶ ὐδὲ ἐνταῦθα εἰσήκει τὸ δεινόν, ἀλλ' ἔνθα τὰ ἅγια ἀπέκειντο εἰσιόντες οἱ στρατιῶται, ὧν ἔνιοι, καθ' ὡς ἐγνώμεν, καὶ ἀμύητοι ἦσαν, πάντα ἐθεώρων τὰ ἔνδον, καὶ τὸ ἁγιώτατον αἷμα τοῦ Χριστοῦ, ὡς ἐν τοσούτῳ θορύβῳ, εἰς τὰ τῶν προειρημένων στρατιωτῶν ἱμάτια ἐξεχεῖτο· καὶ ὡς ἐν αἰχμαλωσίᾳ βαρβαρικῇ πάντα ἐσυλᾶτο. καὶ ὁ δῆμος πρὸς τὴν ἐρημίαν ἠλαύνετο, καὶ πᾶς ὁ λαὸς ἔξω τῆς πόλεως διέτριβε, καὶ ἦσαν ἐν ἑορτῇ τοιαύτῃ τῶν λαῶν αἱ ἐκκλησίαι ἐγίνοντο, καὶ πλείους ἢ τεσσαράκοντα ἐπίσκοποι οἱ κοινωνοῦντες ἡμῖν μετὰ τοῦ λαοῦ εἰχῇ καὶ μάτην ἠλαύνοντο. καὶ ὀλολυγαὶ καὶ οἰμωγαὶ, καὶ κωκυτοὶ καὶ θρῆνοι καὶ πηγαὶ δακρύων παντοῦ, κατὰ τὰς ἀγοράς, κατὰ τὰς οἰκίας, κατὰ τὰς ἐρημίας, καὶ τὸ πᾶν τῆς πόλεως μέρος τῶν συμφορῶν ἐπεπλήρωτο τύπων. διὰ γὰρ τὴν ὑπερβολὴν τῆς παρανομίας οὐκ οἱ πάσχοντες μόνον, ἀλλὰ καὶ οἱ μηδὲν τοιοῦτον ὑπομένοντες σωήλγουν ἡμῖν, οὐκ ὁμόδοξοι μόνον, ἀλλὰ καὶ οἱ αἱρετικοὶ, καὶ Ἰουδαῖοι, Ἕλληνες, καὶ ὡς τῆς πόλεως κατὰ κράτος ἁλώσης, ὅπως ἐν θορύβοις καὶ ταραχαῖς καὶ ὀλολυγαῖς ἅπαντα λάβῃ. καὶ ταῦτα ἐτολμᾶτο παρὰ γνώμην τοῦ ἀσεβεστάτου βασιλέως, νυκτὸς καταλαμβανούσης, ἐπισκόπων αὐτὰ κατασκαλζόντων, καὶ πολλαχοῦ στρατηγούντων, οἳ οὐκ ἠχθοῦντο καμπιδούκτορας ἀντὶ διακόνων προηγουμένους ἔχοντες. ἡμέρας δὲ θρυλουμένης, πᾶσα ἡ πόλις ἔξω τῶν τειχῶν μετῳκίζετο ὑπὸ δρύδρα καὶ νάπας, καθάπερ πρόβατα διεσπαρμένα, τῇ ἑορτῇ ἐπιτελοῦντες.

6. Ἔξεστιν ὑμῖν τὰ ἐντεῦθεν λογίσασθαι λοιπὸν ἅπαντα. ὥσπερ γὰρ προέφθημεν εἰπόν, οὐκ οἷόν τε πάντα ἐπελθεῖν τῷ λόγῳ τὰ καθ' ἕκαστον γενόμενα. καὶ τὸ δὴ χαλεπὸν, ὅτι τοσαῦτα καὶ τηλικαῦτα κακὰ οὐδέπω καὶ νῦν λύσιν ἔλαβεν, ἀλλ' οὐδὲ ἐλπίδα λύσεως· ἀλλ' ἐπιτείνεται καθ' ἑκάστην ἡμέραν τὸ δεινὸν, καὶ γέλως γεγόναμεν τοῖς πολλοῖς· μᾶλλον δὲ γελᾷ μὲν οὐδείς, κἂν μυριάκις παράνομος ᾖ, θρηνοῦσι δὲ πάντες, ὅπερ ἔφθην, τὸν κολοφῶνα τῶν κακῶν, τὴν ἀνομίαν ταύτην παρανομίαν. τίς ἂν εἴποι πώς τῶν λοιπῶν ἐκκλησιῶν ταραχάς; οὐδὲ γὰρ ἐνταῦθα ἔστη τὸ χαλεπόν· ἀλλὰ καὶ μέχρι τῆς ἑώας ἔφθασε. καθάπερ γὰρ ἀπὸ τῆς κεφαλῆς πονηροῦ ῥεύματος ἐκχυθέντος τὰ λοιπὰ διαφθείρεται μέλη, οὕτω δὴ καὶ νῦν ὥσπερ ἐκ πηγῆς τῆς μεγάλης ταύτης πόλεως τῶν κακῶν ἀρξαμένων, ὁδῷ τὰ τῶν θορύβων πανταχοῦ προέβη, καὶ κληρικοὶ πολλαχοῦ ἐπανέστησαν ἐπισκόποις, καὶ λαοὶ οἱ μὲν διετμήθησαν, οἱ δὲ μέλλουσι, καὶ πανταχοῦ τῶν κακῶν ὠδῖνες, καὶ τῆς οἰκουμένης ἁπάσης ἀναξοπή.

7. Μαθόντες τοίνυν ἅπαντα, κύριοί μου τιμιώτατοι καὶ ἀγαπητοὶ, τίνα προσήκουσαν ὑμῖν ἀνδρείαν καὶ σπουδὴν ἐπιδείξασθε; ὥστε παρανομίαν τοσαύτην ἐπεισελθοῦσαν ταῖς ἐκκλησίαις * ἀνασεῖλαι. εἰ γὰρ τοῦτο κρατήσειε τὸ ἔθος, καὶ ἐξὸν γένηται τοῖς βουλομένοις

* Pall. αὐτῷ

* Coiff. mf. ἀλλ' ἐπιθύμουν Hamb. ἀλλ' ἐνόμιζα.

* Coiff. mf. cum Hamb. καὶ pro κοινῇ.

* Hamb. mf. ἐπεισελθόντες . . . ἐξέβαλλον.

* Apud Chrys. τῶν αἱμάτων

* Coiffmf ἐπιτρέπειν

* Apud Chrys. παροικίας.

μένοις εἰς τὰς ἀλλοτρίας ἀπιέναι * ἐπαρχίας ἐκ τοσούτων διαστημάτων, καὶ ἐκβάλλειν οὓς ἂν ἐθέλοιεν, κατ' ἐξουσίαν ἰδίαν πράττοντες ἅπερ ἂν ἐθέλωσιν, ἴστε ὅτι πάντα οἰχήσεται, καὶ πόλεμός τις ἀκήρυκτος πάσαν ἐποιδραμεῖται τὴν οἰκουμένην, πάντων πάντας τε βαλλόντων καὶ βαλλομένων. ἵνα οὖν μὴ τοσαύτη σύγχυσις καταλάβῃ τὴν ὑφ' ἥλιον πᾶσαν, ἐπιστεῖλαι παρακλήθητι τὰ μὲν οὕτω παρανόμως γεγενημένα ἀπόντων ἡμῶν, καὶ ἐκ μιᾶς μοίρας, καὶ οὐ παραιτησαμένων κρίσιν, μηδεμίαν ἔχειν ἰσχὺν, ὥσπερ οὖν οὐδὲ ἔχει τὴν οἰκείαν φύσιν, τοὺς δὲ τοιαῦτα παρανομήσαντας ἐλεγχομένους τῷ ἐπιτιμίῳ ὑποβάλλεσθαι τῶν ἐκκλησιαστικῶν νόμων. ἡμᾶς δὲ τοὺς οὐχ ἁλόντας, οὐκ ἐλεγχομένους, οὐκ ἀποδειχθέντας ὑπευθύνους, τῶν γραμμάτων τῶν ὑμετέρων δότε ἀπολαύειν συνεχῶς καὶ τῆς ἀγάπης, καὶ πάντων τῶν ἄλλων, ὧνπερ καὶ ἔμπροσθεν. εἰ δὲ βούλοιντο καὶ νῦν οἱ τὰ τοιαῦτα παρανομήσαντες ἐγκλήματα γυμνάζειν, ἐφ' οἷς ἡμᾶς ἀδίκως ἐξέβαλον, ὑπομνημάτων ἡμῖν δοθέντων οὐ λιβέλλων, κατηγόρων φανέντων, δικαστηρίου καθίσαντος ἀδεκάστου, καὶ δικασόμεθα, καὶ ἀπολογησόμεθα, καὶ ἀποδείξομεν ἑαυτοὺς ἀνευθύνους τῶν ἐπαγομένων ἡμῖν, ὥσπερ οὖν καὶ ἐσμέν. τὰ γὰρ νῦν * γεγενημένα παρ' αὐτῶν πάσης ἐκτός ἐστιν ἀκολουθίας καὶ παντὸς νόμου καὶ κανόνος ἐκκλησιαστικοῦ. καὶ τί λέγω κανόνος ἐκκλησιαστικοῦ; οὐδὲ ἐν τοῖς * ἔξω μὲν οὖν δικαστηρίοις τοιαῦτα ἐτολμήθη ποτὲ, μᾶλλον δὲ οὐδὲ ἐν βαρβαρικῷ δικαστηρίῳ, οὐδὲ Σκύθαι, οὐδὲ Σαυρόμαται οὕτως ἄν ποτε ἐδίκασαν, ἐκ μιᾶς μοίρας κρίναντες, ἀπόντος τοῦ αἰτιωμένου, παραιτουμένου οὐ κρίσιν, ἀλλ' ἀπέχθειαν, καλοῦντος δικαστὰς μυρίους, ἀνεύθυνον ἑαυτὸν εἶναι λέγοντος, καὶ τῆς οἰκουμένης παρούσης ἀποδύσασθαι τὰς αἰτίας, καὶ δεῖξαι ἑαυτὸν ἐν ἅπασιν ἀθῷον ὄντα. ταῦτα οὖν πάντα λογισάμενοι, καὶ παρὰ τῶν κυρίων μου τῶν εὐλαβεστάτων ἀδελφῶν ἡμῶν τῶν ἐπισκόπων σαφέστερον ἅπαντα μαθόντες, τὴν παρ' ἑαυτῶν ἡμῖν εἰσενεγκεῖν σπουδὴν παρακλήθητε. οὕτω γὰρ οὐχ ἡμῖν μόνοις χαριεῖσθε, ἀλλὰ καὶ τῷ κοινῷ τῶν ἐκκλησιῶν, καὶ τὸν παρὰ τοῦ Θεοῦ λήψεσθε μισθὸν, τοῦ διὰ τὴν τῶν ἐκκλησιῶν εἰρήνην πάντα ποιοῦντος διηνεκῶς. ἐρρωμένως ὑπερεύχου μου δέσποτα τιμιώτατε καὶ ὁσιώτατε. ἐγράφη δὲ αὕτη καὶ πρὸς Βενέριον ἐπίσκοπον Μεδιολάνου, καὶ Χρομάτιον ἐπίσκοπον Ἀκυληγίας. ἔρρωσο ἐν κυρίῳ.

* Hamburg. ms. γενόμενα

* Idem ms. ἔξωθεν δικαστηρίοις

ΕΠΙΣΤΟΛΗ ΙΝΝΟΚΕΝΤΙΟΥ ΠΑΠΑ α'.

Πρὸς Θεόφιλον Ἀλεξανδρείας, περὶ τῆς κοινωνίας Ἰωάννου τοῦ Χρυσοστόμου.

Ἀδελφὲ Θεόφιλε, ἡμεῖς καί σε ἴσμεν κοινωνικὸν καὶ τὸν ἀδελφὸν Ἰωάννην, ὡς καὶ ἐν πρώτοις γράμμασι φανερὰν ἡμῶν τὴν γνώμην ἐποιήσαμεν· καὶ νῦν δὲ οὐκ ἐκστάντες τῆς αὐτῆς προαιρέσεως, πάλιν σοι τὰ αὐτὰ γράφομεν, καὶ ὁσάκις ἂν ἀποστείλῃς, ὅτι ἐὰν μὴ δέουσα κρίσις παρακολουθήσῃ ἐπὶ τοῖς παιγνιωδῶς γεγενημένοις, ἀμήχανον ἐστιν ἀλόγως ἡμᾶς ἀποστῆναι τῆς Ἰωάννου κοινωνίας. ὡς γοῦν εἰ θαρρεῖς σὺ τῷ κριτηρίῳ, ἀπάντησον τῇ κατὰ χριστὸν γεγενημένῃ συνόδῳ, κἀκεῖ τὰς αἰτίας γυμνάσας ἐπὶ μάρτυσι τοῖς Νικαίας κανόσιν, ἄλλον γὰρ κανόνα ἡ Ῥωμαίων οὐ περαδέχεται ἐκκλησία, ἀναντίρρητον τὴν ἀσφάλειαν σχήσῃ.

ΕΠΙΣΤΟΛΗ ΙΝΝΟΚΕΝΤΙΟΥ

πρὸς τὸν κλῆρον, καὶ τὸν λαὸν τῆς Κωνσταντινουπόλεως.

Ἰννοκέντιος ἐπίσκοπος πρεσβυτέροις καὶ διακόνοις καὶ παντὶ τῷ κλήρῳ καὶ τῷ λαῷ τῆς Κωνσταντινουπόλεως ἐκκλησίας, τοῖς ὑπὸ τὸν ἐπίσκοπον Ἰωάννην, ἀγαπητοῖς ἀδελφοῖς χαίρειν.

1. Ἐκ τῶν γραμμάτων τῆς ὑμετέρας ἀγάπης, ἅ τινα διὰ Γερμανοῦ τοῦ πρεσβυτέρου καὶ Κασιανοῦ τοῦ διακόνου ἀπεστάλκατε, τὸν σκήνην τῶν κακῶν, ἣν πρὸ τῶν ὀφθαλμῶν ἐθήκατε. ἐμμερίμνῳ φροντίδι κατέμαθον, ὅσαις τε ἡ πίστις κάμνει ταλαιπωρίαις τε καὶ πόνοις, ἐπαναληφθείσας πολλάκις τῇ ἀναγνώσει κατεῖδον· ὅπερ πρᾶγμα μόνη ἡ παράκλησις τῆς ὑπομονῆς ἰᾶται· δώσει γὰρ ἐν τάχει ὁ ἡμέτερος θεὸς ταῖς τοσαύταις θλίψεσι τέλος, καὶ ταῦτα συνοίσει συνενηνοχέναι. Ἀλλὰ γὰρ αὐτὴν τὴν ἀναγκαίαν παράκλησιν ἐν ἀρχῇ τῆς ἐπιστολῆς τῆς ἡμετέρας ἀγάπης κειμένην, ἐγκωμιάζοντες ὑμῶν τὴν πρόθεσιν, ἐπεγνώκαμεν πολλὰς πρὸς τὸ ὑπομένειν μαρτυρίας περιέχουσαν τὴν γὰρ ἡμετέραν παράκλησιν, ἣν ὠφείλομεν ὑμῖν ἐπιστεῖλαι, τοῖς ἡμετέροις γράμμασι προεφθάσατε. ταύτην γὰρ τοῖς κάμνουσιν ὁ ἡμέτερος δεσπότης ὑπομονὴν παρέχειν εἴωθεν· ἵνα καὶ ἐν ταῖς θλίψεσι τυγχάνοντες ἑαυτοὺς οἱ τοῦ χριστοῦ δοῦλοι παραμυθῶνται, ἀναλογιζόμενοι ἐν ἑαυτοῖς, καὶ πρότερον γεγενῆσθαι τοῖς ἁγίοις, ἅπερ αὐτοὶ πάσχουσι. καὶ ἡμεῖς δὲ ἐξ αὐτῶν τῶν ὑμετέρων γραμμάτων δυνάμεθα ὑμῖν προσενέγκαι παράκλησιν. οὐ γὰρ τοῦ συναλγεῖν ὑμῖν ἐσμὲν ἀλλότριοι, ἐπειδήπερ καὶ ἡμεῖς κολαζόμεθα ἐν ὑμῖν.

2. Τίς γὰρ ἐνέγκαι δυνήσεται τὰ ἐξαμαρτανόμενα ὑπ' ἐκείνων, οὓς τινας ἐχρῆν μάλιστα τοῦ γαλήνου, τῆς εἰρήνης, καὶ αὐτῆς σπουδαστὰς εἶναι τῆς ὁμονοίας; νῦν ἐξηλλαγμένῳ τρόπῳ ἀπὸ τῆς προεδρίας τῶν ἰδίων ἐκκλησιῶν ἐξωθοῦνται ἀθῷοι ἱερεῖς. ὁ δὴ καὶ πρῶτος ὁ ἀδελφὸς ἡμῶν καὶ συλλειτουργὸς Ἰωάννης ὁ ὑμέτερος ἐπίσκοπος ἀδίκως πέπονθε, μηδεμιᾶς τυχὼν ἀκροάσεως· οὐδὲν ἔγκλημα ἐπιφέρεται, οὐδ' εἰσακούεται· καὶ τίς ἡ ἀπηγορευμένη ἐπίνοια; ἵνα μὴ πρόφασις κρίσεως γένηται, ἢ ζητηθῇ, εἰς τόπους ζώντων ἱερέων ἄλλοι ἀποκαθίστανται, ὡς δυναμένων τῶν ἐκ τοιούτου πλημμελήματος ὁρμωμένων, ὀρθῶς τι ἔχειν ἢ πεπρᾶχθαι ὑπό τινος κριθῆναι. οὐδὲ γὰρ πώποτε παρὰ τῶν πατέρων τῶν ἡμετέρων τοιαῦτα τετολμῆσθαι ἐγνώκαμεν, ἀλλὰ μᾶλλον κεκωλύσθαι, τῷ μηδένι εἰς τόπον ζῶντος χειροτονεῖν ἄλλον δεδόσθαι ἐξουσίαν. οὐ γὰρ χειροτονία ἀδόκιμος τὴν τιμὴν δύναται ἀφελέσθαι τοῦ ἱερέως, ἐπειδήπερ οὐδὲ ἐπίσκοπος δύναται εἶναι ἐκεῖνος, ὃς ἀδίκως ὑποκαθίσταται.

3. Ὅτι καὶ περὶ τῆς τῶν κανόνων παραφυλακῆς, τούτοις δεῖν ἕπεσθαι γράφομεν, οἵ τινες ἐν Νικαίᾳ εἰσὶν ὡρισμένοι, οἷς μόνοις ὀφείλει ἐξακολαθεῖν ἡ καθο-

λικὴ

λικὴ ἐκκλησία, καὶ τούτους γνωρίζειν. εἰ δὲ ἕτεροι ὑπό τινων προσφέρονται, οἵ τινες ἀπὸ τῶν κανόνων τῶν ἐν Νικαίᾳ διαφωνοῦσι, καὶ ὑπὸ αἱρετικῶν ἐλέγχονται συντετάχθαι, οὗτοι παρὰ τῶν καθολικῶν ἐπισκόπων ἀποβάλλονται. τὰ γὰρ ὑπὸ τῶν αἱρετικῶν εὑρεθέντα, ταῦτα οὐκ ἐστι τοῖς καθολικοῖς κανόσι προσάπτειν. ἀεὶ γὰρ διὰ τῶν ἐναντίων καὶ ἀθέσμων, τὴν τῶν ἐν Νικαίᾳ μειοῦν βουλὴν ἐθέλουσιν: οὐ μόνον οὖν λέγομεν τούτοις μὴ δεῖν ἐξακολουθεῖν, ἀλλὰ μᾶλλον αὐτοὺς μετὰ αἱρετικῶν καὶ σχισματικῶν δογμάτων εἶναι κατακριτέους, καθάπερ καὶ πρότερον γέγονεν ἐν τῇ Σαρδικῇ συνόδῳ ὑπὸ τῶν πρὸ ἡμῶν ἐπισκόπων. τὰ γὰρ οὐ καλῶς πραχθέντα κατακρίνεσθαι μᾶλλον προσῆκεν, ἢ ἄντικρις τῶν κανόνων γενόμενα ἔχειν τινὰ βεβαιότητα, ἀδελφοὶ τιμιώτατοι.

4. Ἀλλὰ τί κατὰ τῶν τοιούτων νῦν ἐν τῷ παρόντι ποιήσωμεν; ἀναγκαία ἐστὶ διάγνωσις συνοδικὴ, ἣν καὶ πάλαι ἔφημεν συναθροιστέαν. μόνη γὰρ ἐστιν ἥτις δύναται τὰς κινήσεις τῶν τοιούτων καταστεῖλαι καταιγίδων. ἧς ἵνα τύχωμεν, χρήσιμον τέως ὑπερτίθεσθαι τὴν ἰατρείαν τῇ βουλήσει τοῦ μεγάλου Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ τοῦ κυρίου ἡμῶν. πάντα ὅσα νῦν τῷ φθόνῳ τοῦ διαβόλου πρὸς τὴν τῶν πιστῶν δοκιμασίαν τετάρακται *πραυνθήσεται. οὐδὲν ὀφείλομεν τῇ στερρότητι τῆς πίστεως παρὰ τοῦ κυρίου ἀπελπίσαι. καὶ γὰρ ἡμεῖς πολλὰ σκεπτόμεθα, ὃν τρόπον ἡ σύνοδος οἰκουμενικὴ συναχθείη. ὅπως τῇ βουλήσει τοῦ Θεοῦ αἱ ταραχώδεις κινήσεις παύσωνται. ὑπερμείνωμεν οὖν τέως, καὶ τῷ τείχει τῆς ὑπομονῆς ὀχυρούμενοι, ἐλπίσωμεν πάντα τῇ βοηθείᾳ τοῦ Θεοῦ ἡμῶν ἀποκατασταθῆναι. πάντα δὲ, ὅσα ὑμᾶς ὑφίστασθαι εἰρήκατε, καὶ πρότερον συνδραμόντων εἰς τὴν Ῥώμην τῶν ἡμετέρων συνεπεσκόπων, εἰ καὶ τὰ μάλιστα διαφόροις χρόνοις, τουτέστι Δημητρίου, Κυριακοῦ, Εὐλυσίου καὶ Παλλαδίου, οἵ τινες σύνεισι μεθ' ἡμῶν, τελείᾳ ἐρωτήσει μεμαθήκαμεν.

* Lab. παραμυθήσεται.

Ε'ΠΙΣΤΟΛΗ'

Ὀνωρίου αὐτοκράτορος πρὸς Ἀρκάδιον Βασιλέα.

ΤΡίτον γράφω πρὸς τὴν σὴν ἡμερότητα, ἀξιῶν ἵνα διορθώσεως τύχη τὰ κατὰ τὴν συσκευὴν τοῦ ἐπισκόπου Ἰωάννου τῆς Κωνσταντινουπολιτῶν· καὶ ὡς ἔοικεν οὐκ ἠνύσαι. ὅθεν πάλιν ἐπέστειλα διὰ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων, πάνυ φροντίζων τῆς ἐκκλησιαστικῆς εἰρήνης, δι' ἧς καὶ ἡ ἡμῶν εἰρηνεύεται βασιλεία, ἵνα καταξιώσῃς προστάξαι ἐν Θεσσαλονίκῃ συνελθεῖν τοὺς τῆς Ἑῴας ἐπισκόπους. καὶ γὰρ οἱ τῆς ἡμετέρας Ἑσπερίας ἐπίσκοποι, ἐκλεξάμενοι ἄνδρας ἀκλινεῖς πρὸς κακίαν καὶ ψεῦδος ἀπεστάλκασιν ἐπισκόπους μὲν πέντε, πρεσβυτέρους δὲ δύο, διάκονον δὲ ἕνα τῆς μεγίστης ἐκκλησίας Ῥωμαίων, ὧν φροντίσαι παντοίαις τιμαῖς καταξίωσον, ἵν' εἰ μὲν πεισθέντες ὅτι περ δικαίως ἐκβέβληται ὁ ἐπίσκοπος Ἰωάννης, διδάξωσί με ἀποστῆναι τῆς αὐτοῦ κοινωνίας· ἢ ἐλέγξαντες ἐθελοκακοῦντας τοὺς τῆς ἀνατολῆς ἐπισκόπους, ἀποστρέψωσί σε τῆς αὐτῶν κοινωνίας. τίνα γὰρ ἐστιν ἃ φρονοῦσι περὶ τοῦ ἐπισκόπου Ἰωάννου οἱ δυτικοὶ, ἐκ πασῶν τῶν ἐπιστολῶν τῶν πρός με γραφεισῶν ὑπέταξα δύο ἰσοδυναμούσας ταῖς πάσαις, τὴν ἐπιστολὴν τοῦ Ῥώμης καὶ Ἀκυληΐας. τοῦτο δὲ παρακαλῶ τὴν σὴν ἡμερότητα πρὸ πάντων, καὶ ἄκοντα τὸν Ἀλεξανδρείας Θεόφιλον παραστῆναι δικαίωσον, δι' ὃν μάλιστα λέγεται ἅπαντα τὰ κακὰ γεγενῆσθαι· ἵνα εἰς μηδὲν ἡ τῶν παραγενομένων ἐπισκόπων ἐμποδισθεῖσα σύνοδος τὴν πρέπουσαν τοῖς καιροῖς ἡμῶν εἰρήνην βραβεύσῃ.

Ε'ΠΙΣΤΟΛΗ' ΧΡΥΣΟΣΤΟ'ΜΟΥ

πρὸς Ἰννοκέντιον.

Ἰννοκεντίῳ ἐπίσκόπῳ Ῥώμης Ἰωάννης ἐν κυρίῳ χαίρειν.

1. ΤΟ' μὲν σῶμα ἡμῖν ἐν ἑνὶ ἵδρυται χωρίῳ, τῆς δὲ ἀγάπης τὸ πτερὸν πανταχοῦ τῆς οἰκουμένης περοίπταται. ὅθεν καὶ ἡμεῖς ὁδοῦ τοσούτῳ διῳκισμένοι μήκει, πλησίον τῆς εὐλαβείας ὑμῶν ἐσμεν. καὶ καθ' ἑκάστην ὑμῖν συγγινόμεθα τὴν ἡμέραν, ὀφθαλμοῖς τοῖς ἐκείνης βλέποντες ὑμῶν τὴν ἀνδρείαν τῆς ψυχῆς, τὸ γνήσιον τῆς διαθέσεως, τὸ στερρὸν, τὸ ἀπερίτρεπτον, τὴν πολλὴν ὑμῶν παράκλησιν καὶ διαρκῆ καὶ μόνιμον. ὅσῳ γὰρ τὰ τῶν κυμάτων ἐπὶ πλεῖον αἴρεται, καὶ πλείους ὕφαλοι καὶ σπιλάδες φύονται, καὶ πολλαὶ αἱ καταιγίδες, τοσούτῳ καὶ τὰ τῆς ἀγρυπνίας αὔξει τῆς ὑμετέρας· καὶ οὐχ ὁδοῦ μῆκος τοσοῦτον, οὐ χρόνου πλῆθος, οὐ δυσκολία πραγμάτων ὑπτίους γενέσθαι ὑμᾶς παρεσκεύασεν· ἀλλὰ μένετε μιμούμενοι τοὺς ἀρίστους τῶν κυβερνητῶν, οἳ τότε μάλιστα διεγείροντα, ὅταν ἴδωσι τὰ κύματα κορυφούμενα, τὴν θάλατταν ἐπὶ μεῖζον φερομένην, πολὺν τῶν ὑδάτων τὸν πάταγον, βαθυτάτην ἐν ἡμέρᾳ νύκτα,

παρὰ Χρυσοστ. ἐν ταῖς ἐπιστολ.

2. Διὸ καὶ χάριτας ὑμῖν ἴσμεν πολλάς. καὶ ἐπιθυμοῦμεν μὲν καὶ νιφάδας ὑμῖν πέμπειν γραμμάτων, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι. Ἀλλ' ἐπειδὴ τοῦτο ἀφῃρήμεθα παρὰ τῆς τοῦ τόπου ἐρημίας, οὐδὲ γὰρ μόνον τῶν ἐκεῖσε ἀφικνουμένων, ἀλλ' οὐδὲ τῶν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ διατριβόντων, δύναιτ' ἄν τις ῥᾳδίως ἡμῖν συγγενέσθαι, διά τε τὸ πόρρω καὶ πρὸς αὐτὰς ἐσχατιὰς κεῖσθαι τὸ χωρίον, ἐν ᾧ καθείργμεθα, καὶ διὰ τὴν λῃστρικὸν φόβον πᾶσαν ἀποτειχίζοντα τὴν ὁδόν· παρακαλοῦμεν ἐλεεῖν μᾶλλον ἡμᾶς τῆς μακρᾶς σιγῆς, ἢ ῥαθυμίαν ἐντεῦθεν καταγινώσκειν ἡμῶν. ὅτι γὰρ οὐκ ὀλιγωροῦντες ἐσιγήσαγεν. ἐπιλαβόμενοι διὰ πολλοῦ τοῦ χρόνου νῦν τοῦ τιμιωτάτου καὶ ἀγαπητοῦ Ἰωάννου τοῦ πρεσβυτέρου, καὶ Παύλου τοῦ διακόνου, καὶ γράφογεν, καὶ εὐχαριστοῦντες ὑμῖν οὐ διαλιμπάνομεν, ὅτι πατέρας *φιλοστόργους ἀπεκρύψατο τῇ περὶ ἡμᾶς εὐνοίᾳ τε καὶ σπουδῇ.

* Hamburg. mf. φιλοστοργοῦντας

3. Καὶ τὸ μὲν εἰς εὐλάβειαν ἧκον τὴν ὑμετέραν, τὴν προσήκουσαν διόρθωσιν εἴληφεν ἅπαντα, καὶ ὁ φορυτὸς τῶν κακῶν καὶ τὰ σκάνδαλα ἀνήρηται, καὶ αἱ ἐκκλησίαι εἰρήνης ἀπήλαυσαν, καὶ λευκῆς γαλήνης, καὶ πάντα κατὰ ῥοῦν φέρεται, καὶ καταφρονηθέντες ἐξεδικήθησαν νόμοι καὶ θεσμοὶ πατέρων παραβαθέντες. ἐπειδὴ δὲ ἐπὶ τῶν ἔργων αὐτῶν οὐδὲν τούτων γέγονε, τῶν τὰ πρότερα τολμημάντων, τοῖς προτεροις ἐπαγωνιζομένων ἔτι παρανομήμασιν· ἅπαντα μὲν τὰ παρ' αὐτῶν

μὴ ταῦτα γιγνομένων καθ' ἕκαστον διηγήσασθαι παρίημι, καὶ γὰρ ἱστορίας ὑπερβαίνει μέτρον, ἐκ ἐπιστολῆς μόνον ἡ διήγησις. ἐκεῖνο δὲ παρακαλῶ τὸ ἄγρυπνον ὑμῶν ψυχίον, κἂν οἱ πάντα θορύβων ἐμπλήσαντες ἀμετανόητα νοσῶσι καὶ ἀνίατα, αὐτοὺς τοὺς θεραπεῦσαι ταῦτα εἰλομένους μὴ πειρακῆσαι, μηδὲ ἀπαγορεῦσαι, τὸ μέγεθος τοῦ κατορθώματος ἐννοήσαντας, καὶ γὰρ ὑπὲρ τῆς οἰκουμένης σχεδὸν ἁπάσης ὁ παρὼν ἡμῖν ἀγὼν φέρεται, ὑπὲρ ἐκκλησιῶν εἰς * γόνυ κατενεχθεισῶν, ὑπὲρ λαῶν δεσποτουμένων, ὑπὲρ κλήρων πολεμουμένων, ὑπὲρ ἐπισκόπων φυγαδευομένων, ὑπὲρ θεσμῶν πατέρων παραβαθέντων. διὸ κἀ παρακαλοῦμεν ὑμῶν τὴν ἐπιμέλειαν, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, ὅσῳ πλείων ἡ ζάλη, τοσούτῳ πλείονα ἐπιδείκνυσθαι τὴν σπουδήν. προσδοκῶμεν γὰρ καὶ ἔσεσθαί τι πλέον εἰς διόρθωσιν. εἰ δ' ἄρα μὴ τοῦτο γένοιτο, ἀλλ' ὑμεῖς ἀπηρτισμένον ἔχετε τὸν στέφανον παρὰ τοῦ φιλανθρώπου Θεοῦ, καὶ τοῖς ἀδικουμένοις ἡ μικρὰ τοῦτο ἔσται παράκλησις τῆς ὑμετέρας ἀγάπης ἡ * ἔνστασις.

* f. ἐπὶ γόνυ

4. Ἐπεὶ δὲ κἀμὲ ξένον ἔτος τοῦτο ἐν ἐξορίᾳ διατρίβοντα, λιμῷ, λοιμῷ, πολέμοις, πολιορκίαις συνεχέσιν, ἐρημίᾳ ἀφάτῳ, θανάτῳ καθημερινῷ, μαχαίραις Ἰσαυρικαῖς ἐκδεδομένον. οὐχ ὡς ἔτυχε παρακαλεῖ καὶ παραμυθεῖται τὸ διαρκὲς καὶ μόνιμον ὑμῶν τῆς διαθέσεως, καὶ τὴν παῤῥησίας καὶ τὸ ἐνψιλῆ, καὶ γνησίᾳ ὅτως ἐν ξυφᾷν ὑμῶν τῇ ἀγάπῃ. τοῦτο ὑμῖν τεῖχος, τοῦτο ἀσφάλεια, τοῦτο λιμιὼν ἀκύμαντος, τοῦτο θησαυρὸς μυρίων ἀγαθῶν, τοῦτο εὐφροσύνη, καὶ πολλῆς ἡδονῆς ὑπόθεσις. κἂν εἰς ἐρημότερον τόπον πάλιν ἀπενεχθῶμεν χωρίον, ἀ μικρὰν ταύτην ἔχοντες παράκλησιν τῶν παθημάτων ἡμῶν ἄπιμεν.

ΕΠΙΣΤΟΛΗ ΙΝΝΟΚΕΝΤΙΟΥ

πρὸς Ἰωάννην τὸν Χρυσόστομον.

Τῷ ἀγαπητῷ ἀδελφῷ Ἰωάννῃ Ἰννοκέντιος.

Εἰ καὶ πάντα δεῖ τὸν αἴτιον προσδοκᾶν τὰ χρηστά, καὶ παρὰ τοῦ Θεοῦ τὸν ἔλεον αἰτεῖν, ὅμως καὶ παρ' ἡμῶν τὴν ἀνεξικακίαν συμβαλλόντων, τὰ καθήκοντα γράμματα διὰ Κυριακοῦ τοῦ διακόνου ἐξαπέσταλται· ὥστε μὴ πλέον δυνηθῆναι τὴν ὕβριν ἐν τῷ συνεξίβειν, * τὸ ἀγαθὸν συνειδὸς ἐν τῷ ἐλαττοῦσθαι. οὐδὲ γὰρ ὤφειλες διδαχθῆναι ὁ τοσούτων λαῶν διδάσκαλος καὶ ποιμήν, τοὺς ἀρίστους ἀεὶ καὶ πολλάκις δοκιμάζεσθαι, εἰ ἐν τῇ ἀκμῇ τῆς εὐσεβείας παραμένουσι, καὶ οὐδενὶ πόνῳ κακοπαθείας ὑποπίπτουσι. καὶ ἔστιν ὡς ἀληθῶς βέβαιον πρᾶγμα τὸ συνειδὸς εἰς πάντα τὰ ἀδίκως συμπίπτοντα, ἅπερ εἰ μὴ νικήσειέ τις εὐσεβοῦντα, τεκμήριον φαύλης εὐσεβείας ἐκφέρει. πάντα γὰρ εὐσεβοῦντα ὀφείλει, ὁ τῷ Θεῷ πρῶτον, εἶτα καὶ τῷ ἰδίῳ πεποιθὼς συνειδότι. ὁπότε μάλιστα γυμνάζεσθαι εἰς εὐσεβείαν ὁ καλὸς καὶ ἀγαθὸς δύναται. νικᾶσθαι δὲ ὅ· ἐπειδήπερ αὐτοῦ τὴν διάνοιαν αἱ θεῖαι γραφαὶ φυλάττουσι. καὶ πειρασμοῦ εὐδείγμασιν αἱ θεῖαι ἀναγνώσεις, ἃς τοῖς λαοῖς παραδιδόαμεν, αἵ τινες πάντας κυρίως τοὺς ἁγίους καταπεπονῆσθαι δηλοῦσι καὶ συνεχῶς ἐπισώσαντο, καὶ δοκιμάζεσθαι καθάπερ ἐν τινι διαγνώσει, ὅτω τε εἰς τὸν στέφανον τὸν εὐσεβείας ἐλήλυθέναι. παραμυθεῖται τὸν ἀγαπητὸν σεαυτὸ τὸ συνειδός, ἀδελφὲ τιμιώτατε, ὅπερ ἐν τοῖς θλίψεσιν ἔχει τὴν παραμυθίαν τῆς ἀρετῆς. ἐποπτεύοντος γὰρ τοῦ δεσπότου χεῖρα ἐν τῷ λιμένι τὴν εἰρήνης καθαιρουμένη ἡ συνείδησις σήσεται.

ΣΥΝΟΔΟΣ Η΄ ΚΑΤΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

Ἰωάννου παρανόμως συσᾶσα.

Εἰς δρῦν προάστειον Χαλκηδόνος.

ΑΝΕΓΝΩΣΘΗ συνόδου τῆς παρανόμως κατὰ τοῦ ἐν ἁγίοις Ἰωάννου τοῦ Χρυσοστόμου συγχροτηθείσης ἐν ᾗ ὑπῆρχον κατάρχοντες Θεόφιλός τε Ἀλεξανδρείας, Ἄκακιος ὁ Βερροίας, Ἀντίοχος ὁ Πτολεμαΐδος, καὶ ὁ Σεβηριανὸς Γαβάλων, καὶ Κυρῖνος ὁ Χαλκηδόνος. οἱ τὰ μάλιστα δυσμενῶς ἔχοντες πρὸς τὸν ἄνδρα. οἱ ἅμα πάντα, καὶ κεῖται καὶ κατήγοροι καὶ μάρτυρες ἦσαν. ἐν ὑπομνήμασι δὲ αὐτὰ ἐπράχθη δέκα πρὸς τοῖς τεσσὶν. ἀλλὰ τὰ μὲν δύο καὶ δέκα, κατὰ τὸν ἁγίου, τὸ δὲ ἓξ καὶ δέκατον περιέχει τὰ κατὰ Ἡράκλειδου, τὸν εἰς Ἔφεσον ὑπ' αὐτοῦ χειροτονηθέντος, ὅπερ οὐδὲ τοῦ καθαίρεσιν ἴσχυσαν τελειῶσαι ἑτέρων τινῶν κωλυσάντων· ὁ δὲ κατήγορος Ἡράκλειδου, τῆς Μαγνητῶν πόλεως ἐπίσκοπος ᾧ ὀνόματι Μακάριος. ὁ δὲ τοῦ Μακαρίου Ἰωάννου προφανὴς ἐχθρὸς καὶ πρῶτος κατήγορος, Ἰωάννης ὁ διάκονος αὐτοῦ ἦν. Κατηγόρει δὲ τοῦ Χρυσοστόμου, ὅτι τε αὐτὸν ἠδίκησεν, ἀφορίσας αὐτὸν, διότι τὸν οἰκεῖον παῖδα Εὐλάλιον ἔτυψε. δεύτερον δὲ, ὅτι Ἰωάννης τις μοναχὸς ἐξ ἐπισκοπῆς τοῦ Χρυσοστόμου ἐτυπτήθη, ὡς φησι, καὶ ἐσύρη, καὶ μετὰ τῶν δαιμονώντων ἐσιδηροφόρησε. τρίτον, ὅτι τῶν χειμαλίων πλῆθος πολὺ διέπρασε. τέταρτον, ὅτι τὰ μάρμαρα τῆς ἁγίας Ἀναστασίας ἃ ὁ Νεκτάριος εἰς μαρμάρωσιν τῆς ἐκκλησίας ἀνατέθετο, * ἔτος διέπρασε. πέμπτον, ὅτι τὰς κληρικὰς ἀτίμως καὶ διεφθαρμένους καὶ * αὐτοσχεδιαστὰς καὶ τελεταρίους ὑβρίζει. ἕκτον, ὅτι τὸν ἅγιον Ἐπιφάνιον, λῆρον * ἀπεκάλει καὶ δαιμονιάδη· ἕβδομον, ὅτι κατὰ Σεβηριανὸν συσκολιὰ ἐποίησατο κινήσας κατ' αὐτοῦ τὰς δικαστάς. ὄγδοον, ὅτι καὶ κατὰ τοῦ κλήρου συκοφαντικὸν βιβλίον κατεσκάσσιν. ἔνατον, ὅτι συγχροτήσας συνέδριον παντὸς τοῦ κλήρου, ἔστησε ξένους δικαστάς, Ἀχάριον, Εὐσέβιον, Ἰωάννην, καταγράψας ὡς τὸ ὠμοφόριον αὐτοῦ κλέψαντας, λέγων, μὴ καὶ εἰς ἄλλο τι αὐτὸ ἔλαβον. δέκατον, ὅτι Ἀντώνιον ἐλέχθη τυμβωρύχον ἐχειροτόνησεν ἐπίσκοπον. ἐνδέκατον, ὅτι Ἰωάννην τὸν κόμητα ἐν τῇ σάσει τῶν στρατιωτῶν αὐτὸς κατεμίανεν. δωδέκατον, ὅτι ὄπου προϊὼν ἤυξατο εἰς τὴν ἐκκλησίαν, ὄπου εἰσιών. τρισκαιδέκατον, ὅτι ἀνὰ θυσιαστηρίου χειροτονίας δεσποτῶν καὶ ἀρχιερέων ἐποίησε. τεσσαρεσκαιδέκατον, ὅτι ἐν μιᾷ χειροτονίᾳ τέσσαρας ἐπισκόπους ἐποίησε. πεντεκαιδέκατον, ὅτι δέχεται γυναῖκας * μόνας πρὸς μόνας πάντας ἐκβαλὼν ἔξω. ἑξκαιδέκατον, ὅτι τὴν κληρονομίαν τὴν ἀπὸ Θέκλας καταλειφθεῖσαν, πέπρακε δεσπότῃ Θεοδότῃ. ἑπτακαιδέκατον, ὅτι

τὰ

* al. ἐπὶ γόνυ.

* al. ἀνδρ.

* al. αὐτοσχεδιαστὰς καὶ τελεταρίους.

* al. ἐκάλει.

* al. μόνοις ἀρσ. μόνας.

Vat. Pontif. Bibl. Sed. codex. 21. Χρίσιν κατὰ Χριστοῦ 403.

τὰ προσόδια τῆς ἐκκλησίας, οὐδεὶς οἶδε πῦ ἀπῆλθεν. ὀκτωκαιδέκατον, ὅτι Σαραπίωνα, ὑπὸ ἔγκλημα ὄντα, πρεσβύτερον ἐχειροτόνησεν. ἐννεακαιδέκατον, ὅτι τοὺς κοινωνικοὺς τῆς οἰκουμένης, κατὰ γνώμην αὐτοῦ ἐγκλεισθέντας, καὶ τελευτήσαντας ἐν τῇ φυλακῇ ὑπερεῖδε, καὶ οὐδὲ τὰ σκηνώματα αὐτῶν προπέμψαι * ἠξίωσεν. εἰκοστὸν, ὅτι τὸν ἁγιώτατον Ἀκάκιον ὕβρισε, καὶ οὔτε λόγου μετέδωκεν αὐτῷ. εἰκοστὸν πρῶτον, ὅτι Πορφύριον τὸν πρεσβύτερον παρέδωκεν Εὐτροπίῳ ἐξορισθῆναι. εἰκοστὸν δεύτερον, ὅτι καὶ * Βερένιον πρεσβύτερον παρέδωκε μεθ' ὕβρεως πολλῆς· εἰκοστὸν τρίτον, ὅτι αὐτῷ μόνῳ λουτρὸν ὑποκαίεται καὶ μετὰ τὸ λούσασθαι αὐτὸν Σαραπίων * ἀπολύει τὴν ἔμβασιν, ὥστε ἄλλον τινὰ μὴ λούεσθαι. εἰκοστὸν τέταρτον, ὅτι πολλοὺς ἁμαρτύρως ἐχειροτόνησεν. εἰκοστὸν πέμπτον, ὅτι μόνος ἐσθίει, ἀσώτως ζῶν Κυκλώπων βίον. εἰκοστὸν ἕκτον, ὅτι αὐτὸς κατηγορεῖ, αὐτὸς μαρτυρεῖ, αὐτὸς ἀποφαίνεται. καὶ δῆλον ἐκ τῶν περὶ Μαρτύριον τὸν πρωτοδιάκονον, καὶ ἐκ τῶν περὶ Προαιρέσιόν φασι, τὸν Λυκίας ἐπίσκοπον. εἰκοστὸν ἕβδομον, ὅτι γρόνθον ἔδωκε Μέμνονι ἐν τοῖς ἀποστόλοις, καὶ ῥέοντος τοῦ αἵματος ἐκ τοῦ στόματος αὐτοῦ, προσηύεγκε τὰ μυστήρια. εἰκοστὸν ὄγδοον, ὅτι ἐν θρόνῳ ἀποδύεται καὶ ἐνδύεται καὶ * παστῖλον τρώγει. εἰκοστὸν ἔννατον, ὅτι καὶ χρήματα τοῖς ὑπ' αὐτοῦ χειροτονουμένοις ἐπισκόποις δίδωσιν, ἵνα δι' αὐτῶν καταπονῇ τοῦ κλήρου.

* al. κατηξίωσεν.
* al. Βενέριον.
* al. ἀποκλείει.
* al. πάστιλον.

Τὰ μὲν οὖν κατὰ τοῦ ἁγίου κεφάλαια, ταῦτα. ἐκεῖνος δὲ τέταρτον προσκληθεὶς, οὐ παρεγένετο, δηλοποιήσας τοῖς προσκαλουμένοις, ὅτι εἰ τοὺς προφανεῖς ἐχθροὺς ἀπὸ τῆς τάξεως τῶν κρινόντων παραστέλλετε, ἕτοιμός εἰμι καὶ παραγενέσθαι καὶ ἀπολογεῖσθαι, εἴτις τί μου κατηγορεῖ. εἰ δὲ τοῦτο ποιεῖν οὐ βούλεσθε, ὁσάκις ἂν ἀποστείλητε, οὐδὲν πλέον ἀνυσθήσεται. ἐξήτασαν δὲ, ὡς ἐνόμισαν, ἐκ τῶν κεφαλαίων τούτων τὸ πρῶτον καὶ τὸ δεύτερον.

Εἶτα ἤρξαντο περὶ Ἡρακλείδου καὶ Παλλαδίου τοῦ Ἐλενουπόλεως τῶν ἐπισκόπων ἐξετάζειν, καὶ ἀπέδωκε λίβελλον πάλιν ὁ μοναχὸς Ἰωάννης. οὗ ὁ διάκονος Ἰωάννης ἐν ταῖς κατὰ τοῦ Χρυσοστόμου κατηγορίαις ἐμνήσθη, ἐγκαλῶν κατὰ Ἡρακλείδου· ὅτι Ὠριγενειαστής ἐστι, καὶ ὅτι κλέπτης ἐφωράθη ἐν Καισαρείᾳ τῆς Παλαιστίνης, ἱμάτια τοῦ διακόνου Ἀκυλίνου κλέπτων· καὶ ὅτι αὐτόν, φησὶν, ὁ ἐπίσκοπος Ἰωάννης τοιοῦτον ὄντα, εἰς Ἔφεσον ἐχειροτόνησεν. * ἐγκαλεῖ δὲ καὶ κατ' αὐτοῦ τοῦ Χρυσοστόμου, ὡς πολλὰ κακὰ παθὼν χάριν τῶν Ὠριγενειαστῶν, διὰ Σαραπίωνος, καὶ παρ' αὐτοῦ ἐκείνου ἀπέστειλεν. εἶτα τούτων ἐξετασθέντων, ἐξητάσθη πάλιν τὸ ἔννατον κεφάλαιον τῶν ἐγκλημάτων. εἶτα τὸ κζ'.

* al. ἐνεκάλει.

Εἶτα πάλιν κατηγόρησεν Ἰσαάκιος ἐπίσκοπος τοῦ Ἡρακλείδου, ὡς Ὠριγενειαστοῦ, καὶ ὡς μὴ * παραδειχθέντος Ἐπιφανίῳ τῷ ἁγιωτάτῳ, μήτε εἰς εὐχὴν, μήτε εἰς συνεστίασιν. ἐπέδωκε δὲ ὁ αὐτὸς Ἰσαάκιος καὶ λίβελλον κατὰ τοῦ Χρυσοστόμου, περιέχοντα ταῦτα. πρῶτον περὶ τοῦ πολλάκις μνημονευθέντος Ἰωάννου τοῦ μοναχοῦ, ὅτι ἐδάρη διὰ τοὺς Ὠριγενειαστὰς, καὶ ὅτι ἐσιδηροφόρησε. δεύτερον, ὅτι ὁ μακάριος Ἐπιφάνιος διὰ τοὺς Ὠριγενειαστὰς, Ἀμμώνιον, Εὐθύμιον, Εὐσέβιον καὶ Ἡρακλείδην, καὶ Παλλάδιον, οὐκ ἠθέλησε κοινωνῆσαι. τρίτον, ὅτι τὴν φιλοξενίαν ἀθετεῖ, μονοσιτίαν ἐπιτηδεύων. τέταρτον, ὅτι ἐπ' ἐκκλησίας λέγει τράπεζαν ἐριννύων πεπληρωμένην. πέμπτον, ὅτι καυχᾶται ἐπ' * ἐκκλησίᾳ λέγων. ἐρῶ, μαίνομαι. ἕκτον ὅτι ὀφείλει ἑρμηνεῦσαι, τίνες εἰσὶν ἐριννύες; καὶ τί ἐστι τὸ λέγειν. ἐρῶ, μαίνομαι. ἡ γὰρ ἐκκλησία οὐκ οἶδε ταῦτα. ἕβδομον, ὅτι ἄδειαν παρέχει τοῖς ἁμαρτάνουσι, διδάσκων· ἐὰν πάλιν ἁμάρτῃς, πάλιν μετανόησον, καὶ ὁσάκις ἂν ἁμαρτάνῃς, ἐλθὲ πρός με, καὶ ἐγώ σε θεραπεύσω. ὄγδοον, ὅτι βλασφημεῖ ἐπ' ἐκκλησίας, λέγων· ὅτι ὁ Χριστὸς προσευξάμενος οὐκ εἰσηκούσθη, ἐπεὶ μὴ δεόντως προσηύξατο. ἔννατον, ὅτι τοῖς λαοῖς ὑποβάλλει στασιάζειν καὶ κατὰ τῆς συνόδου. δέκατον, ὅτι ἕλληνας πολλὰ κακὰ τοῖς Χριστιανοῖς διαθεμένους ὑπεδέξατο, καὶ ἔχει ἐν τῇ ἐκκλησίᾳ, καὶ προΐσταται αὐτῶν. ἑνδέκατον, ὅτι ἐπιβαίνει ἀλλοτρίαις ἐπαρχίαις, καὶ χειροτονεῖ ἐπισκόπους. δωδέκατον, ὅτι ὑβρίζει τοὺς ἐπισκόπους, καὶ ἐκπιγγάτους κελεύει ἐκβληθῆναι τῆς οἰκίας αὐτοῦ. τρισκαιδέκατον, ὅτι τοὺς κληρικοὺς ξέναις ὕβρεσιν ὑβρίζει. ὅτι παραθήκας ἀλλοτρίας ἥρπασε βίᾳ· ιδ'. ὅτι ἄνευ συνεδρίου καὶ παρὰ γνώμην τοῦ κλήρου ποιεῖ τὰς χειροτονίας. πέντε καὶ δέκατον, ὅτι τοὺς μὲν Ὠριγενειαστάς. * ἐδέξατο, τοὺς δὲ κοινωνικοὺς τῆς ἐκκλησίας, μετὰ συστατικῶν ἐλθόντας γραμμάτων, καὶ ἐν τῇ φυλακῇ βληθέντας οὐκ ἐξείλετο· ἀλλὰ καὶ ἀποθανόντας ἐν αὐτῇ * οὐκ ἐπεσκέψατο. ἑκκαιδέκατον, ὅτι δούλους ἀλλοτρίους μήπω ἐλευθερωθέντας, ἀλλὰ καὶ διαβεβλημένους, ἐχειροτόνησεν ἐπισκόπους. ἑπτακαιδέκατον, ὅτι αὐτὸν τοῦτον Ἰσαάκιον, πολλὰ παρ' αὐτοῦ συνέβη κακοθῆναι.

* al. παραδεχθ.
* al. ἐκκλησίας.
* al. ἐπιδέξατο.
* al. ἐδέξατο.

Τούτων οὖν τῶν κατηγοριῶν τὸ μὲν πρῶτον, ἅτε δὴ προεξετασθὲν, ὡς ἐνόμιζον, οὐκ ἔτι ἐξητάσθη· τὸ δὲ δεύτερον ἐξητάσθη καὶ τὸ ἕβδομον. εἶτα ἐξητάσθη πάλιν τὸ τρίτον ἐγκλημάτων ὑπὸ τοῦ διακόνου Ἰωάννου ἐπιδοθέντων. ἐν τούτῳ δὲ τῷ κεφαλαίῳ καὶ Ἀρσάκιος ὁ πρωτοπρεσβύτερος, ὁ αὐτὸν τὸν Χρυσόστομον διαδεξάμενος, καὶ Ἀττικὸς ὁ πρεσβύτερος, οὐκ οἶδ' ὅπως μάρτυρες ἔστησαν, καὶ τοῦ ἁγίου κατεμαρτύρησαν. καὶ Ἐλπίδιος δὲ ὁ πρεσβύτερος. οἱ αὐτοὶ δὲ κατεμαρτύρησαν, καὶ σὺν αὐτοῖς καὶ ὁ πρεσβύτερος Ἀκάκιος ἐπὶ τῷ τετάρτῳ κεφαλαίῳ. τούτων οὖν ἐξετασθέντων, αὐτοί τε οἱ προειρημένοι πρεσβύτεροι, καὶ Εὐδαίμων ἔτι καὶ Ὀνήσιμος, ᾐτοῦντο ἐπιταχῦναι τῇ ἀποφάσει. καὶ πρῶτος τῆς συνόδου Παῦλος ὁ Ἡρακλείας, ἠξίωσεν ἅπαντας ἀποφήνασθαι. καὶ ἀπεφήναντο τὴν τοῦ ἁγίου, ὡς ἔδοξεν ἑαυτοῖς, καθαίρεσιν, ἀρξαμένου Γυμνασίου ἐπισκόπου, καὶ τελευτήσαντος Θεοφίλου τοῦ Ἀλεξανδρείας. οἱ πάντες τὸν ἀριθμὸν τεσσαράκοντα πέντε. εἶτα ἐγράφη τῷ κλήρῳ Κωνσταντινουπόλεως, ὡς δῆθεν ἀπὸ συνόδου, περὶ τῆς τοῦ ἁγίου καθαιρέσεως· ἀνηνέχθη καὶ τοῖς * βασιλεύουσι. ἐπεδόθησαν ἔτι καὶ λίβελλοι τρεῖς, παρὰ Γεροντίου, παρὰ Φαυστίνου, παρὰ Εὐγνωμονίου, οἳ ἔλεγον ἑαυτοὺς ἀδίκως ὑπὸ Ἰωάννου καθῃρῆσθαι. ἐγένετο καὶ ἀντιγραφὴ βασιλικὴ πρὸς τὴν σύνοδον· ἐν οἷς καὶ δωδεκάτη πρᾶξις. ἡ δὲ τρισκαιδεκάτη, ὡς ἐῤῥέθη, ἔχει τὰ περὶ Ἡρακλείδην τὸν Ἐφέσου ἐπίσκοπον.

* al. βασιλεύουσι.

Ἡ αὐ-

Η' ΑΥ'ΤΗ' ΠΑΡΑ'ΝΟΜΟΣ

Συνόδος ἡ κατὰ Ἰωάννου.

Η' συνόδος ἡ ἁγία ἡ ἐπὶ δρῦν συναχθεῖσα Ἰωάννῃ. Λιβέλλους ἐδεξάμεθα κατὰ σοῦ, περιέχοντας μυρία κακά. ἀπάντησον τοίνυν, ἐπαγόμενος Σαραπίωνα καὶ Τίγριον τοὺς πρεσβυτέρους. ἔστι γὰρ αὐτῶν χρεία.

Ἐπιστολὴ τῶν Ἐπισκόπων.

Μὴ κατάλυε τὰ πράγματα τῆς ἐκκλησίας, καὶ μὴ σχίζε τὴν ἐκκλησίαν, δι' ἣν ὁ θεὸς εἰς σάρκα κατῆλθεν· εἰ δὲ ἀστεκτῶν * καταλύεις τοὺς ἐν Νικαίᾳ κανόνας τῶν τιή. ἐπισκόπων, καὶ ὑπερόριον δικάζεις δίκην· σὺ πέρασον πρὸς ἡμᾶς εἰς τὴν εὐνομουμένην πόλιν, μὴ προκαλούμενος τὸν Ἄβελ κατὰ τὸν Κάϊν εἰς τὸ πεδίον, ἵνα σου ἡμεῖς πρῶτοι ἀκούσωμεν. ἔχομεν γὰρ κατὰ σοῦ ἑβδομήκοντα κεφαλαίων λιβέλλους, προδήλους ἀθεμητουργίας ἔχοντας· καὶ πλείους ἐσμὲν τῆς σῆς συνόδου, θεοῦ χάριτι συναχθέντες, οὐκ ἐπὶ καταλύσει τῆς ἐκκλησίας, ἀλλ' ἐν εἰρήνῃ. σὺ μὲν γὰρ εἶ τριακοστὸς ἕκτος ἐξ ἐπαρχίας μιᾶς· ἡμεῖς δὲ ἐσμὲν τεσσαράκοντα ἐκ διαφόρων ἐπαρχιῶν, ἐν οἷς ἐσμὲν καὶ ἑπτὰ μητροπολῖται· καὶ ἀκόλουθόν ἐστι τὸν ἐλάσσονα παρὰ τῶν πλειόνων καὶ διαφερόντων κατὰ τοὺς κανόνας κριθῆναι. ἔχομεν γάρ σου καὶ τὴν ἐπιστολὴν, δι' ἧς παρεγγυᾷς τῷ συλειτουργῷ ἡμῶν Ἰωάννῃ, τὸ μὴ δεῖν ὑπερορίας εἰσδέχεσθαι δίκας· ὅθεν πειθόμενος τοῖς ἐκκλησιαστικοῖς νόμοις παρακάλει σου τοὺς κατηγόρους, ἢ παύεσθαι τῆς κατὰ σοῦ κατηγορίας, ἢ τῆς πρὸς αὐτὸν προσόδου.

Πρὸς ταῦτα ὁ Ἰωάννης ἔφη.

Ἐγὼ εἰ μὲν ἔχει τις κατ' ἐμοῦ λέγειν, μέχρι τοῦ δεῦρο οὐδεπώποτε ἔγνων. εἰ δέ τις κατεῖπεν μου, καὶ βούλεσθέ με παραγενέσθαι, τοὺς προδήλους μου ἐχθροὺς, οἵ τινες ἐκ τῆς ἀμελείας αὐτῶν ἐκακώθησαν πρὸς ἐμὲ, βάλλετε τούτους ἔξω τοῦ ὑμετέρου συλλόγου. καὶ οὔτε τόπου ἀμφισβητῶ ὅπου με δέοι κριθῆναι· εἰ καὶ τὰ μάλιστα ἔδει ἐν τῇ πόλει. εἰσὶ δὲ οὓς παραιτοῦμαι, Θεόφιλος· ὃν ἐλέγχω εἰρηκότα καὶ ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Λυκίᾳ, ὅτι ἀπέρχομαι εἰς τὸν κομητάτον, Ἰωάννην καθελεῖν. ἔστι δὲ ἀληθὲς, ἐξ ὧν παραγενόμενος, οὔτε συνέτυχέν μοι, οὔτε ἐκοινώνησέν μοι. ὃς οὖν πρὸ τῆς ἀκροάσεως τὰ ἐχθρῶν ἐπετέλεσεν. τί ἂν ποιήσῃ μετὰ τὴν δίκην; ὁμοίως δὲ καὶ Ἀκάκιον διελέγχω, ἐφ' ᾧ εἶπεν· ἐγὼ αὐτῷ ἀρτύῳ χύτραν· περὶ δὲ Σευηριανοῦ καὶ Ἀντιόχου, οὓς τάχιον μετελεύσεται ἡ θεία δίκη, τί δεῖ καὶ λέγειν. ὧν τὰς νεωτεροποιΐας καὶ τὰ κοσμικὰ ᾄδουσι θέατρα. οὐκοῦν παρακέκλησθε, εἰ κατὰ ἀλείθειαν βούλεσθέ με ἐλθεῖν, τούτους τοὺς τέσσαρας, εἰ μὲν ὡς δικαστὰς, ἐκβάλλετε τούτου τοῦ συνεδρίου· εἰ δὲ ὡς κατηγόρους, στήσατε εἰς τὴν κρίσιν ἵνα γνῶ ὅπως κομίζωμαι. πότερον ὡς πρὸς ἀντιδίκους, ἢ ὡς δικαστάς· καὶ πάντως ἐλεύσομαι οὐ μόνον πρὸς τὴν ὑμετέραν ἀγάπην, ἀλλὰ καὶ πρὸς πᾶσαν τῆς οἰκουμένης σύνοδον· ὥστε οὖν γνῶτε, ἐὰν μυριάκις ἀποστείλητε πρός με. οὐδὲν πλέον ἀκούσεσθε παρ' ἐμοῦ.

Ποία ἀκολουθίᾳ δικάζετε, οἱ μή τε τοὺς ἐχθροὺς μου ἐξόσαντες, καὶ διὰ τῶν ἐμῶν κληρικῶν με μεταστελλόμενοι.

Ἐπειδὴ κατηγορηθεὶς Ἰωάννης ἐπίκακοῖς τισι, καὶ συνειδὼς ἑαυτῷ, οὐκ ἠθέλησεν ἀπαντῆσαι, τόνδε τοιοῦτον καθαιροῦσιν οἱ νόμοι· ὃ δὴ καὶ ὑπέστη. περιέχουσι δὲ οἱ λιβέλλοι καὶ καθοσιώσεως ἔγκλημα. κελεύσει οὖν ἡ ὑμῶν εὐσέβεια καὶ ἄκοντα αὐτὸν ἐξοσθῆναι, καὶ δίκας δοῦναι ἐπὶ τῇ καθοσιώσει. ἐπειδὴ ἡμῖν οὐκ ἔξεστι ταῦτα ζητεῖν.

Η' αὐτὴ ἐν Κωνσταντίνου πόλει

Συνόδος κατὰ τοῦ Χρυσοστόμου.

Ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

ΝΕΚΤΑΡΙΟΥ δὲ τῆς ἀρχιερωσύνης τὸν θρόνον θείῳ νεύματι ἐκληρώσατο πρεσβύτερος Ἀντιοχείας Συρίας, Ἰωάννης ὁ μέγας Χρυσόστομος· καθ' οὗ διαβολαὶ παρὰ τῶν κρατούντων οὐχ ἥκιστα καὶ φθονούντων, οὐχ αἱ τυχοῦσαι γενόμεναι, συνέδριον πονηρὸν τριάκοντα καὶ τριῶν ἐπισκόπων συνέστησαν, καὶ ὑπόδικον ἐξορίᾳ κατέκριναν.

Ἑτέρα συνόδος ἐν Κωνσταντινουπόλει ὑπὲρ τοῦ Χρυσοστόμου.

Ἀ'ΛΛ' οὐ μετὰ πολὺ, τὴν βασιλίδα Κωνσταντινούπολιν τῆς ἀληθείας πρόμαχος ἑξήκοντα ἐπισκόπων κατέλαβε σύνοδος. καὶ τὸν ἅγιον συκοφαντηθέντα Χρυσόστομον, τῷ αὐτοῦ θρόνῳ ἀποκατέστησε, Καὶ πάλιν ἀδικηθέντα, καὶ ὑπὸ τῆς Κομανικῆς ἐξορίας ἀναδραμόντα πρὸς τὰ οὐράνια, ** Ἀρσάνιος διαδέχεται· Ἀττικὸς, ἐκεῖνον. καὶ τοῦτον, Σισίνιος.





Μ. Διονυσίου, Ἐπιφάνιος Κύπρου.



Ἅγ. Ἰωάννης Χρυσόστομος.



Μ. Διονυσίου, Ἀμφίλοχιος Ἰκονίου.



Ἅγ. Βίκτωρ, Μιλάνου, Ἅγ. Ἀμβρόσιος



Ἅγ. Αὐγουστῖνος.

Ε' Π Ι Σ Τ Ο Λ Α Ι'

Κ Α Ν Ο Ν Ι Κ Α Ι'

Ε' Π Ι Σ Τ Ο Λ Η'

ΤΟΥ Ἁ'ΓΙ'ΟΥ Α'ΘΑΝΑΣΙ'ΟΥ

Πρὸς Ἀμοῦν μονάζοντα.

α'. πρὸς Κορινθ. α'. ΠΑ'ΝΤΑ μὲν καλὰ καὶ καθαρὰ τὰ τοῦ θεοῦ ποιήματα· οὐδὲν γὰρ ἄχρηστον ἢ ἀκάθαρτον ὁ τοῦ θεοῦ πεποίηκε λόγος. Χριστοῦ γὰρ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις, κατὰ τὸν ἀπόστολον. Ἐπειδὴ δὲ ποικίλα καὶ πολύτροπα τὰ τοῦ διαβόλου βέλη, καὶ τοὺς ἀκεραιοτέρους τὴν γνώμην παρασκευάζει ταράττεσθαι, κωλύει τε τῆς συνήθους γυμνασίας τοὺς ἀδελφοὺς, ὑποσπείρων αὐτοῖς λογισμοὺς ἀκαθαρσίας καὶ μολυσμοῦ· φέρε διὰ βραχέων καὶ τὴν τοῦ πονηροῦ πλάνην ἀπελάσωμεν τῇ τοῦ σωτῆρος ἡμῶν χάριτι, καὶ τὴν τῶν ἁπλουστέρων γνώμην στηρίξωμεν. πρὸς τίτ. α'. πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις καὶ τὰ πάντα μεμόλυνται. ἄγαμαι δὲ τοῦ διαβόλου τὸ σόφισμα, ὅτι περ φθορὰ καὶ λύμη ὑπάρχων, λογισμοὺς ὑποβάλλει τῷ δοκεῖν μὲν, καθαρότητος· ἔστι δὲ τὸ γινόμενον ἐνέδρα μᾶλλον ἢ δοκιμασία. ἵνα γὰρ, ὡς προεῖπον, ἀπασχολήσῃ τοὺς ἀσκητὰς τῆς ἐθίμου καὶ σωτηριώδους μελέτης, καὶ δόξῃ κρατεῖν κατὰ τοῦτο, τοιαῦτά τινα κινεῖ βομβίκια, ἅτινα φέρει μὲν οὐδὲν τῷ βίῳ χρήσιμον, καινὰς δὲ ζητήσεις καὶ φλυαρίας, ἃς δεῖ παραιτεῖσθαι.

Τί γὰρ, εἰπέ μοι ὦ ἀγαπητὲ καὶ εὐλαβέστατε, ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον, φυσική τις ἔκκρισις; ὡς εἴ τις ἐθέλει ποιεῖσθαι ἔγκλημα, καὶ τὰς διὰ ῥινῶν ἐκπεμπομένας μύξας, καὶ τὰ διὰ τοῦ στόματος πτύσματα. ἔτι δὲ καὶ τούτων ἔχομεν λέγειν πλείονα, τὰς διὰ γαστέρων ἐκκρίσεις, ἅπερ τῷ ζώῳ πρὸς τὸ ζῆν ἀναγκαῖα καθέστηκεν. ἔτι τε εἰ τῶν τοῦ θεοῦ χειρῶν ἔργον πιστεύομεν εἶναι τὸν ἄνθρωπον κατὰ τὰς θείας γραφὰς, πῶς ἠδύνατο ἐκ καθαρᾶς δυνάμεως πράξ. ιζ'. ἔργον τι γίνεσθαι μεμολυσμένον; καὶ εἰ γένος τοῦ θεοῦ ὑπάρχομεν κατὰ τὰς θείας τῶν ἀποστόλων πράξεις, οὐδὲν ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον. τότε γὰρ μόνον μεμολύσμεθα, ὅτε τὴν δυσωδεστάτην ἁμαρτίαν ἐργαζόμεθα. ὅτε δὲ φυσική τις ἀβουλήτως ἔκκρισις γίνεται, τότε τῇ τῆς φύσεως ἀνάγκῃ, μετὰ τῶν ἄλλων, ὡς προείπομεν, καὶ τοῦτο ὑπομένομεν.

Ἀλλ' ἐπειδήπερ οἱ θέλοντες ἀντιλέγειν μόνον τοῖς ὀρθῶς λεγομένοις, μᾶλλον δὲ παρὰ θεοῦ πεποιημένοις, παραφέρουσι δὲ καὶ ῥητὸν εὐαγγελικόν. ὡς ὅτι οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα, ἀναγκαίως αὐτῶν καὶ ταύτην τὴν ἀλογίαν (οὐ γὰρ ἂν εἴπειμεν ζήτησιν) ἐλέγξωμεν. πρῶτον μὲν γὰρ καὶ τὰς γραφὰς, μετὰ τῆς ἰδίας ἀμαθίας ἀστήρικτοι ὄντες βιάζονται· ἔχει δὲ τὸ θεῖον οὕτω λόγιον· τινῶν γὰρ πάλιν τούτοις ὁμοίως ἐνδυαστῶς ἐχόντων περὶ βρωμάτων, αὐτὸς λύων αὐτῶν τὴν ἄγνοιαν, ἤγουν τὴν ἀπάτην, δημοσιεύων, φησὶ, μὴ τὰ εἰσερχόμενα κοινοῦν τὸν ἄνθρωπον ἀλλὰ τὰ ἐξερχόμενα. εἶτα ἐπάγει καὶ πόθεν ἐξερχόμενα· τὰ ἀπὸ καρδίας· ἐκεῖ γὰρ εἶναι τοὺς πονηροὺς θησαυροὺς τῶν βεβήλων λογισμῶν, καὶ τῶν ἄλλων ἁμαρτημάτων, γινώσκει. συντομώτερον δὲ ὁ ἀπόστολος αὐτὸ δεδιδαγμένος, φησὶ, βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ θεῷ. φαίη δ' ἄν τις καὶ νῦν εὐλόγως, φυσική τις ἔκκρισις ἡμᾶς οὐ παραστήσει πρὸς τιμωρίαν. τάχα δὲ καὶ παῖδες ἰατρῶν, ἵνα κἂν ἐκ τῶν ἔξωθεν δυσωπηθῶσιν, ὑπὲρ τούτου ἀπολογήσονται, ὅτι τῷ ζώῳ δέδονταί τινες ἀναγκαῖαι διέξοδοι κατὰ τῶν ἐν ἡμῖν ἑκάστῳ μελῶν τρεφομένων τὸ περιττὸν ἀποπέμπειν· οἷον κεφαλῆς περιττώματα τρίχες, καὶ τὰ ἀπὸ κεφαλῆς ὑδατώδη πεμπόμενα, καὶ γαστρὸς διαχωρήματα, καὶ τοίνυν τῶν σπερματικῶν πόρων ἐκεῖνο περίττωμα. ποία τοίνυν ἔστι πρὸς θεοῦ, ὦ πρεσβύτα θεοφιλέστατε, ἁμαρτία αὐτοῦ τοῦ πλάσαντος τὸ ζῶον δεσπότου θελήσαντος καὶ ποιήσαντος ταῦτα τὰ μέλη τοιαύτας ἔχειν διεξόδους.

Ἐπειδὴ δεῖ προσλαμβάνειν τὰ τῶν πονηρῶν ἐναντιώματα (εἴποιεν γὰρ ἂν, οὐκοῦν οὐκ ἔστιν ἁμαρτία οὔτε ἡ ἀληθὴς χρῆσις, εἰ τὰ ὄργανα παρὰ τοῦ δημιουργοῦ διαπέπλασται). πρὸς τοῦτο ἐρωτηματικῶς αὐτοὺς παύσωμεν· φάσκοντες, ποίαν λέγεις χρῆσιν; τὴν ἐν νόμῳ ἣν καὶ ὁ θεὸς ἐπέτρεψε, λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν; ἣν ὁ Γενέσ. α'. ἀπόστολος ἀπεδέξατο, εἰπών. τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος; ἢ τὴν δημώδη μὲν, λαθραίως δὲ καὶ μοιχικῶς ἐπιτελουμένην; ἐπεὶ καὶ τῶν ἄλλων τῶν ἐν τῷ βίῳ γινομένων εὑρήσομεν τὰς διαφορὰς κατά τι γινομένας· οἷον, φονεύειν οὐκ ἔξεστιν, ἀλλ' ἐν πολέμῳ ἀναιρεῖν τοὺς ἀντιπάλους, καὶ ἔννομον καὶ ἐπαίνου ἄξιον.

ξιον. οὕτω γοῦν καὶ τιμῶν μεγάλων οἱ κατὰ πόλεμον ἀριστεύσαντες ἀξιοῦνται, καὶ στῆλαι τούτων ἐγείρονται κηρύττουσαι τὰ κατορθώματα. ὥστε τὸ αὐτὸ κατά τι μὲν καὶ κατὰ καιρόν, οὐκ ἔξεστι· κατά τι δὲ καὶ εὐκαίρως ἀφίεταί τε καὶ συγκεχώρηται. ὁ αὐτὸς οὖν λόγος καὶ περὶ τῆς μίξεως. μακάριος ὃς ἐν νεότητι ζυγὸν ἔχων ἐλεύθερον, τῇ φύσει πρὸς παιδοποιΐαν κέχρηται· εἰ δὲ πρὸς ἀσέλγειαν, πόρνους καὶ μοιχοὺς ἡ παρὰ τῷ Ἀποστόλῳ γραφεῖσα τιμωρία ἐκδέξεται. δύο γὰρ οὐσῶν ὁδῶν ἐν τῷ βίῳ περὶ τούτων, μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω· τῆς δὲ ἑτέρας ἀγγελικῆς καὶ ἀνυπερβλήτου, τῆς παρθενίας· εἰ μέν τις τὴν κοσμικὴν τουτέστι τὸν γάμον, ἕλοιτο, μέμψιν μὲν οὐκ ἔχει· τοσαῦτα δὲ χαρίσματα οὐ λήψεται; λήψεται γάρ· ἐπείπερ φέρει καὶ αὐτὸς καρπὸν τὸν τριάκοντα· εἰ δὲ τὴν ἁγνήν τις καὶ ὑπερκόσμιον ἀσπάσαιτο, εἰ καὶ τραχεία παρὰ τὴν πρώτην καὶ δυσκατόρθωτος ἡ ὁδὸς, ὅμως ἔχει χαρίσματα θαυμασιώτερα· τὸν γὰρ τέλειον καρπὸν τὴν ἑκατοντάδα ἐβλάστησεν· ὥστε τὰ ἀκάθαρτα αὐτῆς καὶ πονηρὰ ζητήματα λύσεις ἰδίας ἔχει, καὶ παρὰ τῆς θείων γραφῶν πάλαι προλυθείσας.

Ὑποστήριζε τοίνυν ὦ πάτερ, τὰς ὑπὸ σεαυτὸν ἀγέλας ἐκ τῆς ἀποστολικῶν παρακαλῶν, ἐκ τῆς εὐαγγελικῶν ψυχαγωγῶν, ἐκ τῆς ψαλμῶν συμβουλεύων· ζῆσόν με, λέγων, κατὰ τὸ λόγιόν σου. λόγιον δὲ αὐτοῦ τὸ ἐκ καθαρᾶς λατρεύειν αὐτῷ καρδίας. τοῦτο γὰρ εἰδὼς ὁ αὐτὸς προφήτης, ὥσπερ ἑαυτὸν μεταφράζων, λέγει, καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός· ἵνα μὴ ῥυπώδεις λογισμοί με ταράξωσι. πάλιν Δαβίδ. καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με· ἵνα κἄν ποτε λογισμοί με θορυβήσωσιν, ἰσχυρά τις δύναμις παρὰ σοῦ στηρίζῃ με, ὥσπερ κρηπὶς τυγχάνουσα. αὐτὸς τοίνυν ταῦτα καὶ τὰ τοιαῦτα συμβουλεύων, λέγε πρὸς τοὺς βράδιον τῇ ἀληθείᾳ πειθομένους, διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ θαρρῶν κυρίῳ ὅτι πείσης ἀποσχέσθαι τῆς τοιαύτης κακίας, ψάλλε, καὶ οἱ ἀσεβεῖς ἐπί σε ἐπιστρέψουσι. γένοιτο δὲ, τοὺς μὲν κακοήθως ζητοῦντας, παύσασθαι τῆς τοιαύτης ματαιοπονίας· τοὺς δὲ δι' εὐήθειαν ἐνδοιαστῶς ἔχοντας, ἡγεμονικῷ πνεύματι κρατυνθῆναι. ὅσοι δὲ βεβαίως τὴν ἀλήθειαν ἐπίστασθε, ἀρραγῆ ταύτην κατέχετε καὶ ἀσάλευτον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ δόξα καὶ τὸ κράτος σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῆς αἰώνων. ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ.

Ἐκ τῆς λθ'. ἑορταστικῆς ἐπιστολῆς.

Ἀλλ' ἐπειδὴ περὶ μὲν τῆς αἱρετικῶν ἐμνήσθημεν, ὡς νεκρῶν, περὶ δὲ ἡμῶν, ὡς ἐχόντων πρὸς σωτηρίαν θείας γραφάς· καὶ φοβοῦμαι μή πως, ὡς ἔγραψε Κορινθίοις Παῦλος, ὀλίγοι τῆς ἀκεραίων ἀπὸ τῆς ἁπλότητος, καὶ τῆς ἁγνότητος ἀποπλανηθῶσιν, ἀπὸ τῆς πανουργίας τῆς ἀνθρώπων, καὶ λοιπὸν ἐντυγχάνειν ἑτέροις ἄρξωνται, τοῖς λεγομένοις ἀποκρύφοις, ἀπατώμενοι τῇ ὁμωνυμίᾳ τῆς ἀληθινῶν βιβλίων· παρακαλῶ ἀνέχεσθαι, εἰ περὶ ὧν ἐπίστασθε, περὶ τούτων κἀγὼ μνημονεύων γράφω διά τε τὴν ἀνάγκην καὶ τὸ χρήσιμον τῆς ἐκκλησίας. μέλλων δὲ τούτων μνημονεύειν, χρήσομαι πρὸς σύστασιν τῆς ἐμαυτοῦ τόλμης, τῷ τύπῳ τοῦ εὐαγγελιστοῦ Λουκᾶ, λέγων καὶ αὐτὸς, ἐπειδήπερ τινὲς ἐνεχείρησαν ἀνατάξασθαι ἑαυτοῖς τὰ λεγόμενα ἀπόκρυφα, καὶ ἐπιμίξαι ταῦτα τῇ θεοπνεύστῳ γραφῇ, περὶ ἧς ἐπληροφορήθημεν, καθὼς παρέδωσαν τοῖς πατράσιν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου· ἔδοξε κἀμοὶ προτραπέντι παρὰ γνησίων ἀδελφῶν, μαθόντι ἄνωθεν, ἑξῆς ἐκθέσθαι τὰ κανονιζόμενα καὶ παραδοθέντα, πιστευθέντα τε θεῖα εἶναι βιβλία. ἵνα ἕκαστος, εἰ μὲν ἠπατήθη, καταγνῷ τῆς πλανησάντων· ὁ δὲ καθαρὸς διαμείνας, χαίρῃ πάλιν ὑπομιμνησκόμενος.

Ἔστι τοίνυν τῆς μὲν παλαιᾶς διαθήκης τῷ ἀριθμῷ τὰ πάντα βιβλία εἰκοσιδύο· τοσαῦτα γάρ, ὡς ἤκουσα, καὶ τὰ στοιχεῖα τὰ παρ' Ἑβραίοις εἶναι παραδέδοται. τῇ δὲ τάξει καὶ τῷ ὀνόματί ἐστιν ἕκαστον, οὕτω· πρῶτον Γένεσις· εἶτα Ἔξοδος· εἶτα Λευιτικόν· καὶ μετὰ τοῦτο, Ἀριθμοί· καὶ λοιπὸν τὸ Δευτερονόμιον. ἑξῆς δὲ τούτοις ἐστὶν Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ Κριταὶ, καὶ μετὰ τοῦτο ἡ Ρούθ. καὶ αὖθις ἑξῆς βασιλειῶν βιβλία τέσσαρα· καὶ τούτων τὸ μὲν πρῶτον καὶ δεύτερον εἰς ἓν βιβλίον ἀριθμεῖται· τὸ δὲ τρίτον καὶ τέταρτον, ὁμοίως εἰς ἕν. μετὰ δὲ ταῦτα παραλειπομένων πρῶτον καὶ δεύτερον ὁμοίως εἰς ἓν βιβλίον ἀριθμούμενα. εἶτα Ἔσδρας, πρῶτον καὶ δεύτερον, ὁμοίως εἰς ἕν. μετὰ δὲ ταῦτα βίβλος ψαλμῶν, καὶ ἑξῆς παροιμίαι. εἶτα ἐκκλησιαστὴς, καὶ ᾆσμα ᾀσμάτων· πρὸς τούτοις ἐστὶ καὶ Ἰώβ, καὶ λοιπὸν προφῆται, οἱ μὲν δώδεκα εἰς ἓν βιβλίον ἀριθμούμενοι. εἶτα Ἡσαΐας, Ἱερεμίας, καὶ σὺν αὐτῷ, Βαρούχ, θρῆνοι, καὶ ἐπιστολή· καὶ μετ' αὐτὸν Ἰεζεκιὴλ, καὶ Δανιήλ. ἄχρι τούτων, τὰ τῆς παλαιᾶς διαθήκης ἵσταται.

Τὰ δὲ τῆς καινῆς πάλιν οὐκ ὀκνητέον εἰπεῖν. ἔστι δὲ ταῦτα· εὐαγγέλια τέσσαρα, κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν, καὶ κατὰ Ἰωάννην. εἶτα καὶ μετὰ ταῦτα, πράξεις ἀποστόλων, καὶ ἐπιστολαὶ καθολικαὶ καλούμεναι τῶν ἀποστόλων, ἑπτὰ, οὕτως, Ἰακώβου μία, Πέτρου δὲ, δύο, εἶτα Ἰωάννου τρεῖς, καὶ μετὰ ταύτας Ἰούδα μία· πρὸς τούτοις Παύλου ἀποστόλου εἰσὶν ἐπιστολαὶ δεκατέσσαρες, τῇ τάξει γραφόμεναι οὕτως· πρώτη πρὸς Ῥωμαίους, εἶτα πρὸς Κορινθίους δύο, εἶτα καὶ μετὰ ταύτας, πρὸς Γαλάτας, καὶ ἑξῆς πρὸς Ἐφεσίους· εἶτα πρὸς Φιλιππησίους, καὶ πρὸς Κολοσσαεῖς, καὶ πρὸς Θεσσαλονικεῖς δύο· καὶ ἡ πρὸς Ἑβραίους, καὶ ἑξῆς πρὸς μὲν Τιμόθεον δύο, πρὸς δὲ Τίτον μία· καὶ τελευταία ἡ πρὸς Φιλήμονα μία· καὶ πάλιν Ἰωάννου ἀποκάλυψις.

Ταῦτα πηγαὶ τοῦ σωτηρίου, ὥς τὸν διψῶντα, ἐμφορεῖσθαι τῆς ἐν τούτοις λογίων. ἐν τούτοις μόνοις τὸ τῆς εὐσεβείας διδασκαλεῖον εὐαγγελίζεται. μηδεὶς τούτοις ἐπιβαλλέτω, μηδεὶς τούτων ἀφαιρείσθω τι. περὶ δὲ τούτων ὁ κύριος Σαδδουκαίους μὲν ἐδυσώπει, λέγων. πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὰς δυνάμεις αὐτῶν· τοῖς δὲ Ἰουδαίοις παρήνει, ἐρευνᾶτε τὰς γραφὰς, ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ.

Ἀλλ' ἕνεκά γε πλείονος ἀκριβείας προστίθημι καὶ τοῦτο,

τοῦτο, γράφων ἀναγκαίως, ὡς ἔστι καὶ ἕτερα βιβλία τούτων ἔξωθεν, οὐ κανονιζόμενα μὲν τετυπωμένα δὲ παρὰ τῶν πατέρων ἀναγινώσκεσθαι τοῖς ἄρτι προσεχομένοις καὶ βουλομένοις κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον· σοφία Σολομῶντος, καὶ σοφία Σιράχ, καὶ Ἐσθὴρ, καὶ Ἰουδὶθ, καὶ Τωβίας, καὶ διδαχὴ καλουμένη τῶν ἀποστόλων, καὶ ὁ ποιμήν· καὶ ὅμως ἀγαπητοί· κἀκείνων ἀναγινωσκομένων, καὶ τούτων κανονιζομένων, οὐδαμοῦ τῶν ἀποκρύφων μνήμη· ἀλλὰ αἱρετικῶν ἐστὶν ἐπίνοια, γραφόντων μὲν ὅτε θέλουσιν αὐτά. χαριζομένων δὲ καὶ προστιθέντων αὐτοῖς χρόνους, ἵνα ὡς παλαιὰ προφέροντες, πρόφασιν ἔχωσιν ἀπατᾶν ἐκ τούτων τοὺς ἀκεραίους.

ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ
ἐπιστολὴ

ΠΡΟΣ ΡΟΥΦΙΝΙΑΝΟΝ.

Κυρίῳ υἱῷ καὶ ποθεινοτάτῳ συλλειτουργῷ Ῥουφινιανῷ, Ἀθανάσιος ἐν κυρίῳ χαίρειν.

ΣΥ μὲν, τὰ υἱῷ ἠγαπημένῳ πατρὶ πρέποντα πρὸς πατέρα γράφεις. ἐγγίσαντα γοῦν σε διὰ τοῦ γράμματος περιεπτυξάμην, πάντων ἐμοὶ ποθεινότατε Ῥουφινιανέ· κἀγὼ δὲ ὡς υἱῷ δυνάμενος γράφειν ἔν τε προοιμίοις, καὶ μέσοις καὶ τελευταίοις, ἐπέσχον. ἵνα μὴ ἐκ γραμμάτων ἡ σύστασις καὶ ἡ μαρτυρία γνωρίζηται. σὺ γὰρ ἐμοὶ ἐπιστολὴ, κατὰ τὸ γεγραμμένον, ἐπιγινωσκομένη, καὶ ἀναγινωσκομένη ἐν καρδίᾳ. οὕτω τοίνυν πίστευε διακείμενος, * ναὶ πίστευε, προσαγορεύω σε, καὶ προτρέπω γράφειν. οὐ γὰρ ὀλίγως ἀλλὰ μεγάλως εὐφραίνεις τοῦτο ποιῶν.

* Corr. διακειμένῳ.

Ἐπειδὴ δὲ φιλοκάλως καὶ ἐκκλησιαστικῶς, τοῦτο γὰρ πάλιν πρέπει τῇ σῇ εὐλαβείᾳ, ἠρώτησας περὶ τῶν δι' ἀνάγκην ὑποσυρέντων μὲν, μὴ φθαρέντων δὲ ἐν τῇ κακοπιστίᾳ, καὶ ἠθέλησας γράψαί με τὰ δόξαντα περὶ αὐτῶν ἐν ταῖς συνόδοις καὶ πανταχοῦ· γίνωσκε κύριέ μου ποθεινότατε, ὅτι ἐν ἀρχῇ μὲν παυσαμένης τῆς γενομένης βίας, γέγονε σύνοδος παρόντων ἀπὸ τῶν ἔξω μερῶν ἐπισκόπων. γέγονε δὲ καὶ παρὰ τοῖς τὴν Ἑλλάδα κατοικοῦσι συλλειτουργοῖς· οὐδὲν δὲ ἧττον καὶ τοῖς ἐν Ἱσπανίᾳ καὶ Γαλλίᾳ. καὶ ἤρεσεν ὅπερ ὧδε καὶ πανταχοῦ, ὥστε τοῖς μὲν καταπεπτωκόσι καὶ προϊσταμένοις τῆς ἀσεβείας συγγινώσκειν μὲν μετανοοῦσι, μὴ διδόναι δὲ αὐτοῖς τόπον κλήρου· τοῖς δὲ μὴ αὐθεντοῦσι μὲν τῆς ἀσεβείας, παρασυρεῖσι δὲ δι' ἀνάγκην καὶ βίαν, ἔδοξε δίδοσθαι μὲν συγνώμην, ἔχειν δὲ καὶ τὸν τόπον τοῦ κλήρου, μάλιστα ὅτι ἀπολογίαν πιθανὴν ἐπορίσαντο. καὶ ἔδοξε τοῦτό πως οἰκονομικῶς γεγενῆσθαι· διεβεβαιώσαντο γὰρ μὴ μεταβεβλῆσθαι εἰς ἀσέβειαν· ἵνα δὲ μὴ κατασταθέντες τινὲς ἀσεβέστατοι, διαφθείρωσι τὰς ἐκκλησίας, εἵλοντο μᾶλλον συνδραμεῖν τῇ βίᾳ, καὶ βαστάσαι τὸ βάρος, ἢ λαοὺς ἀπολέσθαι.

Τοῦτο γὰρ λέγοντες, ἔδοξαν καὶ ἡμῖν πιθανῶς λέγειν, διὰ τὸ καὶ προφασίζεσθαι αὐτοὺς τὸν Ἀαρὼν τὸν Μωσέως ἀδελφὸν, ἐν τῇ ἐρήμῳ συνδραμεῖν μὲν τῇ τοῦ λαοῦ παραβάσει, ἀπολογίαν δὲ ἐσχηκέναι, ἵνα μὴ ὁ λαὸς ὑποστρέψας εἰς Αἴγυπτον, ἐπιμείνῃ τῇ εἰδωλολατρείᾳ. καὶ γὰρ ἦν φαινόμενον εὔλογον, ὅτι μένοντες μὲν ἐν τῇ ἐρήμῳ, δυνάνται παύσασθαι τῆς ἀσεβείας· εἰσελθόντες δὲ εἰς Αἴγυπτον, ἐπετρίβοντο καὶ ἤυξανον ἐν αὐτοῖς τὴν ἀσέβειαν. τούτων τοίνυν ἕνεκα συγγνωστὸν τὸ πρὸς τὸν κλῆρον γέγονε· τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν παθοῦσι συγγνώμη δίδοται.

Ταῦτα καὶ τῇ σῇ εὐλαβείᾳ δηλῶ· θαρρῶν ὅτι καὶ τὰ δόξαντα ἀποδέξεταί σου ἡ θεοσέβεια, καὶ οὐ καταγνώσεται ἐκεχειρίαν τῶν συνελθόντων οὕτω. καταξίωσον δὲ ταῦτα ἀναγνῶναι τῷ Ἱερατείῳ καὶ τῷ λαῷ τῷ ὑπὸ σέ· ἵνα καὶ αὐτοὶ γινώσκοντες μὴ μέμφωνται οὕτω σε διακείμενον περὶ τοὺς τοιούτους. ἀπρεπὲς γὰρ ἦν ἐμὲ γράφειν, δυναμένης τῆς σῆς εὐλαβείας καὶ τὴν ἡμῶν περὶ αὐτοὺς διάθεσιν ἀπαγγεῖλαι, καὶ πάντα τὰ λείποντα ἀποπληρῶσαι. χάρις τῷ κυρίῳ, τῷ πληρώσαντί σε ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. οἱ μὲν οὖν μετανοοῦντες, φανερῶς ἀναθεματιζέτωσαν ὀνομάζοντες Εὐδοξίου καὶ Εὐζωΐου τὴν κακοπιστίαν. αὐτοὶ γὰρ λοιπὸν βλασφημοῦντες αὐτὸν κτίσμα, ἀπεγράψαντο τῆς Ἀρειανῆς αἱρέσεως προστάται. ὁμολογείτωσαν δὲ καὶ τὴν ἐν Νικαίᾳ παρὰ τῶν πατέρων ὁμολογηθεῖσαν πίστιν, καὶ μηδεμίαν ἄλλην σύνοδον προκρίνειν ταύτης τῆς συνόδου. πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· ἡ σὺν ἡμῖν ἐν κυρίῳ προσαγορεύει σε.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΒΑΣΙΛΕΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

Καισαρείας, Καππαδοκίας,

ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ

Ἐπίσκοπον Ἰκονίου, ἐπιστολὴ κανονικὴ α'.

ΑΝΟΗΤΩ, φησίν, ἐπερωτήσαντι σοφίαν, σοφία λογισθήσεται· σοφοῦ δὲ, ὡς ἔοικεν, ἐπερώτημα καὶ τὸν ἀνόητον σοφίζει· ὅπερ τῇ τοῦ Θεοῦ χάριτι συμβαίνει ἡμῖν, ὁσάκις ἄν σου δεξώμεθα τῆς φιλοπόνου ψυχῆς τὰ γράμματα. ἐπιστατικώτεροι γὰρ ἑαυτῶν καὶ ἐμφρονέστεροι γινόμεθα ἀπ' αὐτῆς τῆς ἐρωτήσεως, πολλὰ ὧν οὐκ ἐπιστάμεθα, διδασκόμενοι· καὶ γίνεται ἡμῶν διδάσκαλος ἡ περὶ τὸ ἀποκρίνεσθαι μέριμνα. ἀμέλει καὶ νῦν, οὐδέποτε λαβόντες ἐν φροντίδι τὰ ἐπερωτήματά σου, ἠναγκάσθημεν καὶ ἐπισκέψασθαι ἀκριβῶς, καὶ εἴ τι ἠκούσαμεν παρὰ τῶν πρεσβυτέρων, ἀναμνησθῆναι, καὶ τὰ συγγενῆ ὧν ἐδιδάχθημεν, παρ' ἑαυτῶν ἐπιλογίσασθαι.

ΚΑΝΩΝ α'.

ΤΟ μὲν οὖν περὶ τοὺς καθαροὺς ζήτημα, καὶ εἴρηται πρότερον, καὶ καλῶς ἀπεμνημόνευσας, ὅτι δεῖ τῷ ἔθει τῶν καθ' ἑκάστην χώραν ἕπεσθαι, διὰ τὸ διαφόρως ἐνδιενεχθῆναι περὶ τοῦ βαπτίσματος αὐτῶν, τοὺς τότε περὶ τούτων διαλαβόντας. τὸ δὲ τῶν Πεπουζηνῶν, οὐδένα μοι λόγον ἔχειν δοκεῖ· καὶ ἐθαύμασα, πῶς κανονικὸν ὄντα τὸν μέγαν Διονύσιον παρῆλθεν. ἐκεῖνο γὰρ ἔκρινον παλαιοὶ δέχεσθαι

σθαι βάπτισμα, τὸ μηδὲν τῆς πίστεως παρεκβαῖνον· ὅθεν, τὰς μὲν, αἱρέσεις ὠνόμασαν· τὰς δὲ, σχίσματα· τὰς δὲ, παρασυναγωγάς· αἱρέσεις μὲν, τοὺς παντελῶς ἀπερρηγμένους, καὶ κατ' αὐτὴν τὴν πίστιν ἀπηλλοτριωμένους· σχίσματα δὲ, τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς, καὶ ζητήματα ἰάσιμα, πρὸς ἀλλήλους διενεχθέντας· παρασυναγωγὰς δὲ, τὰς συνάξεις τὰς παρὰ τῶν ἀνυποτάκτων πρεσβυτέρων, ἢ ἐπισκόπων, καὶ παρὰ τῶν ἀπαιδεύτων λαῶν γινομένας. οἷον εἴ τις ἐν πταίσματι ἐξετασθεὶς, ἐπεσχέθη τῆς λειτουργίας, καὶ μὴ ὑπέκυψε τοῖς κανόσιν, ἀλλ' ἑαυτῷ ἐξεδίκησε τὴν προεδρίαν καὶ τὴν λειτουργίαν, καὶ συναπῆλθον τούτῳ τινὲς καταλιπόντες τὴν καθολικὴν ἐκκλησίαν· παρασυναγωγὴ τὸ τοιοῦτον· σχίσμα δὲ, τὸ περὶ τῆς μετανοίας διαφόρως ἔχειν πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας· αἱρέσεις δὲ, οἷον ἡ τῶν Μανιχαίων καὶ Οὐαλεντίνων, καὶ Μαρκιονιστῶν, καὶ αὐτῶν τούτων τῶν Πεπουζηνῶν. εὐθὺς γὰρ περὶ αὐτῆς τῆς εἰς Θεὸν πίστεως ἐστὶν ἡ διαφορά· ἔδοξε τοίνυν τοῖς ἐξ ἀρχῆς, τὸ μὲν τῶν αἱρετικῶν παντελῶς ἀθετῆσαι· τὸ δὲ τῶν ἀποσχισθέντων, ὡς ἔτι ἐκ τῆς ἐκκλησίας ὄντων, παραδέξασθαι· τοὺς δὲ ἐν ταῖς παρασυναγωγαῖς, μετανοίᾳ ἀξιολόγῳ καὶ ἐπιστροφῇ βελτιωθέντας, συνάπτεσθαι πάλιν τῇ ἐκκλησίᾳ. ὥστε πολλάκις καὶ τοὺς ἐν βαθμῷ, συναπελθόντας τοῖς ἀνυποτάκτοις, ἐπειδὰν δὲ μεταμεληθῶσιν, εἰς τὴν αὐτὴν παραδέχεσθαι τάξιν. οἱ τοίνυν Πεπουζηνοὶ προδήλως εἰσὶν αἱρετικοί· εἰς γὰρ τὸ πνεῦμα τὸ ἅγιον ἐβλασφήμησαν, Μοντανῷ καὶ Πρισκίλλῃ τὴν τοῦ παρακλήτου προσηγορίαν ἀθεμίτως καὶ ἀναισχύντως ἐπιφημίσαντες· εἴτε οὖν ὡς ἀνθρώπους θεοποιοῦντες, κατάκριτοι· εἴτε ὡς τὸ πνεῦμα τὸ ἅγιον τῇ πρὸς ἀνθρώπους συγκρίσει καθυβρίσαντες, καὶ οὕτω τῇ αἰωνίῳ καταδίκῃ ὑπεύθυνοι, διὰ τὸ ἀσυγχώρητον εἶναι τὴν εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημίαν· τίνα οὖν λόγον ἔχει, τὸ τούτων βάπτισμα ἐγκριθῆναι, τῶν βαπτιζόντων εἰς πατέρα, καὶ υἱὸν, καὶ Μοντανὸν ἢ Πρίσκιλλαν; οὐ γὰρ ἐβαπτίσθησαν οἱ εἰς τὰ μὴ παραδεδομένα ἡμῖν βαπτισθέντες· ὥστε, εἰ καὶ τὸν μέγαν Διονύσιον τοῦτο παρέλαθεν, ἀλλ' ἡμῖν οὐ φυλακτέον τὴν μίμησιν τοῦ σφάλματος· τὸ γὰρ ἄτοπον, αὐτόθεν πρόδηλον, καὶ πᾶσιν ἐναργὲς, οἷς τι καὶ μικρὸν τοῦ λογίζεσθαι μέτεστιν· οἱ καθαροὶ καὶ αὐτοὶ τῶν ἀπεσχισμένων εἰσί· πλὴν ἀλλ' ἔδοξε τοῖς ἀρχαίοις, τοῖς περὶ Κυπριανὸν λέγω καὶ Φιρμιλιανὸν τὸν ἡμέτερον, τούτους πάντας μιᾷ ψήφῳ ὑποβαλεῖν, Καθαροὺς, καὶ Ἐγκρατίτας, καὶ Ὑδροπαραστάτας, καὶ Ἀποτακτίτας· δι' ὃ ἡ μὲν ἀρχὴ τοῦ χωρισμοῦ διὰ σχίσματος γέγονεν· οἱ δὲ τῆς ἐκκλησίας ἀποστάντες, οὐκέτι ἔσχον τὴν χάριν τοῦ ἁγίου πνεύματος ἐφ' ἑαυτοῖς· ἐπέλιπε γὰρ ἡ μετάδοσις τῷ διακοπῆναι τὴν ἀκολουθίαν· οἱ μὲν γὰρ πρῶτοι ἀναχωρήσαντες, παρὰ τῶν πατέρων ἔσχον τὰς χειροτονίας· καὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτῶν, εἶχον τὸ χάρισμα τὸ πνευματικόν· οἱ δὲ ἀπορραγέντες, λαϊκοὶ γενόμενοι, οὔτε τοῦ βαπτίζειν, οὔτε τοῦ χειροτονεῖν εἶχον τὴν ἐξουσίαν, οὐκέτι δυνάμενοι χάριν πνεύματος ἁγίου ἑτέροις παρέχειν, ἧς αὐτοὶ ἐκπεπτώκασι. διὸ, ὡς παρὰ λαϊκῶν βαπτιζομένους τοὺς παρ' αὐτῶν, ἐκέλευσαν ἐρχομένους ἐπὶ τὴν ἐκκλησίαν, τῷ ἀληθινῷ βαπτίσματι τῷ τῆς ἐκκλησίας ἀνακαθαίρεσθαι· ἐπειδὴ δὲ ὅλως ἔδοξέ τισι τῶν κατὰ τὴν Ἀσίαν, οἰκονομίας ἕνεκα τῶν πολλῶν, δεχθῆναι αὐτῶν τὸ βάπτισμα, ἔστω δεκτόν· τὸ δὲ τῶν Ἐγκρατιτῶν κακούργημα νοῆσαι ἡμᾶς δεῖ, ὅτι, ἵνα αὐτοὺς ἀπροσδέκτους ποιήσωσι τῇ ἐκκλησίᾳ, ἐπεχείρησαν λοιπὸν ἰδίῳ προκαταλαμβάνειν βαπτίσματι· ὅθεν καὶ τὴν συνήθειαν τὴν ἑαυτῶν παρεχάραξαν· νομίζω τοίνυν ὅτι, ἐπειδὴ οὐδέν ἐστι περὶ αὐτῶν φανερῶς διηγορευμένον, ἡμᾶς προσῆκεν ἀθετεῖν αὐτῶν τὸ βάπτισμα· κἂν τις ᾖ παρ' αὐτῶν εἰληφὼς, προσιόντα τῇ ἐκκλησίᾳ βαπτίζειν. ἐὰν μέν τοι μέλλῃ τῇ καθόλου οἰκονομίᾳ ἐμπόδιον ἔσεσθαι τοῦτο, πάλιν, τῷ ἔθει χρηστέον, καὶ τοῖς οἰκονομήσασι τὰ καθ' ἡμᾶς πατράσιν ἀκολουθητέον. ὑφορῶμαι γὰρ μήποτε, ὡς βουλόμεθα ὀκνηροὺς περὶ τὸ βαπτίζειν ποιῆσαι, ἐμποδίσωμεν τοῖς σωζομένοις διὰ τὸ τῆς * προτάσεως αὐστηρόν. εἰ δὲ ἐκεῖνοι φυλάσσουσι τὸ ἡμέτερον βάπτισμα, τοῦτο ἡμᾶς δυσωπείτω· οὐ γὰρ ἀντιδιδόναι αὐτοῖς ὑπεύθυνοι χάριν ἐσμὲν, ἀλλὰ δουλεύειν ἀκριβείᾳ κανόνων. παντὶ δὲ λόγῳ τυπωθήτω, τοὺς ἐπὶ τὸν βαπτισμὸν ἐκεῖνον προσερχομένους, χρίεσθαι ὑπὸ τῶν πιστῶν δηλονότι, καὶ οὕτω προσιέναι τοῖς μυστηρίοις. οἶδα δὲ ὅτι τοὺς ἀδελφοὺς τοὺς περὶ Ζοῖν, καὶ Σατορνῖνον, ἀπ' ἐκείνης ὄντας τῆς τάξεως, προσεδεξάμεθα εἰς τὴν καθέδραν τῶν ἐπισκόπων· ὥστε τοὺς τῷ τάγματι ἐκείνῳ συνημμένους, οὐκέτι δυνάμεθα διακρίνειν ἀπὸ τῆς ἐκκλησίας, οἷον κανόνα τινὰ τῆς πρὸς αὐτοὺς κοινωνίας ἐκθέμενοι, διὰ τῆς τῶν ἐπισκόπων παραδοχῆς.

* ſ. προτάξεως

ΚΑΝΩΝ β'.

Φθείρασα κατ' ἐπιτήδευσιν, φόνου δίκην ὑπέχει. ἀκριβολογία δὲ ἐκμεμορφωμένου καὶ ἀνεξεικονίστου παρ' ἡμῖν οὐκ ἔστιν. ἐνταῦθα γὰρ ἐκδικεῖται οὐ μόνον τὸ γεννηθησόμενον, ἀλλὰ καὶ αὐτὴ ἡ ἑαυτῇ ἐπιβουλεύσασα· διότι ὡς ἐπὶ τὸ πολὺ ἐναποθνήσκουσι ταῖς τοιαύταις ἐπιχειρήσεσιν αἱ γυναῖκες· πρόσεστι δὲ τούτῳ καὶ ἡ φθορὰ τοῦ ἐμβρύου, ἕτερος φόνος, κατά γε τὴν ἐπίνοιαν τῶν ταῦτα τολμώντων· δεῖ μέν τοι μὴ μέχρι τῆς ἐξόδου παρατείνειν αὐτῶν τὴν ἐξομολόγησιν, ἀλλὰ δέχεσθαι μέντοι τὸ μέτρον τῶν δέκα ἐτῶν· ὁρίζειν δὲ μὴ χρόνῳ ἀλλὰ τρόπῳ τὴν τῆς θεραπείαν μετανοίας.

* Corr. μετανοίας θεραπείας.

ΚΑΝΩΝ γ'.

Διάκονος μέντοι τὴν διακονίαν πορνεύσας, ἀπόβλητος μὲν τῆς διακονίας ἔσται· εἰς δὲ τὸν τῶν λαϊκῶν ἀπωσθεὶς τόπον, τῆς κοινωνίας οὐκ εἰρχθήσεται· διότι ἀρχαῖός ἐστι κανὼν, τοὺς ἀπὸ βαθμοῦ πεπτωκότας, τούτῳ μόνῳ τῷ τρόπῳ τῆς κολάσεως ὑποβάλλεσθαι· ἀκολουθησάντων, ὡς οἶμαι, τῶν ἐξ ἀρχῆς τῷ νόμῳ ἐκείνῳ, τῷ οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό. καὶ δι' ἑτέραν δὲ αἰτίαν· ὅτι οἱ μὲν ἐν τῷ λαϊκῷ ὄντες τάγματι, ἐκβεβλημένοι τοῦ τόπου τῶν πιστῶν, πάλιν εἰς τὸν ἀφ' οὗ ἐξέπεσον τόπον ἀναλαμβάνονται· ὁ δὲ διάκονος ἅπαξ ἔχει διαρκῆ τὴν δίκην τῆς καθαιρέσεως· ὡς οὖν οὐκ ἀποδιδομένης αὐτῷ τῆς διακονίας, ἐπὶ ταύτης ἔστησαν μόνης τῆς ἐκδικήσεως. ταῦτα μὲν οὖν τὰ ἐκ τῶν τύπων· καθόλου δὲ ἀληθέστερόν ἐστιν

ρόν ἐστιν ἴαμα ἡ τῆς ἁμαρτίας ἀναχώρησις. ὥστε ὁ διὰ σαρκὸς ἡδονὴν ἀθετήσας τὴν χάριν, διὰ τοῦ σωτηρίου τῆς σαρκὸς, καὶ πάσης δουλαγωγίας τῆς κατ' ἐγκράτειαν, ἀποσὰς τῶν ἡδονῶν, ὑφ' ὧν κατεσράφη, τελείαν ἡμῖν παρέξει τῆς ἰατρίσεως αὐτοῦ τὴν ἀπόδειξιν. ἀμφότερα τοίνυν εἰδέναι ἡμᾶς δεῖ, καὶ τὰ τῆς ἀκηβείας, καὶ τὰ τῆς σωηθείας· ἕπεσθαι δὲ, ἐπὶ τῷ μὴ καταδεξαμένων τὴν ἀκρότητα, τῷ παραδοθέντι τύπῳ.

ΚΑΝΩΝ δ'.

Περὶ τετραγάμων καὶ πολυγάμων τὸν αὐτὸν ὡρίσαμεν κανόνα, ὃν καὶ ἐπὶ τῶν διγάμων, ἀναλόγως· ἐνιαυτῶν μὲν γὰρ ἐπὶ διγάμων, ἄλλοι δὲ δύο ἔτη, τοὺς δὲ τετραγάμους ἐν τρισὶ καὶ πέντε πολλάκις ἔτεσιν ἀφορίζουσιν. ὀνομάζουσι δὲ τὸ τοιοῦτον, οὐκ ἔτι γάμον, ἀλλὰ πολυγαμίαν· μᾶλλον δὲ πορνείαν κεκολασμένην. διὸ καὶ ὁ κύριος τῇ Σαμαρείτιδι πέντε ἄνδρας ὀνομακυίᾳ· ὃν νῦν, φησὶν, ἔχεις, οὐκ ἔστι σου ἀνήρ· ὡς οὐκέτι ἀξίων ὄντων τῶν ὑπερεκπεσόντων τοῦ μέτρου τῆς διγαμίας, τοῦ τοῦ ἀνδρὸς, ἢ τῆς γυναικὸς, καλεῖσθαι προσρήματι. συγκατάβασιν δὲ καταλαβόμενος, ἐπὶ τῶν τετραγάμων παιδείας ἀφορισμόν· οὐκ ἀπὸ κανόνων, ἀλλ' ἀπὸ τῆς τῶν προειληφότων ἀκολουθίας. δεῖ δὲ μὴ πάντη αὐτοὺς ἀπείργειν τῆς ἐκκλησίας· ἀλλ' ἀκροάσεως αὐτοὺς ἀξιοῦν ὧν δύο που ἕπεσιν ὧν τρισί· καὶ μὴ ταῦτα ἐπιτρέπειν συνήκειν μόνον, τῆς δὲ κοινωνίας τοῦ ἀγαθοῦ ἀπέχεσθαι, καὶ ὕστως ἐπιδεξαμένους καρπόν τινα μετανοίας ἀποκαθιστᾶν τῷ τόπῳ τῆς κοινωνίας.

ΚΑΝΩΝ ε'.

Τοὺς ἐπὶ ὁδῷ μετανοοῦντας τῶν αἱρετικῶν δέχεσθαι χρή· δέχεσθαι δὲ, δηλονότι οὐκ ἀκρίτως, ἀλλὰ δοκιμάζοντας εἰ ἀληθινὴν ἐπιδείκνυνται μετάνοιαν, καὶ εἰ τοὺς καρποὺς ἔχουσι μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ.

ΚΑΝΩΝ ς'.

Τῶν κανονικῶν τὰς πορνείας εἰς γάμον μὴ καταλογίζεσθαι, ἀλλὰ παντὶ τρόπῳ διασπᾶν αὐτῶν τὴν συνάφειαν. τοῦτο γὰρ καὶ τῇ ἐκκλησίᾳ πρὸς ἀσφάλειαν λυσιτελές, καὶ τοῖς αἱρετικοῖς οὐ δώσει καθ' ἡμῶν λαβὴν, ὡς διὰ τὸ τὰ ἁμαρτάνειν ἄδειαν ἐπισπωμένων πρὸς ἑαυτούς.

ΚΑΝΩΝ ζ.

Ἀρσενοφθόροι καὶ ζωοφθόροι, καὶ φονεῖς, καὶ φαρμακοὶ, καὶ μοιχοὶ, καὶ εἰδωλολάτραι, τῆς αὐτῆς κατακρίσεως εἰσὶν ἠξιωμένοι· ὥστε ὃν ἔχεις ἐπὶ τῶν ἄλλων τύπον, καὶ ἐπὶ τούτων φύλαξον. τοὺς δὲ ἐν τελέσει μετανοήσαντας ἐπὶ τῇ ἀκαθαρσίᾳ, ἣν ἐν ἀγνοίᾳ ἔπραξαν, οὐκ ἀμφιβάλλειν ἡμᾶς προσήκειν εἰς τὸ παραδέξασθαι. ἅπερ γὰρ ἄγνοια συγγνώμης ἀξίους αὐτοὺς ποιεῖ, καὶ τὸ ἑκούσιον τῆς ἁμαρτήσεως· καὶ ἡ παράτασις ἐν τοσούτῳ χρόνῳ γνωμένη· σχεδὸν γὰρ ὅλην γνώμην ἀνθρώπου παρεδόθησαν τῷ σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν· ὥστε κέλλοσον αὐτοὺς ἀνυπερθέτως δεχθῆναι, μάλιστα εἰ καὶ δάκρυα ἔχουσι δυσωπητικὰ τὴν διάνοιαν, καὶ βίον ἐπιδείκνυνται ἄξιον συμπαθείας.

ΚΑΝΩΝ η'.

Ὁ ἀξίνη παρὰ τὸν θυμὸν κατὰ τῆς ἑαυτοῦ γαμετῆς χρησάμενος, φονεύς ἐστι· καλῶς δέ με ὑπέμνησας, καὶ ἀξίως τῆς σεαυτοῦ σωφροσύνης, εἰπεῖν περὶ τούτων πλατύτερον· διότι πολλαὶ ἐν τοῖς ἑκουσίοις καὶ ἀκουσίοις διαφοραί. ἀκούσιον μὲν γάρ ἐστι παντελῶς, καὶ πόρρω τοῦ κατάρξαντος, τὸ ἀκοντίζοντι λίθον ἐπὶ κύνα, ἢ δένδρον, ἀνθρώπου τυχεῖν. ἡ μὲν γὰρ ὁρμὴ λίαν τὸ θηρίον ἀμύνασθαι, ἢ τὸν καρπὸν κατασεῖσαι. ὑπέβη δὲ αὐτομάτως τῇ πληγῇ κατὰ πάροδον ὁ παραπεσών· ὥστε τὸ τοιοῦτον, ἀκούσιον. ἀκούσιον μέντοι, καὶ εἴ τις βουλόμενος ἐπιστρέψαι τινὰ, ἁμάρτοι ἢ ῥάβδῳ μὴ σκληρᾷ τύπτοι, ἀποθάνῃ δὲ ὁ τυπτόμενος. ἡ γὰρ προθεσις ἐνταῦθα σκοπεῖται, ὅτι βελτιῶσαι ἐβούλετο τὸν ἁμαρτάνοντα, οὐκ ἀνελεῖν. ἐν τοῖς ἀκουσίοις ἐστὶ κἀκεῖνο ὁμοίως, τὸ ἀμυνόμενόν τινα ἐν μάχῃ ξύλῳ ἢ χειρὶ ἀφειδῶς, ἐπὶ τὰ καίρια τοῦ πληγοῦ ἐνεγκεῖν, ὥστε κακῶσαι αὐτὸν, οὐχ ὥστε παντελῶς ἀνελεῖν· ἀλλὰ τοῦτο ἤδη προσεγγίζει τῷ ἑκουσίῳ· ὁ γὰρ τοιούτῳ χρησάμενος ὀργάνῳ πρὸς ἄμυναν, ἢ ὁ μὴ πεφεισμένος τοῦ πληγὴν ἐπαγαγών, δῆλός ἐστι διὰ τὸ κεκρατῆσθαι ὑπὸ τοῦ πάθους, ἀφειδῶν τοῦ ἀνθρώπου. ὁμοίως καὶ ὁ ξύλῳ βαρεῖ, καὶ λίθῳ μείζονι τῆς δυνάμεως τῆς ἀνθρωπίνης, χρησάμενος, τοῖς ἀκουσίοις ἐναριθμεῖται, ἄλλο μέντοι προελόμενος, ἄλλο δὲ ποιήσας· ὑπὸ γὰρ τοῦ θυμοῦ τοιούτου ἐγένετο τοῦ πληγοῦ, ὥστε ἀνελεῖν καὶ τὸν πληγέντα· καί τοι ἡ σπουδὴ ἐπὶ αὐτῷ σωτηρίαν τυχόν, οὐχὶ δὲ καὶ παντελῶς θανατῶσαι. ὁ μέντοι ξίφει χρησάμενος, ἢ φονικῷ τινι τοιούτῳ, ἑκουσίαν ἔχει παραίτησιν· καὶ μάλιστα ὁ τοῦ ἀξίνου ἀκοντίσας· καὶ γὰρ ὑδὲ ἀπὸ χειρὸς φαίνεται πλήξας, ὥστε τὸ μέρος τῆς πληγῆς * ἐπ' αὐτῷ εἶναι· ἀλλ' ἠκόντισεν, ὥστε καὶ τῷ βάρει τοῦ σιδήρου, καὶ τῇ ἀκμῇ, καὶ τῇ διὰ πλείονος φορᾶς, ὀλεθρίαν ἀναγκαίως τοῦ πληγοῦ γενέσθαι. ἑκούσιον δὲ πάλιν παντελῶς, καὶ ὑδεμίαν ἀμφιβολίαν ἔχον, οἷόν ἐστι τὸ τῶν λῃστῶν, καὶ τὸ τῶν πολεμικῶν ἐφόδων· ὅτι μὲν γὰρ διὰ χρήματα ἀναιροῦσι, τὸν ἔλεγχον ἀποφεύγοντες· οἱ δὲ ἐν τοῖς πολέμοις ἐπὶ φόνον ἔρχονται, ὅτε φοβῆσαι, ὅτε σωφρονίσαι, ἀλλ' ἀνελεῖν αὐτοὺς * ἐναντιωμένους ἐκ τοῦ φανεροῦ προαιρούμενοι. καὶ μέντοι, κἂν δι' ἄλλου τινὰ αἰτίαν περίεργον, φαρμακόν τις ἐγχειράσῃ, ἀνέλῃ δὲ, ἑκούσιον τιθέμεθα τὸ τοιοῦτον· οἷον ποιοῦσιν αἱ γυναῖκες, πολλάκις ἐπαοιδαῖς τισὶ καὶ κατιδέσμοις, πρὸς τὸ ἑαυτῷ φίλτρον ἐπάγεσθαί τινας πειρώμεναι, καὶ προσδιδοῦσαι αὐτοῖς φάρμακα, σκότωσιν ἐμποιοῦντα ταῖς διανοίαις. αἱ τοιαῦται τοίνυν ἀνελοῦσαι, εἰ καὶ ἄλλο προελόμεναι, ἄλλο ἐποίησαν· ὅμως διὰ τὸ περίεργον καὶ ἀπηγορευμένον τῆς ἐπιτηδεύσεως, ἐν τοῖς ἑκουσίως φονεύουσι κατειλογίζονται· καὶ αἱ τοίνυν τὰ ἀμβλωθρίδια δοῦσαι φάρμακα, φονεύτριαί εἰσι καὶ αὗται, καὶ αἱ δεχόμεναι τὰ ἐμβρυοκτόνα δηλητήρια. ταῦτα μὲν ἐς τοσοῦτον.

* Deſ. ἐπ'

* ſ. εἰπεῖν

ΚΑΝΩΝ θ'.

Η' δὲ τῦ κυρίυ ἀπόφασις, κατὰ μὲν τὴν τῆς ἐννοίας ἀκολυθίαν, ὀξ ἴσυ καὶ ἀνδράσι κ᾽ γυναιξὶν ἁρμόζει, περὶ τῦ μὴ ἐξεῖναι γάμυ ὀξίσασθαι, παρεκτὸς λόγυ πορνείας. ἡ δὲ συνήθεια ὐχ ὕπως ἔχει. ἀλλ᾽ ἐπὶ μὲν τῆς γυναικῶν πολλὴν ὀεήσομεν ἀκειβολογίαν, τῦ μὲν ἀποσόλυ λέγοντος· ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστι· τῦ δὲ Ἱερεμίυ· ὅτι ἐὰν γαμήται γυνὴ ἀνδρὶ ἑτέρῳ, ὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται· Ⓒ πάλιν· ὁ ἔχων μοιχαλίδα, ἄφρων κ᾽ ἀσεβής· ἡ δὲ συνήθεια, κ᾽ μοιχεύοντας ἄνδρας, κ᾽ ἐν πορνείαις ὄντας, κατέχεσθαι ὑπὸ γυναικῶν προσάπτει· ὥστε ἡ τῷ ἀφεστηκότι ἀνδρὶ συνοικῦσα, οὐκ οἶδα εἰ δικαίως μοιχαλὶς χρηματίσαι. τὸ γὰρ ἔγκλημα ἐνταῦθα τῆς ἀπολυσάσης τὸν ἄνδρα ἅπτεται κατὰ ποίαν αἰτίαν ἀπέστη τῦ γάμυ. εἴτε γὰρ τιπτομένη μὴ φέρει τὰς πληγάς, ὑστερεῖν ἐχρῆν μᾶλλον, ἢ δραξαμένην τῦ συνοικῦντος· εἴτε τινὰ εἰς τὰ χρήματα ζημίαν μὴ φέρυσα, ὐδὲ αὕτη ἡ πρόφασις ἀξιόλογος. εἰ δὲ διὰ τὸ ἐν πορνείᾳ αὐτὸν ζῆν, ὐκ ἔχομεν τῦτο ἐν τῇ συνηθείᾳ τῇ ἐκκλησιαστικῇ τὸ παρατήρημα, ἀλλὰ κ᾽ ἄπιστυ ἀνδρὸς χωρίζεσθαι ἡ προσετάγη γυνή, ἀλλὰ παραμένειν, διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως. τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; ὥστε ἡ καταλειπῦσα, μοιχαλὶς, εἰ ἐπ᾽ ἄλλον ἦλθεν ἀνδρα. ὁ δὲ καταλειφθεὶς συγγνωστός ἐστι, κ᾽ ἡ συνοικῦσα τῷ τοιύτῳ ὡ καταχρίνεται. εἰ μήτοι ὁ ἀνὴρ ἀποστὰς τῆς γυναικὸς, ἐπ᾽ ἄλλην ἦλθε, κ᾽ αὐτὸς μοιχὸς, διότι ποιεῖ αὐτὴν μοιχᾶσθαι, καὶ ἡ συνοικῦσα αὐτῷ, μοιχαλίς· διότι ἀλλότριον ἄνδρα πρὸς ἑαυτὴν μετέστησεν.

ΚΑΝΩΝ ι'.

Οἱ ὀμνύοντες μὴ καταδέχεσθαι τὴν χειροτονίαν, ὀξομνύμενοι, μὴ ἀναγκαζέσθωσαν ἐπιορκεῖν. εἰ γὰρ κ᾽ δοκεῖ τις εἶναι κανὼν ὁ συγχωρῶν τοῖς τοιύτοις, ἀλλὰ πεῖρα ἐγνώκαμεν, ὅτι ὐκ ὠδοκῦνται οἱ παρορκήσαντες. σκοπεῖν δὲ δεῖ κ᾽ τὸ εἶδος τῦ ὅρκυ, κ᾽ τὸ ῥήματα, κ᾽ τὴν διάθεσιν ἀφ᾽ ἧς ὀμωμόκασι, κ᾽ τὰς κατὰ λεπτὸν ἐν τοῖς ῥήμασι προσθήκας. ὡς εἰ μηδεμίᾳ ἢ μηδαμόθεν παραμυθία, χρὴ παντελῶς ἐᾶν τὰς τοιύτας. τὸ μὲν τοι κατὰ Σεβῆρον πρᾶγμα, ἤτοι τὸν ὑπὸ τύτυ χειροτονηθέντα πρεσβύτερον, τοιαύτην τινά μοι δοκεῖ παραμυθίαν ἔχειν (εἰ καί σοι συνδοκεῖ) τὸν ἀγρὸν ἐκεῖνον τὸν ὑποκείμενον τῇ Μιλήτῳ ᾧ ἐπεκηρύχθη ὁ ἄνθρωπος, κέλλειν Μασσαλίοις ὑποτελεῖν· ὅπως γὰρ κἀκεῖνος ὡ παρορκήσει, μὴ ἀναχωρῶν τῦ τόπυ. κ᾽ ὁ Λογγῖνος ἔχων τὸν Κυριακὸν μεθ᾽ ἑαυτῦ, ὐκ ἐρημώσει τὴν ἐκκλησίαν, ὐδὲ τὴν ἑαυτῦ ψυχὴν, διὰ τῆς ὀργῆς, καταδικάσει· κ᾽ ἡμεῖς δόξομεν μὴ παρὰ καιρὸν ποιεῖν τι, συμπεριφερόμενοι τῷ Κυριακῷ, ὁμόσαντι μὲν συμπαραμένειν Μιλησίοις, καταδεξαμένῳ δὲ τὴν μετάθεσιν. ἡ γὰρ ἐπάνοδος φυλακὴ ἴσαι τῦ ὅρκυ· τὸ δὲ εἶξαι αὐτὸν τῇ οἰκονομίᾳ, εἰς ἐπιορκίαν αὐτῷ ὡ λογισθήσεται, διὰ τὸ μὴ προσκεῖσθαι τῷ ὅρκῳ, μηδὲ πρὸς βραχὺ ἀναχωρῆσαι Μιλησίων, ἀλλὰ παραμεῖναι εἰς τὸ ἐφικτόν. Σεβήρῳ δὲ, προφασιζομένῳ τὴν λήθην, ἡμεῖς συγχωρήσομεν, εἰπόντες, ὅτι τῇ κρυπτῶν γνώστης, οὐ πεισόμεθα τὴν ἑαυτῦ ἐκκλησίαν ὑπὸ τοιύτου λυμαινομένην· ποιῦντος μὲν ἀκανονίστως ὀξ ἀρχῆς ὅρκῳ δὲ καταδεσμῦντος παρὰ τὰ διαγγέλια· παρορκεῖν δὲ διδάσκοντος δι᾽ ὧν μετετέθη· * ψαλλομένου δὲ, δι᾽ ὧν τὴν λήθην σχηματίζεται· ἐπειδὴ δὲ ὐκ ἐσμὲν καρδιῶν κρίται, ἀλλ᾽ ὀξ ὧν ἀκούομεν, κρίνομεν. δῶμεν τῷ κυρίῳ τὴν ἐκδίκησιν, αὐτοὶ δὲ ἀδιακρίτως αὐτὸν δεξώμεθα, συγγνώμην δόντες ἀνθρωπίνῳ πάθει τῇ λήθῃ.

* f. πυνθανομένου quia traditur in Cyriacum.

ΚΑΝΩΝ ια'.

Ὁ δὲ τὸν ἀκόσιον ποιήσας φόνον, ἀρκούντως ἐξεπλήρωσε τὴν δίκην ἐν τοῖς ἑπτὰ ἔτεσι. δῆλον γάρ, ὅτι ἐπὶ τῇ πληγέντων τὸ Μωσέως παρατηρήσομεν· κ᾽ τὸν καταχλισθέντα μὲν ἐπὶ τῇ πληγῶν ἃς ἔλαβε, βαδίσαντα δὲ πάλιν ἐπὶ τῇ ῥάβδῳ αὐτῦ, ὡ λογισόμεθα πεφονεῦσθαι· εἰ δὲ κ᾽ ὐκ ἐξανέστη μετὰ τὰς πληγάς, ἀλλ᾽ ἕν τῷ μὴ προελθεῖν αὐτὸν ἀνελεῖν· ὁ τυπτήσας, φονευτὴς μὲν, ἀλλ᾽ ἀκύσιος, διὰ τὴν πρόθεσιν.

ΚΑΝΩΝ ιβ'

Τὰς διγάμυς παντελῶς ὁ καιρὸς τῆς ὑπηρεσίας ἀπέκλεισε.

ΚΑΝΩΝ ιγ'.

Τὰς ἐν πολέμοις φόνυς οἱ πατέρες ἡμῶν ἐν τοῖς φόνοις ὐκ ἐλογίσαντο· ἐμοὶ δοκεῖν, συγγνώμην δόντες τοῖς ὑπὲρ σωφροσύνης κ᾽ εὐσεβείας ἀμυνομένοις. τάχα δὲ καλῶς ἔχει συμβαλέσθαι, ὡς τὰς χεῖρας μὴ καθαρὰς, τελείων ἐπῶν τῆς κοινωνίας μόνης ἀπέχεσθαι.

ΚΑΝΩΝ ιδ'

Ὁ τάχυς λαμβάνων, ἐὰν καταδέξηται τὸ ἄδικον κέρδος εἰς πτωχὰς ἀναλῶσαι, κ᾽ τῦ λοιπῦ, τῦ νοσήματος τῆς φιλοχρηματίας ἀπαλλαγῆναι· δεκτός ἐστιν εἰς ἱερωσύνην.

ΚΑΝΩΝ ιε'

Θαυμάζω δέ συ, τὴν γραμματικὴν ἀκρίβειαν ἐπὶ τῆς γραφῆς ἀπαιτῦντες, κ᾽ λογιζόμεθα ὅτι ἰδιασχασμένη ἐστὶν ἡ λέξις· τῆς ἑρμηνείας τὸ ἑαυτῆς εὔσημον ἐκδιδύσης, ὡ τὸ κυρίως ὑπὸ τῆς Ἑβραϊκῆς φωνῆς σημαινόμενον μετατιθείσης. ἐπεὶ δὲ δεῖ μὴ ἀργῶς παρελθεῖν τὸ ὑπ᾽ ἀνδρὸς ζητητικῦ κινηθὲν πρόβλημα· τὰ μετεωρα τῦ ἑρανῦ, κ᾽ οἱ ἰχθύες τῆς θαλάσσης, καὶ ἐν τῇ κοσμοποιίᾳ τὴν αὐτὴν ἔλαχον γλῶσσαν. ἐκ γῆς ὑδάτων γὰρ ἐξήχθη ἀμφότερα τὰ ζῷα. τὸ δὲ αἴτιον, ὅτι ταὐτόν ἐστιν ἑκατέροις ἴδιωμα. τὰ μὲν γὰρ διαπήγεται τὸ ὕδωρ· τὰ δὲ ἐπιπήγεται τῷ ἀέρι. διὰ τῦτο μὲν ἦν, κοινῇ αὐτῇ ἀπεμνήσθη· τὸ δὲ χῆμα τῦ λόγυ, ὡς μὲν πρὸς τοὺς ἰχθύας, ἀκαταλλήλως ἀπεδόθη· ὡς δὲ πρὸς πάν-

τας

τα τὰ ἐν ὕδασι διαιτώμενα, καὶ πάνυ οἰκείως. τὰ γὰρ πετεινὰ τοῦ οὐρανοῦ ὑποτέτακται τῷ ἀνθρώπῳ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης· καὶ οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ πάντα τὰ διαπορευόμενα τρίβους θαλάσσης. οὐ γὰρ εἴ τι ἔνυδρον, καὶ ἰχθύς ἐστιν, ὡς τὰ κητώδη, φάλαιναι, καὶ ζύγαναι, καὶ δελφῖνες, καὶ φῶκαι, καὶ προσέτι, ἵπποι, καὶ κύνες, καὶ πρίονες, καὶ ξιφίαι, καὶ οἱ θαλάσσιοι βόες· εἰ δὲ βούλει, καὶ ἀκαλῆφαι, καὶ κτένες, καὶ τὰ ὀστρακόρινα πάντα, ὧν οὐδέν ἐστιν ἰχθύς. καὶ πάντα ἃ διαπορεύεται τρίβους θαλάσσης· ὡς εἶναι γ'. τὰ γένη, πετεινὰ οὐρανοῦ, ἰχθύας θαλάσσης, καὶ ὅσα τῶν ἐνύδρων τοῖς ἰχθύσιν ἀντιστελλόμενα, διαπορεύονται καὶ αὐτὰ τὰς τρίβους θαλάσσης.

ΚΑΝΩΝ ιϛ'.

Ὁ δὲ Ναιμὰν οὐχὶ μέγας παρὰ κυρίῳ, ἀλλὰ παρὰ τῷ κυρίῳ αὐτοῦ· τουτέστι, τῶν παραδυναστευόντων ἢν τῷ βασιλεῖ τῶν Σύρων. πρόσεχε οὖν ἀκριβῶς τῇ γραφῇ, καὶ αὐτόθεν εὑρήσεις τὴν λύσιν τοῦ ζητήματος.

ΤΩ ΑΥΤΩ

Περὶ κανόνων ἐπιστολὴ β'.

ΚΑΝΩΝ ιζ'.

ΠΑ'λαι πρὸς τὰς παρὰ τῆς εὐλαβείας σου προτεθείσας ἡμῖν ἐρωτήσεις ἀποκρινάμενος, οὐκ ἀπέστειλα τὸ γράμμα, τοῦτο μὲν ὑπὸ τῆς ἀῤῥωστίας τῆς μακρᾶς καὶ ἐπικινδύνου ἀσχοληθεὶς, τοῦτο δὲ ὑπὸ τῆς ἀπορίας τῶν διακονουμένων. ὀλίγοι γὰρ παρ' ἡμῖν, καὶ ὁδοῦ ἔμπειροι, καὶ παρεσκευασμένοι πρὸς τὰς τοιαύτας ὑπηρεσίας· ὥστε μαθὼν τὰς αἰτίας τῆς βραδύτητος, δὸς ἡμῖν τὴν συγγνώμην. ἐθαυμάσαμεν δέ σου τὴν φιλομάθειαν ὁμοῦ, καὶ τὴν ταπεινωφροσύνην· ὅτι καὶ μαθεῖν καταδέχῃ, τὴν τοῦ διδάσκειν τάξιν πεπιστευμένος, καὶ μανθάνειν παρ' ἡμῶν, οἷς οὐδὲν μέγα πρόσεστιν πρὸς γνῶσιν. ἀλλ' ὅμως, ἐπειδὴ καταδέχῃ διὰ τὸν φόβον τοῦ Θεοῦ ποιεῖν πρᾶγμα οὐ ῥᾳδίως παρ' ἑτέρου γινόμενον· χρὴ καὶ ἡμᾶς τῇ προθυμίᾳ σου, καὶ τῇ ἀγαθῇ σπουδῇ συναίρεσθαι, ὑπὲρ δύναμιν. ἠρώτησας ἡμᾶς περὶ Βιάνορος τοῦ πρεσβυτέρου, εἰ δεκτός ἐστιν εἰς τὸν κλῆρον, διὰ τὸν ὅρκον, ἐγὼ δὲ ἤδη τινὰ καὶ κοινὸν ὅρον περὶ πάντων ὁμοῦ τῶν μετ' αὐτοῦ ὁμωμοκότων, τοῖς κατ' Ἀντιόχειαν κληρικοῖς οἶδα ἐκτεθεικώς· ὥστε τῶν μὲν δημοσίων αὐτοὺς ἀπέχεσθαι συλλόγων, ἰδίᾳ δὲ ἐνεργεῖν τὰ τῶν πρεσβυτέρων. τὸ δὲ αὐτὸ τοῦτο καὶ πρὸς τὴν ἑαυτοῦ ὑπηρεσίαν ἄδειαν αὐτῷ παρέχει· διότι οὐκ ἐν Ἀντιοχείᾳ ἐστὶν ἱερωσύνη, ἀλλ' ἐν Ἰκονίῳ· ἢν, ὡς αὐτὸς ἐπέστειλας ἡμῖν, τῆς Ἀντιοχείας εἰς οἴκησιν ἀντηλλάξατο. ἔστιν οὖν δεκτὸς ἐκεῖνος ἀνὴρ, ἀπαιτούμενος παρὰ τῆς εὐλαβείας σου μεταμέλεσθαι ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ὃν ἐπὶ τοῦ ἀπίστου ἀνδρὸς ἐξωμόσατο, βαστάξαι τὴν ἐνόχλησιν τοῦ μικροῦ ἐκείνου κινδύνου μὴ δυνηθείς.

ΚΑΝΩΝ ιη'.

Περὶ τῶν ἐκπεσουσῶν παρθένων, τῶν καθομολογησαμένων τὸν ἐν σεμνότητι βίον τῷ κυρίῳ, εἶτα διὰ τὸ ὑποποπεσεῖν τοῖς πάθεσι τῆς σαρκὸς, ἀθετουσῶν τὰς ἑαυτῶν συνθήκας, οἱ μὲν πατέρες ἡμῶν ἁπλῶς καὶ πρᾴως συμπεριφερόμενοι ταῖς ἀσθενείαις τῶν κατολισθαινόντων, ἐνομοθέτησαν δεκτὰς εἶναι μετὰ τὸν ἐνιαυτὸν, καθ' ὁμοιότητα τῶν διγάμων διαταξάμενοι· ἐμοὶ δὲ δοκεῖ, ἐπειδὴ τῇ τοῦ Χριστοῦ χάριτι, προϊοῦσα ἡ ἐκκλησία κραταιοτέρα γίνεται, καὶ πληθύνεται νῦν τὸ τάγμα τῶν παρθένων, προσέχειν ἀκριβῶς τῷ κατ' ἔννοιαν φαινομένῳ πράγματι, καὶ τῇ τῆς γραφῆς διανοίᾳ, ἣν δυνατὸν ἐξευρεῖν ἀπὸ τοῦ ἀκολούθου· χηρεία γὰρ παρθενίας ἐλάττων. οὐκοῦν καὶ τὸ τῶν χηρῶν ἁμάρτημα πολλῷ δεύτερόν ἐστι τοῦ τῶν παρθένων· ἴδωμεν τοίνυν τί γέγραπται Τιμοθέῳ παρὰ τοῦ Παύλου· νεωτέρας χήρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. εἰ τοίνυν χήρα κρίματι ὑπόκειται βαρυτάτῳ, ὡς τὴν εἰς Χριστὸν ἀθετήσασα πίστιν· τί χρὴ λογίζεσθαι ἡμᾶς περὶ τῆς παρθένου, ἥτις νύμφη ἐστὶ τοῦ Χριστοῦ, καὶ σκεῦος ἱερὸν ἀνατεθὲν τῷ δεσπότῃ; μέγα μὲν ἁμάρτημα, καὶ δούλην λαθραίοις γάμοις ἑαυτὴν ἐπιδοῦσαν, φθορᾶς ἀναπλῆσαι τὸν οἶκον, καὶ καθυβρίζειν διὰ τοῦ πονηροῦ βίου τὸν κεκτημένον· πολλῷ δὲ δήπου χαλεπώτερον, τὴν νύμφην, μοιχαλίδα γενέσθαι, καὶ τὴν πρὸς τὸν νυμφίον ἕνωσιν ἀτιμάσασαν, ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐπιδοῦναι· οὐκοῦν ἡ μὲν χήρα, ὡς δούλη διεφθαρμένη, καταδικάζεται· ἡ δὲ παρθένος, τῷ κρίματι τῆς μοιχαλίδος ὑπόκειται. ὥσπερ τὸν ἀλλοτρίᾳ γυναικὶ συζῶντα, μοιχὸν ὀνομάζομεν, οὐ πρότερον καταδεξάμενοι εἰς κοινωνίαν, πρὶν ἢ παύσασθαι τῆς ἁμαρτίας· οὕτω δηλονότι καὶ ἐπὶ τοῦ τὴν παρθένον ἔχοντος διατεθησόμεθα. ἐκεῖνο δὲ νῦν προσδιομολογεῖσθαι ὑμῖν ἀναγκαῖον, ὅτι παρθένος ὀνομάζεται ἡ ἑκουσίως ἑαυτὴν προσαγαγοῦσα τῷ κυρίῳ, καὶ ἀποταξαμένη τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ βίον προτιμήσασα· τὰς δὲ ὁμολογίας τότε ἐγκρίνομεν, ἀφ' οὗπερ ἂν ἡ ἡλικία τὴν τοῦ λόγου συμπλήρωσιν ἔχῃ· οὐ γὰρ τὰς παιδικὰς φωνὰς πάντως κυρίας ἐπὶ τῶν τοιούτων ἡγεῖσθαι προσήκει· ἀλλὰ τὴν ὑπὲρ τὰ δεκαὲξ ἢ δεκαεπτὰ γενομένην ἔτη, κυρίαν οὖσαν τοῦ λογισμοῦ, ἀνακριθεῖσαν ἐπὶ πλεῖον, εἶτα παραμείνασαν καὶ λιπαροῦσαν διὰ ἱκεσιῶν πρὸς τὸ παραδεχθῆναι, τότε ἐγκαταλέγεσθαι χρὴ ταῖς παρθένοις, καὶ τὴν ὁμολογίαν τῆς τοιαύτης κυροῦν, καὶ τὴν ἀθέτησιν αὐτῆς ἀπαραιτήτως κολάζειν. πολλὰ γὰρ γονεῖς προσάγουσι, καὶ ἀδελφοὶ, καὶ τῶν προσηκόντων τινὲς, πρὸ τῆς ἡλικίας, οὐκ οἴκοθεν ὁρμηθείσας πρὸς ἀγαμίαν, ἀλλά τι βιωτικὸν ἑαυταῖς διοικουμένας· ἃς οὐ ῥᾳδίως προσδέχεσθαι δεῖ, ἕως ἂν φανερῶς τὴν ἰδίαν αὐτῶν ἐρευνήσωμεν γνώμην.

ΚΑΝΩΝ ιθ'.

Ἀνδρῶν δὲ ὁμολογίαν οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτὸς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν· οἱ κατὰ τὸ σιωπώμενον δοκοῦσι παραδέχεσθαι τὴν ἀγαμίαν. πλὴν κ' ἐπ' ἐκείνων, ἐκεῖνο ἡγοῦμαι προηγεῖσθαι προσήκειν, ἐρωτᾶσθαι αὐτοὺς κ' λαμβάνεσθαι τὴν παρ' αὐτῶν ὁμολογίαν ἐναργῆ· ὥστε ἐπειδὰν μετατίθενται πρὸς τὸν φιλόσαρκον κ' ἡδονικὸν βίον, ὑπάγειν αὐτοὺς τῷ τῶν πορνευόντων ἐπιτιμίῳ.

ΚΑΝΩΝ κ'.

Ὅσαι γυναῖκες ἐν αἱρέσει ὄσαι παρθενίαν ὡμολόγησαν, εἶτα μετὰ ταῦτα γάμον ἀνθείλοντο, οὐκ ἡγοῦμαι χρῆναι καταδικάζεσθαι ταύτας. ὅσα γὰρ ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. αἱ δὲ μήπω ὑπελθοῦσαι τὸν ζυγὸν τοῦ Χριστοῦ, οὐδὲ τὴν νομοθεσίαν ἐπιγινώσκουσι τοῦ δεσπότου. ὥστε δεκταί εἰσι τῇ ἐκκλησίᾳ μετὰ πάντων, κ' τὴν ἐπὶ τούτοις ἄφεσιν ἔχουσιν ἐκ τῆς πίστεως τῆς εἰς Χριστόν· & καθόλου, τὰ ἐν τῷ κατηχουμένῳ βίῳ γνώμενα, εἰς λουτρὸν οὐκ ἄγονται· τούτους δὲ δῆλον ὅτι ἄνευ βαπτίσματος ἡ ἐκκλησία οὐ παραδέχεται. ὥστε ἀναγκαιότατον ἐπὶ τούτοις τὰ πρεσβεῖα τῆς γνώσεως.

ΚΑΝΩΝ κά

Ἐὰν ἀνὴρ γυναικὶ σωοίκῳ, ἐπειδὰν * μὴ ἀρκεθεὶς τῷ γάμῳ, εἰς πορνείαν ἐμπέσῃ, πόρνον κρίνομεν τὸν τοιοῦτον, κ' πλεῖον αὐτὸν παρατείνομεν ἐν τοῖς ἐπιτιμίοις. οὐ μὴν ἔχομεν κανόνα, τῷ τῆς μοιχείας αὐτὸν ὑπαγαγεῖν ἐγκλήματι, ἐὰν εἰς ἑλεύθεραν γάμον ἡ ἁμαρτία γένηται. διότι, ἡ μοιχαλὶς μὲν, μετανοοῦσα, φησί, μανθήσεται, κ' οὐκ ἀναστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς· κ' ὁ κατέχων μοιχαλίδα, ἄφρων κ' ἀσεβής. ὁ μέντοι πορνεύσας οὐκ ἀποκλεισθήσεται τῆς πρὸς τὴν γυναῖκα αὐτοῦ συνοικήσεως. ὥστε ἡ μὲν γυνὴ ἐπανιέτω ἀπὸ πορνείας τὸν ἄνδρα αὐτῆς παράδεξεται· ὁ δὲ ἀνὴρ, τὴν μοιχευθεῖσαν, τὴν οἰκουμένην αὐτοῦ ἀποπεμψέτω. κ' τούτων δὲ ὁ λόγος οὐ ῥᾴδιος· ἡ δὲ συνήθεια οὕτω κεκράτηκε.

* Ἰσως ἐπειδὰν

Παροιμ. κε'. Ἐκκλ. γ'.

ΚΑΝΩΝ κβ'.

Τοὺς ἐξ ἁρπαγῆς ἔχοντας γυναῖκας, εἰ μὲν ἄλλοις πρόμενης ἁμαρτάνεσιν ἀφηρημένοι, οὐ πρότερον χρὴ παραδέχεσθαι, πρὶν ἀφελέσθαι αὐτῶν, κ' εἰς ἐξουσίαν τῆς ἐξαρχῆς μένης ἁμαρτιῶν ποιῆσαι, εἴτε βούλοιντο λαβεῖν αὐτὰς, εἴτε ἀποστῆναι. εἰ δὲ χολάζουσάν τις λάβῃ, ἀφαιρεῖσθαι μὲν δεῖ, κ' τοῖς οἰκείοις ἀποκαθιστᾶν· ἐπιβλέπειν δὲ τῇ γνώμῃ τῶν οἰκείων, εἴτε γονεῖς εἰσιν, εἴτε ἀδελφοὶ, εἴτε οἱ τινῶν πρεσβύτες τῆς χώρης· κἂν μὲν ἕλωνται αὐτὴν παραδοῦναι, ἴσασθαι τὸ συνοικέσιον· ἐὰν δὲ ἀνανδρίσωνται, μὴ βιάζεσθαι. τὸν μέντοι ἐκ διαφθορᾶς, εἴτε λαθραίας, εἴτε βιαιοτέρας, γυναῖκα ἔχοντα, ἀνάγκη τὰ τῆς πορνείας ἐπιγνῶναι ἐπιτίμια· ἔστι δὲ ἃ πάσαρσιν ἴσην ὡρισμένη τοῖς πορνεύουσιν ἐπιτίμησις· χρὴ δὲ τὸν πρώτῳ ἐγκαλεῖσθαι τῇ προσαγωγῇ, κ' προσκλαίειν αὐτὸν τῇ θύρᾳ τῆς ἐκκλησίας· τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν· τῷ τρίτῳ δεχθῆναι εἰς μετάνοιαν· τῷ πέμπτῳ, εἰς σύστασιν μετὰ τοῦ λαοῦ, ἀπεχομένους τῆς προσφορᾶς· εἶτα αὐτοῖς ἐπιτρέπεσθαι τὴν κοινωνίαν τοῦ ἁγιάσματος.

ΚΑΝΩΝ κγ'.

Περὶ τῶν δύο ἀδελφὰς γαμόντων, ἢ ἀδελφοῖς δυσὶ γαμουμένων, ἐπισυλλόγιον ἡμῖν ἐκπεφώνηται, τὸ ἀντίγραφον ἀπεσταλμένον σοι τῇ βιλαβείᾳ. ὁ δὲ ἀδελφοῦ ἰδίαν γυναῖκα λαβών, ἢ πρότερον δεχθήσεται, πρὶν ἀποστῆναι.

Ἐπιστολὴ πρὸς Διόνυσ. ἐπισκοπ.

ΚΑΝΩΝ κδ'.

Χήραν τὴν καταλεγεῖσαν εἰς τὸν ἀριθμὸν τῶν χηρῶν, τουτέστι τὴν διακονουμένην ὑπὸ τῆς ἐκκλησίας, ἐκείνῳ ὁ ἀπόστολος γαμουμένῃ παραγγέλλεσθαι· ἀνδρὶ δὲ χηρεύσαντι οὐδεὶς ἐπίκειται νόμος, ἀλλ' ἱκανὸν τῷ τοιούτῳ, τὸ τῶν δευτερογάμων ἐπιτίμιον. ἡ μέντοι χήρα ἑξηκονταετοῦς γεγονυῖα, ἐὰν ἕληται πάλιν ἀνδρὶ συνοικεῖν, οὐκ ἀξιωθήσεται τῆς τοῦ ἁγιάσματος κοινωνίας, ἕως ἂν τὸ πάθος τῆς ἀκαθαρσίας παύσηται· ἐὰν μέντοι πρὸ ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐτὴν, ἡμέτερον τὸ ἔγκλημα, οὐ τῆς γυναικός.

ΚΑΝΩΝ κέ.

Ὁ τὴν διεφθαρμένην ὑφ' ἑαυτοῦ εἰς γυναῖκα κατέχων, τὸ μὲν ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον ὑποστήσεται, τὴν δὲ γυναῖκα ἔχειν συγχωρηθήσεται.

ΚΑΝΩΝ κς'.

Ἡ πορνεία, γάμος οὐκ ἔστιν, ἀλλ' οὐδὲ γάμου ἀρχή. ὥστε ἐὰν ἡ δυνατὸν τοὺς κατὰ πορνείαν συναπτομένους χωρίζεσθαι, τοῦτο κράτιστον· ἐὰν δὲ σέργωσιν ἐκ παντὸς τρόπου τὸ συνοικέσιον· τὸ μὲν τῆς πορνείας ἐπιτίμιον γνωριζέτωσαν, ἀφιέσθωσαν δὲ ἵνα μὴ χεῖρόν τι γένηται.

ΚΑΝΩΝ κζ'.

Περὶ τοῦ πρεσβυτέρου τοῦ κατ' ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντος ὥρισται ἀ ἐγκλεῖ καθέδρας μὲν μετέχειν, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη. ἀλλογεῖν δὲ ἑτέρους τῶν τὰ οἰκεῖα τημελεῖν ὀφειλόντων ξαίματα, ἀνακόλουθον. ἀλλογία γὰρ, ἁγιασμοῦ μεταδόσις ἐστίν· ὁ δὲ τοῦτο μὴ ἔχων διὰ τὸ τῆς ἀγνοίας παράπτωμα πῶς ἑτέρῳ μεταδώσει; μήτε οἰνοῦν δημοσίᾳ, μήτε ἰδίῳ, ἀλλογείτω, μήτε τὸ σῶμα τοῦ Χριστοῦ καταμεμέτω ἑτέρῳ, μήτε τι ἄλλο λειτουργείτω· ἀλλ' ἀρχούμενος τῇ προεδρίᾳ, προσκλαιέτω ἑτέρους κ' τῷ κυρίῳ, συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἁμάρτημα.

ΚΑΝΩΝ κή.

Κἀκεῖνό γε μοὶ γελοῖόν μοι καπφαίνει, τὸ ἀξιοῦσθαί τινα ἱερέων ἀπέχεσθαι χρεών. ὥστε καταξιώσαν διδάσκειν αὐτὸς, τῆς ἀπαιδεύτου προσδιχῶν κ' ἱπαγγελιῶν ἀπέχεσθαι· τὴν μέντοι χρῆσιν ἀδιάφορον εἶναι συγχώρησον. οὐδὲν γὰρ κτίσμα θεοῦ ἀπόβλη-

βλητον, μετ' εὐχαριστίας λαμβανόμενον· ὥστε ἡ εὐχὴ καταγέλαστος, οὐχ ἡ ἀποχὴ ἀναγκαία.

ΚΑΝΩΝ κθ'.

Ἄρχοντας μέν τοι ὀμνύειν ἐπὶ τῷ κακοποιεῖν τοὺς ἀρχομένους, καὶ πάνυ θεραπεύεσθαι προσήκει. θεραπεία δὲ τούτων διττή. μία μὲν, μὴ ὀμνύειν αὐτοὺς διδάσκεσθαι προχείρως· ἑτέρα δὲ, μὴ ἐπιμένειν ἐν ταῖς πονηραῖς κρίσεσιν. ὥστε ὅρκῳ προληφθής τις εἰς κακοποιΐαν ἑτέρου, τὴν μὲν ἐπὶ τῇ προπετείᾳ τοῦ ὅρκου μετάνοιαν ἐπιδεικνύσθω· μὴ μέν τοι προσχήματι εὐλαβείας τὴν πορνείαν * ἑαυτοῦ βεβαιούτω. οὐδὲ γὰρ Ἡρώδῃ συνήνεγκεν εὐορκήσαντι, ὃς, ἵνα μὴ ἐπιορκήσῃ δῆθεν, φονεὺς ἐγένετο τοῦ προφήτου. ἅπαξ * μὲν ὁ ὅρκος ἀπηγόρευται· πολλῷ δέπου εἰκὸς, τὸν ἐπὶ κακῷ γινόμενον κατακρίνεσθαι· ὥστε μεταφρονεῖν χρὴ τὸν ὀμνύοντα, οὐχὶ σπουδάζειν βεβαιοῦν αὐτοῦ τὸ ἀνόσιον. ἐξέτασον γὰρ πλατύτερον τὴν ἀτοπίαν. εἴτις ὀμώσειεν ἐξορύξειν τοὺς ὀφθαλμοὺς τοῦ ἀδελφοῦ, εἰ καλὸν τὸ τοιοῦτον εἰς ἔργον ἀγαγεῖν αὐτῷ; εἴ τις φονεύσειν, εἴ τις ὅλως δι' ὅρκου ἐντολήν τινα παραβήσεσθαι; ὤμοσα γὰρ καὶ ἔστησα, οὐχὶ τὴν ἁμαρτίαν, ἀλλὰ τοῦ φυλάξαι τὰ κρίματα τῆς δικαιοσύνης. ὥσπερ δὲ τὴν ἐντολὴν ἀμεταθέτοις κρίμασι προσήκει βεβαιοῦσθαι· οὕτω τὴν ἁμαρτίαν παντοίως καθήκει ἀκυροῦσθαι καὶ ἀφανίζεσθαι.

* f. πονηρίαν.

* f. ἅπας.

ΚΑΝΩΝ λ'.

Περὶ τῶν ἁρπαζόντων, κανόνα μὲν παλαιὸν οὐκ ἔχομεν, ἰδίαν δὲ γνώμην ἐποιησάμεθα. τρία ἔτη, καὶ αὐτοὺς, καὶ τοὺς συναρπάζοντας αὐτοῖς, ἔξω τῶν εὐχῶν γίνεσθαι. τὸ δὲ μὴ βιαίως γινόμενον, ἀνεύθυνόν ἐστιν, ὅταν μὴ φθορὰ ᾖ, μηδὲ κλοπὴ, ἡγουμένου * τοῦ πράγματος· αὐτεξουσία δὲ ἡ χήρα, καὶ ἐπ' αὐτῇ τὸ ἀκολουθῆσαι· ὥστε τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον.

* Corr. δ' ἡμῖν.

ΚΑΝΩΝ λα'.

Ἡ ἀναχωρήσαντος τοῦ ἀνδρὸς, καὶ ἀφανοῦς ὄντος, πρὸ τοῦ πυσθῆναι περὶ τοῦ θανάτου αὐτοῦ, ἑτέρῳ συνοικήσασα, μοιχᾶται.

ΚΑΝΩΝ λβ'

Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ, τοῦ βαθμοῦ μὲν κατάγονται, τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται. οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό.

ΚΑΝΩΝ λγ'.

Ἡ γυνὴ ἡ διὰ τῆς ὁδοῦ κυήσασα, καὶ ἀμελήσασα τοῦ κυήματος, τῷ τοῦ φόνου ἐγκλήματι ὑποκείσθω.

ΚΑΝΩΝ λδ'.

Τὰς μοιχευθείσας γυναῖκας, καὶ ἐξαγορευούσας δι' εὐλάβειαν, ἢ ὁπωσοῦν ἐλεγχομένας, δημοσιεύειν μὲν ἐκώλυσαν οἱ πατέρες ἡμῶν, ἵνα μὴ θανάτου αἰτίαν παράσχομεν ἐλεγχθείσαις. ἵστασθαι δὲ αὐτὰς ἄνευ κοινωνίας προσέταξαν, μέχρι τοῦ συμπληροῦσθαι τὸν χρόνον τῆς μετανοίας.

ΚΑΝΩΝ λε'.

Ἐπὶ τοῦ καταλειφθέντος ἀνδρὸς ὑπὸ τῆς γυναικὸς τὴν αἰτίαν χρὴ σκοπεῖν τῆς ἐγκαταλείψεως· κἂν φανῇ ἀλόγως ἀναχωρήσασα, ὁ μὲν συγγνώμης ἐστὶν ἄξιος, ἡ δὲ ἐπιτιμίου. ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ ἐκκλησίᾳ δοθήσεται.

ΚΑΝΩΝ λϛ'.

Στρατιώτιδες, αἱ τῶν ἀνδρῶν αὐτῶν ἀφανῶν ὄντων γαμηθεῖσαι, τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ᾧπερ καὶ αἱ διὰ τὴν ἀποδημίαν τῶν ἀνδρῶν, μὴ ἀναμείνασαι τὴν ἐπάνοδον· πλὴν ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα, διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν.

ΚΑΝΩΝ λζ'.

Μετὰ τὸ ἀφαιρεθῆναι τὴν ἀλλοτρίαν ὁ γαμήσας, ἐπὶ μὲν τῇ πρώτῃ, μοιχείας ἐγκληθήσεται· ἐπὶ δὲ τῇ δευτέρᾳ ἀνεύθυνος ἔσται.

ΚΑΝΩΝ λη'.

Αἱ κόραι, αἱ παρὰ γνώμην τοῦ πατέρος ἀκολουθήσασαι, πορνεύουσι. διαλλαγεύτων δὲ τῶν γονέων δοκεῖ θεραπείαν λαμβάνειν τὸ πρᾶγμα· οὐκ εὐθὺς δὲ εἰς τὴν κοινωνίαν ἀποκαθίστανται, ἀλλ' ἐπιτιμηθήσονται τρία ἔτη.

ΚΑΝΩΝ λθ'.

Ἡ τῷ μοιχῷ συζῶσα, μοιχαλίς ἐστι πάντα τὸν χρόνον.

ΚΑΝΩΝ μ'.

Ἡ παρὰ γνώμην τοῦ δεσπότου ἀνδρὶ ἑαυτὴν ἐκδοῦσα, ἐπόρνευσεν· ἡ δὲ μετὰ ταῦτα πεπαρρησιασμένῳ γάμῳ χρησαμένη, ἐγήματο. ὥστε ἐκεῖνο μὲν πορνεία, τοῦτο δὲ γάμος· αἱ γὰρ συνθῆκαι τῶν ὑπεξουσίων, οὐδὲν ἔχουσι βέβαιον.

ΚΑΝΩΝ μα'.

Ἡ ἐν τῇ χηρείᾳ ἐξουσίαν ἔχουσα ἑαυτῆς, συνοικεῖν ἀνέγκλητος, εἰ μηδεὶς ἐστὶν ὁ διασπὼν τὸ συνοικέσιον, τοῦ ἀποστόλου εἰπόντος, ἐὰν ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ.

ΚΑΝΩΝ μβ'.

Οἱ ἄνευ τῶν κρατούντων γάμοι, πορνεῖαί εἰσιν· οὔτε οὖν πατέρος ζῶντος, οὔτε δεσπότου, οἱ συνιόντες ἀνεύθυνοί εἰσιν, ἕως ἂν ἐπινεύσωσιν οἱ κύριοι τὴν συνοίκησιν. τότε γὰρ λαμβάνει τὸ τοῦ γάμου βέβαιον.

ΚΑΝΩΝ μγ'.

Ὃς θανάτου πληγὴν τῷ πλησίον δέδωκε, φονεὺς ἐστιν, εἴτε ἦρξε τῆς πληγῆς, εἴτε ἠμύνατο.

ΚΑΝΩΝ μδ'.

Ἡ διάκονος ἡ τῷ ἕλληνι συμπορνεύσασα, δεκτή ἐστιν εἰς κοινωνίαν, ὡς δὲ τὴν προσφορὰν δεχθήσεται τῷ ζ'. ἔτει, δηλονότι ἐν ἁγνείᾳ ζῶσα. ὁ δὲ μετὰ τὴν πίστιν Ἕλλην πάλιν τῇ ἱεροσυλίᾳ προσιὼν, ἐπὶ τὸν ἔμετον ἐπιστρέφει. ἡμεῖς οὖν τῆς διακόνου τὸ σῶμα, ὡς καθιερωμένον οὐκέτι ἐπιτρέπομεν ἐν χρήσει εἶναι σαρκικῇ.

ΚΑΝΩΝ μέ.

Ἐάν τις τὸ ὄνομα λαβὼν τοῦ Χριστιανισμοῦ, ἐνυβρίζῃ τὸν Χριστὸν, οὐδὲν ὄφελος αὐτῷ ἀπὸ τῆς προσηγορίας.

ΚΑΝΩΝ μϛ'.

Ἡ τῷ καταλειφθέν τι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς ἐν ἀγνοίᾳ γημαμένη, εἶτα ἀφεθεῖσα διὰ τὸ ἐπανελθεῖν πρὸς αὐτὸν τὴν προτέραν, ἐπόρνευσε μὲν, ἐν ἀγνοίᾳ δέ. γάμου οὖν οὐκ εἰρχθήσεται, κάλλιον δὲ ἐὰν μείνῃ οὕτως.

ΚΑΝΩΝ μζ'.

Ἐγκρατῖται, καὶ σακκοφόροι, καὶ ἀποτακτῖται, τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ᾧ καὶ Ναυατιανοί· ὅτι περὶ μὲν ἐκείνων κανὼν ἐξεφωνήθη, εἰ καὶ διάφορος· τὰ δὲ κατὰ τούτους ἀποσεσιώπηται· ἡμεῖς μέν τοι ἑνὶ λόγῳ ἀναβαπτίζομεν τοὺς τοιούτους· εἰ δὲ παρ' ὑμῖν ἀπηγόρευται τοῦτο, τὸ τοῦ ἀναβαπτισμοῦ, ὥσπερ οὖν καὶ παρὰ Ῥωμαίοις, οἰκονομίας τινὸς ἕνεκα· ἀλλ' ὁ ἡμέτερος λόγος ἰσχὺν ἐχέτω, ὅτι ἐπειδὴ ὥσπερ Μαρκιωνιστῶν ἐστιν αὐτοβλάστημα ἡ κατ' αὐτοὺς αἵρεσις, βδελυσσομένων τὸν γάμον, καὶ ἀποστρεφομένων τὸν οἶνον, καὶ τὴν κτίσιν τοῦ Θεοῦ μεμιασμένην εἶναι λεγόντων. οὐδεχόμεθα οὖν αὐτοὺς εἰς τὴν ἐκκλησίαν, ἐὰν μὴ βαπτισθῶσιν εἰς τὸ ἡμέτερον βάπτισμα. μὴ γὰρ λεγέτωσαν, ὅτι εἰς πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα ἐβαπτίσθημεν· οἵ γε κακῶν ποιητὴν ὑποτιθέμενοι τὸν θεὸν ἐφαμίλλως τῷ Μαρκίωνι, καὶ ταῖς λοιπαῖς αἱρέσεσιν. ὥστε ἐὰν ἀρέσῃ τοῦτο, δεῖ πλείονας ἐπισκόπους ἐν τούτῳ γενέσθαι, καὶ οὕτως ἐκθέσθαι τὸν κανόνα, ἵνα καὶ τῷ ποιήσαντι τὸ ἀκίνδυνον ᾖ· καὶ ὁ ἀποκρινόμενος, τὸ ἀξιόπιστον ἔχῃ ἐν τῇ περὶ τούτων ἀποκρίσει.

ΚΑΝΩΝ μή.

Ἡ δὲ ἐγκαταλειφθεῖσα παρὰ τοῦ ἀνδρὸς, κατὰ τὴν ἐμὴν γνώμην, μένειν ὀφείλει. εἰ γὰρ ὁ κύριος εἶπεν, ὅτι ἐάν τις καταλείπῃ γυναῖκα, ἐκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι· ἐκ τοῦ μοιχαλίδα αὐτὴν ὀνομάσαι, ἀπέκλεισεν αὐτὴν τῆς πρὸς ἕτερον κοινωνίας. πῶς γὰρ δύναται ὁ μὲν ἀνὴρ ὑπεύθυνος εἶναι, ὡς μοιχείας αἴτιος, ἡ δὲ γυνὴ ἀναίτιος εἶναι, ἡ μοιχαλὶς παρὰ κυρίου, διὰ τὴν πρὸς ἕτερον ἄνδρα κοινωνίαν, προσαγορευθεῖσα.

ΚΑΝΩΝ μθ'.

Αἱ πρὸς ἀνάγκην γινόμεναι φθοραὶ, ἀνεύθυνοι ἔστωσαν. ὥστε καὶ ἡ δούλη, εἰ ἐβιάσθη παρὰ τοῦ ἰδίου δεσπότου, ἀνεύθυνός ἐστιν.

ΚΑΝΩΝ ν'.

Τριγαμίας νόμος οὐκ ἔστιν· ὥστε νόμῳ τρίτος γάμος οὐκ ἄγεται. τὰ μέν τοι τοιαῦτα ὡς ῥυπάσματα τῆς ἐκκλησίας ὁρῶμεν· δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετωτέρα.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ

ἐπιστολὴ κανονικὴ τρίτη.

ΚΑΝΩΝ νά.

Τὸ κατὰ κληρικοὺς ἀδιορίστως οἱ κανόνες ἐξέθεντο, κελεύσαντες μίαν ἐπὶ τοῖς παραπεσοῦσιν ὁρίζεσθαι τιμωρίαν, τὴν ἔκπτωσιν τῆς ὑπηρεσίας, εἴτε ἐν βαθμῷ τυγχάνοιεν, εἴτε καὶ ἀχειροτονήτῳ ὑπηρεσίᾳ προσκαρτεροῖεν.

ΚΑΝΩΝ νβ'.

Ἡ τοῦ κυήματος κατὰ τὴν ὁδὸν ἀμελήσασα, εἰ μὲν δυναμένη περισώσασθαι κατεφρόνησεν, ἢ συγκαλύψειν ἐντεῦθεν τὴν ἁμαρτίαν νομίζουσα, ἐθελοθηριώδει καὶ ἀπανθρώπῳ λογισμῷ χρησαμένη· ὡς ἐπὶ φόνῳ κρινέσθω. εἰ δὲ οὐκ ἐδυνήθη περιστεῖλαι, καὶ διὰ ἐρημίαν καὶ ἀπορίαν τῶν ἀναγκαίων διεφθάρη τὸ γεννηθὲν, συγνωστὴ ἡ μήτηρ.

ΚΑΝΩΝ νγ'.

Χήρα δούλη τάχα οὐ μέγα ἔπταισεν, ἑλομένη δεύτερον γάμον ἐν σχήματι ἁρπαγῆς. ὥστε οὐδὲν τούτου ἕνεκεν ἐγκαλεῖσθαι χρή. οὐ γὰρ τὰ σχήματα κρίνεται, ἀλλ' ἡ προαίρεσις. δῆλον δὲ ὅτι τὸ τῆς διγαμίας μένει αὐτῇ ἐπιτίμιον.

ΚΑΝΩΝ νδ'.

Τὰς τῶν ἀκουσίων φόνων διαφορὰς, πρὸ χρόνων οἶδα ἐπιστείλας τῇ θεοσεβείᾳ σου, κατὰ τὸ ἡμῖν δυνατόν· καὶ πλέον ἐκείνων οὐδὲν εἰπεῖν δύναμαι. τῆς δὲ σῆς συνέσεως ἐστὶ, κατὰ τὸ ἰδίωμα τῆς περιστάσεως, ἐπιτείνειν τὰ ἐπιτίμια, ἢ καὶ ὑφεῖναι.

ΚΑΝΩΝ νέ.

Οἱ τοῖς λῃσταῖς ἀντεπεξιόντες, ἔξω μὲν ὄντες τῆς ἐκκλησίας, εἴργονται τῆς κοινωνίας τοῦ ἀγαθοῦ. κληρικοὶ δὲ ὄντες, τοῦ βαθμοῦ καθαιροῦνται. πᾶς γάρ, φησιν, ὁ λαβὼν μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανεῖται.

ΚΑΝΩΝ νϛ'.

Ὁ ἑκουσίως φονεύσας, καὶ μετὰ τοῦτο μεταμεληθεὶς, εἴκοσιν ἔτη ἀκοινώνητος ἔσται τοῦ ἁγιάσματος. τὰ δὲ εἴκοσιν ἔτη οὕτως οἰκονομηθήσεται ἐπ' αὐτῷ· ἐν δ'. ἔτεσι προσκλαίειν ὀφείλει ἔξω τῆς θύρας ἐστὼς τοῦ εὐκτηρίου οἴκου, καὶ τῶν εἰσιόντων πιστῶν δεόμενος εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι, ἐξαγορεύων τὴν ἰδίαν παρανομίαν· μετὰ δὲ δ'. ἔτη εἰς τοὺς ἀκροωμένους δεχθήσεται, καὶ ἐν ε'. ἔτεσι μετ' αὐτῶν ἐξελεύσεται. ἐν

δὲ

δὲ ζ'. ἔτεσι μετὰ τῆ ὲν ὑποπτώσει προσδεχόμενος ἐξελδόσεται· ὲν δ'. συσήσεται μόνον τοῖς πιστοῖς, προσφορᾶς δὲ ϗ μεταλήψεται. πληρωθέντων δὲ τούτων, μεθέξει τῆ ἁγιασμάτων.

ΚΑΝΩΝ νζ'.

Ο' ἀκουσίως φονεύσας, ὲν δέκα ἔτεσιν ἀκοινώνητος ἔσαι τῆ ἁγιασμάτων. οἰκονομηθήσεται δὲ ἐπ' αὐτῳ τὰ δέκα ἔτη ὅπω. δύο μὲ ἔτη προσκλαύσει, τρία δὲ ἔτη ὲν ἀκροωμένοις ὁλοτελέσει· ὲν δ'. ὑποπίπτων· ϗ ὲν ὲνιαυτῳ σαθήσεται μόνον· ϗ τὰ ἑξῆς εἰς τὰ ἅγια δεχθήσεται.

ΚΑΝΩΝ νή.

Ο' μοιχεύσας, ὲν ιέ'. ἔτεσιν ἀκοινώνητος ἔσαι τῆ ἁγιασμάτων· οἰκονομηθήσεται δὲ τὰ ιέ'. ἔτη ἐπ' αὐτῳ ὅπως· ὲν δ'. μὲ ἔτεσι προσκλαίων ἔσαι· ὲν έ'. δὲ ἀκροώμενος· ὲν δ'. ὑποπίπτων· ὲν δυσὶ σωφρονῶς ἄνευ κοινωνίας.

ΚΑΝΩΝ νθ'.

Ο' πόρνος ὲν ἑπτὰ ἔτεσιν ἀκοινώνητος ἔσαι τῆ ἁγιασμάτων, δύο προσκλαίων, ϗ δύο ἀκροώμενος, ϗ δύο ὑποπίπτων, ϗ ὲν ἑνὶ σωφρονῶς μόνον· τῳ ὀγδόῳ δὲ δεχθήσεται εἰς τιμὴν κοινωνίαν.

ΚΑΝΩΝ ξ'.

Παρθένος ὁμολογήσασα, ϗ ἐκπεσοῦσα τῆς ἐπαγγελίας, τὸν χρόνον τοῦ ἐπὶ τῆς μοιχείας ἁμαρτήματος ὲν τῆ οἰκονομίᾳ τῆς καθ' ἑαυτὴν ζωῆς πληρώσει. τὸ αὐτὸ ϗ ἐπὶ τῆ βίον μονάζοντα ἐπαγελλομένων, ϗ ἐκπιπτόντων.

ΚΑΝΩΝ ξά.

Ο' κλέψας, εἰ μὲ ἀφ' ἑαυτοῦ μεταμεληθεὶς κατηγορήσει ἑαυτοῦ, ὲνιαυτὸν κωλυθήσεται μόνης τῆς κοινωνίας τῆ ἁγιασμάτων· εἰ δὲ ἐλεγχθείη, ὲν δυσὶν ἔτεσιν. μεμισθήσεται δὲ αὐτῳ ὁ χρόνος εἰς ὑπόπτωσιν, εἰς σύστασιν, ϗ τότε ἀξιούσθω τῆς κοινωνίας.

ΚΑΝΩΝ ξβ'.

Ο' τῳ ἀχημοσύνῃ ὲν τοῖς ἄρρεσιν ἐπιδεικνύμενος, τῳ χρόνῳ τοῦ ὲν τῆ μοιχείᾳ παρανομοῦντος οἰκονομηθήσεται.

ΚΑΝΩΝ ξγ'.

Ο' ὲν ἀλόγοις τὴν ἑαυτοῦ ἀσέβειαν ἐξαγορεύων, τὸν αὐτὸν λόγον * ἐξομολογούμενος παραφυλάττεται.

* γρὰφ. ἐξομολογήσεται

ΚΑΝΩΝ ξδ'.

Ε'πίορκος, ὲν δέκα ἔτεσιν ἀκοινώνητος ἔσαι· δυσὶν ἔτεσι προσκλαίων, τρισὶν ἀκροώμενος, τέσσαρσιν ὑποπίπτων, ὲνιαυτὸν σωφρονῶς μόνον, ϗ τότε τῆς κοινωνίας ἀξιούμενος.

ΚΑΝΩΝ ξ'.

Ο' γοητείαν ἢ φαρμακείαν ἐξαγορεύων, τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται. ὕτως οἰκονομούμενος ὡς ὲν ἑκάστῳ τῳ ἁμαρτήματι ἑαυτὸν ἐλέγξας.

ΚΑΝΩΝ ξ'.

Ο' τυμβωρύχος ἕνδεκα ἔτεσιν ἀκοινώνητος ἔσαι.

ΚΑΝΩΝ ξζ'.

Α'δελφομιξία τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται.

ΚΑΝΩΝ ξή.

Η' τῆς ἀπειρημένης συγγενείας εἰς γάμον ἀνθρώπων σύστασις, εἰ φωραθείη, ὡς ὲν ἁμαρτήμασιν ἀνθρώπων γινομένη, τὰ τῆ μοιχῶν ἐπιτίμια δέξεται.

ΚΑΝΩΝ ξθ'.

Α'ναγνώστης ἐὰν τῆ ἑαυτοῦ μνησθῆ πρὸ τοῦ γάμου σωαλλάξειν, ὲνιαυτὸν ἀργήσας, εἰς τὸ ἀναγινώσκειν δεχθήσεται, μενῶν ἀπρόκοπος. κλεψιγαμήσας δὲ ἄνευ μνησείας, παυθήσεται τῆς ὑπηρεσίας. τὸ αὐτὸ ϗ ὑπηρέτης.

ΚΑΝΩΝ ό.

Διάκονος ὲν χείλεσι μιανθείς, ϗ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπιχεθήσεται. τοῦ δὲ μετέχειν τῆ ἁγιασμάτων, μετὰ τῆ διακόνων ἀξιωθήσεται· τὸ αὐτὸ δὲ ϗ πρεσβύτερος. εἰ δέ τι πλεῖον φωραθείη τις ἡμαρτηκώς, ὲν οἵῳ ἂν θῆ βαθμῳ, καθαιρήσεται.

ΚΑΝΩΝ οά.

Ο' σωεγνωκὼς ἑκάστῳ τῆ προειρημένων ἁμαρτημάτων, ϗ μὴ ὁμολογήσας, ἀλλ' ἐλεγχθείς· τοσούτου χρόνου εἰς ὃν ὁ ἐργάτης τῶν κακῶν ἐπιτετίμηται, ϗ αὐτὸς ἔσαι ὲν ἐπιτιμίῳ.

ΚΑΝΩΝ οβ'

Ο' μάντεσιν ἑαυτὸν ἐπιδοὺς, ἢ τισι τοιούτοις, τὸν χρόνον τῶν φονέων ϗ αὐτὸς ἐπιτιμηθήσεται.

ΚΑΝΩΝ ογ'.

Ο' τὸν Χριστὸν ἀρνησάμενος, ϗ παραβὰς τὸ τῆς σωτηρίας μυστήριον, ὲν παντὶ τῳ χρόνῳ τῆς ζωῆς αὐτοῦ προσκλαίειν ὀφείλει, ϗ ἐξομολογεῖσθαι χρεωστεῖ· ὲν τῳ ἡμέρῳ ᾧ ἐκβαίνει τοῦ βίου, τῶν ἁγιασμάτων ἀξιούμενος, πίστει τῆς παρὰ θεοῦ φιλανθρωπίας.

ΚΑΝΩΝ οδ'.

Α'ν μὲ τοι ἕκαστος τῶν ὲν τοῖς προγεγραμμένοις ἁμαρτήμασι ἁλισκομένων, σπουδαῖος * ἁλίσκηται ἐξομολογούμενος, ὁ πιστευθεὶς τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας

* scribitur

ωίας λύειν, καὶ δεσμεῖν, εἰ φιλανθρωπότερος γένοιτο, τὸ ὑπερβάλλον τῆς ἐξομολογήσεως ὁρῶν τῶ ἡμαρτηκότος, εἰς τὸ ἐλαττῶσαι τὸν χρόνον τῶν ἐπιτιμίων, ἃ κ ἔσι κατηγνώσεως ἄξιος, τῆς ἐν ταῖς γραφαῖς ἰσορίας, γνωριζούσης ἡμῖν, τὸν μετὰ μείζονος πόνου ἐξομολογουμένους, ταχέως τὴν τῶ θεῶ φιλανθρωπίαν καταλαμβάνειν.

ΚΑΝΩΝ οέ.

Ὁ ἀδελφῆ ἰδίᾳ ἐκ πατέρος ἢ ἐκ μητέρος συμμιανθείς, εἰς οἶκον προσδοχῆς μὴ ἐπιξεπέσθω παρεῖναι, ἕως ἂν ἀποσῇ τῆς παρανόμου καὶ ἀθεμίτου πράξεως. μετὰ δὲ τὸ ἐλθεῖν εἰς σωφρόνησιν τῆς φοβερᾶς ἁμαρτίας, τελετίαν προσκλαιέτω, τῇ θύρᾳ τῶν ἐκτενεστέρων οἴκων παρεστηκώς, καὶ δεόμενος τῶ λαῶ εἰσιόντος ἐπὶ τὸν προσδοχὸν, ὥστε ἕκαστον μετὰ συμπαθείας ὑπὲρ αὐτῶ ἐκτενεῖς ποιεῖσθαι πρὸς κύριον τὰς δεήσεις. μετὰ δὲ τοῦτο ἄλλως τελετίαν εἰς ἀκρόασιν μόνων παραδεχθήτω, καὶ ἀκόων τῆς γραφῆς καὶ τῆς διδασκαλίας ἐκβαλλέσθω, καὶ μὴ καταξιούσθω προσδοχῆς. ἔπειτα εἴπερ μετὰ δακρύων ἐξεζήτησεν αὐτὸν, καὶ προσέπεσε τῷ κυρίῳ μετὰ συντετριμμένης καρδίας καὶ ταπεινώσεως ἰσχυρᾶς, διδόσθω αὐτῷ ὑπόπτωσις ἐν ἄλλοις τελοῦσιν ἔτεσι. καὶ ὅτως ἐπειδὰν τὸν καρπὸν τῆς μετανοίας ἀξίως ἐπιδείξηται, τῷ δεκάτῳ ἔτει εἰς τὸν τῶν πιστῶν δόχον δεχθήτω, χωρὶς προσφορᾶς· καὶ δύο ἔτη συσὰς εἰς τὸν δόχον τοῖς πιστοῖς, οὕτω λοιπὸν καταξιούσθω τῆς τῶ ἁγιασμοῦ κοινωνίας.

ΚΑΝΩΝ οσ'.

Ὁ αὐτὸς τύπος καὶ περὶ τῶν τὰς νύμφας ἑαυτῶν λαμβανόντων.

ΚΑΝΩΝ οζ'.

Ὁ μέντοι καταλιμπάνων τὴν νομίμως συναφθεῖσαν αὐτῷ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος, κατὰ τὸν κυρίου ἀπόφασιν τῷ τῆς μοιχείας ὑπόκειται κρίματι. κεκανόνισαι δὲ παρὰ τῶν πατέρων ἡμῶν, τοὺς τοιούτους ἑνιαυτὸν προσκλαίειν, δεητίαν ἀπακροᾶσθαι, τελετίαν ὑποπίπτειν, τῷ ἑβδόμῳ συνίσασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσιν.

ΚΑΝΩΝ οη.

Ὁ αὐτὸς κρατείτω τύπος καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων εἰς συγοικέσιον, εἰ καὶ διαφόρους χρόνους.

ΚΑΝΩΝ οθ'.

Οἱ δὲ ταῖς μηδυίαις ἑαυτῶν ἐπιμαινόμενοι, τῷ αὐτῷ ὑπόκεινται κανόνι, ᾧ καὶ οἱ ταῖς ἑαυτῶν ἀδελφαῖς ἐπιμαινόμενοι.

ΚΑΝΩΝ π'.

Τὴν πολυγαμίαν οἱ πατέρες ἀπεσιώπησαν, ὡς κτηνώδη, καὶ παντελῶς ἀλλοτρίαν τῶ ζήλους τῶν ἀνθρώπων. ἡμῖν δὲ παρίσαται πλέον τι πορνείας εἶναι τὸ ἁμάρτημα· διὸ δίκαιον τοὺς τοιούτους ὑποβάλλεσθαι τοῖς κανόσι· δηλονότι ἑνιαυτὸν προσκλαύσαντας, καὶ ἐν τελοῦσιν ὑποπεσόντας, οὕτω δεκτοὺς εἶναι.

ΚΑΝΩΝ πά.

Ἐπειδὴ πολλοὶ ἐν τῇ βαρβάρῳ καταδρομῇ παρέβησαν τὴν εἰς θεὸν πίστιν, ὅρκους ἐθνικοὺς πλέσαντες, καὶ ἀθεμίτων τινῶν γευσάμενοι τῶν ἐν τοῖς εἰδώλοις τοῖς μαγικοῖς προσκειμένων, αὐτοῖς· ἔτι κατὰ τοὺς ἤδη παρὰ τῶν πατέρων ἐξενεχθέντας νόμους καὶ κανόνας, οἰκονομεῖσθωσαν. οἱ μὲν γὰρ ἀνάγκην χαλεπὴν ἐκ βασάνων ὑπομείναντες, καὶ μὴ φέροντες τοὺς πόνους, καὶ ἑλκυσθέντες πρὸς τὴν ἄρνησιν, ἐν τελοῦσιν ἔτεσιν ἄδεκτοι ἔσωσαν, καὶ ἐν δυσὶν ἀκροάσθωσαν, καὶ ἐν τελοῦσιν ὑποπεσόντες, οὕτω δεκτοὶ γενέσθωσαν εἰς τὴν κοινωνίαν. οἱ δὲ ἄνευ ἀνάγκης μεγάλης προδόντες τὴν εἰς θεὸν πίστιν, καὶ ἁψάμενοι τῆς ἐκκλησίας τῶν δαιμονίων, καὶ ὀμόσαντες ὅρκους ἑλληνικοὺς, ἐκβαλλέσθωσαν μὲν ἐν τελοῦσιν ἔτεσι, καὶ ἐν δυσὶν ἀκροάσθωσαν· ἐν ὑποπτώσει δὲ ἀξιάμενοι ἐν τελοῦσιν ἔτεσι, καὶ ἐν ἄλλοις τελοῦσι συσάντες τοῖς πιστοῖς εἰς τὴν δέησιν, οὕτω δεκτοὶ ἔσωσαν τῇ τῶ ἁγιασμοῦ κοινωνίᾳ.

ΚΑΝΩΝ πβ'.

Καὶ περὶ τῶν ἐπιορκησάντων, εἰ μὲν ἐκ βίας καὶ ἀνάγκης παρέβησαν τοὺς ὅρκους, κουφοτέροις ὑποκείσθωσαν ἐπιτιμίοις· ὥστε μετὰ ἓξ ἔτη πάντως αὐτοὺς δεκτοὺς εἶναι. οἱ δὲ ἄνευ ἀνάγκης προδόντες ἑαυτῶν τὴν πίστιν, ἐν δυσὶν ἔτεσι προσκλαύσαντες, καὶ ἐν δυσὶν ἀκροασάμενοι, καὶ ἐν πέμπτῳ ἐν ὑποπτώσει ἀξιάμενοι, καὶ ἐν δυσὶν ἄλλοις ἄνευ προσφορᾶς εἰς τὴν κοινωνίαν τῆς προσδοχῆς παραδεχθέντες, οὕτω πελάσαιον, ἀξιόλογον δηλαδὴ μετάνοιαν ἐπιδειξάμενοι, ἀποκατασταθήσονται εἰς τὴν κοινωνίαν τῶ σώματος τῶ κυρίου.

ΚΑΝΩΝ πγ'.

Οἱ καταμανθάνομενοι, καὶ ταῖς συνηθείαις τῶν ἐθνῶν ἀκολουθοῦντες, ἢ εἰσάγοντές τινας εἰς τοὺς ἑαυτῶν οἴκους ἐπὶ ἀνευρέσει φαρμακειῶν καὶ καθάρσει, ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς ἐξετίας. ἑνιαυτὸν προσκλαύσαντες, καὶ ἑνιαυτὸν ἀκροασάμενοι, καὶ ἐν τελοῦσιν ἔτεσιν ὑποπίπτοντες, καὶ ἑνιαυτὸν συσάντες τοῖς πιστοῖς, οὕτω δεχθήτωσαν.

ΚΑΝΩΝ πδ'.

Πάντα δὲ ταῦτα γράφομεν, ὥστε τὰς καρδίας δοκιμάζεσθαι τῆς μετανοίας. ὃ γὰρ πάντως τῷ χρόνῳ κρίνομεν τὸ τοιοῦτο, ἀλλὰ τῷ βάθει τῆς μετανοίας προσέχομεν. ἐὰν δὲ δυσαποσπάστως ἔχωνται τῶν ἰδίων ἐθῶν, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς μᾶλλον δουλεύειν θελήσωσιν, ἢ τῷ κυρίῳ, καὶ τῷ κατὰ τὸ εὐαγγέλιον ζωῇ μὴ παραδέχονται· ἔδοξεν ἡμῖν φρὸς αὐτοὺς κοινὸς λόγος. ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι σώζων σῶζε τῷ σεαυτοῦ ψυχῷ.

ΚΑΝΩΝ πέ.

Μὴ τοίνυν καταδεξώμεθα συναπόλλυσθαι τοῖς τοιούτοις, ἀλλὰ φοβηθέντες τὸ βαρὺ κρίμα, καὶ τῷ φοβερῷ ἡμέ-

ἡμέραν τῆς ἀνταποδόσεως τοῦ κυρίου πρὸ ὀφθαλμῶν λαβόντες, μὴ θελήσωμεν ἁμαρτίαις ἀλλοτρίαις συναπόλλυσθαι. εἰ γὰρ μὴ ἐπαίδευσεν ἡμᾶς τὰ φοβερὰ τοῦ κυρίου, μηδὲ αἱ τηλικαῦται πληγαὶ εἰς αἴσθησιν ἡμᾶς ἤγαγον, ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ κύριος καὶ παρέδωκεν εἰς χεῖρας βαρβάρων, καὶ ἀπήχθη αἰχμάλωτος εἰς τοὺς πολεμίους ὁ λαὸς, καὶ παρεδόθη τῇ διασπορᾷ, διότι ταῦτα ἐτόλμων οἱ τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντες· εἰ μὴ ἔγνωσαν μηδὲ συνῆκαν, ὅτι διὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς ἡ ὀργὴ τοῦ θεοῦ· τίς ἡμῖν κοινὸς πρὸς τούτους λόγος; ἀλλὰ διαμαρτύρασθαι αὐτοῖς, καὶ νυκτὸς καὶ ἡμέρας, καὶ δημοσίᾳ καὶ ἰδίᾳ, ὀφείλομεν. συναπάγεσθαι δὲ αὐτῶν ταῖς πονηρίαις, μὴ καταδεχώμεθα· προσευχόμενοι μάλιστα μὲν κερδῆσαι αὐτοὺς καὶ ἐξελέσθαι τῆς παγίδος τοῦ πονηροῦ. ἐὰν δὲ τοῦτο μὴ δυνηθῶμεν, σπουδάσωμεν τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰωνίου κατακρίσεως περισώσασθαι.

Τοῦ αὐτοῦ.

ΠΕΡΙ' ΕΓΚΡΑΤΕΥΤΩΝ.

Τοῖς δὲ κομψοῖς ἐγκρατευταῖς, πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, διατί καὶ ἡμεῖς οὐχὶ πάντα ἐσθίομεν, ἐκεῖνα λεγέσθω· ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυσσόμεθα. κατὰ μὲν γὰρ τὴν ἀξίαν λάχανα χόρτου ἡμῖν ἐστι τὰ κρέα, κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχάνοις, τὸ βλαβερὸν τοῦ καταλλήλου διακρίνομεν. ἐπεὶ λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ' ὅμως οὔτε ὑοσκύαμον φάγοι ἄν τις γοῦν ἔχων, οὔτε κυνὸς ἅψαιτο, μὴ μεγάλης ἀνάγκης κατεπειγούσης· ὥστε φαγὼν οὐκ ἠνόμησεν.

ΤΟΥ ΑΥ'ΤΟΥ

ΠΡΟ'Σ ΔΙΟ'ΔΩΡΟΝ Ε'ΠΙ'ΣΚΟΠΟΝ Ταρσοῦ.

Περὶ τοῦ δύο ἀδελφὰς ἀγομένου εἰς γάμον.

Ἀ'φίκετο πρὸς ἡμᾶς γράμματα τὴν ἐπιγραφὴν ἔχοντα Διοδώρου· τὰ δὲ ἐφεξῆς ἄλλου τινὸς πρέποντα εἶναι, ἢ Διοδώρου, δοκεῖ μοι γάρ τις τῶν τεχνικῶν τὸ σὸν πρόσωπον ὑποδὺς, οὕτως ἑαυτὸν ἀξιόπιστον ἐθελῆσαι ποιῆσαι τοῖς ἀκροωμένοις· ὅς γε ἐρωτηθεὶς ὑπό τινος, εἰ θεμιτὸν, αὐτὸν πρὸς γάμον τῆς τελευτησάσης αὐτῷ γυναικὸς τὴν ἀδελφὴν ἀγαγέσθαι, οὐκ ἔφριξε τὴν ἐρώτησιν· ἀλλὰ καὶ πρᾴως ἤνεγκε, καὶ τὸ ἀσελγὲς ἐπιθύμημα πάνυ γενναίως αὐτῷ καὶ ἀγωνιστικῶς συγκατέπραξεν. εἰ μὲν οὖν παρῆν μοι τὸ γράμμα, αὐτὸ ἂν ἀπέστειλα, καὶ ἐξήρκεις σαυτῷ τε ἀμῦναι, καὶ τῇ ἀληθείᾳ. ἐπεὶ δὲ ὁ δείξας, πάλιν ἀφείλετο, καὶ ὥσπερ τι τρόπαιον καθ' ἡμῶν περιέφερε κεκωλυκότων τὸ ἐξ ἀρχῆς, ἔγγραφον ἔχειν λέγων τὴν ἐξουσίαν· ἐπέστειλα νῦν σοι, ὥστε διπλῇ τῇ χειρὶ ἡμᾶς ἐλθεῖν ἐπὶ τὸν νόθον ἐκεῖνον λόγον, καὶ μηδεμίαν αὐτῷ ἰσχὺν καταλιπεῖν· ἵνα μὴ ἔχῃ βλάπτειν ῥᾳδίως τοὺς ἐντυγχάνοντας.

Πρῶτον, μὲν οὖν, ὃ μέγιστον ἐπὶ τῶν τοιούτων ἐστὶ, τὸ παρ' ἡμῖν ἔθος ἔχομεν προβάλλειν, νόμου δύναμιν ἔχον, διὰ τὸ ὑφ' ἁγίων ἀνδρῶν τοὺς δεσμοὺς ἡμῖν παραδοθῆναι. τοῦτο δὲ τοιοῦτόν ἐστιν· ἐάν τις πάθει ἀκαθαρσίας ποτὲ κρατηθεὶς, ἐκπέσοι πρὸς δυοῖν ἀδελφῶν ἄθεσμον κοινωνίαν, μήτε γάμον ἡγεῖσθαι τοῦτο, μήθ' ὅλως εἰς ἐκκλησίας πλήρωμα παραδέχεσθαι πρότερον, ἢ διαλῦσαι αὐτοὺς ἀπ' ἀλλήλων. ὥστε εἰ καὶ μηδὲν εἰπεῖν ἦν ἕτερον, ἐξήρκει τὸ ἔθος πρὸς τὴν τοῦ κακοῦ φυλακήν. ἐπεὶ δὲ ὁ τὴν ἐπιστολὴν γράψας, ἐπιχειρήματι κιβδήλῳ κακὸν τοσοῦτον ἐπειράθη τῷ βίῳ ἐπαγαγεῖν· ἀνάγκη μὴ δὲ ἡμᾶς τῆς ἐκ τῶν λόγων βοηθείας ἀπέχεσθαι. καί τοι ἐπὶ τῶν σφόδρα ἐναργῶν, μείζων ἐστὶ τοῦ λόγου ἡ παρ' ἑκάστῳ πρόληψις.

Γέγραπται, φησιν, ἐν τῷ Λευιτικῷ· γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῇ, ἔτι ζώσης αὐτῆς. δῆλον οὐκ ἐκ τούτου εἶναι φησὶν, ὅτι συγχωρεῖται λαμβάνειν τελευτησάσης. πρὸς δὴ τοῦτο, πρῶτον μὲν ἐκεῖνο ἐρῶ, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· ἐπεὶ οὕτω γε, καὶ περιτομῇ, καὶ σαββάτῳ, καὶ ἀποχῇ βρωμάτων ὑποκεισόμεθα. οὐ γὰρ δὴ ἐὰν μέν τι εὕρωμεν συντρέχον ἡμῶν ταῖς ἡδοναῖς, τῷ ζυγῷ τῆς δουλείας τοῦ νόμου ἑαυτοὺς ὑποθήσομεν· ἐὰν δέ τι φανῇ τῶν νομίμων βαρὺ, πρὸς τὴν ἐν Χριστῷ ἐλευθερίαν ἀποδραμούμεθα. ἠρωτήθημεν, εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ· εἴπομεν ὅπερ ἀσφαλὲς ἡμῖν, καὶ ἀληθὲς, ὅτι οὐ γέγραπται· τὸ δὲ ἐκ τῆς ἀκολούθου ἐπιφορᾶς τὸ σιωπηθὲν λογίζεσθαι, νομοθετοῦντός ἐστιν, οὐ τὰ τοῦ νόμου λέγοντος. ἐπειδὴ οὕτω γε ἐξέσται τῷ βουλομένῳ κατατολμῆσαι, καὶ ἔτι ζώσης τῆς γυναικὸς λαμβάνειν τὴν ἀδελφήν· τὸ γὰρ αὐτὸ τοῦτο σόφισμα καὶ ἐπ' ἐκείνῳ ἁρμόζει· γέγραπαι γάρ, φησιν, οὐ λήψῃ ἀντίζηλον· ὡς τήν γε ἔξω τοῦ ζήλου λαβεῖν οὐκ ἐκώλυσεν· ὁ δὲ συνηγορῶν τῷ πάθει, ἀζηλότυπον εἶναι διορίσεται τὸ ἦθος τῶν ἀδελφῶν. ἀνῃρημένης οὖν τῆς αἰτίας, δι' ἣν ἀπηγόρευσε τὴν ἀμφοτέραν συνοίκησιν, τί τὸ κωλύον ἔσται λαμβάνειν τὰς ἀδελφάς; οὐ γέγραπται ταῦτα, φήσομεν· ἀλλ' οὐδὲ ἐκεῖνο ὥρισται· ἡ δὲ ἔννοια τοῦ ἀκολούθου ὁμοίως ἀμφοτέροις τὴν ἄδειαν δίδωσιν.

Ἔδει δὲ μικρὸν ἐπὶ τὰ κατόπιν τῆς νομοθεσίας ἐπαναδραμόντα, ἀπηλλάχθαι πραγμάτων· ἔοικε γάρ οὐ πᾶν εἶδος ἁμαρτημάτων περιλαμβάνειν ὁ νομοθέτης, ἀλλ' ἰδίως ἀπαγορεύειν τὰ τῶν Αἰγυπτίων, ὅθεν ἀπῆρεν ὁ Ἰσραήλ· καὶ τὰ τῶν Χαναναίων, πρὸς οὓς μεθίστατο. ἔχει γὰρ οὕτως ἡ λέξις· κατὰ τὰ ἐπιτηδεύματα τῆς Αἰγύπτου ἐν ᾗ παρῳκήσατε ἐπ' αὐτῇ, οὐ ποιήσετε· καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν εἰς ἣν ἐγὼ εἰσάξω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε· καὶ τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε. ὥστε τοῦτο εἰκός που τὸ εἶδος τῆς ἁμαρτίας μὴ ἐμπολιτεύεσθαι τότε παρὰ τοῖς ἔθνεσι· διὸ μηδὲ τῆς ἐπ' αὐτῷ φυλακῆς προσδεηθῆναι τὸν νομοθέτην, ἀλλ' ἀρκεσθῆναι τῷ ἀδιδάκτῳ ἔθει πρὸς τὴν τοῦ μύσους διαβολήν. πῶς οὖν τὸ μεῖζον ἀπαγορεύσας, τὸ ἔλαττον ἀπεσιώπησεν; ὅτι ἐδόκει, πολλοὺς τῶν φιλοσάρκων, πρὸς τὸ ζώσαις ἀδελφαῖς συνοικεῖν, τὸ ὑπόδειγμα βλάπτειν τοῦ πατριάρχου· ἡ-

μᾶς δὲ τί χρὴ ποιεῖν; τὰ γεγραμμένα λέγειν, ἢ τὰ σιωπηθέντα πεμεργάζεσθαι;

Αὐτίκα τὸ μὴ δεῖν μιᾷ ἑταίρᾳ κεχρῆσθαι πατέρα καὶ υἱόν, ἐν μὲν τοῖς νόμοις τέτοις ἀγέγραπται· παρὰ δὲ τῷ προφήτῃ, μεγίστης κατηγορείας ἠξίωται. υἱὸς γάρ, φησι, καὶ πατήρ, πρὸς τὴν αὐτὴν παιδίσκην εἰσεπορεύοντο. πόσα δὲ εἴδη ἄλλα τῆς ἀκαθάρτων παθῶν, τὸ μὲν τῆς δαιμονίων διδασκαλεῖον ἔξεῦρεν· ἡ δὲ θεία γραφὴ ἀπεσιώπησε, τὸ σεμνὸν ἑαυτῆς ταῖς τῆς αἰσχρῶν ὀνομασίαις καταῤῥυπαίνειν οὐκ αἱρεμένη· ἀλλὰ χρωμένοις ὀνόμασι τὰς ἀκαθαρσίας διελαβεν· ὡς ὁ ἀπόστολος Παῦλός φησι. πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα, μὴ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις· τῷ τῆς ἀκαθαρσίας ὀνόματι τάς τε τῶν ἀῤῥένων ἀῤῥητοποιίας, καὶ τὰς θηλειῶν περιλαμβάνων. ὥστε ὁ πάντως ἡ σιωπὴ ἄδειαν φέρει τοῖς φιληδόνοις.

Ἐγὼ δὲ οὐδὲ σεσιωπῆσθαι τὸ μέρος τοῦτο φημι· ἀλλὰ καὶ πάνυ σφοδρῶς ἀπηγορεύκεναι τὸν νομοθέτην. τὸ γὰρ, ἐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκὸς σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτῆς, ἐμπεριεκτικόν ἐστι καὶ τότε τοῦ εἴδους τῆς οἰκειότητος· τί γὰρ ἂν γένοιτο ἀνδρὶ οἰκειότερον τῆς ἑαυτοῦ γυναικὸς, μᾶλλον δὲ τῆς ἑαυτοῦ σαρκός; οὐ γὰρ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία· ὥστε διὰ τῆς γυναικὸς ἡ ἀδελφὴ αὐτῆς πρὸς τὴν τοῦ ἀνδρὸς οἰκειότητα μεταβαίνει· ὡς γὰρ μητέρα γυναικὸς οὐ λήψεται, οὐδὲ θυγατέρα ταύτης, διότι μηδὲ τὴν ἑαυτοῦ μητέρα μὴ δὲ τὴν ἑαυτοῦ θυγατέρα· οὕτως οὐδὲ ἀδελφὴν γυναικὸς, διότι μηδὲ τὴν ἀδελφὴν ἑαυτοῦ. καὶ τὸ ἀνάπαλιν· οὐδὲ τῇ γυναικὶ ἐξέσται τοῖς οἰκείοις τοῦ ἀνδρὸς συνοικεῖν. κοινὰ γὰρ ἐπ' ἀμφοτέρας τῆς συγγενείας τὰ, δίκαια ἐγὼ δὲ παντὶ τῷ περὶ γάμου βαλλομένῳ διαμαρτύρομαι· ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ ὁ καιρὸς συνεσταλμένος ἐστὶν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσιν.

Ἐὰν δὲ * μὴ παραναγινώσκῃ τὸ, αὐξάνεσθε, καὶ πληθύνεσθε, καταγελῶ τοῦ τῆς νομοθετοῦντος μὴ διαχέοντος· πορνείας παραμύθιον ὁ δεύτερος γάμος, οὐχὶ ἐφόδιον εἰς ἀσέλγειαν. εἰ δὲ ἐγκρατεύονται, γαμησάτωσαν, φησὶν· οὐχὶ δὲ, καὶ γαμοῦντες παρανομείτωσαν· οἱ δὲ οὐδὲ πρὸς τὴν φύσιν ἀποβλέπουσιν, οἱ τὴν ψυχὴν λημῶντες τῷ πάθει τῆς ἀτιμίας, πάλαι διαχέαντας τὰς τοῦ γένους προσηγορείας, ἐκ ποίας συγγενείας τοὺς γενομένους προσαγορεύσουσιν; ἀδελφοὺς αὐτοὺς ἀλλήλων ἢ ἀνεψιοὺς προσερροῦσιν; ἀμφότερα γὰρ αὐτοῖς προσαρμόσει διὰ τὴν σύγχυσιν. μὴ ποιήσῃς, ὦ ἄνθρωπε, τὴν θείαν μηχανὴν τῆς νηπίων· μήτε δὲ τὴν ἐν μηχανῆς τάξει πεισθάλπειν ὀφείλουσαν, ταύτην ἐφοπλίσῃς ταῖς ἀμειλίκτοις ζηλοτυπίαις· μόνον γὰρ τὸ μῖσος τῆς μηχανῆς καὶ μὴ θάνατον ἐλαύνει τὴν ἔχθραν· μᾶλλον δὲ οἱ μὲν ἄλλως πολέμιοι τοῖς τεθνηκόσι κινδυνεύουσι, αἱ δὲ μηχαναὶ, τοὺς μίσους μὴ θάνατον ἄρχουσι.

Κεφάλαιον δὲ τῶν εἰρημένων. εἰ μὲν νόμῳ τις ὁρμᾶται πρὸς γάμον, λυσιτελεῖ πᾶσα ἡ οἰκουμένη. εἰ δὲ ἐμπαθὴς αὐτῷ ἡ σπουδὴ, διὰ τοῦτο καὶ πλέον ἀποκλειέσθω, ἵνα μάθῃ τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ μὴ ἐν πάθει ἐπιθυμίας. πλείονά με λέγειν ὠρμημένον, τὸ μέτριον ἐπίσχει τῆς ἐπιστολῆς. ἔχομαι δὲ ἡ τοῦ παραίνεσιν ἡμῶν ἰσχυροτέραν τοῦ πάθους ἀποδεχθῆναι, ἢ μὴ ἐπιδημῆσαι τῇ ἡμετέρᾳ τὸ ἄγος τοῦτο, ἀλλ' ἐν οἷς ἂν ἐπολιμήθη τόποις ἐναπομεῖναι.

ΤΟΥ̓ ΑΥ̓ΤΟΥ̓ ΠΡΌΣ ΓΡΗΓΌΡΙΟΝ

περὶ σβύτερον,

Ὥστε χωρισθῆναι αὐτὸν τῆς συνοίκου γυναικός.

Ε'Νέτυχόν σου τοῖς γράμμασι μετὰ πάσης μακροθυμίας, καὶ ἐθαύμασα πῶς δυνάμενος ἡμῖν σωτήριος καὶ ἀκόλουθος ἀπολογήσασθαι διὰ τῶν πραγμάτων, τοῖς μὲν κατηγορουμένοις ἐπιμένειν κατεδέχθη· λόγοις δὲ μακροῖς θεραπεῦσαι ἐπιχειρεῖς τὰ ἀνίατα. ὅτε πρῶτον, ὅτε μόνον, ὦ Γρηγόριε, συνομοθετήσαμεν γυναῖκας ἀνδράσι μὴ συνοικεῖν, ἀλλὰ ἀναγνῶθι τὸν κανόνα τὸν ἐξενεχθέντα παρὰ τῶν ἁγίων πατέρων ἡμῶν ἐν τῇ συνόδῳ Νικαίας· ὃς φανερῶς ἀπηγόρευται συνεισάκτους μὴ εἶναι· ἀγαμία δὲ ἐν τούτῳ ἔχει τὸ σεμνὸν, ἐν τῷ κεχωρίσθαι τῆς μετὰ γυναικῶν διαγωγῆς. ὡς ἐάν ἐπαγγελλόμενός τις τῷ ὀνόματι, ἔργῳ τὰ τῶν ταῖς γυναιξὶ συνοικούντων ποιῇ, δῆλός ἐστι τὸ μὲν τῆς παρθενίας σεμνὸν ἐν τῇ προσηγορείᾳ διώκων· τὸ δὲ καθ' ἡδονὴν ἀπρεπὲς μὴ ἀφιστάμενος. τοσούτῳ ἐν μᾶλλον ἐχρῆν σε δυσκόλως εἶξαι ἡμῶν τῇ ἀξιώσει, ὅσονπερ λέγεις ἐλεύθερος εἶναι παντὸς σωματικοῦ πάθους. ὅτε γὰρ τῶν ἑβδομήκοντα ἔτη γεγονότα πείθομαι ἐμπαθῶς γυναικὶ συνοικεῖν, ὅτε ὡς ἐπὶ γλυκυμύρῃ τινὶ ἀτόπῳ πράξει, ὠείσαμεν ἃ καὶ ᾠείσαμεν· ἀλλ' ἐπειδὴ ἐδιδάχθημεν παρὰ τοῦ ἀποστόλου, μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον· οἰδαμεν δὲ ὅτι τὸ παρά τινων ὑγιῶς γινόμενον, ἄλλοις ἀφορμὴ πρὸς ἁμαρτίαν ὑπάρξει· τούτου ἕνεκα προσεταξάμεν, ἐπόμενοι τῇ διατυπῇ τῶν ἁγίων πατέρων, χωρισθῆναί σε τῆς γυναικός. τί ἓν ἐγκαλεῖς τῷ χωρεπισκόπῳ, καὶ παλαιὰς ἔχθρας μέμνησαι; τί δὲ ἡμᾶς καταμέμφῃ, ὡς δυσκόλους ἀκοὰς ἔχοντας εἰς τὸ τὰς διαβολὰς προσίεσθαι, ἀλλ' οὐχὶ σεαυτῷ τῷ μὴ ἀνεχομένῳ ἀποσῆναι τῆς πρὸς τὴν γυναῖκα συνηθείας; ἔκβαλε τοίνυν αὐτὴν ἀπὸ τοῦ οἴκου σου, καὶ κατάστησον αὐτὴν ἐν μοναστηρίῳ. ἔσῳ ἐκείνη μετὰ παρθένων, καὶ ὑπηρετοῦσα ἀνδρῶν, ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ δι' ὑμᾶς βλασφημῆται· ἕως ἂν ταῦτα ποιῇς, αἱ μυριάδες ὥσπερ γράφεις διὰ τῆς ἐπιστολῆς, οὐδὲν ὠφελήσουσί σε· ἀλλὰ πελάτησεις ἀργῶν, καὶ δώσεις τῷ κυρίῳ λόγον τῆς ἑαυτοῦ ἀργίας, ἐὰν δὲ πολμήσῃς, μὴ διορθωσάμενος σεαυτὸν, ἀντέχεσθαι τῆς ἱερωσύνης· ἀνάθεμα ἔσῃ παντὶ τῷ λαῷ, καὶ οἱ δεχόμενοί σε ἐκκήρυκτοι κατὰ πᾶσαν ἐκκλησίαν γενήσονται.

ΤΟΥ ΑΥΤΟΥ ΧΩΡΕΠΙΣΚΟΠΟΙΣ,

Ὥστε μὴ γίνεσθαι χωρὶς αὐτοῦ ὑπηρέτας παρὰ τοὺς κανόνας.

ΠΆνυ με λυπεῖ ὅτι ἐπιλελοίπασι λοιπὸν πατέρων κανόνες, καὶ πᾶσα ἀκρίβεια τῶν ἐκκλησιῶν ἀπελήλαται· καὶ φοβοῦμαι μὴ καὶ μικρὸν τῆς ἀδιαφορίας ταύτης ὁδῷ προϊούσης, εἰς παντελῆ σύγχυσιν ἔλθη τὰ τῆς ἐκκλησίας πράγματα. τοὺς ὑπηρετοῦντας τῇ ἐκκλησίᾳ, πάλαι, ταῖς τοῦ θεοῦ ἐκκλησίαις ἐμπολιτευομένη συνήθεια μετὰ πάσης ἀκριβείας δοκιμάζουσα παρεδέχετο, καὶ ἐπολυπραγμονεῖτο πᾶσα αὐτῶν ἡ ἀναστροφὴ, εἰ μὴ λοίδοροί εἰσιν, εἰ μὴ μέθυσοι, εἰ μὴ πρόχειροι πρὸς τὰς μάχας, εἰ παιδαγωγοῦσιν ἑαυτῶν τὴν νεότητα, ὥστε κατορθοῦν δύνασθαι τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον. καὶ τοῦτο ἐξήταζον μὲν πρεσβύτεροι, καὶ διάκονοι οἱ συνοικοῦντες αὐτοῖς· ἐπανέφερον δὲ τοῖς χωρεπισκόποις, οἳ τὰς παρὰ τῶν ἀληθινῶς μαρτυρούντων δεξάμενοι ψήφους, καὶ ὑπομνήσαντες ἐπίσκοπον. οὕτως ἐνηρίθμουν τὸν ὑπηρέτην τῷ τάγματι τῶν ἱερατικῶν. νῦν δὲ πρῶτον μὲν ἡμᾶς παρωσάμενοι, καὶ μηδὲ ἐπαναφέρειν ἡμῖν καταδεχόμενοι, εἰς ἑαυτοὺς τὴν ὅλην περιεστήσατε αὐθεντίαν. ἔπειτα καὶ καταῤῥαθυμοῦντες τοῦ πράγματος, πρεσβυτέροις καὶ διακόνοις ἐπεστρέψατε, οὓς ἂν ἐθέλωσιν, ἀπὸ ἀνεξετάστου βίου, κατὰ προσπάθειαν, ἢ τὴν ἀπὸ συγγενείας ἢ τὴν ἐξ ἄλλης τινὸς φιλίας, ἐπεισάγειν τῇ ἐκκλησίᾳ τοὺς ἀναξίους. διὸ πολλοὶ μὲν ὑπηρέται ἀριθμοῦνται καθ' ἑκάστην κώμην· ἄξιος δὲ λειτουργίας θυσιαστηρίου οὐδεὶς, ὡς ὑμεῖς αὐτοὶ μαρτυρεῖτε, ἀποροῦντες ἀνδρῶν ἐν ταῖς ψηφιφορίαις. ἐπεὶ οὖν τὸ πρᾶγμα λοιπὸν εἰς ἀνήκεστον προϊὸν, μάλιστα δὲ νῦν τῶν πλείστων φόβῳ τῆς στρατολογίας εἰσποιούντων ἑαυτοὺς τῇ ὑπηρεσίᾳ· ἀναγκαίως ἦλθον εἰς τὸ ἀνανεώσασθαι τοὺς τῶν πατέρων κανόνας, καὶ ἐπιστέλην * ὑμῖν, ἀποστεῖλαί μοι τὴν ἀναγραφὴν ἑκάστης κώμης τῶν ὑπηρετούντων· καὶ ὑπὸ τίνων εἰσῆκται ἕκαστος, καὶ ἐν ποίῳ βίῳ ἐστίν. ἔχετε δὲ καὶ αὐτοὶ παρ' ἑαυτοῖς τὴν ἀναγραφὴν, ὥστε συγκρίνεσθαι τοῖς παρ' ἡμῖν ἀποκειμένοις γράμμασι τὰ ὑμετέρα, καὶ μηδενὶ ἐξεῖναι ἑαυτὸν ὅτε βούλεται παρεγγράφειν. οὕτω μέντοι μετὰ τὴν πρώτην ἐπινέμησιν, εἴ τινες ὑπὸ πρεσβυτέρων εἰσήχθησαν, ἐπὶ τοὺς λαϊκοὺς ἀπορριφῶσι. ἄνωθεν δὲ γένηται αὐτῶν παρ' ὑμῶν ἐξέτασις· κἂν μὲν ἄξιοι ὦσι τῇ ὑμετέρᾳ ψήφῳ, παραδεχθήτωσαν· ἐπεὶ καθαρίσατε τὴν ἐκκλησίαν, τοὺς ἀναξίους αὐτῆς ἀπελαύνοντες· καὶ τοῦ λοιποῦ ἐξετάζετε μὲν τοὺς ἀξίους, καὶ παραδέχεσθε· μὴ ἀριθμεῖτε δὲ πρὶν εἰς ἡμᾶς ἐπανενεγκεῖν· ἢ γινώσκετε, ὅτι λαϊκὸς ἔσται ὁ ἄνευ ἡμετέρας γνώμης εἰς ὑπηρεσίαν παραδεχθείς.

* Corr. ἐπιστέλλειν.

ΤΟΥ ΑΥΤΟΥ.

Πρὸς τοὺς ὑφ' ἑαυτὸν ἐπισκόπους, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασιν.

ΤΟ' τοῦ πράγματος ἄτοπον περὶ οὗ γράφω διὰ * τὶ μὲν ὅλως ὑπωπτεύθη καὶ ἐλαλήθη, ὀδύνης ἐπλήρωσέ μου τὴν ψυχήν· τέως δὲ ἐφάνη μοι ἄπιστον· τὸ οὖν περὶ αὐτοῦ γράμμα, ὁ μὲν συνεγνωκὼς ἑαυτῷ, δεξάσθω ὡς ἴαμα· ὁ δὲ μὴ συνεγνωκὼς, ὡς προφυλακτήριον· ὁ δὲ ἀδιάφορος, ὅπερ ἀπεύχομαι ἐφ' ἡμῖν εὑρεθῆναι, ὡς διαμαρτυρίαν. τί δ' ἐστὶν ὃ λέγω; φασί τινες, τινὰς ὑμῶν παρὰ τῶν χειροτονουμένων λαμβάνειν χρήματα, ἐπισκιάζειν δὲ ὀνόματι εὐσεβείας· τοῦτο δὲ χεῖρόν ἐστιν· ἐὰν γάρ τις τὸ κακὸν ἐν προσχήματι τοῦ ἀγαθοῦ ποιῇ, διπλασίονος τιμωρίας ἐστὶν ἄξιος· διότι αὐτὸ τὸ οὐκ ἀγαθὸν ἐργάζεται, καὶ κέχρηται εἰς τὸ τελέσαι τὴν ἁμαρτίαν, ὡς ἂν εἴπῃ τις, τῷ καλῷ συνεργῷ. ταῦτα, εἰ οὕτως ἔχει, τοῦ λοιποῦ μὴ γινέσθω· ἀλλὰ διορθωθήτω. ἐπεὶ ἀνάγκη λέγειν πρὸς τὸν δεχόμενον τὸ ἀργύριον, ὅπερ ἐῤῥέθη παρὰ τῶν ἀποστόλων πρὸς τὸν θέλοντα δοῦναι, ἵνα πνεύματος ἁγίου μετουσίαν ὠνήσηται. τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν. κουφότερος γὰρ ὁ δι' ἀπειρίαν ὠνήσασθαι θέλων, ἢ ὁ πιπράσκων τὴν τοῦ θεοῦ δωρεάν. πρᾶσις γὰρ ἐγένετο. καὶ ὃ σὺ δωρεὰν ἔλαβες, ἐὰν πωλῇς, ὡσανεὶ πεπραμένος τῷ σατανᾷ, ἀφαιρεθήσῃ τοῦ χαρίσματος. καπηλείαν γὰρ ἐπεισάγεις τοῖς πνευματικοῖς καὶ τῇ ἐκκλησίᾳ, ἔνθα πεπιστεύμεθα σῶμα καὶ αἷμα Χριστοῦ. ταῦτα οὕτω γενέσθαι οὐ χρή. ὃ δέ ἐστι τὸ τέχνασμα, λέγω. νομίζουσι μὴ ἁμαρτάνειν, τῷ μὴ ἅμα προσλαμβάνειν, μετὰ * τὴν χειροτονίαν λαμβάνειν· λαβεῖν δέ ἐστιν ὅτε δήποτε λαβεῖν. παρακαλῶ οὖν, ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν, ἀπόθεσθε· καὶ μὴ τὰς χεῖρας μολύναντες τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἅγια μυστήρια. σύγγνωτε δέ μοι· πρῶτον μὲν ὡς ἀπιστήσας, εἶτα δὲ ὡς πεισθεὶς, ἀπειλῶ. εἴ τις μετὰ ταύτην μου τὴν ἐπιστολὴν πράξειέ τι τοιοῦτον, τῶν μὲν ἐνταῦθα θυσιαστηρίων ἀναχωρήσει· ζητήσει δὲ ἔνθα τὴν τοῦ θεοῦ δωρεὰν ἀγοράζων, μεταπωλεῖν δύναται· ἡμεῖς γὰρ καὶ αἱ ἐκκλησίαι τοῦ θεοῦ τοιαύτην συνήθειαν οὐκ ἔχομεν. ἐν δὲ προσθεὶς, παύσομαι. διὰ φιλαργυρίαν γίνεται ταῦτα· ἡ δὲ φιλαργυρία καὶ ῥίζα πάντων τῶν κακῶν ἐστὶ, καὶ ὀνομάζεται εἰδωλολατρεία. μὴ οὖν τοῦ Χριστοῦ προτιμήσητε τὰ εἴδωλα διὰ μικρὸν ἀργύριον· μηδὲ πάλιν τὸν Ἰούδαν μιμήσησθε, λήμματι προδιδόντες δεύτερον τὸν ἅπαξ ὑπὲρ ἡμῶν σταυρωθέντα· ἐπειδὴ τὰ χωρία, καὶ αἱ χεῖρες τῶν τοὺς καρποὺς δεχομένων, Ἀκέλδαμα κληθήσονται.

* Corr. μὴ δι'.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ

Ἐκ τοῦ κζ. κεφ. τῶν περὶ τοῦ ἁγίου πνεύματος, πρὸς τὸν μακάριον Ἀμφιλόχιον.

ΤΩΝ ἐν τῇ ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων, τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν, ἐν μυστηρίῳ παρεδεξάμεθα· ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν· καὶ τούτοις οὐδεὶς ἀντερεῖ, ὅστις γε κἂν κατὰ μικρὸν γοῦν θεσμῶν ἐκκλησιαστικῶν πεπείραται· εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν, ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι· λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ εὐαγγέλιον, μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιϊστῶντες τὸ κήρυγμα. οἷον, ἵνα τοῦ πρώτου καὶ κοινοτάτου πρῶτον μνησθῶ τῷ τύπῳ τοῦ σταυροῦ τοὺς εἰς τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠλπηκότας κατασημαίνεσθαι, τίς ὁ διὰ γράμματος διδάξας; τὸ πρὸς ἀνατολὰς τετράφθαι κατὰ τὴν προσευχὴν, ποῖον ἡμᾶς ἐδίδαξε γράμμα; τὰ τῆς ἐπικλήσεως ῥήματα ἐπὶ τῇ ἀναδείξει τοῦ ἄρτου τῆς εὐχαριστίας, καὶ τοῦ ποτηρίου τῆς εὐλογίας, τίς τῶν ἁγίων ἐγγράφως ἡμῖν καταλέλοιπεν; οὐ γὰρ δὴ τούτοις ἀρκούμεθα, ὧν ὁ ἀπόστολος ἢ τὸ εὐαγγέλιον ἐπεμνήσθη· ἀλλὰ καὶ προλέγομεν καὶ ἐπιλέγομεν ἕτερα, ὡς μεγάλην ἔχοντα πρὸς τὸ μυστήριον τὴν ἰσχὺν ἐκ τῆς ἀγράφου διδασκαλίας παραλαβόντες. εὐλογοῦμεν δὲ τὸ ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ προσέτι αὐτὸν τὸν βαπτιζόμενον· ἀπὸ ποίων ἐγγράφων; οὐκ ἀπὸ τῆς σιωπωμένης καὶ μυστικῆς παραδόσεως; τί δέ; αὐτὴν τοῦ ἐλαίου τὴν χρίσιν, τίς λόγος γεγραμμένος ἐδίδαξε; τὸ δὲ τρεῖς βαπτίζεσθαι τὸν ἄνθρωπον, πόθεν; ἄλλα δὲ ὅσα περὶ τὰ βαπτίσματα, ἀποτάσσεσθαι τῷ σατανᾷ καὶ τῆς ἀγγέλοις αὐτοῦ, ἐκ ποίας ἐστὶ γραφῆς; οὐκ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ ἀπορρήτου διδασκαλίας, ἣν ἐν ἀπολυπραγμονήτῳ καὶ ἀπεριεργάστῳ σιγῇ οἱ πατέρες ἡμῶν ἐφύλαξαν, καλῶς ἐκεῖνοι δεδιδαγμένοι, τῶν μυστηρίων τὰ σεμνὰ σιωπῇ διασώζεσθαι; ἃ δὲ οὐδὲ ὑποπτεύειν ἔξεστι τοῖς ἀμυήτοις, τούτων πῶς ἂν ἦν εἰκὸς τὴν διδασκαλίαν θριαμβεύειν ἐν γράμμασι; ΚΑΙ ΜΕΤΑ ΕΤΕΡΑ. οὗτος ὁ λόγος τῆς τῶν ἀγράφων παραδόσεως, ὡς μὴ καταμελετηθείσαν τῶν δογμάτων τὴν γνῶσιν, εὐκαταφρόνητον τοῖς πολλοῖς γενέσθαι διὰ συνήθους. ἄλλο γὰρ δόγμα, καὶ ἄλλο κήρυγμα. τὰ μὲν δόγματα σιωπᾶται. τὰ δὲ κηρύγματα δημοσιεύεται. σιωπῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια ἣ χρῆται ἡ γραφὴ, διαθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές. τούτου χάριν πάντες μὲν ὁρῶμεν κατ' ἀνατολὰς ἐπὶ τῶν προσευχῶν· ὀλίγοι δὲ ἴσμεν, ὅτι τὴν ἀρχαίαν ἐπιζητοῦμεν πατρίδα, τὸν παράδεισον ὃν ἐφύτευσεν ὁ θεὸς ἐν Ἐδὲμ κατ' ἀνατολάς· καὶ ὀρθοὶ μὲν πληροῦμεν τὰς εὐχὰς ἐν τῇ μιᾷ τοῦ σαββάτου· τὸν δὲ λόγον οὐ πάντες οἴδαμεν. οὐ γὰρ μόνον ὡς συναναστάντες Χριστῷ, τὰ ἄνω ζητεῖν ὀφείλοντες, ἐν τῇ ἀναστασίμῳ ἡμέρᾳ, τῆς δεδομένης ἡμῖν χάριτος, διὰ τῆς κατὰ τὴν προσευχὴν στάσεως, ἑαυτοὺς ἐπιμιμνήσκομεν. ἀλλ' ὅτι δοκεῖ πῶς τοῦ προσδοκωμένου αἰῶνος εἶναι εἰκών· διὸ καὶ ἀρχὴ οὖσα ἡμερῶν, οὐχὶ πρώτη παρὰ Μωσέως, ἀλλὰ μία ὠνόμασται. ἐγένετο γάρ, φησιν, ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία· ὡς τῆς αὐτῆς ἀνακυκλουμένης πολλάκις. καὶ μία τοίνυν ἡ αὐτὴ καὶ ὀγδόη, τὴν μίαν ὄντως ἐκείνην καὶ ἀληθινὴν ὀγδόην, ἧς καὶ ὁ ψαλμῳδὸς ἔντισιν ἐπιγραφαῖς τῶν ψαλμῶν ἐπεμνήσθη, δι' ἑαυτῆς ἐμφανίζουσα τὴν μετὰ τὸν χρόνον τοῦτον κατάστασιν, τὴν ἄπαυστον ἡμέραν, τὴν ἀνέσπερον, τὴν ἀδιάδοχον, τὸν ἄληκτον ἐκεῖνον καὶ ἀγήρω αἰῶνα. ἀναγκαίως οὖν τὰς ἐν αὐτῇ προσευχὰς ἑστῶτας ἀποπληροῦν τοὺς ἑαυτῆς τροφίμους ἡ ἐκκλησία παιδεύει· ἵνα τῇ συνεχεῖ ὑπομνήσει τῆς ἀτελευτήτου ζωῆς, τῶν πρὸς τὴν μετάστασιν ἐκείνην ἐφοδίων μὴ ἀμελῶμεν. καὶ πᾶσα δὲ ἡ πεντηκοστὴ, τῆς ἐν τῷ μέλλοντι αἰῶνι προδοσκωμένης ἀναστάσεώς ἐστιν ὑπόμνημα. ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα ἑπταπλασιασθεῖσα, τὰς ἑπτὰ τῆς ἱερᾶς πεντηκοστῆς ἑβδομάδας ἀποτελεῖ. ἐκ πρώτης γὰρ ἀρχομένη, εἰς τὴν αὐτὴν καταλήγει, δι' ὁμοίων τῶν ἐν τῷ μέσῳ ἐξελιττομένη πεντηκοντάκις· διὸ καὶ αἰῶνα μιμεῖται τῇ ὁμοιότητι, ὥσπερ ἐν κυκλικῇ κινήσει ἀπὸ τῶν αὐτῶν ἀρχομένη σημείων, καὶ εἰς τὰ αὐτὰ καταλήγουσα· ἐν ᾗ τὸ ὄρθιον σχῆμα τῆς προσευχῆς προτιμᾶν οἱ θεσμοὶ τῆς ἐκκλησίας ἡμᾶς ἐξεπαίδευσαν· ἐκ τῆς ἐναργοῦς ὑπομνήσεως, οἱονεὶ μετοικίζοντες ἡμῶν τὸν νοῦν ἀπὸ τοῦ παρόντος ἐπὶ τὰ μέλλοντα. καὶ καθ' ἑκάστην δὲ γονυκλισίαν καὶ διανάστασιν ἔργῳ δείκνυμεν, ὅτι καὶ διὰ τῆς ἁμαρτίας εἰς γῆν κατερρύημεν, καὶ διὰ τῆς φιλανθρωπίας τοῦ κτίσαντος ἡμᾶς, εἰς οὐρανὸν ἀνεκλήθημεν. ἐπιλείψει με ἡ ἡμέρα, τὰ ἄγραφα τῆς ἐκκλησίας μυστήρια διηγούμενον. ἐῶ τἆλλα. αὐτὴν δὲ τὴν ὁμολογίαν τῆς πίστεως, πιστεύειν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἐκ ποίων συγγραμμάτων ἔχομεν; εἰ μὲν γὰρ ἐκ τῆς τοῦ βαπτίσματος παραδόσεως, κατὰ τὸ τῆς εὐσεβείας ἀκόλουθον, ὡς βαπτιζόμεθα, οὕτω καὶ πιστεύειν ὀφείλοντες, ὁμοίαν τῷ βαπτίσματι τὴν ὁμολογίαν κατατιθέμεθα· συγχωρησάτωσαν ἡμῖν ἐκ τῆς αὐτῆς ἀκολουθίας ὁμοίαν τῇ πίστει τὴν δόξαν ἀποδιδόναι· εἰ δὲ τὸν τρόπον τῆς δοξολογίας ὡς ἄγραφον παραιτοῦνται· δώτωσαν ἡμῖν τῆς τε κατὰ τὴν πίστιν ὁμολογίας, καὶ τῶν λοιπῶν ὧν ἀπηριθμησάμεθα, ἐγγράφους τὰς ἀποδείξεις.

Εἶτα τοσούτων ὄντων ἀγράφων, καὶ τοσαύτην ἐχόντων ἰσχὺν εἰς τὸ τῆς εὐσεβείας μυστήριον· μίαν λέξιν ἡμῖν ἐκ πατέρων εἰς ἡμᾶς ἐλθοῦσαν οὐ συγχωρήσουσιν; ἣν ἡμεῖς ἐκ τῆς ἀνεπιτηδεύτου συνηθείας τοῖς ἀδιαστρόφοις τῶν ἐκκλησιῶν ἐναπομείνασαν εὕρομεν· οὐ μικρὸν τὸν λόγον ἔχουσαν, οὐδὲ βραχεῖαν συντέλειαν εἰς τὴν τοῦ μυστηρίου δύναμιν εἰσφερομένην.

ΤΟΥ ΑΥΤΟΥ

Ἐκ τοῦ κθ'. κεφαλ. τῆς αὐτῆς πραγματείας.

ΠΡΟΣγε μὴν τὸ ἁμάρτυρον καὶ ἄγραφον εἶναι τὴν σὺν τῷ πνεύματι δοξολογίαν, ἐκεῖνο λέγομεν· ὅτι εἰ μὲν μηδὲν ἕτερον ἄγραφον, μηδὲ τοῦτο παραδεχθήτω· εἰ δὲ τὰ πλεῖστα καὶ μυστικῶν ἀγρά-

γράφως ἡμῖν ἐμπολιτεύεται, μὴ πολλῶν ἑτέρων καὶ τοῦτο καταδεξώμεθα. ἀποσολικὸν δὲ οἶμαι καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμυθεῖν. ἐπαινῶ γάρ, φησιν, ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε. καὶ τὸ, κρατεῖτε τὰς παραδόσεις ἃς παρελάβετε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς· ὧν μάλιστα μία ἐστὶ καὶ ἡ παροῦσα αὕτη, ἵν' οἱ ἐξ ἀρχῆς διαταξάμενοι, παραδιδόντες τοῖς ἑφεξῆς, συμπροϊοῦσης ἀεὶ τῷ χρόνῳ τῆς χρήσεως, διὰ μακρᾶς συνηθείας ταῖς ἐκκλησίαις κατερρίζωσαν. ἆρ' οὖν εἰ ὡς ἐν δικαστηρίῳ, διὰ τῆς τῶν ἐγγράφων ἀποδείξεως ἀπορροῦντες, μαρτύρων ὑμῖν πλήθει παρεσησάμεθα, οὐκ ἂν τῆς ἀφιλίας παρ' ὑμῶν ψήφου τύχομεν; ἐγὼ μὲν ὅπως οἶμαι· ἐπὶ σώματι γὰρ δύο καὶ τρισὶν μάρτυρα καθίσεται πᾶν ῥῆμα. εἰ δὲ καὶ τὸν πολὺν χρόνον πρὸς ἡμῶν ὄντα ἐναργῶς ὑμῖν ἐπιδείκνυμεν. οὐκ ἂν ἐδόξαμεν ὑμῖν εἰκότα λέγειν, μὴ εἶναι καθ' ἡμῶν τοῦ δίκαιον εἰσαγώγιμον τοῦτο; δυσωπητικὰ γάρ πως τὰ παλαιὰ τῶν δογμάτων, οἱονεί πολιᾷ τινι, τῇ ἀρχαιότητι τὸ αἰδέσιμον ἔχοντα.

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ

Νίσσης ἐπιστολὴ κανονικὴ πρὸς τοὺς ἐν ἁγίοις Λητοΐου ἐπίσκοπον Μελιτινῆς.

ΕΝ καὶ τοῦτο τῶν εἰς τοῦ ἁγίαν ἑορτὴν συντελούντων ἐστί, τὸ καταυοῆσαι ἡμᾶς τοῦ ἐνομόν τε καὶ κανονικοῦ ἐπὶ τῶν πεπλημμεληκότων οἰκονομίαν, ὅπως ἂν θεραπευθείη πᾶν ἄρρωστημα ψυχικὸν, τὸ διά τινος ἁμαρτίας ἐπιγινόμενον. ἐπειδὴ γὰρ ἡ καθολικὴ καὶ αὕτη τῆς κτίσεως ἑορτὴ, κατὰ τοῦ τετραμμένου περίοδον τὸ ἐνιαυσιαίου κύκλου, καθ' ἕκαστον ἔτος, ἐν παντὶ κληρουμένῃ τῷ κόσμῳ, ἐπὶ τῇ ἀναστάσει τοῦ πεπτωκότος ἐπιτελεῖται· πτῶσις δέ ἐστιν ἡ ἁμαρτία. ἀνάστασις δὲ ἡ ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας ἀνόρθωσις· καλῶς ἂν ἔχοι κατὰ τοῦ ἡμέραν ταύτην ὁ μόνον τοὺς ἐκ παλιγγλωσσίας μετανοιχθέντας διὰ τῆς τοῦ λουτροῦ χάριτος, τῷ θεῷ προσάγειν, ἀλλὰ καὶ τοὺς διὰ τῆς μετανοίας τε καὶ ἐπιστροφῆς ἀπὸ τῶν νεκρῶν ἔργων εἰς τοῦ ζῶσαν ὁδὸν πάλιν ἐπανιόντας, καὶ τούτους χειραγωγεῖν πρὸς τὴν σώζουσαν ἐλπίδα, ἧς διὰ τῆς ἁμαρτίας ἀπεξενώθησαν.

Εἰσὶ δὲ ὁ μικρὸν ἔργον, τὸ τοὺς περὶ τούτων λόγους οἰκονομῆσαι ἐν τῇ ὀρθῇ τε καὶ δεδοκιμασμένῃ κρίσει, κατὰ τὸ παράγγελμα τοῦ προφήτου τὸ κελεῦον, δεῖν οἰκονομεῖν τοὺς λόγους ἐν κρίσει, ἵνα, καθὼς ἔχει τὸ λόγιον, μήτε σαλευθῇ εἰς τὸν αἰῶνα· καὶ, εἰς μνημόσυνον αἰώνιον γένηται δίκαιος. ὥσπερ γὰρ καὶ ἐπὶ τῆς σωματικῆς θεραπείας, ὁ μὲν σκοπὸς τῆς ἰατρικῆς εἷς ἐστι, τὸ ὑγιαίνειν τὸν κάμνοντα, τὸ δὲ εἶδος τῆς ἐπιμελείας διάφορον· κατὰ γὰρ τὴν ποικιλίαν τῶν ἀῤῥωστημάτων, καταλλήλως καὶ ἡ θεραπευτικὴ μέθοδος ἑκάστῳ τῶν νοσημάτων προσάγεται· ὅπου πολλῆς οὔσης καὶ ἐν τῇ ψυχικῇ νόσῳ τῆς τῶν παθῶν ποικιλίας, ἀναγκαίως πολυειδὴς γενήσεται ἡ θεραπευτικὴ ἐπιμέλεια, πρὸς λόγον τοῦ πάθους ἐνεργοῦσα τὴν ἴασιν.

Ὡς δ' ἂν γένοιτό τις τεχνικὴ μέθοδος περὶ τὸ προκείμενον προβλήματος, ὅτω τὸν λόγον διαληψόμεθα. τρία ἐστὶ τὰ περὶ τὴν ψυχὴν ἡμῶν θεωρούμενα κατὰ τὴν πρώτην διαίρεσιν, τό τε λογικὸν, καὶ τὸ ἐπιθυμητικὸν, καὶ τὸ θυμοειδές. ἐν τούτοις ἐστὶ καὶ τὰ κατορθώματα τῶν κατ' ἀρετὴν βιούντων, καὶ τὰ πτώματα τῶν εἰς κακίαν ἀπορρεόντων. διὸ προσήκει τὸν μέλλοντα τὴν κατάλληλον θεραπείαν προσάγειν τῷ νοσοῦντι τῆς ψυχῆς μέρει, πρότερον μὴ ἐπισκέπτεσθαι ἐν τίνι σώσει τὸ πάθος, εἶθ' ὅτῳ πεπονθότι προσάγειν ἁρμοδίως τὴν θεραπείαν. ὥστε μὴ δι' ἀπειρίαν τῆς θεραπευτικῆς μεθόδου ἄλλο μὲν τὸ νοσῆσαν μέρος, ἕτερον δὲ τὸ τοῦ θεραπείαν δεχόμενον· ὥσπερ ἀμελεῖ βλέπομεν πολλοὺς τῶν ἰατρῶν, ἐν ἀπειρίᾳ τοῦ πρωτοπαθοῦντος μέρους, προσεπιβιβάντας τὴν νόσον, δι' ὧν θεραπεύουσι. τῆς γὰρ ἀῤῥωσίας ὕσης πολλάκις κατὰ θερμοῦ ἐπεκράτησιν, ἐπειδὴ τοῖς κατὰ πλεονασμὸν τοῦ ψυχροῦ κεκακωμένοις, χρήσιμον τὸ θερμαῖνόν τε καὶ ἀναθάλπον ἐστὶ τοῦτοις κατὰ λόγον συνεγκόν, ἀπερισκέπτως τοὐτοῦ τοῖς ἐν ἀμετρίᾳ θερμότητος ἐκκαιομένοις ἐπαγαγόντες, δυσίατον τὸ πάθος ἐποίησαν. ὥσπερ τοίνυν ἀναγκαιότατον τοῖς ἰατροῖς ἐνομίσθη ἡ κατανόησις τῆς τοῦ στοιχείων ἰδιότητος, ὅπως ἂν ἑκάστῳ τοῦ εὖ ἢ κακῶς διακειμένων γένοιτο τοῦ παρὰ φύσιν διατεθέντος ἡ ἐπανόρθωσις, ὅτω καὶ ἡμεῖς ἐπὶ ταύτῳ ἀναδραμόντες τὴν διαίρεσιν τοῦ ἐν τῇ ψυχῇ θεωρουμένων, ἀρχὴν καὶ ὑπόθεσιν τῆς καταλήψεως τῶν παθῶν θεραπείας ποιησώμεθα τὴν γνωτικὴν θεωρίαν.

Οὐκοῦν τριχῇ, καθὼς ἔφαμεν, διῃρημένης τῆς ἰδιότητος τοῦ τῆς ψυχῆς κινημάτων, εἰς τὸ λογικόν τε, καὶ ἐπιθυμητικὸν, καὶ θυμοειδές, κατόρθωμα μὲν τοῦ λογιστικοῦ τῆς ψυχῆς μέρους, ἐστὶν ἡ εὐσεβὴς περὶ τὸ θεῖον ὑπόληψις, καὶ ἡ τοῦ καλοῦτε καὶ κακοῦ διακριτικὴ ἐπιστήμη, καὶ ἡ ξανήν γε καὶ ἀσύγχυτον ἔχουσα περὶ τῆς φύσεως τῶν ὑποκειμένων τὴν δόξαν. τί μὲν ἐστιν αἱρετὸν ἐν τοῖς οὖσι, τί δὲ βδελυκτὸν καὶ ἀπόβλητον. καὶ πάλιν ἐκ τοῦ ἐναντίου, πάντως ἡ ἐν τῷ μέρει τούτῳ κακία θεωρηθήσεται, ὅταν ἀσέβεια μὲν ᾖ περὶ τὸ θεῖον, ἀκρισία δὲ περὶ τὸ ὄντως καλόν· συνηλλαγμένη δὲ καὶ ἐσφαλμένη ἡ περὶ τὴν τῶν πραγμάτων φύσιν ὑπόληψις, ὥστε τιθέναι τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς, καθὼς φησιν ἡ γραφή.

Τοῦ δὲ ἐπιθυμητικοῦ μέρους ἡ μὲν ἐναρέτος ἐστὶ κίνησις, τὸ πρὸς τὸ ὄντως ἐπιθυμητικὸν καὶ ἀληθῶς καλὸν ἀνάγεσθαι τὸν πόθον· καὶ ἔστις ἐν ἡμῖν ἐρωτικὴ δύναμίς τε καὶ διάθεσις, ἐκεῖ καταχολεῖσθαι πᾶσαν ἐν τῷ πεπεῖσθαι μηδὲν ὀρεκτὸν εἶναι τῇ ἑαυτοῦ φύσει ἄλλο, πλὴν τῆς ἀρετῆς καὶ τῆς τὴν ἀρετὴν πηγαζούσης φύσεως. παραξοπὴ δὲ καὶ ἁμαρτία τοῦ τοιούτου μέρους ἐστίν, ὅταν τις μεταγάγῃ τὴν ἐπιθυμίαν πρὸς τὴν ἀνυπόστατον κενοδοξίαν, ἢ πρὸς τὸ ἐπικεχρωσμένον τοῖς σώμασιν ἄνθος· ὅθεν γίνεται ἡ φιλοχρηματία καὶ ἡ φιλοδοξία καὶ ἡ φιληδονία, καὶ πάντα τὰ τοιαῦτα ὅσα τοῦ τοιούτου ἤρτηται τῆς κακίας γένους.

Πάλιν δὲ τῆς θυμοειδοῦς διαθέσεως κατόρθωμά ἐστιν ἡ πρὸς τὸ κακὸν ἀπέχθεια, καὶ ὁ πρὸς τὰ πάθη πόλεμος, καὶ τὸ πρὸς ἀνδρείαν ἐξομοιοῦσθαι τοῦ ψυχοῦ, ἐν τῷ μὴ κατιπτήσσειν τὰ τοῖς πολλοῖς φοβερὰ νομιζόμενα, ἀλλὰ μέχρις αἵματος πρὸς ἁμαρ-

μαρτίαν ἀντικαθίστασθαι, καταφρονεῖν δὲ θανατικῆς ἀπειλῆς, καὶ ἀλγεινῶν κολαστηρίων· καὶ τῆς τῶν ἡδίστων διαζεύξεως, καὶ πάντων ἅπαξ τῶν διά τινος συνηθείας καὶ προλήψεως ἐν ὁδονῇ τοὺς πολλοὺς κατεχόντων, κρείττονα γενέσθαι, τῆς πίστεως καὶ τῆς ἀρετῆς προμαχόμενον. τὰ δὲ ἀποπτώματα τοῦ τοιούτου μέρους, ἐστὶν ἅπασι πρόδηλα, ὁ φθόνος, τὸ μῖσος, ἡ μῆνις, αἱ λοιδορίαι, αἱ συμπλοκαὶ, αἱ φιλόνεικοί τε καὶ ἀμυντικαὶ διαθέσεις, αἱ μέχρι πολλοῦ παρατείνουσαι τὴν μνησικακίαν, καὶ πολλοὺς εἰς φόνους καὶ αἵματα καταλήγουσαι. μὴ γὰρ εὑρὼν ὁ ἀπαίδευτος λογισμὸς, ὅπου χρήσεται λυσιτελῶς τῷ ὅπλῳ, ἐφ' ἑαυτὸν τρέπει τὴν τοῦ σιδήρου ἀκμήν· καὶ γίνεται τὸ ἐκ τοῦ θεοῦ δοθὲν ἡμῖν ἀμυντήριον ὅπλον, τῷ κακῶς κεχρημένῳ ὀλέθριον.

Τούτων τοίνυν κατὰ τὸν εἰρημένον διακρινηθέντων τρόπον, ὅσα μὲν ἁμαρτήματα τοῦ λογιστικοῦ τῆς ψυχῆς ἅπτεται μέρους, χαλεπώτερα παρὰ τῶν πατέρων ἐκρίθη, καὶ μείζονος καὶ διαρκεστέρας καὶ ἐπιπονωτέρας τῆς ἐπιστροφῆς ἄξια. οἷον, εἴ τις ἠρνήσατο τὴν εἰς Χριστὸν πίστιν, ἢ πρὸς Ἰουδαϊσμὸν, ἢ πρὸς εἰδωλολατρείαν, ἢ πρὸς Μανιχαϊσμὸν, ἢ πρὸς ἄλλο τι τοιοῦτον ἀθείας εἶδος, αὐτομολήσας ἐφάνη· ὁ μὲν ἑκουσίως ἐπὶ τὸ τοιοῦτον ὁρμήσας κακὸν, εἶτα καταγνοὺς ἑαυτοῦ· χρόνον τῆς μετανοίας ἔχει, ὅλον τὸν τῆς ζωῆς αὐτοῦ. οὐδέποτε γὰρ, μυστικῆς ἐπιτελουμένης εὐχῆς, μετὰ τοῦ λαοῦ προσκυνῆσαι τὸν θεὸν καταξιοῦται· ἀλλὰ κατὰ μόνας μὲν εὔξεται, τῆς δὲ κοινωνίας τῶν ἁγιασμάτων καθόλου ἀλλότριος ἔσται· ἐν δὲ τῇ ὥρᾳ τῆς ἐξόδου αὐτοῦ τότε τῆς τοῦ ἁγιασμοῦ μερίδος ἀξιωθήσεται. εἰ δὲ συμβαίη παρ' ἐλπίδα ζῆσαι αὐτὸν πάλιν ἐν τῷ αὐτῷ κρίματι διαβιώσεται, ἀμέτοχος τῶν μυστικῶν ἁγιασμάτων μέχρι τῆς ἐξόδου γινόμενος. οἱ δὲ βασάνοις καὶ τιμωρίαις χαλεπαῖς αἰκισθέντες, ἐν ῥητῷ χρόνῳ ἐπετιμήθησαν· οὕτω τῶν ἁγίων πατέρων φιλανθρωπίᾳ ἐπ' αὐτῶν χρυσαμένων, ὡς οὐ ψυχῆς γενομένης ἐν πτώματι, ἀλλὰ τῆς σωματικῆς ἀσθενείας πρὸς τὰς αἰκίας οὐκ ἀντισχούσης· διὸ τῷ μέτρῳ τῶν ἐν πορνείᾳ πλημμελησάντων, καὶ ἡ βεβιασμένη τε καὶ ἐπώδυνος παράβασις, ἐν τῇ ἐπιστροφῇ συνεμετρήθη.

Οἱ δὲ πρὸς γόητας ἀπιόντες, ἢ μάντεις, ἢ τοὺς διὰ δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους, οὗτοι ἐρωτῶνται δι' ἀκριβείας, καὶ ἀνακρίνονται, πότερον ἐπιμένοντες τῇ εἰς Χριστὸν πίστει, ὑπ' ἀνάγκης τινὸς συνηνέχθησαν ἐκείνῃ τῇ ἁμαρτίᾳ, κακώσεώς τινος ἢ ἀφορήτου ζημίας ταύτην αὐτοῖς τὴν ὁρμὴν ἐμποιησάσης, ἢ καθόλου καταφρονήσαντες τοῦ πεπιστευμένου παρ' ἡμῶν μαρτυρίου, τῇ τῶν δαιμόνων συμμαχίᾳ προσέδραμον. εἰ μὲν γὰρ ἀθετήσει τῆς πίστεως, καὶ πρὸς τὸ μὴ πιστεύειν εἶναι θεὸν τὸν παρὰ τῶν Χριστιανῶν προσκυνούμενον, ἐκεῖνο ἐποίησαν δηλαδὴ τῷ κρίματι τῶν παραβάντων ὑπαχθήσονται· εἰ δέ τις ἀβάστακτος ἀνάγκη, κατακρατήσασα τῆς μικροψυχίας αὐτῶν, εἰς τοῦτο προσήγαγε διά τινος ἠπατημένης ἐλπίδος παρακρουσθέντας· ὡσαύτως ἔσται καὶ ἐπ' αὐτῶν ἡ φιλανθρωπία, καθ' ὁμιότητα τῶν πρὸς τὰς βασάνους ἐν τῷ καιρῷ τῆς ὁμολογίας ἀντισχεῖν μὴ δυνηθέντων.

Τῶν δὲ δι' ἐπιθυμίαν καὶ ἡδονὴν γινομένων ἁμαρτημάτων, τοιαύτη ἐστὶν ἡ διαίρεσις. τὸ μὲν γὰρ καλεῖται μοιχεία, τὸ δὲ πορνεία. τισὶ μὲν οὖν τῶν ἀκριβεστέρων ἤρεσε καὶ τὸ κατὰ πορνείαν πλημμέλημα, μοιχείαν εἶναι νομίζειν. διότι μία ἐστὶν ἡ νόμιμος συζυγία, καὶ γυναικὸς πρὸς ἄνδρα, καὶ ἀνδρὸς πρὸς γυναῖκα, πᾶν οὖν τὸ μὴ νόμιμον, παράνομον πάντως· καὶ ὁ μὴ τὸ ἴδιον ἔχων, δηλαδὴ τὸ ἀλλότριον ἔχει· τῷ γὰρ ἀνθρώπῳ μία δέδοται παρὰ τοῦ θεοῦ βοηθὸς, καὶ τῇ γυναικὶ μία ἐφήρμοσται κεφαλή· οὐκοῦν εἰ μέν τις τὸ ἴδιον αὐτοῦ σκεῦος, καθὼς ὀνομάζει ὁ θεῖος ἀπόστολος, ἑαυτῷ κτήσαιτο, συγχωρεῖ ὁ νόμος τῆς φύσεως τὴν δικαίαν χρῆσιν· εἰ δέ τις ἔξω τοῦ ἰδίου τραπείη, ἐν ἀλλοτρίῳ πάντως γενήσεται. ἀλλότριον δὲ ἑκάστῳ, πᾶν τὸ μὴ ἴδιον, κἂν μὴ ὁμολογούμενον ἔχῃ τὸν κυριεύοντα. οὐκοῦν οὐ πόρρω τοῦ κατὰ τὴν μοιχείαν πλημμελήματος καὶ ἡ πορνεία τοῖς τὸν ἀκριβέστερον ἐξετάζουσι λογισμὸν ἐδέχθη· λεγούσης καὶ τῆς θείας γραφῆς, ὅτι. μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν.

Πλὴν ἀλλ' ἐπεὶ τοῖς ἀσθενεστέροις ἐγένετό τις παρὰ τῶν πατέρων συμπεριφορὰ, διεκρίθη τὸ πλημμέλημα, τῇ γενικῇ διαιρέσει ταύτῃ· ὡς πορνείαν μὲν λέγεσθαι τὴν χωρὶς ἀδικίας ἑτέρου γινομένην τινὶ τῆς ἐπιθυμίας ἐκπλήρωσιν· μοιχείαν δὲ, τὴν ἐπιβουλήν τε καὶ ἀδικίαν τοῦ ἀλλοτρίου. ἐν ταύτῃ δὲ καὶ τὴν ζωοφθορίαν καὶ τὴν παιδεραστίαν εἶναι λογίζονται· διότι καὶ ταῦτα φύσεώς ἐστι μοιχεία. εἰς γὰρ τὸ ἀλλότριόν τε καὶ παρὰ φύσιν γίνεται ἡ ἀδικία. ταύτης οὖν τῆς διαρέσεως καὶ ἐν τούτῳ τῷ εἴδει τῆς ἁμαρτίας γεγενημένης, καθολικὴ μὲν ἐστι θεραπεία, τὸ τῆς ἐμπαθοῦς λύσσης τῆς περὶ τὰς τοιαύτας ἡδονὰς καθαρὸν ἐκ μεταμελείας γενέσθαι τὸν ἄνθρωπον.

Ἐπεὶ δὲ τῶν ἐν πορνείᾳ μολυνθέντων ἀδικία τις τῇ ἁμαρτίᾳ ταύτῃ οὐ καταμέμικται· διὰ τοῦτο διπλασίων ὡρίσθη τῆς ἐπιστροφῆς ὁ χρόνος τοῖς ἐν μοιχείᾳ μιανθεῖσι, καὶ ἐν τοῖς ἀπηγορευμένοις κακοῖς, ζωοφθορίᾳ τε καὶ τῇ κατὰ ἄρρενας λύσσῃ· διπλασιάζεται γὰρ, ὡς εἶπον, ἐπὶ τῶν τοιούτων ἡ ἁμαρτία· μία μὲν, ἡ κατὰ τὴν ἄθεσμον ἡδονήν· ἑτέρα δὲ, ἡ κατὰ τὴν ἀλλοτρίαν ἀδικίαν συνισταμένη.

Διαφορὰ δέ τις ἐστιν ἐν τῷ λόγῳ τῆς μετανοίας, καὶ ἐπὶ τῶν καθ' ἡδονὴν πλημμελημάτων· ὁ μὲν γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὴν ἐξαγόρευσιν τῶν ἁμαρτιῶν ὁρμήσας, αὐτῷ τῷ καταδέξασθαι δι' οἰκείας ὁρμῆς γενέσθαι τῶν κρυφίων κατήγορος, ὡς ἤδη τῆς θεραπείας τοῦ πάθους ἀρξάμενος, καὶ σημεῖον τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ἐπιδειξάμενος, ἐν φιλανθρωποτέροις γίνεται τοῖς ἐπιτιμίοις. ὁ δὲ φωραθεὶς ἐπὶ τῷ κακῷ, ἢ διά τινος ὑποψίας ἢ κατηγορίας ἀκουσίως ἀπελεγχθεὶς, ἐν ἐπιτεταμένῃ γίνεται τῇ ἐπιστροφῇ, ὥστε καθαρισθέντα διὰ ἀκριβείας αὐτὸν, οὕτως ἐπὶ τὴν τῶν ἁγιασμάτων κοινωνίαν παραδεχθῆναι.

Ἔστι τοίνυν ὁ κανὼν τοιοῦτος, ὥστε τοὺς ἐν πορνείᾳ μολυνθέντας, ἐν τρισὶ μὲν ἔτεσι καθόλου τῆς εὐχῆς ἀποβλήτους εἶναι, ἐν τρισὶ δὲ τῆς ἀκροάσεως μετέχειν μόνης, ἐν ἄλλοις δὲ τρισὶν ἔτεσι μετὰ τῶν ἐν τῇ ἐπιστροφῇ ὑποπιπτόντων προσεύχεσθαι, καὶ τότε μετέχειν

τῶν

τῶν ἁγιασμάτων. ἐπὶ δὲ τῶν σπουδαιοτέρᾳ κεχρημένων τῇ ἐπιστροφῇ, καὶ τῷ βίῳ δεικνύντων τὴν πρὸς τὸ ἀγαθὸν ἐπάνοδον, ἔξεστι τῷ οἰκονομοῦντι, πρὸς τὸ συμφέρον τῇ ἐκκλησιαστικῇ οἰκονομίᾳ, συντεμεῖν τὸν χρόνον τῆς ἀκροάσεως, καὶ τάχιον εἰς ἐπιστροφὴν ἀγαγεῖν· καὶ πάλιν καὶ τοῦτον συντεμεῖν τὸν χρόνον, καὶ τάχιον ἀποδοῦναι τῇ κοινωνίᾳ· ὅπως ἂν τῇ ἑαυτοῦ δοκιμασίᾳ, ἐγκρίνοι τὴν τοῦ θεραπευομένου κατάστασιν. ὥσπερ γὰρ τὸ τοῖς χοίροις ῥίπτειν τὸν μαργαρίτην, ἀπείργεται· οὕτως τὸ ἀποστερεῖν τοῦ τιμίου μαργαρίτου τὸν ἤδη ἄνθρωπον διὰ τῆς ἀπαθείας τε καὶ καθαρότητος γενόμενον, τῶν ἀτόπων ἐστίν.

Ἡ δὲ κατὰ τὴν μοιχείαν, ἤτοι κατὰ τὰ λοιπὰ εἴδη τῆς ἀκαθαρσίας, γενομένη παρανομία, καθὼς προείρηται, κατὰ πάντα ἐν τῷ αὐτῷ κρίματι θεραπευθήσεται, ἐν ᾧ καὶ τὸ τῆς πορνείας ἄγος· τῷ δὲ χρόνῳ διπλασιάζεται. παρατηρηθήσεται δὲ καὶ ἐπ' αὐτῷ ἡ τοῦ θεραπευομένου διάθεσις, ὃν τρόπον καὶ ἐπὶ τῶν τῷ μολυσμῷ τῆς πορνείας συνενεχθέντων· ὥστε ἢ θᾶττον ἢ βραδύτερον γενέσθαι αὐτοῖς τὴν τοῦ ἀγαθοῦ μετουσίαν.

Λείπεται πρὸς τούτοις τὸ θυμοειδὲς τῆς ψυχῆς προσθεῖναι εἰς ἐξέτασιν, ὅταν παρασφαλεῖσα τῆς ἀγαθῆς τοῦ θυμοῦ χρήσεως, εἰς ἁμαρτίαν ἐκπέσῃ. πολλῶν δὲ ὄντων τῶν κατὰ θυμὸν εἰς ἁμαρτίαν ἐνεργουμένων, καὶ πάντων κακῶν· ἤρεσέ πως τοῖς πατράσιν ἡμῶν ἐν τοῖς ἄλλοις μὴ λίαν ἀκριβολογεῖσθαι, μηδὲ πολλῆς ἄξιον ἡγεῖσθαι σπουδῆς τὸ θεραπεύειν πάντα τὰ ἐκ τοῦ θυμοῦ παραπτώματα· καί τοίγε τῆς γραφῆς οὐ μόνον τὴν ψιλὴν ἀπαγορευούσης πληγὴν, ἀλλὰ καὶ πᾶσαν λοιδορίαν ἢ βλασφημίαν, καὶ εἴτι ἄλλο τοιοῦτον ὁ θυμὸς κατεργάζεται· μόνον δὲ τοῦ κατὰ φόνον ἄγους τὴν παραφυλακὴν ἐποιήσαντο διὰ τῶν ἐπιτιμίων.

Διήρηται δὲ τὸ τοιοῦτον κακὸν τῇ διαφορᾷ τοῦ ἑκουσίου καὶ τοῦ ἀκουσίου· ἐν οἷς ἑκούσιος μὲν πρῶτόν ἐστι φόνος ὁ ἐκ παρασκευῆς τετολμημένος, τοῦ εἰς αὐτὸ τοῦτο εὐτρεπισαμένου, ὅπως ἂν τὸ ἄγος ἐργάσηται· ἔπειτα δὲ κἀκεῖνος ἐν τοῖς ἑκουσίοις ἐνομίσθη, ὅταν τις ἐν συμπλοκῇ τύπτων τε καὶ τυπτόμενος, ἐνέγκῃ κατά τινος καιρίαν τὴν διὰ τῆς ὀργῆς πληγήν. ὁ γὰρ ἅπαξ τῷ θυμῷ κρατηθεὶς, καὶ τῇ ὁρμῇ τῆς ὀργῆς χαριζόμενος, οὐδὲν ἂν, περὶ τὸν καιρὸν τοῦ πάθους, τῶν ἀνακόψαι τὸ κακὸν δυναμένων ἐπὶ νοῦν λάβοι· ὥστε κἀκεῖ τὸ ἐκ συμπλοκῆς ἀποτέλεσμα τοῦ φόνου, εἰς ἔργον προαιρέσεως οὐκ εἰς ἀποτυχίαν ἀνάγεται. οἱ δὲ ἀκούσιοι, φανερὰ ἔχουσι τὰ γνωρίσματα, ὅταν τις πρὸς ἕτερόν τι τὴν σπουδὴν ἔχων, ἐξ ἀποτυχίας τι τῶν ἀνηκέστων δράσῃ.

Ἐπὶ τούτων τοίνυν ὁ μὲν φόνος εἰς τριπλασίονα χρόνον παρατείνεται τοῖς δι' ἐπιστροφῆς θεραπευομένοις τὸ ἑκούσιον ἄγος. τρὶς ἐννέα γάρ εἰσιν ἐνιαυτοὶ, καθ' ἕκαστον βαθμὸν τῆς ἐνάδος τῶν ἐτῶν ὁρισθείσης, ὥστε ἐν μὲν τῷ παντελεῖ ἀφορισμῷ ἐνναετῆ χρόνον διαγενέσθαι, ἀπειργόμενον τῆς ἐκκλησίας· ἄλλα δὲ τοσαῦτα ἔτη ἐν τῇ ἀκροάσει παραμεῖναι, μόνον τῶν διδασκάλων καὶ τῆς τῶν γραφῶν ἀκροάσεως ἀξιούμενον· ἐν δὲ τῇ τρίτῃ ἐνάδι, μετὰ τῶν ὑποπιπτόντων ἐν ἐπιστροφῇ προσευχόμενον, οὕτως ἐλθεῖν ἐπὶ τὴν μετουσίαν τοῦ ἁγιάσματος. δηλαδὴ καὶ ἐπὶ τοῦ τοιούτου ἡ αὐτὴ παρατήρησις ἔσται παρὰ τοῦ οἰκονομοῦντος τὴν ἐκκλησίαν· καὶ πρὸς τὸν λόγον τῆς ἐπιστροφῆς συντιμηθήσεται αὐτῷ καὶ ἡ τοῦ ἐπιτιμίου παράτασις· ὥστε ἀντὶ ἐννέα ἐτῶν ἐφ' ἑκάστῳ βαθμῷ, ὀκτὼ, ἢ ἑπτὰ. ἢ ἕξ, ἢ καὶ πέντε μόνα γενέσθαι, εἴπερ τὸ μέγεθος τῆς ἐπιστροφῆς νικῴη τὸν χρόνον, καὶ ὑπερβάλλοιτο τῇ σπουδῇ τῆς διορθώσεως, τοὺς ἐν τῇ μακρᾷ προθεσμίᾳ ῥαθυμότερον ἑαυτοὺς ἀπὸ τῶν κιλίδων καθαίροντας.

Τὸ δὲ ἀκούσιον, συγγνωστὸν μὲν, οὐ μὴν ἐπαινετὸν ἐκρίθη. τοῦτο δὲ εἶπον, ὥστε δῆλον γενέσθαι, ὅτι κἂν ἀκουσίως τις γένηται ἐν τῷ τοῦ φόνου μιάσματι, ὡς ἤδη βέβηλον αὐτὸν ὑπὸ τοῦ ἄγους γενόμενον, ἀπόβλητον ἱερατικῆς χάριτος ὁ κανὼν ἀπεφήνατο. ὅσος δὲ ἐστιν ἐπὶ τῇ ψιλῇ πορνείᾳ τοῦ καθαρσίου ὁ χρόνος, τοσοῦτος καὶ ἐπὶ τῶν ἀκουσίως πεφονευκότων ἐδοκιμάσθη καλῶς ἔχειν· δηλαδὴ καὶ ἐν τούτοις τῆς προαιρέσεως τοῦ μετανοοῦντος δοκιμαζομένης· ὥστε εἰ ἀξιόπιστος γένοιτο ἡ ἐπιστροφὴ, μὴ παραφυλαχθῆναι τὸν ἀριθμὸν τῶν ἐτῶν, ἀλλὰ διὰ συντομίαν ἀγαγεῖν αὐτὸν εἰς τὴν τῆς ἐκκλησίας ἀποκατάστασιν, καὶ εἰς τὴν τοῦ ἀγαθοῦ μετουσίαν. εἰ δέ τις μὴ πληρώσας τὸν χρόνον τὸν ἐκ τῶν κανόνων ἀφωρισμένον, ἐξοδεύει τοῦ βίου· κελεύει ἡ τῶν πατέρων φιλανθρωπία, μεταχόντα τῶν ἁγιασμάτων, μὴ κενὸν τοῦ ἐφοδίου, πρὸς τὴν ἐσχάτην ἐκείνην καὶ μακρὰν ἀποδημίαν ἐκ πεμφθῆναι· εἰ δὲ μεταχὼν τοῦ ἁγιάσματος, πάλιν εἰς τὴν ζωὴν ἐπανέλθοι, ἀναμένειν τὸν τεταγμένον χρόνον, ἐν ἐκείνῳ τῷ βαθμῷ γενόμενον, ἐν ᾧ ἦν πρὸ τῆς κατὰ ἀνάγκην αὐτῷ δοθείσης κοινωνίας.

Τὸ δὲ ἕτερον εἶδος τῆς εἰδωλολατρείας, οὕτω γὰρ ὀνομάζει τὴν πλεονεξίαν ὁ θεῖος ἀπόστολος, οὐκ οἶδ' ὅπως ἀθεράπευτον ὑπὸ τῶν πατέρων ἡμῶν παρώφθη· καί τοί γε δοκεῖ τὸ τοιοῦτον κακὸν τῆς *τρίτης ἐν τῇ ψυχῇ καταστάσεως πάθος εἶναι. καὶ γὰρ ὁ λογισμὸς, τῆς τοῦ καλοῦ κρίσεως ἁμαρτάνων, ἐν τῇ ὕλῃ τὸ καλὸν εἶναι φαντάζεται, οὐ πρὸς τὸ ἄϋλον ἀναβλέπων κάλλος· καὶ ἡ ἐπιθυμία πρὸς τὰ κάτω ῥεῖ, τοῦ ἀληθῶς ὀρεκτοῦ ἀπορρέουσα· καὶ ἡ φιλόνεικός τε καὶ θυμώδης διάθεσις, πολλὰς ἐκ τῆς τοιαύτης αἰτίας τὰς ἀφορμὰς λαμβάνει. καὶ τὸ ὅλον εἰπεῖν, συμφωνεῖ ἡ τοιαύτη νόσος τῷ ἀποστολικῷ τῆς πλεονεξίας ὅρῳ· ὁ γὰρ θεῖος ἀπόστολος, οὐ μόνον αὐτὴν εἰδωλολατρείαν, ἀλλὰ καὶ ῥίζαν πάντων τῶν κακῶν ἀπεφήνατο. καὶ ὅμως τὸ τοιοῦτον εἶδος παρώφθη τῆς νόσου, ἀνεπίσκεπτόν τε καὶ ἀτημέλητον· διὸ καὶ πλεονάζει κατὰ τῆς ἐκκλησίας τὸ τοιοῦτον ἀρρώστημα, καὶ οὐδεὶς τοὺς ἐπὶ τὸν κλῆρον ἀγομένους περιεργάζεται, μή πως τῷ τοιούτῳ εἴδει τῆς εἰδωλολατρείας κατεμιάνθησαν· ἀλλὰ περὶ μὲν τούτων, διὰ τὸ παρεῖσθαι τοῖς πατράσιν ἡμῶν, ἀρκεῖν ἡγούμεθα τῷ δημοσίῳ τῆς διδασκαλίας λόγῳ, ὅπως ἂν οἷόν τε ᾖ, θεραπεύειν, ὥσπερ τινὰ πληθωρικὰ, τὰς πλεονεκτικὰς ἀρρωστίας διὰ τοῦ λόγου καθαίροντες· μόνην δὲ τὴν κλοπὴν καὶ τὴν τυμβωρυχίαν, καὶ τὴν ἱεροσυλίαν, πάθος νομίζομεν· διὰ τὸ οὕτως ἐκ τῆς τῶν πατέρων ἀκολουθίας τὴν παράδοσιν ἡμῖν περὶ τούτων γένεσθαι· καί τοί γε παρὰ τῇ θείᾳ γραφῇ, ὁ πλεονασμὸς, καὶ ὁ τόκος, τῶν ἀπειρημένων ἐστί· καὶ τὸ ἐκ δυναστείας τινὸς τῇ ἰδίᾳ κτήσει προσαγαγεῖν

τρισεῖ.

γεῖν τὰ ἀλλότρια, κἂν ἐν προχήματι πραγματείας τὸ τοιοῦτον τύχῃ γινόμενον. ἐπειδὴ τοίνυν τὸ καθ' ἡμᾶς, εἰς ἐξουσίαν κανὼν ἀξιόπιστος· τὴν ἐπὶ τῶν ὁμολογουμένως ἀπηγορευμένων κανονικὴν κρίσιν ἤδη τοῖς εἰρημένοις προσθήσομεν.

Διήρηται οὖν ἡ κλοπὴ εἴς τε λῃστείαν, καὶ εἰς τοιχωρυχίαν· καὶ εἷς μὲν ἐπ' ἀμφοτέρων σκοπὸς, ἡ τῶν ἀλλοτρίων ἀφαίρεσις· πολλὴ δὲ κατὰ τὴν γνώμην αὐτῶν ἡ πρὸς ἀλλήλους ἐστὶ διαφορά· ὁ μὲν γὰρ λῃστὴς καὶ τὴν μιαιφονίαν εἰς συμμαχίαν τοῦ σπουδαζομένου παραλαμβάνει, πρὸς αὐτὸ τοῦτο παρασκευαζόμενος, καὶ ὅπλοις, καὶ πολυχειρίᾳ, καὶ τοῖς ἐπικαίροις τῶν τόπων· ὥστε τὸν τοιοῦτον τῷ κρίματι τῶν ἀνδροφόνων ὑπάγεσθαι, εἰ διὰ μεταμέλειαν ἑαυτὸν πρὸς τὴν ἐκκλησίαν τοῦ θεοῦ ἐπαγάγη· ὁ δὲ δι' ἀφαιρέσεως λανθανούσης σφετεριζόμενος τὸ ἀλλότριον, εἶτα δι' ἐξαγορεύσεως τὸ πλημμέλημα ἑαυτοῦ τῷ ἱερεῖ φανερώσας, τῇ περὶ τὸ ἐναντίον τοῦ πάθους σπουδῇ θεραπεύσει τὴν ἀῤῥωστίαν· λέγω δὲ διὰ τοῦ τὰ προσόντα παρέχειν τοῖς πένησιν, ἵνα τῷ προέσθαι ἃ ἔχει, φανερὸς γένηται καθαρεύων τῆς κατὰ πλεονεξίαν νόσου. εἰ δὲ μηδὲν ἔχοι, μόνον δὲ τὸ σῶμα ἔχοι, κελεύει ὁ ἀπόστολος διὰ τοῦ σωματικοῦ κόπου τὸ τοιοῦτον ἐξιάσασθαι πάθος· ἔχει δὲ ἡ λέξις οὕτως· ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι.

Ἡ δὲ τυμβωρυχία, καὶ αὐτὴ διήρεται εἰς συγνωστόν τε καὶ ἀσύγνωστον. εἰ μὲν γάρ τις τῆς * οὐσίας φειδόμενος, καὶ ἄσυλον ἀφεὶς τὸ κεκρυμμένον σῶμα, ὡς μὴ ἀναδειχθῆναι ἡλίῳ τὴν ἀσχημοσύνην τῆς φύσεως, λίθοις τισὶ τῶν ἐν τῷ τάφῳ προβεβλημένων συγχρύσεται εἰς ἔργου τινὸς κατασκευὴν· ἐπαινετὸν μὲν οὐδὲ τοῦτό ἐστιν, ἀλλὰ συγγνωστὸν ἐποίησεν ἡ συνήθεια, ὅταν εἰς προτιμότερόν τι καὶ κοινωφελέστερον ἡ τῆς ὕλης μετάθεσις γένηται· τὸ δὲ διερευνᾶσθαι τὴν κόνιν ἀπὸ τῆς γαιωθείσης σαρκὸς, καὶ ἀνακινεῖν τὰ ὀστᾶ, ἐλπίδι τοῦ κόσμον τινὰ τῶν συγκατορυχθέντων κερδᾶναι, τοῦτο τῷ αὐτῷ κρίματι κατεδικάσθη, ᾧ καὶ ἡ ψιλὴ πορνεία, καθὼς ἐν τῷ προλαβόντι διήρηται λόγῳ· ἐπισκοποῦντος δηλαδὴ τοῦ οἰκονόμου, ἐξ αὐτοῦ τοῦ βίου, τὴν θεραπείαν τοῦ θεραπευομένου, ὥστε συντεμεῖν τὴν ἐκ τῶν κανόνων ὁρισθεῖσαν τοῦ ἐπιτιμίου προθεσμίαν.

Corr. τῆς οὐσίας.

Ἡ δὲ ἱεροσυλία παρὰ μὲν τῇ ἀρχαίᾳ γραφῇ οὐδὲν ἐνομίσθη τῆς φονικῆς κατακρίσεως ἀνεκτοτέρα· ὁμοίως γὰρ ὅ, τε ἐπὶ φόνῳ ἁλοὺς, καὶ ὁ τὰ ἀνατεθειμένα τῷ θεῷ ἀφελόμενος, τὴν διὰ τῶν λίθων τιμωρίαν ὑπεῖχον. ἐπὶ δὲ τῆς ἐκκλησιαστικῆς συνηθείας, οὐκ οἶδα ὅπως συγκατάβασίς τις ἐγένετο, καὶ περιφορὰ, ὥστε ἀνεκτότερον νομισθῆναι τὸ τῆς τοιαύτης νόσου καθάρσιον· ἐν ἐλάττονι γὰρ χρόνῳ παρὰ τὴν μοιχείαν τοῖς τοιούτοις τὸ ἐπιτίμιον διεδέξατο ἡ τῶν πατέρων παράδοσις, πανταχοῦ δὲ ἐν πλημμελήματος εἴδει καθορᾶν τοῦτο προσήκει πρὸ πάντων, οἵα ἐστὶν ἡ τοῦ θεραπευομένου διάθεσις, καὶ μὴ τὸν χρόνον οἴεσθαι πρὸς θεραπείαν ἀρκεῖν· τίς γὰρ ἂν ἴασις ἐκ τοῦ χρόνου γένοιτο; ἀλλὰ τὴν προαίρεσιν τοῦ ἑαυτὸν δι' ἐπιστροφῆς θεραπεύοντος.

Ταῦτά σοι, ὦ ἄνθρωπε τοῦ θεοῦ, κατὰ πολλὴν σπουδὴν ἐκ τῶν προχείρων συνθέντες, διὰ τὸ δεῖν τοῖς τῶν ἀδελφῶν ἐπιτάγμασι πείθεσθαι, κατὰ σπουδὴν ἀπεστείλαμεν. σὺ δὲ τὰς συνήθεις ὑπὲρ ἡμῶν εὐχὰς τῷ θεῷ προσάγων μὴ διαλείπῃς. χρεωστεῖς γὰρ, ὡς εὐγνώμων υἱὸς, τῷ κατὰ θεόν σε γεννήσαντι, τὴν διὰ τῶν προσευχῶν γηροκομίαν, κατὰ τὴν ἐντολὴν τὴν κελεύουσαν τιμᾷν τοὺς γονέας, ἵνα εὖσοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. δῆλον δὲ ὅτι ὡς ξύμβολον ἱερατικὸν δέξῃ τὸ γράμμα, καὶ οὐκ ἀτιμάσεις τὸ ξένιον, κἂν μικρότερον τῆς σῆς μεγαλοφυίας ᾖ.

ΑΠΟΚΡΙΣΕΙΣ ΚΑΝΟΝΙΚΑΙ ΤΙΜΟΘΕΟΥ

Τοῦ ἁγιωτάτου ἐπισκόπου Ἀλεξανδρείας ἑνὸς τῶν ρν'. πατέρων τῶν ἐν Κωνσταντινουπόλει συναθροισθέντων, πρὸς τὰς προσενεχθείσας αὐτῷ ἐρωτήσεις περὶ ἐπισκόπων καὶ κληρικῶν.

Ερώτησις α'. Ἐ'ΑΝ παιδίον κατηχούμενον, ὡς ἐτῶν ἑπτὰ, ἢ ἄνθρωπος τέλειος, εὐκαιρήσῃ που προσφορᾶς γινομένης, καὶ ἀγνοῶν μεταλάβῃ, τί ὀφείλει γίνεσθαι περὶ αὐτοῦ;

Ἀ'πόκρισις. Φωτισθῆναι ὀφείλει· παρὰ θεοῦ γὰρ κέκληται.

Ἐ'ρώτησις β'. Ἐ'ὰν δαιμονιζόμενος κατηχούμενος ᾖ, καὶ θελήσῃ αὐτὸς, ἢ οἱ ἴδιοι αὐτοῦ ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα· ὀφείλει λαβεῖν ἢ οὔ; καὶ μάλιστα ἐὰν περὶ τὸν θάνατόν ἐστιν;

Ἀ'πόκρισις. Ἐ'ὰν ὁ δαιμονιζόμενος μὴ καθαρισθῇ ἀπὸ τοῦ ἀκαθάρτου πνεύματος, οὐ δύναται λαβεῖν τὸ ἅγιον Βάπτισμα· περὶ δὲ τὴν ἔξοδον, βαπτίζεται.

Ἐ'ρώτησις γ'. Ἐ'ὰν πιστός τις ὢν δαιμονίζεται, ὀφείλει μεταλαβεῖν τῶν ἁγίων μυστηρίων, ἢ οὔ;

Ἀ'πόκρισις. Ἐ'ὰν μὴ ἐξαγορεύῃ τὸ μυστήριον, μήτε ἄλλως πως βλασφημῇ, μεταλαμβανέτω· μὴ μέντοι καθ' ἑκάστην, ἀρκεῖ γὰρ αὐτῷ κατὰ καιροὺς μόνον.

Ἐ'ρώτησις δ'. Ἐ'άν τις κατηχούμενος, ὢν ἀσθενὴς, γένηται ἐκ φρενὸς, καὶ μὴ δύνηται αὐτὸς ὁμολογῆσαι τὴν πίστιν, καὶ παρακαλῶσιν οἱ ἴδιοι αὐτοῦ, ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα, ἕως ζῇ, ὀφείλει λαβεῖν, ἢ οὔ;

Ἀ'πόκρισις. Ὀφείλει λαβεῖν, ἐὰν μὴ ὑπὸ πνεύματος ἀκαθάρτου πειράζηται.

Ἐ'ρώτησις ε'. Ἐ'ὰν γυνὴ συγγένηται μετὰ ἀνδρὸς αὐτῆς τὴν νύκτα, ἢ ἀνὴρ μετὰ γυναικὸς, καὶ γένηται μίξις. ὀφείλουσι μεταλαβεῖν, ἢ οὔ;

Ἀ'πόκρισις. Οὐκ ὀφείλουσι, τοῦ ἀποστόλου βοῶντος, μὴ ἀποστερῆτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράσῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.

Ἐ'ρώτησις ς'. Ἐ'ὰν γυνὴ κατηχουμένη δέδωκε τὸ ὄνομα αὐτῆς, ἵνα φωτισθῇ, καὶ περὶ τὴν ἡμέραν τοῦ βαπτίσματος γέγονεν αὐτῇ τὸ κατ' ἔθος τῶν γυναικῶν· ὀφείλει φωτισθῆναι αὐτῇ τῇ ἡμέρᾳ, ἢ ὑπερθέσθαι; καὶ πόσον ὑπερθέσθαι;

Ἀκρι-

Α'πόκεισις. Υ'περθέσθαι όφείλει, έως ᾧ καθαρισθῆ.

Ε'ρώτησις ζ'. Ε'άν γυνὴ ἴδῃ τὸ κατ' ἔθος τῷ γυναικείων αὐτῆς, όφείλει προσέρχεσθαι τοῖς μυστηρίοις αὐτῇ τῇ ἡμέρᾳ, ἢ ὄ;

Α'πόκεισις. Οὐκ όφείλει, ἕως ᾧ καθαρισθῆ.

Ε'ρώτησις η'. Γυνὴ ἐάν νηστεύσῃ, τὸ πάσχα όφείλει νηστεῦσαι, καὶ μὴ πιεῖν οἶνον; ἢ ἀπολύεται τῆς νηστείας, καὶ τὸ μὴ πιεῖν οἶνον διὰ τὸ νηστεῦσαι;

Α'πόκεισις. Η' νηστεία ἐπινοήθη διὰ τὸ τὸσῶμα ταπεινῶσαι· εἰ ᾧν τὸ σῶμα ἐν ταπεινώσει ἐστὶ καὶ ἀσθενείᾳ, όφείλει μεταλαβεῖν, καθὼς βούλεται καὶ δύναται βασάσαι, ξοφῆς καὶ ποτοῦ.

Ε'ρώτησις θ'. Εἰ όφείλει κληρικὸς ἔχεσθαι παρόντων Α'ρειανῶν, ἢ ἄλλων αἱρετικῶν; εἰ ὁδὸν αὐτὸν βλάπτει, ὅταν αὐτὸς ποιῇ τινὶ ἔχιν, ἤγουν τινὶ προσφοράν;

Α'πόκεισις. Ε'ν τῇ θείᾳ ἀναφορᾷ, ὁ διάκονος προσφωνεῖ πρὸ τοῦ ἀσπασμοῦ, οἱ ἀκοινώνητοι περιπατήσατε. ἐκ όφείλουσιν ᾧν παρεῖναι, εἰ μὴ ἂν ἐπαγγέλλωνται μετανοεῖν καὶ ἐκφεύγειν τινὶ αἵρεσιν.

Ε'ρώτησις ι'. Ε'άν τις ἢ ἀσθενῶν, καὶ ἐκτακεὶς πάνυ ἀπὸ τῆς πολλῆς ἀσθενείας, καὶ ἔλθῃ τὸ ἅγιον πάσχα, πάντως όφείλει νηστεῦσαι; ἢ ἀπολύει αὐτὸν ὁ κληρικὸς λαμβάνειν ὅ δύναται, ἢ καὶ ἔλαιον καὶ οἶνον, διὰ τινὶ πολλὴν αὐτοῦ ἀσθένειαν;

Α'πόκεισις. Α'πολύεσθαι όφείλει μεταλαμβάνειν, καὶ τῆς ξοφῆς καὶ τοῦ ποτοῦ ὁ ἀσθενῶν πρὸς ὃ δύναται βασάσαι. τὸ γὰρ μεταλαμβάνειν ἐλαίου τὸν ἅπαξ ἐκτακέντα, δίκαιόν ἐστιν.

Ε'ρώτησις ια'. Εἰς τὸ ζεῦξαι γάμον ἐὰν καλέσῃ τις κληρικὸν, ἀκούσῃ δὲ τὸν γάμον παράνομον, ἢ θεογαμίαν, ἤγουν ἀδελφιὸ τελευτησάσης γυναικὸς τὴν μέλλουσαν ζεύγνυσθαι· εἰ όφείλει ἀκολουθῆσαι ὁ κληρικὸς, ἢ προσφορὰν ποιῆσαι.

Α'πόκεισις. Α'παξ εἴπατε, ἐὰν ἀκούσῃ ὁ κληρικὸς τὸν γάμον παράνομον. εἰ ᾧν ὁ γάμος παράνομός ἐστιν, ἐκ όφείλει ὁ κληρικὸς κοινωνεῖν ἁμαρτίαις ἀλλοτρίαις.

Ε'ρώτησις ιβ'. Ε'άν ὀνειραθεὶς ὁ λαϊκὸς ἐρωτήσῃ κληρικὸν, όφείλει ἐπιξέψαι αὐτῷ κοινωνῆσαι, ἢ ὄ;

Α'πόκεισις. Εἰ μὴ ὑπάρχεται ἐπιθυμία γυναικὸς, ἐκ όφείλει· εἰ δὲ ὁ σατανᾶς πειράζει αὐτὸν, ἵνα διὰ τῆς προφάσεως ταύτης ἀλλοτριώσαι τ κοινωνίας τῶν θείων μυστηρίων, όφείλει κοινωνῆσαι. ἐπεὶ ᾧ παύσεται ὁ πειράζων κατ' ἐκεῖνον τὸν καιρὸν, ὅτε όφείλει κοινωνεῖν ἐπιτιθέμενος αὐτῷ.

Ε'ρώτησις ιγ'. Τοῖς ζευγνυμένοις εἰς γάμου κοινωνίαν. περὶ ποίων ἡμερῶν τῆς ἑβδομάδος παρατίθεσθαι χρὴ, ἀπέχεσθαι τῆς πρὸς ἀλλήλους κοινωνίας; καὶ ποίας ἔχει ἐπ' ἐξουσίας;

Α'πόκεισις. Προείρηκα καὶ νῦν λέγω· ὁ ἀπόστολος λέγει, μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μήτι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ· καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἦτε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τινὶ ἀκρασίαν ὑμῶν. ἐξ ἀνάγκης δὲ τὸ σάββατον καὶ τινὶ κυριακὴν ἀπέχεσθαι δεῖ, διὰ τὸ ἐν αὐταῖς τινὶ πνευματικὴν θυσίαν ἀναφέρεσθαι τῷ κυρίῳ.

Ε'ρώτησις ιδ'. Ε'άν τις μὴ ἔχων ἑαυτὸν χειρίσηται ἢ χρημνίσῃ ἑαυτὸν, εἰ γίνεται προσφορὰ, ἢ ὄ;

Α'πόκεισις. Υ'πὲρ τοῦ αὐτὸν θεραπεῦσαι όφείλει ὁ κληρικὸς, εἰ τὸ ἀληθὲς ἐκφρενὴς ὢν πεποίηκε τοῦτο. πολλάκις γὰρ οἱ διαφέροντες τῷ πεπονθότι, θέλοντες τυχεῖν τῆς προσφορᾶς, καὶ τῆς ὑπὲρ αὐτοῦ εὐχῆς, καταψεύδονται, καὶ λέγουσιν, ὅτι ἐκ εἶχεν ἑαυτόν· ἐνίοτε δὲ ἀπὸ ἐπηρείας ἀνθρώπων, ἢ ἄλλως πως ἀπὸ ὀλιγωρίας πεποιηκέναι τοῦτο. ὁ χρὴ προσφορὰν ἐπάνω αὐτῷ γενέσθαι. αὐτοφονευτὴς γὰρ ἑαυτοῦ ἐστι. δεῖ οὖν πάντως τὸν κληρικὸν μετὰ ἀκριβείας ἐρευνῆσαι, ἵνα μὴ ὑπὸ κρίμα πέσῃ.

Ε'ρώτησις ιε'. Ε'άν τινος γυνὴ πνευματικὴ, ὥστε καὶ σίδηρα φορεῖν, ὁ δὲ ἀνὴρ λέγῃ, ὅτι ὁ δύναμαι ἐγκρατεύεσθαι, καὶ θέλω λαβεῖν ἄλλην· όφείλει λαβεῖν ἑτέραν, ἢ ὄ;

Α'πόκεισις. Μοιχεία μεσολαβεῖ τῷ πράγματι. καὶ περὶ τούτου τί ἀποκρίνεσθαι ἐκ ἔχω, ἢ ἐφυείσχω.

Ε'ρώτησις ς'. Ε'άν νηστεύοντες ἐπὶ τῷ κοινωνῆσαι, νιπτόμενος τὸ στόμα, ἢ ἐν τῷ βαλανείῳ, κατέπιεν ὕδωρ μὴ θέλων· όφείλει κοινωνῆσαι;

Α'πόκεισις. Ε'πεὶ εὗρεν ὁ σατανᾶς ἀφορμὴν τοῦ κωλύειν αὐτὸν τῆς κοινωνίας, συχνότερον τοῦτο ποιήσει.

Ε'ρώτησις ιζ'. Συχνῶς ἀκούοντες τὸν λόγον τοῦ θεοῦ, καὶ μὴ ποιοῦντες, ἆρα ὑπὸ κατάκρισιν ἐσμεν;

Α'πόκεισις. Εἰ καὶ μὴ ποιοῦμεν, ἀλλ' ἐκ ἐνδέχεται μὴ μέμφεσθαι ἑαυτοὺς, ὅτι ἀκούοντες παρακούομεν. μέρος δὲ σωτηρίας ἐστὶ καὶ τὸ μέμφεσθαι ἑαυτούς.

Ε'ρώτησις ιη'. Ε'κ ποίας χεῖρας κρίνονται παρὰ θεοῦ τὰ ἁμαρτήματα;

Α'πόκεισις. Πρὸς τινὶ γνῶσιν ἑκάστου καὶ τὸ φρόνημα· οἱ μὲν ἀπὸ δεκαετοῦς χείρας, οἱ δὲ καὶ μείζονος.

ΘΕΟΦΙΛΟΥ Α'ΡΧΙΕΠΙΣΚΟΠΟΥ

Α'ΛΕΞΑΝΔΡΕΙΑΣ ΠΡΟΣΦΩΝΗΣΙΣ,

τῇ θεοφανίων ἐπισάντων ἐν κυριακῇ.

ΚΑΙ' τὸ ἔθος, καὶ τὸ πρέπον, ἡμᾶς ἀπαιτεῖ πᾶσαν κυριακὴν τιμᾶν, καὶ ἐν ταύτῃ πανηγυρίζειν, ἐπειδήπερ ἐν ταύτῃ ὁ κύριος ἡμῶν Ι'ησοῦς Χριστὸς, τινὶ ἐκ νεκρῶν ἀνάστασιν ἡμῖν ἐπρυτάνευσε. διὸ καὶ ἐν ταῖς ἱεραῖς γραφαῖς, καὶ πρώτη κέκληται, ὡς ἀρχὴ ζωῆς ἡμῖν ὑπάρχουσα· καὶ ὀγδόη, ἅτε ὑπερβεβηκυῖα τὸν τῶν Ι'ουδαίων σαββατισμόν. ἐπεὶ ᾧν συνέβη, τινὶ τῶν ἁγίων θεοφανίων νήσιμον ἡμέραν εἶναι, ταύτινι οἰκονομήσωμεν, καὶ πρὸς ἑκάτερον ἐπισημόνως χωρήσωμεν, ἵνα μεταλαμβάνοντες ὀλίγων φοινίκων, ἐκκλίνωμεν ἅμα καὶ τὰς αἱρέσεις τὰς μὴ τιμώσας τὴν ἀνάστασιμον τοῦ κυρίου ἡμῶν Ι'ησοῦ Χριστοῦ ἡμέραν· καὶ τὸ ὀφειλόμενον τῇ νηστίμῳ ἡμέρᾳ ἀποδῶμεν, πενθοῦντες τὴν ἐσπερινὴν σωτῆρα, ἥτις ἐνταῦθα, θεοῦ θέλοντος, τελεῖται. σωαχθῶμεν τοίνυν ἀπὸ ὥρας ἐννάτης ἐνταῦθα.

ΤΟΥ ΑΥΤΟΥ ΥΠΟΜΝΙΣΤΙΚΟΝ,

ὅπερ ἔλαβεν Ἀμμῶν, διὰ τὴν Λυκῶ.
ἥτις ἐστὶ χωρίον Αἰγύπτου.

ΚΑΝΩΝ α'.

ΠΕΡΙ τῶν κοινωνησάντων τοῖς Ἀρειανοῖς καὶ μέχρι νῦν τὰς ἐκκλησίας κατεχόντων, ὡς ἔθος γινέσθω. οὕτω* μέν τοι ἑτέρους καταστῆναι μαρτυρουμένους ἐν ὀρθοδοξίᾳ, κἀκείνους αὐλίζεσθαι. οὕτως οἰκονομουμένων καὶ τούτων, ὥσπερ καὶ ἐν ταῖς ἄλλαις πόλεσι πεποιήκασιν οἱ ἐν τῇ Θηβαΐδι ὀρθόδοξοι ἐπίσκοποι. Οἱ καταστάντες παρὰ τοῦ Ἀπόλλωνος τοῦ ἐπισκόπου, καὶ κοινωνήσαντες τοῖς ἔχουσι τὰς ἐκκλησίας Ἀρειανοῖς, ἐπιτιμάσθωσαν, εἴγε γνώμῃ αὐτῶν πεποιήκασι τοῦτο· εἰ δὲ ὑπήκοοι γεγόνασι τῷ οἰκείῳ ἐπισκόπῳ, αὐλιζέσθωσαν καὶ * μὴ ἐπεγνωκότες τὸ ἔλλογον. καὶ εἰ μὲν πάντες οἱ λαοὶ τούτους ἀποποιοῦντες μετὰ τῶν ἄλλων, ἕτεροι χειροτονείσθωσαν· εἰ δὲ ἀντιποιοῦνται αὐτῶν μετ' ἐκείνων οἷς κεκοινωνήκασι ταῦτα, καὶ οὗτοι ἀποπειράσθωσαν τῆς συνηθείας, ᾗ ἐχρήσαντο οἱ ἐν Θηβαΐδι πάντες ἐπίσκοποι ὀρθοδόξοι.

* f. τῷ μέντοι.

* f. ὡς μή.

ΚΑΝΩΝ β'.

Περὶ Βίστου καταστάντος ἐν Ἐρέβῃ πρεσβυτέρου ζητητέον· καὶ εἰ μὲν ἀποταξαμένην τινὰ, ζῶντος τοῦ ἀνδρὸς, ἐβιάσατο, μὴ συγχωρείσθω εἶναι πρεσβύτερος· ὅπου γε οὐδὲ ὡς λαϊκὸς ὀφείλει συνάγεσθαι, τῆς ἐκκλησίας εἰωθυίας τοὺς τοιούτους χωρίζειν. οὐ φέρει δὲ τοῦτο πρόκριμα τῷ ἐπισκόπῳ Ἀπόλλωνι, εἰ ἐξ ἀγνοίας αὐτὸν κατέστησε. τῆς ἁγίας συνόδου κελευσάσης, τοὺς ἀναξίους, μετὰ τὴν χειροτονίαν ἐλεγχομένους ἐπὶ ἐγκλήματι, ἐκβάλλεσθαι.

ΚΑΝΩΝ γ'.

Περὶ δὲ Σοῦρ, ἐπειδὴ ὁ ἐπίσκοπος Ἀπόλλων διεβεβαιώσατο, καὶ ἀπεσταλκέναι τοῦτον, καὶ ἀλλότριον τῆς ἐκκλησίας πεποιηκέναι, ἔστω οὕτως ὡς ἀπεφήνατο ὁ ἐπίσκοπος· χρωμένου ἐκείνου ταῖς οἰκείαις δικαιολογίαις, εἴγε βούλεται, καὶ μέμφεται τὴν ἀπόφασιν τοῦ ἐπισκόπου.

ΚΑΝΩΝ δ'.

Περὶ Πανοῦφ τοῦ καταστάντος διακόνου ἐν τῇ Λυκῷ, δεῖ ζητῆσαι· καὶ εἰ μὲν ἀρεθείη οὗτος κατηχούμενος τυγχάνων, τὴν ἀδελφιδῆν ἑαυτοῦ πρὸς γάμον δεξάμενος, μετὰ δὲ τὸ βάπτισμα εἰς κλῆρον ἐνεχθείς· μενέτω ἐν τῷ κλήρῳ. εἴγε κεκοίμηται ἐκείνη, καὶ μετὰ τὸ βάπτισμα οὐκ ἐκοινώνησεν αὐτῇ. εἰ δὲ πιστὸς τυγχάνων, τὴν αὐτὴν ἀδελφιδῆν ἑαυτοῦ πρὸς γάμου κοινωνίαν ἐδέξατο· ἔστω τοῦ κλήρου ἀλλότριος. οὐ γὰρ πρόκριμα τῷ ἐπισκόπῳ Ἀπόλλωνι, εἰ ἐξ ἀγνοίας κατέστησεν αὐτόν.

ΚΑΝΩΝ ε'.

Περὶ Ἰακὼβ χρὴ ζητῆσαι· εἰ γὰρ ἀναγνώστης ἦν, καὶ ἐγκλήματι πορνείας ὑπεύθυνος ἐδείχθη, καὶ παρὰ τῶν πρεσβυτέρων ἐξεβλήθη, εἶτα κεχειροτόνηται, οὗτος ἐκβαλλέσθω, ἀκριβοῦς ἐξετάσεως γενομένης, καὶ μὴ μόνον ἐκ ψιθυρισμῶν ἢ κακολογιῶν ὑποψίας εἰς αὐτὸν γενομένης· εἰ δὲ μὴ εὑρεθείη ὑπεύθυνος, μενέτω ἐν τῷ κλήρῳ· οὐ γὰρ δεῖ ταῖς ματαίαις διαβολαῖς προσέχειν.

ΚΑΝΩΝ ς'.

Περὶ τῶν μελλόντων χειροτονεῖσθαι οὗτος ἔσται τύπος· ὥστε πᾶν τὸ ἱερατεῖον συμφωνεῖν καὶ αἱρεῖσθαι, καὶ τότε τὸν ἐπίσκοπον δοκιμάζειν· ἢ καὶ συναινοῦντος αὐτῷ τοῦ ἱερατείου, χειροτονεῖν ἐν μέσῃ τῇ ἐκκλησίᾳ παρόντος τοῦ λαοῦ, καὶ προσφωνοῦντος τοῦ ἐπισκόπου, εἰ καὶ ὁ λαὸς δύναται αὐτῷ μαρτυρεῖν. χειροτονία δὲ λαθραίως μὴ γινέσθω. τῆς γὰρ ἐκκλησίας εἰρήνην ἐχούσης, πρέπει παρόντων τῶν ἁγίων τὰς χειροτονίας ἐπὶ ταῖς ἐκκλησίαις γίνεσθαι. ἐν δὲ τῇ ἐνορίᾳ, εἰ μὲν κοινωνήσαντές εἰσί τινες ταῖς τῶν κοινωνησάντων γνώμαις, μὴ ἄλλως χειροτονείσθωσαν, ἀλλὰ τῶν ἀληθῶς ὀρθοδόξων κληρικῶν δοκιμαζόντων, παρόντος πάλιν τοῦ ἐπισκόπου, καὶ προσφωνοῦντος παρόντι τῷ λαῷ, * μόνον εἰ μὴ περιδρομή τις γένηται.

* f. λαῷ, ἵνα μὴ μέσον.

ΚΑΝΩΝ ζ'.

Τὰ προσφερόμενα εἰς λόγον θυσίας, μετὰ τὰ ἀναλισκόμενα εἰς τὴν τῶν μυστηρίων χρείαν, οἱ κληρικοὶ διανειμάτωσαν· καὶ μήτε κατηχούμενος ἐκ τούτων ἐσθιέτω ἢ πινέτω, ἀλλὰ μᾶλλον οἱ κληρικοὶ, καὶ οἱ σὺν αὐτοῖς πιστοὶ ἀδελφοί.

ΚΑΝΩΝ η'.

Ἐπειδὴ Ἱέραξ τόνδε, ὡσανεὶ ἐπὶ πορνείᾳ διαβαλλόμενον, οὐκ ὀφείλειν λέγει ἐν τῷ κλήρῳ εἶναι, ὁ δὲ ἐπίσκοπος Ἀπόλλων διϊσχυρίσατο, τηνικαῦτα, μηδένα κατήγορον ἐν μέσῳ ἐληλυθέναι κατ' αὐτοῦ, ἐξεταζέσθω καὶ οὗτος. καὶ εἰ μὲν κατήγορός τις ἀναφύεται πίστεως ἄξιος, καὶ τὸ ἔγλημα ἀποδείκνυται, φερομένων ἀξιοπίστων μαρτύρων, τῆς ἐκκλησίας ἐκβαλλέσθω. εἰ δὲ τοῦ κλήρου ἄξιός ἐστι, καὶ ἐπὶ σωφροσύνῃ μαρτυρεῖται, μενέτω ἐν τούτῳ.

ΚΑΝΩΝ θ'.

Ὥστε γνώμῃ παντὸς ἱερατείου, οἰκονόμον ἀποδειχθῆναι ἕτερον· ἐφ' ᾧ συντέθειται καὶ ὁ ἐπίσκοπος Ἀπόλλων, πρὸς τὸ τὰ τῆς ἐκκλησίας εἰς δέον ἀναλίσκεσθαι.

ΚΑΝΩΝ ι'.

Χῆραι, καὶ οἱ πένητες, καὶ οἱ παρεπιδημοῦντες ξένοι, πάσης ἀναπαύσεως ἀπολαυέτωσαν, καὶ μήτις τὰ τῆς ἐκκλησίας ἰδιοποιείσθω.

ΤΟΥ ΑΥΤΟΥ ΑΦΗΓΗΣΙΣ

Περὶ τῶν λεγομένων Καθαρῶν.

ΔΕΔΗΛΩΚΕμοι ἡ σὴ ἀλάβεια, ὥς τινες τῶν ὀνομαζόντων ἑαυτοὺς Καθαροὺς, προσελθεῖν

θεῖν βούλονται τῇ ἐκκλησίᾳ. ἐπειδὴ τοίνυν ἡ μεγάλη συνόδος ἡ γενομένη ἐν Νικαίᾳ παρὰ τῶν μακαρίων πατέρων ἡμῶν, ὥρισεν ὥστε χειροτονεῖσθαι τοὺς προσερχομένους· θέλησον κατὰ τὸν τύπον τοῦτον, τοὺς ἐθέλοντας προσέρχεσθαι τῇ ἐκκλησίᾳ, χειροτονεῖν, εἴγε ὁ βίος αὐτῶν ὀρθός ἐστι, καὶ μηδὲν τούτοις ἀντίκειται.

ΤΟΥ ΑΥ'ΤΟΥ

Α'ΓΑ'ΘΩΝΙ Ε'ΠΙΣΚΟ'ΠΩ.

ΑΤΝΟΩ'Ν τοὺς τῆς ἐκκλησίας νόμους Μάξιμος, διϊσχυρίσατο παρανόμῳ συμβιώσει συνῆφθαι. καὶ ἐπειδὴ θορυβεῖ αὐτὸν τὸ ἀσύντακτον εἶναι, διεβεβαιώσατο, ἐπειδὴ ἀγνοίᾳ τὸ παράνομον ἔδρασεν, ἐκ συμφώνου ἀπέχεσθαι τῆς παρανόμου συμβιώσεως, κἀκείνης ἀγαπώσης τοῦτο. ἐὰν δὲ τοίνυν δοκιμάσης, ὅτι τοῦτο ποιοῦσιν ἐκ συμφώνου, καὶ μὴ ἀπατῶσιν· ἐπειδὴ δεκαετής ἐστιν ὁ χρόνος, εἰ σκοπεῖς μετὰ τῶν κατηχουμένων αὐτοὺς συνάγεσθαι, τέως οὕτω διοίκησον. εἰ δὲ συνορᾷς ὅτι ἀπατῆσαι βούλεται, καὶ δεῖται τὰ κατ' αὐτοὺς ἐπιστύψεως· ὅπερ ὁ θεὸς ὑποβάλῃ σοι, τοῦτο ποίησον, πανταχοῦ πρὸς τὸ ἐπέχον ὁδηγούμενος. ἐπὶ γὰρ τῶν τόπων τυγχάνων, τὰς γνώμας αὐτῶν μᾶλλον εἰδέναι δύνασαι.

ΤΟΥ ΑΥ'ΤΟΥ

ΜΗΝΑ Ε'ΠΙΣΚΟ'ΠΩ.

ΝΟ'ΜΙΜΟΝ πρᾶγμα πεποιήκασιν οἱ πρεσβύτεροι, ἐν Γεμίνῳ τῇ κώμῃ, εἰ ἀληθεύει ἡ κομίζουσα τὸ γράμμα Εὐσταθοῦς. φάσκει γὰρ ὅτι Κυράδιον ἀδικοῦσαν, καὶ μὴ βουλομένην ἀναστεῖλαι τὴν ἀδικίαν, ἐχώρισαν τῆς συνάξεως. ἐπειδὴ τοίνυν εὗρον, ὡς τὸ ἑαυτῆς κακὸν θεραπεύουσα, βούλεται συναχθῆναι, θέλησον παρασκευάσαι αὐτὴν ἀποθέσθαι πρῶτον τὸν ἀδικίαν, καὶ πεῖσαι μετανοῆσαι· ἵν' οὕτως, εἰ συνίδης ὅτι νόμῳ θεοῦ προσέρχεται, τῆς συνάξεως ὀρεγομένη, ἐπιτρέψης αὐτὴν μετὰ τῶν λαῶν συνάγεσθαι.

ΣΥΝΕΣΙ'ΟΥ Ε'ΠΙΣΤΟΛΗ'

Πρὸς τοὺς ἐπισκόπους.

Α'Νδρόνικον τὸν Βερονικέα, τὸν κακῇ Πενταπόλεως μοίρᾳ καὶ φυντα, καὶ τραφέντα, καὶ αὐξηθέντα, καὶ ἀρχὴν τῆς ἐνεγκούσης αὐτὸν ὠνησάμενον, μήτε ἡγείσθω τις, μήτε καλείτω Χριστιανόν· ἀλλ' ὡς ἀλητήριος ὢν τοῦ θεοῦ, πάσης ἐκκλησίας ἀπεληλάσθω πανέστιος. οὐ διότι γέγονε Πενταπόλεως ἐσχάτη πληγὴ, μετὰ σεισμὸν, μετὰ ἀκρίδα, μετὰ * λιμὸν, μετὰ πῦρ, μετὰ πόλεμον, ἐπεξελθὼν ἀκριβῶς τοῖς ἐκείνων ἐγκαταλείμμασιν, ἄτοπα κολαστηρίων ὀργάνων γένη καὶ σχήματα πρῶτος εἰς τὴν * χώραν εἰσενεγκών· εἴη δὲ εἰπεῖν, ὅτι καὶ μόνος χρησάμενος· δακτυλήθραν, καὶ ποδοστράβην, καὶ πιεστήριον, καὶ ῥινολαβίδα, καὶ ὠτάγραν, καὶ χειλοστρόφιον. ὧν οἱ * προλαβόντες τὴν πεῖράν τε, καὶ τὴν θέαν, καὶ τῷ πολέμῳ προαπολόμενοι, παρὰ τῶν κακῶς περισωθέντων ἐμακαρίσθησαν· ἀλλ' ὅτι πρῶτος παρ' ἡμῖν καὶ μόνος ἔργῳ καὶ λόγῳ τὸν Χριστὸν ἐβλασφήμησεν· ἔργῳ μὲν, ἀφ' οὗ τῇ θύρᾳ τῆς ἐκκλησίας προσεπαττάλευσεν ἑαυτοῦ διατάγματα· τοῖς μὲν ὑπ' αὐτοῦ παρανομουμένοις, τῆς ἀσύλου τραπέζης ἀποκλείων τὴν ἱκετείαν· ἀνετεινόμενος δὲ τοῖς ἱερεῦσι τοῦ θεοῦ ταῦτα, ἃ κἂν Φάλαρις ὁ Ἀκραγαντῖνος, κἂν Κεφρὴν ὁ Αἰγύπτιος, κἂν Σενναχηρεὶμ ὁ Βαβυλώνιος ὤκνησεν, ὁ πέμψας εἰ Γερουσαλὴμ τοὺς ὀνειδιοῦντας Ἐζεκίᾳ καὶ τῷ θεῷ. ἐκείνην ἐγὼ τὴν ἡμέραν ἐνηνοχέναι φημὶ τὸν δεύτερον σταυρὸν τοῦ θεοῦ. ἐπὶ γὰρ ὀνειδισμῷ τοῦ Χριστοῦ τὸ λοίδορον ἐκεῖνο βιβλίον ἀπὸ τῆς ἱερᾶς θύρας ἐκρέματο. καὶ ταῦτα ἐπεῖδεν ἥλιος, καὶ ἀνέγνωσαν ἄνθρωποι· οὐ Τιβερίου Κλαυδίου τῆς πολιτείας ἐπιτροπεύοντος, ἀφ' οὗ Πιλάτος ἐπὶ τὴν Ἰουδαίων ἡγεμονίαν ἐστάλη· ἀλλὰ τῆς εὐσεβοῦς Θεοδοσίου γενεᾶς τὰ σκῆπτρα Ῥωμαίων ἐχούσης, ἀφ' ἧς ἔλαθεν Ἀνδρόνικος ἑαυτῷ μνηστεύσας ἀρχὴν ὑπὸ τῷ Πιλάτου φρονήματι. γέλως ἦν τοῖς * παριοῦσι τῶν ἑτεροδόξων τὰ γράμματα, καθάπερ Ἰουδαίοις τὰ παραγεγραμμένα τῷ σταυρῷ τοῦ Χριστοῦ. καί τοι τὸ ἐπίγραμμα τοῦ σταυροῦ, γεγονὸς ἀπὸ γνώμης οὐκ εὐσεβοῦς, σεμνὸν ἦν ἐπὶ λέξεως, δι' οὗ βασιλεὺς ὁ Χριστὸς ἐκηρύττετο. ἐνταῦθα δὲ ἡ γλῶττα τῇ γνώμῃ συνέβαινε. τὰ δὲ δὴ μετὰ ταῦτα τῶν πρώην ἐστηλιτευμένων βαρύτερα. ἐπειδὴ γὰρ ἦν τινὰ κατ' ἐχθροῦ πρόφασιν εὑρησάμενος· ἔχθρα δὲ ἦν αὐτοῖς, ὅτι γάμους ὁ μὲν ἐσπούδαζεν, ὁ δὲ ἐκώλυεν· ἐκείνοις αὐτὸν τοῖς ἀποτροπαίοις κολαστηρίοις ἠκήζετο, ἃ μὴ παραδοθείη τῇ διαδοχῇ τοῦ χρόνου· μετ' αὐτοῦ δὲ ὥσπερ ἤρξατο, παύσαιτο· καὶ γένοιτο τοῖς μεθ' ἡμᾶς ἀκοὴ ταῦτα τῆς ἡγεμονίας Ἀνδρονίκου συνθήματα. ἐπειδὴ οὖν ἀνὴρ εὐγενὴς, οὐκ ἀδικῶν, ἀλλ' ἀτυχῶν. ἐπ' αὐτοῖς κατετείνετο, καὶ ταῦτα τὸ τῆς μεσημβρίας ἐδρᾶτο σταθερώτατον, ἵν' ὑπὸ μόνοις μάρτυσι τοῖς δημίοις ἀπόλοιτο. καὶ τὴν ἐκκλησίαν ἔγνω γινομένην αὐτῷ συμπαθῆ, κατ' ἄλλο μὲν οὐδὲν, ὅτι δὲ μαθόντες εὐθὺς, ὡς εἴχομεν, ἐξεδράμομεν, ἐφ' ὧ παρακαθιζῆσαι, καὶ συνδιενέγκαι τὴν συμφοράν· λυττᾷ πρὸς τὴν ἀκοὴν, εἴ τις ἐπίσκοπος ὢν ἐλεῆσαι τετόλμηκεν ἄνθρωπον ἀπηχθημένον αὐτῷ. καὶ πολλὰ καὶ παράνομα νεανιευσάμενος τοῦ θρασυτάτου τῶν ὑπηρετῶν Θόαντος αὐτὸν ἐρεθίζοντος, ᾧ χρῆται πρὸς τὰς δημοσίας συμφορὰς ὀργάνῳ, πέρας ἐπέθηκε τῇ μανίᾳ τὴν ἀθεωτάτην φωνὴν εἰπὼν, ὅτι μάτην ἐπὶ τὴν ἐκκλησίαν ἤλπισε, καὶ οὐδεὶς ἂν ἐξαιρεθείη τῶν Ἀνδρονίκου χειρῶν, οὐδ' ἂν εἴ τις τὸν πόδα κρατήσει αὐτοῦ τοῦ Χριστοῦ. ταύτην ἀπαιδεύτῳ γνώμῃ καὶ γλώττῃ τρὶς ἀνεφθέγξατο τὴν φωνὴν, μεθ' ἣν οὐκέτι νουθετητέος ὁ ἄνθρωπος, ἀλλ' ὥσπερ μέλος ἀνιάτως ἔχον ἀποκοπτέος ἡμῶν, ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ ὑγιαῖνον συμφθείρηται. ὁ γὰρ μολυσμὸς διαδόσιμος γίνεται, καὶ ὁ θίγων ἐναγοῦς, ἀπολαύει τῆς προστροπῆς. δεῖ δὲ εἶναι καὶ γνώμῃ καὶ σώματι καθαροὺς τῷ θεῷ. ἐπὶ τούτοις, ἡ Πτολεμαΐδος ἐκκλησία, τάδε πρὸς τὰς ἁπανταχοῦ γῆς ἑαυτῆς ἀδελφὰς διατάττεται.

Ἀνδρονίκῳ, καὶ τοῖς αὐτοῦ, Θόαντι, καὶ τοῖς αὐτοῦ μηδὲν ἀνοιγνύσθω τέμενος τοῦ θεοῦ. ἅπας αὐτοῖς ἱερὸς ἀποκεκλείσθω, καὶ σηκὸς καὶ περίβολος. οὐκ ἔστι τῷ διαβόλῳ μέρος ἐν παραδείσῳ· ὃς κἂν λάθη διαδὺς, ἐξελαύνεται· παραινῷ μὲν οὖν καὶ ἰδιώτη παντὶ καὶ ἄρχοντι, μήτε ὁμορόφιον αὐτῷ, μήτε ὁμοτράπεζον γίνεσθαι· ἱερεῦ-

γρ. λοιμόν.

γρ. πόλιν.

γρ. μὴ λαβόντες.

γρ. παρίοις

ἱερεῦσι δὲ ὀλιγαφερόντως, οἳ μήτε ζῶντας αὐτὰς προσερῶσι, μήτε πελάτησαντας συμπροπέμψουσιν. εἰ δέ τις ὡς μικροπολῖτιν ἀποσκυβαλίσει τὴν ἐκκλησίαν, καὶ δέξεται τὰς ἀποκηρύκτους αὐτῆς, ὡς ἂν ἀνάγκη τῷ πλήτει πείθεσθαι· ἴσως χίσας τὴν ἐκκλησίαν, λῷ μίαν ὁ Χριστὸς εἶναι βέλεται. ὁ δὲ τοιοῦτος, εἴτε Διάκονός ἐστιν, εἴτε Πρεσβύτερος, εἴ τε Ἐπίσκοπος, παρ' ἡμῖν ἐν Ἀνδρονίκῃ μοίρᾳ τετάξεται, καὶ ὅτε ἐμβαλοῦμεν αὐτὸ δίξιαν, ὅτι ἀπὸ τῆς αὐτῆς ποτὲ σιτησόμεθα· πολλὰ δὴ διήσομεν κοινωνῆσαι τῆς ἀπορρήτου τελετῆς τοῖς ἐθελήσασιν ἔχειν μεῖζα μετὰ Ἀνδρονίκου καὶ Θόαντος.





Μ. Φανερωμένης, Σαλαμῖνος, Ἄρθρα Συμβόλου Πίστεως, 18ου αἰ.





Ἅγ. Σώζων, Γαλατᾶ Κύπρου, Ἡ ἐν Ἐφέσῳ Γ' Οἰκουμενική Σύνοδος, 16ου αἰ.



Arbanasi, Βουλγαρίας , Ἡ ἐν Ἐφέσῳ Γ' Οἰκουμενική Σύνοδος, 17ου αἰ.



Μιχ. Δαμασκηνοῦ, Ἡ βάτος τοῦ Μωϋσέως, 16ου αἰ.



Μ. Δοχειαρίου, Ἡ παλαιὰ Κιβωτός, 16ου αἰ.



Μ. Δοχειαρίου, «οἶκοι τῆς Θεοτόκου», 16ου αἰ.



Μ. Ζάβορδας, Γρεβενῶν, Ἅγ. Κύριλλος Ἀλεξανδρείας, 17ου αἰ.





Πρωτᾶτον, Ἅγ. Κύριλλος Ἀλεξ/ας, 14ου αἰ.



Nagoricino, Ἅγ. Ἰουβενάλιος Ἱεροσολύμων, 14ου αἰ.



Nagoricino, Ἅγ. Θεόδοτος Ἀγκύρας, 14ου αἰ.



Μ Ἀγνοῦντος, Ἐπιδαύρου, Ἅγ. Πρόκλος Κων/πόλεως, 16ου αἰ.

Ἡ ἐν Ἐφέσῳ Ἁγία Οἰκουμενικὴ

ΤΡΙΤΗ ΣΥΝΟΔΟΣ.

ΥΠΟΜΝΗΣΤΙΚΟΝ ΤΟΥ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου γενόμενον πρὸς Ποσειδώνιον ἀποσταλέντα παρ' αὐτοῦ ἐν τῇ Ῥώμῃ τῶν κατὰ Νεστόριον ἕνεκεν.

Ἡ Νεστορίου πίστις, μᾶλλον δὲ κακοδοξία ταύτην ἔχει τὴν δύναμιν· φησὶν ὅτι ὁ Θεὸς λόγος προσεγνωκὼς ὅτι ὁ ἐκ τῆς ἁγίας παρθένου γενώμενος ἅγιος ἔσται καὶ μέγας, εἰς τοῦτ' ἐξελέξατο αὐτὸν, καὶ παρεσκεύασε μὲν γενηθῆναι, δίχα ἀνδρὸς ἐκ τῆς παρθένου, ἐχαρίσατο δὲ αὐτῷ τὸ καλεῖσθαι τοῖς αὐτοῦ ὀνόμασιν, ἤγειρεν αὐτόν.

Ὥστε κἂν ἐνανθρωπήσας λέγηται ὁ μονογενὴς τοῦ θεοῦ λόγος, ὅτι συνῆν ἀεὶ, ὡς ἀνθρώπῳ ἁγίῳ τῷ ἐκ τῆς παρθένου, διὰ τοῦτο λέγεται ἐνανθρωπῆσαι. ὥσπερ δὲ συνῆν τοῖς προφήταις, οὕτω φησὶ καὶ τούτῳ, κατὰ μείζονα συνάφειαν.

Διὰ τοῦτο φεύγει πανταχοῦ τὸ λέγειν τὴν ἕνωσιν, ἀλλ' ὀνομάζει συνάφειαν, ὥσπερ ἐστὶν ὃς ἔξωθεν, καὶ ὡς ἂν λέγῃ πρὸς Ἰησοῦν, ὅτι καθ' ὡς ἦν μετὰ Μωϋσῆ, οὕτως ἔσομαι καὶ μετὰ σοῦ.

Κρύπτων δὲ τὴν ἀσέβειαν λέγει, ὅτι ἐκ μήτρας συνῆν ἀτῷ. Διὰ τοῦτο οὔτε θεὸν ἀληθινὸν αὐτὸν εἶναι λέγει, ἀλλ' ὡς ἐν εὐδοκίᾳ τοῦ θεοῦ κεκλημένον οὕτως· κἂν κύριος ὠνομάσθη, οὕτως πάλιν αὐτὸν βούλεται κύριον, ὡς τοῦ θεοῦ λόγον χαρισαμένου αὐτῷ τὸ καλεῖσθαι καὶ οὕτω.

Μή, φησὶν, ὅτι ὅπερ λέγομεν ἀποθανεῖν ὑπὲρ ἡμῶν τὸν υἱὸν τοῦ Θεοῦ, καὶ ἀναστῆναι, ὁ ἄνθρωπος ἀπέθανε καὶ ὁ ἄνθρωπος ἀνέστη, καὶ οὐδὲν τοῦτο πρὸς τὸν τοῦ θεοῦ λόγον.

Καὶ ἡμεῖς μὲν γὰρ ὁμολογοῦμεν, ὅτι καὶ ἀθάνατός ἐστιν ὁ τοῦ θεοῦ λόγος, καὶ ζωή ἐστιν· ἀλλὰ πιστεύομεν, ὅτι γέγονε σὰρξ, τουτέστιν ἑνώσας ἑαυτῷ τὴν σάρκα μετὰ ψυχῆς λογικῆς ἔπαθε σαρκὶ, κατὰ τὰς γραφὰς, καὶ ἐπειδὴ τὸ σῶμα αὐτοῦ πέπωνθεν, αὐτὸς λέγεται παθεῖν, καίτοι τὴν φύσιν ἀπαθὴς ὤν. καὶ ἐπειδὴ τὸ σῶμα αὐτοῦ ἀνέστη, οὐ γὰρ εἶδε διαφθορὰν ἡ σὰρξ αὐτοῦ, λέγεται ὅτι αὐτὸς ἀνέστη ὑπὲρ νεκρῶν.

Ἐκείνῳ δὲ οὐ ταῦτα δοκεῖ, ἀλλὰ φησὶν ὅτι ἀνθρώπου γέγονε τὸ πάθος, καὶ ἀνθρώπου ἡ ἀνάστασις, καὶ ἐν τοῖς μυστηρίοις σῶμά ἐστιν ἀνθρώπου τὸ προκείμενον. ἡμεῖς δὲ πιστεύομεν ὅτι τοῦ λόγου ἐστὶ σὰρξ ζωοποιεῖν ἰσχοῦσα, διὰ τοῦτο, ὅτι τοῦ τὰ πάντα ζωοποιοῦντος λόγου γέγονε σὰρξ καὶ αἷμα.

Ταῦτα οὐκ ἀνέχων λέγειν ἐκεῖνος Κελέστιον παρεσκεύασεν ἐπιδοῦναι λιβέλλους κατὰ φιλίππου τοῦ Πρεσβυτέρου, ἐλέγχοντα αὐτὸν, καὶ μηκέτι θελήσαντα συναφθῆναι μετ' αὐτοῦ διὰ τὴν αἵρεσιν· ἐν δὲ τοῖς λιβέλλοις αἰτία τις ἦν ὅτι Μανιχαῖός ἐστιν.

Εἶτα κέκληκε τὸν ἄνθρωπον εἰς συνέδριον, κἀκεῖνος ἦλθεν, πρᾶγμα ποιῶν κανονικὸν, ἑτοίμως ἔχων ἀπολογήσασθαι· ἐπειδὴ δὲ οὐδὲν εἶχε δεῖξαι ὁ Κελέστιος, ἀφανῆ ἑαυτὸν κατέστησε, καὶ οὐκ ἀπῆλθεν εἰς τὸ συνέδριον.

Οὐχ εὑρὼν ἑαυτὴν τὴν ἀφορμὴν, ἐφ' ἑτέραν ἐχώρησεν. ἔφη γὰρ ὅτι τίνος ἕνεκεν παρασύναξιν ἐποίησας, καὶ ἐν τῇ οἰκίᾳ προσφορὰν ἐτέλεσας, παντὸς σχεδὸν τοῦ κλήρου λέγοντος, ὅτι καὶ ἡμῶν ἕκαστος ἐν καιρῷ καὶ χρείαις τοῦτο ποιεῖ, ἐξένεγκεν ἀπόφασιν καθαιρέσεως κατὰ τοῦ ἀνθρώπου.

Ἰδοὺ, ἔχεις τόμους ἔχοντας κεφάλαια τῶν βλασφημιῶν Νεστορίου.

β. Πέτρου κεφ. ἀ ι'.

ΚΕΦΑΛΑΙΟΝ Α'.

*Contulimus cum antiquissimo codice actorum concilii Ephesini, qui servatur in locupletissima bibl. illustrissimi viri Petri Sequierii Galliæ cancellarii.

Ὁμιλία Πρόκλου * ἐπισκόπου Κυζίκου, λεχθεῖσα καθιζομένου Νεσορίου ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ Κωνσταντινουπόλεως, εἰς τὴν ἀνανθρώπησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος Μαρία, καὶ ὅτι ὁ τεχθεὶς οὔτε θεὸς γυμνός, οὔτε ἄνθρωπος ψιλός, ἀλλ' Ἐμμανουὴλ τυγχάνει, θεὸς καὶ ἄνθρωπος ἀσυγχύτως καὶ ἀμεταβλήτως ὑπάρχων.

α'.

ΠΑΡΘΕΝΙΚΗ πανήγυρις σήμερον τὴν γλῶτταν *, ἀδελφοί, τοῦ δόγματος καλεῖ· καὶ ἡ παροῦσα ἑορτὴ τοῖς συνελθοῦσιν ὠφελείας γίνεται προξένος. εἰκὸς μάλα εἰκότως. ἁγνείας γὰρ ἔχει ὑπόθεσιν, καὶ τὸ * χεῦμα τῶν γυναικῶν καύχημα τὸ πελάμυον· καὶ δόξα τοῦ θήλεος, διὰ τὸν ἐν ἡμέρᾳ μητέρα καὶ παρθένον. ἐπέρασος αὖτη * καὶ ἐξαίσιος ἡ σιωόδος· ἰδοὺ γὰρ γῆ καὶ θάλαττα * δορυφορεῖ τῇ παρθένῳ· ἡ μὲν τὰ νῶτα ταῖς ὀλκάσι γαλλιῶσα * ἐφαπλώσασα, ἡ δὲ τὰ ἴχνη τῶν βαδιζόντων ἀκωλύτως παραπέμπουσα. σκιρτάτω ἡ φύσις, * εἰ γυναῖκες τιμῶνται. χορδιέτω ἡ ἀνθρωπότης, καὶ παρθένοι δοξάζονται. ὅπου γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. συνεκάλεσε μὲν ἡμᾶς ἐνταῦθα ἡ ἁγία καὶ θεοτόκος παρθένος Μαρία, τὸ ἀμόλυντον τῆς παρθενίας χειμήλιον, ὁ λογικὸς τοῦ δευτέρου Ἀδὰμ παράδεισος, τὸ ἐργαστήριον τῆς * ἑνώσεως τῶν φύσεων, ἡ πανήγυρις τοῦ σωτηρίου σπαργάνου, ἡ πασῶν ἐν ᾗ ὁ λόγος ἐνυμφεύσατο τὴν σάρκα, ἡ * ἔμψυχος τῆς φύσεως βάτος, ἣν τὸ τῆς θείας ὠδῖνος πῦρ οὐ * κατέκαυσεν· ἡ οὕτως κόφη νεφέλη, ἡ τὸν ἐπὶ χερουβὶμ μὴ σώματος βασάσασα· ὁ τοῦ ὄξ οὐρανοῦ ὑετοῦ καθαρώτατος πόκος, ἐξ οὗ ὁ ποιμὴν τὸ πρόβατον ἐνεδύσατο· ἡ θέλη καὶ μήτηρ, ἡ παρθένος καὶ οὐρανός, ἡ μόνη θεῷ πρὸς ἀνθρώπους γέφυρα, ὁ φρικτὸς τῆς οἰκονομίας ἰσὸς *, ἐν ᾧ ἀῤῥήτως ὑφάνθη τῆς * ἑνώσεως χιτών· ὅπερ ἰσοργὸς μὲν τὸ πνεῦμα τὸ ἅγιον, ἔριθος δὲ, ἡ ἐξ ὕψους ἐπισκιάσασα δύναμις· ἔριον δὲ, τὸ ἀρχαῖον τοῦ Ἀδὰμ κῶδιον· κρόκη δὲ, ἡ ἐκ παρθένου ἀμόλυντος σάρξ· κερκὶς δὲ, ἡ ἀμέκπτος τοῦ φορέσαντος χάρις· τεχνίτης, ὁ διὰ * ἀκοῆς εἰσπηδήσας λόγος. τίς εἶδε, τίς ἤκουσεν, ὅτι μήτραν ὁ θεὸς ἀπείρανδρος ᾤκησεν; καὶ ὃν οὐρανὸς οὐκ ἐχώρησε, γαστὴρ τῆς παρθένου οὐκ ἐσενοχώρησεν.

* ἡμῶν.

* χεῦσ.

* Deest in c. Sequieriano.

* ὑπερφορεῖ.

* συναπλώσασα, ἐφαπλῶσα, ἐφαπλώσασα,

* καὶ ἀγαλλιᾶται. * ὡ τὸ γίνεται τῶν ἀνθρώπων, ὅτι.

* ἑνότητος.

* ἔμψυτις.

* κατέφλεξεν.

* ἐξ οὗ.

* ἑαυτὸν ἵνα.

* ἀκοῆς.

β'.

Ἀλλ' ἐκ γυναικὸς ἐγεννήθη θεὸς ὁ γυμνός, καὶ ἀνθρωπος οὐ ψιλός. καὶ πάλιν σωτηρίας ὁ τεχθεὶς τὸν παλαιὸν τῆς ἁμαρτίας ἔδειξε θῦρον. ὅπου γὰρ ὁ ὄφις διὰ τῆς παρακοῆς τὸν ἰὸν * ἐνέσχεσεν, ἐκεῖ ὁ λόγος διὰ τῆς ὑπακοῆς εἰσελθὼν, τὸν ναὸν ἐζωοπλάστησεν. ὅθεν ὁ πρωτος τῆς ἁμαρτίας Καὶν προέκυψεν, ἐκεῖθεν ὁ τοῦ θεοῦ λυτρωτὴς τῆς Χριστὸς ἀσπόρως ἐβλάστησεν. οὐκ ἠχρύθη ὁ φιλάνθρωπος τὴν ἐκ γυναικὸς ὠδῖνα· ζωὴ γὰρ ἦν τὸ σπαργανούμενον. οὐκ * ἐμιάνθη οἰκήσας μήτραν, ἅπερ αὐτὸς ἀνυβρίστως ἐδημιούργησεν. εἰ μὴ παρθένος ἔμεινεν ἡ μήτηρ, ψιλὸς ἄνθρωπος ὁ τεχθείς, καὶ οὐ παράδοξος ὁ τόκος. εἰ δὲ καὶ μὴ τόκον ἔμεινε παρθένος *, ἐκεῖνος ἀφράστως ἐγεννήθη, ὁ καὶ τῶν θυρῶν κεκλεισμένων ἀκωλύτως εἰσελθών, οὐ τὴν συζυγίαν τῆς φύσεως ὁ Θωμᾶς ἀνακεκράγει λέγων· ὁ κύριός μου, καὶ ὁ θεός μου.

* ἐμιάνθη.

* μὴ τὸν ἐκ τῆς Θεοτόκου μυστήριον ἀφράστως.

γ'.

Μὴ ἐπαισχυνθῇς τὴν ὠδῖνα ὦ ἄνθρωπε. αὕτη γὰρ ἡμῖν γέγονε σωτηρίας ἀφορμή. εἰ μὴ γὰρ ἐκ γυναικὸς ἐγεννήθη, οὐκ ἂν ἀπέθανεν. εἰ μὴ ἀπεθάνεν, οὐκ ἂν διὰ τοῦ θανάτου κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν διάβολον. οὐχ ὕβρις ἀρχιτέκτονι, μεῖναι * ἐφ' οἷς ὠκοδόμησεν· οὐ μιαίνει πηλὸς τὸν κεραμέα, ἀναχαινίζοντα ὅπερ ἔπλασε σκεῦος· οὕτως οὐδὲ μιαίνει τὸν ἄχραντον θεὸν, τὸ ἐκ παρθενικῆς γαστρὸς προελθεῖν. διὸ καὶ πλάσσων οὐκ ἐμολύνθη, διὰ ταύτης προελθὼν οὐκ ἐμιάνθη. ὦ γαστήρ, ἐν ᾗ τὸ τῆς κοινῆς ἐλευθερίας γραμματεῖον συνετάγη. ὦ κοιλία, ἐν ᾗ τὸ κατὰ τοῦ θανάτου ὅπλον ἐχαλκεύθη. ὦ ἄρρα, ἐν ᾗ ὁ τῆς φύσεως γεωργὸς * ἀσπόρως ἐβλάστησεν. ὦ ναὸς, ἐν ᾧ ὁ θεὸς γέγονεν ἱερεύς· ὁ τὴν φύσιν μεταβαλὼν, ἀλλὰ τὸν κατὰ τὴν τάξιν Μελχισεδὲκ * δι' οἴκτον ἐνδυσάμενος. ὁ λόγος σὰρξ ἐγένετο, καὶ οἱ Ἰουδαῖοι ἀπιστοῦσιν εἰπόντι τῷ κυρίῳ. ὁ θεὸς μορφὴν ἀνθρώπου ἐφόρεσε, καὶ οἱ Ἕλληνες χωμῳδοῦσι τὸ θαῦμα· διὰ γὰρ τοῦτο, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν, ὁ Παῦλος βοᾷ. τοῦ γὰρ μυστηρίου τὴν δύναμιν οὐκ ἔγνωσαν, ἐπειδὴ ὑπὲρ λόγον τὸ θαῦμα. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. εἰ μὴ γὰρ ὁ λόγος ᾤκησε γαστέρα, οὐκ ἂν ἐκαθέσθη ἡ σὰρξ ἐπὶ τοῦ ἁγίου θρόνου. εἰ τῷ θεῷ ὕβρις εἰς μήτραν ἦν ἔσεσθαι εἰσελθεῖν, ἆρα καὶ τοῖς ἀγγέλοις ὕβρις ἀνθρώπῳ διακονεῖν.

* ἐν οἷς in c. Sequier.

δ'.

Οὐ * οὖν κατὰ φύσιν ἀπαθὴς, γέγονε δι' οἶκτον πολυπαθής. οὐκ ἐκ προκοπῆς γέγονε θεὸς ὁ Χριστὸς, μὴ γένοιτο, ἀλλὰ * δι' οἶκτον γέγονεν ἄνθρωπος, ὡς πιστεύομεν. οὐκ ἄνθρωπον ἀποθεωθέντα κηρύττομεν, ἀλλὰ θεὸν σαρκωθέντα ὁμολογοῦμεν. τῇ οἰκείᾳ βουλήσει ἐπεγράψατο μητέρα, ὁ κατ' οὐσίαν ἀμήτωρ, καὶ κατ' οἰκονομίαν ἐπὶ γῆς ἀπάτωρ. ἐπεὶ πῶς ὁ αὐτὸς ἀμήτωρ καὶ ἀπάτωρ κατὰ τὸν Παῦλον; εἰ ψιλὸς ἄνθρωπος, οὐκ ἀμήτωρ· ἔχει γὰρ μητέρα. εἰ γυμνὸς θεὸς, οὐκ ἀπάτωρ· ἔχει γὰρ πατέρα. νῦν δὲ ὁ αὐτὸς ἀμήτωρ μὲν, ὡς πλάστης· ἀπάτωρ δὲ ὡς * πλάσμα.

* οὐκ.

* διὸ καὶ.

ε'.

Αἰδέσθητι * κἂν τὴν προσηγορίαν τοῦ ἀρχαγγέλου. ὁ τὴν Μαριὰμ εὐαγγελισάμενος, Γαβριὴλ ἐλέγετο. τί δὲ ἑρμηνεύεται Γαβριήλ; μάθε ἀκούσας, Θεὸς καὶ ἄνθρωπος. ἐπεὶ οὖν ὁ παρ' αὐτοῦ εὐαγγελιζόμενος, Θεός ἐστι καὶ ἄνθρωπος, προέλαβεν ἡ προσηγορία τὸ θαῦμα, ἵνα πιστώσηται τὴν οἰκονομίαν. μάθε τὴν αἰτίαν τῆς παρουσίας, καὶ δόξασον τὴν δύναμιν τοῦ σαρκωθέντος. * πολλὰ ὤφειλεν ἐξ ἁμαρτιῶν ἡ τῶν ἀνθρώπων φύσις, καὶ ἠπόρει πρὸς τὸ χρέος. διὰ γὰρ τοῦ Ἀδὰμ πάντες * τὴν ἁμαρτίαν ἐχειρογράφησαν· δούλους ἡμᾶς κατεῖχεν ὁ διάβολος· τὰς ὠνὰς ἡμῶν προέφερε, * γραφῇ κεχρημένος τῷ πολυπαθεῖ ἡμῶν σώματι. εἱστήκει ὁ κακὸς τῶν παθῶν πλαστογράφος, ἐπισείων ἡμῖν τὸ χρέος, καὶ ἀπαιτῶν ἡμᾶς τὴν δίκην. ἔδει τοίνυν δυοῖν θάτερον, ἢ πᾶσιν ἐπαχθῆναι τὸν ἐκ τῆς καταδίκης θάνατον, ἐπειδὴ καὶ πάντες ἥμαρτον· ἢ τοιοῦτον δοθῆναι πρὸς ἀντίδοσιν τίμημα, ᾧ πᾶν ὑπῆρχε δικαίωμα πρὸς παραίτησιν. ἄνθρωπος μὲν οὖν σῶσαι οὐκ ἠδύνατο· ὑπέκειτο γὰρ τῷ χρέει τῆς ἁμαρτίας. ἄγγελος ἐξαγοράσασθαι τὴν ἀνθρωπότητα οὐκ ἴσχυεν· ἠπόρει γὰρ τοιούτου λύτρου. λοιπὸν οὖν ὁ ἀναμάρτητος Θεὸς ὑπὲρ τῶν ἡμαρτηκότων ἀποθανεῖν ὤφειλεν· αὕτη γὰρ ἐλείπετο μόνη τοῦ κακοῦ * ἡ λύσις.

* ὦ ἄνθρωπε.
* ἐπειδὴ.
* τῇ ἁμαρτίᾳ ἐχειρογραφήσαμεν
* χάρτῃ
* γραφεῖ.
* λύτρωσις,

ϛ'.

Τί οὖν; αὐτὸς ὁ πᾶσαν φύσιν ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν, ᾧ μηδὲν πρὸς παροχὴν ἄπορον, ἐξεῦρε τοῖς κατακρίτοις ζωὴν ἀσφαλεστάτην, καὶ τῷ θανάτῳ λύσιν εὐπρεπεστάτην, καὶ γίνεται ἄνθρωπος ἐκ παρθένου, ὡς οἶδεν αὐτός· λόγος γὰρ ἑρμηνεῦσαι τὸ θαῦμα οὐ δύναται. καὶ ἀποθνήσκει ᾧ ἐγένετο, καὶ λυτροῦται ᾧ ὑπῆρχε, κατὰ τὸν λέγοντα Παῦλον· ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων: ὦ τῶν μεγάλων πραγμάτων. ἄλλοις ἐπραγματεύσατο τὸ ἀθάνατον· αὐτὸς γὰρ ὑπῆρχεν ἀθάνατος. τοιοῦτος γὰρ ἄλλος κατ' οἰκονομίαν οὔτε γέγονεν, οὔτε ἦν, οὔτε ἔσται ποτὲ, ἢ μόνος ὁ ἐκ παρθένου τεχθεὶς Θεὸς καὶ ἄνθρωπος. οὐκ ἀντιταλαντεύουσαν μόνον ἔχων τὴν ἀξίαν τῷ πλήθει τῶν ὑποδίκων, ἀλλὰ καὶ πάσαις ψήφοις ὑπερέχουσαν· ἐν μὲν τῷ υἱὸς εἶναι, τὸ ἀπαράλλακτον σώζων πρὸς τὸν πατέρα· ἐν δὲ τῷ δημιουργὸς, τὸ τῆς δυνάμεως ἀπροσδεὲς ἔχων· ἐν δὲ τῷ * φιλοικτίρμονι, τὸ εἰς συμπάθειαν * ὑπέρβλητον ἐδημοσίευσεν· ἐν δὲ τῷ ἀρχιερεὺς, τὸ εἰς παράστασιν ἀξιόπιστον φέρων· ὧν οὐδὲν εὕροι τις ἂν ἐπ' οὐδενὶ ἴσον, ἢ παραπλήσιον πώποτε. ὅρα γὰρ αὐτοῦ τὴν φιλανθρωπίαν. ἑκὼν κατακριθεὶς τὸν κατὰ τῶν σταυρωσάντων ἔλυσε θάνατον, καὶ * ἀνέστρεψε τὴν τῶν ἀποκτεινάντων ἀνομίαν εἰς τὴν τῶν ἀνομησάντων σωτηρίαν.

ἐφεσ. Κ. 7.
* φιλοικτίρμον.
* ἀντίρβλητον.
* ἀντέστρεψε.

ζ'.

Ἀνθρώπου τοίνυν ψιλοῦ τὸ σῶσαι οὐκ ἦν· καὶ γὰρ καὶ αὐτὸς ἐδεῖτο τοῦ σώζοντος, κατὰ Παῦλον τὸν λέγοντα· ὅτι πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. καὶ τὰ ἑξῆς· ἐπειδὴ οὖν ἡ ἁμαρτία τὸν ταύτης ὑπεύθυνον τῷ διαβόλῳ προσῆγεν, ὁ διάβολος τοῦτον τῷ θανάτῳ παρέπεμπε· τοιγάρτοι ἐν μεγίστῳ κινδύνῳ τὰ καθ' ἡμᾶς προῆγεν, καὶ ἐν ἀπόροις ἦν ἡ λύσις τοῦ θανάτου· οἱ πεμφθέντες ἰατροὶ κατηγόρουν. τί οὖν; ὡς εἶδον οἱ προφῆται μεῖζον τέχνης * ἀνθρώπου τὸ τραῦμα, τὸν ἐξ οὐρανοῦ ἐπεβόων ἰατρόν. καὶ ὁ μὲν ἔλεγε, κύριε κλῖνον οὐρανοὺς, καὶ κατάβηθι. ἄλλος, ἴασαί με κύριε, καὶ ἰαθήσομαι. ἕτερος, ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. ἄλλος, εἰ ὄντως * οἰκήσει ὁ Θεὸς μετὰ ἀνθρώπων; ἄλλος, ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα. ἕτερος, οἴμοι, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει. ἄλλος, ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. ἄλλος, ὅσον ὅσον ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. ἄλλος, ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸν δοῦλόν σου τὸν ἐλπίζοντα ἐπὶ σέ. ἄλλος, ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. οὐ παρεῖδε τοίνυν τὴν φύσιν τὴν ἀνθρωπίνην τυραννουμένην ὁ φύσει βασιλεὺς ὑπάρχων· οὐκ ἀφῆκεν εἰς τέλος εἶναι τῷ διαβόλῳ ὑπεύθυνον ὁ φιλοικτίρμων Θεός. ἀλλ' ἦλθεν ὁ ἀεὶ * παρὼν, καὶ κατέβαλε λύτρον τὸ ἴδιον αἷμα, καὶ ἔδωκεν ὑπὲρ τοῦ γένους, ἀντάλλαγμα τῷ θανάτῳ, ὃ ἐκ παρθένου ἐφόρεσε * σῶμα, καὶ ἐξηγοράσατο τὸν κόσμον ἐκ τῆς κατάρας τοῦ νόμου, θανάτῳ τὸν θάνατον καταργήσας. καὶ βοᾷ Παῦλος. Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου.

πρὸς ῥωμ. 3. 23.
* ἀνθρωπείας, ἀνθρωπίνης
* ὄντως.
* καὶ πανταχοῦ
* σάρκα.
γαλ. 3. 13.

η'.

Ὁ τοίνυν * ἀγοράσας ἡμᾶς, οὐ ψιλὸς ἄνθρωπος, ὦ Ἰουδαῖε· ἡ γὰρ ἀνθρώπων φύσις τῇ ἁμαρτίᾳ δεδούλωτο. ἀλλ' οὔτε μὴν Θεὸς γυμνὸς ἀνθρωπότητος· σῶμα γὰρ εἶχεν ὦ Μανιχαῖε· εἰ μὴ γὰρ ἐνεδύσατο ἐμὲ, οὐκ ἂν ἔσωσεν ἐμέ. ἀλλ' ἐν τῇ γαστρὶ τῆς παρθένου ὁ ἀποφηνάμενος, τὸν κατάδικον ἐνεδύσατο. καὶ ἐκεῖ τὸ φρικτὸν γέγονε συνάλλαγμα, δοὺς γὰρ πνεῦμα, ἔλαβε σάρκα, ὁ αὐτὸς μετὰ τῆς παρθένου, καὶ ἐκ τῆς παρθένου. τὸ μὲν ἐπεσκίασεν, ὁ δὲ ἐσαρκώθη ἐξ αὐτῆς. εἰ ἄλλος ὁ Χριστὸς, καὶ ἄλλος ὁ Θεὸς λόγος, οὐκ * ἔτι τριὰς, ἀλλὰ τετράς· μὴ χίσῃς τὸν τῆς οἰκονομίας χιτῶνα, τὸν ἄνωθεν ὑφαντόν. μὴ * μαθητευθῇς Ἀρείῳ. ἐκεῖνος γὰρ ἀσεβῶν τὴν οὐσίαν τέμνει. σὺ τὴν συνάφειαν μὴ μέριζε, ἵνα μὴ μερισθῇς ἀπὸ τοῦ Θεοῦ. τίς ἐπέφανεν, εἰπέ μοι, τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις; ἄνθρωπος; καὶ πῶς *; οὐ γὰρ ἐν σκότει διῆγε; κατὰ Παῦλον τὸν λέγοντα. ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους· ἦμεν γάρ ποτε σκότος, κατὰ

* ἴσως, ἐξαγοράσας.
* ἔτι.
* μαθητεύσῃς.
* ἠδύνατο ἐν σκότει διάγων.

τὸ

τὸ γεγραμμένον. τίς οὖν ἐπίφανε; Δαυὶδ σε διδάσκει, λέγων· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. εἰπὲ φανερῶς ὦ Δαυὶδ, ἀναβόησον τῇ ἰσχύϊ, καὶ μὴ φείσῃ· ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σου, εἰπὲ τίς ἐστιν; κύριος ὁ Θεὸς τῶν δυνάμεων· Θεὸς κύριος, καὶ ἐπέφανεν ἡμῖν. ὁ γὰρ λόγος σὰρξ ἐγένετο. σωζέσθων αἱ φύσεις, καὶ ἀσύγχυτος ἔμεινεν ἡ ἕνωσις.

ϑ'.

Ἠλθεσῶσαι, ἀλλὰ ἐχρῆν καὶ παθεῖν. πῶς ἦν δυνατὸν * ἑκάτερα; ἄνθρωπος φιλὸς σῶσαι οὐκ ἴσχυε. Θεὸς γυμνὸς παθεῖν οὐκ ἠδυνάτο. τί οὖν; αὐτὸς ὢν Θεὸς ὁ Ἐμμανουὴλ, γέγονεν ἄνθρωπος· καὶ ὃ μὲν ἦν, ἔσωσεν. ὃ δὲ γέγονεν, ἔπαθεν. διὰ τοῦτο ὡς εἶδεν ἡ ἐκκλησία σεφανώσασαν αὐτὸν ταῖς ἀκάνθαις τὴν συναγωγὴν * θρηνοῦσαν τὴν πόλιν ἔλεγε· θυγατέρες Ἱερουσαλὴμ ἐξέλθετε καὶ ἴδετε τὸν στέφανον, * ὃν ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ. αὐτὸς γὰρ καὶ τὸν ἀκάνθινον ἐφόρεσε στέφανον, καὶ τὴν τοῦ ἀκανθῶν ἔλυσεν ἀπόφασιν. ὁ αὐτὸς ἐν κόλποις πατρὸς, καὶ ἐν γαστρὶ παρθένου· ὁ αὐτὸς ἐν ἁγκάλαις μητρὸς, καὶ ἐπὶ πτερύγων ἀνέμων. ὁ αὐτὸς ὑπ' ἀγγέλων προσεκυνεῖτο, καὶ τελώναις συνανεκλίνετο. τὰ σεραφὶμ ὑπροσέβλεπε, καὶ Πιλάτῳ ἠρώτα. ὁ δοῦλος ἐρράπιζε, καὶ ἡ κτίσις ἔφριττεν. ἐπὶ σταυρῷ ἐπήγνυτο, καὶ ὁ θρόνος τῆς δόξης οὐκ * ἐγεγύμνωτο. ἐν τάφῳ * κατελείετο, καὶ τὸν οὐρανὸν ἐξέτεινεν ὡσεὶ δέρριν. ἐν νεκροῖς ἐλογίζετο, καὶ τὸν ᾅδην ἐσκύλευεν. ὧδε πλάνος ἐσυκοφαντεῖτο, καὶ ἐκεῖ ἅγιος ἐδοξολογεῖτο. ὦ τοῦ μυστηρίου. βλέπω τὰ θαύματα, καὶ ἀναχρύττω τὴν θεότητα. ὁρῶ τὰ πάθη, καὶ οὐκ ἀρνοῦμαι τὴν ἀνθρωπότητα. ἀλλ' ὁ Ἐμμανουὴλ φύσεως μὲν πύλας ἀνέῳξεν ὡς ἄνθρωπος, * παρθενίας δὲ κλεῖθρα οὐ διέρρηξεν ὡς Θεός. ἀλλ' ὅπως ἐκ μήτρας ἐξῆλθεν, ὡς δι' ἀκοῆς εἰσῆλθεν· οὕτως * ἐτέχθη, ὡς σωζελήφθη· ἀπαθῶς εἰσῆλθεν, * ἀφθάρτως ἐξῆλθε, κατὰ τὸν προφήτην Ἰεζεκιὴλ τὸν λέγοντα· ἐπέστρεψέ με ὁ κύριος κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη. καὶ εἶπε κύριος πρός με· υἱὲ ἀνθρώπου, ἡ πύλη αὕτη κεκλεισμένη ἔσται. οὐκ ἀνοιχθήσεται. καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, ἀλλ' ἢ κύριος ὁ Θεὸς Ἰσραὴλ, μόνος αὐτὸς εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ ἔσται ἡ πύλη κεκλεισμένη. ἰδοὺ ἀπόδειξις ἐναργὴς τῆς ἁγίας καὶ θεοτόκου Μαρίας. λυέσθω τοίνυν ἀντιλογία πᾶσα, καὶ τῇ τῶν γραφῶν καταφωτιζώμεθα γνώσει, ἵνα καὶ βασιλείας οὐρανῶν τύχωμεν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* γενέσθαι.
* θρηνοῦσα. Ἄσμα 3. 11.
* ὃν.
* ἐγεγύμνωτο.
* κατελείπετο.
* παρθένου.
* ἐτέχθη.
* ἀφράστως. Ἰεζ. 44.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΕΠΙΣΤΟΛΗ ΚΥΡΙΛΛΟΥ ΕΠΙΣΚΟΠΟΥ Ἀλεξανδρείας πρὸς τοὺς ἐν Αἰγύπτῳ μοναχούς.

Κύριλλος πρεσβυτέροις καὶ διακόνοις, πᾶσι μοναχοῖς, καὶ τοῖς σὺν ὑμῖν τὸν μονήρη βίον ἀσκοῦσι, καὶ ἐν πίστει Θεοῦ ἱδρυμένοις, ἀγαπητοῖς καὶ ποθεινοτάτοις, ἐν κυρίῳ χαίρειν.

α'.

Ἀφίκοντο μοί τινες κατὰ τὸ εἰωθὸς ἐν Ἀλεξανδρείᾳ, τῆς σὺν ὑμῖν. ἐρωμένῳ δέ μοι, καὶ φιλοπαίσουσι λίαν, εἰ τῆς τῶν πατέρων ἐπιεικείας ἐόντες κατ' ἴχνος καὶ ὑμεῖς αὐτοί, πίστει μὲν ὀρθῇ καὶ ἀμωμήτῳ διαφέρειν ἐσπείσθε, πολιτείᾳ δὲ * τῇ καλλίστῃ κατασεμνύεσθε, καὶ τοῖς τῆς ἀσκήσεως ἀναβρύεσθε πόνοις, ξυφὶ ἀληθῶς ἡγωνισμένοι τὸ ὑπὲρ γε τοῦ * ἀγαθοῦ πληροῦσθαι ἐλέσθαι * γνησίως. ἀπήγγελλον μὲν ἐκεῖνοι, ταῦτά γε ὑμῖν ὅπως ἔχειν. προσέθεσαν δὲ, ὅτι τοῖς τῆς προλαβόντων ἀνδραγαθήμασιν ἀμιλλᾶσθε φιλοτιμότερον. ἔχαιρον οὖν ἀναγκαίως ἐγὼ, καί μοι διεχεῖτο πρὸς εὐθυμίαν ὁ νοῦς, τὰς τῆς ἐμῶν τέκνων εὐδοκιμήσεις οἰκειούμενος, καὶ σφόδρα εἰκότως. καὶ γὰρ ἔστι τῆς ἀτόπων, παιδοτρίβας μὲν ταῖς τῆς νέων ἐπιγάννυσθαι ῥώμαις, κἂν ἔτι γένηται παρ' αὐτῆς εἰς ἐπαίνους σωτελοῦντων τῇ τέχνῃ, τοῦτο ταῖς σφῶν αὐτῆς οἷά τινα στέφανον ἀνάπτειν κεφαλαῖς, καὶ τῆς ἐκείνων ἀνδρείας μερίζεσθαι τὰ αὐχήματα· ἡμᾶς δὲ πατέρας πνευματικοὺς ὄντας, καὶ λόγοις ὑμᾶς ἐπαλείφοντας τοῖς εἰς ἀγαθοῦ παῤῥησίαν, ἵνα καταθλήσαντες μὲν τῆς τῆς σαρκὸς κινημάτων, παραιτούμενοι δὲ τὸ πίπτειν εἰς * ἁμαρτίαν, καὶ μὴ καὶ ἡττᾶσθαι πειράζοντι τῷ σατανᾷ, κομίσησθε τὸ βραβεῖον, * καὶ οὐχὶ δὴ μᾶλλον ἢ ἐκείνους θεοφιλοῦς ἀναπίμπλασθαι θυμηδίας.

* σωζέσθω. * σωζομένη. * ἐσπείσθαι. * ἁμαρτίαι. * μὴ.

β'.

Οὐκοῦν, καθά φησι τοῦ σωτῆρος ὁ μαθητὴς, σπουδῇ πᾶσαν * παρεισενεγκόντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τῇ ἀρετῇ, ἐν δὲ τῇ ἀρετῇ τῇ γνῶσιν, ἐν δὲ τῇ γνώσει τῇ ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τῇ ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τῇ εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τῇ φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τῇ ἀγάπην. ταῦτα γὰρ ὑμῖν παρόντα, καὶ πλεονάζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν. χρῆναι γὰρ ἔγωγέ φημι, τοὺς οἱονπερ ἂν ἔλοιντο τῆς ἐν Χριστῷ νομιζομένης ζωῆς τὴν εὐκλεᾶ τε καὶ ἀξιέραστον * διάγειν ὁδὸν, πρῶτον μὲν ἁπλῇ τε καὶ ἀλωβήτῳ κατασεμνύεσθαι πίστει, προσεπάγειν δὲ ὅτως αὐτῇ τὴν ἀρετήν. οὗ δὴ γεγονότος, πειρᾶσθαι κατοπλουτεῖν τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν γνῶσιν, καὶ ἀναφοιτᾶν εὖ μάλα πρὸς τελεωτάτην σοφίαν. τοῦτο γάρ ἐστιν, οἶμαι, τὸ, εἰς

* διάγειν. 1 Πετρ. Κ. 1. 11

εἰς ἄνδρα τέλειον καταντῆσαι, καὶ εἰς μέτρον ἡλικίας ἐλθεῖν τοῦ πληρώματος τοῦ Χριστοῦ. νήψει δὴ οὖν τῇ πρεπούσῃ μοναστᾶις τὰς ἑαυτῶν ὀσφύας εὖ μάλα διεζωσμένοι κατανδρίζεσθε τῶν παθῶν, ψυχικῶν τε ἅμα καὶ σωματικῶν. ἔσεσθε γὰρ οὕτω λαμπροὶ καὶ εὐδόκιμοι, καὶ ἐν καλῷ τῆς ἐλπίδος τῆς τοῖς ἁγίοις ἠυτρεπισμένης. ἔστω δὲ ὑμῖν καὶ πρό γε τῶν ἄλλων ἡ πίστις ὀρθὴ καὶ ἀκαπήλευτος, καὶ τὸ * ἀνεπίπληκτον ἔχουσα παντελῶς. οὕτω γὰρ οὕτω καὶ ὑμεῖς αὐτοὶ τὴν τῶν ἁγίων πατέρων ἰχνηλατοῦντες εὐσέβειαν, ἐναυλισθήσεσθε σὺν αὐτοῖς ταῖς ἄνω μοναῖς, καὶ σκηνὰς οἰκήσετε τὰς ἐν οὐρανοῖς. * ὧν καὶ ὁ θεσπέσιος Ἠσαΐας διαμέμνηται λέγων. οἱ ὀφθαλμοί σου ὄψονται Ἱερουσαλὴμ * πόλις πλουσία, σκηνὰς αἳ οὐ μὴ σεισθῶσι.

* ἀνεπίληπτον.
* ὡς.
* πόλεις πλουσίως,

γ'.

Λαμπρὸς μὲν οὖν ὅτι καὶ ἀξιάγαστος ὑμῖν ὁ βίος, ὀρθή τε καὶ ἀκαπήλευτος ἐνίδρυται πίστις, οὐκ ἠγνόηκά ποθεν· τετάραγμαι δὲ οὐ μετρίως, ἀκηκοὼς, ὅτι θρύλλοι τινὲς εἰς ὑμᾶς ἀφίκοντο χαλεποὶ· καὶ περινοστοῦσί τινες, τὴν ἁπλῆν ὑμῶν παραλύοντες πίστιν, καὶ ῥηματίων εἰκαίων * ὑποπτύοντες ὄχλον, ἀναπυνθανόμενοί τε καὶ λέγοντες, τὴν ἁγίαν παρθένον Μαρίαν πότερόν ποτε θεοτόκον, ἢ μὴ, κατονομάζεσθαι χρή. καὶ ἦν μὲν ἄμεινον τῶν τοιούτων ὑμᾶς ζητημάτων εἰς ἅπαν ἀποφοιτᾷν, καὶ ἃ μόλις ἐστὶν ὡς ἐν ἐσόπτρῳ καὶ αἰνίγματι θεωρούμενα τοῖς ἀρτίοις τὴν φρένα, καὶ βεβηκόσι τὸν νοῦν, μηδὲ ἀνορύττειν ὅλως. τὰ γὰρ ἰσχνότερα τῶν * θεωρημάτων τὸν τῶν ἀκεραιοτέρων ὑπερνήχεται νοῦν. ἐπειδὴ δὲ ἅπαξ οὐκ ἀνήκοοι τῶν τοιούτων μεμένηκατε λόγων, καὶ φιλονεικεῖν ἑλέσθαι τινὰς εἰκὸς, καὶ τοῖς τὸν νοῦν οὐκ ἐρηρεισμένοις, οἷά τινα σκόλοπα, τὸ ἐπ' αὐτοῖς δὴ τοῦτο ἐμπερονῆσαι βλάβος, δεῖν ᾠήθην ἀναγκαίως ὀλίγα * τινὰ πρὸς ὑμᾶς περὶ τούτων εἰπεῖν. οὐχ ἵνα λογομαχῆτε μᾶλλον, ἀλλ' ἵνα εἴ τινες ὑμῖν ἐπιφύοιντο, ταῖς ἐκείνων εἰκαιολογίαις τὸ ἀληθὲς * ἀντεξάγοντες, αὐτοί τε διαδιδράσκητε τὴν ἐκ τοῦ πλανᾶσθαι ζημίαν, προσωφελῆτε δὲ καὶ ἑτέρους, τοῖς καθήκουσι λογισμοῖς ὡς ἀδελφοὺς ἀναπείθοντες, τὴν ἄνωθεν ταῖς ἐκκλησίαις ἐκ τῶν ἁγίων ἀποστόλων παραδοθεῖσαν πίστιν, καθάπερ τινὰ πολυτίμητον μαργαρίτην ἐν ἰδίαις ἔχειν ψυχαῖς.

* παραπτύοντες.
* νοημάτων.
* ἄττα.
* ἀντεξετάζοντες,

δ'.

Τεθαύμακα τοίνυν, εἴπερ ὅλως ἐνδοιάζουσί τινες, πότερον θεοτόκος, ἢ μὴ, λέγοιτ' ἂν ἡ ἁγία παρθένος. εἰ γάρ ἐστι Θεὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, πῶς οὐ θεοτόκος ἡ τεκοῦσα ἡ ἁγία παρθένος; ταύτην ἡμῖν τὴν πίστιν παρέδοσαν οἱ θεσπέσιοι μαθηταὶ, κἂν εἰ μὴ τῆς λέξεως πεποίηνται μνήμην. οὕτω φρονεῖν δεδιδάγμεθα παρὰ τῶν ἁγίων πατέρων. καὶ γοῦν ὁ τῆς ἀοιδίμου μνήμης πατὴρ ἡμῶν Ἀθανάσιος τῆς Ἀλεξανδρέων ἐκκλησίας κατακοσμήσας τὸν θρόνον ἐφ' ὅλοις ἔτεσι τεσσαράκοντα καὶ ἓξ τὸν ἀριθμὸν, καὶ ταῖς τῶν ἀνοσίων αἱρετικῶν εὐρεσιλογίαις ἅμαχόν τινα καὶ ἀποστολικὴν ἀντιτάττων σύνεσιν, καὶ οἷον εὐοσμοτάτῳ τινὶ μύρῳ τοῖς ἰδίοις συγγράμμασι κατευφραίνων τὴν ὑπ' οὐρανὸν, καὶ ἐπ' ὀρθότητι καὶ * εὐσεβείᾳ δογμάτων παρὰ πάντων μαρτυρούμενος, τὸ περὶ τῆς ἁγίας ἡμῖν καὶ ὁμοουσίου τριάδος συντιθεὶς βιβλίον, ἐν τῷ τρίτῳ λόγῳ, ἄνωτε καὶ κάτω θεοτόκον ἀποκαλεῖ τὴν ἁγίαν παρθένον. κεχρήσομαι δὲ ταῖς αὐτοῦ φωναῖς ἀναγκαίως, αὐταῖς λέξεσιν ἐχούσαις ὧδε. Σκοπὸς τοίνυν οὗτος καὶ χαρακτὴρ τῆς θείας γραφῆς, ὡς πολλάκις εἴπομεν, διπλῆν εἶναι τὴν περὶ τοῦ σωτῆρος ἐπαγγελίαν ἐν αὐτῇ· ὅτι ἀεί τε Θεὸς ἦν, καὶ ἔστιν ὁ υἱὸς, λόγος ὢν καὶ ἀπαύγασμα καὶ σοφία τοῦ πατρός· καὶ ὅτι ὕστερον δι' ἡμᾶς σάρκα λαβὼν ἐκ παρθένου τῆς θεοτόκου Μαρίας, ἄνθρωπος γέγονε. καὶ μεθ' ἕτερα πάλιν. πολλοὶ γοῦν ἅγιοι γεγόνασι, καὶ καθαροὶ πάσης ἁμαρτίας. Ἱερεμίας δὲ καὶ ἐκ κοιλίας ἡγιάσθη. καὶ Ἰωάννης ἔτι κυοφορούμενος ἐσκίρτησεν ἐν ἀγαλλιάσει ἐπὶ τῇ φωνῇ τῆς θεοτόκου Μαρίας. ἀξιόχρεως μὲν οὖν ὁ ἀνὴρ, καὶ θαρσεῖσθαι πρέπων, ὡς οὐκ ἂν ἔφη τι τῶν ὅσα μή ἐστι τοῖς ἱεροῖς συμβαίνοντα λόγοις. πῶς γὰρ ἂν ἁμάρτοι τ' ἀληθοῦς ὁ λαμπρὸς οὕτω καὶ διαβόητος, καὶ ἐν αὐτῇ τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, τῇ ἐν Νικαίᾳ φημὶ, κατὰ καιροὺς συναγηγερμένῃ, πρὸς ἁπάντων τεθαυμασμένος; οὔπω μὲν γὰρ τὸν τῆς ἐπισκοπῆς διεῖπε θρόνον· ἐτέλει δὲ μᾶλλον ἐν κληρικοῖς, πλὴν ἀγχινοίας ἕνεκα, καὶ τῆς ἄλλης ἐπιεικείας, καὶ ἰσχνῆς ἄγαν καὶ ἀσυγκρίτου φρενὸς, παρελήφθη μὲν τηνικάδε παρὰ τοῦ τῆς μακαρίας μνήμης Ἀλεξάνδρου τοῦ ἐπισκόπου. συνῆν δὲ τῷ πρεσβύτῃ οἷά περ υἱὸς πατρὶ, ποδηγῶν εἰς ἕκαστα τῶν χρησίμων, καὶ τὴν ἐφ' ἑκάστῳ τῶν πρακτέων ὁδὸν εὖ μάλα παραδεικνύς.

* ἀκριβείᾳ.

ε'.

Ἐπειδὴ δέ τινας εἰκὸς δεῖν μὲν οἴεσθαι. τὸν ἐπὶ τούτοις ἡμῖν ἐμπεδοῦσθαι λόγον καὶ ἀπ' αὐτῆς τῆς ἱερᾶς καὶ θεοπνεύστου γραφῆς· φάναι τε πρὸς τούτῳ, τὴν ἁγίαν ἐκείνην καὶ μεγάλην σύνοδον, μήτε θεοτόκον εἰπεῖν τὴν τοῦ κυρίου μητέρα, μήτε μὴν ὅλως ὁρίσαι τι τοιοῦτον. φέρε δὴ φέρε καὶ νῦν, ὡς ἔνι, καταδεικνύωμεν τῆς ἐν * Χριστῷ νοουμένης οἰκονομίας τὸ μυστήριον, τίνα μὲν τρόπον παρὰ τῆς θείας ἡμῖν κεκήρυκται γραφῆς. τί δὲ καὶ αὐτοὶ λελαλήκασιν οἱ πατέρες, τὸν τῆς ἀμωμήτου πίστεως ὅρον ἐκφέροντες, ἐνηχοῦντος αὐτοῖς τἀληθὲς τοῦ ἁγίου πνεύματος, οὐ γὰρ ἦσαν οἱ λαλοῦντες αὐτοὶ, κατὰ τὴν τοῦ σωτῆρος φωνὴν, ἀλλὰ τὸ πνεῦμα τοῦ Θεοῦ καὶ πατρὸς τὸ λαλοῦν ἐν αὐτοῖς. ἀποδεδειγμένου γὰρ οὕτως, ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος, κατοκνήσειν οἶμαι παντελῶς οὐδένα, πρός γε τὸ χρῆναι νοεῖν καὶ μὴν καὶ φράσαι, ὅτι θεοτόκος ἂν λέγοιτο. καὶ μάλα εἰκότως. ἔχει δὲ οὕτως ἡμῖν τὸ τῆς πίστεως σύμβολον.

* ἐπὶ Χριστῷ

ϛ'.

Πιϛεύω εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, ποιητὴν πάντων ὁρατῶν τε καὶ ἀοράτων. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριϛὸν, τὸν υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέϛιν ἐκ τῆς οὐσίας αὐτοῦ. Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα, σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα, καὶ ἀναϛάντα τῇ τρίτῃ ἡμέρᾳ. ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ ἅγιον πνεῦμα.

ζ'.

Οἱ μὲν γὰρ τῶν αἱρέσεων εὑρεταὶ, τοὺς τῆς ἀπωλείας σφίσι τε αὐτοῖς, καὶ μὴν καὶ ἑτέροις ὀρύττοντες βόθρους ματαιότητος, εἰς τοῦτο κατάλιϛον ἐννοιῶν, ὡς οἴεϛαί τε καὶ λέγειν, πρόσφατον εἶναι τὸν υἱὸν, ἐν ἴσῳ τε τοῖς κτίσμασι παρῆχθαι παρὰ τοῦ Θεοῦ καὶ πατρός. καὶ τὸν πρὸ παντὸς αἰῶνος καὶ χρόνου, μᾶλλον δὲ τῶν αἰώνων ποιητὴν τῇ κατὰ χρόνον ἀρχῇ περιγράφοντες οὐκ ἐρυθριῶσιν οἱ δείλαιοι. ὑποβιβάζοντες δὲ, κατάγε τὸ ἑαυτοῖς δοκοῦν, τῆς πρὸς τὸν πατέρα καὶ Θεὸν ἰσότητός τε καὶ δόξης, τὸ * προϋπάρχειν αὐτῷ τῶν ἄλλων παραχωροῦσι μόλις. μεσίτην δὲ εἶναί φασι Θεοῦ καὶ ἀνθρώπων· οὔτε τῆς εἰς λῆξιν ὑπεροχῆς λαχόντα τὴν δόξαν, οὔτε μὴν τοῖς τῆς κτίσεως ἐνιζήσαντα μέτροις. τίς οὖν ἄρα ἐϛὶν ὁ τῆς θείας ὑπεροχῆς ἡττώμενος, καὶ τῶν τῆς κτίσεως μέτρων ἀνῳκισμένος; ἀδιανόητον παντελῶς τὸ χρῆμά ἐϛι. καὶ τόπος ἢ λόγος οὐδεὶς ὁρᾶται μεταξὺ ποιητοῦ καὶ κτίσματος. κατασύροντες τοίνυν αὐτὸν, τόγε ἧκον ἐπ' αὐτοῖς, τῶν τῆς θεότητος θώκων, υἱὸν καὶ Θεὸν ὀνομάζουσι, καὶ προσκυνεῖσθαι δεῖν οἴονται καίτοι τοῦ νόμου βοῶντος ἀναφανδὸν, κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. καὶ μὴν καὶ διὰ φωνῆς τοῦ Δαυὶδ, Θεοῦ λέγοντος τοῖς ἐξ Ἰσραήλ· οὐκ ἔϛαι ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ.

* πρόχειν.

η'.

Ἀλλ' ἐκεῖνοι μὲν οἷά περ ἁμαξιτὸν ἀφέντες εὐτριβῆ, τὴν ἀλήθειαν, ἐπὶ βόθρους ἴενται καὶ πέτρας. καὶ ᾗ φησιν ὁ Σολομών, τοὺς ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηνται, καὶ συνάγουσι χερσὶν ἀκαρπίαν. ἡμεῖς δὲ, οἷς τὸ θεῖον εἰς νοῦν ἐνήϛραψε φῶς, τῆς ἐκείνων ἀβελτηρίας τὰ ἀσυγκρίτως ἀμείνω φρονεῖν ἠρημένοι, καὶ τῇ τῶν ἁγίων πατέρων ἑπόμενοι πίϛει, γεγεννῆσθαί φαμεν ἀληθῶς ἐκ τῆς τοῦ Θεοῦ καὶ πατρὸς οὐσίας τὸν υἱὸν θεοπρεπῶς τε καὶ ἀπορρήτως, καὶ ἐν ἰδίᾳ μὲν ὑποϛάσει νοεῖσθαι, τῇ δὲ ταυτότητι τῆς οὐσίας ἑνοῦσθαι τῷ γεγεννηκότι· καὶ ἐν αὐτῷ μὲν εἶναι, ἔχειν δὲ πάλιν ἐν ἑαυτῷ τὸν πατέρα. ὁμολογοῦμεν δὲ εἶναι φῶς ἐκ φωτὸς, Θεὸν ἐκ Θεοῦ κατὰ φύσιν, ἰσοκλεᾶτε καὶ ἰσουργόν· χαρακτῆρά τε καὶ ἀπαύγασμα, καὶ κατὰ πᾶν ὁτιοῦν ἰσομέτρως ἔχοντα, κατ' οὐδένα τρόπον μειονεκτούμενον. ἐπαριθμουμένου μὲν γὰρ οὕτω τοῦ ἁγίου πνεύματος, ἡ ἁγία τε καὶ ὁμοούσιος τριὰς εἰς μίαν θεότητος ἑνοῦται φύσιν.

θ'.

Ἀλλ' ἡ μὲν θεόπνευϛος γραφὴ σάρκα φησὶ γεγενῆσθαι τὸν ἐκ Θεοῦ λόγον, τουτέϛιν ἑνωθῆναι σαρκὶ ψυχὴν ἐχούσῃ τὴν λογικήν. ἑπομένη δὲ τοῖς εὐαγγελικοῖς κηρύγμασιν ἡ ἁγία καὶ μεγάλη σύνοδος, αὐτὸν ἔφη τὸν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ πατρὸς γεγεννημένον μονογενῆ, τὸν δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα, δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, καταφοιτῆσαι μὲν ἐξ οὐρανῶν, σαρκωθῆναι δὲ καὶ ἐνανθρωπῆσαι, παθεῖν τε καὶ ἀναϛῆναι· καὶ ὅτι κατὰ καιρούς ἀφίξεται κριτής· * ὠνόμαζε δὲ τὸν ἐκ Θεοῦ λόγον, ἕνα κύριον Ἰησοῦν Χριϛόν. ἄθρει δὴ οὖν ὅπως ἕνα λέγοντες υἱὸν, κύριον δὲ αὐτὸν καὶ Χριϛὸν Ἰησοῦν ὀνομάζοντες, ἐκ Θεοῦ καὶ πατρὸς γεγεννῆσθαί φασιν. εἶναί τε μονογενῆ, καὶ θεὸν ἐκ θεοῦ, καὶ φῶς ἐκ φωτὸς, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί.

* ἰσ. ὠνόμασι. ὠνόμαζον.

ι'.

Καίτοι τὸ χριϛὸς ὄνομα, φαίη τις ἄν, οὐχ ὡς ἡρμοσμένον μόνῳ τῷ Ἐμμανουὴλ, ἀλλὰ γὰρ καὶ ἐφ' ἑτέρων αὐτὸ τεθειμένον εὑρήσομεν. ἔφη γάρ που ὁ θεὸς περὶ τῶν ἐξειλεγμένων καὶ ἡγιασμένων ἐν πνεύματι· μὴ ἅπτεϛθε τῶν χριϛῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεϛθε. καὶ μὴν ὁ θεσπέσιος Δαυὶδ κεχρισμένος εἰς βασιλέα παρὰ τοῦ θεοῦ διὰ χειρὸς Σαμουὴλ, χριϛὸν κυρίου τὸν Σαοὺλ * ἐπεκάλει. καὶ τί τοῦτο λέγω; καίτοι μετὸν εὐκόλως τοῖς ἐθέλουσιν ἰδεῖν τοὺς ἐν πίϛει τῇ ἐν Χριϛῷ δεδικαιωμένους, καὶ ἡγιασμένους ἐν πνεύματι, τῇ τοιᾷδε κλήσει τετιμημένους; καὶ γοῦν ὁ προφήτης Ἀμβακοὺμ τὸ ἐπὶ Χριϛῷ μυϛήριον, καὶ τὴν δι' αὐτοῦ σωτηρίαν, προανακέκραγε λέγων· ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριϛούς σου. οὐκοῦν τὸ Χριϛὸς ὄνομα πρέποι ἂν οὐχὶ μόνῳ τε καὶ ἰδικῶς, ὡς ἔφην, τῷ Ἐμμανουὴλ, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, οἵπερ ἂν εἶεν τῇ τοῦ ἁγίου πνεύματος χάριτι κεχρισμένοι. πεποίηται γὰρ ἀπὸ τοῦ πράγματος ἡ φωνὴ, καὶ ἀπὸ τοῦ κεχρίσθαι, χριϛοί. ὅτι δὲ καὶ ἡμεῖς αὐτοὶ τὴν οὕτως εὐκλεᾶ τε καὶ ἀξιόληπτον ἀληθῶς καταπλουτοῦμεν χάριν, ἐμπεδοῖ λέγων ὁ σοφὸς Ἰωάννης· καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου. καὶ πάλιν. οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς, ἀλλὰ τὸ αὐτοῦ χρίσμα διδάσκει ὑμᾶς. γέγραπται δὲ καὶ περὶ τοῦ Ἐμμανουὴλ, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὡς ἔχρισεν αὐτὸν ὁ θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει. καὶ μὴν ὁ θεσπέσιος Δαυὶδ πρὸς αὐτόν φησιν· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας * ἀνομίαν· διὰ τοῦτο ἔχρισέ

* ἀπεκαλεῖ. * ἀπεκάλει.

* ἀδικίαν.

σε

σε ὁ Θεὸς ὁ Θεὸς σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. τί οὖν ἄντις ἴδοι τὸ περιττὸν ἐν τῇ ἁγίᾳ παρθένῳ παρὰ τὰς ἄλλας, κἂν εἰ λέγοιτο τεκεῖν αὐτὴν τὸν Ἐμμανουήλ; ἄτοπον γὰρ οὐδὲν, κἂν εἰ ἔλοιτό τις καὶ τὴν ἑκάστου τῶν κεχρισμένων μητέρα, χριστοτόκον ἀποκαλεῖν.

ια'.

Ἀλλ' ἔστι πολὺ τὸ μεσολαβοῦν, καὶ ἀσυγκρίτοις διαφοραῖς τῆς τοῦ σωτῆρος ἡμῶν εὐκλείας καὶ ὑπεροχῆς ἀποτειχίζον τὰ καθ' ἡμᾶς. οἰκέται γὰρ ἡμεῖς, ὁ δὲ κατὰ φύσιν κύριος καὶ Θεὸς, κἂν εἰ γέγονε μεθ' ἡμῶν, καὶ ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς. ταύτῃ τοι καὶ ὁ μακάριος Παῦλος Χριστὸν αὐτὸν ὠνόμαζε καὶ Θεὸν, οὕτω λέγων· τοῦτο γάρ ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ὅς τίς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ Χριστοῦ καὶ Θεοῦ. οὐκοῦν οἱ μὲν ἄλλοι πάντες, ὡς ἔφην, εἶεν ἂν καὶ μάλα εἰκότως διὰ τὸ κεχρίσθαι χριστοὶ, μόνος δὲ χριστὸς καὶ Θεὸς ἀληθινὸς ὁ Ἐμμανουήλ. καὶ οὐκ ἂν ἁμάρτοι τἀληθοῦς, εἴ τις ἂν ἕλοιτο λέγειν, ὡς αἱ τῶν ἄλλων μητέρες, χριστοτόκοι μὲν, οὐ μὴν ἔτι καὶ θεοτόκοι· μόνη δὲ παρ' ἐκείνας ἡ ἁγία παρθένος χριστοτόκος τε ὁμοῦ καὶ θεοτόκος νοεῖται τε καὶ λέγεται· γεγένηκε γὰρ οὐ ψιλὸν ἄνθρωπον, καθ' ἡμᾶς, σαρκωθέντα δὲ μᾶλλον καὶ ἐνανθρωπήσαντα τὸν ἐκ Θεοῦ πατρὸς λόγον. ὠνομάσμεθα μὲν γὰρ καὶ ἡμεῖς κατὰ χάριν θεοί. πλὴν οὐχ οὕτως Θεὸς ὁ υἱὸς, φύσει δὲ μᾶλλον καὶ ἀληθείᾳ, κἂν εἰ γέγονε σάρξ.

ιβ'.

Ἀλλ' ἴσως ἐκεῖνο ἐρεῖς. ἆρ' οὖν εἰπέ μοι, θεότητος μήτηρ γέγονεν ἡ παρθένος; καὶ πρός γε τοῦτο φαμὲν· ὅτι γεγένηται μὲν ὁμολογουμένως ἐξ αὐτῆς τῆς οὐσίας τοῦ Θεοῦ καὶ πατρὸς ὁ ζῶν τε καὶ ἐνυπόστατος λόγος αὐτοῦ, καὶ ἄναρχον ἐν χρόνῳ τὴν ὕπαρξιν ἔχει, ἀεὶ συνυφεστηκὼς τῷ γεγεννηκότι, ἐν αὐτῷ τε καὶ σὺν αὐτῷ συνυπάρχων καὶ συνοούμενος· ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς, ἐπειδὴ γέγονε σάρξ, τουτέστιν ἠνώθη σαρκὶ ψυχὴν ἐχούσῃ τὴν λογικὴν, γεγεννῆσθαι λέγεται καὶ σαρκικῶς διὰ γυναικός. ἔοικε δέ πως τῷ καθ' ἡμᾶς τόκῳ τὸ ἐπ' αὐτῷ μυστήριον. αἱ μὲν γὰρ τῶν ἐπὶ γῆς μητέρες ὑπηρετοῦσαι τῇ φύσει πρὸς γένησιν, ἔχουσι μὲν ἐν μήτρᾳ πηγνυμένην κατὰ βραχὺ τὴν σάρκα, καὶ * ἀφράστοις τισὶν ἐνεργείαις Θεοῦ προϊοῦσαν καὶ τελειουμένην εἰς εἶδος τὸ ἀνθρώπινον· ἐνίησι δὲ τῷ ζώῳ τὸ πνεῦμα ὁ Θεὸς, καθ' ὃν οἶδε τρόπον. πλάττει γὰρ τὸ πνεῦμα ἀνθρώπου ἐν αὐτῷ, κατὰ τὴν τοῦ προφήτου φωνήν. ἕτερος δὲ σαρκὸς, καὶ ὁμοίως ἕτερος ὁ ψυχῆς ἐστι λόγος. ἀλλ' εἰ καὶ γεγόνασι μόνον αὗται τῶν ἀπὸ γῆς σωμάτων μητέρες, ἀλλ' οὖν ὅλον ἀποτεκοῦσαι τὸ ζῶον, τὸ ἐκ ψυχῆς δὴ λέγω καὶ σώματος, οὐχὶ μέρος λέγονται τεκεῖν. οὐδ' ἂν εἴποι τις, φέρε εἰπεῖν, τὴν Ἐλισάβετ σαρκοτόκον μὲν, οὐ μὴν ἔτι καὶ ψυχοτόκον· ἐκτέτοκε γὰρ ψυχωθέντα τὸν βαπτιστὴν, καὶ ὡς ἓν ἐξ ἀμφοῖν τὸν ἄνθρωπον, ψυχῆς δὴ λέγω καὶ σώματος. τοιοῦτόν τι πεπρᾶχθαι παραδεξόμεθα καὶ ἐπὶ τῇ γεννήσει τοῦ Ἐμμανουήλ. γεγένηται μὲν γὰρ, ὡς ἔφην, ἐκ τῆς τοῦ Θεοῦ καὶ πατρὸς οὐσίας ὁ μονογενὴς αὐτοῦ λόγος. ἐπειδὴ δὲ σάρκα λαβὼν, καὶ ἰδίαν αὐτὴν ποιησάμενος, κεχρημάτικε καὶ υἱὸς ἀνθρώπου, καὶ γέγονε καθ' ἡμᾶς, οὐδὲν, οἶμαι, τὶ ἄτοπον εἰπεῖν, μᾶλλον δὲ καὶ ἀναγκαῖον ὁμολογεῖν, ὅτι καὶ γεγένηται κατὰ σάρκα διὰ γυναικὸς, καθάπερ ἀμέλει καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ τῷ ἰδίῳ συναπογεννᾶται σώματι, καὶ ὡς ἓν λελόγισται πρὸς αὐτὸ, καί τοι τὴν φύσιν ἑτέρα παρ' αὐτὸ νοουμένη τε καὶ ὑπάρχουσα, κατὰ τὸν ἴδιον λόγον. καὶ εἰ βούλοιτό τις τὴν τοῦ δεῖνος μητέρα λέγειν, ὡς ἔστι μὲν σαρκοτόκος, οὐ μὴν ἔτι καὶ ψυχοτόκος * περιττοεπὴς ὑπάρχει λίαν. τέτοκε γὰρ ὡς ἔφην συντεθειμένον * εὐτέχνως ἐξ ἀνομοίων τὸ ζῶον· καὶ ἐκ δυοῖν μὲν, πλὴν ἄνθρωπον ἕνα, μένοντος μὲν ἑκατέρου τοῦθ' ὅπερ ἐστὶ, συνδεδραμηκότων δὲ ὥσπερ εἰς ἑνότητα φυσικὴν, καὶ οἷον ἀνακιρνάντων ἀλλήλοιν, ὅπερ ἂν ὡς ἴδιον ἑκατέρῳ προσῇ.

* περιττοεπήσει λίαν.
* ἀτέχνως.

ιγ'.

Ὅτι δέ ἐστιν ἀναγκαιοτάτη λίαν ἡ ἕνωσις ἐπὶ Χριστοῦ, καταθρῆσαι ῥᾷον καὶ ἀταλαίπωρον παντελῶς, καὶ διὰ πολλῶν ἑτέρων. φέρε γὰρ, εἰ δοκεῖ, τὰς τοῦ μακαρίου Παύλου πολυπραγμονῶμεν φωνὰς, ἀκριβῆ τὸν νοῦν, καὶ ὡς ἔνι λεπτομερῶς ἐπερείδοντες. ἔφη τοίνυν περὶ τοῦ μονογενοῦς. ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν. τίς οὖν ἄρα ἐστὶν ὁ ὑπάρχων ἐν μορφῇ τοῦ Θεοῦ, καὶ οὐχ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα Θεῷ; ἢ τίνα κεκένωται τρόπον; κατῆλθε δὲ ὅπως εἰς ταπείνωσιν, καὶ ἐν τῇ τοῦ δούλου μορφῇ; * οἱ μὲν οὖν εἰς δύο τέμνοντες τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν, εἴς τε ἄνθρωπον, φημὶ, καὶ τὸν ἐκ Θεοῦ πατρὸς λόγον, τὸν ἐκ τῆς ἁγίας παρθένου φασὶν ὑπομεῖναι τὴν κένωσιν, ἀποδιϊστῶντες αὐτοῦ τὸν ἐκ Θεοῦ λόγον, προαποδεικνύτωσαν, ὅτι καὶ ἐν μορφῇ καὶ ἰσότητι νοεῖταί τε καὶ ἦν τοῦ πατρὸς, ἵνα καὶ τὸν τῆς κενώσεως ὑπομείνῃ τρόπον, εἰς ὅπερ οὐκ ἦν καθιγμένος. ἀλλ' οὐδέν ἐστι τῶν πεποιημένων, εἰ κατ' ἰδίαν νοοῖτο φύσιν, τὸ ἐν ἰσότητι τοῦ πατρός. πῶς οὖν * ἄρα κεκενῶσθαι λέγεται, εἰ τὴν φύσιν ἄνθρωπος ὢν, γεγένηται καθ' ἡμᾶς ἐκ γυναικός; καὶ ἐκ ποίας, εἰπέ μοι, πρεσβυτέρας ὑπεροχῆς τῆς τοῦ ἀνθρώπου μείζονος εἰς τὸ ἄνθρωπος εἶναι κατέβη; ἢ πῶς ἂν νοοῖτο λαβεῖν, ὡς οὐκ ἔχων ἐν ἀρχῇ, τὴν τοῦ δούλου μορφὴν, ὁ φύσει τελῶν ἐν οἰκέταις, καὶ ὑπὸ * ζυγὸν δουλείας κείμενος;

* οἱ μὲν.
* ἔνι.
* ὑπὸ ζυγῷ δούλου.

ιδ'.

ιδ'.

Ἀλλὰ ναί φασιν. ὁ φύσει τε καὶ ἀληθῶς καὶ ἐλεύθερος υἱὸς, ὁ ἐκ Θεοῦ πατρὸς λόγος ἐν μορφῇ τοῦ γεγενημένος ὑπάρχων, καὶ ἴσος ὢν αὐτῷ, κατῴκησεν ἐν ἀνθρώπῳ γενηθέντι διὰ γυναικός. καὶ τοῦτό ἐστιν ἡ κένωσις, καὶ τὸ τῆς ταπεινώσεως χρῆμα, καὶ τὸ ἐν τῇ τοῦ δούλου * καθικνεῖσθαι μορφῇ. εἶτα, ὦ βέλτιστοι, τὸ κατοικῆσαι μόνον ἐν ἀνθρώπῳ τὸν ἐκ θεοῦ λόγον, ἀρκέσειεν ἂν εἰς κένωσιν αὐτῷ; καὶ ἀσφαλὲς εἰπεῖν, ὅτι τε οὕτως ὑπέδυ τὴν τοῦ δούλου μορφὴν, καὶ οὕτως αὐτῷ γένοιτ' ἂν ὁ τῆς ταπεινώσεως τρόπος; καί τοι λέγοντος; ὡς ἀκούω, τοῖς ἁγίοις ἀποστόλοις. ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. ἀκούεις, ὅπως ἐν τοῖς ἀγαπῶσιν αὐτὸν συγκατοικήσειν αὐτῷ καὶ αὐτὸν ἔφη τὸν θεὸν καὶ πατέρα; ἆρ' οὖν καὶ αὐτὸν κεκενῶσθαι δώσομεν, καὶ τὴν ὁμοίαν ἀνατλῆναι * κένωσιν τῷ υἱῷ, καὶ τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν, ὅτι τὰς τῶν ἀγαπώντων αὐτὸν ψυχὰς ἁγίας ποιεῖται μονὰς ἰδίας; τί δὲ τὸ ἅγιον πνεῦμα τὸ κατοικοῦν ἐν ἡμῖν; ἆρα καὶ αὐτὸ τῆς ἐνανθρωπήσεως ἀπεπλήρου τὴν οἰκονομίαν, ἣν διὰ μόνου τοῦ υἱοῦ πεπρᾶχθαί φαμεν τῆς πάντων ἕνεκα σωτηρίας καὶ ζωῆς; ἅπαγε τῆς οὕτω περιττῆς καὶ ἀνοήτου παντελῶς εἰκαιοβουλίας.

* καθικνεῖσθαι.

* ταπείνωσιν.

ιε'.

Τεταπείνωκε τοίνυν ἑαυτὸν ὁ ἐν μορφῇ καὶ ἰσότητι τοῦ θεοῦ καὶ πατρὸς ὑπάρχων λόγος, ὅτε γενόμενος σὰρξ, καθά φησιν Ἰωάννης, γεγένηται διὰ γυναικός. καὶ ὁ γένησιν ἔχων τὴν ἐκ θεοῦ πατρὸς, καὶ τὴν καθ' ἡμᾶς ὑπέμεινε παθεῖν δι' ἡμᾶς· ἐπεὶ διδασκόντων αὐτοὶ, κατὰ τίνα τρόπον ὁ ἐκ θεοῦ πατρὸς λόγος Χριστὸς ἂν νοοῖτο καὶ λέγοιτο πρὸς ἡμῶν; εἰ ἀπό γε τοῦ κεχρίσθαι Χριστὸς ὀνομάζεται, τίνα κέχρικεν ὁ πατὴρ τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως, ἤτοι τῷ ἁγίῳ πνεύματι; εἰ μὲν οὖν ἰδικῶς τὸν μόνον ἐξ αὐτοῦ γενηθέντα θεὸν λόγον, καὶ τοῦτο εἶναί φασιν ἀληθὲς, ἀγνοοῦσιν ὅπως καὶ τὴν τοῦ μονογενοῦς ἀδικοῦσι φύσιν, καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας παρασημαίνουσι τὸ μυστήριον. εἰ γὰρ κέχρισται τῷ ἁγίῳ πνεύματι θεὸς ὢν ὁ λόγος, ἐπιδεᾶ πάντως ἁγιασμοῦ καὶ οὐχ ἑκόντες ὁμολογήσουσι κατὰ τοὺς ἄνωθεν ἔτι χρόνους ὑπάρχειν αὐτὸν, καθ' οὓς οὔπω κεχρισμένος, ἀμέτοχος ἦν ἔτι τῆς εἰς ὕστερον αὐτῷ δοθείσης δωρεᾶς. τὸ δὲ ἁγιασμοῦ τητώμενον σαλεύεται κατὰ φύσιν, καὶ οὐκ ἂν νοοῖτο παντελῶς ἡμοιρηκὸς ἁμαρτίας, ἤτοι τοῦ δύνασθαι πλημμελεῖν. ὑπομεμένηκεν οὖν * ἄρα καὶ τροπὴν τὴν εἰς τὰ ἀμείνω τυχὸν ὁ λόγος. πῶς οὖν ὁ αὐτός ἐστι, καὶ οὐκ ἠλλοίωται; καὶ εἰ θεὸς ὢν ὁ λόγος, καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ πατρὸς, ἐχρίετό τε καὶ ἡγιάζετο, φαίη τις ἂν ἴσως ὡς ἀπό γε τοῦ πράγματος εἰς ἐξιτήλους ἐννοίας ἀπενηνεγμένος, ὅτι τάχα που καὶ αὐτὸς ὁ πατὴρ δέοιτ' ἂν ἁγιασμοῦ. μᾶλλον δὲ ἤδη καὶ μείζων αὐτοῦ ἀναπέφηνεν ὁ υἱὸς, εἴπερ ἡγίασται μὲν αὐτὸς, ἴσος ὢν αὐτῷ, καὶ ἐν μορφῇ πρὸ τοῦ ἁγιασμοῦ. ὁ δὲ ἐναπομεμένηκεν οἷς ἦν ἀεὶ, καὶ ἐστὶ καὶ ἔσται, οὔπω τὴν εἰς τὰ ἀμείνω λαβὼν ἐπίδοσιν διά γε τοῦ ἡγιάσθαι, καθ' ὁμοιότητα τοῦ υἱοῦ· μεῖζον δὲ ἤδη καὶ ἀμφοῖν ὁρᾶται τὸ πνεῦμα τὸ ἁγιάζον αὐτοὺς, εἴπερ ἐστὶν οὐκ ἐνδοιαστὸν, ὡς ἁπάσης ἀντιλογίας δίχα, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. ἀλλὰ ἐστὶ ταῦτα λῆρος, καὶ τερθρεία, καὶ ἀποπληξίας ἐγκλήματα. ἁγία γὰρ κατὰ φύσιν ἡ ὁμοούσιος τριάς. ἅγιος ὁ πατὴρ, ἅγιος καὶ ὁ υἱὸς οὐσιωδῶς κατὰ τὸν ἴσον τρόπον· ὁμοίως δὲ καὶ τὸ πνεῦμα. οὐκοῦν ὅσον ἧκεν εἰς ἰδίαν φύσιν, οὐχ ἡγίασται καταμόνας ὁ ἐκ Θεοῦ πατρὸς λόγος.

* ὅτι.

ιϛ'.

Εἰ δὲ δή τις οἴοιτο τὸν ἐκ τῆς ἁγίας παρθένου γεγενημένον κεχρίσθαι τε καὶ ἡγιάσθαι μόνον, ταύτῃ τοι καὶ ὠνομάσθαι Χριστὸν, λεγέτω παρελθὼν, εἰ ἀπόχρη τὸ χρίσμα πρὸς τὸ ἀποφῆναι * τὸν ἀλειφόμενον ἰσοκλεᾶ καὶ ὁμόθρονον τῷ πάντων ἐπέκεινα Θεῷ. καὶ εἰ μὲν ἀπόχρη τὸ χρίσμα, καὶ τοῦτο ἐροῦσιν, ὡς ἔστιν ἀληθές· κεχρίσμεθα καὶ ἡμεῖς. καὶ μαρτυρήσει λέγων ὁ θεσπέσιος Ἰωάννης· καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου. ἐσόμεθα δὴ οὖν ἐν ἴσῳ τάχα που καὶ ἡμεῖς αὐτοὶ τῷ Θεῷ. εἴργει δὲ, οἶμαι, παντελῶς οὐδὲν καὶ συνεδρεύειν αὐτῷ, καθάπερ ἀμέλει καὶ αὐτὸς ὁ Ἐμμανουήλ. εἴρηται γὰρ πρὸς αὐτόν. κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. προσκυνείτω καὶ ἡμᾶς ἡ τῶν ἄνω πνευμάτων ἁγία πληθύς. ὅταν γάρ φησιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. Ἀλλ' ἡμεῖς μὲν, εἰ καὶ τῷ ἁγίῳ κεχρίσμεθα πνεύματι, τὴν μὲν τῆς υἱοθεσίας καταπλουτοῦμεν χάριν, κεκλήμεθα δὲ καὶ Θεοὶ, τό γε μὴν τῆς ἑαυτῶν φύσεως μέτρον οὐκ ἀγνοήσομεν. ἐσμὲν γὰρ ἐκ γῆς, καὶ τελοῦμεν ἐν οἰκέταις· ὁ δέ ἐστιν οὐκ ἐν οἷς ἡμεῖς, ἀλλὰ φύσει τε καὶ ἀληθῶς υἱὸς, καὶ τῶν ὅλων κύριος, καὶ ἐξ οὐρανοῦ.

* τὸν χρίσμενον.

ιζ'.

Καὶ οὐ δή που φαμὲν ὀρθὰ φρονεῖν ἠρημένοι, σαρκὸς γενέσθαι πατέρα τὸν Θεόν. οὐδ' αὖ τὴν τῆς θεότητος φύσιν γεγενῆσθαι διὰ γυναικὸς, οὔπω προσλαβοῦσαν τὸ ἀνθρώπινον. συνενεγκόντες δὲ μᾶλλον εἰς ἕνωσιν τόν τε ἐκ Θεοῦ φῦντα λόγον, καὶ τὸν ἐκ τῆς ἁγίας παρθένου τελείως ἄνθρωπον, ἕνα Χριστὸν Ἰησοῦν καὶ κύριον προσκυνήσομεν. οὔτε τῶν τῆς θεότητος ὅρων ἔξω τιθέντες διὰ τὴν σάρκα, οὔτε μὴν εἰς ἀνθρωπότητα ψιλὴν καταβιβάζοντες διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. οὕτω νοήσεις τὸν ἐκ Θεοῦ φῦντα λόγον τὴν ἑκούσιον ὑπομεῖ-

μεῖναι κένωστιν· ὕτω τεταπείνωκεν ἑαυτὸν, μορφὴν δούλου λαβών, ὁ κατὰ φύσιν ἰδίαν ἐλεύθερος· ὕτω σπέρματος Ἀβραὰμ ἐπελάβετο, καὶ κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, ὁ τοῦ Θεοῦ λόγος, εἰ γὰρ ἄνθρωπος νοεῖται φιλὸς, καθ' ὑμᾶς, πῶς ἕτερος παρ' αὐτὸν φυσικῶς ἐπελάβετο σπέρματος Ἀβραάμ; πῶς δὲ τῆς ἰδίας σαρκὸς κεκοινωνηκέναι λέγεται, ἵνα κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῇ; τὸ γάρ τισιν ὁμοιοῦσθαι λεγόμενον, ἐξ ἀνομοίου τινὸς ἐπὶ τὸ δεῖν ὁμοιοῦσθαι τρέχει.

ιή.

Ἐπελάβετο τοίνυν σπέρματος Ἀβραάμ, καὶ κεκοινώνηκεν αἵματος καὶ σαρκὸς ὁ τοῦ Θεοῦ λόγος, ἴδιον ποιησάμενος σῶμα τὸ ἐκ γυναικὸς, ἵνα μὴ μόνον ὑπάρχων Θεὸς, ἀλλ' ἤδη καὶ ἄνθρωπος γενόμενος, καθ' ἡμᾶς, νοοῖτο διὰ τὴν ἕνωσιν. ἀκουῶ ἐκ δυοῖν μὲν πραγμάτων ὁμολογουμένως, θεότητός τε καὶ ἀνθρωπότητος, ὁ Ἐμμανουήλ. πλὴν εἷς κύριος Ἰησοῦς Χριστὸς, εἷς τε καὶ ἀληθῶς υἱὸς, Θεός τε ὁμοῦ καὶ ἄνθρωπος. * ὁ θεοποιηθεὶς ἐν ἴσῳ τοῖς κατὰ χάριν, Θεὸς δὲ μᾶλλον ἀληθινὸς ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνὼς δι' ἡμᾶς. πιστώσεται δὲ τοῦτο ἡμᾶς καὶ ὁ θεσπέσιος Παῦλος λέγων· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν ἡμεῖς. εἶτα τίς ὁ * ἀποστελλόμενος ὑπὸ νόμον τε καὶ ἐκ γυναικὸς, ὡς ἔφη, γεγενημένος, πλὴν ὅτι πάλιν αὐτὸς, ὁ πρὸ μὲν νόμων, ὡς Θεός; ἐπειδὴ δὲ κεχρημάτικεν ἄνθρωπος γεγονὼς, καὶ ὑπὸ νόμον, ἵνα κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῇ· καὶ γοῦν σωτελεῖ μὲν ὁμοῦ τῷ Πέτρῳ τὸ δίδραχμον κατὰ τὸν Μωσέως νόμον· ὅτι δὲ ἔστιν ἐλεύθερος ὡς υἱὸς, καὶ νόμου κρείττων ὡς Θεὸς, καὶ εἰ γέγονεν ὑπὸ νόμον ὡς ἄνθρωπος, ἐδίδασκε λέγων· οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι κῆνσον, ἢ τέλη; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; Πέτρου δὲ φάσκοντος, ἀπὸ τῶν ἀλλοτρίων. ἐπήνεγκεν ὁ αὐτός· ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί. Οὕτως δὴ οὖν σαφῶς, ὡς οὐκ ἂν λέγοιτο Χριστὸς, ἔξω τε σαρκὸς ὑπάρχων, καὶ οἱονεὶ καταμόνας ὁ ἐκ Θεοῦ λόγος, πρεπόντως δὲ μᾶλλον αὐτῷ τῆς τοιᾶσδε κλήσεως, ὅτε γέγονεν ἄνθρωπος. φέρε δὴ φέρε δεικνύωμεν ἐξ αὐτῆς ἑλόντες τὰς πίστεις τῆς ἱερῶν γραμμάτων, ὅτι καὶ Θεὸς κατὰ φύσιν ἐστὶ, καὶ εἰς ἑνότητα σωσωσεγμένος. τὴν πρός γε φημὶ τὴν ἰδίαν σάρκα. ὃ δὴ πεφηνότος ἀληθῶς, θεοτόκος ἂν λέγοιτο πρὸς ἡμῶν, καὶ σφόδρα εἰκότως, ἡ ἁγία παρθένος.

ιθ'

Οὐκοῦν ὁ προφήτης Ἡσαΐας μονονουχὶ ἐνανθρωπήσαντα τὸν υἱὸν, καὶ ὅσον ἔπω παρεσόμενον προκατεδείκνυε λέγων· ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα· * παρακαλεῖσθε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φο-

βεῖσθε. ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται μογιλάλων γλῶσσα. ἆθρει δὴ οὖν, ὅπως καὶ κύριον ἀποκαλεῖ, καὶ Θεὸν ὀνομάζει, ἅτε λαλῶν ἐν πνεύματι· ὅτι μὴ ἄνθρωπον ἁπλῶς θεοφόρον ἐπίστατο τὸν Ἐμμανουήλ, ἅτε μὴ ὡς ἐν ὀργάνου τάξει παρειλημμένον, ἀλλὰ θεὸν ἀληθῶς καὶ ἐνανθρωπήσαντα. τότε γὰρ δὴ τότε καὶ ἀνεῴχθησαν μου ὀφθαλμοὶ τυφλῶν, ἤκουσαν δὲ καὶ ὦτα κωφῶν. τότε καὶ ἐλάφου δίκην ὁ χωλὸς ἀνεπήδα· γέγονε δὲ καὶ τρανὴ γλῶσσα μογιλάλων. ὅτως αὐτὸν τοῖς ἁγίοις διαγγελισαῖς * ἐκέλευε διακηρύττειν τὸ πνεῦμα τὸ ἅγιον, λέγον. ἐπ' ὄρους ὑψηλοῦ ἀνάβηθι ὁ διαγγελιζόμενος τῇ Σιών, ὕψωσον ἐν ἰσχύϊ τὴν φωνήν σου ὁ διαγγελιζόμενος τῇ Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε· εἶπον ταῖς πόλεσιν Ἰούδα· ἰδοὺ ὁ Θεὸς ὑμῶν, ἰδοὺ κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων αὐτοῦ μετὰ κυρείας. ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ ἔργον ἐνώπιον αὐτοῦ. ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ ἐν τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας. * ἐπέφανε γὰρ ἡμῖν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἰσχὺν ἔχων τὴν θεοπρεπῆ, καὶ μετὰ κυρείας βραχίονα, τουτέστιν ἐν ἐξουσίᾳ τε καὶ κυριότητι· τοιγάρτοι καὶ ἔφασκε τῷ μὲν λεπρῷ. θέλω, καθαρίσθητι. ἥπτετο δὲ τῆς σοροῦ, καὶ ἀνίστη τεθνεῶτα τὸν τῆς χήρας υἱόν.

κ'.

Συνήγαγε δὲ καὶ ἄρνας. ποιμὴν γάρ ἐστιν ἀγαθὸς, τὴν ψυχὴν αὐτοῦ θεὶς ὑπὲρ τῶν προβάτων. τοιγάρτοι καὶ ἔφασκε· καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσωσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. ἀρχόμενος δὲ τῆς ἐπ' αὐτῷ κηρυγμάτων καὶ ὁ θεσπέσιος βαπτιστὴς Ἰωάννης, ἅτε θεότητος ὄργανον, ἅτε μὴν ἄνθρωπον ἁπλῶς θεοφορούμενα κατά τινας, Θεὸν δὲ μᾶλλον μετὰ σαρκὸς, ἤγουν ἐνανθρωπήσαντα, τοῖς ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν διαγγελίζετο λέγων· ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. τίνος οὖν προστάττων ἑτοιμάζεσθαι τὰς ὁδὸς, πλὴν ὅτι Χριστοῦ, τουτέστιν ἐν ἀνθρώπου μορφῇ πεφηνότος τῷ λόγῳ; ἀπόχρη δὲ, οἶμαι, πρὸς τοῦτο καὶ ὁ θεσπέσιος Παῦλος ἐπιμαρτυρῶν τε καὶ λέγων· τί οὖν ἐροῦμεν; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν; τίς καθ' ἡμῶν; ὃς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; εἶτα, εἰπέ μοι, πῶς ἂν νοοῖτο Θεοῦ ἴδιος υἱὸς, ὁ ἐκ τῆς ἁγίας παρθένου; ὥσπερ γὰρ ἴδιον ἀνθρώπου, καὶ μιᾷ ἑκάστῃ τῶν ἐπὶ γῆς ζώων, τὸ ἐξ αὐτοῦ κατὰ φύσιν γεγεννημένον· ὅτως ἴδιον Θεοῦ, τὸ ἐκ τῆς οὐσίας αὐτοῦ νοοῖτ' ἂν εἶναι καὶ λέγοιτο. πῶς οὖν ἴδιος Θεοῦ υἱὸς ὠνόμασται ὁ Χριστὸς, ὃς καὶ δί-

δοται παρὰ Θεοῦ καὶ πατρός, τῆς ἁπάντων ἕνεκα σωτηρίας καὶ ζωῆς; παρεδόθη γὰρ διὰ τὰ παραπτώματα ἡμῶν, καὶ αὐτὸς ἀνομίας πολλῶν ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, κατὰ τὴν τοῦ προφήτου φωνήν. προδήλον οὖν, ὅτι τὸ τῆς ἑνώσεως χρῆμα παραληφθὲν ἀναγκαίως, ἴδιον υἱὸν ἀποφαίνει τοῦ Θεοῦ τὸν Ἐμμανουήλ, τὸν ἐκ τῆς ἁγίας παρθένου. σῶμα γὰρ ἦν οὐκ ἐπέρου τινὸς τῶν καθ' ἡμᾶς, ἴδιον δὲ μᾶλλον αὐτοῦ τοῦ ἐκ τοῦ πατρὸς ὄντος λόγου, τὸ γεγονὸς ἐξ αὐτῆς.

κά.

Εἰ δὲ δή φημι καὶ μόνῳ ἀπονέμει τις αὐτῷ τὴν ὀργανικὴν ὑπουργίαν, ἀποπέμψει καὶ οὐκ ἐκὼν καὶ τοῦ εἶναι κατὰ ἀλήθειαν υἱόν. ὑποκείσθω γάρ τις τῷ λόγῳ. φέρε εἰπεῖν, ἄνθρωπος· ἔσω δὲ αὐτῷ καὶ παῖς τὴν εἰς λύραν τεχνίτης, καὶ ψάλλειν τὰ ἄρισα μεμελετηκώς· ἆρα οὖν ὁ τοιοῦτος καταλογιεῖται τὴν λύραν καὶ τὸ τῆς φδῆς ὄργανον ἐν υἱοῦ τάξει σοὶ τῷ υἱῷ; καί τοι πῶς οὐκ ἄν θες λίαν τὸ χρῆμά ἐστιν; ἡ μὴ γὰρ λύρα εἰς ἔνδειξιν παρελήφθη τῆς τέχνης, ὁ δὲ ἐστι καὶ ὀργάνου δίχα, τοῦ τεκόντος υἱός. εἰ δὲ δὴ φαῖεν, ὅτι παρελήφθη πρὸς ὑπουργίαν ὁ ἐκ γυναικός, ἵνα δι' αὐτοῦ τελῶται τὰ θαύματα, καὶ τῆς διαγγελικῶν θεσπισμάτων ἀναλάμψῃ τὸ κήρυγμα. λεγέσθω καὶ ἕκαστον τῆς ἁγίων προφητῆς θεότητος ὄργανον, καὶ πρόγε τῆς ἄλλων ἁπάντων ὁ ἱεροφάντης Μωϋσῆς· ὃς ἀναιρῶν τὴν ῥάβδον, μετετίθη μὲν εἰς αἷμα τοὺς ποταμούς· διαχωρίζων δὲ καὶ αὐτὴν τὴν θάλατταν, διὰ μέσων ἰέναι κυμάτων ἐκέλευε τοῖς ἐξ Ἰσραήλ. ἐπιφέρων δὲ αὖτις ἀπέξαις, ὑδάτων αὐτὰς ἐποίει μητέρας, καὶ πηγὴν ἔδειξε τὴν ἀκρότομον· καὶ μεσίτης γέγονε Θεοῦ καὶ ἀνθρώπων, καὶ νόμου διάκονος ἦν, καὶ καθηγεῖτο λαῶν. ἔδει οὖν ἆρα τὸ πλεῖττον ἐν Χριστῷ, καὶ πεπλεονέκτηκε μὴ ἐδαμοῦ τοὺς πρὸ αὐτοῦ γεγονότας, εἰ ὡς ἐν ὀργάνων τάξει τε καὶ χρείᾳ κατὰ τὸν ἴσον τρόπον καὶ οὗτος παραλαμβάνεται. πεφλυάρηκε δὲ κατὰ τὸ εἰκὸς καὶ ὁ θεσπέσιος Δαβὶδ κἀκεῖνο εἰπών· ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ κυρίῳ; καὶ τίς ὁμοιωθήσεται τῷ κυρίῳ ἐν υἱοῖς Θεοῦ; Ψαλμ. 88.

κβ.

Ἀλλ' ὅγε σοφώτατος Παῦλος πελοῦντα μὲν ἐν οἰκέταις ἀποφαίνει Μωσέα, Θεὸν δὲ καὶ κύριον ἀποκαλεῖ τὸν ἐκ γυναικὸς οἰκονομικῶς γεγονότα, τουτέστι Χριστόν. γέγραφε γὰρ ὧδε· ὥστε ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ· πλείονος γὰρ δόξης οὗτος παρὰ Μωϋσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος· ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός. καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων, εἰς μαρτυρίαν τῶν λαληθησομένων. Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς. ἄθρει δὴ ἂν ὅπως ὁ τοῦ ἀν- Εβρ. 3.

θρωπότητος αὐτοῦ τετήρηκε μέτρον, καὶ τῆς ἀνωτάτω δόξης καὶ θεοπρεποῦς ἀξίας ἀπονέμει τὴν ὑπεροχήν· ἀρχιερέα γὰρ καὶ ἀπόστολον εἰπών, καὶ μὴν καὶ γνήσιον τῷ ποιήσαντι αὐτὸν εὖ μάλα διαβεβαιούμενος, τετιμῆσθαι μειζόνως ἢ κατὰ Μωσέα φησὶ, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. εἶτα προσάγει. πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος. ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός. ἔχων τέτακται μὲν ἐν ποιήμασι καὶ ἐν τοῖς * κατασκευασμοῖς ὁ θεσπέσιος Μωϋσῆς· κατασκευαστὴς * δὲ τῶν ὅλων ὁ τῆς ὅλων Θεός· καί τοι Θεοῦ λεγομένου κατασκευάσαι τὰ πάντα. Θεὸς ἦν ἄρα καὶ ἀληθινός ἀνενδοιάστως ἐστί. Μωϋσῆς μὲν ὡς θεράπων ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ πιστός, Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ· οὗ οἶκός ἐσμεν ἡμεῖς. καί τοι Θεοῦ λέγοντος διὰ φωνῆς προφητῆς. ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοί ἔσονταί μοι λαός. Λευιτ. 26. 11.

προσέβρεκε.

κατασκευαζομένοις.

δι' ὅλων τῆς δίκτυα Χριστός. καὶ τοι.

κγ.

Ἀλλὰ τίς ἂν νοοῖτο, φαίη τις ἂν ἴσως, ἡ διαφορὰ Χριστοῦ καὶ Μωϋσέως, εἴπερ ἄμφω γεγόνασι διὰ γυναικός; πῶς ὁ μὲν οἰκέτης καὶ ὡς ἐν οἴκῳ πιστός, ὁ δὲ καὶ φύσει κύριος ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, τουτέστιν ἡμᾶς; οἶμαι δὲ ἔγωγε παντὶ τὸ χρῆμα ὑπάρχειν ἐναργὲς, εἴπερ ἐστὶν ἐν καλῷ φρενὸς, καὶ νοῦν ἔχει Χριστοῦ, κατὰ τὸν μακάριον Παῦλον. ὁ μὲν γὰρ ἦν ἄνθρωπος, καὶ ὑπὸ ζυγὸν * δουλείας. ὁ δὲ κατὰ φύσιν ἐλεύθερος ὡς Θεός, καὶ δημιουργὸς τῆς ὅλων, καὶ κένωσιν ἀνατλὰς τὴν ἐθελούσιον δι' ἡμᾶς· ἀλλ' οὐχὶ τοῦτο αὐτὸν τῆς θεοπρεποῦς δόξης ἐξοικίσει, οὔτε μὴν τῆς ὑπερτάτης καὶ κατὰ πάντων ὑπεροχῆς * ἀποσοβήσει ποθέν. ὥσπερ γὰρ ἡμεῖς τὸ αὐτοῦ πνεῦμα πλουτήσαντες· κατῴκησε γὰρ ἐν ταῖς καρδίαις ἡμῶν· τετάγμεθα μὲν ἐν τέκνοις Θεοῦ, τύγε μὴν εἶναι τοῦθ' ὅπερ ἐσμὲν οὐκ ἀποβεβλήκαμεν· ἐσμὲν γὰρ ἄνθρωποι κατὰ φύσιν, καί τοι Θεῷ λέγοντες, Ἀββᾶ ὁ πατήρ· οὕτω καὶ αὐτὸς ὁ τῆς τοῦ Θεοῦ καὶ πατρὸς οὐσίας ἀπορρήτως ἐκπεφηνὼς Θεὸς λόγος, προσλαβὼν τὸ ἀνθρώπινον, τετίμηκε μὲν τὴν φύσιν, οὐ μὴν ἔξω γέγονε τῆς ἰδίας ὑπεροχῆς, μεμένηκε δὲ καὶ ἐν ἀνθρωπότητι Θεός. οὐκοῦν οὐκ ἐν ὀργάνου τάξει παρελήφθαί φαμεν τὸν ἐκ τῆς παρθένου * ναόν· ἐπόμενοι δὲ μᾶλλον τῇ πίστει τῆς ἱερῶν γραμμάτων, καὶ ταῖς τῆς ἁγίων φωναῖς, σάρκα γενέσθαι τὸν λόγον διαχειρισόμεθα, κατά γε τοὺς ἤδη πλειστάκις ἡμῖν προαποδοθέντας τρόπους * οὕτως καὶ τέθεικεν ὑπὲρ ἡμῶν τὴν ψυχήν. ἐπειδὴ γὰρ ἦν ὁ θάνατος αὐτοῦ τοῦ κόσμου σωτήριος, ὑπέμεινε σαυρὸν, αἰσχύνης καταφρονήσας, καί τοι ζωὴ κατὰ φύσιν ὑπάρχων, ὡς Θεός. πῶς οὖν ἡ ζωὴ τεθνάναι λέγεται; τῇ ἰδίᾳ σαρκὶ παθοῦσα τὸν θάνατον, ἵνα φαίνηται ζωὴ, ζωοποιοῦσα πάλιν αὐτήν. Ἑβρ. 2. 9.

* υἱόν.

* καὶ habetur quoque in Mss Seguierianis.

* ὑπὲρ σαρκ.

κδ.

κδ'.

Φέρε γὰρ καὶ ἐφ' ἡμῶν αὐτῶν ὁ τοῦ θανάτου πολυπραγμονείσθω τρόπος. οὐχ ἁπαστισοῦν τῶν εὖ φρονούντων ἐρεῖ τοῖς ἀπὸ γῆς σώμασιν * συγκαταφθείρεσθαι τὰς ψυχάς. ἀλλ' οἶμαι τοῦτό ἐστιν ἐν οὐδενὶ τῶν ὄντων ἐνδοιαστόν. πλὴν ἀνθρώπου θάνατος, τὸ συμβεβηκὸς ὀνομάζεται. οὕτω νοήσεις καὶ ἐπ' αὐτοῦ τοῦ Ἐμμανουήλ. ἦν μὲν γὰρ ὁ λόγος ὡς ἐν ἰδίῳ σώματι τῷ ἐκ γυναικὸς, ἐδίδου δὲ αὐτὸ τῷ θανάτῳ κατὰ καιρὸν, πάσχων μὲν οὐδὲν εἰς ἰδίαν φύσιν αὐτός· ζωὴ γάρ ἐστι καὶ ζωοποιός· οἰκειούμενος δὲ τὰ * σαρκικὰ, ἵνα καὶ αὐτοῦ λέγηται τὸ παθεῖν, καὶ εἷς ὁ πάντων, ἀναστὰς, τεθνεὼς ὑπὲρ πάντων, ἀγοράσῃ τῷ ἰδίῳ αἵματι τὴν ὑπ' οὐρανὸν, καὶ κατακτήσηται τῷ Θεῷ καὶ πατρὶ τοὺς ἀνὰ πᾶσαν τὴν γῆν. καὶ τοῦτο ὡς ἀληθὲς ὁ μακάριος προφήτης Ἡσαΐας διακηρύττει λέγων ἐν πνεύματι· διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη.

* τὸ συγκαταφθείρεσθαι.
* σαρκὸς.
Ἡσαΐ. 53.

κε'.

Εἷς οὖν ὁ πάντων ἀξιώτερος τὴν ἰδίαν ὑπὲρ πάντων τέθεικε ψυχήν. καὶ συνεχώρει μὲν οἰκονομικῶς καταβιάζεσθαι βραχὺ τῷ θανάτῳ τὴν σάρκα, * κατήργηκε δὲ πάλιν αὐτὸν ὡς ζωὴ, παθεῖν οὐκ ἀνεχομένη τὸ παρὰ φύσιν ἰδίαν· ἵνα καὶ ἐν τοῖς ἁπάντων ἀτονήσῃ σώμασιν ἡ φθορὰ, καὶ τοῦ θανάτου παραλύοιτο κράτος. ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες * ζωοποιηθησόμεθα. εἰ γὰρ μὴ πέπονθεν ἀνθρωπίνως ὑπὲρ ἡμῶν, οὐ δὲ ἐνήργησε θεϊκῶς τὰ εἰς σωτηρίαν ἡμῶν. λέγεται γὰρ πρότερον ἀποθανεῖν μὲν, ὡς ἄνθρωπος, ἀναβιῶναι δὲ μετὰ τοῦτο, διὰ τὸ εἶναι κατὰ φύσιν Θεός. εἰ τοίνυν οὐ πέπονθε τῷ τεθνάναι σαρκὶ, κατὰ τὰς γραφὰς, οὐδὲ ἐζωοποιήθη πνεύματι, τουτέστιν, οὐκ ἀνεβίω. καὶ εἰ τοῦτό ἐστιν ἀληθὲς, ματαία ἡ πίστις ἡμῶν· ἔτι ἐσμὲν ἐν ταῖς ἁμαρτίαις ἡμῶν. βεβαπτίσμεθα γὰρ εἰς τὸν θάνατον αὐτοῦ, κατὰ τὰς τοῦ μακαρίου Παύλου φωνὰς, καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἐσχήκαμεν διὰ τοῦ αἵματος αὐτοῦ.

* κατήργηκε.
* ζωοποιηθησόμεθα.
Ἡσαΐ. 53.

κς'.

Ἀλλ' εἴπερ ἐστὶν ὁ Χριστὸς οὔτε υἱὸς ἀληθῶς, οὔτε μὴν φύσει Θεὸς, ἄνθρωπος δὲ ψιλὸς καθ' ἡμᾶς, καὶ θεότητος ὄργανον, σεσώσμεθα μὲν οὐκ ἐν Θεῷ ποθεν, ἑνὸς δὲ μᾶλλον τῶν καθ' ἡμᾶς τεθνεῶτος ὑπὲρ ἡμῶν, καὶ δυνάμεσιν ἀλλοτρίαις ἐγηγερμένου. πῶς οὖν ἔτι κατηργήθη ὁ θάνατος διὰ Χριστοῦ; καί τοι λέγοντος ἀκούω σαφῶς περὶ τῆς ἰδίας ψυχῆς· οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. ἐξουσίαν γὰρ ἔχω θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. κατέβη γὰρ μεθ' ἡμῶν εἰς θάνατον διὰ τῆς ἰδίας σαρκὸς, ὁ θάνατον οὐκ εἰδὼς, ἵνα καὶ ἡμεῖς * ἀναβῶμεν σὺν αὐτῷ πρὸς ζωήν. ἀνεβίω γὰρ σκυλεύσας τὸν ᾅδην, οὐχ ὡς ἄνθρωπος καθ' ἡμᾶς, ἀλλ' ὡς Θεὸς ἐν σαρκὶ μεθ' ἡμῶν, καὶ ὑπὲρ * ἡμᾶς. κατεπλούτει δὲ ἡ φύσις ὡς ἐν αὐτῷ δὴ καὶ πρώτῳ τὴν ἀφθαρσίαν, καὶ συνετρίβη ὁ θάνατος, τῷ τῆς ζωῆς σώματι πολεμίου δίκην εἰσβαλών. ὥσπερ γὰρ νενίκηκεν ἐν τῷ Ἀδὰμ, οὕτω πέπτωκεν ἐν τῷ Χριστῷ. καὶ γοῦν ἀναβαίνοντι δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν πρὸς τὸν ἐν οὐρανοῖς πατέρα καὶ Θεὸν, ἵνα τοῖς ἐπὶ γῆς βάσιμον ἀποφήνῃ τὸν οὐρανὸν, τὰς ἐπινικίους ᾠδὰς ἀνετίθη λέγων ὁ θεσπέσιος μελῳδὸς· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος. ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε· ψάλατε. συνετῶς. ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, ἔφη δέ που καὶ ὁ μακάριος Παῦλος περὶ αὐτοῦ, λέγων· ὁ καταβὰς, ὁ αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.

* ἀναβιῶμεν.
* ἀναβαίνομεν.
* ἡμῶν.
Ψαλμ. 46.
Ἐφέσ. 4. 10.

κζ'.

Ὅτι τε τοίνυν καὶ Θεός ἐστιν ἀληθῶς, καὶ βασιλεὺς κατὰ φύσιν, εἴρηται δὲ καὶ τῆς δόξης κύριος ὁ ἐσταυρωμένος, πῶς ἂν ἐνδοιάσειέ τις θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον; προσκύνησον ὡς ἕνα, μὴ διελὼν εἰς δύο μετὰ τὴν ἕνωσιν. τότε γελάσει μάτην ὁ παράφρων Ἰουδαῖος, τότε κυριοκτόνος ἔσται κατὰ ἀλήθειαν· ἁλώσεται δὲ πεπλημμελικὼς οὐκ εἰς ἕνα τῶν καθ' ἡμᾶς, ἀλλ' εἰς αὐτὸν * τὸν τῶν ὅλων σωτῆρα Χριστόν. καὶ δὴ καὶ ἀκούσεται· οὐαὶ ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρὸν καὶ υἱοὶ ἄνομοι· ἐγκατελίπετε τὸν κύριον, καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ. ἑλλήνων δὲ παῖδες κατ' οὐδένα τρόπον τὴν τῶν χριστιανῶν διαμωμήσονται πίστιν. λελατρεύκαμεν γὰρ οὐκ ἀνθρώπῳ ψιλῷ. μὴ γένοιτο· Θεῷ δὲ μᾶλλον τῷ κατὰ φύσιν, οὐκ ἀγνοοῦντες αὐτοῦ τὴν δόξαν, κἂν εἰ γέγονε καθ' ἡμᾶς, μεμενηκὼς ὅπερ ἦν, τουτέστι Θεὸς, δι' αὐτοῦ τε καὶ σὺν αὐτῷ τῷ Θεῷ καὶ πατρὶ εἴη δόξα σὺν ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* τὸν σωτῆρα Θεόν.
Ἡσαΐ. 1. 4.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας * προσφωνητικὸς πρὸς τὸν * εὐσεβέστατον βασιλέα Θεοδόσιον, περὶ τῆς ὀρθῆς πίστεως τῆς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

* λόγος.
* εὐλαβέστατον.

α'.

ΤΗΣ μὲν ἐν ἀνθρώποις εὐαλείας τὸ ἀνώτατον, καὶ ἀσυγκρίτοις διαφοραῖς τῶν ἄλλων ἁπάντων ἀνεστηκός τε καὶ ὑπερκείμενον, ὑμεῖς ὦ φιλό-

λόχριστοι βασιλεῖς, καὶ κλῆρος ὑμῖν ἐξαίρετός τε καὶ πρέπων παρὰ Θεοῦ, τῆς ἐνούσης αὐτῷ κατὰ πάντων * ὑπεροχῆς, εἰκὸς γὰρ ἐπὶ γῆς τὸ γέρας. κάμπτει μὲν γὰρ αὐτῷ πᾶν γόνυ, θρόνοι τε καὶ ἀρχαὶ, κυριότητες καὶ ἐξουσίαι, δοῦλον * ὑπέχουσαι τὸν αὐχένα, καὶ ταῖς καθηκούσαις ἀεὶ δοξολογίαις καταγεραίρουσι. πλήρη τε εἶναί φασι τὸν οὐρανὸν καὶ τὴν γῆν τῆς δόξης αὐτοῦ. ἴδοι δ' ἄν τις καὶ ἐπὶ τῆς ὑμετέρας γαληνότητος, τῆς οὕτω περιφανοῦς καὶ ἀνωτάτου πασῶν εὐκλείας διαπρέποντά τε καὶ ἐναργῆ τὸν τύπον. ὑμεῖς γάρ ἐστε καὶ τῶν εἰς λῆξιν ἀξιωμάτων πηγαὶ, καὶ ἁπάσης ὑπεροχῆς ἐπέκεινα, καὶ τῆς ἐν ἀνθρώποις εὐημερίας ἀρχὴ, καὶ γένεσις· καὶ νεύμασι μὲν τοῖς ἡμερωτάτοις τοῦ ὑμετέρου κράτους, πρὸς ἔννομόν τε καὶ ἀξιάγαστον καὶ ἀοίδιμον πηδαλιουχεῖται ζωὴν πᾶν ὅσον ἐστὶ τοῖς τῆς βασιλείας θώκοις ὑπεστρωμένον. οἱ δὲ τῆς ζεύγλης οὐκ ἀνεχόμενοι, πίπτουσι ῥᾳδίως, τῆς ἐνούσης ὑμῖν εὐσθενείας ἡττώμενοι. κἂν ἀστράψῃ μόνον ἡ βασιλέως ἀσπὶς, φροῦδα τὰ ἐκείνων οἴχονται, καὶ τῆς ἐνούσης αὐτοῖς ἀπονοίας τὸν οἰκεῖον εὐθὺς ἀποστήσαντες νοῦν, πεσόντες εἰς γόνυ ζητοῦσι τὸν ἔλεον. τοιγάρτοι κεκράτηκε τῆς ὑπ' οὐρανὸν τῶν ὑμετέρων ὑπασπιστῶν ἡ μαχιμωτάτη, καὶ ἐμπειροπόλεμος, καὶ ἀεὶ νικῶσα πληθύς. ὑμεῖς ἐστε τῶν πρὸς ἑῴαν καὶ ἑσπέραν καὶ ᾠδὴ, καὶ λύρα, καὶ ἁπάσης ὑπόθεσις εὐφημίας· ὑμᾶς οἱ πρὸς νότον, καὶ μὴν καὶ ὅσοι βορειότερον οἰκοῦσι τόπον, φωναῖς χαριστηρίοις στεφανοῦντες οὐ καταλήγουσιν. ἔρεισμα δὲ τὸ ἀκράδαντον τῆς οὕτω θεοφιλοῦς καὶ εὐαγεστάτης ὑμῶν βασιλείας, αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. δι' αὐτοῦ γὰρ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην, κατὰ τὸ γεγραμμένον. ἔστι γὰρ αὐτῷ παναλκὲς τὸ θέλημα, καὶ ἐν τῷ κατανεῦσαι μόνον ἡ παντὸς πλήρωσις ἀγαθοῦ. διανέμει δὲ καὶ λίαν ἑτοίμως τοῖς ἀγαπῶσιν αὐτὸν τὰ πάντων ἐξαίρετα, τῶν ὅσα ἐστὶν ἀξιόληπτα, καὶ τεθαυμασμένα. καὶ ἀπόχρη μὲν εἰς ἀπόδειξιν ὧν ἔφην, τὰ τῷ ὑμετέρῳ κράτει δεδωρημένα, δοθησόμενα δὲ ἔτι, καθὰ πεπιστεύκαμεν. ὅτι δέ ἐστι κρηπὶς ἀκατάσειστος ταῖς βασιλέων τιμαῖς, τῆς εἰς Θεὸν εὐσεβείας τὰ αὐχήματα, καὶ ἐξ αὐτῆς πειράσομαι τῆς ἁγίας καὶ θεοπνεύστου πληροφορῆσαι γραφῆς, βραχυλογήσας, ὡς ἔνι.

* ὑπεροχῆς εἰκονα ἐπὶ γῆς φέρων.
* ὑπερέχουσι.
παροιμ. 8. 15.

β'.

Πλεῖστοι μὲν γὰρ ὅσοι γεγόνασι κατὰ καιροὺς, οἱ τῆς Ἰουδαίων ἄρξαντες χώρας, καὶ τοὺς τῆς παρ' αὐτοῖς βασιλείας διέποντες θρόνους. ἀλλ' οἱ μὲν τῆς εἰς Θεὸν αἰδοῦς ἀνοσίως ὀλιγωρήσαντες, καὶ τὸν τῆς δικαιοσύνης πρύτανιν παρ' οὐδὲν ποιούμενοι νόμον, καὶ τοῖς τῆς * φαυλότητος βόθροις ἑαυτοὺς ἐνιέντες οἱ τάλανες, κακοικακῶς ἀπολώλασι. παγχάλεπον γὰρ τὸ προσκρούειν Θεῷ, καὶ κατά τι γοῦν ὅλως ἔξω φέρεσθαι τοῦ εἰκότος, λυποῦντας αὐτόν. ὅσοι δὲ τῆς εἰς αὐτὸν εὐσεβείας γεγόνασιν ἐπιμεληταὶ, καὶ τῶν ἀρεσκόντων αὐτῷ γνήσιοι φύλακες, νενικήκασιν ἐχθροὺς ἀμογητὶ, καὶ κεκρατήκασι τῶν δι' ἐναντίας. τοιοῦτός τις ἦν Ἰωσίας ἐκεῖνος, ὃς αὐτοῖς τεμένεσι καὶ βωμοῖς τοὺς τῶν εἰδώλων κατεμπρήσας θεραπευτὰς, γοητείας τε ἁπάσης καὶ ψευδομαντείας τρόπους περιελὼν, καὶ τὰ τῆς δαιμονιώδους ἀπάτης καταλύσας παίγνια, τοῦ παντὸς ἀξίαν ἀπέφηνε λόγου τὴν ἑαυτοῦ βασιλείαν, καὶ ἀξιάγαστον μὲν τοῖς πάλαι, τεθαυμασμένην δὲ καὶ εἰς δεῦρο, παρά γε τοῖς εἰδόσι τιμᾶν τὰ οἷς ἂν ὁ θεῖος ἐφήδοιτο νοῦς. ἀλλὰ ταυτὶ μὲν ἅπαντα τοῖς ὑμετέροις προγόνοις, καὶ ὑμῖν αὐτοῖς εὖ μάλα κατώρθωται. διαμεμνήσομαι δὲ χρησίμως καὶ τῶν ἐν Ἐζεκίᾳ τῷ σοφωτάτῳ κατὰ καιροὺς πεπραγμένων. ὀνήσει γὰρ οὐ μετρίως τὴν εὐσεβεστάτην ὑμῶν κορυφὴν ἡ τῶν λόγων δύναμις.

* φιλαυτότητος.

γ'.

Ἀνήρ τις τῶν ἐκ Βαβυλῶνος τῆς Περσικῆς, Ραψάκης οὗτος ἦν. οὗτος ἀνεῖλε μὲν ἅπασαν, ὡς ἔπος εἰπεῖν, τὴν τῶν Ἰουδαίων χώραν· καταδῃώσας δὲ σὺν αὐτῇ τὴν Σαμάρειαν, ἐπ' αὐτὴν ᾔει τὴν Ἱερουσαλὴμ * μυριάνδρῳ πληθύϊ τῶν ὑπὸ χεῖρα δορυφορούμενος· καὶ φάλαγγα μὲν ἱππικὴν οὐκ εὐχείρωτον ἔχων, μᾶλλον δὲ καὶ δυσάντητον· ὁπλίτην δὲ πεζομάχον, καὶ ταῖς ψάμμοις ἰσάριθμον. εἶτα τῷ τείχει * περιστήσας ἑλεπόλεις, καὶ τὴν τοῦ πολέμου παρασκευὴν, ἀπονοίαις τε βαρβαρικαῖς οὐ μετρίως κατωφρυωμένος, αἱρήσειν μὲν κατὰ κράτος ὁμοῦ ταῖς ἄλλαις καὶ αὐτὴν ἔφασκε τὴν ἁγίαν πόλιν, καὶ τῆς ἀῤῥήτου δόξης κατεθρασύνετο καὶ παλιμφήμους ἠφίει φωνὰς, ἀκρατῆ καὶ ἀχάλινον τὴν γλῶσσαν ἀνεὶς ἐπὶ Θεῷ. ἔφη γὰρ ὅτι κἂν εἰ βούλοιτο σώζειν αὐτοὺς, ἀνόνητον ἔσεσθαι τοῖς ἐπ' αὐτῷ πεποιθόσι τὴν χάριν τῆς ἐπικουρίας. ἐπειδὴ δὲ ἧκόν τινες ἀπαγγέλλοντες τῷ βασιλεῖ τῆς ἐκείνου σκαιότητος τὰ τολμήματα, καὶ τοὺς Περσικοῦ φρονήματος γέμοντας λόγους· τότε δὴ τότε μόναις ὥσπερ ἐπαλγήσας ταῖς κατὰ Θεοῦ δυσφημίαις, καὶ τοῦ τὴν πόλιν ἁλῶναι ταύτην ἔσεσθαι πρόφασιν ἐμφρόνως ὑπειληφὼς, περιεῤῥήγνυτο τὴν ἐσθῆτα, καὶ εἰς τὸν οἶκον ἀνέβη τοῦ Θεοῦ, Λιταῖς δηλονότι τὴν θείαν ὀργὴν ὑποτρέχων, καὶ τῶν ἐπὶ ταῖς δυσφημίαις αἰτιαμάτων ἑαυτὸν ἀπαλλάττων. καὶ τί τὸ ἐντεῦθεν; εὐμενῆ καὶ ἵλεων κατεστήσατο τὸν τῶν δυνάμεων κύριον· νενίκηκε τὸν Ἀσσύριον· οὐχ ἵππον εἰς μάχην ὁπλίσας εὐχάλινον, οὐ τοξοτῶν εὐστοχίαις, οὐ δοράτων βολαῖς, οὐδὲ ταῖς τῶν τακτικῶν ἐμπειρίαις τῶν ὑπὸ χεῖρα χρώμενος, ψήφῳ δὲ μᾶλλον τῇ παρὰ Θεοῦ, τῆς τῶν Ἀσσυρίων στρατιᾶς τὸν ἐν μιᾷ νυκτὶ καθορίσαντος θάνατον. ἐξῆλθε γὰρ, φησὶν, ἄγγελος κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. καὶ ἀναστάντες τῷ πρωΐ, εὗρον πάντα τὰ σώματα νεκρά. οὗτοι τῆς εἰς Θεὸν εὐσεβείας καρποὶ, καὶ τοῦ μὴ ἀναχέσθαι φωνῆς, εἰ κατ' αὐτῆς τῆς θείας * γένοιτο δόξης.

ἡσαι. 36.
* μυριάδων.
* παρατήσας.
* λέγοιτο.

δ'.

δ'.

Δεῖν δὲ οἶμαι μάλιστα ταῖς βασιλέων εὐσεβέσιν ἀκοαῖς παλίμφημον μὲν οὐδὲν λαλεῖσθαι κατὰ Θεοῦ, ἐκεῖνα δὲ μᾶλλον, ὅσα καὶ μώμου παντὸς καὶ διαβολῆς ἐπέκεινα τρέχει, καὶ τῆς πρεπούσης δοξολογίας αὐτῷ ποιεῖται τὴν ἔκτισιν. ἄριστα δὲ τοῦτο κἀγὼ εἰδὼς ἔχειν, παρωρμήθην ἀναγκαίως, τῆς ὀρθῆς τε καὶ ἀποστολικῆς πίστεως τὴν παράδοσιν ἐγγράψαι μὲν τῷδε τῷ βιβλίῳ, ξένιον δὲ ὥσπερ τι πνευματικὸν προσκομίσαι τῷ ὑμετέρῳ κράτει, καὶ αὐταῖς δὲ ταῖς θεοφιλεστάταις ἀληθῶς βασιλίσιν, αἳ τῇ ὑμετέρᾳ γαληνότητι συναστράπτουσι. καὶ ἡ μὲν ταῖς εὐκταιοτάταις ὑμῖν ἐπαυχοῦσα γοναῖς, καὶ τῆς εἰσαεὶ διαμονῆς τὰς ἐλπίδας τοῖς σκήπτροις εἰσφέρουσα. ἡ δὲ τοῖς παρθενικοῖς βλαστήμασι συνακμάζουσα, καὶ τὰς τῆς εὐκλεεστάτης ὑμῶν βασιλείας οἰκειουμένη φροντίδας. λίθοι μὲν οὖν ἰνδικοὶ τὰς ἀοιδίμους ὑμῶν καταφαιδρύνουσι κεφαλάς. ψυχῆς δὲ καὶ νοῦ νοητὸς ἂν γένοιτο κόσμος, πίστις ὀρθὴ καὶ ἀκαπήλευτος. ἢν ὅτι τηρήσετε τεθαρσηκὼς, προσάγω * τὸν λόγον, ὡς ἔρεισμα νοῦ, καὶ ψυχῆς ἀγλαΐσμα, καὶ καρδίας στέφανον. γέγραπται γὰρ, ὅτι κρείσσων σοφία λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. οὐκοῦν διὰ βραχέων εἰπεῖν πειράσομαι τὰ περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς, καὶ ὅ, τι ποτέ ἐστι τὸ ἐπ' αὐτῷ μυστήριον, διαρθροῦν ὅτι μάλιστα σαφῶς, κατά γε τὸ ἐγχωροῦν τοῖς ἐν ἐσόπτρῳ καὶ αἰνίγματι βλέπουσι, καὶ ἐκ μέρους γινώσκουσι, κατὰ τὸ μέτρον τῆς δωρεᾶς τῆς ἐπιχορηγίας τοῦ πνεύματος, καθὰ καὶ ὁ θεσπέσιος γράφει Παῦλος. οὐδεὶς γὰρ λέγει κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ· καὶ οὐδεὶς λέγει ἀνάθεμα Ἰησοῦν, εἰ μὴ ἐν Βεελζεβούλ.

* λέγειν.

ε'.

Φαίη δ' ἂν, οἶμαι, τίς· οὐκοῦν ἐπειδή σοι καὶ τῆς ἐπὶ τούτῳ κόνεως ἅψεσθαι δοκεῖ, καὶ τὸν οὕτω διαβριθῆ καὶ δύσοιστον ἀνατλῆναι πόνον, ἀοκνότατα διασάφει τὸν ἀκριβῆ τε καὶ ἀκιβδήλευτον, καὶ πάσης αἰτίας ἀπηλλαγμένον ἐπὶ Χριστῷ λόγον. διαφόροις γὰρ δόξαις καταμεθύουσί τινες, παραπλάττοντες εἰς τὸ ἀκαλλὲς τὰ ἐπ' αὐτῷ * κεχρησμωδημένα παρά τε τῆς νέας καὶ ἀρχαιοτέρας γραφῆς. οὐκ ἠγνοήκαμεν οὖν, ὡς οὐκ ἀνεποιτήδευτόν ἐστι τῶν ἀτόπων τοῖς ἀσυνέτοις οὐδέν· πίπτουσι δὲ καὶ λίαν ἑτοίμως εἰς πέταυρον ᾅδου, κατὰ τὸ γεγραμμένον, καὶ εἰς παγίδα θανάτου, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται. τίνες δ' ἂν εἶεν οἱ παρ' ἑκάστῳ θρύλλοι, καὶ τὰ σεμνὰ μυθάρια, διειπεῖν ἀναγκαῖον.

* κεχρησμοδοτημένα.

ς'.

Οἱ μὲν γὰρ, ὅτι πέφηνε μὲν ἄνθρωπος ὁ ἐκ Θεοῦ πατρὸς λόγος, οὐ μὴν ὅτι καὶ πεφόρηκε τὴν ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου σάρκα, φρονεῖν τε καὶ λέγειν τετολμήκασι. καταψεύδονται δὲ μόνην τοῦ μυστηρίου τὴν δόκησιν. ἕτεροι δ' αὖ κατερυθριᾶν * σκεπτόμενοι, τὸ δοκεῖν ἀνθρώπῳ προσκυνεῖν, καὶ τὴν ἀπὸ γῆς σάρκα ταῖς ἀνωτάτω δόξαις στεφανοῦν παραιτούμενοι, ἐκ τῆς ἄγαν ἀμαθίας νόθην τινὰ καὶ παρεφθαρμένην νοσοῦντες εὐλάβειαν, παρατετράφεσθαι φασὶ τὸν ἐκ Θεοῦ πατρὸς φῦντα λόγον εἰς ὀστέων τε καὶ νεύρων καὶ σαρκὸς φύσιν, τὴν ἐκ παρθένου γένησιν τοῦ Ἐμμανουὴλ πλατὺ γελῶντες οἱ τάλανες, καὶ τὸ ἀπρεπὲς καταγράφοντες τῆς οὕτως ἀρίστης καὶ θεοπρεποῦς οἰκονομίας. οἱ δὲ καὶ ὀψιγενῆ τὸν συναΐδιον τῷ πατρὶ θεὸν λόγον εἶναι πεπιστεύκασι, καὶ εἰς τὸ μόλις ὑπάρξαι διακεκλῆσθαι τότε, ὅτε καὶ τῆς κατὰ σάρκα γεννήσεως ἔλαχε τὴν ἀρχήν. εἰσὶ δὲ οἱ καὶ πρὸς τοῦτο μανίας δυσσεβῶς ἠγμένοι, ὥστε καὶ ἀνυπόστατον τὸν ἐκ Θεοῦ φασιν εἶναι λόγον, ῥῆμα δὲ ἁπλῶς τὸ κατὰ μόνην νοούμενον προφορὰν ἐν ἀνθρώπῳ γενέσθαι. Μάρκελλος δὲ οὗτοι καὶ Φωτεινός. δοκεῖ γε μὴν καὶ ἑτέροις ἐνανθρωπῆσαι μὲν ἀληθῶς τὸν μονογενῆ, καὶ ἐν σαρκὶ γενέσθαι πιστεύειν, μὴ μὴν ἔτι καὶ ἐμψυχῶσθαι τελείως τὴν ἀναληφθεῖσαν σάρκα ψυχῇ λογικῇ, καὶ νοῦν ἐχούσῃ τὸν καθ' ἡμᾶς· εἰς ἑνότητα δὲ τὴν εἰς ἅπαν, ὥσπερ οὖν οἴονται, κατασφίγγοντες τόν τε ἐκ Θεοῦ λόγον, καὶ τὸν ἐκ τῆς ἁγίας παρθένου ναὸν, κατοικῆσαί φασιν ἐν αὐτῷ τὸν λόγον. καὶ ἴδιον μὲν ποιήσασθαι τὸ σῶμα τὸ ἀναληφθὲν, ψυχῆς δὲ αὐτὸν τῆς λογικῆς τε καὶ νοερᾶς ἀναπληροῦν τὸν τόπον. ἕτεροι δ' αὖ πρεσβεύουσι μὲν ταῖς τούτων δόξαις τὰ ἐναντία, καὶ ἀντιφέρονται τοῖς φρονήμασιν, ἔκ τε Θεοῦ λόγου καὶ ψυχῆς τῆς λογικῆς καὶ σώματος, ἤτοι τελείας ἁπλῶς ἀνθρωπότητος, συνεστάναι τε καὶ ἀναπεπλέχθαι διαβεβαιούμενοι τὸν Ἐμμανουὴλ· οὐ μὴν ἔτι καὶ ὑγιᾶ καὶ ἀμώμητον παντελῶς τὴν ἐπ' αὐτῷ τετηρήκασι δόξαν. καταδιϊστᾶσι γὰρ εἰς δύο τὸν ἕνα Χριστὸν, καὶ παχεῖαν ὥσπερ αὐτῆς ἐνιέντες τὴν διατομὴν, ἀνὰ μέρος ἑκάτερον μονονουχὶ καὶ ἑστῶτα παραδεικνύουσιν· ἕτερον μὲν εἶναι διατεινόμενοι τὸν ἐκ παρθένου τεχθέντα τελείως ἄνθρωπον, ἕτερον δ' αὖ τὸν ἐκ Θεοῦ πατρὸς λόγον· οὐχ ὅ, τι ποτέ ἐστιν * ἥ τε τοῦ Θεοῦ φύσις, καὶ τῆς σαρκὸς, διακρίνοντες, οὐδὲ μόναις ταῖς εἰς τοῦτο διαφοραῖς ἐμφιλοχωρεῖν ἐθέλοντες. οὐδὲ γὰρ ἂν ἐννοίας τῆς ἀληθοῦς εἰς τοῦτο διήμαρτον, ἐπεὶ μὴ φύσις ἡ αὐτὴ σαρκός τε καὶ θεότητος. ἀλλὰ τὸν μὲν ὡς ἄνθρωπον ἰδίᾳ τιθέντες καὶ ἀνὰ μέρος, τὸν δὲ, ὡς Θεὸν φύσει τε καὶ ἀληθῶς ὀνομάζουσι. καί τοι θέλοντες εἶναι χριστιανοί. καὶ δὴ καὶ λογίδια ἅττα περὶ τούτων συγγράφοντες, εἰπεῖν τετολμήκασιν αὐταῖς λέξεσιν, ὧδε. ὁ μὲν γὰρ φύσει καὶ ἀληθῶς υἱὸς ὁ ἐκ Θεοῦ πατρὸς λόγος ἐστὶν, ὁ δὲ, ὁμωνύμως τῷ υἱῷ υἱός. καὶ μεθ' ἕτερα πάλιν· σάρξ ὁ τοῦ Θεοῦ λόγος, ἀλλὰ ἄνθρωπον ἀνειληφώς. ὁ μὲν γὰρ μονογενὴς προηγουμένως καὶ καθ' ἑαυτὸν υἱὸς τοῦ Θεοῦ ἐστι, τοῦ πάντων δημιουργοῦ· ὃν δὲ ἀνέλαβεν ἄνθρωπον, οὐ φύσει Θεὸς ὢν, διὰ τὸν ἀναλαβόντα αὐτὸν ἀληθῶς

* σκεπτόμενοι.

* ἥ τε τοῦ λόγου φύσις.

υἱὸν Θεοῦ, ὁμωνύμως αὐτῷ χρηματίζει. τὸ μὲν γὰρ, οὐδεὶς ἔγνω τὸν υἱὸν, εἰ μὴ ὁ πατὴρ, τὸν φύσει τέλειον καὶ ἀληθείᾳ δηλοῖ ἐκ τοῦ πατρὸς υἱὸν. τὸ δὲ λεγόμενον ὑπὸ τοῦ Γαβριὴλ, μὴ φοβοῦ Μαριὰμ, εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ· καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ιησοῦν· τῷ ἀνθρώπῳ ἐφαρμόζει. ἀλλὰ ταυτὶ μὲν, ἐκεῖνοι. φρονήσομεν δὲ ἡμεῖς οὐχ ὧδε. ἀναπείσει γὰρ οὐδαμῶς τῶν ἑτεροδόξων ὁ λόγος, τροχιὰν ἀφέντες τὴν * ἐπ' εὐθεῖαν, διατρέχειν ἑτέραν τὴν ἔξω σκοποῦ καὶ διεστραμμένην.

* ἐπ' εὐθύ.
* διαστειχεῖν.

ζ'.

Καὶ εἰ μέν τις ἕλοιτο μακρὸν ἐφ' * ἕκαστον ποιεῖσθαι λόγον, καὶ διαρκῆ τὴν βάσανον, οὐκ εὐαρίθμητον μὲν δαπανήσει χρόνον. δυσαχθῆ δὲ ἱδρῶτα καὶ δυσδιάφυκτον ἀνατλὰς, κατορθώσει μόλις. παρέντες δὲ οὖν τὸ δεῖν οἴεσθαι μακρὰ καὶ σφόδρα στενολεσχεῖν, καὶ ὀλίγην κομιδῆ τὴν βάσανον ἐπιῤῥιπτοῦντες ἑκάστῳ, φέρε λέγωμεν καὶ πρό γε τῶν ἄλλων τοῖς δοκήταις· πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μή τε μὴν τὸ μέγα τῆς εὐσεβείας μυστήριον, τουτέστι Χριστόν. ὃς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ. δεῖν δὲ οἶμαι, τοὺς δι' ἐναντίας ἢ ψῆφον ἐπάγειν τὴν αἰσχίω τοῖς πάλαι, καὶ ψευδηγόρους ἀποκαλεῖν τοὺς τῆς οἰκουμένης μυστασταγωγοὺς, οἷς αὐτὸς ἔφη Χριστός· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. ἢ εἴπερ τοῦτο καταπεφρίκασι δρᾶν, ὀρθὰ μὲν ἑλέσθαι φρονεῖν τὰ ἐπὶ Χριστῷ. φράσαντας δὲ τὸ ἐῤῥῶσθαι δεῖν ταῖς σφῶν αὐτῶν ἀμαθίαις, ἀπρὶξ μὲν ἔχεσθαι τῶν ἱερῶν γραμμάτων, τὴν δὲ ἀπλανῆ τῶν ἁγίων διάγοντας τρίβον, ἐπ' αὐτὴν ἰέναι τὴν ἀλήθειαν

* ἑκάστῳ.
* πρὸς Τιμόθ. κεφ. 3. 16.

η'.

Εἴη γὰρ ἂν οὐχ ἕτερον οἶμαί τι τὸ τῆς εὐσεβείας μυστήριον, ἢ αὐτὸς ἡμῖν ὁ ἐκ Θεοῦ πατρὸς λόγος, ὃς ἐφανερώθη ἐν σαρκί. γεγέννηται γὰρ διὰ τῆς ἁγίας παρθένου καὶ θεοτόκου, μορφὴν δούλου λαβών· ὤφθη δὲ καὶ ἀγγέλοις, οἳ γεννηθέντα καταγεραίρουσι. δόξα τε, φασὶν, ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. καὶ μὴν καὶ τοῖς ποιμέσι κατασημαίνοντες τὸν δι' ἡμᾶς ἐν σαρκὶ Θεὸν λόγον, ἰδοὺ δὴ, φασὶν, ἐγεννήθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστι Χριστὸς κύριος, ἐν πόλει Δαυίδ. καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανωμένον, καὶ κείμενον ἐν φάτνῃ. εἰ Θεοῦ δὲ τόκος διὰ παρθένου, καὶ φανέρωσις ἐν σαρκὶ, πῶς οὐκ ἀδρανὴς εἰκαιομυθία; πῶς δὲ οὐχὶ μανία καὶ λῆρος, τὸ τῆς δοκήσεως ὄνομα τῆς οὕτω σαφοῦς τε καὶ ἐναργοῦς καταγράφειν οἰκονομίας; εἰ γὰρ σκιὰ καὶ δόκησις ἦν, καὶ οὔτε σάρκωσις ἀληθῶς, οὔτε μὴν τέτοκεν, ἡ παρθένος, οὐκ ἐπελάβετο σπέρματος Ἀβραὰμ ὁ ἐκ Θεοῦ πατρὸς λόγος, οὐχ ὡμοιώθη τοῖς ἀδελφοῖς. * σκιὰ γὰρ, οὐ τύπος τὰ καθ' ἡμᾶς, ἢ δόκησις· ἀλλ' ἐσμὲν ἐν σώμασιν ἁπτοῖς τε καὶ ὁρατοῖς, καὶ τὴν γηγενῆ δὴ ταύτην σάρκα κατημφιεσμένοι, καὶ φθορᾶς καὶ παθῶν ἡττώμεθα.

* ἴσως, ἡ σκιά· σκιὰ γὰρ τύπος τὰ καθ' ἡμᾶς, ἀλλ'.

θ'.

Οὐκοῦν εἰ μὴ γέγονε σὰρξ ὁ λόγος, οὐδὲ ἐν ᾧ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. οὐδὲ γὰρ ἄν τι πάθοι σκιά. οἴχεται δὴ οὖν το σύμπαν ἡμῖν εἰς τὸ μηδὲν ἀληθῶς. ποῖον γὰρ ἔτι νῶτον δέδωκεν ὑπὲρ ἡμῶν; ἢ ποίαν τοῖς παίουσι παρειὰν ὑποστρώσας, πρὸς τὰς ἐκ τῶν Ἰουδαίων διεκαρτέρει πληγάς; ἥλοις δὲ διαπεπάρθαι χεῖράς τε καὶ πόδας τὸν οὐκ ἐν σαρκὶ πεφηνότα, τίνα δὴ τρόπον οἰηθείη τις ἄν; ἢ ποίαν, εἰπέ μοι, πλευρὰν διανύττοντες οἱ Πιλάτου δορυφόροι, τὸ τίμιον αἷμα συναναβλύζον ὕδατι τοῖς θεωμένοις παρέδειξαν; καὶ εἰ χρὴ τούτων τὸ ἐπέκεινα λέγειν· οὔτε ἀπέθανεν ὑπὲρ ἡμῶν, οὔτε μὴν ἐγήγερται ὁ Χριστός. οὗ παραδεχθέντος εἰς ἀλήθειαν, κεκένωται μὲν ἡ πίστις, οἴχεται δὲ ὁ σταυρὸς, ἡ τοῦ κόσμου σωτηρία καὶ ζωὴ, καὶ διόλωλε παντελῶς ἡ τῶν ἐν πίστει κεκοιμημένων ἐλπίς. εὖ γὰρ ὧδε ἔχειν ἐδόκει καὶ τῷ μακαρίῳ Παύλῳ. παρέδωκα γὰρ ὑμῖν, φησὶν, ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς. καὶ ὅτι ἐτάφη. καὶ ὅτι ἐγήγερται τῇ ἡμέρᾳ τῇ τρίτῃ κατὰ τὰς γραφάς. καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα· ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν· ἔπειτα ὤφθη Ἰακώβῳ. ἔπειτα τοῖς ἀποστόλοις πᾶσιν· ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί. καὶ μεθ' ἕτερα πάλιν· εἰ δὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσιν ἐν ὑμῖν τινες, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται. εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν. κενὴ δὲ καὶ ἡ πίστις ἡμῶν, εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ, ὅτι ἤγειρε τὸν Χριστὸν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται. τεθναίη γὰρ ἄν, εἰπέ μοι, τίνα δὴ τρόπον ἡ σκιὰ; πῶς οὖν ἀνέστησε τὸν Χριστὸν ὁ πατὴρ σκιὰν ὄντα καὶ δόκησιν, καὶ τοῖς τοῦ θανάτου δεσμοῖς οὐχ ἁλώσιμον; οἰχέσθω δὴ οὖν ὁ ἐκείνων ἔμετος. μύθου δὲ ἄλλως, καὶ ἀνοσίου Βουλῆς ἀποβράσματα τὰ * παρ' αὐτοῖς ἡγούμεθα. τοὺς γὰρ τοιούτους ἡμῖν προκαταμήνυει γράφων τοῦ σωτῆρος ὁ μαθητής. ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον. ἐν τούτῳ γινώσκεται τὸ πνεῦμα τοῦ θεοῦ. πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ θεοῦ ἐστι. καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν, ἐκ τοῦ θεοῦ οὐκ ἔστι. καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου ὃ ἀκηκόατε, ὅτι ἔρχεται. καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. εἰ γὰρ μὴ γέγονεν ἄν-

* ἐκείνων.

ἄνθρωπος, μήτε μὴν ἀναβέβηκεν ἐν σαρκὶ πρὸς τὸν ἐν οὐρανοῖς πατέρα καὶ Θεὸν, οὐδ' ἂν ὑποστρέψῃ ἐξ οὐρανοῦ καθ' ἡμᾶς, ἄνθρωπος δηλονότι καὶ ἐν σαρκί.

ι.

Τὸ δὲ δὴ καὶ ἑτέρους οἴεσθαί τε καὶ φρονεῖν ἐξ ἀμετρήτου νωθείας γένησιν μὲν ἀνήνασθαι τὴν διὰ τῆς ἁγίας παρθένου τὸν ἐκ Θεοῦ φῦντα λόγον, καὶ φύσιν μὲν ἀτιμάσαι τὴν καθ' ἡμᾶς, παρατετράφθαι δὲ μᾶλλον αὐτὸν εἰς τὴν ἀπὸ τῆς γῆς σάρκα, δυσφημούντων ἐστὶ τὴν οἰκονομίαν, καὶ τοῖς θείοις σκέμμασιν ἐπιτιμᾶν ἠρημένων. ὁ μὲν γὰρ τῶν ὅλων δημιουργὸς, καὶ πολὺς εἰς ἔλεον τοῦ Θεοῦ λόγος κεκένωκεν ἑαυτὸν δι' ἡμᾶς, γενόμενος ἄνθρωπος, γενόμενος ἐκ γυναικὸς, ἵν' ἐπείπερ αἵματος καὶ σαρκὸς κεκοινώνηκε τὰ παιδία, τουτέστιν ἡμεῖς, καὶ αὐτὸς παραπλησίως μεταχῇ τῶν αὐτῶν· ἵνα διὰ τοῦ θανάτου, καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. ὧδε γὰρ ἔφη τὸ γράμμα τὸ ἱερόν. οἱ δὲ τῆς οὕτω παγκάλου καὶ ἀρίστης βουλῆς τὸ ἀπρεπὲς καθορίζουσι, καὶ ὥσπερ ἐνὸν αὐτοῖς τὰ ἀμείνω φρονεῖν, καὶ τοῖς τῆς σοφίας ἐπιτιμῶσι σκέμμασι· μὴ γὰρ δὴ χρῆναι λέγουσιν ὠδῖνα καὶ τόκον ἐκ γυναικὸς καταγράφειν ἡμᾶς τοῦ μονογενοῦς, οἴεσθαι δὲ μᾶλλον τὴν τοῦ λόγου φύσιν εἰς τὸ σαθρὸν δὴ τοῦτο καὶ γηγενὲς μετεστοιχειῶσθαι σῶμα, καὶ τροπὴν φαντάζεσθαι τοῦ τροπὴν οὐκ εἰδότος. ἐρήρεισται γὰρ ἡ τοῦ Θεοῦ φύσις ἐν ἰδίοις ἀγαθοῖς, καὶ ἀκατάσειστον ἔχει * σὺν ἐφ' οἷς ἐστι διαμονήν. φύσις μὲν γὰρ ἡ γενητὴ, καὶ χρόνῳ παρενεχθεῖσα πρὸς * γένεσιν, πάθοι ἂν τὴν ἀλλοίωσιν. καὶ οὐκ ἔξω λόγου τοῦ καθήκοντός τε καὶ ἀληθοῦς τὸ χρῆμα κείσεται. τὸ γὰρ ἀρχὴν ὅλως τοῦ εἶναι λαχὸν, οἱονεί πως ἤδη καὶ συνεσπαρμένον ἔχει τὸ ἀλλοιοῦσθαι δεῖν. Θεὸς δὲ ὁ παντὸς ἐπέκεινα νοῦ, καὶ φύσεως, καὶ γενέσεως, καὶ φθορᾶς, τὴν ὕπαρξιν ἔχων ἐξηρημένην τε καὶ * ὑπερίσχουσαν, ἀμείνων ἔσται καὶ τροπῆς. καὶ ὥσπερ τῷ τῆς ἰδίας φύσεως λόγῳ παντὸς τοῦ κεκλιμένου πρὸς γένεσιν ὑπερανέστηκέ τε καὶ ὑπερφέρεται, καὶ τοῦτο ἀσυγκρίτοις διαφοραῖς· οὕτω καὶ ἐν τοῖς εἰωθόσι συμβαίνειν τοῖς δι' αὐτοῦ γεγονόσιν ὑπερανεστήξει πάλιν παθεῖν, οὐκ εἰδὼς τὸ πεφυκὸς ἀδικεῖν. οὐκοῦν ἐν ἀγαθοῖς μὲν τὸ θεῖον ἀμεταπτώτοις ἐστί· τὰ δέ γε τῆς κτίσεως ἐν ἀλλοιώσει καὶ τροπαῖς, καὶ ἀγχίθυρον ἔχοντα τὴν * παραφοράν. καὶ τοῦτο γινώσκων εὖ μάλα, καὶ ὡς ἄριστα φιλοσοφῶν ὁ προφήτης Ἱερεμίας, ἀνεφώνει πρὸς τὸν Θεόν· ὅτι σὺ καθήμενος εἰς τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα. καθεδεῖται γὰρ ὥσπερ ἐν ἰδίοις θώκοις τὸ θεῖον ἀεὶ βασιλεῦον καὶ κατακρατοῦν τῶν ὅλων, καὶ ὑπὸ μηδενὸς τῶν παθῶν τυραννούμενον· ἡμεῖς δὲ τὴν φύσιν εὐτροχωτάτην καὶ εὐπαράφορον κομιδῇ πρὸς ἀλλοίωσιν ἔχοντες καὶ τροπὴν, ἀπολλύμεθα τὸν αἰῶνα, τουτέστιν ἐν παντί τε καιρῷ καὶ χρόνῳ φθαρτοί ἐσμεν καὶ τρεπτοί. οὔτ' οὖν τὸ θεῖον γένοιτ' ἄν ποτε ἐν παρατροπῇ τῆς ἰδίας ἑδραιότητος, ἐξωσθὲν ὑπὸ τῶν παθῶν· οὔτ' ἂν ἡ φθαρτήτε καὶ ἀλλοιουμένη φύσις, τουτέστιν ἡ γενητὴ, καταπλουτήσειεν ἂν οὐσιώδη τὴν ἀτρεψίαν, οὐδ' ἂν ἐπαυχήσειε τοῖς τῆς θείας φύσεως ἀγαθοῖς, ὡς ἰδίοις, ἡ κτίσις. ἀκούσεται γὰρ εὐλόγως. τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; ὅτι δέ ἐστιν ἄτρεπτος μὲν καὶ ἀναλλοίωτος παντελῶς ἡ τοῦ λόγου φύσις, ἀλλοιωτὴ δὲ πάντῃ ἡ γενητὴ, καταθρήσαι τις ἂν καὶ λίαν εὐκόλως, ἀναμελῳδοῦντος ἐν πνεύματι τοῦ μακαρίου Δαυίδ· οἱ οὐρανοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. πῶς τοιγαροῦν μεμένηκεν ὁ αὐτὸς ἔτι ὁ ἐκ Θεοῦ λόγος, εἴπερ ἐστὶν ἀληθὲς εἰπεῖν, ὅτι μεθεὶς τὸ ἐρηρεισμένως τε καὶ ἀκλονήτως ἔχειν, καταπεφοίτηκε μὲν εἰς ὅπερ οὐκ ἦν, μεταπεποίηται δὲ καὶ εἰς σαρκὸς φύσιν, καὶ εἰς τὸ φθείρεσθαι πεφυκός; ἆρ' οὖν οὐχὶ λῆρός τε ἤδη καὶ μανία ταυτί; καί τοι πῶς ἂν ἐνδοιάσειέ τις.

ιά.

Ὥρα γὰρ εἰπεῖν ταῖς ἐκείνων ἀμαθίαις ἀντιτείνοντας ἀμαθέστερον, ὡς ἔστιν οὐκ ἀπεικὸς, καὶ τὴν ἀπὸ γῆς σάρκα * πρὸς τὴν τῆς θεότητος φύσιν ἀναφοιτᾶν δύνασθαί ποτε, καὶ τῆς ἀνωτάτω πασῶν οὐσίας γενέσθαι σύστασιν. εἰ γὰρ αὐτὴ τῆς θεότητος φύσις, κατά γε τὴν ἐκείνων ἐμβροντησίαν εἰς τὴν τῆς σαρκὸς μετακεχώρηκε φύσιν, οὐδὲν ὡς ἔοικε τὸ ἀπεῖργον ἔτι, τὴν μὲν κάτω τε καὶ ἰδίαν φύσιν ὑπερπέτασθαι τὴν σάρκα, μεταπλάττεσθαι δὲ καὶ πρὸς θεότητα, καὶ εἰς οὐσίαν τὴν ἀνωτάτω. ἀλλ' οὐ ταῖς ἐκείνων ἀσυνεσίαις τὸ εὐπειθὲς χαριούμεθα, * ἑψόμεθα δὲ μᾶλλον ταῖς θείαις γραφαῖς, καὶ προφήτου μὲν λέγοντος· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· κατασφραγίζοντος δὲ τὴν προαναφώνησιν τοῦ μακαρίου Γαβριήλ, καὶ τὴν ἄνωθεν ψῆφον τῇ παρθένῳ διερμηνεύοντος. μὴ φοβοῦ γὰρ, ἔφη, Μαριάμ· ὅτι ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. ἐκ γυναικὸς οὖν ἀληθῶς γεγεννῆσθαι πιστεύομεν τὸν Ἐμμανουήλ, καὶ τὸ λαμπρόν τε καὶ ἀξιάγαστον τῆς ἑαυτῶν φύσεως οὐ διωστόμεθα καύχημα, φρονοῦντες ὀρθῶς. * ἐπεδράξατο γὰρ ὁ μονογενὴς οὐχὶ τῆς ἰδίας φύσεως. ἦν γὰρ ἂν οὐδέν τι μᾶλλον τὰ καθ' ἡμᾶς ἐν ἀμείνοσιν. ἀλλ' οὐδὲ τῆς ἀγγέλων· ἀλλὰ σπέρματος Ἀβραὰμ, καθὰ γέγραπται. ἦν γὰρ οὕτω, καὶ οὐχ ἑτέρως, τὸ διολισθῆσαν εἰς φθορὰν ἀνασώσασθαι γένος.

ιβ'.

Τί δὲ; οὐχὶ κἀκεῖνο πρὸς τοῖς δὲ καταθαυμάζειν ἄξιον; μονονουχὶ γὰρ καὶ τὸ ἐρρῶσθαι φράσαντες τῇ θεοπνεύστῳ γραφῇ, καὶ πνεύματι πλάνης τὸν οἰκεῖόν τινες ἀπονέμοντες νοῦν, εἰς τοῦτο καθίκοντο δυσβουλίας, καὶ μειρακιώδους ἀβελτηρίας, ὡς οἴεσθαι δεῖν, τὸν τῶν αἰώνων δημιουργὸν, τὸν συναΐδιον τῷ Θεῷ καὶ πατρὶ Θεὸν λόγον, τῇ τῆς σαρκὸς γενέσει συμπαρομαρτοῦσαν ἔχειν τῆς ὑπάρξεως τὴν ἀρχὴν, καὶ ὀψιγενῆ φαντάζεσθαι τὸν ἐπέκεινα παντὸς αἰῶ-

* τὴν ἐφ'
* ὕπαρξιν.
* ὑπερίσχουσαν.
* παραφοράν.
* εἰς.
* προσκεισόμεθα.
* ἐπελάβετο

νος καὶ χρόνου· ὡς ἐν ἐσχάτοις καὶ μόλις τοῖς τῆς ἐνανθρωπήσεως καιροῖς, πατέρα μὲν γενέσθαι τὸν Θεόν· συνεισβαλεῖν δὲ ὥσπερ εἰς τὸ εἶναί τε καὶ ὑφεστάναι τῷ ἐκ τῆς παρθένου ναῷ, τὸν δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα. ἆρ' οὖν οὐχὶ πρὸς λῆξιν ἤδη τὴν ἀνωτάτω διεληλάκασι τῶν κακῶν; οἱ μῦθον οὕτω γραώδη καὶ βδελυρὸν προχειρότατα προσηκάμενοι, καὶ τῆς ἀκράτου νωθείας τὸν οἰκεῖον ἀναπληρώσαντες νοῦν; τάφος ἀληθῶς ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν; ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, ὧν στόμα ἀρᾶς καὶ πικρίας γέμει. τὸν γάρτοι δι' οὗ τὰ πάντα, καὶ προϋφεστάναι τῶν * πάντων ἀνάγκη νοεῖν. τί δὲ δὴ καὶ δρῷεν ἄν; Ἰωάννου μὲν γράφοντος· ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονε. καὶ πάλιν· ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ἡμῖν. αὐτοῦ δὲ Χριστοῦ τῆς ἰδίας ὑπάρξεως τὴν ἄποπτον ἀρχαιότητα τοῖς Ἰουδαίοις κατασημήναντος. ἐπειδὴ γὰρ ἔφασκον. πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; ἀντήκουσαν ἐναργῶς. Ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. οὗ δὲ τὸ ἦν ἐστιν ἐπενηνεγμένου μηδενὸς, ναὶ μὴν καὶ τὸ, εἰμὶ, τέτακται σαφῶς, τίνα τῆς γενέσεως κατίδοι τις ἂν τὴν ἀρχήν; ἢ τίνα δὴ τρόπον ὁ ὢν ἐν ἀρχῇ τῇ παντὸς ἐπέκεινα νοῦ, παραδέξαιτο ἂν τὸ ἐν καιρῷ κεκλίσθαι πρὸς ὕπαρξιν; εἰ μὲν οὖν τις * ἕλοιτο τούτοις χολαιότερον ἀντιφέρεσθαι, χαλεπὸν οὐδὲν, τοὺς τῆς θεοπνεύστου γραφῆς παρακομίζοντας λόγους, τὰ ἐκ τῆς ἐκείνων ἐμβροντησίας ἀποκρούεσθαι βέλη. τά γε μὴν οὕτως ἐναργῆ νοσοῦντα τὸν ἔλεγχον, καὶ πολὺ λίαν ἔχοντα τὸ ἀκαλλὲς, περιττὸν οἶμαί που καὶ φροντίδος ἀξιοῦν. οὐκοῦν ἐπ' ἐκεῖνο ἴωμεν, ὅπερ ἐστὶ τῶν κατεγνωσμένων συγγενές.

* ἔντων.

* βάλοιτο
* ἕλοιτο.

ιγ'.

Παρασημαίνουσι γάρ τινες τῆς ἀληθείας τὸ κάλλος, καθάπερ τι νόμισμα κιβδηλεύοντες, ἐπαίροντές τε εἰς ὕψος τὸ κέρας, καὶ ἀδικίαν λαλοῦντες κατὰ τοῦ Θεοῦ, κατὰ τὸ γεγραμμένον. ἀνύπαρκτόν τε καὶ ἰδικῶς οὐχ ὑφεστηκότα φαντάζονται τὸν μονογενῆ· καὶ οὐκ εἶναι μὲν ἐν ὑποστάσει τῇ καθ' ἑαυτὸν, ῥῆμα δὲ ἁπλῶς, καὶ λόγον τὸν κατὰ μόνην τὴν προφορὰν γενέσθαι παρὰ Θεοῦ. ὡς καὶ ἐν ἀνθρώπῳ κατοικῆσαί φασιν οἱ τάλανες. συνθέντες δὲ οὕτω τὸν Ἰησοῦν, ἁγίων μὲν εἶναί φασιν ἁγιώτερον, οὐ μὴν ἔτι καὶ Θεόν. οὐκοῦν καθὰ καὶ ὁ τοῦ σωτῆρος ἐπιστέλλει μαθητὴς, τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος, ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; οὗτός ἐστιν ὁ ἀντίχριστος; ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν. πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔχει· ὁ ὁμολογῶν τὸν υἱὸν, καὶ τὸν πατέρα ἔχει. ἄμφω γὰρ καὶ δι' ἀμφοῖν, καὶ ἑκάτερος ἐν ἑκατέρῳ, πρός γε ἡμῶν αὐτῶν, καὶ τῶν ἁγίων ἀγγέλων ἐπιγινώσκονται. οὐ γὰρ ἄν τις ἀναμάθοι, τί ἐστι πατὴρ, εἰ μὴ υἱὸν ὑφεστῶτά τε καὶ γεγεννημένον εἰσδέξαιτο κατὰ νοῦν. ἀλλ' οὐδ' ἄν, ὅ, τί ποτέ ἐστιν ὁ υἱὸς ἀναμάθοι πάλιν, εἰ μὴ, ὅτι τέτοκεν ὁ πατὴρ, διενθυμοῖτο σαφῶς. οὐκοῦν ἀναγκαῖον οἶμαί που καὶ ἀσφαλὲς εἰπεῖν, ὡς εἴπερ ἐστὶν ἀνύπαρκτος ὁ υἱὸς, οὐδ' ἂν τὸν πατέρα πατέρα κατὰ τὸ ἀληθὲς νοήσωμεν ἄν. ποῦ γάρ ἐστι πατὴρ, εἰ μὴ τέτοκεν ἀληθῶς; ἢ εἴπερ γεγέννηκε τὸ μὴ ὑφεστὼς, μηδὲ ὑπάρχον ὅλως, τὸ γενηθὲν ἔσται τὸ μηδέν. τὸ γάρ τοι μὴ ὑφεστὼς, ἐν ἴσῳ τῷ μηδενὶ, μᾶλλον δὲ παντελῶς οὐδέν. εἶτα τοῦ μηδενὸς ἔσται πατὴρ ὁ Θεός.

ιδ'.

Ἀλλ' ὦ βέλτιστοι, φαίην ἂν ἔγωγε πρός γε τοὺς τῶν τοιούτων ἐξηγητάς. ὕθλος εἰκαῖος τὰ παρ' ὑμῶν. ἢ γοῦν ἐρομένῳ φράζετε· πῶς ἐξαίρετος ἡ εἰς ἡμᾶς ἀγάπησις τοῦ Θεοῦ καὶ πατρός; καὶ εἰ δέδωκεν ὑπὲρ ἡμῶν τὸν υἱὸν, τὸν καθ' ὑμᾶς οὐχ ὑφεστηκότα, τὸ μηδὲν ἄρα δέδωκεν ὑπὲρ ἡμῶν. καὶ οὔτε σὰρξ ὁ λόγος γέγονεν, οὔτε τὸν τίμιον ὑπέστη σταυρὸν, οὔτε κατήργηκε τοῦ θανάτου τὸ κράτος, οὔτε μὴν ἀνεβίωσε πάλιν. εἰ γάρ ἐστι τὸ μηδὲν καὶ ἀνύπαρκτος, καθ' ὑμᾶς, πῶς ἔν γε τούτοις γένοιτ' ἄν; πεφενάκικεν οὖν ἄρα τῆς ἁγίας γραφῆς ὁ λόγος τοὺς πεπιστευκότας, καὶ ἡ τῆς πίστεως ἑδραιότης οἴχεται πρὸς τὸ μηδέν. τί δέ; οὐκ ἐν μορφῇ Θεοῦ ὑπάρχειν τὸν υἱὸν, τὸ ἱερὸν ἡμῖν κατεσήμανε γράμμα, εἰκόνα τε αὐτὸν καὶ χαρακτῆρά φησι τοῦ γεγεννηκότος; καί τοι πῶς τοῦτό ἐστιν οὐχ ἅπασιν ἐναργὲς, αἱ δὲ εἰκόνες, ὡς τὰ ἀρχέτυπα; δεῖ γάρ, οὕτως αὐτὰς καὶ οὐχ ἑτέρως ἔχειν· οὐκοῦν, εἰ μὴ ἐνυπόστατος ἡ εἰκὼν, μέ τε μὴν ἐν ὑπάρξει νοοῖτο τῇ καθ' ἑαυτὸν ὁ χαρακτὴρ, ἀνυπόστατον εἶναι δώσουσιν ὡς ἐξ ἀναγκαίου λόγου, καὶ τὸν οὗπέρ ἐστι χαρακτὴρ, καὶ τὸ τῆς εἰκόνος ἀκαλλὲς ἀναδραμεῖται πάντως ἐπὶ τὸ ἀρχέτυπον.

ιε'.

Εἶτα εἰπέ μοι, Φίλιππος χριστομαθὴς ὢν ἄγαν, τὸν ὄντα καὶ ὑφεστηκότα πατέρα κατιδεῖν ἠξίου, λέγων· κύριε δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν; ἢ γοῦν τὸν οὐκ ὄντα καὶ ἀνυπόστατον; ἀλλ' οἶμαι φαίητις ἂν μελλήσας οὐδὲν, ὅτι τὸν ὄντα τε καὶ ὑφεστηκότα. εἴπερ οὖν ἐστι τὸ μηδὲν ὁ υἱὸς, ἄτε δὴ μὴ ὑφεστηκὼς, κατά γε τὸ ἐκείνων ἀχάλινον θράσος, εἰς εἰκόνα καὶ γνῶσιν ἀκριβῆ τοῦ πατρὸς ἑαυτὸν ἡμῖν ἀνθότου παρεκόμιζε, λέγων· τοσοῦτον χρόνον μεθ' ἡμῶν εἰμὶ, καὶ οὐκ ἔγνωκάς με Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε καὶ τὸν πατέρα· οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν; ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν. ἀλλ' οὐκ ἂν οἶμαί που τὸν ὑφεστηκότα καταθρήσειέ τις ἔν γε τῷ μὴ ὑφεστηκότι· οὐδ' ἂν ἐννοοῖτό

ποτε

ποτε ϗ ταυτὸν εἰς ἅπαν τῷ μὴ ὑπάρχοντι τὸ ὑπάρχον· ἔσαι δὲ ὅπως ἐν υἱῷ μὲν ὁ πατὴρ, ὁ υἱὸς δ' αὖ ἐν τῷ πατεί; ἢ οὐχ ἕτοιμον εἰπεῖν, ὡς εἰ μή ἐσιν ὁ λόγ@ ἐν ὑπάρξει τῇ καθ' ἑαυτὸν, κινδυνεύσειεν ἂν ϗ αὐτὸς ὁ πατὴρ, ἔχων μὲν ἐν ἑαυτῷ τὸ μηδενὶ, νοήμον@ δὲ ὑπάρχειν ἐν τῷ μηδενί; τὸ γὰρ οὐκ ὂν ὅλως, οὐδενὶ ἂν νοοῖτο λοιπόν. ϗ οὐκ ἄξαχυς μὲν ὁ λόγος. πλείσιων γὰρ ὅσιων ἐν ἑαυτῷ τινὶ ἀποπίαν νοσεῖ. πεμίσησιν ἓν ὅμως εἰς τὸ ἀπυχὲς τῷ δι' ἐναντίας τὸ δόγμα. καταπεθήποι δ' ἄν τις εἰκότως, τίνα δὴ τρόπον ἐν τῷ υἱῷ τῷ μὴ λαχόντι τὸ εἶναι, τὰ ὄντα πεποίηκεν ὁ πατήρ. εἰ δὲ δή τις ἔροιτο, πότερα τοῖς ὖσι τὸ εἶναι καλὸν, ἢ γοῦν τὸ μὴ εἶναι τυχόν; φαίη τις ἂν δῆθυς, ὅτι τὸ εἶναι. ὁ γὰρ τοῖς οὐκ οὖσί ποτε τὸ εἶναι δοὺς, ἀγαθὸς ὅτι μάλισα κεχρηματίκε τε, ϗ ἔσιν ὁ δημιουργός· ἔχοι γὰρ ἂν ὧδε τὸ χρῆμα τῇ φύσει. οὐκοῦν ἐν ἀμείνοσιν ἡ κτίσις, ἥπερ ὁ δι' ὃ τὰ πάντα παρήχθη τρὸς γῆσιν· ὁ μὲν γὰρ οὐχ ὑφεσηκέναι λέγεται, τὰ δὲ ὑφέσηκε, καὶ ἐν τῷ εἶναι νοεῖται. ὦ τῆς τῷ ἐννοιῶν ἀτοπίας, ἄπαγε τῆς δυσφημίας. Εβρ 4. 12. ζῶν γὰρ ὁ λόγ@ τοῦ Θεοῦ, ϗ ἐνεργὴς, καθὰ γέγραπται. τοιγάρτοι καὶ ἔφασκεν, ἐγώ εἰμι ἡ Ιωάν. 14. 6. ζωή. ἀλλ' οὐκ ἂν νοοῖτο ζωὴ, μὴ ὑφεσηκώς· ζωὴ δὲ ἐσι κατὰ φύσιν, διαψεύσεται γὰρ οὐδαμῶς. τὸ ἄρα μὴ ὑφεσάναι λέγειν τὸν ἐκ Θεοῦ πεφυκότα λόγον, ψευδηγόρημα σαθρὸν, καὶ φρενὸς ἀπόβρασμα τῆς * λιθώδυς. Μωσεῖ γὰρ ἔφασκεν αὐτὸς, ἐγώ εἰμι ὁ ὤν. τὸ δὲ ὂν ἀληθῶς ἐν ὑποσάσει τῇ καθ' ἑαυτὸ σωζόμενον, πῶς ἂν νοοῖτο ποτε μὴ ὑφεσηκός; οὐκοῦν τῷ τῇ δε διειληφότων καθορισμὸν εἰκότως τὸ εἰς ἄκρον ἀμαθές.

* ἀλθινιτάκτης.

ιε'.

* Οὐ μὴν οὐδὲ ἐκείνυς ἐπαινέσομεν, φιλοθηρεῖν εὖ μάλα δεδιδαγμένοι τὸ ἀληθὲς, οἳ τητᾶσθαι λέγυσι ψυχῆς λογικῆς τὴν σωθεῖσαν τῷ λόγῳ σάρκα. σαρκὶ γάρ πυ μόνιν τὴν ζωτικὴν τε καὶ αἰσθητικὴν λαχύσῃ κίνησιν ἀμφισβητοῦντες τὸν λόγον, παραφέρυσιν εἰς κόσμον, τὴν νῦ καὶ ψυχῆς ἐνέργειαν ἀπονέμοντες τῷ μονογθυεῖ. καταπεφεικασι γάρ, οὐκ οἶδ' ὅπως, ψυχωθείσῃ λογικῇ ψυχῇ τῇ ἀνθρωπίνῃ σαρκὶ κατὰ φύσιν ἑνῶσθαι τὸν λόγον ὁμολογεῖν. τῆς μὲν ἄνωθέν τε ϗ ἀρχαιοτάτης πίσεως τὴν παράδοσιν ὀλίγυ παντελῶς ἀξιοῦντες λόγυ, θελήσει δὲ μόνῃ τῇ κατὰ σφᾶς αὐτὲς, ϗ τοῖς ἀνθρωπίνοις δεῖν ἕπεσθαι λογισμοῖς, ἀμαθῶς ἠρημένοι, ϗ φρονοῦντες ἀληθῶς παρ' ὃ δεῖ φρονεῖν. ϗ τίς ὁ λόγ@ αὐτοῖς τοῦ τοιῶδε δόγματ@, ἐγὼ φράσω. τὸν Θεοῦ μεσίτην ϗ ἀνθρώπων, κατὰ τὰς γραφὰς, συγχεῖσθαί φαμεν ἔκτε τῆς καθ' ἡμᾶς ἀνθρωπότητος τελείως ἐχύσης κατὰ τὸν ἴδιον λόγον, ϗ ἐκ τοῦ πεφυκότος ἐκ Θεοῦ κατὰ φύσιν υἱοῦ, τουτέσι τοῦ μονογενοῦς. διαβεβαιούμεθα δὲ σωδον μυστήριον, ϗ τὴν ὑπὲρ λόγον σωδρομὴν, εἰς σῶσιν ἀνίσων τε ϗ ἀνομοίων πεφραχθαι φύσεων. σὰ δ' οὖν ὅμως Χειστὸν ϗ κύριον Ἰησοῦν, ϗ υἱὸν ὀνομάζεσθαι ἐπιγινώσκομεν, ἐν ταὐτῷ ϗ ὑπάρχοντα, καὶ νοούμενον Θεόν τε ὁμοῦ ϗ ἄνθρωπον. ἀδιάσπασον δὲ παντελῶς τὴν σῶσιν διατηρεῖν εἰθίσμεθα, τὸν αὐτὸν εἶναι ϗ μονογενῆ πισεύοντες, ϗ πρωτότοκον· μονογενῆ μὲν, ὡς Θεὸν πατρὸς λόγον, ϗ ἐκ τῆς οὐσίας αὐτοῦ πεφυκότα· πρωτότοκον δ' αὖ, καθὸ γέγονεν ἄνθρωπ@, καὶ ἐν πολλοῖς ἀδελφοῖς. ὥσπερ γὰρ εἷς ἐσι Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· οὕτω ϗ εἷς κύε@ Ἰησοῦς Χειστὸς δι' οὗ τὰ πάντα. Θεὸν γὰρ ὄντα κατὰ φύσιν ἐπιγινώσκομεν τὸν, δι' ὃ τὰ πάντα, λόγον, ϗ εἰ γέγονε σάρξ, τουτέσιν ἄνθρωπ@. 1. Κορ. 8. 6.

ιζ'.

Ἀλλ' ἔτι πυ σφόδρα ταῖς ἐν ἡμῖν περὶ τούτων δόξαις τὰ ἐκείνων συμφέρεται. σὺν μὲν γὰρ ὁμολογυμένως παραδέχονται καὶ αὐτοὶ Ἰησοῦν Χειστὸν παρωθοῦνται δὲ λίαν, ὡς δυσσεβὲς ὅτι μάλισα, καταδιϊσᾶν εἰς δύο τὸν Ἐμμανουήλ. ψυχῆς δ' οὖν ὅμως τῆς ἀνθρωπίνης καὶ λογικῆς τὴν σάρκα χωρίσαντες καὶ γυμνώσαντες, λύωδαί φασιν αὐτῇ τὸν ἐκ Θεοῦ λόγον· ἐξῆρται δέ τις αὐτοῖς· καὶ πιθανὸς, ὡς οἴονται, πρὸς τοῦτο λόγ@. τὰ γάρτοι, φασὶ, κατὰ συνθεσιν πρὸς σὸς τελείυ σύσασιν σωδεδραμηκότα; * μέρητε, ϗ ἐξ ἀτελῶν ὁρᾶσθαι φιλεῖ, τὸ τελείως ἔχοντ@ καθ' ἑαυτὸ, ϗ ὡς ἐν ἰδίᾳ φύσει, τῆς ἐκ μερῶν σωνθέσεως ὑ δεδεημένυ. τοιγάρτοι φασὶ, παραιτητέον εἰκότως, ἄνθρωπον δοῦναι τέλειον, τὸν σωσταθέντα τῷ λόγῳ ναὸν, ἵνα ϗ ἡ * σῶσις, ἥπερ ἂν ἐπὶ Χειστῷ νοοῖτο τυχὸν, ἀκλινὴς τε ϗ ἀδιάβλητον τὴν ἐπ' αὐτῆς ἀποσώζοι λόγον. ϗ μὴν κἀκεῖνο προσθεῖεν ἄν, ὥσπερ ἤν * ἡγοῦμαι, πάλιν. εἰ γὰρ ἐξ ἀνθρώπυ τελείυ, φασὶ, ϗ τῆς ἐκ τῆς παχὺς ὄντ@ λόγυ * φήσομεν εἶναι τὸν Ἐμμανουήλ, ὑ βραχὺ τὸ δεῖμα, μᾶλλον δὲ, ἀδιάφυκτον ἤδηπως ἀναφανεῖται λοιπὸν, τὸ ϗ ἀβυλήτως δεῖν δύο μὲν υἱὲς, Χειστὸς δ' αὖ δύο φρονεῖν τε ϗ λέγειν. εἶπα τί τούτοις ἀντερυμεν ἡμεῖς; πρῶτον μὲν, ὅτι τῆς πίσεως τὴν ὅπως ἀρχαιοτάτην, ϗ ἐξ αὐτῷ τῷ ἁγίων ἀποστόλων διήκυσαν εἰς ἡμᾶς παράδοσιν, ὑ ταῖς * ὑπερμέτροις ἀκλινέσιν * καταλύειν ἄξιον, ὅτε μὴν ταῖς εἰς ἄκρον ἐρίγναις * συμφέρειν τὰ ὑπὲρ νῦ. ἀλλ' οὐδὲ ἧκεν εἰς μέσον οἷ ἅπερ τινὰς αἱρεσιάς, ϗ ῥιψοκινδύνως λέγοντας· ὡς τὸ δεῖνα μὲν ὀρθῶς, τὸ δεῖνα δ' αὖ ἑτέρως ἔχειν. ἐχρὴν δήπυ, καὶ λίαν ἄμεινον ἀληθῶς, ἀπονέμειν μᾶλλον τῷ παντσόφῳ Θεῷ τῇ ἰδίων διασκέψεων τὴν ὁδὸν, ϗ μὴ τοῖς εὖ ἔχειν παρ' αὐτῷ δεδοκιμασμένοις, ἀνοσίως ἐπιτιμᾶν. ἀκουσόμεθα γὰρ λέγοντ@ σαφῶς· ὑ γάρ εἰσιν αἱ βυλαί μυ ὥσπερ αἱ βυλαὶ ὑμῶν, οὐδὲ ὥσπερ αἱ ὁδοὶ ὑμῶν αἱ ὁδοί μυ· ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς; οὕτως ἀπέχει ἡ ὁδός μυ ἀπὸ τῶν ὁδῶν ὑμῶν, ϗ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μυ. Ησαΐ. 55. 8.

* ἐκεῖν.
* ἐνσπερμάτους.
* σπερμάτων.
* ἀνέρμητον. καταλυτὸν.
* σωθεισα.
* ἐγώμαι.
* σωτίθεμαι τὸ, Ἐμμανουήλ.
* ὑπερμέτροις.

ιή.

Υἱοὺς δὲ οὔτιπου δύο προσκυνήσομεν, ἀλλ' οὐδὲ Χριστοὺς ἐροῦμεν δύο, κἂν ἐψυχῶσθαι πιστεύωμεν ψυχῇ λογικῇ τὸν ἐνωθέντα τῷ λόγῳ ναόν. ὥσπερ γὰρ κατάγε τὸ ἐκείνοις εὖ ἔχειν δοκοῦν, κἂν εἰ ἐκ μόνης * λέγοιτο τῆς σαρκὸς, καὶ τοῦ ἐκ Θεοῦ πατρὸς πεφηνότος λόγου, οὐδεὶς αὐτοὺς ἀναπείσει τρόπος, ἀνὰ μέρος τὴν σάρκα τιθέντας, καὶ ἀνὰ μέρος αὐτὸν μονογενῆ, δυάδα δὲ Χριστῶν ὁμολογεῖν. οὕτω κἂν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τελείως ἐχούσῃ κατάγε τὸν τῆς ἰδίας φύσεως λόγον, οἱονεὶ συνενηνέχθαι τε καὶ ἡνῶσθαι λέγωμεν ἀπορρήτως τε καὶ ὑπὲρ νοῦν τὸν ἐκ Θεοῦ λόγον, οὐχ υἱῶν δυάδα νοήσομεν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν, φύσει μὲν ὄντα Θεὸν, καὶ ἐξ αὐτῆς πεφηνότα τῆς οὐσίας τοῦ Θεοῦ καὶ πατρός· ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς γενόμενον ἄνθρωπον, καὶ διὰ τῆς ἁγίας καὶ θεοτόκου παρθένου γεγεννημένον, καὶ πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων προσκυνούμενον, κατὰ τὰς γραφάς.

* ἐλεύοιτο.

ιθ'.

Εἰ δὲ δὴ φαῖεν, ὅτι μόνης μὲν ἐδεῖτο τὰ καθ' ἡμᾶς τῆς τοῦ μονογενοῦς ἐπιδημίας· ἐθελήσας δὲ ὀφθῆναι τοῖς ἐπὶ γῆς, καὶ ἀνθρώποις συναναστραφῆναι, παραδεῖξαί τε ἡμῖν τῆς * ἀγγελικῆς πολιτείας τὴν ὁδὸν, οἰκονομικῶς * ἠμπίσχετο τὴν * ὁμοίαν ἡμῖν σάρκα· τὸ γὰρ τοι θεῖον κατὰ φύσιν ἰδίαν οὐχ ὁρατόν· ἠγνοηκότες ἁλώσονται τῆς ἐνανθρωπήσεως τὸν σκοπὸν, καὶ συνιέντες οὐδαμῶς τὸ μέγα τῆς εὐσεβείας μυστήριον. εἰ γὰρ δὴ μόνην ἔχει τὴν ἀφορμὴν τοῦ ὀφθῆναι τοῖς ἐπὶ γῆς τοῦ μονογενοῦς ἡ σάρκωσις, * ἤγουν ἐνανθρώπησις, * προσετέθη γε μὴν ἕτερον οὐδὲν τῇ ἀνθρώπου φύσει, πῶς οὐκ ἄμεινον ἤδη πως καὶ * σοφῶν, τῇ τῶν δοκητῶν συμφέρεσθαι δόξῃ καὶ ἡμᾶς αὐτοὺς, οἳ σαρκός τε ὁμοῦ καὶ γηΐνου σώματος ἀπαμφιεννῶντες τὸν λόγον, ὦφθαι μὲν ἐπὶ γῆς ὡς ἄνθρωπον μυθοπλαστοῦσιν οἱ δείλαιοι; ἡμαρτηκότες δὲ τἀληθοῦς ἁλοῖεν ἂν καὶ οὐ σὺν ἱδρῶτι μακρῷ. ἢ οὐκ ἄμεινον ἐροῦσιν, εἰ μηδὲν ὀνίνησι τὴν ἀνθρώπου φύσιν ὁ ἐκ Θεοῦ λόγος, εἰ καὶ γέγονε σὰρξ, ἀπαλλάττεσθαι μὲν ἀκαθαρσίας σαρκικῆς, δόξαι οὖν ἅπαξ τῷ γηΐνῳ προσκεχρῆσθαι σώματι, διαπεραναί τε οὕτω τὸν προτεθέντα σκοπόν; τίς οὖν ἂν γένοιτο λοιπὸν τῆς ἐπιδημίας ὁ λόγος; ἢ τίς ὁ τρόπος τῆς ἐνανθρωπήσεως; πέπρακται δὲ ὅτου χάριν, εἴτις ἔροιτο τυχὸν, ἀντακούσεται παρ' ἡμῶν· ἡ θεία διδάξει γραφή. ἴθι δὴ οὖν ὦ γενναῖε, πυθοῦ τῶν ἱερῶν γραμμάτων, καὶ ταῖς τῶν ἁγίων ἀποστόλων φωναῖς ἐνερείσας εὖ μάλα τῆς διανοίας τὸν ὀφθαλμὸν, ἄθρει δὴ καλῶς τὸ ζητούμενον. ἔφη τοίνυν ὁ σοφὸς ἡμῖν Παῦλος, αὐτὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα Χριστόν· ἐπειδὴ δὲ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. καὶ μὴν καὶ ἑτέρωθι τρόπον ἡμῖν ἀφηγούμενος· τὸ γὰρ ἀδύνατον τοῦ νόμου, φησὶν, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν ἐκπέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

* εὐαγγελικῆς.
* ἠμπίσχετο
* ἰδίαν.
* εἴτ' οὖν
* προσετέθη γε
* σοφόν.
β. Κορ. 13. 3.
Εβρ. 1. 14.

κ'.

Ἆρ οὖν, οὐχὶ προδηλότατον, καὶ οὐδενὶ τῶν ὄντων ἀσυμφανὲς, ὅτι καθ' ἡμᾶς γέγονεν ὁ μονογενὴς, τουτέστι τέλειος ἄνθρωπος, ἵνα τῆς μὲν ἐπεισάκτου φθορᾶς τὸ γήϊνον ἡμῶν ἀπαλλάξῃ σῶμα, τῇ καθ' ἕνωσιν οἰκονομίᾳ τὴν ἰδίαν αὐτῷ ζωὴν ἐνιείς· ψυχὴν δὲ ἰδίαν τὴν ἀνθρωπίνην ποιούμενος, ἁμαρτίας αὐτὴν ἀποφήνῃ κρείττονα, τῆς ἰδίας φύσεως τὸ πεπηγός τε καὶ ἄτρεπτον, οἷάπερ ἐρίῳ βαφὴν, ἐγκαταχρώσας αὐτῇ; δεῖν γὰρ οἶμαι τοῖς περὶ τούτων λόγοις παραδειγμάτων, πολὺ λίαν ἔχουσι τὸ ἀσυμφανές· ὁρῶμεν γὰρ μόλις ἐν ἐσόπτρῳ τε καὶ αἰνίγματι τὰ θεῖά τε καὶ ὑπὲρ νοῦν μυστήρια. εἴη δ' ἂν οὐκ ἄτοπον, οἶμαι, τὸ χρῆμα· φέρει γὰρ ἐν ἑαυτῷ τὸν εἰκότα, μᾶλλον δὲ καὶ τὸν ἀληθῆ λογισμόν. ὥσπερ οὖν ἐπειδὴ γέγονε σὰρξ τοῦ ζωοποιοῦντος τὰ πάντα λόγου, τὸ φθορᾶς καὶ θανάτου ὑπερφέρεται κράτος· κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον, ἐπεὶ γέγονε ψυχὴ τοῦ πλημμελεῖν οὐκ εἰδότος, ἐρηρεισμένην ἔχει λοιπὸν τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς ἀμεταποίητον στάσιν, καὶ τῆς πάλαι καθ' ἡμῶν τυραννευούσης ἁμαρτίας ἀσυγκρίτως εὐσθενεστέραν. πρῶτός τε γὰρ καὶ μόνος ἄνθρωπος ἐπὶ τῆς γῆς ὁ Χριστὸς οὐκ ἐποίησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. ῥίζα δὲ ὥσπερ καὶ ἀπαρχὴ τεθειμένος τῶν εἰς καινότητα ζωῆς ἀναμορφουμένων ἐν πνεύματι, καὶ τὴν τοῦ σώματος ἀφθαρσίαν, καὶ τὸ τῆς θεότητος ἀσφαλὲς ἐρηρεισμένον, ὡς ἐν μεθέξει καὶ κατὰ χάριν, καὶ εἰς ἅπαν ἤδη τὸ ἀνθρώπινον παραπέμψει γένος. καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος γράφει Παῦλος· ὥσπερ γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. εἰκόνα μὲν γὰρ τοῦ χοϊκοῦ, τὸ εὐόλισθον ἔφη πρὸς ἁμαρτίαν, καὶ τὸν ἐντεῦθεν ἡμῖν ἐπιρριφέντα θάνατον· εἰκόνα δὲ αὖ τοῦ ἐπουρανίου, τουτέστι Χριστοῦ, τὸ ἑδραῖον εἰς ἁγιασμὸν, καὶ τὴν ἐκ θανάτου καὶ φθορᾶς ἀνακομιδήν τε καὶ ἀνακαίνισιν εἰς ἀφθαρσίαν καὶ ζωήν.

α. Κορ. 15. 49.

κά.

Ὅλον οὖν ὅλῃ συνηνῶσθαί φαμεν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τὸν ἐκ Θεοῦ λόγον. οὐ γάρπου τὸ ἄμεινον ἐν ἡμῖν, τουτέστι ψυχὴν, οὐδενὸς ἂν ἠξίωσε λόγου, μόνῃ δωρούμενος τῇ σαρκὶ τῆς ἐπιδημίας τοὺς πόνους. ἐπράττετο δὲ καλῶς δι'

ἄμφω

ἄμφω τῆς οἰκονομίας τὸ μυστήριον· προσεχρήσατο δὲ, καθάπερ ὀργάνῳ, τῇ μὲν ἰδίᾳ σαρκὶ, πρὸς τὰ σαρκὸς ἔργα τε καὶ ῥήματα φυσικὰ, καὶ ὅσα μώμου μακράν· ψυχῇ δ' αὖ τῇ ἰδίᾳ πρὸς τὰ ἀνθρώπινά τε καὶ ἀνυπαίτια πάθη. πεινῆσαι γὰρ λέγεται, κόπους ὑπενεγκεῖν τοὺς ἐκ μακρῶν ὁδοιπορίων, πτοίας τε καὶ φόβους, καὶ λύπην, καὶ ἀγωνίαν, καὶ τὸν ἐπὶ τῷ σαυρῷ θάνατον. ἐπαναγκάζοντος γὰρ ἀδικοῦ, τέθεικεν ἀφ' ἑαυτοῦ τὴν ἰδίαν ψυχὴν ὑπὲρ ἡμῶν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ· σάρκα μὲν τὴν ἰδίαν τῆς ἁπάντων σαρκὸς ἀντιποτίνυς, δῶρον ἀληθῶς ἀντάξιον· ψυχὴν δὲ, ψυχῆς ἀντίλυτρον τῆς ἁπάντων ποιούμενος, εἰ καὶ ἀνεβίω πάλιν, ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς Θεός. καὶ γοῦν ὁ θεσπέσιος Πέτρος, ἄνδρες ἀδελφοὶ, φησὶν, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. προφήτης ὢν ὑπάρχων, καὶ εἰδὼς, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ, προειδὼς ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι οὔτε ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδην, οὔθ' ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. ὁ γάρ τοι θέμις εἰπεῖν, φθορᾷ μὲν δύνασθαι κρατεῖσθαί ποτε τῷ ἐνωθεῖσαν τῷ λόγῳ σάρκα. κάπροχον δ' αὖ ταῖς ᾅδου πύλαις τῷ θείαν γενέσθαι ψυχήν. οὐκ ἐγκατελείφθη γὰρ εἰς ᾅδου, καθά καὶ ὁ θεσπέσιος ἔφη Πέτρος. ὁ γάρ τῳ τῷ τε ἀλήπτου παντελῶς, καὶ ἀνάλωτου τῷ θανάτῳ φύσιν, τουτέστι τὴν θεότητα τοῦ μονογενοῦς, τῷ ὑπὸ χθόνα μυχῶν ἀναχεχωρηκέναι φήσομεν. ὅτε γὰρ ἂν ἠξιώθη τὸ χρῆμα θαύματος, εἰ μὴ μεμενήκει εἰς τὸν ᾅδου ὁ ἐκ Θεοῦ λόγος, τῇ τῆς θεότητος ἐνεργείᾳ τε καὶ φύσει, παραδόξως τε καὶ ὑπὲρ λόγον, πληρῶν μὲν τὰ πάντα, καὶ τοῖς πᾶσιν ἐπιδημῶν. ἀνώτερον γάρ τῳ καὶ περιοριστὸν * καὶ τόπῳ καὶ μεγέθους μετρητὸν τὸ θεῖον, αὐτὸ δὲ ὑπὸ μηδενὸς χωρούμενον.

* μήτε καὶ τοῦ * Θεοῦ ἐστιν ἐκεῖνα ἃ τοῦ ἀνθρωπίνου ἔφημεν.

κβ'.

* Παράδοξον δὲ καὶ οὐδενὶ τῷ ὄντων * θαυμαστὸν, ὅτι σῶμα μὲν ἀνεβίω τὸ τῇ φύσει φθαρτόν· ἦν γὰρ ἴδιον τοῦ ἀφθάρτου λόγου. ψυχὴ δὲ δὴ πάλιν τὴν πρὸς αὐτὸν λαχοῦσα συνδρομήν τε καὶ ἕνωσιν, καταπεφοίτηκε μὲν εἰς ᾅδου, θεοπρεπεῖ δὲ δυνάμει καὶ ἐξουσίᾳ χρωμένη, καὶ τοῖς ἐκεῖσε πνεύμασι κατεφαίνετο. τοιγάρ τοι καὶ ἔφασκε τοῖς ἐν δεσμοῖς, ἐξέλθετε. καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλύπτεσθε. καί μοι δοκεῖ φάναι τι τοιοῦτον καὶ ὁ θεσπέσιος Πέτρος περὶ τοῦ Θεοῦ λόγου, καὶ τῆς καθ' ἕνωσιν * οἰκονομίας γεγενημένης αὐτοῦ ψυχῆς· κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι τὸ θέλημα τοῦ Θεοῦ, πάσχειν, ἢ κακοποιοῦντας. ὅτι καὶ ὁ Χριστὸς ἅπαξ ὑπὲρ ἁμαρτωλῶν ἀπέθανε, δίκαιος ὑπὲρ ἀδίκων, ἵν' ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ τῷ πνεύματι. ἐν ᾧ, φησὶ, καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασί ποτε. οὐδὲ γὰρ, οἶμαι, φαῖεν ἄν, ὡς γυμνὴ καθ' ἑαυτὴν ἡ θεότης τοῦ μονογενοῦς καταπεφοίτηκε μὲν εἰς ᾅδου, διεκήρυξε δὲ τοῖς ἐκεῖσε πνεύμασιν, ἄποπτος ἔσα παντελῶς. κρεῖττον γὰρ ἀεὶ τὸ ὁρᾶσθαι τὸ θεῖον. ἀλλ' ἐνοικήσει καὶ ἐγκρατισμένως εἰς τὸ ψυχῆς εἶδος αὐτῷ μεμορφῶσθαι δώσομεν. παραιτητέον γὰρ παντελῶς τὴν ἔνοικησιν. ἀλλ' ὥσπερ τοῖς ἐπὶ γῆς συναναστράφη μετὰ σαρκὸς, οὕτω καὶ ταῖς εἰς ᾅδου ψυχαῖς διεκήρυξεν, ἴδιον ἔχων φόρημα, τὴν ἐνωθεῖσαν αὐτῷ ψυχήν.

κγ'.

Καὶ βαθὺς μὲν ἴσως καὶ ἀπόῤῥητος ἀληθῶς καὶ ταῖς ἡμετέραις διανοίαις οὐκ ἀλώσιμος ὁ τῆς ἐνανθρωπήσεως τρόπος. ἐκεῖνο δ' οὖν ὅμως ἀναλογίζεσθαι πρέπει. τὰ γάρ τοι μὴ καθ' ἡμᾶς πολυπραγμονεῖν, οὐκ ἀζήμιον· ἀνέσατον δὲ παντελῶς τὸ βασάνοις ὑποφέρειν τὰ ὑπὲρ νοῦν, καὶ πειρᾶσθαι νοεῖν ἃ οὐκ οἷόν τε. ἢ οὐκ οἶσθα, ὅτι τὸ βαθὺ δὴ τοῦτο μυστήριον, καὶ νοῦν ὑπερέχον τὸν ἐν ἡμῖν, τῇ ἡμῶν ἀπεριεργάστῳ πίστει τετίμηται; τὸ δὲ ἀσυνέτως λέγειν· πῶς δυνατὸν ταῦτα γίνεσθαι; Νικοδήμῳ τε ἐκείνῳ, καὶ τοῖς κατ' αὐτὸν ἀπονέμοντες, ἀνενδοιάστως παραδεξώμεθα τὰ διὰ τοῦ θείου πνεύματος χρησμῳδούμενα, καὶ αὐτῷ δὲ πιστεύσωμεν λέγοντι Χριστῷ· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἃ οἴδαμεν, λαλοῦμεν. καὶ ἃ ἑωράκαμεν, μαρτυροῦμεν. Οἰκεῖόν δὴ ἦν λῆρος μὲν ἅπας, μῦθός τε ἀδρανὴς, καὶ ψευδοδοξία, καὶ κενομυθιῶν * ῥημάτων φενακισμός. προσιέμεθα οὖν * ῥητέον. τι τὸ κατασίνεσθαι φευκτὸς, κἂν εἰ τοῖς ἄγαν ὀξυσκημόνοις, καὶ μικροῖς ἡμᾶς * καταπροπίοις λόγοις οἱ δι' ὀναντίας. ἔστι γὰρ τὸ θεῖον ἡμῶν μυστήριον οὐκ ἐν πειθοῖς σοφίας ἀνθρωπίνης λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος.

κδ'.

Θεὸς ὢν ὑπάρχων, καὶ τῷ ὅλῳ κύριος κατὰ τὰς γραφὰς, ὁ μονογενὴς, ἐπέφανεν ἡμῖν· ὤφθη γὰρ ἐπὶ γῆς, καὶ ἐπέλαμψε τοῖς ἐν σκότει, γηγενὴς ἄνθρωπος, ὁ δοκήσει· μὴ γένοιτο· μανίας γὰρ τοῦτό γε φρονεῖν, ἢ λέγειν. οὔτε μὲν εἰς σάρκα παρειληφὼς κατὰ μετάστασιν, ἢ τροπήν. ἀναλλοίωτος γὰρ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων ὁ ἐκ Θεοῦ λόγος. ἀλλ' οὐδὲ ὁμόχρουν τῇ σαρκὶ τὸν ὑπάρξειν ἔχων· αὐτὸς γάρ ἐστι τῷ αἰώνων ὁ ποιητής. οὔτε μὲν ὡς λόγος ἀνυπόστατος, οὐδὲ ὡς ῥῆμα ψιλὸν ἐν ἀνθρώπῳ * γεγονώς. ὁ γάρ τοι καλῶν τὰ οὐκ ὄντα ποτὲ πρὸς ὕπαρξιν καὶ γένεσιν, προϋφίστησιν ἀναγκαίως· αὐτὸς γάρ ἐστιν ἡ ζωὴ, πεφυκὼς ἐκ ζωῆς τὸν Θεὸν καὶ πατέρα, οὗτός τε καὶ νομίζων κατ' ἰδίαν ὑπόστασιν. ἀλλ' οὐδὲ μόνον ἠμπίσχετο σάρκα ψυχῆς ἐρήμην τῆς λογικῆς· γεγράπται γὰρ κατὰ ἀλήθειαν ἐκ γυναικὸς, καὶ πέφυκεν ἄνθρωπος, ὁ ζῶν καὶ ὑπάρχων, καὶ συναΐδιος τῷ Θεῷ καὶ πατρὶ Θεὸς λόγος, μορφὴν δούλου λαβών· καὶ ἔστιν ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος. οὐκ ἐκ μείνης

Θεο-

θεότητος καὶ σαρκὸς εἰς ἕνα Χριστὸν καὶ κύριον καὶ υἱὸν συγκείμενος, ἀλλ' ἐκ δυοῖν τελείοιν, ἀνθρωπότητα δὴ λέγω καὶ θεότητα, εἰς ἕνα καὶ τὸν αὐτὸν παραδόξως συνδούμενος.

κέ.

Ἐρεῖ δέ τις, κατὰ τὸ εἰκὸς, τίνα δὴ οὖν τέτοκεν ἡ ἁγία παρθένος; τὸν ἄνθρωπον, ἢ τὸν ἐκ Θεοῦ λόγον; φαμὲν δὲ ἡμεῖς· ὃ τοῦτό γέ ἐστιν ἡ πλάνησις, καὶ τὸ * ἁμάρτημα τοῦ πρέποντός τε καὶ ἀληθοῦς. μὴ γάρ μοι διέλῃς μετὰ τὴν ἕνωσιν, μηδὲ διϊστὰς εἰς ἄνθρωπον * ἰδικῶς, καὶ εἰς Θεὸν, διπρόσωπον ἡμῖν ἀνατύπου τὸν Ἐμμανουὴλ· μὴ ἄρα τις * ἡμῖν εἰκότως διαμωμήσαιτο, φρονεῖν ἑλομένοις ὀρθὸν μὲν οὐδὲν, ἐκεῖνο δὲ μᾶλλον, ὃ καὶ διὰ τῆς ἁγίας κατεδικάσθη γραφῆς. ὧδε γάρ τις ἔφη τῶν τοῦ Χριστοῦ μαθητῶν· ὑμεῖς δὲ ἀγαπητοὶ, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὅτι ἔλεγον ὑμῖν, ὅτι ἐπ' ἐσχάτου τῶν χρόνων ἐλεύσονται ἐν ἐμπαιγμονῇ ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοὶ, πνεῦμα μὴ ἔχοντες. οὐ διοριστέον οὖν ἄρα κατ' οὐδένα τρόπον, εἴτε δεῖ μάλιστα τὰ δύο φανῆναι μετὰ τὴν ἕνωσιν, καὶ ἀνὰ μέρος ἑκάτερον νοεῖν. ἰστέον οὖν, ὅτι θεωρεῖ μέν τινα φύσεων διαφορὰν ὁ νοῦς. ταυτὸν γὰρ οὔτι που * θεότητός τε καὶ ἀνθρωπότητος· εἰσδέξεται δὲ ὁμοῦ ταῖς περὶ τούτων ἐννοίαις καὶ τὴν ἀμφοῖν εἰς ἑνότητα συνδρομήν. οὐκοῦν * Θεὸς μὲν ἐξέφυ τοῦ πατρὸς ὡς Θεὸς, ἐκ παρθένου δὲ ἄνθρωπος. ὁ γὰρ ἐκ Θεοῦ πατρὸς ἀπορρήτως καὶ ὑπὲρ νοῦν ἀναλάμψας λόγος, γεγεννῆσθαι λέγεται ἐκ γυναικὸς, καταφοιτήσας ἐν ἀνθρωπότητι, καὶ καθεὶς ἑαυτὸν εἰς ὅπερ οὐκ ἦν. οὐχ ἵνα μείνῃ κεκενωμένος, ἀλλ' ἵνα Θεὸς εἶναι πιστεύηται, καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς πεφηνὼς ἐπὶ γῆς. οὐχ ὡς ἐν ἀνθρώπῳ κατοικήσας, ἀλλ' ὡς αὐτὸς * κατὰ ἀλήθειαν ἄνθρωπος γεγονὼς, μετὰ τοῦ τὴν ἰδίαν ἀνασώσασθαι δόξαν. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος τὰ πολὺ τῆς ἀλλήλων ὁμουσιότητος διεστηκότα τε, καὶ ἀμετρήτῳ διαφορᾷ διεσχοινισμένα, θεότητά τε καὶ ἀνθρωπότητα, συλλέγων εἰς ἓν οἰκονομικῶς, ὃ ἐξ ἀμφοῖν τὸν ἕνα κατασημαίνων Χριστὸν καὶ υἱὸν ὃ Θεόν. Παῦλος δοῦλος, φησὶν, Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα, τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ ἐν δυνάμει, κατὰ πνεῦμα ἁγιωσύνης. ἰδοὺ δὴ σαφῶς ἀφωρίσθαι φησὶν ἑαυτὸν εἰς εὐαγγέλιον Θεοῦ, καί τοι γράφων ἀναφανδόν. οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν. καὶ πάλιν· οὐ γὰρ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Χριστὸν Ἰησοῦν, ὃ τοῦτον ἐσταυρωμένον.

* ἁμαρτεῖν.
* ἀληθῶς, καὶ εἰς θεὸν λόγον ἰδικῶς.
* ἴσ. ὑμῖν.
Γάλα ἐπιστ. 17.
* ἰσ. θεότητος τε καὶ ἀνθρωπότητος.
* Θεοῦ.
* κατὰ φύσιν.
Ρωμ. 1. 1.
α. Κορίν. 4. 5.
α. Κορίν. 2. 2.

κϛ'

Υἱὸν δὲ αὐτὸν ὀνομάσας Θεοῦ, καὶ ἐκ σπέρματος τοῦ Δαβὶδ γεγεννῆσθαί φησιν, ὡρίσθαι τε διϊσχυρίζεται καὶ εἰς υἱὸν Θεοῦ. πῶς οὖν, εἰπέ μοι, θεὸς ὁ ἐκ σπέρματος ἀναφὺς τοῦ Δαβίδ; ὁ δὲ δὴ καὶ πρὸ αἰώνων, καὶ ἀϊδίως υἱὸς, καθὸ πέφηνεν ἐκ Θεοῦ, τίνα δὴ τρόπον εἰς υἱὸν ὡρίσθη Θεοῦ, καθάπερ εἰς * ἀρχὰς τοῦ ὑφεστάναι παρενεχθείς; ἔφη γὰρ αὐτὸς περὶ ἑαυτοῦ· εἶπε κύριος πρὸς με. υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. καί τοι τοῦ, σήμερον, ἀείπως ἡμῖν οὐχ ὅτι τὸν παρῳχηκότα, τὸν ἐνεστῶτα δὲ μᾶλλον καταδηλοῦντος καιρόν. βαθὺ τὸ μυστήριον, ἀλλὰ τοῖς μὲν ἀνὰ μέρος τιθεῖσι καὶ διορίζουσι δυσέφικτόν τε καὶ ἄπορον ἀληθῶς. τοῖς γε μὴν εἰς ἑνότητα κατασφίγγουσι τὸν Ἐμμανουὴλ, ἐγγύς τε ἑλεῖν καὶ ἑτοιμοτάτη λίαν ἡ τῶν ἱερῶν δογμάτων ἀκιβδήλευτος γνῶσις. ὁ γὰρ τῷ φύσαντι συναΐδιος, καὶ πρὸ παντὸς αἰῶνος υἱὸς, ἐπειδὴ καταβέβηκεν εἰς τὴν ἀνθρώπου φύσιν, οὐκ ἀπολισθήσας τοῦ εἶναι Θεὸς, προσλαβὼν τὸ ἀνθρώπινον, νοοῖτ' ἂν εἰκότως καὶ ἐκ σπέρματος γεγεννῆσθαι Δαυὶδ, καὶ νεωτάτην ἔχειν τὴν ἐν ἀνθρωπότητι * γένησιν· * ὥς τε οὐκ ἀλλότριον αὐτοῦ τὸ προσληφθὲν, ἀλλ' ἴδιον ἀληθῶς. λελόγισται τοιγαροῦν ὡς ἓν πρὸς αὐτόν. καθάπερ ἀμέλει ὃ τὴν ἀνθρωπείαν σύνθεσιν καταθρήσῃ τις ἄν· συμπέπλεκται γὰρ ἐξ ἀνομοίων τὴν φύσιν, ψυχῆς δὴ λέγω καὶ σώματος· ἀλλ' οὖν εἷς νοεῖται τὸ συναμφότερον ἄνθρωπος· ὡς ἀπὸ μόνης μὲν τῆς σαρκὸς ὅλον ἔσθ' ὅτε κατωνομάσθαι τὸ ζῶον, ψυχῆς δὲ ὠνομασμένης νοεῖσθαι τὸ συναμφότερον. κατὰ τὸν ἴσον ἄρα τρόπον καὶ ἐπ' αὐτοῦ παραδεξώμεθα τοῦ Χριστοῦ· εἷς γὰρ υἱὸς, ὃ εἷς κύριος Ἰησοῦς Χριστὸς, καὶ πρὸ σαρκὸς, καὶ ὅτε πέφηνεν ἄνθρωπος.

* ἀρχὴν.
Ψαλμ. 2. 7.
* γένησιν.
* ἴσ. ἰδίαν.

κζ'.

Καὶ τὸν ἀγοράσαντα ἡμᾶς δεσπότην οὐκ ἀρνησώμεθα, κἂν εἰ διὰ τῶν ἀνθρωπίνων ἡμῖν, καὶ ἐκ τῶν τῆς κενώσεως μέτρων, ἔσθ' ὅτε κατασημαίνηται. Ἰουδαίοις μὲν ἔφη προσλαλῶν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα. τοῦτο Ἀβραὰμ οὐκ ἐποίησε. γράφει δὲ καὶ Παῦλος περὶ αὐτοῦ· ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱὸς, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν. ἆρ' οὖν ἄνθρωπον αὐτὸν δὴ τοῦτον ψιλὸν, ὃ κατ' οὐδένα τρόπον ἀνεστηκότα τῶν καθ' ἡμᾶς, λογιούμεθα τὸν Χριστόν; μὴ γένοιτο. τὴν δὲ τοῦ Θεοῦ σοφίαν καὶ δύναμιν, ἀσθενείας εἰς τοῦτο καθικέσθαι δώσομεν, ὡς δεδιέναι μὲν θάνατον, ἐξαιτεῖν δὲ τὸ σώζεσθαι παρὰ τοῦ πατρός; καὶ τοῦ κατὰ φύσιν εἶναι ζωὴν ἐκπέμψομεν τὸν Ἐμμα-

Ρωμ. 8. 19
Ἑβρ. 5. 7.

μανουήλ; ἢ περιτρέποντες εἰς τὴν ἀνθρωπότητα, καὶ εἰς μέτρον φύσεως τῆς καθ' ἡμᾶς, τὸ ὡς ἐν λόγοις μικροπρεπές, δράσομέν τι τῶν ἐπαινουμένων· ἐξ ὧν δέ ἐστι Θεὸς, τὴν ὑπερκόσμιον αὐτοῦ κατοψόμεθα δόξαν, τὸν αὐτὸν εἶναι συνιέντες Θεόν τε ὁμοίως καὶ ἄνθρωπον, ἤτοι Θεὸν ἐνηνθρωπηκότα; ἡκέτω δὴ οὖν εἰς μέσον ἡμῖν ὁ δοκιμώτατος
Ρωμ. 8. 2. Παῦλος, ταυτὶ βοῶν τε καὶ λέγων· σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν οὐδεὶς τῶν ἀνθρώπων, μᾶλλον δὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. καὶ μὴν καὶ ἐπὶ τούτοις· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν
Εβρ. 1. 3. ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν τοῖς ὑψηλοῖς. τοσοῦτον κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσον διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. καίτοι γε τὸ εἶναί τε καὶ ὀνομάζεσθαι τῆς δόξης κύριον, πῶς οὐ λίαν ὑπερτενὲς, καὶ παντὸς ἐπέκεινα γενητοῦ, καὶ παρηγμένου πρὸς γένεσιν; καὶ παρίημι μὲν τὰ ἀνθρώπινα· σμικρὰ γὰρ δὴ λίαν· ἐρῶ δ' οὖν, κἂν ἀγγέλους ὀνομάσαι, καὶ ἀρχὰς, καὶ θρόνους, καὶ κυριότητας ἀπαριθμήσαιτό τις, καὶ μὴν καὶ εἰ τῶν ἀνωτάτω διαμέμνηται σεραφὶμ, κατόπιν ἰόντα τῆς οὕτως ὑπερτενοῦς ὁμολογήσειεν ἂν ἐκλείας, εἴγε νοῦν ἔχει τὸν εὖ βεβηκότα καὶ σοφόν; ἔκκριτον γὰρ εἶναί φημι τὸ γέρας, καὶ δεῖν ἀνακεῖσθαι μόνῃ τῇ τῶν ὅλων βασιλίδι φύσει. πῶς οὖν ἂν γένοιτο κύριος τῆς δόξης ὁ ἐσταυρωμένος; τὸ δὲ ἀπαύγασμα τοῦ πατρὸς, καὶ τῆς οὐσίας ὁ χαρακτὴρ, ὁ φέρων τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, κρείττων ἀγγέλων γεγενῆσθαι λέγεται. τάχα που τὸ ἔλαττον, ὡς ἡγοῦμαι, λαβὼν, ὅτε πέφηνεν ἄνθρωπος. γέγραπται γάρ. τὸν βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον. ἆρ' οὖν ἐξώσομεν τὸν ἐκ Θεοῦ πατρὸς πεφηνότα λόγον τῆς αὐτῷ πρεπούσης οὐσιώδους ὑπεροχῆς, καὶ τῆς πρὸς αὐτὸν ἀκριβοῦς ἐμφερείας, καὶ τῆς τῶν ἀγγέλων ἐκλείας ἡττώμενον βλέποντες διὰ τὸ τῆς οἰκονομίας μικροπρεπὲς νοούμενον; οὐ μενοῦν. οἶμαι γὰρ δεῖν, οὔτε τῶν ἀνθρωπίνων ἀπαλλάττειν παντελῶς τὸν ἐκ Θεοῦ λόγον μετὰ τὴν πρὸς σάρκα συνόδον, οὔτε μὴν δόξης τῆς θεοπρεποῦς ἀποστερεῖν τὸ ἀνθρώπινον, εἰ ἐν Χριστῷ νοοῖτο καὶ λέγοιτο.

κή.

Πλὴν ἐρησομένους οὐκ ἠγνόησά τινας. τίς δὴ ἄρα ἐστὶν ἀληθῶς Ἰησοῦς Χριστός; ὁ ἐκ γυναικὸς ἄνθρωπος, ἤγουν ὁ ἐκ Θεοῦ λόγος; καὶ ἠλίθιον μὲν κομιδῇ τὸ διατείνεσθαι περιττὰ, καὶ * φλυνάφοις εἰκαιομύθοις ἀνταναφωνεῖν. ἐρῶ δ' οὖν, ὅτι σφαλερόν τε καὶ οὐκ ἀζήμιον τὸ διατέμνειν εἰς δύο, καὶ ἀναμέρος ἱστᾶν, ἄνθρωπόν τε καὶ λόγον, οὐκ ἀνεχομένης τῆς οἰκονομίας, καὶ Χριστὸν ἕνα βοώσης τῆς θεοπνεύστου γραφῆς. χρῆναι γὰρ ἔγωγέ φημι, μήτε τὸν ἐκ Θεοῦ λόγον ἀνθρωπότητος δίχα, μήτε μὴν τὸν ἐκ γυναικὸς ἀποτεχθέντα ναὸν, ὡς μὴ ἑνωθέντα τῷ λόγῳ, Χριστὸν Ἰησοῦν ὀνομάζεσθαι. ἀνθρωπότητι γὰρ καθ' ἕνωσιν οἰκονομικὴν ἀπορρήτως συνενηνεγμένος ὁ ἐκ Θεοῦ λόγος, νοεῖται Χριστός. ἀνώτερος μὲν ἀνθρωπότητος, ὡς φύσει Θεὸς, καὶ υἱός· οὐκ ἀτιμάζων δὲ καὶ τὸ ἐν ὑφέσει γενέσθαι δοκεῖν, διὰ τὸ ἀνθρώπινον. τοιγάρ τοι ποτὲ μὲν ἔφασκεν· ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. ποτὲ δὲ αὖ πάλιν· ὁ πατήρ μου μείζων μου ἐστίν. οὐ μείων γὰρ ὢν τοῦ πατρὸς κατά γε τὸ ἐν οὐσίᾳ ταὐτὸν, καὶ κατὰ πᾶν ὁτιοῦν τὸ ἰσοστατοῦν, ἐν ἐλάττοσιν εἶναί φησι διὰ τὸ ἀνθρώπινον.

κθ'.

Κηρύττεται δὲ καὶ διὰ τῶν ἱερῶν γραμμάτων, ποτὲ μὲν ὡς ὅλος ὢν ἄνθρωπος, σεσιωπημένης αὐτοῦ τῆς θεότητος οἰκονομικῶς· ποτὲ δὲ αὖ πάλιν ὡς Θεὸς, σεσιωπημένης αὐτοῦ τῆς ἀνθρωπότητος· ἀδικεῖται δὲ κατ' οὐδένα τρόπον, διὰ τὴν ἀμφοῖν εἰς ἑνότητα σύμβασιν. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, ὁ Ἑβραῖος ἐξ Ἑβραίων, καὶ φυλῆς Βενιαμὶν, ὁ κλητὸς ἀπόστολος, ἐπιστέλλει τοῖς διὰ πίστεως δεδικαιωμένοις, καὶ κατανεκρώσασι τὰ μέλη σαρκὸς, πορνείαν δὴ λέγω καὶ πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν· ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. αὐτὸς οὖν ἔφη περὶ τῶν ἑαυτοῦ μαθητῶν· πάτερ ἅγιε τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς. ὅτε ἤμην μετ' αὐτῶν, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, καὶ ἐφύλαξα αὐτοὺς, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ. νῦν δὲ πρὸς σὲ ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. συνίης οὖν, ὅπως ἀπὸ μόνης, * ὥσπερ ἡμῖν, τῆς ἀνθρωπότητος ἔν γε τουτοισὶ κατασημαίνεσθαι δοκεῖ; * οἰήσομαι γὰρ οὐδαμῶς κεκρύφθαι τε καὶ ἀποδημεῖν τοῦ κόσμου· καίτοι λέγοντος σαφῶς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὅπου ἐὰν συναχθῶσι δύο ἢ τρεῖς εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. καὶ πάλιν· ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἴδοις δ' ἂν καὶ αὐτὸν τὸν ἱερώτατον Παῦλον καταῤῥαθυμοῦντα πολλάκις τοῦ καὶ ἄνθρωπον δεῖν ἀνακηρύττειν αὐτόν. Παῦλος γάρ φησιν, ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ. καὶ αὖ ἐπὶ τούτοις· γνωρίζω δὲ ὑμῖν τὸ εὐαγγέλιον, φησί, τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐ κέστι κατ' ἄνθρωπον. οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ, οὐδὲ ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. καὶ μὴν καὶ ἑτέρωθί φησιν· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. τίς οὖν ἐστιν Ἰησοῦς ὁ Χριστὸς, ὁ τὴν οὕτως ἀπλανῆ τε καὶ ἀπόρρητον

πρὸς Κολασ. 11.

Γαλ. 1. 11.

* ἵν. ὡς παρ' ἡμῖν.

* οἰησόμεθα.

Ματθ. 28. 20. καὶ 18. 20.

Γαλ. 2. 2.

Ι. Κορ. 5. 16.

* φλυάρος εἰκαιομυθίας ἀνταναφωνεῖν.

ρητον θείαν ἀποκάλυψιν τῶν ἑαυτοῦ μυστηρίων ἐνα-
στράπτων αὐτῷ; ἆρα οὐχὶ γενόμενος σὰρξ ὁ λό-
γος, καὶ τὴν ἐκ γυναικὸς δι' ἡμᾶς οὐκ ἀτιμάσας
γένησιν; καίτοι πῶς οὐκ ἀληθὲς ὅπερ ἔφην; με-
Λουκ. 1. 30. μνήμεθα γὰρ τοῦ Γαβριὴλ λέγοντος πρὸς τὴν
ἁγίαν παρθένον· μὴ φοβοῦ Μαριάμ· ἰδοὺ γὰρ
συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ
ὄνομα αὐτοῦ Ἰησοῦν· καινὸν δὲ οἶμαι τοῦτο παρὰ
τοῦ πατρὸς ὄνομα δεδόσθαι τῷ λόγῳ διὰ τῆς τοῦ
Ἡσαΐ. 62. 2. ἀγγέλου φωνῆς. προανεκεκράγει γὰρ οὕτω καὶ χρησ-
μῴδημα προφητικόν· καὶ καλέσουσι τὸ ὄνομα αὐ-
τοῦ τὸ καινὸν, ὃ ὁ κύριος ὀνομάσει αὐτό. ὅτε τοί-
νυν συναΐδιος τῷ πατρὶ, καὶ πρὸ παντὸς αἰῶνος
υἱὸς μονογενὴς, ἐν ἐσχάτοις καιροῖς γέγονεν ἄν-
θρωπος, γεγένηται δὲ καὶ ἐκ γυναικὸς, καὶ ὡρίσθη
μὲν υἱὸς Θεοῦ, κεχρημάτικε δὲ καὶ πρωτότοκος,
καὶ γέγονεν ἐν πολλοῖς ἀδελφοῖς· τότε καὶ ὁ φύσει
πατὴρ ὁρίζει τὸ ὄνομα, τοῖς τῆς πατρότητος,
ἵν' οὕτως εἴπωμεν, νόμοις ἑπόμενος.

λ'.

Ὁ αὐτὸς οὖν ἄρα καὶ μονογενής ἐστι, καὶ πρωτότο-
κος. ὁ γάρ τοι μονογενὴς, ὡς Θεὸς, πρωτότο-
Οἰκονομικῶν. κος ἐν ἡμῖν, καθ' ἕνωσιν * οἰκονομικῶς, καὶ ἐν
πολλοῖς ἀδελφοῖς ὡς ἄνθρωπος· ἵν' ἡμεῖς ὦμεν
ὡς ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ υἱοὶ Θεοῦ φυσικῶς τε
καὶ κατὰ χάριν· φυσικῶς μὲν, ὡς ἐν αὐτῷ τε καὶ
μόνῳ· μεθεκτικῶς δὲ καὶ κατὰ χάριν ἡμεῖς δι'
αὐτοῦ ἐν πνεύματι. ὥσπερ οὖν γέγονεν ἴδιον τῆς
ἀνθρωπότητος ἐν Χριστῷ τὸ μονογενὲς, διὰ τὸ
ἡνῶσθαι τῷ λόγῳ κατὰ σύμβασιν οἰκονομικήν.
οὕτως ἴδιον τοῦ λόγου, τὸ, ἐν πολλοῖς ἀδελφοῖς,
καὶ τὸ, πρωτότοκος, διὰ τὸ ἡνῶσθαι σαρκί. ἐρη-
ρεισμένον δ' οὖν ἔχων τὸ εἶναι Θεὸς, καὶ τροπῆς
ἀμείνων ὑπάρχων, ἀεὶ μεμένηκεν ὅπερ ἦν, καὶ ὅτε
γέγονεν ἄνθρωπος, τῇ κατὰ πάντων ὑπεροχῇ,
δόξῃ τε τῇ ἀνωτάτω κατεστεμμένος. τοιγάρ τοι
κεκέλευσαι μεθ' ἡμῶν καὶ αὐτὴ τῶν ἀνωπνευμάτων
ἡ ἁγία τε καὶ παμμακαρία πληθὺς προσκυνεῖν αὐ-
τῷ. ἦν γὰρ δήπου καὶ μάλα εἰκὸς ἀνήνασθαι τὴν
προσκύνησιν, καὶ κατοκνῆσαι τιμᾶν, τὸ τῆς ἀν-
θρωπότητος σμικροπρεπὲς ὁρῶντας, καὶ τὸν δι'
ἡμᾶς γενόμενον καθ' ἡμᾶς οὐκ ἀξιῶσαι δοξολο-
γεῖν, ἀποφοιτῶντας ὡς ἀπωτάτω τοῦ πεπλανῆσθαι
δοκεῖν. ἄποπτον γὰρ καὶ αὐτοῖς ἦν ἔτι τὸ ἐπὶ
Ἑβρ. 1. 6. Χριστῷ μυστήριον, ἐξεκάλυπτε δὲ τὸ πνεῦμα αὐ-
τοῖς, καὶ δυσσεβεῖν οὐκ ἠφίει τοὺς ἡγιασμένους.
τοιγάρ τοι φησὶν ὁ θεσπέσιος Παῦλος· ὅταν
δὲ εἰσαγάγῃ τὸν πρωτόκον εἰς τὴν οἰκουμένην,
λέγει: καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγε-
λοι Θεοῦ. ὁ γὰρ ἰδιότητι φυσικῇ τῆς οἰκουμέ-
νης ἁπάσης διενεγκὼν, ἔξω τε αὐτῆς ὑπάρχων,
καθὸ νοεῖται Θεὸς, εἰσβέβηκεν εἰς αὐτὴν, μέρος
κόσμου πεφηνὼς, ὡς ἄνθρωπος· πλὴν οὐ διὰ τοῦτο
τῆς θείας ἀπώλισθε δόξης. προσκυνεῖται γὰρ
ὡς μονογενὴς, κἂν εἰ καλοῖτο πρωτότοκος· ὅπερ
ἐστὶν ἐναργῶς τοῖς τῆς ἀνθρωπότητος μέτροις ὅτι
μάλιστα πρέπον.

λα'.

Ἆρ' οὖν ὡς ἄνθρωπον προσκυνήσομεν μόνον
τὸν Ἐμμανουήλ; μὴ γένοιτο. λῆρος γὰρ ἤδη
τοῦτο καὶ ἀπάτη, καὶ πλάνησις. διοίσομεν δὲ κατ'
οὐδὲν τῶν τῇ κτίσει λελατρευκότων παρὰ τὸν κτί-
σαντα καὶ ποιητὴν, οἵ τινες μετήλλαξαν τὴν ἀλή-
θειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει, κατὰ τὸ γεγραμ-
μένον. οἷς εἰ φρονήσαιμεν ἀδελφὰ, καὶ συνακου-
σόμεθα πάντως· φάσκοντες εἶναι σοφοὶ, ἐμωράν-
θησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ Ῥωμ. 1. 25.
ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πε-
τεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν. ἢ γὰρ οὐχὶ καὶ
ἡμεῖς αὐτοὶ καὶ ἰσουργοὶ καὶ σύμφρονες τοῖς μνημο-
νευθεῖσιν ἐσόμεθα, τὴν τοῦ Θεοῦ δόξαν ἐν τῷ
ψεύδει μεταλλάττοντες, ἐν ὁμοιώματι εἰκόνος
φθαρτοῦ ἀνθρώπου, εἰ ὡς ἀνθρώπῳ ψιλῷ, καὶ ἑνὶ τῶν
καθ' ἡμᾶς προσοίσομεν τὴν προσκύνησιν τῷ Ἐμ-
μανουήλ; τί δὲ οὐχὶ καὶ αὐτὴ τῶν ἀγγέλων ἡ πλη-
θὺς τοῖς εἰς τοῦτο μανίας ἥκουσι συντετάξεται; ἀνε-
ξίτητον δὲ οἶμαί που τὴν ἐπὶ τῷ πεπλανῆσθαι γρα-
φὴν, καὶ τῇ τῶν ἐθνῶν ἀγέλῃ περιθήσομεν· καὶ
δυσαπόνιπτον ἔχει τῶν ἀρχαίων αἰτιαμάτων τὸ βλά-
βος. πλανᾶται γὰρ, οἶμαι, καὶ νῦν οὐδὲν ἧττον,
ἢ πάλαι, καὶ τὴν εἰς εὐθὺ διαστείχουσαν ἠγνόηκε
τρίβον. καὶ περιττὸς, ὡς ἔοικεν, ὁ μακάριος Παῦ- Γαλ. 4. 8.
λος, προσφωνῶν τε αὐτοῖς καὶ λέγων· ἀλλὰ τότε
μὲν οὐκ εἰδότες Θεὸν, ἐδουλεύσατε τοῖς φύσει μὴ
οὖσι Θεοῖς. νῦν δὲ γνόντες Θεὸν, μᾶλλον δὲ
γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ
τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν
δουλεύειν θέλετε; Ποῖον γὰρ ἔτι Θεὸν ἐγνώκασιν,
εἰ μὴ φύσει Θεὸς ὁ Χριστὸς, εἰς ὃν πεπιστεύκασιν;
καὶ εἰ λελατρεύκασιν ἀνθρώπῳ, τοῖς τῆς ἀρχαίας
πλάνης ἐνέχονται βρόχοις. ἢ οὐκ ἀληθὲς ὄφημι;
ἀληθὲς μὲν οὖν. Ἄθρει δὴ οὖν ὦ φιλόχριστε βασι-
λεῦ, ὅπως ἐξ ἀναγκαίων ἤδη συλλογισμῶν μονο-
νουχὶ συνωθούμεθα πρός γε τὸ δεῖν ἐμφρόνως, ὡς
Θεῷ τῷ κατὰ φύσιν, προσκυνεῖν τῷ ἐκ Θεοῦ πα-
τρὸς φῦντι λόγῳ, καὶ ἐν τῷ καθ' ἡμᾶς πεφηνό-
τι σχήματι· τῆς ἀμφοῖν εἰς ἑνότητα συνδρομῆς
οὐκ ἂν ἱκανῶς ἐχούσης πρὸς τὸ ἀφανίσαι τυχὸν τὸ
καὶ ἔσθ' ὅτε λυποῦν εἰς μόνης ἡμᾶς ἀνθρωπότητος
ὑποψίαν. προσλαβοῦσα γὰρ ἡ τοῦ λόγου φύσις τὸ
ἀνθρώπινον, οὐκ ἀνθρωπότης ἔσται ψιλή· νικῶσα
δὲ μᾶλλον ἰδίᾳ δόξῃ τὸ προσληφθὲν, ἐν ἀκ-
λονήτῳ σώζεται διαμονῇ τῆς θεοπρεποῦς ὑπεροχῆς.
ταῦτα φρονοῦντες οἱ μαθηταὶ, προσεκύνουν λέγον-
τες· ἀληθῶς Θεοῦ υἱὸς εἶ· καί τοι βάδην ἰόντα Ματθ. 14. 33.
βλέποντες, καὶ ἐν σαρκὶ καθ' ἡμᾶς. ἐπ' ἄκρου γὰρ
δὴ διέθει κύματος παραδόξως ὡς Θεός.

λβ'.

Ἐρεῖ δὲ ἴσως ὁ τῇ τοιᾷδε δόξῃ μαχόμενος.
καὶ τίς ἦν ὁ λέγων πρὸς τὴν ἐν Σαμαρείᾳ γυ-
ναῖκα· ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡ μεῖς
προσκυνοῦμεν ὃ οἴδαμεν; εἶ τα πῶς ἔσται προσκυ-
νητὸς ὁ τοῖς προσκυνοῦσι συντεταγμένος; ἐγὼ
δὲ

δὲ φαίην ἂν, ὅτι τὸ, τίς ἦν, ὅλως ἐπὶ Χριστοῦ λεγόμενον, ἀσύφηλόν τε καὶ ἀμαθές· μεμέρισται γὰρ οὐδαμῶς. ὁ δὲ τῷ γυναίῳ προσλαλῶν, ὁ εἷς τε καὶ μόνος κύριος ἦν Ἰησοῦς Χριστὸς, ἐκ τῆς προσκυνούσης ἀνθρωπότητος, καὶ ἐκ τῆς προσκυνουμένης θεότητος, τὸ εἶναί τε καὶ ὀνομάζεσθαι Θεός τε ὁμοῦ καὶ ἄνθρωπος, ἀληθὲς ἔχων ἐφ' ἑαυτῷ· καθάπερ ἀμέλει φαίητις ἂν καὶ ἑτέρως περὶ αὐτοῦ, ᾗ μὲν γάρ ἐστι Θεὸς, νοοῖτ' ἂν ὑπάρχων αὐτὸς ὁ τῆς δόξης κύριος· ᾗ δὲ γέγονεν ὁ κατὰ μέθεξιν
Ἰωάν. 17. 1. τὴν παρὰ Θεοῦ δοξαζόμενος ἄνθρωπος, ἐδεῖτο καὶ
Ἐφεσι. 4. 5. δόξης, λέγων. πάτερ δοξασόν σου τὸν υἱόν. ἀλλ' εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, κατὰ τὸ γεγραμμένον. ὥσπερ οὖν ἐστι μία πίστις ἡ * ἐν
* εἰς Χριστόν. Χριστῷ, καὶ ἓν ἀληθῶς βάπτισμα, καί τοι βαπτιζομένων καὶ πεπιστευκότων ἡμῶν εἰς πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα· κατὰ τὸν αὐτὸν οἶμαι τρόπον τε καὶ λόγον, μία προσκύνησις ἡ πατρὸς, καὶ ἐνανθρωπήσαντος υἱοῦ, καὶ ἁγίου πνεύματος. ἐξωσθήσεται γὰρ οὐδαμοῦ τοῦ προσκυνεῖσθαι δεῖν πρός γε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων ὁ μονογενὴς, εἰ καὶ γέγονε σὰρξ, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, κεχρημάτικέ τε πρωτότοκος ὡς ἐν πολλοῖς ἀδελφοῖς. ἐπεὶ τίς ἂν εἴη πάλιν ὁ τῆς ἐπ' αὐτῷ πίστεως λόγος; πῶς οὖν οὐκ ἄξιον ἰδεῖν; οὐδὲ γὰρ, οἶμαι, φαῖεν ἂν, εἴπερ γε ἕλοιντο φρονεῖν ὀρθῶς, ὡς εἰς μόνον πεπιστεύκαμεν τὸν ἐκ Θεοῦ πατρὸς φῶτα λόγον, ἀπογυμνοῦντες αὐτὸν τῆς σαρκός. οὐδ' αὖ ἐκεῖνο παρήσομεν εἰπεῖν· λελέξεται γάρ. οὐ γὰρ εἰς ἕνα τῶν καθ' ἡμᾶς, οὔτε μὴν εἰς ἄνθρωπον ἡ πίστις, ἀλλ' εἰς Θεὸν πράττεται τὸν φύσει καὶ ἀληθῶς ἐν προσώπῳ Χριστοῦ. συλλήψεται δὲ τῷ λόγῳ καὶ ὁ
β. Κορίν. 4. 5. σοφὸς γράφων Παῦλος· οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν κύριον· ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦ Χριστοῦ. ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης αὐτοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ. Ἰδοὺ δὴ σαφῶς τε καὶ ἐναργῶς ὁ φωτισμὸς τῆς γνώσεως τοῦ Θεοῦ καὶ πατρὸς ἐν προσώπῳ διέλαμψε τοῦ Χρι-
Γωάν. 14. 9. στοῦ. τοιγάρ τοι καὶ ἔφασκεν· ὁ ἑωρακὼς ἐμὲ, ἑώ-
Ἰωάν. 10. 30. ρακε τὸν πατέρα. ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν.

λγ'.

Χαρακτὴρ δὲ ὁ θεῖος οὐ σωματικὸς, ἀλλ' ἐν δυνάμει, καὶ δόξῃ τῇ θεοπρεπεστάτῃ. τοῦτο δὲ ἦν ἀκραιφνὲς ἐν Χριστῷ. γνωρίζεσθαι δὲ καὶ διὰ τούτων ἠξίου, καὶ διὰ τῆς τῶν δρωμένων ὑπεροχῆς εἰς ἐννοίας ἀναφοιτᾶν τὰς ἐπ' αὐτῷ τοὺς ἀκροωμένους ἤθελε, κατασμικρυνούσης αὐτὸν ἠρέμα παρά γε τοῖς ἀσυνέτοις τῆς ὁρωμένης σαρκός. εἰ γὰρ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, φησὶ, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς
Γωάν. 10. 37. ἔργοις μου πιστεύσατε. φάναι δέ οἶμαι ταυτὶ τὸ τηνικάδε Χριστὸν, οὐκ ἀσυντελὲς εἰς ὄνησιν εἰδότα τὸ χρῆμα. ἐπειδὴ γὰρ ᾤοντο Θεὸν μὲν οὐκ εἶναι κατὰ φύσιν τὸν δι' ἡμᾶς ἐνηνθρωπηκότα, ψιλὸν δὲ ἄνθρωπον ἁπλῶς καθ' ἡμᾶς, ἀπαράδεκτον δὲ διὰ τοῦτο τὴν ἐπ' αὐτῷ πίστιν ἐποιοῦντό τινες· ἀναγκαίως τὸ δεῖμα, καὶ τὸν ἐπὶ τούτοις ὄκνον ὑποτεμνόμενος, τῇ τῆς θεότητος φύσει τὴν πίστιν ἀνατιθεὶς ὡς ἐν προσώπῳ πατρὸς, καὶ οὐχὶ τῇ καθ' ἡμᾶς σμικροπρεπείᾳ προσνέμων,
Γωάν. 12. 44. ἔφασκεν· ὁ πιστεύων εἰς ἐμὲ, οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με· καὶ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με. ἆρ' οὖν οὐκ ἴσον εἰπεῖν; ὦ τῶν ἐμῶν κατήκοοι λόγων, μὴ μικρὰ καὶ χαμαιρριφῆ τὰ εἰς ἐμὲ δοξάζετε· ἴστε δὲ, ὅτι τὴν εἰς αὐτὸν ἐμὲ τὸ ὁρώμενον ἐν σαρκὶ προσιέμενοι πίστιν. οὐκ εἰς ἄνθρωπον ἁπλῶς ἔσεσθε πεπιστευκότες, ἀλλ' εἰς αὐτὸν τὸν πατέρα δι' ἐμοῦ, τοῦ κατὰ πᾶν ὁτιοῦν ἴσως τε καὶ ἀπαραλλάκτως ἔχοντος υἱοῦ. σαρκωθέντος μὲν δι' ὑμᾶς, καὶ περίβλημα σμικροπρεπὲς οἰκειωσαμένου τὴν ἀνθρωπότητα· τό γε μὴν ἰσοφυές τε καὶ ἰσουργὸν, καὶ ἐν ταυτότητι δόξης ἀδιαλώβητον παντελῶς ἔχοντος πρὸς αὐτόν.

λδ'.

Μάθοι δ' ἄν τις καὶ ἑτέρως αὐτὸν τὴν πίστιν οὐ διωθούμενον, ἀλλὰ τομῆς τινος δίχα καὶ διαφορᾶς εἰσδεδεγμένον αὐτὴν ὡς ἐν ἰδίῳ προσώπῳ, καὶ εἰ γέγονεν ἄνθρωπος. ἐπειδὴ γὰρ τὸν ἐκ γενετῆς ἰᾶτο τυφλὸν, καὶ τὸ γλυκὺ μὲν, ἄηθες δ' οὖν ἐνεφύτευσε φῶς αὐτῷ, παρὰ πάντων εἰκότως ἐθαυμάζετο. ἀλλ' ὁ μὲν τοῦ πάθους ἀπηλλαγμένος παρὰ τοῖς Ἰουδαίοις ἐκρίνετο, καὶ ὡμο-
Γωάν. 9. 36. λόγει τὸν ἰατρόν. Χριστὸς δὲ αὐτῷ περιτυχὼν, σὺ πιστεύεις, ἔφασκεν, εἰς τὸν υἱὸν τοῦ Θεοῦ; τοῦ δὲ, τίς ἐστι κύριε, διακεκραγότος, ἵνα πιστεύσω εἰς αὐτόν; ἀντεφώνει, λέγων· καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν. ὁ δὲ
Γωάν. 1. 18. ἔφη· πιστεύω κύριε· καὶ προσεκύνησεν αὐτῷ· καί τοι πῶς οὐχ ἅπασι συμφανὲς, ὡς ἄποπτος παντελῶς ἡ θεία τε καὶ ἀνωτάτω φύσις; Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε, κατὰ τὸ γεγραμμένον. εἴπερ οὖν διϊστὰς ἑαυτοῦ τὸ ἀνθρώπινον, ὡς αὐτὸ δὴ τοῦτο, καὶ πεφηνὼς ἐκ Θεοῦ πατρὸς λόγος γυμνὸς, καὶ μόνος ἠξίου πιστεύεσθαι· τί μὴ μᾶλλον τὴν τοῦ Θεοῦ φύσιν ἀναλογίζεσθαι δεῖν, ἥ τίς ποτέ ἐστι, τὸν εὖ παθόντα διεκελεύετο, παρέδειξε δὲ σωματικῶς, ὡς καὶ αὐτοῖς ὄμμασι * καταθεάσασθαι * παρόν; ἔφη γὰρ, ὅτι καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν. ἢ οὐχὶ τὴν σάρκα παραδεῖξαι φήσομεν; εἶτα πῶς αὐτὸς ἂν εἴη λοιπὸν ἡ σὰρξ, εἰ μὴ νοοῖτο καθ' ἕνωσιν, ὡς αὐτὸς ὑπάρχων τὸ ἴδιον αὐτοῦ; καθάπερ ἀμέλει καὶ ἐφ' ἡμῶν γένοιτ' ἄν. καταδείξειε γὰρ ἄν τις οὐ μεμερισμένως, οὐδὲ ἀτελῶς τὸν καθ' ἡμᾶς ἄνθρωπον, τὸν ἐκ ψυχῆς δὴ λέγω καὶ σώματος, καὶ ἀπὸ μόνης αὐτοῦ τῆς σαρκός.

* καταθεάσασθαι παρόν παρόντα.

λε'.

Γέγραφε δέ που καὶ ὁ σοφὸς ἡμῖν Ἰωάννης, ὅτι Γωάν. 20. 30.
πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώ-

πιον

πιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ· καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.
Πραξ. 4. 9. κατατεθήποι δ' ἄν τις οὐ μεῖον καὶ τὸν θεσπέσιον Πέτρον, Ἰουδαίοις προσπεφωνηκότα σαφῶς καὶ ἀναφανδόν· ἄρχοντες τοῦ λαοῦ, καὶ πρεσβύτεροι, εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπ' εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται· γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ παντὶ τῷ λαῷ Ἰσραὴλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. καὶ μεθ' ἕτερα πάλιν· καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία. οὐδὲ γὰρ ἕτερον ὄνομά ἐστιν ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. τίς οὖν ἄρα ἐστὶν ὁ καὶ θάνατον ὑποδὺς, καὶ ἐγηγερμένος ἐν δόξῃ, καὶ ἐκ Ναζαρὲτ, εἰ μὴ Χριστὸς Ἰησοῦς; τουτέστιν ὁ πρὸ παντὸς μὲν αἰῶνος ἐκ Θεοῦ πατρὸς ἀπορρήτως γεγεννημένος, ἐν δέ γε τῷ λοίσθῳ καὶ εἰς πέρας ἥκοντι τοῦ αἰῶνος καιρῷ, καὶ σωματικῶς ἐκ γυναικός; ὁ πίστιν
* εἰς αὐτόν. οὖν ἄρα τὴν * πρὸς αὐτὸν προσιέμενος, γέρας ἀποίσεται τὸ ἐξαίρετον, διακεκλήσεται γὰρ υἱὸς Θεοῦ. ὅσοι γὰρ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν
Ιωάν. 1. 12. τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Ἵνα γὰρ γένηται πρωτεύων ἐν πᾶσιν
Κολασ. 1. 18. αὐτὸς, καθὰ γέγραπται, γεγένηται μὲν ἐκ γυναικός.

λϛ'.

Ἐπειδὴ δέ ἐστιν ἀπαρχὴ τῆς ἀναμορφουμένης κτίσεως δι' ἁγιασμοῦ πρὸς Θεὸν, καὶ πρό γε τῶν ἄλλων αὐτὸς γεννητὸς ἐδείχθη ἐκ πνεύματος, τὴν ἀνδρός τε καὶ γυναικὸς οὐ περιμένων συνόδον, καὶ οὐκ ἀτιμίᾳ καὶ μώμῳ καταδικάζων τὴν φύσιν· τίμιος γὰρ ὁ
Εβρ. 13. 4. Ματθ. 19. 4. γάμος, καὶ ὁ πλάσας ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· ἀλλὰ τῷ * μείζονι καὶ ἀσυγκρίτως ὑπερκειμένῳ προσνέμων ἤδη πως τὰ ἀνθρώπινα· γεννητοὺς γὰρ πνεύματος, οὐκ ἀνδρῶν ἡμᾶς ἔτι χρηματίζειν ἤθελε. καὶ γοῦν πατέρα, φησὶ, μὴ καλέ-
Ματθ. 23. 9. σητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, πάντες δὲ ὑμεῖς ἀδελφοὶ ἐστέ. οὐκοῦν ἀμώμητον παντελῶς τὸ πιστεύειν εἰς αὐτὸν, μᾶλλον δὲ καὶ τῇ τῶν πλημμελημάτων ἀμνηστίᾳ τετίμηται.
Γαλατ. 2. 16. γράφει δὲ ὧδε πάλιν ὁ ἔκκριτος Παῦλος· εἰδότες δὲ, ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν ἐπιστεύσαμεν ἵνα δικαιωθῶμεν ἐν αὐτῷ. κατοκνήσω δὲ οὐδαμῶς, ὅπερ ἤδη φθάσας ἔφην, ἀνακυκλήσας εἰπεῖν, ὅτι Χχριστὸς Ἰησοῦς οὐ γυμνὸς καὶ καθ' ἑαυτὸν νοεῖται ὁ ἐκ Θεοῦ λόγος, ἀλλ' ὅτε προσέλαβε τὸ ἀνθρώπινον, καὶ ἀσυγχύτως ἐνεπλάκη σαρκί. οὕτως ἔχοντα καὶ ὁρώμενον, καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς τυγχάνοντα, τοῖς ἁγίοις ἀποστόλοις παρέδειξεν ὁ πατὴρ, φωνῆς ἄνωθεν ἐκπεμπομέ-
Ματθ. 17. 5. νης τοιᾶς δε· οὗτός ἐστιν, ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε. σύνες οὖν, ὅπως οὐκ ἐν τούτῳ, φησὶν, ἐστὶν ὁ υἱός μου, ἵνα μὴ ἀνὰ μέρος, ὡς ἕτερος ἐν ἑτέρῳ τυχὸν, ἀλλ' εἷς νοοῖτο * ὁ αὐτὸς καθ' ἕνωσιν οἰκονομικήν. πλημμελὲς δὲ ὅτι τὸ ἀντιτείνειν ἐστὶ, καὶ τῶν ὅτι μάλιστα σφαλερωτάτων, ἀναπείθει γράφων Ἰωάννης ὡδί· ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Θεοῦ, * ὅτι μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ, ἔχει τὴν μαρτυρίαν τοῦ Θεοῦ ἐν ἑαυτῷ ὁ μὴ πιστεύων τὸν υἱὸν, ψεύστην πεποίηκεν αὐτὸν, ὅτι οὐκ ἐπίστευσεν εἰς τὴν μαρτυρίαν, ἣν μεμαρτύκεν ὁ Θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ. μεμαρτύρηκε δὲ, ὅτι οὗτος ὁ μετὰ σαρκὸς, καὶ ἐν τῇ τοῦ δούλου μορφῇ, μοναδικῶς καὶ ἰδικῶς ἐμὸς ἀληθῶς υἱός. καὶ αὐτὴν δὲ τὴν διὰ τοῦ ἁγίου βαπτίσματος εὐκλεᾶ χάριν, καὶ τὴν ἐν αὐτῷ ζωοποίησιν, καὶ τὴν Θεοῦ μέθεξιν δι' ἁγιασμοῦ ἐν πνεύματι, διὰ Ἰησοῦ Χριστοῦ πεπρᾶχθαι δώσομεν ἀναγκαίως. μεμνήμεθα γὰρ Ἰωάννου λέγοντος· ὁ ὀπίσω μου ἐρ- Ματθ. 3. 10.
χόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· ἐκεῖνος ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. ἆρα εἰπέ μοι, τῆς καθ' ἡμᾶς ἀνθρωπότητος ἔργον εἶναί φαμεν τὸ ἐν πνεύματι ἁγίῳ βαπτίζειν δύνασθαι καὶ πυρί; καὶ πῶς ἂν εἴη τοῦτό γε; καὶ μὴν ἄνδρα λέγων τὸν ὅσον οὐδέπω παρεσόμενον τε καὶ ὀφθησόμενον, αὐτὸν ἔφη βαπτίζειν ἐν πυρὶ καὶ ἁγίῳ πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα πνεῦμα δουλοπρεπῶς καὶ ὑπουργικῶς, ἀλλ' ὡς Θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω τὸ ἐξ αὐτοῦ τε καὶ ἴδιον αὐτοῦ· δι' οὗ καὶ ὁ θεῖος ἡμῖν ἐνσημαίνεται χαρακτήρ. ἀναμορφούμεθα γὰρ, ὡς εἰς εἰκόνα τὴν θείαν, εἰς Χριστὸν Ἰησοῦν, οὐ σωματικὸν ὑπομένοντες τὸν ἀναπλασμόν· κομιδῇ γὰρ εὔηθες οἴεσθαι ταυτί· διὰ δὲ τοῦ μεταλαχεῖν ἁγίου πνεύματος, αὐτὸν ἐν ἑαυτοῖς πλουτοῦντες Χριστόν· ὡς ἤδη χαίροντας ἐκεῖνο φωνεῖν· ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτη- Ψαλ. 34. 9.
ρίου, καὶ χιτῶνα εὐφροσύνης. ὅσοι γὰρ εἰς Χριστὸν Γαλάτ. 3. 28.
ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.

λζ'.

Εἰ δὲ δή τις ἔροιτο προσιών· ἆρ' οὖν εἰς ἄνθρωπον βεβαπτίσμεθα; καὶ τοῦτο εἶναι φήσομεν * ἀλή- * ἀληθίς.
θειαν, καὶ πρὸς ἡμῶν ἀντακούσεται· εὐφήμει ἄνθρωπε. τί δρᾷς, ὦ οὗτος, * κατακομίζων ἡμῶν εἰς * κατακομίζεις.
γῆν τὴν ἐλπίδα; βεβαπτίσμεθα γὰρ οὐκ εἰς ἄνθρωπον ἁπλῶς, ἀλλ' εἰς Θεὸν ἐνηνθρωπηκότα, καὶ ἀνιέντα * ποινῆς, καὶ τῶν ἀρχαίων αἰτιαμάτων τοὺς τὴν εἰς αὐτὸν πίστιν * ἐκδεδεγμένους, μᾶλλον δὲ εἰσδεδεγμένους. καὶ γοῦν ὁ θεσπέσιος Πέτρος Ἰουδαίοις προσλαλῶν ἔφη· μετανοήσατε οὖν, καὶ βα- Πράξ. 2. 38.
πτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν ὑμῶν· καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. ἀπολύων γὰρ ἁμαρτίας τὸν αὐτῷ προσκείμενον, τῷ ἰδίῳ λοιπὸν καταχρίει πνεύματι· ὅπερ ἐνίησι μὲν αὐτὸς, ὡς ἐκ Θεοῦ πατρὸς λόγος, καὶ ἐξ ἰδίας ἡμῖν ἀναπηγάζει φύσεως. κοινὸν δὲ ὥσπερ τὸ χρῆμα τιθεὶς τῇ μετὰ σαρκὸς οἰκονομίᾳ διὰ τὴν ἕνωσιν, καὶ ὡς ἄνθρωπος ἐνέ-

πνει

πνεισωματικῶς. ἐνεφύσησε γὰρ τοῖς ἁγίοις ἀποστόλοις, εἰπών· λάβετε πνεῦμα ἅγιον. ὃς οὐκ ἐκ
Ιωάν. 20. 23. μέτρου δίδωσι, κατὰ τὴν Ιωάννου φωνὴν, τὸ πνεῦμα, ἀλλ' αὐτὸς ἐνίησιν ἐξ ἑαυτοῦ, καθάπερ ἀμέλει καὶ ὁ πατήρ. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, ὅλην ἀποστήσας τὴν ἔν γε τούτῳ διαφορὰν, ποτὲ
* αὐτῷ. μὲν * αὐτῷ τῷ Θεῷ καὶ πατρὶ προσνέμων ὁρᾶται, ποτὲ δ' αὖ τῷ υἱῷ. γράφει γὰρ ὧδε· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι· εἴπερ
Ρωμ. 8. 9. πνεῦμα Θεοῦ ἐνοικεῖ ἐν ὑμῖν. εἴτις δὲ πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν διὰ ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζῶν διὰ δικαιοσύνην. ἄραρεν οὖν, ὅτι καὶ ἴδιόν ἐστι τὸ πνεῦμα τοῦ υἱοῦ, καὶ οὔτι που μόνον ἢ λόγος ἐστὶ πεφηνὼς ἐκ πατρὸς, ἀλλ' εἰ καὶ νοοῖτο καθ' ἡμᾶς ἄνθρωπος γεγονὼς, οὐ τῶν τῆς θεότητος ἰδιωμάτων ὡς ἐν ἰδίᾳ φύσει λειπόμενος. καὶ γοῦν αὐτὸς ὑπάρχων ἡ πάντων ζωὴ, διὰ τὴν ἐκ τοῦ ζῶντος πατρὸς ἄῤῥητον γέννησιν, ζωοποιεῖσθαι λέγεται μεθ' ἡμῶν. παρὰ δ' οὖν ὅμως ἰδεῖν χαριζόμενον μὲν τῇ ἰδίᾳ σαρκὶ τῆς θεοπρεποῦς ἐνεργείας
* τὰ σαρκός. τὴν δόξαν, οἰκειούμενον δ' αὖ * τὴν σάρκα, καὶ οἱονεί πως καθ' ἕνωσιν οἰκονομικὴν, καὶ τῇ ἰδίᾳ περιτιθέντα φύσει.

λη'.

Ἡ οὐχὶ δὴ μάλιστα πρέπειν ἐρεῖ τις τῷ γε ὄντι κατὰ φύσιν ἐκ Θεοῦ πατρὸς λόγῳ τὸ ἄνωθεν ἥκειν καὶ ἐξ οὐρανοῦ τὸ ζωογονεῖν δύνασθαι τὰ οἷς ἂν ἐνιέναι βούλοιτο τὴν ζωήν; τί δὲ τὸ δημιουργεῖν, εἰπέ μοι, θεϊκῶς δοίη τις ἂν εἶναι ἢ τῶν ἀνθρωπίνων; οὐδαμῶς. πῶς τοίνυν; ἡμᾶς ζωοποιεῖ μὲν ὡς Θεός· πλὴν οὐ μόνῳ τῷ μεταλαχεῖν ἁγίου πνεύματος, ἀλλ' ἐδεστὴν παραθεὶς καὶ τὴν ἀναληφθεῖσαν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ἔφη γὰρ, ὅτι·
Ιωάν. 6. 54. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. κατακερτομούντων δὲ αὐτὸν τῶν Ιουδαίων ποτὲ, καὶ τὴν ἐπὶ τοῖς ἀμείνοσι ψῆφον ἀνάπτειν, οὐκ οἶδ' ὅπως, ἐπικεχειρηκότων τῷ μακαρίῳ Μωσεῖ, εἰρηκότων δὲ ἀναφανδόν· οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον· ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν· τί ποιεῖς σὺ σημεῖον, ἵνα πιστεύωμέν σοι; τί ἐργάζῃ, ὡς ἄνωθεν ἡμῖν καὶ ἐξ οὐρανοῦ κατακομίσας τὸ σῶμα; φησίν· ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. καὶ πρός γε τούτοις πάλιν μονονουχὶ καὶ * δακτύλῳ καταδεικνὺς ἑαυτὸν * ἐνσώματον· ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. ἐάν τις φάγῃ ἐκ τοῦ ἄρτου τούτου, ζήσει εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα· καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσει δι' ἐμέ. καί τοι πῶς οὐκ ἀληθὲς εἰπεῖν, ὡς καταπεφοίτηκε μὲν οὐκ ἐξ οὐρανῶν ἡ σάρξ, ἀλλ' ἦν ἐκ παρθένου, κατὰ τὰς γραφάς; ὅτι ἔστι δὲ οὐκ ἐδεστὸς ὁ λόγος, ἀλλ' εἰς ἓν ἄμφω συλλέγων κατὰ σύμβασιν οἰκονομικὴν τὰ τῶν φύσεων ἰδιώματα, διὰ μυρίων ὅσων ἡμῖν ὁρᾶται λόγων. Νικοδήμῳ μὲν γὰρ οὐ συνιέντι τὸ μυστήριον, ἀνακεκραγότι δὲ ἀμαθῶς· πῶς δύναται ταῦτα γένεσθαι; εἰ τὰ ἐπίγεια, φησὶν, εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε· πῶς ἐὰν εἴπω τὰ ἐπουράνια ὑμῖν, πιστεύσητε; καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Ιουδαίοις τε πάλιν τὴν ἴσην ἐκείνῳ νοσοῦσιν ἀπαιδευσίαν, καὶ διαγελᾷν οὐκ οἶδ' ὅπως ἐλομένοις αὐτὸν, ἐπείπερ ἔφη ζωοποιὸν, καὶ ἐξ οὐρανοῦ τὸ ἴδιον σῶμα· τοῦτο ὑμᾶς σκανδαλίζει, φησίν; ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; ἢ οὐχὶ τετέχθαι φαμὲν ἐκ γυναικὸς τὸν Ἐμμανουήλ; ποῦ οὖν τὸ πρότερον ἦν, ἢ πῶς ἀναβέβηκεν ἔνθα φησιν εἶναι αὐτόν; καί τοι τεχθέντος διὰ τῆς ἁγίας παρθένου τοῦ ἑνωθέντος αὐτῷ σώματος. οὐχὶ δὲ καὶ ἀπρακτεῖν * ὁμολογήσαιμ' ἂν τὴν ἀπὸ γῆς σάρκα πρὸς τὸ δύνασθαι ζωοποιεῖν, ὅσον ἧκεν εἰς ἰδίαν φύσιν; πῶς οὖν εἰπέ μοι ζωοποιὸς ἡ σάρξ; ἢ πῶς ἂν νοοῖτο καὶ ἐξ οὐρανοῦ τὸ ἀπὸ γῆς; καθ' ἕνωσιν δηλονότι, τὴν πρός γε φημὶ τὸν ζῶντά τε καὶ οὐρανόθεν λόγον· φρονήσομεν γὰρ ὡδὶ τὰ λίαν ὀρθὰ, καὶ τοῖς ἱεροῖς συμβαίνοντα λόγοις. εἴη γὰρ οὐχ ἕτερος καὶ δημιουργὸς θεϊκῶς, καὶ ὅτε μὴ δίχα νοοῖτο σαρκός.

Γωάν. 3. 11.

* ὁμολογήσομεν.
* ὁμολογήσαιμεν.

λθ'.

Συλλήπτορα δὲ τοῦ λόγου ποιήσομαι πάλιν ὡδὶ γεγραφότα τὸν οὐρανόφρονα καὶ θεσπέσιον Παῦλον· εὐχαριστοῦντες τῷ Θεῷ καὶ πατρὶ, τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί. ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· ὃς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτὸς ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε· καὶ αὐτὸς ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὃς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων. ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ διὰ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. Ἰδοὺ δὴ πάλιν ἀναφανδὸν δι' αὐτοῦ φησι, καὶ εἰς αὐτὸν ἔκτισται τὰ πάντα· καὶ μὴν ὅτι πρὸ πάντων ἐστὶ, καὶ ὅτι τὰ πάντα συνέστηκεν ἐν αὐτῷ· καὶ αὐτὸν εἶναί φησι πρωτότοκον ἐκ νεκρῶν, εἰρηνοποιήσαντα διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ,

Κολοσ. 1. 12.

* δακτύλοις κατασημαίνων αὐτὸν ἐνσώματον.
* ἐνσώματι.

τάτε ἐν οὐρανοῖς, καὶ τὰ ἐπὶ γῆς. εἶτα τίς ὁ ἐκ νεκρῶν πρωτότοκος, εἰ μὴ Χριστὸς Ἰησοῦς, τουτέστιν ἐν σαρκὶ καὶ μετὰ σαρκὸς ὁ λόγος; τεθναίη γὰρ ἂν οὐδαμῶς τό γε εἰς ἰδίαν φύσιν ἧκον, Θεὸς ὢν ὁ λόγος· οὐδ' ἂν νοοῖτο τῶν ὅλων δημιουργὸς, καθ' ἡμᾶς ὢν ἄνθρωπος, εἰ μὴ δεδημιούργηκε μὲν ὡς Θεὸς, κἂν εἰ μὴ δίχα σαρκὸς νοοῖτο μετὰ τὴν ἕνωσιν. πρωτότοκος δὲ καὶ ἐκ νεκρῶν, καθὸ πέφηνεν ἄνθρωπος, οὐκ ἀποβαλὼν τὸ εἶναι Θεὸς διὰ τὴν ἐνανθρώπησιν.

μ'.

Γαλ. 1. 1. Ἴδοις δ' ἂν καὶ ἑτέρωθι διὰ τῶν αὐτῶν ἰόντας λόγων τοὺς πνευματοφόρους. Ἰωάννης μὲν γάρ, ἐν ἀρχῇ, φησὶν, ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρ-
ά. Πρὸς Κορ. 8. 6. χῇ πρὸς τὸν Θεόν. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· Παῦλος δὲ αὖ· εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. ἀλλ' εἴπερ ἦν τι μεσολαβοῦν μετὰ τὸ ἡνῶσθαι σαρκὶ τὸν λόγον,
* ἐν υἱῶν δυάδι. καὶ εἰς ἑτερότητα καταδιαιροῦν τὴν ὡς * ἐν υἱῷ δυάδα φημὶ, κατὰ τότισι δοκοῦν, πῶς ἐκτίσθη ἅπαντα διὰ Ἰησοῦ Χριστοῦ; ἀλλὰ μὴν ἐκτίσθη δι' αὐτοῦ τὰ πάντα. πρόδηλον οὖν, ὅτι τὰ φύσει τε καὶ ἰδίως ἐνυπάρχοντα τῷ ἐκ πατρὸς ὄντι λόγῳ, τετήρηται πάλιν αὐτῷ, καὶ ὅτε πέφηνεν ἄνθρωπος. ἐπισφαλὲς οὖν ἄρα τὸ διατέμνειν ἀποτολμᾶν. εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς, καὶ δι' αὐτοῦ τὰ πάντα δεδημιούργηκεν ὁ πατήρ. τοιγαροῦν καὶ δημιουργὸς θεϊκῶς, καὶ ζωοποιὸς ὡς ζωὴ, ἀνθρωπίνοις τε αὖ καὶ τοῖς ὑπὲρ ἄνθρωπον ἰδιώμασιν εἰς ἕν
ά. Πρὸς Τιμόθ. τι τὸ μεταξὺ συγκείμενος. μεσίτης γάρ ἐστι Θεοῦ καὶ ἀνθρώπων, κατὰ τὰς γραφὰς, φύσει μὲν ὑπάρχων Θεὸς καὶ οὐ δίχα σαρκός· ἄνθρωπος δὲ ἀληθῶς, καὶ οὐ ψιλὸς καθ' ἡμᾶς, ἀλλ' ὢν
Ἑβρ. 8. 8. ὅπερ ἦν καὶ εἰ γέγονε σάρξ. γέγραπται γὰρ, ὅτι Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

μά.

Ἡ γὰρ οὐχὶ διὰ τῆς ἁγίας καὶ θεοτόκου παρθένου τετέχθαι φαμὲν καὶ πιστεύομεν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς τὸν Ἐμμανουήλ; εἶτα πῶς τοῦτο οὐκ ἀλήθεια; τὸ δὲ δὴ χθὲς καὶ σήμερον, ὦ
* κατασημαίνει. φιλόχριστε βασιλεῦ, καιρὸν ἡμῖν τὸν ἐνεστηκότα, καὶ τὸν ἤδη παρῳχηκότα * κατασημαίνειεν ἄν. πῶς οὖν ὁ αὐτὸς ἂν εἴη εἴς τε τὸν παρῳχηκότα, καί τοι γε γένεσιν οὔπω κατὰ τὴν κατὰ σάρκα λαχών; οὐκοῦν ἦν ὁ λόγος ἐν ἀρχῇ, καὶ ὡς ἐξ ἀϊδίου τε καὶ ἀτρέπτου πεφηνὼς τοῦ Θεοῦ καὶ πατρὸς, ἔχει καὶ αὐτὸς ἐν ἰδίᾳ φύσει τὸ ἀΐδιόν τε καὶ ἄτρεπτον· ἢ οὐχὶ νεώτατον κομιδῇ, καὶ τοῖς τῆς ἐνανθρωπήσεως χρόνοις συνδεδραμικὸς ὄνομα τῷ λόγῳ τὸ Χριστὸς Ἰησοῦς; καὶ μὴν τοῦτο ἡμῖν ἤδη διὰ πλείστων ὅσων ἐδείχθη λόγων. σύνες οὖν, ὅτι Χριστὸν Ἰησοῦν, καὶ οὐ μονοειδῶς τὸν λόγον, χθές τε καὶ σήμερον τὸν αὐτὸν εἶναί φησι καὶ εἰς τοὺς αἰῶνας. πῶς δ' ἂν * ἔχῃ τὸ ἄτρεπτόν τε καὶ τὴν ἐν ταυτότητι διαμονὴν ἡ ἀνθρώπου φύσις, καί τοι κίνησιν ὑπομένουσα, καὶ πρόγε τῶν ἄλλων τὴν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι καὶ ζῆν; διημάρτηκεν οὖν ἄρα τἀληθοῦς ἡμῖν τὸ γράμμα τὸ ἱερόν; καὶ τὸν χθὲς οὐκ ὄντα προεῖναί φησι; φαίην ἂν οὐχὶ τοῦτο ἐγὼ, πολλοῦ γε καὶ δεῖ. χθὲς γὰρ καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας Ἰησοῦς Χριστός. τὸ δὲ τοῦ λόγου πρεσβύτατόν τε καὶ ἀκλινὲς ἥκιστα μὲν ἀρνήσομαι, καὶ εἰ γέγονε σάρξ· οἰήσομαι δὲ καθ' ἕνωσιν μετὰ τῆς ἰδίας σαρκὸς ὡς χθὲς ὄντα καὶ προϋπάρχοντα καταδηλοῦσθαι πάλιν αὐτόν. καὶ γοῦν κατεμυσάττετο μὲν
* παραφρονῶν Ἰουδαῖος, καὶ καταλιθοῦν αὐτὸν ἐπεχείρει, τὴν πίστιν οὐ προσιέμενος. κατετεθήπει γὰρ, ὅτι καί τοι καθ' ἡμᾶς ὁρώμενος ἄνθρωπος, τῆς ὑπὲρ ἄνθρωπον ἀρχαιότητος ἑαυτῷ τὸ πρεσβύτατον ἐπεμαρτύρει, λέγων ὡς Θεός· ἀμὴν ἀμὴν Ἰωάν. 8. 38.
λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. ὅτε καὶ πρὸς τοῦτο ἔφασκον ἐκεῖνοι· πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; ἔφη δὲ πάλιν καὶ Ἰωάννης· οὗτός ἐστι, περὶ οὗ ἐγὼ εἶπον ὑμῖν· ὀπί- Ἰωάν. 1. 30.
σω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. καί τοι πῶς ἄνδρα τε εἰδὼς καὶ ὀνομάζων τὸν Ἐμμανουὴλ, ἔμπροσθέν τε αὐτοῦ, καὶ πρῶτον γενέσθαι φησὶ τὸν ὀψιγενῆτε καὶ μετ' αὐτόν; ἀλλ' ἐρεῖ τις ἴσως· ἔμπροσθεν αὐτὸν καὶ πρῶτον γενέσθαι φησὶ κατά γε τὴν δόξαν, ὥσπερ οὖν ἔπεισί μοι νοεῖν. καὶ μὴν ὅτι κίβδηλόν τε καὶ ἀμαθὲς τὸ τῇ δε νοεῖν, οὐ μακρὸς ἡμῖν διδάξει λόγος. παραδεξάμενοι γὰρ τὸ ἔμπροσθεν εἰς τὸ ἄμεινον ἐν δόξῃ, κατὰ τὸν ἴσόν που λόγον, καὶ τὸ ὀπίσω φήσομεν τὸ ὡς ἐν εὐκλείᾳ δεύτερον εὖ μάλα καταδηλοῦν. συμβήσεται τοίνυν ὡς ἐξ ἀνάγκης ἡμῖν τῆς Ἰωάννου δόξης ἡττᾶσθαι Χριστὸν, καὶ ὀπίσω δραμεῖν, ἀσυνέτως * ὁμολογεῖν. ἔφη γὰρ, ὅτι ὀπίσω μου * ὑπονοεῖν.
ἔρχεται ἀνήρ. ὦ τῆς ἀτοπίας· οἰησόμεθα γὰρ οὐχ ὧδε ἔχειν, ἐννενοηκότες ὀρθῶς τὸ ἐν ψαλμοῖς γεγραμμένον· ὅτι, τίς ἐν νεφέλαις ἰσωθήσεται Ψαλμ. 88. 7.
τῷ κυρίῳ; ὁμοιωθήσεται τῷ κυρίῳ ἐν υἱοῖς Θεοῦ; ἀναθετέον οὖν ἄρα καὶ μετὰ σαρκὸς αὐτῷ τὸ πρεσβύτατον, ὡς Θεῷ κατὰ φύσιν ἑνωθέντι σαρκὶ καὶ τὰ τῆς οἰκείας φύσεως ἀγαθὰ κοινοποιεῖν εἰωθότι τῷ ἰδίῳ σώματι.

μβ'.

Τοῦτο δ' ἂν μάθοις ὧδέ τε ἔχον, καὶ εἰρημένον ὀρθῶς, καὶ ἐξ ἑτέρων εὐθὺς, εἴπερ ἕλοιο, μαρτυριῶν. ἔφη μὲν γάρ που Θεὸς περὶ τοῦ ἐκ σπέρματος Δαυὶδ τὸ κατὰ σάρκα Χριστοῦ δι' ἑνὸς τῶν ἁγίων προφητῶν· καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Μυχ. 5. 2.
Εὐφραθᾶ, μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα. ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ. καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. περὶ δέγε τῶν υἱῶν Ἰσραὴλ ὁ ἱερώτατος Παῦλος. ὅτι πάντες εἰς τὸν Μωϋσῆν ά. Κορ. 10. 2.
ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες βρῶμα τὸ Πνευματικὸν τὸ αὐτὸ ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πνευματικὸν ἔπιον πόμα. ἐπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ

δὲ

δὲ πέτρα ἦν ὁ Χριστός. ἄθρει δὴ οὖν ἐν Χριστῷ Ἰησοῦ δεικνύμενον καθ' ἕνωσιν οἰκονομικὴν τὸ ἰδικῶς τοῦ λόγου πρεσβύτατον. ἢ οὐκ ἐναργὴς ὁ λόγος; τὸν γάρ τοι Βηθλεεμίτην, ὡς ἄνθρωπον καὶ ἐκ γυναικὸς, ἀπ' ἀρχῆς αἰῶνος τὰς ἐξόδους ἔχειν εὖ μάλα φησίν. ἐν ἀρχῇ γὰρ ἦν καὶ πρὸ παντὸς αἰῶνος ὁ ἐνανθρωπήσας Θεὸς λόγος· καὶ αὐτὸς ἦν ἡ πέτρα, δεδιψηκότα τὸν Ἰσραὴλ τοῖς παρ' ἐλπίδα καὶ ἀδοκήτως ἐκμεθύσκων νάμασι· καί τοι γεννηθεὶς κατά γε τὴν σάρκα καὶ τὸ ἀνθρώπινον ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, καὶ κεχρισμένος τὴν εἰς τόνδε τὸν κόσμον ἀποστολὴν παρὰ τοῦ Θεοῦ καὶ πατρός· κατωνόμασται γὰρ οὐχ ἑτέρου τοῦ χάριν ἢ διὰ τοῦτο Χριστός. Χριστὸς δὲ ἦν ἡ πέτρα κατὰ τὸν νόμον, καὶ τὸν Παῦλον. ἐπαγωνιεῖται δ' αὖ καὶ συναθλήσει τῷ λόγῳ καὶ ὁ σοφὸς Ἰωάννης, μονονουχὶ καὶ συναγείρων τὰς φύσεις, καὶ συνδέων εἰς ἕνωσιν τῶν
α. Ἰωάν. 1. 1. ἑκατέρα προσόντων ἰδιωμάτων τὴν δύναμιν. θέα γὰρ ὅ φησιν· ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν ζωὴν τὴν αἰώνιον, ἥ τις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ὑμῖν. Ἰδοὺ τὸν ὄντα ἀπ' ἀρχῆς ὦφθαί τέ φησιν ἐναργῶς, ὑπομεῖναι δὲ καὶ ἁφήν. ἀνεκεκράγει γὰρ ὁ
Ἰωάν. 20. 28. Θωμᾶς· ὁ κύριός μου, καὶ ὁ Θεός μου· ἀναμετρήσας δακτύλῳ πλευράν τε τὴν τοῦ σώματος, καὶ τὰς διατρήσεις τῶν ἥλων. γεγενῆσθαι δέ φησι τοὺς ἁγίους ἀποστόλους καὶ ὁ θεῖος ἡμῖν Λουκᾶς αὐτόπτας τε καὶ ὑπηρέτας τοῦ λόγου. γέγονε γὰρ ἐμφανὴς ὁ ἀσώματος, καὶ ἁπτὸς ὁ ἀναφής· οὐκ ὀθνεῖον ἔχων περίβλημα τὴν ἀπὸ γῆς σάρκα, ἀλλ' ἴδιον αὐτὴν ποιησάμενος ναὸν, καὶ ἐν αὐτῇ, καὶ σὺν αὐτῇ γνωριζόμενος ὡς Θεὸς καὶ κύριος. γεγραφότα δὲ οἶσθά που καὶ
Ρωμ. 14. 7. τὸν ἱερώτατον Παῦλον· οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει. ἐάν τε γὰρ ζῶμεν, τῷ κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ κυρίῳ ἀποθνήσκωμεν· ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ κυρίου ἐσμέν. εἰς τοῦτο γὰρ Χριστὸς ἀπέθανε καὶ ἔζησεν, ἵνα νεκρῶν καὶ ζώντων κυριεύσῃ.

μγ'.

Ἄραρεν οὖν ἀληθῶς, ὅτι κεκυρίευκεν ἀληθῶς νεκρῶν τε καὶ ζώντων ὁ μὴ ἑτέρου τοῦ χάριν, πλὴν ὅτι τοῦ δέ τε καὶ μόνου, τεθνεὼς καὶ ἐγηγερμένος. τίνα δὴ οὖν ἄρα φαμὲν, ὡς ὑπέδυ μὲν θάνατον, ἀνεβίω δ' αὖ, ἢ τὸν υἱὸν δηλονότι; ἀλλ' ὅτι μὲν τὸν υἱὸν, ἁπαστισοῦν, οἶμαι, συνεύσειεν ἄν. τί οὖν ἐροῦμεν; πότερα θνητός τέ ἐστι καὶ φθορᾷ κάτοχος ὁ ἐκ Θεοῦ πατρὸς λόγος, ἢ πέρα θανάτου καὶ φθορᾶς ἀμείνων ὡς ζωή; καί τοι πῶς οὐχ ἅπασιν ἐναργὲς, ὅτι θανάτου κρείττων ὡς ζωή; εἶτα
Ψαλμ. 87. 6. πῶς γέγονεν ἐν νεκροῖς καὶ ἐλεύθερος, κατὰ τὰς γραφάς; τεθναίη γὰρ οὔτι που καθ' ἑαυτὸν ὁ λόγος. φαμὲν οὖν, ὅτι τεθνεώσης αὐτοῦ τῆς σαρκὸς, αὐτὸς τοῦτο λέγεται παθεῖν. οὐκοῦν οὐ δίχα σαρκὸς, σὺν αὐτῇ δὲ μᾶλλον καὶ ἐν αὐτῇ τὴν τῆς κυριότητος ἀνεδέξατο δόξαν, ὁ νόμῳ σαρκὸς καὶ φύσει τῇ καθ' ὑμᾶς τεθνικὼς, καὶ ἐγηγερμένος· ἀνθρώπινον μὲν τὸ τεθνάναι πάθος, ἐνέργημα δὲ θεῖκὸν τὸ ἀναβιῶναι δεικνὺς, ἵνα δι' ἀμφοῖν γνωρίζηται καθ' ἡμᾶς τε ἅμα, καὶ ὑπὲρ ἡμᾶς ὡς Θεὸς, καὶ τῶν ὅλων γεγονὼς ὁρῶτο κύριος, ὁ καὶ πρὸ σαρκὸς βασιλεύων μετὰ τοῦ ἰδίου πατρός. οὕτως αὐτὸν ὁ Ναθαναὴλ ἐπιγινώσκων, ἔφασκε· Ῥαββὶ, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ Ἰωάν. 1. 49.
βασιλεὺς τοῦ Ἰσραήλ. αὐτὸς δὲ τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς καλεῖτέ με, φησὶν, ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ. ἔργῳ δὲ αὐτὸ πιστούμενος, ἀνίησι μὲν ἁμαρτίας, ἐξουσίαν δὲ δέδοκε κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. ἐν ὀνόματι γὰρ Ἰησοῦ τοῦ Χριστοῦ τοῦ Ναζωραίου τεθεράπευται μὲν ὁ τὼ Πράξ. 3. 6.
πόδε λελωβημένος, καὶ τῇ ὡραίᾳ προσιζάνων πύλῃ. ἀῤῥωστίαν δὲ τὴν οὕτω μακρὰν ἀπεσείσατο, καὶ κομιδῇ δυσδιάφυκτον διέδρα νόσον Αἰνέας, πρὸς ὃν ὁ θεσπέσιος ἔφη Πέτρος· Πράξ. 9. 34.
Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός.

μδ'.

Πανταχόθεν οὖν ἄρα συνωθούμενοι πρὸς ἀλήθειαν, καὶ τὸ τοῖς ἱεροῖς γράμμασι δοκοῦν ἰχνηλατεῖν εὖμαλα σπουδάζοντες, καὶ ταῖς τῶν πατέρων ἑπόμενοι δόξαις, τὸν ἐκ ῥίζης Ἰεσσαὶ, τὸν ἐκ σπέρματος Δαυὶδ, τὸν ἐκ γυναικὸς κατὰ σάρκα, τὸν μεθ' ἡμῶν ὑπὸ νόμον ὡς ἄνθρωπον, καὶ ὑπὲρ ἡμᾶς, ὑπὲρ νόμον ὡς Θεὸν, τὸν δι' ἡμᾶς τε, καὶ καθ' ἡμᾶς, μεθ' ἡμῶν ἐν νεκροῖς, τὸν ὑπὲρ ἡμᾶς δι' ἑαυτὸν ζωοποιὸν, καὶ ζωὴν, υἱὸν εἶναι τοῦ Θεοῦ κατὰ ἀλήθειαν πιστεύομεν· οὔτε ψιλοῦντες θεότητος τὸ ἀνθρώπινον, οὔτε μὴν ἀνθρωπότητος ἀπαμφιεννύντες τὸν λόγον μετὰ τὴν ἄφραστόν τε καὶ ἀπερινόητον ἕνωσιν· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ὁμολογοῦντες υἱὸν, ἐκ δυοῖν πραγμάτοιν εἰς ἕν τι τὸν ἐξ ἀμφοῖν ἀπορρήτως ἐκπεφηνότα, καθ' ἕνωσιν δηλονότι τὴν ἀνωτάτω, καὶ οὐ φύσεως παραστροπήν.

με'.

Ὅσον γὰρ τοῖς οὕτω δοξάζουσι περιέσται τὸ κέρδος, σαφηνιεῖ γράφων ὁ τοῦ Χριστοῦ μαθητής· ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ οὗτος ἐν τῷ Θεῷ. ὅτι δὲ Ἰησοῦς Χριστὸς ὁ ἐκ Δαυὶδ κατὰ σάρκα, κατὰ φύσιν καὶ ἀληθῶς ἐστιν υἱὸς τοῦ Θεοῦ, καθὸ γέγονε σὰρξ ὁ λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, κατασφραγιεῖ λέγων ὁ σοφὸς Ἰωάννης· καὶ οἴδαμεν ὅτι υἱὸς α. Ἰωάν. 3. 10.
τοῦ Θεοῦ ἥκει, καὶ ἔδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκομεν τὸν ἀληθινὸν Θεόν. καί ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ζωὴ αἰώνιος· καὶ δι' αὐτοῦ τε καὶ σὺν αὐτῷ τῷ πατρὶ καὶ Θεῷ ἡ δόξα, σὺν τῷ ἁγίῳ καὶ προσκυνητῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦΆΛΑΙΟΝ Δ'.

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας προσφωνητικὸς ταῖς εὐσεβεστάταις βασιλίσσαις.

α'.

ΣΕΜΝΟΛΟΓΗΜΑ μὲν οἰκουμενικὸν, καύχημα δὲ τῶν ἁγίων ἐκκλησιῶν τοῦ πάντων σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φαίη τις ἂν, καὶ μάλα εἰκότως, ὑμᾶς δὴ τὰς ἱερὰς καὶ πανάγνους αὐτοῦ νύμφας, εὐσεβέσταται καὶ θεοφιλέσταται βασιλίδες, αἷς τὸ παμποίκιλον τῆς ἀρετῆς ἐναπαστράπτει κάλλος, τὸ τοῖς τῆς θεότητος ὀφθαλμοῖς ἡδύτε καὶ γνωριμώτατον· μελέτῃ δὲ καὶ σπουδῇ μᾶλλον δὲ ἤδη κατώρθωται, καὶ δὴ ἐν πίστει διαπρέπει ὀρθῇ, καὶ κατ' οὐδένα τρόπον σεσαλευμένῃ. γράφων δέπου φησὶν ὁ σοφώτατος Παῦλος ὀνομασθεὶς ἀληθῶς, καὶ τὸ τοῦ Χριστοῦ τοῖς ἔθνεσιν ἱερουργήσας μυστήριον· ὥστε ἀδελφοί μου ἀγαπητοὶ, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ κυρίου πάντοτε. ὅπου γὰρ πίστις ὀρθὴ καὶ ἀμώμητος τοῖς ἐξ ἔργων ἀγαθῶν καυχήμασιν εὖ μάλα συμφέρεται, καὶ ἰσόδρομον ἔχει τὴν συμβολὴν, ἐκεῖ που πάντως εἴη ἂν ἐν παντὶ καλῷ τελειότης, καὶ τὸ ἀρτίως ἔχον εἰς ἁγιασμὸν. λόγος μὲν οὖν ἅπας ὁ ἐν ἡμῖν, τῆς ἐνούσης ὑμῖν εὐκλείας κατόπιν ἔρχεται, καὶ ὁμολογεῖ τὴν ἧτταν, ἐρυθριάσας οὐδέν· εἴη δ' ἂν καὶ συγγνώμης ἄξιος, εἰ δέδιεν ἐπαινεῖν, ὧν οὐκ ἂν ἐφίκοιτο τῆς ἀξίας. εἰ μὲν γὰρ ἔχει τὸ δύνασθαι κατορθοῦν τὸ ποθούμενον, διαβεβλήσεται μὲν, πολὺ νοσήσας τὸ ἀδρανὲς, καὶ τὴν εἰς τοῦτο μέλλησιν ἀπαλλαττέτω μηδεὶς τῶν εἰς ῥαθυμίαν αἰτιαμάτων. οὓς γὰρ ἦν εἰκὸς κατακαλλύνειν δύνασθαι ταῖς εἰς ἀρετὴν εὐφημίαις, ἀνθ' ὅτου λυπεῖ, σιωπᾷν ἠρημένος. εἰ δὲ ἀτονεῖ, καὶ δέδιε, καὶ ὁμολογεῖ τὴν ἧτταν, οὐκ αὐτῷ δὴ μᾶλλον τὰς αἰτίας ἀναθήσομεν, ἀλλ' ὑμῖν ταῖς οὕτω περιφανέσιν, αἳ ταῖς τῶν ἰδίων ἀνδραγαθημάτων ὑπεροχαῖς καὶ τοὺς ἅπαντας κοσμεῖν εἰωθότας λόγους οὐδὲν ὄντας ἀπεφήνατε. αἷμα μὲν γὰρ ὑμῖν ἄνωθεν καὶ ἐκ μακρῶν ἥκει χρόνων τὸ βασιλικόν· παρατείνει δὲ καὶ εἰς δεῦρο, καὶ ἔτι, καθὰ πεπιστεύκαμεν. ἀλλ' ἰδοὺ δὴ καὶ μάλα σαφῶς, καὶ τῆς ἐν Χριστῷ βασιλείας ἐπιδραττόμεναι, τὰ αὐτῷ δοκοῦντα φρονεῖν τε καὶ δρᾷν σπουδάζετε· τοῦτο μὲν, ὡς ἔφην, ἔργοις τε καὶ ἀμωμήτῳ διαπρέπουσαι πίστει, καὶ τὰς ὑμῶν τε καὶ βασιλείους αὐλὰς τῇ τῆς παρθενίας καταλαμπρύνουσαι δόξῃ· τοῦτο δὲ πολυτελεστάτους ἀνιστῶσαι ναοὺς τῷ Χριστῷ. κεχάρισται γὰρ παρ' αὐτοῦ ταῖς ἁγίαις ὑμῶν ψυχαῖς μετὰ τῶν ἄλλων καὶ τοῦτο.

α'. Κορ. 15. 58.

β'.

Φιλιπ. 4. 4. Οὐκοῦν· ἐρῶ γάρτι λαβὼν καὶ ἐκ τῶν ἱερῶν γραμμάτων· χαίρετε ἐν κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε. τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ἐγνώσθη μὲν οὖν, καὶ διαβεβόηται, καὶ τοῖς ἀνὰ πᾶσαν χώραν τε καὶ πόλιν, καθάπερ τις εἰκὼν γραφὴν ἔχουσα τῆς εἰς Χριστὸν εὐσεβείας τὸ κάλλος, διέλαμψεν ἐναργῶς, καὶ τοῦ παντὸς ἠξιώθη θαύματος. ᾠήθην δὲ δεῖν καὶ ταῖς πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν ἐχούσαις ἀρτίως χάρισμά τι μεταδοῦναι πνευματικὸν, ὡς ἁγίαις Χριστοῦ νύμφαις, τοῦτο δὴ τὸ ἀρτίως ἐμοὶ πονηθὲν βιβλίον, οὐ μετρίαν παρέχειν δυνάμενον, ὥς γε οἶμαι, τοῖς ἐντευξομένοις τὴν ὄνησιν. τοὺς μὲν γὰρ οὐκ ὀρθὰ φρονεῖν δεδιδαγμένους, ἤγουν ἀναπεπεισμένους περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, πρὸς ἐπανόρθωσιν ἀνακομιεῖ, καὶ μυσταγωγήσει καλῶς. τούς γε μὴν ὀρθῷ βεβηκότας νῷ, καὶ τοῖς τῆς ἀληθείας ἐμφιλοχωροῦντας δόγμασιν, ἀσφαλεστέρους ἀποφανεῖ τοῖς ἐξ ἀγαθῶν ἐννοιῶν πολυτρόποις εὑρέμασι, καὶ ταῖς ἐκ τῆς θεοπνεύστου γραφῆς ἀποδείξεσιν. * μαθήσεται γὰρ ὅτι φύσει μὲν καὶ ἀληθείᾳ Θεός ἐστιν ὁ Ἐμμανουὴλ, θεοτόκος δὲ δι' αὐτὸν καὶ ἡ τεκοῦσα παρθένος. εἰ γὰρ δὴ φάναι τε τοῦτο καὶ φρονεῖν δεδιότες, οὐ νενοήκασι, κατὰ τὸ εἰκὸς, τὸ βαθὺ τῆς εὐσεβείας μυστήριον. χρῆναι δὲ ὑπολαμβάνω διὰ βραχέων εἰπεῖν τήν τε ἀποστολικὴν καὶ εὐαγγελικὴν παράδοσιν, * ἣν ἐπὶ Χριστῷ πεποίηται τῷ πάντων δεσπότῃ. καὶ ἁπάσης δὲ τῆς θεοπνεύστου γραφῆς τὸν ἐπ' αὐτῷ σκοπὸν, καὶ ὅποι ποτὲ βλέπῃ τῶν τῆς ἀληθείας δογμάτων ἡ δύναμις.

* μαθήσονται.

* ἴσ. ἢ ἐπὶ χρ.

γ'.

Πιστεύομεν τοίνυν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ, γεννηθέντα κατὰ φύσιν ἐξ αὐτοῦ πρὸ παντὸς αἰῶνος καὶ χρόνου. καὶ γάρ ἐστι συνάναρχος κατὰ χρόνον, καὶ συναΐδιος τῷ ἰδίῳ γεννήτορι, συνέδρός τε καὶ ἰσοκλεὴς αὐτῷ, καὶ ἰσότητι κατεστεμμένος τῇ πρὸς πᾶν ὁτιοῦν· χαρακτὴρ γάρ ἐστι καὶ ἀπαύγασμα τῆς ὑποστάσεως αὐτοῦ. πιστεύομεν δὲ ὁμοίως καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἀλλότριον αὐτὸ τῆς θείας φύσεως καταλογιζόμενοι· καὶ γάρ ἐστιν ἐκ πατρὸς φυσικῶς, προχεόμενον δι' υἱοῦ τῇ κτίσει. νοεῖται γὰρ οὕτω μία τε καὶ ὁμοούσιος, καὶ ἐν ταυτότητι δόξης ἡ ἁγία καὶ προσκυνουμένη τριάς. φαμὲν δὲ, ὅτι αὐτὸς ὁ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ πατρὸς ἀπορρήτως γεγεννημένος μονογενὴς αὐτοῦ λόγος, τῶν αἰώνων ποιητὴς, ὁ δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα, τὸ φῶς τὸ ἀληθινὸν, ἡ πάντα ζωογονοῦσα φύσις· ζωὴ γὰρ πέφηνεν, ὡς ἐκ ζωῆς τοῦ πατρός· ἐν ἐσχάτοις καιροῖς τοῦ αἰῶνος, εὐδοκήσαντος τοῦ πατρὸς, ἵνα σώσῃ τὸ ἐπὶ γῆς γένος πεπτωκὸς εἰς ἀρὰν, καὶ διὰ τῆς ἁμαρτίας κατακομισθὲν εἰς θάνατον καὶ φθορὰν, σπέρματος Ἀβραὰμ ἐπελάβετο, κατὰ τὰς γραφὰς, καὶ κεκοινώνικεν αἵματος καὶ σαρκὸς, τουτέστι γέγονεν ἄνθρωπος· καὶ σάρκα λαβὼν, καὶ ἰδίαν αὐτὴν

Ἑβρ. 1. 3.

Ἑβρ. 2. 4. 16.

ποιη-

ποιησάμενος, ἐγχυνήθη σαρκικῶς διὰ τῆς ἁγίας καὶ θεοτόκου Μαρίας.

δ.

Ἀλλὰ καί τοι καθ' ἡμᾶς γεγονὼς, καὶ τιὼ τῶ δούλου μορφιὼ οἰκονομικῶς ὑποδὺς, μεμένηκεν ἐν τῇ κατὰ φύσιν θεότητι καὶ κυριότητι. οὐ γὰρ πέπαυται τοῦ εἶναι Θεὸς, εἰ καὶ γέγονε σὰρξ, τουτέστι καθ' ἡμᾶς τε καὶ ἄνθρωπος. ἐπειδὴ δὲ ἄξεπτος κατὰ φύσιν, ὡς Θεὸς, μεμενηκὼς ὅπερ λιὼ ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, κεχρηματικεν υἱὸς ἀνθρώπου.

έ.

Καὶ ἐπειδὴ καταβέβηκεν ἑκὼν ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις· καθῆκε γὰρ ἑαυτὸν εἰς κένωσιν· ὑπομεμένηκεν ἀναγκαίως καὶ γέννησιν τιὼ ἐκ γυναικὸς, οὐκ ἀρχιὼ τοῦ εἶναι λαβοῦσης τῆς θείας αὐτοῦ φύσεως, ὅτε κατὰ σάρκα γεγεννῆσθαι λέγεται. ἀλλ' ἰὼ μὴ καὶ ἔστιν, ὡς ἔφιω, ἐκ Θεοῦ πατρὸς φυσικῶς τε καὶ ἀληθῶς ὁ λόγος. ἐπειδὴ δὲ οὐκ ἄνθρωπος· ἁπλῶς νοεῖται καθ' ἡμᾶς ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος, ἀλλ' αὐτὸς σαρκωθεὶς ὁ λόγος, καὶ ἴδιον ἔχων σῶμα τὸ ἐξ αὐτῆς, διὰ τοῦτο λέγεται γεγεννῆσθαι σαρκικῶς, ὡς τῆς ἰδίας σαρκὸς τιὼ γέννησιν οἰκειούμενος.

5'.

Οἱ δὲ λέγοντες ἀσωμάτως θεοτόκον οὐκ εἶναι τιὼ ἁγίαν παρθένον, ἐμπίπτουσιν ἀναγκαίως εἰς τὸ δύο λέγειν υἱοὺς τοῦ Θεοῦ. εἰ γὰρ μὴ τέτοκε σαρκικῶς σαρκωθέντα Θεὸν ἡ ἁγία παρθένος, πάσαπως ἀνάγκη καὶ οὐχ ἑκόντας αὐτοὺς ὁμολογεῖν, ὅτι κοινὸν γεγέννηκεν ἄνθρωπον, οὐδὲν ἔχοντα παρ' ἡμᾶς τὸ πλεῖον. εἶτα πῶς αὐτῷ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός; πῶς αὐτῷ προσκυνοῦσιν ἄγγελοι, καὶ τῇ ἀνωτάτω δυνάμεων, ἡ ἁγία πληθύς; ἆρ' οὖν ἀνθρώπῳ κοινῷ λελάχηκε μεθ' ἡμῶν καὶ σύμπας ὁ οὐρανός; μὴ γένοιτο· προσκυνοῦμεν γὰρ ὡς Θεὸν ἀληθινὸν τὸν Ἐμμανουήλ. ἔσται δὲ οὐχ ἑτέρως προσκυνητὸς, ἐὰν μὴ πιστεύωμεν, ὅτι αὐτὸς ὁ ἐκ Θεοῦ λόγος, ὁ παρὰ πάσης τῆς κτίσεως προσκυνούμενος, σὰρξ ἐγένετο κατὰ τὰς γραφάς. οὐκ εἰς σάρκα μεταβεβληκὼς, ἀλλ' ἐκ τῆς ἁγίας παρθένου σάρκα λαβὼν, ὡς ἔφιω, καὶ ἀνθρωπίνῳ μεθ' ἡμῶν ὑποκείνας γένεσιν· ἵνα καὶ ἄνθρωπος γεγονὼς ὑπὲρ ἡμῶν, ἀποθάνῃ μὲν ἀνθρωπίνως, ἀναστῇ δὲ θείως, πατήσας τῷ θανάτῳ τὸ κράτος. ὅπω γὰρ λιὼ δυνάσθαι καὶ ἡμᾶς ὡς ἐν Χριστῷ νικήσαντας καταξιωθῆναι μὲν τῆς ἁμαρτίας, ἀποδύσασθαι δὲ τιὼ φθοράν, καὶ ὁρᾶν θάνατον, ὅπωτε εἰπεῖν ἐκ περιχαρείας τ ἐν Χριστῷ· ποῦ ἡ νίκη σου θάνατε; ποῦ τὸ κέντρον σου ᾅδη; ὥσπερ γὰρ ἐν Ἀδὰμ πεπτώκαμεν, ὅπω νενικήκαμεν ἐν Χριστῷ.

ζ.

Εἰ δὲ ἄνθρωπος λιὼ κοινὸς ὁ Ἐμμανουήλ, πῶς ἂν ὠφέλησε τιὼ ἀνθρώπου φύσιν ὁ ἄνθρωπος θάνατος; καί τοι πολλοὶ προεκτέθεινται ἅγιοι προφῆται, Ἀβραὰμ ἐκεῖνος ὁ ὀλβιόπους, Ἰσαὰκ, καὶ Ἰακὼβ, Μωσῆς τε, καὶ Σαμουὴλ, καὶ οἱ καθεξῆς γεγονότες ἅγιοι· ἀλλ' ὤνησε μὲν ὀδὲν τὸ ἐπὶ γῆς τῷ ἀνθρώπων γένει ὁ ἐκείνων θάνατος, σέσωκε δὲ ὁ Χριστός. προσκεκόμικε γὰρ ὑπὲρ ἡμῶν τιὼ ἰδίαν σάρκα, καὶ δοὺς * αὐτιὼ τῷ θανάτῳ δι' ἡμᾶς, πάντας ὠφείλετο τῷ τῶ θανάτῳ δεσμῶν. ἦρκεσε γὰρ εἷς ὑπὲρ πάντων ἀποθανὼν ὁ πάντων ἀξιώτερος, ὅτι καὶ φύσει Θεὸς ὁ ἐκ πατρὸς ἔστι λόγος, καὶ ἴδιον αὐτοῦ σῶμα, τὸ ὑπὲρ ἡμῶν εἰς ὀσμιὼ δωδίας τῷ Θεῷ καὶ πατρὶ προσκεκομισμένον. οὐκοῦν ἀσεβὲς, καὶ τῇ λίαν ἐκτοπωτάτῳ, τὸ τέμνειν εἰς υἱοὺς δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν. ἀντιπίπτει δὲ αὐτοῖς καὶ ὁ σοφώτατος Παῦλος λέγων· εἷς κύριος, μία πίστις, ἓν βάπτισμα. εἰ γὰρ ἔστι κύριος εἷς, εἶτα τέμνουσί τινες εἰς δύο υἱοὺς τὸν ἕνα, τίνι τιὼ τῆς κυριότητος δόξαν πειθήσομαι; ἆρα τῷ ἐκ πατρὸς φωτὶ λόγῳ; πρέπει γὰρ αὐτῷ τὸ τῆς κυριότητος ὄνομά τε μάλιστα καὶ χρῆμα, καὶ ἔστιν ἀληθῶς τῇ ὅλων δεσπότης. εἶτα ὅποι ποτὲ τὸν ἕτερον θήσομαι; ἔξω γὰρ κείσεται τοῦ εἶναι κύριος, παραχωρῶν τῷ προϋπάρχοντι, καὶ ἀσυγχρίτως ὑπερημμένῳ· ἀλλὰ τῷ ἐκ γυναικὸς, ὡς αὐτοί φασιν ἀποδιιστάντες, τιὼ τῆς κυριότητος ἀνάξιομαι δόξαν. εἶτα πῶς ἔσται κύριος ὁ ἐκ Θεοῦ παῖς λόγος, εἴπερ ὄντος ἑνὸς κυρίου, κατὰ τὰς γραφὰς, ἀνθρώπῳ ψιλῷ τὸ τῆς κυριότητος ὄνομα χαριούμεθα; πῶς δὲ καὶ μία πίστις; ἢ πῶς ἓν τὸ βάπτισμα; εἰ γὰρ υἱοὶ δύο, κατά τινας, εἰς τίνα πιστεύομεν; τῆς ἐκείνων ἀμαθίας ἔργον ἂν εἴη λέγειν, εἰς τε τίνος ὄνομα βεβαπτίσμεθα, καὶ τοι βαπτίσματος ὄντος ἑνός.

η.

Ἀλλ' ὁρᾷς που πάντως ἢ ἐν ὑμῖν ἀγχίνοιαν μεθιόντα τε τὸν ἐπὶ τούτῳ λόγον, καὶ κατασκόμενον εἴστε τὸ ἀκαλλὲς, μᾶλλον ἤδη καὶ πρὸς ἐκάτιω ἀστεβειαν ἀπονενδικότα. οἶμαι δὲ * δεῖν ὑμᾶς τὸ θεῖον αὐτὸ πολυπραγμονήσας μυστήριον, ὀξεῖ διανοίας ὄμματι καθορᾶν τοὺς σωαρπάζειν ἐθέλοντας, καὶ προσωπεῖον μὲν δόσεβὲς πᾶς ἰδίοις πλεκτοντας λόγοις, βολιδος δὲ μιὼ ἁπάσης ὀξύτερον ἔχοντας αὐτές. ἀρνοῦνται μὲν γὰρ, ὅσον ἦκεν εἰπεῖν εἰς δύναμιν ἀληθείας, τὸν ἀγοράσαντα αὐτοὺς δεσπότιν, τοῦτον Χριστόν· δεδιότες δὲ τῇ δόσεβεῖν εἰωθόσιν τοὺς ἐπὶ τῷδε λύτρας, καὶ μὲν τοι ζῆλον τὸν ἀξιάγαστον, ὁμολογοῦσιν, ὅτι καὶ Θεός ἐστιν ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος, καὶ μὴν ὅτι καὶ κύριος, καὶ υἱὸς τοῦ Θεοῦ. καὶ εἴ μὲν τις τῇ ἁπλῶν τοὺς παρ' αὐτῇ δεῖξαι λόγους, νομεῖ τε κατὰ τὸ εἰκὸς ὀρθὰ καὶ εἰκότα λέγειν, καὶ τοῖς τῆς ἀληθείας οὐκ ἀπᾴδοντα δόγμασιν. εἰ δέ δή τις ἕλοι-

Φιλιπ. 2. 10.

Κορινθ. 15.

* Ἰσως. αὐτὸν. in MS. Segaleriano.

Ἐφεσ. 4. 5.

* Ἰσως.

ἕλοιτο κατισχνοῦν ταῖς ἐρεύναις αὐτοὺς, καὶ τὸ ἀκριβῆ ποιεῖσθαι τῶν εἰρημένων τὴν βάσανον, οὐχ ἁπλοῦν εὑρήσει. εἰσὶ μὲν γὰρ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοὶ ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, καθὰ
α. Κορ. 8. 6. καὶ ὁ μακάριος ἡμῖν γράφει Παῦλος. ἀλλὰ ἡμῖν εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. πλὴν ὅταν Ἰησοῦν Χριστὸν ὀνομάζωμεν, τὸν ἐκ Θεοῦ πατρὸς λόγον ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα σημαίνομεν, οὐκ ἐν χάριτος μέρει καὶ ἐπακτὸν ἔξωθεν ἔχοντα τὸ ἀξίωμα, ἀλλὰ ὄντα τοῦτο κατὰ ἀλήθειαν, ὅπερ εἶναι πεπίστευται. Θεὸς γὰρ ὢν φύσει καὶ δίχα σαρκὸς, μεμένηκε Θεὸς καὶ μετὰ σαρκός· καὶ υἱὸς ὢν φύσει
* ὅτι. καὶ πρὸ σαρκὸς, μεμένηκεν υἱὸς καὶ * ὅπερ γέγονε σάρξ· καὶ κύριος ὢν ἀληθῶς τῶν ὅλων,
* τάξει. ἐν τοιᾷδε πάλιν ὁρᾶται * δόξῃ, καὶ ἐν ἀνθρωπότητι γεγονώς. οὐκοῦν εἰ Θεὸν ἀληθινὸν εἶναι λέγουσι τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον, τουτέστι τὸν ἐκ Θεοῦ πατρὸς λόγον, κατὰ φύσιν ἐνωθέντα σαρκὶ, διὰ τί δεδίασιν ὁμολογεῖν, ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος; ἀλλὰ σκοπὸς αὐτοῖς ὑποπλάττεσθαι μὲν, καὶ λέγειν, ὅτι ναὶ καὶ Θεός ἐστι, καὶ κύριος, καὶ συνεδρεύει τῷ πατρί· φρονοῦσί γε μὴν οὐχ οὕτω κατὰ ἀλήθειαν, ἀλλ' ὡς ἐν χάριτος μέρει, καὶ ὡς ἐκ προκοπῆς δεδόσθαι φασὶ τῷ ἐκ τῆς ἁγίας παρθένου κοινῷ καθ' ἡμᾶς ἀνθρώπῳ γεγεννημμένῳ τήν τε τῆς υἱότητος καὶ τῆς κυριότητος δόξαν.

θ.

Ὅτι δὲ καὶ ἡ θεοτόκος φωνὴ καὶ αὐτοῖς γέγονε συνήθης τοῖς πρὸ ἡμῶν ἁγίοις πατράσιν, οἳ καὶ ἐπ' ὀρθῇ θαυμάζονται πίστει, καὶ εἰς δεῦρο πᾶσι τοῖς ἀνὰ πᾶσαν, ὡς ἔπος εἰπεῖν, τὴν ὑπ' ὑρανὸν, δεῖν ᾠήθην ἀληθῶς ἀποφῆναι. ἵνα γὰρ μὴ δοκοίην τὸ εἰς νοῦν ἧκον ἁπλῶς ἀβασανίστως λέγειν, ἐκ τῶν ἐκείνοις πεποιημένων βι-
* ἐκκλησίαις βλίων ἐν * ἐκκλησίᾳ, τὰ εἰς τοῦτο χρήσιμα
* κατασφραγιῶν. συνεισενεγκῶν, καὶ παραθεὶς εἰς ἀπόδειξιν, * κατασφραγιῶ εἰς ἀλήθειαν τοὺς ἐμαυτοῦ λόγους. ἔφη τοίνυν ὡς ἀληθῶς ὁ τρισμακάριος
* ἀληθῶς. * καὶ διαβόητος εἰς εὐσέβειαν Ἀθανάσιος, ὁ γενόμενος κατὰ καιροὺς τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπίσκοπος, ἐν τῷ περὶ σαρκώσεως λόγῳ, περὶ Χριστοῦ τάδε.

Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας, ἐκ τοῦ περὶ σαρκώσεως λόγου.
Περὶ Χριστοῦ.

ΟΜΟΛΟΓΟΥΜΕΝ γὰρ, φησὶ, καὶ εἶναι αὐτὸν υἱὸν τοῦ Θεοῦ, καὶ Θεὸν κατὰ πνεῦμα, υἱὸν ἀνθρώπου κατὰ σάρκα, οὐ δύο φύσεις τὸν ἕνα υἱὸν, μίαν προσκυνητὴν, καὶ μίαν ἀπροσκύνητον· ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην, καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾷ προσκυνήσει· οὐδὲ δύο υἱοὺς, ἄλλον μὲν υἱὸν Θεοῦ ἀληθινὸν καὶ προσκυνούμενον, ἄλλον δὲ ἐκ Μαρίας ἄνθρωπον, μὴ προσκυνούμενον, κατὰ χάριν υἱὸν Θεοῦ γενόμενον, ὡς καὶ ἄνθρωποι· ἀλλὰ τὸν ἐκ Θεοῦ, ὡς ἔφην, ἕνα υἱὸν Θεοῦ, καὶ Θεὸν αὐτὸν, καὶ οὐκ ἄλλον. καὶ ἐκ Μαρίας γεγεννῆσθαι κατὰ σάρκα ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ὡς ὁ ἄγγελος τῇ θεοτόκῳ Μαρίᾳ λεγούσῃ· πῶς τοῦτο ἔ- Λεκ. 1. 34.
σται, ἐπεὶ ἄνδρα οὐ γινώσκω; ἔλεγε· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γενώμενον ἅγιον, κληθήσεται υἱὸς Θεοῦ· ὁ τοίνυν γεννηθεὶς ἐκ τῆς ἁγίας παρθένου, υἱὸς Θεοῦ φύσει, καὶ Θεὸς ἀληθινὸς, καὶ οὐ χάριτι καὶ μετουσίᾳ, κατὰ σάρκα μόνον τὴν ἐκ Μαρίας, ἄνθρωπος, κατὰ δὲ πνεῦμα, αὐτὸς υἱὸς τοῦ Θεοῦ καὶ Θεός. παθὼν μὲν τὰ ἡμέτερα πάθη κατὰ σάρκα, ὥσπερ γέγραπται· Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκί. καὶ πάλιν. α. Πέτρ. 4. 1.
ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφύσατο, ἀλλ' ὑπὲρ ἡμῶν Ρωμ. 8. 32.
πάντων παρέδωκεν αὐτόν. ἀπαθὴς δὲ διαμείνας καὶ καὶ ἀναλλοίωτος κατὰ τὴν θεότητα, κατὰ τὸ λεγόμενον ὑπὸ τοῦ προφήτου· ἐγὼ Θεὸς, καὶ οὐκ Μαλαχ. 3. 6.
ἠλλοίωμαι. ἀποθανῶν μὲν τὸν ἡμέτερον θάνατον κατὰ σάρκα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἵνα τὸν θάνατον ἀνέλῃ διὰ τοῦ ὑπὲρ ἡμῶν θανάτου, κατὰ τὸν λέγοντα ἀπόστολον· κατεπόθη ὁ θάνατος εἰς νῖ- α. Κορ. 15. 15.
κος. ποῦ σου θάνατε τὸ νῖκος; ποῦ σου ᾅδη τὸ κέντρον; καὶ πάλιν· Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς γραφάς. ἀθάνατος δὲ καὶ ἀκράτητος τῷ θανάτῳ διαμείνας διὰ τὴν θεότητα, ὡς ἀπαθὴς τοῦ πατρὸς δύναμις, κατὰ τὸν λέγοντα Πέτρον· οὐ γὰρ ἦν δυνατὸν κρατεῖσθαι αὐ- Πρ. 2. 24.
τὸν ὑπὸ τοῦ θανάτου. εἶτα τούτοις ἐπιφέρει, παρενθεὶς ἕτερα μεταξύ οὕτως· Εἰ δέ τις παρὰ ταῦτα ἐκ τῶν θείων γραφῶν διδάσκει, ἕτερον λέγων τὸν υἱὸν τοῦ Θεοῦ, καὶ ἕτερον τὸν ἐκ Μαρίας, κατὰ χάριν υἱοποιηθέντα, ὡς ἡμεῖς· ὡς εἶναι δύο υἱοὺς, ἕνα κατὰ φύσιν υἱὸν τοῦ Θεοῦ τὸν ἐκ Θεοῦ, καὶ ἕνα κατὰ χάριν, τὸν ἐκ Μαρίας ἄνθρωπον. ἢ εἴτις τὴν τοῦ κυρίου ἡμῶν σάρκα ἄνωθεν λέγει, καὶ μὴ ἐκ τῆς παρθένου Μαρίας· ἢ τραπεῖσαν τὴν θεότητα εἰς σάρκα, ἢ συγχυθεῖσαν· ἢ ἀλλοιωθεῖσαν, ἢ παθητὴν τὴν τοῦ κυρίου θεότητα, ἢ ἀπροσκύνητον τὴν τοῦ κυρίου ἡμῶν σάρκα ὡς ἀνάνθρωπου, καὶ μὴ προσκυνητὴν ὡς κυρίου καὶ Θεοῦ σάρκα, τοῦτον ἀναθεματίζει ἡ ἁγία καθολικὴ ἐκκλησία, πειθομένη τῷ θείῳ ἀποστόλῳ λέγοντι· εἴτις ὑμῖν εὐαγγελίζεται, παρ' ὃ παρελά- Γαλ. 1. 9.
βετε, ἀνάθεμα ἔστω. καὶ ταῦτα μὲν ὁ μακάριος Ἀθανάσιος.

ι.

Οἶμαι δὲ δεῖν καὶ ἑτέρων ἁγίων ἐπισκόπων παραθεῖναι φωνὰς, τὸν αὐτὸν ἐχούσας σκοπόν.

Ἀττικοῦ ἐπισκόπου.

ΣΗΜΕΡΟΝ Χριστὸς ὁ δεσπότης τὴν τῆς φιλανθρωπίας γένησιν ἀνεδέξατο· τὴν γὰρ τῆς

τῆς θεϊκῆς ἀξίας προϋπῆρχεν. εἶτα τότοις ἐπιφέρει πάλιν· ὁ τῆς φιλανθρωπίας λόγος κενοῦται, ἀκένωτος τιὼ φύσιν τυγχάνων· ἑαυτὸν γὰρ ἐκένωσε, μορφιὼ δούλε λαβών. ὁ ἄσαρκος σαρκοῦται, ὁ λόγος σὰρξ ἐγένετο. ὁ ἀφῆ μὴ ὑποπίπτων δι' τὸ τῆς φύσεως ἀσώματον, ψηλαφᾶται. ὁ ἄναρχος ὑπὸ ἀρχιὼ γίνεται σωματικιώ. ὁ τέλειος αὔξει, ὁ ἄϋπτος προκόπτει, ὁ πλούσιος ἐν καταλύματι τίκτεται. ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις, σπαργανοῦται· ὁ βασιλεὺς ἐν φάτνῃ κατατίθεται.

Γαλ. δ. 16.

Ἀντιόχε ἐπισκόπε.

Ὁ Ἀχθεὶς ἀχράντοις λοχείαις σωτῆρα ἡμῖν ἡ ζωοτόκος, ἡ καλλιτόκος, ἡ μεγαλοτόκος, ἡ φαεσφόρος, ἡ ἐλπιδιφόρος, ἡ θεοτόκος, ἡ ξενωτόκος, ἡ παρθενομήτωρ ὠδίνε Μαρία.

Ἀμφιλοχίε ἐπισκόπε Ἰκονίε, ἐκ τοῦ περὶ τῆς κατὰ σάρκα γεννήσεως.

Ἡ Ἀλήθεια ἐγνώσθη, ἡ χάρις ἦλθε, καὶ ἡ ζωὴ ἐφάνη. ὁ τοῦ Θεοῦ ὢν υἱὸς, ὁ ἐκ Θεοῦ λόγος, σὰρξ ἐγένετο δι' ἡμᾶς ἵνα θνητοὺς εἰς ζωὴν αἰώνιον ἀναστήσῃ, καὶ ἐκ τῶν νεκρῶν ἀνεγείρῃ. ὁ ποιητὴς τῶν ὅλων, ὁ πρὸ φάσης κτίσεως ὁρατῶν τε καὶ ἀοράτων, μόνῳ πατρὶ καὶ πνεύματι συνυπάρχων ἀθάνατος, σήμερον ἐδὺ ἡμῖν ἐκ παρθένε γεγώμενος, χωρὶς πάσης ἁμαρτίας, ἄνθ' ἀνθρώπε, ἤτοι ἀνδρός.

Ἄμμωνος ἐπισκόπε Ἀδριανοπόλεως.

Ἔφη γάρ που καὶ αὐτὸς περὶ τοῦ Θεοῦ λόγε.

Εἰ δὲ αὐτὸς Θεὸς τιὼ φύσιν ὑπάρχων, ὡς τοῦ θεοῦ μονογενὴς υἱὸς, ἐν προσλήψει τῆς δούλε μορφῆς γενόμενος, καὶ πρωτότοκος υἱὸς τῆς ἁγίας παρθένε κληθῆναι καταξιώσας, ἀντίλυτρον ἑαυτὸν ὑπὲρ πάντων δέδωκε. προσεπάγει δὲ τότοις· ἤδη μὲν ἔδειξα τιὼ ἀσέβειαν, ἣ περιπίπτουσιν οἱ ἀρειανοὶ, λέγοντες χρείαν ἐσχηκέναι τιὼ θεοτόκον Μαρίαν τῶν κατὰ τὸν νόμον τότε προσφερομένων θυσιῶν ὑπὲρ τῶν τικτουσῶν γυναικῶν.

Ἰωάννε ἐπισκόπε Κωνσταντινουπόλεως, περὶ τῆς θείας γεννήσεως.

Φησὶ δὲ περὶ τῆς ἁγίας παρθένε.

Ἀντὶ δὲ ἡλίε, φησὶ, τὸν ἥλιον τῇ δικαιοσύνης ἀπεγράπτως χωρήσασα. καὶ μὴ ζητήσῃς πῶς· ὅπου γὰρ βέλεται Θεὸς, νικᾶται φύσεως τάξις· ἠβουλήθη γάρ, ἠδυνήθη, κατῆλθεν, ἔσωσε. συνέδρομα πάντα Θεῷ. σήμερον ὁ ὢν τίκτεται, καὶ ὁ ὢν γίνεται ὅπερ οὐκ ἦν. ὢν γὰρ Θεὸς, γίνεται ἄνθρωπος, οὐκ ἐκστὰς τοῦ εἶναι Θεός· οὔτε γὰρ κατ' ἔκστασιν θεότητος γέγονεν ἄνθρωπος, οὔτε κατὰ προκοπὴν ἐξ ἀνθρώπου γέγονε Θεός. ἀλλὰ λόγος ὢν δι' ὃ πάθοις, σὰρξ ἐγένετο, ἀμεταβλήτε μενούσης τῆς φύσεως. ἕ προσεπάγει τότοις· ὁ ἐπὶ θρόνε ὑψηλε καὶ ἐπηρμένε καθήμενος, ἐν φάτνῃ τίθεται· ὁ ἀναφὴς, καὶ ἁπλοῦς, καὶ ἀσώματος, χερσὶν ἀνθρωπίναις βαλίσεται· ὁ τὰ τῆς ἁμαρτίας δεσμὰ, σπαργάνοις ἐμπλέκεται.

Σεβηριανοῦ ἐπισκόπε.

Ὁ Γὰρ γεννηθεὶς ἄνωθεν ἐκ παρθένε λόγος, ἀπορρήτως, ἀφράστως, ἀκαταλήπτως, ἀϊδίως, ὁ αὐτὸς ἐν χρόνῳ γεννᾶται κάτωθεν ἐκ παρθένε Μαρίας· ἵνα οἱ πρότεροι γεννηθέντες κάτωθεν, ἄνωθεν γεννηθῶσιν ἐκ * δευτέρας, τουτέστι Θεοῦ.

* Addunt hic codex Sequerianus, et qui eius lectionem defenderunt, e libratio praemissa.

Οὐιταλίε ἐπισκόπε, ἐκ τοῦ περὶ πίστεως λόγε.

Ἔτι δὲ καὶ περὶ τῆς κατὰ σάρκα οἰκονομίας τοῦ σωτῆρος πιστούμενος, ὅτι ἀναλλοίωτος καὶ ἀδιάπτωτος τοῦ Θεοῦ λόγος, τιὼ σάρκωσιν γεγενῆσθαι πρὸς * ἀνακαίνισιν ἀνθρωπότητος. υἱὸς γὰρ ὢν ἀληθῶς Θεοῦ κατὰ τιὼ ἀΐδιον ἐκ Θεοῦ γέννησιν, γέγονε καὶ υἱὸς ἀνθρώπε κατὰ τιὼ ἐκ παρθένε γέννησιν. ἕ ἔστιν εἷς καὶ ὁ αὐτὸς τέλειος Θεὸς κατὰ τιὼ θεότητα, καὶ ὁμοούσιος τῷ πατρί· ἕ τέλειος ἄνθρωπος ὁ αὐτὸς κατὰ τιὼ ἐκ παρθένε γέννησιν, καὶ ὁμοούσιος ἀνθρώποις κατὰ τιὼ σάρκα. εἴτις δὲ ἐξ οὐρανοῦ λέγει σῶμα ἔχειν τὸν Χριστὸν, ἢ ὁμοούσιον τῷ Θεῷ κατὰ τιὼ σάρκα, ἔστω ἀνάθεμα. εἴτις μὴ ὁμολογεῖ τιὼ τοῦ κυρίου σάρκα ἐκ τῆς ἁγίας παρθένε, ἕ ἀνθρώποις ὁμοούσιον, ἔστω ἀνάθεμα. εἴτις τὸν κύριον ἡμῶν καὶ σωτῆρα, τὸν ἐκ πνεύματος ἁγίε καὶ Μαρίας τῆς παρθένε γεννηθέντα κατὰ σάρκα, ἄψυχον λέγει, ἢ ἀναίσθητον, ἢ ἄλογον, ἢ ἀνόητον, ἔστω ἀνάθεμα. εἴτις τολμᾷ λέγειν τὸν Χριστὸν θεότητι πεπονθέναι, ἕ μὴ σαρκὶ, ὡς γέγραπται, ἔστω ἀνάθεμα. εἴτις διαιρεῖ ἕ χωρίζει τὸν κύριον ἡμῶν ἕ σωτῆρα, ἕ λέγει ἕτερον μὲν εἶναι υἱὸν τὸν Θεὸν λόγον, καὶ ἕτερον τὸν ἀναληφθέντα ἄνθρωπον, καὶ μὴ ὁμολογεῖ σὺν ἕ τὸν αὐτὸν, ἔστω ἀνάθεμα.

Θεοφίλε ἐπισκόπε, ἐκ τοῦ προσφωνητικοῦ λόγου πρὸς τοὺς φρονοῦντας τὰ Ὠριγένους.

Ἔφη δέ πως περὶ Χριστοῦ.

Ἵνα μὴ ἐν λόγῳ μόνῳ, ἀλλὰ καὶ ἐν δυνάμει Θεὸς ἀληθὴς, ὁ φανεὶς εἶναι πιστεύηται, τῇ τῶν δρωμένων μεγαλουργίᾳ τιὼ περὶ αὐτοῦ δηλοῦν ἀσφάλειαν. πλήρης μὲν ὢν Θεὸς, * αὐτοθελῶς δὲ ἐνανθρώπησας, ἕ μηδεὶς ἀνθρωπείας ὁμοιώσεως κατολιγώσας ἴχνος, πλὴν μόνης τῆς ἀνοσίε κακίας. καὶ βρέφος γὰρ γενόμενος,

* αὐτοπαθῶς

Ἐμ-

Ἐμμανουὴλ ὡμολογεῖτο, μάγων πρὸς αὐτὸν ἰόντων καὶ τῷ προσκυνεῖν καὶ Θεὸν εἶναι τὸν φανέντα. βοώντων· ὅτι καὶ σαρκὶ σταυρούμενος, ἡλίου συνέστελλεν ἀκτῖνας, καὶ τῷ ξένῳ θαύματι τὴν οἰκείαν σαφηνίζων θεότητα, οὐδαμοῦ σκορπίσας ἑαυτὸν, ἢ διαλύσας εἰς σωτῆρας δύο. ἀλλὰ καὶ τοῖς μαθηταῖς ἔλεγε. μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὑμῶν καθηγητὴς ὁ Χριστός· οὐ γὰρ ὅτε τοῦτο τοῖς ἀποστόλοις * παρήγγειλε, τοῦ φαινομένου σώματος τὴν οἰκείαν διώριζε θεότητα· οὐδὲ ὅτε Χριστὸν ἑαυτὸν διεμαρτύρετο εἶναι, ψυχῆς καὶ σαρκὸς διωρίζετο· οὕτως ἄμφω τυγχάνων Θεός τε καὶ ἄνθρωπος, δοῦλος ὁρώμενος, καὶ κύριος γνωριζόμενος· τὸ μὲν ὑψηλὸν τῆς θεότητος τῷ ταπεινῷ τῆς ἐνανθρωπήσεως ὑποκρυπτόμενος φρονήματι, τὸ δέ γε ταπεινὸν τοῦ ὁρωμένου σώματος τῇ τῆς θεότητος ὑπεραίρων ἐνεργείᾳ.

* παρήγγειλε.

ιά.

* Εὐχερὲς μὲν οὖν καὶ ἕτερα τούτοις ἐπενεγκεῖν πλεῖστά τε ὅσα καὶ ἀληθῆ μαρτύρια· παρίημι δὲ, τὸ γεγραμμένον εἰδώς· δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. πλὴν ἐκεῖνο φαμὲν· ἰδοὺ δὴ πάντες οἱ πανάριστοί τε καὶ σοφοὶ κατὰ καιροὺς ἡμῶν γεγονότες πατέρες, καὶ θεοτόκον ὀνομάζουσι τὴν ἁγίαν παρθένον· ἡνῶσθαι δὲ κατὰ φύσιν διαβεβαιούμενοι τῇ σαρκὶ τὸν ἐκ Θεοῦ λόγον, ἔν τε τῇ νηδύϊ γενέσθαι φασὶ τῇ παρθενικῇ, καὶ ἐξ αὐτῆς προελθεῖν κατὰ σάρκα· καί τοι τὴν ἄναρχον καὶ πρὸ παντὸς αἰῶνος καὶ χρόνου λαχόντα γένησιν ἐκ πατρός. ἐπειδὴ δὲ ἦν εἰκὸς, ἐν ταῖς μακροτέραις καὶ ἐφεξῆς τῶν στίχων συνθήκαις ὀλιγώρως ἔχοντα τὸν νοῦν, ἐθελῆσαι μᾶλλον δὲ, ὡς ἐν βραχεῖ καὶ * συνεσταλμένως ἰδεῖν τῶν ἐπὶ Χριστῷ δογμάτων τὸ ἀκραιφνέστατον κάλλος, αὐτὰς κατὰ μόνας τὰς τῶν ἐννοιῶν, ἵνα οὕτως εἴπω, καρδίας, ἐκ τῆς θεοπνεύστου καὶ νέας γραφῆς συναγηγερκὼς, πέπομφα τῇ ὑμετέρᾳ κατὰ Θεὸν εὐσεβείᾳ· ὡς ἂν ἐντυγχάνουσαι, κατὰ βραχύ τε καὶ ἀνὰ μέρος αὐταί τε τὸν ἐν ὑμῖν καὶ ἔτι μειζόνως καταφαιδρύνητε νοῦν· φωταγωγοῦσαι δὲ πρὸς ἀλήθειαν καὶ οὓς ἂν ὠφελεῖν ἕλησθε, καυχήμασιν ἀποστολικοῖς τὰς ὁσίας ὑμῶν καταφαιδρύνητε κεφαλάς. πλούσιος δὲ λίαν ὁ ἐπὶ τούτῳ μισθός· γέγραπται γάρ· ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν αὐτοῦ ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν. ἐν δέ γε ταῖς τῶν ἐννοιῶν εὑρέσεσιν, ἤτοι συμπεράσμασιν, ὅταν λέγωμεν. Θεὸς οὖν ἄρα ὁ Χριστὸς, ἤγουν εἰς ἄρα ὁ υἱὸς καὶ κύριος Ἰησοῦς Χριστός· οὐχ οὕτω φαμὲν, ὡς ἐκεῖνοι, Θεὸν κατὰ χάριν, ἢ υἱὸν, ἢ κύριον ὠνομάσθαι τὸν Ἐμμανουὴλ, ἢ ἐκ προκοπῆς, ἢ ἐπιδόσεως, εἰς τοῦτο δόξης ἐλθεῖν, ὡς ἕνα τὸν καθ' ἡμᾶς κοινὸν καὶ ἡγιασμένον ἄνθρωπον· ἐκεῖνο δὲ μᾶλλον, ὅτι Θεὸς ὢν ὁ λόγος, εἶτα καθεὶς ἑαυτὸν εἰς κένωσιν, καὶ ἐν δούλου μορφῇ καταβεβηκὼς, οὐδὲν ἧττόν ἐστι Θεὸς ἀληθινὸς, καὶ φύσει τῶν ὅλων κύριος ἔσται, καὶ μόνος, καὶ ἰδικῶς υἱός. ᾧ καὶ ἡμεῖς συμμορφούμενοι κατὰ χάριν τὴν δι' αὐτοῦ, πρὸς τὴν τῆς υἱοθεσίας ἀναβαίνομεν δόξαν.

* οὐκ ἀχερὲς μέν.

Παροιμ. 9. 9.

* συνεσταλμένως.

Γακώβ. 5. 20.

ιβ'.

Ὄνομα δὲ τὸ, Χριστὸς, πρέπειν μὲν οὐκ οἶδα πῶς διαβεβαιοῦνταί τινες καὶ ἰδικῶς τε καὶ κατὰ μόνας, καὶ ἔξω σαρκὸς ὄντι τε καὶ νοουμένῳ τῷ ἐκ Θεοῦ φῦντι λόγῳ. πρέπειν δὲ ὁμοίως καὶ τῷ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένῳ, κἂν εἰ νοοῖτο ὑπάρχων κατὰ μόνας ἔτι καὶ καθ' ἑαυτὸν. καὶ τρίτως δὲ πρέπειν * ἀμφοῖν, ὡσανεὶ τοῦ τῆς συναφείας λόγου, καθάπερ αὐτοί φασιν, εἰς ἓν αὐτοὺς πρόσωπον * συνεισδέοντες· ἑνώσεως γὰρ τῆς κατὰ φύσιν καὶ ἀληθοὺς οὐδεὶς λόγος αὐτοῖς· καί τοι ταύτην ἔχοντος τοῦ μυστηρίου τὴν ὁδὸν ὀρθὴν καὶ ἀπλανεστάτην· καὶ ἡ σκῆψις αὐτῶν οὐχ ἁπλῆ, πικρίας δὲ μᾶλλον καὶ ἀπάτης μεμέστωται. ἐπειδὴ γὰρ ἡ θεόπνευστος γραφὴ Χριστὸν ὀνομάζουσα, πάντα αὐτῷ προσνέμει τὰ θεοπρεπῆ. οἶδε γὰρ, οἶδε ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα καὶ σεσαρκωμένον τὸν Θεοῦ λόγον. σκοπὸς δὲ τοῖς ἕτερα παρὰ τοῦτο φρονεῖν ᾑρημένοις, καὶ κοινὸν ἄνθρωπον ἀποφαίνειν τὸν ἐκ γυναικὸς, ἐξ ἐπιδόσεως, ὡς ἔφην, καὶ ἐξ ἰδίας τε καὶ ἀνθρωπίνης ἀρετῆς ἄξιον ἑαυτὸν παραστήσαντα τοῦ χρῆναι τιμᾶσθαι καὶ συναφείᾳ πρόσωπου τῇ πρὸς τὸν ἐκ Θεοῦ λόγον, καὶ ἀπόλεκτον γενέσθαι κατὰ πρόγνωσιν.

* ἀμφοῖν ὡς ἐνί,

* συνεισδέοντες.

ιγ'.

Ἐκεῖνό φασιν, ὅτι τὸ, Χριστὸς, ὄνομα πρέπει καὶ μόνῳ, καὶ ἰδίᾳ, καὶ καθ' ἑαυτῷ νοουμένῳ καὶ ὑπάρχοντι τῷ ἐκ Θεοῦ πατρὸς * πεφηνότι λόγῳ. ἡμεῖς δὲ οὐχ οὕτω δεδιδάγμεθα φρονεῖν, ἢ λέγειν. ὅτε γὰρ γέγονε σὰρξ ὁ λόγος, τότε καὶ ὠνομάσθαι φαμὲν αὐτὸν Χριστὸν Ἰησοῦν. ἐπειδὴ γὰρ κέχρισται τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως, ἤτοι τῷ ἁγίῳ πνεύματι παρὰ τοῦ Θεοῦ καὶ πατρὸς, ταύτῃ τοι Χριστὸς ὀνομάζεται. ὅτι δὲ περὶ τὸ ἀνθρώπινον ἡ χρίσις, οὐκ ἂν ἐνδοιάσειέ τις τῶν ὀρθὰ φρονεῖν εἰωθότων. * εἰ μὲν γὰρ Θεός ἐστι καὶ λόγος, οὐκ ἂν ἐδεήθη χρίσεως, οὐ γάρ που φαίη τις ἂν κεχρίσθαι καὶ ἡγιάσθαι τὸν ἐκ Θεοῦ λόγον τῷ ἰδίῳ πνεύματι, ὡς ἑτέρῳ παρ' αὐτὸν τὴν φύσιν ὑπερκειμένῳ καὶ προὔχοντι. χωρὶς γὰρ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. ἐπειδὴ δὲ τοῖς τῆς ἀνθρωπότητος μέτροις τὸ ἁγιάζεσθαί τε καὶ χρίεσθαι πρέπει, πᾶσά πως ἀνάγκη Χριστὸν ὀνομάζεσθαι τὸν ἐκ Θεοῦ λόγον· οὐχ ὅτε γυμνὸς ἦν ἔτι καὶ οὔπω σεσαρκωμένος, ἀλλ' ὅτε γεγονὼς καθ' ἡμᾶς, τουτέστιν ἄνθρωπος, ἐχρίσθη κατὰ τὸ ἀνθρώπινον. ὥστε τὸ, Χριστὸς, ὄνομα πρέποι ἂν κατ' οὐδένα τρόπον οὔπω καθ' ἡμᾶς γεγονότι τῷ ἐκ Θεοῦ πατρὸς φῦντι λόγῳ. εἰ δὲ ὀνομάζοιτό που Χριστὸς, ἐνανθρωπήσαντά μοι νοήσεις αὐτόν. κἂν λόγον ἀκούσῃς, πεπραγμένης ἤδη τῆς ἐνανθρωπήσεως, τῆς ἐνωθείσης αὐτῷ μὴ ἀμνημονήσῃς σαρκός.

* γεννηθέντι.

* ἴσας, ᾖ.

Ἑβρ. 7. 7.

κός. ἀνὰ μέρος δὲ τούτῳ κἀκείνῳ πρέπειν οἴεσθαι
· ιι. τὴν φωνὴν, ἀσύνετον παντελῶς, μᾶλλον * δὴ
καὶ ἀνόσιον ἢ φρονεῖν, ἢ λέγειν. εἷς γὰρ κύ-
ριος Ἰησοῦς Χριστὸς, καὶ οὐ μεμέρισται, καθὰ
καὶ αὐτὸς ὁ σοφώτατος Παῦλος, ὁ Χριστὸν ἔχων
ἐν ἑαυτῷ, τὸ θεῖον αὐτῷ λαλοῦντα μυστήριον.
προσβαλοῦσαι δὲ τοῖς ἐφεξῆς κεφαλαίοις, εὐθῆ
καὶ ἀπεξεσμένον εἰς ἀλήθειαν τὸν ἐμὸν εὑρήσετε
λόγον. προδιαμαρτύρασθαι δὲ οἶμαι κἀκεῖνο
καλόν. ὥσπερ γάρ ἐστιν ἐν θεότητι τέλειος ὁ
ἐκ Θεοῦ πατρὸς λόγος, οὕτω καὶ ἐν ἀνθρωπό-
τητι τέλειος, κατά γε τὸν τῆς ἀνθρωπότητος
· ἐμψυχω μένι λόγον· οὐκ ἄψυχον σῶμα λαβὼν, * ἐψυχω-
μένον δὲ μᾶλλον ψυχῇ λογικῇ. ὁ δὲ Θεὸς τῶν
ὅλων, ὁ τοῖς ἀγαπῶσιν αὐτὸν τὰ ἐξ οὐρανοῦ δια-
νέμων ἀγαθὰ, τὰς ὁσίας ὑμῶν ἐμπλῆσαι ψυ-
· ἑαυτῷ. χὰς τοῖς παρ' * ἑαυτοῦ χαρίσμασιν· ἵνα καὶ εἰς
μέτρον ἡλικίας ἀναβαίνουσαι τοῦ πληρώματος
τοῦ Χριστοῦ, εὐκλεᾶ καὶ εὐδόκιμον τὴν ἀξιάγα-
στον ὑμῶν ἀποφήνητε ζωὴν, ἁγίαι νύμφαι Χρι-
στοῦ.

Τάδε ἔνεστιν ἐν τοῖς ἐφεξῆς.

Ὅτι Θεὸς ὁ Χριστὸς, ἑνώσει τῇ πρὸς τὸν Θεὸν
λόγον εἰς τὴν αὐτοῦ δόξαν ἀναβαίνοντος καὶ τοῦ
προσληφθέντος ναοῦ, ἐκ τῶν ἀποστολικῶν.
· ἐκλογαί. Ἐκ τῶν καθολικῶν * ἐκλογὴ εἰς τὸ αὐτό.
· ἐκλογαί. Ἐκ τῶν εὐαγγελικῶν * ἐκλογὴ εἰς τὸ αὐτό.
Ὅτι ζωὴ καὶ ζωοποιὸς ὁ Χριστὸς, ἐκ τῶν κειμένων
παρὰ τῷ ἀποστόλῳ Παύλῳ, καὶ ἐν τοῖς ἀποστολι-
· ἱστορίσεις. κοῖς * εὑρήσεις.
Ὅτι εἰς Χριστὸν ἡ πίστις ὡς εἰς Θεὸν, ἐκ τῶν κα-
θολικῶν, καὶ ἐκ τῶν εὐαγγελικῶν.
Ὅτι ζωὴ καὶ ἱλαστήριον ὁ Χριστὸς, ἐκλογαὶ διά-
φοροι.
Ὅτι ὁ Χριστοῦ θάνατος τῷ κόσμῳ σωτήριος, ἐκ
τῶν ἀποστολικῶν καὶ εὐαγγελικῶν ἐκλογαί.

ΟΤΙ ΘΕΟΣ Ο ΧΡΙΣΤΟΣ, ΕΝΩΣΕΙ Τῇ πρὸς τὸν Θεὸν λόγον εἰς τὴν αὐτοῦ δόξαν ἀναβαίνοντος * καὶ τοῦ προσληφθέντος ναοῦ.

* quatuor quæ sequuntur voces abfunt ac. Seguier.

Ἐκ τῆς πρὸς Ρωμαίους.

Ρωμ. 1. 1. ΠΑΥΛΟΣ δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπό-
στολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ,
ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν
γραφαῖς ἁγίαις, περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενο-
μένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα· τοῦ
ὁρισθέντος υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα
ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ
τοῦ κυρίου ἡμῶν.) οὐκοῦν, εἴπερ ἐστὶν εὐαγγέλιον
Θεοῦ τὸ περὶ Χριστοῦ κήρυγμα, πῶς οὐ Θεὸς ὁ Χρι-
στός; καὶ εἰ πάσης προφητείας ἐπ' αὐτὸ βλεπούσης
πέρας, καὶ υἱὸν τοῦ Θεοῦ κηρύττουσιν αἱ γραφαὶ
τὸν ἐκ σπέρματος Δαυὶδ, κἂν ὡρίσθαι λέγοιτο
κατὰ πνεῦμα ἁγιωσύνης διὰ τὸ τῆς ἐνανθρωπή-
σεως μυστήριον, πῶς οὐχ υἱὸς ἀληθῶς, ἐκ τῆς
τῶν νεκρῶν ἀναστάσεως μαρτυρούμενος; ἐγήγερται
γὰρ οὐκ ἄνθρωπος κοινὸς καθ' ἡμᾶς, ἀλλ' ὡς Ρωμ. 1. 11.
θανάτου κρείττων, καθὸ καὶ ζωὴ καὶ Θεός.

Περὶ τῶν προσκυνούντων τῇ κτίσει παρὰ τὸν
κτίσαντα· διότι γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν
ἐδόξασαν, ἢ εὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν,
ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύ-
νετος αὐτῶν καρδία. φάσκοντες εἶναι σοφοὶ, ἐμω-
ράνθησαν. γράφει που Παῦλος τοῖς ἐξ ἐθνῶν κε-
κλημένοις, τουτέστιν ἡμῖν. νυνὶ δὲ γνόντες Θεὸν,
μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ. τίνα τοίνυν ἐγνώ-
καμεν διὰ τῆς πίστεως, ἢ πάντως Χριστὸν Ἰησοῦν; Γαλ. 4. 9.
οὐκοῦν εἰ μὲν ὡς Θεὸν ἐγνώκαμεν, καὶ ὡς Θεὸν δο-
ξάζομεν, πεφωτίσμεθα κατὰ ἀλήθειαν· εἰ δὲ
ἀλλάσσομεν αὐτοῦ τὴν δόξαν, μεματαιώμεθα καὶ
ἡμεῖς ἐν τοῖς διαλογισμοῖς ἡμῶν. εἰ γὰρ ὅλως
πεπιστεύκαμεν εἰς αὐτὸν, ὡς εἰς Θεὸν πιστεύομεν.
ἢ δεήσει πάντῃ τε καὶ πάντως ὁμολογεῖν, ὅτι τοῖς
τῆς ἀρχαίας ἀπάτης καὶ νῦν ἐνισχήμεθα βρόχοις,
ἀνθρώπῳ κοινῷ τὴν πίστιν προσάγοντες. * ἀλλ' · ὁ τοῦτο ἀληθές
οὕτω τὸ ἀληθές.

Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν
ἐπιγνώσει, παρέδωκεν ὁ Θεὸς αὐτοὺς εἰς ἀδόκι-
μον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα.) εἰ Χριστὸν
ἐγνώκαμεν ὡς Θεὸν, τὴν ἐπ' αὐτῷ γνῶσιν μὴ
ἀποδοκιμάζωμεν, ἄνθρωπον εἶναι λέγοντες κοινόν.
εἰ δὲ τοῦτο δρᾶν ἐξ ἀμαθίας τολμῶμεν βαδιού-
μεθα πάντως ὁμοῦ τοῖς ἄλλοις εἰς ἀδόκιμον νοῦν.

Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρ- Ρωμ. 1. 5.
δίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀρ-
γῆς, καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας τοῦ Θεοῦ,
ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.) ὁ
μακάριος Παῦλος, τοὺς πάντας ἡμᾶς δεῖ, φησὶ, Ψαλμ. 74. 7.
φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ·
ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς
ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον. ἔφη δέ Γάλ. 4. 11.
τις καὶ ἕτερος τῶν ἁγίων ἀποστόλων· εἷς ἐστιν ὁ νο-
μοθέτης, καὶ κριτής. ψάλλει δὲ καὶ αὐτὸς ὁ Δαυὶδ, Ψαλμ. 74. 4.
ὅτι ὁ Θεὸς κριτής ἐστιν. ὅτε τοίνυν δικαιοκρισίαν
Θεοῦ φησὶν εἶναι τὴν ἐπὶ τοῦ βήματος τοῦ θείου ἐφ'
ἑκάστῳ ψῆφον, ἣν αὐτὸς ἐξοίσει Χριστός· παρα-
στησόμεθα γὰρ τῷ βήματι αὐτοῦ, καὶ οὐχ ὡς ἑνὶ τῶν
καθ' ἡμᾶς, ἀλλ' ὡς κριτῇ καὶ Θεῷ καὶ νομοθέτῃ·
πῶς οὐχὶ Θεὸς ὁ Χριστός; διὰ γὰρ νόμου ἐπίγνω-
σις ἁμαρτίας. νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ
πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν
προφητῶν. δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ
Χριστοῦ εἰς πάντας τοὺς πιστεύοντας. δίχα νόμου
δικαιοσύνην, ἣν καὶ ὑπὸ τῶν ἁγίων προφητῶν με-
μαρτυρῆσθαί φησι, τὴν διὰ πίστεως εἶναι λέγει
* τὴν εἰς Χριστὸν Ἰησοῦν. εἶτα, πῶς οὐ Θεὸς ὁ δι- · ἱστ. τοῦτο.
καιῶν τοὺς πιστεύοντας, ὅτιπερ εἴη Θεὸς ἀληθῶς;
ὁρᾷ γὰρ εἰς τοῦτο τὸ τῆς πίστεως πέρας. μαρτυρού-
ντων δὲ τῶν ἁγίων προφητῶν τῇ εἰς Χριστὸν πίστει,
τίς ὁ φάναι τολμῶν, οὐκ εἶναι Θεὸν αὐτὸν διὰ τὸ
ἀνθρώπινον, ἤγουν ὅτε γέγονε σὰρξ ὁ λόγος;

Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης
τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ
τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ.) εἰ τὸ
ἁμαρτάνειν ἡμᾶς ὑστερεῖσθαι ποιεῖ τῆς δόξης τοῦ

Θεῷ, ὅτι μὴ οἶδεν ἁμαρτίαν· γέγραπται δὲ περὶ Χριστοῦ, ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν· ὑσερούμεθα δὲ καὶ κατὰ τοῦτο τῆς δόξης αὐτοῦ πλημμελοῦντες ἡμεῖς· Θεὸς ἄρα ἐστὶ καὶ μετὰ σαρκὸς ὁ λόγος. οὐ γὰρ ἐποίησεν ἁμαρτίαν.

Ρωμ. 3. 31. Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν:) ὁ διὰ Μωσέως νόμος Θεὸν ἕνα προσκυνεῖν ἐδίδαξε τοὺς ἐξ Ἰσραήλ· κύριος γάρ φησιν, ὁ Θεός σου, κύριος εἷς ἐστί· καὶ αὐτὸς δὲ ὁ Θεὸς προσεφώνει λέγων αὐτοῖς· οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ. ἆρ' οὖν μετέστησεν ἡ πίστις ἡ εἰς Χριστὸν τοὺς διὰ αὐτῆς κεκλημένους εἰς τὸ μὴ ἑνὶ τῷ κατὰ φύσιν Θεῷ προσκυνεῖν; ἆρα καταργοῦμεν νόμον τῷ ἑνὶ τῷ κατ' ἀλήθειαν Θεῷ προσκομίζοντα; μὴ γένοιτο, φησὶν, ἀλλὰ νόμον ἱστῶμεν. οὐκοῦν ὡς Θεῷ προσιέμεθα τῷ Χριστῷ, ἵνα μὴ κατηγορώμεθα, ὡς παραλύοντες νόμον, ἐπαινώμεθα δὲ μᾶλλον, ὡς ἱστῶντες νόμον διὰ τῆς πίστεως.

Ρωμ. 4. 17. Περὶ τοῦ Ἀβραὰμ φησι· κατέναντι οὗ ἐπίστευσε Θεοῦ, τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα.) ὅτε πίνων τὸ ζωοποιεῖν δύναθαι τοὺς νεκροὺς ἁρμόσειεν ἂν οὐχ ἑτέρῳ, πλὴν ὅτι μόνῳ τῷ κατὰ φύσιν Θεῷ· ζωοποιεῖ δὲ Χριστὸς καὶ διὰ τῆς ἰδίας σαρκὸς τοὺς κατεφθαρμένους, ἁπτόμενος τῆς νεκρῶν, καὶ ἀνιστὰς αὐτός· πῶς οὐ Θεὸς ἀληθινὸς, ὁ δοὺς καὶ ἑτέροις ἐξουσίαν τοὺς νεκροὺς ἐγείρειν διὰ τοῦ ὀνόματος αὐτοῦ;

Ρωμ. 7. 4. Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρποφορήσωμεν τῷ Θεῷ.) θανατούμεθα τῷ νόμῳ, τὸ κατ' αὐτὸν λατρείας ἀποπαυόμενοι· γινόμεθα δὲ ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι, τυπικοῖς Χριστῷ, τοῖς αὐτοῦ θεσπίσμασιν ἀκαγγελικοῖς κατακολουθεῖν σπουδάζοντες, ἵνα καρποφορήσωμεν τῷ Θεῷ. κεφάλαιον δὲ τῶν ἀκαγγελικῶν θεσπισμάτων ἡ πίστις ἡ εἰς αὐτόν· καὶ ἔστιν ἡμῶν ὁ καρπὸς, ὡς Θεῷ, προσαγόμενον τῷ Χριστῷ. Θεὸς ὢν ἄρα ἐστὶν ὁ ἐκ νεκρῶν ἀνασὰς, ὡς σαρκὸς γεγονότος τοῦ λόγου.

Ρωμ. 8. 8. Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται. ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος τὸν Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας ἐκ νεκρῶν Χριστὸν Ἰησοῦν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν.) ἰδοὺ δὴ σαφῶς τὸ Θεοῦ πνεῦμα λέγεται τοῦ Χριστοῦ. ἀλλ' εἴπερ ἐστὶν ἄνθρωπος ἰδικῶς καὶ κατὰ μέρος κείμενος, κατῳκηκότα μόνον ἐν αὐτῷ τὸν τοῦ Θεοῦ λόγον ἔχων, πῶς αὐτοῦ τὸ θεῖον λέγεται πνεῦμα; ἀλλὰ μᾶλλον ἴδιον αὐτοῦ τὸ πνεῦμά ἐστι. Θεὸς ἄρα, καὶ οὐχ ἕτερος. οὐ γὰρ ἐν ἀνθρώπῳ γέγονεν ὁ τοῦ Θεοῦ λόγος, ἀλλὰ γέγονεν ἄνθρωπος ἀληθῶς, μετὰ τοῦ εἶναι Θεός. ὅπου γὰρ ἂν νοοῖτο Χριστοῦ τὸ πνεῦμα ὑπάρχειν τὸ τοῦ πατρός.

Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ πατήρ. ὁ μακάριος γράφει Παῦλος· ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κράζον, Ἀββᾶ ὁ πατήρ. οὐκοῦν εἰ ἐν πνεύματι τοῦ υἱοῦ παῤῥησίαν ἔχομεν πατέρα καλεῖν τὸν Θεὸν, ὡς τοῦ κατὰ φύσιν καὶ ἀληθοῦς υἱοῦ τὸ πνεῦμα πλουτήσαντες. πῶς ὁ Θεὸς ὁ Χριστός; ὁ καθὸ νοεῖται καθ' ἡμᾶς ἄνθρωπος μόνον, ἀλλὰ καθὸ γέγονε σὰρξ ὁ λόγος, καὶ μετέσχηκε παραπλησίως ἡμῖν αἵματος καὶ σαρκός. Ρωμ. 8. 14.

Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; Ρωμ. 8. 35. θλῖψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ κίνδυνος; ἢ μάχαιρα;) ὁ νόμος ἔφασκεν ὁ διὰ Μωϋσέως. καὶ ἐντολὴ ἐποιεῖτο· ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου. ὅτε πίνων τῷ ἀγάπῳ τὴν τῷ Θεῷ πρεπωδεστάτην, ὡς ἐξ ὅλης ἰσχύος καὶ ἀνωτάτω, τῷ μέχρι ψυχῆς καὶ αἵματος καὶ αὐτῷ προσάγομεν τῷ Χριστῷ· τίς ὁ φάναι τολμῶν, ὡς οὐκ ἂν εἴη Θεός; διημάρτηκε γὰρ τοῦ πρέποντος κατ' ἀδένα τρόπον ὁ τῶν ἁγίων σκοπός. Δευτ. 6. 5. *al deutérw.

Πέπεισμαι γὰρ, ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε δυνάμεις, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.) εἰ μηδὲν ὅλως ἡμᾶς χωρίσαι δυνάται τῆς ἀγάπης τοῦ Θεοῦ, πράττεται δὲ αὐτὴ παρ' ἡμῶν ἐν Χριστῷ Ἰησοῦ, πῶς ὁ Θεὸς ἐναργῶς ὁ Χριστὸς, εἴπερ αὐτὸν ἀγαπῶντες, τὸν τῶν ὅλων ἀγαπῶμεν Θεόν; Χριστὸν δὲ εἰ λέγοιμι, τὸν ἐκ Θεοῦ λόγον ἐνανθρωπηκότα δηλῶ. Ρωμ. 8. 35.

Πάντες γὰρ παρασησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, φησί. παρασησόμεθα δὲ τῷ Χριστῷ. καθιεῖται γὰρ ἐπὶ θρόνου δόξης αὐτοῦ, κεἰνων τινὶ οἰκουμένῃ ἐν δικαιοσύνῃ· καίτοι λέγοντος τοῦ Δαυὶδ, ὅτι Θεὸς κριτής ἐστι. Θεὸς ἄρα ἐστὶν ὁ Χριστός. Ρωμ. 14. 10.

Τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους, ὡς ἀναμιμνήσκων ὑμᾶς, διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ, εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, τὰ ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ· ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ.) οἱ τὸ τῆς ἱερουργίας χρῆμα πεπισμένοι, Θεῷ λειτουργοῦσι μόνῳ. παρεσήκασι γὰρ οὐκ ἀνθρώποις οἱ ἱερεῖς. ἰδοὺ τοιγαροῦν ὁ θεσπέσιος Παῦλος δεδόσθαι φησὶν ἑαυτῷ χάριν παρὰ τοῦ Θεοῦ, εἰς τὸ εἶναι λειτουργὸν Χριστοῦ Ἰησοῦ, καὶ ἱερουργεῖν ἐν τοῖς ἔθνεσι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. Θεὸς οὖν ἄρα Χριστὸς, εἰ Χριστὸν κηρύττων τοῖς ἔθνεσι, τοῦ Θεοῦ φησιν εὐαγγέλιον ἱερουργεῖν αὐτοῖς, ἵνα προσδεχθῶσιν, ὡς ἡγιασμένοι ἐν πνεύματι. Ρωμ. 15. 15.

Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν Θεόν. οὐ γὰρ τολμήσω τι λαλεῖν, ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ, εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔρ- Ρωμ. 15. 17

καὶ ἔργῳ, ἐν δυνάμει σημείων τε καὶ τεράτων ἐν δυνάμει πνεύματος Θεοῦ· ὥστε με ἀπὸ Ἱερουσαλὴμ κύκλῳ, καὶ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.) ἐν τῷ Ἰησοῦ καυχᾶσθαί φησι, τὸ καύχημα λέγων ἔχειν πρὸς Θεόν. ὅτι δὲ οὐκ ἀνθρώπινον τὸ καὶ ἐν δυνάμει πνεύματος ἐν τοῖς ἁγίοις ἀποστόλοις ἐνεργεῖν δυνάσθαι τὸν Χριστὸν τὰ παράδοξα, πῶς ἔνι ἀμφιβάλλειν; ὥσπερ γὰρ ἕκαστος τῶν καθ' ἡμᾶς ἐν ἰδίᾳ δυνάμει τὰ ἑαυτοῦ ἔργα ποιεῖ, ὅπω καὶ ὁ Χριστός, ὡς ἰδίᾳ δυνάμει τῷ πνεύματι χρώμενος, ἐνεργεῖ τὰ παράδοξα διὰ τῆς τῶν ἁγίων χειρός. εἶτα πῶς ὁ Θεός ἐστιν, οὗ ἴδιον τὸ πνεῦμα τὸ ἅγιον;

Ρωμ. 16. 16. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι πᾶσαι τοῦ Χριστοῦ.) καίτοι φησὶν ἐν ἑτέροις, Τιμοθέῳ γράφων· ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι· εἰ δὲ Χριστοῦ τῆς ἐκκλησίας οἶδε, καὶ μεμαρτύρηκε· Θεὸς ἄρα Χριστός.

Ρωμ. 16. 20. Ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει.) Θεοῦ λεγομένης εἶναι τῆς εἰρήνης· ἔφη γάρ που Χριστὸς τοῖς ἁγίοις
Ἰωάν. 14. 27. ἀποστόλοις· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. εἶτα πῶς ὁ Θεὸς ἀληθῶς ὁ τῆς εἰρήνης δοτήρ, καὶ ὡς ἴδιον ἀγαθὸν τοῖς ἀξίοις δίδοὺς αὐτήν;

Ἐκ τῆς πρὸς Κορινθίους πρώτης.

α Κορ. α. α. ΠΑΥΛΟΣ ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφός, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ.) ἐπιτήρησον, ὅτι Ρωμαίοις προεῖπεν ὡς, ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι πᾶσαι τοῦ Χριστοῦ, Κορινθίοις ἐπιστέλλων, Θεοῦ φησιν εἶναι τὴν ἐκκλησίαν. (λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ. μεμέρισται ὁ Χριστός; μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα αὐτοῦ ἐβαπτίσθητε; οὐχ᾽· εἰ μὴ μεμέρισται ὁ Χριστός, πάντι αὐτῷ, καὶ πάντες αὐτοῦ. καὶ εἰ αὐτὸς ἐσταυρώθη ὑπὲρ ἡμῶν, καὶ εἰς τὸ ὄνομα αὐτοῦ ἐβαπτίσθημεν, αὐτῷ δηλονότι κεχρεωστήμεθα· ἐσμὲν δὲ οὐκ ἀνθρώπου τοῦ καθ' ἡμᾶς ἑνός, ἀλλὰ Θεοῦ. Χριστὸς ἄρα Θεὸς ἐφ' ἡμᾶς.

α Κορ. α. 22. Ἐπειδὴ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν.) ἆρ᾽ οὐχὶ πᾶς ὁστισοῦν ὁμολογήσειεν ἄν, ὅτι καλεῖ πρὸς θεογνωσίαν τὴν ἀληθῆ τοὺς ἀνὰ πᾶσαν τὴν γῆν τὸ κήρυγμα τὸ εὐαγγελικόν; εἶτα πῶς, ἢ πόθεν τοῦτο ἀμφίβολον; πῶς οὖν ἄρα κηρύττουσιν οἱ μυσαγωγοὶ Χριστὸν ἐσταυρωμένον; ἆρα ὡς ἕνα τῶν καθ' ἡμᾶς, τὸν ἐπὶ σταυροῦ θάνατον ὑπομείναντα· καὶ εἰς ἄνθρωπον ἡ τοῦ κόσμου πίστις πράττεται; μὴ γένοιτο. πεπιστεύκαμεν δὲ Θεῷ ζῶντι καὶ ἀληθινῷ. Θεὸν οὖν οἶδε Χριστὸν τὸν ἐσταυρωμένον, καὶ τῷ κόσμῳ κηρύττει, πεθαρσηκώς, ὅτι μὴ σφάλλεται.

α Κορ. β. α. Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου, ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. οὐ γὰρ ἔκρινα εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον.) ἰδοὺ δὴ σαφῶς τὸ μαρτύριον τοῦ Θεοῦ λέγων καταγγέλλειν τῷ κόσμῳ Χριστὸν Ἰησοῦν, ἐπήγαγε, καὶ τοῦτον ἐσταυρωμένον. Θεὸς οὖν ἄρα ἐστὶν ὁ σταυρὸν δι᾽ ἡμᾶς ὑπομείνας Χριστὸς Ἰησοῦς· ὃ καὶ τὸ μαρτύριον οὐκ ἐν ὑπεροχῇ λόγου καὶ σοφίας κοσμικῆς καταγγέλλεται τῷ κόσμῳ διὰ τῶν ἁγίων ἀποστόλων, ἀλλ᾽ ὡς ἐν δυνάμει πνεύματος.

Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν· ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν.) εἰ Θεοῦ σοφία τὸ μυστήριον Χριστοῦ, εἶτα τῷ κόσμῳ κηρύττεται, καὶ Θεὸς οὐκ ἔστιν ἀληθῶς κατὰ τοῦτον ὃν οἶδ᾽ ὅπως δοκοῦν, καὶ εἰς αὐτὸν ἡ πίστις· πῶς ἔστι τὸ μυστήριον σοφὸν, εἰ τῆς ἀληθῶς θεογνωσίας ἀποκομίζει τοὺς ἐπὶ τῆς γῆς, καὶ λατρείαν ἀνθρώπου τοῦ οἰκουμενικοῦ ἀποτελεῖ; ἀλλ᾽ ὃ τοῦτό ἐστιν ἀληθές. σοφὸν δὲ τὸ μυστήριον, ὅτι Θεῷ προσάγει τοὺς πεπλανημένους· Θεὸς ἄρα ὁ Χριστός· εἴρηται δὲ καὶ δικαίως κύριον τῆς δόξης ὁ ἐσταυρωμένον.

α Κορ. γ. 10. Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον ἔθηκα, ἄλλος δὲ ἐποικοδομεῖ. θεμέλιον γὰρ ἄλλος οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός.) εἰ ἐπερηρείσμεθα καθάπερ τινὶ θεμελίῳ Χριστῷ, καὶ ἐπ᾽ αὐτῷ διὰ πίστεως οἰκοδομούμεθα, καὶ ἔστιν αὐτῆς ἡ πάντων ἀσφάλεια, πῶς οὐκ ἂν εἴη Θεὸς ἀληθῶς, ἐν ᾧ τὰ πάντα, καὶ ἡ * παρὰ πάντων πίστις; οὐ καθὼς εἷς ἕνα τῶν καθ᾽ ἡμᾶς, ὅτι μὴ κτίσει λελαξεύκαμεν, ἀλλὰ Θεῷ τῷ φύσει καὶ ἀληθῶς. * παρ᾽ αὐτῷ εἶπε.

α Κορ. γ. 16. Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε ὑμεῖς, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς. εἰ τὸ πνεῦμα Χριστοῦ δεχόμενοι, ναὸς Θεοῦ χρηματίζομεν, πῶς ὁ Θεὸς ἀληθῶς, ὁ δι᾽ οὗ ἡμεῖς ἐσμεν ναοὶ Θεοῦ;

α Κορ. δ. 5. Ὥστε μὴ πρό καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῆς καρδιῶν. καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ παρὰ τοῦ Θεοῦ.) τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν ἐξ οὐρανοῦ καταβῆναι προσδοκῶμεν κατὰ καιρὸν, ᾧ καὶ πάντες παρασησόμεθα κρίνοντι τὰ κρυπτὰ, καὶ φανερώντι τὰς βουλὰς τῶν καρδιῶν. ὅτι δὲ καὶ ἐπαινέσει τοὺς δικαίους, πεπληροφορήμεθα. τοῖς γὰρ εὐωνύμοις ἐκ δεξιῶν ἐρεῖ· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ὅτε τοίνυν ἐπαινουμένου Χριστοῦ, τὸν ἔπαινον ἑκάστῳ γενήσεσθαί φησι παρὰ τοῦ Θεοῦ, πῶς ὁ Θεός ἐστιν ἐναργῶς; Ματθ. 25. 34.

α Κορ. ς. 19. Ἢ οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν, ὃ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; ἠγοράσθητε γὰρ τιμῆς. δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν.) εἰ

τὸ

τὸ πνεῦμα Χριστῦ λαβόντες, γεγόναμεν ναοὶ Θεοῦ, καὶ οὐκ ἐσμὲν ἑαυτῶν, ἀγοραθέντες τῷ αἵματι αὐτοῦ, ὡς μηκέτι ζῆν ἡμᾶς ἑαυτοῖς, ἀλλὰ τῷ ἀποθανόντι· πῶς οὐ Θεὸς ὁ Χριστὸς ἐναργῶς, ὁ δι' ὃν καὶ ναοὶ Θεοῦ ἐσμεν ἡμεῖς, ᾧ καὶ ὡς Θεῷ δουλεύομεν;

α' Κορ. 8. 4. Περὶ τῆς βρώσεως ἐν τοῖς εἰδωλοθύτοις, οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς Θεὸς, εἰ μὴ εἷς. καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ τῆς γῆς· ὥσπερ εἰσὶ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοὶ· ἡμῖν δὲ εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ.) εἰ μόνῳ εἷς ἐστι Θεὸς, καὶ ἕτερος παρ' αὐτὸν οὐδείς, συμπαραλαμβάνεται δὲ εἰς τιμὴν μίαν τῆς θεότητος φύσιν ὁ εἷς Χριστὸς Ἰησοῦς, δι' οὗ τὰ πάντα· Θεὸς ἂν ἄρα ἐστιν ἐν ὁμοουσιότητι τοῦ πατρὸς νοούμενος θεικῶς, καὶ ὅτε κεχρηματικεν Ἰησοῦς Χριστὸς, γνώμενος ἐκ γυναικός. ἐπιτηρῆσαι δὲ χρὴ, ὅτι Χριστὸν Ἰησοῦν ὀνομάσας, δι' αὐτοῦ τὰ πάντα γνέσθαι φησὶν, ὡς ἑνὸς ὄντος υἱοῦ καθ' ἕνωσιν οἰκονομικήν.

Ἐγνώμην, φησὶ, τοῖς ἀνόμοις ὡς ἄνομος, α. Κορ. 9. 21. μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ.) εἰ ὁ Χριστοῦ νόμον ἔχων, νόμον ἔχει Θεοῦ, πῶς οὐ Θεὸς ὁ Χριστός;

α. Κορ. 10. 32. Ἀπρόσκοποι καὶ Ἰουδαίοις γίνεσθε, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ.) σημειωτέον, ὅτι Θεοῦ λέγων τὴν Ἐκκλησίαν, Χριστοῦ πάλιν οἶδεν αὐτήν.

α. Κορ. 11. 3. Θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι· κεφαλὴ δὲ γυναικὸς, ὁ ἀνήρ· κεφαλὴ δὲ Χριστοῦ, ὁ Θεός.) ὁ μακάριος Λουκᾶς τὴν περὶ Χριστοῦ γενεαλογίαν ἡμῖν συντιθεὶς, ἄρχεται μὲν ἀπὸ τοῦ Ἰωσὴφ, εἶτα φθάσας ἐπὶ τὸν Ἀδὰμ, ἐπιφέρει, λέγων, τοῦ Θεοῦ· ἀρχῇ τῷ ἀνθρώπῳ τιθεὶς τὸν ποιήσαντα Θεόν. Luk. 3. 38. ὅπως εἶναί φαμεν παντὸς ἀνδρὸς κεφαλὴν τὸν Χριστόν. πεποίηται γὰρ δι' αὐτοῦ, καὶ παρήχθη πρὸς γένεσιν· ὡς ὑπαργικῶς κτίζοντος αὐτὸν τοῦ υἱοῦ, * θεουργικῶς δὲ μᾶλλον, ὡς φύσει δημιουργοῦ. κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ, ὅτι ἐκ τῆς σαρκὸς αὐτοῦ ἐλήφθη, καὶ αὐτὸν ὥσπερ ἔχει τὴν ἀρχήν. κεφαλὴ δὲ ὁμοίως τοῦ Χριστοῦ ὁ Θεὸς, ὅτι ἐξ αὐτοῦ κατὰ φύσιν. γεγέννηται γὰρ ὁ λόγος ἐκ τοῦ Θεοῦ καὶ πατρός. εἶτα πῶς οὐ Θεὸς ὁ Χριστός, οὗ κεφαλὴ τέθειται κατὰ φύσιν ὁ πατήρ; Χριστὸν δὲ ὅταν λέγωμεν, ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα τὸν Θεοῦ λόγον ἐνοοῦμεν.

* Θεῖον.

α. Κορ. 11. 3. Διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς ἐν πνεύματι Θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦν· καὶ οὐδεὶς δύναται εἰπεῖν, κύριος Ἰησοῦς. εἰ μὴ ἐν πνεύματι ἁγίῳ. διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.) εἰ τὸ λέγειν, ὅτι ἐκ ἔστι φύσει καὶ ἀληθείᾳ Θεὸς ὁ Χριστὸς, ἴδιόν ἐστιν, ἢ εἰπεῖν ἀνάθεμα Ἰησοῦν. εἰ ἐκβάλλοιμεν αὐτὸν τὸ εἶναι κατὰ ἀλήθειαν Ἰησοῦν, ἐκ ἐν ἁγίῳ πνεύματι τοῦτο ποιοῦσι. καὶ εἰ τὰς τῶν χαρισμάτων διαιρέσεις ποτὲ μὲν ἐνεργεῖν τὸ πνεῦμά φησι, ποτὲ δὲ τὸν αὐτὸν κύριον, ποτὲ δὲ τὸν αὐτὸν Θεόν· οἶδεν ἄρα Θεὸν ὄντα Χριστὸν, τὸν ὡς Θεὸν ἐνεργοῦντα διὰ τοῦ πνεύματος. καὶ ὡς κύριον κατὰ φύσιν διανέμοντα μετ' ἐξουσίας, ὥσπερ ἂν ἔλοιτο, τὰς ἀνωθεν δωρεάς· μνημονεῦσαι δὲ δεῖ, ὅτι καὶ ὁ Παῦλος ἔφη περὶ Χριστοῦ, ὡς ἐνεργήσαντος αὐτοῦ ἐν δυνάμει πνεύματος ἁγίου.

Καὶ ὃς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, * εἶτα χαρίσματα ἰαμάτων.) Θεοῦ λεγομένου ταῦτα κατορθοῦν, Χριστὸς ὁ ἐνεργήσας ἐστίν. ἔθετο γὰρ τοὺς ἀποστόλους αὐτὸς ἐν τῇ ἐκκλησίᾳ, καὶ μύστας καὶ διδασκάλους, ἐνεργῆσαι καὶ δυνάμεις. δέδωκε γὰρ ἐξουσίαν τοῖς ἁγίοις μαθηταῖς, θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

α. Κορ. 11. 11. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου· εἴτις οὐ φιλεῖ τὸν κύριον, ἤτω ἀνάθεμα, μαραναθᾶ.) ἆρα τίνα φησὶ κύριον ἐν τούτοις; κύριος μὲν γὰρ ὁμολογουμένως, καὶ αὐτὸς ὁ υἱός· ὁμοίως δὲ καὶ τὸ πνεῦμα. ὁ γὰρ κύριος, φησὶ, τὸ πνεῦμά ἐστιν. ὁ δέ γε τοῦ μακαρίου Παύλου σκοπὸς ἐν τούτοις εἰς αὐτὸν * συνετείνετο τὸν Ἰησοῦν. εἷς γὰρ, φησὶ, κύριος Ἰησοῦς Χριστός. ἀναθεματίζει τοίνυν τὸν μὴ φιλοῦντα αὐτόν. οὐ φιλεῖ δὲ αὐτὸν, ὁ μήτε φύσει, μήτε ἀληθείᾳ λέγων υἱὸν εἶναι τοῦ Θεοῦ, ἀλλὰ ὡς ἐν δευτέρᾳ τάξει τιθεὶς παρὰ τὸν ἐκ Θεοῦ λόγον, καὶ τὸ τῆς οἰκονομίας ἀδιαιρέτων μυστήριον διὰ τοῦ τέμνειν εἰς δύο τὸν ἕνα κύριον καὶ Ἰησοῦν.

* συνετείνετο

α. Κορ. 16. 22.

Ἐκ τῆς πρὸς Κορινθίους β'.

β. Κορ. 2. 14. Τῷ δὲ Θεῷ χάρις πάντοτε, τῷ θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ· ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σῳζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις.) εἶτα πῶς ὁ Θεὸς ὁ Χριστὸς, εἴπερ ἐστὶν αὐτὸς ὀσμὴ τῆς γνώσεως τοῦ πατρός; ὁ γὰρ ἔνυγε τῇ ἀνθρώπου φύσει τὴν τῆς θείας φύσεως εὐωδίαν ἀναμάθοι τις ἄν· ἀλλ' ὥσπερ ἡ τῆς ἀνθρωπότητος ὀσμὴ σημαίνει πᾶν πάντως ἄνθρωπον, ὅτῳ καὶ ἡ τῆς θεότητος, Θεόν. εἰ δὲ Χριστὸς εὐωδία τοῦ πατρὸς εἶναι λέγεται, καὶ ἔστιν ἀληθῶς· πῶς ὁ Θεὸς ἐστι Χριστὸς, κἂν εἰ γέγονεν ἄνθρωπος οἰκονομικῶς ὁ ἐκ Θεοῦ πατρὸς λόγος.

β. Κορ. 3. Ἡ ἐπιστολὴ ἡμῶν ἡμεῖς ἐστε, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων· φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ, διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ πνεύματι Θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίνης.) ἔφη που Θεὸς διὰ ἑνὸς τῶν ἁγίων προφητῶν· ἐν τῷ Ἱερ. 31. 33. καιρῷ ἐκείνῳ, λέγει κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὰς καρδίας αὐτῶν ἐπιγράψω αὐτούς.) γεγόναμεν τοίνυν ἐπιστολὴ Χριστοῦ, γρά-

γράφοντος ἡμῖν οὐκ ἐν μέλανι τὸ αὐτῷ δοκοῦν, ἀλλ' ἐν πνεύματι Θεοῦ ζῶντος· οὐ διακονικῶς μᾶλλον, ἀλλ' ἵνα οὕτως εἴπωμεν, αὐτουργικῶς· ἴδιον γὰρ αὐτοῦ τὸ πνεῦμά ἐστιν. εἶτα πῶς οὐ Θεὸς, ὁ ἐν ἰδίῳ πνεύματι γράφων ἡμῖν τῆς θεογνωσίας τὴν ὁδόν; περὶ τῶν Ἰουδαίων φησίν.

Κορ. 3. 14. Ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν. ἄχρι γὰρ τῆς σήμερον ἡμέρας τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσκει τῆς παλαιᾶς διαθήκης διαμένει μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται· ἀλλὰ ἕως τῆς σήμερον, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τῆς καρδίαν αὐτῶν κεῖται. ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς κύριον, περιερεῖται τὸ κάλυμμα. ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν· οὗ δὲ τὸ πνεῦμα κυρίου, ἐκεῖ ἐλευθερία.) εἰ τέλος νόμου καὶ προφητῶν ὁ Χριστὸς, καὶ οὐκ ἀποκαλύπτεται τὸ κάλυμμα τὸ ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης, εἰ μὴ ἐν μόνῳ τῷ Χριστῷ ποῖον ἔχει λόγον τὸ, ἄνθρωπον αὐτὸν οἴεσθαι κοινὸν ὑπάρχειν, μόνῃ τῇ τῆς υἱότητος προσηγορίᾳ τετιμημένον; εὑρίσκεται γὰρ ἂν οὕτως ἔχειν τὸ τῆς πίστεως ἡμῶν τέλος οὐκ εἰς Θεὸν μᾶλλον ἀλλ' εἰς ἕνα τῶν καθ' ἡμᾶς· ὅπερ ἐστὶ τῶν ἀτοπωτάτων.

1. Κορ. 4. 3. Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον, ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ.) εἰ κατά γε τό τισι δοκοῦν κοινὸς ἄνθρωπός ἐστιν ὁ Χριστὸς, ἑνώσει μόνῃ τῇ κατὰ πρόσωπον τὴν συνάφειαν ἔχων πρὸς τὸν ἐκ Θεοῦ λόγον· φασὶ γὰρ οὕτως αὐτοί· πῶς ἐν τοῖς ἀπολλυμένοις κεκαλυμμένον ἐστὶ τὸ εὐαγγέλιον* τοῦ Θεοῦ; διάκεινται γὰρ τὰ ἔθνη, οὐχ ὅτι Θεός ἐστιν, ἀλλ' ὅτι καθ' ἡμᾶς ἄνθρωπος. πῶς δὲ καὶ τετύφλωνται παρὰ τοῦ σατανᾶ οἱ περὶ ἀνθρώπου λέγοντες, ὅτι ἄνθρωπός ἐστι; ποῖος δὲ καὶ φωτισμὸς ἔνεστι τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰ μὴ Θεός ἐστι, καὶ ὡς τοῦτο ὑπάρχων δεδόξασται; πῶς δ' ἂν εἴη καὶ εἰκὼν τοῦ Θεοῦ, εἰ μέχρι μόνων τῶν τῆς ἀνθρωπότητος ἀφικνεῖται, οὐκ ἔχων τὸ εἶναι κατὰ ἀλήθειαν υἱὸς καὶ Θεός;

* αὐτοῦ.

Β. Κορ. 5. 9. Διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ εἶναι. τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα διακομίσηται ἕκαστος τὰ* διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον.) εἰ πᾶσα τοῖς ἁγίοις σπουδὴ τὸ εὐαρεστεῖν τῷ Θεῷ, φιλοτιμούμεθα δὲ τοιοῦτοι φαίνεσθαι τῷ Χριστῷ, τὸ ἀνθρώποις ἀρέσκειν παραιτούμενοι· πῶς οὐ Θεὸς ἐναργῶς ὁ Χριστός; καὶ εἰ κρινεῖ τὴν οἰκουμένην αὐτὸς, ἑνὸς εἶναι νομοθέτου λεγομένου καὶ κριτοῦ· πρόδηλον ὅτι καὶ κατὰ τοῦτο Θεός ἐστι, καὶ εἰ γέγονε σὰρξ ὁ λόγος.

* ἴδια.

Ἰακ. 4. 12. Β. Κορ. 5. 14. Ἡ γὰρ ἀγάπη τοῦ Θεοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα εἰ ζῶντες, μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. εἰ πάντες ἐν ἐσμεν, καὶ αὐτῷ ζῆν εὐχόμεθα, κατασεμνύνοντες δηλονότι τὸν ἑαυτῶν βίον διά γε τοῦ χρῆναι πληροῦν τὸ θέλημα αὐτοῦ, ζῶμεν δὲ τῷ Χριστῷ· πῶς οὐ Θεὸς εἴη ἂν, ᾧ κεχρεωστήμεθα, καὶ ζῆν σπουδάζομεν, ὡς ὑπὲρ ἡμῶν τεθνεώτι, καὶ πριαμένῳ πάντας αἵματι τῷ ἰδίῳ;

Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ). ἐπιτήρησον ἔτι, πρεσβεύουσι μὲν ὑπὲρ Χριστοῦ, παρακαλεῖσθαι δὲ λέγουσιν ἡμᾶς ὑπὸ τοῦ Θεοῦ. εἶτα πάλιν· δεόμεθα, φησὶν, ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ. Θεὸς οὖν ἄρα καὶ Χριστὸς, ᾧ καὶ κατηλλαγμένοι, Θεῷ κατηλλάγμεθα. Β. Κορ. 5. 20.

Ἀλλ' ἐν παντὶ συνιστάντες ἑαυτοὺς, ὡς Θεοῦ διάκονοι.) οἱ Θεοῦ λεγόμενοι εἶναι διάκονοι, εἴρηνται καὶ Χριστοῦ. Θεὸς οὖν ἄρα Χριστός; (ἡμεῖς γὰρ ναοί ἐσμεν Θεοῦ ζῶντος, καθὼς εἶπεν ὁ Θεός· ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός. (εἰ ναοὶ Θεοῦ ζῶντός ἐσμεν, ὡς ἐνοικοῦντος ἐν ἡμῖν τοῦ πνεύματος, ὃ καὶ εἶναι λέγεται τοῦ Χριστοῦ· εἰ γάρ τις, φησὶ, πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ· πῶς οὐ Θεὸς ὁ Χριστός; Β. Κορ. 6. 4. Β. Κορ. 6. 16. Λευ. 26. 12. Ῥωμ. 8. 9.

Λογισμοὺς, φησὶ, καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. (τίνα τρόπον καθαιρήσομεν πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ; ἢ πῶς αἰχμαλωτιοῦμεν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ; κεκένωκε γὰρ ἑαυτὸν ὁ λόγος ἑκὼν, καὶ γέγονεν ὑπήκοος τῷ πατρὶ μέχρι θανάτου. ὅταν τοίνυν ἐκ τῶν οἰκονομικῶς ἢ πεπραγμένων ἢ εἰρημένων διά γε τὴν σάρκα καὶ τὸ ἀνθρώπινον, κατεπαίρωνταί τινες τῆς γνώσεως τοῦ υἱοῦ, λέγοντες οὐκ εἶναι Θεὸν ἀληθῆ, καὶ υἱὸν κατὰ φύσιν τὸν ἐν ἀνθρωπίᾳ μορφῇ· τότε πᾶν ὕψωμα ἐπαιρόμενον καθαιρήσομεν, τὰς τῶν ἐκεῖνα φρονεῖν ᾐρημένων ἀναστρέποντες δόξας, καὶ περιστρέποντες πᾶν νόημα εἰς τὴν τῆς ὑπακοῆς οἰκονομίαν. δεῖ γὰρ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις γεγονότα τὸν υἱὸν μὴ παραιτεῖσθαι τὰ ἀνθρώπινα. Β. Κορ. 10. 5. Φιλιπ. 2. 8.

Ἐκ τῆς πρὸς Γαλάτας.

Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα Θεῷ ζήσω. Χριστῷ συνεσταύρωμαι. ζῷ δὲ οὐκ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ὃ δὲ νῦν ζῷ ἐν σαρκὶ, ἐν πίστει ζῷ τῇ υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ* ἐμοῦ.) τί δὲ ἄρα φησὶν ἐν τούτοις ὁ θεσπέσιος Παῦλος, κατιδεῖν ἀναγκαῖον. νόμος τέθειται παρὰ Θεοῦ διὰ φωνῆς προφητῶν, καὶ ἦν οὗτος· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. τέθειται δὲ καὶ νόμος διὰ Μωσέως. νόμῳ τοίνυν τῷ τῆς πίστεως, φησὶν, ἀκολουθήσας, ἀπέθανον τῷ νόμῳ τῷ διὰ Μωσέως· οὐκ ἐνεργήσας ἐπὶ τὰ ὡς ἐν σκιᾷ καὶ τύποις διωρισμένα τοῖς ἀρχαίοις. τοῦτο γάρ ἐστι, τὸ, νόμῳ τῷ διὰ Μωσέως ἀποθανεῖν, ἵνα Θεῷ ζήσωμεν, τῇ εἰς Χριστὸν προσκείμενοι πίστει. ὅτε τοίνυν ἀποθνήσκομεν τῷ διὰ Μωσέως νόμῳ, τὴν ἐν Χριστῷ προτιμῶντες δικαίωσιν, πῶς οὐ Θεὸς ὁ Χριστός, δι' ὃν καταργεῖται νόμος, ὡς διαφερούσης αὐτοῦ τῆς πίστεως; εἰ Γαλατ. 2. 19. * ἡμῶν. Ἀβακ. 2. 4.

δὲ ἄνθρωπος ἁπλῶς ἢν ὁ Χριστὸς, πῶς ἂν ἐγένετο καὶ νόμου κρείττων ἡ πίστις ἡ εἰς αὐτόν;

Γαλατ. 3. 5. Ὁ οὖν ἐπιχορηγῶν ἡμῖν τὸ πνεῦμα, καὶ ἐνεργῶν δυνάμεις, ἐξ ἔργων νόμου, ἢ ἐξ ἀκοῆς πίστεως;) εἰ ὁ νόμος ὁ διὰ Μωσέως, καί τοι Θεοῦ νόμος ὤν, καὶ λαληθεὶς δι' ἀγγέλων, οὐκ ἔχει τὴν τοῦ ἁγίου πνεύματος χορηγίαν, οὔτε μὴν προὐξένησέ τισι τὸ ἐνεργεῖν δύνασθαι τὰ παράδοξα· κερδαίνομεν δὲ διὰ τῆς πίστεως τῆς εἰς Χριστὸν ἀμφότερα· πῶς οὐκ ἐν ἀμείνοσιν ἡ πίστις τοῦ παλαιοῦ νόμου; καὶ εἰ ἄνθρωπος ἦν ἁπλῶς καθ' ἡμᾶς, πῶς θεῖον κατήργησε νόμον ἡ πίστις ἡ εἰς αὐτόν; καὶ εἰ ἐσμὲν ἐν ἀμείνοσιν οἱ διὰ πίστεως μᾶλλον, ἢ οἵπερ ἦσαν κατ' ἐκείνους τοὺς καιροὺς κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' οὓς ἦν ὁ νόμος· πῶς οὐ Θεὸς ὁ Χριστός;

Γαλατ. 3. 23. Πρὸ δὲ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφουρούμεθα, συγκλειόμενοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι· ὥστε ὁ νόμος παιδαγωγὸς ὑμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιοθῶμεν. ἐλθούσης δὲ τῆς πίστεως, οὐκ ἔτι ὑπὸ παιδαγωγὸν ἐσμέν. πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνδύσασθε.) εἰ παιδαγωγὸς ἦν ὁ νόμος, οὐκ ἐφ' ἕτερον ἀναφέρων, πλὴν ὅτι μόνον ἐπὶ Χριστὸν, καί τοι τῆς ἀληθοῦς θεογνωσίας διδάσκαλος ὤν. πῶς οὐ Θεὸς ὁ Χριστός; καὶ εἰ καταργεῖται νόμος διὰ τῆς πίστεως τῆς εἰς αὐτὸν, καὶ τὸ τῆς παιδαγωγίας αὐτῷ τέλος παραδίδωσιν, ὡς εἰς τὸ ἄκρον ἀγαθὸν ἀναφέρων τοὺς παιδαγωγουμένους· τὸ δὲ εἰς λῆξιν ἀγαθὸν εἴη ἂν ἕτερον οὐδὲν παρά γε τὴν τῆς ἀληθοῦς θεογνωσίας εἴδησιν· πῶς ἂν ἐνδοιάσειέ τις, ὅτι Θεός ἐστι; βαπτιζόμενοι δὲ εἰς πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα, πῶς εἰς Χριστὸν βεβαπτίσμεθα, εἴπερ ἐστὶν οὐχ υἱὸς ἀληθὴς, καί τοι τοῦ κατὰ φύσιν ἐνὸς ὄντος υἱοῦ; ἀλλὰ μὴν εἰς αὐτὸν βεβαπτίσμεθα. Θεὸς οὖν ἄρα ἐστὶν ὡς υἱὸς εἷς, καὶ κύριος εἷς, καθ' ἕνωσιν οἰκονομικὴν σαρκὸς γεγονότος τοῦ λόγου.

Γαλ. 4. 8. Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν, ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς· νυνὶ δὲ γνόντες Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα;) εἰ Θεὸν ἐγνώκαμεν ὁμολογοῦντες Χριστὸν, καὶ ἐγνῶσθαί φαμεν ὑπὸ τοῦ Θεοῦ, γνωσθέντες αὐτῷ· πῶς οὐ Θεὸς ὁ Χριστός;

Γαλ. 6. 14. Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.) ὁ μακάριος ψάλλει Δαυίδ. καυχήσομαι ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. ἔστι δὲ σοφὸς καὶ ἁγιοπρεπὴς ὁ λόγος. οὐ γὰρ ἐν ἀνθρώπῳ κατασεμνύνεσθαι χρὴ μᾶλλον ἡμᾶς, ἀλλ' ἐπὶ Θεῷ. πῶς οὖν ὁ Παῦλος ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ καυχᾶσθαί φησιν; ἔδει γὰρ μᾶλλον ἐπὶ Θεῷ τοῦτο δρᾷν· σκοπὸς γὰρ οὗτος τοῖς ἄλλοις ἁγίοις. ἀλλ' ὑπάρχων πνευματοφόρος, ἐν θανάτῳ Χριστοῦ καυχᾶσθαι φησίν. οἶδεν οὖν ἄρα Θεὸν ὄντα καὶ ἀληθῆ, καὶ δι' ἡμᾶς παθόντα σαρκί.

Ἐκ τῆς πρὸς Ἐφεσίους.

Ἐφεσ. 1. 19. ΠΕρὶ τοῦ Θεοῦ καὶ πατρός φησί· κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ καθίσας ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίος, ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνάμεως, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι.) ἰδοὺ τὸν ἐγηγερμένον ἐκ νεκρῶν κεκάθικεν ὁ πατὴρ ἐν δεξιᾷ αὐτοῦ, ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνάμεως, καὶ παντὸς ὀνόματος ὀνομαζομένου. ἆρα οὖν συνεδρεύει τῇ ὑπὲρ πάντα φύσει καθ' ἡμᾶς νοούμενος ἄνθρωπος, καὶ ἕτερον οὐδὲν; ἢ ὅπερ ἐστὶν ἀληθὲς, ὡς Θεὸς ἐνανθρωπήσας, καὶ ὑπάρχων μὲν ὁμοούσιος τῷ πατρὶ, καθὸ πέφηνεν ἐξ αὐτοῦ, προσλαβὼν δὲ τὸ ἀνθρώπινον οἰκονομικῶς, ἵνα ἐν * αὐτῷ νοῆται Θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτὸς, καὶ διὰ τοῦτο τῇ θείᾳ δόξῃ κατεστεμμένος; * al. τούτῳ

Διὸ μνημονεύετε, ὅτι ποτὲ ὑμεῖς τὰ ἔθνη ἐν σαρκὶ, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου· ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς * Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν, τῆς ἐπαγγελίας ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ.) εἰ Χριστὸν οὐκ ἔχοντα τὰ ἔθνη διετέλουν ἐν ἀθεότητι κατὰ τὸν κόσμον· ἐπειδὴ δὲ αὐτὸν ἐσχήκασιν, οὐ μεμενήκασιν * ἄθεοι· πῶς ἄρα οὐ Θεὸς ὁ Χριστός; Ἐφεσ. 2. 11 * Θεοῦ. * ἄθεοι.

Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται· ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν.) τὸ Χριστὸς Ἰησοῦς ὄνομα, καθὸ πλειστάκις εἰρήκαμεν, ἀνθρωπείᾳ μορφῇ τὸν ἐκ Θεοῦ πεφηνότα λόγον σημαίνει πανταχοῦ. πῶς οὖν ἐν ταῖς καρδίαις ἡμῶν κατοικεῖ διὰ τῆς πίστεως, εἰ μὴ νοεῖται Θεὸς, ἑνώσαντος ἑαυτῷ τὴν σάρκα τοῦ λόγου, ὃς καὶ θεϊκῶς ἐν ὑμῖν κατοικεῖ διὰ τοῦ πνεύματος; εἰ δὲ κοινὸς ἄνθρωπος ὁ Χριστὸς, καὶ ἕτερος υἱὸς παρὰ τὸν φύσει καὶ μόνον, φημὶ δὴ τὸν ἐκ Θεοῦ. τίς ὁ ἐν ἡμῖν κατοικῶν; ἢ πῶς ἀνθρώποις διὰ πίστεως ἐνοικίζεται; καί τοι λέγοντος Ἰωάννου σαφῶς περὶ τοῦ Χριστοῦ· ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν ἡμῖν ἐστιν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ ἔδωκεν ὑμῖν. Ἐφεσ. 3. 14 α. Ἰωαν. 4. 13

Ἐκ τῆς πρὸς Φιλιππησίους.

ΠΕρὶ τῶν ἐν νόμῳ καυχημάτων φησίν· ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. ἀλλὰ μενοῦνγε ἡγοῦμαι τὰ πάντα ζημίαν εἶναι, διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω.) διὰ τί ζημία καὶ σκύβαλα ἐν νόμῳ; τί δὲ καὶ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ; καί τοι Θεὸν τὸν φύσει Φιλιππ. 3. 7

καὶ

καὶ ἀληθινὸν ὁ διὰ Μωσέως νόμος τοῖς ἀρχαιοτέροις ἐκήρυττεν. οἱ δὲ τῆς νέας διαθήκης μυσταγωγοὶ Χριστὸν τῷ κόσμῳ κατηγγέλκασιν. ἀλλ' εἴπερ ἐστὶν ἄνθρωπος καθ' ἡμᾶς, αὐτὸ δὴ τοῦτο κοινὸς, οὐχ ἑνώσει τῇ καθ' ὑπόστασιν, τῇ πρός γε φημὶ τὸν ἐκ Θεοῦ λόγον, εἶναι Θεὸς πεπιστευμένος, πῶς ὑπερέξει τῆς νομικῆς πίστεως ἡ κατ' αὐτόν;

Ἐκ τῆς πρὸς Κολασσαεῖς.

Κολοσσ. 1. 21. Νῦν χαίρω, φησὶν, ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία. ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ· τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου αὐτοῦ ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ἡμῖν, ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλλομεν.) πῶς κέκρυπται τὸ μυστήριον, ἢ πῶς ἐστιν ὅλως λόγος Θεοῦ, ποῖος δὲ ὁ πλοῦτος τῆς δόξης ἔνεστιν αὐτῷ, εἴπερ ἐστὶ κοινὸς ἄνθρωπος καθ' ἡμᾶς ὁ Χριστὸς; οὐδὲ γὰρ μέγα ἐστὶν, ἀλλ' οὐδὲ ἀξιόλογον τὸ μυστήριον, εἰ μὴ ὡς Θεῷ προσίεμεν τῷ Χριστῷ, καὶ συνίεμεν, ὅτι Θεὸς ὢν ὁ λόγος, καὶ ἐν ἰσότητι καὶ μορφῇ τοῦ πατρὸς, καθῆκεν ἑαυτὸν εἰς κένωσιν, γενόμενος ἄνθρωπος, καὶ μεμενηκὼς ὅπερ ἦν· πλούσιον γὰρ οὕτω, καὶ δόξῃ πολλῇ νοεῖται τὸ μυστήριον.

Κολοσσ. 2. 6. Ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν κύριον ἡμῶν, ἐν αὐτῷ περιπατεῖτε, ἐρριζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν πίστει.) πῶς οὖν παρελάβομεν τὸν Χριστὸν, διδάξει λέγων ὁ σοφὸς Ἰωάννης· καὶ ὁ λόγος σὰρξ ἐγένετο. Ἰωαν. 1. 14. ἀλλ' οὐ πέπαυται τοῦ εἶναι λόγος, καὶ εἰ γέγονε σάρξ. συνεδρεύει γὰρ καὶ οὕτω τῷ ἰδίῳ πατρὶ, καὶ κύριος τῆς δόξης ὁ ἐσταυρωμένος ὠνόμασται.

Κολοσ. 4. 2. Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ· προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Θεοῦ, δι' ὃ καὶ δέδεμαι· ἵνα φανερώσω αὐτὸ, ὡς δεῖ με λαλῆσαι.) εἰ μὴ Θεὸς ὁ Χριστὸς, ἄνθρωπος δὲ θείᾳ χάριτι τετιμημένος, οὐδὲν ἔχει βαθὺ τὸ ἐπ' αὐτῷ μυστήριον· ποίας οὖν ἐδεῖτο θύρας εἰς τὸ * φανερῶς αὐτὸ, καὶ καθὼς ἔδει λαλῆσαι; μέγα γὰρ οὐδὲν ἢ χαλεπὸν τὸ περὶ ἀνθρώπου λέγειν, ὡς εἴη κατὰ φύσιν ἄνθρωπος. εἰ δὲ ἄνθρωπος γεγονὼς ὁ ἐκ Θεοῦ κηρύττεται λόγος, χρεία, δὲ πάντως Θεοῦ, τοῦ καὶ θύραν ἀνοίγοντος, καὶ διδόντος λαλῆσαι τὸ μυστήριον, καθ' ὃν προσήκει τρόπον.

* φανερῶσαι φανερῶν.

Ἐκ τῆς πρὸς Ἑβραίους.

Ἑβρ. 1. 6. Ψαλμ. 96. 8. Ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει. καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.) μονογενὴς κατὰ φύσιν ὁ ἐκ Θεοῦ πατρὸς ὠνόμασται λόγος, ὅτι μόνος ἐκ μόνου γεγένηται τοῦ πατρός· εἴρηται δὲ καὶ πρωτότοκος, ὅτε καὶ εἰσῆλθεν εἰ τὴν οἰκουμένην ἄνθρωπος γεγονὼς, καὶ μέρος αὐτῆς. πλὴν καὶ οὕτω προσκυνεῖται παρὰ τῶν ἁγίων ἀγγέλων, ἀνακειμένου τε καὶ πρέποντος μόνῳ Θεῷ τοῦ καὶ προσκυνεῖσθαι δεῖν. πῶς οὖν οὐ Θεὸς ὁ Χριστὸς, ὁ καὶ ἐν οὐρανῷ προσκυνούμενος.

Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. πρὸς δὲ τὸν υἱόν. ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. καὶ, ἡ ῥάβδος τῆς εὐθύτητός σου, ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας * ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.) εἰ ποιητὴς ἀγγέλων ἐστὶν ὁ θρόνον ἔχων εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἀγαπήσας τε δικαιοσύνην, καὶ μεμισηκὼς * ἀδικίαν, καὶ διὰ τοῦτο κεχρίσθαι λεγόμενος τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως παρὰ τοῦ Θεοῦ καὶ πατρός. τί δὴ ἄρα φαμὲν εἰς ἐννοίας ἐρχόμενοι τὰς ἐπ' αὐτῷ; εἰ γὰρ ποιεῖ τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ θρόνον ἔχει θεότητος· τίνα τρόπον χρίεται τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως; οὐκοῦν κτίζει μὲν ὡς Θεὸς ἀγγέλους, χρίεται δὲ ὡς ἄνθρωπος· οὐκ εἰς τὴν τῆς θεότητος φύσιν, ἀλλ' εἰς τὸ τῆς οἰκονομίας εὐτεχνὲς ἐρχομένου τοῦ χρίσματος. Θεὸς ἄρα καὶ ἄνθρωπος ὁ Χριστός· Θεὸς μὲν τῇ φύσει, ἄνθρωπος δὲ καθ' ἡμᾶς ὁ αὐτὸς οἰκονομικῶς, ὅτε γέγονεν ἐκ γυναικὸς κατὰ σάρκα.

Ψαλμ. 103. 4. Ψαλμ. 44. 7. * ἀνομίαν. * ἀνομίαν.

Βλέπετε, ἀδελφοὶ, μή ποτέ ἐστιν ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος.) εἰ ἀρνούμενοι τὸν Χριστὸν, ἀφιστάμεθα Θεοῦ ζῶντος καὶ ἀληθινοῦ. ἐμμένοντες δὲ τῇ εἰς αὐτὸν πίστει, κατ' οὐδένα τρόπον ποιούμεθα τὴν ἀποστασίαν· πῶς οὐ Θεὸς ὁ Χριστός;

Ἑβρ. 3. 12.

Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος ἁγίου ἑαυτὸν προσηνέγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι; εἰ μὴ Θεὸς ἀληθὴς ἐστὶν ὁ Χριστὸς, τίς ἡ ὄνησις ἡ διὰ τοῦ αἵματος αὐτοῦ; ἢ πῶς ἡμῶν καθαριεῖ τὴν συνείδησιν ἀπὸ νεκρῶν ἔργων; αἷμα γὰρ ἀνθρώπου κοινοῦ τί τὸ πλέον ἔχει παρὰ τὸ αἷμα τῶν τράγων; ἀλλ' οὐδὲν ὅλως, πλὴν ὅτι τὸ μὲν ἐστιν ἀλόγου ζώου, τὸ δὲ λογικοῦ. ἐπειδὴ δὲ ὁ ἐκ Θεοῦ κατὰ φύσιν, σάρκα λαβὼν, ἔθηκεν ὑπὲρ πάντων τὸ ἴδιον αἷμα. ταύτῃ τοι καὶ καθαρίζειν δύναται τοὺς πιστεύοντας εἰς αὐτὸν, καὶ νεκρῶν ἔργων ἀπαλλάττειν, καὶ προσάγειν εἰς λατρείαν τῷ Θεῷ.

Ἑβρ. 9. 13.

Ἀθετήσας τὶς νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὸ πνεῦμα τῆς χάριτος * ἐνυβρίσας, ἐν ᾧ ἡγιάσθη;) ὁ θεῖον ὑβρίσας νόμον, ἤγουν ἀθετήσας, οὐκ

Ἑβρ. 10. 28. * ἀτιμάσας.

ἴσον

ἶσον ἔχει τὸ ἔγκλημα τῷ εἰς ἄνθρωπον ἡμαρτηκότι, ἀλλὰ πολὺ φορτικώτερον. καὶ γοῦν ὁ μὲν νόμον παραβεβηκὼς, ὑπὸ τὴν τοῦ θανάτου πέπτωκε δίκην· ὁ δὲ εἰς ἄνθρωπον πεπλημμεληκὼς εἴη ἂν καὶ συγγνώμης ἄξιος. πῶς οὐκ ἐν χείρονι δίκῃ τοῦ πλημμελοῦντος εἰς τὸν Μωσέως νόμον, ὁ κοινὸν ἡγησάμενος τὸ αἷμα τοῦ Χριστοῦ; ἀλλὰ μὴν ἐν χείρονι, καὶ σφόδρα εἰκότως. οὐκ ἄρα κοινὸν τὸ αἷμα τοῦ Χριστοῦ· Θεὸς γὰρ ἦν ὁ λόγος γενόμενος σάρξ.

Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον ἐπὶ τῆς γῆς παραιτησάμενοι τὸν χρηματίζοντα· πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι, οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε· νῦν δὲ ἐπήγγελται, λέγων· * ὅτι ἅπαξ ἐγὼ σείσω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν.) τίς ὁ χρηματίσας ἐπὶ γῆς, ὃν παραιτησάμενοι κεκινδυνεύκασιν οἱ τῶν Ἰουδαίων πατέρες; ἢ δῆλον, ὅτι Μωσῆς; ἀλλ' οὐκ ἐκ γῆς ὁ Χριστὸς, ἐξ οὐρανῶν δὲ μᾶλλον. ὁ γὰρ ἄνωθεν καὶ ἐκ τοῦ πατρὸς Θεὸς λόγος, ἄνθρωπος γέγονε καὶ Θεός. χείρων οὖν ἡ δίκη τοῖς αὐτὸν ἀποστρεφομένοις, καὶ μάλα εἰκότως. ὡς γὰρ ὁ σοφός φησιν Ἰωάννης. ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς λαλεῖ, τουτέστιν ἀνθρώπινα· ὁ δὲ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστὶν, ὡς Θεὸς δηλονότι. * τοῦτο δὲ ἦν τε καὶ ἔστι Χριστός.

* ἔτι.

Ἰωάν. 3. 31.

ἴσως, οὗτος δέ.

Ἑβρ. 13. 8.

Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας.) τὸν ἐκ Θεοῦ φυῦτα λόγον τότε κεκλημένον εὑρήσομεν Ἰησοῦν Χριστὸν, ὅτε γέγονεν ἄνθρωπος ἐκ γυναικός. πῶς οὖν ὁ χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας; ἐνώσει δηλονότι τῇ πρὸς τὸν ἐκ Θεοῦ λόγον, εἰς υἱὸν ἕνα νοουμένης τῆς ἀναληφθείσης ἐξ αὐτοῦ σαρκός. οὕτω γὰρ τὸ ἄτρεπτον τοῦ λόγου κατὰ φύσιν μενεῖ πάλιν αὐτῷ, νοουμένῳ καὶ μετὰ σαρκός.

Ἐκ τῆς πρὸς Τιμόθεον πρώτης.

1. Θιμ. 1. 1.

ΠΑῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ, κατ' ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν, Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει.) τὸ τοῦ σωτῆρος ὄνομα πρέποι ἂν μᾶλλον οὐχ ἑτέρῳ κυρίως τε καὶ ἀληθῶς, πλὴν ὅτι δὴ μόνῳ τῷ κατὰ φύσιν ὄντι Θεῷ. οὕτω καὶ νῦν αὐτὸν ὠνόμασεν ὁ μυσταγωγός. ἀλλ' ἔστι σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστός. ὠνόμασται γὰρ Ἰησοῦς, καὶ τὴν τοῦ ὀνόματος δύναμιν, ἤγουν ἑρμηνείαν σαφῆ καθιστὰς ὁ μακάριος ἄγγελος ἔφασκε· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Θεὸς οὖν ἄρα ὁ Χριστὸς, εἴπερ ἐστὶ σωτὴρ πάντων ἀνθρώπων, καθά φησιν ὁ θεσπέσιος Παῦλος.

Ματθ. 1. 21.

Ἐκ τῆς πρὸς Τίτον.

Τίτ. 2. 11.

Ἐπέφανη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως * καὶ ἐπιεικῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.) ποία χάρις ἐπέφανεν ἡμῖν, ἢ ποίου Θεοῦ, καί τοι λεγομένη σωτήριος εἶναι πᾶσιν ἀνθρώποις; ἀλλ' ἔστι δῆλον, ὅτι Θεὸς ὢν κύριος, καὶ ἐπέφανεν ἡμῖν, κατὰ τὸν μακάριον Δαυίδ. αὐτοῦ τὴν ἐξ οὐρανῶν ἐπιφάνειαν τῆς δόξης προσδεχόμεθα. καὶ αὐτός ἐστιν ὁ μέγας Θεὸς καὶ σωτὴρ ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ὃς δέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα πάσης ἁμαρτίας ἀπαλλάξας, ἑαυτῷ παραστήσῃ γνησίους προσκυνητάς. εἶτα τίς ὁ λέγων οὐκ εἶναι Θεὸν ἀληθινὸν τὸν Ἐμμανουὴλ, τοῦ μακαρίου Παύλου περὶ αὐτοῦ λέγοντος· τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

* καὶ δικαίως

Ψαλμ. 117. 11.

Ἐκ ΤΩ̃Ν ΚΑΘΟΛΙΚΩ̃Ν.

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς.

Ὅτι Θεὸς ὁ Χριστός.

ΜΗ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί. πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστιν, καταβαῖνον ἐκ τοῦ πατρὸς τῶν φώτων.) πᾶσα δόσις, φησὶν, ἀγαθή· ἀγαθὴ δὲ δόσις, τὸ, πνεῦμα τὸ ἅγιον, καὶ τὸ δύνασθαι πληροῦν ἐν αὐτῷ τὰς θεοσημείας. εἶτα εἰ τοῖς ἁγίοις χαρίζεται τὸ πνεῦμα Χριστὸς, καὶ μὴν καὶ τὸ δύνασθαι πληροῦν τὰ παράδοξα, πῶς οὐκ ἂν εἴη Θεὸς ἀληθινὸς ὁ Χριστός;

Ἰακώβ. 1. 16.

Ὑποτάγητε οὖν * τῷ Θεῷ, ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν. ἰδοὺ σαφῶς ἐν τούτοις, ὑποτάττεσθαι δεῖν ἡμᾶς ἔφη τῷ Θεῷ. φησὶ δὲ Χριστός. ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. ὅτε τοίνυν οἱ τὸν ζυγὸν αἴροντες τὸν αὐτοῦ οὐχ ἑτέρῳ τινὶ παρὰ τὸν Θεὸν ὑποτάττονται, πῶς οὐκ ἂν εἴη Θεός;

* τῷ κυρίῳ

Ἰακώβ. 4. 7.

Ματθ. 11. 29.

Ἐκ τῆς Πέτρου ἐπιστολῆς πρώτης.

1. Πετρ. 1. 1.

ΠΈτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ, κλητοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας, καὶ Βιθυνίας, κατὰ πρόγνωσιν Θεοῦ πατρὸς ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη.) ἰδοὺ κατὰ πρόγνωσιν Θεοῦ καὶ πατρὸς ἀπόστολον ἑαυτὸν ὠνόμασε τοῦ Χριστοῦ· καὶ τῆς ἀποστολῆς τὸν τρόπον ἡμῖν ἐξηγούμενος, ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ πεπρᾶχθαί φησιν αὐτήν. ὅτε τοίνυν οἱ πιστεύοντες εἰς αὐτὸν, ἁγιαζόμεθα παρὰ τοῦ πνεύματος, ῥαντίζει δὲ ἡμᾶς καὶ τῷ αἵματι αὐτοῦ πρὸς ἀποκάθαρσιν· πῶς οὐκ ἂν νοοῖτο Θεὸς, ὁ ἁγιάζων μὲν ἰδίῳ πνεύματι, καθαρίζων δὲ καὶ τῷ αἵματι τοὺς πιστεύοντας; Θεὸς γὰρ ἦν ἐν σαρκί.

Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα * ζωῆς δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, εἰς κληρονομίαν ἄφθαρτον, καὶ ἀμίαντον, καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς.) εἰ

1. Πετρ. 1. 1.

* ζῶσαν

Θεὸς

Θεὸς ἡμᾶς ἐγλύνησεν εἰς ἐλπίδα ζῶσαν καὶ μόνασαν, πέπραχε δὲ τοῦτο διὰ τῆς ἰδίας ἐκ νεκρῶν ἀναστάσεως ὁ Χριστὸς, πῶς οὐκ ἂν εἴη Θεός;

1. Πετ. 1. Περὶ ἧς σωτηρίας ἐξεζήτησαν, φησὶ, καὶ ἐξηρεύνησαν προφῆται, οἱ περὶ τῆς εἰς ἡμᾶς χάριτος προφητεύσαντες· ἐρευνῶντες εἰς τίνα, ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ.) ἰδοὺ δὴ πάλιν ἐν τύποις Χριστοῦ τὸ ἅγιον εἴρηται πνεῦμα, καί τοι * Θεοῦ ὄν. Θεὸς ἂρ' ἂρα Χριστὸς, ὡς ἴδιον ἔχων τὸ πνεῦμα τὸ ἅγιον.

* Θεῶν

Ἐκ τῆς Πέτρου ἐπιστολῆς β'.

1. Πετρ. 2. 1. Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι. ἠγοράσμεθα γὰρ τιμῆς, οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ, ἀλλὰ τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ.) ἑσμὸν ἂρ' ἂρα τοῦ προαιμοῦν, καί τοι Θεῷ δουλεύοντες ζῶντι καὶ ἀληθινῷ. εἶτα πῶς οὐ Θεὸς ὁ Χριστὸς, ὃν καὶ δεσπότην ἐπεγραψάμεθα, ζῶντά τε οἴδαμεν καὶ ἀληθινόν;

2. Πετρ. 2. 19.

Ἐκ τῆς Ἰωάννου ἐπιστολῆς πρώτης.

1. Ἰωαν. 5. 20. Καὶ οἴδαμεν, ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν μόνον καὶ ἀληθινὸν Θεόν· καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ζωὴ αἰώνιος.) Ἰησοῦς Χριστὸς, ὁ γυμνὸς καθ' ἑαυτὸν καὶ ἔξω σαρκὸς, ὁ ἐκ τοῦ Θεοῦ πατρὸς νοούμενος λόγος· ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, τότε καὶ ὠνόμασται Χριστὸς Ἰησοῦς. ὅτε τοίνυν αὐτός ἐστιν ἀληθινὸς Θεὸς, καὶ ζωὴ αἰώνιος, τίς τὴν ἕτερα φρονούντων ἀνέξεται;

Ἐκ τῆς Ἰούδα ἐπιστολῆς.

Ἰούδ. 1. Πᾶσαν σπουδὴν ποιούμενος τοῦ γράφειν ὑμῖν περὶ τῆς κοινῆς ὑμῶν σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν, παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ καὶ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον δεσπότην καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.) κατὰ τίνα τρόπον ἀρνήσεταί τις τὴν ἅπαξ πεπιστευκότων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν; καί τοι παραδεξάμεθα τὸν τῆς ἀνανθρωπήσεως λόγον. ἀλλ' εἰ φαμὲν, ὅτι ἕτερος μέν ἐστιν υἱὸς ὁ ἐκ Θεοῦ πατρὸς λόγος, ἕτερος δὲ κατ' ἰδίαν ὁ ἐκ γυναικὸς, ἠρνησάμεθα τὸν μόνον δεσπότην. εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς, καθ' οἰκονομικὴν, τροπὴν γε φημὶ τὸν ἐκ Θεοῦ λόγον, εἰς τὴν τῆς θεότητος δόξαν ἀναφοιτώσης αὐτοῦ τῆς σαρκός. εἷς ὢν ἂρα Χριστὸς καὶ υἱός· ἦσαν γὰρ ὅτε τῶν ὅλων δεσπότης.

Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου.

Ὅτι Θεὸς ὁ Χριστός.

Ματθ. 1. 18. Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ ἄγγελος κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ, λέγων. Γωσὴφ υἱὸς Δαυὶδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ πνεύματός ἐστιν ἁγίου. τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.) διὸ κατὰ τοῦτο τίθησι τὸ θεοπρεπῆ, καὶ ἐξ ἀνθρωπείᾳ πρέποντα φύσει. τοῦ γὰρ τεχθέντος ἐκ τῆς Μαριὰμ ἴδιον ἔφη λαὸν τοὺς ἐξ αὐτοῦ σεσωσμένους· καὶ μὴν, ὅτι καὶ ἁμαρτιῶν αὐτοὺς αὐτὸς ἀπαλλάξει. Θεοῦ δὲ τὰ φάντα, καὶ πρέποι ἂν αὐτῷ καὶ μόνῳ τὸ ἀπαλλάττειν ἁμαρτιῶν δυνάσθαι τοὺς ἡμαρτηκότας. Θεὸς οὖν ἂρα ἐστὶν ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος, οὗ καὶ ἴδιος ἐστιν λαός. καὶ ἁμαρτιῶν δὲ ἡμᾶς ἀπήλλαξεν, ὡς ἔχων καὶ τοῦτο τὴν ἐξουσίαν.

Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.) ἐν Βηθλεὲμ γεγέννηται τῆς Ἰουδαίας, ἐκ ῥίζης Ἰεσσαί. φησὶ δὲ περὶ αὐτοῦ διά τινος τῶν προφητῶν ὁ Θεὸς καὶ πατήρ. καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ, μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα. ἐκ σοῦ γάρ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ. καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. πῶς οὖν ὁ γεγεννημένος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἀπ' ἀρχῆς αἰῶνος τὰς ἐξόδους ἔχειν λέγεται, τουτέστι τῆς ὑπάρξεως τὴν ἀρχὴν, καί τοι γεννηθεὶς ἐν ἑκάστοις τοῦ αἰῶνος καιροῖς; Θεὸς οὖν ἂρα Χριστὸς, καὶ πρέπει αὐτῷ τὸ τοῦ Θεοῦ λόγου πρεσβύτατον. Θεὸς γὰρ ὢν δι' ἡμᾶς σαρκικὴν ὑπομείνας γένησιν τὴν ἐκ γυναικός.

Ματθ. 2. 2.

Ἐγὼ μὲν γὰρ ὑμᾶς ἐν ὕδατι βαπτίζω, φησὶν, εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι. αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ.) οὐκ ἀνθρωποπρεπὲς ἔργον εἶναι φαμὲν τὸ βαπτίζειν ἐν ἁγίῳ πνεύματι· ἀλλ' οὐ δὲ τὴν ἅλωνα τὴν νοητὴν τουτέστι τοὺς ἐπὶ τῆς γῆς, ἰδίαν εἶναί φαμεν ἀνθρώπου. Θεοῦ γὰρ τὰ πάντα ἐστὶ, καὶ αὐτῷ καὶ μόνῳ πρέπει τὸ ἐν ἁγίῳ πνεύματι βαπτίζειν δυνάσθαι τοὺς πιστεύοντας. ἐνήργηκε δὲ τοῦτο Χριστὸς ὁ μετὰ Ἰωάννην ἐρχόμενος κατὰ σάρκα, ἤτοι τὸν τῆς σαρκὸς χρόνον. αὐτὸς δὲ καὶ τὴν ἑαυτοῦ ἅλωνα καθαρίζει. Θεὸς ὢν ἂρα ἐστὶν ἀληθής.

Ματθ. 8. 2.

Καὶ ἰδοὺ λεπρὸς προσελθὼν, προσεκύνει, λέγων· κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, λέγων· θέλω, καθαρίσθητι. καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα.) τὸ ἐνεργεῖν δύνασθαι θεοπρεπῶς, οὐκ ἴδιον ἀνθρώπου, αὐτῷ δὲ μᾶλλον ἐποιεῖτο ἂν καὶ μόνῳ τῷ πάντων ἐπέκεινα φύσει. ἐνεργεῖ δὲ ὅτω Χριστός· οὐκ ἄρα ψιλὸς ἄνθρωπος καθ' ἡμᾶς, Θεὸς δὲ μᾶλλον ἐν ἀνθρωπείᾳ μορφῇ. ὅτω νοήσεις καὶ ἐπὶ τῆς Πέτρου πεισθείσης, κἂν ποῖς ἀνέμοις ἐπιτιμῶν ὁρᾷτο, θαλάσσῃ τε καὶ ὕδασιν. ὅθεν καὶ οἱ θεοπέσιοι μαθηταὶ καὶ θαλάσσαν καὶ ἀνέμους ὑποκειμένους ὁρῶντες, πεθαυμάκασι λέγοντες· ποταπός ἐστιν οὗτος; ὁ γὰρ ψιλῷ ἀνθρώπῳ τὰ τοιαῦτα δυνάσθαι δρᾶν. Θεὸς ἂρ' ἂρα κατὰ ταὐτὸν καὶ ἄνθρωπος ὁ Χριστός.

Ματθ. 8. 8.

Οἱ δὲ δαίμονες, φησὶ, παρεκάλουν αὐτὸν, λέγον-

Ματθ. 8. 31.

γοντες· εἰ ἐκβάλλεις ἡμᾶς, * ἀπόστειλον ἡμᾶς εἰς τὴν ἀγέλην τῶν χοίρων. καὶ εἶπεν αὐτοῖς· ὑπάγετε.) τὸ προνοεῖν τῶν ὅλων, καὶ σώζειν αὐτὰ, τίνος ἂν εἴη, πλὴν ὅτι μόνου τοῦ κατὰ φύσιν ὄντος Θεοῦ; οὕτω καὶ ὁ σωτὴρ ἔφασκεν· οὐχὶ δύο στρουθία ἀσσαρίου πωλοῦνται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς; ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν.) ἰδοῦ τοιγαροῦν τοσαύτην τῶν ὄντων πρόνοιαν ἐποιεῖτο Χριστὸς, ὡς μὴ ἐξεῖναι τοῖς ἀκαθάρτοις δαίμοσι μηδὲ χοίρων ἀγέλης ἔχειν τὴν ἐξουσίαν. παρακληθεὶς οὖν ἐπέτρεψε μόλις, οὐκ ἐκείνοις πληρῶν τὴν αἴτησιν, ἀλλ' ἵνα ἡμᾶς ἀναπείσῃ φρονεῖν, ὅτι προνοεῖται τῶν ὅλων ὡς Θεός. εἶτα πῶς οὐ Θεὸς, ὁ θεοπρεπῆ τὴν ἐξουσίαν, καὶ τὸ κατὰ πάντων * κράτος * ἀνημμένος, καὶ σώζων ὡς ἴδια τὰ δι' αὐτοῦ γεγονότα.

* ἐπίτρεψον ἡμῖν ἀπελθεῖν.

Ματθ. 10. 29.

* κρατεῖν.
* ἀνηρεμένος.

Ματθ. 10. 1.

Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ· ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι. δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε αὐτὰ ἐκβάλλειν, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.) οἶδεν ὄντα τοῦ θερισμοῦ κύριον τὸν τῶν ὅλων Θεόν. αὐτοῦ γὰρ ἡ ἅλως ἡ νοητὴ, τουτέστιν ἡ ἀνθρωπότης· αὐτοῦ καὶ ὁ θερισμός. ἀλλ' ἰδοὺ, δεηθῆναι προστάξας τοῦ κυρίου τοῦ θερισμοῦ, ἑαυτὸν εὐθὺς ἀπέδειξεν ὄντα τοῦτον, ἐκβαλὼν τοὺς ἐργάτας, τουτέστι τοὺς ἁγίους ἀποστόλους· οἷς καὶ δέδωκεν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων ὡς Θεός. οὐ γάρ ἐστι τῶν τῆς ἀνθροπότητος μέτρων τὸ διδόναι τισὶ τοῦ ἁγίου πνεύματος τὴν ἐνέργειαν· δέδωκε δὲ Χριστός· εἶτα πῶς οὐ φύσει τε καὶ ἀληθῶς ἐστι Θεὸς, εἰ καὶ γέγονε σὰρξ ὁ λόγος;

Ματθ. 10. 32.

Πᾶς οὖν, ὅς τις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ὅς τις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.) πολλοὶ κέκληνται τῶν ἁγίων πρὸς τὴν τοῦ μαρτυρίου δόξαν, καὶ τετελείωνται δια παθημάτων καὶ θανάτου, Χριστὸν ὡμολογηκότες. ἆρ' οὖν ἐστεφάνωνται, διαβεβαιούμενοι καὶ λέγοντες ἄνθρωπον εἶναι κοινὸν αὐτὸν, ἢ μᾶλλον ὡς Θεὸν ταῖς ὁμολογίαις τετιμηκότες; ἀλλ' ἔστι δῆλον. οἱ γὰρ τοῦτον ἀρνησάμενοι, καὶ τῆς τοῦ μαρτυρίου δόξης ἀπώλισθον, καὶ αὐτὸν εὑρήσουσιν ἐν ἡμέρᾳ κρίσεως ἀρνούμενον αὐτοὺς τὸν Χριστόν. εἶτα πῶς οὐ Θεὸς, ὁ τῇ τοῦ μαρτυρίου δόξῃ στεφανῶν τοὺς, ὅτι τοῦτό ἐστιν ἀληθῶς, ὁμολογοῦντας αὐτόν;

Ματθ. 11. 28.

Δεῦτε πρὸς μὲ πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγῷ ἀναπαύσω ὑμᾶς. ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς.) εἰ μὴ Θεός ἐστιν ἀληθῶς ὁ Ἐμμανουὴλ, τίνα τρόπον τὸν ἑαυτοῦ ζυγὸν ἡμῖν ἐπιτίθησι; Θεοῦ γὰρ δοῦλα τὰ πάντα. εἴρηται δὲ ζυγὸς καὶ ὁ νόμος. ἀλλὰ ἐπιτίθησιν ἡμῖν ὁ Χριστὸς τὸν ἴδιον ζυγὸν, ἑαυτῷ τε ὑποτάττει, καίτοι τὰ πάντα ὑποφέρων τῷ πατρί. Θεὸς ἄρα ἐστίν. ὅθεν αὐτῷ καὶ ὑποκεῖσθαι τὰ πάντα πρέπει.

Ματθ. 11. 1.

Ἡ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι ἐν τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσι; λέγω δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ μείζων ἐστὶν ὧδε.) εἰ βεβηλοῦντες τὸ σάββατον οἱ ἱερεῖς ἀναίτιοί εἰσιν, ὡς Θεῷ προσάγοντες τὰς θεραπείας. πῶς τῶν ἐν τῷ ἱερῷ δρωμένων νοεῖται μείζων ἡ Χριστοῦ θεραπεία; ἀλλ' ἔστι δῆλον, ὅτι οἱ μὲν ἐν νόμῳ καὶ σκιᾷ καὶ ὑποδείγματι τῶν ἐπουρανίων λελατρεύκασιν· οἱ δὲ θεσπέσιοι μαθηταὶ προσεδρεύοντές τε καὶ λειτουργοῦντες τῷ Χριστῷ, μείζονα καὶ τὴν δόξαν εἶχον. καὶ εἰ τῆς ἐν νόμῳ λατρείας ἐν ἀμείνοσι τὸ λειτουργεῖν τῷ Χριστῷ, πῶς οὐκ ἂν νοοῖτο Θεὸς ἀληθής;

Ματθ. 12. 27.

Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, φησὶν, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ κριταὶ ἔσονται ὑμῶν.) εἰ ἐν ὀνόματι τοῦ Χριστοῦ τεθεραπεύκασι τοὺς δαιμονῶντας οἱ μαθηταί· ἐπεφώνουν γὰρ ἐν ὀνόματι Ἰσοῦ Χριστοῦ τοῦ Ναζωραίου· πῶς οὐκ ἂν νοοῖτο Θεὸς ἀληθής; οὐ γὰρ ἂν ἐξήρκεσεν ἀνθρώπου δόξα καὶ δύναμις εἰς τὸ κατισχύσαι τοῦ σατανᾶ.

Ματθ. 11. 49.

Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ κατακαίεται· οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰώνος. ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν. καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός·) περὶ Θεοῦ γέγραπται· εὐλογεῖτε τὸν κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ. οὐ γὰρ ἄγγελος ἀγγέλου ἐστὶ, Θεοῦ δὲ μᾶλλον τὰ πάντα. πῶς, οὖν φησὶ περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ὅτι ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ; Θεὸς οὖν ἄρα ἐστὶν, ὡς καὶ ἰδίους ἔχων τοὺς ἀγγέλους, καὶ διὰ τῶν ἄνω πνευμάτων ὑπηρετούμενος.

ψαλ. 102. 10.

Ματθ. 16. 13.

Ἠρώτησεν ὁ Χριστός. τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; οἱ δὲ εἶπον· οἱ μὲν Ἰωάννην τὸν Βαπτιστήν· ἄλλοι δὲ, Ἠλίαν· ἄλλοι δὲ, Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν. λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς δὲ, φησὶν, ὁ Πέτρος, εἶπε· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς. εἶπεν αὐτῷ· μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκαλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.) εἰ ψιλὸς ἄνθρωπος ὁ Χριστὸς, διατὶ τεθαύμασται Πέτρος ὁμολογῶν αὐτόν; πῶς δέ ἐστι καὶ θεοδίδακτος, ἢ ποίας ἐδεήθη φωταγωγίας ἄνωθεν, ἵνα μάθῃ τὸ ἐπ' αὐτῷ μυστήριον; ἀλλ' ἔγνω Θεὸν ὄντα καὶ υἱὸν Θεοῦ ζῶντος διωμολόγησεν αὐτὸν ταύτῃ τοι τεθαύμασται. πλὴν ἕνα υἱὸν, καὶ οὐχὶ δύο υἱούς φησι. δυσσεβὲς οὖν ἄρα τὸ διορίζειν εἰς δύο. Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, μετὰ τῶν ἀγγέλων αὐτοῦ. ἰδοὺ πάλιν ἀγγέλους αὐτοῦ φησὶ τὰ ἄνω πνεύματα, καίτοι λεγομένου υἱοῦ ἀνθρώπου.

Ματθ. 16. 17.

Ματθ. 17. 31.

Ἐλθόντων * δὴ οὖν εἰς Καπερναοὺμ, προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες, τῷ Πέτρῳ, καὶ εἶπον· ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; καὶ λέγει, ναί. καὶ εἰσελθόντα εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς, λέγων· τί σοι δοκεῖ

* δι' αὐτῶν.

Σί-

Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη, ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; εἶπε δὲ αὐτῷ· ἀπὸ τῶν ἀλλοτρίων. εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί.) πῶς ἐλεύθερον ἑαυτὸν εἶναί φησι, καὶ ἔξω νόμου, καὶ ἀσυντελῆ, καὶ υἱὸν ἀληθῶς, εἰ μὴ Θεός ἐστιν, ἑνώσει τῇ καθ' ὑπόστασιν σαρκὸς καὶ αἵματος κεκοινωνηκώς; συντετέλεκε δὲ τὸ δίδραχμον, ὡς γεγονὼς ὑπὸ νόμον ὁ ὑπὲρ νόμον υἱός. ἄνθρωπος δὲ ὤν, οὐχ ὑπὲρ νόμον νοεῖται. πῶς γάρ; οὐδ' ἂν ἔχοι κατὰ φύσιν τὸ ἐλεύθερον, εἰ μὴ νοεῖται Θεὸς ἐν ἀνθρωπίᾳ μορφῇ.

Ματθ. 21. 16. Ἀναβαίνοντος ἐν Ἱεροσολύμοις τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, παῖδες προεβάδιζον, εὐφημοῦντές τε καὶ λέγοντες· ὡσαννὰ τῷ υἱῷ Δαυίδ· θεοπρεπὴς δὲ πάντως ἐστὶν ἡ δοξολογία· ἠγανάκτησαν οἱ φαρισαῖοι, καὶ δὴ καὶ προσῄεσαν, λέγοντες· ἀκούεις, τί οὗτοι λέγουσιν; ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ναί. οὐδέποτε ἀνέγνωτε, ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον;) ἀναγκαῖον ἐν τούτοις διαμνημονεῦσαι τοῦ μακαρίου Δαυὶδ λέγοντος·

Ψαλ. 8. 9. κύριε, ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτήσω αἶνον. οἱ μὲν γὰρ παῖδες εὐφημοῦντες ἔλεγον· ὡσαννὰ τῷ υἱῷ Δαυίδ. καταδέχεται δὲ τὴν δοξολογίαν εὐφημούμενος. ὁ δέ γε μακάριος Δαυὶδ οὐκ ἀνθρώπῳ ταύτην ἀνατέθεικε κοινῷ, κυρίῳ δὲ μᾶλλον, οὗ καὶ θαυμαστὸν τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ. ἐπήρθη γὰρ ἡ μεγαλοπρέπεια ὑπεράνω τῶν οὐρανῶν. εἶτα, πῶς οὐ Θεὸς ὁ υἱὸς Δαυὶδ τὸ κατὰ σάρκα Χριστός;

Ματθ. 25. 31. Ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ.) ἆρα ὡς ἄνθρωπος εἷς τῶν καθ' ἡμᾶς καθεδεῖται Χρι-

Γενεσ. 4. 14 στὸς, παρεστηκότων αὐτῷ πάντων τῶν ἀγγέλων, οὕτω τε κρινεῖ τὸν κόσμον; εἶτα, ποῖον ἔχει τοῦτο λόγον; γέγραπται γὰρ, ὅτι εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτής· Θεὸς οὖν ἄρα Χριστὸς, ὁ ἐν δόξῃ Θεοῦ, καὶ θρόνον ἔχων, καὶ παρεστῶτας ἀγγέλους, καὶ κρίνων τὴν οἰκουμένην ἐν δικαιοσύνῃ.

Ματθ. 26. 63. Καὶ ὁ ἀρχιερεὺς, φησὶν, εἶπεν αὐτῷ ὁρκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. λέγει αὐτῷ· σὺ εἶπας. πλὴν λέγω ὑμῖν, ἀπ' ἄρ τι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.) πῶς ὁ υἱὸς τοῦ ἀνθρώπου κάθηται ἐκ δεξιῶν τῆς δυνάμεως; ἀλλ' ἔστι δῆλον, ὅτι κἂν εἰ γέγονεν υἱὸς τοῦ ἀνθρώπου ὁ ἐκ Θεοῦ λόγος, οὐ πέπαυται τοῦ εἶναι Θεὸς, ἀλλ' ἔστιν ὃ ἦν ταύτῃ τοι καὶ συνεδρεύει τῷ φύσαντι, καὶ ἐν τοῖς τῆς θεότητος ἀξιώμασιν ἐμπρέπων ὁρᾶται, κἂν εἰ γέγονε σάρξ.

Ματθ. 27. 60. Ὁ δὲ Ἰησοῦς κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα. καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐχίσθη εἰς δύο, ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἀνέστησαν.) εἰ κοινὸς ἄνθρωπος ἦν ὁ Χριστὸς πῶς τεθνεῶτος αὐτοῦ, τοσοῦτος ἦν ἐν τοῖς στοιχείοις ὁ θόρυβος; ὁ μὲν γὰρ ἥλιος τὴν ἀτῖνα συνέστειλε, καὶ ἐν ἡμέρᾳ σκότος εἰργάσατο· ἡ δὲ γῆ τὸν ἑαυτῆς δεσπότην ὁρῶσα ὑπὸ τῶν Ἰουδαίων ἐμπαροινούμενον, ἐσχίζετο· ἀφῆκε δὲ ὁ ᾅδης τὰς τῶν ἁγίων ψυχάς. τίνος ταῦτα ποιοῦντος; ἆρα οὐχὶ Θεοῦ; Θεὸς γὰρ ἦν ἐν σαρκὶ, ᾧ καὶ ἡ κτίσις ὑβριζομένῳ, τρόπον τινὰ συνωργίζετο.

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου.

Ἰωάν. 1. 24. ΑΥΤΟΣ δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν αὐτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν πάντα· καὶ ὅτι οὐ χρείαν εἶχεν, ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου. αὐτὸς γὰρ ἐγίνωσκε, τί ἦν ἐν τῷ ἀν-

Ψαλμ. 34. 15. Γερεμ. 17. 10. θρώπῳ.) περὶ Θεοῦ γέγραπται· ὅτι ὁ πλάσας καταμόνας τὰς καρδίας αὐτῶν. καὶ αὐτὸς δέ που φησί. μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι; εἰ δὲ πάντα Χριστὸς ἐπίσταται, καὶ οἶδε τὰ τοῦ ἀνθρώπου, πῶς οὐκ ἂν εἴη Θεὸς, ὡς καρδίας ἐτάζων καὶ νεφρούς;

Ἰωάν. 4. 22. Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν.) ἀκούεις, ὅτι τὴν σωτηρίαν ἐκ τῶν Ἰουδαίων εἶναι φησί; καίτοι σωτῆρα Θεὸν ἐπεγραψάμεθα. σέσωκε γὰρ ἡμᾶς οὐ πρέσβις, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος, κατὰ τὰς γραφάς. ὠνόμασται γὰρ Χριστὸς Ἰησοῦς, γεγονὼς Ἡσαΐ. 63. ἐξ Ἰουδαίων κατὰ τὴν σάρκα. Ἰησοῦς γε μὴν ἑρμηνεύεται σωτηρία. αὐτὸς οὖν ἄρα ἐστὶν ἡ ἐκ τῶν Ἰουδαίων σωτηρία. ὥστε κἂν εἰ γέγονε σάρξ ὁ λόγος, καὶ ἐπελάβετο σπέρματος Ἀβραὰμ, Θεός ἐστι καὶ μετὰ σαρκός.

Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐ- Ἰωάν. 14. 12. μὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι. καὶ ὅ, τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω.) * πορεύεται, φησὶ, πρὸς τὸν πατέρα, καί τοι φύσει Θεὸς ὑπάρχων ὁ υἱὸς, καὶ αὐτὸς ὢν ὁ πάντα πληρῶν. πορεύεται γὰρ ἀνθρωπίνως· ἀνελήφθη γὰρ εἰς τὸν οὐρανόν. ἀλλ' ὡς Θεὸς ἐπαγγέλλεται πληροῦν τὰ αἰτήματα τῶν προσευχομένων, εἰ ἐν τῷ ὀνόματι αὐτοῦ ποιοῖντο τὰς λιτάς. εἶτα τίνι ἂν πρέποι μᾶλλον τὸ πληροῦν εὐχὰς ἁγίων, καὶ χαρίζεσθαι τὰ αἰτήματα, πλὴν ὅτι μόνῳ τῷ κατὰ φύσιν καὶ ἀληθῶς ὄντι Θεῷ.

Οὐχ ὑμεῖς με ἐξελέξασθε. ἀλλ' ἐγὼ ἐξελε- Ἰωάν. 15. 16. ξάμην ὑμᾶς καὶ ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε, καὶ καρπὸν φέρητε. καὶ ὁ καρπὸς ὑμῶν μείνῃ. ἵνα ὅ, τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν.) ἰδοὺ πανταχοῦ δείκνυσιν ὅτι τὰ ἴσα μετ' ἐξουσίας ἐνεργεῖ * τῷ πατρί. ἔφασκε γάρ. ὅτι ὃ ἐὰν αἰτήσητε ἐν τῷ ὀνόματί μου, ποιήσω. νυνὶ δέ φυσιν· ὅ, τι ἐὰν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν. ἆρα ἓν ἰδίᾳ μὲν δίδωσιν ὁ πατὴρ δίχα τοῦ υἱοῦ, ἰδίᾳ δὲ καὶ ἀνὰ μέρος ὁ υἱὸς δίχα τοῦ πατρός;

* τῷ Θεῷ καὶ πατρί.

οὐκοῦν

οὐκοῦν παρὰ δύο Θεῶν τοῖς ἁγίοις τὰ ἐν εὐχαῖς αἰτήματα; ἀλλ' οὐχ οὕτως ἔχει ταῦτα, μὴ γένοιτο· εἷς γὰρ Θεὸς ὁ πατὴρ, καὶ εἷς κύριος Ἰησοῦς Χριστός. διανέμει γὰρ ὁ πατὴρ δι' υἱοῦ τὰ ἀγαθὰ ἐν πνεύματι. πλὴν ἡ αἴτησις ἡ ἐν προσευχαῖς ἐν Χριστῷ Ἰησοῦ· καὶ κύριος Ἰησοῦς ὁ ἐνανθρωπήσας νοεῖται καὶ ὀνομάζεται λόγος.

Ιωάν. 16. 23 Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. ἀμὴν ἀμὴν λέγω ὑμῖν. ἄν τι αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν. αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.) ἐν ἴσῃ καὶ τοῦτο τοῖς ἀνωτέρω βραχὺ διανοίᾳ κείσεται, καὶ τὸ ἐφεξῆς ὁμοίως. ἔχει δὲ οὕτως. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε· καὶ οὐ λέγω ὑμῖν, ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα. αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ πατρὸς ἐξῆλθον.

Ιωάν. 16. 23 Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, (καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.) εἰ τῇ ἐπιγνώσει τοῦ μόνου καὶ ἀληθινοῦ Θεοῦ συνεζεῦχθαί τε καὶ συνεισβαίνειν ἀνάγκη τὴν ἐπίγνωσιν Ἰσοῦ Χριστοῦ, καὶ ζωὴν τοῦτο τὴν αἰώνιον προξενεῖ. πῶς οὐχ ἅπασιν ἐναργὲς, ὅτι Θεός ἐστιν ἀληθὴς ὁ Χριστός; γέγονε γὰρ σὰρξ ὁ λόγος, καὶ μεμένηκε λόγος.

Ιωάν. 7. 3. Ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας, κἀγὼ τὴν δόξαν, ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς· ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἕν. ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί. ἵνα ὦσι τετελειωμένοι εἰς ἕν.) ἀκριβῆ τῆς διανοίας τὸν ὀφθαλμὸν ἐπιστήσαντες τῇ τοῦ προκειμένου δυνάμει, θεωρήσωμεν τὰ ἐν αὐτῷ. ποίαν δόξαν εἰληφέναι φησὶ παρὰ τοῦ πατρὸς ὁ υἱὸς, καὶ ταύτην ἡμῖν ἐπιδοῦναι; αὐτὸς δὲ ἡμᾶς τῆς ἐπὶ τούτοις ἐρεύνης ἀπαλλάξει, λέγων· ἵνα ὦσι, καθὼς ἡμεῖς, ἕν. ἐν μὲν γὰρ τῇ φυσικῇ ταυτότητι ἕν ἐστιν ὁ ἐκ Θεοῦ λόγος πρὸς τὸν ἑαυτοῦ πατέρα, εἰ καὶ νοεῖται καθ' ὑπόστασιν ἑκατέρος ἰδικήν. πῶς δὲ καὶ ἐν ἡμῖν γέγονε; κατὰ τὸν ἴσον τρόπον, οὐσιωδῶς δὴ λέγω, καὶ φυσικῶς· καὶ τοι Θεοῦ φύσις ἀσύμβατος παντελῶς εἴη ἂν πρὸς τὴν κτίσιν, ὡς ἐν ταυτότητι λέγω τῇ κατ' οὐσίαν. πῶς οὖν ἐν ἡμῖν γέγονε φυσικῶς ὁ ὑπὲρ τὴν κτίσιν; γέγονε γὰρ ἄνθρωπος, ἵνα ὥσπερ ἐστὶν * ἐν τῇ τῆς θεότητος φύσει πρὸς τὸν πατέρα, οὕτω καὶ πρὸς ἡμᾶς ἓν γένηται σχέσει τῇ κατὰ ἀνθρωπότητα· τετελειώμεθα γὰρ οὕτω, καὶ ἡμεῖς εἰς ἕν.

* ἵσ. ἕν.

Ιωάν. 20. 19. Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ, τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν.) ἐπαπορῆσαί τις ἂν κατὰ τὸ εἰκὸς, λέγων. εἰ ἐν σώματι καὶ μετὰ τὴν ἀνάστασιν ἦν ὁ λόγος, καθὰ καὶ πρὸ τοῦ τιμίου σταυροῦ, πῶς κεκλεισμένων τῶν θυρῶν ἀδοκήτως εἰς μέσον ὤφθη τῶν μαθητῶν, πρὸς τοῦτό φαμεν, ὅτι δυνάμει τῇ θεϊκῇ. μεμνῆσθαι δεῖ Παύλου λέγοντος. ὅτι ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. μετὰ γάρ τοι τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ὡς τετελεσμένης ἤδη τῆς οἰκονομίας, ἐφ' ᾗ καὶ ἡ τῆς σαρκὸς ἀνάληψις * ἐπράχθη χρειωδῶς, ἐξουσίᾳ καὶ δυνάμει κέχρηται τῇ θεοπρεπεῖ, διὰ τούτων μᾶλλον, ἢ διὰ τῶν τῆς κενώσεως * μέτρων ἐπιγινώσκεσθαι θέλων, ὡς ἐν καιρῷ καθήκοντι.

* ἐτελέσθη.

* τρόπων.

Ιωάν. 20. 22. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· λάβετε πνεῦμα ἅγιον. ἄντινων ἀφῆτε τὰς ἁμαρτίας, * ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται.) ὅλον ἐστὶ θεοπρεπὲς τὸ γεγενημένον, καὶ τοῦ παντὸς ἄξιον λόγου. πρῶτον μὲν γὰρ οὐκ ἀνθρώπινον τὸ ἐμφυσῆσαι τοῖς ἀποστόλοις, καὶ δοῦναι τὸ πνεῦμα. εἶτα μέγα, καὶ ὑπὲρ τὴν κτίσιν, τὸ τοιαύτην ἐξουσίαν παραχεῖν, ὥστε κρατεῖν, ὧν ἂν ἕλοιντο, τὰς ἁμαρτίας· ἀφιέναι δὲ καὶ οἷς ἂν βούλοιντο τυχόν. διὰ τί δὲ καὶ διὰ σαρκικοῦ φυσήματος τὸ πνεῦμα δίδωσιν; ὅτι μὴ ἀλλοτρία τοῦ λόγου γέγονεν αὐτοῦ ἡ σὰρξ, ἀλλὰ ἰδικῶς αὐτοῦ. καὶ ἀνθρώπινον μὲν τὸ διὰ σαρκὸς ἐμφύσημα· θεϊκῆς δὲ δυνάμεως ἔργον. τὸ μετόχους ἀποφῆναι τοῦ πνεύματος τοὺς ἠξιωμένους.

* ἀφίενται.

Ἐκ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου.

Λουκ. 1. 14. ΑΓΓΕΛΟΣ Θεοῦ τῷ Ζαχαρίᾳ φησὶ περὶ τοῦ ἁγίου Βαπτιστοῦ. καὶ ἔσται χαρά σοι, καὶ ἀγαλλίασις· καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον κυρίου, καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ, καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ. καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ κύριον τὸ Θεὸν αὐτῶν.) ὁ μακάριος Ἰωάννης, ἐρομένων αὐτὸν τῶν Ἰουδαίων, σὺ τίς εἶ; φησίν· ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν τοῦ κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. προφητεύων δὲ αὐτὸς ὁ Ζαχαρίας ἐπὶ τῷ ἰδίῳ παιδὶ, φησί. καὶ σὺ παιδίον, προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν. προεβάδιζε γὰρ τοῦ Χριστοῦ, καὶ αὐτοῦ γέγονε πρόδρομος, καὶ αὐτῷ τὰς ὁδοὺς προετοιμάζεσθαι διεκήρυττε, καὶ τὸν ἐπ' αὐτῷ προεφήτευε λόγον, ἐπιστρέφων ὡς ἐπὶ * Θεῷ δικαιοῦν ἰσχύοντι τοὺς ἐν ἁμαρτίαις. εἶτα, πῶς οὐ Θεὸς ὁ Χριστός;

Ιωάν. 1. 15

Λουκ. 1. 76.

* Θεὸν δικαιοῦν ἰσχύοντα.

Λουκ. 1. 32. Οὗτος ἔσται μέγας, καὶ υἱὸς ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.) ἆρ' οὖν * ἐφ' ἑνὶ τῶν καθ' ἡμᾶς κεισόμεθα, βασιλευόμενοι διηνεκῶς καὶ ἀκαταλήκτως; ἢ ὑπὸ θεῷ μᾶλλον ἐσόμεθα βασιλεύοντι ἡμῶν τὴν ἐν Χριστῷ; καὶ οὐχ ὡς ἔξωθεν μεσίτου τινὸς εἰς τοῦτο παραληφθέντος, ἀλλ' ὡς δι' υἱοῦ καὶ ἐν υἱῷ κατακρατοῦντος τῶν ὅλων τοῦ θεοῦ καὶ πατρός. εἰ δὲ τοῦτο ἀληθὲς, θεὸς ἄρα ὁ Χριστός.

* ἐφ' ἑνί.

Λουκ. 1. 34. Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· πῶς ἔσται μοι

μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται υἱὸς θεοῦ. ἆρα οὖν κέκληται μόνον υἱὸς, ὁ ἐκ τῆς ἁγίας παρθένου διὰ τοῦ πνεύματος ἀπορρήτως γεγεννημένος, ἤγουν ἐκτισμένος; ἢ φύσει τε καὶ ἀληθῶς υἱὸς εἶναι πεπίστευται, καὶ θεός; ἀλλ' ἔστι τοῦτο ἀληθές. νοείσθω δὴ οὖν σὰρξ καθ' ὑπόστασιν γεγονὼς ὁ λόγος, τουτέστιν ἰδίαν ποιησάμενος σάρκα τὴν διὰ πνεύματος ἐκ τῆς ἁγίας παρθένου. οὕτω γὰρ ἔσται καὶ θεὸς ἀληθῶς.

Λεκ. 1. 41. Καὶ ἐγένετο, ὡς ἤκουσε τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρὸς μέ;) ἐνεργήσαντος θεοῦ προφητείας χάριν, ἔσαι τις προφήτης· καθ' ἕτερον δὲ τρόπον οὐδαμῶς. ὅτε τοίνυν ὁ ἀσπασμὸς τῆς ἁγίας παρθένου Μαρίας κυοφορούσης ἔτι τὸν Ἰησοῦν, κεκίνηκεν ἐν μήτρᾳ τὸν Ἰωάννην εἰς προφητείαν, πῶς ὁ θεὸς ὁ Χριστὸς, καὶ ἐν τῇ τῆς παρθένου νηδύϊ κινήσας θεοπρεπῶς εἰς προφητείας δύναμιν τὸν Βαπτιστήν;

Λεκ. 1. 29. Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ. ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου· ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.) ὁ Συμεὼν τὸν Ἰησοῦν εἰς ἀγκάλας λαβὼν, τὰ τοιάδε περὶ αὐτοῦ φησί. πῶς οὖν ἐστι σωτήριον; πῶς δὲ φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, εἰ μὴ θεός ἐστιν ἀληθῶς, εἷς, καὶ μόνος υἱὸς, ὁ φύσει μὴ ἐκ πατρὸς ὡς λόγος, ἐκ παρθένου δὲ ὁ αὐτὸς κατὰ σάρκα; ποία γὰρ γέγονεν ἀποκάλυψις τοῖς ἔθνεσιν; ἢ ἐπ' αὐτῷ ἔγνωσαν ὅτι θεός ἐστι, καὶ αὐτῷ λατρεύσαντες ἔφυγον τὰ ἐγκλήματα τοῦ Θεῷ λατρεύειν ἑτέρῳ παρὰ τὸν ἕνα, καὶ φύσει, καὶ ἀληθῶς;

Λεκ. 2. 22. Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπε πρὸς αὐτούς· τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· ἢ εἰπεῖν· ἔγειραι καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου ἐξουσίαν ἔχει ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, εἶπε τῷ παραλυτικῷ· σοὶ λέγω, ἔγειραι, καὶ ἆρας τὸ κλινάριόν σου, πορεύου εἰς τὸν οἶκόν σου.) εἷς μόνος ἡμᾶς ἀπαλλάττει ὁ τῶν ὅλων θεὸς πλημμελημάτων, ἑτέρῳ πρέποντι τούτου μηδενί· χαρίζεται δὲ καὶ τοῦτο Χριστὸς μετ' ἐξουσίας θεοπρεπῶς, πῶς οὐκ ἂν εἴη θεός; κέκληται γὰρ υἱὸς ἀνθρώπου, γεννηθεὶς ἐκ γυναικὸς κατὰ σάρκα, καίτοι θεὸς ὢν ὁ λόγος.

Λεκ. 7. 11. Ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων, καὶ μαστίγων, καὶ πνευμάτων πονηρῶν· καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν. καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε· ὅτι τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριός ἐστιν, ὃς ἂν μὴ σκανδαλισθῇ ἐν ἐμοί.) ἔργοις αὐτοῖς ἐπιδείξας ἑαυτὸν ὁ Χριστὸς τῶν θεοπρεπῶν μεγαλουργημάτων ἀποτελεστήν, εἰς ἀνάμνησιν ἀναφέρει τῶν εἰρημένων διὰ φωνῆς προφητικῆς περὶ αὐτοῦ. ἔφη τοίνυν ὁ μακάριος Ἡσαΐας· ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα. εἴτα μετὰ ταῦτα καταδείκνυσι τὸν Ἐμμανουήλ, ὅτι λέγων· ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἰδοὺ κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυρείας. ἔφη δὲ καὶ ἕτερος, ὅτι τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. τότε ἁλεῖται χωλὸς ὡς ἔλαφος, καὶ ἔσαι γλῶσσα μογιλάλων. καὶ πρὸς τούτοις ἔτι· ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις· ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς ἐστιν. ἔφη δὲ πάλιν καὶ ἐκ προσώπου Χριστοῦ· πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. ὅτε τοίνυν τῆς ἐφ' ἑαυτῷ πίστεως τὰς τῶν προφητῶν φωνὰς ποιεῖται σημεῖον, ἦγον ἀπόδειξιν, θεὸν δὲ αὐτὸν οἱ προφῆται κηρύττουσι, τίς ὁ τούτοις τὰ ἐναντία φάναι τολμῶν;

Λεκ. 8. 24. Ἐχειμάζοντο, φησί, κατὰ τὴν λίμνην οἱ μαθηταί· εἶτα προσελθόντες, διήγειραν αὐτὸν, λέγοντες· ἐπιστάτα, ἀπολλύμεθα. ὁ δὲ διεγερθεὶς, ἐπετίμησε τῷ ἀνέμῳ, καὶ τῷ κλύδωνι τοῦ ὕδατος· καὶ ἐπαύσατο, καὶ ἐγένετο γαλήνη.) εἴρηται περὶ Χριστοῦ διὰ φωνῆς τοῦ μακαρίου Δαυίδ. σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, καὶ τὸν σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις. σοί εἰσιν οἱ οὐρανοὶ, καὶ σύ ἐστιν ἡ γῆ, τὸν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας. ὅτε τοίνυν τῷ καταπραΰνοντι τὴν θάλασσαν πρέποι ἂν καὶ τὸ δεσπόζειν τῶν ὅλων, ἔχειν δὲ ἰδίους τοὺς οὐρανοὺς, καὶ θεμελιοῦν δύνασθαι τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς· πῶς οὐκ ἂν ὑπάρχειν νοοῖτο θεὸς ἀληθῶς ὁ Χριστὸς, ὁ θαλάσσῃ καὶ πνεύμασιν ἐπιτιμῶν, καὶ τοῦτο μετ' ἐξουσίας.

Λεκ. 8. 35. Ἐδεῖτο δὲ αὐτοῦ ὁ ἀνὴρ, ἀφ' οὗ ἐξεληλύθει τὰ δαιμόνια, εἶναι σὺν αὐτῷ. ἀπέσειλε δὲ αὐτὸν, λέγων· ὑπόστρεφε εἰς τὸν οἶκόν σου, καὶ διηγοῦ ὅσα σοι πεποίηκεν ὁ Θεός. καὶ ἀπῆλθε καθ' ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Θεός. ἐν τῇ τῶν Γεργεσηνῶν χώρᾳ πεθεράπευκεν ὁ Χριστὸς τὸν ἀγρίως δαιμονῶντα, ὃς καὶ σωθῆναι αὐτῷ παρεκάλει. ἀλλὰ καίτοι θεραπεύσας αὐτὸν, καὶ ἐκβεβληκὼς τὰ πνεύματα, ἐκέλευεν ἀπελθεῖν εἰς τὸν οἶκον αὐτοῦ, καὶ κηρύττειν ὅσα πεποίηκεν αὐτῷ ὁ Θεός. ἐπῆρκεν οὖν αὐτὸς, ὡς Θεὸς ὑπάρχων ἀληθινός. εἰ γάρ που φαμὲν ὡς ὑπηρέτης γέγονε θείας χάριτος καθ' ἕνα τῶν προφητῶν, ἢ γῆν τῶν ἁγίων ἀποστόλων· ἀλλ' ἵνα αὐτὸς δυνάμει τῇ ἰδίᾳ καὶ θεοπρεπεῖ σωζοίβων τὸν σατανᾶν. ἐν ὀνόματι οὖν αὐτοῦ, καὶ τοῖς ἁγίοις μαθηταῖς ὑπετάττετο τὰ δαιμόνια· καὶ τοῦτο διωμολόγησαν αὐτοί.

Λεκ. 8. 49. Ἐπὶ τῇ θυγατρὶ τοῦ ἀρχισυναγώγου φησὶν ὁ Χριστός· μὴ χλαίετε. οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει. ἆρ' οὖν· ἐψεύδετο; μὴ γένοιτο· ἀληθεύει δέ. καὶ κατὰ τίνα τρόπον, ὁ Παῦλος διαρμηνεύει λέγων· οὐκ ἔστι θεὸς νεκρῶν, ἀλλὰ ζώντων. * Ἐφεσ. 1. 9. Ρωμ. 14. 9. Ματθ. 22. 32. Μαρκ. 12. 27.

ζῶσι γὰρ τῷ Θεῷ οἱ ζήσειν μέλλοντες. οὐκοῦν οἱ τεθνηκότες, κατὰ μὲν ἀνθρώπους, εἰσὶ νεκροί· κατὰ δὲ τὴν ζωοποιὸν φύσιν, τουτέστι τὴν θείαν, οὐκ ἀποτεθνήκασιν. ἀληθεύει * γὰρ ὡς Θεὸς, περὶ τοῦ κορασίου λέγων· οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει.

* τοιγαροῦν ὡς Θεὸς.

Λυκ. 22.27. Τοῖς ἑαυτοῦ μαθηταῖς διαλεγόμενος, ἔφασκε· τίς μείζων ἐστὶν, ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δὲ ἐν μέσῳ ὑμῶν εἰμὶ ὡς ὁ διακονῶν.) ὁρᾷς, ὅπως ὅσον μὲν ἧκεν εἴς γε τὸ τῇ θεότητι πρέπον, καὶ τῇ δόξῃ τῇ δεσποτικῇ, μονονουχὶ καὶ ἀποσείεται τὸ ἐν διακόνου νοεῖσθαι τάξει; τιμᾷ δὲ τοῦτο διὰ τὸ ἀνθρώπινον. ἐγὼ γὰρ, φησὶν, εἰμὶ ἐν μέσῳ ὑμῶν ὡς διακονῶν. οὐκοῦν κἂν εἰ καταβέβηκεν ἐν διακόνοις, ἀλλ' οὖν γέ ἐστιν αὐτὸς ὁ ἀνακείμενος ὡς δεσπότης, καὶ παρὰ πάσης κτίσεως διακονούμενος ὡς Θεός.

Λυκ. 67. Εἶπεν οὖν αὐτοῖς ὁ Χριστός· δηλονότι τοῖς ἀρχιερεῦσι τῶν Ιουδαίων ἐρωτῶσιν. εἰ σὺ εἶ ὁ Χριστὸς; ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε· ἐὰν δὲ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτε. ἀπὸ τοῦ νῦν δὲ ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ.) εἰ κάθηται ἐκ δεξιῶν τῆς δυνάμεως, τοῦ Θεοῦ ὁ τοῦ ἀνθρώπου υἱὸς, πῶς οὐ Θεὸς ὁ Χριστὸς, τοῖς ἀνωτάτω θώκοις ἐμπρέπων, καὶ ὁμόθρονος τῷ πατρί; οὐ γὰρ συνεδρεύει τῷ κατὰ φύσιν Θεῷ γενητὴ φύσις ὅλως. συνεδρεύει δὲ ὁ υἱὸς τοῦ ἀνθρώπου, καθ' ἕνωσιν οἰκονομικὴν σαρκὸς γεγονότος τοῦ ἐκ Θεοῦ φυῦντος λόγου.

Ὅτι ζωὴ καὶ ζωοποιὸς ὁ Χριστός.

Ἐκ τῆς πρὸς Κορινθίους πρώτης.

1. Κορ. 10.15. Ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς ὅφημι. τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία ἐστὶ τοῦ αἵματος τοῦ Χριστοῦ; τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία ἐστὶ τοῦ σώματος τοῦ Χριστοῦ; ὅτι εἷς ἄρτος, ἓν σῶμά ἐσμεν οἱ πολλοί. οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν.) ἡ ἀνθρώπου σὰρξ, ὅσον ἧκεν εἰς ἰδίαν φύσιν, οὐκ ἂν εἴη ζωοποιός· ἀλλ' οὐδὲ τὸ αἷμα τὸ ἀνθρώπινον, εἰ κοινὸν εἴη καὶ καθ' ἑαυτό. ζωοποιεῖ δὲ τὸ σῶμα τοῦ Χριστοῦ, καὶ τὸ τίμιον αἷμα, πρέποντος μόνῳ Θεῷ τοῦ ζωοποιεῖν δύνασθαι τὸ ζωῆς ἐπιδεές. Θεὸς οὖν ἄρα Χριστός· οὕτω γὰρ ἔσται ζωοποιὸν τὸ σῶμα αὐτοῦ. εἰ δὲ ἄνθρωπος ἀνὰ μέρος νοεῖται μόνῃ τῇ τοῦ Χριστοῦ κλήσει τετιμημένος, καὶ γυμνὸν υἱοῦ πρόσωπον ἔχων, πῶς ἂν εἴη ζωοποιὸν τὸ σῶμα αὐτοῦ;

1. Κορ. 15.45. Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· * ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. καὶ πάλιν· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός· ὁ δεύτερος ἄνθρωπος, ὁ κύριος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. τοῦτο δέ φημι, ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. προσεπάγει δὲ τούτοις· ὅτι σαλπίσει, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι τὴν ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι τὴν ἀθανασίαν.) εἰς ψυχὴν ζῶσαν ὁ πρῶτος ἄνθρωπος γέγονεν· ἐδεῖτο γὰρ ὡς ποίημα τοῦ ζωοποιοῦντος Θεοῦ. ὁ δέ γε ἔσχατος Ἀδὰμ, τουτέστι Χριστὸς, ὅτι μὴ ἐδεῖτο ζωῆς ὡς Θεὸς, πνεῦμα γέγονεν εἰς ἡμᾶς ζωοποιοῦν· ὅπερ ἐστὶ θείας φύσεως ἴδιον πλεονέκτημα. καὶ ὁ μὲν πρῶτος ἐκ γῆς, χοϊκός· ὁ δεύτερος δὲ ἐξ οὐρανοῦ, καί τοι γενηθεὶς διὰ γυναικός. ὁ γὰρ ἄνωθεν καὶ ἐξ οὐρανοῦ, καὶ ἐκ Θεοῦ πατρὸς λόγος, κἂν εἰ γέγονεν ἄνθρωπος, ἀλλ' οὐδὲν ἧττόν ἐστιν ἐξ οὐρανοῦ. καὶ εἰ φθορᾷ καὶ θανάτῳ κατεσχημένοι, τὴν εἰκόνα τοῦ χοϊκοῦ διὰ τοῦτο φορέσαι λεγόμεθα. τὴν ἀφθαρσίαν ἐνδυσάμενοι, τὴν εἰκόνα τοῦ ἐπουρανίου φορέσομεν. ἀφθαρσία δὲ πάλιν ἴδιον ἀγαθὸν τῆς κατὰ φύσιν θεότητος. ἀλλάσσονται γὰρ οἱ νεκροὶ, καὶ τὸ φθαρτὸν ἀμφιέννυται τὴν ἀφθαρσίαν, γεγονότος καθ' ἡμᾶς τοῦ μονογενοῦς, καὶ μεθιστάντος τὸ θνητὸν εἰς ἀθανασίαν, καὶ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν ἐν ἑαυτῷ καὶ πρώτῳ μετασκευάζοντος. οὕτω γὰρ γέγονεν ὁδὸς εἰς ζωὴν καὶ ἡμῖν αὐτοῖς.

* δεύτερος ἄνθρωπος.

Ἐκ τῆς πρὸς Κορινθίους β'.

Ἀλλὰ αὐτοὶ, φησὶν, ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐν ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείραντι τοὺς νεκρύς.) εἰ Θεῷ * τὸ κατὰ φύσιν πρεπωδέστατον εἶναί φαμεν τὸ ἐγείρειν τοὺς νεκρούς, ὅτι ζωὴ καὶ ζωοποιός ἐστιν· ἔφη δὲ Χριστὸς, ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. φαίνεται δὲ καὶ ἐγηγερκὼς τοὺς νεκρούς· Θεὸς ἄρα ἐστὶν, ὡς ζωὴ κατὰ φύσιν. 2. Κορ. 1.9. * ἴσ. τῷ.

Ἐκ τῆς πρὸς Ἑβραίους.

Ἐπεὶ οὖν κεκοινώνηκε τὰ παιδία αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν· ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον.) παραπλησίως ἡμῖν τοῖς ἐν τέκνοις Θεοῦ τεταγμένοις κεκοινώνηκεν αἵματος καὶ σαρκὸς ὁ ἐκ Θεοῦ λόγος, ἵνα τῷ θανάτῳ τὸ ἴδιον σῶμα δοὺς, ζωοποιήσῃ πάλιν αὐτό, ζωὴ κατὰ φύσιν ὑπάρχων, ὡς Θεός. ἐπεὶ πῶς κατήργηται τοῦ θανάτου τὸ κράτος, ἂν μὴ τὸ πεσὸν εἰς θάνατον ἀνεβίω σῶμα, ἴδιον ὂν τῆς κατὰ φύσιν ζωῆς, τουτέστι τοῦ ἐκ Θεοῦ ὄντος λόγου; Ἑβρ. 2.14.

Ὅτι εἷς ὁ υἱὸς καὶ κύριος Ἰησοῦς Χριστός.

Ἐκ τῆς Ἰωάννου ἐπιστολῆς πρώτης καθολικῆς.

Ὁ Ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ 1. Ἰωαν. 1.1.

αἱ

αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ἡμῖν.) ἰδοὺ τὸν ὄντα ἀπ' ἀρχῆς, τουτέστι τὸν ἐκ τοῦ πατρὸς λόγον, τὴν ζωὴν τὴν αἰώνιον ἑωρακέναι φησὶ τοῖς ὀφθαλμοῖς, καὶ μὴν καὶ χερσὶ ψηλαφῆσαι· καίτοι κατὰ φύσιν ἰδίαν τοῦ ἐκ τοῦ πατρὸς ὄντος λόγου καὶ ὄντος ἀοράτου καὶ ἀναφοῦς. ἀναφὲς γὰρ τὸ ἀσώματον. ἀλλ' ἐν σαρκὶ γεγονότα τὸν λόγον ἑωρακέναι τε καὶ ψηλαφῆσαι φησίν. εἷς οὖν ἄρα ἐστὶν υἱὸς καὶ Θεὸς καὶ κύριος, κἂν εἰ γέγονε σὰρξ ὁ λόγος.

Ὅτι εἰς Χριστὸν ἡ πίστις, ὡς εἰς Θεόν.

Ἐκ τῆς Πέτρου ἐπιστολῆς πρώτης.

1. Πετρ. 1. 21 Ὥστε, φησὶ, τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς Θεόν. καίτοι Χριστὸς κηρύττεται διὰ τῶν ἁγίων ἀποστόλων. καὶ αὐτὸς δέ που φησίν· ἀμὴν ἀμὴν
Γοάν. 6. 47. λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον.) ὅτε τοίνυν εἰς Θεὸν ἡ πίστις, Χριστοῦ λέγοντος, εἰς ἐμὲ πιστεύετε· πῶς οὐκ ἂν εἴη Θεὸς ἐναργῶς;

Ἐκ τῆς πρώτης Ἰωάννου ἐπιστολῆς.

1. Γοάν. 3. 23 Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ.) εἰ μὴ ἀνεθέλητόν ἐστι τῷ Θεῷ καὶ πατρὶ τὸ πιστεύειν ἡμᾶς εἰς τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ· πράττεται δὲ καὶ παρ' ἡμῶν ἡ πίστις, οὐχ ὡς εἰς ἄνθρωπον ἁπλῶς, ἀλλ' ὡς εἰς Θεὸν ζῶντα καὶ ἀληθινόν. Θεὸς ἄρα Χριστός.

1. Γοάν. 4. 2. Ἐν τούτῳ γινώσκεται τὸ πνεῦμα τοῦ Θεοῦ· πᾶν πνεῦμα, ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι· καὶ πᾶν πνεῦμα, ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι· καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη.) ὁμολογοῦμεν τὸν Ἰησοῦν ἄρα ὡς ἄνθρωπον, καὶ τῶν καθ' ἡμᾶς ἕνα; ἢ μᾶλλον ὅτι Θεὸς ὢν ὁ λόγος, γέγονε σὰρξ, οὐκ ὀλιγωρήσας τοῦ εἶναι Θεὸς, μεμενηκὼς δὲ μᾶλλον ὅπερ ἦν, καὶ εἰ γέγονεν ἄνθρωπος; ἀλλὰ τοῦτ' ἔστιν οὐκ ἀμφίβολον. ὁ τοίνυν οὐ λέγων θεὸν εἶναι ἀληθῶς τὸν Χριστὸν, διαιρῶν δὲ καὶ κατασμικρύνων τὴν δόξαν αὐτοῦ, τὸ τοῦ ἀντιχρίστου πνεῦμα ἔχων ἁλώσεται.

1. Γοάν. 4. 14. Καὶ ἡμεῖς ἐθεασάμεθα, καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ.) ἀπεστάλθαι φαμὲν παρὰ τοῦ Θεοῦ καὶ πατρὸς τὸν υἱὸν, τουτέστι τὸν ἐξ αὐτοῦ κατὰ φύσιν μονογενῆ λόγον. ὠνομάσθαι δὲ αὐτὸν Ἰησοῦν, ὅτε καὶ τὴν κατὰ σάρκα γένεσιν ἐκ γυναικὸς ὑπέμεινεν οἰκονομικῶς. οὐκοῦν ὁ ἐκ Θεοῦ λόγος γέγονεν ἄνθρωπος. κἂν εἴτις οὕτως ὁμολογήσειεν αὐτὸν, ἔχει μένοντα ἐν ἑαυτῷ τὸν Θεὸν, ἔσται δὲ καὶ αὐτὸς ἐν τῷ Θεῷ· μνησθήσεται γὰρ αὐτοῦ, λογιεῖται δὲ αὐτὸν οἰκεῖον ὡς μέτοχον αὐτοῦ. ὁ δὲ μὴ ὁμολογῶν, ὅτι αὐτὸς ὁ ἐκ Θεοῦ πατρὸς λόγος Ἰησοῦς ἐστι, καθεὶς ἑαυτὸν εἰς ἀνθρωπότητα, οὔτε Θεὸν ἐν ἑαυτῷ πλουτήσειεν ἂν, οὔτε μὴν αὐτὸς ἐν Θεῷ ἔσται, κατά γε τὸν τῆς πνευματικῆς οἰκειότητος τρόπον.

Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς, ἐκ 1. Γοάν. 5. 1.
τοῦ Θεοῦ γεγέννηται.) οὐκοῦν ὁ μὴ πιστεύων, οὐδὲ ἐν τέκνοις Θεοῦ καταλογισθείη ἂν. εἰ γὰρ ὅσοι τὸν υἱὸν ἔλαβον, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Γοάν. 1. 12.
Θεοῦ γενέσθαι, καθὰ φησὶν ὁ εὐαγγελιστής. οἱ μὴ λαβόντες αὐτὸν, οὐδ' ἂν ἐν τέκνοις Θεοῦ καταλογισθεῖεν ἂν, τὸν, δι' οὗ τοῦτο ὑπάρχει μὴ ἐγνωκότες.

Τίς δέ ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ Γοάν. 5.
πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ; οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ αἵματι. καὶ τὸ πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἀλήθεια. ὅτι τρεῖς μαρτυροῦσι, τὸ πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα· καὶ οἱ τρεῖς ἕν εἰσι.) νικᾷ μὲν τὸν κόσμον ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. τίς δέ ἐστιν Ἰησοῦς, αὐτὸς ἡμῖν ὁ Ἰησοῦ μαθητὴς διατρανοῖ λέγων· οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστός. ἀλλὰ καὶ ἐν αἵματί φησι, καὶ ἐν πνεύματι· καὶ τοὺς τρεῖς ἓν εἶναί φησιν. οὐκοῦν γέγονε μὲν σὰρξ ὁ λόγος, ἁγιάζει δὲ ἡμᾶς τῷ πνεύματι, καὶ καθαρίζει τῷ αἵματι, καὶ ἀπολούει πάλιν ὕδατι καθαρῷ. εἷς δὲ δὴ πάντως ὁ υἱὸς, οὗ καὶ εἶναί φαμεν τὸ πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα.

Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνο- Γοάν. 5.
μεν, ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστίν· ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Θεοῦ, ὅτι μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ, ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ. ὁ μὴ πιστεύων τῷ Θεῷ, ψεύστην πεποίηκεν αὐτὸν, ὅτι οὐκ ἐπίστευσεν εἰς τὴν μαρτυρίαν, ἣν ἐμαρτύρησε περὶ τοῦ υἱοῦ αὐτοῦ.) μεμαρτύρηκεν ὁ πατὴρ τῷ υἱῷ διὰ τοῦ πνεύματος, καὶ διὰ φωνῆς· ὅτι γάρ ἐστιν αὐτοῦ κατὰ ἀλήθειαν, μαρτυρήσειεν ἂν τὸ χορηγεῖν δύνασθαι τοῖς ἁγίοις τὸ πνεῦμα αὐτὸν, καὶ δι' αὐτοῦ δυνάμεις ἐνεργεῖν. καὶ γοῦν ἔφασκεν· ὅτι ἐκεῖνος ἐμὲ δοξάσει. με- Γοάν. 16. 14.
μαρτύρηκε δὲ καὶ καθ' ἕτερον τρόπον. * ἐδόξασε * ἴδαξιν
γὰρ αὐτὸν ἐν τῷ Γορδάνῃ, λέγων· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ἠυδόκησα. ὅσοι τοί- Ματθ. 3. 17.
νυν ἀποδιαιροῦντές φασιν οὐκ εἶναι υἱὸν ἀληθινὸν τὸν ἐκ γυναικὸς, ἀναφέρουσι δὲ τὸ τῆς υἱότητος ὄνομα ἐπὶ γυμνὸν καὶ μόνον τὸν ἐκ Θεοῦ λόγον, ψεύστην ποιοῦσι τὸν πατέρα. σαρκωθέντα γὰρ τὸν λόγον ἀπέδειξεν ἐν τῷ Γορδάνῃ, καὶ τότε μεμαρτύρηκε τὸ πνεῦμα αὐτῷ, ὅτι καὶ Θεός ἐστι, καὶ υἱὸς ἀληθῶς.

Ὅτι ζωή.

Ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου.

Ἐπὶ τῇ θυγατρὶ τοῦ ἀρχισυναγώγου γέγρα- Ματθ. 9. 23.
πται· ὅτι ὅτε ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ὁ Ἰησοῦς ἐκράτησε τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρ-

γίρθη τὸ χοράσιον. διὰ τί μὴ μᾶλλον ὡς ἐπὶ τῶ Λαζάρε ἠρκέθη λόγῳ προὸς τὴν ἀνάστασιν τῆ χοράσίε, ἐκράτησε δὲ κ) τῆς χειρὸς αὐτῆς; ἵνα δείξη ζωοποιὸν τὸ αὐτῆ σῶμα· σῶμα γὰρ ἐστι ζωῆς. ἐκεῖν φυσικὴ μᾶλλον ἡ ἀληθὴς ἡ σίωσις ἡ προὸς τὴν σάρκα τῶ λόγε, κ) ἁ, καθάφασίν ἐξ ἀμαθίας τινὲς, ὡς ἐν μόνοις πέπραχται προσώποις, ἢ κατὰ ψιλὴν ἔφημίαν, κ) θέλησιν, ἤπι σιναφειαν ἁπλῶς.

Ἐκ τῆ κατὰ Γωάννην ἁγγελίε.

Γωάν. 6. 27. Ἐ'Ργάζεθε, φησὶ, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένεσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τῆ ἀνθρώπε ὑμῖν δώσει. τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ Θεός.) βρῶσιν ἡμῖν δέδωκεν ὁ υἱὸς τῆ ἀνθρώπε τὴν μένεσαν εἰς ζωὴν αἰώνιον, δηλονότι τὴν σάρκα αὐτῆ, κ) γὰρ ἐστι ζωοποιός. εἶτα πῶς ἁ Θεὸς ὁ ζωοποιεῖν δυνάμενος κ) διὰ τῆς ἰδίας σαρκὸς, ἐοικώς τε κατὰ πάντα τῷ Θεῷ κ) πατεῖ; τοῦτο γὰρ οἶδα δηλῶν τὸ ἐσφραγῖθαι λέγειν αὐτὸν παρὰ τῆ Θεῆ, τῆ ἐσφραγῖθαι σημαίνοντος τὸ ἀκεραίως ἐμφερές. ὥσπερ γὰρ εἴ τις ῥῶτις ἐμπήξει σφραγῖδα χρυσῆ, ἢ γῆν ἐξ ἑτέρας ὕλης πεποιημένην, ὅλην ἐξ ὅλε τὴν ἑαυτῆς ἐμφέρειαν ἐνσημαίνεται· ὅτω κ) ὁ Θεὸς καὶ πατὴρ τὰς τῆς ἑαυτῆ φύσεως χαρακτῆρας ἁσιωδῶς ἐμφέροντας ἔχει τῷ υἱῷ. καὶ τοῦτο ἐστὶ τὸ ἐσφραγῖθαι λέγειν αὐτὸν παρὰ τῆ πατρός.

Ἐκ τῆ κατὰ Λεκᾶν ἁγγελίε.

Γωάν. 11. 43. Ἤ'γειρε τὸν Λάζαρον ὁ Χριστὸς, τὸ τῆ ἀρχισιναγώγε θυγάτριον, τὸν τῆς χήρας υἱόν. εἶτα, πῶς ἁ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ μὴ μόνῳ λόγῳ καταπτοεῖν τὸν θάνατον δυνάμενος, Λεκ. 8. 54 κ) 7. 14. ἀλλὰ γὰρ κ) τῇ τῆς χειρὸς ἁφῇ; καὶ γὰρ ἵν' ἀκόλεθόν τε κ) ἀναγκαῖον, ζωοποιὸν εἶναι τὸ σῶμα τῆς κατὰ φύσιν ζωῆς.

Ὅτι ἱλασήριον διὰ πίστεως.

Ἐκ τῆς προὸς Ῥωμαίες.

Ῥωμ. 3. 25. Π'Ερὶ Χριστῆ φησιν· ὃν προέθετο ὁ Θεὸς ἱλασήριον διὰ πίστεως ἐν τῷ αὐτῆ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτῆ, διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων· ἐν τῇ ἀνοχῇ τῆ Θεῆ, προὸς τὴν ἔνδειξιν τῆς δικαιοσύνης αὐτῆ, ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι αὐτὸν δίκαιον, κ) δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησῆν.) εἰ οὐκ ἴδιόν ἐστιν ἱλασήριον γένεθαι Χριστὸν τοῖς ἐν ἁμαρτίᾳ καὶ ἀρᾷ καὶ θανάτε δίκῃ, πλὴν ὅτι δι' αἵματος διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων ἐχρεῖθαι μέλλοντος· πῶς ἐκ ἀναγκαῖον σάρκα γένεθαι τὸν λόγον, ἵνα καὶ αἵματι τῷ ἰδίῳ, δῆλον δὲ ὅτι, τῷ τῆς ἑαυτῆ σαρκὸς, δικαιώσῃ πάντας τοὺς εἰς αὐτὸν σισδόντας;

Ὅτι λελυτρώμεθα, κ) τὴν καταλλαγὴν προὸς Θεὸν ἐχήκαμεν διὰ τῆ αἵματος αὐτῆ.

Ἐκ τῆς προὸς Κορινθίες προτης.

Ἐ'Ξ αὐτῆ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησῆ, ὃς 1. Κορ. 1. 30. ἐγενήθη σοφία ἡμῖν ἀπὸ Θεῆ, δικαιοσύνη τε, κ) ἁγιασμὸς, κ) ἀπολύτρωσις· ἵνα, καθὼς γέγραπται, ὁ καυχώμενος, ἐν κυρίῳ καυχάθω.) λελυτρώμεθα τοίνυν ἐν Χριστῷ, εἰ ἡγιάσμεθα, κ) σοφοὶ γεγόναμεν. πᾶσα δὲ δόσις ἀγαθὴ, κ) πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον παρὰ τῆ πατρὸς τῶν φώτων, ἐν τοῖς Θεῆ. Ἰακωβ. 1. 17. εἶτα πῶς ἐκ Θεὸς ὁ Χριστὸς, ὁ σοφίαν τε κ) ἁγιασμὸν κ) ἀπολύτρωσιν ἡμῖν δωρησάμενος;

Ὅτι λελυτρώμεθα διὰ τῆ αἵματος τῆ Χριστῆ.

Ἐκ τῆς Πέτρε ἐπισολῆς προτης.

Ἐ'ιδότες ὅτι ἐκ φθαρτοῖς ἀργυρίῳ χρυσίῳ 1. Πετρ. 1. 18. ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότε, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνῆ ἀμώμε καὶ ἀσπίλε Χριστῆ.) λελυτρώμεθα γὰρ, τὸ ἴδιον σῶμα δεδωκότος ὑπὲρ ἡμῶν τῆ Χριστῆ. ἀλλ' εἰμὴ ὡς ἄνθρωπος νοεῖται κοινὸς, πῶς ἀντάξιον τῶν ἁπάντων ζωῆς τὸ αἷμα αὐτῆ; εἰ δὲ Θεὸς ἦν ἐν σαρκὶ ὁ πάντων ἀξιώτερος, ἀξιόχρεως ἡ λύτρωσις τῆ κόσμε παντὸς διὰ τῆ ἰδίε αἵματος εἴη ἄν, καὶ μᾶλα εἰκότως.

Ὅτι ὁ Χριστῆ θάνατος τῷ κόσμῳ σωτήριος.

Ἐκ τῆς προὸς Ῥωμαίες.

Σ'υνιστὴσι δὲ τὴν ἑαυτῆ ἀγάπην εἰς ἡμᾶς ὁ Ῥωμ. 5. 8. Θεὸς, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. πολλῷ οὖν μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτῆ, σωθησόμεθα δι' αὐτῆ ἀπὸ τῆς ὀργῆς. κ) πάλιν· εἰ γὰρ ἐχθροὶ ὄντες, κατηλλάγημεν τῷ Θεῷ διὰ τῆ θανάτε τῆ υἱῆ αὐτῆ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτῆ.) οὐκοῦν εἰ μὴ ἑτέρως ἦν σώζεθαι τὸν κόσμον, εἰ μὴ ἐν αἵματι κ) θανάτῳ χρησίμως παραληφθέντι, κ) οἰκονομικῶς, διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων, ἐν τῇ ἀνοχῇ τῆ Θεῆ· σεσώσμεθα δὲ διὰ Χριστῆ· πῶς οὐκ ἀναγκαῖος τῷ ἐκ Θεῆ φωτὶ λόγῳ ὁ τῆς σαρκώσεως τρόπος, ἵνα δικαιώσῃ μὲν ἐν τῷ αἵματι αὐτῆ τοὺς εἰς αὐτὸν πιστεύοντας, καταλλάξῃ δὲ τῷ πατρὶ διὰ τῆ θανάτε τῆ ἰδίε σώματος, ἵνα κ) συζήσωμεν αὐτῷ;

Ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίθημεν εἰς Χριστὸν Ἰησῆν, εἰς τὸν θάνατον αὐτῆ ἐβαπτίθημεν; συνετάφημεν οὖν αὐτῷ διὰ τῆ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τῆ πατρὸς, οὕτω κ) ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.) εἰ πᾶσά πως ἀνάγκη τοὺς ἐπὶ τῆς γῆς συνθάπτεθαι Χριστῷ διὰ τῆ βαπτίσματος εἰς τὸν θάνατον αὐτῆ, ἵνα ὥσπερ αὐτὸς ἐκ νεκρῶν ἐγήγερται, καὶ ἡμεῖς Ῥωμ. 6. 4. ἐν

ἐν καινότητι ζωῆς περιπατήσωμεν, ὡς συντεθαμμένοι καὶ συνεγηγερμένοι τῷ δι' ἡμᾶς ἀποθανόντι καὶ ἐγηγερμένῳ. χρειωδέστατά τε καὶ ἀναγκαίως τὸ τῆς ἐνανθρωπήσεως πέπρακται μυστήριον, σαρκός τε καὶ αἵματος μετέσχεν ὁ λόγος, ἵνα καὶ ἀποθανεῖν λεγομένῳ σαρκικῶς, καὶ μὴν καὶ ἐγηγερμένῳ, συναποθάνωμεν καὶ συνεγερθῶμεν.

Ρωμ. 3. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα.) κατὰ τὸν ἴσον τῷ πρώτῳ τρόπον νοήσεις καὶ τοῦτο· ἐ-
1. Κορ. 15. 21. πειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται.) δεύτερος Ἀδὰμ κεχρημάτικεν ὁ Χριστός· καὶ ὥσπερ ὁ πρῶτος Ἀδὰμ ἡμᾶς κατεβίβασεν εἰς φθορὰν, οὕτως ὁ δεύτερος ἀνεκόμισεν εἰς ζωήν. οὐχ ὡς ἄνθρωπος ψιλὸς ἀποθανὼν ὑπὲρ ἡμῶν, ἵνα μὴ καὶ ἐν αὐτῷ μείνωμεν νεκροί· ἀλλ' ὡς Θεὸς ἐν σαρκὶ καὶ αὐτῇ πεπονθὼς ἀνθρωπίνως, ἵνα θεϊκῶς ἀναστήσαντι τὸν ἴδιον ναὸν συνεγερθῶμεν ἡμεῖς.

Ἐκ τῆς πρὸς Γαλάτας.

Γαλατ. 3. 13. ΧΡιστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγρα-
Δευτ. 21. 25. πται γάρ· ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως.) ἄθρει δή μοι κἀντεῦθεν, ὅτι γέγονε τῷ κόσμῳ σωτήριος ὁ Χριστοῦ θάνατος. γέγονε γὰρ ὑπὲρ ἡμῶν κατάρα, σταυρὸν ὑπομείνας, καὶ κρεμασθεὶς ἐπὶ ξύλου, ἵνα λύσῃ τοῦ κόσμου τὴν ἁμαρτίαν, ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ· τουτέστιν, ἵνα δικαιωθῇ τὰ ἔθνη διὰ πίστεως, κατὰ τὴν δοθεῖσαν ἐπαγγελίαν τῷ Ἀβραὰμ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως. ὅτε τοίνυν καὶ τὴν ἐν νόμῳ λέλυκεν ἀρὰν ὁ Χριστοῦ θάνατος, καὶ προὐξένησε τοῖς ἔθνεσι τὴν εὐλογίαν τοῦ Ἀβραὰμ, τουτέστι τὴν διὰ πίστεως χάριν· μετόχους δὲ ἡμᾶς ἀπέφηνε καὶ τοῦ ἁγίου πνεύματος· οὐκ ἀνθρώπου κοινοῦ νοοῖτ' ἂν ὁ θάνατος αὐτοῦ. περινοεῖν δὲ προσήκει μᾶλλον, ὅτι σὰρξ γεγονὼς ὁ λόγος, σαρκὶ πέπονθεν ὑπὲρ τοῦ κόσμου, καὶ γέγονεν ἱκανὸν τὸ αὐτοῦ πάθος εἰς τὴν τοῦ κόσμου λύτρωσιν.

Ἐκ τῆς πρὸς Ἐφεσίους.

Εφεσ. 2. 13. ΝΥνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ, ὑμεῖς οἱ ποτὲ ὄντες μακρὰν, ἐγενήθητε ἐγγὺς ἐν τῷ αἵματι τοῦ Χριστοῦ. αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τῶν ἐντολῶν τὸν νόμον ἐν δόγμασι καταργήσας.) εἰ καὶ τοὺς ὄντας μακρὰν διὰ τὸ πλανᾶσθαι κατὰ τὸν κόσμον, καὶ ἐν ἀθεότητι διατελεῖν, ἐγγὺς πεποίηκε τὸ αἷμα Χριστοῦ, πῶς οὐκ ἀναγκαία τοῖς ἐπὶ τῆς γῆς ἡ τοῦ λόγου σάρκωσις, συλλέγουσα τὰ διῃρημένα, καὶ προσοικειοῦσα μὲν τῷ Θεῷ τοὺς μακρὰν, κτίζουσα δὲ τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον διὰ τῆς αὐτοῦ σαρκός; δέδοται γὰρ εἰς λύτρωσιν τῶν ἐν ἁμαρτίαις, καὶ δι' αὐτῆς τὰ πάντα κατεκτήσατο τῷ Θεῷ καὶ πατρί. καὶ πρὸς τούτοις ἔτι καὶ ὁ πάλαι κατήργηται νόμος, ὡς ὑπὲρ αὐτὸν οὔσης τῆς πίστεως, δῆλον δὲ ὅτι τῆς ἐν Χριστῷ. καὶ εἰ τοῦτό ἐστιν ἀληθὲς, πῶς ὑπὲρ νόμον ἡ πίστις, εἰ μὴ ὡς Θεῷ πεπιστεύκαμεν τῷ Χριστῷ;

Ἐκ τῆς πρὸς Ἑβραίους.

ΔΙΟ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει· Εβρ. 10. 5.
θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ * ἐζήτησας. τότε εἶπον. ἰδοὺ ἥκω· ἠθέλησας.
ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ· τοῦ ποιῆσαι ὁ Θεὸς τὸ θέλημά σου.) γέγονε σωτήριον τῷ κόσμῳ τὸ τοῦ Χριστοῦ πάθος. πλὴν ἀναγκαῖον ἰδεῖν τίς ὁ εἰς τὸν κόσμον εἰσερχόμενος· ἦν γὰρ ἔξω τοῦ κόσμου πάντη τε καὶ πάντως. ἐπεὶ πῶς εἰσβέβηκεν εἰς αὐτὸν * ἔξω κόσμου; τοι- * ὁ ἔξω.
γαροῦν, κατὰ φύσιν ὑπάρχων ὑπὲρ πάντα τὸν κόσμον, ὡς Θεὸς μονογενὴς, εἰσβέβηκεν εἰς αὐτὸν μέρος αὐτοῦ γεγονὼς, τουτέστιν ἄνθρωπος. οὕτω τε τὴν ὑπὲρ ἡμῶν προσκομίσας θυσίαν, καὶ ἑαυτὸν ἀναθεὶς, σέσωκε τὴν ὑπ' οὐρανόν.

Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος Εβρ. 13. 12.
τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθεν.) αἷμα ἀνθρώπου κοινοῦ τίνα τρόπον ἁγίους ἡμᾶς ἀποφήνῃ; ἀλλὰ μὴν ἡγίασε τὸ αἷμα Χριστοῦ· θεῖον οὖν ἄρα καὶ οὐχ ἁπλῶς ἀνθρώπινον· Θεὸς γὰρ ἦν ἐν σαρκὶ, τῷ ἰδίῳ αἵματι καθαρίζων ἡμᾶς.

Ἐκ τῆς πρὸς Τιμόθεον.

ΕΙς γὰρ Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων 1. Θεμ. 2. 5.
ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἀντίλυτρον ἑαυτὸν ὑπὲρ πάντων.) σωτήριος ὁμολογουμένως ὁ τοῦ Χριστοῦ θάνατος τῷ κόσμῳ παντί. πλὴν εἰ μή ἐστι Θεὸς, πῶς ἂν ἀρκέσειεν εἰς τὸ γενέσθαι πάντων ἀντίλυτρον αὐτός τε καὶ μόνος; ἀλλὰ ἤρκεσε μόνος ὑπὲρ πάντων ἀποθανὼν, ὅτι καὶ ὑπὲρ πάντας ἐστί. Θεὸς οὖν ἄρα ἐστὶ τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς ἀποστήσας τοῦ κόσμου τὸν θάνατον.

ΕΚ ΤΩΝ ΚΑΘΟΛΙΚΩΝ.

Ἐκ τῆς Πέτρου ἐπιστολῆς.

Ὅτι ὁ τοῦ Χριστοῦ θάνατος τῷ κόσμῳ σωτήριος.

ΟΤΙ ὁ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἀπέθανε, 1. Πετρ. 3. 18.
δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι. ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν ἀπειθήσασι ποτέ.) πολλοὶ τῶν ἁγίων ἀνῄρηνται προφητῶν· ἀλλ' οὐδεὶς ἐκείνων ἀποθανεῖν ὑπὲρ ἁμαρτιῶν εἴρηται, οὔτε μὴν προσαγαγεῖν ἡμᾶς τῷ Θεῷ διὰ τοῦ ἰδίου θανάτου· ἀλλ'

ἀλλ' οὐδὲ ἐκήρυξέ τις τοῖς ἐν φυλακῇ πνεύμασι. πέπραχε δὲ τοῦτο Χριστός, ὃς δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ λελυτρώμεθα, καὶ τὸ αὐτοῦ πάθος ἰδίᾳ τῷ κόσμῳ σωτήριον. ἀπέθανε τοίνυν ὑπὲρ ἡμῶν, οὐχ ὡς ἄνθρωπος εἷς ὑπάρχων τῶν καθ' ἡμᾶς, ἀλλ' ὡς Θεὸς ἐν σαρκί, τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα τὸ ἴδιον σῶμα διδούς.

1. Πετρ. 4. 1. Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί.) ὡς γὰρ ὑπάρχοντος Θεοῦ τοῦ Χριστοῦ, σοφῶς καὶ ἐμφρόνως ὁ μαθητὴς σαρκὶ πεπονθέναι φησὶν αὐτόν, ὑπεξάγων τοῦ παθεῖν τὸ ἀπόῤῥητον φύσιν, ἧς ἀλλότριον τὸ παθεῖν. ἰδίᾳ τοίνυν πέπονθε σαρκί, καί τοι τοῦ παθεῖν ἀμοιρεῖν εἰθισμένος ὁ ἐκ Θεοῦ λόγος. Θεὸς οὖν ἄρα Χριστός, θεϊκῶς μὲν ἀπαθής, παθητὸς δὲ κατὰ τὴν σάρκα.

Ὅτι ὁ τοῦ Χριστοῦ θάνατος τῷ κόσμῳ σωτήριος.

Ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου.

Ἰωάν. 12. 16. ΤΑΥΤΑ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον. ἀλλ' ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα. καὶ πάλιν· ὁ δὲ Ἰησοῦς ἀποκρίνεται αὐτοῖς λέγων· ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, καρπὸν πλείονα φέρει.) ἔστι δὲ οὐκ * ἀμφίλογον, ὅτι σέσωσται πᾶς ὁ κόσμος, ἀποθανόντος ὑπὲρ αὐτοῦ τοῦ Ἐμμανουήλ. πλὴν ἐκεῖνο λέγομεν. πῶς ἀποθανὼν ἐδοξάσθη; καί τοι μᾶλλον μῶμον ἀσθενείας ἔχει τὸ χρῆμα· ὅθεν καὶ αἰσχύνης καταφρονῆσαι λέγεται, γεγονὼς ὑπήκοος μέχρι θανάτου. ἀλλ' ἴσως ἐρεῖς δεδοξάσθαι διὰ τὴν ἀνάστασιν αὐτοῦ. ὀρθῶς ἔχει, καὶ ἀληθὴς ὁ λόγος. ἆρ' οὖν ἀνεβίω θεϊκῶς μᾶλλον, ἢ ἀνθρωπίνως; ἀλλ' οἶμαι θεϊκῶς. ὅταν οὖν αὐτὸς ὁ ἐκ Θεοῦ λόγος σαρκὶ λέγηται παθεῖν, μὴ αἰσχυνώμεθα τὸ πάθος· δόξαν γὰρ ἔχει τὸ τέλος, καὶ τοῦτο θεοπρεπῆ.

ἀμφίβολον.

Ἑβρ. 12. 2.

Φιλιπ. 2. 8.

Ὅτι εἷς υἱὸς ὁ τοῦ Θεοῦ καὶ κύριος Ἰησοῦς. Χριστός.

Ἐκ τῆς πρὸς Ῥωμαίους.

Ῥωμ. 7. 25. καὶ 8. 1. Α'Ρ' οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας. οὐδὲν ἄρα κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ. ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.) μάχονται μὲν γὰρ ὁμολογουμένως ἀλλήλοις ἡ σὰρξ καὶ τὸ πνεῦμα, τουτέστι τὸ φρόνημα τὸ σαρκικὸν καὶ τῶν ἐμφύτων ἡμῖν ἡδονῶν τὸ κίνημα, καὶ τῆς κατὰ τὸ πνεῦμα ζωῆς ἡ δυνάμις. κἂν ὁ θεῖος ἡμᾶς ἀποφήνῃ νόμος εἴς γε τὸ δεῖν ἑλέσθαι τὸ ἀγαθὸν, ἀλλ' ἡ τῆς σαρκὸς ἐπιθυμία καταβιάζεται πρὸς τὸ ἐναντίον. λέλυται δὲ νῦν ἐν Χριστῷ τὸ ἀντισατὸν. καὶ ἥττονται μὲν τῆς ἁμαρτίας ὁ νόμος, κεκράτηκε δὲ ὁ τοῦ πνεύματος. διὰ ποίαν αἰτίαν; πέπομφε γὰρ ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, ἵνα κατακρίνῃ τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. εἶτα, πῶς οὐ χρειωδεστάτη λίαν ἡ τοῦ λόγου σάρκωσις; κατακέκριται γὰρ ὅπου καὶ ἐν τῇ σαρκὶ ἡμῶν ἡ ἁμαρτία. εἰ δὲ ὁ γέγονε σὰρξ ὁ λόγος, ἀπομεμβύηκεν ἀδίορθωτα τὰ καθ' ἡμᾶς, καὶ διαλέλυται τῇ σαρκὶ νόμῳ ἁμαρτίας, ἑδενὸς ἐν ἡμῖν αὐτὴν καταργήσαντος. ἐκεῖ μὲν ἀναγκαίαν εἶναί φαμεν τὴν καθ' ὑπόστασιν ἕνωσιν τοῦ λόγου πρὸς τὴν σάρκα, καὶ οὐχὶ δὴ μόνην τὴν ἐν προσώποις, καὶ κατὰ θέλησιν ἤτοι συναφείαν ἁπλῆν καθά φασί τινες.

Τί οὖν ἐρεμνὸν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντας παρέδωκεν αὐτόν· πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;) εἰ τὸν ἴδιον υἱόν, δῆλον δὲ ὅτι τὸν ἐκ τῆς οὐσίας αὐτοῦ, δέδωκεν ὑπὲρ ἡμῶν ὁ Θεὸς καὶ πατήρ· πέπονθε δὲ κατὰ σάρκα, καὶ οὐ φύσει θεότητος· ἴδιον ἄρα τοῦ λόγου τὸ πεπονθὸς σῶμα, ἵνα καὶ αὐτὸς νοῆται παθὼν οἰκονομικῶς, ὁ παθεῖν οὐκ εἰδὼς. τὸ τοίνυν ἀπομερίζειν εἰς δύο τὸν ἕνα, δυσσεβές. οὐκ ἔτι γὰρ ἴδιον υἱὸν δείσκεται δοὺς ὑπὲρ ἡμῶν ὁ πατήρ, εἴπερ ἐστὶν ἄνθρωπος διηρημένως, καὶ οὐχὶ δὴ μᾶλλον ὡς ἐν προσλήψει σαρκὸς ὁ ἐκ Θεοῦ λόγος.

Ῥωμ. 8. 31.

Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; Χριστὸς Ἰησοῦς ὁ ἀποθανὼν, μᾶλλον δὲ ἐγερθείς, ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν.) εἰ δικαιοῖ τῇ πίστει Χριστὸς, Θεὸς δέ ἐστιν ὁ δικαιῶν. Θεὸς ἄρα ἀληθὴς ὁ Χριστός. καίπερ ἐὼν ἐν δεξιᾷ τοῦ Θεοῦ, καίτοι τεθνεὼς καὶ ἐγηγερμένος, συγκάθηται δὲ τῷ πατρὶ· ἴδιον ἄρα τοῦ λόγου τὸ σῶμά ἐστι· σωεδρεύει γὰρ οὕτω τῷ πατρὶ μὴ τῆς ἀναληφθείσης σαρκὸς, ὡς υἱὸς κατὰ φύσιν, καὶ εἰ γέγονε σὰρξ ὁ λόγος.

Ῥωμ. 10. 6. Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι Χριστὸν καταγαγεῖν. ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ἀλλὰ τί λέγει; ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· τουτέστι τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν. ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.) εἰ κατάγε τοίτοι δοκῶν, ἄνθρωπος θεοφόρος νοεῖται Χριστὸς, καὶ μόνην ἔχων τὴν ἐν προσώποις ἕνωσιν πρὸς τὸν ἐκ Θεοῦ λόγον, τίνος ἕνεκα πιστεύοντες εἰς αὐτὸν ὡς εἰς κύριον, ὁμολογοῦντες δὲ καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ, δικαιούμεθα τῇ πίστει τῇ εἰς αὐτόν; πράττεται δὲ ἡ πίστις

Δευτ. 30. 14.

ὡς εἰς Θεὸν δηλονότι. ἀναγκαία τοιγαροῦν ἡ καθ' ὑπόστασιν ἕνωσις τοῦ Θεοῦ λόγου πρὸς τὰ ἀνθρώπινα. ἕνα γὰρ οὕτω Χριστὸν ὡς κύριον κατὰ φύσιν ὁμολογήσομεν, καὶ τῆς αὐτοῦ σαρκὸς τὴν ἀνάστασιν ἐπιγινώσκοντες, ὡς εἰς Θεὸν πιστεύοντες, δικαιούμεθα.

Ρωμ. 14. 7. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει. ἐάν τε οὖν ζῶμεν, τῷ κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ κυρίῳ ἀποθνήσκομεν. ἐάν τε ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Θεοῦ ἐσμέν. εἰς τοῦτο γὰρ Χριστὸς ἀπέθανε καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.) προσπεφώνικέ που τοῖς ἐξ ἐθνῶν ὁ μακάριος Παῦλος· νυνὶ δὲ γνόντες Γαλ. 4. 9. Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ πῶς ἐπιστρέφετε ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα τοῦ κόσμου, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε; λελυτρώμεθα τοίνυν διὰ τῆς πίστεως τῆς εἰς Χριστὸν ἐκ τῆς τῶν στοιχείων δουλείας, καὶ ἠνέχθημεν εἰς τὸ δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ. εἰ δὲ ἀπέθανεν ὁ Χριστὸς, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, καὶ αὐτῷ ζῶμεν ὡς Θεῷ ζῶντι καὶ ἀληθινῷ· πῶς οὐκ ἀναγκαία τῷ λόγῳ ἡ πρὸς σάρκα γέγονεν ἕνωσις ἀληθής; ἐν αὐτῇ γὰρ ἀποθανὼν, κεκυρίευκε καὶ ζώντων καὶ νεκρῶν.

Ἐκ τῆς πρὸς Κορινθίους πρώτης.

ἀ Κορ. 10. 4. ΕΠΙΝΟΝ γὰρ, φησὶν, ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.) τὸ Χριστὸς ὄνομα τέθειται τῷ Εμμανουὴλ, ὅτε γεγένηται διὰ τῆς ἁγίας παρθένου, πῶς οὖν αὐτὸς ἦν ἡ πέτρα ἡ ποτίζουσα τὸν Ἰσραήλ; ἀλλ' ἔστι δῆλον, ὅτι Χριστὸν καὶ υἱὸν οἶδεν ἕνα τὸ γράμμα τὸ ἱερὸν. γεγονὼς γὰρ ὁ λόγος σὰρξ, πάλιν αὐτὸς ἐστιν ἡ πνευματικὴ πέτρα, τῆς οἰκείας φύσεως τὸ πρεσβύτατον οὐκ ἀποβαλὼν διὰ τὸ νέον τῆς οἰκονομίας.

Ἐκ τῆς πρὸς Κορινθίους δευτέρας.

β'. Κορ. 5. 16. ΩΣΤΕ ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα. εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν.) τί δὴ ἄρα φησὶν ὁ Παῦλος; ἆρα Χριστὸν ἀρνεῖται μετὰ τὴν ἀνάστασιν; οὐκ οἶδεν αὐτὸν ἐγηγερμένον ἐν σαρκὶ, καὶ ἀναληφθέντα μετ' αὐτῆς εἰς τὸν οὐρανόν; καὶ τὶς ὁ φάναι τοῦτο τολμῶν; οὕτω γὰρ οἶδε καὶ ἀναληφθέντα καὶ ἥξοντα κατὰ καιρούς, ὃν τρόπον ἀναβέβηκεν εἰς τὸν οὐρανόν. πῶς οὖν οὐκ εἰδέναι φησὶ κατὰ σάρκα υἱόν; ὅτι μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, οὐκ ἐκ τῶν τῆς σαρκὸς ἔτι μέτρων, ἀλλ' ὡς ἐκ θείας ὑπεροχῆς ἄμεινον αὐτὸν εἰδέναι καὶ ὁμολογεῖν. οὔπω γὰρ πληρωθείσης τῆς οἰκονομίας, ἐκηρύττετο κατὰ σάρκα, ἵνα πιστεύηται γεγονὼς ἄνθρωπος ὁ μονογενής. ἐπεὶ δὲ τετέλεσται τὸ μυστήριον, ἀφ' ὧν ἐστι Θεὸς ἄμεινον αὐτὸν ὁμολογεῖν, ἢ ἀπὸ γε τοῦ κεκενῶσθαι διὰ τὴν σάρκα. εἷς οὖν Χριστὸς καὶ υἱὸς καὶ κύριος.

β'. Κορ. 8. 9. Γινώσκετε γὰρ τὴν χάριν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ὑμᾶς ἐπτώχευσε πλούσιος ὢν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε.) εἰ μόνον ἄνθρωπος ὁ Χριστὸς, καὶ οὐ καθ' ἕνωσιν ἀληθῆ τὴν πρὸς τὸν Θεὸν λόγον πλούσιος, ὡς Θεὸς, πῶς ἐπτώχευσε; τίς γὰρ ὅλως ὁ τῆς ἀνθρωπότητος πλοῦτος; εἴρηται γὰρ ἀνθρώπῳ παντί· τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; ἀλλ' ἐπτώχευσε, πλούσιος ὢν ὡς Θεός. ἐπτώχευσε γὰρ, τὸ τῆς ἀνθρωπότητος μικροπρεπὲς οἰκειωσάμενος οἰκονομικῶς, ὁ πλούσιος ἀληθῶς ἐκ Θεοῦ πατρὸς λόγος. εἷς ἄρα Χριστὸς καὶ υἱός· καὶ πλούσιος μὲν, ὡς Θεός· πτωχὸς δὲ, ὅτι γέγονεν ἄνθρωπος, ἵνα ἡμεῖς γενώμεθα πλούσιοι δι' αὐτόν. ἀ. Κορ. 4. 7.

Ἐκ τῆς πρὸς Γαλάτας.

ΠΑΥΛΟΣ ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.) ἆρ' οὖν οὐχὶ Θεὸν ἐνηνθρωπηκότα, καὶ ἕνα τὸν ἐξ ἀμφοῖν ἀποφαίνει διὰ τούτων ἡμῖν υἱὸν καὶ κύριον ὁ μυσταγωγός; ἔφη μὲν γὰρ ἀπεστάλθαι, οὔτε ἀπ' ἀνθρώπων, οὔτε δι' ἀνθρώπου· προστέθεικε δὲ, ὅτι ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ. καίτοι πῶς οὐκ οἶδεν ἄνθρωπον ὄντα Ἰησοῦν Χριστὸν, ὁ οὕτω τοῖς ἀνὰ πᾶσαν τὴν * οἰκουμένην κηρύξας αὐτόν; ἀλλ' οἶδεν ὄντα οὐκ ἄνθρωπον ἁπλῶς, ἐνηνθρωπηκότα δὲ μᾶλλον τὸν ἐκ Θεοῦ λόγον· καὶ οὐ Θεὸν ἐν ἀνθρώπῳ νοούμενον, ἀλλ' ὡς αὐτόχρημα γενόμενον ἄνθρωπον μετὰ τοῦ εἶναι Θεόν· ὅταν οὖν λέγῃ παρὰ ἀνθρώπου μὴ ἀπεστάλθαι, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, πῶς οὐχ ἅπασιν ἐναργὲς, ὅτι καὶ Θεὸν αὐτὸν οἶδεν ἀληθινὸν μετὰ τὸ καὶ ἐν σαρκὶ γενέσθαι καθ' ἡμᾶς; σημαίνει τοίνυν αὐτὸν οὐκ ἀπὸ γε τῶν τῆς κενώσεως μέτρων, ἀλλὰ ἐκ τῆς θείας αὐτοῦ καὶ κατὰ πάντων ὑπεροχῆς. Γαλ. 1. 1. * ὑπ' οὐρανόν.

Ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου δεδουλωμένοι ἦμεν. ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.) τίνα πέπομφεν ὁ Θεὸς καὶ πατὴρ, ὃς γέγονεν ἐκ γυναικὸς; γέγονε δὲ καὶ ὑπὸ νόμον; ἆρα οὐχὶ φάναι πρέπει, καὶ περινοεῖν ἄξιον, ὅτι πέπομφεν ἐκεῖνον, ὃς οὐκ ἂν γέγονεν ἐκ γυναικὸς, οὐδ' ἂν ἔπραξεν ὑπὸ νόμον, εἰ μὴ μεμένηκεν ὅπερ ἦν, ἔξω δηλονότι σαρκὸς καὶ αἵματος; ἀλλ' ἔστι σαφὴς ὁ λόγος· ὁ γὰρ ἐκ Θεοῦ πατρὸς λόγος γέγονεν ἐκ γυναικὸς κατὰ σάρκα· ὁ τοῦ νόμου κύριος ὡς Θεὸς, γέγονεν ὑπὸ νόμον, ἵνα γένηται καὶ ἀδελφὸς τοῖς ὑπὸ νόμον· οὕτω γὰρ ἀπελάβομεν ἡμεῖς τὴν υἱοθεσίαν. ὥστε εἰ μὴ γέγονεν ὑπὸ νόμον καὶ ἐκ γυναικὸς, οὐδ' ἂν ἦμεν ἀδελφοὶ τῷ κατὰ φύσιν κυρίῳ * τῷ Θεῷ. ἐπειδὴ δὲ γέγονε δι' αὐτοῦ τὸ χρῆμα, πεπλουτήκαμεν. ἀπόδειξιν δὲ ποιεῖται σαφῆ τοῦ πράγματος ὁ θεσπέσιος Παῦλος, προσενεγκὼν εὐθύς· ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, Γαλ. 4. 3. * καὶ Θεῷ.

ὑμῶν, κράζον, ἀββᾶ, ὁ πατήρ. πῶς οὖν πνεῦμα τοῦ ἐκ γυναικὸς καὶ ὑπὸ νόμον, τὸν ἅγιόν ἐστι πνεῦμα, δι' οὗ καὶ κράζομεν, ἀββᾶ, ὁ πατήρ, εἰ μὴ Θεὸς ὁ Χριστὸς, εἷς ὢν, καὶ υἱός;

Ἐκ τῆς πρὸς Ἐφεσίους.

ΕἷΣ κύριος, μία πίστις, ἓν βάπτισμα· εἷς Θεὸς καὶ πατὴρ πάντων, καὶ διὰ πάντων καὶ ἐν πᾶσιν· ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις αὕτη κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. διὸ λέγει· ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις. τὸ δὲ ἀνέβη, τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη εἰς τὰ κατώτατα μέρη τῆς γῆς; ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.) ἄθρει δή μοι πάλιν, ὅσος ἐν τούτῳ λόγος σαφέστατά τε καὶ ἐναργῶς ἀποφαίνει, εἰδὼς καὶ δυνάμενος, ὅτι Χριστὸς κύριος εἷς, καθ' ἕνωσιν οἰκονομικὴν συνενεχθέντος τοῦ λόγου πρὸς τὸ ἀνθρώπινον· εἷς γὰρ ἐξ ἀμφοῖν υἱὸς ἀληθής. ἐπεὶ πῶς εἷς κύριος; πῶς δὲ μία πίστις; ἢ πῶς ἕν ἐστι τὸ βάπτισμα; εἰ γὰρ υἱοὶ δύο, δύο πάντως καὶ κύριοι, διττὴ ἂν ἡ πίστις, καὶ οὐχ ἕν ἐστι τὸ βάπτισμα. εἰς τίνα γὰρ πεπιστεύκαμεν; ἢ εἰς τίνος ὄνομα βεβαπτίσμεθα; ἀλλὰ μὴν εἷς κύριος, μία πίστις, ἓν βάπτισμα· πρόδηλον οὖν ἄρα ὅτι καὶ εἷς υἱὸς, κἂν εἰ νοοῖτο καθ' ἡμᾶς γεγονὼς ὁ μονογενής. τίς δὲ ὅλως ὁ ἀναβὰς εἰς ὕψος; ἢ τίς ὁ κατελθὼν εἰς τὰ κατώτερα μέρη τῆς γῆς; οὐκοῦν αὐτὸς κατέβη μὲν ἀνθρωπίνως· καθῆκε γὰρ ἑαυτὸν εἰς κένωσιν, καὶ τεταπείνωκε, γενόμενος ὑπήκοος μέχρι θανάτου· ἀνέβη δὲ μετὰ σαρκὸς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.

Ἐκ τῆς πρὸς Φιλιππησίους.

Ἐφεσ. 4. 5. ΕΚΑΣΤΟΣ τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἶσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος· ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός.) σύνες ὅπως τὸν ἐν μορφῇ τοῦ Θεοῦ καὶ πατρὸς ὑπάρχοντα Θεὸν λόγον οὐχ ἁρπαγμὸν ἡγήσασθαί φησι τὸ εἶναι ἶσα Θεῷ; ἔχων γὰρ τὸ εἶναι κατὰ φύσιν ἐν ἰσότητι τοῦ πατρὸς, κεκένωκεν ἑαυτὸν, καὶ μορφὴν δούλου λαβὼν, τουτέστιν ἄνθρωπος γεγονὼς, καὶ οἷον ἐν εἴδει τῷ καθ' ἡμᾶς εὑρεθεὶς, τεταπείνωκεν ἑαυτὸν εἰς κένωσιν. ἐπειδὴ δὲ καὶ αὐτὸν ὑπομεμένηκε τὸν σταυρὸν, ὑψῶσθαί φησιν αὐτὸν, δεδόσθαι δὲ αὐτῷ καὶ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ὥστε καὶ πᾶν γόνυ κάμψαι, καὶ πᾶσαν αὐτῷ γλῶτταν ἐξομολογήσασθαι. πῶς οὖν ὁ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Θεοῦ καθῆκε μὲν ἑαυτὸν εἰς κένωσιν, ὑψῶσθαι δὲ μετὰ τοῦτο λέγεται; ἆρ' οὐχὶ προδηλότατον τὸ τοῦ Χριστοῦ μυστήριον: Θεὸς γὰρ ὢν φύσει γέγονεν ἄνθρωπος ἐν ταπεινώσει καὶ σμικροπρεπείᾳ. γεγονὼς δὲ καθ' ἡμᾶς, εἰς τὴν ἑαυτοῦ δόξαν ἀναφοιτᾷ καὶ κατὰ σαρκός. καὶ πρέποι ἂν τὸ ὑψοῦσθαι τῇ οἰκονομίᾳ, καὶ οὐ δὴ μᾶλλον αὐτῇ τῇ φύσει τοῦ λόγου. εἷς οὖν ἄρα Χριστὸς Θεὸς ἐν ἀνθρωπότητι, καὶ μετὰ τῆς ἀνθρωπότητος ὑπάρχων ὁ ἦν.

Ἐκ τῆς πρὸς Κολασσαεῖς.

ΕΥ'χαριστοῦντες, φησὶ, τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτὶ. ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστισεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως. ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε· καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν· ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων· ὅτι ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν. εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς.) ἰδοὺ δὴ πάλιν εἰκόνα μὲν τοῦ Θεοῦ τοῦ ἀοράτου φησὶν αὐτόν· ἐκτίσθαι δι' αὐτοῦ θρόνους καὶ ἀρχὰς καὶ κυριότητας διαβεβαιοῦται σαφῶς· καὶ εἰς αὐτὸν τὰ πάντα, καὶ ἐν αὐτῷ συνεστάναι λέγει· καὶ αὐτὸν εἶναι τὴν κεφαλὴν τοῦ σώματος τῆς ἐκκλησίας, καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν. τίς οὖν ἄρα ἐστὶν ἡ εἰκὼν τοῦ Θεοῦ, ὁ κτίστης τῶν ὅλων, εἰ μὴ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ υἱός; ὃς καὶ γέγονε πρωτότοκος ἐκ νεκρῶν, ὡς ἀποθανὼν τῇ σαρκὶ τῇ ἰδίᾳ, ἂν οὐχὶ δὴ μᾶλλον τῇ τινος ἑτέρου. εἷς οὖν Χριστὸς καὶ υἱὸς, Θεός τε ὁμοῦ καὶ ἄνθρωπος.

Κολασ. 1. 12.

Ἐκ τῆς πρὸς Ἑβραίους.

ΠΟΛΥΜΕΡΩΣ καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν.) φύσει τῶν ὅλων κύριος μετὰ τοῦ Θεοῦ καὶ πατρὸς ὁ μονογενὴς αὐτοῦ λόγος εἶναι πεπίστευται· τίθεται δὲ κληρονόμος, ὅτι γέγονε σάρξ. εἴρηται γὰρ πρὸς αὐτὸν, ὡς σκαθ' ἡμᾶς ἄνθρωπον * γεγονότα δι' ἡμᾶς· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. ἀλλὰ δι' αὐτοῦ τοῦ Θεοῦ τοῦ κληρονόμου διὰ τὸ ἀνθρώπινον καὶ αὐτοὺς πεποιῆσθαι τοὺς αἰῶνάς φησιν,

Ἑβρ. 1. 1.

* πεφηνότα. Ψαλμ. 1. 8.

φησιν, εἰς τὸ τοῦ λόγου πρεσβύτατον τοῦ πράγματος ἔχοντος τὴν ἀναφοράν. εἷς οὖν ἄρα Χριστὸς καὶ υἱὸς, ὁ αὐτός τε ὁμοῦ Θεὸς καὶ ἄνθρωπος.

Ἑβρ. 1. 3. Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς· τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὥσῳ διαφορότερον ὄνομα παρ' αὐτοὺς κεκληρονόμηκε.) τὸ ἀπαύγασμα τῆς δόξης, ὁ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ πατρὸς, τουτέστιν ὁ ἐξ αὐτοῦ κατὰ φύσιν υἱὸς μονογενὴς, τίνα τρόπον καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ποιησάμενος; δῆλον δὲ ὅτι διὰ τοῦ αἵματος αὐτοῦ· κεκάθικεν ἐνδεξιᾷ τοῦ πατρὸς, καὶ κρείττων γενέσθαι λέγεται τῶν ἀγγέλων; καίτοι κατὰ φύσιν καὶ τῇ τῆς θεότητος ὑπεροχῇ τὰ πάντα νικῶν. οὐκοῦν καὶ ἄνθρωπος γεγονὼς, πεπλεονέκτηκεν, ὡς Θεὸς, τὴν ἀόρατον κτίσιν· ὁ αὐτὸς ὢν ἀπαύγασμα καὶ χαρακτὴρ, καὶ ἐργασάμενος τῶν ἁμαρτιῶν ἡμῶν τὸν καθαρισμὸν αἵματι τῷ ἰδίῳ. εἷς οὖν ἄρα Χριστὸς, καὶ υἱὸς, καὶ κύριος.

Ἑβρ. 2. 11. Ὅ, τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες. δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου.) τὰ κατὰ φύσιν ἅγιον οὐχ ἁγιάζεται, ὅτι μή ἐστι προσδεὲς ἁγιασμοῦ· τό γε μὴν ὡς μεθέξει τῇ παρ' ἑτέρου γεγονὸς ἅγιον, ἁγιάζειν ἑτέρους οὐ δύναται. πῶς οὖν ὁ αὐτὸς ἁγιάζει καὶ ἁγιάζεται, ζητητέον. ἁγιάζει τοίνυν, ὡς Θεὸς, ἰδίωμα φύσεως τῆς ἑαυτοῦ τὸ ἁγιάζειν δύνασθαι λαχών· ἁγιάζεται δὲ μεθ' ἡμῶν, κατὰ τὸ ἀθρώπινον. εἷς οὖν ἄρα Χριστὸς καὶ υἱὸς καὶ κύριος· ἁγιάζων μὲν θεϊκῶς, ἁγιαζόμενος δὲ μεθ' ἡμῶν ἀνθρωπίνως.

Ἑβρ. 8. 1. Κεφάλαιον δὲ * τοῖς * λεγομένοις· τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος, καὶ οὐκ ἄνθρωπος·) εἰ πᾶς ἱερεὺς, καθάφησιν ὁ μακάριος Παῦλος, εἰ τὸ προσφέρειν δῶρά τε καὶ θυσίας παραλαμβάνεται, οὐχ ἑαυτοῖς τελοῦσι τὰς λατρείας οἱ καλούμενοι πρὸς ἱερωσύνην, Θεῷ δὲ μᾶλλον, ᾧ τὸ παρὰ πάσης τῆς κτίσεως ὀφείλεται σέβας ὁ δὲ Θεῷ λειτουργῶν, οὐκ ἐν ἴσῳ μέτρῳ κείσεται Θεοῦ, οὔτε μὴν τὴν αὐτῷ καὶ μόνῳ πρέπουσαν φορέσει δόξαν. εἶτα πῶς ἀρχιερεὺς ἡμῶν γεγονὼς ὁ Χριστὸς, ἐν δεξιᾷ κάθηται τοῦ Θεοῦ, καὶ τὸν θρόνον ἔχει τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, καὶ τῶν ἁγίων ἐστὶ λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἄνω καὶ ἀληθινῆς, ἑαυτῷ τε καὶ τῷ πατρὶ προσκομίζων τὰς παρὰ πάντων λατρείας; εἷς ἄρα ἐστὶ Χριστὸς καὶ υἱὸς, καθήμενος μὲν θεϊκῶς ἐν τῷ τῆς ἰδίας θεότητος θρόνῳ, κεχρηματικὼς δὲ ἱερεὺς καὶ λειτουργὸς οἰκονομικῶς διὰ τὸ ἀνθρώπινον.

Ἑβρ. 12. 1. Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν Χριστόν· ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, καὶ ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν.) εἰ κοινὸς ἄνθρωπος ὁ Χριστὸς, καὶ οὐ Θεὸς ἀληθῶς, ἐν σαρκί τε καὶ καθ' ἡμᾶς, ποίαν αὐτῷ προκεῖσθαί φησι τὴν χαράν; ἢ πῶς κεκάθικεν ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ; ἀλλὰ μὴν προὔκειτό τε αὐτῷ χαρά. καὶ γὰρ ἐστιν ἐν ἀκαταλήκτοις θυμηδίαις ἡ ἀνωτάτω φύσις. ὑπέμεινε δὲ σταυρὸν, τὸ σταυρωθῆναι δυνάμενον ἴδιον ποιησάμενος σῶμα· καὶ αὐτὸς ὁ ἐσταυρωμένος κεκάθικεν ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ πατρὸς· εἷς ἄρα κύριος Ἰησοῦς Χριστὸς, σταυρωθεὶς μὲν ἀνθρωπίνως, συνεδρεύων δὲ θεϊκῶς τῷ πατρί.

Ὅτι εἷς υἱὸς καὶ κύριος.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

ΠΑΝΤΑ μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου. Ματθ. 11. 27. καὶ οὐδεὶς γινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τὶς γινώσκει, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι.) οὐδενὸς γινώσκοντος τὸν υἱὸν, εἰ μὴ μόνου τοῦ πατρὸς, πῶς ἀθετοῦσί τινες τὴν τοῦ πατρὸς μαρτυρίαν; ὑπέδειξε γὰρ τὸν ἴδιον υἱὸν ἐν τῷ Ἰορδάνῃ, λέγων· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. Ματθ. 3. 7. Λεκ. 9. 35. ἀλλ' οὐ γυμνὸν ἡμῖν παρέδειξε τὸν ἴδιον λόγον, ἀλλ' ἑνωθέντα σαρκί. καὶ οὐκ εἴρηκεν, ὅτι ἐν τούτῳ ἐστὶν ὁ υἱός μου· ἀλλ' οὗτός ἐστιν ὁ μετὰ σαρκός· εἷς ἄρα καὶ κύριος καὶ υἱός.

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου.

ΗΝ τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα Ἰωάν. 1. 9. ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.) θεολογήσας ἀρκούντως, καὶ διὰ τοῦ φωτὸς τοῦ ἀληθινοῦ πεφωτίσθαι πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον εἰπὼν, καὶ μὴν καὶ δι' αὐτοῦ αὐτὸν πεποιῆσθαι τὸν κόσμον, εἰς τὰ ἴδιάφησιν αὐτὸν ἐλθεῖν. ἦλθε δὲ γεγονὼς ἄνθρωπος ὁ μονογενὴς ὡς πρὸς ἰδίους, καὶ πρό γε τῶν ἄλλων τοὺς ἐξ αἵματος Ἰσραήλ. ὅτε τοίνυν αὐτός ἐστι τὸ φῶς τὸ ἀληθινὸν, ὁ δι' οὗ τὰ πάντα· καὶ αὐτός ἐστιν ὁ μετὰ σαρκὸς ἐλθὼν εἰς τὰ ἴδια· πῶς οὐκ ἀναγκαῖον ἕνα Χριστὸν καὶ υἱὸν ὁμολογεῖν;

Καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν Ἑβρ. 2. ἡμῖν· καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός. πλήρης χάριτος καὶ ἀληθείας.) εἰ γέγονε σὰρξ ὁ λόγος, τουτέστι παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς, καὶ σπέρματος Ἀβραὰμ ἐπελάβετο, ἵνα κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῇ· πῶς ἂν ἐνδοιάσειέ τις ὅτι μεμένηκε λόγος, καὶ σὰρξ γεγονώς; ἄτρεπτος γὰρ ἡ τοῦ λόγου φύσις καὶ κεχρηματικὸν ἡμῶν ἀδελφὸς, πῶς μονογενοῦς ἔχει δόξαν, οὐκοῦν κἂν εἰ γέγονε σὰρξ, οὐδὲν ἧττόν ἐστι Θεός·

ὁ μονογ̣ὴς μὲν ὡς Θεός, πρωτότοκ@ δὲ διὰ τὸν ἄνθρώπινον σταυρόν,

Ἰωάν. 1. 15. Ἰωάννης μαρτυρεῖ περὶ αὐτ̃, κ̀ κέκραγε λέγων· ὗτος ἰ̃ν, ὃν εἶπον· ὁ ὀπίσω μ̀ ἐρχόμενος, ἔμπροσθέν μ̀ γέγονεν, ὅτι πρῶτός μ̀ ἰ̃ν· ὅτι ἐκ τ̃ πληρώματος αὐτ̃ ἡμεῖς πάντες ἐλάβομεν.) Ἰωάννης φησὶ περὶ τ̃ Χριστ̃· ὁ ὀπίσω μ̀ ἐρχόμεν@, τουτέστιν ὁ μετ' ἐμὲ φανερούμενος· ὃν αὐτὸς ἐκήρυξε δηλονότι· ἔμπροσθέν μ̀ γέγονε, τουτέστι πρωτεῖων κατὰ τιμὴ δόξαν. κ̀ γὰρ ἰ̃ν, κ̀ ἐν ὑπάρξει πρῶτος ὡς Θεός. πῶς οὖν μετ' αὐτὸν πρὸ αὐτ̃ κατὰ χρόνον; ὅτι Θεὸς ἰ̃ν ὁ λόγος, κ̀ γέγονε σάρξ· ἔχων μὲν τὸ πρωτεῖειν, καθὸ λόγος ἐστί· διαφερόντως δὲ κατὰ τιμὴ σάρκα.

Ἡσαΐ. 6. 3. εἰ δὲ ⊂ ἐκ τ̃ πληρώματος αὐτ̃ πάντες μετεσχήκασιν οἱ ἅγιοι· πλ̃ρες δὲ μόνον ἐστὶ τὸ θεῖον, καθάφησι διὰ τ̃ Ἡσαΐου φων̃ς· πρέποι ἂν αὐτῷ τε κ̀ μόνῳ τὸ, ὡς ἐξ ἰδίου πληρώματος, ἑαυτ̃ μέτοχος * ἀποπληρ̃ν ἑτέρους. πέπραχε δὲ τ̃το Χριστός. εἷς ἄρα ἐστὶν υἱὸς κ̀ κύριος ὁ ἐκ Θε̃ λόγος ἡνωμέν@ σαρξ, αὐτὸς Θεός τε ὁμ̃ κ̀ ἄνθρωπος.

* ἀποτελεῖν.

Ἰωάν. 1. 30. ἔχοι δ' ἂν τιμὴ διάνοιαν τὸ ἐφεξ̃ς ῥηθέν· ὗτός ἐστι, περὶ ὃ ἐγὼ εἶπον· ὀπίσω μ̀ ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μ̀ γέγονεν, ὅτι πρῶτός μ̀ ἰ̃ν.) ἰδὼ γὰρ ἄνδρα λέγων αὐτὸν, κ̀ ἐρχόμενον ὀπίσω, πρῶτον εἶναί φησιν ὡς Θεόν· ἐν ἀρχῇ γὰρ ἰ̃ν ὁ λόγος, κ̀ Θεὸς ἰ̃ν ὁ λόγος,

Καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων· ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανο̃, κ̀ μεῖνον ἐπ' αὐτόν· κἀγὼ δὲ οὐκ ἤδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον, κ̀ μεῖνον ἐπ' αὐτόν, ὗτός ἐστιν ὁ βαπτίζων ἐν πν̀ματι τ̃ ἁγίῳ. κἀγὼ ἑώρακα, κ̀ μεμαρτύρηκα ὅτι ὗτός ἐστιν ὁ υἱὸς τ̃ Θε̃.) ὅρα σαφ̃ς τε κ̀ ἐναργ̃ς ἐν τούτοις τὸν κύριον ἡμ̃ν Ἰησ̃ν τὸν Χριστὸν δεχόμενον μὲν ἀνθρωπίνως τὸ πνεῦμα διὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν· πλούσιος γὰρ ὢν, ἐπτώχευσε δι' ἡμᾶς· βαπτίζοντα δὲ θεϊκ̃ς ἐν τ̃ ἁγίῳ πν̀ματι. τίνι γὰρ ἂν πρέποι τὸ χορηγεῖν δύνασθαι τιμὴ τ̃ πν̀ματος χάριν, πλὴν ὅτι τ̃ φύσει τε ἀληθ̃ς ὄντι Θε̃; εἷς ἄρα Χριστὸς κ̀ υἱός· κ̀ μαρτυρήσει λέγων ὁ εὐαγγελιστής.

Β. Κορ. 8. 9.

Ἰωάν. 1. 34. Κἀγὼ ἑώρακα, κ̀ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τ̃ Θεο̃. οὕτ@ δὲ ποῖ@; ὃν πεθέατται μὲν ἀνθρωπίνως τὸ πνεῦμα δεχόμενον, οἶδε δὲ βαπτίζοντα θεϊκ̃ς ἐν τ̃ ἁγίῳ πν̀ματι.

Ἰωάν. 1. 33. Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, κ̀ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε; κ̀ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τ̃ οὐρανο̃ καταβὰς ὁ υἱὸς τ̃ ἀνθρώπου.) πῶς καταβέβηκεν ἐκ τ̃ οὐρανο̃ ὁ υἱὸς τ̃ ἀνθρώπου; ἦ τοι τ̃ς ἁγίας σαρκὸς ἡνωθείσης ἐκ γυναικός. ἀλλ ἴδιον ἰ̃ν τὸ σῶμα τ̃ ἐξ οὐρανο̃ καταφοιτήσαντος λόγου, ὃς κ̀ γέγονεν υἱὸς ἀνθρώπου; εἷς ἄρα Χριστὸς κ̀ υἱός. ὅπως ἴδια μὲν τ̃ς σαρκὸς τὰ τ̃ λόγου γέγονεν, ἴδια δὲ τ̃ λόγου τὰ τ̃ς σαρκὸς, δίχα μόνης ἁμαρτίας.

Καὶ καθὼς Μωσ̃ς ὕψωσε τὸν ὄφιν ἐν τ̃ ἐρήμῳ, ὅπως ὑψωθ̃ναι δεῖ τὸν υἱὸν τ̃ ἀνθρώπου· ἵνα πᾶς ὁ πιστεύων * ἐπ' αὐτὸν ἔχῃ ζωὴν αἰώνιον·) ἔδακνον τὸν ἐξ Ἰσραὴλ κατὰ τιμὴν ἔρημον οἱ ὄφεις· εἶτα προσέταξεν ὁ τ̃ ὅλων Θεὸς τ̃ Μωσ̃ ὄφιν ἀναθεῖναι χαλκ̃ν. Καὶ ἔσαι, φησὶν, ἐὰν δάκῃ ὁ ὄφις ἄνθρωπον, κ̀ βλέψῃ εἰς τὸν ὄφιν, κ̀ ζήσεται. τί τοίνυν ἐστὶ τὸ αἴνιγμα; δι' τί δὲ ὁ σ̀νορ̃ν * τὸν ὄφιν σ̀ζεται; ζωὴ τοιγαρ̃ν κατὰ φύσιν ὑπάρχων ὁ μονογ̣ὴς τ̃ Θε̃ λόγ@ (γέγονεν ἐν ὁμοιώματι τ̃ καθ' ἡμᾶς) τουτέστιν ἀνθρωπ@· πονηρὸν δὲ ὁ ἄνθρωπ@, κ̀ οἷον ὁ ὄφις· ἀλλ' εἰ κ̀ γέγονε καθ' ἡμᾶς, ἀλλ' οὐκ εἰς αὐτὸν ἴδοι, νικᾷ τὸν θάνατον. τί δέ ἐστι τὸ εἰς αὐτὸν ἰδεῖν, ἢ ὅτι πάντως τὸ ἀκριβ̃ς καταγνο̃σαι τὸ ἐπ' αὐτ̃ μυστήριον; τότε γὰρ αὐτὴν ὄψεται ἐν ὁμοιώματι μὴ τ̃ πονηρ̃, τουτέστιν ἀνθρώπων· ζωοποιὸν δὲ ὡς Θεὸν, κ̀ ἀφανίζοντα τὰ τ̃ * νοητ̃ ὄφεων δήγματα. εἷς ἂρ' ἄρα κύριος, κ̀ υἱὸς ὁ αὐτὸς, κ̀ ζωοποιὸς ὡς Θεὸς, κ̀ ἐν εἴδει τ̃ πονηρ̃ δι' οἰκονομίαν.

* πονηρ̃.

Οἱ παῖδες ἔχοντες τὰ βαΐα τ̃ φοινίκων, ἐξ̃λθον εἰς ἀπάντησιν αὐτοῦ, φησὶ, κ̀ * ἔκραζον· ὡσαννὰ, ἐλογημέν@ ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὁ βασιλεὺς τ̃ Ἰσραήλ.) πῶς οὖν φησιν ἐν ὀνόματι κυρίου * παραγ̣υέσθαι τὸ γράμμα τὸ ἱερόν; εἰ μὴ ἦν ὡς ἄνθρωπον ἰδικ̃ς τὸν ἐκ τ̃ ἁγίας παρθένου, μὴ σ̀ωθέντος αὐτ̃ καθ' ὑπόστασιν τ̃ Θε̃ λόγου, κοινὸν ἔσαι τὸ τ̃ς κυριότητος ὄνομα αὐτ̃ καθὰ κ̀ ἡμ̃ν, κ̀ οὐδὲν ἐπὶ Χριστ̃ τὸ μέγα. εἰ δὲ ὡς κύριος ἀληθ̃ς ἦξειν προαπηγγέλλετο, ὅπερ ἐστὶ κ̀ ἀληθές· ἐλήλυθε γὰρ σὰρξ εἰς τὸν δὲ τὸν κόσμον ὁ μονογ̣ὴς· εἷς ἄρα ἐστὶ φύσει κ̀ ἀληθ̃ς, κύρι@, κ̀ Χριστὸς, κ̀ υἱός.

* παραγ̣υέσθαι.

Καὶ ὑπὲρ αὐτ̃ ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσι κ̀ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ.) ἑαυτὸν ἁγιάζει Χριστός. ἆρα ὡς ἄνθρωπος; ἢ ὅτι μᾶλλον θεός ἐστι κατὰ φύσιν, ἴδιον ἔχων τὸ πν̀μα τὸ ἅγιον; ὅπερ ἐστὶ κ̀ ἀληθές· ὠδυνᾶτο τοιγαροῦν ἀνθρώπων ἑαυτὸν ἁγιάζοντος, ἑαυτὸν ἁγιάζει Χριστός. εἷς ἄρα ἐστὶν υἱὸς κ̀ κύρι@, ἁγιαζόμενος μὲν ἀνθρωπίνως, ἁγιάζων δὲ θεϊκ̃ς τ̃ ἰδίῳ πν̀ματι τὸν ἑαυτ̃ ναόν.

Ἰωάν. 11. 1.

Ἰωάν. 17. 19.

Πολλὰ μὲν ἂν κ̀ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησ̃ς ἐνώπιον τ̃ μαθητ̃ αὐτ̃, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τ̃ βιβλίῳ τούτῳ. ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε ὅτι Ἰησ̃ς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τ̃ Θε̃· κ̀ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τ̃ ὀνόματι αὐτ̃.) ὁ ἐκ τ̃ς ἁγίας παρθένου γεγ̣υημέν@ Ἐμμανουὴλ, διὰ τ̃ς τ̃ * ἀγγελίου φων̃ς Ἰησ̃ς ὀνόμασαι. ὅτε τοίνυν αὐτός ἐστι, κ̀ οὐκ ἄλλος, υἱὸς τ̃ Θε̃, κ̀ ὁ πιστεύων ἔχει ζωὴν αἰώνιον ἐν τ̃ ὀνόματι αὐτ̃. πῶς οὐ μεμήνασιν οἱ διοείζοντες, ⊂ φάσκοντες ἕτερον υἱὸν εἶναι, κ̀ ἕτερον τὸν ἐκ Θε̃ λόγον, κ̀ τὸν ἐκ τ̃ς ἁγίας παρθένου; φαίνεται γὰρ ἐν τούτοις ὁ ἀγγελιστὴς κ̀ μάλα σαφ̃ς ἕνα κ̀ μόνον τὸν ἐξ ἀμφοῖν εἰδὼς κ̀ κηρύττων Ἰησ̃ν Χριστὸν, τουτέστι τὸν ἐκ Θε̃ πατρὸς λόγον, αἵματος κ̀ σαρκὸς κεκοινωνηκότα παραπλησίως ἡμ̃ν, καθὰ γέγραπται.

Ἰωάν. 10. 1.

Δεκ. 3. 11. ἤτοι, ἀγ γένοιτο.

Ἐκ

Ἐκ τῦ κατὰ Λυκᾶν Εὐαγγελίυ.

Λυκ. 1. 6. ΕΓΕΝΕΤΟ δὲ ἐν τῷ εἶναι αὐτὰς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τῦ τεκεῖν αὐτήν. καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτόν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.) ἕνα καὶ μόνον ἔτεκεν υἱὸν τὸν Ἐμμανυὴλ ἡ ἁγία παρθένος. πῶς οὖν φησὶ τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον; οὐ γὰρ γεγόνασιν ἕτεροι
Ἑβρ. 2. 14. μετ' αὐτόν, μεμβήκε δὲ παρθένος. ἐπισημαίνεται τοίτῳ ὡς ἐκ τῆς θεοπνεύστυ γραφῆς ὠνόμασαι γὰρ πρωτότοκος ὁ μονογβνὴς τῦ Θεῦ λόγος· κεκοινώνηκε γὰρ αἵματος καὶ σαρκὸς, καὶ παραπλησίως
Ρ'ωμ. 8. 29. ἡμῖν μετέσχε τῶν αὐτῶν. ὕτω γέγονεν ἐν πολλοῖς ἀδελφοῖς πρωτότοκος. πλεῖω ὡς Θεὸς προσκυνεῖται παρά τε ἡμῶν αὐτῶν καὶ τῶν ἄνω πνευμάτων.

Λυκ. 2. 48. Καὶ εἶπε, φησὶ, πρὸς αὐτὸν ἡ μήτηρ αὐτῦ. τέκνον, τί ἐποίησας ἡμῖν ὕτως; ἰδὲ ὁ πατήρ συ κὰγὼ ὀδυνώμενοι ἐζητῦμέν σε. καὶ εἶπε πρὸς αὐτάς· τί
* ἤδειτε. ὅτι ἐζητεῖτέ με; οὐκ * οἴδατε, ὅτι ἐν τοῖς τῦ πατρός μυ δεῖ εἶναί με;) ἄθρει δὴ ἦν ὅπως ἴδιον ἑαυτῦ πατέρα τὸν ἐν τοῖς οὐρανοῖς ὀνομάζει. ἀλλ' εἴπερ ἦν ἄνθρωπος καταμόνας, καὶ αὐτὸ δὴ τῦτο νοήμυος καθ' ἡμᾶς, πῶς οὐκ ἔδει μᾶλλον εἰπεῖν· οὐκ ἤδητε, ὅτι ἐν τοῖς τῦ πάντων πατρός εἶναί με δεῖ; ἀλλ' ἴδιον αὐτῦ ποεῖται· μόνος γὰρ ἐξ αὐτῦ γεγέννηται κατὰ φύσιν θεϊκῶς. ὁ δὲ αὐτὸς, καὶ ἄνθρωπος γεγονὼς, ἴδιον ἔχει καὶ φύσει πατέρα τὸν Θεόν.

Λυκ. 2. 52. Καὶ ἐπρόκοπτε ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδὲ ἀνὴρ πλήρης λέπρας· καὶ ἰδὼν τὸν Ἰησῦν, πεσὼν ἐπὶ πρόσωπον, ἐδεήθη αὐτῦ, λέγων· κύριε, ἐὰν θέλῃς, δυνάσαί με καθαρίσαι. καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτῦ, λέγων. θέλω, καθαρίσθητι.) θαυμάσεις ἐν τούτοις θεϊκῶς τε ἅμα καὶ σωματικῶς ἐνεργῦντα Χριστόν· θεϊκὸν μὲν ἦν τὸ θέλειν, ἀνθρώπινον δὲ τὸ ἐκτεῖναι τὴν χεῖρα. εἷς ἦν ἐξ ἀμφοῖν υἱός. εἰ γὰρ καὶ γέγονε σὰρξ ὁ λόγος, ἀλλ ὡς Θεὸς ἐνεργεῖ μὴ τῆς ἰδίας σαρκὸς, ἐχύσης αὐτῆς δὲ αὐτὴν δύναμιν.

Λυκ. 20. 41. Εἶπε δὲ πρὸς αὐτάς· πῶς λέγυσι τὸν Χριστὸν εἶναι υἱὸν Δαυίδ; αὐτὸς γὰρ ὁ Δαυὶδ λέγει ἐν βιβλίῳ
Ψαλμ. 109. ψαλμῶν· εἶπεν ὁ κύριος τῷ κυρίῳ μυ· κάθυ ἐκ δεξιῶν μυ, ἕως ἂν θῶ τὰς ἐχθράς συ ὑποπόδιον τῶν ποδῶν συ. Δαυὶδ αὐτὸν κύριον καλεῖ, καὶ πῶς υἱὸς αὐτῦ ἐστιν;) ἀκούεις ὅπως ἐν τούτοις πειρᾶται δεικνύειν αὐτάς ὁ Χριστός, ὅτι κἂν εἰ γέγονεν ἐκ σπέρματος Δαυὶδ ὁ λόγος κατὰ τὴν σάρκα, ἀλλ' ὧν ἐστι καὶ ὕπω κατὰ φύσιν κύριος, ὡς υἱὸς καὶ Θεός. εἰ γὰρ δὴ, φησὶν, υἱὸς τῦ Δαυὶδ, πῶς αὐτὸν ὁ Δαυὶδ κύριον ὀνομάζει; ἀλλ' ὅτε τὴν ἐκ σπέρματος Δαυὶδ γβύνησιν κατὰ σάρκα ἐν τούτοις ἀρνεῖται, ὅτε μὴν ἀποποίμπει τὸ εἶναι κατὰ φύσιν κύριον ἑαυτόν· προσεῖναι δέ φησιν ἀμφότερον, εἰ καὶ ἐξ ἀμφοῖν βάλεται τὸν ἕνα δηλῦσθαι. εἷς ἦν ἄρα Χριστὸς, καὶ υἱὸς ἀληθῶς.

Ὅτι εἰς Χριστὸν ἡ πίστις ὡς εἰς Θεόν.

Ἐκ τῆς πρὸς Ρ'ωμαίυς.

Ρ'ωμ. 1. 5. ΔΙ' ὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν ὑπὲρ τῦ ὀνόματος αὐτῦ. ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ.) κέκλεισται τὰ ἔθνη διὰ τῆς πίστεως· καὶ ὡς ὁ Χριστὸς διὰ τῶν ἁγίων ἀποστόλων ὁ παρ' αὐτοῖς κηρυττόμενος· ἐπράττετο δὲ παρὰ τῶν μυσαγωγυμένων ἡ πίστις οὐχ ὡς εἰς ἄνθρωπον, ἀλλ' ὡς εἰς Θεόν. οὐ γὰρ πω φαμὲν ἐκ πλάνης εἰς πλάνην κεκλῆσθαι τὰ ἔθνη, τὴν εἰς Χριστὸν πίστιν παραδεξάμενα· καταλελοιπότα δὲ μᾶλλον τοὺς ψευδωνύμους Θεούς, ἐπιστρέψαι λοιπὸν ἐπὶ Θεὸν ζῶντα. ὅτε τοίνυν ἀποστολὴν εἰληφέναι φασὶν οἱ μυσαγωγοὶ εἰς ὑπακοὴν πίστεως ὑπὲρ τῦ ὀνόματος τῦ Χριστῦ, πῶς οὐκ ἂν εἴη Θεὸς, ὑπὲρ εἰς αὐτὸν ἡ πίστις, ὡς εἰς Θεόν;

Μάρτυς γάρ μυ ἐστὶν ὁ Θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύματί μυ, ἐν τῷ εὐαγγελίῳ τῦ υἱῦ αὐτῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι πάντοτε ἐπὶ τῆς προσευχῶν μυ.) οἱ Θεῷ λατρεύοντες, οὐχ ὡς Θεῷ παρ' αὐτὸν ἑτέρῳ λατρεύυσι τῷ Χριστῷ. αὐτῦ δέ φησι καὶ τὸ εὐαγγέλιον. κηρύττεται γὰρ αὐτὸς ὡς Θεὸς τῷ κόσμῳ, καί τι Θεῦ κατὰ φύσιν ὄντες τῦ παντὸς, καὶ κατάρχοντος τῶν ὅλων. Θεὸς ἦν ἄρα Χριστὸς, ὁ δι' ὗ καὶ ἐν ᾧ καὶ αὐτὸς ὁ πατὴρ ὡς Θεὸς κατευγγέλλεται, καὶ τῇ παρὰ πάντων τιμᾶται λατρείᾳ.

Ρ'ωμ. 1. 8. Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς Θεὸν διὰ τῦ κυρίυ ἡμῶν Ἰησῦ Χριστῦ, δι' ὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τῦ Θεῦ.) ὡς εἰς Θεὸν πιστεύοντες δικαιούμεθα. εἰ δὲ εἰς Χριστὸν Ἰησῦν ἡ πίστις, καὶ δι' αὐτῦ τὴν προσαγωγὴν ἐσχήκαμεν. σωτῆρι γὰρ τῷ Θεῷ καὶ πατρὶ, συνεγείραντος ὥσπερ ἡμᾶς τῦ Χριστῦ. πῶς ὁ Θεός Ρ'ωμ. 1. ἐστι, καὶ εἰ γέγονεν ἐκ σπέρματος Δαυὶδ τὸ κατὰ σάρκα κατὰ τὰς γραφάς;

Ρ'ωμ. 9. 33. Καθὼς γέγραπται, φησὶν· ἰδὲ τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλυ· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται.) Συμεὼν ὁ δίκαιος ὅτε τὸ θεῖον εἰς ἀγκάλας ἐδέξατο βρέφος, ἔφη πρὸς τὸν Θεόν· Νῦν Λυκ. 2. 29. ἀπολύεις τὸν δῦλόν συ, δέσποτα, κατὰ τὸ ῥῆμά συ ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μυ τὸ σωτήριόν συ, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῦ λαῶν. καὶ τὰ ἑξῆς. προσετίθη δὲ τούτοις· ἰδὲ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. ὁ αὐτὸς ἄρα ἐστὶν ὁ τὸ προσκόμματος λίθος, καὶ ἡ πέτρα τῦ σκανδάλυ. οἱ πρεσπταίοντες μὲν αὐτῷ διὰ τῆς ἀπειθείας, σωτερίβησάν τινες· διέφυγον δὲ τὸ καταισχυνθῆναι οἱ τῷ πρὸς αὐτὸν πίστιν προσηκάμενοι. ἆρ' οὖν ὡς εἰς ἄνθρωπον πεπιστεύκαμεν, ἢ ὡς εἰς Θεόν; ὡς εἰς Θεὸν δηλονότι· Θεὸς οὖν ἄρα

ἄρα Χριστός· ἐπ' αὐτῷ γὰρ ὁ δίκαιος Συμεὼν τὰς ἀρτίως ἡμῖν εἰρημένας ἔφη φωνάς.

Ρωμ. 10. 3. Περὶ τῶν Ἰουδαίων φησίν· ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δύναμιν καὶ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. τέλος γὰρ νόμου Χριστὸς, εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.) εἰ τέλος νόμου Χριστὸς, καὶ αὐτός ἐστιν ἡ δικαιοσύνη, δικαιῶν διὰ πίστεως τῆς εἰς αὐτόν· μόνῳ δὲ ὡς ἴδιον ἀνακείσεται τὸ δικαιοῦν δύνασθαι τῷ Θεῷ· πῶς οὐ Θεὸς ὁ Χριστός;

Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· μὴ εἴπῃς
Δευτερ. 30. ἐν τῇ καρδίᾳ σου· τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι Χριστὸν καταγαγεῖν. ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ἀλλὰ τί λέγει; ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου. τουτέστι τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν· ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ τῶν νεκρῶν, σωθήσῃ. καρδίᾳ μὲν γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.
Ἡσαΐ. 28. 16. λέγει γὰρ ἡ γραφή. πᾶς ὁ πιστεύων εἰς αὐτὸν, οὐ καταισχυνθήσεται.) εἰ σύμπας ἡμῖν ὁ τῆς πίστεως ὅρος, καὶ τῆς ὁμολογίας ἡ δύναμις εἰς τὸ τοῦ Χριστοῦ περιΐσταται πρόσωπον, καὶ ὁμολογοῦντες αὐτοῦ τὸν θάνατον καὶ τὴν ἀνάστασιν, ὡς εἰς Θεὸν πεπιστευκότες δικαιούμεθα, τίς ὁ φάναι Θεὸν οὐκ εἶναι τολμῶν αὐτόν; εἴπερ ἐστὶ κεφάλαιον τῆς ἁπάντων σωτηρίας, θύρα τε καὶ ὁδὸς, τῆς εἰς αὐτὸν πίστεως ἡ ὁμολογία. δι' αὐτοῦ γὰρ καὶ ἐν αὐτῷ καὶ αὐτὸς ὁ πατὴρ ἐπιγινώσκεται πρὸς ἡμῶν.

Ρωμ. 16. 25. Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου. φανερωθέντος δὲ νῦν διά τε γραφῶν προφητικῶν κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ,
* ὑποταγήν. εἰς * ὑπακοὴν πίστεως, εἰς πάντα τὰ ἔθνη γνωρισθέντος. μόνῳ σοφῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.) ἰδοὺ δὴ σαφῶς τὸ εὐαγγέλιον καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ φησιν εἶναι· καὶ κεκρύφθαι μὲν τὸ ἐπ' αὐτῷ μυστήριον, καὶ σεσιγῆσθαι χρόνοις αἰωνίοις, ἀποκαλυφθῆναι δὲ νῦν εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη. ἐστράφη γὰρ εἰς Χριστὸν τὰ ἔθνη τῆς ψευδωνύμου λατρείας ἐξηρημένα, καὶ ὡς Θεὸν αὐτὸν ἐπεγνωκότα τὸν φύσει καὶ ἀληθῶς. καὶ εἰ σαφῶς διὰ Ἰησοῦ Χριστοῦ ἐγνώσθη Θεὸς, πῶς οὐ μέγα τὸ Χριστοῦ μυστήριον; εἰ δὲ νοεῖται καθ' ἡμᾶς ἄνθρωπος ἁπλῶς καὶ οὐχὶ δὲ μᾶλλον Θεὸς ἐνηνθρωπηκὼς, οὐκέτι σοφὸν τὸ μυστήριον.

Ρωμ. 15. 8. v. 8. Λέγω γὰρ Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων· τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν. γέγραπται γάρ. ὅτι ἐπίστευσε
Γεν. 15. 4. Ρωμ. 4. δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· εἴρηται δὲ πρὸς αὐτόν· ὅτι ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ὃ δὴ καὶ σαφὲς ἡμῖν ἐποίει λέγων ὁ Παῦλος· οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ, εἰς τὸ κληρονόμον αὐτὸν εἶναι κόσμου, ἀλλὰ διὰ δικαιοσύνης καὶ πίστεως. καὶ πάλιν· ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ.) οὐκοῦν εἰ ἐκ πίστεως αἱ ἐπαγγελίαι δίδονται τοῖς πατράσι παρὰ Θεοῦ, γέγονε τοίνυν διάκονος ὁ Χριστὸς, τουτέστι μεσίτης, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τὰς τοῖς πατράσι δοθείσας πρὰ Θεοῦ, τουτέστι τὴν διὰ πίστεως δικαίωσιν. γέγονε τοίνυν διάκονος ὁ Χριστὸς, τουτέστι μεσίτης, οὐχ ὡς ἑτέρῳ τὴν πίστιν πραγματευόμενος, ἀλλ' ὡς ἑαυτῷ μᾶλλον καὶ δι' ἑαυτοῦ τῷ πατρί· Θεὸς ἄρα κατὰ φύσιν ἐστί. δεδικαίωται γὰρ ὁ μακάριος Ἀβραὰμ πεπιστευκὸς εἰς Θεόν. οὕτω δὲ καὶ τὰ ἔθνη δικαιωθεῖεν ἂν ἐν αὐτῷ, τοῖς ἴχνεσιν αὐτοῦ κατακολουθήσαντα, καὶ ἐν Θεῷ πιστεύοντα, τουτέστι Χριστῷ.

Γεν. 11. 3. Ρωμ. 4. 13. Γάλ. 3. 9.

Ἐκ τῆς πρὸς Κορινθίους πρώτης.

ΚΑΙ ταῦτά τινες ἦτε· ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν.) εἰ ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ δικαιούμεθα, ὡς Θεὸν τῇ πίστει τιμήσαντες, καὶ τὸ αὐτοῦ πνεῦμα δεχόμενοι πῶς οὐ Θεὸς ὁ Χριστός;

α. Κορ. 6. 11.

Ἐκ τῆς πρὸς Κορινθίους β'.

ΕΙ μὲν γὰρ ὁ ἐρχόμενος ἕτερον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν· ἢ πνεῦμα ἕτερον λαμβάνετε, παρ' ὃ ἐλάβετε· ἢ εὐαγγέλιον ἕτερον, παρ' ὃ ἐδέξασθε, καλῶς ἀνείχεσθε.) πρὸ τῶν τῆς ἐνανθρωπήσεως καιρῶν οὐδεὶς ὀνομάσας εὑρίσκεται τὸν ἐκ Θεοῦ λόγον, Ἰησοῦν ἢ Χριστόν· εἰ μὴ ἄρα κατὰ πρόγνωσιν ὀνομασθησόμενον τοῦτο κατὰ καιροὺς, ὅτε καὶ γέγονε σάρξ. ὄνομα τοίνυν καινὸν αὐτῷ τὸ, Ἰησοῦς, ὅτε γέγονεν ἄνθρωπος. ἀλλ' εἰ μὲν ὡς Θεὸς κηρύσσεται, καὶ εἷς ὤν. οὐ γὰρ ἕτερός τις παρ' αὐτὸν, ὃν δύνανται κηρύξαι τινές· εὖ ἂν ἔχοι, καὶ Θεῷ λατρεύομεν. εἰ δὲ μέτρον αὐτῷ τὸ τῆς ἀνθρωπότητός ἐστι μόνον, καὶ ψιλῇ προσώπων ἑνώσει τετίμηται· κεκένωται τῆς πίστεως ἡμῶν ὁ λόγος, ἀνθρώπῳ προσάγων ἡμᾶς καὶ οὐ Θεῷ. ἀλλὰ τοῦτο δυσσεβές. Θεὸς ἄρα Χριστὸς, καὶ υἱὸς, ὡς τοῦ Θεοῦ λόγου σαρκὸς γεγονότος.

α. Κορ. 11. 4.

Ἐκ τῆς πρὸς Γαλάτας.

ΘΑΥΜΑΖΩ, ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ, εἰς ἕτερον εὐαγγέλιον· ὃ οὐκ ἔστιν ἄλλο· εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς, καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.) εἰ ἕν ἐστιν εὐαγγέλιον τὸ λαληθὲν ἁπάσῃ τῇ ὑπ' οὐρανὸν διὰ τῶν ἁγίων μυσταγωγῶν, τοῦτο δέ ἐστιν ἡ πίστις ἡ εἰς Χριστόν. πῶς οὐ Θεὸς εἴη ἂν ἀληθὴς, εἴπερ

Γαλ. 1. 6.

εἴπερ ἐστὶν ἀναγκαῖον ὁμολογεῖν, ὡς ἐκ τῆς ἀρχαίας πλάνης κεκλήμεθα πρὸς ἐπίγνωσιν τοῦ κατὰ φύσιν ὄντος Θεοῦ; θαρσεῖ δὲ τοσοῦτον ὁ μακάριος Παῦλος, ὡς καὶ ἀγγέλους ἀναθεματίζειν, εἰ δὴ μετατρέψειαν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

Ὅτε δὲ ἠυδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους.) τῷ γὰρ ἅπαξ τοιοῦτον ἐκ Θεοῦ λαχόντι μυσταγωγίαν καὶ ἀποκάλυψιν, οὐκ ἔδει τῆς ἐξ ἀνθρώπων παιδαγωγίας. πλοῦ ἐκεῖνό φαμεν. τίνα ἀπεκάλυψεν ὁ πατὴρ τῷ μακαρίῳ Παύλῳ, ἢ τίνα προσέτυχεν ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι; ἆρα Θεὸν λόγον, καὶ υἱὸν μονογενῆ οὐκ ἐνωθέντα σαρκὶ, καὶ γενόμενον ἄνθρωπον οἰκονομικῶς; εἶτα πῶς τοῦτό ἐστιν ἀληθές; διεκήρυξε γὰρ ἄνθρωπόν τε ὁμοῦ καὶ Θεὸν τὸν αὐτὸν καὶ ἕνα, λέγων υἱὸν καὶ κύριον Ἰησοῦν Χριστόν.

Εἰδότες δὲ ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς Γαλ. 2. 16. Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου.) εἰ τὸ πιστεῦσαι Θεῷ μισθὸν ἔχει τινὰ δικαίωσιν· δεδικαίωνται γὰρ ἔτω καὶ οἱ πρὸ ἡμῶν· γέγραπται γὰρ, ὅτι Rom. 4. 3. ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην ἡ πίστις· πῶς οὐ Θεὸς ὁ Ἐμμανουήλ, εἴπερ ἐστὶν ἀληθὲς, ὡς εἰς αὐτὸν πιστεύοντες δικαιούμεθα;

Ἐκ τῆς πρὸς Ἐφεσίους.

Eph. 1. 13. ΕΝ ᾧ ἀκούσαντες καὶ ὑμεῖς τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας, ὅ τῶν ἁγίων ἐστὶν ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως, εἰς ἔπαινον δόξης αὐτοῦ.) πολλὰ κατὰ τοῦτο ἐν ταῖς τῶν προκειμένων ἐννοίαις κατίδοι τις ἄν, δι' ὧν ἔνεστι μαθεῖν ὅτι Θεὸς ἀληθὴς ὁ Χριστὸς, ἡ καὶ παρὰ πάντων πίστις εἰς αὐτὸν οὐχ ὡς εἰς ἕνα τῶν καθ' ἡμᾶς ἁπλῶς, ἀλλ' ὡς εἰς ἕνα κύριον, καὶ υἱὸν, καὶ Θεόν. πρῶτον μὲν γὰρ αὐτός ἐστι τὸ εὐαγγέλιον τῆς σωτηρίας ἡμῶν, ἐν ᾧ καὶ ἡ πίστις, ὡς εἰς Θεὸν δηλονότι. ἀκολουθεῖ δὲ τὸ τῆς πίστεως γέρας, τυτέστι τὸ πνεῦμα τῆς ἐπαγγελίας, ὁ τῆς κληρονομίας ἡμῶν ἀῤῥαβών. ἐκλελυτρώμεθα γὰρ εἰς ἔπαινον δόξης Χριστοῦ. σέσωκε γὰρ ἡμᾶς οὐχ ὡς ἄνθρωπος κοινὸς, ἀλλ' ὡς Θεὸς ἐν σαρκὶ γεγονὼς δι' ἡμᾶς. ἕτω γὰρ εἰς ἔπαινον ἐσόμεθα τῆς δόξης αὐτοῦ.

Eph. 3. 1. Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν, εἴ γε ἠκούσατε τινὰ οἰκονομίαν τῆς χάριτος τοῦ Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς, ὅτι κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον, καθὼς προέγραψα ἐν ὀλίγῳ. πρὸς ἃ δυνάσθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ.) ποία συνέσεως χρεία, καὶ ἀποκαλύψεως τῆς παρὰ Θεοῦ πρὸς τὸ γνωρισθῆναι τὸ μυστήριον τοῦ Χριστοῦ, εἴπερ ἐστὶν ἄνθρωπος ἰδιικῶς, καὶ ὁλοτρόπως κεχωρισμένος τοῦ Θεοῦ λόγου, φιλῇ προσώπων ἐνώσει τετιμημένος; τί γὰρ ἔχει τὸ κεκρυμμένον, ἢ ποῖον ὅλως τὸ δυσχερὲς, τὸ νοῆσαι τυχὸν περὶ ἑνὸς τοῦ καθ' ἡμᾶς ἀνθρώπου, ὅτι ἄνθρωπός ἐστι; βαθὺ δὲ καὶ μέγα τὸ μυστήριον, εἰ καθ' ἡμᾶς γεγένηται λέγοιτο Θεὸς ὑπάρχων ὁ λόγος. ὅτε τοίνυν οἱ βαθεῖς εἰς σύνεσιν, καὶ τιμῶ θείῳ ἀποκαλύψει ἐσχηκότες, ὡς θεῖον ἡμῖν μυστήριον παραδεδώκασι τὸ Χριστοῦ μυστήριον, καὶ εἰς αὐτὸν ἡ πίστις, ὡς εἰς Θεὸν δηλονότι, πῶς ἐκ ἂν εἴη Θεός;

Ἄλλο τέτῳ προσοικεῖον, καὶ τιμῶ αὐτιμῶ ἔχον διάνοιαν. ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, τῷ τὰ πάντα κτίσαντι.

Eph. 5. 25. Οἱ ἄνδρες, φησὶν, ἀγαπᾶτε τὰς γυναῖκας, ἑαυτῶν καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι.) ποῖον ἄρα ἐστὶ τὸ ῥῆμα ἐν ᾧ κεκαθάρμεθα, ἀπολουσάμενοι τὸ σῶμα ὕδατι καθαρῷ; ἢ πάντως ἐκεῖνο, περὶ οὗ φησιν ὁ θεσπέσιος Παῦλος· ὅτι τοῦτό Rom. 10. 8. ἐστὶ τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν· ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν Χριστὸν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.) ἔχων εἰ Χριστὸν ὁμολογοῦντες ἐν πίστει σῳζόμεθα, πῶς οὐ Θεὸς ἀληθής ἐστιν, εἰς ὃν τὸ τῆς πίστεως εἰ γένοιτο ῥῆμα, κεκαθάρμεθά τε καὶ ἡγιάσμεθα;

Ἐκ τῆς πρὸς Φιλιππησίους.

Phil. 1. 18. ΤΙ γάρ; φησί. πλὴν ὅτι παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται.) ἆρ' οὖν ὡς ἄνθρωπος τετιμημένος χάριτι, τῷ κόσμῳ κηρύσσεται; καίτοι Θεοῦ ὁ κόσμος ἐπέγνω Χριστὸν, τῇ πίστει τετιμηκώς. πῶς οὖν ὁ Θεὸς, ὁ ἐν δόξῃ θεότητος τῷ κόσμῳ καταγγελλόμενος;

Συναθλοῦντες, φησὶ, τῇ πίστει τοῦ εὐαγγελίου, καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων· ἥτις αὐτοῖς μέν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ Θεοῦ. ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν:) εἰ ἐν χάριτος μέρει δεχόμεθα παρὰ Θεοῦ τὸ πιστεύειν ἐν Χριστῷ, οὐ πεπλανήμεθα δὲ διὰ τοῦτο μᾶλλον, ἀλλ' ἐγνώκαμεν τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, πῶς ἂν ἐνδοιάσειέ τις, ὅτι Θεὸς ὁ Χριστός;

Ἐκ τῆς πρὸς Τιμόθεον α.

1. Tim. 1. 15. ΠΙΣΤΟΣ ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξῃ Χριστὸς Ἰησοῦς τὴν ἅπασαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον.) εἰ ἁμαρτωλοὺς σῴζει Χριστὸς, καὶ μακροθυμεῖ τοῖς πλημμελήμασι, δεχόμεθα αὐτῷ

αὐτῶν τὴν μετάγνωσιν· καὶ πᾶσα ἡμῶν ἡ πίστις ἐπ' αὐτῷ, καὶ διὰ τῆς εἰς αὐτὸν πίστεως τὴν ζωὴν τὴν αἰώνιον κεκερδήκαμεν· πῶς οὐ Θεὸς εἴη ἄν; ὅτι καὶ μόνῳ Θεῷ πρέποι ἂν εἰκότως τὸ καὶ σώζειν δύνασθαι τὸν κόσμον, ἤτοι τοὺς ἐν τῷ κόσμῳ, καὶ μακροθυμεῖν τοῖς ἁμαρτάνουσι, καὶ ζωοποιεῖν διὰ τῆς πίστεως τῆς εἰς ἑαυτόν.

Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.) τίς ὁ ἐν σαρκὶ φανερωθείς; ἢ δῆλον ὅτι πάντῃ τε καὶ πάντως ὁ ἐκ Θεοῦ πατρὸς λόγος; οὕτω γὰρ ἔσται μέγα τὸ τῆς εὐσεβείας μυστήριον. Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ὤφθη δὲ ἀγγέλοις ἀναβαίνων εἰς οὐρανούς· ἐκηρύχθη ἐν ἔθνεσι διὰ τῶν ἁγίων ἀποστόλων, ἐπιστεύθη δὲ ἐν κόσμῳ· καὶ οὔτι που φαμὲν, ὅτι καθ' ἡμᾶς ἄνθρωπος ἁπλῶς, ἀλλ' ὡς Θεὸς ἐν σαρκὶ καὶ καθ' ἡμᾶς γεγονώς. ἀνελήφθη δὲ καὶ ἐν δόξῃ, ἵνα λέγοντος ἀκούσῃ τοῦ Θεοῦ καὶ πατρός· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

ἀ. Τιμ. 3. 16.

Ψαλμ. 106.

Ἐκ τῆς πρὸς Τίτον.

Τιτ. 3. 8.

ΠΙΣΤΟΣ ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ.) ἆρ' οὖν οἱ Θεῷ πιστεύοντες, οὐκ εἰς Χριστὸν πεπιστεύκασι; καίτοι λέγων ὁρᾶται σαφῶς ὁ μακάριος Ἰωάννης περὶ αὐτοῦ· ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. καὶ μὴν καὶ αὐτὸς ὁ μακάριος Παῦλος· εἰδότες δὲ ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐν αὐτῷ. ὅτε τοίνυν Θεῷ πιστεύουσιν οἱ Χριστῷ τὴν πίστιν προσάγοντες, πῶς οὐκ ἂν εἴη Θεὸς ἀληθής;

Ἰωάν. 1. 12.

Γαλ. 2. 16.

Ὅτι εἰς Χριστὸν ἡ πίστις·

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου.

Ἰωάν. 1. 12.

ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ.) δύο κατὰ ταυτὸν τίθησι θεοπρεπῆ· παραλαμβάνεται γὰρ οὐχ ἑτέρως παρ' ἡμῶν ὁ Χριστός. πλὴν ὅτι δὲ εἰς αὐτὸν πίστις, σαφηνιεῖ τὸ προκείμενον· τοῖς γὰρ πιστεύουσι, φησὶν, εἰς τὸ ὄνομα αὐτοῦ. πιστεύομεν δὲ εἰς τὸ ὄνομα αὐτοῦ, οὐκ ἄνθρωπον εἶναι κοινὸν καὶ ἕνα τῶν καθ' ἡμᾶς πιστεύοντες, ἀλλὰ Θεὸν ἐνηνθρωπηκότα. οὐκ ἀνθρώπινον δὲ τὸ ἐξουσίαν διδόναι τέκνα Θεοῦ γενέσθαι, θεοπρεπὲς δὲ μᾶλλον καὶ ὑπὲρ τὴν κτίσιν. ὅτε τοίνυν εἰς αὐτὸν ἡ πίστις, καὶ αὐτὸς δίδωσι τῆς υἱοθεσίας τὴν χάριν, πῶς οὐ Θεὸς ὁ Χριστός;

Ἰωάν. 2. 11.

Ταύτην ἐποίησεν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ· καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ.) γεγονότος ἄρα τοῦ σημείου, καὶ φανερώσαντος τοῦ Χριστοῦ τὴν δόξαν αὐτοῦ, ὡς εἰς τίνα πεπιστεύκασιν οἱ μακάριοι μαθηταί; ἆρα εἰς ἄνθρωπον ἅγιον ἁπλῶς; καίτοι πρὸ τοῦ σημείου ἠκολούθησαν αὐτῷ, τεθαυμακότες ὡς ἅγιον. ἀλλὰ τεθέανται διὰ τοῦ σημείου τὴν ὑπὲρ ἄνθρωπον δύναμίν τε καὶ ἐξουσίαν ἔχοντα. οὐκοῦν πεπιστεύκασιν ὡς εἰς Θεόν. ἰστέον δὲ, ὅτι πολλοὶ τῶν ἁγίων πολλὰ πεποιήκασι καὶ παράδοξα· καὶ ἐθαυμάσθησαν μὲν, ἐπίστευσε δὲ εἰς αὐτοὺς οὐδείς. ἔχοι δ' ἂν τὴν ἴσην διάνοιαν· ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα, ἃ ἐποίει.

Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ, ὁ πιστεύων εἰς αὐτὸν, οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται· ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ.) εἰ σωτηρίας ὁδός ἐστιν ἡ πίστις ἡ εἰς τὸν υἱὸν, πῶς ἄρα πιστεύομεν εἰς αὐτόν; ἢ πῶς τὴν ἐκ τοῦ κρίνεσθαι διαφευξόμεθα δίκην; ἆρα γὰρ ὡς ἄνθρωπον καταδεξάμενοι, καὶ ἕτερον παρὰ τοῦτο οὐδέν; εἶτα πῶς οὐκ ἀνθρώπῳ λατρεύσομεν; ἀλλ' ὡς εἰς Θεόν; τοῦτο γὰρ ἀληθές. τίς οὖν ὁ φάναι τολμῶν οὐκ εἶναι κατὰ ἀλήθειαν Θεὸν, οὗ δεδικαίωκεν ἡ πίστις τὴν ὑπ' οὐρανὸν;

Ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ· ὁ υἱός σου ζῇ· καὶ ἐπίστευσεν εἰς αὐτὸν αὐτὸς, καὶ ἡ οἰκία αὐτοῦ ὅλη.) ἀνέστησεν ἐκ νεκρῶν τοῦ βασιλικοῦ τὸν υἱὸν ὁ Χριστὸς, εἰρηκὼς αὐτῷ· πορεύου, ὁ υἱός σου ζῇ. εἶτα πεπίστευκε πανοικί. ἆρ' οὖν διὰ τῆς οὕτω μεγάλης καὶ θεοπρεποῦς ἐξουσίας ὡς εἰς ἄνθρωπον πεπίστευκεν ὁ βασιλικός; ἢ Θεὸν ἔγνω κατὰ φύσιν ὄντα αὐτὸν, καὶ ζωοποιοῦντα μετ' ἐξουσίας οὓς ἂν ἕλοιτο καὶ μόνῳ ῥήματι; ἀλλ' ἔστι δῆλον ὅτι πεπίστευκεν ὡς Θεῷ.

Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον.) πέπομφεν ἡμῖν ἐξ οὐρανῶν ὁ Θεὸς καὶ πατὴρ τὸν ἴδιον υἱὸν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. πῶς οὖν ἐν τούτοις φησὶ, ζωὴν αἰώνιον ἔχειν τὸν πιστεύοντα τῷ πέμψαντι αὐτόν; εἰς τίνα λοιπὸν ἡ πίστις; ἆρα ὡς εἰς δύο Θεοὺς, τὸν πατέρα, καὶ τὸν υἱόν; μὴ γένοιτο. ἀλλ' ὡς εἰς ἕνα Θεὸν καὶ ἀληθινόν· οὐκοῦν εἴ τις πιστεύσειεν εἰς Χριστὸν, πεπίστευκεν εἰς Θεόν· κἂν εἰ πιστεύσειεν εἰς Θεὸν πατέρα, πεπιστευκὼς ἔσται καὶ εἰς τὸν ἕνα κύριον Ἰησοῦν τὸν Χριστόν.

Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος.) εἰ τὸ τῷ Θεῷ δοκοῦν ἐπιτελοῦμεν πιστεύοντες εἰς Χριστόν· αὐτὸν γὰρ ἀληθῶς ἀπέστειλεν ὁ πατὴρ εἰς τὸν κόσμον, ὅτε γέγονεν ἄνθρωπος καθ' ἡμᾶς· πῶς οὐκ ἂν εἴη Θεὸς ἀληθινός; οὐ γὰρ ἂν ἦν ἔργον Θεοῦ τὸ πιστεύειν εἰς αὐτόν.

Ἰησοῦς δὲ ἔκραξε, καὶ εἶπεν· ὁ πιστεύων εἰς ἐμὲ, οὐ πιστεύει εἰς ἐμὲ, ἀλλὰ εἰς τὸν πέμψαντά με.

Ἰωάν. 3. 13.

Ἰωάν. 4. 53.

Ἰωάν. 5. 24.

Ἰωάν. 3. 16.

Ἰωάν. 6. 25.

Ἰωάν. 12. 44.

τά με. καὶ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με. εἶτα προσεπάγει τούτοις· ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με πατήρ, αὐτός μοι ἐντολὴν δέδωκε τί εἴπω, καὶ τί λαλήσω.) ὅτε πίνων κατ' ἐντολὰς τὰς παρὸς, κἀν ὡς ἄνθρωπος λέγῃ, τὴν πίστιν τὴν εἰς αὐτὸν; εἰς τὸν πέμψαντα αὐτὸν ἀναφέρει, καὶ ὁ θεωρῶν αὐτὸν, θεωρεῖ τὸν πέμψαντα αὐτόν· τίς ὁ φάναι τολμῶν οὐκ εἶναι Θεὸν αὐτὸν, καὶ τὸπον ἀληθινόν; ὅμοιον δὲ τούτῳ· πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε. Γωάν. 14.

Ἐκ τῶν κατὰ Λουκᾶν Εὐαγγελίων.

Λουκ. 18. 8. ΠΛΗΝ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν, ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;) ὅταν ὁ Χριστὸς ἐξ οὐρανοῦ παραγένηται, ποίαν ἆρα ζητήσει πίστιν ἐν ἡμῖν; εἰ μὲν γὰρ ὡς ἄνθρωπος καθ' ἡμᾶς βέλεται πιστεύεσθαι, τίς ὁ ἀπιστήσας αὐτῷ; ἐνεκάλουν γὰρ οἱ Ἰουδαῖοι λέγοντες. Γωάν. 10. 33. σὺ ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν; ἔλλιωες δὲ σταυρὸν ἀκούοντες καὶ θάνατον, ὡς περὶ ἀνθρώπου κοινοῦ διάκεινται, καὶ τὴν καθ' ἡμᾶς ἑνός. Λουκ. 1. 2. ποίαν οὖν ἆρα πίστιν ζητεῖ; ἢ δηλονότι τὴν ἐκκεκηρυγμένην διὰ τῶν θεηγόρων, οἳ καὶ αὐτόπται καὶ ὑπηρέται γεγόναση τοῦ λόγου; ἔφη τοίνυν Γωάν. 1. Ἰωάννης, ὅτι ὁ λόγος σὰρξ ἐγένετο. γέγονε δὲ σὰρξ μετὰ τοῦ μεῖναι Θεός. αὕτη τοίνυν ἡ πίστις ἐν ἡμῖν παρ' αὐτοῦ ζητηθήσεται κατὰ καιρόν.

*deest in mf. Segueriano nomen illud numerale.

Τέλος τοῦ * πρώτου λόγου προσφωνητικοῦ πρὸς Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας, πρὸς τὰς φιλοχρίστους βασιλίσσας.

ΚΕΦΑΛΑΙΟΝ ε.

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας λόγος δεύτερος προσφωνητικὸς τὰς φιλοχρίστους βασιλίσσας, περὶ τῆς ὀρθῆς πίστεως.

α.

ΤΟΙΣ τὸ θεῖον καὶ οὐράνιον ἐργαζομένοις κήρυγμα, διὰ φωνῆς Ἡσαΐου παρακελεύεται λέγων ὁ τῶν ὅλων Θεός· ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών· ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε. χρεία γὰρ ἐγωγέ φημι τοὺς πεπαγμένους εἰς ἱερουργίαν, καὶ τὸ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ λαλοῦντας μυστήριον, οὐ καταῤῥιμμένον ἔχειν καὶ χαμαιῤῥιφὲς τὸ φρόνημα, καὶ ὄκνῳ νικώμενον, καὶ δειλίαις συνεσταλμένον· ἀλλ' ὑψηλὸν ὥσπερ εὖ βεβηκότα τὸν νοῦν, καὶ οἱονεί πως ἐν ὄρει κείμενον, ὅπου τε τῆς τῆς ἀληθείας δογμάτων τὸ ἐξαίρετον κάλλος περιαθρεῖν σπουδάζοντα, ποιεῖσθαι δὲ καὶ τοὺς λόγους ἐν παῤῥησίᾳ, κἂν εἴ τινες εἶεν οἱ μυσαγωγούμενοι σκληροὶ καὶ δυσάγωγοι, καὶ οἷον ἵπποι τινὲς ἀγίρωχοι καὶ ἐξίππιοι, περὶ ὧν που καὶ αὐτὸς φησιν ὁ μακάριος Δαυὶδ περὶ τοῦ τῶν ὅλων Θεοῦ· ἐν χαλινῷ καὶ ἐν κημῷ τοὺς σιαγόνας αὐτῶν Ησαΐ. 10. 3.

ἄγξαις, τοὺς μὴ ἐγγίζοντας προσῖσι. εἰδὲ καὶ τοῖς ἔτι ἔξω ἔτως ἔχουσι φρενὸς προσβάλλειν ἀναγκαῖον, πῶς ἂν γένοιτο τοῦτο ἄγαν σφαλερώτατον τὸ εἰλέσθαι σιγῶν, καὶ μὴ ταῖς εὐσεβίσιν ὑμῶν ἀκοαῖς ἐπεῖναι πλειτάκις καθάπερ τι νᾶμα γλυκὺ καὶ ζωοποιὸν τοὺς ἱερῶν γραμμάτων τὴν γνῶσιν, ὅπερ ἡμῖν καὶ πάλαι Θεὸς ὑπισχνεῖτο, λέγων διὰ φωνῆς Ἡσαΐου· Ησαΐ. 12. 3. καὶ ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. σωτήριον δὲ πηγὰς εἶναι φαμὲν τοὺς ἁγίους προφήτας, εὐαγγελιστάς τε καὶ ἀποστόλους, οἳ τὸν ἄνωθεν καὶ ἐξ ἑρανοῦ καὶ σωτήριον τῷ κόσμῳ βρύουσι λόγον, χορηγοῦντος αὐτοῖς τοῦ ἁγίου πνεύματος, ἅπασάν τε ἔτω κατευφραίνουσι τὴν ὑπ' οὐρανόν. φέρε τοίνυν εἰς τὰ βάθη τοῦ παρ' αὐτοῦ ἐννοιῶν καταδύντες τὸν νοῦν, τῆς ἀληθείας τὴν εὕρεσιν ἐκεῖθεν ἀντλήσωμεν. γνηπόνοι μὲν οὖν ἐξ ἀγρῶν τὰ εὐοσμότατα τοῦ ἀνθέων κατὰ καιρὸς ἀποκείραντες, εἶτα ταῦτα ταλάροις ἐνθέντες ἀποφέρουσι τοῖς δεσπόταις· οἱ δὲ καὶ λίαν ἀσμένως προσίενταί τε, καὶ τοῖς ἐξ ὡρῶν ἐπιγάννυνται· ἡμεῖς δὲ, ὅσοι τὸ διδασκαλικὸν ἔχομεν ἐπιτήδευμα, καθάπερ ἐξ ἀγροῦ τῆς θεοπνεύστου γραφῆς, οὐκ εὐμάραστον θέαν προσκομίζομεν ἀνθέων, λόγους δὲ μᾶλλον καὶ μυσαγωγίαν τὴν διὰ τοῦ πνεύματος, ἀμάραστον ἔχουσαν τῆς εἰς Χριστὸν εὐσεβείας τὸ κάλλος, εὐωδιάζουσάν τε καὶ μάλα πλουσίως τὸ αὐτοῦ μυστήριον. γέγραπται γὰρ, ὅτι Χριστῷ εὐωδία ἐσμὲν τῷ Θεῷ. 2 Κορ. 2. 15.

β.

Πρόσειμι δὴ ἂν ἀνατιθεὶς τὸν λόγον ὑμῖν τῖς εὐσεβεσάταις βασιλίσσαις. πεποίηται δέ μοι περὶ τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως, ἥπερ ἂν γένοιτο παρ' ὑμῶν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. πρέπει γὰρ ὑμῖν δὴ μάλιστα τῖς ὅτως ὁσίαις καὶ θεοφιλεστάταις, ὁμοῦ τῖς τῆς βασιλείας ὑπερτάτοις αὐχήμασι, καὶ τῆς εἰς Χριστὸν ἀγάπης τὸν στέφανον ἀναδήσασθαι. ἤδη μὲν οὖν τῖς ἀοιδίμοις ὑμῶν ἐφήρμοσται κορυφαῖς, καὶ ἀπελλιτήτοις ὑμᾶς δόξαις ὁ τῶν ὅλων καταφαιδρύνει Θεός. ὑπὲρ γοῦν τοῦ καὶ ἔτι μειζόνως καταλαμπρύνεσθαι, τὸ κατὰ Χριστὸν μυστήριον τῇ ἀκριβῶς τε καὶ ἀκριβδήλατον γνῶσιν ἐχούσας εἰς νοῦν, σωπέθεικα τὸ λογίδιον, διὰ πάσης ἐννοίας καταδεικνύς, ὅτι ὥσπερ ἐστὶν εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· ὅτω καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· οὗ δὲ δήπου πάντως καὶ τὸ πνεῦμα τὸ ἅγιον. καὶ τῆς εἰς δύο μεριζόντων υἱοὺς τὸν ἕνα Χριστὸν καὶ υἱὸν καὶ κύριον, ὀρθὰ φρονεῖν ἐγνωκότες οὐκ ἀνεξόμεθα. οὐ γὰρ ἕτερον εἶναί φαμὲν υἱὸν τὸν προ παντὸς αἰῶνος γεγεννημένον ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ πατρὸς, ἕτερον δὲ τὸν ἐν ἐσχάτοις καιροῖς γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν καὶ πρὸ τῆς πρὸς σάρκα συνόδου καὶ ἑνώσεως ἀληθοῦς, καὶ μετὰ τοῦτο ἔτι. ὁ γὰρ ἐκ Θεοῦ πατρὸς κατὰ φύσιν υἱὸς, ἔμψυχόν τε καὶ ἔννουν ἑαυτῷ σῶμα λαβὼν, γεγέννηται σαρκικῶς διὰ τῆς ἁγίας παρθένου καὶ θεοτόκου 1 Κορ. 8. 6.

τόκου Μαρίας, καὶ οὐκ εἰς σάρκα τραπείς· μὴ γένοιτο· προσλαβὼν δὲ μᾶλλον αὐτὴν, καὶ τοῦ εἶναι Θεὸς οὐκ ἠμεληκώς. μεμένηκε γὰρ καὶ οὕτω τῶν ὅλων δεσπότης.

γ'.

Ταῦτα φρονεῖν δεδιδάγμεθα. σοφοῖς γὰρ ἡμᾶς παραγγέλμασιν οἱ τῶν ἁγίων ἀποκομίζουσι λόγοι πρός γε τὸ χρῆναι φιλοθηρεῖν τὸ τοῖς ἱεροῖς γράμμασιν ὅτι μάλιστα δοκοῦν, καὶ τὴν ἐν τοῖς θείοις δόγμασιν ἀλήθειαν κατασκέπτεσθαι. λεπτὸν ἐνιέντες τοῖς περὶ Χριστοῦ λαλουμένοις τὸν
β'. Κορ. 10. 5. νοῦν, καθαιροῦντες μὲν λογισμοὺς, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν αὐτοῦ. ἔχοντος γὰρ ἀραρότως, καὶ ὁμολογουμένου παρὰ πᾶσιν, ὅτι καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Θεοῦ καὶ πατρὸς ὑπάρχων ὁ ἐξ αὐτοῦ κατὰ φύ-
Φιλιπ. 2. 6. σιν λόγος, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. πᾶσά πως ἀνάγκη θεοφι-
* εὐτεχνίας. λοῦς * ἐπινοίας ἐπίμεστον ἔχειν τὸν νοῦν, τὸν ὥπερ ἂν γένοιτο σκοπὸς διακρίνειν εὖ μάλα τῶν περὶ αὐτοῦ γεγραμμένων τὴν δύναμιν, ἵνα ἐν ταυτῷ Θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτὸς ὑπάρχων ἐπιγινώσκηται, καὶ τὸ εἶναι Θεὸς ἀπαραποιήτως ἔχων· ἄτρεπτος γὰρ ἡ τοῦ λόγου φύσις· καὶ τὸ τῆς κενώσεως μέτρον οὐ παραιτούμενος. ἐπερυθριᾷ γὰρ οὐδαμῶς τοῖς ἰδίοις σκέμμασιν ὁ κένωσιν τὴν ἐθελούσιον οἰκονομικῶς δι' ἡμᾶς ὑπομείνας. δεῖ τοίνυν αὐτὸν καὶ τοῖς τῆς θεότητος ἀξιώμασιν ὁρᾶσθαι διαπρεπῆ, καὶ τῆς καθ' ἡμᾶς σμικροπρεπείας οὐκ εἰς ἅπαν ἀπηλλαγμένον διὰ τὸ ἀνθρώπινον, ἀπαιτούσης τοῦτο τῆς οἰκονομίας. εἰ γὰρ Θεὸς ὢν ὁ λόγος γέγονε σὰρξ, τουτέστιν ἄνθρωπος, κατά γε τό. ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· θορυβείτω μηδένα, κἂν εἰ λέγοιτό τι περὶ αὐτοῦ παρὰ τῆς θεοπνεύστου γραφῆς, τῶν ὅσα ἐστὶν ἀνθρωποπρεπῆ. περιαθρείτω δὲ μᾶλλον αὐτοῦ τὴν ὑπερκόσμιον δόξαν ἐκ δυνάμεως καὶ ὑπεροχῆς τῆς θεοπρεποῦς τε καὶ ἀνωτάτω.

δ'.

Ἃ δὲ ἦν μάλιστα παραλύειν εἰκὸς τὸν τῶν ἁπλουστέρων δύνασθαι νοῦν, ταῦτα δὴ κατά γε τὸ ἐγχωροῦν, καὶ ὡς ἔνι καλῶς, διατρανοῦν πειράσομαι, παρατιθεὶς ἑκάστῳ ῥητῷ τὴν ἀποχρῶσαν λύσιν εἰς διασάφησιν, Θεοῦ πάλιν ἡμῖν κατευθύνοντος
Ψαλ. 67. 12. καὶ τὴν εἰς τοῦτο τρίβον. δίδωσι γὰρ ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, καθάφησιν ὁ θεσπέσιος μελῳδός. ἐν μὲν οὖν τῷ λόγῳ τῷ πρὸς ἡμῶν γεγονότι πρὸς τὰς ἁγίας παρθένους, τῶν ἑτοιμοτέρων ῥητῶν, καὶ οὐδὲν ἐχόντων τὸ δυσχερὲς εἰς κατάληψιν, πλείστην ὅσην πεποιήμεθα τὴν παράθεσιν· ἐν δέ γε τῷ προκειμένῳ τῶν ἀσαφεστέρων πεποιήμεθα μνήμην· ἔδει γὰρ, ἔδει τὸ θεοφιλὲς ὑμῶν κράτος καὶ ταῦτα εἰδέναι, κἀκεῖνα μὴ ἀγνοεῖν, ὡς ἂν δι' ἀμφοῖν τὸ ἀρτίως ἔχον εἰς γνῶσιν, καθάπερ τι φῶς, ταῖς εὐαγεστάταις ὑμῶν εἰσοικίζοιτο διανοίαις. σκοπὸς δέ μοι τὰ ἐφ' ἑκάστῳ διερμηνεύοντι βραχυλογεῖν ὡς οἷόν τε· προτετάξεται δὲ τῶν ἄλλων ὁ περὶ τῆς κενώσεως λόγος. ἰστέον δ' οὖν ὅμως ἐκεῖνο. ὅταν γὰρ ἡμῖν ὀνομάζηται Χριστὸς Ἰησοῦς, ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον προσήκει νοεῖν τὸν ἐκ Θεοῦ πατρὸς λόγον.

ε'.

Θέλω γὰρ ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς α'. Κορ. 11. 3.
κεφαλὴ ὁ Χριστός ἐστι· κεφαλὴ δὲ γυναικὸς, ὁ α'. Κορ. 15. 47.
ἀνήρ. κεφαλὴ δὲ τοῦ Χριστοῦ, ὁ Θεός. ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, τουτέστιν Ἀδάμ· ὁ δεύτερος ἐξ οὐρανοῦ, δῆλον δὲ ὅτι ὁ Χριστός· ἀλλ' ὥσπερ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου κατὰ τὸ γεγραμμένον.) οὐκοῦν πρώτη γέγονεν ἡμῖν κεφαλὴ τοῦ γένους, τουτέστιν ἀρχὴ, ὁ ἐκ γῆς τε καὶ χοϊκός. ἐπειδὴ δὲ δεύτερος Ἀδὰμ κατωνόμασται Χριστὸς, κεφαλὴ τέθειται τουτέστιν ἀρχὴ τῶν δι' αὐτοῦ πρὸς αὐτὸν ἀναμορφουμένων εἰς ἀφθαρσίαν δι' ἁγιασμοῦ ἐν πνεύματι· οὐκοῦν αὐτὸς μὲν ἡμῶν ἀρχὴ, τουτέστι κεφαλὴ, καθὸ πέφηνεν ἄνθρωπος. ἔχει γε μὴν κεφαλὴν αὐτὸς, ὡς φύσει Θεὸς, τὸν ἐν τοῖς οὐρανοῖς πατέρα· γεγένηται γὰρ ἐξ αὐτοῦ κατὰ φύσιν Θεὸς ὢν ὁ λόγος. ὅτι δὲ ἡ κεφαλὴ σημαίνειν τὴν ἀρχὴν, ἐμπεδοῖ τὴν ἀλήθειαν τῶν ἐνδοιαζόντων τὸν νοῦν τὸ, κεφαλὴν λέγεσθαι τὸν ἄνδρα τῆς γυναικός· ἐλήφθη γὰρ ἐξ αὐτοῦ. εἷς ἄρα Χριστὸς καὶ υἱὸς καὶ κύριος, ὁ κεφαλὴν ἔχων ὡς Θεὸς κατὰ φύσιν, τὸν ἐν τοῖς οὐρανοῖς πατέρα, γεγονὼς δὲ ἡμῖν κεφαλὴ διά τοι τὸ κατὰ σάρκα συγγενές.

ϛ'.

Γινώσκετε γὰρ τὴν χάριν τοῦ κυρίου ἡμῶν Ἰη- β'. Κορ. 8. 9.
σοῦ Χριστοῦ, ὅτι δι' ὑμᾶς ἐπτώχευσε, πλούσιος ὢν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε.) ἄθρει δή μοι καὶ μάλα σαφῶς ἔν γε τουτοισὶ καὶ τῆς θείας τε καὶ ἀκηράτου φύσεως τὴν ὑπεροχὴν, καὶ τῶν τῆς ἀνθρωπότητος μέτρων τὸ ὑφειμένον καὶ προσέτι τούτῳ τὴν ἀμφοῖν εἰς ἑνότητα σύμβασιν, ἑαυτὸν καθέντος εἰς τοῦτο τοῦ μονογενοῦς. οὐδεὶς γὰρ λόγος διερμηνεύσειεν ἂν τὸν τῆς θεότητος πλοῦτον· πτωχὴ δὲ λίαν ἡ ἀνθρωπότης, ᾗ πάντα ἐστὶ θεόσδοτά τε καὶ ἄνωθεν, καὶ αὐτὸ δὲ πρὸ πάντων τὸ εἶναι· κέκληται γὰρ παρὰ τοῦ Θεοῦ πρὸς ὕπαρξιν οὐκ οὖσα ποτέ. ἀλλ' ὁ πλούσιος ὡς Θεός, ἐθελοντὴς ἐπτώχευσε, καὶ γέγονε καθ' ἡμᾶς, ἵνα λοιπὸν ἡ ἀνθρώπου φύσις ἐν τοῖς τῆς θείας ὑπεροχῆς ὑψώμασιν ἐν Χριστῷ Ἐφεσ. 2. 6.
γενομένη, τὸ τῆς πτωχείας αἶσχος ἀποσκευάζοιτο. (συνήγειρε γὰρ ἡμᾶς ὁ Θεὸς καὶ πατὴρ ἐν

Χρι-

Χριστῷ, καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις, καθὰ γέγραπται.) ἀλλ' οὐκ ἂν γεγόναμεν ἐν τούτοις, εἰ μὴ τὴν πτωχεύουσαν ἠμπέσχετο φύσιν ὁ πλούσιος ὡς Θεός. οὐ γάρ που πτωχεύσειεν ἂν ὁ κατὰ φύσιν ἰδίαν πτωχεύων ἄνθρωπος. πάθοι δ' ἂν τοῦτο πρεπωδέστερον ὁ πλούσιος ἀληθῶς, τουτέστιν ὁ ἐκ Θεοῦ πατρὸς λόγος, ὅτε γέγονε καθ' ἡμᾶς. εἷς οὖν ἄρα ἐστὶ καὶ Χριστὸς καὶ υἱός.

ζ'.

Γαλ. 3. 13. Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. γέγραπται γὰρ ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐ-ἐπί ξλου.) τοῦ νομικοῦ γράμματος ἐπάρατον ἀποφαίνοντος τὸν ἐν παραβάσει καὶ ἁμαρτίᾳ· ὁ μὴ εἰδὼς ἁμαρτίαν, τουτέστι Χριστὸς, ὑπενήνεκται τῇ δίκῃ, ψῆφον ἄδικον ὑπομείνας, καὶ τὰ τοῖς ἐν ἀρᾷ πρέποντα παθὼν, ἵνα ὁ τῶν ὅλων ἀντάξιος ὑπὲρ πάντων ἀποθανὼν, τῆς ἁπάντων ἀπειθείας λύσῃ τὰ ἐγκλήματα, καὶ ἀγοράσῃ τὴν ὑπ' οὐρανὸν αἵματι τῷ ἰδίῳ. οὐκ ἂν οὖν γέγονεν εἷς ἁπάντων ἀντάξιος, εἴπερ ἦν ἄνθρωπος ἁπλῶς. εἰ δὲ δὴ νοοῖτο Θεὸς ἐνηνθρωπηκὼς, καὶ σαρκὶ τῇ ἰδίᾳ παθὼν, ὀλίγη πρὸς αὐτὸν ἡ σύμπασα κτίσις, καὶ ἀπόχρη πρὸς λύτρον τῆς ὑπ' οὐρανὸν ὁ μιᾶς σαρκὸς θάνατος· ἰδία γὰρ ἦν τοῦ ἐκ Θεοῦ πατρὸς φῶτος λόγου.

η'.

Εβρ. 2. 9. Τὸν δὲ βραχή τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.) ὁ δὲ θεσπέσιος Παῦλος τοὺς περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ποιούμενος λόγους· ὅταν δὲ εἰσαγάγῃ, φησὶ, τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην. λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. καὶ πάλιν· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων· υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγένηκά σε; οὐκοῦν ὅτε γέγονε πρωτότοκος ὁ μονογενὴς, καὶ ἐν πολλοῖς ἀδελφοῖς, τότε καὶ εἰσκεκομίσθαι φησὶν αὐτὸν εἰς τὴν οἰκουμένην· ἔξω γὰρ ἦν, κατὰ φύσιν ἰδίαν, τῆς κτίσεως, ὡς Θεός. τότε δὲ ἠλαττῶθαί φησιν αὐτὸν παρὰ τοὺς ἀγγέλους, καί τοι διαφορώτερον παρ' αὐτοὺς λαχόντα τὸ ὄνομα. τὸ μὲν γὰρ, ἄγγελος, λειτουργίας ἐστὶ σημαντικὸν, καὶ οἰκετικὸν ἡμῖν ὑπεμφαίνει μέτρον· ἀποστέλλονται γὰρ εἰς διακονίαν διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. ὁ δέ γε υἱὸς τὴν ἐκ πατρὸς ὕπαρξιν οὐσιώδη τε καὶ φυσικὴν κατασημένειεν ἂν, ὅτι καὶ ἀληθῶς τὴν γένησιν πεπρᾶχθαι πιστεύομεν. πῶς ἠλάττωται παρὰ τοὺς ἀγγέλους ὁ παρ' αὐτῶν προσκυνούμενος, ὁ σύνεδρος τῷ πατρί; ἀλλ' ἔστι σαφὴς ἡ πρόφασις. καθίκετο γὰρ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις, καὶ τὸ ἀποθνήσκειν πεφυκὸς σῶμα λαβὼν, ἴδιόν τε αὐτὸ ποιησάμενος, ἐν αὐτῷ πέπονθεν ἑκὼν, καὶ εἰς ἀνωτάτω δόξαις στεφανοῦται διὰ τὸ πάθος, ὡς δι' αὐτοῦ καταργήσας τὸν θάνατον, καὶ ἄπρακτον ἀποφήνας τὴν φθορὰν, ἅτε δὴ καὶ ὑπάρχων ἀφθαρσία καὶ ζωή. ὅταν οὖν Ἰησοῦν ὀνομάζει, καὶ ἠλαττῶσθαι λέγει παρὰ τοὺς ἀγγέλους αὐτὸν, οὐκ ἄνθρωπον ἀνὰ μέρος καὶ ἰδικῶς, ἀλλ' αὐτὸν νοοῦμεν τὸν μονογενῆ παραχωροῦντα τοῦ προὔχειν οἰκονομικῶς τοῖς ἁγίοις ἀγγέλοις· ὅτι ἀληθείᾳ γέγονεν ἄνθρωπος ὁ τῆς ἐκείνων ὑπεροχῆς ἡττώμενος. τὰ δὲ τῆς ὑπεροχῆς τοῖς ἁγίοις ἀγγέλοις, ὅτι καὶ ἔξω σαρκὸς, καὶ τοῦ τεθνάναι κρείττους εἰσί. γεγονότος ἐν τούτοις τοῦ υἱοῦ διὰ τὴν ἑκούσιον κένωσιν. ἀλλ' ὁ βραχὺ παρ' ἀγγέλους ἠλαττωμένος διά γε τὸ τῆς ἀνθρωπότητος μέτρον, ἐν ὑπεροχῇ θεότητος ὢν, προσκυνεῖται παρ' αὐτῶν, καὶ ἐνίδρυται θώκοις, οὓς περιστᾶσιν ἐκεῖνοι δοξολογοῦντες ἀεὶ, καὶ τῶν δυνάμεων αὐτὸν ὀνομάζοντες κύριον. Ἡσαΐ. 6.

θ'.

Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου μὲν παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας.) τὰ παιδία φησὶν ἐν τούτοις, ἡμᾶς δηλονότι τοὺς ὄντας ἐπὶ τῆς γῆς, κατά γε τὸ ἐν ψαλμοῖς ὑμνούμενον ὡς ἐκ προσώπου Θεοῦ. ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. ὅσον γὰρ ἧκεν εἰς τὸ τῷ Θεῷ δοκοῦν, καὶ εἰς τὴν ἐνοῦσαν ἡμερότητα κατὰ φύσιν αὐτῷ, πάντες ἂν ἦμεν τέκνα, καὶ ἀπώλισθεν ἂν οὐδεὶς τῆς πρὸς αὐτὸν οἰκειότητος. ἀλλ' ἦ φησιν ὁ Δαυὶδ, ὡς ἄνθρωποι ἀποθνίσκομεν, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτομεν, τοῖς τῆς σαρκὸς πάθεσι τὸν οἰκεῖον ὑποφέροντες νοῦν. πῶς οὖν ἄρα κεκοινωνήκαμεν αἵματος καὶ σαρκός; ψυχὴ γὰρ ἡ ἀνθρωπίνη φύσιν ἑτέραν ἔχουσα παρὰ τὴν σάρκα, τῇ πρὸς αὐτὴν θέσει καθ' ἕνωσιν, τὸ ἕν τε καὶ λογικὸν ἀπετέλεσε ζῶον, τουτέστι τὸν ἄνθρωπον. οὕτω τοιγαροῦν καὶ ὁ τοῦ Θεοῦ λόγος, ἐμψυχωμένη σαρκὶ, καὶ οὐκ ἀψύχῳ κατά τινας, ἑαυτὸν ἀπορρήτως ἑνώσας, μετέσχεν αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν, διὰ γεννήσεως δὲ δηλονότι τῆς ἐκ γυναικός. εἷς οὖν ἄρα κύριος Ἰησοῦς Χριστὸς, ὡς ἑνώσαντος μὲν ἑαυτῷ τοῦ Θεοῦ λόγου τὸ ἀνθρώπινον, μεμενηκότος δὲ καὶ οὕτως ὅπερ ἦν, εἰ δὲ αὐτὸς κατήργηκε τοῦ θανάτου τὸ κράτος, ὡς ζωὴ καὶ Θεὸς, ἴδιον αὐτοῦ νοεῖσθαι πρέπει τὸ πεπονθὸς τὸν θάνατον, ἵνα ὡς αὐτὸς ἀναστὰς καταργῆσαι λέγοιτο τὴν φθορὰν, καὶ εἰς ἅπαν ἡμῶν παραπέμψαι τὸ γένος τῆς ἀφθαρσίας τὴν χάριν. ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ

Εβρ. 2. 14.

Ψαλμ. ΠΑ. 6.

Ψαλμ. ΠΑ. 7.

α. Κορ. 15. 22. Ἀδὰμ πάντες ἀποθνήσκομεν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιησόμεθα. καὶ πάλιν· ὥσπερ γὰρ δι' ἀνθρώπου θάνατος, οὕτω καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν.) ἐπειδὴ δέ ἐστι τῶν τῆς καθ' ἡμᾶς νοουμένης ἀνθρωπότητος ἐπέκεινα μέτρων τὸ πατῆσαι θάνατον, ἑνώσει φαμὲν, ἤγουν κοινωνίᾳ τῇ πρὸς σάρκα τε καὶ αἷμα τὸν τοῦ Θεοῦ λόγον γενέσθαι καθ' ἡμᾶς ἄνθρωπον· ἀπομεμενηκέναι δὲ καὶ οὕτω θανάτου κρείττονα. Θεὸς γὰρ ἦν ἐν σαρκί.

ι'.

Εβρ. 2. 16. Οὐ γὰρ δή που ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. ὅθεν ὤφειλε κατὰ πάντα τοῖ ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι ταῖς ἁμαρτίαις ἡμῶν. ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.) σπέρματος Ἀβραὰμ ἐπιλαμ-
Φιλιπ. 2. 7. βάνεσθαί φαμεν τὸν τοῦ Θεοῦ λόγον. ἀνέφυ γὰρ ἐξ Ἰουδαίων τὸ κατὰ σάρκα, καὶ ὡμοιώθη κατὰ πάντα τοῖς ἀδελφοῖς, κατά γε τὸ ἀνασχέσθαι λαβεῖν τὴν τοῦ δούλου μορφὴν, καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι, καθάφησιν ὁ μακάριος Παῦλος. κεχρημάτικε γὰρ οὕτω υἱὸς ἀνθρώπου, καὶ γέγονεν ἀδελφὸς τοῖς ἐκ σπέρματος Ἀβραὰν ἤγουν τοῖς ἐν αἵματι καὶ σαρκί. τίς οὖν ἄρα ἐστὶν ἡ τοῦ δε πρόφασις; ἵνα ἐλεήμων, φησὶ, γένηται, καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν. ἐλεήμων μὲν γὰρ ἀρχιερεὺς εἰς ἡμᾶς γέγονεν ὁ Χριστὸς, ὡς τοῦ νομικοῦ γράμματος κατακρίνοντος τοὺς ἡμαρτηκότας, καὶ τὴν τοῦ κολάζεσθαι δεῖν ἐπιφέροντος ψῆφον τοῖς τὴν θείαν ἀτιμάζου-
Εβρ. 10. 28. σιν ἐντολήν· ἀθετήσας γάρ τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· δικαιοῖ γε μὴν ἐν πίστει Χριστὸς, καὶ τῶν ἀρχαίων αἰτιαμάτων ἀνίησι τοὺς ἠσθενηκότας. γέγονε τοίνυν ἐλεήμων ἀρχιερεὺς, οὐκέτι τὰς νομικὰς ἀποτομίας κρατεῖν ἐπιτρέπων.

ια'.

Πιστὸς δὲ, ὅτι μόνιμος, καὶ διηνεκὴς, καὶ ἀξιόχρεως εἰς πίστιν τῶν ἐπηγγελμένων. ὡς γὰρ
Εβρ. 7. 23. αὐτός που πάλιν φησὶν ὁ θεσπέσιος Παῦλος περὶ τῶν κατὰ νόμους ἱερέων· καὶ οἱ μὲν πλείονές εἰσιν ἱερεῖς γεγονότες, διὰ τὸ τῷ θανάτῳ κωλύεσθαι παραμένειν· ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην· ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. ἄθρει δὲ, ὅπως οὐκ εἰς κατάκρισιν τῶν ἡμαρτηκότων
Εβρ. 2. 18. γέγονεν ἀρχιερεὺς, εἰς τὸ ἱλάσκεσθαι δὲ μᾶλλον ταῖς ἁμαρτίαις αὐτῶν· ὁ δέ γε τοῦ πειρασμοῦ καὶ τῆς θυσίας ὁποῖος ἂν εἴη τρόπος; ἐν ᾧ, φησὶ, πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις, καὶ βοηθῆσαι. διεκαρτέρησε γὰρ πειραζόμενος, καὶ ὑπέμεινε σταυρόν. πλὴν ἑαυτὸν ὁ υἱὸς ὡς ἄμωμον ἱερεῖον προσκεκόμικε τῷ Θεῷ καὶ πατρὶ, ἵνα διὰ τῆς ἑαυτοῦ σαρκὸς βοηθήσῃ τοῖς κάμνουσι καὶ πειραζομένοις. μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. αὐτὸς οὖν ἄρα γέγο- Εβρ. 10. 14.
νεν ἀρχιερεὺς κατὰ τὸν ἀνθρώπινον, καί τοι παρὰ πάντων τὰς θυσίας δεχόμενος θεϊκῶς. αὐτὸς τὸ θῦμα κατὰ τὴν σάρκα. αὐτὸς ὁ ταῖς ἁμαρτίαις ἡμῶν ἱλασκόμενος κατά γε τὴν θεότητος * δύναμιν. εἷς οὖν ἄρα κύριος Ἰησοῦς Χριστός. * δυσίαν.

ιβ'.

Ὑμεῖς προσκυνεῖτε ὃν οὐκ οἴδατε· ἡμεῖς Γωάν. 4. 22.
προσκυνοῦμεν ὃν οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί.) φαίη τις ἂν ἴσως, ἀνάρμοστον εἶναι τῇ θείᾳ καὶ ἀνωτάτω τοῦ λόγου φύσει τὸ προσκυνεῖν. εἶτα πῶς, εἴπερ ἐστὶ θεὸς ἀληθῶς ὁ Χριστὸς, ἑαυτὸν τοῖς ὀφείλουσι προσκυνεῖν ὁρᾶται συντεταχώς; τί οὖν ἄρα πρὸς τοῦτο φαμέν; εἰ μὲν γυμνῇ τῇ θεότητι τὸν ἐκ Θεοῦ πατρὸς πεφηνότα λόγον ἀφῖχθαι πιστεύομεν εἰς τὸν δε τὸν κόσμον, ἀνάρμοστον κομιδῇ τὸ χρῆμα αὐτῷ· προσκυνεῖται δὲ μᾶλλον, ἤπερ αὐτὸς ἑτέρῳ προσκυνεῖ. εἰ δὲ μορφὴν δούλου λαβὼν, καὶ τῆς προσκυνούσης ἀνθρωπότητος τὸ μέτρον οὐκ ἀτιμάσας, κεχρημάτικεν υἱὸς ἀνθρώπου, ἡ προσκύνησις ἔσται τῆς οἰκονομίας, καὶ πρέπουσα μᾶλλον τοῖς τῆς κενώσεως μέτροις, οὐκ αὐτῇ κατὰ μόνας τῇ φύσει τοῦ λόγου. ἐπεὶ πῶς ἐκ τῶν Ἰουδαίων ἐστὶν ἡ σωτηρία; οὐ γάρ που φαίη τις ἂν, καθὸ νοεῖται καὶ ἔστι λόγος, ἐξ Ἰουδαίων ὑπάρχειν αὐτόν· ἀλλὰ καθόπερ ἐστὶ τοῖς ἐν σαρκὶ καὶ αἵματι γεγονὼς ἀδελφὸς, διά τοι τὸ ἐπιλαβέσθαι σπέρματος Ἀβραάμ. εἷς οὖν ἄρα Χριστὸς, κἂν προσκυνεῖν λέγειται * διὰ τὸ ἀνθρώπινον, καί * κατὰ
τοι παρὰ πάσης τῆς κτίσεως προσκυνούμενος ὡς Θεός.

ιγ'.

Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ὑπάγω Γωάν. 7. 33.
πρὸς τὸν πέμψαντάμε.) πῶ γὰρ οὐκ ἔστιν ὁ τοῦ Θεοῦ λόγος, εἰ πληροῖ τὰ πάντα τῇ τῆς θεότητος φύσει; πῶς οὖν πέμπεται παρὰ τοῦ πατρός; πῶς δὲ καὶ ὑπάγει πρὸς αὐτόν; οὐκοῦν πέμπεται μὲν Λουκ. 4. 15.
ἀνθρωπίνως κατά γε τὸν τῆς ἀποστολῆς τρόπον καὶ λόγον, ἵνα κηρύξῃ μὲν αἰχμαλώτοις ἄφεσιν, τυφλοῖς δὲ ἀνάβλεψιν. ὑπάγει γε μὴν πρὸς τὸν πατέρα Θεὸν, οὐκ ἔτι κατὰ τὸν ἴσον τρόπον, ἀλλ' οἷον * ἐν σώματι ἀναφοιτήσας εἰς οὐρανὸν, ἵνα * ἐν σώματος ἐκσώματος.
ὑπὲρ ἡμῶν ἑαυτὸν ἐμφανίσῃ τῷ προσώπῳ τοῦ πατρὸς, καθὰ γέγραπται. εἰ δὲ δὴ καὶ ἐπ' αὐτοῦ τοῦ λόγου τὸ ἀπεστάλθαι λαμβάνοιτο, χαλεπαινέτω μηδείς· ἔθος γὰρ τῇ θεοπνεύστῳ γραφῇ καὶ ταῖς τοιαύ-

Εβρ. 9. 24. τοιαύταις ἔσθ' ὅτε κεχρῆσθαι φωναῖς, καὶ οὐ τόποις καὶ περιγραφαῖς τὴν θείαν τε καὶ ὑπερκόσμιον ὑποφέρειν φύσιν· οἶδε γὰρ οὖσαν ἀσώματον, καὶ περιορισμῶν ἐπέκεινα, καὶ τοῦ ἐν τόπῳ νοεῖσθαι μακράν· φωναῖς δὲ μᾶλλον ταῖς ἀνθρωπίναις τὰ ὑπὲρ νοῦν ὄντα τὸν ἐν ἡμῖν πειρᾶται καταδηλοῦν. ἐπεὶ καὶ αὐτὸς ὁ σωτὴρ πέμπειν ἔφασκε πρὸς ἡμᾶς τὸν παράκλητον, καί τοι πληροῦντος τὰ πάντα τοῦ ἁγίου πνεύματος· πνεῦμα γὰρ κυρίου, φησὶ, πεπλήρωκε τὴν οἰκουμένην.

Γυάν. 16. 26.

Σοφ. 1. 7.

ιδ'.

Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι.) τῆς Ἰουδαϊκῆς ἀπονοίας, ἣν ἐπὶ Χριστῷ πεποίηνται, τὰς αἰτίας ἐξηγούμενος ὁ * μακάριος Ἰωάννης· διὰ τοῦτο, φησὶν, ἐδίωκον οἱ Ἰουδαῖοι τὸν Χριστὸν, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. εἰσκεκόμικε δέ που καὶ αὐτοὺς λέγοντας ἀνοσίως· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας· ὅτι σὺ ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν. οὐκοῦν ἀπαράδεκτον τὴν ἐπ' αὐτῷ πεποίηνται πίστιν, ἄνθρωπον μὲν εἶναι νομίζοντες αὐτὸ δὴ τοῦτο ψιλὸν, ἠγνοηκότες δὲ ὅτι Θεὸς ὢν ὁ λόγος ἐπελάβετο σπέρματος Ἀβραὰμ, καὶ κεκοινώνηκεν αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν· πλὴν οὐκ ἀπέστη τοῦ εἶναι Θεός. ἄτρεπτος γὰρ κατὰ φύσιν ἐστὶ, καὶ διηνεκῶς ὁ αὐτός. ὅταν οὖν, φησὶν, ὑψώσητε τὸν υἱὸν ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι· ἐσταυρώθη μὲν γὰρ ἀνθρωπίνως, ἀνεβίω δὲ θεϊκῶς· καὶ πεπίστευται διὰ τῆς ἀναστάσεως ὅτι καὶ Θεός ἐστι, καὶ Θεοῦ κατ' ἀλήθειαν υἱός. εἰ δὲ πεπίστευται πρὸς ἡμῶν οὐχ ὡς ἕτερον ἀναστήσας, ἐγηγερμένος δὲ μᾶλλον αὐτός. πᾶσά πως ἀνάγκη διὰ τὴν οἰκονομίαν ἴδιον αὐτοῦ σῶμα νοεῖσθαι τὸ πεπονθὸς τὸν θάνατον, ἵνα καὶ αὐτὸς ἀναστῆναι λέγοιτο, καί τοι τὴν φύσιν ἀθάνατος ὢν ὡς Θεός. ἑνὸς γὰρ Χριστοῦ καὶ υἱοῦ τὸν θάνατον καταγγέλλοντες, καὶ ὁμολογοῦντες τὴν ἀνάστασιν, δικαιούμεθα διὰ πίστεως. οὐκοῦν ὁ αὐτὸς ὡς εἶστε καὶ μόνος ὑπάρχων Χριστὸς Ἰησοῦς, ἀποθανεῖν μὲν ἀνθρωπίνως κατὰ τὴν σάρκα λέγεται, ἐγηγέρθαι δὲ * εἰκὸς ὡς ζωή.

Γυάν. 8. 28.

* θεσπέσιος.

Γυάν. 5. 18.

Γυάν. 10. 33.

Εβρ. 1. 14.

Γυάν. 8. 28.

* θεϊκῶς.

ιε'.

Προσῄεσάν ποτε τῷ Χριστῷ λέγοντες Ἰουδαῖοι· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε. τὰ ἔργα, ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ.) τί δὴ ἄρα κἂν τούτῳ φασὶν οἱ διορίζοντες ἀμαθῶς εἰς υἱῶν δυάδα, καὶ εἰς δύο Χριστοὺς, τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν; περὶ τίνος ἔφασκον οἱ Ἰουδαῖοι· εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ; τίς δὲ ὁ λέγων· τὰ ἔργα, ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ; τίνος εἶναί φαμεν ἴδιον πατέρα τὸν Θεόν; ἆρα τοῦ ἐκ γυναικὸς ἀνὰ μέρος τε καὶ ἰδικῶς νοουμένου; ἢ τοῦ μονογενοῦς; καί τοι τὸ δύνασθαι κατορθοῦν τὰ τῆς θεότητος ἔργα, πρέποι ἂν οὐκ ἀνθρωπεία φύσει· πόθεν; πολλοῦ γε δεῖν. ἐπειδὴ δὲ ἐπλήρου Χριστὸς τὰ ἔργα τοῦ πατρὸς, οὐκ ἄνθρωπος ἂν νοοῖτο ψιλὸς, Θεὸς δὲ μᾶλλον ἐν αἵματι καὶ σαρκὶ, μεμενηκὼς ὅπερ ἦν. ἰσουργήσει γὰρ οὕτως ἔχων τῷ ἰδίῳ γεννήτορι· καὶ τὸν τοῦ μυστηρίου λόγον καταμωμήσαιτο ἂν οὐδεὶς τῶν εὖ φρονούντων.

ιϛ'.

Τὸ δὲ παιδίον ἤυξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας· καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ. καὶ πάλιν· Ἰησοῦς προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.) ἕνα λέγοντες τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ αὐτῷ προσνέμοντες τά τε ἀνθρώπινα καὶ θεοπρεπῆ, τοῖς μὲν τῆς κενώσεως μέτροις πρέπειν ἀληθῶς διαβεβαιούμεθα τό, τε τὴν σωματικὴν αὔξησιν ἐπιδέχεσθαι, καὶ μὴν καὶ τὸ κραταιοῦσθαι, τῶν τοῦ σώματος ἀδρυνομένων μορίων κατὰ βραχή· καὶ αὐτὸ δὲ τὸ δοκεῖν πληροῦσθαι σοφίας, διά γε τὸ οἱονεὶ πρὸς ἐπίδοσιν τῇ τοῦ σώματος ἡλικίᾳ πρεπωδεστάτην τῆς ἐνούσης αὐτῷ σοφίας ἀναφοιτᾶν τὴν ἔκφανσιν· καὶ ταυτὶ μὲν, ὡς ἔφην, τῇ μετὰ σαρκὸς οἰκονομίᾳ πρέποι ἂν, καὶ τοῖς τῆς ὑφέσεως μέτροις. τῇ δέ γε φύσει τοῦ λόγου πρέποι ἂν πάλιν τὸ ἀεὶ τελείως ἔχειν, καὶ εἶναι σοφίαν. αὐτοῦ τοιγαροῦν ἀνθρωπίνως τὸ ὡς ἐν κενώσει τυχὸν ὑφειμένον· αὐτοῦ δὲ ὁμοίως τὰ θεοπρεπῆ, θεϊκῶς· ὁ γάρ τοι τῆς μετὰ σαρκὸς οἰκονομίας τρόπος τε καὶ λόγος οἶδεν ὄντα αὐτὸν καθ' ἡμᾶς, καὶ ὑπὲρ ἡμᾶς. ὑπερέχοντα μὲν τῶν τῆς κτίσεως μέτρων ὡς Θεόν· ἑαυτοῦ δέ πως μονονουχὶ καὶ ἡττώμενον, καθὸ πέφηνεν ἄνθρωπος. ποῦ γὰρ ἡ ταπείνωσις, ἣν ὑπέμεινεν ἑκὼν, εἰ παραιτοῖτο τὰ ἀνθρώπινα; πλὴν οὐκ ἐν αὐτοῖς ἡ τοῦ λόγου νοεῖται φύσις, οἰκειοῦται δὲ μᾶλλον αὐτὰ μετὰ τῆς ἰδίας σαρκός· καθάπερ ἀμέλει καὶ τὸ πεινῆν καὶ διψῆν, καὶ τὸ λέγεσθαι καμεῖν ἐκ τῆς ὁδοιπορίας· ὅταν οὖν ἀκούῃς· τὸ δὲ παιδίον ἤυξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας· δέχου πρὸς ἀπολογίαν τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον. ὅτι γὰρ ἦν Θεὸς ἐν σαρκὶ, πιστώσεται λέγων αὐτὸς ὁ μακάριος εὐαγγελιστής· ὅτι χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ. οὐ γὰρ ὡς χάριν ἔχον παρ' ἑτέρου Θεοῦ, χάριν ἔχειν λέγεται Θεοῦ, ἀλλ' ὅτι χάριν εἶχε τὸ παιδίον, ἥπερ ἂν πρέπῃ Θεῷ. καὶ γὰρ ἦν τε καὶ ἔστι Θεὸς ὁ λόγος, καὶ ἐν σαρκὶ πεφηνὼς, τουτέστιν ἄνθρωπος καθ' ἡμᾶς. εἰ δὲ δὴ λέγοιτο χάριν ἔχειν, ἤγουν προκόπτειν ἐν χάριτι παρά τε Θεῷ καὶ ἀνθρώποις, τὸ ἀπεικὸς οὐδέν· εἰ δὲ αὐτὸς ὁ πατὴρ ἀπεδέχετο τὴν οἰκονομίαν, καὶ αὐτὸν δὲ τὸν υἱὸν οἰκειούμενον τὰ σάρκικα, διὰ τὸ τῷ μυστηρίῳ πρέπον τε ὁμοῦ καὶ τὸ χρήσιμον.

Λουκ. 2. 40.

Λουκ. 52.

Λουκ. 2. 40.

ιζ.

Ματθ. 24. 36. Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς
Μαρκ. 13. 31. οἶδεν, οὔτε οἱ ἄγγελοι τῶν οὐρανῶν, οὔτε ὁ υἱὸς,
εἰ μὴ ὁ πατήρ.) εἰ Χριστὸν ἕνα, φασὶν, ὁμο-
λογεῖν ἐγνώκατε τὸν Θεοῦ λόγον σεσαρκωμένον,
ἤγουν ἐνηνθρωπηκότα, πῶς ἠγνόησε τὴν τῆς συν-
τελείας ἡμέραν; φαμὲν οὖν, ὅτι τὸ ἀγνοῆσαι
τυχὸν τὰ ἐν Θεῷ μυστήρια, οὔτε ἀσύνηθες, οὔτε
Ἡσαΐ. 40. 13. μὴν ἑτέρως ἀπρεπὲς ἂν εἴη τῇ κτίσει. τίς γὰρ
ἔγνω νοῦν κυρίου κατὰ τὸ γεγραμμένον; καὶ εἰ λέ-
Εβρ. 2. 7. γεται βραχὺ παρ' ἀγγέλους ἠλαττῶσθαι ὁ υἱὸς,
καθὸ γέγονεν ἄνθρωπος δηλονότι, καί τοι κτί-
σεως ἁπάσης ὢν ἐπέκεινα θεϊκῶς· τὶ τὸ θαῦ-
μα, κἂν ὁμοῦ τοῖς ἀγγέλοις ἀγνοεῖν λέγηται
τὸ ἐν Θεῷ μυστήριον, καί τοι σοφία καὶ δύναμις
1. Κορι. 1. 24. ὑπάρχων αὐτοῦ; εἶτα πῶς ἂν ἠγνοήσεν ἡ σο-
φία τοῦ πατρὸς τὰ ἐν αὐτῷ κεκρυμμένα; καὶ εἰ
τὸ πνεῦμα λέγεται πάντα ἐρευνᾶν, καὶ τὰ βάθη
1. Κορι. 2. 10. τοῦ Θεοῦ, πνεῦμα δέ ἐστι τοῦ * Χριστοῦ, πῶς ἂν
* Θεοῦ. αὐτὸς ἠγνόησεν, ἅπερ οἶδεν ἀκριβῶς τὸ πνεῦ-
μα αὐτοῦ; οὐκοῦν κἂν ἀγνοεῖν ἀνθρωπίνως λέ-
γηται, ἀλλ' οἶδε θεϊκῶς. καὶ γοῦν, ποῦ τέθειται
Ἰωάν. 12. 34. Λάζαρος, ἐρωτῶν, ὡς ἐξὸν αὐτῷ μὴ εἰδέναι
κατὰ τὸ ἀνθρώπινον, ἐνήργηκε θεϊκῶς, ἀναστή-
σας αὐτὸν ἐκ νεκρῶν. ἀπονέμοντες τοίνυν τῇ μετὰ
σαρκὸς οἰκονομίᾳ τὰ ἀνθρώπινα, τηρήσωμεν εὐ-
σεβῶς καὶ καθ' ἡμᾶς γεγονότι τῷ ἐκ Θεοῦ φυῦτι
λόγῳ τὰ θεοπρεπῆ.

ιη.

Ματθ. 27. 42. Ἐβόησε δὲ φωνῇ μεγάλῃ ὁ Ἰησοῦς· Θεέ μου,
Θεέ μου, ἵνατί με ἐγκατέλιπες;) ἆρα οὖν καὶ αὐτὸν
ἐπικουρίας τῆς ἄνωθεν φαμὲν δεδεῆσθαι τὸν ἐκ Θεοῦ
πατρὸς λόγον; καί τοι πῶς τοῦτό ἐστιν οὐκ εὔηθες
κομιδῇ; συγκατάρχει γὰρ τῶν ὅλων τῷ Θεῷ καὶ πα-
Ψαλμ. 32. 6. τρὶ, καὶ στερεοῖ μὲν οὐρανοὺς τῷ ἰδίῳ πνεύματι, κύ-
Ψαλμ. 23. 10. ριος δὲ τῶν δυνάμεων ὀνομάζεται καὶ ἔστι κατὰ ἀλή-
θειαν. ἀλλ' ἠτόνησεν ἄρα πρὸς τὰς τῶν Ἰουδαίων
ἐπιβουλὰς, καὶ ἄμαχος ἦν αὐτῷ τῶν σταυρούντων ἡ χείρ.
Ἡσαΐ. 40. 15. καί τοι φησὶν ὁ προφήτης Ἡσαΐας. εἰ πάντα τὰ
ἔθνη ὡς σταγὼν ἀπὸ κάδδου, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλο-
γίσθησαν, καὶ ὡς σίελος λογισθήσονται· τίνι ὡμοιώ-
σατε τὸν κύριον; καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐ-
τόν; ἰστέον δὲ, ὅτι παρῆσαν μὲν οἱ τῆς Ἰουδαίων
συναγωγῆς ὑπηρέται, τὴν τῶν στρατιωτῶν ἔχοντες
σπεῖραν, ἡγούμενον δὲ τὸν προδότην. ἐπειδὴ δὲ
ἐζήτουν αὐτὸν συλλαβέσθαι, ἀπήντα λέγων· τί-
να ζητεῖτε; οἱ δὲ πρὸς τοῦτο ἔφασαν· Ἰησοῦν
Ἰωάν. 18. 5. τὸν Ναζωραῖον. εἶτα πρὸς αὐτοὺς ὁ σωτήρ· ἐγὼ
εἰμι. καὶ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χα-
μαί. εἶτα πῶς ἂν ἠτόνησεν ὁ καὶ μόνῃ τῇ φωνῇ
τὴν τῶν ἐπιβουλευόντων ἐλέγξας ἀσθένειαν; τί οὖν
ἄρα βούλεται λέγων· Θεέ μου, Θεέ μου, ἵνατί με
ἐγκατέλιπες; φαμὲν τοίνυν, ὅτι τοῦ προπάτορος
Γενεσ. 3. Ἀδὰμ τὴν δοθεῖσαν αὐτῷ πατήσαντος ἐντολὴν,
καὶ τοῦ θείου ἀλογήσαντος νόμου, ἐγκαταλέλειπταί
πως ἡ ἀνθρώπου φύσις παρὰ τοῦ Θεοῦ· γέγονε δὲ
ἐπάρατος διὰ τοῦτο, καὶ θανάτῳ κάτοχος. ἐπειδὴ
δὲ τὸ * πεπονθὸς ἀναστοιχειώσων εἰς ἀφθαρσίαν * πεπτωκὸς
ἐπεδήμησεν ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, ἐπελά-
βετό τε σπέρματος Ἀβραὰμ, καὶ ὡμοιώθη τοῖς ἀ- Εβρ. 2.
δελφοῖς, ἔδει μετὰ τῆς ἀρχαίας ἐκείνης ἀρᾶς καὶ
τῆς ἐπεισάκτου φθορᾶς καταλῆξαι τὴν ἐγκατά-
λειψιν, ἣν ὑπέμεινεν ἐν ἀρχαῖς ἡ τοῦ ἀνθρώπου
φύσις· ὡς οὖν εἷς ὑπάρχων τῶν ἐγκαταλελειμμέ-
νων, καθὸ καὶ αὐτὸς παραπλησίως ἡμῖν μετέσχεν
αἵματος καὶ σαρκὸς, τὸ ἵνατί με ἐγκατέλιπες;
φησίν· ὅπερ ἦν λύοντος ἐναργῶς τὴν συμβᾶ-
σαν ἡμῖν, ἐγκατάλειψιν, καὶ οἷον ἐκδυσωποῦντος
ἐφ' ἑαυτῷ τὸν πατέρα, καὶ καλοῦντος εἰς εὐμένειαν
τὴν ἐφ' ἡμῖν ὡς ἐφ' ἑαυτῷ καὶ πρώτῳ. παντὸς
γὰρ ἡμῖν γέγονεν ὁ Χριστὸς ἀγαθοῦ καὶ ἀρχὴ καὶ
πρόξενος. ὥστε κἂν εἴτι λέγοιτο λαβεῖν ἀνθρω-
πίνως παρὰ τοῦ πατρὸς, τοῦτο τῇ ἡμετέρᾳ προὐ-
ξένησε φύσει, πλήρης ὑπάρχων ὁ αὐτὸς, καὶ οὐ-
δενὸς τοπαράπαν ἐνδεὴς, ὡς Θεός.

ιθ'.

Τοῦτο φρονείτω ἕκαστος ἐν ὑμῖν αὐτοῖς, ὃ καὶ Φιλίππ. 2. 5.
ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων,
οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ'
ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώ-
ματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς
ὡς ἄνθρωπος· ἐταπείνωσεν ἑαυτὸν, γενόμενος
ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ
καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ
ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι
Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων,
καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογή-
σηται, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ
πατρός.) ἰδοὺ δὴ σαφῶς τὸν ἐν μορφῇ καὶ ἰσό-
τητι τοῦ Θεοῦ καὶ πατρὸς Θεὸν λόγον οὐχ ἁρπαγ-
μὸν ἡγήσασθαί φησι τὸ εἶναι ἴσα Θεῷ· κεκενῶ-
σθαι δὲ μᾶλλον ἐθελοντὴν μορφὴν δούλου λαβόν-
τα, καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενον. προ-
σεπάγει δὲ, ὅτι τεταπείνωκεν ἑαυτὸν, γενόμενος
ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· εἴ-
περ οὖν διαιρετέον εἰς δύο Χριστοὺς καὶ υἱοὺς τὸν ἕνα
καὶ μόνον Χριστὸν καὶ κύριον, καὶ κατάγε τό τισι δο-
κοῦν, τὸν ἐκ γυναικὸς ἄνθρωπον τετίμηκε μὲν ἰσό-
τητι τῶν ἰδίων ἀξιωμάτων ὁ τοῦ Θεοῦ λόγος, καὶ
συνῆψεν ἑαυτῷ κατὰ τὸν τῆς αὐθεντίας τρόπον, καὶ
κατὰ τὴν τῆς υἱότητος ὁμωνυμίαν, ὡς ἕτερος ὢν
ἰδικῶς παρ' αὐτὸν υἱός· τίς ἄρα ὁ κενώσας ἑαυτόν;
ἢ τίνα κεκένωται τρόπον; εἰ μὲν γὰρ, ὡς αὐτοί
φασιν, ὁ ἐκ γυναικὸς ἰδικῶς νοούμενος ἄνθρωπος
τοῦτο λέγεται παθεῖν, πῶς ἢ τίνα κεκένωται
τρόπον; κατέβη δὲ ὅπως εἰς ταπείνωσιν ὁ ἐν
ἰσότητι γεγονὼς τῇ πρὸς Θεὸν λόγον κατά
γε τὸν τῆς ἀξίας, ἤγουν αὐθεντίας τρό-
πον, καὶ ταύτην ἔχων πρὸς αὐτὸν τὴν συνά-
φειαν; εἰ δὲ ἐπ' αὐτοῦ τοῦ Θεοῦ λόγου νου-
μένου πάλιν ἰδικῶς καὶ ἀνὰ μέρος υἱοῦ τὸ
κεκενῶσθαι λέγοιτο, πῶς κεκένωται τιμήσας ἕ-
τερον, καθά φασιν ἐκεῖνοι, καὶ τοῖς ἰδίοις αὐτὸν
ἀξιώμασι περιβαλών; τεταπείνωται δὲ τίνα τρό-
πον

πον ὁ τῆς αὐτοῦ δόξης τὸ ὕψος τῷ συναφθέντι διδούς; εἰ γὰρ δὴ φαῖεν, ὅτι δοξάζων ἕτερον αὐτὸς ὑπομένει τὴν ταπείνωσιν, ἤγουν τὴν κένωσιν, οὐδὲν, ὡς ἔοικε, τῶν ἀτόπων ἐννοεῖν ὅτι καὶ ὑβρίζων ὑψοῦται. ἀναγκαίου τοιγαροῦν ἡμᾶς, καὶ μέντοι καὶ ἀληθοῦς μονονουχὶ συνωθοῦντος λόγου πρός γε τὸ οἴεσθαι δεῖν ὅτι κενοῦται τὸ πλῆρες, καὶ ἐν δούλου μορφῇ γένοιτ' ἂν, οὐ τὸ τῇ φύσει δοῦλον, ἀλλὰ τὸ τῶν τῆς δουλείας ἐπέκεινα μέτρον. γίνεται δὲ καὶ ἐν ὁμοιώματι ἀνθρώπων, τὸ μὴ οὕτως ἔχον κατὰ φύσιν πρὶν γένηται. καὶ ὅτι ταπεινοῦται τὸ ὑψηλόν, αὐτὸν πιστεύομεν τὸν τοῦ Θεοῦ λόγον ἀνθρωπίνως ἐν τούτοις γενέσθαι, κατ' ἰδίαν θέλησιν ὑπὲρ ἡμῶν· μεμενηκέναι δὲ θεϊκῶς ἐν τοῖς τῆς ἰδίας ὑπεροχῆς ὑψώμασι. ταύτῃ τοι καὶ ὑπερυψῶσθαι λέγεται, καὶ λαβεῖν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, προσκυνεῖσθαί τε παρὰ πάντων, καὶ εἰς δόξαν Θεοῦ πατρὸς * ὀνομάζεσθαι κύριος. καί τοι γὰρ ὑπάρχων ἐν τῇ τοῦ πατρὸς ὑπεροχῇ, καὶ ἐν ἀῤῥήτοις ὑψώμασιν· ἐπειδὴ καθῆκεν ἑαυτὸν εἰς κένωσιν, καὶ τεταπεινῶσθαι λέγεται, μορφὴν δούλου λαβών· ἀνέβη δὲ πάλιν εἰς τὸν ἴδιον πλοῦτον, τῆς ἐνωθείσης αὐτῷ φύσεως, δῆλον δὲ ὅτι τῆς ἀνθρωπίνης, τὴν πτωχείαν ὑπερδραμὼν, ταύτῃ τοι λαβεῖν ἀνθρωπίνως λέγεται τὸ ἀεί τε καὶ ἀναποβλήτως ἐνυπάρχον αὐτῷ, τουτέστι τὸ εἶναι Θεὸς καὶ τῶν ὅλων κύριος. καὶ εἴπερ ἐστὶν, εὐκλεὲς τῷ πατρὶ τὸ κύριον ἔχειν τῶν ὅλων τὸ ἴδιον υἱὸν, πῶς οὐκ ἀληθὲς εἰπεῖν, ὅτι τετήρηται πάλιν αὐτῷ, καὶ τὴν τοῦ δούλου λαβόντι μορφὴν, τὸ ἐλεύθερον καὶ τῆς κατὰ πάντων κυριότητός τε καὶ ἐξουσίας τὸ ὑπερφερὲς ἀξίωμα;

* ὀνομάσθαι

κ'.

Κολασ. 1. 13. Εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί· ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε. καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων· ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν· εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς.) εἰκόνα φησὶ τοῦ ἀοράτου Θεοῦ τὸν ἐξ αὐτοῦ γεννηθέντα κατὰ φύσιν υἱὸν, τουτέστι τὸν Θεὸν λόγον· καὶ μὴν ὅτι δι' αὐτοῦ τὰ πάντα παρήχθη πρὸς γένεσιν, εἴτε τὰ ὁρατὰ, εἴτε τὰ ἀόρατα, ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· καὶ ὅτι πρὸ πάντων ἐστὶν αὐτός· ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος· καὶ αὐτός ἐστιν ὁ τῶν αἰώνων δημιουργὸς, καὶ χρόνου παντὸς πρεσβυτέραν ἔχων τὴν ὕπαρξιν. ἀλλὰ τὸν οὕτως ἔχοντα κατὰ φύσιν ἰδίαν δεδόσθαι φησὶ παρὰ τοῦ πατρὸς κεφαλὴν τοῦ σώματος τῆς ἐκκλησίας, αὐτόν τε εἶναι τὸν πρωτότοκον ἐκ τῶν νεκρῶν. εἶτα πῶς ὑπάρχων ἀεὶ Θεὸς λόγος, ἐν ᾧ τὰ πάντα συνέστηκε, πρωτότοκος τῶν νεκρῶν γενέσθαι λέγεται, καὶ ἀπαρχὴ τῶν κεκοιμημένων, εἰ μή ἐστιν αὐτοῦ κατὰ ἀλήθειαν ἴδιον σῶμα τὸ παρ' αὐτοῦ ληφθέν· οὗ πεπονθότος τὸν θάνατον, αὐτὸς ἂν νοοῖτο παθεῖν; οὐκ ἀπίθανον ἔχοντος λόγον ἐν ἑαυτῷ τοῦ συμβεβηκότος· πέπονθε γὰρ τὸ ἴδιον αὐτοῦ· οὕτω νοεῖται πρωτότοκος ἐκ τῶν νεκρῶν, καί τοι τὴν φύσιν ἀθάνατος ὢν, καὶ αὐτὸς χρηματίζων ζωή. ὅτε τοίνυν δέδοται κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, καθεὶς ἑαυτὸν εἰς κένωσιν, τότε λέγεται καὶ ἀποθανεῖν ἀνθρωπίνως ὑπὲρ ἡμῶν, ὁ παθεῖν οὐκ εἰδὼς τὸν θάνατον ὡς Θεός.

κα'.

Λέγοντος δὲ τοῦ μακαρίου Παύλου, ὅτι ἐν αὐτῷ κατῴκησε πᾶν τὸ πλήρωμα, φαῖεν ἂν ἴσως τινές· ἰδοὺ Χριστὸν ἕτερον οἶδεν ἰδικῶς τὸν ἐκ γυναικὸς ἄνθρωπον, ἐν ᾧ κατῴκησεν ὡς ἕτερος παρ' αὐτὸν Χριστὸς, καὶ ἰδικῶς ὁ λόγος, ἤτοι πνεῦμα τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. πρὸς δὴ τὰ τοιάδε φαμὲν, ὅτι δύο Χριστοὺς ὁ πνευματοφόρος οὐκ οἶδεν, ἀλλ' ἕνα κηρύττει, καθάπερ ἀμέλει καὶ ἕνα πατέρα. ἡμῖν γὰρ, φησὶν, εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν. καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. ἐπεὶ φέρε διασκεψώμεθα παρατιθέντες εἰς βάσανον τῶν εἰρημένων τὴν δύναμιν· τὴν εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου, τὸν δι' οὗ καὶ ἐν ᾧ τὰ πάντα, τὸν προαιώνιον υἱὸν, τὴν τῶν ὅλων σύστασιν, δεδόσθαι φησὶ τῇ ἐκκλησίᾳ κεφαλὴν, καὶ μὴν ὅτι γένοιτο πρωτότοκος ἐκ νεκρῶν. ἐπειδὴ δέ ἐστι τὴν φύσιν ἀθάνατος, πᾶσά πως ἀνάγκη πρὸς ἕνωσιν οἰκονομικήν τε καὶ ἀληθῆ τῇ καθ' ἡμᾶς ἀνθρωπότητι συνενεχθῆναι λέγειν τὸν ἐκ Θεοῦ πατρὸς λόγον, ἕνα τε οὕτως ἡμῖν ἀναδειχθῆναι Χριστὸν, τὸν αὐτὸν ὁμοῦ Θεὸν ὄντα καὶ ἄνθρωπον. ἐν τίνι δὴ οὖν κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς; ἰδικῶς μὲν οὖν καὶ κατὰ μόνας ἐν τῇ τοῦ λόγου φύσει τοῦτο πεπράχθαι νομίζειν, εὐηθες κομιδῇ· ἴσον γὰρ εἰπεῖν, ὡς αὐτὸς ἐν ἑαυτῷ κατῴκησεν ὁ μονογενής. πιστεύοντας δὲ ὅτι γέγονε σὰρξ ὁ λόγος, οὐ κατὰ μετάστασιν ἢ τροπὴν, ἀλλ' ὅτι μᾶλλον ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ναὸν ἴδιον ἐπιήσατο τὸ ἑνωθὲν αὐτῷ κατὰ ἀλήθειαν σῶμα, ψυχὴν ἔχον τὴν λογικὴν, εὐσεβὲς εἰπεῖν, ὅτι τὴν ἐν τῇ ἁγίᾳ σαρκὶ τοῦ λόγου κατοίκησιν, ἤγουν ἕνωσιν ἀληθῆ κατασημαίνων ἡμῖν ὁ θεσπέσιος Παῦλος, ἐν αὐτῷ φησι κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος, οὐ μεθεκτῶς μᾶλλον, ἢ χετικῶς, ἤγουν ὡς ἐν δόσει χάριτος, ἀλλὰ σωματικῶς, ὅ ἐστιν οὐσιωδῶς· ὡς ἂν εἰ καὶ ἐν ἀνθρώπῳ λέγοιτο κατοι-

Κολασ. 2. 9.

τοιχεῖν τὸ πνεῦμα αὐτοῦ, οὐχ ἕτερον ὂν παρ' αὐτόν, ἐφ' οἷς δὲ προσώπου πολλάκις διαπρόσωπον ἡμῖν εἰσφέρεται λόγου σχῆμα, καὶ κατ' οὐδενὸς ξένον ἀδικεῖ τινὰ ἀλήθειαν, οἷον φέρε εἰπεῖν, ὡς εἰ λέγοιτο περὶ Θεοῦ παρὰ τῆς θεοπνεύστου γραφῆς· ὁ πλάσας πνεῦμα ἀνθρώπου ἐν αὐτῷ. καί τοι πῶς ἐχ' ἅπασιν ἐναργές, ὡς οὐκ ἂν νοοῖτο * περὶ τὸν ἄνθρωπον ἕτερον ἐν ἑαυτῷ πλαττόμενον αὐτοῦ πνεῦμα; φησὶ δέ που καὶ ὁ μακάριος Δαυὶδ· νυκτὸς μου τῆς καρδίας ἠδολέσχουν, καὶ ἤσσαλλε τὸ πνεῦμά μου. εἶτα τίς ἰὼ ὁ μου τῆς καρδίας αὐτοῦ ἀδολεσχῶν, καὶ τὸ ἴδιον πνεῦμα ἀσσάλλον ἔχων; χρὴ τοίνυν τὰ μὲν τῶν λόγων σχήματα μὴ σφόδρα φιλοχρινεῖν, ἀφορᾶν δὲ μᾶλλον εἰς αὐτὰς τῶν πραγμάτων τὰς φύσεις, καὶ ἐξ αὐτῶν δὴ μᾶλλον ποδηγουμένους ἐπ' αὐτὰ ἰέναι τὰ ἀληθείαν.

Ζαχ. 12.

* παρὰ

Περὶ τῆς ὑπακοῆς τοῦ Χριστοῦ.

Ῥωμ. 5. 18.

Ἀ'Φ' ἑνὸς ὡς δι' ἑνὸς ἁμαρτήματος εἰς πάντας ἀνθρώπους, εἰς κατάκριμα· οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους, εἰς * δικαίωμα ζωῆς, ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθημεν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς ἀνθρώπου δίκαιοι * κατασταθήσονται οἱ πολλοί.) τῆς ἀνθρώπου φύσεως ἀρᾷ ἡ δίκη θανάτου καταδεδικασμένης διὰ τὸ τοῦ πρωτοπλάστου παράκουμα, ἔδει πάλιν ἀνασφῆλαι πρὸς τὸ ἐν ἀρχαῖς αὐτῷ ἀνεπίπληκτον κομιδῇ τῆς ὑπακοῆς ποιεμένῳ τινὰ ἔνδειξιν. ἀλλ' ἦδη τοῦτο πολὺ καὶ λίαν ἐπέκεινα τῆς τῆς ἀνθρωπότητος μέτρων· καθαρὸς γὰρ οὐδεὶς ἀπὸ ἁμαρτιῶν. παθοῦσα δὲ ἅπαξ τὸ πλημμελὲς, καὶ ταῖς οἰκοθεν ἀσθενείαις κεκρατημένη, καὶ ἐν ἰδίᾳ σαρκὶ τινὰ τῆς φαυλότητος νοσοῦσα * χύσεσιν, ἀγελαίνοντά τε τὸν τῆς ἁμαρτίας ὠδίνουσα νόμον πῶς ἂν δίεδρα παντελῶς; τὸ γὰρ φρόνημα τῆς σαρκὸς παντελῶς ἔχθρα, φησὶν, εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται. ἀμηχάνως τοίνυν ὁ Θεὸς ὁ πατὴρ ἀνακεφαλαιούμενος τὰ πάντα ἐν τῷ Χριστῷ, καὶ ἐκ πολλῆς ἄγαν ἡμερότητος τῆς ἀνθρώπου πραγματευόμενος φύσει τινὰ εἰς ὅπερ ἰὼ ἐπάνοδον, ἤγουν ἀνακομιδήν, ἐξαπέστειλε τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, ἵνα τὸ ὅμοιον ἡμῖν σώμαλαβὼν, καὶ ἴδιον αὐτοῦ ποιησάμενος, ὡς ἄνθρωπος ἐπὶ γῆς ἀρεθῇ ὁ μὴ εἰδὼς ἁμαρτίαν· ὅπως τε εἰς ἅπαν κατήκοος γενόμενος τῷ Θεῷ καὶ πατρὶ, δικαιώσῃ τινὰ ἀνθρώπου φύσιν ἐν ἑαυτῷ, καὶ τῆς τοῦ θανάτου δεσμῶν ἐξέλητται, * φύλλοις ἀναμαρτησίας * στεφανούμενος παρὰ τοῦ Θεοῦ καὶ πατρός. καὶ γάρ ἐστι τῆς ἄτοπον, κληρονόμους μὲν ἡμᾶς τῆς τοῦ πρώτου γενέσθαι δίκης, σύνοικον, τῇ φθορᾷ δηλαδὴ τῆς παρακοῆς· τῆς δὲ τοῦ δευτέρου δικαιοσύνης μὴ μεταλαχεῖν, ἀναχωμίζοντος εἰς ζωὴν διὰ τῆς εἰς ἅπαν ὑπακοῆς. ὅταν ἓν λέγῃ τὸ γράμμα τὸ ἱερὸν, δι' ὑπακοῆς ἑνὸς δεδικαιῶσθαι πολλοὺς, οὐκ ἄνθρωπον ἁπλῶς ἕνα τῆς καθ' ἡμᾶς εἰς τοῦτο παραληφθῆναί φαμεν, σύνοικον

Γαλατ. 4. 4.

ἄθλοις ἢ *στολαῖς.

* στεφανούμενος.

Ῥωμ. 8. 7.

Ῥωμ. 5. 19.

Φιλιπ. 2. 8.

Ἑβρ. 2. 9.

Ῥωμ. 10. 6.

Κολ. 2. 14.

Ἑβρ. 2. 14.

Ἰωάν. 12. 31.

Ἰωάν. 16. 11.

Ἰωάν. 14. 30.

Ἰωάν. 16. 33.

Ἰωάν. 12. 32.

Ἰωάν. 17. 19.

Ἰωάν. 10. 18.

Ἰωάν. 17. 19.

Ἰωάν. 17. 19.

Ἰωάν. 17. 19

παραξέπουσιν ἐπί γε τὸ αὐτοῖς ἀπερισκέπτως δοκοῦν. οὐ γὰρ σαρκικὰ τοιγαροῦν τῶν ἁγίων τὰ ὅπλα, δυνατὰ δὲ μᾶλλον τῷ Θεῷ. καθαιροῦσι γὰρ λογισμοὺς τοὺς εἰς ἐκτόπους ἡμᾶς ἐννοίας ἀποκομίζοντας. καὶ οἷά τινας τῶν ἀλιτηρίων βαρβάρων τῇ βασιλέως δόξῃ φιλονεικεῖν ἐγνωκότας ἐκ μέσου ποιῆσαι σπουδάζουσι· κἂν εἴ τις εἰς ὕψος ἐπαίροι τὸ κέρας τῶν εἰωθότων λαλεῖν ἀδικίαν κατὰ Θεοῦ, τοῦτον ἐννοίαις ταῖς εἰς ὀρθότητα μονονουχὶ καταπαίουσι, μετατιθέντες εἰς τὸ εὐθὺ, καὶ τοῖς τῆς ἀληθείας ἐμβιβάζοντες λόγοις. εὐτεχνίας οὖν ἄρα τῆς ἀληθῶς ἁγιοπρεποῦς ἔργον ἂν γένοιτο, καὶ ἀρέσκον Θεῷ, τὸ τοῖς τῆς οἰκονομίας λόγοις ὑποφέρειν ἀεὶ τὸ ἀντιτετάχθαι δοκοῦν τῇ δόξῃ Χριστοῦ. Θεὸς γὰρ ὢν ὁ λόγος, καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ πατρὸς, ἑαυτὸν καθῆκεν εἰς κένωσιν, καὶ γέγονεν, ὑπήκοος μέχρι θανάτου. δεῖ τοίνυν πᾶν νόημα περιτρέπειν ἀστείως καὶ οἷον αἰχμαλωτίζειν εἰς τὴν ὑπακοὴν αὐτοῦ. εἰ γὰρ δή τι λέγοιτο καὶ τῶν ἀνθρωπίνων, κατ' οὐδένα τρόπον ἀδικήσειεν ἂν τὴν τοῦ λόγου φύσιν τὸ ἐν ἀνθρωπότητι σμικροπρεπὲς, εἰ πιστεύοιτο καθ' ἡμᾶς ἄνθρωπος γεγονώς· καὶ οὔτοι που τὸ εἶναι Θεὸς ἀποβεβληκὼς, ἀλλὰ μετὰ τοῦ μεῖναι Θεὸς, προσλαβὼν τὸ ἀνθρώπινον, καὶ ὑπήκοος γενόμενος μέχρι θανάτου κατὰ τὴν σάρκα.

Φιλιπ. 2.

κϛ'.

Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. πλείονος γὰρ οὗτος δόξης παρὰ Μωϋσὴν ἠξίωνται, καθόσον πλείονα τοῦ οἴκου τιμὴν ἔχει ὁ κατασκευάσας αὐτόν. πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος· ὁ δὲ τὰ πάντα κατασκευάσας, θεός. καὶ Μωσῆς μὲν πιστὸς ὢν, ὡς θεράπων, ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, εἰς μαρτύριον τῶν λαληθησομένων· Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ. οὗ οἶκός ἐσμεν ἡμεῖς·) ἀπόστολος καὶ ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν παρὰ τοῦ Θεοῦ καὶ πατρὸς γέγονεν Ἰησοῦς, τουτέστιν ἄνθρωπος πεφηνὼς ὁ ἐκ Θεοῦ λόγος· τότε γὰρ ὠνόμασται καὶ Ἰησοῦς διὰ τῆς τοῦ ἀγγέλου φωνῆς. καὶ μικρὸν μὲν κομιδῇ τῇ τοῦ λόγου φύσει τό, τε τῆς ἱερωσύνης, καὶ τὸ τῆς ἀποστολῆς ὄνομά τε καὶ χρῆμα· τοῖς γε μὴν τῆς ἀνθρωπότητος μέτροις εἴη ἂν οὐκ ἀνάρμοστον. ὡς γὰρ αὐτός που φησὶν, ὁ υἱὸς οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ ἀντίλυτρον ὑπὲρ πολλῶν. τὸ μὲν γὰρ διακονεῖσθαι παρὰ τῆς κτίσεως, πρέποι ἂν αὐτῷ καὶ μάλα εἰκότως, ὥσπερ Θεῷ καὶ δεσπότῃ, καὶ ὑπὸ πόδας ἔχοντι πᾶν ὅπερ ἐστὶ γενητόν. τὸ δέ γε διακονεῖν, ἀνθρώπινον μέν. πλὴν ὅσον ἧκεν εἰς τοὺς τῆς μετὰ σαρκὸς οἰκονομίας λόγους, οὐκ ἀπεοικὸς τῷ γε ὅλως ἑαυτὸν καθέντι πρὸς τὰ ἀνθρώπινα. ἄθρει δὲ ὅπως ἱερατεύει μὲν ἀνθρωπίνως, καὶ μεσίτης τέθειται καὶ Θεοῦ καὶ ἀνθρώπων. μεσιτεύει γὰρ πᾶς ἱερεύς. τὸν δὲ τῆς θυσίας τρόπον οὐκ ἔτι καθ' ἕνα τῶν καθ' ἡμᾶς ἱερέων προσκομίζει δουλοπρεπῶς, οὐδὲν αὐτὸς ἐπικοινωνῶν εἰς τὸ λαβεῖν αὐτήν· ἀλλ' ἑαυτῷ πραγματεύεται, καὶ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ τῷ πατρί. ἱερουργεῖ γὰρ ἡμῶν τὴν ὁμολογίαν, τουτέστι τὴν πίστιν, ἣν καὶ ὀρθῶς κατειθίσμεθα ποιεῖσθαι, λέγοντες· πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. οὐκοῦν κἂν ἱερατεύειν ἀνθρωπίνως λέγηται, ἀλλὰ δέχεται τὴν θυσίαν αὐτὸς θεϊκῶς, ὁ αὐτὸς ὢν ὁμοῦ Θεὸς καὶ ἄνθρωπος. εἴρηται δὲ πιστὸς, διὰ τὸ ἀεὶ σώζειν δύνασθαι τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ. πιστὸς δὲ ὠνόμασται καὶ αὐτὸς ὁ πατήρ. συγγκρινόμενος δέ πως τῇ Μωσέως διακονίᾳ κατὰ τὸ ἀνθρώπινον, ὅσην ἔχει τὴν ὑπεροχὴν κατάγε τὸ εἶναι Θεὸς, ἀναμάθοι τις ἂν, καὶ οὐ σὺν ἱδρῶτι μακρῷ, ἐννοῶν, ὅτι ὁ μὲν ὡς οἰκέτης ἐν τῷ οἴκῳ πιστὸς, ὁ δὲ ὡς δεσπότης ἐπὶ τὸν οἶκον αὐτοῦ. καὶ ὅτι τοῦ οἴκου κατασκευαστὴς καὶ δημιουργὸς ὁ Ἐμμανουήλ· οἷ οἶκός ἐσμεν ἡμεῖς. ἀσύγκριτος δὲ ποιητοῦ πρὸς τὸ ποιηθὲν ἡ διαφορὰ, καὶ τοῦ κατὰ φύσιν δεσπότου πρὸς * τὸ δοῦλον ἀληθῶς, καὶ ἐν ὑφέσει νοούμενον.

Εβρ. 3. 1.

Λαλ. 1. 31.

Ματθ. 20. 28.

* τὸν δοῦλον

κζ'.

Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ' ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. τοῦτο δ' ἐστὶ τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.) καταβῆναί φησιν ἑαυτὸν ἐξ οὐρανοῦ, ἀπεστάλθαι τε παρὰ τοῦ Θεοῦ καὶ πατρὸς, καίτοι τὰ πάντα πληρῶν· ἐκεῖνο, οἶμαι, καταδεικνὺς, καὶ καθιστὰς ἅπασιν ἐναργὲς, ὅτι Θεὸς ὢν ὁ λόγος, καταπεφοίτηκεν οἰκονομικῶς εἰς ἀνθρωπότητα δι' ἡμᾶς. καὶ οὔτι που μεθεὶς τὸ εἶναι φύσει Θεὸς, προσλαβὼν δὲ μᾶλλον ὅπερ οὐκ ἦν, ἵνα καὶ δοὺς τῷ θανάτῳ πρὸς βραχὺ τὸ ἐνωθὲν αὐτῷ σῶμα καὶ ἴδιον αὐτοῦ, * μηδένα ἀπολέσῃ τῶν δοθέντων αὐτῷ, διασώσῃ δὲ μᾶλλον, καὶ ἀναστήσῃ * αὐτοὺς ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ποιεῖν μὲν οὖν λέγων τὸ θέλημα τοῦ πατρὸς, καὶ οὐχὶ δὴ πάντως τὸ ἑαυτοῦ, τὰς τῶν Ἰουδαίων ἀπονοίας ἐλέγχει, καὶ ὑποπλήττει πλαγίως, ὡς ἀεὶ τὸ ἴδιον ἱστῶντας θέλημα, καὶ τῶν θείων ὑπερορῶντας νόμων, καὶ παρ' οὐδὲν ποιεῖσθαι μεμεληκότας τὸ τῷ δεσπότῃ δοκοῦν· ἑαυτῷ γὰρ ἐν τούτοις προσμαρτυρῶν τὸ εὐήνιον, τῆς ἐκείνων ἀπειθείας κατηγορεῖ. ἔφη γάρ που καὶ ἑτέρωθι πρὸς αὐτοὺς, ὡς διώκειν ἐθέλοντας, καὶ μισεῖν ἠρημένους, καὶ ἄδικον ἐπ' αὐτῷ τὴν ἐπὶ τούτῳ ψῆφον ἐκφέροντας· ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα· καὶ ἐὰν κρίνω δὲ ἐγὼ, ἡ κρίσις ἡ μὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με, οὐκοῦν οἰκονομικῶς τὰ τοιάδε φησί.

Γωάν. 6. 38.

* μηδὲν ἀπολέσηται

* αὐτὸ

Γωάν. 5. 17.
Γωάν. 5. 30.

κη'.

κή.

Πλὴν ἐκεῖνο φέρε δὴ, φέρε καταθρήσωμεν. ἐξ οὐρανοῦ καταβὰς ὡς Θεὸς, δεδόσθαι φησὶν ἑαυτῷ παρὰ τοῦ πατρὸς τοὺς εἰς αὐτὸν πιστεύσαντας, ἵνα μὴ ἀπολέσῃ, σώσῃ δὲ μᾶλλον αὐτοὺς, καὶ ἀναστήσῃ τῇ ἐσχάτῃ ἡμέρᾳ. πῶς οὖν ἀνέστησεν; ἢ δηλονότι διὰ τῆς ἰδίας ἀναστάσεως τῆς ἐκ νεκρῶν· ζωοποιήσας γὰρ καὶ πρόγε τῶν ἄλλων τὸν ἑαυτοῦ ναὸν, καὶ τὸ τοῦ θανάτου κατασείσας κράτος διὰ τοῦ θανάτου τῆς ἰδίας σαρκὸς, ὁδὸς γέγονε τῇ ἀνθρωπείᾳ φύσει πρὸς ἀνάστασιν, καὶ πρός γε τὸ δύνασθαι λοιπὸν κατευμεγεθῆσαι φθορᾶς. ἴδιον ἦν ἄρα τοῦ καταφοιτήσαντος ἐξ οὐρανοῦ Θεοῦ λόγου τὸ δι' οὗ γέγονε πρωτότοκος ἐκ νεκρῶν· ἵνα καὶ ἐγηγερμένῳ κατακολουθῇ πρὸς ζωὴν τὸ δοθὲν αὐτῷ, οὐκέτι διὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν ἀπολλύμενον, σωζόμενον δὲ μᾶλλον διὰ τὴν ὑπακοὴν τοῦ Χριστοῦ. δεδόσθαι δέ φησιν ἑαυτῷ τοὺς τὴν εἰς αὐτὸν πίστιν προσιεμένους πάλιν, ὡς ἄνθρωπος γεγονώς. κλῆρος μὲν γὰρ ἴδιος αὐτῷ πάντα τὰ τοῦ πατρός. ἐπειδὴ δὲ, ὡς ἔφην, μετέσχεν αἵματος καὶ σαρκὸς, εἶτα πεπιστεύκαμεν ὡς Θεῷ, ταύτῃ τοι τὸ τῆς δόσεως ὄνομα παρεισκρίνεται· βεβασίλευκε γὰρ ἡμῶν καὶ μετὰ σαρκὸς, ὁ καὶ πρὸ αὐτῆς βασιλεύς. ὃ γοῦν ὡς εἰς τὴν τοῦ χρῆναι βασιλεύειν ἀρχὴν εἰσκεκομισμένος, ὅτε γέγονε καθ' ἡμᾶς· κύριος, φησὶν, εἶπε πρὸς μέ. υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. δέχεται τοίνυν ἀνθρωπίνως τὰ ἑαυτοῦ, καί τοι κατεξουσιάζων τῶν ὅλων ὡς Θεός.

Γαλ. 6. 19.

Κολασ. 1. 18.

Περὶ τοῦ ἡγιάσθαι τὸν Χριστὸν, καὶ τῆς κατ' αὐτὸν νοουμένης ἱερωσύνης.

κθ'.

Ἔπρεπε γὰρ * αὐτὸν, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν * ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. ὅ, τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες. δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.) οἴονται τάχα που τῶν ἀμαθεστέρων τινὲς, καὶ διαιρεῖν εἰωθότων εἰς δύο Χριστοὺς καὶ εἰς δύο υἱοὺς τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν, τελειωθῆναι λέγεσθαι διὰ παθημάτων τὸν ἐκ γυναικὸς ἄνθρωπον ἰδίᾳ νοούμενον, καὶ δίχα τοῦ ἐκ Θεοῦ πατρὸς ὄντος λόγου, καὶ αὐτὸν λέγεσθαι τῆς σωτηρίας ἡμῶν τὸν ἀρχηγόν. τετελειῶσθαι δὲ παρ' αὐτοῦ τοῦ Θεοῦ λόγου δοθέντα πρὸς τὸ * πάθος, ὡς ἕτερον ἰδικῶς. πρέπειν γὰρ αὐτῷ δὴ μάλιστά φασι τὸ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάτα, διά τοι τὸ φάναι τὸν μακάριον εὐαγγελιστήν. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ἔπρεπε τοίνυν, φασὶ, τῷ λόγῳ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντι, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, τουτέστιν ἄνθρωπον ἁπλῶς, τὸν διὰ τῆς ἁγίας παρθένου, τελειῶσαι διὰ παθημάτων. ὅτι δέ ἐστιν ἐμβροντησίας ἀνάπλεως ὁ λόγος αὐτοῖς, ὡς ἔνι καὶ νῦν καταδεῖξαι πειράσομαι.

* αὐτῷ Ἑβρ. 10.
* ἀγαγόντι
Φαλ. 21. 23.
* παθεῖν
Γαλ. 1. 3.

λ'.

Πρῶτον μὲν γὰρ τὸ, δι' οὗ, καὶ ἐπ' αὐτοῦ τέθειται τοῦ πατρός. ὃ γοῦν ὁ μακάριος Παῦλος· πιστὸς, φησὶν, ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. καὶ πάλιν τοῖς διὰ πίστεως εἰς ἐλεύθερον ἀξίωμα κεκλημένοις· ἆρα, φησὶν, οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱὸς, καὶ κληρονόμος διὰ Θεοῦ. ἀδιαφορούσης τοίνυν τῆς θεοπνεύστου γραφῆς περὶ τὴν τῆς λέξεως ἐκφώνησιν, δεχομένης δὲ αὐτὴν καὶ ἐπὶ τοῦ πατρὸς, οὐδὲν ἔτι τὸ συνωθοῦν ἡμᾶς εἰς τὸ τοῦ υἱοῦ περιτρέπειν πρόσωπον ὡς ἐξ ἀνάγκης τὸ, δι' οὗ. ἐπειδὴ δὲ τοῦτό ἐστιν ἀληθὲς, * τί μὴ μᾶλλον ἀφέντες εἰς τὸ παρὸν τὸ αὐτοῦ πρόσωπον, εἶτα τῷ σκοπῷ τῶν ἱερῶν γραμμάτων ἑπόμενοι, τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τοῦ μονογενοῦς τὸν αὐτῇ πρέποντα τηροῦντες λόγον, τὸν πατέρα φαμὲν τελειῶσαι διὰ παθημάτων ἐνανθρωπήσαντα τὸν υἱόν; ὑπέμεινε γὰρ σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν εὐδοκίᾳ που πάντως τοῦ Θεοῦ καὶ πατρός· ἵνα καὶ ἡμᾶς τοῖς ἴχνεσιν αὐτοῦ κατακολουθεῖν ᾑρημένους, νεανικοὺς ἀποφήνῃ, πειθομένους λέγοντι. μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων ὑμῶν τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. ἐπειδὴ γὰρ ἔμελλον θλίψιν ἔχειν ἐν τῷ κόσμῳ, καὶ διώκεσθαι παρ' ἐχθρῶν, καὶ τῶν τῆς ἀληθείας δογμάτων ὑπεραθλεῖν, ἱδρῶτί τε καὶ πόνοις κατορθοῦν εὖ μάλα τὴν ἀρετὴν οὐκ ἐᾷ θρύπτεσθαι πρὸς δειλίας, ἀποφαίνει δὲ μᾶλλον εὐτολμοτάτους, ἐλάσας αὐτὸς διὰ παθημάτων, ἵνα καὶ ἡμᾶς ἐκδυσωπήσῃ, λέγων· οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ· καὶ τῷ δούλῳ, ὡς ὁ κύριος αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι.

1. Κορ. 1. 9.
Γαλατ. 4. 7.
* τοῦτο
Ἑβρ. 12. 2.
Ματθ. 10. 28.
Ματθ. 10. 24.
Γαλ. 15. 19.

λά.

Σκοπὸς οὖν ἄρα τῷ μονογενεῖ γέγονε, σαρκὶ τῇ ἰδίᾳ παθεῖν ὑπὲρ ἡμῶν. καὶ ποία τίς ἐστιν ἡ τοῦδε πρόφασις, διδάξει λέγων ὁ θεσπέσιος Παῦλος· ἐπειδὴ γὰρ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. οὐκοῦν ἐπειδήπερ ἀνέφικτον ἦν τῇ ἀνθρώπου φύσει τὸ καταργῆσαι θάναπον· ἐκεκράτητο γὰρ ὑπ' αὐτοῦ, κατακομιζούσης αὐτὴν εἰς τοῦτο τῆς ἀρχαίας ἀρᾶς ἐκείνης· ἀναγκαίως ὁ ζωοποιὸς τοῦ Θεοῦ λόγος τὴν * θανάτῳ κάτοχον ἠμπέσχετο φύσιν, τουτέστι τὴν καθ' ἡμᾶς, ἤγουν τὴν ἀνθρωπίνην, ἵνα καὶ τῇ αὐτοῦ σαρκὶ καθάπερ τι τῶν ἀτιθάσσων θηρίων ἐπιπηδήσας ὁ θάνατος, παύσηται τῆς καθ' ἡμῶν τυραννίδος, ὡς παρὰ Θεοῦ καταργούμενος. αὐτὸς οὖν ἄρα ἐστὶν ὁ σαρκὶ τελειούμενος δι' ἡμᾶς ἀνθρωπί-

Ἑβρ. 2. 14.
* θανάτου

πίνως, τελειῶν δὲ ἡμᾶς θεϊκῶς διὰ τοῦ καταργήσαι τοῦ θανάτου τὸ κράτος. ἔλειπε γὰρ τῇ ἀνθρώπου φύσει τὸ ἄφθαρτον, οὕτω γενομένη καὶ ἐν ἀρχαῖς. ὁ γὰρ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων· ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔστιν καὶ * ἐν αὐτοῖς φάρμακον ὀλέθρου, οὐδέ ἐστιν ᾅδου βασιλεία ἐπὶ τῆς γῆς· φθόνῳ δὲ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν. οὕτως ἡμᾶς τελειώσας ἔφασκε πρὸς τὸν ἐν οὐρανοῖς πατέρα καὶ Θεόν. ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα ποιήσω αὐτό. δόξα γὰρ ἀληθῶς τῷ Θεῷ καὶ πατρὶ, * τῷ διὰ τοῦ ἰδίου γενήματος * καταργήσαντι θάνατον. οὐκοῦν ἡ μὲν τελείωσις αὐτῷ διὰ παθημάτων, ἡμῖν δὲ προσθήκη τοῦ λείποντος τὸ γεγενημένον· καινὴ γὰρ κτίσις τὰ ἐν Χριστῷ.

Σοφ. 1. 13. — * αὐταῖς — Σοφ. 2. 24. — Γαλ. 17. 4. — * τὸ — * καταργῆσαι

λβ'.

Ὅτι δὲ οὐκ ἄνθρωπον ἁπλῶς ἐξηρημένου τοῦ λόγου τετελειῶσθαί φησιν ὑπὲρ ἡμῶν, καὶ ἐν ἀνθρωπείᾳ δὲ μᾶλλον μορφῇ πεφηνότα τὸν μονογενῆ, πιστώσεται πάλιν ὁ θεσπέσιος Παῦλος προστιθείς· ὅ, τε γὰρ ἁγιάζων, καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων. ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. τὶς ὁ ἁγιάζων, καὶ τίνες ἂν εἶεν οἱ ἁγιαζόμενοι· καὶ πῶς ἐξ ἑνὸς πάντες, ἢ ἐκ τίνος, ὅλως ἄξιον ἰδεῖν. οὐκοῦν ἁγιάζει μὲν ὁ υἱὸς, ἅγιος ὢν κατὰ φύσιν ὡς Θεός· ἡγιάσμεθα δὲ ἡμεῖς παρ' αὐτοῦ διὰ τοῦ πνεύματος. πῶς οὖν οἱ πάντες ἐξ ἑνός; ὡς ποιητοῦ καὶ δημιουργοῦ. ὥστε καὶ ἀναγκαῖον ἐντεῦθεν ἡμᾶς πρὸς ἀλλήλους ἔχειν τὴν ἀδελφότητα. * γενητοῦ γὰρ πρὸς γενητὸν, καθὸ * γενητὰ, φυσικήτις ἡ ἀδελφότης. καίτοι τὴν φύσιν ἀγένητός ἐστιν ὁ υἱὸς, καὶ οὐκ ἀδελφὸς τῇ κτίσει κατά γε τὸ εἶναι φύσει Θεός. πῶς οὖν οἱ πάντες ἐξ ἑνὸς, ὅ, τε ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι; οὐκοῦν ἀναγκαῖος εἰς τὴν τῶν προκειμένων διασάφησιν τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ λόγος. ὅτε γὰρ γέγονε καθ' ἡμᾶς, τότε καὶ αὐτὸς μεθ' ἡμῶν ἐξ ἑνὸς λέγεται· καὶ κεχρημάτικε τοῖς κτίσμασιν ἀδελφὸς, ὡς συγγένειαν ἐσχηκὼς τὴν πρὸς ἡμᾶς ἀνθρωπίνην. ταύτῃ τοι καὶ μάλα εἰκότως οὐκ αἰσχύνεται ἡμᾶς ἀδελφοὺς ὀνομάζειν, οὐκ ἀναχόμενος, ὥς γε μοι φαίνεται, τοῖς δι' αὐτοῦ γεγονόσιν ἀδελφὸς ὀνομάζεσθαι, εἰ μὴ γέγονε κατ' αὐτοὺς πλὴν οὐ μεθεὶς ὅπερ ἦν. τότε γὰρ ἀνεπιπλήκτως καὶ ὑμνήσει μεθ' ἡμῶν αὐτὸς, ὃν ὑμνοῦσι τὰ σεραφεὶμ, καὶ σύμπασα κτίσις προσκυνεῖ.

Εβρ. 2. 11. — Ψαλ. 21. 13. — * γενητοῦ — * γενητὸν

λγ'.

Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον· Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.) εἰ Θεὸς ὢν ὁ λόγος ἐνανθρωπῆσαι λέγοιτο, καὶ οὐ δήπου μεθεὶς τὸ εἶναι Θεὸς, ἀλλ' ἐν οἷς ἦν ἀεὶ διαμένων· μέγα δὴ τότε, καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. εἰ δὲ ἄνθρωπος νοεῖται κοινὸς ὁ Χριστὸς, ὡς κατὰ μόνην τὴν ἰσότητα τῆς ἀξίας, ἤγουν αὐθεντίας, Θεῷ συνημμένος· πεφρονήκασι γὰρ τὰ τοιάδε τινὲς τῶν ἀμαθεστέρων· πῶς ἐν σαρκὶ πεφανέρωται; καί τοι πῶς οὐχ ἅπασιν ἐναργὲς, ὅτι πᾶς ἄνθρωπος ἐν σαρκὶ τέ ἐστι, καὶ οὐκ ἂν ἑτέρως ὁρῷτό τισί; * τίνι δὲ τρόπῳ ὦφθαί φησιν αὐτὸν καὶ τοῖς ἁγίοις ἀγγέλοις; ἢ γὰρ καὶ ἡμᾶς αὐτοὺς οὐχ ὁρῶσιν ἄγγελοι; τί οὖν ἐν Χριστῷ τὸ ξένον, ἢ τί τὸ παράδοξον, εἰ καὶ καθ' ἡμᾶς ὄντα, καὶ ἕτερον οὐδὲν τεθέανταί τινες τῶν ἁγίων ἀγγέλων; πῶς δὲ καὶ ἔθνεσιν ἐκηρύχθη; καὶ * ὡς τίς ὑπάρχων παρὰ τῶν ἐν κόσμῳ πιστεύεται; εἰ μὲν γὰρ ὡς ἕνα τῶν καθ' ἡμᾶς ἄνθρωπον ἁπλῶς, καὶ οὐχὶ δὴ μᾶλλον θεὸν ἐνηνθρωπηκότα διεκήρυξαν οἱ μαθηταὶ, καὶ ὡς τοῦτο ὑπάρχων παρὰ τῶν ἐν κόσμῳ πιστεύεται, ἀθρωπολατρείᾳ κεκρατήμεθα, καὶ προσκεκυνήκαμεν τῇ κτίσει· ἐπρός γε τοῦτο ἡμᾶς κατεδόνησεν αὐτὸς ὁ φύσει τε καὶ ἀληθείᾳ καὶ τῶν ὅλων Θεός· αὐτὸς γὰρ ἡμῖν τὸν τῶν θεηγόρων ἀνέδειξε χορόν. εἰ δὲ Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν τοῖς ἁγίοις ἔφασκεν ἀποστόλοις· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· εἶτα πεπιστεύκαμεν εἰς αὐτὸν, βεβαπτίσμεθά τε, τὸν θάνατον αὐτοῦ καταγγέλλοντες, καὶ ὁμολογοῦντες τὴν ἀνάστασιν· ἐπὶ τοῦτο δρᾶν εἰωθότες, τοῖς ἀνθρωπολατρείας ἐγκλήμασι κατ' οὐδένα τρόπον ἐνισχήμεθα· οὐκ ἄρα ψιλῇ συναφείᾳ τῇ πρὸς Θεὸν λόγον τετιμημένος ἄνθρωπος ὁ Χριστὸς, συνόδῳ δὲ μᾶλλον τῇ πρὸς τὸ ἀνθρώπινον καθ' ἕνωσιν οἰκονομικὴν υἱὸς εἷς καὶ κύριος. μέγα γὰρ τότε τὸ τῆς εὐσεβείας μυστήριον· πεφανέρωται γὰρ ἐν σαρκὶ Θεὸς ὢν ὁ λόγος, ἐδικαιώθη δὲ καὶ ἐν πνεύματι· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· ὤφθη δὲ καὶ ἀγγέλοις, οἳ τὴν ἀνθρωπίνην αὐτοῦ γένησιν οὐκ ἠγνοηκότες ἔφασκον· δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, ἐκηρύχθη δὲ καὶ ἐν ἔθνεσι· καὶ ὅτι κατὰ ἀλήθειάν ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ καὶ πατρὸς, καὶ ἐν σαρκὶ πεφηνὼς, παρὰ τοῖς ἐν κόσμῳ πιστεύεται.

* τίνα δὲ τρόπον — * ἴσ. καὶ ὅστις ὑπάρχων. — Ματθ. 28. 19. — Λουκ. 2. 14.

λδ'.

Καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων· ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν. * ἐγὼ δὲ οὐκ ᾔδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, αὐτός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδης τὸ πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι τῷ ἁγίῳ. κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.) ἕνα λέγοντες τὸν Ἐμμανουὴλ, καὶ τῶν εἰς δύο Χριστοὺς ἀποδιορι-

Ἰωάν. 1. 32. — * κἀγὼ

ζόντων οὐκ ἀνεχόμβυοι, τί δὴ ἄρα φαμὲν καταπτάντ@ ἐπ' αὐτὸν ἐξ οὐρανῦ τοῦ ἁγίκ πνβματ@, κ᾽ μείναντ@ ἐπ' αὐτόν; ἆρα διδεῆθαι· τοῦ μεταλαχεῖν ἁγίου πνβματ@ τὸν ἐκ Θεοῦ παῖδὸς λόγον ὑποτοπάσωμβ; καίτοι πῶς * οὐκ ἂν αἰσχρὸν ἀληθῶς τὸ ὧδε φρονεῖν, ἢ λέγειν; ἴδιον γὰρ αὐτῦ τὸ πνεῦμά ἐσι, καθάπερ ἀμέλει κ᾽ τοῦ Θεοῦ κ᾽ παῖδός. κ᾽ γοιῶ ὁ μακάρι@ Παῦλ@· ὅτι δέ ἐσε υἱοί, ἐξαπέσειλεν ὁ Θεὸς τὸ πνεῦμα τῦ υἱῦ αὐτῦ εἰς τὰς καρδίας ἡμῶν, κράζον· Ἀββᾶ, ὁ πατήρ. ἀσεβὲς οὖν ἆρα τὸ κἂν γῆν ὑπονοῆσαι μόνον τῆς τῦ πνβματος μετουσίας δεδεῆθαι κ᾽ αὐτὸν τὸν ἐκ Θεῦ παῖδὸς λόγον· κ᾽ τὸ οὕτω σαφῆ τιὼ ἀπόδειξιν ἔχον πιεμεργίας ἀξιοῦ, εὐηθες κ᾽ κομιδῆ. πῶς οὖν ἐπ' αὐτὸν κατέπτη τὸ πνεῦμα; δέχεται γὰρ ἀνθρωπίνως, ἀκατειτία τὸν αὐτῷ τὸ λαβεῖν ἀποφαινύσης εὖ μάλα τῆς μ̄ σαρκὸς οἰκονομίας, μᾶλλον δὲ κ᾽ ἀναγκαίως εἰς τῦτο φερύσης. δέχεται γὰρ ὐχ ἑαυτῷ μᾶλλον, ἀλλ' ἡμῖν· ἵνα ἐπείπερ ἀπέπτη τῆδ ἐπὶ τῆς γῆς, διὰ τὸ ἐπιμελῶς ἐγκεῖθαι τιὼ διάνοιαν τοῦ ἀνθρώπε ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, καταφοιτῆσαν ἐπ' αὐτὸν, ὡς ἐν ἀπαρχῆ τοῦ γβύους δᾶπέρᾳ, καταλύσῃ κ᾽ ἀναπαύσητα πάλιν ἐν ἡμῖν, ὡς κατωρθωκόσιν ἤδη τὸ ἀναμάρτητον ἐν Χεισῷ, καὶ τιὼ αἰτίας ἁπάσης ἀπηλλαγμβίω ἔχυσι ζωιύ. πλιὼ εἰ ἀνθρωπίνως δέχεται δι' ἡμᾶς, ἀλλ' ὅρα διδόντα θεῖκῶς. ἐφ' ὃν γὰρ ἴδῃς τὸ πνεῦμα καταβαῖνον, φησὶ, κ᾽ μβύον ἐπ' αὐτὸν, ὗτός ἐσιν ὁ βαπτίζων ἐν πνβματι τῷ ἁγίῳ. τῦτο δέ ἐσιν ἐνέργημα θεῖκόν· ἐνίησι γὰρ τοῖς βαπτιζομβύοις ὁ κύριος ἡμῶν Ἰησοῦς Χεισὸς ὡς ἴδιον πνεῦμα τὸ τοῦ παῖδός· καὶ πρός γε τοῦτο ἡμᾶς ἐμπεδοῖ γεγραφὼς ὁ θεσπέσιος Παῦλος· ὑμεῖς δὲ οὐκ ἐσὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνβματι, εἴπερ πνεῦμα Θεῦ ἐνοικεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χεισῦ ὐκ ἔχει, ὗτος ὐκ ἔσιν αὐτοῦ. μεμαρτύρηκεν ὧν Ἰωάννης, ὅτι ὗτός ἐσιν ὁ υἱὸς τῦ Θεῦ.

*ὁ τάπεχνον ἐνοικεῖ

Γαλατ. 4. 6.

Γενέσ. 8. 11.

Γαλατ. 1. 11.

Ῥωμ. 8. 8.

λέ.

Ἀναπυθέσθαι δὲ πάλιν ἐθέλοιμ' ἂν τῆδ εἰς δύο διορίζοντων υἱὸν τὸν σὰν κύριον Ἰησῦν Χεισόν. σὰ δίδεικεν ὁ πατήρ, ᾧ περὶ ἑνός φησιν ὁ μακάριος Ἀγγελισής· ὗτός ἐσιν ὁ υἱὸς τῦ Θεῦ· ἆρ' ὧν εἰπέ μοι, περὶ τίνος ἔσαι τὸ εἰρημένον; εἰ μβὺ ὧν ἰδιοῦς κ᾽ κατὰ μόνας τῦ μονογβυῦς, τυτέσι τῦ ἐκ παῖδὸς ὄντος λόγυ, πῶς τὸ πνεῦμα δέχεται, καίτοι Θεὸς ὢν φύσει, κ᾽ ἴδιον ἔχων αὐτό; εἰ δὲ ἀνὰ μέρος κ᾽ ἰδικῶς, ἤγυν κατὰ μόνας, τὸν ἐκ γυναικὸς ἄνθρωπον δεδεῆθαί φασι τῆς τῦ πνβματος μετοχῆς, πῶς αὐτός ἐσιν ὁ βαπτίζων ἐν αὐτῷ; καίτοι μόνῃ περίποντες τῇ ἀνωτάτῳ φύσει τῦ κ᾽ ἀποφαίνειν δύνασθαι μετεχηκότας τῦ πνβματος τὺς προσιόντας αὐτῇ. εἰ δὲ δέχεται, κ᾽ δίδωσιν ὁ αὐτός, προδήλου ὅτι κατά γε τὺς τῆς μ̄ σαρκὸς οἰκονομίας λόγυς, κ᾽ καθὸ φύσει κ᾽ ἀληθῶς ἐσι Θεός. δίχεται μὶν ἀνθρωπίνως, ὐχ ἑαυτῷ μᾶλλον, ἀλλὰ τῇ τῆδ ἀνθρώπων φύσει δι' ἑαυτῦ κ᾽ ἐν ἑαυτῷ τῷ προτω προσλαβόντι αὐτό. δίδωσι δὲ θεῖκῶς ἐξ ἰδίας αὐτῦ φύσεως, τοῖς ἀξίοις τῦ λαβεῖν ὀνειείς. ἰῶ μὶν οὖν τῷ προκειμένῳ ῥητῷ προσεοικότα τε κ᾽ τὸν ἴσον ἔχοντα νῦν παραθεῖναι κ᾽ ἕτερα· τὸ δέ γε ταυτοπεῖν φορτικὸν εἰδότες, ἐκεῖνό φαμβ, ὡς ἀπόχρη τοῖς νοωεχεσέροις ἡ ἑνὸς ἐξήγησις εἰς τιὼ τῆδ ὁμοίως ἐχόντων ἀκριβῆ διασάφησιν. οὐκοῦν ὁσάκις ἂν λέγοιτο Χεισὸς ἁγιάζεσθαι τυχόν, ἤγυν τὸ πνεῦμα λαβεῖν, κατὰ τῦτον αὐτὸν τὸν τρόπον προσήκει νοεῖν. ἀσεβεῖν γὰρ ἄμεινον περιτρέποντας ἀσεβῶς εἰς τὸ ἀμωμήτως ἔχον τῆδ ἱερῶν γραμμάτων τὸν νοῦν, ἤγυν ἰέναι κατὰ πεῖρῶν, ἀνοσίως ἐπιτειχίζοντας τῇ δόξῃ Χεισῦ τὰ ὀρθῶς εἰρημένα.

λς'.

Ἰησοῦς δὲ πλήρης πνβματ@ ἁγίου ὑπέστρεφεν ἀπὸ Ἰορδάνου. καὶ ἤγετο ἐν τῷ πνβματι εἰς τιὼ ἔρημον τεσσαράκοντα ἡμέρας, πειραζόμβυος ὑπὸ τοῦ διαβόλου· κ᾽ ὐκ ἔφαγβ ὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις· κ᾽ συντελεσθεισῶν αὐτῆδ, ἐπείνασεν.) ἔδει δὲ πάλιν ὑπὲρ ἡμῶν ἀντισιῶαί τε, μονονουχὶ δὲ κ᾽ ἀντιποδύσασθαι τῷ πάλαι νικήσαντι σατανᾷ, τὸν διὰ τῦτο καθιγμένον εἰς ἐκούσιον κένωσιν, ἵνα ἡμᾶς ἀποφύνῃ μετεχηκότας τοῦ ἰδίου πληρώματος· καὶ ἀθενήσαντας ἐν Ἀδὰμ, ἀρωσίᾳ ἔχοντας ἀποδείξῃ πνβματικιῶ. πέπαυται γὰρ ἐν Χεισῷ τὰ ἐν τῷ πρωτοπλάσῳ τῇ ἀνθρώπου φύσει συμβεβηκότα σωματικά τε κ᾽ ψυχικὰ τῆδ ἀῤῥωσημάτων ἐνεργήματα. ὥσπερ γὰρ διὰ τῆς ὑπακοῆς αὐτοῦ δίκαιοι κατέσημβ οἱ πολλοὶ, καίτοι πεπονθότες διὰ τῆς ἐκείνου παρακοῆς τιὼ κατάκρισιν· οὕτω δὴ πάλιν διὰ τῆς ἐν Χεισῷ νοβμένης ἀθενείας, δῆλον δὲ ὅτι πνβματικῆς, τὰ ἐπὶ ταῖς πρώταις ἀθενείαις διεκρουσάμεθα βλάβη· κ᾽ οἱ πεπτωκότες ἐν Ἀδὰμ, νενικήκαμβ ἐν Χεισῷ. ἀντιτάττεται τοίνιω ὑπὲρ ἡμῶν ὡς ἄνθρωπος, κ᾽ νικᾷ θεῖκῶς καὶ πειράζεται μὲν, ὡς ἑνὶ τῆδ καθ' ἡμᾶς ἐπιπηδῶντος τοῦ σατανᾶ, καὶ οἰηθέντος, ὅτι τὸ ἀκρατὲς τῆς σαρκὸς συνεκπολεμήσειεν ἂν αὐτῷ τὸν ἐκπειραζόμβυον· ἀναχωρεῖ δὲ κατηχυμμένος, καινοτομούσης αὐτὸν τῆς ἀνθρώπου φύσεως ἐν Χεισῷ, καὶ νενεκρωμένον ἐχούσης τῆς ἁμαρτίας τὸν νόμον, τὸν ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἀγεαίνοντα· κατήργηται γὰρ ἐν Χεισῷ. νηστεύσας γε μιὼ ἀποχρώντως, καὶ δυνάμει θεοπρεπεῖ ποτοῦ καὶ σιτίων δίχα τιὼ σάρκα τηρήσας ἀδιάφθορον, ἐφίησι μόλις τὰ οἰκεῖα παθεῖν αὐτῇ. πεινῆσαι γὰρ λέγεται· καὶ διὰ ποίαν αἰτίαν; ἵνα δι' ἀμφοῖν δῆπεχνως Θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὑπάρχων ἐπιγινώσκηται εἷς καὶ ὁ αὐτὸς δηλονότι, καὶ θεῖκῶς ὑπὲρ ἡμᾶς, κ᾽ καθ' ἡμᾶς ἀνθρωπίνως. ἄγεσθαι δὲ λέγεται τῇ δυνάμει τοῦ πνβματος εἰς τιὼ ἔρημον, τοῦ ἄγεσθαι δηλοῦντος οὐ τὸ ἀποφέρεσθαι μᾶλ-

Λυκ. 4. 1.

Ῥωμ. 7. 11.

λον, ἀλλὰ τὸ διάγειν, ἤτοι διατελεῖν· καθάπερ ἀμίλει καὶ ἐφ' ἡμῶν λέγεται πλεισάκις· ὁ δεῖνα τυχὸν ἑαυτὸν ὀρθῶς ἄγει, τουτέστιν ἀμέμπτως ζῇ καὶ πολιτεύεται. ἀνεφέρετο τοίνυν εἰς τὴν ἔρημον, ἤγουν ἐποιεῖτο τὰς διατριβάς, ὑ σωματικῶς· ποτὲ γὰρ δίχα τῆς τοῖς σώμασιν ἀναγκαίας τροφῆς ἐν δυνάμει πνεύματος ὑπὲρ φύσιν τὴν καθ' ἡμᾶς διεκαρτέρει πρὸς τὴν νηστείαν. ταῦτὸ ἐκεῖνο ἄθρει· ἐπωφελεστάτη γὰρ τῆς ἐννοίας ἡ δύναμις. ὑ πρὸ τοῦ ἁγίου βαπτίσματος ἐπειράζετο, ἀλλ' οὐδὲ ἤγετο τῷ πνεύματι εἰς τὴν ἔρημον, τύπον ἡμῖν τὸ χρῆμα τιθείς. ἀμήχανον γὰρ τὸν ὅπως βεβαπτισμένον τοῦ πειράζοντος σατανᾶ δύσοιστον ὄντα τὴν προσβολὴν ὑπενεγκεῖν δύνασθαι νεανικῶς, ἤγουν ἄγεσθαι πνευματικῶς. ἡμῶν δὲ ὁ πρέπων τοῖς ὅτῳ λαμπροῖς καὶ ἀξιαγάστοις κατορθώμασιν, ὁ μετὰ τὸ ἅγιον βάπτισμα. κραταιωθέντες γὰρ ὅτῳ τῇ τοῦ ἁγίου πνεύματος μετοχῇ, καὶ τῇ ἄνωθεν χάριτι κατεσφραγισμένοι, πρὸς ἕρωσίαν δὲ δηλονότι τὴν πνευματικήν, ἀνάλωτοί τε ἐσόμεθα τῷ σατανᾷ, ᾧ ὡς ἐν δυνάμει πνεύματος διαζήσομεν, ἔρημον ὥσπέρ τινα κατιλαμβάνοντες χῶρον τὸ ἔξω τύρβης γενέσθαι κοσμικῆς. σμικρὸν μὲν οὖν κομιδῇ τῷ πάντα ἰσχύοντι λόγῳ τὸ νικῆσαι τὸν σατανᾶν, μέγα δὲ πάλιν ἡμῖν τὸ καὶ τοῦτο τυχεῖν διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ, καθὰ καὶ τὸ ἀνακαινισθῆναι πρὸς ἀφθαρσίαν. ὥσπερ γὰρ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ κρείττους ἡμεῖς γεγόναμεν τῆς φθορᾶς, ὅτῳ διὰ τῆς ἐν τῷ πειράζεσθαι νίκης πάλιν ἡμεῖς κεκρατήκαμεν.

λζ'.

Ἔχοντες οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. ὑ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.) ἡ τῆς ὀρθῆς πίστεως ὁμολογία πράττεται πρὸς ἡμῶν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ· καὶ εἰς ἓν ἅγιον πνεῦμα. ταύτης ἡμᾶς τῆς ὁμολογίας ἐξέχεσθαι δεῖν ὁ θεσπέσιος γράφει Παῦλος. ἐπειδὴ δέ ἐστιν ὁμολογουμένως εἷς υἱὸς τοῦ Θεοῦ καὶ σαρκός, δῆλον δὲ ὅτι Χριστὸς Ἰησοῦς, ὁ συμπαθῆσαι δυνάμενος ταῖς ἀσθαινείαις ἡμῶν, καὶ κατὰ πάντα πεπειραμένος καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας. τίς ἂν εἴη λοιπὸν ὁ μέγας ἡμῶν ἀρχιερεύς; ἆρ' οὐχ ὁ γεγονὼς καθ' ἡμᾶς, οὗτος καὶ σαρκὶ παθῶν ὑπὲρ ἡμῶν; τότε γὰρ ἡμῶν κεχρηματικὼς ἀρχιερεύς, οὐχ ὡς ἀλλογλώς ὀφείλοντα προσάγων θῦμα κατά γε τὸ εἰωθὸς τοῖς ἄλλοις, ἀλλ' ὧν αὐτὸς ὁ ἀμνός, ἡ θεοσμοτάτη θυσία, τὸ νοητὸν ὁλοκαύτωμα, ἡ λαλισάτη ζυγών. ἡ ἀκέραιος πεπεισερχά, ὁ ἄρτος ὁ ζῶν, τὸ χρυσοῦν θυμιατήριον. Χριστῷ γὰρ ἑαυτῷ θεοδίκα τῷ Θεῷ κατὰ τὸ γεγραμμένον· ἄθρει δέ μοι τῶν ἀποστολικῶν ἐννοιῶν τὸ βάθος. οὐκ ἔχομεν, φησίν, ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας. εἰ γὰρ μήπω γέγονε, φησίν, ἄνθρωπος ὁ τοῦ Θεοῦ λόγος, ἦδει μέν, ἦδει καὶ οὕτω τὴν ἀνθρωπίνην ἀσθένειαν ὡς δημιουργός. αὐτὸς γὰρ ἔγνω τὸ πλάσμα ἡμῶν κατὰ τὸ γεγραμμένον. ἀλλ' εἴπερ τι τῶν ἀνθρωπίνων καὶ ἐπ' αὐτῷ φάναι θέμις, οὕπω καὶ εἰς αὐτὴν ἐκέκλητο πεῖραν τῶν ἡμετέρων ἀσθενειῶν. ἐπειδὴ δὲ τῷ ἡμῶν ἡμπίσχετο σάρκα πεπείρατται κατὰ πάντα. ᾧ οὐ δήπου φάμεν ὡς ἠγνοηκώς, ἀλλ ὅτι τῇ γνώσει τῇ * θείκῃ προϋποκειμένῃ καὶ τὸ διὰ πείρας αὐτῆς συνέβη μαθεῖν. γέγονε δὲ συμπαθὴς οὐκ ἀπό γε τοῦ πεπεῖσθαι πόθεν· ὢν γὰρ ἐλεήμων φύσει, καὶ ἔστιν, ὡς Θεός· ἐπειδὴ δὲ μετὰ τοῦ εἶναι ὅ ἐστι, γέγονε καθ' ἡμᾶς, ἀνθρωποπρεπῶς καὶ ταῦτα λέγεται περὶ αὐτοῦ. διαβλητὰι δέ φησι τοὺς οὐρανοὺς αὐτὸν σωματικῶς τε ἅμα καὶ θεοπρεπῶς· ἀνέβη μὲν γάρ, ὡς αὐτὸς ποὺ φησιν ὁ σοφώτατος Παῦλος, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. διείσί γε μὴν καὶ καθ' ἕτερον τρόπον τοὺς οὐρανούς, πτυχῶν δηλονότι, καὶ κατόπιν ἰόντων τῆς δόξης αὐτοῦ τῶν μακαρίων ἀγγέλων. ἔστι γάρ, ἔστιν ὡς Θεὸς ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας τε καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου εἴτε ἐν τῷ αἰῶνι τούτῳ, εἴτε ἐν τῷ μέλλοντι· συνεδρεύει γὰρ ὡς υἱὸς τῷ ἰδίῳ πατρὶ, καὶ γέγονε καθ' ἡμᾶς οἰκονομικῶς.

λή.

Καὶ ὑχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, ὥσπερ καὶ Ἀαρών. οὕτω καὶ ὁ Χριστὸς ὑχ ἑαυτὸν ἐδόξασε γενηθῆναι * ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε) ὁ καθεὶς ἑαυτὸν εἰς κένωσιν, περιμένει κλῆσιν τὴν ἐκ πατρὸς * φέρουσαν εἰς ἱερωσύνην ὅτι δὴ μάλιστα σωτήριός τε καὶ πρεπωδεστάτη, οὐ τῇ αὐτοῦ φύσει μᾶλλον, ἀλλὰ τῇ καθ' ἡμᾶς, τουτέστι τῇ ἀνθρωπίνῃ· ἧς ἐπείπερ ἴσος γέγονεν, ὑπομένει τι αὐτῆς, ἀδικούμενος ἔνεστιν τὸ σύμπαν ἐδεσμά, διέτεχνως δὲ μᾶλλον τῇ μὴ σαρκὸς οἰκονομίᾳ χρώμενος. ὥσπερ γὰρ καὶ τὸ τοῦ φύσιν κύριος ὢν μεμίμηκεν ὅπερ ἐκεῖ, καὶ ἐν γέγονεν ἐν τῇ τοῦ δούλου μορφῇ· ὅτῳ φαμὲν ὅτι καὶ τὸν μυρίους ἔχων ἐν οὐρανῷ τοὺς ἱερουργοῦντας αὐτῷ, τοὺς νοητοὺς δηλονότι καὶ ἀναιμάκτους θυσίας, ὕμνους καὶ δοξολογίας, καὶ τοῦ καθ' ἡμᾶς ἱερωσύνην ποιεῖται δεκτὴν, ἀποσώζων παντοχοῦ τοῖς τῆς ἀνθρωπότητος μέρεσι τὰ πρέποντά τε καὶ ἑοικότα αὐτῇ. κέκληται τοίνυν καὶ ἀρχιερεὺς καὶ Ἀαρών, πλὴν οὐκ ἐν ἴσῳ ξόανον καθὰ καὶ Ἀαρών, οὕπω. ὁ μὲν γὰρ ἐχρῆτο πρὸς ἱερουργίαν, καὶ ἦν αὐτῷ οἰκέτης· ὁ δὲ ὡς υἱὸς καλεῖται, καὶ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερουργεῖ τῷ πατρί. καὶ τὴν γε

τὴν γε τῆς ἱερωσύνης ἐξηγεῖται ζόρον ὁ θεσπέσιος Παῦλος. ὠδὶ γοῦν γράφων περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. ἀκοῦν ἀσυγχύτως ἀμείνων ὁ τῆς ἱερωσύνης ζόρος. καὶ ὁ μὲν, ὡς ἔφην, οἰκέτης λόγου, καί τι κεκλημένος εἰς ἱερωσύνην· ὁ δὲ καὶ υἱὸς τοῦ Θεοῦ καὶ πάρεδρος, ὡς μονὰ φύσει Θεὸς καὶ λόγος κατὰ τὸν θεοπάτορα γλῶσσαν, ὡς δὲ ἄνθρωπος καθ' ἡμᾶς κατὰ τὴν νεωτάτην καὶ σάρκαρκον, ἧς ἂν εἴη δεικτικὸν καὶ τὸ, σήμερον· καιρὸν γὰρ ἡμῖν σημαίνει τὸν ἐνεστηκότα. εἰκότως δὴ ὃν ἐκ τῆς σαρκικῆς αὐτοῦ γλώσσης ὁ πατήρ. οἶδε γάρ, οἶδεν ἴδιον ὄντα υἱὸν τὸν ἐξ ἑαυτοῦ θείκως, καὶ ἐκ γυναικὸς ἀνθρωπίνως.

λθ'.

Εφ. γ. ιβ. Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε ἐκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν· καὶ τελειωθεὶς ἐγένετο πᾶσι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου· προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.) ὁ πάνσοφος Παῦλος ἐφιστέλλει, καί φησι τοῖς ἐν πίστει δεδικαιωμένοις· μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. καὶ μὴν καὶ ὁ θεσπέσιος Πέτρος· ποῖον γὰρ κλέος, φησὶν, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομένετε; ἀλλ εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομένετε, τοῦτο χάρις παρὰ Θεῷ. ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν, ὑμῖν ἀπολιμπάνων ὑπογραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ. γέγονεν ἄρα σκοτὸς τῷ μονογενεῖ τοῦ πρὸς ἡμᾶς ὁμοίωσιν ἔχοντι, παθεῖν ἀνθρωπίνως, καὶ διδάξαι μὲν τοὺς αὐτῷ γνωρίμους, τίνα δὴ ζόρον ταῖς τῶν πειρασμῶν ἐφόδοις προσέρχεσθαι χρὴ, καὶ ὁποίους εἶναι προσήκει τοὺς διωκομένους τῆς εἰς Θεὸν εὐσεβείας σέβεκα, καὶ κηδόνας * ἐμβεβακότας τοῖς περὶ ψυχῆς καὶ σώματος· καὶ προσέτι τούτῳ καταδεῖξαι τῆς ὑπακοῆς ἐκλεὲς τὸ τέλος, ἵνα καὶ ἡμεῖς ἄρειοί τε καὶ σοφοὶ τῶν αὐτῷ πεπραγμένων οἰκονομικῶς ἐκισκώμεθα μιμητοὶ, τοῖς τε ἴχνεσιν αὐτοῦ κατακολουθοῦντες σποδάζοντες, τὸν ἐδόκιμον ἀληθῶς ὀμφαζήσωμεν βίον. ὅτι τοίνυν ἄθραυστον ἔχειν προσήκει τὸ φρόνημα τοὺς εἰς ἂν ὅλως προκέοιτο παθεῖν ὑπέρ γε τῆς εἰς αὐτὸν ἀγάπης, καὶ τὸν ὑπὲρ τῆς ἐκ βεβαίας κίνδυνον ἡγεῖσθαι ζωὴν, ἐξ ὧν ὑπέμεινεν αὐτὸς, πεπραχέ τε δὶ ἡμᾶς ἀνθρωπίνως, διδάσκειν βέλεται. πλὴν ἐκ ἀφίησι τοὺς ἀνδεχομένους ἐκκῆ παραῤῥαπτεῖν τὰς ἑαυτῶν ψυχὰς, ἐδὲ οἷον μεθέντας ἀτιμελῶς τὸ πρακτέον καὶ τὰ δι' ὧν ἦν εἰκὸς σώζεσθαι, παρ' ἐλπίδα μέσον ἐκδέχεσθαι τὸ τοῖς ἐθελοκακοῦσι δοκεῖν. ἀναπείθων δὲ μᾶλλον συντείνεσθαι προσδοκᾶς, καὶ ἀκαπωλήτου ποιεῖσθαι τὴν * Θεοῦ ἱκετηρίαν, τοῦτο διδάσκει, δεήσεις τε καὶ ἱκετηρίας ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ προσαγωνίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου.

* αὐτὸν ἐκ-νέων.

μ'.

Ὅρα δὲ ὅπως καὶ ἀγιοπρεπῶς ἐπιεικείας τὸ χρῆμα μεμίσωται. τὸ μὲν γὰρ καταθρασύνεσθαι τῶν πειρασμῶν, ἀνδρείας μὲν ἔχει δόξαν, δοκεῖ δέ πως ὑπεροψίας ἐχεῖς ἅπαν ἠμοιρηκέναι· τὸ γε μὴν δεδιέναι μὲν καὶ ὑποστέλλεσθαι δοκεῖν, καὶ δεῖσθαι Θεοῦ τὸ σώζειν ἰσχύοντος, ἀλαβείας ὑπόληψιν ἔχει. ἐπεὶ δ' ἁλὰ ποίαν αἰτίαν τοῖς ἁγίοις προσέπιπτε μαθηταῖς. ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἑτέραν; πῶς δὲ καὶ αὐτὸς ὁ πάνσοφος Παῦλος, καί τοι λέγων ἡμῖν ἐναργῶς· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα; ἢ τὸ Δαμασκοῦ θραδιδράσκων ἠγώμυον, διὰ τὴν θυρίδος ἐχαλάτην διὰ τοῦ τείχους; ἔδει πάντως ἀγαθοῦ καθηγητὴν καὶ διδάσκαλον αὐτὸν ἡμῖν ἀναφανῆναι τοῦ Χριστοῦ. προσῆκε μὲν γὰρ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ ἱκετηρίας, ὡς καθ' ἡμᾶς γεγονὼς· εἰσηκούσθη δὲ, ὡς φύσει καὶ ἀληθῶς υἱὸς ὁ παρακαλούμενος· ἐγὼ γὰρ, φησὶν, ἤδειν ὅτι πάντοτέ μου ἀκούεις. ἵνα γὰρ καὶ τὰς ἡμῶν προσδοκὰς δεκτὰς γενέσθαι παρασκευάσῃ, πάλιν αὐτὸς ἀπάρχεται τοῦ πράγματος, μονονουχὶ κατδρυμῶν τῇ ἀνθρώπου φύσει τοῦ παθεῖν ἀκοήν, καὶ οἷον ἐπιμοιρίτου παρατιθεὶς ταῖς ἑαυτοῦ διανευόντων ἀλγηδόσιν. ἐκοῦν ἡμεῖς ἡμῶν ἐν αὐτῷ, καθάπερ ἐν ἀπαρχῇ δευτέρᾳ τοῦ γένους, οἱ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ οὐκ ἀδακρυτὶ προσδεχόμενοι, καὶ τοῦ θανάτου κράτος καταργηθῆναι παρακαλοῦντες, ἰσχύσαι δὲ τῷ ζωῷ, τῷ καὶ παλαι τῇ φύσει δεδωρημένῳ.

Μαρκ. 10. 33. Ρωμ. 8. 31. Πραξ. 9. 11. 2. Κορ. 11. 32.

Ἰωάν. 11. 42.

μά.

Ὅτι δὲ τὸ ὑπακοῦσαι Θεῷ λαμπρὸν καὶ ἀπόβλεπτον ἔχει τὸ πέρας, ὡς ἐν αὐτῷ δὴ πάλιν ὀψόμεθα. ἀφ' ὧν γὰρ, φησὶν, ἔπαθεν, ἔμαθε τῷ ὑπακοῇ. ὅμοιον γὰρ ὡς εἴ λέγοι τυχόν. πεταπείνωκεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἀλλ' οὐ μεμένηκε ταπεινός. ὑπερυψώθη γὰρ λαβὼν ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. ἀνθρώπινον μὲν τοῦ λόγου τὸ σχῆμα, ἄρειός γε μὴν εἰς ἡμᾶς ὁ τοῦ πράγματος τύπος, ἀκλεᾶ τε καὶ ἀξιάγαστον ἀποφαίνων τῇ ὑπακοῇ, καὶ τοῦ παντὸς ἡμῖν σφόδρειον ἀγαθοῦ. τύπος οὖν ἄρα καὶ ὑπογραμμὸς εἰς ἡμᾶς τὸ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσδέχεσθαι πειραζόμενον τὸν Ἐμμανουὴλ, οὐ φόβος τῆς ἀνθρωπήσεως, ἀλλ' ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, ὅτε καὶ τοῦτο δρᾶν ἀνεγκλήτως ἐξῆν, ἐδόκει εἰς τὴν τῆς θεότητος ἀδικούμενον δόξαν, ἀφειδῆς δὲ μᾶλλον αὐτὸ τοῦτο δρᾶν τῆς μετὰ σαρκὸς οἰκονομίας. ἐπεὶ τίνα ζόρον καταπτήσῃ θάνατον ἡ ζωή; ὁ δὲ καὶ ἡμᾶς αὐτοὺς ἀποφαίνων ἐπιλυμοτάτους, καὶ λέγων· μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα· πῶς ἂν ἄλλως

Εφ. γ. 8. Φιλιπ. 2. 8.

ἥλω παθῶν τιὼ δειλίαν; ἢ πῶς ἂν ἠτίνησε τῆς
Matth. 10. 28. ἰδίας σαρκὸς ἀποσοβῆσαι τὸν θάνατον, ὁ πάν-
των αὐτὸν ἀφισάς; ὁ μιᾷ φωνῇ τοὺς ἐν τοῖς
μνημείοις ἐγείρειν ὑπισχνούμενος, καὶ οὐκ ἀνίφικτον
αὐτῷ τὸ χρῆμα δεικνύων; προσιφώνει μοὶ γὰρ
Luc. 5. 28. Λαζάρῳ μοὶ. δεῦρο ἔξω· τῷ δὲ τῆς χήρας υἱῷ,
Matth. 11. 4 3. νεανίσκε, σοὶ λέγω, ἐγέρθητι.
Luc. 7. 14.

μβ'.

Εἰ δὲ δή τινες εἶεν οἱ τολμῶντες λέγειν, ὡς
ἔστιν ἄνθρωπος ἰδικῶς ὁ ἐκ τῆς ἁγίας παρθένου,
δεήσεως τε καὶ ἱκετηρίας μετὰ κραυγῆς ἰσχυρᾶς καὶ
δακρύων προσενέγκας πρὸς τὸν δυνάμενον σώζειν
αὐτὸν ἐκ θανάτου, μάλιστα μοὶ τοῖς ἱεροῖς ἀπᾴ-
δοντα γράμμασι φρονεῖν ἠρημοῦσι, δικαίως ἀκού-
σονται λέγοντος αὐτοῖς ἑνὸς τῶν ἁγίων ἀποστόλων·
οὗτοι εἰσὶν οἱ ἀποδιορίζοντες ψυχικοὶ, πνεῦ-
Jud. 19. μα μὴ ἔχοντες. εἶτα πρὸς τοῦτο φραζόντων ἐκεῖ-
νο· πότερόν ποτε ψιλὸν ἄνθρωπον εἶναί φασιν αὐ-
τὸν, ἤγουν καθάπερ εἰώθειν πεθαῤῥήκασιν, ἔχειν
τιὼ ἰσότητα τῆς ἀξίας καὶ τῆς αὐθεντίας, τῆς
πρὸς γέ φημι τὸν ἐκ Θεοῦ Θεὸν λόγον, ὡς αὐτῷ
σωμμέγον; εἰ μοὶ οὖν ἄνθρωπον εἶναί φασι καθ'
ἡμᾶς ψιλὸν, ἀνθρωπολατρῶσιν ὁμολογουμοίως,
προσκυνοῦντες αὐτῷ. γέγραπται γάρ· ὅτι κύ-
ριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λα-
τρεύσεις. εἰ δὲ δὴ φαῖεν, ὅτι κέκληται πρὸς
ἰσότητα τῆς ἀξίας, ἤγουν αὐθεντίας τῆς πρὸς
Matth. 4. 9. Luc. 4. Θεὸν λόγον· εἶτα προσέιεσι τῷ Θεῷ καὶ πατρὶ με-
τὰ κραυγῆς ἰσχυρᾶς & δεδακρυμοίος, καὶ δεῖται τοῦ
σώζοντος· οὐδέν ἐστι τὸ κωλύον καὶ αὐτοῦ τοῦ λόγου
τὸ μέχρι τοσοῦτον ὑπάρχειν ὑποκοεῖν, ὅσονπερ ἂν
εἶναι πιστεύοιτο καὶ τὸ τοῦ πρὸς αὐτὸν ἔχοντος τιὼ
ἰσότητα τῆς ἀξίας, ἤγουν τῆς αὐθεντίας. ὡκεῖν
γοῦν ἂν καὶ αὐτῷ τὸ δεδιέναι θάνατον, τὸ κίν-
δυνον ὑφοράσθαι, τὸ κλαίειν ἐν πειρασμοῖς, κα-
θεστάναι δὲ καὶ ἐν ἐνδείᾳ τῆς παρ' ἑτέρου χειρὸς,
ἵνα καὶ σώζηται· καὶ πρὸς τούτοις ἔτι καὶ μανθάνειν
τιὼ ὑπακοιὼ δι' ὧν πέπονθε πειραθείς. ἀλλ' οἶ-
μαι, τοῦτό ἐστιν ἢ φρονεῖν ἢ λέγειν ἀσύφηλον παν-
τελῶς· παναλκὴς γάρ ἐστιν ὁ τοῦ Θεοῦ λόγος, καὶ θα-
νάτου κρείττων, καὶ παθῶν ἐπέκεινα, καὶ δειλίας ἀν-
θρωποπρεποῦς ἀμέτοχος παντελῶς. ἀλλὰ μοὶ οὕ-
τω μοὶ φύσεως ἔχων, πέπονθεν ὑπὲρ ἡμῶν.
ἐκοντῶ ἔτε ψιλὸς ἄνθρωπος ὁ Χριστὸς, ἔτε ἄσαρ-
κος λόγος· ἑνωθεὶς δὲ μᾶλλον τῇ καθ' ἡμᾶς
ἀνθρωπότητι, πάθοι ἂν ἀπαθῶς σαρκὶ τῇ ἰδίᾳ
τὰ ἀνθρώπινα. γέγονε τοίνυν εἰς ὑποτύπωσιν εἰς
ἡμᾶς ἀνθρωπίνως ἐκεῖνα, καθάπερ ἔφιμεν ἐν ἀρ-
χαῖς, ἵνα τοῖς ἴχνεσιν αὐτοῦ ἐπακολουθήσωμεν.
1 Pet. 2. 21. τοῦτο γὰρ ἐποίησεν, ἐφάπαξ ἑαυτὸν προσενέγ-
κας· ὁ νόμος γὰρ καθίστησιν ἀρχιερεῖς ἔχοντας
ἀσθένειαν. ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς
Heb. 7. 28. μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμοίον,
Exod. 32. μιᾷ μοὶ προσφορᾷ, δῆλον δὲ ὅτι τῇ διὰ τοῦ ἰδίου
Lev. 7. 13. σώματος, τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζο-
μοίους ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. προσκυνέ-
* Vide. μικτι γὰρ ἑαυτὸν ὑπὲρ * ἡμῶν εἰς ὀσμὴν εὐωδίας
τῷ Θεῷ & πατρὶ, καὶ τετελείωκε νοητῶς διὰ πι-

σεως καὶ ἁγιασμοῦ, καίτοι τῆς νομικῆς λατρείας
τελειότητος οὔσης. τοιγάρτοι καπλήξον μοὶ τὸ
πνεῦ, καὶ πίπαυσαι τῆς ἀρχαίας θεσπέσης τὸ ἀνέ-
νητον ἐν σκιαῖς· γίγονε δὲ ἀναγκαίως εἰσαγω-
γὴ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομοὶ τῷ Θεῷ,
μεσιτεύοντος τοῦ Χριστοῦ, καὶ ἐν τάξει γεγονότος ἀρ-
χιερατικῇ διά τοι τιὼ πρὸς ἡμᾶς ὁμοίωσιν.

μγ'.

Πλιὼ ἐκεῖνο ἄθρει. περὶ αὐτοῦ φησι ὁ θε-
σπέσιος Παῦλος, ὅτι ἐσταυρώθη ἐξ ἀσθενείας. εἶτα 2 Cor. 13. 4.
πῶς ὁ μοὶ νόμος καθίστησιν ἀρχιερεῖς ἔχοντας
ἀσθένειαν, ὁ δὲ λόγος τῆς ὁρκωμοσίας τῆς μετὰ
τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμοίον, ὡς
ἂν ἔχοντα δηλονότι τὸ ἀσθενεῖν; τοῦτο γὰρ οἶμαι
εἶναι τὸ ἀρτίως εἰρημοίον, ἤγουν τὸ ἐν παντὶ καιρῷ
τετελειωμοίον· ὅτι μὴ κατ' ἐκείνους εἶναι τοὺς κατὰ
τὸν νόμον, οἷς οὐκ ἀσυμφόρως * εἶπεν τὸ καὶ ἀσθε- * Ἐκείνους
νεῖν ἔοικε· πῶς οὖν ὁ αὐτὸς καὶ ἀσθενείας
κρείττων εἶναι πεπίσθαται, καὶ ὡς υἱὸς τετελειω-
μοίος· σαυρῶται δὲ καὶ ἐξ ἀσθενείας; οὐκοῦν ἀκό-
λουθον ἐστιν εἰπεῖν, ὡς ἠσθένησε μοὶ, σαρκικῶς σαυ-
ρὸν ὑπομείνας· ἔστι γε μιὰ ὡς Θεὸς τοῦ ἀσθε-
νεῖν ἐπέκεινα. τὸ γὰρ πνεῦμα προθυμον, ἡ δὲ
σὰρξ ἀσθενής. εἰ δὲ δὴ λέγοιεν, τιὼ ἀσθέ- Matth. 26. 41.
νειαν ἐν τούτῳ τῷ ἐν ἁμαρτίαις εἶναι δηλονοῦ- * Ἐμφερῶς
τὺς κατὰ νόμον * ἱερατεύοντας, οὐκ ἀντιτείνο- * Ἱερατεύοντας.
μαι, σύμφημι δὲ μᾶλλον ὀρθὰ καὶ οὕτω νοεῖν
ἠρημοίους. οἰκείως οἱ μοὶ κατὰ νόμον ἱερουργοὶ
θυσίας ἐχρῄζον οὐ μιᾶς, πλειόνων δὲ μᾶλλον,
ἅτε δὴ προσάγοντες καθ' ἡμέραν ὑπέρ τε αὐτῶν Heb. 7. 27.
καὶ τῆς τοῦ λαοῦ ἀγνοημάτων, διὰ τὸ πλεοπά-
κις ἀσθενεῖν, καὶ ὑπομοίειν μαλακισμοὶ τὸν εἰς
πολυξόπον ἁμαρτίαν· ὁ δὲ κρείττων ἁμαρτίας
ὑπάρχων, ὡς Θεὸς, προσκεκόμικεν ἑαυτὸν, καὶ
γέγονεν ἡμῶν ἀρχιερεὺς, ἀνθρωπίνως μοὶ λε-
γομοίῳ λειτουργεῖν, ἱερατεύων δὲ τῇ παρῇ
τὸ ἴδιον σῶμα. θεοπρεπῶς οὖν ἄρα παθῶν οὐκ
ἀνέχεται τιὼ ἁμαρτίαν, ὅτι μὴ φύσεως ὢν γε-
νητῆς, οὐκ ἐγκείσης οὐσιωδῶς τὸ ἄξιπτον, καὶ
τὸ εἰς ἅπαν ὁμαδιάστατον ἐκπίπτειν τιὼ ἁμαρ-
τίαν. * Θεὸς οὖν ἄρα ἐστὶ παντελῶς, ἀνεν- * Διὰ
καίρητον ἔχων παρ' ἑτέρου τὸ ἀπαράβατον εἰς
ἁγιασμόν, φύσεως τε καρπὸν ἰδίας ἔχων τὸ
ἀπλημμιλές.

μδ'.

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομοίοις· τοιοῦτον ἔχο- Heb. 8.
μοὶ ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς
μεγαλωσυνῆς ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουρ-
γὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθοῦς, ἣν ἔπηξεν ὁ
κύριος καὶ οὐκ ἄνθρωπος.) ἐγήγερτο μοὶ κατὰ τὸν
ἔρημον ἡ ἀρχαία σκηνὴ διὰ τοῦ παιδίου Μω-
σέως, πεποίηται δὲ κατὰ τὸν τύπον τὸν δειχθέντα
αὐτῷ ἐν τῷ ὄρει· καὶ πῶς μοὶ κατὰ τὸν νόμον ἱερα-
τεύειν ἐκείνη σφριτωδέστατα· ἐναντίωμα δὲ τῷ
Χριστῷ σφριτον τε καὶ ἑαυτοῦ ἡ ἄνω καλλίπολις, τοι-
οῦτον ὁ κύριος, ἡ θεία τε καὶ ἀνωτάτω σκηνὴ,

καὶ οὐκ ἀνθρωπίνης εὕρεμα τέχνης, ἀλλ' ἱερὰ καὶ θεότευκτος. ἐκεῖ γεγονὼς προσκομίζει τῷ θεῷ καὶ
Ἰωάν. 14. 6. πατρὶ τοὺς εἰς αὐτὸν πιστεύοντας, ἡγιασμένους δὲ δηλονότι διὰ τοῦ πνεύματος. οὐδεὶς γὰρ ἔρχεται, φησὶ, πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ. καὶ οὗτος αὐτῷ τῆς ἐνθάδε λεγομένης λειτουργίας ὁ τρόπος· θεοπρεπὲς δὲ τὸ χρῆμα, κἂν εἰ τοῖς καθ' ἡμᾶς, ἤγουν ἀνθρωπίνοις σημαίνοιτο λόγοις. τὸ γὰρ ἁγιάζειν δύνασθαι τῷ ἰδίῳ πνεύματι τοὺς πιστεύοντας, ἐλέῳ καὶ χάριτι δεδικαιωμένους, καὶ οἷον ἱερουργεῖν τῷ Θεῷ, κόσμῳ μὲν ἀποθνήσκοντας, ζωοποιουμένους δὲ πνεύματι, καὶ εἰς εὐδόκιμον ἀληθῶς ἀναλάμποντας βίον, πῶς οὐκ ἂν εἴη θεοπρεπὲς; ὅτι δὲ καίτοι λεγόμενος λειτουργεῖν, οὐ μείων ἐστὶ τοῦ πατρὸς, οὔτε μὴν κατόπιν ἔρχεται τῆς ἑνούσης εὐκλείας αὐτῷ, προσαποδείκνυσιν ἐναργῶς τὸ τοῖς θείοις
Ἑβρ. 8. 1. αὐτὸν ἐνιδρῦσθαι θώκοις, καὶ ἐν δεξιᾷ καθῆσθαι τοῦ γεγεννηκότος. εἰ γὰρ ἐστιν ἀληθὲς, ὅτι πᾶς ἱερεὺς ἕστηκεν ἀεὶ λειτουργῶν, καὶ οὐκ ἂν νοοῖτό ποτε σύνεδρός τε καὶ ἰσοκλεὴς ὥσπερ ἂν λατρεύσειε Θεῷ, πῶς οὐκ ἀσυνήθης ἱερουργὸς ὁ Χριστὸς, ὁ καὶ ἐν τοῖς τῆς θεότητος θώκοις ὡς Θεὸς, καὶ λειτουργῶν ἀνθρωπίνως; εἰ δὲ δή τις λέγοι συκοφατῶν τὴν ἀλήθειαν, ὅτι ναὶ κεκάθικεν ἐν δεξιᾷ τοῦ πατρὸς ἰδικῶς ἄνθρωπος συνημμένος τῷ θεῷ κατὰ μόνην τὴν ἰσότητα τῆς ἀξίας· οὐκέτι μόνης εἶναί φησι τῆς ἁγίας τριάδος τὸν ἀνωτάτω καὶ μόνῃ αὐτῇ πρέποντα θρόνον, ἀλλ' ἤδη τις ἡμῖν τέταρτος οὑτοσὶ, πρόσφατός τε καὶ γενητὸς ἐπεισκρίνεται Θεὸς, μετὰ τὴν ὁμοούσιον καὶ ἁγίαν τριάδα.

μέ.

Ἑβρ. 9. 11. Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος.) τίνα δὲ τρόπον διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς γέγονεν ἐφ' ἡμᾶς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀρχιερεὺς, προαπέδειξεν ἡμῖν ἀρτίως ὁ λόγος. ὅτι δὲ τῆς ἱερουργίας ὁ τρόπος αὐτῷ καὶ ἀμείνων ἀσυγκρίτως τῆς κατὰ τὸν νόμον, καὶ πολὺ λίαν ὑπερκείμενος τῶν ὡς ἐν τύπῳ καὶ σκιᾷ. καὶ γάρ ἐστιν αὐτὸς ἡ ἀλήθεια καὶ τὸ ἄμωμον ἱερεῖον· ἐνδοιάσειεν ἂν οὐδείς. ἐπιτήρει δὲ, ὅπως ὁ ἀξιάγαστος ἡμῶν ἀρ-
Ἑβρ. 8. χιερεὺς, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, διὰ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, λύτρωσιν εὑράμενος αἰωνίαν. πῶς οὖν ὁ ἐν δεξιᾷ τοῦ πατρὸς ὡς Θεὸς, ἴδιον ἔχειν αἷμα λέγοιτ' ἂν, εἰ μὴ πεπιστεύκαμεν, ὅτι ὁ ἐκ Θεοῦ πατρὸς κατὰ φύσιν υἱὸς κεχρημάτικε καὶ υἱὸς ἀνθρώπου, καὶ τὸ ἴδιον αἷμα τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα δοὺς, ταύτην εὕρατο τῷ κόσμῳ τὴν εἰς αἰῶνα λύτρωσιν; οὐ γάρ που φαίη τις ἂν, ὡς ἦν ἀκόλουθόν τε καὶ πρέπον, καθάπερ ἐν τάξει τῶν ἀλόγων ζώων σφάζεσθαι πλειστάκις τὸν Ἐμμανουὴλ, ἀποχρῶντος εἰς λύτρωσιν τῆς ὑπ' οὐρανὸν τοῦ καὶ ἅπαξ παθεῖν αὐτόν. εἰ δὲ, καθὰ πεφρονήκασί τινες, ἄνθρωπος ἦν ἰδικῶς, ἰσότητι μὲν τῆς ἀξίας, ἤγουν αὐθεντίας, συνημμένος Θεῷ, διῃρημένος δὲ καθ' ὑπόστασιν, καὶ ἀνὰ μέρος εἶναι πιστεύομενος. οὐκ ἦν ἴδιον αἷμα τοῦ συνεδρεύοντος τῷ πατρὶ τὸ εἰς λύτρωσιν τοῦ κόσμου δοθὲν, ἀλλ' ἑτέρου μᾶλλον σχετικὴν ἔχοντος πρὸς αὐτὸν τὴν συνάφειαν. ὥσπερ γὰρ δύο τινὲς ἄρχοντες τῇ τῶν ἀξιωμάτων ἰσότητι κατ' οὐδὲν ἀλλήλων διενεγκόντες ὅλως, οὐχ * εἷς νοοῦνται μᾶλλον, ἀλλὰ δύο κατὰ τὸ ἀληθές· οὕτω τὸ συνημμένον τινὶ κατὰ τὴν ἀξίαν, διῃρημένων τῶν φύσεων, ἤγουν ὑποστάσεων, οὐχ εἷς εἶεν ἂν, ἀλλὰ δύο. καὶ τὸ ἑνὸς αἷμα τυχὸν αὐτοῦ δὴ πάντως ἐστι, καὶ οὐχὶ δὴ μᾶλλον ἑτέρου. οὐκοῦν οὐκ ἀπόχρη πρὸς ἕνωσιν ἀληθῆ τὸ ὡς ἐν ἰσότητι τῆς ἀξίας, ἤγουν αὐθεντίας, συνῆφθαι λέγειν ἄνθρωπον Θεῷ.

* ἐν νοοῦνται

μϛ'.

Οὐ γὰρ εἰς χειροποίητα εἰσῆλθεν ἅγια ὁ Χρι- Ἑβρ. 9. 14.
στὸς οὐδὲ εἰς ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Ἡσαΐ. 66.
Θεοῦ ὑπὲρ ἡμῶν.) τοῦ Θεοῦ λέγοντος· ὁ οὐρανός μοι θρόνος· ἐπαναπαύεσθαι καὶ αὐτὸν τοῖς ἄνω πνεύμασι φαμὲν τὸν υἱὸν, σκηνὴν ὥσπερ ἁγίαν ἔχοντα τὸν οὐρανὸν, καὶ οὐ κατά γε τοὺς ἐπὶ γῆς ἱερουργοῦντας σωματικῶς, καὶ τὰς δι' αἱμάτων τελοῦντας θυσίας, εἰς ἀντίτυπα τῶν ἀληθινῶν εἰστρέχοντα κατὰ τὸ τῷ νόμῳ δοκοῦν. ἐμφανίζεται δὲ νῦν ὑπὲρ ἡμῶν τῷ προσώπῳ τοῦ Θεοῦ, τίνι τρόπῳ; ἆρα γὰρ οὐκ ἀεὶ καὶ πρὸ τῆς ἐνανθρωπήσεως ὑπάρχει ἐμφανής; καὶ τοι καταθρῆσαι ῥᾷον, ὡς αὐτός ἐστιν ἡ δημιουργὸς σοφία τοῦ Θεοῦ καὶ πατρὸς, δι' ἧς τὰ πάντα προσεκομίσθη πρὸς ὕπαρξιν. καὶ γοῦν ὡς σοφία φησίν. ἐγὼ ἤμην, ᾗ προσέχαιρε. καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ· Παροι. 8. 30.
ὅτε ἐνευφραίνετο τὴν οἰκουμένην συντελέσας, καὶ ἐνευφραίνετο ἐν υἱοῖς ἀνθρώπων. ὅτε τοίνυν αὐτῇ προσέχαιρεν ὁ πατὴρ, καὶ ἦν ἐν προσώπῳ αὐτοῦ καθ' ἡμέραν εὐφραινομένη τε καὶ εὐφραίνουσα, πῶς ἐμφανίζεται νυνὶ τῷ προσώπῳ τοῦ Θεοῦ; οὐκοῦν ἐμφανίζεται ξένως, οὐκέτι γυμνὸς καὶ ἄσαρκος λόγος, καθάπερ ἀμέλει καὶ ἐν ἀρχαῖς ἦν, ἀλλ' ἐν μορφῇ τε καὶ φύσει τῇ καθ' ἡμᾶς. φαμὲν γὰρ οὕτως αὐτὸν ἐμφανισθῆναι νυνὶ, καὶ οἷον * ἐπ' ὄψει τοῦ Θεοῦ καὶ πατρὸς τοῦ ἀνθρώπου φύσιν ἀγαγεῖν, καίτοι γενομένην ἐν ἀποστροφῇ διὰ τὴν ἐν Ἀδὰμ παράβασιν. ἡμᾶς οὖν ἄρα παρίστησιν ἐν ὀφθαλμοῖς τοῦ πατρὸς ὡς ἐν ἑαυτῷ καὶ πρώτῳ, καθὸ πέφηνεν ἄνθρωπος, ἵν' ἡμᾶς προσαγάγῃ τῷ πατρὶ, καὶ τῶν ἀρχαίων ἀπαλλάξας αἰτιαμάτων, καὶ εἰς καινότητα ζωῆς μεταστοιχειώσας ἐν πνεύματι· ὥστε καὶ ἀξίους ὁρᾶσθαι λοιπὸν τῆς παρὰ τοῦ πατρὸς ἐποπτείας, ὡς ἐν υἱῶν τάξει παρειλημμένους.

* ἐν ὄψει

Περὶ τοῦ λέγεσθαι δόξαν λαβεῖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

μζ'.

Γαλ. 1. ΠΑΥΛΟΣ ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.) ἀπόχρη μὲν εἰς ἀπόδειξιν τοῦ μὴ δεδεῆσθαι δόξης τῆς ἔξωθεν καὶ εἰσκεκριμένης τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸ συναποστέλλειν τῷ Θεῷ καὶ πατρὶ τῶν περὶ ἑαυτοῦ κηρυγμάτων τοὺς ἱερουργούς· οὐ γὰρ ἑαυτοὺς ἐκήρυττον, ἀλλὰ Χριστὸν Ἰησοῦν κύριον εἰς δόξαν Θεοῦ πατρός. ἐπειδὴ δὲ τοῖς ἱεροῖς ἕπεσθαι γράμμασιν ἀναγκαῖον ἡμᾶς, οὐδαμοῦ παρεκτρέχοντας τὸ αὐτοῖς δοκοῦν, φέρε λέγωμεν, τίνα δὴ τρόπον ὁ Θεὸς καὶ πατὴρ δόξῃ λέγεται στεφανοῦν τὸν υἱόν. οὐκοῦν αὐτὸς ποῦ φησιν ὁ μακάριος Παῦλος περὶ τῶν ἀρχόντων τοῦ αἰῶνος
1. Κορ. 2. 7. τούτου· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. οἶδεν οὖν ἄρα καὶ κύριον ὄντα τῆς δόξης τὸν ἐσταυρωμένον. πῶς οὖν δέχεται δόξαν παρὰ τοῦ πατρὸς ὁ τῆς δόξης κύριος; ἢ δῆλον, ὅτι πεποίηται πάλιν οἰκονομικῶς ὁ λόγος αὐτῷ; δέχεται μὲν γὰρ ἀνθρωπίνως, ἔστι δὲ καὶ οὕτω τῆς δόξης κύριος θεϊκῶς. καὶ ὁ μὲν τῆς θείας αὐτοῦ φύσεως πλοῦτος ὁρῷτο ἂν πρὸς ἡμῶν ἐν τοῖς ὑπὲρ κτίσιν πλεονεκτήμασι· τῆς δὲ καθ' ἡμᾶς πτωχείας τὸ μέτρον ἐν τῷ
1. Κορ. 8. 9. λέγεσθαι λαβεῖν, καὶ εἰ πλούσιος ὢν δι' ἡμᾶς ἐπτώχευσεν. ἀλλ' οὖν ἀγαθαῖς ἐννοίαις πρὸς ὀρθότητα διοικούμενοι, καὶ τὰ εἰκότα φρονεῖν ἐπ' αὐτῷ σπουδάζοντες, οὐκ ἀγνοήσομεν ἡμεῖς τὸν καὶ ἐν τῇ καθ' ἡμᾶς πτωχείᾳ πλούσιον ὡς θεόν.

μή.

Γαλ. 3. Ὁ πατὴρ ἀγαπᾷ τὸν υἱόν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. δέχεται πάλιν ὡς ἄνθρωπος ὁ υἱόν. πλὴν οὐκ ἔξω πάλιν τίθησιν ἑαυτὸν ὁ πατὴρ τοῦ πάντα ἔχειν ὑφ' ἑαυτῷ. διδοὺς γὰρ αὐτὰ τῷ υἱῷ, σὺν αὐτῷ κατάρχει τῶν ὅλων, τοῖς τῆς θεότητος σκήπτροις ὑποφέρων δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ τὸ ἐπὶ τῆς γῆς γένος, καίτοι διανενευκὸς
Κορ. 1. 5. 19. ἀχαλίνως εἰς ἀπόστασιν. ὡς γὰρ αὐτός ποῦ φησιν ὁ σοφώτατος Παῦλος· Θεὸς ἦν ἐν Χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ. καὶ οὐ δή ποῦ φαμεν, ὡς ἐν ἀνθρώπῳ κατοικήσας Χριστὸς ἕτερος παρά γε τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον, κόσμον ἑαυτῷ κατήλλαττε· φρονοῦσι γὰρ ᾧδέ τινες τῶν ἀμαθεστέρων. ἐκεῖνο δὲ μᾶλλον, ὅτι κατήλλαττεν ἑαυτῷ τὸν κόσμον ὁ Θεὸς καὶ πατὴρ ἐν Χριστῷ· γέγονε γὰρ ἡμῶν μεσίτης ἐνανθρωπήσας ὁ υἱὸς, καὶ οἷον διαλλακτὴς εἰς εἰρήνην, οὐχ ἑτέρῳ προξενῶν τῶν ἐν τῷ κόσμῳ τὴν ὑποταγὴν, ἀλλ' ὡς ἐν ἰδίῳ προσώπῳ, τῷ Θεῷ καὶ πατρί. Χριστῷ γὰρ κατηλλαγμένοι,
Μαρ. 11. 18. κατηλλάγμεθα δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ τῷ πάντων ἡμῶν σωτῆρι Θεῷ. τοιγάρτοι καὶ ἔφασκε. δεῦτε πάντες πρὸς μὲ οἱ κεκοπιακότες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ὅτι δὲ τοῖς πρὸς αὐτὸν ἴουσιν οὐ πρὸς ἕτερόν τινα γένοιτ' ἂν ἡ καταλλαγὴ, πλὴν ὅτι πρὸς Θεὸν τὸν φύσει καὶ ἀληθῶς, πεπληροφόρηκεν εἰπών. ὁ πιστεύων εἰς ἐμὲ, οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με. καὶ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με. ὁτὲ δὲ πάλιν· πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε. Γαλ. 11. 44. Γαλ. 14.

μθ'.

Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε. καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν αἰώνιον.) παράκλητος μὲν καὶ ἱλαστήριον ὁ υἱὸς ὠνόμασται· καθίστησι γὰρ τοῖς ἐπὶ τῆς γῆς εὐμενῆ τὸν πατέρα, καὶ παντὸς ἡμῖν εὑρίσκεται πρόξενος ἀγαθοῦ. πλὴν ἐκεῖνο καταθρήσωμεν, πῶς ἂν δοξάσειεν ὁ πατὴρ τὸν υἱὸν, δοξασθήσεται δὲ καὶ αὐτὸς παρ' αὐτοῦ τίνα τρόπον. οὐκοῦν τὴν ὥραν, ἤγουν τὸν καιρὸν ἐληλυθέναι φησὶ, καθ' ὃν ἔδει πάντως αὐτὸν τὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς ὑπομεῖναι σταυρόν· ἀλλ' ἦν ἀναγκαῖον δοξάζεσθαι τὸν υἱὸν παρὰ τοῦ πατρὸς, καὶ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως μαρτυρούμενον ὅτι τέ ἐστιν ὁμοούσιος αὐτῷ καὶ ζωοποιὸς, καὶ θανάτου κρείττων, καὶ φθορᾶς ἀμείνω τὴν φύσιν διεκληρώσατο. καὶ δοξάζεται δὲ καὶ αὐτὸς ὁ πατὴρ, ὡς ἔχων υἱὸν κατὰ πᾶν ὁτιοῦν ἐοικότα τε καὶ ἰσοκλεᾶ καὶ ἰσουργὸν ἑαυτῷ. καὶ τοῦτο δέδειχεν ὁ υἱὸς καταργήσας τὸν θάνατον, καὶ ἀναστήσας ἐκ νεκρῶν τὸν ἑαυτοῦ ναόν. δέχεται δὲ τὴν κατὰ πάντων ἐξουσίαν, καθ' ἡμᾶς δὴ πάλιν καὶ ἀνθρωπίνως. καί τοι βασιλεύων τῶν ὅλων θεϊκῶς. καὶ ἐνίησι μὲν ὁ πατὴρ τοῖς δοθεῖσι τῷ υἱῷ τὴν ζωὴν τὴν αἰώνιον. αὕτη δέ ἐστιν αὐτός. ἔφη γάρ· ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. οὐκοῦν κἂν εἰ λέγοιτο λαβεῖν παρὰ τοῦ πατρὸς δόξαν καὶ τὴν κατὰ πάντων ἐξουσίαν τε καὶ βασιλείαν, ἀναθετέον μὲν τὸ λαβεῖν τοῖς τῆς κενώσεως μέτροις. ἰστέον δὲ, ὅτι καὶ τῆς δόξης ἐστὶ κύριος ὡς θεὸς, καὶ σύνθρονος τῷ πατρὶ καὶ κατ' οὐδένα τρόπον μειονεκτούμενος τῆς τοῦ τεκόντος αὐτὸν ὑπεροχῆς τε καὶ δόξης, τό γε ἧκον εἰς τὴν τῆς θεότητος φύσιν. ἐσόμεθα γὰρ οὕτως εὐσεβεῖς, περιτρέποντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν αὐτοῦ, καὶ λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως αὐτοῦ. Γαλ. 11. Γαλ. 4. Γαλ. 11. 25. 2. Κορ. 10.

ν'.

Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ ἁγίου πνεύματος λαβὼν παρὰ τοῦ πατρὸς, ἐξέχεε τοῦτο, ὃ ὑμεῖς βλέπετε καὶ ἀκούετε, οὐ γὰρ Δαυὶδ ἀνέβη εἰς τὸν οὐρανόν. λέγει δὲ αὐτός· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.) ὅλον ἐν τούτοις καταθρήσαιμεν ἂν τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς τὸ μυστήριον. ἐν μορφῇ γὰρ ὑπάρχων Πραξ. 2. 33. Ψαλμ. 109.

ἐν ἰσότητι τοῦ πατρὸς ὁ ἐξ αὐτοῦ Θεὸς λόγος, ἡ πανσθενὴς δεξιὰ, καὶ χεὶρ ἡ * παντουργικὴ, κεκενῶσθαι μὲν λέγεται διὰ τὸ ἀνθρώπινον· ὑψοῦται δὲ πάλιν, οὐκ εἰς ὀθνεῖον ἀξίωμα καὶ οὐ πάλαι προπεφυκὸς αὐτῷ διαβαίνων, ἀλλ' εἰς ἔμφυτόν τε καὶ τὴν ἐνοῦσαν ἀεὶ δόξαν τε ὁμοῦ καὶ ὑπεροχὴν ὑπονοστῶν. ὑψοῦται γὰρ ἀνθρωπίνως, καίτοι κατὰ φύσιν ὕψιστος ὢν ἀεί. γέγονε γὰρ ἄνθρωπος. καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ τῆς φύσεως μέτρον, καὶ ἡ λεγομένη κένωσις. ὅ γε μὴν ἐνανθρωπήσας Θεὸς, καίτοι νομισθεὶς οὐδὲν ἕτερον εἶναι, πλὴν ὅτι μόνον ἄνθρωπος, αὐτὸ δὲ τουτὶ τὸ ὁρώμενον, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, τετίμηται δὲ καὶ ὡς υἱὸς ἀληθῶς τοῦ Θεοῦ καὶ πατρὸς, καὶ τῆς ἀνωτάτω πασῶν εὐκλείας ἀνεδήσατο τὰ αὐχήματα, Θεὸς εἶναι πεπιστευμένος. καὶ οὐκ ἀσύνηθες αὐτῷ τὸ χρῆμά ἐστιν· ἀληθὲς δὲ μᾶλλον εἶναί φαμεν τὸ ὑφειμένον ἐν ἀνθρωπότητι, καὶ τὸ ὑψοῦσθαι δοκεῖν, καίτοι ταῖς εἰς λῆξιν διαπρέποντα δόξαις. ἐπειδὴ δὲ τῇ ἀνθρώπου φύσει, καὶ μέτροις τοῖς καθ' ἡμᾶς, πάντα ἐστὶν ἄνωθεν καὶ παρὰ Θεοῦ, ταύτῃ τοι καὶ μάλα εἰκότως τῇ δεξιᾷ τοῦ πατρὸς ὑψοῦσθαι λέγεται, καίτοι χεὶρ ὑπάρχων αὐτὸς, καὶ ἡ τῶν ὅλων δημιουργὸς δεξιά. ἄθρει δέ μοι πάλιν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν ἀνθρωπίνως μὲν τὸ πνεῦμα δεχόμενον, πληροῦντα δὲ θεϊκῶς τὴν ἐπαγγελίαν τοῦ πατρὸς, διὰ τοῦ τοῖς πιστεύουσιν ἐνιέναι τὸ πνεῦμα, καὶ οὐχ ὡς ἀλλότριον, ἀλλ' ὡς ἴδιον αὐτοῦ. ἔφη μὲν γάρ που Θεὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν: ὅτι ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· πληροῖ δὲ τοῦτο Χριστὸς, ὡς ἴδιον ἐνιεὶς τοῖς κεκλημένοις τὸ πνεῦμα. καίτοι τὸ μετόχους ἀποτελεῖν δύναθαί τινας τοῦ ἁγίου πνεύματος, πρέποι ἂν οὐκ ἀνθρώπῳ. πόθεν; Θεῷ δὲ μᾶλλον τῷ κατὰ φύσιν. ἐνήργηκεν οὖν τὰ τοῦ Θεοῦ καὶ πατρὸς ὁ υἱὸς, τὸ πνεῦμα διδοὺς αὐτός. ἀνθρωπίνη τοίνυν ἡ λῆψις, θεοπρεπὲς δὲ καὶ ὑπὲρ ἄνθρωπον τὸ ἐξ ἰδίου πληρώματος καὶ εἰς ἑτέρους ἐκχεῖν τὴν τοῦ πνεύματος δόσιν. Θεὸς οὖν ἄρα ἐστὶν ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνὼς ὁ λόγος, σύνεδρός τε διὰ τοῦτο τῷ Θεῷ καὶ πατρί.

* ἀληθινὴ

1. Τιμ. 3. 16.

Γωήλ. 2. 28.

Περὶ τοῦ λέγεσθαι ἀναστῆναι Χριστὸν ἐκ νεκρῶν ἐν δυνάμει τοῦ πατρός.

νά.

Ὁ ΘΕΣΠΕΣΙΟΣ γράφει Παῦλος περὶ τοῦ προπάτορος Αβραάμ· οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον. ὅτι ἐλογίσθη αὐτῷ ἡ πίστις εἰς δικαιοσύνην· ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν· ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.) μία μὲν θεότητος φύσις, ἐν ὑποστάσεσι δὲ προσκυνεῖται τρισὶ παρά τε ἡμῶν καὶ τῶν ἄνω πνευμάτων. μιᾶς δὲ οὔσης θεότητος, ἁπάσης εἰκότως δὴ ἔργον ἂν γένοιτο πᾶν ὁτιοῦν τῶν ὅτι μάλιστα πρεπόντων αὐτῇ τε καὶ μόνῃ. πράττεται γὰρ πάντα παρὰ τοῦ Θεοῦ καὶ πατρὸς δι' υἱοῦ ἐν πνεύματι. ὥστε κἂν εἰ λέγοιτό που ζωοποιεῖν ὁ πατὴρ, ἐνεργήσει πάντως αὐτὸ διὰ τοῦ υἱοῦ ἐν ἁγίῳ πνεύματι. κἂν ἐνεργῇ τὴν ζωὴν ὁ υἱὸς ἔν γε τοῖς δεδεημένοις τῆς ζωῆς, ἀλλ' οὐ δίχα τοῦ ὁμοουσίου πατρός· ἔχει γὰρ ἐν ἑαυτῷ τὸν γεννήσαντα. καὶ γοῦν ἔφη σαφῶς· ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων, ποιεῖ τὰ ἔργα αὐτός. κἂν εἰ τὸ πνεῦμα λέγοιτο τοῦτο δρᾷν, ἐνεργήσει πάντως ὡς πνεῦμα ζωῆς· ζωὴν δὲ εἶναί φαμεν κατὰ φύσιν τὸν Θεὸν καὶ πατέρα, καὶ τὸν ἐξ αὐτοῦ γεννηθέντα υἱόν. οὐκοῦν λέγεται μὲν ὁ πατὴρ ἀναστῆσαι Χριστὸν ἐκ νεκρῶν· οὐχ εὑρήσομεν δὲ τὸν υἱὸν ἀνενεργῆ περὶ τὴν ἀνάστασιν τοῦ ἰδίου σώματος. καὶ γοῦν ἔφη πρὸς Ἰουδαίους· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ἄθρει δὲ, ὅπως τοῦ μακαρίου Παύλου λέγοντος· ὅτι λογισθήσεται ἡμῖν ἡ πίστις εἰς δικαιοσύνην τοῖς πιστεύσασιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν· οὐκ εἰς μόνον ἡ πίστις τὸν πατέρα γέγονε καὶ Θεὸν, ἀλλὰ γὰρ καὶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν. ἄλλως τε· δεῖν γὰρ οἶμαι κἀκεῖνο ἰδεῖν· γέγονεν ἄνθρωπος ὁ μονογενὴς, καὶ ὑπέμεινε μὲν σαρκικῶς τὸν θάνατον, ἀνεβίωγε μὴν οὐ κατὰ σαρκὸς, ἤγουν ἀνθρωπότητος δύναμιν. ἀλλ' ὡς ἐν ἰσχύϊ θεότητος τῆς ζωογονούσης τοὺς νεκροὺς, καὶ καλούσης τὰ μὴ ὄντα ὡς ὄντα. ἀναθετέον οὖν ἄρα τὴν ζωοποίησιν καὶ μάλα εἰκότως, οὐκ αὐτῇ που πάντως τῇ τοῦ σώματος φύσει, κἂν εἰ γέγονεν ἴδιον τοῦ ἐκ Θεοῦ φῦντος λόγου. δυνάμει δὲ μᾶλλον τῇ ὑπερτάτῃ, καὶ φύσει τῇ ὑπὲρ κτίσιν, ὡς ἐν προσώπῳ τοῦ Θεοῦ καὶ πατρὸς, ἐξ οὗ πέφηνεν ὁ υἱὸς, ἴσος τε καὶ * ὅμοιος κατὰ πάντα αὐτῷ. πρόεισι δὲ δι' ἀμφοῖν καὶ τὸ πνεῦμα τὸ ζωοποιοῦν. παραδεδόσθαι δέ φησι τὸν Χριστὸν διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἐγηγέρθαι διὰ τὴν δικαίωσιν ἡμῶν. ὥσπερ γὰρ γέγονε ὑπὲρ ἡμῶν τὸ παθεῖν αὐτὸν τῇ ἰδίᾳ σαρκὶ τὸν θάνατον, ἵνα λοιπὸν ἀτονήσῃ τοῦ θανάτου τὸ κράτος· οὕτω καὶ ἀνεβίω πάλιν ὑπὲρ ἡμῶν, ἐγκαινίζων ἐν ἡμῖν τὴν εἰς ἀφθαρσίαν ἐπάνοδον, καὶ τῆς ἐν Ἀδὰμ παραβάσεως ἀφανίζων τὰ ἐγκλήματα, δεδικαιώμεθα γὰρ ἐν Χριστῷ, τῆς μὲν ἀρχαίας ἐκείνης ἀρᾶς τὴν δύναμιν ἀφανίζοντι διὰ τῆς εἰς ἅπαν ὑπακοῆς, ἀπαλλάττοντι δὲ τῶν ἀρχαίων αἰτιαμάτων τὴν φύσιν· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, γέγονε δὲ μᾶλλον εὐδόκιμος ἐν αὐτῇ, καί τοι κατεγνωμένην, καθάπερ εἴπομεν, * ἐν Ἀδάμ.

Ἰωάν. 5. 11.

Ἰωάν. 14. 12.

Ἰωάν. 2. 19.

Ῥωμ. 4.

Ῥωμ. 4. 17.

* ὁμοούσιος.

* ἐν ἀρχῇ.

νβ'.

Ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν· ὁ κύριος ἡμῶν

Ῥωμ. 6. 1.

μῶν Ἰησοῦς Χριστὸς σκυλεύσας τὸν ᾅδην, καὶ τῶν ἐκεῖσε μυχῶν τὴν τῶν καθειρχθέντων πνευμά-
Ματθ. 28. 19. των ἀπολύσας πληθὺν, ἀνεβίω τριήμερος. εἶτα τοῖς ἁγίοις ἔφασκε μαθηταῖς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. βαπτιζόμεθα τοίνυν ὥσπερ εἰς ἓν ὄνομα τοῦ πατρὸς, οὕτως καὶ εἰς ἓν ὄνομα τοῦ υἱοῦ, καὶ εἰς τὸν θάνατον αὐτοῦ, καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. διδασκέτωσαν τοίνυν οἱ διορίζοντες εἰς υἱοὺς δύο τὸν ἕνα Χριστὸν καὶ υἱὸν, ἄνθρωπόν τε Θεῷ συναφθῆναι λέγοντες κατὰ μόνην τὴν ἰσότητα τῆς ἀξίας, ἤγουν αὐθεντίας, διῃρημένων τῶν φύσεων, εἰς τὸν τίνος θάνατον ἐβαπτίσθημεν. εἰ μὲν οὖν ἰδικῶς εἰς τὸν τοῦ Θεοῦ λόγον, κατηγορήσομεν ἐναργῶς τῆς ἀκηράτου φύσεως τὴν φθορὰν, καὶ καθοριοῦμεν θάνατον τῆς κατὰ φύσιν ζωῆς. εἰ δὲ δὴ φαῖεν, ὅτι τοῦ ἐκ γυναικὸς ἰδίᾳ τε καὶ ἀνὰ μέρος καὶ καθ' ἑαυτὸν νοουμένου, πῶς οὐ κἀκεῖνό φασιν ἀναφανδὸν, ὅτι πάντως αὐτὸς εἴη ἂν ὁ συντεταγμένος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, τάχα που καὶ ἐξωσθέντος τῆς ἀληθοῦς υἱότητος τοῦ ἐκ Θεοῦ φῦντος λόγου, εἴπερ ἐστὶ θανάτου δεκτικὸς, οὗ καὶ εἰς τὸν θάνατον βεβαπτίσμεθα; ἀλλ' ὁρᾷ που πάντως ὁ νοῦν ἔχων διεγηγερμένον τὴν τῶν ἐννοιῶν ἀτοπίαν. οὐκοῦν ἀνάγκη νοεῖν, ὅτι γεγονὼς καθ' ἡμᾶς ὁ τοῦ Θεοῦ λόγος, σαρκὶ πέπονθεν ἑκών. βεβαπτίσμεθα γὰρ οὕτως εἰς τὸν αὐτοῦ θάνατον, ὡς ἑνὸς ὄντος υἱοῦ, κατὰ μὲν τὴν τῆς θεότητος φύσιν ἀπαθοῦς, παθητοῦ δὲ κατὰ τὴν σάρκα. ὅτι δὲ ἡμᾶς εἰς καινότητα ζωῆς μεταπλάττει Χριστὸς διὰ τῆς ἀναστάσεως, πῶς ἂν ἐνδοιάσειέ τις; παρίστησι γὰρ ἡμᾶς ἑαυτῷτε καὶ τῷ πατρὶ ὡσεὶ ἐκ νεκρῶν ζῶντας,
Ρωμ. 6. καθὰ γέγραπται· καὶ ἀποθανόντας μὲν τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῇ δικαιοσύνῃ.

νγ'.

Ρωμ. 8. 11. Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν Χριστὸν οἰκεῖ ἐν ἡμῖν, ὁ ἐγείρας ἐκ νεκρῶν Ἰησοῦν Χριστὸν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ἡμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν * ἡμῖν·) ζωὴ μέν ἐστι κατὰ φύσιν ὁ μονογενὴς τοῦ Θεοῦ λόγος· ἐπειδὴ δὲ τῷ θανάτῳ κάτοχον ἠμπίσχετο σῶμα, καὶ χάριτι μὲν Θεοῦ διὰ τῆς ἰδίας σαρκὸς ὑπὲρ παν-
Εβρ. 2. 19. Πραξ. 2. 24. τὸς ἐγεύσατο θανάτου, θεϊκῶς γε μὴν ἀνεβίω, καθ' ὅτι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν * ὑπ' αὐτοῦ. ταύτῃ τοι κατά γε τοὺς ἀρτίως ἡμῖν ἀποδοθέντας λόγους, ἐγηγέρθαι λέγεται παρὰ τοῦ πατρός. πλὴν ἐκεῖνο δὴ πάλιν φέρε δὴ, φέρε καταθρήσωμεν, εἰ δοκεῖ. ζωοποιήσειν ἔφη τὸν πατέρα καὶ τὰ
Ρωμ. 8. 9. ἡμῶν σώματα διὰ τοῦ πνεύματος αὐτοῦ ἐνοικοῦντος ἐν ἡμῖν· καὶ ἀληθὲς ὅτι τὸ χρῆμά ἐστιν, οὐκ ἂν ἐνδοιάσειέ τις. ἀλλ' αὐτὸ δὴ τὸ πνεῦμα τὸ ζωοποιοῦν καὶ αὐτοῦ πνεῦμά ἐστι Χριστοῦ γέγραπται γάρ· ὅτι ὑμεῖς μὲν οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. καὶ πάλιν περὶ τῶν ἁγίων ἀποστόλων. ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν, ἐπείραζον εἰς τὴν Βιθυνίαν πορευθῆναι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα τοῦ Ἰησοῦ. Πραξ. 16. 7.
ὅτε τοίνυν ἴδιόν ἐστι τὸ πνεῦμα καὶ αὐτοῦ τοῦ ἐγηγερμένου, καί τοι τοῦ Θεοῦ καὶ πατρὸς ζωοποιοῦντος ἡμᾶς ἐν πνεύματι, πῶς ἐστιν ἀμφιβάλλειν, ὅτι πέπρακται μὲν περὶ τὸ ἀνθρώπινον ἡ ἀνάστασις, ἐνήργηκε δὲ τὸ χρῆμα μετὰ τοῦ ἰδίου πατρὸς ὁ ἐξ αὐτοῦ κατὰ φύσιν Θεὸς λόγος, οὗ καὶ ἴδιόν ἐστι τὸ πνεῦμα τὸ ζωοποιοῦν;

νδ'.

Εἰ δὲ δοκιμὴν ζητεῖτε τοῦ ἐν * ἐμοὶ λαλοῦντος Χριστοῦ, ὃς εἰς ἡμᾶς οὐκ ἀσθενεῖ, * ἀλλὰ δυνατεῖ ἐν ἡμῖν. καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ. καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ, ἀλλὰ ζήσομεν σὺν αὐτῷ ἐκ δυνάμεως Θεοῦ εἰς ὑμᾶς.) ἐσκανδαλίζοντό τινες τῶν πεπιστευκότων εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, τάχα που λόγοις τοῖς παρά τινων * ἐπενηνεγμένοις πρὸς ἐννοίας τοιαύτας· εἰ Θεὸς ἦν ἀληθὼς, καὶ υἱὸς κατὰ φύσιν τοῦ πάντα ἰσχύοντος Θεοῦ, πῶς οὐ διέδρα τὰς τῶν φονώντων ἐπιβουλάς; πῶς δὲ καὶ * ἀτιμότατα τὸν ἐπὶ ξύλου θάνατον ἀνατλὰς, οὐκ ἂν νοοῖτο καὶ μάλα εἰκότως ἀσθενῆσαι καθ' ἡμᾶς, καὶ τῆς τῶν σταυρούντων ἡττῆσθαι χειρός; πρὸς δὲ τὰ τοιάδε φησὶν ὁ θεσπέσιος Παῦλος· εἰ γὰρ δὴ βούλοισθε δοκιμάζειν ὀρθῶς, τίς ἂν εἴη, καὶ πόσος ὁ λαλῶν ἐν ἐμοὶ, τὰ καθ' ὑμᾶς αὐτοὺς ἐννενοηκότες, ἀποχρῶσαν εὑρήσετε τὴν κατάληψιν. οὐ γὰρ ἠσθένησεν ἐν ἡμῖν, ἀπέφηνε δὲ μᾶλλον * δυνατώτατον διὰ τοῦ ἰδίου πνεύματος, ὥστε δύναθαι παντὸς κατευμεγεθῆσαι πειρασμοῦ καὶ μάλα ῥᾳδίως, καὶ ταῖς τῶν παθῶν ἐφόδοις ἀντιφέρεσθαι νεανικῶς. τὶ οὖν, ὦ Παῦλε, φαίη τις ἂν, οὐκ ἀσθενείας ἔργον φῂς εἶναι τὸ ὑπομεῖναι σταυρὸν, ἀλλ' ἔνδειξιν εἶναι τὸ χρῆμα δυνάμεως; ἆρα τῆς θεοπρεποῦς; οὐμενοῦν, φησίν. ὁμολογῶ γὰρ αὐτὸν ἠσθενηκέναι σαρκὶ, ζῆσαι δὲ πάλιν ἐκ δυνάμεως Θεοῦ· Θεὸς γὰρ ἦν φύσει· πῶς οὖν ἠσθένησε; συγχωρήσας τῷ ἰδίῳ σώματι καὶ θανάτου γεύσασθαι δι' ἡμᾶς, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος Εβρ. 2. 14.
ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. ὅτε τοίνυν τὸ ἀσθενῆσαι βραχὺ, κατά γε τὴν σάρκα φημὶ, σωτηρίας ἦν πρόφασις τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν, πῶς οὐκ ἔδει παθεῖν τὴν ἀσθένειαν, ἵνα δι' αὐτῆς καταργήσῃ τὸν θάνατον; θαυμάζεται πάλιν τὸν ἑαυτοῦ ζωοποιήσας ναὸν, οὐκ ἐξ ἀσθενείας τοῦτο κατορθῶν σαρκικῆς, ἀλλ' ὡς ἐκ δυνάμεως Θεοῦ. ἔστι δὲ αὐτὸς ἡ δύναμις τοῦ πατρὸς, ἡ ἀνάστασις καὶ ἡ ζωή· ζῇ τοιγαροῦν ἀεί· ζωὴ γάρ ἐστιν. ὅτι δὲ καὶ ἡμεῖς ζήσομεν σὺν αὐτῷ, συνησθενηκότες αὐτῷ, κατά γε τὸ ἀποθνήσκειν τέως, εἰ καὶ ἐν ἐλπίσιν ἐσμὲν

* ἡμῖν. 2. Κορ. 13. 3. * ἀδυνατεῖ.
* ἐπενηνεγμένοι.
* ἀτιμότατον.
* δυνατωτάτης
* δυνατωτάτην
1. Κορ. 1. Ρωμ. 11.

τῆς εἰς αἰῶνα ζωῆς, πῶς ἐστιν ἀμφιβαλεῖν; ἀνεβίῳ γὰρ ἐκ νεκρῶν, ὁδὸς εἰς ζωὴν γεγονὼς τῇ φύσει. εἴρηται γὰρ πρωτότοκος ἐκ νεκρῶν, καὶ ἀπαρχὴ τῶν κεκοιμημένων.

Κολασ. 1. Κορινθ. 15. 20.

νέ.

Νῦν ἡ ψυχή μου τετάρακται. καὶ τί εἴπω; πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης. ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. πάτερ, δόξασόν σου τὸν υἱόν. καὶ πάλιν. ἤρξατο λυπεῖσθαι, καὶ ἀδημονεῖν, καὶ λέγειν· περίλιπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· καὶ πάλιν· καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς, εἶπε· πάτερ, εἰς χεῖράς σου * παρατίθημι τὸ πνεῦμά μου.) οἱ τῆς Ἀπολιναρίου δόξης ἡττώμενοι καὶ τὰ αὐτῷ δοκοῦντα φρονεῖν ᾑρημένοι, ἐνιστάμενοί τε καὶ λέγοντες, ἄψυχόν τε καὶ ἄνουν ὑπάρχειν τὸν ἐνωθέντα τῷ λόγῳ ναὸν, τί δὴ ἄρα φαῖεν ἂν, γεγραφότων ἡμῖν τὰ τοιάδε τῶν ἁγίων εὐαγγελιστῶν περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ; ποτοίας μὲν γὰρ, καὶ λύπης, καὶ τῶν εἰς δειλίαν αἰτιαμάτων ἀνεπίδεκτος παντελῶς εἴη ἂν κατά γε τὸ εἰκὸς ἡ θεία τε καὶ ἀνωτάτω τοῦ λόγου φύσις. παραιτήσεται γὰρ εἰς ἅπαν τὸ ἔν γε τούτοις εἶναί ποτε, καὶ παθῶν ὅλως τῶν καθ' ἡμᾶς οὐκ ἀνέξεται. σῶμα δὲ πάλιν ἄψυχόν τε καὶ ἄνουν οὐκ ἂν εἰσδέξαιτο λύπην, ἀλλ' οὐδ' ἂν ἐννοήσειέ τι τῶν σκυθρωπῶν, ἢ τὸν ἐκ τῶν ἔσεσθαι προσδοκωμένων προαναθρήσει φόβον. πάθοι δ' ἂν τὰ τοιάδε κατά γε τὸ πᾶσιν, ὥς γε οἶμαι, δοκοῦν. ψυχὴ λογικὴ κατασκεπτομένη τῷ νῷ τά τε ἤδη παρόντα, καὶ πρός γε τούτοις τὰ συμβησόμενα. πῶς οὖν ἄρα φησὶν ὁ Ἐμμανουὴλ· νῦν ἡ ψυχή μου τετάρακται; πῶς δὲ καὶ ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν; ἢ καὶ ποῖον ὅλως εἰς χεῖρας τοῦ Θεοῦ καὶ πατρὸς παρέθετο τὸ πνεῦμα; εἰ καὶ τῆς θεότητος τὸ χρῆμά ἐστιν ἀλλότριον, καὶ μηδὲ μόνης ἀψύχου σαρκός. πρόδηλον οὖν, ὅτι γέγονεν ἄνθρωπος ὁ μονογενὴς, οὐκ ἄψυχόν τε καὶ ἄνουν σῶμα λαβὼν, ἐμψυχωμένον δὲ μᾶλλον ψυχῇ καὶ λογικῇ, καὶ τελείως ἐχούσῃ κατά γε τὸν αὐτῇ πρέποντα λόγον. καὶ ὥσπερ οἰκειοῦται πάντα τὰ τοῦ ἰδίου σώματος, οὕτω καὶ τὰ τῆς ψυχῆς. ἔδει γὰρ αὐτὸν διὰ παντὸς ὁρᾶσθαι πράγματος σαρκικοῦ καὶ ψυχικοῦ * δι' ἡμᾶς * γεγονότος. ἐσμὲν δὲ καὶ ἡμεῖς ἐκ ψυχῆς λογικῆς τε καὶ σώματος. ὥσπερ δὲ οἰκονομικῶς συγκεχώρηκε τῇ ἰδίᾳ σαρκὶ καὶ παθεῖν ἔσθ' ὅτε τὰ ἴδια, οὕτω πάλιν καὶ τῇ ψυχῇ συνεχώρησε τὰ οἰκεῖα παθεῖν· καὶ τὸ τῆς κενώσεως μέτρον τετήρηκε πανταχοῦ, καίτοι Θεὸς ὢν φύσει, καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν. παρατίθεται δὲ τὸ ἴδιον πνεῦμα τῷ Θεῷ καὶ πατρὶ, τουτέστι τὴν ἑνωθεῖσαν αὐτῷ ψυχὴν, ἵνα ἡμᾶς καὶ διὰ τούτου πάλιν εὐεργετήσῃ. πάλαι μὲν γὰρ ἀπαλλαττόμεναι τῶν σωμάτων ἐν τοῖς ὑπὸ χθόνα μυχοῖς αἱ τῶν ἀνθρώπων ψυχαὶ κατεπέμποντο, πληροῦσαι τὰ τοῦ θανάτου ταμιεῖα. ἐπειδὴ δὲ Χριστὸς τὸ ἴδιον πνεῦμα παρέθετο τῷ πατρὶ, καὶ ταύτην ἡμῖν ἐνεκαίνισε τὴν ὁδόν. βαδιούμεθα γὰρ οὐκ εἰς ᾅδου· πόθεν; ἑψόμεθα δὲ μᾶλλον· ὡς κατὰ τοῦτο αὐτῷ τῷ πιστῷ κτίσῃ τὰς ἑαυτῶν παρατιθέμενοι ψυχὰς, ἐν ἐλπίσιν ἐσμὲν ἀγαθαῖς. ἐγερεῖ γὰρ ἅπαντας ὁ Χριστός.

* παρατίθεμαι

* καθ' ἡμᾶς * γεγονότα

νϛ'.

Καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα· καὶ ὁ τρώγων με, κἀκεῖνος * ζήσει δι' ἐμέ.) ἡδέως ἂν ἐπυθόμην τῶν εἰς δύο Χριστοὺς διοριζόντων τὸν ἕνα· τίς δὴ ἄρα ἐστὶν ὁ ἀπεσταλμένος παρὰ τοῦ Θεοῦ καὶ πατρὸς, καὶ ζῶν δι' αὐτὸν, ὑπάρχων τε διὰ τοῦτο ζωοποιὸς; εἰ μὲν οὖν γυμνὸς καὶ καθ' ἑαυτὸν ὁ ἐξ αὐτοῦ λόγος, πῶς ἐσθίεται πρὸς ἡμῶν, ἵνα ζήσωμεν δι' αὐτόν; ἀσώματον γὰρ τῇ φύσει τὸ θεῖον. εἰ δὲ μόνον καὶ καθ' ἑαυτὸν ἄνθρωπον εἶναί φασι τὸν ἀπεσταλμένον, πῶς ἄρα ἐστὶ ζωοποιὸς, ὅτι ζῇ διὰ τὸν πατέρα; καίτοι πῶς οὐχ ἅπαντες οἱ ἐπὶ τῆς γῆς ἐν ζῶσίν ἐσμεν, ζωοποιοῦντος τοῦ Θεοῦ καὶ πατρὸς ἡμᾶς, εἴπερ ἐστιν ἀληθὲς, ὅτι ζῶμεν ἐν αὐτῷ, καὶ κινούμεθα, καὶ ἐσμέν; ὅτε τοίνυν ζῶμεν ἅπαντες διὰ τὸν πατέρα, πῶς δὴ μόνον τὸ ἑνὸς ἀνθρώπου σῶμα τὸ ποιοῦν ἐστι τοῦτο, καὶ οὐχὶ μᾶλλον τὴν αὐτὴν ἐνέργειαν ἔχει καὶ τὰ ἑτέρων, εἴπερ ἅπαντες, ὡς ἔφην, ἐσμέν τε καὶ ζῶμεν διὰ τὸν πατέρα; τί οὖν πρὸς ταῦτά φαμεν; ἀστόστολος κεχρηματικὲν ὁ τοῦ Θεοῦ λόγος, ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνώς· ἀπεστάλη γὰρ * κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. ζῇ δὲ διὰ τὸν πατέρα· γεγέννηται γὰρ ἐκ ζῶντος πατρός. ἔδει γὰρ, ἔδει πάντῃ τε καὶ πάντως κατὰ φύσιν εἶναι ζωὴν τὸν ἐκ ζῶντός τε ὡς ζωῆς τοῦ Θεοῦ καὶ πατρὸς ἐκπεφυκότα υἱόν. ἐπειδὴ δὲ ἴδιον ἐποιήσατο τὸ σῶμα τὸ ἐκ τῆς ἁγίας παρθένου ληφθὲν, ζωοποιὸν ἀπέφηνεν αὐτὸ καὶ μάλα εἰκότως· σῶμα γάρ ἐστι τῆς τὰ πάντα ζωογονούσης ζωῆς. οὐκοῦν οὐ διαιρετέον εἰς υἱοὺς δύο τὸν ἕνα υἱὸν καὶ Χριστὸν καὶ κύριον. εἴπερ ἐστιν ὁ αὐτὸς ζωὴ μὲν ὡς ἐκ ζωῆς καὶ ζῶντος πατρὸς, ζωοποιὸς δὲ καὶ διὰ τοῦ ἰδίου σώματος, ὡς καθ' ἡμᾶς γεγονὼς καὶ ἐνανθρωπήσας Θεός.

Ἰωάν. 6. 1

* ζήσεται

Πραξ. 17. 28.

* κηρύξαι Λουκ. 4 Ἡσαΐ. 61.

νζ'.

Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω ὡς τῷ υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί.) τίνα δὴ τρόπον οἰηθείη τις ἂν ἔχειν ἐν ἑαυτῷ τὴν ζωὴν τὸν πατέρα; ἆρα γὰρ ἔξωθεν καὶ εἰσκεκριμένην, καὶ παρ' ἑτέρου δοθεῖσαν; καίτοι πῶς οὐ λῆρος ἂν εἴη τοῦτό γε φρονεῖν, ἢ λέγειν; ἔχει γὰρ οὐ μετρίαν ὁ λόγος τῆς ἀπορρήτου φύσεως τὴν κατάρρησιν. πρῶτον μὲν γὰρ οὐχ ἁπλοῦς ἔτι τὴν φύσιν ὁ τῶν ὅλων ἔσται Θεὸς, σύνθετος δὲ μᾶλλον, εἴπερ ἐστιν ἑτέρα παρ' αὐτὸν ἡ ἐν αὐτῷ ζωή. εἴη δ' ἂν ὡς μείζων αὐτοῦ, καὶ ἐν ἀμείνοσιν ἀσυγκρίτως,

Ἰωάν. 5. 28.

τως, ὁ ὡς οὐκ ἔχοντι δοὺς τὴν ζωὴν, εἴπερ ὅλως ἀλοίη λαβών. ἀλλ' ἔστιν, ὡς ἔφην, τῶν ἄγαν ἀπηχεστάτων τὸ ὧδέ τε ἔχειν οἴεσθαι ταυτὶ, καὶ θύραθεν ἐννοεῖν εἰσκεκομισμένην ἑλεῖν τὴν ζωὴν τὸν Θεὸν καὶ πατέρα. ἔχει τοίνυν ἐν ἑαυτῷ τὴν ζωὴν οὐκ ἐπίκτητον ἢ εἰσκεκριμένως, φυσικῶς δὲ μᾶλλον ἐνυπάρχουσάν τε αὐτῷ, καὶ οὐσιώδη καρπόν. οὕτω δέδωκεν ἔχειν καὶ τῷ υἱῷ τὴν ζωήν. εἶτα πῶς ἂν δύναιτο λαβὼν ὁ υἱὸς, οὐσιωδῶς ἔχειν ἐν ἑαυτῷ τὴν ζωήν; τουτὶ γὰρ, οἶμαι, φαίη τις ἄν. ἔχει τοίνυν ὡς ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχων, ἐν ἑαυτῷ τὴν ζωὴν, καθὸ νοεῖται Θεός. δέχεται δὲ μᾶλλον μετὰ τοῦ καὶ κρίνειν αὐτὴν, καίτοι κριτὴς ὑπάρχων ὡς Θεός. καὶ τίς ἂν εἴη τοῦ λαβεῖν ὁ τρόπος, διδάξει λέγων αὐτὸς, ὅτι υἱὸς ἀνθρώπου ἐστίν. οὐ γὰρ ἴδιον ἀνθρώπου τὸ δύνασθαι οἴκοθεν ἔχειν τὴν ζωήν. ἐπειδὴ δὲ ἴδιον γέγονε τοῦ ζῶντος λόγου τὸ ἐνωθὲν αὐτῷ σῶμα, ταύτῃ τοι καὶ μᾶλα εἰκότως, ὡς ἔχων αὐτοῦ τὴν ζωοποιὸν ἐνέργειαν, λαβεῖν λέγεται τὴν ζωήν. οἰκειοῦται δὲ πάλιν τὸ χρῆμα αὐτὸς, οὗ καὶ ἴδιον γέγονε σῶμα τὸ εἰληφός.

Ὅτι κἂν υἱὸς ἀνθρώπου λέγηται ὁ Χριστὸς, ἀλλ' οὐδὲν ἧττόν ἐστι Θεὸς ἀληθινός.

νή.

Λεκ. 8 ΑΥΤΟΣ ποῦ φησιν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. ἆράγε ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;) φέρε δὴ πάλιν τὸν τῶν εἰρημένων βασανίζοντες νοῦν, ἐκεῖνο περιαθρήσωμεν, ποίαν ζητήσει πίστιν ἐπὶ τῆς γῆς ὑπονοστήσας ἐξ οὐρανῶν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός; εἰ μὲν γὰρ πιστεύεσθαι πρὸς ἡμῶν ἐθέλει, ὅτι θεὸς μὲν οὐκ ἔστιν, οὐδὲ * θεὸς ἀληθῶς, ἄνθρωπος δὲ μᾶλλον, οὐδὲν ἔχων τῶν καθ' ἡμᾶς ἐπέκεινα· πῶς ἂν ἐνδοιάσειέ τις, ὅτι τὴν τοιάνδε διάληψιν, ἤγουν πίστιν τε καὶ δόξαν, οὐ παρ' ἡμῖν εὑρήσει μᾶλλον, ἀλλὰ παρ' ἕλλησί τε καὶ Ἰουδαίοις; εἰδωλολάτραι μὲν γὰρ καὶ οἱ τῇ κτίσει παρὰ τὸν κτίστην λατρεύοντες, σταυρὸν ἀκούοντες, ὃν ὑπέμεινε δι' ἡμᾶς, καὶ προσέτι τὸν θάνατον, γελῶσιν οἱ δείλαιοι· κἂν εἴτις αὐτὸν * ὀνομάζει θεὸν, ἀναπηδῶσιν εὐθὺς ἀνθρωπολατρείαν εἶναι τὸ * χρῆμα διοριζόμενοι. οἵγε μὴν ἐκ περιτομῆς κατεφύοντο τοῦ σωτῆρος, λέγοντες ἐναργῶς. περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας. ὅτι σὺ ἄνθρωπος ὢν, ποιεῖς ἑαυτὸν θεόν. ὅτι τοίνυν οὐ τὴν παρὰ γε τοῖς πλανωμένοις πίστιν ἐπιζητεῖ, τὴν παρ' ἡμῖν δὲ μᾶλλον τοῖς ὀρθὰ φρονεῖν εἰωθόσι, πᾶσά πως ἀνάγκη διανενευκότας εἰς ἀλήθειαν ὁμολογεῖν, ὅτι θεὸς κατὰ φύσιν ὁ καὶ υἱὸς ἀνθρώπου δι' ἡμᾶς γεγονώς. ἵνα μὴ τοῖς τῶν πλανωμένων ἐγκλήμασιν ἑαυτοὺς ἐνιέντες, λάθωμεν τὰ ἴσα φρονεῖν ᾑρημένοι, καὶ μικρὰ δοξάζοντες περὶ Χριστοῦ, καθάπερ ἀμέλει κἀκεῖνοι.

* ὀνομάζει

* πρᾶγμα

Ἰωάν. 10. 33.

νθ'.

Φησίπου Χριστός. οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν ἔδωκε τῷ υἱῷ· ἵνα πάντες τιμῶσι τὴν υἱόν, καθὼς τιμῶσι τὸν πατέρα· καὶ πάλιν, ὅπερ ἐλέγομεν ἀρτίως. ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί; ψάλλει δέπου καὶ ὁ μακάριος Δαυὶδ, ὅτι ὁ Θεὸς κριτής ἐστι. γέγραφε δὲ καὶ ὁ αὐτοῦ μαθητής· εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτής. οὐκοῦν πρέποι ἂν οὐχ ἑτέρῳ τινὶ τῶν ὄντων τὸ κρίνειν, πλὴν ὅτι μόνῳ τῷ ἐπὶ πάντων Θεῷ. πῶς οὖν ἔδωκεν αὐτὸ τῷ υἱῷ ἀνθρώπου; εἰ μὲν οὖν ὡς ἑνὶ τῶν καθ' ἡμᾶς, πῶς ἀληθεύσει λέγων· τὴν δόξαν μου οὐχ ἑτέρῳ δώσω; θεοῦ γὰρ δόξα τὸ εἶναι κριτήν. εἰ δὲ δοὺς αὐτὸ τῷ υἱῷ οὐκ ἔξω γέγονε τοῦ κρίνειν αὐτὸς διὰ τὴν ταυτότητα τῆς οὐσίας· ἔστι δὲ ὁ λαβὼν υἱὸς ἀνθρώπου· πῶς οὐχ ἅπασιν ἐναργὲς, ὅτι θεὸς μέν ἐστιν ὁ λόγος διὰ τὴν ἐκ θεοῦ πατρὸς ἀπόρρητον γέννησιν; ὁ αὐτὸς δὲ καὶ υἱὸς ἀνθρώπου διὰ τὸ ἡνῶσθαι σαρκὶ, καὶ καθ' ἡμᾶς ὑπομεῖναι γέννησιν ἐκ γυναικός; ὅταν οὖν λέγῃ πρὸς Ἰουδαίους. τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; καὶ πάλιν. καὶ οὐδεὶς ἐναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου. καὶ πάλιν· καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου. ἢ ὅταν λέγῃ περὶ ἑαυτοῦ· μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἁγίων ἀγγέλων. καὶ πάλιν. τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; ἢ καὶ ἁπαξαπλῶς, ὁσάκις ἂν ἄνθρωπος ὀνομάζεται παρὰ τῇ θεοπνεύστῳ γραφῇ, οὐκ ἰδίᾳ καὶ ἀνὰ μέρος ἄνθρωπον εἶναί φαμεν, ἀποδιαιροῦντες αὐτοῦ τὸν ἐκ Θεοῦ πατρὸς λόγον· πιστεύομεν δὲ μᾶλλον ὅτι καὶ Θεός ἐστιν ἀληθινός, γέγονε δὲ καὶ υἱὸς ἀνθρώπου δι' ἡμᾶς οἰκονομικῶς μετὰ τοῦ * μεῖναι Θεὸς, καὶ εἷς ἐστι κύριος Ἰησοῦς Χριστός. ἀσεβὲς δὲ λίαν τὸ διορίζειν εἰς δύο υἱοὺς καὶ δύο Χριστοὺς, μετὰ τὴν ἀδιάσπαστον ἕνωσιν, ἢ καὶ νοῦ καὶ λόγου παντὸς ἐπέκεινά τέ ἐστι καὶ ἀνωτάτω. καὶ ἦν μὲν ἴσως οὐ δυσχερὲς ἄγαν τοῖς ἐθέλουσι βασανίζειν ἅπαντα τὰ περὶ Χριστοῦ γεγραμμένα, καὶ πλειόνων ἐννοιῶν ποιήσασθαι τὴν παράθεσιν· ἀλλ' ἴσμεν τὸ γεγραμμένον. δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. ποδηγήσει γὰρ ὁ τῶν ὅλων Θεὸς διὰ τοῦ ἁγίου πνεύματος τοὺς θεοφιλεστάτους ὑμῶν * ἀκοὰς εἴς γε τὸ δύνασθαι ὀρθῶς νοεῖν. εὑρὼν γὰρ οὕτω Χριστὸς ἐν ὑμῖν τὴν πίστιν ἀκλινῆ καὶ ἀβέβηλον. στεφανώσει πλουσίως τοῖς ἄνωθεν ἀγαθοῖς, καὶ παμμακαρίους ἀποφανεῖ. πᾶσα γὰρ ἡμῶν ἐλπὶς ἐν Χριστῷ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γωάν. 5. 22.

Γωάν. 26.

Ψαλ. 49. 14.

Γάλαβ. 4. 12.

Ἡσαί. 48. 11.

Γωάν. 8. 40.

Γωάν. 3. 16.

Ἀριθ. 21.

Ματθ. 16. 17.

Ματθ. 13.

* εἶναι

* διανοίας

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ ε'.

Κυείλλυ ἐπισκόπυ Ἀλεξανδρείας πρὸς Νεσόριον, ἡνίκα ἔμαθεν αὐτὸν κακῶς φρονεῖν.

Τῷ ἁγιωτάτῳ καὶ θεοφιλεστάτῳ ἐπισκόπῳ συλλειτουργῷ Νεσορίῳ, Κύριλλος ἐπίσκοπος ἐν κυρίῳ χαίρειν.

ΑΝΔΡΕΣ αἰδέσιμοι καὶ πίστεως ἄξιοι παραγεγόνασιν ἐν Ἀλεξανδρείᾳ. εἶπε μεπέδοσαν ὡσανεὶ καὶ τῆς σῆς θεοσεβείας ἀγανακτούσης σφόδρα, καὶ πάντα κάλων κινήσης εἰς τὸ λυπεῖν ἐμέ. βουλομένῳ δέ μοι τῇ σῇς θεοσεβείας τιλὶ λύπιν ἀναμαθεῖν, ἔφασαν ὅτι τιλὶ πρὸς μονασὰς ἁγίας γνωμένῳ ἐπισολιὰ περιφέρυσί τινες τῶν ἀπὸ τῆς Ἀλεξανδρείας, καὶ ἡ τῆ μίσης ἀφορμὴ καὶ τῆς * ἀηδίας αὕτη γέγονε. πεθαύμακα τοίνυν, εἰ μὴ ἐκεῖνο μᾶλλον ἡ σὴ θεοσέβεια καθ' ἑαυτιλὶ ἐλογίσατο· οὐ γὰρ πρότερον ἐμῆς γραφείσης ἐπισολῆς ὁ ἐπὶ τῇ πίσει γέγονε θόρυβος, ἀλλ' ἢ εἰρημένων τινῶν παρὰ τῆς σῆς θεοσεβείας. ἢ καὶ μή, πλιὰ χαρτίων, ἤγουν ἐξηγήσεων περιφερομένων, κἀμνομεν ἡμεῖς, ἐπανορθοῦν θέλοντες τὰς διεσφαλμένας. ἐγγὺς γὰρ γεγόνασί τινες τῇ μὴ ἀνέχεσθαι λοιπὸν ὁμολογεῖν, ὅτι Θεός ἐστιν ὁ Χριστός, ὄργανον δὲ μᾶλλον καὶ ἐργαλεῖον θεότητος; καὶ ἄνθρωπος θεοφόρος. καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων ἐπέκεινα; λιῶ οὖν ἄρα τὸ χαλεπαίνειν ἡμῶν ἐφ' οἷς εἴρηκεν ἢ οὐκ εἴρηκεν ἡ σὴ θεοσέβεια· τοῖς γὰρ περιφερομένοις χαρτίοις οὐ σφόδρα πιστεύω· πῶς οὖν * ἔνι σιωπῆσαι, πίστεως ἀδικουμένης, καὶ τοσούτων διεσφαλμένων; ἢ οὐ παρασησόμεθα τῷ βήματι τοῦ Χριστοῦ; οὐκ ἀπολογησόμεθα δὲ τῆς ἀκαίρου σιωπῆς ἕνεκα, καίτοι γε τεταγμένοι παρ' αὐτοῦ πρὸς τὸ λέγειν ἃ δεῖ; τί δὲ ποιήσω νῦν δεῖ γάρ με βουλεύσασθαι μετὰ τῆς σῆς θεοσεβείας. μιμουμένους τοὺς ἁγιωτάτους καὶ θεοφιλεστάτους τῆς * Ῥώμης ἐπισκόπους Κελεστῖνον, καὶ τοὺς σὺν αὐτῷ θεοφιλεστάτων ἐπισκόπων, περὶ τῶν ἀπενεχθέντων, οὐκ οἶδ' ὅπως, ἐκεῖ χαρτίων, πότερόν ποτε τῆς σῆς θεοσεβείας, ἢ μή· γράφουσι γὰρ ὡς πάνυ σκανδαλισθέντες. πῶς δὲ τοὺς ἀπὸ τῆς ἀνατολῆς ἐκ πασῶν τῶν ἐκκλησιῶν ἐρχομένους θεραπεύσομεν, καὶ τῶν χαρτίων κατηγοροῦντας; ἢ πίχαπου νομίζει ἡ σὴ θεοσέβεια, ὅτι μικρός τις ἐκκλησίαις ἀνεφύη θόρυβος ἐκ τῶν τοιούτων ὁμιλιῶν; πάντες ἐσμὲν ἐν ἀγῶσι καὶ πόνοις, τοὺς ἕτερα φρονεῖν ἐκ οἶδ' ὅπως ἀναπεπεισμένους μεθιστάντες εἰς τὸ ἀληθές. ἔπε τοίνυν τιλὶ ἀνάγκιν ἅπασι τοῦ γογγύζειν ὑπενεγκοῦσα ἡ σὴ θεοσέβειά ἐστι, πῶς αἰτιᾶται δικαίως; * τί δέ μοι καὶ μάτιν καταβοᾷ, καὶ οὐχὶ μᾶλλον ἐπανορθοῖ τὸν ἑαυτῆς λόγον, ἵνα παύσῃ σκάνδαλον οἰκουμενικόν; εἰ γὰρ καὶ παρεῤῥίπη λέγω, ὡς ἐπὶ λαῷ ξέχων, ἀλλ' ἐπανορθούσθω τοῖς ἐπισκέψεσι, καὶ λέξιν χαρίσασθαι τοῖς σκανδαλιζομένοις κατιξίωσον, θεοτόκον ὀνομάζων τιλὶ ἁγίαν παρθένον. ἵνα θεραπεύσαντες τὰς λελυπημένους, καὶ ὀρθιὶ παρὰ πᾶσι δόξαν ἔχοντες, ἐν εἰρινῇ καὶ ὁμοψυχίᾳ τῷ λαῷ τὰς σωτήξεις ἐπιτελῶμεν. ὅτι δὲ ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως πάντα ἕτοιμοί ἐσμεν παθεῖν καὶ δεσμωτηρίων εἰς πεῖραν ἐλθεῖν, καὶ αὐτοῦ τοῦ θανάτου, μὴ ἀμφιβαλλέτω ἡ σὴ θεοσέβεια. ἐπ' ἀληθείας δὲ λέγω, ὅτι καὶ περιόντος ἔτι τοῦ τῆς μαχαιρίας μνήματος Ἀττικοῦ, σωτέθειταί μοι βιβλίον περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, ἐν ᾧ καὶ λόγος περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς, οἷς νικῶ γέγραφα * σωφρόνως· καὶ * ὑπανέγνωμεν * αὐτὸ καὶ ἐπισκόπυις καὶ * κληρικοῖς, καὶ τοῖς φιλαχροάμοσι τῷ λαῷ· ἐκδέδωκα δὲ τέως ἑδσνί. εἰκὸς ἂν ἐκδοθείτος τοῦ λόγου, πάλιν ἐγκαλεῖσθαί με, ὅτι καὶ πρὸ τῆς χειροτονίας τῆς σῆς θεοσεβείας * σωτέθειται τὸ λογίδιον.

* σωνόδ.
* ὑπανέγνωμεν
* αὐτὰ
* κλήρῳ
* σωτίθεται.

ΚΕΦΑΛΑΙΟΝ ζ'.

Ἐπισολὴ Νεσορίου πρὸς Κύριλλον τὸν Ἀλεξανδρείας, διὰ Λάμπωνος πρεσβυτέρου καὶ μοναζόντος.

Τῷ θεοφιλεστάτῳ καὶ ἁγιωτάτῳ μου συλλειτουργῷ Κυείλλῳ, Νεσόριος ἐν κυρίῳ χαίρειν.

ΟΥ'δεὶ ἐπιεικείας χριστιανικῆς βεβαιότερον. ὑπὸ ταύτης οὖν νῦν διὰ τοῦ ἁγιωτάτου πρεσβυτέρου Λάμπωνος πρὸς τὸ παρὸν βεβιάσμεθα γράμμα, πολλὰ μοὶ εἰπόντος ἡμῖν περὶ τῆς σῆς ἀγαθείας, πολλὰ δὲ καὶ ἀκούσαντος· τὸ τελευταῖον οὐκ ἐνδόντος ἡμῖν, ἕως τὸ παρ' ἡμῶν εἰσεπράξατο γράμμα· καὶ τῇ τοῦ ἀνδρὸς νικηθέμεθα βίᾳ. φόβον γὰρ ὁμολογῶ κεκτῆσθαι πολὺν περὶ πᾶσαν παντὸς ἀνδρὸς Χριστιανικοῦ ἐπιείκειαν, ὡς ἐγκαθήμενον αὐτῷ τὸν Θεὸν κεκτημένου. τὶ μοὶ οὖν παρ' ἡμῶν, καίτοι πολλῶν παρὰ τῆς σῆς θεοσεβείας ὁ κατὰ ἀδελφικοῦ ἀγάπου· δεῖ γὰρ εἰπεῖν ἀφημότερον· γεγονότων, ἐν μακροθυμίᾳ τε καὶ ἀγάπῃ γραμμάτων προσηκούσῃ * δείξει δὲ ἡ πεῖρα, ποτιπὸς ἡμῖν ὁ τῆς παρὰ τοῦ ἁγιωτάτου πρεσβυτέρου Λάμπωνος βίας καρπός. πᾶσαν τιλὶ σὺν σοὶ ἀδελφότητα ἐγώτε καὶ οἱ σὺν ἐμοὶ προσαγορεύομεν.

ΚΕΦΑΛΑΙΟΝ η'.

Τῷ ἁγιωτάτῳ καὶ θεοφιλεστάτῳ συλλειτουργῷ Νεσορίῳ Κύριλλος ἐν κυρίῳ χαίρειν.

ΚΑταφλυαρῶσι μοὶ, ὡς * ἀκούω, τινὲς τῆς ἐμῆς ὑπολήψεως ἐπὶ τῆς σῆς θεοσεβείας· καὶ τοῦτο συχνῶς, τὰς τοῦ ἐν πέλει σιωπὰς καιροφυλακοῦντες μάλισα, εἴ τίχαπου καὶ πέρπειεν οἰόμενοι τιλὶ σιλὶ ἀκολουθοῦντες· καὶ ἀβουλήτους * ποιοῦσι φωνὰς, ἠδικημένοι μὲν ἑαυτοὺς, ἐλεγχθέντες δὲ, καὶ τοῦτο * χρησίμως· ὁ μὲν, ὅτι τυφλὸς * ἠδίκει καὶ πεσόντας· ὁ δὲ, ὡς μητρὸς ξίφος ἐπαγαπῶν· ὁ δὲ, θεραπαινὴ συγκεχλοφὼς

* μανθάνω.
* ποτὲ δὲ μοι σοῦ, καὶ
* Ῥωμαίων ἐκκλησίας ἐπισκόπου
* ποιεῖ μοι.
* χρηστῶς.
* εἰδικήκει.

χρυ-

χρυσίον ἀλλότριον, καὶ τοιαύτῃ ἐχυρὸς ἀεὶ τῇ ὑπολήψιν, ἣν οὐκ ἂν εὔξαιτό τις συμβῆναί τισι καὶ τῶν λίαν ἐχθρῶν. πλὴν ὁ πολὺς τῶν τοιούτων ὁ λόγος ἐμοί, ἵνα μήτε ὑπὲρ τὸν δεσπότην καὶ διδάσκαλον, μήτε μὴν ὑπὲρ τὸς πατέρας τὸ τῆς ἑνώσης μοι βραχύτητος * ἐκτείνοιμι μέτρον. οὐ γὰρ ἐνδέχεται τὶς τῶν φαύλων δόξαν σκαιότητας, ὡς ἂν ἔλοιτό τις δόξαιεν. ἀλλ' ἐκεῖνοι μὴν ἀρᾶς καὶ πικρίας μεστὸν ἔχοντες τὸ στόμα, τῷ πάντων ἀπολογήσονται κριτῇ. περιάψομαι δὲ πάλιν ἐγὼ πρὸς τὸ ὅτι μάλιστα πρέπον ἐμαυτῷ, καὶ ὑπομνήσω καὶ νῦν ὡς ἀδελφὸν ὄν * χαίρω, τῆς διδασκαλίας τὸν λόγον καὶ τὸ ἐπὶ τῇ πίστει φρόνημα μετὰ πάσης ἀσφαλείας ποιεῖσθαι πρὸς τοὺς λαούς. ἐννοεῖτε, ὅτι τὸ σκανδαλίσαι καὶ μόνον ἕνα τῶν μικρῶν τῶν πιστευόντων εἰς Χριστὸν, ἀφόρητον ἔχει τὴν ἀπαραίτησιν· εἰ δὲ δὴ πληθὺς εἴη τοσαύτη τῶν λελυπημένων, πῶς οὐκ ἀπάσης δεήσεως ἂν χρείᾳ καθεστήκαμεν, πρός τε τὸ δεῖν ἐμφρόνως περιελεῖν τὰ σκάνδαλα, καὶ τὸν ὑγιᾶ τῆς πίστεως καθαρῦναι λόγον τοῖς ζητοῦσι τὸ ἀληθές; ἔσαι δὲ τοῦτο καὶ μάλα ὀρθῶς, εἰ τοῖς τῶν ἁγίων πατέρων περιτυγχάνοντες λόγοις, περὶ πολλοῦ τε αὐτὸς ποιεῖσθαι σπουδάζομεν, καὶ δοκιμάζοντες ἑαυτὸς, εἰ ἐσμὲν ἐν τῇ πίστει, κατὰ τὸ γεγραμμένον, ταῖς ἐκείνων ὀρθαῖς καὶ * ἀνεπιλήπτοις δόξαις τὰς ἐν ἡμῖν ἐννοίας εὖ μάλα συμπλάττομεν.

Ἔφη τοίνυν ἡ ἁγία καὶ μεγάλη σύνοδος, αὐτὸν τὸν ἐκ Θεοῦ πατρὸς κατὰ φύσιν γνήσιον υἱὸν μονογενῆ, τὸν ἐκ Θεοῦ ἀληθινοῦ Θεὸν ἀληθινὸν, τὸ φῶς τὸ ἐκ τοῦ φωτὸς, τὸν δι' οὗ τὰ πάντα πεποίηκεν ὁ πατὴρ, κατελθεῖν, σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι, παθεῖν, ἀναστῆναι τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθεῖν εἰς οὐρανούς· τούτοις δὲ καὶ ἡμᾶς ἕπεσθαι δεῖ καὶ τοῖς λόγοις καὶ τοῖς δόγμασιν, ἐννοοῦντας τί τὸ σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι δηλοῖ τὸν ἐκ Θεοῦ λόγον. οὐ γὰρ φαμὲν, ὅτι ἡ τοῦ λόγου φύσις μεταποιηθεῖσα γέγονε σάρξ. ἀλλ' οὐδὲ ὅτι εἰς ὅλον ἄνθρωπον μεταβλήθη, τὸν ἐκ ψυχῆς καὶ σώματος· ἐκεῖνο δὲ μᾶλλον, ὅτι σάρκα ἐμψυχωμένην ψυχῇ λογικῇ σώσας ὁ λόγος ἑαυτῷ καθ' ὑπόστασιν, ἀφρήτως τε καὶ ἀπορρήτως γέγονεν ἄνθρωπος, καὶ κεχρηματικὸν υἱὸς ἀνθρώπου, οὐ κατὰ θέλησιν μόνην ἢ εὐδοκίαν, ἀλλ' οὐδὲ ὡς ἐν προσλήψει προσώπου μόνου· ᾧ ὅτι διάφοροι μὲν αἱ περὶ σύστασιν τοῦ ἀληθινοῦ συναχθεῖσαι φύσεις, εἷς δὲ ἐξ ἀμφοτέρων Χριστὸς καὶ υἱός. οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνηρημένης διὰ τὴν σύνωσιν, ἀποτελεσάσης δὲ μᾶλλον ἡμῖν τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν καὶ υἱὸν, θεότητός τε καὶ ἀνθρωπότητος, διὰ τῆς ἀφράστου καὶ ἀπορρήτου περὶς σύστασιν συνδρομῆς. ὅπερ τε λέγεται, καὶ τὸ πρὸ αἰώνων ἔχων τὴν ὕπαρξιν, καὶ γεννηθεὶς ἐκ παρθένου, γεννᾶσθαι καὶ κατὰ σάρκα ἐκ γυναικός· οὐχ ὡς τῆς θείας αὐτοῦ φύσεως ἀρχὴν τὸ εἶναι * λαβούσης ἐν τῇ ἁγίᾳ παρθένῳ, ἅτε μὴν δεηθείσης ἀναγκαίως δὲ ἑαυτῇ δευτέρας γεννήσεως μετὰ τὴν ἐκ πατρός. ἔστι γὰρ ἑκατέρῳ ὁμοῦ καὶ ἀμαθὲς τὸν ὑπάρχοντα πρὸ παντὸς αἰῶνος, καὶ συναΐδιον τῷ πατρὶ, δεῖσθαι λέγειν ἀρχῆς τοῦ εἶναι δεύτερας. ἐπειδὴ δὲ δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἑνώσας ἑαυτῷ καθ' ὑπόστασιν τὸ ἀνθρώπινον, προῆλθεν ἐκ γυναικός, τοῦτό τοι λέγεται γεννηθῆναι σαρκικῶς. ἐκ γὰρ πρώτου ἄνθρωπος ἐγεννήθη κοινὸς, ἐκ τῆς ἁγίας παρθένου, εἶθ' ὕστερον κατεπεφοίτησεν ἐπ' αὐτὸν ὁ λόγος· ἀλλ' ὥς αὐτοῦ μήτρας ἑνωθείς, ὑπομεῖναι λέγεται γέννησιν σαρκικὴν, ὡς τῆς ἰδίας σαρκὸς τὴν γέννησιν οἰκειούμενος. ὕστερον φαμὲν αὐτὸν καὶ παθεῖν καὶ ἀναστῆναι. οὐχ ὡς τοῦ Θεοῦ λόγου παθόντος εἰς ἰδίαν φύσιν ἢ πληγὰς ἢ ὑβρίσεις ἤλων, ἢ γοῦν τὰ ἕτερα τῶν τραυμάτων· ἀπαθὲς γὰρ τὸ θεῖον, ὅτι καὶ ἀσώματον. ἐπειδὴ δὲ τὸ γεγονὸς αὐτοῦ ἴδιον σῶμα πέπονθε τοῦτο, πάλιν αὐτὸς λέγεται παθεῖν ὑπὲρ ἡμῶν. ἰδίῳ γὰρ ὁ ἀπαθὴς ἐν τῷ πάσχοντι σώματι. κατὰ τὸν ἴσον δὲ τρόπον καὶ ἐπὶ τοῦ θανεῖν νοοῦμεν. ἀθάνατος γὰρ κατὰ φύσιν, καὶ ἄφθαρτος, καὶ ζωὴ καὶ ζωοποιός ἐστιν ὁ * τοῦ Θεοῦ λόγος. * Ἑβρ. 2. 9. ἐπειδὴ δὲ πάλιν τὸ ἴδιον αὐτοῦ σῶμα χάριτι Θεοῦ, καθά φησιν ὁ Παῦλος, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, λέγεται παθεῖν αὐτὸς τὸν ὑπὲρ ἡμῶν θάνατον. οὐχ ὡς εἰς πεῖραν ἐλθὼν τοῦ θανάτου, τό γε ἦκον εἰς τὸ αὐτοῦ φύσιν· ἀποπληξία γὰρ τοῦτο λέγειν, ἢ φρονεῖν· ἀλλ' ὅτι, καθάπερ ἔφην ἀρτίως, ἡ σὰρξ, αὐτοῦ ἐγεύσατο θανάτου· οὕτω καὶ ἐγηγερμένης αὐτοῦ τῆς σαρκὸς, πάλιν ἡ ἀνάστασις αὐτοῦ λέγεται· οὐχ ὡς πεσόντος εἰς φθοράν· μὴ γένοιτο· ἀλλ' ὅτι τὸ αὐτοῦ πάλιν ἐγήγερται σῶμα. οὕτω Χριστὸν ἕνα καὶ κύριον ὁμολογήσομεν, οὐχ ὡς ἄνθρωπον συμπροσκυνοῦντες τῷ λόγῳ, ἵνα μὴ τομῆς φαντασία παρεισκρίπτηται διὰ τοῦ λέγειν τὸ, σύν· ἀλλ' ὡς ἕνα καὶ τὸν αὐτὸν προσκυνοῦντες, ὅτι μὴ ἀλλότριον τοῦ λόγου τὸ σῶμα αὐτοῦ, μεθ' οὗ καὶ αὐτῷ συνεδρεύει τῷ πατρί· οὐχ ὡς δύο πάλιν συνεδρεύοντων υἱῶν, ἀλλ' ὡς ἑνὸς καθ' ἕνωσιν, μὴ τῆς ἰδίας σαρκός. ἐὰν δὲ τινὶ καθ' ὑπόστασιν ἕνωσιν, ἢ ὡς ἀνέφικτον, ἢ ὡς ἀκαλλῆ παραιτώμεθα, ἐμπίπτομεν εἰς τὸ δύο λέγειν υἱούς. ἀνάγκη γὰρ πᾶσα διορίσαι, καὶ εἰπεῖν. τὸν μὲν, ἄνθρωπον ἰδικῶς, τῇ τοῦ υἱοῦ κλήσει τετιμημένον· ἰδικῶς δὲ πάλιν τὸν ἐκ Θεοῦ λόγον υἱότητος ὀνομάτε καὶ χρῆμα ἔχοντα φυσικῶς. καὶ δεκαιρετέον τοιγαροῦν εἰς υἱοὺς δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν. * ὡφέλησε κατ' ἀδεᾶ τρόπον τὸν ὀρθὸν τῆς πίστεως, λόγον εἰς τὸ ὅπως ἔχειν, κἂν εἰ προσώπων ἕνωσιν ἐπιφημίζωσί τινες· ὁ γὰρ εἰρηκὼς ἡ γραφὴ ὅτι ὁ λόγος ἀνθρώπου πρόσωπον ἐλάβετο ἑαυτῷ, ἀλλ' ὅτι γέγονε σάρξ· τὸ δὲ σάρκα γενέσθαι τὸν λόγον, οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ ὅτι παραπλησίως ἡμῖν μετέσχε αἵματος καὶ σαρκός. ἴδιον δὲ σῶμα τὸ ἡμῶν ἐποιήσατο, καὶ προῆλθεν ἄνθρωπος ἐκ γυναικός, οὐκ ἀποβεβληκὼς τὸ εἶναι Θεὸς, ἢ τὸ ἐκ Θεοῦ γεγενῆσθαι πατρὸς, ἀλλὰ καὶ ἐν προσλήψει σαρκὸς μεμενηκὼς ὅπερ ἦν. τοῦτο προσβολὴ παντοχῆς τῆς ἀκεραίου φύσεως ὁ λόγος

* ἐκτάνυσιτο

* θεῖον χεῖρ

* ἀνεπιλήπτους

* κεχέσθαι

* ἐνέσται δὲ κατ' ἀλήθειαν τὸν ὀρθὸν

Γεν. 1.

Ἑβρ. 2.

γος. οὕτως εὑρήσομεν τοὺς ἁγίους πεφρονηκότας πατέρας· οὕτω τεθαρσήκασι θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον· οὐχ ὡς τῆς τοῦ λόγου φύσεως, ἤτοι τῆς θεότητος αὐτοῦ τὴν ἀρχὴν τοῦ εἶναι λαβούσης ἐκ τῆς ἁγίας παρθένου, ἀλλ' ὡς γεννηθέντος ἐξ αὐτῆς τοῦ ἁγίου σώματος, ψυχωθέντος τε λογικῶς· ᾧ καὶ καθ' ὑπόστασιν ἑνωθεὶς ὁ λόγος, γεγεννῆσθαι λέγεται κατὰ σάρκα. ταῦτα καὶ νῦν ὡς ἐξ ἀγάπης τῆς ἐν Χριστῷ γράφω, παρακαλῶν ὡς ἀδελφὸν, καὶ διαμαρτυρόμενος ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων αὐτοῦ, ταῦτα μεθ' ἡμῶν καὶ φρονεῖν καὶ διδάσκειν, ἵνα σώζηται τῶν ἐκκλησιῶν ἡ εἰρήνη, καὶ τῆς ὁμονοίας καὶ ἀγάπης ὁ σύνδεσμος ἀῤῥαγὴς διαμένοι τοῖς ἱερεῦσι τοῦ Θεοῦ. * πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν κυρίῳ προσαγορεύσει.

* desunt in MS. Seguieriano.

ΚΕΦΑΛΑΙΟΝ θ'.

* Ἴσον ἐπιστολῆς Νεστορίου πρὸς τὸν πάπαν Κύριλλον, ἥτις πᾶσιν ἀπήρεσεν ἐν τῇ ἁγίᾳ συνόδῳ.

* ex c. Seguieriano: αὕτη ἡ πρώτη ἐπιστολὴ ἀνεγνώσθη ἐν τῇ ἐν Ἐφέσῳ συνόδῳ. ἀνελήφθη ἐν τοῖς ὑπομνήμασι καθὰς περιέχει.

Τῷ εὐλαβεστάτῳ καὶ θεοφιλεστάτῳ συλλειτουργῷ Κυρίλλῳ, Νεστόριος ἐν κυρίῳ χαίρειν.

ΤΑ'ς μὲν καθ' ἡμῶν ὕβρεις τῶν θαυμαστῶν σου γραμμάτων ἀφίημι, ὡς μακροθυμίας ἀξίας ἰατρικῆς, καὶ τῆς διὰ τῶν πραγμάτων αὐτῶν κατὰ καιρὸν πρὸς αὐτὰς ἀποκρίσεως· ὃ δέ γε σιωπῆς οὐκ ἀνέχεται, ὡς μέγαν φέρον, εἰσιγηθείη, τὸν κίνδυνον, τούτου, καθὼς ἂν οἷός τε ὦ, οὐ πρὸς μακρολογίαν ἀποτεινόμενος, ποιήσασθαι πειράσομαι τὴν διήγησιν σύντομον, τὸν τῆς σκοτεινῆς καὶ δυσπέπτου μακρηγορίας ναυτιασμὸν φυλαττόμενος. ἄρξομαι δὲ ἀπὸ τῶν πανσόφων τῆς σῆς ἀγάπης φωνῶν, αὐτὰς αὐτολεξεὶ παραθείς. τίνες τοίνυν αἱ τῆς θαυμαστῆς σου τῶν γραμμάτων διδασκαλίας φωναί; ἡ ἁγία φησὶ καὶ μεγάλη σύνοδος, αὐτὸν τὸν ἐκ Θεοῦ πατρὸς κατὰ φύσιν γεννηθέντα υἱὸν μονογενῆ, τὸν ἐκ Θεοῦ ἀληθινοῦ Θεὸν ἀληθινὸν, τὸ φῶς τὸ ἐκ τοῦ φωτὸς, τὸν δι' οὗ τὰ πάντα πεποίηκεν ὁ πατὴρ, κατελθεῖν, σαρκωθῆναι, ἐνανθρωπῆσαι, παθεῖν, ἀναστῆναι. ταῦτα τῆς σῆς θεοσεβείας τὰ ῥήματα· καὶ γνωρίζεις ἴσως τὰ σά. ἄκουε δὲ καὶ * τὰ παρ' ἡμῶν, ἀδελφικὴν ὑπὲρ εὐσεβείας παραίνεσιν, καὶ ἣν ὁ μέγας ἐκεῖνος Παῦλος τῷ φιλουμένῳ παρ' αὐτοῦ Τιμοθέῳ διεμαρτύρατο· πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδαχῇ. τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου· τί δέ μοι τὸ, πρόσεχε, βούλεται; ὅτι τὴν τῶν ἁγίων ἐκείνων ἐξ ἐπιπολῆς ἀναγινώσκων παράδοσιν, συγγνώμης ἀξίαν ἠγνόησας ἄγνοιαν, παθητὸν αὐτοὺς εἰρηκέναι νομίσας τὸν τῷ πατρὶ συναΐδιον λόγον. ἔγκυψον δὲ, εἰ δοκεῖ, τοῖς ῥητοῖς ἀκριβέστερον. καὶ τὸν θεῖον ἐκεῖνον τῶν πατέρων εὑρήσεις χορὸν, οὐ τὴν ὁμοούσιον θεότητα παθητὴν εἰρηκότα, οὐδὲ πρόσφατον γεννητὴν τῷ πατρὶ συναΐδιον, οὐδὲ ἀναστᾶσαν τὴν τὸν λελυμένον ναὸν ἀναστήσασαν. κἄν μοι τὰς ἀκοὰς εἰς ἀδελφικὴν ἰατρείαν παράσχῃς, αὐτάς σοι τὰς τῶν ἁγίων * ἐκείνων φωνὰς παραθέμενος, τῆς κατ' ἐκείνων ἀπαλλάξω συκοφαντίας, καὶ τῆς κατὰ τῶν θείων γραφῶν, δι' ἐκείνων. Πιστεύομεν τοίνυν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ. σκόπησον ὅπως, τὸ κύριος, Ἰησοῦς, Χριστὸς, καὶ μονογενὴς, καὶ υἱὸς, πρότερον θέντες, τὰ κοινὰ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος, ὡς θεμελίους, ὀνόματα, τότε τὴν τῆς ἐνανθρωπήσεως, καὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως ἐποικοδομοῦσι παράδοσιν· ἵνα τῶν ὀνομάτων * τῶν φύσεων ἑκατέρων κοινῶν τινων σημαντικῶν προκειμένων, μήτε τὰ τῆς υἱότητος καὶ κυριότητος τέμνηται, μήτε τὰ τῶν φύσεων ἐν τῷ τῆς υἱότητος μοναδικῷ συγχύσεως ἀφανισμῷ κινδυνεύῃ. τούτου γὰρ * αὐτὸς παιδευτὴς ὁ Παῦλος γεγένηται, ὃς τῆς ἐνανθρωπήσεως τῆς θείας τὴν μνήμην ποιούμενος, καὶ μέλλων τὰ τοῦ πάθους ἐπάγειν, πρότερον θεὶς τὸ, Χριστὸς, τὸ κοινὸν τῶν δύο, ὡς μικρῷ πρότερον ἔφην, τῶν φύσεων ὄνομα, προσάγει τὸν λόγον ἀμφοτέραις πρεπώδη ταῖς φύσεσι. τί γάρ φησι; τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα Θεῷ. ἀλλ' ἵνα μὴ τὰ καθ' ἕκαστον λέγω· ὑπήκοος ἐγένετο μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἐπειδὴ γὰρ ἔμελλε τοῦ θανάτου μεμνῆσθαι, ἵνα μὴ τὸν Θεὸν λόγον ἐντεῦθέν τις παθητὸν ὑπολάβῃ, τίθησι τὸ, Χριστὸς, ὡς τῆς ἀπαθοῦς καὶ παθητῆς οὐσίας ἐν μοναδικῷ προσώπῳ προσηγορίαν σημαντικήν. ὅπως καὶ ἀπαθὴς ὁ Χριστὸς καὶ παθητὸς ἀκινδύνως * καλοῖτο· ἀπαθὴς μὲν θεότητι, παθητὸς δὲ τῇ τοῦ σώματος φύσει. πολλὰ λέγειν περὶ τούτου δύναμενος, καὶ πρότερόν γε τὸ, μηδὲ γεννήσεως ἐπὶ τῆς οἰκονομίας, ἀλλ' ἐνανθρωπήσεως τοὺς ἁγίους ἐκείνους μνημονεῦσαι πατέρας, τὴν τῆς βραχυλογίας ἐν προοιμίοις ὑπόσχεσιν χαλινοῦσαν τὸν λόγον αἰσθάνομαι, καὶ πρὸς τὸ δεύτερον τῆς σῆς ἀγάπης κινοῦσαν κεφάλαιον.

* τὴν deest articulus in MS. Seg.

1. Τιμ. 4. 16.

* πατέρων neutrum legitur in MS. Seg.

* τῆς φύσεως ἑκατέρας. τῶν φύσεων ἑκατέρας

* αὐτοῖς

Φιλιππ. 2. 5.

* νοοῖτο

β'.

Ἐν ᾧ καὶ τὴν τῶν φύσεων ἐπήνουν διαίρεσιν κατὰ τὸν τῆς ἀνθρωπότητος καὶ θεότητος λόγον, καὶ τὴν τούτων εἰς ἑνὸς προσώπου συνάφειαν. καὶ τὸ τὸν Θεὸν λόγον δευτέρας ἐκ γυναικὸς μὴ φάσκειν δεδεῆσθαι γεννήσεως· καὶ τὸ πάθους ἀνεπίδεκτον ὁμολογεῖν τὴν θεότητα. ὀρθόδοξα γὰρ ὡς ἀληθῶς τὰ τοιαῦτα, καὶ ταῖς τῶν αἱρέσεων πασῶν περὶ τὰς δεσποτικὰς φύσεις ἐναντία κακοδοξίαις. τὰ δὲ λοιπά, εἰ μέν τινα σοφίαν κεκρυμμένην ἐπήγετο ταῖς τῶν ἀναγινωσκόντων ἀκοαῖς ἀκατάληπτον τῆς σῆς ἐστιν ἀκριβείας εἰδέναι. ἐμοὶ γοῦν τὰ πρῶτα καταστρέφειν ἐδόκει. τὸν γὰρ ἐν τοῖς πρώτοις ἀπαθῆ κηρυχθέντα, καὶ δευτέρας γεννήσεως ἄδεκτον, πάλιν παθητὸν καὶ νεόκτιστον οὐκ οἶδ' ὅπως εἰσῆγεν, ὡς τῶν κατὰ φύσιν τῷ Θεῷ λόγῳ προσόντων, τῇ τοῦ ναοῦ συναφείᾳ διεφθαρμένων, ἢ μικροῦ τινος τοῖς ἀνθρώποις νομιζομένου, τὸ τὸν ἀναμάρτητον ναὸν,

καὶ τῆς θείας ἀχώρητον φύσεως, τῷ ὑπὲρ ἁμαρτωλῶν χθὲς καὶ πρώην σταυρωθῆναι καὶ ταφῆναι, ἢ πεισθῆναι τῆς δεσποτικῆς οὐκ * ἀφειλομένης φωνῆς πρὸς Ἰουδαίους βοώσης· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. οὐ, λήσατέ μου τὴν θεότητα, καὶ ἐν τρισὶν ἡμέραις ἐγερθήσεται. πάλιν πλατυῦναι χαντεῦθα βουλόμενος, τῇ τῆς ἐπαγγελίας ἀναστέλλομαι μνήμῃ. μητέον δὲ ὅμως βραχυλογίᾳ χρησάμενον.

* ἀφαιρεῖται

Ἰωαν. 2. 19.

γ'.

Παντιχῇ τῆς θείας γραφῆς, μάλιστα ἂν μνήμην τῆς δεσποτικῆς οἰκονομίας ποιῆται, χθὲς ἡμῖν καὶ πάθος ἡ τῆς θεότητος, ἀλλὰ τῆς ἀνθρωπότητος τὸ Χριστῷ παραδίδοται. ὡς καλεῖσθαι κατὰ ἀκριβεστέραν προσηγορίαν τὴν ἁγίαν παρθένον Χριστοτόκον, ἢ Θεοτόκον. ἄκουε ταύτας τῶν εὐαγγελίων βοώντων· βίβλος, φησὶ, γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυὶδ, υἱοῦ Ἀβραάμ. δῆλον δὲ ὅτι τοῦ Δαυὶδ υἱὸς ὁ Θεὸς λόγος οὐκ ἦν. δέχου καὶ ἄλλην, εἰ δοκεῖ, μαρτυρίαν. Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσὴφ, τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς, ὁ λεγόμενος Χριστός. σκάφη πάλιν ἑτέραν ἡμῖν διαμαρτυρομένην φωνήν. τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γένησις ἦν οὕτως ἦν· μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. κτίσμα δὲ τοῦ πνεύματος τίς ἂν ὑπολάβοι τὴν τοῦ μονογενοῦς θεότητα; τί δεῖ λέγειν τὸ· ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ; καὶ πάλιν, τὸ· σὺν Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ. καὶ τὸ· τὸ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. καὶ τὸ· λάβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον· καὶ τὸ· περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα. καὶ τὸ περὶ τοῦ πάθους αὖθις. ὅτι ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ * ἀπέστειλεν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. καὶ πάλιν· Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. καὶ, Χριστοῦ παθόντος σαρκί. καὶ, τουτέστιν, οὐχ ἡ θεότης μου, ἀλλὰ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ μυρίων ἄλλων φωνῶν διαμαρτυρομένων τῶν ἀνθρώπων τὸ γένος, μὴ τῷ τοῦ υἱοῦ νομίζειν θεότητα προσφατον, ἢ πάθους σωματικοῦ δεκτικὴν, ἀλλὰ τῷ συνημμένῳ τῇ φύσει τῆς θεότητος σάρκα. ὅθεν καὶ κύριον τοῦ Δαυὶδ ἑαυτὸν ὁ Χριστός, καὶ υἱὸν ὀνομάζει. τί γὰρ ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; φησί· τίνος ἐστὶν υἱός; λέγουσιν αὐτῷ· τοῦ Δαυίδ. ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· πῶς οὖν Δαυὶδ ἐν πνεύματι κύριον αὐτὸν καλεῖ, λέγων· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; ὡς υἱὸς ὢν τοῦ Δαυὶδ πάντως κατὰ σάρκα, κατὰ δὲ τὴν θεότητα κύριος. εἶναι μὲν οὖν τῆς * υἱοῦ θεότητος τὸ σῶμα ναὸν, καὶ ναὸν κατ' ἄκραν τινὰ καὶ θείαν λυομένου σωτηρίαν· * ὡς οἰκειοῦσθαι τὰ τοῦτο τῇ τῆς θεότητος φύσιν ὁμολογεῖσθαι, καλὸν καὶ τῶν εὐαγγελικῶν παραδόσεων ἄξιον. τὸ δὲ δὴ τῷ τῆς οἰκειότητος προσρίβειν ὀνόματι καὶ τὰς τῆς συμπαθείας σαρκὸς ἰδιότητας, τὴν πεῖναν λέγω, καὶ πάθος, καὶ νέκρωσιν, ἢ πλανωμένης ἐστὶν ἀληθῶς καθ' ἑλληνας, ἀδελφὲ, διανοίας, ἢ τὰ τοῦ φρενοβλαβοῦς Ἀπολιναρίου, καὶ Ἀρείου, καὶ τῶν ἄλλων νοσούσης αἱρέσεων. μᾶλλον δὲ, ὅτι κἀκείνων βαρύτερον. ἀνάγκη γὰρ τῷ τῆς οἰκειότητος τὸς τοιούτους παρασυρομένους ὀνόματι, καὶ γαλακτοτροφίας κοινωνὸν διὰ τὴν οἰκειότητα τὸν Θεὸν λόγον ποιεῖν, καὶ τῆς κατὰ μικρὸν αὐξήσεως μέτοχον, καὶ τῆς ἐν τῷ τοῦ πάθους καιρῷ δειλίας, καὶ βοηθείας ἀγγελικῆς * ἐπιδεᾶ. καὶ σιωπῶ πεπτωκέναι, καὶ θυσίαν, καὶ ἱδρῶτας, καὶ πεῖναν, καὶ δίψαν, ἅτινα σαρκὶ μὲν ὡς δι' ἡμᾶς συμβάντα, * προσκαίρως συναπτόμενα. ἐπὶ δὲ τῆς θεότητος ταῦτα καὶ ψιλῶς λαμβανόμενα, καὶ ἡμῖν ὡς συκοφάνταις δικαίας κατακρίσεως αἴτια. αὗται τῶν ἁγίων πατέρων αἱ παραδόσεις. ταύτῃ τῶν θείων γραφῶν τὰ παραγγέλματα. ὅπως τις καὶ τὰ τῆς φιλανθρωπίας τῆς θείας, καὶ τὰ τῆς αὐθεντίας θεολογεῖ· ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ πᾶσι, καὶ πρὸς φάντας, καθὰ ὁ Παῦλός φησι.

* ἀφαιρεῖται

* προσκαίρως

* προσκαιρικὰ προσπτώματα.

1. Τιμ. 4. 15.

δ'.

Τῆς δέ γε τῶν σκανδαλιζομένων φροντίδος καλῶς μοι ποιεῖς ἀντεχόμενος, καὶ χάρις τῇ τῶν θείων μεμνημένῃ σου ψυχῇ, καὶ τῶν παρ' ἡμῖν φροντιζούσῃ. γίνωσκε δὲ πεφωλασμένον σαυτὸν ὑπὸ τὴν τῆς σῆς ἴσως διαθέσεως χληρικὸν, ὑπὸ τὴν ἐντεῦθεν ἀπὸ τῆς ἁγίας σωόδου καθημένων, ὡς τὰ Μανιχαίων φρονοῦντων. τὰ γὰρ τῆς ἐκκλησίας καθ' ἑκάστην προσκόπτει, καὶ τὰ τῶν λαῶν ἐν ἐπιδόσει τοσαύτῃ διὰ τὴν τοῦ * Θεοῦ χάριν, ὡς τὰ τοῦ προφήτου, βλέποντας τὰ πλήθη, βοᾷν· * ἐπλήσθη ἡ γῆ τοῦ γνῶναι τὸν * κύριον, ὡς * ὕδωρ πολὺ καταλύψαι θαλάσσας. τὰ τε τῶν βασιλέων ἐν ὑπερβαλλούσῃ χαρᾷ, * πεφωτισμένων τοῦ δόγματος. καὶ ἵνα σωζελῶν ἐπισείλω, ἐκείνων ἐπὶ πᾶσι θεομάχοις ἁπάσαις αἱρέσεσι, καὶ τῇ τῆς ἐκκλησίας ὀρθοδοξίᾳ, καθ' ἑκάστην ὅροι τις ἂν παρ' ἡμῖν τῷ φωνῷ πληρεμένῳ. ὁ οἶκος Σαοὺλ ἐπορεύετο καὶ ἠθροίζετο, καὶ ὁ οἶκος Δαυὶδ ἐπορεύετο καὶ ἐκραταιοῦτο. πῶπω παρ' ἡμῶν ὡς ἀδελφῶν πρὸς * ἀδελφοὺς συμβουλεύματα. εἰ δέ τις δοκεῖ φιλονεικεῖν, κεκράξεται καὶ δι' ἡμῶν πρὸς τὸν τοιοῦτον ὁ Παῦλος· ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ. πᾶσαν τῷ σῷ σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ πλεῖστα προσαγορεύομεν. ἐρρωμένος, καὶ ὑπερεύχομαι ἡμῶν διαπελοίης, πάντα μοι τιμιώτατε καὶ θεοφιλέστατε.

* Θεοῦ.

Ἡσαΐ. 11. 9.

* πεπληρωμένου.

* ἀδελφούς.

1. Κορινθ. 16.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ ι.

Ἐπιστολὴ Κυρίλλου πρὸς τοὺς ἐγγράφως αὐτὸν αἰτιασαμένους, ὅτι περ οὐ σεσιώπηκεν, ἐξ ἀκοῆς μαθὼν ἕρπειν ἐπὶ τὸ χεῖρον τὴν δυσσεβῆ τοῦ Νεστορίου διδασκαλίαν.

ΕΠΕΙΔΗ μοι γέγραφεν ἡ ἀλάβεια ὑμῶν, ὡς λυπουμένου τοῦ θεοσεβεστάτου Νεστορίου, ὅτι τὴν πρὸς μονάζοντας ἐποίησα ἐπιστολὴν, ἀνασειράζειν βουλόμενος τοὺς ἐπὶ τῷ θρύλλῳ σκανδαλισθέντας· ἀναγκαίως τοῦτό φημι, ὅτι περ οὐ τοσοῦτον γέγονε * παρ' ἡμῶν, ὅσον παρὰ τῆς αὐτοῦ θεοσεβείας. ἐγὼ μὲν σκανδαλισθεῖσιν ἀνθρώποις ἀπὸ τῶν ἐξηγήσεων αὐτοῦ, τὸν τῆς ὀρθῆς πίστεως ἐξεθέμην λόγον· αὐτὸς δὲ ἠνέσχετο ἐν ἐκκλησίᾳ τῇ καθολικῇ καὶ τῇ τῶν ὀρθοδόξων, τοῦ καλοῦ Δωροθέου τοῦ ἐπισκόπου φανερῶς λέγοντος· ἀνάθεμα εἴτις εἶναι λέγει τὴν ἁγίαν Μαρίαν θεοτόκον. ὃς οὐ μόνον ταῦτα ἀκούσας σεσίγηκεν, ἐκείνου λέγοντος, ἀλλὰ καὶ εἰς κοινωνίας αὐτὸν εὐθὺς τὴν μυστικὴν ἐδέξατο, καὶ κοινωνὸν ἐποίησεν. ἰδοὺ τοίνυν ἀνεθεματίσθημεν ἐπ' αὐτοῦ, ἵνα τέως μὴ λέγοιμι παρ' αὐτοῦ· οὐ γὰρ ἂν ἐκεῖνος ἐπ' ἐκκλησίας ἐφθέγξατο τοιαῦτα παρὰ γνώμην αὐτοῦ. τοιγαροῦν καὶ ἡμεῖς οἱ ζῶντες, καὶ κατὰ πᾶσαν τὴν οἰκουμένην ἐπίσκοποι, καὶ οἱ πρὸς Θεὸν ἀποδημήσαντες πατέρες ἡμῶν, ἀνεθεματίσθημεν. τί οὖν ἐκώλυε καὶ ἡμᾶς ταῖς ἐκείνου φωναῖς γράψαι τἀναντία, καὶ εἰπεῖν· εἴτις οὐ λέγει θεοτόκον εἶναι τὴν Μαρίαν, ἀνάθεμα; ἀλλ' οὐ πεποίηκα τοῦτο, δι' αὐτὸν τέως, ἵνα μὴ λέγωσί τινες, ὅτι ἀνεθεμάτισεν αὐτὸν ὁ Ἀλεξανδρείας ἐπίσκοπος, ἤτοι ἡ σύνοδος ἡ Αἰγυπτιακή. ἐὰν δὲ μάθωσιν οἵ τε κατὰ δύσιν καὶ ἀνατολὴν θεοσεβέστατοι ἐπίσκοποι, ὅτι ἀνεθεματίσθησαν πάντες· πάντες γὰρ λέγουσι καὶ ὁμολογοῦσιν, ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία Μαρία. πῶς ἄρα διατεθήσονται; ἢ πῶς οὐχ ἅπαντες λυπηθήσονται, * καὶ εἰ μὴ δι' ἑαυτοὺς, ἀλλ' οὖν διὰ τοὺς ἁγίους πατέρας, ὧν ἐν τοῖς συγγράμμασιν εὑρίσκομεν ἀεὶ θεοτόκον ὀνομαζομένην τὴν ἁγίαν παρθένον Μαρίαν; εἰ δὲ μὴ ἐδόκει φορτικὸν εἶναι τὸ ἐσόμενον, πολλὰς ἂν ἔπεμψα βίβλους πολλῶν ἁγίων πατέρων, ἐν αἷς ἐστιν εὑρεῖν οὐχ ἅπαξ, ἀλλὰ καὶ πλειστάκις κειμένην τὴν φωνὴν, ἐν ᾗ ὁμολογοῦσιν εἶναι θεοτόκον τὴν ἁγίαν παρθένον Μαρίαν.

* παρ' ἡμῶν.

* καὶ.

ΚΕΦΑΛΑΙΟΝ ια.

Ἐπιστολὴ Κυρίλλου πρός τινα ζηλωτὴν περὶ Νεστορίου.

ΟΙΔΑ μὲν τῆς σῆς ἀγάπης τὸ εἰλικρινὲς, καὶ οὐκ ἠγνόηκα τὴν σπουδήν. καὶ εἰ μὲν ἔγραφον πρός τινα τὸν ἐμὸν οὐκ εἰδότα τρόπον, πολλοῖς ἂν ἐχρησάμην λόγοις, ἀναπείθων, ὅτι σφόδρα εἰμί τις εἰρηνικὸς, καὶ οὐ δύσερις, οὔτε φιλόμαχος, ἀλλ' εὐχόμενος καὶ φιλεῖν ἅπαντας, καὶ φιλεῖσθαι παρὰ πάντων. ἐπειδὴ δὲ πρὸς εἰδότα γράφω, βραχυλογήσας ἐκεῖνο διδάσκω. ὅτι εἰ πραγμάτων ἢν ἢ χρημάτων ἀφαίρεσιν ὑπομεῖναι, καὶ παῦσαι λύπην ἀδελφοῦ, ἐποιησάμην ἂν ἡδέως, ὑπὲρ τοῦ μὴ δοκεῖν τι τῆς ἀγάπης ἡγεῖσθαι προτιμότερον. ἐπειδὴ δὲ ὁ τῆς πίστεως λόγος ἐστὶ, ὃς ἐσκανδαλίσθησαν καὶ αἱ κατὰ πᾶσαν ὡς ἔπος εἰπεῖν τὴν Ῥωμαίων ἀρχὴν ἐκκλησίαι· οὐ γάρ ἐστί τις τῶν ἐξ οἰασδηποτοῦν πόλεως ἢ χώρας ἐρχομένων, καὶ μὴ λέγων, ὅτι ταῦτά ἐστι τὰ θρυλλούμενα; καὶ ποία καινὴ μάθησις ταῖς ἐκκλησίαις ἐπιφέρεται; πρὸς ταῦτα τί δράσομεν οἱ πεπιστευμένοι παρὰ Θεοῦ τὸν τοῦ μυστηρίου λόγον; πρὸς οὓς ἐν ἡμέρᾳ κρίσεως δικάσονται οἱ μυσταγωγούμενοι πάντως. ἐροῦσι γὰρ οὕτω τηρῆσαι τὴν πίστιν, ὡς μεμυσταγώγηνται παρ' ἡμῶν. καὶ εἰ μὲν ὀρθῶς τοῦτο πεπράχαμεν, ἀπολημψόμεθα καὶ μισθὸν, τευξόμεθα δὲ καὶ ἐπαίνων· εἰ δὲ ἑτέρως καὶ διεστραμμένως, ποῖαι φλόγες ἡμῖν ἀρκέσουσιν; ἀκουσόμεθα γάρ. ὅτι τὴν γῆν μου ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας, κατὰ τὸ γεγραμμένον. καὶ ἕκαστος μὲν τῶν ἐν τάξει λαϊκῶν τῆς ἑαυτοῦ ζωῆς ὑπεραπολογήσεται· ἡμεῖς δὲ οἱ ταῖς τῆς ἱερωσύνης λειτουργίαις πεφορτισμένοι οὐχ ὑπὲρ μόνων ἑαυτῶν, ἀλλ' ὑπὲρ πάντων τῶν πιστευόντων εἰς Χριστὸν ἀπολογησόμεθα. ἐμοὶ τοίνυν οὐδείς ἐστι λόγος οὐ λύπης, οὐχ ὕβρεως, οὐ λοιδορίας τῆς οὕτω πολλῆς, ἧς πεποίηνται κατ' ἐμοῦ τῶν ἀνυπολήπτων τινές. ἀλλ' οἰχέσθω ταῦτα πάντα πρὸς λήθην· δικάσει δὲ καὶ τοῖς πεφλυαρηκόσι Θεός. μόνον σωζέσθω τὰ τῆς πίστεως. καὶ φίλος εἰμὶ καὶ ἀγαπητὸς, καὶ οὐδενὶ παραχωρῶν πρὸς τὸ χρῆναι μειζόνως φιλεῖν τὸν θεοφιλέστατον ἐπίσκοπον Νεστόριον· ὃν, ὡς ἐπὶ τοῦ Θεοῦ φημι, καὶ εὐδοκιμεῖν ἐν Χριστῷ βούλομαι, καὶ τὸν ἐπὶ τοῖς ἤδη παρελθοῦσιν ἀφανίσαι μῶμον, καὶ δεῖξαι συκοφαντίαν, καὶ οὐ πάντως ἀλήθειαν, τὰ παρά τινων ἐπὶ τῇ πίστει θρυλλούμενα. εἰ δὲ προστετάγμεθα παρὰ Χριστοῦ καὶ τοὺς μισοῦντας ἀγαπᾶν, πῶς οὐ μᾶλλον ἀκόλουθον ἀδελφοῖς τε καὶ συνιερεῦσι τοῦτο ποιεῖν; ὅτι γὰρ εἰ παραλύοιτο παρά τινων ἡ πίστις, τὰς ἑαυτῶν ψυχὰς οὐ προδώσομεν, κἂν εἰ προκέοιτο παθεῖν καὶ αὐτὸν τὸν θάνατον; οὐκ ἔστιν ἀμφίβολον. εἰ γὰρ δεδίαμεν ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ τὴν ἀλήθειαν εἰπεῖν, ἵνα μὴ περιπέσωμεν ἀηδίαις, ποίῳ λοιπὸν προσώπῳ τὰ τῶν ἁγίων μαρτύρων ἐγκώμια ποιησόμεθα πρὸς τοὺς λαούς; οὓς ἐπαινοῦμεν, ὅτιπερ τετηρήκασι τὸ εἰρημένον. ἕως θανάτου ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας.

Ἡσαΐ. 14. 9.

Ἐκκλ. 4. 1.

ΚΕΦΑΛΑΙΟΝ ιβ'.

Τοῦ αὐτοῦ πρὸς τοὺς Κωνσταντινουπόλεως κληρικοὺς στασιάζοντας.

ΑΝΕΓΝΟΝ τὸ ὑπομνηστικὸν τὸ ἀποσταλὲν παρ' ὑμῶν, δι' οὗ ἐμάνθανον, ὅτι Ἀναστάσιος

σιος ὁ πρεσβύτερος συντυχὼν ὑμῖν προσεποιεῖτο ζητεῖν καὶ φιλίαν καὶ εἰρήνην, καὶ ἔλεγεν. ὅτι ὡς ἔγραψε τοῖς μονάζουσιν, οὕτω φρονοῦμεν. εἶτα πρὸς ἴδιον σκοπὸν βλέπων ἔλεγε περὶ ἐμοῦ· ὅτι καὶ αὐτὸς εἴρηκε τὴν ἁγίαν σύνοδον μὴ μεμνῆσθαι τῆς λέξεως, τῆς θεοτόκου φημί. ἐγὼ δὲ γέγραφα, ὅτι εἰ καὶ μὴ ἐμνήσθη ἡ σύνοδος τῆς λέξεως, καλῶς ἐποίησεν· οὔτε γὰρ ἐκινήθη τοιοῦτόν τι κατ' ἐκεῖνο καιροῦ· διὸ οὔτε ἦν ἀνάγκη τὰ μὴ ζητούμενα φέρειν εἰς μέσον, εἰ καὶ τὰ μάλιστα τῇ δυνάμει τῶν ἐννοιῶν οἶδε θεοτόκον τὴν ἁγίαν * Μαρίαν. αὐτὸν γὰρ λέγει ἐν γεννηθέντα ἐκ τοῦ πατρὸς, τὸν δι' οὗ τὰ πάντα ἐγένετο, σαρκωθῆναι, ἐνανθρωπῆσαι, παθεῖν, ἀναστῆναι ἐκ νεκρῶν, ἀνελθεῖν εἰς οὐρανοὺς, ἥξειν δὲ καὶ κριτὴν ζώντων καὶ νεκρῶν. καὶ οὐχ ὅτι πάντως αὐτὸς ὁ ἐκ Θεοῦ κατὰ φύσιν γεννηθεὶς λόγος ἀπέθανεν, ἢ ἐνύχθη τῇ λόγχῃ εἰς τὴν πλευράν. ποίαν γὰρ ἔχει, εἰπέ μοι, πλευρὰν τὸ ἀσώματον; ἢ πῶς ἂν ἀπέθανεν ἡ ζωή; ἀλλ' ὅτι ἑνωθεὶς τῇ σαρκὶ, εἶτα παχούσης αὐτῆς, ὡς τοῦ ἰδίου πάσχοντος σώματος, αὐτὸς πρὸς ἑαυτὸν οἰκειοῦται τὸ πάθος. σοφιζόμενοι τοίνυν, καὶ ἀπατῶντες ἑαυτοὺς, ταῦτα λέγουσιν.

* παρθένον

Ὅτι δὲ ψεύδονται, καὶ τὸν ἴδιον ἔχουσιν ἰὸν * εἰς τὴν καρδίαν, ἔστι δὴ καὶ διὰ τούτου ἰδεῖν, ἀπεστάλησαν γὰρ τῷ Βουφᾷ Μαρτυρίῳ τῷ διακόνῳ, τῷ φροντίζοντι τῶν ἐκκλησιαστικῶν πραγμάτων, δύο χαρτία· ἓν μὲν συνταχθὲν παρὰ φωτίου, ἢ παρ' ἑτέρου τινὸς, κατὰ τοῦ τόμου τοῦ πρὸς τοὺς μονάζοντας· ἓν δὲ ὡς ἐν σχήματι τετράδος, ἀλλόκοτον ἔχον τὴν ἐπιγραφήν. ἔχει δὲ οὕτως· πρὸς τοὺς διὰ τὴν συνάφειαν ἢ τὴν θεότητα τοῦ μονογενοῦς * σμικροῦντας, ἢ ἀποθεοῦντας, τὴν ἀνθρωπότητα. τὸ δὲ προοίμιον εἰς τὰς παρὰ τῶν αἱρετικῶν λοιδορίας, ὡς ἐπὶ σκληρῶν γενομένας, ἐπαποτείνεται. καὶ δῆθεν πειρᾶται δεικνύειν, ὅτι τὸ σῶμά ἐστι τὸ πεπονθὸς, καὶ οὐχ ὁ Θεὸς λόγος· ὥς τινων λεγόντων, ὅτι ὁ ἀπαθὴς τοῦ Θεοῦ λόγος παθητός ἐστιν. ἀλλ' οὐδεὶς οὕτω μαίνεται. ὡς δὲ πολλάκις εἴπομεν, ἡ ἁγία σύνοδος αὐτὸν ἔφη παθεῖν τὸν λόγον, τὸν δι' οὗ τὰ πάντα ἐγένετο. παθεῖν δὲ σαρκὶ κατὰ τὰς γραφάς. παθόντος γὰρ τοῦ σώματος αὐτοῦ, αὐτὸς λέγεται παθεῖν· ὅτι καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ, καίτοι πάσχουσα μηδὲν εἰς ἰδίαν φύσιν, πάσχειν λέγεται, τοῦ αὐτῆς παθόντος σώματος. ἀλλ' ἐπειδὴ σκοπὸς ἐκείνοις δύο λέγειν Χριστοὺς, καὶ δύο υἱοὺς, καὶ τὸν μὲν ἄνθρωπον ἰδικῶς, τὸν δὲ Θεὸν ἰδικῶς, εἶτα μόνων τῶν προσώπων ποιοῦσι τὴν ἕνωσιν, διὰ τοῦτο ποικίλλονται, καὶ προφάσεις πλάττονται ἐν ἁμαρτίαις, καθὰ γέγραπται. συντυχόντες τοίνυν αὐτοῖς ἐκεῖνα λέγετε· ὅτι ποιεῖτε μὲν κακῶς, εἰσβάλλοντές τινας καταφλυαρεῖν τοῦ ἐπισκόπου ὑμῶν, καὶ τούτους θάλποντες καὶ συγκροτοῦντες, καὶ ὄργανα τῆς ἑαυτῶν μοχθηρίας ποιούμενοι. πλὴν οὐχ αὕτη τῆς λύπης ἐστὶν ἡ πρόφασις, ἀλλ' οὐδὲ ὅλως ἐχθρός ἐστιν ὁ ἐπίσκοπος ὑμῶν τοῦ ἐνταῦθα· λυπεῖ δὲ πάντας τοὺς κατὰ τὴν ἀνατολὴν καὶ δύσιν ἐπισκόπους τὸ μὴ γίνεσθαι ὀρθῶς τὸν περὶ Χριστοῦ λόγον, ἀλλὰ διεστραμμένως. ἀρκεῖ δὲ πρὸς ἀπόδειξιν καὶ ἔλεγχον αὐτῶν, τὸ μηδεπώτοτε ἐν ταῖς ἐκκλησίαις ταῦτα παρά τινος εἰρῆσθαι, οἷον δὴ τὸ κείμενον ἐν ταῖς αὐτοῦ ἐξηγήσεσιν. ἔχει δὲ οὕτως. (Νεστόριος· οὐ ταῖς κραυγαῖς κρίνω τὴν εἰς ἐμὲ φιλοστοργίαν, ἀλλὰ τῷ περὶ τὰ δόγματα πόθῳ, καὶ τῷ μεμνῆσθαι τῆς τοῦ δεσπότου καὶ θεότητος ἅμα καὶ ἀνθρωπότητος. καὶ μετ' ὀλίγα· καὶ προσέχω τοῖς * ἡμετέροις δήμοις, εὐλάβειαν μὲν πολλὴν κεκτημένοις, καὶ θερμοτάτην εὐσέβειαν, ἐπὶ δὲ τῆς περὶ τὸ δόγμα θεογνωσίας, ἀγνοοίας πεπληρωμένοις. τοῦτο δὲ οὐκ ἔγκλημα τῶν λαῶν· ἀλλὰ πῶς ἂν εὐπρεπῶς εἴποιμι, τὸ μὴ ἔχειν τοὺς διδασκάλους καιρὸν καὶ τι τῶν ἀκριβεστέρων * ὑμῖν παραθέσθαι δογμάτων;) πῶς γὰρ οὐκ ἐσχόλασαν οἱ πρὸ αὐτοῦ; ἆρά γε εὐστομώτερός ἐστιν Ἰωάννου; ἶσος δὲ τοῦ μακαρίου Ἀττικοῦ, ἢ συνετώτερος; τίς ἡ ὀφρὺς αὕτη; μᾶλλον δὲ πῶς οὐχ ὡμολόγησεν ἐναργῶς, ὅτι ξένην καὶ ἀσυνήθη διδασκαλίαν εἰσήγαγε, καὶ τοῖς πρὸ αὐτοῦ μὴ ἐγνωσμένην διὰ τὴν ἀτοπίαν μήτε ἐν συλλόγῳ πιστῶν, μήτε ἐν ἁγίαις ἐκκλησίαις; ἐμοὶ τοίνυν πρὸς αὐτὸν περὶ πραγμάτων τέως λόγος οὐδὲ εἷς. γένοιτο δὲ μᾶλλον μετανοῆσαι αὐτὸν, καὶ τὴν ὀρθὴν ὁμολογῆσαι πίστιν· καὶ ὑπὲρ ὧν εἰς ἐμὲ πεποίηκεν ἐρεθίζων, καὶ ἐπαλείφων κατ' ἐμοῦ τοὺς ἐχθροὺς, ἀπολογήσεται τῷ Θεῷ. οὐδὲν δὲ θαυμαστὸν, εἰ κακῶς ἡμᾶς λέγουσιν αἱ κοπρίαι τῆς πόλεως, Χαιρήμων, Οὐίκτωρ, Σωφρονᾶς, καὶ τὸ τοῦ φυρατοῦ Φλαβιανοῦ παιδαρύλλιον· ἀεὶ γὰρ γεγόνασι καὶ περὶ ἑαυτοὺς, καὶ περὶ πάντας κακοί. ἴσω δὲ ὁ εἰσβαλὼν αὐτούς, ὅτι οὔτε ἀποδημίαν φοβούμεθα, οὔτε ἀπολογίαν τὴν πρὸς ἐκείνους, καὶ εἰγένοιτο τούτου καιρός. συμβαίνει γὰρ, ὅτι ἡ τοῦ σωτῆρος οἰκονομία διὰ μικρῶν καὶ εὐτελεστάτων πραγμάτων συνάγει σύνοδον, ἵνα καθαρίσῃ τὴν ἑαυτοῦ ἐκκλησίαν, ἄσπιλον καὶ ἀσύγχυτον ἔχουσαν * τὴν εὐγενῆ πίστιν. μὴ προσδοκάτω δὲ ὁ δείλαιος, ὅτι εἰ καὶ πλείους καὶ ἀξιόλογοι εἶεν οἱ διὰ τῆς αὐτοῦ σπουδῆς κατηγορεῖν ἡμῶν μέλλοντες, δικαστὴς ἔσται τῶν καθ' ἡμᾶς, κἂν τοῦτο προσταχθῇ ἐξ * Ἀμφιτίωνος. παραιτησόμεθα γὰρ ἐκεῖσε ἐλθόντες· καὶ, σὺν Θεῷ φάναι, ταῖς αὐτοῦ δυσφημίαις ἀπολογήσεται. ὅθεν φεύγομεν τὴν εἰρήνην οὐδαμῶς, ἀλλὰ μᾶλλον ἁρπάζομεν, ἐὰν ὁμολογηθῇ ἡ πίστις ὀρθὴ, καὶ παύσωνται τοῦ λέγειν τοιαῦτα, ἅπερ ξενοεποῦντες, ἐπικαλοῦνται θάνατον. τοσαύτην γὰρ διαστροφὴν ἔχει τὸ ἀποσταλὲν τετράδιον τῶν αὐτοῦ δυσφημιῶν, ὡς μολύνεσθαι καὶ τὸν ἀναγινώσκοντα.

* ἐν τῇ καρδίᾳ.

* σμικροῦντας

* ἡμετέροις

* ἡμῖν

* καὶ ἐνάγκη

* ἴσως, Ἀμφιτίωνος.

* Ἀμφιτίωνος

Ἐπειδὴ δὲ αἰτιᾶται, ὡς λέξιν ἀσυνήθη * εἴρηκεν ἡ γραφὴ, ἤγουν ἡ ἁγία σύνοδος, θεοτόκον ὀνομάσασα τὴν ἁγίαν παρθένον, ἐρωτάσθωσαν αὐτοὶ, τοῦ Χριστοτόκου, ἢ θεοδόχου εὗρον γε-

* εἴρηκε τῇ γραφῇ.

γεγραμμένον. πρὸς τοῦτῳ κἀκεῖνο εἰσέθηκεν αὐτοῖς λέξεσιν ὅπω. τὴν θεοδόχον τῷ Θεῷ μὴ συνθεολογωμένην παρθένον· οὐκ εἰδὼς ὃ λέγει. εἰ γὰρ μὴ τέτοκε Θεόν, μηδὲ ἔχειν σὺν τῇ σαρκὶ Θεὸν ὄντα Χριστόν, πῶς ἔτι θεοδόχος ἐστί; καὶ αὐτὸν δὲ τὸν πατέρα εἶπε θεοτόκον. ὡς τοίνυν ἀνέγνων τὰς λέξεις ταύτας, ἀγνοῶ. πλὴν ἐπειδὴ καὶ ἄλλα πολλὰ ἐπισύρονται ἐγκλήματα ἐκ τῆς ἐξηγήσεων αὐτοῦ, φυλαχθήσονται ἕως ἡμῶν, εἰ μή τις γένηται μετάγνωσις. τὸ δέ γε χρεῶδες τῆς δεήσεως τὸ παρ' ὑμῶν ἀποσαλὲν, ὡς ὤφειλον ἐπιδοθῆναι μοὶ βασιλεῖ, οὐκ ἄνδρὶ δὲ γνώμης * ὑμῶν, λαβὼν ἀνέγνων. ἐπειδὴ δὲ πολλαχοῦ εἶχε κατυβρισμένον κατὰ τοῦ ἐκείνου ἢ ἀδελφοῦ, ἢ πῶς ἂν εἴποιμι, πέπας ἐπέσχον, ἵνα μὴ ἐπέρχοιτο ἡμῖν λέγων· κατηγορήσατέ μου ἐπὶ τοῦ βασιλέως, ὡς αἱρετικοῦ. ὑπηγορεύσαμεν δὲ ἑτέρως, μετὰ τοῦ καὶ παραιτεῖσθαι τὴν αὐτοῦ κέρσιν, εἰπόντες καὶ τῆς ἔχθρας τὸν τρόπον, καὶ τὴν δίκην μετασπάσαι, εἰ σώσαιντο ὅλως ἐκεῖνοι, εἰς ἑτέρους ἄρχοντας. ἀναγνόντες τοίνυν τὸ χρεῶδες, ἐπίδοτε, εἰ καλέσειε χρεία· καὶ ἴδοιτε ὅτι ἐπιβουλὴν ἐμμένει, καὶ ἀληθῶς πάντα κινεῖ τρόπον τὸν καθ' ἡμῶν ὁρῶντα, σπουδαίως γράψατε. καὶ ἐπιλεξάμενοι ἄνδρας δίκαιους καὶ φρονίμους, ἐπισκόπους τε καὶ μονάζοντας, ἐξαποστελῶ πρώτῳ καιρῷ· οὐ γὰρ μὴ δώσω ὕπνον, κατὰ τὸ γεγραμμένον, τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ ἀγωνίσωμαι τὸν ὑπὲρ τῆς ἁπάντων σωτηρίας ἀγῶνα. * πεπαρρησιασμένοι γάρτοι μεμαθηκότες τὴν ἡμῶν γνώμην, ἀνδρίσασθε. ἤδη γὰρ καὶ χρήσονται παρ' ἡμῶν γράμματα, ἃ δεῖ, καὶ πρὸς οὓς δεῖ. σκοπὸς γάρ μοι διὰ τὴν εἰς Χριστὸν πίστιν καὶ καμεῖν, καὶ ὑποστῆναι πᾶν ὁτιοῦν τῶν νομιζομένων εἶναι δεινῶν ἐν βασάνοις, ἕως οὗ καὶ τὴν ἡδύν μοι διὰ τοῦτο ὑπομείνω θάνατον.

* ἡμῶν.

* πεπαρρησιασμένοι

ΚΕΦΑΛΑΙΟΝ ιγ'.

Διαμαρτυρία προτεθεῖσα ἐν δημοσίῳ * παρὰ τῆς κληρικῆς Κωνσταντινουπόλεως, καὶ κατὰ ἐκκλησίαν ἐμφανισθεῖσα, ὡς ὅτι ὁμόφρων ἐστὶ Νεστορίῳ Παύλου τοῦ Σαμοσατέως τοῦ ἀναθεματισθέντος πρὸ ἐτῶν ἑκατὸν ἑξήκοντα ὑπὸ τῶν ὀρθοδόξων ἐπισκόπων.

* κατὰ

ΟΡΚΙΖΩ τὸν λαμβάνοντα τόδε τὸ χαρτίον κατὰ τῆς ἁγίας Τριάδος, ὥστε φανερὸν αὐτὸ ποιῆσαι ἐπισκόποις, πρεσβυτέροις, διακόνοις, ἀναγνώσταις, λαϊκοῖς οἴκοθεν Κωνσταντινούπολιν. ἔτι τε καὶ τὸ ἴσον αὐτοῖς ἐκδοῦναι πρὸς ἔλεγχον τοῦ αἱρετικοῦ Νεστορίου, ὅτι ὁμόφρων ἐστὶ τοῦ ἀναθεματισθέντος Παύλου τοῦ Σαμοσατέως πρὸ ἑτῶν ἑκατὸν ἑξήκοντα ὑπὸ τῶν ὀρθοδόξων ἐπισκόπων. ἔστι δὲ τὰ εἰρημένα ὅπως. Παῦλος εἶπε. Μαρίαν τὸν λόγον οὐκ ἔτεκε. Νεστόριος συμφώνως εἶπεν· οὐκ ἔτεκεν, ὦ βέλτιστε, Μαρία τὴν θεότητα. Παῦλος· οὐδὲ γὰρ ἦν πρὸ αἰώνων. Νεστόριος· καὶ μετέπειτα χρονικῇ τῇ δημιουργῷ τῶν χρόνων ἐφιστῶσι θεότητι. Παῦλος· Μαρία τὸν λόγον ὑπεδέξατο, καὶ οὐκ ἔστι πρεσβυτέρα τοῦ λόγου. Νεστόριος· πῶς οὖν Μαρία τὸν ἑαυτῆς ἀρχαιότερον ἔτεκεν; Παῦλος· Μαρία ἔτεκεν ἄνθρωπον ἡμῖν ἴσον. Νεστόριος· ἄνθρωπον ὁ τεχθεὶς ἐκ παρθένου. Παῦλος· κρείττονα δὲ κατὰ πάντα. ἐπειδὴ ἐκ πνεύματος ἁγίου, καὶ ὀξ ἐπαγγελιῶν, καὶ ἐκ τῶν Ματθ. 1. 18. γεγραμμένων ἡ ἐπ' αὐτῷ χάρις. Νεστόριος εἶπε· πεθέαμαι, φησὶ, τὸ πνεῦμα καταβαῖνον ὡσεὶ Γεν. 1. 11 περιστερὰν, καὶ μεῖνον ἐπ' αὐτὸν, τὸ τοιοῦτον ἀνάληψιν αὐτῷ χαρισάμενον. Ἐντειλάμενος, φησὶ, τοῖς ἀποστόλοις, οὓς ἐξελέξατο, διὰ πνεύματος ἁγίου Πράξ. 1. 2. ἀνελήφθη. τοῦτο δὴ τὸ τοιοῦτον Χριστῷ χαρισάμενον δόξαν. Παῦλος εἶπε· ἵνα μήτε ὁ ἐκ Δαυὶδ χρισθεὶς ἄλλοθέν ποθεν ἢ τῆς σοφίας, μήτε ἡ σοφία ἐν ἄλλῳ ὅτῳ οἰκῇ. καὶ γὰρ ἐν τοῖς προφήταις ἦν, μᾶλλον δὲ ἐν Μωσεῖ· καὶ ἐν πολλοῖς * χαρίσμασιν, μᾶλλον δὲ ἐν Χριστῷ, ὡς ἐν ναῷ Θεοῦ· καὶ ἀλλαχοῦ λέγει, ἄλλον εἶναι τὸν Ἰησοῦν Χριστὸν, καὶ ἄλλον τὸν λόγον. Νεστόριος εἶπε, μὴ ἐγχωρεῖν τὸν πρὸ πάντων τῶν αἰώνων γεννηθέντα, ἄλλο ἄπαξ γεννηθῆναι, καὶ * τοῦτο τῇ θεότητι. Ἰδοὺ δέδεικται σαφῶς λέγων ὁ παραβάτης, ἐκ ἐπέχθη ἀπὸ Μαρίας ὁ γεννηθεὶς ἐκ τοῦ πατρός. ἰδοὺ συναινεῖ τῷ αἱρετικῷ Παύλῳ τῷ Σαμοσατέων, τῷ λέγοντι ἄλλον εἶναι τὸν λόγον, καὶ ἄλλον τὸν Ἰησοῦν Χριστὸν, καὶ οὐκ ἴσα εἶς, ὡς ἡ ὀρθοδοξία κηρύττει.

* ἐμφανισθεῖσα. * ἐμφανισθεῖσα. * τοῦτο διὰ τοῦτο.

Διὰ τοῦτο ἐσημειωσάμην σοι, ὦ * ζητητὰ τῆς ἁγίας πίστεως, καὶ μέρος τοῦ μαθήματος τῆς ἐκκλησίας Ἀντιοχέων, ἐξ ἧς καὶ τινὲς τῶν χειροτονῶν * ἐπίκλησιν ἐν πρώτοις ἔχομεν, ὅτι οὐκ οἶδεν ἄλλον καὶ ἄλλον Θεοῦ υἱὸν, ἀλλ' ἕνα τὸν πρὸ πάντων αἰώνων γεννηθέντα Θεὸν ἐκ Θεοῦ * ἀπὸ τοῦ πατρὸς, ὁμοούσιον τῷ πατρὶ· καὶ τὸν αὐτὸν ἐπὶ Αὐγούστου Καίσαρος ἐκ Μαρίας τῆς παρθένου τεχθέντα. ἔχει γὰρ ῥητῶς Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ καὶ οἱ αἰῶνες κατηρτίσθησαν, καὶ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς καταλθόντα, καὶ γεννηθέντα ἐκ Μαρίας τῆς ἁγίας τῆς ἀειπαρθένου, καὶ σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου, καὶ τὰ ἑξῆς τοῦ συμβόλου. συνᾴδει δὲ τούτοις καὶ ὁ μακάριος ἐπίσκοπος Εὐσέβιος, ὁ τῆς αὐτῆς Ἀντιοχείας, εἰς ὢν * αὐτῷ τῷ τριακοσίων δεκαοκτὼ ἐπισκόπων ἐπὶ τῆς ἁγίας καὶ μεγάλης συνόδου, λέγων οὕτω· τὸ μὴ μόνον ἄνθρωπον, ἀλλὰ καὶ Θεὸν, καθὼς καὶ Ἱερεμίας ὁ προφήτης λέγει· οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. πότε δὲ συνανεστράφη ἀνθρώποις, εἰ μὴ ὅτε συνεγεννήθη μετ' αὐτῆς ἐκ παρθένου, καὶ συνεπλάσατο, καὶ συνηυξήθη, καὶ συνέπιε, καὶ συνέφαγε, καὶ τ' ἄλλα; εἴ τις δὲ τολμήσειε λέγειν ἄλλον εἶναι υἱὸν τὸν πρὸ πάντων τῶν αἰώνων μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα, καὶ ἄλλον τὸν ἐκ Μαρίας τῆς παρθένου τεχ-

* τοῦτο διὰ τοῦτο. * ἐκ τῶν * ἐξ ὧν τῶν, &c. Βαρὶχ. 3. 36.

τεχθέντα, καὶ οὐ τὸν αὐτὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν, ἔστω ἀνάθεμα.

ΚΕΦΑΛΑΙΟΝ ιδ'.

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας ἐπιστολὴ πρὸς Κελεστῖνον ἐπίσκοπον Ῥώμης.

Τῷ ὁσιωτάτῳ καὶ θεοφιλεστάτῳ πατρὶ Κελεστίνῳ Κύριλλος ἐν κυρίῳ χαίρειν.

Εἰ μὲν ἦν σιωπῆσαι, καὶ μὴ πάντα τῇ σῇ θεοσεβείᾳ γράφοντα τὰ κινούμενα, καὶ μέμψεως ἔξω γενέσθαι, καὶ διαφυγεῖν δύνασθαι τὸ δοκοῦν λυπηρὸν, καὶ μάλιστα ἐν ἀναγκαίοις οὕτω πράγμασιν, ὅπου καὶ ἡ τῆς πίστεως ὀρθότης παρασαλεύεται παρά τινων, ἔφην ἂν ἐμαυτῷ· καλὴ καὶ ἀκίνδυνος ἡ σιωπή· καὶ τὸ ἠρεμεῖν τοῦ ταράττεσθαι κρεῖττον. ἐπειδὴ δὲ καὶ Θεὸς ἀπαιτεῖ παρ' ἡμῶν τὸ νηφάλιον ἐν τούτοις, καὶ τὰ μακρὰ τῶν ἐκκλησιῶν ἔθη πείθουσιν ἀνακοινοῦσθαι τῇ σῇ ὁσιότητι, γράφω πάλιν ἀναγκαίως, ἐκεῖνο δηλῶν, ὅτι διακυκᾷ τὰ πάντα καὶ νῦν ὁ σατανᾶς, καὶ κατὰ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ μαίνεται, καὶ ὀρθοποδοῦντας ἐν πίστει τοὺς ἁπανταχόσε λαοὺς πειρᾶται διαστρέφειν. οὐ γὰρ ἠρεμεῖ τὸ παμπόνηρον ἐκεῖνο θηρίον, καὶ * εὐφόρητον εἰς ἀσέβειαν. ἐσίγων μὲν οὖν τὸν παρῳχηκότα καιρόν· καὶ οὐδὲν ὅλως οὔτε πρὸς τὴν σὴν θεοσέβειαν γέγραφα περὶ τοῦ νῦν ὄντος ἐν Κωνσταντινουπόλει, καὶ τὴν ἐκκλησίαν διέποντος, οὔτε μὴν πρὸς ἕτερον τῶν συλλειτουργῶν, τὸ ἐν τούτοις προπετὲς οὐκ ἔξω μώμου κεῖσθαι * πιστεύων. ἐπειδὴ δὲ εἰς ἀκμὴν ὥσπερ ἥκομεν τοῦ κακοῦ, δεῖν ᾠήθην ἀναγκαίως ἀνεῖναι λοιπὸν τὴν γλῶτταν, καὶ πάντα εἰπεῖν τὰ κεκινημένα. ὁ γὰρ μνημονευθεὶς ἅμα κεχειροτόνηται, καὶ δέον ταῖς παραινέσεσι ταῖς εἰς τὸ ἀγαθὸν ὠφελεῖν τούς τε ἐκεῖσε λαοὺς, καὶ τοὺς παρεπιδημοῦντας ξένους· πάμπολλοι δὲ οὗτοι, καὶ ἀπὸ πάσης, ὡς ἔπος εἰπεῖν, πόλεώς τε καὶ χώρας· σπουδὴν ἔθετο λαλεῖν ἔκτοπά τινα, καὶ ἔξω λόγου, καὶ ὅσα μακράν ἐστι τῆς ἀποστολικῆς καὶ εὐαγγελικῆς πίστεως, ἣν μέχρι παντὸς τετηρήκασιν οἱ πατέρες, παρέδοσάν τε ἡμῖν ὡς πολύτιμον μαργαρίτην. καὶ τὰς μὲν ὁμιλίας, ἃς ἐπ' ἐκκλησίας εἴρηκε, καὶ τοῦτο πλειστάκις, καὶ λέγων οὐ παύεται, πέπομφα τῇ σῇ θεοσεβείᾳ, * ὡς εἴδησιν ἀκριβῆ. ἐγὼ δὲ ὁμολογῶ, καί τοι βουληθεὶς συνοδικῷ γράμματι φανερὸν αὐτῷ καταστῆσαι, ὅτι ταῦτα λέγοντι καὶ φρονοῦντι κοινωνεῖν οὐ δυνάμεθα, τοῦτο μὲν οὐ πεποίηκα. λογισάμενος δὲ, ὅτι χρὴ τοῖς ὀλισθήσασι χεῖρα διδόναι, καὶ ὡς ἀδελφοὺς πεσόντας ἐγεῖραι, παρῄνεσα διὰ γραμμάτων, ἀποχέσθαι τῆς τοιαύτης κακοδοξίας· ἀλλ' ὠνήσαμεν οὐδέν. ἐπειδὴ δὲ μεμάθηκεν, ὅτι τοσοῦτον ἀφεστήκαμεν τοῦ τὰ αὐτὰ φρονεῖν, ὡς καὶ ἐπιπλήττειν αὐτὸν μεταστῆναι τῶν οἰκείων εὐρημάτων· οὐ γὰρ ἂν εἴποι μοι δογμάτων· πάντα τρόπον ἐπιβουλῆς κεκίνηκε, καὶ εἰς ἔτι σαλεύων οὐ παύεται. ὅτε δὲ προσεδοκῶμεν αὐτὸν θεραπεύεσθαι, καὶ ἀποχέσθαι τῶν κατὰ Χριστοῦ * δογμάτων, ἔγνωμεν ὅτι διημαρτήκαμεν τῆς ἐλπίδος, τοιούτου τινὸς γεγονότος. Ἦν ἐν Κωνσταντινουπόλει ἐπίσκοπος ὀνόματι Δωρόθεος, τὰ αὐτὰ φρονῶν αὐτῷ, ἀνὴρ χρειοκόλαξ, καὶ προπετὴς χείλεσι, καθὼς γέγραπται· ὃς ἐν συνάξει καθεζομένου ἐπὶ τοῦ θρόνου τῆς ἐκκλησίας τοῦ τῆς Κωνσταντινουπόλεως εὐλαβεστάτου Νεστορίου, ἀναστὰς μεγάλῃ τῇ φωνῇ τετόλμηκεν εἰπεῖν· εἴ τις θεοτόκον εἶναι λέγει τὴν Μαρίαν, οὗτος ἀνάθεμα ἔστω. καὶ γέγονε μὲν κραυγὴ μεγάλη παρὰ παντὸς τοῦ λαοῦ, καὶ ἐκδρομή· οὐ γὰρ ἤθελον ἔτι κοινωνεῖν αὐτοῖς τοιαῦτα φρονοῦσιν· ὥστε καὶ νῦν ἀποσυνάκτους εἶναι τοὺς λαοὺς τῆς Κωνσταντινουπόλεως, πλὴν ὀλίγων ἐλαφροτέρων, καὶ τῶν κολακευόντων αὐτόν. τὰ δὲ μοναστήρια σχεδὸν ἅπαντα, καὶ οἱ τούτων ἀρχιμανδρῖται, καὶ τῆς συγκλήτου πολλοὶ οὐ συνάγονται, δεδιότες μὴ ἀδικηθῶσιν εἰς πίστιν αὐτοῦ, καὶ τῶν σὺν αὐτῷ, οὓς ἀπὸ τῆς * Ἀντιοχείας ἀναβαίνων ἤγαγε, * πάντων λαλούντων τὰ διεστραμμένα. ἐπειδὴ δὲ τῶν ὁμιλιῶν αὐτοῦ ἐνεχθεισῶν εἰς τὴν Αἴγυπτον, ἔμαθον, ὅτι ἐλαφρότεροί τινες συνηρπάσθησαν, καὶ λοιπὸν ἐνδοιάζοντες πρὸς ἀλλήλους ἔφασκον· ἆρα ὀρθῶς λέγει; ἆρα ἐπλανήθη; δεδοικὼς μὴ ῥιζωθῇ τὰ τῆς νόσου ἐν ταῖς τῶν ἁπλουστέρων ψυχαῖς, ἔγραψα τοῖς κατὰ τὴν Αἴγυπτον μοναστηρίοις καθολικὴν ἐπιστολὴν, βεβαιῶν αὐτοὺς εἰς πίστιν ὀρθήν· εἶτά τινες ἀπήγαγον ἐν τῇ Κωνσταντινουπόλει τὰ ἴσα. καὶ ὠφέληνται μὲν ἀναγνόντες πάνυ πολλὰ, ὥστε καὶ γεγράφασιν εὐχαριστοῦντες πλεῖστοι τῶν ἐν τέλει. γέγονε δὲ αὐτῷ καὶ τοῦτο τροφὴ τῆς κατ' ἐμοῦ λύπης, καὶ ὡς ἐχθρῷ μάχεται, οὐδὲν ἕτερον ἔχων ἐγκαλεῖν, ἢ ὅτι μόνον οὐκ ἀνέχομαι τὰ ἴσα φρονεῖν αὐτῷ. ἀλλὰ καὶ ἐπηνώρθωσα πολλοὺς, ἣν παρελάβομεν ἐκ πατέρων πίστιν, καὶ ἃ ἐμάθομεν ἐκ τῆς θείας γραφῆς, ἐκεῖνα δὴ καταπείθων αὐτοὺς οἴεσθαι δεκτά. ὅμως καὶ οὐ φροντίσας τῶν παρ' αὐτοῦ γενομένων κατ' ἐμοῦ, ἀλλὰ Θεῷ δοὺς τῷ πάντα εἰδότι καὶ ἰσχύοντι, πάλιν ἑτέραν ἐπιστολὴν γέγραφα τῷ μνημονευθέντι, τὴν ἔκθεσιν ὡς ἐν συντόμῳ τῆς ὀρθῆς πίστεως ἔχουσαν, παρακαλῶν τε ἅμα καὶ διαμαρτυρόμενος οὕτω καὶ φρονεῖν καὶ λαλεῖν· ἀλλ' ὤνησα πάλιν οὐδὲν, ἔχεται δὲ καὶ εἰς δεῦρο τῶν ἀπ' ἀρχῆς, καὶ οὐ παύεται λαλῶν τὰ διεστραμμένα. γινωσκέτω δὲ καὶ τοῦτο ἡ σὴ θεοσέβεια, ὅτι καὶ ἅπασι τοῖς κατὰ τὴν ἀνατολὴν ἐπισκόποις συνάδει τὰ λεγόμενα· καὶ δυσχεραίνουσι πάντες, καὶ λυποῦνται, καὶ μάλιστα οἱ κατὰ τὴν Μακεδονίαν εὐλαβέστατοι ἐπίσκοποι. καὶ τοῦτο εἰδὼς, οἴεται ὅτι πάντων ἐστὶ σοφώτερος,

* ἀφόρητον.
* νηφίζειν.
* πρὸς ἔλεγχον ἀκριβῆ.
* δολογμάτων,
* Ἀντιοχείας
* πάντα

πρ@, καὶ μόν@ οἶδε τὸν σκοπὸν τῆς θεοπνεύστου γραφῆς, καὶ τὸ πῦ Χριστοῦ μυστήριον. καίτοι πῶς οὐκ ἔδει πληροφορεῖσθαι μᾶλλον αὐτὸν, ὅτι πάντων τῶν κατὰ πᾶσαν τὴν οἰκουμένην ὀρθοδόξων ἐπισκόπων καὶ λαϊκῶν ὁμολογούντων, ὅτι ὁ Θεὸς * ἰῶ ὁ Χριστὸς, καὶ θεοτόκ@ ἡ τεκοῦσα αὐτὸν παρθέν@. πλανᾶται μόν@ αὐτὸς τοῦτο ἀρνούμεν@; ἀλλ' ὁ φρύαγμα, καὶ οἴεται ὅτι τῇ δυνάμει τοῦ θρόνου πᾶσιν ἐπιβουλεύων, καὶ ἡμᾶς καὶ τοὺς ἄλλους ἅπαντας ἀναπείσει τὰ αὐτὰ φρονεῖν αὐτῷ. τί οὖν ποιοῦμεν, ἢ ἀναπείθοντες αὐτὸν, ἢ φαῦσαι δυνάμενοι τῶν τοιούτων ὁμιλιῶν; καὶ ὀσημέραι καταφθαρμένων τὸν λαὸν τὸν ἐν Κωνσταντινουπόλει, καὶ δυσχερανόντων μοῦ, ἐκδεχομένων δὲ τὴν παρὰ τῶν ὀρθοδόξων διδασκάλων ἐπικουρίαν; καὶ ὁ περὶ τῶν τυχόντων ὁ λόγος ἡμῖν, ἀλλ' ἐδὲ ἀκίνδυν@ ἡσιωπή. εἰ γὰρ δυσφημεῖται Χριστὸς, πῶς ἡμεῖς σιωπήσωμεν; καίτοι τοῦ Παύλου γράφοντ@· εἰ * γὰρ ἐκὼν τοῦτο πράσσω, μισθὸν ἔχω. εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι· οἱ τοίνυν ἐμπεπιστευμένοι τὸν λόγου τὴν οἰκονομίαν, καὶ τῆς πίστεως τὴν ἀσφάλειαν. τί ἐροῦμεν ἐν ἡμέρᾳ κρίσεως, ὅταν ἐπὶ τούτοις σιγήσωμεν;

* μὼ 1.Κορ. 9.17.

Οὐ πρότερον δὲ τῆς πρὸς αὐτὸν κοινωνίας ἐκβάλλομεν ἑαυτοὺς μὴ παῤῥησίας, πρὶν ἂν πᾶσι τῇ σῇ θεοσεβείᾳ ἀνακοινωσώμεθα. διὸ δὴ καταξίωσον τυπῶσαι τὸ δοκοῦν σοι, καὶ πότερόν ποτε χρὴ κοινωνεῖν αὐτῷ, ἢ λοιπὸν ἀπειπεῖν μὴ παῤῥησίας, ὅτι τοιαῦτα φρονοῦν τι καὶ διδάσκοντι ἑτέρῳ κοινωνεῖ. τὸν δὲ ἐπὶ τούτοις σκοπὸν τῆς *τελειότητ@ σῆς * θεοσεβείας χρὴ γνῶναι διὰ γραμμάτων καταφανῆ καὶ τοῖς * θεοσεβεστάτοις καὶ θεοφιλεστάτοις ἐπισκόποις τοῖς κατὰ Μακεδονίαν, καὶ ἅπασι τοῖς κατὰ τὴν ἀνατολήν. ἐπιθυμοῦσι γὰρ αὐτοῖς δώσομεν ἀφορμὰς τοῦ πάντας μιᾷ ψυχῇ καὶ μιᾷ γνώμῃ εἶναι, καὶ ἐπαγωνίσασθαι τῇ ὀρθῇ πίστει πολεμουμένῃ. ὅσον γὰρ τὸ κατ' αὐτὸν, καὶ οἱ πατέρες ἡμῶν οἱ μεγάλοι καὶ θαυμασοὶ καὶ εὐδόκιμοι θεοτόκον εἶναι τὴν ἁγίαν εἰπόντες παρθένον, ἀνεθεματίσθησαν, καὶ ἡμεῖς δὲ σὺν αὐτοῖς οἱ ζῶντες ἔτι. καὶ ἐπειδὴ ἰδίᾳ φωνῇ τοῦτο ποιῆσαι οὐκ ἠθέλησεν, ἄλλον ἔσησε τὸν μνημονεύσοντα Δωρόθεον, καὶ τοῦτο εἰπεῖν παρεσκεύασεν, αὐτοῦ καθεζομένου καὶ ἀκούοντ@· ᾧ καὶ καταλθὼν ἀπὸ τοῦ θρόνου εὐθὺς κεκοινώνηκεν, ἐπιτελέσας τὰ θεῖα μυστήρια. ὑπὲρ δὲ τοῦ εἰδέναι σαφῶς τὴν σὴν ὁσιότητα, τίνα ἐστὶν ἃ αὐτὸς μὲν λέγει καὶ φρονεῖ, τίνα δὲ οἱ μακάριοι καὶ μεγάλοι πατέρες ἡμῶν, ἀπέστειλα τόμους, κεφαλαίων περικοπὰς ἔχοντας. ἑρμηνευθῆναι δὲ παρεσκεύασα, ὡς ἐνδέχετο τοῖς ἐν Ἀλεξανδρείᾳ. καὶ τὰς παρ' ἐμοῦ γραφείσας ἐπιστολὰς δέδωκα τῷ ἀγαπητῷ Ποσειδωνίῳ, ἐντειλάμεν@ καὶ αὐτὰς προσαγαγεῖν τῇ σῇ *ὁσιότητι.

*τελειότατι

*ἁγιωτάτοις

*τελειότητι

ΚΕΦΑΛΑΙΟΝ ϛέ.

Ἐπιστολὴ Κελεστίνου πρὸς Κύριλλον.

Τῷ ἀγαπητῷ ἀδελφῷ Κυρίλλῳ Κελεστῖν@.

ΤΗ̃ ἡμετέρᾳ συγγνώμῃ τὰ διὰ τοῦ υἱοῦ ἡμῶν Ποσειδωνίου τοῦ διακόνου ἀσφαλισάμενα παρὰ τῆς σῆς ἁγιότητος γράμμασι ἀπέδωκεν ἡδυθυμίαν, καὶ ἀντικατηλλαξάμεθα τὸ ἧδον πρὸς τὸ λυπῆν. ἀποβλέποντες γὰρ καὶ ἐννοοῦντες, ἅπερ εἶπεν ὁ τοῦ ἐν Κωνσταντινουπόλει ἐκκλησίαν διεσταλμέναις προσομιλίαις τυράττειν ἐπιχειρῶν, ὀλίγῳ κατ' αὐτοῦ τοῦ ψυχοῦ πεπληγμένοι πόνῳ, διαφόροις σκέψεων κέντροις βασανιζόμεθα, ἐννοοῦντες * ὅπως βοηθεῖν εἰς τὸ ἐμμένειν τῇ πίστει· ὡς δὲ τοῦ ἡμετέραν διάνοιαν εἰς τὰ παρὰ τῆς σῆς ἀδελφότητ@ γραφέντα μετεσήσαμεν, ὤφθη ἡμῖν ἀθὺς ἑτοιμοτάτη θεραπεία, δι' ἧς ἡ λοιμώδης νόσ@ ὑγιεινῷ φαρμάκῳ ἀπελαθείη· φημὶ δὴ τοῦ τῆς καθαρᾶς πηγῆς ἔκροιαν, τοῦ ἀπὸ τοῦ λόγου τῆς σῆς ἀγάπης ἐκρέουσαν, δι' οὗ πᾶσα * καθαίρεται ἡ ἰλὺς τοῦ κακῶς διαχεομένου ῥείθρου, καὶ πᾶσιν ἀνοίγεται ὁ ῥόπ@ τῆς δεήσεως περὶ τοῦ ἡμετέραν πίστιν ἐννοίας. ὥσπερ οὖν ἐκεῖνον σέζομεν καὶ μεμφόμεθα, οὕτω τοῦ σοῦ ἁγιότητα, ὥσπερ παροῦσαν ἐν τοῖς ἰδίοις γράμμασι, τῇ τοῦ κυρίου ἀγάπῃ περιστελλόμεθα, * εἰδότες ὅτι σὺ καὶ τὸ αὐτὸ περὶ τοῦ δεσπότου φρονοῦμεν. καὶ θαυμαστὸν οὐδέν, τὸν προγονοτικώτατον τοῦ κυρίου ἱερέα ὑπὲρ τοῦ τῆς πίστεως ἔρωτ@ τοιαύτῃ διαμάχεσθαι ἀρετῇ, ὥστε τῇ ἀπόπῳ τοῦ ἐναντίων τόλμῃ ἀνθίστασθαι δύνασθαι, καὶ τοὺς αὐτῷ ἐμπεπιστευμένους τοιαύταις ὑπομνήσεσι βεβαιοῦν. ὥσπερ τοίνυν ἐκεῖνα ἡμῖν πικρὰ, οὕτω τοῦτό ἐστιν ἡδέα· ὥσπερ ἐκεῖνα ἰλυώδη, οὕτω τοῦτο καθαρά. καὶ χαίρομεν τοσαύτῃ ἐνεῖναι ὁρῶντες τῇ σῇ ἀλαβείᾳ ἐγρήγορσιν, ὡς ἥδησε νενικηκέναι τὰ ὑποδείγματα τοῦ σοῦ προηγησαμένων, χρωμένων ἀεὶ καὶ αὐτοῦ ἐκδίκων τοῦ ὀρθοδόξου δόγματ@. ἀληθῶς τε ἐπὶ σοῦ ἁρμόσει ἡ ἀγγελικὴ μαρτυρία ἡ λέγουσα· ὁ ποιμὴν ὁ ἀγαθὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν ἰδίων προβάτων. ἀλλ' ὥσπερ σὺ ποιμὴν ἀγαθὸς, οὕτως ἐκεῖν@ οὐδὲ ὡς κακὸς μισθωτὸς κατηγορεῖσθαι ἄξι@· ὃς ἀ διὰ τοῦτο διαβάλλεται, ὡς τὰ ἑαυτοῦ καταλιπὼν πρόβατα, ἀλλ' ὅτι ἡυρέθη αὐτὸς διασπαράττων αὐτά.

* ἵν. ὅτι ἔχοιμι βοηθῶν. * βοηθῶν

* καθαίρεται καθαίρεται

* παρὰ τὸ

Ἰωάν. ιϛ. 11

* ἁρπάζει

Προσθεῖναι δέ τινα καὶ ἡμεῖς ἐμέλλομεν, ἀγαπητὲ ἀδελφὲ, εἰ μὴ ἐωρῶμέν σε τὰ αὐτὰ φρονοῦντα πάντα, ἅπερ φρονοῦμεν καὶ ἡμεῖς, καὶ ἐν τῇ βεβαιώσει τῆς πίστεως ἐδοκιμάζομέν σε ἔνδικον ἰσχυρότατον. ἀπεδόθη γὰρ ἡμῖν κατὰ τύχην πάντα * διὰ τοῦ υἱοῦ ἡμῶν Ποσειδωνίου τοῦ διακόνου, ὅσα περὶ τούτου τοῦ πράγματ@· ἡ σὴ ἁγιότης γεγράφηκε πάντα τὰ δίκτυα τῆς * δολίας προσομιλίας ἐγύμνωσας, καὶ ὅτω τοῦ πίστιν ὠχύρωσας, ὡς μὴ δύασθαι τοῦ καρδίαν τῆς τῷ Χει-

Χριστῷ καὶ Θεῷ ἡμῶν πιστευόντων εἰς ἕτερον ἐλκυσθῆναι μέρος. μέγας οὗτός ἐστι τῆς ἡμετέρας πίστεως θρίαμβος, τὸ ἀποδεῖξαι τὰ ἡμέτερα οὕτως ἰσχυρῶς, καὶ οὕτω νενικηκέναι τὰ ἐναντία διὰ τῆς τῶν θείων γραφῶν μαρτυρίας. τί λοιπὸν διαπράξεται; ἢ ποῦ ἑαυτὸν ἐκεῖνος περιστρέψει; ὃς γενόμενος ἐραστὴς ἀσεβοῦς νεωτερισμοῦ, ὡς ἐβούλετο, μᾶλλον ταῖς ἑαυτοῦ ἐννοίαις δουλεύων ὤφθη ἑαυτῷ, ἢ τῷ Χριστῷ ἐξακολουθῶν, καὶ τὸν ἐμπιστευθέντα ἑαυτῷ δῆμον βλάψαι * ἠθέλησε τῷ τῆς ἰδίας προσομιλίας δηλητηρίῳ· δέον καὶ ἀναγνῶναι τοῦτο καὶ κατέχειν, ὅτι τὰ μάταια ζητήματα, καὶ μὴ προκόπτοντα εἰς ὑγίειαν, ἀλλὰ χωροῦντα εἰς ψυχῶν ἀπώλειαν, φεύγειν μᾶλλον, ἢ ἐπιζητεῖν δεῖ. ἀλλ' ὅμως εἰς κρημνοὺς αὐτοὺς * ἐπειγόμενον, μᾶλλον δὲ ἤδη ἐν αὐτῷ τῷ κρημνῷ, ὅθεν πεσεῖται, διάγοντα, εἴ γε δυνάμεθα, ἀνακαλεῖσθαι ὀφείλομεν, μὴ τὴν πτῶσιν αὐτοῦ τῷ * βοηθεῖν προσωθήσωμεν· ὁ Χριστὸς ὁ Θεὸς ἡμῶν, ᾧ ἐπάγεται ζήτησις περὶ τῆς ἰδίας γεννήσεως, ἐδίδαξεν ἡμᾶς κάμνειν ὑπὲρ προβάτου ἑνὸς, θέλων καὶ διὰ τῶν ἰδίων ὤμων ἀνακαλεῖσθαι, ὡς μὴ ἐκκέηται τῷ λύκῳ εἰς ἁρπαγήν. εἶτα ὁ διδάξας ἡμᾶς οὕτω δραμεῖν ὑπὲρ σωτηρίας προβάτου ἑνὸς, * πῶς ἄρα ἡμᾶς κάμνειν βούλεται ὑπὲρ αὐτοῦ τοῦ τῶν προβάτων ποιμένος; ὃς τῆς προσηγορίας ταύτης καὶ τοῦ ἐπαγγέλματος ἐπιλελησμένος, αὐτὸς ἑαυτὸν εἰς ἅρπαγα λύκον * μετήλλαξεν, ἐπιθυμῶν ἀπολέσαι τὴν ἀγέλην, ἣν αὐτὸς ὤφειλε συντηρῆσαι.

Τοῦτον οὖν ἡμεῖς ἀπὸ τῆς * περικλείσεως τῶν ἀμνῶν ἀποκινῆσαι ὀφείλομεν, ἐὰν δὲ μὴ αὐτὸν, ὡς θέλομεν, * διορθωσώμεθα, εἰ ἔτι συγγνώμης ἐλπὶς διορθωθησομένῳ δυνήσεται περιλείπεσθαι. θέλομεν γὰρ ἵνα ὑποστρέψῃ καὶ ζήσῃ, εἰ μὴ αὐτὸς τὴν ζωὴν τῶν ἐμπεπιστευμένων ἑαυτῷ ἀπολέσειεν. εἴη δέ τις φανερὰ ἀπόφασις κατ' αὐτοῦ ἐμμένοντος. ἐκκοπτέον γὰρ τὸ τοιοῦτον τραῦμα, δι' οὗ οὐχ ἓν μέλος βλάπτεται, ἀλλὰ πᾶν τὸ σῶμα τῆς ἐκκλησίας διατιτρώσκεται. τί γὰρ ποιεῖ μετὰ τῶν ἀλλήλοις ὁμονούντων, ὃς μόνος ἑαυτῷ φρονεῖν δοκῶν ἄριστα, ἀπὸ τῆς ἡμετέρας διχονοεῖ πίστεως; ὅθεν μενέτωσαν ἐν τῇ κοινωνίᾳ, οὓς αὐτὸς ἀντιλέγοντας αὐτῷ ἀπεκίνησε τῆς κοινωνίας. καὶ * γινωσκέτω, ὅτι αὐτὸς τὴν ἡμετέραν κοινωνίαν ἔχειν οὐ * δυνήσεται, ἐὰν ἐν ταύτῃ τῇ τῆς διαστροφῆς ὁδῷ παραμείνῃ, ἐναντιούμενος τῇ ἀποστολικῇ διδαχῇ. συναφθείσης σοι τοίνυν τῆς αὐθεντίας τοῦ ἡμετέρου θρόνου, καὶ τῇ ἡμετέρᾳ τοῦ τόπου διαδοχῇ ἐπ' ἐξουσίᾳ χρησάμενος, ταύτην ἐκβιβάσεις ἀκριβεῖ στερρότητι τὴν ἀπόφασιν. ἵνα ἢ ἐντὸς δέκα ἡμερῶν ἀριθμουμένων ἀπὸ τῆς ἡμέρας τῆς ὑπομνήσεως ταύτης, τὰ κακὰ κηρύγματα ἑαυτοῦ ἐγγράφω ὁμολογίᾳ * ἀθετήσῃ, καὶ ἑαυτὸν διαβεβαιώσηται ταύτην κατέχειν τὴν πίστιν περὶ τῆς γεννήσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἣν καὶ ἡ Ῥωμαίων καὶ ἡ τῆς σῆς ἁγιότητος ἐκκλησία, καὶ ἠκαθόλου

* ἐσπόδασι
* ἐπεισαγόμενον
* μὴ βοηθεῖν
* πόσον
* μετέβαλεν,
* μάνδρας
* σπηλάσῃ διορθώσασθαι
* σπηλάσωμι
* γινωσκέτωσαν
* δύναται
* ἀναθεματίσῃ,

* καθοσίωσις κατέχει· ἢ ἐὰν μὴ τοῦτο ποιήσῃ, εὐθὺς ἡ σὴ * ἁγιότης ἐκείνης τῆς ἐκκλησίας * προνοησαμένη, μάθῃ αὐτὸν παντὶ τρόπῳ ἀπὸ τοῦ ἡμετέρου σωματίου ἀποκινητέον τυγχάνειν· ὃς οὔτε τὴν τῶν θεραπευόντων ἴασιν ἠθέλησε καταδέξασθαι, καὶ εἰς ἀπώλειαν αὐτοῦ, καὶ πάντων τῶν αὐτῷ * πεπιστευμένων, οἷα λοιμώδης νόσος ἠπείχθη δραμεῖν, διὰ παντὸς τοῦ τῆς ἐκκλησίας σώματος ἐλαυνόμενος. * τὰ δὲ αὐτὰ ἐγράψαμεν πρὸς τοὺς ἁγίους ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν Ἰωάννην, Ῥοῦφον, Ἰουβενάλιον, καὶ φλαβιανόν· ἵνα φανερὰ ᾖ ἡ περὶ αὐτοῦ ἡμῶν, μᾶλλον δὲ ἡ τοῦ Χριστοῦ ἡμῶν θεία ἀπόφασις.

Δεξάμενος δὲ ὁ ἀρχιεπίσκοπος τῆς Ῥώμης Κελεστῖνος τετράδας ἐξηγήσεων παρ' αὐτοῦ Νεστορίου δι' Ἀντιόχου, καὶ εὑρὼν αὐτὰς πεπληρωμένας βλασφημιῶν· ἔτι τε ὑπομνησθεὶς καὶ παρὰ τοῦ ἀρχιεπισκόπου Κυρίλλου, ὡς μὴ καταδεχομένου τοῦ αὐτοῦ Νεστορίου τὰ τῆς συμβουλῆς ἢ παραινέσεως εἰς τὸ τὰ ὀρθὰ φρονεῖν, καὶ μὴ τἀναντία, ἔγραψεν αὐτῷ καὶ αὐτὸς Κελεστῖνος ἀκοινώνητον ἐπιστολὴν, ὁρίσας καὶ δέκα ἡμερῶν προθεσμίαν, ἥτις ἐστὶν αὕτη ἡ ἐπιστολή. Ἐφ' ἡμέρας τινὰς τῆς ζωῆς ἡμῶν, καὶ τὰ λοιπά.

* θρησκεία κηρύττει.
* ἁγιότης ποιήσηται πρόνοιαν, καὶ μάθῃ ἑαυτόν
* ἐμπεπιστευμένων δυτρόπως, καὶ ὡς λοιμώδης
* Hæc absunt a MS. Seguieriano.

ΚΕΦΑ'ΛΑΙΟΝ ιή.

Ἐπιστολὴ Κελεστίνου πρὸς Νεστόριον.

Τῷ ἀγαπητῷ ἀδελφῷ Νεστορίῳ Κελεστῖνος.

Ἐφ' ἡμέρας τινὰς τῆς ζωῆς ἡμῶν, μετὰ τὸ ἀνόσιον καὶ πολλάκις κατακριθὲν δόγμα Πελαγίου καὶ Κελεστίου, ἡ καθολικὴ πίστις εἰρήνευσεν, ὁπότε ἐκείνους μετὰ τῶν ἑπομένων τῇ δόξῃ αὐτῶν ἥτε ἀνατολὴ καὶ ἡ δύσις ἀκοντίῳ συμφωνούσης ἀποφάσεως ἔπληξεν. αὐτίκα ὁ τῆς ἁγίας μνήμης Ἀττικὸς, ὁ διδάσκαλος τῆς καθολικῆς πίστεως, καὶ ἀληθῶς τοῦ μακαρίου Ἰωάννου καὶ εἰς ταῦτα διάδοχος, οὕτως * ἐκεῖνος ἐδίωξεν ὑπὲρ τοῦ κοινοῦ βασιλέως, ὥστε αὐτοῖς μήτε τοῦ ἐκεῖ ἑστάναι ἄνεσιν συγχωρηθῆναι. ἔσχεν ἡμᾶς μετὰ τὴν ἐκείνου ἔξοδον οὐχ ἡ τυχοῦσα φροντὶς ἐκδεχομένους, πότερον ὁ ἐκεῖνον * διαδεξάμενος εἴη αὐτοῦ καὶ εἰς τὴν πίστιν διάδοχος. ἐπειδὴ δυσχερὲς ἐστιν ἐκτείνεσθαι τὰ καλά· πολλάκις γὰρ ἑαυτὰς ἀμοιβαδὸν αἱ ἐναντιότητες διαδέχονται. ἀλλ' ἐσχήκαμεν μετ' ἐκεῖνον τὸν μέλλοντα ἡμᾶς ταχέως καταλιπεῖν, τὸν ἅγιον Σισίνιον, εὐδοκιμήσαντα ἐπί τε τῇ ἁπλότητι καὶ ἁγιότητι κοινωνὸν, αὐτὴν τὴν πίστιν, ἣν εὗρε κηρύττοντα. ἀνεγνώκει δηλαδὴ ἡ ἁπλῆ ἐκείνη * εὐλάβεια, καὶ εὐλαβὴς ἁπλότης, δεῖν μᾶλλον φοβεῖσθαι, ἢ ἰδίας συνέσεως βάθος ζητεῖν· καὶ ἀλλαχοῦ· μὴ δεῖν ἀνερευνᾶν τὰ βαθύτερα. καὶ πάλιν· εἴτις ἄλλο κηρύξειε καὶ νομοθετήσειε παρ' ὃ ἐκηρύξαμεν, ἀνάθεμα ἔστω. ἀλλὰ καὶ τούτου ἐκ τοῦ κόσμου μεθισταμένου, ὡς ἡ ἡμετέρα φροντὶς ἐπὶ τοσοῦτον ἑαυτὴν ἐξέτεινεν, ἐφ' ὅσον ὁ κύριος ἐπέτρεψεν. ἐχαροποίησεν ἡμῶν τὴν ψυχὴν ἡ διήγησις τῶν ἐρχομένων ἀγγέλων, ἣν εὐθέως ἐβεβαίωσεν ἡ τῶν ἡμετέρων κοινωνῶν ἀναφορὰ τῶν παραγενομένων τῇ σῇ χειροτονίᾳ· οἵ τινες τοσοῦτόν σοι ἐμαρτύρησαν, ὅσον ἐχρῆν τῷ ἀλλαχόθεν ἐπιλεχθέντι. μετὰ τοσαύτης γὰρ καὶ πρότερον ὑπολήψεως ἔζησας,

* ἐκείνους
* διαδεξάμενος
* εὐσέβεια, καὶ εὐσεβὴς ἡ Ῥωμ. 11. 20.
Ἐκκλ. 3. 11. Γαλατ. 1. 8.

σας, ὥστε καὶ ἐφθόνησε τοῖς σοῖς ἀλλοτρία πόλις· μετὰ τοσαύτης δὲ νῦν ἀτοπίας φευκτέον σεαυτὸν παρεσκευάσας, ὡς τοὺς σοὺς ἐν ἀλλοτρίοις ὁρᾶν, ὅπως ἀπηλλάγησαν· πρώην ἐδεξάμεθα τὰς σὰς ἐπιστολὰς, αἷς ἐν στενῷ οὐκ ἠδυνήθημεν ἀποκρίνασθαι· ἔδει γὰρ τὸν λόγον εἰς Ῥωμαϊκὸν μεταβληθῆναι. ὅπερ ὡς βραδέως διὰ τὴν ἀνάγκην ἐποιοῦμεν, ἐδεξάμεθα τοιαῦτα περὶ σοῦ γράμματα τοῦ ἁγίου ἀδελφοῦ καὶ συνεπισκόπου μου Κυρίλλου, τοῦ δοκιμωτάτου ἱερέως, διὰ τοῦ υἱοῦ μου Ποσειδωνίου τοῦ διακόνου, δι' ὧν σφόδρα ἐλυπήθημεν ἀπολωλέναι τῶν περὶ σοῦ ἀνενεγκόντων τὴν μαρτυρίαν. καλὰς γάρ σου τὰς ἀρχὰς κακὴ, ὡς ὁρῶμεν, ἀπόβασις διεδέξατο. καλάς φημι ἀρχὰς, τὰς παρ' ἡμῖν οὕτω φημισθείσας, ὡς δεῖξαι ἡμᾶς ἐν τῇ ἀποκρίσει τῇ πρὸς τὴν ἀναφορὰν τῶν ἀδελφῶν, ὅπως ἦμεν κοινωνοὶ τῆς χαρᾶς. ἀλλὰ νῦν ἐννοοῦντες καὶ τὴν περὶ σοῦ μέμψιν τοῦ προειρημένου ἀδελφοῦ μου, καὶ τὰς σὰς ἐπιστολὰς ἑρμηνευθείσας, αἵ τινες φανερὰς ἔχουσι βλασφημίας, ὁρῶμεν ὅτι λεκτέον παρ' ἡμῶν τὸ ἀποστολικὸν ἐκεῖνο· ἤθελον ἀλλάξαι μου τὴν φωνὴν, ὅτι καταισχύνομαι ἐν ὑμῖν. μᾶλλον δὲ ἤλλαξα, εἰ μὴ ἑαυτὸν ἀπὸ τοῦ κρημνοῦ ἀνακαλέσειεν ὁ ἀσεβὴς προσομιλητής. ἀνάγκη γάρ ἐστιν, ἵνα ἀφ' ἡμῶν αὐτῶν τὸ κακὸν, ὥσπερ ἐκελεύσθημεν, * ἀποστήσωμεν.

Γαλατ. 4. 20.
1. Κορ. 5. 13.
* ἀποσπάσαμεν.

Ἀνέγνωμεν τοίνυν τῶν ἐπιστολῶν τὸ ὕφος, καὶ τὰς βίβλους, τοῦ μεγαλοπρεπεστάτου ἀνδρὸς τοῦ υἱοῦ ἡμῶν Ἀντιόχου ἀποδιδόντος, * ἀπεδεξάμεθα ἐπὶ ταύταις. ἀνιχνευθεὶς μὲν ἡμῖν, καὶ εὑρεθεὶς, καὶ κατασχεθεὶς πολυλαλίᾳ τινὶ ἐξωλίσθανες, τἀληθῆ τοῖς σκοτεινοῖς ἐγκαλύπτων, καὶ πάλιν συγχέων ἑκάτερα, τῷ ὁμολογεῖν μὲν τὰ ἀρνηθέντα, ἐπιχειρεῖν δὲ ἀρνεῖσθαι τὰ ὡμολογημένα. ἐν δὲ ταῖς σαῖς ἐπιστολαῖς φανερὰν ἀπόφασιν οὐχ οὕτω περὶ τῆς ἡμετέρας πίστεως, ὡς περὶ σεαυτοῦ ἐξηνέγκας, θέλων περὶ τοῦ Θεοῦ λόγου ἄλλως κηρύξαι, ἤπερ ἡ πάντων πίστις ἔχει. ἰδοὺ τοίνυν εἰς οἵαν καλούμεθα ἀπόφασιν περὶ σοῦ. ἰδοὺ οἷαί εἰσιν αἱ εὐεργεσίαι τῶν σῶν καινοτήτων· ἀφ' οὗ ἀγνοούμενος μὲν ἐπελέχθης, γνωσθεὶς δὲ κατηγορήθης. λοιπὸν μετὰ τοῦ τῶν ἐθνῶν διδασκάλου λεκτέον· τί γὰρ εὐξώμεθα ὡς χρὴ, οὐκ ἴσμεν. ἆρα οὐ ταῦτα τὰ ῥήματα ἐκείνῃ τῇ ἐκκλησίᾳ πρέπει, ἥ τις δεδοκιμασμένων ἐν αὐτῇ ἀνθρώπων κατεφρόνησεν, ἀκολουθοῦσα τῇ σῇ φήμῃ, οὐ τῇ γνώσει; ἠπατήθη ἡ ὑπόνοια τῶν καλῶς περὶ σοῦ πιστευσάντων. τίς γὰρ ἐντὸς προβάτου μαλλοῦ ἅρπαγα κεκρύφθαι λύκον νομίσειε; φωνή ἐστιν αὐτοῦ τοῦ ἀποστόλου, δεῖν καὶ αἱρέσεις εἶναι, ἵνα οἱ δεδοκιμασμένοι φανεροὶ ὦσιν. ἄνοιγέ σου τὰς ἀκοὰς, καὶ τούτου τοὺς πρὸς Τιμόθεον καὶ Τίτον ἄκουε λόγους. τί ἄλλο κελεύει, ἢ ἵνα τὰς βεβήλους καινότητας τῶν φωνῶν ἀποστρέφωνται; ταῦτα γὰρ εἰς ἀσέβειαν προχωρεῖ, ἅπερ ἀεὶ ἀκάνθας καὶ τριβόλους ποιεῖ. τὸν δὲ Τιμόθεον καὶ παρακεκληκέναι αὐτόν φησιν, ἵνα τῇ Ἐφέσῳ παραμένων, παραγγείλῃ τισὶ, μή τις ἄλλο κηρύξῃ· πρὸ ὀφθαλμῶν μοί ἐστι τὰ ῥήματα Γερεμίου τοῦ προφήτου· φοβερὰ, φησὶν, ἐγένετο ἐπάνω τῆς γῆς· οἱ προφῆται ἀδικίαν προφητεύουσι. ταῦτα, εἰπέ μοι, ὡς ἄγνωστά σε παρέρχεται, ἢ ὡς ἐγνωσμένων καταφρονεῖς; εἰ μὲν ὡς ἄγνωστά σε παρέρχεται, μὴ αἰδεσθῇς μαθεῖν τὸ ὀρθὸν, ὡς οὐκ ἐφοβήθης μαθεῖν τὸ διεστραμμένον, καὶ διδάξαι. εἰ δὲ ὡς ἐγνωσμένων καταφρονεῖς, νόει, ὅτι ἀναπολόγητά σοι ἔσται,

* ἀπεδεξάμεθα ἀνιχνευθεὶς μὲν ἡμῖν, καὶ εὑρεθεὶς, καὶ κατεσχεθεὶς πολύλογα τινὰ ἐξωλισθαίνων,
Ῥωμ. 8. 26.
1. Κορ. 11. 19.
1. Τιμ. 6. 20.
Τιτ. 3.
1. Τιμ. 1. 3.
Γερεμ. 5. 30.
Ματθ. 25.

ὅταν ἀπὸ σοῦ, τοῦ ἐπιτραπέντος σοι ταλάντου τὸν λόγον ἐκεῖνος ἐπιζητήσῃ, ὃς δι' ἡμῶν ἀπὸ τούτου τοῦ ἁγίου δανείσματος ἑαυτῷ κέρδος ἀεὶ ἐκδέχεται. ὅρα, οἵα τιμωρία ἐκεῖνον μένει τὸν κρύψαντα ὃ εἰλήφει: * ἔτι γε μὴν τὸν μὴ ὁλόκληρον ἀποκαταστήσαντα, ὅπερ εἰλήφει. ὅθεν φανερῶς πρόσεχε, ὅσος καὶ οἷος ὁ κίνδυνος, μηδὲ ὅπερ ἔλαβες, ἀποδιδόναι. ἆρα σὺ τῷ δεσπότῃ ἡμῶν ἐρεῖς· οὓς δέδωκάς μοι, ἐφύλαξα· ὁπότε οὕτως ἀκούομεν σφάζεσθαι καὶ σχίζεσθαι τὴν ἐκκλησίαν αὐτοῦ; μεθ' οἵας συνειδήσεως ζῆς, σχεδὸν ἀπὸ πάντων ἐν ταύτῃ τῇ πόλει καταλειφθείς; ηὐχόμην αὐτοὺς τότε μᾶλλον γεγενῆσθαι ἀσφαλεῖς, ἢ νῦν εἰσιν, ὅτε ἑαυτοῖς ἐπιζητοῦσι βοήθειαν. πόθεν σοι εἰς τοιαῦτα ζητήματα ἰθύνειν λόγους, ἅπερ ἐννοεῖν βλάσφημον; πόθεν ἐπισκόπῳ εἰς δήμους ταῦτα κηρύττειν, δι' ὧν τὸ σέβας τοῦ παρθενικοῦ τόκου τιτρώσκεται; οὐκ ὀφείλουσι τῆς ἀρχαίας πίστεως τὴν καθαρότητα βλάσφημοι εἰς τὸν Θεὸν λόγοι διαταράξαι. τίς πώποτε οὐκ ἄξιος τοῦ ἀναθεματισθῆναι ἐκρίθη, ἢ ἀφαιρῶν τι, ἢ προστιθεὶς τῇ πίστει; τὰ γὰρ μεστῶς καὶ φανερῶς παραδοθέντα ἡμῖν παρὰ τῶν ἀποστόλων, οὔτε προσθήκην, οὔτε μείωσιν ἐπιδέχεται. ἀνέγνωμεν γὰρ ἐν ταῖς βίβλοις ἡμῶν, μήτε προστιθέναι δεῖν μήτε ἀφαιρεῖν. μεγίστη γὰρ καὶ τὴν προστιθέντα, καὶ τὴν ἀφαιροῦντα τιμωρία δεσμεῖ. ὅθεν καυτῆρα καὶ σίδηρον ἑτοιμάζομεν, ἐπειδήπερ ἑτέρως οὐκ ἔστι καταντλητέα τὰ τραύματα, ἅπερ ἐστὶ λοιπὸν ἀποκοπῆς ἄξια. ἴσμεν γὰρ τὰ μέγιστα ἐλαττώματα μετὰ μείζονος ἀεὶ πόνου θεραπευόμενα. ἀλλὰ μεταξὺ πολλῶν, ἅπερ παρὰ σοῦ ἀσεβῶς κηρυττόμενα, ἡ * καθόλου ἀπωθεῖται ἐκκλησία, κλαίομεν μάλιστα τὸ, ταῦτα τὰ ῥήματα παρὰ σοῦ * ἀπῆρθαι ἀπὸ τοῦ * συμβόλου, ἅπερ ἡμῖν πάσης ζωῆς καὶ σωτηρίας ἐπαγγέλλεται τὴν ἐλπίδα. ὅπερ διὰ τί γίνεται, λαλοῦσιν αἱ ἐπιστολαί σου, περὶ ὧν οὐδεμία ἀμφιβολία ἐστίν· ἐπειδὴ ταύτας αὐτὸς ἀπέστειλας, ἃς οὐκ ἠβουλόμεθα ἐληλυθέναι εἰς ἡμετέρας χεῖρας, μὴ ἀναγκασθῶμεν δικάσαι περὶ τοῦ εἴδους τοῦ τηλικούτου μύσους. πασῶν τῶν διαλέξεών σου τὰς ὁδοὺς ὁ βραχὺς ἐκείνων περιέκλεισε λόγος, ἥπλωσας σεαυτὸν πλατύτερον, καὶ πολλαῖς περιστροφαῖς περιῆλθες. ὀψὲ δὲ ὅμως διὰ διαφόρων ὁδῶν εἰς τὸν ἀσεβῆ ὅρον ἔφθασας. ἴσμεν τί ἐκεῖνος διέταξεν, ὁ κελεύσας φεύγειν τὰς ἔριδας καὶ τὰς μάχας τὰς περὶ τοῦ νόμου· εἰσὶ γὰρ, φησὶν, ἄχρηστοι καὶ μάταιαι. ὅπερ τοίνυν ἄχρηστον καὶ μάταιον κρίνεται, οὐδεὶς ἀμφιβάλλει μακρὰν εἶναι ὠφελείας. τοιγαροῦν εἰ καὶ ὁ ἀδελφὸς Κύριλλος ἤδη σε διὰ δευτέρων ἐπιστολῶν μεθοδευθῆναί φησι, * θέλων σε τοῦτο * ποιεῖν, ὅτι μετὰ τὴν πρώτην καὶ δευτέραν ἐκείνου, καὶ ταύτην τὴν ἡμετέραν ἐπιτίμησιν, ἣν δῆλόν ἐστιν εἶναι τρίτην λοιπὸν, παντελῶς ἀπὸ τῆς τοῦ συνεδρίου ἡμῶν, καὶ τῆς τῶν χριστιανῶν συνόδου ἀπεκλείσθης, ἐὰν μὴ εὐθέως τὰ κακῶς εἰρημένα ὑπὸ σοῦ, διορθωθῇ· ἐὰν μὴ εἰς ταύτην τὴν ὁδὸν ἐπανέλθῃς, ἣν ἑαυτὸν ὁ Χριστὸς εἶναι μαρτύρεται. κακῶς κατὰ τούτου ὅπλα κατ' ἀνελπιστίαν ἐκίνησας, ὃς ἐπάνω σε τῶν οἰκετῶν αὐτοῦ, ὡς πιστὸν καὶ συνετὸν δοῦλον ἐπέτρεψε πρότερον καταστῆναι. ἀπώλετό σοι ἡ ὑπὲρ τῆς τοιαύτης ὑπηρεσίας ἐπαγγελθεῖσα μακαριότης. οὐ γὰρ μόνον τροφὴν οὐ παρέχεις ἐν καιρῷ, ἀλλὰ καὶ δηλητηρίῳ ἀναιρεῖς, οὓς ἐκεῖνος τῷ ἰδίῳ αἵματι καὶ τῷ ἰδίῳ θανάτῳ ἐκέρδανε. δηλητήριον γὰρ ὑπὸ τοῖς σοῖς χείλεσίν εἰσι ταῦτα, ἅπερ κατάρας καὶ πικρότητος μεστὰ

* ἴσ. εἰλήφει, καίτοι ὁλόκληρον ἀποκαταστήσαντα,
Ἰωάν. 17.
* καθολικὴ
* ἐπῆρθαι.
* ἴσ. ἀπὸ τοῦ συμβόλου τῶν ἀποστόλων.
Τίτ. 3. 9.
* ἴσως, θέλω
* ἴσως, νοεῖν
Ματθ. 24. 45.
Ψαλμ. 13.
Ἰωάν. 10. 11.

κα-

καθορῶμεν, ὁπότε κατὰ τὸ ὄντες ἡδέως ἐπιχειρεῖς διαλέγεσθαι. πῶς ἐστιν ἡ ποιμενικὴ ἐπιμέλεια; ποιμὴν ἀγαθὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν ἰδίων προβάτων· μισθωτὸς δέ ἐστιν, ὃς τοῦτο τοῖς λύκοις καταλιμπάνει, καὶ παραδίδωσι. τί δὲ σύ, ὦ ποιμήν, ἐνταῦθα πράττεις; ὅτι τὴν δεσποτικὴν ἀγέλην ἀντὶ λύκων αὐτὸς διασπαράττεις; εἰς ποίους λοιπὸν φραγμοὺς ἡ δεσποτικὴ ἀγέλη καταφυγεῖν δύναται, ἐν οἷς τῶν ἐκκλησιαστικῶν περιβόλοις τέθραπται; ἢ ποίᾳ παραφυλακῇ ἀσφαλὴς ἔσαι, ὁπότε σε πάσχει ἀντὶ φύλακος ἅρπαγα; καὶ ἄλλα, φησὶν ὁ κύριος, ἔχω προβατα, ἅπερ οὐκ ἔστιν ἀπὸ τούτου τοῦ προβατεῶνος, κἀκεῖνα δεῖ με ἀγαγεῖν. ἐκεῖνος, ἀλλα ἐπαγγέλλεται ἀγαγεῖν, σὺ δὲ * ἅπερ εἶχεν, ἀπολλύεις. εἰ καὶ τι μάλιστα φανερόν ἐστιν, ὅσα χρὴ ταῦτα συμβαίνει, καὶ τὰ πρόβατα τοῖς ποιμέσιν, ἀλλὰ μᾶλλον τοῖς προβάτοις τοὺς ποιμένας ἀπόλλυσθαι. καὶ τὴν φωνήν μου, φησίν, ἀκούσονται. διὰ τί; ἵνα γένηται μία ποίμνη, εἷς ποιμήν. πρὸς τὴν ἐκείνου φωνὴν μία ποίμνη γίνεται, πρὸς δὲ τὴν σὴν βλάπτεται, ἢ φυγαδεύεται. σκληρόν ἐστιν, ἵνα ἐπὶ σοὶ ἁρμόσῃ τὰ ῥήματα τοῦ μακαρίου Παύλου, ἀπὸ τῶν πράξεων τῶν ἀποστόλων· ἐγώ, φησίν. οἶδα, ὅτι εἰσελεύσονται μετὰ τὴν ἐμὴν ἀναχώρησιν λύκοι βαρεῖς καθ' ὑμῶν, μὴ φειδόμενοι τῆς ἀγέλης. ἀφ' ὑμῶν ἀναστήσονται ἄνθρωποι λαλοῦντες διεστραμμένα, ἵνα ἀπαγάγωσι τοὺς μαθητὰς ὀπίσω αὐτῶν. ταῦτα ἠβουλόμεθα παρὰ σοῦ ἄλλοις, ἢ σοὶ εἰρῆσθαι· διδακτέα γὰρ οὐ παρὰ σοῦ, ἀλλὰ μαθητέα σοι, ἅπερ λέγομεν. τίς γὰρ φέρει διδάσκεσθαι ἐπίσκοπον, ὅπως ὀφείλει χριστιανὸς εἶναι; ἐπιμελῶς προσέχε, εἰς οἵαν αἵρεσιν κέκλησαι· προκαλῇ, διαβάλλῃ, κατηγορῇ. τί τούτων ἱερεῖ πρέπει; σκληροῖς σκληρὰ ἀπόκρισις· * ἢ τίς ἄρα ἐστὶν ἄμωμα λόγοις τιμωρεῖσθαι τὸ βλάσφημα. ἢ ὑπολαμβάνεις, ὅτι σε φεισόμεθα ἡμεῖς, ὁπότε τῆς ἑαυτοῦ ψυχῆς αὐτὸς οὐ φείδῃ; ὃς πάντας θέλεις τοὺς φθάσαντας, καὶ τοὺς παρόντας, καὶ τοὺς μέλλοντας ἀφαιρεῖσθαι τὴν ἐργασίαν τῆς σωτηρίας. διὸ καὶ δηλονότι τοὺς ἐχθροὺς τοῦ καλοῦ δεσπότου μου, ὡς δῆλος πιστός· ὁπότε φησὶν ὁ προφήτης, τελείῳ μίσει τοὺς μισεῖν. ὑπομιμνήσκομαι πάλιν ἄλλου λαλοῦντος, ἵνα μὴ φείσωμαι. τίνι ἐγὼ ἐνταῦθα προσχῶ; τίνι δὲ τιμῶ φυλάξω, ὁπότε τοῦτο ὁρῶ πραττόμενον, ἵνα μοι ἀρθῇ ἡ ἁπάσης ἐλπίδος ὑποθέσις; αὐτοῦ τοῦ κυρίου ἐν τῷ ἀγγελίῳ ῥήματά εἰσιν, οἷς φησι, μὴ πατέρα, μὴ μητέρα, μὴ τέκνα, μή τινα συγγένειαν ὀφείλειν αὐτοῦ προτιμᾶσθαι. ἔστι γὰρ πολλάκις τοιαύτη ἀσέβεια, ἀφ' ἧς ἀσέβεια τίκτεται. ὅτε νικώσης τῆς κατὰ σάρκα ἀγαθέσεως, ἐκείνης τῆς ἀγάπης, ἥτις ἐστὶν ὁ Θεός, ἡ σωματικὴ ἀγάπη προκρίνεται, διὰ ταῦτα πολλάκις τιμωμένου τινός. ἀλλ' ὅπου κατ' ἐκείνου ἐστί, ὃς ἐστιν αὐτὴ ἡ ἀγάπη, ἀνάγκη λοιπὸν ἐκείνας τὰς ἐννοίας ἐκβάλλεσθαι, ὧν ὁ ἀρχηγὸς εἰς δίκην καλεῖται. ἐξύπνισόν τινα ὀψέποτε. ἢ γὰρ λεκτέον ταύτας ἐγκωμιάσεις, ἃς ἀποκήμεις ἐν τῇ φυλακῇ, ἀλλὰ τῇ ἁρπαγῇ. ἠβουλόμεθά σε ἐν τούτῳ, ᾧ κήρυττεις, κοιμᾶσθαι, καὶ ἐγκωμιάζειν καθ' ἃ πολεμεῖς. τί δὲ λέγω; φορητότερον ἦν ἐν ἡμῖν, εἰ ἐκοιμᾶτο εἰς ἑκάτερον. ἐδένα ἀπώλλυες, ἐδένα ἐκέρδαινες, ἐν ἐδεμιᾷ ζημίᾳ ψυχῶν ἡ ἐκκλησία ἐσύγναζεν, ἐν ἐδενὶ κέρδει ἔχαιρεν. ἦρκει αὐτῇ εἰ τῷ ἰδίῳ νυμφίῳ αὐτὴν ὡς πρὸ παρεστήκεις, καὶ παρεδίδους. ἀλλὰ τί πολλοῖς ἐμβραδύνω; λέγοντος τοῦ ἀρχιτέκτονος Παύλου; μάτην διὰ σοῦ ἐπικτισθῆναί τι ζητῶ, ἐν ᾧ οὐχ ὁρῶ θεμέλιον. ἀκούω βίαν ὑπομένειν τοὺς κληρικοὺς μεγίστην, τοὺς καθολικῶς φρονοῦντας, οἷς ἡμεῖς κοινωνοῦμεν, ὡς λέγεσθαι αὐτοὺς καὶ τῆς πόλεως ἀποκεκλεῖσθαι. χαίρομεν, ὅτι τὸ ἔπαθλον τῆς ὁμολογίας ἐκέρδαναν· ἀλλὰ λυπούμεθα, ὅτι ἐπίσκοπος ὁ διώκων. ὁ μακάριος ἀπόστολος Παῦλος ἀπὸ διώκτου εἰς κήρυκα μετηλλάγη· σοὶ δέ, μέγιστον ἀσέβημα, εἰς διώκτην ἀπὸ κήρυκος μετηλλάχθαι. ἀεὶ θαυμάζω τοὺς πάλαι αἱρετικούς, οἵτινες τοιαύτας ζητήσεις τῇ ἐκκλησίᾳ ἐπήνεγκαν. τίς πώποτε ἀπὸ τοιαύτης ἔριδος νικήσας ἀνεχώρησεν; ἔχεις ὑπόδειγμα τῆς πόλεως τῆς σῆς. Παῦλος ὁ Σαμοσατεὺς ἐπίσκοπος τῆς Ἀντιοχέων ἐκκλησίας, ὡς τινα ἐκήρυττε, συνῆξε τῶν ἰδίων σπερμάτων τὸ θέρος. τοὺς λοιποὺς τῶν κακῶν αἱρετικοὺς κατισχύοντας τῶν ἐκκλησιῶν, ἀεὶ ἡ αὐτὴ σφρότης τῆς ἀποφάσεως κατεβάλλετο. ἀλλὰ καὶ τούτους τοὺς αἱρετικούς, περὶ ὧν ἡμᾶς, ὡς τὰ κατ' αὐτοὺς ἀγνοοῦν ἠθέλησας ἐρωτῆσαι, ἐκ τῶν ἰδίων θρόνων ὡς ἄδικα λαλοῦντας κατεδίκη δικαία ἐξέωσεν· ὃς ἐκεῖ δύναται ἀνάπαυσιν ἐθαυμάζομεν. δύνανται γὰρ ἀσεβὲς κήρυγμα, ὅτε ἐν συγχύσει ἑαυτοὺς ἐνόμισαν ἀνδιωκτους. ἐνταῦθα ἐπειδὴ ἡ δικαιότης τοῦ λόγου ἀπήτησεν, ἐθαυμάσαμεν σιωπᾶν ὅπερ θαυμάζομεν. ἀνέγνωμεν ὅπως καλῶς πιστεύεις περὶ τῆς κατὰ γένεσιν ἁμαρτίας, καὶ ὅπως αὐτοῦ τοῦ φύσιν δεικνύεις εἶναι κατάχρεω. ἐκ * τοῦτο δικαίως ἀποδοῦναι τὸ χρέος, ὃς ἀπὸ τοῦ γένους τοῦ χρεώστου κατάγεται. τί μετὰ σοῦ ποιοῦσιν οἱ κατακριθέντες, ὅτι ταῦτα ἠρνήσαντο; ἐθέποτε ἀνυπόπτως τὰ ἐναντία ἑαυτοῖς συμφωνεῖ. ἀλλὰ μοῦ ἐξεβάλλοντο, εἰ καί σοι ὁμοίως ἀπήρεσκον. ὅμως διὰ τί τὰ κατ' ἐκείνων πεφραγμένα * ζητεῖτε, ὁπότε δῆλόν ἐστιν, ὅτι ἐκεῖθεν πρὸς ἡμᾶς παρὰ τοῦ τότε ἐπισκόπου τοῦ καθολικοῦ Ἀττικοῦ τὰ ὑπομνήματα ἀπεστάλη; διὰ τί μὴ ὁ τῆς ἁγίας μνήμης Σισίνιος ἐζήτησε: δηλαδὴ ὅτι ἐδοκίμασεν αὐτὰς παρὰ τοῦ προηγησαμένου δικαίως κατακεκρίσθαι. κλαιέτωσαν οἱ ἄθλιοι ἐκπεπτωκότες τῆς κατὰ ἀνθρώπους ἐλπίδος, οἵτινες εἰς * μόνην τὴν κοινωνίαν διὰ μετανοίας βοηθεῖσθαι ἠδυνάσθησαν. ἐδὲ ἦρξω μαθεῖν περὶ αὐτῶν, εἴ τι πρῶτον ἠγνόησας. ἀλλὰ τὸ σὸν βάρος μᾶλλον ἢ τὸ ἀλλοῦ καθολικῆς καὶ ἐπιταχυνομένης ἐπισκέψει θεράπευε, ὅτι ἁρμοσμένως λέγομεν. ἰᾶτρε θεράπευε σεαυτόν, ὁ βοηθεῖν ἄλλοις σκεπτόμενος. ἡ ποιότης τῆς νόσου τῆς σῆς ὅτε ἐπιδείκνυται, ὅτε ἐπιτρέπει δοθῆναι ἀναχωρητήριον. τοῦ ἱερέως τῆς Ἀλεξανδρέων ἐκκλησίας τοῦτο πίστιν ἐχήκαμεν, καὶ ἔχομεν δεδοκιμασμένον. καὶ σὺ δὲ αὐτοῦ ὑπομνηθείς, πέμπε καὶ ἡμῖν πάλιν φροντίσον, εἰ μεθ' ἡμῶν θέλεις εἶναι, ὦ ἀδελφέ. εἰ δέδοται ἄρα σοι σιώπησις, πάντων κατηγορᾶς, ὧν ἄχρι τοῦ παρόντος ἐφρόντισας, ἀλλὰ ταῦτα, ὡς θέλομεν, κήρυττε, ἅπερ αὐτὸν κηρύττοντα καθορᾷς. ἡμεῖς γὰρ παρὰ τὸ πρέπον, καὶ τοὺς ἱερεῖς * ἀνεχόμεθα διορθωθῆναι· ἀλλ' ὥσπερ ἐφροντίζομεν αὐτῶν τοῦ σώματος πότερον μεθοδεύειν, ὅπως εἰ ἀποχρήσαιντο τῇ ὑγιεῖ ὑπομνήσει, ἀνάγκη ἡμᾶς βεβαιῶσαι κατ' αὐτοῦ τοῦ τῆς καταδίκης ἀπόφασιν. τοῦτο δεῖ σε μὴ τὸ καταγνῶναι σε

* ἄτιτε ἄτιτε

* al. ἄτιμος εἶχες

Πράξ. 20. 29.

Ψαλμ. 138. 22.

Δευτ. 7. 13.

Ματθ. 10. 37.

Ἰωάν. 4. 16.

* ζητεῖτε.

* ἴσ. ὡς κοινωνίαν διὰ μόνης τῆς μετανοίας.

Λουκ. 4.

* βοηθοῦμεν.

ναί σε τοῦ φαύλου διδάγματος, μεστὸν μαρτύριον τῆς * συνειδήσεως, εἰ ἀνακληθῶσι πάντες εἰς τὴν ἐκκλησίαν, οὓς δῆλόν ἐστιν ἀποκεκλεῖσθαι διὰ τὸν Χριστὸν, ὅς ἐστι ταύτης κεφαλή· οἷς εἰ μὴ γένηται ὃ λέγομεν, ἐκβλητέος ὃς ἐξέβαλεν, εἰ καὶ τὰ μάλιστα ἐν τῇ ἡμετέρᾳ κοινωνίᾳ εἰσὶν, εἰς οὓς ὤφθης τοιοῦτος. καὶ πρὸς τὸν κλῆρον δὲ τῆς ἐκκλησίας τῆς κατὰ Κωνσταντινούπολιν, καὶ πάντας τοὺς ἐπιγραφομένους τὸ τοῦ Χριστοῦ ὄνομα, οἷα ἀπῄτησεν ἡ ἀνάγκη, ἀπεστείλαμεν γράμματα. ἵνα εἰ ἐν τῇ τῆς διεστραμμένης διαλέξεως παραμονῇ διατελέσῃς, καὶ μὴ ταῦτα ἅπερ ὁ ἀδελφὸς Κύριλλος μεθ' ἡμῶν κηρύττει, κηρύξῃς, μάθωσί σε ἀποκεχωρίσθαι τοῦ ἡμετέρου συνεδρίου, μεθ' ὧν σοι οὐ δύναται κοινωνία εἶναι· εἰσόμενοι καὶ τοῦτο, καὶ λοιπὸν ὄντες τῷ ὑποδείγματι ἀσφαλεῖς, ὅπως τῆς ψυχῆς ἑαυτῶν προνοεῖσθαι ὀφείλουσι καθηψημένῃ καὶ πεπεμμένῃ κρίσει.

Φανερῶς τοίνυν ἴσθι, ταύτην ἡμῶν εἶναι τὴν ἀπόφασιν, ὡς ἐὰν μὴ περὶ τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ταῦτα κηρύξῃς, ἅπερ καὶ ἡ Ρωμαίων, καὶ ἡ Ἀλεξανδρέων, καὶ πᾶσα ἡ καθολικὴ ἐκκλησία κατέχει, ὡς καὶ ἡ ἁγία ἡ κατὰ τὴν μεγάλην Κωνσταντινούπολιν ἐκκλησία ἕως σου κάλλιστα κατέχε. καὶ ταύτην τὴν ἄπιστον καινότητα, ἥ τις ἐπιχειρεῖ χωρίζειν ἅπερ συνάπτει ἡ ἁγία γραφὴ, ἐντὸς δεκάτης ἡμέρας, ἀριθμουμένης ἀπὸ τῆς ἡμέρας ταύτης τῆς ὑπομνήσεως, φανερᾷ καὶ ἐγγράφῳ ὁμολογίᾳ ἀθετήσῃς, ἀπὸ πάσης κοινωνίας καθολικῆς ἐκλησίας ἐκβέβλησαι· ὅνπερ τύπον πρὸς σὲ τῆς ἡμετέρας κρίσεως, διὰ τοῦ μνημονευθέντος υἱοῦ ἡμῶν Ποσειδωνίου τοῦ διακόνου μετὰ πάντων τῶν χαρτίων, πρὸς τὸν ἅγιον καὶ συνεπίσκοπόν μου τῆς μνημονευθείσης Ἀλεξανδρείας ἱερέα, τὸν περὶ τούτου αὐτοῦ ἐντελέστερον ἀνενεγκόντα, ἀπεστείλαμεν, ἵνα τοποτηρῶν ἡμῖν τοῦτο πράξῃ, ὥστε τὸ παρ' ἡμῶν ὡρισμένον, σοί τε καὶ πᾶσι τοῖς ἀδελφοῖς φανερωθῆναι· ἐπειδὴ πάντες εἰδέναι ὀφείλουσι τὸ πραττόμενον, ὁσάκις ᾖ περὶ κοινοῦ πράγματος ἡ σκέψις.

Αὕτη ἡ ἐπιστολὴ ἀνεγνώσθη ἐν τῇ συνόδῳ τῇ ἐν Ἐφέσῳ μετὰ τὰς καταθέσεις τὰς κατὰ τῆς ἐπιστολῆς Νεστορίου· ἥτις καὶ ἀνελήφθη ἐν τοῖς ὑπομνήμασι.

ΚΕΦΑΛΑΙΟΝ ιθ'.

Τοῦ αὐτοῦ Κελεστίνου πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως ἐπιστολή.

Κελεστῖνος ἐπίσκοπος, πρεσβυτέροις, διακόνοις, κλήρῳ, Θεοῦ δούλοις, καὶ καθολικῷ λαῷ, διάγουσιν ἐν Κωνσταντινουπόλει, ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίῳ χαίρειν.

ΠΡΟΣ τούτους μοι διαλεχθησομένω, οἵ τινες ἐκκλησίαν Θεοῦ ποιοῦσι, παράσχοι ὁ ἀποστολικὸς λόγος προοίμιον, ἵνα οἱ εὐλαβεῖς μαθηταὶ πρῶτον ἀκούσωσιν ἐκείνου τοῦ διδασκάλου τὰ ῥήματα, ὃς τοῖς ἔθνεσιν ἐκήρυξεν· ἐκτὸς ἐκείνων, φησὶν, ἅπερ ἐστὶν ἔξωθεν, ἡ ἐπιμονή μου ἡ καθημερινὴ, ἡ φροντὶς πασῶν τῶν ἐκκλησιῶν. καὶ πάλιν· τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; οὕτω καὶ ἡμεῖς, εἰ καὶ πόῤῥω ὄντες, ὡς ἐγνώκαμεν ἐνταῦθα διαστροφῇ διδασκαλίας τὰ ἡμέτερα μέλη διασπαράττεσθαι, πατρικῆς φροντίδος ἡμᾶς ὑπὲρ ὑμῶν καιούσης, ἀλλοτρίῳ πυρὶ ἐνεπρήσθημεν· εἰ καὶ τὰ μάλιστα παρὰ ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, αἵ τινες εἰς ἕνα θάλαμον Χριστοῦ πανταχοῦ ἀναφέρονται, τί ἂν εἴη πόῤῥω; τί δὲ νομισθείη ἀλλότριον; ὄντων οὖν ὑμῶν ἡμετέρων * μελῶν, δικαίως ἠγωνιάσαμεν, μὴ τὴν ὑμετέραν πίστιν, τὴν πανταχοῦ κηρυττομένην, ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας ἡ ἐνδελέχεια τοῦ κακῶς διδάσκοντος ἀποστρέψῃ. Νεστόριος γὰρ ὁ ἐπίσκοπος περὶ τοῦ παρθενικοῦ τόκου, καὶ περὶ τῆς θεότητος τοῦ Χριστοῦ * καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν, ὥσπερ τοῦ σεβάσματος αὐτοῦ, καὶ τῆς κοινῆς πάντων σωτηρίας ἐπιλελησμένος, ἀθέμιτα κηρύττει, φευκτέα συμβουλεύει, ὡς καὶ τὰ γράμματα αὐτοῦ μετὰ ἰδίας ὑπογραφῆς ἀποσταλέντα ἡμῖν, ὡς καὶ ἡ ἀναφορὰ τοῦ ἁγίου ἀδελφοῦ καὶ συνεπισκόπου μου Κυρίλλου διὰ τοῦ υἱοῦ μου Ποσειδωνίου τοῦ διακόνου πρὸς ἐμὲ ἀποσταλεῖσα ἐδίδαξεν. ὧν πάντων ἀναγνωσθέντων, μεγίστην καὶ φευκτέαν διαστροφὴν ἀσεβοῦς κηρύγματος εὑρήκαμεν. τὴν γὰρ ἀνθρωπίνην καὶ τὴν θείαν φύσιν ἐν τῷ Χριστῷ ἀνακρίνει, νῦν μόνον ἄνθρωπον, νῦν αὐτῷ κοινωνίαν Θεοῦ, ὁσάκις καταξιοῖ, προσάπτων. ἀλλ' ἡμεῖς, ὡς Ἱερεμίας φησι, τῶν τοιούτων προφητῶν τοὺς ματαίους ἀκοῦσαι οὐ δυνάμεθα λόγους· ἀκούσῃ τοῦ Ἰεζεκιὴλ, καὶ ἐπιγνῶ τί αὐτῷ ἀπειλεῖ. ἐκτενῶ, φησὶ, τὴν * μάχαιράν μου ἐπάνω τῶν προφητῶν, τῶν ὁρώντων ψευδῆ, καὶ λαλούντων κενά. ἐν τῇ ἐπιστήμῃ τοῦ λαοῦ μου οὐκ ἔσονται, οὐδὲ ἐν τῇ γραφῇ τοῦ οἴκου Ἰσραὴλ γραφήσονται, καὶ εἰς τὴν γῆν τοῦ Ἰσραὴλ οὐκ εἰσελεύσονται, ὅτι τὸν λαόν μου ἠπάτησαν. ποῦ ἐστιν ἡ χρεωστουμένη περὶ τὴν ἱερὰν ἀγέλην φροντὶς τοῦ ποιμένος; ποῦ ἡ πρόνοια τῶν δεσποτικῶν περιβόλων; ποίαν δὲ ἐλπίδα ἕξει ἡ ἀγέλη, ὅτε λύκον ἑαυτὸν ὁ ποιμὴν δείκνυσι, καὶ οὕτω τοῖς προβάτοις ἐπέρχεται, ὡς καθ' ἑκάστου λυσσᾶν; ἐκείνῳ γὰρ τῷ στόματι διασπαράττονται, ἀφ' οὗ τὰ ἀσεβῆ προφέρεται. τροφαὶ παραβάλλονται οὐχ αἱ πιαίνουσαι, ἀλλ' αἱ λεπτύνουσαι· μακαρία δὲ ὅμως ἡ ἀγέλη, ᾗ παρέσχεν ὁ κύριος κρίνειν περὶ τῆς ἰδίας νομῆς. ὅθεν, ὃ οὐκ ἀμφιβάλλομεν ὅτι ποιεῖτε, τὴν ἀσεβῆ διάλεξιν ἀπωθεῖσθαι ὀφείλει ἡ πίστις ὑμῶν. ἵνα παρ' ὑμῖν ἐν Χριστῷ ἐγρηγορόσι φανερὰ ᾖ διαφορὰ τροφῆς καὶ δηλητηρίου, καὶ ἐπιμείνητε τούτοις, ἅπερ τοῦ λόγου τῶν προτέρων ποιμένων διδάσκοντος μεμαθήκατε. εἰδότες, ὅτι ἄχρι τοῦ παρόντος ἐσχήκατε ἱερέας ἔν τε τῇ διδασκαλίᾳ καὶ ἁγιότητι προὔχοντας, οἵ τινες οὐδέποτε χωριζόμενοι τῶν πατρικῶν παραδόσεων, τὴν ἐκκλησίαν τοῦ κυρίου μετὰ μεγίστης ἐκυβέρνησαν ἡσυχίας. ἵνα γὰρ ἀπὸ τῶν νεαρῶν ἀρξώμεθα, τί οὐκ ἐνέβαλε ταῖς ψυχαῖς ὑμῶν ἡ παίδευσις τοῦ τῆς ἁγίας μνήμης ἐπισκόπου Ἰωάννου, οὗ ὁ λόγος εἰς πάντα τὸν κόσμον ἐξεχόθη, οἰκοδομῶν τὴν καθολικὴν πίστιν; ὃς οὐδαμοῦ κατὰ διδασκαλίαν ἀπῆν· ὅπου γὰρ δήποτε ἀνεγνώσθη, ἐκήρυξε. τὴν δὲ ἐκείνου ἐπιμελῆ σύνεσιν στεῤῥότης διαβεβοημένη διεδέξατο. ἐκυβέρνησε γὰρ ὁ τῆς ἁγίας μνήμης ἐπίσκοπος Ἀττικὸς

τικὸς τὸν χριστιανὸν λαὸν τῷ τὰ προπηγησαμβίου ὑποδείγματι, καὶ ἐδίωξε τὰς ἱεροσύλους τῆς αἱρετικῶν μαγίας. ἐχήκαμβ δὲ τούτῳ ἀπογραμμβίου χαιγωνὸν τὸν τῆς ἁγίας μνήμης Σισίνιον, εἰδότι, ὅση δόξα * αὐτοῦ ἔμεινεν, εἰ φυλάξειεν ὁλόκληρα καὶ ἀβλαβῆ τὰ ἄχρις αὐτοῦ διαμείναντα τῆς καθολικῆς πίστεως κόσμια. ἐνοήσαμβ ὅπως ἐκείνῳ οὐκ ἔλειψε καὶ ἁπλότης προεστερᾶς, καὶ σύνεσις ἑρπετῶ. ἐκλαύσαμβ, ἀγαπητοὶ ἀδελφοὶ, ὥσπερ προορῶντες τὰ μέλλοντα, τὸ ταχέως ἡμᾶς τῆς ἐκείνου βοηθείας ἀπεστερῆσθαι. ἐν γὰρ τούτῳ ἀγνοῶ ποίαν ἐλπίδα λήσομβ, ὃς περὶ τοῦ Θεοῦ ἡμῶν ἄλλως διαλαμβάνει, ἢ αὐτὸς περὶ ἑαυτοῦ, ἢ οἱ ἀπόστολοι περὶ αὐτοῦ παραδεδώκασιν· ὃς οὐ μόνον τοὺς σωτετειμμβίους οὐ σωδεσμεῖ, ἀλλὰ καὶ σωτρίβει τοὺς σωδεδεμβίους· οὐ μόνον τοὺς καταβεβλημβίους οὐκ ἐγείρει, ἀλλὰ καὶ τοὺς ἰσαμβίους καταβάλλειν ἐπιχειρεῖ. οὐ μόνον * τοὺς διεσπαρμένους οὐ σωάγει, ἀλλὰ καὶ τοὺς * συνηγμβίους διαμεείζει. εἰ καὶ τὰ μάλιστα ἄτε σωζοιβῆναι δύναται διάνοια ἀφιερωμβίη Θεῷ, ἄτε καταβληθῆναι ἰσάμβυος ὑρανίᾳ δυνάμει, ἄτε τὸ ἱερὸν πλῆθος διαμερίζεσθαι. φανερῶς ἂν τῇ ἀγάπῃ ὑμῶν, ὅπερ χωρὶς δακρύων δυνάμεθα εἰπεῖν, ἀπαγγέλλομεν. ἐκίνησεν ὁ διαλεκτικὸς ὑμῶν μάχιμον πρὸς τὴν ἀλήθειαν, τῇ ἀρχαίᾳ πίσει χεῖρας ἐπιεύγχε, πολεμεῖ προς τὰς ἀποστόλους, τὰς προφήτας ἐκβάλλει, αὐτῷ τῷ κυρίῳ ἡμῶν περὶ ἑαυτοῦ λέγοντος τοῖς ῥήμασιν οὐκ ἀκολουθεῖ. ποίας θρησκείας, ἢ * ποίοις νόμοις ἑαυτὸν ἐπίσκοπον λέγει, ἀποχρησάμενος τῇ κμνῇ καὶ τῇ παλαιᾷ διαθήκῃ; καὶ γὰρ καὶ τὸ * νοητὸν τοῦ χήματος ἐκβάλλει, καὶ δὲ δέχεται τὴν μεταξὺ ἡμῶν ἀναστραφεῖσαν ἀλήθειαν. καὶ ἁπλῶς, ἄλλως περὶ τοῦ μυστηρίου τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν διαλαμβάνει, ἢ ἀνέχεται τὸ τῆς πίστεως τῆς ἡμετέρας ἁγίασμα, ᾧ μὴ σεβάσματος ἠκολούθησε πᾶς καθολικῶς διαλεγόμβυος. οὐδεὶς γὰρ καλῶς τῇ θρησκείᾳ ἐκδεδομβίος, ἄλλως περὶ τοῦ Χριστοῦ ἐφρόνησεν, ἢ αὐτὸς περὶ ἑαυτοῦ φρονεῖσθαι ἠθέλησεν. ἐκίνησέ ποτε * ἱερόσυλον ζήτησιν ὁ Σαμοσατεὺς Παῦλος, ὅτε τῆς ἁγίας κατὰ τὴν Ἀντιόχειαν ἐκκλησίας προῆστο· ἀλλὰ τοῦτον ἀπὸ τοῦ θρόνου, ἐν ᾧ μιαρῶς προὐκαθέζετο, καθήρηκεν ἐνωθεῖσα τῶν καθολικῶν ἱερέων ἀπόφασις. ἀεὶ γὰρ ἐκκόπτεσθαι ὀφείλουσι ἡμῖν οἱ τοιοῦτοι, οἵ τινες τὴν ψυχὴν τοῦ χριστιανικοῦ λαοῦ διαπράττοντες, καὶ πρὸς τὴν γνώμην τὴν ἰδίαν τὰ εὐαγγέλια διαστρέφοντες, τῷ Θεῷ καρποφορεῖν οὐ δύνανται· καὶ γεωργητέα ἐστὶν ἡ ἄμπελος, ἡ τὸ δίκημον τοῦ κτήτορος ἐπιγινώσκουσα. δῆλον δέ ἐστιν, ὅτι αἱ τοιαῦται τῆς λόγων καμνότητες ἀπὸ ματαίου ἔρωτος δόξης γεννῶνται· ὡς τινες ἐθέλουσι παρ' ἑαυτοῖς δοκεῖν ὀξεῖς, ὀπτικοὶ, καὶ φρόνιμοι, ζητοῦσι τί προσενέγκωσι ξένον, ὅθεν παρὰ τοῖς ἀπαιδεύτοις ψυχαῖς πρόσκαιρον δόξαν ὀξύτητος ἀπενέγκωνται. ἀλλὰ τίς τούτων ποτὲ ἀληθῆ δόξαν ἐκέρδανεν, ἑαυτῷ δοκῶν φρόνιμος; ὁ γὰρ Θεὸς ἡμῶν τὴν ἀθενῆ τοῦ κόσμου * ἐπιλέγεται, καὶ ἐκ τῆς ἐναντίων συγχέει τὰ ἰσχυρὰ, καὶ τοὺς φρονίμους διὰ τῆς τοῦ κόσμου μωρῶν. τίς ἐν τῇ τοῦ κόσμου σοφίᾳ καυχᾶται, εἰ μὴ ὁ ὁμολογῶν ἑαυτὸν ἐκ τοῦ κόσμου εἶναι; εἰ μὴ ὁ ἀρνούμβυος ἑαυτὸν ἐκείνου εἶναι μαθητὴν, τοῦ εἰπόντος μὴ εἶναι ἑαυτὸν ἐκ τοῦ κόσμου; μία εἰσὶ δόξα, ἵνα, ὡς φησιν ὁ ἀπόστολος, ὁ καυχώμενος, ἐν κυρίῳ καυχάσθω. ἆρα ἐ τούτῳ τῷ ὑμετέρῳ ἐπισκόπῳ· ἀλλὰ ἄχει τῶν ὑμετέρῳ, ἐὰν μὴ πισθῇ ὅπερ πισθόμβυ· ὁρῶμβυ ταύτῃ τῇ γνώμῃ παρέπτασαν. μωρὸς ἐγένετο, ὃς λέγει ἑαυτὸν σοφόν; ὁμολογημβίη γάρ ἐστι μωρία τὸ, ἐκεῖνον ἀγνοεῖν, ὃν ἴσμβυ Θεοῦ σοφίαν εἶναι καὶ δύναμιν. ὁμολογεῖ γὰρ ἑαυτὸν ταῦτα ἀγνοεῖν, ἅπερ ἀναιρεῖ. καὶ μὴ θαυμάσῃ ἡ ἀγάπη ὑμῶν, ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας ἀποπλανᾶσθαι τοῦτον ὁρῶσα. ὅτι τὸν Χριστὸν, ὃς τις ὁδὸς ἡμῶν τυγχάνει, ἀπώλεσε. κατειλήφαμβυ αὐτὸν ἐνίοτε σκαιᾷ διαλείξει προδιδόμβυον, ἐνίοτε κρυπτόμβυόν τισι λανθανούσαις διόδοις, καὶ σκέπουσα ταῖς ἰδίαις ὀπλητήρια. καὶ δέον ἡμᾶς ἀκολουθοῦντας τῇ γνώμῃ τοῦ σοφωτάτου Σολομῶντος, μηδεμίαν διδόναι ἀπόκρισιν πρὸς τὴν ἄνοιαν αὐτοῦ, μὴ ὅμοιοι αὐτῷ γβυώμεθα· ὅμως συμβαλλόμβυ, ἵνα μεθ' ἡμῶν τοῖς ἀποστόλοις καὶ τοῖς προφήταις ἀκολουθήσῃ, μὴ ὡς πᾶσι μόνος ἀνθίσταται, μόνος παρὰ πάντων ἐκβληθῇ. ὑμεῖς δὲ ἐπιμελέστερον ἐγρηγορέναι ὀφείλετε, ἵνα ἀντίστητε τοῖς τοῦ ἐχθροῦ κηρύγμασι. μείζων γὰρ ὑμῖν ἐστι φροντὶς, ὅταν ἐν τοῖς τῆς ἐκκλησίας λέγηται ὑμῖν τὰ τῆς ἐκκλησίας ἐναντιόμβυα. ἐκέτωσαν ἐκεῖνοι ἀνακωχὴν τῶν καμάτων, ὃς προκαλεῖται ὁ ἀντίδικος ἔξω διάγων, καὶ οἵ τινες περὶ τοὺς προμαχῶνας διεσπαρμβίοι ἀσφαλίζονται ἑαυτοὺς τῇ τῶν τειχῶν βοηθείᾳ· οἱ δὲ ἔχοντες ἔνδον τὸν * πόλεμον, ἀργίαν οὐκ ἴσασιν. ὅμως ἐν τούτῳ τῷ ἐμφυλίῳ πολέμῳ, ἐν ταύτῃ τῇ οἰκείᾳ μάχῃ ἐπὶ ὑμῖν τεῖχος ἡ πίστις, καὶ κατὰ τῆς ἀπιστίας αὕτη ἑαυτὴν ἐκδικήσει πνευματικοῖς ἀκοντίοις. φυλάξωμβυ ταύτῃ, ὅτι φυλαττομβύη φυλάττει ἡμᾶς. διὰ ταύτης ἡ ἀσφάλεια ἡμῶν ἐστιν ὁ Θεός. καὶ ἡ καταφυγὴ ἁρπάζει ἐκ χειρὸς ἁμαρτωλοῦ. τοῦτο ἡμᾶς ἐν κλύδωνι. * κυμβίοις προέπει λέγειν, κύριε ἐλθὲ σῶσον ἡμᾶς, ἀπολλύμεθα.

Πρὸς ὑμᾶς οὖν ὦ κληρικοὶ, καὶ πάντες ὅσοι καθιερωμβύοι ἐσὲ τῷ Θεῷ, μεταστρεπτέος ὁ παρ' ἡμῶν λόγος. ἐρεῖ τις τυχὸν τὴν τάξιν μὴ πεφυλάχθαι. ἠθελήσαμβυ καὶ ἡμεῖς πρότερον, ὅπερ ἀπαίτει ἡ ἀκολουθία, διαλεχθῆναι ὑμῖν· ἀλλ' ἐκράτησεν ἡ περὶ ἐκείνων φροντὶς μείζων, ἣν ἐθέλομβυ, εἰς τὸ κοινὸν σῶσαι. ὅτε γὰρ περὶ ὑμῶν ἀμφιβάλλειν ὀφείλομβυ, ὧν δηλαδὴ ἡγεμονευόντων, ἐκείνης ἐν τῇ πίσει εἶναι πισθόμβυ. ἡ ἀναφορὰ τῆς ἁγίας καὶ * θεοφορασμίου τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ μου Κυρίλλου, λῶν ἀπείληφέ με διὰ τοῦ υἱοῦ ἡμῶν Ποσειδωνίου τοῦ διακόνου ἑαυτοῦ, παῦται ἐδίδαξε πράττεσθαι καθ' ἡμῶν, ἅπερ δυνάται κατὰ τῆς μελῶν τῆς ἐκκλησίας ποιεῖν ὁ τῆς κεφαλῆς αὐτῆς μὴ φείσαμβυος. ἀλλὰ ταῦτα ὑμᾶς μὴ βασανιζέτω. μείζων γὰρ δόξα ἐστὶν ἐν μείζονι καμάτῳ· ὅτι ἡ φοιότης τοῦ ἀγῶνος ποιεῖ τὴν τοῦ ἄθλου ποιότητα. ἀναγινώσκετε γὰρ μεθ' ἡμῶν, ὅτι ὁ νομίμως ἀγωνιζόμβυος στεφανοῦται. ὅθεν ἡ προσοπὴ ἡμῶν χρεωστεῖται ὑμῖν, ἢ καὶ τοῖς μικροψύχοις, ἢ τοῖς ἀνδρείως ἀνθισαμβίοις ἀναγκαία ἐστίν· ἵνα καὶ τοὺς πειρασμοὺς δυνηθῶσι φέρειν οἱ μὴ δυνάμβυοι, καὶ ἰσχυρότεροι σῶσιν οἱ ἀνθισάμβυοι. οὐδέποτε τὰ ὅπλα τοῦ βασιλέως ἡμῶν ἠττᾶται. ἔλεγχός ἐστι πᾶς πειρασμὸς τοῦ χριστιανοῦ * τοῦτον γὰρ, ὡς ἀνέγνωμβυ, * ὑπομονὴ ἐργάζεται· ἐκ ταύτης ἐλπὶς γβυνᾶσθαι, ἥτις οὐδέποτε, τῆς γραφῆς ἐπαγγελλομβύης, ἠπάτησεν. ὅθεν ἀγαπητοὶ ἀδελφοὶ, ἐπειδὴ ἡ παραμυ-

* τὰ διεσπαρμένα καὶ διεγραμμένα
* τὰ συνηγμένα.
* συνημμένα
* τοῖς νόμοις
* τὸ τοῦτο ἐμβάλλει,
* τὸν τοῦ ἱερέως,
* κυμβίοις, Psal. 70. Matth. 8. 25.
* θεοφιλοῦς

* 1 Cor. 1. 21.
Psal. 2. 11.
1 Cor. 1. 14.
Joan. 14. 6.
Prov. 26. 4.
* πολέμιον,
1 Tim. 2. 3.
* ἔτι
* ὑπομονὴ
Rom. 5. 4.

μυθία ὑμῶν ἐκ Θεοῦ ἐστιν, ᾧ τὰ σώματα ὑμῶν, τουτέστιν
ὑμᾶς αὐτοὺς, ζώσας, ὥς φησιν ὁ ἀπόστολος, θυσίας
προσφέρετε. μὴ ἀποκάμητε ἀνθιστάμενοι. παρέξει
Ρωμ. 12. ἐκεῖνος δύναμιν, ὃς διὰ τοῦ ἀποστόλου ἡμᾶς διδάσκων,
θέλει τὰ ἡμέτερα μέλη ὅπλα εἶναι τῆς ἑαυτοῦ δικαιοσύ-
νης. ἔχετε ὑποδείγματα τῶν ἁγίων, οἵ τινές ποτε ἔσπει-
Ρωμ. 6. 3. ραν ἐν δάκρυσιν, ὕστερον δὲ ἐν χαρᾷ θεριοῦσιν. οὐ φιλεῖ
ὁ ἡμέτερος δεσπότης δοῦλον, εἰ μὴ τὸν ἐν πείρᾳ δεδοκι-
μασμένον. τὰς χριστιανὰς ψυχὰς ἀεὶ ἡ τῶν πραγμάτων
Ψαλ. 125. παλαίστρα γυμνάζει. τρέχετε, ἵνα ἀλλήλους ἐν ταῖς
ὁδοῖς τοῦ κυρίου παρέλθητε. οὐ θέλω ὑμᾶς ὑπὸ τῶν ἀντι-
δίκων καταλαμβάνεσθαι. φησὶ δὲ καὶ ὁ ἀπόστολος, χρῆ-
1. Κορι. 11. ναι γενέσθαι ὅπερ ὁρῶμεν. ἰσχὺν καὶ πίστιν οὐ δοκιμάζει,
* ἢ δίχα εἰ μὴ ὁ τόπος τῆς συμβολῆς. * ἡσυχίαν στεφανοῦσθαι δυ-
σχερές· τὰ ἔπαθλα εἰ μὴ τοῖς καμάτοις οὐ δίδοται. τὴν
περικεφαλαίαν τῆς ὑγιείας αἱ κεφαλαὶ ὑμῶν μὴ ἀπό-
θωνται· μὴ ἐκδύσηται τὸν θώρακα τῆς πίστεως ὁ ἐπαγγελ-
λόμενος στρατιώτης τοῦ Χριστοῦ ἀξιόχρεως. οἱ ἡμέτεροι
καθ' ἡμῶν πόλεμον κεκινήκασιν, εἰ ἄρα ἡμέτεροι λεκ-
* πεσθάνομαι. τέοι οὗτοι, οὓς * ᾐσθόμεθα, ῥαγεύτος τοῦ τῆς φιλίας νόμου,
πρὸς τὸν ἐχθρὸν ηὐτομολήκεναι. ὑμέτερόν ἐστιν ἱσταμένους
ἔχειν τοὺς πόδας ἐν τοῖς πυλῶσιν Ἱερουσαλήμ. θέλομεν
* Ψαλ. 122. 2 ὑμῶν τὰς βάσεις εἶναι τελείας, μή ποτε πρὸς ἶσον ὑπό-
δειγμα τὰ ἴχνη τινὸς παρασαλευθῇ. καὶ ἀκολουθήσωσι
τῷ διαβόλῳ μετὰ τοῦ κακοῦ, οἱ ἐπιγινώσκοντες ἑαυτοὺς
ἐξ ἐκείνου ὄντας. ὑμεῖς, οἵ τινες υἱοὶ Θεοῦ τοῖς ἔργοις
* ἕκαστον ἐπιγινώσκεσθαι φαίνεσθε. ἐπειδὴ ἐκ τῶν καρπῶν θέλει * ἕκαστος διαγι-
νώσκεσθαι, ἀμοιβαδὸν τὰς διανοίας τῶν μικροψύχων
παραμυθήσασθε, καὶ ἕκαστον τῶν ἀσθενῶν ὑποδέξασθε,
βεβαιοῦντες αὐτούς. μὴ δὴ ἀπατήσῃ ὑμᾶς ἀσέβεια,
ἀλλὰ περὶ τοῦ καλοῦ καὶ τοῦ κακοῦ κατὰ τὴν ἑκάστου ποιότητα
τὴν κρίσιν κατέχετε, φεύγοντες τὰ διεστραμμένα, καὶ τὰ
ὀρθὰ * ἐπαινοῦντες. ἀποβλητέος γάρ ἐστι τῷ Θεῷ,
* φρονοῦντες λέγοντος τοῦ Σολομῶντος, ὅστις ἢ τὸν δίκαιον ἀντὶ ἀδί-
Παροιμ. 17. 15. κου, ἢ ἀντὶ δικαίου δέχεται ἄδικον, οὐδέν ἐστιν ἡ πρόσ-
καιρος θλίψις, ἀλλὰ πρὸ ὀφθαλμῶν ᾖ τὸ αἰώνιον
* ὑμνῳδὸς, ἔπαθλον, οὗ οὐδὲν προκριτέον. βοᾷ ὁ ἡμέτερος * ψαλ-
μῳδὸς, ὅτι ἐὰν κατ' αὐτοῦ συστῇ πόλεμος, ἐλπίδι ἐκείνου
τοῦ φωτισμοῦ ὅλως οὐ φοβηθήσεται. εἰ ἀγῶνα πρὸς τὰ
Ψαλμ. 26. 3. ἔθνη εἴχετε, δηλαδὴ μεγίστης ἂν ἦν * νίκης, νικᾷν τοὺς
* ἀνάγκης, ἀεὶ ὑμῖν γενομένους ἐχθρούς. πηλίκη δὲ ἐκείνη ἡ νίκη
λεκτέα, ὅπου ὁ ἱερεὺς, ἀλλαγέντος τοῦ κηρύγματος,
* σχεδὸν διώκτης τῶν καθολικῶν ἐγένετο, * ἰδικῶς ἐν ἅπασι κα-
τὰ Παῦλον φρονῶν, ὃς τοῦ εὐαγγελίου τοῦ κυρίου, οὗ
διώκτης ἦν πρότερον, ὕστερον ἐγένετο κῆρυξ; κατελείφ-
θη ὁ ἀσεβὴς διαλεκτικὸς παρὰ τοῦ θείου πνεύματος,
ὁπότε καὶ αὐτοῦ τοῦ θείου πνεύματος ἐφρόνησεν ἐναντία.
δικαίως, ἐὰν ἐπιμείνῃ, ἀκούσεται παρ' ἡμῶν τὰ ῥήμα-
* τῷ τα τοῦ Σαμουὴλ, ἅπερ * τότε Σαοὺλ παρ' αὐτοῦ τοῦ ἱερέως
* ἐξουθενήσει εἴρηται· * ἐξουθένησέ σε κύριος, ἵνα μὴ βασιλεύσῃς
1. Βασιλ. 15. ἐπὶ Ἰσραήλ. εἰ ἐκεῖνος ἀνάξιος γέγονεν, ὅτι μόνον
ἐν πράγμασιν, ἅπερ ἔπραττε, κατεφρόνησε τῶν ἐν-
τολῶν τοῦ Θεοῦ, ποία τούτῳ χρεωστηθήσεται τιμωρία,
ὃς ἑαυτὸν κατὰ τοῦ κυρίου τῆς θεότητος ὕψωσε; νῦν
* ἡμέτερόν * ὑμέτερόν ἐστι θεραπεῦσαι τὸ παρ' ἐκείνου τραῦμα, καὶ
* τοὺς τοῖς παρ' ἐκείνου ῥήμασι τετρωμένους. ἰάσασθαι * τοὺς ῥήματι τετρωμένους παρ' αὐτοῦ. ἀσφα-
λέσιν ἴχνεσιν ἴσασθε κατὰ τοῦ ἤδη πεσόντος, ὡς ὁ
παρ' αὐτοῦ λόγος δείκνυσι· καὶ εἴτι ὑμῖν ἐπηνέγκεν,
ἀνεξικάκως φέρετε. ἐμηχανήσατο ὕβρεις, ἐμηχανή-
σατο ἀφορισμούς. ἐκεῖνος * αὐτὸς ἐν τοῖς ἰδίοις πέ-
πονθεν, ὃν ὑποδεδέχθαι ὑπὲρ ἡμῶν ἄνθρωπον ἀρ-
νεῖται. ὅθεν μηδεὶς κλαύσῃ τὰ κατά * τινος ὑμῶν * τινῶν
* ἐπινοηθέντα. τῆς ἀνεξικακίας καὶ τῆς ὑπομονῆς τύ- * ἐπενεχθέντα.
πος εἴη Στέφανος, ὁ πρῶτος τοῦ Χριστοῦ μάρτυς. ὁ πραξ. 6. 7.
ὄχλος τῶν ἀπίστων κατ' αὐτοῦ * ἔβρυχε· καὶ ὅμως ὁ * ἐβρυχῶν
συνοδοιπόρος τοῦ Χριστοῦ οὐκ ἐσιώπησεν ὅπερ ἑώρα. * ἐβρύχετο
* ἐβόα μεταξὺ μαινομένων, μεταξὺ τῶν τῆς θρησ- * καὶ ἀνεβόα
κείας ἐχθρῶν, λέγων ἑαυτὸν ὁρᾷν ἀνεῳγμένους
τοὺς οὐρανοὺς, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, δι' ὃν ταῦ-
τα ἔπασχεν, ἱστάμενον πρὸς τῇ δεξιᾷ τοῦ Θεοῦ.
μακρόν ἐστι δι' ἑκάστου χωρεῖν τῶν πριαμένων
ἑαυτοῖς ζωὴν, ἢ τῷ θανάτῳ ἢ ὁμολογίᾳ. ἔχετε
ὑμεῖς, ὅσοι τῆς ἐκκλησίας ἐκβέβλησθε, σχεδὸν
τῶν ἡμετέρων καιρῶν ὑπόδειγμα τοῦ τῆς μακαρίας
μνήμης Ἀθανασίου τοῦ σοφωτάτου ἱερέως τῆς Ἀλεξαν-
δρέων ἐκκλησίας. τίνι οὐκ ἂν εἴη παραμυθία ἡ ἐκείνου
ὑπομονὴ; τίνι οὐκ ἂν εἴη ὑπόδειγμα ἡ ἐκείνου
στερρότης. τίνι οὐκ ἂν ποιήσειεν ἐλπίδα ἡ ἐκείνου
πολυπόθητος ἐπάνοδος; ἐκβάλλεται Ἀρείου διώκον-
τος, ἀλλ' ἀνακλητέος τοῦ κυρίου προπέμποντος.
ἔπαθε φυλακὴν, ἔπαθε θλίψεις. καὶ οὐ θαυμα-
στὸν, εἰ ὁ ἀποστολικὸς ἀνὴρ ταῦτα πέπονθε, δι' ὧν
ἑαυτὸν γεγυμνάσθαι καυχᾶται ὁ ἀπόστολος. καὶ ἐν
τούτοις πᾶσιν ἐκείνῳ ἠκολούθησε τῷ μαρτυρομένῳ, 2. Κορι. 11.
ὅτι * αὐτῷ ἐν ταῖς θλίψεσιν ἀρέσκει. ἐδιώχθη * ἑαυτῷ
ἐκεῖθεν, καὶ ἐν τοῖς ἡμετέροις μέρεσιν ἀνεκτήσατο. 2. Κορι. 12. 10.
ἀμέλει ἐνταῦθα αὐτοῦ ἡ κατάστασις ἀνεκαινίσθη,
καὶ ἐν τούτῳ τῷ θρόνῳ εὗρε κοινωνίας ἀνάπαυσιν,
ἀφ' οὗ ἀεὶ τοῖς καθολικοῖς γενῶται βοήθεια. καὶ ὅμως
ἐν ταῖς θλίψεσιν οὐκ ᾔσθετο πόνου ὁ γενόμενος ἐν τῷ
διωγμῷ ὁμολογητής· ὅθεν οὐδεὶς τῶν χριστιανῶν κλαῦ-
σαι ὀφείλει τὴν ἐπενεχθεῖσαν αὐτῷ πρόσκαιρον ἐξο-
ρίαν, ὅτι ἐκείνων οὐδεὶς ἐξωρισμένος ἐστὶ Θεῷ. μᾶλλον
φοβηθῶμεν, μὴ ἀπὸ τῆς χώρας τῶν ζώντων, τουτέστιν
ἀπ' ἐκείνης, ἣν ἡμετέραν θέλομεν εἶναι πατρίδα, ἐ-
ξορισθῶμεν. ἐκεῖνό ἐστιν ἡμέτερον, ἐκεῖνο διηνεκὲς,
ἐκεῖνο αἰώνιον. οὐκ ἔστι γὰρ ἐκεῖνο ἡμέτερον, δι' οὗ μόνη
πάροδος· ἀλλὰ ταῦτα ἀληθῶς ἡμέτερα, ἅπερ ἀσφαλε-
στάτη ἐλπὶς ἐπαγγέλλεται. ἔστι δὲ λέγοντος ἀκοῦσαι τοῦ
ἀποστόλου· ἃ ὀφθαλμὸς οὐκ εἶδεν, οὐδὲ ἀκοὴ ἤκουεν, οὐ- 1. Κορι. 2.
δὲ εἰς καρδίαν ἀνθρώπου ἀνῆλθεν, ταῦτα ἡτοίμασεν Ἡσαΐ. 64.
ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ἵνα δὲ * μηδὲ πρόσκαι- * μὴ πρὸς καιρὸν
ρος δοκῇ τούτου ἰσχύειν ἡ ἀπόφασις, τοῦ ἤδη καθ' ἑαυτοῦ
τὴν θείαν ἀπόφασιν προσκαλεσαμένου, φανερῶς ἡ αὐ-
θεντία τοῦ ἡμετέρου θρόνου ὡρίσατο, μηδένα ἢ ἐπίσκο-
πον, ἢ κληρικὸν, ἢ κατά τι ἐπάγγελμα χριστιανὸν, τῶν
παρὰ Νεστορίου, ἢ τῶν τούτου ὁμοίων, ἀφ' οὗ τοιαῦτα κη-
ρύττειν ἤρξαντο, ἢ τοῦ ἰδίου τόπου, ἢ τῆς κοινωνίας ἀπο-
κινηθέντων, δοκεῖν ἢ ἀποκεκινῆσθαι, ἢ ἀποκοινώνητον
γεγενῆσθαι· ἀλλ' οὗτοι πάντες ἐν τῇ ἡμετέρᾳ κοινωνίᾳ καὶ
ἐγένοντο, καὶ ἄχρι τοῦ παρόντος εἰσίν· ὅτι οὐδένα ἢ κα-
θελεῖν, ἢ ἀποκινῆσαι ἠδύνατο, ὃς ἐν τῷ κηρύττειν
τοιαῦτα, ἀσφαλῶς οὐχ εἰστήκει. πάντας τοίνυν ὁ παρὼν
λόγος εἰς τὸ κοινὸν περιπλέκεται, ἵνα μᾶλλον καὶ μᾶλ-
λον ἰσχυροποιηθέντες, καὶ θαρσαλέοι γενόμενοι ἐν κυ-
ρίῳ, μὴ μετακινηθῆτε, ἀλλὰ μᾶλλον θεραπεύσητε τὰς
* ἀλλήλων ἀσθενείας. ἤδη γὰρ καὶ ὑμῖν ἐκεῖ τοὺς ἀσθε- * τῶν ἄλλων
νεῖς παρατιθέμεθα, ὅπου ὁρῶμεν αὐτὸν νοσοῦντα τὸν ἰα-
τρον. ᾧ θέλομεν ὅμως, εἰ ἔτι δυνάμεθα, βοηθεῖν.
ὡς γὰρ πρὸς τὸν ἅγιον ἀδελφὸν καὶ συνεπίσκοπον ἡμῶν

Κύ

Κυρίλλου ἀρμοδίας ἀποκρίσεις ἐπέμπομεν, καὶ ὑμῖν ἐπεσείλαμεν διὰ τῆς ποθεινοτάτης Ποσειδωνίου τοῦ διακόνου αὐτοῦ, * τὰ πέμπτα παρὰ τοῦ αὐτοῦ ἀδελφοῦ μου καὶ συνεργοῦ ἐκείνου, περὶ ἧς ὁ λόγος. καὶ ἐπειδὴ ἐν τηλικούτῳ πράγματι ἡ ἡμετέρα σχεδὸν παρουσία ἀναγκαία ἐφαίνετο, τιμὴ ἡμετέραν διαδοχὴν, διὰ τὰ κατὰ θάλατταν καὶ γῆν διασήματα, αὐτῷ τῷ ἁγίῳ ἀδελφῷ μου Κυρίλλῳ ἀπεστείλαμεν, μὴ * αὐτὴ ἡ νόσος ἀφορμὴν τῆς μακροτήτος * ἐπιζητήσῃ. μόνον ὑμεῖς τὰς ἀποσολικὰς ὡς πρὸ ὀφθαλμῶν ἔχετε λόγους, ἐν τῇ αὐτῇ διανοίᾳ καὶ ἐν τῇ αὐτῇ γνώμῃ γίνεσθε τέλειοι, ἵνα, ὡς ἀνέγνωμεν, παραμυθούμενοι ἄχει τέλος, δωνηθῆτε σωθῆναι. ἵνα δὲ γνῶτε ἐφ' οἵῳ ὅρῳ τὰ γεγραμμένα ἀπεστείλαμεν τῷ πρὸς ὃν ὑμῖν ὁ λόγος, αὐτίκα τιμὴ ἀποφάσιν τιμὴ κατ' αὐτοῦ Νεστορίου ἐποιήσαμεν ταύτῃ τῇ ἐπιστολῇ ὑποταγῆναι, ἵνα γνῶτε τὸν περὶ αὐτοῦ δοθέντα τύπον. ὁ Θεὸς ὑμᾶς ὑγιεῖς φυλάξαι, ἀδελφοὶ ποθεινότατοι.

Ἀπόφασις.

Ἔστι δὲ ὅρος μεθ' ἕτερα ὅτος.

Σαφῶς τοιγαροῦν μαθήσῃ ταύτην ἡμετέραν εἶναι τὴν ἀπόφασιν, ὡς εἰ μὴ περὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ταῦτα ἐξηγήσῃ, ἃ καὶ ἡ Ῥωμαϊκὴ, καὶ ἡ Ἀλεξανδρέων, καὶ ἅπασα καθολικὴ ἐκκλησία νοεῖ, καθὼς καὶ ἡ Ἀγεστάτη τῆς Κωνσταντινουπολιτῶν ἐκκλησία μέχρι σου, ὦ βέλτιστε, ἐνόησε κατὰ τὴν ἐκτεθεῖσαν πίστιν ἐν τῇ Νικαέων συνόδῳ· καὶ εἰ μὴ ταύτην τὴν δύσπιστον καὶ * σεβάσμιον γραφὴν διασήσῃς ἐντὸς δέκα ἡμερῶν, ἀφ' ἧς γνωρίζονταί σοι τὰ γράμματα ταύτης τῆς * μεθοδείας τὴν ἡμέραν ἐναρίθμιον, τὰ φανερὰ καὶ γεγραμμένα τῆς καταδικασίμου αἱρέσεως· γίνωσκε ἀπὸ πάσης καθολικῆς ἐκκλησίας ἀκοινώνητον εἶναι σεαυτὸν, καὶ ἀνενέργητον πρὸς πᾶν ὁτιοῦν τῆς ἐξ αὐθεντίας ἱερατικῆς.

* ἐστὶ, ἤτοι ἐπιχειρεῖς, ἢ τὴν ἀκοινωνησίαν ἢ ἐνέργειαν γραφῇ, διασήσῃς. * ἤτοι μεθοδείας φευκτῆς ἐγκεκριμένης ἐκκλησίᾳ καθολικῇ, γίνεται.

ΚΕΦΑΛΑΙΟΝ κ'.

Τοῦ αὐτοῦ Κελεστίνου πρὸς Ἰωάννην ἐπίσκοπον Ἀντιοχέων ἐπιστολή.

Τῷ ἀγαπητῷ ἀδελφῷ Ἰωάννῃ Κελεστῖνος.

Εὐχόμεθα μὲν, ὥσπερ μία ἐστὶ τῆς θεότητος οὐσία, οὕτω καὶ παρὰ πᾶσι τοῖς ὀρθοδόξοις ἕν εἶναι τὸ φρονεῖν ἀνθρώποις, μίαν τῆς ὀρθῆς πίστεως ἀλήθειαν ἔχειν. ἐλάττων δὲ ὅμως ὁ σπουδασμός ἐστιν, ἐάν τινες ἑαυτοὺς ἐκτὸς τῆς ἀγέλης τῆς δεσποτικῆς ἀποχωρίζοντες, καὶ διὰ γωνιῶν καὶ συσκίων τόπων λανθάνοντες * ἑαυτοὺς, εἰκαίοις λόγοις τισὶ συμβουλεύουσιν ὁμονοεῖν ἑαυτοῖς ἐν τῇ λανθανούσῃ πλάνῃ. ὅτε δὲ ἐν τῷ τοῦ Θεοῦ ἱερᾷ ἐκκλησίᾳ ὁ προβεβλημένος * ἐν τῷ ὀνόματι τοῦ ἱερέως αὐτοῦ τὸν τοῦ Χριστοῦ δῆμον ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας κατὰ χρημάτων ἀποστρέφει τῇ οὐκ ὀρθῇ συμβουλῇ, καὶ τοῦτο ἐν τῇ μεγίστῃ πόλει, εἰς ἣν διὰ τὸ τιμιώτατον τοῦ ἐνοικοῦντος βασιλέως ἀπὸ παντὸς τοῦ κόσμου συρρέει τὸ πλῆθος, τότε δηλαδὴ διπλασιασθεὶς ἐστὶν ὁ θρῆνος, καὶ μείζων ἡ φροντὶς, ἵνα μήτι ἡ ἁρπαγὴ τοῦ λύκου παραγνωσθῇ κατισχύσῃ. ἐλάττων γάρ ἐστιν ἡ φροντὶς πολιορκουμένου τοῦ ἐκτὸς τειχῶν ἐκβακχεύοντος· καὶ κερδαλεώτερον παρεισοχλεῖ ὁ λύκος ἐκτὸς τῶν προβάτων ἀποπλανώμενος. ὅπερ ἐν αὐτῇ τῇ ἀγέλῃ τόπον προβάτου ἐπιλαβόμενος· ἐπειδήπερ πλέον τοῦ ἐμφυλίου πολέμου ἐστὶν, ὅταν ἐντὸς τῆς ἐκκλησίας, τουτέστιν ἐντὸς αὐτοῦ τοῦ οἴκου τοῦ Θεοῦ, δόρατα ἀκοντίζηται τῆς ἀσεβοῦς θρησκείας. ὅθεν πάνυ συντετύρακται ἡμῶν τὰ σπλάγχνα, ὅτι ὅστις, ὅσις δοκεῖ κατέχειν τὴν ἐκκλησίαν Κωνσταντινουπόλεως, τοῖς καθωσιωμένοις τοῦ Χριστοῦ δήμοις διεσκαμμένα τινὰ ἐχέτω, ὑπεναντία τῆς τιμῆς καὶ αἰδοῦς τοῦ τόκετοῦ τῆς ἁγίας παρθένου, καὶ ὑπεναντία τῆς ἐλπίδος τῆς ἡμετέρας σωτηρίας. ταῦτα * εἰσῆλθον ὑποβαλλούσης τοῦ ἀλιτηρίου τῶν πιστῶν, ἃ ἐγνωρίσθη διὰ τῶν βιβλίων, ἅπερ αὐτοῖς ἐπέμψε· καὶ, ὅπερ μείζονος ἀποδείξεως ἦν, πεμφθεισῶν ἐπιστολῶν πρὸς ἡμᾶς, ὑπογραφῇ αὐτοῦ τοῦ αὐθέντου ὠχυρωμένων, ὡς ἀμφιβληθῆναι παρ' ἑτέρων μὴ δεῖν εἶναι. ὅθεν ἐπειδὴ ὑπὲρ τοιούτων αἰτιῶν ἐκ ἔστιν ἀσφαλὴς ἡ μακροτέρα παρεμθύμησις· τοιοῦτον γάρ ἐστι σχεδὸν ἔγκλημα παρεμθυμεῖσθαι τὰ τοιαῦτα, οἷόν ἐστι μῦσος, τοιαῦτα ἱερόσυλα * συλλέγειν· καὶ τὸν ἐπίσκοπον Νεστόριον, καὶ εἴ τις ἄλλος αὐτῷ ἀκολουθήσας τοιαῦτα λέγει, ἀπὸ τῆς ἡμετέρας κοινωνίας ἀποχωρίζομεν, ἕως ἂν δι' ἐγγράφου ὁμολογίας πεμφθείσης τοῦ διαστροφοῦ, ὧν ἤρξατο διδάσκειν, κατακρίνῃ. καὶ τούτου ἑαυτὸν περὶ τοῦ παρθενικοῦ τόκου, τουτέστι περὶ τῆς σωτηρίας τοῦ τῶν ἀνθρώπων γένους, τοῦ πίστιν ὁμολογήσῃ κατέχειν, ὧντινα κατὰ τοῦ ἀποστολικοῦ διδασκαλίαν ἡ Ῥωμαίων, καὶ ἡ Ἀλεξανδρέων, καὶ ἡ καθολικὴ παντοχῆ ἐκκλησία κατέχει, * προσκυνήσῃ τε ὁμολογήσῃ. εἴτις δὲ ἢ ἀπὸ Νεστορίου, ἢ ἀπὸ τῶν ἄλλων τῶν αὐτῷ ἐξακολουθησάντων, ἀφ' οὗ τοιαῦτα ἤρξατο λαλεῖν, ἢ ἀκοινώνητος ἐγένετο, ἐγυμνώθη τῆς τοῦ ἱερέως ἀξίας, ἢ τῆς τοῦ κληρικοῦ, τοῦτον ἐν τῇ ἡμετέρᾳ κοινωνίᾳ καὶ μεμυῆσθαι, καὶ μύειν εἰς τὰ ἑξῆς ὡμολόγηται. καὶ οὐδὲ λέγομεν αὐτὸν ἀποκεκηρῦχθαι· ἐπειδήπερ οὐδὲ ἠδύνατό τινα ἡ τότου ἀπόφασις ἀποκηρύττειν, ὅστις ἑαυτὸν παρέσχεν ἤδη ἀποκηρυκτέον. ταῦτα, ἀδελφὲ τιμιώτατε, πρὸς τὸ σὸν ἀγιωσύνῃ ἐγράψαμεν, ἵνα ἐνδυναμωθῇς ἐν τῷ δεσπότῃ, καὶ τὸν οἰκεῖον * τῶν σὴν θεραπείαν ἐνδυσάμενος, τὸ ἀγέλιον τοῦ ἡμετέρου δεσπότου Ἰησοῦ Χριστοῦ, ὅσις ὑπὲρ ἡμῶν καὶ ἐγκυμονήθη καὶ ἔπαθεν· ὅσις καὶ ἀνοιγμένων τῶν καταχθονίων, καὶ τοῦ θανάτου ἡττηθέντος, ὑπὲρ ἡμῶν τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη· ἀπὸ τῆς πονηρᾶς καὶ αἰσχίστης διδασκαλίας ἐλκύσῃς. ὥσπερ δὴ καὶ πρὸς τὸν ἁγιώτατον ἀδελφὸν καὶ συλλειτουργὸν ἡμῶν Κύριλλον, τὸν ἀκεραίου τῆς καθολικῆς ἐκκλησίας καὶ πίστεως ἔκδικον, ἐγράψαμεν περὶ τοῦ αὐτοῦ Νεστορίου· γινωσκέτω ἡ σὴ ἁγιωσύνη παρ' ἡμῶν, μᾶλλον δὲ ὑπ' αὐτοῦ τοῦ δεσπότου Χριστοῦ καὶ Θεοῦ ἐξοπλισμένην εἶναι τὴν ἀπόφασιν, ἵνα ἡ ἐντὸς δέκα ἡμερῶν, ἀριθμουμένων ἀφ' ἧς ἡμέρας ὑπομνησθείη, τὰς ἱεροσύλους αὐτοῦ διδασκαλίας περὶ τῆς τοῦ Χριστοῦ γεννήσεως ἐγγράφῳ ὁμολογίᾳ καταδικάσῃ, καὶ ταύτῃ ἑαυτὸν ὁμολογήσει τῇ πίστει ἀκολουθεῖν, ἣν τινα καὶ ἡ Ῥωμαίων, καὶ ἡ Ἀλεξανδρέων, καὶ ἡ καθολικὴ φυλάττει ἐκκλησία· ἢ ἀπὸ τῆς συνόδου τῶν ἐπισκόπων ἀποκηρυχθείς, γινωσκέτω οἰκείῳ ἑαυτὸν βεβλάφθαι ὀλέθρῳ· ἵνα δὲ ταῦτα τὰ παρ' ἡμῶν ἀποφανθέντα σπουδαιότερον ἐξανυσθείη, διὰ τοῦ ἡμε-

* ἐστὶ ἢ εἴτις τινὶ κηρύσσει.

* ἐν τῷ ἐνὶ τῷ

* Ἰσ. προσκυνεῖ τε καὶ ὁμολογεῖ. * προσκυνήσῃ καὶ ὁμολογήσῃ.

* τῷ σῷ σώματι τῶν τοῦ Χριστοῦ θεραπόντων, * ἴσως λειτουργίαν * ἐκκλησίας

τέρου υἱοῦ Ποσειδωνίου τοῦ διακόνου τῆς Ἀλεξανδρέων ἐκκλησίας, τὰς ἡμετέρας ἐπιστολὰς πρὸς τὴν σὴν διάθεσιν ἠβουλήθημεν πιστότερον διακομισθῆναι· ὁ Θεὸς ὑγιαίνοντά σε διαφυλάττοι, ἀδελφὲ τιμιώτατε.

ΚΕΦΑΛΑΙΟΝ κά.

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας πρὸς Ἰωάννην Ἀντιοχείας ἐπιστολή.

Τῷ κυρίῳ μου ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ Ἰωάννῃ Κύριλλος ἐν κυρίῳ χαίρειν.

Ἐγνώπου πάντως καὶ διὰ πολλῶν ἡ σὴ θεοσέβεια τῆς ἁγίας Κωνσταντινουπολιτῶν ἐκκλησίας τὴν νῦν οὖσαν κατάστασιν, ὅτι τεθορύβηται λίαν, καὶ ἀποσύνακτοι μεμενήκασι πολλοὶ καὶ τῶν ἄγαν σπουδαίων καὶ ἐπιεικῶν, οὐ τὸν τυχόντα θόρυβον εἰς αὐτὴν ὑπομένοντες τὴν πίστιν, ἐκ τῶν λεγομένων ἐπ' ἐκκλησίας αὐτῆς παρὰ τοῦ εὐσεβεστάτου ἐπισκόπου Νεστορίου, ᾧ καὶ συνεβούλευσα διὰ γραμμάτων ἀποσχέσθαι τῶν οὕτω σκαιῶν καὶ ἐξεστραμμένων ζητημάτων, καὶ τῇ τῶν πατέρων ἀκολουθῆσαι πίστει. ἀλλ' ἐμὲ μὲν ᾠήθη ταῦτα γράφοντα, δυσμενῆ· καὶ τοσοῦτον ἀπέσχε τοῦ προσέχειν τῷ ἐξ ἀγάπης ἐκεῖνα γεγραφότι πρὸς τὴν αὐτοῦ εὐλάβειαν, ὥστε ᾠήθη τὰ τοιαῦτα φρονῶν καὶ λέγων καὶ τὰς Ῥωμαίων ἀκοὰς συναρπάσαι δύνασθαι. γέγραφε γὰρ ἔκτοπά τινα συνθεὶς ἐν ἐπιστολῇ μακρᾷ τῷ κυρίῳ μου καὶ θεοσεβεστάτῳ ἐπισκόπῳ τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνῳ· καὶ δὴ καὶ τοῖς ἰδίοις ἐνέθηκε γράμμασι κατὰ τῶν ἐναντία δοξαζόντων αὐτῷ, ὅτι τὴν ἁγίαν παρθένον θεοτόκον λέγοντες οὐ φρίττουσιν. εἶτα καὶ τεξάδας ἰδίων ἐξηγήσεων ἀπέστειλεν. ἃς καὶ ἀναγνόντες οἱ κατὰ τὴν μεγάλην πόλιν Ῥώμην εὑρεθέντες θεοσεβέστατοι ἐπίσκοποι, καὶ συνεδρίων πολλῶν γενομένων, κατεβόησαν αὐτοῦ, φάσκοντες ἐναργῶς, αἵρεσιν αὐτὸν καινοτομῆσαι παγχάλεπον, τὴν οὐδενὶ τῶν πάλαι γεγονότων ἐξευρημένην.

Ἐπειδὴ δὲ ἀνάγκη με, γραψάσης τῆς αὐτοῦ εὐλαβείας ἐκεῖσε ταῦτα, τὰ γεγονότα εἰπεῖν ἅπαντα, πέμψαι δὲ καὶ τὰ ἴσα τῶν παρ' ἐμοῦ γραφέντων πρὸς αὐτὸν γραμμάτων, ἐκδεδήμηκεν ἀναγκαίως κληρικὸς τῆς Ἀλεξανδρέων ὁ ἀγαπητὸς διάκονος Ποσειδώνιος. ἀναγνωσθεισῶν τοίνυν ἐν συνεδρίῳ τῶν ἐξηγήσεων αὐτοῦ, καὶ τῶν ἐπιστολῶν μάλιστα, ἐν οἷς οὐκ ἔστι συκοφαντίας τόπος. ἔχουσι γὰρ αὐτοῦ τὴν ὑπογραφήν· ἡ ἁγία Ῥωμαίων σύνοδος φανερὰ τετύπωκε, καὶ δὴ καὶ γεγράφηκε πρὸς τὴν σὴν θεοσέβειαν, οἷς καὶ ἀνάγκη πείθεσθαι τοὺς ἀντεχομένους τῆς πρὸς ἅπασαν τὴν δύσιν κοινωνίας. γεγράφασι γὰρ καὶ τὰ ἴσα καὶ πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Θεσσαλονίκης Ῥοῦφον, καὶ πρὸς ἑτέρους τινὰς τῶν κατὰ τὴν Μακεδονίαν θεοσεβεῖς ἐπισκόπους, οἳ καὶ ἀεὶ συντρέχουσι ταῖς παρ' αὐτοῦ ψήφοις. γεγράφασι δὲ οὐδὲν ἧττον καὶ πρὸς τὸν τῆς Αἰλιέων θεοσεβέστατον ἐπίσκοπον Ἰουβενάλιον. τῆς σῆς τοίνυν θεοσεβείας ἐστὶ σκοπῆσαι τὸ συμφέρον. ἡμεῖς γὰρ τοῖς παρ' αὐτοῦ ἀκολουθήσομεν κρίμασι, δεδιότες ἀπολισθαίνειν τῆς τοσούτων κοινωνίας, οὐχ * ὑφ' ἑτέροις τισὶν ἠγανακτηκότων πράγμασιν, οὐδὲ ἐπὶ μικροῖς πεποιημένων τὴν κρίσιν καὶ κίνησιν, ἀλλ' ὑπὲρ αὐτῆς τῆς πίστεως, καὶ τῶν πανταχοῦ κεκινημένων ἐκκλησιῶν, καὶ τῆς οἰκοδομῆς τῶν λαῶν. πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἐμοὶ ἐν κυρίῳ προσαγορεύει.

* ὑφ' ἑτέροις

ΚΕΦΑΛΑΙΟΝ κβ'.

Κυρίλλου Ἐπισκόπου Ἀλεξανδρείας πρὸς Ἀκάκιον ἐπίσκοπον Βερροίας περὶ τοῦ αἱρετικοῦ Νεστορίου.

Τῷ κυρίῳ μου ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ Ἀκακίῳ Κύριλλος ἐν κυρίῳ χαίρειν.

Οἱ σφόδρα λυπούμενοι, καὶ φροντίσι τεξωμένην ἔχοντες τὴν καρδίαν, οὐ μικρῶς ἔχουσι παραψυχὴν, ὅταν τισὶ τῶν ὁμογνωμόνων τὰ ἐφ' οἷς λελύπηνται, λέγωσι. τοιοῦτός τις γέγονα κἀγώ· διά τοι τοῦτο τῇ σῇ τελειότητι γράψαι δεῖν ᾠήθην τὰς αἰτίας, ἐφ' αἷς εἰκότως, ὥς γε οἶμαι, λελύπημαι, μᾶλλον δὲ καὶ ἔτι λυποῦμαι. οὐ γὰρ ἤρκεσε τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Νεστορίῳ τὸ ἐπ' ἐκκλησίας εἰπεῖν, ἃ * ἐπ' ἐκκλησίας ἐσκανδάλισε, καὶ παρέλυσε πίστιν τὴν ἐπὶ τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ· ἀλλὰ γὰρ καὶ ἠνέσχετο Δωροθέου τινὸς ἐπισκόπου, τολμήσαντος ἐπ' ἐκκλησίας καὶ συνάξεως εἰπεῖν ἀναφανδρόν· εἴ τις λέγει θεοτόκον τὴν Μαρίαν, ἀνάθεμα ἔστω. τί τοίνυν δράσομεν ἐν ἐκκλησίᾳ * ὀρθοδόξῳ ἀναθεματισθέντες μετὰ τῶν ἁγίων πατέρων; εὑρίσκω γὰρ ἐν συγγραφαῖς καὶ τὸν τῆς ἀοιδίμου μνήμης ἐπίσκοπον Ἀθανάσιον πλειστάκις αὐτὴν ὀνομάσαντα θεοτόκον. καὶ τὸν μακάριον δὲ πατέρα ἡμῶν Θεόφιλον, καὶ ἑτέρους πολλοὺς τῶν ἁγίων καὶ κατὰ καιροὺς ἐπισκόπων· τοῦτο μὲν Βασίλειον, τοῦτο δὲ Γρηγόριον, καὶ αὐτὸν δὲ τὸν μακάριον Ἀττικόν. οὐδεὶς δὲ, οἶμαι, τῶν ὀρθοδόξων θεοτόκον αὐτὴν δέδιεν εἰπεῖν, εἴπερ ἐστὶν ἀληθὲς ὅτι Θεός ἐστιν ὁ Ἐμμανουήλ. γέγονασι τοίνυν ἀνάθεμα πρὸς Θεὸν ὄντες ἅγιοι πατέρες, καὶ πάντες ὅσοι τοῖς ὀρθοῖς τῆς ἀληθείας ἑπόμενοι δόγμασι, Θεὸν ὁμολογοῦσι τὸν Χριστόν. καὶ οὐ μέχρι τούτων ἡ ἐκ τοῦ πράγματος ζημία, ἀλλὰ γὰρ καὶ διεστράφησαν αἱ τῶν λαῶν γνῶμαι. τεθρήνηκα γὰρ ἀκούων, τοὺς μὲν εἰς τοῦτο πεσόντας ἀπιστίας ἤδη καὶ ἀμαθίας, ὡς μηδὲ Θεὸν ὁμολογεῖν τὸν Χριστόν· τοὺς δὲ, κἂν εἰ ἕλοιντο ὁμολογεῖν ὅλως αὐτὸν Θεὸν, μηδὲν ὑγιὲς ἐπ' αὐτῷ δοξάζειν, ἀλλ' εὐδοκίᾳ καὶ χάριτι μεθ' ἡμῶν κεκλῆσθαι πρὸς τοῦτο λέγοντας. ταῦτα θρήνου καὶ οἰμωγῆς ἄξια. ποία γὰρ ὅλως ἡ χρεία καὶ εἰς μέσον ἄγεσθαι τὰ οὕτω λεπτὰ καὶ κεκρυμμένα; διά τί δὲ μὴ μᾶλλον ἠθικαῖς ἐξηγήσεσιν ὠφελοῦμεν τοὺς λαοὺς, εἰ μὴ σφόδρα ἔχομεν

* τὰς

* ὀρθοδόξου

μεν ἱκανῶς εἰς ἀκρίβειαν τὴν δογματικὴν; ἐπειδὴ δὲ μονάζουσι τοῖς κατὰ τὴν Αἴγυπτον καὶ Ἀλεξάνδρειαν τεθορυβημένοις ἐκ τοιούτων ἀναγνωσμάτων, ἤγουν ἐξηγήσεων, τὸν ὀρθὸν τῆς πίστεως ἐξηγησάμεθα λόγον, ἐκπεπολέμωται, καὶ γέγονεν ἐχθρός. καὶ συλλέγει τινὰς ἀγύρτας καὶ κατεγνωσμένους, καὶ παρασκευάζει ψεύδεσθαι κατ' ἐμοῦ τινα ἐπὶ πολλῶν, καὶ τάχα δικαίως. εἰ γὰρ εἴχομεν ζῆλον Θεοῦ, καὶ τῆς τῶν πατέρων φιλοθείας ἐγινόμεθα μιμηταὶ, πάλαι ἂν ἦμεν κατὰ τῶν τετολμηκότων φλυαρῆσαι κατὰ τοῦ Χριστοῦ, καὶ ἀναθεματισάντων ἡμᾶς τοὺς ζῶντας, καὶ τοὺς πρὸς Θεὸν ὄντας ἤδη πατέρας ἁγίους, ψῆφον ὁσίαν ἐξενέγκαντες, δι' ἧς ἦν εἰκὸς θεραπεύεσθαι καὶ τοὺς εἰς πίστιν ἠδικημένους τῶν λαῶν· πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἐμοὶ ἐν κυρίῳ προσαγορεύει.

ΚΕΦΑ'ΛΑΙΟΝ κγ'.

Ἀκακίου Βερροίας ἐπισκόπου πρὸς Κύριλλον ἐπιστολή.

Τῷ δεσπότῃ μου τῷ πάντα ἁγιωτάτῳ, καὶ θεοφιλεστάτῳ ἐπισκόπῳ Κυρίλλῳ, Ἀκάκιος ἐν κυρίῳ χαίρειν.

Ἐ'Νέτυχον γράμμασι τῆς σῆς θεοσεβείας, ἐκ τοῦ συνέγγυς ἡμῖν ἀποδοθεῖσιν ἀπευκτοῖς, δακρύων καὶ θρήνων μεστοῖς, τῶν κατὰ Κωνσταντινούπολιν θρυλλουμένων ἕνεκεν· ἐν οἷς καὶ κρατεῖ τὸ * βάθος τῆς κατὰ Χριστὸν πίστεως, καθὸ δεῖ μετέχουσιν, ὡς περιττὸν ἦν τοῦτο καὶ τὴν ἀρχὴν εἰς μέσον ἀχθῆναι. τί γὰρ ὤνησεν Ἀπολινάριος ὁ Λαοδικεὺς, εἷς ὢν ἐν τοῖς ἔμπροσθεν ὁ μέγας ἀγωνιστὴς, ὁ ὑπὲρ τῆς ὀρθῆς πίστεως κραταιῶς πρὸς τοὺς ἐχθροὺς μαχεσάμενος, θαρσήσας ἑαυτοῦ τῇ σοφίᾳ, καὶ ἐθελήσας παρεισαγαγεῖν ἐξ ἀπόρων πόρους τινὰς τῇ καθαρᾷ καὶ ἀδόλῳ τοῦ Χριστοῦ πίστει; οὐ παρεσκεύασεν ἐν τοῖς σχισματικοῖς ἑαυτὸν παρὰ τῇ καθόλου ἐκκλησίᾳ λογισθῆναι; οὐκ εἴρηταί τινι τῶν πρὸ ἡμῶν ἐπισκόπων, * ἀναστεῖλαι βουλομένῳ τὰ ὑπὲρ ἄνθρωπον μὴ περιεργάζεσθαι τοὺς εὖ διακειμένους, ἐρρωμένῃ τῇ διανοίᾳ καὶ ἐντελεῖ συνέσει ταύτην ῥήξαντι τὴν φωνήν. πῶς ὁ πατὴρ τὸν μονογενῆ ἐγέννησε, σιωπῇ τιμάσθω; καὶ προϊόντος τοῦ λόγου ἀπηριθμήσατο, ὡς διαλανθάνει ἥδε ἡ ἔρευνα κατὰ μικρὸν πάσας ὁμοῦ τὰς κατ' οὐρανὸν δυνάμεις, μήτοι γε ἀνθρώπους, καὶ ἔννοιαν ἀνθρώπων. πῶς δὲ οὐκ ἀναγκαία καὶ πρέπουσα ἡ παραίνεσις τῶν θείων γραφῶν ἐκδιδάσκουσα· βαθύτερά σου μὴ ζήτει, καὶ ἰσχυρότερά σου μὴ * ἐξέταζε. ἃ προσετάγη σοι, ταῦτα διανοοῦ. οὐ γὰρ χρεία σοι τῶν κρυπτῶν. οἱ δὲ ὑπεραπολογεῖσθαι ζητοῦντες τῶν ταῦτα ἐννοῆσαι καὶ φράσαι ἐπιχειρησάντων, παρόμοιόν τι λέγουσι πεπονθέναι, ὧν ὑπέμεινεν ὁ μακάριος Παυλῖνος ὁ ἐπίσκοπος, ὃς παρητεῖτο τρεῖς ὑποστάσεις λέγειν ῥητῶς, δυνάμει καὶ ἀληθῶς * ταῦτα φρονῶν, ταῦτα μετιών. ἠκολούθησε δὲ τοῖς δυτικοῖς θεοφιλέσιν ἐπισκόποις, τῷ ἐστενῶσθαι τὴν Ῥωμαϊκὴν φωνὴν, καὶ μὴ δύνασθαι πρὸς τὴν ἡμετέραν τῶν Γραικῶν φράσιν τρεῖς ὑποστάσεις λέγειν.

Πλὴν ὅτι χρὴ πάντας ἡμᾶς τοὺς δυναμένους συναλγεῖν καὶ συμπάσχειν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ περὶ πολλοῦ ποιῆσαι καταστεῖλαι τὴν ἐξαγγελθεῖσαν φωνὴν, ὅπως μὴ πρόφασις δοθῇ τοῖς διασχίζειν καὶ διατέμνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ ἑτοίμως ἔχουσι. διὸ χρὴ τὴν σὴν ἐντελῆ καὶ ἀπηρτισμένην σύνεσιν, εἰ καί τι τοιοῦτον τὴν ἀρχὴν ἐλέχθη τὸ * λυπεῖν, καὶ διαταράττειν πολλοὺς τῶν εὐλαβῶν καὶ φιλοχρίστων δυνάμενον, καταστεῖλαι τὸ κινηθέν· εἰ καὶ τὰ μάλιστα, ὡς φθάσας ἔφην, πολλοὶ τῶν ἀπὸ Κωνσταντινουπόλεως ἀφικνουμένων εἰς Ἀντιόχειαν καὶ πρὸς ἡμᾶς, τοῦτο μὲν κληρικῶν, τοῦτο δὲ λαϊκῶν, συνηγορεῖν δοκοῦσι τῷ ῥηθέντι ῥητῷ, οὐκ ἐναντίως ἔχοντι κατὰ διάνοιαν τῇ ἀποστολικῇ πίστει. προσέτι δὲ καὶ τῇ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων περὶ τοῦ ὁμοουσίου θεσπισθείσῃ καὶ διαδοθείσῃ εἰς πᾶσαν τὴν καθόλου ἐκκλησίαν. τὸ τοίνυν συνετὸν καὶ συμπαθητικὸν καὶ ἐντελὲς τῆς σῆς ἱερωσύνης, καιροῦ καλοῦντος, ἐπιδείξασθαι καταξίωσον, μεσιτευούσης σου τῆς ἁγιωσύνης τῷ ῥηθέντι ῥητῷ πρὸς τοὺς ἀκούσαντας καὶ διαρραγέντας. ὥστε σου τὴν ἁγιωσύνην ἐκεῖνα φρονῆσαί τε καὶ ἐπιτελέσαι, ἃ δυνήσεται, χειμαζομένης ἐπὶ τοῦ παρόντος τῆς καθόλου ἐκκλησίας, ἔτι μᾶλλον καὶ μᾶλλον εἰς ὕψος ἀναπεμφθῆναι, δεσποτικῇ τινι φωνῇ χρώμενον, καὶ ἐπιτιμῶντα τῇ νοητῇ θαλάττῃ, ἐπὶ τοῦ παρόντος δοκούσῃ διαταράττεσθαι, καὶ ἐπάγοντα τὸ· σιώπα, πεφίμωσο.

Ἐ'ποίησα καὶ ἀναγνωσθῆναι τὴν ἐπιστολὴν τῆς σῆς θεοσεβείας τῷ ἁγιωτάτῳ ἐπισκόπῳ Ἰωάννῃ τῷ τῆς Ἀντιοχείας. καὶ κατακούσας μετὰ πολλῆς τῆς συναισθήσεως καὶ συμπαθείας, τὰ αὐτὰ ἡμῖν βούλεται πρεσβυτικὴν ἄγουσιν ἡλικίαν, νεωστὶ εἰς ἐπισκοπὴν ἐληλυθώς. ὃς τῇ τοῦ Θεοῦ χάριτι ἀκμάζει ἐν τοῖς τῇ ἐπισκοπῇ προσεῖναι ὀφείλουσιν ἐπάθλοις, ὡς μέγα ἐπ' αὐτῷ φρονεῖν καὶ σεμνύνεσθαι πάντας τοὺς τῆς * ἀνατολῆς ἐπισκόπους· παρακαλῶν σου τὴν θεοσέβειαν, ὡς παραλαμβάνεται, ὥστε σου τὴν ἁγιωσύνην τῇ * πρεπούσῃ αὐτῇ συνέσει χρησαμένην μεταχειρίσασθαι τὸ ἐπισυμβὰν οὐκ ἀνεκτὸν ῥῆμα, ὡς δι' ὧν λαλεῖς, δι' ὧν πράττεις, τὸ ἀποστολικὸν, καιροῦ καλοῦντος, ἐπιδείξῃ τὸ φάσκον. ἐὰν θέλω χρήσασθαι τῇ ἐξουσίᾳ, ᾗ ἔδωκεν ἡμῖν ὁ Θεὸς εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν, οὐκ αἰσχυνθήσομαι. τὸν δὲ ποθεινότατον τὸν τὰ γράμματα ἡμῶν ἐπαγόμενον πιστὸν ὄντα καὶ χριστιανὸν ἐκ προγόνων, καταξίωσον τῇ ἐνούσῃ καὶ ἐνυπαρχούσῃ σοι φιλαγαθίᾳ * προστήσεσθαι, καὶ ἐν οἷς ἂν δεηθείη, προνοίας αὐτὸν ἀξιῶσαι τῆς σοι πρεπούσης. πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ προσαγορεύομεν.

* λυπεῖν

* ἀνατολικῆς διοικήσεως θεοφιλεστάτους

* πρεπούσῃ

* ἴσως προτίσεσθαι,

ΚΕΦΑΛΑΙΟΝ κδ'.

Κυρίλλου πρὸς Ἰωβιάλιον ἐπίσκοπον Ἱεροσολύμων ἐπιστολή.

Τῷ κυρίῳ μου ποθεινοτάτῳ καὶ συλλειτουργῷ Ἰωβιαλίῳ Κύριλλος ἐν κυρίῳ χαίρειν.

Ἡγ'χόμην μὲν τοῖς τῆδε ἀδοκιμησάντων ἴχνεσι, καὶ τῇ ὀρθῇ πίστει κατακολουθεῖν τὸν ἀλαβέστατον ἐπίσκοπον Νεστόριον. τίς γὰρ τῆδε εὖ φρονούντων οὐκ ἂν εὔξαιτο, δοκιμωτάτους εἶναι τοὺς καθηγεῖσθαι λαχόντας τῆδε τοῦ σωτῆρος ποιμνίων; ἐπειδὴ δὲ παρ' ἐλπίδας ἡ τῆδε πραγμάτων ἡμῖν ἐκβέβηκε φύσις· οὐ γὰρ ἔσεσθαι προσεδοκῶμεν ποιμένα γνήσιον, τοῦτο τῆς ὀρθῆς πίστεως διώκτην ἀρήκαμεν· δεῖ λοιπὸν μνημονεῦσαι τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ λέγοντος· οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν· ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ. εἰ δέ δὴ καὶ πρὸς γονέας ἡμῖν ὁ πόλεμος ἀνέγκλητός τε καὶ ἀνεπίληπτος, μᾶλλον δὲ καὶ πάντως ἐπαίνου μεστός, ὅτε τῇ τοῦ Χριστοῦ δόξῃ συναθλεῖν ἐγνώκαμεν· πῶς οὐκ ἀνάγκη πᾶσα, καὶ τοὺς δακρύοντας, ὡς ἀδελφὸν ἀπολέσαντας, τὸν θεοφιλῆ περιζώσασθαι ζῆλον, καὶ μονονουχὶ τοῖς ἀνὰ πᾶσαν τὴν γῆν ἐκεῖνο εἰπεῖν· εἴ τις πρὸς κύριον, ἴτω πρὸς μέ; ἐγὼ μὲν γὰρ δι' ἐπιστολῆς καὶ δευτέρου γράμματος ὡς ἀδελφὸν παρεκάλεσα, μὴ ταῖς ἰδίαις ἀκολουθεῖν ἐννοίαις· ἀλλὰ τῇ ὀρθῇ καὶ ἀποστολικῇ πίστει τῇ παραδοθείσῃ ταῖς ἁγίαις ἐκκλησίαις, οἰηθεὶς ἀπαλλάξειν αὐτὸν τῆς τῆδε αὐτοῦ γραμμάτων σκαιότητος. ἀλλ' οὐδὲν ὤνησε τὸ τῆς διαθέσεως φάρμακον, ἄπρακτος γέγονεν ἡ συμβουλή. ὃ ποσοῦτον ἀπέχει τοῦ θέλειν τοῖς τῆς ἀληθείας ἕπεσθαι δόγμασιν, ὥστε καὶ ἐπιστολὰς ἀποστεῖλαι πρὸς μὲ μεθ' ὑπογραφῆς ἰδίας· ἐν ᾗ καὶ ἐπιπλήττει μοὶ ὡς λυπέμενος, διωμολόγηκε δὲ σαφῶς, θεοτόκον εἰπεῖν μὴ εἶναι τὴν ἁγίαν παρθένον. ὅπερ ἐστὶν ἐναργῶς εἰπεῖν, μὴ εἶναι Θεὸν ἀληθῶς τὸν Ἐμμανουήλ, ἐφ' ᾧ * τὰς σωτηρίας ἔχομεν ἐλπίδας.

Ματθ. 10. 34.

* ταύτης σωτηρίας.

Οἰηθεὶς δὲ ὅτι καὶ τὴν Ῥωμαίων ἐκκλησίαν συναρπάσαι δυνήσεται, ἔγραψε πρὸς τὸν κύριον μου, τὸν ἀλαβέστατον καὶ θεοσεβέστατον ἀδελφὸν καὶ συλλειτουργὸν Κελεστῖνον τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον, ἐνθεὶς ταῖς ἐπιστολαῖς τῶν αὐτοῦ δογμάτων τὴν διαστροφήν. πέπομφε δὲ καὶ ἐξηγήσεις πολλὰς ἐξ ὧν ἐλήλεγκται φρονῶν τὰ διεστραμμένα. καὶ κατεγνώσθη λοιπὸν ἀραρότως ὡς αἱρετικός. ἐπειδὴ τοίνυν ὁ μνημονευθεὶς ἀλαβέστατος καὶ θεοσεβέστατος τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος Κελεστῖνος φανερὰ γέγραφε περὶ αὐτοῦ, καὶ πέπομφε πρὸς μὲ τὰς ἐπιστολάς, δεῖν ᾠήθην ἀποστεῖλαι ταύτας, καὶ ἀκουσθεῖσαν οἴκοθεν εἰς ἀσεβῆ ζῆλον τὴν σὴν θεοσέβειαν διαναστῆσαι διὰ τοῦ γράμματος· ὅπως ἂν ἐκ μιᾶς ψυχῆς, καὶ συντόνου προθυμίας, τὴν εἰς Χριστὸν ἀγάπην ζησώμεθα, καὶ σώσωμεν λαὸς κινδυνεύοντας, καὶ στήσωμεν ἐκκλησίαν τῷ ὄντι διαφανῆ· σύμφρονες γεγονότες δηλονότι ἑκάστοις ἅπασι, καὶ κατὰ τὸν ὁρισθέντα τύπον ἐπιστέλλοντες αὐτῷ καὶ τοῖς λαοῖς, ἂν μὲν ὠφελήσωμεν, καὶ μεταστήσωμεν κατὰ τὸ ἀληθὲς αὐτὸν, ὧν πεφρόνηκε, κεκερδήκαμεν τὸν ἀδελφόν, καὶ σεσώκαμεν ποιμένα· ἐὰν δὲ ἄπρακτος ἡ συμβουλὴ ἡμῶν γένηται, αὐτὸς ἑαυτῷ ἐπιγράψας τὸ συμβάν, αὐτὸς τῶν οἰκείων πόνων ἔδεται τὸν καρπόν. δεῖ δὲ ἡμᾶς ἀναγκαίως καὶ τῷ φιλοχρίστῳ καὶ ἀσεβεστάτῳ βασιλεῖ, καὶ ἅπασι δὲ τοῖς ἐν τέλει γράψαι, καὶ συμβουλεῦσαι, μὴ προτιμῆσαι τῆς εἰς Χριστὸν ἀσεβείας ἄνθρωπον, ἀλλὰ χαρίσασθαι τῇ οἰκουμένῃ τὸ βέβαιον εἰς πίστιν ὀρθήν, καὶ ποιμένα ἀπαλλάξαι πονηρῶν τὰ θρέμματα, εἰ μὴ ταῖς ἁπάντων ἔμελε συμβουλαῖς· πρόσειπε τοίνυν παρὰ σοὶ ἀδελφότητα. σὲ ἡ σὴ ἡμῖν ἐν κυρίῳ προσαγορεύει.

ΚΕΦΑΛΑΙΟΝ κε.

Ἀντίγραφον ἐπιστολῆς γραφείσης παρὰ Ἰωάννου ἐπισκόπου Ἀντιοχείας πρὸς Νεστόριον.

Τῷ δεσπότῃ μου θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ ἐπισκόπῳ Νεστορίῳ, Ἰωάννης ἐν Κυρίῳ χαίρειν.

α'.

Τὸν ἐμαυτοῦ σκοπὸν περὶ τὴν σὴν θεοσέβειαν μετὰ πάσης ἀληθείας διὰ τοῦ κυρίου μου τοῦ τὰ πάντα μεγαλοπρεπεστάτου κόμητος Εἰρηναίου ἐδήλωσα τῇ σῇ ὁσιότητι. καὶ ἐπειδὴ ὡς νομίζω, πάσης εἰμὶ ὑποψίας λοιπὸν παρ' ὑμῖν ἐκτὸς, ἀληθέσιν ἀπολογίαις χρησάμενος, μεταῤῥησιασμένῃ λοιπὸν χρῶμαι πρὸς τὴν σὴν γνησιότητα συμβουλίᾳ. ἔξεστι δέ σοι ἐξ αὐτῆς ὧν συμβουλεύω, ἐνέχυρα ἡμῶν λαβεῖν τῆς περὶ σὲ γνησιότητος. καὶ ὡς φρονοῦσιν ἡμῖν ἐστιν ὀλίγα τῆς κατὰ Θεὸν ἀγάπης· οὕτω οἱ τηροῦντες, τοὺς θείους ἐκπληροῦσι νόμους. οἱ δὲ ἀμελοῦντες, καὶ φανέρως προσφερόμενοι τοῖς οἰκείοις μέλεσιν, ἑαυτοὺς πρότερον βλάπτουσιν, ἢ καθ' ὧν ἐγχειροῦσιν. ἐπεὶ οὖν ταῦτά μοι καλῶς πεπροοιμίασαι, ὡς ἔγωγε οἶμαι, δέξαι με, παρακαλῶ, ἀγαθόν σοι ἐσόμενον σύμβουλον, μὴ παρωθούμενος τὸ ἐν τοῖς παρ' ἐμοῦ λεγομένοις χρήσιμον, καὶ μετὰ πάσης τῆς κατὰ Θεὸν διαθέσεως λεγόμενον.

β'.

Δεῖ μὲν οὖν ἡμᾶς περὶ χρησῶν πραγμάτων τὰ σκέμματα πρὸς ἀλλήλους ποιεῖσθαι. ἐπειδὴ δὲ αἱ ἁμαρτίαι ἡμῶν πολλὴν ἐξουσίαν τοῖς ἐκκλησιαστικαῖς ταραχαῖς ἐποιήσαντο, τούτου ἕνεκεν ἠπείχθην τὰ πρόσφατον ἡμῖν γραφέντα ἀπό τε Ῥώμης καὶ Ἀλεξανδρείας, τῇ σῇ γνωρίσαι ὁσιότητι. ἀθρόον γὰρ Ἀλεξανδρέων κληρικοὶ ἐπισάντες, ἐπιστολὰς ἡμῖν δεδώκασι διαφόρους, περὶ τῆς σῆς θεοσεβείας ἐκπεμφθείσας· τὴν μὲν τοῦ ἁγιωτάτου ἐπισκόπου Κελεστίνου, τὰς δὲ τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυ-

ρίλλου. ὧν τὰ ἀντίγραφα ἀποστείλας, παρακαλῶ σου τὴν διάθεσιν, οὕτως αὐτοῖς ἐντυχεῖν, ὥστε μήτε ταραχήν τινα κατὰ διάνοιαν ὑποστῆναι, ἀφ' ἧς πολλάκις φιλονεικίαι καὶ ἐνστάσεις ἐπιβλαβεῖς συμβαίνουσι· μήτε μὴν καταφρονῆσαι τοῦ πράγματος· εἰδότος τοῦ διαβόλου δι' ὑπεροψίαν πολλὰ τῶν οὐ χρηστῶν πραγμάτων κορυφοῦν, καὶ εἰς ὕψος αἴρειν· ὥστε ἀδιόρθωτα αὐτὰ ποιῆσαι γενέσθαι· ἀλλ' ἐμμελῶς αὐτοῖς ἐντυχεῖν· παραλαβεῖν δέ τινας τῶν ὁμοψύχων σοι πρὸς τὴν τῶν προκειμένων διάσκεψιν. δοῦναι δὲ αὐτοῖς καὶ ἐξουσίαν τὸ συμφέρον, ἀλλὰ μὴ τερπνὸν εἰσηγήσασθαι. πάντως γὰρ εἰ ἔχοιεν ἄδειαν, πολλοί τε ὄντες καὶ γνήσιοι οἱ τοῦ * σκέμματος κοινωνοῦντες, ῥαδίως ἐπὶ τὴν συμβουλίαν ἥξουσι, καὶ τὸ νομιζόμενον ὑπάρχειν σκυθρωπὸν παραχρῆμα εἴη φαιδρόν.

* πράγματος

γ'.

Καὶ γὰρ εἰ καὶ προθεσμίαν στενοτάτην τοῖς γράμμασιν ἐνέθηκεν ὁ κύριός μου ὁ θεοφιλέστατος Κελεστῖνος ὁ ἐπίσκοπος, δέκα μόναις ἡμέραις, ὡς τὰ γράμματα αὐτοῦ περιέχει, περιορίσας τὴν ἀπόκρισιν. ἀλλ' ἔξεστιν ἔργον αὐτὸ ποιῆσαι καὶ ἡμέρας μόνης μιᾶς, τάχα δὲ καὶ ὡρῶν ὀλίγων. τὸ γὰρ χρήσασθαι προσφόρῳ ὀνόματι ἐν τῇ κατὰ τὸν παμβασιλέα Χριστὸν ὑπὲρ ἡμῶν οἰκονομίᾳ, τετριμμένῳ μὲν πολλοῖς τῶν πατέρων, ἐπαληθεύοντι δὲ * καὶ τῇ σωτηρίῳ ἐκ παρθένου γεννήσει, τοῦτο ῥᾴδιον· ὅπερ οὔτε ὡς ἐπικίνδυνον χρὴ παραιτήσασθαι τὴν σὴν ὁσιότητα, οὔτε ἐκεῖνο ὑπολογίσασθαι, ὡς οὐ χρὴ σεαυτῷ τἀναντία ἐκθέσθαι. εἰ γὰρ ἡ διάνοιά σου τοῦ αὐτοῦ τοῖς πατράσι καὶ τῆς ἐκκλησίας διδασκάλοις φρονήματος ἔχεται· τοῦτο γὰρ διὰ πολλῶν καὶ κοινῶν φίλων περὶ σοῦ δέσποτα μεμαθήκαμεν. τί λυπεῖ τὸ εὐσεβὲς φρόνημα καταλλήλῳ ὀνόματι δημοσιεῦσαι; * καὶ τότε τοσαύτης περικειμένης ταραχῆς, καὶ τοσαύτης ζητήσεως ἐκ σοῦ. τοῦτο γὰρ ἴσθι, θεοφιλέστατε, κεκίνηται τὸ κεφάλαιον, καὶ οἷς τε μακρὰν, καὶ οἷς ἐγγὺς, σφόδρα περιτεθρύλληται. καὶ πλείστη ὅση περὶ τούτου ζάλη ἀδοκήτως τὰς ἐκκλησίας διέλαβε, τῶν πανταχοῦ πιστῶν ταύτης ἕνεκα τῆς αἰτίας ἀλλήλοις καθ' ἑκάστην συῤῥηγνυμένων τὴν ἡμέραν. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἀπ' αὐτῶν τῶν πραγμάτων * εἴη σαφές. ἡ γὰρ δύσις καὶ Αἴγυπτος, τάχα δὲ καὶ Μακεδονία, ἔκριναν ἀποῤῥαγῆναι τῆς ἑνώσεως, ἣν ἱδρῶσι πολλοῖς καὶ πόνοις ἁγίων καὶ ἐπισήμων ἐπισκόπων, καὶ μάλιστα τοῦ τὰ πάντα ἁγίου καὶ κοινοῦ ἡμῶν πατρὸς τοῦ μεγάλου Ἀκακίου, ἡ τοῦ Θεοῦ χάρις τῷ κοινῷ τῶν ἐκκλησιῶν κεχάρισται. τίς γὰρ μέμψαιτο, εἰ δόξεις λέγειν, ἃ φρονεῖς; μᾶλλον δὲ τίς οὐκ ἂν ἀποδέξαιτο, εἰ δέξεται προσηγορίαν, ἧς τὴν διάνοιαν, ὡς ἔγνωμεν, ἡ σὴ εὐλάβεια κέκτηται, καὶ τοῦτο ὑπὲρ εὐσταθείας καὶ εἰρήνης οἰκουμενικῆς; εἰ δοκεῖ δὲ, καλοῦ παραδείγματος εἰς καιρὸν ὑπομνήσω σε, οὗ βούλομαί σε καὶ μεμνῆσθαι. οὐδὲ γὰρ χρόνος πολύς ἐστιν, ἐξ οὗ παρ' ἡμῖν συμβέβηκεν, ὥστε αὐτὸ καὶ λύθῃ παραδοθῆναι. μέμνησαί που πάντως τοῦ μακαρίου * Παύλου τοῦ ἐπισκόπου, ἐν ἐξηγήσει εἰπόντος τι τῶν οὐ δοξάντων καλῶς εἰρῆσθαι πρώτῳ τέσοι, τῷ καὶ παῤῥησιασαμένῳ κατ' ἐκεῖνον τὸν καιρὸν, ἔπειτα καὶ πᾶσι τοῖς ἀκούσασι, καὶ ὅπως ἐκεῖνος αἰσθόμενος τῆς βλάβης καὶ τῆς ταραχῆς, ἣν ὁ μικρὸς ἐνεποίησε θόρυβος, ἐννοήσας ὡς ἡ τάραχὴ ποιήσει διάστασιν, μᾶλλον δὲ καὶ ἀντίστασιν, φιλούντων τῶν ἀνθρώπων, εἰ τοιαύτης δράξοιντο ἀφορμῆς, τῆδε κἀκεῖσε διαιρεῖσθαι, καὶ τὴν ἀντίστασιν αὔξειν, τὸν δοκοῦντα βραχὺν εἶναι τοῦ σκανδάλου σπινθῆρα· ὃ δὴ καὶ παρ' ἡμῖν νῦν γεγένηται. ὅπως ὁ γενναῖος ἐκεῖνος ἀναστὰς οὐ μετὰ πολλὰς ἡμέρας, τὸ παρ' αὐτοῦ * πραχθὲν ἀνερυθριάστως ἐπὶ χρυσίμῳ τῆς ἐκκλησίας διωρθώσατο· καὶ διορθωσάμενος, παραυτίκα ἀπετρίψατο τὴν κατ' αὐτοῦ γεγονυῖαν διαβολὴν, οὐ λογισάμενος εἶναί τι σαθρὸν τὴν διόρθωσιν. καί τοι πάντων εἰδότων μὲν, ὡς σαθρῶς παρ' αὐτοῦ ἐλέχθη τὸ λεχθὲν, ἀποδεξαμένων δὲ αὐτὸν τῆς παραυτίκα * μεταστάσεως.

* ἐν ἐπὶ τῇ

* ἐν καὶ τοῦτο τοσαύτης

* ἐν καὶ σαφῶς.

* Θεοδώρου

* λεχθὲν

* μεταβολῆς.

δ'.

Ἐγὼ δέ σου τὴν θεοσέβειαν οὐκ ἐπὶ διαβεβλημένῃ μεταστάσει τοῦ λόγου προτρέπω, οὔτε μὴν ἐναντιότητι μειρακιώδει, ὡς ἄν τις εἴποι· ἀλλ' ἐπειδή σοι πολλάκις * πρὸ πολλοῦ εἴρηται, ὡς μεμαθήκαμεν, ὡς οὐκ ἐκτρεπόμενος τὴν εὐσεβῆ ταύτην διάνοιαν, μόνον τὸ ὄνομα παραιτῇ· εἰ δέ σοί τινες τῶν ἐν τῇ ἐκκλησίᾳ ἐπισήμων καὶ τοῦτο ὑπόθοιντο, οὐκ ἂν παραιτήσαιο ἀνενδοιάστως καὶ θεοτόκον τὴν ἁγίαν παρθένον εἰπεῖν. τούτου ἕνεκα ἐπὶ * τόσον σε προτρέπω * προσενεγκεῖν, ἐκκαλούμενος ὅπερ μεμαθήκαμεν μὴ διασφάλλεσθαί τε φρονοῦντα, προστιθέντα δὲ ῥῆμα πράγματι καὶ ὄνομα πολλοῖς τῶν πατέρων καὶ συντεθὲν, καὶ γραφὲν, καὶ ῥηθὲν· καὶ μὴ παραιτήσασθαι ῥῆμα ὅλως τὴν κατὰ ψυχὴν ἐλέγχον εὐσεβῆ διάνοιαν. τοῦτο γὰρ τὸ ὄνομα οὐδεὶς τῶν ἐκκλησιαστικῶν διδασκάλων παρῄτηται. οἵ τε γὰρ χρησάμενοι αὐτῷ πολλοὶ καὶ ἐπίσημοι, οἵ τε μὴ χρησάμενοι οὐκ ἐπελάβοντο τῶν χρησαμένων. καὶ μάτην ἡμεῖς, ὡς ἔοικε, δῆθεν ἀκριβείας περιττῆς ἕνεκα πρὸς αἱρετικὴν κακοδοξίαν μόνον βλεπούσης, τὰς συνειδήσεις τῶν ἀδελφῶν εἰς οὐδὲν δέον πληττομένας περιορώμεν, ὄνομα παραιτούμενοι, οὗ τὴν διάνοιαν εὖ καὶ καλῶς παραδεχόμεθα. εἰ γὰρ τὸ ἐξ αὐτοῦ σημαινόμενον μὴ παραδεχόμεθα, λείπεται περὶ πολλὰ ἡμᾶς διασφάλλεσθαι, μᾶλλον δὲ κινδυνεύειν περὶ τὴν ἄῤῥητον οἰκονομίαν τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ. ἀκολουθήσει γὰρ εὐθὺς τῇ τοῦ ὀνόμα-

* πρὸς πολλοῖς

* τὸ σὸν προσενεγκεῖν

ματος τούτου ἀναιρέσει, εἴτ' οὖν τῷ ἐξ αὐτοῦ σημαινομένῳ, τὸ μήτε Θεὸν εἶναι τὸν τὴν ἄῤῥητον οἰκονομίαν ὑπὲρ ἡμῶν ἀναδεξάμενον, μήτε μὴν τὸν Θεὸν λόγον κενώσαντα ἑαυτὸν εἰς τὴν τοῦ δούλου μορφὴν, ἄφατόν τι περὶ ἡμᾶς ἐπιδεδεῖχθαι φιλανθρωπίας μέγεθος· * ἅπερ αἱ θεῖαι γραφαὶ μάλιστα κυροῦσι τὴν εἰς ἡμᾶς φιλανθρωπίαν, ὅταν τὸν προαιώνιον καὶ συναΐδιον καὶ μονογενῆ τοῦ Θεοῦ υἱὸν ἐπὶ τὴν ἐκ παρθένου γέννησιν ἀπαθῶς τῷ λόγῳ κατάγωσι, κατὰ τὸ εἰρημένον τῷ θείῳ ἀποστόλῳ· ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ * γενόμενον ἐκ γυναικός. ἀποδεικνύντι σαφῶς τὴν τοῦ μονογενοῦς ἐκ παρθένου γέννησιν * ἀῤῥήτως, ὡς φθάσας ἔφην. ἀφ' ἧς γεννήσεως εἰ προσαγορεύοιτο ἡ παρθένος παρὰ τῶν πατέρων, ὥσπερ αὖ οὖν καὶ προσαγορεύεται τούτῳ τῷ ὀνόματι, οὐκ οἶδ' ὅτου χάριν τὴν οὐκ ἀναγκαίαν ταύτην ζήτησιν· καί μοι σύγγνωθι· καθ' ἑαυτῶν, καὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης, ὡς ὁρᾷς, ἀναδεδέγμεθα. κίνδυνος γὰρ οὐδεὶς ταὐτὰ λέγειν τε καὶ φρονεῖν τοῖς ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ εὐδοκιμήσασι διδασκάλοις, ὧν περιττὸν μὲν τὰ ὀνόματα ἀπαριθμεῖσθαι· ἐπίστασαι γὰρ αὐτοὺς οὐδενὸς ἧττον, ἐπειδὴ τῷ εἶναι αὐτῶν μαθητὴς αὐτός τε καὶ πάντες ἡμεῖς σεμνυνόμεθα.

Ταῦτα παρ' ἡμῶν συμβουλεύθητι, παρακαλῶ· ταῦτα πρᾶξαι παρακλήθητι. μὴ δῷς χώραν * καὶ νομὴν ἑρπούσῃ διαστάσει καινοτομεῖν. ἐννόησον γὰρ, ὡς εἰ πρὸς τῶν νῦν ἀποσταλέντων γραμμάτων οἱ πολλοὶ ἄσχετοι ἦσαν καθ' ἡμῶν, νῦν δραξάμενοι τῆς ἀπὸ τῶν γραμμάτων τούτων παῤῥησίας, τίνες οὐκ ἔσονται, καὶ ποίᾳ οὐ χρήσονται καθ' ἡμῶν παῤῥησίᾳ. ταῦτα ἐγὼ πολλοὺς τῶν θεοφιλεστάτων ἐπισκόπων, καὶ τῶν τῆς σῆς φιλοθείας ἐραστῶν * παρ' ἐμαυτὸν ἔχων, οἳ ἔτυχον παρεῖναι ἡμῖν τῶν γραμμάτων τούτων τῶν ἀπευκτῶν ἀποδοθέντων, νομίσας καὶ γνησίου ἔργον ποιεῖν κατὰ τὰς ἐμαυτοῦ ὑποσχέσεις, καὶ ἀδελφικῇ συμβουλίᾳ ἀνορθοῦν κάμνουσαν σοι ἐπὶ τοῦ παρόντος τὴν ὑπόληψιν, * ἐπέστειλα, εὐχόμενός σου τὴν φιλοθείαν ἀφιλονεικοτάτῃ γνώμῃ δέξασθαι, * ἢν μετὰ φόβου Θεοῦ καὶ φίλτρου τοῦ περὶ σὲ, καὶ τοῦ ἀσφαλοῦς ἕνεκα τῆς ἐκκλησίας εἰσηγησάμην. οὐ μόνος ὦν, ὡς ἔφην, ἀλλὰ γὰρ παρόντων μοι τῶν περὶ τὸν κύριόν μου τὸν θεοφιλέστατον ἐπίσκοπον Ἀρχέλαον, Ἀπριγγίου, Θεοδωρήτου, Ἡλιάδου, Μελετίου, καὶ τοῦ πρόσφατον τῇ τοῦ Θεοῦ χάριτι προβληθέντος τῇ Λαοδικέων τοῦ Θεοῦ ἐκκλησίᾳ ἐπισκόπου Μακαρίου· οἳ καὶ δογμάτων ἐντὸς ὑπάρχουσι, καὶ περὶ σὲ διαπύρως διάκεινται μεθ' ἡμῶν, εὐχόμενοί σε, δέσποτα, φρονήματι εὐπειθεῖ χρησάμενον στῆσαι τῶν γραμμάτων τούτων καθάπερ λαίλαπος σφοδροτέραν φοράν· ἱκανὴν, εἰ μὲν εἴξαιμεν, μὴ θολῶσαι, μηδὲ ταράξαι. εἰ δὲ * ἐντείνομεν, λυπῆσαι. ταῦτα, οἰκειούμενοι τὰ σὰ, ἡμεῖς μὲν ἐδηλώσαμεν, αὐτὸς δὲ καταδέξασθαι καὶ ἀσμενίσαι καταξίωσον· εἰ μὴ ἄρα τις οὐκ ἀγαπῶν ἡμᾶς, παρασκευάσει ἐπὶ βλάβῃ ἑαυτοῦ τε καὶ τοῦ κοινοῦ, καταφρονῆσαι τούτου τοῦ πράγματος. τὸ δοκοῦν, παρακαλῶ, ἀντιγράψαι καταξίωσον· μᾶλλον μὴ τὸ δοκοῦν, ἀλλὰ τὸ συμφέρον.

* Γρ. καίπερ
* γενόμενον Γαλ. 4. 4.
* ἄῤῥητον.
* καὶ νομὴν
* παρ' αὐτῷ
* ἀπέστειλα
* ἔσ. ἃ
* ἐνταίνομεν

ΚΕΦΑΛΑΙΟΝ κϛ'.

Ἴσον ἐπιστολῆς Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας πρὸς Νεστόριον περὶ τῆς ἀκοινωνησίας.

Τῷ εὐλαβεστάτῳ, καὶ θεοφιλεστάτῳ συλλειτουργῷ Νεστορίῳ, Κύριλλος καὶ ἡ συνελθοῦσα συνόδος ἐν Ἀλεξανδρείᾳ ἐκ τῆς Αἰγυπτιακῆς διοικήσεως ἐν κυρίῳ χαίρειν.

α'.

ΤΟΥ σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς· ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος· τί πάθωμεν ἡμεῖς, οἱ παρὰ τῆς σῆς εὐλαβείας ἀπαιτούμενοι τὸ ὑπεραγαπᾷν σε τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ; τίς ἡμᾶς ἐν ἡμέρᾳ κρίσεως ὀνῆσαι δυνήσεται; ἢ ποίαν εὑρήσομεν ἀπολογίαν, σιωπὴν οὕτω τιμήσαντες τὴν μακρὰν ἐπὶ ταῖς παρὰ σοῦ γενομένοις κατ' αὐτοῦ δυσφημίαις; καὶ εἰ μὲν σαυτὸν ἠδίκεις μόνον, τὰ τοιαῦτα φρονῶν καὶ διδάσκων, ἥττων ἂν ἦν ἡ φροντίς. ἐπειδὴ δὲ πᾶσαν ἐσκανδάλισας ἐκκλησίαν, καὶ ζύμην αἱρέσεως ἀήθους καὶ ξένης ἐμβέβληκας τοῖς λαοῖς, καὶ οὐχὶ τοῖς ἐκεῖσε * μόνον, ἀλλὰ γὰρ καὶ τοῖς ἁπανταχοῦ περιηνέχθη τῶν σῶν ἐξηγήσεων τὰ βιβλία, ποῖος ἔτι * τῶν παρ' ἡμῖν σιωπῆς ἀρκέσει λόγος; ἢ πῶς οὐκ ἀνάγκη μεμνῆσθαι τοῦ Χριστοῦ λέγοντος· μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν εἰρήνην, ἀλλὰ μάχαιραν. ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς. πίστεως γὰρ ἀδικουμένης, ἐῤῥέτω μὲν ὡς ἕωλος καὶ ἐπισφαλὴς ἡ πρὸς γονέας αἰδώς. ἠρεμείτω δὲ καὶ ὁ τῆς εἰς τέκνα καὶ ἀδελφοὺς φιλοστοργίας νόμος, καὶ τοῦ ζῆν ἀμείνων * ἔστω λοιπὸν τοῖς εὐσεβέσιν ὁ θάνατος, ἵνα κρείττονος ἀναστάσεως τύχωσι κατὰ τὸ γεγραμμένον.

Ματθ. 10. 37.
* μόνοις
* ταῖς παρ' ἡμῶν σιωπαῖς
Ματθ. 10. 34.
* ἔσται
Εβρ. 11. 35.

β'.

Ἰδοὺ τοίνυν ἅμα τῇ ἁγίᾳ συνόδῳ τῇ κατὰ τὴν μεγάλην Ῥώμην συνειλεγμένῃ, προεδρεύοντος τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Κελεστίνου τοῦ ἐπισκόπου, καὶ τρίτῳ σοι τούτῳ διαμαρτυρόμεθα γράμματι, συμβουλεύοντες ἀποσχέσθαι μὲν τῶν οὕτω σκαιῶν καὶ διεστραμμένων δογμάτων. ἃ καὶ φρονεῖς καὶ διδάσκεις, ἀνθελέσθαι δὲ τὴν ὀρθὴν πίστιν τὴν ταῖς ἐκκλησίαις παραδοθεῖσαν ἐξ ἀρχῆς διὰ τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν, οἳ καὶ αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου γεγόνασι. καὶ εἰ μὴ τοῦτο δράσειεν ἡ σὴ εὐλάβεια,

Λακ. 1. 2.

βεια, κατὰ τὴν ὀφειλομένην προθεσμίαν ἐν τοῖς γράμμασι τοῦ μνημονευθέντος ὁσιωτάτου καὶ θεοσεβεστάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν τοῦ τῆς Ῥωμαίων ἐκκλησίας ἐπισκόπου Κελεστίνου, γίνωσκε σαυτὸν οὐδενὰ κλῆρον ἔχοντα μεθ' ἡμῶν, οὐδὲ τόπον ἢ λόγον ἐν τοῖς ἱερεῦσι τοῦ Θεοῦ καὶ ἐπισκόποις. οὐδὲ γὰρ ἐνδέχεται περιοδεῖν ἡμᾶς ἐκκλησίας οὕτω τεθορυβημένας, καὶ σκανδαλιζομένους λαοὺς, καὶ πίστιν ὀρθὴν ἀθετουμένην, καὶ διασπώμενα παρὰ σοῦ τὰ ποίμνια τοῦ σώζειν ὀφείλοντος, εἴπερ ἦθα καθ' ἡμᾶς ὀρθῆς δόξης ἐρασὴς, τὴν τῶν ἁγίων πατέρων ἐκνηλατηθεῖσαν δυσέβειαν. ἅπασι δὲ τοῖς παρὰ τῆς σῆς βλαβείας κεχωρισμένοις διὰ τὴν πίστιν, ἢ καθαιρεθεῖσι λαϊκοῖς τε καὶ κληρικοῖς, κοινωνικοὶ πάντες ἐσμέν· οὐ γάρ ἐστι δίκαιον τοὺς ὀρθὰ φρονεῖν ἐγνωκότας σαῖς ἀδικεῖσθαι ψήφοις, ὅτι * οἱ καλῶς ποιοῦντες ἀντεῖρήκασι. τοῦτο γὰρ αὐτὸ καταμεμώμηκας ἐν τῇ ἐπιστολῇ τῇ γραφείσῃ παρὰ σοῦ πρὸς τὸν τῆς μεγάλης Ῥώμης ἁγιώτατον καὶ συνεπίσκοπον ἡμῶν Κελεστῖνον. οὐκ ἀρκέσει δὲ τῇ σῇ βλαβείᾳ τὸ συνομολογῆσαι μόνον τὸ τῆς πίστεως σύμβολον, τὸ ἐκτεθὲν κατὰ καιροὺς ἐν ἁγίῳ πνεύματι παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς κατὰ καιρὸν συναχθείσης ἐν τῇ Νικαέων. νενόηκας γὰρ καὶ ἡρμήνευσας οὐκ ὀρθῶς αὐτὸ, διεστραμμένως δὲ μᾶλλον, κἂν ὁμολογῇς τῇ φωνῇ τὴν λέξιν. ἀλλὰ γὰρ ἀκόλουθον ἐγγράφως καὶ ἐνωμότως ὁμολογῆσαι, ὅτι καὶ ἀναθεματίζεις μετὰ τὰ μιαρὰ σαυτοῦ καὶ βέβηλα δόγματα. φρονήσεις δὲ καὶ διδάξεις, ἃ καὶ ἡμεῖς πάντες, οἵ τε κατὰ τὴν ἑσπέραν καὶ τὴν ἑῴαν ἐπίσκοποι, καὶ διδάσκαλοι, καὶ λαῶν ἡγούμενοι. συνέθετο δὲ καὶ ἡ κατὰ τὴν Ῥώμην ἁγία σύνοδος, καὶ ἡμεῖς ἅπαντες, ὡς ὀρθῶς ἐχούσαις καὶ ἀνεπιλήπτως, ταῖς γραφείσαις ἐπιστολαῖς πρὸς τὴν σὴν βλάβειαν παρὰ τῆς Ἀλεξανδρέων ἐκκλησίας. ὑπετάξαμεν δὲ τούτοις ἡμῶν τοῖς γράμμασιν ἃ δεῖ φρονεῖν καὶ διδάσκειν, καὶ ὧν ἀπέχεσθαι προσήκει. αὕτη γὰρ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἡ πίστις, ἣν συναινοῦσιν ἅπαντες οἵ τε κατὰ τὴν ἑσπέραν καὶ τὴν ἑῴαν ὀρθόδοξοι ἐπίσκοποι.

* vel utramque abest a MS. Seguieriano.

γ'.

Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, γεννηθέντα ἐκ τοῦ πατρὸς, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρὸς· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ. γεννηθέντα, οὐ ποιηθέντα, * ὁμοούσιον τῷ πατρί. δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα· παθόντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. τοὺς δὲ λέγοντας· ἦν ποτε ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας τινὸς ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, καὶ ῥεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. ἑπόμενοι δὲ πανταχοῦ ταῖς τῶν ἁγίων πατέρων ὁμολογίαις, * αἳ πεποίηνται λαλοῦντος ἐν αὐτοῖς τοῦ ἁγίου πνεύματος, καὶ τὸν τῶν ἐν αὐτοῖς ἐννοιῶν ἐκνηλατοῦντες σκοπὸν, καὶ βασιλικὴν ὥσπερ ἐρχόμενοι τείβον, φαμέν· ὅτι αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, ὁ ἐξ αὐτῆς γεννηθεὶς τῆς οὐσίας τοῦ πατρὸς, ὁ ἐκ Θεοῦ ἀληθινοῦ Θεὸς ἀληθινὸς, τὸ φῶς τὸ ἐκ φωτὸς, ὁ δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ, τῆς ἡμετέρας ἕνεκα σωτηρίας κατελθὼν, καὶ καθεὶς ἑαυτὸν εἰς κένωσιν, ἐσαρκώθητε καὶ ἐνηνθρώπησε, τουτέστι σάρκα λαβὼν ἐκ τῆς ἁγίας παρθένου, καὶ ἰδίαν αὐτὴν ποησάμενος ἐκ μήτρας, τὴν καθ' ἡμᾶς ὑπέμεινε γέννησιν, καὶ προῆλθεν ἄνθρωπος ἐκ γυναικὸς, οὐχ ὅπερ ἦν ἀποβεβλημένως, ἀλλ' εἰ καὶ γέγονεν ἐν προσλήψει σαρκὸς καὶ αἵματος, καὶ οὕτω μεμυημένως ὅπερ ἦν, Θεὸς δηλονότι φύσει καὶ ἀληθείᾳ. ὅτε δὲ τὴν σάρκα φαμὲν εἰς θεότητος ῥαπῆναι φύσιν, ὅτε μὴν σαρκὸς εἰς φύσιν τὴν ἀπόῤῥητον Θεοῦ λόγου * παραχθῆναι φύσιν. * ἄῤῥεπτος γάρ ἐστι καὶ ἀναλλοίωτος παντελῶς μένων ὁ αὐτὸς ἀεὶ * ὢν κατὰ τὰς γραφάς. ὁρίζομεν δὲ, καὶ βρέφος ἐν σπαργάνοις μένων, ἔτι καὶ ἐν κόλποις τῆς τεκούσης παρθένου πᾶσαν ἐπλήρου τὴν κτίσιν, ὡς Θεὸς, καὶ σοφίᾳ τῷ γεγεννηκότι. τὸ γὰρ θεῖον ἄπόσον τέ ἐστι καὶ ἀμέγεθες, καὶ περιορισμὸν οὐκ ἀνέχεται.

* μετειληφότος. * ἐκτρίπτου μένων.

δ'.

Ἡνωθαί γε μὲν σαρκὶ καθ' ὑπόστασιν ὁμολογοῦντες τὸν λόγον, σέβομεν υἱὸν καὶ κύριον Ἰησοῦν Χριστὸν, ὅτε ἀνὰ μέρος τιθέντες καὶ διορίζοντες ἄνθρωπον καὶ Θεὸν, * ὅτε συνημμένους μᾶλλον ἀλλήλοις τῇ τῆς ἀξίας καὶ αὐθεντίας ἑνότητι· * καινοφωνία γὰρ τοῦτο, καὶ ἕτερον οὐδέν· ὅτε μὲν Χριστὸν ἰδικῶς ὀνομάζοντες τὸν ἐκ Θεοῦ λόγον, καὶ ὁμοίως ἰδικῶς Χριστὸν ἕτερον τὸν ἐκ γυναικός· ἀλλ' ἕνα μόνον εἰδότες Χριστὸν, τὸν ἐκ Θεοῦ πατρὸς λόγον μετὰ τῆς ἰδίας σαρκός. τότε γὰρ ἀνθρωπίνως ἔχειν μεθ' ἡμῶν, καί τοι τοῖς ἀξίοις τοῦ λαβεῖν τὸ πνεῦμα δοθὲς αὐτὸς, καὶ οὐκ ἐκ μέρους, καθάφησιν ὁ μακάριος εὐαγγελιστὴς Ἰωάννης· ἀλλ' ὅδ' ἐκεῖνο φαμὲν, ὅτι κατῴκησεν ὁ ἐκ Θεοῦ λόγος ὡς ἐν ἀνθρώπῳ κοινῷ τῷ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένῳ, ἵνα μὴ θεοφόρος ἄνθρωπος νοῆται Χριστός. εἰ γὰρ καὶ ἐσκήνωσεν ἐν ἡμῖν ὁ λόγος· εἴρηται δὲ καὶ ἐν Χριστῷ κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· ἀλλ' ὃν ἐννοοῦμεν, ὅτι γενόμενος σὰρξ, οὐχ ὥσπερ ἐν τοῖς ἁγίοις

* ὅτε ἐστίν. al. τὸν αὐτόν.

* ὅτε.

* καινοφωνία.

Γαλ. 2. 14.

Γαλ. 2. 14. Κολασσ. 2. 9.

ἁγίοις κατοικῆσαι λέγεται, κατὰ τὸν ἴσον καὶ ὁμοίως τρόπον γενέσθαι διορίζόμεθα τῷ κατοίκησιν. ἀλλ' σωθεὶς κατὰ φύσιν, καὶ ὡς ἐκ εἰς σάρκα βαπεὶς, τοιούτῳ ἐποιήσατο τῷ κατοίκησιν, ἵν' ἂν ἔχειν λέγοιτο καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ πρὸς τὸ ἴδιον ἑαυτῆς σῶμα.

ε.

Εἷς οὖν ἄρα Χριστὸς, καὶ υἱὸς καὶ κύριος, οὐχ ὡς συναφείαν ἁπλῶς τῷ ὡς Θεὸν ὁμότητι τῆς ἀξίας, ἥγουν αὐθεντίας, ἔχοντος ἀνθρώπου πρὸς Θεόν. ὁ γὰρ σοὶ τὰς φύσεις ἡ ἰσοτιμία· καὶ γοῦν Πέτρος τε καὶ Ἰωάννης ἰσότιμοι μὲν ἀλλήλοις, καθὸ καὶ ἀπόστολοι καὶ ἅγιοι μαθηταὶ, πλὴν οὐκ εἷς οἱ δύο. ὅτε μὲν κατὰ παράθεσιν τὸν τῆς συναφείας νοῦμεν τρόπον· οὐκ ἀπόχρη γὰρ τοῦτο πρὸς σύνωσιν φυσικήν. ὅτε μὲν ὡς κατὰ μέθεξιν χετικὴν, ὡς καὶ ἡμεῖς κολλώμενοι τῷ κυρίῳ κατὰ τὸ γεγραμμένον, Ὁ πνεῦμα ἓν μετ' αὐτόν. μᾶλλον δὲ τὸ τῆς συναφείας ὄνομα παραιτούμεθα, ὡς οὐκ ἔχον ἱκανῶς σημαίνειν τὴν σύνωσιν. ἀλλ' οὐδὲ Θεὸν, ἢ δεσπότην τὸν ἐκ Θεοῦ πατρὸς λόγον ὀνομάζομεν, ἵνα μὴ πάλιν ἀναφανδὸν τέμνωμεν εἰς δύο τὸν σὸν Χριστὸν τὸν υἱὸν καὶ κύριον, καὶ δυσφημίας ἐγκλήματι περιπέσωμεν, Θεὸν ἑαυτοῦ καὶ δεσπότην ποιοῦντες αὐτόν· ἑνωθεὶς γὰρ, ὡς ἤδη προεῖπομεν, ὁ τοῦ Θεοῦ λόγος σαρκὶ καθ' ὑπόστασιν, Θεὸς μὲν ἐστὶ πάντων, δεσπόζει δὲ τοῦ παντός. ὅτε δὲ αὐτὸς ἑαυτοῦ δοῦλός ἐστιν, ὅτε δεσπότης. εὐηθες γὰρ, μᾶλλον δὲ ἤδη καὶ δυσσεβὲς τὸ ὅτῳ φρονεῖν καὶ λέγειν. ἕφη μὲν γὰρ Θεὸν ἑαυτοῦ τὸν πατέρα, καὶ τοι Θεὸς ὢν φύσει, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ· ἀλλ' οὐκ ἠγνοήκαμεν, ὅτι μὴ τοῦ εἶναι Θεὸς, καὶ ἄνθρωπος γέγονεν ὑπὸ Θεῷ, κατάγει τὸν πρέποντα νόμον τῇ τῆς ἀνθρωπότητος φύσει. αὐτὸς δὲ ἑαυτοῦ πῶς ἂν γένοιτο Θεὸς ἢ δεσπότης; οὐκοῦν ὡς ἄνθρωπος, καὶ ὅσον ἦκεν εἰς γε τὸ πρέπον τοῖς τῆς κενώσεως μέτροις, ὑπὸ Θεῷ μεθ' ἡμῶν ἑαυτὸν εἶναί φησιν. ὅτῳ γέγονε καὶ ὑπὸ νόμον, καί τοι λαλήσας αὐτὸς τὸν νόμον, καὶ νομοθέτης ὑπάρχων ὡς Θεός.

Ἰωάν. 20. 17.

Γαλ. 4. 4

ς'.

Παραιτέμεθα δὲ λέγειν ἐπὶ Χριστοῦ. δίχα τὸν φοροῦντα τὸν φορούμενον σέβω· διὰ τὸν ἀόρατον προσκυνῶ τὸν ὁρώμενον. φευκτὸν δὲ πρὸς τούτῳ καὶ ἐκεῖνο εἰπεῖν· ὁ ληφθεὶς τῷ λαβόντι συγχρηματίζει Θεός. ὁ γὰρ τοῦτο λέγων διατέμνει πάλιν εἰς δύο Χριστὸς, καὶ ἄνθρωπον ἰσησιν ἀνὰ μέρος ἰδικῶς, καὶ Θεὸν ὁμοίως. ἀρνεῖται γὰρ ὁμολογουμένως τὴν ἕνωσιν, καθ' ἣν οὐχ ὡς ἕτερος ἐν ἑτέρῳ συμπροσκυνεῖταί τις, ὅτε μὲν συγχρηματίζει Θεὸς, ἀλλ' εἷς νοεῖται Χριστὸς Ἰησοῦς, υἱὸς μονογενὴς, μιᾷ προσκυνήσει τιμώμενος μετὰ τῆς ἰδίας σαρκός. ὁμολογοῦμεν δὲ ὅτι αὐτὸς ὁ ἐκ Θεοῦ πατρὸς γεννηθεὶς υἱὸς, καὶ Θεὸς μονογενὴς, καίτοι κατὰ φύσιν ἰδίαν ὑπάρχων ἀπαθὴς, σαρκὶ πέπονθεν ὑπὲρ ἡμῶν κατὰ τὰς γραφὰς, καὶ ἦν ἐν τῷ σαρωθέντι σώματι τὰ τῆς ἰδίας σαρκὸς ἀπαθῶς οἰκειούμενος πάθη· χάριτι δὲ Θεοῦ καὶ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, διδοὺς αὐτῷ τὸ ἴδιον σῶμα, καί τοι κατὰ φύσιν ὑπάρχων ζωὴ, καὶ αὐτὸς ὢν ἡ ἀνάστασις· ἵνα γὰρ ἀρρήτῳ διυάμει πατήσας τὸν θάνατον, ὡς ἐν γε δὴ πρώτῃ τῇ ἰδίᾳ σαρκὶ, γένηται πρωτότοκος ἐκ νεκρῶν, καὶ ἀπαρχὴ τῶν κεκοιμημένων. ὁδοποιήσῃ τε τῇ τοῦ ἀνθρώπου φύσει τῷ εἰς ἀφθαρσίαν ἀναδρομὴν, χάριτι Θεοῦ, καθάπερ ἔφημεν ἀρτίως, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου· τετίμηκε δὲ ἀνεβίω σκυλεύσας τὸν ᾅδην· ὥστε κἂν λέγηται δι' ἀνθρώπου γεγενῆσθαι ἡ ἀνάστασις τῶν νεκρῶν, ἀλλὰ νοοῦμεν ἄνθρωπον τὸν ἐκ Θεοῦ γεγονότα λόγον, καὶ λελύσθαι δι' αὐτοῦ τὸν θανάτου τὸ κράτος· ἥξει δὲ κατὰ καιροὺς ὡς εἷς υἱὸς καὶ κύριος ἐν τῇ δόξῃ τοῦ πατρὸς, ἵνα κρίνῃ τὸν οἰκουμένην ἐν δικαιοσύνῃ, καθὰ γέγραπται. ἀναγκαίως δὲ κἀκεῖνο προσθήσομεν.

Κολασσ. 1. 18. 1. Κορ. 15. 20.

1. Κορ. 15. 21.

Ψαλμ. 97. 9.

ζ.

Καταγγέλλοντες γὰρ τὸν κατὰ σάρκα θάνατον τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, τουτέστιν Ἰησοῦ Χριστοῦ, τήν τε ἐκ νεκρῶν ἀναβίωσιν, καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν ὁμολογοῦντες, τὴν ἀναίμακτον ἐν ταῖς ἐκκλησίαις τελοῦμεν * θυσίαν· προσιμεν τε οὕτω ταῖς μυστικαῖς εὐλογίαις καὶ ἁγιαζόμεθα, μέτοχοι γινόμενοι τῆς τε ἁγίας σαρκὸς, καὶ τοῦ τιμίου αἵματος τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ. καὶ οὐχ ὡς σάρκα κοινὴν δεχόμενοι· μὴ γένοιτο· οὔτε μὴν ὡς ἀνδρὸς ἡγιασμένου, καὶ συναφθέντος τῷ λόγῳ κατὰ τὴν ἑνότητα τῆς ἀξίας, ἤγουν ὡς θείαν οἴκησιν ἐσχηκότος· ἀλλ' ὡς ζωοποιὸν ἀληθῶς, καὶ ἰδίαν αὐτοῦ τοῦ λόγου· ζωὴ γὰρ ὢν κατὰ φύσιν ὡς Θεὸς, ἐπειδὴ γέγονεν ἓν πρὸς τὸν ἑαυτοῦ σάρκα, ζωοποιὸν ἀπέφηνεν αὐτήν. ὥστε κἂν λέγῃ πρὸς ἡμᾶς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα· οὐχ ὡς ἀνθρώπου * τῆς καθ' ἡμᾶς ἑνὸς καὶ αὐτοῦ εἶναι· τοῦ. λογιζόμεθα· πῶς γὰρ ἡ ἀνθρώπου σὰρξ ζωοποιὸς ἔσαι κατὰ φύσιν τὸν ἑαυτῆς; ἀλλ' ὡς ἰδίαν ἀληθῶς γνησίαν τοῦ δι' ἡμᾶς καὶ * υἱοῦ καὶ ἀνθρώπου γεγονότος τε καὶ χρηματίσαντος.

1. Κορ. 11. 26.

Ἰωάν. 6. 53.

* λατρίαν.

* καὶ υἱοῦ ἀνθρ.

η.

Τὰς δέ γε ἐν τοῖς Εὐαγγελίοις τοῦ σωτῆρος ἡμῶν φωνὰς ὅτε ὑποστάσεσι δυσὶν, ὅτε μὲν προσώποις καταμερίζομεν. οὐδὲ γὰρ ἔστι διπλοῦς ὁ εἷς καὶ μόνος Χριστὸς, κἂν ἐκ δύο νοῆται καὶ διαφόρων πραγμάτων εἰς σύνωσιν τὴν ἀμέιστον συνελθόντων, καθάπερ ἀμέλει καὶ ἄνθρωπος ἐκ ψυχῆς νοεῖται καὶ σώματος, καὶ οὐ διπλοῦς μᾶλλον, ἀλλ' εἷς ἐξ ἀμφοῖν· ἀλλὰ τὰς γε

γε ἀνθρωπίνας, ἢ προς γε τοῦτο τὰς θεί-
* γρ. περὶ ἐκείνης
κὰς, * παρ' ἑνὸς εἰρῆσθαι δύσκεισόμεθα φρο-
γοῦντες ὀρθῶς. ὅταν μὲν γὰρ θεοπρεπῶς λέ-
Γαλ. 14. 9. Γαλ. 10. 30. γῃ περὶ ἑαυτοῦ· ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν
πατέρα· καὶ, ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμεν· τὴν
θείαν αὐτοῦ καὶ ἀπόῤῥητον ἑνοῦσαν φύσιν, καθ'
ἣν καὶ ἕν ἐστι πρὸς τὸν ἑαυτοῦ πατέρα διὰ τὴν
Εβρ. 1. 3. ταυτότητα τῆς οὐσίας, εἰκών τε καὶ χαρακτὴρ καὶ
Ρωμ. 8. 40. ἀπαύγασμα τῆς δόξης αὐτοῦ. ὅταν δὲ τὸ τῆς
ἀνθρωπότητος μέσον οὐκ ἀτιμάζων, τοῖς Ἰου-
δαίοις προσλαλῇ· νῦν δέ με ζητεῖτε ἀποκτεῖ-
ναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάλη-
κα· πάλιν οὐδὲν ἧττον αὐτὸν τὸν ἐν ἰσότητί τε
καὶ ὁμοιότητι τοῦ πατρὸς Θεὸν λόγον καὶ ἐκ τῆς
τῆς ἀνθρωπότητος αὐτοῦ μέσων ἐπιγινώσκομεν.
εἰ γὰρ ἐστιν ἀναγκαῖον τὸ πιστεύειν, ὅτι κατὰ
φύσιν Θεὸς ὢν γέγονε σάρξ, ἤγουν ἄνθρωπος
ἐμψυχωμένος ψυχῇ λογικῇ, ποῖον ἂν ἔχοι λό-
γον τὸ ἐπαισχύνεσθαί τινα ταῖς παρ' αὐτοῦ φω-
ναῖς, εἰ γεγόνασιν ἀνθρωποπρεπῶς; εἰ γὰρ
παραιτοῖτο τοὺς ἀνθρώπῳ πρέποντας λόγους,
τίς ὁ ἀναγκάσας γενέσθαι καθ' ἡμᾶς ἄνθρω-
πον; ὁ δὲ καθεὶς ἑαυτὸν δι' ἡμᾶς εἰς ἐκένωσιν,
διὰ ποίαν αἰτίαν προαιτοῖτ' ἂν τοὺς
τῇ κενώσει πρέποντας λόγους; ἐνὶ τοιγαροῦν προ-
σώπῳ τοὺς ἐν τοῖς Εὐαγγελίοις πάσας ἀναθετέον
φωνάς, ὑποστάσει μιᾷ τῇ τοῦ λόγου σεσαρκω-
1. Κορ. 8. 6. Εφ. 3. μένῃ. εἷς γὰρ Ἰησοῦς Χριστὸς εἰς κατὰ τὰς
γραφάς.

ϑ'.

Εἰ δὲ δὴ καλοῖτο καὶ ἀπόστολος καὶ ἀρχιερεὺς
τῆς ὁμολογίας ἡμῶν, ὡς ἱερουργῶν τῷ Θεῷ καὶ πα-
τρὶ τὸν πρὸς ἡμῶν αὐτῷτε καὶ δι' αὐτοῦ τῷ Θεῷ καὶ
πατρὶ προσκομιζόμενον τῆς πίστεως ὁμολογίαν,
καὶ μὲν καὶ εἰς τὸ ἅγιον πνεῦμα, πάλιν αὐτὸν εἶ-
ναί φαμεν τὸν ἐκ Θεοῦ κατὰ φύσιν υἱὸν μονογενῆ,
κατηρτισμένου ἢ Χρι- τὸν ἐκ ἀνθρώπου * προσνέμομεν παρ' αὐτὸν ἕτερον
στόν. ἢ αὖτις δὲ τὸ τε τῆς ἱερωσύνης ὄνομα, * καὶ αὐτὸ δὲ χρῆμα· ἦν γέγονε γὰρ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, καὶ ὁμολο-
Εφ. 5. 2. λογητὴς εἰς εἰρήνην, ἑαυτὸν ἀναθεὶς εἰς ὀσμὴν εὐω-
δίας τῷ Θεῷ καὶ πατρί. τοιγάρτοι καὶ ἔφασκε·
Ψαλ. 2. 7. θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ
κατηρτίσω μοι. ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας
Εβρ. 10. 5. Γεν. 39. οὐκ ἐδόκησας. τότε εἶπον, ἰδοὺ ἥκω· ἐν κε-
φαλίδι βιβλίου γέγραπταί περὶ ἐμοῦ· τοῦ ποιῆ-
σαι τὸ θέλημά σου ὁ Θεός. προσεκομίζετο γὰρ
ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τὸ ἴδιον σῶμα,
καὶ οὐχ ὑπὲρ ἑαυτοῦ. ποίας γὰρ ἐδεήθη προσφο-
ρᾶς ἢ θυσίας ὑπὲρ ἑαυτοῦ, κρείττων ἁπάσης ὑπάρ-
χων ἁμαρτίας ὡς Θεός; εἰ γὰρ πάντες ἥμαρ-
Ρωμ. 3. 23. τον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, καθὸ
γεγόναμεν ἡμεῖς ἕτοιμοι πρὸς παραφοράν, καὶ
κατηρρώστησεν ἡ ἀνθρώπου φύσις τὴν ἁμαρτίαν·
αὐτὸς δὲ οὐχ ὅπως, καὶ ἡττώμεθα διὰ τοῦτο τῆς
δόξης αὐτοῦ. πῶς ἂν εἴη λοιπὸν ἀμφίβολον, ὅτι
πέπωται δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ὁ ἀμνὸς ὁ ἀλη-
θινός; καὶ τὸ λέγειν δὲ, ὅτι προσεκόμιζεν ἑαυ-
τὸν ὑπέρ γε ἑαυτοῦ καὶ ἡμῶν, ἀμοιρήσειεν ἂν ὑδα-

μῶς τῆς εἰς δυσσέβειαν ἐγκλημάτων. πεπλημ-
μέληκε γὰρ κατ' οὐδενὰ τρόπον, οὔτε μὴν ἐποίη-
σεν ἁμαρτίαν. * ποίας οὖν ἐδεήθη προσφορᾶς, * οὐκ
ἁμαρτίας οὐκ ὄντος, ἐφ' ᾗπερ ἂν γένοιτο καὶ μά-
λα εἰκότως;

ι.

Ὅταν δὲ λέγῃ περὶ τοῦ πνεύματος· ἐκεῖνος Γαλ. 16. 14.
ἐμὲ δοξάσει· νοοῦντες ὀρθῶς, οὐχ ὡς δόξης
ἐπιδεᾶ τῆς παρ' ἑτέρου φαμὲν τὸν ἕνα Χριστὸν καὶ
υἱὸν τὴν παρὰ τοῦ ἁγίου πνεύματος δόξαν ἐλεῖν,
ὅτι μηδὲ κρεῖττον αὐτοῦ, καὶ ὑπὲρ αὐτὸν τὸ
πνεῦμα αὐτοῦ. ἐπειδὴ δὲ εἰς ἔνδειξιν τῆς ἑαυ-
τοῦ θεότητος * ἐκέχρητο τῷ ἁγίῳ πνεύμα- * ἐχρῆτο τῷ
τι πρὸς μεγαλουργίαν, δεδοξάσθαι παρ' αὐ- ἁγίῳ πνεύμα-
τοῦ φησιν, ὥσπερ ἂν εἴ καί τις λέγοι τῷ τι,
καθ' ἡμᾶς περὶ τῆς ἐνούσης ἰσχύος αὐτῷ τυ-
χὸν, ἢ γοῦν ἐπιστήμης τῆς ἐφ' ὁτῳοῦν, ὅτι
δοξάσουσί με. εἰ γὰρ καὶ ἔστιν ὃν ὑποστάσει τὸ πνεῦ-
μα ἰδικῇ, καὶ δὴ καὶ νοεῖται καθ' ἑαυτὸ, καθὸ
πνεῦμά ἐστι καὶ οὐχ υἱὸς, ἀλλ' οὖν ἔστιν ἐκ ἀλλοτρίου
αὐτοῦ. πνεῦμα γὰρ ἀληθείας ὠνόμασται, καὶ ἔστι
Χριστὸς ἡ ἀλήθεια· καὶ προχεῖται παρ' αὐτοῦ, κα- Γαλ. 16. 13.
θάπερ ἀμέλει καὶ ἐκ τοῦ θεοῦ καὶ πατρός. ἐνεργή- Γαλ. 14. 6.
σαν τοιγαροῦν τὸ πνεῦμα καὶ διὰ χειρὸς τῶν ἁγίων
ἀποστόλων τὰ παράδοξα μετὰ τὸ ἀνελθεῖν τὸν κύ-
ριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τὸν οὐρανὸν, ἐδόξα-
σεν αὐτόν. ἐπισταθῆ γὰρ, ὅτι θεὸς κατὰ φύ-
σιν ἐστὶ, πάλιν αὖτὸς ἐνεργῶν διὰ τοῦ ἰδίου πνεύ-
ματος. διὰ τοῦτο καὶ ἔφασκεν· ὅτι ἐκ τοῦ ἐμοῦ Γαλ. 16. 14.
λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. καὶ ἔτι πρὸς φαμὲν,
ὡς ἐκ μετοχῆς τὸ πνεῦμά ἐστι σοφόν τε καὶ δυνα-
τόν· παντέλειον γὰρ καὶ ἀπροσδεές ἐστι παντὸς ἀγα-
θοῦ. ἐπειδὴ δὲ τῆς τοῦ παρὸς δυνάμεως καὶ σο-
φίας, τουτέστι τοῦ υἱοῦ, πνεῦμά ἐστιν, αὐτόχρημά
ἐστι σοφία καὶ δύναμις.

ια.

Καὶ ἐπειδὴ Θεὸν ἐνωθεῖσα σαρκὶ καθ' ὑπόστα-
σιν ἡ ἁγία παρθένος ἐκτέτοκε σαρκικῶς, τοιγά-
ρτοι καὶ θεοτόκον εἶναί φαμεν αὐτὴν, οὐχ ὡς τῆς Γαλ. 1.
τοῦ λόγου φύσεως τὴν τῆς ὑπάρξεως ἀρχὴν ἐσχη-
κυίας ἀπὸ σαρκός· ἦν γὰρ ἐν ἀρχῇ, καὶ θεὸς
ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν. Γαλ. 1.
καὶ αὐτός ἐστι τῶν αἰώνων ὁ ποιητὴς, σωματικῶς
τῷ παντὶ, καὶ τῶν ὅλων δημιουργός· ἀλλ' ὡς ἤδη
προεῖπομεν, ἐπειδὴ καθ' ὑπόστασιν ἑνώσας ἑαυ-
τῷ τὸ ἀνθρώπινον, καὶ ἐκ μήτρας αὐτῆς γέννησιν
ὑπέμεινε σαρκικὴν, οὐχ ὡς δεηθεὶς ἀναγκαίως,
ἤτοι διὰ τὴν ἰδίαν φύσιν, τῆς ἐν χρόνῳ καὶ ἐν
ἐσχάτοις τοῦ αἰῶνος καιροῖς γεννήσεως· ἀλλ' ἵνα
καὶ αὐτὴν τῆς ὑπάρξεως ἡμῶν ἀλογήσῃ τὴν ἀρ-
χὴν, καὶ τεκούσης γυναικὸς αὐτὸν ἑνωθέντα σαρ-
κὶ, παύσηται λοιπὸν ἡ κατὰ πάντος τοῦ γένους
ἀρὰ, πέμπουσα πρὸς θάνατον τὰ ἐκ γῆς ἡμῶν
σώματα· καὶ τὸ, ἐν λύπαις τέξῃ τέκνα, δι' αὐ-
τοῦ καταργούμενον, ἀληθὲς ἀποφαίνῃ τὸ διὰ τῆς
τοῦ προφήτου φωνῆς· κατέπιεν ὁ θάνατος ἰσχύ- Γενεσ. 3. 16.
σας

Ἡσαΐ. 25. 8. σας. καὶ πάλιν· ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου. ταύτης γὰρ ἕνεκα τῆς αἰτίας φαμὲν αὐτὸν οἰκονομικῶς καὶ αὐτὸν εὐλογῆσαι τὸν γάμον, καὶ ἀπελθεῖν κεκλημένον ἐν Κανᾷ τῆς Γαλιλαίας ὁμοῦ τοῖς ἁγίοις ἀποστόλοις. ταῦτα φρονεῖν δεδιδάγμεθα παρὰ τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν, καὶ πάσης δὲ τῆς θεοπνεύστου γραφῆς, καὶ ἐκ τῆς τῶν μακαρίων πατέρων ἀληθοῦς ὁμολογίας. τούτοις ἅπασι καὶ τὴν σὴν εὐλάβειαν συναινέσαι χρὴ, καὶ συνθέσθαι δίχα * δόλου παντός. ἃ δέ ἐστιν ἀναγκαῖον ἀναθεματίσαι τὴν σὴν εὐλάβειαν, ὑποτέτακται τῇδε ἡμῶν τῇ ἐπιστολῇ.

Γαλ. 2.

* λόγου

α΄. Εἴ τις οὐχ ὁμολογεῖ Θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ, καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον· γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ Θεοῦ λόγον· ἀνάθεμα ἔστω.

β΄. Εἴ τις οὐχ ὁμολογεῖ, σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ Θεοῦ πατρὸς λόγον, ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκὸς, τὸν αὐτὸν δηλονότι Θεὸν ὁμοῦ καὶ ἄνθρωπον· ἀνάθεμα ἔστω.

γ΄. Εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν, ἤγουν * αὐθεντίᾳ ἢ δυναστείᾳ, καὶ οὐχὶ δὴ μᾶλλον συνόδῳ τῇ καθ' ἕνωσιν φυσικήν· ἀνάθεμα ἔστω.

* αὐθεντίαν ἢ δυναστείαν.

δ΄. Εἴ τις προσώποις δυσὶν, ἤγουν ὑποστάσεσι, τάς τε ἐν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς συγγράμμασι διανέμει φωνὰς, ἢ ἐπὶ Χριστῷ παρὰ τῶν ἁγίων λεγομένας, ἢ παρ' αὐτοῦ περὶ ἑαυτοῦ. καὶ τὰς μὲν ὡς ἀνθρώπῳ παρὰ τὸν ἐκ Θεοῦ λόγον ἰδικῶς νοουμένῳ προσάπτει, τὰς δὲ ὡς θεοπρεπεῖς μόνῳ τῷ ἐκ Θεοῦ πατρὸς λόγῳ· ἀνάθεμα ἔστω.

ε΄. Εἴ τις τολμᾷ λέγειν θεοφόρον ἄνθρωπον τὸν Χριστὸν, καὶ οὐχὶ δὴ μᾶλλον Θεὸν εἶναι κατὰ ἀλήθειαν, ὡς υἱὸν ἕνα καὶ φύσει, καθὸ γέγονε σὰρξ ὁ λόγος, καὶ κεκοινώνηκε παραπλησίως ἡμῖν αἵματος καὶ σαρκός· ἀνάθεμα ἔστω.

ϛ΄. Εἴ τις τολμᾷ λέγειν, Θεὸν ἢ δεσπότην εἶναι τοῦ Χριστοῦ τὸν ἐκ Θεοῦ πατρὸς λόγον, καὶ οὐχὶ δὴ μᾶλλον τὸν αὐτὸν ὁμολογεῖ Θεὸν ὁμοῦ τε καὶ ἄνθρωπον, ὡς γεγονότος σαρκὸς τοῦ λόγου κατὰ τὰς γραφάς· ἀνάθεμα ἔστω.

ζ΄. Εἴ τις φησὶν, ὡς ἄνθρωπον ἐνηργῆσθαι παρὰ τοῦ Θεοῦ λόγου τὸν Ἰησοῦν, καὶ τὴν τοῦ μονογενοῦς * εὐδοξίαν περιῆφθαι, ὡς * ἕτερον παρ' αὐτὸν * ὑπάρχοντα· ἀνάθεμα ἔστω.

* ἰσχυρίαν
* ἑτέρῳ
* ὑπάρχοντι,
* τολμᾷ

η΄. Εἴ τις * τολμήσει λέγειν, τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῷ θεῷ λόγῳ, καὶ συνδοξάζεσθαι, καὶ συγχρηματίζειν * θεὸν, ὡς ἕτερον ἐν ἑτέρῳ· τὸ γὰρ, Σὺν, ἀεὶ προστιθέμενον, τοῦτο νοεῖν ἀναγκάζει· καὶ οὐχὶ δὴ μᾶλλον μιᾷ προσκυνήσει τιμᾷ τὸν Ἐμμανουὴλ, καὶ μίαν αὐτῷ τὴν δοξολογίαν ἀναπέμπει, καθὸ γέγονε σὰρξ ὁ λόγος· ἀνάθεμα ἔστω.

* Θεῷ,

θ΄. Εἴ τις φησὶ, τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν δεδοξάσθαι παρὰ τοῦ πνεύματος, ὡς ἀλλοτρίᾳ δυνάμει τῇ δι' αὐτοῦ χρώμενον, καὶ παρ' αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δύνασθαι κατὰ πνευμάτων ἀκαθάρτων, καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ πνεῦμά φησι, δι' οὗ καὶ ἐνήργηκε τὰς θεοσημείας· ἀνάθεμα ἔστω.

ι΄. Ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γεγενῆσθαι Χριστὸν ἡ θεία λέγει γραφὴ, προσκεκομικέναι τε ὑπὲρ ἡμῶν ἑαυτὸν εἰς ὀσμὴν εὐωδίας τῷ θεῷ καὶ πατρί. εἴ τις τοίνυν ἀρχιερέα καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαί φησιν οὐκ αὐτὸν τὸν ἐκ θεοῦ λόγον, ὅτε γέγονε σὰρξ καὶ καθ' ἡμᾶς ἄνθρωπος, ἀλλ' ὡς ἕτερον παρ' αὐτὸν ἰδικῶς ἄνθρωπον ἐκ γυναικός· ἢ εἴ τις λέγει, καὶ ὑπὲρ ἑαυτοῦ προσενεγκεῖν αὐτὸν τὴν προσφορὰν, καὶ οὐχὶ δὴ μᾶλλον ὑπὲρ μόνων ἡμῶν· οὐ γὰρ ἂν ἐδεήθη προσφορᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν· ἀνάθεμα ἔστω.

Ἑβρ. 3.

Ἐφεσ. 5. 2.

ια΄. Εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα ζωοποιὸν εἶναι, καὶ ἰδίαν αὐτοῦ τοῦ ἐκ θεοῦ πατρὸς λόγου, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτὸν, συνημμένου μὲν αὐτῷ κατὰ τὴν ἀξίαν, ἤγουν ὡς μόνην θείαν * ἐνοίκησιν ἐσχηκότος· καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιὸν, ὡς ἔφημεν, ὅτι γέγονεν ἰδία τοῦ λόγου τοῦ τὰ πάντα ζωογονεῖν ἰσχύοντος· ἀνάθεμα ἔστω.

* οἰκείωσιν

ιβ΄. Εἴ τις οὐχ ὁμολογεῖ τὸν τοῦ Θεοῦ λόγον παθόντα σαρκὶ, καὶ ἐσταυρωμένον σαρκὶ, καὶ θανάτου γευσάμενον σαρκὶ, γεγονότα τε πρωτότοκον ἐκ τῶν νεκρῶν, καθὸ ζωὴ τέ ἐστι καὶ ζωοποιὸς ὡς Θεός. ἀνάθεμα ἔστω.

Κολασ. 1. 18.

ΚΕΦΑΛΑΙΟΝ κζ΄.

Τοῦ αὐτοῦ * Κυρίλλου ἐπιστολὴ γραφεῖσα πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως· ἐν ᾗ γράφει, ὥστε μὴ προσέχειν αὐτοὺς τῇ δυσσεβεῖ διδασκαλίᾳ τοῦ αἱρετικοῦ Νεστορίου, μήτε μὴν κοινωνεῖν αὐτῷ, εἰ μένει λύκος ἀντὶ ποιμένος· ἀλλὰ μᾶλλον ἀνδρίζεσθαι ἐν κυρίῳ, καὶ τὴν ἑαυτῶν πίστιν τηρεῖν ἀπαρακόμιστον. ἔτι τε γράφει καὶ κοινωνοὺς εἶναι τοὺς ἐκβληθέντας παρὰ Νεστορίου, ἀντειπόντας αὐτοῦ τῇ διδασκαλίᾳ.

* abest a cod. Seg. hoc proœmium.

Τοῖς ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς πρεσβυτέροις, διακόνοις, καὶ λαῷ Κωνσταντινουπόλεως, Κύριλλος ἐπίσκοπος, καὶ ἡ συνελθοῦσα σύνοδος ἐν Ἀλεξανδρείᾳ ἐκ τῆς Αἰγυπτιακῆς διοικήσεως, ἐν κυρίῳ χαίρειν.

Ὀψὲ μὲν, καὶ μόλις ἤλθομεν ἐφ' ὅπερ ἦν ἄμεινον ἐν ἀρχαῖς ἐλθεῖν, τὸ φροντίδα θέσθαι φαμὲν τῆς ἁπάντων ὑμῶν σωτηρίας, καὶ τοῦ μὴ χρῆναι παθεῖν τὸν ἐπὶ τῇ πίστει θόρυβον. ἀπολογούμεθα δὲ ταῖς ἁπάντων ὑμῶν διὰ τοῦτο λύπαις. διετελέσαμεν γὰρ οὐκ ἀδακρυτὶ τὸν παρῳχηκότα καιρόν· προσεδοκῶμεν δὲ, ὅτι συμβουλαῖς καὶ παραινέσεσιν ἐκκλησιαστικαῖς, καὶ τοῖς παρὰ πάντων ὑμῶν ἐλέγχοις μεταστήσεται μὲν τῶν ἀπηχεστάτων ἑαυτοῦ δογμάτων ὁ εὐλαβέστατος ἐπίσκοπος Νεστόριος, τιμήσει δὲ μεθ' ἡμῶν τὴν πίστιν, τὴν παραδοθεῖσαν ταῖς ἐκκλησίαις παρά τε τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν, καὶ παρὰ παντὸς ἱερατικοῦ τάγματος, καὶ ταῖς διὰ

τῶν

τῶν ἁγίων προφητῶν φωναῖς εἰς τὸ ἔχειν ὀρθῶς κατεσφραγισμένην. ἐπειδὴ δὲ καὶ ἐξ ὧν παρ' ὑμῖν ἐπ' ἐκκλησίας λαλῶν οὐ παύεται, καὶ ἐκ τῶν ἐγγράφως ἐξηγήσεων αὐτοῦ πεπλανημένον εὑρίσκομεν, καὶ οὐ μετρίως δυσσεβοῦντα περὶ τὴν πίστιν· λοιπὸν ἀναγκαίως ἤλθομεν ἐπὶ τὸ χρῆναι διὰ συνοδικοῦ γράμματος αὐτῷ διαμαρτύρασθαι, ὡς εἰ μὴ ἀπόσχοιτο τὴν ταχίστην τῶν ἑαυτοῦ καινοτομιῶν, καὶ κατὰ τὴν ὁρισθεῖσαν προθεσμίαν παρὰ τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου τῆς Ῥωμαίων ἐκκλησίας ἐπισκόπου Κελεστίνου. ἀναθεματίσει μὲν ἐγγράφως ἐκεῖνα, ἅπερ εἴρηκέ τε παρ' ὑμῖν, καὶ βίβλοις ἐνέθηκεν, ἢ γοῦν ἐντεθῆναι παρεσκεύασεν, αἳ καὶ παρ' ἡμῖν εἰσιν, οὐδένα κοινωνίας ἔχει τόπον πρὸς τοὺς ἱερέας τοῦ Θεοῦ, ἀλλ' ἔσται πάντων ἀλλότριος.

Αἰτιάσθω δὲ μηδεὶς τὴν μέλλησιν· οὐ γὰρ ἐνυστάξαμεν θορυβουμένης οὕτω μεγάλης ἀγέλης, μᾶλλον δὲ καὶ τῶν ἁπανταχόσε λαῶν καὶ ἐκκλησιῶν· ἐμιμησάμεθα δὲ τοὺς ἰατρικὴν ἔχοντας ἐμπειρίαν, οἳ τὰ ἐν τοῖς σώμασι γινόμενα τῶν παθῶν οὐκ εὐθὺς ταῖς διὰ σιδήρου καὶ πυρὸς ὑποφέρουσιν ἀνάγκαις. ἀλλ' ἠπίοις ἐν ἀρχαῖς φαρμάκοις καταμαλάσσουσι, περιμένοντες τὸν ταῖς τομαῖς πρέποντα καιρόν. ἀνδρίζεσθε τοίνυν ἐν κυρίῳ, καὶ τὴν ἑαυτῶν πίστιν τηροῦντες ἀπαρακόμιστον, εὐαρεστεῖν σπουδάζετε τῷ Χριστῷ, τῷ ἑνὶ καὶ μόνῳ καὶ ἀληθῶς υἱῷ τοῦ Θεοῦ· μεμνημένοι καὶ τῶν ἁγίων ἡμῶν πατέρων, τῶν ἱερατευσάντων ὀρθῶς καὶ ἁγίως παρ' ὑμῖν, οἳ καὶ ἔτι περιόντες θεοτόκον ὠνόμαζον τὴν ἁγίαν παρθένον. τέτοκε γὰρ τὸν Ἐμμανουὴλ, ὅς ἐστι Θεὸς ἀληθῶς. γέγονε δὲ σὰρξ ὁ λόγος, καὶ γεγένηται σαρκικῶς ἐκ γυναικὸς, ἵν' ἡμεῖς εὑρεθῶμεν ἀδελφοὶ τοῦ ὑπὲρ πᾶσαν τὴν κτίσιν. ἐκήρυσσον δὲ οὐ δύο παρ' ὑμῖν Χριστοὺς, ἀλλ' ἕνα, τὸν αὐτὸν Θεὸν λόγον καὶ ἄνθρωπον κατὰ σάρκα ἐκ γυναικός· οὐ συναφείᾳ ψιλῇ, καὶ ὡς ἐν ἰσότητι μόνῃ τῶν ἀξιωμάτων συνημμένον ἄνθρωπον Θεῷ. ταῦτα γὰρ ἐκείνου τὰ ψυχρὰ καὶ ἀνωφελῆ καὶ γραώδη δόγματα. τὸν αὐτὸν δὲ καὶ παθεῖν ἔφασκον σαρκικῶς ὑπὲρ ἡμῶν τὸν θάνατον. καὶ ἀναστῆναι θεϊκῶς πατήσαντα τὸ τοῦ θανάτου κράτος. ἥξειν τε ἔφασκον τῶν ὅλων κριτήν. ταύτην ἐν ἑαυτοῖς ἀναζωπυροῦντες ἀεὶ τὴν πίστιν, ἀσπίλους καὶ ἀμώμους ἑαυτοὺς τηρήσατε, μήτε κοινωνοῦντες τῷ μνημονευθέντι, μήτε μὴν ὡς διδασκάλῳ προσέχοντες, εἰ μένει λύκος ἀντὶ ποιμένος. καὶ μετὰ ταύτην ἡμῶν τὴν ὑπόμνησιν τὴν πρὸς αὐτὸν γενομένην, φρονεῖν ἕλοιτο τὰ διεστραμμένα. τοῖς δέ γε τῶν κληρικῶν, ἤτοι λαϊκῶν διὰ τὴν ὀρθὴν πίστιν κεχωρισμένοις, ἢ καθαιρεθεῖσι παρ' αὐτοῦ, κοινωνοῦμεν ἡμεῖς. οὐ τὴν ἐκείνου κυροῦντες ἄδικον ψῆφον. ἐπαινοῦντες δὲ μᾶλλον τοὺς πεπονθότας, κἀκεῖνο λέγοντες αὐτοῖς. εἰ ὀνειδίζεσθε ἐν κυρίῳ, μακάριοι· ὅτι τὸ τῆς δυνάμεως καὶ τὸ τοῦ Θεοῦ πνεῦμα εἰς ὑμᾶς ἀναπέπαυται.

Ἰωάν. 2.

Ἰωάν. 4.

1. Πετρ. 4. 14.

ΚΕΦΑΛΑΙΟΝ κή.

Τοῦ αὐτοῦ καὶ τῆς αὐτῆς συνόδου, πρὸς τοὺς ἐν Κωνσταντινουπόλει μοναχούς.

Τοῖς εὐλαβεστάτοις, καὶ θεοφιλεστάτοις πατράσι μοναστηρίων, τοῖς κατὰ τὴν Κωνσταντινούπολιν, Κύριλλος καὶ ἡ κατὰ τὴν Ἀλεξάνδρειαν συναχθεῖσα ἁγία σύνοδος, ἐν κυρίῳ χαίρειν.

ΤΗΣ θεοσεβείας ὑμῶν τὸν ζῆλον, ὃν ἐν Χριστῷ πεποίησθε βλασφημουμένῳ, καὶ τοῦτο ἐν ἐκκλησίᾳ τῇ τῶν ὀρθοδόξων, μεμαθήκαμεν ἀκριβῶς. καὶ σφόδρα μὲν ἐπηνέσαμεν τῆς εὐνοίας ὑμᾶς τῆς εἰς Χριστὸν, καὶ ἀγάπης τῆς εἰς τὸ ὄνομα αὐτοῦ. κλαίοντες δὲ διατελοῦμεν, καὶ παρακαλοῦντες τὸν τὸν ὅλων σωτῆρα Χριστὸν, νῦν θραῦσαι τὴν τοῦ διαβόλου παγίδα, καὶ περιελεῖν τῶν ἐκκλησιῶν τὸ σκάνδαλον. καὶ παῦσαι τὰς κατὰ τῆς δόξης αὐτοῦ δυσφημίας. ἐπεὶ δέ ἐστι μακρόθυμος, καιρὸν μεταγνώσεως ἐπεδαψιλεύσατο τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Νεστορίῳ, σιωπώντων πάντων τέως ἐπ' αὐτῷ, καὶ περιμενόντων, ὅπερ ἦν ἅπασι δι' εὐχῆς, τὸ μεταστῆναι μὲν αὐτὸν τῆς βεβήλου καινοφωνίας. φρονῆσαι δὲ μεθ' ἡμῶν τὰ ὀρθὰ καὶ εἰκότα, καὶ ταῖς θεοπνεύστοις συμβαίνοντα γραφαῖς, ἑλέσθαι τε τὴν πίστιν τὴν παραδοθεῖσαν ἄνωθεν ταῖς ἐκκλησίαις παρά τε τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν, οἳ καὶ γεγόνασιν οἰκονόμοι γνήσιοι τῶν τοῦ Χριστοῦ μυστηρίων, καὶ ἱερουργεῖν ἐτάχθησαν τὸ εὐαγγέλιον αὐτοῦ, τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανόν. ἐπειδὴ δὲ μεμένηκεν ἐν τοῖς αὐτοῖς, τὰ χαδήπου καὶ ἐν χείροσι γέγονε, προστιθεὶς ἀεὶ δυσφημίας ἐπὶ δυσφημίαις, καὶ ξένα καὶ ἀλλότρια παντελῶς ἐξηγούμενος δόγματα, ἃ μὴ οἶδεν ὅλως ἡ ἁγία καθολικὴ ἐκκλησία· ἐδικαιώσαμεν * ὑπομνησθέντα τρίτῳ γράμματι, τούτῳ δὴ τῷ πεμφθέντι παρά τε ἡμῶν, καὶ τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ Κελεστίνου, τοῦ τῆς μεγάλης Ῥώμης ἐπισκόπου.

* ὑπομνησθέντες

Εἰ μὲν ἕλοιτο μετανοῆσαι, καὶ ἐφ' οἷς εἴρηκε δακρύσας, ἀναθεματίσαι μὲν ἐγγράφως τὰ διεστραμμένα ἑαυτοῦ δόγματα, ὁμολογῆσαι δὲ ὀρθῶς καὶ ἀνεπιλήπτως τῆς καθολικῆς ἐκκλησίας τὴν πίστιν, μένειν αὐτὸν, συγγνώμην αἰτοῦντα, καὶ ἃ δεῖ μανθάνοντα. εἰ δὲ μὴ ἕλοιτο ταῦτα πρᾶξαι, ἀλλότριον αὐτὸν εἶναι καὶ ξένον τοῦ χοροῦ τῶν ἐπισκόπων, καὶ τοῦ διδασκαλικοῦ ἀξιώματος. οὐ γάρ ἐστιν ἀκίνδυνον ἐν εἴδει ποιμένος λύκον ἐπαφεῖναι δεινὸν, τοῖς τοῦ σωτῆρος ποιμνίοις. ἀνδρίζεσθε τοίνυν ὡς δοῦλοι * Χριστοῦ, καὶ φροντίσατε τῶν ἰδίων ψυχῶν, πάντα πράττοντες ὑπὲρ τῆς δόξης τοῦ Χριστοῦ. καὶ ὅπως ἂν ἡ εἰς αὐτὸν πίστις, ὀρθὴ καὶ ἀκαταίτιος κηρύττηται πανταχοῦ. τοῦτο γὰρ ὑμᾶς καὶ τῶν μετὰ ταῦτα κινδύνων ἀπαλλάξει, καὶ ἐπὶ τοῦ θείου βήματος στεφάνων ἀξιωθῆναι παρασκευάσει, τῆς εἰς αὐτὸν ἀγάπης ἕνεκα σύμπαντας ἀποδεχομένου τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί. ἐρρῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι.

* Θεοῦ,

Ῥωμ. 16. 16.

ΚΕΦΑΛΑΙΟΝ λ'.

Δέησις Βασιλείου διακόνου καὶ λοιπῶν μοναχῶν.

Τοῖς εὐσεβεστάτοις, καὶ τιμηθεῖσι, καὶ τιμωμένοις παρὰ Θεῷ καὶ ἀνθρώποις, χριστιανοῖς βασιλεῦσι, * Φλαυίοις Θεοδοσίῳ καὶ Οὐαλεντινιανῷ, δέησις, εἴτουν παράκλησις παρὰ Βασιλείου διακόνου καὶ ἀρχιμανδρίτου, καὶ Θαλασσίου ἀναγνώστου καὶ μονάζοντος, καὶ λοιπῶν χριστιανῶν μοναχῶν.

* Φλαυίῳ Φλαυϊόοις

α'.

* ἀναριθμητος

Ἡ ΦΙΛΑΝΘΡΩΠΙΑ, τοῦ Θεοῦ, ἡ * ἀναριθμήτων παρὰ ἀνθρώποις καλῶν μετουσίαν δωρησαμένη τε καὶ δωρουμένη τῷ γένει τῶν ἀνθρώπων, ἐν πᾶσι, καὶ ἐπὶ πᾶσίν ἐστιν. ἐν τούτοις δὲ τοῖς ἀπὸ τοῦ Θεοῦ δώροις ἔνεστιν ἡ ἀληθινὴ γνῶσις, καὶ τὸ μῖσος τῆς ψευδωνύμου γνώσεως· ὥστε εἰδέναι ἡμᾶς τὴν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τῶν ἀποστόλων, καὶ μαρτύρων, καὶ ὁμολογητῶν, καὶ ἐπισκόπων ἁγίων, συνεργούντων καὶ τῶν εὐσεβεστάτων βασιλέων, παραδοθεῖσαν τῇ καθολικῇ ἐκκλησίᾳ πίστιν. πρῶτον ὑπὸ Πέτρου τοῦ ἀποστόλου, τοῦ πρωτοστάτου, εἰπόντος, κατὰ ἀποκάλυψιν καὶ γνῶσιν καὶ ὁμολογίαν καὶ παράδοσιν τοῖς μετὰ ταῦτα· ὅτι σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· Ἰακώβου ἀποστόλου καὶ ἀρχιεπισκόπου, Ἰωάννου ἀποστόλου καὶ εὐαγγελιστοῦ, καὶ λοιπῶν εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐπισκόπων, καὶ πάντων τῶν πιστευσάντων καὶ πιστευόντων τῇ ὁμουσίῳ τριάδι· Εἰρηναίου, Γρηγορίου τοῦ μεγάλου ἐπισκόπου Νεοκαισαρείας. τῆς ἁγίας συνόδου τῶν ρπ'. ἐπισκόπων, ἐν Ἀντιοχείᾳ συναθροισθείσης κατὰ Παύλου τοῦ Σαμοσατέως, ἥτις καθεῖλεν αὐτὸν διὰ τὴν ἀσέβειαν αὐτοῦ, διὰ τὸ μὴ ὁμολογεῖν τὸν Χριστὸν φύσει Θεὸν, καὶ υἱὸν Θεοῦ πατρός· τῆς ἐν Νικαίᾳ μεγάλης καὶ ἁγίας συνόδου τῶν τιή. ἐπισκόπων, τῆς βεβαιωσάσης τὸν ὅρον τῶν ἐν Ἀντιοχείᾳ· Βασιλείου καὶ Γρηγορίου ἀδελφῶν ἐπισκόπων, Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας, Ἐφραὶμ τοῦ Σύρου, Γρηγορίου ἐπισκόπου, Ἀμμωνος ἐπισκόπου, Οὐιταλίου ἐπισκόπου, Ἀμφιλοχίου, Παύλου, Ἀντιόχου, Εὐσταθίου, Μεθοδίου, Ὀπτίμου, Λεπορίου, Ἀμβροσίου Μεδιολάνων· ὅλης τῆς ἐν τῇ Ἀφρικῇ συνόδου· Ἰωάννου, Σευηριανοῦ, Ἀττικοῦ ἐπισκόπου, Κυρίλλου, τοῦ ἐπισκόπου Ἀλεξανδρείας, τοῦ νῦν ζῶντος, καὶ τῷ νόμῳ τῆς ἡμετέρας εὐσεβείας ἐξακολουθοῦντος. οὐδεὶς μὲν οὖν ἀνθρώπων δύναται πάντας τοὺς πιστοὺς ἐξαριθμήσασθαι, τοὺς πιστεύσαντας καὶ πιστεύοντας εἰς Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, ὅτι ὄντως ἀληθινὸς Θεός ἐστιν. οὐ γὰρ, ἐπειδὴ δι' ἡμᾶς ἐγένετο ἄνθρωπος, μείνας ὁ ἦν Θεὸς, ὡς καὶ ἡ ὑμετέρα εὐσέβεια διέμαθεν, ἤδη καὶ τὸ, ἦν, ἀρνησόμεθα. ἀλλὰ ἡμεῖς πιστεύομεν, καὶ ὁμολογοῦμεν, καὶ κηρύττομεν, ὅτι ὁ πρὸ τῶν αἰώνων Θεὸς λόγος, ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ὑπάρχων, διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν τὴν πρὸς ἡμᾶς οὖσαν, γέγονεν ἄνθρωπος τέλειος, ὡς εἷς ἐξ ἡμῶν κατὰ πάντα χωρὶς ἁμαρτίας, μείνας ὃ ἦν, Θεὸς, διὰ τὴν τοῦ γένους ἡμῶν σωτηρίαν γεννηθεὶς ἐκ τῆς ἁγίας Παρθένου Μαρίας, ὡς αὐτὸς οἶδε.

Ματθ. 16. 26.

β'.

Τούτου ἕνεκα τοῦ * ἀληθοῦς δόγματος τοῦ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ * ἀκριβῶς κηρυττομένου, καὶ τοῦ αἱρετικοῦ Παύλου δικαίως ἐξωσθέντος, ἐγένοντο σχίσματα λαῶν, ἀκαταστασίαι ἱερέων, ταραχὴ ποιμένων. ὅθεν καὶ νῦν κατὰ πρόσωπον τοῦ ἐγχειρισθέντος τὸν τῆς ἐπισκοπῆς θρόνον Νεστορίου. εἰ δεῖ εἰπεῖν ἐπίσκοπον· ἐν τῷ συνεδρίῳ, πολλάκις τινὲς τῶν εὐλαβεστάτων πρεσβυτέρων ἤλεγξαν αὐτὸν καὶ διὰ τὴν ἀπείθειαν αὐτοῦ, τὸ μὴ λέγειν θεοτόκον τὴν ἁγίαν παρθένον, καὶ Θεὸν ὄντα φύσει ἀληθινὸν τὸν Χριστὸν, τῆς αὐτοῦ κοινωνίας ἑαυτοὺς ἐξέβαλον, καὶ κατέχουσιν ἕως ἄρτι· τινὲς δὲ λάθρα ὁμοίως τῆς αὐτοῦ κοινωνίας στέλλονται. ἄλλοι δὲ τῶν εὐλαβεστάτων πρεσβυτέρων, διὰ τὸ λέγειν ἐν τῇ ἁγίᾳ ταύτῃ ἐκκλησίᾳ, Εἰρήνῃ τῇ παραθαλασσίᾳ, κατὰ τοῦ ἀνανεωθέντος κακῶς δόγματος, τοῦ λέγειν ἐκωλύθησαν. ὅθεν ἐπεβόα ὁ λαὸς, ζητῶν τῆς ὀρθοδοξίας συνήθη διδασκαλίαν. λέγων, βασιλέα ἔχομεν, ἐπίσκοπον οὐκ ἔχομεν. καὶ τέως μὲν * ἀνεκδίκητον ἔμεινε τὸ τοῦ λαοῦ πειρατήριον, τοῦ συλληφθέντος ἐκ μέρους παρὰ τῶν ὑπηρετῶν, καὶ ἐν τῷ δικανικῷ τυπτηθέντος διαφόρως ἐν πόλει βασιλευούσῃ· ἃ οὔτε ἐν τοῖς ἔθνεσι τοῖς βαρβαρικοῖς ἐγένετο. τινὲς κατὰ πρόσωπον ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἐπὶ λαοῦ ἤλεγξαν, καὶ θλίψιν οὐ μικρὰν ὑπέμειναν. τῶν δὲ ἀφελεστέρων τις μοναζόντων ἠναγκάσθη κατὰ ζῆλον, ἀνὰ μέσον τῆς ἐκκλησίας, τὸν κήρυκα τῆς ἀνομίας ἐπιχεῖν τοῦ μὴ εἰσελθεῖν, συνάξεως οὔσης, αἱρετικοῦ αὐτοῦ ὄντος. τοῦτον δὲ τυπτήσας, τοῖς μεγαλοπρεπεστάτοις ἐπάρχοις παρέδωκεν. ἔτι δὲ τυπτηθέντα, καὶ πομπευθέντα δημοσίᾳ, τοῦ κήρυκος βοῶντος ἔμπροσθεν αὐτοῦ, τῇ ἐξορίᾳ παρέπεμψεν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ. μετὰ τὴν ἀθέμιτον αὐτοῦ ὁμιλίαν, οἱ τῆς φατρίας αὐτοῦ τοῦ κατέχοντος, φόνον ἔμελλον ποιεῖν, εἰ μὴ ἡ τοῦ Θεοῦ βοήθεια κατέλαβε.

* ἀκριβῶς ἀληθοῦς

* ἴσως ἀνεκδίκητον

γ'.

Τὰ περὶ ἡμῶν δίσπιστά ἐστι τάχα πολλοῖς τοῖς ἀκούουσι. κατὰ γὰρ κέλευσιν αὐτοῦ καὶ προτροπὴν ἀνήλθομεν ἐν τῷ ἐπισκοπείῳ πληροφορηθῆναι, εἰ καθὼς ἐνοήσαμεν, ἃ περὶ αὐτοῦ ἠκούσαμεν, ἐστὶν, ἢ οὔ. καὶ εἰς ὑπέρθεσιν δεύτερον καὶ τρίτον ἡμᾶς ἔβαλε. καὶ τότε μόλις ἐκέλευσεν ἡμῖν εἰπεῖν, τί ἐστιν ὃ βουλόμεθα. ὡς δὲ ἤκουσε παρ' ἡμῶν, ὅτι ταῦτα τὰ παρ' αὐτοῦ λεχθέντα, τὸ, οὐκ ἔτεκε, φησὶ, Μαρία, εἰ

μὴ

μὴ ἄνθρωπον ὁμοούσιον ἑαυτῆς· καὶ τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστιν, οὐκ ἔστιν ὀρθοδόξων· παραχρῆμα ἐκέλευσε συλληφθῆναι ἡμᾶς· κἀκεῖθεν τυπτόμενοι παρὰ τοῦ ὄχλου τῶν * δικανῶν, ἀπηγόμεθα ἐν τῷ δικανικῷ· κἀκεῖ γυμνοὺς ἡμᾶς * δεσμίους, ὡς καὶ ὑπευθύνους τῇ τιμωρίᾳ * ἐσύλισαν, ἐχρεβάτισαν, καὶ ἐπτέρνισαν· ὅπερ οὐ πάσχουσιν ἐν τοῖς ἔξω δικαστηρίοις, οὐ λέγομεν ὅτι κληρικοὶ καὶ ἀρχιμανδρῖται, ἢ μοναζοντες, ἀλλ' οὔτε οἱ τυχόντες κοσμικοὶ, ἃ ἡμεῖς ἐν τῇ ἐκκλησίᾳ παρὰ τοῦ παρανόμου παρανόμως πεπόνθαμεν. θλιβόμενοι ἐν τῷ δικανικῷ, λιμώττοντες, ἐν * οἰκετίᾳ φυλαττόμενοι ἐπὶ χρόνον πολὺν διετελέσαμεν. καὶ οὐκ ἠρκέθη τούτοις ἡ αὐτοῦ μανία· ἀλλὰ καὶ μετὰ ταῦτα τῷ μεγαλοπρεπεστάτῳ ἐπάρχῳ τῆς δὲ τῆς μεγαλωνύμου πόλεως κατὰ ἀπάτην τινὰ παρεδόθημεν. καὶ σιδηρωθέντες ἀπήχθημεν ἐν τῇ φυλακῇ. καὶ μετὰ ταῦτα ἀνήχθημεν ἐν τῷ πραιτωρίῳ τῷ αὐτῷ ὅπου μετὰ τῶν δεσμῶν. καὶ ἐπειδὴ οὐδεὶς ἦν ὁ κατηγορῶν, ἐν τῷ δικανικῷ πάλιν διὰ τῆς τάξεως ἤχθημεν. καὶ οὕτω πάλιν * ἐκόλασεν ἡμᾶς κατὰ πρόσωπον τυπτήσας. καὶ διαλεχθεὶς, καὶ συνθέμενος κατὰ ἀπάτην, ὡς τὰ μετὰ ταῦτα ἔδειξε, περὶ τοῦ φύσει υἱοῦ τοῦ Θεοῦ, ὅτι ἐτέχθη ἀπὸ τῆς ἁγίας Μαρίας τῆς Θεοτόκου λέγων· ἐπεὶ ἔγει ἄλλος υἱός· οὕτως ἀπέλυσεν ἡμᾶς.

* in mr. Seg. ἀμὲν παρὰ τὰ ἔχειν τῷ δικανῷ κακῶν πατούμενοι ἀπηγόμεθα ἐν τῷ δικανῷ.
* λείμους ἢ ἐκδυτὰς τιμωρίᾳ.
* ἐτύλισαν ἐμπεδίτισαν,
* ἰατίᾳ
* ἐκόλασεν

δ'.

Παρακαλοῦμεν οὖν τὸ ἀθάνατον ἡμῶν καὶ ἀσεβεστάτῳ πίστιν, ὥστε μὴ παριδεῖν ἐκ τοῦ λοιποῦ τὸ ὀρθόδοξον ἐκκλησίαν μοιχευομένῳ παρὰ αἱρετικῶν ἐν τοῖς καιροῖς ὑμῶν τῶν ὀρθοδόξων καὶ ἀσεβεστάτων βασιλέων· οὐχ ὡς διὰ τοῦτο τὰς ὑμετέρας ὕβρεις βουλόμενοι ἐκδικεῖν· ὁ Θεὸς οἶδεν· ἀλλ' ὡς θέλοντες τὸ σερέωμα τῆς εἰς Χριστὸν πίστεως ἀσάλευτον μένειν· καὶ κελεύσει τὸ ὑμέτερον κράτος, τὸ ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον παραγενέσθαι ἐντεῦθα ἤδη. ἵνα τῆς συνόδου παραγενομένης, τὴν ἁγιωτάτην ἐκκλησίαν ὁ * Θεὸς ἑνώσῃ, καὶ τὸν λαὸν συνάξῃ, καὶ τοὺς ἱερέας ἀπολαβεῖν ἐν τῷ τῆς ἀληθινῆς πίστεως κηρύγματι ποιήσῃ, πρὸ τοῦ εἰς πλάτος τὴν ἄδικον διδασκαλίαν ἐλθεῖν. καὶ ταῦτα δὴ παρακαλοῦμεν, ἀξιοῦντες. ἐπειδὴ πειρᾶται ποιεῖν, ἀπειλῶν, ἐλαύνων, ὀξυθῶν, κακουργῶν, ῥᾳδιουργῶν, καὶ κακῶν. καὶ, ἵνα τὴν αὐτοῦ μανίαν καὶ ἀσέβειαν κρατύνῃ, πάντα ποιῶν ἀφειδῶς, οὐ Θεὸν φοβούμενος, οὐκ ἀνθρώπους αἰσχυνόμενος, οὐκ ἐπισκόπους ἀλαβούμενος, οὔτε ἱερέα τινὰ, οὐ κληρόν τινων, οὐκ ἁγίους μοναχοὺς, οὐκ ἀλάβειαν λαϊκῶν, οὐ τὸν κατὰ τῶν ἀδικούντων ἐπηρτημένον φόβον, οὐ τὸν νόμον τῶν ἐκπλούντων διακονίαν τινὰ Θεῷ εἰς ὀργὴν κατὰ τῶν ἀξίων. ἀλλ' ἐνδυσάμενος τὴν ὑπερηφάνειαν κατὰ πάντων, θαρρῶν τοῖς χρήμασι, καὶ τινων διεφθαρμένων τῇ ἰσχύϊ, ἢ ἵνα ἀφόβως εἴπωμεν, καὶ τῷ ὑμετέρῳ κράτει, τοῦτο ποιεῖ· ἀξιοῦν μηδὲν αὐτῷ κατά τινων ἐξεῖναι ποιεῖν, ἐὰν μὴ πρῶτον διόρθωσιν λάβῃ τὸ κατὰ τὴν ὀρθόδοξον πίστιν, ἵνα μὴ ταύτην διασκεδάσῃ, καὶ τὴν αὐτοῦ παρεισαγάγῃ τούτοις ποιῶν. οἶδε γὰρ ὡς οἴεται, ὅτι καὶ τῷ φόβῳ πολλοὺς ἀμβλύνας ἀποστήσῃ τῆς πίστεως· καὶ λοιπὸν ὅρων ὁμογνώμονας αὐτοῦ, παράσχῃ αὐτοῖς θάρσος, ὥσε καὶ ἕως πλήγων δημοσίᾳ ἐπιχειρεῖν, καὶ διωγμὸν ποιεῖν. οὐ μόνον δὲ τοὺς αὐτοῦ δῆθεν κληρικοὺς, ἢ συγκέλλους. ἀλλὰ καὶ ἐκ τῶν ἔξωθεν παροικιῶν προσελάβετό τινας, οἷς μᾶλλον οὐκ ἔξεστιν εἶναι κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας εἰς ἕτερον ἐπισκοπεῖον, ἢ εἰς ἄλλην ἐκκλησίαν. ἀλλ' ἀνάγκη αὐτοὺς εἰς τὰς ἰδίας παροικίας, ἢ πόλεις, ὅσαι ἐχειροτονήθησαν, κἀκεῖ ἡσυχῇ διάγειν· ἵνα μὴ τῷ μακρῷ χρόνῳ διὰ τῆς προσκαίρου δυνασείας, ἕρμη πιθανώτερος ἡ παρανομία, καὶ ἐπιγραφῇ τῇ ὑμετέρᾳ εὐσεβείᾳ. εἰς τοῦτο γὰρ ὑμᾶς ἔθετο ὁ Θεὸς ἀγωνίσασθαι, ὑπὲρ τῆς δόξης αὐτοῦ τοῦ δοξάσαντος ὑμᾶς, καὶ δοξάζοντος, καὶ ἀποδιδόντος ὑμῖν τὸν μισθὸν μετὰ πάντων τῶν ἁγίων, τῶν καλῶς φιλαξάντων τὰς ἐγχειρισθείσας αὐτοῖς διακονίας. πρὸς ὃς εἶπεν. εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. οἱ ὄντως Χριστιανοὶ τούτοις τοῖς λόγοις διὰ τῶν ἔργων πιστεύουσιν· οἱ δὲ ἄπιστοι καὶ ἀπερίμμυθοι, καὶ τῇ ἑαυτῶν κοιλίᾳ ζῶντες, καὶ εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες, ἐὰν ἀκούσωσιν ὁμολογοῦντά τινα, τὸν Χριστὸν εἶναι Θεὸν, διαστρέφονται, ὡς οἱ τότε Ἰουδαῖοι σωρεύχον τὰ ὦτα αὐτῶν, τοῦ ἁγίου Στεφάνου τὸ πρωτομάρτυρος διηγουμένου· ὅτι θεωρῶ, φησὶ, τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ ἀοράτου Θεοῦ. οὕτω καὶ οὗτοι διαπείρονται κατὰ τῶν Χριστιανῶν, καὶ πάντα θυμὸν σπουδάζουσιν ἐκτελεῖν.

Χριστὸν

Πραξ 7. 17.

ε'.

Ἀξιοῦμεν ἐν προνοίᾳ τοῦ μεγαλοπρεπεστάτου ἐπάρχου τῆς νέας Ῥώμης κωλύεσθαι τοὺς κατὰ τῶν ὀρθοδόξων ἐπανισταμένους, καὶ προφάσει διαλογισμῶν, ὡς φασιν, ἐπιχειροῦντας κατά τινος, ἕως ὅτε τὰ τῆς πίστεως διόρθωσιν λάβοι· εἰ δὲ παρακούσετε, ἡμῶν ἀμελήσαντες, διαμαρτυρόμεθα ὑμῖν ἐνώπιον τοῦ βασιλέως τῶν αἰώνων, ἀφθάρτου, ἀοράτου, μόνου σοφοῦ Θεοῦ, τοῦ ἐλθόντος καὶ ἐπιφανέντος, ὡς ἠθέλησε, διὰ τὴν σωτηρίαν ἡμῶν, καὶ πάλιν ἐρχομένου κρῖναι ζῶντας καὶ νεκροὺς, ᾧ κάμπτει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται αὐτῷ, ὅτι ἀθῷοι ἐσμέν. ἡμεῖς γὰρ ὑμᾶς παρεκαλέσαμεν περὶ συνόδου οἰκουμενικῆς, τῆς δυναμένης ἀκριβῶς κρατῆσαι καὶ ἀνορθῶσαι τὰ σαλευόμενα, εἴτουν καταῤῥαγέντα. οὐ κατισχύσασι δὲ αὐτῆς διὰ τῆς χάριτος καὶ ἀντιλήψεως τοῦ Θεοῦ, τῆς ἐνεργούσης ἐν ἡμῖν, κακῶσαι πύλαι ᾅδου, ἃ τινά ἐστι τὰ σώματα τῶν αἱρετικῶν· ἵνα τούτου τυχόντες, τὰς συνήθεις ἕξεις ἐν ὁμοιοήκ

Πραξ. 10. 42. Φιλιπ. 2. 10.

Ματθ. 16. 18.

ὑπὲρ

ὑπὲρ τῆς καθ' ἡμᾶς συμπλοκῆς καὶ τῆς βασιλείας ἡμῶν, διαρρήδην καὶ ὀρθοδόξως τῷ Θεῷ ἀναπέμπωμεν δόξαν. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ λά.

Ἴσον κάκεῖνος ἀποστολικὸς παρὰ τοῦ θεοσεβεστάτου βασιλέως Θεοδοσίου πρὸς Κύριλλον ἐπίσκοπον Ἀλεξανδρείας.

Αὐτοκράτωρ Καῖσαρ, Θεοδόσιος καὶ Οὐαλεντινιανὸς, νικηταὶ, ξυμπαίσχαι, μέγιστοι, εὐσεβέστατοι Ἄγιοι, Κυρίλλῳ ἐπισκόπῳ.

ΜΕΛΕΙ πλέον θεοσεβείας ἡμῖν, διὸ καὶ οἱ πλημμελοῦντες ἀξιοῦνται συγγνώμης· οὐ μὴν ἀδόκιμον τὸ δεῖσθαι συγγνώμης παρ' ἡμῶν ὀφείλοντι, καὶ διὰ τὴν σεπτὴν μᾶλλον τιμᾶσθαι θρησκείαν. τοὺς δὲ ἱερέας χρὴ καὶ ἀπὸ τῆς τῶν πόλεων χρηστότητος, καὶ ἀπὸ τῆς περὶ τὴν πίστιν εὐσεβείας θαυμάζεσθαι, καὶ τὴν ἀπλότητα τοῦ βίου διὰ πάντος ἐπιδείκνυσθαι· γινώσκειν τε ὡς τῶν ἐκτὸς πραγμάτων φύσιν, καὶ τοὺς περὶ * τὴν θεοσέβειαν μᾶλλον λόγους, μᾶλλον δὲ εἴρειν ζήτησις, ἥπερ αὐθάδειαν. καὶ γὰρ ὀξὺ ἀρχῆς ἡμῖν * αὐτοῖς οὐκ ἀπελεγκτικῶς δικαστεύοντες ἢ δικαστεύειν νομίζοντες, ἀλλ' ἡ τῶν ἁγίων πατέρων καὶ τῆς ἱερᾶς συνόδου βουλὴ κατεσκάπτομεν· * καίτοι πάντι δῆλον, ὡς θρησκείας τὸ βέβαιον οὐκ ἂν ἐκ κελεύσεως * ἔχοι μᾶλλον ἢ σύνεσεως. νῦν οὖν ἡμᾶς ἡ σὴ θεοσέβεια διδάξάτω, τί δή ποτε ἡμῶν, οἷς πεποίθαμεν εἶναι μέλειν εὐσεβείας, ὑπερῃδῶν, καὶ τῶν ἀπανταχοῦ ἱερέων, οὓς συλλειτουργοῦντας εἶναι ἄμεινον λῦσαι τῷ ἀμφισβήτησιν, παραχλῶ, τό γε ἐπὶ σοὶ, καὶ χωρισμὸν ταῖς ἐκκλησίαις ἐμβέβληκας· ὡς δὲ τῆς ὑπὲρ εὐσεβείας λόγοις θρασυτέρας ὁρμῆς φρενοῦσης μᾶλλον, ἢ ἀκριβείας, καὶ παρ' ἡμῖν αὐτοῖς οὐκ ἐμμελείας πλέον ἰσχυούσης, ἢ θράσους, καὶ ποικιλίας μᾶλλον τούτων ἡμῖν * ἀρκούσης, ἥπερ ἁπλότητος· καὶ μὴν οὐχ οὕτως ἡμῶν τῷ πολλῷ φρόνημα τιμῷ παρὰ τῆς σῆς εὐσεβείας δεχθῆναι, οὐδὲ ὥσπερ καὶ ἀγαπακτεῖν εἰδότων ἡμῶν, πάντα συγκυρακχθῆναι. νῦν δὲ μέλλοντες ἡμῖν τῆς ἱερᾶς γαλλικῆς. πάντα δὲ ἴσθι συγκεκύφας, ὡς οὐκ ἐγκλῶ. καὶ θαυμαστὸν οὐδὲν, ὃν πάντως τὸ μεῖζον ἐκβεβηκότα, μὴ μείχει * τῇ ἐκκλησιῶν καὶ τῷ ἱερεῖ σῶσαι τὴν ἐπιχείρησιν, ἀλλὰ καὶ περὶ ἡμῶν αὐτῷ πεισθῆναι τι τῆς ἡμετέρας εὐσεβείας ἀνάξιον. ἢ τίνα ἔχει λόγον, ἕτερα μὲν πρὸς ἡμᾶς καὶ τὴν εὐσεβεστάτην Αὐγούσταν Εὐδοξίαν τὴν ἐμὴν σύμβιον ἐπιστέλλειν, ἕτερα δὲ πρὸς τὴν ἐμὴν ἀδελφὴν τὴν εὐσεβεστάτην Αὐγούσταν Παυλχερίαν; εἰ μὴ διχονοεῖν ἡμᾶς φήσῃς, ἢ διχονοήσειν ἤλπισας ἐκ τῆς τῆς σῆς θεοσεβείας γραμμάτων; πῶς δὲ καὶ γενοῖτο, εἴπερ οὕτως ἔσχεν, ἐκ συνεργίας εἰδέναι τὸν οὕτω πόῤῥωθεν ὄντα, φανερῶς ἐστιν ἐπίψογον, καὶ μὴ γενέσθαι ποιῆσαι βούλεσθαι, πάντας μᾶλλον, ἢ ἱερέως. ὁρμῆς μέντοι μιᾶς καὶ τῆς αὐτῆς φρονήσεως, τότε τῇ ἐκκλησιῶν, τότε τῇ βασιλέων μέλλειν χωρίζειν βέλεσθαι, ὡς ἐκ ἔστιν ἀφορμῆς ἑτέρας εὐδοκιμήσεως.

Ὡς ἂν οὖν εἰδείης, ὁποῖον τὸ ἡμέτερον, ἐς τὰς ἐκκλησίας ἴσθι καὶ τῶν βασιλέων λυόλθαι. καὶ ἔτι μᾶλλον κελεύομεν ἡμῶν ἐνωθῆσεσθαι σὺν τῇ φρονήσει τοῦ σωτῆρος ἡμῶν * Θεοῦ· καὶ δεδόσθαι τῇ σῇ θεοσεβείᾳ συγγράμμασιν, ὡς ἂν μὴ φράσις εἴη, μηδὲ λέγειν δίκαιον, διὰ τοὺς ὑπὲρ τῆς * ἐκκλησίας ἐγκεκλῆσθαι λόγους· γυμνασθῆναι γὰρ τούτοις ἐπὶ τῆς ἱερᾶς συνόδου βελόμεθα, καὶ κρατεῖν, ὡς ἂν καλῶς ἔχειν * δόξειεν. εἴτε μεταλαμβάνοις συγγνώμης, εἴτε καὶ μή, παρὰ τῷ πατέρων οἱ νικηθέντες. ἡμεῖς μέντοι γε συναπαίσεσθαι τοὺς πόλεις καὶ τοὺς ἐκκλησίας ἐκ ἀνεξόμεθα, οὔτε μὲν ἀνεξεπάτους εἶναι τοὺς λόγους, ὧν κρατοῦς προκαθίσαι δεῖ τοὺς τῆς ἀποστολικῆς φρονεσώτας ἱερωσύνης. καὶ δι' ὧν ἡμεῖς ἐγκρατέστεροι τῆς ἀληθινῆς δόξης ἐσμέν τε καὶ ἐσόμεθα. πάντως δὲ οὐδεὶς, ὅτῳ καὶ μικρὸν μέτεστιν αὐτῷ πολιτείας, ἄξιος παῤῥησιάζεσθαι, εἴ τις κατὰ τοῦ πεποίθησιν τοῦ τοιούτου ἀποφυγεῖν αἱρήσεται κρίσιν. ἐπεὶ μηδὲ βουληθῆναι τοῦτο δύνασθαι· τῆς ἡμέρας θειότητος ἐπαινούσης μὲν ἀναγκαίως, τοὺς ἐπὶ προθυμίᾳ παῤῥοῦντας ἐλθεῖν ἐπὶ τοῦ τοιούτου δέχεσθαι, οὐκ ἀνεξομένης δὲ, εἴ τις κελεύει μᾶλλον, ἢ συμβουλεύει, ἢ συμβουλεύεσθαι περὶ τῆς τοιαύτης ἐθέλοι. ὥστε καὶ ἥκειν δεῖ σε τοῦ ἀληθοῦς κατὰ τὸν χρόνον, ὃν τὰ ἕτερα δηλοῖ γράμματα, πρὸς ἅπαντας ἀσφαλείᾳ τοὺς τῆς μητροπόλεως ἐπισκόπους· καὶ τοῦ παρ' ἡμῶν σχέσιν μὴ ἄλλως ἀναστήσασθαι προσδοκᾶν, εἰ μὴ πᾶν μᾶλλον λυπηρὸν καὶ παραχρῆμα παύσεως. ἐπὶ δὲ τοῦ τῆς ζητουμένης ἕρμαιον ἔλθοις ἐθέλοντι. καὶ γὰρ ἂν οὕτω δόξειας οὔτε οἰκείᾳ * πεπληγμένῳ λύπῃ, οὔτέ τινι δυσμενείᾳ παρὰ τὸ προσῆκον, τότε ἤδη γεγονότα σκληρῶς μοι καὶ παραλόγως, * ὅμως δὲ ὑπὲρ δόξης πεποιησόμενον, καὶ τὰ ἑξῆς ἐθέλειν ἐνδείκνυσθαι. οὐ γὰρ ἂν ἑτέρως * ἐθέλοντες ἀνεξόμεθα.

ΚΕΦΑΛΑΙΟΝ λβ.

Θεῖον γράμμα ἀποσταλὲν ἐν Ἀλεξανδρείᾳ Κυρίλλῳ ἐπισκόπῳ, καὶ τοῖς κατὰ χώραν τῆς μητροπόλεως ἐπισκόποις.

* Αὐτοκράτορες Καῖσαρες, Θεοδόσιος, καὶ Οὐαλεντινιανὸς, νικηταὶ, ξυμπαίσχαι, μέγιστοι, εὐσεβέστατοι Ἄγιοι, Κυρίλλῳ ἐπισκόπῳ.

ΗΡΤΗΤΑΙ τῆς εἰς Θεὸν εὐσεβείας ἡ τῆς ἡμετέρας πολιτείας κατάστασις, καὶ πολὺ τοιούτης ἔνεστι τὸ συγγενές τε καὶ προσφυές. ἔχεται γὰρ ἀλλήλων, καὶ ἑκατέρα τῇ τῆς ἑκατέρας συναύξεται προκοπῇ· ὥστε τῷ μὲν ἀληθῇ θρησκείᾳ τῇ ἀσεβοσφαγίᾳ, τῷ δὲ πολιτείᾳ ὑπ' ἀμ-

* τῶν ἐκκλησιῶν καὶ τῶν συνεδρίων

* τὴν εὐσέβειαν

* αὐτοῖς

* αὐτὸς

* καίτοι χρὴ

* ἡμῶν

* τῶν ἐκκλησιῶν καὶ τῶν συνεδρίων

* τὴν εὐσέβειαν

* ἐθέλοντες

ἀμφοτέρων συγχροτουμβίλιω ἐκλάμπειν. βασιλέων εὖν πεταγμβίων παρὰ Θεῶ, σύνδεσμά τε τῆς τῆ ὑπηκόων εὐσεβείας τε καὶ εὐφραγίας τυγχάνοντας, ἀῤῥαγεῖς ἀεὶ τὸ φρουρεῖς τόπων φυλάττημβι, τῆ τε φρονεία καὶ ἀνδρώπους μεσιτδοντες. κρείσσοσι μβὼ ὑπαργοῦμβι εἰς τιμὼ τῆς πολιτείας αὐξησιν· διὰ πάντων δὲ, ὡς εἰκὸς, τῆ ὑπηκόω γινόμβιοι, * τοῦτ' ἔστι δοσεβεῖν τε καὶ πολιτδεσθαι κατὰ τὸ εὐσεβεῖσι φρέπον παρασκδάζομβι, ἑκατέρου τε δεόντως ἐπιμελούμβιοι· οὐδὲ γὰρ ἔνεστι τὸν θατέρου μεταποιούμβιον, μὴ ὁμοίως καὶ τοῦ ἑτέρου φροντίσαι· σπεδμὼ τιδέμδα φρὸ τῆ ἄλλων, τὸ τιμὼ ἐκκλησιαστικὼ κατάστασιν Θεῷ φρέπουσαν, καὶ τῖς ἡμετέροις φρόσφορα δῆμοσίοις καιροῖς. ἔχειν τε ἐκ τῆς τῆ πάντων ὁμονοίας τὸ ἀπάραχον, καὶ διὰ τῆς ἐν τῖς ἐκκλησιαστικοῖς φράγμασιν εἰρμὸς τὸ ἀσασίαστον· φροσεῖναί τε τῆ εὐσεβεῖ θρησκείᾳ τὸ ἀνεπίλημπτον, καὶ τοὺς εἰς τὸν κλῆρον, τιμιότε μεγάλιω ἱερωσύνιω τελοῦντας, πάσης τῆς κατὰ τὸν βίον μέμψεως ἀπαλλάχθαι.

Ταῦτά τε σωνορῶντες διὰ τῆς εἰς Θεὸν ἀγάπης, καὶ τῆς * φιλαλλήλω γνώμης τῶν εὐσεβούντων κρατύνεσθαι. πολλάκις μβὼ ἤδη διὰ τὰ κατὰ καιρὸν συμπεσόντα ἀναγκαίαν τιμὼ τῆ ἀπαντάχοσε ἁγιωτάτων ἐπισκόπων θεοφιλῆ σύνοδον ἠγησάμεθα. ὀκνηρότεροι δ' ὅμως φερὶ τὸν σκυλμὸν τῆς αὐτῆ θεοσεβείας γεγόναμβι. ἀλλ' ἡ τῆ τῶν ἀναγκαίων ἐκκλησιαστικῶν τε καὶ τῆ ταύταις συνημμβίων δημοσίων χρεῶν ζήτησις, χρεωδεστάτιω ἀναφαίτητον ταύτιω ἀτέδεξεν. οὕτω ὡς ἂν μὴ τὰ τῆς φροκειμβίης τῆ οὕτω χρησίμων ὀξετάσεως ἀμελούμβια, τιμὼ ἐπὶ τὸ χεῖρον λάβοι ροπιώ. ὅπερ ἐπὶ τῆς τῆ ἡμετέρων καιρῶν δοσεβείας ἀλλόξιον· φροντίσει ἡ σὴ θεοσέβεια μῆ τὸ ἐπιόν· σιὼ Θεῷ δὲ ἐφήδω· ἅγιον πάγκα εἰς τιμὼ Ἐφεσίων τῆς Ἀσίας παραγδέσθαι, κατ' αὐτιὼ τιμὼ τῆς ἁγίας πεντηκοστῆς ἡμέραν. ὀλίγους, ὅσους ἂν δοκιμάσειεν, ἐκ τῆς ὑπ' αὐτιὼ τεταγμβίης ἐπαρχίας ἁγιωτάτους ἐπισκόπους εἰς τὴν αὐτιὼ σινοδραμεῖν παρασκδάσασα· ὥστε καὶ τοὺς ἀρκοῦντας ταῖς κατὰ τιμὼ αὐτιὼ ἐπαρχίαν ἁγιωτάταις ἐκκλησίαις, καὶ τοὺς τῆ σινόδω ἐπιτηδείους, μηδαμῶς ἐλλεῖψαι.

Γέγραπται γὰρ τὰ ἴσα παρὰ τῆς ἡμετέρας * γαλιωότητος περὶ τῆς * φρότερον λεχθείσης ἁγιωτάτης σινόδου τοῖς θεοφιλέσιν ἐπισκόποις τῆ ἀπαντάχοσε μητροπόλεων· ὥστε τοῦτο γλυομβίω τὴν τε ἐκ τῆ ἀμφισβητουμβίων συμβαίνουσαν τιφαχὴν κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας δγαλυθλιῦσαι. καὶ τιμὼ ἐπὶ τοῖς οὐ δεόντως γλυομβίοις δοθλιῦσαι διόρθωσιν· τῆ τε περὶ Θεὸν δοσεβείᾳ, καὶ τῆ τῆ δημοσίων λυσιτελείᾳ ὑπάρξαι τὸ βέβαιον. ἐκλελεὴ μηδεμιᾶς φρὸ τῆς ἁγιωτάτης σινόδου, καὶ τὲ μέλλοντος παρ' αὐτῆς κοινῆ ψήφω ἐφ' ἅπασι δίεσθαι τύπου, καιροπομίας ἰδίᾳ παρά τινων γλυμβίης. καὶ πεπείσμεθα μβὼ ἕκαστον τῆ θεοφιλεστάτων ἱερέων, γνόντας ἐκκλησιαστικῶν τε καὶ οἰκουμβενικῶν φραγμάτων χάειν, τιμὼ ἁγιωτάτιω σύνοδον τούτῳ ἡμῶν τῷ διστίσματι καταπείγεσθαι. σινδραμεῖν δὲ σπεδαίως, τῖς ἔσω ἀναγκαίοις καὶ εἰς Θεοῦ ἀρίσκειαν φθάνειν τὰ δίκαια συμβαλλόμβιον. καὶ ἡμεῖς δὲ τούτων πολλιὼ πεποίμβιοι φροντίδα, ἀπολιμπάνεσθαι οὐδέν φορτῶς ἀνεξόμεθα· οὐδιμίαν τε ἔξει φρὸς Θεὸν, οὐδὲ φρὸς ἡμᾶς ἀπολογίαν, ὁ μὴ παραχρῆμα καὶ τὴν προειρημβίην καιρὸν εἰς τὸν ἀφορισθέντα τόπον σπουδαίως παραγδέμβιον. καὶ γὰρ ὁ καλούμβιος εἰς ἱερατιὸν σινέδριον, καὶ μὴ φρόδυμος σινεξέρχοιτο, οὐκ * ἐρδῆς εἶναι δέδοκται σινοδήσεως. ὁ Θεὸς ἀρέδει σε * διαφυλάττειν χρόνους πολλοῦς, πάτερ ὅσιώτατε καὶ * δοσεβέστατε. Ἐδόθη τῆ φρὸ δεκαξιὼ καλανδῶν Δεκεμβρίων ἐν Κωνσταντινουπόλει, ὑπατείᾳ τῆ δεσποτῆ ἡμῶν Θεοδοσίου τὸ ξεισγδέκατον, καὶ Οὐαλεντινιανοῦ τὸ ξέτον, τῆ αἰωνίων Αὐγούστων.

Καὶ ἀναγνωσθείσης, φράττεται τὰ ὑπομνήματα, φραχθέντα ἐν Ἐφέσῳ παρὰ τῆς ἁγίας καὶ οἰκουμβενικῆς σινόδου ἕνεκεν τῶ δυσεβοῦς Νεσορίου. *

* In nul. Sequit. subjiciuntur alia concilii gesta nisi tria breviora, &c. & ferguntur epistola cum aliis subjecta, tur homilia Proclì.

ΚΕΦΑΛΑΙΟΝ λγ'.

Πρὸ τῆς σινόδου ἐπιστολὴ Κυρίλλου ἀπὸ Ρόδου φρώτη.

Κύριλλος πρεσβυτέρους, καὶ ὁμοδίακους, καὶ λαοῖ Ἀλεξανδρείας, ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἐν κυρίῳ χαίρειν.

ΧΑΡΙΤΙ καὶ φιλανθρωπίᾳ τῶ πάντων ἡμῶν σωτῆρος Χριστοῦ τὸ πλωτὸν καὶ μέγα διεκπεξάμεδα πέλαγος ἀπαλοῖς τε καὶ ἡμεροπαθέσι πνεύμασι, ὥστε δίχα φόβω καὶ κινδύνω ταῖς τοῦ πλοὸς ὀξουσίαις φρισκέδαι εἰς τιμὼ Ῥοδίων, δοξολογοῦντας Θεὸν, καὶ λέγοντας μῆ τῆς τῶ ψαλλοντος φωνῆς· σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, καὶ τὸν σάλον τῆ κυμάτων αὐτῆς σὺ καταφραΰνεις. ἐπειδὴ δὲ ἦν ἀναγκαῖον ἅπασι τῷ σώματι, παρόντας δὲ τῷ πνεύματι, περιπτύξασθαι διὰ τοῦ γράμματος ὡς πέλας, δεῖν ὤφδιον ἐπιστεῖλαι πᾶσι ταῦτα ὑμῖν, καὶ ἀναργῆ κατασῆσαι. πιστεύω γὰρ, ὅτι φροδήσει ὁ Θεὸς τὰ λοιπὰ, καὶ διὰ τῆς ἁπάντων ὑμῶν φροσευχῆς παρακεκλημβένος, δέξασθε πίνω εἰς τὸν παρόντα μάλιστα καιρὸν, εἰς καρπὸν ἀγάπης, τὸν ὑπὲρ ἡμῶν φροσευχάς. καὶγὼ γὰρ τοῦτο ποιῶν οὐ διαλιμπάνω· ἵνα πάλιν ὁ πάντας σωτηρίαν παρέχων Θεὸς, ὁ τῆ δυνάμεων κύριος, καταστήσας τὸ μεταξὺ, καὶ πάντα ῥαΐσας * πόλεμον, χαίροντας ἡμᾶς, χαίροντα εἰς τέκνους ἀποδῷ. πάντα γὰρ δύναται, κατὰ τὸ γεγραμμβίον· ἀδυνατεῖ δὲ αὐτῷ παντελῶς οὐδέν. τῆς δὲ ὑμῖν σωφροσύνης καὶ φρεπούσης ἐπιμελείας ἀντέχεσθε. τοῦτο γὰρ ἀσφαλεῖ ὑμᾶς μάλιστα δοκιμωτάτους, οἵ καὶ πάντοτε καὶ παρόντ τὸ κατὰ πνεῦμα παθεῖν, τὸν ἄγλωσσον καὶ ἀξιολήπτου τιμᾶσι βίον. ἀσπάζονται ὑμᾶς ἀλλήλους ἐν φιλήματι ἁγίω. ἀσπάζονται ὑμᾶς

οἱ σὺν ἐμοὶ ἀδελφοί. ἐῤῥῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι.

ΚΕΦΑΛΑΙΟΝ λδ'.

Τῆ αὐτῆ δευτέρα ἐπιστολή.

Κύριλλος πρεσβυτέροις, καὶ διακόνοις, καὶ λαῷ Ἀλεξανδρείας, ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἐν κυρίῳ χαίρειν.

ΔΙΨΩΝΤΙ μοι πάλιν τῆς ὑμῶν ἐπιμελείας τιλὼ φρόσρησιν, δέδοται τῆ γράφειν καιρὸς καὶ τόπος. ἐσμὲν γὰρ παγαρουῶ σὺν τῆ Ἐφεσίων, διὰ τὰς πάντων ὑμῶν εὐχὰς ἐν εἰρωσίᾳ διατελοῦντες. καὶ λοιπὸν ἐγγὺς ἔχοντες τὸν τῆς συνόδου καιρόν. πιστεύομεν δέ, ὅτι Χριστὸς ὁ πάντων σωτὴρ καθαρὰς ἀποφανεῖ διεσταμμένων ἐννοιῶν τὰς ἑαυτοῦ ἐκκλησίας, καὶ τιλὼ ὀρθιλὼ πίστιν * ἀποκατασήσει φανοτάτιλω· ὥστε πάντας πανταχῆ καθαροὺς καὶ ἀμώμους, ἀκαπήλευτον ἔχοντας αὐτιλὼ, οἵας αἴρειν χεῖρας εἰς προσευχὰς, ἐκεῖνο λέγοντας τὸ, διὰ φωνῆς τῆ μακαρίου Δαυίδ· κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. περίερχεται γὰρ ὁ πονηρός, τὸ ἀκοίμητον θηρίον, ἐπιβαλλόμενον τῆ δόξῃ τῆ Χριστῆ· ἰσχύει δὲ ὅλως οὐδὲν, ἀργούσης αὐτῆ τῆς σπουδῆς, καὶ ἀπραγτούσης τῆς πονηρίας. ἐπιβαλλόμεν γὰρ οὐκ ἀνθρώπῳ κοινῷ, οὐδὲ ἑνὶ τῶν καθ' ἡμᾶς ἁπλῶς, κατὰ τὸ δοκοῦν τοῖς νέοις δογματισαῖς, ἀλλὰ Θεῷ τῷ πάντα ἰσχύοντι. οὐκοῦν ἀκουέτω παρὰ παντὸς ἀγαπῶντος Χριστόν· σκληρόν σοι τὸ, πρὸς κέντρα λακτίζειν. πλήττει γὰρ ἑαυτὸν ὁ δείλαιος, καὶ ὁμοῦ τοῖς ἰδίοις τέκνοις πεσεῖται πρὸς ὄλεθρον. οἱ γὰρ τὰ ὀρθὰ τῶν ἁγίων ἐκκλησιῶν δόγματα διαστρέφοντες δόγματα, τῆς ἐκείνης μερίδος εἰσίν· ἀφίξονται δὲ τὸ κρίμα τοῦ Θεοῦ. προσεύχεσθε τοίνυν ὑπὲρ ἡμῶν, ἵνα ὁ Θεὸς ὁ πάντων σωτὴρ δοίη πάλιν χαίροντας ἀποδοθῆναι· πάντα γὰρ δύναται, καὶ ἀδυνατεῖ παντελῶς οὐδὲν αὐτῷ. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. ἐῤῥῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ἀδελφοὶ ποθεινότατοι.

1. Τιμ. 2. 8. Ψαλ. 140. 2.

Πράξ. 9. 5.

Ρωμ. 16. 16.

ΚΕΦΑΛΑΙΟΝ λέ.

Θεῖον γράμμα * ἀποσταλὲν τῆ ἁγίᾳ συνόδῳ διὰ Κανδιδιανοῦ * κόμητος δομεστίκων, τοῦ καὶ τιλὼ διαταξίαν τῆς συνόδου ἐγχειρισθέντος.

Αὐτοκράτορες Καίσαρες, Θεοδόσιος, καὶ Οὐαλεντινιανὸς, νικηταὶ, τροπαιοῦχοι, μέγιστοι, ἀειστεβαστοι Αὔγουστοι, τῆ ἁγίᾳ συνόδῳ.

ΠΑΝΤΩΝ μὲν τῶν κοινῆ * συμπελούντων πολλὰ φροντίδα ποιούμεθα, διαφερόντως δὲ τῶν εἰς εὐσέβειαν ἡκόντων· δι' ὧν καὶ τῶν λοιπῶν ἀγαθῶν ἡ χορηγία τοῖς ἀνθρώποις προσγίνεται. διὰ τοι τοῦτο πρώην μὲν περὶ τοῦ συμπελθεῖν τιλὼ ὑμετέραν θεοσέβειαν εἰς τιλὼ τῶν Ἐφεσίων μητρόπολιν, τὰ εἰκότα γεγραφήκαμεν. ἐπειδὴ δὲ χρὴ καὶ τῆς παρεπούσης διαταξίας τε καὶ * ἡσυχίας τῆ διασκέψει τῆς ἁγιωτάτης ὑμῶν συνόδου δεόντως φροντίσαι. οὐδὲ τοῦτο παρήκαμεν· ὥστε αὐτῆ παντοθὲν * περιφυλαχθῆναι τὸ ἀτάραχον. καὶ πεποίσμεθα μὲν, ὡς οὐδεμιᾶς τῆς ἔξωθεν βοηθείας εἰς τὸ καὶ ἑτέροις εἰρηνικῶς παρασχεῖν δεῖται ὑμῶν ἡ θεοσέβεια. ἵνα δὲ καὶ τοῦτο τῆς * ἐμμελοῦς ἡμῶν περὶ τιλὼ εὐσέβειαν προνοίας μὴ παρείδῃ.

Ἐντέταλται τοίνυν Κανδιδιανὸς, ὁ μεγαλοπρεπέστατος κόμης τῶν καθωσιωμένων δομεστίκων, ἄχρι τῆς * ἁγίας ἡμῶν διαβλῶσαι συνόδου· καὶ μηδὲν μὲν ταῖς περὶ τῶν δογμάτων γνωμίαις ζητήσεσι κοινωνῆσαι· ἀθέμιτον γὰρ, τὸν * μὴ τοῦ καταλόγου τῶν ἁγιωτάτων ἐπισκόπων τυγχάνοντα τοῖς ἐκκλησιαστικοῖς σκέμμασιν ἐπιμίγνυσθαι· τοὺς κοσμικοὺς δὲ καὶ μονάζοντας, τούς τε ἤδη διὰ τοῦτο συνειλεγμένους, καὶ τοὺς συνάγεσθαι μέλλοντας, τῆς αὐτῆς παντὶ τρόπῳ χωρίσαι πόλεως. ἐπειδήπερ ἀνάγκη τοὺς κατ' ὁδὸν ἀναγκαίους ὄντας τῆ μελλούσῃ τοῦ δόγματος διασκέψει, κινεῖν θορύβους, καὶ διὰ τοῦτο ἐμποδίζειν τοῖς εἰρηνικῶς τυποῦσθαι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης ὀφείλουσι· καὶ φροντίσαι τοῦ μήτινα διχόνοιαν ἐξ ἀντιπαθείας ἐπὶ πλέον παρατυθῆναι· ὡς ἂν μὴ ἐκ τούτου ἡ τῆς ἁγιωτάτης ὑμῶν συνόδου παρεμποδίζοιτο διάσκεψις, καὶ ἡ ἀκριβὴς τῆς ἀληθείας ζήτησις ἐκ τῆς ἐγχωμίου τυχὸν ἀτύχου περιεργίας διαχρήται· ἀνεξικάκως δὲ τῶν λεγομένων ἕκαστον ἀκροώμενον προσήκειν τὸ δοκοῦν, ἢ ἀντιτίθεσθαι· καὶ ὅπως κατὰ πρότασίν τε καὶ λύσιν, τιλὼ περὶ τοῦ ἀληθοῦς δόγματος ἔρευναν δίκαι τινὸς παραχῆς * διαλυθῆναι, ἐν κοινῇ τῆς ὑμετέρας ὁσιότητος ψήφῳ ἀσφαλέστατόν τε καὶ τὸν πᾶσιν ἀρέσκοντα τύπον λαβεῖν. πρωτοτύπως δὲ παρὰ τῆς ἡμετέρας θειότητος ὁ αὐτὸς μεγαλοπρεπέστατος ἀνὴρ Κανδιδιανὸς ἐντέταλται, παντὶ τρόπῳ παραφυλάττειν, μηδένα τῶν τῆς ἁγιωτάτης ὑμῶν συνόδου ὡς οἰκαδε ἐπανιόντα, ἢ καὶ τὸ θεῖον ἡμῶν πρατόπεδον καταλαβεῖν βουλόμενον, ἢ καὶ ἀλλαχοῦ που ἀφικνεῖσθαι προωρισμένον, ἀπολιπεῖν τὸν ὁμοδόξοντα τῆ διασκέψει * τόπον· μήτε μὴν ἑτέραν τὸ παρά παν * προτεθῆναι ἐκκλησιαστικὴν ζήτησιν, ἥτινων ἐξαιτούντων, ἢ ὁπωσοῦν ἔκ τινος ἀνακόπτουσαν ὑποθέσιν, μὴ σπουδάσασαν εἰς τὴν προκειμένῳ τῆ ἁγίᾳ δόγματος διάσκεψιν, πρὶν ἂν πᾶσα ἡ * τῆ ζητουμένῃ λυθεῖσα ἀμφισβήτησις, καὶ τὰ εἰς τιλὼ ἀληθῆ ἔρευναν λυσιτελοῦντα, πρὸς ἀκρίβειαν ζητηθέντα τέλους τύχῃ τῆ τῇ ὀρθοδόξῳ θρησκείᾳ συμβαίνοντος. γινωσκέτω δὲ ὑμῶν ἡ θεοσέβεια, δεδόχθαι τῇ ἡμετέρᾳ γαληνότητι, μηδεμίαν ἢ ἐπὶ τῆς ἁγίας ὑμῶν συνόδου, ἢ καὶ ἐν δημοσίῳ αὐτόθι δικαστηρίῳ, χρηματικιλὼ, ἢ ἐγκληματικιλὼ κατὰ τινος κινηθῆναι αἰτίασιν, εἴ τινι τυχὸν ταύτῃ εἶναι συμβαίνοι· πᾶσαν δὲ τιλὼ περὶ τούτων διάγνωσιν συγκροτηθῆναι κατὰ τιλὼ * μεγαλώνυμον πόλιν. Εἰρηναῖον δὲ τὸν μεγαλοπρεπέστατον ἄνδρα φιλίας * μόνον χάριν συνεκδεδημηκέναι τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ τῆς δὲ τῆς μεγαλωνύμου πόλεως

* Ex cod. mf. Seg. ἐκ τοῦ φανοτάτου ἅπαντα τῆ ἁγίᾳ συνόδῳ κατὰ τὸν δεύτερον καιρὸν, ἀλλ' ὑπερθὲν διὰ Κανδιδιανοῦ κόμητος Νειτορίου χαρτοφυλακος. μετὰ τιλὼ ἀπόφασιν εἰσηγήσθη εἰς τὸ κινηθῆναι ἐρώτησιν. * λυσιτελοῦντος

* ἐν τοῖς περίοδος. * ἐν τοῖς ἐξ ἀπόντων. * ἐν τοῖς ἐξ ἀπόντων. * ἐν τοῖς ἐξ ἀπόντων

λεως Νεστορίῳ, μήτε τοῖς σκέμμασι τῆς ἁγιωτάτης ὑμῶν συνόδου, μήτε μὴν τοῖς ἐγχειρισθεῖσι τῷ παρ' ἡμῶν ἀποσταλέντι τῷ ἐνδοξοτάτῳ ἀνδρὶ Κανδιδιανῷ κατά τινα λόγον κοινωνήσοντα.

ΚΕΦΑ'ΛΑΙΟΝ λϛ'.

Ἐπιστολὴ Ἰωάννου Ἀντιοχείας πρὸς Κύριλλον.

Τῷ δεσπότῃ μου τῷ θεοφιλεστάτῳ καὶ ἁγιωτάτῳ συλλειτουργῷ Κυρίλλῳ, Ἰωάννης ἐν κυρίῳ χαίρειν.

Ο'ΥΔΕ' ἐμὲ μετρίως δάκνει τὸ ὅλως τῆς ὑμετέρας ὁσιότητος εἰς Εφεσον παραγενομένης, τὰς μικρὰς ταύτας ὑστερῆσαι ἡμέρας. τῆς γὰρ χρείας ὁ περὶ τὴν σὴν ἁγιωσύνην πόθος πλέον μοι ἔγκειται συντόνως τὴν ὁδὸν * ἐξανῦσαι. εἰμὶ γοῦν ἐπὶ θύραις λοιπόν, τῆς σῆς ἁγιότητος εὐχαῖς, πολὺν ὑποστὰς τὸν τῆς ὁδοιπορίας πόνον. ἡμέρας γὰρ ἔχω τριάκοντα. τοσοῦτος γὰρ ὁ κύκλος τ' ὁδοῦ ἔχει· ὁδεύων, οὐδαμῶς οὐδόλως ἐνδιδοὺς ἑαυτῷ· ἐνίων τῶν κυρίων τῶν θεοφιλεστάτων ἐπισκόπων ἀνωμαλίᾳ κατὰ τὴν ὁδὸν χρησαμένων, ζώων δὲ πολλῶν πεπτωκότων ἀπὸ τῆς συντόνου ὁδοιπορίας. εὔχου οὖν δέσποτα καὶ ταύτας τὰς πέντε ἢ ἓξ * μονὰς καὶ ἀλύπως ἡμᾶς ὁδεῦσαι, καὶ ἀλύπως περιπτύξασθαι τὴν ἱερὰν ἡμῖν καὶ ὁσίαν κεφαλήν. οἱ περὶ τὸν κύριόν μου τὸν θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην, Παῦλον, Μακάριον, προσφθέγγονταί σου τὴν ὁσιότητα· καὶ πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ πλεῖστα προσαγορεύομεν. ἐῤῥωμένως, ὑπερευχόμενος ἡμῶν διατελοίης δέσποτα θεοφιλέστατε καὶ ὁσιώτατε.

* διανῦσαι

* ἡμέρας



Θεοτόκος, Ἡ Γλυκοφιλοῦσα. Σύγχρονον ἔργον



Μ. Δοχειαρίου, «οἶκοι τῆς Θεοτόκου» καί ὁ Ἀναπεσών, 16ου αἰ.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ΟΠΕΡΙΕΧΩΝ ΤΑ ΠΡΑΚΤΙΚΑ ΤΗΣ ΣΥΝΟΔΟΥ.

ΑΡΧΗ ΤΗΣ ΣΥΝΟΔΟΥ.

Πρᾶξις ά.

ΜΕΤΑ τὴν ὑπατείαν τ̃ δεσποτ῀ ἡμῶν, Φλαυίου Θεοδοσίου τὸ ξ΄ τοῦ ἑνὸς καὶ δεκάτου, καὶ Οὐαλεντινιανοῦ τὸ ξ΄ τοῦ, τ̃ αἰωνίων Αὐγούστων, πρὸ δέκα καλανδῶν Ἰουλίων, συνόδου συγχροτηθείσης ἐν τῇ Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τ῀ θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων. Ἐκαθεδίσθησαν ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, τῇ καλουμένῃ Μαρίᾳ, τ῀ θεοφιλεστάτων καὶ * ὁσιωτάτων ἐπισκόπων·

* Διακριβιτάτων

Κυρίλλου Ἀλεξανδρείας, διάδοχος καὶ τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ρωμαίων ἐκκλησίας Κελεστίνου. καὶ

Ἰουβεναλίου Ἱεροσολύμων· καὶ

Μεμνονος τῆς Ἐφεσίων· καὶ

Φλαυιανοῦ Φιλίππων, ἐπέχοντος καὶ τὸν τόπον Ῥούφου τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Θεσσαλονικέων· καὶ

Θεοδότου Ἀγκύρας Γαλατίας πρώτης· καὶ

Φίρμου Καισαρείας, Καππαδοκίας πρώτης· καὶ

Ἀκακίου Μελιτηνῆς Ἀρμενίας· καὶ

Ἰκονίου Γορτυνίης τῆς Κρήτης· καὶ

Περγαίνου Κερίνθου τῆς Ἑλλάδος· καὶ

Κύρου Καρθασιάδος τῆς Καρίας· καὶ

Οὐαλεριανοῦ Ἰκονίου· καὶ

Ἡσυχίου Παρίου· καὶ

Ἑλλανίου Ῥόδου· καὶ

* Δωσίθεου * Δοσίθεου Νικοπόλεως, Ἠπείρου παλαιᾶς· καὶ

* Δυβλαχίου Εὐχαρίου * Δωραχίου, Ἠπείρου νέας· καὶ

* Πιερίβιου * Πιερίου Φαρμάλου· καὶ

Εὐδοξίου Χώματος τῆς Λυκίας· καὶ

* Χειροτόνου Σιλουανοῦ * Χειροτόνου Φρυγίας· καὶ

Βικεντιανοῦ Πέργης τῆς Παμφυλίας· καὶ

Ἀμφιλοχίου Σίδης τῆς Παμφυλίας· καὶ

Σπυρωνίου Κρωπίας τῆς Ὀνωριάδος· καὶ

Γρηγορίου Κερασοῦντος Πόντου Πολεμωνιακοῦ· καὶ

* Κερμένου. Προθυμίου * Καλλίνου· καὶ

Παθκουλίου Χαλκηδόνος Ἑλλησπόντου· καὶ

* Καλῶν. Σισιννίου * Κάλλωνος· καὶ

* Post Acacium Melitinenses legitur in Mss. Δαλματίου Κυζίκου· καὶ

Ἀκακίου Ἀγρῶν· καὶ

Δεκεμβρίου Μαρωνείας τῆς Θράκης· καὶ

Ἰωάννου Πρωικονήσου· καὶ

Δανιὴλ Κελαινῶν, Καππαδοκίας δευτέρας. καὶ

Ῥωμανοῦ Ῥαρίας· καὶ

Παυλίνου Μαΐουμᾶ· καὶ

Παύλου Κυδωνίης· καὶ

Φίδου Τύρου· καὶ

* Λίνου * Λίνου Συναμαζόνος· καὶ

Θεοδώρου Γαδάρων· καὶ

* Ἀκακίου * Ἀκακίου Λιβυάδος· καὶ

* Θεοδότου * Θεοδότου Ἐλάσσης· καὶ

* Εὐβούλου Θεοδώρου * Εὐβούλου·

Πέτρου Παρεμβολῆς· καὶ

Ἰωάννου Αὐγουσταμνίκης· καὶ

Σαΐδα Φαίνης· καὶ

Ῥηγίνου Ταβῶν· καὶ

Ἀνυσίου Θηβῶν· καὶ

Καλλικράτους Ναυπάκτου· καὶ

Δόμνου Ὀπῦντος· καὶ

Νικίου Μεγάρων· καὶ

* Ἀγαθοκλέους Κωλωνείας· καὶ

Φιλίκου Ἀπολλωνίας, καὶ * Βελλαίδος· καὶ

Θεοδώρου Δωδώνης· καὶ

Κυρίλλου Πυλῶν τῆς Χερσονήσου· καὶ

Ἀνδρέου Χερρονήσου Κρήτης· καὶ

Παύλου * Λάμπης· καὶ

Ζωοβίου Κνωσσοῦ· καὶ

Λυκιανοῦ Τοπηρίου Θράκης· καὶ

Εὐγενίου Μαξιμιανουπόλεως· καὶ

Σεκουνδιανοῦ * Λαμίας· καὶ

Δίωνος Θηβῶν Θετταλίας· καὶ

Θεοδώρου * Ἐχινάου· καὶ

Μαρτυρίου Ἡλιουπόλεως· καὶ

Θωμᾶ Δέρβης· καὶ

Ἀθανασίου * Παροσίου· καὶ

Θεμιστίου Ἰασσοῦ· καὶ

Ἀφθονίου Ἡρακλείας· καὶ

Φιλητᾶ Ἀμαζόνος· καὶ

Ἀστερίου Κιβύρρας· καὶ

Σταδασίου Κεραμῶν· καὶ

Ἀρχελάου Μωάδων· καὶ

Φανίου Ἀρτάσων· καὶ

Προμαχίου Ἀλίνδων· καὶ

Φιλίππου Περγάμου τῆς Ἀσίας· καὶ

Μαξίμου Κύμης· καὶ

Δωροθέου Μυρρίνης· καὶ

Μαξίμου Ἀσσοῦ· καὶ

* Ἀστερίου Τυάτων· καὶ

Ἀλεξάνδρου Ἀρκαδιουπόλεως· καὶ

Εὐτυχίου Θεοδοσιουπόλεως· καὶ

Ῥοδωνος Παλαιᾶς πόλεως· καὶ

Εὐτροπίου * Αἰγαίων· καὶ

Ἀρσενίου * Κολώνου· καὶ

Νεσσορίου Σιῶν· καὶ

Ἡρακλέωνος Τραπέζεων· καὶ

Θεοδότου Νύσσης· καὶ

Θεοδώρου Ἀγκύρας· καὶ

Τιμοθέου Βριούλων· καὶ

Θεοδοσίου Μαζαύρων· καὶ

* Εὐτυχίου Ἐφυδρῶν· καὶ

Εὐσεβίου Κλαζομενῶν· καὶ

Εὐθυμίου Κολοφῶνος. καὶ

Μοδέστου * Ἀσσου· καὶ

Θεοδοσίου Περιωΐης· καὶ

Εὐσεβίου Μαγνησίας· καὶ

Σαφρικίου Πάφου τῆς Κύπρου· καὶ

Ζωΐνου * Κυρίνου· καὶ

Ῥηγίνου * Καισαρείας· καὶ

Εὐαγρίου Σολῶν. καὶ

Καισαρίου χωρεπισκόπου· καὶ

Τερβωνιανοῦ Ἀπολλωνίου τῆς Παμφυλίας· καὶ

Νουνεχίου * Σίλγης· καὶ

Σόλωνος Καρακίας· καὶ

Ἀλκαίου * Κοτένων· καὶ

* Ἀγαθίου Κυπριλλίου

* Λάμπης.

* Ἀσσου

* Εὐσίου

* Κίνου. ἢ Στρατηγίδος Ἀλικάρνασσου τῆς Ἑλευθερνίης.

* Κολίνου

* Τυχικοῦ Χύτρου.

* Ἀρτάσου

* Κυρίνου τοῦ Κύπρου.

* Καππαδοκίας.

Νικίου

Νικίου Καππαδόκων· κγ
Ματιδιανῦ Καρικιστίων· κγ
Σισινίου Νεκταρίου * τῶ Σωζόντων· κγ
Ἐτεόφ. Εὐτροπίου * Ἐτένων· κγ
* Ταυρεανῦ Λύβης· κγ
Τιμοθέ Εὐσεβίου Λεσκόνων τῆς Γαλατίας· κγ
Φιλημένου Κίννης· κγ
Στρατηγίου * Λεραπτῦ· κγ
Εὐσεβίου Ἡρακλείας τῆς Θρακησίδος· κγ
Ἐλπιδίου Παραλίου Ἀνδρώπων τῆς * Ἐλασσόντος· κγ
Σιλουανῦ Κερατέων· κγ
Γουαίρου Ἑρμογένους * Ῥινοκορώρων· κγ
Εὐσεβίου Πτολεμαΐδος τῆς Πενταπόλεως· κγ
Εὐσεβίου Πηλουσίου· κγ
Εὐλογίου Τερωνθίδος· κγ
Ἀδελφίου Θνήφεως· κγ
Φλαβιανοῦ Παύλου * Φλαβιανίας· κγ
Φοιβάμμωνος Κοπτῦ· κγ
Θεοτίμου Καβάσου· κδ
Μακαρίου Μενέλεως· κδ
Ἀδελφίου Σαΐτου· κδ
Μακεδονίου Ξοΐτου· κδ
Ἡλιοδώρου Μαρέου * Ἡλιουπολίτου· κδ
Μητροδώρου Λεόντων· κδ
Μακαρίου Ἀντίου· κδ
Παβίσκου Ἀπολλωνίου· κδ
Πέτρου Ὀξυρύγχου· κδ
Στρατηγίου Ἀθριβίτου· κδ
Ἀθανασίου Παραλίου· κδ
Σιλουανῦ Κοφτίδος· κδ
Ἰωάννου Ἡφαίου· κδ
Ἀργοβάλου Θμουέως· κδ
Σεβηρίνου Θέωνος * Σεβρέου· κδ
Δομετίου * Δάμπωνος Κασίου· κδ
Κύρου Ἀχαιῶν· κδ
Ποτλίου Ὀλβίου * Ποτλίου Ὀλβίας· κδ
Σαμουὴλ Δυβαίως· κδ
Ζωσβίου Βάρκης· κδ
Ζωΐλου Ταχάρων· κδ
Δανιὴλ Δάρτου· κδ
Σωσιπάτρου Σιττιμιακῆς· κδ
Εὐσεβίου Νιλοπόλεως· κδ
Ἡρακλείδου Ἡρακλείης· κδ
Χρυσορίου Ἀφροδίτης· κδ
Ἀνδρέου * Ἑρμοπολίτου· κδ
Σαβίνου Παχών· κδ
Ἀβραὰμ Ὀσραήνης· κδ
Γάϊος Ἀφρικῆ· κδ
Ἀλυπίου Σιλή * Ἐλούσης Σιλῆ· κδ
Ἀλεξάνδρου Κλεοπατρίδος· κδ
Ἰσαὰκ * Ταβῆ· κδ
Ἀμμωνίου * Βατῆ· κδ
Ἡρακλείδου * Θοινίου· κδ
Ἰσαὰκ * Ἐλεφαντίνης· κδ
Ἡρακλείτου Ταμιαθίδος· κδ
Θεωνᾶ * Ψυχῆς· κδ
Ἀμμωνίου Παυσιρίωνος· κδ
Βιτάλιος διάκονος Καρθαγένης.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας, καὶ πρωτοσύγκελλος νοταρίων, εἶπεν. Ἔτι πρότερον τοῦ δοσιωτάτου Νεστορίου χειροτονηθέντος ἐπισκόπου τῇ ἁγίᾳ Κωνσταντινουπολιτῶν ἐκκλησίᾳ, καί τινων οὐ πολλῶν δοσιωτάτων ἡμῶν, παρωχήθησαν ἀπὸ τῆς Κωνσταντινουπόλεως παρά τινων ὑξηγήσεις αὐτοῦ, ἐκταράττουσαι τοὺς ἀναγινώσκοντας, ὡς πολλὰ ἐκ τούτου ταῖς ἁγίαις ἐκκλησίαις γεγενῆσθαι τὸν θόρυβον. τοῦτο μαθὼν ὁ δοσεβέστατος καὶ θεοσεβέστατος τῆς Ἀλεξανδρείας ἐπίσκοπος Κύριλλος, ἔγραψε πρώτως καὶ δευτέραν ἐπιστολὴν πρὸς τὸν δοσιώτατον αὐτοῦ, συμβουλῆς καὶ παραινέσεως γεμούσας. πρὸς ταύτας ἀντέγραψεν ἀναιδῶν, καὶ ἐναντιούμενος τοῖς ἀπεσταλμένοις. καὶ πρὸς τούτοις ἔτι μαθὼν ὁ αὐτὸς δοσιώτατος ἐπίσκοπος Κύριλλος, ὅτι καὶ εἰς τὸν Ῥώμης ἀπέστειλαν παρ' αὐτοῦ ἐπιστολαί, καὶ βιβλία τῶν ὑξηγήσεων αὐτοῦ, ἔγραψε καὶ αὐτὸς πρὸς τὸν θεοσεβέστατον ἐπίσκοπον τῆς Ῥώμης Κελεστῖνον διὰ Ποσειδωνίου τοῦ διακόνου, ἐντειλάμενος αὐτῷ, ὅτιπερ εἰ βούλοιτο ἀποδοθῆναι αὐτῷ τὰ βιβλία τῶν ὑξηγήσεων αὐτοῦ, καὶ αἱ ἐπιστολαί, ἀπόδος καὶ τὰ παρ' ἐμοῦ γράμματα. εἰ δὲ μή, ἄγαγε αὐτὰ ἐνταῦθα μὴ ἀποδοθέντα. ἵνα δῶμεν τὰς ὑξηγήσεις, καὶ τὰς ἐπιστολὰς αὐτοῦ ἀποδοθείσας, ἀναγκαίως καὶ αὐτὰς ἀποδέδωκε. καὶ γέγραπται τὰ εἰκότα παρὰ τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου, * τύπον φανερὸν περιέχοντα. ἐπεὶ δὲν ἐκ * ἐνεκεν. βασιλικοῦ καὶ θεοφιλοῦς γράμματος ἡ ἁγία ὑμῶν συγκεκροτῆται συνόδος ἐνταῦθα, ἀναδιδάσκομεν ἀναγκαίως, ὅτι δὴ τοῖς ἐπὶ τούτοις χάρτας μὴ χεῖρας ἔχομεν πρὸς τὸ παρεστάμενον τῇ ὑμῶν θεοσεβείᾳ.

Ἰωβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν. Ἀναγινωσκέσθω τὸ θεοφιλὲς τῶν δοσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων γράμμα. τὸ πρὸς ἕκαστον τῶν μητροπολιτῶν γραφὲν, καὶ προλαμβάνον τῶν παραττομένων νυνὶ ὑπομνημάτων· ὅπερ προκομισθὲν διὰ τοῦ ἀλαβεστάτου Πέτρου πρεσβυτέρου Ἀλεξανδρείας, ἀνεγνώσθη ὅτως.

Αὐτοκράτορες Καίσαρες, Θεοδόσιος καὶ Οὐαλεντινιανὸς, νικηταὶ, τροπαιοῦχοι, μέγιστοι, ἀεισέβαστοι Αὔγουστοι, Κυρίλλῳ ἐπισκόπῳ. Ἤρτηται τῆς εἰς Θεὸν δοσεβείας ἡ τῆς ἡμετέρας πολιτείας κατάστασις· ☩ τὰ λοιπά.

Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε. Τοῦτο ἡμῖν μαρτυρηθῇ παρὰ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἐπισκόπου τῆς πόλεως Ἐφέσου Μέμνονος, πόσος ἀριθμὸς ἡμερῶν ἔλειπε μὴ τοῦ ἄφιξιν ἡμῶν.

Μέμνων ἐπίσκοπος πόλεως Ἐφέσου εἶπεν. Ἀπὸ τῆς ὡρισμένης προθεσμίας ἐν τῷ δοσιβεῖ καὶ θεοφιλεῖ γράμματι, παρῆλθον ἡμέραι δεκαεξ.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀρχόντως ἡ ἁγία καὶ μεγάλη αὕτη συνόδος διεκαρτέρησεν, ἐκδεχομένη τοῦ ἄφιξιν τῶν ἧξειν προσδοκηθέντων θεοφιλεστάτων ἐπισκόπων. ἐπειδὴ δὲ πολλοὶ τῶν ἐπισκόπων, οἱ μὲν ἀῤῥωστίᾳ περιέπεσον, ἀπογεγόνασι δὲ καὶ τινες, καὶ ἔσιν ἀκόλουθον τὸ ἱκανοὺς ἤδη τοῖς τεθεσπισμένοις προσκεῖσθαι, καὶ τὰ περὶ τῆς πίστεως διαλαβεῖν εἰς ὠφέλειαν ἁπάσης τῆς ὑπ' ἔρανον· ἀναγινωσκέσθω καθ' ἑξῆς τὰ εἰς τοῦτο ὑποθέσπισμα σωπελλῶντα χαρτία· μάλιστ' ὅτι καὶ δεύτερον θέσπισμα τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων ἀπανεγνώσθη τῇ συνόδῳ διὰ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου κόμητος τῶν καθωσιωμένων δομεστίκων Κανδιδιανοῦ, τὸ προσκεῖσθαι, τὰ τῆς πίστεως ἐρωτᾶσθαι, καὶ τυπεῖσθαι δίχα πάσης ἀναβολῆς.

Θεόδοτος ἐπίσκοπος Ἀγκύρας εἶπεν. Ἡ μὲν τῶν χαρτίων ἀνάγνωσις ἔσται κατὰ τὸν δέοντα καιρόν. νυνὶ μέν τοι ἀκόλουθόν ἐστι τοῖς πραττομένοις συνεῖναι καὶ τὸν θεοφιλέστατον ἐπίσκοπον Νισσέων, ὥστε τὰ τῆς δοσεβείας εἶναι ἐκ κοινῆς γνώμης καὶ συναινέσεως.

Ἑρμογένης ἐπίσκοπος Ῥινοκορώρων εἶπεν. Ἀπεσάλημαι κατὰ τὴν χθὲς ἡμέραν παρὰ τῆς ὑμετέρας θεοσεβείας, ὑπομνῆσαι τὸν ἀλαβέστατον Νισσέων, * συνδρεῦσαι εἰς τὴν ἁγίαν ταύτην σύνοδον· καὶ παρεγενόμην πρὸς αὐτὸν, ὑπομιμνήσκουσα περὶ τούτου. * ὁ δὲ διαβεβαιοῦτο λέγων, ὅτι σκοπῶ· καὶ ἐὰν δυνήσωμαι ἐλθεῖν, ἔρχομαι.

* ἐν ἑνὶ κωδικὶ τὸ συνδρεῦσαι. * ἐν ἑνὶ κωδικὶ ὁ δὲ διαβεβαιοῦτο.

* Παραλίαν.

Ἀθανάσιος ἐπίσκοπος * Παράλου εἶπεν· Ἀπεστάλημεν παρὰ τῆς ὑμετέρας θεοσεβείας κατὰ τὴν χθὲς ἡμέραν, ὥστε ὑπομνῆσαι τὸν εὐλαβέστατον Νεστόριον, συνεδρεῦσαι εἰς τὴν ἁγίαν ταύτην σύνοδον· καὶ παρεγενόμεθα πρὸς αὐτὸν, ὑπομιμνήσκοντες περὶ τούτου. ὁ δὲ διεβεβαιοῦτο λέγων, ὅτι σκοπῶ· καὶ ἐὰν δεήσῃ με ἐλθεῖν, ἔρχομαι.

Πέτρος ἐπίσκοπος Παρεμβολῶν εἶπε. Κατὰ τὴν χθὲς ἡμέραν ἀπεστάλημεν παρὰ τῆς ὑμετέρας θεοσεβείας πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Νεστόριον, ὑπομνῆσαι αὐτὸν, ὅτι κατὰ τήν δε τὴν ἡμέραν συνεδρεύσει ἡ ἁγία σύνοδος. καὶ ἀπεκρίνατο λέγων, ὅτι σκοπῶ· καὶ ἐὰν δεήσῃ με ἐλθεῖν, ἔρχομαι. ὑπεμνήσθησαν δὲ καὶ οἱ ὄντες ἐκεῖ εὐλαβέστατοι καὶ θεοφιλέστατοι ἐπίσκοποι, ὄντες μικρῷ πρὸς ἓξ ἢ ἑπτά. καὶ εἶπον καὶ αὐτοί· σκοποῦμεν, καὶ ἐὰν δοκιμάσωμεν, αὔριον ἐρχόμεθα.

Παῦλος ἐπίσκοπος Λάμπης εἶπε· Τῆς ἁγίας ὑμῶν καὶ μακαρίας συνόδου ἐπιτρεψάσης παραγενέσθαι ἡμᾶς πρὸς τὸν εὐλαβέστατον Νεστόριον, καὶ ὑπομνῆσαι τοῦτον, ὥστε κατὰ τὴν σήμερον ἡμέραν παραγενέσθαι ἐπὶ τῆς ἁγίας ὑμῶν καὶ μακαρίας συνόδου· παραγενόμενος κἀγὼ μετὰ τῶν ἁγίων ἀδελφῶν τῶν ἤδη καταθεμένων, ὑπέμνησα αὐτὸν, ὥστε κατὰ τὴν σήμερον ἡμέραν παραγενέσθαι ἐπὶ τὸν ἁγίας ὑμῶν συνόδου, καὶ συνεδρεῦσαι. ὁ δὲ ἔφη. εἰ δοκιμάσω, φησί, τότηνικαῦτα παραγίνομαι. οὐ μόνον δὲ αὐτὸν ὑπεμνήσαμεν, ἀλλὰ καί τινας, οὓς εὕρομεν μετ' αὐτοῦ εὐλαβεστάτους ἐπισκόπους τυγχάνοντας· ἦσαν δὲ μετ' αὐτοῦ μικρῷ πρὸς ἓξ ἢ ἑπτὰ ἐπίσκοποι.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπε. Διαβάντες τινὲς τῶν εὐλαβεστάτων ἐπισκόπων, ὑπομνήσουσι καὶ αὖθις, ὥστε παραγενέσθαι αὐτὸν, καὶ συνεδρεῦσαι τῇ ἁγίᾳ συνόδῳ.

Καὶ ἀπεστάλησαν παρὰ τῆς ἁγίας συνόδου Θεόδουλος ἐπίσκοπος Ἐλούσης Παλαιστίνης, Ἀνδήριος ἐπίσκοπος Χερρονήσου Κρήτης, Θεόπεμπτος ἐπίσκοπος * Καβάσσου Αἰγύπτου, καὶ Ἐπαφρόδιτος ἀναγνώστης καὶ νοτάριος τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἑλλανίκου τῆς Ῥοδίων πόλεως· ἐπιφερόμενοι καὶ παραναγνωστικὸν τῆς ἁγίας συνόδου πρὸς αὐτὸν τὸν εὐλαβέστατον ἐπίσκοπον Νεστόριον, περιέχον οὕτως.

* Καβάσσου.

Ἔδει μὲν ὑπομνησθεῖσαν τὴν σὴν θεοσέβειαν τῇ χθὲς ἡμέρᾳ διὰ τῶν εὐσεβεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων, ἐφ' ᾧ τε συνδραμεῖν εἰς τὴν ἁγίαν σύνοδον, τὴν σήμερον συγκρωτουμένην ἐν τῇ ἁγίᾳ καὶ καθολικῇ ἐκκλησίᾳ, μὴ ἀπολειφθῆναι ταύτης. ἐπειδὴ δὲ συναχθείσης τῆς ἁγίας συνόδου ἀπελείφθη ἡ σὴ ὁσιότης, ἀναγκαίως πάλιν διὰ Θεοπέμπτου, καὶ Θεοδούλου, καὶ Ἀνδηρίου, τῶν εὐλαβεστάτων, καὶ θεοσεβεστάτων ἐπισκόπων, καὶ Ἐπαφροδίτου ἀναγνώστου καὶ νοτάριου τῆς Ῥοδίων πόλεως, παρακαλοῦμέν σε παραγενέσθαι, καὶ μὴ ἀπολειφθῆναι τῶν πραττομένων· τῷ μάλιστα τοὺς εὐσεβεστάτους καὶ θεοφιλεστάτους βασιλέας προστάξαι, πάντα παραλιπόντας ἡμᾶς τὴν περὶ τῆς πίστεως βεβαίωσιν ποιήσασθαι.

Καὶ ἐπανελθόντων αὐτῶν, Πέτρος πρεσβύτερος Ἀλεξανδρείας, καὶ πριμμικήριος νοτάριων εἶπεν· Ἐπειδὴ παραγεγόνασιν οἱ ἀποσταλέντες παρὰ τῆς ἁγίας συνόδου εὐλαβέστατοι καὶ θεοφιλέστατοι ἐπίσκοποι, ἀξιοῦμεν αὐτοὺς καταθέσθαι, ποίαν ἀπόκρισιν εἰλήφασι.

Θεόπεμπτος ἐπίσκοπος * Καβάσσου εἶπεν· Ἀποσταλέντες παρὰ τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου πρὸς τὸν εὐλαβέστατον Νεστόριον, ἐγενόμεθα ἐν τῇ τούτου οἰκίᾳ. καὶ θεωρήσαντες πλῆθος στρατιωτῶν μετὰ ῥοπάλων, * παρεκαλέσαμεν μηνυθῆναι. οὗτοι δὲ κεκωλύκασιν ἡμᾶς, λέγοντες· ἰδιάζει, καὶ * ἀναπαύεται, καὶ ἐκελεύσθημεν μηδένα συγχωρῆσαι εἰσελθεῖν, καὶ συντυχεῖν αὐτῷ. ἡμῶν δὲ λεγόντων, ὅτι ἀδύνατόν ἐστιν ἡμᾶς ἀποστῆναι, εἰ μὴ ἀπόκρισιν δεξόμεθα· ἀπέστειλε γὰρ πρὸς αὐτὸν παραναγνωστικὸν ἡ ἁγία σύνοδος παρακαλοῦσα, ὥστε ἅμα αὐτοῖς συνεδρεῦσαι. ἐξελθόντες οὖν οἱ κληρικοὶ αὐτοῦ, τὰ αὐτὰ τοῖς στρατιώταις ἡμῖν ἀπεκρίναντο. ὡς δὲ ἐπεμένομεν (τὰ αὐτὰ τοῖς στρατιώταις) ζητοῦντες ἀπόκρισιν δέξασθαι, ἐξελθὼν ὁ καθωσιωμένος τριβοῦνος Φλωρέντιος, ὁ συνὼν Κανδιδιανῷ τῷ μεγαλοπρεπεστάτῳ καὶ ἐνδοξοτάτῳ κόμητι τῶν καθωσιωμένων δομεστίκων, παρεσκεύασεν ἡμᾶς μεῖναι, ὡς μέλλων ἡμῖν ἀπόκρισιν φέρειν· καὶ δὴ ἐδεξάμεθα. ὕστερον ἐξελθὼν μετὰ * κληρικῶν αὐτοῦ, ἔφη πρὸς ἡμᾶς· ἐγὼ μὲν ἰδεῖν αὐτὸν οὐ δεδύνημαι· ἐδήλωσε δέ. ὥστε εἰπεῖν τῇ θεοσεβείᾳ ὑμῶν, ὅτι μετὰ τὸ συνελθεῖν πάντας τοὺς ἐπισκόπους, συντυγχάνομεν αὐτοῖς. ἡμεῖς δὲ διαμαρτυράμενοι καὶ αὐτὸν, καὶ τοὺς παρόντας στρατιώτας πάντας, καὶ τοὺς κληρικοὺς αὐτοῦ, ἀνεχωρήσαμεν.

* Καβάσσου.

* παρακαλέσαμεν.

* ἀναπαύεται.

* κληρικῶν.

Θεόδουλος ἐπίσκοπος Ἐλούσης εἶπε· Κἀγὼ τὰ αὐτὰ ἤκουσα, καὶ τὰ αὐτὰ κατατίθεμαι.

Ἀνδήριος ἐπίσκοπος Χερρονήσου Κρήτης εἶπε. Καὶ αὐτὸς κατὰ τὸν ὅρον τῆς ἁγίας καὶ μακαρίας συνόδου παραγενόμενος ἐκεῖ, τὰ αὐτὰ εἶπον καὶ ἤκουσα, ὥσπερ ἀπαραλείπτως κατέθεντο οἱ μετ' ἐμοῦ θεοσεβέστατοι ἐπίσκοποι.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἐπειδὴ οὐδὲν προσήκει παραλιπεῖν τῶν ἡκόντων εἰς ἀκολουθίαν ἐκκλησιαστικὴν φανεροῦ τυγχάνοντος, ὅτι κατὰ τὴν χθὲς τε καὶ σήμερον δεύτερον ὑπομνησθεὶς ὁ θεοφιλέστατος Νεστόριος οὐκ ἀπηύτησε, καὶ τρίτῳ πάλιν παραναγνωστικῷ ὑπομνησθήσεται. διαβαινόντων δηλαδὴ Ἀνυσίου ἐπισκόπου Θηβῶν τῆς Ἑλλάδος, καὶ * Μέμνονος ἐπισκόπου τῆς αὐτῆς Ἑλλάδος, καὶ Ἰωάννου ἐπισκόπου Ἡφαίστου τῆς Αὐγουσταμνικῆς, καὶ Δανιήλου ἐπισκόπου Δάρνεως τῆς Λιβύης, τῶν θεοσεβεστάτων συλλειτουργῶν, καὶ ἐκ τρίτου ὑπομιμνησκόντων αὐτόν. καὶ ἀπῆλθον μετὰ Ἀνυσίου τοῦ νοταρίου καὶ ἀναγνώστου Φίρμου τοῦ ἐπισκόπου Καππαδοκίας, ἐπιφερομένου τὸ παραναγνωστικὸν, περιέχον οὕτως.

* Δέμνη.

Τρίτῃ ταύτῃ κλήσει τὴν εὐλάβειάν σου συγκαλεῖ ἡ ἁγιωτάτη σύνοδος, τῷ κανόνι ὑποταττομένη, καὶ νέμουσά σοι τὴν ἀνοχὴν καὶ μακροθυμίαν· καταξίωσον κἂν νῦν γοῦν ἀπαντήσας ἀπολογήσασθαι περὶ ὧν φασί σε εἰρηκέναι ἐπ' ἐκκλησίας αἱρετικῶν δογμάτων ἐπὶ τοῦ κοινοῦ τῆς ἐκκλησίας· εἰδὼς, ὅτι εἰ μὴ ἀπαντήσας σὺ στῆς πρὸς τὰ ἀγράφως καὶ ἐγγράφως κατὰ σοῦ λεγόμενα, ἀνάγκην ἕξει ἡ ἁγιωτάτη σύνοδος τὰ δοκοῦντα τοῖς τῶν ἁγίων πατέρων κανόσιν ἐπὶ σοὶ ὁρίσαι.

Ὧν ἐπανελθόντων, Πέτρος πρεσβύτερος Ἀλεξανδρείας, καὶ πεμμικήριος νοταρίων ἔφη. Ἐπειδὴ δὲ νῦν ἐπανῆλθον οἱ ἀποσταλέντες ὁλαβέστατοι ἐπίσκοποι, παρακαλοῦμεν καταθέσθαι, ποίας ἀποκρίσεως ἔτυχον.

Ἰωάννης ἐπίσκοπος Ἡφαίστου εἶπεν· Ἀποσταλέντες παρὰ τῆς ἁγίας ταύτης καὶ θεοφιλοῦς συνόδου, ὥστε διὰ τὸ παρανομωτικὸν τοῦτο ὑπομνῆσαι τὸν θεοσεβέστατον Νεστόριον, συνεβαμεν καὶ νῦν γεγενῆσθαι τῇ ἁγίᾳ συνόδῳ, φησὶ τὸ, παρέσης αὐτοῦ τῆς θεοσεβείας τὸς περὶ τῆς πίστεως κατηξιωθῆναι λόγους, ἀκολούθως τοῖς προσταταγμένοις ἡμῖν παρὰ τῆς ὑμετέρας θεοσεβείας ἀφικόμεθα εἰς τὸ τότε καταγώγιον· καὶ ὄντες τοῖς προθύροις ἐγκύμενοι, ἔμεμβμεν πλῆθος σχολαστικῶν μὴ βουλόμενον ἐστάμενον ἐν αὐτοῖς τοῖς προθύροις αὐτοῦ. παρεκαλέσαμεν δὲ, ὥστε ἢ ἐπιτρέψαι ἡμῖν εἰς τὸν πυλῶνα γενέσθαι τῆς οἰκίας, ἔνθα διάγει ὁ αὐτὸς θεοσεβέστατος Νεστόριος, ἢ μᾶλλον αὐτὸς ἡμᾶς καταμεῖναι ἀπεσταλμένους παρὰ τῆς ἁγίας συνόδου μετὰ παραγνωστικοῦ τούτου, τοῦ πρᾶξαι αὐτὸν καὶ μὴ πάσης προσκλήσεως καλοῦντος εἰς τὴν ἁγίαν σύνοδον. καὶ πολὺ διεπελέσαμεν, ἐδὲ παρὰ τῶν σκιάν στῆναι ἐπιτρεπόμενοι παρὰ τῶν σχολαστικῶν, ὠθούντων θρασέως, καὶ ἀποπεμπόντων ἡμᾶς τῶν τόπων, καὶ μηδεμίαν ἡμῖν φιλανθρωπίας ἀπόκρισιν παρεχόντων. ὡς δὲ ἐπὶ πολὺ ἐπεμβάλομεν παρακαλοῦντες, καὶ λέγοντες, ὅτι πάσαρές ἐσμεν ἐπίσκοποι τὸν ἀριθμὸν, ἐκ ὕβρεως ἕνεκα ἀπεσταλμένοι, ἐκ ὥστε ἐφύβεστόν τι πρᾶξαι τῶν μὴ προσηκόντων, ἀλλ' ὥστε μετὰ πάσης ἀκολουθίας, καὶ νῦν ὑπομνῆσαι, εἰς τὴν δικαίαν ταύτην ἐκκλησίαν παραγενέσθαι, καὶ συνιδρεῦσαι ταύτῃ τῇ ἁγίᾳ συνόδῳ· τελευταῖον οἱ σχολαστικοὶ ἀπέπεμψαν φάσκοντες, μηδεμίαν ἄλλην ἀπόκρισιν ἡμᾶς λαμβάνειν, καὶ μέχρις ἑσπέρας ἐκδεχώμεθα ἐν τοῖς προθύροις τῆς οἰκίας. προσέθηκαν δὲ καὶ τοῦτο, φάσκοντες διὰ τοῦτο ἵστασθαι ἐν τοῖς προθύροις, ὥστε μὴ ἐπιτρέψαι μηδενὶ τῶν ἀπὸ τῆς συνόδου εἰσελθεῖν, ταύτας εἰληφότες παρ' αὐτοῦ τὰς ἐντολάς.

Ἀνύσιος ἐπίσκοπος Θηβῶν εἶπεν. Ἅπερ κατέθετο ὁ ἁγιώτατος ἀδελφὸς καὶ συλλειτουργὸς Ἰωάννης, ἀληθῆ εἰσιν. ἐπὶ πλεῖον γὰρ σπάντων ἡμῶν ἐν τοῖς προθύροις τοῦ ὁλαβεστάτου Νεστορίου, ταῦτα εἴδομεν, καὶ ἠκούσαμεν.

Δόμνος ἐπίσκοπος Ὀπάντος τῆς Ἑλλάδος εἶπεν· Ἅπερ κατέθεντο οἱ ἁγιώτατοι καὶ θεοφιλέστατοι ἀδελφοὶ καὶ συλλειτουργοὶ Ἰωάννης καὶ Ἀνύσιος, ταῦτα κἀγὼ εἶδον, καὶ ἤκουσα.

Δανιὴλ ἐπίσκοπος· Δάρνεων εἶπεν. Ἅπερ κατέθεντο οἱ θεοσεβέστατοι ἐπίσκοποι, ταῦτα ἤκουσα, καὶ ἀληθῆ εἰσιν.

Ἐπῄνεσεν ἡ θεία σύνοδος ἄρχεται δοκιμάζειν τὰ Νεστορίου δόγματα.

Ἰεβεναλίος ἐπίσκοπος Ἱεροσολύμων εἶπε· Τῶν ἐκκλησιαστικῶν θεσμῶν ἀρκεῖσθαι κελεύοντων τῇ τρίτῃ κλήσει εἰς ἀπολογίαν τοὺς καλουμένους περὶ ὧν ἂν ἐγκαλοῖντο, ἕτοιμοι ἦμεν ἐκ πεντῶν καὶ τετάρτῳ παρακλητικῷ διὰ θεοφιλεστάτων ἐπισκόπων * παλιν καλέσαι τὸν ὁλαβέστατον Νεστόριον. ἐπειδὴ δὲ σύστημα στρατιωτῶν πεισθέντας τῷ ἰδίῳ αἰτήματι, ὡς οἱ παραγενόμενοι θεοσεβέστατοι ἐπίσκοποι κατέθεντο, ἐ συγχωρεῖ προσιέναι, δῆλός ἐστι, * ἐκ ἀγαθῷ τῷ συνειδότι τιμᾶς τιμᾶ ἁγίαν σύνοδον ἀφιξει παραιτέμενος. δθεν πραττέσθω τὰ ἑξῆς κατὰ τὴν τῶν κανόνων τάξιν, καὶ ὅσα * ἐν ὠφελείᾳ τυγχάνουσι πρὸς τιμᾶσιν τῆς ὀρθῆς ἡμῶν καὶ ἀστεβοῦς πίστεως. ἀναγνωσθήτω δὲ ἐν πρώτοις ἡ ἐκτεθεῖσα πίστις παρὰ τῶν συνελθόντων ἐν τῇ * Νικαέων ἁγιωτάτων πατέρων καὶ ἐπισκόπων τῶν τελευταίων δεκαοκτώ· ὥστε ταύτῃ τῇ * ἐκθέσει παραβαλλομένων τῶν περὶ τῆς πίστεως λόγων, τοὺς μὲν συμφωνοῦντας βεβαιωθῆναι, τοὺς δὲ διαφωνοῦντας ἐκβληθῆναι. Καὶ ἀνεγνώσθη τὸ σύμβολον ἔτως.

Ἡ ἐν Νικαίᾳ σύνοδος πίστιν ὡρίσατο ταύτην.

Πιστεύομεν εἰς ἕνα Θεὸν, καὶ τὰ ἑξ. &c.

Οὗ ἀναγνωσθέντος, Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμμικήριος νοταρίων ἔφη· Ἐχομεν μετὰ χεῖρας τὸ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἀρχιεπισκόπου Κυρίλλου ἐπιστολὴν, γραφεῖσαν πρὸς τὸν ὁλαβέστατον Νεστόριον, συμβολῆς καὶ παραινέσεως γέμουσαν, ὡς ἐκ ὀρθὰ φρονοῦντος αὐτοῦ. ἣν, εἰ κελεύσειεν ὑμῶν ἡ ὁσιότης, ἀναγνώσομαι.

Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς εἶπεν. Ἐπειδὴ ὁ ὁλαβέστατος καὶ θεοφιλέστατος πρεσβύτερος Πέτρος, ὁ τιμᾶ ἀρχιμῶ τῆς διηγήσεως πεπιστάμενος, ἔφησεν ἐπεσάλθαι τινὰ παρὰ τοῦ θεοφιλεστάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου πρὸς τὸν ὁλαβέστατον Νεστόριον, ὡς ἐκ ὀρθῆ διδασκαλίᾳ χρώμενον ἀκόλουθον καὶ ταῦτα ἀναγνωσθῆναι.

Καὶ ἀνεγνώσθη, ἃ κεῖται ἐν τοῖς προλαβοῦσι, καθὼς περιέχει ἡ ἀρχὴ τῆς ἐπιστολῆς.

Ἀντίγραφα ἐπιστολῆς γραφείσης παρὰ Κυρίλλου πρὸς Νεστόριον. Καταφλυαρῆσι μοὶ, ὡς μανθάνω, τινὲς τῆς ἐμῆς ὑπολήψεως ἐπὶ τῆς σῆς θεοσεβείας. καὶ τὰ λοιπά.

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὴν ἐπιστολὴν Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἤκουσεν ἡ ἁγία καὶ μεγάλη αὕτη σύνοδος ὧν * ἀπέστειλα τῷ ὁλαβεστάτῳ Νεστορίῳ, συναγορεύων τῇ ὀρθῇ πίστει. διακεῖμαι δὲ, ὅτι κατ' ἐδένα τρόπον ἐκβεβηκὼς ἁλίσκομαι τὸν ὀρθὸν τῆς πίστεως λόγον, ἦγουν παραβεβηκὼς τὸ ἐκτεθὲν παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου, τῆς κατὰ καιρὸς ἐν τῇ Νικαέων συνελεγμένης σύμβολον· καὶ παρακαλῶ τιμᾶ ὑμετέραν ὁσιότητα εἰπεῖν, πότερόν ποτε ὀρθῶς, καὶ ἀνεπιλήπτως, καὶ συμφώνως τῇ ἁγίᾳ ἐκείνῃ συνόδῳ τὰ τοιαῦτα γέγραφα, ἢ μή.

Ἰεβεναλίος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀναγνωσθείσης τῆς ἐκτεθείσης ἁγίας πίστεως τῆς ἐν Νικαίᾳ, καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, * καὶ τὰ παρὰ τῆς ἁγίας συνόδου ἐκτεθέντα, σύμφωνα εὑρίσκεται, καὶ τόπους τῆς ὁσιβείσης ἐν ἁγίοις δόγμασι σωτίθεσθαι καὶ σώζεσθαι.

Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε. Τὰ ἐν σωτῆρι καὶ ἐν κεφαλαίῳ εἰρημένα παρὰ τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίᾳ ὑπηγησάμην ἢ σὴ θεοσέβεια λαπτῶς καὶ παρὰ πόδας, σαφέστερον ἡμῖν καὶ

καὶ ἐναργεστέραν τὴν κατάληψιν τῆς ἐκτεθείσης πίστεως ἐποιήσατο. ὥστε μηδὲν εἶναι ἐν τοῖς λεγομένοις ἀμφίβολον, πάντων ἀλλήλοις συμφωνούντων, καὶ τῆς πίστεως βεβαιουμένης· τούτων οὖν ἀκριβῶς ἐχόντων, καὶ ἀπαραστρέπτως, καὶ οὐδένα νεωτερισμὸν ἐπιφερομένων, κἀγὼ συντίθεμαι, τὴν αὐτὴν δόξαν παρὰ τῶν ἁγίων ἐπισκόπων τῶν ἐμῶν πατέρων δεξάμενος.

*μητροπόλεως Μέμνων ἐπίσκοπος τῆς Ἐφεσίων * πόλεως εἶπε· Τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, τῶν ἐν Νικαίᾳ συνελθόντων, σύμφωνα καὶ ἡ ἐπιστολὴ ἡ ἀναγνωσθεῖσα τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου πατρὸς Κυρίλλου τοῦ ἐπισκόπου περιέχει, οἷς καὶ συντιθέμεθα, καὶ συναινοῦμεν, μηδὲν ἐλλιπὲς εὑρίσκοντες, μηδὲ διαφωνοῦν.

Θεόδοτος ἐπίσκοπος Ἀγκύρας εἶπε· Θαυμαστὴν οὖσαν καὶ εὐσεβεστάτην καὶ ὀρθὴν τὴν ἔκθεσιν τῆς ἁγίας πίστεως, γεγενημένην ὑπὸ τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐν Νικαίᾳ συνειλεγμένων, ἔδειξε σαφέστερον καὶ φανερώτερον ἡ ἐπιστολὴ τοῦ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου, κατ' οὐδὲν διαφωνοῦσα πρὸς τὴν ἔκθεσιν τῆς πίστεως ἐκείνης, τὰ συντομώτερον εἰρημένα πλατύτερον ἐνθεμένη. ὅθεν τὴν συμφωνίαν ἐπιγνόντες τῆς τε ἐπιστολῆς, καὶ τῆς γνώσεως, καὶ τῆς πίστεως τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων, συντιθέμεθα, καὶ συναινοῦμεν, ὥσπερ ἐκείνοις, οὕτω καὶ τῷ πατρὶ ἡμῶν, τῷ δι' ἐπιστολῆς τὰ ἐκείνων γνωρίσαντι. καὶ ταῦτα πιστεύομεν, ἅπερ καὶ αὐτοὶ ἐξέθεντο, καὶ ἡ ἐπιστολὴ τοῦ μνημονευθέντος ἁγιωτάτου ἐπισκόπου Κυρίλλου σαφῶς διηγήσατο.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν. Ἀναγνωσθείσης ἡμῖν τῆς πίστεως τῆς ἐν Νικαίᾳ ἐκτεθείσης παρὰ τῶν ἀθροισθέντων ἐν ἐκείνῃ τῇ πόλει ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, ὑπαναγνωσθείσης τε καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς καὶ ἐπισκόπου Κυρίλλου, τῆς γραφείσης πρὸς τὸν εὐλαβέστατον Νεστόριον περὶ τῆς πίστεως, εὕρομεν συνάδουσαν αὐτὴν σαφῶς καὶ διαῤῥήδην τῇ ἐν Νικαίᾳ ἐκτεθείσῃ πίστει, καὶ πολὺ φῶς παραχοῦσαν εἰς κατάληψιν τῆς ἐννοίας τῶν εἰρημένων. ὅθεν σύμφημι καὶ αὐτὸς τῇ ἐπιστολῇ τῇ γραφείσῃ παρὰ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου πατρὸς καὶ συλλειτουργοῦ Κυρίλλου, κατ' οὐδένα τρόπον ἀπαδούσῃ τῆς ὀρθῆς πίστεως, ἀλλὰ συμφώνῳ οὔσῃ τῷ ἀποστολικῷ κηρύγματι, καὶ τῇ ἐκτεθείσῃ ἐν Νικαίᾳ παρὰ τῶν ἁγίων πατέρων * ὀρθοδόξῳ πίστει.

*τῶν ὀρθοδόξων

Συναινεῖν δὲ τούτοις διαβεβαιοῦμαι καὶ τὸν ἁγιώτατον ἡμῶν πατέρα Ῥοῦφον τῆς Θεσσαλονικέων μητροπόλεως. ταύτας γάρ μοι παραγινομένῳ εἰς ταύτην τὴν μεγάλην καὶ ἁγίαν σύνοδον δέδωκε τὰς ἐντολὰς, δι' ἀῤῥωστίαν αὐτὸς παραιτησάμενος τὴν ἐνθάδε ἄφιξιν. καὶ πάντας δὲ πείθομαι τοὺς τοῦ Ἰλλυρικοῦ τὰ αὐτά μοι φρονεῖν, καὶ μηδὲν ἀμφιβάλλειν περὶ τῶν ἀναγνωσθέντων.

Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς εἶπε· Πάσης εὐσεβείας καὶ συμφωνίας τῆς πρὸς τοὺς πατέρας τοὺς τριακοσίους δέκα καὶ ὀκτὼ τοὺς ἐν Νικαίᾳ πεπληρωμένην, τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Κυρίλλου ὁρῶν, ἀποδέχομαι ταύτην τὴν ἔννοιαν· καὶ τὰ αὐτὰ φρονεῖν ὁμολογῶ ἄνωθεν καὶ ἐξ ἀρχῆς τὴν ἐκκλησίαν, καὶ τὰ αὐτὰ ἔχειν φρονήματα καὶ ἀπὸ τῶν πονημάτων τῶν ἁγίων πατέρων, καὶ ἀπὸ τῶν ἁγίων γραφῶν, καὶ ἀπὸ τῶν παραδόσεων τῆς πίστεως ἐπίσταμαι.

Ἰκόνιος ἐπίσκοπος πόλεως Γορτήνης, τῆς Κρήτης μητροπόλεως, εἶπε· Τῆς πίστεως καὶ τῆς ἐκθέσεως τῶν ἁγιωτάτων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων ἀναγνωσθείσης, καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς καὶ ἐπισκόπου Κυρίλλου, ἐπιγνοὺς συμφωνοῦσαν ἐκείνοις ταύτην τὴν ἔκθεσιν, συντίθεμαι καὶ συναινῶ, ὡσαύτως ἐκείνοις δοξάζων, εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. τοὺς δὲ μὴ οὕτω φρονοῦντας ἐκβαλεῖν οἶδα τὴν ἁγίαν σύνοδον.

Ἑλλάνικος ἐπίσκοπος μητροπόλεως Ῥόδου εἶπε· Τῇ ἐκθέσει τῆς ὀρθοδόξου πίστεως τῆς ἐν Νικαίᾳ ἀκολουθῶ, καὶ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου συμφώνῳ οὔσῃ, καὶ ταύτην φυλάττω τὴν πίστιν τὴν ἀληθινὴν καὶ ὀρθόδοξον. καὶ τοῖς ἐναντία ταύτῃ φρονοῦσι καὶ ὁ Θεὸς αὐτὸς ἀντιτάσσεται. καὶ ἀνάθεμα ἔστω ὁ μὴ πιστεύων θεοτόκον εἶναι τὴν ἁγίαν παρθένον Μαρίαν.

Παλλάδιος ἐπίσκοπος Ἀμασείας εἶπεν· Ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν Κυρίλλου, συμβαίνουσα διὰ πάντων τυγχάνει τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν συνειλεγμένων ἐν τῇ Νικαέων. ὀρθῶς τοίνυν αὐτὴν ἔχουσαν, καὶ ὅπερ ἔφην, τῇ * ἐκτεθείσῃ τῶν ἁγίων πατέρων, ἄγαμαί τε καὶ συντίθεμαι αὐτῇ· καὶ ὁμοίως δοξάζω αὐτῷ τε καὶ τοῖς ἁγίοις πατράσι, τοῖς, ὅπερ ἔφην, ἐν τῇ Νικαέων πόλει συνειλεγμένοις.

* ἴσ. σύμφωνον τῇ ἐκτεθείσῃ πίστει τῶν ἁγίων.

Κύρος ἐπίσκοπος πόλεως Ἀφροδισιάδος ἐπαρχίας Καρίας εἶπε· Σύμφωνον καὶ ὁμοδύναμον τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγιωτάτων πατέρων τῶν συναχθέντων κατὰ τὴν Νικαέων πόλιν, κἀγὼ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Κυρίλλου, τὴν γραφεῖσαν τῷ εὐλαβεστάτῳ Νεστορίῳ θεασάμενος, τὰ αὐτὰ τοῖς προλαβοῦσι πατράσι κατατίθεμαι.

Περιγένης ἐπίσκοπος Κορίνθου εἶπε· Τὰ αὐτὰ φρονεῖν ἔχω καὶ ἐπὶ τῆς νῦν καλῶς ἐκτεθείσης πίστεως παρὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου ἡμῶν Κυρίλλου, καθάπερ καὶ ἡ παρὰ τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων πατέρων ἐκτεθεῖσα εἰς τὴν ἁγίαν σύνοδον τὴν κατὰ Νίκαιαν. ἀναμφιβόλως οὖν φυλάττειν εὔχομαι τοὺς παραδοθέντας θεσμοὺς ἐξ ἀρχῆς, καὶ ἄχρι νῦν σωζομένους παρ' ἡμῖν.

Ἀμφιλόχιος ἐπίσκοπος Σίδης εἶπε· Τῆς ἐπιστολῆς τοῦ τὰ πάντα θεοφιλεστάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου τὴν ἀποστολικὴν παράδοσιν ἀκριβῶς σωζούσης, καὶ τῇ ἐκθέσει τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαέων συναχθέντων συμβαινούσης, ἄγαμαί τε τῆς ὀρθῆς πίστεως, καὶ σύμφημι, καὶ συναινῶ τῷ εὐσεβεῖ τῶν δογμάτων.

Προθύμιος ἐπίσκοπος Κομάνης εἶπε. Κατ' οὐδὲν λειπομένην ἢ πλεονάζουσαν τὴν ἔκθεσιν τῆς πίστεως τῆς ὑπανεγνωσμένης ἡμῖν διὰ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου εὑρὼν τὴν πίστιν τὴν ἐκτεθεῖσαν παρὰ τῶν πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, ἢ μόναις ἐν ψιλαῖς λέξεσιν, ὁμολογῶ ἐν αὐτῇ βεβαπτίσθαι, καὶ ηὐξῆσθαι, καὶ τετάχθαι, καὶ ἱερωσύνης ἠξιῶσθαι· ἐν ταύτῃ εὔχομαι καὶ τὸν βίον τοῦτον

ὑπεξελθεῖν, καὶ ταύτην φυλάξαι ἐν τῇ ἀναστάσει τῷ δεσπότῃ Χριστῷ.

Ἰωάννης ἐπίσκοπος Προικοννήσου εἶπε. Τὰ αὐτὰ κἀγὼ κατατίθεμαι τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Προθυμίῳ, καὶ οὕτω πιστεύω.

Κωνσταντῖνος ἐπίσκοπος Φρυγίας Πακατιανῆς εἶπε. Τὰ αὐτὰ κἀγὼ κατατίθεμαι, καὶ οὕτω πιστεύω.

Οὐαλεριανὸς ἐπίσκοπος Ἰκονίου εἶπεν· Ἐν διαφόροις ταῖς λέξεσιν ἕνα καὶ τὸν αὐτὸν κανόνα τῆς πίστεως εὑρίσκομεν. ἐπεὶ καὶ τῷ αὐτῷ ἁγίῳ πνεύματι ἑκάτερα ὑπηγόρευται. τοῖς οὖν ὀρθοδόξως καὶ ἀκριβῶς εἰρημένοις καὶ ἐκτεθειμένοις παρὰ τῆς ἁγίας συνόδου τῆς κατὰ Νίκαιαν, σύμφωνα καὶ συνῳδὰ τὴν ἐπιστολὴν ἔχουσαν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου κατανοήσαντες, τούτοις καὶ ἡμεῖς συναινοῦμεν καὶ συντιθέμεθα, εὑρόντες τὴν ἐπιστολὴν ὥσπερ τι μύρον τὴν ἐκείνων πίστιν εἰς εὐωδίαν ἀνανευμένην.

Θεόδουλος ἐπίσκοπος Ἐλούσης εἶπε· Συνήθως ἐπακολουθῶ τῇ ὀρθῇ πίστει ταύτης τῆς ἁγίας καὶ μεγάλης συνόδου, καὶ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, καὶ τῇ ἐν Νικαίᾳ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγιωτάτων ἡμῶν πατέρων, τῶν τριακοσίων δέκα καὶ ὀκτώ.

* Φεῖδος ἐπίσκοπος Ἰόππης εἶπε· Θαυμάζω τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, τῶν ἐν Νικαίᾳ γενομένων· θαυμάζω δὲ * οὐδὲν ἧττον καὶ τὴν νυνὶ ἀναγνωσθεῖσαν ἐπιστολὴν τοῦ κατὰ πίστιν ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, σύμφωνον τῇ ἐν Νικαίᾳ πίστει, ὥσπερ ἐξ ἁγίου πνεύματος γεγραμμένην. καὶ πιστεύω τὸν μὴ ἐμμένοντα τῇ αὐτῇ πίστει τοῦ ἁγίου πνεύματος, ἐκβεβλῆσθαι τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας.

Παυλιανὸς ἐπίσκοπος Μαϊουμᾶ Παλαιστίνης τῆς πρώτης εἶπε· Τὴν τῶν πατέρων πίστιν, ἣν μεμαθήκαμεν παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐν τῇ κατὰ Νίκαιαν, ταύτην παρὰ τοῦ θεοσεβεστάτου ἐπισκόπου Κυρίλλου γραφεῖσαν ἐπιγνόντες, καὶ τοῦ ἁγίου πνεύματος σύμφωνα τὰ παρ' αὐτοῦ θεσπισθέντα ἐθαυμάσαμεν, καὶ κατέχομεν, καὶ ἀκολουθοῦμεν.

Δανιὴλ ἐπίσκοπος Κολωνείας Καππαδοκίας εἶπεν· Αὐτὰ τὰ ῥήματα, καὶ τὰς συλλαβὰς σχεδὸν εἰπεῖν, τὰς ἐμπεριεχομένας τῇ ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ κατὰ καιρὸν τὴν σύνοδον ποιησαμένων, καὶ τῶν ἐγγεγραμμένων δογμάτων τὰ νοήματα ἐν τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν Κυρίλλου νοήσας, ὥσπέρ τινας πατρῴους χαρακτῆρας διδάξας, * αὐτός τε παραλαβὼν τὴν διδασκαλίαν ταύτην, καὶ ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ τῇ ἐγχειρισθείσῃ μοι ταύτην ἐρριζωμένην, καὶ ἐμπεπιστευμένην, καὶ ἐνεσπαρμένην παρὰ τῶν ἁγίων πατέρων ἐγνωκὼς, ὁμολογῶ σύμφωνον εἶναι τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου τῇ ἐκθέσει τῶν ἁγίων πατέρων· οὐ μὴν ἀλλὰ καὶ τὸ ἡμέτερον φρόνημα, ἐμοῦ τε καὶ τῆς ὑπ' ἐμὲ ἁγίας ἐκκλησίας, τοῦτο τυγχάνει, ἐν ὀνόματι τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

Ἀνύσιος ἐπίσκοπος Θηβῶν εἶπε· Καθάπερ τῇ παρουσίᾳ κοινῇ πάντων τῶν ἁγιωτάτων ἐπισκόπων, καὶ τῇ διανοίᾳ συνημμένος, αἰσθανόμενος τῆς ὀρθῆς ὑπηγορίας τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, συντίθεμαι ταύτῃ, ὁμοίᾳ καὶ συμφώνῳ οὔσῃ τῇ τῶν ἁγίων πατέρων τῶν κατὰ Νίκαιαν συνειλεγμένων ἐκθέσει.

Καλλικράτης ἐπίσκοπος Ναυπάκτου εἶπε· Συντίθεμαι τῇ ἐπιστολῇ τῇ ἐκτεθείσῃ παρὰ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, συμφώνῳ οὔσῃ τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων, τῶν συναχθέντων ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ συνόδῳ.

Δόμνος ἐπίσκοπος Ὀπούντος εἶπεν· Εἴ τι καί ποτε ἔδοξε παρὰ τοῖς ἀγνοοῦσι τὴν ἀκριβῆ πίστιν, ἔδοξεν οὐ καλῶς. ἀλλ' ἡμεῖς γνωρίζομεν τὰ τυπωθέντα καὶ νῦν δικαίως παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, ἐξισωθέντα τῇ κατὰ Νίκαιαν ἁγίᾳ συνόδῳ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων· ἣν πάντως μετὰ τούτων φυλάττειν δικαίως γνωρίζομεν. καὶ πιστεύω εἰς τὸν πατέρα, καὶ υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα· καὶ εὔχομαι μέχρι τοῦ τῆς ζωῆς μου χρόνου ἐν τούτῳ εἶναι, καὶ ἐν τούτῳ ἀποθανεῖν.

Νικίας ἐπίσκοπος Μεγάρων εἶπεν. Ὥσπερ ἓν φρονοῦντες ἐληλύθαμεν, οὕτω καὶ ἓν λέγειν ἐδιδάχθημεν. συμφώνων τοίνυν ὄντων τῶν τε παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, καὶ τῶν παρὰ τῶν ἁγίων πατέρων πάλαι ἐκτεθέντων κατὰ Νίκαιαν, σύμψηφοί ἐσμεν, μηδὲν ἀμφιβάλλοντες περὶ τῶν καλῶς ἤδη καὶ νῦν τετυπωμένων.

Ρωμανὸς ἐπίσκοπος Ραφείας εἶπε· Σύμφωνα τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ τῶν ἐν Νικαίᾳ συνελθόντων, κἀγὼ φρονῶ. καὶ τῇ ἐπιστολῇ δὲ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου συντίθεμαι, συνῳδὰ περιεχούσῃ τῇ πίστει τῶν ἁγίων πατέρων.

Γρηγόριος ἐπίσκοπος Κερασοῦντος εἶπε. Συνῳδὰ τῇ ἁγίᾳ συνόδῳ τῆς κατὰ Νίκαιαν πίστεως καὶ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου περιέχει, καὶ ταύτῃ ἀρεσθεὶς, συμφώνῳ οὔσῃ τῆς ἐκκλησιαστικῆς πίστεως, συντίθεμαι ταύτῃ καὶ συναινῶ, παραγενόμενος οὐ μόνον ὑπὲρ ἐμαυτοῦ, ἀλλὰ καὶ ὑπὲρ τοῦ τῆς μητροπόλεως ἐπισκόπου Ἐλευσίου Νεοκαισαρείας τοῦ θεοσεβεστάτου, ταύτας τὰς ἐντολὰς παρ' ἐκείνου δεξάμενος.

Νουνέχιος ἐπίσκοπος Σέλγης τῆς Παμφυλίας εἶπεν. Ὑπαναγνωσθείσης ἡμῖν τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, συμφώνου οὔσης κατὰ πάντα τῇ πίστει τῇ κατὰ Νίκαιαν παρὰ τῶν ἁγίων πατέρων γεγενημένῃ, σύμφημι κἀγὼ, καὶ οὕτω πιστεύω· καὶ ἐν ταύτῃ τῇ πίστει εὔχομαι συζήσας παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ μετὰ παρρησίας, ταύτην τὴν ὀρθόδοξον φυλάττων πίστιν.

Σόλων ἐπίσκοπος Καραλλίας τῆς Παμφυλίας εἶπε· Καθὼς ὁ ἁγιώτατος καὶ θεοσεβέστατος ἀρχιεπίσκοπος Κύριλλος τὴν κατὰ Χριστὸν πίστιν παρέδωκε καὶ παραδίδωσι, σύμφωνον οὖσαν κατὰ πάντα τῇ

ἐν Νικαίᾳ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, οὕτως ἐβαπτίσθην, καὶ οὕτω πιστεύω, καὶ ἔχομαι φυλάξαι ἕως ἐσχάτης ἀναπνοῆς.

Ἀχάκιος ἐπίσκοπος Κοτυαέων τῆς Παμφυλίας εἶπεν· Ἐπαινέσας τῆς ἐπιστολῆς τὸ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, συμφωνούσης τῇ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ πάντα τῆς ὀρθοδόξου πίστεως, ὁμολογῶ κἀγὼ οὕτως ἔχειν καὶ πιστεύειν, καὶ ἔχομαι κἀγὼ ἕως τέλους φυλάττειν.

* Ταυεμανὸς ἐπίσκοπος Λύρβης τῆς Παμφυλίας εἶπεν· Ἐπαινέσας τῆς ἐπιστολῆς τὸ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, συμφωνούσης τῇ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ πάντα τῆς ὀρθοδόξου πίστεως, ὁμολογῶ κἀγὼ οὕτως ἔχειν καὶ πιστεύειν, καὶ εὔχομαι φυλάξαι ἕως τέλους.

* Ταυεμανός

Νεκτάριος ἐπίσκοπος * Σιωέων τῆς Παμφυλίας εἶπε· Κἀγὼ τὰ αὐτὰ πιστεύω, καὶ συναινῶ τοῖς δόγμασι τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἐπισκόπων, καὶ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἀρχιεπισκόπου Κυρίλλου.

* Σιδητῶν Σιδητῶν

Ματιόζανος ἐπίσκοπος Κοραξισίων τῆς Παμφυλίας εἶπε. Συμφωνῶ κἀγὼ τῇ ὁμολογίᾳ τῇ γεγραμμένῃ περὶ τῆς ὀρθῆς καὶ ὑγιοῦς πίστεως παρὰ τῶν γεγονότων παρόντων ἁγίων πατέρων, καὶ τῶν τὸ τεσσαρακοστὸν ἐκ ἀθεεὶ τοῦ ἐκθεσιν τοῦ περὶ τῆς πίστεως πεποιημένων ἐν τῇ Νικαέων πόλει, γνωρίσας ταύτῃ ἀποσολικῶ ὄσαν. ἐν ᾗ καὶ εὔχομαι εἶναι, καὶ ἀκέραιον ταύτην μέχρις ἐσχάτης ἀναπνοῆς μου φυλάξαι.

Νῆσος ἐπίσκοπος Κορυβράσων τῆς Παμφυλίας εἶπε· Τῇ ἁγίᾳ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν τῇ Νικαέων καὶ ἡ ὑπαναγνωσθεῖσα σήμερον ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου συνεφώνησε. καὶ ταύτῃ τῇ πίστει εὔχομαι φυλάξαι μέχρις ἐσχάτης ἀναπνοῆς.

Ἐπιφάνιος ἐπίσκοπος Κρατείας εἶπε· Κἀγὼ συναινῶ τοῖς τῶν ἁγίων πατέρων καὶ ἐπισκόπων δόγμασι, καὶ τῇ ἐπιστολῇ τῇ γραφείσῃ παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου. καὶ εὔχομαι μέχει τῆς πλατυτέρας ἀναπνοῆς ἐν τόποις διαμεῖναι.

Εὐσέβιος ἐπίσκοπος Ἡρακλείας ἐπαρχίας Οἰνοειάδος εἶπε· Συντίθεμαι τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν Κυρίλλου, ὡς κατὰ πάντα τρόπον ἑπομένῃ τῇ πίστει τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ τῶν ἐν Νικαίᾳ συνελθόντων· καὶ οὕτως ἔχοντες εὐχόμεθα διαμεῖναι τὸν ὡρισμένον παρὰ τοῦ κρείττονος ἡμῖν χρόνον.

Σιλουανὸς ἐπίσκοπος Κερατέων Φρυγίας Πακατιανῆς εἶπεν· Εἰ καὶ βραδύτερον ἠξίωμαι τοῦ ἁγίου βαπτίσματος, ἀλλὰ εἰς ταύτην τὴν πίστιν βεβάπτισμαι, τὴν τε ἐν Νικαίᾳ ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων, καὶ εἰς τὴν σήμερον πλατυτέραν ἡμῖν διὰ τῆς ἐπιστολῆς ἐξηγηθεῖσαν τὸ ἀρχιεπισκόπου Κυρίλλου, συμφωνοῦσαν τῇ προλαβούσῃ· εἰς ταύτην καὶ πλέουσ ἐβάπτισα· ταύτην καὶ φυλάξαι ἄσπιλον εὔχομαι ἕως τῆς * ἀνασασίμου ἡμέρας, ὃν προσενέγκῃ Χριστῷ. * ἀναστάσιμου

Εὐτρόπιος ἐπίσκοπος Ἐπένων τῆς Παμφυλίας εἶπεν· Ἀναγνωσθείσης τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, συμφωνήσας κατὰ πάντα πᾶσι τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ τῶν ἐν Νικαίᾳ συναχθέντων, σύμφημι κἀγὼ καὶ συναινῶ· καὶ ἐν ταύτῃ εὔχομαι τῇ ὁμολογίᾳ παρασῆναι τῷ δεσπότῃ Χριστῷ.

Σεκουνδιανὸς ἐπίσκοπος * Λαμίας πόλεως ἐπαρχίας Θεσσαλίας εἶπε· Καὶ πεπίστευκα καὶ πιστεύω, καὶ οὕτως ἐδόξασα καὶ * δοξάσω, κατὰ τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων καὶ * πνευματικῶν πατέρων τῶν κατὰ Νίκαιαν τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων. ἥτινι ἀκόλουθος καὶ ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου. * Λαμίας. * δοξάζω. * μακαρίων

Θεόδωρος ἐπίσκοπος * Ἐχιναίου πόλεως ἐπαρχίας Θεσσαλίας εἶπε· Τὰ αὐτὰ κἀγὼ κατατίθεμαι, καὶ τύποις συναινῶ. * Ἐχινοῦ

Ῥοφῖνος ἐπίσκοπος Ταβῶν εἶπε· Κἀγὼ τὰ αὐτὰ φρονῶ τοῖς ἁγιωτάτοις πατράσι τοῖς ἐν Νικαίᾳ συνελθοῦσι, καὶ συντίθεμαι, τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου καὶ θεοφιλεστάτου τοῦ ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου, καλῶς καὶ ὀρθῶς περιεχούσῃ, καὶ συμφώνῳ οὔσῃ τῇ αὐτῇ ἐκτεθείσῃ πίστει.

Θεόδωρος ἐπίσκοπος * Ἀριβήλων εἶπε· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι, καὶ συντίθεμαι τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, καλῶς καὶ ὀρθοδόξως περιεχούσῃ. * Ἀρβήλων

Παῦλος ἐπίσκοπος Ἀνθηδόνος εἶπε· Συντίθεμαι κἀγὼ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, καλῶς καὶ ὀρθοδόξως περιεχούσῃ, καὶ ὁμοίως ἐχούσῃ τῇ πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων.

* Λητοΐος ἐπίσκοπος Λιβυάδος εἶπε· καθὼς συνέτιξαν οἱ ἅγιοι ἡμῶν πατέρες οἱ ἐν Νικαίᾳ συνελθόντες· ἁρμοδίως γὰρ τῇ ὀρθοδόξῳ πίστει τὴν πίστιν ὡμολόγησαν· κἀγὼ πιστεύω, καὶ συντίθεμαι τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου. * Λιτητῶν

Πέτρος ἐπίσκοπος * Παρεμβολῶν εἶπε· κἀγὼ τὰ αὐτὰ φρονῶ, καὶ συντίθεμαι τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, καλῶς καὶ εὐσεβῶς περιεχούσῃ. * Παριμβολῶν.

Ἰωάννης ἐπίσκοπος Αὐγουστουπόλεως εἶπε· κατὰ τὴν πίστιν τῶν ἁγίων πατέρων ἡμῶν, ὅτι κἀγὼ πιστεύω, καὶ συντίθεμαι τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, σωφρὰ περιεχούσῃ τοῦτῃ τῇ πίστει.

Σαΐδας ἐπίσκοπος Φαίνης εἶπε· Κατὰ τὴν ὀρθόδοξον πίστιν οὕτω περιέχει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, ᾗ συντίθεμαι.

Θεόδωρος ἐπίσκοπος Γαδάρων εἶπεν. Ἐπειδὴ καλῶς καὶ εὐσεβῶς καὶ ἁρμοζόντως τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ Νικαέων, περιέχει ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, τοῦτῃ κἀγὼ συντίθεμαι.

Αἰη-

* Αἴλιος
* Αἰλιείς

* Αἴλιος ἐπίσκοπος Συκαμαζόνος εἶπεν· Ὡσαύτως χᾄγὼ σωτίθεμαι τῇ ἐπισολῇ τὸ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, ἑξακολουθήσασα τῇ ὀρθοδόξῳ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγιωτάτων ἡμῶν πατέρων.

Θεοδόσιος ἐπίσκοπος Μασαύρων τῆς Ἀσίας εἶπε· Τῇ ἐκθέσει τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν Νικαίᾳ, λέγω δὴ τῶν τριακοσίων δέκα καὶ ὀκτώ, ἐξ ἀρχῆς μέχρι καὶ νῦν πεπιστευκὼς, συνῳδὰ περιεχούσῃ καὶ τῇ ἐπισολῇ τῇ γραφείσῃ παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου πρὸς τὸν Ἀλαβέσατον Νεσόριον τὸν ἐπίσκοπον, ἐμμένω καὶ σωτίθεμαι, συμφώνῳ ὅση, ὡς ἔφην, τῇ τῶν πατέρων ψυχωφελεῖ διδασκαλίᾳ.

Ἀλέξανδρος ἐπίσκοπος Ἀρκαδιουπόλεως τῆς Ἀσίας εἶπε· * Τῇ ἐπισολῇ τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου συνῳδὰ τῇ τῶν ἁγίων πατέρων ἐκτεθείσῃ, τῶν συναχθέντων ἐν τῇ Νικαέων πόλει, τουτέστι τριακοσίων δέκα καὶ ὀκτώ, πίστει ὁμοφρόνῳ ὅση, καὶ πιστεύω καὶ ἐπίστευσα, καὶ ὅτως εὔχομαι φρονεῖν.

* Τὴν ἐκτεθεῖσαν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου ὑπὲρ τῆς πίστεως τῶν ἁγίων πατέρων ἐπιδοὺς τῷ πίστει

* Τὸ πίστει, καὶ τῇ ἐκτεθείσῃ ἐν ἰδιωτικῷ χάρτῃ συνῳδὰ, καὶ συντίθεμαι.

Μάξιμος ἐπίσκοπος Κύμης τῆς Ἀσίας εἶπε· * Τῇ ἐπισολῇ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου παῤ ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου συμφώνῳ ὅση τῇ ὀρθῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων τῶν, τριακοσίων δέκα ὀκτώ, συναινῶ τούτῃ, καὶ συντίθεμαι, καὶ ὁμολογῶ τούτῳ ὀρθόδοξον εἶναι τὴν πίστιν.

* Θεοσέβιος ἐπίσκοπος Πριλώης εἶπε· Τῇ ἐκτεθείσῃ πίστει τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων πιστεύω, καὶ παραδέδωκα τοῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις· ἅμα καὶ τῇ ἐπισολῇ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου, τῇ γραφείσῃ πρὸς τὸν Ἀλαβέσατον Νεσόριον, συνῳδὰ ἐχούσῃ τῇ πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ.

* Θεοσέβιος

Εὐτρόπιος ἐπίσκοπος Εὐάζων εἶπε. Κατὰ τὴν πίστιν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων τῶν ἐν Νικαίᾳ συνελθόντων, καὶ τῇ ἐπιστολῇ τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου συμφώνῳ ὅσῃ, καὶ αὐτὸς ἐπίστευσα, καὶ πιστεύω, καὶ ὅτως εὔχομαι ἀποθανεῖν.

Εὐθάλιος ἐπίσκοπος Κολοφῶνος τῆς Ἀσίας εἶπε· Τῇ ἁγίᾳ πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, καὶ τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Κυρίλλου πρὸς τὸν Ἀλαβέσατον Νεσόριον συμφώνῳ ὅση, καὶ πείθομαι καὶ συναινῶ, καὶ κατὰ τούτῳ συνῳδὰ τῷ παράδοσιν.

Δοκιμάσιος ἐπίσκοπος Μαρωνείας εἶπε· Τῇ εὐσεβοῦς καὶ φιλοχρίστου ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων πατέρων ἐν τῇ Νικαέων πόλει συμφωνα ὁρῶν τὰ γράμματα τοῦ θεοφιλεστάτου καὶ ὁσιωτάτου παῤ ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, συντίθεμαι, καὶ συναρέσκομαι, ὅτω φρονήσας, * μέχρι τέλους ἄῤῥωτον διαφυλάξαι.

* Κατὰ τὸν Ἀρχιεπ.

Λουκιανὸς ἐπίσκοπος * Τοπηρῆς εἶπεν. Ἀναγνωσθείσης τῆς ἐπισολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου παῤ ἡμῶν Κυρίλλου, ἧς ἐπέστειλε τῷ ἁλαβιστρίτῳ Νεστορίῳ, ἀρέσκομαι τῇ ὑπαγορευθείσῃ· καὶ συνῳδὰ κατὰ πάντα * ἀρέσκω τῇ ἁγίᾳ συνόδῳ τῇ εἰς τὸν Νικαέων μητρόπολιν

* Τοπηρῆς.

* Ἀρέσκομαι.

ἐκτεθείσῃ, συναρέσκομαι, ἄῤῥωτον αὐτὴν μέχρι τέλους διαφυλάττων.

Ἐννέπιος ἐπίσκοπος Μαξιμιανουπόλεως εἶπε. Τῇ παρὰ τῶν ὁσιωτάτων πατέρων ἐκτεθείσῃ πίστει ἐν τῇ Νικαέων * πόλει, ἀναγνοὺς σύμφωνον οὖσαν τὴν ἐπισολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν ἐπισκόπου Κυρίλλου γραφεῖσαν πρὸς Νεσόριον τὸν Ἀλαβέσατον, συναρέσκομαι, καὶ συντίθεμαι ὅπω φρονεῖν. καὶ πιστεύω ταύτῃ ἀσάλευτον διαφυλάξαι.

* μητροπόλει.

Στέφανος ἐπίσκοπος Δίου εἶπεν· Ἀναγνωσθὲν σύμφωνον τυγχάνουσαν τὴν ἐπισολὴν τοῦ ἁγιωτάτου καὶ τεισμάκαρος πατρὸς ἡμῶν ἐπισκόπου Κυρίλλου τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων καὶ θεοφόρων τῶν ἐν Νικαίᾳ συνελθόντων· ὅθεν καὶ αὐτὸς συναινῶ τούτῃ, καὶ * τούτῃ ἐπίσευσα, καὶ πιστεύω.

* εἰς αὐτὴν

Μόδεστος ἐπίσκοπος τῆς * Ἀνέων πόλεως τῆς Φρυγίας εἶπε· Κἀγὼ ἐμμένω τῇ ἐκτεθείσῃ πίστει τῶν ἁγίων πατέρων τριακοσίων δέκα καὶ ὀκτὼ τῶν ἐν Νικαίᾳ συνελθόντων· ὃ μὴ ἀλλὰ καὶ τῇ νυνὶ ἀναγνωσθείσῃ ἐπισολῇ ὑπὸ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, τῇ γραφείσῃ πρὸς τὸν Ἀλαβέσατον Νεσόριον, συμφώνως ἐκτεθείσῃ τῇ πίστει τῶν προλεχθέντων ἁγίων πατέρων.

* Ἀναστ.

Ἀφόβιος ἐπίσκοπος * Κολώνος εἶπε· Παραναγνωσθείσης τῇ ἁγίᾳ συνόδῳ τῆς ἐπισολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, συνῳδὰ * ἐχούσῃ τῇ ἐκτεθείσῃ ὑπὸ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ τριακοσίων δέκα καὶ ὀκτὼ, ταύτῃ τῇ πίστει συντίθεμαι, καὶ πιστεύω.

* Κολόπ.

* ἔσουσι, ἐχούσι.

Μάξιμος ἐπίσκοπος Ἄσσου τῆς Ἀσίας εἶπε. Καθὼς ὁ ἁγιώτατος καὶ θεοφιλέστατος ἐπίσκοπος ἡμῶν Μέμνων κατέθετο, ταύτῃ τῇ πίστει κἀγὼ πιστεύω καὶ ἐμμένω.

Δωρόθεος ἐπίσκοπος * Μυείνης τῆς Ἀσίας εἶπε· Τῇ ἐκτεθείσῃ πίστει ὑπὸ τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ συνῳδὰ περιεχούσης καὶ τῆς ἐπιστολῆς τῆς ἀναγνωσθείσης παρὰ τοῦ τὰ πάντα ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου καὶ πατρὸς ἡμῶν Κυρίλλου, καὶ συμπεύω, καὶ ὅτω φρονῶ.

* Μυρίνης.

Εὐχάριος ἐπίσκοπος Δωρακίου εἶπεν· Ὀρθῶς καὶ πάνυ δικαίως κατανοήσας τὴν ἐπιστολὴν ἔχειν τὸ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου καὶ πατρὸς ἡμῶν Κυρίλλου, τὴν πρὸς τὸν ἁλαβέστατον Νεστόριον γραφεῖσαν, εὗρον σύμφωνον οὖσαν τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων πατέρων ἡμῶν τῶν συνελθόντων κατὰ καιρὸς ἐν Νικαίᾳ· κἀγὼ ὅτω φρονῶ καὶ πιστεύω, καὶ ἔχομαι καὶ αὐτὸς ζῆσαι καὶ * τελειῶσαι ἐν κυρίῳ.

* σώσαι.

Θεόδωρος ἐπίσκοπος * Ἀννήτου εἶπε· Συναινῶ αὐτὸς τῇ καταθέσει τῶν ἁγίων πατέρων περὶ τῆς ἐκτεθείσης πίστεως ἐν Νικαίᾳ, καὶ τῇ γραφείσῃ παρὰ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου ἐπιστολῇ πρὸς τὸν ἁλαβέστατον ἐπίσκοπον Νεστόριον.

* Ἀνασσίας. * Ἀνασσείας.

Εὐδόξιος ἐπίσκοπος Λυκίας πόλεως χώματος εἶπεν· Ἐθαύμασα τὰ γραφέντα παρὰ τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου πατρὸς ἡμῶν Κυρίλλου τῷ ἁλαβεστάτῳ Νεστορίῳ, συμφωνα ὄντα τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ. καὶ συντίθεμαι καὶ ὁμολογῶ ὅτω φρονεῖν,

κα-

καθὼς καὶ οἱ ἁγιώτατοι πατέρες ἡμῶν ὥρισαντο.

Φίλιππος ἐπίσκοπος Περγάμου εἶπε. Συντίθεμαι τῇ ἐκτεθείσῃ ὑπὸ τῶν ἁγίων πατέρων πίστει, τῶν συναχθέντων κατὰ Νίκαιαν τριακοσίων δέκα καὶ ὀκτώ, καὶ κατὰ τοὺς κανόνας ἐκείνους ὃς περ αὐτοὶ ὥρισαντο, καὶ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, συμφώνῳ οὔσῃ τοῖς αὐτοῖς κανόσι. καὶ οὕτω φρονῶ καὶ πιστεύω.

Εὐσέβιος ἐπίσκοπος Μαγνησίας τῆς Ἀσίας εἶπε· Τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων τριακοσίων δέκα καὶ ὀκτώ συντίθεμαι, καὶ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, περιεχούσῃ συνῳδά, καὶ οὕτω φρονῶ, καὶ πιστεύω.

Εὐτύχιος ἐπίσκοπος τῆς Ἐρυθρῶν πόλεως τῆς Ἀσίας εἶπε. Πειθεὶς ὄψεσι καὶ ἀποδείξεσι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων τῶν τε μητροπολιτῶν τῶν ἀπὸ διαφόρων ἐπαρχιῶν, καὶ τῇ γραφείσῃ ἐπιστολῇ παρὸς τὸν διλαβέστατον Νεστόριον παρὰ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου, ὁμολογῶ καὶ πιστεύω.

* Δανάτης. * Δονᾶτος ἐπίσκοπος Νικοπόλεως παλαιᾶς Ἠπείρου εἶπεν. Ἑπαινέσας τῆς ἐπιστολῆς τῆς ἀναγνωσθείσης σήμερον ἐπὶ τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου, ἣν ἔγραψεν ὁ ἁγιώτατος καὶ θεοφιλέστατος πατὴρ ἡμῶν καὶ συλλειτουργὸς Κύριλλος παρὸς τὸν διλαβέστατον Νεστόριον· εὗρόν τε αὐτῷ σύμφωνον καὶ συνομόλογον τῇ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, καὶ ἐκθεμένων τὸν ὀρθόδοξον πίστιν τυγχάνουσαν, καὶ πάσης ἀποδοχῆς ἀξιώσας τὸ, πεῦφος τῆς ἐπιστολῆς, καὶ τὸν ὀρθόδοξον πίστιν τὸν ἐν αὐτῇ γραφεῖσαν, οὕτω καὶ φρονῶ καὶ πιστεύω, καὶ συγκατατίθεμαι.

* Θεόλυμπ. * Δωρόθεος ἐπίσκοπος πόλεως Δωδώνης εἶπε· Καὶ ἐγὼ συναινῶ καὶ συγκατατίθεμαι οἷς κατέθετο ὁ ἁγιώτατος ἐπίσκοπος τῆς μητροπόλεως τῆς ἐμῆς Δονάτος.

Ἡρακλείων Τράλλεων ἐπίσκοπος εἶπε· Κατ' ἴχνος βαίνω τῶν ἁγίων πατέρων, καὶ ἐπιμένω τῇ ἐκθέσει τῆς συνόδου τῆς γνωμούσης ἐν Νικαίᾳ, τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων τῶν τὴν ὀρθοδοξίαν κηρυξάντων. πάλιν δὲ ἐν τῇ ἁγίᾳ ταύτῃ συνόδῳ τῇ κατὰ τὴν Ἐφεσίων μητρόπολιν γνωμούσῃ τὰ αὐτὰ ἀκούσας τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου, τοῦ πατρὸς ἡμῶν Κυρίλλου, ἐν τῇ ἐπιστολῇ κηρύξαντος, καὶ μᾶλλον φωτίσαντος ἡμᾶς, καὶ συνῳδὰ τοῖς τριακοσίοις δέκα καὶ ὀκτὼ, γνωρίσας ταῦτα καὶ συναινῶ, καὶ εὔχομαι ταύτῃ τῇ πίστει διαμεῖναι, καὶ ταῖς ἐκκλησίαις ὑμῶν ἔτι τελειωθῆναι.

Παράλιος ἐπίσκοπος πόλεως Ἀνδράπων εἶπεν· Ἐντραφεὶς τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν τὴν. τῶν κατὰ Νίκαιαν, ἔτι καὶ πιστεύω καὶ συναινῶ, καὶ συνδέχομαι. συνῳδὰ δὲ δείκνω κατὰ πάντα ἐν πλατυτέρᾳ τῇ ἐξηγήσει, τῇ αὐτῇ ἐκθέσει καὶ τὰ ἀρτίως ἡμῖν ἀναγνωσθέντα παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου παρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου γραφέντα, καὶ συναινῶ, καὶ εὔχομαι ἐν ταύτῃ τελειωθῆναι τῇ πίστει.

* Εὐμένης Ἀρχέλαος ἐπίσκοπος πόλεως * Μυώδου τῆς Καρίας εἶπε. Τῇ διὰ σεβοῦς ἡμῖν καὶ σωτηρίου παραδοθείσης πίστεως παρὰ τῶν ἁγίων καὶ θεοφιλεστάτων πατέρων καὶ ἐπισκόπων τῶν συλλεχθέντων ἐν τῇ Νικαίων πόλει, ἰσότυπός ἐστι καὶ σύμφωνος ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου παρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου· καὶ πιστεύειν οὕτως ὁμολογῶ, καὶ εὔχομαι.

Ἀπελλᾶς ἐπίσκοπος * Κιβύρας τῆς Καρίας εἶπε· * Κιβύρων
* Κατὰ τὰ αὐτὰ κατατίθεμαι, καὶ τούτοις συναινῶ. * καὶ

Θωμᾶς ἐπίσκοπος Δέρβης τῆς Λυκαονίας εἶπε. Συγκατατίθεμαι καὶ αὐτὸς συνῳδὰ τῇ τῶν ἁγίων πατέρων πίστει, καὶ τῇ ἐπιστολῇ τῇ γραφείσῃ παρὰ τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἀρχιεπισκόπου Κυρίλλου· καὶ ὁμόφρων καὶ ὁμόπιστός εἰμι ταύτῃ.

Θεμίστιος ἐπίσκοπος Γαστοῦ τῆς Καρίας εἶπε. Κατὰ τὴν ὑγιᾶ πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ τριακοσίων δέκα καὶ ὀκτὼ, καὶ τῷ ὁμόφωνον ἐπιστολὴν τὴν ἀναγνωσθεῖσαν τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου παρὸς ἡμῶν Κυρίλλου, τὰ αὐτὰ πιστεύω, καὶ κατατίθεμαι.

Σπυδάσιος ἐπίσκοπος Κεράμων ἐπαρχίας Καρίας εἶπε· Τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν συναχθέντων κατὰ τὴν Νικαέων πόλιν καὶ συνέζησα, καὶ συζῶ εὔχομαι. ὁμοίως δὲ καὶ τῇ ἐπιστολῇ τῇ γραφεῖσαν παρὰ τοῦ ἁγιωτάτου καὶ ἀρχιεπισκόπου καὶ παρὸς ἡμῶν Κυρίλλου τῷ θεοσεβεστάτῳ Νεστορίῳ, ὁμώνυμον θεασάμενος, καὶ τούτῳ καταδέχομαι, καὶ ὅσῃ διαφωνοῦσαν τῆς πίστεως διορίσκω. διὸ χαίρω εἰς ἑκάτερα τούτων καὶ πιστεύω, καὶ συμψηφίζωμαι.

Ἀφθόνητος ἐπίσκοπος Ἡρακλείας τῆς Καρίας εἶπεν· Ἑρμηνεία καὶ θεμέλιός ἐστι τῆς παραδοθείσης ἡμῖν διὰ σεβοῦς πίστεως παρὰ τῶν ἐν Νικαίᾳ ἁγιωτάτων πατέρων καὶ ἐπισκόπων, ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου παρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου· καὶ κατὰ ἀμφότερα πιστεύειν ὁμολογῶ καὶ εὔχομαι.

Φιλητὰς ἐπίσκοπος Ἀμαζόνων τῆς Καρίας εἶπε· Κατὰ τὴν ὀρθὴν καὶ εὔδοξον πίστιν τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἐν Νικαίᾳ συνελθόντων διλαβεστάτων καὶ θεοφιλεστάτων ἐπισκόπων τῶν τότε. καὶ κατὰ ταύτην τὴν ἐπιστολὴν τὴν γραφεῖσαν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου παρὸς τοῦ ἀρχιεπισκόπου Κυρίλλου, συμφωνοῦσαν τῇ αὐτῇ ἁγίᾳ ἐκθέσει, καὶ κατατίθεμαι καὶ πιστεύω, καὶ σύμψηφός εἰμι τῇ αὐτοῦ θεοσεβείᾳ.

Φανίας ἐπίσκοπος πόλεως Ἁρπάσων τῆς Καρίας εἶπε. Κατὰ τὴν ἔκθεσιν τῆς ἐπουρανίου πίστεως τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, τῶν συνελθόντων κατὰ τὴν Νικαέων, καὶ κατὰ τὴν ὑποαναγνωσθεῖσαν ἡμῖν ἐπιστολὴν παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου καὶ κοινοῦ παρὸς ἡμῶν Κυρίλλου, τὴν γραφεῖσαν παρὸς τὸν διλαβέστατον ἐπίσκοπον Νεστόριον, ὁμοδιαίτιμον ὄντα τῇ τῶν ἁγίων πατέρων πίστει, τὰ αὐτὰ φρονεῖν ὁμολογῶ καὶ συγκατατίθεμαι.

Προμάχιος ἐπίσκοπος Ἀλίνδων τῆς Καρίας εἶπε· Γινώσκων καὶ αὐτὸς σύμφωνον εἶναι τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου παρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἐν Νικαίᾳ συνελθόντων ἁγιωτάτων καὶ θεοφιλεστάτων πατέρων ἡμῶν καὶ ἐπισκόπων, τὰ αὐτὰ τοῖς δίω, καὶ φρονῶ, καὶ συγκατατίθεμαι.

Σαί-

Σαΐδας ἐπίσκοπος Φαίνυς τῆς Σαλυταρίας Παλαιστίνης εἶπε. Συντίθεμαι τῇ ἐπιστολῇ τῇ ἐκτεθείσῃ παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, γινώσκων σύμφωνον εἶναι τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἐν Νικαίᾳ συνελθόντων ἁγίων καὶ θεοφόρων πατέρων, κατὰ τοῦτο πιστεύω καὶ φρονῶ· καὶ τοῖς κατατεθεῖσι παρὰ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου ἡμῶν Ἰουβεναλίου συνάδουσι τῇ τῶν πατέρων ἐκθέσει, συμψηφίζομαι καὶ συναινῶ.

Σενεκίων ἐπίσκοπος πόλεως * Κοδρίας εἶπε. Κατὰ τὴν ὁρισθεῖσαν πίστιν παρὰ τῶν ἁγίων πατέρων ἡμῶν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, τῶν κατὰ Νίκαιαν πνεύματος ἁγίου πεπληρωμένων. ναὶ μὴν καὶ κατὰ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν Κυρίλλου, τὴν νυνὶ ἀναγνωσθεῖσαν ἡμῖν, πιστεύω, καὶ συναινῶ.

Ἰωάννης ἐπίσκοπος Ἡφαίστου Αὐγουσταμνικῆς εἶπε· Τῆς πίστεως τῆς ἐκτεθείσης παρὰ τῆς ἁγίας συνόδου, τῆς συγκροτηθείσης παρὰ τῶν ἁγίων πατέρων ἐν τῇ Νικαέων· καὶ τῆς ἐπιστολῆς τῆς πρὸς τὸν εὐλαβέστατον Νεστόριον γραφείσης παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου, μίαν ἐχουσῶν τὴν διάνοιαν, καὶ μίαν πίστιν ἐν διαφόροις συλλαβαῖς, ταύταις κἀγὼ συντίθεμαι, καὶ συνδοξάζω, καὶ συζῆν εὔχομαι, χάριτι τῆς ἁγίας τριάδος.

Ἀθανάσιος ἐπίσκοπος * Παράλου εἶπε· Κἀγὼ τὰ αὐτὰ συγκατατίθεμαι, καὶ συναινῶ τῇ ὀρθῇ πίστει τοῦ πατρὸς ἡμῶν Κυρίλλου τοῦ ἀρχιεπισκόπου.

Εὐσέβιος ἐπίσκοπος * Ἀσπόνων πόλεως Ἀγκύρας εἶπε· Πολλὴν ἐπιγνοὺς οὖσαν τὴν συμφωνίαν τῆς πίστεως, τῆς τε διὰ τῆς ἐπιστολῆς τῆς ἐκτεθείσης παρὰ τοῦ θεοσεβεστάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου, τῆς τε παρὰ τῶν ὁσιωτάτων πατέρων πάλαι ἐκτεθείσης, συναινῶ, καὶ δέχομαι, * καὶ τὰ αὐτὰ πιστεύω, καὶ τὰ αὐτὰ δοξάζω, καὶ διδάσκω.

Θέων ἐπίσκοπος * Σεθροίτου εἶπε· Συναινῶ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου, συνῳδὰ * ἐκδεδομένῃ τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν κατὰ καιροὺς συνειλεγμένων ἁγιωτάτων πατέρων τῶν ἐν Νικαίᾳ.

Δανιὴλ ἐπίσκοπος Δάρνεως εἶπε. Συναινῶ τῇ ἀναγνωσθείσῃ ἐπιστολῇ παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν Κυρίλλου, συνῳδὰ ἐκθεμένῃ τῇ πίστει τῶν ἁγιωτάτων πατέρων ἡμῶν τῶν ἐν Νικαίᾳ.

Μακάριος ἐπίσκοπος Ἀντέου εἶπεν. Εὑρὼν τὴν αὐτὴν τοῦ ἁγίου πνεύματος χάριν ἔν τε τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγιωτάτων πατέρων ἐν Νικαίᾳ πίστει, ἔν τε τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, θαυμάζω καὶ ἐμμένω, καὶ εὔχομαι ταύτην διατηρεῖν, κυβερνῶσαν καὶ σώζουσαν τὸ τῶν ἀνθρώπων γένος.

Σωσίπατρος ἐπίσκοπος Σεπτιμιακῆς εἶπε· Τὸ μὲν πολὺν καταναλῶσαι λόγον, καὶ ἐξειπεῖν τὰ θαύματα τῶν ἁγίων πατέρων, οὐκ ἐμὸν ἂν εἴη, ἀλλ' ἑτέρου τινὸς αὐχοῦντος μεγίστην παίδευσιν. ἀναγνωσθείσης τοίνυν τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, τῆς γραφείσης πρὸς Νεστόριον, καὶ συνῳδὰ περιχούσης τῇ συνόδῳ τῇ γενομένῃ κατὰ τὴν Νικαέων πόλιν, οὕτω κἀγὼ δοξάζω καὶ συναινῶ, καθὼς καὶ οἱ πατέρες ἡμῶν οἱ ἅγιοι ἐδόξασαν καὶ ἐπίστευσαν.

Σαμουὴλ ἐπίσκοπος Δύσθεως Πενταπόλεως εἶπε· Σύμφωνα πιστεύω τοῖς ἁγίοις πατράσι τοῖς κατὰ τὴν Νικαέων συνόδον συνειλεγμένοις, καὶ οὕτω νοῶ καὶ πιστεύω, ἐπακούσας καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου.

Στρατήγιος ἐπίσκοπος * Ἀθριβίδος ἐπαρχίας Αὐγουσταμνικῆς εἶπε· Σύμφωνα καὶ ὁμόπιστα τῶν ἁγίων πατέρων ἡμῶν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων τῶν ἐν Νικαίᾳ συνεδρευσάντων περιεχούσης τῆς ἐπιστολῆς τῆς ὑπαναγνωσθείσης τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου, τῆς γραφείσης πρὸς τὸν εὐλαβέστατον Νεστόριον, ἀναγκαίως ἐφρόνησα καὶ φρονῶ, καὶ ἐπίστευσα καὶ πιστεύω, καὶ ταύτῃ τῇ πίστει παραμένω χάριτι τῆς ἁγίας τριάδος, καὶ ταύτης τῆς ἁγίας θεοφιλοῦς συνόδου.

Εὐσέβιος ἐπίσκοπος Νειλουπόλεως ἐπαρχίας Ἀρκαδίας εἶπεν· Ἀπεδεξάμην τὴν ἐπιστολὴν συμφωνοῦσαν τῇ πίστει τῶν ἁγίων πατέρων, καὶ * κατὰ ταύτην πιστεύω τὴν ἔννοιαν.

Μαρῖνος ἐπίσκοπος Ἡλιουπολιτῶν ἐπαρχίας Αὐγουσταμνικῆς εἶπεν· Ἀπεδεξάμην τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου, ὀρθὴν οὖσαν, καὶ σύμφωνον τῇ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ πίστει.

Παῦλος ἐπίσκοπος * Φλαβωνίας εἶπε· Μίαν καὶ τὴν αὐτὴν διαλάμπουσαν πίστιν, ἐκτεθεῖσαν μὲν πάλαι διὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ, νῦν δὲ καὶ διὰ τῆς μεγάλης ταύτης συνόδου ἐκ * συμφώνου φανεῖσαν, καὶ ἐξ αὐτῆς τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Κυρίλλου λαμπρότερον κηρυχθεῖσαν, ἔχω, καὶ πιστεύω, καὶ ταύτῃ συντίθεμαι, δι' ἧς σώζεσθαι καὶ πιστεύω, ὁμολογῶν αὐτὴν ἐν Χριστῷ.

Μητρόδωρος ἐπίσκοπος Λεόντων εἶπε· Τῆς ἁγίας πίστεως τῆς ἐκτεθείσης παρὰ τῶν ἁγίων πατέρων ἡμῶν ἐν τῇ Νικαέων, καὶ τῆς νυνὶ ἀναγνωσθείσης ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς καὶ ἀρχιεπισκόπου Κυρίλλου, τῆς γραφείσης πάλαι πρὸς τὸν θεοσεβέστατον Νεστόριον, μίαν ἐχουσῶν πίστιν καὶ διάνοιαν ἐν διαφόροις συλλαβαῖς, ἀναγκαίως κἀγὼ ταύτῃ συντίθεμαι, τὰ αὐτὰ πιστεύων, καὶ δοξάζων καὶ συνομολογῶν, χάριτι τῆς ἁγίας τριάδος.

Θεόπεμπτος ἐπίσκοπος * Καβάσσου εἶπε. Περιττόν ἐστι τοὺς ἀπὸ Αἰγύπτου ἐπισκόπους τὸν περὶ τῆς ὀρθῆς πίστεως ἀπαιτεῖσθαι λόγον. πᾶσι γὰρ εὐσύνοπτον, ὅτι τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου ἐξακολουθοῦμεν, καὶ συναινοῦμεν, συμφώνῳ οὔσῃ τῆς τῶν ἁγίων πατέρων πίστεως.

Ἡρακλείδης ἐπίσκοπος τῆς * Ἡρακλεωτῶν Ἀρκαδίας εἶπε· Τῆς πίστεως τῶν ἁγίων πατέρων ἡμῶν, τῶν συναχθέντων πάλαι ἐν τῇ Νικαέων, καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, μίαν σύμφωνον κηρυττουσῶν καὶ ὁμολογουσῶν πίστιν, ἀναγκαίως ἐγὼ τεχθεὶς καὶ τραφεὶς ἐν αὐτῇ, μέχρι παντὸς τῆς αὐτῆς εὔχομαι γνώμης εἶναι, χάριτι τῆς ἁγίας τριάδος.

Σαβῖνος ἐπίσκοπος Πανὸς ἐπαρχίας Θηβαΐδος εἶπε· Τῆς πίστεως τῶν ἁγίων πατέρων τῆς ἐκτε-

* Κόδριον
* Παραλίων
* Αὐσέβιον
* καὶ πιστεύω,
* Σεθροίτης, Κυρίλλου
* ἐκθεμένῃ
* Ἀθριβίδος
* κατ' αὐτὴν
* φραγωνίας
* σύμφωνον οὖσαν
* Καβάσσων
* Ἡρακλείδης

ἐκτεθείσης ἐν τῇ Νικαίων * πόλει, καὶ τῆς ἐπιστολῆς τοῦ θεοσεβεστάτου καὶ ἁγιωτάτου παῤῥὸς ἡμῶν Κυρίλλου σύμφωνον ἐχούσης τῷ πίστει, ταύτῃ κἀγὼ ἀναγκαίως συντίθεμαι χάριτι τῆς ἁγίας τριάδος.

* πόλει

* Ἡράκλειος ἐν. Ταμιαθίδος.

* Ἡράκλειος ἐπίσκοπος Ταμιαθίδος εἶπεν· Οὐδὲν παραλλάττει ἐχούσης τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου παῤῥὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, παῤῥὸς τὴν ἐν τῇ Νικαίων πόλει ἐκτεθεῖσαν πίστιν παρὰ τῶν ἁγίων πατέρων, ἀναγκαίως ταύτῃ κἀγὼ συντίθεμαι χάριτι τοῦ Χριστοῦ.

* Ἐλαρχίας

Ἰσαὰκ ἐπίσκοπος * Ἐλαρχίας εἶπεν· Ὁμολογῶ τὸ αὐτὸ εἶναι συμφωνίαν τό τε τῷ συμβόλῳ τῶν ἁγίων πατέρων, καὶ ἐν τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου Κυρίλλου, ᾗ κἀγὼ ἀναγκαίως συντίθεμαι χάριτι τοῦ Χριστοῦ.

* θιῶ.

Εὐτύχιος ἐπίσκοπος Θεοδοσιουπόλεως τῆς Ἀσίας εἶπεν· Ἐκ νέας ἡλικίας καθὼς ἐπίσταμαι, οὕτω ἐξεμαθήμην ἐκ τῆς ἐπιστολῆς τὰ γραφείσης παρὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου, τῆς ἀποσταλείσης τῷ ἁλαβεστάτῳ Νεστορίῳ· σύμφωνος γὰρ εὑρέθη τῇ ἐκθέσει πίστει τῶν τριακοσίων δέκα καὶ ὀκτὼ τῶν συνελθόντων ἐν τῇ Νικαέων· καὶ οὕτω πιστεύω, καθὼς καὶ οἱ ἅγιοι πατέρες ἐξέθεντο ἐν ταύτῃ τῇ μεγάλῃ συνόδῳ.

Ἀδέλφιος ἐπίσκοπος Σάεως εἶπε· Τῆς πίστεως τῶν ἁγίων πατέρων τῆς ἐκτεθείσης ἐν τῇ Νικαέων πόλει, καὶ τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου καὶ ἁλαβεστάτου παῤῥὸς ἡμῶν Κυρίλλου, σύμφωνον ἐχούσης πίστιν, ταύτῃ κἀγὼ ἀναγκαίως συντίθεμαι χάριτι τῆς ἁγίας τριάδος.

Ῥόδων ἐπίσκοπος Παλαιᾶς πόλεως τῆς Ἀσίας εἶπεν· Οὐδὲν ἀπαδούσης τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ Νικαέων πόλει, καὶ αὐτὸς οὕτω πιστεύων κατατίθεμαι κατὰ τὴν ἐκτεθεῖσαν παῤ αὐτῶν πίστιν.

Νεστόριος ἐπίσκοπος Σιῶν τῆς Ἀσίας εἶπε· Κατὰ τὴν ἔκθεσιν τὴν γνωσθεῖσαν παρὰ τῶν ἁγίων πατέρων ἐν Νικαίᾳ πιστεύσας καὶ αὐτὸς, καὶ οὕτως ἔχων, εὗρον συνῳδὰ καὶ τῇ ἐπιστολῇ περιέχουσαν τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου· καὶ ταύτῃ τῇ πίστει καὶ ἐκθέσει τῶν ἁγίων πατέρων καὶ αὐτὸς συντίθεμαι, καὶ εὔχομαι ἐν ταύτῃ τῇ πίστει τὸν λοιπὸν * διαμεῖναι τῆς ζωῆς μου χρόνον, χάριτι τοῦ Χριστοῦ.

* διαμεῖναι παραμεῖναι

Ἀνδρίου ἐπισκόπου Χερρονήσου πόλεως ἐπαρχίας Κρήτης εἶπεν· Ὥσπερ μύρου πολυτίμου τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ Νικαέων ἀνεωχθείσης, ἐπὶ πλεῖον ἡμᾶς ἐώδιασε διὰ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου παῤῥὸς ἡμῶν Κυρίλλου, σύμφωνα καὶ ὁμόδοξα ἐχούσης· καὶ αὐτὸς ταύτῃ συντίθεμαι, καὶ οὕτω πιστεύειν εὔχομαι πάντα τὸν τῆς ζωῆς μου χρόνον.

Παύλου ἐπισκόπου πόλεως Λάμπης ἐπαρχίας Κρήτης εἶπε· Τῆς τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ Νικαέων πόλει ἐκτεθείσης πίστεως ὁμόφωνον καὶ ὁμόδοξον ἐφάνησάν τε καὶ ἄρτι τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, ταύτῃ συντίθεμαι, καὶ οὕτω πιστεύω, καὶ εὔχομαι μέχρι παντὸς ἐν ταύτῃ τῇ πίστει ὀφθῆναι.

Ζωσίμιος ἐπίσκοπος πόλεως Κνωσοῦ ἐπαρχίας Κρήτης εἶπε. Φανερᾶς οὔσης τῆς ὀρθοδόξου πίστεως τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ Νικαέων πόλει· ὁμοδόξως τε καὶ ὁμοφώνως τῇ ὀρθῇ τύπῃ τῶν πίστει * ἐκτιθεμένων, φανερωθείσης ἡμῖν καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου παῤῥὸς καὶ ἐπισκόπου Κυρίλλου, ταύτῃ συντίθεμαι καὶ συναινῶ, καὶ ἐν ταύτῃ τῇ πίστει εὔχομαι ὀφθῆναι.

(a) ἐκτιθεμένων

Μακάριος ἐπίσκοπος Μετηλίτου τῆς Αἰγύπτου εἶπε· Τῆς ἐπιστολῆς ἀναγνωσθείσης τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου, συμφώνως τε ἐχούσης τῇ ἐκτεθείσῃ πίστει διὰ πνεύματος ἁγίου παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαίᾳ συνελθόντων, συντίθεμαι τῇ ὁμοπιστίᾳ, ἐκ ἄλλως ἔχοντος τοῦ δόγματος, ἀλλ' ὡς προεῖπον, τῆς παραδοθείσης τῇ τοῦ Θεοῦ ἁγιωτάτῃ ἐκκλησίᾳ παρὰ τῶν ἁγιωτάτων πατέρων πίστεως συμφωνούσης.

Λαμπέτιος ἐπίσκοπος Κασίου ἐπαρχίας Αὐγουσταμνικῆς εἶπε· Συντίθεμαι τῇ ἐπιστολῇ τῇ ὑπαναγνωσθείσῃ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου παῤῥὸς ἡμῶν Κυρίλλου, συμφώνῳ οὔσῃ τῇ ἐν Νικαίᾳ συνόδῳ, καὶ τῇ ἐκτεθείσῃ πίστει ὑπὸ τῶν ἁγίων πατέρων.

Μακεδόνιος ἐπίσκοπος Ξοΐου εἶπε. Κατὰ τὸν σήμερον ἀναγνωσθείσης ἡμῖν τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίᾳ γεγυμνασμένης παρὰ τῶν ὁσιωτάτων πατέρων ἡμῶν πίστιν, ἔτι γε μὴν καὶ ταύτῃ πιστεύω τοῦ ἁγιωτάτου ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, ὡς ὁμόδοξος αὐτῇ τυγχάνει· ταύτῃ κἀγὼ συναινῶ, καὶ πιστεύω ἐν ὅσῳ ζῶ, καὶ οὕτω διδάσκειν δεδίδαγμαι.

Ἄμμων ἐπίσκοπος πόλεως Βάτου εἶπε· Συμφωνῶ τῇ ἁγίᾳ συνόδῳ τῇ κατὰ Νίκαιαν γνωσθείσῃ παρὰ τῶν ἁγίων πατέρων, καὶ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου, καὶ αὐτὴ ἐστὶ συμφωνος ἡ ἐπιστολὴ τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων καὶ θεοφόρων πατέρων· καὶ οὕτω πιστεύω κἀγὼ τῇ ὀρθοδόξῳ ταύτῃ πίστει, καὶ εὔχομαι τὸν ἐνθάδε βίον καταλῦσαι, καὶ τῷ βήματι τοῦ Χριστοῦ παραστῆναι.

* Πανεφύσης ἐπαρχίας

* Ἀμμώνιος ἐπίσκοπος πόλεως, * Πανεφύσης ἐπαρχίας Αὐγουσταμνικῆς εἶπε. Ταύτῃ τῇ πίστει καὶ πιστεύω καὶ ἐμμένω τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων· καὶ τῇ ἐπιστολῇ τῇ γραφείσῃ παῤῥὸς Νεστόριον παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου συντίθεμαι, συμφώνῳ οὔσῃ τῶν ἁγίων πατέρων· καὶ οὕτω πιστεύω, ἐν αὐτῇ ἀποθανεῖν εὔχομαι.

Ἀλύπιος ἐπίσκοπος Σέλης ἐπαρχίας Αὐγουσταμνικῆς εἶπεν· Ἐπήκουσα τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου παῤῥὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, τῆς γραφείσης παῤῥὸς Νεστόριον τὸ ἀλαβέστατον· καὶ αὐτὴ ἐστὶ σύμφωνος ἡ ἐπιστολὴ τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων καὶ θεοφόρων πατέρων· καὶ οὕτω πιστεύω κἀγὼ τῇ ὀρθοδόξῳ ταύτῃ πίστει, καὶ εὔχομαι τὸν ἐνθάδε βίον καταλῦσαι, καὶ τῷ βήματι τοῦ Χριστοῦ παραστῆναι.

* Περρέβιος ἐπίσκοπος τῶν Θετταλικῶν σάλτων

* Περρέβιος ἐπίσκοπος τῶν Θετταλικῶν σάλτων εἶπεν. Ἀῤῥαγὴς καὶ ἀκλινὴς οὔσης τῆς ἐκτεθείσης ἐν Νικαίᾳ πίστεως παρὰ τῶν ἁγίων πατέρων, καὶ τῷ σύμφωνον ταύτῃ δι' ἐπιστολῆς ἐκτεθεῖσαν πίστιν παρὰ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου στέργω, καθὼς καὶ οἱ παῤῥὸ ἡμῶν πάντες ἅγιοι πατέρες κατέθεντο.

Φιλέμωνος ἐπίσκοπος πόλεως Κίννης τῆς Γαλατίας εἶπε· Σύμφωνον τῷ ἐπιστολῷ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου εὑρὼν τῇ ἐκθέσει τῆς πίστεως τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων ἐπισκόπων τῶν κατὰ Νίκαιαν, συντίθεμαι αὐτοῖς, καὶ πιστεύω, καθὼς αὐτοί τε ἐξέθεντο οἱ

ἅγιοι πατέρες, καὶ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου περιέχει.

Ἑρμογένης ἐπίσκοπος Ῥινοκουρούρων εἶπεν· Ἓν καὶ τὸ αὐτὸ πνεῦμα ἅγιον, τό, τε τοῖς πατράσι τοῖς ἐν Νικαίᾳ ἐνηχῆσαν περὶ τῆς πίστεως, καὶ τὸ ἐν τῇ ψυχῇ καὶ γλώττῃ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς καὶ ἀρχιεπισκόπου Κυρίλλου, τοῦ τὴν ἐπιστολὴν ὑπαγορεύσαντος πρὸς διόρθωσιν τῶν παρὰ τοῦ θεοσεβεστάτου Νεστορίου ἐπ' ἐκκλησίας μὴ καλῶς λεχθέντων. διὸ καὶ τὴν συμφωνίαν θαυμάσας, σύμψηφος καὶ αὐτὸς τῇ τῶν πατέρων δόξῃ γενόμενος, τὰ αὐτὰ τῇ ἁγιωτάτῃ συνόδῳ κατατίθεμαι.

Εὐόπτιος ἐπίσκοπος Πτολεμαΐδος τῆς Πενταπόλεως εἶπε· Τεθαύμακα τὴν συμφωνίαν τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, τῆς πρὸς τὸν θεοσεβέστατον Νεστόριον πρὸς διόρθωσιν τῶν οὐκ ὀρθῶς εἰρημένων γραφείσης, καὶ τοῦ συμβόλου τοῦ παρὰ τῶν ἁγιωτάτων καὶ θεοσεβεστάτων πατέρων ἡμῶν τῶν ἐν Νικαίᾳ συναχθέντων, καὶ κατὰ μηδὲν ἐν αὐτῇ ἐνηλλαγμένον συνιδὼν, συντίθεμαι μετὰ πάσης τῆς συνόδου τῷ συμφώνῳ τῆς ὀρθῶς ἐχούσης πίστεως.

Φοιβάμμων ἐπίσκοπος * Κοπτοῦ τῆς Θηβαΐδος εἶπεν· Ὁμοδυναμεῖ ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Κυρίλλου τοῖς ἐκτεθεῖσι δόγμασι παρὰ * τῇ ἐν τῇ Νικαίᾳ * συνόδῳ, ἐν μηδενὶ ἀπᾴδουσα πρὸς διόρθωσιν μὲν τῶν ὀρθοδόξων, καθαίρεσιν δὲ τῶν αἱρετικῶν δογμάτων· κἀγὼ πιστεύω καὶ συντίθεμαι.

Ζηνῶν ἐπίσκοπος πόλεως * Κουρίου τῆς Κύπρου εἶπε· Τοῖς ὁρισθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν κατὰ Νίκαιαν, καὶ τοῖς γραφεῖσι παρὰ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, συμφώνοις οὖσι, καὶ ἡμεῖς συντιθέμεθα, τὴν αὐτὴν πίστιν ὁμολογοῦντες.

Μαρτύριος ἐπίσκοπος * Ἠλιστρῶν εἶπεν. Ἄνωθεν καὶ ἐκ προγόνων τοῖς κανόσι τῶν κατὰ Νίκαιαν ἐντραφέντες, καὶ πιστεύομεν τούτους μέχρι τέλους διαφυλάξαι· εἶτα δὲ καὶ τῆς ἐπιστολῆς ὑπακούσαντες τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, καὶ σύμψηφον ταύτην εὑρόντες τῶν ἁγίων κανόνων, πιστεύομεν ἕως τέλους καὶ διαφυλάξαι καὶ τηρῆσαι τοὺς ἡμῖν ἐμπεπιστευμένους λαούς.

Ἡσύχιος ἐπίσκοπος Παρίου εἶπεν· Εἰ καὶ μόνος δοκῶ τῆς ἐπαρχίας τῆς ἐμῆς, καὶ ταῦτα δι' εὐχὴν ἐλθὼν, ἀλλ' οὖν γε καὶ αὐτὸς τῆς πίστεως τῆς αὐτῆς εἶναι κατατίθεμαι, ἧς περ ἐξέθεντο οἱ ἁγιώτατοι καὶ θεοσεβέστατοι πατέρες οἱ ἐν Νικαίᾳ συνελθόντες· ταύτην καὶ ἐκύρωσεν ὁ ἁγιώτατος καὶ θεοφιλέστατος ἀρχιεπίσκοπος Κύριλλος διὰ τῆς ἐπιστολῆς τῆς γραφείσης πρὸς τὸν εὐλαβέστατον Νεστόριον.

Ἑλλάδιος ἐπίσκοπος Ἀτραμύτου εἶπε. Τὴν ἔκθεσιν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγιωτάτων καὶ θεοφιλεστάτων πατέρων ἡμῶν, καὶ τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου πιστεύω, καὶ τὴν πίστιν ταύτην διαφυλάξω.

Δίον ἐπίσκοπος πόλεως Θηβῶν εἶπε. Πίστις μοί ἐστι τῶν ἁγίων πατέρων τῶν κατὰ Νίκαιαν, καὶ ταύτην ὁμολογῶ· οἶδα δὲ τῷ αὐτῷ φρονήματι καὶ τὸν ἁγιώτατον πατέρα καὶ συλλειτουργὸν ἀρχιεπίσκοπον Κύριλλον διὰ τῆς ἁγίας ἐπιστολῆς ἐκθεῖναι καὶ εἰρηκέναι, τῆς γραφείσης πρὸς Νεστόριον.

Ἀνδρέας ἐπίσκοπος Ἑρμουπόλεως τῆς Θηβαΐδος εἶπε· κατὰ τὰ ἐψηφισμένα περὶ τῆς ὀρθῆς καὶ σωτηριώδους πίστεως παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαέων πόλει συναχθέντων τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων, καὶ κατὰ τὴν τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου ἀναγνωσθεῖσαν ἐπιστολὴν, καὶ ἀποσταλεῖσαν τῷ εὐλαβεστάτῳ Νεστορίῳ, συνᾴδουσαν τοῖς πάλαι δεδογματισμένοις παρὰ τῶν αὐτῶν ἁγιωτάτων ἐπισκόπων τῶν ἐν τῇ Νικαέων πόλει συναχθέντων, πιστεύω καὶ δοξάζω τὴν τῶν ὀρθοδόξων πίστιν.

Καὶ πάντες οἱ λοιποὶ, οἱ καὶ προταγέντες ἐν τῇ στάσει ἐπίσκοποι τὰ αὐτὰ κατατίθενται, καὶ οὕτω πιστεύουσι, καθὼς καὶ οἱ πατέρες ἐξέθεντο, καὶ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, ἡ γραφεῖσα πρὸς Νεστόριον τὸν ἐπίσκοπον, ἐγνώρισε.

Παλλάδιος ἐπίσκοπος Ἀμασείας εἶπεν. Ἀκόλουθόν ἐστι καὶ τὴν ἐπιστολὴν τοῦ εὐλαβεστάτου Νεστορίου ἀναγνωσθῆναι, ἧς ἐμημόνευσε κατ' ἀρχὰς ὁ εὐλαβέστατος πρεσβύτερος Πέτρος· ὥστε γνῶναι ἡμᾶς, εἰ κἀκείνη σύμφωνός ἐστι τοῖς παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ ἐκτεθεῖσιν.

*Καὶ ἀναγνωσθεῖσα ὑποτέτακται καθὼς περιέχει.

Τῷ εὐλαβεστάτῳ καὶ θεοφιλεστάτῳ συλλειτουργῷ Κυρίλλῳ, Νεστόριος ἐν κυρίῳ χαίρειν. Τὰς μὲν καθ' ἡμῶν ὕβρεις τῶν θαυμαστῶν σου γραμμάτων ἀφίημι, ὡς μακροθυμίας ἀξίας ἰατρικῆς· καὶ τὰ λοιπά.

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὴν ἐπιστολὴν, Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε. Τί δοκεῖ ταύτῃ τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ περὶ τῆς ἀρτίως ἀναγνωσθείσης ἐπιστολῆς; ἆρα φαίνεται καὶ * αὕτη σύμφωνος εἶναι τῇ ὁρισθείσῃ πίστει ἐν τῇ ἁγίᾳ συνόδῳ τῶν ἁγίων πατέρων τῶν κατὰ καιροὺς * συνηγμένων ἐν τῇ Νικαέων πόλει, ἢ οὔ;

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν. Οὐδαμῶς σύμφωνος τυγχάνει τῇ εὐσεβεῖ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἀναθεματίζω τοὺς οὕτω πιστεύοντας. καὶ γὰρ ἀλλότρια ταῦτα πάντα τυγχάνει τῆς ὀρθοδόξου πίστεως.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπε. Τὰ ἐγκείμενα τῇ ἀναγνωσθείσῃ ἐπιστολῇ σύμπαντα μαχόμενα τυγχάνει πάντη, καὶ ἀλλότρια καθάπαξ τῆς πίστεως τῆς ἐκτεθείσης ἐν Νικαίᾳ παρὰ τῶν ἁγιωτάτων πατέρων· καὶ ἀλλοτρίους εἶναι τῆς ὀρθῆς πίστεως τοὺς οὕτω πιστεύοντας κρίνομεν.

Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε· Μόρφωσιν εὐσεβείας περιθεὶς ἐν προοιμίοις τῇ ἐπιστολῇ, προϊόντος τοῦ λόγου οὐδενὶ τρόπῳ τὸ ἑαυτοῦ φρόνημα συσκιάσαι δυνηθεὶς γυμνὸν προκαλύμματος τὸ ἑαυτοῦ παρέθετο φρόνημα, ἀπᾷδον τῆς τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πίστεως, καὶ τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου ὑπεναντίως ἔχων.

Οὐαλεριανὸς ἐπίσκοπος Ἰκονίου εἶπε. Πᾶσιν εὐσύνοπτος ἡ τῆς ἐπιστολῆς ἐναντιότης τοῦ εὐλαβεστάτου Νεστορίου, οὐ μόνον τῆς πίστεως τῶν ἁγίων πατέρων, τῶν ἐν Νικαίᾳ, καὶ τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου ἀπάδουσα, ἀλλ' οὐδὲ ἑαυτῇ συμβαίνουσα.

Ἰκόνιος ἐπίσκοπος Γορτυνῆς εἶπεν· Ἡ ἐπιστολὴ τοῦ εὐλα-

εὐλαβεστάτου Νεστορίου ἡ νῦν ἀναγνωσθεῖσα εὐδεμίαν συμφωνίαν πρὸς τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συναχθέντων ἔχει, οὐδὲ μὴν πρὸς τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἐπίσκοπου Κυρίλλου. διὸ ταύτῃ ἀποτασσόμενος, καὶ ἀναθεματίζων τοὺς οὕτω πιστεύοντας, συντίθεμαι τῇ ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου πατρὸς, καὶ ἀρχιεπισκόπου Κυρίλλου.

Ἑλλάνικος ἐπίσκοπος Ῥόδου εἶπε· Καὶ ἤδη κατεθέμην, ὅτι τῇ ἐκθέσει τῆς ὀρθοδόξου πίστεως τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ Νικαέων ἀκολουθῶ. καὶ τὴν ἁγίαν παρθένον Μαρίαν θεοτόκον ὁμολογῶ. ἀνάθεμα δὲ ἔστω ὁ μὴ πιστεύων οὕτως.

Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς εἶπεν. Ἔδειξεν ἡμῖν ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεστορίου, ὅτι περ οὐκ εἰκαῖον ἡγωνίασε φόβον εἰς τὴν ἁγίαν ταύτην καὶ μεγάλην συνελθεῖν σύνοδον. ἀκόλουθον γὰρ ἦν τὸν συνειδότα ἑαυτῷ, καὶ τὰς θείας παραχαράξαντα γραφὰς, καὶ τὰ τῶν ἁγίων πατέρων παρασαλεύσαντα * ὅρια, τοσούτῳ καταχεθῆναι φόβῳ, ὥστε στρατιωτῶν πλήθει τὴν ἑαυτοῦ περιτειχίσαι οἰκίαν. σαφέστατα γὰρ καὶ ἡ ἀναγνωσθεῖσα αὐτοῦ ἐδήλωσεν ἐπιστολὴ, ὅτι τὰς περὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ ἐγκειμένας τῇ πίστει τῶν ἁγίων πατέρων τιή. καὶ θεοφόρων ἐπισκόπων φωνὰς ἀφελὼν, μόνῃ τῇ σαρκὶ τὰς * τῆς σωτηριώδους περιῆψεν οἰκονομίας, ψιλὸν τὸν ναὸν τοῦ Θεοῦ γένησίν τε καὶ τελευτὴν ὑπομεῖναι εἰπών. καὶ κατεψεύσατο μὲν τῆς γραφῆς, ὡς καὶ αὐτῆς τὴν γένησίν τε καὶ τὸ πάθος οὐ τῆς θεότητος, ἀλλὰ τῆς ἀθρωπότητος διδασκούσης. κατεσυκοφάντησε δὲ καὶ τῶν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου γραμμάτων, ὡς παθητὸν λεγόντων τὸν Θεόν. ὅπερ οὔτε αὐτὸς, οὔτε ἄλλος τις τῶν εὐσεβῶς φρονούντων ἢ ἐνενόησεν εἰπεῖν, ἢ ἐτόλμησε. ὅθεν πάντων δὲ ἔδειξεν ἑαυτὸν, ὀνόματι μόνῳ τὴν ἑνότητα τοῦ Θεοῦ πρὸς τὴν σάρκα ὁμολογοῦντα, τῷ δὲ πράγματι ταύτην πάντη ἀρνούμενον· ἤλεγξε δὲ ἑαυτὸν καὶ ξένῃ διδαχῇ χρησάμενον, ἐν τῷ νῦν πεφωτίσθαι * τὰ δόγματα λέγειν δι' αὐτοῦ. οἷς ἅπασιν ἀλλοτρίοις οὖσι τῆς ἀληθείας, καὶ πολλὴν τὴν ἀσέβειαν ἔχουσιν ἀποτάσσομαι, ἀλλότριον ἐμαυτὸν τῆς τῶν τοιαῦτα φθεγγομένων κοινωνίας * ποιῶν.

Μέμνων ἐπίσκοπος Ἐφέσου εἶπεν· Οὐ συκοφαντίας * μόνης, ἀλλὰ καὶ βλασφημίας ἡ ἀναγνωσθεῖσα * πεπλήρωται ἐπιστολή· ὅθεν πᾶσα ἐναντία ἐστὶ τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων τριακοσίων δέκα καὶ ὀκτώ.

Θεόδοτος ἐπίσκοπος * Ἀγκύρας εἶπε· Κατ' οὐδὲν συμφωνοῦσαν τὴν ἐπιστολὴν τοῦ εὐλαβεστάτου ἔγνωμεν Νεστορίου τῇ ἐκθέσει τῶν ἁγίων πατέρων, τῶν ἐν Νικαίᾳ συνειλεγμένων ἁγίων καὶ θεοφόρων ἐπισκόπων. ὅθεν τῇ μὲν ἐκείνων ἐκθέσει πειθόμεθα, τὴν δὲ ἐπιστολὴν Νεστορίου ἀλλοτρίαν τῆς ὀρθῆς πίστεως τιθέμεθα· καὶ τοὺς ταῦτα φρονοῦντας ἀλλοτρίους τῆς * χριστιανῶν πίστεως εἶναι κρίνομεν.

Παλλάδιος ἐπίσκοπος Ἀμασείας εἶπεν· Ἐγὼ μὲν διὰ τὴν ἐγγεγραμμένην τῇ ἐπιστολῇ βλασφημίαν καὶ τὰ ὦτα ἀποφράττειν οὐκ ὀκνῶ· καὶ μικροῦ λίθινος ἐγενόμην ὑπὸ ἀθυμίας, ὥστε μηδὲ δύνασθαι φωνὴν ῥῆξαι, τοσαύτῃ ἀθυμίᾳ κατειλημμένον. πιστεύω δὲ καὶ πᾶσαν τὴν θεοφιλῆ καὶ ἁγίαν σύνοδον τὴν αὐτὴν γνώμην ἔχειν ἐμοὶ, ἐπὶ τῇ ἀρτίως ἀναγνωσθείσῃ ἐπιστολῇ. τοσοῦτον δὲ μόνον φημὶ, ὅτι περ σφόδρα ἀπᾴδουσα ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τυγχάνει τῆς τῶν ἁγίων πατέρων ἐπὶ τῇ πίστει ἐκθέσεως. διὸ δὴ κατ' οὐδένα λόγον ἐπιγινώσκομεν αὐτὴν τῆς καθολικῆς εἶναι ἐκκλησίας.

* Δυνάτος ἐπίσκοπος παλαιᾶς Ἠπείρου εἶπεν· Οὐδένα ἀληθείας λόγον ἀπαγγέλλει ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου, οὔτε τῇ ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνᾴδειν αὐτὴν ἐπιγινώσκομεν, οὔτε τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας. ἀλλὰ καὶ εἴ τις ἕτερος οὕτω φρονεῖ, οὐκ ἀκολουθεῖ τῇ τῆς καθολικῆς ἐκκλησίας πίστει.

Προθύμιος ἐπίσκοπος * Κομάνης εἶπε. τοῖς γράμμασι τοῖς ἐκτεθεῖσι παρὰ τῆς σῆς ἁγιωσύνης πιστεύω, καὶ ἀναθεματίζω τὸν μὴ λέγοντα θεοτόκον τὴν ἁγίαν παρθένον.

Γρηγόριος ἐπίσκ. Κερασοῦντος εἶπεν· Εναντία τῆς εὐσεβοῦς θρησκείας τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων τῶν ἐν Νικαίᾳ, γέγραφεν ὁ εὐλαβέστατος ἐπίσκοπος Νεστόριος τῷ ἁγιωτάτῳ καὶ θεοφιλεστάτῳ ἀρχιεπισκόπῳ Κυρίλλῳ· ὅθεν ταῦτα αὐτοῦ φρονοῦντος, καὶ οὐ συγκατατίθεμαι τῷ ἐκείνου δόγματι· ἀλλὰ συναινῷ τῇ ἐκθέσει τοῦ προλεχθέντος ἀρχιεπισκόπου Κυρίλλου, καὶ τῶν προλεχθέντων ἁγίων πατέρων.

Ῥωμανὸς ἐπίσκοπος Ῥαφείας εἶπε· Κίβδηλον πίστιν ἐξέθετο ὁ εὐλαβέστατος Νεστόριος παρὰ τὴν τῶν ἁγίων πατέρων. ὅθεν ταύτην ἀναθεματίζομεν κατὰ τὴν τοῦ ἀποστόλου φωνὴν τὴν λέγουσαν· εἴ τις ὑμῖν εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

* Θεόδουλος ἐπίσκοπος Ἐλούσης εἶπε· Παραγράφομαι τὴν ἐπιστολὴν τὴν γραφεῖσαν παρὰ τοῦ εὐλαβεστάτου Νεστορίου πρὸς τὸν ἁγιώτατον ἐπίσκοπον Κύριλλον, τῷ παρανόμως καὶ παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς γεγενῆσθαι αὐτὴν. τὴν δὲ πίστιν τὴν ἐν Νικαίᾳ βεβαίαν ἡγοῦμαι.

Ἑρμομένης ἐπίσκοπος Ῥινοκουρούρων εἶπε. Παντάπασιν ἀλλότρια τὰ παρὰ τοῦ εὐλαβεστάτου Νεστορίου ὑπηγορευμένα τῇ ὀρθοδόξῳ τυγχάνει πίστει, καὶ τῇ τῶν ἁγίων πατέρων ἐκθέσει· ἔτι γε μὴν καὶ τοῖς γεγραμμένοις παρὰ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου Κυρίλλου, συμφώνοις τυγχάνουσι τῷ τῶν πατέρων φρονήματι περὶ τῆς πίστεως.

Εὐόπτιος ἐπίσκοπος Πτολεμαΐδος εἶπεν· Ὥσπερ οἱ τὸ βασιλικὸν νόμισμα παραχαράττοντες τιμωρίας παρὰ τῶν νόμων εἰσὶ τῆς ἐσχάτης ὑπεύθυνοι, οὕτω καὶ ὁ εὐλαβέστατος Νεστόριος τὸ δόγμα τῆς ὀρθοδοξίας παραχαράξαι τολμήσας, καὶ παρὰ Θεῷ καὶ ἀνθρώποις πάσης ἄξιός ἐστι τιμωρίας. καὶ ἅπερ προσηνέγκεν ἀπᾴδοντα τῇ καθολικῇ ἐκκλησίᾳ δόγματα, πρὸς λύμην καὶ ἀπώλειαν τῶν ἀκολουθησάντων ἀνθρώπων αὐτῷ· ὅθεν ἀλλότριον ἐμαυτὸν καὶ τῆς κοινωνίας αὐτοῦ, καὶ πάντων τῶν τὰ αὐτὰ φρονούντων αὐτῷ καθίστημι.

Φεῖ-

, Κορ. 6. 14. Φειδος επίσκοπος Γόππης είπε· Τίς κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συγκατάθεσις Χριστῷ πρὸς Βελίαλ; πολὺ γὰρ ἀφίστηκε τῆς ἀληθείας ἡ νυνὶ ἀναγνωσθεῖσα ἐπιστολὴ Νεστορίου τοῦ βλασφεστάτου· πολὺ δὲ συγκατατίθεται τῇ παρανόμῳ γνώμῃ Παύλου τοῦ Σαμοσατέως· ὅθεν ἀπαράδεκτος πᾶσι διὰ τὰς ἐγκειμένας ἐν αὐτῇ δυσφημίας.

* Εστω Ἀρβηλίων. Θεόδωρος ἐπίσκοπος * Ἀρβδήλων εἶπεν· Οὐκ ὀρθῶς, οὐδὲ σύμφωνα τῇ ὀρθοδόξῳ πίστει, οὐδὲ τῇ ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, περιέχει ἡ ἐπιστολὴ τοῦ βλασφεστάτου Νεστορίου, ἀλλὰ πάντη ἀπάδοντα. ὅθεν κἀγὼ ἀναθεματίζω αὐτὸν τοιαῦτα φρονοῦντα.

Θεόδωρος ἐπίσκοπος Γαδάρων εἶπεν. Ἀναθεματίζω κἀγὼ τὸν τιμιώτατον Νεστόριον, μὴ φρονήσαντα ὀρθῶς τὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, καθὼς καὶ ἡ ἀναγνωσθεῖσα αὐτοῦ ἐπιστολὴ ἔδειξε.

Ῥοῦφῖνος ἐπίσκοπος Ταβῶν εἶπεν. Ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ βλασφεστάτου Νεστορίου ἔδειξεν αὐτὸν ὑπεναντία τῆς ἐκτεθείσης πίστεως παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων φρονοῦντα· ὅθεν ἀναθεματίζω αὐτὸν, καὶ πᾶς ἐντεθείσαις παρ' αὐτοῦ δυσφημίαις ἢ βλασφημίαις ἀποπάσομαι.

Παυλιανὸς ἐπίσκοπος Μαϊουμᾶ εἶπεν. Ὁμοίως κἀγὼ αὐτὸν ἀναθεματίζω, ἐπειδὴ κακῶς φρονεῖ. * τὸν αὐτὸ ἔδειξε γὰρ ἡ ἐπιστολὴ αὐτοῦ * τοῦτο αὐτὸ, * ὡς ἐναντία τῆς ὀρθοδόξου πίστεως φρονοῦντα.

* Ἴσως ἐστὶν ἐν Συρίᾳ κώμη τις. * Αἰλιωὴς ἐπίσκοπος Συκαμαζόνος εἶπεν. Οὐχ ἁπλῶς, οὐδ' ὡς ἔτυχεν ἐδείχθη ἡ γνώμη τοῦ βλασφεστάτου Νεστορίου διὰ τῆς ἀναγνωσθείσης αὐτοῦ ἐπιστολῆς, σαφῶς περιεχούσης, ὡς ὑπεναντία τῆς ὀρθοδόξου πίστεως φρονεῖ. ὅθεν ὁμοίως κἀγὼ αὐτὸν ἀναθεματίζω.

Πέτρος ἐπίσκοπος Παρεμβολῶν εἶπεν· Ἐπειδὴ χρὴ ἑξακολουθεῖν τῇ ὀρθοδόξῳ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων τοῖς Θεοῦ ἀναπεμφθείσι· εὕρηται δὲ ὁ βλασφεστατος Νεστόριος οὐχ ὁμοίως φρονῶν· κατὰ τοῦτο κἀγὼ αὐτὸν ἀναθεματίζω, ἀπὸ τῆς ἀναγνωσθείσης αὐτοῦ ἐπιστολῆς.

Ἰωάννης ἐπίσκοπος Αὐγουστουπόλεως εἶπεν. Ὥφθη ἀπὸ τῆς ἀναγνωσθείσης ἐπιστολῆς Νεστόριος ὁ βλασφεστατος ὑπεναντία τῆς ὀρθοδόξου πίστεως φρονῶν· ὅθεν κἀγὼ αὐτὸν ἀναθεματίζω.

Παῦλος ἐπίσκοπος Ἀνθηδόνος εἶπεν· Οὐ χρὴ τοὺς μάλιστα χριστιανοὺς * συνυπάγεσθαι τοῖς ἐ καλῶς φρονοῦσιν, ἀλλὰ τἐναντίον· ὅθεν ἀπὸ τῆς ἀναγνωσθείσης ἐπιστολῆς τοῦ βλασφεστάτου Νεστορίου, ὑπεναντία τῆς ὀρθοδόξου πίστεως τῆς ἐκτεθείσης παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων σαφῶς περιεχούσης, ἀναθεματίζω αὐτόν.

* συκοφάντης.

Λητοΐος ἐπίσκοπος Λιβυάδος εἶπε· Πολὺ τῆς ὀρθοδόξου πίστεως ἀπάδει τὸ φρόνημα τοῦ Νεστορίου τοῦ βλασφεστάτου ἀπὸ τῶν ἀναγνωσθέντων· διὸ κἀγὼ ἀναθεματίζω αὐτόν.

Σαΐδας ἐπίσκοπος φαίνης εἶπε· Κἀγὼ αὐτὸν ἀναθεματίζω κακῶς φρονοῦντα, καὶ μὴ συμφωνοῦντα τῇ πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων. ἴδειξε γὰρ αὐτοῦ τὸ γνώμιμον ἡ τῆς αὐτοῦ ἐπιστολῆς ἀνάγνωσις.

Εὐσέβιος ἐπίσκοπος Πηλουσίου εἶπε. Τὰ ἐγκείμενα πάντα τῇ ἐπιστολῇ τῇ ἀναγνωσθείσῃ τοῦ βλασφεστάτου Νεστορίου, ἀλλότρια τυγχάνει τῆς ἐκτεθείσης πίστεως ἐν Νικαίᾳ παρὰ τῶν ἁγίων πατέρων. καὶ ταῦτα ἀναγκαίως ἀναθεματίζω, καὶ τοὺς ταῦτα φρονοῦντας.

Μακάριος ἐπίσκοπος Ἀντίου εἶπε· Σφόδρα ἀπάδουσι τὰ ἐγκείμενα τῇ ἐπιστολῇ τοῦ βλασφεστάτου Νεστορίου τῆς ἐκτεθείσης πίστεως παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων. καὶ ἀναθεματίζω τοὺς ἔτι φρονοῦντας, ὡς ἔξω τυγχάνοντας τῆς ὀρθοδόξου πίστεως.

Φοιβάμμων ἐπίσκοπος Κοπτοῦ εἶπεν· * Οὐδαμῶς σύμφωνος τυγχάνει τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων ἡ ἐπιστολὴ τοῦ βλασφεστάτου Νεστορίου· ἀλλ' ἔτε τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Κυρίλλου. διὸ ἀνάθεμα πᾶς ὅστις αὐτοῖς πιστεύσει.

* Οὐδαμῶς.

Θεόπεμπτος ἐπίσκοπος Καβάσων εἶπε· Δῆλός ἐστιν ἐκ τῆς νῦν ἀναγνωσθείσης ἐπιστολῆς * ἄλλα φρονῶν τῆς πίστεως τῶν ἁγίων πατέρων ὁ βλασφεστατος Νεστόριος· καὶ ἀναθεματίζω αὐτὸν, καὶ τοὺς τὰ αὐτὰ φρονοῦντας.

* διάφορα

Ἀετιόβελος ἐπίσκοπος Θμοέως εἶπεν. Ἔγνωμεν ἐναντία φρονοῦντα τῆς ὀρθῆς πίστεως τὸν βλασφεστατον Νεστόριον ἐκ τῆς ἀναγνωσθείσης αὐτοῦ ἐπιστολῆς· καὶ διὰ τοῦτο ἀναθεματίζω αὐτόν.

Ἀμφιλόχιος ἐπίσκοπος Σίδης εἶπε· τὸ ἔκφυλον καὶ * δόσεως τῶν δογμάτων, ἃ διὰ τῆς ἐπιστολῆς τοῦ βλασφεστάτου Νεστορίου ἐκδηλα γέγονεν, ἐμοὶ τὴν * ἀκολουθοῦσαν τῶν εὐσεβούντων * ἀποκναίει, ἀλλὰ καὶ τὸ πολέμιον φανὸς τοῖς ὀρθοῖς δείκνυσι πίστιν.

* μυκτηρ. * μυρία. * επιπαίνει.

Πάντες οἱ ἐπίσκοποι ἅμα * εἰπόντες· Ὁ μὴ ἀναθεματίζων Νεστόριον, ἀνάθεμα ἔστω. Τοῦτον ἡ ὀρθὴ πίστις ἀναθεματίζει. Τοῦτον ἡ ἁγία συνοδος ἀναθεματίζει. Ὁ κοινωνῶν Νεστορίῳ, ἀνάθεμα ἔστω. Καὶ πάντες ἀναθεματίζομεν τὴν ἐπιστολὴν καὶ τὰ δόγματα Νεστορίου. Τὸν αἱρετικὸν Νεστόριον πάντες ἀναθεματίζομεν. Τοὺς κοινωνοῦντας Νεστορίῳ πάντες ἀναθεματίζομεν. Τῇ ἀσεβῆ πίστει τοῦ Νεστορίου ἀναθεματίζομεν. Τὸ ἀσεβὲς δόγμα τοῦ Νεστορίου πάντες ἀναθεματίζομεν. Τὸν ἀσεβῆ Νεστόριον πάντες ἀναθεματίζομεν. Ὅλη ἡ συνοδος ἀναθεματίζει τῇ ἀσεβῆ θρησκείᾳ * αὐτοῦ. Ὁ τοῦτον μὴ ἀναθεματίζων, ἀνάθεμα ἔστω. Τοῦτον ἡ ὀρθὴ πίστις ἀναθεματίζει. Τοῦτον ἡ ἁγία συνοδος ἀναθεματίζει. Ὁ κοινωνῶν Νεστορίῳ ἀνάθεμα ἔστω.

* Νεστορίου.

Τῶν Ῥωμαίων ἁγιωτάτῳ ἐπισκόπῳ * τὰ γράμματα ἀναγνωσθήτω.

* τὰ γράμματα ἀναγνωσθ.

Γερβασάλιος ἐπίσκοπος Γεροσολύμων εἶπεν. * Ἀναγνωσθήτω καὶ τὰ γράμματα τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἀρχιεπισκόπου τῶν Ῥωμαίων Κελεστίνου, ἅπερ ἀπέστειλε περὶ τῆς πίστεως.

* Ἀναγνωσθ.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας, καὶ σημειοφόρος τοποτηρητὴς ἀπέγνω.

Ἑρμογένους ἐπιστολὴ ἐπισκόπου Ῥώμης Κελεστίνου πρὸς Νεστόριον.

Τῷ ἀγαπητῷ ἀδελφῷ Νεστορίῳ Κελεστῖνος.

Ἐφ' ἡμέρας τινὰς τῆς ζωῆς ἡμῶν, μετὰ τὸ ἀνόσιον καὶ πολλάκις κατακριθὲν δόγμα Πελαγίου καὶ Κελεστίου, ἡ καθολικὴ πίστις εἰρήνευσε. καὶ τὰ λοιπὰ, * ὥσπερ προλάμπει.

* καὶ ἀνεγνώσθη καθὼς προτέτακται.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας, καὶ πριμμικήριος νοταρίων εἶπε. Τούτοις τοῖς ἀναγνωσθεῖσι σύμφωνα γέγραφεν ἡ ἁγιότης τοῦ θεοσεβεστάτου ἡμῶν ἐπισκόπου Κυρίλλου, ἃ καὶ μετὰ χεῖρας ἔχομεν· καὶ εἰ κελεύσειεν ὑμῶν ἡ θεοσέβεια, ἀναγνωσόμεθα.

* Ἀναγνωσκέσθω.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· * Ἀναγνωσθέντα καὶ ταῦτα ἐμφερέσθω τοῖς πραττομένοις.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας, καὶ πριμμικήριος νοταρίων ἀνέγνω.

Τῷ εὐλαβεστάτῳ καὶ θεοφιλεστάτῳ συλλειτουργῷ Νεστορίῳ Κύριλλος καὶ ἡ συνελθοῦσα σύνοδος ἐν Ἀλεξανδρείᾳ ἐκ τῆς Αἰγυπτιακῆς διοικήσεως, ἐν κυρίῳ χαίρειν.

Ματθ. 10. 37.

Τοῦ σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς· ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. τί πάθωμεν ἡμεῖς, οἱ παρὰ τῆς σῆς εὐλαβείας ἀπαιτούμενοι τὸ ὑπεραγαπᾶν σε τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ; καὶ τὰ λοιπά, * ὥσπερ προλάμπει.

* καὶ ἀνεγνώσθη καθὼς προτέτακται.

Πέτρος πρεσβύρος Ἀλεξανδρείας, καὶ πριμμικήριος νοταρίων εἶπεν· Οὐ μόνον δὲ ταῦτα τὰ ἀποσταλέντα παρὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου ἀπέσταλται καὶ ἀποδέδοται αὐτῷ τῷ εὐλαβεστάτῳ Νεστορίῳ, ἀλλὰ γὰρ καὶ τὰ ἐπισταλέντα παρὰ τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων ἐκκλησίας Κυρίλλου, καὶ τῆς συνόδου πάσης τῆς Αἰγιπτιακῆς, διὰ Θεοπέμπτου καὶ Δανιὴλ, καὶ Ποτάμωνος, καὶ * Κομαρίου, τῶν εὐλαβεστάτων ἐπισκόπων· παρακαλῶ ἐρωτᾶσθαι Θεόπεμπτον καὶ Δανιὴλ, τοὺς εὐλαβεστάτους ἐπισκόπους ἐνταῦθα τυγχάνοντας, περὶ αὐτοῦ τούτου.

* Μακαρίου.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπε· Κατατιθέσθωσαν οἱ εὐλαβέστατοι συλλειτουργοὶ ἡμῶν Θεόπεμπτος καὶ Δανιὴλ οἱ παρόντες, εἴγε ἀποδεδώκασι τὰς ἐπιστολάς.

* Καμβάσης.

Θεόπεμπτος ἐπίσκοπος * Καβάσων εἶπεν· Εἰς τὸ ἐπισκοπεῖον ἀνελθόντες ἡμέρᾳ κυριακῇ, συνάξεως ἐπιτελουμένης, παρόντος παντὸς κλήρου, καὶ τῶν ἰλλουστρίων σχεδὸν πάντων, ταῦτα ἀποδεδώκαμεν Νεστορίῳ τὰ γράμματα.

Ὁμοίως δὲ καὶ Δανιὴλ ἐπίσκοπος Δάρνεως τὰ αὐτὰ κατέθετο.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν. Ἐποίησεν οὖν τὸ ἱκανὸν τοῖς * γράμμασι;

* γραφεῖσι.

Δανιὴλ ἐπίσκοπος Δάρνεως εἶπεν· Εἶπεν ἡμῖν τότε, ὥστε ἐλθεῖν τῇ ἑξῆς ἡμέρᾳ, καὶ ἰδιάσαι αὐτῷ. ἀλλ' οὖν ἡμῶν ἀπελθόντων, ἀπέκλεισεν ἡμῖν τὰς θύρας, καὶ οὐκ ἠξίωσεν ἡμᾶς ἀποκρίσεως.

Θεόπεμπτος ἐπίσκοπος Καβάσων εἶπε· Δεξάμενος τὰ προειρημένα χαρτία, συνετάξατο ἡμῖν τῇ ἑξῆς συντυχεῖν αὐτῷ. ἀπήλθομεν. εἶτα ἀπελθόντας οὐκ ἐδέξατο, οὔτε μὴν τὸ ἱκανὸν τοῖς γράμμασι πεποίηκεν· ὥστε ἐπ' ἐκκλησίας τὰ αὐτὰ, καὶ χείρονα δογματίζειν. οὐ μόνον δὲ πρὸ τοῦ λαβεῖν τοὺς χάρτας ταῦτα ἐδίδασκεν, ἀλλὰ καὶ πολλῷ χείρονα μετὰ τὸ λαβεῖν ἐδίδαξεν ἕως τῆς σήμερον ἡμέρας.

Φεῖδος ἐπίσκοπος Ἰόππης εἶπεν· * Ὅτι καὶ ἐπιμένει ἕως σήμερον τῇ αὐτῇ διδασκαλίᾳ, δύνανται λέγειν καὶ οἱ παρόντες θεοσεβέστατοι ἐπίσκοποι, Ἀκάκιος καὶ ὁ κύριος Θεόδοτος. οἳ καὶ διαλέξεις πρὸς αὐτὸν ἐποιήσαντο. ὥστε καὶ κινδυνεῦσαί τινα ἀπ' αὐτῶν. οὓς καὶ παρακαλοῦμεν, καὶ ὁρκίζομεν κατὰ τῶν προκειμένων ἁγίων εὐαγγελίων, ἐπὶ τῆς πίστεως τῶν ὑπομνημάτων εἰπεῖν, τί ἤκουσαν πρὸ τριῶν τούτων ἡμερῶν παρ' αὐτοῦ Νεστορίου.

* Εἰ

* Διαλαλιὰ Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας περὶ τῶν αὐτοῦ δυσφημιῶν.

* Non sunt hæc verba in ms. Seg.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ οὐ περὶ τῶν τυχόντων ἡμῖν ὁ λόγος, ἀλλὰ περὶ τοῦ πάντων κεφαλαιωδεστέρου πράγματος, φημὶ δὴ τῆς ὀρθῆς εἰς Χριστὸν πίστεως, ἀκόλουθόν ἐστι τοὺς ἐπισκόπους εὐλαβεστάτους Θεόδοτον καὶ Ἀκάκιον, κατὰ τὰς παρακλήσεις τοῦ εὐλαβεστάτου ἐπισκόπου Φείδου, καὶ τοὺς ὁρκισμοὺς τοὺς ἐπενεχθέντας, φιλαλήθεις ὄντας καὶ ἁγίους, εἰπεῖν ἅπερ ἀκηκόασι λέγοντος αὐτοῦ ἐν τῇ Ἐφεσίων πόλει, διάλεξιν πρὸς αὐτὸν ὑπὲρ τῆς ὀρθῆς πίστεως κινήσαντες.

Θεόδοτος ἐπίσκοπος Ἀγκύρων εἶπεν. Ὀδυνῶμαι μὲν ὑπὲρ φίλου. πλὴν πάσης φιλίας προτιμῶ τὴν εὐσέβειαν. διὸ ἀνάγκην ἔχω καὶ μετὰ πολλῆς ἀθυμίας, περὶ ὧν ἐρωτῶμαι, τὴν ἀλήθειαν * ἐκφάναι. οὐκ οἶμαι χρείαν εἶναι τῆς ἡμῶν μαρτυρίας, τοῦ φρονήματος αὐτοῦ δήλου γεγενημένου ἐκ τοῦ γράμματος τοῦ πρὸς τὴν σὴν θεοσέβειαν. ἃ γὰρ ἐκεῖ ἀπηγόρευσε περὶ τοῦ Θεοῦ λόγου λέγεσθαι, τουτέστι τοῦ μονογενοῦς, ὀνειδίζων αὐτῷ τὰ ἀνθρώπινα, ταῦτα καὶ ἐνταῦθα διαλεγόμενος ἔφη· μὴ δεῖν περὶ Θεοῦ λέγειν γαλακτοτροφίαν, μηδὲ γένησιν τὴν ἐκ παρθένου· οὕτω καὶ ἐνταῦθα πολλάκις ἔφη, διμηναῖον ἢ τριμηναῖον μὴ δεῖν λέγεσθαι Θεόν. καὶ ταῦτα οὐχ ἡμεῖς μόνοι, ἀλλὰ καὶ ἕτεροι πλείονες ἀκηκόαμεν, οὐ πρὸ πολλῶν ἡμερῶν πρὸς ἡμᾶς αὐτοῦ ἐν Ἐφέσῳ διαλεγομένου.

* ἐκφράσαι

Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς εἶπε· Πίστεως προκειμένης, καὶ τῆς εἰς τὸν Θεὸν εὐσεβείας, ἀνάγκη πᾶσαν σχολάζειν διάθεσιν. ὅθεν εἰ καὶ σφόδρα ὑπὲρ τοὺς ἄλλους τὸν κύριον Νεστόριον ἠγάπησα, καὶ παντοίως αὐτὸν περισῶσαι ἐσπούδασα, ἀνάγκη νῦν φιλαλήθως τὰ παρ' αὐτοῦ εἰρημένα εἰπεῖν, ὑπὲρ τοῦ μὴ κατακριθῆναί μου τὴν ψυχὴν ἀποκρύψαντος * τἀληθές. παραχρῆμα ἐπιστὰς τῇ Ἐφεσίων πόλει, ἐποιησάμην πρὸς τὸν εἰρημένον ἄνδρα διάλεξιν. καὶ γνοὺς αὐτὸν οὐκ ὀρθῶς * φρονοῦντα, παντοίως αὐτὸν ἐσπούδασα διορθώσασθαι, καὶ ἀποστῆσαι τοῦ πονηροῦ φρονήματος. αὐτόν τε ἐκεῖνον ἑώρων τοῖς χείλεσι συνομολογοῦντα, ὅτι δὴ μετατίθεται τῆς τοιαύτης ἐννοίας. ἡμέρας δὲ δέκα ἢ δώδεκα διαλιπὼν, πάλιν λόγου τινὸς κινηθέντος, ἀντελαβόμην τοῦ τῆς ἀληθείας λόγου· καὶ ἀντιπίπτοντα αὐτὸν τούτῳ ἑώρων. καὶ δύο ἀτόποις κατὰ τὸ αὐτὸ ἐγίνωσκον περιπίπτειν. πρότερον μὲν γὰρ ἐκ

* τὰ ἀληθῆ

* ὀρθὰ

τῆς

τῆς αὐτοῦ ἐπερωτήσεως ἀτόπου οὔσης, ἀνάγκην ἐπετίθει τοῖς ἀποκρινομένοις, ἢ πάντῃ ἀρνήσασθαι τὴν τοῦ μονογενοῦς θεότητα ἐνηνθρωπηκέναι, ἢ ὁμολογεῖν, ὅπερ ἦν ἀσεβὲς, ὅτιπερ καὶ ἡ τοῦ πατρὸς, καὶ ἡ τοῦ υἱοῦ, καὶ ἡ τοῦ πνεύματος θεότης συνεσαρκώθη τῷ Θεῷ λόγῳ· ἅπερ ἦν παντὶ τρόπῳ κακοτέχνου διανοίας, καὶ ἐκβαλλούσης τὴν εὐσεβῆ πίστιν. ἔπειτα δευτέρου κινηθέντος λόγου, ἀντελάβετό τις συνὼν αὐτῷ ἐπίσκοπος τοῦ λόγου. καὶ ἄλλον μὲν ἔφη εἶναι τὸν υἱὸν τὸν τὸ πάθος ἀναδεξάμενον, ἄλλον δὲ τὸν Θεὸν λόγον. πρὸς ἦν βλασφημίαν * οὐχ ὑπενεγκεῖν δυνηθεὶς, συνταξάμενος πᾶσιν ἐξῆλθον. καὶ ἕτερος δὲ τῶν σὺν αὐτῷ συνηγόρει τοῖς Ιουδαίοις, ὡς οὐκ εἰς Θεὸν, ἀλλ' εἰς ἄνθρωπον ἠσεβηκόσι.

* οὐκέτι ἐνεγκεῖν.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπε· Φανερᾶς οὔσης τῆς καταθέσεως τῶν εὐλαβεστάτων καὶ θεοσεβεστάτων συλλειτουργῶν ἡμῶν Θεοδότου καὶ Ἀκακίου, ἀκόλουθόν ἐστιν, ἦν * εἶπον περὶ τῶν προκειμένων δόξαν οἱ μακάριοι πατέρες ἡμῶν καὶ οἱ ἐπίσκοποι, ἀναγνωσθῆναι, καὶ ἐμφέρεσθαι τοῖς πραττομένοις.

* ἄξιον.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας, καὶ πριμμικήριος νοταρίων εἶπεν· Ἐπειδὴ μετὰ χεῖρας ἔχομεν καὶ βιβλία τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων πατέρων, καὶ ἐπισκόπων, καὶ διαφόρων μαρτύρων. ἐπελεξάμεθα δὲ ἐκ * πάντων ὀλίγα κεφάλαια. εἰ παρίσταται ὑμῖν, ἀναγνωσόμεθα.

* πάντων

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπε· Καὶ ταῦτα ἀναγνωσθέντα ἐμφερέσθω. Καὶ ἀνεγνώσθη οὕτω.

Πέτρου τοῦ ἁγιωτάτου ἐπισκόπου Ἀλεξανδρείας, καὶ μάρτυρος, ἐκ τοῦ περὶ θεότητος βιβλίου.

Ἐπειδὴ καὶ ἀληθῶς ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο· ὅθεν καὶ χάριτί ἐσμεν σεσωσμένοι, κατὰ τὸ ἀποστολικὸν ῥητόν· καὶ τοῦτο, φησὶν, οὐκ ἐξ ἡμῶν· Θεοῦ τὸ δῶρον· οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. θελήματι Θεοῦ ὁ λόγος σὰρξ γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, οὐ κατελείφθη τῆς θεότητος. οὐδὲ γὰρ ἵνα τῆς δυνάμεως αὐτοῦ ἢ δόξης τέλεων ἀποστῇ, πτωχεύσας πλούσιος ὤν, τοῦτο ἐγένετο· ἀλλ' ἵνα καὶ τὸν θάνατον ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν ἀναδέξηται, δίκαιος ὑπὲρ ἀδίκων, ὅπως ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι. Καὶ μεθ' ἕτερα. Ὅθεν καὶ ὁ εὐαγγελιστὴς ἀληθεύει λέγων· ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· τότε * δὴ τότε, ἀφ' οὗ ὁ ἄγγελος ἠσπάσατο τὴν παρθένον * εἰπών· χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. τὸ γὰρ ὁ κύριος μετὰ σοῦ, νῦν ἐστιν ἀκοῦσαι τοῦ Γαβριὴλ, ἀντὶ τοῦ ὁ Θεὸς λόγος μετὰ σοῦ. σημαίνει γὰρ αὐτὸν * γενόμενον ἐν μήτρᾳ, καὶ σάρκα γενόμενον, καθὼς γέγραπται· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται υἱὸς Θεοῦ. Καὶ πάλιν μεθ' ἕτερα. Ὁ δὲ Θεὸς λόγος παρὰ τὴν ἀνδρὸς ἀπουσίαν, κατὰ βούλησιν τοῦ πάντα δυναμένου κατεργάσασθαι Θεοῦ, γέγονεν ἐν μήτρᾳ τῆς παρθένου σάρξ. μήτε δεηθεὶς τῆς ἀνδρὸς ἐνεργείας, ἢ παρουσίας. ἐνεργέστερον γὰρ τοῦ ἀνδρὸς ἐνεποίησεν ἡ τοῦ Θεοῦ δύναμις. ἐπισκιάσασα τῇ παρθένῳ σὺν τῷ ἐπεληλυθότι ἁγίῳ πνεύματι.

Ἰωάν. 1. 17. Ἐφεσ. 2. 8. Ἰωάν. 1. Φλιπ. 2. * ἐκ ἀπολείφθη in ms. Segateriano. 1 Κορ. 8. 9. 1 Πέτρ. 3. 18. Γαλ. 3. 14. * δηλονότι. * καὶ ὅτι. Λουκ. 1. 28. * γενόμενον.

Ἀθανασίου τοῦ ἁγιωτάτου, γενομένου ἐπισκόπου Ἀλεξανδρείας, ἐκ τοῦ κατὰ Ἀρειανῶν βιβλίου.

Πολλοὶ γοῦν ἅγιοι γεγόνασι, καὶ καθαροὶ πάσης ἁμαρτίας· Ἱερεμίας δὲ καὶ ἐκ κοιλίας μητρὸς ἡγιάσθη· καὶ Ἰωάννης ἔτι κυοφορούμενος ἐσκίρτησεν ἐν ἀγαλλιάσει ἐπὶ τῇ φωνῇ τῆς θεοτόκου Μαρίας. καὶ ὅμως ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας, ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ. καὶ οὕτως ἔμενον οὐδὲν ἧττον οἱ ἄνθρωποι θνητοὶ καὶ φθαρτοὶ, δεκτικοὶ τῶν ἰδίων τῆς φύσεως παθῶν. νῦν δὲ τοῦ λόγου γενομένου ἀνθρώπου, καὶ ἰδιοποιουμένου τὰ τῆς σαρκὸς, οὐκέτι ταῦτα τοῦ σώματος ἅπτεται διὰ τὸν ἐν αὐτῷ γενόμενον Θεὸν λόγον· ἀλλ' ὑπ' αὐτοῦ μὲν ἀνήλωται. λοιπὸν δὲ οἱ ἄνθρωποι οὐκέτι κατὰ τὰ ἴδια πάθη μένουσιν ἁμαρτωλοὶ καὶ νεκροὶ, ἀλλὰ κατὰ τὴν τοῦ λόγου δύναμιν ἀναστάντες, ἀθάνατοι καὶ ἄφθαρτοι ἀεὶ διαμένουσιν. ὅθεν καὶ γεννωμένης τῆς σαρκὸς ἐκ τῆς θεοτόκου Μαρίας, αὐτὸς λέγεται γεγεννῆσθαι, ὁ τοῖς ἄλλοις τὴν γένησιν εἰς τὸ εἶναι παρέχων· ἵνα τὴν ἡμῶν εἰς ἑαυτὸν μεταθῇ γένησιν, καὶ μηκέτι ὡς γῆ μόνη ὄντες εἰς γῆν ἀπέλθωμεν· ἀλλ' ὡς τῷ ἐξ οὐρανοῦ λόγῳ συναφθέντες, εἰς οὐρανὸν ἀναχθῶμεν * δι' αὐτοῦ. οὐκοῦν οὕτω καὶ τὰ ἄλλα πάθη τοῦ σώματος οὐκ ἀπεικότως εἰς ἑαυτὸν μετέθηκεν, ἵνα μηκέτι ὡς ἄνθρωποι ἀποθνήσκωμεν, ἀλλ' ὡς ἴδιοι τοῦ λόγου, τῆς αἰωνίου ζωῆς μετάσχωμεν. οὐκέτι γὰρ κατὰ τὴν προτέραν γένεσιν ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, ἀλλὰ λοιπὸν τῆς γενέσεως ἡμῶν, καὶ πάσης τῆς σαρκικῆς ἀσθενείας μετατεθέντων εἰς τὸν λόγον, ἐγειρόμεθα ἀπὸ τῆς γῆς, λυθείσης τῆς δι' ἁμαρτίαν κατάρας διὰ τὸν ἐν ἡμῖν ὑπὲρ ἡμῶν γενόμενον κατάραν.

Ἰερ. 1. Λουκ. 1. 44. Ρωμ. 5. 14. * παρ' αὐτοῦ. Ψαλμ. 81. 1. Κορ. 15. 22. Γαλ. 3. 13.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἐπίκτητον ἐπιστολῆς.

Πῶς δὲ καὶ ἀμφιβάλλειν ἐτόλμησαν οἱ λεγόμενοι χριστιανοὶ, εἰ ὁ ἐκ Μαρίας προελθὼν κύριος, υἱὸς μὲν τῇ οὐσίᾳ καὶ φύσει τοῦ Θεοῦ ἐστι· τὸ δὲ κατὰ σάρκα, ἐκ σπέρματός ἐστι τοῦ Δαυὶδ, σαρκὸς δὲ τῆς ἁγίας Μαρίας; τίνες δὲ ἄρα οὕτω τολμηροὶ γεγόνασιν, ὥστε εἰπεῖν τὸν Χριστὸν τὸν σαρκὶ παθόντα καὶ ἐσταυρωμένον μὴ εἶναι κύριον, καὶ σωτῆρα, καὶ Θεὸν, καὶ υἱὸν τοῦ πατρός; ἢ πῶς χριστιανοὶ θέλουσιν ὀνομάζεσθαι οἱ λέγοντες εἰς ἄνθρωπον ἅγιον, ὡς ἐπὶ ἕνα τῶν προφητῶν ἐληλυθέναι τὸν λόγον, καὶ μὴ αὐτὸν ἄνθρωπον γεγονέναι, λαβόντα ἐκ Μαρίας τὸ σῶμα· ἀλλ' ἕτερον εἶναι τὸν Χριστὸν, καὶ ἕτερον τὸν τοῦ Θεοῦ λόγον, τὸν πρὸ Μαρίας καὶ πρὸ αἰώνων υἱὸν ὄντα τοῦ πατρὸς; ἢ πῶς εἶναι χριστιανοὶ δύνανται οἱ λέγοντες, ἄλλον εἶναι τὸν υἱὸν,

Ρωμ. 1.

υἱὸν, καὶ ἄλλον τὸν τοῦ Θεοῦ λόγον; Καὶ μεθ' ἕτερα πάλιν· Οὐ θέσει δὲ ταῦτα ἐγένετο, μὴ γένοιτο, ὥς τινες πάλιν ὑπέλαβον· ἀλλ' ὄντως ἀληθείᾳ γενομένου ἀνθρώπου τοῦ σωτῆρος, ὅλου τοῦ ἀνθρώπου σωτηρία ἐγένετο. εἰ γὰρ θέσει ἦν ἐν τῷ σώματι ὁ λόγος κατ' ἐκείνους· τὸ δὲ θέσει λεγόμενον φαντασίας ἐστι· δοκήσει εὑρίσκεται καὶ ἡ σωτηρία καὶ ἡ ἀνάστασις τῶν ἀνθρώπων λεγομένη, κατὰ τὸν ἀσεβέστατον Μανιχαῖον. ἀλλὰ μὴν οὐ φαντασία ἡ σωτηρία ἡμῶν, οὐδὲ σώματος μόνου, ἀλλ' ὅλου ἀνθρώπου, ψυχῆς καὶ σώματος, ἀληθῶς ἡ σωτηρία ἡμῶν γέγονεν· ἀνθρώπινον γὰρ φύσει τὸ ἐκ Μαρίας, κατὰ τὰς θείας γραφὰς, καὶ ἀληθινὸν ἦν τοῦ σωτῆρος.

Ἰουλίου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Ῥώμης, ἐκ τῆς πρὸς * Δόκιον ἐπιστολῆς.

* Δόκιμον

ΚΗρύσσεται δὲ εἰς συμπλήρωσιν τῆς πίστεως καὶ σαρκωθεὶς ἐκ παρθένου Μαρίας ὁ τοῦ Θεοῦ υἱὸς, καὶ σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσας· τοῦτο γάρ ἐπὶ προφητῶν ἐστι καὶ ἀποστόλων· τέλειος Θεὸς ἐν σαρκὶ, καὶ ἄνθρωπος τέλειος ἐν πνεύματι· οὐ δύο υἱοὶ, εἷς μὲν γνήσιος υἱὸς ἀναλαβὼν ἄνθρωπον· ἕτερος δὲ θνητὸς ἄνθρωπος, ἀναληφθεὶς ὑπὸ Θεοῦ· ἀλλ' εἷς μονογενὴς ἐν οὐρανῷ, μονογενὴς ἐπὶ γῆς, Θεός.

* Φήλικος τοῦ ἁγιωτάτου ἐπισκόπου Ῥώμης καὶ μάρτυρος, ἐκ τῆς πρὸς Μάξιμον τὸν ἐπίσκοπον, καὶ τὸν κλῆρον Ἀλεξανδρείας, ἐπιστολῆς.

* Φηλίκου

ΠΕρὶ δὲ τῆς σαρκώσεως τοῦ λόγου καὶ τῆς πίστεως, πιστεύομεν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐκ τῆς παρθένου Μαρίας γεννηθέντα, ὅτι αὐτός ἐστιν ὁ τοῦ Θεοῦ ἀΐδιος υἱὸς καὶ λόγος, καὶ οὐκ ἄνθρωπος ὑπὸ Θεοῦ ἀναληφθεὶς, ἵν' ἕτερος ᾖ παρ' ἐκεῖνον. οὐδὲ γὰρ ἄνθρωπον ἀνέλαβεν ὁ τοῦ Θεοῦ υἱὸς, ἵνα ᾖ ἕτερος παρ' αὐτόν. ἀλλὰ Θεὸς ὢν τέλειος, γέγονεν ἅμα καὶ τέλειος ἄνθρωπος, σαρκωθεὶς ἐκ παρθένου.

Θεοφίλου τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ἀλεξανδρείας, ἐκ τῆς πέμπτης ἑορταστικῆς ἐπιστολῆς.

ΕΣτι γὰρ καὶ νῦν τῶν τότε θαυμάτων τὰ λείψανα. μὴ ἀπιστείτωσαν, ὅτι δύναμις Θεοῦ ἰσχύει ποιεῖν παρθένον ἀποτίκτειν, ἐν ᾗ γενόμενος ὁ ζῶν τοῦ Θεοῦ λόγος διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν· ἄλλως γὰρ συνομιλεῖν ἡμῖν αὐτὸν ἐγγύτερον οὐχ οἷόν τε ἦν· ἵνα μὴ ἐξ ἡδονῆς καὶ ὕπνου, καθάπερ ἐπὶ τῶν ἄλλων ἀνθρώπων ἔχει, δέξηται σῶμα, τὸ ἐν ὁμοιώματι τούτου λαμβάνει ἐκ παρθένου τικτόμενος· ἄνθρωπος μὲν φαινόμενος, ὡς ἡμεῖς, κατὰ τὴν τοῦ δούλου μορφήν. ἐκ δὲ τῶν ἔργων ἀποδεικνύμενος, ὅτι τῶν ἁπάντων δημιουργὸς καὶ κύριός ἐστι, πράττων ἔργα Θεοῦ.

Σοφ. 7. 3.

Τοῦ αὐτοῦ ἐκ τῆς * ἑξῆς ἑορταστικῆς ἐπιστολῆς.

* ἕκτης

ΟΙΑ γὰρ τῶν τεχνιτῶν οἱ ἄριστοι οὐκ ἐν τιμίαις μόνον ὕλαις τὴν τέχνην ἐκφαίνουσι θαυμαζόμενοι, ἀλλ' ἐτελοῦς κηροῦ καὶ πηλοῦ δταλυομένου πολλάκις, ἐπειλημμένοι, τῆς ἐπιστήμης ἑαυτῶν ἐπειδεικνύουσι τὴν δύναμιν, πολλῷ μᾶλλον ἐπαινούμενοι· οὕτως ὁ πάντων ἀριστοτέχνης, ὁ ζῶν καὶ ἐνεργὴς τοῦ Θεοῦ λόγος, τάξεως ἁρμονίᾳ δτακοσμήσας τὰ σύμπαντα, οὐχ οἷάς τινος τιμίας ὕλης, οὐρανίου λαβόμενος σώματος, πρὸς ἡμᾶς ἀφῖκται· ἀλλ' ἐν πηλῷ τὸ μέγα τῆς ἑαυτοῦ δείκνυσι τέχνης, τὸν ἐκ πηλοῦ πλασθέντα διορθούμενος ἄνθρωπον, αὐτὸς ἐκ παρθένου καινοπρεπῶς προϊὼν ἄνθρωπος· τῷ μὲν τρόπῳ τῆς γενέσεως δταλλάττων, τὴν δὲ κατὰ πάντα πρὸς ἡμᾶς χωρὶς ἁμαρτίας οὐκ ἐκφυγεῖν κρίνας ὁμοίωσιν· τικτόμενος, σπαργανούμενος, τιθηνούμενος. βρέφος, ἐν φάτνῃ κείμενος, τῆς φύσεως ἡμῶν τὴν ἀσθένειαν ἐκδεχόμενος δτὰ τὰς προλαβούσας * ἁμαρτίας καὶ αἰτίας. ἀλλ' ἔτι βρέφος ὢν, ὁμοῦ καὶ τὸν ἐχθρὸν, καὶ τὴν τούτου θορυβεῖ φάλαγγα, μάγους, ἕλκων ἐπὶ μετάνοιαν, καὶ παρασκευάζων τοῦ ἀποστείλαντος αὐτοὺς * περιφρονεῖν βασιλέως.

Ἑβρ. 4. 12.
Ἑβρ. 15.
Λουκ. 2.
* αἰτίας
Ματθ. 2.
* καταφρονεῖν

Κυπριανοῦ τοῦ ἁγιωτάτου ἐπισκόπου καὶ μάρτυρος, ἐκ τοῦ περὶ ἐλεημοσύνης λόγου.

ΠΟλλαὶ καὶ μέγισται τυγχάνουσιν, ἀγαπητοὶ, ἀδελφοὶ, αἱ θεῖαι εὐεργεσίαι, ἀφ' ὧν τὴν ἡμετέραν σωτηρίαν ἡ τοῦ Θεοῦ πατρὸς δαψιλὴς καὶ πλουσία φιλανθρωπία εἰργάσατο, καὶ ἀεὶ ἐργάζεται. * ὅτι φυλάξαι καὶ ζωοποιῆσαι ἡμᾶς ὁ πατὴρ τὸν υἱὸν ἔπεμψεν, ἵνα ἡμᾶς ἀνακαινίσῃ· καὶ πεμφθεὶς ὁ υἱὸς ἠθέλησεν υἱὸς ἀνθρώπου γενέσθαι, ὅπως ἡμᾶς υἱοὺς Θεοῦ καταστήσῃ. ἐταπείνωσε τοίνυν ἑαυτὸν, ἵνα τὸν λαὸν τὸν ἀπερριμμένον ἀνακτήσηται· τετραυμάτισται, ἵνα τὰ ἡμέτερα τραύματα θεραπεύσῃ· ἐδούλευσεν, ἵνα ἐκ δουλείας εἰς ἐλευθερίαν τοὺς αὐτῷ δουλεύοντας ἀγάγῃ· θάνατον ὑπέστη, ἵνα τὴν ἀθανασίαν τοῖς θνητοῖς ἀποδῷ.

* διὸ

Ἀμβροσίου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου τῆς * Μεδιολάνων ἑρμηνεία περὶ πίστεως.

* Μεδιολάνου

ΕΙ' ἐμοὶ οὐ πιστεύουσι, πιστεύσωσι τῷ ἀποστόλῳ λέγοντι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον· τὸν υἱὸν αὐτοῦ φησιν, * οὐχ ἕνα ἐκ πολλῶν· οὐ κοινὸν, ἀλλ' αὐτοῦ· τῆς ἀϊδίου γεννήσεως τὴν ἰδιότητα ἐσήμανε. τοῦτον μετὰ ταῦτα γενόμενον ἐκ γυναικὸς κατασκευάζει, ὅπως τὸ γενέσθαι οὐ τῇ θεότητι, ἀλλὰ τῷ προσληφθέντι σώματι περιγράψῃ. γενόμενον ἐκ γυναικὸς, δτὰ τὴν προσληφθείσης σαρκός· γενόμενον ὑπὸ νόμον, διὰ τῆς τοῦ νόμου φυλακῆς· ἡ γὰρ θειοτάτη αὐτοῦ γέννησις πρὸ τοῦ νόμου. αὕτη δὲ μετὰ τὸν νόμον.

Βιβ. 1. περὶ πίστε. κεφ. 16.
Γαλ. 4. 4.

Τοῦ αὐτοῦ ἐκ τοῦ δευτέρου βιβλίου περὶ πίστεως.

ΣΙωπήσωσι τοίνυν αἱ ἀπὸ τῶν λόγων μάταιαι ζητήσεις, ὅτι ἡ τοῦ Θεοῦ βασιλεία, καθὼς γέγραπται, οὐκ ἐν πειθοῖ λόγων ἀνθρωπίνων ἐστὶν, ἀλλ' ἐν ἀποδείξει δυνάμεως. φυλάξωμεν τὴν διαφορὰν τῆς θεότητος καὶ τῆς σαρκός. εἷς ἐν ἑκατέρῳ λαλεῖ

Κεφ. 4.
1. Κορ. 1. 4.

λεῖ ὁ τοῦ Θεοῦ υἱὸς, ὅτι ἐν αὐτῷ ἡ ἑκατέρα φύσις ἐστίν. ὁ αὐτὸς λαλεῖ, καὶ οὐκ ἐν ἑνὶ πάντοτε διαλέγεται τρόπῳ. πρόσχες ἐν αὐτῷ νυνὶ μὲν δόξαν Θεοῦ, νυνὶ δὲ ἀνθρώπου πάθη. ὅτι ὡς Θεὸς διδάσκει τὰ θεῖα, ἐπεὶ λόγος ἐστίν· ὡς δὲ ἄνθρωπος, λέγει τὰ ἀνθρώπινα, ἐπεὶ ἐν τῇ ἐμῇ οὐσίᾳ διελέγετο. οὗτός ἐστιν ὁ ἄρτος ὁ ζῶν, ὃς κατέβη ἐξ οὐρανοῦ. οὗτος ὁ ἄρτος ἡ σάρξ ἐστι, καθὼς καὶ αὐτὸς ἔφη· οὗτος ὁ ἄρτος, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν. οὗτός ἐστιν ὁ καταβάς. οὗτός ἐστιν, ὃν ὁ πατὴρ ἡγίασε, καὶ ἔπεμψεν εἰς τὸν κόσμον. οὐδὲ αὐτὸ τὸ γράμμα ἡμᾶς διδάσκει τοῦ ἁγιασμοῦ τὴν θεότητα χρείαν ἐσχηκέναι, ἀλλὰ τὴν σάρκα.

Γυάν. 6. Γυάν. 51 Γυάν. 10. 36.

Γρηγορίου τοῦ μεγάλου ἁγιωτάτου ἐπισκόπου γενομένου Ναζιανζοῦ.

Ἐπιστ. 1. πρὸς Χιλιδάνιον.

ΜΗ' ἀπατάτωσαν οἱ ἄνθρωποι, μηδὲ ἀπατάσθωσαν, ἄνθρωπον ἄνουν δεχόμενοι τὸν κυριακὸν, ὡς αὐτοὶ λέγουσι. μᾶλλον δὲ τὸν κύριον ἡμῶν καὶ Θεόν. οὐδὲ γὰρ τὸν ἄνθρωπον χωρίζομεν τῆς θεότητος, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν δογματίζομεν· πρότερον μὲν οὐκ ἄνθρωπον, ἀλλὰ Θεὸν καὶ υἱὸν μόνον καὶ προαιώνιον. ἀμιγῆ σώματος, καὶ τὸν ὅσα σώματος· ἐπὶ τέλει δὲ καὶ ἄνθρωπον προσληφθέντα ὑπὲρ τῆς ἡμῶν σωτηρίας· παθητὸν σαρκὶ, ἀπαθῆ θεότητι· περιγραπτὸν σώματι, ἀπερίγραπτον πνεύματι· τὸν αὐτὸν ἐπίγειον καὶ οὐράνιον, ὁρώμενον καὶ * ἀόρατον, χωρητὸν καὶ ἀχώρητον· ἵν' ὅλῳ ἀνθρώπῳ τῷ αὐτῷ καὶ Θεῷ, ὅλος ἄνθρωπος ἀναπλασθῇ πεσὼν ὑπὸ τὴν ἁμαρτίαν.

* νοούμενον

Εἶτις οὐ θεοτόκον τὴν Μαρίαν ἀπολαμβάνει, * ἐκτός ἐστι τῆς θεότητος.

* χωρὶς

Εἶτις ὡς διὰ σωλῆνος τῆς παρθένου δραμεῖν, ἀλλὰ μὴ ἐν αὐτῇ διαπεπλάσθαι λέγει θεϊκῶς ἅμα καὶ ἀνθρωπικῶς· θεϊκῶς μὲν, ὅτι χωρὶς ἀνδρός. ἀνθρωπικῶς δὲ, ὅτι νόμῳ κυήσεως· ἀνάθεμα ἔστω.

Εἶτις διαπεπλάσθαι λέγει τὸν ἄνθρωπον, εἶθ' ὑποδεδυκέναι Θεὸν, κατάκριτος· οὐ γὰρ γένησις Θεοῦ τοῦτό ἐστιν, ἀλλὰ φυγὴ γεννήσεως.

Εἶτις εἰσάγει δύο υἱοὺς, ἕνα μὲν τὸν ἐκ τοῦ Θεοῦ καὶ πατρὸς, δεύτερον δὲ τὸν ἐκ τῆς μητρὸς, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτὸν, καὶ τῆς υἱοθεσίας ἐκπέσοι τῆς ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσι. φύσεις μὲν γὰρ δύο, Θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ οὐ δύο, οὐδὲ θεοί· οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς τοῦ ἀνθρώπου καὶ τὸ ἐκτὸς προσηγόρευσε· καὶ εἰ δεῖ συντόμως εἰπεῖν. ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτὴρ, εἴπερ μὴ ταὐτὸν τὸ ἀόρατον τῷ ὁρατῷ, καὶ τὸ ἄχρονον τῷ ὑπὸ χρόνον· οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο· τὰ γὰρ ἀμφότερα, ἐν τῇ συγκράσει, Θεοῦ μὲν ἐνανθρωπήσαντος, ἀνθρώπου δὲ θεωθέντος, ἢ ὅπως ἄν τις ὀνομάσειε. λέγω δὲ ἄλλο καὶ ἄλλο ἔμπαλιν, ἢ ἐπὶ τῆς τριάδος ἔχει. ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν. οὐκ ἄλλο δὲ καὶ ἄλλο· ἐν γὰρ τὰ τρία καὶ ταὐτὸν τῇ θεότητι.

1. Ἐφεσ. 15. 1. Ἐφεσ. 4. 16. Ἐφεσ. 3. 16.

* πρόσκαιρον

Εἶτις ὡς ἐν * προφήταις λέγει κατὰ χάριν ἐνηργηκέναι, ἀλλὰ μὴ κατὰ οὐσίαν συνῆφθαι, καὶ συναναπεπλάσθαι, εἴη κενὸς τῆς κρείττονος ἐνεργείας, μᾶλλον δὲ πλήρης τῆς ἐναντίας.

Εἶτις οὐ προσκυνεῖ τὸν ἐσταυρωμένον, ἀνάθεμα ἔστω, καὶ τετάχθω μετὰ τῶν θεοκτόνων.

Εἶτις ἐξ ἔργων τετελειωμένον, ἢ μετὰ τὸ βάπτισμα, ἢ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν υἱοθεσίας ἠξιῶσθαι λέγει, καθάπερ οὓς Ἕλληνες παρεγγράπτους εἰσάγουσιν, ἀνάθεμα ἔστω. τὸ γὰρ ἠργμένον, ἢ προκόπτον, ἢ τελειούμενον, οὐ Θεός. κἂν διὰ τὴν κατὰ μικρὸν αὔξησιν οὕτω λέγηται.

Βασιλείου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Καισαρείας τῆς πρώτης Καππαδοκίας.

Βιβλ. περὶ πνεύμ. ἁγίου. μιγέθει

ΟΥ' γὰρ τοσοῦτον οὐρανὸς καὶ γῆ, καὶ τὰ * μυρία τῶν πελάγων, καὶ τὰ ἐν ὕδασι διαιτώμενα, καὶ τὰ χερσαῖα τῶν ζώων, καὶ φυτὰ, καὶ ἀστέρες, καὶ ἀὴρ, καὶ ὧραι, καὶ ἡ ποικίλη τοῦ παντὸς διακόσμησις τὸ ὑπερέχον τῆς ἰσχύος συνίστησιν, ὅσον τὸ δυνηθῆναι τὸν Θεὸν τὸν ἀχώρητον ἀπαθῶς διὰ σαρκὸς συμπλακῆναι τῷ θανάτῳ, ἵνα ἡμῖν τῷ ἰδίῳ πάθει τὴν ἀπάθειαν χαρίσηται.

Γρηγορίου τοῦ ἁγιωτάτου ἐπισκόπου Νύσσης.

Λόγ. 1. περὶ Μακ. Φιλιπ. 2. 5.

ΤΟΥΤΟ γὰρ φρονείσθω, φησὶν, ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. τί πτωχότερον ἐπὶ Θεοῦ τῆς τοῦ δούλου μορφῆς; τί ταπεινότερον ἐπὶ τοῦ βασιλέως τῶν * ὅλων, ἢ τὸ εἰς κοινωνίαν τῆς πτωχῆς ἡμῶν φύσεως ἑκουσίως ἐλθεῖν; ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ ὁ κύριος τῶν κυριευόντων τὴν τοῦ δούλου μορφὴν ὑποδύεται· ὁ κριτὴς τοῦ παντὸς ὑπόφορος τοῖς δυναστεύουσι γίνεται· ὁ τῆς κτίσεως κύριος ἐν σπηλαίῳ κατάγεται· ὁ τοῦ παντὸς περιδεδραγμένος οὐχ εὑρίσκει τόπον ἐν τῷ καταλύματι, ἀλλ' ἐν φάτνῃ τῶν ἀλόγων παραῤῥίπτεται· ὁ καθαρὸς καὶ ἀκήρατος τὸν τῆς ἀνθρωπίνης φύσεως καταδέχεται ῥύπον. καὶ διὰ πάσης τῆς πτωχείας ἡμῶν διεξελθὼν, μέχρι τῆς τοῦ θανάτου προέεισι πείρας· ὁρᾷτε τῆς ἑκουσίου πτωχείας τὸ μέτρον. ἡ ζωὴ θανάτου γεύεται, ὁ κριτὴς εἰς κριτήριον ἄγεται· ὁ τῆς ζωῆς τῶν ὄντων κύριος, ἐπὶ τῇ ψήφῳ τοῦ δικάζοντος ἄγεται. ὁ πάσης τῆς ὑπερκοσμίου δυνάμεως βασιλεὺς τὰς τῶν δημίων οὐκ ἀπωθεῖται χεῖρας· πρὸς τοῦτό σοι, φησὶ, τὸ ὑπόδειγμα τῆς ταπεινοφροσύνης βλεπέτω τὸ μέτρον.

* ὄντων

Ἡσαΐ. 40. Λουκ. 2.

Γυάν. 19.

Ἀττικοῦ ἐπισκόπου Κωνσταντινουπόλεως.

ΣΗΜΕΡΟΝ ὁ Χριστὸς, ὁ καὶ δεσπότης τὴν τῆς φιλανθρωπίας γένησιν ἀνεδέξατο· τὴν γὰρ τῆς θεϊκῆς ἀξίας προϋπῆρχεν· εἶτα τούτοις ἐπιφέρει πάλιν· ὁ τῆς φιλανθρωπίας λόγος κενοῦται, ἀκένωτος τὴν φύσιν τυγχάνων· ἑαυτὸν γὰρ ἐκένωσε, μορφὴν δούλου λαβών. ὁ ἄσαρκος διὰ σὲ σαρκοῦται. ὁ λόγος σὰρξ ἐγένετο· ὁ ἀφῆ μὴ ὑποπίπτων διὰ τὸ

Φιλιπ. 2. Γυάν. 1. Ψαλμ. 156.

τῆς φύσεως ἀσώματον, ψηλαφᾶται· ὁ ἄναρχος ὑπὸ ἀρχὴν γίνεται σωματικήν. ὁ τέλειος αὔξει. ὁ ἄτρεπτος προκόπτει· ὁ πλούσιος ἐν καταλύματι * τίκτεται. ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις, σπαργανοῦται. ὁ βασιλεὺς ἐν φάτνῃ κατατίθεται.

* γεννᾶται.

Ὁμοίως τοῦ αὐτοῦ.

ΕΙ' τινα διακρίνει ἡ τοῦ μονογενοῦς ἐνανθρώπησις, καὶ παρθένου κύησις, καὶ παθῶν κοινωνία, καὶ σταυρός, καὶ θάνατος, καὶ ἀνάστασις· μανθάνων γινωσκέτω, πρόξενα ταῦτα εἶναι τῆς οἰκουμενικῆς σωτηρίας· καὶ μὴ ἀνάξια τῆς φιλανθρωπίας τοῦ κρείττονος λογίζεσθω. εἰ γὰρ αἰσχρὸν Θεῷ τὸ παρθένον οἰκῆσαι, αἰσχρότερον * πρὸ πάντων καὶ τὸ ποιῆσαι. εἰ δὲ δημιουργῶν οὐχ ὑβρίσθη, οὐδὲ οἰκῆσαι τὸ δημιούργημα αἰσχύνης ἄξιον ἔκρινε· καὶ εἰ τὸ παθεῖν κακόν, τὸ παθῶν ἀπαλλάξαι ἡλίκον; ὥστε καὶ τέθνηκεν ἀθάνατος ὤν, ἵνα θανατώσῃ τὸν θάνατον· καὶ ἀνέστη, τὴν ἡμετέραν πρυτανεύων ἀνάστασιν. καὶ ταῦτα πάντα δέχεται οὐ φύσει θεότητος, ἀλλὰ προσλήψει σαρκός· τῇ μὲν ἐν ἀσύλοις τῆς οἰκείας ἀπαθείας οἰκῶν. τῷ δὲ τὰ πάντα παθὼν καὶ ὑπομείνας, ὡς ἂν γένοιτο πολιτείας τῆς ἀρίστης ἡγεμών τε καὶ νομοθέτης.

* πρὸ πάντων

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου.

ΕΠΕΙΔΗ γὰρ ὁ αὐτὸς βασιλεὺς καὶ Θεὸς, καὶ νεκρώσεως διὰ τὴν τοῦ πάθους οἰκονομίαν γευσάμενος, τὰ δῶρα τῶν μυστηρίων ἐστὶν αἰνίγματα. προσφέρουσιν οἱ μάγοι χρυσίον, γνωρίζοντες αὐτὸν εἶναι βασιλέα. προσφέρουσι λίβανον· Θεῷ γὰρ ἴσασι προσφέροντες· προσφέρουσι σμύρναν διὰ τὴν ἐν τῷ μυστηρίῳ τοῦ πάθους νέκρωσιν.

Ὁμοίως τοῦ αὐτοῦ.

ΕΙ' μὴ γὰρ ἐκεῖνος ἐγεννήθη σαρκικῶς. οὐκ ἂν σὺ ἀνεγεννήθης πνευματικῶς. εἰ δὲ μὴ ἐκεῖνος ἠνέσχετο τῆς τοῦ δούλου μορφῆς, οὐκ ἂν σὺ τὴν δόξαν τῆς υἱοθεσίας ἐκέρδανας. διὰ τοῦτο γὰρ ἐπὶ γῆς ὁ ἐπουράνιος, ἵνα σὺ ὁ ἐπὶ γῆς εἰς οὐρανὸν ἀναχθῇς. διὰ τοῦτο Χριστὸς ἑαυτὸν ἐκένωσεν, ἵνα ἡμεῖς πάντες ἐκ τοῦ πληρώματος αὐτοῦ λάβωμεν. * ἐκείνου θανόντος γέγονέ σοι ἀθανασία· τὸ τοῦ δεσπότου πάθος γέγονε τοῦ δούλου ὕψωμα. σὺ δὲ τὴν εὐεργεσίαν λαμβάνεις βλασφημίας ἐφόδιον.

Ἰωάν. 1.

* ὁ ἐκείνου θάνατος

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμμικήριος νοταρίων εἶπεν. Ἔχομεν δὲ μετὰ χεῖρας καὶ βιβλία τῶν βλασφημιῶν τοῦ εὐλαβεστάτου Νεστορίου, ἀφ' ὧν ἑνὸς βιβλίου ἐξελεξάμεθα κεφάλαια· ἅπερ, εἰ παρίσταται τῇ ἁγίᾳ ταύτῃ συνόδῳ, ἀναγνωσόμεθα.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἀναγινωσκέσθωσαν, καὶ ἐμφερέσθωσαν * τῇ πίστει τῶν χριστιανῶν πεπραγμένων· ὁμοίως καὶ πάντες οἱ ἐπίσκοποι εἶπον· πάντες τὰ αὐτὰ λέγομεν.

* τοῖς πραττομένοις. ὁμοίως καὶ

Ἐκ τοῦ βιβλίου τοῦ Νεστορίου, * τετρᾴδιον ιζ'. εἰς δόγμα, καὶ ἀνεγνώσθη οὕτως.

* τέτραδια

ΟΤΑΝ οὖν ἡ θεία γραφὴ μέλλῃ λέγειν ἢ γέννησιν τοῦ Χριστοῦ τὴν ἐκ * Μαρίας τῆς παρθένου, ἢ θάνατον, οὐδαμοῦ φαίνεται τιθεῖσα τὸ Θεός. ἀλλ' ἢ Χριστὸς, ἢ υἱὸς, ἢ κύριος. ἐπειδὴ ταῦτα τὰ τρία τῶν φύσεών εἰσι τῶν δύο σημαντικά. ποτὲ μὲν ταύτης, ποτὲ δὲ ἐκείνης. ποτὲ δὲ ταύτης κἀκείνης· οἷόν τι λέγω. ὅταν τὴν ἐκ παρθένου γέννησιν ἡμῖν ἡ γραφὴ * ἐξηγῆται, λέγει· ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ· οὐκ εἶπεν· ἐξαπέστειλεν ὁ Θεὸς τὸν Θεὸν λόγον, ἀλλὰ λαμβάνει τὸ ὄνομα τὸ μηνύον τὰς δύο φύσεις. ἐπειδὴ γὰρ ὁ υἱὸς ἄνθρωπός ἐστι καὶ Θεὸς, λέγει· ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, * γενόμενον ἐκ γυναικός· ἵνα ὅταν ἀκούσῃς τὸ, * γενόμενον ἐκ γυναικὸς, εἶτα ἴδῃς τὸ ὄνομα τὸ προκείμενον, τὸ μηνύον τὰς φύσεις τὰς δύο, τὴν γέννησιν τὴν ἐκ τῆς ἁγίας παρθένου, υἱοῦ μὲν καλῇς· υἱὸν γὰρ ἐγέννησε Θεοῦ καὶ ἡ χριστοτόκος παρθένος. ἀλλ' ἐπειδήπερ ὁ υἱὸς τοῦ Θεοῦ διπλοῦς ἐστι κατὰ τὰς φύσεις, οὐκ ἐγέννησε μὲν τὸν υἱὸν τοῦ Θεοῦ, ἀλλ' ἐγέννησε τὴν ἀνθρωπότητα, ἥτις ἐστιν υἱὸς διὰ τὸν συνημμένον υἱόν.

* ἐξηγῆται,

Γαλατ. 4.

* γενόμενον

* γενόμενον

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον κά.

Βλέπε τὸ συμβαῖνον, αἱρετικέ. οὐ φθονῶ τῆς φωνῆς τῇ χριστοτόκῳ παρθένῳ· ἀλλ' οἶδα σεβασμίαν τὴν δεξαμένην Θεὸν, δι' ἧς προῆλθεν ὁ τῶν ὅλων * Θεὸς, δι' ἧς ἀνέλαμψε τῆς δικαιοσύνης ὁ ἥλιος. πάλιν ὑποπτεύω τὸν κρότον· πῶς τὸ προῆλθεν ἐνοήσατε; οὐκ εἴρηταί μοι τὸ προῆλθεν ἀντὶ τοῦ ἐγεννήθη, οὐ γὰρ οὕτω ταχέως ἐπιλανθάνομαι τῶν ἰδίων· τὸ προελθεῖν τὸν Θεὸν λόγον ἐκ τῆς χριστοτόκου παρθένου, παρὰ τῆς θείας ἐδιδάχθην γραφῆς· τὸ δὲ γεννηθῆναι Θεὸν ἐξ αὐτῆς, οὐδαμοῦ ἐδιδάχθην.

* δεσπότης,

* οὐδαμῶς

Καὶ μεθ' ἕτερα.

Οὐδαμοῦ τοίνυν ἡ θεία γραφὴ Θεὸν ἐκ τῆς χριστοτόκου παρθένου λέγει γεγεννῆσθαι, ἀλλὰ Ἰησοῦν Χριστὸν, καὶ υἱὸν, καὶ κύριον· ταῦτα πάντες ὁμολογοῦμεν· ἃ γὰρ ἐδίδαξεν ἡ θεία γραφὴ, ἄθλιος εὐθὺς ὁ μὴ δεχόμενος. ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ. αὕτη τῶν ἀγγέλων ἡ φωνή. τάχα δὲ μᾶλλόν σου τὰ κατὰ τὴν γέννησιν ᾔδεσαν οἱ ἀρχάγγελοι. ἐγέρθεις παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ. οὐκ εἶπεν, ἐγερθεὶς παράλαβε τὸν Θεὸν καὶ τὴν μητέρα αὐτοῦ.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον κδ'.

Ὅπερ οὖν ἐλέγομεν· μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, εἴτε διὰ τοῦ ἑνὸς ν, εἴτε διὰ τῶν δύο, τῷ νοήματι οὐδὲν λυμαίνεται· τὸ γὰρ ἐν αὐτῇ τεχθὲν ἐκ πνεύματός ἐστιν ἁγίου· ἐὰν εἴπομεν, ὅτι ὁ Θεὸς λόγος ἐγεννήθη ἐν τῇ σαρκί. ἄλλο γὰρ τὸ συνεῖναι τῷ γεννωμένῳ, καὶ ἄλλο τὸ γεννᾶσθαι· τὸ γὰρ ἐν αὐτῇ, φησὶ, γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου, τουτέστι, τὸ πνεῦμα τὸ ἅγιον ἔκτισε τὸ ἐν αὐτῇ. εἶδον οὖν οἱ πατέρες, ὡς ἐπιστήμονες τῶν θείων γραφῶν, ὅτι ἐὰν * ἐπὶ τὸν σαρκωθέντα θῶμεν τὸν γεννηθέντα, εὑρίσκεται ἢ υἱὸς πνεύματος ὁ Θεὸς λό-

Ματθ. 1.

* ἐπὶ τὸ σαρκωθέντος

λόγος, ἢ δύο πατέρας ἔχων, ἢ δι' ἑνὸς νεκρεθήσεται ὁ Θεὸς λόγος κτίσμα τοῦ πνεύματος ὤν. φεύγοντες γοῦν τὴν τῆς γεννήσεως λέξιν ἔθηκαν. τὸν κατελθόντα δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθέντα. τί ἐστι σαρκωθέντα; οὐ τραπέντα ἀπὸ θεότητος εἰς σάρκα· τῷ σαρκωθέντα ἐκ πνεύματος ἁγίου * ἠκολούθησαν τῷ εὐαγγελιστῇ. ὃς γὰρ ὁ εὐαγγελιστὴς ἐλθὼν εἰς τὴν ἐνανθρώπησιν, ἔφυγε μεύνησιν εἰπεῖν ἐπὶ τοῦ λόγου, καὶ τέθηκε σάρκωσιν. πῦ; ἄκουσον· καὶ ὁ λόγος σὰρξ ἐγένετο. οὐκ εἶπεν· ὁ λόγος διὰ σαρκὸς ἐγεννήθη· ὅπου μὲν γὰρ μνημονεύουσιν ἢ οἱ ἀπόστολοι, ἢ οἱ εὐαγγελισταὶ τοῦ υἱοῦ, τιθέασιν, ὅτι ἐγεννήθη ἐκ γυναικός. πρόσεχε τῷ λεγομένῳ, παρακαλῶ· ὅπου μὲν λέγουσι τὸ ὄνομα τοῦ υἱοῦ, καὶ ὅτι ἐγεννήθη ἐκ γυναικός, τιθέασι τὸ ἐγεννήθη· ὅπου δὲ μνημονεύουσι τοῦ λόγου, οὐδεὶς αὐτῶν ἐτόλμησεν εἰπεῖν γέννησιν διὰ τῆς ἀνθρωπότητος. ἄκουε· ὁ μακάριος Ἰωάννης ὁ εὐαγγελιστὴς ἐλθὼν εἰς τὸν λόγον, καὶ τὴν ἐνανθρώπησιν αὐτοῦ, ἄκουσον οἷά φησιν· ὁ λόγος σὰρξ ἐγένετο, τουτέστιν, ἀνέλαβε σάρκα, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τουτέστιν, ἡμετέραν ἐνεδύσατο φύσιν, καὶ ἐνῴκησεν ἐν ἡμῖν· καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ τοῦ υἱοῦ· οὐκ εἶπεν· ἐθεασάμεθα τὴν γέννησιν τοῦ λόγου.

Ὁμοίως τοῦ αὐτοῦ τετράδιον ιέ. εἰς δόγμα.

Οὕτω καὶ τὸν κατὰ σάρκα Χριστὸν ἐκ τῆς πρὸς Θεὸν λόγον συναφείας Θεὸν ὀνομάζομεν, φαινόμενον εἰδότες ὡς ἄνθρωπον. ἄκουσον τοῦ Παύλου ἀμφότερα κηρύττοντος· ἐξ Ἰουδαίων, φησὶν, ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός. ὁμολογεῖ τὸν ἄνθρωπον πρότερον, καὶ τότε τῇ τοῦ Θεοῦ συναφείᾳ θεολογεῖ τὸ φαινόμενον, ἵνα μηδεὶς * ἀνθρωπολατρείαν τὸν χριστιανισμὸν ὑποπτεύσῃ.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον κζ'.

Ἀλλ' ὥσπερ ἐλέγομεν Θεὸν τὸν πάντων δημιουργὸν, καὶ Θεὸν, τὸν Μωϋσέα· Θεὸν γὰρ, φησὶ, τέθεικά σε τοῦ Φαραὼ, καὶ υἱὸν τὸν Ἰσραὴλ τοῦ Θεοῦ· υἱὸς γὰρ, φησὶ, πρωτότοκός μου ὁ Ἰσραήλ. καὶ ὥσπερ ἐλέγομεν Χριστὸν τὸν Σαούλ· οὐ μὴ γὰρ, φησὶν, ἐπιβαλῶ τὴν χεῖρά μου ἐπ' αὐτῷ, ὅτι Χριστὸς κυρίου ἐστί. καὶ τὸν Κῦρον ὡσαύτως· τάδε λέγει, φησὶ, κύριος τῷ Χριστῷ μου Κύρῳ· καὶ τὸν Βαβηλόνιον ἅγιον. ἐγὼ γὰρ, φησὶ, συντάξω αὐτοῖς. ἡγιασμένοι εἰσὶ, κἀγὼ ἄγω αὐτούς. οὕτω λέγωμεν καὶ τὸν δεσπότην Χριστὸν ὃς Θεὸν, καὶ υἱὸν, καὶ ἅγιον, καὶ Χριστόν. ἀλλ' ἡ μὲν κοινωνία τῶν ὀνομάτων ὁμοία, οὐχ ἡ αὐτὴ δὲ ἀξία.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον ιέ.

Τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. οὐκ εἶπε. τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ ὃς ἐν τῷ Θεῷ λόγῳ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, μορφὴν δούλου ἔλαβεν· ἀλλὰ λαβὼν τὸ Χριστὸς, * ὡς τῶν δύο φύσεων προσηγορίαν σημαντικὴν, ἀκινδύνως αὐτὸν καὶ δούλου μορφὴν ἀναλαβεῖν, καὶ Θεὸν ὀνομάζει, τῶν λεγομένων εἰς τὸ τῶν φύσεων ἀλήπτως μεριζομένων διπλοῦν.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον ιϛ'.

Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ, φησὶ, πᾶν γόνυ κάμψῃ, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι κύριος Ἰησοῦς Χριστός· διὰ τὸν φοροῦντα τὸν φορούμενον σέβω. διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον. ἀχώριστος τοῦ φαινομένου Θεός. διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω. χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον ιζ'.

Ἦν μὲν γὰρ ὁ Θεὸς λόγος ὃς πρὸ τῆς ἐνανθρωπήσεως υἱὸς, καὶ Θεὸς, καὶ συνὼν τῷ πατρί· ἀνέλαβε δὲ ἐν ὑστέροις καιροῖς τὴν τοῦ δούλου μορφήν. * ἀλλ' ἦν πρὸ τούτου υἱὸς καὶ καλούμενος, μετὰ τὴν ἀνάληψιν οὐ δύναται καλεῖσθαι κεχωρισμένος υἱὸς, ἵνα μὴ δύο υἱοὺς δογματίζωμεν. ἀλλ' ἐπειδήπερ ἐκείνῳ συνῆπται τῷ ἐν ἀρχῇ ὄντι υἱῷ τῷ πρὸς αὐτὸν * συναφθέντι, οὐ δύναται κατὰ τὸ ἀξίωμα τῆς υἱότητος, οὐ κατὰ τὰς φύσεις. διὰ τοῦτο ὃς διαίρεσιν * δέξασθαι. κατὰ τὸ ἀξίωμά φημι τῆς υἱότητος, οὐ κατὰ τὰς φύσεις. διὰ τοῦτο καὶ Χριστὸς ὁ Θεὸς λόγος ὀνομάζεται, ἐπειδήπερ ἔχει συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνεκῆ.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον ιέ. εἰς δόγμα.

Ἀσύγχυτον τοίνυν τὴν τῶν φύσεων τηρῶμεν συνάφειαν· ὁμολογῶμεν τὸν ἐν ἀνθρώπῳ Θεόν· σέβωμεν τὸν τῇ θείᾳ συναφείᾳ τῷ παντοκράτορι Θεῷ συμπροσκυνούμενον ἄνθρωπον.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον ϛ'.

Σκόπει, καὶ τὸ τούτοις εὐθὺς συναπτόμενον· ἵν' ἐλεήμων, φησὶ, γένηται, καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. οὐκοῦν ὁ παθὼν, ἀρχιερεὺς ἐλεήμων. παθητὸς δὲ ὁ ναὸς, οὐχ ὁ ζωοποιὸς τοῦ πεπονθότος Θεός.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον κζ.

Ἵνα μάθητε, φησὶν, ὡς σφόδρα τις τῆς θεότητος ὑπῆρχε συνάφεια, καὶ ἐν βρέφει τῆς δεσποτικῆς καθορωμένης σαρκός. ἦν γὰρ ὁ αὐτὸς βρέφος, καὶ τοῦ βρέφους δεσπότης. ἐπηνέσατε τὴν φωνὴν, ἀλλὰ μηδὲ αὐτὴν ἀβασανίστως κρατῆτε· εἶπον γὰρ, ὁ αὐτὸς ἦν βρέφος, καὶ τοῦ βρέφους οἰκήτωρ.

Τοῦ αὐτοῦ, τετράδιον α'.

Κοιναὶ γὰρ αἱ τῆς τριάδος ἐνέργειαι, καὶ μόναις ὑποστάσεσι τὴν διαίρεσιν ἔχουσαι. ἡ γοῦν τοῦ μο-

Ιωάν. 8. 54. Ιωάν. 16. μονογενοῦς εὐδοξία ποτὲ μὲν τῷ πατρὶ περιῆπται· ἔστι γὰρ, φησὶν, ὁ πατήρ μου ὁ δοξάζων με· ποτὲ δὲ τῷ πνεύματι· τὸ πνεῦμα γὰρ, φησὶ, τῆς ἀληθείας ἐμὲ δοξάσει· ποτὲ δὲ τῇ τοῦ Χριστοῦ δυναστείᾳ.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον ιϛ'. περὶ Χριστοῦ λέγοντος.

Ματθ. 27. 46. Οὗτος ὁ λέγων· θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; οὗτος ὁ τριήμερον τελευτὴν ὑπομείνας· προσκυνῶ δὲ σὺν τῇ θεότητι τοῦτον, ὡς τῆς θείας συνεργὸν αὐθεντίας· Καὶ μεθ' ἕτερα. Οὐ καθ' ἑαυτὸ Θεὸς τὸ πλασθὲν ἀπὸ μήτρας. οὐ καθ' ἑαυτὸ Θεὸς τὸ κτισθὲν ἐκ τοῦ πνεύματος· οὐ καθ' ἑαυτὸ Θεὸς τὸ * ταφὲν ἐπὶ μνήματος· οὕτω γὰρ ἂν ἦμεν ἀνθρωπολάτραι, καὶ νεκρολάτραι σαφεῖς. ἀλλ' ἐπειδήπερ ἐν τῷ ληφθέντι Θεὸς, ἐκ τοῦ λαβόντος ὁ ληφθεὶς, ὡς τῷ λαβόντι συναφθεὶς, συγχρηματίζει Θεός.

* φανὶν.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον γ'. κατὰ αἱρετικῶν περὶ τοῦ πνεύματος λέγοντος.

Πῶς γὰρ εἴη δοῦλον, φησὶ, τὸ μετὰ πατρὸς καὶ υἱοῦ ἐργαζόμενον; κἂν ζητοίη τις τὰς τοῦ πνεύματος * τάξεις, εὑρήσει τῶν τοῦ πατρὸς καὶ υἱοῦ κατ' οὐδὲν λειπομένας· οὐχ ὡς τῆς μιᾶς μεριζομένης θεότητος, ἀλλὰ τῆς θείας γραφῆς τὰ τῆς μιᾶς ἰσχύος καὶ καθ' ἑκάστην μεριζομένης ὑπόστασιν, εἰς ἀπόδειξιν τοῦ τῆς τριάδος ὁμοίου. καί μοι σκόπει τὸ ὅμοιον, ἐκ τῶν ἐν ἔργοις * καιρῶν * ἀρξάμενον. ὁ Θεὸς λόγος ἐγένετο σὰρξ, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. συνεκάθισεν ἑαυτῷ τὴν ἀναληφθεῖσαν ἀνθρωπότητα ὁ πατήρ· εἶπε γὰρ, φησὶν, ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. τὴν τοῦ ἀναληφθέντος τὸ πνεῦμα κατελθὸν συνεκρότησε δόξαν· ὅταν γὰρ, φησὶ, τὸ πνεῦμα τῆς ἀληθείας ἔλθη, ἐκεῖνο ἐμὲ δοξάσει.

* πράξεις.
* καιρίων
* ἴσως, ἀρξάμενος.
Ιωαν. 1. Εφισ. 2. Ψαλ. 109. Ιωάν. 16.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον ϛ'. περὶ Χριστοῦ λέγοντος.

Λουκ. 3. 18. Ὅτι ἀπεστάλη κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν· ὡς ὁ ἀπόστολος ἐπιφέρει, καί φησιν· οὗτος ὁ πιστὸς τῷ Θεῷ πεποιημένος ἀρχιερεύς. ἐγένετο γὰρ οὗτος, οὐκ ἀϊδίως προήν. οὗτος ὁ κατὰ μικρὸν εἰς ἀρχιερέως αἱρετικὲ, προκόψας ἀξίωμα· καὶ ἄκουε σαφεστέρας σοι τοῦτο διαβοώσης φωνῆς· ἐν ταῖς ἡμέρας ἐκείναις, φησὶ, τῆς σαρκὸς αὐτοῦ δεήσεις καὶ ἱκεσίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱὸς, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν· καὶ τελειωθεὶς, ἐγένετο τοῖς ὑπακούουσιν * αὐτοῦ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου· τελειοῦται δὲ τὸ κατὰ μικρὸν προκόπτον, αἱρετικέ. περὶ οὗ καὶ Ἰωάννης ἐν τοῖς εὐαγγελίοις βοᾷ. Ἰησοῦς προέκοπτεν βοᾷ· Ἰησοῦς προέκοπτεν ἡλικίᾳ, καὶ σοφίᾳ, καὶ χάριτι. οἷς σύμφωνα καὶ Παῦλος φθεγγόμενος· τελειωθεὶς, φησὶν, ἐγένετο τοῖς ὑπακούουσιν * αὐτοῦ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ· καὶ μεθ' ἕτερα· ἀρχιερεὺς κεκλημένος. τί οὖν ἀνθερμηνεύεις τῷ Παύλῳ, τὸν ἀπαθῆ Θεὸν λόγον ἐπιγείῳ καταμιγνὺς ὁμοιώματι, καὶ παθητὸν ἀρχιερέα ποιῶν;

Εβρ. 2. 17.
Εβρ. 5. 8.
* αὐτῷ
* αὐτῷ
Εβρ. 5. 7.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον ιζ'.

Ὅθεν, ἀδελφοὶ, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν. καὶ μεθ' ἕτερα· Ὄντος οὖν ἡμῖν τούτου μόνου ἀρχιερέως συμπαθοῦς καὶ συγγενοῦς καὶ βεβαίου, τῆς εἰς αὐτὸν μὴ παρατρέπεσθε πίστεως. αὐτὸς γὰρ ἡμῖν τῆς ἐπηγγελμένης εὐλογίας ἐκ σπέρματος Ἀβραὰμ ἀπεστάλη, ὡς ὑπὲρ ἑαυτοῦ καὶ τοῦ συγγενοῦς τὴν τοῦ σώματος θυσίαν συνεπαγόμενος. σημειωτέον, ὅτι ὁμολογήσας πάντα ἀρχιερέα δεῖσθαι θυσίας, καὶ ὑπεξελὼν τὸν Χριστὸν, ὡς μὴ δεόμενον, ἐν τούτοις ὑπὲρ ἑαυτοῦ φησι προσφέρειν, καὶ τοῦ συγγενοῦς, θυσίαν.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον, δ'.

Ἀκούσατε τοίνυν, προσέχοντες τοῖς ῥητοῖς· ὁ τρώγων μου, φησὶ, τὴν σάρκα. μνημονεύετε ὅτι περὶ τῆς σαρκός ἐστι τὸ λεγόμενον, καὶ ὅτι οὐ παρ' ἐμοῦ προστέθειται τὸ τῆς σαρκὸς ὄνομα· ὥστε μὴ δοκεῖν ἐκείνοις παρερμηνεύειν· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα· μὴ εἶπεν· ὁ τρώγων μου τὴν θεότητα καὶ πίνων * ταύτην; ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. καὶ μεθ' ἕτερα.

* ταύτην. ἀλλὰ ὁ

Ἀλλ' ἐπὶ τὸ προκείμενον· ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. μνημονεύετε, ὅτι περὶ τῆς σαρκὸς τὸ λεγόμενον· καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ· ἐμὲ τὸν φαινόμενον. ἀλλ' ἐνίοτε παρερμηνεύω· ἀκούσωμεν ἐκ τῶν ἑξῆς· καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ. ἐκεῖνος λέγει τὴν θεότητα, ἐγὼ δὲ τὴν ἀνθρωπότητα. ἴδωμεν τίς ὁ παρερμηνεύων· καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ· λέγει καὶ ὁ αἱρετικὸς, ἐνταῦθα τὴν θεότητα λέγει· ἀπέστειλέ με, φησὶ, τὸν Θεὸν λόγον· καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ· κατ' ἐκείνους, κἀγὼ ζῶ ὁ λόγος διὰ τὸν πατέρα· εἶτα τὸ μετὰ τοῦτο· καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται. τίνα ἐσθίομεν; τὴν θεότητα, ἢ τὴν ἀνθρωπότητα;

Ὁμοίως

Ὁμοίως τῷ αὐτῷ, τετράδιον ις'.

Καὶ ὅλως, φησὶν, ἀπᾶσαν ὁμῦ τὴν κτίσιν μετελλάδες, ὐκ ἂν ὧροις ὐδαμῶς παρὰ ταύτην τὸν θάνατον τῷ Θεῷ προσαπτόμενον. ἀλλ' ἢ χειστῷ, ἢ ἰῷ, ἢ κυρίῳ. τὸ γὰρ Χειστὸς, κ τὸ ἰὸς, κ τὸ κύριος, ἐπὶ τῦ μονογενῦς παρὰ τῆς γραφῆς λαμβανόμενον, τῆ φύσεών ἐστι τῆ δύο σημαντικόν. κ ποτὲ μὲ δηλοῖ τὴν θεότητα, ποτὲ δὲ τὴν ἀνθρωπότητα, ποτὲ δὲ ἀμφότερα· οἷον, ὅταν Παῦλος ἐπιστέλλων κηρύττει. ἐχθροὶ ὄντες, κατηλλάγημεν τῷ Θεῷ διὰ τῦ θανάτυ τῦ ἰῦ αὐτῦ. τ ἀνθρωπότητα βοᾷ τῦ ἰῦ. ἂν λέγῃ πάλιν ὁ αὐτὸς πρὸς Ἑβραίυς· ὁ Θεὸς ἐλάλησεν ἡμῖν ἐν ἰῷ, δι' ὃν κ τοὺς αἰῶνας ἐποίησε. τ θεότητα δηλοῖ τῦ ἰῦ. ὐδὲ γὰρ ἡ σὰρξ δημιυργὸς τῶν αἰώνων, ἡ μετ' αἰῶνας δημιυργηθεῖσα πολλύς. κ μεθ' ἕτερα· ὐδὲ θεότητος ἀδελφὰ τ Ἰάκωβον ἔχει. ὐδὲ τὸν τῦ Θεῦ λόγυ καταγγέλλομεν θάνατον, τὸ δεσποτικὸν αἷμά τε κ σῶμα σιτύμενοι.

Ἑβρ. 1. 2.

1. Κορ. 11. 26.

Ὁμοίως τῷ αὐτῷ, τετράδιον κγ'.

Προσέχω, φησὶ, τοῖς ἡμετέροις δήμοις, ὀλάβειαν μὲ πολλῷ κεκτημένοις, κ θερμοτάτῳ δ' σέβειαν, ὑπὸ * δὲ τῆς περὶ τὸ δόγμα θεογνωσίας ἀγνοίας ὀλισθαίνυσι. τῦτο δὲ ὐκ ἔγκλημα τῶν λαῶν· ἀλλά, πῶς ἂν ἀπρεπῶς ἔποιμι; τὸ μὴ ἔχειν τὺς διδασκάλυς κμρὸν κμὶ τι τῶν ἀκριβεστέρων ὑμῖν παραθέσθαι δογμάτων.

* ἴσως, τὺς ἢ περὶ

* ἢ τὸ μὴ ἰσχὺν

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας, κ μεμμιχήλιος νοταρίων ἔπεν· ἰδὺ φανερῶς ἐν τύτοις φησὶν, ὅτι τῶν πρὸ αὐτῦ διδασκάλων ὐδεὶς ταῦτα ἐλάλησε τοῖς λαοῖς, ἃ αὐτὸς ἐλάλησε.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων ἔπεν. ἐπειδὴ δεινὰ κ βλάσφημα τὰ παρὰ Νεσοριν ἁρπαγέντα, κ ἃ φέρυσιν αἱ ἀκοαὶ ἡμῶν ἐπιπλῆξαι μολύνεσθαι. ἕκαστον μέρος τῆς βλασφημίας αὐτῦ ἐμφερέσθω τοῖς πραττομένοις, πρὸς κατηγορίαν τῦ διδάξαντος αὐτά.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας, κ μεμμιχήλιος νοταρίων ἔπεν· ὁ ὀλαβέστατος κ θεοσεβέστατος μητροπολίτης κ ἐπίσκοπος τῆς Καρθαγένης Καπραίολος διὰ Βεστύλα τῦ διακόνυ γέγραφε πρὸς τὴν ἁγίαν ταύτην συνόδον ἐπιστολήν, ἣν, ἐ κελεύσει ὑμῶν ἡ θεοσέβεια, ἀναγνώσομαι. ἀναγνώσομαι δὲ κ τὴν ἑρμηνείαν αὐτῆς.

Τοῖς θεοσεβεστάτοις κ μακαριωτάτοις συλλειτουργοῖς, τοῖς ἀπανταχόθεν εἰς τὴν συνόδον συνελθῦσι, Καμπραίολος ἐπίσκοπος ἐν κυρίῳ χαίρειν.

ΗΤΧΟΜΗΝ, ὀλαβέστατοι ἀδελφοὶ, ἐν τοιαύτῃ καταστάσει τ προσκυνητὴν ὑμῶν συνόδον συγκροτηθῆναι, ἵνα κ ἡμᾶς ἐπιλεχθέντων κοινῇ χείρει ἀδελφῶν κ συνεπισκόπων ἡμετέρων, ἀπαράπτην θρηνῦσι ἀξίαν, ἀλλὰ παρεστὼς μᾶλλον πρεσβείαν πέμψωμεν. ἐ μὴ τ ἡμετέραν σύγασιν αἰτίαι διάφοροι ἀπεπόδιζον. κ γὰρ πρῶτον τὸ δεσπότου κ ἰῦ ἡμῶν τῦ ὀσιβεστάτυ βασιλέως Θεοδοσίυ τοιαῦτα ἐν τοῖς ἡμετέροις χώραις γράμματα ἐλήλυθεν, ἃ πάντα τὸ τῆς μακαρίας μνήμης ἀδελφῦ ἡμετέρου κ συνεπισκόπυ Αὐγυστίνυ τ παρεσίαν ἰδικῶς ἀπῄτει· ἅπαντα προειρημένα γράμματα ἐν ταύτῃ τ ζωῇ ὁ ἰρεὺς αὐτὸν ὁλοκλήρως δεδωλώκασι. ὅθεν ἐγὼ, ὡς τις τ αὐτῷ βασιλικῷ σημείωσιν, ἐν κ τὰ μάλιστα τῷ προειρημένῳ πεπέμφθαι ἐδόκει, ἐξεζήτουν καταπεμφθέντα, κατὰ πάσας τὰς ἐπαρχίας τῆς Ἀφρικῆς τοῖς ἀρμοδίοις γράμμασι, κ ταῖς ἐθίμοις διαλέξεσι συνιόντων συνόδων ἠβουλήθην συναγαγεῖν, ἵνα ἐπιλεχθέντες ἀπὸ τῦ ἀριθμῦ τῶν ἀδελφῶν κ ἐπισκόπων τῶν ἡμετέρων εἰς τὸν προσκυνητὸν σύνοδον τῆς ὑμετέρας μακαριότητος καταπεμφθῶσιν. ἀλλ' ἐπειδὴ ἐκ φάσκτου ἡ ἔκστασις τῆς παροδίας, κ γὰρ ἡ ἐπιχυθεῖσα * πολεμία πληθὺς, κ ἡ πόρθησις ἡ πλατεῖα τῶν ἐπαρχιῶν, ἢ τις ἡ ἀποσβεσθέντων τῶν οἰκητόρων, ἢ φυγόντων; * ἀθλίαν ἐρημώσεως ὄψιν εἰς μῆκος κ πλάτος ἐκτείνασα, τὴν δύχέρειαν συστέλλει τῦ ἐλθεῖν. τύτοις τοιγαροῦν τοῖς κωλύμασι συνελθεῖν εἰς ἓν τὸν κύκλον τῆς Ἀφρικῆς οἱ ἐπίσκοποι ὐδαμῶς ἠδυνήθησαν, οἷς προετέθη. ἐπειδὴ τὰ βασιλικὰ γράμματα ἐν ἡμέραις τῦ πάσχα εἰς ἡμᾶς ἦλθε, * ὅπ μόλις μέχρι τῆς προσκυνητῆς πάσης συνόδυ δύο μηνῶν διάστημα περιελιμπάνετο, οἱ πλεῖστοι μόλις ἦρκεσαν κἂν αὐτῇ τῇ κατὰ Ἀφρικὴν συνόδῳ εἰς τὸ συνελθεῖν. κ εἰ μηδεμία δυσχέρεια ἀπὸ τῶν πολεμίων ἡ παρῦσα συμβεβήκει ἐπεῦσι γενέσθαι· ἵνα, εἰ κ τὰ μάλιστα πρέσβεις ὐδαμῶς ἐκπέμψαι δεδυνήμεθα, διὰ τὴν ὀλάβειαν ὅμως τὴν χρεωστουμένην τῇ ἐκκλησιαστικῇ ἐπιστήμῃ, τὸν ἰρὸν τὸν ἐμὸν Βεστύλαν τὸν διάκονον μετὰ τούτων τῶν τῆς παραιτήσεως γραμμάτων ἐπέμψαμεν, προσκυνητοὶ ἀδελφοί. ὅθεν αὐτῷ τὴν ὑμετέραν ἁγιότητα. εἰ κ τὰ μάλιστα πιστὸν τῇ βοηθείᾳ τῦ ἡμετέρυ Θεῦ, * τοσαύτην σύνοδον * προσκυνητῶν ἱερέων βεβαίαν διὰ πάντων τὴν πίστιν τὴν καθολικὴν ἑτοιμάσω. ἵνα ἐνεργῦντος τῦ ἁγίυ πνεύματος, ὅπερ ταῖς ὑμετέραις καρδίαις ἐν πᾶσι τοῖς πρακτίοις πιστεύομεν παρεστώμενον, τὰς καινὰς διδασκαλίας, κ πρὸ τύτυ ταῖς ἐκκλησιαστικαῖς ἀκοαῖς ἀπείρους, τῆς ἀρχαίας αὐθεντίας τῇ δυνάμει ἀπώσησθε. κ ὅπω ταῖς καιναῖς οἱασδήποτε πλάναις ὀπῆτε. ἵνα μὴ τότυς, ὃς πάλαι ἐπολέμησεν ἡ ἐκκλησία, κ τύτοις τοῖς καιροῖς, ἐν οἷς ἀνεφύησαν, κ τῆς ἀποστολικῆς καθέδρας ἡ αὐθεντία, κ εἰς ἓν συμφωνῦσα ἡ ψῆφος ἡ ἱερατικὴ συνέχωσιν, ἐν προχήμασι δίπρους διαλέξεως ἡ φωνὴ δόξῃ, ἡ πάλαι * ἀναιρεθεῖσα, ἀνασκευάσθαι. ἔχει γάρ, ἐπ τυχὸν νεωστὶ ἀναφυῇ, ζητήσεως ἀνάγκην, ἵνα ἡ * λεχθεὶς δοκιμασθῇ, ἡ καταδικασθεὶς διωχθῇ ἀπορρασθῆναι. ταῦτα δὲ περὶ ὧν ἤδη πάλαι ἐκρίθη, ἐὰν τις ἐπαφῇ εἰς δίπρουν διάλεξιν ἐλθεῖν, ὐδὲν ἕτερον δόξει, ἢ περὶ τῆς πίστεως, ἢ τις μέχρι δεῦρο κατέχειν, αὐτὸς ἀμφιβάλλειν. ἕπεται διὰ τὸ τῶν μετεχόντων ὑπόδειγμα· ἵνα ταῦτα, ἅπερ ἐγὼ ὑπὲρ τῆς καθολικῆς πίστεως ὠόμην, ἔχειν διωρθῇ διέξοδον βεβαίαν, ταῦτα, ἅπερ ἤδη ἐστὶ παρὰ τῶν πατέρων ὁρισθέντα, φυλάσσεσθαι ἐν ἐστὶ. ἐπειδὴ ὅστις βούλεται, ἅπερ ὑπὲρ τῆς καθο-

* τῶν πολεμίων

* εἰς τοιαύτην

* ἀφαιρεθεῖσα,

* ἴσως, διὰ τοσαύτην

* προσκυνητὴν

καθολικῆς καταςάσεως ἐθέσπισεν, ἐς τὸ διλωσεκὲς μένειν, ὲ τῇ ἰδίᾳ αὐθεντίᾳ, ἀλλὰ ϗ τῇ τῶν ἀρχαιοτέρων ψήφῳ ὀφέλειν βεβαιωθῆναι, ὅπερ ἐφράνησεν. ὥςε ὅτις, τοῦτο μὲν ἀπὸ τῶν ἀρχαιοτέρων, τοῦτο δὲ ϗ ἀπὸ νεωτέρων ὅρων, ὅπερ διαβεβαιῶται, δοκιμάζων, μονογενῆ τῆς καθολικῆς ἐκκλησίας τιὼ ἀλήθειαν, ἀπὸ τῶν παρωχημένων καιρῶν μέχρι τῶν παρόντων, ἤτοι τῶν ἡμετέρων, ἁπλῇ καθαρότητι, ϗ ἀπτύπτῳ αὐθεντίᾳ τρέχουσαν, ἑαυτὸν ϗ λέγειν, ϗ διδάξειν, ϗ κατέχειν. ταῦτα τέως ὑπὲρ τῆς παρούσης πρεσβείας τῆς Ἀφρικῆς, ἵνα τινα καταπέμψαι ἡ ἀνάγκη ἡ προρρηθεῖσα ὲ συνεχώρησε, ταῖς προσκυνηταῖς ὑμῶν ἀκοαῖς ὑπέβαλον, πλεῖσα παρακαλῶν, ἵνα θεωρηθεισῶν τῶν ἐν τοῖς πράγμασι ϗ τοῖς καιροῖς συμφορῶν, τιὼ ἡμετέραν ἀπουσίαν μηδεμιᾷ ὑπερηφανείᾳ ἢ ἀμελείᾳ, ἀλλὰ ταύτῃ τῇ προδήλῳ ἀνάγκῃ μᾶλλον λογίσασθαι καταξιώσητε.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε. Καὶ ἡ ἀναγνωσθεῖσα ἐπιςολὴ τοῦ ἁγιωτάτου ϗ θεοφιλεςάτου ἐπισκόπου τῆς Καρθαγένης Καπραιόλου ἐμφερέςθω τῇ πίςει τῶν ὑπομνημάτων, φανερὰν ἔχουσα διάνοιαν. βούλεται γὰρ, τὰ μὲν ἀρχαῖα κρατυνάσθαι τῆς πίςεως δόγματα, τὰ δὲ νεαρά, ϗ ἀτόπως ἐξηρημένα, ϗ ἀσεβῶς ἠρημένα, ἀποδοκιμάζεσθαι ϗ ἐκβάλλεσθαι.

Πάντες οἱ ἐπίσκοποι ἀνεφώνησαν. Αὗται πάντων αἱ φωναί. ταῦτα πάντες λέγομεν· αὕτη πάντων ἡ πίςις.

Ἀπόφασις ἐξενεχθεῖσα κατὰ Νεςορίου, καθαιροῦσα αὐτόν.

Ἡ ἁγία σύνοδος εἶπε· Πρὸς τοῖς ἄλλοις μήτε ὑπακοῦσαι βουληθέντος τοῦ * ἀσεβεςάτου Νεςορίου τῇ παρ' ἡμῶν κλήσει, μήτε μιμεῖσθαι τοὺς παρ' ἡμῶν ἀποσταλέντας ἁγιωτάτους ϗ θεοσεβεςάτους ἐπισκόπους δεξαμένου, ἀναγκαίως ἐχωρήσαμεν ἐπὶ τιὼ ἐξέτασιν τῶν δυσεβηθέντων αὐτῷ, ϗ φωράσαντες αὐτὸν ἔκ τε τῶν ἐπιςολῶν, ϗ ἐκ τῶν συγγραμμάτων αὐτοῦ ϗ ἐκ τῶν ἀρτίως παρ' αὐτοῦ ῥηθέντων κατὰ τιὼδε τιὼ μητρόπολιν, ϗ προσμαρτυρηθέντων, δυσεβῶς φρονοῦντα ϗ κηρύττοντα, ἀναγκαίως κατεπτοημένους ἀπό τε τῶν λόγων, ϗ ἐκ τῆς ἐπιςολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν ϗ συλλειτουργοῦ Κελεςίνου τοῦ ἐπισκόπου τῆς Ρωμαίων ἐκκλησίας, δακρύσαντες πολλάκις, ἐπὶ τιὼ σκυθρωπιὼ κατ' αὐτοῦ ἐχωρήσαμεν ἀπόφασιν.

* μιμητάτου

Ὁ βλασφημηθεὶς τοίνυν παρ' αὐτοῦ κύριος ἡμῶν Ἰησοῦς Χριςὸς ὥρισε διὰ τῆς παρούσης ἁγιωτάτης συνόδου, ἀλλότριον εἶναι τὸν αὐτὸν Νεςόριον τοῦ ἐπισκοπικοῦ ἀξιώματος, ϗ πάσης συλλόγου ἱερατικῆς.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ὑπέγραψα, ἀποφηνάμενος ἅμα τῇ ἁγίᾳ συνόδῳ.

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ὑπέγραψα, ἀποφηνάμενος * ἅμα τῇ ἁγίᾳ συνόδῳ.

* ὁμοίως

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων ὑπέγραψα, ἀποφηνάμενος ἅμα τῇ ἁγίᾳ συνόδῳ.

Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας ὑπέγραψα, ϗ τὰ ἑξῆς.

Μέμνων ἐπίσκοπος Ἐφέσου ὑπέγραψα, ἀποφηνάμενος, ϗ τὰ ἑξῆς.

Ἀχάκιος ἐπίσκοπος ἐλέῃ Θεοῦ Μελιτηνῆς, συναινῶν τῇ ἁγίᾳ συνόδῳ ἐπὶ τῇ προγεγραμμένῃ ἀποφάσει, ὑπέγραψα.

Θεόδοτος ἐπίσκοπος Ἀγκύρας τῆς ἁγίας ἐκκλησίας, συναινῶν τῇ ἁγίᾳ συνόδῳ, ὑπέγραψα.

Παλλάδιος ἐπίσκοπος τῆς Ἀμασείας, συναινῶν τῇ ἁγίᾳ συνόδῳ ἐπὶ τῇ προγεγραμμένῃ ἀποφάσει, ὑπέγραψα.

Ἀμφιλόχιος ἐπίσκοπος Σίδης ὑπέγραψα, ἀποφηνάμενος ἅμα τῇ ἁγίᾳ συνόδῳ.

Ἰκάνιος ἐπίσκοπος Γορτυνίας τῆς Κρήτης ὑπέγραψα, ἀποφηνάμενος ἅμα τῇ ἁγίᾳ συνόδῳ.

Φῆλιξ ἐπίσκοπος πόλεως Ἀπολλωνίας ϗ * Βελίδος, ὑπέγραψα, ἀποφηνάμενος, ϗ τὰ ἑξῆς. * Βιθιλίδος.

Δανιὴλ ἐπίσκοπος Κολωνίας ὑπέγραψα, ἀποφηνάμενος, ϗ τὰ ἑξῆς.

Πεεγένης ἐπίσκοπος Κορίνθου ὑπέγραψα, ἀποφηνάμενος, ϗ τὰ ἑξῆς.

Ἑλλάνικος ἐπίσκοπος Ρόδου ὑπέγραψα, ϗ τὰ ἑξῆς.

Κῦρος ἐλάχιςος ἐπίσκοπος Ἀφροδισιάδος ὑπέγραψα, ϗ τὰ ἑξῆς.

* Δυνάτος ἐπίσκοπος Νικοπόλεως παλαιᾶς Ἠπείρου ὑπέγραψα, ϗ τὰ ἑξῆς. * Δωνάτος

Εὐχάριος ἐπίσκοπος Δυρραχίου ὑπέγραψα, ἀποφηνάμενος, ϗ τὰ ἑξῆς.

Σενεκίων ἐπίσκοπος πόλεως * Κοδείνης ὑπέγραψα, ϗ τὰ ἑξῆς. * Κόδρων

Ἐπιφάνιος ἐπίσκοπος * Κρατείας ὑπέγραψα, ϗ τὰ ἑξῆς. * Κρατίας

Εὐσέβιος ἐπίσκοπος Ἡρακλείας ὑπέγραψα, ϗ τὰ ἑξῆς.

Ἀνύσιος ἐπίσκοπος τῆς κατὰ Θήβας ἁγίας τοῦ Θεοῦ ἐκκλησίας τῆς κατὰ τὴν Ἑλλάδα ὑπέγραψα, ἀποφηνάμενος, ϗ τὰ ἑξῆς.

* Δόμνος ἐπίσκοπος τῆς κατὰ Ὀποῦντα ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ὑπέγραψα, ϗ τὰ ἑξῆς. * Δομνίνος,

Ἀγαθοκλῆς ἐπίσκοπος τῆς * Κορωναίων πόλεως ὑπέγραψα, ϗ τὰ ἑξῆς. * Κολωνίας

Γρηγόριος κατὰ Θεοῦ χάριν ἐπίσκοπος Κερασοῦντος ὑπέγραψα, ϗ τὰ ἑξῆς.

* Παράλιος ἐπίσκοπος ἐλέῃ Θεοῦ Ἀνδραπηνῶν ὑπέγραψα, ϗ τὰ ἑξῆς. * Περράβιος

* Καλλικράτης ἐπίσκοπος Ναυπάκτου ὑπέγραψα, ϗ τὰ ἑξῆς. * Καλλιγράτης,

Νικίας ἐπίσκοπος Μεγάρων ὑπέγραψα, ϗ τὰ ἑξῆς.

Δοκιμάσιος ἐπίσκοπος διοικήσεως Θράκης ἐπαρχίας Ροδόπης, τῆς πόλεως Μαρωνείας, ὑπέγραψα, ϗ τὰ ἑξῆς.

Λαχιανὸς ἐπίσκοπος τῆς αὐτῆς ἐπαρχίας πόλεως Τοπήρου ὑπέγραψα, ϗ τὰ ἑξῆς.

Ἐννέπιος ἐπίσκοπος τῆς αὐτῆς ἐπαρχίας * πόλεως Μύζης ὑπέγραψα, ϗ τὰ ἑξῆς. * Μαξιμιανουπόλεως

Ρηγῖνος ἐπίσκοπος πόλεως Κωνσταντίας ὑπέγραψα, ϗ τὰ ἑξῆς.

Σαπείκιος ἐπίσκοπος Πάφου ὑπέγραψα, ϗ τὰ ἑξῆς.

Θεμίςιος ἐλάχιςος ἐπίσκοπος Ἰαοσοῦ ὑπέγραψα, ἀποφηνάμενος ἅμα τῆς ἁγίας συνόδου.

Περέβιος ἐπίσκοπος # Θεσσαλονικέων Σαλτῶν ὑπέ-

ὑπέγραψα, ἀποφηνάμενος σὺν τῇ ἁγίᾳ συνόδῳ.
Ἀφθόνητος ἐλάχιστος ἐπίσκοπος Ἡρακλείας ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Σπουδάσιος ἐπίσκοπος Κεράμων ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Φιλητὸς ἐλάχιστος ἐπίσκοπος Ἀμυζόνος ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Ἀρχέλαος ἐπίσκοπος Μυνδοῦ ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Ἀπελλᾶς ἐλάχιστος ἐπίσκοπος * Κιβύρας ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Κιβύρρας
Φανίας ἐλάχιστος ἐπίσκοπος πόλεως Ἁρπάσων ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Προμάχιος ἐπίσκοπος Ἀλίνδων ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Ἀνδήριος ἐπίσκοπος ἐπαρχίας Κρήτης, πόλεως Χερρονήσου, ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Παῦλος ἐπίσκοπος ἐπαρχίας Κρήτης πόλεως Λάμπης ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Ζηνόβιος ἐπίσκοπος ἐπαρχίας Κρήτης πόλεως Κνωσσοῦ ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Θεόδωρος ἐπίσκοπος Δωδώνης παλαιᾶς Ἠπείρου ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Σεκουνδιανὸς ἐπίσκοπος τῆς κατὰ Λάμην ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Δίων ἐπίσκοπος Θηβῶν Θεσσαλίας ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Θεόδωρος ἐπίσκοπος Ἐχιναίου ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Ἡρακλέων, ὁ καὶ Θεόφιλος, ἐπίσκοπος Τράλλεων ὑπέγραψα, καὶ τὰ ἑξῆς.
* Εὔπαρος ἐπίσκοπος Ὑπαίπων ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Εὔπορος
Ῥόδων ἐπίσκοπος Παλαιᾶς πόλεως τῆς Ἀσίας ὑπέγραψα, καὶ τὰ ἑξῆς.
* Τυχικὸς ἐπίσκοπος τῆς Ἐρυθραίων πόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Εὐτύχιος,
Νεστόριος ἐπίσκοπος Σιὼν ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Εὐτύχιος ἐπίσκοπος τῆς ἐν Θεοδοσιουπόλει ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Μόδεστος ἐπίσκοπος τῆς * Νεατῶν πόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Ἀνίων
* Θεοσέβιος ὁ ἐλάχιστος ἐπίσκοπος * Περίνης πόλεος ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Θεοδόσιος * Περίνης
Θεόδοτος ἐπίσκοπος * Μνάσης ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Νύσσης,
Μάξιμος ὁ ἐλάχιστος ἐπίσκοπος Ἀσσοῦ ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Μάξιμος ἐπίσκοπος Κύμης ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Ἀλέξανδρος ἐπίσκοπος Ἀρκαδιουπόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Θεόδωρος ἐπίσκοπος * Ἀνηνυσσίων ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Ἀνηνυσίας
Εὐσέβιος ἐπίσκοπος Κλαζομενῶν ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Εὐσέβιος ἐπίσκοπος Μαγνησίας ὑπέγραψα καὶ τὰ ἑξῆς.
Θεοδόσιος ἐπίσκοπος Μασταύρων ὑπέγραψα καὶ τὰ ἑξῆς.
Εὐτρόπιος, ὁ ἐλάχιστος ἐπίσκοπος Εὐάζων ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Φίλιππος ἐπίσκοπος τῆς Περγάμων πόλεως, ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Ἀφόβιος ὁ ἐλάχιστος ἐπίσκοπος * Κολώνης ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Κολοῦς
Δωρόθεος ὁ ἐλάχιστος ἐπίσκοπος * Μυρίνης ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Σμύρνης
Εὐθάλιος ἐπίσκοπος τῆς * Κολοφώνων πόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Κολοφωνίων
* Ἡλιόθεος ἐπίσκοπος Βαριουλιτῶν ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Τιμόθεος ἐπ. Βριέλων, λίθες
Ἀθανάσιος ἐπίσκοπος * Παράσου τῆς νήσου ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Παροσίδη,
Ἡσύχιος ἐπίσκοπος πόλεως Παρίου ἐπαρχίας Ἑλλησσόντου, ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Εὐσέβιος ἐπίσκοπος * Ἀσώνων ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Ἀσπόνων,
Φιλούμενος ἐπίσκοπος Κίννης ὑπέγραψα, καὶ τὰ ἑξῆς. Ἀσπώνων
Ζηνὼν ἐπίσκοπος πόλεως * Κουρίου τῆς Κύπρου ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Κηρίνης
Τριβωνιανὸς ἐπίσκοπος τῆς ἐν * Πριαμουπόλει ἁγίας ἐκκλησίας, ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Ἀσπένδῳ
Νουνέχιος ἐπίσκοπος τῆς ἐν Σέλγῃ ἁγίας ἐκκλησίας ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Εὐάγριος ἐπίσκοπος * Σολίας ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Σολῶν
Καισάριος χορεπίσκοπος πόλεως * Ἀλκῆς ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Ἀρκῆς
Ἰωάννης ἐπίσκοπος τῆς Προικοννήσου ὑπέγραψα, καὶ τὰ ἑξῆς.
* Νήσιος ἐπίσκοπος τῆς κατὰ Κοροβοσυνην ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Νίσιος, ἐπὶ τῆς κατὰ Κορύβρασσον
Ἀκάκιος ἐπίσκοπος τῆς ἐν * Κοπενοῖς τοῦ Θεοῦ ἐκκλησίας ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Κοπενοῖς,
Νεκτάριος ἐπίσκοπος τῆς ἐν * Σενέᾳ καθολικῆς ἐκκλησίας ὑπέγραψα καὶ τὰ ἑξῆς. * Σωνέοις, καὶ ἀποστολικῆς
Σόλων ἐπίσκοπος τῆς Καραλλίας ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Ματιδιανὸς ἐπίσκοπος τῆς Κορακισίων πόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.
* Μαριανὸς ἐπίσκοπος τῆς κατὰ Λύρβην, ὑπέγραψα καὶ τὰ ἑξῆς. * Ταυριανὸς, ἢ Κυπριανὸς, Ταριανὸς
Θεόδουλος ἐπίσκοπος Ἐλούσης ὑπέγραψα, καὶ τὰ ἑξῆς.
* Φιλάδελφος ἐπίσκοπος τῆς Γρατιανιτῶν πόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Φιλαδέλφιος ἐπ. τῆς Γρατιανουπολιτῶν
Θεόκτιστος ἐπίσκοπος τῆς Φωκάεων πόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Ῥουφῖνος ἐπίσκοπος τῆς * Ταβανῶν πόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Ταβῶν Ταβηνῶν
Ἰωάννης ἐπίσκοπος Αὐγουστοπόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Ρωμανὸς ἐπίσκοπος Ῥαφίας ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Φεῖδος ἐπίσκοπος Ἰόππης ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Ἀϊάνης ἐπίσκοπος Συκαμαζόνος ὑπέγραψα, καὶ τὰ ἑξῆς.
* Παυλιανὸς ἐπίσκοπος Μαϊουμᾶ ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Παυλῖνος
Θεόδωρος ἐπίσκοπος * Ἀρβδήλων ὑπέγραψα, καὶ τὰ ἑξῆς. * Ἀραβδήλων Ἀριδήμων
Πέτρος ἐπίσκοπος Παρεμβολῶν ὑπέγραψα, καὶ τὰ ἑξῆς.
Παῦλος ἐπίσκοπος Ἀνθηδόνος ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Νε-

Νετόρας ἐπίσκοπος Γάζας ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Σαΐδος Σάαδος — * Σαΐδας ἐπίσκοπος Φαίνους ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Σερηνιανὸς ἐπίσκοπος Μυρέων πόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Κύριλλος ἐπίσκοπος Πυλῶν. Σελευκοπόνδιος πρεσβύτερος περιοδευτὴς ὑπέγραψεν ὑπὲρ αὐτοῦ, ἐπειδὴ τὴν χεῖρα πάσχει,

* Ρινοδούρων — Ἑρμογένης ἐπίσκοπος * Ρινοκουρούρων ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Εὐσέβιος ἐπίσκοπος Πηλουσίου ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Εὐόπτιος ἐπίσκοπος Πτολεμαΐδος ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Φοιβάμμων ἐπίσκοπος Κοπτοῦ ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Φλαβωνίας — Παῦλος ἐπίσκοπος * Φραγονέας ὑπέγραψα ἀποφηνάμενος σὺν τῇ συνόδῳ.

Μακεδόνιος ἐπίσκοπος Ξόεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Ὀξυρύγχους — Πέτρος ἐπίσκοπος * Ὀξυρύγχου ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Ὀνούφνως — Ἀδέλφιος ἐπίσκοπος τῆς * Ὀνουφιτῶν ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Παραλίου — Ἀθανάσιος ἐπίσκοπος * Παράλου ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Ἡράκλειος ἐπίσκοπος Παρείκου, — * Ἡρακλείδης ἐπίσκοπος παροικίας Θυνέως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Σιλουανὸς ἐπίσκοπος Κοπριθέως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Ἀρχαίως — Κῦρος ἐπίσκοπος * Ἀχαιῶν ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Μαρῖνος ἐπίσκοπος Ἡλιουπόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Μακάριος ἐπίσκοπος Μετηλιτῶν ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ἀδέλφιος ἐπίσκοπος Σάεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Μητρόδωρος ἐπίσκοπος Λεόντων ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ἰωάννης ἐπίσκοπος τῆς Ἡφαιστιωτῶν ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Λεόντιος ἐπίσκοπος ..... ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Στρατήγιος ἐπίσκοπος τῆς Ἀθριβιτῶν ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Λαμπέτιος ἐπίσκοπος τοῦ Κασίου ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Καβάσων — Θεόπεμπτος ἐπίσκοπος * Καβάσων ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Εὐσέβιος ἐπίσκοπος Νειλουπόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Χρυσαόριος ἐπίσκοπος Ἀφροδιτῶν ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ἀλέξανδρος ἐπίσκοπος Κλεοπάτριδος ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Θέων ἐπίσκοπος Ἡρακλέους τοῦ Σεθροίτου ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Θέων — * Θεωνᾶς ἐπίσκοπος ψυγχοῦς ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Ἡρακλεοῦς — Ἡρακλείδης ἐκκλησίας τῆς ἄνω * Ἡρακλείας ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ἀριστόβουλος ἐπίσκοπος Θμούεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Βουτοῦ — Ἄμμων ἐπίσκοπος τῆς * Βουτητῶν πόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ἀνδρέας ἐπίσκοπος Ἑρμουπόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Μακάριος ἐπίσκοπος Ἀντέου ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Σαβῖνος ἐπίσκοπος Πανὸς ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ἡράκλειος ἐπίσκοπος Ταμιάθεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ζηνόβιος ἐπίσκοπος Βάρκης τῆς κατὰ Πεντάπολιν, ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ἰσαὰκ Ἐλεαρχίας ἐπίσκοπος ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ζηνῶν ἐπίσκοπος Τευχείρων ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ἀβραὰμ ἐπίσκοπος πόλεως Ὀστρακίνης ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ἱερακὴς ἐπίσκοπος Ἀφναϊτῶν ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Σαμουὴλ ἐπίσκοπος Δύσθεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Δανιὴλ ἐπίσκοπος * Δάρνης ὑπέγραψα, καὶ τὰ ἑξῆς. — * Δάρνεως

* Σωσίπατρος ἐπίσκοπος Λιβύης Σεπτιμιακῆς ὑπέγραψα, καὶ τὰ ἑξῆς. — * Σώπατρος

Ἀλύπιος ἐπίσκοπος * Σέλης ὑπέγραψα, καὶ τὰ ἑξῆς. — * Ἐλείμ, Σελῆς

Ἀμμώνιος ἐπίσκοπος Πανεφύσου ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ἑλλάδιος ἐπίσκοπος τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας * . . . ὑπέγραψα, καὶ τὰ ἑξῆς. — * τῆς κατὰ τὸ Ἀδραμυτίνον,

Βοσπόριος ἐπίσκοπος Γαγγρῶν τῆς μητροπόλεως ἐπαρχίας Παμφυλίας ὑπέγραψα, ἀποφηνάμενος ἅμα τῇ ἁγίᾳ συνόδῳ. Ὑπάτιος πρεσβύτερος ἐπιτραπεὶς παρ' αὐτοῦ ὑπέγραψε, διὰ τὸ ἀῤῥωστεῖν αὐτὸν.

Ἀργῖνος ἐπίσκοπος Πομπηϊουπόλεως τῆς Παφλαγονίας ὑπέγραψα. Συνέσιος πρεσβύτερος ὑπεγραψεν ὑπὲρ αὐτοῦ διὰ τὸ ἀνωμαλεῖν αὐτὸν.

Ἑλλάδιος ἐπίσκοπος τῆς κατὰ τὸ * Ἀδραμυτὸν ἁγίας ἐκκλησίας ὑπέγραψα, καὶ τὰ ἑξῆς. — * Ἀδραμυτηνὸν

Στέφανος ἐπίσκοπος τῆς Τηϊ τῶν πόλεως Ἀσίας ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Ἰδδούας ἐπίσκοπος Σμύρνης ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Αριστόνικος ἐλάχιστος ἐπίσκοπος τῆς Λαοδικέων μητροπόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Βενεάγος ἐπίσκοπος τῆς κατὰ Ἱεράπολιν. Παῦλος πρεσβύτερος ὑπὲρ αὐτοῦ παρόντος, καὶ ἐντειλαμένου μοι, ὑπέγραψα, καὶ τὰ ἑξῆς. — * Βενεάτιος

Σιλουανὸς ἐπίσκοπος * Κερατάπων ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς. — * Χαιρετάπων

Κωνσταντῖνος ἐπίσκοπος τῆς * Διοκλητιανῶν πόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς. — * Διοκλητιανουπόλεως

Ἑρμόλαος ἐπίσκοπος Σαττουδέων ὑπέγραψα, ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Ἀσκληπιάδες ἐπίσκοπος τῆς κατὰ Τραπεζόπολιν ἐκκλησίας ὑπέγραψα, ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Ἰωάννης ἐπίσκοπος Λέσβου ὑπέγραψα, ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Πέ-

Πέτρος ἐλάχιστος ἐπίσκοπος Κρούσης ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Εὐγένιος ἐλάχιστος ἐπίσκοπος Ἀπολλωνιάδος ὑπέγραψα, ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Καλλίνικος ἐπίσκοπος Ἀπαμείας ὑπέγραψα, ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Ἀθανάσιος ἐπίσκοπος τῆς κατὰ Δουελτὸν καὶ Σωζόπολιν ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Οὐαλεριανὸς ἐπίσκοπος Ἰκονίου ὑπέγραψα, ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

* Τίος — * Πίος ἐπίσκοπος Πεσσινουντίων ὑπέγραψα, ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

* Δερβητῶν — Θωμᾶς ἐπίσκοπος τῆς * Δέρβης, ὑπέγραψα, ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

* Ἰλιστρῶν — Μαρτύριος ἐπίσκοπος * Ἡλιστρῶν ὑπέγραψα, ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

* Ἀμμορίου — Ἀβλάβιος ἐπίσκοπος * Ἀμωρίου ὑπέγραψα, ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Λοτόϊος ἐπίσκοπος Λιβυάδος ὑπέγραψα, ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Σεύηρος ἐπίσκοπος Συνάδων, ἐπαρχίας Φρυγίας Σαλουταρίας, ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Κοταίνων — Δυμῆνος ἐπίσκοπος * Κοτνέου, ἐπαρχίας Φρυγίας Σαλουταρίας, ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Εὐστάθιος ἐπίσκοπος Δοκιμίου ἐπαρχίας Φρυγίας Σαλουταρίας, ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Δαλμάτιος ἐπίσκοπος τῆς κατὰ Κύζικονάγιας τοῦ Θεοῦ ἐκκλησίας ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

* Σκυθίας — Τιμόθεος ἐπίσκοπος ... ἐπαρχίας * Σκυθῶν ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

* Σκηφέων in alio ms. — Ἀθανάσιος ἐπίσκοπος τῆς * Σκηψίων πόλεως, ἐπαρχίας Ἑλλησπόντου, ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Μεώνιος ἐπίσκοπος τῆς Λυδίας πόλεως Σάρδεων ὑπέγαψα, καὶ τὰ ἑξῆς.

* Θεοφάνιος — * Θεοφάνης ἐπίσκοπος πόλεως Φιλαδελφίας ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Θῶκος — * Φῶσκος ἐπίσκοπος Θυατείρας ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

* Τερμανῶν — Τιμόθεος ἐπίσκοπος τῆς * Θερμανῶν πόλεως ἐπαρχίας Ἑλλησπόντου ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Κόμοδος ἐπίσκοπος Τριπόλεως ὑπέγραψα, καὶ τὰ ἑξῆς.

Εὐθήριος τῆς Στρατονικέων πόλεως Λυδίας ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

* Δαρδάνων — Παῦλος ἐλάχιστος ἐπίσκοπος τῆς Λυδίας * Δαρδάνης ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίᾳ συνόδῳ, χρησάμενος * χειρὶ κατ' ἐντολὰς ἐγγράφους παρὰ τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ Φώσκου, διὰ τὸ ἐν ἀῤῥωστίᾳ με * κατακεῖσθαι.

* χεῖρα — * εἶναι

Λιμένιος ἐπίσκοπος τῆς κατὰ Σέλλας ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, ἐπαρχίας * Μηδίας, ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

* Λυδίας, — * Ἀττηλίων — Θεόδωρος ἐλάχιστος ἐπίσκοπος * Ἀτάλων ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Παῦλος ἐπίσκοπος τῆς ἐν * Θρύμνοις ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς. — * Ὀρύμνοις Θύμνοις

Τιμόθεος ἐπίσκοπος πόλεως Τερμησοῦ καὶ Εὐδοκιάδος ὑπέγραψα, καὶ τὰ ἑξῆς.

* Αἰδέσιος ἐπίσκοπος πόλεως Ἰσιωδῶν ὑπέγραψα, καὶ τὰ ἑξῆς. — * Εἰδέσιος

* Λιβάνιος ἐπίσκοπος Παλαιᾶς πόλεως ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς. — * Λιβένιος,

Ἰωάννης ἐλαχιστος ἐπίσκοπος * Αὐρηλιανουπόλεως ἐπαρχίας Λυδίας ὑπέγραψα, καὶ τὰ ἑξῆς. — * Αὐρηλιουπόλεως,

Θεόδωρος ἐπίσκοπος Γαδάρων ὑπέγραψα ἀποφηνάμενος. Αἰθέριος διάκονος ὑπέγραψα, ἐπιτραπεὶς παρ' αὐτοῦ ἀδυνάτου ὄντος, ἢ μὴ γράφοντος.

Δάφνος ἐπίσκοπος Μαγνησίας Μαιάνδρου ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Θωμᾶς ἐπίσκοπος Οὐαλεντινιανουπόλεως ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Εὐπρέπιος ἐπίσκοπος Βιζύης ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

* Βερηνιανὸς ἐπίσκοπος Πέργης ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς. — * Βερρενιανὸς, ἐπ. Τέργης,

* Παβίσκιος ἐπίσκοπος Ἀπολλωνίας ὑπέγραψα, καὶ τὰ ἑξῆς. — * Πανίσκιος Πανίσκος

Εὐλόγιος ἐπίσκοπος Τερενούθεως ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Ἰσαάκ ἐπίσκοπος * Ταυλῶν ὑπέγραψα. Ἀδέλφιος ἐπίσκοπος Ὀνούφεως, παρακληθεὶς παρ' αὐτοῦ ὑπέγραψα ὑπὲρ αὐτοῦ, κακουμένου ὄντος αὐτοῦ. — * Ταβᾶ,

Εὐδόξιος ἐπίσκοπος πόλεως Χώματος, ἐπαρχίας Λυκίας, ὑπέγραψα ἀποφηνάμενος, καὶ τὰ ἑξῆς.

Ἀριστόκριτος ἐπίσκοπος Ὀλύμπου ὑπέγραψα τῇ προκειμένῃ ἀποφάσει τῆς ἁγίας συνόδου, καὶ συναινῶ.

Καὶ ἕτεροι δὲ ἐπίσκοποι προσελθόντες τῇ ἁγίᾳ συνόδῳ, μετὰ τὸ ὑπογράψαι τούτους τῇ καθαιρέσει Νεστορίου, ὑπέγραψαν τῇ προκειμένῃ ἀποφάσει. εἰσὶν οὖν οἱ καθελόντες αὐτὸν τὸν Νεστόριον ἐπίσκοποι ὑπὲρ τοὺς διακοσίους· ἐτοποτήρησαν γὰρ τινες ἄλλοις ἐπίσκοποις, μὴ δυναμένοις * παραγενέσθαι ἐν τῇ Ἐφεσίων μητροπόλει. — * ἐλθεῖν

Καθαίρεσις πεμφθεῖσα αὐτῷ τῇ ἐπαύριον τοῦ καθαιρεθῆναι αὐτόν.

Ἡ ἁγία συνόδος, ἡ χάριτι Θεοῦ κατὰ τὸ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συγκροτηθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει, ἐπιστέλλει Νεστορίῳ, νέῳ Ἰούδᾳ.

ΓΙΝΩΣΚΕ σεαυτὸν διὰ τὰ δυσσεβῆ σου κηρύγματα, καὶ τὴν πρὸς τοὺς κανόνας ἀπείθειαν, κατὰ τὰ δοκοῦντα τοῖς ἐκκλησιαστικοῖς θεσμοῖς, Ἰουνίου μηνὸς τοῦ ἐνεστῶτος δευτέρᾳ καὶ εἰκάδι, παρὰ τῆς ἁγίας συνόδου καθῃρῆσθαι, καὶ παντὸς ἐκκλησιαστικοῦ βαθμοῦ ὑπάρχειν ἀλλότριον.

Τῇ ἑξῆς τοῦ καθαιρεθῆναι τὸν αὐτὸν Νεστόριον, ἀπεστάλη αὐτῷ τοῦτο τὸ ἐπίσταλμα παρὰ τῆς ἁγίας συνόδου.

Ἐπιστολὴ πεμφθεῖσα πρὸς τοὺς κληρικούς, καὶ οἰκονόμους τῆς ἐκκλησίας Κωνσταντινουπόλεως, ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἐν ᾗ καὶ αὐτῷ Νεστορίῳ ἀπεσάλη.

Ἡ ἁγία συνοδος, ἡ χάριτι Θεοῦ ἐν Ἐφέσῳ συναχθεῖσα κατὰ τὰ θεσπίσματα τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων ἡμῶν βασιλέων, λαμπροτάτῳ * Εὐχαρίῳ, εὐλαβεστάτοις πρεσβυτέροις, καὶ οἰκονόμοις, καὶ λοιποῖς εὐλαβεστάτοις κληρικοῖς τῆς κατὰ τὴν φιλόχριστον Κωνσταντινούπολιν ἁγίας τοῦ Θεοῦ ἐκκλησίας χαίρειν. * καὶ Εὐχαρίῳ,

ΓΙΝΩΣΚΕΤΩ ἡ ὑμετέρα εὐλάβεια, τὸ δύσφημον Νεστόριον διὰ τὰ δυσεβῆ αὐτοῦ κηρύγματα, κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς ἀπεθήσαντα, κατὰ τὴν χθὲς ἡμέραν, ἤ τις ἐστὶ τοῦ ἐνεστῶτος μηνὸς Ἰουνίου δευτέρα καὶ εἰκάς, παρὰ τῆς ἁγίας συνόδου κατὰ τὸ δοκοῦν τοῖς ἐκκλησιαστικοῖς κανόσι καθηρῆσθαι, καὶ παντὸς ἐκκλησιαστικοῦ βαθμοῦ ὑπάρχειν ἀλλότριον· φυλάξατε τοίνυν τὰ ἐκκλησιαστικὰ σύμπαντα, ὡς μέλλοντες καὶ λόγον ἀποδοῦναι τῷ κατὰ βάλησιν Θεοῦ, καὶ νεύματι τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων χειροτονηθησομένῳ τῇ Κωνσταντινουπολιτῶν ἐκκλησίᾳ.

Κυρίλλου ἐπιστολὴ πρὸς τινας ἐκ τοῦ ἐν Κωνσταντινουπόλει κλήρου.

Κύριλλος ἀρχιεπίσκοπος Ἀλεξανδρείας * Κομαείῳ καὶ * Ποτάμωνι ἐπισκόποις, καὶ τῷ ἀρχιμανδρείτῃ τῶν μοναστηρίων τῷ κυρίῳ Δαλματίῳ, καὶ Τιμοθέῳ, καὶ Εὐλογίῳ πρεσβυτέροις, ἀγαπητοῖς καὶ ποθεινοτάτοις, καὶ ἐν Χριστῷ ἡγιασμένοις πλεῖστα χαίρειν. * Κωμαείῳ * Ποταμίωνι

ΠΡΟΣΕΔΟΚΩΜΕΝ ἐλθόντα τὸν τίμιον Νεστόριον μεταγνῶναι ἐφ' οἷς δεδυσφήμηκεν, ἀφ' ὧν κεχειροτόνηται, καὶ συγγνώμῃ αἰτῆσαι παρὰ τῆς ἁγίας συνόδου. εἰ καὶ ὅπι μάλιστα ἦτος ἐπικίνδυνον τὸ χαρίσασθαι συγγνώμην αὐτῷ. ὁ γὰρ ἐνεδέχετο οὐδεὶ τοιαῦτα κηρύξαντι· πᾶσαν γὰρ διέστρεψε τὴν οἰκουμένην, καὶ τὴν θρησκευομένην τῶν ἐκκλησιῶν παρέλυτε πίστιν. χαρίσασθαι συγγνώμην. εἰ γὰρ καὶ ὁ μίαν ἀφιέναι δύσφημον φωνὴν τολμήσας κατὰ τῶν ἀσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, δικαίως ὑπομένει τὰς ἐκ τῶν νόμων ἀγαναγκτήσεις. ὁ μᾶλλον ὁ ἀσεβὴς τὸ σύμπαν, ὁ τὸ διαγὲς ἡμῶν ἀνατρέπων μυστήριον, καὶ ἀναιρῶν τὴν οἰκονομίαν, ἣν ὁ ἅγιος καὶ φιλάνθρωπος τοῦ Θεοῦ πατρὸς ὡς μονογενὴς δι' ἡμᾶς ἐπλήρωτε καταξιώσας ἄνθρωπος γενέσθαι, ἵνα πάντας ἡμᾶς σώσῃ, καὶ ἀπαλλάξῃ τῆς ὑπ' ἐρανὸν ἁμαρτίας καὶ θανάτου; πλὴν ἐθαυμάσαμεν τὴν σκληροκαρδίαν τοῦ ἀνδρός. ὁ γὰρ μετενόησεν, οὐδὲ ἔκλαυσεν ἐφ' οἷς ἐπεῖν ἐτόλμησε κατὰ τῆς δόξης τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, ἀλλὰ γὰρ καὶ ἐν Ἐφέσῳ παραγεγονὼς, τοῖς αὐτοῖς ἐχέχρητο λόγοις, καὶ πάλιν ἔδειξεν αὐτὸν φρονοῦντα τὰ διεστραμμένα· ὡς καὶ τῶν ἐπισήμων μητροπολιτῶν, καὶ θεοσεβεστάτων ἐπισκόπων λόγους δικαίως πρὸς αὐτὸν κοινάντων, εἶτα συγκλειόντων αὐτὸν διὰ τῆς θεοπνεύστου γραφῆς, καὶ διδαξάντων, ὅτι Θεός ἐστιν ὁ ἐκ τῆς ἁγίας παρθένου κατὰ σάρκα γεννηθείς, ἀθεμίτῳ φωνῇ χρησάμενος ἔφη· ἐγὼ διμυωπίαν καὶ τελμιωπίαν Θεὸν οὐ λέγω· καὶ ἄλλα δὲ πρὸς τούτοις ἔπρα, ἀναιρῶν τὴν ἐνανθρώπησιν τοῦ μονογενοῦς. Δέδοται μὲν οὖν τῇ ἁγίᾳ συνόδῳ προθεσμία ἡ ἁγία πεντηκοστὴ παρὰ τῶν θεοφιλεστάτων ἡμῶν βασιλέων. τὸ γὰρ πρῶτον γράμμα, δι' οὗ κεκλήμεθα, τοῦτον ἔσχε τὸν τύπον. κατωτήσαμεν δὲ ἐπὶ τὴν Ἐφεσίων πόλιν πρὸ τῆς ἀειστείας ἡμέρας· οὐ γὰρ ἠδυνήθημεν προφθάσαι θεσπεσίων θεσπισμάτων· ἐπειδὴ δὲ ἀκηκόαμεν ἔρχεσθαι τὸν ἁγιώτατον καὶ θεοφιλέστατον τῆς Ἀντιοχέων ἐπίσκοπον Ἰωάννην, περιεμείναμεν ἡμέρας ἐκκαίδεκα· καίτοι πάσης τῆς συνόδου βοώσης καὶ λεγούσης, ὅτι σπεῦσος οὐ βούλεται σωφρονεῖσθαι· ἔδοικε γὰρ μὴ ἄρα καθαίρεσιν ὑπομείνῃ ὁ τιμιώτατος Νεστόριος, ληφθεὶς ἐκ τῆς ὑπ' αὐτὸν ἐκκλησίας, καὶ ἴσως τὸ πρᾶγμα αἰσχύνεται· ὃ καὶ ἔδειξε καὶ ἡ πεῖρα τὸ λοιπὸν ἀληθινῶς· ὑπερέθετο γὰρ τὸ ἐλθεῖν· προλαβόντες γάρ τινες τῶν συν αὐτῷ ἁγιωτάτων ἐπισκόπων ἐκ τῆς ἀνατολῆς, ἔφησαν· ὡμολόγηται ἡμῖν ὁ κύριος Ἰωάννης ὁ ἐπίσκοπος εἰπεῖν τῇ θεοσεβείᾳ ὑμῶν, ὅτι ἐὰν βραδύνω, πράττετε ἃ πράττετε· συναχθεῖσα τοίνυν ἡ ἁγία σύνοδος τῇ κατὰ Ἀλεξάνδρειαν ὀγδόῃ καὶ * εἰκάδι τοῦ Παυνὶ μηνὸς ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, τῇ καλουμένῃ ἁγίᾳ Μαρίᾳ, ἐκάλεσεν αὐτὸν, πέμψασα ἁγιωτάτους ἐπισκόπους, ὥστε ἐλθεῖν αὐτὸν, καὶ * συσσῆσαι * ἑαυτῇ, καὶ ἀπολογήσασθαι περὶ ὧν ἐδίδαξε καὶ ἔγραψεν. ὁ δὲ τῇ μὲν πρώτῃ ἀποκρίσιν ἐποιήσατο λέγων· ὅτι σκέπτομαι καὶ ὁρῶ· κέκληται δευτέρῳ παραγνωστικῷ παρὰ τῆς ἁγίας συνόδου, πάλιν πεμφθέντων πρὸς αὐτὸν θεοσεβεστάτων ἐπισκόπων. ὁ δὲ πρᾶγμα ποιῶν ἄτοπον, γραπτὸν λαβὼν παρὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ, ἔστησε πρὸ τῆς οἰκίας αὐτοῦ μετὰ ῥοπάλων * χωλύων ἐκελθεῖν τινα πρὸς αὐτόν. ὡς δὲ ἐπέμενον οἱ πεμφθέντες ἁγιώτατοι ἐπίσκοποι, λέγοντες· ὅτι οὐδὲν χαλεπὸν ἤλθομεν εἰπεῖν ἢ ἀκοῦσαι, ἀλλ' ἡ ἁγία σύνοδος αὐτὸν καλεῖ· ἀφορμαῖς ἐκέχρητο διαφόροις, ὡς μὴ θέλων ἀνελθεῖν· ἐπέπλητε γὰρ * αὐτῷ τὸ συνεδρεῖν. εἶτα κεχρήμεθα καὶ τρίτῳ παραναγνωστικῷ· καὶ πάλιν πεμφθέντων ἐπισκόπων πρὸς αὐτὸν ἐκ διαφόρων ἐπαρχιῶν, πάλιν τῇ τῶν γραπτῶν ἐχρήσατο βίᾳ, καὶ οὐκ ἠθέλησεν ἐλθεῖν. καθεσθεῖσα τοίνυν ἡ ἁγία σύνοδος, καὶ ἀκολουθήσασα τοῖς τῆς ἐκκλησίας θεσμοῖς, καὶ ἀναγνοῦσα τὰς ἐπιστολὰς αὐτοῦ καὶ τὰς ἀξιώσεις, καὶ λύσασα δυσφημιῶν αὐτὰς μέσας· μαρτυρησάντων δὲ καὶ ἐπισήμων ἁγιωτάτων ἐπισκόπων μητροπολιτῶν, ὅτι ἐν αὐτῇ τῇ Ἐφεσίων, καὶ πρὸς ἡμᾶς διαλεγόμενος, σαφῶς εἶρηκεν, ὅτι οὐκ ἔστι Θεὸς ὁ Ἰησοῦς· καθεῖλεν αὐτὸν, καὶ δικαίαν καὶ ἔννομον τῷ ψήφον ἐξήνεγκε κατ' αὐτοῦ. Ἐπειδὴ δὲ ἦν ἀναγκαῖον, ταῦτα αὐτὰ μαθοῦσαν τὴν ὑμετέραν θεοσέβειαν, διδάξαι ὡς χρὴ μᾶλλον αὐτὰ μαθεῖν, ἵνα μὴ σφαλῇ ἢ αὐτὸς, ἢ οἱ συμπαιδάζοντες αὐτῷ, ταῦτα ἀναγκαίως ἐμελήθημεν. ἔχομεν δὲ καὶ τὸν θεοσεβέστατον καὶ θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην ἐπιστολὴν * σκέπτα * ἴσως, ἴσασι * χωλύοντα χωλύειν * αὐτοῖς

στολὴν γραφεῖσαν πρὸς αὐτὸν, δι' ἧς σφόδρα αὐτῷ ἐπιτιμᾷ, ὡς καινὰ καὶ ἀσεβῆ δόγματα εἰσενεγκόντι εἰς τὰς ἐκκλησίας, καὶ παραλύοντι τὸ κήρυγμα τὸ ἐκτῶν ἁγίων * εὐαγγελιστῶν, καὶ ἀποστόλων παραδοθὲν ταῖς ἐκκλησίαις. ἐπειδὴ δὲ οὐδὲν δύναται πρὸς τὰς ἑαυτοῦ δυσφημίας εἰπεῖν, προφασίζεται· ὅτι παρεκάλεσα ἡμέρας τέσσαρας ὑπερτεθῆναι, ἕως ἂν παραγένηται ὁ τῆς Ἀντιοχέων ἐπίσκοπος, καὶ οὐκ ἐνδεδώκασι· καίτοι τοῦ μνημονευθέντος Ἰωάννου ἁγιωτάτου ἐπισκόπου παραιτησαμένου τὴν ἄφιξιν. εἰ γὰρ ἤθελε παρεῖναι, διὰ τί ἐμήνυσε διὰ τῶν ὑπόχειρα αὐτοῦ ἐπισκόπων· ὅτι ἐὰν βραδύνω, πράττετε, ὃ πράττετε; ὡς γὰρ ἔφην, οὐκ ἠθέλησε παρεῖναι, εἰδὼς ὅτι πάντως ἡ ἁγία σύνοδος καταψηφιεῖται Νεστορίου τὴν καθαίρεσιν, ὡς ἀσεβῆ καὶ δύσφημα λαλήσαντος κατὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ. ἐπεὶ οὖν, ὡς ἔμαθον, ἀνηνέχθησαν ἀναφοραὶ παρὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ, νήψατε, διδάσκοντες ὅτι οὔπω τὰ ὑπομνήματα τὰ πεπραγμένα ἐπὶ τῇ καθαιρέσει αὐτοῦ ἐτελειώθησαν ἐν χάρταις· διὸ οὐκ ἠδυνήθημεν οὔτε τὴν ἀναφορὰν πέμψαι, τὴν ὀφείλουσαν πεμφθῆναι πρὸς τοὺς εὐσεβεῖς καὶ νικητὰς ἡμῶν βασιλεῖς. σὺν Θεῷ δὲ εἰπεῖν, καταλήψεται ἡ ἀναφορὰ μετὰ τῶν ὑπομνημάτων, ἂν τέως ἡμῖν συγχωρηθῇ πέμψαι τὸν διακομίσαι δυνάμενον. ἂν τοίνυν βραδύνῃ ἡ τῶν ὑπομνημάτων καὶ τῆς ἀναφορᾶς ἄφιξις, γινώσκετε, ὅτι οὐ συγχωρούμεθα πέμψαι. ἔρρωσθε.

* πατέρων

Ἀναφορὰ Νεστορίου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων πρὸς τοὺς βασιλέας, περὶ τῶν πεπραγμένων παρὰ τῇ ἁγίᾳ συνόδῳ, γραφεῖσα πρὸ τοῦ παραγενέσθαι ἐν Ἐφέσῳ τὸν Ἀντιοχείας.

ΕΙΣ τὴν Ἐφεσίων πόλιν συγκληθέντες ὑπὸ τῆς ὑμετέρας εὐσεβείας, καὶ ἀνυπερθέτως παραγενόμενοι, ἐβουλήθημεν τοῖς εὐσεβέσιν ὑμῶν ἐπόμενοι γράμμασιν, ἀναμεῖναι τοὺς πανταχόθεν ἀφικνουμένους θεοφιλεστάτους ἐπισκόπους, μάλιστα δὲ τὸν ἁγιώτατον τῆς Ἀντιοχέων μεγαλοπόλεως, καὶ τοὺς σὺν αὐτῷ θεοφιλεστάτους μητροπολίτας ἐπισκόπους, καὶ τοὺς ἀπὸ τῆς Ἰταλίας καὶ Σικελίας, καὶ οὕτω κοινὸν ἁπάντων ποιῆσαι συνέδριον, καὶ κοινῇ ψήφῳ κυρῶσαι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συναθροισθέντων τὴν πίστιν· καὶ γὰρ πολλαὶ μετ' ἐκείνην γινόμεναι σύνοδοι οὐδὲν καινοτομῆσαι κατ' ἐκείνης ἐτόλμησαν. ἀλλ' ἐκείνῃ * πάντες ἐμμένειν ἐνομοθέτησαν. ὡς δὲ εἴδομεν τοὺς ἀπ' Αἰγύπτου δυσχεραίνοντας, καὶ οἰομένους ἡμᾶς * ἁπλῶς ἀναβολαῖς κεχρῆσθαι, ὑπεσχόμεθα συνεδρεύειν, ὁπόταν ὁ μεγαλοπρεπέστατος κόμης τῶν καθωσιωμένων δομεστίκων Κανδιδιανὸς, ἀπὸ τῆς ὑμετέρας εὐσεβείας τούτου χάριν ἀποσταλὴς, συγκαλέσαι ἡμᾶς βουληθείη. ταῦτα δὲ καὶ αὐτῷ διὰ θεοφιλεστάτων ἐπισκόπων ἐδηλώσαμεν. ἐπειδὴ δὲ ἔγνω αὐτοῦ ἡ μεγαλοπρέπεια καὶ τὸν ἁγιώτατον Ἰωάννην τῆς Ἀντιοχέων μεγαλοπόλεως ἐπίσκοπον, καὶ τοὺς σὺν αὐτῷ πλησίον ὄντας· τοῦτο γὰρ αὐτῷ οἱ ἀποσταλέντες ὑπ' αὐτοῦ ἐδήλωσαν μαγιστριανοί. καὶ ἄλλοι δὲ ἠγγέλθησαν ἐκ τῆς δύσεως θεοφιλέστατοι ἐπίσκοποι· παρηγγύησεν ἅπασιν ἀναμεῖναι πάντων τὴν παρουσίαν, κατὰ τὰ δόξαντα τῇ εὐσεβεῖ ὑμῶν * κορυφῇ. καὶ ἡμεῖς μὲν τὴν ἡσυχίαν ἠγαπήσαμεν, εἴξαντες τοῖς γραφεῖσιν ὑπὸ τῆς ὑμετέρας εὐσεβείας. Αἰγύπτιοι δὲ, καὶ Ἀσιανοὶ, οὔτε τὸ κοινῇ συμφέρον ταῖς ἐκκλησίαις λογισάμενοι, οὔτε τὸν εἰρηνικὸν καὶ ἔννομον τῆς ὑμετέρας εὐσεβείας σκοπὸν ἀποδεξάμενοι, μᾶλλον δὲ καὶ τοὺς ἐκκλησιαστικοὺς, καὶ τοὺς βασιλικοὺς θεσμοὺς πατήσαντες, ἔφυγον μὲν τὴν ἀκόλουθον καὶ σύμφωνον τῆς πίστεως ὁμολογίαν, ῥῆξαι δὲ ἴσως τὸ ἐκκλησιαστικὸν ἐθελήσαντες σῶμα, καθ' ἑαυτοὺς συνηθροίσθησαν· ἀλλότρια τῆς τε ἐκκλησιαστικῆς ἀκολουθίας ἐργαζόμενοι, καὶ τῶν ἀρτίως γραφέντων παρὰ τῆς ὑμετέρας εὐσεβείας γραμμάτων· μίαν γὰρ παρὰ πάντων * συμφωνίαν ἐκτεθῆναι πίστιν, ἐν τοῖς ἀπὸ τῆς ὑμετέρας εὐσεβείας γράμμασιν ἀποσταλεῖσι διηγορεύσατε, πρόσφορον τοῖς τε εὐαγγελικοῖς καὶ ἀποστολικοῖς γράμμασι, καὶ τοῖς τῶν ἁγίων πατέρων δόγμασιν. ἀλλ' οὐδὲν τούτων λογισάμενοι οἱ προειρημένοι, καθ' ἑαυτοὺς μὲν ἔπραξαν, ἃ παρὰ πάντων τὸ ὑμέτερον εἴσεται κράτος. τοὺς δὲ σὺν αὐτοῖς στρατιώτας εἰς τὴν ἀγορὰν διασπείραντες, συγχύσεως τὴν πόλιν ἐνέπλησαν, τὰς οἰκίας ἡμῶν περιιόντες, δημοσίᾳ ἐπιόντες, τὸ κοινὸν ἡμῶν συνέδριον διαταράττοντες, ἀνήκεστα ἅττα ἀπειλοῦντες, Μέμνονος τοῦ ἐπισκόπου ἐξάρχου τῆς στάσεως γενομένου. καὶ τοὺς μὲν ἁγίας ἐκκλησίας, καὶ τὰ ἅγια μαρτύρια, καὶ τὸ ἅγιον ἀποστόλιον ἡμῖν ἀποκλείσαντος, ἵνα μηδὲ προσφυγεῖν ἐλαυνόμενοι δυνηθῶμεν· ἐκείνοις δὲ τὴν μεγάλην ἐκκλησίαν ἀνοίξαντος, καὶ συνεδρεύειν ἐκεῖ παρασκευάσαντος, καὶ πᾶσιν ἡμῖν θάνατον ἀπειλήσαντος. δεόμεθα οὖν τῆς ὑμετέρας εὐσεβείας, καὶ ἀντιβολοῦμεν, καὶ ἱκετεύομεν, ἐπειδὴ τοῖς τῆς ὑμετέρας * κεφαλῆς γράμμασι τῆς φιλοχρίστου, εἴξαντες, τὴν Ἐφεσίων κατελάβομεν, ἀγνοοῦντες τὰς βαρβαρικὰς ταύτας ἐφόδους, κελεῦσαι ἡμᾶς, ἢ ἀνεπηρεάστους φυλαχθῆναι, καὶ ἐννόμως τὸ συνέδριον γενέσθαι, μηδενὸς τῶν κληρικῶν, ἢ τῶν μοναζόντων, μήτε τῶν ἡμετέρων, μήτε τῶν Αἰγυπτίων, ἐπεισιόντος τῷ συνεδρίῳ, μήτε τινὸς τῶν ἀκλήτως ἐληλυθότων ἐπισκόπων, ἐπὶ ταραχῇ τῆς ἁγίας συνόδου. δύο δὲ σὺν τῷ μητροπολίτῃ ἀφ' ἑκάστης ἐπαρχίας τοὺς ἐκκρίτους, καὶ δυναμένους τὰ τοιαῦτα εἰδέναι ζητήματα, εἰς τὸ συνέδριον συνεισελθεῖν, καὶ μετ' εἰρήνης καὶ συμφωνίας τὴν τῶν ἁγίων πατέρων βεβαιῶσαι πίστιν· ἢ κελεῦσαι ἡμᾶς ἀκινδύνως τὰ οἰκεῖα καταλαβεῖν· ἀπειλοῦσι γὰρ καὶ αὐτῆς τῆς ζωῆς ἡμᾶς ἀποστερεῖν.

* τάντη

* ἴσως, οὐχ ἁπλῶς

* κεφαλῇ.

* σύμφωνον

* κορυφῆς

Καί εἰσιν οἱ ὑπογράψαντες.

Νεστόριος ἐπίσκοπος Κωνσταντινουπόλεως.
Φριτίλας ἐπίσκοπος Ἡρακλείας τῆς * Θρᾴκης.
Ἐλλάδιος ἐπίσκοπος Ταρσοῦ.
Δεξιανὸς ἐπίσκοπος Σελευκείας τῆς Ἰσαυρίας.
Ἱμέριος ἐπίσκοπος Νικομηδείας.
Ἀλέξανδρος ἐπίσκ. Ἀπαμείας μητροπόλεως.
Εὐθήριος ἐπίσκοπος Τυάνων.
Βασίλειος ἐπίσκοπος Θεσσαλίας.
Μάξιμος ἐπίσκοπος Ἀναζαρβοῦ.

* Θρακικῆ

Αλέ-

Ἀλέξανδρος ἐπίσκ. Ἱεραπόλεως Εὐφρατησίας.
Δωρόθεος ἐπίσκοπος Μαρκιανουπόλεως τῆς Μυσίας.

Ἀναφορὰ πρὸς τοὺς εὐσεβεστάτους βασιλέας περὶ τῆς καθαιρέσεως Νεστορίου, παρὰ τῆς ἁγίας συνόδου.

Τοῖς εὐσεβεστάτοις καὶ * θεοφιλεστάτοις, Θεοδοσίῳ καὶ Οὐαλεντινιανῷ, νικηταῖς, τροπαιούχοις, ἀεὶ Αὐγούστοις, ἡ ἁγία σύνοδος, ἡ χάριτι Χριστοῦ, καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει.

* θεοσεβεστάτοις

ΕΚ προγόνων τὴν ἀληθῆ πίστιν παραλαβοῦσα ἡ ὑμετέρα εὐσέβεια, ὦ φιλόχριστοι καὶ θεοφιλέστατοι βασιλεῖς, καὶ ταύτην ὁσημέραι αὐξάνουσα, φροντίδα πλείστην τῶν τῆς ἀληθείας ποιεῖται δογμάτων· ὑπὲρ ὧν καὶ ταραχῆς γενομένης οὐ μόνον ἐν ἐκείνῃ τῇ μεγάλῃ πόλει, ἀλλὰ καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ, ἐκ τῶν κηρυχθέντων τε καὶ διδαχθέντων παρὰ Νεστορίου δογμάτων, ἀλλοτρίων ὄντων τῆς τῶν ἁγίων πατέρων, καὶ τῆς τῶν ἁγιωτάτων ἀποστόλων καὶ εὐαγγελιστῶν παραδόσεως, οὐ * παρεῖδε τὸ ὑμέτερον κράτος ταραττομένας τὰς ἁγίας ἐκκλησίας, καὶ νοθευόμενα τὰ τῆς πίστεως καὶ τὰ τῆς ἀληθοῦς εὐσεβείας δόγματα. ἀλλ' ἐκ πάσης μητροπόλεως συναχθῆναι ἐκέλευσεν ἡ ὑμετέρα * εὐσεβεια τοὺς θεοσεβεστάτους μητροπολίτας, ἐπισκόπους ἐπαγομένους, καὶ τινας τῶν ἄλλων πόλεων ἐπισκόπους, καιρὸν αὐτάρκη πρὸς τὴν συνδρομὴν, τὸν ἄχρι τῆς πεντηκοστῆς ὁρίσασα. καὶ δὴ πάντων ἡμῶν συνειλεγμένων ἐν τῇ Ἐφεσίων μητροπόλει κατὰ τὴν ὁρισθεῖσαν ἡμῖν προθεσμίαν, βραδῦναι συνέβη τὸν ἁγιώτατον Ἰωάννην τὸν Ἀντιοχείας ἐπίσκοπον. ἀλλ' ὑπολαβόντες ἡμεῖς τῆς ὁδοῦ τὴν δυσχέρειαν αἰτίαν γεγονέναι τῆς βραδύτητος, ἀνεβαλόμεθα τὴν ἀκρόασιν ἐπὶ χρόνον δέκα ἡμερῶν καὶ ἑξ ἀπὸ τῆς ὡρισμένης προθεσμίας παρὰ τοῦ ὑμετέρου κράτους. καὶ οἱ μὲν τῶν ἁγίων ἐπισκόπων ὑπὸ γήρως πιεζόμενοι, τὴν ἐπὶ ξένης διατριβὴν οὐκ ἔφερον· οἱ δὲ ἐν ἀρρωστίᾳ ἐκινδύνευον· τινὲς δὲ καὶ τὸ τέλος ὑπεξῆλθον τοῦ βίου ἐν τῇ Ἐφεσίων μητροπόλει· ἄλλοι δὲ πενίᾳ σφιγγόμενοι, προσιόντες ἡμῖν, κατήπειγον τὴν ἀκρόασιν. μετὰ δὲ δεκαέξ ὅλας ἡμέρας, ἀπὸ τῆς ἁγίας πεντηκοστῆς ἀριθμουμένας, συνεκροτήσαμεν τὴν ἀκρόασιν. ἐπειδὴ δὲ καὶ ὁ ἁγιώτατος ἐπίσκοπος τῆς Ἀντιοχέων Ἰωάννης δι' Ἀλεξάνδρου Ἀπαμείας, καὶ Ἀλεξάνδρου Ἱεραπόλεως, τῶν θεοσεβεστάτων ἐπισκόπων, προλαβόντων αὐτὸν, ἐδήλωσεν ἡμῖν ἔχεσθαι τῆς ὑποθέσεως, τῇ πλείονι βραδυτῆτι ἐβάρησε τὴν ἁγίαν σύνοδον οὐχ ὁρώμενος. συναχθέντων τοίνυν ἡμῶν ἐν τῇ ἡμέρᾳ μηνὸς Ἰουνίου δευτέρᾳ καὶ εἰκοστῇ κατὰ Ῥωμαίους, καὶ πρὸ μιᾶς * παρακαλεσάντων δι' εὐλαβεστάτων ἐπισκόπων τὸν θαυμαστὸν Νεστόριον, συνεδρεῦσαί τε ἡμῖν, καὶ κοινωνῆσαι τῆς περὶ τῆς εὐσεβείας τε καὶ πίστεως ζητήσεως, οὐδεμιᾶς παρ' αὐτοῦ τετυχήκαμεν ἀποκρίσεως, δηλώσαντος τοῦτο μόνον διὰ τῶν ἀπεσταλμένων· ὅτι περσκέπτομαι, καὶ ἐὰν δοκιμάσω, ἀπαντῶ. Τῇ οὖν ἐπαύριον συναχθέντες ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ ἐκκλησίᾳ, τῇ καλουμένῃ Μαρίᾳ, προκειμένου τοῦ ἁγίου εὐαγγελίου ἐν τῷ μεσαιτάτῳ θρόνῳ, καὶ αὐτὸν ἡμῖν παρόντα τὸν Χριστὸν δεικνύοντος, ἡμεῖς μὲν κατὰ τὴν τῶν κανόνων ἀκολουθίαν καὶ αὖθις ἀπεστείλαμεν πρὸς αὐτὸν τρεῖς ἑτέρους ἁγιωτάτους ἐπισκόπους, παρακαλοῦντες ἀπαντῆσαι εἰς τὴν ἁγίαν σύνοδον, καὶ τῆς διδασκαλίας αὐτοῦ τὴν ἀπολογίαν ποιήσασθαι· ὁ δὲ στρατιώτας τὴν ἑαυτοῦ οἰκίαν κυκλοῦσθαι παρασκευάσας· καίτοι μηδενὸς ὄντος, μήτε μὴν γενομένου θορύβου κατὰ τὴν πόλιν. οὐδὲ ἀποκρίσεως τοὺς ἀποσταλέντας ἠξίωσε. τῶν δὲ κανόνων παρακελευομένων τῇ τρίτῃ κλήσει * παρακαλεῖσθαι τὸν ἀπειθοῦντα, ἀποστείλαντες πρὸς αὐτὸν αὖθις ἑτέρους ἐπισκόπους, ἀπειθοῦντα εὕρομεν, καὶ ἀποπέμποντα τοὺς ἀτεσταλμένους μετὰ πολλῆς αἰσχύνης καὶ ὕβρεως διὰ τῶν πρὸ τῆς οἰκίας αὐτοῦ ἑστώτων στρατιωτῶν. ἐπειδὴ οὖν οὐκ ἔδει τὴν τοσαύτην ἁγίαν σύνοδον συνελθοῦσαν ἄπρακτον μένειν, ἐκείνου κακῷ συνειδότι μὴ ἀπαντήσαντος, τὰ περὶ τῆς πίστεως καὶ τῆς εὐσεβείας ἀναγκαίως ἐκινοῦμεν δόγματα, προλάμπειν τῶν πραττομένων ὑπομνημάτων τυπώσαντες τὸ θεοφιλὲς γράμμα τῆς ὑμετέρας εὐσεβείας· μεθ' ὃ τὴν ἔκθεσιν τῆς εὐσεβοῦς πίστεως προθέντες, τῆς πρότερον μὲν παρὰ τῶν ἁγιωτάτων ἀποστόλων παραδεδομένης ἡμῖν, μετὰ δὲ ταῦτα ἐκτεθείσης παρὰ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων ἐν τῇ Νικαέων μητροπόλει συνηγμένων παρὰ τοῦ ἐν ἁγίοις Κωνσταντίνου, οὗ τὴν ὀρθὴν πίστιν λαμπροτέραν ἐπέδειξε τὸ ὑμέτερον κράτος. καὶ τῇ ἐκθέσει ταύτῃ πρότερον μὲν τὰς περὶ τῆς πίστεως ἐπιστολὰς τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου συγκρίναντες, συμφώνους εὕρομεν τοῖς τε δόγμασι καὶ νοήμασι, καὶ κατ' οὐδὲν ἀπιλλοτριωμένην τὴν αὐτοῦ διδασκαλίαν τῆς εὐσεβοῦς ἐκείνης ἐκθέσεως. ἐπειδὴ δὲ λοιπὸν ἐλείπετο δοκιμασθῆναι τὰ δόγματα τὰ κηρυχθέντα παρὰ τοῦ θαυμασιωτάτου Νεστορίου. οὐ γὰρ ἄδηλαν, ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ διαρρήδην κηρυττόμενα, καὶ ἐν βίβλοις, καὶ ἐν ταῖς δημοσίαις διαλέξεσι φανερῶς ἀκροώμενα, καὶ ἐν αὐτῇ δὲ τῇ τῶν Ἐφεσίων μητροπόλει πρός τινας τῶν εὐλαβεστάτων ἐπισκόπων ὑπ' αὐτοῦ φανερῶς εἰρημένα. οὐδὲ γὰρ ἐπαύετο λέγων. οὐδεῖ λέγεσθαι Θεὸν τὸν δι' ἡμᾶς ἄνθρωπον γεγεννημένον· ὀνειδίζων θεότητι τὰ ἀνθρώπινα, ἃ οὐ δι' ἀσθένειαν, ἀλλὰ διὰ τὴν εἰς ἡμᾶς φιλανθρωπίαν ἀνεδέξατο. διαγελῶν δὲ ὥσπερ τὸ σεπτὸν καὶ θεῖον ἡμῶν μυστήριον, διαλεγόμενος πρὸς τοὺς εὐλαβεστάτους ἐπισκόπους, τετόλμηκεν εἰπεῖν· ὅτι ἐγὼ τὸν διμηναῖον καὶ τριμηναῖον Θεὸν οὐ λέγω· καὶ ταῦτα πρὸ τριῶν ὅλων ἡμερῶν τῆς ἁγίας συνόδου. καθὰ καὶ ἡ τῶν ὑπομνημάτων περιέχει πίστις· ἀναγκαίως καὶ ταῦτα συγκρίναντες τῇ ἐκθέσει τῶν ἁγίων πατέρων, μαχόμενά τε εὑρίσκομεν, καὶ πάντῃ ἐναντία τῆς καθολικῆς ἡμῶν πίστεως, καὶ ἀποστολικῆς, ὡς μηδὲ δεῖσθαι ἀπολογίαν Νεστόριον, ἀλλὰ αὐτὸν ἑαυτοῦ γίνεσθαι καθ' ἑκάστην κατήγορον, ἐμμένοντα τοῖς διεφθαρμένοις αὐτοῦ δόγμασι, καὶ ἐναντίοις παντελῶς τῆς καθολικῆς καὶ ἀποστολικῆς ἡμῶν πίστεως.

* περιεῖδε

* θεοσέβεια τοὺς θεοφιλεστάτους

* παρακαλεσάντων

* προκαλεῖσθαι

Τούτου

Τούτου οὖν ἕνεκεν, αὐτὸν μὲν τῆς ἱερωσύνης, καὶ τῆ διεφθαρμένης ἐκκλησίας διδασκαλίας, καθαίρεσιν αὐτοῦ κανονικῶ ποιησάμενοι· καὶ ἐπαινέσαντες τὸν θεοφιλέστατον καὶ ἁγιώτατον ἐπίσκοπον τῆς μεγάλης Ρώμης Κελεστῖνον, παρὰ τῆς ἡμῶν ψήφου καταγνόντα τῆς αἱρετικῶν δογμάτων Νεστορίου, καὶ παρὰ ἡμῶν ἐξενεγκόντα τινὰ κατ' αὐτοῦ ψῆφον, διὰ τινὰ τῆς ἐκκλησιῶν ἀσφάλειαν, καὶ τῆς παραδοθείσης ἡμῖν εὐσεβοῦς καὶ σωτηριώδους πίστεως παράτε τῆς ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν, καὶ τῆς ἁγίων πατέρων. ὧν διαστρέφειν ἐπεχείρησε τῷ διεφθαρμένῳ λόγῳ· * καὶ πολὺ τὸ πλῆθος, ὃ κατεγνωσθεὶς ἐξέχεε· τῶ δὲ ὑμετέρᾳ δεόμεθα κράτει, κελεῦσαι πᾶσαν αὐτῆ διδασκαλίαν ἀναιρεθῆναι ἐκ τῆς ἁγιωτάτων ἐκκλησιῶν, καὶ τὰ ἀσεβισθέντα βιβλία πρὸς παραδίδοσθαι. δι' ὧν ἀθετεῖν πειρᾶται τινὰ τῶ Θεῶ χάριν, ἀνθρώπῳ χρωμένῳ διὰ φιλανθρωπίαν, ὧν αὐτὸς οὐ φιλανθρωπίαν, ἀλλ' ὕβριν ὡς * ἐνόμισε τῆς θεότητος· εἰ δέ τις κατιφρονήσει τῆς θεσπιζομένων, δεδιέναι τῶ ὑμετέρᾳ κράτει τινὰ ἀγανάκτησιν. ὕτω γὰρ καὶ ἡ ἀποστολικὴ πίστις ἄξωτος διαμένει, τῆ ὑμετέρᾳ εὐσεβείᾳ κρατυνομένη· ἅπαντές τε ἡμεῖς ἐκτενεῖς τὰς ἀχὰς ὑπὲρ τῶ ὑμετέρᾳ κράτει ποιησόμεθα, δι' ὃ Χριστὸς δοξάζεται, καὶ ἡ πίστις κρατύνεται, καὶ ἡ χάρις Θεῶ πᾶσιν ἀνθρώποις γνώριμος γίνεται. πρὸς δὲ σαφεστέραν καὶ ἐντελεστέραν εἴδησιν τῆς πεπραγμένων, συνέζευκται καὶ τὰ ὑπομνήματα· καὶ * ὑπέγραψαν πάντες οἱ προταγέντες ἐν τοῖς ὑπομνήμασι θεοσεβέστατοι ἐπίσκοποι.

* ἐπιγράψαν

* Ια. παρὰλειπτέον τὸ, ὡς κεῖται a codice Seguier.

Ἐπιστολὴ τῆς συνόδου πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως.

Τῷ ἁγιωτάτῳ κλήρῳ, καὶ τῷ λαῷ Κωνσταντινουπόλεως, παρὰ τῆς ἁγίας συνόδου.

ΟΥΔΕΙΣ τολμήσας τῷ ἰδίῳ κτίσῃ ἀντιτίθεσθαι, ἔμεινεν ἐκτὸς θείας δίκης, ἀλλ' ἅθρους, ὅσον ἦκε καὶ εἰς ἀνθρωπίνῳ ὄψιν, ἠμείφθη μεμιγμένως, διὰ τὸ τινὰ τελειοτέραν ἀμοιβὴν τῷ μέλλοντι ἡμέρᾳ κατ' αὐτὸ φυλάττεσθαι· ὅθεν καὶ Νεστόριος, ὁ τῆς δυσσεβοῦς αἱρέσεως ἀνανεωτὴς, φθάσας ἐν τῆ Ἐφεσίων, ἔνθα ὁ θεολόγος Ἰωάννης, καὶ ἡ θεοτόκος παρθένος ἡ ἁγία Μαρία, τοῦ συλλόγου τῆς ἁγίων πατέρων καὶ ἐπισκόπων ξενώσας ἑαυτὸν, καὶ κακῶ τῷ συνειδότι ἀπαντῆσαι μὴ τολμήσας, μὴ ξίτλῳ κλῆσιν, ψήφῳ δικαίᾳ τῆς ἁγίας ξιάδος, καὶ τῆς αὐτῆς θεοπνεύστου κρίσεως κατακέκριται, καὶ ἐκβέβληται ἐγγράφως ἐπὶ πράξεως ὑπομνημάτων, πάσης ἱερατικῆς ἀξίας. χαίρετε τοίνυν ἐν κυρίῳ πάντοτε, καὶ πάλιν ἐρῶ. χαίρετε· κατήργηται γὰρ τὸ σκάνδαλον, καὶ ἐξερρίζωθη τὸ ζιζάνιον ἐκ τῆς χωρίου τῆς πνευματικοῦ γεωργίου. ὑμεῖς δὲ ἀναζωπυρήσατε, καὶ λαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐκποδὼν ἐλάσατε τοὺς τῆς μαρᾶς καὶ βεβήλου καινοφωνίας ἐργάτας· ἔσται γὰρ ὑμῖν ὁ μισθὸς οὐκ ἐλάττων τῶν ἐνταῦθα νικησάντων. πάντας ὑμᾶς ἀσπάζονται οἱ ἐνταῦθα σὺν ἡμῖν γνήσιοι ἀδελφοί.

Ἐπιστολὴ Κυρίλλου ἐπισκόπου πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Ἀλεξανδρείας.

Κύριλλος πρεσβυτέροις, καὶ διακόνοις, καὶ λαῷ Ἀλεξανδρείας, ἀγαπητοῖς καὶ ποθεινοτάτοις, ἐν κυρίῳ χαίρειν.

ΕΙ' καὶ πλατύτερον ἔδει τὸ γεγονὸς τῆ ὑμετέρᾳ θεοσεβείᾳ γνωρίσαι, ἀλλὰ διὰ τὸ καπεπείγεσθαι τὸς τῶ γράμματος ἀποκομιστὰς, συντόμως ἐπέστειλα. ἴστε τοίνυν, ὅτι κατὰ τὴν ὀγδόην καὶ εἰκάδα τοῦ Παυνὶ μηνὸς, ἡ ἁγία σύνοδος γέγονεν ἐν τῆ Ἐφέσῳ, ἐν τῆ μεγάλη ἐκκλησίᾳ τῆς πόλεως, ἥ τις καλεῖται Μαρία θεοτόκος. διαπελέσαντες δὲ πᾶσαν τὴν ἡμέραν, τελευτῶσιν καταγνωσθέντα, καὶ ἐδὲ τολμήσαντα παραβαλεῖν ἐν τῆ ἁγίᾳ συνόδῳ, τὸν δύσφημον Νεστόριον καθαιρέσει ὑποβεβλήκαμεν, καὶ ἐξεβάλομεν τῆς ἐπισκοπῆς. ἦμεν δὲ οἱ συνελθόντες ἐπίσκοποι * ὡσεὶ διακόσιοι, ἤτοι ἡ πλείους. ἐπέμεινε δὲ πᾶς ὁ λαὸς τῆς πόλεως ἀπὸ πρωὶ ἕως ἑσπέρας περιμένων τὸ κρίμα τῆς ἁγίας συνόδου. ὡς δὲ ἤκουσαν, ὅτι καθῃρέθη * ὁ δύσφημος, πάντες φωνῆ μιᾶ ἤρξαντο δοξάζειν τὴν ἁγίαν σύνοδον, καὶ δοξάζειν τὸν Θεὸν, ὅτι πέπτωκεν ὁ τῆς πίστεως ἐχθρός. ἐξελθόντας δὲ ἡμᾶς ἐκ τῆς ἐκκλησίας προέπεμψαν μετὰ λαμπάδων ἕως τῆς καταγωγίου· λοιπὸν γὰρ ἦν ἑσπέρα· καὶ γέγονε πολλὴ θυμηδία, καὶ λυχναψία ἐν τῆ πόλει· ὥστε καὶ γυναῖκας θυμιατήρια κατεχούσας προπορεύεσθαι ἡμῶν. καὶ ἔδειξεν ὁ σωτὴρ τοῖς δυσφημοῦσι τὴν δόξαν αὐτοῦ, ὅτι πάντα δύναται. μέλλομεν οὖν τὰς χάριτας τελειώσαντες, πρὸς ἡμᾶς ἐν τῆ καθαιρέσει αὐτῆ, λοιπὸν ἐπειγόμεθα πρὸς ὑμᾶς. σὺν Θεῷ πάντες ἐσμὲν ἐν εὐθυμίᾳ καὶ ὑγείᾳ διὰ τὴν τοῦ σωτῆρος χάριν. ἔρρωσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι.

* ὑπὲρ τὴν διακοσίων, ἀπὸ τεσσαράκοντα, ἕως ἑκατόν.

* ἀδίσφημος,

Τῷ αὐτῆ Κυρίλλου πρὸς τὸν αὐτὸν κλῆρον καὶ λαὸν ἐπιστολὴ δευτέρα.

Κύριλλος πρεσβυτέροις, καὶ διακόνοις, καὶ λαῷ Ἀλεξανδρείας, ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἐν κυρίῳ χαίρειν.

ΤΑ' λαμπρὰ καὶ μεγάλα τῆς κατορθωμάτων οὐ δίχα πόνων εἰς πέρας ἄγεται. δεῖ δὲ δὴ πάντως ἀγαθῆ παντὸς ἱδρῶτα προσατεῖλαι. καὶ οὐ θαυμαστὸν, εἰ ἐν τοῖς μεγάλοις ἀκολουθοῦν ὁρῶμεν τὸ τοιοῦτον, ὅτε καὶ τὰ κοινὰ καὶ τὰ κατωθεν καὶ μειώμενα γίνεται, καὶ διὰ πόνων ἔρχεται. ἀλλὰ καὶ ἐν τῷ ποιεῖν διδιδάγμεθα λέγειν· ἀνδείζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμενον τὸν κύριον. πεθαρσήκαμεν γὰρ, ὅτι καρπὸς ἄκλειής τοῖς εἰς ἀρετὴν σπουδάσμασιν ἕπεται, καὶ πνευματικῆς ἀνδρείας ξένον ἀείσκομεν τὸν παρὰ Θεοῦ μισθόν. αἵρεσιν τοίνυν μακροπαθίαν, ἐπιχειρήσασαν ἤδη κατὰ πάσης αἱρεθῆναι τῆς ὑπ' οὐρανὸν, καὶ * ἀνυψώσασαν εἰς ὕψος τὰς χεῖρας, καὶ λαλοῦσαν ἀδικίαν κατὰ τοῦ Θεοῦ,

* ἀνυψῶσαν

χαθεῖλεν αὐτὸς, χ᾽ οἷάπερ ελόγα, χατεμαρῆσαι θέλουσαν τὴ ὀρθὴ τῆς ἐχχλησίας δόγματι, χατέσβεσεν ὁ μονογβὴς τοῦ Θεοῦ λόγ@, τὸν πιύτης Δρετὴν χ᾽ πατέρα, χαταργήσας τε ὁμῶ, χ᾽ παύσας τῆς ἱερωσύνης ψήφῳ τῆς ἁγίας συνόδου. ὥσε χ᾽ χαίροντις ἡμᾶς λέγειν· ἐμεγάλυνε χύει@ τῶ ποιῆσαι μεθ᾽ ἡμῶν, ἐγβυήθημβυ Δφρανόμβυοι. Δθυμία γὰρ χ᾽ διδασχάλοις, χ᾽ τοῖς λαῶν ἡγεμβύοις, τὸ τὴ ὀρθὴ χρατώεσθαι πίστιν, χ᾽ δοξάζεσθαι παντιχῶ τὸν τῦ ὅλων σωτῆρα χ᾽ Θεὸν, χατεργουμβύου τῶ σατανᾶ, χ᾽ ἀνηρημβίων τῦ παὰ ἀυτῶ σχανδάλων, χ᾽ τῦ τῆς ἀληθείας δογμάτων χατιχυόντων τῶ ψΔδους· ἵνα πάντες * ἐξ ἑνὸς σόματος ὁμοφώνως λέγωμβυ· εἷς χύριος, μία πίστις, ἓν βάπτισμα. ταῦτα χ᾽ νῶ ὡς τέχνοις γράφω, τὴ παράδοξα τοῦ σωτῆρος διηγέμβυ@. ἵνα ἐχτενεστέρας ποιῆτε τὰς προσδχάς. ὡσε ἰχύσαι μετὰ τῆς τῶ Θεῶ βυλῆς χαίροντις χαίρεσιν ἀποδοθῆναι * μετ᾽ Δίρωσίας. ἐρῥῶσθαι ὑμᾶς ἐν χυείῳ εὔχομαι.

* δι ἐξ Ἐφες. 4. 5.

* μετ᾽ ἀχεσίας.

Ψαλ. 74.

Ψαλ. 125. 3.

Κυρίλλυ ἐπισολὴ γραφεῖσα ἀπὸ Ἐφέσυ πρὸς τὰς πατέρας τῦ μοναζόντων.

Κύριλλος τοῖς Δλαβεστάτοις χ᾽ θεοσεβεστάτοις πατράσι * μοναχοῖς, χ᾽ τοῖς σὺν ὑμῖν τὸν μονήρη βίον ἀσχῶσι, χ᾽ ἐν πίστει Θεῦ ἱδρυμβύοις, ἀγαπητοῖς χ᾽ ποθεινοτάτοις ἐν χυρίῳ χαίρειν.

* τῦ μοναχῶν.

ΟΚΥΡΙΟΣ ἡμῶν Ἰησῦς Χρισὸς, ὅτε τὰς παρὰ τῦ ἀνοσίων Ἰβδαίων ὑπέμεινε παροινίας, λοιδορούμβυ@ χ᾽ ῥαπιζόμβυος, χ᾽ μασιζόμβυ@, χ᾽ τὸ πελδιαῖον τῷ δι᾽ ἡμᾶς χ᾽ ὑπὲρ ἡμῶν σαυρῷ προσηλούμβυ@, ὁρῶν ἅπαντας τοὺς πλημμελῶντας εἰς αὐτὸν, ἐ τὰς ἀνοσίυς ἐπ᾽ αὐτῷ * σειοντας χεφαλὰς, ἔφασχε. χ᾽ ὑπέμεινα συλλυπέμβυον, χ᾽ ὐχ ὑπῆρξε, χ᾽ παραχαλῶντας, χ᾽ ὐχ εὗρον. τοιῦτόν τι χ᾽ νῶ γεγβυημβύον ὁρῶμβυ· μᾶλλον δὲ, ἵνα μὴ τὸν τῦ πισῶν χ᾽ γνησίων ὑβρίζω ζῆλον, ἐπὶ ταῖς δυσφημίας Νεσορίυ πολλὰς ἔχε συλλυπεμβύυς· εἰ χ᾽ ἠθέτησάν τινες αὐτὸν τῦ σωτεραγμβύων εἰς ἱερωσιάλιμ, συμπράττοντες τῷ αἱρετιχῷ, χ᾽ τοῖς αὐτῷ πολεμῶσιν ἀντιταττόμβυοι. ἀλλὰ χαταργήσει Χρισὸς τὰς τύπων ἀπαιδδσίας. μᾶλλον δὲ ἤδη χεχατήργηχε. πέπαυται γὰρ τὸ δύσφημον σόμα, χ᾽ σεσίγηχεν ἡ μιαρωτάτη γλῶττα, ὐχέτι τὰς χατὰ Χρισὸ προφέρυσα βλασφημίας ἐν ὀξυσία διδασχαλιχῆ τε ἐ ἀρχιερατιχῆ· χ᾽ οἱ τὴ φιλίαν αὐτῶ δυσωπηθέντες μᾶλλον, χ᾽ ὐχὶ τῆς πρὸς Χρισὸν ἀγάπης πεφροντιχότες, ἀτιμίας ἔχυσι τὰ πρόσωπα μεσά. τῦτο γὰρ αὐτοῖς ὠφείλετο. ἀλλ᾽ εἰ χ᾽ νενίχηται λοιπὸν ὁ ἐχθρὸς, χ᾽ ἐσμβὺ ἐν λειψάνοις τῆς φροντίδος, χρήζομβυ χ᾽ ἔτω τῦ ὑμετέρων ἱχετειῶν πρὸς τὸν Θεόν. χ᾽ ἔσιν ἀναγχαῖον ὑμᾶς, ὡς ἀναθέντας τῷ Θεῷ τὴ ἑαυτῦ ζωὴ, ὁσίας ἐπαίρειν χεῖρας, χ᾽ συχνῶς τῦτο πράττειν ὑπὲρ ἡμῶν. Οἶνοησατε γὰρ ὅτι Ἰησῦς ὁ τῶ Ναυῆ μετὰ τῦ ἐπιλέχτων τῶ Ἰσραὴλ * ἀντεπράτετο τῷ Ἀμαλὴχ, ὁ δέ γε μαχάριος Μωσῆς τὰς χεῖρας ἐπαίρων ἐζήτει παρὰ Θεῦ τὸ νιχᾶν δωάσθαι

* κλίνετας.

* ἀντετάττετο

Ψαλ. 68. 22.

2. Τιμ. 2. 8.

Ἐξοδ. 17.

τὰς ἐν πολέμῳ ἐ μάχη. ἀνδειζέσθω τοίνυν ἡ θεοσέβεια ὑμῶν * ἐν προσδχαῖς, χ᾽ ὡς τέχνα γνήσια πατράσι συμπράττετε, νόσον ὥσπερ τινὰ λοιμιχὴν τὴ, Νεσορίυ χαχοδοξίαν * ἐχχόψαντες· ἵνα χ᾽ ἄσπιλον, χαὶ ἀμώμητον, χ᾽ ἀδαμάθν δγαβεβλημβύῳ ἔχοντες πίστιν, δ᾽αρεσεῖν ἰχύσωμβυ τῷ πὶ πάντα δι᾽ ἡμᾶς, χαὶ ὑπὲρ ἡμῶν ὑπομεμβυηχότι Χρισῷ. δ᾽φράνατε δὲ χαὶ διὰ γραμμάτων ἡμᾶς. δεξόμεθα γὰρ ὡς ἱχανωτάτην τὸ παρᾶγμα παράχλησιν. ἐῤῥῶσθαι ὑμᾶς εὔχομαι, ἀγαπητοὶ, χαὶ ποθεινότατοι ἀδελφοί.

* ἐν φυλαχαῖς.

Ρ᾽ηγίνα ἐπισχόπυ Κωνσαντίας Κύπρυ ὁμιλία λεχθεῖσα ἐν Ἐφέσῳ μῦ τὴ χαθαίρεσιν Νεσορίυ.

ΕΜΟΙ᾽ μβὺ ἐδόχει σιγᾶν, χ᾽ ταύτη τὰς πατέρας τιμᾶν, χ᾽ μὴ σήλιν ἀπαιδδσίας χαταλιμπάνειν τὸν λόγον. ἐπειδὴ δὲ σιγᾶν ἐθέλοντα ὐχ ἐᾷς, ὦ σοφὲ, χαὶ μοι τῷ λόγων ἀρχτέον. ἐῤῥηται γάρ πυ· ὑπαχύει συμβυλίας σοφός. ὐχοιῦν ἐπειδήπερ σε δγαγράφειν * ἔδωχεν ὁ μυσαγωγὸς, λέγων. πῶς ἐξέπεσεν ἐχ τῦ ὐρανῦ ὁ ἑωσφόρ@, ὁ πρωὶ ἀνατέλλων; χαὶ· πῶς ἔπεσε Βαβυλών; ἀναγχαίως ἑτέρῳ τινὶ ὐχ ἷῦ συγχεῖναι, ἢ Ἰβδαίοις τοῖς χυριοχτόνοις, ὧν τὴ δυσέβειαν ἐξῆψας. ὅτοι γάρ ποτε Θεῦ μεμὶς ἐγχόντο, χ᾽ τὸν νόμον ἐδέξαντο, χ᾽ υἱοθεσίας ἠξιώθησαν, χ᾽ μυρίων ἀγαθῶν ἀπήλαυσαν· χ᾽ ταῖς δ᾽ιεργεσίαις ἐμπαροινήσαντες, ἤχυσαν Θεῦ λέγοντ@· υἱὸς ἐγέννησα χ᾽ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. τί δ᾽ ἄν σέ τις προσειπὼν, ὀρθῶς προσείποι; τὸν ἄθλιον Καΐν; ἀλλὰ τὶ ἐχείνυ μετεμώτερα τῦ σῶν. τὸν ἐλεεινὸν Χάμ, τὸν τῇ τῦ παῒὸς ἐπιγελάσαντα γυμνώσει; ἀλλὰ τὰ Σοδομιτῦ ταῖς σαῖς δυσφημίαις ἀντιμεῖῤῆσας, εἶπω· δεδιχαίωται Σόδομα ἐχ σῦ. σὺ γὰρ ἐν βραχεῖ χρόνῳ τὴ οἰχυμβύμ῾ω ἐσάλδσας, χαὶ τὴ πίστιν ἀναῖρέψαι ἠθέλησας, χ᾽ τὴ ἄῤῥητον οἰχονομίαν τῆς ἐνσάρχυ παρυσίας τῦ μονογενοῦς πορθεῖσαι ἐσπούδασας, τό γε ἦχον ἐπὶ σοί. ὥσε χαὶ περὶ σοῦ λέγεσθαι. ὐχ ἔσι μάλαγμα ἐπιθεῖναι τοῖς σοῖς ἕαύμασιν, οὔτε ἔλαιον, οὔτε χαταδέσμυς. χαὶ ἔδει μβὺ ἔχωαλαι πρὸς ἔλεγχον τῆς σῆς δυσσεβείας, μιχρά ὧν τετόλμηχας ἀπόναδαί σέ τε χαὶ τὴ σὴν παρεμβολὴ, ἢ πυρίφλεχτον, ἢ χασματίαν γενομβύῳ, ἵνα τοῖς ἁπλουσέροις φαίνοιο δίχας δεδωχώς. παῤ ἡμῖν γὰρ ἤδη δέδωχας· ὁ γὰρ παρὰ σοῦ μεμιζόμβυ@ Θεὸς λόγ@, ὁ προχύψας ἔνσαρχ@ ἐχ τῆς Θεοτόχου Μαρίας, ἄφδχτόν σοι τὸ τῆς βασάνου χολαστήριον ἐν ἡμέρᾳ χρίσεως ὁριεῖ. ἀλλὰ τί φαίης, ὦ θαλάσσης χαὶ θανάτου ἀνοητότερε; θάλασσα μβὺ γὰρ τὸν δεσπότὴ ἰδοῦσα τὰ νῶτα ὑπέστρωσε, θάνατ@ δὲ Λάζαρον ἐδίδου τοῖς ἐξ αἵματ@, ἀσυνήθει νόμῳ. χαὶ σιγῶ ἥλιον ὑπὸ δέους χρυπτόμβυον δγὰ τὸ δεσποτιχὸν πάθ@, πέξας ῥηγνυμβύας, μνήματι ἀνοιγόμβυα. χαὶ εἰ μιχρά σοι ταῦτα, αἰσχυνθητι τῦ ἐγειρθέντων νεχρῶν τὴ μαρτυρίαν, τῦ τοῦ ᾅδου πυλωρῶν

Παροι. 12. 17.

* ἐγραψεν

Ησαι. 14. 12.

Δ᾽ατ. 18.

Δεν. 32. 9

Ρωμ. 9. 4.

Ησαι. 1.

Γενε. 4.

Γενε. 9.

Γενε. 19.

Ιζιχ. 16. 32.

Ησαι. 1. 6

Ματθ. 4.

Ιωαν. 11.

Ματθ. 27.

λωρῶν τὸν ξόμον, τὸ τοῦ καταπετάσματος σχίσμα, τοῦ φωτὸς τὴν μεταβολήν, τῆς ἡμέρας τὸ σκότος. καὶ ἐπὶ τούτοις ἅπασιν ἔμεινεν ἀκαμπὴς ὁ δεῖλαιος, ἀνουθέτητον ἔχων τῆς κακίας τὸν τρόπον. καὶ οὗτος μὲν ἐν τούτοις. ἡμεῖς δὲ τοῖς θείοις νόμασιν εἴκοντες, προσκυνήσωμεν τὸν Θεὸν λόγον, τὸν καταξιώσαντα μετὰ σαρκὸς πολιτεύσασθαι μεθ' ἡμῶν, οὐκ ἐκσάντα τῆς πατρικῆς οὐσίας, ὄντα ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτῆρα τῆς ὑποστάσεως, φέροντά τε τὰ πάντα τῷ ῥήματι τοῦ σώματος αὐτοῦ. Εβρ. 1.

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας ὁμιλία λεχθεῖσα * Ἐφεσίοις, συνάξεων ἐπιτελουμένων, καθαιρεθέντος Νεστορίου. * ἐν Ἐφέσῳ

ΕΔΕΙ μὲν ἀρκεῖσθαι ταῖς τῶν προλαβόντων διδασκάλων μυσταγωγίαις, καὶ τοῖς ἱεροῖς ἐμπιπλαμένους νάμασι τιμῆσαι τὸν χορόν. ἐπειδὴ δὲ βλέπω πρὸς φιλοκαλίαν ἁπλῶς διακειμένους, φέρε καὶ ἡμεῖς ὀλίγα λέγωμεν τοῖς προλαβοῦσιν ἀκόλουθα. ἔστι τοίνυν ἐκεῖθεν ἀμφίβολον, ὅτι τινὲς εἰς Χριστὸν βλασφημίαις ὁ λαμπρὸς τῆς ἁγίων ἐπισεμνύεται χορὸς, καὶ καύχημα ποιεῖται τῆς εἰς αὐτὸν ἀγάπης τὸ γνήσιον. ᾧ γοῦν ὁ μακάριος προφήτης Ἡσαΐας πρὸς αὐτόν πῶ φησί· κύριε ὁ Θεός μου δοξάσωσε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα. ὁ δέγε μακάριος προφήτης Δαυίδ. ἡ γλῶσσά μου, φησὶ, μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου. ἀλλ' ἔστος μὲν τοῖς ἁγίοις ὁ σκοπός. οἱ δὲ πονηροὶ καὶ ἀλιτήριοι, οἱ τὸ μέγα, καὶ σεπτὸν, καὶ βαθὺ τῆς ἀνθρωπήσεως τοῦ μονογενοῦς οὐκ εἰδότες μυστήριον, καὶ δυσφημοῦσιν ἀφυλάκτως, ἀκρατὲς καὶ ἀπύλωτον ἀνοίγοντες στόμα. ἠκούσατε ἀκηκόατε λέγοντος πρὸς αὐτοὺς τοῦ προφήτου Ἡσαΐου· ὑμεῖς δὲ προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης. ἐν τίνι * ἐξυφήσατε, καὶ ἐπὶ τίνα ἰδιοίξατε τὸ στόμα ὑμῶν; οὐχ ὑμεῖς ἐστε τέκνα ἀπωλείας, σπέρμα ἄνομον; τέκνα γὰρ ἀπωλείας κατὰ ἀλήθειαν, καὶ ἄνομον σπέρμα, οἱ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην * ἀρνησάμενοι· ἠγοράσθημεν γὰρ τιμῆς, καὶ οὐ φθαρτοῖς, ἀργυρίῳ, ἢ χρυσίῳ, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ· αἷμα δὲ ἀνθρώπου κοινοῦ, καὶ ἑνὸς τῶν καθ' ἡμᾶς, πῶς ἂν ἐλύετο τῆς οἰκουμένης ἀντάξιον; πῶς δὲ καὶ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα πάντας * σώσῃ; πῶς αὐτοῦ γεγόναμεν, οἱ τὸν ἀληθῆ, καὶ φύσει Θεὸν καὶ ἐπιγραφόμενοι; πῶς αὐτῷ λατρεύομεν, οἱ τὸ προσκυνεῖν τῇ κτίσει παρὰ τὸν κτίσαντα παραιτούμενοι; ἀλλὰ γὰρ, ὡς ἔφην ἀρτίως, * ἀχαριστοῦσί τινες τῇ τοῦ σωτῆρος ἡμῶν ἡμερότητι, ἀρνοῦνται τὸν δεσπότην, ἀποσείονται τῆς δουλείας τὸν ζυγόν· ἵνα καὶ περὶ αὐτῶν λέγῃ Χριστὸς διὰ φωνῆς * προφήτου· ὑμεῖς αὐτοῖς, ὅτι * ἀπεδήμησαν ἀπ' ἐμοῦ. δειλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ. ἐγὼ δὲ ἐλυτρωσάμην αὐτοὺς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ· κατεψεύσονται γὰρ τῆς τοῦ σωτῆρος ἡμῶν οἰκονομίας καὶ ὑπεροχῆς οἱ τῆς τῶν φαρισαίων σκαιότητος, καὶ ἀνοσιότητος μιμηταί· οἱ χριστιανοὶ μὲν πρόσωπον περιτιθέντες ἑαυτοῖς, ἰουδαΐζουσι δὲ τὴν διάνοιαν ἔχοντες· οἱ γλιχόμενοι ἐπισκήπτου παρὰ καὶ ἰουδαίου, ἵνα καὶ πρὸς αὐτὴν λέγῃ Χριστὸς τὸ διὰ φωνῆς Ἱερεμίου· ἰδοὺ ἐγὼ πρὸς σὲ, τὴν ὑβρίστριαν, λέγει κύριος. Ἰουδαῖοι μὲν οὖν οἱ πάλαι κατεπεφύοντο τὸν πάντων ἡμῶν σωτῆρα Χριστὸν· ἐπεπήδων, ὡς θῆρες· ὡς λίθοις * ἔβαλον διεργετοῦντα, καὶ σώζοντα· εἶτα πρὸς αὐτοὺς ἔφασκεν ὁ σωτήρ· πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου, διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ με; οἱ δὲ πρὸς αὐτὸν ἔλεγον. περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας. ὅτι σὺ, ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν. ταῦτα τῶν ἀρχαίων Ἰουδαίων τὰ κατὰ τὸν σωτῆρος ἡμῶν ἐγκλήματα· οἱ δὲ τῆς ἐκείνων ἀπονοίας καὶ ἀνοσιότητος ζηλωταὶ πάλιν ἐγκαλοῦσι, λέγοντες· διὰ τί σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν; ὦ ἀνόητοι καὶ βδελυρώτατοι, ὃ σιωπῆκας τὸ μυστήριον. ὃ γὰρ ἄνθρωπος ὢν ἐποίησεν ἑαυτὸν Θεόν· ἀλλὰ Θεὸς ὢν φύσει, γέγονεν ἄνθρωπος ἀῤῥέπτως καὶ ἀσυγχύτως· ὁ τὴν ἐκ Θεοῦ πατρὸς ἔχων ἀπόῤῥητον γέννησιν, ὑπέμεινε γέννησιν κατὰ σάρκα τὴν ἐκ γυναικός, καὶ κεχρηματίκεν υἱὸς ἀνθρώπου, ἵνα ἡμᾶς σώσῃ· γέγονε κατὰ σὲ διὰ σὲ, καὶ ἔμεινε δι' ἑαυτὸν ὅπερ ἦν. ἐπίγνωθι τοίνυν ἐν σαρκὶ γεγονότα τὸν μονογενῆ· ὁμολόγησον εἶναι Θεὸν τὸν δι' ἡμᾶς ἐνανθρωπήσαντα. ἑαυτὸν παρέστησί σοι, λέγων· αὐτὸς ὁ λαλῶν πάρειμι· λελάληκε γὰρ τοῖς ἀρχαιοτέροις τὸν νόμον διὰ Μωϋσέως. παραγέγονε δὲ μὴ σαρκός. δέχου μάρτυρας τοὺς ἁγίους προφήτας. τί φησιν ὁ Βαρούχ, μονονουχὶ καὶ δεικνύων χεῖρα τὸν Ἐμμανουήλ; ἔπος ὁ Θεὸς ἡμῶν, καὶ ὃ λογισθήσεται ἔπος πρὸς αὐτόν. ὄξυρε πᾶσαν ὁδὸν ἐπίσημος, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μὴ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συγγεγράφη. ψάλλει δὲ καὶ ὁ μακάριος Δαυὶδ περὶ αὐτοῦ· ὁ Θεὸς ἡμῶν ἐμφανῶς ἥξει. βούλει μαρτυρῆσαί σοι καὶ τὰς τῆς νέας διαθήκης κήρυκας; ἄκουε λέγοντος Ἰωάννου τοῦ Βαπτιστοῦ· ἑτοιμάσατε τὰς ὁδὸς κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. βούλει καὶ ἑτέραν πληροφορίαν ἐπὶ τούτοις δέξασθαι; ἐπηγγείλατο ὁ Θεὸς τῷ μακαρίῳ Δαυὶδ, ἐκ καρποῦ τῆς ἁγίας αὐτοῦ καθίσαι ἐπὶ τὸν θρόνον αὐτοῦ. ὁ δὲ, καί τοι χαίρων ἐπὶ τούτῳ λίαν, καὶ αὐτὸν τῆς γενέσεως τὸν * τρόπον περιεργάζεται· ἔστιν οὖν ἃ ἀκέσαι λέγοντος αὐτοῦ· εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου· ἕως τί καταλάβῃς; ἕως ἂν εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. φοβοῦμαι τὸν * τόπον ὦ μακάριε Δαυίδ; ἀποδέχομαι τὴν προθυμίαν, ἐπαινῶ τὴν ὑπομονήν. ἀλλ', εἴ τι μεμάθηκας πλέον, ἀπάγγελλον καὶ ἡμῖν· πῶς ἔσται ἡ γέννησις, καὶ εἰς ποίαν ἄρα γενήσεται χώραν; ἄκουε σαφῶς λέγοντος· ἰδοὺ ἐγκύσαμεν αὐτὴν ἐν Ἐφραθᾶ, εὕρο-

Ἐν τῷ ἐξυφῆναι. Ἐν τῷ ἀνοῖξαι. Ἐν τῷ ἀρνήσασθαι, 2 Βασ. 6. 20. 1 Πετρ. 1. 18. Ἐν τῷ ἀπιέναι; Ἐν τῷ ἀπιέναι. Ἐν τῷ ἀχαριστεῖν. Ἐν τῷ ἀποστατῆσαι. Ἐν τῷ ἀποστατῆσαι. Ἐν τῷ ἀποστατῆσαι

Μιχ. 5. 2. εὑρομξυ αὐτλι ἐν τοῖς πεδίοις τῦ δρυμῦ. Ἐφραθᾶ δὲ λέγων, σημαίνει τλὶ Βηθλεέμ. καὶ μαρτυρήσει λέγων ὁ Θεὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν· Σὺ βηθλεέμ, οἶκος τῦ Ἐφραθᾶ, ὀλιγοστὸς εἶ τῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται τῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ, * ἀφ' ἡμερῶν αἰῶνος· ἀκούεις; ὅτι τὸν Βηθλεεμίτλιν, καθὸ γέγονεν ἄνθρωπος, ἀπ' ἀρχῆς αἰῶνος τὰς ἐξόδους ἔχειν διϊσχυρίζεται; ἐν ἀρχῇ γὰρ λι ὁ λόγος, καὶ ὁ λόγος λιῶ πρὸς τὸν Θεόν. ἀλλ' αἰσχύνομαι, φησί, Θεὸν ὁμολογῦσαι τὸν ἐκ γυναικὸς γεγεννημξόν. ἐπιτιμᾷς ἄν, εἰπέ μοι, τοῖς θείοις σκέμμασιν; ἀθετεῖς τλὶ οἰκονομίαν; ἐπιπλήττεις παῖς τῦ δεσπότυ βυλαῖς; ὅπως ἠθέλησε διασῶσαι τλὶ οἰκουμξίνλι· μὴ σοφώτερος εἶ τῆς σοφίας; ὦ παραδόξυ πράγματος! λύχνος ἡλίῳ φιλονεικεῖ. οἶδε τῶν οἰκείων ἔργων τλὶ ὁδὸν ὁ τῶν ὅλων δεσπότης. παραδέχυ τοίνλν τλὶ οἰκονομίαν· τίμησον τῇ πίστει τὸ μυστήριον· μὴ περιεργάζυ τὰ ὑπὲρ νᾶν· μὴ πολυπραγμόνει τὰ ὑπὲρ λόγον· πίσδε μεθ' ἡμῶν· 2. Τιμ. 2. 13 εἰ δὲ μξύεις ἀπειθὴς, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι γὰρ ἑαυτὸν ὐ δλάται. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σλὶ ἁγίῳ πνδματι εἰς τοὺς αἰῶνας. ἀμλί.

Τῦ αὐτῦ πρὸς Νεστόριον, λιίχα κατῆλθον οἱ ἑπτὰ πρὸς τλὶ ἁγίαν Μαρίαν.

ΦΑΙΔΡΟΝ ὁρῶ τὸ σύστημα τῶν ἁγίων πάντων συνελκλυθότων προθύμως, κεχλημένων ὑπὸ τῆς ἁγίας καὶ θεοτόκυ Μαρίας τῆς ἀειπαρθένυ. ἀλλὰ γὰρ ἐν λύπῃ με διάγοντα πολλῇ εἰς χαρὰν μετέβαλεν ἡ τῶν ἁγίων πατέρων παρουσία. Ψαλ. 32. νῦν ἐπληρώθη πρὸς ἡμᾶς τὸ τῦ ὑμνογράφυ Δαυὶδ γλυκερὸν ῥῆμα· ἰδὲ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Χαίροις τοίνλν παρ' ἡμῶν ἁγία μυστικὴ τειὰς, ἡ τούτους ἡμᾶς πάντας συγκαλεσαμένη ἐπὶ τλὶ δε * κλέον τλὶ * ἐκκλησίαν τῆς θεοτόκυ Μαρίας· χαίροις παρ' ἡμῶν Μαρία θεοτόκε, τὸ σεμνὸν κειμήλιον ἁπάσης τῆς οἰκουμένης, ἡ λαμπὰς ἡ ἄσβεστος, ὁ στέφανος τῆς παρθενίας, τὸ σκῆπτρον τῆς ὀρθοδοξίας, ὁ ναὸς ὁ ἀκατάλυτος, τὸ χωρίον τῦ ἀχωρήτυ, ἡ μήτηρ καὶ παρθένος. δι' ἧς ὀνομάζεται ἐν τοῖς ἁγίοις δλαγγελίοις δλογημξύος Ματθ. 21. 9. ὁ ἐρχόμξυος ἐν ὀνόματι κυρίυ. χαίροις ἡ τὸν ἀχώριτον χωρήσασα ἐν μήτρᾳ ἁγίᾳ παρθενικῇ· δι' ἧς τειὰς * ἁγιάζεται· δι' ἧς σαυρὸς τίμιος ὀνομάζεται, καὶ προσκυνεῖται εἰς πᾶσαν τλὶ οἰκξμένλν· δι' ἧς ὁ ὐρανὸς ἀγάλλεται· δι' ἧς ἄγγελοι καὶ ἀρχάγγελοι δφραίνονται· δι' ἧς δαίμονες φυγαδδονται· δι' ἧς διάβολος πειράζων ἔπεσεν ἐξ ὐρανῦ· δι' ἧς τὸ ἐκπεσὸν πλάσμα εἰς ὐρανὰς ἀναλαμβάνεται· δι' ἧς πᾶσα ἡ κτίσις εἰδωλωμανίᾳ κατεχομξύη εἰς ἐπίγνωσιν ἀληθείας ἐλήλυθεν· δι' ἧς βάπτισμα ἅγιον γίνεται τοῖς πισδλσι· δι' ἧς ἔλαιον ἀγαλλιάσεως· δι' ἧς εἰς πᾶσαν τλὶ οἰκξμένλν ἐκκλησίαι τεθεμελίωνται· δι' ἧς ἔθνη ἄγονται εἰς μετάνοιαν· καὶ τί πολ- * ἁγιάζεται, καὶ προσκυνεῖται. λὰ λέγω; δι' ἧς ὁ μονογενὴς υἱὸς τῦ Θεῦ φῶς ἔλαμψε τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτυ καθημξύοις· * δι' ὧν προφῆται προεμλύσαν· δι' ἧς ἀπόστολοι κηρύττυσι σωτηρίαν τοῖς ἔθνεσι· δι' ἧς νεκροὶ ἐγείρονται· δι' ἧς βασιλεῖς βασιλδύσι, δξᾷ τειάδος ἁγίας· καὶ τίς δυνατὸς ἀνθρώπων λέγειν τλὶ πολυύμνητον Μαρίαν; ἡ μήτρα ἡ παρθενική. ὦ τῦ θαύματος. ἐκπλήττει μὲ τὸ θαῦμα. τίς ἦλθε πώποτε οἰκοδόμον, ναὸν ἴδιον οἰκοδομήσαντα, καὶ κωλυόμξυον οἰκεῖν ἐν αὐτῷ; τίς ἰδίαν δύλιν μητέρα προσκαλεσάμξυος, συμβιάζεται; ἰδοὺ τοίνλν χαίρει τλὶ σύμπαντα· θάλαττα δὲ ὑπετάγη, τὸς ἰδίους σκυδύλυς ἐπιγνῦσα, καὶ σκιρτώντων κυμάτων ἀγελῶν ἡ τῶν ἁγίων ἐπιβασις εἰς γαλλαίλν μετέβαλεν. ἐμέμνητο γὰρ τῆς τῦ σωτῆρος φωνῆς ἡ δύλη ἐπανισαμξύη, λέγοντος· σιώπα, πεφίμωσο. γαῖαν δὲ, τλὼ ποτε ὑπὸ λησῶν διοδδομενίλν, ἡ τῶν πατέρων ὁδοιποιία εἰς εἰρήνλν μετέβαλεν. ὡς ὡραῖοι γὰρ οἱ πόδες τῶν δαγγελιζομένων εἰρλύλν. ποίαν εἰρλύλν; Ἰησοῦν τὸν κύριον ἡμῶν, ὃν ἔτεκε Μαρία, ὡς αὐτὸς ἠθέλησε. τί μοι γὰρ πολυπραγμονεῖν, καὶ μὴ φιλοφρονεῖν περὶ τλὶ γραφλί; ἀλλ' ἐρεῖς μοι Ἰουδαίων τλὶ ἄρνησιν; οἱ προφῆται τῦτο ἀπεκήρυξαν ἐξ ἀρχῆς, οἰκοθεν τὸ χειροτονεῖν ἐπιτηδδσαντας, ἄρνησιν προσεκαλέσαντο. ἀλλὰ Ἀρείου τὸ πικρὸν * νόσημα; φιλοκαθεδρίας λοιμικῆς τὸ ἐπιθύμημα. ἀλλ' ἑλληνικῆς ἀσελγείας τὸ ἀνώνυμον καὶ ἄθεον φρόνημα; ἀγνωσίας τὸ ἐπιτήδδλμα. καὶ τί δεῖ λέγειν; πᾶν ἔθνος πορδόμενον ἀθεμίτοις κώμοις οὕτως τῇ κακίᾳ ὑπερῆρεν· ἔθνη γὰρ πολλάκις ἀγνοῦνται τλὶ γραφλί, Θεὸν δυσφημοῦσιν οὐχ ἑκόντα· οὕτως δὲ γραφλὶ ἅπασαν κεκτημένος· τολμῶ δὲ λέγειν, τάχα καὶ μαγικῆς ἐμπαίγματι μελετήσας, οὐκ ἐνέκυψε γνησίως πρὸς τλὶ θεόπνδστον γραφλί, ἀλλ' ἐνέκυψεν εἰς ἄργυρον καὶ χρυσόν. τυφλωθεὶς, καὶ κεπφωθεὶς τῇ μανίᾳ περὶ πρᾶγμα δυσφημίας, σεαυτὸν βουλόμενος ἀλλοτριῶσαι τῦ θρόνου, καὶ τοῦ καταλόγου τῶν ἀδελφῶν σεαυτὸν ἐξήλειψας, μὴ ἐπιγνοὺς τόν σοι χαρισάμενον * ἀρχιερέως κλῆρον. ἆρα γὰρ οὐκ ἐπείθης Παύλῳ λέγοντι. κἂν ἄγγελος ἐξ οὐρανοῦ δαγγελίσηται παρ' ὃ δαγγελισάμεθα, ἀνάθεμα ἔσω; Παῦλος οὐκ ἔπαυσέ σου τὸ κενὸν φρόνημα· ἀλλ' Ἡσαΐας εἰπών· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνδόμενον, μεθ' ἡμῶν ὁ Θεός; * οὐδ' αὐτὸς, διάνοιαν γὰρ ἐκτήσω δεινῆς κακοφροσύνης· ἄκουσον κἂν τῶν δαιμόνων λεγόντων· τί ἡμῖν καὶ σοὶ υἱὲ τοῦ Θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. τίς δέσοι τῦτον τὸν δτελῆ λογισμὸν συνεβούλδσε κηρύξαι; τίς ὁ συμπονήσας τῷ ἀκαίρῳ νοσήματι; οὐκ ἠδέσθης Θεὸν * ὑπομοιῶν Περσικὴ βασιλείᾳ; οὐκ ἐνέβαπτες ἀθετεῖν βουλόμενος πατέρων, καὶ δαγγελιστῶν, καὶ προφητῶν παραδόσεις; καὶ νομίσας ἄρχειν πασῶν

Λκ. 1. 7. Ψαλμ. 113. Μαρκ. 4. 39. Ρωμ. 10. 15. * νόημα; * ἀρχιερωσύνης Γαλατ. 1. 8 Ματθ. 1. 23. Ἡσαΐ. 7. 14. * αὐτός, Ματθ. 8. 29. * ὑπομοιῶν

σῶν τῶν ἐκκλησιῶν, οὐκ ἐμνήσθης τοῦ ἀπὸ κοπρίας εἰς ὕψος ὑράνιον ἀγαγόντος σε· καὶ τοῖς ἔργοις προσέχων, οὐκ ἐπέγνως τὸν δημιουργὸν, βουλόμενος ἀνάστατον καταστῆσαι τὴν οἰκουμένην ἀπατηλοῖς * λογισμοῖς, ἐνυβρίζων ναὸν Θεοῦ, καὶ τὸν κυηθέντα ἐκ παρθένου Μαρίας ἀπομερίζειν βουλόμενος, δόγμα πονηρὸν, καὶ λύσσαν τῷ κόσμῳ διεγείρων, μήτε λυομένην, μήτε φανερουμένην. ἀλλά γε μὴ ζητούμενος, πρὸ καιροῦ Βελίαλ μιμησάμενος, ἐνόμισας σειραῖς τῶν σῶν ἀνόμων ἐννοιῶν πείθειν βασιλέα φίλον ὀρθοδοξίας, καὶ προσκυνητὴν ὁμοουσίου τριάδος, δι' ἧς διηνεκῶς βασιλεύει, δι' ἧς ἔθνη τὰ πολέμια συντρίβει, δι' ἧς χορὸς ἀειπαρθένων βασιλεύει, δι' ἧς κόσμον ἐν εἰρήνῃ καθίστησι· τοῦτον λόγοις σοῖς ἀπατηλοῖς ἐνόμισας ἀποστάτην γενέσθαι· καὶ λαὸν θεοφιλῆ πορθεῖν ἐβουλήθης· καὶ πατέρων πλῆθος, εἰς ἀναπνοὴν τυγχάνοντας, * διέσκυλας. οὐκ ἠρκέσθης σαυτὸν ὀλέσαι, δυσφημήσας Θεὸν. ἀλλὰ καὶ τὴν οἰκουμένην πᾶσαν διεθρύλλησας; ἀλλ' ἰδοὺ ἐπληρώθη καὶ * ἐν σοί. ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. κλῆρον ἅγιον πρεσβυτέρων καὶ διακόνων ἀπωσυναγώγους ἐποίησας, ἐλέγχοντά σου τὴν ἄκαιρον μανίαν, μὴ τὰ Ἀρείου φρονεῖν. καὶ νῦν οὐ τὸν πεσόντα καταβάλλω, οὐδὲ τὸν κλυδωνιζόμενον καταποντίζω. ἀλλὰ τῶν ἀνόμων * συμβουλιῶν κόπτω τὴν ματαίαν συκοφαντίαν. τίς οἶδε πλοῖον, εἰς εὔδιον λιμένα ἐν γαλήνῃ διάγον, ναυάγιον ὑπομένον; τίς οἶδεν ἀθλητὴν ἐπὶ τὸ σκάμμα πεσόντα, καὶ μὴ ἀνορθούμενον; ἀλλὰ * ἄρα, σοῦ πεσόντος, ἢ ναυαγήσαντος περὶ τὴν πίστιν, ἡμεῖς χεῖρα οὐκ ὠρέξαμεν; μάρτυρα δέχου τὸν τίμιον καὶ ἅγιον ἀρχιεπίσκοπον τῆς μεγάλης Ῥώμης Κελεστῖνον, συνεχῶς γράφοντά σοι, ἀποστῆναι τοῦ ματαίου, καὶ ἀνωφελοῦς, καὶ ἀσυστάτου δόγματος. ἔτι μὴν καὶ τὴν ἡμετέραν πτωχείαν, διὰ γραμμάτων βραχέων τὸν αὐτὸν τρόπον παρακαλοῦντας, δέξασθαι ἡμᾶς λέγοντας περὶ Θεοῦ. σὺ δὲ οὐκ ἐλογίσω ἡμᾶς ἀσπλαγχνίαν τινὰ, καὶ ἀπόνοιαν περιβεβλημένος, κακία ἐγκαυχώμενος, ὡς δυνατὸς, ἄνομα διαλογιζόμενος. ὡς ξυρὸν γέγονας κατὰ σεαυτοῦ ἐξηκονημένον, * μέλλον ἐργάζεσθαι δόλον. διὰ τοῦτο ὁ Θεὸς, ὃν παρελογίσω, καθεῖλέ σε, καὶ ἐξέτιλε τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. διότι οὐκ ἐφρόνησας περὶ Θεοῦ. καὶ ταῦτα μὲν παρ' ἡμῶν ἀρκείτω τὰ πρὸς τοῦτον. Θεός ἐστι κριτὴς καὶ ἀποδότης ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. γένοιτο δὲ ἡμᾶς τρέμειν καὶ προσκυνεῖν τὴν ἑνότητα, καὶ βασιλεῖ θεοφιλεστάτῳ ὑπηκόους γίνεσθαι, καὶ ἀρχαῖς, καὶ ἐξουσίαις ὑποτάσσεσθαι, καὶ τρέμειν καὶ σέβειν τὴν ἀδιάστατον τριάδα· ὑμνοῦντας τὴν ἀειπάρθενον Μαρίαν, δηλονότι, * τὴν ἁγίαν ἐκκλησίαν, καὶ τὸν ταύτης υἱὸν, καὶ νυμφίον ἄσπιλον· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. αμήν.

* λόγοις ἐνυβρίζων

* διεσκύλευσας

* ἐπὶ σοί. Ψαλ. 5. 17.

* συμβουλιῶν κόπτω

* ἄρα

Ψαλ. 72.

μέλλον

Ψαλ. 6.

Ἐπιστολὴ πεμφθεῖσα πρὸς τὴν ἁγίαν ἐν τῇ Ἐφεσίων πόλει σύνοδον παρὰ Δαλματίου τοῦ ἁγιωτάτου ἀρχιμανδρίτου.

ΤΗΝ ἐπιστολὴν τὴν πεμφθεῖσάν μοι παρὰ τῆς ἁγίας συνόδου ἐδεξάμην, καὶ γνοὺς τὰ ἐν αὐτῇ ἐμφερόμενα, ἐν πρώτοις μὲν ἐλυπήθην σφόδρα διὰ τὰς συμβεβηκυίας ὑμῖν περιστάσεις τε καὶ θλίψεις· ἐγέγραπτο γὰρ ἐν τῇ ἐπιστολῇ, ὅτι τινὲς τῶν ἁγίων πατέρων αὐτόθι διάγοντες, ἐκ τῆς στενοχωρίας ἐτελεύτησαν. λοιπὸν δὲ γινώσκετε, ὅτι ἑτοίμως ἔχω πᾶσαν κέλευσιν ὑμῶν πληρῶσαι, καὶ ἐν οὐδενὶ παρεῖδον ἢ παραβλέπω, ἢ ἠμέλησα, ὡς μάλιστα ὅτι καὶ ὑπὲρ τῆς ὀρθοδόξου πίστεώς ἐστι τὸ πρᾶγμα, καὶ ἁρμόζον πρὸς τὸν Θεόν. οὐδεὶς γὰρ δύναται ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος, καὶ ἄλλα τινὰ βουλεύεσθαι. οἱ γὰρ ὀρθοτομοῦντες τὸν λόγον τῆς ἀληθείας τοῦ Θεοῦ, ζωὴν ἔχουσιν, καὶ ἐν τῷ αἰῶνι τούτῳ, καὶ ἐν τῷ μέλλοντι. οἱ δὲ ἀφιστάμενοι ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος κατηραμένοι εἰσὶν, ἐρριμμένοι εἰς τὸ σκότος τὸ ἐξώτερον, ὡς καὶ Νεστόριος, καὶ οἱ ὁμόφρονες αὐτοῦ μετ' αὐτοῦ. ὁ γὰρ Θεὸς, καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐφαίδρυνε, καὶ ᾠκωδόμησε τὴν ἁγίαν σύνοδον πᾶσαν, ὡς τοὺς κόπους ὑμῶν, καὶ ἱδρῶτας προσεδέξατο. εὐχαριστοῦμεν οὖν τῷ Θεῷ τῷ οὕτως εὐοδώσαντι, καὶ τὴν νίκην ὑμῖν παραχόντι ὑπὲρ τῆς πίστεως. εὔχεσθε ὑπὲρ ἐμοῦ, παρακαλῶ τὴν ὑμετέραν ἁγιωσύνην.

Ἀντίγραφον πεμφθὲν παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν κύριον Δαλμάτιον.

Ἡ Ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἡ συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει, κατὰ κέλευσιν Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ, τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων, δεξαμένη τὴν ἐπιστολὴν τὴν πεμφθεῖσαν παρὰ Δαλματίου τοῦ ἁγιωτάτου ἀρχιμανδρίτου καὶ πατρὸς τῶν μοναχῶν, καὶ εὑροῦσα αὐτὸν σπουδαίως κινηθέντα, καὶ διὰ τεσσαράκοντα καὶ ὀκτὼ ἐτῶν ἐξελθόντα αὐτὸν ἐκ τοῦ κελλίου αὐτοῦ. καὶ ἀπελθόντα πρὸς τὸν εὐσεβέστατον καὶ φιλόχριστον βασιλέα, καὶ διδάξαντα αὐτὸν πάντα, τὰ παρακολουθήσαντα καὶ γεγενημένα παρὰ τῆς ἁγίας συνόδου περὶ τῆς καθαιρέσεως τοῦ ἀνοσίου Νεστορίου, εὐχαριστήσαμεν Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῷ οὕτως κινήσαντι ὑμᾶς, ἀντιλαβέσθαι τοῦ ὀρθοῦ δόγματος τῆς πίστεως ἡμῶν, καὶ τοὺς ἡμῶν κόπους, καὶ ἱδρῶτας ἐμφανεῖς καταστήσαντα, οὐ μόνον τοῖς εὐσεβεστάτοις βασιλεῦσιν, ἀλλὰ καὶ τοῖς ἁγιωτάτοις ἀρχιμανδρίταις, καὶ παντὶ τῷ φιλοχρίσῳ κλήρῳ, καὶ τῷ λαῷ· τίς γὰρ ἄλλος ἀνθρώπων συνεβάλετο ἡμῖν, εἰ μὴ μόνον ἡ ὑμετέρα ἁγιότης; διὰ γὰρ ἄλλου οὐκ ἐφανερώθη ἡ ἀλήθεια, εἰ μὴ παρ' ὑμῶν τουτέστι τοῦ κυροῦ Δαλματίου· τούτου χάριν πάντες ἡμεῖς τὰς χεῖρας ἐκτείνομεν πρὸς τὸν φιλάνθρωπον καὶ ἀγαθὸν Θεὸν, ὑπὲρ εὐζωΐας καὶ σωτηρίας τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων, καὶ τῆς ὑμετέρας ἁγιωσύνης. παρακαλοῦμεν οὖν ὑμᾶς ἐπὶ πλεῖον προτίθεσθαι ἡμῖν, καὶ ἀναπληροῦν τὸν τόπον ἡμῶν, ἐν τοῖς αὐτόθι ἀνακύπτουσι περὶ τῆς πίστεως. ὡς γὰρ ἔγνωμεν, ὅτι καὶ πρὸ τοῦ ἐπιδημῆσαι Νεστό-

ειον ἐν Κωνσταντινουπόλει, ἀποκαλύψαι σοι τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ ὁ Θεός, καὶ ὅτι πᾶσι τοῖς ἐρχομένοις ἐν τῷ κελλίῳ σου ἔλεγες· προσέχετε ἑαυτοῖς, ἀδελφοί, ὅτι κακὸν θηρίον ἐπεδήμησεν τῇ πόλει ταύτῃ, καὶ πολλοὺς ἔχει βλάψαι τῇ διδασκαλίᾳ αὐτοῦ.

Ἡ ἁγία καὶ ὁμοούσιος τριὰς φυλάξαι σε ἐρρωμένον ψυχῇ καὶ σώματι, ἀνυμνοῦντα Χριστὸν τὸν Θεὸν ἡμῶν. ὑπόδεξαι ὑπὲρ ἡμῶν, ὁσιώτατε ἀδελφέ.

ΤΑ'

Χρόνοι ἀπὸ Χριστοῦ 431.

ΠΡΑΚΤΙΚΑ ΤΟΥ ΑΠΟΣΤΑΤΙΚΟΥ ΣΥΝΕΔΡΙΟΥ.

Ὑπομνήματα * παρὰ τοῖς ἀνατολικοῖς ἐπισκόποις, ἐν οἷς καθαιροῦσι Κύριλλον καὶ Μέμνονα τοὺς ἁγιωτάτους, καὶ ἀκοινωνήτους ποιοῦσι πάντας τοὺς τῆς ἁγίας συνόδου.

* πρεσβύτατον ὁ Εἷς ἐν παρατηρῶ τοὺς ἀνατολικοὺς ἐπισκόπους, ἐν οἷς Κύριλλον καὶ Μέμνονα καθαιροῦσιν οἱ περὶ Κανδιδιανόν.

Παρόντος ἐν τῷ οἰκείῳ καταγωγίῳ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Ἰωάννου τοῦ ἐπισκόπου τῆς Ἀντιοχέων μητροπόλεως τῆς ἀνατολικῆς διοικήσεως, καὶ τῆς συν αὐτῷ ἁγίας συνόδου, ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος Κανδιδιανός, ὁ κόμης τῆς καθωσιωμένων δομεστίκων, εἶπεν. Ἐμοὶ μὲν ἀρχῆς ἔργον ἦν, καὶ τῆς σῆς θεοσεβείας παρέσης, καὶ πάσης ὁμοῦ τῆς συνόδου συναχθείσης εἰς σέ, τὰ γράμματα τοῦ δεσποτικοῦ ἡμῶν καὶ ἀοιδίμων βασιλέων ἀποδοῦναι, ὥστε πάσης, ὡς προεῖπον, τῆς συνόδου συναχθείσης, τὸ τελικαῦτα τὴν προσταγμένα παρ' αὐτοῦ γνῶσθαι. ἀλλὰ πρὸ τούτων ἡμερῶν ε'. ὁ ἀλαβέστατος ἐπίσκοπος Κύριλλος, καὶ Μέμνων ὁ τῆς δὲ τῆς πόλεως ἐπίσκοπος, καὶ οἱ σὺν αὐτοῖς ἀλαβέστατοι ἐπίσκοποι, συναχθέντες ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, ἐκωλύοντο παρ' ἐμοῦ καθ' ἑαυτοὺς συνεδρεύειν παρὰ τὰ πεθεσπισμένα παρὰ τοῦ δεσποτικοῦ ἡμῶν καὶ ἀοιδίμων βασιλέων, καὶ παρεινοῦντο ἀναμεῖναι τὴν πάντων ὑμῶν παρουσίαν· οἱ δὲ ἀπήτουν παρ' ἐμοῦ τὸ ἀναγνωσθῆναι τὴν σάκραν. μὴ βουλόμενος δὲ τοῦτο ποιῆσαι διὰ τὸ μὴ παρεῖναι τὴν σὴν ἁγιωσύνην, πολλούς τε ἑτέρους ἐπισκόπους, καὶ μητροπολίτας, μηδέπω ἐληλυθέναι, ἠναγκάσθην παρ' αὐτοῦ, ὅτε τὸ εἰρῆσθαι αὐτούς, ὅτιπερ ἀγνοοῦσι, τί ἂν εἴη τὸ γραφὲν παρὰ τοῦ δεσποτικοῦ ἡμῶν. τοῦτο συνέβη, συναχθέντων αὐτοῦ, ἀναγκασθεὶς ὑπὲρ τοῦ μὴ δοῦναι προφάσιν ἀπειθείας, ἀνέγνων αὐτοῖς τὴν σάκραν· καὶ παρὼν, καὶ μέλλων ὑπεύθυνος εἶναι, διεμαρτυράμην αὐτοῖς, μηδὲν προπετεῖς πρᾶξαι, καθὼς καὶ πολλοὶ τῶν ἁγιωτάτων ἐπισκόπων, τῶν σὺν ἐμοὶ πρὸς αὐτοὺς εἰσελθόντων ἴσασιν· οἱ δὲ οὐδὲ ὅπως ἀναχώρησαν ἔπραξαν ἅπερ αὐτοῖς ἤρεσεν.

Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰωάννης εἶπεν· Εὐχῆς ἔργον ἐπακοῦσαι τῶν ἀοιδίμων συλλαβῶν· χρὴ γὰρ μὴ κατασχάζεσθαι τῶν πραγμάτων, ἀλλ' ἐπ' αὐτοῦ βαίνειν τοῦ ἀληθοῦς, καὶ μαθεῖν τὸν ἀοίδιμον σκοπὸν τῶν θεοφιλεστάτων ἡμῶν * δεσποτῶν. οἵτινες πᾶσαν σπουδὴν ἔχουσιν ὑπὲρ τῶν τοῦ Χριστοῦ ἐκκλησιῶν, καὶ προτιμῶσι τοῦτο ἰδεῖν· γνωσάτω οὖν ἡμῖν ἡ ὑμετέρα μεγαλοπρέπεια, τίνα ἐστὶ τὰ παρακολουθήσαντα, ἀναγνωσθέντων αὐτοῖς τῶν θεοφιλεστάτων τούτων γραμμάτων.

* δεσποτῶν

Ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανὸς εἶπεν· Ἀναγινωσκομένης τῆς σάκρας, ἐπεφήμησαν πάντες· ὡς νομίσαι με, ὅτι ἀληθῶς εἶχουσι πᾶσι τοῖς παρὰ τῶν ἀοιδίμων ἡμῶν βασιλέων θεσπισθεῖσι· καὶ ἔχαιρον ἐγὼ τούτοις. μὴ δὲ ταῦτα παρακαλοῦντός με εἶξαι πάντας τοῖς γράμμασιν, οὐδείς τ' ἐμοῦ ἀναχωρεῖσθαι ἐβούλετο, ἀλλὰ μεθ' ὕβρεως τοὺς ἀλαβεστάτους ἐπισκόπους, τοὺς παρὰ τοῦ ἁγιωτάτου ἐπισκόπου Νεσορίου ἀποσταλέντας, καὶ τοὺς σὺν αὐτοῖς, ἐξέωσαν· κἀμὲ δὲ πάλιν ἐπὶ πολὺ παρακαλοιῶτα ἐξέωσαν τοῦ συνεδρίου, ὡσανεὶ οὐκ ὀφείλοντα κοινωνῆσαι τοῖς παρ' αὐτῶν τυπωθεῖσιν· ἄλλως δὲ οὐδὲ τὸ ἀποσταλὲν αὐτοῖς παραναγνωστικὸν παρὰ τῶν ἀλαβεστάτων ἐπισκόπων συνεχώρησαν ἀναγνωσθῆναι, ὡς οἱ σὺν ἐμοὶ νομόμυοι ἁγιώτατοι ἐπίσκοποι ἴσασι, καὶ μαρτυροῦσι τοῖς παρ' ἐμοῦ ἀκολούθως γεγραμμένοις. ταῦτα δὲ πάντα καὶ εἰς γνῶσιν τῶν δεσποτῶν τῆς οἰκουμένης ἀνενέγκαμεν, δηλοῦντες, ὅτι τῆς σῆς ἁγιωσύνης τὴν παρουσίαν, καὶ τῶν σὺν αὐτῇ ἁγιωτάτων ἐπισκόπων ἀναμένομεν.

Πάσας ἐδίδαξεν αὐτὰ ὁ Κανδιδιανὸς μετὰ ταῦτα.

Ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἰωάννης εἶπεν. Ἀναγνωσθήτω καὶ ἡμῖν τὰ ἀοίδιμα γράμματα. τῶν δὲ ἁγιωτάτων ἐπισκόπων ἀνασάντων, ἀνέγνω ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανός. Τούτων δὲ γενομένων, καὶ ἐπαξαμένων τῶν θεοφιλεστάτων ἐπισκόπων τῷ ἀοιδίμῳ αὐτῶν κράτει, ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἰωάννης εἶπεν· ἦρκει μὲν * αὐτῷ τοῦ ἀοιδίμου γράμματος ἡ γαλήνωσις πρὸς πᾶσαν αὐτοὺς ἀγαγεῖν ἀταξίαν, εἰ καὶ * ἔξω ἦσαν τοῦ ἱερατικοῦ τάγματος. ἀλλ' ἐπειδὴ, ὡς εἶπεν ὑμῶν ἡ μεγαλοπρέπεια, θορύβου καὶ ἀταξίας μεσὰ μετὰ τὴν ἀνάγνωσιν τῶν γραμμάτων τὰ πάντα * ἐπλήρωσαν, καὶ ὕβρεις ἐπήγαγον τοῖς θεοφιλεστάτοις ἐπισκόποις, καὶ τῇ σῇ μεγαλοπρεπείᾳ· ἐπισάντες ἡμεῖς μετὰ τῆς * προσηκούσης ἀταξίας καὶ τοῦ γράμματος ἐσηκούσαμεν, καὶ τὸν σκοπὸν τῶν θεοφιλεστάτων ἡμῶν βασιλέων εἰς ἔργον ἀγαγεῖν * προθύμως ἔχομεν, Θεοῦ ἐπιτρέποντος· παρακαλῶ δὲ, καὶ εἴ ἕτερον πέπρακται παρ' αὐτῶν, μαθεῖν παρὰ τῆς σῆς μεγαλοπρεπείας.

* αὐτοῖς

* ὄντες

* ἐτοίμως, ἔχομεν.

Ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανὸς εἶπεν· Ἐπειδὴ πάντα ἀκριβῶς ζητεῖ ἡ σὴ ἁγιωσύνη καὶ ἀκολούθως, δίκαιον καὶ τὰ λοιπὰ λέγεσθαι παρ' ἐμοῦ. τῇ γὰρ ἑξῆς ἡμέρᾳ, ἀγνοῶν πάντη τὰ πεπραγμένα, ἐξαίφνης ἦκουον, τὸν ἁγιώτατον ἐπισ-

ἐπισκοπων Νεσόριον καθῃρῆσθαι παρ' αὐτῆς, προτεθεικότε γράμμα τὸ καθαιρετικὸν ἀποσπάσας ἀνέγνων, ὅπερ ἀπέστειλα τοῖς εὐλαβεστάτοις ἡμῶν βασιλεῦσι. μετ' ὀλίγον δὲ καὶ κατὰ τὴν ἀγορὰν ἤκουον καὶ δημοκήρυκας περιιόντας, τῷ καθαίρεσιν τῦ μνημονευθέντος ἁγιωτάτου ἐπισκόπου Νεσορίου ἐκπομπεύειν. τοῦτο τοίνυν γνὺς, *σὺν ὀχὰς ἀπέστειλα αὐτοῖς πρὸς τὸ μηδὲν πρᾶξαι παρὰ τὰ προσαχθέντα παρὰ τῆς εὐσεβεστάτων ἡμῶν βασιλέων. οὐδὲν δὲ ἧττον καὶ τοὺς ἁγιωτάτους ἡμῶν ἐπισκόπους ἐμεθόδευσα, τὸς μὴ συναθροισθέντας μετ' αὐτῆς, ἀναμεῖναι τὴν τῆς ὑμετέρας ἁγιωσύνης παρουσίαν.

Ὁ θεοφιλέσατος ἀρχιεπίσκοπος Ἰωάννης εἶπεν. Ἀκολούθως τοῖς κανόσι, καὶ τοῖς ἐκκλησιαστικοῖς *θεσπίσμασι, καὶ τῷ βασιλικῷ γράμματι, ἐπὶ παρουσίᾳ πάντων διαλεχθέντες, καὶ ἐπερωτήσαντες τὰ εἰκότα, καὶ τυχόντες ἀποκρίσεως, ἦλθον ἐπὶ τοῦτο; ἐλέγχων χρῃομένων, ἢ ἐρήμῳ καταδίκασαν τὸν ἄνδρα;

Ὁ μεγαλοπρεπέσατος κόμης Κανδιδιανὸς εἶπεν· ἴσασι πάντες οἱ συμπαρόντες μοι θεοσεβέσατοι ἐπίσκοποι, ὡς χωρὶς τινος κρίσεως καὶ *ζητήσεως τὰ παρ' αὐτῆς τετύπωται.

Ὁ θεοφιλέσατος ἀρχιεπίσκοπος Ἰωάννης εἶπεν· μάλιστα μὲν οὖν δὴ τὰ ἐφ' ἡμῶν αὐτοῖς πραχθέντα ἀκόλουθα ἐστίν. δέον γὰρ αὐτοὺς, τὸς ἄρτι ἐξ ἀποδημίας οὕτω *μακρὰν ἥκοντας ἀδελφικῶς ἀσπάσασθαι, καὶ κεκονιαμένους ἔτι φιλοφρονήσασθαι, καὶ ἀναπτήσασθαι ἀδελφικῇ διαθέσει, ἅθρους ἦλθον ταράσσοντες ἡμᾶς, καὶ θορυβοῦντες, καὶ τὴν συνήθη ἀταξίαν ἐπιδεικνύμενοι. ἀλλ' ὅμως τούτοις ἡ συνοῦσά μοι ἁγία συνόδος οὐδὲ τὰς ἀκοὰς ὑπέσχε. *δοκιμάσει δὲ ἡ ἁγία σύνοδος τὰ ὀφείλοντα κατὰ τῆς οὕτως ἀθέσμως καὶ τυραννικῶς ἅπαντα συνταράξάντων, ἀκολούθως τυπωθῆναι.

Τούτων οὕτως ἐχόντων, καὶ ἐξελθόντος τοῦ μεγαλοπρεπεστάτου Κανδιδιανοῦ τοῦ κόμητος τῆς καθωσιωμένων δομεστίκων, μετὰ τὴν τοῦ ἀσεβοῦς γράμματος ἀνάγνωσιν, καὶ τὴν κατάθεσιν τῆς προειρημένης διηγήσεως, ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Γεώργιος εἶπεν· ἀκήκοεν ἡ ὑμετέρα θεοσέβεια, τό τε ἀσεβοῦς γράμματος τῆς θεοφιλεστάτων ἡμῶν βασιλέων, καὶ τῆς παρὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ καταθεσθέντων· καὶ ἔγνω τὸν σκοπὸν τῆς ἀσεβεστάτων βασιλέων. ὡς πᾶσαν προφάσιν ποιούμενοι τῆς ἐκκλησιαστικῆς εἰρήνης, καὶ τῆς ὑγιοῦς καὶ ἀπεριζήπτου πίστεως, καὶ τῆς ἀποστολικῶν δογμάτων, τὴν ἁγίαν ἐνταῦθα συνήθροισαν σύνοδον, ἀξίως τοῦ θεοφιλοῦς αὐτῆς κράτους τοῦτο γνῶναι *προστάξαντος· ὥστε πάντας κατὰ ταυτὸ γνομένους, τότε ζητούμενα ἀδελφικῶς, καὶ ὡς ἱερεῦσι πρέπει, βασανίσαι, κατά τε πρότασιν καὶ λύσιν, καὶ πῦσιν καὶ ἀπόκρισιν, πυραχῆς πάσης ἐκτὸς, καὶ θορύβου χωρὶς· μηδενὸς ἑτέρου ζητουμένου, μήτε ἐγκληματικοῦ, μήτε χρηματικοῦ κεφαλαίου, πρὸ τῆς ἀσεβοῦς ἱρδίνης καὶ βεβαιώσεως τῆς ἀσεβοῦς πίστεως τῆς ἁγίων καὶ μακαρίων πατέρων, τῆς ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελθόντων. τί τοίνυν συνορᾷ ὑμῶν ἡ θεοσέβεια δεῖν γνῶσθαι, ἐπὶ τοσαύτῃ τῆς ἀσεβῶν γραμμάτων καταφρονήσει;

Ἡ ἁγία σύνοδος εἶπεν· δῆλός ἐστιν ὁ εὐλαβέστατος ἐπίσκοπος Κύριλλος, ὁ τῆς Ἀλεξανδρέων, καὶ Μέμνων ὁ τῆς δὲ τῆς πόλεως εὐλαβέστατος ἐπίσκοπος, ὁ εἰς ἅπαντα συνεργήσας αὐτῷ, ὡς ἀκεβῶς ἐγνωμβμ παρὰ τῆς ὑμετέρας παραβομβμοι θεοσεβείας, καὶ πάντα, ὡς εἰπεῖν, θεασάμβμοι τὰ ὑπ' αὐτὸ τολμηθέντα· τὰς τε γὰρ ἁγίας ἐκκλησίας, τότε ἅγια μαρτύρια, καὶ τὸ ἅγιον ἀποστόλιον ἀπέκλεισε, μὴ συγχωρήσας μηδὲ τοῖς ἁγίαν πεντηκοστὴν παρὰ τῆς θεοφιλεστάτων ἐπισκόπων ἐπιτελεσθῆναι· πλῆθος τὲ ἀγροικικὸν συναγαγὼν διετάραξε τὴν πόλιν, τὸς οἰκείους κληρικὸς εἰς τὰς οἰκίας τῆς θεοφιλεστάτων ἐπισκόπων πέμπων, καὶ μύρια ἀνήκεστα ἀπειλῶν, εἰ μὴ συναθροισθεῖεν εἰς τὸ ἀτάκτως ὑπ' αὐτῆς γνόμβμον συνέδριον· ἐπὶ κακῷ τῷ συνειδότι ἅπαντα συνταράξαντες, καὶ *συγχέοντες, καὶ θεορύβων τὰ ἐκκλησιαστικὰ πληρώσαντες πράγματα, καὶ τῆς ἀσεβῶν γραμμάτων καταφρονήσαντες, τούς τε ἐκκλησιαστικὸς θεσμοὺς πατήσαντες, ὥστε τὴν αἱρετικὴν κακοδοξίαν μὴ ζητηθῆναι. ἐν οἷς τοῖς κεφαλαίοις ἔρομβμ, τοῖς ἀποσταλεῖσι πρώην εἰς τὴν βασιλίδα πόλιν ὑπὸ τὸ εὐλαβεστάτε Κυρίλλε τὸ ἐπισκόπε· ὧν τὰ πλεῖστα συμβαίνει τῇ Ἀρείᾳ, καὶ Ἀπολιναρίῳ, καὶ Εὐνομίᾳ δυσσεβείᾳ. χρὴ τοίνυν τὴν τε σὴν ἁγιωσύνην, καὶ πάντας ἡμᾶς *ἐνθύμως ὑπερμαχῆσαι τῆς ἀσεβείας, ὥστε μὴ ὑπαχθῆναί τινας τοῖς αἱρετικοῖς τὸ θεοφιλεστάτε ἐπισκόπε Κυρίλλε κεφαλαίοις. μηδὲ ἀλαφθαρῆναι τῆς ἁγίων πατέρων τὴν πίστιν· καὶ τὸς μὲν ἀρχὰς τὸ αἱρετικὸ φρονήματος, καὶ τῆς πάντα λόγον ὑπερβαλλούσης ἀταξίας, τῇ ἀξίᾳ τῆς παρανομίας ψήφῳ καταδικάσαι. τὸς δὲ ὑπαχθέντας αὐτοῖς, καὶ παρασυρέντας ὑπ' αὐτῶν εὐλαβεστάτους ἐπισκόπους ἐκκλησιαστικῷ ἐπιτιμίῳ ὑποβαλεῖν.

Ὁ θεοφιλέστατος ἐπίσκοπος Γεώργιος εἶπεν· Εὐχῆς μοι ἔργον ἐστῖ, τὸ μηδένα τῆς τῷ Θεῷ ἱερατεύειν ἀφορισθέντων ἐκτὸς γνέσθαι τὸ ἐκκλησιαστικὸ σώματος. ἐπειδὴ δὲ ἀναγκαία τῆς ἀνιάτως ἐχόντων μελῶν ἡ τομὴ, διὰ τὴν τὸ παντὸς σώματος ὑγίειαν, Κύριλλον μὲν καὶ Μέμνονα, ὡς ἐξάρχους τῆς γενομβμης παρανομίας, καὶ τοῦ παθεῖν τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς, καὶ τὰ ἀσεβῆ θεσπίσματα τῆς ἀσεβεστάτων ἡμῶν βασιλέων, καὶ διὰ τὸ αἱρετικὸν τῆς προειρημβμων κεφαλαίων φρόνημα, καθαιρέσει ὑποβληθῆναι προσήκει, τοὺς δὲ ὑπαχθέντας, ἀκοινωνήτους γνέσθαι. ὡς ἂν τὸ οἰκεῖον ἐπιγνόντες πλημμέλημα, τά τε αἱρετικὰ τοῦ Κυρίλλε κεφάλαια ἀναθεματίσωσι, καὶ τῇ ἐκτεθείσῃ πίστει παρὰ τῆς ἁγίων πατέρων τῆς ἐν Νικαίᾳ συναθροισθέντων ἐμμβμένειν καθομολογήσωσι, μηδὲν ἕτερον αὐτῇ, ἢ ξένον τῆς ἀσεβείας ἐπεισάγοντες, καὶ κατὰ τὰ εὐσεβῆ γράμματα τῆς εὐσεβεστάτων ἡμῶν βασιλέων σὺν ἡμῖν συνέλθωσι, καὶ τῆς τε ζητουμένων τὴν βάσανον ἀδελφικῶς ποιή-

Τοῦτα πάντα ἐ φαλῶ εἶναι, ἢ διὰ τὴν φαυλότητα αὐτῶν ἐλπίσαι συμβῆναι.

ποιήσωνται, καὶ τὴν εὐσεβῆ βεβαιώσωσι πίστιν.

Ἡ ἁγία σύνοδος εἶπεν· Ἐννόμως καὶ ἐνδίκως ἡ σὴ ἀπεφήνατο ἁγιότης. δεῖ τοίνυν γράμματι κοινῷ, Κυρίλλου μὲν καὶ Μέμνονος τὴν καθαίρεσιν, τῶν δὲ λοιπῶν τὴν ἀκοινωνησίαν ὑπαγορευθῆναι, καὶ ταῖς πάντων ὑπογραφαῖς ἡμῶν κυρωθῆναι.

Ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἰωάννης εἶπε· Γενήσεται τὰ συνδόξαντα.

Ἰωάννης ἐπίσκοπος Ἀντιοχέων διελάλησε.

ΨΗΦΟΣ.

Τοῦτο τὸ συνέδριον καλεῖ ἁγίαν σύνοδον.

Ἡ ἁγία σύνοδος, ἡ χάριτι Θεοῦ συγκροτηθεῖσα ἐν Ἐφέσῳ κατὰ τὸ γράμμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, διελάλησε τὰ ὑποτεταγμένα.

Ηὐχόμεθα μὲν κατὰ τοὺς κανόνας τῶν ἁγίων πατέρων, καὶ κατὰ τὸ γράμμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων εἰρηνικῶς γενέσθαι τὴν σύνοδον. ἐπειδὴ δὲ θρασύτητι, καὶ ἀταξίᾳ, καὶ αἱρετικῷ φρονήματι κεχρημένοι, καθ' ἑαυτοὺς συνηδρεύσατε, καίτοι ἡμῶν ἐπὶ θύραις ὄντων κατὰ τὸ γράμμα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων, καὶ πάσης ταραχῆς τὴν πόλιν καὶ τὴν ἁγίαν σύνοδον ἀνεπλήσατε, ὑπὲρ τοῦ μὴ ζητηθῆναι τὰ κεφάλαια, ἃ συμβαίνει τῇ Ἀπολιναρίου, καὶ Ἀρείου, καὶ Εὐνομίου κακοδοξίᾳ, καὶ δυσσεβείᾳ, καὶ οὐκ ἀνεμείνατε τὴν τῶν ἁπανταχόθεν ἁγιωτάτων ἐπισκόπων παρουσίαν, τῶν κληθέντων ὑπὸ τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων· καὶ ταῦτα τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ ἐγγράφως καὶ ἀγράφως παραγγείλαντος ὑμῖν, μηδὲν τοιοῦτο τολμῆσαι, ἀλλὰ ἀναμεῖναι τὸ κοινὸν ἁπάντων τῶν ἁγιωτάτων ἐπισκόπων συνέδριον· τούτου ἕνεκεν γινώσκετε, ὡς καθηρημένοι ἐστέ, καὶ ἀλλότριοι τῆς ἐπισκοπῆς, σύ τε Κύριλλε, ὁ τῆς Ἀλεξανδρείας, καὶ Μέμνων ὁ τῆσδε τῆς πόλεως, καὶ πάσης ἐκκλησιαστικῆς λειτουργίας ἀλλότριοι, ὡς πάσης τῆς * ἀταξίας καὶ παρανομίας ἔξαρχοι καὶ ἡγεμόνες, καὶ τοῦ πατηθῆναι τοὺς κανόνας τῶν πατέρων, καὶ τὰ βασιλικὰ θεσπίσματα, αἴτιοι γεγονότες· οἱ δὲ λοιποὶ πάντες, οἱ συμφωνήσαντες τοῖς ἠτακτηκόσι καὶ παρανομήσασι κατὰ τῶν κανόνων, καὶ κατὰ τῶν βασιλικῶν θεσπισμάτων, ἀκοινώνητοί ἐστε, ἕως ἂν ἐπιγνόντες τὸ οἰκεῖον πλημμέλημα μετανοήσητε, καὶ τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συναθροισθέντων καταδέξησθε. μηδὲν ἕτερον αὐτῇ ξένον ἐπεισάγοντες, καὶ ἀναθεματίσητε τὰ αἱρετικὰ κεφάλαια τὰ ἐκτεθέντα παρὰ Κυρίλλου τοῦ Ἀλεξανδρείας, τὰ ἐναντιούμενα τῇ εὐαγγελικῇ καὶ ἀποστολικῇ διδασκαλίᾳ, καὶ τῷ γράμματι τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων ἡμῶν βασιλέων ἐμμείνητε, τῷ κελεύοντι ἡσύχως, καὶ ἀκριβῶς τὰ τῆς πίστεως ζητηθῆναι.

* ἀναρχίας καὶ παρανομίας ἀτάκτου,

Εἰσὶ δὲ οἱ ὑπογράψαντες.

Ἰωάννης ἐπίσκοπος Ἀντιοχείας,
Ἀλέξανδρος Ἀπαμείας μητροπολίτης.
Ἰωάννης Δαμασκοῦ μητροπολίτης,
Δωρόθεος Μαρκιανουπόλεως μητροπολίτης,
Ἀλέξανδρος Ἱεραπόλεως μητροπολίτης,
Δεξιανὸς Σελευκείας Ἰσαυρίας μητροπολίτης,
Βασίλειος Θεσσαλίας μητροπολίτης,
Ἀντίοχος Βόστρων μητροπολίτης,
α Παῦλος * Ἐμέσης,
Ἀπρίγγιος Χαλκίδος,
Πολυχρόνιος Ἡρακλείας,
Κύριλλος Ἀδάνων,
Αὐσόνιος Ἱμερίας,
Μουσαῖος * Ἀργάδου, καὶ Ἀνταράδου,
Ἡσύχιος * Κασταβάλων,
Σαλούστιος Κωρύκου,
Ἰάκωβος Δωροστόλου,
Ζῶσυς * Ἐσβοῦντος,
Εὐστάθιος Παρνασοῦ,
Διογένης Σελευκωβήλου,
Πλάκων Λαοδικείας,
Πολυχρόνιος Ἐπιφανείας
* Φριτίλας Ἡρακλείας * μητροπολίτης,
Ἱμέριος Νικομηδείας μητροπολίτης,
Ἑλλάδιος Ταρσοῦ μητροπολίτης,
Εὐθήριος Τυάνων μητροπολίτης,
Ἀστέριος Ἀμίδης μητροπολίτης,
* Θεοδώρητος * Κύρου,
Μακάριος Λαοδικίας,
Θεοσέβιος Κίου Βιθυνίας,
* Μαξιμιανὸς * μητροπολίτης Ἀναζαρβοῦ,
Γερόντιος Κλαυδιουπόλεως,
Κῦρος Μαρκουπόλεως,
Αὐρήλιος Εἰρηνουπόλεως,
Μελέτιος Νεοκαισαρείας.
Ἑλλάδιος Πτολεμαΐδος,
Ταριανὸς Αὐγούστης,
Οὐαλεντῖνος * Μάλλου,
Μαρκιανὸς * Ἀβρύτου,
Δανιήλιος Φαυστινουπόλεως,
Ἰουλιανὸς Λαρίσσης,
* Ἡλιάδης Ζεύγματος,
Μαρκελλῖνος Ἄρκης.

Ὁμοῦ πάντες μγ'.

Τῶν σχισματικῶν ἐπισκόπων τὰ ὀνόματα.

α in c. Seg. primus post Metropolitas subscripsit Theodoretus ante hunc Paulum
* Ἐμίσης,
* Χαλκιδέων Χαλκηδόνος.
* Ἀράδου
* Κασταβάλης Κιλικίας
* Εἰσβοῦντος

* Φριτίλος,
* in c. Seg. tertio loco subscripsit, Himerius quinto, Helladius septimo, Eutherius undecimo, Asterius decimo tertio
* Θεοδώρητος,
* Κυριστῶν πόλεως.
* τῆς μεγάλης
* Μαξιμῖνος.
* in ms. Seg. subscripsit ordine nonus.
* Μάλου, Ἀβρύτης,

* Ἡλιάδης

Γράμμα τῶν αὐτῶν τὸ τῆς ἀκοινωνησίας, σταλὲν τῇ ἁγίᾳ συνόδῳ.

Ἡ ἁγία σύνοδος τοῖς παρ' ἡμῶν γενομένοις ἀκοινωνήτοις ἐπισκόποις τάδε δηλοῖ καὶ συμβουλεύει.

Δεινὸν μὲν ὡς ἀληθῶς τὸ πλημμελεῖν, καὶ τὸν δεσπότην παροργίζειν Θεόν· δεινότερον δὲ πολλῷ, καὶ χαλεπώτερον τὸ μὴ λύειν μεταμελείᾳ τὴν πλημμέλειαν· ὅπερ ὑμεῖς μέχρι τοῦ παρόντος πεποιήκατε· συνεργήσαντες μὲν τοῖς ἀθέσμως, καὶ ἀτάκτως γεγενημένοις ὑπὸ Κυρίλλου τοῦ Ἀλεξανδρείας, καὶ Μέμνονος τοῦ Ἐφεσίου. ἀκοινώνητοι δὲ παρ' ἡμῶν τούτου χάριν γεγενημένοι· καὶ τῆς * φιλανθρωπίας τὴν θύραν, ἀνεῳγμένην ὑμῖν διὰ τῶν ἡμετέρων ἀποφάσεων ὁρῶντες, καὶ μὴ προστρέχοντες, μηδὲ παρακαλοῦντες, τῶν τῆς ἀκοινωνησίας ἀπαλλαγῆναι δεσμῶν, ἀλλ' ἔτι συνόντες ἀνδράσιν αἱρετικὸν φρόνημα κεκτημένοις, καὶ τούς τε θεσμοὺς τῶν ἁγίων πατέρων, τά τε θεσπίσματα

* φιλίας.

τῶν εὐ-

τῶν εὐσεβεστάτων βασιλέων πατήσασι, καὶ μυρία παράνομα εἰργασμένοις. καὶ τούτου χάριν ὑφ' ἡμῶν καθαιρεθεῖσι, καὶ τῆς ἐπισκοπῆς ἀλλοτρίοις γενομένοις. γινώσκετε τοιγαροῦν, ὡς, εἰ μὴ ταχέως τὸ πρέπον συνίδοιτε, καὶ τῆς ἐπιβλαβοῦς ἐκείνης ἐπιμιξίας ἀπαλλαγέντες, τήν τε πίστιν τῶν μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ συναθροισθέντων κατέχειν ὁμολογήσητε, καὶ κατὰ τὰ γράμματα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων ἡσύχως, καὶ θορύβου παντὸς χωρὶς τὸ συνέδριον σὺν ἡμῖν ποιῆσαι θελήσητε, ἡμᾶς μὲν οὐκ αἰτιάσεσθε, ἑαυτοὺς δὲ τῆς ἀβουλίας ἐπιμέμψεσθε.

Ἀναφορά. * Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν βασιλέα. δι' ἧς ἐμηνύσαν τὰ παρ' αὐτοῖς πραχθέντα, καὶ τὴν αἰτίαν τοῦ βράδους τῆς ἀφίξεως τοῦ Ἀντιοχείας ἐπισκόπου.

ΤΟΙΣ εὐσεβέσιν ὑμῶν κελευσθέντες γράμμασι, κατελάβομεν τὴν Ἐφεσίων μητρόπολιν, καὶ εὕρομεν πάσης συγχύσεως, καὶ ἐμφυλίου πολέμου γέμοντα τὰ ἐκκλησιαστικὰ πράγματα, Κυρίλλου τοῦ Ἀλεξανδρείας καὶ Μέμνονος συμφραξαμένων, καὶ πλῆθος ἀγροικικὸν συναθροισάντων, καὶ μήτε τῆς ἁγίας πεντηκοστῆς τὴν πανήγυριν ἐπιτελέσαι συγχωρησάντων, μήτε τὰς ἑσπερινὰς, ἢ τὰς ἑωθινὰς λειτουργίας· πρὸς δὲ τούτοις καὶ τὰς ἁγίας ἐκκλησίας, καὶ τὰ ἅγια μαρτύρια ἀποκλεισάντων. καθ' ἑαυτοὺς δὲ σὺν τοῖς ἀπατηθεῖσιν ὑπ' αὐτῶν συνεδρευσάντων, καὶ μυρία παράνομα ἐργασαμένων. καὶ τούς τε τῶν ἁγίων πατέρων κανόνας, τά τε ὑμέτερα πατησάντων θεσπίσμαται, καὶ ταῦτα τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ, τοῦ παρὰ τῆς ὑμετέρας φιλοχρίστου κορυφῆς ἀποσταλέντος, παρεγγυήσαντος αὐτοῖς καὶ ἐγγράφως, καὶ ἀγράφως, ἀναμεῖναι τοὺς πανταχόθεν ἀφικνουμένους ἁγιωτάτους ἐπισκόπους, καὶ τότε κοινῇ τὸ συνέδριον ποιῆσαι κατὰ τὰ γράμματα τῆς ὑμετέρας εὐσεβείας· καὶ αὐτοῦ δὲ Κυρίλλου τοῦ Ἀλεξανδρέως, ἐπιστείλαντός μοι τῷ τῆς Ἀντιοχέων, πρὸ δύο ἡμερῶν τοῦ γενομένου ὑπ' αὐτῶν συνεδρίου, ὡς ἡ σύνοδος πᾶσα ἀναμένει μου τὴν παρουσίαν. διὸ ἀμφοτέρους τοὺς προειρημένους καθείλομεν, Κύριλλον καὶ Μέμνονα, καὶ πάσης ἐκκλησιαστικῆς λειτουργίας ἀλλοτρίους πεποιήκαμεν. τοὺς δὲ λοιπούς, τοὺς ταύτης τῆς παρανομίας αὐτοῖς κοινωνήσαντας, ἀκοινωνήτους πεποιήκαμεν, ἕως ἂν τὰ κεφάλαια τὰ παρὰ Κυρίλλου ἐκπεμφθέντα, τῆς Ἀπολιναρίου, καὶ Εὐνομίου, καὶ Ἀρείου, κακοδοξίας γέμοντα, ἐκβάλωσι καὶ ἀναθεματίσωσι, καὶ κατὰ τὸ τῆς ὑμετέρας εὐσεβείας γράμμα, κοινῇ σὺν ἡμῖν συνεδρεύσαντες, ἡσύχως καὶ ἀκριβῶς τά τε ζητήματα σὺν ὑμῖν ἴδωσι, καὶ τὸ εὐσεβὲς τῶν πατέρων βεβαιώσωσι δόγμα. περὶ δὲ τῆς ἐμῆς βραδύτητος ἴσω ὑμῶν ἡ εὐσέβεια, ὡς πρὸς τὸ χερσαῖον διάστημα τῆς ὁδοῦ, διὰ γῆς γὰρ ἡμῶν ἡ ὁδὸς γεγένηται, σφόδρα ἐπεταχύναμεν. τεσσαράκοντα γὰρ μονὰς ὡδεύσαμεν, μηδεμιᾶς ἀνακωχῆς κατὰ τὴν πορείαν ἀπολαύσαντες. ὡς ἔξεστιν ὑμῶν τῇ φιλοχρίστῳ βασιλείᾳ παρὰ τῶν τὰς κατὰ τὴν ὁδὸν πόλεις οἰκούντων μαθεῖν· πρὸς δὲ τούτοις καὶ ὁ λιμὸς κατὰ τὴν Ἀντιόχειαν γενόμενος, καὶ αἱ καθ' ἑκάστην ἡμέραν ταραχαὶ τοῦ δήμου, καὶ ἡ * παρὰ τὸν καιρὸν σφοδροτάτη γενομένη ἐπομβρία, ἣ καὶ κίνδυνον ἐκ τῶν χειμάρρων ἐπήγαγε τῇ πόλει, οὐκ ὀλίγας ἡμέρας ἡμᾶς εἰς τὴν προειρημένην ἐπέσχε πόλιν.

* περὶ

* Ἀναφορά.

* Ἐπιστολὴ Ἰωάννου ἐπισκόπου Ἀντιοχείας, καὶ τῶν σὺν αὐτῷ, πρὸς τὸν Κωνσταντινουπόλεως κλῆρον.

ΕΓΝΩ που πάντως ὑμῶν ἡ εὐλάβεια τὰ ἀθέσμως, καὶ παρανόμως, ὑπὸ Κυρίλλου τοῦ Ἀλεξανδρέως, καὶ Μέμνονος τοῦ Ἐφεσίου, καὶ τῶν σὺν αὐτοῖς, παρὰ τὸ γράμμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συνεδρευσάντων γεγενημένα. διὸ ἀναγκαῖον ᾠήθημεν γνωρίσαι ὑμῶν τῇ θεοσεβείᾳ, ὡς ἐκεῖνα μὲν ἅπαντα τὰ ὑπ' αὐτῶν τολμηθέντα, ἱστὸς ἀράχνης κατὰ τὸν προφήτην ὑπάρχει· αὐτοὶ δὲ οἱ ταῦτα τετολμηκότες, ὅ, τε Κύριλλος καὶ ὁ Μέμνων, ὡς ἔξαρχοι τῆς ἀταξίας, καὶ παρανομίας γενόμενοι, ὑφ' ἡμῶν καθῃρέθησαν, καὶ ἀλλότριοι τῆς ἐπισκοπῆς ἐγένοντο· τοὺς δὲ σὺν αὐτοῖς συνεδρεῦσαι ἑλομένους, ἀκοινωνήτους πεποιήκαμεν, ἕως ἂν τὸ οἰκεῖον ἐπιγνόντες πλημμέλημα, τά τε αἱρετικὰ κεφάλαια Κυρίλλου τοῦ Ἀλεξανδρέως ἀναθεματίσωσι, καὶ τὴν πίστιν τῶν ἁγίων πατέρων, τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συναθροισθέντων, ἀδόλως καταδέξωνται. μὴ τοίνυν θορυβήσῃ τις τὴν ὑμετέραν εὐλάβειαν τῶν τὰ τοιαῦτα ποιεῖν εἰωθότων· οὐδεμίαν γὰρ ἰσχὺν, ὡς ἤδη ἐδηλώσαμεν, ἔχει τὰ παρανόμως ὑπ' αὐτῶν τολμηθέντα. τοῦτο δὲ καὶ τῷ εὐσεβεῖ καὶ φιλοχρίστῳ ἡμῶν βασιλεῖ ἐγνωρίσαμεν, καὶ τοῖς μεγαλοπρεπεστάτοις καὶ ἐνδοξοτάτοις ἄρχουσι.

Ἡσαΐ. 59.

Ἐπιστολὴ τῶν αὐτῶν, πρὸς τὴν ἐν Κωνσταντινουπόλει σύγκλητον.

Τῇ θεοφιλεῖ, καὶ φιλοχρίστῳ συγκλήτῳ ἡ ἁγία σύνοδος ἐν κυρίῳ χαίρειν.

ΛΙΑΝ ἀλγοῦμεν, οἰκείων μελῶν ἐκτομὴν τῇ ὑμετέρᾳ μεγαλοπρεπείᾳ μηνύειν ἀναγκαζόμενοι. εἰ γὰρ καὶ ἀναγκαῖος ὁ χωρισμὸς τῶν σεσηπότων μελῶν, ἀλλ' ὅμως ὀδύνην πικρὰν τῷ λοιπῷ σώματι κατεργάζεται. εἰ πάσχει γὰρ, φησὶν ὁ μακάριος Παῦλος, ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη. ἀλλ' ὅμως οὐ παραιτητέα τοῖς ἰατροῖς τῶν ἀχρήστων καὶ ἐπιβλαβῶν μελῶν ἡ τομή· ὁ γὰρ ἐχέφρων, καὶ σοφὸς τῶν σωμάτων θεραπευτὴς εἰς τὴν τῶν λοιπῶν μελῶν ἀφορῶν ὑγείαν, καταφρονεῖ τοῦ σεσηπότος, παντὶ τῷ σώματι τὴν σωτηρίαν πραγματευόμενος. τοῦτο καὶ ἡμεῖς ἐπὶ τοῦ παρόντος πεποιήκαμεν. εὕρομεν γὰρ Κύριλλον τὸν Ἀλεξανδρείας ἐπίσκοπον, καὶ Μέμνονα τὸν Ἐφέσου, μυρία ἄττα κατὰ τῆς τοῦ Θεοῦ ἐκκλησίας ἐργαζομένους δεινὰ, καὶ θορύβου καὶ ταραχῆς τήν τε πόλιν, καὶ τὴν ἁγίαν σύνοδον, ἐμπλήσαντας, ναύταις τε Αἰγυπτίοις, καὶ ἀγροίκοις Ἀσιανοῖς, ὑπουργοῖς

1. Κορ. 12. 26

γοῖς τῆς τυραννίδος χρησαμένους, καὶ μήτε τοὺς συγκληθέντας ἁγιωτάτους, καὶ θεοφιλεστάτους ἐπισκόπους ἀναμείναντας, μήτε τῶν γραμμάτων τῶν θεοφιλεστάτων, καὶ φιλοχρίστων ἡμῶν βασιλέων ἀναχομένους, μήτε ταῖς εἰσηγήσεσι, καὶ παραγγελίαις τοῦ μεγαλοπρεπεστάτου, καὶ ἐνδοξοτάτου κόμητος Κανδιδιανοῦ πεισθέντας, ἀλλὰ πάντα φύρδην συγχέαντας τὰ τῆς εὐσεβείας σεμνὰ, ἀθέσμως τε, καὶ παρανόμως, πάντα ἐργαζομένους, καὶ τῆς ἁγίας πεντηκοστῆς τὴν πανήγυριν ἐπιτελέσαι κωλύσαντας, τούς τε θείους ναοὺς, καὶ τοὺς τῶν καλλινίκων μαρτύρων σηκοὺς ἀποκλείσαντας· ἵνα μηδὲ εὔξασθαι τοῖς βουλομένοις ἐξῇ, τοῖς μακρὰν μὲν πορείαν πεποιημένοις, ἐφιεμένοις δὲ πάσας τὰς τῶν ἁγίων καὶ καλλινίκων μαρτύρων περιπτύξασθαι λάρνακας, οὐχ ἥκιστα δὲ τὴν τοῦ τρισμακαρίου Ἰωάννου τοῦ θεολόγου καὶ εὐαγγελιστοῦ, τοῦ πολλὴν πρὸς τὸν ἡμέτερον δεσπότην παῤῥησίαν κτησαμένου. διὸ τοὺς προειρημένους, Κύριλλον, καὶ Μέμνονα, καθελεῖν ἠναγκάσθημεν, καὶ τῆς ἐπισκοπῆς ἀλλοτρίους πεποιήκαμεν· τοὺς δὲ συνεργήσαντας αὐτῶν τῇ αὐθαδείᾳ, καὶ τυραννίδι, ἢ δι' ἀπάτην, ἢ διὰ φόβον, ἀκοινωνήτους πεποιήκαμεν, συμμετρίσαντες τὴν παιδείαν τῇ τῆς προαιρέσεως μεταμελείᾳ. ἢν γὰρ αἴσθωνται τῆς

μεταμελείας. * πλημμελείας, καὶ τῆς αἱρετικῆς παύσωνται κακακοδοξίας, τήν τε τῶν ἁγίων πατέρων πίστιν, τῶν ἐν Νικαίᾳ τῆς βιθυνίας συνελθόντων, ἀνακτήσωνται, καὶ σὺν ἡμῖν κατὰ τὰ γράμματα τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων, ἡμῶν βασιλέων εἰς τὸν συνέδριον συνελθόντες, μεθ' ἡσυχίας ἱερεῦσι πρεπούσης τὰ ζητούμενα ἐρευνήσωσι, τοῦ τε δεσμοῦ τῆς ἀκοινωνησίας ἀπαλλαγήσονται, καὶ τὴν ἱερατικὴν ἀπολήψονται λειτουργίαν.

Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν ἐν Κωνσταντινουπόλει λαόν.

Τῷ εὐλαβεστάτῳ, καὶ πιστοτάτῳ, καὶ φιλοχρίστῳ λαῷ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ἡ σύνοδος.

ΝΟΜΟΣ ἐστὶν ἄγραφος τοῖς ποιμέσι, πολλὴν τῶν προβάτων ποιεῖσθαι κηδεμονίαν, ἵνα μήτε κλέπτης ταῦτα λῃστεύῃ, μήτε θηρία κατεσθίῃ, μήτε νόσος λυμαίνηται. εἰ δὲ οἱ τῶν ἀλόγων προβάτων τὴν κηδεμονίαν πεπιστευμένοι, τοσαύτην αὐτῶν ποιοῦνται προμήθειαν, ὡς βοᾷν τὸν

Γενεσ. 31. 39. μακάριον Ἰακὼβ πρὸς τὸν Λάβαν· ἤμην συγκαιόμενος τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτὸς, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου, καὶ θηριάλωτον οὐκ ἐνήνοχά σοι· ὅσην χρὴ ποιήσασθαι πρόνοιαν τῶν λογικῶν τοῦ σωτῆρος ἡμῶν προβά-

Γαλατ. 3. 27. των, ἃ τοὺς θείους περίκειται χαρακτῆρας, βαπτισθέν-

Ψαλμ. 4. τα μὲν εἰς Χριστὸν, ἐνδυσάμενα δὲ Χριστὸν, καὶ σημειωθέντα τῷ φωτὶ τοῦ προσώπου κυρίου; τούτου χάριν ἀναγκαῖον ᾠήθημεν τὰς ὑμετέρας διὰ γραμμάτων προθεραπεῦσαι ψυχάς· ἵνα μὴ ταῖς ματαίαις φήμαις ὑπαχθέντες ἀθυμήσητε, καὶ ταραχὴν ταῖς διανοίαις εἰσδέξησθε. ἀφικόμεθα γὰρ εἰς τὴν Ἐφεσίων πόλιν, τοῦ κηδεμόνος τῶν ὅλων Θεοῦ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν τὴν διάνοιαν εἰς τοῦτο κινήσαντος· καὶ εὕρομεν τήν τε πόλιν θορύβου παντὸς πεπληρωμένην, καὶ τὴν ἅπασαν σύνοδον οὐ μετρίως ταραττομένην, καὶ κλύδωνα θαλάττιον τὴν ἁγίαν ἐκκλησίαν μιμουμένην, Κυρίλλου τοῦ πρὶν Ἀλεξανδρείας ἐπισκόπου, καὶ Μέμνονος τοῦ Ἐφεσίων, δίκην καταιγίδων τὸν χαλεπὸν τοῦτον ἐγειράντων χειμῶνα. δείσαντες γὰρ, ὁ μὲν Αἰγύπτιος, ἵνα μὴ τὰ κεφάλαια τῆς αἱρετικῆς αὐτοῦ κακοδοξίας, τὰ τῇ Ἀπολιναρίου δυσσεβείᾳ συμβαίνοντα, ἐρευνήσαντες αἱρετικὸν αὐτὸν κατακρίνωμεν· ὁ δὲ τῆς ἄλλης αὐτοῦ ῥᾳθυμίας τὰ κατὰ τὴν πόλιν θρυλλούμενα, συμφρονήσαντες, καὶ μίαν τυραννικὴν ἀναδειξάμενοι γνώμην· καὶ ὁ μὲν πεντήκοντα Αἰγιπτίους ἐπισκόπους, ὁ δὲ Ἀσιανοὺς πλείους, ἢ τριάκοντα συναγαγὼν, καὶ ἄλλους τινὰς, τοὺς μὲν ἀπάτῃ, τοὺς δὲ φόβῳ προσλαβόμενοι, οὐκ ἠβουλήθησαν μὲν ἀναμεῖναι τὸ κοινὸν τῶν πανταχόθεν ἀφικνουμένων ἁγιωτάτων ἐπισκόπων συνέδριον· καταφρονήσαντες δὲ τῶν ἐκκλησιαστικῶν θεσμῶν, καὶ πάντα ἀτόπως, καὶ παρανόμως, διαπραξάμενοι, ὡς ἐξ ἀκροπόλεως μὲν δυσσεβεῖν ἅπασι παρακελεύονται, ναύτας δὲ, καὶ κληρικοὺς Αἰγυπτίους, καὶ ἀγροίκους Ἀσιανοὺς, εἰς τὰς τῶν ἐπισκόπων οἰκίας ἀποστέλλοντες, καὶ τὰ ἀνήκεστα ἀπειλοῦντες, καὶ φόβον τοῖς σαθροτέροις ἐπικρεμῶντες, καὶ τὰς οἰκίας ἔξωθεν ἐπιγράφοντες, ὡς ἐπισήμους εἶναι τοὺς πολιοκρκηθῆναι ὀφείλοντας, ἠνάγκαζον συντίθεσθαι τοῖς ὑπ' αὐτῶν παρανόμως γεγενημένοις. ταῦτα καταλαβόντες, καὶ πείρᾳ τὴν τυραννικὴν αὐτῶν ἀταξίαν μεμαθηκότες, ἄτοπον ἡγησάμεθα, τοὺς εἰς τοσοῦτον κακίας ἐληλακότας, ἐν τῇ θείᾳ, καὶ μεγάλῃ, ἱερωσύνῃ καταλιπεῖν. διὸ τούτους μὲν, ὡς τῶν κακῶν ἡγεμόνας, καθελεῖν ἠναγκάσθημεν, καὶ τῆς ἐπισκοπῆς ἀλλοτρίους πεποιήκαμεν, τοὺς δὲ τούτοις συνεργήσαντας τῷ τῆς ἀκοινωνησίας ὑπεβάλομεν δεσμῷ· οὐκ ἀπαγορεύοντες τὴν μετάνοιαν, ἀλλὰ τὴν τῆς φιλανθρωπίας αὐτοῖς ὑπανοίξαντες θύραν. ἢν γὰρ * ἐθέλωσιν ὡς τάχιστα ἀναθεματίσαι μὲν τὰ ὑπὸ Κυρίλλου ἀποσταλέντα κεφάλαια, τὰ τῆς ἀποστολικῆς, καὶ εὐαγγελικῆς * διδασκαλίας ἀλλότρια, εἰς δὲ τὴν πίστιν τῶν ἁγίων πατέρων ἐπανελθεῖν, τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελθόντων, καὶ κατὰ τὸ γράμμα τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων, ἡμῶν βασιλέων, ἀθορίβως, καὶ ἀκριβῶς, τά τε προκείμενα συζητῆσαι, καὶ τὸ εὐσεβὲς δόγμα κυρῶσαι, παραυτίκα αὐτοὺς, ὡς οἰκεῖα μέλη δεξόμεθα, καὶ τοὺς ἱερατικοὺς αὐτοῖς ἀποδώσομεν θρόνους.

* ἐθελήσωσιν

* ἐκκλησίας

Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὰς βασιλίδας.

ΕΤΕΡΑ γνωρίζειν τῇ ὑμετέρᾳ προσδοκήσαντες εὐσεβείᾳ, τὰ ἐναντία δηλῶσαι ἠναγκάσθημεν, τῆς τυραννικῆς ἀταξίας Κυρίλλου τοῦ Ἀλεξανδρέως, καὶ Μέμνονος τοῦ Ἐφεσίου, τοῦτο ποιῆσαι βιαζομένης. δέον γὰρ διά τε τὴν τῶν ἐκκλησιαστικῶν θεσμῶν ἀκολουθίαν, καὶ διὰ τὰ εὐσεβῆ τῶν φιλοχρίστων ἡμῶν βασιλέων θεσπίσματα, ἀναμεῖναι μὲν

μὲν τῶν ἀφικνουμένων θεοφιλεστάτων ἐπισκόπων τὴν παρουσίαν, κοινῇ * διασκέψασθαι τὰ περὶ τῆς εὐσεβοῦς πίστεως, καὶ τὰ προκείμενα ζητήματα συνιδεῖν, καὶ ἀκριβῶς τὸ ἀποστολικὸν ἐρευνήσαντας βεβαιῶσαι δόγμα· γράψαντες ἡμῖν, ὡς τὴν ἡμετέραν ἀναμένουσι παρουσίαν, καὶ μαθόντες ὡς ἀπὸ τριῶν μονῶν τυγχάνομεν, καθ' ἑαυτοὺς τυραννικὸν συνέδριον συγκροτήσαντες, ἄθεσμα, καὶ παράνομα, καὶ πάσης ἀτοπίας γέμοντα ἐτόλμησαν πράγματα. Ἃ ταῦτα τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ, τοῦ εὐταξίας χάριν ὑπὸ τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων ἡμῶν βασιλέων ἀποσταλέντος, καὶ ἀγράφως αὐτοῖς καὶ ἐγγράφως παρεγγυήσαντος ἀναμεῖναι τοὺς συγκληθέντας θεοφιλεστάτους ἐπισκόπους, καὶ μηδὲν νεωτερίσαι περὶ τὴν εὐσεβῆ πίστιν, ἀλλὰ στοιχῆσαι τοῖς θεσπισθεῖσι παρὰ τῶν τὰ θεῖα φρονούντων βασιλέων ἡμῶν. ἀλλ' ὅμως καὶ τοῦ βασιλικοῦ γράμματος ἐπακούσαντες, καὶ τῶν συμβουλιῶν τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ, σμικρὸν τῆς εὐταξίας φροντίσαντες, ὠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης, κατὰ τὸν προφήτην, ὑφαίνουσιν· ἀλλ' ὁ μέλλων τῶν ὠῶν αὐτῶν φαγεῖν, συντρίψας οὔριον εὗρε, καὶ ἐν αὐτῷ βασιλίσκος. διὸ θαρραλέως βοῶμεν· ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται εἰς ἱμάτιον, οὐδὲ μὴ περιβάλλονται ἀπὸ τῶν ἔργων τῶν χειρῶν αὐτῶν. τούτου χάριν τὰς πολλὰς ἀτοπίας αὐτῶν θεασάμενοι, τάς τε γὰρ ἐκκλησίας, καὶ τὰ ἅγια μαρτύρια ἀπέκλεισαν, τῆς τε ἁγίας πεντικοστῆς τὴν πανήγυριν ἐπιτελέσαι οὐκ εἴασαν· καὶ πρὸς τούτοις τοὺς τῆς τυραννικῆς αὐτῶν ἀταξίας ὑπηρέτας εἰς τὰς τῶν ἐπισκόπων οἰκίας ἀποστέλλοντες, καὶ τὰ ἀνήκεστα ἀπειλοῦντες, ὑπογράψαι τοῖς ὑπ' αὐτῶν παρανόμως τολμηθεῖσιν ἠνάγκασαν· οὗ χάριν τοὺς προειρημένους Κύριλλον καὶ Μέμνονα καθείλομεν, καὶ τῆς ἐπισκοπῆς ἀλλοτρίους πεποιήκαμεν· τοὺς δὲ συνεργήσαντας αὐτῶν τῇ ἀταξίᾳ, καὶ εἴτε κολακείᾳ, εἴτε φόβῳ ὑποσυρέντας, ἀκοινωνήτους πεποιήκαμεν, ἕως ἂν εἰς αἴσθησιν τῶν οἰκείων ἐλθόντες τραυμάτων, καὶ μεταμεληθῶσι γνησίως, καὶ τὰ αἱρετικὰ Κυρίλλου κεφάλαια, τὰ τῇ Ἀπολιναρίου, καὶ Ἀρείου, καὶ Εὐνομίου δυσσεβείᾳ συμβαίνοντα, ἀναθεματίσαντες, τὴν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συναθροισθέντων ἀνακτήσωνται πίστιν, καὶ κατὰ τὰ εὐσεβῆ τῶν φιλοχρίστων ἡμῶν βασιλέων θεσπίσματα, ἡσύχως, καὶ δίχα θορύβου τινὸς, εἰς τὸ συνέδριον συνελθόντες, ἀκριβῶς τά τε ζητούμενα συνιδεῖν ἐθελήσωσι, καὶ τῆς εὐαγγελικῆς πίστεως τὸ εἰληκρινὲς ἀδόλως φυλάξωσι.

* ἴσως, δι' ἐκέψασθαι

Hesai. 59. 5.

ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

Ἴσον ὑπομνήματος πραχθέντος ἐπὶ τῇ παρουσίᾳ τῶν ἀπὸ Ῥώμης ἐλθόντων ἐπισκόπων, καὶ πρεσβυτέρων.

ΤΟΙΣ μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν, Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον, καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον, τῶν αἰωνίων Αὐγούστων, πρὸ ἓξ εἰδῶν Ἰουλίων, ἥ τίς ἐστι κατ' Αἰγυπτίους Ἐπιφὶ ιστ'. συνόδου συγκροτηθείσης ἐν τῇ Ἐφεσίων μητροπόλει, ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων, καὶ καθεσθέντων ἐν τῷ ἐπισκοπείῳ τοῦ θεοφιλεστάτου ἐπισκόπου Μέμνονος τῶν θεοφιλεστάτων ἐπισκόπων, Κυρίλλου Ἀλεξανδρείας, διέποντος καὶ τὸν τόπον τοῦ ἁγιωτάτου, καὶ ὁσιωτάτου, ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου, καὶ Ἰουβεναλίου Ἱεροσολύμων, καὶ Μέμνονος τῆς Ἐφεσίων, καὶ Φλαυιανοῦ Φιλίππων, ἐπέχοντος καὶ τὸν τόπον Ῥούφου τοῦ εὐλαβεστάτου ἐπισκόπου Θεσσαλονικέων, καὶ Θεοδότου Ἀγκύρας Γαλατίας πρώτης, καὶ Φίρμου Καισαρείας Καππαδοκίας πρώτης, καὶ πάντων * προταγέντων ἐπισκόπων ἐν τῇ στάσει τῶν ὑπομνημάτων, καὶ Βεσουλᾶ διακόνου Καρθαγένης· εἰσελθόντων τε, καὶ συνεδρευσάντων ἀπὸ τῆς ἑσπέρας θεοφιλεστάτων, καὶ θεοσεβεστάτων, ἐπισκόπων, καὶ πρεσβευτῶν, Ἀρκαδίου, καὶ Προϊέκτου, καὶ τοῦ θεοφιλεστάτου πρεσβυτέρου Φιλίππου τοῦ ἀποστολικοῦ θρόνου, καὶ λεγάτου.

* τῶν λοιπῶν ἐπισκόπων, καὶ Βεσουλᾶ.

Ἑρμηνεία τῆς καταθέσεως.

Φίλιππος, τοῦ ἀποστολικοῦ θρόνου πρεσβύτερος, καὶ πρεσβευτὴς εἶπεν· Εὐχαριστοῦμεν τῇ ἁγίᾳ, καὶ σεπτῇ τριάδι, ὅτι ἡμᾶς τοὺς εὐτελεῖς, τοῦ ἁγίου ἡμῶν συλλόγου ἠξίωσε. πάλαι μὲν οὖν ὁ ἁγιώτατος, καὶ μακαριώτατος πάπας ἡμῶν Κελεστῖνος, ὁ τῆς ἀποστολικῆς καθέδρας ἐπίσκοπος, περὶ τῆς παρούσης ὑποθέσεως, δι' ἐπιστολῶν ἑαυτοῦ πρὸς τὸν ἅγιον καὶ εὐλαβέστατον ἄνδρα, τῆς Ἀλεξανδρέων ἐπίσκοπον ἐκκλησίας, Κύριλλον ὥρισεν. ἅ τινα γράμματα τῷ ἁγίῳ ὑμῶν συλλόγῳ πεπόρισται· καὶ νῦν δὲ πρὸς βεβαίωσιν τῆς καθολικῆς πίστεως πρὸς τὴν πάντων ὑμῶν εὐλάβειαν δι' ἡμῶν γράμματα ἐξέπεμψεν· ἅ τινα παρ' ἡμῶν ὑποδειχθέντα πρεπόντως τῇ ἁγίᾳ συνόδῳ ἀναγνωσθῆναι κελεύσατε, καὶ τοῖς ἐκκλησιαστικοῖς ὑπομνήμασιν ἐνταγῆναι.

Ἑρμηνεία τῆς καταθέσεως.

Ἀρκάδιος * ἐπίσκοπος, καὶ πρεσβευτὴς τῆς Ῥωμαίων ἐκκλησίας, εἶπε. Κελευσάτω ἡ ὑμετέρα μακαριότης, τὰ προσενεχθέντα ὑμῖν γράμματα τοῦ ἁγίου, καὶ μετὰ πάσης προσκυνήσεως ὀνομαζομένου, πάπα Κελεστίνου, τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπου, ἀναγνωσθῆναι· ἐξ ὧν γνῶναι δυνήσεται ἡ ὑμετέρα μακαριότης, ποίαν ἔχει φροντίδα πασῶν τῶν ἐκκλησιῶν.

* in codice Seguieriano junguntur una Arcadius & Projectus episcopi & legati. (x)

Ἑρμηνεία τῆς καταθέσεως.

Προϊέκτος ἐπίσκοπος, καὶ πρεσβευτὴς τῆς Ῥωμαίων ἐκκλησίας, εἶπε· Κελευσάτω ἡ ὑμετέρα μακαριότης, τὰ προσενεχθέντα ὑμῖν γράμματα τοῦ ἁγίου, καὶ μετὰ πάσης προσκυνήσεως ὀνομαζομένου, πάπα Κελεστίνου, τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπου, ἀναγνωσθῆναι· ἐξ ὧν γνῶναι δυνήσεται ἡ ὑμετέρα μακαριότης, ποίαν ἔχει φροντίδα πασῶν τῶν ἐκκλησιῶν.

* Καὶ μετὰ τὸ διαλαλῆσαι τὸν ἁγιώτατον καὶ θεοφιλέστατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων ἐκκλησίας Κύριλλον, καθὼς ἑξῆς περιέχει, * Σιρίκιος νοτάριος τῆς ἁγίας καθολικῆς ἐκκλησίας πόλεως ῥωμαίων, ἀνέγνω.

* absunt a cod. Seguieriano.

* Σιρίκιος.

Κύριλλος, ἐπίσκοπος Ἀλεξανδρείας, εἶπεν. Ὑποδεχθὲν τὸ γράμμα τοῦ ἁγιωτάτου, καὶ * τὰ πάντα ὁσιωτάτου, τῆς ἁγίας ἀποστολικῆς * καθέδρας ἐπισκό-

* κατὰ πάντα

* ἐκκλησίας, in c. Seg.

σκόπε τῆς Ρωμαίων Κελεσίνε, μ᾽ τῆς προσφόρε τιμῆς ἀναγινωσκέσθω τῇ ἁγίᾳ συνόδῳ.

* Σειρίκιος, νοταρίος τῆς ἁγίας καθολικῆς ἐκκλησίας πόλεως Ρώμης ἀνέγνω. *

Καὶ μ᾽ τὸ ἀναγνωσθῆναι Ρωμαϊστὶ, Ἰωβενάλιος ἐπίσκοπος Ἱεροσολύμων, εἶπε. Τὰ ἀναγνωσθέντα τῷ ἁγιωτάτῳ, καὶ ὁσιωτάτῳ * ἐπισκόπῳ τῆς μεγάλης Ρώμης Κελεστίνῳ γράμματα, ἀσεβῶς καὶ ὀρθοδόξως ἔχοντα, ἐμφερέσθω τοῖς * ὑπομνήμασι.

Πάντες οἱ ἁγιώτατοι ἐπίσκοποι ἠτήσαν ἑρμηνεῦσθῆναι τῇ ἐπιστολῇ, καὶ ἀναγνωσθῆναι.

* Σειρίκιος.
* Ρωμαϊστί.
* ἀρχιεπισκόπῳ.
* ὑπομνήμασι.

Ἑρμηνεία τῆς καταθέσεως.

Φίλιππος πρεσβύτερος τῆς ἀποστολικῆς καθέδρας, καὶ πρεσβευτής, εἶπε· Τὸ ἱκανὸν ἐχρῆν τῇ συνηθείᾳ, ἵνα τὰ γράμματα τῆς ἀποστολικῆς καθέδρας ἐν πρώτοις Ρωμαϊστὶ ἀναγνωσθῶσι· νῦν δὲ ὁμοίως, ἐπειδὴ ἡ ὑμετέρα ἀπαιτεῖ μακαριότης, ὅπως καὶ Ἑλλησιστὶ ἀναγνωσθῶσιν, ἀναγκαῖόν ἐστι τῷ πόθῳ τῆς ὑμετέρας ἁγιότητος χρῆσθαι τὸ ἱκανόν. ὅπερ πρᾶξαι ἐφροντίσαμεν, ἵνα ἡ Ρωμαϊκὴ ὁμιλία Ἑλληνιστὶ μεταβληθεῖσα· κελεύσατε ἂν ὑποδεχθῆναι, καὶ ταῖς ἁγίαις ὑμῶν ἀκοαῖς * ἐγκατατεθῆναι.

* ἐγκατατεθῆναι.

Ἑρμηνεία τῆς καταθέσεως.

Ἀρκάδιος, καὶ Προῒεκτος, οἱ ἁγιώτατοι ἐπίσκοποι καὶ πρεσβευταί, εἶπον· Καθὼς ἐκέλευσεν ἡ ὑμετέρα μακαριότης, ἵνα εἰς τὸ πάντων γνῶσιν ἔλθῃ τὰ γράμματα, τὰ προσενεχθέντα, ἐπειδὴ πολλοί εἰσι τῶν ἁγίων ἀδελφῶν, καὶ ἐπισκόπων ἡμῶν, οἵτινες Ρωμαϊστὶ ἀγνοῦσι, * διάτι τοῦτο καὶ Ἑλληνιστὶ ἡ * προχομισθεῖσα ἐπιστολὴ μεταβέβληται· καὶ εἰ κελεύσοιτε, ἀναγνωσθήσεται.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων, εἶπεν. Ἡ * προχομισθεῖσα ἑρμηνεία τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἐπισκόπου τῆς Ρωμαίων ἁγιωτάτης ἐκκλησίας ὑποδεχθεῖσα, ἀναγινωσκέσθω.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας, καὶ πριμμικήριος νοταρίων, ἀνέγνω.

Κελεστῖνος τῇ ἁγίᾳ συνόδῳ, τῇ ἐν Ἐφέσῳ συναχθείσῃ, ἀγαπητοῖς καὶ θεοσεβεστάτοις, ἐν κυρίῳ χαίρειν.

* διάτι.
* προσκομισθεῖσα.
* προσκομισθεῖσα.

Τοῦ ἁγίου πνεύματος ἐμφανίζει τὴν παρουσίαν τῶν ἱερέων ἡ σύνοδος. ἀληθὲς γάρ ἐστι τὸ γεγραμμένον. ἐπειδὴ καὶ βούλεται ἡ ἀλήθεια ψάλσασθαι. ὅτι δὴ ἐν ἀγγελίῳ τοιαύτη ἔγκειται φωνή· ὅπου δύο, ἢ τρεῖς εἰσι συνηγμένοι ἐπὶ τῷ ἐμῷ ὀνόματι, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. τότε ἔτως ἔχοντος, εἰ βάδε τὸ ἕτω βραχέος ἀριθμοῦ τὸ πνεῦμα τὸ ἅγιον ἀπολείπεται, πόσῳ μᾶλλον αὐτὸ νῦν μεσιτεύειν πιστεύομεν, ὅτω εἰς ἓν συνήχθη τοσοῦτο πλῆθος ἁγίων; καὶ γὰρ ἅγιόν ἐστι κατὰ τὸ οἰκεῖον σέβας συνέδριον· ἐν ᾧ, καθάπερ ἐκείνης τῆς μεγίστης τῶν ἀποστόλων συνόδου, ὡς ἀνέγνωμεν, ἐστὶν ὁρᾶν τὴν βασιλείαν. βάδεποτε * τούτων * ἀπολείπει ὁ παρ᾽ αὐτῷ κηρυχθεὶς διδάσκαλος· παρὼν αὐτοῖς ἀεὶ ὁ κύριος καὶ διδάσκαλος. ἀλλ᾽ βάδε * διδασκόμενοι παρὰ τοῦ οἰκείου διδασκάλου πώποτε

Ματθ. 18. 20.

Πραξ. 15.

* αὐτῷ.
* ἀπελείφθη.
* l. διδάσκεται.

Ματθ. 10. Λουκ. 10. 16.

κατελείφθησαν· ὁ πέμψας ἐδίδασκεν· ὁ εἰπών, τί διδάξωσιν, ἐδίδασκεν, * ὁ τοῖς οἰκείοις ἀποστόλοις ἑαυτὸν ἐμφανίζων. ἀκουέσθω τοῦτο παρὰ πάντων εἰς τὸ κοινόν, κύριοι ἀδελφοί· ἃ τῆς παρατεθείσης διδασκαλίας ἡ φροντὶς παρέπεμψε * δικαίως κληρονομίαν εἰς ἡμᾶς. ἐν ταύτῃ τῇ φροντίδι σφιγγόμεθα οἱ πανταχοῦ, καὶ ἀνὰ πᾶσαν τὴν οἰκουμένην, τῇ ἐκείνων διαδοχῇ τὸ ὄνομα κυρίου κηρύττοντες, ὡς ἐκείνοις προστέτακται· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. προσέχειν ἡ ὑμετέρα ἀδελφότης ὀφείλει, ὅτι * παρεδέξατο χρυσῆν ἐντολήν· καὶ ἡμᾶς αὐτὸς πάντας τοῦτο πράττειν ἠθέλησεν, ὅσις πᾶσιν ἐκείνοις περὶ τὴν κοινῆς ἐνετείλατο πίστεως, καὶ λειτουργίας. ἀναγκαῖόν ἐστιν, ὅπως προσηκόντως τοῖς ἑαυτῶν παραῤῥάσιν ἀκολουθήσωμεν, ὑπεισελθόντες πάντες αὐτῶν τὸν κάματον· καὶ οἱ τὴν τούτων διαδεξάμενοι τιμὴν, χορηγήσωμεν τὴν ἐπιμέλειαν τοῖς τούτων διδάγμασι· μεθ᾽ ἃ, * ὑπομιμνήσκοντες τοῦ ἀποστόλου. ἑδεμίαν διδασκαλίαν προσθεῖναι κελεύομεθα. * οὐκ ἔστιν ἐλάσσων τιμὴ τῆς ὑπηρεσίας τῷ διδάσκοντι ἡ τῷ παραδιδομένων φυλακή. ἐκεῖνοι ἔσπειραν τῆς πίστεως τὰ * σπέρματα· ταῦτα ἡ ὑμετέρα φροντὶς ἀσφαλιζέσθω, ὅπως ἀδιάφθορον καὶ πολυπλασιασθέντα καρπὸν ἡ παρουσία τοῦ ἡμετέρου δεσπότου εὕροι. ᾧ μόνῳ * ἡ ὡραιότης τῶν ἀποστόλων ἐμφανίζεται· καὶ γὰρ λαλῶν τοῖς * ἑαυτοῦ ἐκλεκτοῖς Παῦλος, ἑαυτὸν φυτεύειν, καὶ ποτίζειν οὐκ ἐπαρκεῖν ἔφη, εἰ μὴ Θεὸς τὸ αὐξάνεσθαι, καὶ πληθύνεσθαι ἐχαρίσατο. τοιγαροῦν περισπούδαστόν ἐστι, καὶ πρακτέον ὅπως καμάτῳ κοινῷ τὰ ἐμπιστευθέντα, καὶ διὰ τῆς ἀποστολικῆς * διαδοχῆς ἕως τοῦ νῦν συνεχεθέντα φυλάξωμεν. ἐκεῖνο γὰρ παρ᾽ ἡμῶν αἰτεῖται, ἵνα κατὰ τὸν ἀπόστολον περιπατήσωμεν. ὅπερ γὰρ νῦν πρόσωπόν τι, ἀλλ᾽ ἡ ἡμετέρα πίστις καλεῖται πρὸς δίκην. ὅπλα πνεύματικὰ θωρήξασθαι δεῖ, ἐπειδὴ πόλεμοι κινοῦνται ψυχῶν, καὶ βέλη ῥημάτων, ὅπως ἐν τῇ πίστει τοῦ βασιλέως ἡμῶν παραμείνωμεν. πάντας γοῦν τοὺς ἐχεῖσε ὁ μακάριος Παῦλος ὑπομιμνήσκει, ὅθεν * Τιμόθεον μεῖναι ἐνετείλατο. ὁ αὐτὸς τοιγαροῦν τόπος, ἡ αὐτὴ ὑπόθεσις, τὴν αὐτὴν διδαχονίαν καὶ νῦν ἀπαιτεῖ. ἡμεῖς τε νῦν πράξωμεν, καὶ σπουδάσωμεν εἰς τοῦτο, ὃ * ἐκείνῳ πρᾶττειν προσέταικται· ἵνα μὴ * ἄλλο τις φρονῇ, καὶ ζητήσεις ἐκ * τῆς παρούσης μάλισα μακρολογίας μηδεὶς ἐντεινέτω, ὡς αὐτὸς * προσέταιξε. μεμώμεθα ὁμόψυχοι, ἓν καὶ τὸ αὐτὸ φρονοῦντες, ἐπειδὴ τοῦτο συμφέρει· μηδὲν διὰ φιλονεικίαν, μηδὲν πράττειν διὰ ματαίαν κενοδοξίαν * διχόμεθοι. μία ψυχὴ, καὶ καρδία μία, ἔσω τοῖς πᾶσιν, ὅτε ἡ πίστις, ἥτις μία ἐστὶ, παραχαράττεται. πονείσθω, μᾶλλον δὲ θρηνείσθω τοῦτο μεθ᾽ ἡμῶν κοινῇ πᾶν τὸ σωτήριον. εἰς * κενοτήριον καλεῖται ὁ κενὸν πᾶσαν τὴν οἰκουμένην· διώκεται ὁ σεμνὸν πᾶσαν τὴν γῆν· καὶ ὁ λυσιτελὴς συκοφαντίαν ὑπομένει. θωρηξάσθω τὴν πανοπλίαν τοῦ Θεοῦ ἡ ὑμετέρα ἀδελφότης. οἶδατε τὴν περικεφαλαίαν, ἥτις τὴν ἡμετέραν ἀσφαλίζεται κεφαλὴν, ποῖος θώραξ τὸ ἡμέτερον σῆθος τειχίζει. ὑνῦν πρῶτον ἡμᾶς οἱ ἐκκλησιαστικοὶ περίβολοι διδασκάλους ἐδέξαντο. ἀδεὶς ἀμφιβάλοι, τοῦ Θεοῦ συνεργοῦντος, ὃς ποιεῖ τὰ ἀμφότερα σοφά. ὅτι περ ἀποτεθειμένων ὅπλων εἰρήνη διαδέχεται, ἐπειδὴ αὐτὴ ἡ ὑπόθεσις ἑαυτὴν ἐκδικεῖ. ἀναπολήσωμεν πάλιν κἀκεῖνα τὰ ῥήματα τοῦ ἡμετέρου

* l. ἀλλ᾽ ἐστὶ τὸ παραδιδόμενον λειτουργίας ἡ τὴν παραδιδομένων φυλακή. Galat. 1.
* δόγματα.
* l. ἡ τῶν ἀποστόλων ἀπαίτησις ἐκκλησία.
Matth. 28 19.
* δικαίως κληρονομίας.
* παρεδέξατο.
* σκοπὸς (λέγει Παῦλος ἑαυτόν). 1 Κορ. 3.
* διαδοχῆς.
1. Τιμ. 1. 3.
* Τιμοθέου.
* ἐκπέμπει.
* ἄλλος.
* τοῦτο μάλιστα παρούσης μακρολογίας.
* l. ἃ μάλιστα χορηγεῖται οἱ μῦθοι, μᾶλλον.
* προστίλλει 1. Τιμ. 1. 3. Φιλιππ. 2.
* ἐχόμεθοι τῇ ψυχῇ.
* κενοῦ

δισ-

* δεσπότου, οἷς εἰδικῶς ἐχρήσατο * διὰ τῶν * οἰκείων ἐπισκόπων, ταῦτα παραγγέλλων· προσέχετε, φησὶν, ἑαυτοῖς, καὶ πάσῃ τῇ ἀγέλῃ, ἧς ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔταξεν ἐπισκόπους, διοικεῖν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο τῷ ἰδίῳ αἵματι, * ὅθεν * τοιούτους κληθέντας ἀνέγνωμεν τοὺς ταῦτα ἀκούσαντας Ἐφεσίους. ἔνθα νῦν ἡ ὑμετέρα ἁγιότης συνελήλυθε. τοιγαροῦν οἷς ἐστι γνώριμος ἡ διδασκαλία τῆς πίστεως, ἔστω γνωστὴ καὶ ἡ ὑμετέρα ἐκδίκησις. παράσχωμεν αὐτοῖς διὰ τῆς ἡμετέρας διανοίας ἐκείνης τῆς προσκυνήσεως τὴν ἰσχὺν, ἧς * εἰσιν ἄξιοι· * καὶ μείνη καταλαλιᾶς ὑψηλότερα, ἃ εὐσεβεῖ διανοίᾳ ἡ διηνεκὴς ἐφύλαξεν εἰρήνη. ἀπαγγελλέσθω παρ' ὑμῶν τὰ παρὰ τῶν ἀποστόλων προκηρυχθέντα· ὅτι οὐδεπώποτε * τοῦ βασιλέως τῶν βασιλευόντων ῥήματα * τυραννικῆς ἐπειχειρήσεως * ἠλάττωται. οὐδὲ κάμνειν ἠδυνήθη διὰ * πλαστολογίαν. ἡ δύναμις τῆς ἀληθείας ὑμᾶς * προπεμπέτω, ἀδελφοὶ τιμιώτατοι· ἐκείνη μόνη περισκοπείσθω ἡ * γνώμη κατὰ τὴν φωνὴν Ἰωάννου τοῦ εὐαγγελιστοῦ, οὗ τὰ λείψανα παρόντες τετιμήκατε. ἔστω κοινὴ εὐχὴ πρὸς τὸν κύριον. οἴδαμεν ποία δύναμις τῆς θείας αὐτοῦ καὶ ἐσομένης παρουσίας ἔσται, παρακαλούσης ὁμοψύχως τῆς τοσαύτης τῶν ἱερέων πληθύος· ἐπειδὴ * τούτους ἐκεῖνος κινεῖν δύναται, ἐν ᾧ ὁμογνωμόνως τοὺς δώδεκα ἀνέγνωμεν. τίς τῶν * δώδεκα ἡ αἴτησις δεομένων ἐγένετο; δηλαδὴ, ἵνα δέξωνται τὸν λόγον τοῦ Θεοῦ λαλεῖν μετὰ παῤῥησίας, καὶ διὰ τῆς αὐτοῦ δυνάμεως ἐνεργεῖν. ὧν, διδόντος Χριστοῦ τοῦ Θεοῦ ὑμῶν, εἰλήφεισαν τὴν ἐξουσίαν. καὶ τῇ ὑμετέρᾳ νῦν ἁγίᾳ συνόδῳ τί ἐστιν ἄλλο αἰτεῖν; ἢ γὰρ ὅπως μετὰ παῤῥησίας λαλήσητε τὸν λόγον τοῦ Χριστοῦ; καὶ * ταῦτα δέδωκε φυλάττειν; ὥσπερ, καὶ κηρύττειν ἐχαρίσατο· καὶ πεπληρωμένοι πνεύματος ἁγίου καθὰ γέγραπται, εἰ καὶ διαφόρῳ στόματι, ἓν ὅμως, ὅπερ αὐτὸ τὸ πνεῦμα ἐδίδαξε, καὶ * προσίεται. τούτοις πᾶσι συντόνως * νενευρωμένοις· ἐπειδὴ, καθάφησιν ὁ ἀπόστολος, εἰδόσι λαλῶ, καὶ λαλῶ σύνεσιν ἐν τοῖς τελείοις ἐπαγωνίσασθε κανονικῇ πίστει, καὶ τῇ τῶν ἐκκλησιῶν εἰρήνη συνηγορήσατε, ἐπειδὴ οὕτως εἴρηται καὶ τοῖς πάλαι, καὶ τοῖς νῦν, καὶ τοῖς μέλλουσι. παρακαλοῦντες καὶ σώζοντες τὰ εἰς εἰρήνην τῇ Ἱερουσαλήμ. ἀπεστείλαμεν, τὴν ἡμετέραν ἀναδεχομένους φροντίδα, τοὺς ἁγίους ἀδελφοὺς καὶ συλλειτουργοὺς ἡμῶν, ὁμοψύχους ὑμῖν καὶ δεδοκιμασμένους, Ἀρκάδιον καὶ Προΐεκτον ἐπισκόπους, καὶ Φίλιππον τὸν ἡμέτερον πρεσβύτερον, οἳ τοῖς πραττομένοις παρέσονται, καὶ τὰ παρ' ἡμῶν * πάλαι ὁρισθέντα ἐκβιβάσουσιν· οἷς παρασχεθῆναι * παρὰ τῆς ὑμετέρας ἁγιότητος οὐκ ἀμφιβάλλομεν συγκατάθεσιν· * ἐπειδὴ τοῦτο, ὅπερ * ἂν γνῶτε, δοκῇ ὑπὲρ τῆς πασῶν τῶν ἐκκλησιῶν ἀμεριμνίας κεκρίσθαι.

Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἅμα ἀνεβόησαν· Αὕτη δικαία κρίσις· νέῳ Παύλῳ Κελεστίνῳ, νέῳ Παύλῳ Κυρίλλῳ, Κελεστίνῳ τῷ φύλακι τῆς πίστεως, Κελεστίνῳ τῷ ὁμοψύχῳ τῆς συνόδου, Κελεστίνῳ εὐχαριστεῖ πᾶσα ἡ συνόδος· εἷς Κελεστῖνος· εἷς Κύριλλος· μία πίστις τῆς συνόδου· μία πίστις τῆς οἰκουμένης.

* Ἰ. διδασκάλου. * Ἰ. πρὸς τοὺς ἐπισκόπους. * ἰδίων. Πραξ. 20. 28. * Ἰ. ἐκεῖθεν κληθέντ. * τούτου κληθέντος. * Ἰ. τὰ μεγάλα εἰσὶν ἄξια. * καὶ μὴν καὶ τὰ λίαν ὑψηλότερα. * Ἰ. κατὰ τοῦ βασ. * τυραννικῶν ἐπιχειρήσεων ἠλάττωται. * Ἰ. φορητὰ γέγονε. * πλαστολογίας. Γωάν. 15. 1. Γωάν. 4. * προτρεπέτω. * Ἰ. ἡ ἀγάπη. * ἀποστόλου. * Ἰ. τόπος ἐκεῖνος κινηθῆναι διδύνηται. * ἀποστόλων. Πραξ. 4. * Ἰ. καὶ ταῦτα φυλάττειν, ὅπερ καὶ κηρ. * Ἰ. ὑψηγόρη. * προσίεται. * νενευρωμένοις. Πραξ. 4. Γωάν. 7. 1. Κορ. 2. Ψαλμ. 131. * τόλον. * Ἰ. ἐπὰν τὸ πρεσβύτερον ἐκβιβάσουσιν τῆς τ. τ. ἐκ. ἀσφαλέας ἐρίσθαι. * ἀνέγνωτε, ἀπὸ.

Ἑρμηνεία τῆς καταθέσεως.

Προΐεκτος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς, εἶπε· Κατανοησάτω ἡ ὑμετέρα ἁγιότης τὸν τύπον τῶν γραμμάτων τοῦ ἁγίου, καὶ σεβασμίου πάπα Κελεστίνου τοῦ ἐπισκόπου, ὃς προετρέψατο τὴν ὑμετέραν ἁγιωσύνην, οὐχ ὡς ἀγνοοῦσαν διδάσκων, ἀλλ' ὡς γινώσκουσαν ὑπομιμνήσκων· ἵνα ταῦτα, ἃ καὶ πάλαι ὥρισε, καὶ νῦν ὑπομνῆσαι κατηξίωσεν, εἰς πέρας κελεύσητε πληρέστατον ἄγεσθαι, κατὰ τὸν κανόνα τῆς κοινῆς πίστεως, καὶ κατὰ τὸ χρήσιμον τῆς καθολικῆς ἐκκλησίας.

Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε· Καὶ πρότερον ψῆφον ἐπέσχε καὶ τύπον τῷ πράγματι, ὁ ἀποστολικὸς καὶ ἅγιος θρόνος τοῦ ἁγιωτάτου ἐπισκόπου Κελεστίνου, διὰ γραμμάτων τῶν πρὸς τοὺς θεοφιλεστάτους ἐπισκόπους, φημὶ δὴ Κύριλλον τὸν τῆς Ἀλεξανδρείας, καὶ Ἰουβενάλιον τὸν Ἱεροσολύμων, καὶ Ῥοῦφον τὸν τῆς Θεσσαλονικέων, καὶ πρὸς τὰς ἁγίας ἐκκλησίας, τὴν ἐν Κωνσταντινουπόλει, καὶ ἐν Ἀντιοχείᾳ· ᾧ ἀκολουθήσαντες καὶ ἡμεῖς, πάλαι τῆς προθεσμίας τῆς δεδομένης Νεστορίῳ εἰς διόρθωσιν, παρελθούσης, καὶ πολλῶν διαγενομένων χρόνων, ἐπειδὴ τὴν Ἐφεσίων κατελάβομεν, τοῦτο τοῦ εὐσεβεστάτου βασιλέως προστάξαντος, καὶ ἐνταῦθα διατρίψαντες χρόνον οὐκ ὀλίγον, ὥστε καὶ τὴν παρὰ τοῦ βασιλέως παρελθεῖν * προθεσμίαν· ἐπειδὴ προσκαλεσαμένων ἡμῶν Νεστόριον, οὐχ ὑπήκουσε, τὸν τύπον ἐξεβιβάσαμεν, κανονικὴν καὶ ἀποστολικὴν αὐτῷ κατανοήσαντες κρίσιν.

* διορίαν.

Ἑρμηνεία τῆς καταθέσεως.

Ἀρκάδιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς, εἶπεν· Εἰ καὶ τὰ μάλιστα ἡμᾶς τὸ βράδος τοῦ * πλοὸς, καὶ τοῦ χειμῶνος ἡ ἐναντιότης κατέσχεν, ἵνα εἰς τὸν τεταγμένον τόπον, ᾗπερ ἠλπίζομεν, ἀφιχθῶμεν· ὅμως κυβερνῶντος Θεοῦ, καὶ τῆς ὑμετέρας μακαριότητος, ἐνταῦθα τὸ ἡμῶν μέτριον * παρεγένετο· καὶ εὐχαριστοῦμεν αὐτῷ, ἐπειδὴ τὴν μακαριότητα τὴν ὑμετέραν εἰς ἕνα τόπον, καὶ εἰς μίαν πίστιν, μένουσαν εὕρομεν, μεριμνῶντάς τε ὑπὲρ τῆς ἐκκλησίας τοῦ Θεοῦ, ἣν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῷ ἑαυτοῦ αἵματι * περιεποιήσατο. διὰ τοῦτο αἰτοῦμεν τὴν μακαριότητα τὴν ὑμετέραν, ὅπως τὶ τετύπωται παρὰ τῆς ὑμετέρας μακαριότητος, ἡμᾶς διδάσκεσθαι κελεύσετε.

* πλοῦ. * παραγέγονε. Πραξ. 20. * περιεποίησε.

Ἑρμηνεία τῆς καταθέσεως.

Φίλιππος πρεσβύτερος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας, εἶπε. Χάριτας ὁμολογοῦμεν τῇ ἁγίᾳ καὶ σεβασμίᾳ συνόδῳ, ὅτι ἀναγινωσκομένων ὑμῖν τῶν γραμμάτων τοῦ ἁγίου, καὶ μακαρίου πάπα ἡμῶν, τὰ ἅγια μέλη ταῖς ἁγίαις * ἡμῶν φωναῖς, τῇ ἁγίᾳ κεφαλῇ καὶ ταῖς ἁγίαις ὑμῶν ἐκβοήσεσιν ἐνηνόχατε. οὐ γὰρ ἀγνοεῖ ὑμῶν ἡ μακαριότης, ὅτι ἡ κεφαλὴ ὅλης τῆς πίστεως, ἢ καὶ τῶν ἀποστόλων, ὁ μακάριος Πέτρος ὁ ἀπόστολος. καὶ ἐπειδὴ νῦν τὸ μέτριον τὸ ἡμέτερον πολλοῖς χειμῶσι καὶ * σκυλμῷ βραδύτερον παρεγένετο, διὰ τοῦτο παρακαλοῦμεν, τὰ ἐν τῇ ἁγίᾳ συνόδῳ πρὸ τῆς ἡμῶν ἀφίξεως πεπραγμένα ἡμῖν φανερωθῆναι κελευ-

* ὑμῶν. * ἐσκυλμένον.

σητε· ἵνα κατὰ τὴν γνώμην τοῦ μακαρίου πάπα ἡμῶν, ἔτι γε μὴν καὶ τοῦ παρόντος ἁγίου συλλόγου, καὶ ἡμεῖς ὁμοίως τῇ αὐτῶν καταθέσει βεβαιώσωμεν.

Θεόδοτος ἐπίσκοπος Ἀγκύρας, εἶπε· Δικαίαν τῆς ἁγίας συνόδου τὴν ψῆφον *ἔδειξεν ὁ τῶν ὅλων Θεὸς τῇ ἐπιφοιτήσει τῶν γραμμάτων τοῦ θεοσεβεστάτου ἐπισκόπου Κελεστίνου, καὶ τῇ παρουσίᾳ τῆς ὑμῶν θεοσεβείας. τόν τε γὰρ ζῆλον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου Κελεστίνου ἐπισκόπου ἐδείξατε, καὶ τὴν περὶ τὴν εὐσεβῆ πίστιν σπουδήν. ἐπειδὴ δὲ καὶ τὰ πεπραγμένα ἐπεζήτησεν εὐλόγως καταμαθεῖν ἡ ὑμετέρα θεοσέβεια, ἐξ αὐτῶν τῶν πεπραγμένων ὑπομνημάτων ἐπὶ τῷ καθῃρημένῳ Νεστορίῳ πληροφορηθήσεται ὑμῶν ἡ εὐλάβεια τῆς ψήφου τὸ δίκαιον, καὶ τῆς ἁγίας συνόδου τόν τε ζῆλον, καὶ τὴν συμφωνίαν τῆς πίστεως, ἣν καὶ ὁ θεοσεβέστατος καὶ ἁγιώτατος ἐπίσκοπος Κελεστῖνος μεγάλῃ κηρύσσει τῇ φωνῇ, δηλαδὴ μετὰ τὴν ὑμῶν πληροφορίαν, καὶ τῶν ὑπολοίπων τῇ πράξει τῇ νῦν προστιθεμένων.

* ἀπέδειξεν

ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΤΟΙΣ μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν, Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον, καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον, τῶν αἰωνίων Αὐγούστων; τῇ πρὸ πέντε εἰδῶν Ἰουλίων, ἥ τις ἐστὶ κατ' Αἰγυπτίους Ἐπιφὶ ιζ. τῇ ἐπαύριον τῆς αὐτῆς ἁγίας συνόδου συνελθούσης ἐν τῷ αὐτῷ τόπῳ, καὶ καθεσθέντων τῶν θεοφιλεστάτων, καὶ θεοσεβεστάτων ἐπισκόπων, Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων Ἀρκαδίῳ, καὶ Προϊέκτῳ εὐλαβεστάτοις ἐπισκόποις, καὶ Φιλίππῳ εὐλαβεστάτῳ πρεσβυτέρῳ εἶπε· Κατὰ τὴν χθὲς ἡμέραν *συνεδρευούσης τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου, ἡ θεοσέβεια ἡμῶν παροῦσα, μετὰ τὴν ἀνάγνωσιν τῶν γραμμάτων τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου τῆς μεγάλης Ῥώμης Κελεστίνου, ᾔτησε τὰ ὑπομνήματα τὰ πραχθέντα ἐπὶ τῇ καθαιρέσει τοῦ αἱρετικοῦ Νεστορίου ἀναγνωσθῆναι· ἀκολούθως ἡ ἁγία σύνοδος τοῦτο γενέσθαι ἐτύπωσεν. εἰ οὖν ἀνέγνω, καὶ μεμάθηκε τὴν ἐν αὐτοῖς δύναμιν ἡ ὑμετέρα ἁγιότης, τοῦτο διδάξαι καταξιώσει.

* in ms. Seguieriano omittuntur sequentia usque ad ἀναγκαίως ἐχωρήσαμεν, &c.

Φίλιππος πρεσβύτερος, καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας, εἶπε· Πεφανέρωται μὲν ὑμῖν ἀπὸ τῆς Ἀναγνώσεως τῶν πεπραγμένων τὰ κατὰ Νεστορίου ὁρισθέντα ἐν τῷ ἁγίῳ συλλόγῳ ὑμῶν· ἐν οἷς ὑπομνήμασιν ἔγνωμεν, πάντα κανονικῶς καὶ κατὰ τὴν ἐκκλησιαστικὴν ἐπιστήμην κεκρίσθαι. ἀλλὰ καὶ νῦν αἰτοῦμεν τὴν ὑμέτερον στέφανον εἰκὶ ἐκ περιττοῦ, τὰ αὐτὰ καὶ ἀναγνωσθέντα ἐν τῇ ὑμετέρᾳ συνόδῳ, αὖθις ἡμῖν ἀναγνωσθῆναι· ὅπως ἡμεῖς ἀκολουθήσαντες τῷ τύπῳ τοῦ ἁγιωτάτου πάπα Κελεστίνου, τοῦ ταύτην ἡμῖν τὴν φροντίδα ἐγχειρίσαντος, ἔτι γε μὴν καὶ τῆς ὑμετέρας ἁγιωσύνης, δυνηθῶμεν τὰ κεκριμένα βεβαιῶσαι.

Ἑρμηνεία τῆς καταθέσεως.

Ἀρκάδιος ὁ εὐλαβέστατος ἐπίσκοπος, καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας, εἶπε· Χάριτας ὁμολογοῦμεν τῇ ὑμετέρᾳ μακαριότητι, ὅτι τῇ ἡμετέρᾳ ἐπιθυμίᾳ καὶ τῇ αἰτήσει τὸ ἱκανὸν* ἐποιήσατε ἀπὸ τῶν πεπραγμένων. καὶ νῦν ὁρισάτω ἡ ὑμετέρα μακαριότης, ὅπως ἀκολουθήσαντες τῷ τύπῳ τῆς ὑμετέρας ἁγιότητος, διδαχθῆναι δυνηθῶμεν τὰ ὁρισθέντα παρ' ὑμῶν.

* πεποίηκεν

Μέμνων ἐπίσκοπος Ἐφεσίων, εἶπεν. Οὐδὲν κωλύει κατὰ τὴν αἴτησιν τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων ἐπισκόπων, Ἀρκαδίου καὶ Προϊέκτου, καὶ τοῦ εὐλαβεστάτου καὶ θεοφιλεστάτου πρεσβυτέρου Φιλίππου τῆς ἀποστολικῆς καθέδρας τῆς μεγάλης Ῥώμης, καὶ δεύτερον πάλιν ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐπὶ τῇ καθαιρέσει Νεστορίου τοῦ αἱρετικοῦ. ὅθεν καὶ αὖθις ἀναγινωσκέσθωσαν.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας, καὶ πριμμικήριος νοταρίων ἀνέγνω.

Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν, Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον, καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον, τῶν αἰωνίων Αὐγούστων, τῇ πρὸ δέκα καλανδῶν Ἰουλίων, Παυνὶ εἰκάδι ὀγδόῃ κατ' Αἰγυπτίους, συνόδου συγκροτηθείσης ἐν τῇ Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν θεοφιλεστάτων, καὶ φιλοχρίστων βασιλέων, καθεσθέντων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, τῇ καλουμένῃ Μαρίᾳ, τῶν θεοσεβεστάτων καὶ θεοφιλεστάτων ἐπισκόπων, Κυρίλλου Ἀλεξανδρείας, διέποντος καὶ τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου, καὶ Ἰουβεναλίου Ἱεροσολύμων, καὶ Μέμνονος τῆς Ἐφεσίων, καὶ Φλαυιανοῦ Φιλίππων ἐπέχοντος καὶ τὸν τόπον Ῥούφου τοῦ εὐλαβεστάτου ἐπισκόπου Θεσσαλονικέων, καὶ Θεοδότου Ἀγκύρας Γαλατίας πρώτης.

Μετὰ τὰ ἑξῆς, ἡ ἁγία σύνοδος, εἶπε· Πρὸς τοῖς ἄλλοις μήτε ὑπακοῦσαι βουληθέντος τοῦ *ἀσεβεστάτου Νεστορίου τῇ παρ' ἡμῶν κλήσει, μήτε μὴν τοὺς παρ' ἡμῶν ἀποσταλέντας ἁγιωτάτους, καὶ θεοφιλεστάτους ἐπισκόπους προσδεξαμένου, ἀναγκαίως ἐχωρήσαμεν ἐπὶ τὴν ἐξέτασιν τῶν *δυσσεβῶς λεχθέντων παρ' αὐτοῦ· καὶ φωράσαντες αὐτὸν ἔκ τε τῶν ἐπιστολῶν αὐτοῦ, καὶ ἐκ τῶν συγγραμμάτων τῶν ἀναγνωσθέντων, καὶ ἐκ τῶν ἀρτίως παρ' αὐτοῦ ῥηθέντων κατὰ τήνδε τὴν μητρόπολιν, καὶ προσμαρτυρηθέντων, δυσσεβῶς φρονοῦντα καὶ κηρύττοντα, ἀναγκαίως κινηθέντες ἀπό τε τῶν κανόνων, καὶ ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ συλλειτουργοῦ Κελεστίνου τοῦ ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας, δακρύσαντες πολλάκις, ἐπὶ ταύτην τὴν σκυθρωπὴν κατ' αὐτοῦ ἐχωρήσαμεν ἀπόφασιν. ὁ βλασφημηθεὶς τοίνυν παρ' αὐτοῦ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὥρισε διὰ τῆς παρούσης ἁγιωτάτης συνόδου, ἀλλότριον εἶναι τὸν αὐτὸν Νεστόριον τοῦτε ἐπισκοπικοῦ ἀξιώματος, καὶ παντὸς συλλόγου ἱερατικοῦ.

* τιμιωτάτου

* δυσσιβηθέντων αὐτῷ.

Καὶ ἑξῆς αἱ ὑπογραφαὶ τῶν εὐλαβεστάτων ἐπισκόπων.

Ἑρμηνεία τῆς καταθέσεως.

Φίλιππος πρεσβύτερος, καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας, εἶπεν· Οὐδενὶ ἀμφίβολόν ἐστι, μᾶλλον δὲ πᾶσι τοῖς αἰῶσιν ἐγνώσθη, ὅτι ὁ ἅγιος καὶ μακαριώτατος Πέτρος, ὁ ἔξαρχος καὶ κεφαλὴ τῶν ἀποστόλων, ὁ κίων τῆς πίστεως, ὁ θεμέλιος τῆς καθολικῆς ἐκκλησίας, ἀπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος, καὶ λυτρωτοῦ τοῦ γένους τοῦ ἀνθρωπίνου τὰς κλεῖς τῆς βασιλείας ἐδέξατο· καὶ αὐτῷ δέδοται ἐξουσία τοῦ δεσμεῖν καὶ λύειν ἁμαρτίας· ὅστις ἕως τοῦ νῦν καὶ ἀεὶ ἐν τοῖς αὐτοῦ διαδόχοις καὶ ζῆ, καὶ δικάζει. τούτου τοιγαροῦν

κατὰ

κατὰ τάξιν ὁ διάδοχος καὶ τοποτηρητὴς, ὁ ἅγιος καὶ μακαριώτατος πάπας ἡμῶν Κελεστῖνος, ὁ ἐπίσκοπος εἰς ταύτην τὴν ἁγίαν σύνοδον ὑμᾶς τῆς ἑαυτοῦ παρουσίας ἀπέστειλεν· ἵν' τινα σύνοδον οἱ χριστιανικώτατοι, καὶ φιλανθρωπότατοι, βασιλεῖς ὥρισαν, μνημονεύοντες, καὶ εἰς τὸ διηνεκὲς φυλάττοντες τὴν καθολικὴν πίστιν· οἳ καὶ τὴν διδασκαλίαν τὴν ἀποστολικήν, τὴν ἀπὸ τῶν ἁγίων ἀποστόλων, καὶ φιλανθρωποτάτων τῆς ἁγίας μνήμης πάππων καὶ πατέρων αὐτῶν, ἕως νῦν αὐτοῖς παραδεδομένην ἐφύλαξαν, καὶ φυλάττουσι· φροντίζοντες τοίνυν, ὡς προεῖπα, σύνοδον ὥρισαν. ἵνα ἡ πίστις ἡ καθολικὴ, ἣν τις ἀπὸ τῶν αἰώνων ἕως νῦν πεφύλακται, οὕτω καὶ εἰς τὸ διηνεκὲς ἀσάλευτος διαμένοι. Νεστόριος τοίνυν, ὁ τῆς κενῆς διαστροφῆς ἀρχηγός, καὶ κεφαλὴ τῶν κακῶν, κληθεὶς καὶ ὑπομνησθεὶς, καθὼς ἐκ τῶν πεπραγμένων συνοδικῶν ἡμῖν * πεφανέρωται, κατὰ τοὺς τύπους τῶν πατέρων, ἤτοι κατὰ τοὺς τῶν κανόνων ἐπισήμους, εἰς τὴν δίκην ἐλθεῖν κατεφρόνησεν· ὃς αὐθαιρέτως ἑαυτὸν προσενεγκεῖν ὤφειλε τῷ τοσούτῳ ἁγίῳ συλλόγῳ, ἵνα τῇ πνευματικῇ θεραπείᾳ τοῦ ὑγιᾶναι δέξηται· ἀλλὰ κεκαυστηριασμένος ἔχων τοῦ συνειδήσιν, εἰς τὴν ἁγίαν σύνοδον ὑπομνησθεὶς, ὡς προεῖπα, κανονικῶς καὶ κατὰ τοὺς τῶν κανόνων ἐπισήμους, παρεῖναι οὐκ ἠθέλησε· καὶ τὴν ὑπέρθεσιν δὲ, ἣ μόνον τοῦ ἀπὸ τῆς ἀποστολικῆς καθέδρας συγχωρηθεῖσαν, ἀλλὰ καὶ ἡμερῶν πολλὰ διαστήματα * παρελθεῖν. ἀσφαλέστατον τοιγαροῦν τὸ ἐξενεχθὲν κατ' ἐκεῖνον, ὃς τῷ πνεύματι πολεμίῳ, καὶ σώματι ἀσεβεῖ κατὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐτόλμησεν εἰσενεγκεῖν βλασφημίαν, κατὰ τὸν τύπον πασῶν τῶν ἐκκλησιῶν, ἐπειδὴ συνεστήκασιν ἐν τούτῳ τῷ ἱερατικῷ συλλόγῳ διά τε τῶν παρόντων, διά τε τῶν πρεσβέων, τῶν ἀπὸ τῆς ἀνατολικῆς τε, καὶ δυτικῆς ἐκκλησίας οἱ παρόντες ἱερεῖς· διά τοι τοῦτο ἀκολουθήσασα τοῖς τύποις τῶν πατέρων καὶ ἡ παροῦσα ἁγία σύνοδος, ὥρισε κατὰ τοῦ βλασφήμου, καὶ προπετοῦς, προσενέγκασα ἀπόφασιν. ὥστε τὸν μὴ αἰδεσθέντα τοῦ διόρθωσιν, μετ' ἐκείνου τὴν μερίδα ἔχειν, περὶ οὗ γέγραπται· τοῦ ἐπισκοπεῖν αὐτοῦ λήψεται ἕτερος. ὅθεν γινωσκέτω Νεστόριος, ἀλλότριον ἑαυτὸν εἶναι τῆς κοινωνίας τῆς ἱερωσύνης τῆς καθολικῆς ἐκκλησίας.

Ἑρμηνεία τῆς καταθέσεως.

Ἀρκάδιος ὁ ἀλαβέστατος ἐπίσκοπος, καὶ πρεσβύτης τῆς ἀποστολικῆς καθέδρας, εἶπε· * Πολυθρύλλητος ἡμῖν, καὶ δακρύων μεστὴ λύπη καὶ ἀνία ἀπὸ τοῦ τύπου τῆς * ἡμετέρας ἱερωσύνης * καὶ Νεστορίου· ὃς παρασαθεὶς τοῖς γράμμασι τῆς ἀποστολικῆς καθέδρας, ἔτι γε μὴν καὶ τῆς ὑμετέρας μακαριότητος, ἀπὸ τοῦ φαύλου δόγματος, καὶ τῆς κακοθελοῦς γνώμης, πλανᾶσθαι βεβούλευται, ὡς καὶ ἡ ἀπόφασις ἡ κατ' αὐτοῦ ἐξενεχθεῖσα πεφανέρωται· ὃς καὶ μὴ σκοπήσας ἑαυτῷ ἡμέρον εἶναι διορθώσεως, καὶ τὸν τύπον τῆς ἀποστολικῆς καθέδρας οὐκ ἐδέξατο, ὑπόμνησίν τε, προφορὰν, δι' ἧς ἰάσεως τύχοι, πάντων τῶν ἁγίων ἱερέων· εἰς τοσοῦτον γὰρ ἐλήλακεν ἀσέβειαν, ὥστε εἰς τὸν ποιητὴν, καὶ λυτρωτὴν τοῦ ἑαυτοῦ, τοῦ κυρίου ἡμῶν Ἰησοῦν τοῦ Χριστοῦ, καὶ σωτῆρα τοῦ γένους τοῦ ἀνθρωπίνου, πλήρη βλασφημίας προενεγκεῖν ἐτόλμησε διδασκαλίαν· ὥστε τοὺς καλῶς καινοποιεῖσθαι, καὶ θεῖα μυστηρίων ἁγνείας τοῦ ἀνθρωπίνου γένους, ὡς ὁ ὄφις ὁ ἀρχαῖος, ὀλισθήσας ὑπεισελθεῖν· ἀμνημονήσας πρῶτον τοῦ ἑαυτοῦ σωτηρίας, καὶ τῆς αἰωνίου ζωῆς. καὶ ἀγνωσίαν νοσήσας τοῦ παρεικότος παραδόσεως· ἀμνημονήσας δὲ καὶ τοῦ κηρύγματος τῶν προφητῶν, ἔτι γε μὴν καὶ τοῦ εὐαγγελικοῦ, καὶ τῶν ἀποστολικῶν παραδόσεων, αὐτὸς ἑαυτὸν τῇ ἰδίᾳ ἀπιστίᾳ κατεκρήμνισε. καὶ ἐπειδὴ αὐτὸς ἑαυτὸν διὰ τῆς οἰκείας γνώμης ἀλλόξιον ἡμῶν, καὶ ὑξόρεσιν πεποίηκε, διὰ τοῦτο καὶ ἡμεῖς ἀκολουθοῦντες τοῖς ὅροις τοῖς ἄνωθεν ἀπὸ τοῦ ἁγίου ἀποστόλου, καὶ τῆς καθολικῆς ἐκκλησίας παραδοθεῖσιν· ἐπειδὴ τοῦτο ἐδίδαξαν, ὃν καὶ παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰλήφασιν· ἀκολουθήσαντες δὲ καὶ τοῖς τύποις τοῦ ἁγιωτάτου πάπα τῆς ἀποστολικῆς καθέδρας Κελεστίνου, ὃς ἡμᾶς ἐδικαίωσε ταύτῃ τῇ * ὑποθέσει, καὶ ἐκβιβασάς ἑαυτοῦ ὑξαπέστειλε, καὶ τοῖς ἁγίαις συνόδοις τοῖς δόγμασι· γινωσκέτω ἑαυτὸν Νεστόριος τῆς ἀξίας τῆς ἐπισκοπῆς γεγυμνῶσθαι, καὶ ἀλλότριον ἑαυτὸν πάσης ἐκκλησίας καθολικῆς, καὶ κοινωνίας πάντων τῶν ἱερέων.

* περιλοιπὸν τῆς

* ἀποστάσεως ἑαυτοῦ ἐξεπιτήδευσε.

Ἑρμηνεία τῆς καταθέσεως.

Προῖκτος ἐπίσκοπος, λειπάτης καὶ πρεσβύτης τῆς ἐκκλησίας Ῥωμαίων, εἶπε· Πάνυ φανερῶς ἀπὸ τῆς ἀναγνώσεως τῶν πεπραγμένων ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ καὶ θεοφιλεστάτῃ τῶν ὁσιωτάτων καὶ τιμιωτάτων τοῦ Θεοῦ ἱερέων, ἐγνώσθη Νεστόριος, ὡς τις ἀχάριστος, τοσαύτης τυχὼν ἀνεξικακίας ἀπό τε τοῦ ἁγίου πάπα Κελεστίνου τοῦ τῆς ἁγίας καὶ ἀποστολικῆς καθέδρας τῆς Ῥωμαίων πόλεως ἐπισκόπου, οὐ μὴν ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων ἁλαβεστάτων πατέρων, καὶ ἀδελφῶν τοῦ κυρίου ἐπισκόπων, ἐπ' ὀλέθρῳ ἰδίῳ τὴν * ἀπιστίαν καὶ τὴν βλασφημίαν ἐπιχειρηκέναι· ὅθεν ἐπειδὴ ἐτόλμησε κατὰ τῆς πίστεως τῆς εὐαγγελικῆς, καὶ τῆς ἀποστολικῆς διδασκαλίας, ἥτις ὅλῃ τῆς ἀπανταχοῦ καθολικῆς ἐκκλησίας ἐβεβαιώθη, τὴν ὅλαβρον τῆς ἑαυτοῦ αἱρέσεως εἰσενεγκεῖν· διὸ * δὴ κἀγὼ ὁ εἰζω ὑξ αὐθεντίας τῆς ἁγίας ἀποστολικῆς καθέδρας πρεσβείας, μετὰ τῶν ἀδελφῶν τῆς ἀποφάσεως ἐκβιβαστὴς ὑπάρχων, τὸν μνημονεύθεντα Νεστόριον τὸν τῆς ἀληθείας ἐχθρὸν, τὸν φθορέα τῆς πίστεως, ὡσανεὶ τύπων ὑπόδικον, ἐκτὸς τοῦ βαθμοῦ εἶναι τῆς ἐπισκοπικῆς τιμῆς, καὶ τῆς κοινωνίας πάντων τῶν ὀρθοδόξων ἱερέων.

* ἀποστασίαν

* ἐπειδὴ

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας, εἶπεν· Αἱ καταθέσεις αἱ γεγυμνωμέναι παρά τε τῶν ὁσιωτάτων καὶ θεοσεβεστάτων ἐπισκόπων, Ἀρκαδίου, καὶ Προῖκτε, ἔτι γε μὴν καὶ τοῦ θεοσεβεστάτου πρεσβυτέρου Φιλίππου, δῆλαι τῇ ἁγίᾳ συνόδῳ καθεστήκασι. καθέζεσθε γὰρ τὸν τόπον * ἀναπληροῦντες τῆς ἀποστολικῆς καθέδρας, καὶ ἀπάσης δὲ τῆς κατὰ τὴν δύσιν ἁγίας συνόδου τῶν θεοφιλεστάτων, καὶ ἁγιωτάτων ἐπισκόπων· ὅθεν καὶ τὰ ἤδη ὀφειλόμενα παρὰ τοῦ ἁγιωτάτου, καὶ θεοφιλεστάτου ἐπισκόπου Κελεστίνου ὑξεβίβασαν· συμψήσαντες δὲ καὶ τῇ ψήφῳ τῇ ἐξενεχθείσῃ κατὰ τοῦ αἱρετικοῦ Νεστορίου παρὰ τῆς ἁγίας συνόδου, τῆς συναχθείσης ἐνθάδε κατὰ τὴν Ἐφεσίων μητρόπολιν. διὸ συναποδώσατε πῖς ἤδη πεπραγμένοις τὰ κατὰ τὴν χθὲς, καὶ σήμερον, προκεχθέντα ὑπομνήματα· προσαγέτω δὲ τῇ θεοσεβείᾳ αὐτῆς, ὥστε καὶ

* ἀναπληρῶν τὸν τ.

* ἐπιτηρητὴς τ.

* Ἰωάννου τοῦ ἐπισκ. τ.

Ταῦτ. τ. εἰ τὸν τοῦ.

καὶ ἰδίᾳ ὑποσημειώσει κατὰ τὸ σύνηθες φανερὰν καταστήσαι τὴν πρὸς ἅπαντας ἡμᾶς κανονικὴν συναίνεσιν.

Ἑρμηνεία τῆς καταθέσεως.

Ἀρκάδιος ὁ εὐλαβέστατος ἐπίσκοπος, καὶ πρεσβευτὴς τῆς Ῥωμαίων ἐκκλησίας, εἶπε· Κατὰ τὰ πεπραγμένα ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ, ἀναγκαίως τὰς ἑαυτῶν διδασκαλίας ταῖς ἑαυτῶν ὑπογραφαῖς βεβαιοῦμεν.

Ἡ ἁγία σύνοδος εἶπεν· Ἀκολούθως διαλαλησάντων τῶν εὐλαβεστάτων, καὶ θεοσεβεστάτων ἐπισκόπων, καὶ πρεσβευτῶν, Ἀρκαδίου καὶ Προϊέκτου, καὶ Φιλίππου τοῦ πρεσβυτέρου καὶ πρεσβευτοῦ τῆς ἀποστολικῆς καθέδρας, ἐπόμενόν ἐστι, τῇ οἰκείᾳ ὑποσχέσει τὸ ἱκανὸν ποιοῦντας, καὶ διὰ ὑποσημειώσεως βεβαιῶσαι τὰ πεπραγμένα. προσαγέσθω τοίνυν αὐτοῖς τὰ πεπραγμένα ὑπομνήματα.

Ἑρμηνεία τῆς καταθέσεως.

Φίλιππος πρεσβύτερος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας, τοῖς ὑπομνήμασιν ὑπέγραψα.

Ἀρκάδιος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας, τῇ ἐξενεχθείσῃ ἀποφάσει κατὰ Νεστορίου τοῦ αὐθέντου τοῦ σχίσματος, καὶ αἱρέσεως, ἁπάσης βλασφημίας καὶ ἀσεβείας, ὑπέγραψα.

Προϊέκτος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας, τῇ δικαίᾳ κρίσει τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου, καθὼς ἐκ τῶν πεπραγμένων ἐμάθομεν, κατὰ πάντα ἐξακολουθῶν, τῇ καθαιρέσει τοῦ ἀσεβοῦς Νεστορίου ὑπέγραψα.

Ἴσον ἀναφορᾶς πρὸς τοὺς εὐσεβεστάτους βασιλέας περὶ τῶν ἀπὸ Ῥώμης ἐλθόντων ἐπισκόπων, καὶ [1] πρεσβευτῶν, διὰ τοῦ διακόνου Εὐτυχοῦς παρὰ τῆς ἁγίας συνόδου.

Τοῖς εὐσεβεστάτοις καὶ θεοφιλεστάτοις, Θεοδοσίῳ, καὶ Οὐαλεντινιανῷ, νικηταῖς, τροπαιούχοις, ἀεὶ Αὐγούστοις, ἡ ἁγία σύνοδος, ἡ χάριτι Χριστοῦ, καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει.

ΤΗΝ περὶ τὴν εὐσέβειαν ὑμῶν φροντίδα τε καὶ σπουδὴν, φιλόχριστοι βασιλεῖς, ἀποδεξάμενος ὁ τῶν ὅλων Θεὸς, καὶ τῶν ἁγίων ἐπισκόπων τῶν κατὰ δύσιν τῷ ζήλῳ τὰς ψυχὰς ἀνεπτέρωσεν εἰς ἐκδίκησιν τοῦ ὑβρισμένου Χριστοῦ· εἰ γὰρ καὶ τὸ πλεῖστον τῆς ὁδοῦ διάστημα φθάσαι πρὸς ἡμᾶς εἶρξε πᾶν τὸ πλῆθος ἐκεῖνο τῶν ἁγιωτάτων ἐπισκόπων, ἀλλὰ αὐτόθι συναχθέντες, παρόντος καὶ τοῦ τῆς μεγάλης Ῥώμης ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κελεστίνου, καὶ νῦν τὸ ἡμέτερον φρόνημα τῆς πίστεως μετὰ πολλῆς ἀνεκήρυξαν τῆς συμφωνίας, καὶ τοὺς ἔξω τούτου φρονήσαντας, ἀλλοτρίους εἶναι παντελῶς ὥρισαν παντὸς ἱερατικοῦ κλήρου, καὶ βαθμοῦ. ταῦτα μὲν δὴ καὶ πρότερον καὶ ὁ τῆς μεγάλης Ῥώμης ἁγιώτατος ἐπίσκοπος Κελεστῖνος, πρὶν συλλεγῆναι τὴν ἁγιωτάτην ταύτην σύνοδον, διὰ τῶν ἑαυτοῦ γραμμάτων ἐμήνυσεν, ἐπιστρέψας τῷ ἁγιωτάτῳ καὶ θεοφιλεστάτῳ ἐπισκόπῳ Κυρίλλῳ, τῷ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, καὶ τὸν αὐτοῦ ἐπέχειν τόπον, καὶ νῦν δὲ αὖθις, καὶ δι' ἑτέρων γραμμάτων ταῦτα δῆλα τῇ ἁγίᾳ συνόδῳ κατέστησεν· ἣν συναχθῆναι τὸ ὑμέτερον κράτος προσέταξεν ἐπὶ τῆς Ἐφεσίων μητροπόλεως· ἃ καὶ ἀπέστειλε διά τε τῶν ἁγιωτάτων ἐπισκόπων, Ἀρκαδίου, καὶ Προϊέκτου, καὶ τοῦ θεοφιλεστάτου πρεσβυτέρου Φιλίππου τοῦ τῆς μεγάλης Ῥώμης, ἀναπληρούντων τὴν παρουσίαν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κελεστίνου. ἐπεὶ οὖν οἱ ἄνδρες παραγενόμενοι τὴν γνώμην πάσης τῆς κατὰ δύσιν ἁγίας συνόδου φανερὰν τῇ ἐνταῦθα γενομένῃ συνόδῳ πεποιήκασι διὰ τῶν γραμμάτων, σύμφωνόν τε ἡμῖν τὸ φρόνημα καὶ τῆς εὐσεβείας καὶ τῆς πίστεως ἔδειξαν, καὶ ἡμῖν * ὁμόψυχοι διά τε τῶν ἐπιστολῶν, καὶ τῶν ἐντεταλμένων αὐτοῖς, ἃ καὶ ἐγγράφως κατέθεντο, γεγένηται, ἀναγκαίως καὶ περὶ τῆς αὐτῶν πρὸς ἡμᾶς συμφωνίας, πράξαντες τὰ εἰκότα, ἐπὶ τὸ ὑμέτερον ἀνηνέγκαμεν κράτος· ὡς εἰδέναι ἔχοι ἡ ὑμῶν εὐσέβεια, ὅτι μία καὶ κοινὴ ψῆφος ἁπάσης τῆς οἰκουμένης, ἡ παρ' ἡμῶν ἔναγχος ἐξενεχθεῖσα κρίσις γεγένηται· ἣν ἀναδιδαθχῆναι, καὶ φανερὰν γενέσθαι, ὁ περὶ τὴν πίστιν καὶ τὴν εὐσέβειαν ὑμῶν ζῆλος παρεσκεύασεν· ἐπεὶ οὖν τὰ τῆς ὑποθέσεως πέρας εἴληφεν εὐκταῖόν τε τῷ ὑμετέρῳ κράτει, καὶ ταῖς ἐκκλησίαις ἁπάσαις ἀσφαλέστατον, καὶ τῇ πίστει τὸ βέβαιον παρέσχον, δεόμεθα τῆς ὑμῶν εὐσεβείας, ἀνεῖναι λοιπὸν ἡμᾶς τῆς τε φροντίδος, καὶ τῆς ἐν τῇ ξένῃ διαγωγῆς, τοὺς μὲν πενίᾳ σφιγγομένους, τοὺς δὲ νόσῳ συνεχομένους, τοὺς δὲ τῷ γήρᾳ καμπτομένους, καὶ τὴν ἐπὶ τῆς ξένης διατριβὴν ἐπὶ πλεῖον φέρειν οὐ δυναμένους, ὡς καί τινας ἐξ ἡμῶν ἐπισκόπους, καὶ κληρικοὺς, ἀποθανεῖν· ὥστε λοιπὸν παυσαμένους τῆς τοιαύτης μερίμνης, φροντίδα τῆς κατὰ τὴν μεγαλόπολιν ἐκκλησίας ποιήσασθαι. κωλύεσθαι δὲ καθικετεύομεν καὶ τὰ πρὸς τοὺς κατὰ τόπον ἄρχοντας ἠπειλημένα γράμματα πέμπεσθαι, ὡς μή τινα πάλιν ἑτέραν δυσχέρειαν ἐντεθῆναι ταῖς ἐκκλησίαις, ἢ θλίψιν ἐπαναστῆναι ἐν ταῖς ἑαυτῶν χώραις τοῖς ἁγιωτάτοις ἐπισκόποις. τῆς γὰρ εὐσεβείας ἀναδειχθείσης, καὶ πάσης τῆς οἰκουμένης σύμφωνον ἐπ' αὐτῇ ψῆφον ἐξενεγκούσης, πλὴν ὀλίγων τῶν τῆς εὐσεβείας προτιμώντων τὴν Νεστορίου φιλίαν. δικαίαν αἰτοῦμεν χάριν, δεόμενοι τοῦ ὑμετέρου κράτους, ἀνεθῆναι λοιπὸν ἡμᾶς τῆς φροντίδος, καὶ ἔχεσθαι τῆς χειροτονίας τοῦ μέλλοντος, καὶ ἐντρυφῆσαι λοιπὸν τῇ βεβαιωθείσῃ πίστει τε, καὶ εὐσεβείᾳ, καὶ * καθεῖσθαι καὶ εἰλικρινῶς τὰς ὑπὲρ τοῦ ὑμετέρου κράτους ἀναπέμπειν προσευχὰς τῷ δεσπότῃ τῶν ὅλων Χριστῷ.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας * ἀνήνεγκε. Καὶ ὑπέγραψαν πάντες οἱ ἐν τῇ * τάξει τῶν ὑπομνημάτων εὐλαβέστατοι ἐπίσκοποι.

* ὁμόψυχοι.

* καθαρῶς.

* absunt a mss. Seg.
* ἀνήνεγκα.
* στάσει.



Ἴσον

Ἴσον ἐπιστολῆς γραφείσης παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν κλῆρον, καὶ τὸν λαὸν Κωνσταντινουπόλεως, περὶ τῆς καθαιρέσεως Νεστορίου.

Ἡ ἁγία καὶ μεγάλη σύνοδος καὶ οἰκουμενικὴ, ἡ χάριτι Θεοῦ συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει, τοῖς θεοσεβεστάτοις καὶ εὐλαβεστάτοις συμπρεσβυτέροις, καὶ διακόνοις, καὶ παντὶ τῷ κλήρῳ, καὶ τῷ λαῷ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας τῆς ἐν Κωνσταντινουπόλει, ἐν κυρίῳ χαίρειν.

ΕΠΙ' τὸ πολυστένακτον ἤλθομεν μήνυμα, πρότερον μὲν ἐπὶ τῷ γεγονότι δακρύσαντες, ὑπὸ δὲ τῆς ἀνάγκης αὐτῆς, καὶ τοῦ μὴ πολλοὺς ἁλῶναι τῷ τῆς ἀσεβείας λοιμῷ, βιασθέντες ἐκκόψαι τὸν αἴτιον τῆς νόσου ταύτης. πέπαυται γὰρ τῆς ἱερωσύνης Νεστόριος, πάρεργον τῆς ἑαυτοῦ ἀσεβείας γενόμενος· ἧς μάρτυρες ὑμεῖς ἐκ τῶν πρὸς ὑμᾶς τολμηθεισῶν πολλάκις παρ' αὐτοῦ διαλέξεων· προσθήκη δὲ τῶν κακῶν καὶ ἡ ἐνταῦθα βλασφημία· οὔτε γὰρ ἡ * ἐπαγγελθεῖσα ἁγία σύνοδος, οὔτε τὸ πλῆθος τῶν * εὐσεβείᾳ συνειλεγμένων, ἐπέσχεν αὐτὸν τῆς ὁρμῆς· ἀλλὰ προσέθηκε βλασφημίας χαλεπωτέρας, διμηναῖον, καὶ γαλακτοτροφηθέντα, μὴ * ἀναχέσθαι προσκυνεῖν, καὶ τὸν εἰς Αἴγυπτον φυγόντα μὴ ὀνομάζειν Θεόν· ὡς ἐντεῦθεν πᾶσαν τὴν δι' ἡμᾶς παρὰ τοῦ σωτῆρος γενομένην οἰκονομίαν, μικροῦ γενέσθαι τοῖς ἁπλουστέροις ἀμφίβολον. τῆς δὲ ὑμετέρας εὐχῆς γενέσθω ἔργον, ἐπιτεταμένως τελουμένης πρὸς Θεὸν, τὸν ἄξιον τοῦ θρόνου τῆς μεγαλοπόλεως * ἀναδεχθῆναι, τὸν ἐπισκοπήσειν τὰ ὑμέτερα μέλλοντα. τῆς γὰρ βασιλευούσης εὐσεβῶς * εὐθυνομένης πόλεως, κοινὸν ταῖς ἁπανταχοῦ ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις τὸ * ἔργον γίνεται.

* ἐπαγγελθεῖσα.
* ἐνεύσεβείᾳ.
* ἐν ἐλέσθαι.
* ἀναδεχθῆναι.
* ἐθυνομένης.
* κύριλλος.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ἐῤῥῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί.

Φίλιππος πρεσβύτερος ἐκκλησίας ἀποστόλων,
Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων,
Ἀρκάδιος ἐπίσκοπος ληγάτος,
Προΐεκτος ἐπίσκοπος ληγάτος,
Φίρμος ἐπίσκοπος Καισαρείας,
Φλαυιανὸς ἐπίσκοπος Φιλίππων,
Μέμνων ἐπίσκοπος Ἐφέσου,
Θεόδοτος ἐπίσκοπος Ἀγκύρας,
* Βεριανὸς ἐπίσκοπος Πέργης.

* Βεριανός.

Ὄντων τῶν καθελόντων Νεστόριον ὑπὲρ τοὺς διακοσίους, ἠρκέσθημεν ταῖς ἐγκειμέναις ὑπογραφαῖς.

ΠΡΑΞΙΣ * ΤΕΤΑΡΤΗ.

Λίβελλοι ἐπιδοθέντες τῇ ἁγίᾳ συνόδῳ παρὰ τῶν ἁγιωτάτων ἐπισκόπων, Κυρίλλου Ἀλεξανδρείας, καὶ Μέμνονος Ἐφέσου. *

* in cod Seguieriano dicitur. πρᾶξις. πρώτη.

ΤΟΙΣ μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν, Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον, καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον, τῶν αἰωνίων Αὐγούστων, τῇ πρὸ δεκαεπτὰ Καλανδῶν Αὐγούστων, συνόδου συγκροτηθείσης, ἐν τῇ Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν θεοφιλεστάτων, καὶ φιλοχρίστων βασιλέων· καὶ καθεσθέντων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, τῇ καλουμένῃ Μαρίᾳ, τῶν θεοφιλεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων, Κυρίλλου Ἀλεξανδρείας, διέποντος καὶ τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ρωμαίων ἐκκλησίας Κελεστίνου, καὶ Ἀρκαδίου ἐπισκόπου καὶ ληγάτου τῆς Ρωμαίων καθέδρας, καὶ Προϊέκτου ἐπισκόπου καὶ ληγάτου τῆς Ρωμαίων καὶ αὐτοῦ ἐκκλησίας τυγχάνοντος, καὶ Φιλίππου πρεσβυτέρου καὶ ληγάτου, καὶ Ἰουβεναλίου Ἱεροσολύμων, καὶ Μέμνονος τῆς Ἐφεσίων, καὶ Φλαυιανοῦ Φιλίππων, ἐπέχοντος καὶ τὸν τόπον Ῥούφου τοῦ εὐσεβεστάτου ἐπισκόπου Θεσσαλονικέων, καὶ Φίρμου Καισαρείας Καππαδοκίας πρώτης, καὶ Ἀκακίου Μελιτηνῆς, καὶ Θεοδότου Ἀγκύρας Γαλατίας πρώτης, καὶ τῶν λοιπῶν πάντων, καὶ Βεσουλᾶ διακόνου Καρθαγένης, Ἡσύχιος διάκονος εἶπεν. Ὁ τὰ πάντα ἁγιώτατος καὶ ὁσιώτατος ἀρχιεπίσκοπος τῆς Ἀλεξανδρέων ἐκκλησίας Κύριλλος, καὶ ὁ ἁγιώτατος καὶ θεοσεβέστατος ἐπίσκοπος τῆς Ἐφεσίων Μέμνων, λίβελλον ἐπιδεδώκασι τῇ ἁγιωτάτῃ καὶ οἰκουμενικῇ συνόδῳ, τῇ κατὰ θέσπισμα τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν ἐν τῇ δε τῇ μητροπόλει τῇ Ἐφεσίων συγκροτηθείσῃ· ὃν μετὰ χεῖρας ἔχοντες, εἰ κελεύσειεν ἡ ὑμετέρα ἁγιότης, ἀναγνωσόμεθα.

* in codice Seg. subjiciuntur hæc verba. Ὑπομνήματα πραχθέντα ἐν Ἐφέσῳ, ἐν οἷς ἀκρινωνησίαν ὥρισε κατὰ τῶν ἀντιτολικῶν.

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀναγινωσκέσθω ὁ ἐπιδοθεὶς λίβελλος παρὰ τῶν ἁγιωτάτων, καὶ ὁσιωτάτων ἐπισκόπων, Κυρίλλου τῆς Ἀλεξανδρέων, καὶ Μέμνονος τῆς Ἐφεσίων, καὶ ἐνταττέσθω τοῖς πραττομένοις.

Ἡσύχιος διάκονος ἀνέγνω.

Τῇ ἁγίᾳ συνόδῳ τῇ κατὰ Θεοῦ χάριν, καὶ θέσπισμα τῶν θεοφιλεστάτων, καὶ φιλοχρίστων βασιλέων συναχθείσῃ ἐν τῇ δε τῇ Ἐφεσίων μητροπόλει, Κύριλλος ἐπίσκοπος Ἀλεξανδρέων, καὶ Μέμνων τῆς Ἐφεσίων.

ΕΥΣΕΒΕΣ θέσπισμα ἐν τῇ δε τῇ Ἐφεσίων μητροπόλει, καὶ ἡμᾶς καὶ τὴν ὑμῶν ὁσιότητα συνδραμεῖν ἐκέλευσεν, ὥστε τὸν ὀρθὸν τῆς ἀποστολικῆς πίστεως ὅρον κοινῇ ψήφῳ κρατυνθῆναι, δοκιμασθῆναι δὲ καὶ τὴν καινοτομηθεῖσαν αἵρεσιν παρὰ Νεστορίου. ἀλλ' ἡ μὲν ἁγία ὑμῶν σύνοδος ὀρθὰ καὶ κανονικῶς πάντα πράττουσα, συνήδρευσε μὲν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ τῇ κατὰ τήνδε τὴν μητρόπολιν, ἐκέλευσε δὲ τὸν μνημονευθέντα Νεστό-

στόριον εἰσελθεῖν εἰς τὸ συνέδριον, καὶ ἀπολογήσασθαι ὑπὲρ ὧν ἔν τε ἐξηγήσεσι δεδυσφήμηκε, καὶ ἐν ἰδίαις ἐπιστολαῖς, ἀσεβεῖς καὶ ἀλιτηρίους ἀφιεὶς φωνὰς κατὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· τρίτον δὲ αὐτὸν κληθέντα, καὶ μὴ ἀναχόμενον ἀπαντῆσαι, διὰ τὸ κακῷ συνειδότι πλήττεσθαι, τοῖς τῆς ἐκκλησίας ἐπομένη θεσμοῖς, καθαιρέσει ὑπέβαλε, πάντα ἀκριβῶς ἐξετάσασα τὰ κατ' αὐτὸν, καὶ πληροφορηθεῖσα, ὅτι καὶ αἱρετικὸς, καὶ δύσφημός ἐστι. τούτων οὕτω πραχθέντων, καὶ ἀνενεχθέντων εἰς γνῶσιν τῶν εὐσεβεστάτων καὶ καλλινίκων ἡμῶν βασιλέων, ὀψὲ ὡς μόλις, καὶ ὅτε ἐβούλετο, τὴν Ἐφεσίων καταλαβὼν ὁ τῆς Ἀντιοχέων Ἰωάννης, συναγαγὼν, ὡς ἐμάθομεν, τινὰς τῶν τὰ Νεστορίου φρονούντων, ὧν οἱ μὲν εἰσι πάλαι καθῃρημένοι, οἱ δὲ οὐδὲ πόλεις ἔχουσιν, ἀλλ' εἰσὶν ὀνόματι μόνῳ ἐπίσκοποι, ὥσπερ ἀγανακτήσας, ὅτι δεδόξασται Χριστὸς, καθαίρεσιν ὑπομείναντος δικαίαν τοῦ βλασφημοῦντος εἰς αὐτὸν, οὐκ ἴσμεν ὅπως, εἴ γε ὅλως ἐστὶν ἀληθὲς τὸ θρυλλούμενον, πάντα πατήσας θεσμὸν ἐκκλησιαστικὸν, καὶ πᾶσαν ὑβρίσας ἀκολουθίαν ἐκκλησιαστικὴν, ἀσεβὲς καὶ παράνομον συνέταξε χαρτίον· καὶ ἡμᾶς τῷ τῆς καθαιρέσεως ὀνόματι δύνασθαι πλήττειν νομίσας, ὕβρισεν οὐ φορητῶς· καὶ ταῦτα τῆς ἁγίας συνόδου, τῆς Νεστόριον καθελούσης, ὑπὲρ τοὺς διακοσίους τὸν ἀριθμὸν ἁγίους ἐπισκόπους ἐχούσης, ἐκείνου δὲ συλλέξαντος αἱρετικοὺς καὶ διαβεβλημένους ἑτέρους, τριάκοντά που τὸν ἀριθμόν. καίτοι οὔτε ὑπὸ θεσμῶν ἐκκλησιαστικῶν, οὔτε ὑπὸ θεσπίσματος βασιλικοῦ ἐξουσίαν ἔχων, ἢ δικάσαι τινὶ ἡμῶν, ἢ γοῦν ὅλως ἐπιχειρῆσαί τι τοιοῦτο, μάλιστα κατὰ μείζονος θρόνου· ὁπότε, εἰ καὶ ἐξῆν αὐτῷ δικάσαι, ἐχρῆν τοῖς κανόσιν ἐξακολουθῆσαι τοῖς ἐκκλησιαστικοῖς, ὡς ὑπομνῆσαι τοὺς ὑβρισμένους ἡμᾶς, * μετὰ τῆς ἄλλης ἁπάσης ἁγίας ἡμῶν συνόδου καλέσαι πρὸς ἀπολογίαν. νυνὶ δὲ τούτων μηδὲν ὑπολογισάμενος, μήτε τὸν τοῦ Θεοῦ φόβον εἰς νοῦν βαλὼν, κατ' αὐτὴν τὴν ὥραν, καθ' ἣν εἰσῆλθεν εἰς τὴν Ἐφεσίων λεληθότως, καὶ οὐδενὸς εἰδότος τὸ σύμπαν ἡμῶν τὸ * τετολμημένον, * κατέπαιξε τῆς ἑαυτοῦ * κεφαλῆς, * ἵνα μὴ λέγοιμεν τῶν τῆς ἐκκλησίας θεσμῶν, καὶ ὑβρίζει ψήφῳ καθαιρέσεως τοὺς μηδὲν εἰδότας μέχρι σήμερον. * καὶ γοῦν ποίαν ἔσχεν εἰς τοῦτο * πρόφασιν; ἐπειδὴ τοίνυν ἀκόλουθόν ἐστι, μὴ οὕτω πατεῖσθαι τοὺς τῆς ἐκκλησίας θεσμοὺς, μὴ δὲ εἰκῇ φέρεσθαι κατὰ μειζόνων, ἢ καὶ λεληθότως τοιαῦτα * τολμᾶν, ἅπερ οὐκ ἂν ἔδρασεν οὐδὲ εἰς ἕνα τῶν τὸν τελευταῖον ἐν ἐκκλησίαις ἐχόντων βαθμὸν, καὶ ὑπὸ χεῖρα πραττόντων τὴν ἑαυτοῦ, ἐνταῦθα δέ ἐστι μετὰ τῶν τοῦτο συνδεδρακότων αὐτῷ, ἀναγκαίως προσάγομεν τῇ ὑμετέρᾳ θεοσεβείᾳ τάδε τὰ βιβλία, ὁρκίζοντες κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, μεταπεμφθῆναι καὶ αὐτὸν τὸν Ἰωάννην, καὶ τοὺς συνδραματουργήσαντας αὐτῷ· ὥστε ἐλθόντας εἰς τὴν ἁγίαν σύνοδον ἀπολογήσασθαι ὑπὲρ τοῦ ἰδίου τολμήματος· ἑτοίμως γὰρ ἔχομεν ἀποδεῖξαι, αὐτὸν ἀνόσιον, καὶ παράνομον τῆς καθ' ἡμῶν ὕβρεως πεποιημένον ἐγχείρημα.

* ἵσ. καὶ μετὰ
* τολμήμενον.
* κατέπαιε.
* τῆς ἑαυτοῦ κελεύσεως,
* ἵνα μὴ λέγομεν.
* κἂν γοῦν.
* πρόφασιν.
* ποιεῖν.

Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς, εἶπε. Περιττὴ μὲν καὶ ἡ περὶ τῶν αἰτιαθέντων ὑπόνοια, εἴ γε καὶ * αὕτη ἀληθὴς εἴη· καὶ περιττὴ ἡ * αἴτησις τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων Κυρίλλου τῆς Ἀλεξανδρείας, καὶ Μέμνονος τῆς Ἐφεσίων· οὔτε γὰρ ἦν οἷόν τε, τοὺς ἀποστατήσαντας ἀπὸ τῆς ἁγίας συνόδου, καὶ προστεθέντας τῇ κακοδοξίᾳ Νεστορίου, καὶ ἑαυτοὺς συνάψαντας, καὶ ὑπὸ ἔγκλημα τοσοῦτο, καὶ τοιοῦτο, γενομένους τολμᾶν τι κατὰ τῶν προέδρων τῆς οἰκουμενικῆς ταύτης συνόδου διαπράττεσθαι, μηδὲ ὅλως ἔχοντας * αὐθεντίαν. ἐπειδὴ δὲ ἤρεσε τῇ ὑμετέρᾳ ὁσιότητι, ὥστε καὶ περὶ αὐτῶν τούτους εἰς κρίσιν ἑλκυσθῆναι, ὑπομνησθεὶς διὰ τῶν εὐλαβεστάτων ἐπισκόπων, Ἀρχελάου, καὶ Παύλου, καὶ Πέτρου, ὁ πρόεδρος τῆς τοιαύτης ἀποστασίας καὶ τῆς Ἀντιοχέων ἐπίσκοπος Ἰωάννης, περὶ ὧν ᾐτιάθη ἀπολογήσεται, τίνι λόγῳ τοιαῦτα ἐτόλμησε.

* αὐτή.
* αἰτίασις.
* ἐξουσίαν.

Καὶ ἀπελθόντων, Ἀρχελάου ἐπισκόπου Μυνδου τῆς Καρίας, καὶ Παύλου ἐπισκόπου Λάμπης τῆς Κρήτης, καὶ Πέτρου ἐπισκόπου Παρεμβολῶν τῆς Παλαιστίνης, καὶ ἐπανελθόντων, Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε. Διδασκέτωσαν οἱ θεοσεβέστατοι ἐπίσκοποι, οἱ τὸ δήλωμα διακονῆσαι πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην ἐπιταχθέντες, τίνος ἔτυχον παρ' αὐτοῦ ἀποκρίσεως.

Παῦλος ἐπίσκοπος Λάμπης εἶπε· Πεμφθέντες παρὰ τῆς ἁγίας ὑμῶν συνόδου πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην τῆς Ἀντιοχέων, πλησιάζοντες δὲ τῇ τούτου οἰκίᾳ, ἐθεασάμεθα πλῆθος στρατιωτῶν, καὶ ἑτέρων τινῶν, ὅπλα καὶ ξίφη ἐπιφερομένων, οἳ οὐδὲ συνεχώρουν ἡμῖν πλησιάσαι τῷ πυλῶνι. μόλις δὲ πλησίον ἐγενόμεθα, καὶ πολλῶν ῥηθέντων παρ' ἡμῶν· ὅτι εἰρηνικοί ἐσμεν, μὴ γὰρ πλῆθός ἐσμεν, τρεῖς ἐσμεν ἀποσταλέντες, δέξασθε ἡμᾶς· ἡ ἁγία σύνοδος ἀπέστειλεν ἡμᾶς ῥήματα ἔχοντας εἰρηνικὰ, κανονικοῦ ἕνεκα πράγματος, πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην. πολλῶν τοίνυν * περιεστηκότων ἡμᾶς, γνοὺς, ὡς ἔοικε, τὴν αἰτίαν, δι' ἣν ἀπεστάλημεν, οὐκ ἐδέξατο ἡμᾶς. πολλὰ δὲ παρὰ πολλῶν ἐῤῥέθη, ἐν οἷς καὶ δύσφημα ἦν κατὰ τῆς ἁγίας συνόδου, καὶ κατὰ τῆς ὀρθοδόξου πίστεως· ἅ τινα διακονῆσαι διὰ τὸν γενόμενον ἐκεῖσε θόρυβον μετὰ ἀκριβείας οὐ δεδυνήμεθα.

* περιστήκοντα.

Ἀρχέλαος ἐπίσκοπος Μυνδου εἶπε· Πολὺν θόρυβον, ὡς κίνδυνον μικροῦ δεῖν ὑπεμείναμεν, ἐν τῇ οἰκίᾳ παραγενόμενοι τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου, στρατιωτῶν ξίφη γυμνωσάντων, καὶ ξύλα κρατούντων, καὶ ἀπειλούντων ἡμῖν, καὶ πλήθους ἑτέρου περιεστῶτος· καὶ πολλοὺς παρακαλέσαντες μηνυθῆναι, οὐκ οἶδα δι' ἣν αἰτίαν οὐκ ἐδέχθημεν.

Πέτρος ἐπίσκοπος Παρεμβολῶν εἶπε· Παραγενόμενος καὶ αὐτὸς ἅμα τοῖς εὐλαβεστάτοις ἐπισκόποις εἰς τὴν οἰκίαν τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου, πολλῶν στρατιωτῶν ὅπλα ἐμφερομένων, καὶ γυμνωσάντων, ὡς περιστοιχισάντων ἡμᾶς, καὶ ἑτέρων

ρων δὲ πολλῶν σὺν αὐτοῖς ἐκεῖσε θορυβούντων, καὶ ἀπειλούντων ἡμῖν, καὶ βλάσφημα ἀφιέντων ῥήματι κατὰ τῆς ὀρθοδόξου πίστεως, καὶ τῆς ἁγίας ὑμῶν καὶ θεοφιλοῦς συνόδου· παρακαλέσαντες μιανθῆναι, καὶ τὰ παρὰ τῆς ἁγίας συνόδου δόγμα κονῆσαι ῥήματι τῷ Ἀλαβεσάτῳ ἐπισκόπῳ Ἰωάννῃ, οὐκ ἐδέχθημεν· γνόντος, ὡς οἰόμεθα, τὸ αὐτὸ Ἀλαβεσάτου ἐπισκόπου Ἰωάννου τὴν αἰτίαν, ἐφ' ᾗ ἀπεσάλημεν· παρῆσαν γάρ τινες τῶν αὐτοῦ κληρικῶν, οἷς εἰρήκαμεν, ὅτιπερ ἀπεσάλημεν παρὰ τῆς ἁγίας συνόδου· ὧδεὶς δὲ ἡμᾶς δεχθῆναι σιωεχώρησε.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε. Συνορᾷ ἡ ἁγία ὑμῶν σιώδος, ὅτι ἐγὼ μὲν, καὶ ὁ Ἀλαβέσατος καὶ θεοφιλέσατος συνεπίσκοπος Μέμνων ἐνταῦθά ἐσμεν, καθαρὸν ἔχοντες τὸ συνειδὸς, καὶ τῇ ἑαυτῶν ὑπολήψει συσῆναι ἠυξεπισμένοι· ἀλλ' ὡς ἔοικε, μελέτη μία τῷ τε αἱρετικῷ Νεσορίῳ, καὶ τῷ ὑπερασπίζοντι τῆς αὐτοῦ δογμάτων Ἰωάννῃ τῷ τῆς Ἀντιοχέων ἐπισκόπῳ, καὶ τῆς τῆς ἁγίας ἐκκλησίας ἀπονοεῖσθαι θεσμῶν, καὶ καλουμένους εἰς ἀπολογίαν ὧν πεπλημμελήκασιν, ὅπλοις τὰς ἑαυτῆς περιφράττειν οἰκίας, ἀφροσίτους τε αὐτὰς ἀποφαίνειν τοῖς κανονικῶς καλοῦσιν εἰς ἀπολογίαν, ὧν ἀδικοῦνται. ἐπειδὴ τοίνυν ὁ μονοδιθεὶς Ἀλαβέσατος Ἰωάννης, δεδιὼς τὸ ἴδιον πλημμέλημα, ποικίλας ἀφορμὰς ὑπερθέσεως ἑαυτῷ πορίζεται, ὡς ἔξεσιν ἰδεῖν, ἀφ' ὧν ἐδίδαξαν οἱ θεοσεβέσατοι ἐπίσκοποι, μᾶλλον δὲ, ὡς ἔφην, ἀφ' ὧν ἀφρόσιτον τοῖς ἀποσελλομένοις παρὰ τῆς ἁγίας συνόδου τὴν ἑαυτοῦ κατεσκάσεν οἰκίαν, δῆλός ἐστιν ἑαυτὸν καταψηφιζόμενος, καὶ τῆς οἰκείων πλημμελημάτων κατηγορῶν, δι' ὧν ὑφορᾶται καὶ δέδιε· τὴν ἄφιξιν τὴν εἰς τὴν ἁγίαν ταύτην καὶ μεγάλην σιώδον. καταξιωσάτω τοίνυν ὑμῶν ἡ ὁσιότης, ἀσυναρπάστως τῇ ἀκολουθίᾳ ἔχουσα, καὶ τῇ φύσει τοῦ πράγματος ἐνορῶσα, τὰ μὲν καθ' ἡμῶν ἀνοσίως παρ' ἐκείνου πεπλημμελημένα, ταῖς ἐννομωτάτοις ἀφανίσαι ψήφοις, οἰέσθαι δὲ τὰ δοκοῦντα * κατ' αὐτοῦ, τοιαύτην ὕβριν ἐπενεγκεῖν ἡμῖν τολμήσαντος.

* κατὰ τοῦ αὐτοῦ.

Ἰβουάλιος, ἐπίσκοπος Ἱεροσολύμων, εἶπεν. Ἐχρῆν μὲν Ἰωάννην τὸν Ἀλαβέσατον ἐπίσκοπον Ἀντιοχείας, ἐνθυμούμενον τὴν ἁγίαν καὶ μεγάλην καὶ οἰκουμενικὴν σιώδον ταύτην, * δίκαιον εἰς ἀπολογίαν τῆς ἐπαγομένων αὐτῷ δρᾶν, καὶ τὸν ἀποστολικὸν θρόνον σιωεδρεύοντα ἡμῖν τῆς μεγάλης Ῥώμης, καὶ τῷ ἀποστολικῷ τῆς Ἱεροσολύμων ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ὑπακοῦσαι, καὶ τιμῆσαι· παρ' ᾧ μάλιστα ἔθος αὐτὸν τῆς Ἀντιοχέων θρόνου ἐξ ἀποστολικῆς ἀκολουθίας καὶ παραδόσεως ἰθύνεσθαι, καὶ παρ' αὐτῷ δικάζεσθαι. ἐπειδὴ δὲ τῇ συνήθει ὑπεροψίᾳ χρώμενος, τὴν ἑαυτοῦ οἰκίαν ὅπλοις περιφράττει ὁπλιτῶν στρατιωτῶν, καὶ ἰδιωτῶν, ὡς οἱ καταθέμενοι θεοσεβέστατοι ἐπίσκοποι, παρὰ τῆς ἁγίας ταύτης συνόδου πεμφθέντες ἐγνώεισαν ἡμῖν, τοῖς κανόσιν ἡμεῖς ἑπόμενοι, καὶ τὴν ἀκολουθίαν φυλάττοντες, ἐκ δευτέρου πάλιν αὐτὸν ὑπομνηθῆναι οἰόμεθα. δῆλον δὲ ἔσται ἂν ἔτι καὶ θεοσεβέστατοι ἐπίσκοποι, μετὰ τῆς αὐτῆς τῆς πρότερον ἐπιεικείας ὑπομνήσουσιν αὐτὸν παραγενέσθαι εἰς τὴν ἁγίαν συνοδον, καὶ ἀποκρίνασθαι τοῖς αὐτῷ ἐπαγομένοις.

Καὶ ἀπελθόντων, Τιμοθέου ἐπισκόπου Τερμήσσου καὶ Εὐδοκιάδος, καὶ Εὐσαθίου ἐπισκόπου Δοκιμίου, καὶ Εὐδοξίου ἐπισκόπου Χώματος τῆς Λυκίας, καὶ ἐπανελθόντων, Εὐδόξιος ἐπίσκοπος Χώματος τῆς Λυκίας εἶπε· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας θεοσεβείας παραγενόμενοι εἰς τὴν οἰκίαν τοῦ Ἀλαβεσάτου ἐπισκόπου Ἰωάννου τῆς Ἀντιοχέων, εὕρομεν πρατιώτας περὶ τὴν οἰκίαν αὐτοῦ μετὰ ξιφῶν γυμνῶν, καὶ κλειστούς τινας. παρεκαλέσαμεν δὲ τοὺς κλειστούς, λέγοντες· ἀπεσάλημεν παρὰ τῆς ἁγίας συνόδου, ἀπαγγεῖλαί τινα ῥήματα τῷ Ἀλαβεσάτῳ ἐπισκόπῳ Ἰωάννῃ, καὶ καταξιώσατε μιανῦσαι ἡμᾶς. οἱ δὲ εἰσελθόντες, καὶ μιανύσαντες ταῦτα, ὑποστρέψαντες ἀπόκρισιν ἡμῖν δεδώκασι, λέγοντες· ὅτι εἶπεν ὁ ἐπίσκοπος Ἰωάννης· ὅτι ἡμεῖς ἀνθρώποις καθαιρεθεῖσιν ἀφ' ἡμῶν, καὶ ἀκοινωνήτοις ἐστὶν, ἀποκρίσιν οὐδεμίαν ποιούμεθα. ὡς δὲ ἠρωτήσαμεν, παρά τίνος καθῃρέθημεν, καὶ ἀκοινώνητοί ἐσμεν; εἰρήκασιν ἡμῖν· ὅτι παρὰ τοῦ ἐπισκόπου τῆς Ἀντιοχέων Ἰωάννου. ὡς δὲ ἐπέμψαμεν ἀκριβέστερον μαθεῖν, ἔφησαν· ὅτι ἐπὶ ταβελαρίων τούτων ἡ παραιτούμεθα εἰπεῖν.

Τιμόθεος ἐπίσκοπος Τερμήσσου καὶ Εὐδοκιάδος εἶπεν· Ὡς ἐκέλευσεν ἡ θεοσέβεια ὑμῶν, παρεγενόμεθα ἐν τῇ οἰκίᾳ τοῦ Ἀλαβεσάτου ἐπισκόπου Ἰωάννου· καὶ εὕρομεν ἔξω τῆς θύρας κληρικοὺς ἑστῶτας, ἐμιανύσαμεν, ἀξιοῦντες δεχθῆναι, καὶ κατὰ πρόσωπον εἰπεῖν τὰ συμπεπλημμένα ἡμῖν· οἱ δὲ εἰσελθόντες, ταύτην ὑμῖν τὴν ἀπόκρισιν δεδώκασιν· ὅτι ἡμεῖς ἀκοινωνήτοις, καὶ καθῃρημένοις, ἀπόκρισιν οὐ ποιοῦμεν. μὴ καμοῦσαν καλοῦντες ἡμᾶς συνεχῶς.

Εὐσάθιος ἐπίσκοπος Δοκιμίου, εἶπε· Κατὰ τὴν κέλευσιν τῆς ἡμετέρας ὁσιότητος παρεγενόμεθα ἐν τῇ οἰκίᾳ ἔνθα μένει ὁ Ἀλαβέσατος ἐπίσκοπος Ἰωάννης τῆς Ἀντιοχέων· καὶ τοῖς ἐκεῖσε κληρικοῖς ἀρεθεῖσι παρηνέσαμεν μιανθῆναι. ὡς δεῖ ἡμᾶς συντυχεῖν τῷ αὐτῷ Ἀλαβεσάτῳ ἐπισκόπῳ Ἰωάννῃ, καὶ εἰπεῖν τὰ παρὰ τῆς ἁγίας ταύτης συνόδου δηλωθέντα αὐτῷ. οἱ δὲ εἰσελθόντες, καὶ ἐπανασρέψαντες πρὸς ἡμᾶς, ἔφησαν· ὅτιπερ ἡμεῖς καὶ καθαιρούμεθα, καὶ ἀκοινώνητοι πεποιήκαμεν, καὶ μὴ καμοῦσαν καλοῦντες ἡμᾶς. ἐσπειρώμεθα δὲ μαθεῖν τὰ ὀνόματα τῶν εἰσελθόντων μηνῦσαι, καὶ εἰπεῖν ἃ ἠβουλήθησαν, ἃδὲ μηνῦσαι, λέγοντες· κληρικοί ἐσμεν, καὶ ὁ ταβελλάριοι.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν. Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ καὶ νῦν τῇ ἁγίᾳ συνόδῳ παρὼν, τὰς τῶν πραγμάτων φύσεις ἐναργεῖς ἡμῖν κατέστησεν εἰδέναι· ὅτι πᾶς ὁ τὰ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ. τοῦτο παθὼν καὶ νῦν τὸν Ἀλαβέσατον Ἰωάννην τῆς Ἀντιοχέων ἐπίσκοπον, ἡ ὑμετέρα πανσοφὸς ὁσιότης καὶ νῦν ὁρᾷ· ἡ γὰρ ἑαυτῷ * συνειδὸς πεπραχώς τι καθ' ἡμῶν κακουργεῖν, * συνειδυῖα. ἢ ἀρέσκον Θεῷ, πῶς ἂν ἐχρῆν αὐτὸν ἀφικέσθαι προθύμως εἰς τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν συνόδον, ὥστε καὶ ψήφῳ τῇ παρ' ὑμῶν ἐπισφραγισθῆναι αὐτοῦ τὸ ἐγχείρημα, μᾶλλον ἰσχύσαι καθ' ἡμῶν,

μῶν, εἴπερ ἐπέπρακτο κατὰ θεσμοὺς ἐκκλησιαστικοὺς; ἀλλ' ἐπειδὴ δέδιε τὸ μισοπόνηρον τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου, καὶ οἶδε δυσπεβῶς, καὶ παρανόμως ἐνυβρίσας ἡμᾶς, παραιτεῖται τὴν ἄφιξιν, ἵνα μὴ τὴν ἑαυτῷ πρεπωδεστάτην ὑπομείνῃ τιμωρίαν, καὶ ἀγανάκτησιν· κρύπτει γὰρ ἃ πεπλημμέληκε, καὶ αἰσχύνεται ἐπὶ κριταῖς ὑμῖν ἐμφανίσαι τὴν ἑαυτοῦ παρανομίαν. ὅθεν καὶ παρακαλοῦμεν ἀποφήνασθαι τὴν ἁγίαν ταύτην σύνοδον, ἐντεῦθεν ἤδη μηδεμίαν μὲν ἰσχὺν τὰ παρ' ἐκείνου τετολμημένα καθ' ὑμῶν ἔχειν, κληθέντα δὲ καὶ εἰσαῦθις, ὑπὲρ ὧν δέδρακεν ἀνοσίως, ἐννόμῳ καὶ δικαιοτάτῃ ἀποφάσει τῇ παρ' ὑμῶν καὶ ἀπὸ τῶν κανόνων ὑπενεχθῆναι.

Μέμνων ἐπίσκοπος Ἐφέσου εἶπεν· Ἡ ἀκανόνιστος γνώμη τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου τῆς Ἀντιοχέων, καὶ τῶν ἅμα αὐτῷ εὐαριθμήτων τινῶν, ἀφ' ὧν ἐνεωτέρισε, καὶ κατὰ τῶν θεσμῶν τῶν ἐκκλησιαστικῶν ἠτάκτησε, δήλη τῇ ὑμετέρᾳ γέγονεν ὁσιότητι· ὅθεν καὶ ἡμεῖς τὰ ἐκείνῳ τετολμημένα καθ' ἡμῶν διὰ λιβέλλου ἀνεδιδάξαμεν τὴν ὑμετέραν ὁσιότητα· καὶ κανονικῶς κινούμενοι κεκλήκατε δι' ὁσιωτάτων ἐπισκόπων συστῆναι αὐτὸν τοῖς παρ' αὐτοῦ παρὰ τοὺς θεσμοὺς τοὺς ἐκκλησιαστικοὺς. μᾶλλον δὲ κατὰ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας, ἡμαρτημένοις, καὶ ἀπολογήσασθαι ἐφ' οἷς κατὰ τῶν κανόνων ἐθρασύνετο· ἀλλὰ σαθρῷ τῷ συνειδότι κεχρημένος, ὑπακοῦσαι οὐκ ἠβουλήθη κληθείς· τούτου χάριν τὴν ἁγίαν σύνοδον ἡμῶν καὶ οἰκουμενικὴν παρεκαλέσαμεν, τὰ μὲν παρ' ἐκείνου ἀθέσμως πραχθέντα, καὶ τῶν ἅμα αὐτῷ εὐαριθμήτων ὄντων, ὧν τινὲς μὲν αἱρετικοὶ τυγχάνουσι, τινὲς δὲ μηδὲ πόλεις ἔχοντες, καὶ ἕτεροι δὲ πολλαῖς αἰτίαις ὑπεύθυνοι ὄντες, ἀργὰ ἀφ' ἑαυτῶν καὶ ἀνίσχυρα τυγχάνοντα, διὰ τὸ ἐφ' ὕβρει τῆς τῶν κανόνων εὐταξίας τετολμῆσθαι, καταλυθῆναι καὶ ψήφῳ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τήν τε * ὑμετέραν δεχομένους ἔνστασιν περὶ τὴν ὀρθόδοξον πίστιν, ἣν παρὰ τῶν ἁγίων πατέρων παρειλήφαμεν, ὁρίσαι κατ' ἐκείνων τὸ παριστάμενον.

* ἡμετέραν ἀποδεχομένους.

Ἡ ἁγία σύνοδος εἶπε· Μηδεμίαν ἰσχὺν, μηδὲ, ἀκολουθίαν ἔχειν τὰ πεπραγμένα, ἐπὶ πᾶσιν ἀκανονίστως Ἰωάννου κινηθέντος, ἐκ τῶν πεπραγμένων δεδήλωται. * ἢ γὰρ ἂν ἐθάρσισε προσκαλούμενος παρὰ τῆς ἁγίας συνόδου συστῆναι τοῖς παρ' αὐτοῦ νεωτερισθεῖσιν, εἴ τινα εἶχεν εὔλογον ἀκολουθίαν τὰ πεπραγμένα. ὅθεν * τὰ μὲν μηδὲ τὴν ἀρχὴν ἰσχυρὰ ὄντα, οὔτε κανονικῷ γεγονότα λόγῳ, ἀνίσχυρα ἡ ἁγία σύνοδος ἀποφαίνεται· οὐδενὶ τῶν ὑβρισμένων πρόκριμα φέρειν δυνάμενα. τὸ δὲ ἀκόλουθον, καὶ τὸ ἐπιβάλλον ἑαυτῇ ποιοῦσα ἡ ἁγιωτάτη σύνοδος, τὰ μὲν τήμερον πεπραγμένα ἀνοίσει εἰς γνῶσιν τῶν εὐλαβεστάτων καὶ φιλοχρίστων βασιλέων· ὥστε μηδὲν ἀγνοηθῆναι τῶν θρασέως ὑφ' ὕβρει τῆς ἁγίας συνόδου παρὰ Ἰωάννου τετολμημένων. ὁ δὲ εὐλαβέστατος ἐπίσκοπος Ἰωάννης, καὶ τρίτῃ προκληθεὶς κλήσει, εἰ μὴ * ἀπαντήσειε, τηνικαῦτα ἐκ τῶν κανόνων αὐτῷ ἡ ἁγία, καὶ οἰκουμενικὴ, σύνοδος ψηφιεῖται τὸ ἐποφειλόμενον.

* ἴσως, ἢ γὰρ

* κατὰ μὲν

* ταῦτα μὲν οὐδὲ

* ὑπακούσει.

ΠΡΑΞΙΣ * ΠΕΜΤΗ

* in mf. Segu. dicitur. πρᾶξις δευτέρα.

ΤΟΙΣ μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν, Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον, καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον, τῶν αἰωνίων Αὐγούστων, πρὸ δέκα ἓξ Καλανδῶν Αὐγούστων, τῇ αὐτῇ ἡμέρᾳ τῆς * ἁγίας αὐτῆς συνόδου, * καθεσθέντων ἐν τῇ αὐτῇ ἐκκλησίᾳ, τῇ καλουμένῃ Μαρίᾳ, τῶν θεοφιλεστάτων, καὶ θεοσεβεστάτων ἐπισκόπων, Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας, εἶπε· Τῇ προτεραίᾳ τῆς ὑμετέρας ὁσιότητος * ἐνθάδε * συνεδρευούσης, παρόντων δὲ καὶ τῶν ἀπὸ τῆς μεγάλης Ῥώμης ἀπεσταλμένων ληγάτων, ἤτοι τοποτηρητῶν τοῦ ἁγιωτάτου, καὶ θεοφιλεστάτου, ἐπισκόπου Κελεστίνου, βιβλία προσηγάγωμεν ἐγώ τε, καὶ ὁ θεοφιλέστατος Μέμνων ἐπίσκοπος τῆς δε τῆς Ἐφεσίων μητροπόλεως, αἰτοῦντες, εἰς τὴν ἁγίαν, καὶ οἰκουμενικὴν ταύτην σύνοδον, κληθῆναι τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην τῆς Ἀντιοχέων ἐπισκοπῆς, καὶ τοὺς σὺν αὐτῷ τὴν καθ' ἡμῶν συνθέντας ὕβριν, καὶ τῷ τῆς καθαιρέσεως ὀνόματι * προορίσασθαι τολμήσαντας, ὥστε παρόντας ἀπολογήσασθαι, καὶ ταῖς ἑαυτῶν συνειπεῖν ἀθυροστομίαις, ἤτοι παρανόμοις ἐπιχειρήμασι· πάντα δὲ ἀκολούθως, καὶ κανονικῶς, ἡ ὑμετέρα πράττουσα θεοσέβεια, κέκληκεν αὐτοὺς κλήσει πρώτῃ, καὶ δευτέρᾳ, εὐλαβεστάτους, καὶ θεοφιλεστάτους ἀποστείλασα ἐπισκόπους, καθὰ καὶ ἡ πίστις τῶν πεπραγμένων ὑπομνημάτων περιέχει· οἱ δὲ τοῖς παρ' ἑαυτῶν τολμήμασιν οὐκ ἔχοντες ἐφαρμόσαι λόγους, οὔτε μὴν ἀπολογίας ἀνευρίσκοντες τρόπους. ἢ γὰρ ἂν ἔδραμον εὐθὺς ἐπὶ τήν δε τὴν ἁγίαν, καὶ μεγάλην σύνοδον, οἷς ἔδρασαν συστησόμενοι· πρᾶγμα πεποιήκασιν αἰσχρόν τε καὶ ἀγυρτῶδες, καὶ τοῖς ἐν ἀγορᾷ πρέπον· δέον, εἴπερ ἐβούλοντό τι τῇ μεγάλῃ ταύτῃ συνόδῳ καταστῆσαι φανερὸν, ἀφικέσθαι μᾶλλον μετ' εὐταξίας, καὶ τῆς πρεπούσης χριστιανοῖς εὐκοσμίας, εἰπεῖν τε ἃ δεῖ, καὶ ἀκοῦσαι· καί τοι μηδενὸς τοῦ κωλύοντος ὄντος αὐτούς· οὐ γὰρ ἑστήκασι στρατιῶται πρὸ τῆς ἁγίας συνόδου, καθὰ καὶ * ἐπὶ τῶν οἰκημάτων, ἐν οἷς εἰσι, χαρτίον συντιθέντες, ἀπονοίας τε, καὶ ἀμαθίας μεστὸν, προὔθεσαν δημοσίᾳ, πᾶσαν εἰς θορύβους, μᾶλλον δὲ, εἰς κατάγνωσιν τῆς ἑαυτῶν δυσβουλίας διανιστάντες τὴν πόλιν. εἰ μὲν οὖν τοῦτο πεπράχασιν, ἵνα λυπώμεθα, θεωροῦντες ἀσχημονοῦσαν ὑπόληψιν ἀδελφῶν, καὶ γελωμένην παρὰ πάντων, ἀρκούντως λελυπήμεθα· πλειστάκις γὰρ, τοῦτο δράσαντες, ἐγελάσθησαν. εἰ δὲ ἀληθῶς, ὡς ἐν τῷ * παρ' αὐτῷ προτεθέντι χαρτίῳ περιέχει, ὡς ἐξάρχους ἡμᾶς τῆς Ἀπολιναρίου γεγονότας αἱρέσεως, ἤτοι τὰ ἐκείνου πεφρονηκότας πώποτε, διελέγχειν ἔχουσι, καὶ νῦν ἡκέτωσαν· διελεγχέτωσαν αἱρετικοὺς, εἰ δύνανται, καὶ μὴ ῥήμασιν ἁπλῶς περιυβριζέτωσαν κενοῖς, ἐννοοῦντες τὴν θείαν ἀγανάκτησιν· ἔφη γὰρ ὁ Θεὸς τῶν ὅλων κριτής· ὅτι μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται· καὶ διὰ φωνῆς τοῦ μακαρίου Δαυίδ· καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. ἡμεῖς γὰρ οὔτε τὰ Ἀπολιναρίου πεφρονήκαμεν πώποτε, οὔτε τὰ Ἀρείου, οὔτε τὰ

* ἁγιωτάτης αὐτῆς

* καθεσθείσης

* ἐνταῦθα

* συνεδρευούσης,

* χρήσασθαι.

* πρὸ

* παρ' αὐτῷ

Παρ. 21. 28.

Ψάλ. 49. 20.

Εὐ-

Εὐνομίου, ἀλλ' ἐκ μικρᾶς ἡλικίας τὰ ἱερὰ γράμματα μεμαθήκαμεν, καὶ εἰς χεῖρας πατέρων τεθράμμεθα ὀρθοδόξων, καὶ ἁγίων· ἀναθεματίζομεν δὲ καὶ Ἀπολινάριον, καὶ Ἄρειον, καὶ Εὐνόμιον, καὶ Μακεδόνιον, καὶ Σαβέλλιον, Φωτεινὸν, Παῦλον, καὶ Μανιχαίους, καὶ ἑτέραν δὲ πᾶσαν αἵρεσιν, καὶ πρὸς τούτοις ἔτι τὸν τῶν νέων βλασφημιῶν εὑρετὴν Νεστόριον, καὶ τοὺς τούτου κοινωνοὺς, καὶ ὁμόφρονας, καὶ τοὺς φρονοῦντας τὰ Κελεστίου, ἤτοι Πελαγίου, οὐ πεφρονηκότες τὰ ἐκείνων πώποτε· οὐδὲ νῦν ἐκ μετανοίας εἰς τὸ θέλειν τὰ ὀρθὰ φρονεῖν ἀφιγμένοι. ἀλλ' ὡς ἔφην, ἐντεθραμμένοι τοῖς ὀρθοῖς καὶ ἀποστολικοῖς τῆς ἐκκλησίας δόγμασι. ἐπειδὴ δὲ χρὴ τοὺς ἅπαξ τεταγμένους εἰς ἱερωσύνην, ἀληθεῖς ὁρᾶσθαι, κἀκεῖνα λαλεῖν, ἅπερ ἴσασιν οὕτως ἔχειν, καὶ νῦν παρακαλοῦμεν ταύτην τὴν μεγάλην, καὶ ἁγίαν σύνοδον, μεταπέμψασθαι κανονικῶς αὐτὸν τὸν εὐλαβέστατον Ἰωάννην Ἀντιοχέων ἐπίσκοπον, καὶ τοὺς σὺν αὐτῷ τὴν καθ' ὑμῶν * συντιθέντας συκοφαντίαν· ἔστι γὰρ ἀκόλουθον αὐτοὺς, καὶ ἀναγκαῖον, παρόντας ἢ αἱρετικοὺς ἡμᾶς δεῖξαι, καὶ τὰ Ἀπολιναρίου πεφρονηκότας, καθά φασιν, ἢ γοῦν ἀνανεύοντας τὴν ἄφιξιν, καὶ ὀκνοῦντας πρὸς τοὺς ἐλέγχους, * αὐτόθι καταγινώσκεσθαι· μάλιστα ὅτι, καθὰ πάλιν ἐν τῷ προτεθέντι παρ' αὐτῶν χαρτίῳ γέγραπται, ψυχρὰς, καὶ ἑώλους συκοφαντίας εἰς τὰς τῶν εὐσεβεστάτων βασιλέων ἐνηνόχασιν ἀκοάς. δεῖ δὲ μάλιστα ὑμῶν τὴν ὁσιότητα πλείστην θέσθαι φροντίδα, τοῦ μὴ παραλογίζεσθαι πρός τινων τὰς εὐσεβεῖς τῶν κρατούντων ἀκοάς. εἰδυῖαν τὸ εἰρημένον παρὰ τῆς θείας γραφῆς· μηδὲν ψεῦδος ἀπὸ γλώσσης βασιλεῖ λεγέσθω, καὶ οὐδὲν ψεῦδος ἀπὸ στόματος αὐτοῦ οὐ μὴ ἐξέλθῃ.

Ἡ ἁγία σύνοδος, εἶπεν· Ἀκόλουθος καὶ νῦν ἡ αἴτησις τῶν θεοφιλεστάτων, καὶ ὁσιωτάτων ἐπισκόπων Κυρίλλου τῆς Ἀλεξανδρείας, καὶ Μέμνονος τῆς Ἐφεσίων. ὅθεν καὶ κατὰ τὴν σήμερον ἡμέραν, δεξαβάντες θεοφιλέστατοι ἐπίσκοποι Δανιὴλ, καὶ Κόμοδος, καὶ Τιμόθεος μετὰ παραναγνωστικοῦ, ὑπομνήσουσι τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην, τὸν τῆς Ἀντιοχείας, ἐλθόντα μετὰ τῶν ἅμα αὐτῷ τὴν αἰτίασιν ὑπομεινάντων, τὴν ἀπολογίαν, ὧν ἐγκαλοῦνται ποιήσασθαι. καὶ ἀπῆλθον οἱ εὐλαβέστατοι ἐπίσκοποι Δανιὴλ Κολωνίας, καὶ Κόμοδος Τριπόλεως Λυδίας, καὶ Τιμόθεος * Τέρμης Ἑλλησπόντου, μετὰ Μουσωνίου νοταρίου, μετὰ τοῦ παραναγνωστικοῦ περιέχοντος οὕτως.

Ἐπειδὴ εἰρηνικῶς τὰ τῶν κανόνων βουλομένη τυποῦν ἡ ἁγία σύνοδος, διττῇ κλήσει ἐκάλεσε τὴν σὴν εὐλάβειαν, καὶ οὐχ ὑπήκουσας, ὥστε ἢ συστῆναι ἐφ' οἷς ὕβρισας, ἢ διορθώσασθαι· τούτου ἕνεκεν τέως ἡ ἁγία σύνοδος οὐδὲν ἐπισκοπικὸν συγχωρεῖ σοι πράττειν ἐξ οἰκείας ἀποφάσεως, οὐδὲ τινὶ τῶν μετὰ σοῦ. εἰ δὲ τῇ τρίτῃ ταύτῃ κλήσει μὴ ὑπακούσας παραγένοιο, τὰ τοῖς κανόσι δοκοῦντα ἐφ' ὑμῖν ὁρισθήσεται.

Καὶ ἐπανελθόντων αὐτῶν, Δανιὴλ ἐπίσκοπος Κολωνίας, εἶπε· Παρεγενόμεθα ὅπου προσέταξεν ἡ θεοσέβεια ὑμῶν, τουτέστιν εἰς τὴν οἰκίαν τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἰωάννου. καὶ μήκοθεν μὲν κατέβημεν τῶν ὑποζυγίων, μετὰ πολλῆς δὲ τῆς παρακλήσεων ἐδηλώσαμεν τοῖς κληρικοῖς, ὅτι παρεγενόμεθα ἀποσταλέντες παρὰ τῆς ἁγίας ὑμῶν συνόδου. εὕρομεν δὲ ἐκεῖ ἑστῶτα Ἀσφάλιον τὸν πρεσβύτερον, ὅς ἐστι μὲν τῆς Ἀντιοχέων ἐκκλησίας, ἐκδικεῖ δὲ ἐν Κωνσταντινουπόλει τὰ πράγματα τῆς αὐτῆς ἐκκλησίας· οὗτος ἐγγύτερον ἡμᾶς ἤγαγε τοῦ οἴκου, ἐν ᾧ μένει ὁ θεοσεβέστατος ἐπίσκοπος Ἰωάννης, καὶ συνῆν ἡμῖν κωλύων τοὺς ἐπερχομένους. τοῖς δὲ στρατιώταις ὁμολογοῦμεν χάριν· διὰ γὰρ * τοῦ γνωρίσαι τὸν πάντα θεοσεβέστατον ἐπίσκοπον Κόμοδον, τῷ εἶναι ἐν τῇ πόλει αὐτοῦ * ἐγκαθεστῶτες, ἐπέσχον πάντας τοὺς καθ' ἡμῶν ὡρμημένους κληρικούς. μηνυσάντων δὲ αὐτῷ Ἀσφαλίου, καὶ ἑτέρων κληρικῶν, κατῆλθε πρὸς ἡμᾶς ὁ ἀρχιδιάκονος αὐτοῦ· τὸ μὲν ὄνομα αὐτοῦ οὐκ ἴσμεν· ἔστι δὲ σπανὸς ὁ ἄνθρωπος, ὕπωχρος, μικροφυής, ἐπιφερόμενος χαρτίον. ὃ προσφέρων ἡμῖν ἔλεγεν· ὅτι ἡ ἁγία σύνοδος ὑμῖν ἀπέστειλε τοῦτο, ὥστε ὑποδέξασθαι. εἰρήκαμεν ἡμεῖς· ἀπεστάλημεν εἰπεῖν τὰ παρὰ τῆς ἁγίας συνόδου, οὐ μὴν δέξασθαι * γράμματα. οὔτε γὰρ ἡμεῖς χάρτην ἐκομίσαμεν, οὔτε ὑποδεχόμεθα χάρτην· δήλωμα δὲ εἰρηνικὸν ἐκομίσαμεν. παρακαλεῖ γὰρ ἡ ἁγία σύνοδος συνεδρεῦσαι τὸν κύριον Ἰωάννην, καὶ ἀπαντῆσαι εἰς τὴν σύνοδον. * ἀπεκρίνατο ἡμῖν ὁ ἀρχιδιάκονος· οὐκοῦν ἐκδέξασθε, ἵνα μηνύσω ταῦτα τῷ ἐπισκόπῳ. ὑπέστρεψε, καὶ ἐπανελθὼν, πάλιν προσήγαγεν ἡμῖν τὸ αὐτὸ χαρτίον, λέγων οὕτω· μήτε ὑμεῖς πέμπετε πρὸς ἡμᾶς, οὔτε ἡμεῖς πέμπομεν πρὸς ὑμᾶς. τύπον γὰρ ἐκδεχόμεθα παρὰ τοῦ βασιλέως, ἐπειδήπερ ἅπαξ ἐκεῖ τὰ δόξαντα ἡμῖν ἀνηνέγκαμεν. ἡμῶν δὲ εἰρηκότων, ὅτι οὐκοῦν ἀκούσατε καὶ τὰ παρὰ τῆς ἁγίας συνόδου, ἀπεπήδησε, λέγων· οὐκ ἐδέξασθε τὸ χαρτίον, οὐκ ἀκούω τὰ τῆς συνόδου. ταῦτα μὲν * οὗτος. Ἀσφαλίῳ δὲ προπέμποντι ἡμᾶς, καὶ Ἀλεξάνδρῳ, πρεσβυτέροις εἴπομεν ταῦτα· ὅτι ἡ ἁγία σύνοδος τὰ σπλάγχνα τῆς εἰρήνης καὶ τῆς ἀγάπης καὶ τῆς χρηστότητος ἐπιδείκνυται πρὸς τὸν κύριον Ἰωάννην· καὶ μάλιστα μὲν, ἐπειδὴ κληθεὶς δεύτερον, οὐκ ἠβουλήθη παραγενέσθαι, * ἐδικαίωσεν αὐτὸν μηδὲν ἱερατικὸν πράττειν. τῇ δὲ τρίτῃ κλήσει παρακαλεῖ αὐτὸν συνελθεῖν, ἵνα μὴ ἀναγκασθῇ κανονικόν τι κατ' αὐτοῦ ἐξενεγκεῖν.

Κόμοδος ἐπίσκοπος Τριπόλεως τῆς Λυδίας, εἶπε· Συνῳδὰ τοῖς εἰρημένοις παρὰ τοῦ θεοσεβεστάτου, καὶ ὁσιωτάτου ἐπισκόπου Δανιήλου, καὶ ἡμεῖς ἐθεασάμεθα, καὶ κατατιθέμεθα τὰ αὐτά.

Τιμόθεος, ἐπίσκοπος * Τέρμης Ἑλλησπόντου, εἶπε· Συνῳδὰ τοῖς εἰρημένοις παρὰ τοῦ θεοσεβεστάτου, καὶ ὁσιωτάτου ἐπισκόπου Δανιήλου, καὶ ἡμεῖς ἐθεασάμεθα, καὶ κατατιθέμεθα.

Ἡ ἁγία σύνοδος, εἶπεν· Ἀκολούθως καὶ νῦν ἡ ὑπόμνησις γεγένηται παρὰ τῶν θεοσεβεστάτων ἐπισκόπων Δανιήλου, καὶ Κομόδου, καὶ Τιμοθέου, καὶ τὴν αἰτίαν δηλωσάντων ἐφ' ᾗ ἀπεστάλησαν, καὶ εἰς ἱερατικοὺς ἀνενεγκόντων τὴν γνῶσιν, ὡς μηδὲν ἀγνοῆσαι τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην τῶν δηλωθέντων, μηδὲ ἔχειν σκήψει τινὶ χρήσασθαι εἰς ἀπολογίαν, τὴν ἄγνοιαν προβαλλόμενον.

* τὸ
* ἐγκαθεστῶτας.
* συνθέντας.
* αὐτόθι.
Παρ. 24.
* Θέρμης.
* γραμματίαν.
* γραμματείαν.
* ἀπεκρίθη
* ἔτως
* ἐβεβαιώσαμεν αὐτὸν
* Θέρμης

Κύριλλος ἀρχιεπίσκοπος Ἀλεξανδρείας, εἶπεν· Ἔτι πάρειμι καὶ νῦν, ἐξαιτῶν ἀπολογίας, ἅμα τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Μέμνονι, ὑπὲρ ὧν εἰς ἡμᾶς πεπλημμέληκε παρὰ τοὺς θεσμοὺς τῆς ἐκκλησίας, καὶ παρὰ πάντα λόγον, ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀντιοχέων Ἰωάννης. ἡ ἁγία ὑμῶν σύνοδος συνορᾷ, καὶ ἔστιν οὐκ ἀμφίβολον, ὡς εἴπερ ἐδεδίειμεν τοὺς παρ' αὐτοῦ ἐλέγχους, οὐκ ἂν ἐχρησάμεθα τοιαύτῃ παῤῥησίᾳ, ὥστε παρακαλέσαι καὶ τρίτῃ ταύτῃ κλήσει προτραπῆναι τὸν μνημονευθέντα ἐλθεῖν, καὶ χρήσασθαι οἷσπερ ἂν βούλοιτο καθ' ἡμῶν λόγοις. ἐπειδὴ δὲ ὑπερθέσεις πλάττεται ποικίλας, ἄλλοτε ἄλλας ἐπινοῶν ἀφορμάς. ὁ γὰρ ἁ-
Ἰώβ. 11. 12. λοὺς νήχεται λόγοις, κατὰ τὸ γεγραμμένον, ἀκόλουθόν ἐστι, τὴν ἁγίαν ταύτην σύνοδον, καὶ οἰκουμενικὴν τὰ τοῖς ἐκκλησιαστικοῖς δοκοῦντα θεσμοῖς ἀποκρίνασθαι.

Ἡ ἁγία σύνοδος, εἶπεν· Ἔδει μὲν κανονικῶς κινηθεῖσαν τὴν ἁγίαν ταύτην σύνοδον ἐπὶ ταῖς ὕβρεσι ταῖς κατὰ τοῦ ἁγιωτάτου, καὶ θεοσεβεστάτου ἐπισκόπου Κυρίλλου, καὶ τοῦ θεοφιλεστάτου καὶ ὁσιωτάτου συνεπισκόπου Μέμνονος, ταῖς γενομέναις παρά τε τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀντιοχέων Ἰωάννου, καὶ τῶν σὺν αὐτῷ, μετὰ τὴν τρίτην ταύτην κλῆσιν τὴν παρ' ἡμῶν γενομένην, ἧς οὐδαμῶς ὑπακοῦσαι ἠνέσχοντο, οὔτε μὴν ἀπαντῆσαι εἰς τὸ συνέδριον τῆς ἁγίας συνόδου, καὶ ἐμφανεῖς καταστῆσαι τὰς αἰτίας, δι' ἃς παρὰ τοὺς θεσμοὺς, καὶ τοὺς κανόνας, τῆς ἐκκλησίας, ἐπὶ τοιοῦτον ὥρμησαν νεωτερισμὸν ἀξίαν τῆς τοιαύτης ἀπονοίας ἐξενεγκεῖν κατ' αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ τὴν ἀπόφασιν· ἐπειδὴ δὲ ἐπισκοπικῆς χρηστότητος ἔργον εἶναι ἐλογισάμεθα, μακροθυμίᾳ βαστάσαι τὰ γεγονότα, τέως μὲν ἐπὶ τοῦ παρόντος, κατὰ τὰ ἤδη τετυπωμένα, ἀλλότριος ἔστω αὐτός τε ὁ Ἰωάννης, καὶ οἱ σὺν αὐτῷ τοῦτο δραματουργήσαντες, Ἰωάννης Δαμασκοῦ, Ἀλέξανδρος Ἀπαμείας, Δεξιανὸς Σελευκείας, Ἀλέξανδρος Ἱεραπόλεως, Ἰμέριος Νικομηδείας, Φριτίλας Ἡρα-
* Μαξιμιανός. κλείας, Ἑλλάδιος Τάρσου, * Μαξιμῖνος Ἀναζάρβου, Δωρόθεος Μαρκιανουπόλεως, Πέτρος Τραϊα-
* Ἐμίσης. νουπόλεως, Παῦλος * Ἐμίσης, Πολυχρόνιος Ἡρακλεωτῶν πόλεως, Εὐθήριος Τυάνων, Μελέτιος Νεοκαισαρείας, Θεοδώρητος, Κύρου, Ἀπρίγγιος Χαλκιδόνος, Μακάριος Λαοδικείας τῆς μεγάλης, Ζῶσυς Ἐσβοῦντος, Σαλούστιος Κωρύκου Κιλικίας, Ἡσύχιος Κασταβάλης Κιλικίας, Οὐαλεντῖνος
* Μάλλου. * Μουτλουβλάκης, Εὐστάθιος Παρνασσοῦ, Φίλιππος Θεοδοσιανῶν, Δανιὴλ, Ἰουλιανὸς, Κύριλλος, Ὀλύμπιος, Διογένης, Θεοφάνης Φιλαδελφείας,
* Πώλιος, * Παλλάδιος, * Τραϊανὸς Αὐγούστης, * Αὐρηλιανὸς
* Ταριανός. Εἰρηνουπόλεως, Μουσαῖος * Ἀράδου, καὶ Ἑλλάδιος
* Αὐρήλιος. Πτολεμαΐδος, τῆς ἐκκλησιαστικῆς κοινωνίας, μη-
* Αὐρίλλιος, δεμίαν ἔχοντες ἄδειαν, ὡς ἐξ αὐθεντίας ἱερατικῆς,
* Ἀρκαδιοπόλεως. εἰς τὸ δύνασθαι τινὰς βλάπτειν ἐκ ταύτης, ἢ ὠφελεῖν, ἄχρις ἂν ἑαυτῶν καταγνόντες, τὸ οἰκεῖον ὁμολογήσωσι σφάλμα· εἰδότες, ὅτι εἰ μὴ τοῦτο ἐν τάχει ποιήσαιεν, τὴν τελείαν ἐκ τῶν κανόνων ἐφ' ἑαυτοὺς ἐπισπάσονται ἀπόφασιν. προδήλου κἀκείνου τυγχάνοντος· ὅτι οὐδὲ τὰ ἤδη πρότερον παρ' αὐτῶν ἀθέσμως παρὰ τοὺς κανόνας ἐφ' ὕβρει τῶν θεοφιλεστάτων, καὶ ἁγιωτάτων ἐπισκόπων, καὶ προέδρων τῆς ἐκκλησίας, Κυρίλλου, καὶ Μέμνονος γενόμενα, ἰσχὺν ἔχει τινὰ κατὰ τὰ ἤδη καὶ τῇ προτεραίᾳ διαλαληθέντα. ἀνενεχθήσεται δὲ πάντα τὰ πεπραγμένα ταῖς εὐσεβέσι, καὶ φιλοχρίστοις ἀκοαῖς τῶν θεοφιλεστάτων βασιλέων, ὡς καὶ τὰς θείας ἀκοὰς γνῶναι τὰ παρακολουθήσαντα.

Ἑρμηνεία τῶν ὑπογραφῶν.

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων, ὑπέγραψα.
Ἀρκάδιος ἐπίσκοπος, καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας, ὑπέγραψα.
Προΐεκτος ἐπίσκοπος, καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας, ὑπέγραψα.
Φίλιππος πρεσβύτερος, καὶ τῆς ἀποστολικῆς καθέδρας πρεσβευτὴς, ὑπέγραψα.
Ὑπέγραψαν δὲ καὶ οἱ λοιποὶ πάντες.

Ἶσον ἀναφορᾶς παρὰ τῆς ἁγίας συνόδου πρὸς τοὺς εὐσεβεστάτους βασιλεῖς περὶ τῶν ἀνατολικῶν.

Τοῖς εὐσεβεστάτοις, καὶ θεοφιλεστάτοις, Θεοδοσίῳ, καὶ Οὐαλεντινιανῷ, νικηταῖς, τροπαιούχοις, ἀεὶ Αὐγούστοις, ἡ ἁγία σύνοδος, ἡ χάριτι Θεοῦ, καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει.

ΤΑ' μὲν προστεταγμένα τῇ ἁγίᾳ συνόδῳ παρὰ τοῦ ὑμετέρου κράτους καὶ εἰς πέρας ἤχθη τὸ προσῆκον, καὶ τοῦτο γνώριμον τῇ ὑμετέρᾳ κατεστήσαμεν εὐσεβείᾳ. τήνδε ἀποστολικὴν πίστιν, ἣν καὶ οἱ ἐπὶ τῆς Νικαίας τριακόσιοι δέκα καὶ ὀκτὼ συναχθέντες ἐξέθεντο, φανερὰν κατεστήσαμεν τῇ ὑμῶν εὐσεβείᾳ· καὶ τὸν ἐναντία ταύτῃ φρονήσαντα Νεστόριον καθείλομεν τῆς ἱερατικῆς λειτουργίας τε, καὶ παῤῥησίας τοῦ κηρύττειν τὴν ἑαυτοῦ δυσσέβειαν. ἐπειδὴ δέ τινες ὀλίγοι προδιαφθαρέντες τὴν * γνώμην, καὶ ὑπὸ τῆς διδασκαλίας Νεστορίου, προσμείναντες αὐτῷ, καὶ τοὺς ὑπὸ αἰτίασιν ὄντας μεθ' ἑαυτῶν προσελάβοντο, προσθεμένου * αὐτῷ καὶ τοῦ εὐλαβεστάτου Ἰωάννου ἐπισκόπου Ἀντιοχείας, ἢ διὰ φιλονεικίαν, ἢ διὰ τὴν πρὸς ἀνθρώπους φιλίαν, οἱ πάντες γενόμενοι τριάκοντα μόνοι, πρὶν ἀπολογήσασθαι περὶ ὧν ἕκαστος ἐνεκαλεῖτο πταισμάτων, ἑαυτοὺς προσηγόρευσαν σύνοδον· ὡς τῆς ὑμῶν εὐσεβείας δύο συνόδους κελευσάσης συγκροτηθῆναι, ἀλλ' οὐχὶ μίαν, ὀφείλουσαν τήν τε πίστιν κρατῆναι τὴν εὐαγγελικὴν, καὶ τοὺς τὰ διεφθαρμένα φρονοῦντας ἐκβάλλειν τῆς ἐκκλησιαστικῆς λειτουργίας. ἀλλ' ὡς ἔφημεν, οἱ μνημονευθέντες πρὶν ἀπολογήσασθαι περὶ ὧν ἐνεκαλοῦντο, ὀλίγοι συγκροτήσαντες ἑαυτοὺς, καὶ συλλήπτορα τῆς ἀπονοίας προσλαβόντες τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην τῆς Ἀντιοχείας, καὶ αὐτὸν δεδοικότα περὶ τῆς βραδύτητος εὐθύνας ὑποσχεῖν, ὡς ἐμάθομεν ὑποθρυλλούντων τινῶν, ἐτόλμησαν ἔξω πάσης ἀκολουθίας ἐκκλησιαστικῆς, καὶ κανόνων ἐκτὸς, κατὰ τῆς ἐκκλησιαστικῆς καὶ ἁγίας συνόδου, καὶ τῆς κεφαλῆς τῶν * ἐπηγγελμένων ἁγιωτάτων * ἀρχιεπισκόπων, Κυρίλλου φαμὲν τοῦ ἁγιωτάτου

* γνώμην ὑπὸ τῆς.
* αὐτοῖς L.
* συνειλεγμένων
* ἐπισκόπων.

τάτη ἀρχιεπισκόπη, ἔτι γε μὴν καὶ τῆ θεοφιλεστάτη ἐπισκόπη Μέμνονος, ἐξελεγχεῖν βλασφημίαν, ὡς ἐνόμιζον, ὕβρεως ἔχουσαν καθαιρέσεως. ὅτε κατηγορίαν παρά τινος δεδεγμένοι, ὅτε κατήγορον ἀναμείναντες, ὅτε μὴν προσκαλεσάμενοι εἰς κρίσιν τινά· ἀλλὰ πρὸ δίκης, καὶ ἐξετάσεως, τῆ ὕβρει ταύτη ἐξεμέσαντες ἐγγράφως, τῷ ὑμετέρῳ κράτει ἀνελεγχεῖν ἐτόλμησαν τὰ ὅπω παράλογα· ὡς τῆς ὑμῶν δυσεβείας ἀγνοούσης, ὅτι μία σύνοδος ἡ τῆς οἰκουμένης ἐστί· καὶ οὐκ ἂν ῥηθείη σύνοδος ἡ τῆς ὑπ' αἰτίαν τινὰ πιπτόντων ὀλίγων συρροφή, καὶ ἑαυτὸς διὰ φόβον ἐπιτιμήσεως ἀπορρήξάντων τῆς ἁγίας συνόδου. οὐδὲ γὰρ κατεγνωκότες πταίσματος τῆ ὕβρει ἐτόλμησαν, ἀλλὰ περὶ ὧν ἐκαλοῦντο, ἴσως ἀπολογίαν οὐκ ἔχοντες, καὶ ἑαυτὸς ὄντας ὀλίγους ὁρῶντες, δεδοικότες ὡς μέλλουσι μὴ τὸς ἐλέγχους τὸ ἐπιτίμιον ὑποδέχεσθαι, προλαβόντες ἐθρασύναντο· καὶ τοῦτο ἐνόμισαν ποιεῖν, ὅπερ ἤλπισαν ὑπομένειν μὴ τὸν ἔλεγχον. ἀλλὰ τοῦτο ὡς ἄλογον ἔδοξεν ἡμῖν καταφρονήσεως ἄξιον. ἐπειδὴ δὲ καὶ μέχρι τοῦ ὑμέτερον κράτος ἀνελεγχεῖν ἐτόλμησαν τῷ ἀλογωτάτῳ ἑαυτῆς ἀπόνοιαν, καὶ τὸ παρὰ θεσμὸς, καὶ κανόνας, καὶ πᾶσαν ἀκολουθίαν ἐκκλησιαστικῷ αὐτοῖς πεφραγμένον δηλῶσαι τετολμήκασι τῇ ὑμετέρα δυσεβείᾳ, οὐκ ἔτι παρείδομεν τῷ ἄλογον ἐκείνῳ ὁρμῇ· ἀλλ' ἐπόμενοι πάλιν τῷ τύπῳ τῆς κανόνων, προσεκαλεσάμεθα τὸν δυσεβέστατον ἐπίσκοπον Ἰωάννην, τὸν τὰ τηλικαῦτα μὴ τῆς ἄλλων κατὰ τῆς προειρημένων τετολμηκότα. οὐδὲ γὰρ ἐθάρρησαν ἐκεῖνοι πρὸς τοσαύτῃ ἀπόνοιαν χωρῆσαι, οἱ ὑπὸ αἰτίαν ὄντες ὀλίγοι, εἰ μὴ τῇ θρασύτητι τοῦ δυσεβεστάτου ἐπισκόπου Ἰωάννου τοῦ τῆς Ἀντιοχέων ἐθάρρησαν. συναχθέντες ἡμεῖς, προδοθέντων ἡμῖν λιβέλλων παρὰ τοῦ ἁγιωτάτου, καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου, καὶ τοῦ θεοφιλεστάτου συνεπισκόπου Μέμνονος, μετεκαλεσάμεθα τὸν * μνημονευθέντα θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην, ὥστε νῦν γοῦν τῷ μέμψιν εἰπεῖν, δι' ἣν εἰς τοῦτο ὕβρεως ἐξώκειλε κατὰ τῆς πρώτων τῆς ἁγίας συνόδου· ὃς ἅπαξ, καὶ δεύτερον, καὶ τρίτον μετακληθείς, ὥστε τῷ αἰτίαν εἰπεῖν, παραχρῆσθαι μὲν ἐν τῇ συνόδῳ οὐκ ἠνέσχετο, οὐκ ἔχων εἰπεῖν εὔλογον ἀπολογίαν ὧν τετόλμηκε. στρατιώταις δὲ, καὶ ὅπλοις περιφράξας τῷ ἑαυτοῦ οἰκίαν, οὐδὲ τὰς ἀποστελλομένας παρὰ τῆς ἁγίας συνόδου ἁγιωτάτας ἐπισκόπους ἐδέξατο, οὐδὲ ἀποχείσεως τῆς δεήσης ἠξίωσε τῷ συναχθεῖσαν ἁγιωτάτην σύνοδον. ὅθεν γνόντες αὐτὸν μὴ θαρρεῖντα δικηφολογίαις, τὰ μὲν ὑπ' αὐτῆς εἰκῇ καὶ μάτην φλυαρηθέντα, καὶ παρὰ πᾶσαν τῷ τῆς κανόνων ἀκολουθίαν γεγραμμένα, κατά τε τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, καὶ κατὰ τοῦ δυσεβεστάτου συνεπισκόπου ἡμῶν Μέμνονος, ἀκυρά τε, καὶ μάταια πανταπασιν εἶναι ἐδικαιώσαμεν. κρίσις γὰρ ἡ μεθ' ἑαυτῆς οὐκ ἔχουσά τι κανονικὸν. οὐδὲ δίκαιον, λοιδορίας οὐδὲν ἔχει πλέον. οὕτως οὖν ἀκανονίστως αὐτόν τε, καὶ τοὺς ἅμα αὐτῷ ἀτάκτως πράττοντας, καὶ ἔξω πάσης ἀκολουθίας ἐκκλησιαστικῆς, ἀκοινωνήτους τέως εἶναι ἐδικαιώσαμεν, εἴρξαντες αὐτῆς τῷ ἄλογον ἀταξίαν, ἕως ἂν ἐλθόντες, περὶ ὧν προεπετόλμησαντο ἀπολογήσωνται τῇ ἁγίᾳ συνόδῳ.

Τὰ γοῦν τυπωθέντα ἀναγκαίως ἐπὶ τῇ ὑμετέρᾳ δυσεβείᾳ ἀνηνέγκαμεν, διόμενοι, ὥστε μὴ σύνοδον κρίνεσθαι τῇ συρροφῇ τῆς * ὑπ' αἰτίαν γεγενημένων· ὅθεν τὸ ς * πάλιν ἐπὶ τῆς ἁγίας, καὶ μεγάλης συνόδου τῆς τεσσαρακοσίων δίκα καὶ ἑκατὸν ἐπὶ τῆς Νικαίας συνελεγμένων, τινὰς ὅπως ἀποσῆναι τῆς μεγάλης ἐκείνης συνόδου, δεδοικότες τὸ ἐξ αὐτῆς ἐπιτίμιον· καὶ μήτε κρίθῆναι σύνοδον τοῦτους ὑπὸ τοῦ μεγάλου, καὶ ἐν ἁγίοις, βασιλέως Κωνσταντίνου. ἀλλὰ καὶ κελεύσθῆναι δίκας ὑποσχεῖν, ὑπὲρ ὧν ἀποσχίσαντες τῆ τῆς ἁγίου ἐκείνου ἐπισκόπων συμφωνίαν ἠρνήσαντο, ποιμᾶς, καθάπερ οὗτοι, καὶ αὐτοὶ συνειδήσει κεχρημένοι· ἄπεστι γὰρ συνόδῳ ἑξακοσίων δέκα ἐπισκόπων, οἷς καὶ πᾶν τὸ πλῆθος τῆς δύσεως τῆς ἁγίου ἐπισκόπων συνεψηφίσατο, καὶ δι' αὐτῆς ἅπαν τὸ πλῆθος τὸ λοιπὸν τῆς οἰκουμένης, τεσσάκοντα μόνους ἀντιμαχέσασθαι, ὧν οἱ μὲν ἤδη πάλαι καθῃρημένοι τυγχάνουσιν, οἱ δὲ καὶ τῆς Κελεστίου κακοδοξίας εἰσίν. οἱ δὲ καὶ ἀνεθεματίσθησαν, ὡς τὰ Νεσορίου φρονήσαντες· ἀλλὰ κελεῦσαι, τὰ ὑπὸ τῆς οἰκουμενικῆς, καὶ ἁγίας συνόδου τετυπωμένα εἰς συγχρότησιν τῆς δυσεβείας κατὰ Νεσορίου, καὶ τοῦ ἀσεβοῦς αὐτοῦ δόγματος, τῇ ἰδίαν ἰσχὺν ἔχειν, κρατυνθέντα τῇ ἐπινεύσει, καὶ συγκατιθέσει τῆς ὑμετέρας δυσεβείας.

Ἰουβενάλιος, ἐπίσκοπος Ἱεροσολύμων, ἀνυέγκα.
Ἀρκάδιος, καὶ Πρόκλος ἐπίσκοποι, καὶ Φίλιππος πρεσβύτερος, πρεσβευταὶ τῆς ἀποστολικῆς καθέδρας, ἀνηνέγκαμεν. Ὑπέγραψαν δὲ καὶ οἱ λοιποὶ πάντες ἐπίσκοποι.

* Ἀναφορὰ τῷ ἁγιωτάτῳ, καὶ θεοσεβεστάτῳ συλλειτουργῷ Κελεστίνῳ.

* Ἡ ἁγία σύνοδος, ἡ κατὰ Θεὸν χάριν συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει, Κελεστίνῳ ἐπισκόπῳ ἐν κυρίῳ χαίρειν.

ΤΗΣ μὲν σῆς ὁσιότητος ὁ περὶ τὴν δυσέβειαν ζῆλος, καὶ ἡ περὶ τῆς ὀρθῆς πίστεως τῶν πάντων ἡμῶν σωτῆρι Θεῷ φίλη τε, καὶ ἀρέσκουσα φρονῖτις, ἀξία παντὸς γέγονε θαύματος· ἔθος γὰρ ὑμῖν τοῖς ὅπω μεγάλοις δεδοκιμεῖν εἰς ἅπαντα, καὶ ἔρεισμά τε τῆς ἐκκλησιῶν τὰς ἑαυτῆς φρονεῖσθαι στηρίδας. ἐπειδὴ δὲ ἐχρῆν ἅπαντα εἰς γνῶσιν τῆς σῆς ὁσιότητος ἀνενεχθῆναι τὰ παρακολουθήσαντα, γράφομεν ἀναγκαίως, ὅτι κατὰ βούλησιν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, καὶ κατὰ διάσπισμα τῆς θεοσεβεστάτων, καὶ φιλοχρίστων βασιλέων συνήχθημεν ἐν τῇ Ἐφεσίων μητροπόλει ἐκ πολλῶν, καὶ διαφόρων ἐπαρχιῶν, ὑπὲρ τὸς διακοσίους ὄντες τὸν ἀριθμὸν ἐπίσκοποι. εἶτα τῆς δυσεβῶν διασπισμάτων τῆς φιλοχρίστων βασιλέων, δι' ὧν καὶ κεκλήμεθα, ἡμέρον ὁρίζοντων τῷ συνεδρίῳ τῆς ἁγίας συνόδου τὴν ἡμέραν τῆς ἁγίας πεντηκοστῆς· ἁπάντων δὲ συνεδραμηκότων, μάλιστα διὰ τὸ ἐγχεῖσθαι ταῖς τῆς βασιλέων συλλαβαῖς, ὡς εἰ μή τις ἀπαντήσειε κατὰ τὴν ὡρισμένην προθεσμίαν, ἐκ ἀγαθῆ συνειδότι ἀπολιμπάνεται, καὶ ἔστιν ἀναπολόγητος παρὰ

* Ἴσως ἐπιπολὺς χρεωστεῖται παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν ἀρχιεπίσκοπον τῆς Ῥώμης Κελεστῖνον, δηλοῦσι τάδε τὰ πραχθέντα ἐν αὐτῇ τῇ Ἐφεσίων τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ.

* Τῷ ἁγιωτάτῳ, καὶ θεοσεβεστάτῳ συλλειτουργῷ Κελεστίνῳ ἡ ἁγία καὶ μεγάλη σύνοδος ἡ κατὰ Θεὸν χάριν συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει ἐν κυρίῳ χαίρειν.

τε Θεῷ καὶ ἀνθρώποις, ὑστέρησεν ὁ εὐλαβέστατος Ἰωάννης ὁ τῆς Ἀντιοχέων ἐπίσκοπος· οὐχ ὡς ἀπὸ γνώμης ἁπλῆς, ἀλλ' οὐδὲ τοῦ διαστήματος τοῦ κατὰ τὴν ὁδοιπορίαν ἐμποδὼν γενομένου· ἀλλὰ κρύπτων* μὲν βουλὴν εἰς νοῦν τε, καὶ σκέψιν ἀπάδουσαν τῷ Θεῷ, ἣν οὐκ εἰς μακρὰν ἐλθὼν, ἔδειξεν ἐν τῇ Ἐφεσίων. ὑπερεθέμεθα τοίνυν τὸ συνέδριον μετὰ τὴν ὁρισθεῖσαν ἡμέραν τῆς ἁγίας πεντηκοστῆς ἐφ' ὅλαις δέκα καὶ ἕξ ἡμέραις· καί τοι πολλῶν ἐπισκόπων τε, καὶ κληρικῶν καὶ νόσῳ πεπιεσμένων, καὶ τεθλιμένων εἰς τὰ δαπανήματα, ἐνίων δὲ καὶ ἐξοδευσάντων τοῦ βίου· καὶ ἦν, ὡς ὁρᾷ καὶ ἡ σὴ ὁσιότης, ὕβρις μᾶλλον κατὰ τῆς ἁγίας συνόδου τὸ δρώμενον. τοσαύτῃ γὰρ ὑπερθέσει δυστρόπως ἐχρήσατο, καί τοι φθασάντων αὐτὸν τῶν ἐκ μακροτέρων διαστημάτων. ὅμως μεθ' ἡμέραν ἑκκαιδεκάτην προέδραμόν τινες τῶν σὺν αὐτῷ ἐπισκόπων, μητροπολῖται δύο, Ἀλέξανδρος Ἀπαμείας, καὶ ἕτερος Ἀλέξανδρος Ἱεραπόλεως· εἶτα ἡμῶν αἰτιωμένων τὸ τῆς ἀφίξεως βράδος τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου, ἔφασαν οὐχ ἅπαξ ἀλλὰ πλειστάκις, ὅτι ἐνετείλατο ἡμῖν ἀπαγγεῖλαι τῇ θεοσεβείᾳ ὑμῶν, ὥστε εἰ γένοιτο αὐτὸν καὶ ἔτι βραδῦναι, μὴ ὑπερθέσθαι τὴν σύνοδον, ποιεῖσθαι δὲ μᾶλλον ἃ δεῖ. τούτων ἀπαγγελθέντων, καὶ φανεροῦ γεγονότος ἀπό τε τοῦ βράδους, καὶ ἐκ τῶν παρ' αὐτοῦ μηνυθέντων, ὅτι παραιτεῖται τὸ συνέδριον, ἢ τῇ Νεστορίου φιλίᾳ χαριζόμενος, ἢ καὶ ὅτι κληρικὸς γέγονε τῆς ὑπ' αὐτὸν ἐκκλησίας, ἢ καὶ ταῖς τινῶν ὑπὲρ αὐτοῦ παρακλήσεσιν εἴκων, συνήδρευσεν ἡ ἁγία σύνοδος ἐν τῇ μεγάλῃ τῇ κατὰ τὴν Ἔφεσον ἐκκλησίᾳ, τῇ ἐπικαλουμένῃ Μαρίᾳ. ἐπειδὴ δὲ πάντων προθύμως συνδεδραμηκότων, μόνος ἀπελιμπάνετο τοῦ συνεδρίου Νεστόριος, ὑπέμνησεν ἡ ἁγία σύνοδος κανονικῶς αὐτὸν δι' ἐπισκόπων πρώτῃ, καὶ δευτέρᾳ κλήσει, ὡσαύτως καὶ τρίτῃ· ὁ δὲ στρατιώταις ἐπιφράξας τὴν ἑαυτοῦ οἰκίαν ἀπενοήθη κατὰ τῶν τῆς ἐκκλησίας θεσμῶν, καὶ οὐκ ἠνέσχετο ἑαυτὸν ἐμφανῆ καταστῆσαι, οὔτε μὴν ἀπολογήσασθαι περὶ τῶν ἀνοσίων αὐτοῦ δυσφημιῶν. λοιπὸν ἀνεγνώσθη τὰ γράμματα τὰ γραφέντα πρὸς αὐτὸν παρὰ τοῦ ἁγιωτάτου, καὶ θεοφιλεστάτου, ἐπισκόπου τῆς Ἀλεξανδρέων ἐκκλησίας Κυρίλλου. ἃ καὶ ἐδοκίμασεν ἡ ἁγία σύνοδος ὀρθῶς, καὶ ἀλήπτως ἔχειν, καὶ κατὰ μηδένα τρόπον ἀσύμφωνα εἶναι ταῖς θεοπνεύστοις γραφαῖς, * ἤγουν τῇ παραδοθείσῃ πίστει, καὶ ἐκτεθείσῃ ἐν τῇ μεγάλῃ συνόδῳ, παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιρούς· καθὰ καὶ ἡ σὴ ὁσιότης ὀρθῶς τοῦτο δοκιμάσασα ἐμαρτύρησεν. ἀναγνωθείσης δὲ καὶ τῆς ἐπιστολῆς Νεστορίου τῆς πρὸς αὐτὸν γραφείσης τὸν μνημονευθέντα ἁγιώτατον, καὶ θεοσεβέστατον ἀδελφὸν ἡμῶν καὶ συλλειτουργὸν Κύριλλον, ἐδικαίωσεν ἡ ἁγία σύνοδος, ἀλλότρια παντελῶς τῆς τε ἀποστολικῆς, καὶ εὐαγγελικῆς πίστεως εἶναι τὰ ἐν αὐτῇ δόγματα, πλείστην ὅσην καὶ ξένην νοσοῦντα τὴν δυσφημίαν· ἀναγνωσθεισῶν δὲ ὁμοίως καὶ τῶν ἐξηγήσεων αὐτοῦ τῶν ἀσεβεστάτων, ἔτι γε μὴν καὶ τῆς γραφείσης πρὸς αὐτὸν ἐπιστολῆς παρὰ τῆς ὁσιότητος, δι' ἧς εὐλόγως κατεκρίνετο ὡς δύσφημα γεγραφὼς, καὶ ἀνοσίους φωνὰς ταῖς ἰδίαις ἐξηγήσεσιν ἐνθεὶς, ψῆφος ἐξενήνεκται δικαία καθαιρέσεως κατ' αὐτοῦ· μάλιστα ὅτι τοσοῦτον ἀπέσχετο τοῦ μετανοῆσαι, ἢ μεταγνῶναι, ἐφ' οἷς δεδυσφήμηκεν, ἔτι τὴν τῶν Κωνσταντινουπολιτῶν ἔχων ἐκκλησίαν, ὥστε καὶ ἐν αὐτῇ τῇ Ἐφεσίων μητροπόλει διαλέγεσθαι πρός τινας τῶν ἁγίων μητροπολιτῶν ἐπισκόπων, ἀνδρῶν οὐκ ἀσήμων, ἀλλ' ἐλλογίμων καὶ θεοσεβεστάτων, τολμῆσαί τε εἰπεῖν· ὅτι ἐγὼ τὸν διμηναῖον, καὶ τριμηναῖον Θεὸν οὐχ ὁμολογῶ. καὶ ἕτερα δὲ πρὸς τούτοις εἶπε χαλεπώτερα.

Ὡς οὖν ἀνοσίαν, καὶ μιαρωτάτην αἵρεσιν, καὶ ἀνατρέπουσαν τὴν εὐσεβεστάτην ἡμῶν θρησκείαν, καὶ ὅλην ἐκ βάθρων τοῦ μυστηρίου τὴν οἰκονομίαν ἀφαιροῦσαν, καθείλομεν, ὡς ἤδη φθάσαντες εἴπομεν. ἀλλ' οὐκ ἦν, ὡς ἔοικε, τῆς εἰς Χριστὸν ἀγάπης τὸ γνήσιον ἔχοντας, καὶ ζηλώσαντας τῷ κυρίῳ, μὴ πολλῶν πειραθῆναι πραγμάτων· προσεδοκήσαμεν γὰρ τὸν εὐλαβέστατον τῆς Ἀντιοχέων ἐπίσκοπον Ἰωάννην, τήν τε ἀκρίβειαν τῆς συνόδου, καὶ τὴν εὐσέβειαν ἐπαινέσαι, καὶ τάχα που καὶ μέμψασθαι τὸ ἐπὶ τῇ καθαιρέσει βράδος. μεταπέπτωκε δὲ εἰς πᾶν τοὐναντίον τὰ τῆς προσδοκίας ἡμῖν· εὕρηται γὰρ ἐχθρὸς, καὶ πολεμιώτατος τῇ τε ἁγίᾳ συνόδῳ, καὶ αὐτῇ δὲ τῇ ὀρθῇ πίστει τῶν ἐκκλησιῶν, ὡς αὐτὰ μηνύει τὰ πράγματα. ἅμα τε γὰρ εἰσῆλθεν εἰς τὴν Ἐφεσίων πόλιν, πρὶν ἀποπλύνασθαι τὴν ἐκ τῆς ὁδοιπορίας κόνιν, πρὶν ἀποδύσασθαι τὸ ἱμάτιον, συναγαγών τινας τῶν τῷ Νεστορίῳ συναποστατησάντων, καὶ βλάσφημα λαλούντων κατὰ τῆς ἑαυτῶν κεφαλῆς, καὶ μονονουχὶ καταπαιζόντων τῆς δόξης τοῦ Χριστοῦ, καὶ συλλέξας ὥσπερ κολλήγιον ἑαυτῷ τριάκοντά που τὸν ἀριθμὸν, ἀνθρώπων * ἐπισκόπων ἐχόντων ὄνομα, ὧν οἱ μέν εἰσιν ἀπόλιδες, σχολάζοντες δὲ, καὶ ἐκκλησίας * μὴ ἔχοντες, ἕτεροι δὲ καὶ πρὸ πολλῶν ἐτῶν ἐπὶ δειναῖς αἰτίαις καθῃρημένοι ἀπὸ τῶν ἰδίων μητροπολιτῶν, σὺν αὐτοῖς δὲ καὶ Πελαγιανοὶ, καὶ Κελεστιανοὶ, καὶ τῶν ἀπὸ Θεσσαλίας ἐκβεβλημένων τινὲς πρᾶγμα τετόλμηκεν ἀνόσιον, ὃ μηδεὶς πώποτε τῶν πρὸ αὐτοῦ· * συνάπτει γὰρ καταμόνας χαρτίον, καὶ δὴ καθαιρέσεως ὄνομα, καὶ ὕβριν προσετρίψατο τῷ ἁγιωτάτῳ, καὶ θεοσεβεστάτῳ τῆς Ἀλεξανδρέων ἐπισκόπῳ Κυρίλλῳ, καὶ τῷ θεοσεβεστάτῳ ἡμῶν ἀδελφῷ, καὶ συλλειτουργῷ, ἐπισκόπῳ Μέμνονι τῷ τῆς Ἐφεσίων, οὐδενὸς ἡμῶν εἰδότος. ἀλλ' οὐδὲ τῶν ὑβρισθέντων ἐγνωκότων τὸ δρώμενον, ἢ διὰ ποίαν αἰτίαν τοῦτο τετολμήκασιν· ἀλλ' ὥσπερ οὐκ ἀγανακτοῦντος ἐπὶ τούτοις τοῦ Θεοῦ, ὡς οὐκ ὄντων κανόνων ἐκκλησιαστικῶν, ἢ ὡς οὐ μελλόντων κινδυνεύειν αὐτῶν διὰ τὸ ἐπὶ τούτοις θράσος. ὑβρίζουσι δὲ τῷ τῆς ἀκοινωνησίας ὀνόματι καὶ πᾶσαν τὴν σύνοδον· καὶ δὴ καὶ δημοσίᾳ χαρτίῳ ταῦτα ἐπιθέντες, προὔθεσαν εἰς ἀνάγνωσιν τοῖς ἐθέλουσι τοῖς τοῦ θεάτρου τοίχοις προσπήξαντες, ἵνα τὴν αὐτῶν ἀσέβειαν θεατρίσωσι. καὶ οὐ μέχρι τούτων γέγονεν αὐτοῖς τὰ τολμήματα· ἀλλὰ γὰρ καὶ τεθαρσήκασιν, ὡς δράσαντές τι κανονικὸν, καὶ εἰς ἀκοὰς τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων βασιλέων ἀνενεγκεῖν τὰ τοιάδε.

Τούτων οὕτω γεγονότων, ὅ, τε ἁγιώτατος, καὶ θεοφιλέστατος ἐπίσκοπος τῆς Ἀλεξανδρέων Κύριλλος, καὶ μὴν καὶ ὁ θεοφιλέστατος τῆς Ἐφεσίων πόλεως

* εἰς νοῦν βουλήν τε, καὶ

* ἔσ. ἢ γεν.

* ἐπισκοπεῖν

* οὐκ

* συνάπτει

λεως ἐπίσκοπος Μέμνων, βιβλία σωωθέντες, ϗ αἰτιασάμβμοι αὐτόν τε τὸν Ἀλλαβίσατον ἐπίσκοπον Ἰωάννην, ϗ τοὺς σωὰ αὐτῷ τοῦτο δράσαντας, προσήγαγον, ὁρκοῦντες ἡμῶν τὴν ἁγίαν συνόδον μεταπέμψασθαι κανονικῶς αὐτόν τε τὸν Ἰωάννην, ϗ τοὺς σωὰ αὐτῷ, ὥστε ἀπολογήσασθαι περὶ ὧν πετολμήκασι, ϗ εἴτι ἐγκαλεῖν ἔχοιεν, εἰ δύνανται, εἰπεῖν ϗ διελέγξαι· ἐν γὰρ τῷ γραφέντι παρ' αὐτῆς καθαιρετικῷ, μᾶλλον δὲ ὑβριστικῷ χαρτίῳ, προφασιν ἔθηκαν· ὅτι Ἀπολιναρίσται, ϗ Ἀρειανοί, ϗ Εὐνομιανοί εἰσι, ϗ διὰ τοῦτο καθῃρηνται παρ' ἡμῶν. ἐνισαμβάνων τοίνυν τῇ τὴν ὕβριν ὑπομεινάντων τὴν παρ' ἐκείνων, πάλιν ἡμεῖς ἀναγκαίως σωεδράσαντες ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ὑπὲρ τοὺς ὀγδοήκοντα ἐπισκόπους ὄντες, μιᾷ, ϗ δευτέρᾳ, ϗ τρίτῃ κλήσει, ἐν ἡμέραις δυσὶ κεκλήκαμβμεν αὐτόν τε τὸν Ἰωάννην, ϗ τοὺς σωὰ αὐτῷ, εἰς τὸ σωέδριον. ὥστε διελέγξαι τὰς ὑβρισμένας, ϗ ἀπολογήσασθαι, ϗ τὰς αἰτίας εἰπεῖν, ἐφ' αἷς τὸ τῆς καθαιρέσεως συνέθηκαν χαρτίον· ϗ οὐκ ἐθάρρησαν ἐλθεῖν. ἔδει δὲ αὐτόν, εἴπερ ἀληθῶς ἐλέγχειν ἠδυνάτο τοὺς μνημονευθέντας ὁσίους ἄνδρας, ὡς αἱρετικοὺς ὄντας, ϗ ὑπαντῆσαι, ϗ δεῖξαι τοῦτο ἀληθὲς ὄν. ὁ ϗ λαβὼν, ὡς ἰσχυρὸν, ϗ ἀναμφίβολον ἔγκλημα, τὴν προπετῆ ψῆφον κατ' αὐτῶν ἐξηνέγκατο. ἀλλ' ὑσὸ σαθροῦ συνειδότος οὐχ ὑπήντησε· τὸ δὲ κατασκαλζόμβμον ἐκεῖνο ἦν. ᾠήθη γὰρ, ὅτι τῆς ἀτόπου ταύτης ϗ ἐκνομωτάτης ὕβρεως λυομβένης, συναναῤῥαωήσεται ϗ ἡ δικαία ψῆφος τῆς συνόδου, ἡ ἐξενεχθεῖσα κατὰ τῆς αἱρετικῆς Νεσορίου. ἀγαναχτήσαντες τοίνυν εἰκότως, ἐβαλλάσαμεθα μβὴ * τὸ ἴσην κατ' αὐτῆ, ϗ τῆς ἄλλων ψῆφον ἐξενεγκεῖν * ἐννόμως, ἣν αὐτὸς παρανόμως κατὰ τῆς ἐπ' ὀδίνι κατεγνωσμβένων ἔθετο· ὑπὲρ δὲ τοῦ τὴν ἐκείνου προπέτειαν μακροθυμίᾳ νικῆσαι, εἰ ϗ ὅτι μάλιστα δικαίως ἂν ἔπαθεν αὐτὸ, ϗ ἐννόμως, τετηρήκαμβμεν τῇ κρίσει τῆς σῆς θεοσιβείας, ϗ τοῦτο. τίνας αὐτὸς ἀκοινωνήτους ποιήσαντες, ϗ πιεζελόντες αὐτῶν πᾶσαν ἐξουσίαν ἱερατικὴν, * ὥστε μὴ δυνάσθαι βλάπτειν δι' οἰκείων ἀποφάσεων. τὰς γὰρ ἔτως ἀγρίως, ϗ ἀπηνῶς, ϗ ἀκανονίστως χωρεῖν εἰωθότας ἐπὶ τὸ ἔτω δεινὰ, ϗ παγχάλεπα τῆς πεπραγμβένων, πῶς οὐκ ἦν ἀναγκαῖον, ϗ οὐχ ἱκότως παριλθεῖν τῆς τὸ δύνασθαι βλάπτειν ἐξουσίας;

* τῷ ἁγίῳ

* μήτε δύνασθαι.

Τοῖς μβὴ ἓν ἀδελφοῖς ἡμῶν, ϗ συλλειτουργοῖς, Κυρίλλῳ τε τῷ ἐπισκόπῳ, ϗ Μέμνονι, τοῖς παρ' αὐτῶν ὑπομείνασιν ὕβριν, ϗ κοινωνικοὶ πάντες ἐσμβὲν, ϗ μ' τινὶ ἐκείνων προπέτειαν συνιλειτουργήσαμβεν, ϗ συλλειτουργοῦμβεν, κοινῇ πάντες τὰς συνάξεις ἐπιτελοῦντες· ἀκυρώσαντες ἐγγράφως τὰ ἐκείνων ἐγκαίνια, ἀνίσχυρά τε, ϗ ἀδρανῆ παντελῶς ἀποφήναντες. ὕβρις γὰρ μόνη ϗ ἕτερον ὑδὲν ἦσαν. ἄνδρες γὰρ τὸν ἀριθμὸν τεσσάκοντα, ϗ οἱ μβὴ αἱρέσεως σπίλῳ κατεσιγμβένοι, οἱ δὲ ἀπόλιδες, ϗ ἐκβεβλημβένοι, ποῖον ἔχουσι συνόδου πρόσωπον; ἢ ποίαν ἰσχὺν κατὰ συνόδου συγχροτηθείσης ἐξ ἁπάσης τῆς ὑπ' οὐρανόν; συνῆδρασαν γὰρ ἡμῖν ϗ οἱ παρὰ τῆς ὁσιότητος τῆς σῆς ἀπεσταλμβένοι θεοσεβέστατοι ἐπίσκοποι, Ἀρκάδιος, ϗ Πρόβεκτος, ϗ σὺν αὐτοῖς ὁ Ἀλλαβίσατος χωρεπίσκοπος Φίλιππος, τιμὴ σὺν ἡμῖν παρεσίαν ἑαυτῷ χαριζόμβμοι, ϗ τῆς ἀποστολικῆς καθέδρας τὸν τόπον ἀναπληροῦντες. ἀγαναχτησάτω τοίνυν προσφόρως ἐπὶ τοῖς γεγβμβμένοις ἡ σὴ ὁσιότης. οὐ γὰρ δοθείη τοῖς ἐθέλουσιν ἄδεια, ϗ τὰς μείζονας ὑβρίζειν ὀρθὰς, ϗ καθ' ὧν ἂν ἔχωσιν ἐξουσίαν, παρανόμως ἔτω, ϗ ἀκανονίστως ἐκφέρειν ψήφους, μᾶλλον δὲ, ὕβρεις, ϗ τοῖς ὑπὲρ τῆς ἀσεβείας τοσούτοις ἄθλοις ὑπομεμβηκόσιν, ὧν οὐκ ἐσὶ ϗ νῦν ἡ ἀσέβεια δίχα τῆς ἀχώρητος ὁσιότητος ἀνέλαμψεν. οἰχήσεται πρὸς ἑκάτερα ἀτάξια τὰ τῆς ἐκκλησίας πράγματα· σωφρονισθέντων δὲ καθ' ὃν σωβήκει τρόπον τῶν τοιαῦτα πετολμηκότων, ἄρχήσει πᾶς θόρυβος, ϗ ἡ σωρίπτουσα τοῖς κατόπιν αἰδὼς σωρὰ πάντων σωθήσεται. ἀναγνωσθέντων δὲ ἐν τῇ ἁγίᾳ συνόδῳ τῶν ὑπομνημάτων τῶν πεσωραγμβένων ἐπὶ τῇ καθαιρέσει τῶν ἀνοσίων Πελαγιανῶν, ϗ Κελεστιανῶν, Κελεστίου, Πελαγίου, Ἰουλιανῆ, Περσιδίᾳ, Φλώρᾳ, Μαρκελλίνᾳ, Ὀρεστίᾳ, ϗ τῶν τὰ αὐτὰ τούτοις φρονούντων, ἐδικαιώσαμβεν ϗ ἡμεῖς ἰσχυρὰ, ϗ βέβαια μβένειν τὰ ἐπ' αὐτοῖς ὡρισμβένα παρὰ τῆς σῆς θεοσεβείας. ϗ σύμψηφοι πάντες ἐσμβὲν, καθηρημβένους ἔχοντες αὐτούς. ὑπὲρ δὲ ἀκριβοῦς μαθήσεως ἁπάντων τῶν πεσωραγμβένων, ἀπεσταλμβένα ϗ τὰ ὑπομνήματα, ϗ τὰς ὑπογραφὰς τῆς συνόδου. ἐῤῥῶσθαί σε, ϗ μνημονεύειν ἡμῶν τῷ κυρίῳ εὐχόμεθα, ἀγαπητὲ, ϗ ποθεινότατε *.

* In cod. Seq. subjiciuntur. ἀνεγνώσθη τὰ ὑπομνήματα ϗ τὰ ἐπιγραφέντα τῶν συνελθόντων ἐκεῖ. ἐῤῥῶσθαί σε καὶ μνημονεύειν ἡμῶν. * Χριστέ.

Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας κατὰ Ἰωάννου τοῦ Ἀντιοχείας ἀπεχίσαντος.

ΤΗΣ εἰς * Θεὸν ἀγάπης τιμὴ δυσάμεν παρὰ τῆς θείας διδιδάγμεθα γραφῆς· ἐδὲν δὲ ἧττον ϗ αὐτὸς ἡμᾶς ὁ σωτὴρ ἐδίδαξε, λέγων· ὁ ἐμὲ ἀγαπῶν, ἐμοὶ ἀκολουθείτω· ϗ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ ϗ ὁ διάκονος ὁ ἐμὸς ἔσω. δεῖ γὰρ ἡμᾶς ἀεὶ σωεῖναι, ϗ φιλεῖν ἀκολουθεῖν τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ, ϗ κατὰ μηδένα τρόπον αὐτῆ χωρίζεσθαι· ϗ τοῦτο * τηρήσωμβεν δίχα * τοῦ βουλεύσασθαι τὰ αὐτῆ. τοῦτο πεπλήρωκεν ὁ λαμπρὸς ἔτος, ϗ μίγας, τῆς ἱερῶν χορὸς· περὶ ὧν ἂν λέγοιτο σφόδρα δικαίως, τὸ δίχα τῆς τοῦ προφήτου φωνῆς· ἐκεῖ ἔλαφοι σωμίκτησαν, ϗ εἶδον τὰ πρόσωπα ἀλλήλων· ἀεὶ θμῶ παρῆλθον, ϗ μία αὐτῶν οὐκ ἀπώλετο. ἐπὶ τοσοῦτον τιμὴ ἑτέραν οὐκ ἐζήτησαν, ὅτι κυρίου ἐνετείλατο αὐταῖς, ϗ τὸ πνεῦμα αὐτοῦ συνήγαγε αὐτάς· ἡ γὰρ κοινὴ τινος ἕνεκα πράγματος, ἢ ἐπιγνώς τυχὸν, ἢ τῆς νοητῶν ἐλάφων γίγνεται εὐθέως συνδρομή· ἀλλ' ἐπειδὴ, καθάπερ ἐν κήπῳ καλῷ, ϗ ἀνθισάτῳ, φημὶ δὴ τῇ τοῦ σωτῆρος ἡμῶν ἐκκλησίᾳ, δεινὸς ϗ παγχάλεπος ὤφθη δράκων, οὐ μίαν ἔχων, ἀλλὰ πολλὰς ἐν ἑνὶ σώματι κεφαλὰς, χρησιμωτάτη ϗ * ἀναγκαία γίγνεται ἡ τῆς νοητῆς ἐλάφου ἄθροισίς τε, ϗ παρουσία. ἵνα τῆς τῆς ἰοβόλων σκληρότητος τὸ δηλητηριῶδες ἀπαλλάξῃ χωρίου· ἔχῃ τὸ τοῦ Θεοῦ πνεῦμα συνήγαγε αὐτάς, ϗ ὃ κύριος ἐνετείλατο αὐταῖς· τί δὲ ἐνετείλατο; ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ ϗ ὁ διάκονος ὁ ἐμὸς ἔσω. ἵνα τοίνυν,

Ioan. xii. 26.

* τὸν, παρέπεμψε. * ἀβλαβῶς.

Matth. xxiii. 37.

* ἀναγκαιότατον.

Ioan. xii.

πρὸς σὲ γάρ μοι νῦν ὁ λόγος τὸν ὑψηλιὰ κατὰ πάντων αἴροντα τὴν ὀφρύν, τὸν ἐκ τῶν ἀνατολικῶν ἤκοντα κλιμάτων· εἰ πάντες ἐσμὲν * ὑπουργοὶ τοῦ σωτῆρος Χριστοῦ, καὶ πεπιστεύμεθα τὴν διακονίαν τῆς αὐτοῦ κηρυγμάτων, διὰ τί μὴ πάντες * ἐσμὲν ὑπουργοὶ μετ' αὐτοῦ τῷ βούλεσθαι φρονεῖν τὰ αὐτοῦ; ἐπῆρεν, ὡς ὁρᾷς, ὁ πολυκέφαλος δράκων τὴν ἀνόσιον, καὶ βέβηλον κεφαλήν, τοῖς τῆς ἐκκλησίας τέκνοις τὸν τῆς ἰδίας ἀνοσιότητος ἰὸν ἐμπτύων. ἔρχομαι κατ' αὐτοῦ τὴν τοῦ πνεύματος ἀπογυμνώσας μάχαιραν. μάχομαι διὰ Χριστὸν τῷ θηρίῳ. διά τί μὴ συγκάμνεις καλῶς * ποιεῖν ἐθέλοντι; διὰ τί μὴ συμπαρέσηκας καὶ αὐτός; βαλλέσθω παρὰ πάντων χειρὶ κοινὸν ἡγησώμεθα τὸν ἀγῶνα. ἵνα καὶ ὁμοῦ νικήσαντες ἀναφέρωμεν τὰς εὐχαριστίας τῷ σωτῆρι, λέγοντες· σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον· σὺ συνέθλασας τὰς κεφαλὰς τοῦ δράκοντος. ἀλλ' ἡμεῖς μὲν οἱ γνήσιοι τοῦ σωτῆρος ἱερουργοί, οἱ τῆς αὐτοῦ μυστηρίων οἰκονόμοι, πολεμιωτάτους ἡγούμεθα τοὺς καταφλυαροῦντας τῆς δόξης αὐτοῦ. σὺ δὲ οὐχ ὅτω· πόθεν; ὅτι γὰρ ὁ προσέρχη γνησίως, αὐτά σε διελέγχει τὰ πράγματα· ὁρᾷς ἡμᾶς ὡς ἐν πολέμῳ κεκονιαμένους, ἔτι καπνίζοντας τὸν ἐκ τῆς μάχης ἱδρῶτα, δίψυχίας πνευματικῆς, καὶ παρακλήσεως δεομένους, μᾶλλον δὲ ἤδη νενικηκότας· σὺ δὲ ὁ τετυγμένος εἰς ἀδελφούς, ὁ Χριστὸν δεσπότην ἐπιγραφόμενος, ὁ συνοπλιτεύειν ὀφείλων, κατὰ τῆς τῆς ἀληθείας δογμάτων τὰ ὅπλα κινεῖς; ὦ παραδόξου πράγματος. οὐχ ἥψω τῆς μάχης, οὐ συνήθλησας τοῖς ἠθληκόσιν· ἔφυγες τὸν τοῦ πολέμου καιρὸν τῷ τῆς * ἐλπίσεως βραδεῖ. εἰσήκεις μακρόθεν, θεωρῶν τοὺς ἀνδριζομένους· εἶδες πεπτωκότα τὸν ἐχθρόν, ἀτονήσασαν, καὶ κεκολασμένην τὴν δύσφημον γλῶτταν, εἶτα ἐλυπήθης· εἰπέ μοι διὰ ποίαν αἰτίαν; ὅτι νενίκηκεν ὁ Χριστός; ὅτι κεκράτηκε τῶν ἀνθεστηκότων; ὅτι σεσίγηκε στόμα λαλοῦντος μεγάλα; ὅτι πέπαυται νόσος τοῖς τῆς ἐκκλησίας ἐγκατασκήπτουσα τέκνοις; ἀλλ' ἵνα ἄμεινον ἀνδείζεσθαι μεθ' ἡμῶν, καὶ μιμοῦ κἀκεῖνο λέγειν τὸ διὰ φωνῆς τοῦ Δαυίδ. οὐχὶ τοὺς μισοῦντά σε κύριε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθρὰς ἐμοὶ ἐγένοντό μοι, καὶ τὰ ἑξῆς. ἀλλ' οὐδεὶς μοῦ ὅλως παρὰ σοὶ τῶν τοιούτων ὁ λόγος. ἐκ δὲ τῶν ἐναντίων καταπλήττεις τοὺς νενικηκότας, καὶ τοῖς ἀπὸ φθόνου βέλεσι τιτρώσκειν ἐπιχειρεῖς, ὃς ἔδει μᾶλλον θαυμάζεσθαι παρὰ σοῦ. ἀλλὰ κἂν αὐτὸς προσέρχῃ σκληρῶς, οὐδὲν δεδιότες λέγομεν· βέλη νηπίων ἐγένοντο αἱ πληγαὶ αὐτῶν, καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. κἂν ὅπλοις τοῖς ἔξωθεν σαυτὸν περιφράττων καταστρατήγειν ἐπιχειρῇς τῆς συναγωγῆς κυρίου, ἀλλὰ ἡμῶν τὰ ὅπλα οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ, καθὰ γέγραπται· δυνατὰ δὲ πρὸς καθαίρεσιν ὀχυρωμάτων. χαλκοτέρας ἀρήσεις τῆς σαρὰ σοὶ τοὺς Χριστοῦ στρατιώτας. ἔχουσι τὸν θυρεὸν τῆς πίστεως, τὸ τῆς ἀδοκίας ὅπλον, τουτέστι Χριστόν· ἔχουσι θώρακα * τὴν δικαιοσύνην, τὴν τοῦ * Χριστοῦ περικεφαλαίαν, τὴν μάχαιραν τοῦ πνεύματος. ὥστε κἂν ἐπέρχῃ θρασύς, καὶ δεινός, καὶ πολλὴν ἔχων τὴν ὑπερηφανίαν, ὡς κατὰ τὸν ἀλαζόνα Γολιάθ, βαρβαρικαῖς ἀφωνίαις, καὶ ἀμαθίαις, καθ' ἡμῶν ἐξοπλιζόμενος, καὶ ἀμαθίαις, καθ' ἡμῶν ἐξοπλιζόμενος, ἀλλὰ νικήσει Χριστός. νικήσει δὲ διὰ τῆς ἰδίων ὑπασπιστῶν. πῶς ἐνίκησεν ὁ Δαυίδ; πέντε λίθους ἔχων ἐν τῷ καδδίῳ· λεῖοι δὲ ἦσαν οἱ λίθοι· καὶ τοῦτο ἵνα εἰς τύπον Χριστοῦ. ποῖον γάρ ἐστι τὸ τοῦ Χριστοῦ κάδδιον; ἡ ἐπὶ γῆς ἐκκλησία, πολλοὺς ἔχουσα λίθους τιμίους καὶ ἐκλεκτούς· περὶ ὧν καὶ ὁ προφήτης φησί. λίθοι τίμιοι, καὶ ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς. διὰ τούτων τῆς ἁγίων λίθων περιέσται Χριστός. λεῖοι δὲ ἦσαν οἱ λίθοι, ὡς ἔφην· ἡ δὲ τῶν λίθων λειότης τὸ ἄληπτον ὑποδηλοῖ· ἄληπτον γάρ πως ἀεὶ τὸ λεῖον. ἀνεπίληπτος δὲ ἀεὶ τῆς ἁγίων ἡ πολιτεία· οὐκοῦν νικήσει Χριστός· κἂν ἰσχύσῃς * σαυρῶσαι, καὶ ὅτω * νενίκηκα. κἂν ἀδικήσῃς ἐκ πανουργίας, ἐσεφάγωσας οὐκ ἐκών. ἡμῖν γὰρ ἐκαείσθη τὸ * ὑπὲρ Χριστοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν· ὁ γὰρ πιστεύων εἰς αὐτόν, οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται. ὅτι αὐτῷ πρέπει δόξα, κράτος, τιμή, καὶ προσκύνησις νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ψάλ. 88. 11. Ψάλ. 3. 34. Ψάλ. 138. 21. 2 Κορ. 10. 4. Ἔξοδ. 6. 1. Βασιλ. 17.

* λειτουργοὶ τοῦ πάντων ἡμῶν σωτῆρος
* ἐσμὲν μετ' αὐτοῦ τοῦ βούλεσθαι φ. τὰ
* ποιεῖν.
* ἀφέσεως
* σωτηρίας, al. σταυροῦ.
Κάλλιστα ἐλέγχει.
Ζαχ. 9. 16.
* πρῶτα,
* νικήσει.
* περὶ.
Φιλιπ. 1. 29. Ἰωάν. 3. 18.

Ἡ ἐν Νικαίᾳ συνόδος πίστιν ἐξέθετο ταύτην.

ΠΙΣΤΕΥΟΜΕΝ * εἰς ἕνα Θεόν, πατέρα παντοκράτορα, πάντων ὁρατῆς τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ Θεοῦ, γεγεννημένον ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός. Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί. δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενον, καὶ ἐρχόμενον κρῖναι ζῶντας, καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας· ἦν ποτὲ ὅτε, οὐκ ἦν, καὶ, πρὶν γεννηθῆναι, οὐκ ἦν, καὶ, ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας φάσκοντας εἶναι, ἢ κτιστὸν, ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ, καὶ ἀποστολικὴ ἐκκλησία.

Ταύτῃ τῇ ἁγίᾳ πίστει πάντας σωτίθεσθαι προσήκει· ἔχει γὰρ ἀσεβῶς, καὶ ἀποχρώντως εἰς ὠφέλειαν τῆς ὑπ' οὐρανόν.

Ἀρχὴ τοῦ κατὰ Χαλκίσιον πρακτικοῦ, ὅτε προσῆλθε τῇ ἁγίᾳ συνόδῳ κατὰ τῆς τεσσαρεσκαιδεκατίτης.

ΚΑΤΑ θέσπιμα τῆς ἀσεβεστάτων, καὶ φιλοχρίστων βασιλέων, Θεοδοσίου, καὶ Οὐαλεντινιανοῦ, συναχθείσης ἐν τῇ Ἐφεσίων μητροπόλει ἐξ ἁπάσης, ὡς ἔπος εἰπεῖν, τῆς οἰκουμένης, τῆς ἁγίας ταύτης συνόδου τῆς θεοσεβεστάτων ἐπισκόπων τῆς ἀποστολικοῦ ἁγίων ἐκκλησιῶν, καὶ συνεδρεύσης, ὀφείλουσης τε κρατεῖν, καὶ βεβαίαν εἶναι τὴν

τὴν πίστιν τὴν ἐκτεθεῖσαν διὰ τοῦ ἁγίου πνεύματος, παρὰ τῶν ἁγίων πατέρων τῶν κατὰ καιροὺς ἐν τῇ Νικαέων πόλει συνειλεγμένων, ὄντων τὸν ἀριθμὸν, τριακοσίων δέκα καὶ ὀκτὼ, τυπούσης τε τὰ περὶ τούτων καθ' ὃν ἔδει τρόπον, Χαρίσιός τις ὀνόματι, πρεσβύτερος, καὶ οἰκονόμος γεγονὼς τῆς Φιλαδελφέων πόλεως ἁγίας ἐκκλησίας, ἐδίδαξεν, ὅτι τινὲς τῶν ἀπὸ Λυδίας ὁρμωμένων αἱρετικῶν, ἠθέλησαν τὴν μὲν ἑαυτῶν ἀφεῖναι πλάνην, ἐπιστρέψαι δὲ πρὸς τὸ τῆς ἀληθείας φῶς, καὶ μυσταγωγηθῆναι τὰ τῆς καθολικῆς ἐκκλησίας ὀρθά τε, καὶ εὐσεβῆ δόγματα. εἶτα δέον αὐτοὺς ἐπὶ τὴν ἀλήθειαν χειραγωγηθῆναι, μειζόνως ἠπάτηνται, καὶ οἷον ἐκ βόθρου πεπτώκασιν εἰς χείρονα βόθρον. ἐδίδαξε γὰρ, ὅτι Ἀντώνιος, καὶ Ἰάκωβος, πρεσβυτέρων ἔχοντες ὄνομα, κατῆλθον ἀπὸ τῆς Κωνσταντινουπόλεως, ἐπιστολὰς ἔχοντες * παραθέσεως παρὰ Ἀναστασίου τινὸς, καὶ Φωτίου, συνόντων * τοτηνικάδε τῷ αἱρετικῷ Νεστορίῳ, καὶ αὐτῶν δὲ πρεσβυτέρων ἐχόντων ὄνομα. καὶ δέον τήν τε εὐαγγελικὴν, καὶ ἀποστολικὴν παράδοσιν τῆς πίστεως, ἣν ἐξέθεντο κατὰ καιροὺς οἱ πατέρες οἱ ἐν τῇ Νικαέων συνελθόντες, παραθεῖναι τοῖς ἐκ πλάνης ἐπιστρέφουσιν εἰς ἀλήθειαν, καὶ ἀπὸ τοῦ σκότους εἰς τὸ φῶς ἔρχεσθαι ζητοῦσι, * προσεκόμισαν ἔκθεσίν τινα δογμάτων ἀσεβῶν, ὡς ἐν τάξει συμβόλου συντεθειμένην, καὶ ταύτῃ καθυπογράφειν τοὺς ἀθλίους ἐκείνους παρεσκεύασαν, πάντα τρόπον ἀσεβείας νικῶντες ἐν τούτῳ. ὑπὲρ δὲ σαφηνείας ἀκριβοῦς τῶν εἰρημένων ἐντέτακται ὁ ἐπιδοθεὶς λίβελλος, παρὰ τοῦ μνημονευθέντος πρεσβυτέρου Χαρισίου, καὶ ἡ τῆς ἀσεβοῦς ἐκείνης ἔκθεσις κακοδοξίας, ἡ περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, μεθ' ὑπογραφῆς τῶν ἠπατημένων.

* παρεθέτους.
* παραθέσεις.
* Φωτινοῦ.
* τῶν αἱρετικῶν Νεστορίῳ.
* προσεκόμισαν.

Οἱ ἐπιδοθέντες λίβελλοι παρὰ Χαρισίου πρεσβυτέρου.

Τῇ ἁγιωτάτῃ, καὶ θεοφιλεστάτῃ, συνόδῳ οἰκουμενικῇ, συνελθούσῃ ἐν τῇ Ἐφεσίων μητροπόλει, παρὰ Χαρισίου πρεσβυτέρου, καὶ οἰκονόμου Φιλαδελφείας.

ΕΥ'ΧΗ' μὲν ἅπασι τοῖς εὖ φρονοῦσι, τιμὴν ἀεὶ καὶ πρέπουσαν αἰδῶ πνευματικοῖς μάλιστα πατράσι, καὶ διδασκάλοις ἀπονέμειν· εἰ δέ που συμβῇ τοὺς διδάσκειν ὀφείλοντας τοιαῦτα τοῖς ὑπηκόοις ἐνηχεῖν περὶ τῆς πίστεως, οἷα τὰς ἁπάντων ἀκοὰς, καὶ καρδίας καταβλάπτει, ἀνάγκη τὴν τάξιν ἀνταλλάττεσθαι, καὶ τοὺς κακῶς διδάσκειν ἑλομένους ὑπὸ τῶν ἡσσόνων διελέγχεσθαι. ἐπεὶ οὖν εἷς τούτων ὑπάρχει Νεστόριος, ὁ τῆς ἰδίας κακοδοξίας τοὺς καρποὺς δρεπόμενος, κάκιστα περὶ τῆς εἰς Χριστὸν πίστεως διακείμενος, διδάξας τε πολλάκις, ἃ μὴ προσῆκε, πᾶσαν ὁμοῦ τὴν ὑφ' ἥλιον διετάραξεν, ὡς καὶ τοὺς φιλοχρίστους βασιλέας ἀναγκασθῆναι θεσπίσαι, τὴν ὑμετέραν ἁγιωσύνην ἐνταῦθα συνελθοῦσαν τὰ τῆς ὀρθοδοξίας ἐπικρατῆναι δόγματα· καὶ τοῦτο διὰ τὴν ἰδίαν φιλανθρωπίαν ὁ δεσπότης παραχὼν Θεὸς, ἅπαντας ὑμᾶς ἁγίους πατέρας ἐνταῦθα συνήγαγε τοῦ προλεχθέντος ἕνεκεν· τούτου χάριν ἐγὼ τῇ ὑμετέρᾳ προσπίπτω ὁσιότητι, διδάσκων, ὡς οὐ μόνος αὐτὸς, ἀλλὰ καὶ οἱ τούτου συμμέτοχοι τῆς ἀσεβείας, Ἀναστάσιος, Φώτιος, οἱ πρεσβύτεροι τὴν αὐτὴν καὶ ἐν ταῖς ἄλλαις πόλεσι κακοπιστίαν διασπαρῆναι παρασκευάζοντες, Ἰάκωβόν τινα, ὅμοια αὐτοῖς φρονοῦντα, συνεκρότησαν καὶ συγκροτοῦσι μέχρι τῆς δεῦρο, τραπέζης, καὶ παῤῥησίας αὐτῷ μεταδιδόντες· ὃν καὶ διὰ γραμμάτων ἤδη ὡς ὀρθόδοξον συνέστησαν τοῖς θεοσεβεστάτοις τῶν Λυδῶν ἐπισκόποις. τοιαῦτα δὲ τούτῳ τετόλμηται, ἃ τὴν ὑμετέραν πάντως ἁγιωσύνην μαθοῦσαν κινήσει πρὸς κανονικὴν κατ' αὐτοῦ τιμωρίαν, καὶ κατὰ τῶν αὐτὸν συγκροτούντων. τὴν γὰρ φιλαδελφέων πόλιν τῆς Λυδίας καταλαβὼν, καί τινας τῶν ἁπλουστέρων ἀπατήσας, κληρικοὶ δὲ οὗτοι, τὴν τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων ἔκθεσιν τῆς πίστεως ἐξουθενήσας, ἑτέρᾳ τινὶ πίστεως ἐκθέσει, μᾶλλον δὲ ἀπιστίας, καθυπογράψαι παρεσκεύασε. καὶ δὴ τοῦτο πεποιήκασιν, ὡς ἁπλούστεροι καθυπογράψαντες· ὅτι δὴ ταύτῃ, * φησὶ, τῇ ὀρθοδόξῳ στοιχοῦμεν πίστει. ἥτις ἔκθεσις αἱρετικῆς βλασφημίας πεπληρωμένη, ἔχουσά τε τὰς τῶν ὑπ' αὐτοῦ συναρπαγέντων ὑπογραφὰς σώζεται· ἣν ἀξιῶ ἀναγνωσθῆναι ἐπὶ τῆς ὑμετέρας ὁσιότητος, πρὸς τὸ ἐννοηθῆναι τὴν ὑπ' αὐτῶν μελετηθεῖσαν τῆς ὀρθοδοξίας ἀνατροπήν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ γράμματα τῶν προλεχθέντων, ἔνθα Ἰακώβῳ μὲν τῷ αἱρετικῷ τοιαῦτα τολμήσαντι μαρτυροῦσιν ὀρθοδοξίαν, ἐμὲ δὲ, ὡς αἱρετικὸν, τῆς κοινωνίας, καὶ λειτουργίας ἐκώλυσαν, εὐσεβῶς φρονοῦντα, καθὼς ὑποτέτακται. τούτων γὰρ ἀναγνωσθέντων, μαθήσεται πάντως ἡ ὑμετέρα θεοφιλία τὰ κατὰ τῆς ὀρθοδοξίας ὑπ' αὐτῶν τολμηθέντα· ἅ τινα ὁ Θεὸς διὰ τῆς ὑμετέρας ἁγιωσύνης εἰς τέλος καταργήσει.

* alii φησὶ, sed legendum φασὶ.

Ὁμολογία πίστεως Χαρισίου πρεσβυτέρου.

Πιστεύω εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα. κτίστην ἁπάντων, ὁρατῶν τε καὶ ἀοράτων ποιητὴν, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν αὐτοῦ, τὸν μονογενῆ, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, ὁμοούσιον τῷ πατρὶ, τὸν δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, σαρκωθέντα, γενηθέντα ἐκ τῆς ἁγίας παρθένου, ἐνανθρωπήσαντα, σταυρωθέντα ὑπὲρ ἡμῶν, ἀποθανόντα, ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ πνεῦμα τῆς ἀληθείας, τὸ παράκλητον, ὁμοούσιον πατρὶ καὶ υἱῷ· καὶ εἰς ἁγίαν καθολικὴν ἐκκλησίαν· εἰς ἀνάστασιν νεκρῶν· εἰς ζωὴν αἰώνιον.

Ἐγὼ Χαρίσιος δέδωκα τοὺς λιβέλλους, ὡς προγέγραπται, ὑπογράψας χειρὶ ἐμῇ.

Ἴσον τῆς ἐκθέσεως τοῦ παραπλασθέντος συμβόλου.

ΤΟΥ'ς ἢ νῦν πρῶτον παιδευομένους τῶν ἐκκλησιαστικῶν δογμάτων τὴν ἀκρίβειαν, ἢ ἔκ τινος αἱρετικῆς πλάνης μεθίσθασθαι βουλομένους ἐπὶ τὴν ἀλή-

ἀλήθειαν, διδάσκεσθαι * ὀφείλει, καὶ ὁμολογεῖν. ὅτι πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα ἀίδιον, ἄθ' ὕστερον ἀρξάμενον τοῦ εἶναι, ἀλλ' ἄνωθεν ὄντα ἀϊδίου Θεοῦ, ὅπερ μειωδέστερον γεγονότα πατέρα. ἐπειδήπερ ἀεὶ Θεός τε ἦν καὶ πατήρ. πιστεύομεν δὲ καὶ εἰς ἕνα Θεοῦ υἱὸν μονογενῆ, ἐκ τῆς οὐσίας ὄντα τοῦ πατρὸς, ὄντως υἱὸν, καὶ τῆς αὐτῆς οὐσίας ὄντα, ὅπερ ἐστὶ καὶ πιστεύεται υἱός. καὶ εἰς τὸ πνεῦμα δὲ τὸ ἅγιον, ἐκ τοῦ Θεοῦ τυγχάνον οὐσίας, οὐχ υἱόν. Θεὸν δὲ ὄντα τῇ οὐσίᾳ, ὡς ἐκείνης ὂν τῆς οὐσίας, ἧς πέρ ἐστιν ὁ Θεὸς καὶ πατήρ, ἐξ ὅπερ κατ' οὐσίαν ἐστίν. * ἡμεῖς γὰρ, φησὶν, οὐ τὸ πνεῦμα * ἐλάβομεν τοῦ κόσμου, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ Θεοῦ. τῆς μὲν κτίσεως * ἀποχωρίσας ἁπάσης, Θεῷ δὲ συνάψας, ἐξ ὅπερ κατ' οὐσίαν ἐστὶν ἰδιάζοντι λόγῳ παρὰ πᾶσαν τὴν κτίσιν. διὸ οὐ κατ' οὐσίαν, ἀλλ' αἰτίᾳ δημιουργίας ἐκ Θεοῦ * νομίζομεν εἶναι, καὶ ὅτε υἱὸν * νομίζομεν, ὅτε δι' αὐτοῦ τὴν ὕπαρξιν εἰλήφοτος. ὁμολογοῦμεν δὲ πατέρα τέλειον προσώπῳ, καὶ υἱὸν ὁμοίως, καὶ πνεῦμα δὲ ἅγιον ὡσαύτως· σῳζομένου τοῦ λόγου τῆς εὐσεβείας ἡμῖν, τῷ πατέρα, καὶ υἱὸν, ὁμοίως καὶ πνεῦμα ἅγιον, μὴ ξένης τι ας διαφόρους οὐσίας νομίζειν, ἀλλὰ μίαν τῇ ταυτότητι τῆς θεότητος γνωριζομένην· χρὴ δὲ καὶ περὶ τῆς οἰκονομίας, διὰ ὑπὲρ τῆς ἡμετέρας σωτηρίας ἐν τῇ κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίᾳ ὁ δεσπότης διετέλεσε Θεὸς, εἰδέναι, ὅτι ὁ δεσπότης Θεὸς λόγος ἄνθρωπον εἰλήφε τέλειον, ἐκ σπέρματος ὄντα Ἀβραὰμ, καὶ Δαυὶδ, κατὰ τὰς διαγορεύσεις τῶν θείων γραφῶν, τοῦτο ὄντα τὴν φύσιν, ὅπερ ἦσαν ἐκεῖνοι, ὧν περ ἐκ σπέρματος διά, ἄνθρωπον τέλειον τὴν φύσιν, ἐκ ψυχῆς τε νοερᾶς, καὶ σαρκὸς σωματικῆς ἀνθρωπίνης· ὃν ἄνθρωπον ὄντα καθ' ἡμᾶς τὴν φύσιν, πνεύματος ἁγίου δυνάμει, ἐν τῇ τῆς * παρθένου μήτρᾳ διαπλασθέντα, * γενόμενον ἐκ γυναικὸς, καὶ γενόμενον ὑπὸ νόμον, ἵνα πάντας ἡμᾶς ἐξαγοράσῃ τῆς τοῦ νόμου δουλείας, τὴν πρόρρησιν προωρισμένην υἱοθεσίαν ἀπολαβόντας, ἀπορρήτως σωτῆρα ἐαυτῷ· θανάτου μὲν αὐτὸν κατὰ νόμον ἀνθρώπων πειραθῆναι * κατασκευάσας, ἐγείρας δὲ ἐκ νεκρῶν, καὶ ἀναλαβὼν εἰς οὐρανὸν, καὶ καθίσας ἐκ δεξιῶν τοῦ Θεοῦ. ὅθεν δὴ ὑπεράνω πάσης ὑπάρχων ἀρχῆς, καὶ ἐξουσίας, καὶ κυριότητος, καὶ δυνάμεως, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐκ ἐν τῷ αἰῶνι τούτῳ μόνον, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, τὴν παρὰ πάσης τῆς κτίσεως δέχεται προσκύνησιν, ὡς ἀχώριστον πρὸς τὴν θείαν φύσιν ἔχων τὴν σωτήριον ἐνέργειαν, ἀναφορᾷ Θεοῦ, καὶ ἐννοίᾳ, πάσης αὐτῷ τῆς κτίσεως τὴν προσκύνησιν ἀπονεμούσης. καὶ ὅτε δύο φαμὲν υἱοὺς, ὅτε δύο κυρίους· ἐπειδὴ εἷς * Θεὸς κατ' οὐσίαν ὁ Θεὸς λόγος, ὁ μονογενὴς υἱὸς τοῦ πατρός. ὥσπερ ὅτος σωνημμένος τε, καὶ μετέχων θεότητος, κοινωνεῖ τῆς υἱοῦ προσηγορίας τε, καὶ τιμῆς· καὶ κύριος κατ' οὐσίαν ὁ Θεὸς λόγος, ᾧ σωνημμένος ὅτος κοινωνεῖ τῆς τιμῆς· ἐξ διὰ τοῦτο ὅτε δύο φαμὲν υἱοὺς, ὅτε δύο κυρίους· ἐπειδὴ * εἷς τοῦ κατ' οὐσίαν ὄντος κυρίου τε καὶ υἱοῦ, ἀχώριστον * ἔχει πρὸς αὐτὸν τὴν σωτήριον, ὁ ὑπὲρ τῆς ἡμετέρας ληφθεὶς σωτηρίας συναναφέρεται τῇ τε ὀνομασίᾳ, καὶ τῇ τιμῇ τοῦ τε υἱοῦ, καὶ τοῦ κυρίου. οὐχ ὥσπερ ἡμῶν ἕκαστος, καθ' ἑαυτὸν ὑπάρχων υἱός· ὅθεν δὴ ἐξ πολλοὶ υἱοὶ κατὰ τὸν μακάριον λεγόμεθα Παῦλον· ἀλλὰ μόνῳ ἐξαίρετον ἔχων τοῦτο ἐν τῇ πρὸς τὸν Θεὸν λόγον συναφείᾳ· τῆς τε υἱότητος, καὶ κυριότητος μετέχων, ἀναιρεῖ μὲν πᾶσαν ἔννοιαν δυάδος υἱῶν τε, καὶ κυρίων, παρέχει δὲ ἡμῖν ἐν τῇ πρὸς τὸν Θεὸν λόγον συναφείᾳ πᾶσαν ἔχειν αὐτοῦ τὴν πίστιν, καὶ τὴν ἔννοιαν, καὶ τὴν θεωρίαν, ὑπὲρ ὧν δὴ καὶ τὴν προσκύνησιν, * καὶ ἀναφορὰν Θεοῦ, παρὰ πάσης δέχεται τῆς κτίσεως.

Γαλ. 3. 16.

* ἕνωσ, κατὰ

Ἕνα τοίνυν τὸν * κύριον φαμὲν, καὶ κύριον Ἰησοῦν Χριστὸν, δι' οὗ τὰ πάντα ἐγένετο· πρωτοτύπως μὲν τὸν Θεοῦ λόγον νοοῦντες, τὸν κατ' οὐσίαν υἱὸν Θεοῦ, καὶ κύριον, συνεπινοοῦντες δὲ τὸ ληφθὲν, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὃν ἔχρισεν ὁ Θεὸς πνεύματι καὶ δυνάμει, ὡς ἐν τῇ πρὸς τὸν Θεὸν λόγον συναφείᾳ υἱότητός τε μετέχοντα, καὶ κυριότητος· ὃς καὶ δεύτερος Ἀδὰμ κατὰ τὸν μακάριον καλεῖται Παῦλον, ὡς τῆς αὐτῆς μὲν φύσεως ὑπάρχων τῷ Ἀδάμ· ἀναδείξας δὲ ἡμῖν τὴν μέλλουσαν κατάσασιν· καὶ τοσαύτην ἔχων πρὸς ἐκεῖνον τὴν * ἀναφορὰν, ὅσηπερ ἂν γένοιτο τοῦ τὰ ἀπόῤῥητα χορηγοῦντος ἐπὶ τῆς μελλούσης κατασάσεως ἀγαθὰ πρὸς τὸν τῶν παρόντων λυπηρῶν δεδωκότα τὴν ἀρχήν. τὸν ὅμοιον δὲ τρόπον καὶ δεύτερος * Ἀδὰμ καλεῖται. ὡς τὴν δευτέραν κατάσασιν ἐκφήνας· ἐφειδήπερ τῆς μὲν προτέρας ἀρχὴ γέγονεν ὁ Ἀδὰμ, τῆς ψυχῆς, καὶ παθητῆς, καὶ πολλῶν γεμούσης ὁδυνηρῶν, ἐν ᾧ δὴ καὶ τὴν πρὸς αὐτὸν εἰλήφαμεν ὁμοίωσιν· τὴν δευτέραν δὲ ἀνέδειξεν ὁ δεσπότης Χριστὸς, ὃς ἐξ οὐρανῶν ἐπὶ τῷ μέλλοντος φανεὶς, ἅπαντας ἡμᾶς εἰς τὴν κοινωνίαν * ἄξων τὴν οἰκείαν· ὁ γὰρ πρῶτος, φησὶν, ἄνθρωπος ἐκ γῆς χοϊκὸς, ὁ δεύτερος, ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ, τοιοῦτοι καὶ οἱ χοϊκοὶ, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· καὶ, καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. ἐν τούτῳ δὴ φαινόμεθά τε καὶ παρὰ πάντων ὁρώμεθα τῆς κείνου μελλόντων, ἐν ἀφανεῖ τυγχάνουσα ποιήσεται τὴν κείνου φύσις. τοὺς γὰρ χρόνους τῆς ἀγνοίας ἡμῶν ὑπεριδὼν ὁ Θεὸς, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν. καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ, ᾧ ὥρισε, πίστιν παράσχων, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. αὕτη τῆς ἐκκλησιαστικῶν δογμάτων ἡ διδασκαλία, καὶ πᾶς ὁ ἐναντία τούτοις φρονῶν ἀνάθεμα ἔστω. πᾶς ὁ μὴ δεχόμενος τὸ σωτήριον μετάνοιαν, ἀνάθεμα ἔστω· πᾶς ὁ μὴ ποιῶν τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα κατὰ τὸν τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας θεσμὸν, ἀνάθεμα ἔστω.

* ἕνωσ, υἱὸν

Γαλ. 3. 16.

Πράξ. 10. 30.

* ἕνωσ, διαφοράν.

* αὐθρωπον.

* ἄξειν.

Πραξ. 17. 30.

Ὑπογραφὴ τῆς ἡπατημένων.

* ΡΟΥΓΔΙΟΣ * Ἰκονικοῦ Φιλαδελφείας, πεσαρεσκαιδεκατίτης, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας, καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον * Θεοφάνην, προσῆλθον τῇ ἁγιω-

* Βούλιος. * Γαλικῶν. * Θεοφάνους.

Ἐφες. 2. 22.

γιωτάτῃ, ⁊ καθολικῇ ἐκκλησίᾳ· ⁊ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ὑξαιρέτως δὲ τὴν τῆ τεσσαρεσκαιδεκατιτῶν, εἰς ἣν πρότερον ἐπλανώμην· ⁊ συντίθεμαι τῇ προγεγραμμένῃ ἐκθέσει τῆς ὀρθοδόξου πίστεως· ἀναθεματίζων ⁊ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς ἡ ἁγία καθολικὴ, ⁊ ἀποστολικὴ ἐκκλησία ποιεῖ. * ἐπομνύμενος τὴν ἁγίαν, ⁊ ὁμοούσιον τριάδα, ⁊ τὴν εὐσέβειαν, ⁊ νίκην τῶν δεσποτῶν τῆς οἰκουμένης, Φλαυίου Θεοδοσίου, ⁊ Φλαυίου Οὐαλεντινιανοῦ, τῶν αἰωνίων Αὐγούστων. εἰ δέ τι τούτων παρασαλεύσω ποτὲ, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίᾳ. ⁊ ὑπαναγνωσθείσης μοι τῆς ἐκθέσεως, ὑπέγραψα τῇ ἐμῇ χειρί.

* ἐπομνύμενος.

Ἡσύχιος Κερδανεπίου Φλάυιος βυλλάτης, τεσσαρεσκαιδεκατίτης, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας, ⁊ παρακαλέσας, προσῆλθον τῇ ἁγιωτάτῃ, ⁊ καθολικῇ ἐκκλησίᾳ· ⁊ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ὑξαιρέτως δὲ τὴν τῆ τεσσαρεσκαιδεκατιτῶν, ⁊ συντίθεμαι τῇ προγεγραμμένῃ ἐκθέσει τῆς ὀρθοδόξου πίστεως, ἀναθεματίζων τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς ἡ ἁγία, ⁊ ἀποστολικὴ ἐκκλησία ποιεῖ. * ἐπομνήμενος τὴν ἁγίαν ζιάδα, ⁊ τὴν εὐσέβειαν, ⁊ νίκλω τῶν φιλοχρίστων βασιλέων, Φλαυίου Θεοδοσίου, ⁊ Φλαυίου Οὐαλεντινιανοῦ, τῶν αἰωνίων Αὐγούστων. εἰ δέ τι τούτων παρασαλεύσω ποτὲ, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίᾳ. ⁊ ὑπέγραψα τῇ ἐμῇ χειρί.

* ἐπομνήμενος.

Ῥοῦφῖνος Φιλαδελφεὺς, τεσσαρεσκαιδεκατίτης, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας, παρεκάλεσα προσπίπτων τῇ ἁγιωτάτῃ καθολικῇ ἐκκλησίᾳ, ⁊ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ὑξαιρέτως δὲ τὴν τῆ τεσσαρεσκαιδεκατιτῶν· σωτίθεμαι δὲ μετὰ παντὸς τοῦ οἴκου μου τῇ προγεγραμμένῃ ἐκθέσει τῆς ὀρθοδόξου πίστεως· ἀναθεματίζω ⁊ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα, καθὼς ἡ ἁγία, ⁊ καθολικὴ ἐκκλησία ποιεῖ, ἐπομνύμενος τὴν ἁγίαν, ⁊ ὁμοούσιον τριάδα, ⁊ τὴν εὐσέβειαν, ⁊ νίκην τῶν φιλοχρίστων βασιλέων, Φλαυίου Θεοδοσίου, ⁊ Φλαυίου Οὐαλεντινιανοῦ, τῶν αἰωνίων Αὐγούστων· εἰ δέ τι τούτων παρασαλεύσω ποτὲ, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίᾳ μετὰ παντὸς τοῦ οἴκου μου. ⁊ ὑπαναγνωσθείσης μοι τῆς ἐκθέσεως, ⁊ ἀρεσάσης μοι, οἰκείᾳ χειρὶ ὑπέγραψα τῇ ἐμῇ γνώμῃ ⁊ προαιρέσει. *

* ἐπομνύμενος.

* ἐπομνύμενος.

* ἐπομνύμενος.

ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ ἐκκλησίᾳ, καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα, καθὼς καὶ οἱ ὀρθόδοξοι. καὶ ἐξωμοσάμην τὴν ἁγίαν τριάδα, καὶ τὴν εὐσέβειαν τῶν φιλοχρίστων βασιλέων, Φλαυίου Θεοδοσίου, καὶ Φλαυίου Οὐαλεντινιανοῦ, τῶν αἰωνίων Αὐγούστων, εἰ παρασαλεύσω τι τῶν προγεγραμμένων, ὑπεύθυνον εἶναί με τῇ τῶν νόμων αὐστηρίᾳ, καὶ ὑπέγραψα τῇ ἐμῇ χειρί.

Εὐτύχιος διὰ Φιλαδέλφου, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν, καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνην, προσῆλθον οἰκείᾳ μου τῇ γνώμῃ, καὶ προαιρέσει τῇ ἁγίᾳ τοῦ Θεοῦ καὶ καθολικῇ ἐκκλησίᾳ. καὶ ἀναθεματίζω μὲν πᾶσαν ἅρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς οἱ ὀρθόδοξοι· καὶ ἐξωμοσάμην τὴν ἁγίαν τριάδα, καὶ τὴν εὐσέβειαν τῶν φιλοχρίστων βασιλέων, Φλαυίου Θεοδοσίου, καὶ Φλαυίου Οὐαλεντινιανοῦ, τῶν αἰωνίων Αὐγούστων, εἰ παρασαλεύσω τι τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίᾳ. καὶ ὑπέγραψα χειρὶ ἐμῇ.

Παδίκιος Φιλαδελφεὺς, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν, καὶ παρακαλέσας τὸν ὀρθόδοξον, καὶ ἁγιώτατον ἐπίσκοπον Θεοφάνην, προσῆλθον τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ· καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν· καὶ ἐπόμνυμι τὸν σεβάσμιον ὅρκον, καὶ τὴν εὐσέβειαν τῶν φιλοχρίστων βασιλέων, εἰ παρασαλεύσω τι τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίᾳ. καὶ ἀρεσθεὶς ὑπέγραψα διὰ Μαρτυρίου ἀναγνώστου.

Εὐτύχιος χωρίου Αὔλακος, ἔξαρχος τῆς τῶν τεσσαρεσκαιδεκατιτῶν αἱρέσεως, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας, καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνην, καὶ τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰάκωβον, καὶ τὸν εὐλαβέστατον πρεσβύτερον Χαρίσιον καὶ οἰκονόμον, προσῆλθον τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ καθολικῇ ἐκκλησίᾳ. καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, εἰς ἣν τὸ πρότερον ἐπλανώμην· καὶ συντίθεμαι τῇ προγεγραμμένῃ ἐκθέσει τῆς ὀρθοδόξου πίστεως, ἀναθεματίζων καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα, καθὰ ἡ ἁγία καθολικὴ, καὶ ἀποστολικὴ ἐκκλησία ποιεῖ· ἐξομνύμενος τὴν ἁγίαν, καὶ ὁμοούσιον τριάδα, καὶ τὴν εὐσέβειαν, καὶ νίκην τῶν δεσποτῶν τῆς οἰκουμένης, Φλαυίου Θεοδοσίου, καὶ Φλαυίου Οὐαλεντινιανοῦ, τῶν αἰωνίων Αὐγούστων. εἰ δὲ τούτων τι παρασαλεύσω, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίᾳ.

Πατρίκιος δεύτερος πρεσβύτερος κώμης Παραδιοξύλου, χειρὶ χρησάμενος παρὰ Μαξίμου τοῦ συμπρεσβυτέρου μου, διὰ τὸ γράμματά με μὴ εἰδέναι, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας, καὶ παρακαλέσας τὸν θεοφιλέστατον ἐπίσκοπον Θεοφάνην, καὶ τὸν εὐλαβέστατον πρεσβύτερον, καὶ οἰκονόμον Χαρίσιον ἀξιώσας, προσῆλθον τοῦ κοινωνῆσαι τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ τῆς τῶν ὀρθοδόξων πίστεως· καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, καὶ τοὺς μὴ ποιοῦντας τὴν ἡμέραν τὴν ἁγίαν τοῦ πάσχα, καθὼς ἡ καθολικὴ τοῦ Θεοῦ καὶ ἀποστολικὴ ἐκκλησία· καὶ ἐξωμοσάμην τὴν ἁγίαν, καὶ ζωοποιὸν τριάδα, καὶ τὴν εὐσέβειαν, καὶ νίκην τῶν δεσποτῶν τῆς οἰκουμένης, Φλαυίου Θεοδοσίου, καὶ Φλαυίου Οὐαλεντινιανοῦ, τῶν αἰωνίων Αὐγούστων· εἰ δέ τι τούτων παρασαλεύσω, ὑποκείσομαι τῇ τῶν νόμων αὐστηρίᾳ.

Στρατόνικος ἐμμονίου φλάβιος Τεσσαρεσκαιδεκατίτης, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν, καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Ἐπιφάνιον προσῆλθον τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ, καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν Τεσσαρεσκαιδεκατιτῶν, καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα, καθὼς οἱ ὀρθόδοξοι, καὶ ἐξωμοσάμην τὴν ἁγίαν τριάδα, καὶ τὴν εὐσέβειαν τῶν φιλοχρίστων βασιλέων Φλαυίου Θεοδοσίου, καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων Αὐγούστων, εἰ παρασαλεύσω τί τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίᾳ, καὶ ὑπέγραψα διὰ τοῦ ἐννόμου ἀλεξάνδρου, διὰ τὸ μὴ εἰδέναι με γράμματα.

Θεοδώριτος, καὶ ἀλέξανδρος, καὶ φιλάδελφος, ὑπογράψαντες δι' ἑνὸς ἡμῶν τοῦ ἀλεξάνδρου, ἐπιγνόντες τὴν ὀρθοδοξίαν, καὶ παρακαλέσαντες τὸν ἁγιώτατον ἐπίσκοπον θεοφάνιον, προσήλθομεν τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ τῶν ὀρθοδόξων, καὶ ἀναθεματίζομεν πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν λεγομένων καθαρῶν, καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα, καθὼς οἱ ὀρθόδοξοι· καὶ ἐξωμοσάμεθα τὴν ἁγίαν τριάδα, καὶ τὴν εὐσέβειαν, καὶ νίκην τῶν δεσποτῶν τῆς οἰκουμένης Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων Αὐγούστων εἰ παρασαλεύσομεν τί τῶν προγεγραμμένων, ὑποκεῖσθαι ἡμᾶς τῇ τῶν νόμων αὐστηρίᾳ, καὶ ὑπαναγνωσθείσης ἡμῖν τῆς ἐκθέσεως ταύτης, ὑπεγράψαμεν.

Μαρῖνος Συνθίου, χειρὶ χρησάμενος παρὰ νεωταρίου ἀναγνώστου τῶν ὀρθοδόξων, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν, καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον θεοφάνιον, προσῆλθον τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, καὶ τοὺς μὴ ποιοῦντας τὴν ἡμέραν τοῦ πάσχα καθὼς οἱ ὀρθόδοξοι. ἐξωμοσάμην τὸν θεῖον ὅρκον, καὶ εἰ παρασαλεύσω τί τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίᾳ, καὶ ὑπέγραψα.

Κυριακὸς φιλαδελφεὺς τῆς τῶν ναυατιανῶν αἱρέσεως, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν, καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον θεοφάνιον, προσῆλθον τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ, καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν καθαρῶν, καὶ ἐξωμοσάμην τὸν σεβάσμιον ὅρκον, εἰ παρασαλεύσω τί τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίᾳ· καὶ ὑπαναγνωσθήσης μοι τῆς ἐκθέσεως ταύτης ὑπέγραψα, διὰ εὐσεβίου τοῦ καλλιοπίου σύρου.

Εὐξένιος φιλαδελφεὺς ναυατιανὸς, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν, καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον θεοφάνιον, προσελθὼν τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ, ἀναθεματίζω πᾶσαν αἵρεσιν, καὶ ἐξωμοσάμην τὸν σεβάσμιον ὅρκον, μὴ παρασαλεῦσαι τί

τῶν

τῶν προγεγραμμένων, καὶ ὑπέγραψα τῇ ἐμῇ χειρί.

Διομήδης οἰκῶν ἐν κόμῃ κακάβας, ἐπιγνοὺς τὴν ὀρθόδοξον πίστιν, καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον θεοφάνιον, προσῆλθον ἐκουσίᾳ τῇ ἐμαυτοῦ γνώμῃ, καὶ αὐθαιρέτῳ προαιρέσει, τῇ ἁγίᾳ καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ ἀναθεματίζω δὲ πᾶσαν αἵρεσιν, ἐξαιρέτως τὴν τῶν Τεσσαρεσκαιδεκατιτῶν, εἰς ἣν τὸ πρὶν ἐπλανώμην. καὶ ἐξόμνυμι τὴν ἁγίαν, καὶ ὁμοούσιον τριάδα, καὶ τὴν νίκην, καὶ εὐσέβειαν τῶν δεσποτῶν τῆς οἰκουμένης, ἐμμεῖναί με τοῖς προγεγραμμένοις, καὶ μὴ παρασαλεῦσαι τί, ἀλλ' ἐν πᾶσι διαφυλάττειν, ἐμμένοντα τῇ ὀρθοδόξῳ πίστει. εἰ δὲ φανείην ποτὲ παρασαλεῦσαι τί τῶν προγεγραμμένων ὑποκεῖσθαί με τί τῶν νόμων αὐστηρίᾳ. ἐπακούσας τῆς ἐκθέσεως, ὑπέγραψα χειρὶ ἐμῇ.

Ἰουλιανὸς φιλαδελφεὺς Τεσσαρεσκαιδεκατίτης, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν, προσῆλθον τῇ ἁγίᾳ τοῦ Θεοῦ τῶν ὀρθοδόξων ἐκκλησίᾳ, καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν Τεσσαρεσκαιδεκατιτῶν, καὶ ἐξόμνυμι τὸν σεβάσμιον ὅρκον, καὶ τὴν εὐσέβειαν τῶν φιλοχρίστων βασιλέων, εἰ παρασαλεύσω τί τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίᾳ, καὶ ἀρεσθεὶς, ὑπέγραψα, διὰ μαρτυρίου ἀναγνώστου.

Ζηνῶν χωρίου σαγόρου πύθε, τῆς τῶν Τεσσαρεσκαιδεκατικῶν αἱρέσεως, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας, καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον θεοφάνιον, καὶ τὸν εὐλαβέστατον χωρεπίσκοπον Ἰάκωβον, καὶ τὸν εὐλαβέστατον πρεσβύτερον, καὶ οἰκονόμον χαρίσιον, προσῆλθον τῇ ἁγιωτάτῃ καθολικῇ ἐκκλησίᾳ, καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν. ἐξαιρέτως δὲ τὴν τῶν Τεσσαρεσκαιδεκατιτῶν, εἰς ἣν τὸ πρότερον ἐπλανώμην, καὶ συντίθεμαι τῇ προγεγραμμένῃ ἐκθέσει [d] τῆς ὁμολογίας, ἀναθεματίζων καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα, καθὼς ἡ ἁγία καθολικὴ ποιεῖ ἐκκλησία ἐξομνύμενος τὴν ἁγίαν, καὶ ὁμοούσιον τριάδα, καὶ τὴν εὐσέβειαν καὶ νίκην τῶν δεσποτῶν τῆς οἰκουμένης, Φλαυίου θεοδοσίου, καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων Αὐγούστων, εἰδέτι τούτων παρασαλεύσω ποτὲ, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίᾳ. τῇ δὲ χειρὶ ἐχρήσατο ὑπὲρ αὐτοῦ Φλάυιος παλλάδιος, διὰ τὸ αὐτὸν παρόντα λέγειν γράμματα μὴ εἰδέναι.

Ὅρος τῆς συνόδου περὶ τῆς πίστεως, ἐν ᾧ καὶ περὶ ὧν ἀνηνέγκεν ὁ Χαρίσιος.

ΤΟΥΤΩΝ τοίνυν ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προσφέρειν, * ἤγουν συγγράφειν, ἢ συντιθέναι παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαέων * συνελθόντων σὺν ἁγίῳ πνεύματι· τοὺς δὲ τολμῶντας, ἢ συντιθέναι πίστιν ἑτέραν, * ἤγουν προκομίζειν, ἢ προσφέρειν τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, ἢ ἐξ ἑλληνισμοῦ, ἢ ἐξ Ἰουδαϊσμοῦ, ἢ ἐξ αἱρέσεως οἱασδηποτοῦν· τούτους, εἰ μὲν εἶεν ἐπίσκοποι, ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι.

Κατὰ τὸν ἴσον δὲ τρόπον, εἰ φωραθεῖέν τινες, εἴτε ἐπίσκοποι, εἴτε κληρικοὶ, φρονοῦντες, ἢ διδάσκοντες τὰ ἐν τῇ * προσκομισθείσῃ ἐκθέσει παρὰ Χαρισίου πρεσβυτέρου περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, ἤγουν τὰ μιαρὰ, καὶ διεστραμμένα Νεστορίου δόγματα, ἃ καὶ ὑποτέτακται, ὑποκείσθωσαν τῇ ἀποφάσει τῆς ἁγίας ταύτης, καὶ οἰκουμενικῆς συνόδου. ὥστε δηλονότι τὸν μὲν ἐπίσκοπον ἀλλοτριοῦσθαι τῆς ἐπισκοπῆς, καὶ εἶναι καθῃρημένον, τὸν δὲ κληρικὸν ὁμοίως ἐκπίπτειν τοῦ κλήρου. εἰ δὲ λαϊκός τις εἴη, καὶ οὗτοι ἀναθεματιζέσθωσαν, καθὼς προείρηται.

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας ὁμιλίᾳ, λεχθεῖσα ἐν Ἐφέσῳ, πρὶν συγχεθῆναι * ὑπὸ τοῦ κόμητος, καὶ ὑπὸ στρατιωτῶν φυλαχθῆναι.

ΟΜΑΚΑΡΙΟΣ προφήτης Δαυὶδ τοὺς ἐπὶ Θεῷ ποποιθότας * εὐτολμοτάτους ἀποφαίνει, λέγων· ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ κύριον. τὰ μὲν γὰρ ἐν τοῖς παραδείσοις φυτὰ ταῖς ἀφθονωτάταις τῶν ὑδάτων ἐπιῤῥοαῖς αὔξειτε, καὶ τέθηλε, καὶ εἰς ὕψος αἴρεται μέγα· ψυχὴ δὲ ἀνδρὸς ταῖς τοῦ ἁγίου πνεύματος παρακλήσεσιν, * ἀνδρύνεται πρὸς εὐσέβειαν, βεβαιοῦται πρὸς πίστιν, ἄθραυστον δέχεται τὴν ὑπομονήν· ἣν δὴ μάλιστα πασῶν τῶν ἄλλων ἀρετῶν ὁ μακάριος Παῦλος τεθαύμακέτε, καὶ οὕτω φησίν· οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. ἔστι τοίνυν ἡ ὑπομονὴ παντὸς ἡμῖν ἀγαθοῦ πρόξενος, καὶ προμνήστρια, ὁδὸς εἰς εὐδοκίμησιν, τροφὸς ἐλπίδος, τῆς εἰς αἰῶνα τὸν μέλλοντα. κατορθώσομεν δὲ τὴν ὑπομονὴν τίνα τρόπον; ἡ θεία διδάσκει λέγουσα γραφή· τέκνον, εἰ προσέρχη δουλεύειν τῷ κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον. ἀλλ' ἴσως ἐρεῖ τις· οὐ γὰρ ἦν ἑτέρως εὐδοκιμῆσαι τὸν ἄνθρωπον; οὐκ ἦν δίχα πόνου κατορθοῦν δυνάσθαι τὸ ἀγαθόν; οὐδαμῶς, φησί. καὶ διὰ ποίαν αἰτίαν; πολλοὶ γὰρ λίαν οἱ τοῖς ἁγίοις ἐπιβουλεύοντες, καὶ δεινὸς περὶ αὐτοὺς ὁ πόλεμος. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν ὁ σωτήρ· θλίψιν ἔχετε ἐν τῷ κόσμῳ, ἀλλὰ θαρσεῖτε· ἐγὼ νενίκηκα τὸν κόσμον. οὐκοῦν ἐπειδήπερ πολὺς πανταχόθεν τῶν ἁγίων ὁ πόλεμος, ἀντιφέρεσθαι νεανικῶς ἀναγκαῖον αὐτοὺς ταῖς τῶν πειρασμῶν ἐφόδοις, διαμεμνῆσθαι δὲ τοῦ λέγοντος μαθητοῦ· μακάριος ἄνθρωπος, ὃς ὑπομένει θλίψιν, καὶ πειρασμόν· ὅτι δόκιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. βούλομαι δέ τι τῶν ἀρχαιοτέρων ἀφηγήσασθαι * πραγμάτων, ἵνα μάθητε τῆς πνευματικῆς εὐανδρίας τὸ τέλος. οἱ Βαβυλωνίων τύραννοι, καὶ τοὺς τῆς παρ' αὐτοῖς βασιλείας διέποντες θρόνους, ἑτοιμότεροί πως ἀεὶ γεγόνασι πρὸς ὠμό-

Δαν. 3. ωμότητα, καὶ ὑπεροψίαν. καὶ τὸς τῆς ἀνθρωπότητος ὑπερβαίνοντες ὅρους, τὸ μόνῳ πρέπον ἀξίωμα τῷ ἐπὶ πάντων Θεῷ εἰς ἑαυτὸς ἁρπάζειν ἤθελον. ὧ οὖ ὁ ἐπάρατος Ναβουχοδονόσορ ἀνέστησε μὲν εἰκόνα χρυσῆν. ὑπηχούντων δὲ αὐτῇ τῇ δόξῃ νοτάτων ὀργάνων, προσκυνεῖν ἐκέλευε τοῖς ὑπὸ χεῖρα λαοῖς· οἱ δὲ οὐκ ἀμελέτητον ἔχοντες τὸ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα Θεὸν, ἑτοιμότατα μὴ πρὸς τοῦτο ἐβάδιζον. ἠλλαξαν δὲ τηλὼ δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου. ἐπειδὴ δὲ τοὺς τῆς Ἑβραίων παῖδας ἤγαγον εἰς μέσον οἱ Βαβυλώνιοι· Ἀνανίας δὲ * λιῶ, καὶ Ἀζαρίας, καὶ Μισαὴλ· προσκυνεῖν ἐκέλευον τῇ εἰκόνι τῇ χρυσῇ, καὶ τὸ * ἐνῳδέσατον, ὦ φιλόθεον καταβιάζοντο ῥόμος εἰς τηλὼ ἴσηλω αὐτοῖς καταλιθῆσαι ἁμαρτίαν, καὶ προσκυνεῖν τῇ εἰκόνι τῇ χρυσῇ. ἀλλ' λιῶνον ἐδόκει. ἡττώμενοι δὲ τῆς ἐκείνων φιλοθείας, τηλὼ ὄφρα πυρὸς αὐτοῖς ἐπήναγον κόλασιν. ἔγκλημα δὲ λιῶ τοῖς πλεονεκτουμένοις τὸ βέβαιον εἰς πίστιν, τὸ πεπηγὸς εἰς δυσέβειαν, ἀνθρωπολατρείας παραίτησις, καὶ τὸ μὴ βούλεσθαι φρονεῖν ὅσα τηλὼ θείαν παρεμβάλλει φύσιν. ἐπειδὴ δὲ ἐνεβλήθησαν εἰς τηλὼ κάμινον τοῦ πυρὸς, τότε δὴ, τότε τῆς ἀῤῥήτου διωάμεως μεγάλη γέγονεν ἡ ἐπίδειξις. μετεσκεύαζετο γὰρ * τῇ στοιχείων ἡ διωάμις εἰς τὸ παρὰ φύσιν, καὶ τοῖς τοῦ κτίσαντος νεύμασι παρεχώρει τὸ πῦρ. καὶ εἰς πνεῦμα δρόσου ἐμαστεύζον ἡ φλὸξ μετεπλάττετο· αἰσθόμενοι δὲ τῆς ἄνωθεν ἐπικουρίας οἱ νεανίαι, ἦδον ἐν τῇ καμίνῳ τοῦ πυρὸς, ταῖς εἰς Θεὸν ὑμνῳδίαις ἐξημερῶντες τὸ πῦρ. ἐκκλησίας τύπῳ ἡ κάμινος λιῶ, ἁγίους ἐχουσα χορευτὰς, οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ ἀγγέλους. πεθαύμακας τῇ ἀνδρῶν τηλὼ ἀρετηλίῳ· ἐπῄνεσας τηλὼ ὑπομονηλίῳ, τῆς φιλοθείας τὸ μέγεθος. ἴδωμεν ἐν τίσι τὰ καθ' ἡμᾶς. ἐκεῖνοι μὲν γὰρ ὑπὸ τυράννοις ἦσαν βαρβάροις. ἡμεῖς δὲ ὑπὸ σκήπτροις δυσεβέσιν, δυσεβεστάτους ἔχοντες τοὺς τῇ ὅλων κρατοῦντας πραγμάτων· πῶς ἐνδωσόμεθα τοῖς ἐχθροῖς; εἰ γὰρ καὶ κάμινον ἀνάπτουσιν * ἐπίβουλοι, εἰ καὶ φλόγας ἐγείρουσι * δυσροπίᾳ, ἀνθρωπολατρείαν ἡμῖν εἰσφέροντες. ἀλλ' ἡμεῖς ἔχομεν Θεὸν ἐν οὐρανῷ, αὐτῷ * προσκυνήσομεν. Θεὸς γὰρ ὢν φύσει, γέγονε καθ' ἡμᾶς, οὐκ ἀποβεβληκὼς τὸ εἶναι Θεὸς. τιμήσας δὲ τηλὼ τῶν ἀνθρώπων φύσιν· δωατὸς ἐστιν ἐξελέσθαι ἡμᾶς· ἡμεῖς γὰρ τῇ πίστει τῶν δυσεβεστάτων ἐπόμενοι βασιλέων, καὶ τῆς ἐνούσης αὐτοῖς ἡμιρότητος εἰδότες τὸ μέγεθος, τῶν ἐναντίων σκαιότητες οὐκ ἀνεξόμεθα, ὁμολογήσομεν δὲ ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Ἐμμανουήλ· ὧ τοῦτο λέγοντες, ὅπου τε ὀμνύμενοι, πλείστου ὅσου ἀποκερδανοῦμεν τηλὼ ἀντιμισθίαν· καὶ ποίαν ταύτην; αὐτὸς ἡμᾶς * διδάξει λέγων· πᾶς ὃν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ * αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ὁμολογεῖ δὲ αὐτὸν ὁ λέγων, ὅτι Θεός ἐστιν ἀληθινὸς, καὶ τοῖς ἀπιστοῦσιν ἐπιτιμᾷ· ἀρνεῖται δὲ πάλιν ὁ μὴ λέγων, ὅτι Θεός ἐστιν ἀληθινὸς, ἀλλὰ καὶ τοῖς ὁμολογοῦσι μαχόμενον. ἐκεῖνος ἀρνήσεται μὲν ἐκείνους, ὁμολογήσει δὲ ἡμᾶς ὁ πάντων σωτήρ· δι' οὗ ὧ μεθ' οὗ τῷ Θεῷ, καὶ πατρὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

Ματθ. 10.33.

* ἔνιοι. * ἐνυβρίσαντον

* τοῦ στοιχείου

* ἐνεβλήθησαν * δυσροπίαν, * προσκυνήσωμεν.

Ἀναφορὰ τῶν ἀναπολίκων πρὸς τὸν βασιλέα· ἧς προέταξαν τὸ σύμβολον τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων, ἀναγαγόντες τὰ ἀπὸ τῆς ἁγίας, καὶ οἰκουμενικῆς συνόδου τυπωθέντα ἐπὶ τοῖς προδοθεῖσιν * αὐτῇ λιβέλλοις παρὰ Κυρίλλου, καὶ Μέμνονος τῶν ἁγιωτάτων· ἧ τις ἐσάλη Εἰρηναίῳ κόμητι, καὶ δι' αὐτοῦ ἀπεδόθη.

* κατὰ αὐτῆς.

ΘΡΗΝΩΝ ὡς ἀληθῶς, καὶ δακρύων, καὶ ὀδυρμῶν ἄξια τὰ ὑπὸ τῶν λεγομένων ἐπισκόπων πολυμόρφως· ὡς ἐν σκιᾷ καὶ θεάτρῳ, καὶ τὰ μεγάλα, ὧ ἄρρητα τῆς ἐκκλησίας μυστήρια παίζουσι. καθαιρεθέντες γὰρ ὑφ' ἡμῶν διὰ τὰς πολλὰς αὐτῶν παρανομίας Κύριλλος, καὶ Μέμνων, καὶ διὰ τὸ δυσσεβὲς Ἀπολιναρίου φρόνημα, ὃ ἐν τοῖς κεφαλαίοις τοῖς ὑπ' αὐτοῦ πεμφθεῖσιν Δρήκαμεν, λιβέλλους, ὡς ἐγνώμεν ἐπὶ τὸ παρόντος, ἔδοσαν τοῖς λοιποῖς τὰ ἄθεσμα ἐκεῖνα πεποιηκόσι, καὶ τοῖς κεφαλαίοις ἐκείνοις τοῖς αἱρετικοῖς καθυπογράψασιν. καὶ διὰ τοῦτο παρ' ἡμῶν τῷ τῆς ἀκοινωνησίας ὑποβληθέντες ἐπιτιμίῳ, ὡς παρ' ἡμῶν ἀδικηθέντες, καὶ δικαίοις χρησάμενοι τοῖς ὑπαθθώοις ὅσι, καὶ τοῖς ἴσοις ἐγκλήμασιν ὑποκειμένοις, ἐκάλεσαν ἡμᾶς εἰς κειτήριον, τὸ ἀκήρατον τῆς ὀρθοδοξίας τηλὼ πίστιν διαφυλάττειν προαιρουμένους. εἶτα ἡμῶν ἀκολούθως ἀποχειροτονηθέντων, ὡς χρὴ ἀναμεῖναι τὰ παρὰ τῆς ὑμετέρας δυσεβείας τυπούμενα, καὶ δὶς, καὶ τρὶς ταῦτα εἰρηκότων, παιδιὰν ἡγησάμενοι τὰς τῆς δυσεβείας θεσμὰς, ἀπέδοσαν αὐτοῖς, ὥς γε νομίζουσι, τηλὼ ἱερουργίαν, ὅμοια ποιοῦντες, ὥσπερ ἂν εἴ τις δεδεμένος, καὶ ἑαυτὸν τῶν δεσμῶν ἀπαλλάξαι μὴ δυνάμενος, ἕτερον λύειν ἐπιχειρήσειεν· εἰ μὲν γὰρ οὐκ ἀξιόχρεως λιῶ ἡ παρ' ἡμῶν γνωμοσία Μέμνονος, καὶ Κυρίλλου καθαίρεσις, ἐχρὴν μηδὲ λιβέλλους δοθῆναι, μηδὲ λυθῆναι, ὥς γε νομίζουσι, τοὺς καθαιρεθέντας. εἰ δὲ ἀληθῶς, ὥσπερ ὄντ' ἀληθῶς, ἀξιόχρεως λιῶ, καὶ ἡ ἀκοινωνησία ὡσαύτως ἀξιόπιστος καὶ βεβαία· παρὰ γὰρ αὐτῶν αὕτη κἀκείνη ἐγένετο· τούτων δὲ ὅτως ἐχόντων, πῶς οἷόν τε λιῶ τοὺς ἀκοινωνήτους, καὶ πάσης * ἱερουργίας κεχωλυμένους, τοῖς καθηρημένοις ἱερουργίαν ἀποδοῦναι; καὶ ταῦτα μείζουσιν ἐγκλήμασιν ἑαυτοὺς περιπείροντες; ἀκοινώνητοι * γὰρ ὄντες, τῆς τε κοινωνίας κατεπάλμησαν, ὧ τοῖς καθηρημένοις παρανόμως ἐκοινώνησαν, καὶ προὸ τῆς καταγελάστου λύσεως. δεόμεθα τοίνυν τοῦ ὑμέτερου κράτους, μὴ παρεῖδεῖν τοὺς ἐκκλησιαστικοὺς πατρικίους θεσμοὺς, ἀλλ' ὡς τάχιστα * ἐπαμῦναι τῇ πίστει πολεμουμένῃ, καὶ ἡμῖν ἐπιβουλευομένοις· μυρία γὰρ ἡμῖν ἀπειλοῦσιν ἀνήκεστα· καὶ κελεῦσαι ἡμᾶς ἐντεῦθεν ἀπαλλαγῆναι, καὶ εἰς τηλὼ βασιλίδα πόλιν παραγενέσθαι. ἵνα ἐπὶ τῆς δυσεβείας τῆς ὑμετέρας, καὶ τηλὼ παρανομίαν αὐτῶν, καὶ τηλὼ ἀσέβειαν διελέγξωμεν· ἀδυνάτον γάρ, ὡς ἡγούμεθα, δίχα τοῦ ὑμετέρου κράτους δικαίως, καὶ εὐθέσμως τὰ προκείμενα τυπωθῆναι. εἰ δὲ τοῦτο μὴ παραστῇ ὑμῶν

* ἱερατικῆς λειτουργίας

* γὰρ κεκοινωνήκοτες ὄντες. * ἐκκλησ.

* ἐκπαμῦναι

μων τῇ γαλιωότητι, εἰς τὸ Νικομήδειαν μεταχληθῆναι παρακαλοῦμεν· ἵνα ῥᾳδίως καὶ τὰ γινόμενα δηλῶμεν τῷ ὑμετέρῳ κράτει, καὶ τὰς τῆς ὑμετέρας δυσεβείας δεχώμεθα τύπους. προσάξαι δὲ παρακαλοῦμεν τὸ φιλόχειστον ὑμῶν κορυφαῖον, μὴ ἑκάστε μητροπολίτε δύο μόνας θεοφιλεστάτες ἐπισκόπους συγκληθῆναι· τὸ γὰρ πλῆθος πειρᾶται μὲν εἰς δογμάτων ζήτησιν, θορύβες δὲ μόνον οἶδεν ἐργάζεσθαι. διὸ καὶ οἱ προειρημένοι μὴ πλῆθος παρεγένοντο, * τότῳ μόνῳ θαῤῥοῦντες, ἀλλ' ὀρθότητι ἀληθείᾳ καὶ δογμάτων, καὶ σκοπὸν ἔχοντες δι' ὀλίγων τὸ πλῆθος τὸ οἰκείαν προθέσιν εἰς ἔργον ἀγαγεῖν, καὶ τῷ πλήθει τῶν ὑπογραφῶν συναρπάσαι. ἡμεῖς δὲ καὶ τῷ ὑμετέρῳ θεσπίσματι πειθόμενοι, καὶ νομίσαντες ὀλίγους ἱκανοὺς εἰς ζήτησιν δογμάτων, ἓξ ἐξ ἑκάστης ἐπαρχίας ἐλήλυθαμεν· καὶ μέχρι τῶν παρόντων τὸς τῆς ὑμετέρας δυσεβείας ὅρους φυλάττοντες, ἐκ ἀπεσείλαμεν αὐτόθι θεοφιλεστάτους ἐπισκόπους, ὡς οἱ πάντα δι' ὀλίγων τολμῶντες πεποιήκασιν· ἀλλὰ διὰ γραμμάτων ἃ ἐχρῆν ἐδιδάξαμεν, σκοπὸν ἔχοντες μὴ ἀντιτείνειν τοῖς δυσεβέσιν ὑμῶν θεσπίσμασι· πρὸς δὲ τότοις ἀντιβολοῦμεν ὑμῶν τὸ δυσέβειαν, κελεῦσαι, πάντας τῇ κατὰ Νίκαιαν ὑπογράψαι πίστει, ἣν τότων ἡμῶν προετάξαμεν τῶν γραμμάτων· καὶ μηδὲν αὐτῇ ξένον ἐπεισαγαγεῖν, μήτε ψιλὸν ἄνθρωπον τὸν κύριον ὑμῶν Ἰησοῦν Χριστὸν λέγοντας· Θεὸς γάρ ἐστι τέλειος, καὶ ἄνθρωπος τέλειος· μήτε παθητὴν εἰσάγειν τὴν θεότητα τοῦ Χριστοῦ· τολμηρὸν γὰρ ἑπίσης ἑκάτερον.

* τότοις μᾶλλον.

Περὶ τῶν ἀποχισῶν.

Ἡ ἁγία σύνοδος, ἥτις τ ἀνατολικῆς διοικήσεως, καὶ οἱ σὺν αὐτοῖς ἐκ διαφόρων διοικήσεων καὶ ἐπαρχιῶν συνηγμένοι, Βιθυνίας, Πισιδίας, καὶ Καππαδοκίας, δ Πόντου, Παφλαγονίας, Εὐρώπης, Μυσίας, Ῥοδόπης, Θεσσαλίας, διελάλησαν τὰ ὑποτεταγμένα.

ΤΩΝ σύαγχος ἀναφυσάντων ἐκκλησιαστικῶν ἕνεκα ζητημάτων εἰς τὴν Ἐφεσίων πόλιν συγκληθέντες ὑπὸ τῶν δικαίως βασιλεύειν ὑπὸ τοῦ Θεοῦ δοκιμασθέντων, καὶ τὰς οἴακας τῆς οἰκουμένης ἐγχειρισθέντων, τῶν σοφῶς τε, καὶ εὐσεβῶς τὰς ὑπηκόους * διωκόντων, ἀόκνως τὴν εἰρημένην καταλάβομεν πόλιν· χρόνε δὲ τεμβέντος ἐκ ὀλίγε διὰ τὰς γεγενημένας ὑπὸ Κυρίλλε, καὶ Μέμνονος ταραχὰς, καὶ ὅις, καὶ τοῖς γραμμάτων φοιτησάντων παρὰ τῶν * ἡμετέρων βασιλέων, παρεγγυώντων τῷ δεσμῷ τῆς εἰρήνης σῴζεσθαι τὰς ἀπαντοχοῦ τοῦ Θεοῦ ἐκκλησίας, καὶ ἀρκεσθῆναι τῇ ἐν Νικαίᾳ ὑπὸ τῶν μακαρίων πατέρων ἐκτεθείσῃ πίστει, ἐκβαλλομένων δηλαδὴ τῶν αἱρετικῶν σκανδάλων, ἐπειράθημεν γὰρ τοὺς τὰ τοῦ Αἰγυπτίε Κυρίλλε φρονήσαντας ἐπισκόπους, καὶ τοῖς ὑπ' αὐτοῦ ἐκτεθεῖσιν αἱρετικοῖς κεφαλαίοις καθυπογράψαντας, πεῖσαι ἀνελεῖν ἐκεῖνα τὰ τῇ ὀρθοδόξῳ πίστει λυμαινόμενα σαφῶς, ἀρκεσθῆναι δὲ τῇ ἐν Νικαίᾳ γνωσθείσῃ ἐκθέσει, κατὰ τὸ θέσπισμα τῶν φιλοχρίστων ἡμῶν βασιλέων, μὴ δυνηθέντες δ' αὐτοὺς πεῖσαι, διὰ τὸ κακῶς γνωσθῆναι αὐτοῖς ἀφ' ὁ

* διοικοῦντων

* αὐτοκράτορες καὶ αὐτοῦ τοῦ ἁγίου βασιλέως.

λοιπὸν, ἠναγκάσθημεν οἱ τῇ ὑγιεῖ τῶν πατέρων * ἐμμένοντες πίστει, καὶ μηδὲν αὐτῇ ξένον παρεισαχθῆναι συγχωρήσαντες, ταύτην ἐγγράφως ἐκθέσθαι, καὶ ταῖς ὑπογραφαῖς τὸ οἰκείαν ὁμολογίαν βεβαιῶσαι. ἀρκεῖ γὰρ τῶν ὀλίγων τότων γνώσεων ἡ ἔκθεσις, καὶ τῆς δυσεβείας διδάξαι τὸ ἀσεβές, καὶ τῆς ἀληθείας ἐκδιδάξαι τὸ τέλειον, καὶ τῆς αἱρετικῆς κακοδοξίας ἐλέγξαι τὸ πλάνον. ἔστι δὲ ἡ ἔκθεσις τῆς πίστεως ἥτις.

* infra.

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε, καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ πατρὸς μονογενῆ, τοῦτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρὸς. Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί· δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ, καὶ τὰ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὸ ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα· παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· ἀνελθόντα εἰς οὐρανὸς, καὶ * ἐν δεξιᾷ τοῦ πατρὸς καθεζόμενον, * Ita legen. καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. τοὺς δὲ λέγοντας· ἦν ποτε ὅτε οὐκ ἦν, καὶ· πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ· ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας φάσκοντας εἶναι, ἢ ἐξαπὸν, ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ Θεοῦ· τούτους ἀναθεματίζει ἡ καθολικὴ, καὶ ἀποστολικὴ ἐκκλησία.

Αὕτη ἐστὶν ἡ πίστις, ἣν ἐξέθεντο οἱ πατέρες, πρῶτον μὲν κατὰ Ἄρειε βλασφημοῦντας, καὶ λέγοντος κτίσμα εἶναι τὸν υἱὸν τοῦ Θεοῦ. καὶ κατὰ πάσης αἱρέσεως, Σαβελλίε τε, καὶ Φωτεινοῦ, καὶ Παύλε τοῦ Σαμοσατέως, καὶ Μανιχαίε, καὶ Οὐαλεντίνε, καὶ Μαρκίωνος, καὶ κατὰ πάσης αἱρέσεως, ἥτις ἐπανέστη τῇ καθολικῇ ἐκκλησίᾳ· οἷς καὶ κατέκειντο οἱ ἐν τῇ Νικαέων πόλει συνηγμένοι ἐπίσκοποι τριακόσιοι δεκαοκτώ. ταύτῃ τῇ ἐκθέσει τῆς πίστεως ἅπαντες ἐμμένειν ὁμολογοῦμεν, ἡμεῖς τε οἱ ἐν Ἐφέσῳ συνελθόντες, καὶ οἱ ἐν ταῖς ἡμετέραις ἐπαρχίαις θεοσεβέστατοι ἐπίσκοποι, συνθέμενοι ἐμμένειν πᾶσι τοῖς ὑφ' ἡμῶν πραττομένοις. πεποίθαμεν γὰρ τῷ σοφῷ λέγοντι· μὴ μετάρε ὅρια αἰώνια, Παροιμ. κβ. ἃ ἔθεντο οἱ πατέρες σε. τὰ δὲ ἔναγχος ὑπὸ Κυρίλλε τοῦ Ἀλεξανδρείας ἐκτεθέντα αἱρετικὰ κεφάλαια, οἷς καὶ ἀναθεματισμοὺς περιττοὺς, καὶ μακρὸς συνέζευξε, καὶ ἐπειράθη πολλὰ χειρῶσαι καὶ ψήφῳ, καὶ ὑπογραφῇ ἐπισκόπων, ἐκβάλλειν καὶ ἀλλοτριοῦν τῆς ὀρθοδόξου πίστεως ἣ ἐν Ἐφέσῳ συναθροισθεῖσα ἁγία συνόδος.

Γωάννης ἐπίσκοπος Ἀντιοχείας τῆς ἀποστολικῆς συνεθέμην τῇ προγεγραμμένῃ ἁγίᾳ πίστει.

Συνυπέγραψαν δὲ ὁμοίως καὶ οἱ λοιποὶ αὐτῶν ἐπίσκοποι οἵ τινες διὰ τῆς ἐξῆς αὐτῶν ἐπιστολῆς κατὰ Ῥώμην ἐπίσκοπον συνάραντες αὐτοῖς ἔξιον.

Ἰσον βασιλικῆ γράμματος, ἀποσαλέντος ἐν Ἐφέσῳ πρὸς τὴν ἁγίαν συνοδον διὰ Παλλαδίου μαγιστριανῆ, ἀναξέποντες τὰ παρ' αὐτῶν πραχθέντα, ὡς ὀφειλούσης ἄνωθεν γίνεσθαι συζητήσεως.

Αὐτοκράτορες Καίσαρες, Θεοδόσιος καὶ Οὐαλεντινιανός, νικηταὶ, τροπαιοῦχοι, μέγιστοι, ἀεισέβαστοι, τῇ κατ' Ἔφεσον ἁγιωτάτῃ συνόδῳ.

ΤΟΥ μεγαλοπρεπεστάτου κόμητος τῆς καθωσιωμένων δομεστίκων Κανδιδιανῆ γνωρίσαντος ἡμῖν, μεμάθηκεν ἡ ἡμετέρα ἀσέβεια παραχωδῶς τινα, καὶ παρὰ τὸ πρόσηκον κατὰ τὴν Ἐφεσίων γενέσθαι μητρόπολιν, ἔτε πάντων, ὥσπερ ἐδέδοκτο, τῆς θεοσεβεστάτων ἐπισκόπων συνελθόντων· καί τοι τὸ τῆς μεγαλοπόλεως Ἀντιοχείας ἐπισκόπου πλησιάζειν ἤδη σὺν ἑτέροις μητροπολίταις μέλλοντος· ἔτε τῆς ἤδη παραγεγονότων συσκευαμένων ἢ ὁμονοησάντων ἀλλήλοις, οὔτε μὴν τὰ περὶ τῆς πίστεως καθ' ὃν ἐχρῆν τρόπον ἐξετασάντων, ἢ ὥσπερ τοῖς * ἐγκαταπεμφθεῖσι θείοις ἡμῶν περιείχετο γράμμασιν· ἀλλὰ ὥστε δήλως εἶναι τῷ τινων πρός τινας ἀπέχθειαν, διὰ πολλοῦ τὴν περὶ τὰ ὁπωσοῦν δόξαντα σπουδὴν, οὔτε παρακαλύμματι χρήσασθαι δυνηθέντων. διὸ νομίσειεν ἄν τις λογισμῷ τὰ γεγονότα πεπρᾶχθαι· ὅθεν δέδοκται τῇ ἡμετέρᾳ θειότητι, χώραν μὲν τῷ τοιούτῳ μηδαμῶς ἔχειν * ἐξελθεῖν * αὐθεντίαν· τῶν δὲ ἀνακολούθως γεγονότων, ἀργόντων, τοὺς περὶ τῆς ἀσεβείας λόγους, ὥσπερ ἐδέδοκτο, πρότερον ἐξετασθῆναι, καὶ κατὰ τὸ κοινῇ πάσῃ τῇ συνόδῳ δοκοῦν εἰς τὸν ἑξῆς χρόνον χρατεῖν· ἐκ ἀνεχομένης τῆς ἡμετέρας ἀσεβείας τῆς ἐξ ἐπιτηδεύσεως προλημμάτων· οὕτω δὲ ἐπὶ τοῖς γεγονόσιν ἀγανακτούσης, ὥστε χιλιάκις μέχρις ἂν καὶ παρὰ πάσης τῆς συνόδου τὰ τῆς ἀσεβείας ἐξετασθῇ δόγματα, καὶ ἀποσαλῇ τις ἐκ τοῦ θείου ἡμῶν παλατίου ἅμα τῷ μεγαλοπρεπεστάτῳ Κανδιδιανῷ τῷ κόμητι, τὰ πεπραγμένα κατὰ κέλευσιν ἡμετέραν εἰσόμενος, καὶ κωλύσων τὰ ἀνακόλουθα, μηδὲ ἀποσῆναί τινα τῆς συνειλεγμένων ἐπισκόπων τῆς Ἐφεσίων πόλεως, μήτε μὲν ἐπὶ τὸ θεῖον ἡμῶν ἐλθεῖν στρατόπεδον, ἢ ἐπὶ τὴν ἑαυτοῦ παροικίαν ἀναστρέψαι. ὥστε γὰρ μηδενὶ * τοῦτο ἐξεῖναι, μηδὲ ἐλπίζειν ἀδεῶς προβήσεσθαι, ἱκανὰ * μὲν καὶ ταῦτά ἐστι τῇ ὑμετέρᾳ θεοσεβείᾳ παρεγγυῆσαι τὰ γράμματα, μήτι καὶ ἕτερον παρὰ τὴν ἡμετέραν κέλευσιν τοῖς γεγονόσι προσθεῖναι. ἴσως δὲ ἡ ἁγιότης ὑμῶν, ὡς καὶ τοῖς λαμπροτάτοις ἄρχουσι τῶν ἐπαρχιῶν ἐπίσταται, μηδένα παντελῶς ἐάσαι εἰς τὴν ἑαυτοῦ παροικίαν, καὶ πόλιν, δίχα ἡμετέρας κελεύσεως ὑποσρέψαντα δεχθῆναι. χρὴ γὰρ πάντα κατὰ τὸ τῷ Θεῷ μέλλον ἀρέσειν, δίχα φιλονεικίας, καὶ μετ' ἀληθείας ἐξετασθέντα, ὅπερ παρὰ τῆς * ὑμετέρας θεοσεβείας βεβαιωθῆναι· ὡς ἐκ ὑπὲρ ἀνθρώπων νεῦ, ἐδὲ μὴν τοῦ ἁγιωτάτου, καὶ θεοσεβεστάτου ἐπισκόπου Νεστορίου, ἢ ἑτέρου τινός, ὑπὲρ δὲ αὐτοῦ τοῦ δόγματος, ἧς τῆς ἀληθείας αὐτῆς φροντίδα ποιουμένης τῆς ἡμετέρας θειότητος. ἐδόθη τῇ πρὸ * ξ' εἰῶν καλανδῶν Ἰουλίων, * ὑπάτου Φλαυίου Ἀντιόχου, καὶ τοῦ δηλωθησομένου.

Ἀναφορὰ πρὸς τὸν βασιλέα, Ἰωάννου ἀρχιεπισκόπου Ἀντιοχείας, καὶ τῆς συνόδου αὐτῷ, ἣν ἀντέγραψαν διὰ Παλλαδίου μαγιστριανοῦ.

ΤΟΥΤΟ, εὐσεβεῖς βασιλεῖς, τοῦτο ὀρθοδοξίας σύσασις, τὸ λῦσαι πάντα τὰ ἀθέσμως ὑπ' ἐκείνων γεγυμνασμένα, καὶ τοῖς κανόσιν ἤδη προλελυμένα, τὸ ἐν πρώτῃ τάξει προσάξαι τῷ ὀξύτασιν τῆς δογμάτων ἐν τῇ συνελθούσῃ συνόδῳ γενέσθαι. ἐμακαρίσαμεν τὸν οἰκουμένην, τὰ προσφατον ἡμῖν κομισθέντα ὑμῶν θεσπίσματα συνὲ παίνοις μυρίοις ἀναγνόντες, ἐφ' οἷοις σκήπτροις, καὶ ἐφ' οἵᾳ βασιλείᾳ δυναστεύεσθαι. ἀλλ' ὥσπερ ταῦτα παντὸς θαύματος ἐστιν ἐπέκεινα, ὅσα προσετάξατε, ἀσεβέστατοι βασιλεῖς, οὕτω καὶ ἡμῖν ἀναγκαία ἐστὶν ἡ πρὸς τὸ ὑμέτερον κράτος ἀπολογία, περὶ ὧν συνελάθημεν, ἐν τῇ Ἐφεσίων χρωμένοι πόλει, καταψηφίσασθαι, καὶ κατοικεῖναι τοὺς ἐκ προοιμίων τὰ ὑμέτερα πατήσαντας θεσπίσματα· τοὺς, ἐπειδὴ ὑπὸ τοῦ οἰκείου συνειδότος ἠλαύνοντο, κυρῶσαι θελήσαντας, καὶ ἀναρρῶσαι τὰ * Ἀπολιναρίου, καὶ Ἀρείου δόγματα, κατὰ τῆς ἀσεβείας. ἐν οἷς Κύριλλος ὁ Ἀλεξανδρείας προῴκει εἰς τὴν βασιλίδα πόλιν κεφάλαιά τινα μὴ ἀναθεματισμῶν ἐξέπεμψε, μὴ πάσης ἐθελοθρησκείας, τοὺς, περὶ * ἃ ψαύονται τῆς τῶν θείων δογμάτων ἐρεύνης, πρὸς ἔχθραν, καὶ ἀπέχθειαν, ἐδόντες. ἐν οἷς ἐτόλμησαν παρὰ τὰ ἡμέτερα ἀσεβῆ θεσπίσματα, ψῆφον ὅπως ἄδικον ἐξενεγκεῖν κατὰ τοσούτου θρόνου τῆς βασιλίδος τῆς πόλεως Κωνσταντινουπόλεως. ἡ μὲν ἐν τούτων παροινία αὐτόθεν πᾶσιν ἀνθρώποις δήλη ἐστίν. ἐφ' ᾗ καὶ ἡ ἁγία συνόδος, ὀρθῷ τῷ φρονήματι, καὶ ζήλῳ κατὰ Θεὸν κινηθεῖσα, καὶ φειδοῖ τῆς ἁγίων ἐκκλησιῶν, κατέκρινεν αὐτοκατακρίτους ὄντας· ἃ μεμπτόν τι, μὴ γένοιτο, ἢδὲ θερμὸν, ὡς ἄν τις εἴποι, πράττουσα, ἀλλὰ τῇ ἀσεβείᾳ κινδυνευούσῃ πρὸ πάντων ἀμυνοῦσα. αὕτη ὑπὲρ τῆς παρ' ἡμῶν πεπραγμένων δικαιοτάτη πρὸς τὸ ὑμέτερον κράτος * ἔσω ἀπολογία· ἡμῶν μὲν μήτε πρὸς χάριν, μήτε πρὸς ἀπέχθειαν βλεπόντων, ἀλλ' ἑνὸς * ὄντων, τοῦ τὴν ἀσεβῆ πίστιν κυματουμένην ὥσπερ δυνασθῆναι ὑπὸ τῆς τὰ ἑαυτῆς συγγράμματα αὐθαδείᾳ βεβηλωθέντων κρατυνῶσαι, ἐῶ ἀθετήσει, καὶ ὕβρει, ὧν Πέτρος ὡμολόγησεν, ὧν Ἰωάννης ἐθεολόγησεν, ὧν Ματθαῖος ἐκήρυξε, καὶ οἱ λοιποὶ ἀγγελισταὶ, ὧν Παῦλος τῇ τοῦ πνεύματος ἐνεργείᾳ ἐδίδαξεν, ὧν ἅπαντες οἱ ὀρθόδοξοι παντὶ τῆς οἰκουμένης τὸ κήρυγμα ἐκφέροντες, τὴν ἀσεβῆ πίστιν ἐρρίζωσαν. ταύτης τῆς ὀρθοδόξου πίστεως ἐχόμεθα, ὅση τις ἰσχὺς ἡμῖν δύναμις, τὴν ὑμετέραν ἀσέβειαν, καὶ τὸ ὑμέτερον τῇ ὀρθοδοξίᾳ συντεθραμμένον κράτος, ἀντέχεσθαί τε, καὶ ὑπερασπίζειν, καὶ ἄξιον ὑφυλάττειν· ὡς ἐν τούτοις ὑμῖν ὄντος τῆς πάντα ὑμῖν σωζούσης τῆς τῶν πραγμάτων ἐλπίδος. ἡμῶν καὶ νῦν, καὶ πρότερον παρεσκευασμένων, μὴ ἐκκλῖναι * κατὰ τὰ ὑμέτερα θεσπίσματα,

* ἀπὸ κατασταθέντι

— * ἀκολουθίαν, scil. ἦν
* deest verbum ἐξεῖναι in cod. Seg.

* τοῦτο.

* μὲν καὶ ταῦτα.

* ὑμετέρας.

* ἐγκαταπεμφθεῖσι θείοις ἡμῶν περιείχετο γράμμασιν· ἀλλὰ ὥστε δήλως εἶναι τῷ τινων πρός τινας ἀπέχθειαν, διὰ πολλοῦ τὴν περὶ τὰ ὁπωσοῦν δόξαντα σπουδὴν, οὔτε παρακαλύμματι χρήσασθαι δυνηθέντων. διὸ νομίσειεν ἄν τις λογισμῷ τὰ γεγονότα πεπρᾶχθαι· ὅθεν δέδοκται τῇ ἡμετέρᾳ θειότητι, χώραν μὲν τῷ τοιούτῳ μηδαμῶς ἔχειν * ἐξελθεῖν * αὐθεντίαν· τῶν δὲ ἀνακολούθως γεγονότων, ἀργόντων, τοὺς περὶ τῆς ἀσεβείας λόγους, ὥσπερ ἐδέδοκτο, πρότερον ἐξετασθῆναι, καὶ κατὰ τὸ κοινῇ πάσῃ τῇ συνόδῳ δοκοῦν εἰς τὸν ἑξῆς χρόνον χρατεῖν· ἐκ ἀνεχομένης τῆς ἡμετέρας ἀσεβείας τῆς ἐξ ἐπιτηδεύσεως προλημμάτων· οὕτω δὲ ἐπὶ τοῖς γεγονόσιν ἀγανακτούσης, ὥστε χιλιάκις μέχρις ἂν καὶ παρὰ πάσης τῆς συνόδου τὰ τῆς ἀσεβείας ἐξετασθῇ δόγματα, καὶ ἀποσαλῇ τις ἐκ τοῦ θείου ἡμῶν παλατίου ἅμα τῷ μεγαλοπρεπεστάτῳ Κανδιδιανῷ τῷ κόμητι, τὰ πεπραγμένα κατὰ κέλευσιν ἡμετέραν εἰσόμενος, καὶ κωλύσων τὰ ἀνακόλουθα, μηδὲ ἀποσῆναί τινα τῆς συνειλεγμένων ἐπισκόπων τῆς Ἐφεσίων πόλεως, μήτε μὲν ἐπὶ τὸ θεῖον ἡμῶν ἐλθεῖν στρατόπεδον, ἢ ἐπὶ τὴν ἑαυτοῦ παροικίαν ἀναστρέψαι. ὥστε γὰρ μηδενὶ * τοῦτο ἐξεῖναι, μηδὲ ἐλπίζειν ἀδεῶς προβήσεσθαι, ἱκανὰ * μὲν καὶ ταῦτά ἐστι τῇ ὑμετέρᾳ θεοσεβείᾳ παρεγγυῆσαι τὰ γράμματα, μήτι καὶ ἕτερον παρὰ τὴν ἡμετέραν κέλευσιν τοῖς γεγονόσι προσθεῖναι. ἴσως δὲ ἡ ἁγιότης ὑμῶν, ὡς καὶ τοῖς λαμπροτάτοις ἄρχουσι τῶν ἐπαρχιῶν ἐπίσταται, μηδένα παντελῶς ἐάσαι εἰς τὴν ἑαυτοῦ παροικίαν, καὶ πόλιν, δίχα ἡμετέρας κελεύσεως ὑποσρέψαντα δεχθῆναι. χρὴ γὰρ πάντα κατὰ τὸ τῷ Θεῷ μέλλον ἀρέσειν, δίχα φιλονεικίας, καὶ μετ' ἀληθείας ἐξετασθέντα, ὅπερ παρὰ τῆς * ὑμετέρας θεοσεβείας βεβαιωθῆναι· ὡς ἐκ ὑπὲρ ἀνθρώπων νεῦ, ἐδὲ μὴν τοῦ ἁγιωτάτου, καὶ θεοσεβεστάτου ἐπισκόπου Νεστορίου, ἢ ἑτέρου τινός, ὑπὲρ δὲ αὐτοῦ τοῦ δόγματος, ἧς τῆς

* deest in Gr. nomen Eunomii.

* ἐξελθεῖν.
* αὐθεντίαν.

* ὑμῖν.

* ὄντος.

* τὰ ὑμέτερα

τα, μήτε δεξιὰ, μήτε ἀριστερὰ, ὡς ἡ θεία ἔφη-
σε γραφή. ἐπειδὴ γὰρ πρὸς τὸ εὐσεβὲς τὴν πᾶ-
σαν ῥοπὴν τὸ ὑμέτερον ἔχει κράτος, εἰ μὲν πει-
θόμενοι ἕξουσι τὸν παρ' ὑμῶν αὐτῶν ἔπαινον, καὶ τὴν
παρὰ τοῦ Θεοῦ ἀποδοχήν· οἱ δὲ πρὸς νεωτερισμοὺς
βλέποντες, καὶ τὴν ἐκ θορύβων ἐπινοητὴν δύνα-
μιν ἑαυτοῖς κατασκευάζοντες, ὥσπερ οἱ τὰς τυραν-
νίδας ταῖς εὐνομίαις ἐπεισάγοντες, ἀξίαν * ἐπε-
νεγκόντες αἰσχύνην, ἅτε δὴ τὴν εὐνομίαν διαφ-
θεῖραι σπουδάσαντες, καὶ τὰς ὑμετέρας παρεγγυή-
σεις χαμαὶ ῥίψαι τολμήσαντες. ὥστε τοίνυν μηδε-
μίαν ταραχὴν, ἢ θόρυβον ἐν τῷ κοινῷ γενέσθαι συ-
νεδρίῳ, θεσπισάτω ὑμῶν ἡ φιλόχριστος κορυφὴ,
δύο ἑκάστῳ μητροπολίτῃ συνεῖναι· ἐπειδὴ καὶ ἡμεῖς
τοῖς τῆς ὑμετέρας εὐσεβείας γράμμασιν εἴξαντες, το-
σούτους ἐπαγόμεθα, δυνάμενοι, εἴπερ ἄρα πλή-
θους ἦν χρεία, πλείστους ἔχειν μεθ' ἑαυτῶν τοὺς τὰ
θεῖα δόγματα ἀκριβῶς ἐπισταμένους, καὶ οὐδὲν τῷ
ἀμαθεῖ τῶν θείων πλήθει Ἀσιανῶν καὶ Αἰγυ-
πτίων ἐοικότας. εἰ γὰρ τοῦτο μὴ γένοιτο, ἀνάγκη
σύγχυσιν αὖθις γενέσθαι. Αἰγυπτίων μὲν ὄντων
πεντήκοντα, Ἀσιανῶν δὲ, τῶν ὑπὸ Μέμνονα, τὸν
τῆς τυραννίδος ἡγεμόνα, τεσσαράκοντα. καὶ τῶν ἐν
Παμφυλίᾳ αἱρετικῶν * Μεσαλινιωτῶν λεγομένων
δώδεκα· χωρὶς τῶν συνόντων τῷ αὐτῷ μητροπο-
λίτῃ, καὶ ἑτέρων καθηρημένων, καὶ ἀκοινωνήτων κα-
τὰ διαφόρους * τρόπους ὑπὸ συνόδων, ἢ ὑπὸ ἐπισκό-
πων γεγενημένων· οἵπερ εἰσὶν οὐδὲν ἕτερον, ἢ
πλῆθος ἀνθρώπων, οὐδὲν μὲν ἀκριβὲς τῶν θείων
δογμάτων ἐπισταμένων, ταραχῆς δὲ, καὶ θορύ-
βων μεστῶν. δεόμεθα τοίνυν, καὶ ἱκετεύομεν τὴν
ὑμετέραν εὐσέβειαν αὖθις φροντίσαι. ἐπιτεῖναι δὲ
τῇ συνόδῳ τὴν εἰρήνην τῷ συνήθει ὑμῶν εὐσε-
βεῖ θεσπίσματι. νομίσαντες γὰρ νῦν γοῦν αὐτοὺς
σωφρονήσειν διὰ τὰ εὐσεβῆ γράμματα τῆς θεο-
φιλοῦς ὑμῶν κορυφῆς, μετὰ τὸ ἀναγνωσθῆναι αὐ-
τοῖς τὸ πάσης εὐσεβοῦς προθέσεως γέμον θέσπισ-
μα, καὶ ταῦτα ἡμᾶς ὑπαγορεῦσαι τὰ γράμματα,
ἀπήλθομεν εἰς τὸ ἀποστόλιον τοῦ ἁγίου Ἰωάννου τοῦ
εὐαγγελιστοῦ, καὶ εὐχαριστῆσαι, καὶ προσεύξασθαι ὑ-
πὲρ τοῦ ὑμετέρου κράτους, καὶ τοῦ εὐσεβοῦς ὑμῶν σκο-
ποῦ· οἱ δὲ θεασάμενοι ἡμᾶς παραχρῆμα τὸν ναὸν
ἀπέκλησαν. ὡς δὲ ἔξωθεν προσευξάμενοι, καὶ μη-
δενὶ μηδὲν εἰπόντες, ἐπανήειμεν, πλῆθος ἐξῆλ-
θον οἰκετῶν τινων, καὶ τοὺς μὲν ἐξ ἡμῶν κατέσχον,
τῶν δὲ τὰ ζῶα ἀπέσπασαν, ἄλλους τε τραυματίας
ἐποίησαν, ἡμᾶς δὲ ῥοπάλοις, καὶ λίθοις κατεδίω-
ξαν μέχρι πολλοῦ διαστήματος, ὡς ἀναγκασθῆναι
ἡμᾶς μετὰ πολλῆς * ἐπείξεως φυγεῖν ὡς βαρβά-
ρων διωκόντων. ταῦτα δὲ ἐκ πολλοῦ ἠυτρέπισεν ὁ
Μέμνων, μὴ συγχωρῶν μηδενὶ, μήτε προσεύξα-
σθαι ἐν εὐκτηρίῳ οἴκῳ, μήτε μετὰ εἰρήνης, καὶ κα-
τασάσεως διαθεῖναι τὰ ἐκκλησιαστικὰ πράγματα.
δεόμεθα τοίνυν τῆς ὑμετέρας εὐσεβείας, ἐξαιρέ-
τως Μέμνονα τὸν τύραννον προστάξαι ἐκβληθῆναι
τῆς πόλεως ταύτης, διά τε τὰς ἀταξίας αὐτοῦ ταύ-
τας καθαιρεθέντα, καὶ κυκῶντα, ὥστε μὴ ἀκριβῶς
ἐρευνηθῆναι τὰ κατ' αὐτόν. εἰ γὰρ οὗτος μὴ ἐ-
ξέλθοι, ἀδύνατον εἰρήνην γενέσθαι, ἢ τὸν σκο-
πὸν τῆς ὑμετέρας εὐσεβείας εἰς πέρας ἀχθῆ-
ναι.

Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν ἔπαρχον, καὶ τὸν μάγιστρον ὁμοίως.

ΕΙ'Σ * ἔσχατον κακὸν, τὸ δὴ λεγόμενον, ἐλη- * ἔσχατον
λάκαμεν, καὶ δεινοῖς προσπαλαίομεν ἀνηκέ-
στοις, καὶ καθ' ἑκάστην ὡς εἰπεῖν τὴν * ἡμέραν τὸν * ἐπιδείξιον.
θάνατον ἡμῶν πρὸ ὀφθαλμῶν βλέπομεν. πᾶσαν
γὰρ βαρβαρικὴν ὑπερβαίνει μανίαν τὰ ὑπὸ Κυρίλ-
λου, καὶ Μέμνονος, καὶ τῶν σὺν αὐτοῖς καθ' ἡμῶν
τολμώμενα· καὶ οὐδὲν εἶδος αὐτοῖς παραλέλειπται
τυραννίδος. ἔφοδοι μὲν γὰρ συνεχεῖς, ὡς ἐν πο-
λέμῳ, τολμῶνται· αἱ οἰκίαι ἡμῶν ἤδη δὶς ἀπεγρά-
φησαν, ὥστε δήλας εἶναι, καὶ ἐπισήμους τοῖς ἐπιέναι
μέλλουσι. πᾶς οἶκος ἡμῖν εὐκτήριος ἀποκέκλεισται,
νόσῳ διαφθειρόμενοι, καὶ σμικροῦ ἀέρος ἀπολαῦσαι
ποθοῦντες, προκύπτειν οὐ θαρροῦμεν, ὡς βαρβάρους
ἐχθίστους τοὺς ὁμοφύλους φοβούμενοι. οἱ τῶν ἁγίων
πατέρων κανόνες πεπάτηνται· οἱ καθηρημένοι, καὶ ἀ-
κοινώνητοι ἱερουργίας κατατολμῶσι, τὰ δυσσεβῆ αὐ-
τῶν ἐκχέοντες τῷ λαῷ Θεοῦ διδάγματα· ἡμεῖς δὲ
καθειργμένοι διατελοῦμεν, καὶ τὰς ἐφόδους περισκο-
ποῦμεν. δεόμεθα τοίνυν, καὶ ἱκετεύομεν τὴν ὑμετέραν
μεγαλοπρέπειαν, μὴ παριδεῖν ἡμᾶς ἐν μέσῳ τῶν
τοιούτων ἀπειλημμένους κακῶν, ἀλλ' ἐξαρπάσαι ἡμᾶς
ὡς τάχιστα τοῦ ὑπόπτου θανάτου, καὶ παρασκευάσαι τὴν
βασιλίδα πόλιν καταλαβεῖν, καὶ δοῦναι λόγον ὑμᾶς
ὑπὲρ τῆς πίστεως, καὶ ἐξελέγξε τῶν προειρημένων ἀν-
δρῶν τήν τε αἱρετικὴν κακοδοξίαν, καὶ τὴν ὑπερβάλ-
λουσαν παρανομίαν. εἰ γὰρ μὴ τοῦτο γένοιτο, παντε-
λῶς ἀπολούμεθα, καὶ παρανάλωμα τῆς ἐκείνων μα-
νίας ἐσόμεθα. πάλιν τοίνυν δεόμεθα, καὶ ἐνορκοῦμεν
πρὸς παίδων, πρὸς τῶν φιλτάτων, πρὸς τῆς δι-
καίας τοῦ Θεοῦ κρίσεως, μὴ περιοφθῆναι παρὰ
τῆς ὑμετέρας μεγαλοπρεπίας, ἀλλ' ὡς τάχιστα
ἐντεῦθεν ἀπαλλαγῆναι, καὶ ἐλεύθερον ἀέρα θεά-
σασθαι.

Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν πραιπόσιτον καὶ * τὸν σχολαστικὸν ὁμοίως. * σχολαστικὸν γενόμενον.

ΟΥ'ΔΕ'Ν ἀπονοίας ἐν πλημμελήμασι χαλε-
πώτερον· αὕτη γὰρ ἐπὶ πάντα ἐστὶ τὰ ἄτοπα
ἡγεμών. ὑπὸ ταύτης οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐ-
τοῖς στρατηγούμενοι, τῶν τε ἐκκλησιαστικῶν καταφρο-
νοῦσι θεσμῶν, καὶ τὰ εὐσεβῆ τῶν θεοφιλεστάτων ἡμῶν
βασιλέων πατοῦσι θεσπίσματα. οὔτε γὰρ τὰ πρῶτα,
οὔτε τὰ δεύτερα, οὔτε τὰ τρίτα αὐτοὺς σωφρονεῖν ἐδί-
δαξαν γράμματα· οὔτε ἡ ἐννόμως αὐτοῖς ὑφ' ἡμῶν
ἐπενεχθεῖσα καθαίρεσις ἔσβεσεν αὐτῶν τὴν θρα-
σύτητα· ἀλλ' ἀθροίζονται μὲν εἰς τοὺς εὐκτηρίους οἴ-
κους παρα μως, ἐπιτελοῦσι δὲ συναξεις ἀθέσμους,
καί τοι γε τῶν λαῶν ταύταις οὐ παραβαλόντων· παν-
τὶ δὲ θείῳ οἴκῳ φρουροὺς ἐπιστήσαντες, οὐδένα πλὴν
αὐτῶν εἰσιέναι συγχωροῦσι. καὶ ταῦτα ἤδη διὰ γραμ-
μάτων ἑτέρων τὴν ὑμετέραν ἐδιδάξαμεν μεγαλοπρέ-
πειαν. ὅπως ἐκινδυνεύσαμεν, προσεύξασθαι βουλη-
θέντες εἰς τὸ ἅγιον ἀποστόλιον, μετὰ τὸ δέξασθαι
τὰ διὰ τοῦ θαυμασιωτάτου Παλλαδίου τοῦ μαγιστριανοῦ
γράμματα τῶν εὐσεβεστάτων ἡμῶν, καὶ φιλοχρίστων βα-

σι-

σιλέων. οὐ γὰρ μόνον ἐκωλύθημεν προσεύξασθαι, ἀλλὰ καὶ καταλευσθέντες μέχρι πολλοῦ κατεδιώχθημεν. ἐπειδὴ τοίνυν καὶ τῆς εὐσεβείας ὑπάρχετε τρόφιμοι, καὶ ἐν ἀρετῇ διαλάμποντες πάσῃ, ὡς τὴν ὑμετέραν εὔκλειαν ἐν τοῖς ἁπάντων περιφέρεσθαι στόμασι, καὶ τῆς ἁγίας ἐκκλησίας * ἐκθύμως ὑπερμαχεῖτε, πᾶσαν ποιούμενοι προμήθειαν, ὥστε δηνεκῶς αὐτὴν ἐξ οὐρίων φέρεσθαι· παρακαλοῦμεν ὑμῶν τὸ μέγεθος, καὶ τὰ ἡμέτερα γράμματα ὑπαναγνῶναι τῷ εὐσεβεστάτῳ, καὶ φιλοχρίστῳ ἡμῶν βασιλεῖ, καὶ πᾶσαν * ὑπενεγκεῖν σπουδὴν, ὡς τὴν μὲν παροῦσαν παυθῆναι σύγχυσιν, ἀταράχως δὲ καὶ θορύβου παντὸς χωρὶς τὸ κοινὸν γενέσθαι συνέδριον, καὶ τοῖς ἀμφισβητουμένοις ἕκαστον μέρος τῶν ἀμφισβητούντων συστῆναι.

* εὐθύμως.

* εἰσενεγκεῖν.

Ἀναφορὰ τῆς ἀνατολικῆς συνόδου πρὸς τὸν καλλίνικον βασιλέα, δηλοῦσα καὶ αὖθις τὴν γεγενημένην καθαίρεσιν Κυρίλλου καὶ Μέμνονος.

Η'ΔΙΑΛΑ'ΜΠΟΥΣΑ ἡμῶν εὐσέβεια ἐπ' εὐεργεσίᾳ τῆς οἰκουμένης, καὶ τῶν τοῦ Θεοῦ ἐκκλησιῶν, ἐκέλευσεν ἡμᾶς ἐν τῇ τῶν Ἐφεσίων ἀθροισθῆναι, ὥστε κέρδος, καὶ εἰρήνην τῇ ἐκκλησίᾳ περιποιῆσαι, οὐχ ὥστε συγχύσεως, καὶ ἀταξίας πάντα πληρῶσαι. καὶ αὐτὰ δὲ τὰ τοῦ ὑμετέρου κράτους θεσπίσματα σαφῶς καὶ διαῤῥήδην τὸν εὐσεβῆ ὑμῶν καὶ εἰρηνικὸν ὑπὲρ τῶν τοῦ Χριστοῦ ἐκκλησιῶν μηνύει σκοπόν· ὁ δὲ ἐπ' ὀλέθρῳ τῶν ἐκκλησιῶν καὶ τεχθεὶς, καὶ τραφεὶς, ὡς ἔοικε, Κύριλλος ὁ τῆς Ἀλεξανδρείας, συνεργὸν λαβὼν τὴν Μέμνονος τοῦ Ἐφεσίου θρασύτητα, πρῶτον μὲν εἰς τὸ γαληνὸν, καὶ εὐσεβὲς ὑμῶν παρηνόμησε θέσπισμα, διὰ πάντων τὸ ἀκαθοσίωτον αὐτοῦ δεικνύς. τοῦ γὰρ ὑμετέρου κράτους θεσπίσαντος περὶ πίστεως τὴν ἐξέτασιν γενέσθαι, καὶ βάσανον ἀκριβῆ, τὴν μεθ' ὁμονίας, καὶ εἰρήνης τῆς πάντων, ὁ Κύριλλος ἐπὶ τοῖς Ἀπολιναρίου δόμασιν ἐγκαλούμενος, μᾶλλον δὲ αὐτὸς ἑαυτὸν ἐλέγξας, δι' ὧν πρώην εἰς τὴν βασιλίδα πόλιν μετ' ἰδίας ὑπογραφῆς ἀπέστειλε μετὰ ἀναθεματισμῶν, ἐν οἷς τὰ τοῦ δυσσεβοῦς, καὶ αἱρετικοῦ Ἀπολιναρίου φρονῶν ἐλήλεγκται· καὶ οὐδενὸς τούτων φροντίσας, ὡς ἐν ἀβασιλεύτοις καιροῖς, χωρεῖ πρὸς πᾶσαν παρανομίαν· καὶ δέον λόγον δοῦναι ὑπὲρ ὧν διεφθαρμένῃ χρῆται τῇ περὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δόξῃ, ἁρπάσας ἑαυτῷ τὴν αὐθεντίαν, τὴν μήτε παρὰ τῶν κανόνων αὐτῷ δεδομένην, μήτε ἀπὸ τῶν ὑμετέρων θεσπισμάτων, ὁρμᾷ πρὸς πᾶν εἶδος ἀταξίας, καὶ παρανομίας. ἐπὶ τούτοις κινηθεῖσα ἡ ἁγία σύνοδος, ἡ οὐ παραδεξαμένη τὰς ἐπὶ λύμῃ τῆς πίστεως αὐτοῦ ἐπινοίας, τοῦτον μὲν καθαιρεῖ διὰ τὰ προειρημένα πάντα, Μέμνονα δὲ, ὡς συνεργὸν αὐτοῦ, καὶ συναγωνιστὴν ἐν ἅπασι γεγενημένον, καὶ μυρίους θορύβους κατὰ τῶν ἁγιωτάτων ἐπισκόπων, τῶν συνθέσθαι τῇ αἱρετικῇ ἐκείνου κακοδοξίᾳ μὴ ἀνασχομένων, ἐγείραντα, καὶ τὰς ἐκκλησίας, καὶ πάντα τόπον εὐκτήριον κλείσαντα, ὡς ἐν ἑλληνικοῖς, καὶ θεομάχοις καιροῖς, καὶ πλῆθος ἐπιχώριον τῆς Ἐφεσίων ἐπεισαγαγόντα, ὡς περὶ τοῦ παντὸς ἡμῖν εἶναι καθ' ἑκάστην τὸν κίνδυνον, οὐ πρὸς ἄμυναν βλέπουσιν, ἀλλὰ πρὸς τὰ ὀρθὰ δόγματα τῆς εὐσεβείας. τὸ γὰρ τούτους ἐκκόψαι, οὐδὲν ἕτερόν ἐστιν, ἢ τὴν ὀρθοδοξίαν στῆσαι. ἔξεστι δὲ ὑμῶν τῷ κράτει ἐξ αὐτῶν αὐτοῦ τῶν κεφαλαίων τὸ δυσσεβὲς αὐτοῦ φρόνημα ἐπιγνῶναι. τελευτήσαντα γὰρ τὸν δυσσεβῆ Ἀπολινάριον ἐν τῇ αἱρέσει, οἱονεῖ ἐξ ᾅδου ἐγείρων, καὶ ἐπιστρατεύων ταῖς ἐκκλησίαις, καὶ τῇ ὀρθοδόξῳ πίστει ἐλέγχεται, καὶ ἀναθεματίζων ἐν οἷς ἐκτίθεται, εὐαγγελιστὰς ὁμοῦ, καὶ ἀποστόλους, καὶ τοὺς μετ' ἐκείνους ἐκκλησίας προγόνους· οἳ παρὰ τοῦ ἁγίου πνεύματος, ἀλλ' οὐκ ἀπὸ λογισμῶν οἰκείων ὁρμώμενοι, τὴν εὐσεβῆ πίστιν ἐκήρυξαν, καὶ κατήγγειλαν τὸ εὐαγγέλιον. ἀπεναντίας οἷς οὗτος καὶ φρονεῖ, καὶ διδάσκει, καὶ ἐξ ἐπιτάγματος βούλεται τὴν ἑαυτοῦ ἀσέβειαν πανταχοῦ τῆς οἰκουμένης κρατεῖν. ὅπερ οὐ φέροντες, τῇ στάσει τῇ δεούσῃ ἐχρησάμεθα, τῇ τε θείᾳ ῥοπῇ, καὶ τῷ τῆς εὐσεβείας ὑμῶν θαῤῥοῦντες σκοπῷ. ἴσμεν γὰρ, ὡς οὐδὲν προτιμήσετε τῆς ὑγιοῦς πίστεως, ᾗ συντραφέντες ὑμεῖς τε, καὶ οἱ τρισμακάριοι ὑμῶν πρόγονοι, ἀδιάδοχα τὰ τῆς βασιλείας παρειλήφατε σκῆπτρα, τοὺς τοῖς ἀποστολικοῖς δόγμασιν ἐναντιουμένους ἀεὶ καταλύοντες· ὧν ἐστιν ὁ προειρημένος Κύριλλος. ὃς ὥσπερ ἀκρόπολιν κατειληφὼς τὴν Ἔφεσον διὰ Μέμνονος τοῦ συνεργοῦ, δικαίως μετ' αὐτοῦ τὴν καθαίρεσιν ἀπηνέγκατο. πρὸς γὰρ τοῖς εἰρημένοις, πᾶσαν ἔφοδον, καὶ πᾶσαν ἀταξίαν ἐτόλμησαν καθ' ἡμῶν· οἳ συνελέγημεν, καὶ πόλεων ἀμελήσαντες, καὶ πατρίδων, καὶ ἑαυτῶν, ὥστε τὸ ὑμέτερον κυρῶσαι θέσπισμα· καὶ ἐσμὲν νῦν τυραννίδος παρανάλωμα, εἰ μὴ * καταλάβῃ ἡ ὑμετέρα εὐσέβεια, θεσπίζουσα ἑτέρωθεν ἡμᾶς συνελθεῖν, πλησίον που, ἔνθα δυνησόμεθα ἀπό τε τῶν γραφῶν, καὶ τῶν συγγεγραμμένων τοῖς πατράσι βίβλων, ἐλέγξαι αὐτοὺς σαφῶς, τόν τε Κύριλλον, καὶ τοὺς ὑπ' αὐτοῦ ὑπαχθέντας· οὓς πεφεισμένως ἀκοινωνεισίᾳ ὑπεβάλομεν, ἐλπίδας αὐτοῖς σωτηρίας, εἰ μεταμεληθεῖεν, ὑποφαίνοντες· οἳ ὥσπερ ἐπὶ στρατείᾳ βαρβαρικῇ ὕλας ἀταξίας αὐτῷ μέχρι τοῦ παρόντος παρέσχον· οἱ μὲν καθῃρημένοι ὄντες ἐκ πολλοῦ, καὶ ὑπ' αὐτοῦ προσληφθέντες· οἱ δὲ ἀκοινώνητοι τοῖς οἰκείοις μητροπολίταις, καὶ ὑπ' αὐτοῦ εἰς κοινωνίαν δεχθέντες· ἄλλοι διαφόροις ἐγκλήμασιν ἐμπεπαρμένοι, παρ' αὐτοῦ τιμηθέντες. καὶ ταῦτα ἐποίει, ἀπὸ τοῦ πλήθους κυρῶσαι τὸ αἱρετικὸν αὐτοῦ πειρώμενος φρόνημα, μὴ λογισάμενος, ὡς ἐν εὐσεβείᾳ οὐκ ἀριθμὸς ζητεῖται, ἀλλ' ὀρθότης δογμάτων, καὶ ἡ τῶν ἀποστολικῶν δογμάτων ἀλήθεια, καὶ ἄνδρες ἐν τούτοις εὐσεβῶς ἐξ ἀποστολικῶν ἀποδείξεων, καὶ μαρτυριῶν εἰδότες συνίστασθαι, καὶ οὐκ ἐκ θράσους, καὶ αὐθεντίας τυραννικῆς. ὅθεν παρακαλοῦμεν καὶ ἱκετεύομεν διὰ τάχους ἐπαμῦναι τῇ εὐσεβείᾳ πολεμουμένῃ τὸ ὑμέτερον κράτος, καὶ διόρθωσιν ὀξυτάτην ἐπιθεῖναι τῇ τούτων μανίᾳ, καὶ τυραννίδι. ἢ ὥσπερ τις λαίλαψ πρὸς αἱρετικὴν κακοδοξίαν παρασύρει τοὺς θρασυτέρους. δίκαιον γὰρ τὴν ὑμετέραν εὐσέβειαν τὴν τῶν ἐν Περσίδι, καὶ τῶν ἐν βαρβάροις ἐκκλησιῶν φροντίσασαν, ἐν τῇ Ῥωμαίων ἀρχῇ σαλευομένας μὴ παριδεῖν ἐκκλησίας.

* ἴσως, προκαταλάβῃ.

Ἀνα-

* Ἐπιστολὴ ἐγκύκλιος.

* Ἀναφορὰ τῶν ἀνατολικῶν πρὸς τὸν εὐσεβέστατον βασιλέα, ἧν περ ἔδωκαν μετὰ τῆς ἀναφορᾶς τῆς προγεγραμμένης τῷ μεγαλοπρεπεστάτῳ κόμητι Εἰρηναίῳ.

ΗΛΠΙΣΑΜΕΝ λύσιν ἔσεσθαι τοῦ Αἰγυπτιακοῦ κλύδωνος, τοῦ ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις προσβαλόντος, τὰ τῆς εὐσεβείας τῆς ὑμετέρας δεχόμενοι γράμματα· ἐψεύσθημεν δὲ τῆς ἐλπίδος. θρασύτεροι γὰρ οἱ ἄνδρες ἐξ ἀπονοίας ἐγένοντο· καὶ οὔτε τῆς ἐνδίκως, καὶ ἐννόμως ἐπενεχθείσης αὐτοῖς ἐφρόντισαν καθαιρέσεως, οὔτε τῇ ἐπιτιμήσει τοῦ ὑμετέρου κράτους ἐγένοντο σωφρονέστεροι· ἀλλὰ καὶ τοὺς τῆς ὑμετέρας εὐσεβείας νόμους, καὶ τοὺς τῶν ἁγίων πατέρων κανόνας πατήσαντες, οἱ μὲν καθαιρεθέντες, οἱ δὲ ἀκοινώνητοι γενόμενοι, ἐν τοῖς εὐκτηρίοις ἑορτάζουσιν οἴκοις, συνάξεις ἐπιτελοῦντες. καὶ ἡμᾶς μὲν, ὡς καὶ ἤδη τὴν φιλόχριστον ὑμῶν ἐδιδάξαμεν κορυφὴν, προσεύξασθαι μόνον εἰς τὸ ἅγιον βουληθέντας ἀποστόλιον, μετὰ τὸ δέξασθαι τὰ πάσης εὐσεβείας γέμοντα γράμματα τῆς ὑμετέρας ἡμερότητος, οὐ μόνον ἐκώλυσαν, ἀλλὰ καὶ κατέλευσαν, καὶ μέχρι πολλοῦ κατεδίωξαν, ὡς φυγῇ, καὶ δρόμῳ τὴν σωτηρίαν ἡμᾶς πορίσασθαι. αὐτοῖς δὲ πᾶν ὁτιοῦν ποιεῖν ἐξεῖναι νομίζουσιν· εἰς δὲ συνέδριον * εἰσελθεῖν, καὶ βάσανον τῶν ζητουμένων ποιήσασθαι, καὶ ὑπὲρ τῶν αἱρετικῶν τοῦ Κυρίλλου κεφαλαίων ἀπολογίσασθαι οὐκ ἠνέσχοντο, τοὺς προφανεῖς τῆς ἐν αὐτοῖς δυσσεβείας ἐλέγχους ἀπαγορεύοντες. μέγα δὲ φρονοῦσιν ἐπὶ μόνῳ τῷ θράσει· καί τοι γε οὐθράσους, ἀλλ' ἡσυχίας, καὶ γνώσεως, καὶ τῆς τῶν δογμάτων ἐμπειρίας ἡ περὶ τῶν προκειμένων συνεξέτασίς ἐστι. τούτου χάριν ἠναγκάσθημεν * προπέμψασθαι τὸν μεγαλοπρεπέστατον κόμητα Εἰρηναῖον, καταλαβεῖν ὑμῶν τὴν εὐσέβειαν, καὶ τὰ τοῦ πράγματος διδάξαι. τάτε γὰρ γεγενημένα ἀκριβῶς ἐπίσταται, καὶ μεμάθηκε παρ' ἡμῶν πολλοὺς θεραπείας τρόπους, δι' ὧν δυνατὸν τὸν ἀτάραχον ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις * παρασχεθῆναι· οὓς ἱκετεύομεν ἀνεξικάκως τὴν ὑμετέραν παρ' αὐτοῦ μαθεῖν ἡμερότητα, καὶ τὸ δοκοῦν τῇ ὑμετέρᾳ εὐσεβείᾳ θᾶττον κελεῦσαι γενέσθαι. ἵνα μὴ εἰς οὐδὲν δέον ἐνταῦθα * συντριβώμεθα.

Ἐπιστολὴ γραφεῖσα παρὰ τοῦ κόμητος Εἰρηναίου πρὸς τοὺς ἀνατολικοὺς περὶ τῶν ἐπὶ τῇ ὑποθέσει πραχθέντων, μετὰ τὴν εἴσοδον αὐτοῦ τὴν ἐν Κωνσταντινουπόλει, καὶ τὴν ἀπόδοσιν τῶν ἀναφορῶν.

ΜΟΓΙΣ μοι νῦν * ἐγένετο καὶ ἐπιστεῖλαι πρὸς τὴν ὁσιότητα ὑμῶν, καὶ τῶν γραμμάτων εὑρεῖν, οἷον ἐβουλόμην διάκονον· ἵνα τὰ ἐπὶ τοῖς προκειμένοις ἐκβάντα διὰ τῆς χάριτος τοῦ * Χριστοῦ, γνωρίσω τῇ κατὰ Θεὸν ὑμῶν διαθέσει· ἤλθομεν γὰρ εἰς τὴν βασιλεύουσαν πόλιν, τρεῖς με τῶν Αἰγυπτίων προλαβόντων ἡμέρας· ὅσους δὲ λοιπὸν εὐθὺς καὶ παρ' αὐτὴν * ὑπέστην * τὴν εἴσοδον κινδύνους, οὐδὲ λόγῳ ῥᾴδιον ἐξειπεῖν, μή τι γε δι' ἐπιστολῆς παρασῆσαι. προεισελθόντες γὰρ οἱ βέλτιστοι, καὶ πᾶσι προσφόρως, καὶ καταλλήλως χρησάμενοι, ἀρκεῖ γὰρ τοσοῦτον εἰπεῖν, πάντων ὡς εἰπεῖν τὰς ἀκοὰς προκατέλαβον, τοὺς μὲν ταῖς ψευδολογίαις ὡς ἔτυχον δελεάζοντες, τοὺς δὲ καθ' ἡμῶν ταῖς συκοφαντίαις * προσεθίζοντες. ἅπαντας δὲ κοινῇ, καὶ κατ' ἰδίαν συμπείθοντες· ὥστε καὶ τοὺς μεγάλους ἄρχοντας, καὶ * τοὺς ἐν ἀξιώμασι τελοῦντας, καὶ τοὺς ἐν στρατείαις διαφόροις πεισθῆναι, ὅτι περ καὶ ἐξετάσεως ἀκολούθου γεγενημένης, καὶ κρίσεως παρακολουθησάσης, καὶ πάντων ὁμοῦ τῶν θεοφιλεστάτων ἐπισκόπων μίαν, καὶ τὴν αὐτὴν ἐξενεγκόντων ψῆφον κατὰ τοῦ παρ' αὐτῶν ἐρήμην κατακριθέντος, ἡ θαυμαστὴ γέγονεν ἐκείνη καθαίρεσις. τὸν μὲν τοι μεγαλοπρεπέστατον, καὶ φιλόχριστον κουβικουλάριον Σχολαστίκιον ἔπεισαν * ὁμολογουμένως, ὡς οὐδὲ ἀκοῦσαι ὅλως ἠνέσχετο ἐν Εφέσῳ τῆς θεοτόκου φωνῆς. ὅμως διὰ τὴν τῆς ἀληθείας ἀκαταγώνιστον δύναμιν, καὶ τὰς ὑμετέρας εὐχὰς, ἐξίσχυσα διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, τοὺς ἐκ προοιμίων κινδύνους, ὡς ἔφην, διαφυγὼν, συντυχεῖν τε τοῖς μεγαλοπρεπεστάτοις ἄρχουσι, καὶ πᾶσαν αὐτοῖς, ὡς ἐνεχώρει, τὴν τοῦ πράγματος ἀλήθειαν ἐξηγήσασθαι. οἳ τὰ παρ' ἡμῶν διδαχθέντες, καὶ εἰς αὐτὰς ἐνεγκεῖν ἠναγκάσθησαν τοῦ κρατούντων τὰς ἀκοὰς, ὅσα περ εἴς τε τὴν προκειμένην ὑπόθεσιν, καὶ εἰς ἡμᾶς δὲ αὐτοὺς οἱ περὶ τὸν Αἰγύπτιον τυραννικῶς * ἐπλημμέλησαν. καὶ τέλος, ἵνα μὴ μηκύνω τὸν λόγον, πολλῶν ἐν τῷ μέσῳ γενομένων τε καὶ * λεχθέντων παρά τε τῶν τὰ ἡμέτερα, παρά τε τῶν τὰ Κυρίλλου φρονούντων, ἔδοξεν, ἐμοῦ τε, καὶ τῶν Αἰγυπτίων, ἑαυτοῖς τε καὶ τῇ ὑποθέσει συνισταμένων αὐτῇ, τὸν εὐσεβέστατον ἀκροάσασθαι βασιλέα, παρόντων αὐτῷ καὶ τῶν μεγάλων ἀρχόντων· καί τοι γε ἐμοῦ διαμαρτυρουμένου πολλάκις, ὡς οὔτε τούτου χάριν ἀφῖγμαι, οὔτε τοιαύτας παρὰ τῶν θεοφιλεστάτων ἐπισκόπων ἔλαβον ἐντολάς· μόνον δὲ γραμμάτων ἦλθον διάκονος. ἀλλ' ἐγὼ μὲν ὑπὲρ τούτων μικροῦ δεῖν καὶ διεσπάσθην τῶν λόγων. τὸ δόξαν δὲ δίχα πάσης ἐξεβιβάσθη μελλήσεως. τῆς τοίνυν θείας ἡμῖν καὶ τότε παραστάσης ῥοπῆς, καὶ τὴν τοῦ κρατοῦντος πρὸς τὸ ἀληθὲς ἰθυνάσης καρδίαν, καὶ διὰ τῶν πραγμάτων δειξάσης, ὅτι περ ἀληθῶς καρδία βασιλέως ἐν χειρὶ Θεοῦ, κατεγνώσθησαν μὲν οἱ δι' ἐναντίας· δεῖ γὰρ ἐπ' αὐτὸ συντόμως τὸ πέρας ἐλθεῖν· ὡς κατ' οὐδένα τρόπον συστῆναι ἢ τοῖς τῆς καθαιρέσεως ὑπομνήμασιν, ἢ οἷς ἐνταῦθα κατὰ ψευδολογίαν εἰρήκασι, δυνηθέντες· ἀλλὰ καὶ προφανῶς διὰ πάντων * ἀποδειχθέντες, ὡς οὔτε τὸ συνέδριον ἀκολούθως ὁ Αἰγύπτιος ἐκάλεσεν, οὔτε κρίνειν, ὡς εἷς ὢν τῶν κρινομένων, ἠδύνατο, οὔτε ὅλως παρὰ γνώμην τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ τῆς ὑποθέσεως ἅψασθαι. καὶ γὰρ καὶ αἱ παραγγελίαι πᾶσαι τοῦ αὐτοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ, καὶ ἡ γραφεῖσα δι' αὐτοῦ πρὸς τὴν σύνοδον σάκρα. καὶ ἕτερα τοιαῦτα, ὡς * ἅπαξ ἐν διαγνώσει κελεύσαντος ἀνεγνώσθησαν τοῦ βασιλέως· καὶ οὐκ ἔστι τι, ὅπερ διὰ τὰς ὑμετέρας εὐχὰς παρελείφθη, τῶν τὰ παρανόμως αὐτόθι τολμηθέντα δεικνύντων· ὥστε λοιπὸν σύμφωνον μὲν τοὺς τῆς ἀληθείας ἐχθροὺς τὴν παρὰ πάντων κατάγνωσιν ἀπενέγκασθαι, δεχθῆναι δὲ, καὶ κυρωθῆναι τῆς ὑμετέρας θεοσεβείας τὴν κρίσιν, καὶ τὴν τῶν περὶ τὸν Αἰγύπτιον καθαίρεσιν ἀποσταλῆναι πα-

* προσεθίζοντες ἴσως, προσερεθίζοντες

* τοὺς ἀξιωματικοὺς τελοῦντας

* ὁμολογουμένως.

* ἐπλημμελήθησαν

* λεχθέντων

Παροιμ. 21.

* ἀποδειχθέντες.

* ἰσ. εἰσάπαξ

ραχρῆμα παρὰ τῦ ἁσεβεσάτυ βασιλέως ἐν τῇ ἁγίᾳ τῦ Θεῦ ἐκκλησίᾳ. ὡσανεὶ τυραννικῶς ἅπαντα, καὶ ἀθέσμως τῶν περὶ Κύριλλον πεπραχότων, καὶ ἑτέρας προσοφειλόντων ἐφ' οἷς ἔπταισαν τιμωρίας. ἐπὶ τέτοις μὲν ἂν τὰ τῦ πράγματος ἐτελέσθησε· καὶ τῦτο γεγόηται τῆς ἀκροάσεως φέρας. ἐλθόντος δὲ Ἰωάννυ τῦ ἰατρῦ καὶ συγκέλλυ Κυρίλλυ, καὶ ἐλθόντος ὡς ἔσε, ἑτέρως ὥσπερ γεγόημμένυς ὁρῶμεν τῶν ἀρχόντων τὰς φελείας, καὶ οὐδὲ ἀκῦσαι γῦν παρ' ἡμῶν τῶν ἐπ' αὐτοῖς, ἢ καὶ παρ' αὐτῶν κειθέντων ἀνεχομένυς. οἱ μὲν γὰρ αὐτῶν, ἐπὶ τῦ παρόντος, φασὶν, ὡς χρὴ τὰ ἀμ ἑκατέρυ μέρυς πραχθέντα κρατεῖν, καὶ τὰς καθαιρέσεις οὐ τῶν δύο μόνων, ὡς ἔδοξεν, ἀλλὰ τῶν ξένων χυρωθλῶναι προσώπων· οἱ δὲ, ὅτι τὰς μὲν καθαιρέσεις λυθλῶναι πάντων ἐπίσης προσήκει, φανερὰς δὲ τῶν θεοφιλεσάτων ἐπισκόπων ἐντεῦθα μεταλλῆναι. ὥσε μὴ πάσης ἀληθείας ἐξετασθῆναι τύς τε περὶ τῆς πίσεως λόγυς, καὶ τὰ παρανόμως ἐν Ἐφέσῳ γεγόημμένα. εἰσὶ δέ τινες, οἳ καὶ πάντα ποιοῦσι, καὶ παντοδαπὴν σπυδὴν σωεισφέρυσιν, ἐφ' ᾧτε ἐπιξαπῆναι παρὰ τῦ ἁσεβεσάτυ βασιλέως μὴ φανερῶν τύπων τὴν Ἐφεσίων καταλαβεῖν, καὶ ὡς *ἐὰν συνίδωσιν, ἢ καὶ δυνηθῶσι, φησὶν, ἅπαν ὀγαθεῖναι τὸ πρᾶγμα. ὅπερ οἱ ἀγαπῶντες ὑμᾶς εἰς ἔργον ἀπάγονται προελθεῖν, ἀκριβῶς εἰδότες τῶν σπυδαζόντων τὴν προθεσιν, καὶ ὅθεν πρὸς ταύτην ὡδηγήθησαν τὴν βυλήν. ἀλλὰ ταῦτα μὲν, ὡς τῷ κυρίῳ φίλον, πρόιτω· ἐμὲ δὲ, παρακαλῶ, ταῦτες ὑπομεμυηκότος κινδύνυς, καὶ ὧδε νῦν ἀκινδύνως διάγοντος διὰ τὸ τῆς ἐπιβυλλομένων ὀσημέραι πλῆθος, ἐκτενῶς ὑπερέχεσθαι καταξιῦτω ἡ ὑμετέρα ὁσιότης· μάρτυς γὰρ ὁ Θεὸς, ὅτι ἐν τῷ καλεῖσθαι πρὸς τὴν ἐπὶ τῦ βασιλέως διάγνωσιν οὐδὲν ἕτερον ἤλπισα, ἢ τῷ τῆς θαλάσσης παραπέμπεσθαι ῥεύματι. ὁ δὲ κύριος καπὶ τὸ γεγραμμένον παρέστη μοι, καὶ ἐρρύσθλω ἐκ σόματος λέοντος, μᾶλλον δὲ σκύμνων μυρίων.

2. Τιμ. 4. 17.

Ἴσον σάκρας ἀποσαλείσης διὰ Ἰωάννυ τῦ κόμητος τῆς σακρῶν παρὰ τῶν ἁσεβεσάτων βασιλέων τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ.

Κελεστίνῳ, Ῥόφῳ, Αὐγυστιανῷ, Ἀλεξάνδρῳ, Ἀχαχίῳ, Τραγκυλίνῳ, Οὐαλεντίνῳ, Ἰχνίῳ, Ἰωάννῃ, Αχαχίῳ, Οὔρσῳ, Φίρμῳ, Ἰμερίῳ, Δεξιανῷ, Βερνιανῷ, Παλλαδίῳ, Ασερίῳ, Ἰβεναλίῳ, Φλαυιανῷ, Ἑλλαδίῳ, Ραμβύλῳ, Ἀλεξάνδρῳ ἄλλῳ, Μαξίμῳ, Φειτίλᾳ, Περιγένει, Κύρῳ, Ἰωάννῃ ἄλλῳ, Εὐθηρίῳ, Ἑλλανίκῳ, Βοσπορίῳ, Κύρῳ ἄλλῳ, Βηνατίῳ, Πέτρῳ, *Δυνάτῳ, Δωροθέῳ, Αντιόχῳ, Δαλματίῳ, Εὐσεβίῳ, Σελεύκῳ, Ελλησίῳ, Εὐλογίῳ, *Σαππίῳ, Τιμοθέῳ, Πίῳ, Τρωίλῳ, *Εἰρηναίῳ, Μονίμῳ, Ὀλυμπίῳ, Θεοφίλῳ, Ἰουλιανῷ, Βασιλείῳ, καὶ λοιποῖς ἁγιωτάτοις ἐπισκόποις.

* Δοκίτῳ

* Σαφραλίῳ,

* Εἰρηναίῳ,

ΟΣΟΝ περὶ τὴν ἁσέβειαν, καὶ τῆς προγονικῆς πίσεως τὸν ζῆλον ὀγαπῶμεν ἔχοντες, ἐκ πολλῶν ἡγούμεθα τῶν προλαβόντων ἐναργῶς δεδηλῶσθαι· ἐκ ἧκισα δὲ καὶ ἐκ τῆς ἔναγχος ἐπὶ τῇ κλήσει τῆς ὑμῶν συνόδυ τῦτο φανερὸν γεγονέναι πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην πεπισεύκαμεν. ὧδε γὰρ πρὸς βραχὺ ἀνακυψάσης τινὸς ἀμφισβητήσεως ἀναχόμενοι, ὑπὲρ τὸ θᾶττον τὴν ταύτης παρακολουθῆσαι λύσιν, σπυδαίως σωελθεῖν τλὶ ὁσιότητι ὑμῶν ἀπεσείλαμεν· καὶ ὀδαμῶς ἠγούμενοι τὸν ὑπὲρ ἁσεβείας πόνον τῇ θεοσεβείᾳ ὑμῶν ἔσεσθαι φορτικόν. ἐπεκυφίσαμεν ὅμως βασιλικῇ προνοίᾳ τλὶ τῦτο δυχέρειαν ἐπιτηδειότητι καιρῦ τε καὶ τόπυ. τλὶ γὰρ Ἐφεσίων ἀφωρίσαμεν πόλιν τοῖς τε ἐκ γῆς, καὶ θαλάσσης ἀπρόσιτον, ἅπαντων δὲ τῶν οἰκείων, καὶ ἐπετσάκτων χαρπῶν τὰ χρειώδη τοῖς ἐνδιατρίβυσιν ἀφθόνως παρέχυσαν· ὥσε τὸν τῆς ὑμετέρας γαλιωότητος ἁσεβῆ σκοπὸν, καὶ τῆς ἁγιωτάτης ὑμῶν συνόδυ σωδραμεῖν τε ῥᾳδίως, καὶ εἰς ἔργον ἀχθλῶναι. ὅθεν καὶ νῦν τλὶ γνωεισθεῖσαν παρὰ τῆς ἁσεβείας ὑμῶν Νεσορίυ, καὶ Κυρίλλυ, καὶ Μέμνονος καθαίρεσιν ἐδεξάμεθα. τῶν δὲ ἄλλων τῶν παρ' ὑμῖν πραχθέντων ἔγνωμεν τλὶ περὶ τὸν χρισιανισμὸν πίσιν τε καὶ ὀρθότητα * φυλάττοντες, ἣν ἐκ πατέρων καὶ προγόνων παρειλήφαμεν, καὶ ἣν ἡ ἁγιωτάτη σινόδος ἐπὶ τοῦ τῆς θείας λήξεως Κωνσαντίνυ γεγομένη συμφώνως ἐκήρυξε. φροντίσει τοίνυν ἕκασος τῦ ἁγιωτάτυ ὑμῶν συλλόγυ, λυθείσης πάσης ἀμφισβητήσεως, κοπτόντων δὲ τῶν σκανδάλων, μετ' εἰρλνης, καὶ ὁμονοίας εἰς τλὶ οἰκείαν ἐπανελθεῖν. ὑπὲρ δὲ τῦ τλὶ ὁσιότητι ὑμῶν μὴ μόνον ἀπὸ τῆς τῆς ἡμετέρας ἁσεβείας γραμμάτων προξαπεῖσαν, εἰς ὁμόνοιάν τε, καὶ εἰς τλὶ καθ' ὅλυ τῦ ἁσεβῦς δόγματος εἰρλνλω ἰδεῖν, καὶ τὰ γράμματα τῦ ἐπισκόπυ τῆς Βερροιαίων Ἀχαχίυ τῦτο παραινῦντος ἀναγνόντες, ἀπεσείλαμεν. ὃς τῷ ἁγιωτάτῳ ὑμῶν συλλόγῳ προσεθλῶναι διὰ τὸ μακρὸν γῆρας ἠ δυνηθεὶς, δι' ὧν ἔγραψε, τὰ τῇ αὐτῦ θεοσεβείᾳ πρέποντα, καὶ τῇ ὀρθοδόξῳ θρησκείᾳ συμπελοῦντα εἰσηγήσατο· ἅπερ οἷα τυγχάνει, ἡ τῆς αὐτῆς ἐπισολῆς δηλώσει ἀνάγνωσις. γινωσκέτω μέντοι πᾶσιν ὑμῶν ὁσιότης, ὅτι περ τὸν μεγαλοπρεπέσατον, καὶ ἐνδοξότατον κόμητα τῆς σακρῶν Ἰωάννλω, τῦτο ἕνεκα ἀπεσείλαμεν. ὥσε αὐτὸν εἰδότα τὸν περὶ τὴν πίσιν τῆς ἡμετέρας θειότητος σκοπὸν, ἅπερ ἂν σωειδῇ λυσιτελεῖν, * ὀγαπράξασθαι.

* γινομένων, ἐν λάττοσι.

* διαπράξασθαι.

* Ἴσον ἐντολῆς.

* Ἐντολὴ πραχθεῖσα παρὰ τῆς αἰτελικῆς τοῖς ἀποσταλθεῖσι παρ' αὐτῆς εἰς Κωνσαντινούπολιν ἐπισκόποις· ὅτι δικάσασθαι μετὰ τῆς ἀποσταλέντων παρὰ τῆς οἰκυμενικῆς συνόλυ θεοφιλεσάτων ἐπισκόπων ἐν τῇ αὐτῇ Κωνσαντινουπόλει.

Ἡ ἁγία συνόδος ἡ ἐν Ἐφέσῳ συγκροτηθεῖσα τοῖς θεοφιλεσάτοις, καὶ ὁσιωτάτοις, Ἰωάννῃ ἀρχιεπισκόπῳ Ἀντιοχέων μεγαλοπόλεως, καὶ Ἰωάννῃ τῷ Δαμασκλωῶν ἐπισκόπῳ μητροπόλεως, καὶ Ἰμερίῳ ἐπισκόπῳ τῆς Νικομηδέων μητροπόλεως, καὶ Παύλῳ ἐπισκόπῳ Ἐμισλωῶν, ποιυμένυ τὸν λόγον καὶ ὑπὲρ τῦ ἁγιωτάτυ ἐπισκόπυ Ἀχαχίυ τῆς Βερροίας, καὶ Μακαρίῳ ἐπισκόπῳ τῆς Λαοδικέων πόλεως, ποιυμένυ τὸν λόγον καὶ ὑπὲρ τῦ ὁσιωτάτυ Κύρυ ἐπισκόπυ τῆς Τυρίων πόλεως, καὶ Ἀσυγγίῳ ἐπισκόπῳ τῆς Χαλκιδέων, ποιυμένυ τὸν λόγον καὶ ὑπὲρ Ἀλεξάνδρυ ἐπισκόπυ τῆς Ἀπαμείας, καὶ Θεοδωρήτῳ ἐπισκόπῳ τῆς Κυρεσῶν πόλεως, ποιυμένυ τὸν λόγον

καὶ

καὶ ὑπὲρ Ἀλεξάνδρου ἐπισκόπου τῆς Ἱεραπολιτῶν μητροπόλεως, καὶ Ἑλλαδίῳ Πτολεμαΐδος, παρόντες παρῆσιν συνετειλάμεθα τὰ ὡσυτεταγμένα.

ΕΠΕΙΔΗ' τῆς ἐκκλησιαστικῆς σύνεκα ὑποθέσεως, δι' ἣν ἅπαντες ἐκλήθημεν εἰς τὴν Ἔφεσίων * οἱ παρόντες, καὶ ἡ ὑμετέρα θεοσέβεια, κατὰ θέσπισμα τῶν ἀσεβεστάτων ἡμῶν βασιλέων ἐπὶ τὴν μεγαλώνυμον ἐκλήθημεν Κωνσταντινούπολιν, ὑπὲρ τοῦ σωαγωνίσασθαι τῇ ἀληθείᾳ, καὶ τῇ πίστει τῶν ἁγίων πατέρων, καὶ τοῖς δόγμασι τοῖς ὀρθοῖς· οὐ προσετάχθημεν δὲ ἅπαντες παρεῖναι ὑμῖν· ἔδει δὲ καὶ τὴν γνώμην πάντων ἡμῶν κατάδηλον ποιῆσαι, ὡς ἐμμένομεν, καὶ χύεια ἡγούμεθα πάντα τὰ ὑφ' ὑμῶν πραττόμενα σύνεκα τῆς ὑποθέσεως, ἢ καὶ πραχθησόμενα. εἰ δέ τι καὶ χρεία γένοιτο ἢ συμβιβασμοῦ, ἢ εἰρήνης ἐκκλησιαστικῆς, ἢ ἑτέρου τινὸς ἀπαιτοῦντος ὑπογραφὴν ὑπὲρ πάντων ἡμῶν σύνεκα, καὶ τοῦτο αὐτὸ παρακαλοῦμεν τὴν ὑμετέραν ἁγιωσύνην μὴ ὀκνῆσαι ποιῆσαι ὑπὲρ τοῦ λοιπελοῦντος τὸ κοινὸν, καὶ ὑπὲρ τῆς δόξης τοῦ δεσπότου Χριστοῦ. εἰ δὲ καὶ συνοδικὸν δόξει ἀποσαλῆναι * παρ' ἡμῶν σύνταῦθα ἀπεσταλμένων τὴν ὑπογραφὴν, ὁμολογοῦμεν ἅπαντες κοινῇ, καὶ ἰδίᾳ ἕκαστος τοῦτο καθυπογράφειν μετὰ πάσης προθυμίας, καὶ ἐξαποστέλλειν εἰς τὸ ἀσεβὲς στρατόπεδον· ἅπερ ἐκεῖνοι τυγχάνοντες, ὡς παντὶ τρόπῳ τὴν κεφαλαίων τῶν αἱρετικῶν, τῶν ὑπὸ Κυρίλλου τοῦ Ἀλεξανδρέως ὑπεισαχθέντων τῇ πίστει τῶν πατέρων τῶν κατὰ Νίκαιαν, μετὰ ἀναθεματισμῶν ἐκβαλλομένων, ὡς ἀλλοτρίων τῆς καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας·

Ἀλέξανδρος ἐπίσκοπος μητροπόλεως Ἱεραπόλεως· ἐπὶ καὶ τῇ ἐκτεθεῖσαν πίστιν ὑπὸ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ διαπράξεσθε, μήτε ἐπεισαγομένῃ τινὸς τῇ πίστει τῶν ἁγίων πατέρων, καὶ ἐκβαλλομένων τῶν αἱρεταικῶν κεφαλαίων Κυρίλλου τοῦ Ἀλεξανδρείας, τούτῳ συγκατατίθεμαι· ταύτῃ γὰρ τῇ ἐκθέσει τὴ πίστεως καὶ ἤδη μετὰ τῆς ἁγίας συνόδου τῆς σὺν ἡμῖν καθυπέγραψα.

* Θεόδωρος ἐπίσκοπος Μαρκιανουπόλεως δευτέρας Μυσίας, γεγράφηκα ὡσαύτως, συντιθέμενος ὡς προκατέχει. συνυπέγραψαν δὲ καὶ οἱ λοιποὶ πάντες.

Δοθείσης δὲ τῆς συντολῆς, συνανεγνώσθη καὶ τόμος πιεμφθεὶς ὅτως.

Ἐπιστολὴ ἀνατολικῶν τινων, τῶν εἰς Κωνσταντινούπολιν πεμφθέντων, πρὸς Ῥῶφον ἐπίσκοπον.

Τῷ θεοφιλεστάτῳ, καὶ ὁσιωτάτῳ, συλλειτουργῷ Ῥούφῳ, Ἰωάννης, Ἰμέριος, Θεωδώρητος, καὶ οἱ καθιξῆς σὺν κυρίῳ χαίρειν.

ΛΙΑΝ βεβλάφθαι τὴν θεοσέβειαν, καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ὑπὸ τῆς ἀποστασίας τῆς πίστεως ἡγούμεθα· ἔπασχε γὰρ ἂν παραγομένη καὶ τὰς γεγονυμένας συγχύσεις, καὶ τὰς * τεπλημμένας ἀταξίας, καὶ σὺν ἡμῖν ἂν κατηγωνίσατο τὰς ἐπεισαχθείσας αἱρέσεις τῇ ὀρθοδόξῳ πίστει, καὶ τῇ διαγγελικῇ, καὶ ἀποστολικῇ διδασκαλίᾳ, ἣν παῖδες παρὰ πατέρων ἀεὶ * δεχόμενοι, μέχρις ἡμῶν ταύτην παρέπεμψαν. ταῦτα δὲ οὐχ ἁπλῶς φαμὲν, ἀλλὰ ἄλλον * τὸν σκοπὸν τῆς σῆς ὁσιότητος μεμαθηκότες ἐκ τῆς πρὸς τὸν θεοφιλέσατον, καὶ ἁγιώτατον Ἰουλιανὸν, τὸν τῆς * Ἐδεσσηνῶν ἐπίσκοπον, παρὰ τῆς σῆς θεοσεβείας * σταλέντων γραμμάτων. ἐδήλωσε γὰρ τὰ γράμματα, ὡς χρὴ τὸν προκειμένου θεοσεβέστατον ἐπίσκοπον συναγωνίσασθαι τῇ ἐκτεθείσῃ πίστει ὑπὸ τῶν μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ * συναθροισθέντων, καὶ μὴ συγχωρῆσαι μῶμον ἐκείνοις τοῖς * ἀῤῥαγέσι ῥήμασιν ἐπεισαχθῆναι, ἀρχῆσί τε καὶ τὴν ἀλήθειαν δεῖξαι, καὶ τὸ ψεῦδος ἐλέγξαι. ταῦτα ἡ μὲν ὁσιότης ἡ σὴ ὀρθῶς, καὶ δικαίως, καὶ ἀσεβῶς εἰσηγήσατο. καὶ ὁ δεξάμενος τὰ γράμματα, τῇ τῶν γραμμάτων ἠκολούθησε συμβουλῇ. πολλοὶ δὲ τῶν εἰς τὴν σύνοδον παραγενομένων ἐξέκλιναν κατὰ τὸν προφήτην, καὶ ἠχρειώθησαν, οἳ μὲν παρὰ τῶν ἁγίων πατέρων παρέλαβον πίστιν καταλιπόντες, τοῖς δὲ Κυρίλλου τοῦ Ἀλεξανδρείας δώδεκα κεφαλαίοις καθυπογράψαντες· ἃ τοῖς Ἀπολιναρίου γέμει κακοδοξίας. συμβαίνει δὲ καὶ τῇ Ἀρείου, καὶ Εὐνομίου δυσσεβείᾳ. καὶ ἀναθεματίζει πάντα τὸν μὴ δεχόμενον τὴν γυμνὴν ταύτην ἀσέβειαν. ταύτῃ τῇ * λύμῃ τῆς πίστεως λίαν αὐτέσημοι, οἵ τε ἀπὸ τῆς ἑῴας συνεληλυθότες, καὶ ἕτεροι οἱ ἐκ διαφόρων διοικήσεων. ὥστε τὴν ἐν Νικαίᾳ ἐκτεθεῖσαν ὑπὸ τῶν μακαρίων πατέρων κρατυνθῆναι πίστιν. οὐδὲν γὰρ αὐτῇ ἐλλείπει, ὡς εἶδον ἡ σὴ ἁγιότης, εἴτε διδασκαλίαν τῶν διαγγελικῶν δογμάτων, καὶ εἰς ἔλεγχον πάσης αἱρέσεως. ὑπὲρ ταύτης ἀγωνιζόμενοι διατελοῦμεν, πάντων ὁμοῦ τῶν κατὰ τὸν βίον καταφρονοῦντες τερπνῶν τε, καὶ λυπηρῶν, ὥστε ἀνέπαφον διαφυλαχθῆναι τὸν παρῳκηκότα τοῦτον χλῆρον. τοῦτο χαίρειν καὶ Κυρίλλου, καὶ Μέμνονα, τὸν μὲν ὡς αἱρεσιάρχην, τὸν δὲ ὡς συνεργὸν γεγονυμένον, καὶ ἐν ἅπασιν αὐτῷ συμμαχήσαντα ὥστε βεβαιωθῆναι καὶ στηριχθῆναι τὰ ἐπὶ * διαφθορᾷ τῶν ἐκκλησιῶν ἐκτεθέντα κεφάλαια, καθαιρέσει ὑποβεβλήκαμεν. καὶ τὸς ὑπογράψαι, καὶ συνθέσθαι πῖς ἐναντίοις τῆς εὐσεβείας δόγμασι τετολμηκόσι, ἀκοινωνήτους πεποιήκαμεν. ἕως ἂν ἐκεῖνα μὲν ἀναθεματίσωσιν, εἰς δὲ τὴν πίστιν τῶν ἐν Νικαίᾳ συνελθόντων ἐπανέλθωσιν· ἀλλ' ἤδη αὐτὸς ὤνησεν ἡ ἡμε-

* τῇ πίστει

* τεπλημμένας. * τὰ πρὸ τοῦ σκοποῦ * Ἐδεσσηνῶν * γραμμάτων * συναθροισθέντων, * ἀῤῥαγέσι * Ψαλμ. 33. 3. * λύμη * διαφθορᾷ

ἡ ἡμετέρα μακροθυμία· μέχρι γὰρ τῆς σήμερον ἡμέρας τῶν διεφθαρμένων ἐκείνων ὑπερμάχονται δογμάτων. περιέπειραν δὲ ἑαυτοὺς καὶ τῷ τοῦ κανόνος ὅρῳ. ὃς σαφῶς διαγορεύει· εἴ τις καθαιρεθεὶς ἐπίσκοπος ὑπὸ συνόδου, ἢ πρεσβύτερος, ἢ διάκονος, ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, ἑαυτῷ ἐπιτρέψειε τὴν λειτουργίαν, καὶ μὴ ἀναμείνειε συνόδου κρίσιν, μηκέτι χώραν αὐτὸν ἔχειν ἀπολογίας, μηδὲ ἐφ' ἑτέρας συνόδου· ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτῷ, παντελῶς ἐξωθεῖσθαι τῆς ἐκκλησίας. τούτῳ τῷ ὅρῳ περιπεπτώκασιν οἵ τε καθαιρεθέντες, οἵ τε ἀκοινώνητοι γεγενημένοι. εὐθὺς γὰρ μετὰ τὸ γνῶναι τὴν γενομένην καθαίρεσιν, καὶ ἀκοινωνησίαν, καὶ συνελειτούργησαν, καὶ διατελοῦσι λειτουργοῦντες. ὡς ἀπιστοῦντες δηλονότι τῷ εἰπόντι· ὃ δὴ ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς. ταῦτα ἐβουλευσάμεθα μὲν εὐθὺς τῇ σῇ ἁγιωσύνῃ γνωρίσαι· προσδοκήσαντες δὲ ἔσεσθαί τινα τῶν λυπηρῶν μεταβολὴν, μέχρι τοῦ παρόντος ἀνεμείναμεν. ἀλλ' ἐψεύσθημεν τῆς ἐλπίδος. ἔμειναν γὰρ τῆς δυσσεβοῦς ταύτης αἱρέσεως ὑπερμαχοῦντες, καὶ μηδὲ τοῦ εὐσεβεστάτου βασιλέως τὰς συμβουλὰς αἰδούμενοι. πεντάκις γὰρ ἤδη καὶ αὐτοῖς, καὶ ἡμῖν συντετυχηκὼς, προσέταξεν αὐτοῖς, ἢ ὡς ἐναντία τῇ πίστει ἐκβάλλειν τὰ Κυρίλλου κεφάλαια, ἢ τὸν ὑπὲρ τούτων ἀναδέξασθαι ἀγῶνα, καὶ δεῖξαι ὡς συμβαίνει τῇ τῶν μακαρίων πατέρων ὁμολογίᾳ. ἑτοίμως γὰρ * ἔχομεν ἡμεῖς τοὺς ἐλέγχους, δι' ὧν ἀπεδείξαμεν ἄν, ὡς ἄντικρυς μὲν μάχεται τοῖς τῆς ὀρθοδοξίας διδασκάλοις, συμφέρεται δὲ λίαν τῇ τῶν αἱρετικῶν διδασκαλίᾳ. διδάσκει γὰρ ὅτι τούτων αὐτῶν ὁ τὰ πονηρὰ ταῦτα κτίσας γεννήματα, ὡς ἡ θεότης τοῦ μονογενοῦς υἱοῦ Θεοῦ ἔπαθε, καὶ οὐχ ἡ ἀνθρωπότης, ἣν ὑπὲρ τῆς ἡμετέρας ἀνείληφε σωτηρίας· τῆς ἐνοικούσης δηλονότι θεότητος οἰκειουμένης μὲν τὰ πάθη, ὡς ἰδίου σώματος, οὐδὲν δὲ παχούσης εἰς τὴν ἰδίαν φύσιν. πρὸς δὲ τούτοις, ὅτι μία φύσις γέγονε θεότητός τε, καὶ ἀνθρωπότητος. οὕτω γὰρ, ὁ λόγος σὰρξ ἐγένετο, ἡρμηνεύσεν. ὡς τῆς θεότητος τροπήν τινα ὑπομεινάσης, καὶ εἰς σάρκα μεταβληθείσης. πρὸς τούτοις ἀναθεματίζει τοὺς διαιροῦντας τὰς εὐαγγελικὰς, καὶ ἀποστολικὰς περὶ τοῦ δεσπότου Χριστοῦ φωνὰς, καὶ τὰς μὲν ταπεινὰς, κατὰ τὴν ἀνθρωπότητα, τὰς δὲ θεοπρεπεῖς, κατὰ τὴν θεότητα τοῦ Χριστοῦ ἐκλαμβάνοντας. ὅπερ φρονοῦντες Ἀρειανοὶ, καὶ Εὐνομιανοὶ, καὶ τὰς μὲν ταπεινὰς περὶ τῆς οἰκονομίας φωνὰς εἰς τὴν θεότητα ἀναφέροντες, καὶ κτίσμα, καὶ ποίημα τὸν Θεὸν λόγον, καὶ ἑτεροούσιον, καὶ ἀνόμοιον τῷ πατρὶ λέγειν ἐπραγματεύσαντο. ἐντεῦθεν δὲ, εἴ τι κἂν συμβαίνῃ τὸ βλάσφημον, ῥᾴδιον κατιδεῖν. σύγχυσις γὰρ εἰσάγεται τῶν φύσεων, καὶ προσάπτεται τῷ Θεῷ λόγῳ, τό· Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; καὶ τό· πάτερ, εἰ δυνατὸν, παρελθέτω τὰ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· καὶ τὸ πεινῆν, καὶ διψῆν, καὶ ὑπὸ ἀγγέλου στηρίζεσθαι, καὶ τὸ λέγειν· νῦν ἡ ψυχή μου τετάρακται· καὶ, περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· καὶ ὅσα τοιαῦτα περὶ τὴν ἀνθρωπότητα τοῦ κυρίου συμβέβηκε. ταῦτα δὲ ὡς σαφῶς τῇ Ἀρείου, καὶ Εὐνομίου δυσσεβείᾳ συμβαίνει, εὐχερῶς ἄν τις κατίδοι. ἐκεῖνοι γὰρ τὸ ἑτεροούσιον κατασκευάσαι μὴ δυνάμενοι, τὰ παθήματα, καὶ τὰς εὐτελεῖς φωνὰς τῇ θεότητι τοῦ Χριστοῦ περιάπτουσιν, ὡς προείρηται. ἴσω δέ σου ἡ θεοσέβεια, ὡς οἱ τῶν Ἀρειανῶν διδάσκαλοι νῦν οὐδὲν ἕτερον ἐν ταῖς ἐκκλησίαις αὐτῶν διδάσκουσιν, ἢ ὡς οἱ τὸ ὁμοούσιον διδάσκοντες, νῦν τὰ Ἀρείου φρονοῦσι, καὶ ὅτι διὰ χρόνου μακροῦ τὸ ἀληθὲς ἀνεφάνη. ἡμεῖς δὲ τοῖς τῶν μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ συνεληλυθότων, καὶ τῶν μετ' ἐκείνους ἐν τῇ διδασκαλίᾳ διαπρεψάντων, Εὐσταθίου τοῦ Ἀντιοχείας, Βασιλείου τοῦ Καισαρείας, καὶ Γρηγορίου, καὶ Ἰωάννου, καὶ Ἀθανασίου, καὶ Θεοφίλου, καὶ Δαμάσου τῆς Ῥώμης, καὶ Ἀμβροσίου τοῦ Μεδιολάνων, καὶ τῶν ταὐτὰ τούτοις διδαξάντων, ἐμμένομεν δόγμασι, καὶ τοῖς εὐσεβέσιν αὐτῶν ἀκολουθοῦμεν ἴχνεσι. τοῖς γὰρ εὐαγγελικοῖς, καὶ ἀποστολικοῖς, καὶ προφητικοῖς, ἑπόμενοι * ῥήμασιν, ἀκριβῆ τῆς ὀρθοδοξίας ἡμῖν κατέλιπον κανόνα. ὃν ἀκλινῆ, καὶ ἀσάλευτον φυλάξαι σπουδάζομεν ἅπαντες, οἱ τὴν ἀνατολὴν οἰκοῦντες· ὡσαύτως δὲ καὶ οἱ Βιθυνοὶ, καὶ Παφλαγόνες, καὶ ἡ δευτέρα Καππαδοκία, καὶ Πισιδία, καὶ Θετταλία, καὶ Μυσία, καὶ Ῥοδόπη, καὶ ἄλλοι πλεῖστοι ἀπὸ διαφόρων ἐπαρχιῶν. δῆλοι δέ εἰσι καὶ Ἰταλιῶται τῆς καινοτομίας ταύτης οὐκ ἀνεξόμενοι. ὁ γὰρ θεοφιλέστατος, καὶ ἁγιώτατος Μαρτῖνος, ὁ τῆς Μεδιολάνων ἐπίσκοπος καὶ γράμματα πρὸς ἡμᾶς ἀπέστειλε, καὶ τῷ εὐσεβεστάτῳ βασιλεῖ βιβλίον ἐξέμψε τοῦ μακαρίου Ἀμβροσίου περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως. ὅπερ τὰ ἐναντία τοῖς αἱρετικοῖς τούτοις διδάσκει κεφαλαίοις. γινωσκέτω δέ σου ἡ ἁγιότης, ὡς οὐκ ἤρκεσε Κυρίλλῳ, καὶ Μέμνονι τὸ τῇ ὀρθοδόξῳ πίστει λυμήνασθαι, ἀλλὰ καὶ πάντας τοὺς κανόνας ἐπάτησαν. τοὺς γὰρ ἀπὸ διαφόρων ἐπαρχιῶν, καὶ διοκήσεων γενομένους ἀκοινωνήτους, εὐθὺς εἰς κοινωνίαν * ἀνεδέξατο. πρὸς τούτοις δὲ καὶ ἑτέρους, καὶ ἐπὶ αἱρέσεσιν ἐγκαλουμένους, καὶ τὰ αὐτὰ φρονοῦντας Κελεστίῳ, καὶ Πελαγίῳ· Εὐχῖται γάρ εἰσιν, ἤγουν Ἐνθουσιασταί. διὸ καὶ ἀκοινώνητοι ἦσαν τῷ τε διοικειτῇ, καὶ τῷ μητροπολίτῃ. τῆς ἐκκλησιαστικῆς εὐταξίας καταφρονήσαντες, εἰς κοινωνίαν ἐδέξαντο αὐτοὺς, τὸ πλῆθος ἑαυτοῖς πανταχόθεν ἀθρίζοντες. καὶ τυραννικῶς μᾶλλον, ἢ εὐσεβῶς δογματίζειν σπουδάζοντες. ἐπειδὴ γὰρ τῆς εὐσεβείας ἐγεγύμνωντο, ἀναγκαίως ἑαυτοῖς ἑτέραν ἐπενόησαν δύναμιν. ἀνθρώπων * τείχη, χρημάτων ῥεύμασιν οἰόμενοι τὴν τῶν πατέρων καταγωνίζεσθαι πίστιν. ἀλλὰ τούτων οὐδὲν αὐτοὺς ὀνήσει, τῆς ὑμετέρας * ἐρρωμένης ὁσιότητος, καὶ συνήθως τῆς εὐσεβείας ὑπερασπιζούσης. παρακλήθητι τοίνυν, δέσποτα ἁγιώτατε, τὴν μὲν κοινωνίαν τῶν ταῦτα τετολμηκότων, καὶ τὴν αἵρεσιν ταύτην εἰσαγαγόντων, φυλάξασθαι, γνωρίσαι δὲ πᾶσι, καὶ τοῖς ἐγγὺς, καὶ τοῖς μακρὰν. ὡς ταῦτά ἐστι τὰ κεφάλαια, ἐφ' οἷς ὁ τρισμακάριος Δάμασος καθεῖλεν Ἀπολινάριον, καὶ Βιτάλιον, καὶ Τιμόθεον, τοὺς αἱρετικούς· καὶ ὅτι οὐ χρὴ τῇ ἐκπεμφθείσῃ ἐπιστολῇ παρ' αὐτοῦ ἁπλῶς προσέχειν. ἐν ᾗ τὸ μὲν αἱρετικὸν συνεσκίασε φρόνημα, τῷ δὲ τῆς εὐσεβείας αὐτὴν κατέχρωσε δόγματι. ἐν μὲν γὰρ τοῖς κεφαλαίοις σφόδρα αὐτοῦ τὴν ἀσέβειαν ἐγύμνωσεν. ἔνθα καὶ ἀναθεματίσαι τοὺς μὴ οὕτω φρονοῦντας ἐτόλμησεν· ἐν δὲ τῇ ἐπιστολῇ * βλάψαι πανούργως τοὺς ἀπλουστέρους ἐπεχείρησε. μὴ τοίνυν * καταφρονήσῃ τῆς ὑποθέσεως ἡ σὴ ὁσιότης, ἵνα μὴ

Κανών 4. συνόδου ἀντιοχείας.

Ματθ. 18. 18.

* εἴχομεν

Τοῦτο Κύριλλος ἐδίποτε ἐλεγίσατο, οὗτος μὴν παρρησία, ἐδίδαξε.

Γαλ. 1.

Ψάλ. 21. Μάθ. 26. 39.

Γαλ. 22. Μάτθ. 26.

* δόγμασιν,

* ἴσως ἀνεδέξαντο, ἐδέξαντο in mf. Seg.

* τείχη,

* ἐρρωμένης θεοφιλίας,

* κλέψαι

* καταφρονήσῃ

μὴ ὕστερον ὁρῶσα τὴν αἵρεσιν κρατυνθεῖσαν, ἀνονήτως ἀλγύνηται, καὶ ἀσχάλλῃ, ἐπαμῦναι μηκέτι δυναμένη τῇ εὐσεβείᾳ. ἀπεστείλαμεν δὲ καὶ τὸ ἔσον τοῦ τόμου, οὗ ἐπιδεδώκαμεν τῷ εὐσεβεστάτῳ καὶ φιλοχρίστῳ βασιλεῖ ἡμῶν, ἔχον τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ· ἐν ᾧ ἐξεβάλομεν τὰ πρόσφατον πεισαχθέντα ὑπὸ Κυρίλλου αἱρετικὰ κεφάλαια, ἀλλότρια κρίναντες αὐτὰ τῆς ὀρθοδόξου πίστεως. ἐπειδὴ μόνοι ὀκτὼ παρεγενόμεθα εἰς τὴν Κωνσταντινούπολιν, οὕτω τοῦ εὐσεβεστάτου προστάξαντος βασιλέως, * ὑπετάξαμεν καὶ τὸ ἴσον τοῦ ἐντολικοῦ, τοῦ παρὰ τῆς ἁγίας συνόδου δοθέντος ἡμῖν, διὰ τὴν γνῶσιν τῶν ἐγκειμένων αὐτῷ ἐπαρχιῶν, ἅς ἐστιν ἀπὸ τῶν ὑπογραφῶν τῶν μητροπολιτῶν γνῶναι τὴν σὴν ὁσιότητα. πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα προσαγορεύομεν.

* ὑπεγράψαμεν.

* Ἴσον ἀναφορᾶς τῆς ἁγίας συνόδου, ἀποσταλείσης διὰ Παλλαδίου μαγιστριανοῦ, καλανδῶν Ἰουλίων, Ἐπιφὶ ζ'. ἰνδικτιῶνος· ιέ.

* Ἀναφορὰ τῆς συνόδου ἀντιγραφεῖσα πρὸς τὴν σύνοδον, καὶ διδάσκουσα, ὡς ψηφῇ τὰ ἀνεκρίθεντα παρὰ τοῦ Κανδιδιανοῦ ἐστιν.

Τοῖς εὐσεβεστάτοις, καὶ θεοφιλεστάτοις, Θεοδοσίῳ, καὶ Οὐαλεντινιανῷ, νικηταῖς, προπαιούχοις, ἀείαυγούστοις, ἡ ἁγία σύνοδος, ἡ χάριτι Θεοῦ, καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει.

ΤΟ' μὲν ὑμέτερον κράτος, τὴν εὐσέβειαν βεβαιῶσαι βουλόμενον, ἐπέταξε τῇ ἁγίᾳ συνόδῳ ζήτησιν περὶ τῶν δογμάτων ποιήσασθαι σπουδαιοτέραν· ἣν καὶ πεποιήμεθα, καὶ τῇ ἀρχαίᾳ παραδόσει τῶν πατέρων, οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν ἁγίων ἀποστόλων, καὶ εὐαγγελιστῶν πειθόμενοι, καὶ τῶν τριακοσίων, δεκαοκτὼ συναχθέντων ἐπὶ τῆς Νικαίας· ἣν καὶ ἑρμηνεύσαντες συμφώνως, καὶ γνώμῃ μιᾷ, ἐμφανῇ τῇ ὑμετέρᾳ εὐσεβείᾳ κατεστήσαμεν ἐν αὐτοῖς τοῖς ὑπομνήμασι τοῖς πεπραγμένοις· ἐν οἷς καὶ Νεστόριον ἕτερα φρονοῦντα ἐναργῶς εὑρηκότες, καθείλομεν. οὐδὲ γὰρ ἐν τῇ Ἐφεσίων μητροπόλει τὸ ἑαυτοῦ ἔκρυψε φρόνημα. ἵνα ἐλέγχων ἑτέρων δεηθῇ, ἀλλ' ἀνεβόα καθ' ἑκάστην ἡμέραν, τὰ ἀλλότρια τῆς πίστεως κηρύττων πρὸς πλείονας δόγματα. καὶ ἕκαστα κατὰ μέρος ἐν τοῖς πεπραγμένοις ὑπομνήμασι δῆλα κατεστήσαμεν τῇ ὑμῶν εὐσεβείᾳ. ἀλλ' ἐπειδὴ τὴν φιλίαν Νεστορίου, τῆς εὐσεβείας, προτιμῶν ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανὸς, ὑφαρπάσαι τὴν ἀκοὴν τῆς ὑμετέρας εὐσεβείας ἐσπούδασε, πρὶν καταμαθεῖν ἀκριβῶς τὰ πεπραγμένα τὸ ὑμέτερον κράτος, πρὶν δέξασθαι τὰ ὑπομνήματα, πρὶν ἐπιστῆσαι τοῖς γεγενημένοις, ἐσπούδασεν αὐτὸς τὰ αὐτῷ φίλα, καὶ κεχαρισμένα Νεστορίῳ, ἀναδιδάξαι τὴν ὑμετέραν εὐσέβειαν. πρὶν γνῶναι τὸ ὑμέτερον κράτος τὸ ἀληθὲς ἐκ τῆς τῶν πραχθέντων ὑπομνημάτων ἀναγνώσεως· ἐν οἷς δεικνύμεθα οὐδεμίαν κατὰ Νεστορίου δυσμένειαν γυμνάζοντες, ἀλλὰ αὐτὰ τῆς εὐσεβείας ἐκθέμενοι τὰ δόγματα· οἷς παραβαλόντες τὰ ὑπὸ Νεστορίου κηρυττόμενα, ἔχοντα τὸν ἔλεγχον ἐκ τῶν γραμμάτων * Νεστορίου, ἐπιστολῶν τε, καὶ τῶν ἐν δημοσίῳ γενομένων διαλέξεων, τὴν ψῆφον ἐξηνέγκαμεν, τοῦ ἁγίου εὐαγγελίου ἐν μέσῳ κειμένου, καὶ δεικνύντος ἡμῖν παρόντα τὸν δεσπότην τῶν ὅλων Χριστόν. δεόμεθα τοίνυν τοῦ ὑμετέρου κράτους, μηδένα παραδοχῆς ἀξιωθῆναι τῶν προτιμώντων * ἀνθρώπων φιλίαν, τῆς εὐσεβείας. καὶ γὰρ τοιαύτης αἰσθόμενοι τῆς διαθέσεως τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἰωάννου τοῦ Ἀντιοχείας, ὡς βουλομένου φιλίᾳ χαρίζεσθαι μᾶλλον, ἢ τὸ συμφέρον τῇ πίστει σκοπεῖν, ἐξ ὧν μήτε τοῦ ὑμετέρου κράτους ἀπειλὴν φοβηθεὶς, μήτε τῷ ζήλῳ κινούμενος τῆς θεοφιλοῦς πίστεως τῆς ἄνωθεν παραδεδομένης, τὴν ἁγίαν ἀνεβάλετο σύνοδον ἐπὶ εἴκοσι καὶ μίαν ἡμέραν, μετὰ τὴν δεδομένην προθεσμίαν παρὰ τοῦ ὑμετέρου κράτους, καὶ ἠναγκάσθημεν ἅπαντες οἱ τῆς ἁγίας συνόδου ὀρθόδοξοι, καὶ μόνης ἐρῶντες τῆς πίστεως, ζητῆσαι τὰ περὶ τῆς εὐσεβείας· τοῦτο πεπονθέναι καὶ τὸν θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην ὑπολαβόντες, ὅπερ δείκνυται πεπονθὼς, καὶ ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανὸς. οὐ γὰρ πάντων ἐστὶ τῆς πρὸς τοὺς ἀνθρώπους φιλίας, προτιμᾶν τὴν εὐσέβειαν. ἣν δ' ἄρα ἡ περὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἰωάννου ὑπόνοια ἡμῶν οὐκ εἰκαία, οὐδὲ μάταιος· ἐλθὼν γὰρ, δῆλον ἑαυτὸν ἐποίησε τῇ ἁγίᾳ συνόδῳ, ὡς τὰ Νεστορίου * φρονεῖ, εἴτε φιλίᾳ χαριζόμενος, εἴτε κοινωνὸς ὢν τῆς πλάνης τοῦ δόγματος * ἐκείνῳ.

* τὴν ἀνθρώπου φιλανθρωπίαν.

* φρονῶν.

* ἐκείνου.

Ἀλλ' ἐπειδὴ σαφῶς τὰ πεπραγμένα γνωρίζειν τῷ ὑμετέρῳ κράτει κωλυόμεθα, ὡς ἔφημεν, τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ ἡμᾶς μὲν κωλύοντος γνωρίζειν τὰ κατὰ τὸν εὐσεβῆ λόγον πεπραγμένα, πᾶσαν δὲ σπουδὴν νέμοντος Νεστορίῳ, δεόμεθα τοῦ ὑμετέρου κράτους, ὑπὲρ τοῦ γνωσθῆναι τὴν κατὰ Θεὸν σπουδὴν τῆς ἁγίας συνόδου. καὶ μεταστελῆναι μὲν τὸν μεγαλοπρεπέστατον Κανδιδιανὸν, καὶ πέντε τῆς ἁγίας συνόδου συστησομένους τοῖς πεπραγμένοις ἐπὶ τῆς ὑμῶν εὐσεβείας, δεινοὶ γάρ εἰσιν οἱ ἕτερα παρὰ τὴν ὀρθὴν πίστιν φρονοῦντες, συσκιάζειν τὴν πλάνην· ὡς καί τινας τῶν ἁγιωτάτων ἐπισκόπων, κρυπτομένης μὲν τῆς πλάνης παρὰ Νεστορίου, δελεασθῆναι, καὶ προσθέσθαι αὐτῷ, τοῖς τε ὑπ' αὐτῷ πραττομένοις ὑπογράψαι· ἐπειδὴ δὲ σαφῶς ἐρωτήσαντες αὐτὸν, εὗρον ἀνακαλύπτοντα ἑαυτοῦ τὰς βλασφημίας, ἀποστάντες ἐκείνου, τῇ ἁγίᾳ προσῆλθον συνόδῳ, αὐτὴν τὴν βλασφημίαν αὐτοῦ δήλην ποιήσαντες, καὶ μεθ' ἡμῶν καταψηφισάμενοι τοῦ μνημονευθέντος Νεστορίου· ὡς ἀπολειφθῆναι παρὰ Νεστορίῳ, καὶ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἰωάννῃ τῷ Ἀντιοχείας τριάκοντα καὶ ἑπτὰ, μικρῷ πρός· ὧν οἱ πλείους ὑπεύθυνοι ὄντες αἰτίαις, καὶ τὴν ψῆφον δεδιότες τῆς ἁγίας συνόδου, ὡς ἔφημεν, προσέθεντο Νεστορίῳ· ὧν καὶ τὰς προσηγορίας ἀπεστείλαμεν τῷ ὑμετέρῳ κράτει· τοὺς μὲν ἐπὶ δογμάτων διαστροφῇ, ὡς Πελαγιανούς τε ὄντας, καὶ ἐναντία τῆς εὐσεβείας φρονήσαντας· τοὺς δὲ καθηρημένους ἤδη πρὸ πολλῶν ἐνιαυτῶν· τοὺς δὲ ἐφ' ἑτέραις αἰτίαις πονηραῖς ὀφείλοντας μετὰ τὸν ἔλεγχον τὸ ἐπιτίμιον δέξεσθαι παρὰ τῆς συνόδου, ἐχούσης πάντας τοὺς τῆς οἰκουμένης ἁγιωτάτους ἐπισκόπους, ἕν, καὶ τὸ αὐτὸ φρονήσαντας, διὰ τὸ καὶ τὸν τῆς μεγάλης Ῥώμης συμπαρεῖναι τῇ συνόδῳ, καὶ τοὺς τῆς Ἀφρικῆς διὰ τοῦ θεοσεβεστάτου ἀρχιεπισκόπου Κυρίλλου· ᾧ καὶ τὴν ἑαυτῶν γνώμην ἐνώσαντες, κεχωρισμένοι μόνῳ τῷ τόπῳ, τῇ αὐτοῦ τε, καὶ πάντων ἡμῶν ψήφῳ συνήνεσαν. οὐδὲ γὰρ

ἂν συνῆλθε Νεστορίῳ τις, καὶ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἰωάννῃ τῶν θεοφιλεστάτων ἐπισκόπων, εἰ μήτε αὐτός τε δεινὸς ἦν * σχήματι λογισμῶν ἐπικαλύπτειν αὐτοῦ τὴν δυσσέβειαν, οἵ τε νῦν σὺν αὐτῷ ὄντες ἐδεδοίκεισαν τὸ παρὰ τῆς ἁγίας συνόδου μέλλον ἐπ' αὐτοῖς ὁρίζεσθαι ἐπιτίμιον. ἡμεῖς δὲ συσχεθέντες, * ὀλίγον γράψαι τῷ ὑμετέρῳ κράτει τὸ πλάτος ὧν πεπόνθαμεν ἐς παρὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος Εἰρηναίου, οὐδεδυνήμεθα, τοῦ πᾶσαν διαταράξαντος τὴν ἁγίαν σύνοδον, καὶ φόβον ἐπικρεμάσαντος τοῖς ἁγιωτάτοις ἐπισκόποις διὰ θορίβων τινῶν, καὶ τῆς ἔξω * ἐπιδρομῆς, ὡς καὶ τοὺς πλείονας ἡμῶν * περὶ αὐτοῦ κινδυνεύειν τοῦ ζῆν. ἀλλὰ κατὰ μέρος ἀναδιδάξομεν τὸ ὑμέτερον κράτος, εἴπερ ἡμῖν, ὃ ἠτήσαμεν, παραχεθείη παρὰ τῆς ὑμετέρας εὐσεβείας· καὶ παραγενόμενοι πέντε τῆς ἁγίας συνόδου, τὰ καθ' ἕκαστον τετυπωμένα τὸ ὑμέτερον * ἀναδιδαξάτωσαν κράτος. καὶ οἱ μὲν συνεδρεύσαντες, καὶ κανονικὴν ἐξενέγκαντες κατὰ τοῦ αἱρετικοῦ Νεστορίου ψῆφον τῆς καθαιρέσεως, ἐσμὲν ὑπὲρ τοὺς διακοσίους, ἐξ ἁπάσης τῆς οἰκουμένης συνειλεγμένοι. συμψηφιζομένης ἡμῖν καὶ πάσης τῆς δύσεως· ὑπεγράψαμεν δὲ ὀλίγοι τῇδε τῇ ἀναφορᾷ, παρόντων πάντων, καὶ συναινούντων, τῷ μάλιστα κατεπείγεσθαι τὸν καθωσιωμένον μαγιστριανὸν Παλλάδιον, καὶ μὴ περιμένειν τὸ βράδος τῆς πάντων ὑπογραφῆς. ὁ Θεὸς, ὁ ἐπὶ πάντων, τὴν βασιλείαν ὑμῶν πολλαῖς ἐτῶν περιόδοις διαφυλάττοι, εὐσεβέστατοι, νικηταὶ, ἀειαύγουστοι.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων ὑπέγραψα.

Και ἔστι τῶν σχισματικῶν τὰ ὀνόματα οὕτως· Ἰωάννης ἐπίσκοπος Ἀντιοχείας Συρίας, Μακάριος, Ἑλλάδιος, Ἰουλιανὸς, Τραγκυλῖνος, Ἀλέξανδρος, Μαξιμῖνος, Διογένης, Ἑλλάδιος, Ἀπρίγγιος, Δεξιανὸς, Πλάκων, Γερόντιος, Ἀλέξανδρος, Ἀστέριος, Θεοδώρητος, Ἀντίοχος, Δωρόθεος, Μελέτιος, Ἰωάννης, Ζεβῖνος, Παῦλος, Πέτρος, Μουσαῖος, * Φριτίλας, Ἰάκωβος, Ζεβινᾶς, Μαρκελλῖνος, Ἱμέριος, Θεοσέβιος, Εὐθήριος, Ἀναστάσιος, Βασίλειος, Ἰλιάδης, καὶ Μάξιμος· Οὗτοι μόνοι κοινωνοὶ τῶν ἀσεβῶν δογμάτων Νεστορίου, περιϊόντες κατὰ τὴν πόλιν, θορίβους, καὶ στάσεις κινοῦσι, χειροτονίας ἐπαγγελόμενοι * πρὸς πάντας τοὺς ἐν τῇ πόλει ὄντας ὀρθοδόξους, καὶ τὸν περὶ τούτου φόβον ὑποπτεύοντας, κωλύειν αὐτοὺς τῆς ἀτόπου ἐπιχειρήσεως,

* ἐν σχήματι λόγων.
* δι' ὀλίγον ἀντιγράψαι.
* περιδρομῆς
* παρά.
* ἀναδιδάξομεν.
* Φριτίλας.
* φριτίλλας.
* ὡς.

* Ἀντίγραμμα.

* Ἀντίγραφον τῶν εὑρεθέντων ἐν Κωνσταντινουπόλει ἐπισκόπων πρὸς τὸ παρὰ τῆς ἁγίας συνόδου ὑπομνηστικόν.

ΣΥΝΑΧΘΕΙΣΑ ἡ ἁγία σύνοδος ἐν Ἐφέσῳ, κατὰ τὸ θέσπισμα τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων ἡμῶν βασιλέων, καὶ εὑροῦσα τὸν ἐχθρὸν τοῦ Χριστοῦ ἐν τοῖς αὐτοῖς ἐπιμείναντα, καὶ τὰ δυσσεβῆ κηρύττοντα, καθεῖλεν αὐτὸν. ἵνα λοιπὸν τῆς οἰκουμένης ὅλης ἐκκοπῇ τὰ σκάνδαλα. οἱ ὡς ἐθρυλλήθη τοῦτο ἐν Κωνσταντινουπόλει, πάντες οἱ τὰ ἐκείνου σπουδάζοντες, πάντα τὰ ἐκκλησιαστικὰ λαβόντες παρ' αὐτοῦ, συνεσκευάζοντο τὴν ἀλήθειαν. λέγομεν δὴ, φρουροῦντες τὰ πλοῖα, τὰς ὁδοὺς, καὶ μὴ συγχωροῦντες μήτε ἐλθεῖν ἐν Κωνσταντινουπόλει τινὰ ἀπὸ τῆς ἁγίας συνόδου, μήτε ἀπελθεῖν ἐκεῖ· ἀλλὰ μόνον τὰ τοῦ ἐχθροῦ τοῦ Χριστοῦ, καὶ ἀπήγοντο, καὶ ἀπεφέροντο. ἐς ἐπεὶ οὐδεὶς δύναται πρὸς Θεόν, τί γάρ ἐστιν ἄνθρωπος; ἐξ οἰκονομίας Θεοῦ ἔρχεται ἐπιστολὴ ἀπὸ Ἐφέσου γραφεῖσα, πρὸς τοὺς ἁγίους ἐπισκόπους, καὶ μοναστὰς, πεμφθεῖσα δι' ἐπαί του τινὸς, δήσαντος αὐτὴν καλάμου ἔσωθεν· καὶ οὕτως ἐπαιτῶν, καὶ ἐπιφερόμενος τὸν κάλαμον, ταύτην ἤνεγκε. ἐς ἀναστάντα πάντα τὰ μοναστήρια, ἅμα τοῖς ἀρχιμανδρίταις αὐτῶν, ἐξῆλθον ἐπὶ τὸ παλάτιον, ψάλλοντες ἀντίφωνα. ἦν δὲ ὁ ἅγιος Δαλμάτιος εἷς τῶν ἀρχιμανδριτῶν, ἔτη τεσσαράκοντα καὶ ὀκτὼ ἔχων, μὴ ἐξελθὼν τοῦ μοναστηρίου αὐτοῦ, ἀλλ' ἔσω ὢν ἀποκεκλεισμένος· ὁ δὲ εὐσεβέστατος ἡμῶν βασιλεὺς ἀπήρχετο πρὸς αὐτὸν, καὶ ἔβλεπεν αὐτόν· ὡς καὶ σεισμῶν πολλάκις γενομένων ἐν Κωνσταντινουπόλει, καὶ πολλάκις παρακαλέσαντος τοῦ βασιλέως, ὥστε αὐτὸν ἐξελθεῖν, καὶ λιτανεῦσαι, μηδέποτε ἐξελθεῖν, καὶ λιτανεῦσαι ἐπείσθη. εὐξαμένου δὲ αὐτοῦ περὶ τούτου, φωνὴ ἐξ οὐρανοῦ αὐτῷ κατῆλθε, λέγουσα, ὥστε ἐξελθεῖν· Θεὸς γὰρ οὐκ ἠθέλησεν ἀπολέσθαι αὐτοῦ τὴν ἀγέλην εἰς τέλος· ἦν δὲ σὺν αὐτοῖς καὶ λαὸς πολὺς τῶν ὀρθοδόξων. ὡς οὖν ἦλθον εἰς τὸ παλάτιον, κληθέντες παρὰ τοῦ βασιλέως, εἰσῆλθον οἱ ἀρχιμανδρῖται. καὶ ἔμεινε τὸ πλῆθος τῶν μοναζόντων, καὶ τῶν λαῶν, ψάλλοντες ἀντίφωνα. εἶτα ἐξῆλθον, τυχόντες δικαίας ἀποκρίσεως. βοῶσι πάντες τὰ μανδάτα τοῦ βασιλέως· εἶτα ἀπολογοῦνται. ὅτι ἀπέλθωμεν εἰς τὸ μαρτύριον τοῦ ἁγίου Μωκίου, καὶ * ἀναγινώσκομεν τὴν ἐπιστολήν· μανθάνετε καὶ τὴν ἀπολογίαν τοῦ βασιλέως. λοιπὸν ἀπῆλθον πάντες, καὶ οἱ μονάζοντες, καὶ οἱ λαοί· ἦν γὰρ ἡ ὁδὸς κεφαλὴ μία· ψάλλοντες αὐτὸν τὸν τελευταῖον ψαλμὸν, κατὰ τοῦ τελευταίου * τόπου τῆς πόλεως ἀπαντῶντος τοῦ λαοῦ· καὶ οἱ μονάζοντες μετὰ κηρῶν ψάλλοντες. καὶ ὡς εἶδον τὰ πλήθη, ἐβόησαν κατὰ τοῦ ἐχθροῦ. ἔρχονται εἰς τὸ μαρτύριον τοῦ ἁγίου Μωκίου, καὶ ἀναγινώσκεται αὐτοῖς ἡ ἐπιστολή. *

Ὁ λαὸς ὁ ἐν Κωνσταντινουπόλει μιᾷ * φωνῇ πάντων· ἀνάθεμα Νεστορίῳ.

* ἀναγνώσκομεν.
* μέρους.
* in ms. Seq. subjicitur epistola synodi, quæ post depositionem Nestorii missa est CP. & incipit Προσεδοκῶμεν vide supra pag. 1127.

Δαλματίου ἀπολογία.

Ἀνῆλθεν ἐφ' ὑψηλοῦ ὁ ἅγιος Δαλμάτιος, καὶ εἶπεν· εἰ θέλετε ἀκοῦσαι, ἡσυχάσατε, καὶ μανθάνετε, καὶ μὴ θελήσητε ἐμποδίσαι τοῖς λεγομένοις· ἀλλὰ μακροθυμήσατε, ἵνα τὰ ῥήματα ἀκριβῶς ἀκούσητε. τὴν ἐπιστολὴν τὴν νῦν ἀναγνωσθεῖσαν * τῇ ὑμετέρᾳ εὐσεβείᾳ, ὁ εὐσεβέστατος βασιλεὺς ἀνέγνω, καὶ ἐπείσθη· ἐπειδὴ ἤμην ἐγὼ εἰρηκὼς τῷ βασιλεῖ, ὅτε ἦλθε πρὸς μὲ, ὅτι ὤφειλε γράψαι τῇ ἁγίᾳ συνόδῳ, ἃ ἐλέχθη αὐτῷ, καὶ * οὐκ ἐγράφη. ἔπεμψε δὲ πρὸς μέ, καὶ ἀγνώσθη· καὶ ἵνα μὴ λυπύσω αὐτὸν, τὰ ἀκόλουθα * προέπεμψεν, ἃ οἱ ἀποφέροντες οὐκ ἔδειξαν, ἀλλὰ ἀντὶ αὐτῶν ἄλλα ὑπέδειξαν γράμματα. τὰ πρέποντα οὖν

* βοῆς
* de qua paullo ante monuimus.
* πλείρην ἐκ προέπεμψα.

καὶ

καὶ τὰ ἀκόλουθα ἐλάλησα αὐτῷ, ἃ ἐκ ἔξεστι νῦν εἰπεῖν ἐπὶ τῆς ὑμετέρας ἀλαβείας. μὴ γὰρ νομίσητε, ὅτι * ὑπεραιρόμενός τίς εἰμι, ἢ καυχώμενος· σωτεύψει γὰρ ὁ Θεὸς ὁσᾶ * ὑποκειτῶν· ὁ δεσπότης γὰρ πάντα ἀκολούθως ἤκουσε τὰ γεγραμμένα, καὶ ἐχάρη μὲν ἀκοαεισίας τῆς πρὸς Θεὸν, καὶ σωνεφώνησε τοῖς ῥήμασι τῆς ἀκολουθίας τῆς ἁγίας σωνόδου, ὡς πρέπει τῇ αὐτοῦ βασιλείᾳ. ὁ τοῖς ἐμοῖς ῥήμασιν ἐξακολουθήσας, ἀλλὰ τῇ πίστει τῇ πάππων αὐτοῦ, καὶ πατέρων. πλὴν, καθὼς ἔφην, ἐδέξατο, καὶ ἀνέγνω, καὶ ἐπείσθη, καὶ τοῦτο εἶπεν· ὅτι ἐὰν ὅτως ἐσὶν, ἄφες, ἔλθωσιν οἱ παραγενόμενοι ἐπίσκοποι, ἐγὼ εἶπον αὐτῷ· ὅτι οὐδεὶς αὐτοῖς συγχωρεῖ τοῦ ἐλθεῖν· καὶ εἶπεν. οὐδεὶς κωλύει. ἐγὼ δὲ εἶπον, ὅτι ἐκρατήθησαν, καὶ ἐκωλύθησαν τοῦ ἐλθεῖν. καὶ εἶπον πάλιν, ὅτι ἐκ τοῦ μέρους ἐκείνου καὶ ἔρχονται πολλοὶ, καὶ ἀπέρχονται ἀκωλύτως: τὰ δὲ παρὰ τῆς ἁγίας σωνόδου πραττόμενα οὐδεὶς συγχωρεῖ ἀνελεγθῆναι ἐπὶ τῷ ὑμετέραν * ἀλάβειαν· εἰς δὲ τὸ μέρος τὸ ἕτερον τετέσιν εἰς τὸ τοῦ Κυρίλλου, εἶπον αὐτῷ τῷ βασιλεῖ ἐμφανῶς πάντων· τίνος θέλεις ἀκοῦσαι, τῶν ἑξακοσίων ἀριθμῷ ἐπισκόπων, ἢ ἑνὸς ἀνθρώπου δυσεβοῦς; * τῶν δὲ ἑξακοσίων * εἶπον, οἵ τινές εἰσιν ὑπὸ τὴν ἐξουσίαν τῆς μητροπολιτῶν τῆς ἁγίων ἐπισκόπων. τοῦτο δὴν ἐγένετο, ἵνα πεμφθῇ, καὶ ἔλθωσιν οἱ ἐρχόμενοι, οἱ καὶ τὰ πεπραγμένα ποιοῦντες φανερὰ καταστῶσι· λέγω δὴ, οἱ ἁγιώτατοι ἐπίσκοποι, οἱ νῦν ἐρχόμενοι παρὰ τῆς ἁγίας σωνόδου. καὶ * εἶπον, ὅτι καλῶς ἐζήτησας. καὶ πάλιν προσέθηκε ῥῆμα ἕν, καὶ εἶπεν· εὔχεσθε ὑπὲρ ἐμοῦ· καὶ οἶδα, ὅτι ὁ βασιλεὺς ἐξηκολούθησε μᾶλλον τῷ Θεῷ, καὶ τῇ ἁγίᾳ σωνόδῳ, καὶ ἀκέτι τοῖς διεσταλμένοις ἀνθρώποις. εὔχεσθε δὴν ὑπὲρ τοῦ βασιλέως, καὶ ὑπὲρ ἡμῶν.

ὁμοῦ. Ὁ λαὸς * ὁ ἐν Κωνσταντινουπόλει μιᾷ βοῇ πάντων· ἀνάθεμα Νεσορίῳ.

Γ'σον ἐπισολῆς γραφήσης παρὰ τοῦ κλήρου Κωνσαντινουπόλεως πρὸς τὴν ἁγίαν σωνόδον.

Τοῖς θεοσεβεσάτοις, καὶ ὁσιωτάτοις πατράσιν ἡμῶν, τοῖς ἀθροισθεῖσι κατὰ πρόσαγμα τῶν δυσεβεσάτων βασιλέων τῶν ὑφ' ἥλιον ἐν τῇ Ἐφεσίων μητροπόλει, Κυρίλλῳ, Ἰωβεναλίῳ, Μέμνονι, Φλαυιανῷ, Φίρμῳ, Θεοδότῳ, Ἀχαχίῳ, Ἀμφιλοχίῳ, Ἑλλαδίῳ, Παλλαδίῳ, * Εἰρηναίῳ, * Ἰκονίῳ, καὶ πάσῃ τῇ λοιπῇ ἁγίᾳ σωνόδῳ, παρὰ Δαλματίου, Τιγρίου, Σαμψωνίου, Μαξιμιανοῦ, Ἰωάννου, Εὐάνδρου, * Μοδεσιανοῦ, * Ἀδελφείου, Φιλοθέου, Εὐλογίου, Βασιλίσκου, Φλωρεντίου, καὶ παντὸς τοῦ κατὰ Κωνσαντινούπολιν κλήρου.

Ἀεὶ, καὶ ἐκ νέας ἡλικίας, τῷ ὀρθοδόξῳ δόγματι σεμνυνόμενοι, τῷ τῶν ἁγίων πατέρων παράδοσιν φυλάττειν σπουδῇ τιθέμεθα. ταύτης δὲ πάλιν παρὰ τῆς ὑμετέρας ἁγιωσυνης προῆλθεν εἰς μνήμην * ἀχθέντες, δι' ὧν ὁ θεοσεβέσατος, καὶ ἁγιώτατος * ἐπίσκοπος Κύριλλος ἐπισταλκε πρὸς ἡμᾶς κατηξίωσε, χάριν ὁμολογήσαμεν τῷ σωτῆρι Θεῷ. * ἐπὶ γοῦν τοίνυν τὰ ὑπὲρ τῆς αὐτῆς ὀρθῆς πίστεως κατορθώματα πολλὰ καὶ μεγάλα, δῆλα κατέστι ἡμῖν· διὸ καὶ τὴν καθαίρεσιν τοῦ πάλαι προδράσαντος ἡμῶν Νεσορίου, διὰ τὸ παραχαράξαι καὶ ἀποστολικὰ, καὶ εὐαγγελικὰ, καὶ θεσεβῆ τε διδάγματα, γεγράφθαι παρὰ τῆς ὑμετέρας γνόντες θεοσεβείας, τὰς μνημονευθέντας ἡμῖν χάρτας παρὰ τῶν δυσεβεσάτων, καὶ φιλοχρίστων ἡμῶν βασιλέων, Θεοδοσίου, καὶ Οὐαλεντινιανοῦ, ὡς ἀποσταλέντας παρ' ὑμῶν, ὁσιότατοι, ἐδεξάμεθα, καὶ ἐπὶ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ἀθροισθέντες πανδήμει ἀναγνωσθῆναι ἐδώκαμεν. ἴσως ἐν ἡ ὑμετέρα ἁγιωσυνη, ὡς ὁ λαὸς σύμφωνος ἡμῖν γεγράπται, καὶ πολλαῖς δυσημείαις ἐπί τε τῶν ὑμετέραν ἁγίαν καὶ οἰκουμενικὴν ἐχρήσατο σωνόδον, ἐπί τε τοῦ βροπαιόχου βασιλέως, τοῦ φροντίδα ποιησαμένου τῆς θεοφιλοῦς ὑμῶν σωνελεύσεως. ἡμεῖς δὲ ἠθελήσαμεν τὰ ὑμῶν χερσὶν ἀντεγράψαμεν· καὶ δὴ καὶ παρακαλοῦμεν, ὑπερθέσθαι μὲν ἡμῶν τὴν ἀοίδιμον ὑμῶν θεοσέβειαν, * φροντίδα δὲ τοῦ λειπομένου εἰς κατάστασιν τῆς παρ' ἡμῖν ἁγίας τοῦ Θεοῦ ἐκκλησίας. τοῦτο γὰρ καὶ μόνον ὑπόλοιπον εἶναι σωφρονοῦσι ἡ ὑμετέρα * καὶ μεγάλη τοῦ ὀρθοδόξου δόγματος φρόνησις· ὥστε πάντα ἐπὶ τέρας ἀχθῆναι, τῷ δεσπότῃ ἀρέσκοντα Χριστῷ, καὶ μηδενὶ ἑτέρῳ ἐναγραφῆναι, ἀλλὰ τῇ ὑμετέρᾳ ἁγιότητι, τὰ καθ' ἡμᾶς ἅπαντα, καὶ τοῖς δυσεβεσάτοις, καὶ φιλοχρίστοις βασιλεῦσι.

Δαλμάτιος * πρεσβύτερος καὶ ἀρχιμανδρίτης, πατὴρ μοναστηρίων, ὑπερθέσθαί μου παρακαλῶ τὴν ὑμετέραν ἁγιωσυνην, ὦ θεία καὶ ἱερὰ σωνέλευσις.

Γ'σον ἀναφορᾶς τῆς ἁγίας σωνόδου πρὸς τὴν σάκραν, τὴν ἀναγνωσθεῖσαν παρὰ τοῦ μεγαλοπρεπεσάτου κόμητος τῶν σακρῶν Γ'ωάννου.

Τοῖς δυσεβεσάτοις, καὶ φιλοχρίστοις, Θεοδοσίῳ, καὶ Οὐαλεντινιανῷ νικηταῖς, βροπαιόχοις, ἀεὶ Αὐγούστοις, ἡ ἁγία καὶ οἰκουμενικὴ σωνόδος, ἡ χάριτι Θεοῦ, καὶ νεύματι τοῦ ὑμετέρου κράτους σωναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει.

Ἡ Μὲν φιλόχριστος ὑμῶν βασιλεία, δυσεβέσατοι βασιλεῖς, ἐκ παίδων τὴν περὶ τοῦ πίστιν, καὶ τοὺς κανόνας ἐπεδείξατο ζῆλον. ὅπερ ἐνεκεν καὶ τοὺς ἐκ τῆς οἰκουμένης ἐπισκόπους τὴν Ἐφεσίων καταλαβεῖν δυσεβεῖ θεσπίσματι παρεκελεύσατο· τὸ δὲ νῦν ἡμῖν ἀναγνωσθὲν γράμμα τῆς ὑμετέρας γαληνότητος δι' ὃ τὸ μεγαλοπρεπεσάτου, καὶ ἐνδοξοτάτου κόμητος Γ'ωάννου, ὃ μικρὰν ἡμῖν ἐποίησε ταραχὴν, ἐνδειξάμενον ἀπάτην τινὰ, καὶ ψεῦδος ταῖς ἀψευδέσιν ὑμῶν παρεισεχλῆσαν ἀκοαῖς. ὡς γὰρ παρ' ἡμῶν ἀναφορὰν δεξάμενον τὸ ὑμέτερον κράτος, καθαίρεσιν ἔχουσαν τοῦ ἁγιωτάτου, καὶ ὁσιωτάτου Κυρίλλου, καὶ τοῦ ὁσιωτάτου, καὶ θεοφιλεσάτου συνεπισκόπου ἡμῶν Μέμνονος, ὅπω διὰ τῶν γραμμάτων ἐδήλωσεν. ὅθεν μηδαμῶς ἰσχύειν ψεῦδος ἐπὶ τῆς ὑμετέρας φιλοχρίστου βασιλείας δοκοῦσί τε, καὶ σπουδάζοντες, ἐθαρρήσαμεν ἀνελεγκτεῖν τῇ ὑμετέρᾳ γαληνότητι· ὅτι περ ἡ οἰκουμενικὴ σωνόδος, ἡ πᾶσαν μὲν τὴν δύσιν μετὰ τῆς μεγάλης ὑμῶν Ῥώμης, καὶ τὸ ἀποστολικὸν θρόνωσιν ἱδρυσαμένη ἔχουσα, πᾶσαν δὲ τὴν Ἀσιανὴν, καὶ πᾶν τὸ Ἰλλυρικὸν, ἐκ ἐποίησε καθαίρεσιν τοῦ προ-

* ἰσοπέρμενος. * ἀνθρωπαρέσκων.

* ὑπεραιρόμενος

* ὑποκειτῶν

* ἀλάβειαν

* τῶν δὲ ἑξακοσίων

* εἶπον

ἐμοῦ.

* Βρεσκιανῷ, * Εἰρηναίῳ. in cod. Laurentiano. Οὐενδοματῷ, * Ἰκονίῳ, * Δαμασιανῷ * Λιβύης.

* ἀχθέντες

* ἐπίσκοπος

* ἐπὶ γοῦν τοίνυν

* εἰρηναίῳ

* φροντίδα δὲ τοῦ λειπομένου

* καὶ μεγάλη

προειρημένων ἁγιωτάτων, ⸀ θεοφιλεστάτων ἐπισκόπων, ὅτε ἀνιλίεγχεν· ἀλλὰ κ᾽ μᾶλλον τὰς ἄνδρας ἐπὶ ζήλῳ ὀρθοδοξίας θαυμάζουσα, πολλῶν ἠγείτω κ᾽ παρὰ πᾶς ἀνθρώποις ἐπαίνων, κ᾽ παρὰ τῷ δεσπότῃ Χριστῷ στεφάνων ἀξίας· μόνον δὲ τὸν τῆς ἀθεμίτου αἱρέσεως τῆς ἀνθρωπολάτρου κήρυκα Νεστόριον καθελόντες, ἀνιλίεγχαμεν τῇ φιλοχρίστῳ ὑμῶν βασιλείᾳ. κἀκεῖνο δὲ ὐ μικρὸς ἡμᾶς ἔθλιψεν, εἰ σωαρπαγῆς χρῄζεσθαι φαινόμενον, τὸ τοὺς ἀποστατήσαντας ἀπὸ τῆς οἰκουμενικῆς συνόδου, τοὺς περὶ Ἰωάννην τὸν Ἀντιοχείας, κ᾽ τοὺς σὺν αὐτῷ Κελεστιανοὺς καθηρημένους, τοῖς ἡμετέροις ἐπιτίθεσθαι ὀνόμασι, κ᾽ μίαν πρὸς ἡμᾶς κἀκείνους σάλπιγχαν δοκεῖν ἀπηχεῖν. περὶ ὧν ἤδη μοὶ, κ᾽ πάλαι φανερὰ τῇ ὑμετέρᾳ Εὐσεβείᾳ κατεστήσαμεν, ὅπως μοὶ ἡμῶν ἀπέχισαν· ὅπως δὲ εἰς ὕβριν τινὰ καὶ τὰ τῆς ἡμετέρων προέδρων ξαπατῶντες, τούς τε κατὰ νόνας πατῆσαι ἐτόλμησαν, κ᾽ ἑαυτοὺς ἀκοινωνήτους πάσης τῆς οἰκουμενικῆς συνόδου δι᾽ ἃ τῆς καθ᾽ ἡμῶν προπετείας εἰργάσαντο· ὅπως τε καλόμενοι εἰς ἔλεγχον, ὐδαμῶς ὑπακοῦσαι ἠθέλοντο, κ᾽ ὅτι πάντῃ ἀκοινώνητοι διὰ τοῦτο, κ᾽ ἀνενέργητοι παρὰ τῆς οἰκουμενικῆς συνόδου γεγόνασι. ταῦτα κ᾽ νῦν γνωρίζοντες τῇ ὑμετέρᾳ φιλοχρίστῳ βασιλείᾳ δηλοῦμοι, ὡς διὰ τινὰ τοιαυτινὰ αὐτῶν ἀτοπίαν, κ᾽ τοὺς ὑπὲρ τοῦ καθηρημένου Νεστορίου αὐτῶν κ᾽ μέχρι νῦν ἀγῶνας, ὐδαμῶς εἰς κοινωνίαν δέξασθαι ἠνεχόμεθα, μήτε τῇ καθαιρέσει Νεστορίου ὑπογράψαι ἀναχωμένους, ἀλλὰ κἀκεῖνα προδήλως φρονοῦντας, ὑποπεσόντας δὲ, κ᾽ τοῖς κανόσι διά τε τινὰ ἄταχτον αὐτῶν κατὰ τῶν ἡμετέρων προέδρων ἐπιχείρησιν, κ᾽ διὰ τὸ ψεύσασθαι, καὶ συναρπάσαι τολμῆσαι τοὺς Εὐσεβεῖς ὑμῶν ἀκοάς· κ᾽ δεόμεθα τοῦ Θεοῦ ἀναχειμένης ὑμῶν βασιλείας τοὺς μοὶ ἁγιωτάτους, κ᾽ θεοφιλεστάτους ἐπισκόπους, Κύριλλον, κ᾽ Μέμνονα, ἀποδοθῆναι τῇ ἁγίᾳ συνόδῳ, ὐδαμῶς ἀποὸ τῆς κανόνων κατακεχειμένης. τινὰ δὲ πίστιν φυλαχθῆναι ἀσάλευτον, ἥτις κ᾽ τῇ ὑμετέρᾳ ὑπὸ τοῦ ἁγίου πνεύματος κατεγέγραπται ψυχῇ, ἐκ προγόνων ὑμῖν παραδεδομένη, κἀκ τοῖς παρ᾽ ἡμῶν πάλαι ἀνιλιεγμένοις ὑπομνήμασι τοῖς κατὰ Νεστορίου προκειμένοις, ὀφόδρα σεσαφῆσαι· προκειμένης μοὶ τῆς πίστεως τῆς ἐν Νικαίᾳ ἁγιωτάτων πατέρων τῆς τριακοσίων δεκαοκτώ· πάσης * μοὶ τῆς ἐπ᾽ αὐτοῖς προάξεως ἱκανῆς ὔσης διελέγξαι μοὶ τινὰ τῆς ἐναντίων ἀσέβειαν, παρασῆσαι δὲ τινὰ ὀρθόδοξον πίστιν· ἵν᾽ μέχρι τοῦ νῦν φυλάξαι διὰ πάντων ἐσπουδάσατε. εἰ δὲ παείσατε τῷ ὑμετέρῳ κράτει ὑπὲρ τοῦ ἀκριβῶς διαγνῶναι τὰ μεταξὺ ἡμῶν τε, κ᾽ τ᾽ ἀποχισάντων, τινὰ ὑμετέραν κορυφινὰ ἱκετεύομοι, τῇ ἁγίᾳ συνόδῳ ἐκπέμψαι, ὃς ἂν δοκιμάσῃ τὸ ὑμέτερον κράτος· ὥσε κ᾽ κατὰ πρόσωπον περὶ πάντων πληροφορῆσαι τινὰ φιλόχειστον ὑμῶν βασιλείαν.

* ιι.

Ἴσον ἐπιστολῆς Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας, γραφείσης πρὸς τὸν κλῆρον, κ᾽ τὸν λαὸν Κωνσταντινουπόλεως.

ΕΤΑΡΑΧΘΗ λίαν ἡ ἁγία συνοδος, ἀκούσασα ὅτι ὐ πάντα ὀρθῶς ἀνιλιέγχεν ὁ μεγαλοπρεπέστατος, κ᾽ ⸀ ἐνδοξότατος κόμης Ἰωάννης, ὥσε βουλεύεσθαι τοὺς ἐκεῖσε κ᾽ περὶ ὀρθοδοξίας καθ᾽ ἡμῶν. ὡς τῆς ἁγίας συνόδου κατιδεξαμένης τινὰ ἀκανόνιστον κ᾽ ἄθεσμον γνωμοσίαν καθαίρεσιν παρά τε Ἰωάννου, κ᾽ τῆς σὺν αὐτῷ αἱρετικῶν. ἰδοὺ τοίνυν κ᾽ ἕτερα γέγονεν ἀναφορὰ παρὰ τῆς ἁγίας συνόδου, διδάσκουσα, ὅτι κ᾽ λυπεῖται ἐπὶ τῷ δεσποτικῷ γράμματι, κ᾽ ὅτι ὐ κατεδεξάμεθα τῆς τειῶν τὰς καθαιρέσεις· κ᾽ ἐξαιρέτως μὲν, ἀκυρῶσθαι τὰ παρ᾽ ἐκείνων δυσεβῶς, κ᾽ ἀθέσμως γνώμυα, κρατύνεσθαι δὲ μᾶλλον τὰ παρ᾽ ἡμῶν. ἐδίδαξαν γὰρ κ᾽ διὰ πρώτης ἀναφορᾶς, ὅτι ἄκυρα μὲν τινὰ παρ᾽ ἐκείνων ἀκανονίσως γνώμυα πεποιήκασι, κοινωνικὰς δὲ ἡμᾶς κ᾽ συνεπισκόπους ἔχουσι, κ᾽ ὅτι τῆς τοιαύτης ὐκ ἐξίσανται γνώμης. μυεία δὲ πεποιηκότος τὰ μνημονευθέντος μεγαλοπρεπεστάτου ἀνδρὸς, ὥσε ἐλθεῖν εἰς κοινωνίαν Ἰωάννου, κ᾽ τὰς σὺν αὐτῷ τῇ ἁγίᾳ συνόδῳ, μέχρι τῆς σήμερον ὐδὲ ἀκῦσαι ἐνοῦντο τοιαύτης φωνῆς· ἀλλ᾽ ⸀ νεύσαντες μοὶ * πάντες, λέγοντες· ὅτι ἀδύνατον ἡμᾶς εἰς τοῦτο ἐλθεῖν, ἐὰν μὴ κ᾽ τὸ παρ᾽ αὐτῆς ἀκανονίσως γνώμυον λυθῇ, κ᾽ προσπέσωσι τῇ συνόδῳ ὡς πλημμελήσαντες, ἀναθεματίσωσι δὲ κ᾽ Νεστόριον, καὶ τὰ δόγματι αὐτοῦ ἐγγράφως. κ᾽ ⸀ ἐν τούτοις ἡ πᾶσα ⸀ λύσασις τῆς συνόδου. ἀποτυχὼν δὲ τούτου ὁ μνημονευθεὶς μεγαλοπρεπέστατος ἀνὴρ, ἐπενόησε κ᾽ τοῦτο, καὶ ἀπῄτει τινὰ σύνοδον, ἔκθεσιν πίστεως ἐγγράφως ἐποιδοῦναι αὐτῷ, ἵνα κἀκείνους * ποιήσωσι συνθέσθαι, καὶ ὑπογράψαι, καὶ ἀνέλθῃ λέγων· ὅτι συνῆψα αὐτοὺς εἰς φιλίαν, ἀνθρωπίνας λύπας ἔχοντις μεταξὺ ἀλλήλων. τοῦτο νοήσασα ἡ ἁγία σύνοδος, πάλιν ἀνέσῃ ἄτ

διὰ τὴν τῶ σωτῆρος χάριν οἱ μηδέ ποτε ἡμᾶς εἰδόπες τῆς θεοσεβεσάτων ἐπισκόπων, ἑτοίμως ἔχουσι τὴν ψυχὴν θεῖναι ὑπὲρ ἡμῶν, καὶ μετὰ δακρύων προσέρχονται, λέγοντες, * καὶ σωιέχεσθαι, καὶ σωαποθανεῖν, * δι' ἀχῆς ἔχουσιν. ἐν πολλῇ δὲ θλίψει πάντες ἐσμὲν, καὶ διὰ τοῦ φρουρεῖσθαι παρὰ στρατιωτῆς, καὶ πρὸ τῆς ἰδίων * κοιτώνων ἔχειν αὐτὸς καθεδόντας, μάλισα ἡμεῖς. ἡ δὲ ἄλλη πᾶσα σωόδος ἀπέκαμε, καὶ κάμνει, καὶ οἱ πλείους ἀπέθανον· λοιπὸν δὲ οἱ λοιποὶ τὴ ἑαυτῆς πιπράσκουσιν, οὐκ ἔχοντες ἀναλώματι.

* ἴσως, ὅτι καὶ * ἐπεὶ μοι ἔχουσι μεθ' ἡμῶν.

* κοιτώνων

Ἴσον ἐπισολῆς γραφείσης παρὰ Μέμνονος ἐπισκόπου Ἐφέσου πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως.

ΟΙΑ διὰ τὴν * ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας καθ' ἑκάστην ὑπομένομεν ἐν Ἐφέσῳ, οὐδὲ λόγῳ παρασῆσαι δυνατόν. ταραχὴ γὰρ ταραχὴν ἀπαύστως διαδέχεται. πολλὴν δὲ ἡμῖν ἀτονίαν παρέχει τὸ ταῦτα φέρειν γενναίως ἡ τῆς πίστεως ὁμολογία, καὶ ἰσχύς. ποτὲ μὲν γὰρ ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανὸς, ἐπισείων ἡμῖν τὸς στρατιώτας, καὶ τὴν πόλιν ταραχῆς ἐμπιπλῶν, καὶ πάντων ὁμοῦ τῆς ἐπιτηδείων τῆς εἰσκομιδῆς ἀποσερῶν διὰ τῆς παραφυλακῆς, πολλὰς δὲ συγχωρῶν ὕβρεις καταχέειν ἡμῶν τε, καὶ τῆς ἁγίας συνόδου πάσης, τῆς Ζαξίππου παραμενόντων τῷ καθηρημένῳ Νεσορίῳ, καὶ ἐπὶ τούτῳ ξεφορμένων, καὶ * πολὺ πλῆθος χωρικῶν, ἀπὸ τῆς ἐκκλησιαστικῶν κτημάτων, καὶ δι' ἐκείνων τὰς ὕβρεις καταχεόντων. διεδέξατο καὶ τὴν προειρημένην ἀταξίαν, καὶ τὸ μεγαλοπρεπέστατον κόμητος Εἰρηναίου τὴν καθημερινὴν ἀπάτην τῆς ἀφελεστέρων, καὶ ἡ τῶν Ἀντιοχέων ἐπισκόπου παρουσία. μαθοῦσα γὰρ ἡ ἁγία συνοδος τὴν μέλλουσαν αὐτῆς ἐπιδημίαν γενήσεσθαι, τιμῶσα, καὶ τὸ κεχρεωστημένον * τῇ ἱερωσύνῃ πληροῦσα, ἀπέστειλέ τινας * τῶν θεοφιλεστάτων ἐπισκόπων μετὰ καὶ λαβεστάτων κληρικῶν * εἰς ὑπάντησιν αὐτοῦ· δύο ταῦτα ποιοῦσα, καὶ τὴν κεχρεωστημένην πληροῦσα τιμὴν, καὶ ποιοῦσα φανερὸν, ὡς ὀφείλει τὴν πρὸς Νεστόριον σωτυχίαν φυλάξασθαι, διὰ τὸ παρὰ τῆς ἁγίας συνόδου καθηρῆσθαι αὐτὸν τῆς ἀσεβείας ἕνεκα, ἧς * ἐμελέτησεν. ὁ συγχωρηθέντες δὲ παρὰ τῆς ἑωμένων αὐτῷ στρατιωτῆς κατὰ τὴν ὁδὸν αὐτῷ περιτυχεῖν, οὐδὲν ἧττον ἠκολούθησαν, καὶ τὴν εἰκίαν ἔνθα κατέλυσε, κατειλήφασι, καὶ πολλὰς προσχαρτερήσαντες ὥρας, καὶ μὴ συγχωρηθέντες τὴν πρὸς αὐτὸν ποιήσασθαι συντυχίαν, ἔμειναν ὕβρεις ὑπομένοντες. μετὰ δὲ πολλὰς ὥρας, τοῦτο δόξαν αὐτῷ, μετεπείλατο τὸς θεοσεβεσάτους ἐπισκόπους, καὶ τὸς λαβεσάτους κληρικὸς, εἰσάγων αὐτὸς διὰ στρατιωτῆς. ὡς δὲ τὰ παρὰ τῆς ἁγίας συνόδου πρὰ πεποιήκασιν αὐτῷ, συνεχώρησε τὸν μεγαλοπρεπέστατον Εἰρηναῖον, καὶ τὸς σὺν αὐτῷ ἐπισκόπους τε, καὶ κληρικὸς, ἀφορήτους ἐπιθεῖναι πληγὰς τοῖς ἡμετέροις συλλειτουργοῖς, καὶ τοῖς κληρικοῖς, ὡς καὶ κινδυνίοις αὐτὸς προσομιλῆσαι. τοιούτων τοίνυν γεγονότων, παραγενόμενοι εἰς τὴν ἁγίαν σύνοδον οἱ ἀποσταλέντες θεοσεβέστατοι ἐπίσκοποι, καὶ τὰς πληγὰς ἐπιδειξάμενοι, καὶ τὰ γεγονότα διηγησάμενοι, ἐπὶ πρόξεως ὑπομνημάτων τοῦ ἁγίου διαγγελίου προκείμενα, εἰς ἀγανάκτησιν ὠργίσησαν τὴν ἁγίαν σύνοδον· καὶ μικρὸν αὐτὴν σωφρονίζοντες, ἀκοινώνητον αὐτὴν πεποιήκασι· καὶ γεγόνατι αὐτῷ ἡ ἀκοινωνησία φανερά. ἔγνωμεν γὰρ, ὡς ἀνώνυμόν τι, καὶ ἀνυπόγραφον κατάτι μέρος τῆς πόλεως προετέθη, δηλοῦν αὐτὸ τὴν ἀταξίαν, καὶ ἀκανόνιστον γνώμῃ· καθ' ἑκάστην δὲ προσκαλέμενον τὸ σεμνὸν βουλευτήριον, καὶ τοὺς λαμπροτάτους, καὶ * ἐξ αὐτῆς μὴ ἀνάγκης ψηφίσματα, ὥστε εἰς τὸν τόπον τὸν ἐμὸν χειροτονῆσαι. ὡς πάντας τοὺς κατοικοῦντας τὴν πόλιν, ὀρθοδόξως τυγχάνοντας, τοὺς ἐκτενεστέρους κατειληφέναι * οἴκους, καὶ ἐν αὐτοῖς οἰκεῖν· ἵνα μὴ ἡ ἐκείνου προπέτεια, καὶ ἀκανόνιστος θρασύτης ἡ διὰ τῆς προθεμάτων εἰς ἔργον ἀχθῇ τῆς φήμης. ὅθεν καὶ ἐν τῷ ἁγίῳ Ἰωάννῃ τῷ διαγγελιστῇ ἀνελθὼν, τοῦτο * ὑπεμφήνας, ὡς ὀφείλει αὐτὸν ἐκεῖ χειροτονῆσαι, * φάσιν, καὶ ταραχὴν τῷ τόπῳ * ἐποίησε, καὶ μετὰ πλήθους ἀτάκτων ὡπλισμένων ἀνελθὼν, ὡς καὶ τινας τῆς ἐκεῖσε πτωχῶν ἠμυθανεῖς ποιῆσαι· καὶ ὡς ὑβρισθεὶς παρὰ τῆς ἐκεῖσε, ἀνωίεγκεν ἐπὶ φθόνῳ τῆς ἁγίας συνόδου. καταξιώσατε τοίνυν ὁσιώτατοι πᾶσαν σπουδὴν θέσθαι, καὶ τὴν ἀπόνοιαν, καὶ ἀκανόνιστον γνώμην Ἰωάννου, καὶ τῆς σὺν αὐτῷ δημοσιῶσαι, * πρὸς τὸ καὶ τὸς μεγαλοπρεπεστάτους κόμητας ἐντεῦθεν ἀναχωρῆσαι, τὸς καθ' ἡμέραν ταράττοντας τὴν πόλιν, καὶ τὴν πίστιν, ἵνα μὴ ἐκ συναρπαγῆς τούτων νοθεύωνται τὰ τῆς πίστεως.

* τὴν θείαν πίστιν, τὴν ἀληθῆ καὶ ὀρθόδοξον,

* ἴσως τὴν ἀναγκαίαν

* ἐπιφάσκων, ἢ ὀφείλων

* πάσης καὶ παραχὴ ἐπιτείνει,

* πρὸς τὸ

* Περὶ τῆς ὑπογραφῆς τ βασιλέων ἀναφορά.

Τοῖς θεοσεβεσάτοις, καὶ φιλοχρίστοις βασιλεῦσι, Θεοδοσίῳ, καὶ Οὐαλεντινιανῷ, νικηταῖς, εὐσεβέσι, σεβασμίοις, ἀειμνήστοις, ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἡ χάριτι Θεοῦ, καὶ νόμοις τῆς ὑμετέρας κράτους συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει.

* Ἐπιτυγχάνουσι ταυτόσημα παρὰ τῶν ἁγίων συνόδων πρὸς τὸν Θεοδόσιον βασιλέα καὶ Θεοδόσιον.

ΤΟ μὲν ὑμέτερον κράτος ἡ περιεῖδε τὴν ἀληθῆ πίστιν * ὑποφυτευομένην ταῖς Νεσορίου διδασκαλίαις, καὶ Ἰουδαίων ὀνειδίζοντος τῷ δεσπότῃ Χριστῷ, ἃ δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ὑπέμεινεν, ἀνθρώπινα πάθη. ἀλλὰ βέλτιον ἡμῶν ἡ ὑμῶν εὐσέβεια τοὺς τοιούτους κατὰ Χριστοῦ λόγους, ἐκ πάσης σχεδὸν τῆς ὑφ' ἥλιον ἡμᾶς συνηχθῆναι προσέταξεν ἐν τῇ Ἐφεσίων μητροπόλει, παγῆναι τὰ τῆς πατέρων, καὶ τῶν ἀποστόλων τῆς εὐσεβείας βεβαιοῦσι δόγματα. ὅθεν συνελθόντες, καὶ κοινῇ κρίσει βεβαιώσαντες τὴν ἐκτεθεῖσαν περὶ τούτου πίστιν παρὰ τῶν ἑξακοσίων δεκαοκτὼ τῶν ἐν Νικαίᾳ συναχθέντων ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κωνσταντίνου, Νεστορίου τε καθυποβαλόντες ταύτῃ τῇ πίστει κατειληφότες ἴχνεσι λόγων, καὶ ἐπεισάκτοις σοφίσμασι παραβλάπτοντα τῆς εὐσεβείας τὸ φρόνημα, τῷ ἱερατικῷ βαθμῷ καθή-

* ὑποφυτευομένην τοῖς Νεστορίου διδασκαλίαις.

θείλομεν, καθάπερ τινὰ λοιμὸν τὸν λόγον αὐτοῦ, * τὰς ἐκκλησίας ἐπινεμόμενον, εἶρξαι * βουλόμενοι. ἀλλ' ἐπειδή τινας * εὑρίσκομεν καὶ τῶν ἐπισκόπων ἤδη σαλευθέντας, καὶ τὰ * αὐτὰ φρονοῦντας, καὶ τῇ ἐκείνου βλασφημίᾳ συνυπαχθέντας, ἅπαντας τοὺς τὰ * αὐτὰ φρονοῦντας ἀκοινωνίτους πεποιήκαμεν, μέχρις ἂν ἀποστάντες τῆς διεφθαρμένης ἐκείνου διδασκαλίας, ἐπιγνῶσι τὴν καθολικὴν, καὶ ἀποστολικὴν πίστιν, ἣ ἄνωθεν ἐπερειδόμενοι ἅπαντες σωζόμεθα. ἀλλ' ἡμεῖς μὲν ἐπὶ διορθώσει τῶν ὑπαχθέντων νῦν ἐν τῇ πλάνῃ ὡρίσαμεν ταῦτα, τὴν αὐτῶν ἐκδεχόμενοι μεταμέλειαν· αὐτοὶ δὲ τριάκοντα τὸν ἀριθμὸν ὄντες, μικρῷ πρός· ἦσαν γάρ τινες ἐν αὐτοῖς καὶ ἐξ ἑτέρων αἰτιῶν τοῖς κανόσιν ὑπεύθυνοι, καὶ προσειληφότες τὸν εὐλαβέστατον ἐπίσκοπον τῆς Ἀντιοχέων Ἰωάννην, ὃς καὶ αὐτὸς ὑπὲρ πολλῆς βραδύτητος ὑπεύθυνος ἦν αἰτιάσει· ἄλλοι δὲ ἐφ' ἑτέραις αἱρέσεσιν ἐλεγχόμενοι, τινὲς δὲ αὐτῶν καὶ ἤδη καθηρημένοι· πρὸς μετάνοιαν μὲν οὐκ εἶδον, συναχθέντες δὲ * ἐπὶ προστασίᾳ Νεστορίου, κατὰ τῶν ἐξάρχων τῆς ἁγίας, καὶ οἰκουμενικῆς συνόδου καθαίρεσιν γράψαι τετολμήκασι, καὶ ὡς ἐκ πάσης τῆς συνόδου γεγενημένην ἀνήγαγον ἐπὶ τὴν ὑμῶν εὐσέβειαν. ἣν δεξάμενον τὸ ὑμέτερον κράτος, ἐκέλευσε μένειν, νομίσαν ἐκ τῆς συνόδου ταύτην γεγενῆσθαι, καὶ οὐχὶ κατὰ τῆς συνόδου παρὰ τῶν τὰ Νεστορίου φρονούντων, καὶ ἀμυνομένων ἡμᾶς ἐπὶ τῇ καθαιρέσει Νεστορίου, οὐκ ἔγκλημα λέγειν δυναμένων κατὰ τῶν ἐξάρχων τῆς ἁγίας ἡμῶν συνόδου. καὶ ἐτόλμησαν ἀπατῆσαι τὰς θεοφιλεῖς ὑμῶν ἀκοὰς, ὡς δεχθῆναι καὶ τὴν παρ' αὐτῶν γενομένην κατὰ τῆς συνόδου καθαίρεσιν· ἣν οὐδὲ ἐνθέσμως, οὐδὲ κανονικῶς, οὐδὲ πολλοὶ πεποιήκασι. διὸ καὶ ἡ ἁγία σύνοδος ἐνθέσμῳ, καὶ κανονικῇ πράξει ἀνέτρεψε τὰ ὑπ' αὐτῶν ὑβριστικῶς, καὶ οὐκ εὐλόγως κεκριμένα. ὅθεν καταφεύγομεν ἅπαντες ἐπὶ τὸ κράτος τῆς ὑμῶν εὐσεβείας, δεόμενοι τὰ μὲν κατὰ Νεστορίου πεπραγμένα, καὶ τῶν τὰ Νεστορίου φρονούντων, ἔχειν τὴν ἰδίαν ἰσχύν· τὰ δὲ παρὰ τῶν ἐκδικούντων Νεστόριον, διὰ τὸ φρονεῖν τὰ ἐκείνου, ἀθέσμως γεγενημένα κατὰ τῶν ἐξάρχων τῆς ἡμετέρας συνόδου, μένειν ἄπρακτά τε καὶ ἀργά· ὡς μήτε ἀκολούθως, ἢ κανονικῶς, μήτε ἐπὶ πταίσμασιν ἐληλεγμένων γεγενημένα, ἀλλ' ἀμύνης ἕνεκα μόνης παρὰ τῶν φρονούντων τὰ Νεστορίου κατὰ τῆς ἁγίας συνόδου τετολμημένα. εἰ γὰρ * εὔλογος ἡ κατὰ Νεστορίου τῆς ἁγίας συνόδου ψῆφος γεγένηται, καὶ ταύτην τὸ ὑμέτερον κράτος ἐδέξατο, ὡς Νεστορίου γυμνὴν κηρύξαντος τὴν ἀσέβειαν, εὔλογον δήπου συνορᾷ καὶ τὸ ὑμέτερον κράτος, τὰ πεπραγμένα κατὰ τῆς ἁγίας συνόδου παρὰ τῶν φρονούντων τὰ Νεστορίου, ἄπρακτα παντελῶς μένειν, καὶ ἄκυρα, ἐξ οὐδεμιᾶς αἰτίας τὸ εὔλογον ἔχοντα, ἢ ἐκ μόνης ἀμύνης, ὑπὲρ ὧν κατὰ Νεστορίου ἡ ἁγία, καὶ μεγάλη σύνοδος ἔπραξε. δεόμεθα τοίνυν τοῦ ὑμετέρου κράτους, ἀνεῖναι λοιπὸν ἡμᾶς τῆς θλίψεως, καὶ κελεῦσαι ἀποδοθῆναι ἡμῖν τοὺς ἐξάρχους τῆς ἁγίας ταύτης συνόδου, τοὺς θεοφιλεστάτους ἐπισκόπους, Κύριλλον, καὶ Μέμνονα. εὔλογον γὰρ, ἐκδικηθείσης καὶ τῆς εὐσεβείας, καὶ τῶν βλαπτόντων αὐτὴν πεπαυμένων, τοὺς συναθλήσαντας ὑπὲρ τῆς πίστεως * ἡμῖν τιμῆς ἀπολαύειν, οὐ συγκατακρίνεσθαι μετὰ τῶν ἐληλεγμένων ἐπὶ ταῖς ἀθέσμοις κατὰ τοῦ δεσπότου Χριστοῦ βλασφημίαις.

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ὑπέγραψα ταῖς δεήσεσιν. ὁμοίως καὶ πάντες οἱ ἐν τῇ στάσει τῶν ὑπομνημάτων ἐπίσκοποι.

* ἐπὶ προστασίᾳ, * ἢ, ἐν προστασίᾳ.

* ἐκκλησίας * σπουδάζοντες. * εὑρόμεν * αὐτοῦ

* αὐτοῦ

* εὐλόγως

* ἡμῖν

* Πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως συνοδικὴ ἐπιστολή.

Ἡ ἁγία σύνοδος, ἡ κατὰ Θεοῦ χάριν, καὶ θέσπισμα τῶν εὐσεβεστάτων βασιλέων ἐν τῇ Ἐφεσίων μητροπόλει συγκροτηθεῖσα, τοῖς ἀγαπητοῖς, καὶ ποθεινοτάτοις συλλειτουργοῖς, τοῖς κατὰ τὴν Κωνσταντινούπολιν διατρίβουσι, καὶ τοῖς εὐλαβεστάτοις πρεσβυτέροις, καὶ διακόνοις τῆς αὐτῆς Κωνσταντινουπόλεως.

* Ἐπιστολὴ γραφεῖσα παρὰ τῆς ἁγίας συνόδου τοῖς ἐν Κωνσταντινουπόλει ἐπισκόποις, πρεσβυτέροις, καὶ διακόνοις.

ΤΟΙΣ ἐν τοσαύτῃ τρικυμίᾳ καθεστῶσι πραγμάτων, καὶ πολὺν μὲν πανταχόθεν δεχομένοις τὸν πόλεμον, οὐδαμῶς δὲ συγχωρουμένης, οὔτε τὸ ἥμερον, καὶ γαληνὸν τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων βασιλέων θεάσασθαι πρόσωπον, ὅθεν ἦν μόνον ἐλπίζειν τῶν δυσχερῶν τὴν λύσιν, ποίαν ἦν ἄλλην ἐπινοηθῆναι παραμυθίαν, ἢ πρὸς τὰ ἴδια μέλη τὰ καθ' ἑαυτοὺς ἀποδύρασθαι; ὑμεῖς δὲ μέλη τῆς οἰκουμενικῆς συνόδου, τὸν ὑπὲρ τῆς εὐσεβείας ζῆλον διὰ πάντων ἐπιδειξάμενοι. τοιγαροῦν γινωσκέτω ἡ ὑμετέρα εὐλάβεια, φρουρᾶς οὐδὲν πλέον ἡμᾶς τὴν Ἐφεσίων οἰκεῖν, καὶ τριμηναῖον χρόνον λοιπὸν ἐν ταύτῃ κατακεκλεῖσθαι, μήτε διὰ θαλάσσης, μήτε διὰ γῆς ἀκινδύνως, καὶ ἀδεῶς ἐκπέμπειν τινὰς ἐπὶ τὸ εὐσεβὲς στρατόπεδον, ἢ ἐφ' ἕτερον τόπον συγχωρουμένους. καὶ γὰρ ὁσάκις τὰ παρ' ἡμῶν διαπεμφθέντα ἀποδοθῆναι ἴσχυσε, διὰ μυρίων κινδύνων οἱ ταῦτα κομίζοντες, ἄλλοτε ἄλλως μεταχηματιζόμενοι, σωθῆναι δεδύνηνται. αἴτιον δὲ τοῦ οὕτως ἡμᾶς φρουρεῖσθαι, τὸ πάντα τὰ * καθ' ἡμᾶς ψευδῶς τῷ εὐσεβεστάτῳ βασιλεῖ ἀναφέρεσθαι. οἱ μὲν γὰρ, ὡς μανθάνομεν, ὡς στάσεις ἡμῶν ἐργαζομένων, οὕτω τὰς εὐσεβεῖς ἐδίδαξαν ἀκοάς· ἄλλοι δὲ, ὡς τῆς οἰκουμενικῆς ἡμῶν συνόδου καθελούσης τὸν τὰ πάντα θεοφιλέστατον, καὶ ἁγιώτατον ἀρχιεπίσκοπον Ἀλεξανδρείας Κύριλλον, καὶ τὸν ἁγιώτατον, καὶ θεοφιλέστατον συνεπίσκοπον ἡμῶν Μέμνονα, οὕτως ἀνενέγκαι ἐτόλμησαν· ἕτεροι δὲ τάχα καὶ τοῦτο προσθεῖναι ἐθάρρησαν, ὡς ἡμῶν καταδεξαμένων τῷ τῆς ἀποστασίας συνεδρίῳ εἰς φιλικοὺς λόγους ἐλθεῖν, ὧν ἔξαρχος ὁ τῆς Ἀντιοχέων Ἰωάννης ἐστί. καὶ ὑπὲρ τοῦ μὴ ταῦτα γνωσθῆναι, ἡ πολλὴ καθ' ἡμῶν φρουρὰ, καὶ ὁ πολὺς γίνεται πόλεμος. ἐν ἀμηχανίᾳ τοίνυν ὑπάρχοντες οὐ μικρᾷ, πρὸς τὴν ὑμετέραν γράψαι θεοσέβειαν * ἐσπεύσαμεν. εἰδότες, ὅτι τέκνων γνησίων τῇ οἰκουμενικῇ συνόδῳ ἐπέχοντες τάξιν, καὶ τὴν ὀρθόδοξον πίστιν προδοθῆναι μηδαμῶς ἀνεχόμενοι, μετὰ πολλῆς ἱκεσίας, καὶ δακρύων, καὶ τούτων τῶν γραμμάτων, προσπίπτοντες τῷ εὐσεβεστάτῳ, καὶ φιλοχρίστῳ βασιλεῖ, * διδάξατε, τὰ * καθ' ἡμῶν πάντα. ἡμεῖς γὰρ οὔτε κατέγνωμεν τῶν προειρημένων ἁγιωτάτων, καὶ θεοφιλεστάτων ἐπισκόπων τῶν πε-

* καθ' ἡμῶν

* ἐσπουδάσαμεν.

* ἴσως διδάξετε. * καθ' ἡμῶν

ρι

ρι Κύριλλον, καὶ Μέμνονα, ἀλλὰ καὶ μεγάλης * δόξης, καὶ στεφάνων ἀξίους ἡγούμεθα, μόνους καὶ πρώτους ὑπὲρ τοὺς ἄλλους ἅπαντας ζήλῳ τῷ κατὰ Θεὸν κινηθέντας, καὶ παντοίους γενομένους ἐκκόψαι τὸν τῆς ἀσεβείας κήρυκα, τὸν ἀσεβέστατον Νεστόριον, καὶ τὰς ἐκκλησίας τοῦ τοιούτου καθαρθῆναι μύσους. οὔτε δὲ νῦν ἀνεξόμεθα τῆς τῶν προειρημένων ἁγιωτάτων ἐπισκόπων κοινωνίας χωρισθῆναι, ἀλλὰ καὶ συνεξορισθῆναι τούτοις κέρδος μέγιστον ἡγούμεθα. κέκριται δὲ ἡμῖν μηδὲ τὸ τῆς ἀποστασίας συνέδριον εἰς κοινωνίαν δέξασθαι· ἀλλὰ καὶ ταῖς πάντων ἀναθεματίσαμεν φωναῖς ἐπ' ἐκκλησίας Ἰωάννην τε τὸν Ἀντιοχείας, καὶ τοὺς μετ' αὐτοῦ, πρότερον μὲν * ἐφ' οἷς συγκαθελεῖν ἡμῖν τὸν τῆς ἀσεβείας κήρυκα Νεστόριον οὐκ ἠνέσχοντο, ἀλλὰ καὶ σὺν αὐτοῦ διάγοντες, καὶ ὑπὲρ αὐτοῦ ποιούμενοι τὸν λόγον οὐδαμῶς ἐπαύσαντο· ἔπειτα δὲ ἐφ' οἷς καὶ τὴν παρανομωτάτην, καὶ τῶν κανόνων ἀλλοτρίαν ἐγχείρησιν τῆς κατὰ τῶν προειρημένων ἁγιωτάτων ἐπισκόπων ὕβρεώς τε καὶ ἐπηρείας ποιησάμενοι, συναρπάσαι τὰς εὐσεβεῖς τῶν φιλοχρίστων βασιλέων ἀκοὰς ἐτόλμησαν· μετὰ δὲ * τοῦτο καὶ διὰ τὸ τοῦ φρονήματος τοῦ Νεστορίου μηδαμῶς ἀποστῆναι. διά τοι ταῦτα πάντα ἅπαξ αὐτοὺς πάσης ἐκκλησιαστικῆς κοινωνίας ἀποτεμόντες, καὶ πᾶσαν ἱερατικὴν ἐνέργειαν περιελόντες, ἀφωρίσαμεν· κρίσεως ὄντες, μᾶλλον καὶ τῶν ἐκκλησιῶν, ὅπερ ἀπείη, ἐκστῆναι, ἢ τούτοις ἔτι ἐλθεῖν εἰς κοινωνίαν, μάλιστα μὴ διορθωσαμένοις ἅπαντα τὰ προειρημένα αὐτῶν πλημμελήματα. γνωρίζομεν δὲ καὶ τῇ ὑμετέρᾳ εὐλαβείᾳ, ὥστε ἐν τῇ ἴσῃ αὐτοὺς ἔχειν τάξει. ταῦτα οὖν παρακλήθητε, καὶ τὸν εὐσεβέστατον, καὶ φιλόχριστον βασιλέα διδάξαντες, αἰτῆσαι ὑπὲρ πάσης τῆς συνόδου, ἀποδοθῆναι ἡμῖν τοὺς ὑπὸ τῶν κανόνων μηδαμῶς καταγνωσθέντας, τουτέστι, τοὺς ἁγιωτάτους, καὶ θεοφιλεστάτους ἐπισκόπους, Κύριλλον, καὶ Μέμνονα· ἐλεηθῆναι δὲ καὶ ἡμᾶς, καὶ ἀπὸ τοῦ εὐπροσώπου περιορισμοῦ τούτου ἀνακληθῆναι λοιπόν· καὶ εἰ μὲν ἄξιοί ἐσμεν ἰδεῖν τοῦ εὐσεβεστάτου, καὶ φιλοχρίστου βασιλέως τὸ πρόσωπον, τοῦτο ἐπιτραπῆναι ποιῆσαι· εἰ δὲ ἀνάξιοι τούτου ἐκρίθημεν, κἂν εἰς τὰς ἑαυτῶν ὑποστρέψαι ἐκκλησίας· ἵνα μὴ ἐνταῦθα πάντες καταφθαρῶμεν, οἱ μὲν ὑπὸ νόσου, οἱ δὲ ὑπὸ ἀθυμίας ἀναλισκόμενοι. διὰ δὲ τὸ μὴ ὄχλον πολὺν ἐνθεῖναι ταῖς ὑπογραφαῖς, ἠρκέσθημεν τῶν προέδρων χερσίν.

Ἴσον ἐπιστολῆς γραφείσης παρὰ τοῦ ἀρχιεπισκόπου Κυρίλλου τοῖς ἐν Κωνσταντινουπόλει εὐλαβεστάτοις ἐπισκόποις, Θεοπέμπτῳ, καὶ Ποτάμωνι, καὶ Δανιήλῳ, ὑπὲρ ὧν ἔπαθε συσκευῶν, * τῶν κατὰ Νεστορίου, καὶ Ἰωάννου χαρτίων.

Κύριλλος Θεοπέμπτῳ, καὶ Δανιήλῳ, καὶ Ποτάμωνι, ἀγαπητοῖς, καὶ συλλειτουργοῖς, ἐν κυρίῳ χαίρειν.

ΠΟΛΛΑΙ καθ' ἡμῶν γεγόνασιν ἐκεῖσε διαβολαί· τοῦτο μὲν, ὡς ἀπὸ τῆς Ἀλεξανδρέων ἀκολουθησάντων ἡμῖν ἐκ τοῦ βαλανείου πολλῶν· τοῦ δὲ, ὡς κανονικῶν ἐξελθουσῶν· ὡς δέ φασιν, ὅτι εἴρηται παρ' τῶν διαβεβληκότων, ὅτι κατὰ συσκευὴν ἐμὴν καὶ οὐ κατὰ σκοπὸν τῆς ἁγίας συνόδου, τὴν καθαίρεσιν ὑπέμεινε Νεστόριος. ἀλλ' εὐλογητὸς ὁ σωτὴρ, ὁ τοὺς τὰ τοιαῦτα λέγοντας ἐλέγξας. ἐλθὼν γὰρ εἰς τὴν Ἐφεσίων ὁ κύριός μου ὁ μεγαλοπρεπέστατος, καὶ ἐνδοξότατος κόμης τῶν θείων λαργιτιώνων Ἰωάννης, κατέγνω τῶν τὰ τοιαῦτα πεφλυαρηκότων, οὐδὲν εὑρὼν ἀληθές. εἶδε δὲ, ὅτι ἰδίαν ἔνστασιν ἡ ἁγία σύνοδος τῆς πίστεως ἔχει, καὶ οὔτε ἐμοὶ χαριζομένη, οὔτε ἑτέρῳ τινὶ, ἀλλὰ θείῳ ζήλῳ κινουμένη, καὶ οὐκ ἐνεγκοῦσα τὰς ἐκείνου βλασφημίας, κατεψηφίσατο αὐτοῦ. ἀναγνωσθέντος δὲ καὶ τοῦ γράμματος τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων βασιλέων, δι' οὗ αἱ τῶν τριῶν καθαιρέσεις ἐλέγοντο εἶναι δεκτέαι, ἐφρουρούμεθα τέως, οὐδὲ εἰδότες τὸ ἐκβησόμενον. πλὴν εὐχαριστοῦμεν τῷ Θεῷ, ὅταν καταξιωθῶμεν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ οὐ δεσμῶται γενέσθαι μόνον, ἀλλὰ γὰρ καὶ τὰ ἕτερα πάντα ὑπομεῖναι. οὐ γὰρ ἄμισθον τὸ πρᾶγμά ἐστιν. οὐκ ἠνέσχετο δὲ ἡ σύνοδος κοινωνῆσαι Ἰωάννη, ἀλλ' ἐνίσταται λέγουσα· ἰδοὺ τὰ σώματα, ἰδοὺ αἱ ἐκκλησίαι, ἰδοὺ αἱ πόλεις, ἐξουσίαν ἔχετε. ἡμᾶς κοινωνῆσαι ἀδύνατον τοῖς ἀνατολικοῖς, ἂν μὴ λυθῇ τὰ κατασκευασθέντα ἐκ τῆς αὐτῶν συκοφαντίας κατὰ τῶν συλλειτουργῶν ἡμῶν, ὁμολογήσωσι δὲ καὶ τὴν πίστιν ὀρθήν. καταγινώσκονται γὰρ τὰ Νεστορίου, καὶ λαλοῦντες, καὶ φρονοῦντες, καὶ ὁμολογοῦντες. ἡ πᾶσα οὖν ἔνστασις ἐν τούτοις. εὐχέσθωσαν ὑπὲρ ἡμῶν πάντες οἱ ὀρθόδοξοι. ὡς γάρ φησιν ὁ μακάριος Δαυίδ. ἐγὼ δὲ εἰς μάστιγας ἕτοιμος. Ψαλ. 37. 18.

Ἴσον ἐπιστολῆς γραφείσης τῇ ἐν Ἐφέσῳ ἁγίᾳ συνόδῳ παρὰ τῶν εὐρεθέντων ἐν Κωνσταντινουπόλει ἐπισκόπων, Μεσορὶ κ'. ἰνδικτιῶνος ιε'.

Τοῖς * παναγίοις καὶ θεοφιλεστάτοις * ἀρχιεπισκόποις καὶ πατράσι, τοῖς συναχθεῖσι, κατὰ Θεοῦ χάριν ἐν τῇ Ἐφεσίων μητροπόλει, Κελεστίνῳ, Κυρίλλῳ, Ἰουβεναλίῳ, Φίρμῳ, Φλαυιανῷ, Μέμνονι, Ἐρενιανῷ, Θεοδότῳ, Ἀκακίῳ, καὶ πάσῃ τῇ * καθ' ὑμᾶς ἁγίᾳ, καὶ οἰκουμενικῇ συνόδῳ, παρὰ τῶν εὐρεθέντων ἐν Κωνσταντινουπόλει ἐπισκόπων, ἐν κυρίῳ χαίρειν.

* ἁγιωτάτοις * ἐπισκόποις.

* καθ' ἡμᾶς.

ΕΔΕΙ μὲν ἡμᾶς, μὴ ταῖς ψυχαῖς μόνον, ἀλλὰ καὶ τοῖς σώμασι συνόντας τῇ ὑμετέρᾳ ἁγιότητι, καὶ τὴν ἐκ τῶν πειρασμῶν θλίψιν μερίζεσθαι, καὶ μεθ' ὑμῶν στεφανοῦσθαι τοῖς ἄθλοις. ἐπειδὴ δὲ ὁ πρὸς τὴν ἁγίαν σύνοδον πόλεμος καὶ μέχρις ἡμῶν ἐξετείνετο, καὶ ἄπλους μὲν ἡ θάλασσα, ἄβατος δὲ ἡ γῆ τοῖς αὐτόθεν ἀφικομένοις διὰ τοὺς ταῖς ὁδοῖς ἐφεδρεύοντας, οὐκ ἔχοντες ὅ,τι ποιήσομεν, δάκρυσι καὶ λιταῖς τὰ παρ' ἑαυτῶν συνεισηνέγκαμεν· φθάσαι δὲ πρὸς τὴν ὑμετέραν ἁγιότητα μὴ δυνάμενοι, τὰς προθυμίας ὑμῖν ὡς χεῖρας ἐχρήσαμεν, τοὺς μὲν καθῃρημένους συγκαθαιροῦντες, καὶ τοὺς ὁσίους τοῦ Χριστοῦ συνεγείροντες. ἐγενόμεθα δὲ οὐδὲ τοῖς ἐνταῦθα ἄχρηστοι, ῥωννύντες μὲν τὸν λαὸν, καὶ τῶν * πλείστων τὸν ζῆλον ἐξάπτοντες, ὑπηρετοῦντες δὲ καὶ τοῖς ἱερεῦσιν ὅσα ἐδόκει ἐκείνοις. ἀλλ' ἐπειδὴ μικρὰ ταῦτα, καὶ ὅσα ἀπόντες δύνανται, ἐθαρσήσαμεν καὶ τήνδε ἐκπέμψαι τὴν ἐπιστολὴν, τοὺς ὑπὲρ τῆς εὐσεβείας ἱδρῶτας ὑμῶν μακαρίζοντες, καὶ ἰδίᾳ * ἑκάστων τῶν ἁγίων πατέρων,

* πλείστων

* ἕκαστα

καὶ

καὶ κοινῇ πᾶσι τὰ τῶν ἁγίων προφητῶν, καὶ τῶν πατέρων ἐπιφθεγγόμενοι· ὅτι ὡς πατέρες ἅγιοι, καὶ τῆς ἐπουρανίου κλήσεως ἄξιοι, ἐλογίσθητε ὡς πρόβατα σφαγῆς, ὅλην τὴν ἡμέραν ὑπὲρ Χριστοῦ θανατούμενοι, ὑστερούμενοι, κακουχούμενοι, θλιβόμενοι ὑμεῖς, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. ἀλλὰ δότε καὶ ἡμῖν τῶν πρακτέων συμβουλὴν δι' ἐπιστολῆς· ἵνα, εἰ μὲν δεῖ καταλαβεῖν τὴν ἁγίαν σύνοδον, καὶ τὰ ἀπόλοιπα τῶν ἀγώνων συνδιενεγκεῖν, τοῦτο ποιήσωμεν. πρόθυμον γὰρ τὸ καθ' ἡμᾶς. εἰ δὲ μένειν ἐνταῦθα κελεύετε, ἐπειδὴ διὰ τὸν προσκυνητὸν Θεὸν χρηστὰ καὶ τὰ παρὰ τοῦ θεοφιλεστάτου, καὶ εὐσεβεστάτου βασιλέως * ἡμῖν ἀγγέλεται, τοῦτο φανερὸν καταστήσατε, ἵνα μὴ ἐπὶ πολὺ ὦμεν ὑπὸ τῆς ἄγαν φροντίδος ἐκδαπανώμενοι.

Ἑβρ. 3. Ῥωμ. 8. 36. Ἑβρ. 11. 37. * ἡμῶν ἀγγέλματα,

Ἀντίγραφον τῆς ἁγίας συνόδου πρὸς τοὺς αὐτοὺς ἐπισκόπους εὑρεθέντας ἐν Κωνσταντινουπόλει.

Τοῖς εὐλαβεστάτοις, καὶ θεοφιλεστάτοις σειλλειτουργοῖς, Εὐλαλίῳ, * Εὐτροχίῳ, Ἀκακίῳ, Χρυσαφίῳ, Γερεμίᾳ, Θεοδούλῳ, Ἡσαΐα, ἡ ἁγία σύνοδος, ἡ κατὰ χάριν Θεοῦ, καὶ θέσπισμα τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων ἡμῶν βασιλέων συγκροτηθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει, ἐν κυρίῳ χαίρειν.

* Εὐτριχίῳ,

ΤΟΥΣ οὕτω διακειμένους, ὡς ἐδήλωσεν ἡμῖν καὶ τὰ γράμματα, οὐδὲν ἀπεικὸς καὶ τῇ ψυχῇ καὶ τοῖς σώμασι συναθλεῖν, καὶ οὓς διηυτλήσαμεν ἐνταῦθα πόνους, κοινοὺς ἡγεῖσθαι. καὶ γὰρ ἐν τοῖς ἀγῶσιν οὐκ ὀλίγα τοῖς ἀγωνιζομένοις οἱ σπουδαῖοι * συναίρονται τῶν θεατῶν, καὶ τῶν παλαισμάτων ὑποβάλλοντες τὴν πεῖραν, καὶ πρὸς τὴν νίκην ἐγείροντες, καὶ παρεγγυῶντες ἃ δεῖ τοὺς ὑπὲρ τῆς δόξης ἀγωνιζομένους ποιεῖν. τῇ δὲ θεοσεβείᾳ ὑμῶν πλεῖον τῆς τέχνης ταύτης ἐπινενόηται, τὸ εὐχαῖς ἡμᾶς δυναμοῦν, καὶ ἐξιλεοῦσθαι ὑπὲρ ἡμῶν τὸν Θεὸν, ὡς ἂν μὴ πειραθείημεν παρ' ὃ δυνάμεθα φέρειν, ἢ πειραθέντες κρείττους τῶν πειραζόντων γενώμεθα. κεκοινωνήκατε δὲ ἡμῖν τῇ φροντίδι τῶν πόνων. εἰώθασι γὰρ πλεῖον ὑπὸ τῆς μερίμνης πάσχειν οἱ πόρρωθεν μανθάνοντες τὰ γινόμενα, ἢ οἱ τοῖς ἀγῶσιν * ἐμβεβηκότες αὐτοῖς. ἱκανὸν δὲ ἡμῖν εἰς παραμυθίαν, τὸ μὴ ἀγνοηθῆναι τὰς τῶν ἐναντίων καθ' ἡμῶν ἐπιτεχνήσεις, ἀλλὰ καὶ ἄχρις ὑμῶν ἐλθεῖν τὰ κατὰ τῆς ἁγίας συνόδου τολμώμενα. ἴσμεν γάρ, ὅτι διὰ τῆς ὑμετέρας θεοφιλίας καὶ εἰς τὰς τῶν εὐσεβεστάτων βασιλέων ἀκοὰς ἕκαστα παρελεύσεται, καὶ λύσις ἔσται τῶν δυσχερῶν. δηλωσάντων * ἡμῖν τήνδε Ἰωάννου τοῦ Ἀντιοχέως ἀπόνοιαν, καὶ τῶν μετ' αὐτοῦ, καὶ ὅσα αὐτοῖς ἀθέσμως παρὰ τοὺς κανόνας κατὰ τῶν θεοφιλεστάτων, καὶ ἁγιωτάτων ἐπισκόπων, Κυρίλλου, καὶ Μέμνονος, καὶ τῆς ἁγίας συνόδου τετόλμηται. λογιζόμεθα γὰρ μηδὲν τούτων σαφῶς ἐγνωκέναι τὸν θεοφιλῆ, καὶ εὐσεβέστατον βασιλέα. οὐ γὰρ ἂν οὕτως ἴσχυσαν οἱ τὸν καθ' ἡμῶν ἐγείροντες πόλεμον, ὥστε μηδὲ οἴκτου ἡμᾶς * ἀξιῶσαι ἀδικουμένους, ἀλλ' ὡς ἀδικοῦντας ἐν ἐγκλήμασιν εἶναι. καὶ ταῦτα πρὸς τὸ πάσχειν ἑαυτοὺς ἐκδεδωκότας, πρὸς ἄμυναν δὲ οὐδεμίαν τῶν * ἀδικούντων ἐγειρομένους. τὰ δὲ κωλύσαντα τὴν ὁσιότητα ὑμῶν πρὸς ἡμᾶς ἀφικέσθαι, ἡμᾶς ἔχει τὴν πρόφασιν. πολιορκία γὰρ ἀκριβὴς ἡμᾶς νῦν συνέχει ἐκ γῆς τε, καὶ θαλάττης, ὥστε μηδὲ γνωρίζειν τῇ ὑμῶν ὁσιότητι δύνασθαι τὰ * γεγενημένα. τῶν δὲ δακρύων ἔργον, καὶ τῆς προσευχῆς ὑμῶν ἐγένετο, τὸ ἕκαστον ἡμῶν, τῶν μήπω πρὸς τὸ τέλος συνελθόντων, τὴν αὐτὴν ἔχειν ἐπὶ τῷ πράγματι κρίσιν, καὶ ἀσυμβάτως πρὸς αὐτοὺς διακεῖσθαι, πολλῆς ἀνάγκης εἰς τοῦτο τῶν ἀρχόντων ὑμᾶς συνελαυνούσης. καὶ ἐν τούτῳ δὲ τῆς εὐνοίας ὑμῶν τὸ μέρος ἔχομεν, κοινωνοὺς ὑμᾶς καὶ τῶν ἀγώνων, καὶ τῶν * ἄθλων εἰδότες. καὶ ὃ ἐπὶ τῶν τοὺς ἁγίους μάρτυρας ἀγαπώντων ἴσμεν γινόμενον, τοῦτό ἐστι καὶ ἐπὶ τῆς ὑμετέρας θεοφιλίας ἰδεῖν. ἔξω γὰρ τῶν ἀγώνων ὄντες, τέως ἀπονητὶ τῶν στεφάνων κατηξιώθητε, εὐνοίᾳ μὲν τοῖς ἀδικουμένοις προσκείμενοι, τοὺς δὲ ἐπαναστάντας καταδικάζοντες· ὡς μηδὲν ἡμᾶς δοκεῖν τῇ ἀπολείψει ἔλαττον ἔχειν, εἰς πάντα ὑμῶν ταῖς ἡμετέραις συμφερομένων γνώμαις. οὐ μικρὸν δὲ εἰς ἀφορμὴν νίκης τοῖς μαχομένοις, ἀλλὰ καὶ μέγιστον εἰς παράκλησιν, ὃ καὶ ὑμᾶς ἐμάθομεν πεποιηκέναι, τοῦ λαοῦ τὸν ζῆλον αὐξάνοντας, καὶ θαρρεῖν κατὰ τῶν ὑπεναντίων ἐγείροντας. λείπεται δὲ κατὰ χώραν μένοντας τὰ αὐτόθι γνωρίζειν ἡμῖν, καὶ τὰ παρ' ἡμῶν εἰς γνῶσιν τῶν θειοτάτων βασιλέων, καὶ τῆς ἁγίας ἐκκλησίας ἄγειν. τοῦτο γάρ ἐστι μᾶλλον εἰς ἐπικουρίαν αὔταρκες, ἢ εἰ καταλαβόντες ἡμᾶς, συνταλαιπωρεῖν ἡμῖν πολιορκουμένοις ἀνάσχοισθε. λογιζόμενοι δὲ μὴ ἐληλυθέναι εἰς γνῶσιν ὑμετέραν τὰ πρώην ἀποσταλέντα, καὶ αὖθις τῇ θεοσεβείᾳ ὑμῶν τῶν αὐτῶν ἀντίτυπα διεπεμψάμεθα· ἀνηνέγκαμεν δὲ πάλιν καὶ τοῖς εὐσεβεστάτοις βασιλεῦσι. καὶ γενέσθω τῇ θεοσεβείᾳ ὑμῶν ἐπιμελὲς μαθεῖν, ἵν' εἰ μὲν ἐπιδέδονται, ὑπομνησθῶσι περὶ τῶν ἀνηνεγμένων· εἰ δὲ μὴ τοῦτο γεγένηται, ἵνα νῦν γοῦν μάθῃ αὐτῶν ἡ εὐσέβεια, ἃ πρότερον ἐπιβουλεύοντες ἡμῖν τινὲς, ἀγνοῆσαι τὴν αὐτῶν θεοφιλίαν ἐσπούδασαν. ἐρρῶσθαι ὑμᾶς ἐκ κυρίῳ εὐχόμεθα, ἀγαπητοί, καὶ ποθεινότατοι ἀδελφοί.

* παρέχονται

* ἐμβεβληκότες ἑαυτοῖς.

* ἡμῶν ὑμῶν

* ἀξιοῦσθαι

* ἀδικουμένων

* γινόμενοι

* πόνων

Δέησις, καὶ ἱκεσία ὑπὸ τοῦ κλήρου Κωνσταντινουπόλεως, ὑπὲρ τῆς ἐν Ἐφέσῳ ἁγίας συνόδου.

ΕΙΔΟΤΕΣ τὴν ὑμετέραν εὐσέβειαν πολύν τινα λόγον ποιησαμένην τῶν τε ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, τῆς τε ἐν αὐταῖς κηρυσσομένης εὐσεβοῦς καὶ ἐκ πατέρων ἡμῖν παραδεδομένης πίστεως, καὶ οἷα μὲν ἡμῖν ὑπὲρ αὐτῆς προπεπόνηται, ἡλίκα δὲ πάλιν διὰ τὴν ὑπὲρ αὐτῆς σπουδὴν ὑπῆρκται τῇ ὑμετέρᾳ εὐσεβείᾳ· θαρροῦμεν διὰ τοῦτο ταῖς φιλοχρίστοις ὑμῶν ἀκοαῖς, καὶ τὴν ἐν χερσὶν ἀναδιδάσκομεν τῶν ἐκκλησιῶν ταραχὴν. ὁ γὰρ τοῦ ἐπαγγέλματος τοῦ ἡμετέρου σκοπὸς, εὐσεβέστατοι βασιλεῖς, πρὸς ταῖς ἄλλαις νομοθεσίαις καὶ τὸ δεῖν πειθαρχεῖν πάσαις ἀρχαῖς τε, καὶ ἐξουσίαις παρεγγυᾷ, μέχρις ἂν ἡ πειθὼ δοκοίη λυσιτελὴς εἶναι ταῖς ψυχαῖς. ἐπειδὰν δὲ τὸν τοῦ συμφέροντος ὅρον ἐκφύγῃ, τηνικαῦτα παρρησιάζεσθαι καὶ πρὸς τὴν ὑμετέραν κορυφὴν οἱ τῶν

θείων

θείων νόμων ἐξηγηταὶ παρακελεύονται· καὶ διαφερόντως εἰ καὶ ἡ βασιλεία τῷ τῆς ὀρθοδοξίας ἐγκαλλωπίζεται πράγματι, ἐν μέρει κατορθωμάτων καὶ αὐτοὶ λογιζόμενοι τοῦτο, καὶ λίαν ἐπὶ τούτῳ φιλοτιμούμενοι, ἕως ὅταν τὸ, ἐλάλουν ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην, συνεχῶς ἡμῖν ἐπᾴδωσι, καὶ διὰ τούτων προτρέπωσιν ἐν τοῖς ὁμοίοις τῆς παῤῥησίας καιροῖς μὴ ἀπολιμπάνεσθαι τῆς μιμήσεως. ταύτην τοίνυν καὶ ἡμεῖς τὴν παῤῥησίαν εἰς καιρὸν ἡμῖν παρεῖναι πεισθέντες, διὰ τῆς δε τῆς ἱκετείας τὴν ἡμῶν αὐτῶν γνώμην δήλην τῇ ὑμετέρᾳ εὐσεβείᾳ καθιστῶμεν· ὡς εἰ τὸ ὑμέτερον κράτος τὴν γεγονυῖαν δῆθεν καθαίρεσιν κατὰ τῶν ἁγιωτάτων, καὶ θεοφιλεστάτων ἐπισκόπων, Κυρίλλου, καὶ Μέμνονος, παρὰ τῶν ἀποσχισάντων τῆς ἁγίας συνόδου, ὧν οἱ πλείους αἱρετικοὶ, καὶ ἀπόλιδες, καὶ ἀκοινώνητοι, ταύτην ἐγκρῖναι πεισθείη τῇ αὐθεντίᾳ τῶν τῆς ψήφου ταύτης καθεστώτων κυρίων, καὶ τὴν ἐξουσίαν * παραινουμένη, καὶ ψῆφον προσδέξαιτο, ἄλογον οὖσαν καὶ ἀνίσχυρον κατὰ πάντα τρόπον, καὶ μειρακιώδη, τῷ μήτε * εὐλάβειαν παρὰ τὴν ἀρχὴν παρά τινος γεγονέναι * παρὰ τῆς ἁγίας συνόδου, τῆς τῶν τοιούτων τὴν ἀκρόασιν * τὸ κῦρος ἐχούσης, μήτε μὴν ἔλεγχον ἐπί τινι τῶν ἀπηγορευμένων ἱερωσύνῃ παρηκολουθηκέναι, πάντες ἡμεῖς ἕτοιμοι μετὰ τῆς πρεπούσης χριστιανοῖς προθυμίας συγκινδυνεύειν τοῖς προειρημένοις ὁσιωτάτοις ἀνδράσι, καὶ πρὸς μηδεμίαν πεῖραν κινδύνων ἀποναρκῆσαι, ταύτην αὐτοῖς προσήκουσαν ἀμοιβὴν τῶν ὑπὲρ τῆς πίστεως κινδύνων συνεισφέρειν ἡγούμενοι. ταύτης τῆς προθέσεως ἕκαστος ἡμῶν ἐπειλημμένος, τὴν ὑμετέραν ἐκδυσωποῦμεν θειότητα, καὶ ἐξαιτοῦμεν, ὡς πεπείσμεθα, δίκαιον, τὸ καὶ παρ' ὑμῖν βεβαιωθῆναι τὴν τῶν πλειόνων ψῆφον, τῶν καὶ τῇ κατὰ τοὺς θρόνους αὐθεντίᾳ, καὶ τῇ κατὰ τὴν ἐξέτασιν τῆς ὀρθῆς πίστεως ἀκριβείᾳ σύμψηφα τῷ ἁγιωτάτῳ ἀνδρὶ καταθεμένων, * καὶ ὡς ὀρθὰ φρονεῖ, πρὸς τὸ ὑμέτερον ἐγνώρισαν κράτος· καὶ μὴ τῷ τῆς εἰρήνης προσχήματι, καὶ τῷ μὴ δοκεῖν βραχύ τι μέρος τῆς ἀνατολῆς ἀποσχοινισθῆναι, * ὅθεν οὐδὲν αὐτὸ τῆς ἑνώσεως προῤῥαγῆναι * προείρηται, εἰ τὰ τῶν κανόνων πεισθείη κρατεῖν, πᾶσαν ὁμοῦ τὴν οἰκουμένην συγχεομένην περιϊδεῖν. εἰ γὰρ ὁ τῆς οἰκουμενικῆς συνόδου καθηγητὴς, ᾧ σύμψηφοι πάντες δι' ὧν κατέθεντο γεγόνασιν, ὑπομείνειέ τι τῶν οὐ προσηκόντων παρὰ τὴν τῶν κανόνων ἀκολουθίαν, καὶ ταῦτα τῆς ὑμετέρας εὐσεβείας ἐπιεικῶς τὴν ἐπὶ τοῖς τοιούτοις ἀποδυσαμένης κοινωνίαν, καὶ διὰ τοῦτο καὶ σύνοδον ἀθροισάσης, ἵνα μὴ τῆς ἐξουσίας αὐτὴν τῶν οἰκείων θεσμῶν * ἀποστερήσῃς, εὔδηλον ὡς διὰ τῆς οἰκείας βλάβης καὶ τὴν κατὰ τῶν ἄλλων ὁμοψήφων ἐπήρειαν βεβαιοῖ· καὶ δεήσει πάντας τοὺς τῆς οἰκουμένης ἐπισκόπους συγκαθηρῆσθαι τοῖς προειρημένοις ὁσιωτάτοις ἀνδράσι· καὶ περιστήσηται λοιπὸν Αρείῳ, ἢ Εὐνομίῳ ἡ τῆς ὀρθοδοξίας ὑπόληψις· ἅτε Νεστορίου μὲν εὐλόγως διὰ τὴν δυσσεβῆ διδασκαλίαν καθῃρημένου, Κυρίλλου δὲ, καὶ Μέμνονος τῶν ἁγιωτάτων ἐπισκόπων, ἀναξίως, καὶ ἀθέσμως, καὶ οὐ δεόντως τὴν

* ἴσην ὑπομένειν ἐκ περιδρομῆς ζημίαν. μηδαμῶς τοίνυν, ὦ φιλόχριστοι βασιλεῖς, τὴν τεθηνησαμένην ὑμᾶς ἐκκλησίαν σπαραττομένην περιΐδητε, τὴν ἀκμητὶ τῷ ὑμετέρῳ κράτει κατὰ τῶν ἀντιπάλων ἐγείρουσαν τρόπαια· μηδὲ μαρτυρίου καιρὸν τοὺς τῆς βασιλείας ὑμῶν ἀναδείξητε χρόνους· ἀλλὰ τὴν τῶν προγόνων ὑμῶν περὶ τὴν ἐκκλησίαν στοργὴν ἀναλαβόντες κατὰ νοῦν, καὶ ὅπως ἕκαστος ἐκείνων τῇ κατὰ τοὺς οἰκείους καιροὺς γενομένῃ συνόδῳ τῶν ἁγίων πατέρων ἐπειθάρχησε, * καὶ τῇ διὰ τοὺς ὅρους τοὺς παρ' αὐτῶν τεθέντας ὀχυρῶσαι νομοθεσίᾳ τὴν περὶ αὐτοὺς αἰδὼ διεδίδαξαν· οὕτω καὶ αὐτοὶ τὰ ἴσα περὶ τὴν νῦν παρ' ὑμῶν συγκροτηθεῖσαν ἁγίαν σύνοδον φρονῆσαι προθυμήθητε· ὡς ἂν τοὺς παρ' αὐτῆς χαριστηρίους ὕμνους ὑπὲρ τῆς βασιλείας ὑμῶν καθαρῶς, καὶ εὐαγῶς, καρπώσησθε, καὶ ἡμεῖς τὰς ὑπὲρ τῆς διαμονῆς τοῦ ὑμετέρου κράτους εὐχὰς εἰλικρινεῖς ἀναπέμπωμεν τῷ δεσπότῃ Χριστῷ, εὐσεβέστατοι, καὶ φιλόχριστοι βασιλεῖς.

* Ἐντολὴ πραχθεῖσα παρὰ τῆς ἁγίας συνόδου τοῖς ἀποσταλεῖσι παρ' αὐτῆς τῆς ἁγίας συνόδου ἐν Κωνσταντινουπόλει εὐλαβεστάτοις ἐπισκόποις, ὥστε αὐτοὺς δικάσασθαι τοῖς ἀπὸ τῆς ἀνατολῆς.

Τῷ θεοφιλεστάτῳ, καὶ θεοσεβεστάτῳ πρεσβυτέρῳ Φιλίππῳ διέποντι τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς ἀποστολικῆς καθέδρας τοῦ τῆς μεγίστης Ρώμης Κελεστίνου, καὶ τοῖς θεοσεβεστάτοις ἐπισκόποις, Ἀρκαδίῳ, Ἰουβεναλίῳ, Φλαυιανῷ, Φίρμῳ, Θεοδότῳ, Ἀκακίῳ, Εὐοπτίῳ, ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἡ χάριτι Θεοῦ, καὶ θεσπίσματι τῶν εὐσεβεστάτων βασιλέων συναχθεῖσα ἐν τῇ Εφεσίων μητροπόλει, ἐν κυρίῳ χαίρειν.

ΕΠΙΤΡΑΠΕΝΤΕΣ παρὰ τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων βασιλέων πρεσβευτὰς ἐξαποστεῖλαι ὑπὲρ πάσης ὁμοῦ τῆς οἰκουμένης, ἥ τις διὰ τῶν ἐν τῇ Εφεσίων μητροπόλει συνειλεγμένων μεθ' ἡμῶν τὸν ὑπὲρ τῆς ὀρθῆς πίστεως ἀνείληφεν ἀγῶνα, ἐψηφισάμεθα τὴν ὑμετέραν θεοσέβειαν, ὡς ἐνώπιον τοῦ Χριστοῦ, ὑμῖν τὴν ὑπὲρ τῆς ὀρθοδοξίας, καὶ τῶν ἁγίων πατέρων καὶ ἀδελφῶν, τοῦ τε ἁγιωτάτου, καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Μέμνονος, πρεσβείαν ἐγχειρίσαντες. ἀμφοτέρων δὲ πρόνοιαν ποιούμενοι, καὶ τῆς ἑαυτῶν ἀσφαλείας, καὶ τῆς ὑμετέρας, τοῦτο ὑμῖν τὸ ἐντολικὸν ὠρέξαμεν· ὥστε καὶ ἡμᾶς εἰδέναι ἐπὶ τίσιν ὑμᾶς ἐξεπέμψαμεν, καὶ τὴν ὑμετέραν θεοσέβειαν γινώσκειν, ὅτι περ οὐδὲν παρὰ ταῦτα ποιῆσαι ὀφείλετε. πρὸ πάντων μὲν οὖν ἐκεῖνο εἰδέναι χρὴ τὴν ὑμετέραν ὁσιότητα, ὅτι περ τὴν πρὸς Ἰωάννην τὸν Ἀντιοχείας, καὶ τὸ σὺν αὐτῷ τῆς ἀποστασίας συνέδριον, κοινωνίαν κατ' οὐδένα τρόπον καταδέξασθαι ὀφείλετε, διὰ τὸ μήτε ἐλέσθαι αὐτοὺς συγκαθελεῖν ἡμῖν τὸν τῆς ἀσεβείας κήρυκα Νεστόριον, ἀλλὰ καὶ τὸν ὑπὲρ ἐκείνου λόγον μέχρι τῆς ὑμετέρας ἐξόδου ποιεῖσθαι. τολμῆσαι δὲ παρὰ πάντας τοὺς κανόνας κατακρῖναι τόν τε

ἁγιώτατον, καὶ Θεοφιλέστατον ἀρχιεπίσκοπον Κύριλλον, καὶ τὸν ἁγιώτατον, καὶ Θεοφιλέστατον ἐπίσκοπον Μέμνονα· ἄλλως τε καὶ διὰ τὸ ἔτι καὶ νῦν τοῖς Νεστορίου συναγωνίζεσθαι δόγμασι. καί τινας τῶν ἐν αὐτοῖς εἶναι Κελεστιανούς, ἔτι τε καὶ καθηρημένους, καὶ τιμῇ τῆς οἰκουμένης συνόδου τολμῆσαι ὡς αἱρετικῷ ὑφαβάλλειν. εἰ δὲ ἀνάγκη τις παρὰ τὸ δίκαιον προσάγοιτο βασιλέως, ἐπεὶ δεῖ φιλοχείστῳ καὶ σεβεσάτῳ κράτει κατὰ δύναμιν πειθαρχεῖν, εἰ ἔλοιντο οἱ καθηρημένοι ὑπογράψαι μὲν τῇ Νεστορίου καθαιρέσει, διὰ λιβέλλων δὲ συγγνώμην αἰτῆσαι παρὰ τῆς ἁγίας συνόδου, ἐφ' οἷς προεπετέλεσαντο κατὰ τῆς ἡμετέρων προέδρων, ἀναθεματίσαι δὲ προσωποτύπως καὶ τὰ Νεστορίου δόγματα, καὶ τοὺς προδήλως τὰ αὐτὰ φρονοῦντας, καὶ φρονήσαντας ἀπορρίψασθαι, καὶ σὺν ἡμῖν πονῆσαι εἰς τὸ ἀποδοθῆναι ἡμῖν τοὺς ἁγιωτάτους ἀρχιεπισκόπους Κύριλλον, καὶ Μέμνονα, ἐπιδέχεσθαι τῇ ὑμετέρᾳ ἁγιότητι, τούτων γινομένων, ὑποχέσθαι μὲν αὐτοῖς τὴν κοινωνίαν, γράψαι δὲ πρὸς ἡμᾶς· ὥστε καὶ ἡμῶν ὑμῖν συντιθεμένων, τελείαν τιμῇ πρὸς αὐτοὺς χωρεῖσθαι εἰρήνην· μὴ πρότερον δὲ αὐτοῖς κοινωνίαν ὑποχέσθαι, εἰ μὴ τοὺς προέδρους ἑαυτῆς ἀπολάβοι ἡ ἁγία σύνοδος. εἰδέναι δὲ βουλόμεθα τιμὴ ὑμετέραν ὁσιότητα, ὅτι περ εἴτι τούτων παροφθείη παρ' ὑμῶν, ἴστε ἡ ἁγία σύνοδος καταδέξεται τὰ παρ' ὑμῶν πραττόμενα, ἴστε ὑμᾶς ἕξει κοινωνούς.

* ἐπάγοιτο
* προσάγοιτο
* ἐπειδὴ τῇ χρὴ φ. κ. ι. δέγματι
* θεσπίσματι

Βερκιανὸς ἐπίσκοπος Πέργης ἀντεπιλαμβάνω ὑπέγραψα. ὑπέγραψαν δὲ καὶ πάντες οἱ προτεταγμένοι ἐν τῇ σάσει τῆς ὑπομνημάτων θεοσεβέστατοι, καὶ ἁγιώτατοι ἐπίσκοποι.

Δοθέντων ἐπὶ τούτοις λιβέλλων ἀντιῤῥητικῶν παρὰ τῆς ἁγίας συνόδου, καὶ τῆς μνημονευθέντων ἀποσταλέντων ἀντολικαρίων, ἀπέστειλε καὶ τὸ ἕτερον μέρος τοῦ Ἰωάννου ἀντολικαρίου ἐν Κωνσταντινουπόλει.

Ἀντίγραφον ἀναφορᾶς παρὰ τῆς ἁγίας συνόδου διὰ Ἰουβεναλίου, Φίρμου, Φλαυιανοῦ, Ἀρκαδίου, Θεοδότου, Ἀχαΐου, Εὐσταθίου, ἐπισκόπων, καὶ Φιλίππου πρεσβυτέρου.

Τοῖς σεβεσάτοις, καὶ θεοφιλεσάτοις, καὶ φιλοχείστοις βασιλεῦσι, Θεοδοσίῳ, καὶ Οὐαλεντινιανῷ, νικηταῖς, τροπαιούχοις, ἀειμνήστοις, ἡ ἁγία σύνοδος, ἡ κατὰ Θεοῦ χάριν, καὶ θέσπισμα τοῦ ὑμετέρου κράτους, ἐν τῇ Ἐφεσίων μητροπόλει συγκροτηθεῖσα.

ΠΑΝΤΑ μὲν τὰ τῆς ὑμετέρας βασιλείας ἐπαινετὰ, καὶ πολὺν τὸν περὶ τιμῇ σεβείαν ἐπιδεικνύμενα ζῆλον, φιλόχειστοι βασιλεῖς· καὶ διὰ τοῦτο κοινῇ τε ἅπαντες, καὶ ἰδίᾳ ἕκαστος τὰς ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους προσβολὰς τῷ δεσπότῃ Χριστῷ ἀναπέμπομεν, φυλαχθῆναι τῇ οἰκουμένῃ δι' αἰῶνος τιμῇ φιλοχείστου ὑμῶν αἰτούμενοι κορυφιῶ. ἐπειδὴ δὲ καὶ νῦν ταῖς ἡμετέραις ἐπικαμφθεῖσα δεήσεσιν ἡ ὑμετέρα σέβεια παρεκελεύσατο διὰ τοῦ μεγαλοπρεπεστάτου, καὶ ἐνδοξοτάτου κόμητος Ἰωάννου, ἐξαποστεῖλαι τιμῇ οἰκουμενικῇ συνόδου, ὃς ἂν δοκιμάσῃ θεοφιλεστάτους ἐπισκόπους πρὸς τὸ ὑμέτερον κράτος, καὶ αὐτοπροσώπως ἀναδιδάξαι πάντα τὰ καθ' ἡμᾶς, ἀναγκαίως διαχειριστήσαντες τῇ φιλοχείστῳ ὑμῶν βασιλείᾳ, ἐξελεξάμεθα τοὺς ἁγιωτάτους, καὶ θεοφιλεστάτους ἐπισκόπους, Ἀρκάδιον, Ἰουβεναλίου, Φλαυιανοῦ, Φίρμον, Θεόδοτον, Ἀχάϊον, * Εὐόπτιον, καὶ Φίλιππον πρεσβύτερον Ῥώμης, διέποντα τὸν τόπον τοῦ ἁγιωτάτου, καὶ θεοφιλεστάτου ἐπισκόπου τῆς ἀποστολικῆς καθέδρας τοῦ τῆς μεγάλης Ῥώμης Κελεστίνου· καὶ διὰ τούτων τῶν γραμμάτων προσάγομεν αὐτοὺς τῇ ὑμετέρᾳ γαληνότητι, * ἀμφοῖν ἀξιοῦντες βλέμματός τε αὐτοὺς, καὶ ἀκοῆς τυχεῖν. εἰδότες δὲ τιμῇ φιλοχείστου ὑμῶν, καὶ Θεῷ ἀνακειμένῃ ψυχῇ περὶ πολλοῦ ποιουμένην θεραπεύειν τὸν ὑπερμαχοῦντα, καὶ σῴζοντα ὑμᾶς Χριστὸν, καὶ τοὺς * αὐτοῦ ἱερεῖς διὰ πάντων τιμᾶν, διὰ τὸ παρ' αὐτοῦ εἰρημένον· ὁ ὑμῶν ἀκούων, ἐμοῦ ἀκούει, καὶ ὁ ὑμᾶς δεχόμενος, ἐμὲ δέχεται· θαῤῥοῦμεν καὶ τιμῇ περὶ ὧν λελυπήμεθα προστιθέναι τῷ γράμματι μικύσιν. ἡμεῖς γὰρ ἐκ ἄλλου τινὸς χάριν τὴν Ἐφεσίων κατειληφότες, ἢ περὶ τῆς πίστεως διασκέψασθαι, κατὰ τὸ ὑμέτερον θεοσεβὲς θέσπισμα, ἐφειδήπερ τιμῇ τούτης ἀκίνητον ἐξ αἰῶνος γαληνῷ τὰ μιαρὰ τοῦ Νεστορίου ἐτάραξε δόγματα, εἰκότως βουλῇ περὶ * τούτων προθέντες, μ^η * ἑξηκοντάτιμ ἡμέραν τῆς ὁρισθείσης προθεσμίας, καὶ τὴν συνταράττοντα τὰς ἐκκλησίας τοῖς οἰκείοις δόγμασι Νεστορίου * προσκαλεσάμενοι. ἐπειδὴ δὲ ὑπὸ συνειδότος ἴδιος πονηρῷ κατεχόμενος ἁπάντων ἐκ ἠβούλετο, ἐξετάσαντες τὰ παρ' αὐτοῦ ἐγγράφως ἐκτεθέντα περὶ τῆς ἐνσωματώσεως τοῦ δεσπότου Χριστοῦ ἀσεβῆ δόγματα, αὐτά τε ἐκεῖνα ἀνεθεματίσαμεν, καὶ τὸν τούτων πατέρα, πάντη τ' ἐπισκοπικῆς ἀξίας * ἠλλοτριώσαμεν. ἀλλ' ὁ τῆς Ἀντιοχέων Γωάννης, μ^η τιμῇ εἰκοστιμῇ δευτέραν τῆς ῥηθείσης προθεσμίας μόλις φθάσας ἡμέραν, ὥσπερ ἀμυνόμενος ἡμᾶς ἐπὶ τῷ ὑπὲρ τῆς πίστεως ζήλῳ, τριάκοντα μικρῷ πλέον περὶ αὐτὸν συναθροίσας· ὧν οἱ μὲν Κελεστιανοὶ, οἱ δὲ καθηρημένοι πρὸ πολλοῦ ἐτύγχανον, κατ' αὐτῆς τῆς ἡμετέρων ἐχώρησε προέδρων· καὶ τοὺς ζηλωτὰς τῆς ὀρθοδοξίας, τόν τε ἁγιώτατον, καὶ Θεοφιλέστατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρείας Κύριλλον, καὶ τὸν ἁγιώτατον, καὶ Θεοφιλέστατον * ἐπίσκοπον ἡμῶν Μέμνονα, ὅτε κατηγορηθέντας παρ' αὐτῷ, ὅτε προσκληθέντας κατὰ τιμῇ τῆς κανόνων ἀκολουθίαν, τῇ τῆς καθαιρέσεως περιέβαλεν ὕβρει· καὶ ὡς κοινωνησάσης αὐτῷ τῆς ἁγίας, καὶ οἰκουμενικῆς συνόδου εἰς τιμὴ κατ' αὐτῆς ἀδικίαν, ὅτω τοὺς ἀσεβεῖς ὑμῶν, καὶ θεοφιλεῖς συνήρπασεν ἀκοάς. ἡ μὲν οὖν ἁγία, καὶ οἰκουμενικὴ σύνοδος, ἣ συνεδρεύει καὶ ὁ τῆς μεγάλης * ἡμῶν Ῥώμης ἁγιώτατος, καὶ θεοφιλέστατος ἀρχιεπίσκοπος Κελεστῖνος, καὶ ἅπασα ἠδυτικὴ συνόδος, διὰ τῆς * παρ' αὐτῆς ἀπεσταλμένων πρὸς ἡμᾶς ἁγιωτάτων ἐπισκόπων, συνεδρεύει δὲ καὶ ἡ Ἀφρικὴ πᾶσα, καὶ τὸ Ἰλλυρικὸν, κανονικῶς κινηθεῖσα, αὐτόν τε τὸν ἔξαρχον τοῦ τῆς ἀποστασίας συνεδρεύοντα Ἰωάννην, καὶ τοὺς σὺν αὐτῷ, * πάσης ἐκκλησιαστικῆς κοινωνίας ἀλλοξένους εἶναι ἐδογμάτισε· πᾶσαν δὲ αὐτῶν ἱερατικὴν περιεῖλεν ἐνέργειαν, ἀναῤῥίψασα καὶ τὰ παρ' αὐτῶν ἀκανονίστως γεγόμενα. καὶ τῆς ἐπ' αὐτοῖς περιωπῆς ἀγαθίων τιμῇ μικύσιν τῇ ὑμετέρᾳ γαληνότητι ἀπεστάλ-

* Εὐόπτιον,
* ἀμφοῖν
* αὐτοῦ
* αὐτοῦ
Matθ. 10. 40.
* τοῦτο ἐκκλησιαστικὸν
* ἐσ. φησὶ καλεσαμένους.
* ἀλλοτριώσαμεν.
* σωτηρίου
* γρ. ὑμῶν atque ita c. Seg.
* παρ' αὐτοῦ
* πάντως

λα-

λαμψω κορυφῆ· νωὶ δὲ δ̅ζ̅α̅ τε τύπων τ̃ γραμμάτων, κ̓ δ̅ζ̅α̅ τ̃ ἀποσαλσίτων θεοφιλεστάτων ἐπισκόπων, μακραῖς ταῖς χερσὶ τ̃ δ̓σεβῶν ὑμῶν ἀπτόμεθα γονάτων, δεόμενοι τὰ μὲν κατὰ σιωαρπαγὴν γεγονότα κατὰ τ̃ ἁγίων, κ̓ θεοφιλεστάτων ἐπισκόπων Κυρίλλου, κ̓ Μέμνονος, ὑδεμίαν ἐκ τ̃ν κανόνων ἰσχὺν ἔχοντα, πάντη ἀργεῖν· ὥστε μὴ ἀκέφαλον ἡμῶν ὑπάρχειν τὴν σιώοδον, μηδὲ ἀφορήτῳ πάθει ἡμᾶς τε, κ̓ τὰς ἅπαντας τ̃ς οἰκουμένης τὸ Χριστὸ ἱερεῖς ἀδ̅ζ̅αλείπτως ἐπὶ τοῖς προέδροις * σιωτρίβεσθαι· ἀλλὰ * τυχόντας τ̃ν αἰτήσεων, τὰς σιωόθεις ἁγὰς μ̅τ̃ τ̃ν ἐν τ̃ οἰκουμένῃ ἐκκλησιῶν ἀναπέμπειν τῷ δεσπότῃ Χριστῷ, ὑπὲρ τ̃ δὲ αἰῶνος ἡμῖν χαρισθῆναι τὸ φιλόχριστον ὑμῶν κράτος· ἡ γὰρ κατ' αὐτῶν ὀργὴ συκοφαντία παρά τε Ἰωάννου τ̃ τ̃ς Ἀντιοχέων, κ̓ τ̃ν σὺν αὐτῷ, εἰς ἅπαντας ἡμᾶς βλέπει τὸς * ὁμοπίστους ὄντας τοῖς μνημονευθεῖσι, κ̓ σιωιεραπτόντας αὐτοῖς, δ̅ζ̅α̅ τὸ κ̓ πᾶσαν τὴν δυτικὴν σιώοδον μαρτυρεῖν αὐτοῖς τὴν ὀρθὴν, κ̓ ἀδιάβλητον πίστιν, κ̓ ἡμᾶς * δι' ἑαυτὸς περὶ τούτου πληροφορηθέντας, κ̓ * ἐγγράφως ἐπὶ ὑπομνημάτων ῥῆξαι φωνὰς, ὅτι τυγχάνουσιν ὀρθόδοξοι, κ̓ τὴν τ̃ν ἁγίων ἡμῶν πατέρων ἔχουσι γνώμην περὶ τὴν τ̃ς ἐκκλησίας τ̃ς ἀποστολικ̃ς, κ̓ καθολικ̃ς δόγματα. δεόμεθα τοίνυν τοῦ ὑμετέρου κράτους, λύσατε κ̓ ἡμᾶς * αὐτὸς τ̃ν δεσμῶν. συνδεδέμεθα γὰρ τοῖς δεδεμένοις, ὡς ἀδελφοῖς, κ̓ προέδροις τ̃ς ἁγίας ἡμῶν συνόδου.

* καθιδιάδη. * τυχόντας

* ἐμπόχοις * αὐτὴν

* ἐγγράφως * αὐτὸς

Ἐπιστολὴ Ἀλυπίου πρὸς Κύριλλον.

Τῷ ἁγιωτάτῳ, κ̓ θεοφιλεστάτῳ κ̓ * ἀρχιερατικῷ Κυρίλλῳ Ἀλύπιος πρεσβύτερος τ̃ν ἀποστόλων, ἐν κυρίῳ χαίρειν.

* ἀρχιεραρχῷ

ΜΑΚΑΡΙΟΣ ἄνθρωπος, ὃν * κατηξίωσεν ὁ Θεὸς πρῶτον τοῖς τ̃ς ἀγάπης ὀφθαλμοῖς ἰδεῖν τὴν θεοφιλῆ, κ̓ ἁγίαν σὺν κεφαλὴν, τ̃ς ὁμολογίας τὸν τὸ μαρτυρίου στέφανον * φέρουσαν. σὺ γὰρ ἁγιώτατε πάτερ τὴν τ̃ν ἁγίων πατέρων ὁδὸν * γρηγόρῳ τῷ ὄμματι περιεπάτησας, κ̓ τὰς * χωλαίνοντας ἐπ' ἀμφοτέραις τ̃ς ἰγνύαις, ὀρθοποδεῖν πρὸς τὴν ἀλήθειαν ἐδίδαξας· σὺ τὴν παῤῥησίαν τὸ Ἠλία ἐνεδύσω, κ̓ τὸν ζῆλον τὸ Φινεὲς μόνῳ ἀνείληφας· σὺ τὸ δυσσεβὲς στόμα τὸ ἰοβόλου δράκοντος ἐνέφραξας, κ̓ τὸν πολυφάγον Βὴλ κατέσρεψας. κ̓ τὴν μάταιον αὐτὸ ἐλπίδα * δ̅ζ̅α̅ χρημάτων αὐτῷ ἐπηρμένην πρασίαν, * ἀργὴν, κ̓ ἀνίσχυρον κατέστησας. ἐ τὸ κατασκάσμα τ̃ς χρυσ̃ εἰκόνος χαρὰν γεγενῆσθαι ἐποίησας. κ̓ ποῖον στόμα, μύρων ἀπογέμον πνευματικ̃ν, δυνήσεται φθέγξασθαι τοῦ ζήλου τὸ σὸ τὰ ἐγκώμια; ὁπότε ἴσος ἐγένου τῷ μακαρίῳ Θεοφίλῳ τὸ σὸ θείου μιμητής· ἀλλὰ κ̓ τὸ μαρτύριον τὸ μακαρίου Ἀθανασίου * ἐνεδύσω. καθάπερ γὰρ ἐκεῖνος τ̃ν ἀνόμων αἱρετικ̃ν τὰς συσκιὰς ὡς σπιλάδας ἐξέφυγε, ταῖς προσευχαῖς ἐπωτάμενος, ὅπως ἐ ἡ σὴ ἁγιωσύνη τὰς συσκιὰς τὸ ἀνόμου ὥσπερ λαίλαπας ἀσθενεῖς * κατεκοίμισας τῷ καθαρῷ τ̃ς συνειδήσεως βίῳ. ὅτω γὰρ κ̓ ὁ μακάριος Ἀθανάσιος μ̅τ̃ * πολλὰς τὰς ψευδεῖς ἐπαγγελίας τὰς ὑπὸ αἱρετικ̃ν αὐτῷ προσαγομένας, ἰ̃ως ἀπέδειξε, κ̓ ἀλλοδαπὴν οἰκῆσαι κατεδέξατο ὑξορείας λόγῳ, τ̃ν τότε κρατούντων τὸτο κατασκευασάντων. κ̓ ὅσον ἐσπούδασε τὰ μιαρὰ ἐκεῖνα σώματα πλήκειν ψευδῆ ἐγκλήματα, τοσούτῳ καθαρώτερος, κ̓ λαμπρότερος ἀνεδείκνυτο τ̃ μακροθυμίᾳ, δ̅ζ̅α̅λάμπων τότοις τοῖς πλεονεκτήμασι· ἐ τότοις τοῖς ἄθλοις τὸν σίφωνα τὸ μαρτυρίου ἑαυτῷ πλέξας, τὸ ὁμοούσιον ἔστησε, κ̓ τὴν Ἀρείου κακοδοξίαν κατεπάτησε, κ̓ τὴν ὀρθοδοξίαν ἀνέστησε, κ̓ τὸν ἅγιον τὸ εὐαγγελιστὸ Μάρκου θρόνον ὕψωσεν· οἷς κ̓ αὐτὸς χρησάμενος, κατόπιν ἐκείνου τὸ ἁγίου περιεπάτησας. εὔχομαι τοίνυν ἁγιώτατε πάτερ, καταξιωθῆναι αὐτοῖς ὀφθαλμοῖς ἰδεῖν τὸ ἅγιον σου πρόσωπον, κ̓ κρατῆσαι σῶν γονάτων, κ̓ ἀπολαῦσαι μάρτυρος ἐν καιρῷ εἰρήνης τὸς στεφάνους ἀναδησαμένου. ἅπαντα δὲ τὰ καθ' ἡμᾶς, ὡς ἐπαῤῥησιασάμεθα, θαρσήσαντες τῇ σῇ προσευχῇ, ἐ τ̃ν ἁγίων πατέρων, κ̓ ὅσα ἐποιήσαμεν, λέξει ὁ ἀγαπητὸς διάκονος Καινδιδιανός. ὃς κ̓ τὰ γράμματα τ̃ς ἐμ̃ς βραχύτητος ἐπιδώσει τῇ σῇ ἁγιωσύνῃ. προσαγορεύω πᾶσαν τὴν ἁγίαν σύνοδον τ̃ν ἀναδησαμένων τὸν στέφανον τὸ μαρτυρίου μ̅τ̃ τ̃ς σ̃ς ὁσιότητος. ἐρρωμένος, εὐθυμούμενος, ἐν κυρίῳ διαφέρεσθαι, ἀγωνιζόμενος ὑπὲρ τ̃ς ἀληθείας χαριζόμενος ἡμῖν ἀπὸ Θεοῦ.

Θεῖον γράμμα πρὸς τὴν ἐν Ἐφέσῳ ἁγίαν σύνοδον, ἀπολύον πάντας τὸς ἐπισκόπους εἰς τὰ ἴδια, κ̓ ἀποκαθιστῶν Κύριλλον, κ̓ Μέμνονα τὸς ἁγιωτάτους τ̃ς ἰδίαις ἐκκλησίαις.

Ἡμεῖς τὴν τ̃ν ἐκκλησιῶν εἰρήνην, ἁπάσης ἄλλης ἀσχολίας προτιμήσαντες, ἃ μόνον διὰ τ̃ν ἡμετέρων ἀρχόντων, ἀλλὰ κ̓ δι' ἑαυτ̃ν συναγαγεῖν ὑμᾶς ἐβουλήθημεν, ἀσεβὲς εἶναι κ̓ ἄξιον τ̃ ἡμετέρας βασιλείας πιστεύσαντες τὸ ῥαθυμεῖν τ̃ν ἡμῶν κ̓ μὴ πάντα ὅσα ἐνδέχεται ποιεῖν τοῦ διαιρεθῆναι τὰς ἐκκλησίας. ἐπειδὴ δὲ ὅτε σωθῆναι ὑμᾶς γεγένηται δυνατὸν, ὅτε εἰς τοὺς λόγους τοὺς περὶ ἀμφισβητουμένων ἐλθεῖν ἠθέλησεν ἡ ὑμετέρα διάβεια, τετυπώκαμεν τοὺς ἀναπλικοὺς ἐπισκόπους ἀπελθεῖν εἰς τὰς ἑαυτ̃ν παροικίας, κ̓ τὰς ἐκκλησίας, κ̓ τὴν σύνοδον διαλυθῆναι τὴν ἐν Ἐφέσῳ· ἔτι τὸν Κύριλλον εἰσελθεῖν ἐν Ἀλεξανδρείᾳ, ἐ Μέμνονα μεῖναι ἐν Ἐφέσῳ. τοσοῦτον γὰρ δηλοῦμεν τῇ ὑμετέρᾳ θεοσεβείᾳ, ὅτι ἕως ὅτε ζῶμεν, κατεγνῶναι τ̃ν ἀκαταλήκτων ἃ δυνάμεθα. οὐδὲ γὰρ ἐπ' ἡμῶν ἠλέγχθησαν, οὐδενὸς αὐτοῖς συζητῆσαι θελήσαντος. εἰ οὖν ἐστὶ σκοπὸς εἰρήνης, ἑλόμενοι ταύτην ἀφαλοντείχως, γνωρίσατε ἡμῖν. εἰ δὲ μήγε, ἀθίως πρὸς ἃ γράφομεν τ̃ς ἐκδημίας φροντίσατε· οὐχ ἡμῶν ὄντων αἰτίων, ἀλλὰ τοῦ Θεοῦ τὰς αἰτίους γινώσκοντος.

Ex MS. cod. Reg. 1026.

Ψῆφος τ̃ς αὐτ̃ς ἁγίας συνόδου.

Ἡ ἁγία σύνοδος, εἶπε· Πρᾶγμα παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς, κ̓ τοὺς κανόνας τ̃ν ἁγίων * πατέρων καινοτομούμενον, κ̓ τ̃ς πάντων ἐλευθερίας ἀπτόμενον, προσήγγειλεν ὁ θεοφιλέστατος συνεπί-

* ἐντολῶν

πίσκοπος Ρηγῖνος, καὶ οἱ σὺν αὐτῷ θεοφιλέστατοι ἐπίσκοποι τῆς Κυπρίων ἐπαρχίας, Ζήνων, καὶ Εὐάγριος. ὅθεν ἐπειδὴ τὰ κοινὰ πάθη μείζονος δεῖται τῆς θεραπείας, ὡς καὶ μείζονα τὴν βλάβην φέροντα, καὶ μάλιστα, εἰ μηδὲ ἔθος ἀρχαῖον παρηκολούθησεν, ὥστε τὸν ἐπίσκοπον τῆς Αντιοχέων πόλεως ἐν Κύπρῳ ποιεῖσθαι χειροτονίας, καθὰ διὰ τῶν λιβέλλων, καὶ τῶν οἰκείων φωνῶν ἐδίδαξαν οἱ εὐλαβέστατοι ἄνδρες, οἱ τὴν πρόσοδον τῇ ἁγίᾳ συνόδῳ ποιησάμενοι, ἔξουσι τὸ ἀνεπηρέαστον, καὶ ἀβίαστον, οἱ τῶν ἁγίων ἐκκλησιῶν τῶν κατὰ τὴν Κύπρον προεστῶτες, κατὰ τοὺς κανόνας τῶν ὁσίων πατέρων, καὶ τὴν ἀρχαίαν συνήθειαν, δι' ἑαυτῶν τὰς χειροτονίας τῶν εὐλαβεστάτων ἐπισκόπων ποιούμενοι. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων διοικήσεων, καὶ τῶν ἁπανταχοῦ ἐπαρχιῶν παραφυλαχθήσεται· ὥστε μηδένα τῶν θεοφιλεστάτων ἐπισκόπων ἐπαρχίαν ἑτέραν, οὐκ οὖσαν ἄνωθεν, καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ, ἤγουν τῶν πρὸ αὐτοῦ χεῖρα, καταλαμβάνειν· ἀλλ' εἰ καί τις κατέλαβε, καὶ ὑφ' ἑαυτῷ πεποίηται βιασάμενος, * τοῦτον ἀποδιδόναι, ἵνα μὴ τῶν πατέρων οἱ κανόνες παραβαίνωνται, μηδὲ ἐν ἱερουργίας προσχήματι ἐξουσίας τύφος * παρεισδύηται, μηδὲ λάθωμεν τὴν ἐλευθερίαν κατὰ μικρὸν ἀπολέσαντες, ἣν ἡμῖν ἐδωρήσατο τῷ ἰδίῳ αἵματι ὁ κύριος ἡμῶν Ιησοῦς Χριστὸς, ὁ πάντων ἀνθρώπων ἐλευθερωτής. Εδοξε τοίνυν τῇ ἁγίᾳ * καὶ οἰκουμενικῇ συνόδῳ, σώζεσθαι ἑκάστῃ ἐπαρχίᾳ καθαρὰ, καὶ ἀβίαστα τὰ αὐτῇ προσόντα δίκαια ἐξ ἀρχῆς ἄνωθεν, κατὰ τὸ πάλαι κρατῆσαν ἔθος· ἄδειαν ἔχοντος ἑκάστου μητροπολίτου τὰ ἴσα τῶν πεπραγμένων πρὸς τὸ οἰκεῖον ἀσφαλὲς ἐκλαβεῖν. εἰ δέ τις μαχόμενον τύπον τοῖς νῦν ὡρισμένοις προκομίσοι, ἄκυρον τοῦτον εἶναι ἔδοξε τῇ ἁγίᾳ πάσῃ, καὶ οἰκουμενικῇ συνόδῳ.

* ταύτην
* κοσμικῆς παρείσηδυται,
* ταύτῃ καὶ

Κανόνες * τῶν διακοσίων ἁγίων, καὶ μακαρίων πατέρων τῶν ἐν Εφέσῳ συνελθόντων.

* In eod mf Seguieriano: Γράμματα ἀποσταλέντα παρὰ τῆς ἁγίας συνόδου τοῖς καθ' ἑκάστην ἐπαρχίαν τι καὶ πόλιν ἐπισκόποις, πρεσβυτέροις διακόνοις καὶ λαϊκοῖς περὶ τῶν ἀνατολικῶν ἐπισκόπων.

Η' ἁγία, καὶ οἰκουμενικὴ σύνοδος, ἡ ἐν Εφέσῳ συγκροτηθεῖσα ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων βασιλέων, τοῖς καθ' ἑκάστην ἐπαρχίαν τε, καὶ πόλιν ἐπισκόποις, πρεσβυτέροις, διακόνοις, καὶ παντὶ τῷ λαῷ.

* τῶν Βασιλέων
* ἀπιστάτησαν

ΣΥΝΑΧΘΕΝΤΩΝ ἡμῶν κατὰ τὸ εὐσεβὲς γράμμα * ἐν τῇ Εφεσίων μητροπόλει, * ἀπέστησάν τινες ἐξ ἡμῶν, ὄντες τὸν ἀριθμὸν τριάκοντα μικρῷ πρὸς, ἔξαρχον τῆς ἑαυτῶν ἀποστασίας ἐσχηκότες τὸν τῆς Αντιοχέων ἐπίσκοπον Ἰωάννην· ὧν καὶ τὰ ὀνόματά ἐστι ταῦτα. πρῶτος * οὗτος Ιωάννης ὁ Αντιοχείας τῆς Συρίας, καὶ Ἰωάννης Δαμασκοῦ, Αλέξανδρος Απαμείας, Αλέξανδρος Ἱεραπόλεως, Ιμέριος Νικομηδείας, Φριτιλᾶς Ηρακλείας, Ελλάδιος Ταρσοῦ, Μαξιμῖνος Αναζάρβου, * Θεόδωρος Μαρκιανουπόλεως, Πέτρος Τραϊανουπόλεως, Παῦλος * Εμίσης, Πολυχρόνιος Ηρακλειωτῶν πόλεως, * Εὐθύριος Τυάνων, Μελέτιος Νεοκαισαρείας, Θεοδώρητος Κύρου, Απρίγγιος * Χαλκηδόνος, Μακάριος Λαοδικείας τῆς μεγάλης, Ζῶσυς Εσβοῦντος, Σαλούστιος Κωρύκου Κιλικίας, Ησύχιος Κασταβάλης Κιλικίας, Οὐαλεντῖνος Μουτλοβλάκης, Εὐστάθιος Παρνασοῦ, Φίλιππος Θεοδοσιανῶν, Δανιήλ τε, καὶ Δεξιανὸς, Ιουλιανός τε, καὶ Κύριλλος, Ολύμπιός τε, καὶ Διογένης, * Θεοφάνης * Φιλαδελφείας, * Τραϊανὸς Αὐγούστης, Αὐρήλιος Εἰρηνουπόλεως, Μουσαῖος Αράδου, Ελλάδιος Πτολεμαΐδος· οἵ τινες τῆς ἐκκλησιαστικῆς κοινωνίας μηδεμίαν ἔχοντες ἄδειαν ὡς ἐξ * αὐθεντείας ἱερατικῆς, εἰς τὸ δύνασθαί τινας ἐκ ταύτης βλάπτειν, ἢ ὠφελεῖν, διὰ τὸ καί τινας ἐν αὐτοῖς εἶναι καθῃρημένους, πρὸ πάντων μὲν τὰ Νεστορίου, καὶ τὰ Κελεστίου φρονήματα ἐπιφερόμενοι σαφέστατα ἀπεδείχθησαν ἐκ τοῦ μὴ ἑλέσθαι μεθ' ἡμῶν Νεστορίου καταψηφίσασθαι· οὕς τινας δόγματι κοινῷ ἡ ἁγία σύνοδος πάσης μὲν ἐκκλησιαστικῆς κοινωνίας ἀλλοτρίους ἐποίησε, πᾶσαν δὲ αὐτῶν ἐνέργειαν ἱερατικὴν περιεῖλε, δι' ἧς ἠδύναντο βλάπτειν, ἢ ὠφελεῖν τινάς.

* αὐτὸς
* Δωρόθεος.
* Εμίσης,
* Εὐθήριος
* Χαλκίδος
* παμείας
* Πόλιος inseritur in mf. Seg.
* φιλάδελφος
* Τωριανὸς
* αὐθεντίας

ΚΑΝΟΝΕΣ.

ΕΠΕΙΔΗ δὲ ἐχρῆν καὶ τοὺς ἀπολειφθέντας τῆς ἁγίας συνόδου, καὶ μείναντας κατὰ χώραν, * ἢ πόλιν διά τινα αἰτίαν ἢ ἐκκλησιαστικὴν, ἢ σωματικὴν, μὴ ἀγνοῆσαι τὰ * περὶ αὐτῶν τετυπωμένα, γνωρίζομεν τῇ ὑμετέρᾳ ἁγιότητι, καὶ ἀγάπῃ, ὅτιπερ.

* καὶ
* ἐν αὐτῇ.

α'.

* Ἔτις ὁ μητροπολίτης τῆς ἐπαρχίας, * ἀποστατήσας τῆς ἁγίας, καὶ οἰκουμενικῆς συνόδου, προσέθετο τῷ τῆς ἀποστασίας συνεδρίῳ, ἢ μετὰ τοῦτο * προστεθείη, ἢ τὰ Κελεστίῳ ἐφρόνησεν, * ἢ φρονήσῃ, οὗτος κατὰ τῶν τῆς ἐπαρχίας * ἐπισκόπων διαπράττεσθαί τι οὐδαμῶς δύναται, πάσης ἐκκλησιαστικῆς κοινωνίας ἐντεῦθεν ἤδη ὑπὸ τῆς συνόδου ἐκβεβλημένος, καὶ ἀνενέργητος ὑπάρχων. ἀλλὰ καὶ αὐτοῖς τοῖς τῆς ἐπαρχίας ἐπισκόποις, καὶ τοῖς πέριξ μητροπολίταις, τοῖς τὰ τῆς ὀρθοδοξίας φρονοῦσιν ὑποκείσεται, εἰς τὸ πάντῃ καὶ τοῦ βαθμοῦ * τῆς ἐπισκοπῆς ἐκβληθῆναι.

* εἴτε ὁ
* ἀποστήσας
* φρονήσει,
* ἴσ. ἀρχόντων καὶ ἐπισκόπ.
* καὶ τῆς

β'.

Εἰ δέ τινες ἐπαρχιῶται ἐπίσκοποι ἀπελείφθησαν τῆς ἁγίας συνόδου, καὶ τῇ ἀποστασίᾳ προσετέθησαν, ἢ προστεθῆναι πειραθεῖεν, ἢ καὶ ὑπογράψαντες τῇ Νεστορίου καθαιρέσει ἐπαλινδρόμησαν πρὸς τὸ τῆς ἀποστασίας συνέδριον, τούτους πάντῃ κατὰ τὸ δόξαν τῇ ἁγίᾳ συνόδῳ ἀλλοτρίους εἶναι τῆς ἱερωσύνης, καὶ τοῦ βαθμοῦ * ἐκπίπτειν.

* ἀποπίπτοντας.

γ'.

Εἰ δέ τινες καὶ τῶν ἐν ἑκάστῃ πόλει, ἢ χώρα κληρικῶν ὑπὸ Νεστορίου, καὶ τῶν σὺν αὐτῷ ὄντων τῆς ἱερωσύνης ἐκωλήθησαν διὰ τὸ ὀρθῶς φρονεῖν, ἐδικαιώσαμεν καὶ τούτους τὸν ἴδιον ἀπολαβεῖν βαθμόν. κοινῶς δὲ τοὺς τῇ ὀρθοδόξῳ, καὶ οἰκουμενικῇ συνόδῳ * συμφρονοῦντας κληρικοὺς, κελεύομεν τοῖς ἀποστατήσασιν, ἢ ἀφισταμένοις ἐπισκόποις, μηδόλως ὑποκεῖσθαι κατὰ μηδένα τρόπον.

* συμφωνοῦντας

Εἰ

δ'.

Εἰ δέ τινες ἀποστατήσαιεν τῆς κληρικῶν, καὶ τολμήσαιεν ἢ κατ' ἰδίαν, ἢ δημοσία τὰ Νικαέων φρονῆσαι. καὶ τοῦτους εἶναι καθηρημένους, ὑπὸ τῆς ἁγίας συνόδου δεδικαίωται.

ε'.

Ὅσοι δὲ ἐπὶ ἀτόποις πράξεσι κατεκρίθησαν * ὑπὸ τῆς ἁγίας συνόδου, ἢ * ὑπὸ τῆς οἰκείων ἐπισκόπων, καὶ * τούτοις ἀκανονίστως κατὰ τὸν ὅλον ἄπασιν * ἀδιαφορίαν αὐτοῦ ὁ Νεστόριος, * καὶ οἱ τὰ αὐτοῦ φρονοῦντες ἀποδοῦναι ἐπειράθησαν, ἢ πειραθεῖεν κοινωνίαν, ἢ βαθμὸν, ἀνωφελήτους μένειν καὶ τούτους, καὶ εἶναι οὐδὲν ἧττον καθηρημένους ἐδικαιώσαμεν.

ϛ'.

Ὁμοίως δὲ καὶ εἴ τινες βουληθεῖεν τὰ περὶ * ἑκάστων πεπραγμένα ἐν τῇ ἁγίᾳ συνόδῳ τῷ ἐν Ἐφέσῳ οἱῳδήποτε τρόπῳ παρασαλεῦσαι, ἡ ἁγία σύνοδος ὥρισεν, εἰ μὲν ἐπίσκοποι εἶεν, ἢ κληρικοὶ, τὸν οἰκεῖον παντελῶς ἀποπίπτειν βαθμόν. εἰ δὲ λαϊκοὶ, ἀκοινωνήτους ὑπάρχειν.

Καὶ ὑπέγραψαν πάντες οἱ ἐν τῇ σύνοδῳ ἐπίσκοποι.

Ἐπιστολὴ τῆς αὐτῆς ἐν Ἐφέσῳ ἁγίας συνόδου πρὸς τὸν ἐν Παμφυλίᾳ διάγῃ σύνοδον, περὶ Εὐσαθίου τοῦ γνωμένου αὐτῆς μητροπολίτου.

Εὐσ. μτ. 24. ΜΕΤΑ' βουλῆς πάντα ποιεῖ, τῆς θεοπνεύστου λεγούσης γραφῆς, * χρὴ δὴ μάλιστα τοὺς ἱεράσθαι λαχόντας μετὰ πάσης ἀκριβείας τὸν ἐφ' ἅπασι τοῖς πρακτέοις ποιεῖσθαι διάσκεψιν. διαβιβᾶν γὰρ ὅπως ἐθέλουσιν, ἐν καλῷ τῆς ἐλπίδος * κεῖσθαί τε τὰ κατ' αὐτοὺς, καὶ οἷον ἐξ ὑρίας ἐν τοῖς κατ' ἄκρου ἀποφέρεσθαι συμβαίνει. καὶ πολὺ τό γε εἰκὸς λόγος ἔχει. ἀλλ' οἶδεν ἔσθ' ὅτε δριμεῖα, καὶ ἀφόρητος λύπη καταισχήψασα νοῦ καταθολῶσαί τε δεινῶς αὐτὸν, καὶ τῆς τοῦ δεόντων ἀποκομίσαι θήρας, ἀναπεῖσαί τε τὸ πεφυκὸς ἀδικεῖν, ὥς τι τοῦ ὀνησιφόρων ἰδεῖν. τοιοῦτόν τι πεπονθότι τεθεάμεθα τὸν ἀλαβέστατον, καὶ θεοσεβέστατον Εὐσάθιον. κεχειροτόνηται μὲν γὰρ, ὡς μεμαρτύρηται, κανονικῶς· τεθορυβημένος δὲ, ὥς φησι, παρά τινων, καὶ ἀδοκήτοις περισάσεσιν ἐμβεβηκὼς, εἶτα ἐκ πολλῆς ἄγαν ἀφραγμοσύνης ἀπειρηκὼς τῇ ἀντίσασιν τοῦ ἐπανειλεγμένων αὐτῷ φρονήματος, καίπερ διακρύσασθαι τὰς παρὰ τοῦ ἐπιφυομένων αὐτῷ δυσφημίας δυνάμενος, παραιτήσεως ἐκ ἴσμεν ὅπως * προσεκόμισε βιβλίον. ἔδει γὰρ ὡς ἅπαξ ἐγχειρισμένον ἱερατικῇ φροντίδα, ταύτης ἔχεσθαι μετ' ἀρρωσίας πνευματικῆς, καὶ οἷον ἀνταποδύεσθαι τοῖς πόνοις, καὶ ἱδρῶτα τὸν ἔμμισθον ἰθέλοντι ὑπομένειν. ἐπειδὴ δὲ ἅπαξ ὀλιγώρως ἔχοντα παρέδειξεν ἑαυτὸν, τοῦτο παθὼν ἐξ ἀφραγμοσύνης μᾶλλον, ἢ ὄκνου, καὶ ῥαθυμίας, χειροτόνησεν ἀναγκαίως ἡ ὑμετέρα θεοσέβεια τὸν ἀλαβέστατον, καὶ θεοφιλέστατον ἀδελφὸν ἡμῶν, καὶ συνεπίσκοπον Θεόδωρον, φροντιοῦντα τῆς ἐκκλησίας. ἁρμόττει γὰρ αὐτῷ ἀκόλουθον χηρεύειν αὐτῷ, καὶ ἐπισάτην δίκαια διατηρεῖν τὸ σωτῆρος τὰ ποίμνια. ἐπειδὴ δὲ προσῆλθε χλαίων, ἅ περὶ τῆς πόλεως, ἅδε τῆς ἐκκλησίας φιλοτεκνῶν τῷ μνημονευθέντι θεοσεβεστάτῳ ἐπισκόπῳ Θεοδώρῳ, ἐξεπλάγη δὲ πέως τῷ τὸ ἐπισκόπα τιμὴν, καὶ κλῆσιν, συνελογήσαμεν ἅπαντες τῷ ὁσιωτάτῃ, καὶ κοινὸν εἶναι λογισάμενοι τὸ αὐτὸ δάκρυον, ἐσπεύδομεν μαθεῖν, εἰ καθαίρεσιν ὄνομα ὑπομενεῖ μοναχὸν ὁ μνημονευθεὶς, ἢ γε εἰ ἐπί τισι τῶν ἀτόπων ἐλήλεγκται παρά τινων κατοφλυαρησάντων αὐτὸ τῆς ὑπολήψεως. καὶ δὴ ἐμάθομεν προσφάτως μὲν τοιοῦτον ἔδος, γενέσθαι δὲ μᾶλλον τῷ μνημονευθέντι ἀντὶ ἐγκλήματος, τὴν παραίτησιν. ὅθεν ἔδει τῇ ὑμετέρᾳ θεοσεβείᾳ ἐμεμψάμεθα, χειροτονησάσῃ δεόντως εἰς τὸν αὐτοῦ τόπον τὸν μνημονευθέντα ἀλαβέστατον ἐπίσκοπον Θεόδωρον. ἐπειδὴ δὲ τῇ ἀφραγμοσύνῃ τοῦ ἀνδρὸς ἡ σφόδρα φιλοτεκνία ἀκολουθον, ἔδει δὲ μᾶλλον ἐλεῆσαι πρεσβύτην, ἔξω καὶ πόλεως τῆς συνεχούσης αὐτὸν, καὶ παξίων ἰδιαιτημάτων ἐν μακροῖς ὅσα γεγονότα χρόνοις, ἐδικαιώσαμεν, καὶ ὡρίσαμεν δίχα πάσης ἀντιλογίας ἔχειν αὐτὸν τό, τε τῆς ἐπισκοπῆς ὄνομα, καὶ τὴν τιμὴν, καὶ τὴν κοινωνίαν· ὅπως μένοντα, ὥσεμὴ χειροτονεῖν αὐτὸν, μήτε μὴν ἐκκλησίαν καταλαβόντα ἱερουργεῖν ἐξ ἰδίας * αὐθεντείας· ἀλλ' ἡ ἄρα συμπαραλαμβανόμενον, εἴτουν ἐπιξεπόμενον, εἰ τύχοι, παρὰ ἀδελφοῦ, καὶ συνεπισκόπου, κατὰ διάθεσιν καὶ ἀγάπην τοῦ ἐν Χριστῷ. εἰ δέ τι βελτίοσθε χρηστότερον ἐπ' αὐτῷ ἢ νῦν, ἢ εἰς τὸ μὴ ταῦτα, ἀρέσει καὶ τοῦτο τῇ ἁγίᾳ συνόδῳ.

Συλλογὴ ἐν ᾗ περιέχονται τινάμα πρὸς τὴν ἐν Ἐφέσῳ σύνοδον ἀνήκοντα, τινὰ δὲ καὶ μετ' αὐτὴν γεγονότα.

ΕΠΙΤΑΣΙΣ ΤΩΝ ΔΩΔΕΚΑ κεφαλαίων, ῥηθεῖσα ἐν Ἐφέσῳ ὑπὸ Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας, τῆς ἁγίας συνόδου ἀξιωσάσης αὐτὸν σαφέστερον αὐτοῖς * ἐκθέσθαι τὴν τόπων λύσιν.

ΠΑντα ἐνώπια τοῖς σωτῆσι, καὶ ὀρθὰ τοῖς δείσχουσι γνῶσιν, κατὰ τὸ γεγεγραμμένον. οἱ μὲν γὰρ ὀξεῖ τε, καὶ καθαρῷ διανοίας ὄμματι τοῖς ἱεροῖς τῆς θεοπνεύστου γραφῆς περιτυγχάνοντες λόγοις, τὸ ἐξ αὐτῆς ὄφελος, θεῖον ὥσπερ τινὰ, καὶ ὁράνιον θησαυρὸν ταῖς ἑαυτῆς εἰσοικίζουσι ψυχαῖς· οἱ δὲ τὸν νοῦν ἔχοντες τῷ ψαύειν προσκεκλιχότα, καὶ * ταῖς τινῶν ἀθυροσομίαις ἠπιμένον, βεβήλου γνώσεως ἐρασιῳ, ἐκείνων ἔσονται κοινωνοὶ, περὶ ὧν ὁ μακάριος γράφει Παῦλος· ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῆς ἀπίστων, εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ· τυφλώττουσι γὰρ, καὶ εἰσιν ὁδηγοὶ τυφλῶν· τυφλὸς γὰρ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθρον ἐμπεσοῦνται. καταφλυαροῦσι τοίνυν τινὲς τῆς τῆς ἀληθείας δογμάτων, καὶ δὴ καὶ σκαιότητος διαβολικῆς τὸν οἰκεῖον ἐμπλήσαντες νοῦν, παραχαράττειν ἐπείγονται τὸ τῆς ἀληθείας μυστήριον, καὶ τῆς μὴ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς ἀμετρίως ποιοῦντι τῷ καταῤῥῆσαι, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνος διαβεβαιοῦνται,

Περικ. 8. 9.

* ἐκθέσθαι.

* τὰς τινῶν ἀθυροσομίας.

2. Κορ. 4. 4.

Ματθ. 15. 14.

1. Τιμ. 1. 7.

ται, κατὰ τὸ γεγραμμένον. εὑρεταὶ δὲ τῆς τοιαύτης ἀσεβείας γεγόνασι πολλοὶ μὲν καὶ ἕτεροι, κατὰ τοὺς ἄνωθεν * ἔτι παρωχηκότας καιρούς· νυνὶ δὲ τῆς ἐκείνων ἀνοσιότητος οὐδὲν ἀποδέοντες, Νεστόριος, καὶ οἱ σὺν αὐτῷ, κατὰ τοὺς ἀρχαίους ἐκείνους Φαρισαίους ἀντανιστάμενοι τῷ Χριστῷ, καὶ ἀνέδην ἀνακεκραγότες· διὰ τί σὺ ἄνθρωπος ὢν ποιεῖς ἑαυτὸν Θεόν; ἦν οὖν ἀναγκαῖον καὶ ἡμᾶς αὐτοὺς τοῖς παρ' ἐκείνων * ἀνταποδύεσθαι λόγοις, ἀναθεματίσαι τε αὐτῶν τὰ μιαρὰ, καὶ βέβηλα δόγματα, μεμνημένους Θεοῦ λέγοντος διὰ φωνῆς προφήτου· ἱερεῖς ἀκούσατε, καὶ ἐπιμαρτύρασθε τῷ οἴκῳ Ἰσραὴλ, λέγει κύριος παντοκράτωρ· καὶ πάλιν· πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε. δεῖ γὰρ ἡμᾶς τῶν τῆς ἀληθείας ὑπεραθλοῦντας δογμάτων ἐκ μέσου ποιεῖσθαι τὰ σκάνδαλα. ὡς ἂν κατ' οὐδένα τρόπον αὐτοῖς προσπταίοντες οἱ λαοὶ, διὰ λείας ὥσπερ * ἔρχοιντο τρίβου πρὸς τὰς ἱερὰς καὶ θείας αὐλὰς, μονονουχὶ καὶ καὶ ἐφ' ἑκάστῃ λέγοντες· αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Νεστορίου τοίνυν ξένων τε, καὶ ἀνοσίων δισφημιῶν ὄχλον τοῖς ἰδίοις ἐνθέντος βιβλίοις, ἀναγκαίως τῆς τῶν ἐντευξομένων αὐτοῖς σωτηρίας φροντίζοντες, συντεθείκαμεν ἀναθεματισμοὺς, οὐ τὸ εἰς νοῦν ἧκον ἁπλῶς ἐνθέντες τῇ γραφείσῃ πρὸς αὐτὸν παραινετικῇ ἐπιστολῇ, ἀλλ' ὡς ἔφημεν ἀρτίως, ξένα, καὶ ἀλλότρια τῶν τῆς εὐσεβείας δογμάτων ἀποφαίνοντες τῆς ἐκείνου φρενοβλαβείας τὰ * γεννήματα. ἐπαχάλλουσι δὲ τάχα πού τινες τοῖς παρ' ἡμῶν λόγοις, ἢ μὴ συνιόντες ἀληθῶς τῶν γεγραμμένων τὴν δύναμιν, ἢ τῆς Νεστορίου μιαρᾶς αἱρέσεως ὑπασπισταὶ γεγονότες, καὶ μεριζόμενοι τὴν ἀσέβειαν, καὶ τὰ αὐτὰ φρονοῦντες ἐκείνῳ. λανθάνει μὲν οὖν * οὐδέ τινα τῶν τὰ ὀρθὰ φρονεῖν εἰωθότων τὸ ἀληθές. ἐπειδὴ δὲ εἰκὸς, ταῖς παρ' ἐκείνων εὐρεσιλογίαις * παρενηνεγμένους μὴ συνιέναι τινὰς, πῶς καὶ τίνα τρόπον γεγόνασι, δεῖν ᾠήθην ἕκαστον τῶν ἀναθεματισμῶν ἑρμηνεῦσαι διὰ βραχέων, καὶ τὴν δύναμιν αὐτῶν ὡς ἔνι καλῶς, ἀφηγήσασθαι· ἔσται γὰρ, ὥς γε οἶμαι, τὸ χρῆμα τοῖς ἐντυγχάνουσιν οὐκ ἀσυντελὲς εἰς ὄνησιν.

* καὶ ἔτι.
Γωάν 10. 33.
* ἀνταποδίσασθαι.
Ἀμὼς 3.
Ἱερεμ. 7. 2. καὶ 50. 26.
* ἔρχοιντο.
Ψαλμ. 117. 20.
* ἐγκλήματα.
* οὐδένα τῶν.
* παρενηνεγμένα.

Ἀναθεματισμὸς α'.

Εἴ τις * οὐχὶ ὁμολογεῖ, Θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ, καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον· γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ Θεοῦ πατρὸς λόγον, ἀνάθεμα ἔστω.

* οὐχ.

Ἐπίλυσις πρώτη.

Οἱ μακάριοι πατέρες, οἱ κατὰ καιροὺς ἐν τῇ Νικαέων πόλει συναγηγερμένοι, καὶ τὸν τῆς ὀρθῆς, καὶ ἀδιαβλήτου πίστεως ὅρον ἐκθέμενοι, πιστεύειν ἔφασαν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε, καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν αὐτοῦ· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον· αὐτὸν λέγοντες τὸν ἐκ Θεοῦ πεφηνότα λόγον, τὸν δι' οὗ τὰ πάντα ἐγένετο, τὸ φῶς τὸ ἐκ φωτὸς, τὸν ἐκ Θεοῦ ἀληθινοῦ Θεὸν ἀληθινὸν, σαρκωθῆναί τε, καὶ ἐνανθρωπῆσαι, παθεῖν τε, καὶ ἀναστῆναι. Θεὸς γὰρ ὢν κατὰ φύσιν ὁ μονογενὴς τῇ πατρὸς λόγος, σπέρματος Ἀβραὰμ ἐπελάβετο, καθάφησιν ὁ μακάριος Παῦλος, καὶ παραπλησίως ἡμῖν μετέσχεν αἵματος, καὶ σαρκός· γεγένηται γὰρ κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου, καὶ ἄνθρωπος * γέγονε καθ' ἡμᾶς, οὐκ ἀπολισθήσας τοῦ εἶναι Θεός· μὴ γένοιτο· ἀλλ' ὢν ὅπερ ἦν, καὶ μεμενηκὼς ἐν τῇ τῆς θεότητος φύσει τε, καὶ δόξῃ. φαμὲν οὖν αὐτὸν ἄνθρωπον γεγενῆσθαι, οὐ τροπὴν ὑπομείναντα τὴν εἰς ὅπερ οὐκ ἦν, οὐκ ἀλλοίωσιν· ἀεὶ γάρ ἐστιν ὁ αὐτὸς, καὶ τροπῆς ἀποσκίασμα παθεῖν οὐκ ἀνέχεται. ἀλλ' οὐδὲ φυρμὸν, ἢ ἀνάχυσιν, ἢ σύγκρασιν τῆς οὐσίας αὐτοῦ πρὸς τὴν σάρκα γεγενῆσθαι διοριζόμεθα· φαμὲν * δὲ σαρκὶ ψυχὴν ἐχούσῃ τὴν λογικὴν ἡνῶσθαι τὸν λόγον ὑπὲρ νοῦν τε, καὶ ἀπορρήτως, καὶ ὡς μόνος· οἶδεν αὐτός. οὐκοῦν μεμένηκε Θεὸς καὶ ἐν προσλήψει σαρκός· καὶ ἔστιν εἷς υἱὸς τοῦ Θεοῦ, καὶ πατρὸς, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· ὁ αὐτὸς καὶ πρὸ παντὸς αἰῶνος, καὶ χρόνου, καθὸ νοεῖται λόγος, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, καὶ ἐν ἐσχάτοις καιροῖς οἰκονομικῶς ἄνθρωπος δι' ἡμᾶς γεγονώς. ἐπειδὴ δὲ ἀναιροῦσί τινες τὴν κατὰ σάρκα γέννησιν αὐτοῦ, τὴν ἐκ τῆς ἁγίας παρθένου γεγενημένην ἐπὶ σωτηρίᾳ τῶν ὅλων, οὐκ εἰς ἀρχὴν τοῦ εἶναι καλοῦσαν αὐτὸν, ἀλλ' ἵνα ἡμᾶς ἀπαλλάξῃ θανάτου, καὶ φθορᾶς, γεγονὼς καθ' ἡμᾶς, ταύτης ἕνεκα τῆς αἰτίας ὁ πρῶτος ἡμῖν ἀναθεματισμὸς κατακέκραγε μὲν τῆς ἐκείνων κακοπιστίας, τὸ δὲ ὀρθῶς ἔχον ὁμολογεῖ, Θεὸν εἶναι λέγων κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ· καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον.

Ἑβρ. 1.
* πέφηνε.
Ἰακωβ. 1. 17.
* γάρ.
Ἑβρ. 1.

Ἀναθεματισμὸς δεύτερος.

Εἴ τις οὐχ ὁμολογεῖ σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ Θεοῦ πατρὸς λόγον, ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκὸς, τὸν αὐτὸν δηλονότι Θεόν τε ὁμοῦ, καὶ ἄνθρωπον, ἀνάθεμα ἔστω.

Ἐπίλυσις δευτέρα.

Ὁ θεσπέσιος γράφει Παῦλος, ὁ τῶν θείων μυστηρίων ἱερουργός· ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. Θεὸς ἐν σαρκὶ ἐφανερώθη· ἐδικαιώθη ἐν πνεύματι· ὄφθη ἀγγέλοις· ἐκηρύχθη ἔθνεσιν· ἐπιστεύθη ἐν κόσμῳ· ἀνελήφθη ἐν δόξῃ. τί οὖν ἐστί τὸ, ἐφανερώθη ἐν σαρκί; τουτέστι, γέγονε σὰρξ ὁ ἐκ Θεοῦ πατρὸς λόγος, οὐ κατὰ μετάστασιν, ἢ τροπὴν, τῆς ἑαυτοῦ φύσεως εἰς σάρκα μεταπεποιημένης, ὡς ἤδη προείπομεν, ἰδίαν δὲ μᾶλλον ποιησάμενος σάρκα τὴν ἐκ τῆς ἁγίας παρθένου, εἷς καὶ ὁ αὐτὸς χρηματίζων υἱός· πρὸ μὲν τῆς ἐνανθρωπήσεως ὡς ἄσαρκος ἔτι λόγος, μετὰ δὲ τὴν ἐνανθρώπησιν * ἔτι ὁ αὐτὸς ἐν σώματι. ταύτῃ τοι φαμὲν τὸν αὐτὸν ὑπάρχειν Θεόν τε ὁμοῦ, καὶ ἄνθρωπον, οὐ διϊστάντες εἰς ἄνθρωπον ἰδικῶς τε, καὶ ἀναμέρος κείμενον

1. Τιμοθ. 3. 1.
* ὁ αὐτὸς σώματος.

μῦον τὴν ἐπ' αὐτῷ θεωρίαν, καὶ εἰς Θεὸν λόγον ἰδικῶς. ἵνα μὴ δύο νοῶμεν υἱούς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ὁμολογοῦντες τὸν αὐτὸν Χριστόν, καὶ υἱόν, καὶ κύριον. τοὺς δὲ μὴ ὕπως ἔχειν ὑπειληφότας, ἧγουν πιστεύειν ἐθέλοντας, διορίζοντας δὲ εἰς υἱοὺς δύο τὸν ἕνα, καὶ διϊσάντας ἀπ' ἀλλήλων τὰ ἰδιώματα κατὰ ἀλήθειαν, φάσκοντας δὲ κατὰ μόνην τὴν ἀξίαν, ἤτοι αὐθεντίαν, ἀνθρώπῳ χρῆσθαι συναφείαν πρὸς Θεὸν, τῆς ὀρθῆς, καὶ ἀμωμήτου πίστεως ἀλλοτρίους εἶναι φαμέν. ὥστε κἂν ἀπόστολος ὀνομάζηται, κἂν κεχρῖσθαι λέγηται, καὶ εἰς υἱὸν θεῖσθαι Θεοῦ, οὐκ αἰσχυνόμεθα τὴν οἰκονομίαν. αὐτὸν δὲ φαμὲν τὸν ἐκ Θεοῦ πατρὸς λόγον, ὅτε καθ' ἡμᾶς γέγονεν ἄνθρωπος, ὀνομάσθαι δὴ τότε καὶ ἀπόστολον, καὶ χρῖσθαι δὲ μεθ' ἡμῶν κατὰ τὸ ἀνθρώπινον. ὁ γὰρ γεγονὼς καθ' ἡμᾶς, εἰ καὶ μεμύηκεν ὅπερ ἦν, ἀλλ' ἀπαιτεῖται τὰ ἡμῶν. προσίεται δὲ μᾶλλον ὁμοῦ τοῖς τῆς ἀνθρωπότητος μέρεσι τὴν ἀνθρωπίνην διὰ τὴν οἰκονομίαν. ὁδὸν εὐθεῖαν εἰς οἰκείαν ἀδικήματος δόξαν, ἢ φύσιν. ἔστι γὰρ ἔτι καὶ ὕπος Θεὸς, καὶ τῶν ὅλων κύριος.

Ἀναθεματισμὸς γ'.

Εἴ τις ἐπὶ τοῦ υἱοῦ Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν σύνοδον, μόνῃ συναπτὰς αὐτὰς συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν, ἢγουν αὐθεντίαν, ἢ δυναστείαν, καὶ οὐχὶ δὴ μᾶλλον * σύνοδον τὴν καθ' ὑπόστασιν * φυσικὴν, ἀνάθεμα ἔστω.

* τοῦ πατρὸς.

Ἐπίλυσις τρίτη.

Τῆς μιᾶς σαρκὸς οἰκονομίας τὸ μονογενὲς πολυφραγμονοῦντες τὸ μυστήριον, παραδόξως τε, καὶ ἀπορρήτως λυθῆναί φαμεν ἁγίῳ σώματι ψυχῇ λογικῇ, τὸν ἐκ Θεοῦ πατρὸς λόγον· ἕνα τε καὶ ὕπον νοοῦμεν υἱὸν, καθάπερ ἀμέλει καὶ ἐφ' ἡμῶν αὐτῶν ἔξεσιν ἰδεῖν, ἑτεροφυᾶ μὲν τῷ σώματι τὴν ψυχὴν, πλὴν εἰς ἓν ἄμφω ζῷον συντεθειμένα. ἀλλ' οὐκ ὕπως ταῦτ' ἔχειν ὑπονοοῦσι τινες. ἄνθρωπον δὲ διϊσάντες ἡμῖν ἀνὰ μέρος καὶ ἰδιαιτέρως, συνῆφθαί φασιν αὐτὸν τῷ ἐκ Θεοῦ πατρὸς φωτὶ λόγῳ κατὰ μόνην τὴν ἀξίαν, ἤγουν τὴν αὐθεντίαν. ὃ καθ' ὕπωσιν φυσικὴν, τουτέστιν ἀληθῆ, καὶ καθάπερ ἡμεῖς πιστεύομεν· ἐπὶ γὰρ πάσης καὶ ἡ θεία γραφή· καὶ ἕνα τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί. τὸ φύσει, ἀντὶ τοῦ, ἀληθῶς, λαμβάνουσα. οἱ διαιροῦντες πάντων τὰς ὑποστάσεις μετὰ τὰς ὕπωσιν, καὶ ἀνὰ μέρος τιθέντες ἑκατέραν. τουτέστιν ἄνθρωπον, καὶ Θεὸν, ἐπινοοῦντες καὶ συναφείαν αὐτοῖς τὴν κατὰ μόνην τὴν ἀξίαν, δύο πάντως ἰσῶσιν υἱούς· καὶ τοι τῆς θεοπνεύστου γραφῆς ἕνα λεγούσης υἱὸν, καὶ κύριον. ὥστε μετὰ τὴν ἄῤῥητον ἕνωσιν, κἂν Θεὸν ὀνομάσῃς τὸν Ἐμμανουὴλ, σαρκωθέντα τε, καὶ ἐνανθρωπήσαντα νοοῦμεν ἡμεῖς τὸν ἐκ Θεοῦ πατρὸς λόγον· κἂν ἄνθρωπον εἴπῃς, οὐκ ἄλλον αὐτὸν, ἢ τὸν ἐκ Θεοῦ λόγον, καὶ εἰς Θεὸν ἰδικῶς, ὡς ἕτερον ὄντα υἱὸν παρὰ

ἕτερον ὄντα υἱὸν, δύο λέγοντες υἱοὺς, ὑποφέρονται δικαίως τῇ δυνάμει τοῦ προκειμένου ἀναθεματισμοῦ.

Ἀναθεματισμὸς ε'.

Εἴ τις τολμᾷ λέγειν θεοφόρον ἄνθρωπον τὸν Χριστὸν, καὶ οὐχὶ δὴ μᾶλλον Θεὸν εἶναι κατὰ
Εβρ. 2. ἀλήθειαν, καὶ υἱὸν ἕνα, καὶ φύσει, καθὸ γέγονε σὰρξ ὁ λόγος, καὶ κεκοινώνηκε παραπλησίως ἡμῖν αἵματος, καὶ σαρκὸς, ἀνάθεμα ἔστω.

Ἐπίλυσις ε'.

Ιωάν. 1. Σάρκα γενέσθαι, φησὶν ὁ θεσπέσιος εὐαγγελιστὴς Ἰωάννης τὸν τοῦ Θεοῦ λόγον, οὐ κατὰ μετάστασιν, ἢ τροπὴν τῆς ἰδίας φύσεως εἰς σάρκα μεταπεποιημένον, καθάπερ ἤδη προείπομεν, ἔχει γὰρ τὸ ἀναλλοίωτον ὡς Θεὸς, ἀλλ' ὅτι κεκινώνηκεν ἡμῖν παραπλησίως αἵματος, καὶ σαρκὸς, καὶ γέγονεν ἄνθρωπος· ἔθος γὰρ τῇ θεοπνεύστῳ γραφῇ, σάρκα τὸν ἄν-
Λουκ. 3. 6. θρωπον ὀνομάζειν· γέγραπται γάρ. ὅτι ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. ἀλλ' οἱ τῶν ἀνοσίων δογμάτων εὑρεταὶ, Νεστόριός τε, καὶ οἱ σὺν αὐτῷ, ἤτοι τὰ αὐτὰ φρονοῦντες ἐκείνῳ, ὑποκρίνονται μὲν ὁμολογεῖν τὴν τοῦ σεσαρκῶσθαι φωνήν. οὐ μὴν
* ὅτι, ἤ, ἔτι. * γεγονέναι. * ὅτε καὶ σαρκωθεῖναί φασι κατὰ ἀλήθειαν τὸν τοῦ Θεοῦ λόγον. τουτέστιν ἄνθρωπον * γενέσθαι καθ' ἡμᾶς, μετὰ τοῦ μεῖναι ὃ ἦν. ἀλλὰ γὰρ ὡς εἰς ἄνθρωπον τῶν ἁγίων ἕνα, τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον κατοικῆσαι διϊσχυρίζονται τὸν μονογενῆ τοῦ Θεοῦ λόγον· ἵνα μηκέτι Χριστὸς εἷς ὁμολογῆται καὶ υἱὸς, καὶ κύριος, καὶ προσκυνητὸς. ἀλλ' ὡς ἄν-
1 Κορ. 6. 16. θρωπος ἰδικῶς, καὶ καταμόνας νοούμενος, μόνῃ συναφείᾳ τῇ κατὰ τὴν ἑνότητα τῆς ἀξίας τετιμένος, συμ-
* μὲν γάρ. προσκυνῆται, καὶ συνδοξάζηται. κατοικεῖ * γὰρ ἐν ἡμῖν ὁ τῶν ὅλων Θεὸς διὰ τοῦ ἁγίου πνεύματος. καὶ
* πάλιν. γοῦν * πάλαι μὲν ἔφασκε δι' ἑνὸς τῶν ἁγίων προφητῶν· ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω,
Λευϊτ. 26. 1. Κορ. 3. 16. καὶ ἔσομαι αὐτοῖς Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός. γράφει δὲ καὶ ὁ μακάριος Παῦλος· οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; ἔφη δὲ καὶ αὐτὸς ὁ Χριστὸς περὶ τῶν ἁγίων αὐτοῦ προ-
Ιωαν. 10. 35. φητῶν, ἤτοι τῶν προγεγονότων ἁγίων· εἰ ἐκείνους εἶπε θεοὺς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, ὃν ὁ πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε, ὅτι βλασφημεῖς, ὅτι εἶπον· υἱὸς τοῦ Θεοῦ εἰμί; ἀλλ' οὐχ ὥσπερ ἐν ἡμῖν οἰκεῖ Θεὸς, οὕτω καὶ ἐν Χριστῷ· Θεὸς γὰρ φύσει ἦν, πεφηνὼς καθ' ἡμᾶς, εἷς τε, καὶ μόνος υἱὸς, καὶ ὅτε γέγονε σάρξ. οἱ τοίνυν τολμῶντες λέγειν θεοφόρον ἄνθρωπον ὑπάρχειν αὐτὸν, καὶ οὐχὶ δὴ μᾶλλον ἐνανθρωπήσαντα Θεὸν, ὑποπίπτουσιν ἀναγκαίως τῷ προκειμένῳ ἀναθεματισμῷ.

Ἀναθεματισμὸς ϛ'.

Εἴ τις Θεὸν, ἢ δεσπότην εἶναι λέγει τοῦ Χριστοῦ, τὸν ἐκ Θεοῦ πατρὸς λόγον, καὶ οὐχὶ δὴ μᾶλλον τὸν αὐτὸν ὁμολογεῖ ὁμοῦ τε Θεὸν, καὶ ἄνθρωπον, ὡς γεγονότος σαρκὸς τοῦ λόγου κατὰ τὰς γραφάς· ἀνάθεμα ἔστω.

Ἐπίλυσις ϛ'.

Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ εἷς τε, καὶ μόνος, καὶ κατὰ ἀλήθειαν υἱὸς ὑπάρχων τοῦ Θεοῦ, καὶ πατρὸς, γέγονε σὰρξ ὁ λόγος· καὶ * συγκατάρχει τῶν ὅλων ὁμοῦ τῷ ἰδίῳ γεννήτορι· κάμπτει τε αὐτῷ πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ ἐξομολογεῖται πᾶσα γλῶσσα, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός. ἔστι τοίνυν ὁ αὐτὸς μὲν τῶν ὅλων κύριος, καθὸ νοεῖται, καὶ ἔστι Θεός, εἰ καὶ μὴ δίχα σαρκὸς μετὰ τὴν ἐνανθρώπησιν. αὐτὸς δὲ ἑαυτοῦ οὔτε Θεὸς, οὔτε δεσπότης· καὶ γάρ ἐστι τῶν ἀτοπωτάτων, μάλλον δὲ δυσσεβείας ἁπάσης ἐπίμεστον ἀληθῶς, τὸ οὕτω φρονεῖν, ἢ λέγειν· εἰκότως οὖν ἐπ' αὐτῷ δὴ τούτῳ γέγονεν ὁ προκείμενος ἀναθεματισμός.

* συνάρχει. Φιλιππ. 2. 10.

Ἀναθεματισμὸς ζ'.

Εἴ τις φησιν ὡς ἄνθρωπον ἐνηργῆσθαι ὑπὸ τοῦ Θεοῦ λόγου τὸν Ἰησοῦν, καὶ τὴν τοῦ μονογενοῦς εὐδοξίαν περιῆφθαι ὡς ἑτέρῳ παρ' αὐτὸν ὑπάρχοντι, ἀνάθεμα ἔστω.

Ἐπίλυσις ζ'.

Ὅτε τὴν κατὰ σάρκα γένησιν τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ μονογενοῦς εὐηγγελίζετο τῇ ἁγίᾳ παρθένῳ ὁ μακάριος Γαβριήλ· τέξῃ, φησὶν, υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐ- Λουκ. 1. 31.
τοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. ὠνόμασται δὲ καὶ Χριστὸς, Ματθ. 1. 21.
διὰ τὸ κεχρίσθαι μεθ' ἡμῶν ἀνθρωπίνως, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Ψαλμ. 44. 8.
Θεός σου, ἔλεον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καί τοι γὰρ ὑπάρχων αὐτὸς τοῦ ἁγίου πνεύματος χορηγὸς, καὶ οὐκ ἐκ μέτρου διδοὺς τοῖς ἀξίοις αὐτὸ, πλή- Ιωάν. 3. 34.
ρης γάρ ἐστι, καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, κατὰ τὸ γεγραμμένον, οἰκονομικῶς ὡς ἄνθρωπος κεχρίσθαι λέγεται, νοητῶς, καὶ οὐκ ἀνθρωπίνως καταπτάντος ἐπ' αὐτὸν τοῦ ἁγίου πνεύματος, ἵνα καὶ ἐν ἡμῖν καταμείνῃ· καί τοι διὰ τὴν ἐν Ἀδὰμ παράβασιν ἀποφοιτῆσαν ἐν ἀρχαῖς. αὐτὸς οὖν ὁ μονογενὴς τοῦ Θεοῦ λόγος σὰρξ γενόμενος, κέκληται Χριστός· καὶ τὴν Θεῷ πρέπουσαν δύναμιν ἰδίαν ἔχων, εἰργάζετο παράδοξα. οἱ τοίνυν λέγοντες τῇ Χριστοῦ δυναστείᾳ τὴν τοῦ μονογενοῦς εὐδοξίαν περιῆφθαι, ὡς ὄντος ἑτέρου τοῦ μονογενοῦς παρὰ τὸν Χριστὸν, δύο φρονοῦσιν υἱούς· καὶ τὸν μὲν ἐνεργοῦντα, τὸν δὲ ἐνεργούμενον, ὡς ἄνθρωπον ἕνα τῶν καθ' ἡμᾶς· ταύτῃ τοι καὶ ὑποφέρονται τῇ δυνάμει τοῦ ἀναθεματισμοῦ.

Ἀναθεματισμὸς η'.

Εἴ τις τολμᾷ λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῷ Θεῷ λόγῳ, καὶ συνδοξάζεσθαι, καὶ * συγχρηματίζειν Θεὸν, ὡς ἕτερον ἑτέρῳ· τὸ γὰρ, σύν, ἀεὶ προστιθέμενον τοῦτο νοεῖν ἀναγκάσει· καὶ οὐχὶ δὴ μᾶλλον μιᾷ προσκυνήσει τιμᾷ τὸν Ἐμμανουὴλ, καὶ μίαν αὐτῷ τὴν ὁμο-

* συγχρηματίζειν.

* ὁμολογίαν συνάπτει, καθὸ γέγονε σὰρξ ὁ λόγος· ἀνάθεμα ἔσω.

* ἐκκλησίαν κακὴν alias ἀκατίμητα.

Ἐπίλυσις ή.

Εἰς σῦα Θεὸν, πατέρα παντοκράτορα, καὶ εἰς σῦα υἱὸν, καὶ μιὰ καὶ εἰς σὸ πνεῦμα ἅγιον βεβαπτισμεθα· εἶτα, φησὶν ὁ μακάριος Παῦλος, ἀκ οἴδατε, ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν αὐτῷ διὰ τῦ βαπτίσματος αὐτῦ εἰς τὸν θάνατον. ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τῦ πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. πεπίστευκαμεν τοίνυν, καὶ βεβαπτίσμεθα εἰς σῦα, καθάπερ ἔφην, υἱὸν τὸν κύριον ἡμῶν Ἰησῦν Χριστὸν, τοτέστι, σεσαρκωμένον τε, καὶ ἀνθρωπήσαντα τὸν ἐκ Θεῦ πατρὸς λόγον, σῶτε ὄντα * Θεὸν προσκυνεῖν δεδιδάγμεθα, καὶ μεθ' ἡμῶν αἱ ἄνω δυνάμεις· γέγραπται γάρ· ὅταν δὲ * προσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν * αὐτὸν πάντες ἄγγελοι Θεῦ· γέγονε δὲ πρωτότοκος ὁ μονογενὴς, * ὅτι καὶ ἄνθρωπος πέφυκε καθ' ἡμᾶς· τότε γὰρ καὶ ἀδελφὸς κεχρημάτικε τῆς ἁγιαπώντων αὐτόν. εἴ τις τοίνυν * συμπροσκυνεῖσθαί φησιν ὡς ἄνθρωπον ἰδικῶς * ἑτέρῳ παρ' αὐτὸν ὑπάρχοντι τῷ ἐκ Θεῦ πατρὸς λόγῳ, καὶ ὄχι καθ' σῶσιν ἀληθῆ συγκεκραμένον εἰς σῦα Χριστὸν, καὶ υἱὸν, καὶ κύριον, μιᾷ προσκυνήσει τιμᾷ, ὑποφέρεται δικαίως τῇ δυνάμει τῦ ἀναθεματισμῦ.

* ἢ Θεόν.

* εἰσαγάγῃ Ἑβρ. 1. 6. Ψαλμ. 96. * αὐτῷ.

* ὅτι καὶ

* προσκυνεῖσθαι.

* ἡνωμένῳ.

Ἀναθεματισμὸς θ'.

Εἴ τις φησι, τὸν σῦα κύριον Ἰησῦν Χριστὸν * δοξάζεσθαι παρὰ τῦ πνεύματος, ὡς ἀλλοτρίᾳ δυνάμει τῇ ἰδίᾳ αὐτῦ χρώμενον, καὶ παρ' αὐτῦ λαβόντα τὸ ἐνεργεῖν δύνασθαι κατὰ πνευμάτων ἀκαθάρτων, καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς * θεοσημίας, καὶ ὄχὶ δὴ μᾶλλον ἴδιον αὐτῦ τὸ πνεῦμα φησι, δι' ὃ καὶ ἐνήργησε τὰς * θεοσημίας, ἀνάθεμα ἔσω.

δοξάζεσθαι.

* δυνάμεσι.

* δυνάμεσι.

Ἐπίλυσις θ'.

Ἄνθρωπος γεγονὼς ὁ μονογενὴς τῦ Θεοῦ λόγος, ἀνομοιώθη καὶ ὕτω Θεὸς, πάντα ὑπάρχων ὅσα καὶ ὁ πατὴρ, δίχα μόνης τῦ εἶναι πατήρ· καὶ ἴδιον ἔχων τὸ ἐξ αὐτῦ, καὶ ὑσιωδῶς ἐμπεφυκὸς αὐτῷ πνεῦμα ἅγιον, ἐνεργάζετο τὰς * θεοσημίας· ὥστε καὶ ἄνθρωπος γεγονὼς, ἐπιμεμόρφωται καὶ ὕτω Θεός· ὥστε ἰδίᾳ δυνάμει τῇ διὰ τῦ πνεύματος ἐπλήρου τὰ θαύματα. οἱ δὲ λέγοντες, ὡς ἄνθρωπον σῦα τὸν καθ' ἡμᾶς, ἧγουν τῆς ἁγίων, δεδοξάσθαι αὐτὸν τῇ διὰ τῦ πνεύματος ἐνεργείᾳ, ὄχ' ὡς ἰδίᾳ μᾶλλον, ἀλλ' ὡς ἀλλοτρίᾳ, καὶ ὃ θεοπρεπῶς χρώμενον, καὶ ὡς ἐν χάριτος μέρει λαβεῖν παρὰ τῦ πνεύματος τὴν εἰς οὐρανὸς ἀνάληψιν· ὑποκείσονται δικαίως τῇ δυνάμει τῦ ἀναθεματισμῦ.

* δυνάμεσι

Ἀναθεματισμὸς ί.

Ἀρχιερέα, καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γενέσθαι Χριστὸν ἡ θεία λέγει γραφή· προσκεκόμικε δὲ ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ, καὶ πατρί. εἴ τις τοίνυν ἀρχιερέα, καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαί φησιν ἐκ αὐτὸν τὸν ἐκ Θεῦ πατρὸς λόγον, ὅτε γέγονε σὰρξ, καὶ καθ' ἡμᾶς ἄνθρωπος, ἀλλ' ὡς ἕτερον παρ' αὐτὸν, ἰδικῶς ἄνθρωπον ἐκ γυναικός· ἢ εἴτις λέγει * ὑπὲρ ἑαυτῦ προσενεγκεῖν αὐτὸν τῷ προσφορὰν, καὶ ὄχὶ δὴ μᾶλλον ὑπὲρ μόνων ἡμῶν· ὃ γὰρ ἂν ἐδεήθη προσφορᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν· ἀνάθεμα ἔσω.

Ἑβρ. 3.

Ἑβρ. 2.

καὶ ὑπέρ.

Ἀπίλυσις ί.

Σμικρὰ μοὶ ὁμολογουμένως τῷ ἐκ Θεῦ πατρὸς φωτὶ λόγῳ τὰ ἀνθρώπινα. πλὴν ἀλλ' ὄχ ἁπτόμενα διὰ τὴν οἰκονομίαν. κύριος γὰρ ὢν τῆς ὅλων κατὰ φύσιν, καθῆκεν ἑαυτὸν ἐν τοῖς καθ' ἡμᾶς, μορφὴν δέλε λαβών· καὶ κεχρημάτικεν ἡμῶν καὶ ἀρχιερεὺς, καὶ ἀπόστολος, τῆς τῆς ἀνθρωπότητος μέτρων καὶ εἰς τῦτο καλύπτων αὐτόν· προσκεκόμικε δὲ ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ πατρί· μιᾷ γὰρ προσφορᾷ τετελείωκε τὸς ἁγιαζομένους εἰς τὸ διηνεκές, καθά γέγραπται. ἀλλ' ὄχ * οἱ δ' ὅπως οἱ ἑτερόφρονες ὄχ αὐτὸν τὸν ἐκ Θεῦ λόγον ἄνθρωπον γεγονότα διϊσχυρίζονται, χρηματίσαι τε καὶ ἀπόστολον, καὶ ἀρχιερέα, τῆς ὁμολογίας ἡμῶν, ἀλλ' ὡς ἕτερόν τινα παρ' αὐτὸν ἄνθρωπον ἰδικῶς, τὸν ἐκ τῆς ἁγίας παρθένε γεγενημένον φασὶ χρηματίσαι καὶ ἀπόστολον, καὶ ἀρχιερέα, καὶ κατὰ προκοπὴν εἰς τῦτο ἐληλυθέναι, καὶ ὄχ ὑπέρχε * μόνων ἡμῶν, ἀλλὰ καὶ ὑπὲρ ἑαυτῦ προσενεγκεῖν ἑαυτὸν εἰς θυσίαν τῷ Θεῷ, καὶ πατρί· ὅπερ ἐσὶ τῆς ὀρθῆς, καὶ ἀμωμήτε πίστεως ἀλλότριον παντελῶς· ὃ γὰρ ἐποίησεν ἁμαρτίαν· ὁ δὲ χρείττων ὢν τῦ πλημμελεῖν, καὶ ἀμοιρήσας ἁμαρτίας παντελῶς, ὄκ ἂν ἐδεήθη θυσίας τῆς ὑπὲρ ἑαυτῦ. ἐπειδὴ δὲ τὸ εἰκὸς παρωθύμενοι, δύο δὴ πάλιν υἱὸς ἐπινοῦσιν οἱ ἑτερόφρονες, ἀναγκαίως γέγονεν ὁ ἀναθεματισμὸς, ἐμφανῆ καθιστῶν τὴν ἀσέβειαν αὐτῶν.

Ἑβρ. 10. 14.

* ἀλλὰ τῦτο.

* μόνων ἡμῶν, ἑαυτῦ προσενεγκεῖν.

Ἀναθεματισμὸς ια'.

Εἴ τις ὄχ ὁμολογεῖ τὴν τῦ κυρίε σάρκα ζωοποιὸν εἶναι, καὶ ἰδίαν αὐτῦ τῦ ἐκ Θεῦ πατρὸς λόγυ, ἀλλ' ὡς ἑτέρυ τινὸς παρ' αὐτὸν, συνημμένε μὴ αὐτῷ κατὰ τὴν ἀξίαν, ἤγουν ὡς * μόνην οἰκοῦσαν ἐνοίκησιν ἐχούσης, καὶ ὄχὶ δὴ μᾶλλον ζωοποιὸν, ὡς ἔφημεν, ὅτι γέγονεν * ἰδίᾳ τῦ λόγυ τῦ τὰ πάντα ζωοποιεῖν ἰσχύοντος· ἀνάθεμα ἔσω.

* μόνην οἰκοῦσαν ἐνοίκησιν.

* ἰδίᾳ

Ἐπίλυσις ια'.

Τὴν ἁγίαν, καὶ ζωοποιὸν, καὶ ἁπλουστάτην ἐν ταῖς ἐκκλησίαις τελεμένην θυσίαν, ὄχ οἷός τε ἦν καθ' ἡμᾶς, καὶ ἀνθρώπινον σῶμα εἶναι πιστεύοντες τὸ προκείμενον, ὁμοίως δὲ καὶ τὸ τίμιον αἷμα, δεχόμενοι

δὲ μᾶλλον ὡς ἴδιον σῶμα γεγονὸς, καὶ μιᾷπερ καὶ αἵματι τῷ τὰ πάντα * ζωογονοῦντος λόγῳ. κοινὴ γὰρ σαρξ ζωοποιεῖν ἐδυήσεται. καὶ τέτο μάρτυς αὐτὸς ὁ σωτὴρ, λέγων· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν. ἐπειδὴ γὰρ * ἰδίᾳ γέγονε τῷ λόγῳ, ταύτῃπερ νοεῖται καὶ ἔστι ζωοποιὸς, καθάφησιν αὐτὸς ὁ σωτήρ· καθὼς ἀπέστειλέμε ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων με, κἀκεῖνος * ζήσεται δι' ἐμέ. ἐπειδὴ δὲ Νεστόριος καὶ οἱ τὰ αὐτῷ φρονοῦντες παραλύουσιν ἀμαθῶς τῷ μυστηρίῳ τλιὼ δυάδαμεν, ταύτῃπερ, καὶ μάλα εἰκότως, γέγονεν ὁ ἀναθεματισμός.

Γαλατ. 3. 13. Κύριλλ. ἐπιστ. πρ. Νεστ. Ἰωάν. 6. 63. * ζωοποιεῖται. * διὰ. * ζήσει.

Ἀναθεματισμὸς ιβ'.

Εἴ τις οὐχ ὁμολογεῖ, τὸν τῷ Θεῷ λόγον παθόντα σαρκὶ, καὶ ἐσταυρωμένον σαρκὶ, καὶ θανάτῳ γευσάμενον σαρκὶ, γεγονέναι * δὲ πρωτότοκον ἐκ νεκρῶν, καθὸ ζωή ἐστι, καὶ ζωοποιὸς, ὡς Θεὸς, ἀνάθεμα ἔστω.

Κύριλλ. ἐπιστ. πρ. Νεστ. * π.

Ἔπιλυσις ιβ'.

Ἀπαθὴς μὲν, καὶ ἀθάνατος ὁ ἐκ Θεῷ πατρὸς ἐστὶ λόγος, * ὡς ἀνωτέρω γὰρ τὸ πάσχειν ἀ θεότης, καὶ ἀκήρατός ἐστι φύσις· καὶ αὐτὴ τὰ πάντα ζωοποιεῖ, καὶ φθορᾶς ἀμείνων ἐστὶ, καὶ πάντῃ τῷ λυπεῖν ἀνωθόητος. ἀλλὰ, καίτοι ταῦτα ἐσωσῶς ὑπάρχων ὁ ἐκ Θεῷ πατρὸς λόγος, ἰδίαν ἐποιήσατο σάρκα τλιὼ τῷ θανάτῳ δεκτικλιὼ. ἵνα τῷ πάσχειν ἀνωθότι τὰ ὑπὲρ ἡμῶν, καὶ δι' ἡμᾶς, εἰς ἑαυτὸν ἀναλαβὼν πάθη, πάντας ἡμᾶς ἀπαλλάξῃ καὶ θανάτῳ, καὶ φθορᾶς, ζωοποιήσας ὡς Θεὸς τὸ ἴδιον αὐτῷ σῶμα, καὶ ἀπαρχὴ γεγονὼς τῶν κεκοιμημένων, καὶ πρωτότοκος ἐκ νεκρῶν· ὁ γὰρ ἄνθρωπος λῶν κοινὸς, ἰδίᾳτε, καὶ ἀνὰ μέρος νεκρώμενος παρὰ τὸν ἐκ Θεῷ πατρὸς λόγον, ὁ δι' ἡμᾶς τὸν τίμιον ὑπομείνας σαυρὸν, καὶ θανάτῳ γευσάμενος· ἀλλ' αὐτὸς ὁ τῆς δόξης κύριος, σαρκὶ πέπονθε κατὰ τὰς γραφάς. ἐπειδὴ δὲ οἱ τὰ κενὰ καὶ * δυσσεβῆ δόγματι τῇ ὀρθῇ, καὶ ἀμωμήτῳ πίστει παρεισκρίνειν ἐθέλουσι, ἄνθρωπον φασὶ κοινὸν ὑπομεῖναι τὸν ὑπὲρ ἡμῶν σαυρὸν, γέγονεν ἀναγκαῖος ὁ ἀναθεματισμὸς, τῆς ἐνέσης αὐτοῖς ἀσεβείας ἐμφανίζων τὸ μέγεθος.

1. Κορ. 15. 20. * ἀνωτέρω γάρ. * δύσφημα.

ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

Ἀλεξανδρείας ἀπολογητικὸς ὑπὲρ τῶν δώδεκα κεφαλαίων, πρὸς τοὺς τῆς ἀνατολῆς ἐπισκόπους.

ΚΕΦ. II.

Οἱ τῷ παναγίῳ Θεῷ τλιὼ ἑαυτῶν διάνοιαν παρασήσαντες, καὶ τοῖς τῆς ἀληθείας δόγμασι συνεπεῖν ἠρημένοι, παραιτοῦνται μὲν τὰς βεβήλες * κενοφωνίας τῶν ἀνοσίων αἱρετικῶν, ἐρείσαντες δὲ τὸν ἔσω, καὶ κατακεκρυμμένον ὀφθαλμὸν τῆς καρδίας τῇ θεοπνεύστῳ γραφῇ, ὅπως τε αὐτὸν πλησίως ἀναμείσωσαντες ἐννοιῶν ἀγαθῶν, τοῖς τλιὸ ὀρθὰ δόγμασιν ἀντανίσωνται, καὶ μάλα νεανικῶς, μονονοχὶ λέγοντες· ζηλοῦντες ἐζηλωκαμὲν τῷ κυρίῳ. Νεστορίου τοίνυν πολλάς τε καὶ διαφόρες καταχέοντος βλασφη-

* τῆς κενοφωνίας. 3 Βασιλ. 19. 10.

μίας τὸ πάντων ἡμῶν σωτῆρος Χριστὸ, καὶ οἷον ἐκ βάθρων ἀναμοχλεύοντος τὸ σεπτὸν, καὶ μέγα τῆς ἐνανθρωπήσεως μυστήριον, οὐκ ἀκίνδυνον εἶδότες τὸ ἐπί γε τύποις ἐλέσθαι σιγᾶν, συμβεβλησαπτές πλειστάκις αὐτῷ τῇ πιστῶν ἀπέχεσθαι δυσφημιῶν, νικήσαντες δὲ παντελῶς ὄδον, κεχωρήκαμὲν ἀναγκαίως ἐπὶ τὸ χρεὼν ἐλθεῖν σιωπᾶν τοῖς τῆς δυσεβείας δόγμασιν. ἀπολεξάμενοι δὲ κεφαλαιά τινα τῇ ἐκείνε δυσφημιῶν, ταῦτα χρησίμως ἀνεθεματίσαμεν, ἤτοι τὸς φρονεῖν ἐθέλοντας αὐτὰ, πειθόμενοι λέγοντι τῷ μακαρίῳ Παύλῳ· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω· ἀλλὰ καὶ ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανῦ εὐαγγελίσηται ὑμᾶς παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. ἀλλ' οὐκ οἶδ' ὅπως δεδυσφορήκασί τινες ἐπὶ τούτῳ λίαν, ἢ ὀμόφρονες ὄντες, καὶ ἰσογνώμονες, ἢ προσπεσόντες τλιὼ ὁμοδοξίαν, πειρώμενοι δὲ διά τρόπε παντὸς ἐπικουρεῖν αὐτῷ, καὶ ποιεῖσθαι καταπεσυγημένες τὸς τῷ σωτῆρι συναγορεύειν ἐθέλοντας. ἀλλ' ἰῶ ἀκόλυθον ἐννοεῖν, ὅτι τοῖς ἑπερδιδασκάλοις ἐπιτιμᾷν προσήκησεν ἂν αὐτοῖς τῆς εἰς Χριστὸν ἀγάπης τὸ γνήσιον· νῦν δὲ πεφράκασι μὲν οὐχ ὅπερ ἰῶ ἄμεινον· πολλόγε καὶ δεῖ· πεπαίωται δὲ πολεμιώτατος, ὧν εἰ γεγόνασι ζηλωταὶ, ἀνεδήσαντο ἂν σὺν αὐτοῖς τῆς ἀφθαρσίας τὸν στέφανον. ἐπιλαμβάνονται τοίνυν τῇ ἀναθεματισμῶν, ὡς οὐκ εὖ γεγονότων· καὶ δὴ καὶ ἑκάστῳ παραθέντες ἐγγράφως τὰ τῆς ἑαυτῶν διανοίας ῥήματα, καὶ ἀσυνέτους τινὰς ἐνθυμουμένους, συναρπάσειν οἴονται τὸς ἐντυγχάνοντας λόγοις. ἰῶ δὴ ἀναγκαῖον καὶ ἡμᾶς αὐτὸς ἀντιπαρεξάγειν τὸ ἀληθὲς, καὶ ἀποκρίνεσθαι τλιὼ καταῤῥησιν, ἀποφλιῦσί τε φιλοσκώμμονας, ἧττον ἀληθείας ἐρασμίους τὸς δι' ἐναντίας. προτάξαντες τοίνυν ἕκαστον τῇ ἀναθεματισμῶν, εἶτα τύποις τὰ παρ' ἐκείνων συντεθειμένα συντάξαντες, παρεξάξαμεν τὰ παρ' ἑαυτῇ, τοῖς τῇ θείων γραφῶν ἐπισήμοσι, δικασταῖς οἱονεὶ χρώμενοι, καὶ ψῆφον αἰτοῦντες ὀρθὴν τίθεσθε, καὶ ἀνεπίπληκτον παρὰ τῇ εἰδότων τλιὼ ἀλήθειαν.

Ἀναθεματισμὸς α'.

Εἴ τις οὐχ ὁμολογεῖ Θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ, καὶ διὰ τοῦτο θεοτόκον τλιὼ ἁγίαν παρθένον, γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ Θεῷ πατρὸς λόγον, ἀνάθεμα ἔστω.

Γαλατ. 1. 8.

Ἀντίῤῥησις τῇ ἀνατολικῶν.

Καὶ τίς σαρκικῶς, σάρκα γεγονότα τὸν ἐκ Θεῷ λόγον, ἀποτετέχθαι συνομολογήσειεν; εἰ γὰρ σαρκικῶς ἐγέννησεν, οὐκέτι κατὰ παρθένον· καὶ πῶ θήσομέν τό· πνεῦμα τὸ ἅγιον ἐπελεύσεται ἐπί σε, καὶ δύναμις ὑψίστε ἐπισκιάσει σοι, σαρκικῶς κατ' αὐτὸν τῆς παρθένε, καὶ ὁ θεοπρεπῶς γεννήσας; καὶ πῶς * ταύτῃ ἀστὴρ παραδόξως φαινόμενος κατεμήνυε; Μάγοι δὲ ἐκ Περσίδος δι' αὐτῷ ὁδηγούμενοι * καὶ ἦσαν, τὸν τεχθέντα ζητοῦντες· καὶ δῶρα, ἔφερον δῶρα καὶ τῷ νοουμένῳ, καὶ τῷ φαινομένῳ προσφορά.

Λουκ. 1. * τότε. Ματθ. 2. * καὶ ἰδοὺ.

φορα. ἄγγελοί τε ἐρανόθεν κατελθόντες τιὼ ῥῆμη-
σιν, μὴ τῇ ποιμνίων * ἀναμιγνύντες, ἐχόρευον
λέγοντες· δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρή-
νη, ἐν ἀνθρώποις εὐδοκία. τοῦτο τίνος μυούμεθα;
σαρκικῆς, ἢ θεοπρεπεστέρας γνώσεως; ἄλλως τε εἰ ἀβα-
σανίστως ταῖς φωναῖς * ἐμβάλλομεν, καὶ ξοπλιὼ τὸ
λόγῳ, καὶ μεταβολιὼ τιὼ εἰς σάρκα φαντασθησό-
μεθα· καὶ ὅπως καὶ ἁμαρτίαν αὐτὸν, καὶ κατάραν
γεγυμνῆσθαι ὑπολήψομεθα, εἰ τοῖς ἑπομένοις, ἢ
ἡγεμόσιν τῆς χειμένων, καὶ αὐτῇ τῇ συνηθείᾳ,
τῆς γραφῆς μὴ προσέχομεν. ἀλλὰ γὰρ τὸ γε-
νέσθαι σάρκα τὸν λόγον, τιὼ ἐν τῇ σαρκὶ σκή-
νωσιν καλῶς ἐκλαμβάνομεν κατὰ τιὼ τῆς εὐαγ-
γελίων διάνοιαν.

* ἀναμιγνύ-
μενοι.
Διτ. 2. 14.

Ἀπολογία Κυρίλλου.

Τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μονογενὲς υἱὸς
τῷ Θεῷ τὸ μυστήριον ὁ πάνσοφος Ἰωάννης διαρ-
ρήδην γεγραφηκώς· καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ
ἐσκήνωσεν ἐν ἡμῖν. ταῦτα σωιεὶς ὀρθῶς οἱ
μακάριοι πατέρες, οἱ κατὰ καιροὺς ἐν τῇ Νικαέων
συνελεγμένοι, αὐτὸν ἔφασαν τὸν ἐκ Θεοῦ πατρὸς
φωτὸς λόγον, τὸν δι' οὗ τὰ πάντα πεποίηκεν ὁ
πατήρ. τὸ φῶς τὸ ἐκ τοῦ φωτὸς, τὸν Θεὸν ἀλη-
θινὸν ἐκ Θεοῦ ἀληθινοῦ, σαρκωθῆναί τε, καὶ ἀνα-
θρωπῆσαι. τουτέστιν ἑνωθῆναι σαρκὶ ψυχῇ ἐ-
χούσῃ τιὼ λογικιὼ, καὶ ἄνθρωπον γενέσθαι μὴ
τοῦ καὶ ἀποβεβηκέναι Θεόν. ὅτι δὲ ἀτρέπτως τε, καὶ ἀ-
συγχύτως τὸ τῆς ἑνώσεως πέφρακται χρῆμα,
μεμφηκότες, ὡς ἔφην, τοῦ Θεοῦ λόγου τοῦθ' ὅ-
περ ἐστὶ, καὶ εἰ γέγονε σὰρξ, ἀναλλοίωτος γὰρ
κατὰ φύσιν ἐστὶν, οὐδενὶ τῶν ὄντων ἀμφίβολον. τὸ
γὰρ σαρκοῦσθαι λεγόμενον, οὐκ εἰς σαρκὸς τρέπε-
ται φύσιν, ἀλλ' ἑτέροντι * ξυνοικεῖται παρ' αὐτιὼ
ὑπάρχον, καὶ ἑνωθὲν αὐτῇ. ὅπω φρονοῦντες οἱ μα-
κάριοι πατέρες, θεοτόκον ὠνόμασαν τιὼ ἁγίαν
παρθένον. πεπιστεύκασι γὰρ, ὅτι σαρκωθέντα, καὶ
ἐνανθρωπήσαντα γεγέννηκε τὸν υἱὸν, τὸν δι' οὗ τὰ
πάντα πεποίηκεν ὁ πατήρ. ὁ δὲ τῶν νέων ἡμῖν
δυσφημιῶν ἄρτεκτος Νεστόριος τοιάδε μαχόμενος,
* καὶ αὐτῇ
ἑνώσει μᾶ.
δόξῃ, * καταχιβδηλεύει μᾶ ὡς οὐκ ὄντων ἀληθῶς
τιὼ θεοτόκος φωνιὼ· ἔφη δὲ ὅπως· ἠρώτησα,
φησὶ, πολλάκις αὐτούς· τιὼ θεότητι λέγετε γε-
γεννῆσθαι ἐκ τῆς μακαρίας παρθένου; ἀποπηδῶσιν
ἀθρόως τοῦ ῥήματος· καὶ τίς, φησὶ, τοσαύτιω
βλασφημίαν νοσεῖ, ὡς ἐκείνιω τιὼ γεννήσασαν
τὸν ναὸν, λέγειν παρὰ τοῦ πνεύματος τὸν Θεὸν
ἐν ἐκείνῃ * ἐκτίσθαι; εἶπα ὅπαν * ἐπαγάγωμεν.
τί οὖν ἄπορον ἡμεῖς λέγωμεν, συμβουλεύοντες
φυγεῖν τιὼ φωνιὼ, καὶ ἔρχεσθαι ἐπὶ τὸ χοι-
νὸν σημαινόμενον τῆς δύο φύσεων; τόπε νομίζε-
ται ἑαυτοῖς εἶναι βλάσφημον τὸ λεγόμενον· ἢ
ὁμολόγησον σαφῶς θεότητι γεγεννῆσθαι ἐκ τῆς
μακαρίας Μαρίας, ἢ φάσκων βλάσφημον τιὼ
φωνιὼ, τί ταῦτά μοι λέγων, ὑποχείριος μὴ λί-
γειν; πιεισάντος τοίνιω ἐκείνου, μᾶλλον δὲ ἀ-
ναπεσόντος ἀνοσίως τοὺς θεοτόκον λέγοντας τιὼ
παρθένον εἰς τὸ δεῖν ὁμολογεῖν σαρκὸς γενέσθαι
καρπὸν γυμνιώτε, καὶ καπνώνας τιὼ θεότητος

φύσιν, καὶ τῆς ὑπάρξεως τιὼ ἀρχιὼ ἐκ γυναι-
κὸς ἰσχυρίσασθαι τὸν τοῦ Θεοῦ λόγον, πληροφο-
ρεῖν ἐθέλοντες, ὅτι τῆς τιμῆς δὲ δόξης ἀλλό-
τριοι ἁπλῶς καθεστήκαμεν· οὐ γὰρ οὕτω λε- Ψαλ. 72. 3.
λυπήκαμεν, ὡς ἐλέσθαι φρονεῖν παρὰ δὲ δεῖ φρο-
νεῖν; ἀποτεκεῖν ἐφημεν τιὼ παρθένον σάρκα γε-
γονότα κατὰ τὰς γραφὰς τὸν τοῦ Θεοῦ λόγον,
τουτέστιν ἄνθρωπον· ἀποτεκεῖν δὲ αὐτὸν σαρκι-
κῶς· τουτέστι κατὰ σάρκα· ὁ μὲν γὰρ Θεὸς,
καὶ πατὴρ θείκως γεγέννηκεν ἐξ αὐτοῦ Θεὸν ὄν-
τα τὸν υἱόν· ἐπειδὴ δὲ τὸ γεγεννημένον ἐκ τῆς
σαρκὸς, σάρξ ἐστι, γεγέννηκεν ἡ παρθένος, ὡς
σάρξ ὑπάρχουσα, σαρκικῶς· τὸ δὲ σαρκι-
κῶς εἰπεῖν, ἐκ ἀναιρετέον ἐστὶ τῆς γεννήσεως τὸ
παράδοξον, ὅτι μὴ ἀναξρέποντος τοῦ ἁγίου πνεύ-
ματος τιὼ ἐνέργειαν. διὸ ἦν ἐν μήτρᾳ διάπλασιν
τὴν τοιαύτην· διδάσκομεν δὲ μᾶλλον, ὅτι ὥσπερ Θεὸς
τέτκται θείκως, ἤτοι θεοπρεπῶς κατὰ τιὼ ἰδίαν φύ-
σιν, οὕτω καὶ ἀνθρωπος ἀνθρωπίνως, ἤτοι σὰρξ
σαρκικῶς. Θεὸς δὲ ὢν κατὰ φύσιν ὁ λόγος, * ἤτοι * κατὰ τὸν
σὰρξ γεγονὼς, προῆλθε θεοπρεπῶς, τουτέστι, ἑαυτόν.
ὡς ἂν φρόνοι τῷ γε ὄντι κατὰ τὴν ἀληθινὴν Θεόν.
μόνος γὰρ ἔσχε μητέρα τιὼ ἀπειρόγαμον, καὶ τετή-
ρηκε παρθένον τιὼ τεκοῦσαν αὐτὸν κατὰ σάρκα. θαυ-
μάζω δὲ, ὅτι θεοπρεπῶν ὄντων εἰπεῖν τὴν ἁγίαν
παρθένον, θεοπρεπῶς * αὐτὸν γεγεννῆσθαι φασίν. * αὐτιὼ γε-
γεννῆσθαι σαρκὶ.
ὁ γὰρ ἄνθρωπος καινὸς τέτκται θεοπρεπῶς. δῶρα Μάτθ. 2.
δὲ προσκεκομίσθαι φασὶ παρὰ τῶν μάγων τὰ προσ-
φορα καὶ τῷ νοουμένῳ, καὶ τῷ φαινομένῳ, διαιροῦντες
εἰς δύο δὲ πάλιν μιᾶ τιὼ ἕνωσιν * τὸν κύριον Ἰησοῦν * τὸν ἕνα κύ-
ριον. Διτ. 6.
Χριστόν· ὁ γὰρ νοούμενος γέγονεν ὁρατὸς ὁ μεταβο-
λὴ φύσεως, ἀλλ' ἐνώσει τῇ πρὸς τὸ ὁρώμενον σῶ-
μα. καὶ γὰρ αὐτόπτας, καὶ ὑπηρέτας γνώσθαι τοῦ λόγου
τοὺς ἁγίους ἀποστόλους, τὸ γράμμα φησὶ τὸ ἱερόν·
καί τι πῶς ὁ * πάντα τὰ σαφῆς, ὡς ἔστι ἀσώμα- * ἴσως, τοῦ-
τὸ τῷ σαφὲς,
τός τε, καὶ ἀναφὴς, καὶ ἀόρατος ὁ ἐκ Θεοῦ πατρὸς λόγος; Ἰωάν. 1.
ἀλλ' ἀείσκω λέγοντας τοὺς ἁγίους ἀποστόλους· ὃ ἦν
ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν, ὃ ἐθεα-
σάμεθα ταῖς ὀφθαλμοῖς ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν
ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς. προσφορα
πίνειν τὰ δῶρα τῷ ἑνὶ, τουτέστι τῷ Χριστῷ· καὶ γὰρ
ἐστιν ἐν τούτῳ Θεός τε ἅμα, καὶ ἄνθρωπος ὁ αὐτός.
τοιούτῳ τι πεχθέντος αὐτοῦ χορεύσαι μὲν χθεσινῶν
ἁγίων ἀγγέλων, στρατιαὶ δὲ πνευμάτων, σωτῆρα,
καὶ λυτρωτιὼ λεγόντων αὐτόν. ἐπειδὴ δὲ τὸ εὐαγ-
γελιστὸν λέγοντες· ὁ λόγος σὰρξ ἐγένετο, δεδοίκασι Ἰωάν. 1.
φασὶ, μή ἄρα πῶς τὸ, ἐγένετο, τιὼ ἰδίαν σώ- Γαλ. 4. 14.
ζοντος δήλωσιν, ξένος τις νοεῖται περὶ τιὼ θείαν
τοῦ λόγου γνώσθαι φύσιν· ἐπαινῶ μὲν τὸ δεῖμα.
θαυμάζω δὲ, ὅτι παραπτόμενοι τιὼ λέξιν, τιὼ
ἀληθῆ τε, καὶ ἀναγκαίαν δήλωσιν, ὅπω γνώσθαι φα-
σὶ σάρκα τὸν λόγον, ὡς ἂν εἰ λέγοιτο γνώσθαι 2. Κορ. 5.
κατάραν, καὶ ἁμαρτίαν. εἶπα πῶς ἂν ἴδοι * τὸν ἐγκεί- * ἀναγινώσκει
ἄνω ἔχοντας
ὁρᾶν, ὅτι τὸ, ἐγένετο, πεθεικὼς ὁ μακάριος εὐ- ἔνια ἀντίγρ.
γελιστὴς, ἁπάσης ξένης ὑποίκιας ἀναιρεῖ, προ-
σεπενεχθεῖσαν δόξης καὶ τό· ἐσκήνωσεν ἐν ἡμῖν; ἄπο- Γαλατ. 4.
πον δὲ καὶ ἐπίρρωτον τὸ λέγειν ἀ σπλιμᾶν, ὅπω γνώ-
σθαι σάρκα τὸν λόγον, ὡς γνώσθαι λέγεται κα-
τάραν, καὶ ἁμαρτίαν· ἃ γὰρ αὐτοχρημάτως γέγονεν κατά- Μαρκ. 15.
ρα, ἔστι μὲν ἁμαρτία· ἀλλ' ἐν τοῖς ἀόρατος ἐλα- Ἡσαΐ. 53.

γεῖα

γίσθη δίκαιος ὤν, ἵνα καταργήσῃ τὴν ἁμαρτίαν· καὶ κεχρημάτικεν ἐπικατάρατος ὁ εὐλογῶν τὴν κτίσιν, ἵνα λύσῃ τὴν καθ' ἡμῶν ἀρὰν, καὶ ἀπαλλάξῃ δίκης τοὺς πιστεύοντας εἰς αὐτόν. οὐκοῦν οὐ γέγονε κατὰ ἀλήθειαν κατάρα, καὶ ἁμαρτία. κεχρημάτικε δὲ ταῦτα, ἵνα * λύσῃ κατάραν, καὶ ἁμαρτίαν. οὐκοῦν εἰ οὕτω γέγονε σὰρξ, κατήργηκεν ἄρα τὴν σάρκα, καθὰ καὶ τὴν ἀρὰν, καὶ τὴν ἁμαρτίαν· καὶ οὔτε γέγονεν ἄνθρωπος, οὔτε μὴν ἐσαρκώθη κατὰ ἀλήθειαν· ἀλλ' ἐν δοκήσει μόνῃ τὸ μυστήριον. καὶ ἐν ψιλοῖς ὀνόμασιν ὁ τῆς ἐνανθρωπήσεως εὑρίσκεται * τρόπος. ἀνήρηται δὲ εἰς ἅπαν καὶ ἡ τῆς ἀναστάσεως ἐλπὶς. εἰς τὸν τίνος οὖν ἄρα θάνατον βεβαπτίσμεθα; ποῦ τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν; ὁμολογήσαντες γὰρ, ὅτι κύριος Ἰησοῦς, καὶ πιστεύσαντες ὅτι Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωζόμεθα. ἆρ' οὖν εἰς ἕνα * τὸν καθ' ἡμᾶς, καὶ κοινὸν ἄνθρωπον ἡ πίστις, οὐκέτι δὲ τὸν ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα δι' ἡμᾶς προσκυνοῦμεν λόγον; οὐκ ἔλαβε τὴν τοῦ δούλου μορφὴν ὁ * ἐλεύθερος ὡς Θεός; οὐ τεταπείνωκεν ἑαυτὸν ὁ τοῖς τῆς θεότητος ὑψώμασι διαπρέπων; ὁ ἐν μορφῇ, καὶ ἰσότητι τοῦ πατρὸς οὐ καθῆκεν ἑαυτὸν εἰς κένωσιν, καίτοι διανέμων ἐξ ἰδίου πληρώματος τῇ κτίσει τὰ ἀγαθά; ἄπαγε τῆς δυσβουλίας· ἑτέρως ἡμᾶς μεμυσταγωγήκασιν οἱ μακάριοι πατέρες. σαρκωθῆναι γὰρ, καὶ ἐνανθρωπῆσαι κατὰ ἀλήθειαν αὐτὸν ἔφασαν τὸν ἐκ Θεοῦ πατρὸς λόγον ἀτρέπτως, καὶ ἀσυγχύτως. ἀπόρρητος δὲ παντελῶς τῆς οἰκονομίας ὁ τρόπος. μάρτυρας δὲ τῶν εἰρημένων τοὺς αὐτῶν ποιήσομαι λόγους.

* καταλύσῃ
* λόγος,
Ῥωμ. 6.
Ῥωμ. 10. 8.
* τῶν
Φιλιππ. 2.
* ἐλεύθερος Θεός.

Πέτρου μάρτυρος ἐπισκόπου Ἀλεξανδρείας.

Ὅθεν καὶ ὁ εὐαγγελιστὴς ἀληθεύει λέγων· ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· τότε δηλονότι, ἀφ' οὗ ὁ ἄγγελος ἠσπάσατο τὴν παρθένον, εἰπών· χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ: τὸ γὰρ, κύριος μετὰ σοῦ, νῦν ἐστιν ἀκοῦσαι τοῦ Γαβριὴλ, ἀντὶ τοῦ, ὁ Θεὸς λόγος μετὰ σοῦ· σημαίνει γὰρ αὐτὸν γενώμενον ἐν μήτρᾳ, καὶ σάρκα γινόμενον, καθὼς γέγραπται. πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γενώμενον ἅγιον, κληθήσεται υἱὸς Θεοῦ.

Ἰωάνν. 1.
Λουκ. 1.

Ἀθανασίου * ἐπισκόπου Ἀλεξανδρείας.

* ἀρχιεπισκόπου.

Ὅθεν καὶ γενωμένης τῆς σαρκὸς ἐκ τῆς θεοτόκου Μαρίας, αὐτὸς λέλεκται γεγεννῆσθαι ὁ τοῖς ἄλλοις γένεσιν εἰς τὸ εἶναι παρέχων, ἵνα τὴν ἡμῶν εἰς ἑαυτὸν μεταθῇ γένησιν.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἐπίκτητον ἐπιστολῆς.

Πῶς δὲ καὶ ἀμφιβάλλειν ἐτόλμησαν οἱ λεγόμενοι Χριστιανοὶ, εἰ ὁ ἐκ Μαρίας προελθὼν κύριος, υἱὸς μὲν τῇ οὐσίᾳ, καὶ τῇ φύσει τοῦ Θεοῦ ἐστί· τὸ δὲ κατὰ σάρκα, ἐκ σπέρματός ἐστι Δαυὶδ, σαρκὸς δὲ τῆς ἁγίας Μαρίας; τίνες δὲ ἄρα οὕτω τολμηροὶ γεγόνασιν, ὥστε εἰπεῖν τὸν Χριστὸν τὸν σαρκὶ παθόντα καὶ ἐσταυρωμένον μὴ εἶναι κύριον, καὶ σωτῆρα, καὶ Θεὸν, καὶ υἱὸν τοῦ πατρός; ἢ πῶς Χριστιανοὶ θέλουσιν ὀνομάζεσθαι οἱ λέγοντες εἰς ἄνθρωπον ἅγιον, ὡς ἐπὶ ἕνα τῶν προφητῶν ἐληλυθέναι τὸν λόγον, καὶ μὴ αὐτὸν ἄνθρωπον γεγονέναι, λαβόντα ἐκ Μαρίας τὸ σῶμα, ἀλλ' ἕτερον εἶναι τὸν Χριστὸν, καὶ ἕτερον τὸν τοῦ Θεοῦ λόγον, τὸν πρὸ Μαρίας, καὶ πρὸ αἰώνων υἱὸν ὄντα τοῦ πατρός; ἢ πῶς εἶναι Χριστιανοὶ δύνανται οἱ λέγοντες ἄλλον εἶναι τὸν υἱὸν, καὶ ἄλλον τὸν τοῦ Θεοῦ λόγον;

Τάυταις ἡμεῖς ταῖς τῶν ἁγίων πατέρων ἑψόμεθα δόξαις. εἰ δέ τις ἑτεροδιδασκαλεῖ, καὶ ἑτερόφρων ἐστὶν, ἔξω τῆς εἰς εὐθὺ, καὶ βασιλικῆς φέρεται τρίβου. ὅτι δὲ καὶ τὸ σαρκικῶς λέγεσθαι γεννηθῆναι Χριστὸν, οὐκ ἀσύνηθες τοῖς ἁγίοις πατράσιν. ἔστι δὲ δὴ μᾶλλον καὶ ἑτέροις ἐντριβὴς ἡ λέξις, οὐδὲν ἧττον ἡμῖν ἀληθὲς ὑπάρχον ἀποφαίνει τὸ ὑποτεταγμένον ῥητόν· ἔχει δὲ οὕτως.

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου.

Εἰ μὴ γὰρ ἐκεῖνος ἐγεννήθη σαρκικῶς, οὐκ ἂν σὺ ἐγεννήθης πνευματικῶς· εἰ μὴ ἐκεῖνος ἠνέσχετο τῆς τοῦ δούλου μορφῆς, οὐκ ἂν σὺ τὴν δόξαν τῆς υἱοθεσίας ἐκέρδανας. Δηλοῖ δὲ κἀνταῦθα τὸ, σαρκικῶς, τὸ, μετὰ σάρκα· καθάπερ ἀμέλει, τὸ, θεϊκῶς, τὸ, κατὰ θεότητα.

Ἀναθεματισμὸς γ'.

Εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν. ἤγουν αὐθεντίαν, ἢ δυναστείαν. καὶ οὐχὶ δὴ μᾶλλον συνόδῳ τῇ καθ' ἕνωσιν φυσικὴν· ἀνάθεμα ἔστω.

Ἀντίρρησις τῶν ἀνατολικῶν.

Πάλιν αὐτὸν τῶν αὐτοῦ * ὑπομνήσομεν λόγων, δεικνύντες αὐτὸν δύο ὑποστάσεις λέγοντα, ἐν οἷς φησιν ἐν τῷ πρώτῳ τόμῳ· οὐκοῦν ὅσον εἰς ἰδίαν φύσιν, οὐχ ἡγίασται μόνος ὁ ἐκ Θεοῦ πατρὸς λόγος· εἰ δὲ δή τις οἴοιτο τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον κεχρίσθαι τε, καὶ ἡγιάσθαι μόνον, ταύτῃ τοι καὶ ὠνομάσθαι * Θεόν. πῶς οὖν ὡς ἐπιλαθόμενος τῶν ἑαυτοῦ, εἰς μίαν ὑπόστασιν συνάγει συγχέων τὰς φύσεις, φυσικὴν τὴν θείαν ἕνωσιν ἀποκαλῶν; καὶ τίς ποτε παραδέξεται φυσικὴν τὴν θείαν ἕνωσιν τοῦ μυστηρίου τῆς οἰκονομίας; εἰ γὰρ φυσικὴ ἡ ἕνωσις, ποῦ ἡ χάρις; ποῦ τὸ θεῖον μυστήριον; αἱ γὰρ φύσεις, ὡς δεδιδάγμεθα, ἅπαξ παρὰ τοῦ τάξαντος Θεοῦ * παγεῖσαι, ἀνάγκης ἀκολουθίᾳ δουλεύουσιν· ἢ καὶ ἔσται πάλιν κατὰ ἀνακύκλησιν, καὶ φύσεως ἀκολουθίαν τὸ τῆς οἰκονομίας χρῆμα κατὰ τὸν λῆρον, καὶ μυθώδη τῆς χιλιοντατηρίδος τοῦ δυσωνύμου Ἀπολιναρίου δόγματα;

* ὑπομνήσομεν.
* Χριστόν.
* παγεῖσαι, ἀνάγκαις ἀκολουθίας, ἢ ἴσως, ἀναγκαίαις ἀκολουθίαις.

Ἀπολογία Κυρίλλου.

Ὁ θεσπέσιος Παῦλος τὸ, τίνα δὴ τρόπον γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, ἐναργὲς ἅπασι καθιστὰς, ὡς οἰκονόμος μυστηρίων Θεοῦ, καὶ αὐτὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα Χριστόν· οὐ γὰρ δὴ

1. Κορίν. 4.
2. Κορίν. 13. 3.

Εβρ. 2. 16. δή πȣ ἀγγέλων ἐπιλαμβάνεται, φησὶν, ἀλλὰ σπέρματος Αβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν. ἡμεῖς δὲ ταῖς εἰς ὀρθότητα ψήφοις στεφανȣ̃ντες τὸ εἰρημένον, ἑπόμενοί τε πανταχῇ ταῖς θεοπνεύστοις γραφαῖς, καὶ τὰς τῶν θεηγόρων φωνὰς τȣ̃ παντὸς ἀξιȣ̃ντες θαύματος, μᾶλλον δὲ καὶ θείȣς ἡγȣ́μενοι νόμȣς, ȣ̓ τῆς τῶν ἁγίων ἀγγέλων, ȣ̓τε μὴν τῆς ἑαυτȣ̃ φύσεως ἐπιλαβέσθαι φαμὲν τὸν ἐκ Θεȣ̃ πατρὸς λόγον· Λκ. 1. πεπιστεύκαμεν δὲ, ὅτι κατὰ τὸ τοῖς ἱεροῖς γράμμασι δοκȣ̃ν, ἐπισκιάσας τῇ ἁγίᾳ παρθένῳ, ἅτε δὴ καὶ δυνάμις ὢν τȣ̃ ὑψίστȣ πατρὸς, ἔπλασεν Ματθ. 1. ἑαυτῷ τὸ σῶμα τὸ ἐξ αὐτῆς, πλὴν δι' ἐνεργείας τȣ̃ ἁγίȣ πνεύματος· καὶ γέγονεν ἄνθρωπος, κεχρημάτικέ τε καὶ υἱὸς Αβραὰμ, καὶ Δαυίδ· ȣ̓κ ἀπεμπολήσας διὰ τὸ ἀνθρώπινον τὸ εἶναι κατὰ ἀλήθειαν υἱὸς τȣ̃ Θεȣ̃, καὶ πατρὸς, μεμενηκὼς δὲ μᾶλλον, καὶ εἰ γέγονε σάρξ, ἐν φύσει τε, καὶ ὑπεροχῇ, καὶ δόξῃ θεότητος· ἀναλλοίωτος γάρ ἐστι, καὶ τροπῆς ἀμείνων, ὡς Θεός. *ἔστι τοίνυν εἷς τε, καὶ ὁ αὐτὸς υἱὸς, καὶ κύριος καὶ πρὸ τῆς σαρκώσεως, καὶ μετὰ τὴν σάρκωσιν. καὶ τὸ διαιρεῖν εἰς υἱȣ̀ς δύο τὸν ἕνα, καὶ τὸ τῆς ἀληθȣ̃ς ἑνώσεως παραλύειν χρῆμα, διϊστάντας ἀνὰ μέρος, καὶ τιθέντας ἰδικῶς ἄνθρωπον, καὶ ἰδικῶς Θεὸν, δυσσεβείας ἔχει τῆς ἀνωτάτω γραφήν. *ὀλίγα δὲ τȣ́τȣ πεφροντικὼς ὁ Νεστόριος, τετόλμηκεν εἰπεῖν αὐταῖς λέξεσιν ȣ̓τως· τȣ̃το φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησȣ̃· ὃς ἐν μορφῇ Θεȣ̃ ὑπάρχων, ἑαυτὸν ἐκένωσε, μορφὴν δȣ́λȣ λαβών. ȣ̓κ εἶπε· τȣ̃το φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν τῷ Θεῷ λόγῳ· ὃς ἐν μορφῇ Θεȣ̃ ὑπάρχων, δȣ́λȣ μορφὴν ἔλαβεν· ἀλλὰ λαβὼν τὸ, Χριστὸς, ὡς τῶν δύο φύσεων προσηγορίαν σημαντικὴν, ἀκινδύνως αὐτὸν καὶ δȣ́λȣ μορφὴν λαβεῖν, καὶ Θεὸν ὀνομάζει· *τῶν δὲ λεγομένων εἰς τὸ τῶν φύσεων ἀλήπτως μεριζομένων διπλȣ̃ν. ἐν ἑτέρᾳ δὲ πάλιν ἐξηγήσει φησίν· ἵνα ἐν τῷ ὀνόματι Ἰησȣ̃ πᾶν γόνυ κάμψῃ ἐπȣρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι κύριος Ἰησȣ̃ς Χριστός. διὰ τὸν φορȣ̃ντα, τὸ φορȣ́μενον σέβω· διὰ τὸν κεκρυμένον προσκυνῶ τὸ φαινόμενον· ἀχώριστος τȣ̃ φαινομένȣ Θεός· διὰ τȣ̃το τȣ̃ μὴ χωριζομένȣ τὴν τιμὴν ȣ̓ χωρίζω. χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν. καὶ ἐν ἐξηγήσει πάλιν ἑτέρᾳ· εἰπὲ τὸν ἀναλαβόντα, ὅτι Θεός. πρόσθες τὸν ἀναληφθέντα, ὅτι δȣ́λȣ μορφή· ἐπάγαγε μετὰ ταῦτα τὸ τῆς συναφείας ἀξίωμα, ὅτι τῶν δύο ἡ αὐθεντία κοινὴ, ὅτι τῶν δύο ταυτὸν τὸ ἀξίωμα, τῶν φύσεων μενȣσῶν ὁμολόγει τὴν τῆς ἀξίας ἑνότητα. ὁρᾷς πανταχῇ διορίζοντα μὲν ἀλλήλων τὰς φύσεις, ἑνȣ̃ντα δὲ, ὥς φησι, τὴν προσκύνησιν, καὶ κοινὴν αὐθεντίαν ὀνομάζοντα, καὶ τὴν τῆς ἀξίας ἑνότητα μόνης. *τὸ δὲ κοινὸν *ȣ̓χ ἕν, εἰ κοινὸν, εἴη ἄν. ἀλλὰ δύο πȣ πάντως, ἢ πλείοσιν ἰδικῶς τε, καὶ ἀνὰ μέρος θεωρȣμένοις. ἀνθ' ὅτȣ δὴ ȣ̓ν τοσαύτην *ποιοῦνται τὴν καταῤῥήσιν τȣ̃ τὰ τοιάδε καλῶς ἀναθεματίσαντος λόγȣ; τί τὸ ἄτοπον, εἰ τοῖς βδελυροῖς, καὶ ἀπηχεστάτοις Νεστορίȣ λόγοις τὰ τῆς εὐσεβείας ἀντεγείροντες δόγματα, τῆς τῶν ἀδελφῶν ἀσφαλείας φροντίδα τὴν δέȣσαν πεποιήμεθα; ἐπειδὴ δέ φασιν ἐμὲ τοῖς αὐτȣ̃ μάχεσθαι λόγοις, παρακομίζȣσι δὲ πρὸς ἀπόδειξιν μέρος τῆς ἐπιστολῆς, ἧς γέγραφα πρὸς τȣ̀ς ἁγίȣς μοναστὰς, δεῖν ᾠήθην τὰ εἰκότα καὶ πρός γε τȣ̃το εἰπεῖν· φασὶ γὰρ ὅτι δύο καὶ αὐτὸς *ὠνόμασα ὑποστάσεις· καὶ *ἀποχρήσειν αὐτοῖς εἰς ἔλεγχον τȣ̃ καὶ ἡμᾶς ἑλέσθαι ταυτὸ εἰπεῖν *τοῖς αὐτὸ δὴ τȣ̃το νομίζȣσι. παραθεὶς ȣ̓ν ἀναγκαίως τὸ τῆς ἐπιστολῆς μέρος, προσεποίσω μετὰ τȣ̃το τὰ δι' ὧν ἂν γένοιτο ψευδομυθεῖν ἠρημένȣς ἀποφῆναι πανταχȣ̃. ἔχει δὲ ȣ̓τως. ȣ̓κȣ̃ν ὅσον ἧκεν εἰς ἰδίαν φύσιν, ȣ̓χ ἡγίασται καταμόνας ὁ ἐκ Θεȣ̃ πατρὸς λόγος· εἰ δὲ δή τις οἴοιτο τὸν ἐκ τῆς ἁγίας παρθένȣ γεγεννημένον κεχρίσθαι τε, καὶ ἡγιάσθαι μόνον, ταύτῃ τοι καὶ ὀνομάσθαι Χριστὸν, λεγέτω παρελθὼν, εἰ ἀπόχρη τὸ χρίσμα πρὸς τὸ ἀποφῆναι τὸν χριόμενον ἰσοκλεᾷ, καὶ ὁμόθρονον τῷ πάντων ἐπέκεινα Θεῷ. ἐπειδὴ γὰρ τὸν ἐκ Θεȣ̃ λόγον ἰδικῶς ὠνομάσθαι Χριστὸν, ὁ τῶν νέων ἡμῖν βλασφημιῶν εὑρετὴς Νεστόριος διαβεβαιȣ̃ται συχνῶς. ἰδικῶς δὲ, καὶ ἀνὰ μέρος Χριστὸν ἕτερον τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον· κατακιβδηλεύοντες τὴν δόξαν, ὡς ἀκαλλῆ, καὶ *ἀσύμφυλον, καὶ τῆς ἀληθείας ἐξῳκισμένην, οὔτε *δὲ τὸν ἐκ Θεȣ̃ πατρὸς λόγον κατὰ μόνας νοȣ́μενον κεχρίσθαι τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως διαβεβαιούμεθα, ȣ̓τε μὴν ἰδίᾳ τε καὶ κατὰ μόνας ὡς ἄνθρωπον, καὶ ἕτερον ὄντα υἱὸν παρὰ τὸν ἐκ Θεȣ̃ λόγον, τὸν ἐκ τῆς ἁγίας παρθένȣ. ἕνα δὲ μᾶλλον χρῆναι πρὸς ἁπάντων διϊσχυριζόμεθα ὁμολογεῖσθαι Χριστὸν, σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, τὸν μονογενῆ τοῦ Θεοῦ λόγον· εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα. ἔστι τοίνυν ȣ̓δενὶ τῶν ὀρθὰ φρονεῖν εἰωθότων Εφεσ. 4. 5. ἀσυμφανὲς, ὅτι παραχαράττȣσι τῶν παρ' ἐμȣ̃ γεγραμμένων τὴν διάνοιαν, καὶ συκοφαντȣ̃σι κἂν τȣ́τῳ τὴν ἀλήθειαν. καὶ καθ' ἕτερον δὲ τρόπον ἀπλημμελὲς εἴη ἄν, καὶ μάλα εἰκότως, ἀμοιρήσειε δ' ἂν καὶ μώμȣ παντὸς τὸ εἰδέναι τυχὸν, ὡς ἑτέρα μέν ἐστι κατὰ φύσιν ἰδίαν ἡ σὰρξ παρά γε τὸν ἐκ Θεȣ̃ πατρὸς *φῦντα λόγον, ἕτερος δὲ αὖ κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον ὁ μονογενής. ἀλλ' ȣ̓ τὸ εἰδέναι ταῦτα μερίζειν ἐστὶ τὰς φύσεις μετὰ τὴν ἕνωσιν. εἰ δὲ δή τις βȣ́λοιτο τὴν τȣ̃ μυστηρίȣ δύναμιν ἀκριβεῖ διανοίας ὄμματι κατασκέπτεσθαι, καταθρήσειεν ἄν, ὅτι, καθάπερ ἔφην ἐν ἀρχαῖς, ȣ̓ τῆς αὐτȣ̃ φύσεως ἐπελάβετο Θεὸς ὢν ὁ λόγος, ἀλλὰ σπέρματος Ἀβραάμ· οὐχ ὁμοούσιον δὲ τῷ ἐκ Θεοῦ φῦν τι λόγῳ, τὸ ἐκ σπέρματος Ἀβραὰμ ἅγιον σῶμα· ὅπερ ἐκ τῆς μακαρίας παρθένου λαβὼν, προῆλθεν ἄνθρωπος, ἵνα τοῖς ἀδελφοῖς ὁμοιωθῇ, καὶ χρηματίσῃ πρωτότοκος ὁ μονογενής. ἀλλ' εἰ καὶ ἔστιν ἑτεροφυὲς τὸ σῶμα παρά γε τὸν ἐκ Θεοῦ πατρὸς λόγον, ἀλλ' οὖν εἷς Χριστὸς, καὶ υἱὸς, καὶ Θεὸς, καὶ κύριος. καὶ εἰ γέγονε σάρξ. καὶ τὸν τῆς ἀληθοῦς ἑνώσεως τρόπον παραλύειν οὐκ ἀζήμιον, διϊστάντας εἰς υἱοὺς δύο τὰς ὑποστάσεις, ἀποφοιτώσας μὲν ἀλλήλων. εἰς τὸ ἰδίᾳ τε εἶναι, καὶ ἀνὰ μέρος, ἐχȣ́σας δὲ μόνην, συνάφειαν τὴν ἔξ θέν τε, καὶ ὡς ἐν τάξει τιμῆς. εἰ δὲ δὴ λέγοιμεν φυσικὴν τὴν ἕνωσιν, τὴν ἀληθῆ φαμὲν, ἔθος ἐχούσης τῆς θεοπνεύστȣ γραφῆς οὕτω κεχρῆσθαι τῇ λέξει. γράφει γὰρ

γάρ πού τισιν ὁ θεσπέσιος Παῦλος· καὶ ἡμεῖν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί· καὶ οὐ δή που φαίη τις ἂν ὑφεστάναι κατὰ φύσιν τὴν θείαν ὀργὴν, ὥστε καὶ αὐτῆς γεννήματα νοεῖσθαι τοὺς ἁμαρτάνοντας· ἢ πάντῃ τε, καὶ πάντως ἐσόμεθα * σύμφρονες τοῖς τὴν Μανιχαίων νοσοῦσι μανίαν. ἀλλὰ τὸ, φύσει, δηλοῖ τὸ κατὰ ἀλήθειαν. οὐκοῦν οὐ συγχέοντες τὰς φύσεις, οὔτε μὴν ἀλλήλαις αὐτὰς ἀναφύροντες, καθάφασιν οἱ δι' ἐναντίας, φυσικὴν φαμεῖν γενέσθαι τὴν ἕνωσιν· ἀλλ' ἐκ δύο πραγμάτων ἀνομοίων, θεότητός τε, καὶ ἀνθρωπότητος, τὸν ἕνα γενέσθαι Χριστὸν, καὶ υἱὸν, καὶ κύριον διαβεβαιούμεθα πανταχοῦ. τῶν δὲ Απολιναρίου δογμάτων οὐδεὶς παντελῶς ἡμῖν ὁ λόγος· τοὺς γὰρ ἅπαξ κατακεκριμένους, ὡς παραχαράττοντας τὴν ἀλήθειαν, ἀπορέφεσθαι χρή.

Ἐφέσ. 2. 3.

* ἰσόφρονες.

Ἀναθεματισμὸς δ'.

Εἴ τις προσώποις δυσὶν, ἤγουν ὑποστάσεσι, τάς τε ἐν τοῖς εὐαγγελικοῖς, καὶ ἀποστολικοῖς συγγράμμασι διανέμει φωνὰς, ἢ ἐπὶ Χριστῷ παρὰ τῶν ἁγίων λεγομένας, ἢ παρ' αὐτοῦ περὶ ἑαυτοῦ. καὶ τὰς μὲν ὡς ἀνθρώπῳ παρὰ τὸν ἐκ Θεοῦ πατρὸς λόγον ἰδικῶς νοουμένῳ προσάπτει, τὰς δὲ ὡς θεοπρεπεῖς μόνῳ τῷ ἐκ Θεοῦ πατρὸς λόγῳ, ἀνάθεμα ἔστω.

Ἀντίρρησης τῶν ἀνατολικῶν.

Ακόλουθον κἀνταῦθα τῶν αὐτοῦ θεσπισμάτων αὐτὸν ὑπομνῆσαι. ἐν οἷς φησί· κἂν ἀκούσῃς, ὅτι προέκοπτε σοφίᾳ, καὶ ἡλικίᾳ, καὶ χάριτι, μὴ σοφὸν ἐξ ἐπιδόσεως γενέσθαι νομίσῃς τὸν τοῦ Θεοῦ λόγον· μήδ' αὖ ἐκεῖνο φλυαφῶς τολμήσῃς εἰπεῖν, ὅτι τὸ προκόπτειν ἐν ἡλικίᾳ, καὶ σοφίᾳ, καὶ χάριτι τῷ ἀνθρώπῳ προσάψομεν· ἀλλ' εἰ καὶ ἀρνεῖται ἐνταῦθα τὴν τῆς γραφῆς μαρτυρίαν διδάσκουσαν ὅτι κατὰ τὴν τῆς φαινομένης σαρκὸς φύσιν τοῦ κυρίου, τὰ τῆς προκοπῆς * ἐγίνετο, ἀλλ' οὐ καιρὸς νῦν τοῦτο διελέγχειν, ἐπειγομένοις ἐπὶ τὸ προκείμενον κεφάλαιον· τοῦ γὰρ δεῖξαι δύο ὑποστάσεις αὐτὸν λέγοντα, καὶ ἑαυτῷ ἐναντιούμενον, παρεθήκαμεν τὰ πάλαι αὐτῷ εἰρημένα. * ὡς δὲ προσώποις δυσὶν, ἢ ὑποστάσεσιν, ἢ υἱοῖς δυσὶ διαιροῦντας τὴν ἕνωσιν, ἤγουν τὸν ἕνα υἱὸν, τὰς φωνὰς ἐφαρμόζειν * οὐ δεῖ· ἀδιαίρετος γὰρ καὶ ἀχώριστον ἡ ἄκρα ἕνωσις· * καὶ ὁ εἷς υἱὸς κατὰ πάντα καὶ λόγον, καὶ τρόπον, καὶ ἔννοιαν ἐστί. τῆς δὲ ἄκρας ἑνώσεως φυλαττομένης, καὶ * τοῦ ἑνὸς υἱοῦ, καὶ Χριστοῦ, καὶ κυρίου ὁμολογουμένου, περὶ τὸν ἕνα, καὶ τὸν αὐτὸν υἱὸν ἐκλαμβάνεσθαι χρὴ τὰ λεγόμενα. κατὰ μέν τοι τὴν τῶν ἑνωθεισῶν φύσεων δύναμιν ἐφαρμόζεσθαι πρέπει τῷ ἑνὶ υἱῷ τὰ λεγόμενα. τὸ δὲ μὴ * ἐρεῖν τὰς ἐν τοῖς εὐαγγελίοις φωνὰς, ἢ τὰς παρ' αὐτοῦ τοῦ κυρίου περὶ ἑαυτοῦ εἰρημένας, ἢ τὰς ἐν τοῖς ἀποστολικοῖς συγγράμμασι κειμένας, ποίαν ὑπερβολὴν βλασφημίας οὐχ ὑπεραίρει; εἰ γὰρ μὴ διαιροῦμεν τὰς φωνὰς, πῶς ἂν ἀντιβλέψαιμεν τοῖς Εὐνομίου, καὶ Ἀρείου, πάντα ὡς εἰς μίαν φύσιν εἰρημένα συμφύρουσι, καὶ τὰ ταπεινὰ τῆς ἀνθρωπότητος εἰς τὴν ὑψηλοτάτην τῆς ἀκηράτου θεότητος φύσιν βλασφήμως ἀνάγουσιν; ἢ πῶς νοήσομεν τὰς τοῦ κυρίου φωνὰς, διὰ τὴν τῆς φαινομένης σαρκὸς φύσιν εἰπόντος· οὐκ ἦλθον τὸ ἐμὸν θέλημα ποιῆσαι· καὶ τὸ, ἐντολὴν ἔλαβον τί εἴπω, καὶ τί λαλήσω· καὶ τὸ, ἐγὼ ἀπ' ἐμαυτοῦ οὐδὲν ποιῶ· καὶ τὸ, πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν· καὶ τὰ λοιπὰ ὅσα τοιαῦτα; ἀδιαιρέτων τῶν φωνῶν, ὥσπερ καὶ τῶν φύσεων, μενουσῶν, ἔσται κατ' αὐτὸν τοῦ μονογενοῦς Θεοῦ Θεὸς ὁ πατήρ. λειτουργὸς δὲ, καὶ διάκονος τῶν πατρικῶν προσταγμάτων ὁ υἱὸς κατὰ τὴν θεότητα· καὶ εἰ τὰ ταπεινὰ εἰς τὴν τῆς θεότητος φύσιν ἐκλάβοιμεν, τίνι καὶ τὸ, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν ἁρμόσομεν; καὶ τὸ, ὁμοίως αὐτὸν ποιεῖν τῷ πατρί; καὶ τὸ, ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει, καὶ οὐχ οὓς προστάσσεται, ζωοποιεῖ; ἀλλ' ἔστιν ὀρθῶς κατὰ τὴν αὐτοῦ τοῦ κυρίου φωνὴν πατὴρ, καὶ Θεὸς, ὁ πατήρ. Θεὸς μὲν * τοῦ ἐν ὑστέροις καιροῖς ἐκ σπέρματος * Δαυὶδ * μετὰ σαρκὸς· πατὴρ δὲ τοῦ ἐξ αὐτοῦ ἀπαθῶς τε, καὶ ἀϊδίως γεννηθέντος Θεοῦ λόγου, τῆς υἱότητος ἐν τῷ μοναδικῷ τύπῳ φυλαττομένης τε, καὶ ὁμολογουμένης. πῶς δ' * ἂν νοήσομεν τὸ, ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι ἐγὼ εἰ μί· καὶ τὸ, πάντα δι' αὐτοῦ ἐγένετο. ἀδιαιρέτων τῶν φωνῶν μενουσῶν; ἆρα * περιάψομεν τὴν φωνὴν τῇ φύσει, τῇ ἐκ σπέρματος Δαυὶδ ἐν ὑστέροις καιροῖς γενομένη τὸ πρὸ τοῦ Αβραὰμ, καὶ Δαυὶδ εἶναι, καὶ πάντα δι' * αὐτῆς γενέσθαι; ἢ φήσομεν εὐσεβῶς, τῶν φύσεων * ἀσυγχύτων μενουσῶν, καὶ τῆς ἑνώσεως ἀδιαιρέτου ὁμολογουμένης, τὰς φωνὰς ἐφαρμόζεσθαι κατὰ τὴν τῶν ἑνωθεισῶν φύσεων δύναμιν, ὡς προείρηται, εἰς ἕνα μὲν τὸν υἱὸν, καὶ κύριον, καὶ Χριστὸν. ἀλλ' οὐκ εἰς μίαν φύσιν τὰ πάντα συναιροῦντες· ὡς καὶ ἐξ ἑνὸς τῶν φύσεων ὀνόματος ἑκατέρας νοεῖσθαι διὰ τὸ τῆς ἑνώσεως ἄκρον, καὶ ἡμῖν ἀκατάληπτον· ὥς που καὶ τὸ, οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ· καὶ τὸ, ἐὰν οὖν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα, ὅπου ἦν τὸ πρότερον· οὐχὶ ἐκ τῆς προσηγορίας τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ τὸν αὐτῷ ἀσυγχύτως τε ἅμα, καὶ ἀχωρίστως συνημμένον νοοῦμεν; εἰ γὰρ καὶ υἱὸν ἀνθρώπου ὠνόμαζε διὰ τὴν τῆς προσληφθείσης, καὶ φαινομένης σαρκὸς φύσιν, ἀλλὰ διὰ τῶν παρ' αὐτοῦ τελουμένων Θεὸν ἑαυτὸν παρεδείκνυ. καὶ πάλιν· Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. καὶ πάλιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. εἰ χθὲς, καὶ σήμερον, πῶς δι' αὐτοῦ τὰ πάντα; εἰ δὲ δι' αὐτοῦ τὰ πάντα, πῶς χθὲς καὶ σήμερον; ἀλλὰ καὶ τὸ, πάντα δι' αὐτοῦ, ἀληθές· καὶ τὸ χθὲς, καὶ σήμερον, πιστόν· καὶ τὸ, ὁ αὐτὸς εἰς τοὺς αἰῶνας, ἀληθινόν· ἐὰν κατὰ τὸ τῶν ἑνωθεισῶν ἀσυγχύτως τε, καὶ ἀχωρίστως φύσεων διάφορον τὰς φωνὰς ἐφαρμόζωμεν. νοοῦντες κατὰ μὲν τὸ φαινόμενον, χθὲς καὶ σήμερον· κατὰ δὲ τὸ νοούμενον, εἰς τοὺς αἰῶνας· κατὰ δὲ τὸ τῆς υἱότητος μοναδικὸν, ἕνα, καὶ τὸν αὐτόν.

Λουκ. 2.

* ἐγίνετο.

* οὐδὲ.

* ἔσως, καὶ εἷς ὁ υἱὸς

* ἑνὸς υἱοῦ,

* διαιρεῖν.

Ἰωάνν. 6.

Ἰωάνν. 12. 49.
Ἰωάνν. 8. 28.
Ἰωάν. 20. 17.

Ἰωάν. 10.

Ἰωάν. 5.

* τῆς.
Δαυὶδ σαρκός.

* κατὰ σάρκα.

* ἴσως, αὖ
Ἰωάν. 8. 58.
Ἰωάν. 1.

* περιάψομεν

* αὐτοῦ.
* ἀσυγχύτως.

Ἰωάν. 3.
Ἰωάν. 6.

Ἑβρ. 2.

Ἑβρ. 13.

Ἰωάνν. 1.

Ἀπο-

Ἀπολογία Κυρίλλου.

* Σκοπὸς ἦν, ὡς ἔοικε, τοῖς ἐθέλουσιν ἀπερισκέπτως ἐπιτιμᾶν τοῖς παρ' ἡμῶν χρειωδέστατά τε, καὶ ἀναγκαίως γεγονόσιν ἀναθεματισμοῖς, φρονεῖν μὲν, ἢ λέγειν τῇ ἀληθείᾳ ὁδὸν, φιλοψογίας δὲ μόνης ἀπόδειξιν ἐναργῆ ποιεῖσθαι τὸ χρῆμα· εἰ γὰρ * ἀνέχονται, καὶ ἀκριβῆ τοῖς γεγραμμένοις τὸν οἰκεῖον ἐνερείσαντες νοῦν, ὐκ ἠγνόησαν, ὅτι κρατύνουσι ταῖς παρ' * ἑαυτῇ ψήφοις, καὶ δι' ὧν πεποίληται λόγων, τὸν ἀναθεματισμόν. Ϛ ὐχὶ δῆ μᾶλλον ἀνεπισημόνως αὐτὸν γεγονότα κατιδεικνύουσι. καὶ τίνα ποτὲ τρόπον, ἐρῶ. ὁ χρησὸς ἡμῖν Νεστόριος ἔφη τι τοιοῦτον ἐπ' * ἐκκλησίας ἐξηγούμενος. ἵνα δὲ αὐτὸ σαφέστερον, καὶ πᾶσιν ἀληπτότερον εἴπω, τοῖς Ἀρείου, καὶ Εὐνομίου, καὶ Ἀπολιναρίου, καὶ πάντων τοῖς χοροῖς τῆς τῆς * τοιαύτης φαξίας σπουδὴ τὸ, θεοτόκος εἰσάγειν, ὡς κράσεως γινομένης, καὶ τῆς φύσεων μὴ διαιρουμένων, μηδὲν ὧν ἀτελῶν εἰς τὴν ἀνθρωπότητα λαμβάνεσθαι, καὶ χώραν αὐτοὺς λοιπὸν κατὰ τῆς θεότητος ἔχειν. ὡς πάντων τῶν λεγομένων παρ' ἑνὸς λεγομένων. τούτων ὠδὶ * λεγομένων, χρειωδέστατος * παρ' ἡμῶν γέγονεν ὁ ἀναθεματισμός, ὐκ ἐφιεὶς εἰς δύο μερίζεσθαι πρόσωπά τε, καὶ ὑποτάσεις τὸν ἕνα υἱὸν Ἰησοῦν Χριστόν. ὅτι δὲ καὶ αὐτοῖς τοῖς παρ' ἡμῶν συμφέρονται λόγοις, δῆλον ἂν εἴη δήπουθεν ἐξ ὧν γεγράφασι, * φρονεῖν καὶ φρονεῖν ἐγνώκασιν· ἔχει δὲ ὅτως· ὡς δὲ * προσώποις, ἢ ὑποτάσεσι δυσὶν, ἢ υἱοῖς δυσὶ διαιροῦντας τὴν ἕνωσιν, ἤγουν τὸν ἕνα υἱόν, τὰς φωνὰς ἐφαρμόζειν οὐ δεῖ· ἀδιαίρετος γὰρ, καὶ ἀχώριστος ἡ ἄκρα ἕνωσις· καὶ ὁ εἷς υἱὸς κατὰ πάντα καὶ λόγον, καὶ τρόπον, καὶ ἔννοιαν ἐστί. τῆς δὲ ἄκρας ἑνώσεως φυλαττομένης, καὶ τοῦ ἑνὸς υἱοῦ, καὶ Χριστοῦ, καὶ κυρίου ὁμολογουμένου, περὶ τὸν ἕνα, καὶ τὸν αὐτὸν υἱὸν * ἐκλαβέσθαι χρὴ τὰ λεγόμενα· κατὰ μὲν τοι τὸν τῶν ἑνωθεισῶν φύσεων δύναμιν ἐφαρμόζεσθαι πρέπει τῷ ἑνὶ υἱῷ τὰ λεγόμενα. ὐκοῦν τῆς εἰς ἄκρον ἑνώσεως σωζομένης, ποία παρείσδυσις, ἢ γοῦν φαντασία τομῆς παρεισχείνοιτο ἂν ἔτι, καὶ ὁ μερίζειν ἀποτολμῶν πῶς ὐκ ἔξω φέρεται τῆς θείας ὁδοῦ, καὶ τῆς τ' ἀσεβείας δογμάτων εἰς ἅπαν ἀποφοιτῶν; τί οὖν φησιν ὁ ἀναθεματισμός; εἴτις μερίζει τὰς φωνὰς κατά γε τοῦτον τὸν τρόπον, * καὶ τὰς μὲν ὡς ἀνθρώπῳ παρὰ τὸν ἐκ Θεοῦ λόγον ἰδικῶς νοουμένῳ προσάπτειν, τὰς δὲ ὡς θεοπρεπεῖς μόνῳ τῷ ἐκ Θεοῦ λόγῳ, ἀνάθεμα ἔστω. εἰ μὲν οὖν * οἱ διιστάντες καὶ διορίζοντες εἰς ἄνθρωπον ἰδικῶς τε, καὶ ἀνὰ μέρος, καὶ εἰς Θεὸν λόγον ἰδικῶς τε, καὶ ἀνὰ μέρος, οὐ μερίζουσι τὸν ἕνα Χριστὸν, * καὶ δύο λέγουσιν υἱοὺς, ἀγανακτείτωσαν καθ' ἡμῶν οἱ φιλεγκλήμονες· εἰ δὲ τομὴ, καὶ διαίρεσις τὸ ὅτω φρονεῖν ἐστι, κατὰ τίνα τρόπον τοῖς παρ' ἡμῶν λόγοις ἐπιτιμᾶν ἐγνώκασι, καίτοι καὶ αὐτοὶ, καθάφασιν, ἀδιαίρετόν τε, Ϛ ἕνα κατὰ ἄκραν ἕνωσιν ὁμολογοῦντες ὑπάρχειν τὸν Ἐμμανουὴλ; τὸ μὲν οὖν ἐμφρόνως ἑκάστῳ φωνῇ, εἰ καὶ παρ' αὐτοῦ τυχὸν ἁρμήνευμαι, ἐκλαμβάνεσθαι δεῖν, ἐπαινέσαιμ' ἂν καὶ αὐτὸς ἐγὼ, καὶ ἅπας ἴσως οἶμαι τῶν ὀρθὰ φρονεῖν εἰωθότων· αἱ μὲν γὰρ εἰσὶ θεοπρεπεῖς, αἱ δὲ τῆ μὴ σαρκὸς οἰκονομίᾳ μᾶλλον ἁρμοδιώτεραι. ἐπειδὴ δέ

ἐστιν εἷς καὶ ὁ αὐτὸς Θεός τε ὁμοῦ, καὶ ἄνθρωπος, ταύτη τοι καὶ λέγεται ὀρθῶς ποτὲ μὲν θεϊκῶς, ποτὲ δὲ ἀνθρωπίνως ποιεῖται τοὺς λόγους, πλὴν τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ ταύτας τε κἀκείνας εἶναι φωνὰς διϊσχυριζόμεθα· οὔτε ψιλοῦντες θεότητος τὸν ἐκ τῆς παναγίας παρθένου ναὸν, ὅτε μὴ ἄσαρκον εἰδότες τὸν ἐκ Θεοῦ παῖδος λόγον μηδὲ τὴν ἄῤῥητον ἕνωσιν. θαυμάζω δὲ ὅτι, καίτοι πολυπραγμονοῦντες ἄγαν, καὶ ὡς γε νομίζουσι, λεπτῶς βασανίζοντες τὰς ἐμὰς ἐπιστολὰς, τὰ μὲν ὅσα ἐστὶν ἐν αὐταῖς ῥήσιμά τε καὶ ἀναγκαῖα πρὸς ἀπόδειξιν τῆς τῶν δογμάτων ὀρθότητός τε, καὶ ἀκριβείας, ἐθέλοντες παραβλέπουσιν, ἐπιπηδῶσι δὲ καὶ μάλα γοργῶς τοῖς κἂν γοῦν ἐγκλὴν ἔχουσιν ὑποψίαν, κατά γε τὸ αὐτοῖς δοκοῦν, εἰς τὸ διώκεσθαι δι' αὐτῶν τὰς καθ' ἡμῶν ποιεῖσθαι συκοφαντίας. μεμνήσομαι δὲ τῶν ἐμαυτοῦ * ῥητῶν. γέγραφα γὰρ ὅτως ἐν τῇ πρὸς Νεστόριον ἐπιστολῇ· τὰς δέ γε ἐν ταῖς διαγγελίοις τοῦ σωτῆρος ἡμῶν φωνὰς οὔτε ὑποσάσεσι δυσὶν, ὅτε μὴ πρὸσώποις δυσὶ καταμερίζομεν· οὐ γὰρ ἔστι διπλοῦς ὁ εἷς, καὶ μόνος Χριστὸς, κἂν ἐκ δύο νοῆται καὶ διαφόρων πραγμάτων εἰς ἑνότητα τὴν ἀμέριστον συνειλυγμένων· καθάπερ ἀμέλει καὶ ἄνθρωπος ἐκ ψυχῆς νοεῖται, καὶ σώματος, καὶ οὐ * διπλοῦς μᾶλλον, ἀλλ' εἷς ἐξ ἀμφοῖν· ἀλλὰ τούς τε ἀνθρωπίνας, καὶ πρός γε τούτῳ τὰς θεϊκὰς παρὰ σοῦ εἰρῆσθαι, διαχειρισόμεθα φρονοῦντες ὀρθῶς. ὅταν μὲν γὰρ θεοπρεπῶς λέγῃ περὶ ἑαυτοῦ· ὁ ἑωρακώς ἐμὲ, ἑώρακε τὸν πατέρα. καὶ· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, τὴν θείαν αὐτοῦ καὶ ἀπόῤῥητον συνοῦσαν φύσιν, * καθ' ἣν ἐστι πρὸς τὸν πατέρα τὸν ἑαυτοῦ διὰ τὴν ταυτότητα τῆς οὐσίας εἰκών τε, καὶ χαρακτὴρ, καὶ ἀπαύγασμα τῆς δόξης αὐτοῦ. ὅταν δὲ τὸ τῆς ἀνθρωπότητος μέτρον ὐκ ἀτιμάζων, τοῖς Ἰουδαίοις προσλαλῇ· νῦν δέ με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, πάλιν ὠδὶ ἧττον αὐτὸν τὸν ἐν ἰσότητί τε, καὶ ὁμοιότητι τοῦ πατρὸς Θεὸν λόγον, καὶ ἐκ τῆς τῆς ἀνθρωπότητος αὐτοῦ μέτρον ἐπιγινώσκομεν. εἰ γὰρ ἐστιν ἀναγκαῖον τὸ πιστεύειν, ὅτι θεὸς ὢν φύσει, γέγονε σὰρξ, ἤγουν ἄνθρωπος * ἐμψυχωμένης ψυχῇ λογικῇ τῆς σαρκὸς, ποῖον ἂν ἔχοι λόγον τὸ ἐπαιρωνεύεσθαί τινα τοῖς παρ' αὐτοῦ φωναῖς, εἰ γεγόνασιν ἀνθρωποπρεπῶς; εἰ γὰρ παρητεῖτο τὰς ἀνθρώπῳ πρεπούσας λόγους, τίς ὁ ἀναγκάσας γενέσθαι καθ' ἡμᾶς ἄνθρωπον; ὁ δὲ καθεὶς ἑαυτὸν δι' ἡμᾶς εἰς ἐκένωσιν, διὰ ποίαν αἰτίαν παρητεῖτο ἂν τὰς τῇ κενώσει πρέπουσας λόγους; σὺ δὲ τοιγαροῦν πρόσωπα τὰ ἐν τοῖς διαγγελίοις πάσας ἀναθεὶς φωνὰς, ὑποσάσει μιᾷ τῇ τοῦ λόγου * σεσαρκωμένῃ· χωρὶς γὰρ εἷς Ἰησοῦς * Χριστὸς κατὰ τὰς γραφάς. ἴσως * ὡς ἀπόγε τῆς ἤδη προγεγραμμένων, ὐκ ἠγνοηκότες μὲν ἀλλοσόμεθα τὴν οἰκονομίαν, καὶ τὴν ἑκάστῃ φύσει πρέπουσαν φωνὴν, ἐκφεύγετε δὲ μᾶλλον τοῖς ψυχικοῖς, καὶ πνεῦμα μὴ ἔχουσι νοεῖν δύο υἱοὺς, ἢ λέγειν, διαιροῦντας ἀλλήλων τὰς ὑποστάσεις μὴ τὴν * ἀδιάσπαστον σέωσιν. ἐπεὶ δὴ δὲ βραχύτι μέρος λαβόντες ἐξ ἡμιτόμου ἐπιστολῆς, πεθείκασιν ἐν ἀρχῇ τῆς ἰδίων λόγων, ἀπειλοῦντες ἡμᾶς ἐπὶ

κα-

* Σκοπὸς, ἢ

* Γρ. εἰ γὰρ ἀνέχοντο ἐκείνοις

* παρ' αὐτῶν

* ἐκκλησίᾳ

* αὐτῆς φρατρίας

* χυγχρίνων χρωμένους

* Γρ. παρ'

* φρονεῖν καὶ φρονεῖν

* προσώποις, ἢ

* καὶ

* Γρ. καὶ

* ἐκλαμβάνεσθαι

* οἱ διιστάντες

* καὶ

* Γρ. καὶ

* Γρ. καὶ

* Γρ. καὶ

* ἀδιάσπαστον

* Γρ. καὶ

* Γρ. καὶ

* ἐμψυχωμένης ψυχῇ λογικῇ

* Γρ. καὶ

* ἀδιάσπαστον

* Γρ. καὶ

* Γρ. καὶ

* Γρ. καὶ

καιρȣ̃ διελέγχειν, ὡς ȣ̓ μετρίως ἡμαρτηκότας εἰς τὸν ἐκ Θεȣ̃ πατρὸς λόγον, καὶ τῇ αὐτȣ̃ φύσει τὴν τῇ σαρκὶ πρέπȣσαν αὔξησίν τε, καὶ προκοπὴν ἀβουλότατα προσνενεμηκότας· φέρε καὶ πρός γε ταῦτα τὰ εἰκότα λέγωμεν, ὅλον παραθέντες τῆς ἐπιστολῆς τὸ μέρος. * δεδοικότες γὰρ αὐτοὶ τὴν ἀλήθειαν, καὶ συναρπάζοντες τȣ̀ς ἀκροωμένȣς, μέρος τι τεθείκασιν, ὅπερ αὐτοῖς ἐδόκει χρειωδέστατον εἶναι πρὸς τὸ δύνασθαί τε, * καὶ μὴν καὶ * δοκεῖν εὐλόγȣς τὰς καθ' ἡμῶν ποιεῖσθαι συκοφαντίας· ἔχει δὲ ȣ̓τως τὸ εἰρημένον· κἂν ἀκȣ́σῃς, ὅτι προέκοπτεν ὁ Ἰησȣ̃ς ἡλικίᾳ, καὶ σοφίᾳ, καὶ χάριτι, μὴ σοφὸν ἐξ ἐπιδόσεως νομίσῃς γενέσθαι τὸν τȣ̃ Θεȣ̃ λόγον· διαμεμνήσομαι δὲ μᾶλλον γεγραφότος ὠδὶ τȣ̃ θεσπεσίȣ Παύλȣ· Χριστὸς Θεȣ̃ δύναμις, καὶ Θεȣ̃ σοφία. μὴ δὲ αὖ ἐκεῖνο φλυνάφως τολμήσῃς εἰπεῖν· ὅτι τὸ προκόπτειν ἐν ἡλικίᾳ τε, καὶ σοφίᾳ, καὶ χάριτι, τῷ ἀνθρώπῳ προσάψομεν· τȣ̃το γάρ ἐστιν * οἶμαι ἕτερον ȣ̓δὲν, ἢ διελεῖν εἰς δύο τὸν ἕνα Χριστόν· ἀλλ' ὥσπερ ἔφην ἀρτίως, προαιώνιος ὢν ὁ υἱὸς, ἐν ἐσχάτοις τȣ̃ αἰῶνος καιροῖς εἰς υἱὸν ὡρίσθαι λέγεται Θεȣ̃, τῆς ἰδίας σαρκὸς τὴν γένησιν οἰκειȣ́μενος οἰκονομικῶς· ȣ̓τω καὶ ὑπάρχων σοφία τȣ̃ γεγενηκότος, προκόπτειν ἐν σοφίᾳ λέγεται, καί τοι παντέλειος ὢν ὡς Θεὸς, τὰ τῆς ἀνθρωπότητος ἴδια διὰ τὴν εἰς ἄκρον ἕνωσιν εἰς ἑαυτὸν εἰκότως ἀναλαβών. ἀνθ' ὅτȣ δὴ ȣ̓ν Θεȣ̃ λέγοντος· κρίμα δίκαιον κρίνατε· παραλογίζονται τὴν ἀλήθειαν; ȣ̓τε γὰρ μερισμὸν τῆς ὑποστάσεων μετὰ τὴν ἕνωσιν δογματίζομεν, ȣ̓τε τὴν τῆς θεότητος φύσιν αὐξήσεώς τε, καὶ προκοπῆς δεδεῆσθαί φαμεν, ἐκεῖνο δὲ μᾶλλον· ὅτι κατ' οἰκείωσιν οἰκονομικὴν ἑαυτοῦ πεποίηται τὰ ἴδια τῆς σαρκὸς, ὡς σὰρξ γεγονὼς κατὰ τὰς γραφάς. ὅτι δὲ τῇ τοιᾷδε πίστει τε, καὶ δόξῃ καὶ ὁ τῆς ἁγίων πατέρων συνᾴδει χορὸς, ἐπιδεῖξαι πειράσομαι, παραθεὶς * εἰς πληροφόρησιν ἐξηγήσεως μέρος, γενομένης κατὰ καιρȣ̀ς, παρὰ τȣ̃ τῆς μακαρίας μνήμης Ἀττικȣ̃· ἔχει δὲ ȣ̓τως.

* δεδιότες.
* ἴσ. καί.
* εὐδοκεῖν εὐλόγως.
Λυκ. 2. 52.
1. Κορίν. 1. 24.
* οἶμαι, καὶ ἕτερον.
Ῥωμ. 1. 4.
Δεύτ. 1. 16.
Ἰωάν. 1.
* καὶ πληροφορίαν.

Ἀττικȣ̃ ἐπισκόπȣ Κωνσταντινȣπόλεως.

Σήμερον Χριστὸς ὁ δεσπότης τὴν τῆς φιλανθρωπίας γένησιν ἀνεδέξατο, τὴν γὰρ τῆς θεϊκῆς ἀξίας προϋπῆρχεν· εἶτα τȣ́τοις ἐπιφέρει πάλιν. ὁ τῆς φιλανθρωπίας λόγος κενȣ̃ται, ἀκένωτος τὴν φύσιν ὑπάρχων· ἑαυτὸν γὰρ ἐκένωσε, μορφὴν δούλȣ λαβών· ὁ ἄσαρκος διὰ σὲ σαρκȣ̃ται, ὁ γὰρ λόγος σὰρξ ἐγένετο· ὁ ἀφῇ μὴ ὑποπίπτων διὰ τὸ τῆς φύσεως ἀσώματον, ψηλαφᾶται. ὁ ἄναρχος ὑπὸ ἀρχὴν γίνεται σωματικὴν· ὁ τέλειος αὔξει· ὁ ἄτρεπτος προκόπτει· ὁ πλούσιος ἐν καταλύματι γίνεται· ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις σπαργανοῦται· ὁ βασιλεὺς ἐν φάτνῃ τίθεται.

Φιλίππ. 2.
Ἰωάν. 1.
Ψαλμ. 146.

Ὅτι δὲ διαιρεῖν τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν οὐκ ἀπλημμελὲς, μᾶλλον δὲ ἀνατρεπόντων ἐστὶ τὸ σεπτὸν τῆς ἐνανθρωπήσεως μυστήριον, οὐδὲν ἧττον εἰσόμεθα, τοῖς ἐντεταγμένοις ἐντυγχάνοντες ῥητοῖς Γȣλίȣ τε, καὶ Φήλικος, τῶν ἀφηγησαμένων κατὰ καιρȣ̀ς τῆς Ῥωμαίων ἐκκλησίας.

Ἰȣλίȣ ἐπισκόπȣ Ῥώμης.

Κηρύσσεται δὲ εἰς συμπλήρωσιν τῆς πίστεως καὶ σαρκωθεὶς ἐκ παρθένȣ Μαρίας ὁ τȣ̃ Θεȣ̃ υἱὸς, καὶ σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσας· τοῦτο γὰρ ἐπὶ προφητῶν ἐστι, καὶ ἀποστόλων· τέλειος Θεὸς ἐν σαρκὶ, καὶ ἄνθρωπος τέλειος ἐν πνεύματι· ȣ̓ δύο υἱοὶ, εἷς μὲν γνήσιος υἱὸς ἀναλαβὼν ἄνθρωπον, ἕτερος δὲ θνητὸς ἄνθρωπος ἀναληφθεὶς ὑπὸ Θεȣ̃, ἀλλ' εἷς ὁ μονογενὴς ἐν οὐρανῷ, καὶ μονογενὴς ἐπὶ τῆς γῆς, Θεός.

Φήλικος τȣ̃ ἁγιωτάτȣ ἐπισκόπȣ Ῥώμης, καὶ μάρτυρος.

Περὶ δὲ τῆς σαρκώσεως τȣ̃ λόγȣ, καὶ τῆς πίστεως, πιστεύομεν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐκ τῆς παρθένȣ Μαρίας γεννηθέντα. ὅτι αὐτός ἐστιν ὁ τȣ̃ Θεȣ̃ ἀΐδιος υἱὸς, καὶ λόγος, καὶ οὐκ ἄνθρωπος ὑπὸ Θεȣ̃ ἀναληφθεὶς, ἵν' ἕτερος ᾖ παρ' ἐκεῖνον. ȣ̓δὲ γὰρ ἄνθρωπον ἀνέλαβεν ὁ τȣ̃ Θεȣ̃ υἱὸς, ἵνα ᾖ ἕτερος παρ' αὐτόν· ἀλλὰ Θεὸς ὢν τέλειος, γέγονεν ἅμα καὶ τέλειος ἄνθρωπος, σαρκωθεὶς ἐκ παρθένȣ.

Ἀναθεματισμὸς ζ'.

Εἴ τίς φησίν, ὡς ἄνθρωπον ἐνηργῆσθαι ὑπὸ τȣ̃ Θεȣ̃ λόγȣ τὸν Ἰησοῦν, καὶ τὴν τȣ̃ μονογενοῦς εὐδοξίαν περιῆφθαι, ὡς ἑτέρῳ παρ' αὐτὸν ὑπάρχοντι· ἀνάθεμα ἔστω.

Ἀντίῤῥησις τῆς ἀνατολικῶν.

Ἐνηργῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὑπὸ τȣ̃ πνεύματος ὡς ἄνθρωπον ἁπλῶς, ἢ ὡς προφήτην, ἢ ὡς ἀπόστολον, ȣ̓δεὶς ἂν ὁμολογήσειε· τὰς μέντοι ἀποστολικὰς φωνὰς περὶ αὐτȣ̃ διὰ τὴν τῆς φαινομένης σαρκὸς φύσιν εἰρημένας, ȣ̓τω ἀρνησόμεθα, ȣ̓τω * ἂν ἐξαλείψαιμεν, ποτὲ μὲν λεγȣ́σας· κατὰ τὴν ἐνέργειαν τȣ̃ κράτȣς τῆς ἰσχύος αὐτȣ̃ ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, λύσας τὰς ὀδύνας τȣ̃ θανάτȣ· καὶ πάλιν· τῇ δυνάμει τȣ̃ Θεȣ̃ ὑψωθείς· καὶ ὅσα τοιαῦτα. ἀλλ' εἰ καὶ ταῦτα πρόσκειται διὰ τὸ φαινόμενον, ȣ̓δεὶς ἂν ἐκλάβοι ἢ ὡς ἄνθρωπον ἁπλῶς * ἑαυτὸν ἐνεργȣ́μενον, ἢ ὡς δίκαιον, ἢ ὡς προφήτην, ἢ ὡς ἀπόστολον· ȣ̓τ' * αὖ τὰς θείας φωνὰς ἐξαλείφομεν, ἢ ἀρνȣ́μεθα, ἢ ἀμαθῶς τε ὁμȣ̃, καὶ βλασφήμως ἀναθεματίζομεν, εἰρημένας, καὶ κειμένας διὰ τὴν τῆς φαινομένης σαρκὸς φύσιν, ȣ̓τε ὡς ἄνθρωπον ἁπλῶς, ἢ ὡς δίκαιον, ἢ ὡς προφήτην, ἢ ὡς ἀπόστολον ἐνηργῆσθαι φήσομεν· ȣ̓ γὰρ ἔλεγε. τάδε λέγει κύριος· ἀλλ' ὡς υἱὸς νομοθετῶν· ἐγὼ δὲ λέγω ὑμῖν.

* αὖ ἐξαλείψαιμεν.
Ἐφεσ. 1. 19
Πραξ. 2.
* ἴσ. αὐτόν.
* ὄν τάς.
Ματθ. 5.

Ἀπολογία Κυρίλλȣ.

Καὶ νῦν ἡμῖν ȣ̓δὲν ἧττον διὰ τῶν ἴσων ἔρχε-

χεται λόγων τῆς ἀπολογίας ὁ ξόπος· εἷς μὲν γάρ ἐστιν ὁμολογουμένως ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ αὐτὸς * εἶναι πεπιστευμένος καὶ ἐκ Θεοῦ πατρὸς λόγος ἀίδιός τε, καὶ προαιώνιος, καὶ ὃν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ἄνθρωπος ἐκ γυναικὸς, παράδοξον ἐγκεκρατημένως τῷ κατὰ σάρκα γέννησιν. ἀλλ' εἷς ὑπάρχων υἱὸς, καὶ Θεὸς, καὶ κύριος, ἐργάζετο τὰς θεοσημείας διὰ τῆς ὑπὲρ ἄνθρωπον ἰσχύος, πληροφορῶν. ὅτι, καὶ εἰ γέγονε σὰρξ, ἀλλ' ὅμως ἦν τότε καὶ ὅτω Θεὸς ἀληθινὸς, καὶ δυνάμεις τοῦ πατρός· ὁ γὰρ πέπαυται τοῦ εἶναι ὃ ἦν, γενόμενος ἄνθρωπος. ἐπλήρου τοιγαροῦν τὰ παράδοξα. τοῦτο μὲν δαιμονίοις ἐπιτιμῶν, καὶ σωτείβων τὸν σατανᾶν· τοῦτο δὲ τυφλοῖς τὸ φῶς ὀνιείς· νεκροὺς * ἀνιστῶν· θάλασσαν ἀγειαίνουσαν σοὶ καταδυάζων ῥήματι, οὐχ ὡς ἄνθρωπόν τινα, καὶ ἕτερον ὄντα καταμόνας Χριστὸν δοξάζεσθαι ποιῶν, καθάπερ ἀμέλει καὶ σὺν τῷ ἁγίων προφητῶν, * ἢ γοῦν ἀποστόλων. ἀλλ' ἑαυτῷ τὴν δόξαν πραγματευόμενος, ἵνα παρὰ πάντων πιστεύηται Θεὸς ὢν φύσει, καὶ εἰ γέγονεν ἄνθρωπος. ἵνα δ' ἂν ἄρα τῶν ἐκτοπωτέρων ἀναχέσθαι Νεστορίου λέγοντος· κοιναὶ γάρ αἱ τῆς Τριάδος ἐνέργειαι, καὶ μόναις ὑποτάσεσι τὴν διαίρεσιν ἔχουσαι· ἦγουν τοῦ μονογενοῦς ἡ δόξα ποτὲ μὲν τῷ πατρὶ περιῆπται, ποτὲ δὲ τῷ πνεύματι, ποτὲ δὲ τῇ τοῦ Χριστοῦ δυνάστεια. οὐκοῦν ἡ δεικνύτωσαν οἱ ἐπιτιμᾶν ἐθέλοντες ἕτερον ἡμῖν Χριστὸν ἰδίᾳ, καὶ ἀναμέρος ὑπάρχοντα, καὶ νοούμενον. ᾧ τινὶ ἑαυτοῦ δυνάστειαν περιῆψεν ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, ὡς ἕτερος ὢν παρ' αὐτὸν * ἰδίκως ὁ υἱός· καὶ ἢ εἰ μή ἐστιν ἕτερος, καὶ ἕτερος, ἀλλ' εἷς τε, καὶ ὁ αὐτὸς καὶ ἐκ παρθένου μονογενὴς, καὶ γυναικὸς ἄνθρωπος κατὰ σάρκα. πῶς λοιπὸν ἀκόλουθον ἐλέσθαι σιγᾶν, καὶ οὐχὶ δὴ μᾶλλον * ἀνταναστῆσαι πάλιν τῆς ἀληθείας τῷ δόγματι τοῖς παρ' ἐκείνου βαττυρισμοῖς, τῆς τῶν ἀσεβείας δογμάτων τὸ κάλλος παρασημαίνουσι; λοιπὸν μὲν οὖν, καὶ ἔστι Θεὸς ὁ υἱός. ἐπειδὴ δὲ ἅπαξ τὸ τῆς ἀνθρωπότητος ὑπέδυ * μέτρον, καὶ οὐκ ἀπόβλητον ἐποιήσατο τῷ οἰκονομίαν, ὑπέμεινε δὲ πάντα διὰ τὴν * ἑκόντι χρείωσιν * ἐθέλοντι δι' ἡμᾶς. ταύτη τοι, καὶ τοι κατὰ φύσιν ὑπάρχων ζωὴ, ζωοποιεῖσθαι λέγεται παρὰ τοῦ πατρός· καὶ τῆς δόξης κύριος ὢν, δόξαν λέγεται λαβεῖν. ἔφη γοῦν ὁ Ἑβραῖος ἐξ Ἑβραίων, ὀνομαθὴς ἀληθῶς, καὶ ἐκ φυλῆς Βενιαμίν· Παῦλος ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ πατρὸς, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, καὶ δόξαν αὐτῷ δόντος. ἀλλὰ καίτοι λεγόμενος δόξαν λαβεῖν παρὰ τοῦ πατρὸς, διήκοντος τοῦ προσώπου ἐπὶ τὸ τῆς ἀνθρωπότητος μέτρον, οἷόν ἑαυτὸν ἔχοντα, καθὸ νοεῖται καὶ ἔστι Θεὸς, τὸ ὑπὲρ κτίσιν ἀξίωμα. ἔφη γοῦν· πάντα μοι παρεδόθη παρὰ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τίς ἐστιν ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει τίς ἐστιν, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἂν υἱὸς ἀποκαλύψῃ. ἀλλ' ἴσως ἐρεῖ τις τῶν φιλομαθεστέρων· εἰ πάντα σοι παρεδόθη παρὰ τοῦ πατρός, ὡς δόξης δεδεημένῳ, καὶ δοτὸν ἔχειν ὀφείλοντι τὸ κατὰ * πάντων κράτος διὰ τὸ ἀνθρώπινον, πῶς ἀνίφικτον ταῖς ἀνθρώπων διανοίαις εἶναι φῆς τὸ εἰδέναι σε, καθάπερ ἀμέλει καὶ τὸν πατέρα; ἀλλὰ ναὶ, φησὶν, ἃ μέχρι τῆς ὁρωμένης ἢ ἐπ' ἐμοὶ συστέλλεται γνῶσις. ἐμοὶ γὰρ Θεὸς ὢν σαρκὶ, καὶ αἵματι, κατὰ μὲν τὴν σάρκα γνωσκόμενος, κατὰ δὲ τὴν θειότητος φύσιν τε, καὶ δόξαν ἰσομέτρως ἔχων τῷ Θεῷ, καὶ πατρὶ, καὶ νῷ, καὶ λόγῳ πάντως ἐπίσκεπτα τρίχων. ἐκεῖνο, ἀνθίξομαι γὰρ τῆς τῶν προκειμένων ἐννοίας, ὅτε τὰς ἀποστολικὰς ἀναιρεῖσθαι φωνὰς, μὴ γένοιτο, ὅτε μὴν ἕτερα ἄττα παρὰ τὸ εἰκὸς ἢ φρονοῦντες, ἢ λέγοντες, τοῖς τῆς ἀνθρωπίσεως ἀντιπράττομεν λόγοις· ἑπόμενοι δὲ πάντῃ τοῖς ἱεροῖς γράμμασι, καὶ ταῖς τῶν θεηγόρων φωναῖς τὸ χρῆναι κρατεῖν ἀποκείμενοι, ἀνταναιστάμεθα μόνοις τοῖς τὰ ὀρθὰ τῆς ἐκκλησίας δόγματα διαστρέφουσιν. ὅτι δὲ ὁ πατὴρ ἐκ νεκρῶν ἀναστῆσαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λέγεται, ἐνεργεμένῃ δηλονότι περὶ τὴν σάρκα αὐτοῦ τοῦ πράγματος, ἐκ ἂν ἐνδοιάσειέ τις. αὐτὸς δὲ ὑπάρχων, ἡ ζωὴ, ζωοποιός τε, καὶ ἐνεργὴς δύναμις τοῦ πατρὸς, τὸν ἴδιον ἐζωοποίει ναόν· * καταλύσατε τὸν ναὸν τοῦτον, φησὶ, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ἵνα οὖν ἄρα τὸ ζωοποιούμενον οὐκ ἀλλότριον, οὔτε μὴν ἐξ ἡμᾶς ἀνθρώπων, ἀλλ' ἴδιον αὐτοῦ τὸ λόγου σῶμα.

* καὶ τὸ λέγειν τὸν ναὸν. Ἰωάν. β. 19.

Ἀναθεματισμὸς ἡ.

Εἴ τις τολμᾷ λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῷ Θεῷ λόγῳ, καὶ συνδοξάζεσθαι, καὶ συγχρηματίζειν Θεὸν, ὡς ἕτερον ἑτέρῳ· τὸ γὰρ συνὶ, ἀεὶ προστιθέμενον παρὰ τὸ νοεῖν ἀναγκάσει· καὶ οὐχὶ δὴ μᾶλλον μιᾷ προσκυνήσει τιμᾷ τὸν Ἐμμανουὴλ, καὶ μίαν αὐτῷ τὴν ὁμολογίαν * συνάπτει, καθὸ γέγονε σὰρξ ὁ λόγος· ἀνάθεμα ἔστω.

* ἀνάπτει, ἢ ἀναπέμπει.

Ἀντίῤῥησις τῆς ἀναπολικῶν.

Τὸ συμπροσκυνεῖσθαι, καὶ συνδοξάζεσθαι, ὡς περὶ προσώπων, ἢ ὑποστάσεων, ἢ υἱῶν δύο οὐ λέγομεν, ὡς τῇ σαρκὶ ἑτέρως προσκυνήσεως γενομένης, καὶ τῷ Θεῷ λόγῳ ἑτέρως· ἀλλὰ μᾶλλον μίαν προσκυνήσιν, καὶ τὰ λοιπὰ, ὡς τῷ υἱῷ προσφέρομεν, καὶ τὸ συμπροσκυνεῖσθαι, ὡς καὶ αὐτὸς ἐν τῷ πρώτῳ τόμῳ λέγει· καὶ τοι γὰρ ἀεὶ συνεδόξων ὡς λόγος τῷ ἰδίῳ πατρὶ, καὶ ὃς αὐτοῦ τε, καὶ ἐν αὐτῷ καὶ φύσιν ὑπάρχων, πάλιν ἔφασκε * λέγοντος καὶ μετὰ σαρκός· καθὼς ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· ὅπως καὶ προσκυνεῖσθαί φαμεν αὐτὸν πρός τε ἡμῶν αὐτῷ, καὶ τῶν ἁγίων ἀγγέλων. πρὸς ὃν ταὐτὰ φαμὲν, ὡς πάνυ ἐπιστημονικῶς ἐπέσκηψε τοῖς σὺν τῇ σαρκὶ προσκυνεῖν τῷ σοὶ, καὶ τῷ αὐτῷ υἱῷ βουλομένοις· ὡς ἑτέρου τινὸς ὄντος παρὰ τὸ, σὺν, τὸ μετά· ὅπερ οὐκ ἔθηκεν, ὡς προσήκοντα, λέγων αὐτὸν μετὰ σαρκὸς δεῖν προσκυνεῖσθαι, ἀποφορδὸν δὲ συμπροσκυνεῖσθαι τῇ θειότητι τῆς σαρκός.

* λέγοντα. Ψαλμ. ριθ.

Ἀπολογία Κυρίλλου.

* Νενικήκατε ἡμᾶς ὁ θεοπίστιος Παῦλος ἀπο-

* Νενικήκατε.

Luc. 4. 10. Joan. 11. Matth. 14. * ἐνιστάς.

* ἐκστήσων.

* ἰδιαζόντως.

* ἀνταναστῆσαι.

* μέτρον ἑκ.

* ἰδιαζόντως.

Psalm. 2. 8. Joan. 1. Hebr. 2. 11. Gen. 11. 27.

2. Κορινθ. 11. φαίνει, λέγων· ἑαυτὸς δοκιμάζετε, εἰ ἐστὲ ἐν τῇ πίστει. γὸς μὲν γὰρ ὁ ἀνθρώπινος ὑπὸ φιλαυτίας ἔοθ' ὅπε, κἂν εἰ ἔξω φέροιτο τῆς ἀληθείας ὁδὸς, κ τῷ τῆς ἀληθείας δογμάτων ἀποφοιτῶσαν ἔχοι τιὼ κίνησιν, τῷ ἰδίων ἐννοιῶν καθορίζειν τὸ ἀπηχὲς οἰκεῖ πῶς ἀεὶ κ δέδιεν· ἑαυτὸν γε μὴν ἐπανορθώσεται κ μάλα ῥᾳδίως, τὸς τῷ ἁγίων πατέρων πολυπραγμονήσας πάνυς, οἳ κ ἐπ' ὀρθότητί τε, κ ἀκριβείᾳ δογμάτων δῆλον ἔχουσι παρὰ πάντων τιὼ ἀφημίαν. τότε τιὼ οἰκείαν ἀτέχνως δοκιμάσει πίστιν· σκοπὸς γὰρ ἅπασι τοῖς ἀρτίως τιὼ φρενῶν, ταῖς ἐκείνων ἕπεσθαι δόξαις· ὅτι κ αὐτοὶ τῆς τε ἀποστολικῆς, & ἀγγελικῆς παραδόσεως τὸν οἰκεῖον ἐμπλήσαντες νοῦν, κ τῷ ἐπὶ τῇ πίστει λόγῳ ὀρθῶς τε, κ ἀμωμήτως ἐκ τῶν ἱερῶν γραμμάτων εὖ μάλα κατωρθωκότες, φωστῆρες ἦσαν ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες κατὰ τὸ γεγραμμένον. γράφει τοίνυν ὁ τῆς ἀϊδίου μνήμης πατὴρ ἡμῶν, κ ἐπίσκοπος Ἀθανάσιος περὶ τῆς πάντων ἡμῶν σωτῆρος Χριστοῦ ἐν τοῖς περὶ τῆς σαρκώσεως· ὁμολογοῦμεν κ εἶναι αὐτὸν υἱὸν τοῦ Θεοῦ, κ Θεὸν κατὰ πνεῦμα, υἱὸν ἀνθρώπου κατὰ σάρκα. ἃ δύο φύσεις τὸν ἕνα υἱὸν, μίαν προσκυνητιὼ, κ μίαν ἀπροσκύνητον, ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένου, κ προσκυνουμένου μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾷ προσκυνήσει· οὐδὲ δύο υἱοὺς ἄλλον μὲν υἱὸν Θεοῦ ἀληθινὸν κ προσκυνούμενον, ἄλλον δὲ ἐκ Μαρίας ἄνθρωπον μὴ προσκυνούμενον, κατὰ χάριν δὲ υἱὸν Θεοῦ νομούμενον, ὡς κ ἄνθρωποι. κ μετ' ἕτερα πάλιν. ὁ τοίνυν γνωσθεὶς ἐκ τῆς παρθένου Μαρίας, υἱὸς Θεοῦ φύσει, κ Θεὸς ἀληθινὸς, κ ὁ χάριτι κ μετουσίᾳ, κατὰ σάρκα μόνῳ τιὼ ἐκ Μαρίας ἄνθρωπος, κατὰ δὲ πνεῦμα αὐτὸς υἱὸς Θεοῦ, κ Θεός. κ πάλιν. εἰ δέ τις παρὰ ταῦτα ἐκ τῶν θείων γραφῶν διδάσκει, ἕτερον λέγων υἱὸν τοῦ Θεοῦ, κ ἕτερον τὸν ἐκ τῆς Μαρίας, κατὰ χάριν υἱοποιηθέντα ὡς ἡμεῖς· ὡς εἶναι δύο υἱούς, ἕνα κατὰ φύσιν υἱὸν Θεοῦ τὸν ἐκ Θεοῦ, κ ἕνα κατὰ χάριν τὸν ἐκ Μαρίας ἄνθρωπον· ἢ εἴ τις τιὼ τοῦ κυρίου ἡμῶν σάρκα ἄνωθεν λέγει, κ μὴ ἐκ τῆς παρθένου Μαρίας· ἢ ξαπεῖσαν τιὼ θεότητα εἰς σάρκα, ἢ συγχυθεῖσαν, ἢ ἀλλοιωθεῖσαν, ἢ καθητιὼ τιὼ τοῦ κυρίου θεότητα· ἢ ἀπροσκύνητον τιὼ τοῦ κυρίου ἡμῶν σάρκα ὡς ἀνθρώπου, κ μὴ προσκυνητιὼ, ὡς κυρίου, κ Θεοῦ σάρκα· τοῦτον ἀναθεματίζει ἡ ἁγία, κ καθολικὴ ἐκκλησία, Γαλατ. 2. 9. πεποιθομένη τῷ θείῳ ἀποστόλῳ λέγοντι· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. *κηρύσσει. Ταῦτα φρονοῦντος κ *γράφοντος ἡμῖν τοῦ ἀνδρὸς, ὁ τῇ Χριστοῦ δόξῃ πολεμεῖν ἠρημένος, κ ἀπύλωτον *αὐτιὼ. ἐπ' αὐτῷ τιὼ γλῶσσαν ἀνεὶς Νεστόριος, ὅτῳ πω πάλιν φησίν· ὁμολογοῦμεν τὸν ἐν ἀνθρώπῳ Θεόν. σεβόμενοι τῇ θείᾳ συναφείᾳ τῷ Θεῷ λόγῳ συμπροσκυνούμενον ἄνθρωπον. ἆρ' οὐκ ἐναργῶς, θεοφόρον ἄνθρωπον ὀνομάζει Χριστόν, κ συνάφειαν ἁπλῶς ἀνθρώπου φησὶ γεγενῆσθαι πρὸς Θεόν, κατ' ἐκεῖνο τάχα πω τὸ ὑπὲρ τῆς Παύλου φωνῆς· ὁ κολλώμενος τῷ κυρίῳ, ἓν πνεῦμά ἐστί; κ πῶς οὐκ ἀληθὲς, ὅτι μᾶλλον *ὁ αὐτὸς Θεός τε ὁμοῦ, κ ἄνθρωπος, κ ἐκ ἀνθρώπου τις ἀνὰ μέρος τε, κ ἰδικῶς νομούμενος, κ πρὸς γε τὸ Θεὸν ἀνὰ μέρος ἐχόμενος συνάφειαν πρὸς Θεόν; μὴ γάρ τοι τιὼ ἄφρασον ἔννοιαν κἂν εἴ τις λέγῃ Θεὸν τὸν Ἐμμανουὴλ ἐνανθρωπήσαντα, κ σεσαρκωμένον, τὸν τοῦ Θεοῦ λόγον νοεῖσθαι πρέπει· κἂν ἄνθρωπον ὀνομάσῃ, ἀλλ' οὐδαμοῦ μὴ τότε κ λόγον ὄντα αὐτὸν τοῦ πατρός. ἔστι τοίνυν ἕτερον τὸ εἶα λέγειν υἱὸν μὴ τῆς ἐνωθείσης αὐτῷ σαρκὸς τὸν ἐκ Θεοῦ πατρὸς λόγον, κ ὁμοίως ἕτερον τὸ ἐν ἀνθρώπῳ λέγειν εἶναι Θεόν, καθάπερ ἀμέλει κ ἐν προφήταις ἰοῦ, ἦγον καὶ ἐν ἡμῖν αὐτοῖς δι' ἁγίου πνεύματος ἀκινδύνως δὲ, κ ἀληθῶς, ὥς γε οἶμαι, φαίη τις ἄν, ὅτι ὁ σαρκωθεὶς τοῦ Θεοῦ λόγος, ὡς εἷς ὑπάρχων υἱὸς, οὐχὶ δίχα τῆς ἑαυτοῦ σαρκός, μὴ ταύτης δὲ μᾶλλον, ἐστὶ προσκυνητός. καθάπερ ἀμέλει κ ἡ τοῦ ἀνθρώπου ψυχὴ μὴ τοῦ ἰδίου τιμᾶται σώματος, κλήσει δὲ μιᾷ τὸ ἐξ ἀμφοῖν, ὡς ἓν ζῶον σημαίνεται. ὅταν τοίνυν περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ τοὺς λόγους ποιεῖσθαι προθυμούμενος διέλῃς εἰς δύο τὸν εἶα, κ ἄνθρωπον ἰδικῶς, κ ἀνὰ μέρος νοούμενον ἀποφήνῃς, εἶτα τοῦτο συμπροσκυνεῖσθαι δεῖν, κ συγχρηματίζειν Θεόν, ὡς ἑτέρῳ παρ' αὐτὸν ὑπάρχοντι Χριστῷ τῷ ἐκ Θεοῦ κατὰ φύσιν υἱῷ, τολμήσῃς εἰπεῖν, τίς ὁ χαρτερῆσαι δυνάμενος, κ τιὼ ὅπῃ προφανῆ γλωσσαλγίαν κατ' αὐτοῦ *σιωπῇ παραξέχων; ἔδει γὰρ μᾶλλον εἰπεῖν· *σέβομεν τὸν τοῦ Θεοῦ λόγον, ἡνωμένον ἄνθρωπον, κ χρηματίζοντα Θεόν, κ ἐν ἀνθρωπότητι προσκυνούμενον, ὅτι κ φύσει Θεός ἐστι, κ ἐκ Θεοῦ πέφυκε παρός. ἀλλὰ γὰρ ναὶ, φασὶν οἱ δι' ἐναντίας, *ἀλώσῃ πω κ αὐτὸς ἐν ἐπιστολῇ γεγραφώς· ὅτι συνήδρασεν ὁ υἱὸς τῷ πατρὶ μετὰ τῆς ἰδίας σαρκός. εἶτα πῶς ἐπιλαμβάνῃ τοῦ λέγοντος, ὅτι χρὴ συμπροσκυνεῖσθαι τὸν ἄνθρωπον τῷ Θεῷ λόγῳ, καὶ συγχρηματίζειν Θεόν; ταυτὸν γάρ ἐστιν εἰπεῖν κ τὸ, σωὺ, κ τὸ, μετά. ἀκοῦν ἠγνοηκότας ἐλέγχωμεν τῷ ἐρημένων τιὼ δύναμιν, & *τῇ τῷ πραγμάτων οὐκ ἐνορῶντας *φύσει. ὅταν μὲν γὰρ ἐφ' ἑνὸς προσώπου, καὶ φύσεως, ἤγουν ὑποστάσεως μιᾶς βασανίζων ὁ λόγος τὰ ἐξ ὧν ἐστιν, ἥτοι σύγκειται φυσικῶς, ἐπιφέρῃ τὸ συὴν, ἤτοι τὸ, μετὰ, τετήρηκε τῷ σημαινομένῳ, καὶ οὕτω τὸ εἷς εἶναι κατὰ σύνθεσιν, κ οὐκ εἰς δύο διῃρημένως *διοριεῖ· ὅταν δὲ *προδιῃρημένων ὑποστάσεων εἰς δύο, καὶ πρός γε τὸ δεῖν ἀνὰ μέρος ἑκάτερον νοεῖσθαι κ ἰδικῶς τὸ, σωὺ *ἤγουν τὸ, μετὰ λέγηται, τότε δυοῖν, ἢ κ ἔτι πλειόνων αὐτὸ, κ οὐχ ἑνὸς κατὰ συνθεσιν ποιεῖσθαί φαμεν τιὼ δήλωσιν. οἷον εἰ λέγοιμεν τυχὸν συντιμᾶσθαι τῷ ἰδίῳ σώματι τιὼ τοῦ ἀνθρώπου ψυχιὼ. εἴ τις γένοιτο *παρ' αὐτοῦ τιμὴ περὶ τὸν εἶα ἄνθρωπον, ὃς ἔστιν ἐξ ἀμφοῖν· ἤγουν, εἴ τις λέγει ἓν ζῶον εἶναι μὴ τῷ ἰδίου σώματος, οὐχὶ πάντως εἰς ἄνθρωπος δύο διοριεῖ τὸν ἕνα. φαίνεται δὲ μᾶλλον οὐκ ἠγνοηκὼς τὰ ἐξ ὧν ἐστιν, ἥτοι συντέθειται φυσικῶς· ὅταν δὲ εἴπω. Πέτρος τε, κ Ἰωάννης συγχρηματίζουσιν ἄνθρωποι, ἢ γοῦν, ὅτι μὴ Πέτρου κ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν, οὐκέτι τὸ, σωὺ, ἢ γοῦν τὸ, μετὰ, τιὼ ἑνὸς ποιεῖται δήλωσιν. οὐ γὰρ συντέθειται Πέτρος Ἰωάννῃ. ἀλλ' οὐδὲ εἰς ἑνὸς ἀνθρώπου σύστασιν τελοῦσιν ἀμφότεροι.

*ἴσως, τὸν ἐπὶ τῇ πίστει λόγον.

Φιλιπ. 2. *ἀϊδίμ.

*διαίρει. *προδιαίρ. *μίαν. *εἴπω.

τί

τί τοίνυν * σοφίζονται τὴν ἀλήθειαν, διαιροῦντες ἀμαθῶς εἰς δύο Χριστοὺς τὸν ἕνα; εἰ δὲ νομίζουσιν, ὅτι συνεδρεύειν λέγοντες τῷ πατρὶ τὸν υἱὸν μετὰ τοῦ ἰδίου σώματος, δύο νοεῖσθαι δεδώκαμεν υἱοὺς, ἐρευνάτωσαν, εἰ μὴ ἕνα λέγοντες υἱὸν, μιᾷ συνεδρεύσει τετιμῆσθαί φαμεν, καὶ οὐ δυσὶ μᾶλλον· ὡς μίαν μὲν, καὶ ἰδικὴν ἐκνενεμῆσθαι τῷ σώματι, ἑτέραν δὲ πάλιν καὶ ἰδικὴν τῷ λόγῳ. ἀλλ' οὐκ ἂν ἔχοιεν ἐπιδεῖξαι τοῦτο· πῶς γὰρ, ἢ πόθεν; ἕνα γὰρ ὄντα υἱὸν μετὰ τῆς ἰδίας σαρκὸς τὸν υἱὸν Θεόν τε ὁμοῦ, καὶ ἄνθρωπον τὸν αὐτὸν, μιᾷ συνεδρεύσει τῇ πρὸς τὸν πατέρα διαπρέπειν διαβεβαιούμεθα· τό γε μὴν συμπροσκυνεῖσθαι λέγειν ἄνθρωπον Θεῷ, καὶ συγχρηματίζειν Θεὸν, δύο που πάντως ὁμολογεῖν ἐστι τοὺς προσκυνουμένους, * ἢ καὶ ἀλλήλοις συγχρηματίζοντας. εὐήθης δὲ λίαν, καὶ τῶν εἰς ὀρθότητα, καὶ ἀλήθειαν ἐννοιῶν ἀλλότριος παντελῶς ὁ τοιός δε λόγος. γέγονε τοίνυν ἀναθεματισμὸς κατὰ τῶν ὁλοτρόπως διοριζόντων τὸν Ἐμμανουὴλ εἰς ἄνθρωπον ἰδικῶς, καὶ Θεὸν λόγον ἰδικῶς· ἕνα γὰρ ἡμῖν αὐτὸν ὁ τῶν θεηγόρων ἐκήρυξε λόγος, καὶ τῶν ἱερῶν γραμμάτων ἡ ἀκιβδήλευτος γνῶσις.

Ἀναθεματισμὸς θ'.

Εἴ τίς φησι, τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν * δοξάζεσθαι παρὰ τοῦ πνεύματος, ὡς ἀλλοτρίᾳ δυνάμει τῇ * ἰδίᾳ αὐτοῦ χρώμενον, καὶ παρ' αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δυνάσθαι κατὰ πνευμάτων ἀκαθάρτων, καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ πνεῦμά φησι, δι' οὗ καὶ ἐνήργησε τὰς θεοσημείας· ἀνάθεμα ἔστω.

Ἀντίρρησης τῶν ἀνατολικῶν.

Αὖθις καλὸν τὰ πάλαι αὐτῷ εἰρημένα εἰς μέσον ἀγαγεῖν, καὶ ἴσως ἐπιλελησμένον * τοῦ αὐτοῦ ὑπομνῆσαι αὐτόν· οὐ γὰρ μόνον τὸν κύριον τὰ σημεῖα ἐν πνεύματι ποιεῖν ἀπεφήνατο. ἀλλὰ δὴ καὶ * αὐτὸν τὸν τεθνεῶτα ζωοποιηθῆναι πνεύματι. ἐν οἷς φησιν ἐν τῷ πρώτῳ τόμῳ· εἰ τοίνυν οὐ πέπονθε τὸ τεθνάναι σαρκικῶς κατὰ τὰς γραφὰς, οὐδὲ ἐζωοποιήθη πνεύματι. σκοπεῖν δὲ δεῖ τὴν ἑαυτοῦ πρὸς ἑαυτὸν ἐναντιότητα. ἐν μὲν τοῖς ἀναθεματισμοῖς αὐτοῦ ἀπαγορεύσαντος τὸν κύριον ἐν πνεύματι Θεοῦ δαίμονας ἐκβάλλειν, καὶ τὰ ἄλλα σημεῖα ποιεῖν. καὶ τὴν ἐν τοῖς εὐαγγελίοις κειμένην ἔγγραφον τοῦ κυρίου φωνὴν ἀθετοῦντος, εἰπόντος· εἰ δὲ ἐν πνεύματι Θεοῦ ἐγὼ ἐκ ἐβάλλω τὰ δαιμόνια. ἀλλ' ἡμεῖς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν καὶ τῇ οἰκείᾳ δυνάμει, καὶ τῇ τοῦ πνεύματος ἐνεργείᾳ ἐπιτελέσαι τὰ σημεῖα ὁμολογοῦμεν· οὐ γὰρ ὡς οὐ ἔχοντα τὴν ἰδίαν δύναμιν χρᾶσθαι τῇ δυνάμει τοῦ ἁγίου πνεύματος. μὴ συνεῖναι δὲ τὸ πνεῦμα τὸ ἅγιον ἀρνουμένων ἐστὶν, ὡς οἶμαι τὰς θείας γραφάς. κἂν γάρ που ἡ θεία γραφὴ λέγῃ τὸν πατέρα ἐπιτελεῖν τὰ ἔργα τῶν θαυμάτων, δι' ὧν φησίν· ὁ πατὴρ ὁ μένων ἐν ἐμοὶ, αὐτὸς ποιεῖ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, ὁ υἱός ἐστιν ὁ ποιῶν πάντα τὰ ἔργα τοῦ πατρός. κἂν τὰ τοῦ υἱοῦ τὸ πνεῦμα λέγῃ ποιεῖν, δι' ὧν φησίν· εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ὁ κύριός ἐστιν, ὁ ποιῶν ἐν πνεύματι. οὐ δὲ γὰρ ἠλλοτρίωται ὁ υἱὸς τοῦ πατρὸς, ἢ τοῦ πνεύματος. οὐδὲ κεχωρισμέναι, καὶ ἰδιάζουσαί που αἱ τῆς Τριάδος ἐνέργειαι. ἀλλ' οἰκεία τῆς Τριάδος ἡ ἑκάστης ὑποστάσεως ἐν τῇ γραφῇ λεγομένη ἐνέργεια· * ὥσπερ καὶ πᾶσαν τὴν κτίσιν ποτὲ μὲν λέγει ἡ γραφὴ τοῦ υἱοῦ ἔργον, λέγουσα. τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν· ποτὲ δὲ τοῦ πνεύματος, δι' ὧν ἐπάγει. καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. ἀλλ' οὐχ ὡς ἀδυνατοῦντος τοῦ πατρὸς τὰ πάντα ποιῆσαι, δημιουργεῖ καὶ ὁ υἱός· οὐδ' αὖ πάλιν ὡς ἀσθενοῦντος τοῦ υἱοῦ εἰς τὴν δημιουργίαν, συμπαραλαμβάνεται τὸ πνεῦμα· ἀληθὲς γὰρ τὸ πάντα δι' αὐτοῦ ἐγένετο· ἀλλ' ἵνα τὸ τῆς Τριάδος ὁμούσιον, καὶ ὁμότιμον, καὶ ὁμοδύναμον ἡμῖν παραστήσῃ, λέγει τὰ αὐτὰ ποτὲ μὲν ὑπὸ τοῦ πατρὸς, ποτὲ δὲ ὑπὸ τοῦ υἱοῦ, ποτὲ δὲ ὑπὸ τοῦ ἁγίου πνεύματος γεγενῆσθαι· οὕτω γὰρ καὶ μιᾶς τινος οὐσίας θείας εἰρτῆσθαι πάντα νοοῦμεν. * ὡς γὰρ ἐνούσιος, καὶ ἐνυπόστατος ὁμονογενὴς ἐξ * αὐτοῦ ἀπαθῶς ἐγεννήθη· καὶ τὸ πνεῦμα δὲ καὶ αὐτὸ ἐξ * αὐτοῦ ἐκπορευόμενον, ἐν ἰδίᾳ ὑποστάσει τυγχάνει· * ὥστε μίαν οὐσίαν ἐν τρισὶν ὑποστάσεσι χαρακτηρίζεσθαι. καὶ μηδετέραν αὐτῶν τῷ τῆς οὐσίας λόγῳ ἠλλοτριωμένην θεωρεῖσθαι· μόναις δὲ ἰδιότησι χαρακτηριστικαῖς, εἶτ' οὖν διοριστικαῖς ἀλλήλων νοεῖσθαι. πῶς οὖν ἰδιάζουσα ἐνέργεια, ὧν μία καὶ ἡ οὐσία, καὶ ἡ δύναμις, καὶ ἡ βούλησις; ὧν γὰρ ταῦτα κοινὰ, μία πάντως ἐνέργεια.

Ἀπολογία Κυρίλλου.

Ἆρά μοι μαρτύρων δεήσει φωνῆς πρὸς τὸ ἀποφῆναι τοὺς δι' ἐναντίας * εἰκαιολόγους ἐθέλοντας, καὶ ταῖς καθ' ἡμῶν δυσφημίαις ἀπερισκέπτως χρωμένους; ἀλλ' οἶμαι τουτὶ καὶ μόνος ὁ παρ' αὐτῶν * διαδείξει λόγος. ἐν μὲν γὰρ τῷ προκειμένῳ ἀναθεματισμῷ διϊσχυρισάμεθα σαφῶς ἴδιον εἶναι τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον· καὶ μὴν, ὅτι δι' αὐτοῦ τετέλεκε τὰς θεοσημείας. οἱ δὲ καίτοι * πολλάκις ἐπιλήσμονά με τῶν * ἐμαυτοῦ λόγων γενέσθαι διϊσχυριζόμενοι προήκουσιν εἰς τοῦτο νωθείας αὐτοὶ μὴν, καὶ ἀβελτυρίας, ὡς οἴεσθαί με λέγειν, οὐ διὰ τοῦ πνεύματος ἐκβάλλειν τὸν Ἰησοῦν τὰ δαιμόνια. ἆρ' οὐκ ἐναργὴς συκοφαντία τοῦτό γε; * εἰ μὴ γὰρ οὐκ ἀξιοῦσιν ὁμολογεῖν θεοσημείας εἶναι τρόπον τὸ ἐκβάλλεσθαι τὰ δαιμόνια, λεγόντων ἃ βούλονται, * ποιείτωσαν κατ' ἐμοῦ τὸ χρῆμα γραφὴν. ἐγκαλείτωσαν, ὅτι μὴ τοῦτο ἔφην ἐναργῶς, σιωπήσας τὰς θεοσημείας· εἰ δὲ ὁμοῦ τοῖς ἄλλοις καὶ τὸ ἐκβάλλεσθαι τὰ δαιμόνια, τρόπος ἂν εἴη καὶ οὐκ ἀθαύμαστος τῆς θεοσημείας, τί δή ποτε μεθέντες ὡς ἀκερδὲς τὸ ἑλέσθαι μᾶλλον εὐστομεῖν, καὶ τὸ χρῆναι λαλεῖν τὴν ἀλήθειαν ὡς ἔωλον παραιτούμενοι, * τὸ τῆς καθ' ἡμῶν ἀθυροστομίας τετιμήκασι * χρῆμα· καὶ οὐκ ἐν μικρῷ σπεποίηνται λόγῳ τὸ οὕτω κατεψεγμένον παρά τε Θεῷ, καὶ ἀνθρώποις; ἐπιλελῆσθαι δέ μοι δοκοῦσι λέγοντος τοῦ Χριστοῦ· πῶς ἐρεῖς τῷ ἀδελφῷ σου· ἀδελφὲ, ἄφες * ἐκβάλω τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ ἰδοὺ ἡ δο-

Ματθ. 7. 4. δοκὸς ἐν τῷ σῷ ὀφθαλμῷ; ὑποκριτὰ, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε * ἐμβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. ὅτι μὲν * γὰρ ὁμούσιός τέ ἐστιν ἡ ἁγία Τριὰς, ἰσοσθενής τε, καὶ ἰσουργὸς, οὐ διά γε τοῦ παρ' ὑμῶν ἐγνώκαμεν λόγου· πεπληροφορήμεθα δὲ μᾶλλον ἐκ τῆς θεοπνεύστου γραφῆς. ὅτι δὲ κατ' οὐδένα τρόπον τοῖς τῆς ὀρθῆς πίστεως διαλυμανεῖται λόγοις, ὀνίνησι δὲ μᾶλλον ὁ προκείμενος ἀναθεματισμὸς, ἀταλαίπωρον ἰδεῖν. τοὺς γάρ τοι διαιροῦντας τὸν ἕνα κύριον Ιησοῦν Χριστὸν, μερίζοντάς τε αὐτὸν, ὡς ἤδη πλειστάκις εἰρήκαμεν, εἰς ἄνθρωπον ἰδικῶς, καὶ εἰς Θεὸν λόγον ἰδικῶς, ὡς * δύο νοεῖσθαι πρόσωπά τε, καὶ ὑποστάσεις * διϊσχυριζομένας ἀπ' ἀλλήλων, τοῦτο δρᾶν οὐκ ἐᾶ· οὔτε μὴν ἐφίησι λέγειν, ὡς ἕνα κοινὸν ἄνθρωπον ἐνηργῆσθαι παρὰ τοῦ πνεύματος τὸν Ἰησοῦν, πρός γε τὸ δύνασθαι κατορθοῦν τὰς θεοσημείας· ἐπεὶ κατ' οὐδένα διοίσει τρόπον τῶν ἁγίων ἀποστόλων, ἢ γοῦν προφητῶν, οἳ διὰ τῆς ἄνωθεν ἡμερότητος τῶν θείων χαρισμάτων ἀναπιμπλάμενοι φαῖεν ἂν * εἰκότος· χάριτι Θεοῦ ἐσμεν ὃ ἐσμεν. ἀλλὰ τοῖς μὲν ἁγίοις ἀνδράσιν, οἷς ἡ τῶν παρὰ Θεοῦ χαρισμάτων ἐμπρέπει διανομὴ, ἁρμόσειεν ἂν εἰκότως ἡ τοιάδε φωνὴ. Χριστῷ δὲ οὐκέτι. ἴδιον γὰρ * αὐτῷ τὸ πνεῦμά ἐστι τὸ ἅγιον, καθάπερ ἀμέλει καὶ τοῦ Θεοῦ καὶ πατρός. ἐνεργεῖ δὲ ὥσπερ ὁ πατὴρ διὰ τοῦ πνεύματος, οὕτω καὶ αὐτός. καὶ γοῦν, καίτοι λέγων Ιουδαίοις· πολλὰ καλὰ ἔδειξα ὑμῖν ἔργα παρὰ τοῦ πατρός μου· καὶ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα * αὐτός· ἔφη δέ που πάλιν. εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, τὴν διὰ τοῦ πνεύματος ἐνέργειαν ἀνατιθεὶς ἑαυτῷ τε, καὶ τῷ πατρὶ διὰ τὴν ταυτότητα τῆς οὐσίας. καὶ πολὺς ἂν γένοιτο καὶ μακρὸς ὁ περὶ τούτων λόγος· * δῶ, οἶμαι, καιροῦ τοῦ καθήκοντος τοῖς ἐθέλουσι * κατευρύνειν αὐτόν. οὐκοῦν οὐχ ὡς ἀλλοτρίᾳ δυνάμει τῇ διὰ πνεύματος ἐνηργῆσθαί φαμεν τὸν Ἐμμανουὴλ. ἀποκεχρῆσθαι δὲ μᾶλλον αὐτῇ θεϊκῶς. καὶ ἰδίαν ἔχειν τὴν τοῦ ὁμουσίου πνεύματος δύναμιν. οἱ μὲν γὰρ μακάριοι μαθηταὶ τὰ σημεῖα ποιοῦντες ἔλεγον· ἄνδρες, τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει, ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν τὸν τῇ ὡραίᾳ πύλῃ * προϊζήσαντα χωλόν; ἴδιον δὲ Χριστοῦ τὸ πνεῦμα αὐτοῦ. τοῖς γε μὴν * κατασκοπεῖν ἐθέλουσι τὰ παρ' ἡμῶν, ἐκεῖνο φαμεν· εἰ μὲν γὰρ οὐκ ἀπᾴδει ταῖς αὐτῶν διανοίαις τὸ μερίζεσθαι * τὸ ἀμέριστον, καὶ ὡς κοινὸν ἄνθρωπον ἐνηργῆσθαι λέγειν διὰ τοῦ πνεύματος τὸν Ἰησοῦν, * πολὺς τῶν οὕτω διακειμένων ὁ λόγος· εἰ δὲ Χριστὸν ἕνα, καὶ υἱὸν, καὶ κύριον * ὁμολογούντων ὑπάρχειν, τὸν αὐτὸν ὄντα Θεόν τε ὁμοῦ, καὶ ἄνθρωπον, πιστεύετωσαν μεθ' ἡμῶν, ὡς οὐκ * ἐνεργείᾳ μᾶλλον ὡς κρείττονι παρ' αὐτὸν καὶ ἀλλοτρίᾳ δυνάμει τῇ διὰ τοῦ πνεύματος, * ἐνεργείᾳ δὲ μᾶλλον * αὐτὸν τῆς θεοσημείας ὡς δι' ἰδίου πνεύματος, ἐν ᾧ καὶ πᾶσα τῶν * γενητῶν ἡ δύναμις· πεπάυσονται γὰρ οὕτω διαλοιδορούμενοι μάτην, καὶ τοὺς τῆς βασκανίας ὀδόντας ἡμῖν * ἐπιστηρίζοντες.

* περιβλέψεις
* ἐν ὁμούσιά τί ἐστιν
* εἰς δύο
* διϊσχυρισμένας ἀλλήλων,
* εἰκότως 1. Κορ. 1.
* αὐτοῦ
Ιωάν. 10
Ιωάν. 14.
Ματθ. 12.
* αὐτοῦ.
* δεῖ δέ, οἶμαι.
* κατευθύνειν,
Πραξ. 3.
* προσιζήσαντα, ἢ ἱζήσαντα
* κατασκόπτειν
* τὸν
* ὁ πολὺς
* ὁμολογοῦσιν
* ἐνεργεῖσαι.
* ἐνεργεῖ δὲ
* αὐτὸς τὰς, ἢ, αὐτοῦ τὰς
* γενητῶν Ψάλμ. 32.
* ἐπιτρίζον-

Ἀναθεματισμὸς ι.

Ἀρχιερέα, καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γεγενῆσθαι Χριστὸν ἡ θεία λέγει γραφὴ, προσκεκομικέναι δὲ ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ, καὶ πατρί. εἴ τις τοίνυν ἀρχιερέα, καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαί φησιν οὐκ αὐτὸν τὸν ἐκ Θεοῦ πατρὸς λόγον, * ὅτε γέγονε σὰρξ, καὶ καθ' ἡμᾶς ἄνθρωπος, ἀλλ' ὡς ἕτερον παρ' αὐτὸν, ἰδικῶς ἄνθρωπον ἐκ γυναικός· ἢ εἴ τις λέγει * ὑπὲρ ἑαυτοῦ προσενεγκεῖν αὐτὸν τὴν προσφορὰν, καὶ οὐχὶ δὴ μᾶλλον ὑπὲρ μόνων ἡμῶν· οὐ γὰρ ἂν ἐδεήθη προσφορᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν· ἀνάθεμα ἔστω.

Ἑβρ. 3.
Ἐφισ. 5. 2.
* ὅτι
* καὶ ὑπὲρ

Ἀντίρρησης τῶν ἀνατολικῶν.

Εἰ ἀρχιερεὺς ὁ Θεὸς λόγος, τίνι Θεῷ αὐτοῦ, ἢ ποίῳ τὰ τῆς θεραπείας προσφέρει; ἀλλ' * ἐπελάθετο τοῦ μακαρίου Παύλου εἰπόντος· οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. τίς οὖν ἐστιν ὁ πεπειραμένος; ὁ Θεὸς λόγος, ἢ ἡ ἀνθρωπεία φύσις τὸ τοῦ Δαυὶδ σπέρμα; καὶ πάλιν· * οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλὰ καλούμενος ὑπὸ Θεοῦ, καθώς περ * Ααρών· οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενέσθαι ἀρχιερέα. τίς οὖν ὁ τῷ Ααρὼν κατὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα, καὶ τῷ μὴ ἀφ' ἑαυτοῦ * λαμβάνοντι τὴν τιμὴν, ἀλλὰ * καλουμένῳ ὑπὸ τοῦ Θεοῦ, καὶ εἰς τὴν ἀξίαν τῆς ἱερωσύνης ἀναβαίνοντι συγκρινόμενος; ἡ θεία φύσις, ἡ τῷ πατρὶ συναΐδιος, ἡ πάντα τὰ τοῦ πατρὸς ἴδια ἔχουσα; εἰς ποῖον ἀξίωμα μεῖζον ἑαυτῆς ἀνέβαινε; καὶ * φήσομαι τὴν ἱερωσύνην ἀξιωτέραν τῆς θείας φύσεως ὑπάρχειν. πρὸς ἣν οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ κατ' * αὐτὴν ἀνέβαινε, καὶ δι' αὐτῆς ἐδοξάζετο; ἢ ἐκ σπέρματος Δαυὶδ ἡ γενομένη καὶ ὁρισθεῖσα; * ἢ καὶ ὡς ὤμοσεν ὁ Θεὸς κατὰ τὸν ψαλμῳδὸν, δώσειν εἰς τὸν αἰῶνα τὸ τῆς ἱερωσύνης; * ὤμοσε γὰρ, φησὶ, κύριος, καὶ οὐ μεταμεληθήσεται. σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. ἡ θεότης τοῦ μονογενοῦς ἐνωμότους ὑποσχέσεις παρὰ τοῦ Θεοῦ ἐλάμβανε, λήψεσθαι τὴν ἱερωσύνην εἰς τὸν αἰῶνα, καὶ * παρ' αὐτῇ δοξασθήσεσθαι; καὶ τίς ἡμῶν * ἀνάσχοι ταῦτα λεγόντων, ἢ νοούντων, καὶ * οὐκ εὐτελίσει ἡμᾶς, Θεὸν εἰσάγοντας χειροτονούμενον ἀρχιερέα, καὶ * ἐνωμόσει ὑποσχέσεις λαμβάνοντα, καλεῖσθαί τε εἰς τὸ τῆς ἱερωσύνης ἀξίωμα, καὶ οὐχ ἑαυτῷ λαμβάνοντα τὴν τιμὴν, ἀλλ' εἰς ταύτην καλούμενον, καὶ συγκρινόμενον τῷ πρώτῳ τὴν ἱερωσύνην λαβόντι; καὶ πάλιν φησὶ, καθὼς καὶ ἐν ἑτέρῳ λέγει· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. καὶ τίς πάλιν κατὰ τὴν ἱερωσύνην Μελχισεδέκ ἀπείκασται; ἆρα ὅσιον τὸν Θεὸν ὑπολαμβάνειν, ἢ τὴν ἐξ ἡμῶν ληφθεῖσαν σάρκα, τὴν ἐνωθεῖσαν ἀχωρίστως ἅμα, καὶ ἀσυγχύτως συνημμένην; καὶ πάλιν φησίν· ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε, καὶ * ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δα-

Ἑβρ. 5. 2.
* ἐπιλάβετο
Ἑβρ. 4. 15.
Ἑβρ. 5. 4.
* οὐκ ἀφ' ἑαυτοῦ
* ἀλλ' ὁ
* καὶ Ἀαρών.
* λαμβάνον
* καλούμενος
* φήσομαι
* αὐτὸν
* ἢ καὶ ὤμοσεν
* f. deest ἀξίωμα Ψάλ. 109.
* παρ' αὐτῆς
* ἀνάσχοιτο
* οὐ κατευτελίσει, ἢ, οὐ κατευτελίσῃ
* ἐνωμότους συνθήκας
Ἑβρ. 5. 7.
* ἱκεσίας.

δακρύων. ἆρα ὁ Θεὸς λόγ῟ δεήσεις * καὶ ἱκετη- * ἱκετείας.
είας, ἃ μ῟ τ῟ χραυγῆς ἰσχυρᾶς προστίνα δυνάμε-
νον σώζειν αὐτὸν προσφέρων εἰσηκούσθη ἀπὸ τῆς
εὐλαβείας, καὶ ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπα-
κοήν; εἰ τοίνυν ὁ Θεὸς λόγ῟ ἀρχιερεύς, καὶ ἔμα-
θεν ἀφ' ὧν ἔπαθεν αὐτός, καὶ ἐτελειώθη. ἀλλὰ * καρδία.
μὴ παρατρέπω ὑμῶν ἡ * διάνοια περὶ τὰ παθόντα
ἀκούσασα· ἡμίτερ ὢν υἱός· ἃ γὰρ δύο υἱὰς φαμὲν, * κεχωρισμέ-
τοῦτε παθόντα, καὶ τὸν ἀπαθῆ μένοντα· ἃ γὰρ * κε- νοις. * τὸ ἐκ.
χωρισμένως, ἃ ἰδιαζόντως τῆς θεότητ῟ * ὁ ἐκ
σπέρματ῟ Δαυὶδ υἱὸς ὠνόμασαι, ὡς ἐδὲ ἡ θεό-
της μ῟ τ῟ σάρκωσιν ἄνθ' ἧς φανερωθεὶς σαρκὸς υἱὸς
προσηγόρθται. τὸ γὰρ τῆς υἱότητ῟ μ῟ τὴν ἕ-
νωσιν ἑκατέραις ταῖς φύσεσιν σύν, ἃ κεχωρισμέναις
ἀλλήλων· ἃ γὰρ μ῟ τὴν σάρκωσιν χωρισμὸς ἐπε-
γένετο, μένει γὰρ αἰών῟ ἡ σάρκωσις, ἀλλὰ γὰρ καὶ
ἐν τοῖς πάθεσι τῆς σαρκὸς ἡ θεότης ἀχώρι῟
ἀπαθὴς μένουσα· καὶ τὰ θεοπρεπῆ δι' αὐτῆς σαρκὸς
ἐπετελεῖτο. ὅθεν σύν καὶ τὸν αὐτὸν υἱὸν ὁμολογοῦ-
μεν, ἀσυγχύτων τῶν φύσεων μενουσῶν· οὐκ ἄλλον,
καὶ ἄλλον λέγοντες, μὴ γένοιτο, ἀλλ' σύν καὶ τὸν αὐ-
τόν. ἀρχιερέα ἔχ῟, καὶ ἀπόστολον ἡμῶν ὁμολογῆσαι τὸν
κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατὰ τὰς θείας γραφὰς
ἔστιν οὐδεὶς ἂν οὐκ ὁμολογήσειεν. ἃ κεχωρισμένον με τοι
ἰδικῶς ἄνθρωπον ἐκγενικὸς τῷ Θεῷ πατρὸς λόγ῟·
ὡς εἶναι τὸ ἐκ σπέρματ῟ Δαυὶδ λελογισμένον ἀ-
συγχύτως, ἀφράστως, καὶ ἀχωρίστως τῷ ἐκ πα-
τρὸς λόγῳ, ἀρχιερέα πεπειραμένον κατὰ πάντα χω-
ρὶς ἁμαρτίας, καὶ μαθόντα ἀφ' ὧν ἔπαθε τὴν ὑ-
πακοήν. προσκεκομικότα δὲ τῷ Θεῷ καὶ πατρὶ οὐκ
ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ ἡμῶν μόνων τὴν * ἰδίαν * ἰδίαν.
σάρκα· ἃ γὰρ ἀμαθῶς φήσομεν τὸν Θεὸν λόγον
ἀρχιερέα, καὶ προσκεκομικέναι ἑαυτὸν τῷ Θεῷ καὶ
πατρί· ἃ γὰρ τῆς τοῦ μονογενοῦς Θεότητος Θεὸς
ὁ πατήρ, ἀλλὰ πατήρ.

Ἀπολογία Κυρίλλου.

Ἐπὶ καιροῦ δὴ πάλιν εἰρήσεται πρὸς ἡμῶν τοῖς
δι' ἐναντίας· ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις
ταῖς ἰγνύαις ὑμῶν; χρὴ γὰρ ὑμᾶς * ὑγιῆ, καὶ ἀρτίως * ὑγιᾶ.
ἔχοντα πρὸς εὐδησιν ἀκεραίᾳ τῆς ἀληθείας τὴν δογ-
μάτων ἔχειν τὸν νοῦν, ἃ ταῖς διψυχίαις χωλαίνοντα,
καὶ πολὺ νοσοῦντα τὸ ἄναλκι, καὶ ὀρθὰ βαίνειν οὐκ ἀ-
νεχόμενον· ἀκατάστατος γὰρ ὁ δίψυχος ἐν πάσαις
ταῖς ὁδοῖς αὐτοῦ, καὶ οὐκ ἄν τι λάβοι παρὰ τοῦ κυ-
ρίου. καὶ ταῦτά φημι, * πεθαυμακὼς ἄγαν τὰς δι' ἐ- * πεθαύμακα γὰρ τὰς ἐναντίας. * ἀναίδην. * ἐθέλοντας. * ἐθέλοντες. * ἐπιπλήττειν. * προφανῶς. * βέλοιντο. * ἐστι.
ναντίας * ἀναίδως ὅπως ἐν * προαλῶς ἐπιπλήττειν
ἐθέλοντας τῷ προκειμένῳ καὶ νῦν ἀναθεματισμῷ·
καὶ τὸ ἀπεικὸς οὐδὲν, εἰ μὴ * βέλοιντο τὸν ἐκ Θεοῦ πα-
τρὸς λόγον ὀνομάζεσθαι πρὸς ἡμῶν ἀπόστολον, καὶ ἀρ-
χιερέα τῆς ὁμολογίας ἡμῶν, * ὅτε γέγονεν ἄν-
θρωπος· οἱ γὰρ ὅλως τὴν κατὰ σάρκα γένησιν
αὐτοῦ συκοφαντεῖν πειρώμενοι, καὶ ἀπόβλητον, ὡς
οὐκ ἀληθῆ, ποιῆσαι τολμήσαντες, οὐκ ἀνεχόμενοι
τὸ Θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον, πῶς οὐ πα-
ραιτήσονται τῆς οἰκονομίας τοὺς τρόπους; ἀκουέτωσαν
τοίνυν τοῦ προφήτου τῆς φωνῆς Ἡσαΐου· ἐὰν μὴ πιστεύ-
σητε, οὐδ' οὐ μὴ σωθῆτε. ὁ μὲν γὰρ θεσπέσιος εὐ-
αγγελιστὴς Ἰωάννης μίγματι καὶ ἐξαίσιον καταβρο-

τησε τοῖς ὑπ' οὐρανόν, σάρκα λέγων γεγονέναι τὸν
λόγον· οἱ δὲ τῆς ἀληθείας τὴν δύναμιν ὑποκλέ- Γαλατ. 1. 12.
πτοντες, ὅτω σάρκα γεγονέναι φασὶν αὐτὸν, ὡς ἂν Κορινθ. 11.
νοοῦντο γεγονέναι κατάρα, καὶ ἁμαρτία. καὶ πεῖ μὲν τό-
των ἤδη φθάσαντες ἐπόμβμ, ἅπερ ἐν οἷς εἰκὸς ἦν
αὐτοῖς ἀποφαίνειν δύνασθαι τὸν ἐν γε τούτοις λό-
γον· πρὸς δέ γε τὰς φιλαιτίους ἐκ τοῦ παρόντος ἐκεῖνο
φαμέν· μάθετε ἀκόντως συγχωρούμβμοι· κατοδίξα-
σθε τὸ κατὰ Χριστὸν μυστήριον τὸν θεμέλιον, τῆς οἰ-
κονομίας τὰς πρώτας ἀρχάς· καὶ αὖτις, ἵν' ὅπως
εἴπω, τὴν εἰσβολήν· πιστεύσατε μετ' ἡμῶν, μᾶλ-
λον δὲ τοῖς ἱεροῖς γράμμασι· δότε δή, τῆς ἀληθείας
τὴν ψῆφον, ὁμολογοῦντες, ὅτι αὐτός ὁ μονογβμὴς
τοῦ Θεοῦ λόγος, ὁ ἐν κόλποις ὢν τοῦ πατρός, ὁ δι' Ἰωαν. 1.
ὃν τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα γέγονε σάρξ· ἃ
τροπὴν, ἢ φυρμὸν ὑπομένας, ἀλλ' ὢν ἀεὶ τοῦτο κα-
τὰ φύσιν, ὅπερ ἐστὶ, καὶ ἔσται· γέγονε δὲ
σὰρξ, γβννησιν ὑπομένας ἐκ τῆς ἁγίας παρθένου,
τὴν κατὰ σάρκα φημί· καὶ κεχρηματικὸν υἱὸς ἀν- Εβρ. 1. 14
θρώπου· καὶ παραπλησίως ἡμῖν μετέχον αἵματος, καὶ
σαρκός. ὅτω * ὁμολογουμένοις, καὶ τὴν ὅτω σεπτὴν * ὁμολογουμέ-
καὶ ἀληθεστάτην πίστιν εἰσδεξαμένοις, πάντας φαίνεται νοις.
τὰ ἐφεξῆς βάσιμα τε, καὶ ἁπλᾶ, καὶ ἐδὲν ἄναντες,
καὶ τραχύ· γέγραπται γὰρ ὅτι πάντα εὐθεῖα τοῖς Παρ. 8. 9.
συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. χρὴ δὲ
δὲ οἶμαι καὶ νῦν ἡμᾶς τὴν αἰτίαν εἰπεῖν, δι' ἣν αἰ-
τίαν γέγονεν ὁ ἀναθεματισμός. ὁ γάρ τι πάντε
δραχυήσας, ἄνωτε, καὶ κάτω τὰ πάντα συγχέας Νε-
στόριος, ἔφη τι τοιοῦτον περὶ τοῦ πάντων ἡμῶν σωτῆρος
Χριστοῦ· ἅπερ ἀλλ' ἤκριβται αἰσχυνάλωτοις ἄφεσιν,
ὅτος ὁ πιστὸς τῷ Θεῷ πεποιημένος ἀρχιερεύς· ἐγκέ-
το γὰρ ὅτος, οὐκ αἰδίως ἦν. ὅτος ὁ κατὰ μικρὸν
εἰς ἀρχιερέως αἵρεταιτε προκόψας ἀξίωμα. * ἔπερα· * ἄλλα.
δὲ τάπτοις ἀδελφοῖς ὠδίνοντα τὴν ἀσέβειαν προσε-
πάγει πολλά· τίς ἂν ἄρα τὴν ὅτος αἰσχρῶν ἐπαχθέ-
σας λόγων, καὶ πάντα ἂν ἔλοιτο παθεῖν, καὶ τὴν τῷ Εβρ. 11. 2.
Θεῷ κατεσυγκεκλεισμένην ἀγαπῆσαι σιγήν; ἀπέθανεν
ὑπὲρ ἡμῶν ὁ Χριστὸς, αἰσχύνης καταφρονήσας· σταυ-
ρὸν ὑπέμεινε, καὶ τὸν κατὰ σάρκα θάνατον· εἶτα ἡ-
μεῖς οὐδὲ ταῖς εἰς λόγους ἀνοίαις ἀμυνόμεθα τὸν
Δεργέτιον; ἀλλ' ἡσυχῇ καθεδούμεθα, τὴν οὕτως
ἐκτόπων δυσφημιῶν ἀκροώμβμοι, καὶ τάχα τε καὶ μει-
ζόμβμοι τῆς κατ' αὐτοῦ γλωσσαλγίας τὰ ἐγκλή-
ματα; τί φῆς ὦ οὗτος; προέκοπτον εἰς ἀρχιερέα
καταβραχύ; καίτοι κεκένωκεν ἑαυτὸν Θεὸς ὢν ὁ λό-
γος· ἔλαβε δούλου μορφὴν ὁ ἐλεύθερος κατὰ φύσιν·
τεταπείνωκεν ἑαυτὸν ὁ παντὸς ἐπέκεινα γβννητοῦ, καὶ
τοῖς τῆς θεότητος ἐπαυχῶν ὑψώμασιν· εἰ δὲ προέκοψε,
κατὰ τίνα κεκένωται τρόπον; ἢ πῶς ἑαυτὸν καθῆκεν
εἰς ταπείνωσιν; τιμῆς ἄρα, καὶ δόξης αὐτῷ προμή-
σειαν γβνέσθαι φαίητις ἂν τὴν κένωσιν; εἶτα πῶς
ἔτι κένωσις * πρόχρημα ἐστίν; ἀλλὰ, ναὶ, φησὶν, * τὴν κένω-
εἰ αὐτὸς ὁ ἐκ Θεοῦ πατρὸς λόγος γέγονεν ἀρχιε-
ρεύς, τίς ἄρα ἐστὶν ὁ μείζων αὐτοῦ, καὶ τῆς ἱερουργίας
λειτουργίᾳ θεραπεύομβμος; ἐκεῖνο ἐρῶ δή τι πάλιν·
πίστευσον, ὅτι καίτοι Θεὸς κατὰ φύσιν ὑπάρχων, καὶ Φιλιπ. 2.
ἐν μορφῇ τοῦ πατρὸς ὁ υἱὸς, οὐχ ἁρπαγμὸν ἡγή-
σατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορ-
φὴν δούλου λαβών· εἰ δὲ γέγονεν ἄνθρωπος, ἔλα-
βε δὲ καὶ δούλου μορφὴν, πῶς ἡγήσεται μικρὸν, καὶ Φιλιπ.

τοῖς τῆς οἰκονομίας λόγοις ἀνάρμοστον, τὸ χρηματίσαι καὶ ἀπόστολος, καὶ ἀρχιερεύς; καὶ ὁ τῆς καθ' ἡμᾶς ἀνθρωπότητος τὸ μέτρον οὐκ ἀτιμάσας, πῶς ἂν ἀπόβλητα * ποιήσαι τὰ ἀνθρώπινα; καὶ ἦν μὲν ἴσως χαλεπὸν οὐδὲν καὶ διὰ πλειόνων ἔτι λόγων ἐλθεῖν, καὶ μακροτέραν εἰς τοῦτο κατατεῖναι τὴν ἀφήγησιν. μεθεὶς δὲ τοῦτο πρὸς τὸ παρὸν, τοὺς παρ' αὐτῶν γεγονότας παροίσω λόγους· γεγράφασι γὰρ ὡδί. ἀλλὰ μὴ ταραττέσθω ὑμῶν ἡ διάνοια, περὶ τοῦ παθόντος * ἀκούουσα· καί περ ὢν υἱός· οὐ γὰρ δύο υἱοὺς φαμεν, τόν τε παθόντα, καὶ τὸν ἀπαθῆ μείναντα· οὐ γὰρ κεχωρισμένως, καὶ ἰδιαζόντως τῆς θεότητος τὸ ἐκ σπέρματος Δαυὶδ υἱὸς ὠνόμασται· ὡς οὐδὲ ἡ θεότης μετὰ τὴν ἕνωσιν ἄνευ τῆς φαινομένης σαρκὸς υἱὸς προσηγόρευται. καὶ πάλιν· ὅθεν ἕνα καὶ τὸν αὐτὸν υἱὸν ὁμολογοῦμεν, ἀσυγχύτων τῶν φύσεων μενουσῶν, οὐκ ἄλλον, καὶ ἄλλον λέγοντες· μὴ γένοιτο· ἀλλ' ἕνα καὶ τὸν αὐτόν. ἀρχιερέα οὖν, καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατὰ τὰς θείας γραφὰς, οὐδεὶς ἂν οὐχ ὁμολογήσειεν, οὐ χωριζόμενοι μέντοι ἰδικῶς ἄνθρωπον ἐκ γυναικὸς τοῦ ἐκ Θεοῦ πατρὸς λόγου. οὐκοῦν εἰ ἕνα φασὶν υἱὸν, κατ' οὐδένα τρόπον διαιροῦντες εἰς δύο, τόντε ἐκ σπέρματος Δαυὶδ, καὶ τὸν ἐκ Θεοῦ πατρὸς λόγον, πῶς οὐκ ἀδικοῦσι τὸ μυστήριον, μερίζοντες τὴν οἰκονομίαν Θεῷ, καὶ ἀνθρώπῳ, καὶ οὐχὶ δὴ μᾶλλον τὸν ἕνα, καὶ τὸν αὐτὸν καὶ Θεὸν εἶναί φασι, καὶ ἄνθρωπον, ὡς εἶναι πάντα αὐτοῦ, τά τε θεοπρεπῆ, καὶ τὰ ἀνθρώπινα; ὅταν γάρ τι τῶν ὅτι μάλιστα θεοπρεπεστάτων λέγηται περὶ αὐτοῦ, τοῦτο δὴ πάντως καὶ ἀληθὲς εἶναί φαμεν, Θεὸν γὰρ ἴσμεν αὐτόν. κἂν ἀνθρώπινόν τι τὸ λαλούμενον ᾖ, καὶ οὕτω συνεύσομεν. ὁμολογοῦμεν γὰρ, ὅτι Θεός ἐστιν ἐν σαρκὶ, καὶ αἵματι· καὶ τὸ τῆς ἀνθρωπότητος μέτρον διὰ τῶν ἀνθρωπίνων ἐπιγινώσκομεν· χίλιαι μὲν γὰρ χιλιάδες ἁγίων ἀγγέλων λειτουργοῦσιν αὐτῷ, καὶ τὸν θεῖον αὐτοῦ θρόνον περιϊστᾶσι τὰ σεραφίμ. ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος, κεχρημάτικε καὶ ἀχιερεύς· οὐχ ὡς μείζονι Θεῷ προσκομίζων τὴν ἱερουργίαν, ἀλλ' ἑαυτῷ τε, καὶ τῷ πατρὶ τῆς πίστεως ἡμῶν τὴν ὁμολογίαν πραγματευόμενος. ἐρυθριᾶς ἀκούων; ὅτι κεχρημάτικεν ἱερεὺς διὰ τὸ ἀνθρώπινον; εἶτα πῶς οὐ τεθαύμακας, ὅτι μὴ κατὰ τὸ τῶν ἱερέων ἔθος ἑτέρῳ * ποιῆται τῆς ἱερουργίας τὸν τρόπον, ἑαυτῷ δὲ μᾶλλον, ὡς ἔφην, καὶ τῷ πατρί; ὅταν εἴπῃς, οὐκ ἄξιον εἶναι τοῦ Θεοῦ τὸ ἱερουργεῖν, σύμφημι κἀγώ· ἀλλ' εἰ μόνος ἦν, καὶ δίχα σαρκὸς ὁ λόγος, ἔφης ἂν ὀρθῶς: ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος, ὅρα καὶ ἱερουργοῦντα διὰ τὸ ἀνθρώπινον, καὶ ἐν τοῖς ὑπὲρ κτίσιν ἀξιώμασιν, ὡς Θεόν· συνεδρεύει γὰρ τῷ Θεῷ, καὶ πατρί. ὅρα τοίνυν ἱερατεύοντα μὲν αὐτὸν κατὰ τὸ ἀνθρώπινον, συνεδρεύοντα δὲ ὡς Θεόν. τί γάρ φησιν ὁ μακάριος Παῦλος; τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς ὑψηλοῖς. εἰδότες τοίνυν, ὅτι Θεὸς ὢν γέγονεν ἄνθρωπος, ἔστι δὲ εἷς, καὶ ὁ αὐτὸς υἱὸς, αὐτῷ πάντα προσνεμοῦμεν ὡς ἑνί· καὶ τοὺς τῆς οἰκονομίας οὐκ * ἐννοήσομεν τρόπους, τὴν τῶν ἐννοιῶν δύναμιν εὐτέχνως, καὶ ἐμφρόνως ἀεὶ * περιτρέποντες εἰς τὴν ὑπακοὴν αὐτοῦ.

* ποιήσαιτο

* ἀκούουσα.

* ποιεῖται.

Ἑβρ. 8.

Ἀναθεματισμὸς ιά.

Εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα ζωοποιὸν εἶναι, καὶ ἰδίαν αὐτοῦ τοῦ ἐκ Θεοῦ πατρὸς λόγου, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτὸν, συνημμένου μὲν αὐτῷ κατὰ τὴν ἀξίαν, ἤγουν ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος, καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιὸν, ὡς ἔφημεν, ὅτι γέγονεν * ἰδίᾳ τοῦ λόγου τοῦ τὰ πάντα ζωοποιεῖν ἰσχύοντος, ἀνάθεμα ἔστω.

Ἀντίρρησις τῶν ἀνατολικῶν.

Ἰδίαν γενέσθαι τὴν δεσποτικὴν σάρκα τοῦ λόγου διὰ τῆς ἑνώσεως, ὁμολογεῖσθαι καλὸν, νοοῦντας μέντοι ἐξ ἡμῶν αὐτὴν προσειλῆφθαι. περιττὸν δὲ τὸ ἐπάγειν· καὶ οὐχ ἑτέρου τινὸς παρ' αὐτόν· εἰ μὴ ἄρα ἐξαίρει αὐτὴν τοῦ ἐξ ἡμῶν εἰλῆφθαι. τὸ γὰρ συνεχῶς λέγειν αὐτὴν ἰδίαν, ἐξαιροῦντός ἐστι τὴν δεσποτικὴν σάρκα εἶναι τῆς ἡμετέρας φύσεως· καὶ πῶς τὸ καύχημα ἡμῶν; διὰ τίνος λέγει ὁ Παῦλος, συνήγειρεν ἡμᾶς, καὶ * συνεκάθισεν ἡμᾶς; ἐκ τίνος γὰρ τῶν ἀνθρώπων ἑτέρου ἡ ἑκάστου σὰρξ; οὐχὶ ἕκαστος μὲν ἡμῶν κοινὴν ἔχει σάρκα ἑκάστῳ τῷ τοῦ ὁμοουσίου λόγῳ. ἰδίαν τε * τῷ τὴν ἑκάστου μὴ εἶναι ἑτέρου, ἢ μόνου οὗ ἐστι σάρξ; τί οὖν αὐτῷ βούλεται τῷ ἰδίαν, ὡς ἕτερόν τι λέγοντι; εἰ γὰρ νοεῖ τὴν δεσποτικὴν σάρκα ἐκ τῆς ἡμετέρας εἰλῆφθαι, νοεῖ δὲ ὡς ἡ ἑκάστου σὰρξ. ἐκείνου ἐστὶν ἰδία οὗ ἐστὶ σάρξ, καὶ οὐχ ἑτέρου, τί * ὡς οὐ ξένου, λέγει αὐτὴν ἰδίαν εἶναι; ἢ * δῆλον ὅτι δι' ἐπικαλύμματος οὐ λέγει αὐτὴν ἐκ τῆς ἡμετέρας φύσεως εἰλῆφθαι; ὡς σαφέστερον λέγει ἐν τῷ πρώτῳ αὐτοῦ τόμῳ· καὶ τὸ βρέφος, φησὶν, ἦν * εὖ καθ' ἡμᾶς· τουτέστιν, οὐκ ἐν ψιλῇ, καὶ μόνῃ τῇ πρὸς ἡμᾶς ὁμοιότητι. ἀλλ' ἐν ἀνθρωπότητι μὲν, διὰ τὴν σάρκα, θεῖον δὲ, ὡς ὑπὲρ ἡμᾶς, καὶ ἐξ οὐρανοῦ; καὶ πάλιν ἐν τῷ δευτέρῳ τόμῳ, καθὰ φησί· σῶμα γὰρ ἦν οὐχ ἑτέρου τινὸς τῶν καθ' ἡμᾶς, ἴδιον δὲ μᾶλλον αὐτοῦ τοῦ ἐκ πατρὸς ὄντος λόγου τὸ γενηθὲν ἐξ αὐτῆς. τίς γὰρ εἶπέ ποτε, ὅτι ἑτέρου τινὸς τῶν ἀπ' αἰῶνος γέγονεν ἀνθρώπων ἡ δεσποτικὴ σὰρξ, τυχὸν ἢ τοῦ Ἄβελ, ἢ Νῶε, ἢ Ἡλία, ἢ τινὸς τῶν ἀπ' αἰῶνος ἀνθρώπων; οὐ μόνον δὲ περὶ τῆς δεσποτικῆς σαρκὸς ἀποφαινόμεθα, ὡς οὐ γέγονεν ἑτέρου τινὸς τῶν ἀπ' αἰῶνος ἀνθρώπων. ἀλλ' αὐτοῦ τοῦ κυρίου ἰδία, καὶ μόνη, ἡ ἀσυγχύτως, καὶ ἀχωρίστως ἑνωθεῖσα τῷ Θεῷ λόγῳ· ἀλλ' οὐδ' ἡ ἑνὸς ἑκάστου ἡμῶν σὰρξ γέγονέ ποτε, ὡς ἔφαμεν, ἑτέρου τινὸς, πλὴν ἐκείνου, οὗ ἐστι σάρξ. τούτου τοίνυν παρὰ πᾶσι τοῖς τῆς ἐκκλησίας ὁμολογουμένου, τί αὐτῷ βούλεται τὸ συνεχῶς ἰδίαν αὐτὴν λέγειν. εἰ μὴ ἄρα ἐξαίρει αὐτὴν τοῦ εἶναι τῆς ἡμετέρας φύσεως; πῶς δὲ καὶ ἀπαγορεύει μὴ δεῖν λέγεσθαι συνημμένην μὲν αὐτῷ κατὰ τὴν ἀξίαν, καὶ αὐθεντίαν, αὐτὸς λέγων ἐν τῷ πρώτῳ τόμῳ· οὕτω γὰρ καὶ ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πεπλουτήκαμεν, ἀνακομισθείσης ἐν αὐτῷ τῆς ἀνθρω-

θρωπείας φύσεως εἰς ἀξίωμα τὸ θεοπρεπές; ἀλλ' ἡμεῖς εἴπωμεν αὐτῷ ἐναντιουμένῳ καὶ ἑαυτῷ· εἰ τοίνυν αἱ φύσεις μένουσιν ἀσύγχυτοι, μένει δὲ καὶ ἡ ἕνωσις· φαμὲν δὲ τὰ τῆς προσκυνήσεως, καὶ δυνάμεως, καὶ ἀξίας, καὶ αὐθεντίας, ὡς ἑνὶ υἱῷ προσφέρεσθαι ἄξιον. μενουσῶν τῶν φύσεων ἐν τῇ ἑνώσει ἀσυγχύτων· τὶ ὑπολείπεται ἕτερον, * ἢ ἀκριβέστερον τὴν ἕνωσιν χαρακτηρίζει, καὶ δώσομεν, καὶ συνθησόμεθα, ἐκτὸς τῆς τῶν φύσεων συγχύσεως. ἀλλὰ πρόδηλον, ὡς οὐδὲν αὐτῷ ἐξαρκεῖ εἰς τὸ τῆς ἑνώσεως ἄκρον, μὴ τὰς φύσεις συγχέοντι. ἀλλ' ἡμεῖς τὰς μὲν φύσεις οὔσας ἀσυγχύτους * φυλάξομεν· καὶ τὴν ἕνωσιν ἄκραν, καὶ θείαν, καὶ ἡμῖν ἀκατάληπτον ὁμολογοῦμεν, πάντα εἰς δοξολογίαν ὡς Θεῷ, καὶ ἑνὶ υἱῷ προσφέροντες. καὶ λέγοντες αὐτῷ τὴν τοῦ μακαρίου Πέτρου φωνήν· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.

* ἢ ἀκριβέστερον τὴν.

* φυλάξομεν

Ματθ. 16.

Ἀπολογία Κυρίλλου.

Κατεθήγοντό ποτε πρὸς ἀνοσίους ὀργὰς οἱ * τῶν Ἰουδαίων δῆμοι, τοῖς τοῦ φθόνου βέλεσι τὸν νοῦν κατηκοντισμένοι. ἐπειδὴ δὲ πρὸς τοῦτο καὶ τὰς βεβήλους ἐπέφερον χεῖρας τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ, τῶν τοιούτων αὐτοὺς τολμημάτων τὰς αἰτίας εἰπεῖν διεκελεύετο, λέγων· πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου, διὰ ποῖον αὐτῶν ἔργον ἐμὲ λιθάζετε; οἱ δὲ ἧκον εἰς τοῦτο δυσβουλίας τε * ὁμοῦ, καὶ ἀνοσιότητος ἐννοιῶν, ὥστε καὶ τοῖς τῆς δυσφημίας ἐγκλήμασι περιβάλλειν * ἐπεχείρουν· ἔφασκον γάρ· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν. ἔφη δέ που πρὸς αὐτοὺς ὁ σωτήρ· οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν· ἐγὼ εἶπα, Θεοὶ ἐστέ; εἰ ἐκείνους εἶπε Θεοὺς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ γραφὴ, ὃν ὁ πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε· ὅτι βλασφημεῖς· ὅτι εἶπον υἱὸς Θεοῦ εἰμί; περιεργαζόμενοι δὲ ἡμεῖς τῆς ἐνθάδε λεγομένης ἀποστολῆς τὸν τρόπον, ἐκ τῶν ἱερῶν γραμμάτων τὴν ἐπὶ τῷδε γνῶσιν ἐρανιζόμεθα. ἔφη τοίνυν αὐτὸς διὰ φωνῆς Ἡσαΐου· πνεῦμα κυρίου ἐπ' ἐμέ· οὗ ἕνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. ἀπεστάλθαι δέ φαμεν τὸν υἱὸν παρὰ τοῦ πατρὸς, γενόμενον ἄνθρωπον· πρέποι γὰρ ἂν καὶ μάλα ὀρθῶς τοῖς τῆς κενώσεως μέτροις τὸ τῆς ἀποστολῆς ὄνομά τε, καὶ χρῆμα. ἀπεστάλη δὲ, ὡς ἔφην, οὐ γυμνὸς, καὶ ἄσαρκος ὁ ἐκ Θεοῦ πατρὸς λόγος, γένησιν δὲ μᾶλλον ὑπομείνας τὴν κατὰ σάρκα, ἤτοι σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου. τοῦτό τε ἀφράστως, καὶ ἀσυγχύτως ἑνώσας ἑαυτῷ, καθὰ πλειστάκις εἰρήκαμεν, ἐπέφανεν ἡμῖν ὁ Θεὸς κύριος, κατὰ τὰς γραφὰς ἴδιον οὖν τὸ σῶμά φαμεν γενέσθαι τοῦ λόγου, καὶ οὐκ ἀνθρώπου τινὸς ἰδικῶς, καὶ κεχωρισμένως ἑτέρου παρ' αὐτὸν νοουμένου Χριστοῦ, καὶ υἱοῦ. ὥσπερ δὲ ἴδιον ἡμῶν ἑκάστου λέγεται σῶμα τὸ ἰδικῶς αὐτοῦ, οὕτω καὶ ἐπὶ τοῦ ἑνὸς Χριστοῦ νοητέον.

* τάλαντες ἰδιοῖς, τοῖς.

Ἰωάν. 10.

* ὁμοῦ.

* ἐπεχείρουν

Ἰω. 8.

Ἰω. 4. Κατ. 61.

καίτοι γὰρ ὑπάρχον τοῖς ἡμετέροις σώμασιν ὁμογενὲς, ἤγουν ὁμοούσιον. γεγένηται γὰρ ἐκ γυναικὸς, ἴδιον αὐτοῦ, ὡς ἔφην, νοεῖται καὶ λέγεται. ἐπειδὴ δὲ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ ἐκ Θεοῦ πατρὸς λόγος, ζωοποιὸν ἀπέφηνε τὴν ἑαυτοῦ σάρκα· ταύτῃ τοι γέγονεν ἡμῖν εὐλογία ζωοποιός. καὶ γοῦν ἔφασκεν ὁ Χριστός· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. καὶ πάλιν· καὶ ὁ ἄρτος δὲ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστιν, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· καὶ πάλιν· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. ἄθρει δὴ οὖν, ὅπως πανταχοῦ ἑαυτοῦ σῶμα τὸ ἐκ γυναικὸς ὀνομάζει δίᾳ τὴν εἰς ἄκρον ἕνωσιν. τοῦτον ἔχοντος τοῦ μυστηρίου τὸν λόγον, ἐν ἐξηγήσει πάλιν ἰδίᾳ φησὶν ὁ Νεστόριος· Ἀκούσατε τοίνυν, προσέχοντες τοῖς ῥητοῖς· ὁ τρώγων μου, φησὶ, τὴν σάρκα· μνημονεύετε ὅτι περὶ τῆς σαρκός ἐστι τὸ λεγόμενον· καὶ ὅτι οὐ παρ' ἐμοῦ προστέθειται τὸ τῆς σαρκὸς ὄνομα. ὥστε μὴ δοκεῖν ἐκείνοις παρερμηνεύειν· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα· μὴ εἶπεν· ὁ τρώγων μου τὴν θεότητα; καὶ πίνων μου τὴν θεότητα; ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. μνημονεύετε, ὅτι περὶ τῆς σαρκὸς τὸ λεγόμενον. ἀλλ' ἐνίοτε παρερμηνεύω. ἀκούσωμεν ἐκ τῶν ἐφεξῆς· καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ. ἐκεῖνος λέγει τὴν θεότητα, ἐγὼ τὴν ἀνθρωπότητα. ἴδωμεν τίς ὁ παρερμηνεύων· καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ. λέγει ἐνταῦθα ὁ αἱρετικὸς τὴν θεότητα· μὴ λέγει, ὅτι ἀπέστειλεν ἐμὲ τὸν Θεὸν λόγον ὁ ζῶν πατήρ; κατ' ἐκείνους· κἀγὼ ζῶ ὁ Θεὸς λόγος διὰ τὸν πατέρα; εἶτα μετὰ τοῦτο· καὶ πάλιν· ὁ τρώγων με, κἀκεῖνος ζήσεται· τίνα ἐσθίομεν; τὴν θεότητα, ἢ τὴν σάρκα;) περὶ μὲν οὖν τῶν οὕτως ἐκτόπων, καὶ ἀτημελῶς αὐτῷ πεφλυαρημένων, μακρὸς ἤδη παρ' ἡμῶν πεποίηται λόγος. τί δ' ἂν βούλοιτο νοεῖν, οὐ τὸν Θεὸν λόγον ἀπεστάλθαι λέγων, σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα· τιθεὶς δὲ πάλιν ἰδίᾳ τε, καὶ ἀνὰ μέρος, ὡς αὐτός φησι, τὸ φαινόμενον, οὐκ ἔχω λέγειν. μᾶλλον δὲ καὶ ἐναργὲς ἤδη τὸ σόφισμα. τὸν γὰρ τῆς ἑνώσεως παραλύει τρόπον, ἵνα κοινὸν εὑρίσκηται τὸ σῶμα τοῦ Χριστοῦ, οὐκέτι δὲ ἴδιον ἀληθῶς τοῦ πάντα ζωοποιεῖν ἰσχύοντος. μικρὰ μὲν ὁμολογουμένως ἐστὶ τῷ Θεῷ λόγῳ πάντα τὰ ἀνθρώπινα· ἐπειδὴ δὲ κατηξίωσε δι' ἡμᾶς τὴν τῷ κόσμῳ σωτήριον ὑπομεῖναι κείωσιν, κἂν ἀπεστάλθαι λέγηται κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. δοξάζεται μᾶλλον, ὡς ἐπενεγκὼν τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ ταπεινόν· καὶ οὐκ ἂν οἶμαι τὶς * διαμωμήσειεν τῶν εὖ φρονούντων, ὅτι καθῆκεν ἑαυτὸν ἐν τοῖς καθ' ἡμᾶς δι' ἡμᾶς. ἆρ' οὖν ὡς ἕτερόν τινα υἱὸν, καὶ Χριστὸν παρὰ τὸν ἐκ Θεοῦ λόγον, τὸν φαινόμενον εἶναι διαβεβαιούμενος. ᾧ καὶ μόνῳ τὸ τῆς ἀποστολῆς προσνενέμηκε χρῆμα, οὐκ ἀνθρωποφαγίαν ἡμῶν ἀποφαίνει τὸ μυστήριον, παριστὰς ἀνοσίως εἰς ἐξιτήλους ἐν-

Ἰωάν. 6.

* διαμωμήσειεν.

νοίας

νοίας τῶν * πιστευσάντων τὸν νοῦν· καὶ λογισμοῖς ἀνθρωπίνοις ὑποφέρειν ἐπιχειρῶν, * ἃ μόνως, καὶ ἀζητήτῳ πίστει προσλαμβάνεται. οὐ γὰρ ἐπειδήπερ οὐκ ἐσθίεται θεότητος φύσις, διὰ τοῦτο κοινὸν εἶναι φαίη τις ἂν τὸ ἅγιον σῶμα τοῦ Χριστοῦ. εἰδέναι δὲ ἀναγκαῖον, ὅτι, καθὰ φθάσαντες εἴπομεν, ἴδιόν ἐστι σῶμα τοῦ τὰ πάντα ζωοποιοῦντος λόγου· ἐπειδὴ δέ ἐστι σῶμα ζωῆς, ζωοποιὸν ἐστί· διὰ τοῦτο γὰρ τοῖς θνητοῖς ἡμῶν σώμασιν * ἐνίησι τὴν ζωήν. ὡς καὶ καταργεῖ τοῦ θανάτου τὸ κράτος. ζωοποιεῖ δὲ ἡμᾶς κατὰ τὸν ἴσον τρόπον καὶ τὸ ἅγιον πνεῦμα τοῦ Χριστοῦ· τὸ γὰρ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, κατὰ τὴν αὐτοῦ τοῦ σωτῆρος φωνήν· λυπεῖ δὲ οὐδὲν, ὑπέρ γε τοῦ μὴ δοκεῖν ἐμέ τε, καὶ μόνον, ἴδιον ὀνομάζειν τὸ σῶμα τοῦ λόγου, καὶ τὰς τῶν ἁγίων πατέρων παραθεῖναι χρήσεις, ἵν' ἴδοιεν οἱ δι' ἐναντίας. ὡς μάτην ἡμῶν κατακεκράγασιν, * ἑπομένων πανταχοῦ ταῖς ἐκείνων φωναῖς. ἔφη τοίνυν ὁ πανεύφημος ἡμῶν πατὴρ, καὶ ἐπίσκοπος Ἀθανάσιος ἐν τῷ περὶ τῆς τριάδος λόγῳ· καὶ ἐδείκνυτο, ὅτι μὴ φαντασίᾳ, ἀλλὰ ἀληθῶς ἔχων ἦν σῶμα· ἔπρεπε * γὰρ τὸν κύριον ἐνδιδυσκόμενον ἀνθρωπίνην σάρκα, ταύτην μετὰ τῶν ἰδίων παθῶν αὐτῆς ὅλην ἐνδύσασθαι· ἵν' ὥσπερ ἴδιον αὐτοῦ λέγομεν εἶναι τὸ σῶμα, οὕτω καὶ τὰ τοῦ σώματος πάθη ἴδια μόνον αὐτοῦ λέγηται, εἰ καὶ μὴ ἥπτετο κατὰ τὴν θεότητα αὐτοῦ. καὶ πάλιν. ταῦτα ἀναγκαίως * προεξητάσαμεν. ἵνα ἐὰν ἴδωμεν αὐτὸν ὡς δι' ὀργάνου τοῦ ἰδίου σώματος θεϊκῶς πράττοντα, ἢ λέγοντα, γινώσκωμεν, ὅτι Θεὸς ὢν ταῦτα ἐργάζεται·) Καὶ ταῦτα μὲν ὁ μακάριος πατὴρ ἡμῶν Ἀθανάσιος. πλὴν, κἂν ἴδιον λέγηται τοῦ λόγου τὸ σῶμα, ἀλλ' οὖν ἐστιν ἐκ γυναικὸς, καὶ τοῖς ἡμετέροις συγγενὲς, καθὸ νοεῖται σάρξ. καὶ ὁ μὲν μακάριος Παῦλος· ὁ πρῶτος ἄνθρωπος, φησὶ, χοϊκός· ὁ δεύτερος ἐξ οὐρανοῦ. αὐτὸς δὲ ὁ Χριστός· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, φησὶν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς υἱὸς τοῦ ἀνθρώπου. φαμὲν δὲ ὅτι οὐκ ἐξ οὐρανοῦ τὸ σῶμα τὸ ἐνωθὲν αὐτῷ κατενεγκὼν ὁ λόγος, τοιάδε φησίν· ἐπειδὴ δὲ ἄνωθεν ὢν αὐτὸς καὶ ἐξ οὐρανοῦ, ἴδιον ἐποιήσατο τὸ ἐνωθὲν αὐτῷ σῶμα ἀφράστως τε, καὶ ἀπερινοήτως, ἀτρέπτως τε, καὶ ἀσυγχύτως, ταύτῃ τοι καὶ ἐξ οὐρανοῦ φησιν ἑαυτὸν καὶ ὅτε γέγονεν υἱὸς ἀνθρώπου. ὀρθῶς τοιγαροῦν καὶ ἀμωμήτως ἔχοντος ἡμῖν τοῦ λόγου, ποία τις ἄρα τοῖς φιλοψογεῖν ἐθέλουσιν εὐρεσιλογίας τῆς καθ' ἡμῶν ἡ πρόφασις, εἰ μάχεται ταῖς τινων δυσφημίαις ὁ ἀναθεματισμὸς, τῷ ψεύδει τὸ ἀληθὲς ἀντεξάγων; οἶμαι δὲ ἔγωγε κατ' οὐδένα τρόπον ἡμαρτηκέναι τοῦ πρέποντος, εἰ Χριστὸν ἔφην ὑπὲρ ἡμᾶς· εἰ γὰρ καὶ γέγονεν ἄνθρωπος ὁ τοῦ Θεοῦ λόγος, ἀλλ' ἔστι καὶ οὕτως οὐχ ὑπέρ γε μόνους ἡμᾶς, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν· οὐ γὰρ μόνον ἄνθρωπος νοεῖται καὶ καθ' ἡμᾶς, ἀλλ' ὁ αὐτὸς πάλιν Θεὸς ἄνωθεν, καὶ ἐξ οὐρανοῦ.

* πιστευόντων.
* ἃ μόνῃ.
* ἐντίθησι.
Γωάν. 6. 63.
ἐπιμενόντων.
* δὲ τόν.
* προεξητάσαμεν.
1. Κορι. 15. Γωάν. 3.

Ἀναθεματισμὸς ιβ'.

Εἴ τις οὐχ ὁμολογεῖ, τὸν τοῦ Θεοῦ λόγον παθόντα σαρκὶ, καὶ ἐσταυρωμένον σαρκὶ, καὶ θανάτου γευσάμενον σαρκὶ, γεγονότα τε πρωτότοκον ἐκ νεκρῶν, καθὸ ζωή ἐστι, καὶ ζωοποιὸς, ὡς Θεός· ἀνάθεμα ἔστω.

Κολασσ. 1. 18.

Ἀντίρρησης τῶν Ἀνατολικῶν.

Πάλιν ἐνταῦθα τῶν αὐτοῦ λόγων αὐτὸν ὑπομημνήσκομεν, ὡς πάντῃ ἀπαθῆ τὴν θείαν φύσιν λέγει ἐν τῷ πρώτῳ τόμῳ φάσκων οὕτως· Εἷς οὖν ὁ πάντων ἀξιώτερος τὴν ἰδίαν ὑπὲρ πάντων τέθεικε ψυχήν· καὶ συγχωρεῖ οἰκονομικῶς καταβιβάζεσθαι πρὸς βραχὺ τῷ θανάτῳ τὴν σάρκα· κατήργηκε δὲ πάλιν αὐτὸν ὡς ζωὴ. παθεῖν οὐκ ἀναχόμενος τὸ παρὰ φύσιν ἰδίαν.) Εἴπωμεν οὖν αὐτῷ ἐναντιολογοῦντι· πῶς οὖν ὁ τὴν σάρκα συγχωρῶν πρὸς βραχὺ τῷ θανάτῳ καταβιβάζεσθαι, καὶ καταργῶν τὸν θάνατον ὡς ζωὴ, οὐκ ἀνεχόμενος παθεῖν τὸ παρὰ φύσιν ἰδίαν, νῦν κατὰ σὲ πάσχει διὰ τῆς σαρκός; ἀλλ' οὐκ ἔπαθεν ὁ Θεὸς τῇ σαρκὶ συνημμένος; ἀλλ' ἡ σὰρξ ἡνωμένη τῷ Θεῷ λόγῳ κατὰ τὴν αὐτοῦ συγχώρησιν τὰ οἰκεῖα ὑπέμεινεν· οὐ γὰρ μὴ αὐτοῦ συγχωροῦντος, πάθος, ἢ θάνατος ἐπεγένετο· εἰ γὰρ ψυχῆς παρούσης οὐκ ἐπιγίνεται θάνατος, πῶς ἂν Θεοῦ παρόντος, καὶ οὐ μόνον παρόντος ἁπλῶς, ἀλλὰ καὶ συνημμένου κατ' ἄκραν τινὰ ἕνωσιν, καὶ αὐτῷ μόνῳ καταληπτὴν, ἠνώχλει τῷ οἰκείῳ ναῷ, μὴ συγχωροῦντος αὐτοῦ, ἢ παθος, ἢ θάνατος; ἀλλὰ γὰρ οὐχ ἡ Θεότης τῇ σαρκὶ συνημμένη ἔπαθεν. ἀλλ' ἡ σὰρξ συγχωρούσης αὐτῆς τὰ οἰκεῖα ὑπέμεινεν. ἀλλ' ὅτι κακούργως αὐτῷ κεῖται, τὸ ἔπαθε σαρκὶ, πρὸς * πλάνην τῶν ἀφελεστέρων, πρόδηλον αὐτόθεν· οὐ γὰρ ἐφύλαξε τὸ ἀπαθὲς τῇ θείᾳ φύσει. ὁ εἰπών, ἔπαθε σαρκὶ, οὐδὲν ἕτερον ἔφη, ἢ μετὰ σαρκὸς παθεῖν. κἂν οὖν μετὰ τῆς σαρκὸς ἔπαθε, παθητὸς ὡμολόγηται· ἢ γὰρ κατὰ φύσιν ἔχων τὸ * παθεῖν, ἔπαθεν, ἢ παρὰ φύσιν. καὶ εἰ μὲν κατὰ φύσιν ἔπαθεν, ἔσται καὶ ὁ πατὴρ παθητὸς, ὁμούσιος ὢν τῷ υἱῷ· ἀνάγκη γὰρ προσεῖναι πάντως τῷ γεγεννηκότι, ὅσα τῷ γεννηθέντι πρόσεστιν. ἢ ὁμολογοῦμεν αὐτὸν μὲν πεπονθέναι, ἐπιτηδείως ἔχοντα πρὸς τὸ πάθος, τὸν δὲ πατέρα παθεῖν μὴ ἐπιδέχεσθαι. ἀλλ' οὕτω λέγοντες συναινέσομεν αἱρετικοῖς, λέγουσι τὴν θεότητα τοῦ μονογενοῦς υἱοῦ παθητὴν, τὴν δὲ τοῦ πατρὸς μὴ ἐπιδέχεσθαι πάθος· ὅθεν καὶ τὸ ἑτεροούσιον λέγουσιν. εἰ δὲ φήσουσι παρὰ φύσιν αὐτὸν πεπονθέναι· ἐροῦμεν· καὶ ποῖον πάθος ἰσχυρότερον τῆς θείας φύσεως, ὥστε εἰς τὸ παρὰ φύσιν πάθος ἑλκύσαι τὸν κατὰ φύσιν ἀπαθῆ; ἀλλὰ φησίν· αὐτοῦ βούλησις· ἀλλὰ φαμέν· ἡ αὐτοῦ βούλησις ἀπαθής. ζητοῦμεν δὲ πάθος τὸ τὴν ἀπαθῆ φύσιν εἰς τὴν αὐτοῦ ἐμπάθειαν μετενέγκαν· ἄλλως τε καὶ ἡ θεία βούλησις ἐκεῖνα θέλει, τὰ αὐτῇ πρέποντα· καὶ τί, φησὶ, πρεπωδέστερον τοῦ σῶσαι τὸ τῶν ἀνθρώπων γένος; καὶ πῶς ἤμελλε τὸ τῶν ἀνθρώπων γένος περισώζεσθαι, αὐτὸ εἰς ἀπάθειαν μεταβαῖνον, ἡ τὴν * θείαν, καὶ ἀπαθῆ φύσιν εἰς πάθος κατασπῶσα; πάντως γὰρ ὡς ἰσχυροτέρα εἰς τὸ ἑαυ-

πλάνισιν.
* πάθος.
* ἴσ. ἡ τὴν δηλαδὴ παθητὴν φύσιν.

ἑαυτῆς ἐμπαθὲς μετέστησε τὸ ἀπαθές· καὶ τίς ὄνησις τῷ παθητῷ, εἰ καὶ τὸ ἀπαθὲς παθητὸν γένοιτο; σωτηρία δὲ τοῦ παθητοῦ οὐχ ἡ τοῦ ἀπαθοῦς πρὸς αὐτὸ διὰ τοῦ πάθους κοινωνία. τοῦτο γὰρ μᾶλλον αὔξησις τοῦ κακοῦ, οὐκ ἀναίρεσις· τῷ γὰρ ὁμοίῳ τὸ ἕτερον οὐκ ἀναιρεῖται, ἀλλὰ αὐξάνεται. τίς οὖν ἡ σωτηρία τοῦ παθητοῦ; ὡς ἔφημεν, οὐχ ἡ τοῦ ἀπαθοῦς πρὸς αὐτὸ κοινωνία, ἀλλ' ἡ αὐτοῦ πρὸς τὸ ἀπαθὲς μετάστασις· ὃ καὶ πεποίηκεν ὁ δεσπότης Χριστός. οὐκ αὐτὸς κατὰ τὴν θεότητα εἰς πάθος καταβιβασθείς, ἀλλὰ καὶ τὴν ἀνθρωπότητα πᾶσαν διὰ τῆς ἁγίας σαρκὸς εἰς ὕψος ἐγείρας. καὶ τὴν χαμαὶ κειμένην εἰς οὐρανοὺς ἀνελκύσας. καὶ τὴν ἀπαρρησίαστον πρώην, υἱοθεσίας ἀξιώσας. τίς δὲ ἐχρεώστει πάντως τὸν ἐκ τῆς παρακοῆς θάνατον; ἡ φύσις πάντως ἡ ἀνθρωπία, οὐχ ἡ θεία. τίνα οὖν ἀκόλουθον ἦν ἀποδοῦναι τὸν ἐκ τῆς παρακοῆς θάνατον;

Ἀπολογία Κυρίλλου.

Ἀξιάγαστος ὡς ἀληθῶς τῆς ἀληθείας ἡ δύναμις· καὶ μάρτυς ἡ πεῖρα· οὐ γάρ μοι μακροῦ δεήσει λόγου πρὸς ἀπολογίαν· ἤγουν ἀναπείθειν * οἴονται τοὺς ἠπατημένους, οἰομένους ὅτι παθητὴν εἶναί φαμεν τὴν θείαν τοῦ λόγου φύσιν, ἅπαξ τῶν δι' ἐναντίας * καταβεβηκότων, αὐτόθεν διωμολογηκότων καὶ μάλα σαφῶς, ὡς * ἀλλότριον, καὶ ἔξω που τῶν ἐπί γε τούτοις * καθεστήκαμεν ἐγκλημάτων. ἐπειδὴ δὲ ἀνυπόθετον λῆμμα κατὰ τὸ αὐτοῖς δοκοῦν προθέντες * ἀβουλήτως, πικροῖς ἐννοιῶν εὑρήμασι χρώμενοι, πειρῶνται δεικνύειν τῆς ἐνούσης αὐτοῖς ἀγχινοίας τὴν δείνωσιν· κατασκευάζουσι δὲ καὶ μάλα γοργῶς, ἀποφαίνοντες ἀπαθῆ κατ' ἰδίαν φύσιν τὸν τοῦ Θεοῦ λόγον, ἀκουέτωσαν, μηδενὸς αὐτοῖς ἀντεξάγοντος, πρὸς ἡμῶν, ὅτι πικτεύουσι μάτην, καὶ δέρουσι πρὸς ἀέρα εἰς τοῦτο, μήτε μὴν φρονοῦντος τὰ ἐναντία. τί τοίνυν ἱδρῶσι μάτην, καὶ διατείνονται περιττά; τίς οὕτως ἐμβρόντητος, ὡς τῆς ἀνωτάτω πασῶν οὐσίας τὸ ἐμπαθὲς καθορίζειν· καὶ εἰς τὴν τῶν παθημάτων ἀσθένειαν κατασείειν ἀποτολμᾷν τὸ παντὸς ἐπέκεινα γενητοῦ, καὶ ἀσώματον; ἐπειδὴ δὲ ὁ τοῦ μυστηρίου λόγος, ἄνθρωπον οἶδε γενόμενον οἰκονομικῶς ἐκ γυναικὸς τὸν ἐκ Θεοῦ κατὰ φύσιν υἱὸν μονογενῆ. ἴδιόν τε ὑπάρχειν αὐτοῦ διαβεβαιούμεθα τὸ ἐκ τῆς * μακαρίας παρθένου ληφθὲν ἅγιον σῶμα· ταύτῃ τοι καὶ μάλα ὀρθῶς κατ' οἰκείωσιν οἰκονομικὴν αὐτοῦ λέγεσθαί φαμεν τὰ τῆς σαρκὸς πάθη, τετηρηκότες πανταχοῦ τῇ αὐτοῦ φύσει τὸ ἀπαθές. Θεὸς γάρ ἐστιν ἐκ Θεοῦ. ὅταν τοίνυν σαρκὶ λέγηται παθεῖν, οὐκ αὐτὸς εἰς ἰδίαν φύσιν νοεῖται παθών. καθὸ Θεός ἐστιν. ἰδιοποιούμενος δὲ μᾶλλον τὸ πάθος· αὐτοῦ γὰρ γέγονε τὸ ἐνωθὲν αὐτῷ σῶμα, καθάπερ ἔφην ἀρτίως. διὰ τοῦτο καὶ ὁ θεσπέσιος Παῦλος αὐτὸν τὸν δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα πεποίηκεν ὁ πατὴρ, πρωτότοκον ἐκ νεκρῶν * γενέσθαι φησί· γράφει δὲ οὕτως· εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτὶ, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ· ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν τῶν ἁμαρτιῶν· ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ, καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται. καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε· καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας· ὅς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν· ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων· ὅτι ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι σωματικῶς· καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν· εἰρηνοποιήσας * διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. Ἄθρει δὴ οὖν, ὅπως δι' αὐτοῦ τὰ πάντα πεποιῆσθαι λέγων, ὁρατὰ, καὶ ἀόρατα, θρόνους τε, καὶ ἐξουσίας, αὐτὸν δεδόσθαι φησὶ τῇ ἐκκλησίᾳ κεφαλὴν, καὶ πρωτότοκον ἐκ νεκρῶν * γενέσθαι διϊχυρίζεται· ἀποκαταλλαχθῆναί τε τὰ πάντα δι' αὐτοῦ εἰς αὐτόν· καὶ εἰρηνεῦσαι διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. εἶτά τις * ἐνδοιάζων καὶ μετὰ τοῦτο ἔτι, καὶ δεδοικὼς εἰκῇ. μὴ ἄρα πως παθητὴν τὴν τοῦ υἱοῦ φύσιν ὁ τοῦ μυστηρίου λόγος ἀποφήνῃ, ὅταν λέγηται σαρκὶ παθεῖν; ἰδιοποιεῖται γὰρ, ὡς ἔφην, τὰ τοῦ ἰδίου σώματος πάθη. τοῦτο φρονεῖν ἐδόκει τῷ θεσπεσίῳ Πέτρῳ λέγοντι. Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί. ἕτερον δὲ τὸ σαρκὶ παθεῖν λέγεσθαι, καὶ ἕτερον ὁμοίως τὸ παθεῖν λέγεσθαι τῇ τῆς θεότητος φύσει· ἐπειδὴ γάρ ἐστιν ὁ αὐτὸς Θεός τε ὁμοῦ, καὶ ἄνθρωπος, ἀπαθὴς μὲν τό γε ἧκον εἰς τὴν τῆς θεότητος φύσιν, παθητὸς δὲ κατὰ τὸ ἀνθρώπινον· τί τὸ ἄτοπον, εἰ τῷ παθεῖν πεφυκότι λέγεται παθεῖν, τῷ παθεῖν οὐκ εἰδότι μεμενηκὼς ἀπαθής; ὅτι δὲ τοιᾷ δὲ πίστει καὶ ὁ τῶν ἁγίων πατέρων διέπρεψε χορὸς, ἐξ αὐτῶν εἰσόμεθα, ὧν γεγράφασιν αὐτοὶ, τὴν τοῦ σωτῆρος τηρήσαντες ἐντολήν. διεμέμνηντο γὰρ λέγοντος· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

* ἴσως, ὡς οἴονται.
* καταβεβληκότων.
* ὡς ἀλλότριοι.
* καθέστηκεν.
* ἀβούλως.
* παρθένου Μαρίας.
* γεγενῆσθαι
Ἐπιστ. 1. 12.
* δι' αἵματος.
* γεγενῆσθαι.
* ἴσως, ἡ ἐνδοιάζων
1. Πετρ. 4.
Ματθ. 10. 8.

Γρηγορίου ἐπισκόπου Νύσσης.

Τοῦτο γὰρ φρονείσθω, φησὶν, ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. τί πτωχότερον ἐπὶ Θεοῦ τῆς τοῦ δούλου μορφῆς; τί ταπεινότερον ἐπὶ τοῦ βασιλέως τῶν ὅλων, ἢ τὸ εἰς κοινωνίαν τῆς * πτωχῆς ἡμῶν φύσεως ἑκουσίως ἐλθεῖν; ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ ὁ κύριος τῶν κυριευόντων τὴν τοῦ δούλου μορφὴν ὑποδύεται· ὁ κριτὴς τοῦ παντὸς ὑπόφορος τοῖς δυναστεύουσι γίνεται· ὁ τῆς κτίσεως κύριος ἐν σπηλαίῳ κατάγεται· ὁ τοῦ παντὸς περιδεδραγμένος οὐχ εὑρίσκει τόπον ἐν τῷ καταλύματι, ἀλλ' ἐν φάτνῃ τῶν ἀλόγων παραρρίπτεται· ὁ καθαρὸς, καὶ ἀκήρατος, τὸν τῆς ἀνθρωπίνης φύσεως καταδέχεται ῥῦπον, καὶ διὰ πάσης τῆς πτωχείας ἡμῶν διεξελθὼν, μέχρι τῆς τοῦ θανάτου προέεισι πείρας. ὁρᾶτε τῆς ἑκουσίου πτωχείας τὸ μέτρον· ἡ ζωὴ θανάτου γεύεται· ὁ κριτὴς εἰς κριτήριον ἄγεται· ὁ τῆς ζωῆς τῶν ὄντων κύριος ἐπὶ τῇ ψήφῳ τοῦ

Φιλίπη. 2.
* πτωχείας ἡμῶν ἑκούσιος
Ματθ. 17. 27.
Ἡσαΐ. 40.
Λοκ. 2.
Ῥωμ. 14.

τῦ δικάζοντος * ἄγεται· ὁ τάσης τῆς ὑπερκοσμίου δυνάμεως βασιλεὺς τὰς τῶν δημίων οὐκ ἀπωθεῖται χεῖρας. πρὸς τοῦτό σοι, φησὶ, τὸ ὑπόδειγμα τῆς παφειτοφροσύνης βλεπέτω τὸ μέτριον.

* γίνεται. Ισαΐ. ιθ.

Βασιλείου ἐπισκόπου Καισαρείας,

Οὐ γὰρ τοσοῦτον οὐρανὸς, καὶ γῆ, καὶ τὰ μεγέθη τῶν πελαγῶν, ἢ τὰ ἐν ὕδασι διαιτώμενα, καὶ τὰ χερσαῖα τῶν ζώων, καὶ φυτὰ, καὶ ἀστέρες, καὶ ἀὴρ, καὶ ὧραι, καὶ ἡ ποικίλη τοῦ παντὸς διακόσμησις, τὸ ὑπερέχον τῆς ἰσχύος σωίσησιν, ὅσον τὸ δωυηθῆναι τὸν Θεὸν τὸν ἀχώρητον ἀπαθῶς διὰ σαρκὸς συμπλακῆναι τῷ θανάτῳ, ἵνα ἡμῖν τῷ ἰδίῳ πάθει τὴν ἀπάθειαν χαρίσηται.

Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας.

Καὶ ἐδείκνυτο, ὅτι μὴ φαντασίᾳ, ἀλλὰ ἀληθῶς ἔχων ἐῶ τὸ σῶμα. ἔφερε δὲ τὸν χοϊκὸν ἐνδιδυσκόμενον τὴν ἀνθρωπίνην σάρκα ταύτην, μὴ τῶν ἰδίων παθῶν ὅλην αὐτὴν ἐνδύσασθαι· ἵν' ὥσπερ ἴδιον αὐτοῦ λέγομεν εἶναι τὸ σῶμα, οὕτω καὶ τὰ τοῦ σώματος πάθη ἴδια μόνου αὐτοῦ λέγηται. εἰ καὶ μὴ ἤπτετο κατὰ τὴν θεότητα αὐτοῦ. εἰ μὲν ἕτερον τὸ σῶμα, ἐκεῖνο ἂν λέγοιτο καὶ τὰ πάθη· εἰ δὲ τοῦ λόγου ἡ σὰρξ, ὁ γὰρ λόγος σὰρξ ἐγένετο, ἀνάγκη καὶ τὰ τῆς σαρκὸς πάθη λέγεσθαι αὐτοῦ, ὃ καὶ ἡ σὰρξ ἐστίν· ὃ γὰρ λέγεται, τὰ πάθη, οἷά ἐστι μάλιστα τὸ καταχεισθῆναι, τὸ μαστιγωθῆναι, τὸ δι' ξύλου κρεμασθῆναι, καὶ ὁ σταυρὸς, καὶ ὁ θάνατος, καὶ αἱ ἄλλαι τοῦ σώματος ἀσθένειαι, τούτου καὶ τὸ κατόρθωμα, καὶ ἡ χάρις ἐστί. διὰ τοῦτο τοίνυν ἀκολούθως, καὶ πρεπόντως οὐκ ἄλλου, ἀλλὰ τοῦ χυείου λέγεται τὰ τοιαῦτα πάθη. ἵνα καὶ ἡ χάρις παρ' αὐτοῦ εἴη· καὶ μὴ εἰδωλολάτραι * γινόμεθα, ἀλλὰ ἀληθῶς θεοσεβεῖς, ὅ τι μηδένα τῶν * γυναικῶν, μὴ δὲ κοινόν τινα ἄνθρωπον, ἀλλὰ τὸν ἐκ Θεοῦ φύσει, καὶ ἀληθινὸν υἱὸν, τοῦτον * γεγονόμενον ἄνθρωπον, οὐδὲν ἧττον χυεῖον αὐτὸν, καὶ Θεὸν, καὶ σωτῆρα * ἐπικαλούμεθα.

Ἀπόχρη τοίνυν εἰς πληροφορίαν, * ὡς γε οἶμαι, τοῖς ἀρτίφροσι τὰ προτεθέντα ῥητὰ, τοῦ θείου νόμου διαρρήδην λέγοντος· ἐπὶ στόματος δύο μαρτύρων, καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα. εἰ δὲ δή τις βούλοιτο καὶ μᾶλλον τοῦτο ἔτι φιλονεικεῖν, ἀκουέτω πρὸς ἡμῶν. ἴδιόν τινα κατὰ σαυτόν· ἡμεῖς δὲ τοῖς ὀρθοῖς γράμμασι, καὶ τῇ τῶν ἁγίων πατέρων * ὀψόμεθα πίστει· * κερδανῶμεν γὰρ ὅπως τῆς ἄνω κλήσεως * τὸ βραβεῖον Χριστῷ· δι' οὗ, καὶ μεθ' οὗ τῷ Θεῷ, καὶ πατρὶ ἡ δόξα σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας. ἀμήν.

* γινόμεθα. * γυναικῶν. * καὶ γενόμενον. * ἐπικαλούμεθα. * ἀεὶ δὲ. Ματθ. ιη. * ἰσόμεθα. * κερδαίνομεν. * τὰ βραβεῖα.

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

Ἐπισκόπου Ἀλεξανδρείας πρὸς Εὐόπτιον, πρὸς τὴν παρὰ Θεοδωρήτου κατὰ τῶν δώδεκα κεφαλαίων ἀντίῤῥησιν.

Κυείλλος τῷ φιλαβεστάτῳ, καὶ ποθεινοτάτῳ ἀδελφῷ, καὶ συλλειτουργῷ Εὐοπτίῳ, ἐν κυείῳ χαίρειν.

ΕΝΕΤΥΧΟΝ τοῖς παρὰ τῆς σῆς θεοσεβείας ἐπεσταλμένοις, πεθαύμακά τε τὴν διάθεσιν, καὶ τῆς ἐν Χριστῷ ἀγάπης τὸ γνήσιον. χρὴ δὲ ὑπολαμβάνω καὶ νῦν εἰπεῖν. ὡς ἔστιν ἀληθὲς τὸ ἐν τῇ βίβλῳ τῶν παροιμιῶν * εἰρημένον. ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά· καί μοι δοκεῖ τῆς ἀγάπης τὸ χρῆμα τοῦ παντὸς ἄξιον γίνεσθαι λόγου παρὰ τῇ θεοπνεύστῳ γραφῇ, καὶ μάλα εἰκότως· πολήρωσιν * ἔχει τὸν νόμον, καὶ πρόσχει τῶν ἄλλων ἀρετῶν, καὶ ἐν πολλῷ κεῖται θαύματι παρὰ τοῖς τῶν ἁγίων ψυχαῖς. πληροῦσθαί γε μὴν αὐτὴν φαμὲν οὐκ ἐν ψιλαῖς τε, καὶ μόναις ῥημάτων προφοραῖς, ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων * μαρτυρουμένην. ὥσπερ γὰρ αἱ πολυτελέστατοι τῶν λίθων, ἃς καὶ ἰνδικὰς εἶναί φασιν, οὐκ ἐξ ὧν ἄν τις ἐξηγοῖτο περὶ αὐτῶν, ἀλλ' ἐξ ὧν εἰσι παρὰ τοῖς ὁρῶσι θαυμάζονται, τὸν αὐτὸν οἶμαι τρόπον καὶ τὸ λαμπρὸν τῆς ἀγάπης * ἐμφαίνεται· κάλλος, δι' αὐτῶν τῶν * κατορθωμένων ἐφ' ἅπασι τοῖς ἁγίοις μαρτυρούμενον. ταύτην καὶ σὴ θεοσέβεια ποιεῖται περὶ πολλοῦ, τῆς τῶν ἁγίων φρονήσεως ἴδιόν τι κατ' ἔγνως. καὶ τὸ τὰ ἐκείνων ἐζωϊάς εἰς * τὸ ἑαυτὰ ἀναματτομένη καύχημα. δέδεγμαι δὲ καὶ νῦν εἰς πληροφορίαν τῆς ἐνούσης διαθέσεως τῇ σῇ θεοσεβείᾳ τὸν διαπεμφθέντα τόμον. ὃν σωθεῖναι λέγεται κατὰ τῶν ἀναθεματισμῶν Θεοδώρητος ὁ Κύρου· καλεῖσθαι γὰρ οὕτω φασὶ τὸ πολίχνιον. ἐντυχὼν δὲ τοῖς ἐγκειμένοις, ἀνέθηκα τῷ Θεῷ τὰς χαεισπείους ᾠδάς· καὶ διαλέλοιπα δὲ κἀκεῖνο λέγων· κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας. ἀρίσκω γὰρ ἐμαυτὸν συκοφαντούμενον παντοίως, καὶ ἐφ' ἑκάστου τῶν κεφαλαίων ὑπομένοντα τοῦτο. * συνενόηκα δὲ, ὅτι καί τοι, καθὰ φασὶ τῶν γνωρίμων τινὲς, οὐκ ἔξω τριβῆς, τῆς τόγε ἦκον εἰς * λόγον, ὑπάρχων ὁ ἀνὴρ. συναγηγερκὼς δὲ τάχα καὶ τῶν ἱερῶν γραμμάτων οὐ μετρίαν εἴδησιν, ἀπεκομίσθη τοσοῦτον τοῦ σωίζειν τῶν κεφαλαίων τὴν δύναμιν· ὥστε μοι λοιπὸν οἴεσθαί τε, καὶ φρονεῖν, ὅτι ταῖς τινῶν ἐπιθυμίαις τὸ δοκεῖν ἠγνοηκέναι χαρίζεται. ἵνα μὴ ἀκόμψως, καὶ περιττῶς, ἀφόρμως δὲ μᾶλλον, ταῖς καθ' ἡμῶν λοιδορίαις κεχρῆσθαι νομίζηται. καί τοι δυσχερὲς, οὐ πάντας ὡς γε οἶμαι, ἐν τοῖς παρ' ἡμῶν εἰρημένοις ἐστὶν, οὗτε μὴν δυσέφικτον ἔχει τὴν προσβολήν. ἐπειδὴ δὲ οὕτω ἀναγκαῖον, καί τοι γεγραφότας ἤδη περὶ τούτων ἡμᾶς, ὀλίγα καὶ πρὸς αὐτὸν εἰπεῖν. ἵνα μή τις οἴηται σιωπᾷν ἐλέσθαι κατεγνωσμένους. ποιήσομαι τὴν ἀπολογίαν, βραχυλογήσας ὡς οἷόν τε. ἔδει μὲν οὖν αὐτὸν ταῖς θεοπνεύστοις ἐντυγχάνειν γραφαῖς, εἴπερ ὅλως σκοπὸς αὐτῷ τὰς περὶ τῶν θείων ἡμῖν μυστηρίων ποιεῖσθαι λόγους, τῶν ἱερῶν γραμμάτων διαμεμνῆσθαι μόνον, ἐξευφαίνειν τε ὅπως ἀγιοπρεπῶς τὴν ἀφήγησιν. καὶ μὴ μύθους ἡμῖν ἀρχαίους, καὶ ὀδωδότας παραχομίζειν εἰς μέσον. παρεικάζειν γὰρ ἄξιοι τοὺς ἐμοὺς λόγους τῷ μήλῳ τῆς ἔριδος. τάχα τε καὶ σύνδειξιν τῆς ἐνούσης αὐτῷ σοφίας τὸ χρῆμα ποιούμενον. ὅθεν καὶ ἡμεῖς ἐν πλείστῳ τε ὄντες, καὶ μεγάλῳ θαύματι, τὰ κατ' αὐτὸν πεποιήμεθα. φαίνεται γὰρ ἐκ πολλῆς ἄγαν ἐλλογιμότητος, καὶ φιλομαθίας, τὸ μῆλον τῆς ἔριδος οὐκ ἠγνοηκώς, ὅτε μὲν τὸν Πριάμου Πάριν. πλὴν τὰ τοιάδε μεθέλκοντες εἰς τὸ παρὸν, ἀνθεξόμεθα μᾶλλον τοῦ προκειμένου σκοποῦ.

* γέγονε. * συνεγνωκότος. λόγου.

Ε'ΠΙ-

ΕΠΙΣΤΟΛΗ ΘΕΟΔΩΡΗΤΟΥ

ἐπισκόπου Κύρου πρὸς Ἰωάννην Ἀντιοχείας ἐπίσκοπον.

ΛΙΑΝ ἤλγησα, τοῖς ἀναθεματισμοῖς ἐντυχὼν, οὓς ἀπέστειλας, ἀνατρέψαι τούτους ἐγγράφως ἡμῖν κελεύσας. καὶ τὴν αἱρετικὴν αὐτῶν ἔννοιαν γυμνὴν ἅπασι καταστῆσαι. ἤλγησα δὲ, ὅτι ἀνὴρ ποιμαίνειν λαχὼν, καὶ ποίμνην τοσαύτην πεπιστευμένος, καὶ θεραπεύειν τὰ ἀσθενῆ τῶν προβάτων προστεταγμένος, νοσεῖ μὲν αὐτὸς, καὶ λίαν σφοδρῶς, ἀναπιμπλᾷν δὲ πειρᾶται τῆς νόσου καὶ τὰ θρέμματα. καὶ τῶν ἀγρίων θηρίων χαλεπώτερα τὰ ποιμαινόμενα καθίστησιν. οἱ μὲν γὰρ τὰ διεσπαρμένα, καὶ τῆς ποίμνης κεχωρισμένα διασπῶσιν ἁρπάζοντες, ὁ δὲ ἐν μέσῳ ταύτης τυγχάνων, καὶ σωτὴρ εἶναι, καὶ φύλαξ νενομισμένος, λαθραίαν τὴν πλάνην τοῖς πειθομένοις ἐνίησι. τὸ μὲν γὰρ προφανῶς πολεμοῦν, δυνατὸν καὶ φυλάξασθαι, τὸ δ' ἐν σχήματι φιλίας τὴν ἐπιβουλὴν προσφέρον, ἀφύλακτον εὑρίσκει τὸν πολεμούμενον, καὶ ῥᾳδίαν αὐτῷ τὴν βλάβην ἐντίθησι. διὸ καὶ τῶν ἔξωθεν πολεμούντων οἱ ἔνδοθεν πολεμοῦντές εἰσι χαλεπώτεροι. τουτί με μειζόνως ἠνίασε, τὸ ἐν εὐσεβείας ὀνόματί τε, καὶ σχήματι, καὶ ἐν ποιμένος ἀξιώματι τυγχάνοντα, τὰς αἱρετικὰς, καὶ βλασφήμους ῥῆξαι φωνάς· καὶ τὴν πάλαι σβεσθεῖσαν Ἀπολιναρίου φλήναφον ὁμοῦ, καὶ δυσσεβῆ διδασκαλίαν ἀνανεώσασθαι. πρὸς δὲ τούτοις τὸ μὴ μόνον ταῦτα πρεσβεῦσαι, ἀλλὰ καὶ τοὺς μὴ πειθομένους αὐτῷ συμβλασφημεῖν, ἀναθεματίσαι τολμῆσαι· εἴπερ ἀληθῶς αὐτοῦ ταῦτα τὰ γεννήματα, καὶ οὐ τῶν ἐχθρῶν τις τῆς ἀληθείας, ὡς ἐξ ἐκείνου ταῦτα συντεθεικὼς, ἔρριψεν ἐν μέσῳ, κατὰ τὸ μυθευόμενον ἐκεῖνο μῆλον τῆς ἔριδος, εἰς ὕψος ἐγείρων τὴν φλόγα. ἐγὼ τοίνυν, εἴτ' ἐκεῖνος, εἴτ' ἄλλος τις, ὡς ἐξ ἐκείνου, ταῦτα συντέθεικε, τῷ φωτὶ τοῦ παναγίου πνεύματος συνεργῶ πρὸς τὴν ἔρευναν τῆς αἱρετικῆς κακοδοξίας χρησάμενος, κατὰ τὸ μέτρον τῆς δοθείσης μοι δυνάμεως, διήλεγξα ταῦτα, ὡς οἷόν τε ἦν· καὶ τὰς εὐαγγελικὰς, καὶ ἀποστολικὰς ἀντέθηκα διδασκαλίας· καὶ τὸ ἀλλόκοτον τοῦ δόγματος ἔδειξα· καὶ ὅσην ἔχει διαφωνίαν πρὸς τὰ θεῖα δόγματα πεποίηκα φανερόν· παρεξετάσας αὐτὰ τοῖς τοῦ θείου πνεύματος λόγοις, καὶ διδάξας ὅπως ἀσύμφωνα, καὶ τῶν θείων ἀλλότρια. πρὸς δὲ τὴν τοῦ ἀναθεματισμοῦ τόλμαν τοσοῦτον ἐρῶ, ὅτι Παῦλος ὁ μεγαλοφωνότατος τῆς ἀληθείας κήρυξ τοὺς παραφθείραντας τὰ εὐαγγελικὰ, Ἰω. 1. 1. καὶ ἀποστολικὰ διδάγματα, ἀνεθεμάτισε, καὶ τῶν ἀγγέλων κατατολμήσας, οὐ τοὺς ἐμμένοντας τοῖς δοθεῖσιν ὅροις ὑπὸ τῶν θεολόγων ἀνδρῶν· τούτους γὰρ καὶ εὐλογίαις ὠχύρωσεν, εἰπών. ὅσοι τῷ κανόνι τούτῳ * στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς, καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. δρεπέσθω τοίνυν ὁ τῶν λόγων τούτων πατὴρ ἐκ τῆς ἀποστολικῆς ἀρᾶς τῶν οἰκείων πόνων τὰ ἐπίχειρα, καὶ τῶν αἱρετικῶν σπερμάτων τὰ δράγματα· ἡμεῖς δὲ τῇ τῶν ἁγίων πατέρων ἐμμενοῦμεν διδασκαλίᾳ. ὑπέταξα δὲ καὶ τὰς γεγενημένας ἀντιρρήσεις τῇ δέμου τῇ ἐπιστολῇ. ἵνα ἀναγνοὺς * δοκιμάσας, εἰ δυνατῶς τῶν αἱρετικῶν προβλημάτων τὴν λύσιν ἐποιησάμεθα. ἕκαστον δὲ τῶν ἀναθεματισμῶν καθ' ἑαυτὸν τεθεικὼς, ἐξήγαγον τὴν ἀντίρρησιν. ὅπως ἂν ῥᾳδίως τοῖς ἐντυγχάνουσιν ἡ κατανόησις γένηται, καὶ σαφὴς τῶν δογμάτων ὁ ἔλεγχος.

ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

Ἀλεξανδρείας πρὸς τοὺς τολμῶντας συνηγορεῖν τοῖς Νεστορίου δόγμασιν, ὡς ὀρθῶς ἔχουσι, κεφάλαια ιβ'.

Ἀναθεματισμὸς α'.

Εἴ τις οὐχ ὁμολογεῖ, Θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ, καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον, γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ Θεοῦ πατρὸς λόγον· ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἐπισκόπου Κύρου ἀνατροπὴ τῶν δώδεκα κεφαλαίων.

Ἡμεῖς δὲ, ὅσοι ταῖς εὐαγγελικαῖς ἀκολουθοῦμεν φωναῖς, οὐ σάρκα φύσει γεγονέναι, οὐ δὲ εἰς σάρκα μεταβληθῆναι τὸν Θεὸν λόγον φαμέν· ἄτρεπτον γὰρ τὸ θεῖον, καὶ ἀναλλοίωτον. διὸ καὶ Δαυὶδ ὁ προφήτης λέγει· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν· ὅπερ Παῦλος ὁ μέγας, ὁ τῆς ἀληθείας κήρυξ, εἰς τὸν υἱὸν εἰρῆσθαι ἐν τῇ πρὸς Εβραίους ἐδίδαξε. καὶ ἑτέρωθι δὲ διὰ τοῦ προφήτου φησὶν ὁ Θεός· ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι. εἰ οὖν ἄτρεπτον τὸ θεῖον, καὶ ἀναλλοίωτον, τροπῆς ἐστι, καὶ μεταβολῆς ἀνεπίδεκτον· εἰ δὲ ἀδύνατον τραπῆναι τὸ ἄτρεπτον, οὐκ ἐγένετο σὰρξ ὁ Θεὸς λόγος τραπεὶς. ἀλλ' ἀνέλαβε σάρκα, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, κατὰ τὴν τῶν εὐαγγελίων φωνήν. καὶ τοῦτο σαφῶς ὁ θειότατος Παῦλος λέγων ἐν τῇ πρὸς Φιλιππησίους φησί· τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. δῆλον τοίνυν ἐκ τῶν εἰρημένων, ὡς ἡ τοῦ Θεοῦ μορφὴ οὐκ ἐτράπη εἰς δούλου μορφὴν, ἀλλὰ μένουσα ὃ ἦν, ἔλαβε τὴν τοῦ δούλου μορφήν. τοίνυν οὐ γέγονε σὰρξ ὁ Θεὸς λόγος, ἀλλὰ σάρκα ζῶσαν, καὶ λογικὴν ἀνέλαβεν. οὐκ αὐτὸς φύσει ἐκ τῆς παρθένου γεγένηται συλληφθεὶς, καὶ διαπλασθεὶς, καὶ μορφωθεὶς, καὶ ἀρχὴν ἐκεῖθεν τοῦ εἶναι λαβὼν, ὁ πρὸ τῶν αἰώνων ὑπάρχων, καὶ Θεὸς ὤν, καὶ πρὸς τὸν Θεὸν ὤν, καὶ τῷ πατρὶ συνὼν, καὶ μετὰ πατρὸς γνωριζόμενός τε, καὶ προσκυνούμενος. ἀλλ' ἑαυτῷ ναὸν ἐν τῇ παρθενικῇ γαστρὶ διαπλάσας, συνῆν τῷ πλασθέντι, καὶ γεννηθέντι. οὗ χάριν καὶ τὴν ἁγίαν ἐκείνην παρθένον θεοτόκον προσαγορεύομεν, οὐχ ὡς Θεὸν φύσει γεννήσασαν, ἀλλ' ὡς ἄνθρωπον τῷ διαπλάσαντι αὐτὸν ἡνωμένον Θεῷ. εἰ δὲ οὐκ ἄνθρωπος ὁ ἐν γαστρὶ τῆς παρθένου διαπλασθεὶς, ἀλλὰ Θεὸς λόγος, ὁ πρὸ αἰώνων, ποίημα ἄρα τοῦ πνεύματος ὁ Θεὸς λόγος. τὸ γὰρ ἐν αὐτῇ γεννηθεὶ, φησὶν ὁ Γαβριὴλ, ἐκ πνεύματός ἐστιν ἁγίου. εἰ δὲ ἄκτιστος ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, καὶ τῷ πατρὶ ὁμοούσιός τε, καὶ συναΐδιος, οὐκέτι πλάσμα, ἢ κτίσμα τοῦ πνεύμα-

Ψαλ. 101.
Εβρ. 1.
Μαλαχ. 3. 6
Γαλ. 1.
Φιλιπ. 2.
Ματθ. 1. 20.

ματος. εἰ δὲ οὐ τὸν Θεὸν λόγον τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇ γαστρὶ τῆς παρθένου διέπλασε, λείπεται νοεῖν τὴν τοῦ δούλου μορφὴν καὶ πλασθῆναι, καὶ μορφωθῆναι, καὶ κυηθῆναι, καὶ γεννηθῆναι φύσει. ἐπειδὴ δὲ οὐ γυμνὴ ἦν τῆς τοῦ Θεοῦ μορφῆς, ἀλλὰ ναὸς ἦν, ἔνοικον τὸν Θεὸν λόγον ἔχων, κατὰ τὴν τοῦ Παύλου φωνήν· ἐν αὐτῷ γὰρ, φησὶν, ηὐδόκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι σωματικῶς· οὐκ ἀνθρωποτόκον, ἀλλὰ θεοτόκον τὴν παρθένον προσαγορεύομεν· τὴν μὲν τῇ διαπλάσει, καὶ μορφώσει, καὶ * ἑνώσει, τὴν δὲ τῇ ἑνώσει τιθέντες προσηγορίαν. διὰ τοῦτο καὶ τὸ τεχθὲν βρέφος Εμμανουὴλ προσαγορεύεται. οὔτε Θεὸς ἀνθρωπείας φύσεως κεχωρισμένος, οὔτε ἄνθρωπος γεγυμνωμένος θεότητος· τὸ γὰρ Εμμανουὴλ τὸ μεθ' ἡμῶν ἑρμηνεύει εἶναι Θεὸν, κατὰ τὴν τῶν εὐαγγελίων φωνήν· τὸ δὲ, μεθ' ἡμῶν ὁ Θεὸς, καὶ τὸν ἐξ ἡμῶν ὑπὲρ ἡμῶν ληφθέντα δηλοῖ, καὶ τὸν ἀνειληφότα Θεὸν λόγον κηρύττει. οὐκοῦν τὸ βρέφος Εμμανουὴλ διὰ τὸν ἀνειληφότα Θεόν, καὶ θεοτόκος ἡ παρθένος διὰ τὴν πρὸς τὴν κυηθεῖσαν δούλου μορφὴν ἕνωσιν τῆς τοῦ Θεοῦ μορφῆς· οὐ γὰρ εἰς σάρκα ὁ Θεὸς λόγος ἐτράπη, ἀλλ' ἡ τοῦ Θεοῦ μορφὴ ἔλαβε τὴν τοῦ δούλου μορφήν.

Κολασ. 1.19. 2. 19.

*Τσ. κυήσει ἤ, γενέσει,

Ματθ. 1. 23.

Ἀπολογία Κυρίλλου.

Πλείστην ὅσην πεποιήμεθα τὴν καταβολὴν τῶν ὁμολογεῖν οὐκ ἀνεχομένων Θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Εμμανουὴλ, καὶ μὴν ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος, ὅτι γεγένηκε κατὰ σάρκα τὸν τοῦ Θεοῦ λόγον, * ὅτι γέγονε σὰρξ, τουτέστιν ἄνθρωπος. ὁ δὲ τῶν οὕτως ὀρθῶς εἰρημένων κατήγορος, εἰ μὴ Θεὸν οἶδε κατὰ ἀλήθειαν ὄντα τὸν Εμμανουὴλ, εἰ μὴ γεγένηται κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου, σὰρξ γεγονὼς, ὁ Θεοῦ λόγος κατὰ τὰς γραφὰς. τί μὴ μᾶλλον ἔφασκεν ἐναργῶς· τί δρᾷς, ὦ γενναῖε; δεινάς τε, καὶ παλιμφήμους ἐρεύγῃ φωνάς; τῶν τῆς ἀληθείας κατανεανιεύῃ δογμάτων; οὐκ ἔστι Θεὸς κατὰ ἀλήθειαν ὁ Εμμανουὴλ. οὔτε μὴν θεοτόκος ἡ ἁγία παρθένος· ἵνα καὶ ἡμεῖς ταῦτα βοῶντι, καὶ λέγοντι, τὰ ἐκ τῆς θεοπνεύστου γραφῆς ἀντανιστάντες ἐμφρόνως, καὶ τῆς ἀποστολικῆς τε, καὶ εὐαγγελικῆς πίστεως τὴν παράδοσιν, καὶ τὴν τῶν πατέρων ὁμολογίαν τῶν κατὰ καιροὺς ἐν τῇ Νικαέων συνειλεγμένων ἀντεξάγοντες, δυσωπήσωμεν, ὡς οὔτε ὀρθῶς, οὔτε μὴν ἐν κόσμῳ τοῖς παρ' ἡμῶν εἰρημένοις ἐπιπλήττειν ἐπιχειρεῖ. μᾶλλον δὲ ἀνέδην ταῖς θείαις μάχεται γραφαῖς. ἀλλ' ὁ σοφὸς, καὶ ἀγχίνους ἐξηγητὴς, ἃ μὲν ἦν εἰκός τε, καὶ ἀναγκαῖον εἰπεῖν, παρήλασε, πεφροντικὼς δὲ ὅλως τῶν τοιούτων οὐδενὸς, ἐφ' ἑτέραν ἴεται τρίβον. ἐτράπετο γὰρ εὐθὺς ἐπὶ τὸ δεῖν ἀποφαίνειν, ὅτι τροπῆς ἀμείνων ἐστὶν ὁ τοῦ Θεοῦ λόγος, καὶ οὐκ εἰς φύσιν μετεποιήθη σαρκὸς. ὡς τοῦτο κρατύνοντος, καὶ ἀληθὲς ἀποφαίνειν ἐθέλοντος τοῦ ἀναθεματισμοῦ. ἀκουέτω τοίνυν, ὑπαντᾷν, οἷς ἀντιλέγει κατ' οὐδένα τρόπον εἰδώς· εἰκαιολογεῖς ἄνθρωπε, καὶ μάχῃ φρονήματι μεμισημένῳ καὶ πρὸς ἡμῶν. ἤσμεν γὰρ, ὅτι τροπῆς ἐπισκίασμα παθεῖν ἡ θεία τε, καὶ ὑπερτάτη φύσις οὐκ ἀνέχεται· οὔτε μὴν ὁ τοῦ Θεοῦ λόγος, τὸ εἶναι μεθεὶς ὅπερ ἐστὶν, εἰς τὴν τῆς σαρκὸς μετακεχώρηκε φύσιν. ἐπειδὴ δέ φησι, παρὰ τῆς τοῦ Θεοῦ μορφῆς μορφὴν ἀναληφθῆναι δούλου, διδασκέτω παρελθὼν, εἰ δίχα τῶν ὑποστάσεων μόναι, καὶ καθ' ἑαυτὰς αἱ μορφαὶ συνῆλθον ἀλλήλαις. ἀλλ' οἶμαι, καταβαλεῖ καὶ αὐτὸς ἑαυτὸν αὐτόθεν· οὐ γὰρ ὁμοιότητες ἁπλῶς ἀνυπόστατοι, καὶ μορφαὶ συνέβησαν ἀλλήλαις καθ' ἕνωσιν οἰκονομικὴν. ἀλλὰ πραγμάτων, ἤγουν ὑποστάσεων γέγονε σύνοδος. ἵνα καὶ ὁ τῆς ἐνανθρωπήσεως λόγος ἀληθῶς γενέσθαι πιστεύηται. οὐκοῦν εἰ λέγοιμεν σάρκα γενέσθαι τὸν λόγον, οὐ σύγχυσιν, οὐ φυρμὸν, οὐ τροπὴν, οὐκ ἀλλοίωσιν συμβῆναι περὶ αὐτόν φαμεν. ἡνῶσθαι δὲ μᾶλλον ἀφράστως, καὶ ἀπορρήτως, σώματι ψυχὴν ἔχοντι νοεράν. τὸ δὲ ἑνοῦσθαι λεγόμενον οὐ συγχεῖται πάντως, ἐν προσλήψει δὲ μᾶλλον ἑτέρου γίνεται. διαβεβαιούμεθα τοίνυν τὸν ἐκ Θεοῦ πατρὸς λόγον, ἐν προσλήψει γεγονότα τῆς ἁγίας τε, καὶ ἐμψύχου σαρκὸς, ἑνωθέντα τε κατὰ ἀλήθειαν ἀσυγχύτως, ἐκ μήτρας αὐτῆς προελθεῖν ἄνθρωπον. μεμενηκέναι δὲ καὶ οὕτω Θεὸν ἀληθινόν· ταύτῃ τοι καὶ θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος. περιττὸν δὲ οἶμαι τὸ δεῖν οἴεσθαι καὶ ἀνθρωποτόκον εἰπεῖν αὐτήν. εἰ μὲν γὰρ ἦσάν τινες ἐκ πολλῆς ἄγαν φρενοβλαβείας λέγοντες, τὴν τοῦ λόγου φύσιν, πηγὴν ὥσπερ τινὰ, καὶ τῆς ἰδίας ὑπάρξεως ἀρχὴν ἐσχηκέναι τὴν σάρκα, τάχα τις ἦν οὐκ ἀπὸ σκοποῦ καὶ ἀπόβλητος λόγος τοῖς ἐθέλουσιν ὀνομάζεσθαι δεῖν καὶ ἀνθρωποτόκον αὐτήν. ἐπειδὴ δὲ βδελυρὰ, καὶ ἀπηχθημένη παρὰ πᾶσίν ἐστιν ἡ τοιαύτη δόξα, νοεῖται δὲ οὐχ ἑτέρως θεοτόκος ἡ ἁγία παρθένος, εἰ μὴ παρεισδέξαιτό τις τὴν πίστιν τοῦ, ὅτι γέγονε σὰρξ, τουτέστιν ἄνθρωπος, ὁ ἐκ Θεοῦ πατρὸς λόγος· οὐ γάρ που θεότητα γυμνὴν, ὡς ἔφην, ἐκτέτοκεν ἡ ἁγία παρθένος, τί τὸ τῆς ἐνστάσεως ὄφελος τῶν χρῆναι λεγόντων ὀνομάζεσθαι δεῖν καὶ ἀνθρωποτόκον αὐτήν; ἀλλ' ὡς ἔοικεν, ἐξεύρηταί τι πικρὸν αὐτοῖς κατὰ Χριστοῦ σκαιώρημα· οὐ γὰρ ἀνέχονται φρονεῖν, ἢ λέγειν αὐτὸν τὸν ἐκ Θεοῦ, καὶ πατρὸς προαιώνιον υἱὸν, ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, ἀσυγχύτως, ἀτρέπτως, ἐκ μήτρας ἑνωθῆναι σαρκὶ ψυχὴν ἐχούσῃ τὴν λογικὴν, οὕτω τε γενέσθαι καθ' ἡμᾶς ἄνθρωπον. ἀλλ' ὡς ἕνα τῶν ἁγίων ἔνοικον ἔχοντα Θεὸν διακηρύττειν ἐπείγονται, καὶ φρονεῖν ἀναπείθουσιν· οὐκ ἐννοοῦντες, ὅτι καὶ ἐν ἡμῖν ἐστι διὰ τοῦ πνεύματος, ὡς ἐν ἁγίοις ναοῖς, ὁ τῶν ὅλων Θεός. γέγραπται, γὰρ, ὅτι· οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις οὖν τὸν ναὸν τοῦ Θεοῦ φθείρῃ, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵ τινές ἐστε ὑμεῖς. ἀλλ' εἰ καὶ ὠνομάσμεθα ναοὶ Θεοῦ, Θεὸν ἔχοντες τὸς ἐνοικοῦντα διὰ τοῦ πνεύματος, ἀλλ' ἕτερον ἴσμεν τοῦ κατὰ Χριστὸν μυστηρίου τὸν τρόπον. ἡνῶσθαι γὰρ τῷ Θεῷ λόγῳ κατὰ ἀλήθειαν τὴν σάρκα φαμὲν, ψυχῆς δηλονότι τῆς λογικῆς ἐνούσης αὐτῇ. ἐπυθόμην δ' ἂν ἡδέως αὐτοῦ· πότερα δὴ τὴν ἕνωσιν τοῦ λόγου

*ἴσως, ὅτι

1. Κορίν. 3. 16.

γυ πρὸς τὸ ἀνθρώπινον, ἤγυν τὴν πρὸς τὸ ἅγιον σῶμα, τὸ καὶ ψυχωθὲν νοερῶς, πεπρᾶχθαί φησιν κατὰ ἀλήθειαν, ἢ τοῖς ἄλλοις ὁμοῦ καὶ αὐτὸς κατὰ συνάφειαν σχετικὴν δυλοπρεποῦς, καὶ ἀνυποστάτυ μορφῆς πρὸς ἐνυπόστατον, καὶ θείαν μορφὴν, ἢ καθ' ἕτερον τρόπον, κατὰ μόνην τῆς υἱότητος τὴν ὁμωνυμίαν, καὶ κατὰ * τὴν ἰσότητα τῶν ἀξιωμάτων; εἴπερ τις * ἄλλος συναφείας ὑτοσὶ νοεῖται τρόπος. ἀλλά γάρ, ὡς ἔοικε, παρενοχλῶ μάτην· πεποίημαι δὲ περιττῶς τὴν πεῦσιν, ἔχων αὐτοῦ φωνὰς, καὶ σαφῆ τὴν ὁμολογίαν. ἐν γάρ τοι τῷ πρώτῳ κεφαλαίῳ φησὶν αὐταῖς λέξεσιν ὧδε· διὰ τοῦτο τὸ τεχθὲν βρέφος προσαγορεύεται Ἐμμανουὴλ. οὔτε Θεὸς ἀνθρωπείας κεχωρισμένος φύσεως, οὔτε ἄνθρωπος γεγυμνωμένος θεότητος. ἔδει μὲν οὖν αὐτὸν ἀκριβῆ, καὶ τετορνευμένην τὴν περί γε τούτων ἀφήγησιν ποιεῖσθαι φιλεῖν. πλὴν ἐκεῖνο τέως ἐπισημήνασθαι χρή· ἰδοὺ γὰρ ἐνθάδε καὶ μάλα σαφῶς διερμηνεύων αὐτὸς τὴν ἕνωσιν, φύσεως ἀνθρωπίνης οὐ κεχωρίσθαι φησὶ τὸν Θεόν· προσομολογεῖ δὲ, ὅτι καὶ ἕνα καθ' ἕνωσιν οἰκονομικὴν οἶδεν ὄντα τὸν Χριστὸν, τὸν αὐτὸν δηλονότι Θεόν τε ὁμοῦ, καὶ ἄνθρωπον. εἶτα πῶς οὐκ ἐρυθριᾷ, τοῖς παρ' ἡμῶν γεγονόσιν ἐπιπλήττων λόγοις;

* μόνην τὴν ἕλλος.

Ἀναθεματισμὸς β'.

Εἴ τις οὐχ ὁμολογεῖ σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ Θεοῦ πατρὸς λόγον, ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκὸς, τὸν αὐτὸν δηλονότι Θεόν τε ὁμοῦ, καὶ ἄνθρωπον· ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἀνατροπή.

Ἕνα μὲν Χριστὸν ὁμολογοῦμεν, ταῖς θείαις τῶν ἀποστόλων διδασκαλίαις * πειθόμενοι· καὶ τὸν αὐτὸν διὰ τὴν ἕνωσιν Θεόν τε * καὶ ἄνθρωπον ὀνομάζομεν. τὴν δὲ καθ' ὑπόστασιν ἕνωσιν παντάπασιν ἀγνοοῦμεν, ὡς ξένην, καὶ ἀλλόφυλον τῶν θείων γραφῶν, καὶ τῶν ταύτας ἡρμηνευκότων πατέρων. εἰ δὲ τοῦτο βούλεται λέγειν διὰ τῆς καθ' ὑπόστασιν ἑνώσεως ὁ ταῦτα γεννήσας, ὡς κρᾶσις σαρκὸς, καὶ θεότητος γέγονεν, ἀντεροῦμεν σὺν πάσῃ προθυμίᾳ, καὶ τὴν βλασφημίαν ἐλέγξομεν. ἀνάγκη γὰρ τῇ κράσει ἀκολουθῆσαι τὴν σύγχυσιν· εἰσιοῦσα δὲ ἡ σύγχυσις ἀφαιρεῖ τῆς ἑκάστης φύσεως τὴν ἰδιότητα. τὰ γὰρ κεραννύμενα οὐ μένει, ἃ πρότερον ἦν. τοῦτο δὲ ἐπὶ τοῦ Θεοῦ λόγου, καὶ τοῦ ἐκ σπέρματος Δαυὶδ λέγειν, τῶν ἀτοπωτάτων ἂν εἴη. χρὴ δὲ πείθεσθαι τῷ κυρίῳ δεικνῦντι τὰς δύο φύσεις, καὶ λέγοντι τοῖς Ιουδαίοις· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. εἰ δὲ κρᾶσις ἐγεγόνει, οὔτε Θεὸς ἐμεμενήκει Θεὸς, οὔτε ναὸς ἐγνωρίζετο ναός· ἀλλὰ καὶ ὁ ναὸς Θεὸς, καὶ ὁ Θεὸς ναός. τοῦτο γὰρ ὁ τῆς κράσεως βούλεται λόγος. καὶ περιττῶς ὁ κύριος εἶπε τοῖς Ιουδαίοις· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· ἐχρῆν γὰρ φάναι· λύσατέ με, καὶ ἐν τρισὶν ἡμέραις ἐγερθήσομαι, εἴπερ ἀληθῶς κρᾶσίς τις ἐγεγόνει, καὶ σύγχυσις. νῦν δὲ δείκνυσι τὸν λυόμενον ναὸν, καὶ τὸν ἀνιστῶντα Θεόν. περιττὴ τοίνυν ἡ καθ' ὑπόστασιν ἕνωσις· ἣν ἀντὶ κράσεως ἡμῖν, ὡς οἶμαι, * προβάλλονται. ἀρκεῖ δὲ λέγειν τὴν ἕνωσιν, ἥτις καὶ τὰς τῶν φύσεων ἰδιότητας δείκνυσι, καὶ τὸν ἕνα προσκυνεῖν διδάσκει * Χριστόν.

* ἐνίμενοι.
* ἐλαῶν καὶ
* προβάλλονται.
* Θεόν.

Ἀπολογία Κυρίλλου.

Ἰδοὺ δὴ πάλιν ὁ γεννάδας ὑτοσὶ πρόφασιν τῆς καθ' ἡμῶν ἀθυροστομίας τὸ παρατυχὸν ποιεῖσθαι σπουδάζων, διασύρει τὴν λέξιν, τὴν καθ' ὑπόστασιν λέγω· καθορίζει δὲ τὸ ἀσύνηθες αὐτῆς, καὶ δὴ καὶ ξένως αὐτὴν πεποιῆσθαι διϊσχυρίζεται. οὐκ ἐννοήσας, ὅτι ταῖς τῶν ἀνοσίων αἱρεσιωτῶν εὑρεσιλογίαις ἡ τῶν λέξεων δύναμις τὸ ἀληθὲς ἀντεξάγουσα, παραλύειν ἐπιχειρεῖ τὸ ἀντιτάχθαι δοκοῦν. Νεστορίου τοιγαροῦν ἀναιροῦντος πανταχοῦ τοῦ Θεοῦ λόγου τὴν κατὰ σάρκα γένησιν, καὶ μόνην ἡμῖν ἀξιωμάτων ἑνότητα παρεισκρίνοντος, ἄνθρωπόν τε Θεῷ συνῆφθαι λέγοντος, τῇ τῆς υἱότητος ὁμωνυμίᾳ τετιμημένον, ἀναγκαίως ἡμεῖς τοῖς ἐκείνου μαχόμενοι, τὴν καθ' ὑπόστασιν ἕνωσιν γενέσθαι φαμὲν. τοῦ καθ' ὑπόστασιν, οὐδὲν ἕτερον ἀποφαίνοντος, πλὴν ὅτι μόνον ἡ τοῦ λόγου φύσις, ἤγουν ἡ ὑπόστασις, ὅ ἐστιν αὐτὸς ὁ λόγος, ἀνθρωπείᾳ φύσει κατὰ ἀλήθειαν ἑνωθεὶς, τροπῆς τινος δίχα, καὶ συγχύσεως, καθὰ πλειστάκις εἰρήκαμεν, εἷς νοεῖται, καὶ ἔστι Χριστὸς, ὁ αὐτὸς Θεὸς, καὶ ἄνθρωπος. τοῦτο δὲ, ὥς γε οἶμαι, καὶ αὐτῷ Θεοδωρήτῳ δοκεῖ, φύσεως ἀνθρωπίνης οὐ κεχωρίσθαι λέγοντι τὸν Θεὸν, οὔτε μὴν θεότητος δίχα νοεῖσθαι τὸ ἀνθρώπινον. οὐκοῦν οὔτε δίχα τῶν ὑποστάσεων δούλου τε, καὶ Θεοῦ μορφὴν ἡνῶσθαί φαμεν, οὔτε μὴν κοινὸν ἄνθρωπον, ἰσότητι μόνῃ τῶν ἀξιωμάτων τετιμημένον, σχετικῶς συνῆφθαι τῷ λόγῳ διοριζόμεθα, ἀλλ' αὐτὸν, ὡς ἔφην, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, γεγονότα κατὰ ἀλήθειαν ἐν προσλήψει τῆς ἑνωθείσης αὐτῷ σαρκὸς, ψυχὴν ἐχούσης τὴν λογικὴν, ἄνθρωπον γενέσθαι μετὰ τοῦ μεῖναι καὶ Θεόν. ἀλλ' ὁ δεινὸς εἰς λόγους, καὶ πυκνὸς εἰς θεωρίας, κράσεως εἶναι σημαντικὴν τὴν λέξιν διορίζεται, καὶ λέγειν ἀποτολμᾷ, καὶ τὰ * ἐκ τῆς τοῦ συγκεκρᾶσθαι τὰς φύσεις παρακομίζει * βλάβης, ὡς ἡμῶν ἠγνοηκότων· ἢ τάχα περιαυτίζεται, καὶ φιλοκομπεῖ. οἴεται δὲ ἴσως καὶ ἕτερον οὐδὲν, ἢ μακρηγορεῖν δύνασθαι, τὸ παρ' οὐδενὸς εἰρημένον, ὡς ἀληθὲς δεχόμενος. ἵνα τις εἶναι δοκῇ παρά γε τοῖς οὐκ εἰδόσι διακρίνειν ὀρθῶς, τίς μὲν εἰκαιομυθεῖ, καὶ ψεύδεται, τίς δὲ κατ' εὐθὺ τῆς ἀληθείας ἔρχεται, καὶ σοφῶν, καὶ ἀναγκαίων ἅπτεται λόγων. ὤμην μὲν οὖν ἐν ἀρχαῖς, ὁμολογῶ, τῶν κεφαλαίων τὴν δύναμιν οὐκ ἀγνοῆσαι μὲν αὐτὸν, ὑποπλάττεσθαι δὲ, ὡς ἔφην, τὸ δοκεῖν ἠγνοηκέναι, καὶ τοῦτο χαρίζεσθαι τισίν· ἠγνοηκότα γε μὴν αὐτὸν κατὰ ἀλήθειαν εὑρίσκω λοιπόν.

* ἐκ τοῦ
* βλάβη

Ἀναθεματισμὸς γ'.

Εἴ τις ἐπὶ τῇ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν, ἤγουν αὐθεντίαν, ἢ δυναστείαν, καὶ οὐχὶ δὲ μᾶλλον * συνόδου τὴν καθ' ἕνωσιν * φυσικὴν. ἀνάθεμα ἔσω.

* συνόδῳ τῇ φυσικῇ

Θεοδωρήτου ἀναξιοπί.

Σκοτεινή, καὶ ζοφώδης τῷ εἰρημένῳ ἡ ἔννοια· τίνι γὰρ οὐκ ἄδηλον, ὡς συνάφεια, καὶ συνόδου ἐδενὶ διαφέρουσιν; ἤτε γὰρ συνόδου τῷ κεχωρισμένῳ ἐστὶ συνοδος, ἤτε συνάφεια τῷ διηρημένῳ συνάφεια. ὁ δὲ σοφώτατος τῷ λόγων τέκτων πατήρ, ὡς ἐναντία τὰ σύμφωνα τέθεικεν. οὐ χρὴ γάρ, φησὶ, συνάπτειν τὰς ὑποστάσεις συναφείᾳ, ἀλλὰ συνόδῳ, καὶ συνόδῳ φυσικῇ· ἢ ἀγνοῶν ἴσως ὁ λέγει, ἢ ἐν γνώσει * βλασφημῶν. ἡ γὰρ φύσις ἀναγκαστικόν τί ἐστι, καὶ ἀβέλητον χρῆμα· οἷον τι λέγω· φυσικῶς πεινῶμεν, ἐ γνώμῃ τοῦτο φάσχοντες, ἀλλὰ ἀνάγκῃ. ἢ γὰρ ἂν οἱ πτωχεῖα συζῶντες τὸ προσαιτεῖν ἀπηλλάγησαν, τὸ μὴ πενιᾷ τὴν ἐξουσίαν ἐν τῇ βελῇ κεκτημένοι· φυσικῶς διψῶμεν, φυσικῶς καθεύδομεν; φυσικῶς ἀναπνέομεν τὸν ἀέρα· πάντα δὲ * ταῦτα τῷ ἀβουλήτων, ὡς ἔφην· ὁ γὰρ μηδενὶ τούτων κατιδεχόμενος, * ἀνάγκη τὸ τῆς ζωῆς * ὑποδέχεσθαι τέλος. εἰ τοίνυν φυσικὴ γέγονε τῆς τοῦ Θεοῦ μορφῆς, καὶ τῆς τοῦ δούλου μορφῆς ἡ * καθ' ἕνωσιν σύνοδος, ὑπ' ἀνάγκης τοῦτο βιαζόμενος, ἀλλ' οὐχὶ φιλανθρωπίᾳ κεχρημένος ὁ Θεὸς λόγος σωμάτωται τῇ τοῦ δούλου μορφῇ· καὶ διρεθήσεται ὁ τοῦ παντὸς νομοθέτης ἀναγκαστικοῖς νόμοις ἀκολουθῶν. ἀλλ' ὁ ταῦτα ἡμᾶς ὁ μακάριος ἐδίδαξε Παῦλος, τἀναντίον δέ, ὅτι ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών· τὸ δὲ ἑαυτὸν ἐκένωσε, τὸ ἐθελούσιον δείκνυσιν. εἰ τοίνυν γνώμῃ, καὶ βουλήσει τῇ ἐξ ἡμῶν ἀναληφθείσῃ λυτόθη φύσει, περιττὴ τῆς φυσικῆς λήξεως ἡ προσθήκη· ἀρκεῖ γὰρ ὁμολογῆσαι τὴν ἕνωσιν· ἕνωσις δὲ ἐπὶ τῷ * εἰρημένων λαμβάνεται· διαιρέσεως γὰρ ἐκ ἔστης, ἐκ ἂν ποτε ἕνωσις νοηθείη. ὁ τοίνυν τὴν ἕνωσιν λαμβάνων, * προλαμβάνει τὴν διαίρεσιν. πῶς τοίνυν φησὶ, μὴ δεῖν τὰς ὑποστάσεις διαιρεῖν, εἶτα φύσεις; καὶ ταῦτα, εἰδὼς ὡς τελεία μὲν ἡ τοῦ Θεοῦ λόγου ὑπόστασις πρὸ τῶν αἰώνων ὑπῆρχε. τελεία δὲ ὑπ' ἐκείνης ἐλήφθη ἡ τοῦ δούλου μορφή. διὸ καὶ ὑποστάσεις εἶπεν, ἀλλ' ἐχ ὑπόστασιν. εἰ τοίνυν ἑκατέρα φύσις τὸ τέλειον ἔχει, εἰς ταυτὸν δὲ συνῆλθον ἀμφότεραι, τῆς τοῦ Θεοῦ μορφῆς ὁπλουότι λαβούσης τὴν τοῦ δούλου μορφήν, ἓν μὲν πρόσωπον, καὶ ἕνα υἱὸν, καὶ Χριστὸν * ὁμολογεῖν ἀσεβές· διὸ δὲ τὰς ἑνωθείσας ὑποστάσεις, εἶτα φύσεις λέγειν ἐκ ἄτοπον, ἀλλὰ κατ' αἰτίαν ἀκόλουθον. εἰ γὰρ ἐπὶ τοῦ ἑνὸς ἀνθρώπου διαιροῦμεν τὰς φύσεις, καὶ καλοῦμεν τὴν μὲν θνητὴν σῶμα, τὴν δὲ ἀθάνατον ψυχήν, ἑκατέραν δὲ ἄνθρωπον. πολλῷ μᾶλλον τὰ ἀνεληφότος Θεοῦ, καὶ ἀναληφθέντος ἀνθρώπου, τὰς τῆς φύσεως ἰδιότητας γνωρίζειν ἄλογον. Δείσκομβ δὲ καὶ τὸν μακάριον Παῦλον, τὸν ἕνα ἄνθρωπον εἰς δύο διαιροῦντα ἀνθρώπους. καὶ ποτὲ μὲν λέγοντα· ὅσον ὁ ἔξω ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται· ποτὲ δὲ· σωθήσομαι τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον. καὶ αὖθις· εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν. εἰ δὲ τὴν φυσικὴν συνάφειαν τῶν * ὁμοχρόνων φύσεων ὁ ἀπόστολος διαιρεῖ, πῶς ἀσεβείας γράφεται τὰς τὰ ἴδια τῆς φύσεως διαιροῦντας τοῦ προαιωνίου Θεοῦ, καὶ τοῦ ἐπ' * ἐσχάτων τῶν ἡμερῶν ἀναληφθέντος ἀνθρώπου, ὁ τὴν κρᾶσιν * ἡμῶν δὲ ἑτέρων ὀνομάτων διδάσκων;

* καὶ ἔσω ἄνθρωπον
* ἐσχάτου
* ἡμᾶς

Ἀπολογία Κυρίλλου.

Ἀθρει * δὴ ἔν, ὅπως ὁ πάνσοφος ἔστος, τὸν μὲν τὸ ἀσυμφανὲς τῶν εἰρημένων καταψεύδεται, ἀφεγγῆ δὲ, καὶ σκοτεινὴν τὴν διάνοιαν ἔχων αὐτὸς, σκοτεινὸν εἶναί φησι τὸν ἔτω διαφανῆ, καὶ τοῖς δ' φρονεῖν ἐθέλουσι γνωριμώτατον λόγον. φήθη δὲ ὅτι συνόδου λέγεσθαι, καὶ οὐχὶ δὴ μᾶλλον συνάφειαν ὀνομάζεσθαι δεῖν, ὁ πρὸς ἡμῶν γεγονὼς διϊσχυρίζεται λόγος. εἶτα τῆς ἑνέσης ἀτεχνίας αὐτῷ ποιούμενος τὴν ἐπίδειξιν, μίαν ἡμῖν ἀποφαίνει τὴν ἐκ τῶν σημαινομένων δύναμιν. καὶ εἴτε συνάφειαν, εἴτε σύνοδον πεπρᾶχθαί τις λέγοι. ἐγὼ δὲ καὶ τούτῳ θαυμάσας ἔχω τῆς ἔτως ἰσχνῆς ἀβελίας αὐτοῦ· ἔγνω γὰρ, ὡς ἔοικε, μόνος τὸ μηδενὶ * ποτε τάχα τῶν ὄντων ἀγνοηθὲν, πεπατημένον δὲ ὅτως, ὡς καὶ αὐτοῖς εἶναι καταφανὲς τοῖς εἰσάπαν ἡμιοιρικόσι καὶ σοφίας κοσμικῆς, καὶ λόγων ζιβῆς, καὶ τῆς ἐκ παρακεσμάτων μετεώρας τε, καὶ ἐκ ἀκεραίας ἐπιστήμης. πεθαυμακὼς τοίνυν τῆς ἀμαθίας αὐτὸν, ἐκεῖνο φημί· βραχὺ * διαγρηγορήσας καθάπερ ἐξ ὕπνου, καὶ μέθης, ὁ τὸ πλατὺ καθ' ἡμῶν διαρρυὲν σόμα, * θεώρει λεπτῶς τὸ μυστήριον. τὴν ἐπὶ Χριστῷ λεγομένῃ ἕνωσιν * συκοφαντήσαί τινες, παρατρέποντες εἰς τὸ ἀκαλλὲς, καὶ εἰς τὸ δοκεῖν αὐτοῖς παράγε τὸν σκοπὸν τῶν ἱερῶν γραμμάτων· φασὶ γὰρ διηρῆσθαι μὴ εἰς ἅπαν ἀλλήλων, καὶ ὁλοξόπως ἀποφοιτᾶν τὰς φύσεις, ἰδίᾳ τε εἶναι, καὶ ἀνὰ μέρος ἑκατέρας· ἄνθρωπον δὲ οὕτω συνῆφθαι Θεῷ σχετικῶς διατείνονται κατὰ μόνην τὴν ἀξίαν, ἤγουν αὐθεντίαν, καὶ κατὰ τὴν τῆς υἱότητος ὁμωνυμίαν. ταύτῃ ἀναιρεῖ τὴν δόξαν ὁ ἀναθεματισμὸς, καὶ ταῖς ἔτω βδελυρωτάταις κενοφωνίαις ἀντανίσταται· βεβαιοῦται γὰρ σεσῶσθαι κατὰ φύσιν, τοτέσιν ἀ σχετικῶς, ἀλλὰ κατὰ ἀλήθειαν τῇ ἁγίᾳ σαρκὶ τὸν λόγον, ψυχῇ τε ἐχούσῃ τὴν νοεράν, καὶ μηδέν ἧττον διατίμιον θαι δεῖν, ἵνα μὴ δύο νοῶμεν υἱὸς, μεῖζόντες τὸν ἀμείωτον. ὁ δὲ ἀ σωτὴρ ὁ, τί ποτέ ἐστιν ἕνωσις φυσικὴ, τοτέσιν ἀληθὴς, ἀ συγχέουσα τὰς φύσεις, ὅτε μὴ * ἀνακρινῶσα πρός γε τὸ δεῖν ἑκατέραν ἐπιροϊως ἔχειν, * ὅπερ ἐστὶ μειρακιώδές τι, καὶ ψυχρὸν, δίκετται πρὸς ἀποδεῖξιν ὧν εὖ ἔχειν ὑπείληφε. καὶ δὴ καὶ φησίν· εἰ φυσικὴ γέγονεν ἡ ἕνωσις, ἐχ ἑκοσίως· ἡ κίνησις τὸ λόγου, ἀλλ' οἷον ὑξ ἀνάγκης, ὡς βίας. ἀναγκαστικὴ γὰρ ἡ φύσις· καὶ πρός γε δὴ τοῦτο φαίη τις ἂν αὐτῷ· ὅτι πεινᾷ πῦ

* ἀναθεματισμοῦ
* διηρῆσθαι
* ἐστὶ
* ἀνακρίνασα
* ἐστὶ μειρακιώδες

καὶ δίψα, καὶ τὰ λοιπά, καθάπαξ ἔφης αὐτὸς, σαρκὸς ἂν εἶεν ἀβρώματα φυσικά, καὶ ὂν ἡμῖν αὐτοῖς τὴν κίνησιν ἔχει. ὅτι καὶ τυραννεμβάλλω τοῖς πάθεσι τὴν φύσιν κεκτήμεθα· ἡ δέ γε θεία τε, καὶ ἀπόῤῥητος τοῦ Θεοῦ λόγου φύσις πάθους, καὶ ἀνάγκης ἀνεπίδεκτος ἔσα παντελῶς, ἐ βεβίασαι παρός τινος, ὅτε μὴν ἐξ ἑαυτῆς παρός γε τὸ δεῖν ἀβουλήτως γνέσθαι σάρξ, ἤγουν τὸ ἀνθρώπινον * οἰκειώσασθαι μέξον, ἐπιλαβέσθαι τε σπέρματος Ἀβραάμ. ὅτι δὲ ἀκατάσκεπτος κομιδῇ γέγονεν ὁ λόγος αὐτῷ, χαλεπὸν ἐδὲν τοῖς ἐθέλουσιν ἰδεῖν. ἔφη γάρ, ὅτι πάντη τε καὶ * πάντως τὰ κατὰ φύσιν τοῖς τῆς ἀνάγκης ὑποκείσεται * μέξοις· καὶ παρεκόμισεν εἰς ἀπόδειξιν τὸ ἀβελήτως ἡμᾶς πεῖνάν τε, καὶ δίψαν εἰσδέχεσθαι, καλέσας εἰς τοῦτο τῆς φύσεως, κοὐ εἰ μὴ βέλοιτο τίς. ἀλλ' ὢν ἀνδρὸς δίμαθοῦς, καὶ ἠκονημένον ἔχοντος εἰς τοῦτα τὸν νοῦν, καὶ τὰ σεμνὰ τῆς πραγμάτων ἰδεῖν, ἃ καὶ λόγου πλείονος ἀξιοῖτο ἂν εἰκότως. * εἰ γὰρ οὐκ ἀληθές, ὅτι λογικός ἐσι κατὰ φύσιν ὁ ἄνθρωπος, ἄρα * ἀβουλήτως, καὶ ἀναγκαστικῶς ἐσὶ λογικός. τί δέ; εἰπέ μοι, καὶ ὁ τῆς ὅλων Θεός, ὁ κατὰ φύσιν ἐσὶ Θεός; οὐ κατὰ φύσιν ἅγιος, δίκαιος, ἀγαθός, ζωὴ, φῶς, σοφία, καὶ δυνάμις; ἆρ' ἔν καὶ αὐτοῖς ἀβελήτως, καὶ ὡς ἐξ ἀνάγκης ἐσίν, ἃ ἐσίν; ἀλλ' οἶμαι τὸ οὕτως ἑλέσθαι φρονεῖν τῆς εἰς λῆξιν ἡκούσης ἐμβροντησίας οὐκ ἀσυμφανὴς ἔλεγχος ἂν εἴη. τί τοίνυν ἡμῖν ὡς ἄμαχόν * τε, καὶ δυσκατανίστον ἐπιτείχισμα ποιεῖται τὸ ψεῦδος, καὶ τῆδε κἀκεῖσε σαθρῶν ἅπτεται προβλημάτων, καὶ φυσικὴν ἀκόλουθον γνέσθαι τὴν ἕνωσιν, τουτέσι τὴν ἀληθῆ, καὶ ξοπῆς ἐλευθέραν, ἐ ἀσύγχυτον παντελῶς τῆς ὑποστάσεων συνόδου, περιδέπειν πειρᾶται τῶν εἰρημένων τὴν δύναμιν, εἰς τὸ μὴ ὀρθῶς πεποιῆσθαι δοκεῖν * καθ' ὁμοιότητα τὴν παρὸς ἡμᾶς; ἃ δέδιεν ὁ θρασὺς ἀφύκτοις ἀνάγκης τὴν τῷ λόγῳ φύσιν ὑποτιθείς. κεκένωκεν ἑαυτὸν οὐκ ἀβελήτως, ἀλλ' ἐθέλοντὴς ὁ μονογενὴς γέγονεν ἄνθρωπος, καὶ οὐχ ὡς σὺ φῂς, ἀνέλαβεν ἄνθρωπον, σχετικῶν αὐτῷ ἐνρέμενος τὴν σωτηρίαν, καὶ τῇ τῆς υἱότητος χάριτι σεφανῶν, καθάπερ ἡμᾶς. ὥσε κἂν νοῦμεν λύεσθαι τὰς ὑποστάσεις, ἐνανθρωπῆσαί τε, καὶ σαρκωθῆναι τὸν λόγον, καὶ δοκεῖ πῶς κατὰ τοῦτο φυσικὴ λέγεσθαι παρ' ἡμῶν ἡ ἕνωσις, τὴν οὐκ ἀληθῆ π, καὶ σχετικὴν ἐκβάλλουσα, ἣν ἡμεῖς ἐσχήκαμεν εἰς πίστεως, καὶ ἁγιασμοῦ, ὅτι καὶ θείας φύσεως γεγόναμεν κοινωνοί, * καὶ καθάφησιν ὁ Παῦλος· ὁ κολλώμενος τῷ κυρίῳ, ἓν πνεῦμά ἐσιν. ἀλλ' οὐχ ὑποπίπτουσιν ἀνάγκαις, καὶ πλεονεξίαις φυσικαῖς τὸν ἁπλοῦν καὶ ἐλεύθερον τοῦ Θεοῦ λόγον. τὸ δέ γε μὴ θέλειν μετὰ τὴν ἕνωσιν διαιρεῖσθαι * διχῇ τὰ λειτουργήματα, καὶ ἀλλήλων * ἐπιφοιτᾶν, εἴη ἄν, ὡς γέ μοι φαίνεται, παντελῶς ἀνυπαίτιον, καὶ μώμου μακράν. μᾶλλον δ' ὅτι καὶ αὐτὸς ὁ χρησὸς ἐστὶ Θεοδώρητος τὸν ἕνα, καὶ καθ' ἡμᾶς νοούμενον ἄνθρωπον εἰς παράδειγμα λαβὼν, οὐκ ἐᾷ τιμᾶσθαι * διχῇ. καίτοι τῆς ἐπ' αὐτῷ θεωρίας οὐκ ἀπαράδεκτον ἐχούσης τὴν σεμνὴ τομὴν, καὶ διαίρεσιν, τό γε ἦκον εἰς τὸ θέσθαι φημί. ὡς ἕτερον * μὲν τι κατὰ φύσιν ἐσὶν ἡ ψυχὴ, ἕτερον δέ τι κατ' ἰδίαν φύσιν ἡ σάρξ. ἐκεῖ κατά γε τὸν ἴσον λόγον πολυπραγμονοῦντες τὴν ἕνωσιν, ἥπερ ἂν ἐπὶ Χριστῷ πιστρᾶχθαι νοῖντο, τῇ μὲν θεωρίᾳ διεκτικὴς τε, καὶ ἀνθρωπότητος, συνόδου ἀληθῆ καθ' ἕνωσιν γνέσθαι φαμὲν, οὐκ ἠγνοηκότες, ὅτι ἕτερος μὲν * κατὰ τὴν σάρκα κατὰ φύσιν ἐσὶν ὁ ἐκ Θεοῦ λόγος, ἕτερα δὲ αὖ κατ' ἰδίαν φύσιν παρ' αὐτὸν ἡ σάρξ. ἑνωθέντα δὲ ἄπαξ, διατέμνειν ἐκ ἀσφαλές, ὅτε μὴν εἰς δύο καταμερίζειν υἱοὺς τὸν ἕνα Χριστὸν, καὶ υἱὸν, καὶ κύριον ἐφίησί τισιν ὁ τῆς ὀρθότητος λόγος, παιδαγωγήσας ἡμᾶς εἰς τοῦτο τῆς ἁγίας, καὶ θεοπνεύστου γραφῆς. ἀλλὰ γὰρ τῷ μὲν τῆς ἀληθείας δογμάτων ὀλίγος αὐτῷ καταρτίζων ὁ λόγος· καὶ τὸ εἰδέναι μέν τι τῷ ἀναγκαίως εἰς ὅπσον ἑμέρους ἀποσπεδάζεται, καθάπερ τι τῶν ἀδιαιρέτων περιμέτρων· ἐπισεμαίνεται δὲ * καὶ ὡς ἑαυτῷ τῷ ψεύδει, καὶ * τὸ εἰδέναι συγχωρεῖν, ἃ μάλα καταρθωτικῶς. ἀκείνῳ παρὸς ἡμῶν· τί ἐγκαυχᾶ ἐν καιρῷ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσα σε.

Ἀναθεματισμὸς δ'.

Εἴ τις παρσώποις δυσὶν, ἤγουν ὑποσάσεσι, τάς τε ἐν τοῖς εὐαγγελικοῖς, καὶ ἀποσολικοῖς συγγράμμασι διαιρέμενα φωνάς, ἢ ἐπὶ Χριστῷ παρὰ τῆς ἁγίων λεγομένας, ἢ παρ' αὐτοῦ περὶ ἑαυτοῦ· καὶ τὰς μὲν ὡς ἀνθρώπῳ παρὰ τὸν ἐκ Θεοῦ πατρὸς λόγον ἰδικῶς νοουμένῳ παρσάπτει, τὰς δὲ ὡς θεοπρεπεῖς μόνῳ τῷ ἐκ Θεοῦ πατρὸς λόγῳ· ἀνάθεμα ἔσῳ.

Θεοδωρήτου ἀναξοπή.

Συγχωρῶ καὶ τούτοις τοῖς ἤδη λεχθεῖσι· βούλεται γὰρ, ὡς κράσεως γενομένης, μηδεμίαν εἶναι λόγων διαφοράν, τῆς ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, καὶ τοῖς ἀποσολικοῖς συγγράμμασιν εἰρημένων, καὶ τούτου, πολεμεῖν ἴσως Ἀρείῳ, καὶ Εὐνομίῳ, καὶ τοῖς λοιποῖς αἱρεσιάρχαις σεμνυνόμενος. εἰπάτω πάλιν ὁ τῶν θείων δογμάτων διδάσκαλος ἀκεβὴς, πῶς ἂν διελέγξειε τὴν τῆς αἱρετικῶν βλασφημίας, τὰ ταπεινῶς, καὶ ἁρμοδίως παρὰ τῆς τοῦ θείου μορφῆς εἰρημένα, τῷ Θεῷ λόγῳ παρσάπτων. ἐκεῖνοι γὰρ τοῦτο ποιοῦντες, ἐλάττονα, καὶ κτίσμα, καὶ ποίημα, καὶ δοῦλον, καὶ ἐξ οὐκ ὄντων τὸν υἱὸν τοῦ Θεοῦ εἶναι δογματίζουσι. τίνι πάλιν ἡμεῖς, οἱ πάντα τὰ ἐκείνοις φρονοῦντες, καὶ ὁμόσιον εἶναι, καὶ συναΐδιον τῷ Θεῷ, καὶ πατρὶ τὸν υἱὸν ὁμολογοῦντες, δημιουργόν τε τῶν ὅλων, καὶ ποιητὴν, καὶ κοσμήτορα, καὶ κυβερνήτην, ἐ πρύτανιν, ἐ πάνσοφον, ἐ παντοδύναμον, μᾶλλον δὲ * αὐτοδύναμον, καὶ αὐτοζωὴν, καὶ αὐτοσοφίαν, ἀναθῶμεν τό, θεί μοι, θεί μοι, τί με ἐγκατέλιπες; καὶ τό, πάτερ εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· καὶ τό, πάτερ σῶσόν με ἀπὸ τῆς ὥρας ταύτης· καὶ τό, περὶ τὴν ὥραν ἐκείνην οὐδεὶς οἶδεν, οὐδὲ ὁ υἱὸς τοῦ ἀνθρώπου· καὶ τὰ ἄλλα, ὅσα ταπεινῶς ὑπ' αὐτοῦ, καὶ ὑπὸ τῶν ἱερῶν ἀποστόλων περὶ αὐτοῦ εἴρηται, καὶ γέγραπται; τίνι τὴν πεῖναν, καὶ τὴν δίψαν προσαψο-

Γωάν. 4. Λυκ. 22. 43. ψομεν; τίνι τὸν κόπον, καὶ τὸν ὕπνον; τίνι τὴν ἄγνοιαν, καὶ τὴν δειλίαν; τίς ὁ τῆς ἀγγελικῆς δεηθεὶς συμμαχίας; εἰ τοῦ Θεοῦ λόγου ταῦτα, πῶς ἠγνόησεν ἡ σοφία; πῶς δ' ἂν κληθείη σοφία ἡ τὸ Γωάν 16. 15. τῆς ἀγνοίας ἔχουσα πάθος; πῶς δ' ἂν ἀληθεύσειε λέγων ἔχειν τὰ τοῦ πατρὸς πάντα, τοῦ πατρὸς οὐκ ἔχων τὴν γνῶσιν; μόνος γὰρ, φησὶν, οἶδεν ὁ Ματθ. 24. 36. πατὴρ τὴν ἡμέραν ἐκείνην. πῶς δ' ἂν εἰκὼν ἀπαράλλακτος εἴη τοῦ γεννήσαντος, μὴ πάντα ἔχων τοῦ γεννήσαντος; εἰ μὲν οὖν ἀληθεύει λέγων ἀγνοεῖν, ταῦτ' ἄν τις ὑπολάβοι περὶ * αὐτοῦ. εἰ δὲ οἶδε τὴν ἡμέραν, κρύπτειν δὲ βουλόμενος, ἀγνοεῖν * λέγει, ὁρᾷς εἰς ποίαν βλασφημίαν χωρεῖ τὸ συναγόμενον; * ἡ γὰρ ἀλήθεια ψεύδεται. ἥτις οὐκ εἰκότως ἀλήθεια κληθείη, ἔχουσάτι τῶν ἐναντίων· εἰ δὲ οὔτε ψεύδεται ἡ ἀλήθεια, οὔτε ὁ Θεὸς λόγος ἀγνοεῖ τὴν ἡμέραν, ἣν αὐτὸς ἐποίησεν, ἣν αὐτὸς διώρισεν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην, ἀλλ' ἔχει τοῦ πατρὸς τὴν γνῶσιν, ὡς εἰκὼν ἀπαράλλακτος. οὐκ ἄρα τοῦ Θεοῦ λόγου ἡ ἄγνοια, ἀλλὰ τῆς τοῦ δούλου μορφῆς, τῆς τοσαῦτα κατ' ἐκεῖνο τοῦ καιροῦ γινωσκούσης, ὅσα ἡ ἐνοικοῦσα θεότης ἀπεκάλυψε. ταῦτα καὶ περὶ τῶν ἄλλων τῶν ὁμοίων ἐστὶν εἰπεῖν. πῶς γὰρ ἂν ἔχοι λόγον, τὸν Θεὸν λόγον εἰπεῖν πρὸς τὸν πατέρα· πάτερ, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον ἀπ' ἐμοῦ· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. πολλὰ γὰρ ἐντεῦθεν πάλιν συμβαίνει τὰ ἄτοπα· καὶ πρῶτον μὲν τὸ διχονοεῖν τὸν πατέρα καὶ τὸν υἱὸν, καὶ ἕτερα μὲν βούλεσθαι τὸν πατέρα, ἕτερα δὲ τὸν υἱόν· ἔφη γάρ· πλὴν, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· * ἐπειδὴ πολλὴν αὖθις ἄγνοιαν ἐν τῷ υἱῷ θεωρήσομεν· εὑρεθήσεται γὰρ ἀγνοῶν, * οὐ δυνατὸν, ἢ μὴ, παρελθεῖν τὸ ποτήριον. τοῦτο δὲ περὶ τοῦ Θεοῦ λόγου λέγειν, δυσσεβὲς, καὶ βλασφημίας γέμον· ἤδει γὰρ ἀκριβῶς ὁ διὰ τοῦτο παραγενόμενος, ὁ ἑκὼν τὴν ἡμετέραν φύσιν ἀναλαβὼν, ὁ ἑαυτὸν κενώσας, τοῦ τῆς οἰκονομίας μυστηρίου τὸ τέλος. * δι' οὗ καὶ τοῖς ἱεροῖς προὔλεγεν ἀποστόλοις· ἰδοὺ ἀναβαίνομεν εἰς Γεροσόλυμα, καὶ ὁ υἱὸς Ματθ. 20. 18. τοῦ ἀνθρώπου παραδοθήσεται εἰς χεῖρας ἐθνῶν, εἰς τὸ ἐμπαῖξαι * αὐτὸν, καὶ μαστιγῶσαι, καὶ σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ * ἀναστήσεται. ὁ τοίνυν ταῦτα προκηρύξας, καὶ τῷ Πέτρῳ ἐπιτιμήσας ἀπευξαμένῳ τὸ γενέσθαι, πῶς ἀπεύχεται μὴ γενέσθαι, ὃς σαφῶς οἶδε πᾶν τὸ ἐσόμενον; πῶς δ' οὐκ ἄτοπον, Αβραὰμ μὲν πρὸ πολλῶν γενεῶν ἰδεῖν τὴν ἡμέραν αὐτοῦ, ἐχαρῆναι, καὶ Ησαΐαν ὡσαύτως * προθεσπίσαι αὐτοῦ τὰ σωτήρια πάθη, καὶ Γερεμίαν, καὶ Δανιὴλ, καὶ Ζαχαρίαν, καὶ πάντα τῶν προφητῶν χορὸν, αὐτὸν δὲ ἀγνοεῖν, καὶ ἀπαλλαγὴν αἰτεῖν, καὶ ἀπεύχεσθαι ὅ, τι ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης ἔμελλεν ἔσεσθαι; οὐκοῦν οὐ τοῦ Θεοῦ λόγου ταῦτα τὰ ῥήματα, ἀλλὰ τῆς δούλου μορφῆς τῆς δειλιώσης τὸν θάνατον, διὰ τὸ μή πω λυθῆναι τὸν θάνατον, * ἢ ὁ Θεὸς λόγος ταῦτα εἰπεῖν συνεχώρησε, χώραν δεδωκὼς τῇ δειλίᾳ, ἵνα φανῇ τοῦ τεχθέντος ἡ φύσις. καὶ μὴ δόκησιν, ἢ φαντασίαν τὸν ἐξ Αβραὰμ, καὶ Δαυὶδ ὑπολάβωμεν· ὃ τῶν δυσσεβῶν αἱρετικῶν ἡ συμμορία παθοῦσα, ταύτην τὴν βλασφημίαν ἐγένησεν. οὐκοῦν τὰ μὲν θεοπρεπῶς εἰρημένα, καὶ πεπραγμένα, τῷ Θεῷ λόγῳ προσάψομεν· τὰ δὲ ταπεινῶς εἰρημένα, καὶ πεπραγμένα, δούλου μορφῇ προσαρμόσομεν. ἵνα μὴ τὴν Αρείου, καὶ Εὐνομίου βλασφημίαν νοσῶμεν.

* αὐτόν.
* λέγων,
* εἰ ἡ ἀλήθεια
Πραξ. 17. 31.
Ματθ. 26. 39.
* ἔπειτα
* εἰ
* διὸ
Ματθ. 20. 18.
* αὐτῷ,
* ἐγερθήσεται.
Ματθ. 16. 22.
* προκηρύξαι.
Γωάν. 8. 56.
* ἢ

Ἀπολογία Κυρίλλου.

Καὶ πῶς οὐκ ἄμεινον, ὦ τὰν, τὴν τῶν εἰρημένων βασανίσαι δύναμιν, μίσους τε, καὶ προσπαθείας ἐλευθέραν ἔχοντα τὴν διάνοιαν; ἀλλ' ἥκιστα μὲν τοῦτο δρᾶν ἀξιοῖ. περιΐστησι δὲ πάλιν ἐπὶ τὸ αὐτῷ δοκοῦν, καὶ δὴ φησί· συγγενῆ καὶ ταῦτα τοῖς ἤδη διαλεχθεῖσι· βούλεται γὰρ, ὡς κράσεως γεγενημένης, μηδεμίαν εἶναι λόγων διαφορὰν τῶν ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, ἢ τοῖς ἀποστολικοῖς συγγράμμασιν εἰρημένων· καὶ ταῦτα πολεμεῖν ἴσως Αρείῳ, καὶ Εὐνομίῳ, καὶ τοῖς λοιποῖς αἱρεσιάρχαις σεμνυνόμενος. ἀλλὰ ταῦτα μὲν ἐκεῖνος. ἐγὼ δὲ τοσοῦτον ἀφέστηκα τοῦ συγκεκρᾶσθαι λέγειν ἀλλήλαις τὰς φύσεις, φυρμόν τε, καὶ σύγχυσιν ὑπομεῖναι, καὶ τροπὴν, ὅσον καὶ αὐτὸς τοῦ δοξάζειν ὀρθῶς. ἀλλ' οὐδὲ λόγων διαφορὰν ἀνῃρήκαμεν· ἴσμεν γὰρ, ὅτι οἱ μὲν αὐτῶν γεγόνασι θεοπρεπῶς, οἱ δὲ ἀνθρωπίνως· καὶ οἱ μὲν τῇ ὑπερτάτῃ πρέπουσι δόξῃ, οἱ δέ εἰσι τοῖς τῆς κενώσεως μέτροις ἁρμοδιώτεροι. χρῆναι δέ φαμεν αὐτοὺς, οὐ προσώποις δυσὶν ἀλλήλων εἰσάπαν διῃρημένοις ἀπονέμεσθαι δεῖν· Ἐφεσ. 4. 5. εἰ γάρ ἐστιν εἷς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, μία τε πίστις ἡ εἰς αὐτὸν, καὶ ἓν τὸ βάπτισμα, ἓν ἔσται πάντως αὐτοῦ καὶ πρόσωπον ὡς ἑνός· καὶ εἴπερ ἐστὶν ὁ αὐτὸς Θεός τε ὁμοῦ, καὶ ἄνθρωπος, ἁρμόσειεν ἂν αὐτῷ καὶ δίχα μώμου παντὸς θεοπρεπῶς τε ὁμοῦ, καὶ μέντοι καὶ ἀνθρωπίνως ποιεῖσθαι τοὺς λόγους· οὔτε τῆς θείας αὐτοῦ καὶ ἀπορρήτου φύσεως μειονεκτουμένης κατά τι γοῦν ὅλως τῆς τοῦ πατρὸς ὑπεροχῆς διά τοι τὸ λαλεῖν ἀνθρωπίνως. οὔτε μὴν ἀπιστουμένης τῆς οἰκονομίας τῆς μετὰ σαρκὸς, ὅταν μετὰ τοῦ εἶναι Θεὸς, καὶ ἄνθρωπος καθ' ἡμᾶς γενέσθαι κηρύττεται. πάντα τοίνυν ἐστὶ τοῦ ἑνὸς Χριστοῦ, τά τε θεοπρεπῆ, καὶ τὰ ἀνθρώπινα. εἰ μὲν γὰρ οὐ γέγονεν ἄνθρωπος ὁ ἐκ Θεοῦ πατρὸς λόγος, μὴ λαλείτω καθ' ἡμᾶς ἀνθρωπίνως. εἰ δὲ ἀληθὲς ὅτι παραπλησίως ἡμῖν μετέσχεν αἵματος, καὶ σαρκὸς, καὶ ὡμοιώθη κατὰ πάντα τοῖς ἀδελφοῖς, ἡμῖν δηλονότι, τί τὸ τῆς οἰκονομίας * εὐτεχνὲς ἀνοητοτάτως διασύρουσι, φωνῆς ἀνθρωπίνης οὐκ ἀνεχόμενοι, καὶ τὸ ἐν λόγοις σμικροπρεπὲς διὰ τὴν οἰκονομίαν ὡς ἑτέρῳ κατ' ἰδίαν υἱῷ, * τῇ τοῦ δούλου μορφῇ, καθάπερ αὐτοί φασιν, ἀνατιθέναι σπουδάζοντες; ἀσύνετον δὲ παντελῶς τὸ σκήπτεσθαι μὲν δεδιέναι τὰς τῶν αἱρετικῶν δυστροπίας, εἶτα τῆς ὀρθῆς πίστεως τὴν παράδοσιν ἀποκομίζειν αὐτοὺς ἔξω τοῦ καθήκοντος λόγου. ἄμεινον δὲ φαίην ἂν, καὶ πολὺ λίαν εὐμαθέστερον, τὰς ἀνθρωπίνας * ἀνάπτειν φωνὰς οὐχ ἑτέρῳ προσώπῳ μᾶλλον, νοουμένῳ τε ἰδικῶς, καὶ ἀνὰ μέρος υἱῷ, τῇ τοῦ δούλου μορφῇ, καθὰ λέγειν ἔθος αὐτοῖς. προσνέμειν δὲ μᾶλλον τοῖς τῆς ἀνθρωπότητος αὐτοῦ μέτροις· ἔδει γὰρ ὄντα Θεὸν ὁμοῦ,

Ἐβρ. 2.
Ἐβρ. 2.
* εὐτυχὲς
* τὴν τοῦ δούλου μορφὴν,
* προσάπτειν

ὁμοῦ, καὶ ἄνθρωπον, δι' ἀμφοῖν * εἶναι τὸν λόγον. θαυμάζω δὲ ὅπως ὑποκείνεται μοὶ καὶ αὐτὸς ὁμολογεῖν, ὅτιπερ εἷς ἐστιν ὁ Χριστὸς, ὁ αὐτὸς δηλονότι Θεὸς ὁμοῦ, καὶ ἄνθρωπος· εἰς λήθλιν δὲ ὥσπερ ὑπενεχθεὶς, ὧν εὖ ἔχειν ὑπείληφε, διίστησι πάλιν εἰς δύο τὸν ἕνα. παρατίθησι μοὶ γὰρ τοῦ σωτῆρος φωνὴν λέγοντος· περὶ δὲ τῆς ἡμέρας ἐκείνης, καὶ τῆς ὥρας, οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ. εἶτα σοφίαν εἶναι διαβεβαιούμενος τὸν ἐκ Θεοῦ φωτὸς λόγον, πάντα τε εἰδέναι τὰ ἐσόμενα, προσεπάγει, καὶ φησίν· ἐκ ἄρα τοῦ Θεοῦ λόγου ἡ ἄγνοια, ἀλλὰ τοῦ δούλου μορφῆς, τῆς τοσαύτης κατ' ἐκεῖνο καιροῦ γινωσκούσης, ὅσα ἡ ἑνοικοῦσα θεότης ἀπεκάλυψε. ταῦτα καὶ περὶ τῶν ἄλλων * ὁμοίως ἐστὶν εἰπεῖν. οὐκοῦν εἰ μὴ ψεύδη λέγων ἕνα κύριον, καὶ Χριστὸν Ἰησοῦν, τὸν αὐτὸν δηλονότι Θεόν τε ὁμοῦ, καὶ ἄνθρωπον, ἀνθ' ὅτου διαιρεῖς, καὶ δύο λέγων υἱοὺς οὐκ ἐρυθριᾷς; ἢ οὐχὶ δύο τοὺς πάντως εἶεν ἄν, εἴ περ ἐστὶν οὐχ ὁ αὐτὸς τῷ μεμεριμνῆσθαι ἔχοντι γνῶσιν ὁ πάντα εἰδὼς· καὶ τῷ μειοῦσθαι δεχομένῳ τὴν ἀποκάλυψιν ὁ τέλειος ἐν σοφίᾳ, καὶ τοσαῦτα γινώσκων, ὅσα καὶ ὁ πατήρ; καὶ εἴ περ ἐστὶν εἷς τε, καὶ ὁ αὐτὸς, διὰ τὸ τῆς ἀληθοῦς ἑνώσεως χρῆμα, καὶ οὐχ ἕτερος, καὶ ἕτερος * διῃρημένως τε, καὶ ἀνὰ μέρος, αὐτοῦ πάντως εἶναι καὶ τὸ εἰδέναι, καὶ μέν τοι καὶ τὸ μὴ εἰδέναι δοκεῖν. οὐκοῦν οἶδε μὲν καὶ αὐτὸς θεϊκῶς ὡς σοφία τοῦ πατρός. ἐπειδὴ δὲ τὸ τῆς ἀγνοούσης ἀνθρωπότητος ὑπέδυ μέρος, οἰκονομικῶς οἰκειοῦται καὶ τοῦτο μετὰ τῶν ἄλλων. καί τοι, καθάπερ ἔφην ἀρτίως, ἠγνοηκὼς οὐδαμῶς, ἀλλ' εἰδὼς ἅπαντα μετὰ τοῦ πατρός. ἐπεὶ διὰ ποίαν αἰτίαν πεινῆσαι λέγεται, καὶ κάμεῖν ἐξ ὁδοιπορίας, καί τοι ζωὴ, καὶ ζωοποιὸς ὑπάρχων ὡς Θεὸς, καὶ αὐτὸς ὢν ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, καὶ αὐτὸς ὢν ὁμοίως τοῖς δυναμένοις κύειος; ἀλλ' ἵνα πιστεύηται κατὰ ἀλήθειαν γεγονέναι ἄνθρωπος, οἰκείωται τὰ ἀνθρώπινα, τοῖς τῆς ἰδίας φύσεως ἀγαθοῖς ἐμφιλοχωρῶν, καὶ ἀκλονήτως ἔχων τὸ ἐν οἷς ἦν ἀεί, καὶ ἔστι, καὶ ἔσται ὁμοίως. ὅ γε μὴν ἀποκάλυψιν λέγων δεδόσθαι τῇ τοῦ δούλου μορφῇ παρὰ τοῦ ἐνοικήσαντος Θεοῦ, καὶ ταύτην μεμερισμένην, προφήτην ἡμῖν ἀποφαίνει τὸν Ἐμμανουὴλ, καὶ θεοφόρον ἄνθρωπον, οὐκ ἕτερον ἐόν. ἀλλὰ γὰρ οἴεταί τι τὸ σοφὸν, καὶ ἀνταγώνιστον εἰπεῖν. εἰ γὰρ ὁ τοῦ Θεοῦ λόγος, φησὶν, ὁ κεκραγὼς ἐστί. πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πρῶτον μὲν διίστησι πρὸς τὸν πατέρα. παραιτεῖται δὲ ἐκ ὀρθῶς τὸ πιεῖν τὸ ποτήριον. καί τοι, φησὶν, οὐκ ἠγνοηκὼς, ὅτι τῷ κόσμῳ * σωτήριον ἔμελλεν ἔσεσθαι τὸ παθεῖν αὐτόν. ἐκὼν ἐκ ἂν εἶεν, φησὶν, αἱ τοιαίδε τοῦ Θεοῦ λόγου φωναί. ἀνταχάσεται τοίνυν καὶ λοιπόν γε ἡμῶν ὁ τοῖς ἔτω κιβδήλοις νηχόμενος λογισμοῖς. οὐκοῦν ἐπειδή σοι δοκεῖ τοῦ μὲν Θεοῦ λόγου τὰς τοιαύτας φωνὰς ἀποστοβεῖσθαι δεῖν. μόνῃ δὲ αὐτὰς ἀνάπτειν τῇ τοῦ δούλου μορφῇ, ἆρ' οὐκ εἰς δύο πάλιν υἱοὺς καταδιαιρεῖς τὸν Χριστόν; καὶ τίνι τοῦτο τῶν εὖ φρονούντων ἀσυμφανές; ἐρεῖ γάρ ἴσως τις, τοῖς σοῖς, ὦ οὗτος, ἐπόμενος λογισμοῖς, ὅτι ἐξ ἀπίθανον, ἐξ λόγου πέρας τοῦ προϊόντος τὸ παραιτεῖσθαι τὸ πάθος τῇ τοῦ δούλου μορφῇ, καὶ διχονοοῦσαν ὁρᾶσθαι πρὸς τὸν πατέρα, καὶ πρὸς αὐτὸν δὲ τὸν ἐνοικήσαντα λόγον· ἦδει γὰρ εἶναι τὸ παθεῖν πρὸς σωτηρίαν ἔσεσθαι πᾶσι ὑπ' οὐρανὸν, καὶ ζωῆς προέξειν τοῖς θανάτῳ κατακριθεῖσι. ἔδει δὴ ἓν ὁρᾶσθαι, φησὶ, καὶ δειλίας * ἀμείνων, καὶ τοῖς θείοις νεύμασιν ἀκολουθεῖν * πρόθυμος. ἆρ' ἐν οὐκ αἰσθάνῃ περιφανῶς εἰκῇ; τίς ἡ * τοσαύτη τῶν ἐννοιῶν χυδαιότης; ἐγὼ δέ, ὅτι μοὶ σμικρὰ τῷ ἐκ Θεοῦ φωτὸς λόγῳ πάντα ἐστὶ τὰ ἀνθρώπινα, φαίην ἂν ὄκνῳ δίχα παντός· ζητῶ δὲ τίνι κρίνωσιν, τίνος ἂν γνώμῃ θαῦμα νοοῖτο, εἰ τίς ὁ τοῦτο παθὼν ἐκστάσεως; εἰ μοὶ γὰρ, ὡς αὐτοί φασιν, ἡ τοῦ δούλου μορφὴ, ἦτοι * ὁ ἐκ σπέρματος τοῦ Δαυὶδ, πῶς, ἢ τίνα κεκράτηται ξόπον, εἰ προσελήφθη παρὰ Θεοῦ; εἰ δὲ αὐτὸς ὁ ἐν μορφῇ, ἐξ ἰσότητι τοῦ Θεοῦ, καὶ παῖς ὑπάρχων λόγος ἑαυτὸν κενῶσαι λέγεται, πῶς δὴ πάλιν, ἢ τίνα κεκένωται ξόπον, εἰ παραιτοῖτο τὴν κένωσιν; κένωσις δὲ τῷ Θεῷ λόγῳ, παθεῖν ἐκ εἰδότι τὴν ξοπὴν, τὸν δρᾶσαί τι, καὶ εἰπεῖν τῶν ἀνθρωπίνων διὰ τὴν προσ σάρκα συμβᾶσαν οἰκονομικῶς· ἀλλ' εἰ καὶ γίγνοιτο ἄνθρωπος, κατ' ἀξίαν ξόπον αὐτὸν ὁ τοῦ μυστηρίου λόγος εἰς τὴν αὐτοῦ φύσιν ἀδικήσειεν ἄν. μεμίμηκε γὰρ ὁ Ἰὼβ καὶ ἐν ἀνθρωπότητι * καθηγμένος διὰ τὴν τοῦ κόσμου σωτηρίαν, καὶ ζωήν. ἐκεῖνό τοι προσώποις δυσὶν, ἀλλ' ὡς ἑνὶ Χριστῷ, καὶ υἱῷ, καὶ Θεῷ, τάς τε διαγγελικὰς, καὶ τὰς τῶν ἁγίων ἀποστόλων ἀναθήσομεν φωνὰς, ὅτε τὴν θείαν * τοῦ κυρίου κατασμικρύνοντες φύσιν τε, καὶ δόξαν διὰ τὰ ἀνθρώπινα, ὅτε μὴν * ἀρνούμενοι τὴν οἰκονομίαν, ἀλλ' αὐτοῦ τοῦ * λόγου γεγενῆσθαι * σπουδάζοντες τὴν δι' ἡμᾶς ἐνανθρώπησιν.

* ἐμοὶ
* ὁμοίως
Ματθ. 11. 27.
* διῃρημένως
Ματθ. 4.
Ἰωὰν. 4.
Ἰωὰν. 6. 33.
* ἐμοὶ
Ματθ. 26. 39.
* κηρύγ.
* ἐμοὶ
* κατασμικρύνοντες
* ἀρνούμενοι
* σπουδάζοντες

Ἀναθεματισμὸς ε.

Εἴ τις τολμᾷ λέγειν θεοφόρον ἄνθρωπον τὸν Χριστὸν, καὶ οὐχὶ δὴ μᾶλλον Θεὸν εἶναι κατὰ ἀλήθειαν, * ἓν υἱὸν ὄντα, καὶ φύσει, καθὸ γέγονε σὰρξ ὁ λόγος, καὶ κεκοινώνηκε παραπλησίως ἡμῖν αἵματος, καὶ σαρκός· ἀνάθεμα ἔστω.

* ἐν υἱὸν ὄντα.
Εβρ. 2.

Θεοδωρήτου ἀναγνωσις.

Κεκοινωνηκέναι ἡμῖν παραπλησίως αἵματος, καὶ σαρκὸς, καὶ ψυχῆς ἀθανάτου τὸν Θεὸν λόγον διὰ τὴν ἕνωσιν τὴν πρὸς ταῦτα φαμέν. σάρκα δὲ τὸν Θεὸν λόγον ξοπῇ τινι γεγενῆσθαι, οὐ μόνον οὐ λέγομεν ἀλλὰ καὶ τοὺς λέγοντας ἀσεβείας γραφόμεθα. ἐναντίον δὲ τοῦτο καὶ * αὐτοῖς τοῖς εἰρημένοις ἐστὶν ἰδεῖν. εἰ γὰρ ἐξάπαξ ὁ λόγος εἰς σάρκα, οὐ κεκοινώνηκεν ἡμῖν σαρκὸς, καὶ αἵματος· εἰ δὲ σαρκὸς, καὶ αἵματος κεκοινώνηκεν, ὡς ἄλλος παρὰ * ταῦτα κεκοινώνηκεν. εἰ δέ ἄλλοτι παρ' αὐτὸν ἡ σὰρξ, οὐκ αὐτὸς ἐξάπαξ εἰς σάρκα. ἐκὼν τῷ τῆς κοινωνίας ὀνόματι χρώμενον, ὡς σὰρξ μὲν υἱὸν προσκυνοῦμεν τὸν λαβόντα, καὶ τὸ ληφθέν. τῇ δὲ φύσεων τὴν διαφορὰν γνωρίζομεν, καὶ τὸν θεοφόρον δὲ ἄνθρωπον ὡς πολλοῖς τοῖς ἁγίων πατράσιν εἰρημένον, οὐ παραιτούμεθα· ὧν εἷς ὁ μέγας Βασιλεὺς ἐν τῷ προὸς Ἀμφιλόχιον περὶ τοῦ ἁγίου πνεύματος λόγῳ, τούτῳ χρησάμενος τῷ ὀνόματι, καὶ ἐν τῇ τοῦ πανευ-

* αὐτοῖς εἰρημένοις.
* ταῦτα κεκοινώνηκεν.

κοστοῦ ἐννάτου ψαλμοῦ ἑρμηνείᾳ· καλοῦμεν δὲ θεοφόρον ἄνθρωπον, οὐχ ὡς μερικήν τινα θείαν χάριν δεξάμενον, ἀλλ' ὡς πᾶσαν ἡνωμένην ἔχοντα τοῦ υἱοῦ τὴν θεότητα. τοῦτο γὰρ ὁ μακάριος ἑρμηνεύων ἔλεγε Παῦλος· βλέπετε, μή τις * ὁ συλαγωγῶν ὑμᾶς διὰ τῆς φιλοσοφίας, καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν· ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.

* ἔσται ὁ Κολασ. 2. 8.

Ἀπολογία Κυρίλλου.

Κἂν ταῦθα δὲ πάλιν εἰκαιομυθοῦντα δεικνύειν, χαλεπὸν οὐδέν. φαμὲν γὰρ ἡμεῖς τὸ μὴ χρῆναι πρός τινος θεοφόρον ἄνθρωπον ὀνομάζεσθαι τὸν Χριστόν, ἵνα μὴ καθ' εἷα τῶν ἁγίων νοοῖτο, Θεὸν δὲ μᾶλλον ἀληθινὸν ἐνανθρωπίσαντα, καὶ σεσαρκωμένον τὸν τοῦ Θεοῦ λόγον. ἐπιπλήττει δὲ πάλιν οὑτοσὶ τοῖς ὀρθῶς εἰρημένοις, καὶ ποικίλως τερατεύεται, καὶ ψευδηγορεῖ· φησὶ γὰρ ἡμᾶς εἰς τὴν τῆς σαρκὸς φύσιν παρατετράφθαι λέγειν τὸν τοῦ Θεοῦ λόγον, καὶ λογισμοὺς * ἀνορύττει, δι' ὧν ἀποφαίνειν ἐσπούδακεν, ὡς οὐκ ἂν εἴη * ἄτρεπτος ὁ τοῦ Θεοῦ λόγος. ὃ δὲ δὴ πλειστάκις ἔφην, τοῦτο καὶ νῦν ἀναγκαίως ἐρῶ· οὐδενὸς εἰς σάρκα τὴν * ὑπὸ γῆς μεταπεποιῆσθαι λέγοντος τὴν θείαν τε, καὶ ἀκήρατον τοῦ λόγου φύσιν, ἄτρεπτον δὲ ἁπάντων ὁμολογούντων αὐτὴν, παύσασθε πόνους * δαπανῶντες κενοὺς, εἴς γε τὸ χρῆναι πληροφορεῖν τοὺς οὐδαμόθεν ἠπατημένους, ὅτι καὶ ἄτρεπτος κατὰ φύσιν, καὶ ἀναλλοίωτός ἐστιν ὁ Θεὸς λόγος. τίς γὰρ οὕτως ἀπόπληκτος, ἢ παράφρων ἐστὶν, ὡς τὰ οὕτως αἰσχρὰ, καὶ αὐτοῖς τάχα τοῖς ἀνοήτοις ἀπόβλητα, φρονεῖν ἑλέσθαι, καὶ λέγειν; καταπέπληγμαι δὲ, ὅτι καί τοι διαβεβαιούμενος πανταχῇ θεὸν εἶναι τὸν Ἐμμανουὴλ, * προφητικῶς αὐτῷ μέτρον ἐκνενεμηκὼς ἐν τούτοις εὑρίσκεται· ἄνθρωπον γὰρ εἶναί φησι θεοφόρον αὐτὸν, ἵν' ὁρῷτο καθ' ἡμᾶς, τοὺς ἔναυλον ἔχοντας διὰ τοῦ ἁγίου πνεύματος τὸν τῶν ὅλων Θεόν. κατοικεῖ γὰρ ἐν ταῖς καρδίαις ἡμῶν, καὶ ἐσμὲν ναοὶ Θεοῦ ζῶντος. ἔστι δὲ οὐ ταυτὸν ἄνθρωπον εἰπεῖν γενέσθαι τὸν λόγον, καὶ Θεὸν ἐν ἀνθρώπῳ κατοικῆσαι νομίζειν. εἰ γὰρ καὶ ἔστιν ἀληθὴς ἡ τοῦ μακαρίου Παύλου φωνή. ὅτι ἐν αὐτῷ ηὐδόκησε κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, * τουτέστιν, οὐ σχετικῶς. ἀλλ' οὖν ἕνα φησὶν εἶναι Θεὸν τὸν πατέρα, καὶ ἕνα κύριον Ἰησοῦν Χριστὸν, δι' οὗ τὰ πάντα. φαίη δ' ἄν τις, καὶ ἐν ἀνθρώπῳ κατοικεῖν τὸ πνεῦμα αὐτοῦ. καὶ γοῦν γέγραπται περὶ τινῶν. τοὺς δὲ κατοικοῦντας οἰκίας πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμέν· ἀλλ' οὖν εἷς νοεῖται, καὶ ἔστι κατὰ σύνθεσιν ἄνθρωπος ἀπότε σαρκὸς, καὶ τῆς ἐν αὐτῇ κατοικούσης ψυχῆς νοερᾶς. τί τοίνυν διακυκῶν οὐ παύεται τὸν ὀρθόν τε, καὶ ἀδιάστροφον τῆς πίστεως λόγον; ποτὲ μὲν γὰρ ἕνα φησὶ Χριστὸν, καὶ υἱὸν, καὶ κύριον, τὸν αὐτὸν θεόν τε ὁμοῦ, καὶ ἄνθρωπον. ποτὲ δὲ τοῖς τῶν προφητῶν ἐνίησι μέτροις, θεοφόρον ἄνθρωπον ὀνομάζων αὐτόν. ἠγνόηκε δὲ τάχα που καὶ ἡμῖν αὐτοῖς ἐν ἴσῳ τιθεὶς, εἴπερ ἐστὶν οὐ Θεὸς ἀληθῶς, ναὸς δὲ μᾶλλον, ὡς ἐνοικοῦντος αὐτῷ τοῦ λόγου, καθὰ καὶ ἐν ἡμῖν. ἀλλ' οὐχ' ὧδε ταῦτα ἔχειν ἡ θεόπνευστος ἔφη γραφή. γέγονε γὰρ σὰρξ ὁ λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, ἵνα μή τις οἴηται κατὰ τροπὴν, καὶ μετάστασιν εἰς τὴν τῆς σαρκὸς αὐτοῦ μεταπεποιῆσθαι φύσιν. ὁ δὲ γεγονὼς σὰρξ, ἤγουν ἄνθρωπος, οὐκ ἄνθρωπος θεοφόρος ἐστὶ, Θεὸς δὲ μᾶλλον εἰς ἐθελούσιον κένωσιν καθεὶς ἑαυτὸν, καὶ ἰδίαν ποιησάμενος σάρκα τὴν ἐκ γυναικός. σάρκα δὲ, οὐκ ἄψυχον, οὐδὲ ἄνουν, ἀλλ' ἔμψυχόν τε, καὶ νοεράν. μεμνήμεθα δὲ καὶ ναὸν ὀνομάσαντος τὸ ἴδιον σῶμα· πλὴν οὐ σχετικὴν ἐποιήσατο τὴν ἐνοίκησιν, καθὰ καὶ ἐν ἡμῖν διὰ τοῦ πνεύματος, ἀλλ' εἷς καθ' ἕνωσιν νοεῖται Χριστὸς, καὶ υἱὸς, καὶ κύριος.

* ἀποφαίνει, δι' ὧν ἀνορύττειν ἐσπούδακεν.
* τριπτός.
* ἀπό.
* διαπονοῦντες καινός.
* προφητικῶς
1 Κορίν. 8. 6.
* ἀλλ' οὖν ἕνα.
Ἰώβ. 4. 19.
Ἰωάν. 1
Ἰωάν. 2. 19.

Ἀναθεματισμὸς ϛ'.

Εἴ τις Θεὸν, ἢ δεσπότην εἶναι λέγει τοῦ Χριστοῦ τὸν ἐκ Θεοῦ πατρὸς λόγον, καὶ οὐχὶ δὴ μᾶλλον τὸν αὐτὸν ὁμολογεῖ ὁμοῦ τε Θεὸν, καὶ ἄνθρωπον, ὡς γεγονότος σαρκὸς τοῦ λόγου κατὰ τὰς γραφάς. ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἀνατροπή.

Ὁ μὲν μακάριος Παῦλος τὸ ληφθὲν ὑπὸ τοῦ Θεοῦ λόγου, μορφὴν δούλου προσαγορεύει· ἐπειδὴ δὲ πρὸ τῆς ἑνώσεως ἡ λῆψις, περὶ δὲ τῆς λήψεως ὁ μακάριος διαλεγόμενος Παῦλος, μορφὴν δούλου τὴν ληφθεῖσαν προσηγόρευσε φύσιν, οὐκέτι χώραν ἔχει τῆς ἑνώσεως γενομένης τῆς δουλείας τὸ ὄνομα. εἰ γὰρ τοῖς εἰς αὐτὸν πεπιστευκόσιν ὁ ἀπόστολος γράφων ἔλεγεν· ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλὰ υἱός. καὶ ὁ κύριος τοῖς μαθηταῖς· οὐκέτι καλέσω ὑμᾶς δούλους, ἀλλὰ φίλους· πολλῷ δὴ μᾶλλον ἡ ἀπαρχὴ τῆς ἡμετέρας φύσεως, * δι' οὗ καὶ ἡμεῖς τοῦ τῆς υἱοθεσίας χαρίσματος ἠξιώθημεν, τῆς τοῦ δούλου προσηγορίας * ἀπαλλαγείη ἄν. Θεὸν τοίνυν ὁμολογοῦμεν καὶ τὴν τοῦ δούλου μορφὴν, διὰ τὴν ἑνωθεῖσαν αὐτῇ τοῦ Θεοῦ μορφήν· καὶ πειθόμεθα τῷ προφήτῃ τῷ καὶ Ἐμμανουὴλ τὸ βρέφος προσαγορεύοντι, καὶ τὸ γενηθὲν παιδίον μεγάλης βουλῆς ἄγγελον, καὶ θαυμαστὸν σύμβουλον, καὶ Θεὸν ἰσχυρὸν, καὶ ἐξουσιαστὴν, καὶ ἄρχοντα εἰρήνης, καὶ πατέρα τοῦ μέλλοντος αἰῶνος. ὅμως δὲ ὁ αὐτὸς προφήτης καὶ μετὰ τὴν ἕνωσιν κηρύττων τοῦ ληφθέντος τὴν φύσιν, δοῦλον προσαγορεύει τὸν ἐκ τοῦ σπέρματος Ἀβρὰμ, οὑτωσὶ λέγων· δοῦλός μου εἶ σὺ Ἰσραὴλ, καὶ ἐν σοὶ δοξασθήσομαι. καὶ πάλιν· οὕτω λέγει κύριος ὁ πλάσας με ἐκ κοιλίας δοῦλον * ἑαυτοῦ· καὶ μετ' ὀλίγα. ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. τὸ δὲ πλασθὲν * ἐκ κοιλίας, οὐχ ὁ Θεὸς λόγος, ἀλλ' ἡ τοῦ δούλου μορφή. οὐ γὰρ ὁ Θεὸς λόγος τραπεὶς ἐγένετο σὰρξ, ἀλλ' ἀνέλαβε σάρκα ψυχὴν ἔχουσαν νοεράν.

Φιλιππ. 2.
Γαλατ. 4. 7.
Ἰωάν. 15. 15.
* δι' ἧς.
* ἀπηλλάγη.
Ἡσαΐ. 7. 14.
Ἡσαΐ. 9. 6.
Ἡσαΐ. 49. 3.
* ἑαυτῷ.
Ἡσαΐ. 42. 6.
* ἐν κοιλίᾳ.

Κυ-

Κυρίλλου ἀπολογία.

Τῆς μὲν σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς τὸ μυστήριον τοῖς παρ' ἡμῶν γεγονόσι καὶ νῦν ἐδοκεῖ ἧττον σωματοπρεπῆ λόγοις, καὶ τοῦ παρέποντος ἐκ ἡμοιρηκότας κατιδεῖξειεν ἂν αὐτὰς καὶ μάλα ῥᾳδίως. ὁ γὰρ ὑπάρχων ἐν μορφῇ τοῦ Θεοῦ, καὶ πατρὸς μονογενὴς υἱός, ὁ κατὰ πᾶν ὁτιοῦν ἰσομέτρως ἔχων τῷ γεννήσαντι, ὁ ἰσοκλεής, καὶ ἐλεύθερος, μορφὴν δούλου λαβὼν κεχρημάτικεν ἀδελφὸς * τῆς ἀπὸ ζυγὰ δουλείας, τουτέστιν ἡμῶν. καὶ γοῦν ὡς εἷς ἐξ ἡμῶν σωτετέλεκε μὲν τοῖς δασμολογοῦσι τὸ δίδραχμον, καὶ γέγονεν ὑπὸ νόμον ὡς ἄνθρωπος, ὁ νομοθέτης ὡς Θεός· ἐδίδασκε δὲ τοὺς ἑαυτοῦ μαθητάς, ὅτι καὶ υἱός ἐστιν ἀληθῶς, καὶ ἐν μορφῇ δούλου διὰ τὴν σάρκα. καὶ τοι κατὰ φύσιν ἰδίαν ἐλεύθερος ὢν, ὡς ἐκ Θεοῦ, καὶ Θεός. πλὴν ὡς ἰδίαν ἔχων τὴν τοῦ δούλου μορφὴν διὰ τὸ τῆς κενώσεως μέτρον, τοῖς τῶν πολλῶν πράκτορσιν ὑπόφορος ἦν. ὥστε κἂν εἴ τις λέγῃ δοῦλον αὐτὸν ὠνομάσθαι διὰ φωνῆς τῶν ἁγίων προφητῶν, κατ' οἰκείαν ἔξοδον σκανδαλίζεσθαι πρέπει· ἤδεσαν γὰρ, ἀποκαλύπτοντος αὐτοῖς τοῦ ἁγίου πνεύματος, ὅτι γεγονὼς ἄνθρωπος ὁ ἐκ Θεοῦ πατρὸς λόγος, ἦν μὲν ὡς ἐλεύθερος ὡς υἱός, οὐκ ἀπόβλητον δὲ καὶ ὕπω τὸ τῆς δι' ἐχνοῦς * κενώσεως ἐποιεῖτο μέτρον ἡμῖν τοῖς ὑπὸ ζυγὰ δουλείας * συμμέτοχος. ὕπω καὶ Θεὸν ἑαυτοῦ τὸν πατέρα φησὶ, * κατὰ φύσιν Θεὸς ὑπάρχων, καὶ ἐξ αὐτοῦ, κατ' οἰκονομίαν τῆς τοῦ τεκόντος ὑποροχῆς ἠττώμενος. Νεοφώτιστος τοίνυν ὢν ἐγραφότος περὶ τοῦ Χριστοῦ· ὥστε ὁ παθὼν ἀρχιερεὺς ἐλεήμων, οὐχ ὁ ζωοποιὸς τοῦ πεπονθότος Θεός. καὶ Θεὸν τοῦ Χριστοῦ τὸν τοῦ Θεοῦ λόγον ὀνομάσαντος, προσθέντος δὲ τούτοις· διὸ δὲ ὁ αὐτὸς καὶ βρέφος, καὶ τοῦ βρέφους δεσπότης· οὐκ ἐν κόσμῳ γενέσθαι τῷ δέοντι, μᾶλλον δὲ καὶ δυσσεβῶς ἄγαν διαβεβαιούμεθα τοὺς λόγους αὐτοῦ· εἰ γὰρ Θεός ἐστι τοῦ Χριστοῦ ὁ ἐκ Θεοῦ πατρὸς λόγος, δύο πῶς πάντως εἶσιν ἂν * ἀναμφιλόγως· πῶς δ' ἂν νοοῖτο ὁ βρέφος ὁ αὐτὸς, καὶ τοῦ βρέφους δεσπότης; οὐκ ἂν δὴ λέγοιτο καὶ Θεὸς ἑαυτοῦ, καὶ δεσπότης ὁ Ἐμμανουὴλ, εἴπερ ἐστὶν ὁ αὐτὸς Θεός τε ὁμοῦ, καὶ ἄνθρωπος, ὡς ἐνανθρωπίσας, καὶ σεσαρκωμένος ὁ τοῦ Θεοῦ λόγος. ὅτι δὲ θεότης μὲν ἑτέροντι κατὰ φύσιν ἰδίαν ἐστὶν. ἕτερον δὲ κατὰ φύσιν ἰδίαν ἡ ἀνθρωπότης, πῶς ἂν ἐνδοιάσειέ τις; πλὴν εἷς ἐξ ἀμφοῖν ὁ Χριστὸς, θεότητός τε, καὶ ἀνθρωπότητος, καθ' οἰκονομικὴν ὑποδοχὴν ἡ δεδόξασται ἡ τοῦ δούλου μορφὴ διὰ τῆς τοῦ Θεοῦ μορφῆς; εἰ γὰρ θνητὴ ὑπάρχουσα * καὶ κατὰ φύσιν, ἀθάνατος γέγονε διὰ τὴν πρὸς τὸν Θεὸν λόγον ἕνωσιν, ἔλαβεν ὃ μὴ εἶχεν· ὃ δὲ μὴ εἶχε λαβοῦσα, καὶ δοξασθεῖσα, παρὰ τοῦ δεδωκότος δεδόξασται. διὸ καὶ ὁ ἀπόστολος βοᾷ· κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν.

* Ἰσ. παρέλαβε κε, ς

Εφ. α. κβ.

Κυρίλλου ἀπολογία.

Οἱ Χριστὸν ὀνομάζοντες, ἐκ θεὸν τινὰ τὸν καθ' ἡμᾶς * κοινὸν ἀνθρώπων, ἀλλ' ἐνανθρωπήσαντα, καὶ σεσαρκωμένον τὸν ἐκ Θεοῦ φωτὸς λόγον τοῖς ἀκροωμένοις κατασημαίνουσιν· ὥστε κἂν ὑπέρτι τῶν θεοπρεπεστάτων ἐνεργῆσαι λέγοιτο διὰ τοῦ ἰδίου σώματος, ὀργανικῶς αὐτῷ πληροῦντας τὴν ὑπουργίαν, οὐδὲν ἧττον αὐτὸς ὁ τῶν δυνάμεων κύριος Χριστὸς ὁ ἐνεργῶν ἐστιν, ὁ τὸ ἐνεργεῖν ἑτέρῳ δωρούμενος διδούς· καθάπερ ἀμέλει καὶ τοῖς ἁγίοις ἀποστόλοις ἐξουσίαν ἐδίδου κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. καὶ γὰρ ὁ θεσπέσιος Παῦλος· ὑ γὰρ τολμῶ τι λέγειν, φησὶν, ὧν οὐ κατειργάσατο δι' ἐμοῦ Χριστὸς ἔργῳ, καὶ λόγῳ ἐν δυνάμει σημείων, καὶ τεράτων, ἐν δυνάμει πνεύματος ἁγίου. χαίροντες δὲ καὶ οἱ μακάριοι μαθηταὶ προσηύχοντο ποτε λέγοντες τῷ Χριστῷ· κύριε καὶ τὰ δαιμόνια ὑποτάσσεται ἐπὶ τῷ ὀνόματι σου· ἐνεργεῖσθαι μὲν γὰρ διὰ Χριστοῦ ἐν πνεύματι τοὺς ἁγίους φαμὲν ὡς ἑτέρους ὄντας παρ' αὐτόν. ὑμεῖς δὲ ὕπω κατὰ τὸν ἴσον τρόπον καὶ αὐτὸν * ἐνεργεῖσθαι τὸν Ἰησοῦν παρὰ τοῦ λόγου * ἐν πνεύματι, ὡς ἕτερον ὄντα υἱὸν παράγετε τὸν ἐκ Θεοῦ μονογενῆ· οὕτω γὰρ δέδεικεν ἡ σύνεσις, καὶ τὸ διαιρεῖν εἰς δύο παραιτούμεθα. εἰ γὰρ καὶ γέγονε σὰρξ ὁ λόγος κατὰ τὰς γραφὰς, ἀλλ' ἔστι καὶ ὕπως υἱὸς μονογενὴς καθ' ἕνωσιν ἀληθῆ τὴν ὑπὲρ νοῦν, καὶ λόγον. αὐτὸς παραγορεύω ὁ εἷς πατὴρ, καὶ μόνος Χριστὸς Ἰησοῦς, ὡς δι' ὀργάνου τοῦ ἰδίου σώματος, ἐνήργησε τὰς θεοσημείας. καὶ οὐκ ἐνεργῆσθαί φαμεν αὐτὸν καθ' ὁμοιότητα τῶν ἁγίων· ἀνόσιον γὰρ τοῦτο, καὶ ἀπηχὲς κομιδῇ. εἰ δὲ καὶ ἤγειρεν ἐκ νεκρῶν ἑαυτοῦ τὸ σῶμα, καθὸ καὶ ζωὴ, καὶ ζωοποιός ἐστιν, αὐτὸς ἑαυτὸν δοξάζω ὁρᾶται, ζωοποιὸν ἀποφαίνας τὴν ἑαυτοῦ φύσιν, καὶ οὐχ ἑτέρῳ τινὶ παρ' ἑαυτὸν τὴν ἐπὶ * τούτῳ χεχάρισται δόξαν. καὶ γοῦν ἔφασκε πρὸς τὸν ἐν οὐρανοῖς πατέρα, καὶ Θεόν· πάτερ δόξασόν με τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. καὶ τοι καὶ Θεός ἐστι, καὶ ἐκ Θεοῦ κατὰ φύσιν, καὶ τῆς δόξης κύριος. εἶτα πῶς ὡς δόξης ἐπιδεὴς τὴν προκόσμιον αὐτοῦ δόξαν αἰτεῖ; ἐπειδὴ γὰρ γέγονεν ἄνθρωπος, καὶ διὰ τῆς ἑαυτοῦ σαρκὸς χάριτι Θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, καθά φησιν ὁ μακάριος Παῦλος, τῆς ἐντεῦθεν ἀδοξίας τὸν ὀνειδισμὸν παραιτούμενος, προαναφωνεῖ τὴν ἀνάστασιν. δεῖ γὰρ, ὅτι καὶ ζωὴ, καὶ ζωοποιός ἐστιν ὡς Θεὸς, οὗ μάλα διαγινώσκεται. οὕτω τε πρὸς ἡμῶν πιστεύεται. ἐδόξασε τοίνυν οὐχ ἕτερόν τινα

Ἐφ. α. ι.

Ἰωάν. ι.

Ἰωάν. ιζ. ε.

Ἐφ. α. ι.

Ἀναθεματισμὸς ζ'.

Εἴ τίς φησιν, ὡς ἄνθρωπον ἐνεργῆσθαι ὑπὸ τοῦ θεοῦ λόγου τὸν Ἰησοῦν, καὶ τὴν τοῦ μονογενοῦς δόξαν περιῆφθαι, ὡς ἑτέρῳ παρ' αὐτὸν ὑπάρχοντι· ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἀνατροπή.

Εἰ θνητὴ τοῦ ἀνθρώπου ἡ φύσις. ζωὴ δὲ ὁ Θεὸς λόγος, καὶ ζωοποιός, ἀνέστησε δὲ τὸν ὑπὸ τῶν Ἰουδαίων λυθέντα ναὸν, καὶ εἰς οὐρανοὺς ἀνήγαγε, πῶς

τινα

τινα μᾶλλον, ἀλλ' ἑαυτὸν, θανάτῳ κρείττονα τὸν ἑνωθέντα αὐτῷ κατὰ ἀλήθειαν ἀποφήνας ναόν· ὅτι δὲ τὸ ἑνωθὲν αὐτῷ σῶμα οὐκ ἄψυχον, οὐδὲ ἄνευ εἶναι πιστόμεθα, ἀλλ' ἔμψυχόν τε, καὶ ἔννουν, πλειστάκις εἰρήκαμεν.

Ἀναθεματισμὸς ἡ.

Εἴ τις τολμᾷ λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῷ Θεῷ λόγῳ, καὶ συνδοξάζεσθαι, καὶ συγχρηματίζειν Θεὸν, ὡς ἕτερον ἑτέρῳ· τὸ γὰρ, σὺν, ἀεὶ προσιθέμενον τοῦτο νοεῖν ἀναγκάσει· καὶ οὐχὶ δὴ μᾶλλον μιᾷ προσκυνήσει τιμᾷ τὸν Ἐμμανουὴλ, καὶ μίαν αὐτῷ τιμὴν ὁμολογίαν * συνάπτει, καθὸ γέγονε σὰρξ ὁ λόγος· ἀνάθεμα ἔσω.

* ἐναπίπτει.

Θεοδωρήτου ἀνατροπή.

Μίαν μὲν, ὡς πολλάκις ἔφην. τιμὴν δοξολογίαν προσφέρομεν τῷ δεσπότῃ Χριστῷ. καὶ τὸν αὐτὸν Θεὸν ὁμοῦ, καὶ ἄνθρωπον ὁμολογοῦμεν. τοῦτο γὰρ ἡμᾶς ὁ τῆς ἑνώσεως ἐδίδαξε λόγος. τῇ δὲ φύσεων τὰς ἰδιότητας οὐ παραιτησόμεθα λέγειν. οὔτε γὰρ ὁ Θεὸς λόγος τιμὴν εἰς σάρκα τροπὴν ἐδέξατο, οὔτε πάλιν ὁ ἄνθρωπος ἀπώλεσε μὲν ὃ ἦν, εἰς δὲ τιμὴν τοῦ Θεοῦ φύσιν μεταβλήθη. οὐκοῦν ἑκατέρας φύσεως τὰ ἴδια λέγοντες, τὸν δεσπότην προσκυνοῦμεν Χριστόν.

Κυρίλλου ἀπολογία.

Ἡμεῖς δὲ, ὦ πάν, οἱ τὰ ἀμείνω τε καὶ * ἀληθέστατα φρονεῖν εἰωθότες, καὶ ἰχνοτέρων ἐννοιῶν ἀπτόμενοι πρὸς τιμὴν τοῦ μυστηρίου διασάφησίν τε, καὶ εἴδησιν ἀκριβῆ, καὶ κατάγε τὸ τοῖς ἱεροῖς γράμμασι δοκοῦν, καὶ ταῖς τῶν ἁγίων πατέρων ἐπιχειρήσεσι, οὐκ ἄνθρωπον ἀνειλῆφθαί φαμεν παρὰ τοῦ Θεοῦ λόγου, συνῆφθαί τε καὶ κατὰ σχέσιν αὐτῷ τὴν θύραθεν ἐπινοουμένην. ἄνθρωπον δὲ μᾶλλον αὐτὸν γενέσθαι διοριζόμεθα. ταύτης τε ἕνεκα τῆς αἰτίας τῶν τῆς ἀσεβείας δογμάτων ἐξεστηκέναι φαμὲν τοὺς τολμῶντας λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον· χρῆναί τε διαβεβαιουμένους αὐτὸν, ὡς ἕτερον ἑτέρῳ συμπροσκυνεῖσθαι δεῖν τῷ υἱῷ τοῦ Θεοῦ. εἰ γάρ ἐστιν ὁ αὐτὸς Θεός τε ὁμοῦ, καὶ ἄνθρωπος, προσκυνεῖται μᾶλλον ὡς εἷς προσκυνήσει μιᾷ, οὐχὶ συμπροσκυνεῖται, καὶ συγχρηματίζει Θεός. ἵνα μὴ ἄνθρωπος ἁπλῶς εἶναι πιστεύηται, κοινός τε καὶ καθ' ἡμᾶς ὁ Ἐμμανουὴλ, θεάς τε δόξης μετεσχηκὼς κατὰ χάριν. ὁμολογῆται δὲ μᾶλλον Θεὸς ἐν σαρκὶ δι' ἡμᾶς, ἤτοι κατὰ ἀλήθειαν ἄνθρωπος γεγονὼς. ἢ μεταστάσει φύσεως τῇ κατὰ ἀλλοίωσιν, καὶ ξοπὶ, ἀλλ' ἑνώσεως οἰκονομίᾳ.

* ἀληθέστατα.

Ἀναθεματισμὸς θ'.

Εἴ τίς φησι, τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν * δοξάζεσθαι παρὰ τοῦ πνεύματος, ὡς ἀλλοτρίᾳ δυνάμει τῇ ἰδίᾳ αὐτοῦ χρώμενον, καὶ παρ' αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δυνάσθαι κατὰ πνευμάτων ἀκαθάρτων, καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ πνεῦμά φησι, δι' οὗ καὶ ἐνήργησε τὰς θεοσημείας· ἀνάθεμα ἔσω.

* διανεέσθαι.

Θεοδωρήτου ἀναξιοπή.

Ἐνταῦθα σαφῶς οὐ τοὺς νῦν ἀσεβοῦντας μόνον, ἀλλὰ καὶ τοὺς πάλαι γεγυμνωμένους κήρυκας τῆς ἀληθείας, καὶ αὐτοὺς τοὺς τῶν θείων εὐαγγελίων συγγραφέας, καὶ τὸν τῶν ἱερῶν ἀποστόλων χορὸν, καὶ πρὸς τούτοις Γαβριὴλ τὸν ἀρχάγγελον ἀναθεματίζειν ἐτόλμησε. * τὸν γὰρ κατὰ σάρκα Χριστὸν ἐκ πνεύματος ἁγίου γεγεννῆσθαι πρῶτος ἐκεῖνος καὶ πρὸ τῆς συλλήψεως ἐκήρυξε, καὶ μετὰ τὴν σύλληψιν τὸν Ἰωσὴφ ἐδίδαξε. πρὸς μὲν τὴν Μαρίαν ἐρωτῶσαν· πῶς ἔσαι μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; λέγων· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοί· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται υἱὸς Θεοῦ· πρὸς δὲ τὸν Ἰωσήφ· μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκα σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ πνεύματός ἐστιν ἁγίου· καὶ ὁ εὐαγγελιστής. μνηστευθείσης δὲ, φησὶ, τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. καὶ αὐτὸς δὲ ὁ κύριος εἰσελθὼν εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων, καὶ λαβὼν τὸν προφήτην Ἡσαΐαν, καὶ ἀναγνοὺς τὸ χωρίον, ἐν ᾧ λέγει· πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, καὶ τὰ ἑξῆς, ἐπήγαγε· σήμερον ἐπληρώθη ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν· τοῦτο δὲ καὶ ὁ μακάριος Πέτρος διαλεγόμενος πρὸς Ἰουδαίους ἔφη· Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὃν ἔχρισεν ὁ Θεὸς τῷ πνεύματι τῷ ἁγίῳ· καὶ Ἡσαΐας δὲ πρὸ πολλῶν χρόνων τοιαῦτα προεθέσπισεν· ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθρωπος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας, καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως, καὶ εὐσεβείας, καὶ πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν· καὶ πάλιν· ἰδοὺ ὁ παῖς μου, ὃν ἀπεδεξάμην, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν· κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει· ταύτην δὲ τὴν μαρτυρίαν καὶ ὁ εὐαγγελιστὴς ἐν * οἰκείοις συγγράμμασι τέθεικε· καὶ αὐτὸς δὲ ὁ κύριος ἐν τοῖς εὐαγγελίοις πρὸς τοὺς Ἰουδαίους ἔφη· εἰ δὲ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἔφθασεν ἐφ' ὑμᾶς ἄρα ἡ βασιλεία τοῦ Θεοῦ. καὶ ὁ Ἰωάννης· ὁ ἀποστείλας με φησὶ, βαπτίζειν ἐν ὕδατι, αὐτός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ· * ἢ τοίνυν προφήτας μόνον, καὶ ἀποστόλους, ἢδὲ Γαβριὴλ τὸν ἀρχάγγελον ἀνεθεμάτισε μόνον ὁ ἀκριβὴς τῶν θείων δογμάτων ἐξέτασης· ἀλλὰ καὶ εἰς αὐτὸν τὸν σωτῆρα τῶν ὅλων τολμᾷ βλασφημίαν ἐξέτεινεν. ἐδείξαμεν γὰρ καὶ αὐτὸν τὸν κύριον, νῦν μὲν τοῖς Ἰουδαίοις μετὰ τινὰ ἀνάγνωσιν τοῦ· πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, φήσαντα· σήμερον ἡ γραφὴ αὕτη ἐπληρώθη ἐν τοῖς ὠσὶν ὑμῶν· νῦν δὲ πρὸς τοὺς εἰπόντας, ἐν Βεελζεβοὺλ αὐτὸν ἐκβάλλειν τὰ δαιμόνια, εἰρηκότα ἐν πνεύματι Θεοῦ ἐκβάλλειν τοὺς δαίμονας. διαπλαθῆναι δὲ ὑπὸ τοῦ ἁγίου πνεύματος, καὶ χρισθῆναι δὲ τὸν Θεὸν λόγον φαμὲν, τὸν τῷ πατρὶ ὁμοούσιον,

Ματθ. 1. 20.

Λουκ. 4. 18. Ἡσαΐ. 61.

Πραξ. 10. 38.

Ἡσαΐ. 11.

Ἡσαΐ 42.

Ματθ. 12. 18.

Λουκ. 11. 20.

Ἰωάνν. 1. 33.

* ἢ γὰρ προφήτας.

σιον, καὶ σωταίδιον. ἀλλὰ τῷ ἐπ' ἐσχάτῳ τῶν ἡμερῶν ὑπ' αὐτοῦ ληφθεῖσαν ἀνθρωπείαν φύσιν. ἴδιον δὲ τὸ πνεῦμα τοῦ υἱοῦ, εἰ μὲν ὡς ὁμοφυὲς, καὶ ἐκ παρθένου ἐφη, * σωομολογήσομεν, καὶ ὡς ἀτεβῆ * δεξόμεθα τῷ φωνῇ. εἰ δ' ὡς ἐξ υἱοῦ, ἢ δι' υἱοῦ τῷ ὕπαρξιν ἔχον, ὡς βλάσφημον τοῦτο, καὶ ὡς δυσσεβὲς ἀπορρίψομεν. πιστεύσομεν γὰρ τῷ κυρίῳ λέγοντι· τὸ πνεῦμα, ὃ ἐκ τοῦ παρθένου ἐκπορεύεται· καὶ τῷ θειοτάτῳ δὲ Παύλῳ ὁμοίως φάσκοντι· ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ*.

* κατασκευάσομεν, ἀληθεύσομεν.

Γαλ. 4. 6.

1. Κορ. 2. 12. * πατρός.

Κυρίλλου ἀπολογία.

Φθάσας ἔφην, ὅτι τοῖς Νεστορίου βατταρισμοῖς, ἤγουν δυσφημίαις, καὶ τοῖς ἄγαν ἀτημελῶς εἰρημένοις, ἡ τῶν κεφαλαίων μάχεται δύναμις. ἐκεῖνα γὰρ λέγοντος περὶ τοῦ ἁγίου πνεύματος· τοῦτο δὴ τὸ τηλικαύτῃ τῷ Χριστῷ χαρισάμενον δόξαν, τὸ δαίμοσιν αὐτὸν φοβερὸν ἐργασάμενον, τὸ τιμῇ ἀνάληψιν αὐτῷ τιμῇ εἰς οὐρανοὺς χαρισάμενον· καὶ * ὥσπερεί τινος τῶν καθ' ἡμᾶς ἀνθρώπου κοινοῦ τὰ τοιάδε πεφλυαρηκότος, γέγονεν ἀναγκαίως ὁ ἀναθεματισμός. οὐ κατά γε τῶν λεγόντων δεδοξάσθαι παρὰ τοῦ ἁγίου πνεύματος τὸν Ἰησοῦν, τουτέστιν ἐνανθρωπήσαντα τὸν τοῦ Θεοῦ λόγον· κατ' ἐκείνων δὲ μᾶλλον, οἳ καὶ * ἀναίδην αὐτὸν ὡς ἀλλοτρίᾳ δυνάμει τῇ διὰ τοῦ πνεύματος κεχρῆσθαι φασί. μεμνήμεθα * δὴ εἰπόντος σαφῶς περὶ τοῦ ἁγίου πνεύματος· ἐκεῖνος ἐμὲ δοξάσει· ἴσμεν τε ὡς * τῷ τῇ τοῦ ἁγίου πνεύματος ἐνεργείᾳ τὰς πονηράς τε, Ἰακ. 16. 14. καὶ ἀκαθάρτους δυνάμεις σωτείβοντα· ἀλλ' οὐχ ὅπως φαμὲν αὐτὸν, καθάπερ ἀμέλει καὶ τῶν ἁγίων ἕκαστον, ὡς ἀλλοτρίᾳ δυνάμει κεχρῆσθαι τῇ διὰ τοῦ πνεύματος: ἰδίῳ γὰρ καὶ ἔστιν αὐτοῦ τὸ πνεῦμα, καθάπερ ἀμέλει καὶ τοῦ πατρός· καὶ τοῦτο ἡμῖν εὖ μάλα σαφηνιεῖ γεγραφὼς ὁ θεσπέσιος Παῦλος· οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. ἐκπορεύεται μὲν * γὰρ ὡς ἐκ τοῦ Θεοῦ καὶ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ σωτῆρος φωνήν, ἀλλ' οὐκ ἀλλότριόν ἐστι τοῦ υἱοῦ· πάντα γὰρ ἔχει μετὰ τοῦ πατρός. καὶ τοῦτο αὐτὸς ἐδίδαξεν εἰπὼν περὶ τοῦ ἁγίου πνεύματος· πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστί· διὰ τοῦτο εἶπον ὑμῖν, ὅτι ἐκ τοῦ ἐμοῦ * λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. οὐκοῦν ἐδόξασε μὲν τὸν Ἰησοῦν τὸ πνεῦμα τὸ ἅγιον, ἐνεργοῦν τὰ παράδοξα. πλὴν ὡς πνεῦμα αὐτοῦ, καὶ οὐκ ἀλλοτρία δύναμις, καὶ κρείττων αὐτοῦ, καθὸ νοεῖται Θεός. οὐκ ἐδυσφημήσαμεν τοίνυν εἰς ἁγίους ἀγγέλους, οὔτε μὴν εἰς προφήτας, καθά τετολμήκασιν εἰπεῖν ὁ μόνον εἰδὼς τὸ κατηγορεῖν. ἐπεὶ δέ ἐσι σκοπὸς αὐτῷ τε, καὶ τοῖς κατ' αὐτὸν τὸ διαιρεῖν εἰς δύο Χριστοὺς τὸν ἕνα, καὶ τὸν μὲν δοξαζόμενόν τε, καὶ ἐνεργούμενον, τὸν δὲ δοξάζοντά τε, καὶ ἐνεργοῦντα λέγειν, κατισχώπτουσιν ἀσυνέτως πάντα λόγον ἀσεβῆ, καὶ τῆς τοιαύτης αὐτοὺς * ἀφιστῶντας κακοδοξίας. καὶ γοῦν περὶ τοῦ μακαρίου Γαβριὴλ τὸν λόγον ποιούμενος· ὁ φιλαίτιος φησὶ, * τὸν γὰρ κατὰ σάρκα, φησὶ, Χριστὸν ἐκ πνεύμα-

Ἰωὴλ β. 28.

Ἰωὴλ 2. 28. * κατέρχεται.

Ἰωὴλ 2. 28. * κατέρχεται.

Ἰωὴλ 2. 28. * κατέρχεται

δάκρυον ἀπὸ προσώπου παντός· καὶ πάλιν ὁ προφή-
Δανιήλ. 13. 42. της· ἐμνήσθην, φησὶ, τοῦ Θεοῦ, καὶ ηὐφράνθην.
ὁ στεφανῶν τοὺς εὐλαβείᾳ συζῶντας· ὁ πάντα γινώσ-
κων πρὶν γενέσεως αὐτῶν· ὁ πάντα ἔχων τὰ τοῦ πα-
τρὸς, καὶ εἰκὼν ὑπάρχων ἀπαράλλακτος τοῦ * πα-
τρός· ὁ ἐν ἑαυτῷ δεικνὺς τὸν πατέρα· ἀλλὰ τὸ ἐκ
σπέρματος Δαυὶδ ληφθὲν ὑπ' αὐτοῦ, τὸ θνητὸν,
τὸ παθητὸν, τὸ δεδιὸς τὸν θάνατον. εἰ καὶ αὐτὸ με-
τὰ ταῦτα κατέλυσε τοῦ θανάτου τὸ κράτος, διὰ τὴν
πρὸς τὸν * ἀναλαβόντα Θεὸν ἕνωσιν, τὸ διὰ πάσης
ὁδεῦσαν δικαιοσύνης, καὶ πρὸς τὸν Ἰωάννην φῆσαν·
Ματθ. 3. 15. ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἐστὶ πληρῶσαι πᾶσαν
δικαιοσύνην. τοῦτο τῆς ἀρχιερωσύνης τὴν προσηγο-
ρίαν ἔλαβε κατὰ τὴν τάξιν Μελχισεδέκ· αὐτὸ γὰρ
περιέκειτο τῆς φύσεως ἀσθένειαν, καὶ οὐχ ὁ πάντα δυ-
νάμενος θεὸς λόγος. διὸ καὶ πρὸ βραχέων ὁ μακά-
ριος ἔφη Παῦλος· οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ
Εβρ. 4. 15. δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πε-
πειραμένον δὲ κατὰ πάντα, καὶ καθ' ὁμοιότητα χωρὶς
ἁμαρτίας. ἐν πείρᾳ δὲ γέγονε τῶν ἡμετέρων παθη-
μάτων ἄνευ ἁμαρτίας ἡ ἐξ ἡμῶν ὑπὲρ ἡμῶν ληφ-
θεῖσα φύσις, οὐχ ὁ ταύτην λαβὼν τῆς ἡμετέρας
ἕνεκα σωτηρίας. καὶ ἐν ἀρχῇ δὲ τοῦ κεφαλαίου τούτου
* τοιαῦτά που διδάσκει· κατανοήσατε, λέγων, τὸν
ἀπόστολον, καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰη-
σοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν. ὡς καὶ Μωϋ-
σῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ποίημα δὲ οὐκ ἄν τις
εἴποι τὴν ὀρθοδοξίαν πρεσβεύων, τὸν ἄκτιστον, καὶ
ἀποίητον, καὶ τῷ πατρὶ συναΐδιον θεὸν λόγον· ἀλ-
λὰ τὸν ἐκ σπέρματος Δαυὶδ, ὃς πάσης ἁμαρτίας
ὑπάρχων ἐλεύθερος, ἀρχιερεὺς ἡμῶν, καὶ ἱερεῖον
ἐγένετο· αὐτὸς ἑαυτὸν ὑπὲρ ἡμῶν τῷ θεῷ προσενεγ-
κὼν, ἔχων ἐν ἑαυτῷ δηλαδὴ τὸν ἐκ θεοῦ θεὸν λό-
γον ἡνωμένον αὐτῷ, καὶ ἀχωρίστως συνημμένον.

* γεννήσαντος.
Ἰωάν. 16. 15.
Κολασ. 1. 15.
Ἰωάν. 14. 9.
* ἀνειληφότα
Ματθ. 3. 15.
Εβρ. 4. 15.
* τοιαῦτα πάλιν

Κυρίλλου ἀπολογία.

Γερεμ. 9. Ὁ προφήτης Ἱερεμίας προσκεκρουκότι τῷ Ἰσραὴλ,
καὶ καταθήγοντι πρὸς ὀργὴν τὸν τῶν ὅλων θεὸν,
ἐπιστυγνάζων ἔφασκε· τίς δώσει τῇ κεφαλῇ μου
ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ
κλαύσομαι τὸν λαὸν τοῦτον ἡμέρας καὶ νυκτός; οἶ-
μαι δὲ ἔγωγε τὰς τοιάσδε φωνὰς οὐκ ἐκεῖνοις μᾶλ-
Πέτρ. 2. 10. λον ἐοικέναι τε, καὶ πρέπειν, ἀλλὰ τοῖς ἀπύλωτον,
καὶ ἀκρατὲς ἔχουσιν ἐπὶ Χριστῷ τὸ στόμα· οἳ καὶ τῆς ἀρ-
ρήτου καταφλυαροῦσι δόξης, τολμηταὶ, καὶ αὐθάδεις
ὄντες κατὰ τὸ γεγραμμένον. θρήνου δὴ οὖν, καὶ οἰμω-
γῆς ἄξιοι κατὰ τὸ ἀληθὲς εἶεν ἄν, οἳ ἐκ πολλῆς
ἄγαν ἀβελτηρίας τὴν εἰς εὐθύτε, καὶ ἀδιάβλητον τῆς
εἰς Χριστὸν εὐσεβείας ἀφέντες ὁδὸν, τροχίας ποιοῦν-
τας διεστραμμένας. καὶ κατεφθαρμένοις ἐννοιῶν εὑρή-
μασι τὸ τῆς ἀληθείας * κατασημαίνουσι κάλλος. οὐκοῦν
ἀκουέτωσαν τὰ πᾶσιν ἀπόβλητα φρονεῖν ἠρημένοι· πλα-
νᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μήτε μὴν τὸ σεπ-
τὸν, καὶ μέγα τῆς ἐνανθρωπήσεως μυστήριον· αἱ μὲν
Ματθ. 22. 29 γὰρ θεόπνευστοι γραφαὶ Θεὸν ἡμῖν ἐνηνθρωπηκότα
διακηρύττουσι τὸν Εμμανουήλ· μετεσχηκέναι τε σαρ-
κὸς, καὶ αἵματος παραπλησίως ἡμῖν τὸν τοῦ θεοῦ, καὶ
Εβρ. 2. 14. πατρὸς διαβεβαιοῦνται λόγον· σάρκα τε γενέσθαι,
τουτέστιν ἄνθρωπον, οὐ κατὰ τροπὴν, ἢ ἀλλοίωσιν,
ἀλλ' ἑνώσεως ἀφράστου * δύναμιν. ταύτῃ τοι καὶ ἕνα
φαμὲν Χριστὸν Ἰησοῦν κύριον, μίαν τε πίστιν, καὶ
ἓν ἅγιον βάπτισμα. οἱ δὲ τῶν οὕτως ὀρθῶν ἀποφοι-
τῶντες δογμάτων, καὶ τοῖς ἱεροῖς γράμμασι σκλη-
ρὸν, καὶ ἀγέρωχον ἀντανιστάντες τὸν νοῦν, πρὸς μό-
νον ὁρῶσι τὸ αὐτοῖς εὖ ἔχειν δοκοῦν. ἄνθρωπον δὲ
ἀνειλῆφθαι παρὰ τοῦ θεοῦ λόγου φασὶ, κατ' ἐκεῖνό
που τάχα τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν εἰρημένον·
οὐκ ἤμην προφήτης, οὐδὲ υἱὸς προφήτου, ἀλλ' αἰ-
πόλος ἤμην κνίζων συκάμινα, καὶ ἀνέλαβέ με κύ-
ριος ἐκ τῶν προβάτων· * ἢ καθά φησιν ὁ μακά-
ριος Δαυίδ· ἀναλαμβάνων πρᾳεῖς ὁ κύριος, κα-
τὰ σχέσιν δηλονότι, καὶ οἰκειότητα τὴν πνευματι-
κὴν, τὴν ὡς ἐν θελήσει, καὶ χάριτι, καὶ ἁγιασ-
μῷ, καθὰ καὶ ἡμεῖς αὐτοὶ κολλόμενοι τῷ κυρίῳ, ἓν
πνεῦμά ἐσμεν κατὰ τὸ γεγραμμένον. ἀλλ' οὐχὶ
τοῦτό ἐστι τὸ ἐνανθρωπῆσαι θεὸν. οὔτε μὴν παρα-
πλησίως ἡμῖν μεταχεῖν αἵματος, καὶ σαρκὸς, οἰκειώ-
σασθαι δὲ μᾶλλον ἄνθρωπον, καὶ οὐ καθ' ἕτερον τρό-
πον, ἢ καθ' ὃν ἂν λέγοιτο καὶ προφήτας, καὶ ἀπο-
στόλους, καὶ τοὺς ἄλλους ἅπαντας ἁγίους. ἆρ' οὖν ὁ θε-
σπέσιος Παῦλος πεφενάκικε τοὺς ἡγιασμένους διὰ
τῆς πίστεως, ἐναργέστατα λέγων περὶ τοῦ μονογε-
νοῦς, ὅτι πλούσιος ὢν ἐπτώχευσε δὴ ἡμᾶς; μὴ γένοι-
το· ἀληθεύει γὰρ πάντως τῆς ἀληθείας ὁ κήρυξ.
ἀλλὰ γὰρ τίς ὁ πλούσιός ἐστι, καὶ τίνα τρόπον ἐπτώ-
χευσε; βασανιζέτω καὶ νῦν ὁ λόγος ἡμῖν. εἰ μὲν
γὰρ καθὰ καὶ φρονεῖν, καὶ λέγειν αὐτοὶ τεθαρρήκα-
σιν, ἄνθρωπος ἀνελήφθη παρὰ τοῦ Θεοῦ, πῶς ἐπ-
τώχευσεν ὁ ἀναληφθεὶς, καὶ τοῖς ὑπὲρ φύσιν ἀξιώ-
μασιν ἐκλελαμπρυσμένος; δεδόξασται γάρ· ἢ εἰ
μὴ τοῦτό ἐστιν ἀληθὲς, διαβεβλήσεται παρ' αὐτῶν ἡ
ἀνάληψις, ὡς κατακομίσασα πρὸς τὸ * μεῖον, καὶ
πρός γε τὸ δυσκλεέστερον ἀνθρωπότητος μέτρον.
* ἀλλ' οὕτω φρονεῖν ἀπηχές· * οὔκουν ἐπτώχευσεν
ὁ ἀναληφθεὶς· λείπεται τοίνυν εἰπεῖν, ὅτι γέγο-
νεν ἐνπτωχείᾳ τῇ καθ' ἡμᾶς ὁ πλούσιος ὡς θεός.
εἶτα πῶς ἐπτώχευσε; φέρε δὴ, φέρε καταθρήσω-
μεν ἀναγκαίως. ἄτρεπτος μὲν γὰρ κατὰ φύσιν
ἐστὶν ὁμολογουμένως. οὐ μετακεχώρηκεν εἰς φύσιν
σαρκὸς, τὴν ἰδίαν ἀφεὶς. μεμένηκε γὰρ ὅπερ
ἦν, τουτέστι θεός. πῶς τοιγαροῦν ὀψόμεθα τῆς
πτωχείας τὸ ὑφειμένον; ἆρ' ἐν τῷ τινα τῶν καθ'
ἡμᾶς ἀναλαβεῖν, καθὰ φάναι τετολμήκασιν οἱ
τῆς δυσσεβείας τοῦ Νεστορίου παράσιτοι; καὶ ποῖος
ἂν γένοιτο πτωχείας αὐτῷ, καὶ κενώσεως τρόπος, ὡς
ἔν γε δὴ μόνῳ τῷ * θελῆσαι τυχὸν τιμῆσαι τῶν
καθ' ἡμᾶς ἄνθρωπον τινά; ἀδικεῖται γὰρ κατ'
οὐδένα τρόπον ἀγαθουργῶν ὁ τῶν ὅλων Θεός. πῶς
οὖν ἐπτώχευσεν; ὅτι θεὸς ὢν φύσει, καὶ υἱὸς τοῦ
θεοῦ, καὶ πατρὸς, γέγονεν ἄνθρωπος, καὶ ἐκ σπέρ-
ματος τοῦ Δαυὶδ γεγένηται κατὰ σάρκα, καὶ δουλο-
πρεπὲς ὑπέδυ μέτρον. τουτέστι τὸ ἀνθρώπινον, ὁ ἐν
μορφῇ τοῦ θεοῦ, καὶ πατρὸς, ὁ δι' οὗ τὰ πάντα, καὶ ἐν
ᾧ τὰ πάντα, καὶ τῶν ὅλων δημιουργός. ἄνθρωπος δὲ
γεγονὼς τὸ τῆς ἀνθρωπότητος μέτρον οὐκ αἰσχύνεται·
ὁ γὰρ αὐτὸ τὸ γενέσθαι καθ' ἡμᾶς οὐκ ἀπόβλητον
ποιησάμενος, τίνα τρόπον παραιτοῖτο ἂν τὰ, δι'
ὧν ἦν ἰδεῖν γεγονότα κατὰ ἀλήθειαν δι' ἡμᾶς καθ'
ἡμᾶς; ὅταν οὖν τῶν ἀνθρωπίνων αὐτὸν ἀποστήσωμεν

* δυνάμει
Ἐφισ. 4. 5.
Ἀμώς 7. 14
* καὶ
Ψαλ. 146. 6.
1. Κορίν. 6. 17.
2. Κορίν. 8. 9.
* μὴ ὄν.
* ἀλλ' οὐδὲ οὐκοῦν οὐκ ἐπτώχευσεν
* ἐκθελήσεως.
Κολασ. 1. 16.

καὶ

καὶ πραγμάτων, καὶ λόγων, κατ' οὐδένα διοίσομεν τρόπον τῶν, εἴ πέρ τι τῶν ἐνδεχομένων ἦν, μονονουχὶ καὶ ἀποδυόντων αὐτὸν τῆς σαρκὸς, καὶ ἀπιστούντων τῇ θεοπνεύστῳ γραφῇ. ἀνατρεπόντων δὲ εἰς ἅπαν τὸ τῆς ἐνανθρωπήσεως μυστήριον, τὴν τοῦ κόσμου σωτηρίαν, τὴν ἐλπίδα, τὴν ἀνάστασιν. ἀλλ' ἴσως ἐρεῖ τις, μικρὸν εἶναι τῷ Θεῷ λόγῳ, καὶ ἀπεοικὸς εἰς ἅπαν τὸ κλαῦσαι, τὸ δεδιέναι τὸν θάνατον, τὴν τοῦ ποτηρίου παραίτησιν, τῆς ἱερωσύνης τὸ χρῆμα. ναὶ φαίην ἂν καὶ αὐτὸς ἐγὼ, ὅτι τῇ θείᾳ καὶ ὑπερτάτῃ φύσει τε, καὶ δόξῃ τὰ τοιάδε σμικρά· ἀλλ' ἐν αὐτοῖς τεθεάμεθα τὴν πτωχείαν, ἣν δι' ἡμᾶς ὑπέμεινεν ἑκών. ὅταν σοι φαίνηται φορτικὸν τὸ ἐκ τῆς κενώσεως δυσκλεὲς, θαύμασον μειζόνως τὴν εἰς ἡμᾶς ἀγάπησιν τοῦ υἱοῦ· ὁ γὰρ σὺ μικρὸν εἶναι φῇς, τοῦτο θελητὸν ἐποιήσατο διαισέ. ἔκλαυσεν ἀνθρωπίνως, ἵνα τὸ σὸν περιστείλῃ δάκρυον· ἐδειλίασεν οἰκονομικῶς ἐφιείς τῇ σαρκὶ καὶ πάσχειν ἔσθ' ὅτε τὰ ἴδια, ἵν' εὐτολμοτάτους ἡμᾶς ἀποφήνῃ· παρῃτήσατο τὸ ποτήριον, ἵνα τῆς Ἰουδαίων δυσσεβείας ὁ σταυρὸς κατηγορῇ· ἀσθενῆσαι λέγεται κατὰ τὸ ἀνθρώπινον, ἵνα παύσῃ τὴν σὴν ἀσθένειαν· δεήσεις ἐποιεῖτο, καὶ ἱκετηρίας, ἵνα καὶ ταῖς παρὰ σοῦ λιταῖς βάσιμον ἀποφήνῃ τὴν τοῦ πατρὸς ἀκοήν· ἐνύσταξεν, ἵνα σὺ μάθῃς μὴ νυστάζειν ἐν πειρασμοῖς, συντείνεσθαι δὲ μᾶλλον εἰς προσευχάς· καὶ γοῦν * ἐπί τινας ἀπονυστάζοντας τῶν ἁγίων ἀποστόλων ἔφασκεν οὕτως. οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; γρηγορεῖτε, καὶ προσεύχεσθε, ἵνα μὴ ἐμπέσητε εἰς πειρασμόν· ἀνατύπωσιν γὰρ ὥσπερ εὐαγοῦς πολιτείας τὰ καθ' ἑαυτὸν ἀναθεὶς, * ὠφέλησε τὴν ὑπ' οὐρανὸν, τὰς τῆς ἀνθρωπότητος ἀσθενείας ᾠκειώσατο· διὰ ποίαν αἰτίαν; ἵνα καὶ κατὰ ἀλήθειαν ἄνθρωπος γενέσθαι πιστεύηται, καί τοι μεμενηκὼς ὅπερ ἦν, τουτέστι Θεός. ἀλλ' οὐκ οἶδ' ὅπως οἱ Χριστὸν ἕνα λέγειν ὑποκρινόμενοι, καὶ υἱὸν, καὶ κύριον, τὸν αὐτὸν Θεὸν, καὶ ἄνθρωπον, οὐ τὸν ἐκ Θεοῦ φῦντα λόγον χρηματίσαι φασὶν ἀρχιερέα, καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν, ὅτε γέγονεν ἄνθρωπος. ἀλλ' ὡς ἕτερόν τινα κατὰ μόνας ἄνθρωπον τὸν ἐκ σπέρματος Δαυὶδ κεκλῆσθαι πρὸς τοῦτο διϊσχυρίζονται· δεδιότες τάχα που, μὴ τῆς Νεστορίου κακοδοξίας ὀλιγωρίσαντες, ὀρθὰ φρονοῦντες ἁλίσκοιντο. ἔφη γὰρ οὕτως ἐκεῖνος. οὗτος ὁ πιστὸς τῷ Θεῷ πεποιημένος ἀρχιερεύς· ἐγένετο γὰρ οὗτος, οὐκ ἀϊδίως προῆν· οὗτος ὁ κατὰ μικρὸν εἰς ἀρχιερέως αἱρετικὲ προκόψας ἀξίωμα. εἶτα, καθάπερ οἴεται, βεβαιῶν εἰς ἀλήθειαν τὰς ἑαυτοῦ φωνὰς, ἐπιφέρει καὶ φησί· περὶ οὗ καὶ Ἰωάννης ἐν τοῖς εὐαγγελίοις φησίν· Ἰησοῦς δὲ προέκοπτεν ἡλικίᾳ, καὶ σοφίᾳ, καὶ χάριτι. καὶ πάλιν· ὄντος ἡμῖν τούτου μόνου ἀρχιερέως συμπαθοῦς, καὶ συγγενοῦς, καὶ βεβαίου, τῆς εἰς αὐτὸν μὴ παρατρέπεσθε πίστεως· αὐτὸς γὰρ ἡμῖν τῆς ἐπηγγελμένης εὐλογίας ἐκ σπέρματος Αβραὰμ ἀπεστάλη, ὡς ὑπὲρ ἑαυτοῦ, καὶ τοῦ γένους τὴν τοῦ σώματος θυσίαν συνεπαγόμενος. ὁ δὲ τῆς ἐκείνου βδελυρίας ἄριστος μιμητὴς, ὁ χρηστὸς οὑτοσὶ Θεοδώρητος, οὐκ ἐρυθριᾷ λέγων, ὅτι ἀνθρωπείαν φύσιν ἔλαβε, καὶ ταύτην ὑπὲρ τοὺς κοινοὺς * ἀρχιερεῖς κατέστησε, καθὰ καὶ Παῦλος φησί. πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι, καὶ πλανωμένοις· ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ δι' αὐτὴν ὀφείλει ὡς ὑπὲρ * τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν περὶ ἁμαρτιῶν. Ἆρ' οὐκ ἄνθρωπον ἡμῖν κοινὸν, τόγε ἧκον εἰς τὸ αὐτῷ δοκοῦν, ἀποτετέλεκε τὸν Ἐμμανουὴλ; οὐκ ἀδελφὰ τῶν ἀρτίως ἡμῖν ὠνομασμένων τὰ φρονήματα, καὶ τὴν ἴσην ὠδίνοντα δυσφημίαν; δέδιας, εἰπέ μοι, τῆς ἱερωσύνης τὸν τρόπον τοῦ πάντων ἡμῶν σωτῆρος Ἰησοῦ Χριστοῦ; ἀνάρμοστον εἶναι φῇς τῷ Θεῷ λόγῳ τὸ ἱερουργεῖν ἀνθρωπίνως διὰ τὴν οἰκονομίαν; οὐκοῦν ἄφελε τὸ * προσωπεῖον, ἀρνοῦ μὴ ὑπεσταλμένως τοῦ λόγου τὴν ἐνανθρώπησιν, δι' ἣν ὠνόμασται ἀρχιερεύς. ἆρα θύοντα βλέπεις ὡς ἑτέρῳ Θεῷ, καὶ προὔχοντι Θεῷ, τῷ πατρὶ; βουθυτοῦντα τεθέασαι κατ' ἐκείνους τοὺς ἐξ ἀνθρώπων ληφθέντας, μετριοπαθεῖν τε δυναμένους τοῖς ἀγνοοῦσι, καὶ πλανωμένοις, διὰ τὸ εἶναι καὶ αὐτοὺς ἐν ταῖς καθ' ἡμᾶς ἀσθενείαις; * οὐ νενόηκας, ὅτι τὴν παρὰ πάντων πίστιν, ἤγουν τῆς πίστεως τὴν ὁμολογίαν ἑαυτῷ καθιεροῖ, καὶ τῷ παναγίῳ * πνεύματι; ἆρ' οὖν, εἰπέ μοι, τρόπος ἐστὶν ἀνθρωπίνης ἱερουργίας τὸ πίστιν αἰτεῖν τοὺς εἰς ὀσμὴν εὐωδίας προσκεκομισμένους ἐν πνεύματι; ὅρα δὲ καὶ ἑτέρως ὄντα Θεὸν, κἂν εἰ ἀνθρωπίνως ἱερᾶσθαι λέγοιτο διὰ τὴν οἰκονομίαν· συνεδρεύει γὰρ τῷ Θεῷ, καὶ πατρὶ, καὶ ἐν τοῖς ἀνωτάτω θώκοις ὁρᾶται διαπρεπής. θορυβεῖ σε τὸ ἀνθρώπινον; οὐκ ἀπαλλάττει δειμάτων τὸ θεοπρεπές; οὐκ ἀνέχῃ δι' αὐτῶν ἰδεῖν τῶν πραγμάτων, Θεόν τε ὁμοῦ, καὶ ἄνθρωπον ὄντα τὸν Ἐμμανουὴλ, ἀλλ' οὕτως ἀναίδην καὶ ἀπηνῶς, μᾶλλον δὲ δυσσεβείας ἁπάσης ἐπέκεινα τρέχων, τετελειῶσθαι φῇς κατὰ ἀρετὴν ἐν πόνοις αὐτὸν, καὶ προκόψαι * κατ' ἀρετὴν εἰς ἀρχιερέως ἀξίωμα; εἰ προέκοψε, πῶς κεκένωται, καὶ ἐπτώχευσεν; εἰ * τελεῖται κατ' ἀρετὴν, ἐξ ἀτελοῦς δηλονότι, καὶ ἐν χρόνῳ γέγονε τέλειος· τὸ δὲ ἀτελὲς ἅπαν εἰς ἀρετὴν, ὑπὸ μώμου γραφήν. τὸ δὲ ὑπὸ μῶμον, ὑφ' ἁμαρτίαν. πῶς οὖν γέγραπται περὶ αὐτοῦ, ὅτι ἁμαρτίαν οὐκ ἐποίησε; τετόλμηκας εἰπεῖν τὰ ὑποτεταγμένα; Τίς τοίνυν ὁ ἱερατεύσας, φησίν; ὁ πόνοις ἀρετῆς τελειωθεὶς, καὶ μὴ φύσει * τέλειος ὑπάρχων; τίς ὁ πείρᾳ μαθὼν τὴν ὑπακοὴν, καὶ ταύτην ἀγνοῶν πρὸ τῆς πείρας; τίς ὁ εὐλαβείᾳ συμβιώσας, καὶ μετὰ κραυγῆς ἰσχυρᾶς, καὶ δακρύων ἱκετείας προσενεγκὼν, καὶ σώζειν ἑαυτὸν οὐ δυνάμενος, ἀλλὰ τὸν δυνάμενον σώζειν παρακαλῶν; ὦ παντόλμου φωνῆς, καὶ μιαρωτάτης. ποῖον ἀρκέσει δάκρυον εἰς ἀπόνιψιν ἁμαρτίας τοῖς τὰ τοιάδε φρονεῖν ἠρημένοις; εἰ καταδέχῃ τὴν ἕνωσιν; πῶς ἠγνόησας, ὅτι περὶ Θεοῦ σοι λόγος ἦν ἐνηνθρωπηκότος; τεταπείνωκεν ἑαυτὸν διὰ σὲ, καὶ ἀνοσίως ἀναφωνεῖς· ἵλεώς σοι κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. οὐκοῦν ἀκούσῃ λέγοντος· ὕπαγε ὀπίσω μου σατανᾶ, σκάνδαλόν μου εἶ. ἀλλὰ γὰρ ἐπὶ τέλει τῶν ἑαυτοῦ λόγων φησίν· οὐκοῦν ὁ ἐκ σπέρματος Δαυὶδ ἀρχιερεὺς, ἔχων ἐν ἑαυτῷ δηλονότι τὸν ἐκ Θεοῦ λόγον ἡνωμένον, καὶ ἀχωρίστως συνημμένον. πῶς οὖν ἡνῶσθαι φῇς τῷ ἐκ σπέρματος Δαυὶδ τὸν ἐκ Θεοῦ * λόγον; * ἢ δὴ μόνῳ τῷ ἐκ σπέρματος Δαυὶδ ἐκνενέμηκας τὴν ἱερωσύνην; εἰ γὰρ ἀληθὴς ἡ ἕνωσις, οὐ δύο που πάντως εἰσὶν, ἀλλ' εἷς

τε,

* τῶν τοῦ
* πρόσωπον
* ἐκ ἐννενόηκας, Ἐφεσ. 5.
* πατρὶ
* κατὰ βραχὺ
* τετέλειται
1. Πέτρ. 2. 22.
* τελείως
Ἑβρ. 5. 7.
Ματθ. 16. 23.
* τοῦ λόγου, ἀ δὲ ἀ δὲ

τε, καὶ μόνος ὁ ἐξ ἀμφοῖν νοεῖται Χριστός. πρόδηλον οὖν, ὅτι πλάττονται μὲν ὁμολογεῖν τὴν ἕνωσιν, τὰς τῶν ἁπλουστέρων ὑποτρέχοντες γνώμας· συνάφειαν δὲ * νοοῦσι τὴν ἔξωθέν τε, καὶ σχετικὴν, ἣν καὶ ἡμεῖς ἐσχήκαμεν, κοινωνοὶ τῆς ὁσίας αὐτοῦ φύσεως ἀναδεδειγμένοι διὰ τοῦ πνεύματος. οὐ προσεκτέον τοιγαροῦν τοῖς ἐκείνων βαττάρισμοῖς, ἀλλὰ τῇ ὀρθῇ τε, καὶ ἀμωμήτῳ πίστει, καὶ τοῖς εὐαγγελικοῖς τε, καὶ ἀποστολικοῖς θεσπίσμασιν.

* φρονοῦσι

Ἀναθεματισμὸς ιά.

Εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα ζωοποιὸν εἶναι, καὶ ἰδίαν αὐτοῦ τοῦ ἐκ θεοῦ πατρὸς λόγου, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτὸν, συνημμένου μὲν αὐτῷ κατὰ τὴν ἀξίαν, ἤγουν ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος, καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιὸν, ὡς ἔφημεν, ὅτι γέγονεν * ἰδίᾳ τοῦ λόγου τοῦ τὰ πάντα ζωοποιεῖν ἰσχύοντος· ἀνάθεμα ἔστω.

* ἰδία

Θεοδωρήτου ἀνατροπή.

Ἔοικεν, ὡς οἶμαι, τῆς ἀληθείας φροντίζειν, ἵνα ταύτῃ τὴν κακοδοξίαν συγκαλύψας, λάθῃ τὰ αὐτὰ τοῖς αἱρετικοῖς δογματίζων. * ἀλλ' οὐδὲ τῆς ἀληθείας δυνατώτερον, ἤ τις ταῖς οἰκείαις ἀκτῖσι γυμνοῖ τὸ ζοφῶδες τοῦ ψεύδους. ταύτῃ φωτιζόμενοι δήλην αὐτοῦ τὴν ἑτερόδοξον καταστήσομεν πίστιν. πρῶτον μὲν γὰρ οὐδαμοῦ σαρκὸς νοερᾶς ἐμνημόνευσεν, οὔτε ἄνθρωπον τέλειον τὸν ἀναληφθέντα ὡμολόγησεν, ἀλλὰ πανταχοῦ σάρκα λέγει, τοῖς Απολιναρίου δόγμασι συνακολουθῶν· ἔπειτα τὴν τῆς κράσεως ἔννοιαν ἑτέροις ἐμβαλὼν ὀνόμασι, κατασπείρει τοῖς λόγοις. * ἐνταῦθα γὰρ σαφῶς ἄψυχον τὴν τοῦ κυρίου σάρκα φησίν· εἴ τις γὰρ, φησί, τὴν τοῦ κυρίου σάρκα μὴ ἰδίαν αὐτοῦ τοῦ ἐκ θεοῦ πατρὸς λόγου, ἀλλ' ὡς ἑτέρου παρ' αὐτὸν λέγει, ἀνάθεμα ἔστω. ἐξ ὧν * εὔδηλον, οὐχ ὁμολογεῖ ψυχὴν ἀνειληφέναι τὸν θεὸν λόγον, ἀλλὰ σάρκα μόνην, αὐτὸν δὲ εἶναι ἀντὶ ψυχῆς τῇ σαρκί. ἡμεῖς δὲ ζωοποιὸν εἶναί φαμεν τὴν ἔμψυχον, καὶ λογικὴν τοῦ κυρίου σάρκα, διὰ τὴν ἡνωμένην αὐτῇ ζωοποιὸν θεότητα. ὁμολογεῖ δὲ αὐτὸς ἄκων τῶν δύο φύσεων τὸ διάφορον, σάρκα λέγων, καὶ θεὸν λόγον, καὶ ἰδίαν αὐτοῦ προσαγορεύων τὴν σάρκα. οὐ κοῦν οὐχ ὁ θεὸς λόγος εἰς σαρκὸς ἐτράπη φύσιν, ἀλλ' ἰδίαν ἔχει σάρκα, τὴν ἀναληφθεῖσαν φύσιν, καὶ ζωοποιὸν αὐτὴν τῇ ἑνώσει πεποίηκεν.

* ἀλλ' οὐδὲν

* ἐνταῦθα

* ἴσως εὐδήλως οὐχ

Κυρίλλου ἀπολογία.

Οἱ τῶν εἰς ὀρθότητα, καὶ ἀλήθειαν ἐννοιῶν ἐξ ἀμαθίας ἀπολισθήσαντες, καὶ μονονουχὶ λέγοντες· ἐθέμεθα ψεῦδος τὴν ἐλπίδα ἡμῶν, τῷ ψεύδει σκεπασθησόμεθα, ἀπεριμερίμνως ἐκφέρουσιν, οὐ μεμνημένοι λεγούσης τῆς θεοπνεύστου γραφῆς· κρίμα δίκαιον κρίνετε. καὶ πάλιν. μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται. ἡμεῖς γὰρ ζωοποιὸν φαμεν εἶναι τὸ ἅγιον σῶμα τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ. καὶ γάρ ἐστιν οὐχ ἑνὸς ἁπλῶς τῶν καθ' ἡμᾶς ἀνθρώπου κοινοῦ, ἴδιον δὲ ἀληθῶς τοῦ τὰ πάντα ζωογονοῦντος λόγου· ἴδιον δὲ οὕτως, ὡς ἂν εἰ καὶ τῶν καθ' ἡμᾶς ἑκάστου τυχὸν ἴδιον λέγοιτο τὸ σῶμα αὐτοῦ. ὁ δὲ χρηστὸς οὑτοσὶ, καὶ τῆς καθ' ἡμῶν γλωσσαλγίας οὐδένα τρόπον ἀνεπιτήδευτον ἀφεὶς, καί τοι συναινῶν οἷς ἔφην, ἐπιφημίζει πάλιν ἡμῖν τῆς Ἀπολιναρίου κακοδοξίας τὸν μῶμον, καὶ οὐκ αἰσχύνεται λέγων, ὅτι λέξεσιν ἑτέραις τὸ τῆς κράσεως, ἤτοι συγχύσεως ἐπικρύπτει χρῆμα, καὶ ἄψυχον εἶναι διαβεβαιοῦται τὴν ἑνωθεῖσαν τῷ λόγῳ σάρκα. ἀλλ', ὦ βέλτιστε, φαίη τις ἂν εἰκότως· ἆρ' οὖν τοῖς ἴσοις περιβαλεῖς ἐγκλήμασι καὶ τὸν μακάριον εὐαγγελιστὴν Ἰωάννην; ἔφη γὰρ, ὅτι ὁ λόγος σὰρξ ἐγένετο· καταλαζονεύσῃ γὰρ καὶ αὐτοῦ, καὶ ἐρεῖς, ὅτι ψυχῆς οὐκ ἐμνημόνευσε νοερᾶς, καὶ ἄψυχον εἶναί φησι τοῦ κυρίου τὴν σάρκα. τί δὲ, ὅταν καὶ αὐτοῦ λέγοντος ἀκούσῃς τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. καὶ πάλιν· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. καὶ πάλιν· καὶ ὁ ἄρτος δὲ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ἐπιπήδησον, εἰ δοκεῖ, καὶ τοῖς αὐτοῦ λόγοις· σάρκα γὰρ ὀνομάζει μόνην, καὶ ψυχῆς ἐν τούτοις τῆς νοερᾶς οὐδεμίαν παντελῶς πεποίηται μνήμην. ἀλλ' εἴπερ ἦσθά τις σοφὸς, καὶ ἀγχίνους, οὐκ ἂν ἠγνόησας, ὅτι καὶ ἀπὸ μόνης ἔσθ' ὅτε τῆς σαρκὸς τὸ ἐκ ψυχῆς, καὶ σώματος κατασημαίνεται ζῶον, τουτέστιν, ἄνθρωπος· ἔφη γάρ· ὅτι ὄψεται πᾶσα σάρξ τὸ σωτήριον τοῦ Θεοῦ. οὐκοῦν σάρκα λέγων γενέσθαι τὸν λόγον, οὐκ ἠγνόηκεν, ὅτι πάντῃ τε, καὶ πάντως, καὶ ψυχῆς νοερᾶς πεποίηται μνήμην. ἀλλὰ γὰρ, ὡς ἔφην ἐν ἀρχαῖς, ἀπορήσας εἰς ἀντίστασιν, σκέπην ἑαυτῷ ποιεῖται τὸ ψεῦδος. καὶ πειρᾶται συκοφαντεῖν. ἵνα δοκῇ τι λέγειν. οὐκ ἄνθρωπον δὲ ἀνειλῆφθαι παρὰ Θεοῦ τοῖς ἁγίοις πατράσι δοκεῖ· πεφρονήκασι γὰρ οὐχ ὡδίποθεν. αὐτὸν δὲ μᾶλλον τὸν ἐκ Θεοῦ πατρὸς λόγον ἄνθρωπον γενέσθαι φασὶν, ἑνωθέντα σαρκὶ, ψυχὴν ἐχούσῃ τὴν νοεράν. ἀσύγχυτος δὲ, καὶ τροπῆς ἐλευθέρα πάντως ἡ ἕνωσις· ἀναλλοίωτος γὰρ ὁ τοῦ Θεοῦ λόγος· καὶ οὕτω πιστεύομεν.

Ἰωάν. 1.

Ἰωάν. 6. 53.

Λουκ. 3. 6. Ἡσαΐ. 40.

Ἀναθεματισμὸς ιβ'.

Εἴ τις οὐχ ὁμολογεῖ τὸν τοῦ Θεοῦ λόγον παθόντα σαρκὶ, καὶ ἐσταυρωμένον σαρκὶ, καὶ θανάτου γευσάμενον σαρκὶ, γεγονότα τε πρωτότοκον ἐκ νεκρῶν, καθὸ ζωή ἐστι, καὶ ζωοποιὸς ὡς Θεός· ἀνάθεμα ἔστω.

Κολασ. 1. 1

Θεοδωρήτου ἀνατροπή.

Τὰ πάθη τοῦ παθητοῦ ἴδια· ὁ γὰρ ἀπαθὴς παθῶν ἐστιν ὑψηλότερος. ἔπαθε τοίνυν ἡ τοῦ δούλου μορφὴ, συνούσης αὐτῇ δηλονότι τῆς τοῦ Θεοῦ μορφῆς, καὶ συγχωρούσης παθεῖν διὰ τὴν ἐκ τῶν παθῶν τικτομένην σωτηρίαν, * οἰκειούμενος δὲ διὰ τὴν ἕνωσιν τὰ παθήματα. οὐκοῦν οὐχ ὁ Χριστὸς παθὼν, ἀλλ' ὁ ἐξ ἡμῶν ὑπὸ τοῦ Θεοῦ ληφθεὶς ἄνθρωπος. διὸ καὶ ὁ μακάριος Ἡσαΐας προθεσπίζων βοᾶ. ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέ-

* ἴσως, οἰκειούμενος.

Ἡσαΐ. 53.

φέρειν μαλακίαν. καὶ αὐτὸς δὲ ὁ δεσπότης Χριστὸς πρὸς
Ἰωάν. 8. 40. τοὺς Ἰουδαίους ἔλεγε· τί με ζητεῖ τε ἀποκτεῖναι ἄνθρω-
πον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; ἀποκτείνεται
δὲ οὐκ αὐτὴ ἡ ζωὴ, ἀλλ' ὁ θνητὴν ἔχων τὴν φύσιν. καὶ
τοῦτο διδάσκων ἑτέρωθι ὁ κύριος, πρὸς τοὺς Ἰουδαίους ἔ-
Ἰωάν. 2. 19. φη· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγε-
ρῶ αὐτόν. οὐκοῦν ἐλύθη μὲν ὁ ἐκ τοῦ Δαυὶδ, ἀνέστησε
δὲ τοῦτον λυθέντα ὁ ἐκ πατρὸς ἀπαθῶς γεννηθεὶς πρὸ
τῶν αἰώνων, μονογενὴς τοῦ Θεοῦ λόγος.

Κυρίλλου ἀπολογία.

Ἔστι μὲν ἀπαθὴς καὶ ὁμολογουμένως ἡ τοῦ Θεοῦ
λόγου φύσις· καὶ τοῦτο οἶμαι ἐστὶν οὐδενὶ τῶν ὄν-
των ἀσυμφανές· οὐδ' ἂν εἰς τοῦτο φρενοβλαβείας
καθίκοιτό τις, ὡς τὴν ἀπόῤῥητον, καὶ ὑπερφυᾷ, καὶ
τοῦ δυνάσθαί τι παθεῖν ἐπέκεινα φύσιν, ἀσθενείαις
ταῖς καθ' ἡμᾶς ἐνισχῆσθαι λέγειν. ἐπειδὴ δὲ ἦν
τὸ παθεῖν τῷ κόσμῳ σωτήριον, καὶ πάλιν ἀμήχα-
νον τὸ παθεῖν εἰς ἰδίαν φύσιν τὸν ἐκ Θεοῦ φῦντα λό-
γον, μέτεισιν ἐντέχνως τῆς οἰκονομίας τὸ χρῆμα.
ἴδιον ἐποιήσατο σῶμα τὸ παθεῖν δυνάμενον, ἵνα
τῷ παθεῖν πεφυκότι λέγοιτο παθεῖν, καί τοι με-
μενηκὼς ἀπαθὴς κατ' ἰδίαν φύσιν αὐτός. ἐπειδὴ δὲ
σαρκὶ πέπονθεν ἑκὼν, ταύτη τοι τῶν ὅλων σωτήρ
Ἑβρ. 2. 9. ἐστί τε, καὶ ὀνομάζεται. ὡς γὰρ ὁ Παῦλος φησί.
χάριτι Θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου· μαρτυ-
ρήσει δὲ καὶ ὁ θεσπέσιος Πέτρος, σοφώτατα λέ-
Ἑβρ. 4. γων· Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν, οὐ φύσει
θεότητος μᾶλλον, ἀλλὰ σαρκός. ἐπεὶ τίνα τρό-
πον ὁ τῆς δόξης κύριος ἐσταυρῶσθαι λέγεται; πῶς
Ἑβρ. 2. 8. δὲ ὁ, δι' οὗ τὰ πάντα συνέστηκε, καθάφησιν ὁ μα-
κάριος Παῦλος, δέδοται παρὰ τοῦ Θεοῦ, καὶ
Ἑβρ. 1. 10. Ἰωάν. 1. 18. πατρὸς κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, γέ-
γονε δὲ πρωτότοκος ἐκ νεκρῶν; οἰκειωσάμενος δη-
λονότι τὰ τῇ ἰδίᾳ σαρκὶ συμβαίνοντα πάθη. κύ-
ριος δὲ τῆς δόξης οὐκ ἂν γένοιτο κοινὸς, καὶ καθ'
ἡμᾶς ἄνθρωπος. ἀλλ' ἐρεῖς ἐκεῖνό που τάχα, ὡς ἀ-
πόχρη λίαν ἡ ἕνωσις εἰς τὸ ἀποφῆναι Χριστὸν ἕνα,
καὶ κύριον, τὸν ἐσταυρωμένον· οὐκοῦν λεγέσθω πάντα
αὐτοῦ. καὶ ὁμολογείσθω σωτὴρ ὁ τοῦ Θεοῦ λόγος,
μεμενηκὼς μὲν ἀπαθὴς τῇ τῆς θεότητος φύσει,
Ἑβρ. 4. σαρκὶ δὲ παθὼν, ὡς εἶπεν ὁ Πέτρος. αὐτοῦ γὰρ
ἦν ἴδιον καθ' ἕνωσιν ἀληθῆ τὸ τοῦ θανάτου γευσά-
μενον σῶμα. ἐπεὶ τίνα τρόπον ἐξ Ἰουδαίων κατὰ
Ἑβρ. 9. 5. σάρκα Χριστὸς, καὶ Θεὸς ἐπὶ πάντων ἐστὶ, καὶ εὐλο-
γητὸς εἰς αἰῶνας, ἀμὴν; εἰς τὸν τίνος θάνατον βε-
βαπτίσμεθα; τὴν τίνος ἀνάστασιν ὁμολογοῦντες δι-
καιούμεθα; καί τοι κατὰ φύσιν ἰδίαν θανάτου κρίτ-
τον ἐστὶν ὁ τοῦ Θεοῦ λόγος· μᾶλλον δὲ αὐτόχρημα
ζωή. ἆρ' οὖν εἰς θάνατον ἀνθρώπου κοινοῦ βεβαπτίσ-
μεθα; καὶ εἰς αὐτὸν πιστεύοντες δικαιούμεθα; ἢ, ὅ-
περ ἐστὶν ἀληθὲς, ἐνανθρωπήσαντος Θεοῦ, καὶ πα-
θόντος ὑπὲρ ἡμῶν σαρκὶ, τὸν θάνατον καταγγέλ-
λομεν, καὶ ὁμολογοῦντες τὴν ἀνάστασιν, τὸ τῆς ἁ-
μαρτίας ἄχθος ἀποπεμπόμεθα; ἠγοράσθημεν γὰρ
τιμῆς, οὐ φθαρτοῖς, ἀργυρίῳ, ἢ χρυσίῳ, ἀλ-
λὰ τῷ τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου, καὶ ἀσπίλου,
Χριστοῦ. καὶ πλεῖστα μὲν ἕτερα πρὸς τούτοις ἦν εἰ-
πεῖν· χαλεπὸν δὲ οὐδὲν ἦν καὶ τὰς τῶν ἁγίων πατέ-
ρων παραθεῖναι χρήσεις. ἀλλ' ἀρκέσειν οἶμαι καὶ
ταῦτα τοῖς εὐμαθεστέροις. γέγραπται γάρ. δίδου
σοφῷ ἀφορφὴν, καὶ σοφώτερος ἔσται. γνώριζε δι- Παροι. 9. 9.
καίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι.

Κυρίλλου Ἀλεξανδρείας, περὶ τῆς θείας ἐνσαρκώσεως.

Ὅσον μὲν γὰρ ἧκεν εἰς τὸ εἶναι Θεὸς κατὰ
φύσιν, οὐκ ἦν μεθ' ἡμῶν· ἀσύγκριτον γὰρ τὸ με-
ταξὺ θεότητος, καὶ ἀνθρωπότητος. καὶ πολλή τις
ἄγαν τῶν φύσεών ἐστιν ἡ διαφορά.

Τίνος χάριν ὁ λόγος ἐκλήθη ἄνθρωπος.

ἈΝΘΡΩΠΟΣ ὠνόμασται, καί τοι κατὰ
φύσιν ὑπάρχων Θεὸς, ὁ ἐκ Θεοῦ πατρὸς λό- Ἑβρ. 2.
γος, ὡς μετεσχηκὼς αἵματος, καὶ σαρκὸς παραπλη-
σίως ἡμῖν. ὤφθη γὰρ οὕτω τοῖς ἐπὶ γῆς, καὶ οὐ
μεθεὶς ὅπερ ἦν, ἀλλ' ἐν προσλήψει γεγονὼς
τῆς καθ' ἡμᾶς ἀνθρωπότητος, τελείως ἐχούσης
κατὰ τὸν ἴδιον λόγον.

Τίνα, φησὶ, λέγομεν εἶναι τὴν ἕνωσιν.

ΤΟ τῆς ἑνώσεως χρῆμα κατὰ πολλοὺς ἐπιτε-
λεῖται τρόπους, διῃρημένοι γάρ τινες κατὰ
διάθεσιν, καὶ γνώμην, καὶ διχονοοῦντες πρὸς ἀλ-
λήλους, ἑνοῦσθαι λέγονται κατὰ σύμβασιν φιλι-
κὴν, ἐκ μέσου ποιοῦντες τὰς διαφοράς. ἑνοῦσθαι
δέ φαμεν καὶ τὰ ἀλλήλοις κολλώμενα, ἤγουν συ-
νηνεγμένα καθ' ἑτέρους τρόπους, ἢ κατὰ παράθε-
σιν, ἢ μίξιν, ἢ κρᾶσιν. ὅταν οὖν ἑνοῦσθαι λέ-
γομεν τῇ καθ' ἡμᾶς φύσει τὸν τοῦ Θεοῦ λόγον,
κρείττων ὁρᾶται τῆς ἀνθρώπου διανοίας ὁ τῆς ἑ-
νώσεως τρόπος· οὐ γάρ τοι καθ' ἕνα τῶν εἰρημένων
ἐστὶν, ἀπόῤῥητος δὲ παντελῶς, καὶ οὐδενὶ τάχα τῶν
ὄντων διεγνωσμένος. πλὴν ὅτι μόνῳ τῷ πάντα εἰ-
δότι Θεῷ. καὶ θαυμαστὸν οὐδὲν, εἰ τῶν τοιούτων ἐν-
νοιῶν ἡττώμεθα. ὅτε τὰ καθ' ἡμᾶς αὐτοὺς ὅπως ἂν
ἔχοι διερευνώμενοι, τῆς ἑνούσης ἡμῖν διανοίας ἐπέ-
κεινα τὴν κατάληψιν ὁμολογοῦμεν ὑπάρχειν. τίνα
γὰρ τρόπον ἡνῶσθαι νοοῦμεν τὴν τοῦ ἀνθρώπου ψυ-
χὴν τῷ ἰδίῳ σώματι; τίς ὁ φράσαι δυνάμενος;
εἰ δὲ χρὴ, μικρὰ καὶ μόλις ἐννοεῖν εἰωθότας, καὶ
λαλεῖν ἰσχύοντας, τῶν οὕτως ἰσχνῶν, καὶ ὑπὲρ νοῦν
καὶ λόγον πραγμάτων κατατεκμήρασθαι, φαμὲν, ὅ-
τι πρέποι ἂν ἐννοεῖν· μείων δὲ πάντως τῆς ἀλη-
θείας ὁ λόγος· τοιαύτην εἶναι τὴν ἕνωσιν τοῦ
Ἐμμανουὴλ, ὁποίαν περ ἂν λογίσαιτό τις καὶ τὴν
τοῦ ἀνθρώπου ψυχὴν πρὸς τὸ ἴδιον σῶμα. οἰκειοῦ-
ται γὰρ ἡ ψυχὴ τὰ τοῦ σώματος, καί τοι κατὰ
φύσιν ἰδίαν ἀμέτοχος οὖσα τῶν αὐτοῦ παθῶν φυ-
σικῶν τε ἅμα, καὶ τῶν ἔξωθεν ἐπαγομένων. κι-
νεῖται μὲν γὰρ εἰς ὀρέξεις τὸ σῶμα φυσικὰς, καὶ
συναισθάνεται διὰ τὴν ἕνωσιν ἡ ἑνοῦσα ψυχή·
συμμετίσχει δὲ κατ' οὐδένα τρόπον, οἴεταί γε μὴν
ἰδίαν ἀπόλαυσιν εἶναι τὸ τῆς ὀρέξεως ἀποτέλεσ-
μα. κἂν εἰ καταπαίοιτο τυχὸν τὸ σῶμα, καὶ σι-
δήρῳ καταξαίνοιτο, συναλγεῖ μὲν, ὡς ἰδίου πά-

χοντος σώματος, αὐτή γε μὴ εἰς ἰδίαν φύσιν ἐξ ἄν τι πάθοι τῆς ἐπουσιωμένης. πλὴν ὑπὲρ τοῦτο φαμὲν ἐπὶ τῷ Ἐμμανουὴλ τὴν σάρκωσιν. οὐ μὲν γὰρ ἀναγκαῖον, τῷ ἰδίῳ σώματι σωσαλγεῖν τὴν σωθεῖσαν ψυχήν· ἵνα φύγωσα τὰς αἰτίας δίκαιον ὑποφέροι τῷ Θεῷ τὸν αὐχένα. ἐπὶ δέ γε τοῦ Θεοῦ λόγου τὸ σωσαισθάνεσθαι τῆς αἰτιῶν ἄτοπον εἰπεῖν· ἀπαθὲς γὰρ τὸ θεῖον, καὶ ἐκ σέ γε τοῖς καθ' ἡμᾶς· ἀλλ' ἥνωτο μὲν σαρκὶ ψυχὴν ἐχούσῃ τὴν λογικήν. παχέσης δὲ αὐτῆς, ἀπαθῶς ἴσως ἂν εἰδήσει τῆς εἰς αὐτὴν γινομένων· καὶ ἠφάνιζε μὲν ὡς Θεὸς τὰς τῆς σαρκὸς ἀσθενείας, οἰκειοῦτο γε μὴν αὐτὰς ὡς ἰδίου σώματος· ὅπου καὶ πεινῆσαι λέγεται, καὶ καμεῖν, καὶ παθεῖν ὑπὲρ ἡμῶν. ἐκὸν παρεισάγοιτο ἂν ἡ σάρωσις τοῦ λόγου πρὸς τὸ ἀνθρώπινον ἐκ ἀπὸ σκοποῦ τοῖς καθ' ἡμᾶς· ὥσπερ γὰρ ἑτεροφυὲς μὲν τὸ σῶμα πρὸς τὴν ψυχήν, εἷς γε μὴν ἐξ ἀμφοῖν ἄνθρωπος ἀποτελεῖται, καὶ λέγεται, ὅπου καὶ ἐκ πλείας ὑποστάσεως τοῦ Θεοῦ λόγου, καὶ μὴν καὶ ἐξ ἀνθρωποτήτος πελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον, ἐξ ὁ Χριστός, ὁ αὐτὸς ὑπάρχων ἐν ταυτῷ Θεός τε ὁμοῦ, καὶ ἄνθρωπος. καὶ οἰκειοῦται μὲν ὁ λόγος, ὡς ἔφην, τὰ τῆς ἰδίας σαρκός, ὅτι καὶ αὐτοῦ τὸ σῶμα καὶ ἐκ ἑτέρου, καινοποιεῖται δὲ ὥσπερ τῇ ἰδίᾳ σαρκὶ τῆς ἐνούσης αὐτῷ θεοπρεποῦς δυνάμεως τὴν ἐνέργειαν· ὥστε διδάσθαι καὶ ζωοποιεῖν τοὺς νεκρούς, καὶ ἰᾶσθαι τοὺς ἐν ἀῤῥωστίαις. εἰ δὲ χρὴ καὶ τοῖς ἐκ τῆς θεοπνεύστου γραφῆς παραδείγμασι κεχρημένους, καθάπερ ἐν τύποις τὸν τῆς σωτηρίας καταδεῖξαι τρόπον, φέρε λέγωμεν.

Περὶ ἀνθρακος.

Ησαΐ. 6. 6. Ὁ Μακάριος Ἡσαΐας, ἀπεσάλη, φησὶ, πρός με ἓν τῶν σεραφίμ. καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου· καὶ ἦλθε πρός με, καὶ ἥψατο τῶν χειλέων μου, καὶ εἶπεν· ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου, περικαθαιρεῖ. φαμὲν δὲ τὸν ἄνθρακα τύπον ἡμῖν, καὶ εἰκόνα πληρῆ τοῦ ἐνανθρωπήσαντος λόγου· ὃς εἴπερ ἅψαιτο τῶν χειλέων ἡμῶν, τουτέστιν, ὅταν τὴν εἰς αὐτὸν ὁμολογήσωμεν πίστιν, τότε καὶ ἁπάσης ἁμαρτίας ἀποφαίνει καθαρὰς, καὶ τῶν ἀρχαίων αἰτιαμάτων ἐλευθεροῖ. πλὴν ἔστιν ἰδεῖν, ὡς ἐν εἰκόνι * τὸν ἄνθρακα, σώματι μὲν τῇ ἀνθρωπότητι τὸν τοῦ Θεοῦ λόγον, οὐ μὴν ἀποβεβληκότα τὸ εἶναι ὅ ἐστι, * μεταστοιχειώσαντι δὲ μᾶλλον τὸ ληφθὲν, ἤγουν σωθὲν, εἰς τὸν ἑαυτοῦ δόξαν τε, καὶ ἐνέργειαν. ὅπερ γὰρ ξύλον τὸ πῦρ ὁμιλῆσαν ξύλῳ, καὶ εἰσδεδυκὸς αὐτό, καταδράττεται μὲν αὐτοῦ, καὶ ἐκ ἐξίστησι μὲν τοῦ εἶναι ξύλον, μεθίστησι δὲ μᾶλλον εἰς τὴν τοῦ πυρὸς ὄψιν τε, καὶ δύναμιν, καὶ πᾶν αὐτῷ τὸ ἴδιον ἐνεργάζεται, καὶ ὡς ἂν ἤδη λελόγισαι μετ' αὐτοῦ, ὅπου νοήσῃς καὶ ἐπὶ Χριστοῦ· σωθεὶς γὰρ ἀπορῥήτως ἀνθρωπότητι Θεὸς, τετήρηκε μὲν αὐτὴν τοῦθ' ὅπερ εἶναι φαμέν· μεμένηκε δὲ καὶ αὐτὸς ὅπερ ἦν· σωθεὶς δὲ ἅπαξ, ὡς εἷς λελόγισαι μετ' αὐτῆς, οἰκειοῦμενος μὲν τὰ αὐτῆς, ἐμποιήσας δὲ καὶ αὐτὸς αὐτῇ τῆς ἰδίας φύσεως τὴν ἐνέργειαν.

Ὅτι τῆς ἀσωμάτου θεότητος σῶμα γέγονεν ἡ σὰρξ ψυχὴν ἔχουσα λογικήν· καὶ ὅτι διϊσάντες ἀπ' ἀλλήλων αὐτὰ, πάντη τε, καὶ πάντως παραλύομεν τῆς ἐν Χριστῷ νοουμένης οἰκονομίας τὸν λόγον.

Ἐν τῷ ἄσματι τῶν ἀσμάτων αὐτὸς ἡμῖν ἐσχεκόμισαι λέγων ὁ κύριος· ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων. ὥσπερ οὖν ἡ ὀσμὴ ἀσώματον μὲν * τοῖς χρήμασιν, κέχρηται δὲ ὥσπερ ἰδίῳ σώματι τῷ ἐν ᾧ ἐστι, πολὺν δὲ ἐξ ἀμφοῖν νοεῖται τὸ κρίνον· κατιφθείρει δὲ φανερῶς τὸν ἐπ' αὐτῷ λόγον ἡ σὸς ἀπόσασις, ἐν ὑποκειμένῳ γὰρ ἡ ὀσμή. καὶ ἔστι σῶμα τὸ ὑποκείμενον, ὅπου νοήσομεν καὶ ἐπὶ Χριστοῦ, θεότητος φύσιν τὴν ἰδίαν τε, καὶ ὑπερκόσμιον ὑπεροχὴν, διωδιάζειν τῷ κόσμῳ καθάπερ ἐν ὑποκειμένῳ τῇ ἀνθρωπότητι, καὶ τὸ ἀσώματον κατὰ φύσιν, καθ' ὑπόστασιν οἰκονομικὴν μονονουχὶ νοεῖσθαι καὶ σώματον διά τοι τὸ θέλειν ἐπιγινώσκεσθαι διὰ σώματος. σύμφυτον γὰρ ἐν αὐτῷ τὰ θεοπρεπῆ· ἔκοῦν νοοῖτ' ἂν εἰκότως ὡς ἐν ἰδίῳ σώματι τὸ ἀσώματον, καθάπερ ἀμέλει καὶ ἐν ὑποκειμένῳ τῷ ἄνθει τῆς ὀσμίας τὸ χρῆμα. λέγεται δὲ κρίνον τὸ σωαμφότερον.

Ὅτι καὶ πρὸς σύστασιν ἀληθινὴν συνεχθέντος τοῦ λόγου πρὸς τὸ ἀνθρώπινον, ἀσύγχυτα μεμενήκασιν τὰ ἰδιώματα.

Ἐγήγερται κατὰ βούλησιν Θεοῦ κατὰ τὴν ἔρημον ἡ ἁγία σκηνὴ, καὶ ἦν ἐν αὐτῇ πολυτρόπως μορφούμενος ὁ Ἐμμανουήλ. ἔφη τοίνυν ὁ τῶν ὅλων Θεὸς τῷ θεσπεσίῳ Μωϋσῇ· Καὶ ποιήσεις κιβωτὸν μαρτυρίου ἐκ ξύλων ἀσήπτων, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος, καὶ πήχεως καὶ ἡμίσους τὸ πλάτος· καὶ πήχεως καὶ ἡμίσους τὸ ὕψος. καὶ καταχρυσώσεις αὐτὴν χρυσίῳ καθαρῷ, ἔσωθεν καὶ ἔξωθεν χρυσώσεις αὐτήν. ἀλλὰ τὸ μὲν ἄσηπτον ξύλον εἶη ἂν εἰς τύπον τοῦ ἀφθάρτου σώματος. ἄσηπτος γὰρ ἡ κέδρος· τὸ δὲ χρυσίον, ὡς ὕλη τῶν ἄλλων ὑπερτερμένη, τῆς θείας ἡμῖν οὐσίας κατασημήνειεν ἂν τὴν ὑπεροχήν. ἄθρει δὲ, ὅπως ἡ κιβωτὸς ὅλη ἐκεχρύσωτο χρυσίῳ καθαρῷ ἔσωθεν καὶ ἔξωθεν. ἦνωτο μὲν γὰρ τῇ ἁγίᾳ σαρκὶ Θεὸς ὢν ὁ λόγος. καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ ἔξωθεν κεχρυσῶσθαι τὴν κιβωτόν. ὅτι δὲ καὶ τὴν ἐνοῦσαν τῷ σώματι ψυχὴν λογικὴν, ἰδίαν ἐποιήσατο, καταδείξειεν ἂν τὸ καὶ ἔσωθεν αὐτὴν καταχρυσοῦσθαι δεῖν ἐπιτάξαι. ὅτι δὲ ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν ὑποστάσεις, ἐντεῦθεν εἰσόμεθα. τὸ γάρ τοι χρυσίον ἐναλληλειμμένον τῷ ξύλῳ μεμένηκεν ὅπερ ἦν· καὶ κατεπλάτει μὲν τὸ ξύλον τοῦ χρυσίου τὴν δόξαν. πλὴν ἐκ ἀπέστη τοῦ εἶναι ξύλον. ὅτι δὲ ἡ κιβωτὸς εἰς τύπον παραλαμβάνεται τοῦ Χριστοῦ, δῆλα πολλῶν ἄν τις πεισώσεται λόγων. προεβάδιζε γὰρ τῆς ἐξ Ἰσραὴλ, ζητοῦσα αὐτοῖς ἀνάπαυσιν· ἔφη δέ που καὶ ὁ Χριστός· πορεύσομαι, καὶ ἑτοιμάσω τόπον ὑμῖν.

Ἐξοδ. 25. Ἐβρ. 9. 4. Ἀριθ. 10. 33. Γεν. 14.

Ὅτι

Ὅτι εἷς ἐστὶν ὁ Θεὸς πρὸ τῆς ἐνανθρωπήσεως, καὶ ἐν ἀνθρωπότητι.

Εἷς οὖν ἄρα ἐστὶν ὁ καὶ πρὸ τῆς ἐνανθρωπήσεως Θεὸς ἀληθὴς, καὶ ἐν ἀνθρωπότητι μεμενηκὼς ὅπερ ἦν τε, καὶ ἔστι, καὶ ἔσται. οὐ διαιρετέον ἄρα τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν εἰς ἄνθρωπον ἰδικῶς· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Ἰησοῦν Χριστὸν εἶναί φαμεν, τὴν τῶν φύσεων εἰδότες διαφορὰν, καὶ ἀσυγχύτους ἀλλήλαις τηροῦντες αὐτάς.

Πῶς νοεῖται τὸ, καὶ ὁ λόγος σάρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.

Νοεῖται γὰρ πάντως ὡς ἕτερον ἐν ἑτέρῳ, τὸ κατοικοῦν, τουτέστιν ἡ θεία φύσις ἐν ἀνθρωπότητι, καὶ οὐ παθοῦσα φυρμὸν, ἢ ἀνάχυσίν τινα, καὶ μετάστασιν τὴν εἰς ὅπερ οὐκ ἦν. τὸ γὰρ ἐνοικεῖν ἑτέρῳ λεγόμενον, οὐκ αὐτὸ γέγονεν ὅπερ ἐστὶ τοῦτο ἐν ᾧ κατοικεῖ, νοεῖται δὲ μᾶλλον ἕτερον ἐν ἑτέρῳ. ἐν δέ γε τῇ φύσει τοῦ λόγου καὶ τῆς ἀνθρωπότητος, μόνην ἡμῖν σημαίνει διαφορὰν καὶ φύσεων τὸ διάφορον. εἷς γὰρ ἐξ ἀμφοῖν νοεῖται Χριστός. οὐκοῦν τὸ ἀσύγχυτον εὖ μάλα τετηρηκώς φησιν ἐν ἡμῖν ἐσκηνωκέναι τὸν λόγον. ἕνα γὰρ υἱὸν οἶδε μονογενῆ τὸν σάρκα γενόμενον, καὶ ἐνανθρωπήσαντα.

Περὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ.

Αὐτὸς ἐγείρων τοὺς νεκροὺς, ἐκ νεκρῶν ἐγήγερται· καὶ * ζῶν κατὰ φύσιν τυγχάνων, ζωοποιεῖσθαι λέγεται. καὶ πῶς τοῦτο; κατ' ἄλλο καὶ ἄλλο. ὁ γὰρ αὐτὸς ἐγήγερται μὲν ἐκ νεκρῶν, ζωοποιεῖσθαί τε λέγεται κατὰ σάρκα, ζωοποιεῖ δὲ καὶ ἀνίστησιν τοὺς νεκροὺς ὡς Θεός. πάσχει καὶ οὐ πάσχει, κατ' ἄλλο καὶ ἄλλο· πάσχει μὲν γὰρ ἀνθρωπίνως σαρκὶ, καθὸ ἄνθρωπος· ἀπαθὴς δέ ἐστι θεϊκῶς, ὡς θεός.

* ζῶν Lat.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΚΥΡΙΛΛΟΥ Ἀρχιεπισκόπου Ἀλεξανδρείας, περὶ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ λόγου τοῦ υἱοῦ τοῦ πατρός.

Ἡ Τῆς θείας γραφῆς ὀρθοτάτη ἔννοια, εἰσοικιζομένη εἰς τὸν τῶν ἁγίων νοῦν, κατακοσμεῖν εἴωθε τὰς τῶν ἁγίων ψυχὰς. ἃς τὸ πνεῦμα τὸ ἅγιον εἰσάγει εἰς τὰ πελάγη τῆς ἀεννάου γνώσεώς τε, καὶ σοφίας Χριστοῦ, δι' ὧν ὁ πατὴρ τῶν ὅλων Θεὸς δοξολογεῖται. θησαυροὺς τοίνυν ἀποκρύφους, καὶ ἀοράτους ἀνοίξω σοι κατὰ τὸ γεγραμμένον. θησαυροὺς δέ φημι τοὺς τῆς ὀρθῆς γνώσεως διανοίας ὀφθαλμοὺς, ὑγιῶς ὁρῶντας, καὶ ἀλωβήτως. οὐ γὰρ χαρίσματα ἀτελῆ δωρῆται Θεὸς τοῖς ἐπεγνωκόσιν αὐτὸν. οὔτε μὴν ὅροις ἀνθρωπίνης διανοίας περιγραφόμενα· τέλειος γὰρ ὢν ὁ τῶν ἁπάντων ἡμῶν δεσπότης Θεὸς, τελείως δωρεῖται τὰ ἄφθονα τοῖς ἀξίως πολιτευομένοις αὐτοῦ· ἐραστὴς γὰρ πέφυκε τῶν ἐν καθαρᾷ καρδίᾳ δουλευόντων αὐτῷ ἀνυποκρίτως. ἡκέτω τοίνυν πᾶς ὀρθὰ φρονεῖν ἠρημένος· ἐπὶ τὴν ἀένναον πηγὴν τὸν Χριστὸν, ἀκούων αὐτοῦ προσφωνοῦντος διὰ τοῦ εὐαγγελίου· ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. οὐ γὰρ δέον ἐστὶν ἡμᾶς μὴ πρότερον ἐπιγνόντας τὸ τῆς εὐσεβείας μυστήριον διερευνᾷν, ἢ ἐκλαμβάνειν ἁπλῶς περὶ Χριστοῦ τοῦ Θεοῦ. ὑποκλέπτειν τοίνυν οἴονταί τινες τῶν ἀκροωμένων τὰς ψυχὰς, ἄνθρωπον, φησὶ, λέγοντες ἀνειληφέναι τὸν Θεὸν λόγον· καὶ διὰ τοῦτο πρόοδον πεποιῆσθαι διὰ τῆς ἁγίας παρθένου, καὶ τοῦτον αὐτὸν τὸν ἄνθρωπον ἀποτεθεῶσθαι τῷ Θεῷ λόγῳ· οὐ συνιέντες τὸ τῆς εὐσεβείας μυστήριον, καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς τὴν χάριν μετρίαν ποιούμενοι. ἡμεῖς δὲ οὐχ οὕτω δεδιδάγμεθα· ἕνα καὶ τὸν αὐτὸν ἴσμεν, ἀδελφοὶ, τὸν διὰ τῆς ἁγίας παρθένου τῆς θεοτόκου Μαρίας γεννηθέντα, Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον, ἔμψυχον, λογικόν. ταύτῃ τοι καὶ θεοτόκον λέγομεν τὴν ἁγίαν παρθένον, καὶ ἐνῳκηκέναι οὐσιωδῶς τὸν Θεὸν λόγον ἐν αὐτῇ, οὐ δοκήσει, ἀλλὰ ἐνεργείᾳ· τὸν αὐτὸν διμυναῖον, καὶ τριμηναῖον, υἱόν τε Θεοῦ ἅμα, καὶ υἱὸν ἀνθρώπου. ἀλλὰ γὰρ καὶ τὰς τῆς ἀνθρωπότητος, καὶ μὴν καὶ τὰς ἐν ἐξουσίᾳ τῇ θεοπρεπεῖ φωνὰς, ἃς διαγορεύουσιν ἡμῖν αἱ θεῖαι γραφαὶ περὶ αὐτοῦ, εἰς ἓν πρόσωπον συνῆχθαι φαμέν. τὸν αὐτὸν γὰρ ἴσμεν ἐπὶ τὸ προσκεφάλαιον * καθεύδοντα, τὸν αὐτὸν τῇ θαλάσσῃ ἐπιτιμῶντα ἐν ἐξουσίᾳ καὶ τοῖς ἀνέμοις· τὸν αὐτὸν καὶ ἐπὶ τῆς ὁδοιπορίας κεκμηκότα, τὸν αὐτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα ὡς ἐπὶ στερεᾶς γῆς ἰδίᾳ ἐξουσίᾳ. ὁ αὐτὸς τοίνυν Θεὸς, ὁ αὐτὸς ἄνθρωπος ὁμολογουμένως. τί γὰρ τὸ θαῦμα, εἰ ἄνθρωπός τις τῶν καθ' ἡμᾶς * ἐν ἐξουσίᾳ δυνάμεις Θεοῦ ἐνεργεῖν λέγεται; ἀλλ' ἵνα τὸν αὐτὸν Θεὸν λόγον κεκενῶσθαι ὑποδείξωσιν ἡμῖν αἱ θεῖαι γραφαὶ, οὐ δοκήσει, ἀλλὰ ἐνεργείᾳ, ἕνα, καὶ τὸν αὐτὸν ἡμῖν διαγορεύουσι προφητικοῖς, καὶ μὴν καὶ ἀποστολικοῖς κηρύγμασι, τὸν αὐτὸν εἶπον Θεὸν, τὸν αὐτὸν ἄνθρωπον. Θεοῦ τοίνυν ἦν ἡ σύλληψις ἡ παρθενική· Θεοῦ ἡ γέννησις· Θεοῦ ἡ κατὰ πάντα πρὸς ἡμᾶς, καὶ δι' ἡμᾶς ὁμοίωσις οἰκονομικῶς· Θεοῦ τὸ πάθος· Θεοῦ τοῖς ἐν φυλακῇ, καὶ ἐν τῷ σκότει ἡ κήρυξις· Θεοῦ ἀνάστασις· Θεοῦ ἡ ἀνάληψις· ὁ ἀχώρητος ἑαυτὸν δέδωκε κεχωρῆσθαι δι' ἡμᾶς ἐν τῇ τῆς παρθένου μήτρᾳ μετὰ τῆς ἰδίας σαρκὸς, ἦν προσελάβετο ἐξ αὐτῆς. ὁ ἀχώρητος ἐν σαρκὶ ἐχωρεῖτο· ὁ ἀναλλοίωτος, ἐν ἀνθρώπου μορφῇ· ὁ ἀπαθὴς πέπονθε δι' ἡμᾶς ἑκουσίως καὶ ὑπὲρ ἡμῶν τῇ ἰδίᾳ σαρκί. ὁ ἀχώριστος τοῦ Θεοῦ, καὶ πατρὸς, ἐπὶ γῆς ὤφθη, κατὰ τὸ γεγραμμένον· καὶ ἐν τοῖς ἀνθρώποις συνανεστράφη. ὁ ἀψηλάφητος λόγχη ὑπὸ τῶν παρανόμων κατενύττετο. ὁ ἀπαθὴς σταυρὸν ἐθελούσιον ὑπέμεινε δι' ἡμᾶς. τὸ φῶς τὸ ἀθάνατον θανάτῳ ἑαυτὸν ἐκδέδωκε, θανάτῳ δὲ σταυροῦ. ὁ ὢν ἐν τῷ κόλπῳ τοῦ πατρὸς, ἀνάληψιν ὑπέμεινε διὰ τῆς ἰδίας σαρκός. τοὺς δὲ λέγοντας, ἄνθρωπόν τινα τῶν καθ' ἡμᾶς ἀνειληφέναι τὸν Θεὸν λόγον, καὶ μὴ μᾶλλον αὐτὸν τὸν υἱὸν τὸν ἐνυπόστατόν τε, καὶ ἐνεργῆ, καὶ ζῶντα γενέσθαι ἄνθρωπον, καὶ ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς δι' ἡμᾶς, ἐξορίζει ἡ ἁγία σύνοδος, ἡ ἐν τῇ Ἐφεσίων πόλει γεγενημένη.

Γαλ. 7. 37.

* Ἰσ. καθήμενον, Μάρκ. 4. 38. Ἰωάν. 4. 6. Ματθ. 14. 25.

* Ἰσ. ἐν ἐξουσίᾳ Θεοῦ δυνάμεις ἐνεργεῖν

Βαρὰχ 3. 38. Ἰωάν. 19. 34.

Συ-

Συζήτησις περὶ τοῦ αὐτοῦ.

Ἐρώτησις. Πῶς ὁ Θεὸς ὁ ἀχώρητος ἐχωρήθη ἐν μήτρᾳ παρθενικῇ; Ἀπόκρισις. Ἐπειδὴ ἐδόκησε λυτρώσασθαι, καὶ ἐλευθερῶσαι τὸ τῆς ἀνθρώπου φύσεως γένος.

Ἐρώτησις. Πῶς ὁ ἄναρχος γένησιν ὑπέμεινε τὴν διὰ γυναικός; Ἀπόκρισις. Ἐπειδὴ ὑπὸ κατάραν ἐγεγόνει λοιπὸν πᾶς ἄνθρωπος. βεβασίλευτο γὰρ ὑπὸ τῆς ἁμαρτίας, διὰ τοῦτο εἰς ἀρχὰς τοῦ εἶναι λελόγισται πρὸς ἡμῶν αὐτῶν, ἵνα καὶ τὴν τῶν ὁμογενῶν γένησιν, καὶ μήτραν ἁγιάσῃ.

Ἐρώτησις. Πῶς ἐν ἀνθρώποις κατελογίσθη, καὶ ἄνθρωπος γέγονεν ἄτρεπτός τε, καὶ ἀναλλοίωτος ὁ τοῦ Θεοῦ λόγος; Ἀπόκρισις. Τὸ ἀνθρώπου γένος σῶσαι βουλόμενος, ἐδόκησε δι' ἡμᾶς ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς, καὶ ὡμοιῶσθαι ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας.

* γενέσθαι

Ἐρώτησις. Πῶς τῷ ἀπαθεῖ ὕπνον, καὶ κόπον, καὶ πεῖναν, καὶ σταυρὸν, καὶ πάντα τὰ ὑποκείμενα φθορᾷ, περιάπτειν τολμᾶτε; Ἀπόκρισις. Εὐφήμει, ὦ ἄνθρωπε, παρακαλῶ. ἤδη προεῖπον, σαρκὶ παθητῇ, καθὼς καὶ αἱ θεῖαι γραφαὶ ἡμῖν * παραδεδώκασι, περιῆφθαι τὸν τοῦ θεοῦ λόγον, καὶ ἡνῶσθαι αὐτὸν αὐτῇ, καὶ δι' αὐτῆς πεφηνότα τὸν υἱὸν τοῦ Θεοῦ τὸν Θεὸν λόγον, μετ' αὐτῆς ὕπνον ὑπομεῖναι, καὶ κόπον, καὶ πάντα τὰ τοῦ ἀνθρώπου χωρὶς ἁμαρτίας, οὐ τῇ φθορᾷ ὑποκείμενος· ἀμείνων γὰρ φθορᾶς, καὶ θανάτου ὁ ἄφθαρτος, καὶ ζωοποιὸς τοῦ Θεοῦ λόγος. ἀλλὰ τὴν φθορὰν ἀποσοβῶν ἀπὸ τοῦ γένους τῶν ἀνθρώπων. οὐκ οἶμαι ἔγκλημα περιάπτεσθαι βασιλεῖ, ὁπόταν βουλόμενος σῶσαι τὸ ἴδιον, τὸ τοῦ δούλου σχῆμα ἐνδύσηται. καὶ πῶς τολμήσει τις τῷ τῇ φύσει ἐλευθέρῳ ἐγκαλεῖν, ὅτι γέγονε δι' ἡμᾶς ἄνθρωπος, καὶ ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς; ἀποδέχου τοῦ πατρὸς τὴν φιλανθρωπίαν, ὅτι τὸν ἴδιον υἱὸν δωρεῖται δι' ἡμᾶς· μὴ περιεργάζου τὸ πρᾶγμα, παρακαλῶ· οὐ γὰρ ἐξ Ἑλληνικῆς σοφίας τὸ γνώρισμα, οὐ δὲ ἀπὸ φρονήματος κοσμικοῦ· ἀλλότριον γὰρ ἑκατέρων. μακάριος εἶ, φησὶν ὁ κύριος τῷ Πέτρῳ, Σιμὼν Βὰρ-Ἰωνᾶ. ὅτι σὰρξ, καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. οὐράνιον τὸ δῶρον τὸ τῆς θείας ἐπιφοιτήσεως τοῦ υἱοῦ τοῦ Θεοῦ γνώρισμα.

* διδηλώκασι,

Ματθ. 16. 17.

Ἐρώτησις. πῶς ὁ τῶν πάντων ποιητὴς Θεὸς λόγος, ὁ ἀψηλάφητος, ὁ ἀόρατος, ὁ ἀναλλοίωτός τε, καὶ περιγραφὴν μὴ ἀνεχόμενος, ἐν ἀτελεῖ ξύλῳ σταυρὸν ὑπέμεινε καὶ θανάτον; Ἀπόκρισις. Θάνατόν φαμεν ὑπομεμενηκότα τὸν τοῦ θεοῦ λόγον, καὶ σταυρὸν διὰ τῆς σαρκὸς τῆς ἰδίας, ἵνα ἡμᾶς ἀπαλλάξῃ θανάτου, καὶ φθορᾶς· τὴν ἰδίαν γὰρ ψυχὴν τέθεικεν ὑπὲρ ἡμῶν, οὐκ ἀλλοτρίαν οὖσαν, ἢ ξένην τοῦ θεοῦ λόγου· ἀπόῤῥητος γὰρ ἡ ἕνωσις· αὐτὸς γὰρ εἶπεν. ἐξουσίαν ἔχω τὴν ψυχήν μου θεῖναι, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. ταύτης ἴδιον τὸ ἀδημονεῖν, τὸ λύπην * ὑπομεῖναι, τὸ ἐκδημεῖν ἀπὸ τοῦ σώματος, ὡς καὶ σαρκὸς τὸ κοπιᾷν, τὸ σταυροῦσθαι, τὸ ἀνίστασθαι, τὸ μετάρσιον ὑπομένειν θέσιν· πλὴν θεοῦ τὰ πάντα λέγεται, καὶ εἰσί· θεοῦ γὰρ καὶ ἡ ψυχὴ, θεοῦ καὶ τὸ σῶμα.

Ἰωάν. 19.

* ὑπομένειν

Ἐρώτησις. Πῶς ὁ παντοδύναμος λόγος τοῦ πατρὸς ἀναστάσει περιεπλάκη, καὶ φθορᾷ ὁ * ἄφθαρτος; Ἀπόκρισις. Φθορὰν μὲν οὐχ ὑπέμεινεν οὐδ' αὐτὴ ἡ τοῦ θεοῦ λόγου σὰρξ. νόθως γὰρ διαλαμβάνοντες, νόθως καὶ ἐπερωτᾶτε, προανεκεκράγει γὰρ ὁ προφήτης περὶ αὐτοῦ. οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. πάθος μὲν ὑπέμεινεν ἐθελούσιον ὁ τοῦ θεοῦ υἱὸς, ὁ χωρῶν ἐν ἑαυτῷ τὸν ἀχώρητον πατέρα, χωρούμενος δὲ καὶ αὐτὸς ὑπὸ τοῦ πατρὸς· χωρούμενος γὰρ ὑπὸ τοῦ πατρὸς, καὶ ὢν ἐν τῷ κόλπῳ τοῦ πατρὸς, ἐχωρεῖτο ἀῤῥήτως καὶ ἐν τῇ ἰδίᾳ σαρκί· ἀνεβίω δὲ τριήμερος, λαφυραγωγήσας τὸν ἅδην· καὶ ἐπέφανεν ἡμῖν μετὰ τῆς ἰδίας σαρκὸς ὁ τοῦ Θεοῦ υἱὸς, ἵνα καὶ ἡμᾶς ἀπαλλάξῃ θανάτου, καὶ φθορᾶς. Θεοῦ τοίνυν τὸ πάθος, Θεοῦ καὶ ἡ ἀνάστασις, θεοῦ καὶ ἡ ἀνάληψις, θεοῦ καὶ ἡ κατὰ πάντα πρὸς ἡμᾶς ὁμοίωσις χωρὶς ἁμαρτίας. οὐ δοκήσει, ἀλλὰ ἀληθείᾳ τὰ πάντα γέγονεν ἐν αὐτῷ. αὐτῷ ἡ δόξα ἅμα τῷ πατρὶ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

* ἀθάνατος

Ψαλ. 15.

Ἰωάν. 14.

Ἑβρ. 4.

Περὶ τῆς ἐνανθρωπήσεως τοῦ θεοῦ λόγου, τοῦ υἱοῦ τοῦ πατρὸς, * ὅρος ἐπισκόπων τῶν ἐν Νικαίᾳ συναχθέντων ἐν τῇ συνόδῳ· καὶ ἔκθεσις τῆς αὐτῆς συνόδου πρὸς Παῦλον Σαμοσατέα.

* ὅροι

ΟΜΟΛΟΓΟΥΜΕΝ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐκ τοῦ πατρὸς κατὰ πνεῦμα πρὸ αἰώνων γεννηθέντα, * ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐκ παρθένου κατὰ σάρκα τεχθέντα, ἓν πρόσωπον συνόθετον ἐκ θεότητος οὐρανίου, καὶ ἀνθρωπείας σαρκός· καὶ * καθὸ ἄνθρωπος, ἕν· καὶ ὅλον θεὸν, καὶ ὅλον ἄνθρωπον· ὅλον Θεὸν καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ καθὸ σῶμα θεόν· καὶ ὅλον ἄνθρωπον μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ τὴν θεότητα ἄνθρωπον. οὕτως ὅλον προσκυνητὸν καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ κατὰ τὸ σῶμα προσκυνητὸν. ὅλον προσκυνοῦντα καὶ μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ τὴν θεότητα προσκυνοῦντα. ὅλον ἄκτιστον καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ κατὰ τὸ σῶμα ἄκτιστον. ὅλον πλαστὸν καὶ μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ τὴν θεότητα πλαστόν· ὅλον ὁμοούσιον Θεῷ καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ * καθὸ σῶμα ὁμοούσιον τῷ Θεῷ· ὥσπερ οὐδὲ κατὰ τὴν θεότητα ἀνθρώποις ἐστὶν ὁμούσιος, καίτοι γε μετὰ τῆς θεότητος ὢν κατὰ σάρκα ὁμούσιος ἡμῖν. καὶ γὰρ ὅταν λέγωμεν αὐτὸν κατὰ πνεῦμα θεῷ ὁμούσιον, οὐ λέγομεν κατὰ πνεῦμα ἀνθρώποις ὁμοούσιον· καὶ πάλιν, ὅταν κηρύσσωμεν αὐτὸν κατὰ σάρκα ἀνθρώποις ὁμοούσιον, οὐκηρύσσομεν αὐτὸν κατὰ σάρκα ὁμούσιον Θεῷ. ὥσπερ γὰρ κατὰ πνεῦμα ἡμῖν οὐκ ἔστιν ὁμοούσιος, ἐπειδὴ θεῷ ἐστι κατὰ τοῦτο ὁμούσιος, οὕτως οὐδὲ κατὰ σάρκα ἐστὶ θεῷ ὁμοούσιος, ἐπειδὴ ἡμῖν ἐστι κατὰ τοῦτο ὁμοούσιος. ὥσπερ δὲ ταῦτα διήρθρωται, καὶ σεσαφήνισται, οὐκ εἰς διαίρεσιν τοῦ ἑνὸς προσώπου τοῦ ἀδιαιρέτου, ἀλλ' εἰς δήλωσιν

* ἐσχάτου

* καθὰ πρόσωπον ἕν, ἄνθρωπος. ἴσως, καθὸ Θεός, καὶ καθὸ ἄνθρωπος πρόσωπον ἕν.

* κατὰ τὸ σῶμα.

τοῦ

τοῦ ἀσυγχύτου τῶν ἰδιωμάτων τῆς σαρκὸς, καὶ τοῦ λόγου, οὕτω καὶ τὰ τῆς ἀδιαιρέτου συνθέσεως προσβεύομεν.

ΟΜΙΛΙΑ ΚΥΡΙΛΛΟΥ ΕΠΙΣΚΟΠΟΥ

Ἀλεξανδρείας ἐν Ἐφέσῳ, ὡραία πάνυ.

Οἱ τοῖς ἱεροῖς προσέχοντες γράμμασι, σεσοφισμένην ἔχουσι τὴν καρδίαν, ἔργων τε ἀγαθῶν ἐπιστήμονα, καὶ ὀρθῇ πίστει * λελαμπρυσμένην. τὸ δὲ γνώσεως τῆς ἀληθοῦς ἐρᾷν ζωὴν ἔχει τὸ τέλος. καὶ πληροφορήσει πρὸς τοῦτο ἡμᾶς αὐτὸς ὁ σωτὴρ, πρὸς τὸν ἐν οὐρανοῖς πατέρα, καὶ θεὸν, οὕτω λέγων· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν· οὐκοῦν συμπαρέζευκται τῇ περὶ τοῦ πατρὸς γνώσει καὶ ἡ περὶ τοῦ υἱοῦ. καὶ οὕτως ἐστὶ τὸ πρᾶγμα * ζωοποιόν. ὅταν δὲ χωρίζηται τοῦ ἑτέρου τὸ ἕτερον, χωλεύει πάντως ἡ γνῶσις. οὕτω καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς Ἰουδαίων δήμοις προσεφώνει, λέγων· οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου. εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ἂν ᾔδειτε. καὶ πάλιν ἐνόμιζον οἱ Ἰουδαῖοι τοὺς ἑαυτῶν πατέρας ἐν τῷ ὄρει τὸν φύσει, καὶ κατὰ ἀλήθειαν, ἑωρακέναι υἱὸν, καὶ Θεὸν, ὅτε καταβέβηκεν ἐν εἴδῃ πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ· ᾤοντο γὰρ κατὰ ἀλήθειαν ἀκηκοέναι τῆς φωνῆς αὐτοῦ. ταύτης ἕνεκα τῆς αἰτίας τεθαυμάκασι μὲν τὸν ἱεροφάντην Μωϋσέα, κατασμικρύνοντες δὲ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διὰ τὸ ἀνθρώπινον, ἀνοσίως ἔφασκον· ἡμεῖς οἴδαμεν, ὅτι Μωσεῖ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν, πόθεν ἐστί. τί οὖν πρὸς ταῦτα ὁ Χριστός; ἀμὴν ἀμὴν λέγω ἡμῖν, οὔτε εἶδος αὐτοῦ πώποτε ἑωράκατε, οὔτε τὴν φωνὴν αὐτοῦ ἠκούσατε· καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν· ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. ἀληθεύει δὲ πάντως ἡ ἀλήθεια. οὐ γὰρ ἦν ἐν τῷ ὄρει Σινᾶ φύσις Θεοῦ ἡ ὁρωμένη, πῦρ δὲ μᾶλλον. ἐγίνοντο δὲ καὶ φωναὶ τῆς σάλπιγγος· καπνοὶ ἦσαν ἐξαπτόμενοι, καὶ τῆς ἀληθείας οἱ τύποι προαναφαίνοντες τὴν ἀλήθειαν. * κατέβη μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ. καὶ διὰ ποίαν αἰτίαν ἐν εἴδει πυρός; ἐπειδὴ γὰρ ἔμελλεν ὁρίζειν αὐτοῖς τὸν νόμον, ἐν εἴδει πυρὸς τότε δὴ μάλιστα χρησίμως ἐφαίνετο καταβεβηκώς· ἵνα γνῶσιν οἱ παραβαίνοντες, ὅτι πρὸς πῦρ ἔχουσιν. οὕτω καὶ ὁ μακάριος Μωϋσῆς σωφρονεστέρους ἀποτελῶν τῷ φόβῳ τοὺς ἁμαρτάνοντας, προσεφώνει πλειστάκις. ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν. ἐγίνοντο δὲ καπνοὶ, καὶ σκότος. τοῦ μὲν σκότους τὸ ἀκατάληπτον τῆς περὶ Θεοῦ γνώσεως ἀστείως ἡμῖν ὑπεμφαίνοντος, τοῦ δὲ καπνοῦ διδάσκοντος αἰνιγματωδῶς, ὅτι τοῖς καταφρονεῖν ἐθέλουσι τῶν θείων νόμων, πάντῃ τε, καὶ πάντως ἀκολουθήσει τὸ δάκρυον. δακρύειν γὰρ ἀνάγκη τὸν τοῦ σώματος ὀφθαλμὸν ἐν καπνῷ. οὐκοῦν Ἰουδαῖοι μὲν οὐ τεθέανται τὸ εἶδος τοῦ πατρὸς, ἡμεῖς δὲ αὐτὸ * ἐθεασάμεθα ἐν Χριστῷ· ἔστι γὰρ αὐτὸς τὸ ἀκραιφνέστατον κάλλος τοῦ γεγεννηκότος, ὁ χαρακτὴρ, καὶ τὸ ἀπαύγασμα. εἰ γὰρ καὶ ἐπελάβετο σαρκὸς δι' ἡμᾶς καὶ αἵματος, Θεὸς ὤν, ὁ λόγος, καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου, οὐκ ἄψυχον, οὐ δὲ ἄνουν σῶμα λαβὼν, καθά φησιν ὁ φρενοβλαβὴς, καὶ αἱρετικὸς Ἀπολινάριος. ἀλλὰ ἔμεινε, καὶ οὕτω Θεός. οὕτω τοῖς ἁγίοις πατρᾶσιν ἀποκάλυπτε κατὰ καιροὺς τὸ ἑαυτοῦ μυστήριον. καὶ πολλὴ μὲν λίαν ἡ τούτων ἀπόδειξις ἐν τοῖς ἁγίοις προφήταις. ἐπειδὴ δὲ χρὴ ταμιεύεσθαι κατὰ μέρος, φέρε δεικνύωμεν ἐκ τοῦ τῆς Γενέσεως βιβλίου ἄνθρωπον ὁρώμενον τὸν υἱὸν, καὶ Θεὸν ὀνομαζόμενον.

Οὐκοῦν ὁ μακάριος Ἰακὼβ τὴν Μεσοποταμίαν ἀφεὶς, ἐπὶ τὴν τοῦ πατρὸς οἰκίαν αὖθις ἠπείγετο· καὶ δὴ καὶ τὰς δύο τοῦ Λάβαν ἀναλαβὼν θυγατέρας, καὶ τὰ ἐξ αὐτῶν αὐτῷ γεγονότα παιδία, διεβίβασεν αὐτὰ τὸν Ἰακώβ, ὄνομα δὲ τοῦτο χειμάρρου· ἀλλ', ὥς φησιν ἡ θεόπνευστος γραφὴ, διαβιβασθέντων τῶν τέκνων, καὶ τῶν γυναικῶν, * ὑπελείφθη Ἰακὼβ μόνος, καὶ ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ ἕως πρωΐ. καὶ εἶδεν ὅτι οὐ δύναται πρὸς αὐτὸν, καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῷ παλαίειν αὐτὸν μετ' αὐτοῦ· καὶ εἶπε, φησὶν, ὁ ἄνθρωπος ὁ παλαίων μετ' αὐτοῦ. * ἀπόλυσόν με, ἀνέβη γὰρ ὁ ὄρθρος. ὁ δὲ εἶπεν· οὐ μή σε ἀπολύσω, ἐὰν μή με εὐλογήσῃς. καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ. καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, εἶδος Θεοῦ. εἶδον γὰρ, φησὶ, Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. ὦ σοφίας ἁγιοπρεποῦς· ἄνθρωπον ὁρᾷ τὸν παλαίοντα μετ' αὐτοῦ, καί φησιν ὁ πατριάρχης· εἶδον Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. συνῆκε γὰρ εὐθὺς τῆς ἐνανθρωπήσεως τὸ μυστήριον, ἀποκαλύπτοντος αὐτῷ τοῦ ἁγίου πνεύματος· πλὴν ἐκεῖνο ἐπιτήρει. ὅλην τὴν νύκτα ἐπάλαιε μετ' αὐτοῦ. ὡς δὲ ἐγένετο ὁ ὄρθρος, ἀπόλυσόν με, φησὶν, ἀνέβη γὰρ ὁ ὄρθρος. τί οὖν ἄρα σημαίνει τὸ αἴνιγμα; τοῖς, ὡς ἐν σκότει, καὶ νυκτὶ, διάγουσι, καὶ τὴν τῆς ἀγνωσίας ἀχλὺν εἰς νοῦν ἔχουσι, καὶ καρδίαν, παλαίει, καὶ μάχεται Χριστός. ἐχθροὺς γὰρ ἡγεῖται· ὅταν δὲ αὐτοῖς ἀνατείλῃ κατὰ τὸν νοῦν ὁ νοητὸς ἑωσφόρος, ὅταν, οἷά τις ἡμέρα τὸ τῆς ἀληθοῦς θεογνωσίας αὐτοῖς διαυγάσῃ φῶς, τότε καταλύει τὴν μάχην. παλαίει μὲν γὰρ, καὶ μάχεται τοῖς ὡς ἐν νυκτὶ, καὶ σκότῳ, τοῖς ἀφεγγῆ, καὶ ἀφώτιστον ἔχουσι τὴν καρδίαν. οὐ μάχεται δὲ τοῖς ἐν φωτὶ γεγονόσι, τοῖς τὸν νοητὸν ὄρθρον ἔχουσι κατὰ νοῦν. δέχου τοίνυν ἄνθρωπε τὸν νοητὸν ἑωσφόρον. διαυγαζέτω σοι τῆς ἀληθείας τὸ φῶς. παῦσαι μαχόμενος τῷ Χριστῷ· οὐκ οἶδεν ἡττᾶσθαι· νικᾷ δὲ ἀεὶ, καὶ πάντως. εἰ καὶ γέγονεν υἱὸς ἀνθρώπου ὁ μονογενὴς τοῦ Θεοῦ λόγος. πλὴν οὐκ ἀπέστη τοῦ εἶναι φύσει Θεὸς, ἄτρεπτός τε, καὶ ἀναλλοίωτος ὤν. ὁ αὐτὸς οὖν ἄρα καὶ ἐκ πατρὸς ὡς λόγος, καὶ ἐκ γυναικὸς ὡς ἄνθρωπος κατὰ σάρκα. εἷς γὰρ Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· καὶ εἰ πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ἑβρ. 1. Γενέσ. 31. Γενέσ. 31. * ἀπελείφθη. * ἐξαπέστελόν με. 1. Κορ. 8. 6.

ΑΚΑΚΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΜΕΛΙΤΙΝΗΣ

Ὁμιλία, λεχθεῖσα ἐν Ἐφέσῳ.

ΟΡΩΝΤΙ μοι, ἀγαπητοί, τὸ φαιδρὸν τοῦτο, καὶ πνευματικὸν τῆς ἁγίας συνόδου συνέδριον, χαίρειν τε ὁμοῦ ἐπέρχεται καὶ θαῤῥεῖν· χαίρειν μὲν, ὅτι πάντων ἐλάχιστος ὢν ἐν τῷ μεγίστῳ τούτῳ τῆς σοφίας πελάγει τὸ πενιχρὸν τοῦτο τοῦ λόγου σκάφος ἰθύνειν ἐπείγομαι· θαῤῥεῖν δὲ, ὅτι τὰ τῆς ἐπαναστάσεως ταχέως θραυσθήσεται κύματα, καὶ τῇ * γαλήνῃ τῆς τοῦ κυρίου εἰρήνης πρὸς τὸ οἰκουμενικὸν τῆς ἐκκλησίας ἐπιστρέψει * πέλαγος· εἰ γὰρ δώδεκα ὄντες τοῦ κυρίου μαθηταὶ, ὅτε αὐτοῖς τὸ σκάφος ὑπὸ τῆς βίας τῶν ἀνέμων * ἐκυμαίνετο, ὁμοῦ τῷ βοῆσαι πρὸς κύριον, τοῦ χειμῶνος ἀπηλλάττοντο. πόσῳ μᾶλλον τοῦτο νῦν * ἡμῖν ἐλπίζειν ἀναμφίβολον, ὅτε τοσοῦτοι τοῦ κυρίου μαθηταὶ ἐπιτοαυτὸ συνδραμόντες, ταῖς οἰκείαις ἐκδυσωπήσουσι φωναῖς τὸν κύριον; * ὅτι ὁ μέγας οὗτος πάρεστι καὶ σοφὸς κυβερνήτης, οὔτε βίας ἀνέμων ἐλαβούμενος, οὔτε ζάλης ταραχὰς, ἀλλὰ σὺν τέχνῃ πολλῇ τοὺς * συνερέτας ἐπὶ τὸ πηδάλιον ἄγων, καὶ τούτου συνεφάπτεσθαι πείθων, καὶ πολλῇ τῇ συμφωνίᾳ πρὸς τὸν δεσπότην βοῶν· οὐ μέλει σοι, ὅτι ἀπολλύμεθα; καὶ ταχέως τῇ παρ' αὐτοῦ φωνῇ πρὸς τὸν σάλον τῶν κυμάτων δυσωπῶν, λέγει· σιώπα· πεφίμωσο. θαῤῥεῖν οὖν, καὶ εὐχαριστεῖν ἡμῖν * ἔπεισιν ἐπὶ τοῖς παροῦσιν ἁρμοδιώτατον· ὅτι περ ἡ δόξασα κατὰ τῆς ἀληθείας γεγενῆσθαι ἀντίπνοια, τοὺς τῆς οἰκουμένης φωστῆρας ἐπιτοαυτὸ συνδραμεῖν * παρεσκεύασεν· ὧν ὁ μὲν βίος Χριστοῦ εὐωδία ἐστὶ τῷ Θεῷ, ἡ δὲ διάνοια πρὸς μίαν, καὶ τὴν αὐτὴν τῆς ἀληθείας συνῆπται ἐκφώνησιν. οὐ γὰρ ἄλλα μὲν τοὺς προσερχομένους διδάσκομεν, ἄλλα δὲ περὶ τῶν διδασκομένων πιστεύομεν· ἀλλ' ἡμῖν εἷς κύριος Ἰησοῦς Χριστός, ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, Θεὸς λόγος * ὁ αὐτός· πρὸ μὲν πάντων τῶν αἰώνων ἐκ μόνου πατρὸς, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἐν τῇ τοῦ δούλου μορφῇ· ἄνω μόνος ἐκ μόνου, κάτω μόνος ἐκ μόνης. * τὰ αὐτὰ ἀμφότερα θεϊκῶς. ἀνθρωπίνως δὲ τῇ ἡμετέρᾳ σαρκὶ, καὶ νηπιότητι τεχθῦναι· ὁ αὐτὸς ἀπαθὴς θεότητι, παθὼν δὲ ὑπὲρ ἡμῶν ἑκουσίως σαρκί· οὐκ ἀκουσίως τὴν οἰκονομίαν δεξάμενος, ἀλλ' ἑαυτὸν κενώσας ἑκουσίως λαβὼν τὴν τοῦ δούλου μορφήν. καὶ λαβὼν, διὰ τί; ἵνα σε σύμμορφον * τῆς οἰκείας δόξης ἐργάσηται· καὶ μαρτυρεῖ Παῦλος λέγων· ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον Ἰησοῦν Χριστόν· ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ * γενέσθαι καὶ αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. ὁ τοίνυν ἑκουσίως λαβὼν τὴν τοῦ δούλου μορφὴν, ὁ τὴν ἕνωσιν μὴ παραιτησάμενος, πῶς τὰ τοῦ δούλου παρῃτήσατο πάθη; εἰ δὲ παρῃτήσατο, τίνος ἕνεκεν παθητὴν οὖσαν τὴν τοῦ δούλου μορφὴν ἀνελάμβανεν; ἀλλ' * οὗτος οὐ παρῃτήσατο, ὅτι λαβὼν τὴν τοῦ δούλου μορφὴν ὑπήκοος γίνεται· ὁ ἄνω ἐξουσιαστὴς, κάτω ὑπήκοος· ὁ ἄνω υἱὸς, κάτω παιδίον. καὶ ἀναμιμνήσκω σε τῆς προφητείας. τί ἐβόα ὁ μακάριος Ἡσαΐας; παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν. τί ἐστι, καὶ ἐδόθη; οὐ μόνον ἐγεννήθη, ἀλλὰ καὶ ἐδόθη· ὁ γὰρ ὢν ἐδόθη. οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. τί ἐστιν ἡ ἀρχὴ τοῦ Θεοῦ λόγου γενομένου ἀνθρώπου; ἡ ἐκκλησία· καὶ αὐτὸς * ἐστὶν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας· πῶς οὖν ἐπὶ τοῦ ὤμου ταύτην φορεῖ; τὸ συντετριμμένον ἐπὶ τοῦ ὤμου βαστάζει· οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος. καλεῖται δὲ διὰ τὴν οἰκονομίαν. τί δέ ἐστι τὸ, σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, πατὴρ του μέλλοντος αἰῶνος; ὁ οὖν ἄνω ἐξουσιαστὴς, κάτω ὑπήκοος· ὁ ἄνω υἱὸς, κάτω παιδίον· ὁ ἄνω θαυμαστὸς σύμβουλος, κάτω ἄνθρωπος· ὁ ἄνω Θεὸς ἰσχυρὸς, κάτω ἄνθρωπος, ὁ ῥαπιζόμενός τε, καὶ ὑβριζόμενος, καὶ τῷ σταυρῷ προσηλωμένος, καὶ τὸν διὰ τούτου δεξάμενος θάνατον. πάντα γὰρ ταῦτα τῆς τοῦ δούλου ὄντα μορφῆς, οὐδαμῶς ἡ ταύτην λαβοῦσα θεότης ἐξέκλινεν, ἵνα δι' ἑκάστου τῶν εἰρημένων λύσῃ μὲν ἡμῖν τὰ πρὸς σωτηρίαν κωλύματα, ἀξίαν δὲ τῆς τοσαύτης κενώσεως τὴν εὐεργεσίαν ἡμῖν χαρίσηται. οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ· οὐ παραιτοῦμαι εἰπεῖν ἃ ἐκεῖνος ὑπέμεινεν ὑπὲρ ἐμοῦ. ἀπαθὴς γὰρ ὢν οὐ παρῃτήσατο, ἀλλὰ τῷ παθητῷ συνάψας ἑαυτὸν, οὕτω τὰ ὑπὲρ ἐμοῦ ἐδέξατο πάθη. οὐκ ἀποστερῶ τῆς τιμῆς τὴν θεοτόκον παρθένον, ἣν αὐτῇ ἡ τῆς οἰκονομίας ὑπηρεσία κεχάρισται. καὶ γὰρ καὶ ἄτοπον, ἀγαπητοὶ, σταυρὸν μὲν τὸν ἐφύβριστον βαστάσαντα τοῖς θυσιαστηρίοις Χριστοῦ συνδοξάζεσθαι, καὶ ἐπὶ τοῦ μετώπου τῆς ἐκκλησίας ἐκλάμποντα φαίνεσθαι. τὴν δὲ ἐπὶ τοσαύτῃ εὐεργεσίᾳ δεξαμένην θεότητα, τῆς θεοτόκου ἀποστερηθῆναι τιμῆς. θεοτόκος οὖν ἡ ἁγία παρθένος. Θεὸς γὰρ ὁ ἐξ αὐτῆς τεχθεὶς, οὐκ ἐκεῖθεν τοῦ εἶναι τὴν ἀρχὴν λαβὼν, ἀλλὰ ἐκεῖθεν τὴν ἀρχὴν τῆς ἐνανθρωπήσεως δεξάμενος. μὴ οὖν ἀμέριμνος ἔσο, αἱρετικὲ, ὡς εἰς ἄνθρωπον τὰς βλασφημίας ἐκτείνων. οὐκ ἄνθρωπός ἐστιν, ὁ ὑπὸ σοῦ εἰς τὴν τοῦ δούλου, καὶ τοῦ κτίσματος τάξιν καταγόμενος. * μὴ ἀνορθοῦ, Ἰουδαῖε * ὡσεὶ ἄνθρωπον ψιλὸν σταυρώσας. οὐχ ὑπὲρ ἀνθρώπου ψιλοῦ ἀλγῶν ὁ μακάριος Δαυὶδ ἐβόα κατὰ τοῦ ἔθνους λέγων· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον. μὴ καταπιπτέτω τῆς ἐκκλησίας τὸ φρόνημα, ὡς εἰς ἄνθρωπον μόνον ἐλπιζούσης. ἀλλὰ πειθέσθω τῷ μακαρίῳ Παύλῳ λέγοντι· εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, * τί μοι τὸ ὄφελος; οὐ κατὰ ἄνθρωπον, οὐδὲ ὑπὲρ ἀνθρώπου οἱ μακάριοι ἀπόστολοι ἐν πληγαῖς, καὶ φυλακαῖς, καὶ αἰκισμοῖς τὴν ἑαυτῶν ζωὴν κατηνάλωσαν. οὐ κατὰ ἄνθρωπον, ἢ ὑπὲρ ἀνθρώπου οἱ ἅγιοι μάρτυρες κατὰ πᾶσαν τὴν οἰκουμένην ἀθλήσαντες, ἐν κατατομῇ τῶν οἰκείων μελῶν, καὶ κακώσει τὴν παροῦσαν ζωὴν κατέλιπον. ἀλλὰ ὑπὲρ τοῦ κυρίου ἡμῶν, καὶ Θεοῦ, τοῦ πρὸ αἰώνων ὑπάρχοντος, καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὀφθέντος, καὶ τοῖς ἀνθρώποις συναναστραφέντος, καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθέντος, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντος, καὶ εἰς οὐρανοὺς ἀναληφθέντος, καὶ πεντακοσίοις * ἐφ' ἅπαξ ὀφθέντος,

* ἵσ. ἡ γαλήνη.
* τῇ γαλήνῃ συνέδριον.
* ἠλαύνετο, Ματθ. 14.
* ἐλπίζειν ἡμᾶς ἀναμφίβολον,
* ὅτι.
* συνεργάτας. Μαρκ. 4.38.
* ἵσ ἐπίσης.
* deest hæc vox in ms.
* συνεκάλεσεν. 2. Κορίν. 2.
* ὁ αὐτὸς πρό.
* τὰ ἀμφότερα.
* add. τῷ L. καὶ σύμμορφον. Φιλιππ. 2. Φιλιππ. 3.
* γενέσθαι αὐτὸν σύμμορφον τῆς δόξης.
* οὕτως.
Ἡσαΐ. 9. 6.
Κολασ. 1.
* τί ἐστιν;
Ἡσαΐ. 9.
Γαλ. 1. 10.
* καὶ μὴ ὡς
Ψαλ. 68. 24.
1. Κορίν. 15. 32.
* τί τὸ ὄφελος;
1. Κορίν. 11. 23.
Βαρούχ. 3. 38.
Ἡσαΐ. 53. 7.
1. Κορίν. 15. 6.
Πραξ. 1.
* ἐφάπαξ.

καὶ ἐν ὄψεσι τῶν μαθητῶν εἰς οὐρανοὺς ἀναχθέντος, καὶ τῷ αὐτῷ τρόπῳ ἐρχομένου κρῖναι ζῶντας, καὶ νεκρούς. αὕτη ἡμῶν ἡ πίστις. ἐπὶ τούτῳ τῷ θεμελίῳ ᾠκοδομήθη ἡ ἐκκλησία. καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· γένοιτο δὲ πάντων ὑμῶν εὐχαῖς φυλαχθέντας ἡμᾶς, δόξαν ἀναπέμψαι τῷ παναγίῳ Θεῷ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ματθ. 16. 18.

. . . . . .

ΘΕΟΔΟΤΟΥ ΕΠΙΣΚΟΠΟΥ

Ἀγκύρας ὁμιλία, λεχθεῖσα ἐν τῇ ἡμέρᾳ τῆς γεννήσεως τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὑπανεγνώσθη δὲ καὶ αὕτη ἐν τῇ αὐτῇ συνόδῳ.

ΛΑΜΠΡΑ, καὶ παράδοξος τῆς παρούσης ἑορτῆς ἡ ὑπόθεσις· λαμπρὰ μὲν, ὅτι κοινὴν ἀνθρώποις σωτηρίαν ἐπήγασε· παράδοξος δὲ, ὅτι τὸν τῆς φύσεως λόγον ἐνίκησε. φύσις μὲν γὰρ τὴν τεκοῦσαν οὐκ οἶδεν οὐκέτι παρθένον· ἡ δὲ χάρις καὶ τίκτουσαν ἔδειξε, καὶ παρθένον ἐφύλαξε· καὶ μητέρα ἐποίησε, καὶ παρθενίαν οὐκ ἔβλαψε. χάρις γὰρ ἦν σωφροσύνην φυλάττουσα. ὦ γῆς ἀσπόρου, καρπὸν βλαστησάσης σωτήριον· ὦ παρθένος, αὐτὸν νικήσασα τῆς Εδὲμ τὸν παράδεισον· ἐκεῖνος μὲν γὰρ μοσχευτῶν φυτῶν γένος ἀνέτειλεν, ἐκ παρθένου γῆς ἀνατειλάντων φυτῶν, ἡ δὲ παρθένος αὕτη κρείττων ἐκείνης τῆς γῆς· οὐ γὰρ ὀπώρας ἀνέτειλε δένδρα, ἀλλὰ τὴν ῥάβδον Ἰεσσαὶ, καρπὸν σωτήριον τοῖς ἀνθρώποις παρέχουσαν. κἀκείνη ἡ γῆ παρθένος ἦν, καὶ αὕτη παρθένος. ἀλλ' ἐκεῖ μὲν φῦναι δένδρα προσέταξεν ὁ Θεός. ταύτης δὲ τῆς παρθένου αὐτὸς ὁ δημιουργὸς κατὰ σάρκα γέγονε βλάστημα. οὐδὲ ἐκείνη μόσχευμα πρὸ τῶν δένδρων ἐδέξατο, οὐ δὲ αὕτη ἐκ τοῦ τόκου τὴν παρθενίαν ἠδίκησεν. ἡ παρθένος τοῦ παραδείσου ἐνδοξοτέρα γεγένηται· ὁ μὲν γὰρ Θεοῦ γεώργιον γέγονεν, ἡ δὲ κατὰ τὴν σάρκα τὸν Θεὸν αὐτὸν ἐγεώργησεν, ἑλόμενον ἀνθρώπου συναφθῆναι τῇ φύσει. εἶδες πῶς γέγονε παράδοξον τὸ μυστήριον, παρωσάμενον τὸν τῆς φύσεως λόγον; εἶδες τὸ ὑπὲρ φύσιν πρᾶγμα, θεοῦ δυνάμει γενόμενον μόνῃ; εἶδες τὸν λόγον ὑπὲρ τὸν λόγον τικτόμενον; ὅτι γάρ ἐστιν ὁ τεχθεὶς λόγος θεοῦ, δῆλον ἐξ ὧν τὴν παρθενίαν οὐκ ἔλυσεν. ἡ τίκτουσα σάρκα ψιλὴν, τῆς παρθενίας παύεται. ἀλλ' ἐπειδὴ ἐτέχθη σαρκὶ ὁ λόγος θεοῦ, φυλάττει τὴν παρθενίαν, ἑαυτὸν λόγον δεικνύς. ὅταν δὲ λόγον ἀκούσῃς, οὐσιώδη τε, καὶ ἐνυπόστατον νόει, μὴ τοῦτον τὸν διὰ στόματος προλεγόμενον. τίκτεται οὖν ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ, ὁ καὶ λόγος καλούμενος, οὐκ ἀρχὴν τοῦ εἶναι λόγος ἐκ τοῦ τόκου λαβὼν, ἀλλὰ τοῦ γενέσθαι ἄνθρωπος ἀρχὴν τὸν τόκον ποιούμενος. ἦν μὲν γὰρ πρὸ αἰώνων Θεὸς λόγος τῷ γεννήσαντι συναΐδιος· ἐπειδὴ δὲ ἄνθρωπος γενέσθαι δι' ἀνθρώπους ἠθέλησεν, οὐ μεταβολῇ θεϊκῆς φύσεως, ἀλλὰ θαύματι, καὶ θελήσει θεοῦ, ὡς ἀρχὴν τοῦ γενέσθαι ἄνθρωπος, τὸν τόκον ἠσπάσατο. διὰ τοῦτο καὶ ὡς ἄνθρωπος τίκτεται, καὶ ὡς θεὸς λόγος παρθενίαν ἐφύλαξεν. οὐδὲ γὰρ ὁ ἡμέτερος λόγος τικτόμενος φθείρει διάνοιαν· οὐδὲ λόγος θεοῦ οὐσιώδης τε, καὶ ἐνυπόστατος, τὸν τόκον ἑλόμενος, παρθενίαν διέφθειρεν. ὑπὲρ λόγον οὖν τῆς φύσεώς ἐστι τὸ γενόμενον. καὶ μηκέτι κατάβαινε πρὸς λόγους τῆς φύσεως. θαῦμά σοι λέγω. μὴ κίνει τοὺς λογισμούς. Θεὸν τεχθέντα σοι λέγω, ἑλόμενον τόκον, οὐκ ἀρξάμενον τῆς θεότητος. ὢν Θεὸς ᾠκειώσατο τόκον. οὐχ ὁ τόκος αὐτὸν κατεσκεύασε Θεόν. ὃ οὐκ ἦν, γενέσθαι βουλόμενος, καὶ ὃ ἦν ἔμεινεν· αἱρεῖται τὸν τόκον, ὡς τὴν οἰκονομίας ἀρχήν. γέγονεν ἄνθρωπος, οὐ * μεταβληθεὶς τῆς φύσεως, οὐ κινηθέντων τῶν ὅρων θεϊκῆς οὐσίας. σὺ γὰρ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν, ἡ θεία γραφὴ φησί. καί· σὺ καθήμενος εἰς τὸν αἰῶνα. τούτῳ δηλοῦσα τῆς θεϊκῆς οὐσίας τὸ ἀμετάβλητον. καὶ πάλιν ὁ Θεὸς φησίν· ὁ αὐτός εἰμι, καὶ οὐκ ἠλλοίωμαι. οὐ κινηθείσης οὖν τῆς τοῦ Θεοῦ οὐσίας γέγονεν ἄνθρωπος, οὐδὲ μεταβληθείσης εἰς φύσιν ἑτέραν. ἦ γὰρ ἂν οὐκ ἦν θαῦμα τὸ γεγενημένον, εἰ φύσεως μεταβολῇ φύσιν ἑτέραν ἐδέξατο· πολλαὶ γὰρ ἡμῖν γίνονται πραγμάτων τοιαῦται μεταβολαί. ἀλλ' ἐν τούτῳ θαυματουργεῖ ὁ Θεὸς, ὅτι μένων ὃ ἦν, γέγονεν ὃ οὐκ ἦν. ὃ δὴ καὶ σημαίνων ὁ μέγας ἀπόστολος ἔλεγεν· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων· ὑπάρχων λέγει, οὐχ ὑπάρξας ποτὲ, ἵνα δείξῃ τῆς φύσεως τὸ μόνιμον· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἶσα Θεῷ· εἶναι λέγει ἶσα θεῷ, οὐ γενήσεσθαι ποτέ. εἶτα πάλιν βοᾷ λέγων· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. ὁρᾷς, πῶς καὶ μένει ὃ ἦν, καὶ ἑαυτὸν ἐκένωσεν εἰς τὴν τοῦ δούλου μορφήν; κἀκεῖνο ὢν, καὶ τοῦτο γενόμενος, θαυματουργήσας, οὐ φύσιν μεταβαλών. θελήσας, οὐκ ἀναγκασθεὶς μεταβολῇ τῆς οὐσίας. ὃ γὰρ λέγει θεὸς, ποιεῖ, κἂν ὑπὲρ τὸν λόγον τῆς φύσεως ᾖ τὸ λεγόμενον· ἔχει γὰρ καὶ δύναμιν θαυματουργεῖν δυναμένην, καὶ οὐκ ἐκδεχομένην τοὺς λόγους τῆς φύσεως. διὰ τοῦτο καὶ ὑπάρχει θεὸς, καὶ κενοῦται εἰς δούλου μορφὴν· καὶ ἶσός ἐστι θεῷ, καὶ ἄνθρωπος γίνεται· καὶ ἔστι προαιώνιος, καὶ τόκον ὑφίσταται· καὶ ταῦτα θαυματουργεῖ, ἅπερ οὐκ οἶδεν ὁ λόγος τῆς φύσεως.

Ἔνθεν καὶ τοῖς Ἕλλησι μωρία λογίζεται τοῦ Χριστοῦ τὸ μυστήριον. καὶ Ἰουδαῖοι σκάνδαλον λέγουσιν τῆς οἰκονομίας τὸν λόγον· ὃ καὶ Παῦλος ἐδήλου, λέγων· κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν. διὰ τί μωρίαν τοῖς Ἕλλησιν; ὅτι ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. μωρία γὰρ αὐτῷ ἐστί· τῇ γὰρ φύσει παρακαθήμενος ὁ ψυχικὸς, καὶ λογισμοῖς ψυχῆς τὰ πάντα διερευνώμενος τὰ θαύματα τοῦ θεοῦ μωρίαν λογίζεται, οὐκ ἔχοντα μεθ' ἑαυτῶν τὸν λόγον τῆς φύσεως. καὶ γὰρ ἀκούων Ἕλλην, ὅτι κεκλεισμένης τῆς θύρας εἰσῆλθεν ὁ σωτὴρ, διαγαγὼν τὸ παχὺ τοῦτο σῶμα, καὶ τόπου δεόμενον, γελᾷ, οὐ πιστεύων τῷ θαύματι, ἀλλὰ ζητῶν τὸν λόγον τοῦ πράγματος. καὶ ἀκούων, ὅτι παρθένος

* Ἰσ. μεταβληθείσης Ψαλμ. 101. 28

Βαρηχ. 3. 3.

Μαλάχ. 3. 6

Φιλιπ. 2.

1. Κορ. 1. 23.

1. Κορ. 1. 14.

Γυάν. 20.

Ματθ. 1. 23.

θένος τεκοῦσα, μεμένηκε παρθένος, μωρίαν ἡγεῖται τὸν λόγον. οὐ μαθὼν πιστεύειν θαυματουργίαν θεοῦ. οὐκοῦν καὶ ἀκούων ἀμεταβλήτως θεὸν γενόμενον ἄνθρωπον, ἀδύνατον τὸ γενόμενον οἴεται, φύσεως κἀνταῦθα μεταβολὰς ἀπαιτῶν. ἀλλ' οὐχ οὕτως ἐδίδαξεν ὁ
Φιλιππ. 2. Παῦλος, εἰπὼν. τὸν ὄντα ἴσα θεῷ, γεγενήσθαι ἄνθρωπον. ἑαυτὸν γὰρ κεκενωκέναι φησὶ, μὴ ἀποβαλόντα τὸ πλήρωμα τῆς θεότητος. διὸ καὶ ἔλεγεν· ἡμεῖς κηρύσσομεν Χριστὸν ἐσταυρω-
1. Κορίν. 1. 29. μένον, Ιουδαίοις μὲν σκάνδαλον, Ελλησι δὲ μωρίαν. καὶ διὰ τί Ελλησι μωρίαν; εἰ ψιλὸς ἐσταύρωται ἄνθρωπος, οὐδενὶ νομίζεται μωρὸν τὸ κατὰ φύσιν γινόμενον· εἰ ὃ ἐπεφύκει, πέπονθε, πῶς νομίζεται μωρὸν τὸ διήγημα; ἀλλ' ἐπειδὴ
* ὃν πάλιν Χριστὸν, φησὶ, κηρύσσομεν σταυρούμενον, * πάλιν λέγομεν Θεοῦ δύναμιν, καὶ Θεοῦ σοφίαν. αὐτοῖς γὰρ τοῖς κλητοῖς, φησὶν, Ιουδαίοις τε, καὶ Ελλησι κηρύσσομεν Χριστὸν Θεοῦ δύναμιν, καὶ Θεοῦ σοφίαν. τὸν σταυρούμενον, φησὶ, κηρύττοντες Θεοῦ σοφίαν, μωρίαν λέγειν τοῖς Ελλησι νομιζόμεθα, πιστεύειν οὐκ εἰδόσι θαυματουργίαν Θεοῦ. ἀλλὰ περὶ πάντων φύσεως κινεῖν λογισμούς. καὶ ἡγουμένους ὑβρίζειν Θεὸν, οἰκειωσάμενον πάθη, ἵνα σώσῃ τὸ παθητόν. οὐ γὰρ τὸν ἀνυόμενον ὁρῶσι σκοπὸν, σωτήριον ὄντα, καὶ τῇ ἀγαθότητι πρέποντα τοῦ Θεοῦ. ἀλλὰ μόνον, ὅτι Θεὸς ἑαυτῷ συνῆψε παθήματα, λέγουσιν. οὐ σκοποῦντες τὸ ἐκ τούτου τῆς τῶν ἀνθρώπων σωτηρίας κατόρθωμα. οὐδὲν δὲ τῶν σωζόντων ἄνθρωπον, ὑβρίζει Θεὸν, τούτοις δεικνύμενον οὐ παθητὸν, ἀλλὰ φιλάνθρωπον. ἀλλὰ ἀνθρώπου πάθη, φησὶν, οὐ τολμῶ προσάψαι Θεῷ. οὐκοῦν οὐδὲ σώζειν αὐτὸν τοῖς πάθεσι τὸν ἄνθρωπον λέγεις. οὐδὲ σταυρῶ στηλιτεύειν διαβόλου τὴν δύναμιν· οὐδὲ τὴν ἡμῶν ἁμαρτίαν προσηλωκέναι τῷ ξύλῳ. οὐδὲ τοῖς ἰδίοις πάθεσιν τὰ τῶν ἀνθρώπων ἰᾶσθαι παθήματα. οὐδὲ θανάτῳ λέγεις αὐτὸν καταργῆσαι τὸν θάνατον. εἰ γὰρ οὐκ ᾠκειώσατο τὰ πάθη Θεὸς, πόθεν τοῖς πάθεσι τοῦ Χριστοῦ τὰ τοσαῦτα κατορθώματα; πῶς ἐγένοντο δυνάμεις; πῶς ἀναιρεῖται θανάτῳ ὁ θάνατος, εἰ μὴ Θεὸς αὐτὸν ἴδιον ἐποιήσατο; ἀλλὰ ταῦτα τὰ πάθη οἰκειωθέντα Θεῷ, τὴν μὲν ἰσχὺν τῶν τοσούτων κατορθωμάτων ἐκ θεότητος ἔλαβεν, ὡς θεοῦ ἴδια γεγενημένα, οὐσίαν δὲ θεότητος οὐ παρέβλαψεν, ἐν τῇ ἑαυτῆς ἀεὶ μένουσαν ἀπαθείᾳ. πῶς γὰρ προσηλώθη τῷ ξύλῳ τὸ καθ' ἡμῶν τῆς ἁμαρτίας χειρόγραφον, ἀνθρώπου ψιλοῦ τὸν σταυρὸν ὑπομείναντος; πῶς δὲ σταυρὸς ἁμαρτίαν ἐσταύρωσεν, ἢ θάνατος θανάτου τὴν τυραννίδα διέλυσεν, εἰ μὴ ταῦτα γέγονε θεοῦ, καὶ παρ' ἐκείνου τὴν δύνα-
Κολασ. 2. 14. μιν ἔλαβον, οἰκειωσαμένου τὰ ἡμέτερα, οὐ παθόντος φύσει; ὃ δὴ καὶ σημαίνων ὁ μέγας ἀπόστολος, ἔλεγεν· ὅτι οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τοῦ κυριακοῦ πάθους τὸ μυστήριον ἔγνω-
1. Κορίν. 2. 8. κεν· εἰ γὰρ ἔγνωσαν, φησὶν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. διὰ τοῦτο λέγομεν, καὶ μένειν αὐτὸν ὃ ἦν, καὶ γεγονέναι ὅπερ οὐκ ἦν. τῇ γὰρ οὐσίᾳ μένων ὃ ἦν, ἐδέξατο πάθη, ἑαυτὸν ἑνώσας τῇ φύσει τῇ παθητῇ. ὑπήκοος γέγονε, βασιλείαν μὴ ἀποθέμενος· γέγονεν ἄνθρωπος, μείνας θεὸς τε, καὶ λόγος· ἀσώματος ὢν τὴν φύσιν, ἀναλλοιώτως γέγονε σάρξ· πῶς, καὶ τίνα τρόπον; οὐχ ὡς λογίζεσθαι δύνασαι, ἀλλ' ὡς ἐκεῖνος θαυματουργεῖν ἐστιν ἱκανός. ὅταν γὰρ θαυμάσοι λέγω, κατάλειπε λογισμούς. σημεῖα γὰρ, καὶ τεράστια τῇ τοῦ θεοῦ πίστει κρατύνεται, καὶ οὐκ ἐρευνᾶται τοῖς λόγοις. οὐδὲ γὰρ ἄλλο τι τῶν θαυμάτων κατὰ λόγον ἐστὶ τὸν ἡμέτερον. ἀλλ' ὅμως γέγονεν ἕκαστον, κἂν ὁ λογισμὸς ἡμῶν οὐκ ἐφικνεῖται τοῦ πράγματος. ταῦτα Ματθ. 2.
καὶ μάγοι ὡμολόγησαν, ἀστέρι πιστεύσαντες, καὶ οὐ πολυπραγμονήσαντες φύσιν. Βάρβαροι δέχονται πίστει θαύματα, καὶ ὁ πιστὸς σὺ τί ἀπιστεῖς, πρὸς λογισμὸν καταπίπτων ἀνθρώπινον; οἱ ἐκ Χαλδαίας παραγενόμενοι, ὡς ὁ εὐαγγελιστὴς ἔλεγε, σήμερον αὐτοῖς τοῖς δώροις τὸ μυστήριον ἔδειξαν τῷ τὸν σκοπὸν τῶν βαρβάρων συνορῶντι καλῶς. ἑξιττὸν γὰρ εἶδος τῶν δώρων προσκομίζουσι, χρυσὸν, λίβανον, σμύρναν· χρυσὸν μὲν, ὅτι βασιλεὺς ὁ τιμώμενος. λίβανον δὲ, ὅτι Θεὸς ἦν ὁ τεχθεὶς· τοῦτον γὰρ ἐξ ἔθους προσεκόμιζον τοῖς ὑπ' αὐτῶν νομιζομένοις θεοῖς· προσφέρουσι δὲ καὶ σμύρναν, τὸ πάθος, οἶμαι, τοῦ θανάτου ταύτῃ μηνύοντες. εἶδες πῶς καὶ μάγοι ἐπέγνωσαν, ὅτι καὶ Θεὸς ἔμεινε, καὶ ἄνθρωπος γέγονε, δεχόμενος θάνατον; γέγονε γὰρ ὅπερ ἐγὼ, ἵνα τὴν ἡμετέραν ἀναβιβάσῃ φύσιν πρὸς τὴν ἰδίαν ἀξίαν. ἡ γὰρ ἕνωσις τοῦτο ποιεῖ, ἑκατέρῳ τὰ τοῦ ἑτέρου συνάπτουσα. διὰ τοῦτο οὖν Θεὸς ὢν, ἄνθρωπος γέγονεν, ἵνα καὶ ἄνθρωπος γένηται Θεὸς, τῇ συναφείᾳ ταύτῃ πρὸς θεϊκὴν δόξαν ἀναγόμενος. ὡς ἕνα, καὶ τὸν αὐτὸν εἶναι θεϊκῶς τε δοξαζόμενον, καὶ πάσχοντα τὰ ἀνθρώπινα. καὶ ταῦτα * μὲν συνωμο- * ἴσ. ἡμῖν
λόγησαν, * ὁμολογοῦντες θεότητά τε, καὶ ἀνθρω- * ἵνα πάντες ἕνωσιν, ὁμολογοῦντες.
πότητα. τὸ γὰρ ἑνῳθὲν, οὐκέτι δύο, ἀλλ' ἓν ὀνομάζεται. τῇ δὲ ἐννοίᾳ πάλιν εἰ διαιρεῖς, καὶ ἕκαστον κατ' ἰδίαν σκοπεῖς, οὐκοῦν λύεις τὴν ἕνωσιν· ἀδύνατον γὰρ ἅμα καὶ φυλάττειν τὴν ἕνωσιν, καὶ ἑκάτερον κατ' ἰδίαν σκοπεῖν. ἀλλὰ τὸ ἑνωθὲν, ἀλύτως ἓν γέγονε, καὶ οὐκέτι γίνεται δύο. ἀλλ' ἐπινοίᾳ μόνῃ χωρίζω, φησίν. οὐκοῦν τῇ αὐτῇ ἐπινοίᾳ καὶ τὴν ἕνωσιν ἔλυσας· ᾧ γὰρ διϊστᾷς τοῦ ἑτέρου τὸ ἕτερον, τούτῳ καὶ τὴν συνάφειαν ἔτεμες. τί οὖν ἀναλύεις οἰκονομίαν σωτήριον, δύο νοῶν, καὶ τὴν ἕνωσιν ἀθετῶν; ἀλλὰ καθὰ καὶ ὁ μέγας
ἀπόστολός φησιν, Ἰησοῦς Χριστὸς χθὲς, καὶ σήμε- Εβρ. 13. 8.
ρον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας· ἕνα, καὶ τὸν αὐτὸν λέγων, αἰώνιόν τε, καὶ Θεὸν, καὶ ἀπὸ χρόνων ἀρχόμενον ἄνθρωπον. τὸ μὲν ὄντα πρότερον, τὸ δὲ γενόμενον ὕστερον. ἀλλὰ πῶς, φησὶν, ὁ μονογενὴς δοῦλος γεγένηται, μείνας ὃ ἦν, καὶ γενόμενος ὃ οὐκ ἦν; εἰ βούλει τοῦτο μαθεῖν, μάθε ὅτι γέγονε· τὸ δὲ πῶς γέγονεν, ὁ θαυματουργήσας ἐπίσταται μόνος. οὐδὲ γὰρ σύ μοι δύνασαι λέ-
γειν, πῶς ὁ τῶν Αἰγυπτίων ποταμὸς αἷμα γε- Ἐξοδ. 7.
γένηται, ἀμεταβλήτου μεινάσης τῆς τοῦ ὕδατος φύσεως. καὶ γὰρ ὡς ὕδατι μὲν οἱ Εβραῖοι κέχρηντο. αἷμα δὲ τοῖς Αἰγυπτίοις ὁ Νεῖλος ἐγένετο,

το, κ) γέγονεν ὃ ὐκ ἰῶ, μείνας ὃ ἰῶ. εἰπέ μοι τὸν τρόπον· ἀλλ' οὐκ ἔχεις εἰπεῖν· θαῦμα γάρ ἐστι Θεοῦ, λογισμοὺς παρωθοῦμενον. πῶς δὲ κ) τὸ φῶς ἐν Αἰγύπτῳ γέγονε σκότος, οὐ σβεσθὲν, ἀλλὰ μεῖνον ὃ ἰῶ; ἡμέρα γὰρ τοῖς Ἰσραηλίταις Exod. 10. ἰῶ, κ) λαμπρὸν αὐτοῖς παρεῖχε τὸ φῶς, τοῖς δὲ Αἰγυπτίοις τὸ φῶς τοῦτο γέγονε σκότος· κ) ἓν τὸ ὁρώμενον ὂν, φῶς τε ἰῶ ὁμοῦ, κ) σκότος, οὐδὲ ἐκ τούτου μεταβληθὲν, ἀλλήλοις μιγόμενον. οὐδὲ γὰρ τοῦ φωτὸς παθόντος σκότος ἐγένετο, τοῦ Θεοῦ θαυματουργοῦντος, κ) τὸν λόγον ὐκ ἐκδεχομένου τῆς φύσεως. πῶς ἂν τὰ ὕδωρ τοῦ Νείλου, μεῖναν ὕδωρ, αἷμα γεγένηται; ἢ πῶς ἐπὶ τῆς ἰδίας φύσεως μεῖναν τὸ φῶς, σκότος ἐγένετο; οὐδὲ γὰρ τοῦτο ἔφθαρται, ἀλλήλοις γεγένηται· οὐδὲ γὰρ ἐφθάρη ἡ φύσις τοῦ ὕδατος· ἐδήλουν οἱ Ἑβραῖοι, τοῦτο πότιμον ἔχοντες. ἀλλ' ἔμεινε κ) αὐτὴ ἡ φύσις ἐν ἰδίοις ὅροις, κ) γέγονεν αἷμα, ὅπερ ὐκ ἰῶ, Θεοῦ ὑπὲρ λόγον δεικνυοῦτος τὸ θαῦμα. ἡ δὲ Βαβυλωνία φλόξ πως δρόσος τοῖς τεσὶν ἐγένετο παισί; Dan. 3. κ) γὰρ φλὸξ ἰῶ, κ) δρόσος ἐγίνετο· κ) ἄμφω ταῦτα δηλοῦνται τῇ ἐνεργείᾳ· ὅτι μὲν γὰρ δρόσος ἰῶ, οἱ τρεῖς διδάσκουσι παῖδες, ταύτῃ καταψυχόμενοι· ὅτι δὲ κ) φλὸξ ἰῶ, οἱ ταύτῃ κατακαυθέντες μιμοῦσι Βαβυλώνιοι. εἶδες, πῶς τὸ πῦρ, ἔμεινε πῦρ, κ) δρόσος ἐγένετο, ὐ δύο πράγματα, οὐδὲ δύο φύσεις, ἀλλ' ἓν ἰῶ, κ) τὸ ὁρώμενον, ὅπερ ἰῶ φλὸξ, τοῦτο γέγονε δρόσος· κ) μαρτυροῦσιν οἱ δίκαιοι. μηκέτι οὖν ἐρώτα με τῆς τοῦ Θεοῦ σημείων τὸν τρόπον· πάλιν γὰρ ἐρῶ σοί. τὰ θαύματα δείκνυσι μὲν ὅτι γέγονε, Θεῷ δὲ καταλιμπάνω εἰδέναι τῆς θαυμάτων τὸν λόγον. εἶτα εἰπέ μοι· πῶτα θαυματουργεῖ Θεὸς, κ) τὸν φλόγα δρόσον ποιῶν, ὐδὲ φλόγα μεταβαλὼν, κ) πρὸς δρόσον αὐτὸν μεθιστῶν. τυράννου τὸν ἀποφάσιν λύσαι βουλόμενος, κ) ἠδικημένους ἐκδικῆσαι θέλων, κ) τοὺς αἰτίους καταναλῶσαι βουλόμενος βαρβάρους· κ) θαυματουργεῖ τὰ τοιαῦτα Θεός. τὸ πῦρ φυλάξας ἐν ἰδίοις ὅροις, κ) δρόσον ἐπιδείξας. κ) ἵνα τρεῖς παῖδες σωθῶσι, θαυματουργεῖ τὰ τοιαῦτα Θεός. ἵνα δὲ σώσῃ κόσμον Θεὸς, ἀμφιβάλλεις ὅτι αὐτὸς μείνας Θεὸς γέγονεν ἄνθρωπος, οὐκ ἐδεήθη φλόγα μεταβαλεῖν, ἵνα δρόσον ἐργάσηται· κ) αὐτὸς ἄνθρωπος γενέσθαι βουληθεὶς, διὰ σωτηρίαν ἀνθρώπων, τὸν ἑαυτοῦ φύσιν ἐδεήθη μεταβαλεῖν; πῦρ ἔμεινε, κ) γέγονε δρόσος· κ) σὺ λέγεις· πῶς μένει Θεὸς, κ) γίνεται ἄνθρωπος; ἐπειδὴ γὰρ τὴν φύσιν ἡμῶν βουλόμενος σῶσαι Θεὸς, οὐ δι' ἑτέρων τὸν σωτηρίαν ἡμῶν, ἀλλὰ δι' ἑαυτοῦ κατεσκέασεν· ἐπειδὴ πᾶσα κτίσις ἥττονει πρὸς σωτηρίαν ἡμῶν, ἕξιν ἐχόντων κ) κακίας, κ) πλάνης· ἡ γὰρ μακρὰ τῆς κακίας συνήθεια ἀντὶ φύσεως τοῖς ἀνθρώποις ἐγένετο, παρασαμβὰν τὸν φύσιν. προεφήτευσε προφήτης, ἀλλ' ἥττονει ὁ λόγος, τῇ κακίᾳ νικώμενος. ἄγγελοι λειτουργοὶ τῆς ἡμετέρας ἐγένοντο σωτηρίας· κ) μαρτυρεῖ ὁ μέγας Παῦλος λέγων περὶ ἀγγέλων· οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; ἄγγελος ὁ κρείττων τὸν φύσιν ἐλειτούργει πρὸς σωτηρίαν ἡμῶν. ἀλλ' οὐκ ἐσώζετο ἄνθρωπος, τοῖς κακίαις σπουδαίως ἐγκείμενος. ἥττονει οὖν ἅπαντα πρὸς ἀνθρώπων τὸν ἀμέλειαν· ἡ γὰρ κακία τῆς πονηρᾶς τὸν σπουδὴν ἕνεκα τῶν ἀγαθῶν· οὐχ ὅτι νικᾶται Θεὸς, ἀλλ' ὅτι γνώμη τοῦ αὐτεξουσίου τὸν ἀρετὴν ἐπιτρέπει. ἀνάγκη οὐκ ὠθεῖσε πρὸς κατορθώματα. οὐδὲ μὴ βουλόμενον ἕλκει πρὸς ἀρετὴν, ἵνα σὺ τὸν ἀρετὴν κατασκάσας ἑκούσιον, σὸν αὐτὸν ποιήσῃ κατόρθωμα. τί οὖν; ἐπειδὴ κ) προφῆται ἐναπέκειντο, κ) οὐκ ἐνήργουν διδάσκαλοι, κ) νόμος ἥττονει, κ) ἄγγελοι τῆς σπουδῆς ἀπετύγχανον, τῆς γνώμης τῆς ἀνθρώπων ὐκ ἐκούσης τοῖς ἀγαθοῖς, αὐτὸς ὁ τῆς φύσεως ποιητὴς ἐπεδήμησε, φύσιν νενικημένην ἀνορθῶσαι βουλόμενος· κ) παραγίνεται, ὁ κτισθεὶς, ὡς Θεὸς, οὐδὲ βρονταῖς κατακλήττων τὸς ἀκοὰς, οὐδὲ γνόφον περιβαλλόμενος, ἢ πῦρ φοβερὸν ἐν τῷ γνόφῳ δεικνύς, οὐδὲ σάλπιγγος ἦχῳ τοὺς ἀκούοντας διεκπλήττων, ὡς ποτε τοῖς Ἰουδαίοις ἐπεφάνη, φόβον ἐμποιῶν. ἀ σοβῶν τὸν οἰκέτην, χάριτι δὲ μᾶλλον αὐτὸν προσκαλεῖται, κ) ἀγαθότητι. ἀ δορυφορίας ἐπάγεται ἀρχαγγέλων· ἀ κινεῖ τὰ τῆς ἀγγέλων στρατόπεδα. ἀ γὰρ ἠθέλησε φοβῆσαι τὸν φυγάδα τῆς ἐκείνου νόμων γλυπόμενον· ἀλλ' ἔρχεται ὁ πάντων κύριος ἐν δούλου μορφῇ, πτωχείαν περιβαλλόμενος, ἵνα μὴ * σοβήσῃ τὸ θήραμα· ἐν ἀδήλῳ τίκτεται χωρίῳ, ἀγρὸν ἀφανῆ πρὸς γένησιν ἐκλεξάμενος· διὰ πτωχῆς τίκτεται παρθένου, κ) πάντα πτωχὰ προσλαμβάνεται, ἵνα ἡσύχως πρὸς σωτηρίαν ἀγρεύσῃ τὸν ἄνθρωπον. εἰ γὰρ ἐπιδόξως ἐτέχθη, κ) πλοῦτον πολλὸν περιβαλλόμενος παρεγένετο, εἶπον ἄν οἱ ἄπιστοι, ὅτι ἡ τοῦ πλούτου δαπάνη τὸν μεταβολὴν τῆς οἰκουμένης εἰργάσατο. εἰ τὸν μεγάλην Ρώμην εἵλετο, πάλιν τῇ διωγμείᾳ τῆς πολιτείας τῆς οἰκουμένης τὸν μεταβολὴν ἐλογίζοντο. εἰ υἱὸς ἐγένετο βασιλέως, τῇ διωγμείᾳ τὸν ὠφέλειαν ἐπέγραφον. εἰ νομοθέτου ἐγεγόνει υἱὸς, αὐτοῦ τοῖς προστάγμασι τὸν ὠφέλειαν ἐπέγραφον. ἀλλὰ τί ποιεῖ; πάντα τὰ ἔργα πτωχὰ, κ) ἀτελῆ, πάντα μέτρια, κ) τοῖς πλείοσιν ἀφανῆ, ἵνα θεότης μόνη γνωσθῇ τὸν οἰκουμένην μετακοσμήσασα. διὰ τοῦτο πτωχὸν αἱρεῖται μητέρα, πτωχοτέραν πατρίδα, ἔνδεὴς τοῖς χρήμασι γίνεται. κ) τὸν ἔνδειαν ἐρμηνευέτω σοι ἡ φάτνη. οὐχ ὑπαρχούσης γὰρ κλίνης, ἐφ' ἧς κατακλιθῇ ὁ κύριος, ἐν φάτνῃ τέθειται, κ) γίνεται τῆς χρείας τὸ ἄπορον, προφητείας κάλλιστον μυστήριον. ἐν φάτνῃ γὰρ κατετέθη, μηνύων, ὅτι κ) ἀλόγων ἔσαι τροφή. ὁ γὰρ τοῦ θεοῦ λόγος πρὸς ἑαυτὸν ἀφείλκετο κ) πλουσίους, κ) πένητας, κ) ἐλλογίμους, κ) τῷ λόγῳ βραδεῖς, πειρατὰ συζῶν, κ) ἐν φάτνῃ πεθείς. ὁρᾷς πῶς τῆς χρείας ἡ ἔνδεια προφητείαν εἰργάσατο, κ) ἡ πτωχεία τὸν δι' ἡμᾶς πτωχεύσαντα δεσπότην πᾶσιν ἀπέδειξεν; οἶδεν γὰρ διδοικὼς τοῦ Χριστοῦ πλοῦτον ὑπέρογκον ἄτολμος ἰῶ. οὐδεὶς προσιλθέτω αὐτῷ βασιλείας ὕψος ἐκαίλυσεν· ἀλλὰ κοπὸς ὤφθη, κ) πεῖνα, ὁ πᾶσιν ἑαυτὸν εἰς σωτηρίαν

* σοβήσῃ Lat.

Προθεὶς. ἐν φάτνῃ γὰρ ὁ τοῦ θεοῦ κατατίθεται λόγος, καὶ διὰ μέσου τοῦ σώματος, ἵνα ἄδειαν ἔχῃ ὁ λογικός τε, καὶ ἄλογος μεταλαβεῖν τῆς σωτηριώδους τροφῆς. καὶ τοῦτο τάχα καὶ ὁ προφήτης πρότερον ἐβόα, τῆς φάτνης ταύτης διηγούμενος τὸ μυστήριον λέγων· ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν. εἰ γὰρ καὶ ἁπλουστέραν ἔννοιαν ὁ λόγος ἔχει, δεικνὺς τὸν Ἑβραῖον τῶν ἀλόγων ἀγνωμονέστερον, ἀλλὰ * δύναται ἂν καὶ τοῦτο δηλοῦν, φάτνην ὑποδεικνὺς τοῦ κυρίου, ἐφ' ᾗ τεθεὶς, τροφὴ τοῖς ἀλογωτέροις ἐγένετο. καὶ γὰρ οὐκ ἀορίστως ὁ προφήτης φάτνην δηλοῖ, ἀλλὰ τὴν φάτνην ταύτην ἔφη τοῦ κυρίου αὐτοῦ, τῷ * ἀνθρώπῳ τούτῳ, οἶμαι, τὴν φάτνην ὡρισμένως σημαίνων. καὶ ταῦτα μὲν φιλοσοφείτω * ὁ βουλόμενος τὴν ποικίλην, θεωρίᾳ τῆς θείας γραφῆς ἐντρυφῶν. ἡμεῖς δὲ ἐδείξαμεν, ὅτι ἐπτώχευσε δι' ἡμᾶς, ὁ πλούσιος τῷ τῆς Θεότητος λόγῳ, εὐληπτον πᾶσι τὴν σωτηρίαν ποιῶν. ὃ δὴ καὶ σημαίνων ὁ μέγας Παῦλος ἔλεγε· δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. καὶ τίς ἦν ὁ πλουτῶν; τί δὲ ἐπλούτει; καὶ πῶς οὗτος ἐπτώχευσε δι' ἡμᾶς; λεγέτωσαν ἡμῖν οἱ τοῦ Θεοῦ λόγου διαιροῦντες τὸν ἄνθρωπον, καὶ τὸ ἑνωθὲν διϊστῶντες τῇ μνήμῃ τῶν φύσεων, εἰ δύο τινὰ λέγοντες τὸν Χριστὸν, καὶ τὸ, ἐπινοίᾳ μόνῃ, πρὸς ἀπολογίαν κομίζοντες. τίς ὢν πλούσιος, εἰπέ μοι, τὴν ἐμὴν πτωχείαν ἐπτώχευσεν; ἆρα ὁ φαινόμενος ἄνθρωπος, ὃν σὺ διϊστὰς τῆς θεότητος; ἀλλ' οὐδέποτε οὗτος ἐγένετο πλούσιος· ἦν πτωχὸς, ἐκ πτωχῶν προγόνων τεχθείς. τίς οὖν ὁ πλούσιος, καὶ τί πλουτῶν ἦν, ὃς δι' ἡμᾶς ἐγένετο πένης; Θεὸς, φύσιν, ἐπλούτει τὴν κτίσιν. οὐκοῦν Θεὸς καὶ πένης ἐγένετο, ἰδίαν πενίαν τὴν τοῦ ὁρωμένου ποιούμενος. ὁ γὰρ αὐτὸς καὶ ἐπλούτει τὴν θεότητα, καὶ δι' ἡμᾶς πένης ἐγένετο. οὐδὲ γὰρ τὸν ἄνθρωπον ἂν εἴποις πλουτεῖν, πτωχὸν ὄντα καὶ φύσει, καὶ χρήμασιν· οὐδὲ γὰρ τὸν πλουτοῦντα θεότητος ἀξίαν, πτωχεύειν ἂν εἴποις, μὴ προσάψας αὐτῷ τὰ ἀνθρώπινα. διὰ τοῦτο καὶ ὁ ἀπόστολος συνάπτων δόξαν θεότητος ἀνθρωπίνοις παθήμασιν, οὐκ ἐπινοίᾳ διαιρῶν, οὐδὲ λόγῳ διαστῆσαι τὰ ἑνωθέντα βουλόμενος, τὸν αὐτὸν ἔφη πλουτεῖν * θεότητι. καὶ πτωχεύειν παθήμασι· καὶ τὸ μὲν δι' ἑαυτὸν εἶναι, τὸ δὲ δι' ἡμᾶς πεπονθέναι. εἰ δὲ ὁ πλουτῶν τὴν θεότητα, πτωχεύει τὴν ἀνθρώπων πτωχείαν, πῶς οὐχὶ καὶ τὰ λοιπὰ πέπονθεν, ἅπαξ ἄνθρωπος διὰ φιλανθρωπίαν γενέσθαι ἑλόμενος; ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον. Σύ μοι βλέπε τὸ πτωχότατον οἴκημα τοῦ πλουτοῦντος τὸν οὐρανὸν. βλέπε τὴν φάτνην τοῦ ἐπὶ τῶν χερουβὶμ καθημένου. βλέπε σπάργανα τοῦ δήσαντος ψάμμῳ τὸ πέλαγος· βλέπε τὴν κάτω πτωχείαν, τὸν ἄνω πλοῦτον αὐτοῦ λογιζόμενος. οὕτω γὰρ καὶ χάριτος καὶ φιλανθρωπίας ἴδοις τὸ μέγεθος, εἰ τὴν τοσαύτην τοῦ Θεοῦ λόγου λογίσῃ συγκατάβασιν· καὶ γὰρ ἐν ταύτῃ τῇ πτωχείᾳ ὁ πλοῦτος αὐτοῦ τῆς θεότητος δείκνυται, ἀστέρος τοῖς μάγοις δηλοῦντος τὸν πένητα, καὶ τοὺς βαρβάρους ἄγοντος ἐπὶ τὴν φάτνην τοῦ πένητος. ἀλλὰ καὶ οἱ ἄγγελοι χαίροντες, τοῦτον ἀνηγόρευον τὸν πτωχὸν τοῖς ποιμέσιν, ᾄδοντες τὸν πλοῦτον αὐτοῦ τῆς θεότητος. καὶ γὰρ οἱ μάγοι τῷ φαινομένῳ τὸν λίβανον προσεκόμισαν ὡς Θεῷ. οὐ διϊστῶντες τὴν φύσιν τῆς φύσεως, οὐδὲ ἐπινοίαις τέμνοντες τὸν ἡνωμένον· ἀλλ' ἅπαξ τῷ θαύματι τὸν φαινόμενον εἰδότες Θεὸν, προσφέρουσι λίβανον, αὐτῷ τούτῳ θεϊκὴν ἀξίαν κρίνοντες. οὐ δὲ ἄγγελοι ταῖς ἐπινοίαις ταῖς κατά σε τὸ τεχθὲν τοῦ Θεοῦ λόγου διέστησαν. ἀλλ' ἕνα καὶ τὸν αὐτὸν εἰδότες, καὶ ὁρώμενον, καὶ νοούμενον, ἐβόων λέγοντες· δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. καὶ οὐκ ἄλλα μὲν λέγοντες κατά σε, ἄλλα δὲ ἐπινοοῦντες· καὶ ῥήμασι μὲν ὁμολογοῦντες ἕνα Χριστὸν Ἰησοῦν, ἐπινοίᾳ δὲ διαιροῦντες τὸν αὐτὸν, ὥσπερ καὶ σὺ, ἐν νοίας ἔχων μαχομένας τοῖς ῥήμασιν. ἀλλὰ καὶ ἕνα καὶ τὸν αὐτὸν δοξάζουσι Θεόν. καὶ ἐν πενίᾳ τοίνυν, καὶ ἐν φάτνῃ τοῖς πᾶσιν ἐφαίνετο. διὰ τοῦτο καὶ ἐν σπαργάνοις ἐστὶ, καὶ ὑπὸ ἀγγέλων δοξάζεται. οὐ τοῦ ἀστέρος καταβάντος πρὸς τοὺς μάγους· οὔτε γὰρ τοὺς τόπους ἀμείβουσιν οἱ ἀστέρες· ἀλλ' ἐπειδὴ τῶν Χαλδαίων ἡ γῆ πολλοὺς ἔχει τῇ κινήσει τῶν ἀστέρων προσέχοντας, ἡ δύναμις ἡ κρείττων ὁδηγοῦσα τοὺς μάγους, ἀστέρος ἀνέλαβεν ἰδίωμα· ἵνα ἀφ' ὧν ἔμαθον οἱ Χαλδαῖοι, μάθωσιν ὃ οὐκ ᾔδεισαν· καὶ ἀστρονομίᾳ προσέχοντες, αὐτοῖς τοῖς ἄστροις τὰ τοῦ Χριστοῦ διδαχθῶσι μυστήρια. ὅτι γὰρ οὐκ ἦν ἀστὴρ, ἀλλὰ δύναμις ἀγγελικὴ ὁδηγοῦσα τοὺς βαρβάρους πρὸς τὴν εὐσέβειαν, αὐτὸς ὁ εὐαγγελιστὴς δηλοῖ, τὸν ἀστέρα τοῦτον καὶ ἐν ἡμέρᾳ φαίνεσθαι, ποτὲ δὲ καὶ κρύπτεσθαι λέγων· ἄλλοτε δὲ καὶ ὁδηγεῖν αὐτὸν τοὺς μάγους φησὶ, καὶ σὺν αὐτοῖς ἐπὶ τὴν Βηθλεὲμ ἰέναι· ὅπερ οὐκ ἄν τις εἴποι τινὰ τῶν συνήθων ἀστέρων * δῆλον τῇ αἰσθήσει ποιεῖν, ἀλλὰ δύναμιν ἐν ἄστρου σχήματι φαινομένην τοῖς ἀστρονόμοις. τὸ δέ, καὶ ἔστη ἐπάνω τοῦ παιδίου, περὶ τοῦ ἀστέρος ῥηθὲν, δύναμιν εἶναι τὸ φαινόμενον, μηνύσει σαφῶς. οὐ γὰρ ἄν τις τῶν ἐν οὐρανῷ τεταγμένων ἀστὴρ δῆλος ἐγένετο ἐπάνω στὰς τοῦ παιδίου· ἐπειδὴ τὸ τοῦ διαστήματος μέγεθος, τῆς ὄψεως κλέπτον τὴν κρίσιν, οὐδὲ στάσιν, οὐδὲ κίνησιν τῶν ἀστέρων δήλην τῇ αἰσθήσει ποιεῖ. ἔστη, φησὶν, ὁ ἀστὴρ ἐπάνω οὗ ἦν τὸ παιδίον. οὐκοῦν ἀπολιπὼν τὸ ὕψος ὁ φαινόμενος ἀστὴρ, χθαμαλώτερος γέγονεν, ἵνα τῇ στάσει δείξῃ τοῦ βασιλέως τὴν γένησιν. καὶ γὰρ ὡς βασιλέα ἐζήτουν οἱ μάγοι, βασιλέως ἐπερωτῶντες τὸν τόκον, καὶ τοῖς Ἰουδαίοις λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. βασιλέα ζητεῖς, ὦ μάγε; καὶ τίνος ἕνεκεν ὡς Θεῷ προσφέρεις τὸν λίβανον; ἀλλ' οἶδα καὶ βασιλέα, καὶ Θεὸν ἐγνώρισα. διὰ τοῦτο καὶ χρυσὸν αὐτῷ προσφέρω, καὶ λίβανον, τοῖς δώροις ὁμοῦ καὶ Θεὸν, καὶ βασιλέα μηνύων.

Ἀλλ' οὗτος, ὁ τότε μάγους ἑλκύσας ἀῤῥήτῳ δυνάμει πρὸς τὴν εὐσέβειαν, καὶ νῦν τὴν φαιδρὰν πανήγυριν συνεκρότησε σήμερον, οὐκ ἔτι ἐν φάτνῃ τιθέμενος, ἀλλ' ἐπὶ τῆς σωτηριώδους τραπέζης ταύτης προκείμενος· ἐκείνη γὰρ ἡ φάτνη τῆς τραπέζης ταύτης μήτηρ ἐγένετο, διὰ τοῦτο ἐν ἐκείνῃ τίθεται, ἵνα ἐπὶ ταύ-

Ἡσαΐ. 1.
* ἴσως, δύναιτο
* ἴσ. ἄρθρῳ.
* ὁ βουλόμενος, τῇ ποικίλῃ θεωρίᾳ. L.
2. Κορίν. 8.
* θεότητα.
Μανθ. 2.
Λυκ. 2.
Μανθ. 2.
Λυκ. 2.
Μανθ. 2.
* ἴσ. δήλων.

ταύτης βρωθῆ, ϗ γλύπται τοῖς πιστοῖς σωτήριον ἔδισμα. ἀλλ' ἡ μὲν φάτνη τλιὼ λαμπρὰν ταύτλω ἀνέδειξε βάπιζαν, ἡ δὲ παρθένος τοὺς χορούς τούτους ἐβλάσησε τῆς παρθενίας· ἡ δὲ τῶ ἐν Βηθλεὲμ οἰκίσχω δ'τέλεια τοὺς περιφανεῖς τούτους ἀνέδειξε ναούς. τὰ δὲ τότε σπάργανα τ' νῦν ἁμαρτημάτων λυτήρια γέγονεν. εἶδες τῆς τότε πενίας τὰ νῦν φαινόμενα κατορθώματα; εἶδες πτωχείαν τοσούτου πλούτου γεγλυμμένην μητέρα; μὴ βλάπτει ἡ κάτω τοῦ μονογενοῦς πρὸς ὀλίγον δ'τέλεια, τοσοῦτον πλοῦτον τῇ οἰκουμένῃ κομίσασα; τί οὖν ὀνειδίζεις Χριστῷ τ' ἐν Βηθλεὲμ δ'τέλειαν; διὰ τί πενίαν φέρεις εἰς μέσον, τὰ ἐξ αὐτῆς κέρδη τοῦ κόσμου μὴ λογιζόμενος; διὰ τί ἀνάξιον λέγεις Θεοῦ πάθος, τοσούτων ἀγαθῶν γενόμενον πρόξενον; διὰ τί ἀφαιρῇ τῶ μονογενοῦς τὰ ξαύματα, * ὃς τοσαύτλω σωτηρίαν τοῖς ἀνθρώποις ἐπήγασε; τί παραχαθέζῃ παθήμασι, ϗ ὐ βλέπεις τῶν παθημάτων τὰ νικῶ γλυόμενα κατορθώματα; δ'ὰ τί πενίαν λέγεις ἀναξίαν Θεοῦ, δι' ἧς ὁ κόσμος πλουτεῖ τλιὼ δ'σέβειαν; δ'ὰ τί θάνατον ἀνάξιον Θεοῦ λέγεις, ᾧ Θεὸς ἀνήλωσε θάνατον; τίνος σχέσιν σαυρὸν ὐ λέγεις Θεοῦ, ᾧ Θεὸς τλιὼ κακίαν * τῶ δαίμονος ἐθεάμβωσε; δ'ὰ τί τοῦτο μόνον ὐ λέγεις Θεοῦ, ὃς τλιῖ ἡμῶν ἁμαρτίαν τῷ ξύλῳ προσήλωσε; μὴ δ'αβάλης πάθη, ἀφ' ὧν ἀπάθεια τίκτεται. μὴ δ'ασύρῃς δ'τέλειαν, ἀφ' ἧς δ'αβόλω τυραννὶς καταλύεται. μὴ ὀνειδίσῃς ῥάπισμα θεῷ, δι' ὃ τῆς ἁμαρτίας τὸν ἄνθρωπον ἠλευθέρωτε. μὴ Θεοῦ δεσμὸν εἴπῃς ἀνάξιον, ᾧ τὸν δεσμὸν τῆς ἁμαρτίας ἀνέλυσε. μὴ λέγε πενίαν ἀναξίαν Θεοῦ, ὅτι ὁ διάβολος πλουτῶ τλιὰ πλάνλω ἐπτώχδσε. μὴ καταγνῷς σαυρῶ, βωμὸς καταλύοντ@. μηδὲ ἐξδ'τελίσῃς ἥλους, οἷς τλιὼ οἰκουμένλω Χριστὸς εἰς σὸν φρόνημα τῆς δ'σεβείας συνέπηξε. μὴ λογίζῃ τὰ δ'τελῆ, ἀλλὰ τὰ ἐκ τούτων τῶ παθόντ@ γλυόμενα κατορθώματα· ἃ ὐκ ἂν εἴποις ἀνθρώπῳ γεγονέναι παθόντος ψιλοῦ, νῶν ἔχων, ϗ τοῖς Φαινομένοις πειθόμεν@. δ'ὰ τί δὲ ϗ * λαλῆς δ'τελῆ, ἃ ὁ Θεὸς δ'ὰ σωτηρίαν ἀνθρώπων ἠσπάσατο; εἰ γὰρ παθήματα τῇ φύσει ἐστί τε, ϗ λέγεται, ἀλλ' ἰαξεία γέγονε τῶ ἡμετέρων παθῶν. μηκέτι γοῦν αὐτὸ προσαγόρδε πάθ@, ἀλλὰ παθῶν τῶ ἡμετέρων ἴαμα. ϗ μίμοι τὰ μέλη τῆς παρθενίας εἰς ὄνειδος θεότητ@ φέρε. ὐδὲ γὰρ τούτων ἡ φύσις ἐστὶν ἀναξία· ϗ ἐπισελθόντι τὰ τῆς ἀτιμίας πάθη, τλιὰ δ'ώρειαν τὸ σώματ@ ἐλυμλώαντο. οὐ γὰρ αἰσχρὰ τῇ φύσει τὰ μέλη, ἀλλὰ δι' ἐπιθυμίας ἀτόπω ὑβρίζεται. εἰ γὰρ λῶ αἰσχρὰ τῇ φύσει, ἐκ ἂν τοῦτο Θεὸς τοῖς ἰδίαις παλάμαις διέπλασεν· ἐπειδήπερ ὐκ αἰσχρῶν ὁ Θεὸς, ἀλλὰ τῶ καλλίστων ἐστὶ ποιητής· εἶδε γὰρ πάντα, ἃ ἐποίησεν ὁ Θεὸς, ϗ ἰδὼ καλὰ λίαν. ὐδεὶ γὰρ τῶ ὑπὸ Θεοῦ γλυομένων τῇ ἰδίᾳ φύσει κακὸν, οὐδὲ αἰσχρόν τι κατεσκδασεν ὁ Θεός· ἀλλ' ἡμεῖς τῆς πρώτης ἐκπεσόντες κατασκδῆς, ἐπιθυμίαις ἀτόποις τλιὼ φύσιν ἡμῶν καθυβρίσαμεν. εἰ δ' ὃν πλάσας ὁ Θεὸς τὰ μέλη τῆς γυναικὸς, ὐ δ'αβάλλεται, ἐὰν ἐνοικήσας ἐν αὐτοῖς ἐνυβρίζεται· ἐν ἰδίᾳ γὰρ κτίσει Θεὸς ὐκ ἀναξίως οἰκεῖ.

Εἰ δὲ λέγεις· πῶς οὐρανὸν καταλιπὼν, ἐν μήτρᾳ κατέκησεν; ἐρῶ σοι κἀγώ· ὅτι Θεὸς ὢν, ἄνθρωπ@ δι' ἀνθρώπους ἐγλύετο, μένας Θεὸς, ϗ οὐ μεταπδείστης τῆς ὐσίας. ὁμολογῶ τοιγαροῦν τὸν αὐτὸν Θεὸν, ϗ ἄνθρωπον. Θεὸν μὲν πρὸ αἰώνων, * ἄνθρωπον μὲν γλυόμενον, ϗ ἐκ τῆς τόκω ἀρξάμενον· ὁ δύο, ἀλλ' ἓν, ὁ φραζόμενον ὡς ἓν, διττὸν δὲ ἐπινοούμενον. ὐδὲ γὰρ μάχεσθαι δεῖ τῷ λόγῳ τλιὼ ἔννοιαν. οὐ νοοῦμεν δύο, ὁμολογοῦμεν δὲ ἕν· τὸ γὰρ οἰκονομίᾳ, ϗ θαύματι σωπημένον, οὐδὲ λόγος διίσησιν, οὐδὲ ἔννοια. εἰ δέ τις ἐπίνοια διασήσειε τὸ σωπημένον, διαλελυμένον ἐνόησε, ϗ ψλδὴς ἡ ἔννοια γίνεται, διασήσασα τὸ σωπημένον αὐτοῦ. δεῖ οὖν σωομολογοῦσαν ἔχειν τῷ λόγῳ τλιὼ ἔννοιαν· ἓν λέγειν Χριστὸν, τὸν αὐτὸν Θεὸν ϗ ἄνθρωπον. ὐκοῦν ἓν ϗ νόει. εἰ δὲ λέγεις μὲν ἓν, ἐπινοεῖς δὲ δύο. τῷ λόγῳ σου πολεμοῦσαν ἔχεις τλιὼ ἔννοιαν. μὴ οὖν λέγε δύο, διαφορᾷ τινι διϊσάμενον, εἰ γὰρ ἐνοῖς τῷ λόγῳ, μὴ τέμνε τῇ ἐννοίᾳ. εἰ δὲ τέμνεις ταῖς ἐννοίαις, τλιὼ σῶσιν ἤρησαι. μὴ οὖν πρὸς φύσεις δϊσαμένας καταγάγῃς τὸν λόγον, Θεοῦ τλιὼ ἄκραν θαυματουργήσαντ@ ἕνωσιν. πίσδε τῷ θαύματι, ϗ μὴ ἐρδίνα λογισμοῖς τὸ γινόμενον. μὴ καταλύσῃς τὸ θαῦμα, * οὗ ὁ λόγ@ γνωρίζεται. εἰ τῶ γλυομένω γνώσεσθ@ ὁ λόγ@, ἐκέτι σημεῖον, ὐδὲ θαῦμα τὸ γεγονός. εἰ δὲ σημεῖον, ϗ θαῦμα, καταλιπὼν λογισμὸς, τλιὼ πίστιν ἀνάλαβε, ὁμολογῶν ἕνα κύριον Ἰησοῦν Χριστὸν, ϗ Θεὸν, ϗ ἄνθρωπον τὸν αὐτὸν. ὐδὲ ἐπινοίαις, ὐδὲ λογισμοῖς διϊσάμενον· ἵνα μὴ τὰ ἑνωθέντα λογισμοῖς διασήσαντες, οἰκονομίαν σωτήριον ἀρνησόμεθα. εἰ γὰρ ἕνωσις Θεοῦ, ϗ ἀνθρώπω διὰ τῆς οἰκονομίας γνωρίζεται, ὁ τλιὼ ἕνωσιν διασήσας, τλιὰ οἰκονομίαν ἠρνήσατο. πισδώσωμεν οὖν τῇ οἰκονομίᾳ, τοῖς θαύμασιν, ἵνα πισδεὶς ὁ Χριστὸς, τοῖς ὁμολογοῦσι ταύτλω τλιὰ χάριν, βασιλείαν οὐρανῶν δωρήσηται· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

ΤΟΥ ΑΥΤΟΥ ΘΕΟΔΟΤΟΥ

Ἀγκύρας ὡραῖος λόγος πάνυ, ἀναγνωσθεὶς ἐν τῇ συνόδῳ ἐπὶ τοῦ ἐπισκόπου Κυρίλλου, εἰς τλιὼ * γέννησιν τοῦ σωτῆρος. * γέννησιν.

ΛΑΜΠΡΑ τῆς παρούσης ἑορτῆς ἡ ὑπόδεσις, ϗ κοινλιὼ σωτηρίαν τοῖς ἀνθρώποις κομίζουσα· λαμπρὸς δὲ ϗ ὁ παρὼν σύλλογ@, δ'ιχαίσως τλιὼ χάριν ὑποδεχόμεν@. ϗ δίδοται * δαψιλῶς ἡ χάρις τοῖς μετ' δ'ικαιοσύνης αὐτλιὼ ὑποδεχομένοις. ποσὸν γὰρ τὸ μέτρον τῆς δωρεᾶς παρέχεται, ὅσον τὸ μέγδ@ τῆς δ'ικαιοσύνης ἐστὶ τῶ κομιζομένων τλιὼ χάριν. ὡς ὅταν λαβὼν δωρεὰν δ'ικαιοσύνης τῷ δεδωκότι, οὐκ ἀντέδωκας ὑπὲρ ὧν ἔλαβες μόνον, ἀλλὰ ϗ ὀφειλέτλιω σοι πλειόνων τὸν δοτῆρα πεποίηκας. δ'ικαίσως οὖν προσδέξασθε τλιὼ χάριν, λαμπρὰν ἡμῖν ταύτλω τλιὼ πανήγυριν ἐπιδείξαντες. ὑπόδεσις δὲ τῆς ἑορτῆς ἐμφάνεια Θεοῦ πρὸς ἀνθρώπους ἐστίν.

σίν · ἐπιδημία τῷ ἀεὶ παρόντες · ἐφισασία * τῷ τὰ πάντα πληροῦντ@ · ἐποψία * τῷ τὰ πάντα ὁρῶντ@ . εἰς τὰ ἴδια ἦλθε, φησὶ, κ᾽ οἱ ἴδιοι αὐτὸν ὐ παρέλαβον . μᾶλλον δέ , ἐν τῷ κόσμῳ ἦν , κ᾽ ὁ κόσμ@ δι᾽ αὐτοῦ ἐγένετο , κ᾽ ὁ κόσμ@ αὐτὸν ὐκ ἔγνω . ἀλλ᾽ ὐ τῆς τοῦ * ἀνθρώπων κατηγορίας ἡ ἄγνοια αὕτη . διὰ γὰρ θεότητα φύσεως ἀνέφικτ@ λογισμοῖς ἀνθρωπίνοις ἐστὶν ὁ Θεός . ὐ πέφυκε γὰρ νῦς ἀνθρώπων αὐτὸν καθορᾶν . διαδιδράσκει τοῦ ἀνθρώπων τὸν νοῦν ἡ θεία φύσις · ὑψηλοτέρα τοῦ ἡμετέρων ἐστὶ λογισμῶν . ζημιώμεθα οὖν ἐξ ἀμείνον@ φύσεως θεογνωσίαν , ὅπερ ἵνα μὴ γένηται , ἀναλαμβάνει φύσιν ὁρωμένην ὁ ἀόρατ@ · δέχεται σῶμα ψηλαφώμενον ὁ ἀφὴ μὴ κρατούμεν@ . ὁ ἀόρατ@ Θεὸς , ὁρώμεν@ γίνεται . ὁ λόγ@ ψηλαφᾶται · ὁ μονογενὴς τοῦ Θεοῦ παῖς , συγγενὴς τοῦ δούλων γίνεται , ἵνα μὴ διαλάθῃ * τὴν γνῶσιν τοῦ ἀνθρώπων ἡ ὑπερβαίνουσα τὸν * ἄνθρωπον φύσις . κ᾽ μὴ νομίσῃς ἀλλότριον τοῦ Θεοῦ τὸν υἱὸν γενόμενον · πάλαι γὰρ ἡ Θεοῦ παρουσία προεμελετᾶτο · κ᾽ τοῖς τύποις ἀεὶ τοῖς ἀνθρωπίνοις ἐγνώσθη φαινόμεν@ , ὕλαις κεχρημέν@ ὁρᾶσθαι παρ᾽ ἡμῶν δυναμέναις . ἐπεὶ παραγένωμαι Ἰουδαί@ εἰς μέσον , * ἐλθέτω ὁ διαπίστων τῇ τοῦ Θεοῦ ἐμφανείᾳ , φανείσῃ τοῖς ἀνθρώποις ἐν ἀνθρώπου φύσει . λεγέτω μοι , πῶς Μωϋσῆς εἶδε Θεόν . τὴν φύσιν εἶδε τὴν ἀόρατον ; ὐδαμῶς . ἀνέφικτ@ γὰρ αὕτη λογισμοῖς ἀνθρωπίνοις . πῶς δὲ εἶδεν ; εἰπέ . εἶδεν ἐκ τῆς βάτου ἀνακαιομένου πῦρ , καὶ τὴν βάτον * ὐ φθειρόμενον . διὰ τί οὖν ἀπιστεῖς τῇ ἐκ παρθένου γενημένῳ , κ᾽ τὴν * παρθενίαν μὴ φθειράντι ; ἢ σὺ μὲν ἀκούων ὅτι ἐκ βάτου φθέγγεται Θεὸς , κ᾽ λέγει Μωϋσῇ · ἐγὼ ὁ Θεὸς Ἀβραάμ , καὶ ὁ Θεὸς Ἰσαάκ , κ᾽ ὁ Θεὸς Ἰακὼβ , κ᾽ ὅτι πεσὼν Μωσῆς προσκυνεῖ , πιστεύεις . ὐ λογιζόμεν@ , τὸ πῦρ τὸ ὁρώμενον , ἀλλὰ Θεὸν τὸν φθεγγόμενον · ὅταν δὲ μήτρας παρθενικῆς μνημονεύσω , βδελύσσῃ , κ᾽ * ἀποστρέφῃ ; τί γὰρ ἀτελέστερον , εἰπέ , βάτος , ἢ μήτρα παρθενικὴ καθαρὰ τοῦ ἁμαρτίας παθῶν ; ὐκ οἶδας ὅτι τὰ ἀρχαῖα μελέτη τοῦ νεωτέρων , κ᾽ τοῦ νῦν γενομένων ἐστί ; τὰ γὰρ μυστήρια προτυποῦται διὰ τοῦ παλαιῶν . διὰ τοῦτο βάτ@ ἀνάπτεται , πῦρ φαίνεται , καὶ τὰ πυρὸς ὐκ ἐνεργεῖ · ὅτε * κολάζει . ἆρα ἐν τῇ βάτῳ ὐχ ὁρᾷς τὸν παρθενίαν ; ἆρα ἐν τῷ πυρὶ ὐ βλέπεις τὸν φιλανθρωπίαν τοῦ παραγενομένου ; ὁ χειτὴς ἐν τοῖς χειμομένοις , κ᾽ χείσις ὐ γίνεται . ὁ δικαστὴς ἐν τοῖς κατηδίκοις , καὶ ὐδαμοῦ τιμωρία . ὁ χειτὴς ἐπέστη ὐ χείμων , ἀλλὰ * διδάσκων · ὐ κατηδικάζων , ἀλλ᾽ ἰατρεύων . ὁρᾷς πῶς ἐκεῖνο τὸ * ἤμερον πῦρ τοῦτο φιλανθρωπίαν ἐμιμήσατο ; μὴ θαυμάσῃς , εἰ διὰ μήτρας παρθενικῆς Θεὸς ὢν τέτκται · * ὐδὲ γὰρ ὕβρει ἡγεῖται Θεὸς , ὁ * προέκνους ἐστὶ σωτηρίας τῆς ἀνθρωπίνης . σὺ δέ μοι μὴ ὅπως ἀτελῆ τοῦ φύσιν τοῦ Θεοῦ ὑπολάβῃς , ὡς κ᾽ ἐφικτοῦ ὕβρεσι γένηται ποτέ . ὐδὲ γὰρ , ὧν εἵλετο δι᾽ ἡμᾶς ἀτελῶν , ὑβρίζει τοῦ φύσιν ἐκείνου · οἰκειοῦται δὲ τὰ ἐλάττονα , ἵνα σώσῃ τοῦ φύσιν τοῦ ἡμετέραν · ὅταν οὖν τὰ μοῦ ἀτελῆ τοῦ μαχαίρᾳ Θεοῦ τοῦ φύσιν μὴ ἐνυβρίζῃ , σωτηρίαν τε ἀνθρώποις ἐργάζηται , ὡς ἐρεῖς , τὰ αἴτια τῆς ἡμῶν σωτηρίας ὕβρεως προῆκται τῷ Θεῷ γεγονέναι ; ὥφθη τοίνυν Θεὸς σήμερον διὰ τῆς παρθένου , ἡ παρθένος ἔμεινε παρθένος , κ᾽ μήτηρ ἐγένετο . ὁ γὰρ ἀφθαρσίας προέκνους , φθορὰν ὐκ ἐργάζεται · ὁ ποιητὴς ἀφθαρσίας ὐδὲ διέφθειρεν .

Ἐπειδὴ δὲ κ᾽ Φωτεινὸς ψιλὸν ἄνθρωπον λέγει τὸν γεγαμημένον , * μὴ λέγων Θεοῦ εἶναι πάχον , κ᾽ τὸν ἐκ μήτρας προελθόντα , ἄνθρωπον * ὑποτίθεται διηρημένον Θεοῦ , λεγέτω μοι νῦν πῶς φύσις ἀνθρωπίνη διὰ μήτρας παρθενικῆς τικτομένη , * τοῦ παρθενίαν τῆς μήτρας ἐφύλαξεν ἄφθαρτον ; ὐδενὸς γὰρ ἀνθρώπου μήτηρ παρθένος μεμένηκεν . ὁρᾷς πῶς διττοῦ σύνοιαν περὶ τοῦ τεχθέντος παρέχει μοι τὸ γεγαμημένον ; εἰ μὲν γὰρ καθ᾽ ἡμᾶς ἐτέχθη , ἄνθρωπος ἦν · εἰ δὲ τοῦ μητέρα παρθένον ἐφύλαξε , Θεὸς ὁ τεχθεὶς τοῖς εὖ φρονοῦσι γνωρίζεται . Θεὸς γὰρ ἐπεδήμησε τῷ κόσμῳ , ὐ τόπον ἐκ τόπου μεταβάς , ἀλλὰ φύσιν πειθέμενος τοῦ ἐμοῦ · κ᾽ ὡς εἶπον , ὀφθῆναι θελήσας ὁ τοῦ φύσιν ἀόρατ@ . ὥστε ὐκ ἔχει ἀρχὴν τοῦ εἶναι Θεὸς ἐκ τοῦ πάχους , ἀλλὰ τοῦ φανῆναι ἀνθρώποις . ἐπειδὴ γὰρ Θεὸς ἦν , ἄνθρωπος γενέσθαι προείλετο διὰ φιλανθρωπίαν τοῦ περὶ ἡμᾶς , ἵνα ἡμεῖς τὸν * κτίσιν , ὡς συγγενῆ περιπτυξώμεθα · ἵνα ἔχωμεν παῤῥησίαν , οἱ ἐξ οἰκείων κατορθωμάτων παῤῥησίαν οὐκ ἔχοντες . ἐπὶ γὰρ τοῦ βήματος ἀχθέντες οἱ ἐξ οἰκείων ἀρετῶν μὴ παῤῥησιαζόμενοι , ὡς ἐκ συγγενοῦς ἰδίου καρποῦται τοῦ παῤῥησίαν . τί οὖν ; ἐπιδημεῖ Θεὸς ὡς ἄνθρωπος , ὐ τόπον ἐκ τόπου ἀμείβων · ἀλλὰ τοῦ ἀόρατον φύσιν ἐπιδεικνὺς ὁρατοῦ . κ᾽ ὀφθεὶς ὡς ἄνθρωπος , κ᾽ συγγενὴς ἀνθρώποις φανείς · καθὼς κ᾽ ὁ διαγγελιστὴς ἀνακηρύττει λέγων · ὅτι ὁ λόγος σὰρξ ἐγένετο . καὶ πῶς φησὶν , ὁ λόγ@ ἐγένετο σὰρξ ; πῶς δυνατὸν τὸν Θεὸν λόγον γενέσθαι ἄνθρωπον ; ἐρωτᾷς τὸν τρόπον τοῦ τῶν Θεοῦ θαυμάτων ; εἰ ἐφικτὸν ἦν ἡμῖν τὸ ἀκατάληπτον τοῦ λόγου , ὐκ ἦν θαῦμα , ἀλλὰ κατὰ φύσιν πρᾶγμα . εἰ δὲ θαῦμα κ᾽ σημεῖον τὸ γενόμενον , παραχωρεῖ τὸν λόγον τῷ θαυματουργοῦντι δεσπότῃ . ὅτι γὰρ ἐγένετο , γνῶναί σε βούλομαι , κ᾽ τὸ ἐκ τοῦ γενομένου κέρδος τῇ πίστει καρπώσασθαι · πῶς δὲ γέγονε , τῷ ἐνεργοῦντι παραχωρεῖ . ἢ σὺ τῷ μὲν ἰατρῷ πιστεύεις προσάττοντι , κ᾽ ὁ περιεργάζῃ τὸν τρόπον τῆς θεραπείας , πιστεύων τῇ τέχνῃ τοῦ σαυτοῦ σωτηρίαν · ἀλλ᾽ οὐδὲ ἄλλος τίς ἄτεχνος ὢν τὸν τοῦ πεπαιδευμένου περιεργάζεται τρόπον . ἀλλὰ γνωρίζει μὲν τὸ γενόμενον , τὸν δὲ τρόπον τῇ τέχνῃ παραχωρεῖ · σὺ δὲ πάντων τῶν ὑπὸ τοῦ Θεοῦ πεθαυματουργημένων τοὺς λόγους ἐπιζητεῖς , ὡς χρῄζων τοῦ λόγου ; ἵνα τὰ αὐτὰ τῷ Θεῷ θαυματουργῇς κ᾽ σύ ; ἀλλ᾽ ὅπερ ἔλεγον , κ᾽ νῦν λέγω · πράγματος , ὃ τὸν λόγον ἐπιγινώσκομεν , τοῦτο ἡ φύσις ὐ θαῦμά ἐστιν , οὐδὲ σημεῖον . τοσοῦτόν τί ἐστιν , ὃ λέγω . εἰκοδόμος κτίζει οἶκον · τὸν λόγον γινώσκομεν , τὸν εἶλας

* τῇ πάντα. * τῇ πάντα. Ἰουδ. 1.
* γνῶσιν τοῦ φύσιν τοῦ ἀνθρώπου.
* ἀνθρωπεν κ᾽ μή.
* ἄλλον.
* τοῦτο.
Ἐξοδ. 33. 22.
Ἐξοδ. 3. 22.
* μὴ καῖον.
* παρθένον.
* μὴ κολάζει.
* διδάσκων.
* ἤμερον μυστήριον.
* ὐδέ.
* προέκνους σωτηρίας ἀνθρώπου ἐστί.
* θεοῦ μή. τοῦ ἄλλου τὸν τόπον.
* διηρημένου θεοῦ.
* τοῦ παρθενίαν τοῦ μήτρας.
[illegible]

ὕλας συντεθείσας γνωρίζομεν, λέγειν τὸ γεγενημένον δυνάμεθα. εἰ καὶ δι' ἀτεχνίαν ἐνεργεῖν οὐκ ἐσμὲν ἱκανοί. ἔπλασε τῷ ἐκγεννετῆς τυφλῷ ὀφθαλμοὺς ὁ μονογενὴς τοῦ Θεοῦ λόγος ἐκ πηλοῦ· τοῦτο ὑπὲρ λόγον ἐστὶ τὸν ἡμέτερον. θαῦμα καλεῖται, λογισμοῖς ἀνθρώπων οὐκ ἐρευνώμενον. σημεῖον καλεῖται ὑπὲρ τὴν συνήθη φύσιν γεγενημένον· καὶ ὅτι μὲν ἐγένετο, ἴσμεν, τὸν δὲ τρόπον λέγειν οὐκ ἔχομεν. ἐκ πηλοῦ μὲν γὰρ κέραμος, καὶ πλίνθος κατασκευάζεται, οὐκ ὀφθαλμὸν εὐγένεια πράττεται, οὐχ ὑμένες λεπτοὶ γίνονται, οὐχ ὁράσεως ποικιλία συνίσταται, οὐ περιφερείας ἀκρίβεια μετὰ τοσαύτης εὐχροίας τορνεύεται· πηλὸς οὐ πέφυκεν εἰς ὀφθαλμῶν ἀνάγεσθαι εὐγένειαν. οὐκοῦν ὅπερ ἡ φύσις τῆς γῆς οὐκ ἐπιδέχεται, οὐ γὰρ πέφυκεν ἐπιδέχεσθαι ὀφθαλμοῦ τὴν ἰδέαν, ταύτην ἐδέξατο τοῦ θαυματουργοῦντος πρὸς τὸ ἑαυτοῦ θέλημα τὴν φύσιν ἑλκύσαντος, οὐκ αὐτοῦ δουλεύοντος τῷ λόγῳ τῆς φύσεως. μηκέτι οὖν εἰς ἀσθένειαν ἀνθρωπίνης καταπίπτε φύσεως. μηδὲ λέγε· πῶς ἀνθρώπου φύσις ἐχώρησε τὸν Θεόν; πῶς Θεὸς γέγονεν ἄνθρωπος; πῶς Θεὸς λόγος σὰρξ ὁρωμένη γεγένητε; ἀλλ' ὅτι μὲν γέγονε, πίστευε· τὸν δὲ τρόπον εἰδέναι, δὸς τῷ πεποιηκότι· εἰ δὲ θέλεις καὶ ἐξ ὑποδείγματος σαφηνίσαι τὸ προκείμενον, ἐγὼ δείξω σοι, πῶς τὸ ἀσώματον σωματοῦται, τὸ ἀόρατον ὁρᾶται, τὸ ἀψηλάφητον ψηλαφᾶται, οὐ τῇ οἰκείᾳ φύσει μεταβληθὲν, ἀλλὰ ἀναλαβὸν σχῆμα ὁρώμενον, καὶ ψηλαφώμενον. ὁ λόγος οὗτος, ὁ προφορικὸς ἐκ τῶν ἀνθρώπων φημὶ, ᾧ κεχρημένοι ἀλλήλοις τε συγγινόμεθα, καὶ τὰ ἐνθύμια ἀλλήλοις ἑρμηνεύομεν, λόγος ἐστὶν οὐχ ὁρώμενος, ἀλλ' οὐδὲ χειρὶ ψηλαφώμενος, ἀκοῇ δὲ μόνον ἐνηχούμενος· ἀλλ' ἐπειδὰν τὸν προφορικὸν λόγον ὑπόδειγμα τοῦ ἐνυποστάτου Θεοῦ λόγου φέρω, μὴ νομίσῃς με προφορικὸν λέγειν τὸν Θεὸν λόγον· ἄπαγε. λόγος γὰρ εἴρηται ὁ μονογενὴς, ἑρμηνευούσης τῆς θείας γραφῆς τὸ ἀπαθὲς αὐτοῦ τῆς γεννήσεως. ἐπειδὴ καὶ νοῦς ἀνθρώπων ἀπαθῶς τίκτει τὸν λόγον. διὰ τοῦτο ὅπου μὲν υἱὸν αὐτὸν προσαγορεύει τοῦ πατρὸς, ὅπου δὲ λόγον ὀνομάζει, ἑτέρωθι ἀπαύγασμα καλεῖ ἡ θεία γραφή· ἕκαστον τούτων τῶν ὀνομάτων περὶ αὐτοῦ λέγουσα. ἵνα νοῇς τὰ περὶ Χριστοῦ λεγόμενα, βλασφημίας ἐκτός. ἄλλοτε γὰρ ἄλλαις περὶ αὐτοῦ προσηγορίαις ἐχρήσατο, ἡρμοσμένην δόξῃ Θεοῦ τὴν διδασκαλίαν ποιήσασθαι θέλουσα. οἷόν τί ἐστιν ὃ λέγω. υἱὸν καλεῖ τοῦ πατρὸς * μονογενῆ, τὸ ὁμοούσιον τῇ δόξῃ παραστῆσαι θελήσασα· ἐπειδὴ γὰρ ὁ σὸς υἱὸς τῆς αὐτῆς σοι φύσεως γεγένηται, βουλόμενος ὁ λόγος μίαν οὐσίαν δεῖξαι πατρὸς, καὶ υἱοῦ, λέγει υἱὸν τοῦ πατρὸς, τὸν ἐξ αὐτοῦ * γεννηθέντα μονογενῆ. εἶτα ἐπειδὴ γέννησις, καὶ υἱὸς ἐφ' * ἡμῖν ἔμφασιν παρέχει τοῦ κατὰ τὴν γέννησιν πάθους, τοῦτον τὸν υἱὸν προσαγορεύει καὶ λόγον, τὸ ἀπαθὲς τῆς γεννήσεως τῷ ὀνόματι τούτῳ δηλῶν. ἀλλ' ἐπειδὴ πατήρ τις γενόμενος, ὡς ἄνθρωπος, ὁμολογουμένως πρεσβύτερος τοῦ ἰδίου υἱοῦ ἐπιδείκνυται, παρεχούσης τῆς προσηγορίας * αὐτῆς, προεπινοεῖν τοῦ υἱοῦ τὸν πατέρα, ἵνα μὴ αὐτὸ καὶ ἐπὶ τῆς θείας φύσεως ὑπολάβῃς, συνυπάρχοντα δὲ τῷ πατρὶ τὸν μονογενῆ νοήσῃς διηνεκῶς, ἀπαύγασμα καλεῖ τὸν μονογενῆ τοῦ πατρός. τὸ γὰρ ἀπαύγασμα τίκτεται μὲν ἐξ ἡλίου, οὐδαμῶς δὲ νοεῖται ἡλίου μεταγενέστερον· ἀλλ' ἀφ' οὗπερ ὁ ἥλιος, ἐκ τότε καὶ τοῦ ἡλίου τικτόμενον τὸ ἀπαύγασμα νοοῦμεν. τὸ οὖν συνυπάρχειν ἀεὶ τῷ πατρὶ τὸν υἱὸν, μηνυέτω σοι τὸ ἀπαύγασμα· τὸ ἀπαθὲς τῆς γεννήσεως δηλούτω ὁ λόγος. τὸ ὁμοούσιον ὁ υἱὸς γνωριζέτω.

Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον, καὶ τοῦ σήμερον τεχθέντος Θεοῦ λόγου δηλώσωμεν τὴν ἐμφάνειαν, καὶ διὰ ὑποδείγματος ἐπιδείξωμεν, πῶς τὸ τῇ φύσει μὴ ὁρώμενον, ὁρώμενον γίνεται, καὶ τὸ μὴ ψηλαφώμενον δι' ἀσώματον φύσιν, εὑρίσκεται ψυλαφώμενον. ὁ λόγος τοίνυν οὗτος, ὃν προφέρομεν ταῖς πρὸς ἀλλήλους ὁμιλίαις, ᾧπερ κεχρήμεθα, λόγος ἐστὶν ἀσώματος, οὐ τῇ ὄψει φαινόμενος, * οὐχ ἁφῇ ψηλαφώμενος· ἀλλ' ἐπειδὰν ὁ λόγος ἐνδύσηται γράμματα, καὶ στοιχεῖα, φαινόμενος γίνεται, ὄψει καταλαμβάνεται, ἁφῇ ψηλαφᾶται. ὑπόθου γάρ μοί τινα φθεγγόμενον πρὸς τινά· μὴ ὁ προϊὼν ὁρᾶται λόγος; μὴ τῇ χειρὶ ψηλαφῶμεν τὸν προχεόμενον λόγον; ἐὰν δὲ ἃ εἶπεν, ἐν χάρτῃ γράψῃς, ὃ πρότερον οὐχ ἑώρας, ὕστερον ὁρᾷς. καὶ ὅπερ οὐκ ἐψηλάφας πρότερον εἶδος τοῦ λόγου, τοῦτο διὰ τοῦ χάρτου ψηλαφᾷς καὶ τῶν γραμμάτων. τίνος ἕνεκεν; ὅτι ὁ ἀσώματος λόγος τὸ σῶμα τοῦ χάρτου, καὶ τὸ σχῆμα τῶν στοιχείων ἐνδέδυται. οὐκοῦν ἐπειδὴ σαφὲς τὸ ὑπόδειγμα γέγονε, καὶ ὑπεμνήσθης τῷ ὑποδείγματι τῷ γενομένῳ κατὰ συνήθειαν, φέρε δείξωμεν πῶς ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς λόγος, ὁ προαιώνιος * συνὼν τῷ πατρὶ, ἀσώματος ὢν τὴν φύσιν, ἀνθρώπου φύσιν οἰκειωσάμενος ὕστερον, ἐτέχθη διὰ παρθένου, οὐκ ἀρχὴν λαβὼν τοῦ εἶναι Θεός, ἀλλ' ἀρχὴν λαβὼν τοῦ φανῆναι ἄνθρωπος. μὴ γὰρ εἴπῃς· ἐπειδὴ παρὰ τοῦ πατρὸς γεγένηται ὁ μονογενὴς, πῶς ἐτέχθη πάλιν ἐκ παρθένου; ἐκ τοῦ πατρὸς γεγένηται τῇ φύσει, ἐκ παρθένου γεννᾶται δι' οἰκονομίαν· ἐκεῖνο ὡς Θεὸς, τοῦτο ὡς ἄνθρωπος. ἐπεὶ καὶ ὁ σὸς λόγος γένημά ἐστι τῆς σῆς διανοίας. ἀλλ' ἐπειδὰν τὸν λόγον τοῦτον, ὃν ἔτεκεν ὁ σὸς νοῦς, ἐνθεῖναι θελήσῃς καὶ στοιχείοις, καὶ γράμμασι, καὶ ἐντυπῶσαι βουληθῇς τῷ χάρτῃ, χειρὶ γράφεις τὰ γράμματα· καὶ τρόπον τινὰ πάλιν διὰ τῆς χειρὸς τίκτεις τὸν λόγον, οὐ τότε λαβόντα τὴν ἀρχὴν τοῦ εἶναι, ὅτε διὰ χειρὸς ἐγράφη· οὐδὲ τότε προελθόντα εἰς τὸ εἶναι, ὅτε ἡ χεὶρ * ἐτύπου τὰ γράμματα· ἀλλ' ἐκ μὲν τοῦ νοῦ γεγένηται, τοῦ δὲ φανῆναι τὴν ἀρχὴν ἐκ τῆς χειρὸς ὁ λόγος ἐδέξατο τυπούσης τὰ γράμματα. ἐπεὶ οὖν τὸ ὑπόδειγμα σαφὲς, καὶ ἡ εἰκὼν γνωριμωτάτη γεγένηται, φέρε τῷ * πρωτοτύπῳ ἐφαρμόσωμεν τὴν εἰκόνα· ὧδε νοῦν, ἐκεῖ νόει πατέρα· ὧδε λόγον ἐκ τοῦ νοῦ γινώσκεις τικτόμενον, ἐκεῖ λόγον οὐσιώδη,

* τὸν μονογενῆ.
* γεγεννημένον.
* ἡμῶν.
* αὐτῆς προσηγορίας βούτερον προσεπινοεῖν τοῦ.
Ἑβρ. ε.
* οὐ τῇ ἁφῇ
* συνὼν τῷ πατρί.
* ἐκετύπου.
* πρωτοτύπῳ.

δη, καὶ ἐνυπόστατον νόει. ἐκ τοῦ πατρὸς γεγεννημένον· ὧδε χεῖρα βλέπεις διὰ γραμμάτων τίκτουσαν λόγον, ἐκεῖ νόει παρθένον διὰ τοῦ σώματος τὸν λόγον ὀδίνουσαν· οὐχὶ τὴν ἀρχὴν * θεότητος δοῦσαν διὰ τοῦ τόκου· μὴ γένοιτο· ἀλλὰ τὸ φανῆναι Θεὸν ἀνθρώποις γενόμενον ἄνθρωπον. ἐπειδὴ γὰρ ἐγένετο ὅπερ ἐγὼ, ἀναγκαίως ἐτέχθη καθάπερ * κἀγὼ, μετὰ τῆς ἐμῆς φύσεως καὶ τὸν ἐμὸν τόκον ἀναγκαίως αἱρούμενος. διὰ τοῦτο καὶ γέννησιν ᾠκειώσατο ὁ Θεὸς λόγος. καὶ μητέρα ἠσπάσατο τὴν παρθένον· καὶ διὰ μήτρας ἦλθε κοσμουμένης τῇ παρθενίᾳ. οὐδὲν γὰρ, ὧν ἔπλασεν, ὁ Θεὸς βδελύσσεται· ἐπειδήπερ οὐδὲν ἀνάξιον αὐτοῦ τῶν ἔργων ἐγένετο. πάντα καλὰ, καὶ καλὰ λίαν. ἐὰν ταῦτα ἴδωμεν ὡς ὁ πλάστης εἶδε γεγενημένα. εἶδε γὰρ ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. ἀπαθέσι βλέπε πάντα τοῖς ὀφθαλμοῖς, καὶ εἰ ὡς ὁ Θεὸς αὐτὰ βλέπεις, λίαν καλά· ἐξόρισον τὸ πάθος, καὶ γνωρίσεις τὴν εὐγένειαν τοῦ γενομένου· τί οὖν θαυμαστὸν, εἰ ἐν ἰδίῳ ἔργῳ, καὶ οἴκῳ κατεσκήνωσεν ὁ Θεός;

* θεότητι.
* ἐγώ.
Γενέσ. 1. 14.

Σὺ δὲ λέγεις, ἀξίως μὲν αὐτὸν ἐν οὐρανοῖς κατοικεῖν· ἀναξίαν δὲ μονὴν αὐτοῦ τὸν ἄνθρωπον οἴει, κρίνων τὰ πράγματα οὐ τῇ ἀληθείᾳ τῶν λόγων, ἀλλὰ τῷ πάθει, καὶ τῇ προλήψει. τί γὰρ ὑψηλότερον, εἰπέ μοι, οὐρανὸς, ἢ ἄνθρωπος; μὴ γάρ μοι τῇ τῶν στοιχείων πρόχης λαμπρότι τι, μηδὲ διὰ τὴν εὔχροια προκρίνης τὴν φύσιν· μηδὲ τὴν ἐκπηδῶσαν μαρμαρυγὴν τοῦ ἡλίου καταπλαγῇς, μηδὲ, ὅτι ἐγὼ δέρμα τε, καὶ κρέας ἐνδέδυμαι κατὰ τὸν θεῖον Ἰώβ· ἀλλὰ λογικῆς ψυχῆς τὴν εὐγένειαν σκόπησον, βλέπε τὴν ἀνθρώπου κατασκευὴν, καὶ θαύμασον τὸ ζῶον. νοῦν ἔχει πάντων ζώων κρατεῖν τε, καὶ ἄρχειν δυνάμενον· χεῖρας ἔλαβεν ὑπηρετουμένας τοῦ νοῦ τῇ σοφίᾳ, ὄργανα παντοδαπῆς τέχνης δημιουργά. μόνον τῶν κτισθέντων πάντων ἐλεύθερον ἀνάγκης γέγονε· κύριον γνώμης ἰδίας μόνον τὸν ἄνθρωπον ἔκτισεν ὁ Θεός. οὐχ ὁρᾷς ἥλιον ἠναγκασμένους τρέχοντα δρόμους; οὐ βλέπεις μονοειδῆ αὐτοῦ τὴν φοράν; διὰ τί; ἐπειδὴ γνώμης ἰδίας οὐ γέγονε κύριος. σὺ δὲ προέρχῃ ἐλεύθερος. πράττεις ὃ βούλει, οὐκ ἔχεις ἀνάγκην ὠθοῦσάν σε βίᾳ, ἐλεύθερος τῇ ψυχῇ κατέστης. ἥλιος δοῦλος ἀνάγκης. ἄνθρωπος δὲ τὴν γνώμην ἐλεύθερος. τίς οὖν ἀμείνων εἰπέ μοι, ὁ δοῦλος, ἢ ὁ ἐλεύθερος; ὁ ὑπὸ ζυγὸν ἀνάγκης, ἢ ὁ πάσης ἀνάκης * ἀπόλυτος; οὐδὲν θαυμαστὸν, οὐδὲ παράδοξον, εἰ ἐν ἀνθρώπῳ ᾤκησεν ὁ Θεὸς, ὃν ἰδίαν εἰκόνα εὐθὺς πλάσας ἠσπάσατο. τὴν γὰρ περὶ τὸν ἄνθρωπον πρόθεσιν ὁ Θεὸς εὐθὺς ἐν προοιμίοις τῆς κτίσεως ἐπεδείξατο. χοῦν μὲν λαβὼν ἀπὸ τῆς γῆς, καὶ πλάσας αὐτόν· εἰκόνα δὲ κατασκευάσας τῆς ἰδίας θεότητος. διὰ τί οὖν ὃν ἔμελλε τῇ κατασκευῇ τιμᾷν, οὕτως ἐξ εὐτελοῦς φύσεως ἔπλασε; διὰ τί μὴ ἀπὸ τῆς λαμπρότητος τοῦ ἡλίου λαβὼν, ἐποίησεν αὐτὸν τὸν ἄνθρωπον, ἀλλ' ἀπὸ γῆς, καὶ χοὸς αὐτὸν διαπλάττει, τοῦ κάτω κειμένου, καὶ πατουμένου στοιχείου; τίνος ἕνεκεν, θέλεις μαθεῖν; ἐπειδὴ τῇ ἑαυτοῦ εἰκόνι ἔμελλε τιμᾷν τὸν ἄνθρωπον, εὐτελῆ αὐτῷ δίδωσι τὴν φύσιν, ἵνα ἡ ὑπερβολὴ τῆς τιμῆς μὴ ἐπαίρῃ τὸν ἄνθρωπον εἰς ἀπόνοιαν· ἵνα ὅταν ὑπὲρ τὴν φύσιν τιμήσῃ, συσταλῇ τῇ μνήμῃ τῆς φύσεως, καὶ γνωρίσῃ τὸ μέγεθος τῆς τιμῆς, οὐ τῆς αὐτοῦ ἀξίας, ἀλλὰ τῆς χάριτος τοῦ δεδωκότος. οὐκοῦν καὶ τοῦτο φιλανθρωπία τοῦ κατασκευάσαντος ἦν, τὸ τὴν εἰκόνα τοῦ Θεοῦ ἐκ γῆς ἔχειν τὴν φύσιν· ἐνέχυρον γὰρ εἶχε τὴν φύσιν μετρίου φρονήματος. ὥστε εὐγενὲς ζῶον ὁ ἄνθρωπος, εἰ καὶ ὕστερον ὑβρίσθη τοῖς ἐπισελθοῦσι παθήμασι. μὴ γὰρ αὐτὸν ἴδης προσκεκρουκότα, ἀλλὰ πρὸ τῆς παραβάσεως τοῦ νόμου τῆς εἰκόνος τοῦ Θεοῦ τὴν εὐγένειαν λόγισαι. τί οὖν ἐξευτελίζεις τὸν ἔκπτωτον, τῆς πρώτης αὐτοῦ κατασκευῆς ἐπιλελησμένος, καὶ τὴν τιμὴν τὴν ἀρχαίαν οὐ λογιζόμενος, ἣν αὐτῷ πάλιν μετὰ πολλῆς τῆς φιλοτιμίας * ἀποδέδωκεν ὁ Θεὸς, ἐνώσας ἑαυτῷ τὴν ἰδίαν εἰκόνα; οὐδὲν οὖν ἀπᾶδον τῆς ἐκείνου φιλανθρωπίας ἐγένετο. οὐδὲ γὰρ ἐφύβριστον ἀγαθῷ δεσπότῃ, κοινωνῆσαι δούλῳ τῶν δουλικῶν εἰς ὠφέλειαν οἰκέτου. οὐ γὰρ ὑβρίζεται τούτοις ὁ ἀγαθὸς, ἀλλ' ὅπερ ἐστὶ, διὰ τῶν τοιούτων γνωρίζεται. καὶ μὴ θαυμάσης * τοῦ πράγματος· καὶ γὰρ νῦν, ἐὰν σεαυτὸν οἶκον κατασκευάσης Θεοῦ, καὶ ἐν σοὶ κατοικεῖ, εἰ καὶ μὴ οὕτως ὡς ἐν τῷ Χριστῷ· ἐν Χριστῷ γὰρ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· ἀλλ' ὦ τοῦ θαύματος· πᾶν τὸ πλήρωμα τῆς θεότητος ἐν ἐνὶ σωματικῶς κατοικεῖ, καὶ πάντα πληροῖ, καὶ ὑπερέχει τὴν κτίσιν, ὅλος ὢν ἐν ἐνὶ, καὶ τῶν κτισμάτων οὐδενὸς χωριζόμενος. καὶ μὴ δή σοι τὸ εἰρημένον φαινέσθω ἀδύνατον· καὶ γὰρ κἀγὼ νῦν προφέρομαι λόγον· οὗτος ὁ λόγος ἐστὶν ἐν ἐνὶ, καὶ ἐν πᾶσιν ὁ λόγος γέγονε· καὶ ὅλον τὸν λόγον ἐχώρησεν εἷς, καὶ ὑπὸ πλήθους ὁ λόγος οὐ περιγράφεται. εἰ τοίνυν τὸ πρᾶγμα γινόμενον, καὶ φθειρόμενον καὶ ἐν ἐνὶ ὅλον οἰκεῖ, καὶ ἐν πᾶσι γίνεται, τί θαυμαστὸν σοι φαίνεται, εἰ Θεὸς καὶ ὅλος ἐν οὐρανῷ ᾤκησε, καὶ ἐν πᾶσιν εὑρίσκεται;

* ἐλεύθερος.
Γενέσ. 1. 34.
* ἀπέδωκεν.
* περὶ τοῦ.
Κολασ. 1. 91.

Ὑπόθεσις τοίνυν τῆς * νῦν πανηγύρεως, * τὸν Θεὸν γενέσθαι ἄνθρωπον, ἑλόμενον τὰ ἀνθρώπινα, ἵνα δῷ τὰ θεϊκά· καὶ οἰκειωσάμενον τὰ πάθη, ἵνα χαρίσηται τὴν ἀπάθειαν· ὑπεισελθόντα θάνατον, ἵνα τὴν ἀθανασίαν δωρήσηται· καὶ ἴδια τὰ τῶν ἀνθρώπων ἐκτήσατο πάθη, οὐ τὴν φύσιν μεταβαλλόμενος, τῇ δὲ γνώμῃ τοῦτο οἰκειούμενος· καὶ λίαν εἰκότως ταῦτα ποιεῖ, τὸν ἄνθρωπον σῶσαι προθέμενος. διὰ ποίαν οὖν αἰτίαν ἴδια τὰ πάθη τὰ τῶν ἀνθρώπων πεποίηται; ἐπειδὴ ἐβούλετο * πάθος πάθη ἀναιρεῖν, καὶ θανάτῳ καταργῆσαι θάνατον, καὶ διὰ τῶν ὁμοειδῶν τὰ ὁμοειδῆ καταπαλαῖσαι ἠθέλησεν· οἰκειοῦται τὸν σταυρὸν, ἰδιοποιεῖται τὸ ῥάπισμα, τὸν δεσμὸν ἑαυτοῦ πεποίηται. ἵνα Θεοῦ γενόμενα τὰ πάθη κατὰ παθῶν ἐξουσίαν λάβωσιν. οὔτε γὰρ φύσις Θεοῦ ἰδίκηται. οὐδὲ γὰρ μεταβολῇ ἰδίᾳ τὰ πάθη ἐδέξατο· καὶ τὴν ἰσχὺν παρὰ Θεοῦ τὰ πάθη κατὰ

* σήμερον.
* τὸ.
* πάθη.

τὰ τῶν ὁμοειδῶν λαμβάνει. λοιπὸν γὰρ ὁ θάνατος, ὡς Θεοῦ γενόμενος, καταργεῖ τὸν θάνατον· καὶ ἀποθανὼν λύει τὴν τυραννίδα τοῦ θανάτου. ἐπειδὴ καὶ Θεός, καὶ ἄνθρωπος ἦν. οὐ γὰρ ψυλὸν ἄνθρωπον ἐσταύρωσαν οἱ Ἰουδαῖοι, οὐδὲ τὴν ὁρωμένην μόνην καθήλωσαν φύσιν· ἀλλ' εἰς τὸν ἐν αὐτῇ Θεὸν ἤγαγον τὰ τολμήματα, τῆς ἡνωμένης φύσεως οἰκειωσάμενον τὰ πάθη. καὶ ἵνα σοι καὶ τοῦτο γένηται σαφὲς, ἐπὶ τὸ ἐν ἀρχῇ ῥηθὲν ὑπόδειγμα τὸν λόγον ἀγάγωμεν. κείσθω γὰρ βασιλέα φθέγγεσθαι λόγον. καὶ τοῦτον ἐντυποῦσθαι διὰ γραμμάτων χάρτῃ τινὶ, τὴν λεγομένην σάκραν ἐξαποστέλλειν ταῖς πόλεσι, λόγον ἠμφιεσμένον, καὶ χάρτη, καὶ γράμμασιν ἐλευθερίαν χαριζόμενον, ἢ ἄλλα δῶρα βασιλικὰ τοῖς δεομένοις κομίζοντα· ἀλλὰ ταύτην τὴν σάκραν, τὴν λεγομένην τῇ τῶν Ἰταλῶν φωνῇ, ὑποδεχέσθω ἄπιστός τις, καὶ ἀπειθὴς, καὶ τῆς πόλεως ἐχθρὸς, καὶ τοῦ βασιλέως πολέμιος, καὶ λαβὼν τὸν χάρτην διαῤῥηγνύτω. τί ἐῤῥάγη ἐν ταῦθα; εἰπέ μοι. ὁ χάρτης μόνος, ἢ καὶ ὁ λόγος ὁ βασιλικός: καὶ μὴν εἰ χάρτης μόνον διεῤῥάγη, αὐτῷ μόνον εὔωνον ἦν τὸ φθαρὲν, ἀνεύθυνος ὁ ῥήξας, ἢ πέντε ὀβολοῖς μόνοις ὑπεύθυνος ἦν· ἀλλὰ δίδωσι δίκην τὴν ἐσχάτην, καὶ τιμωρεῖται, καὶ τὴν ἐπὶ θάνατον ἄγεται, οὐχ ὡς χάρτην λυμηνάμενος μόνον, ἀλλ' ὡς καὶ λόγον διαῤῥήξας βασιλικόν. καὶ μὴν ὁ τοῦ βασιλέως λόγος ἐστὶν ἀπαθὴς, οὔτε * χερσὶ λαμβανόμενος τῇ ἑαυτοῦ φύσει, οὐδὲ διαῤῥαγῆναι δυνάμενος. ἀλλὰ καὶ αὐτὸς διεῤῥάγη, τοῦ χάρτου, καὶ τῶν γραμμάτων τὸ πάθος οἰκειωσάμενος. ὁρᾷς πῶς τὸ ἀπαθὲς δέχεται πάθος, ἐπειδὰν φύσει κοινωνήσῃ παθητικῇ; οὐδὲ γὰρ ὁ λόγος τῇ οἰκείᾳ φύσει διέῤῥηκτο· καὶ τὸ πάθος τοῦ χάρτου, καὶ τῶν στοιχείων ἐδέξατο. μὴ θαῤῥείτω τοιγαροῦν ὁ Ἰουδαῖος, ὡς ψιλὸν ἄνθρωπον σταυρώσας· τὸ γὰρ φαινόμενον χάρτης ἦν, τὸ δὲ ἐν αὐτῷ κρυπτόμενον, λόγος βασιλικὸς, ἐκ φύσεως οὐ διὰ γλώττης προενεχθείς. λόγος μὲν γὰρ ὁ μονογενὴς λέγεται, οὐ προφορικὸς δὲ, ἀλλ' οὐσιώδης, καὶ ἐνυπόστατος· οὐδὲν μὲν τῇ οἰκείᾳ φύσει πάσχων, ὢν ἀπαθὴς λόγος, ἴδια δὲ ποιούμενος τὰ τοῦ φαινομένου παθήματα. καὶ ὥσπερ ὁ βασιλικὸς λόγος καὶ τῶν γραμμάτων * τὴν φύσιν ἐδέξατο αὐτὸς, καὶ τὸ πάθος τοῦ χάρτου ἴδιον τοῦ λόγου γεγένηται, οὕτως ὁ μονογενὴς * Θεὸς λόγος τὰ τοῦ καθηλωθέντος ἴδια πεποίηται πάθη. διὰ τοῦτο ὥσπερ ὁ σάκραν βασιλικὴν λυμηνάμενος, ὡς βασιλέως ῥήξας τὸν λόγον, τὴν ἐπὶ θάνατον ἄγεται· οὕτως ὁ σταυρώσας Ἰουδαῖος τὸ φαινόμενον, δίκας δίδωσιν, εἰς αὐτὸν τὸν Θεὸν λόγον ἐκτείνας τὸ τόλμημα· ὁ γὰρ Θεὸς λοιπὸν ὡς ἴδιον πάθος ἐκδικεῖ τὸ γενόμενον. ἀλλ' ἱκανὰ τὰ εἰρημένα. ἐπειδὴ φροντίζειν δεῖ καὶ τῆς μνήμης τῆς ὑμετέρας· τὸ γὰρ πλῆθος τῶν λεγομένων, ὑπερβλύζον τῆς τῶν ἀκροωμένων ἐννοίας, ἀμνήμονα τὸν ἀκροατὴν τῶν εἰρημένων ποιεῖ. γένοιτο δὲ χάριτι Θεοῦ, καὶ τὰ εἰρημένα τῇ μνήμῃ ὑμᾶς περιλαβεῖν, καὶ ἑτέρους ἐκ τούτων ὠφελεῖν, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἀντὶ τούτων κληρονομεῖν. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Χριστοῦ· ὦ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

* ἐν χερσὶ

* τὴν ἴδιον

* τὸ Θεοῦ

* ΟΜΙΛΙΑ ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΚΥΡΙΛΛΟΥ Ἀλεξανδρείας, λεχθεῖσα ἐν Ἐφέσῳ, ἐν ἡμέρᾳ τοῦ ἁγίου Ἰωάννου τοῦ εὐαγγελιστοῦ.

* Τοῦ ἁγίου Κυρίλλου ἐξήγησις, λεχθεῖσα ἐν τῷ ἁγίῳ Ἰωάννῃ τῷ εὐαγγελιστῇ.

ΤΗΣ μὲν τῶν ἁγίων εὐκλείας τε, καὶ δόξης, ἐλάσσων ἐστὶ πᾶς λόγος· γεγόνασι γὰρ φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, κατὰ τὸ γεγραμμένον. ὅταν δὲ τὰ θεῖα λαλῶσι μυστήρια, πρέπον ἂν εἴη παρὰ πάντων λέγεσθαι πρὸς αὐτούς. οὐκ ἐστὲ ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς, τὸ λαλοῦν ἐν ὑμῖν· διεκήρυξαν γὰρ ἡμῖν τὸν Ἰησοῦν, τὸ φῶς τὸ ἀληθινὸν, τὴν ζωὴν τὴν αἰώνιον· ᾧ καὶ ἡμεῖς λέγομεν κατὰ τὴν φωνὴν τοῦ μακαρίου Δαυίδ· πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματί σου, ὕψιστε. * ἐπὶ μὲν γὰρ τῆς διὰ Μωσέως κρατούσης ἐντολῆς, οὔπω τῶν εὐαγγελικῶν κηρυγμάτων εἰσκεκομισμένων, γνωστὸς ἦν ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. ἰσχνόφωνος γὰρ, καὶ βραδύγλωσσος ἦν ὁ Μωσῆς. διὰ τοῦτο καὶ κατὰ μόνην ἠκούετο τὴν Ἰουδαίαν ὁ νόμος. ἐπειδὴ δὲ τὸ φῶς ἡμῖν ἐπέλαμψε τὸ ἀληθινὸν, καὶ παραπλησίως ἡμῖν μετέσχεν αἵματος, καὶ σαρκὸς Θεὸς ὢν ὁ λόγος, μεστὰ γέγονε τὰ πάντα αὐτοῦ. πανταχοῦ ναοὶ, καὶ θυσιαστήρια· πανταχοῦ χορευταὶ, καὶ προσκυνηταὶ, καὶ ποιμένες ἀγαθοὶ, καὶ λογικῶν θρεμμάτων ἀγέλαι, στενὰς ἀποφαίνουσαι τῷ πλήθει τὰς ἱερὰς αὐλάς. πρὸ μὲν γὰρ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας, ἐπὶ γῆς ἐπλανᾶτο τὸ γένος ἡμῶν· ἐλάτρευον τῇ κτίσει παρὰ τὸν κτίσαντα· προσκεκυνήκασι γὰρ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν, καὶ τῶν πλανωμένων ἑκάστῳ θεὸς ἦν τὸ δοκοῦν· ἀλλ' ἐπέφανεν ἡμῖν, ὡς ἔφην, ὁ μονογενὴς τοῦ θεοῦ λόγος, ὁ ποιμὴν ὁ καλὸς, ὁ ἀμνὸς ὁ ἀληθινὸς, ὃν ἡ ἁγία θεοτόκος, καὶ ἀπειρόγαμος Μαρία ἐκ παρθενικῶν ἡμῖν λαγόνων * ἐβλάστησε τὸ ζωοποιὸν βλάστημα, τὸν ἐνανθρωπήσαντα θεὸν, τὸν ἐλεύθερον ἐν δούλου μορφῇ· τὸν καθ' ἡμᾶς δι' ἡμᾶς, καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν δι' ἑαυτόν· τὸν ἐν ὑφέσει τῇ καθ' ἡμᾶς, καὶ ἐν δόξῃ θεοπρεπεῖ· τὸν ἑαυτὸν ταπεινώσαντα, καὶ συνθρόνον τῷ πατρί· τὸν ἑαυτὸν κενώσαντα, καὶ ἐκ τοῦ ἰδίου πληρώματος διανέμοντα τοῖς * ἰδίοις τὰ ἀγαθά· τὸν προσκυνοῦντα μεθ' ἡμῶν ἀνθρωπίνως, καὶ προσκυνούμενον ὡς θεὸν, οὐκ ἐν γῇ μόνον, ἀλλὰ καὶ ἐν τοῖς οὐρανοῖς· ὅταν γὰρ, φησὶν, εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτὸν πάντες ἄγγελοι θεοῦ· τίς οὖν ἄρα ἐστὶν ὁ εἰσβεβηκὼς εἰς τὴν οἰκουμένην; τίνα δὲ ὅλως εἰσκεκόμισται τρόπον; μυσταγώγησον εὐαγγελιστὰ, εἰπὲ καὶ νῦν ὦ μακάριε Ἰωάννη· υἱὸς * ἐκλήθης βροντῆς. μέγα τι, καὶ ἐξαίσιον κατεκτύπησας τὴν ὑπ' οὐρανόν· ἀθανάτους ἔχεις φωνὰς, καὶ λήθη, καὶ χρόνος τοῖς σοῖς παραχωροῦσι λόγοις. ἰδοὺ τοσαύτη ποιμένων ἄθροισις * ἦλθε παρὰ σοί. ἀποκύλισον ἡμῖν τὸν λίθον, ὡς ὁ μακάριος Ἰακὼβ τοῖς

Φιλίππ. 1.
Μάτθ. 10.
Ψαλμ. 4. 65.
* ἴσ. ἔτι
Ψαλ. 75.
Ἐξοδ. 4. 10
Ἑβρ. 2.
Ῥωμ. 1.
Γαλ. 10
* ἀπεκύησε
* ἐπεκλήθης
Μαρκ. 3.
Γεν. 29.
* ὅλη

τοῖς ποιμέσιν· ἀποκάλυψον τὸ φρέαρ τῆς ζωῆς· Ἡσαΐ. 12. δὸς ἀρύσασθαι καὶ νῦν ἐκ τῶν τοῦ σωτηρίου πηγῶν· μᾶλλον δὲ τὴν σὴν παράθες ἡμῖν πηγήν. οὐκοῦν Ἰωάν. 1. * ἀκούσωμεν λέγοντος. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ * ἀκούομεν ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. ἀλλὰ ὅτι μὲν ὁ μονογενὴς τοῦ θεοῦ λόγος ἀπόῤῥητον ἔχει τὴν ἐκ πατρὸς ὕπαρξιν, πεπιστεύκαμεν. προστίθει τὸ * λοιπὸν ὦ εὐαγγελιστά. ἄκουε πάλιν λέγοντος· καὶ ὁ λόγος σὰρξ ἐγένετο. οὐκ ἐν ἀνθρώπῳ γέγονεν, ἀλλὰ σὰρξ γέγονε, τουτέστιν ἄνθρωπος. γέγονε δὲ ἄνθρωπος ὁ μονογενὴς τοῦ θεοῦ λόγος, οὐκ ἀποβεβληκὼς τὸ εἶναι θεὸς, ἀλλ' ἐν προσλήψει σαρκὸς μεμενηκὼς, ὅπερ ἦν. ἄτρεπτος γάρ ἐστι, καὶ ἀναλλοίωτος ἡ τοῦ λόγου φύσις, καὶ οὐκ οἶδε παθεῖν τροπῆς ἀποσκίασμα. ταῦτα φρονεῖν ἐδίδαξεν ἡμᾶς ὁ μακάριος εὐαγγελιστὴς. τὸ ἄστρον ἀληθῶς τὸ μέγα, καὶ περιφανέστατον, ἄστρον χρησιμώτατον, οὐ τοῖς τὴν αἰσθητὴν * διαπεραιουμένοις θάλατταν, ἀλλὰ τοῖς τῆς εὐσεβείας ἐμπόροις, τοῖς τῆς ἀληθείας ἐρασταῖς, τοῖς ὀρθὴν ἐθέλουσιν ἔχειν, καὶ ἀπλανῆ πίστιν. εἴτις οὖν * ἐρᾷ τοῦτον ναυτίλλεσθαι τὸν τρόπον, ὥσπερ ἄστρον, εἰς νοῦν ἐχέτω τὰς * τοῦ θεηγόρου θεολόγου φωνάς· οὕτω τὰ πικρὰ τῶν αἱρέσεων διαπηδήσει κύματα· οὕτως εἰς εὔδιον καταντήσει λιμένα· καὶ πρὸς αὐτὴν ἥξει τὴν ἀλήθειαν, τουτέστι Χριστόν· μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, καὶ τὸ κράτος σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

* ἀκούσωμεν
* ἀκούομεν
* λοιπὸν,
* διαπεραιουμένοις
* αἱρεῖται
* θεηγόρου φωνὰς,

ΘΕΟΔΟΤΟΥ ἘΠΙΣΚΟΠΟΥ

* Ἀγκύρας

* Ἀγκυρῶν ὁμιλία λεχθεῖσα ἐν Ἐφέσῳ πρὸς Νεστόριον, ἐν ἡμέρᾳ Ἰωάννου τοῦ εὐαγγελιστοῦ.

ὅΠΕΡ ἐστὶ τοῖς σώμασιν ἡμῶν ἰατρὸς, τοῦτο ταῖς ψυχαῖς ἱερεύς. ἐπειδὴ γὰρ νόσημα ψυχῶν ἐστιν ἡ πλάνη, καὶ χρονίζουσα θάνατον τὸν τῆς τιμωρίας * ἐπήγαγεν. ᾠκονόμισεν ἡ τοῦ πνεύματος χάρις * ἰατρείαν ψυχῆς, τὴν ἱερωσύνην τὴν ἁγίαν· καὶ τὸ * προσληφθὲν τῷ πάθει μέλος ἐξέκοψεν. οὐκ ἐκείνου ἀφειδῶν, ἀλλὰ τῶν λοιπῶν μελῶν φειδόμενος. ἐπειδὴ γὰρ τὸ συνεχὲς τῆς σήψεως τῆς σαθρᾶς μετάδοσιν εἰργάζετο τῆς κακίας, ἐκτέμνει τὸ μέλος, ἵνα ἐπιτέμῃ τὴν κακίαν. καὶ ἔστι τὸ εἶδος τοῦτο οὐκ ὠμότης, ἀλλὰ θεραπεία. δακρύων μὲν γὰρ ὁ ἰατρὸς ἐκτέμνει τὸ μέλος· ἀλλ' ἀφειδῶν, τὴν τμῆσιν θεραπείαν εἰργάσατο. ἀρχαῖον τοῦτο τῆς θεραπείας τὸ εἶδός ἐστι, καὶ ἄνωθεν· οὕτως οἱ ἅγιοι ἐπεμελήθησαν τῆς * πανσέμνου ταύτης ἐκκλησίας· ἔχει γὰρ ὁ ἱερεὺς καὶ ξίφος, οὐχ ἵνα κακώσῃ, ἀλλ' ἵνα θεραπεύσῃ. καὶ τοῦτο δηλοῦσα ἄνωθεν ἡ χάρις πρῶτον τῷ Ἱερεμίᾳ ἐμύνυσε, λέγουσα· κατέστησά σε σήμερον ἐπὶ βασιλείας, καὶ ἔθνη, ἐκριζοῦν, καὶ κατασκάπτειν, καὶ ἀπολλύειν, καὶ ἀνοικοδομεῖν, καὶ καταφυτεύειν· οὐ φυτεύεται γὰρ εὐσέβεια, μὴ ἐκκοπείσης κακίας. εὔλογον μὲν πρῶτον ἀρδεύειν, ἐπιμελείᾳ γεωργικῇ χρῆσθαι λόγους * προσάγειν εὐσεβείας, ἐπιμέλειαν παντοίαν * προσάγειν τῷ μέλει. εἰ δὲ ἡ κακία κρείττων γένοιτο τῆς ἐπιμελείας, ἡ ἐκκοπὴ ἴαμα τῶν οὕτω διακειμένων ἐστί. πῶς γὰρ ἄν τις ἐπιμελήσαιτο τῶν οὕτω διακειμένων; τῶν ὀνειδιζόντων Θεῷ τὰ ἀνθρώπινα, καὶ τὴν χάριν ἐν μέρει ὀνείδους ποιουμένων; τί λέγεις; εἰπέ· Θεὸν, φησὶν, οὐ λέγω πεπονθέναι. εἰ μὲν πρὸς τὴν φύσιν βλέπεις, καλῶς ὁρᾷς· εἰ δὲ παντελῶς ἀναιρεῖς τὸ πάθος, ἀρνῇ τὴν οἰκονομίαν. μὴ γὰρ ὀνειδίσῃς Θεῷ παθόντι, ἀλλὰ τῶν παθημάτων βλέπε τὰ κατορθώματα. εἰς εὐτέλειαν κατέβη Θεὸς, οὐ μειωθεὶς τὴν φύσιν, ἀλλὰ τὴν χάριν δωρούμενος. ἔμεινεν ὃ ἦν, προσέλαβεν ὃ οὐκ ἦν. ἔμεινε Θεὸς διὰ τὴν ἑαυτοῦ φύσιν· γέγονεν ὅπερ σὺ διὰ τὴν περί σε φιλανθρωπίαν· μὴ οὖν τὸ εἶδος τῆς ἐπιμελείας ὕβριν νομίσῃς· μὴ ὀνειδίσῃς τῷ ἰατρῷ, εἰ ἐν εὐτελείᾳ σώματος τὴν ὑγίειαν εἰργάσατο. οὐ γὰρ ὕβρις ἐστὶν ἡ εὐτέλεια, ἀλλὰ δεῖγμα φιλανθρωπίας. κατέβη πρός σε, οὐχ ἵνα μείνῃ κάτω, ἀλλ' ἵνα σε πρὸς ἑαυτὸν ἀναγάγῃ. μὴ ἀρνήσῃ τὴν κατάβασιν, ἵνα μὴ ἀπολέσῃς τὴν * ἀνάβασιν. δέξαι τὴν ὕβριν, τὴν σὴν δόξαν γεννήσασαν· οὐχ ὕβρισται φύσις, ἀλλ' ἡ χάρις δωρεῖταί σοι τὰ ἀγαθά. διά σε τὸν ὑβρισμένον οἰκέτην ὁ δεσπότης ὑβρίζεται. τὰ σὰ ἀνέλαβεν, ἐπειδὴ σὺ τὰ ἐκείνου κατέλιπες. ἀπεδράσαμεν ἡμεῖς ἀγαθοῦ δεσπότου. οὐκ ἠνέγκαμεν τὴν παρὰ τοῦ δεσπότου δεδομένην χάριν. πρὸς χρείαν τὴν ἀπόλαυσιν τοῦ παραδείσου ἐλάβομεν. τὸν νόμον παρετρώσαμεν· τὸν νομοθέτην παρέβημεν· τῷ ἐχθρῷ ἐπείσθημεν· * ἐξεπέσαμεν τῆς τιμῆς· εἰς τὸν περίγειον τόπον τοῦτον ὁ δραπέτης διῆγεν· οὐκ * ἀνένευσε πρὸς τὸν δεσπότην· ἡ ἡδονὴ κάτω κατεῖχε τὸν φυγάδα· ἡ ἁμαρτία δεσμώτην ἔσχε τὸν δραπέτην· ἀπέγνω τῆς ἡμῶν διανοίας, ὡς οὐ δυναμένης ἀνανεῦσαι πρὸς τὸν Θεόν. τί οὖν; ἡ ἐμὴ βραδύτης ζημιώσει Θεὸν τὸ κάλλιστον κτῆμα τὸν ἄνθρωπον; ἀλλ' οὐκ ἠνέσχετο * τούτων ὁ τῶν ὅλων Θεός. οὐδὲ γὰρ ἔδει, φθόνον κρατεῖν δεσποτικῆς χάριτος· οὐδὲ τὴν τοῦ θεοῦ δωρεὰν ἔδει νικᾶσθαι ὑπὸ τῆς ἐπιβουλῆς τοῦ διαβόλου. τί οὖν ὁ δεσπότης ποιεῖ; παραγίνεται πρὸς τὸν δραπέτην. ὁ γὰρ δοῦλος πρὸς ἐκεῖνον ἰέναι οὐκ ἠδύνατο. παραγίνεται πρὸς τὸν οἰκέτην, οὐκ ἐν ἀξιώματι δεσποτικῷ· οὐκ ἀγγέλων δορυφορίαν προαποστέλλων· οὐκ ἀρχαγγέλων κινῶν τὰς φάλαγγας· οὐ πῦρ κινῶν· οὐ στοιχεῖα σαλεύων· τοῦτο γὰρ ἦν φυγάδα ποιῆσαι τὸν δραπέτην· ἀλλὰ παραγίνεται, ἀγρεῦσαι τὸν φυγάδα βουλόμενος, κατασχεῖν τὸ ἴδιον κτῆμα θέλων· οὐ σοβεῖ τῷ φαινομένῳ, ἀλλὰ πρὸς ὁμιλίαν ἐκκαλεῖται τῇ εὐτελείᾳ τοῦ προσώπου· γίνεται συνδοῦλος, ἵνα * ἀναδειχθῇ * δεσπότης. διὰ τοῦτο γὰρ καὶ ὁ μέγας ἀπόστολος ἔλεγε· τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. Ἰησοῦν ἐνταῦθα λέγει. εἰπὲ, τίνα ἡ μήτηρ ἔθετο τὴν προσηγορίαν τῷ βρέφει; καλέσεις γὰρ, φησὶ, τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. πῦ ὁ διαιρῶν τὸν Χριστόν; πῦ ὁ τὸ μυστήριον ἡμῶν ὁμωνυμίαν ἐργασάμενος; καὶ Χριστὸν μὲν ἕνα λέγων, δύο δὲ ὑποτιθέμενος· τὸν μὲν δοῦλον, τὸν δὲ δεσπότην.

* ἐπῆγεν,
* θεραπείαν ψυχῶν,
* προληφθὲν ita ms. Seg.
* πανσέπτου
Γερ. 1.
* προσφέρειν
* ἄνοδον.
* ἐξεπέσομεν
* ἀνένευσε
* τοῦτο
* ἀναδειχθῇ
* ἐδεσποτεύ
Φιλίππ. 2.
Λουκ. 1. 31

τὸν μὴ πάσχοντα, τὸν δὲ μὴ πάσχοντα; τίς ἡ ὄνησις τῆς μιᾶς προσηγορείας, δύο χειμένων πραγμάτων; τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· Ἰησοῦν λέγει τοῦτον τὸν ὁρώμενον, ὃν οὕτως ἐκάλεσεν ἡ παρθένος· τοῦτο φρονείτω ἕκαστος ἐν ἡμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. τί γὰρ ἐφρονήσαμεν ἐν Χριστῷ Ἰησοῦ; ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. τί ἐστι τὸ λεγόμενον; ὁ ἐξ ἁρπαγῆς ἐλευθερίαν λαβών, οὐδὲν δουλικὸν ὑπομένει, ἵνα μὴ πρόχειμα τῇ ἐλευθερίᾳ ποιήσῃ. τί οὖν αὐτός; ἐπειδὴ τῇ φύσει δεσπότης ἐστίν, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. τὸ γὰρ τῆς οἰκονομίας οὐδὲν ἔβλαψε τὴν θεότητα. ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. εἰπέ μοι τὴν τοῦ μονογενοῦς κένωσιν· εἰ μὴ τὰ ἀνθρώπινα πέπονθε, πῶς ἐκενώθη; ὅταν δὲ λέγω πεπονθέναι Θεόν, φυλάττων τὴν φύσιν ἀπαθῆ λέγω· πάθος γὰρ περιῆψε Θεῷ, ἡ φύσις παθητή, ἀλλὰ πρὸς τὸ παθητὸν ἕνωσις. ἐπειδὴ γὰρ ὁ φιλάνθρωπος δεσπότης συμπαθῆσαι προσέθετο τῷ οἰκέτῃ, εἶχε δὲ τὴν φύσιν ἀπαθῆ, ἑνώσας ἑαυτῷ τὸ παθητόν, τὸν σκοπὸν ἀνεπλήρωσεν. οὕτω παραγέγονεν ὁ δεσπότης· ὅπως ἐπέσῃ τῷ φυγάδι. ὡς σύνδουλος φαινόμενος, καὶ ὡς δεσπότης δέργετο· μορφὴν δούλου δεικνύς, καὶ χάριν δεσπότου χαριζόμενος· πεινῶν ὡς δοῦλος, καὶ ἄρτους πηγάζων, ὡς Θεός· κοπιῶν ὡς ἄνθρωπος, καὶ ἐπὶ νώτου θαλάσσης βαδίζων ὡς Θεός. ὑποσελλόμενος τὸν σαυρὸν ὡς ἄνθρωπος· καὶ γὰρ τοῖς πάθεσιν ἐπίστευτο τὸ φαινόμενον, καὶ τοῖς θαύμασιν ἐδείκνυ τὸ κρυπτόμενον. οὕτω φανεὶς ἄνθρωπος ἡμᾶς ἅπαντας εἰς τὴν οἰκειότητα σωτήριον. Ἰωάννην ἡμῖν διδάσκαλον ἔπεμψε τὸν υἱὸν τῆς βροντῆς, τὸν κεκραιπαλισμένον τῇδε τῇ μητροπόλει, τὸν κοινὸν τῆς οἰκουμένης κειμήλιον, τὸν ἐνὶ στόματι πᾶσαν ἐνθέμενον τὴν θεολογίαν. * ὁ λόγος, φησί, σὰρξ ἐγένετο· ὁ ὢν ἐγένετο σὰρξ· ὢν μὲν διὰ τὴν φύσιν, ἐγένετο δὲ διὰ τὴν οἰκονομίαν. δι' οὗ, καὶ μεθ' οὗ, τῷ πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΚΥΡΙΛΛΟΥ ΛΟΓΟΣ ΑΠΟΛΟΓΗΤΙΚΟΣ ΠΡΟΣ ΤΟΝ ΘΕΟΣΕΒΕΣΑΤΟΝ ΒΑΣΙΛΕΑ ΘΕΟΔΟΣΙΟΝ.

Τῷ θεοσεβεστάτῳ, καὶ θεοφιλεστάτῳ, καὶ φιλοχρίστῳ ἡμῶν βασιλεῖ Θεοδοσίῳ, νικητῇ * ἀεὶ Αὐγούστῳ, Κύριλλος ἐν κυρίῳ χαίρειν.

ΗΜΕΝ θεία, καὶ ἀκήρατος, καὶ τῶν ὅλων καθεξουσιάζουσα φύσις, καὶ φῶς ἀπρόσιτον οἰκεῖ, καὶ θρόνον ἔχει τὸν ἀνωτάτω, τὸν αὐτῆς τε, καὶ μόνης φρικωδέστατον. ὃν περιεστήκασιν ἀρχαὶ, κυριότητές τε, καὶ ἐξουσίαι, καὶ αὐτὰ * δὲ τὰ ἅγια σεραφίμ. καὶ, καθά φησι τὸ γράμμα τὸ ἱερὸν, τρέπται τὰ ἔργα αὐτὴν σείεται, καὶ τρέμει. ἀλλὰ καὶ ὅτῳ διδοξασμένη, καὶ τὸ παντὸς θαύματος ἴσα πρὸς λῆξιν, τῷ μεγέθει τῆς ὑπεροχῆς, καὶ τῆς ἀπορρήτου δυνάμεως ἰσάμιλλον ἔχει τὴν ἡμερότητα· οὐ γὰρ ἂν ἤνεγκεν ἡ χρηστὴ φύσις χρηστότητος ἀμιγῆ τὴν οὕτως ἀλκιμωτάτην, καὶ ὑπερφυᾶ δύναμίν τε, καὶ ἐξουσίαν. καὶ γοῦν ὁ μακάριος προφήτης Δαυὶδ τὰς ὑπέρ τε ἑαυτοῦ, καὶ ἁπάντων δὴ τῶν ἐπὶ τῆς γῆς ἐποιεῖτο λιτὰς, ποτὲ μὲν λέγων· μνήσθητι κύριε, ὅτι χοῦς ἐσμεν. ποτὲ δὲ πάλιν. ἐὰν ἀνομίας παρατηρήσῃς, κύριε, κύριε τίς ὑποστήσεται; καὶ μὴν καὶ ὁ * παυσάμενος Ἰὼβ, πειραζόμενος ὑπὸ τοῦ διαβόλου πικραῖς τε καὶ * ἀφορήτοις αἰτίαις ἐνεχειρεῖτο, ἀνεκεκράγει πρὸς Θεόν. διὰ τί οὐκ ἐποίησας τὴν ἀνομίαν μου λήθην, καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου; ἐσφράγισας δὲ μου τὰς ἀνομίας ἐν βαλαντίῳ· ἐπεσημήνω δὲ *, ἔστι ἄκων παρέβην. ἀλλ', οἶμαι, φαίητις ἂν πρὸς τοῦτο δικαίως· τί οὖν, ὦ γενναιότατε τῶν ἀθλητῶν * εἰς ἐγκλήματος δύναμιν καταλογίζῃ τῷ Θεῷ τὸ μὴ ἐλεεῖν *; εἰ πεπλημμέληκας, αὐτὸς αἰτιῶ τὸν νομοθέτην, ὅτι μέμνηται τῶν ἡμαρτημένων; ναὶ, φησίν· ὁ γὰρ ἐλεεῖν πεφυκὼς, καὶ οὐκ ἀθαύμαστον ἔχων ἐπὶ τούτῳ τὴν δόξαν, διὰ τί μὴ ποιητὸς ὁρᾶται καὶ εἰς ἐμέ; εἰ μὲν γὰρ ἐνδέχεται, κατὰ μηδένα τρόπον * παρολισθῆσαι δύνασθαι τὸν ἀνθρώπινον νοῦν, ἀκεμβολογείσθω λίαν ὁ κριτὴς, σφραγιζέσθω τὰς * ἁμαρτίας ἐν βαλαντίῳ, παραιτείσθω τὴν λήθην, τὴν ἐπί γε τοῖς προσκεκρουκόσι, καὶ ἀδοκήτως ἔσθ' ὅτε· εἰ δὲ πολλὰ πταίομεν ἅπαντες, καὶ * τὸ εἰς ἅπαν ἀμώμητον αὐτῷ τε, καὶ μόνῳ πρέπει, χαριζέσθω τὸ ἀμνησίκακον τοῖς εἰωθόσιν ἀσθενεῖν. πρέπει τοίνυν ταῖς ἀνωτάτω λίαν ὑπεροχαῖς τὸ γαλήνιόν τε καὶ ἥμερον φρόνημα. πρόσεστι δὲ τοῦτο κατὰ τρόπον μὲν τὸν ἐξαίρετον τῇ θείᾳ τε, καὶ ὑπερτάτῳ φύσει, κατὰ μίμησιν δὲ τὴν πρὸς αὐτὸν καὶ τῷ ὑμετέρῳ κράτει, φιλόχριστοι βασιλεῖς· ὅτι τῆς ἐν οὐρανοῖς βασιλείας * ἐκτύπωμα ὥσπερ τι, καὶ μίμημα τοῖς ἐπὶ τῆς γῆς ὑμεῖς δὴ, καὶ μόνοι, τὸ κατὰ πάντων λαχόντες κράτος, φόβῳ τε, καὶ ἡμερότητι σώζοντες τὸ ὑπήκοον, καὶ οἷόν τινα λαμπρύνετε, καὶ εἰρηνικὴν ἕδραν τοῖς ἀνὰ πᾶσαν ἀπλουμένοις ὑπ' οὐρανόν. ταύτην εἰκότως παρορμήσω ἀναγκαίως ἐπί γε τὸ δεῖν τοῖς καθηκούσαις ἀπολογίαις λελυπημένοις ὑμῶν θεραπεῦσαι τὴν ἀσέβειαν. ὃ δὴ καὶ μοι * ἐλομένῳ μάλιστα τοῦτο δρᾶν, χρήσιμόν τε καὶ ἀναγκαῖον, ἡγοῦμαι, καὶ οὐκ ἐκὼν, διὰ τὸ τῷ ὑμετέρῳ κράτει παρὰ πάντων ὀφειλόμενον σέβας. τὸ * μὲν γὰρ εἰπεῖν, ὡς ὁ γέγονά τις οὕτω θρασὺς, ἢ ὀλιγογνώμων, ἢ καὶ σφόδρα τοῦ πρέποντος κατημελημένος, ὡς * πλημμεληθῆναί μέτι, καὶ τοῦτο εἰς ὑμᾶς, οὐκ αἰτήμιον ἔσθ' ὅπως. δίκαια γὰρ καὶ μάλα εἰκότως, τὸ ταῖς παρ' ὑμῶν ἀντιφέρεσθαι ψήφοις. ἵνα μή τι πάθοιμι τοιοῦτον, ὁποῖόν τί φασι πεποιῆσθαι τὸν Γσραήλ. οὐ γὰρ * εἰς ἅπαν ἀπηλλαγμένος τοῦ ἔσθ' ὅπως πλημμελεῖν. πολλὰ γὰρ πταίομεν ἅπαντες, καὶ νοσεῖ τὸ ἑλληνικὸν ἡ ἀνθρώπου φύσις, ὡς ἀκεμβὴς νομοφύλαξ μόνος τὰ χαρτὰ κατὰ μηδένα τρόπον προσκρῦσαι Θεῷ· ἀλλ' ἦκουε λέγοντος * αὐτοῦ· ἰδοὺ ἐγὼ κρίνομαι πρὸς

μετ. 2.

γραπτ.

ἐκ χειρὸς

ἐν ἀ.

ἐν ἀ.

ἐν ἀ.

ἐν ἀ.

ἐν ἀ.

ἐν ἀ.

Ψαλ. 102. Ψαλ. 129.

* μακάριος

* ἀποφάσεως

Γέν. 3. Γέν. 14.

* ἢ ἵστι

* ἐν

* ἐν (ἐπιτελεσμένος ἀρὰς

* ἵστι πεπλημμελημένος

* παρολισθῆσαι

* ἀκριβείας

* ἐν ἅπαντι

ἀκριβείας

Γέν. 3. 1.

* ἐν ἅπαντι

* ἐκμαγεῖον

μάλιστα. τὸ πρέπον ἐκείνῳ, χρήσιμόν τε καὶ ἀναγκαῖον

* εἰ ἄνθρ.

* ἐν

Γερμ. 2. 31. σε ἐν τῷ λέγειν σέ· οὐχ ἥμαρτον. ἄμεινον οὖν ἄρα καὶ σοφὸν τὸ τοῖς κρατοῦσι παραχωρεῖν, καὶ τιμὴ ἐφ' οἷς λελύπληται συγγνώμῃ αἰτεῖν. πρόσεσι γάρ, ὡς ἔφην, κατὰ μίμησιν τιμὴ ὡς πρὸς Θεόν, καὶ τῷ ὑμετέρῳ κράτει τὸ ἀμνησίκακον.

Γέγραφα τοίνυν τῇ τε ὑμῶν Δ᾽σεβείᾳ, καὶ μιᾷ καὶ αὐταῖς ταῖς Δ᾽χλεεσάταις * βασιλίσιν. ἔδρων δὲ τοῦτο καὶ μάλα ὀρθῶς, οὐχ ἵνα * θόρυβον, ἢ διχόνοιαν ταῖς ἱερωτάταις ὑμῶν αὐλαῖς * ἐμβάλλοιμι· πόθεν; μὴ γάρ ὅπως εἴην ἔξω τε φρενὸς ἀγαθῆς, καὶ λογισμοῦ τοῦ πρέποντος. ἐννενοηκὼς δὲ μᾶλλον, ὅτι νηφαλίους προσήκει εἶναι τοὺς ἱερουργεῖν πεταγμένους τῷ παναγίῳ Θεῷ, περισκέπτεσθαί τε τῷ αὐτῷ δοκοῦσι, μὴ ἀμελητὶ τοῦτο δρᾶν, τὸν ἐπηρτημένον αὐτοῖς δεδιότας ὄλεθρον, * εἰ καί τι γοῦν ὅλως ἀναπίπτοιεν εἰς * ῥᾳθυμίαν. δεῖ γὰρ ἡμᾶς βεβαιοτέρους εἰς πίστιν ἀπεργάζεσθαι, τοὺς ἤδη * πιστεύσαντας εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὓς τῷ ἰδίῳ αἵματι κατεκτήσατο, καὶ * ἰδίους ἀπέφηνε προσκυνητάς, γλώττῃ τε ἐκάλεσεν ἐκλεκτόν, βασίλειον ἱεράτευμα, καὶ ἔθνος ἅγιον, καὶ λαὸν εἰς περιποίησιν, ἵνα τὰς ἀρετὰς * ἐξαγγέλωσι τοῦ πάντας καλοῦντος ἐπὶ τὸ θαυμαστὸν αὐτοῦ φῶς. καὶ γοῦν ἐπὶ τοῖς ἱεράσθαι λαχοῦσι θεσμοθετῶν, πρὸς τὸν μακάριον προφήτην Ἰεζεκιὴλ ὅτῳ φησίν· υἱὲ ἀνθρώπου, λάλησον τοῖς υἱοῖς τοῦ λαοῦ σου, καὶ ἐρεῖς πρὸς αὐτούς· * γῆν, ἐφ' ἣν ἂν ἐπάγω ῥομφαίαν, καὶ λάβῃ ὁ λαὸς τῆς γῆς ἄνθρωπον ἕνα ἐξ αὐτῶν, καὶ * δώσουσιν αὐτὸν ἑαυτοῖς εἰς σκοπόν, καὶ ἰδὴ ῥομφαίαν ἐρχομένην ἐπὶ τινὰ γῆν, καὶ * σαλπίσῃ τῇ σάλπιγγι, καὶ * σημάνῃ τῷ λαῷ μου, καὶ ἀκούσῃ ὁ ἀκούσας τῆς φωνῆς τῆς σάλπιγγος, καὶ μὴ φυλάξηται, καὶ ἐπέλθῃ ἡ ῥομφαία, καὶ καταλάβῃ αὐτὸν, τὸ αἷμα αὐτοῦ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἔσαι. ὅτι τινὰ φωνὴν τῆς σάλπιγγος ἀκούσας οὐκ ἐφυλάξατο· τὸ αἷμα αὐτοῦ ἐπ' αὐτῷ ἔσαι· καὶ ὅτος, ὅτι ἐφυλάξατο, τινὰ ψυχὴν αὐτοῦ ἐξείλετο. καὶ ὁ σκοπὸς, ἐὰν ἴδῃ τινὰ ῥομφαίαν ἐρχομένην, καὶ μὴ * σημάνῃ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ * ἐξ αὐτῶν ψυχὴν, αὐτὴ διὰ τὴν αὐτῆς ἀνομίαν ἑλήφθη· καὶ τὸ αἷμα ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητήσω. χρῄζει δὲ * οἶμαι, τῶν εἰρημένων τινὰ δύναμιν * οὐκ ἀζήτητον ἔχειν· ὀνήσειε γὰρ ἄν * καὶ ἔτι μειζόνως, τῆς ἐπ' αὐτῷ θεωρίας ἐξειλιγμένης εἰς τὸ ἐμφανές· ἔκοιμι ἐφόδου βαρβαρικῆς προσδοκωμένης ἔσεσθαι κατὰ * πόλεως, οἱ τοιοῦτοι μελεδωνοὶ, καὶ φρουτισαὶ, καὶ προεσηκότες σκοπευτηρίοις τισὶν, ἤτοι πύργοις τοῖς ἄγαν ὑψηλοτάτοις ἐφιζάνουσί τινας, οἳ τοῖς ἀγροῖς ἐνορῶντες ἀεὶ, τῇδε, κἀκεῖσε τὸν οἰκεῖον περιχομίζοντες ὀφθαλμὸν, ἐπαγρύπνως περιεργάζονται, μὴ ἄρα τις τῶν πολεμίων * ἐμβάλλοι, προκατασημήναντες μὲν γὰρ τῇ πόλει τινὰ ἔφοδον, ἢ * μερίων ἀξιοῦνται γερῶν· ἀπονυσάξαντες δὲ πρὸς τοῦτο, τὰς τῶν ἀλῶναι, καὶ παθεῖν αἰτίας αὐτοὶ ταῖς ἰδίαις ἀναμάττονται κεφαλαῖς, τινὰ πασῶν ἐχάτην ὑπομένοντες δίκην. κατὰ τὸν Ἴσον, οἶμαι, * τοῦτον τρόπον καὶ τῶν ἱερέων ἕκαστος, ἐπειδὴ τέθειται παρὰ Θεοῦ σκοπὸς, εἰ μὲν * ἐπαγγέλλει τοῖς ὑπὸ χεῖρα λαοῖς τὸ πεφυκὸς ἀδικεῖν, σεφάνῳ πρόξενον ἑαυτῷ τὸ χρῆμα ποιήσεται. περιπεσεῖται δὲ πάλιν τοῖς ἐκ θείας ὀργῆς ἐπισυμβαίνουσι κακοῖς, ἀδικήσας δ᾽ μᾶλλον τοῖς σωπαῖς τὸ ταῖς παρ' αὐτοῦ φωναῖς εἰς ὀρθότητα διοικούμενον. ἔχουν ὁ πόλεμος νῦν δ᾽ καθ' ἑνὸς τοῦ καθ' ἡμᾶς ἀνθρώπου κοινός, κατ' αὐτοῦ δὲ μᾶλλον κινούμενος τῶν πάντων ἡμῶν σωτῆρος Χριστοῦ. γέγραπται μοὶ γάρ, ὅτι οὐδεὶς λέγει· ἀνάθεμα Ἰησοῦς, εἰ μὴ ἐν Βεελζεβούλ· τοῦτέστιν, οὐδεὶς ἀρνεῖται τὸν Χριστὸν εἰ μὴ * ἔχει πρὸς τοῦτο δ᾽ανισάντα τὸν σατανᾶν. ἀληθὲς δὲ ὅτι τὸ εἰρημένον, ἐκ ἂν ἐνδοιάσειε τις. οὐκοῦν ὁ δράκων ὁ ἀποστάτης, τοῦτέστιν ὁ σατανᾶς, ἀνδρὸς ἱερέως, οὐκ ἀσφαλοῦς, μᾶλλον δὲ καὶ πεπλανημένου τινὰ διάνοιαν * τυχὼν, καὶ γλώσσης δ᾽πορήσας ἑτοιμοπίτης, καὶ ἀπερισκέπτως τοῖς τῆς ἀληθείας ἐνυβριζούσης δόγμασι, καὶ τὴν τοῦ σωτῆρος ἡμῶν κατισμικρυνούσης δόξαν, θρασεῖα γὰρ ἰοῦ, ἐ * ἀχαλίνοις ὁρμαῖς πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχεσάτων ἰοῦσα θερμῶς. θορύβου μοὶ πάσας ἐπίμπλα τὰς ἐκκλησίας. πολιορκουμένης δὲ ὅτω τῆς ὀρθῆς πίστεως, διχόνοιαι παντιχοῦ, καὶ πολὺς ἰοῦ ὁ λόγος ἐ παρὰ τοῖς ἤδη * πιστεύσασι, μὴ ἄρα πεπλάνηνται, Θεὸν εἶναι κατὰ ἀλήθειαν * νομίσαντες τὸν Χριστόν. καὶ τί τὸ ἐντεῦθεν; νόσος οἵα τις λοιμικὴ τὴν ὑφ' ἥλιον κατεβόσκετο, ῥίζαν ἔχουσα τὸ ψεῦδος, καὶ πατέρα τὸν σατανᾶν. ἐπεὶ δὴ δὲ παρὰ Θεοῦ τεθείμεθα σκοποὶ, καὶ τῶν * λαῶν κηδεμόνες, πῶς οὐκ ἔδει, καὶ μάλα προθύμως, τὴν ἱεράν τε, καὶ ἐκκλησιαστικὴν λαβόντας σάλπιγγα τοῖς Δ᾽σεβεῖν ἑλομένοις τῆς τοῦ διαβόλου * παγίδος κατασημῆναι τὴν ἔφοδον; τίνα γὰρ ἐπήρτησε δίκην τοῖς σιωπῶσι Θεός; τὸ αἷμα, φησὶν, ἐκ τῆς χειρός σου ἐκζητήσω. ἀλλ' ἦν, ὦ φιλόχριστε βασιλεῦ, ἀσφαλὴς, καὶ ἀκλόνητος ἡ σὴ καρδία· ναὶ, καὶ αὐτὸς ὁμολογῶ· μᾶλλον δὲ καὶ αὐτὰ τοῦτο βοῶσι τὰ πράγματα· καὶ πρός γε τούτῳ μακρὸς μαρτυρήσει χρόνος, καθ' ὃν δ᾽δόκιμοι γεγονότες εἰς Δ᾽σέβειαν, ταῖς τῶν προγόνων ἀμιλλᾶσθε δόξαις. καὶ ἐπειπερ ἐστὶν ἐκείνοις εὐκλεὲς τὸ καὶ τῆς ὑμετέρας γαληνότητος ἡττᾶσθαι, τυχὸν φαίην ἂν εἰκότως κατιδεῖσας ὁδὲν, ὅτι τὴν ἀμείνω καὶ προφερεστέραν ὑμεῖς ἀνεδήσασθε ψῆφον. οἶδα τῆς ἐνούσης ὑμῖν πίστεως τὸ ἀκλόνητον, τῆς εἰς Χριστὸν ἀγάπης τὸ * ἱδρυμένον. ἔγραφον δὲ χρησίμως, ἵνα τοῖς ἄλλοις, μᾶλλον δὲ ταῖς ἐκκλησίαις ἀσάσαις θορυβουμβύαις ἐπιχωρήσητε. σώζειν γὰρ ἔθος ὑμῖν. ἡ βαρβαρικὰς ἐφόδους σημαίνουσα σάλπιγξ, τὸν μὲν δ᾽ὀθενῆ τε, ἐ μαχιμώτατον τῆς αὐτῷ πρεπούσης εὐανδρείας ὑπομιμνήσκει μόνον, τὸν δὲ δ᾽ σφόδρα γοργὸν, ἢ ἐμπειροπόλεμον ἀσφαλίζεται, μὴ ἄρα πως ταῖς τῶν πολεμίων φάλαγξιν ἀδοκήτως ἐμβαλὼν, τῆς ἐνούσης αὐτοῖς ῥᾳθυμότητος γλύπτοι θήραμα· ὁ ἐμὸς ποιμὴν περὶ Χριστοῦ λόγος τῆς μὲν εὐσεβείας τῆς ὑμετέρας τὸ κένζον ἐκίνει κατὰ τῆς τοῦ διαβόλου παγίδος, ἠσφαλίζετο δὲ πρὸς πίστιν τὴν ἐλαφρόν τε, καὶ εὐπαραχόμισον ἔχοντας τὸν νοῦν. ἀπολλοῖς εὐκατόπτον ἐστὶ τὸ τοῦ Χριστοῦ μυστήριον. βαθὺς δὲ λίαν ὁ λόγος ὁ περὶ αὐτοῦ· καὶ τοῖς ὅτι μάλιστα νοημονεστάτοις, καὶ τὰς θείας ἠκριβωκόσι γραφὰς, μόλις, ὡς ἐν αἰνίγματι, καὶ ὡς ἐν ἐσόπτρῳ γνώριμος. ἐ καθά φησιν ὁ ἱερώτατος Παῦλος· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κα-

* βασιλίσσαις ἐδραίων
* διχόνοιαι, καὶ θόρυβον ταῖς
* ἐμβάλλοιμι ποθίτμι

* καὶ ταύτῃ γοῦν
* ῥᾳθυμίαν.

* περισκεπτέσθαι
* πιστεύσαντας
1. Πετρ. 2.
* γνησίους
* ἐξαγγέλλωσι

Ἰεζεκ. 33.

* γῆν,
* δώσουσιν αὐτὸν ἐαυτοῖς
* σαλπίσῃ
* σημανεῖ. τῷ λαῷ, καὶ
* σημανεῖ.
* ἀπ'
* καὶ οἱ τοι καὶ
* ἐχαταζήτησον. εἰσὶ ἐνέσαι
* οἶμαι, καὶ
* πόλιν,

* ἐμβάλει.
* μιτρίων

* τοῦτο

* ἀναγγέλλει

1. Κορ. 1. χαρίσματι τοῦ θεοῦ

* ἀχαλινοῖς

* περιπεσεῖται, μὲ ἀπὸ τοῦ πτελείου τοῦ, ἐπιτέκτης

* ἄλλως

* ἱδρυμένον

* μορφαῖς

Γεν. 11.

κακαί· καὶ μὴν καὶ κατά γε τὸν Σολομῶντος λόγον, σταγὼν στάζουσα κοιλαίνει πέτραν· * τὸ γάρτοι συχνῶς εἰς νοῦν τὸν ἀνθρώπινον σταγόνος δίκην τοὺς ἀδικεῖν πεφυκότας καθίεσθαι λόγους, οὐ μετρίαν, ἔσθ' ὅτε, μᾶλλον δὲ ὡς ἐπίπαν ἐργάζεται τὴν ζημίαν. ἀναγκαία τοιγαροῦν, καὶ ἐπωφελὴς ἡ παρ' ἐμοῦ γέγονεν ὑπόμνησις πρός τε ἐκεῖνον αὐτὸν, τὸν παρὰ πᾶσαν ἐλπίδα Χριστῷ πολεμήσαντα, καὶ πρός γε τοὺς ἄλλους, οἳ τὴν τοῦ μυστηρίου γνῶσιν οὐ λίαν ἠκριβωκότες, τοῖς τοῦ πλανῶντος λόγοις οὐ μετρίως κατεχειμάζοντο· ὅτι γὰρ ἔγραφον ἀναγκαίως, καὶ αὐτὴ πιστώσεται τῶν πραγμάτων ἡ δύναμις. κατὰ μὲν γὰρ τοὺς ἄνωθεν, καὶ παρῳχηκότας ἤδη καιροὺς διεστήκει Θεοῦ τὰ ἀνθρώπινα. πεπλάνητο γὰρ ἡ σύμπασα γῆ· καὶ καθάφησιν ὁ μακάριος Δαυίδ· πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ * ἦν ὁ ποιῶν χρηστότητα· οὐκ ἦν ἕως ἑνός. ἀλλ' ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπέφανεν ἡμῖν ὁ μονογενὴς τοῦ θεοῦ λόγος, καὶ συνανεστράφη τοῖς ἐπὶ τῆς γῆς, καθ' ἡμᾶς γεγονὼς ἄνθρωπος μετὰ τοῦ * μεῖναι φύσει θεός· αὐτὸς ἡμᾶς συνῆψε δι' ἑαυτοῦ τῷ θεῷ, καὶ πατρὶ, περιελὼν τὸ μεσολαβοῦν, καὶ ἀμνησικάκως ἀπαλλάξας τῆς * διϊστάσης ἡμᾶς ἁμαρτίας, καὶ δικαιώσας τῇ πίστει. καὶ γάρ ἐστιν αὐτὸς ἡ εἰρήνη ἡμῶν κατὰ τὰς γραφάς· ἔμελλε τοίνυν ὁ τῆς πρὸς Θεὸν εἰρήνης ἡμῶν σύνδεσμος διαῤῥήγνυσθαι, παραλυομένης τῆς πίστεως· ἔμελλεν ἡ τῆς δικαιοσύνης ὁδὸς ἐκ τῶν ἡμετέρων κρύπτεσθαι διανοιῶν. ἵνα μή τι * λέγωμεν φορτικόν. δικαιούμεθα γὰρ διὰ τοῦ ἁγίου βαπτίσματος, τὸν θάνατον τοῦ Χριστοῦ καταγγέλλοντες, προσομολογοῦντες δὲ καὶ τὴν ἀνάστασιν αὐτοῦ. πλὴν οὐκ ἀνθρώπου κοινοῦ θάνατον καταγγέλλομεν, ὦ φιλόχριστε βασιλεῦ, ἀλλ' ἐνανθρωπήσαντος Θεοῦ, καὶ παθόντος μὲν ὑπὲρ ἡμῶν σαρκὶ, καθὰ γέγραπται, ζῶντος δὲ ὡς Θεοῦ, καὶ τῇ ἰδίᾳ φύσει μεμενηκότος ἀπαθοῦς. κινδυνευούσης τοιγαροῦν τῆς χριστιανῶν ἐλπίδος, τόγε ἧκον εἰς τοὺς τοῦ πλανῶντος λόγους, καὶ τὴν ἀτεχνῆ καὶ * ἀπύλωτον γλῶτταν, ἀναγκαῖόν πως ἦν, καὶ ἀπαραίτητον, βασιλεῦ, σύνοπλον ἡμᾶς ἔχοντας τὴν ἀλήθειαν, τοῖς ὀρθὴν ἔχουσιν ἐπαμῦναι πίστιν. τὸ δὲ δὴ μάλιστα ἡμᾶς πρὸς τοῦτο παροτρύνον ἐλθεῖν, ἐκεῖνο * ἐστίν. ἐνταῦθα μὲν γὰρ οἱ μακάριοι πατέρες ἡμῶν * θαρσηθέντες παρὰ Θεοῦ, τὴν ἱερωσύνην ταῖς τῶν αἱρέσεων κατὰ καιροὺς ἀντετάξαντο δυστροπίαις, μάλιστα δὲ τῇ τῶν ἀνοσίων Ἀρειανῶν· καί τοι κατ' ἐκεῖνο τοῦ καιροῦ οἱ τῶν ἀνθρωπίνων κρατοῦντες πραγμάτων οὐκ ἤδεισαν τὴν ἀλήθειαν. ἐφρόνουν δὲ μᾶλλον τὰ ἐκείνων. καὶ τοὺς ὀδόντας αὐτῶν * ἐπέτριζον τοῖς τῶν ἐκκλησιῶν διδασκάλοις. ἀλλ' ἦσαν ἐκεῖνοι παντὸς ἀμείνους δείματος, τὸν ὀρθόν τε, καὶ * ἀνεπίληπτον τῆς πίστεως διακηρύττοντες λόγον. ἤδεισαν γὰρ λέγοντα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. ὅτε τοίνυν ἐκεῖνοι τοὺς τῶν ὅλων κρατοῦντας κατ' ἐκεῖνο τοῦ καιροῦ πολεμιωτάτους ἔχοντες, οὐ σεσιγήκασιν εἰς δόξας ἀδικουμένου τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, πῶς οὐκ ἀναγκαῖον καὶ ἡμᾶς αὐτοὺς κατ' ἴχνος ἰέναι τῆς ἐκείνων ἐπιεικείας, καὶ τῆς εἰς Χριστὸν γνησιότητος; πῶς οὐκ ἔδει ταῖς τοῦ δυσφήμου φωναῖς, ἀντερεύγεσθαι τὴν ἀλήθειαν; ἤδειν, ὡς ἔφην, τῆς εὐσεβείας ἡμῶν τὸ ἐρηρεισμένον. ἠπιστάμην ἀκριβῶς, ὡς οὐκ ἐκεῖνος μᾶλλον ἤρεσκεν, ἀλλ' ἐγώ. * τί τὸ σιωπᾶν ἀναπεῖθον ἦν; μικροῦ με τοῦ πρέποντος ἐξέστησεν ὄκνος, καὶ Θεῷ προσκροῦσαι παρεσκεύασεν. ἀλλ' ἔφην αὐτὸς ἐμαυτῷ· ἀπροφάσιστον ἔχεις, ὦ οὗτος, τὴν σιωπήν. δεινὰ κατάσου τὰ ἐγκλήματα παρά τε Θεῷ καὶ ἀνθρώποις. εὐσεβὴς καὶ φιλόχριστος ὁ τῇ βασιλίδι δόξῃ κατεστεμμένος παρὰ Θεοῦ. καὶ μὴν καὶ αὐτὴ τοῖς ἴσοις αὐχήμασιν ὁρᾶται διαπρεπὴς ἡ τῶν εὐκλεεστάτων βασιλίδων δυάς. ὁμογνωμονεῖ καὶ αὐτὰ τὰ σεμνά τε, καὶ ἀξιάγαστα τῆς παρθενίας βλαστήματα. οἱ στάσιν ἔχοντες τὴν ἐγγὺς, καὶ ταῖς τῶν ἀξιωμάτων ὑπεροχαῖς ἐκλελαμπρυσμένοι, ὀρθῇ τε, καὶ ἀδιαβλήτῳ διαπρέπουσι πίστει, λελύπηνται καὶ αὐτοὶ τῆς τοῦ σωτῆρος δόξης ἀθετουμένης. εἶτα πῶς οὐ σφόδρα νεανικῶς τὰ Θεῷ δοκοῦντα πληροῖς; ἢ οὐκ ἀδρανὴς ὁ ναυτίλος, ὅταν ἐξ οὐρίας αὐτῷ τοῦ πνεύματος καταχεομένου τῶν λίνων παραιτῆται τὸ πλεῖν; οὐχὶ ἀσθενής τε, καὶ φυγοπόλεμος εἴη ἂν ὁ τεταγμένος ἐν στρατιώταις, εἰ νικᾷν ἐξὸν, τῆς τῶν ἀρίστων χειρὸς ἐπικουρούσης αὐτῷ, ῥίψασπίς τις ὁρῷτο, καὶ ἄνανδρος; ταῖς τοιαύταις ἐμαυτὸν παραθήγων ἐννοίαις, καὶ τῇ εὐσεβείᾳ τοῦ ὑμετέρου κρατοῦς τεθαῤῥηκὼς, ἀοκνότατα παρῆλθον ἐπὶ τὸ χρῆναι συνειπεῖν δυσφημουμένῳ Χριστῷ· ἄλλως τε χρὴ γὰρ, ἔγωγέ φημι, προσενεγκεῖν οἷς ἔφην καὶ τόδε. ἐπελέχθη Νεστόριος, ὡς τοῖς ἀποστολικοῖς, καὶ εὐαγγελικοῖς κηρύγμασιν ἐγγεγυμνασμένος, ὡς τεχνίτης εἰς εὐσέβειαν, ὡς ὀρθὴν ἔχων τὴν πίστιν καὶ ἀμώμητον παντελῶς· καὶ τοιοῦτον εἶναι τὸν ἄνθρωπον, καὶ τὸ εὐσεβὲς ὑμῶν κράτος ἐπεθύμει, καὶ πάντες δὲ οἱ τῶν ἁγίων ἐκκλησιῶν προεστηκότες, κἀγώ τε αὐτός. καὶ γοῦν ὅτε τὰ περὶ τῆς χειροτονίας αὐτοῦ παρὰ τῶν εἰς τοῦτο παρενεγκόντων θεοσεβεστάτων ἐπισκόπων διεπέμφθη γράμματα, ἀντέγραφον ἀμελλητὶ, χαίρων, ἐπαινῶν, ἐπευχόμενος ὡς ἀδελφῷ, καὶ συλλειτουργῷ τὰ πάντων ἐξαίρετα τῶν ἀγαθῶν διὰ τῆς ἄνωθεν ὑπάρξαι ψήφου. ἀλλ' οὐ τῆς ἡμῶν φιλαδελφίας τὰ μετὰ τοῦτο κατηγορήματα, μᾶλλον δὲ τῆς ἐκείνου σκαιότητος. ἐπελέχθη μὲν γὰρ ὡς πρόβατον, ἀλλ' εὕρηται λύκος· ὡς πιστὸς, καὶ γνήσιος οἰκέτης, ἀλλ' ἠγάπησε τὸ ἐναντίον. ὡς εὔβοτρυς ἀμπελὼν, ἀλλ' ἐκτέτοκεν ἀκάνθας, κατὰ τὸ γεγραμμένον· ὡς γηπόνος εὔτεχνος, ἀλλ' ἐπεβούλευσε τῷ χωρίῳ· ὡς ποιμὴν ἀγαθὸς, ἀλλὰ θηρῶν ἀγρίων γέγονεν ἀπηνέστερος. εἶτα νενοσηκὼς, οὐκ οἶδ' ὅπως, τὴν κακοδοξίαν, νενουθέτηται πλειστάκις, καὶ τοῦτο παρὰ πολλῶν· ἆρα οὖν ὠφελήθη νουθετούμενος; ἐδήχθη τὸν νοῦν, ἐλεγχόμενος; μετεβουλεύσατο τὰ ἀμείνω; πεφρόνηκέ τι τῶν ἀγαθῶν; ἆρα μεμίσηκε

τὸ

*παρετήρησε-το. τὸ ψεῦδ☩ ; ἠγάπησε τλιὰ ἀλήθειαν ; * παρητήσατο τλιὰ τῆς ἁμαθίας ἀχλύν ; ἐζήτησε δὲ τὸ φῶς ; κατέληξε τῆς καπὶ Χεισῦ γλουσαλγίας ; τῷ ἀντειρηκότων ἐδυσωπήθη τὸ πλῆθος ; ἐφείσατο πολλὰς , κ᾽ ἀναριθμήτους σκανδαλιζομένους ὁρῶν ; * λελύπηκεν αὐτὸν τὸ * κοίανδρον τῷ πεπισθκότων τλιὰ ἐκκλησίαν ὁρᾶν ; ὐδαμῶς , καθα᾽ κ᾽ αὐτὸ τῷ πραγμάτων τὸ πέρας διαβοήσειεν ἄν . ἐπειδὴ γὰρ ἡμῖν ἡ ἁγία σύνοδ☩ κατὰ θέσπισμα τῦ ὑμετέρυ κράτους σιναγήγερτο πανταχόθεν κατὰ τλιὰ Ε᾽φεσίων μηξόπολιν , ἀφίκετο δὲ καὶ αὐτὸς , τότε δὴ τότε , καί τοι δέον τοῖς ἤδη παρῳχηκόσιν ἐπολοφύρεσθαι , κ᾽ κλαίειν αὐτὸν , ὥσπερ ὐδενὸς ἀγαναχτοῦντ☩ ὅλως , ἐφ᾽ οἷς τετόλμηκεν εἰπεῖν ἔτι ποιούμεν☩ τὸς διατειβὰς σὺν ἐκείνῃ τῇ μεγαλωνύμῳ πόλει προσετίθει τὰ χείρω . κατεφλυάρει τὰ αἰχίονα , κ᾽ τῆς τῦ σωτῆρ☩ ἡμῶν κατεθρασύνετο δόξης , ὀλίγυ παντελῶς ἀξιώσας λόγυ , μᾶλλον δὲ τῦ μηδενὸς ὅλως , τῆς εἰς αὐτὸν δυσφημίας τὸ ἔγκλημα . οἷα γὰρ τετόλμηκεν εἰπεῖν , σιωπᾷν ἄμεινον · κ᾽ * ταῦτα διαλεγόμεν☩ ἐπισκόποις * θείοις , κ᾽ δ᾽ προπεσάτην ἔχυσι τλιὰ ἐφ᾽ ἅπασι τοῖς ἀγαθοῖς ψηφόν τε , κ᾽ δόξαν . ἦσαν δὲ κ᾽ τῷ θείων γραφῶν ἐμπειρότατοί τε , κ᾽ ἐπισήμονες · οἳ κ᾽ πολὺ λίαν ταῖς κατὰ Χεισῦ δυσφημίαις ἐπηλγηκότες , κ᾽ τλιὰ ἀκρατῇ , κ᾽ ἀπύλωτον αὐτῦ μισήσαντες γλῶτταν , ἀπονιψάμενοί τε τὰς χεῖρας αὐτῷ , ταῦτα τῇ συνόδῳ δακρυῤῥοῦντες ἀπήγγελον , ὐκ ὀν παραβύσῳ , κ᾽ λελῃθότως , θαρσήσαντες δὲ ἐπ᾽ αὐτῆς τῆς φύσεως τῷ ὑπομνημάτων εἰπεῖν , κ᾽ ἑτοίμως ἔχοντες διελέγχειν αὐτὸν , ἃ μὴ δὲ θέμις ὀνομεῖν , κατειρηκότα Χεισῦ . ἔδρων δὲ τῦτο , τλιὰ ἐπὶ τῦ θείυ βήματ☩ δεδιότες κρίσιν . ὐ γὰρ ἀφιλόσοργοί τινες ἦσαν , φιλόθεοι δὲ μᾶλλον , κ᾽ τῆς εἰς Χεισὸν ἀγάπης γνήσιοι φύλακες . ὥσπερ γὰρ τὲς ὑπὸ σκῆπτρα κειμένυς τῆς θ᾽αγῦς ὑμῶν βασιλείας , ἢ γῳναίυς στρατηγὲς , ἢ γοιῦν κ᾽ ἑτέρυς τινὰς τῷ ὀν ἀξιώμασι , καὶ ὑπεροχαῖς , λαμπρύς τε , κ᾽ φιλτάτυς ὑμῖν ἀποφαίνει τὸ καθηκόντως ἀγανακτεῖν , εἰ δήπυ τινὲς ἢ ἀσελγῆ κ᾽ ἀκόλαστον κατά γε τὸ ὑμετέρυ κράτυς κινήσειαν γλῶτταν , ἢ κ᾽ δρᾶν ἔλοιντό τι τῷ ἔξω λόγυ , κ᾽ τῦ εἰκότ☩ . ὅπω κ᾽ τὸν θεῖον ἱερυργὸν ἐπαίνου παντὸς ἄξιον ἀπεργάζεται παρά τε Θεῷ , κ᾽ ἀγγέλοις , τὸ μὴ ἀνέχεσθαί τινος τῷ τ᾽ θείας καταφλυαρόντων δόξης , ὀν μοίρᾳ δὲ μᾶλλον αὐτὸς τῷ ὅτι μάλισα πολεμιωτάτων ποιεῖσθαι φιλεῖν . κ᾽ γοιῦν ὁ μακάρι☩ Δαυὶδ αὐχημα λαμπρὸν ἑαυτῷ δὴ τῦτο περιτιθείς , ἀνεφώνει · ὐχὶ τὲς μισῦντάς σε κύριε , ἐμίσησα , κ᾽ ἐπὶ * τὲς ἐχθρές συ ὠξετηκόμην ; τέλειον μῖσ☩ ἐμίσουν αὐτύς · εἰς ἐχθρὲς ἐγένοντο μοί . εἰ μὴ οὖν ἀγαπῶσι Χεισὸν οἱ δυσφημοῦντες αὐτὸν , λογισμῷ τῷ πρέποντ☩ ἁμαρτάνυσιν οἱ πολεμοῦντες αὐτοῖς · εἰ δὲ μισοῦσιν ἀναφανδὸν , κ᾽ τὸ παράδειγμά ἐσι κατ᾽ ἐξοχὴν ἄμφιβολον , πῶς ὐκ ἀξιάγαστοι , κ᾽ θεοφιλεῖς , οἱ ταῖς ἐκείνων βδελυρίαις τὸν δ᾽ρανὸν , κ᾽ φιλόθεον ἀνατρέχοντες λόγον ;

Ψαλ. 138. 22 * τοῖς ἐχθροῖς.

Ἦν δὲ κ᾽ ἑτέρως χρήσιμόν τε , κ᾽ ἀναγκαῖον , τῷ ὑμετέρῳ κράτει , τὸ τῷ θείων ἐλαύνεσθαι θυσιασηρίων τὸν βεβηλοῦντα αὐτά . κ᾽ τίνα τρόπον ; ἐρῶ , τὰ ἐκ τῆς * θείας γραφῆς παρενεγκών εἰς πληροφορίαν . ὀλιγωρήσαντές ποτε τῷ θεῷ τὰ τοῦ σόφυ Μωσέως τεθεσπισμένων οἱ ἐξ Ι᾽σραὴλ , κ᾽ τῆς δοθείσης αὐτοῖς ἀλογήσαντες ἐντολῆς , ἐξέπεσον τρὸς ἀποσασίαν τλιὰ ἀπὸ Θεῦ , καὶ προσκεκλιμήκασιν εἰδώλοις , κ᾽ τῇ στρατιᾷ τῦ ὐρανῦ , καθα᾽ γέγραπται . ἦκον δὲ ἤδη τρὸς τῦτο * δυσσεβείας οἱ τάλανες , ὡς κ᾽ αὐτὸν τὸν θεῖον καταμιᾶναι νεών . ἠγανάκτει τρὸς ταῦτα Θεός , κ᾽ παρέδωκεν αὐτὲς εἰς χεῖρας ἐχθρῶν . ἐπειδὴ δὲ βεβασίλδκεν Ε᾽ζεκίας ἀνὴρ ὅσιός τε , κ᾽ ἀγαθός , ἐπλυώρθυ τὰ διεπταισμένα · κ᾽ δὴ τὸν θεῖον διακαθάρας ναὸν , προσεκόμιζεν ὅπω τὰ νενομισμένα τῷ πάντων κρατοῦντι Θεῷ . γέγραπται δὲ ὅτω περὶ αὐτῦ · κ᾽ Ε᾽ζεκίας * ἐβασίλδσεν , ὢν εἴκοσι πέντε ἐτῶν · εἶτα προσεφώνει τοῖς λδίταις · ἄνδρες λδῖται , ἀκύσατε · νῦν ἁγνίσθητε , κ᾽ ἁγνίσατε τὸν οἶκον τῦ Θεῦ τῷ πατέρων ἡμῶν , ὃ ἐκβάλλετε τλιὰ ἀκαθαρσίαν ἐκ τῷ ἁγίων , ὅτι ἀπέσησαν οἱ πατέρες ἡμῶν , κ᾽ ἐποίησαν τὸ πονηρὸν ἐναντίον κυρίυ , κ᾽ ἐγκατέλιπον αὐτόν . προθεὶς δὲ τύτοις κ᾽ ἕτερά τινα τῷ χρησίμων τοῖς ἀκροωμένοις , ἐπιφέρει πάλιν · κ᾽ νῦν μὴ διαλίποιτε , ὅτι ὐν ὑμῖν ἠρέτικε κύρι☩ σλῶαι ἐναντίον αὐτῦ λειτυργεῖν , κ᾽ εἶναι αὐτῷ λειτυργοῦντας , κ᾽ θυμιῶντας . κ᾽ ἀνέσησαν οἱ λδῖται , φησὶ , κ᾽ σιωπήγαγον τὲς ἀδελφὲς αὐτῷ , κ᾽ ἡγνίσθησαν κατὰ τλιὰ ἐντολὴ τῦ βασιλέως διὰ προστάγματ☩ κυρίυ , καθαρίσαι τὸν οἶκον κυρίυ · κ᾽ εἰσῆλθον οἱ ἱερεῖς ἔσω εἰς τὸν οἶκον κυρίυ , κ᾽ ἐξέβαλον πᾶσαν τλιὰ ἀκαθαρσίαν τλιὰ εὑρεθεῖσαν ἐν τῷ οἴκῳ κυρίυ , ὃ εἰς τλιὰ αὐλλὰ τῦ οἴκυ κυρίυ . εἶτα φησι τὸ γράμμα τὸ ἱερόν · κ᾽ τῇ ἡμέρᾳ τῇ ἑκκαιδεκάτῃ τῦ μηνὸς τῦ πρώτυ συνετέλεσαν , κ᾽ εἰσῆλθον ἔσω πρὸς Ε᾽ζεκίαν τὸν βασιλέα , κ᾽ εἶπον · ἡγνίσαμεν πάντα τὰ ἐν τῷ οἴκῳ κυρίυ . γέγραπται δὲ πάλιν · ὅτι κ᾽ ὤρθεσεν Ε᾽ζεκίας ὁ βασιλδς , κ᾽ συνήγαγε τὲς ἄρχοντας τῆς πόλεως , κ᾽ ἀνέβη εἰς οἶκον κυρίυ , κ᾽ ἀνήνεγκε μόσχυς ἑπτὰ , κ᾽ κριμάρυς ἑπτὰ , κ᾽ ἀρνῶν ἑπτὰ , περὶ ἁμαρτίας , περὶ τῆς βασιλείας , περὶ τῷ ἁγίων , ὃ περὶ Ι᾽σραήλ . σύνες ἐντεῦθεν , ὦ φιλόχεισε βασιλεῦ , ὅτι , καί τοι θυμιάσαι τῷ Θεῷ προπεθυμημένος ὁ πανάεισ☩ , κ᾽ ὅσιος Ε᾽ζεκίας , ὐ πρότερον εἰσβέβηκεν εἰς τὸν ναὸν τῦ Θεῦ , κ᾽ τετέλεκε τὰ * κατὰ τὴν δίκην , εἰ μὴ προσηνέγκατο τοῖς ἱερεῦσι τῦ Θεῦ καθαίρεσθαι τὸν οἶκον κυρίυ , κ᾽ ἐκβαλεῖν αὐτῦ πᾶσαν ἀκαθαρσίαν · ὃ δὴ γεγονότος ἐθυμία λαμπρῶς . ἔχαιρέ τε , κ᾽ λίαν ὀρθῶς , ὡς δ᾽παράδεκτον ἤδη θυσίαν προσκομίσας Θεῷ , διὰ τὸ μάλισα τῆς ἐνύσης ἀκαθαρσίας προαπαλλάξαι τὸν νεών . τοιῦτό τι πέπρακται κ᾽ παρὰ τῦ ὑμετέρυ κράτυς εἰς δόξαν * Θεῦ . ἔθος γὰρ ὑμῖν * θυμιάζειν * ἐν ἐκκλησίαις , κ᾽ χειρὶ πλουσιωτάτη προσκομίζειν ἀεὶ τὰ εἰς δόξαν * Θεῦ . ἀλλ᾽ ἦν ἀναγκαῖον προαποκαθᾶραι τὸν ναὸν , μώμυ τε , κ᾽ μολυσμῦ προαπαλλάξαι παντός . ὅπω δὲ θύειν ἐπὶ κηρῦ . μολυσμῦ δὲ παντὸς ἐπίκεινα πρὸς διαβολὴν ἡ κατὰ Χεισῦ δυσφημία . ἀλλ᾽ ἐκελδσαπ

τῖς

*παρετήρησε-το. defunt duæ lineæ in mſ Seg. *κοιὼ ἀνδρῶν. δια τῦτο. *θείοις. Παρακ. 29 (Ezechiæ) *κατ' ἐμ *Χεισῦ *θυμιάζειν *ἐκκλησίαις. *Χεισῦ

τοῖς ἱερεῦσι, οἳ, καθάπερ ἔφην ἀρτίως, καὶ προεξεκάθηραν ὑμῖν τὸν ναὸν, * ἥγνισαν αὐτὸν, τὴν ἀτεχνῆ, καὶ ἀνόσιον παύσαντες γλῶσαν, ἵνα ὑμεῖς δόκιμοι γένησθε μειζόνως παρά τε Θεῷ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις.

* ἁγίασαντες.

Ἡ μὲν οὖν ἁγία τε, καὶ οἰκουμενικὴ σύνοδος, καὶ τὸν τῆς ὅλων σωτῆρα Χριστὸν ἀφραίνουσα, καὶ τῇ εἰς αὐτὸν πίστει * σωναγορεύουσα, μονονουχὶ λέγουσα· ζηλῶσα ἐζήλωκα τῷ κυρίῳ, κατὰ τὸ γεγραμμένον. ἐκ μέσου γενέσθαι προεσκάσατο τὸ σκανδάλου τοῦ ἀφορμήν. ὃς δὲ, ἦν εἰκὸς, μᾶλλον δὲ καὶ ἀναγκαῖον, συνάρασθαι νεανικῶς, καὶ συναθλῆσαι προθύμως τοῖς πεπονηκόσι, καὶ μερίσασθαι μεθ' ἡμῶν τῆς διὰ Χριστὸν ἀνδρείας τὰ γέρα, τὸν αὐτὸν ὑμῖν ἀναλαβόντας ζῆλον, καὶ θεοφιλῆ ἄψυχίας τὸν οἰκεῖον * ἀναπιμπλῶντας νοῦν, ὅτοι γεγόνασι σκληροὶ, καὶ ἀφιλοικτίρμονες, καὶ τῆς τοῦ δυσφήμου σκαιότητος κατ' ὀδοὺς ὧν * μείοσι. λελυπημένοι δὲ, καὶ ἀλγήσαντες, οὐχ ὑπέρ γε μᾶλλον τῆς δόξης τοῦ Χριστοῦ, ἀλλ' ὑπὲρ τοῦ πλείστους, καὶ ἀνοσίως κατ' αὐτοῦ πεφλυαρηκότος, τῇ γνησίων κατεστράτηντο μαχητῇ, καὶ τοῖς τὰ τοῦ Χριστοῦ φρονεῖν ἐθέλουσιν ἀντεφέροντο, δι' ὧν δρᾶσαι τετολμήκασι, μονονουχὶ κεκραγότες· τί τὴν ἀσελγῆ, καὶ ἀχάλινον ἐπαύσατε γλῶτταν, καὶ τὸ τοῦ προβάτου περιελόντες χώδιον, τὸν ἄρπαγα λύκον τοῖς ἀπαντιχοῦ γνώριμον * κατεσήσατε; τὸ γὰρ ἐφ' οἷς ἐκεῖνος ἐλήλεγκται δυσφορεῖν, ἕτερον ὀδοὺ, ὡς γε οἶμαι, πλὴν ὅτι τοῦτο διακεκραγότων ἐστίν. ὁ γάρ τοι τῆς Ἀντιοχέων ἐκκλησίας προεστηκὼς, ἀπελιμπάνετο μὲν τῆς ἁγίας συνόδου, καὶ τοι παρεῖναι κεκελευσμένος κατάγε τοῦ ὁρισθεῖσαν ἡμέραν παρὰ τοῦ ὑμετέρου κράτους· ἀνεδύετο δὲ τοῦ ἄφιξιν, ταῖς τοῦ πεφλυαρηκότος κατὰ Χριστοῦ δυσροπίαις τοῦ μέλλησιν χαριζόμενος· μᾶλλον δὲ, ὡς εἰκὸς, καὶ ἀληθῶς, καὶ ἀναμφιλόγως, ἐκείνῳ τὰ ἴσα φρονῶν. ἔκτης γὰρ ἐπὶ δεκάτῳ διαγνωσθείσης ἡμέρας, ἦκόν τινες μόλις τῇ σὺν αὐτῷ, τῇ ἄλλων οἱ προὔχοντες, μηδοπολῖται δὲ ὅτοι· καὶ δὴ καὶ ἀπήγγελον ὡς παρ' αὐτοῦ τῇ ἁγίᾳ συνόδῳ, μὴ δὴ χρῆναι πάντως ἀναμένειν αὐτοῦ τοῦ ἄφιξιν, πληροῦν δὲ μᾶλλον ἐπείγεσθαι τὰ τεθεσπισμένα. τότε δὴ μόλις ἡ ἁγία σύνοδος συνηγέρτο μὲν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, τῇ καλουμένῃ Μαείᾳ, σύνεδρον δὲ ὥσπερ, καὶ κεφαλὴν ἐποιεῖτο Χριστόν. ἔκειτο γὰρ ἐν ἁγίῳ θρόνῳ τὸ σεπτὸν εὐαγγέλιον, μονονουχὶ καὶ * ἐπιβοῶν τοῖς ἁγίοις ἱερουργοῖς· κεῖμαι δίκαιον κρίνατε· δικάσατε τοῖς ἁγίοις εὐαγγελισταῖς, καὶ ταῖς Νεσορίου φωναῖς· κοινῇ δὴ οὖν τῇ παρὰ πάντων ψήφῳ τὰ μὲν ἐκείνου * κατεκρίνετο, τῆς δὲ ἀποστολικῆς τε, καὶ εὐαγγελικῆς παραδόσεως τὸ ἀκραιφνὲς ἐδείκνυτο κάλλος· καὶ τῆς ἀληθείας ἡ δύναμις ἐκρατύνετο. ὡμολόγητο γὰρ παρὰ πάντων ἡ ὀρθή τε, καὶ ἀδιάβλητος πίστις· τοῦτο καὶ ὑμῖν δοκοῦν, ὦ φιλόθεοι βασιλῆς· ἅλις γὰρ ὑμῶν ὁ σκοπὸς εἰς τε τὸ τῷ Θεῷ δοκοῦν, καὶ εἰς εὐσέβειαν βλέπει· προτετιμήκατε γὰρ πώποτε τῆς ἀληθείας ὀδοῦ· ὁ δὲ τῆς Ἀντιοχέων ἐκκλησίας προεστὰναι λαχὼν Ἰωάννης, ἀμελητὴς, καὶ ῥᾴθυμος, καὶ ἀνιξίκακος μὲν ἀδικουμένῳ Χριστῷ, ὀξὺς δὲ, καὶ μισοπόνηρος, ὅτι τῆς κατ' αὐτοῦ γλωσσαλγίας, ὁ ταύτῃ κεκινηκὼς, ἐπράττετο δίκας, πτηνῇ δίκῃ τοῦ Ἐφεσίων κατυλαβών, καὶ ὥσπερ ἐπὶ * ἐξουσίας αὐτῷ, τὸ, ὅσα περ ἂν βούλοιτο, δρᾶν, ἀδόντως ἐπιτιμῶντος ὅλως, ὡς ἀπηρημένων εἰς ἅπαν τῆς τῆς ἐκκλησίας θεσμῶν, ὡς ἐκ ἐφορῶντος· θεοῦ τὰ ἀνθρώπινα, καὶ ἀλογίᾳ μᾶλλον, ἢ φρονήσει διακόσμου, καὶ θυμῷ δὲς τὸ πλέον, ἢ λογισμῷ τῷ σώφρονι κρατεῖν ἐπιβρέψας, ἅρτι, καὶ μόλις τοῦ ὀχήματος ἀποπηδήσας, καὶ τὸ δωμάτιον εἰσδύς, ἔτι τε κεκοπιασμένος, ψῆφον ἐκφέρει σαθρὰν καὶ * ἐκνομωτάτην, ὁμοῦ τοῖς τὰ αὐτὰ φρονεῦσιν αὐτῷ· ἄνδρες δὲ ἦσαν ἀπόλιδες, καὶ Κιλικιακοὶ καθυβρισμένοι, καὶ οἱ τῆς Νεσορίου φρονοβλαβείας ὑπασπισταὶ, καὶ ἐκ πολλῆς ἄγαν ἐμβριθυντησίας μεμεριζόμενοι σὺν αὐτῷ τῆς κατὰ Χριστοῦ δυσφημίας τὰ ἐγκλήματα. ὑβρίζει τοίνυν ἅπασαν μὲν τὴν ἁγίαν σύνοδον, τῷ τῆς ἀκοινωνησίας ὀνόματι περιβαλὼν τοὺς ἐκ πάσης ἥκοντας τῆς ὑπ' οὐρανὸν, ἄνδρας ἀοιδίμους, καὶ τῷ ὑμετέρῳ κράτει γνωριμωτάτους, καὶ πολλοῦ λαχόντας ἐφ' ἅπασι τοῖς ἀρίστοις τοῦ ἀφημίαν. ἐμὲ δὲ, καὶ τὸν τῆς Ἐφεσίων ἱερουργὸν φορτικωτέρᾳ περιβάλλων ὕβρει, ψευδηγορῶν, καὶ λέγων, ὡς τὰ τοῦ δυσσεβοῦς Ἀπολιναρίου πεφρονήκαμεν, καὶ τοῖς τοῦ Ἀρείου, καὶ Εὐνομίου βδελυροῖς τε, καὶ ἀνοσίοις συναπεμόγμασιν. ἔδρα δὲ τοῦτο, ὡς ἔφην, πάντα καλῶν ἀνασειῶν ταῖς ἀτιθάσσοις ὀργαῖς, καὶ ὅλας ὑπερλυσσας ἀνιεὶς τοῖς ἐκ θυμοῦ, καὶ ὑπεροψίας ἀφιλοθέοις κινήμασιν. ὃ δὴ καὶ θαυμάσαι ἔχω. ὁ γὰρ ἀεὶ φίλος καὶ ἀγαπητὸς, ὁ μηδέ πώποτε τοῖς ἐμοῖς * ἐπισκώψας λόγοις, ὁ γράφων ἀσμένως, καὶ τὰ παρ' ἐμοῦ κομιζόμενος γράμματα, ὁ πρὸ αὐτῆς τῆς τῆς Ἐφέσου πυλῶν τοῖς ἐξ ἀγάπης προσφθέγμασι μονονουχὶ περιφὺς, καὶ ταῖς ἰδίαις ἐπιστολαῖς ἐνθεὶς· Τῷ δεσπότῃ μου τῷ θεοφιλεστάτῳ, καὶ ἁγιωτάτῳ συλλειτουργῷ Κυρίλλῳ, Ἰωάννης ἐν κυρίῳ χαίρειν. ὧδέ ἐμὲ μετεώρως δάκνει τὸ * ὅλως τῆς ὑμετέρας ὁσιότητος εἰς τοῦ Ἐφεσίων παραγνωμονῆσαι, τὰς μικρὰς ταύτας ὑπερῆσαι ἡμέρας· τῆς γὰρ χρείας ὁ περὶ τοῦ σοῦ ἁγιωσύνου πόθος πλέον μοι ἔγκειται, σωτηρίως τοῦ ὁδὸν ὀξαύσαι. καὶ μεθ' ἕτερα· ἔχω δὲν, * δέσποτα, καὶ πάντας τοὺς ποθ', ἢ ἐξ * μονὰς ὥστε ἀλύπως ἡμᾶς ὁδεῦσαι, καὶ δραμεῖν, καὶ περιπτύξασθαι τοῦ ἱερᾶ ἡμῖν καὶ * θείᾳ κεφαλῇ. οἱ περὶ τὸν κύριον μου τὸν θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην, Παῦλον, Μακάριον, προσφθέγγονταί σου τοῦ ὁσιότητος. πᾶσαν τοῦ σωσοὶ ἀδελφότητα ἐγώ τε, καὶ οἱ σοῦ ἐμοὶ πλεῖστα προσαγορεύομεν. ἐρρωμένον, εὐοδούμενον ἡμῶν δεσπότα θεοφιλέστατε καὶ ἁγιώτατε. πῶς δὲν ὁ συλλειτουργὸς, καὶ ἀδελφὸς ὠμάσας, ἀδοκήτως ἰοῦ ἐχθρὸς, ἀδικεῖσθαι δοκεῖ; ἀκούω δὲ, σοφὸν οἴεσθαί τι λέγειν αὐτὸν, τὰς κατ' ἐμοῦ πλημμελείας ἀποκρυπτόμενον τὰ ἐγκλήματα. ὅτι γέγραφα, κρύπτων ἔτι τοῦ ἔχθραν, καὶ τῷ δέοντι παιδεύομενος τοῦ φανέρωσιν. εἶπα τοῖς, εἴπερ * ἰοῦ αἱρετικὸς ἐγὼ, καὶ τῆς τοῦ δυσσεβοῦς Ἀπο-

ἐγίασαντες.

σωηγόρευσε. 1 Βασιλ. 20. 19.

ἀδιαβλήτως.

μείοσι.

κατεσήσατε.

ἐπεσήκασι.

Ἰωάννου. Ἰωάν. 3.

ἐπιβοῶν.

κατεκρίνετο.

ἐξουσίας.

ἐπισκώψας.

τὸ, ὅλως τῆς.

μονὰς ὥστε.

θείᾳ κεφαλῇ.

ἰοῦ αἱρετικὸς.

πο-

πολιναρίου, * καὶ Ἀρείου, καὶ Εὐνομίου φαυλότητος κοινωνὸς, συλλειτουργὸν ὠνόμαζε; τί δὲ καὶ ὁσίαν τὴν ἐμὴν κεφαλὴν, καὶ πρός γε τούτῳ καὶ ἱεράν; ἢ οὐχ ἅπασιν ἐναργὲς, ὡς εἴπερ τις ἕλοιτο φρονεῖν τὰ βαρβάρων, οὗτος ἔσται πάντως τῆς εὐαγεστάτης ὑμῶν βασιλείας ἐχθρός; ἀλλ' ἔκρυπτεν, ὥς φησι, τὴν ἔχθραν· καὶ γλυκὺς μὲν ἦν τό γε ἧκον εἰς λόγους, δόλου δὲ, καὶ πικρίας ἐπίμεστος τὴν καρδίαν. εἶτα τίς ὁ ἐπαινέσαι τολμῶν τὸν οὕτω ζῆν εἰωθότα; ἆρα βούλεται τοὺς Ἑλλήνων ἡμᾶς πολυπραγμονῆσαι λογάδας; ἀλλὰ κἀκεῖνοι μεμισήκασι τὸν ἑτερόγλωσσον, καὶ ἑτερογνώμονα. ἐξετάσωμεν τῆς θεοπνεύστου γραφῆς τὸν σκοπὸν. * ἀλλὰ Θεοῦ λέγοντος ἀκηκόαμεν ἐναργῶς περὶ τῶν ὁμοτρόπων ἐκείνῳ· βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν. δόλια τὰ ῥήματα τοῦ στόματος αὐτῶν· τῷ πλησίον αὐτοῦ λαλεῖ εἰρηνικὰ, καὶ ἐν ἑαυτῷ ἔχει τὴν ἔχθραν· μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι; λέγει κύριος, ἢ ἐν * λαῷ τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; δόλος γὰρ, καὶ ἀπάτη, καὶ κεκρυμμένη πικρία * μεμίσηνται παρὰ Θεῷ· καὶ τὸ λαλεῖν μὲν εἰρηνικὰ, διακεῖσθαι δὲ δυσμενῶς, ἀφόρητόν τι χρῆμα λελόγισται παρ' αὐτῷ· τοιγάρτοι καὶ ἐκδικεῖν ἐπαγγέλλεται· προφασιζόμενος δὲ ἴσως προφάσεις ἐν ἁμαρτίαις, κατὰ τὸ γεγραμμένον, ὁ νεανίσκος, εἰς ὕβρις, καὶ ὁ τεχνίτης εἰς συκοφαντίας, ποιήσεταί τινα πρὸς τοῦτον λόγον, οὐκ ἄκομψον ἴσως, ὥς γε οἴεταί τε, καὶ φρονεῖ. φησὶ γάρ· ὅτι κἀγὼ ἐζήλωκα τῷ κυρίῳ, καθὰ καὶ ἡ ἁγία σύνοδος· αἱρετικοὺς δὲ ὄντας ὑμᾶς, ταῖς παρ' ἐμαυτοῦ λελύπηκα ψήφοις· ὅτι δὲ ταῦτα λέγων, ἐκείνοις ἔσται προσεοικὼς, οὓς καὶ ὁ προφήτης ἡμῖν Ἡσαΐας εἰσκεκόμικε λέγοντας· ἐθέμεθα ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα· κἂν εἰ μή τις λέγοι τυχὸν, αὐτὰ βοήσει τὰ πράγματα· πρῶτον μὲν γὰρ ὑπέροφρύς τε, καὶ ἀλαζὼν εὑρεθήσετε, τοὺς κατὰ πᾶσαν ὄντας τὴν οἰκουμένην ἁγίους ἱερουργοὺς ὕβρει τε περιβαλὼν, καὶ ῥάβδῳ μιᾷ καταπαίων, ἀκοινωνήτους δὲ εἶναι προστέταχεν, οὐκ ἐκείνους μᾶλλον διὰ τούτου λυπῶν, ἀλλ' ἑαυτὸν ἔξω τῆς πρὸς αὐτοὺς κοινωνίας τιθείς. ἔθος γάρ πως ἀεὶ τοῖς ὀλιγογνώμοσιν, οἴεσθαι μὲν, ὅτι πλήττουσί τινας, δρᾶν ἐπιχειροῦντες ἃ μὴ θέμις ἔσθ' ὅτε, ἑαυτοὺς δὲ μᾶλλον, ἢ ἑτέρους ἀδικεῖν. πῶς δὲ ἦν ἀκόλουθον καὶ τοῖς προὔχουσιν ἐπιτιμᾶν, καὶ τοῖς τὴν ἀμείνω λαχοῦσι τάξιν ἀσυνέτως ἐπιπιδᾶν, καὶ τῶν τῆς ἐκκλησίας θεσμῶν τὴν τῆς εἰρήνης * προμνήστρια καταλιπεῖν εὐταξίαν, * μηδὲ αὐτῶν ἀπομιμεῖσθαι φιλεῖν τῶν ἐν τῷ κόσμῳ τὴν ἐπιστήμην; μέτρα μὲν γὰρ τοῖς ἀξιώμασι τὸ εὐσεβὲς ὑμῶν ὡρίσατο κράτος· ἕκαστος δὲ τῶν τετιμημένων τὴν ἑαυτοῦ τάξιν οὐκ ἠγνοηκὼς, εἴκει τε τῷ προὔχοντι, καὶ περὶ τῶν ἴσων οὐ φιλονεικεῖ. ὁ δὲ καὶ τοῦτο παρεὶς ὡς ἕωλον, καὶ ἀλογήσας τοῦ πρέποντος, ἀχαλίνοις ὥσπερ, καὶ ἀπερισκέπτοις ὁρμαῖς κεχώρηκε κατὰ πάντων· καὶ τῆς πρὸς ἅπαντας κοινωνίας ἑαυτὸν ἐκβαλὼν, οἴεταί τι δρᾶσαι τῶν ὀνησιφόρων * ἑαυτῷ. ἀλλ' εἴπερ ὄντως ἐμὲ, καὶ τὸν τῆς Ἐφεσίων ἱερουργὸν, αἱρετικοὺς ὄντας ἠπίστατο, τί τὸ κωλύον ἦν, καὶ πρὶν εἰς τὴν Ἐφεσίων ἀφικέσθαι πόλιν, αἰτιᾶσθαι διὰ γραμμάτων, καὶ ἐμφανῆ καταστῆσαι τὰ, ἐφ' οἷς ἦν αὐτῷ καθ' ἡμῶν ὁ λόγος; ἀφιγμένον δὲ εἰς τὴν Ἐφεσίων, τί κεκώλυκε συντυχεῖν, * αἰτιᾶσθαι μετὰ παῤῥησίας. εἰς μέσον ἀγαγεῖν τὰ ἐγκλήματα, συνεδρεύοντα τῇ ἁγίᾳ συνόδῳ, καλέσαι πρὸς ἀπολογίαν, οὕτω τε ὁμοῦ τοῖς ἄλλοις, ἢ ἀπαλλάξαι τῆς αἰτίας ὀρθὰ φρονοῦντας, καὶ λέγοντας, ἢ γοῦν ὑποθεῖναι ψήφῳ δικαίᾳ τὰ τοῖς τῆς ἐκκλησίας ἀπάδοντα δόγμασι φρονεῖν ᾐρημένους; ἐπειδὴ δὲ ἠπίστατο μάτην ἐγκαλῶν, καὶ συντιθεὶς ἀνοσίως τὰς κατὰ τῶν ὀρθοδόξων συκοφαντίας, καὶ τῇ πρὸς Νεστόριον αἰδοῖ, καὶ φιλίᾳ τὰ καθ' ἡμῶν δωρούμενος, λεληθότως ἠδίκει· καὶ καθάπερ ἐν νυκτομαχίᾳ τετόξευκεν, οὐχ ὁρώμενος, καὶ ψευδηγορίας μεστὸν συντάξας χαρτίον, τετόλμηκεν ἀνενεγκεῖν εἰς τὰς εὐσεβεῖς ὑμῶν ἀκοὰς, οὐτ' ἐκεῖνο λαβὼν εἰς νοῦν, τὸ παρὰ τῇ θείᾳ κείμενον γραφῇ. μηδὲν ψεῦδος ἀπὸ γλώσσης βασιλεῖ λεγέσθω· ἡμεῖς δὲ τοῦτο μαθόντες, βιβλίων ἐπίδοσιν πεποιήμεθα τῇ ἁγίᾳ, καὶ οἰκουμενικῇ συνόδῳ, τὴν μὲν ὀρθὴν, καὶ ἀβέβηλον τῆς ἐκκλησίας ὁμολογοῦντες πίστιν, ἀναθεματίζοντες δὲ τοὺς τὰ Ἀρείου, καὶ Ἀπολιναρίου, καὶ Εὐνομίου φρονοῦντας. παρεκαλοῦμεν δὲ, κατὰ τοὺς τῆς ἐκκλησίας θεσμοὺς ἥκειν τε αὐτὸν εἰς μέσον, τοῖς ἰδίοις συστησόμενον λόγοις, καὶ διελέγχειν ἡμᾶς. ἔννομα δὲ ἦν, ὥς γε οἶμαι, τὰ παρ' ἡμῶν. ὁ δὲ εἰς τοῦτο κατώλισθεν ἀμαθίας, μᾶλλον δὲ δειλίας τε, καὶ ἀπορίας, ὡς καταναρκῆσαι τὴν ἄφιξιν, καὶ μηδὲ ὅσον ἰδεῖν καταθαρσῆσαι μόνον τὴν ἁγίαν σύνοδον. καί τοι ἐχρῆν * δήπου μᾶλλον ἐνστῆναι νεανικῶς, καὶ τὴν κλῆσιν οὐκ ἀναμείναντα, δραμεῖν αὐτόμολον, ἐλέγξαι σαφῶς, ἀποφῆναι κατεγνωσμένους, καὶ ταῖς ἰδίαις αὐτὸν ἐπαγωνίσασθαι ψήφοις. ἀλλ' οὐκ * ἔδρασε τοῦτο, σαθρῷ συνειδότι χρώμενος. δεδιὼς δὲ οὕτω τὴν ἄφιξιν τὴν εἰς τὴν ἁγίαν σύνοδον, ὡς μηδὲ ὅσον εἰπεῖν τῆς ἑστίας προκύψαι τολμᾶν. καί τοι πῶς ἦν οἰκός, τοὺς ἐξειλεγμένους ἱερουργοὺς, μεμνημένους ἱερουργίας, μεμνημένους Θεοῦ λέγοντος. κρίμα δίκαιον κρίνατε· καί. οὐ λήψῃ πρόσωπον ἐν κρίσει, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστί· μὴ οὐχὶ πάντῃ, καὶ πάντως, ἐληλεγμένους ἡμᾶς, ὡς αἱρετικοὺς, ταῖς τῆς κατακρίσεως ὑποθεῖναι ψήφοις; ἦν γάρ πως ἀνάγκη καὶ ὑπομνημάτων συστῆναι πρᾶξιν, καὶ ταῦτα ὑμῖν γενέσθαι καταφανῆ. χώραις * μὲν γὰρ ὅλαις, καὶ πόλεσι ταῖς μεγάλαις, νεύματι τοῦ ὑμετέρου κράτους, εἷς ἀναδείκνυται δικαστὴς. θαρσεῖτε δὲ κρίσεις τὰς ἐφ' αἵματι, καὶ ψυχῇ, δέδιέ τε τοὺς νομοθετοῦντας ὑμᾶς, καὶ τοῖς παρ' ὑμῶν θεσπίσμασι πρὸς τὴν τοῦ δικαίου θήραν * ἀπευθύνεται. εἶτα πῶς ἤμελλον οἱ παρὰ Θεοῦ πρὸς ἱερουργίαν ἐξειλεγμένοι, τοσοῦτοί τε ὄντες * τὸν ἀριθμὸν, καὶ οὐκ ἀθαύμαστον ἔχοντες τὴν ὑπόληψιν, τὴν ἐπί γέ φημι τῷ βιῶναι λαμπρῶς, ἡμᾶς αἰδεσθῆναι μᾶλλον, καὶ οὐχὶ τὴν θείαν ἐντολήν; ὅτι δὲ ἀχάλινος αὐτῷ πρὸς * ὑπεροψίαν τε, καὶ ὕβριν γέγονεν ὁ νοῦς, καὶ δι' ἑτέρων πραγμάτων ἀταλαίπωρον ἰδεῖν. τρίτον μὲν γάρ που διατετέλεκεν ἔτος δυσφημῶν ἐπ' ἐκκλησίας ὁ τῶν νέων δογμάτων εὑρετὴς Νεστόριος· ἐπειδὴ δὲ καὶ δι' οἰκείων γραμμά-

* καὶ μὴν καὶ.
* Θεοῦ. Γερεμ. 9. 8.
* ἔθνει τοιούτῳ.
* μεμίσηται.
Ψαλ. 140.
Ἡσαΐ. 28. 15.
* προμνήστορα καὶ μηδέ.
* αὐτῷ.
* αἰτιάσασθαι.
Παροι. 14.
* στοιῇ.
* ἐδραμεῖν τοῦτο.
Δευτερ. 1. 16. 17
* γὰρ καὶ
* ἐπεροψίαν τε καὶ ὕβρεις.

μάτων τῷ ὁσιωτάτῳ τῆς Ῥωμαίων ἐκκλησίας ἐπισκόπῳ Κελεστίνῳ καταφανῆ τῆς ἑαυτῶ ὀξυνοίας ἐποίει τὸν νόσον, ἐκ ἀφώτομον, οὐδὲ ἀσυμπαθῆ τὸν ψῆφον ὑπέμενε. παρεκαλεῖτο δὲ μᾶλλον, ἀποφορτῆσαι μὲν τῆς ἐνούσης κακοδοξίας αὐτῷ, καὶ τὸν ὀρθὸν, καὶ ἀμώμητον ἀνθελέσθαι πίστιν. παρεκαλεῖτο δὲ οὐκ ἄπαξ, ἀλλὰ καὶ πλειόκις. ὁ δὲ ἀκεβὴς, ὡς οἴεται, τῶν θείων δογμάτων ἐρευνητής· ἵνα μή τι λέγοιμι φορτικόν· ὁ μέγα φρονῶν ἐπὶ τῇ τῶν θείων εἰδήσει νόμων, οὐκ ὑπομνήσας πώποτε τὰς ἠδικημένας παρ' αὐτῶ, ἐ λόγω μεταδούς, μᾶλλον δὲ οὐδὲ συσλῶσαι ταῖς ἑαυτῶ προπετείαις θαῤῥήσας, ὑβείζει μὲν ἀνοσίᾳ ψήφῳ· τάχα δὲ καὶ μέγα πεφρόνηκεν ἐπὶ τούτῳ. ἵνα ὡς ἀκὴν λέγοντος τῶ μακαρίᾳ Δαυὶδ, μᾶλλον δὲ τῶ ἁγίᾳ πνεύματος δι' αὐτοῦ φωνῆς τῶ Δαυίδ· τί ἐγκαυχᾶ ἐν κακίᾳ ὁ δυνατὸς ἀνομίαν; ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσα σῦ· ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον· ἠγάπησας κακίαν ὑπὲρ ἀγαθοσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην· ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. διὰ τοῦτο ὁ Θεὸς καθελεῖσε εἰς τέλος, ἐκτίλαι σε, καὶ μετανασθίσαισε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.

Ἐπυθόμην δὲ, ὅτι τῆς καθ' ἡμῶν πλημμελείας ἀπαλλάττειν αὐτὸν ἐπιχειρῶσί τινες, λελυπῆσθαι δικαίως διαβεβαιούμενοι, διά τοι τὸ δίκα αὐτῶ τὸ ἐπὶ τῷ δεδυσφημηκότι χωρεῖσθαι σωνέδριον. ἀλλ' ἰῶ ἄμεινον ἐκ ἡμᾶς αἰτιάσασθαι μᾶλλον, γράφεσθαι δὲ τὴν οἰκείαν αὐτῆς ἐπὶ τούτῳ μέλλησιν. εἶτα τὸς προαφιγμένους, καὶ προαπηγελκότας τῇ ἁγίᾳ συνόδῳ, μὴ δεῖν χρῆναι περιμένειν αὐτὸν, ἐ ἐκ αὐτομόλους εἰς τοῦτο ἐλθεῖν, ἀλλὰ γὰρ ταῖς παρ' αὐτῶ διακονουμένοις φωναῖς, τί μὴ μᾶλλον ἐποιεῖτο κατεσυγημένους, ὡς ψεύδη γορήσαντας, ὡς ἠπατηκότας, ἀλλ' ἐν τοῖς ὅτι μάλιστα γνησιωτάτοις ἔχει; ἀλλ' ἔσω τυχὸν, καὶ λελύπηται. ταύτης οὖν ἕνεκα τῆς αἰτίας ἔδει τῆς θείων αὐτὸν ἀλογῆσαι νόμων, ἐπιλαθέσθαι δὲ θεῖ λέγοντος· ἀθῶον, καὶ δίκαιον ἐκ ἀποκτενεῖς; ἔδει κατακεῖναι τὰς ἐπ' ὄψει τῆς ἀτόπων κατεγνωσμένας; ἐχρῆν * ἀδελφῶν τὸ τῆς ἀνοσιότητος καπωθῆσαι, ξίφος; θεσμὰς ἐκκλησιαστικὰς περιῤῥεῖσαι; συκοφαντῆσαι; ψέσασθαι; καὶ τοῦτο τὰς δεσεβεστάτας ὑμῶν ἀκοάς; ἐχρῆν ἡγήσασθαι παρ' ὄψει τὴν ὀρθότητα τῆς πίστεως, καὶ τὸ ἐθελῆσαι φρονεῖν ὅσα μῶμον ἔχει παντελῶς ὐσία, χαίρεσθαι δὲ τὴν ἐπιχειρίαν τῷ δυσφημοῦντι κατὰ Χριστοῦ, καὶ ἀνασῆσαι ζητεῖν τὸ ψεῦδος, καταῤῥέφειν δὲ τὴν ἀλήθειαν; ταῦτα φρενὸς ἁγίας δοίητις ἂν εἶναι καρπόν; ταῦτα βελῆς ἱερατικῆς ῥέματα; καὶ τοι λέγοντος ἀκούω Θεοῦ· ὅτι, χείλη ἱερέως * φυλάξεται χρίσεις, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. φανερὸν οὖν, ὅτι δι' ὧν ἂν οἴεται τῆς καθ' ἡμῶν ἀπονοίας τὰς αἰτίας ἀποσκεδάζεσθαι, διὰ τούτων αὐτῆς ἀνόσια πεπραχὼς κατιφαρᾶται μειζόνως. ἐγὼ δὲ, ὦ φιλόχριστε βασιλεῦ, ἔχαιρον μὲν τῆς ἐπιγνώσης ἀπαίρων, καὶ τῆς * ἡμετέρας Ἀλεξανδρείας ἐκδεδημηκὼς· πενθῶ δὲ λοιπὸν καταχθονίου τῇ ἰσίᾳ, καὶ μονωνυχὶ καταβρεντῶντος τῆς νεὼς, αἰρομένου τε εἰς ὕψος τοῦ κύματος, ἐ ταῖς τῆς οἰκίας πιεσταφυλίζουσι κεφαλαῖς, εὔθυμος καὶ ὅπως διεστέλλων, τὸν ἐκ τοῦ χειμῶνος κίνδυνον ὀπίσω τιθεὶς τῆς δεκτικωτάτης μοι θέας τοῦ ὑμετέρου κράτους. καὶ μὴν ὅτε τοὺς Ἐφεσίων ἀφικόμην, ἐπὶ τοὺς λαμπροὺς ἐκείνους ἀνεκομίζοντο πόλεις οἱ ἐκ τῆς ἁγίας συνόδου πρεσβευσμένοι· πρός γε τὸ χρῆναι συνεπεῖν τοῖς παρ' αὐτῆς πεπραγμένοις, ἐπεθύμουν γρύεσθαι τοῖς ἀνδράσιν ἐναρίθμιος, πρῶτον μὲν ὑπὲρ τοῦ τὸ ὑμέτερον κράτος ἰδεῖν, εἶτα πρὸς τούτῳ, ἵνα καὶ αὐτῷ τῷ τῆς Ἀντιοχείας ἐφ' ὑμῶν δικάσωμαι, καὶ δείξω συκοφαντήσαντα, καὶ παρανόμως * λελυπηκότα, καὶ μανίαις ἀκράτοις νοσηκμένον. ὅτι τὴν Νεσορίου δυσφημιῶν ἀνεθεμάτισα τὰ κεφάλαια. τῇ γὰρ ἐμῇ πίστει μεμαρτύρηκε τὴν ὀρθότητα καὶ ἡ Ῥωμαίων ἐκκλησία, καὶ μὴν καὶ ἡ ἁγία σύνοδος, ἡ ἐξ ἁπάσης ὡς εἰπεῖν τῆς ὑπ' οὐρανὸν συναγηγερμένη. ὅτι γὰρ κατ' οὐδένα ξόπον ἔξω γεγονὼς ἀλοίλω ἂν τῆς τε ἀποστολικῆς, καὶ εὐαγγελικῆς παραδόσεως, ὀρθοῦτε, καὶ ἀδιάστροφον τὴν ἱερῶν δογμάτων διελαύνω τρίβον, παμψηφεὶ διωμολογήκασι. καὶ τοῦτο ἐγγράφως ἐπὶ πίστεως ὑπομνημάτων, ἀναγινωσκομένων τὴν παρ' ἐμοῦ * γραφέντων πρὸς Νεσόριον· πύθομαι δὲ οὐχὶ τούτων ἕνεκα μόνων ἐκεῖσε χρῆναι, ἀλλ' ἵνα καὶ τὰς τὴν ἑτέρων διαβολὰς κατ' ἐμοῦ, καὶ τὴν ἐμῶν, ψευδεῖς ἀποφαίνω. οἱ γὰρ τὴν Νεσορίου δογμάτων ὑπασπισαὶ τὸ ἐκ φθόνου, καὶ βασκανίας, ἐπ' ἐμοὶ συντείνοντες τόξον, καὶ τὰ ἐξ * ἀκρατοῦς μανίας πολυτρόπως ἀρτίοντες, ἄνδρας ἐξωπαίμους, καὶ κατηγόρους * ἰσῶντες, ὧν ὁ Θεὸς ἡ χολία, καὶ ἡ δόξα ἐν τῇ αἰχύνῃ αὐτῆς, καθάφησιν ὁ μακάριος Παῦλος, τῷ ὑμετέρῳ κράτει δὶ ὅλου χρῆναι παρεσκάζον, καὶ μάλα συχνῶς καὶ τοι παρ' ἐμοῦ πεπονθότες τὴν ἀτόπων ὕβριν, οὐδὲ γὰρ ἰῶτις αὐτοῖς πρὸς ἐμὲ λόγος παντελῶς. ἀπομισθώσαντες δὲ, ὡς ἔφην, τοῖς ἐπιβαλλουσιν ἐμοὶ τὰς ἑαυτῆς γλωσσαλγίας, * ἐφλυάρουν εἰκῆ, πάντα δρῶντες ἐπείμως. ἀπόλμητον δὲ τοῖς πιστοῖς ὕβρις. σωτρόφον γὰρ ἔχουσι τὸ κακὸν, ἐ ὕβρις λελόγισται παρ' αὐτοῖς τὸ καὶ * γραφεῖν ἀλῶναι συκοφαντίας, καὶ ψευδηγορῆσαι πλειόκις καθ' ὧν ἂν βάλοιτό τις, ἐ εἰ μή τις εἴη γνώριμος αὐτοῖς τῆς κατηγορουμένων. ἴσασι δὲ ὄντας πιστοὺς, ὅτω πεζεῖν εἰωθότας, οἱ κατὰ πᾶσαν ὄψιν τὴν * ἡμετέραν Ἀλεξάνδρειαν. καταφλυάρουν μὲν οὖν ἐκεῖνοι, τοῖς εἰς τοῦτο παραρμηκόσι τὸ χρῆμα προτείνοντες, καὶ ἀντέκτισιν ὥσπερ τινὰ τῆς δωροδοκίας, τῆς κατ' ἐμοῦ γλωσσαλγίας ποιούμενοι τὴν ἐπίδειξιν. καὶ διδυσφόρηκα μὲν λίαν ἐπὶ τούτοις ἐγώ. πῶς γὰρ οὐκ ἔμελλον; ἀλλὰ ἐμεμνήμην λέγοντος τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα, καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτους τοὺς

πρὸ

Ps. 51.

Ps. 56.

Matth. 5.11.

πρὸ * ὑμῶν. ὅτε γὰρ ὁ τῆς ἀνομίας πατήρ, τουτέστιν ὁ σατανᾶς, ταῖς ἐκκλησίαις παγίδα, καὶ τοῖς ὀρθὴν ἔχουσι πίστιν ἐξαρτύειν * ἐπιχειρεῖ, καὶ διὰ τῶν ἰδίων ὑπασπιστῶν παραχαράττειν ἀποτολμᾶ τῆς ἀποστολικῆς τε, καὶ εὐαγγελικῆς πίστεως τὴν παράδοσιν, εἶτα τῆς ὀρθῆς δόξης οἱ φύλακες ἀντανιστῶσιν αὐτῷ τὴν ἀλήθειαν, καὶ τοῖς τὰ ὀρθὰ διαστρέφουσιν ἀντιφέρονται, σύνοπλον ἔχοντες, καὶ συμπαραστάτην αὐτὸν τὸν Χριστὸν, ὅς ἐστιν ἀλήθεια, τότε δὴ πάντως ὁ τοῦ ψεύδους πατὴρ πολλοὺς ἐγείρει τοὺς ψευδηγόρους· τότε δὴ καὶ συκοφαντῶν ἀγρία πληθὺς τοῖς εὐσεβεῖν ἠρημένοις ἀντανίσταται. τοῦτο παθόντας καὶ αὐτοὺς εὑρίσκομεν τοὺς ἁγίους προφήτας. προεφήτευε μὲν γὰρ κατὰ * καιροὺς ὁ μακάριος Αμὼς, κατηντιᾶτο δὲ σφόδρα τοὺς ἐξ Ισραὴλ ὡς τῆς εἰς Θεὸν ἀγάπης ἠφειδηκότας, καὶ τῶν δοθέντων αὐτοῖς ὑπερορῶντας νόμων· ἀλλ' εἰς μέσον * ἦλθε παραχρῆμα, καὶ ἀντέπραττεν ὁ Πασχώρ. ψευδοπροφήτης δὲ οὗτος, καὶ δαιμονίων θεραπευτής. εἶτα τῷ βασιλεῖ τοῦ Ισραὴλ διαβέβληκε τὸν ἀληθῶς ἅγιον, καὶ προφήτην, ὧδε γεγραφώς· συστροφὰς ποιεῖται κατάσου Αμώς· οὐ μὴ * δύνηται ἡ γῆ ὑπενεγκεῖν πάντας τοὺς λόγους αὐτοῦ. ὁμοίως δὲ καὶ ὁ μακάριος προφήτης Ιερεμίας πλημμελοῦντα τὸν Ισραὴλ ἐπανορθοῦν ἐκέλευε τὰς οἰκείας ὁδούς. ἀλλ' οὐκ ἀπῆσαν οἱ * ἐνδιαβάλλοντες. παρώτρυναν γὰρ κατ' αὐτοῦ τὸν Σεδεκίαν, τοὺς τῆς βασιλείας διέποντα θρόνους. καὶ φορτικὸν ἦν τοῖς ἁγίοις τὸ χρῆμα, καὶ δύσοιστον ἀληθῶς. πλὴν τὸ Θεῷ δοκοῦν καὶ φίλον τῆς ἑαυτῶν προθέντες ζωῆς, εἴχοντο καὶ οὕτω τῶν ἐν χερσὶ σπουδασμάτων, οὐκ ἀγνοοῦντες τὸ γεγραμμένον· ὅτι καρδία * βασιλέων ἐν χειρὶ Θεοῦ. οὗ δ' ἂν θέλων * νεῦσαι, ἐκεῖ ἔκλινεν αὐτήν. πρᾴους γὰρ αὐτοὺς ἀπετέλει, καὶ φιλοικτίρμονας, καίτοι πλειστάκις * παρωτρυμμένους, τοὺς τῶν Ιουδαϊκῶν κρατοῦντας πραγμάτων. ἀλλὰ γὰρ παρήσομεν τὰ ἐκείνων, ὡς πᾶσιν ἐγνωσμένα. μεμνήσομαι δὲ τοῦ πανευφήμου, καὶ τρισμακαρίου πατρὸς ἡμῶν Ἀθανασίου, τοῦ γεγονότος κατὰ καιροὺς ἐπισκόπου τῆς * ἡμετέρας Ἀλεξανδρείας. ἐμάχετο μὲν γὰρ ταῖς Ἀρείου κακοδοξίαις. οἱ δὲ τῆς ἐκείνου βδελυρίας παράσιτοι, συκοφαντοῦντες αὐτὸν διετέλουν· ἀσελγῆ δὲ καὶ ἀχάλινον ἐπ' αὐτῷ τὴν γλῶσσαν ἀνέντες, ὡς οὐκ ἀρκούντων αὐτοῖς τῶν ψευσμάτων, χεῖρα τεμόντες ἀνθρώπου, περιεκόμιζον. * φρικτὸν τοῖς ὁρῶσι παρατιθέντες θέαμα, ταύτην αὐτὸν ἔφασκον ἀποτεμεῖν· Ἀρσένιον δέ τινα τοῦτο παθεῖν διετείνοντο. χρόνους δὲ μακροὺς διατετελέκασι συναρπάζοντες, ἄχρις οὗ διαλανθάνων κατελήφθη ζῶν ὁ Ἀρσένιος· πεφώραται δὲ οὕτω μόλις τῆς ἐκείνων σκαιότητος τὸ ἐγχείρημα. δύσοιστον μὲν οὖν, καὶ σφόδρα δριμὺ ψυχαῖς ἐλευθέραις, καὶ καθαρὸν ἐχούσαις τὸ συνειδὸς, ἡ συκοφαντία. ἀλύει δὲ σφόδρα τῶν πεπονθότων ὁ νοῦς. καὶ τὸ εἰκῇ, καὶ μάτην ἐπιβουλεύεσθαι παρὰ τῶν ἠδικημένων οὐδὲν, παγχάλεπον ὁμολογουμένως. πλὴν ὅτι ταῦτα συμβήσεται τοῖς πρεσβεύουσι τὴν ἀλήθειαν, προκαταμεμήνυκεν ἡ θεία γραφή. ἔφη γοῦν ἕως θανάτου ἀγώνισαι * περὶ τῆς ἀληθείας, καὶ κύριος πολεμήσει ὑπὲρ σοῦ· καὶ μὴν καὶ αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, εἰς ἀγαθὴν εὐτολμίαν ἐπαλείφων τοὺς μαθητὰς, καὶ ψευδηγορίας ἁπάσης ἀλογεῖν ἀναπείθων, καὶ τῶν ἐπὶ τῷ διώκεσθαι πόνων· εἰ ἐμὲ ἐδίωξαν, φησί, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν οἰκοδεσπότην βεελζεβοὺλ ἐκάλεσαν, * πολλῷ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ. * ἐκδυσωπεῖ δὲ, καὶ σφόδρα χρησίμως, προσεπειπών· οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. εἰ γὰρ αὐτοῦ κατειρήκασι τοῦ Χριστοῦ, πῶς, ἢ ποῖος ἡμῶν ὁ λόγος; καὶ εἰ κατὰ παντὸς ἁγίου γεγόνασιν αἱ συκοφαντίαι, πῶς ἦν ἄρα διαφυγεῖν τοὺς ἐλαχίστους ἡμᾶς; ἀκρατὴς μὲν * ἡ κατὰ τῶν ἁγίων γλῶττα. φέρεται δὲ ὥσπερ κατὰ πρανοῦς, ἀλλ' ἔστιν ἐπάρατος, καὶ Θεῷ κατεστυγημένη. ψάλλει γοῦν ὁ μακάριος προφήτης Δαυίδ· ἐξολοθρεύσαι κύριος πάντα τὰ χείλη τὰ δόλια, καὶ γλῶσσαν μεγαλορρήμονα.

Πεπείραται σὺν ἐμοὶ τὸν ἐκ γλώττης ἀχαλίνου βελῶν καὶ ὁ ἀγαπητὸς μοναστὴς Βίκτωρ. ἐπεφήμησαν γάρ τινες αὐτῷ τῶν τάχα που ψευδηγορεῖν εἰωθότων, ὅτι καὶ αὐτὸς τῶν ἐκτόπων τινὰ πεφλυάρηκε, κατ' ἐμοῦ· ὥστε καὶ ἀφιγμένον εἰς τὴν Εφεσίων πρός με, κατηντιῶντο σφόδρα τῶν ἀπὸ τῆς ἁγίας συνόδου τινές· μᾶλλον δὲ καὶ ἀπεστράφησαν ἅπαντες, ὡς ἕνα τῶν ἀνοσίων μεμισηκότες. διατετελέκασι καὶ πατραλοίαν ὀνομάζοντες, καὶ ἀδελφοκτόνον, καὶ ὅσα τούτοις ἐστὶ παραπλήσια. καὶ τοῦτο γνοὺς ὁ πρεσβύτης, πλείστων ὅσων αὐτὸν περιεστηκότων ἁγίων ἐπισκόπων, ἀνατείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν, ὀμώμοκεν ἀσυνήθως, κατά τε τοῦ ἁγίου βαπτίσματος, καὶ τῶν σεπτῶν τοῦ Χριστοῦ μυστηρίων, μηδὲν ἑαυτῷ * συνειδέναι τοιοῦτον· οὕτω τε μόλις ἐγὼ, καὶ αὐτὸς ἰσχύσαμεν τὰς τῶν λυπουμένων θεραπεῦσαι ψυχάς. πλὴν εἰ καὶ πολλοὶ λίαν οἱ ψευδοεπεῖν ἐθέλοντες, ἐπιφυόμενοί τε, καὶ ἐπιπηδῶντες μάτην, μᾶλλον δὲ καὶ * παροτρυνόμενοι πρὸς τοῦτο παρὰ τῶν Νεστορίου σπουδαστῶν· ἀλλ' ἤρκεσεν εἰς ἐπικουρίαν τοῦ σωτῆρος ἡ χάρις, καὶ τῆς ὑμετέρας * εὐσεβείας τὸ μισοπόνηρον. ὥσπερ γὰρ ἐκ καμίνου καιομένης ἁρπάσαντες, ἡμερωτάτοις νεύμασι διεσώσατε· ἵνα τοῖς ἄλλοις ὁμοῦ, τοῖς ἀνὰ πᾶσαν τὴν * ἡμετέραν Αἴγυπτον ἁγίοις ἐπισκόποις, καὶ μοναστᾶς, ἀκαταλήκτους εὐχαριστίας, τὰς ὑπέρ τε τοῦ ὑμετέρου κράτους, νίκης τε, καὶ διαμονῆς, ἀναφέρωμεν τῷ παναγίῳ Χριστῷ· δι' οὗ, καὶ μεθ' οὗ τῷ Θεῷ, καὶ πατρὶ, δόξα σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΒΑΣΙΛΙΚΟΝ ΘΕΣΠΙΣΜΑ τὸ * δημοσιεῦον, καὶ ἐξορίζον Νεστόριον.

ΑΝΕΛΘΟΝΤΩΝ ἐν Κωνσταντινουπόλει τῶν ἑπτὰ καὶ ἑπτὰ ἐπισκόπων ἐξ ἑκατέρου μέρους, ἐπληροφορήθη ὁ βασιλεὺς, ὡς ἡ ἁγία, καὶ οἰκουμενικὴ σύνοδος πάντα κανονικῶς, καὶ ἀκολούθως πράξασα, καθεῖλε Νεστόριον. διὸ καὶ ἀποδεξά-

* ἡμῶν.
* ἐπιχειρῇ,
* καιρὸν Ἀμὼς 7. 10.
* ἦκει, καὶ ἀντέπαχεν ὁ
* δυνήσεται
Ιερεμ. 26.
* διαβάλλοντες.
Παροι. 21.
* βασιλέως
* νεῦσαι,
* παρωξυμμένους,
* ὑμετέρας
Θεοδ. ἱστορ. Ἐκκλ. β. 1. 30. Σωζόμ. β. 2. 24. Σοκρ. β. 1. 21.
* καὶ φρικτὸν
Ἐκκλ. 4. 33.
* ὑπὲρ
Ἰωάν. 15. 22.
* πέσῳ
* ἰδοσάτω
Ματθ. 10.
* γὰρ τῶν ἀνοσίων ἡ γλῶττα.
Ψαλ. 11. 4.
* συνιέναι
* παρωτρυμμένοι
* σωτηρίας
* ὑμετέραν
* δημεῦον,

ξάμενος αὐτοὺς, κατέγνω τῶν ἀνατολικῶν, καὶ λοιπόν ἐξώρισε μὲν Νεστόριον, ἐκέλευσε δὲ, τοὺς ἐκ τῆς ἁγίας συνόδου * εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν, καὶ χειροτονῆσαι ἐπίσκοπον τῇ ἁγίᾳ Κωνσταντινουπολιτῶν ἐκκλησίᾳ, καὶ * συνελθόντες ἐχειροτόνησαν Μαξιμιανὸν ἐπίσκοπον. καὶ μετὰ τοῦτο ἐκέλευσεν ὁ βασιλεὺς, πάντας τοὺς ἐπισκόπους, ἕκαστον ἀπελθεῖν εἰς τὴν ἑαυτοῦ χώραν τε, καὶ πόλιν. ἔμεινε δὲ Ἰωάννης ὁ Ἀντιοχείας, καὶ οἱ μετ' αὐτοῦ ἐν τῇ χωρίσει ὄντες.

* συνεισελθεῖν

* συνεισελθόντες

* Λείπει τὸ θέσπισμα.

. . . . . .

. . . . . .

. . . . . .

ΑΝΤΙΓΡΑΦΟΝ ΕΡΜΗΝΕΙΑΣ

βασιλικοῦ θεσπίσματος γραφέντος πρὸς Ἰσίδωρον ἔπαρχον πραιτωρίων, καὶ ὕπατον, περὶ τῆς * ἐξορίσεως.

* ἐξορίας Νεστορίου.

ΕΙ καὶ τῆς τῶν δημοσίων πραγμάτων φροντίδος περιφανής ἐστιν ἡ ἡμετέρα σπουδὴ, ὅμως οὐχ * ἥττων παρ' ἡμῖν τῆς ἁγιωτάτης θρησκείας ἡ ἀσφάλεια. ἧσπερ θεραπευομένης παρ' ἡμῶν, καὶ ἐν ταῖς δημοσίαις χρείαις πιστεύομεν ἑαυτοὺς βοηθεῖσθαι. καὶ διὰ τοῦτο, ἐπειδὴ Νεστόριος, ὁ τῆς καθολικῆς ποτέ ἐκκλησίας ἱερεὺς, νῦν δὲ τῆς πίστεως προδότης, τηλικούτοις μυσαρῶν μεγέθεσιν ἐνδεδεμένος φαίνεται, καὶ ἀναγκαῖόν ἐστιν, ἵνα ἀποφάσει τῆς ἡμετέρας γαληνότητος ὑποβληθεὶς, τῇ ἁρμοζούσῃ τοῖς οἰκείοις τρόποις ταλαιπωρίᾳ καταβαρυνθείη· ὅς τις καταλειφθέντων τῶν σεβασμίων νόμων τῆς ἐκκλησίας, ἀθεμίτου αἱρέσεως αὐθέντης ἐφάνη. καὶ ἐν τῷ διαφθείρειν αὐτῶν τὴν πίστιν, οὕς τινας τῇ κοινωνίᾳ τῆς ἑαυτοῦ προδοσίας συνῆψεν, εἰς τὸ οἰκεῖον ἑαυτοῦ πρόσωπον ἀνέλαβε καὶ τὸ ἔγκλημα τῆς προδοσίας τῆς ἀλλοτρίας· ἡ ἔνδοξος τοιγαροῦν σου αὐθεντία, τοῦ πραγματικοῦ τύπου τούτου, ἤτοι ἰδικῆς αὐθεντίας ὑποδειχθείσης, τὸν μνημονευθέντα Νεστόριον, εἰς * ἐξορίαν Πέτρας εἰς τὸ διηνεκὲς προσταξάτω ὑπὲρ τῶν ἠσεβημένων αὐτῷ καταχθῆναι, οὕτως, ὥστε πάντα αὐτοῦ τὰ ὑπάρχοντα τῇ ἐκκλησίᾳ Κωνσταντινουπόλεως προσκυρωθῆναι, πρὸς τὸ τοῦ σεβασμιωτάτου τόπου τὰ πράγματα αὐξηθῆναι, οὗ προέδωκε πρώην τὸ μυστήριον. οὕτω γὰρ ἔσται ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἡ ἐλάβεια τῆς ἁγιωτάτης πίστεως ἀβλαβὴς. καὶ τοῦ ἡμετέρου βασιλείου ἡ εὐδαιμονία, ὀχυρωθεῖσα τῇ θρησκείᾳ, ἀνθήσει.

Κατὰ Νεστορίου ἀπόφασις.

* ἥττον

* ἐξορία ἐστὶν ἐν τῇ λείπῃ

ΕΠΙΣΤΟΛΗ ΣΥΝΟΔΙΚΗ ΓΡΑΦΕΙΣΑ

ἀπὸ Κωνσταντινουπόλεως.

Τοῖς θεοφιλεστάτοις, καὶ εὐσεβεστάτοις ἀδελφοῖς, καὶ συνεπισκόποις πᾶσι τῆς παλαιᾶς Ἠπείρου, Μαξιμιανὸς, Ἰουβενάλιος, Ἀρκάδιος, Φίλιππος, Φλαυιανὸς, Φίρμος, Θεόδοτος, Ἀκάκιος, Εὐόπτιος, Δανιὴλ, καὶ ἡ συμπαροῦσα αὐτοῖς ἁγία σύνοδος, ἐν κυρίῳ χαίρειν.

ΕΙΔΟΤΕΣ τὴν τῶν ἀποχισάντων * ἐπιβουλήν τε, καὶ ἀπάτην, τὴν κατὰ τῶν ἐκκλησιῶν παρ' αὐτῶν γενομένην, καὶ ὅτι περιτρέχοντες ἑκάστην ἐκκλησίαν, ὡς κοινωνικοὶ τῆς ἁγίας, καὶ μεγάλης συνόδου τῆς ἐν Ἐφέσῳ, σπουδάζουσιν ἀπατᾶν ἕκαστον, καὶ τὴν πρὸς λαούς τε, καὶ κλήρους κοινωνίαν ἐφέλκεσθαι, πολλὴν περὶ τούτου πρόνοιαν ποιούμενοι ἐδικαιώσαμεν ἅμα τῷ καταστῆναι τὸν τὰ πάντα θεοφιλέστατον, καὶ ἁγιώτατον κύριον ἐπίσκοπον Μαξιμιανὸν τῆς μεγάλης πόλεως, τὸ γράμμα τοῦτο πρὸς ὑμᾶς σὺν αὐτῷ διαπέμψασθαι· ἵνα γνόντες τὰ κατ' αὐτοὺς, παντοίως αὐτούς τε, καὶ τὴν πρὸς αὐτοὺς κοινωνίαν φυλάξησθε. ὑπὲρ δὲ πλείονος ἀσφαλείας, καὶ τοῦ γνῶναι ὑμᾶς, ὅτι οὐχ ἡμετέροις μόνοις πειθαρχεῖτε γράμμασιν, ἀλλὰ καὶ δόγμασι τῆς ἁγίας, καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Ἐφέσῳ, ὑπετάξαμεν τὸ συνοδικὸν γράμμα. ὥστε ὑμᾶς καὶ ἐξ ἐκείνου πληροφορηθῆναι, τίνα τέ ἐστι τὰ τυπωθέντα περὶ τῶν ἀποστατησάντων, καὶ τὰ Νεστορίου φρονησάντων, καὶ οἷα τὰ ἐπιτίμια κατὰ τῶν κοινωνεῖν αὐτοῖς τολμόντων. πᾶσαν τὴν σὺν ὑμῖν ἀδελφότητα ἡμεῖς τε, καὶ οἱ σὺν ἡμῖν πάντες προσαγορεύομεν. ἐῤῥωμένοι ἐν κυρίῳ ὑπερεύχεσθέ μου θεοφιλέστατοι ἀδελφοί.

Ὁμοίως καὶ οἱ λοιποὶ οἱ προγεγραμμένοι ἐπίσκοποι ὑπέγραψαν,

Ἔστι δὲ τὸ συναποσταλὲν ταύτῃ τῇ ἐπιστολῇ συνοδικὸν γράμμα, τοῦτο.

Ἡ ἁγία, καὶ οἰκουμενικὴ σύνοδος, ἡ ἐν Ἐφέσῳ συγκροτηθεῖσα ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων βασιλέων, τοῖς καθ' ἑκάστην ἐπαρχίαν τε, καὶ πόλιν ἐπισκόποις τε, καὶ πρεσβυτέροις, καὶ διακόνοις, καὶ παντὶ τῷ λαῷ.

ΣΥΝΑΧΘΕΝΤΩΝ ἡμῶν κατὰ τὸ εὐσεβὲς γράμμα ἐν τῇ Ἐφεσίων μητροπόλει, ἀπέστησάν τινες ἐξ ἡμῶν, ὄντες τὸν ἀριθμὸν τριάκοντα, μικρῷ πρός. καὶ τὰ λοιπά. *

* ὡς προγέγραπται.

ΙΣΟΝ ΕΠΙΣΤΟΛΗΣ ΓΡΑΦΕΙΣΗΣ

παρὰ τοῦ γενομένου ἐπισκόπου Κωνσταντινουπόλεως Μαξιμιανοῦ πρὸς Κύριλλον ἀρχιεπίσκοπον Ἀλεξανδρείας.

Τῷ θεοφιλεστάτῳ καὶ * εὐλαβεστάτῳ συλλειτουργῷ Κυρίλλῳ, Μαξιμιανὸς ἐπίσκοπος, ἐν κυρίῳ χαίρειν.

* ἁγιωτάτῳ.

ΠΕΠΛΗΡΩΤΑΙ σοι τὰ τῆς ἐπιθυμίας, θεοφιλέστατε· ἠνύσταί σοι ὁ ὑπὲρ τῆς εὐσεβείας σκοπός· εἰς πέρας ἐλήλυθεν ὁ ὑπὲρ εὐσεβείας πόθος· θεάτρον ἐγένου καὶ ἀγγέλοις, καὶ ἀνθρώποις, καὶ πᾶσι τοῖς τοῦ Χριστοῦ ἱερεῦσιν. οὐ μόνον ἐπίστευσας εἰς Χριστὸν, ἀλλὰ γὰρ καὶ ὑπὲρ αὐτοῦ ἔπαθες. μόνος ἄξιος ἐκρίθης τῶν τοῦ Χριστοῦ παθημάτων, καταξιωθεὶς τὰ στίγματα αὐτοῦ ἐν τῷ ἰδίῳ σώματι βαστάσαι. ὡμολόγησας αὐτὸν ἔμπροσθεν τῶν ἀνθρώπων, ὡμολογήθης * παρ' αὐτοῦ ἔμπροσθεν τοῦ πατρὸς ἐπὶ τῶν ἁγίων ἀγγέλων. ἀνεδήσω τοὺς ὑπὲρ τῆς εὐσεβείας στεφάνους. πάντα ἴσχυσας ἐν τῷ ἐνδυναμοῦν τί σε Χριστῷ. ἐταπείνωσας τὸν σατανᾶν διὰ τῆς ὑπομονῆς. κατεγέλασας κολαστηρίων, ἐπάτησας θυμὸν ἀρ-

1. Κορ. 4. 9.

Φιλιππ. 1. 29.

Ματθ. 10. 31.

* παρὰ τοῦ πατρὸς τῶν ἀγγέλων.

ἀρχόντων. λιμῶ καπεφρόνησας· ἔχες γὰρ τὸν ἄρτον
Γωήν. 6. τὸν ἐκ τῦ ὐρανῦ καπελθόντα, ϗ ζωὴν δεδωκότα τοῖς
ἀνθρώποις τῷ ἄνωθεν. ἐπεὶ τοίνυν ὐδὲ ἡμεῖς ἀπε-
λείφθημεν τύτων, τὰ μὲν αἰσθητῶς παιδαγόμενοι
* ἐμπίραι, ὀπταῦθα, τὰ δὲ ἐν τῇ ἀκοῇ τῆς θλίψεως τ * περὶ
θλίψιν φρός. ὑμῶν, φρὸς τὰς ἀρχὰς ἀντικαπασάντων, φρὸς τὰς ἐξου-
Ἐφες. 6. σίας, φρὸς τὸς κοσμοκράτορας τῦ σκότυς τῦ αἰῶνος
τύτυ, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, παρήχθη-
μεν δὲ εἰς τὴν ἀρχιερωσύνην τῆς μεγαλοπόλεως, κα-
τηξίωσον θεοφιλέσατε, ἐχαῖς τε ἡμᾶς ὑποσπείζειν,
ϗ συμβυλαῖς στοιχεῖν, ϗ πάσῃ περὶ ἡμᾶς κεχρῆσθαι
ἐννοίᾳ· ὥσε πληρωθῆναι ϗ ἐφ' ἡμῖν τὸ γραφικὸν ῥη-
τόν· ἀδελφὸς ὑπὸ ἀδελφῦ βοηθύμενος, ὡς πόλις ὀ-
Παροιμ. 18. χυρά· ἀληθῶς γὰρ ἡ πνευματικὴ ἀγάπη πόλις ἐ-
στὶν ὀχυρά, ἢ δυναμένη καπαγωνισθῆναι, ὅτε πολιορ-
κηθῆναι ὑπὸ τῦ διαβόλυ ὅτε ὑπωρυγαῖς, ὅτε ὑπερβά-
σεσιν. ὅτε γὰρ εἴκει ταῖς ἐλεπόλεσι τῦ σατανᾶ, διὰ
τὸ παρὰ τῦ δεσπότυ Χριστῦ φυλάσσεσθαι· Χριστῦ, τῦ
τὸν κόσμον νικήσαντος, ϗ τὰ αἰώνια σοι ἀγαθὰ ἑτοι-
μάσαντος, τῦ εἰρηκότος· ὃς τις ἢ λαμβάνει τὸν σαυρὸν
Ματθ. 10. 38. αὐτῦ, ϗ ἀκολυθεῖ ὀπίσω μυ, ἢκ ἔστι μυ ἄξιος. ἄξιος δὴν
ὑπὸ τῦ δεσπότυ Χριστῦ φυλάσσεσθαι, Χριστῦ τῦ τὸν
* τῦ λαβεῖν τὸν σαυρὸν αὐτῦ. ϗ. κόσμον νικήσαντος, διὰ * τὸ λαβεῖν τὸν σαυρόν, ϗ ἀ-
κολυθῆσαι αὐτῷ, ζημόμενος, μὴ ἀμέλει τῆς περὶ ἡ-
μῶν πρὸς τὸν δεσπότην Χριστὸν πρεσβείας, τὰ δὲ ἀδελ-
φικὰ κατορθώματα, οἰκεῖα προτερήματα λογιζόμε-
νος. ἐῤῥωμένος ἐν κυρίῳ, ὑπερέχυσά μυ, θεοφιλέ-
σατε, ϗ ἁγιώτατε ἀδελφὲ, ϗ συλλειτυργέ.

ΚΤΡΙΛΛΟΤ ΕΠΙΣΚΟΠΟΤ
ἐπισολὴ πρὸς Μαξιμιανὸν τὸν Κων-
σαντινυπόλεως.

Τῷ ἁγιωτάτῳ, ϗ θεοφιλεσάτῳ συλλειτυργῷ
Μαξιμιανῷ, Κύριλλος ἐν κυ-
ρίῳ χαίρειν.

ΠΡΕΠΟΝ οἶμαι, ϗ γνῶ εἰπεῖν, τῆς σῆς τελειότητος τὸ πολύευκτον ἡμῖν λαχύσης
1. Παραλ. 16. 31 ἱερωσύνην· ἐφρανθήτω ὁ ὐρανὸς ἄνωθεν, χαιρέ-
τω δὲ ἡ σύμπασα γῆ, ϗ βοάτω μετ' ἐφροσύ-
νης, κατὰ τὸ τῦ προφήτυ φωνῶ. ὁ γὰρ ἔτι σόμα
λαλῶν μεγάλα τῆς τῦ σωτῆρος ἡμῶν κατεπαίρεται
δόξης· ὅτε μὲν ὁ τῦτο ὁρᾶν εἰωθὼς, τὸ κέρας εἰς
ὕψος ἐπαίρει, ϗ ἀδικίαν λαλεῖ κατὰ τῦ Θεῦ, τὸν
Ψαλ. 74. 5. ἀγοράσαντα ἡμᾶς δεσπότην ἀρνύμενος. ἐξεπρίατο
γὰρ ἡμᾶς Ἰησῦς ὁ Χριστὸς, ὁ εἷς τε, ϗ μόνος, ϗ
ἀληθῶς, υἱὸς τῦ Θεῦ, ϗ παῖς, ὁ φθαρτοῖς, ἀρ-
γυρίῳ, ἢ χρυσίῳ, τεθεικὼς δὲ μᾶλλον ὑπὲρ ἡμῶν
1. Πετρ. 1. 18. τῷ ἑαυτῦ ψυχῷ, ϗ ὡς ἄμωμον ἱερεῖον ἑαυτὸν
Ἰσαΐ. 10. προσκομίσας εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ, ϗ πατρὶ.
Ἐφες. 5. 2. Ἐφες. 1. ϗ δὴς ἀντάλλαγμα τῆς * πάντων ζωῆς τὸ ἴδιον αἷ-
1. Τιμ. 2. * ἡμετέρας. μα. ϗ γὰρ ἑῶ ἁπάντων ἀξιώτερος. μᾶλλον δὲ ϗ
ὑπὲρ πᾶσαν τὴν κτίσιν, εἰ ϗ γέγονε καθ' ἡμᾶς
τέλειος ἄνθρωπος ὁ μονογενὴς τῦ Θεῦ λόγος, ὁ ζω-
πιῶ, ὁ ἀλλοίωσιν, ὁ τῇ θρυλλυμένῃ ἀνάγκην
ὑπομείνας, ὁ φυρμὸν, ὁ μετύσασιν τῷ εἰς ὅπερ
ἐκ ἦν· μεμψικὼς δὲ μᾶλλον ϗ ἐν τῇ καθ' ἡ-
μᾶς ἀνθρωπότητι τῦθ', ὅπερ ἦν. πεπίσθυται δὲ
ϗ ἔστιν ἀληθῶς ζῶν τε, ϗ ὑπόστασις λόγος τῦ
παζῦς. φέρε τοίνυν, ὡς ἀπὸ γλώττης μιᾶς, ϗ
θεοφιλῦς διανοίας, τῆς ὀρθῆς πίστεως τῷ ὁμο-
λογίαν αὐτῷ προσφέρωμεν, λέγοντες μετὰ τῦ μα-
καρίυ Βαρὰχ. ὗτος ὁ Θεὸς ἡμῶν, ὁ λογισθήσεται Βαρὰχ 3. 36.
ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης. ϗ
ἔδωκε αὐτῷ Ἰακὼβ τῷ παιδὶ αὐτῦ, ϗ Ἰσραὴλ
τῷ ἠγαπημένῳ ὑπ' αὐτῦ. ϗ μετὰ ταῦτα ἐπὶ τῆς γῆς
ὤφθη, ϗ τοῖς ἀνθρώποις συναναστράφη. ὁ γὰρ ἕ-
τερος μὲν ἰῶ υἱὸς τῦ Θεῦ, ϗ παζῦς, ὁ πρὸ παντὸς
αἰῶνος, ϗ χρόνων, ὁ δι' ὃ τὶ πάντα παρήχθη πρὸς
γένεσιν, ἕτερος δὲ πάλιν ὁ ἐν ἐσχάτοις τῦ αἰῶνος κα-
ροῖς διὰ τῆς ἁγίας παρθένυ κατὰ σάρκα γεγεν-
μένος· ὁ αὐτὸς δὲ μᾶλλον σπέρματος Ἀβραὰμ ἐπι- Ἑβρ. 2.
λαβόμενος, κατὰ τὸν τῦ μακαρίυ Παύλυ φωνῶ,
ϗ παραπλησίως ἡμῖν μετεσχηκὼς αἵματος, ϗ σαρκὸς,
ὁμοιωθεὶς δὲ κατὰ πάντα τοῖς ἀδελφοῖς, τοπέστιν
ἡμῖν, δίχα μόνης ἁμαρτίας. ἐψυχῶσθαί γε μὲν
ψυχῇ νοερᾷ προσομολογῦμεν τὸ σεσῶσθαι αὐτῷ
κατὰ ἀλήθειαν σῶμα. ὁ γὰρ ταῖς τῦ φρονοβλα- Δεκ. 1.
βῦς Ἀπολιναρίυ προσκείμεθα δόξαις· ἀναθεμα-
τίζομεν δὲ, φρονῦντες ὀρθῶς, Ἀπολιναρίόν τε, ϗ
Ἄρειον, ϗ Εὐνόμιον, ϗ σὺν αὐτοῖς Νεσόριον.
τῷ γὰρ ἄνωθεν ἡμῖν παραδοθεῖσαν πίστιν, ὡς Ἑβρ. 6. 19.
ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε, ϗ βε-
βαίαν, κατὰ τὸ γεγραμμένον. ὁμολογῦμεν τοί-
νυν, ὡς ἔφην, σῶα, ϗ μόνον ϗ ἀληθῶς υἱὸν
τῦ Θεῦ, ϗ παζῦς, τὸν κύριον ἡμῶν Ἰησῦν Χρι-
στόν. τὸν αὐτὸν εἰδότες ϗ Θεὸν, ϗ λόγον ἐκ πα-
ζῦς, ϗ ἄνθρωπον ἐκ γυναικός· ϗ ὑπὲρ νόμον
ὡς Θεὸν, ϗ ὑπὸ νόμον διὰ τὸ ἀνθρώπινον. ἐν
ἀξιώματι τῷ δεσποτικῷ κατὰ φύσιν, ϗ ἐν δύλου
μορφῇ διὰ τὴν οἰκονομίαν. ταύτην ἡμῖν παρέθεντο
τὴν παράδοσιν ϗ λόγοι Μωσαϊκοὶ, ϗ προαγορεύσεις
προφητικαὶ, ϗ αὐτοὶ δὲ πρὸς τύτοις οἱ ἀφ' ἁρχῆς
αὐτόπται, ϗ ὑπηρέται γενόμενοι τῦ λόγυ, ϗ μὴν Λουκ. 1.
ϗ οἱ πρὸ ἡμῶν γεγονότες ἅγιοι πατέρες. οἷς ϗ γε-
γόνασι φωσῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχον-
τες. ὧν ἀναθεωρῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς,
τὴν πίστιν ἀπομιμώμεθα· τυτέστι, τὰ αὐτὰ ϗ φρο- Φιλιπ. 3. 15.
νεῖν αὐτοῖς, ϗ λαλεῖν, σπεδάζομεν, κατ' ὐδεμίαν
τρόπου ἔξω φέρεσθαι τῆς * εὐσεβείας ἀνεχόμενοι· * ὀρθίας.
τοίβυ· μεμνήμεθα γὰρ τῆς θεοπνεύστυ γραφῆς Παροιμ. 4. 26.
βοώσης· ὀρθὰς τροχιὰς ποίει σοῖς ποσὶ, ϗ τὰς
ὁδύς συ κατεύθυνε. οἱ μὲν γὰρ τὰς ὀρθὰς τιμῶν-
τες τροχιὰς, κατὰ σκοπὸν τρέχυσιν εἰς τὸ βρα- Φιλιπ. 3. 14.
βεῖον τῆς ἄνω κλήσεως ἐν Χριστῷ· οἱ δὲ τῆς
ἀποστολικῆς, ϗ εὐαγγελικῆς παραδόσεως ἀλογή-
σαντες, ϗ τὴν νεωτέραν, ϗ ἀνωφελῆ, ϗ καταγέ-
λασον ὡς ἀληθῶς τῆς ἑαυτῶν διανοίας τιμῶντες
αἱρεσιν, ἀκκεπωσαν παρὰ πάντων· μὴ μέταιρε ὅ- Παροιμ. 22. 28.
ρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες * συ. ὁ γὰρ * μετάιρει.
ἀσεὶα τῶν τοιύτων ἡ ὁδὸς, καμπύλαι δὲ μᾶλλον Λ'ριθ. 22. 31.
αἱ τροχιαὶ, ϗ εἰς πέτυρον φόβυ, ϗ παγίδα θα- * ὑμῶν.
νάτυ κατακομίζυσαι. ϗμή μοι δοκεῖ σοφὸς ὢν ἄ- Παροιμ. 2. 9.
γαν ὁ Σολομὼν, ἀσέμνῳ γυναικὶ τὸ ἑκάστης
τῶν αἱρέσεων πεισθῆναι πρόσωπον, εἶτα περὶ αὐ- Ἐκκλ. 7. 27.
τῆς εἰπεῖν, ὡς χρὴ παραιτεῖσθαι, ϗ φεύγειν τῷ * σαγήνας. διεμένας χῆρας αὐτὰς ϗ ἁμαρτάνον συναπολέσαι τοῦ αὐτῦ. * κυρίῳ παραδόντας.
τοιαύτῳ γυναῖκα, ἢ τίς ἐστιν θήρευμα, ϗ * σα-
γεύη καρδία αὐτῆς, * δεσμὸς εἰς χεῖρας αὐτῆς·
ὁ ἀγαθὸς πρὸ προσώπυ * τῦ Θεῦ, ἐξαιρεθή-
σε-

σεται ἀπ' αὐτῆς· καὶ ὁ ἁμαρτάνων συλληφθήσεται ἐν αὐτῇ. ἀλλ' ἐξηρήμεθα μὲν ἡμεῖς τῆς τῶ θηρὸς παγίδος, σεσώσμεθα δὲ διὰ τῶ πάντων ἡμῶν σωτῆρος Χριστῶ· ὃν καὶ Θεὸν εἶναι πιστεύοντες, ὁμολογοῦντες δὲ θεοτόκον καὶ τιὼ κατὰ σάρκα τεκοῦσαν αὐτὸν, αὐτῷ * προσεύχῳ λέγοντες. ζωώσεις ἡμᾶς, καὶ ὐ μὴ ἀποσῶμεν ἀπὸ σοῦ· ᾧ τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τοὺς αἰῶνας. ἁπάντων δὲ τούτων ἡμῖν τῶν τερποθήτων ἀγαθῶν γέγονε προξενος ἡ θεία τε, καὶ ἀπόῤῥητος, καὶ ἄνωθεν ψῆφος, καὶ ἡ τοῖς ἄνωθεν νεύμασι συνεχέχυσα γνώμη τῶ εὐσεβεστάτω, καὶ φιλοχρίστω βασιλέως. ἔπρεπε γὰρ τῇ γαληνότητι * αὐτοῦ, μὴ μόνον ὁρατοὺς καταπαλαίειν ἐχθρούς, ἀλλὰ γὰρ ὡρὸς τούτῳ καὶ ἀοράτους· καὶ βαρβαρικὰς μὲν συνθραύειν φάλαγγας, ἀπράκτους δὲ καὶ ταῖς τοῦ διαβόλου δυσκοπίαις ἀποτελεῖν, καὶ τοῖς εἰς Χριστὸν πιστεύουσιν διὰ τῆς σῆς θεοσεβείας πρυτανεύειν τιὼ ἀσφάλειαν. ὁ μὲν γὰρ εἰκῇ βαττολογῶν ἐν * ἐκκλησίᾳ, καὶ ταῖς κατὰ Χριστῶ δυσφημίαις ἀκρατὲς ἀνοίγων τὸ στόμα, τῆς ἱερᾶς τε, καὶ θείας ὑπεχώρησεν αὐλῆς, ἀντανέφυ δὲ, καὶ ἀνεβλάστησεν ἡ σὴ τελειότης, ὡς φυτὸν εἰρήνης, κατὰ τὸ γεγραμμένον. ξένιον δὲ καὶ τοῦτο βασιλέως εὐσεβοῦς λαμπρὸν, προηγουμένης, ὡς ἔφην, τῆς ἄνωθεν ψήφου. συνηδόμεθα τοίνυν καὶ ὑμῖν, τοῖς τιὼ ὀρθιὼ, καὶ ἀμώμητον, ἔχουσι πίστιν· ἐγήγερται γὰρ ἱερουργὸς ἀνὴρ, ὃν ἴσε, καὶ χρόνος ὑμῖν παρέθετο μακρὸς, καὶ αὐτὴ δὲ τ' πραγμάτων ἐσεφάνωσεν ἡ πεῖρα. ἀνὴρ ταῖς εἰς ὑμᾶς ἀγαθαῖς φροντίσι μακρὺς δαπανήσας χρόνους, καὶ τιὼ οὕτω πάνσεμνον πολιὰν ἐξηνθηκώς. ἔδει γὰρ, ἔδει τοῖς ἐξαιρέτοις μάλισα τοῦ σωτῆρος ἀγέλαις σοφόν τε, καὶ ἐπισήμονα δοθιῶναι τὸν ἐπισάτην, ποιμνιοκῆς δὲ τεχνίας ἐπίμεσον ἔχοντα τὸν νοῦν, ὃν νομῇ ἀγαθῇ, καὶ ὃν τόπῳ πίονι κατανέμειν εἰδότα, δεδοκιμασμένον δὲ διὰ πραγμάτων, ὡς πιστὸν, καὶ γνήσιον οἰκονόμον. τοὺς μὲν γὰρ ἔτω ζιὼ εἰωθότας, καὶ προσίεται Χριστὸς, καὶ λόγου παντὸς ἀξιοῖ, τοὺς δὲ μὴ τοιούτους ἐξίστησι τῆς ἐγχειρισθείσης αὐτοῖς * οἰκονομίας. καὶ τοῦτό ἐστιν * ἀληθὲς ἰδεῖν ἐξ αὐτῆς τῆς ἱερῶν γραμμάτων. ἔφη γάρ που Θεὸς πρὸς τὸν μακάριον προφήτην Ἡσαΐαν· * πορεύθητι εἰς τὸ πασοφόριον πρὸς * Σωμαν τὸν ταμίαν, καὶ εἶπον αὐτῷ. τί σὺ ὧδε; καὶ τί σοι ἐστὶν ὧδε; ἰδοὺ * κύριος Σαβαὼθ ἐκβαλεῖ, καὶ ἐκτείνει ἄνδρα, καὶ ἀφελεῖ τὴν στολήν σου, καὶ τὸν στέφανόν σου, τὸν σὸν δόξον, καὶ ῥίψει σε εἰς χώραν μεγάλην καὶ * ἀμέζητον, καὶ ἐκεῖ ἀποθανῇ, καὶ ἀφαιρεθήσῃ * ἀπὸ τῆς οἰκονομίας σου, καὶ ἐκ τῆς * συστάσεώς σου. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καλέσω τὸν παῖδά μου Ἐλιακεὶμ τὸν τοῦ Χελκίου, καὶ ἐνδύσω αὐτὸν τὴν στολήν σου, καὶ τὸν στέφανόν σου δώσω αὐτῷ, καὶ τὴν οἰκονομίαν σου δώσω εἰς τὰς χεῖρας αὐτοῦ. καὶ ἔσαι ὡς πατὴρ τοῖς ἐνοικοῦσιν ἐν Ἱερουσαλὴμ, καὶ τοῖς ἐνοικοῦσιν ἐν Ἰούδᾳ· καὶ δώσω τὴν δόξαν Δαυὶδ αὐτῷ, καὶ ἄρξει, καὶ οὐκ ἔσαι ὁ ἀντιλέγων· καὶ πήσω αὐτὸν ἄρχοντα ἐν τόπῳ πιστῷ. καὶ ἔσαι εἰς θρόνον δόξης τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ. καὶ ἔσαι πεποιθὼς ἐπ' αὐτὸν πᾶς ἔνδοξος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ, ἀπὸ μικροῦ ἕως μεγάλου· καὶ ἔσονται ἐπικρεμάμενοι αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. τὰ δὲ λίγει κύριος Σαβαὼθ· χνηθήσεται * ὁ ἄνθρωπος, ὁ ἐσπερυγμένος ἐν τοῦ πασσάλου τῷ πιστῷ, καὶ πεσεῖται, καὶ ἀφαιρεθήσεται ἡ δόξα ἡ ἐπ' αὐτῷ, ὅτι ὁ κύριος ἐλάλησεν. ἀγαπᾷ τοίνυν ὁ τῶν ὅλων Θεὸς τὸν πιστὸν ἀληθῶς, καὶ γνήσιον οἰκονόμον· τὸν δὲ μὴ τοιοῦτον, ὡς βέβηλον ἀποῤῥίπτει. συγχωρήσει δὲ ὅτι τιὼ σιὼ ὁσιότητι, καὶ τοῖς ἄνωθεν δόγμασι πλουσίᾳ χειρὶ, πεθαρσήκαμεν· ἵνα τὸν τῆς ἀληθείας ὀρθοτομοῦσα λόγον, καὶ τιὼ τῶν ἁγίων πατέρων ἐγκολπωσαμένη πίστει, δόκιμος ἐξαμείνῃ· ὃν καὶ φιλοῦσι, καὶ ἐμφυσᾷ τοῖς πᾶσιν ἡμῶν σωτῆρος Χριστῶ· δι' οὗ, καὶ μεθ' οὗ, τῷ Θεῷ, καὶ πατρὶ σιὼ ἁγίῳ πνεύματι ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. προσέπτε τιὼ παρά σοι ἀδελφότητα· * ὅτι σε ἡ σιὼ ἡμῖν ἐκκλησία προσαγορεύει. ἐῤῥῶσθαί σε, καὶ μιμνήσκεσθαι ἡμῶν, τῷ κυρίῳ εὔχομαι, δέχεσθε, καὶ ἀσπάζεσθε ἀδελφοί.

ΙΩΣΗΦ ΘΕΙΟΥ ΓΡΑΜΜΑΤΟΣ

ἀποσταλέντος δὶ Ἀγγελάου τεμβένης, καὶ νοτουαρίου, Ἰωάννῃ ἐπισκόπῳ Ἀντιοχείας, περὶ τῆς εἰρήνης, καὶ σώσεως τῶν ἁγίων ἐκκλησιῶν.

Αὐτοκράτορες, Καίσαρες, νικηταὶ, τροπαιοῦχοι, μέγισοι, καὶ ἀεὶ σέβασοι, Θεοδόσιος, καὶ Οὐαλεντινιανὸς, Ἰωάννῃ ἐπισκόπῳ Ἀντιοχείας.

ΣΚΟΠΟΣ ἡμῖν τῆς εἰρήνης τὸ κατόρθωμα, καὶ δὴ τῷ ἐπιτηδεύματι τῷ ἑαυτῶν ἑπόμενοι, διὰ λωεκῶς πληρῶν ἐπαγγέλλεσθαι. τοὺς τε ἄλλους πάντας ἀνθρώπους, ὡς ὀφεί * τοῦτο ἱερεῖς προβαλλόμενοι, διδάσκειν ὃ παύεσθε. καιρὸς οὖν, ἐπειδὴ ταύτῃ ἡμῖν ὀκλάζειν, ὅθεν ἐκ ἐκρύη, συμβέβηκεν, εἰς τοῦτο προτρέπειν, εἰς ὅπερ τοὺς ἄλλους ἅπαντας * ἐνάγοντες, * νομίζομεν ὡς προθύμως ἑλέσθαι. πρᾶγμα γὰρ φύσεσι, καὶ ἀπροσδόκητον, ἐπὶ τῶν ἡμετέρων καιρῶν συνέβη, ἱερέων τῆς ἀληθοῦς θρησκείας διχόνοια, ἥτις καὶ πᾶσαν διηγήσεως διάμιν ὑπερβέβηκεν. ὅτε γὰρ ἠλπίζη πανταχοῦ καὶ μέχρις * ὑποψίας περιαιρεθήσεσθαι φιλονεικία, καὶ τὸ τῆς τελεσπόρου σιγῆς * παρακολουθήσειν συμπέρασμα, πόθεν ὀργασάσεως, καὶ μεγίσου θορύβου προφάσεις ἐξήφθησαν. ἀδημονία τοιγαροῦν ἐν τῷ πράγματι, καὶ πολλῆς ἀθυμίας ἀφορμὴ, τὸ τοὺς διδασκάλους τῆς ἐκκλησιαστικῆς εἰρήνης, καὶ τιὼ πηγιὼ τῆς ὁμονοίας εἰς τοσοῦτον διχονοίας ξαπλῶναι, ὡς δεῖσθαι πῶν αὐτοὺς προτρεπόντων *, ὥστε μεμνῆσθαι τόπου, ἃ φρενοβλαβεῖν ἐπῄχθησαν. τιὼ ποσότης πόνου καὶ λύσιν, ὅθεν καὶ τιὼ ἀρχιὼ * ἔχειν. * δρέσθαι προσδοκήσαντες, καὶ ἐπιμελῶς ὅπως ἂν τόπου καταφθείη, φροντίσαντες· ἵνα μὴ ἔρημον * ἔτι πλέον νεμηθῇ τὸ τῆς φιλονεικίας ἐλάττωμα, τόπου ἐσχοπήσαμεν, πάντων ἡμῖν συνεραμένων, τό τι ἀγωνιοῦντα ἐπισκόπου τῆς ἐνδόξου ταύτης πόλεως, καὶ πάντων πῶν δρεσθέντων σύνοδον θεοφιλεστάτων ἐπισκόπων, καὶ τὸ πανὸς αὐτῶν κλῆρος, εἰς τὸ τὰ καλῶς φρονεῖν ἰσωμοῖα, δυσμενές τι πάθος παρεισπεσόντος, τὸ δυσπαθὲς τῆς ὀρθοδόξου πίστεως μέλη συναρμόσαι· ὥστε ἡμᾶς, εἰ τὸ φαμὲν, καὶ τὸ ἀγω-

σ. ἐγκόπτω ἐν-ῥῆσ.

σ. ἀνάγοντες. σ. νομίζομεν.

σ. ἀνευ ἐρέσθαι.

σ. ἀνευ πλέον τό.

σ. πρὸς τὸ μεμνῆσθαι τόπου.

σ. προσεύχῳ. Ψαλ. 15. 19.

σ. αὐτῆ.

σ. ἐκκλησίᾳ.

σ. Ἰσαΐας. Παρ ἀλλοῖς ιδ.

σ. Βασιλ. 19. σ. πορεύ. σ. Σομνᾶ. σ. Σοβνᾶ. σ. Ἐλιακείμ. σ. ἀφαιρ. σ. ἐκ. σ. σύστασεως.

σ. Ἰδρων.

* εὐλαβέστατον. * ἁγιώτατον ἐπίσκοπον τῆς Ἀλεξανδρείας Κύριλλον, συμβάντας ἀλλήλοις, ἀποθέσθαι τὴν μεταξὺ ὑμῶν δυσχέριαν, καὶ ἀμφισβήτησιν· ἐπαγγειλαμένων ὧν προείπομεν εὐλαβεστάτων ἀνδρῶν, ὡς εἰ ὑπογράψεις τῇ καθαιρέσει Νεστορίου, καὶ τὴν τούτου ἀναθεματίσεις διδασκαλίαν, οὐδεμία περιλειφθήσεται ἀντιλογίας ἀφορμή· ἀλλ' εὐθὺς ὁ ἁγιώτατος ἐπίσκοπος Κύριλλος, καὶ αὐτοὶ οἱ μετ' αὐτοῦ, καὶ ἡ σὴ θεοσέβεια, καὶ οἱ μετ' αὐτῆς, καὶ ὁ ὁσιώτατος τῆς ἐνδόξου Ῥώμης ἐπίσκοπος Κελεστῖνος, καὶ πάντες οἱ πανταχοῦ τῆς ὀρθοδόξου πίστεως ἱερεῖς, τῇ σῇ θεοσεβείᾳ κοινωνήσουσι· τῶν ἄλλων, εἴ γέ τινα εἴη τὰ ὀφείλοντα διορθωθῆναι, τὴν πρέπουσαν εὐχερῶς δεχομένων λύσιν, ἣν αὐτοὶ ἀναγκαίως ἀναλαβόντες, καὶ συμπείσαντες * αὐτοὺς ἰδίᾳ, καὶ κοινῇ πάντας, ἐπάξετε. γνοὺς τοίνυν, ταύτην ἡμῶν εἶναι τὴν σπουδὴν, καὶ τοῦτο τὸ βούλευμα, μηδενὸς ἄλλου θελήσῃς φροντίδα ποιήσασθαι, ἢ τοῦ πάσης ἐκποδῶν ἔριδος, καὶ ζηλοτυπίας γενομένης, τὴν εἰρήνην ταύτην ἐπιμελῶς, καὶ βεβαίως ταῖς ἁγιωτάταις ἐκκλησίαις, ταῖς ἁπανταχοῦ τῆς ὀρθοδόξου πίστεως, καὶ διὰ τούτων πᾶσι τοῖς ὑφ' ὑμᾶς τῇ τοῦ κρείττονος βοηθείᾳ πήξασθαι, καὶ ἐλθεῖν μετὰ πάσης ταχυτῆτος ἐν τῇ Νικομηδέων πόλει, μηδένα τὸ σύνολον ἐπισκόπων μετὰ σαυτοῦ ἐπαγόμενος, πλὴν ὀλίγων τῶν ὑπηρετουμένων τῇ σῇ ἁγιότητι κληρικῶν. καὶ δίχα πάσης ὑπερθέσεως σπούδασον. εἰδὼς, ὡς καὶ Κύριλλον τὸν ἁγιώτατον ἐπίσκοπον ὁμοίως ἐκεῖσε ἐπειχθῆναι, καὶ συνδραμεῖν τῇ αὐτῇ προθυμίᾳ, θείοις ἡμῶν γράμμασι προσετάξαμεν· αὐτῷ τε παρεγγυήσαντες, μὴ ἄλλως αὐτὸν πρὸς ἡμᾶς ἐλεύσεσθαι, πρὶν, ἢ ἂν συντυχόντες * ἀλλήλοις, καὶ * τῆς πρὸς ἑαυτοὺς * ἔχθρας ἀποθέμενοι, εἰς τὸ τὴν εἰρήνην βεβαιωθῆναι δι' οἰκείας ὁμονοίας, τῷ σκοπῷ τῶν πάντων συνέλθητε. ὅπερ ἔσεσθαι καὶ ἐπὶ τῇ σῇ εὐλαβείᾳ σημαίνομεν. * ἄνδρες γὰρ ὄντες τοσοῦτοι, οὓς ἐκδέχεται καὶ τὰ τῆς εἰρήνης ἀγαθὰ, καὶ τὰ τῆς διχονοίας κακὰ λαθεῖν οὐκ * ἀνέξονται, * οὐ πρότερον παρ' ἡμῶν ὀφθήσεσθαι, ἄχρις ἂν διορθωθῇ ταῦτα, ἅπερ ἡμᾶς οὐ μικρῶς ἀθυμῆσαι πεποίηκεν. ἐν τοσούτῳ δὲ, ἐν ὅσῳ ἥ τε σπουδαζομένη τῆς εἰρήνης, καὶ τῆς ὁμονοίας τῆς * ἡμετέρας, καὶ τῆς πρὸς ἀλλήλους φιλίας, καὶ ἐκ ταύτης τῆς πρὸς ἡμᾶς προοδοποιηθείσης συντυχίας βεβαιοῦται συγκρότησις, μηδεμία ἐξ ἐπισκοπικῶν καταστάσεων, ἢ καθαιρέσεων, ἢ καὶ οἱασδηποτοῦν χειροτονίας προσγένηται καινοτομία· ἀλλ' εἴ τι καὶ μεταξὺ γενέσθαι συμβέβηκε, τοῦτο ἐν ἡσυχίᾳ μένον ἀτάραχον, τὴν τῆς καθολικῆς ἐκκλησίας φυλαττέτω κατάστασιν· ἐπαρκούντων τῶν ὄντων εὐλαβεστάτων κληρικῶν, ἄχρις ἂν τελεία ἕνωσις παρακολουθήσῃ, πρὸς τὸ τὰς θείας ὑπηρεσίας ἐπιτελεῖν. ἔχεις παρ' ἡμῶν ταῦτα· καὶ οὐκ ἀμφιβάλλομεν, ὡς παντὶ σθένει, καὶ πάσῃ δυάμει, εἰλικρινῆ, καὶ ἀμετάτρεπτον ἑωρακὼς τὴν ἡμετέραν πρόθεσιν, καὶ ἀξίαν Χριστιανικῆς ἐνστάσεως, συμπράξεις καὶ αὐτὸς, καὶ οὐδένα κάματον, ἢ σκυλμὸν, οὐχ ὕβρεως καταφρόνησιν, οὐκ * ἀμνησικακίαν ὀργῆς ἀναδέξασθαι παραιτήσῃ ὑπὲρ τοῦ τὸ παρὰ τῆς ἡμετέρας εὐσεβείας ἕνεκα τῆς ὀρθοδόξου πίστεως, καὶ τῆς τῶν ἁγιωτάτων ἐκκλησιῶν ἑνώσεως προσταχθέντα, πέρατι παραδοθῆναι. εἰ δὲ, ὅπερ οὐ πιστεύομεν, * ἐναντία ταύτης ἡμῶν τῆς γνώμης, καὶ τοῦ οὕτως ἡμῶν ὀρθοῦ βουλεύματος, * φρονῆσαι, ἰδίῳ τινὶ σκοπῷ, * ἢ ἐνστάσει ἀνθρωπίνου πάθους ἐπιχειρήσειας, τῶν τε ἄλλων τῶν παρ' ἡμῶν κελευσθέντων ἀμελήσειας, σαυτῷ λογιεῖ, εἰ τῆς προθυμίας τῆς περὶ τὴν συγκρότησιν τῶν τοῦ Θεοῦ ἐκκλησιῶν ἡ σὴ ὁσιότης καταφρονήσασα, ἀξίας ἀμοιβὰς ἀπενέγκηται;

* ἑαυτός.

* ἑαυτοῖς κατὰ τῆς πρὸς ἀλλήλους ἔχθρας.

* ἴσ. ἄνδρες γὰρ ὄντες τοσούτης οὓς οὐκ ἐκδέχεται.

* ἀνέχεται.

* ἴσ. οὐκ ἀνεξόμεθα πρότερον.

* ἡμετρὰς.

* ἀμνησίαν ὀργῆς.

* ἐναντί.

* ταύτης.

* καταφρονῆσαι.

* καί.

ΘΕΙΟΝ ΓΡΑΜΜΑ ΑΠΟΣΤΑΛΕΝ πρὸς * τὸν μακάριον Συμεῶνα τὸν Στυλίτην.

Ἀνάκιον ἐπίσκοπον Βερρείας. ita ms. Seg.

* εὐλαβείας.

ΟΛΟΝ τὸν τῆς σῆς * εὐσεβείας βίον ἐπεστράφθαι πρὸς τὸν Θεὸν, καὶ οὕτω ζῆν, ὥστε δύνασθαι τῇ παῤῥησίᾳ, καὶ τὴν περὶ ἡμᾶς προκαλεῖσθαι εὐμένειαν, ἀκριβῶς ἐπιστάμενοι, ἀναγκαίως νῦν ἐπὶ τάδε τὰ γράμματα ἐλθεῖν προετράπημεν· ἵνα, ἀληθῶς πρᾶγμα τῆς τοῦ Θεοῦ προνοίας ἐχόμενον, ἐν τούτῳ μάλιστα τῷ χρόνῳ κατορθῶσαι * σπεύσῃς· φαμὲν δὴ τὴν καλῶς ῥιζωθεῖσαν εἰρήνην βεβαιωθῆναι. τὴν δὲ διαβόλου τινὸς κακομηχανίᾳ ἐμβληθεῖσαν μάχην ἐκποδῶν γενέσθαι παρασκευάσῃς. ἔσται δὲ τοῦτο, εὖ ἴσμεν πεποιθότες ταῖς εὐχαῖς τῆς σῆς ὁσιότητος, καὶ τῇ πρὸς τοὺς δυναμένους ταύτην θεμελιῶσαι, καὶ διεσπασμένην ἀνακαλέσασθαι, ἐνστάσει τε, καὶ προτροπῇ. ὁ μὲν γὰρ εὐλαβέστατος Ἰωάννης ὁ Ἀντιοχέων ἐπίσκοπος, ἐὰν τῇ καθαιρέσει τοῦ ἐμβαλόντος τὰ τῆς φιλονεικίας σπέρματα ὑπογράψαι βουληθείη, καὶ πεῖσαι, ὡς οὐ συναινεῖ τῷ κατὰ καινοτομίαν φρονήματι, καὶ * ἀφροσύνην ἐπιχειρηθέντι δόγματι, πάλιν ἡ τῶν ἀποσπασθέντων μελῶν ἕνωσις ἐπακολουθήσει, εἰς τοῦτο πάντων ὁμοῦ συντρεχόντων. εἰ γὰρ τοῦτο ποιήσειε, καὶ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ τῆς Ἀλεξανδρείας Κυρίλλῳ ὁμονοήσειεν, ᾧπερ οἱ ἐν τῇ δύσει, καὶ οἱ ἐνταῦθα, καὶ οἱ πανταχοῦ συντρέχουσι, τὰ πάλαι τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ συγκροτηθέντα, καὶ νῦν ἁρμοσθήσεται. τὴν γὰρ ἀηδίαν, καὶ τὸν θόρυβον ἡ περιττὴ καὶ * ἀνόητος, μᾶλλον δὲ ἐπιβλαβὴς διδασκαλία ἐγένησεν· ἥ τις ἐξωσθεῖσα, καὶ πόῤῥω που τῶν ψυχῶν ἡμῶν ἐλαθεῖσα ταῖς ὑμετέραις εὐχαῖς ἡμᾶς ἀναπαῦσαι, καθὼς εἰς τὴν τοῦ Θεοῦ προστασίαν ἐλπίζομεν, καὶ ἀνακτίσασθαι δυνήσεται. οὕτω γὰρ καὶ ἡμᾶς διχόνοια, καὶ φιλονεικία ταράττει, ὥστε καὶ πρώτην αἰτίαν ταύτην εἶναι τῶν συμβαινόντων δυσχερῶν λογίζεσθαι *, θαῤῥεῖν δὲ, ὡς πάντα τὰ τῆς ἡμετέρας βασιλείας κατὰ γνώμην τῆς τοῦ Θεοῦ φιλανθρωπίας προβήσετε, τῶν τῆς ἐκκλησίας, καὶ τῆς ὀρθοδόξου πίστεως μελῶν συναπτομένων τε, καὶ ἑνουμένων ἐπὶ τούτῳ τῷ κατορθώματι καὶ ἀγώνισε ἀγῶνα τὸν κάλλιστον, ὥστε περιγενέσθαι τῶν τοῦ δαίμονος ἐπιχειρημάτων· λογισθήσεται γάρ σοι καὶ τοῦτο ἆθλον μέγιστον, καὶ νίκη ἰσχυροτάτη· ἧς τευξόμενος σαυτῷ ἀκολουθήσεις, ταῦτα πράττων, ἅπερ ἐπαγγέλλῃ· * οἷς δὲ καὶ πιστούμενος, παρακέκλησο πρεσ-

* σπουδάσῃς. καὶ τῆς καλῶς ῥιζωθείσης εἰρήνης τὴν διαβόλου τινός.

* ἴσως, καὶ τῷ κατ' ἀφροσύνην. Lat. non habet φρονήματι, nec est in ms. Græco Seg.

* ἀνόητος, Lat.

* reliqua desiderantur in ms Seg.

* ἴσ. οἷς δή.

ωρισβείαις ταῖς σωωήθεσιν ἀδιαλείπτως ἡμᾶς τε, καὶ τὴν ἡμετέραν βασιλείαν, πάντας τε τοὺς ὑφ' ἡμῶν ἀρχομένους τῷ Θεῷ παρατίθεσθαι, ωρὸς τὸ ἡμῖν ἐξαιρέτως, τοῖς ποιμνίοις τὴν ἀρμόζουσαν περὶ τὴν εἰρήνην τῆς αὐτῶν θρησκείας φροντίδα, τὰ ἀγαθὰ παρὰ τῆς αὐτοῦ δυνάμεως ἄφθονα χορηγεῖσθαι.

Ι'ΣΟΝ ΣΑ'ΚΡΑΣ ΓΡΑΦΕΙ'ΣΗΣ

ωρὸς Α'χάκιον τὸν τῆς Βερροιαίων, καὶ Συμεῶνα τὸν Α'ντιοχείας ἀναχωρητὴν, καὶ * ἄλλας ἐπαρχίας, ἰδίᾳ ἑκάστῃ.

* Διάφορα ἐπιστολία, ἰδίᾳ ἑκάστῃ.

Ο'ΥΔΕ'Ν παντελῶς ἡμῖν παραλέλειπται τῆς ὑπὲρ τῆς ἑαυτῆς ὀφειλόντων σωσδασθῆναι θρησκείας. καὶ τοῦτο ἀκριβῶς εἴσεται σε ἡ ὁσιότης παρὰ τοῦ ἀλαβεστάτου ἐπισκόπου Α'ντιοχέων, καὶ τῆς λοιπῶν μαθοῦσα τῆς σὴν αὐτῷ ἁγίων ἐπισκόπων. γεγόνασι δέ τινες περὶ τὸ ωρᾶγμα φιλονεικίαι, καὶ δυσκολίαι, ἃς ἐξαλεῖψαι ωειραθέντες, ὑπὸ τῆς πολλῶν τέως ωραγμάτων διεκωλύθημεν. ἃ μὴν ἀποκλῶσαι ταύτης τῆς σωδοῦ αἰρησόμεθα, ωρὶν ἂν ἡμῖν ὁ ἀγαθὸς Θεὸς τὴν τῶν ἁγίων ἐκκλησιῶν σῴωσιν χαρίσοιτο δι' ὑμετέρων ἀρχῶν· ὥσε ωροσήκειν, μὴ πάσης σωουδῆς ταῦτα παρὰ Θεοῦ αἰτεῖν τὴν σὴν ἁγιότητα, τῆς Ρ'ωμαϊκῆς θρησκείας ἱερέας * ἐπιδείξαντα δοκίμους.

* Ἐπιδόντας ἐπιδείξαντας ἑαυτούς.

Ι'ΩΑ'ΝΝΟΥ Ε'ΠΙΣΚΟ'ΠΟΥ

Α'ντιοχείας, καὶ τῆς λοιπῶν, τῆς σὴν αὐτῷ, ἐπισολὴ, ωρὸς Ξύσον, ἐπίσκοωον Ρ'ώμης, καὶ ωρὸς Κύριλλον ἐπίσκοωον Α'λεξανδρείας, καὶ Μαξιμιανὸν ἐπίσκοωον Κωνσαντινουπόλεως.

Τοῖς ὁσιωτάτοις, καὶ θεοφιλεσάτοις ἀδελφοῖς, καὶ συλλειτουργοῖς, Ξύσῳ, Κυρίλλῳ, καὶ Μαξιμιανῷ, Ι'ωάννης, καὶ οἱ λοιποὶ πάντες οἱ σὺν ἐμοὶ, ἐν κυρίῳ χαίρειν.

ΚΑΙ' σωουδὴ, καὶ σκοπὸς πᾶσι τοῖς ἱεροῦσθαι λαχοῦσι, καὶ τὴν θείαν τῆς ἐπισκοωῆς λειτουργίαν ωεωισδωμένοις ωαρὰ τοῦ ωάντων ἡμῶν σωτῆρος Χριστοῦ, τὸ ἐν ὀρθῇ ωίσει διαφέρειν. οὕτω τε διδάσκειν τοὺς ὑωὸ χεῖρα λαούς· οὕτω τοίνυν ἔχοντος τοῦ ωράγματος, κατὰ τὸ ωαρῳχηκὸς ἔτος ἐκ θεσωίσματος τῆς ἁγίας σύνοδου θεοφιλεσάτων ἐωισκόωων * συνήχθη κατὰ τὴν Ε'φεσίων μητρόωολιν, τῆς κατὰ Νεσόριον ὑωοθέσεως χάριν. οἳ καὶ συνεδρίσαντες, ἅμα τοῖς ἀωοσταλεῖσιν ἐκδίκοις ωαρὰ τοῦ τῆς μακαρίας μνήμης Κελεσίνου, τοῦ ἡγουμένου ἐωισκόωου τῆς ἁγίας Ρ'ωμαίων ἐκκλησίας, ψήφῳ καθαιρέσεως ὑωοβεβλήκασι τὸν μνημονευθέντα Νεσόριον, ὡς βεβήλῳ διδασκαλίᾳ χρώμενον, καὶ σκανδαλίσαντα ωολλούς, καὶ οὐκ ὀρθοωοδήσαντα ωερὶ τὴν ωίσιν· συνεδραμηκότες δὲ καὶ ἡμεῖς, εἴωερ τοῦτο γενοὺς εἴροντες, λελυωήμεθα. ταύτης οὖν ἕνεκα τῆς αἰτίας, διαφορᾶς μεταξὺ ἡγουμένης ἡμῶν τε, καὶ τῆς ἁγίας συνόδου, καὶ ωολλῶν μεταξὺ ωεωραγμένων τε, καὶ εἰρημένων, εἰς τὰς ἑαυτῶν ἐκκλησίας τε, καὶ ωόλεις, ὑωεστρέψαμεν, ἃ συνεσχεθείσης τοῦ τηνικαῦτα τῇ ἁγίᾳ συνόδῳ διὰ ὑωογραφῆς εἰς τὴν ἐξενεχθεῖσαν κατὰ Νεσορίου τῆς καθαιρέσεως ψῆφον, διηρημένων ωρὸς διχόνοιαν τῶν ἐκκλησιῶν. ἐωειδὴ δὲ τέλος μάλιστα ωάντας φρονεῖσαι ἐχρῆν, ὅωως συναφθεῖεν, ἐκ μέσου γεγονυίας διχονοίας ἁωάσης, καὶ τῶν θεοσεβεσάτων, καὶ φιλοχρίστων βασιλέων αὐτὸ δὴ τοῦτο γεγράφθαι θεσωισάντων, καὶ εἰς τέλος ωεωομφότων τὸν * θαυμάσιον τειβοῦνον, καὶ νοταρίου, Α'ριστολάου, συνήρεσεν εἰς ἀναίρεσιν ωάσης φιλονεικίας, καὶ ὑωὲρ τοῦ τὴν εἰρήνην βραβευθῆναι ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, καὶ ἡμᾶς αὐτοῖς συνθέσθαι τῇ δὲ τῇ ψήφῳ τῆς ἁγίας συνόδου, τῇ ἐξενεχθείσῃ κατὰ Νεσορίου, ἔχειν τε αὐτὸν καθηρημένον, καὶ ἀναθεματίσαι τὰς δυσφήμους αὐτοῦ διδασκαλίας, διὰ τὸ τὰς ωαρ' ἡμῖν ἐκκλησίας τὴν ὀρθὴν ἀεὶ, καὶ ἀβέβηλον ἐσχηκέναι ωίσιν, καθὰ καὶ ἡ ὑμετέρα ὁσιότης, καὶ ταύτην ἀεὶ φυλάττειν, καὶ ωαραδίδοναι τοῖς λαοῖς. συναινοῦμεν δὲ καὶ τῇ χειροτονίᾳ τοῦ ὁσιωτάτου, καὶ θεοσεβεσάτου τῆς Κωνσαντινουωόλεως ἁγίας ἐκκλησίας ἐωισκόωου Μαξιμιανοῦ· καὶ κοινωνικοὶ ωᾶσιν ἐσμὲν τοῖς κατὰ τὴν οἰκουμένην θεοσεβεσάτοις ἐωισκόωοις, ὅσοι τὴν ὀρθοδοξον, καὶ ἀμώμητον ἔχουσι ωίσιν.

* ΛΙ'ΒΕΛΛΟΣ Ε'ΠΙΔΟΘΕΙΣ ΤΩ'

ἀρχιεωισκόωῳ Κυρίλλῳ ωαρὰ Ωαύλου ἐωισκόωου Ε'μέσης, * τοῦ ἀωοσταλέντος ωαρὰ Ι'ωάννου Α'ντιοχείας ἐωισκόωου.

* Λίβελλος ἐπιδοθεὶς τῷ ἁγιωτάτῳ. * ἀποσταλέντος ωαρά.

Τῷ δεσωότῃ μου τῷ ωάντων σεβασμιωτάτῳ, καὶ ὁσιωτάτῳ ἀρχιεωισκόωῳ Κυρίλλῳ, Ωαῦλος ἐωίσκοωος ἐν κυρίῳ χαίρειν

Οἱ' * ἀλαβέστατοι, καὶ καλλίνικοι ἡμῶν βασιλεῖς, ἣν ἄνωθεν ἔχειν ἀξιοῦσι σωουδὴν, καὶ ἐωιμέλειαν ωερὶ τὸ ὑωήκοον, καὶ μάλιστα ωερὶ τὰς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, καὶ τὴν ἀσεβῆ, καὶ εἰλικρινῆ, καὶ ὀρθὴν ωίστιν, ἣν ἐκ ωατέρων διεδέξαντο, εὐδοκοῦμενοι, γράμμα ἐξέωεμψαν διὰ τοῦ ωεριβλέωτου Λειβούνου, καὶ νοταρίου, Α'ριστολάου, ωρός τε τὴν σὴν ὁσιότητα, καὶ ωρὸς τὸν ὁσιώτατον, καὶ ἁγιώτατον Ι'ωάννην ἐωίσκοωον, καὶ ωρὸς τὸν ὁσιώτατον, καὶ ἁγιώτατον ωατέρα ἡμῶν Α'χάκιον τὸν ἐωίσκοωον τῆς Βερροιαίων, τὸ κελεῦον, ὥσωε συνελθόντας, ἢ κατὰ ωρόσωωον, ἢ κατὰ γνώμην *, λύσιν δοῦναι ωᾶσαν ἀωορίαν, καὶ ψάσαις διαφοραῖς μεταξὺ τῶν θεοφιλεσταάτων ἐωισκόωων τῶν εἰς τὴν Ε'φεσον συνελθόντων, καὶ ἡμῶν αὐτῷ, καὶ ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις τὸ τῷ Θεῷ φίλον εἰρηνεῦσαι, ωαῦσαί τε τὰς ὀσημέραι ἐγγινομένας ωαραχὰς ωαῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, σωουδάσαι τε τῇ Νεσορίου καθαιρέσει, καὶ ἀναθεματίσαι τὸ ωαύλου αὐτοῦ διδασκαλίαν. δεξάμενοι δὲ τὸ ἀσεβὲς τόωο, καὶ φιλόχριστον γράμμα, ὅ, τε ωροειρημένος ἅγιος Ι'ωάννης, καὶ ὁ ἁγιώτατος ἐωίσκοωος Α'χάκιος, καὶ λογισάμενοι ὡς ἔστι ωολλὰ διόμματα τῆς κατὰ ωρόσωωον ὑμῶν σωουδαιότητος, εἰς τὸ μὴ * μακρὰν ἐντεμβλῶσαι τῇ ὑωοθέσει, * μακρὰν κρίνοντες ἀωέστειλαν

ἀπέστειλάν με πρὸς τὴν σὴν ὁσιότητα· ὥστε συσκοπῆσαί σου τῇ ἁγιότητι, τίνα δὴ τρόπον τὰ τῆς εἰρήνης ὀφείλει ἀσφαλῶς διατεθῆναι, καὶ τῇ ἀρίστῃ ταύτῃ πράξει τέλος τὸ δέον, καὶ λυσιτελὲς * ἐπιτεθῆναι. ἐλθὼν οὖν, καὶ συντυχὼν, καὶ διαλεχθεὶς εὗρον, καὶ τὴν σὴν ὁσιότητα παρεσκευασμένην ἡμέρως, καὶ εἰρηνικῶς, καὶ ὡς ἀρχιερεῦσι πρέπει, διαθεῖναι τὰ ἐν χερσί. καὶ δὴ γράμμα ἡμῖν ἐνεχείρισεν ἡ σὴ ὁσιότης * περιέχον, ἣν τινα κηρυττομένην ἐκ πατέρων διεδεξάμεθα ὀρθὴν, καὶ ἀκηλίδωτον πίστιν· ὃ πρῶτον ἦν ἄξιον πόνου, καὶ σπουδῆς. ἐπειδὴ δὲ ἔδει καὶ τὰ κατὰ Νεστόριον τύπον λαβεῖν τὸν ἄνωθεν ὑμῖν δοθέντα, πεποίημαι, παρὼν πρὸς παροῦσαν σου τὴν ὁσιότητα τόδε τὸ γράμμα· δι' οὗ ὁμολογῶ * καταδέχεσθαι ἡμᾶς τὴν κατάστασιν τοῦ ἁγιωτάτου, καὶ ὁσιωτάτου ἐπισκόπου Μαξιμιανοῦ, ἔχειν δὲ Νεστόριον τὸν πρὸ τούτου γεγονότα τῆς μεγάλης Κωνσταντινουπόλεως, καθῃρημένον· καὶ ἀναθεματίζομεν τὰ ἐν διδασκαλίας μέρει ἀσεβῶς αὐτῷ εἰρημένα· καὶ ἀσπαζόμεθα τὴν καθαρὰν, καὶ εἰλικρινῆ πρὸς ὑμᾶς κοινωνίαν, κατὰ τὴν ἐπιδοθεῖσαν τῇ σῇ θεοσεβείᾳ παρ' ἡμῶν διὰ βραχέων περὶ τῆς τοῦ Θεοῦ λόγου ἐνανθρωπήσεως ἔκθεσιν. ἣν καὶ ἐπῄνεσας, καὶ ὡς ἰδίαν ἐδέξω πίστιν· ἧς καὶ τὸ ἴσον ἐντέτακται τῷ δὲ τῷ γράμματι. καὶ ταύτῃ τῇ καθαρᾷ κοινωνίᾳ λύσιν διδόαμεν πᾶσι τοῖς ἐν μέσῳ παρ' * ἀμφοτέρων τῶν μερῶν, ὡς ἐν ταραχαῖς * γεγενημένοις· καὶ ἐπανερχόμεθα εἰς τὴν προτέραν τῶν ἐκκλησιῶν τῇ τοῦ Θεοῦ χάριτι γαλήνην.

* ἐπιθεῖναι.
* κηρύττον. ἣν ἐκ πατέρων.
* καταδεδέχθαι
* ἑκατέρων.
* γενομένοις.

ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΕΠΙΣΚΟΠΟΥ Ἀντιοχείας, πρὸς Κύριλλον ἀρχιεπίσκοπον Ἀλεξανδρείας.

Τῷ δεσπότῃ μου τῷ θεοφιλεστάτῳ, καὶ ἁγιωτάτῳ συλλειτουργῷ Κυρίλλῳ, Ἰωάννης ἐν κυρίῳ χαίρειν.

ΠΡΩΗΝ ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων ἐκελεύσθη σύνοδος θεοφιλεστάτων ἐπισκόπων κατὰ τὴν Ἐφεσίων μητρόπολιν συναθροισθῆναι, ἐκκλησιαστικῶν ἕνεκα πραγμάτων, καὶ τῆς ὀρθῆς πίστεως. καταλαβόντων δὲ καὶ ἡμῶν τὴν μνημονευθεῖσαν πόλιν, καὶ ὑποστρεψάντων ἐκτὸς τῆς πρὸς ἀλλήλους συντυχίας, περιττὸν δὲ τὰς αἰτίας τῆς διχονοίας ἐν καιρῷ εἰρήνης νῦν εἰπεῖν· διῃρημένων δὲ πρὸς διχόνοιαν τῶν ἐκκλησιῶν τούτῳ τῷ τρόπῳ, ἐπειδὴ τούτου μάλιστα φροντίσαι πάντας ἐχρῆν, ὅπως συναφθεῖεν ἐκ μέσου γενομένης διχονοίας ἁπάσης, καὶ τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων βασιλέων, αὐτὸ δὴ τοῦτο γενέσθαι θεσπισάντων, τὸ ἑνῶσαι τὰς τοῦ Χριστοῦ ἐκκλησίας, καὶ εἰς αὐτὸ δὴ τοῦτο ἀποστειλάντων τὸν κύριόν μου, καὶ θαυμασιώτατον, καὶ περίβλεπτον τριβοῦνον, καὶ νοτάριον, Ἀριστόλαον, ἐπιφερόμενον τὸ εὐσεβὲς αὐτῶν γράμμα, τὸ παρακελεῦον, ἐντεῦθεν ἤδη συμβῆναι ἡμᾶς, καὶ περιελεῖν τὰ σκάνδαλα ἐκ τοῦ μέσου, καὶ κατευνάσαι πᾶσαν ταραχὴν, καὶ πᾶσαν λύπην· ᾧ εἴκοντες εὐσεβεῖ γράμματι, εὐθὺς, καὶ παραχρῆμα ἀπεστείλαμεν τὸν κύριόν μου, καὶ κατὰ πάντα θεοφιλέστατον, καὶ ἁγιώτατον ἐπίσκοπον Παῦλον. τοῦτο συναρέσαν καὶ τῷ ἁγιωτάτῳ, καὶ θεοφιλεστάτῳ ἐπισκόπῳ πατρὶ ἡμῶν Ἀκακίῳ, καὶ τοῖς παρ' ἡμῖν θεοφιλεστάτοις ἐπισκόποις. ὑπὲρ δὲ πλείονος * συντομίας τοῦτο πεποιήκαμεν, διὰ τὸ μὴ δύνασθαι ἡμᾶς συνελθόντας τὰ θεσπισθέντα ὑπὸ τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων κατὰ πρόσωπον εἰς πέρας ἀγαγεῖν, ἐντειλάμενοι αὐτῷ, ὥστε καὶ ἀνθ' ἡμῶν, καὶ ὑπὲρ ἡμῶν, καὶ εἰς πρόσωπον ἡμέτερον τυπῶσαι μὲν τὰ περὶ τῆς εἰρήνης, ὅπερ ἐστὶ προηγούμενον, ἐγχειρίσαι δὲ τῇ σῇ θεοσεβείᾳ τὴν ἔκθεσιν τὴν παρ' ἡμῶν συμφώνως γενομένην περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν ἀπεστείλαμεν τῇ σῇ θεοσεβείᾳ διὰ τοῦ προλεχθέντος θεοφιλεστάτου ἀνδρὸς, ἥτις ἐστιν αὕτη.

* ἀσφαλῶς.

Περὶ δὲ τῆς θεοτόκου Μαρίας παρθένου, ὅπως καὶ φρονοῦμεν, καὶ λέγομεν, τοῦ τε τρόπου τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, ἀναγκαίως, οὐκ ἐν προσθήκης μέρει, ἀλλ' ἐν πληροφορίας εἴδει, ὡς ἄνωθεν ἔκ τε τῶν θείων γραφῶν, ἔκ τε τῆς παραδόσεως τῶν ἁγίων πατέρων παρειληφότες ἐσχήκαμεν. διὰ βραχέων ἐροῦμεν, οὐδὲν τὸ σύνολον προστιθέντες τῇ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ ἐκτεθείσῃ πίστει· ὡς γὰρ ἔφθημεν εἰρηκότες, πρὸς πᾶσαν ἐξαρκεῖ καὶ εὐσεβείας γνῶσιν, καὶ πάσης αἱρετικῆς κακοδοξίας ἀποκήρυξιν. ἐροῦμεν δὲ οὐ κατατολμῶντες τῶν ἀνεφίκτων, ἀλλὰ τῇ ὁμολογίᾳ τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες τοῖς ἐπιφύεσθαι βουλομένοις, ἐν οἷς τὰ ὑπὲρ ἄνθρωπον διασκεπτόμεθα.

Ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον, ἐκ ψυχῆς λογικῆς, καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα· ὁμούσιον τῷ πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα, καὶ ὁμούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· δύο γὰρ φύσεων ἕνωσις γέγονε· διὸ καὶ ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν, ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον, διὰ τὸ τὸν Θεὸν λόγον σαρκωθῆναι, καὶ ἐνανθρωπῆσαι, καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. τὰς δὲ εὐαγγελικὰς, καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς * θεολόγους ἄνδρας τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων· καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα αὐτοῦ παραδιδόντας.

Ὁμολογία τῶν τῆς ἀνατολῆς ἐπισκόπων.
* θεηγόρους

Ἧς δεχθείσης, συνήρεσεν εἰς ἀναίρεσιν ἁπάσης φιλονεικίας, καὶ ὑπὲρ τοῦ τὴν οἰκουμενικὴν εἰρήνην * βραβευθῆναι ταῖς τοῦ Θεοῦ ἁγίαις ἐκκλησίαις, καὶ ἐκποδῶν τὰ ἀναφυέντα γενέσθαι σκάνδαλα, ἔχειν ἡμᾶς Νεστόριον καθῃρημένον, τὸν πάλαι γενόμενον ἐπίσκοπον τῆς Κωνσταντινουπόλεως· καὶ ἀναθεματίζομεν τὰς φαύλας αὐτοῦ, καὶ βεβήλους καινοφωνίας, διὰ τὸ τὰς παρ' ἡμῖν ἁγίας τοῦ Θεοῦ ἐκκλησίας τὴν ὀρθὴν, καὶ ὑγιῆ ἐσχηκέναι πίστιν, καὶ φυλάττειν, καὶ παραδιδόναι τοῖς λαοῖς, καθὰ καὶ ἡ ὑμετέρα ὁσιότης. συναινοῦμεν δὲ

* βεβαιωθῆναι

δὲ καὶ τῇ χειροτονίᾳ τοῦ ὁσιωτάτου, καὶ θεοφιλεστάτου ἐπισκόπου Μαξιμιανοῦ τῆς Κωνσταντινουπόλεως ἁγίας τοῦ Θεοῦ ἐκκλησίας· καὶ * κοινωνικοὶ πᾶσιν ἐσμὲν τοῖς κατὰ πᾶσαν τὴν οἰκουμένην θεοσεβεστάτοις ἐπισκόποις, ὅσοι τὴν ὀρθὴν, καὶ ἀμώμητον * πίστιν ἔχουσί τε, καὶ κηρύττουσιν. ἐρρωμένως, ὑπερβαλλόμενος ἡμῶν διατελοίητε, δέσποτα θεοφιλέστατε, καὶ ὁσιώτατε, καὶ πάντων ἐμοὶ γνησιώτατε ἀδελφέ.

* κοινωνοί.

* ἴσμεν, καὶ πιστεύομεν.

Ὁμιλία Παύλου ἐπισκόπου Ἐμίσης ἐν Ἀλεξανδρείᾳ περὶ εἰρήνης.

Εὐλογητὸς ὁ Θεὸς * ὁ * τοίνυν πρῶτον ὑμῖν φθεγγόμενος τῇ τῆς εἰρήνης προσρήσει, τὴν ὑμετέραν * καταξιωθῆναι καταπάσασθαι δίλάβειαν· εἰρήνην λαβὼν ἐν τῷ μέρει δεδωκώς, καὶ εἰρήνην ἀντιλαβών· εἰρήνην τοῦ πάντων τοῦ ἀγαθῶν αἰτίαν· τὴν ἐράσμιον, καὶ τῷ Θεῷ φίλην· ἣν ὁ δεσπότης Χριστὸς διὰ τοῦ ἁγίου πνεύματος, τῇ οἰκουμένῃ ἐχαρίσατο. αὐτῷ ἡ δόξα ἅμα τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

* ἐστὶ πατρικόν.

* ἐπιτρέπουσιν.

ΟΜΙΛΙΑ ΠΑΥΛΟΥ ΕΠΙΣΚΟΠΟΥ

Ἐμίσης, λεχθεῖσα κθ'. * Χοιὰκ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ Ἀλεξανδρείας, καθημένου τοῦ μακαρίου Κυρίλλου, εἰς τὴν * γέννησιν τοῦ κυρίου, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ ὅτι θεοτόκος ἡ ἁγία παρθένος Μαρία· καὶ ὅτι οὐ δύο υἱοὺς λέγομεν, ἀλλ' ἕνα υἱὸν, καὶ κύριον τὸν Χριστόν· καὶ εἰς τὸν ἀρχιεπίσκοπον ἐγκώμιον.

Τῇ δεκεμβρ.

* γένεσιν.

ΕΤ' ΚΑΙΡΟΝ σήμερον τὴν ὑμετέραν παρακαλέσαι δίλάβειαν, ἱερόν τινα χορὸν ἅμα ἡμῖν συστήσασθαι καὶ μετὰ τῶν ἁγίων ἀγγέλων ἀναβοῆσαι· δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· σήμερον γὰρ ἡμῖν παιδίον ἐγεννήθη, ἐφ' ᾧ πᾶσα ἡ οἰκουμένη, καὶ ἀόρατος κτίσις βεβαίας τὰς ἐλπίδας τῆς σωτηρίας κέκτηται. σήμερον ἡ ὑπερφυὴς λύεται λοχεία, καὶ τῆς ἀπειρογάμου παρθένου λύονται αἱ ὠδῖνες. ὦ τοῦ θαύματος. τίκτει ἡ παρθένος, καὶ μένει παρθένος· γίνεται μήτηρ, καὶ ἀπάντων τὸ μητρῶον ἀκεραίως ὑπομένει. * ἔτεκε μὲν γὰρ ὡς νόμος γυναῖξὶν ἡ παρθένος, ἔμεινε δὲ παρθένος, ὡς ἀνόμως ταῖς τικτούσαις γυναιξίν. ἄνωθεν προορώμενος ὁ προφήτης Ἡσαΐας τὸ θαῦμα, ἐβόα· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. τοῦτο δὲ μεθερμηνευόμενόν ἐστιν, ἑρμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. τίκτει ἄρα ἡ θεοτόκος Μαρία τὸν Ἐμμανουήλ.

Ἐβόησεν ὁ λαός· ἡ πίστις ἰδοὺ * αὕτη ἐστί· Θεοῦ δῶρον, Κύριλλε ὀρθόδοξε· τοῦτο ἀκοῦσαι ἐζητοῦμεν. ὁ τοῦτο μὴ λέγων, ἀνάθεμα ἔστω. λοιπὸν εἶπεν ὁ ἐπίσκοπος Παῦλος.

Ὁ τοῦτο μὴ λέγων, καὶ νοῶν, καὶ φρονῶν, ἀνάθεμα ἔστω ἀπὸ τῆς ἐκκλησίας. ἔτεκεν οὖν ἡμῖν ἡ θεοτόκος Μαρία τὸν Ἐμμανουήλ· Ἐμμανουὴλ δέ, θεὸν ἀνθρωπήσαντα. ὁ γὰρ πρὸ τῶν αἰώνων ἐκ πατρὸς ἀῤῥήτως, καὶ ἀνεκφράστως γεννηθεὶς θεὸς λόγος, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τίκτεται ἐκ γυναικός. τιμῶ γὰρ ἡμετέραν τελείως ἀνειληφὼς φύσιν, καὶ τὸ * ἀνθρώπινον ἐκ πρώτης συλλήψεως οἰκειώσας ἑαυτῷ, καὶ τὸ ἡμέτερον σῶμα ναὸν ἑαυτῷ κατασκευασάμενος, προῆλθεν ἐκ τῆς θεοτόκου, θεὸς τέλειος, καὶ ἄνθρωπος τέλειος ὁ αὐτός. δύο γὰρ φύσεων τελείων συνδρομὴ, θεότητός φημι, καὶ ἀνθρωπότητος, τὸν Υἱὸν ἡμῖν ἀπετέλεσεν υἱὸν, τὸν Υἱὸν Χριστὸν, τὸν Υἱὸν κύριον.

* ἀνθρώπινον.

Ὁ λαὸς ἐβόησε· καλῶς ἦλθες ὀρθόδοξε ἐπίσκοπε· ὁ ἄξιος τῷ ἄξιῳ. Χριστιανοὶ λέγουσι· Θεοῦ δῶρον, Κύριλλε ὀρθόδοξε. ὁ ἐπίσκοπος Παῦλος εἶπεν.

Ἤδειν κἀγώ, ἀγαπητοὶ, ὡς πρὸς ὀρθόδοξον ἀφικόμενος πατέρα. διὰ τοῦτο τετράδα, ἑπτὰ ἀδα προσκυνοῦμεν. πατέρα, καὶ υἱὸν, καὶ πνεῦμα ἅγιον. ἀναθεματίζομεν δὲ τοὺς λέγοντας δύο υἱούς, καὶ τῶν ἱερῶν τῆς ἐκκλησίας ἐκβάλλομεν περιβόλων. ἔστε οὖν δύο υἱοὺς λέγομεν, ἔστε ψιλὸν ἄνθρωπον τὸν Ἐμμανουὴλ, τὸν ἐκ τῆς θεοτόκου γεγεννῆσθαι, ἔστε χαίρετος ἠξιωμένον, ὡς προφήτου, ἢ ὡς δίκαιον, πλέον τῶν ἄλλων. ἐν αὐτῷ γὰρ εὐδόκησε κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, τουτέστιν, ὡς ἐν ἰδίῳ σώματι· τὸ γὰρ ἡμέτερον, ἴδιον ἐποιήσατο σῶμα. ἐπὶ ταύτῃ τῇ πίστει τεθεμελίωται ἡ ἐκκλησία τοῦ Θεοῦ· ἐπὶ ταύτῃ τῇ ὀρθοδοξίᾳ, * ἐπὶ ταύτης τῆς πέτρας ἔθετο τὰ θεμέλια τῆς ἐκκλησίας ὁ δεσπότης Θεός. * ὅτε οὖν ἦλθεν ὁ δεσπότης Χριστὸς ἐπὶ τὰ Ἱεροσόλυμα, ἠρώτα τοὺς μαθητὰς, λέγων· τίνα με λέγουσιν οἱ υἱοὶ τῶν ἀνθρώπων εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; λέγουσιν οἱ ἀπόστολοι οἱ μὲν Ἠλίαν, ἕτεροι δὲ Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν. * καὶ λέγει· ὑμεῖς, τουτέστιν, ἡ ἐμὴ ἐκλογὴ, τὰς διεψευσμένας λέγετε δόξας, ὅτι οἱ μὲν Ἠλίαν ἔλεγον, ἕτεροι δὲ Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν· ὑμεῖς δὲ, οἱ παρακολουθήσαντές μοι τρία ἔτη, καὶ ἰδόντες μου τὴν δύναμιν, καὶ τὰ τεράστια, καὶ θεασάμενοί με ἐπὶ θαλάσσης περιπατοῦντα, οἱ ἐκ τραπέζης μοι κοινωνήσαντες, τίνα με λέγετε; διόπερ ὁ κορυφαῖος τῶν ἀποστόλων, τὸ στόμα τῶν μαθητῶν, ὁ Πέτρος. σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· σὺ εἶ ὁ Χριστὸς, ἡ διττὴ φύσις, ὁ ἀνθρωπήσας· σὺ εἶ ὁ Χριστός· καὶ οὐκ εἶπεν, * οἱ υἱοὶ, ἀλλ' ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· ἐπέγνω καὶ τὸ μοναδικὸν πρόσωπον. παρακαλέσωμεν οὖν τὸν πατέρα, τὴν συνήθη παραθεῖναι ἡμῖν τράπεζαν, καὶ τὰ πολυτελῆ, καὶ ποικίλα τοῦ πνεύματος ὄψα· σεφανῶσαι τὸν κρατῆρα τῆς διδασκαλίας· καὶ μεθύσαι ἡμᾶς μέθῃ, σωφροσύνης μητέρα· εἴπωμεν, ἐξεγέρθητι, ὦ πάτερ, ἐξεγέρθητι, ἡ δόξα μου· ἐξεγέρθητι ψαλτήριον, καὶ κιθάρα τοῦ ἁγίου πνεύματος. ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ματθ. 16. 13.

* λέγει αὐτοῖς ὑμεῖς δέ.

Ἑβρ. 3. 14.

Ἑβρ. 3. 14.

Ἑβρ. 1. 3.

Φιλιπ. 2. 9.

ΤΟΥ ΑΥΤΟΥ ΟΜΙΛΙΑ, ΛΕΧΘΕΙΣΑ

ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ Ἀλεξανδρέων, * Τιβὶ ἐν τῇ ἁγίᾳ· καὶ εἰς τὴν ἐνανθρώπησιν τοῦ κυρίου, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ εἰς τὸν ἀρχιεπίσκοπον Κύριλλον ἐγκώμιον.

* ἐν τῇ Παστακείᾳ.

ΠΡΩΗΝ περὶ τὴν ὑμετέραν ἀγωνιστικώτερον διαλεγόμενοι ἀγάπην, πέρας ἐπιθεῖναι τῷ λό-

λόγῳ οὐκ ἰσχύσαμεν· στενοχωρία δὲ τῶν ἡμετέρων ἀδελφῶν ἐξῶσεν ἡμᾶς τῶν σκαμμάτων. φέρε οὖν αὖθις * ἀποδυσάμενοι, τῶν αὐτῶν ἁψώμεθα παλαισμάτων. ὁ δὲ γενναῖος οὗτος * πατὴρ, καὶ παιδοτρίβης, ὅπερ * ποτὲ ἐποίει, καὶ αὖθις ποιείτω· κρινέτω τὰ παλαίσματα. καὶ γὰρ τότε * γεγαννυμένῳ τῷ προσώπῳ, καὶ φαιδρῷ τῷ μειδιάματι ἐδείκνυτο χαίρων τοῖς ἀγῶσι τοῦ παιδός. καὶ θαλλοῦ δίκην τὴν δεξιὰν ἡμῖν ἐπισείων, δῆλος ἦν ἡμῖν τιθέμενος, καὶ ἐπιθυμῶν τὸν παῖδα ἀναῤῥηθῆναι, καὶ στεφανίτην, καὶ νικητὴν ἀναδειχθῆναι.

* ἀποσάμενοι
* ἀνήρ.
* τότε.
* γεγαννυμένῳ.

Ὁ λαὸς ἐβόησε. Θεοῦ δῶρον * Κύριλλος, ὅλους ἐποίησας ὡς σεαυτόν. ὁ ἄξιος τῷ ἀξίῳ. ὁ * λαὸς εἶπε. τῶν ἐπισκόπων τὸν πατέρα κύριε σῶσον. καλῶς ἦλθες ἐπίσκοπε ὀρθόδοξε, τῆς οἰκουμένης παιδευτά. ὁ πιστεύων οὕτω, φιλεῖται * μεγάλου διδασκάλου μέγας ἐπαινέτης. ὁ ἐπίσκοπος Παῦλος εἶπεν,

* Κύριλλε;
* λαός σου εἴρηκε.
* μεγάλη διδασκαλία, μέγας

Ἐπανέλθωμεν οὖν ἐπὶ τὴν θεοτόκον Μαρίαν, καὶ τὸν ἐξ αὐτῆς τεχθέντα Ἐμμανουὴλ, τὸν Θεὸν τὸν ἐνανθρωπήσαντα. ἔτεκε γὰρ ἡμῖν ἡ παρθένος τὸν Ἐμμανουὴλ, κατὰ μὲν τὴν θεότητα τῷ πατρὶ ὁμοούσιον. κατὰ δὲ τὴν ἀνθρωπότητα τὸν αὐτὸν ἡμῖν ὁμοούσιον, ἐπεὶ πῶς ἂν λεχθείη ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί; πῶς δὲ σπέρματος Ἀβραάμ; πῶς δὲ υἱὸς Δαυίδ; πῶς δ' ἂν νοηθείη τὸ· ἐξ αὐτῶν κατὰ σάρκα Χριστὸς, ὁ ὢν ἐπὶ πάντων Θεός; τὸ δὲ τοῦ θεσπεσίου Παύλου πῶς ἂν ἐκλάβωμεν. περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα, τοῦ ὁρισθέντος υἱοῦ τοῦ Θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ * Θεοῦ ἡμῶν; ἔτεκεν οὖν ἡ ἁγία Μαρία τὸν Ἐμμανουὴλ, κατὰ μὲν τὴν θεότητα, καθὰ προειρήκαμεν, ὁμοούσιον τῷ πατρὶ, κατὰ δὲ τὴν ἀνθρωπότητα ἡμῖν ὁμοούσιον· κατὰ μὲν τὴν θεότητα, ἀπαθῆ, κατὰ δὲ τὴν ἀνθρωπότητα, παθητόν· εἰ γὰρ καὶ οἰκειοῦται τοῦ ἰδίου σώματος τὰ πάθη ὁ Θεὸς λόγος, καὶ εἰς ἑαυτὸν ἀναφέρει, ἀλλά γε μεμένηκεν αὐτὸς ἐν τοῖς τῆς ἀπαθείας ὅροις. κἂν ἀκούσῃς αὐτοῦ λέγοντος· ἔδωκα τὸν νῶτόν μου εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· μηδὲν αὐτὸν πεπονθέναι εἰς τὴν ἰδίαν φύσιν ὑπολάβῃς· οἰκειώσασθαι δὲ μᾶλλον τοῦ ἰδίου σώματος τὰς μάστιγας· ὁ γὰρ Θεὸς λόγος μεμένηκεν ἀπαθής. οἱ δὲ ἀντιταττόμενοι ταῖς θείαις γραφαῖς, καὶ ταῖς ὀρθαῖς δόξαις, ἐροῦσιν ἡμῖν. εἰ ἀπαθὴς ὁ * Θεὸς λόγος, καὶ ἄτρεπτος, καὶ ἀναλλοίωτος, πῶς ὁ λόγος σὰρξ ἐγένετο; ἄκουε, ἀγαπητέ. ὁ λόγος σὰρξ ἐγένετο, οὐ μεταπεπτωκὼς εἰς σάρκα· οὔτε γὰρ ὁ Θεὸς λόγος μεταπέπτωκεν εἰς σάρκα. οὔτε ἡ ἀναληφθεῖσα σὰρξ ἐχώρησεν εἰς τὴν φύσιν τοῦ ἀνειληφότος. τί οὖν ἐστιν, ὁ λόγος σὰρξ ἐγένετο; τουτέστι, σάρκα ἔλαβε, καὶ σάρκα οὐ ψιλὴν, ἀλλὰ τὴν μετὰ ψυχῆς λογικῆς, καὶ νοερᾶς, ὅπερ ἐστὶ τελεία ἡ ἡμετέρα φύσις. οὕτως ὁ λόγος σὰρξ ἐγένετο. ἐβουλόμην δὲ ὑμᾶς καὶ τὴν διάνοιαν τοῦ μεγαλοφωνοτάτου Ἰωάννου γνῶναι, ἵνα εἰδῆτε τοῦ προειρημένου τὴν δύναμιν. ὁ θεολόγος Ἰωάννης, ὁ τῆς βροντῆς υἱὸς, ὁ κατάξιωθεὶς ἐπὶ τοῦ δεσποτικοῦ στήθους * ἀνακλιθῆναι, κἀκεῖθεν ἡμῖν

Ἡσαΐ. 11.
Ἑβρ. 2.
Μάτθ. 1.
Ῥωμ. 9.
Ῥωμ. 1.
* κυρίου
Ἡσαΐ. 50. 6.
* Θεοῦ
Γωάν. 1.
Μαρκ. 3.
Γωάνν. 13.
* κατακλιθῆ-

τὰ ὑψηλότερα καὶ, * θειότερα ἀρυσάμενος δόγματα, βούλεται παραστῆσαι τὴν ὑπερβάλλουσαν τοῦ Θεοῦ περὶ ἡμᾶς φιλανθρωπίαν. καὶ πρῶτον εἰρηκὸς τὰ θειότερα· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν· ὅτε ἔδειξεν αὐτὸν συναΐδιον τῷ πατρί. τοῦ γὰρ ἐν ἀρχῇ οὐδὲν πρεσβύτερον εὑρίσκομεν· κἂν ἀναδράμῃς τῇ διανοίᾳ, προσλαμβάνει σε τὸ, ἦν, τοῦ γὰρ ἦν οὐδὲν τέρμα εὑρίσκεται· ὅτε ταῦτα εἴρηκε, καὶ ἔδειξε συναΐδιον τῷ πατρὶ, καὶ δημιουργὸν τῶν πάντων, τότε ἐπάγει· ὁ λόγος σὰρξ ἐγένετο, μονονουχὶ λέγων· ὅτι ὁ συναΐδιος τῷ πατρὶ, καὶ τῶν πάντων κύριος, καὶ δημιουργὸς, τοσοῦτον ἐταπείνωσεν ἑαυτὸν δι' ἡμᾶς, καὶ τὴν ἡμετέραν σωτηρίαν, ὥστε σὰρξ ἐγένετο. ἵνα ἀπὸ τοῦ εὐτελεστέρου τῆς φύσεως ἡμῶν μέρους τοὺς ὑπερβάλλοντας τοῦ Θεοῦ οἰκτιρμοὺς περὶ ἡμᾶς δείξῃ. ὁ λόγος οὖν, φησὶ, σὰρξ ἐγένετο. καὶ οὐκ ἔστη μέχρι τούτου, ἀλλ' ἐπήγαγε· καὶ ἐσκήνωσεν ἐν ἡμῖν. τὸ δὲ δεύτερον τοῦ πρώτου ἑρμηνεία ἐστί. τί ἐστιν, ὁ λόγος σὰρξ ἐγένετο; ἐσκήνωσεν ἐν ἡμῖν. τουτέστιν, ἐν τῇ ἡμετέρᾳ φύσει. ὅρα καὶ τὸν Ἰωάννην δύο φύσεις κηρύττοντα, καὶ ἕνα υἱόν. ἕτερον σκηνὴ, καὶ ἕτερον τὸ σκηνοῦν· ἕτερον ναὸς, καὶ ἕτερον ὁ ἐνοικῶν Θεός. πρόσεχε τῷ λεγομένῳ· οὐκ * εἶπον, ἕτερος, καὶ ἕτερος, ὡς ἐπὶ δύο προσώπων, ἢ δύο Χριστῶν, ἢ δύο υἱῶν· ἀλλ' ἕτερον, καὶ ἕτερον, ὡς ἐπὶ δύο φύσεων. ὅτε οὖν εἶπεν· ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐκήρυξε τὰς δύο φύσεις, τότε ἐπήγαγε· καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς. οὐκ εἶπε· δύο υἱῶν, ἀλλὰ, μονογενοῦς. Ἡσαΐας οὖν κηρύσσει τὸν Ἐμμανουὴλ, τουτέστι Θεὸν ἐνανθρωπήσαντα. Πέτρος δὲ λέγει· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, τὴν διττὴν φύσιν, καὶ τὸ μοναδικὸν πρόσωπον τοῦ υἱοῦ. ὁ θεολόγος Ἰωάννης λέγει· καὶ ἐσκήνωσεν ἐν ἡμῖν, δύο φύσεις, καὶ τοῦ μονογενοῦς τὸ ἓν πρόσωπον. ἔμεινε δὲ ὁ Θεὸς λόγος ἀπαθής. πάλιν γὰρ ἐπ' ἐκεῖνο ἔρχομαι· πρόσεχε τῷ λεγομένῳ. καὶ τῶν μὲν θειοτέρων μεταδέδωκε τῇ ἀνειλημμένῃ φύσει, τῶν δὲ τῆς ἀνθρωπότητος οὐδενὸς μετέλαβε. περιεπάτισεν ἐπὶ θαλάσσης, ἀλλὰ μετὰ τοῦ ἰδίου σώματος. ἐπετίμησε τοῖς ἀνέμοις, καὶ τῇ θαλάσσῃ, ἀλλὰ διὰ τοῦ ἰδίου σώματος. ἀπήντησεν αὐτῷ λεπρὸς, λέγων· κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι· λέγει· θέλω· καθαρίσθητι· καὶ ἥψατο αὐτοῦ τὸ σῶμα τὸ δεσποτικὸν, καὶ ἐδραπέτευσε τὸ νόσημα· ἀπεξύσθη ἡ λέπρα. ἔθρεψε πεντακισχιλίους ἐκ πέντε ἄρτων, ἀλλὰ διὰ τοῦ ἡμετέρου σώματος· λαβὼν γὰρ ηὐχαρίστησε τῷ πατρὶ, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ, οἱ δὲ μαθηταὶ τῷ πλήθει· καὶ ἐπερίσσευσαν δώδεκα κόφινοι κλασμάτων. μόνου Θεοῦ ἐστιν ἀφιέναι ἁμαρτίας· πάλιν λέγει· ἵνα εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας. πάλιν λέγει. οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ. ὁρᾷς, πῶς τῶν θειοτέρων μετέδωκεν; ὅταν δὲ ἴδῃς αὐτὸν πεινῶν-

* θεῖα
Γωάνν. 1.
* εἶπεν
Μάτθ. 16.
Γωάν. 1.
Μάτθ. 14.
Μαρκ. 4.
Λουκ. 8.
Μάτθ. 8.
Γωάν. 6. 11
Μαρκ. 2. 1
Γωάν. 3. 1

τὰ

τα, καὶ διψῶντα, κοπιῶντα, καὶ ἱδρωῦτα, παραδιδόμενον Πιλάτῳ, ἀγόμενον, καὶ περιαγόμενον χερσὶ δημίων, ἀγωνιῶντα, εὐχόμενον· Ἐλωὶ Ἐλωὶ, λαμμᾶ σαβαχθανί; τυτέστι, Θεέ μυ Θεέ μυ, ἵνα τί με ἐγκατέλιπες; καὶ πάλιν· εἰ δυνατὸν, πάτερ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. ὅταν ἴδῃς αὐτὸν ἀνασκολοπιζόμενον· ὅταν ἴδῃς ἧλυς ἐπὶ τῶν χειρῶν, καὶ τῶν ποδῶν, καὶ κεκεντημένον τὴν πλευράν, πίστευε, ὅτι ὁ Θεὸς λόγος ἀπαθὴς μεμύηκε, ταῦτα δὲ πάντα οἰκειοῦται τὰ γινόμενα εἰς τὸ ἴδιον αὐτοῦ σῶμα· ἵνα δὲ δείξῃ, ὅτι οὔτε ἐν τῷ καιρῷ τοῦ πάθυς ἀπέστη τοῦ ἰδίυ ναοῦ, ὅτε καὶ οἱ Ἰουδαῖοι ταῦτα ἐδραματούργυν κατὰ τοῦ δεσπότυ, ἀσεσβεσιν ὡς Θεὸς ἀκτῖνα ἡλιακὴν· σκότον κατέχεε τοῦ κόσμυ· ἔχισε τὸ καταπέτασμα τῦ ναῦ· πέτρας διέῤῥηξε· νεκρὺς ἤγειρε. ταῦτα πάντα εἰργάσατο, ἵνα γνῷς, ὅτι σωλιῶ τῷ πάσχοντι. καὶ τὰ μὲν πάθη ὠκειῶτο, αὐτὸς δὲ ἀπαθὴς ἅπαντα εἰργάζετο.

Τὰ ὑμῶν ὑμῖν παρεθήκαμεν, αὕτη γὰρ τοῦ παῤῥὸς ἡ διδασκαλία. ὗτος ὁ θησαυρὸς προγονικὸς ὑμῶν· τῦ μακαρίυ Ἀθανασίυ τὰ δόγματα· τοῦ μεγάλυ Θεοφίλυ τὰ διδάγματα, τῆς σύλων τ' ὀρθοδοξίας. ἀλλ' ἐπειδὴ μακροθύμως τῶν ἡμετέρων ἠνείχεσθε ψελλισμάτων, ἀναμείνατε τῦ πατρὸς τὴν σοφίαν. ἠκούσατε καλάμυ ποιμενικῦ, ἀκύσατε σάλπιγγος μεγαλοφωνοτάτης.

Ὁ λαὸς εἶπεν· υἱὲ Θεοφίλυ, καὶ Ἀθανασίυ, Κυρίλλυ σοφίας ἀκυόμεθα.... ὁ ἐπίσκοπος Παῦλος εἶπεν.

Ἡμῶν μὲν τῆς ὀρθοδόξων τὰ φρονήματα διεγειρύσης, τῆς δὲ ἐναντίων τῆς ἐκκλησίας τὰ σίφη καταβαλλύσης. τῷ Θεῷ τοίνυν δόξαν ἀναπέμψομεν νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῆς αἰώνων. ἀμήν.

ΚΥΡΙΛΛΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ εἰς τὸν προεξηγησάμενον, καὶ εἰς τὴν ἐνανθρώπησιν τῦ κυρίυ.

Ὁ Μακάριος προφήτης Ἡσαΐας τῆς ἐν Χριστῷ διδασκάλων τὰς ἀσομίας προαναφωνύτων, ἔλεγε· ἀντλήσατε ὕδωρ μετ' ἀφροσυνης ἐκ τῶν πηγῶν τῦ σωτηρίυ. ἰδὺ τοίνυν λυτλήσαμεν ὑμῖν ὕδωρ ἐξ ἁγίας πηγῆς, τῦ προλαβόντος, φημὶ, διδασκάλυ, ὃς καὶ ταῖς διὰ τῦ πνεύματος δαδυχίαις λελαμπρυσμένος διεσάφησεν ἡμῖν τὸ μέγα, καὶ σεπτὸν τῦ σωτῆρος ἡμῶν μυστήριον. δι' ὃ σεσώσμεθα πιστεύσαντες εἰς αὐτόν. καὶ ἀπεφορτισάμεθα τὴν δυσαχθῆ, καὶ δυσφόρητον ἁμαρτίαν· καὶ προσέτι τούτοις τὰ τῦ θανάτυ διαῤῥήξαντες δεσμὰ, ἐκεῖνό φαμεν τὸ προφητικόν· τῦ ἡ νίκη συ θάνατε; πῦ τὸ κέντρον συ ᾅδη; ἐκεῖνος ὁ ὢν ἐν ἀρχῇ θεὸς λόγος, ἐν κόλποις ὢν τῦ πατρὸς, ὁ δι' ὃν τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα, τὴν δι' ἡμᾶς κένωσιν ὑπομείνας ἐκών, καὶ γέγονε σὰρξ, τουτέστιν, ἄνθρωπος. ἐταπείνωσεν ἑαυτὸν δι' ἡμᾶς, καὶ ἐσχημάτισεν υἱὸς ἀνθρώπυ. ἵνα καὶ ἡμεῖς δι' αὐτῦ πλυτήσωμεν πατέρα τὸν θεόν. δεδιδάγμεθα γὰρ λέγειν ἐν προσδοκίαις· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. ἐκεῖνον διὰ τοῦτο γέγονεν ὁ μονογενὴς πρωτότοκος· ἵνα ἡμεῖς, ὡς ἔφην, τὰ αὐτῦ πλυτήσωμεν· ὑπέμεινε σαρκὸς, καὶ ἀνέλαβε τὰ ἡμέτερα, ἵνα καὶ ἡμεῖς τὰ αὐτῦ λάβωμεν. ἐκεῖνος ἐν μορφῇ θεῦ ὑπάρχων, ἐκένωσεν ἑαυτὸν, μορφὴν δούλυ λαβών· ἵνα καὶ ἡμεῖς τὴν ἐν δόξῃ θεῦ μορφὴν ἀναλάβωμεν. ἐκεῖνος ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτυ, θανάτυ δὲ σταυρυ· καὶ ἀπεκδυσάμενος τὴν ἀφθαρσίαν, καὶ τὴν ἀτιμίαν καταφρονήσας, καὶ δέδωκεν ἑκὼν τῷ θανάτῳ τὸ ἴδιον σῶμα, ἵνα μεθ' ἡμῶν τὸ ὑπὲρ θάνατον ἀπομείνῃ νεκρός. ἀλλ' ἵνα ἡμᾶς ἑαυτῷ συναναστήσῃ, πατήσας τῦ θανάτυ τὸ κράτος. δέχεσθε· ἐσόμεθα ἓν τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι λόγῳ θεῷ, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῆς αἰώνων. ἀμήν. Εβρ. 11. 1.

ΕΠΙΣΤΟΛΗ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ Ἀλεξανδρείας πρὸς Ἰωάννην Ἀντιοχείας, ἀποσταλεῖσα διὰ Παύλυ ἐπισκόπυ Ἐμίσης.

Τῷ κυρίῳ μυ ἀγαπητῷ ἀδελφῷ, καὶ συλλειτουργῷ Ἰωάννῃ, Κύριλλος ἐν κυρίῳ χαίρειν.

ΕΥΦΡΑΙΝΕΣΘΩΣΑΝ οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ· ἐλύτωσαν γὰρ τὸ μεσότοιχον τῦ φραγμῦ· καὶ πέπαυται τὸ λυπουμένυ· καὶ ὀτιχονοίας ἁπάσης ἀνῄρηται ζόφος, τῦ πάντων ἡμῶν σωτῆρος Χριστῦ ταῖς ἑαυτῦ ἐκκλησίαις τὸν εἰρηνικὸν βραβεύσαντος· κεκλημένοι δὲ πρὸς τοῦτο ἡμᾶς καὶ τῆς εὐσεβεστάτων, καὶ θεοφιλεστάτων βασιλέων· οἳ προγονικῆς εὐσεβείας ἄριστοι ζηλωταὶ γεγονότες, ἀσφαλῆ μὲν, καὶ ἀκατάσειστον τὸν ὀρθὸν ἐν ἰδίαις ψυχαῖς φυλάττυσι πίστιν. ἐξαίρετον δὲ ποιοῦνται φροντίδα τὸν ὑπὲρ τῆς ἁγίων ἐκκλησιῶν· ἵνα διαβόητον ἔχωσιν εἰς αἰῶνα τὸν δόξαν, καὶ εὐκλεεστάτην ἀποφήνωσι τὸν ἑαυτῆς βασιλείαν. οἷς καὶ αὐτὸς ὁ τῶν δυνάμεων Χριστὸς κύριος πλυσίαν χορηγὸν δωρεὰν τὰ ἀγαθά. καὶ δίδωσι μὲν κατακρατεῖν τῆς ἀνθεστηκότων, χαρίζεται δὲ τὸ νικᾶν. ἐὰν γὰρ ἐν ὀφθαλμοῖς λέγων· ὅτι ζῶ ἐγὼ, λέγει κύριος, ὅτι τοὺς δοξάσαντάς με δοξάσω. ἀφικομένυ τοίνυν εἰς τὸν Ἀλεξάνδρειαν τῦ κυρίυ μυ τῦ θεοφιλεστάτου συλλειτουργῦ, καὶ ἀδελφῦ Παύλυ, θυμηδίας ἐμπεπλήσμεθα, καὶ σφόδρα εἰκότως, ὡς ἀνδρὸς τοιύτυ μεσιτεύοντος, καὶ τοῖς ὑπὲρ δυνάμιν πόνοις ἐλομένυ προσομιλεῖν, ἵνα τὸν τοῦ διαβόλου νικήσῃ φθόνον, καὶ σωλύσῃ τὰ διηρημένα, καὶ τὰ μεταξὺ * διῃρημένα σκάνδαλα περιελών, ὁμονοίᾳ, καὶ εἰρήνῃ σεφανώσῃ τάς τε παρ' ἡμῖν, καὶ τὰς παρ' ὑμῖν ἐκκλησίας. τίνα μὲν γὰρ διήρωται τρόπον, περιττὸν εἰπεῖν· χρεὼν δὲ ὑπολαμβάνω τὰ τῷ τῆς εἰρήνης πρέποντα καιρῷ καὶ φρονεῖν, καὶ λαλεῖν· πεποιθέναι τοίνυν τῇ σωτυχίᾳ τῦ μνημονευθέντος θεοσεβεστάτυ ἀνδρός. ὃς τάχα που καὶ ἀγῶνας ἔξειν οὐ μικρὰς ὑπενοήσεν, ἀναπείθων ἡμᾶς, ὅτι χρὴ συνάψαι πρὸς εἰρήνην τὰς ἐκκλησίας, καὶ τὸν τῶν ἑτεροδόξων ἀφανίσαι γέλωτα, ἀπαμβλυῦναί τε πρὸς τοῦτο τῆς τῦ διαβόλυ δυσρωπίας τὸ κέντρον. ἑτοίμως δὲ ὅπως ἔχοντας ἐπὶ τούτῳ κατέλαβεν, ὡς μηδένα πόνον ὑποσκιῦσαι παντελῶς· μεμνήμεθα γὰρ τῦ σωτῆρος λέγοντος· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. δεδιδάγμεθα δὲ καὶ λέγειν ἐν προσδοκίαις· κύριε ὁ θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν. ὥστε εἴ τις ἐν μεθέξει γένοιτο τῆς παρὰ θεῦ χορηγουμένης εἰρήνης, ἀνενδεὴς ἔσαι παντὸς ἀγαθῦ. ὅτι δὲ πεπτὴ παντελῶς, καὶ ἐκ διάφορος ἡ τῆς ἐκκλησιῶν διχοστασία γέγονε, νυνὶ μάλιστα πεπληροφορήμεθα, τοῦ κυρίυ μυ τῦ εὐσεβεστάτυ Παύλυ ἐπισκόπυ χάρτου

Εφ. 2. 14.

Ψαλμ. 96. 11. Ἐφ. 2. 14.

1 Βασιλ. 2. 30.

Γαλ. 4. 27.

Ησαΐ. 26. 12.

* προσκομίσαντες, τίω * προσκομίσαντες, ἀδιάβλητον ἔχοντα τῆς πίστεως τὴν ὁμολογίαν, καὶ ταύτῃω σωπετάχθαι δμᾶς βεβαιωμένα παρά τε τῆς σῆς ὁσιότητος, καὶ τῆ αὐτόθι θεοφιλεσάτων ἐπισκόπων. ἔχει δὲ ὅπως ἡ συγγραφὴ καὶ αὐταῖς λέξεσιν ἐντέθειται τῇδε ἡμῶν τῇ ἐπιστολῇ.

Περὶ δὲ τῆς θεοτόκου παρθένου ὅπως καὶ φρονοῦμεν, καὶ λέγομεν, τό τε τρόπον τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, ἀναγκαίως ἂν ἐν προθήκης μέρει, ἀλλ' ἐν πληροφορίας εἴδει, ὡς ἄνωθεν ἔκ τε τῶν θείων γραφῶν, ἔκ τε τῆς παραδόσεως τῆ ἁγίων πατέρων παρειληφότες ἐκτήκαμεν, διὰ βραχέων ἐρῶμεν, ὅσον τὸ σιώλον προσιθέντες τῇ τῆ ἁγίων πατέρων τῆ ἐν Νικαίᾳ ἐκτεθείσῃ πίστει. ὡς γὰρ ἔφθημεν εἰρηκότες, πρὸς πᾶσαν ἐξαρκεῖ καὶ εὐσεβείας γνῶσιν, καὶ πάσης αἱρετικῆς κακοδοξίας ἀποκήρυξιν. ἐροῦμεν δὲ ὁ καταπολεμοῦντες τῆ ἀνεφίκτων, ἀλλὰ τῇ ὁμολογίᾳ τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες τοῖς ἐπιφέρεσθαι βουλομένοις, ἐν οἷς τὰ ὑπὲρ ἄνθρωπον δμᾶς κατασκευάζομεν.

* Ὁμολογία τῶν τῆς καταστολῆς ἁγίων πατέρων.

Ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ, τὸν μονογενῆ, Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς, καὶ σώματος· πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα· ὁμοούσιον τῷ πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· δύο γὰρ φύσεων ἕνωσις γέγονε· διὸ ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον, διὰ τὸ τὸν Θεὸν λόγον σαρκωθῆναι, καὶ ἐνανθρωπῆσαι, καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. τὰς δὲ διαγγελικὰς, καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς, ἴσμεν τοὺς * θεολόγους ἄνδρας, τὰς μὲν κοινοποιοῦντας, ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας, ὡς ἐπὶ δύο φύσεων· καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα αὐτοῦ παραδιδόντας.

* διηγόρους

Ταύταις ὑμῶν ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς, οὕτω τε καὶ ἑαυτοὺς φρονοῦντας δείσκοντες· εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα, ἐδοξάσαμεν τὸν τῆ ὅλων σωτῆρα θεὸν, ἀλλήλοις συγχαίροντες, ὅτι ταῖς θεοπνεύστοις γραφαῖς, καὶ τῇ παραδόσει τῆ ἁγίων ἡμῶν πατέρων, συμβαίνουσαν ἔχουσι πίστιν αἵ τε παρ' ἡμῖν, καὶ αἱ παρ' ὑμῖν ἐκκλησίαι. ἐπειδὴ δὲ ἐπυθόμεθα τῆ φιλοψογεῖν εἰωθότων τινὰς σφηκῶν ἀγρίων δίκην πειρᾶσθαι, καὶ μοχθηροὺς ἐρεύγεσθαι κατ' ἐμοῦ λόγους, ὡς ἐξ οὐρανοῦ κατηκομισθεὶς, καὶ οὐκ ἐκ τῆς ἁγίας παρθένου λέγοντος τὸ ἅγιον σῶμα Χριστοῦ, δεῖν φήθην ὀλίγα περὶ τούτου πρὸς αὐτοὺς εἰπεῖν· ὦ ἄνθρωποι, καὶ μόνον εἰδότες τὸ συκοφαντεῖν. πῶς εἰς τοῦτο παρωλισθήτε γνώμης, καὶ τοσαύτην νενοσήκατε τὴν μωρίαν; εἶδεν γὰρ, εἶδεν σαφῶς ἐννοεῖν, ὅτι σχεδὸν ἅπας ἡμῖν ὁ περὶ τῆς πίστεως ἀγὼν συγκεκράτηται, δμᾶς βεβαιουμένοις, ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος. ἀλλ' εἶπερ ἐξ οὐρανοῦ, καὶ οὐκ ἐξ αὐτῆς τὸ ἅγιον σῶμα γεγονέναι φαμὲν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, πῶς ἂν ἔτι νοοῖτο θεοτόκος; τίνα γὰρ ὅλως τέτοκεν, εἰ μὴ ἔστιν ἀληθὲς, ὅτι γεγέννηκε κατὰ σάρκα τὸν Ἐμμανουήλ; γελάσθωσαν τοίνυν οἱ ταῦτα περὶ ἐμοῦ πεφλυαρηκότες· ὁ γὰρ ψάλλεται λέγων ὁ μακάριος προφήτης Ἡσαΐας· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ θεός. ἀληθεύει δὲ πάντως καὶ ὁ ἅγιος Γαβριὴλ, πρὸς τὴν μακαρίαν παρθένον εἰπών· μὴ φοβοῦ Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ· καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. ὅταν δὲ λέγωμεν, ἐξ οὐρανοῦ, καὶ ἄνωθεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐχ ὡς ἄνωθεν, καὶ ἐξ ἁρπαγῆς κατενεχθείσης τῆς ἁγίας αὐτοῦ σαρκὸς, τὰ τοιαῦτα φαμὲν, ἐπόμενοι δὲ μᾶλλον τῷ θεσπεσίῳ Παύλῳ, δοξαζοντι σαφῶς· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκὸς, ὁ δεύτερος ἄνθρωπος * ἐξ οὐρανοῦ. μεμνήμεθα δὲ καὶ αὐτοῦ τοῦ σωτῆρος λέγοντος. καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου· καί τοι γεγέννηται κατὰ σάρκα, καθάπερ ἔφην ἀρτίως, ἐκ τῆς ἁγίας παρθένου. ἐπειδὴ δὲ ἄνωθεν, καὶ ἐξ οὐρανοῦ καταφοιτήσας ὁ Θεὸς λόγος κεκένωκεν ἑαυτὸν, μορφὴν δούλου λαβὼν, καὶ χρηματίσας υἱὸς ἀνθρώπου, μὴ τοῦ εἶναι, ὃ ἦν, τοῦτέστι Θεός. ἄῤῥεπτος γὰρ, καὶ ἀναλλοίωτος κατὰ φύσιν ἐστὶν, ὡς εἰς ἔτι νοούμενος μετὰ τῆς ἰδίας σαρκὸς, ἐξ οὐρανοῦ λέγεται καταβεβηκέναι. ὠνόμασαι δὲ καὶ ἄνθρωπος ἐξ οὐρανοῦ, τέλειος ὢν ἐν θεότητι, καὶ τέλειος * ὁ αὐτὸς ἐν ἀνθρωπότητι, καὶ ὡς ἐν ἑνὶ προσώπῳ νοούμενος. εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς, κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται διαφορὰ, ἐξ ὧν τὴν ἀπόῤῥητον ἕνωσιν πεπρᾶχθαι φαμέν· τοὺς δὲ λέγοντας, ὅτι κρᾶσις, ἢ σύγχυσις, ἢ φυρμὸς ἐγένετο τοῦ θεοῦ λόγου, πρὸς τὴν σάρκα, καταξιωσάτω ἡ σὴ ὁσιότης ἐπισκώπτειν. εἰκὸς γάρ τινας καὶ ταῦτα περὶ ἐμοῦ θρυλλεῖν, ὡς ἡ πεφρονικότος, ἢ εἰρηκότος. ἐγὼ δὲ τοσοῦτον ἀφέστηκα τοῦ φρονῆσαί τι τοιοῦτον, ὥστε καὶ μαίνεσθαι νομίζω τοὺς οἰηθέντας ὅλως, ὅτι ξοπῆς ἀποσκίασμα περὶ τὴν τοῦ θεοῦ λόγου φύσιν συμβῆναι δυνατόν· μένει γὰρ, ὅ ἐστιν, ἀεὶ, καὶ οὐκ ἠλλοίωται. ἀλλ' οὐδ' ἂν ἀλλοιωθείη πώποτε, καὶ μεταβολῆς ἔσαι δεκτική. ἁπάσῃ δὲ πρὸς τούτῳ τὸν τοῦ Θεοῦ λόγου ὑπάρχειν ὁμολογοῦμεν ἅπαντες, κἂν εἴ πανσόφως αὐτὸς οἰκονομῶν τὸ μυστήριον, ἑαυτῷ προσνέμων ὁρᾶται τὰ ἰδία σαρκὶ συμβεβηκότα πάθη. ταύτῃ τοι καὶ ὁ πάνσοφος Πέτρος, Χριστοῦ, φησὶ, παθόντος σαρκὶ, καὶ οὐχὶ τῇ φύσει τῆς ἀῤῥήτου θεότητος. ἵνα γὰρ αὐτὸς τῶν ὅλων σωτὴρ εἶναι πιστεύηται κατ' οἰκείωσιν οἰκονομικὴν εἰς ἑαυτὸν, ὡς ἔφην, τὰ τῆς ἰδίας σαρκὸς ἀναφέρει πάθη· ὁποῖόν ἐστι τὸ διὰ τοῦ τοῦ προφήτου φωνῆς προαναφωνούμενον ὡς ἐξ αὐτοῦ· τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα,

* ὁμοούσιος τὸν αὐτὸν ἡμῖν κατὰ τὴν ἀνθρωπότητα.

Ἐφες. 4.

Ἡσαΐ. 7. 14. Ματθ. 1.

Λουκ. 1. 31.

Ματθ. 1. 21.

1. Κορ. 15. 47. * ὁ κύριος ἐξ οὐρανοῦ.

Ἰωάν. 3. 13.

* ὁμοούσιος τὸν αὐτὸν ἡμῖν κατὰ τὴν ἀνθρωπότητα.

1. Πετρ. 4. 1.

Ἡσαΐ. 50.

τα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. ὅτι δὲ ταῖς τῶν ἁγίων πατέρων δόξαις ἑπόμεθα πανταχοῦ, μάλιστα δὲ τοῦ μακαρίου, καὶ πανευφήμου πατρὸς ἡμῶν Ἀθανασίου, τὸ κατά τι γοῦν ὅλως ἔξω φέρεσθαι παραιτούμενοι, πεπείσθω μὲν ἡ σὴ ὁσιότης. ἐνδοιαζέτω δὲ τῶν ἄλλων μηδείς. παρέθηκα δ' ἂν καὶ χρήσεις αὐτῶν πολλὰς, τοὺς ἐμαυτοῦ λόγους ἐξ αὐτῶν πιστούμενος, εἰ μὴ τὸ μῆκος ἐδεδίειν τοῦ γράμματος, μὴ ἄρα πως γένηται διὰ τοῦτο προσκορές. καὶ κατ' οὐδένα δὲ τρόπον σαλεύεσθαι πρός τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως σύμβολον, παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιρούς. οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσαι, ἢ μίαν γοῦν παραβῆναι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος· μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου· οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλ' αὐτὸ τὸ πνεῦμα τοῦ Θεοῦ καὶ πατρός· ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον· καὶ πρός γε τοῦτο ἡμᾶς ἡ τῶν ἁγίων μυσταγωγῶν πιστοῦνται λόγοι. ἐν μὲν γὰρ ταῖς πράξεσι τῶν ἀποστόλων γέγραπται· ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν, ἐπείραζον εἰς τὴν Βιθυνίαν πορευθῆναι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα Ἰησοῦ. ἐπιστέλλει δὲ καὶ ὁ θεσπέσιος Παῦλος· οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται. ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι. εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. ὅταν δέ τινες τῶν τὰ ὀρθὰ διαστρέφειν εἰωθότων τὰς ἐμὰς παρατρέπωσι φωνὰς εἰς τὸ αὐτοῖς δοκοῦν, μὴ θαυμαζέτω τοῦτο ἡ σὴ ὁσιότης, εἰδυῖα, ὅτι καὶ οἱ ἀπὸ πάσης αἱρέσεως ἐκ τῆς θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμὰς, τὰ διὰ τοῦ ἁγίου πνεύματος ὀρθῶς εἰρημένα, ταῖς ἑαυτῶν κακονοίαις παραφθείροντες, καὶ ταῖς ἰδίαις ἑαυτῶν κεφαλαῖς τὴν ἄσβεστον ἐπαντλοῦντες φλόγα. ἐπειδὴ δὲ μεμαθήκαμεν, ὅτι καὶ τὴν πρὸς τὸν μακάριον Ἐπίκτητον ἐπιστολὴν τοῦ πανευφήμου πατρὸς ἡμῶν Ἀθανασίου, ὀρθοδόξως ἔχουσαν, παραφθείραντές τινες ἐκδεδώκασιν, ὡς ἐντεῦθεν ἀδικεῖσθαι πολλοὺς, διὰ τοῦτο χρήσιμόν τι, καὶ ἀναγκαῖον ἐπινοοῦντες τοῖς ἀδελφοῖς, ἐξ ἀντιγράφων ἀρχαίων τῶν παρ' ἡμῖν, καὶ ἁπλῶς ἐχόντων, ἀπεστείλαμεν τὰ ἴσα τῇ σῇ ὁσιότητι· Ἐρρῶσο.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΗ

πρὸς Ἀκάκιον ἐπίσκοπον Μελιτηνῆς, μεμψάμενον αὐτὸν δι' ἐπιστολῆς, ὡς συνθέμενον τοῖς ἀνατολικοῖς.

Τῷ κυρίῳ μου ἀγαπητῷ ἀδελφῷ, καὶ συλλειτουργῷ, Ἀκακίῳ Κύριλλος, ἐν κυρίῳ χαίρειν.

ΧΡΗΜΑ μὲν ἀδελφοῖς ἡ πρόσρησις γλυκύτε, καὶ ἀξιάγαστον, καὶ τοῦ παντὸς ἄξιον λόγου παράγε τοῖς ἀρτίφροσιν ἀληθῶς· χρῆναι δέ φημι, τοὺς ὁμοπίστους τε, καὶ ὁμοψύχους, ἀδιαλείπτως ἐπείγεσθαι τοῦτο δρᾷν, οὐδενὸς ὄντος ἐμποδῶν, οὔτε μὴν ἀνακόπτοντος τὴν εἴς γε τοῦτο θερμὴν ἔφεσίν τε, καὶ προθυμίαν. ἀλλ' ἔσθ' ὅτε βασκαίνει καὶ οὐχ ἑκοῦσιν ἡμῖν ἢ * τῶν τοῦ μεταξὺ διαστημάτων τὸ μῆκος, ἢ τῶν τοῦ γράμματος διακομιστῶν ἡ σπάνις. καιροῦ δὲ τὸ δύνασθαι προσειπεῖν εἰσφέροντος, εὕρεμα * προσηνὲς ποιεῖσθαι προσήκει τὸ πρᾶγμα, καὶ * τοῖς οὕτω τριποθήτοις ἀσμένως ἐπιπηδᾷν. ἡσθεὶς δὴ οὖν ἄγαν ἐπὶ τοῖς παρὰ τῆς σῆς τελειότητος ἀπεσταλμένοις, καὶ τεθαυμακὼς τὴν διάθεσιν, δεῖν ᾠήθην τῆς τῶν ἐκκλησιῶν εἰρήνης καταμηνύσαι τὸν τρόπον, ἕκαστά τε ὅπως γέγονε διειπεῖν.

Ὁ εὐσεβέστατος, καὶ φιλόχριστος βασιλεὺς, τὴν ὑπὲρ τῶν ἁγίων ἐκκλησιῶν φροντίδα πλείστην ὅσην καὶ ἀναγκαίαν ποιούμενος, οὐ φορητὴν ἡγεῖτο τὴν τούτων διχόνοιαν. μεταπεμψάμενος τοίνυν τὸν εὐλαβέστατον, καὶ θεοσεβέστατον ἐπίσκοπον τῆς ἁγίας Κωνσταντινουπολιτῶν ἐκκλησίας Μαξιμιανὸν, καὶ ἑτέρους δὲ πλείστους τῶν αὐτόθι κατειλημμένων, τίνα δὴ τρόπον ἐκ μέσου μὲν γένοιτ' ἂν τῶν ἐκκλησιῶν ἡ διαφορὰ, κεκλήσονται δὲ πρὸς εἰρήνην οἱ τῶν θείων ἱερουργοὶ μυστηρίων, διεσκέπτετο. οἱ δὲ ἔφασκον, ὡς οὐκ ἂν ἑτέρως γένοιτο τοῦτό ποτε, οὐδ' ἂν εἰς ὁμοψυχίαν ἔλθοιεν τὴν πρὸς ἀλλήλους οἱ περὶ ὧν ὁ λόγος, μὴ προανατείλαντος αὐτοῖς, καὶ οἱονεῖ προεισκεκομισμένου τοῦ συνδέσμου τῆς ὁμοψυχίας, καὶ ὁμοπιστίας· ἔφασκόν τε, ὅτι τὸν τῆς θεοσεβείας ἔμπλεον ἐπίσκοπον Ἰωάννην τὸν Ἀντιοχείας ἀναθεματίσαι δεῖ τὰ Νεστορίου δόγματα, καὶ ἐγγράφως ὁμολογῆσαι τὴν καθαίρεσιν αὐτοῦ. καὶ, τό γε ἧκον, εἰς λύπας ἰδίας, ὁ τῆς Ἀλεξανδρείας ἐπίσκοπος ἀμνημονήσει τε διὰ τὴν ἀγάπην, καὶ παρ' οὐδὲν ἡγήσεται τὸ ὑβρίσθαι κατὰ τὴν Ἐφεσίων. καί τοι παγχάλεπόν τε, καὶ δύσοιστον ὄν. συναινέσαντος τοίνυν, καὶ ἡσθέντος ἄγαν ἐπὶ τούτοις τοῦ εὐσεβεστάτου βασιλέως, ἀπεστάλη αὐτὸ τοῦτο κατορθώσων ὁ κύριός μου, ὁ θαυμασιώτατος τριβοῦνος, καὶ νοτάριος Ἀριστόλαος. ἐπειδὴ δὲ τοῖς κατὰ τὴν ἑώαν τὸ βασιλικὸν ἐνεφανίσθη θέσπισμα, καὶ ὡς μετὰ γνώμης γεγονὸς τῶν εὐρεθέντων ἐπισκόπων κατὰ τὴν μεγάλην Κωνσταντινούπολιν, οὐκ οἶδ' ὅτι, σκοπήσαντες, συνήχθησαν μὲν πρὸς τὸν ὁσιώτατον, καὶ θεοσεβέστατον τῆς Βερροιαίων ἐπίσκοπον Ἀκάκιον, γράψαι τε πρός με παρεσκεύασαν, ὅτι τὸν τῆς συμβάσεως τρόπον, ἤτοι τὸν τοῖς εἰρήνης τῶν ἁγίων ἐκκλησιῶν, οὐχ ἑτέρως γενέσθαι προσήκει, εἰ μὴ κατὰ τὸ αὐτοῖς δοκοῦν. ἦν δὲ δὴ ἄρα τοῦτο φορτικὸν, καὶ βαρὺ τὸ αἴτημα· ἤθελον γὰρ ἀργῆσαι μὲν σύμπαντα τὰ παρ' ἐμοῦ γραφέντα ἔν τε ἐπιστολαῖς, καὶ τόμοις, καὶ βιβλίοις, μόνῃ δὲ ἐκείνῃ συνθέσθαι τῇ ἐν Νικαίᾳ παρὰ τῶν ἁγίων ἡμῶν πατέρων ὁρισθείσῃ πίστει. ἐγὼ δὲ πρὸς ταῦτα γέγραφα. ὅτι τῇ μὲν ἐκθέσει τῆς πίστεως, τῇ ὁρισθείσῃ παρὰ τῶν ἁγίων πατέρων κατὰ τὴν Νικαέων πόλιν, ἑπόμεθα πάντες, οὐδὲν * τὸ παράπαν τῶν ἐν αὐτῇ κειμένων * παρασαλεύοντες· ἔχει γὰρ πάντα ὀρθῶς, καὶ ἀλύπτως. καὶ τὸ περίεργον ἔτι μετ' ἐκείνην οὐκ ἀσφαλές· ἃ δὲ γεγράφαμεν ὀρθῶς κατὰ τῶν τοῦ Νεστορίου δυσφημιῶν, οὐδεὶς ἡμᾶς ἀναπείσει * λόγος, ὡς οὐκ εὖ γεγόνασιν, εἰπεῖν· χρῆναι δὲ μᾶλλον, αὐτοὺς κατάγε τὸ δόξαν καὶ τῷ εὐσεβεστάτῳ, καὶ φιλοχρίστῳ βασιλεῖ, καὶ αὐτῇ δὲ τῇ ἁγίᾳ συνόδῳ τῇ κατὰ τὴν Ἐφεσίων πόλιν * συναγηγερμένη, ποιῆσαι μὲν

* τῶν διαστημάτων.

* προσήκει ποιεῖσθαι τὸ γράμμα καὶ * τοῖς τριποθήτοις

* τῶν πάντων.

* παρασημαίνοντες.

* ὅλως.

* συναλεγμένη ποιεῖσθαι.

μὲν ἀποκήρυκτον τὸν τῇ τοῦ σωτῆρος δόξῃ μεμαχημένον, ἀναθεματίσαι δὲ καὶ τὰς ἀνοσίους αὐτοῦ δυσφημίας, ὁμολογῆσαί τε τὴν καθαίρεσιν αὐτοῦ, καὶ συναινέσαι τῇ χειροτονίᾳ τοῦ ὁσιωτάτου, καὶ θεοσεβεστάτου ἐπισκόπου Μαξιμιανοῦ. τούτων τοίνυν αὐτοῖς τῶν γραμμάτων ἀποδοθέντων, πεπόμφασιν εἰς τὴν Ἀλεξάνδρειαν τὸν εὐλαβέστατον, καὶ θεοφιλέστατον ἐπίσκοπον Παῦλον τῆς Ἐμισηνῶν· πρὸς ὃν πλεῖστοι μὲν ὅσοι, καὶ μακροὶ γεγόνασι λόγοι περὶ τῶν κατὰ τὴν Ἐφεσίων* ἀνόμως καὶ* οὐ καθηκόντως εἰρημένων τε, καὶ πεπραγμένων. ἐπειδὴ δὲ τούτων ἀμνημονήσαντας, τῶν ἀναγκαιοτέρων ἔχεσθαι μᾶλλον ἐχρῆν σπουδασμάτων, ἠρώτων, εἰ ἐπικομίζεται γράμματα τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἰωάννου. εἶτα ἐμοὶ προεκόμισεν ἐπιστολὴν, ἃ μὲν ἐχρῆν ἔχειν οὐκ ἔχουσαν, ὑπαγορευθῆσαν δὲ μᾶλλον οὐ καθ' ὃν ἔδει τρόπον· παροξυσμοῦ γὰρ, οὐ παρακλήσεως εἶχε δύναμιν. καὶ ταύτην οὐ προσηκάμην· καί τοι γε δέον ταῖς ἀπολογίαις τὴν ἐμὴν καταγοητεῦσαι λύπην τὴν ἐπί γε τοῖς φθάσασι, καὶ παρ' αὐτῶν γεγονόσι κατὰ τὴν Ἐφεσίων· ὡς εὐαφόρμως ἔφασκον* παρωξύνθαι κατ' ἐμοῦ, διά τοι τὸν ζῆλον τὸν ὑπὲρ τῶν ἱερῶν δογμάτων. ἀλλ' ἤκουον, ὅτι οὔτε ὁ ζῆλος αὐτοὺς κεκίνηκεν ὁ θεῖος, οὔτε τῶν τῆς ἀληθείας δογμάτων ὑπερμαχόμενοι συνεφράττοντο κατ' ἐμοῦ, ἀλλὰ ταῖς ἀνθρώπων εἴξαντες κολακείαις, καὶ τὰς τῶν ἰσχυόντων τὸ τηνικάδε φιλίας ἐφ' ἑαυτοὺς ἁρπάζοντες· ὅμως τοῦ θεοσεβεστάτου Παύλου ἐπισκόπου φάσκοντος, ἑτοίμως ἔχειν ἀναθεματίζειν τὰς Νεστορίου δυσφημίας, καὶ ὁμολογεῖν αὐτοῦ τὴν καθαίρεσιν ἐγγράφως, καὶ τοῦτο δρᾷν ὑπὲρ πάντων, καὶ ὡς ἐκ προσώπου πάντων τῶν κατὰ τὴν ἀνατολὴν θεοσεβεστάτων ἐπισκόπων, * ἀντενήνεγμαι λέγων, τὸν παρ' αὐτοῦ προκομιζόμενον χάρτην περὶ τούτου, ἀρκέσειν αὐτῷ μόνῳ πρὸς τὸ χρῆναι τυχεῖν τῆς παρὰ πάντων ἡμῶν κοινωνίας. διεβεβαιούμην δὲ, ὅτι πάντως τε, καὶ πάντῃ ἔγγραφον ὁμολογίαν περὶ τούτων ἐκθέσθαι προσήκει τὸν εὐλαβέστατον, καὶ θεοσεβέστατον τῆς Ἀντιοχέων ἐπίσκοπον Ἰωάννην· ὃ δὴ καὶ γέγονε· καὶ πέπαυται τὸ μεσολαβοῦν, καὶ ἀποφοιτᾷν ἀλλήλων ἀναπεῖθον τὰς ἐκκλησίας, ἀλλ' ἦν οὐδαμόθεν ἀμφίβολον, ὅτι τῶν Νεστορίου δυσφημιῶν τοὺς ὑπασπιστὰς κατατήξειν ἔμελλε τῶν ἁγίων ἐκκλησιῶν ἡ εἰρήνη. καί μοι δοκοῦσι τοιοῦτόν τι παθεῖν, ὁποῖόν τι συμβαίνειν ἔθος τοῖς νήχεσθαι μὲν οὐκ εἰδόσι, *ἐνεώς γε μὴν ἀδοκήτως ἀπολισθήσασιν· οἳ ἐπειδὰν καταπνίγωνται, πόδας τε, ὡς χεῖρας ὧδε, κἀκεῖσε, διαῤῥιπτοῦντες ἀτάκτως, τοῦ παρατυχόντος ἁπλῶς ἐπιδράττονται, φιλοψυχοῦντες οἱ δείλαιοι. ἢ οὐκ ἀληθὲς εἰπεῖν, ὥστε θορύβηνται λίαν, ἐκπεσόντες, καὶ μεμονωμένοι, καὶ ἔξω γεγονότες τῶν ἐκκλησιῶν, ἃς ἐνόμιζον ἔσεσθαι πρὸς ἐπικουρίαν αὐτοῖς; ἢ οὐκ ἀσχάλλουσι, καὶ τοῦτο οὐ φορητῶς, ἀποπηδῶντας αὐτῶν τοὺς ἠπατημένους ὁρῶντες, καὶ λοιπὸν ἀνανήφοντας εἰς ἀλήθειαν τοὺς ταῖς παρ' αὐτῶν βεβήλοις καινοφωνίαις οἱονείπως ἐκμεμεθυσμένους; καί τοι φαίη τις ἂν αὐτοῖς, καὶ λίαν ἐπὶ καιροῦ, τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς· συνάχθητε, καὶ συνδέθητε τὸ ἔθνος τὸ ἀπαίδευτον, πρὸ τοῦ γενέσθαι ὑμᾶς ὡσεὶ ἄνθος παραπορευόμενον. διὰ τί γὰρ γεγόνασιν ἀλλοτρίων ἐμέτων παράσιτοι, οὐκ αἰσχύνονται δὲ τοῖς ἑτέρου

* ὠμῶς.
* ἀκαθηκόντως
* παροξυνθῆναι.
* ἀντενήνεγκα.
* ὅμως.
Σοφον 2.

βορβόροις τὰς ἑαυτῶν καρδίας καταμιαίνοντες; οἱ κωφοὶ ἀκούσατε, καὶ οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν. φρονήσατε περὶ τοῦ κυρίου ἀληθῆ· καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν. ποία γὰρ χρεία πολυπλόκων ὑμῖν εὑρεμάτων, καὶ λόγων διεστραμμένων; τί τὴν ἐπ' εὐθὺ περιϋβρίζοντες τρίβον, καμπύλας ποιεῖται τὰς ἑαυτῶν τροχιάς; νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐπ' ἀκάνθαις. ἀλύοντες γὰρ, ὡς ἔφην, ἐπὶ τῇ εἰρήνῃ τῶν ἁγίων ἐκκλησιῶν, τοὺς μὴ ἀνασχομένους τὰ ἴσα φρονεῖν αὐτοῖς, κακουργότατα διασύρουσι. καὶ καταγορεύουσι πικρῶς τῆς ἀπολογίας τῶν ἁγίων ἐπισκόπων, τῶν ἀπὸ τῆς ἑῴας φημί. εἶτα περιέλκοντες αὐτὴν πρὸς τὸ ἑαυτοῖς ἡδύ τε, καὶ φίλον, καὶ νοοῦντες οὐκ ὀρθῶς, οὐκ ἀπαδόντως γενέσθαι φασὶ * ταῖς Νεστορίου * κενοφωνίαις. συγκαταψέγουσι δὲ καὶ ἡμᾶς, ὡς, οἷς ἤδη γεγράφαμεν, πεφρονηκότας τὰ ἐναντία. μανθάνω δὲ, ὅτι κἀκεῖνο φασίν· ὅτι πίστεως ἔκθεσιν, ἤτοι σύμβολον καινὸν, ἀρτίως κατεδεξάμεθα, τάχα που τὸ ἀρχαῖον ἐκεῖνο, καὶ σεπτὸν ἀτιμάσαντες. καὶ ὁ μὲν μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει. πλὴν ἐκεῖνο φαμέν· οὐ πίστεως ἔκθεσιν ἐξήτηνται παρ' ἡμῶν τινες, * ἤγουν καινοτομηθεῖσαν παρ' ἑτέρων κατεδεξάμεθα· ἀπόχρη γὰρ ἡμῖν ἡ θεόπνευστος γραφὴ, καὶ τῶν ἁγίων πατέρων ἡ νῆψις, καὶ τὸ πρὸς πανοτιοῦν τῶν ἐχόντων ὀρθῶς ἐκτετορνευμένον τῆς πίστεως σύμβολον. ἐπειδὴ δὲ ἦσαν οἱ κατὰ τὴν ἀνατολὴν ὁσιωτατοι ἐπίσκοποι διχονοήσαντες πρὸς ἡμᾶς κατὰ τὴν τῶν Ἐφεσίων, καὶ γεγόνασί πως ἐν ὑποψίᾳ τοῦ καὶ ἐναλῶναι βρόχοις τῶν Νεστορίου δυσφημιῶν, ταύτῃ τοι, καὶ μάλα ἐμφρόνως, ὡς ἀπαλλάττοντες ἑαυτοὺς τῆς ἐπὶ τούτοις αἰτίας, καὶ τοὺς τῆς ἀμωμήτου πίστεως ἐραστὰς πληροφορεῖν σπουδάζοντες, ὅτι τῆς ἐκείνου βδελυρίας ἀμοιρεῖν ἐγνώκασι, πεποίηνται τὴν ἀπολογίαν· καὶ τὸ χρῆμά ἐστι λόγου τε παντὸς, καὶ μώμου μακράν. ἆρα γὰρ εἰ * καὶ αὐτὸς Νεστόριος κατ' ἐκεῖνο καιροῦ, καθ' ὃν αὐτῷ προετείνετο παρὰ πάντων ἡμῶν τὸ χρῆναι καταψηφίσασθαι τῶν ἑαυτοῦ δογμάτων, καὶ ἀθελέσθαι τὴν ἀλήθειαν, ἔγγραφον ἐποιήσατο τὴν ἐπὶ τούτοις ὁμολογίαν, καὶ αὐτὸν ἄν τις ἔφη πίστεως ἡμῖν καινοτομῆσαι σύμβολον; τί τοίνυν διαλοιδοροῦνται μάτην, ἔκθεσιν συμβόλου καινὴν ὀνομάζοντες τὴν συναίνεσιν τῶν κατὰ τὴν Φοινίκην θεοσεβεστάτων ἐπισκόπων, ἣν πεποίηνται χρησίμως τε, καὶ ἀναγκαίως, ἀπολογούμενοί τε, καὶ θεραπεύοντες τοὺς οἰηθέντας, ὅτι ταῖς Νεστορίου * ἀκολουθοῦσι καινοφωνίαις; ἡ μὲν γὰρ ἁγία, καὶ οἰκουμενικὴ σύνοδος, ἡ κατὰ τὴν Ἐφεσίων πόλιν συνειλεγμένη, προενόησεν ἀναγκαίως τοῦ μὴ δεῖν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ πίστεως ἔκθεσιν ἑτέραν εἰσκρίνεσθαι παρά γε τὴν οὖσαν. ἣν οἱ τρισμακάριοι πατέρες, ἐν ἁγίῳ πνεύματι λαλοῦντες, ὡρίσαντο. οἵ γε μὴν ἅπαξ, οὐκ οἶδ' ὅπως, πρὸς αὐτὴν διχονοήσαντες, γεγονότες δὲ καὶ ἐν ὑποψίαις τοῦ μὴ ὀρθῶς ἑλέσθαι φρονεῖν, μήτε μὴν τοῖς ἀποστολικοῖς τε, καὶ εὐαγγελικοῖς ἕπεσθαι δόγμασιν, ἆρα σιωπῶντες ἀπηλλάγησαν ἂν τῆς ἐπὶ τούτῳ δυσκλείας, ἢ μᾶλλον ἀπολογούμενοι, καὶ τῆς ἐνούσης αὐτοῖς δόξης τὴν δύναμιν ἐμφανίζοντες,

Ἡσαΐ. 42. 18. Σοφ. 1.
Πραξ. 4.
Γερεμ. 4.
* τὰς Νεστορίου καινοφωνίας.
καινοφωνίαις.
Ἡσαΐ. 32. 6.
* ἤγουν.
* κἀν.
* κατακολουθοῦσι κενοφωνίαις.

καί

καί τοι γέγραφεν ὁ θεσπέσιος μαθητής· ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος· * ὁ δὲ τοῦτο δρᾶν ἠρημένος καινουργεῖ μὲν οὐδὲν, ἀλλ' οὐδὲ πίστεως ἔκθεσιν ὁρᾶται καινοτομῶν. ἐναργῆ δὲ μᾶλλον καθίστησι τοῖς ἐρομένοις αὐτὸν, ἣν ἂν ἔχοι πίστιν περὶ Χριστοῦ.

Ἐπιθόμην δὲ πρὸς τούτοις, ὅτι ταῖς τῶν θεοσεβεστάτων ἐπισκόπων ὁμοψυχίαις οὐ μετρίως ἐπιστυγνάζοντες οἱ τῆς ἀληθείας ἐχθροὶ, ἄνω τε, καὶ κάτω διακυκῶσι τὰ πάντα, καὶ τοῖς ἀνοσίοις ἑαυτῶν * εὑρήμασι συμβῆναί φασι τῆς παρ' αὐτῶν γεγενημένης ὁμολογίας τὴν δύναμιν· ἣν ἐπὶ τῇ ὀρθῇ πεποίηνται πίστει, καινοτομοῦντες μὲν, ὡς ἔφην, ἤγουν προσεπάγοντες τοῖς πάλαι διωρισμένοις τὸ σύμπαν οὐδὲν, ἑπόμενοι δὲ μᾶλλον τοῖς τῶν ἁγίων πατέρων ἀνεπιπλήκτοις δόγμασιν. ἵνα δὲ ψευδοεποῦντας ἐλέγχωμεν, φέρε, παραγάγωμεν εἰς μέσον τὰς Νεστορίου φλυαρίας, καὶ τὰς τούτων φωνάς. * ἐκδείξει γὰρ ὧδε, καὶ οὐχ ἑτέρως τὸ ἀληθὲς ἡβάσανος.

Οὐκοῦν Νεστόριος μὲν ἀναιρῶν εἰς ἅπαν εὑρίσκεται τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ τὴν κατὰ σάρκα γένησιν. οὐ γάρ τοι τετέχθαι φησὶν αὐτὸν ἐκ γυναικὸς, κατὰ τὰς γραφάς. ἔφη γὰρ οὕτω· τὸ παρελθεῖν τὸν Θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου, παρὰ τῆς θείας ἐδιδάχθην γραφῆς· τὸ δὲ γεννηθῆναι Θεὸν ἐξ αὐτῆς, * οὐδαμοῦ ἐδιδάχθην. ἐν ἑτέρᾳ δὲ πάλιν ἐξηγήσει· οὐδαμοῦ τοίνυν ἡ θεία γραφὴ Θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου λέγει γεγενῆσθαι, ἀλλὰ Χριστὸν Ἰησοῦν, υἱὸν, καὶ κύριον. Ὅτι δὲ ταῦτα λέγων εἰς υἱοὺς δύο μερίζει τὸν ἕνα, καὶ ἕτερον μὲν ἰδικῶς εἶναί φησιν υἱὸν, καὶ Χριστὸν, καὶ κύριον, τὸν ἐκ Θεοῦ πατρὸς γεννηθέντα λόγον, ἕτερον δὲ πάλιν ἀνὰ μέρος τε, καὶ ἰδικῶς υἱὸν, καὶ Χριστὸν, καὶ κύριον τὸν ἐκ τῆς ἁγίας παρθένου, πῶς ἂν ἐνδοιάσειέ τις, αὐτὸ δὴ τοῦτο σαφῶς μονονουχὶ βοῶντος ἐκείνου; οἱ δὲ θεοτόκον ὀνομάζουσι τὴν ἁγίαν παρθένον, ἕνα τε εἶναί φασιν υἱὸν, καὶ Χριστὸν, καὶ κύριον, τέλειον ἐν θεότητι, τέλειον ἐν ἀνθρωπότητι, ἅτε δὴ καὶ ἐψυχωμένης αὐτοῦ τῆς σαρκὸς ψυχῇ νοερᾷ. ὅτι γὰρ οὐχ ἕτερόν φασιν εἶναι υἱὸν τὸν ἐκ Θεοῦ πατρὸς λόγον, ἕτερον δὲ πάλιν τὸν ἐκ τῆς ἁγίας παρθένου, καθὰ Νεστορίῳ δοκεῖ, ἕνα δὲ μᾶλλον, καὶ τὸν αὐτὸν, σαφὲς ἂν γένοιτο, καὶ μάλα ῥᾳδίως διά γε τῶν ἐφεξῆς. προσεπάγουσι γὰρ, τίς ἂν εἴη, σημαίνοντες· ὅτι τέλειος ὡς Θεὸς, τέλειος δὲ καὶ ὡς ἄνθρωπος· τὸν πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐκ Μαρίας τῆς ἁγίας παρθένου, κατὰ τὴν ἀνθρωπότητα· ὁμοούσιον τῷ πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. οὐκοῦν ἥκιστα μὲν εἰς δύο διαιροῦσι τὸν ἕνα υἱὸν, καὶ Χριστὸν, καὶ κύριον Ἰησοῦν, τὸν αὐτὸν δὲ εἶναί φασι τὸν πρὸ αἰώνων, καὶ ἐν ἐσχάτοις, * δῆλον δὲ ὅτι τὸν ἐκ Θεοῦ πατρὸς ὡς Θεὸν, καὶ ἐκ γυναικὸς κατὰ σάρκα ὡς ἄνθρωπον. πῶς γὰρ ἂν νοοῖτο πρὸς ἡμᾶς ὁμοούσιος εἶναι κατὰ τὴν ἀνθρωπότητα, καί τοι γεννηθεὶς ἐκ πατρὸς, κατά γέ φημι τὴν θεότητα, εἰ μὴ νοοῖτο καὶ λέγοιτο Θεός τε ὁμοῦ, καὶ ἄνθρωπος ὁ αὐτός; ἀλλ' οὐχ ὧδε ταῦτ' ἔχειν Νεστορίῳ δοκεῖ· τέτραπται δὲ μᾶλλον ὁ σκοπὸς αὐτῷ πρὸς πᾶν τοὐναντίον. ἔφη γοῦν ἐπ' ἐκκλησίας ἐξηγούμενος· διὰ τοῦτο καὶ Χριστὸς ὁ Θεὸς λόγος ὀνομάζεται, ἐπειδήπερ ἔχει τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνεκῆ. καὶ πάλιν· ἀσύγχυτον τοίνυν τὴν τῶν φύσεων τηρῶμεν συνάφειαν· ὁμολογῶμεν τὸν ἐν ἀνθρώπῳ Θεόν· σέβωμεν τὸν τῇ θείᾳ συναφείᾳ τῷ παντοκράτορι Θεῷ συμπροσκυνούμενον ἄνθρωπον. ὁρᾶς * οὖν, ὅσον ἔχει τὸ ἀπηχὲς ὁ λόγος αὐτῷ; δυσσεβείας γὰρ τῆς ἀνωτάτω μεμέστωται. * Θεὸν μὲν ἰδικῶς ὀνομάζεσθαί φησι τὸν τοῦ Θεοῦ λόγον, ἔχειν δὲ τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνεκῆ. ἆρ' οὖν οὐ δύο Χριστοὺς ἐναργέστατα λέγει; οὐκ ἄνθρωπον Θεῷ συμπροσκυνούμενον σέβειν, οὐκ οἶδ' ὅπως, ὁμολογεῖ; ταῦτ' οὖν ἀδελφὰ τοῖς παρ' ἐκείνων ὁρᾶτε; οὐκ ἀντεξάγουσαν ἔχει πρὸς ἄλληλα τῶν ἐννοιῶν τὴν δύναμιν; ὁ μὲν γὰρ δύο φησὶν ἐναργῶς, οἱ δὲ Χριστὸν ἕνα, καὶ υἱὸν, καὶ Θεὸν, καὶ κύριον ὁμολογοῦσι προσκυνεῖν, τὸν αὐτὸν ἐκ πατρὸς κατὰ τὴν θεότητα, καὶ ἐκ τῆς ἁγίας παρθένου κατὰ τὴν ἀνθρωπότητα. δύο μὲν γὰρ φύσεων ἕνωσιν γενέσθαι φαμὲν. πλὴν ἕνα Χριστὸν, καὶ ἕνα υἱὸν, καὶ ἕνα κύριον ὁμολογοῦμεν σαφῶς. γέγονε γὰρ σὰρξ ὁ λόγος κατὰ τὰς γραφάς. καὶ σύμβασιν οἰκονομικὴν, καὶ ἀπόρρητον ἀληθῶς πεπράχθαί φαμεν ἀνομοίων πραγμάτων εἰς ἕνωσιν ἀδιάσπαστον. οὐ γάρ τοι κατά τινας τῶν ἀρχαιοτέρων αἱρετικῶν, ἐξ ἰδίας λαβόντα φύσεως. τουτέστι τῆς θεϊκῆς, ἑαυτῷ κατασκευάσαι τὸ σῶμα τὸν τοῦ Θεοῦ λόγον ὑπονοήσομεν. ἑπόμενοι δὲ πανταχῇ ταῖς θεοπνεύστοις γραφαῖς, ἐκ τῆς ἁγίας παρθένου λαβεῖν αὐτὸν τὴν σάρκα διαβεβαιούμεθα. ταύτῃ τοι τὰ, ἐξ ὧν ἐστιν ὁ εἷς, καὶ μόνος υἱὸς, καὶ κύριος Ἰησοῦς Χριστὸς, ὡς ἐν ἐννοίαις δεχόμενοι, δύο μὲν φύσεις ἡνῶσθαί φαμεν, μετὰ δέ γε τὴν ἕνωσιν, ὡς ἀνῃρημένης ἤδη τῆς εἰς δύο διατομῆς, μίαν εἶναι πιστεύομεν τὴν τοῦ υἱοῦ φύσιν ὡς ἑνὸς, πλὴν ἐνανθρωπήσαντος, καὶ σεσαρκωμένου. εἰ δὲ δὴ λέγοιτο σαρκωθῆναι, καὶ ἐνανθρωπῆσαι Θεὸς ὢν ὁ λόγος, διερρίφθω που μακρὰν τροπῆς ὑποψία. μεμένηκε γὰρ ὅπερ ἦν. ὁμολογείσθω δὲ πρὸς ἡμῶν καὶ ἀσύγχυτος παντελῶς ἡ ἕνωσις. ἀλλὰ γὰρ ἴσως φαῖεν ἂν οἱ δι' ἐναντίας. ἰδοὺ δὴ σαφῶς οἱ τῆς ὀρθῆς πίστεως τὴν ὁμολογίαν ποιούμενοι, δύο μὲν ὀνομάζουσι φύσεις, διῃρῆσθαι δὲ τὰς τῶν θεηγόρων φωνὰς διατείνοντα κατά γε τὴν διαφορὰν αὐτῶν· εἶτα πῶς οὐκ ἐναντία ταῦτα τοῖς σοῖς; οὐδὲ γὰρ ἀνέχη προσώποις δυσὶν, ἤγουν ὑποστάσεσι, τὰς φωνὰς διανέμειν. ἀλλ' ὦ βέλτιστοι, φαίην ἂν, γεγράφαμεν ἐν τοῖς κεφαλαίοις· εἴ τις προσώποις δυσὶν, ἤγουν ὑποστάσεσι, διανέμει τὰς φωνὰς, καὶ τὰς μὲν, ὡς ἀνθρώπῳ παρὰ τὸν ἐκ Θεοῦ λόγον ἰδικῶς νοουμένῳ προσάπτει, τὰς * δὲ ὡς θεοπρεπεῖς μόνῳ τῷ ἐκ Θεοῦ πατρὸς λόγῳ, οὗτος ἔστω κατάκριτος. φωνῶν δὲ διαφορὰς κατ' οὐδένα τρόπον ἀνῃρήκαμεν. εἰ καὶ ἀπόβλητον πεποιήμεθα τὸ μερίζειν αὐτὰς, ὡς υἱῷ καταμόνας τῷ ἐκ πατρὸς λόγῳ, καὶ ὡς ἀνθρώπῳ καταμόνας πάλιν υἱῷ νοουμένῳ τῷ ἐκ γυναικός· μία γὰρ ὁμολογουμένως ἡ τοῦ λόγου φύσις. ἴσμεν δὲ, ὅτι σεσάρκωταί τε, καὶ ἐνηνθρώπησε, καθάπερ ἤδη προεῖ-

* ἔσον ἔχει.

* Χριστὸς μὲν γὰρ ἰδικῶς.

* ἐκδείξειν ἂν γάρ.

* ἐκδείξειν γάρ.

* οὐδαμοῦ.

* ἐκδείξειν ἂν γάρ.

* ἐκδείξειν γάρ.

* δὲ θεοπρεπεῖς.

προεῖπον. τὸν δὲ τρόπον, ὃν ἐσαρκώθη τε, καὶ ἐνηνθρώπησεν, εἰ περιεργάζοιτό τις, καταθρήσειεν ἂν τὸν ἐκ Θεοῦ Θεὸν λόγον δούλου τε λαβόντα μορφὴν, καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενον, καθὰ γέγραπται. καὶ κατ' αὐτὸ δὴ τοῦτο καὶ μόνον νοηθείη ἂν ἡ τῶν φύσεων, ἤγουν ὑποστάσεων διαφορά. οὐ γάρ που ταυτὸν ἐν ποιότητι φυσικῇ θεότης, καὶ ἀνθρωπότης. ἐπεὶ πῶς κεκένωται Θεὸς ὢν ὁ λόγος, καθεὶς ἑαυτὸν ἐν μειώσει, τουτέστιν ἐν τοῖς καθ' ἡμᾶς; ὅταν τοίνην ὁ τῆς σαρκώσεως πολυπραγμονῆται τρόπος, δύο τὰ ἀλλήλοις ἀπορρήτως τε, καὶ ἀσυγχύτως συνηνεγμένα καθ' ἕνωσιν ὁρᾷ δὴ πάντως ὁ ἀνθρώπινος νοῦς, ἑνωθέντα γε μὴν διΐστησιν οὐδαμῶς. ἀλλ' ἕνα τὸν ἐξ ἀμφοῖν, καὶ Θεὸν, καὶ υἱὸν, καὶ Χριστὸν, καὶ κύριον * εἶναί τε, καὶ πιστεύει, καὶ * ἀραρότως εἰσδέχεται.

Φιλιππ. 2.

* εἶναι καὶ

* ἀναρρήτως ἐν δέχεται.

* κενοδοξία.

Ἑτέρα δὲ παντελῶς παρὰ ταύτην ἡ Νεστορίου * κακοδοξία. ὑποκρίνεται μὲν γὰρ ὁμολογεῖν, ὅτι καὶ ἐσαρκώθη, καὶ ἐνηνθρώπησε Θεὸς ὢν ὁ λόγος, τὴν δέ γε τοῦ σεσαρκῶσθαι δύναμιν οὐκ εἰδὼς, δύο μὲν ὀνομάζει φύσεις, * ἀποδιαιρεῖ δὲ ἀλλήλων αὐτὰς, Θεὸν ἰδίᾳ τιθεὶς, καὶ ὁμοίως ἄνθρωπον ἀνὰ μέρος, συναφθέντα Θεῷ σχετικῶς, κατὰ μόνην τὴν ἰσοτιμίαν, ἤγουν αὐθεντίαν. ἔφη γὰρ οὕτως· ἀχώριστος τοῦ φαινομένου Θεός. διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω· χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν. οἱ δέ γε κατὰ τὴν Ἀντιόχειαν ἀδελφοὶ, τὰ μὲν ἐξ ὧν νοεῖται Χριστὸς, ὡς ἐν ψιλαῖς καὶ μόναις ἐννοίαις δεχόμενοι, φύσεων μὲν εἰρήκασι διαφορὰν, ὅτι μὴ ταυτὸν, ὡς ἔφην, ἐν ποιότητι φυσικῇ θεότης, καὶ ἀνθρωπότης. ἕνα γε μὴν υἱὸν, καὶ Χριστὸν, καὶ κύριον, καὶ ὡς ἑνὸς ὄντος ἀληθῶς, ἐν αὐτοῦ καὶ τὸ πρόσωπον εἶναι φασίν· μερίζουσι δὲ κατ' οὐδένα τρόπον τὰ ἡνωμένα· οὔτε μὴν φυσικὴν παραδέχονται τὴν διαίρεσιν, καθὰ φρονεῖν ἔδοξε τῷ τῶν ἀθλίων εὑρεμάτων εἰσηγητῇ· διαιρεῖσθαι δὲ μόνας διατείνονται τὰς ἐπὶ τῷ κυρίῳ φωνάς· πρέπειν τέφησιν αὐτὰς, οὐ τὰς μὲν ὡς υἱῷ καταμόνας τῷ ἐκ Θεοῦ πατρὸς λόγῳ, τὰς δὲ καὶ ὡς ἑτέρω πάλιν υἱῷ τῷ ἐκ γυναικὸς. ἀλλὰ τὰς μὲν τῇ θεότητι αὐτοῦ, τὰς δὲ πάλιν τῇ ἀνθρωπότητι αὐτοῦ. Θεὸς γάρ ἐστιν ὁ αὐτὸς καὶ ἄνθρωπος· εἶναι δέ φασι καὶ ἑτέρας κοινοποιηθείσας τρόπον τινὰ, καὶ οἷον ἐπ' ἄμφω βλεπούσας, θεότητα, καὶ ἀνθρωπότητα λέγω. οἷον δή τι φημί· αἱ μὲν γάρ εἰσι τῶν φωνῶν ὅτι μάλιστα θεοπρεπεῖς, αἱ δὲ οὕτω πάλιν ἀνθρωποπρεπεῖς. αἱ δὲ ὅτι μάλιστα μέσην τινὰ τάξιν ἐπέχουσιν, ἐμφανίζουσαι τὸν υἱὸν Θεὸν ὄντα καὶ ἄνθρωπον ὁμοῦ τε, καὶ ἐν ταυτῷ. ὅταν μὲν γὰρ τῷ Φιλίππῳ λέγῃ· τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς * με Φίλιππε; οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ ἐστίν; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. ἐγὼ καὶ ὁ πατὴρ ἐν ἐσμέν· θεοπρεπεστάτην εἶναι διαβεβαιούμεθα τὴν φωνήν. ὅταν δὲ τοῖς Ἰουδαίων ἐπιπλήττῃ δήμοις ἐκεῖνο λέγων· εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν· νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν· ἀνθρωποπρεπῶς εἰρῆσθαι τοιαῦτα φαμέν, πλὴν τοῦ ἑνὸς υἱοῦ τὰς θεοπρεπεῖς, καὶ μέντοι τὰς ἀνθρωπίνας· Θεὸς γὰρ ὢν γέγονεν ἄνθρωπος, οὐ τὸ εἶναι Θεὸς ἀφεὶς, ἐν προσλίψει δὲ μᾶλλον σαρκὸς, καὶ αἵματος γεγονώς· ἐπειδὴ δὲ εἷς ἐστιν υἱὸς, καὶ Θεὸς, καὶ κύριος, ἓν αὐτοῦ καὶ πρόσωπον εἶναί φαμεν ἡμεῖς τε, κἀκεῖνοι. μέσας δὲ εἶναι φωνὰς ἐκείνας διαβεβαιούμεθα. οἷον ὅταν ὁ μακάριος Παῦλος γράφῃ· Ἰησοῦς Χριστὸς χθὲς, καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. καὶ πάλιν· εἴπερ εἰσὶ θεοὶ, καὶ κύριοι πολλοὶ ἔν τε τῷ οὐρανῷ καὶ * ἐν τῇ γῇ. ἀλλ' ἡμῖν * εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς ἐξ αὐτοῦ· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. καὶ πάλιν· ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῆται, ὧν ἐστιν ἡ υἱοθεσία, καὶ ἡ νομοθεσία, καὶ ἡ διαθήκη, καὶ ἡ δόξα· ὧν οἱ πατέρες, καὶ ἐξ ὧν τὸ κατὰ σάρκα Χριστὸς, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν. ἰδοὺ γὰρ, ἰδοὺ Χριστὸν Ἰησοῦν ὀνομάσας, χθὲς, καὶ σήμερον τὸν αὐτὸν εἶναί φησι, καὶ εἰς τοὺς αἰῶνας, καὶ δι' αὐτοῦ γενέσθαι τὰ πάντα· καὶ τὸν κατὰ σάρκα ἐξ Ἰουδαίων, ἐπὶ πάντων ὀνομάζει Θεόν· καὶ μὴν καὶ εὐλογητὸν εἶναί φησιν εἰς τοὺς αἰῶνας.

* ἀποδιΐστησι.

Ἰωάν. 14. 9.

Ἰωάν. 10. 30.

Ἰωάν. 8. 39.

Εβρ. 3. 1. Κορ. 8.

* ἐπὶ τῆς γῆς.

* κύριος Θεὸς πατήρ.

Ῥωμ. 9. 3.

Μὴ τοίνυν διέλῃς ἐν * τούτοις τὰς ἐπὶ τῷ κυρίῳ φωνὰς. ἔχουσι γὰρ ἐν ταυτῷ τὸ θεοπρεπὲς, καὶ τὸ ἀνθρώπινον. ἐφάρμοσον δὲ μᾶλλον αὐτὰς, ὡς ἐνὶ τῷ υἱῷ, τουτέστιν τῷ Θεῷ λόγῳ σεσαρκωμένῳ. ἕτερον τοίνυν ἐστὶ τὸ διαιρεῖν τὰς φύσεις, καὶ τοῦτο μετὰ τὴν ἕνωσιν, καὶ κατὰ μόνην ἰσοτιμίαν συνῆφθαι λέγειν ἄνθρωπον Θεῷ, καὶ ὁμοίως ἕτερον τὸ φωνῶν εἰδέναι διαφοράν. πῶς τοιγαροῦν ταῖς Νεστορίου * καινοφωνίαις τὰ ἐκείνων * συντρέχει; εἰ γὰρ καί τισι δοκεῖ τῶν λέξεων ἡ συνθήκη, καὶ τῶν * νοημάτων ἡ προφορὰ τῆς ἰσχνῆς ἄγαν ἀκριβείας * ἀπολιμπάνεσθαι, θαυμαστὸν οὐδέν. δυσεκφώνητα γὰρ τὰ τοιάδε λίαν. ταύτῃ τοι, καὶ ὁ θεσπέσιος Παῦλος ἐζήτει παρὰ Θεοῦ λόγον ἐν ἀνοίξει τοῦ στόματος αὐτοῦ. ὅτι γὰρ οὐ μερίζουσιν εἰς δύο τὸν ἕνα Ἰησοῦν Χριστὸν, χρῆναι λέγοντες ἐφαρμόζεσθαι τὰς φωνὰς, τῇ μὲν θεότητι αὐτοῦ τὰς θεοπρεπεῖς, τῇ δὲ ἀνθρωπότητι πάλιν αὐτοῦ τὰς ἀνθρωπίνας, πῶς οὐχ ἅπασιν ἐναργές; διαβεβαιοῦνται γὰρ, ὡς ἔφην, ὅτι αὐτὸς ὁ ἐκ Θεοῦ πατρὸς λόγος, γεννηθεὶς πρὸ αἰώνων, καὶ ἐν ἐσχάτοις καιροῖς ἐγεννήθη κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου. προσεπάγουσι δὲ, ὅτι διὰ τὴν ἄφραστον, καὶ ἀσύγχυτον ἕνωσιν καὶ θεοτόκον εἶναι πιστεύουσι τὴν ἁγίαν παρθένον· καὶ ἕνα υἱὸν, καὶ Χριστὸν, καὶ κύριον ὁμολογοῦσι σαφῶς. ἀπίθανον δὲ παντελῶς τὸ, καὶ ἕνα λέγειν, καὶ διατέμνειν εἰς δύο τὸν ἕνα, νομίζειν αὐτούς. οὐ γὰρ * ἂν εἰς τοῦτο προῆλθον ἀποπληξίας, ὡς παραβάτας ἑαυτοὺς συνιστάνειν, ἃ κατέλυσαν ὀρθῶς, οἰκοδομοῦντες ἀβούλως. εἰ γὰρ ταῖς Νεστορίου συμφέρονται δόξαις, πῶς αὐτὰς ἀναθεματίζουσιν ὡς βεβήλους, καὶ μυσαράς. Οἶμαι δεῖν καὶ τὰς αἰτίας εἰπεῖν, δι' ἃς εἰς τοῦτο προῆλθον * ἰσχνοφωνίας. ἐπειδὴ γὰρ οἱ τῆς Ἀρείου δυσσεβείας ὑπασπισταὶ, τῆς ἀληθείας τὴν δύναμιν ἀνοσίως ἐκκαπηλεύοντες,

* τούτῳ.

* κινοφωνίαις.

* συμβαίνει.

* ῥημάτων ἡ διαφορὰ, ἢ προφορά.

* καταλιμπάνεσθαι.

Ἐφισ. 6. 15

* εἰς.

* ἰσχνομυθί

τες, τὸν ἐκ Θεοῦ φασὶ λόγον γενέσθαι μὲν ἄνθρωπον, πλὴν ἀψύχῳ προσχρήσασθαι σώματι· πράττουσι δὲ τοῦτο φιλοκακούργως, ἵνα τὰς ἀνθρωπίνας φωνὰς αὐτῷ προσνέμοντες, ὡς ἐν μείοσιν ὄντα τῆς τοῦ πατρὸς ὑπεροχῆς τοῖς παρ' αὐτῶν πλανωμένοις ἐπιδεικνύωσιν, ἑτεροφυᾶτε αὐτὸν εἶναι λέγωσι, ταύτῃ τοι δεδιότες οἱ ἐκ τῆς ἀνατολῆς, μὴ ἄραπως ἡ τοῦ Θεοῦ λόγου * κατασμικρύνοιτο δόξατε, καὶ φύσις ἀπό γε τῶν ἀνθρωπίνως εἰρημένων διὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν, διορίζουσι τὰς φωνὰς, οὐκ εἰς δύο τέμνοντες, ὡς ἔφην, τὸν ἕνα υἱὸν, καὶ κύριον, ἀλλὰ τὰς μὲν τῇ θεότητι αὐτοῦ προσνέμοντες, τὰς δὲ τῇ ἀνθρωπότητι πάλιν τῇ αὐτοῦ. πλὴν τὰς ἁπάσας ἑνί. ἐπυθόμην δὲ, ὅτι γέγραφέ τισι τῶν ἐπιτηδείων ὁ εὐλαβέστατος, καὶ θεοσεβέστατος Ἰωάννης ἐπίσκοπος, ὡσανεὶ ἐμοῦ σαφῶς διδάξαντος, καὶ λαμπρᾷ τῇ φωνῇ, ὁμολογεῖν μὲν τῶν φύσεων τὸ διάφορον, διαιρεῖν δὲ τὰς φωνὰς καταλλήλως ταῖς φύσεσι· καὶ ἐπ' αὐτῷ δὴ τούτῳ σκανδαλίζονται τινές. ἦν οὖν ἀναγκαῖον καὶ πρός γε τοῦτο ἡμᾶς εἰπεῖν. οὐκ ἠγνόηκεν ἡ σὴ τελειότης, ὅτι τῆς Ἀπολιναρίου δόξης τὸν μῶμον τῶν ἐμῶν καταχέοντες ἐπιστολῶν, ᾠήθησαν, ὅτι καὶ ἄψυχον εἶναί φημι τὸ ἅγιον σῶμα Χριστοῦ· καὶ ὅτι κρᾶσις, ἢ σύγχυσις, ἢ φυρμὸς, ἢ μεταβολὴ τοῦ Θεοῦ λόγου γέγονεν εἰς τὴν σάρκα, ἢ γοῦν τῆς σαρκὸς μεταφοίτησις εἰς φύσιν θεότητος, ὡς μηδὲν ἔτι σώζεσθαι καθαρῶς, μή τε μὴν εἶναι ὃ ἐστίν. ᾠήθησαν δὲ πρὸς τούτῳ καὶ ταῖς Ἀρείου μεσυμφέρεσθαι δυσφημίαις, διά τοι τὸ μὴ ἐθέλειν διαφορὰν εἰδέναι φωνῶν, καὶ τὰς μὲν εἶναι λέγειν θεοπρεπεῖς, τὰς δὲ ἀνθρωπίνας, καὶ πρεπούσας μᾶλλον τῇ οἰκονομίᾳ τῇ μετὰ σαρκός. ἐγὼ δὲ ὅτι τῶν τοιούτων ἀπήλλαγμαι, μαρτυρήσειεν ἂν ἑτέροις ἡ σὴ τελειότης. πλὴν ἔδει σκανδαλισθεῖσιν ἀπολογήσασθαι. ταύτῃ τοι γέγραφα πρὸ τὴν θεοσέβειαν αὐτοῦ, ὡς οὔτε πεφρόνηκά ποτε τὰ Ἀρείου, καὶ Ἀπολιναρίου, οὔτε μὴν μεταπεποιῆσθαι τὸν τοῦ Θεοῦ λόγον εἰς σάρκα φημὶ, ἀλλ' οὐδὲ εἰς φύσιν θεότητος * μεταφῦναι τὴν σάρκα, διὰ τὸ ἄτρεπτον εἶναι, καὶ ἀναλλοίωτον τὸν τοῦ Θεοῦ λόγον. ἀνέφικτον δὲ καὶ τὸ ἕτερον. οὔτε μὴν ἀνήρηκά ποτε φωνῶν διαφοράς· ἀλλ' οἶδα τὸν κύριον θεοπρεπῶς τε, καὶ ἀνθρωπίνως ἅμα διαλεγόμενον. ἐπεί περ ἐστὶν ἐν ταυτῷ Θεὸς, καὶ ἄνθρωπος. οὐκ οὖν αὐτὸ δὴ τοῦτο κατασημῆναι θέλων, γέγραφεν· ὅτι * ἐδίδαξεν ὁμολογεῖν τῶν φύσεων τὸ διάφορον, καὶ διαιρεῖν τὰς φωνὰς καταλλήλως ταῖς φύσεσιν. αἱ δὲ τοιαῦται διαλέξεις ἐμαὶ μὲν οὐκ εἰσίν, ἐξεφωνήθησαν δὲ παρ' αὐτοῦ.

Κἀκεῖνο δὲ οἶμαι τοῖς εἰρημένοις * προσεπενεγκεῖν ἀναγκαῖον. ἀφίκετο γὰρ πρός με ὁ θεοσεβέστατος ἐπίσκοπος Παῦλος τῆς Ἐμισηνῶν. εἶτα λόγου κεκινημένου περὶ τῆς ὀρθῆς, καὶ ἀμωμήτου πίστεως, διεπυνθάνετό μου, καὶ μάλα ἐσπουδασμένως, εἰ * συναινῶ τοῖς γραφεῖσι παρὰ τοῦ τῆς ἀοιδίμου μνήμης, καὶ τρισμακαρίου πατρὸς ἡμῶν Ἀθανασίου πρὸς Ἐπίκτητον ἐπίσκοπον τῆς Κορινθίων. ἐγὼ δὲ ἔφην· ὅτι εἰ σώζεται παρ' ὑμῖν ὁ νενοθευμένον τὸ γράμμα· παραπεποίηται γὰρ τῶν ἐν αὐτῷ πολλὰ παρὰ τῶν τῆς ἀληθείας ἐχθρῶν. συναινέσαιμι ἂν πάντῃ τε, καὶ πάντως. ὁ δὲ πρὸς τοῦτο ἔφασκεν, ἔχειν μὲν καὶ αὐτὸς τὴν ἐπιστολὴν, βούλεσθαι δὲ καὶ ἐκ τῶν παρ' ἡμῖν ἀντιγράφων πληροφορηθῆναι, καὶ μαθεῖν, πότερόν ποτε τὰ αὐτῶν βιβλία παρεποιήθη, ἢ μή. καὶ δὴ καὶ λαβὼν ἀτίγραφα παλαιὰ, καὶ οἷς ἐπεφέρετο συμβαλὼν, ηὕρισκε ταῦτα νενοθευμένα· καὶ προέτρεψεν ἐκ τῶν παρ' ἡμῖν βιβλίων ἴσα ποιῆσαι, πέμψαι τε τῇ Ἀντιοχέων ἐκκλησίᾳ· ὃ δὴ καὶ γέγονε· καὶ τοῦτό ἐστιν, ὃ γέγραφεν ὁ εὐλαβέστατος, καὶ θεοφιλέστατος ἐπίσκοπος Ἰωάννης τῷ * Καρήνῳ περὶ ἐμοῦ· ὅτι ἐξέθετο τὰ περὶ τῆς ἐνανθρωπίσεως, συνυφάνας ἡμῖν καὶ τὴν πατρῴαν παράδοσιν, μικροῦ καὶ ἐξ ἀνθρώπων, ἵν' οὕτως εἴπω, γενέσθαι * κινδυνεύουσαν. ἐὰν δὲ * περικομίζωσί τινες ἐπιστολὴν, ὡς γραφεῖσαν παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου τῆς Ῥωμαίων ἐκκλησίας Φιλίππου, ὡσανεὶ τοῦ ὁσιωτάτου ἐπισκόπου Ξύστου χαλεπήναντος ἐπὶ τῇ Νεστορίου καθαιρέσει, καὶ * ἀρήξαντος αὐτῷ, μὴ πιστευέτῳ τοῦτο ἡ σὴ ὁσιότης. σύμφωνα γὰρ τῇ ἁγίᾳ συνόδῳ γέγραφε, καὶ πάντα ἐβεβαίωσε τὰ παρ' αὐτῆς πραχθέντα, καὶ ἔστιν * ὁμόφρων ἡμῖν. εἰ δὲ δὴ καὶ ὡς παρ' ἐμοῦ γραφεῖσα παρακομίζοιτο πρός τινων ἐπιστολὴ, ὡς μετανοοῦντος ἐφ' οἷς πεπράχαμεν κατὰ τὴν Ἐφεσίων πόλιν, γελάσθω καὶ τοῦτο· ἐσμὲν γὰρ διὰ τὴν τοῦ σωτῆρος χάριν ἐν καλῷ φρενὸς, καὶ τοῦ εἰκότος οὐκ ἐκπεφορήμεθα λογισμοῦ. πρόσειπε τὴν παρὰ σοῖ ἀδελφότητα, σὲ ἡ σὺν ἡμῖν ἐν κυρίῳ προσαγορεύει.

ΙΣΟΝ ΕΠΙΣΤΟΛΗΣ ΓΡΑΦΕΙΣΗΣ παρὰ τοῦ αὐτοῦ πρὸς τὸν Ἀκάκιον ἐπίσκοπον, περὶ τοῦ ἀποπομπαίου.

ΤΟΙΣ παρὰ τῆς σῆς ὁσιότητος ἀρτίως * ἀπεσταλμένοις ἐντυχὼν, ἥσθην ἄγαν. * μονονουχὶ καὶ περιφυεὶς ἠσπαζόμην. γνώμης γὰρ εἰς τοῦτο προῆλθον, ὡς τάχα που μηδὲ ἀπεῖναι δοκεῖν. αἱ γὰρ τῶν γνησίων προσρήσεις ἱκαναὶ τοιαύτην ἐμποιῆσαι διάθεσιν. τὰ ἐμὰ μὲν ἐν τούτοις· πέπεισμαι δὲ, ὅτι καὶ τὰ τῆς σῆς θεοσεβείας οὐχ ἑτεροτρόπως ἔχει. ἐπειδὴ δὲ μηνύσαι κατηξίωσας, ὡς χρὴ παρ' ἐμοῦ γενέσθαι τινὰς λόγους περὶ τοῦ ἀποπομπαίου, δι' ὧν ἔσται καταφανὲς τὸ ἐπ' αὐτῷ μυστήριον, ἀναγκαίως ἐκεῖνο φημί, τῆς σῆς ἀγχινοίας ἀποχρώντως ἐχούσης τὸ εὐμαθές, καὶ τῶν ἱερῶν γραμμάτων εὐφυᾶ, καὶ οὐκ ἀθαύμαστον ἐπιστήμην, περιττὸν μὲν ἴσως τὸ λέγεσθαί τι παρ' ἑτέρου περὶ τῶν ζητουμένων. ἐπειδὴ δὲ τὸ λυποῦν οὐδὲν καὶ τὰ εἰς νοῦν * ἰόντα καὶ τὸν ἐμὸν εἰπεῖν, γεγράφαμεν· οὐ γὰρ ἦν ἀνήνασθαι τὸ ἐπιταχθέν. εἰ δὲ δὴ τῆς εἰς λῆξιν ἀκριβείας βραχύπως ἀφαμαρτεῖν ἡμᾶς συμβαίνει, συγγνώμων ἔσο. τὰ γάρ τοι δυσπρόσιτα τῶν θεωρημάτων δυσχερῆ πρὸς διασάφησιν, καὶ οὐ ῥᾳδίαν ἐλεῖν τὴν κατάληψιν ἔχει. πλὴν ἐλπίδος ἐσμὲν οὐ μακρὰν, ὡς διὰ τῶν τῆς σῆς θεοσεβείας εὐχῶν, καὶ πρός γε τοῦτο ἡμᾶς κατευθυνεῖ Χριστὸς ὁ ἀποκαλύπτων βα-

θέα

Ζαβ. 11. Ψαλ. 67. θέα ἐκ σκότους, καὶ σοφῶν τυφλὸς, καὶ ῥῆμα διδοὺς, ὡς λόγος.

Γέγραπται πίνων ἐν τῷ Λευιτικῷ περὶ τοῦ ἀποπομπαίου· καὶ λήψεται τοὺς δύο χιμάρους, καὶ στήσει αὐτοὺς ζῶντι κυρίῳ παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ἐπιθήσει Ἀαρὼν ἐπὶ τοὺς δύο χιμάρους κλήρους, κλῆρον ἕνα τῷ κυρίῳ, καὶ κλῆρον ἕνα τῷ ἀποπομπαίῳ· καὶ προσάξει Ἀαρὼν τὸν χίμαρον, ἐφ' ὃν ἐπῆλθεν ὁ κλῆρος ἐπ' αὐτὸν τῷ κυρίῳ, καὶ ποιήσει περὶ ἁμαρτίας· καὶ τὸν χίμαρον, ἐφ' ὃν ἐπῆλθεν ἐπ' αὐτὸν ὁ κλῆρος τοῦ ἀποπομπαίου, στήσει αὐτὸν ζῶντα ἔναντι κυρίου τοῦ * ἐξιλάσκεσθαι ἐπ' αὐτοῦ· ὥστε ἀποστεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπήν. ἀφήσει αὐτὸν εἰς τὴν ἔρημον. καὶ μεθ' ἕτερα· καὶ σφάξει τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας, τὸν * παρὰ τοῦ λαοῦ, ἔναντι κυρίου· καὶ εἰσοίσει τοῦ αἵματος αὐτοῦ ἐσώτερον τοῦ καταπετάσματος· καὶ ποιήσει τὸ αἷμα αὐτοῦ, ὃν τρόπον ἐποίησε τὸ αἷμα τοῦ μόσχου· καὶ ῥανεῖ τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ ἱλαστήριον κατὰ πρόσωπον τοῦ ἱλαστηρίου, καὶ ἐξιλάσεται τὸ ἅγιον ἀπὸ τῶν ἀκαθαρσιῶν τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀπὸ τῶν ἀδικημάτων αὐτῶν ἐπὶ πασῶν τῶν ἁμαρτιῶν. καὶ οὕτω ποιήσει τῇ σκηνῇ τοῦ μαρτυρίου, τῇ ἐντιθεμένῃ ἐν αὐτοῖς ἐν μέσῳ τῶν ἀκαθαρσιῶν αὐτῶν. καὶ ταῦτα μὲν περὶ τοῦ σφαζομένου χιμάρου, καὶ ἁγιάζοντος τῷ αἵματι τὴν ἁγίαν σκηνήν. περὶ δέ γε τοῦ ζῶντος, καὶ ἀφιεμένου πάλιν ὧδε φησί· καὶ προσάξει τὸν χίμαρον τὸν ζῶντα, καὶ ἐπιθήσει Ἀαρὼν τὰς χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος, καὶ ἐξαγορεύσει ἐπ' αὐτοῦ πάσας τὰς ἀνομίας τῶν υἱῶν Ἰσραὴλ, καὶ πάσας τὰς ἀδικίας αὐτῶν, καὶ πάσας τὰς ἁμαρτίας αὐτῶν· καὶ ἐπιθήσει αὐτὰς ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος, καὶ ἐξαποστελεῖ ἐν χειρὶ ἀνθρώπου ἑτοίμου εἰς τὴν ἔρημον· καὶ λήψεται ὁ χίμαρος ἐφ' ἑαυτῷ τὰς ἀδικίας αὐτῶν εἰς τὴν ἄβατον· καὶ ἐξαποστελεῖ τὸν χίμαρον εἰς τὴν ἔρημον. Πᾶσα μὲν οὖν γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος· ὃ γὰρ ἂν φθέγξηται Θεὸς, τοῦτο δὴ πάντως ἐστὶ καὶ σωτήριον. καὶ τοῖς μὲν ἔστιν οἷοις τε συνιδεῖν τῆς ἀληθείας τὴν δύναμιν, τὸ ταύτης κάλλος ὑπαντᾷ, φωτὸς δίκην ἐναστράπτον τῷ νῷ τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν γνῶσιν· τοῖς γε μὴν οὐκ ἔχουσιν εὖ βεβηκότα τὸν νοῦν, ἀλλ' οἷον ἔτι σκάζοντά τε, καὶ νηπιάζοντα, τούτοις εἶεν ἂν καὶ τὰ ἐξαίρετα τῶν θεωρημάτων ὑπὸ μωμον ἔθ' ὅτε καὶ γραφικόν. καὶ ταῦτά φημι, τοῖς παρὰ τῆς σῆς θεοσεβείας γραφεῖσιν οὐκ ἀβασανίστως ἐντυχών. φήθησαν γάρ ἴσως τῶν αὐτόθι τινὲς, τὸν μὲν ἕνα τῶν χιμάρων, ἤτοι τῶν ἐρίφων, τῷ ἐπὶ πάντων ἐκνεμηθεῖσαι Θεῷ πρὸς καθιέρωσιν, καὶ θυσίαν· τὸν γε μὴν ἕτερον ἀποπομπαίῳ τινὶ, καὶ πονηρῷ, καὶ ἀκαθάρτῳ δαίμονι πεμφθῆναι κατὰ τὴν ἔρημον· καὶ τοῦτο διὰ χειρὸς ἱερᾶς, καὶ ἐκ νομικοῦ θεσπίσματος. αὐτόθεν μὲν οὖν τὸ χρῆμα ἔσειν εὐηθές τε, καὶ κατεγέλαστον. φαίη δ' ἂν τις τοῖς ὅτῳ ταῦτα ἔχειν ὑπειληφόσι· καὶ τοι πῶς οὐκ ἔδει μᾶλλον ἐκεῖνο περινοεῖν; ὁ γάρ τοι τῶν ὅλων δημιουργὸς, ὁ καὶ παντὸς ἐπέκεινα, καὶ νοῦ, καὶ λόγου, καὶ μόνος ὢν φύσει Θεὸς, καὶ κύριος, πῶς ἂν ἠνέσχετο κοινωνὸν ὥσπερ τινὰ τῆς * αὐτοῦ βασιλείας, καὶ δόξης τὸν ἀποσάτιν εἰσδέξασθαι σατανᾶν; καὶ τοι λέγοντος ἀκηκόαμεν σαφῶς δι' ἑνὸς τῶν ἁγίων προφητῶν· τιμὴ δόξαν μου ἑτέρῳ οὐ δώσω. εἰ δὲ αὐτῷ καὶ μόνῳ τὸ χρῆναι καθιεροῦν, ἃ ἂν βούλοιτό τις, ὁ διὰ τοῦ παναγίου Μωϋσέως προσέταξε νόμος, εἶτα αὐτὸς ὁ λαλήσας τὸν νόμον κατεχρησμῴδησε δεῖν καὶ πνεύμασι πονηροῖς τὴν αὐτοῦ, καὶ μόνῳ, πρεπωδεστάτην ἀπονέμεσθαι δόξαν, πῶς οὐχὶ τοῖς ἰδίοις ἀντιτάξεται λόγοις; ὃ γὰρ ἀπέφησε δρᾶν, τοῦτο γενέσθαι προσέταξεν. ἀλλ' ἔστιν ἄγαν ἐκτοπωτέρων τὸ οἴεσθαι μὴ ἀλογεῖν τῆς ὀφειλομένης αὐτῷ τιμῆς τε, καὶ δόξης τὸν τῶν ὅλων κατεξουσιάζοντα Θεὸν, ἀνάπτειν δὲ καὶ ἑτέροις ἐθέλειν αὐτῷ, καίτοι σαφῶς λέγοντα διὰ Μωϋσέως· κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις· καὶ· οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. διὰ τοῦτο καὶ ὁ θεσπέσιος Μωϋσῆς ταῖς ἄνωθεν παρὰ Θεοῦ ψήφοις εὖ μάλα * συμπράττεται· καὶ δὴ καί φησι τοῖς ἐξ αἵματος Ἰσραήλ· καὶ ταῦτα τὰ προστάγματα, καὶ τὰ κρίματα, ἃ φυλάξεσθε ποιεῖν ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ Θεὸς τῶν πατέρων ἡμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ πάσας τὰς ἡμέρας, ἃς ὑμεῖς ζῆτε ἐπὶ τῆς Γῆς: ἀπολείᾳ ἀπολεῖτε πάντας τοὺς τόπους, ἐν οἷς ἐλάτρευσαν ἐκεῖ τὰ ἔθνη τοῖς θεοῖς αὐτῶν, ἐν οἷς ὑμεῖς κληρονομεῖτε αὐτοὺς, ἐπὶ τῶν ὀρέων τῶν ὑψηλῶν, καὶ ἐπὶ τῶν βουνῶν, καὶ ὑποκάτω δενδρεὸς δασέος. κατισχάψετε τοὺς βωμοὺς αὐτῶν, καὶ συντρίψετε τοὺς στήλας αὐτῶν. καὶ ἄλση αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ τῶν Θεῶν αὐτῶν κατακαύσετε πυρὶ, καὶ ἀπολεῖτε τὸ ὄνομα αὐτῶν ἐκ τοῦ τόπου ἐκείνου. εἶτα πῶς ἰῶ εἰκὸς, τὸν ἐξ ἀπάτης Ἑλληνικῆς πρὸς τὸ τῆς ἀληθείας μεθορμίζεσθαι φῶς διὰ Μωϋσέως προστάττειν, καὶ εἰδώλοις ὁμοῦ τὰ τεμένη καταπιμπρᾶν, καὶ ἀναβοθρίζειν βωμοὺς, ἄλση τε ἐκκόπτειν, ὡς μηδὲν τῆς ἐκείνων βδελυρίας ἀπομεῖναι λείψανον, μερίζεσθαι πρὸς αὐτὰ τὴν δόξαν. καθάπερ ἤδη προεῖπον· καὶ εἰς τοῦτο γνώμης ἐλθεῖν, ὥστε καὶ αὐτοὺς τοὺς ἐκνεμηθέντας αὐτῷ πρὸς ἱερουργίαν, θύειν αὐτοῖς ἐπιτάξαι, ἀφιστάντας εἰς τὴν ἔρημον τὸν ἕτερον τῶν χιμάρων; καί τοι μοχοποιήσαντος μὲν ἐν τῇ ἐρήμῳ τοῦ Ἰσραὴλ κατηπιάτο σφόδρα, τῷ θεσπεσίῳ λέγων Μωσῇ· βάδιζε, κατάβηθι τὸ τάχος ἐντεῦθεν· ἠνόμησε γὰρ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου· ἐποίησαν ἑαυτοῖς εἴδωλον. καὶ μὴν καὶ τοῖς τελεσθεῖσιν τῷ Βεελφεγὼρ, * ὅτι ταῖς Μωαβιτῶν σωμάτων ὥραις * συνεπλέκοντο γυναιξὶ, ταῖς

Δευτ. 6. 13. Ματθ. 4. Ἐξοδ. 20. Δευτ. 12. * συμπλέκεται.

Λευίτ. 16.

* περί.

* ἀπολύεσθαι.

2. Τιμοθ. 3. 16.

ἑαυτοῦ.

Λευτ. 17. * ἐπὶ * ἀπὸ

* συναλυσκομένοις

Καὶ δὴ καί φαμεν, ὡς ὁ τῆς ὅλων Θεὸς ἐπ' ἀναξοπῆ τῆς πολυθέου πλάνης, καὶ ἐπὶ φωτισμῷ τῷ ἐν σκότῳ, καταχρησμῳδήσας τὸν νόμον τοῖς πάλαι διὰ Μωσέως, λιέχετο ἂν ἀδαμῶς, ὁδὸς χρῄσθαι, καὶ θύρα, μᾶλλον δὲ καὶ διδάσκαλος τοῦ χρῆναι τιμᾶν τὰς ἀκαθάρτους δαίμονας. πολυ-
παραμίνα, παραγμονοῦντες δὲ τὰ ἐν ταῖς θεοπνεύστοις γραφαῖς*, κεκρυμμένα μυστήρια ἀρήσομεν τινὰ ἀλήθειαν. πρέπει δ' ἂν ταῖς τῶ νόμω σκιαῖς ἐνορῶντας εἰπεῖν τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν ὀρθῶς εἰρημένον· τίς σοφὸς, καὶ συνήσει ταῦτα; καὶ συνετὸς, καὶ ἐπιγνώσεται αὐτά; σκιὰν γὰρ ὁ νόμος ἔχει τῶν μελλόντων ἀγαθῶν, καὶ οὐκ αὐτινῆ τινὰ εἰκόνα τῶν πραγμάτων, ὡς γέγραπται· πλὴν ὠδίνουσιν αἱ σκιαὶ τὴν ἀλήθειαν, * εἰ μὴ αὐτὸ ἃ πάντως εἰσὶ τὸ ἀληθές. διὰ τοῦτο καὶ ὁ θεσπέσιος Μωϋσῆς κάλυμμα ἐτίθη ἐπὶ τὸ πρόσωπον * αὐτοῦ, * προελάλει τε ὕπω τοῖς υἱοῖς Ἰσραὴλ, μονονουχὶ δι' αὐτῆς κεκραγὼς τῆς πράγματος· ὅτι πῶν δι' αὐτῆς θεσπισμάτων τὸ κάλλος κατίδοι τις ἂν, οὐκ ἔν γε τοῖς ἔξω φανεῖσι τύποις, ἀλλ' ἐν τοῖς ἔσω κεκρυμμένοις θεωρήμασι. φέρε δὴ οὖν περιελόντες τοῦ νόμου τὸ κατασκίασμα, καὶ τῶν ἔξωθεν ἐπιβλημάτων τὸ Μωϋσέως πρόσωπον ἀποκαλύψαντες, γυμνῷ ἴδωμεν τὴν ἀλήθειαν. δύο μοὶ γάρ χιμάρους προσκομισθῆναι προσέταξε, καὶ δύο γράφεσθαι κλήρους ἐπ' αὐτοῖς· ὡς τὸν μὲν ἕνα τῶν χιμάρων ὀνομασθῆναι κύριον, * τὸν γε μὴν ἕτερον ἀποπομπαῖον. ἐκοῦν ὀνόματα τοῖς χιμάροις, κυρίος τε, καὶ ἀποπομπαῖος. σημαίνεται δὲ δι' ἀμφοῖν ὁ εἷς, καὶ μόνος υἱὸς, καὶ κύριος Ἰησοῦς Χριστός. καὶ τίνα τρόπον; ἐρήμῳ ὡς ἔνι, τῇ τῶν θεωρημάτων ἀκριβείᾳ * προσβάλλοντες. αἴξ τοίνυν, ἢ τράγος, ἤγουν ἔριφος, ὑπὲρ ἁμαρτίας τὸ θῦμα κατά γε τὸν νόμον δοκῶν. προβάτω μὲν γὰρ ἀφομοιοῖ τὸν δίκαιον πλείσαχοῦ ἡ θεόπνευστος γραφή. αἰγὶ δὲ τὸν φιλαμαρτήμονα. καὶ διὰ ποίαν αἰτίαν; πλήρης μὲν γὰρ ὁ δίκαιος αὐχημάτων τῶν εἰς ἀρετήν· ἔγκαρπος δὲ διὰ τοῦτο εἰκότως· ἐριοφορεῖ δὲ τὸ πρόβατον· τοιούτῳ τι μᾶλλον εἰκότως προβάτῳ παρεικάζεται. γυμνὸν δὲ, καὶ ἄκαρπον, καὶ ἀγαθοεργίας ἀφάσης ἐρήμην τινὰ τοῦ πλημμελοῦντος ψυχὴν κατίδοι τις ἄν. αἴξ οὖν ἄρα τύπος αὐτῆς· ἄπρακτον δὲ τὸ ζῷον καὶ τῆς τοῦ προβάτου τιμῆς κατώτερον ἔρχεται. διὰ τοῦτο καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅταν καθίσῃ, φησὶν, ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ στήσῃ τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ ἀριστερῶν. καὶ τοῖς μὲν ἐκ δεξιῶν, ἅτε δὴ τὰς τῆς δικαιοσύνης ἔχουσι χαρτοὺς, τὰ ἡτοιμασμένα αὐτοῖς ἀποκαθίσῃσι βασιλείαν, τοῖς δὲ ἐξ ἀριστερῶν πῦρ, καὶ κόλασιν, καὶ τὰς τῷ διαβόλῳ προπέμπας ἐποίσει ποινάς. ἐσφάζετο τοίνυν ὑπὲρ ἁμαρτίας ἔριφος· καὶ τοῦτο μαθήσῃ, τοῦ νόμου λίγοντος σαφῶς· ἐὰν δὲ ὁ ἄρχων ἁμάρτῃ, καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου τοῦ Θεοῦ αὐτοῦ, ἢ ὃ ποιηθήσεται ἀκουσίως, καὶ ἁμάρτῃ, καὶ πλημμελήσῃ, καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία, ἣν ἥμαρτεν ἐν αὐτῇ, καὶ προσοίσει τὸ δῶρον αὐτοῦ χίμαρον ἐξ αἰγῶν, ἄρρεν, ἄμωμον. ἔφη δέ που καὶ αὐτὸς ὁ ἐπὶ πάντων Θεὸς * περὶ τῶν ἱερᾶσθαι λαχόντων κατὰ τὸν νόμον· ἁμαρτίας λαὸν μὴ φάγοντας· τουτέστι τὰ ὑπὲρ ἁμαρτιῶν θύματα· μοῖς γὰρ καὶ κλῆρος τοῖς ἱερεῦσι κάρπωμα * κυρίου, κατὰ τὸ γεγραμμένον. γέγονε τοίνυν σφάγιον ὁ Χριστὸς ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς· τούτου τοι ἕνεκα τῆς αἰτίας ἁμαρτίαν αὐτὸν ὠνομάσθαι φαμεν. γράφει γοῦν ὁ πάνσοφος Παῦλος, ὅτι τὸν μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν ὁ Θεὸς καὶ πατήρ δηλονότι. εἰ γάρ τι φαμὲν ἁμαρτωλὸν γενέσθαι Χριστόν· μὴ γένοιτο· ἀλλ' ὅτι δίκαιον, μᾶλλον δὲ αὐτάρκημα δικαιοσύνης, εἰ γὰρ εἶδε πλημμελῆσαι, σφάγιον ἐποίησεν ὁ πατὴρ ὑπὲρ τῆς τοῦ κόσμου πλημμελημάτων· καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, ἵνα φορ ὑπομένας τὰ τῶν ἀνόμων ἀνεπιφοβώτερον. καὶ πιστώσεται λέγων ὁ θεσπέσιος προφήτης Ἡσαΐας· ὅτι πάντες ὡς πρόβατα ἐπλανήθημεν, ἕκαστος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη· καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἀνομίαις ἡμῶν· καὶ αὐτὸς ὑπὲρ ἡμῶν ὠδυνᾶται· καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. γράφει δὲ καὶ ὁ πάνσοφος Πέτρος. ὅτι τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκε· ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον. ἐκοῦν ἐπεκρέματο μοὶ τοῖς ἐπὶ τῆς γῆς κλῆρος, * τὸ χρῆναι παθεῖν τὸν θάνατον, διάτε τὴν ἐν Ἀδὰμ παράβασιν, καὶ τὴν ἐξ ἐκείνου μέχρις ἡμῶν τυραννήσασαν ἁμαρτίαν· ἀλλ' ὁ ἐκ Θεοῦ πάρεδρος λόγος, ὁ πολὺς εἰς ἡμερότητα, καὶ φιλανθρωπίαν, γέγονε σάρξ, τουτέστιν ἄνθρωπος, σύμμορφός τε ἡμῖν τοῖς ὑφ' ἁμαρτίαν, καὶ τὴν ἡμῶν ὑπέστη κλῆρον. ὡς γὰρ ὁ παντέλειος γράφει Παῦλος· χάριτι Θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, καὶ τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα τοῦ ἑαυτοῦ ψυχὴν ἐποίησατο· εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ πάντες Θεῷ * ζήσωμεν, ἁγιαζόμενοί τε, καὶ ζωοποιούμενοι διὰ τοῦ αἵματος αὐτοῦ, δικαιούμενοί τε δωρεὰν τῇ παρ' αὐτοῦ χάριτι. ὡς γάρ φησιν ὁ μακάριος εὐαγγελιστὴς Ἰωάννης, τὸ αἷμα Ἰησοῦ Χριστοῦ καθαίρει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. ὄνομα δὴ οὖν τῷ σφαζομένῳ χιμάρῳ κύριος. καὶ κληρωτὸν ἐδέχετο τὸν σφαγὸν· ἅγιόν τι θῦμα, καὶ ἱερὸν ἦν εἰς τύπον Χριστοῦ, ὃς δι' ἑαυτὸν ἀποθνήσκοντος, ἀλλ' ὑπὲρ ἡμῶν, ὡς ἔφην, καὶ ἁγιάζοντος τὴν ἐκκλησίαν τῷ ἰδίῳ αἵματι. σφάζει γὰρ τὸν χίμαρον, φησὶν, τὸν περὶ τῆς ἁμαρτίας, τὸν περὶ τοῦ λαοῦ, ἐναντι κυρίου· καὶ εἰσοίσει τοῦ αἵματος αὐτοῦ ἐσώτερον τοῦ καταπετάσματος, καὶ ῥανεῖ τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ ἱλαστήριον, κατὰ πρόσωπον τοῦ ἱλαστηρίου, καὶ ἐξιλάσεται τὸ ἅγιον ἀπὸ τῶν ἀκαθαρσιῶν τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀπὸ τῶν ἀδικημάτων αὐτῶν περὶ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν· καὶ ὕτω ποιήσει τῇ σκηνῇ τοῦ μαρτυρίου, τῇ ἐκτισμένῃ ἐν αὐτοῖς, ἐν μέσῳ τῆς ἀκαθαρσίας αὐτῶν. εἰσῆλθε γὰρ ὁ Χριστὸς εἰς τὰ ἅγια τῶν ἁγίων, διὰ δὲ τοῦ ἰδίου αἵματος ξαίνων καὶ μόχων, διὰ δὲ τοῦ ἰδίου αἵματος, αἰωνίαν λύτρωσιν εὑράμενος, καὶ ἁγιάζων, ὡς ἔφην, τὴν ἀληθεστέραν σκηνὴν, τουτέστι τὴν ἐκκλησίαν, καὶ ἅπαντας δὲ τοὺς ἐν αὐτῇ. γράφει γοῦν ὁ θεσπέσιος Παῦλος ποὶ μοὶ. ἵνα δὲ Ἰησοῦς, ἵνα ἁγιάσῃ τῷ ἰδίῳ αἵματι τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε. ποὶ δὲ πάλιν. γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ ἡμῶν προσφορὰν, καὶ θυσίαν, εἰς ὀσμὴν

ὁσμὴν ὠδίας. ἀθρητέον δὴ ἓν ἐν τῷ σφαγῆτι χιμάρῳ γβρόμβυον μβὴ ἐν θανάτῳ σαρκὸς τὸν Ἐμμανουὴλ. πλὴν ἐπὶ λύσει θανάτε, καὶ ἁμαρτίας. ἰῶ γὰρ ἐν νεκροῖς ἐλβθερος. τετέστιν, ἀνάλωτος
Ψαλ. 87. 6. ἁμαρτίαις, καὶ ἐκ ἐνοχος μεθ' ἡμῶν τῇ τῦ θανάτε δίκη. ἴδωμβυ αὐτὸν ἐν τῷ ἑπέρῳ χιμάρῳ τῷ ζῶντι καὶ ἀφιεμβένῳ, καὶ ἐν τῷ παθεῖν ἀνθρωπίνως, μὴ πάσχοντα θεϊκῶς· καὶ ἐν τῷ τεθνάναι σαρκὶ, θανάτου
Φιλ. 11. Ησαΐ. 49. χρείττονα, καὶ ὃ κατὰ τὴν Ἰβδαίων * ἀπόνοιαν ἀπομείναντα μεθ' ἡμῶν ἐν μνήματι, καὶ κάτοχον γεγονότα ταῖς ᾅδβ πύλαις τοῖς ἄλλοις ὁμῦ. ὡς γὰρ ὁ αὐτῦ φησι μαθητής· ὅτε ἐγκατελείφθη εἰς ᾅδλιν ἡ ψυχὴ αὐτῦ, ὅτε ἡ σὰρξ αὐτῦ οἶδε διαφθοράν· ἀνε-
Πραξ. 2. 27. βίω γὰρ σκυλβσας τὸν ᾅδλιν, καὶ τοῖς ἐν δεσμοῖς εἰπών. ἐξέλθετε καὶ τοῖς ἐν τῷ σκότει· ἀναχαλύφθητε· καὶ πρὸς τὸν ἄνω καὶ ἐν τοῖς ὐρανοῖς πατέρα, καὶ
Ησαΐ. 49. 9. * ἀπολύμενοι εἰς * τὸν ἀνθρώποις ἄβατον * ἀνεπτύξατο χῶρον, αὐτὸς ἐφ' ἑαυτῷ τὰς ἁμαρτίας ἡμῶν ἀναλαβών, καὶ ἱλασμὸς ὑπάρχων περὶ αὐτῶν. γράφει γοῦν ὁ θεσπέσιος
1. Ἰωάν. 2. Ἰωάννης τοῖς εἰς αὐτὸν πιστβύσασι· τεκνία, ταῦτα γράφωμῖν, ἵνα μὴ ἁμαρτάνητε· καὶ ἐάν τις δὲ ἁμάρτῃ, παράκλητον ἔχομβυ πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν. ὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ τῦ ὅλε κόσμε. οἶμαι δὲ δεῖν, καὶ αὐτὸ τοῦτο ποιήσαβθαι τὴν παράθεσιν τῶν νομικῶν γραμμάτων εἰς ἀνάμνησιν τοῖς ἀκροωμβένοις. ἔχει δὲ ὅτω· καὶ προσάξει τὸν
Λευ. 16 20. χίμαρον τὸν ζῶντα, καὶ ἐπιθήσει Ἀαρὼν τὰς χεῖρας αὐτῦ ἐπὶ τὴν κεφαλὴν τῦ χιμάρε τῦ ζῶντος. καὶ ἐξαγορβσει ἐπ' αὐτῦ πάσας τὰς ἀνομίας τῶν υἱῶν Ἰσραὴλ, καὶ πάσας τὰς ἀδικίας αὐτῶν· καὶ πάσας τὰς ἁμαρτίας αὐτῶν· καὶ ἐπιθήσει αὐτὰς ἐπὶ τὴν κεφαλὴν τῦ χιμάρε τῦ ζῶντος· καὶ ἐξαποστελεῖ ἐν χειρὶ ἀνθρώπε ἑτοίμε εἰς τὴν ἔρημον. ἆθρει δὴ οὖν, ὅπως καί τοι τῦ πρώτε σφαγῆτος χιμάρε, ζῶντι πλειοσαχῦ τὸν ἕτερον ὀνομάζει· ἰῶ γὰρ, ὡς ἔφην, ἐν ἀμφοῖν γραφόμβυος εἷς, καὶ μόνος υἱὸς, ὁ κύριος Ἰησῦς Χριστὸς, ὡς ἐν πάθει σαρκὸς ἰδίας, ὁ ἔξω πάθος· ὡς ἐν θανάτῳ, καὶ ὑπὲρ θάνατον. ἔζη γὰρ ὁ τῦ Θεῦ λόγος καὶ γβομβύης θανάτε τῆς ἁγίας σαρκὸς αὐτῦ, καὶ μεμβίηκεν ἀπαθής· καί τοι τῦ ἰδίου σώματος τὸ πάθος οἰκειύμβυος, καὶ εἰς ἑαυτὸν ἀναφέρων αὐτό. ἴδοι δ' ἂν τις τᾶτο τὸ βαθύ, καὶ μέγα μυστήριον καὶ ἑτεροξόπως ἡμῖν γραφόμβυον ἐν τῷ Λβιτικῷ. μεμολυσμένον γὰρ ἀποφαίνει τὸν λεπρὸν ὁ διὰ Μωϋσέως νόμος· ἐκπίμπεσθαι δὲ προσέταχε τῆς παρεμ-
Λευ. 14. 2. βολῆς ὡς ἀκάθαρτον. εἰ δὲ συμβαίη καταλωφῆσαι τὸ πάθος, τότε δὴ τότε παράδεκτον γβιέσθαι κελβει· καὶ δὴ καὶ φησίν· ὅτος ὁ νόμος τῦ λεπρῦ, ᾗ ἂν ἡμέρᾳ καθαερισθῇ, καὶ προσαχθήσεται πρὸς τὸν ἱερέα· καὶ ἐξελβσεται ὁ ἱερβς ἔξω τῆς παρεμβολῆς, καὶ ὄψεται ὁ ἱερβς, καὶ ἰδὲ ἴαται ἡ ἁφὴ τῆς λέπρας ἀπὸ τῦ λεπρῦ· καὶ προσάξει ὁ ἱερβς, καὶ λήψονται τῷ
* κεκαθαρμένῳ * κεκαθαρμβίνῳ δύο ὀρνίθια ζῶντα καθαρά· καὶ προσάξει ὁ ἱερβς, καὶ σφάξει τὸ ὀρνίθιον τὸ ἕν εἰς ἀγγεῖον ὀστράκινον * ἐφ' ὕδατι ζῶντι· καὶ τὸ ὀρνίθιον τὸ ζῶν λήψεται αὐτὸ, καὶ βάψει εἰς τὸ αἷμα τῦ ὀρνιθίου τῦ σφαγῆτος ἐφ' ὕδατι ζῶντι· καὶ περιῤῥανεῖ ἐπὶ τὸν καθαερισθέντα ἀπὸ τῆς λέπρας ἑπτάκις, καὶ καθαρὸς ἔσαι. καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ πεδίον.

* ὄν

Δύο μβὴ οὖν τὰ πτηνὰ, καὶ ἀκίβδηλα. τουτέστι καθαρὰ, καὶ μηδεμίαν ἔχοντα διαβολὴν, τὴν ἀπὸ τῦ νόμε φημί. καὶ τὸ μὲν σὺ ἐσφάζετο ἐφ' ὕδατι ζῶντι, τὸ γε μὴν ἕτερον ἔξω μένον σφαγῆς, εἶτα βαπτισθὲν ἐν τῷ αἵματι τῦ τεπελβτηκότος, καὶ ἐφ' ὕδατι ζῶντι, κατὰ τὸν ἴσον τῷ χιμάρῳ τρόπον εἰς τὴν ἔρημον ἐξεπέμπετο· ὑπεμφήνειεν δ' ἂν ὁ τύπος ἡμῖν κἀντῦτο δὴ πάλιν τὸ μέγα μυστήριον, καὶ σεπτὸν τῦ σωτῆρος ἡμῶν. ἰῦ μὲν γὰρ ἄνωθεν, τουτέστιν, ἐκ τῦ πατρὸς, καὶ ἐξ ὐρανῶν ὁ λόγος· ταύτῃ τοι καὶ μάλα εἰκότως πτηνῷ παρεικάζεται. καταπεφοίτηκε δὲ οἰκονομικῶς εἰς ὁμοίωσιν τὴν πρὸς ἡμᾶς, καὶ ἔλαβε δέλε μορφήν. πολὴν καὶ ἄνωθεν * ὄτος ἦν. καὶ γοῦν ἔφασκεν ἐναργῶς, Ἰβδαίοις προσλαλῶν. ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ἐγὼ ὐκ εἰμὶ ἐκ τῦ κόσμε τύτε. καὶ πάλιν· ὐδεὶς ἀναβέβηκεν εἰς τὸν ὐρανὸν, εἰ μὴ ὁ ἐκ τῦ ὐρανῦ καταβὰς, ὁ υἱὸς τῦ ἀνθρώπε. ὡς γὰρ ἔφην ἀρτίως, καὶ σὰρξ γεγονὼς, ἦγουν * τέλειος ἄνθρωπος, οὐ γηΐνος ἦν, ἢ χοϊκὸς καθ' ἡμᾶς, ἀλλ' ὐράνιός τε, καὶ ὑπερκόσμιος, καθὸ νοεῖται Θεός. πλὴν ἔστιν ἰδεῖν ἐν τοῖς ὀρνιθίοις καθὰ καὶ ἐν τοῖς χιμάροις, σαρκὶ μὲν παθόντα κατὰ τὰς γραφὰς, μένοντα δὲ καὶ ἐπέκεινα τοῦ παθεῖν· καὶ ἀποθνήσκοντα μὲν ἀνθρωπίνως, ζῶντα δὲ θεϊκῶς· ζωὴ γὰρ ὁ λόγος ἰῦ. καὶ γοῦν ὁ πάνσοφος μαθητὴς θανατωθῆναι μὲν αὐτὸν ἔφη σαρκὶ, ζωοποιηθῆναι δὲ πνεύματι. πλὴν ὅτι κἂν εἰ τοῦ παθεῖν τὸν θάνατον εἰς ἰδίαν φύσιν ἄμοιρος ἦν ὁ λόγος, ἀλλ' οὗν οἰκειοῦται τὸ πάθος τῆς ἑαυτοῦ σαρκὸς, ὡς ἤδη προεῖπον. ἐβαπτίζετο γὰρ τὸ ὀρνίθιον τὸ ζῶν ἐν τῷ αἵματι τῦ τεπελβτηκότος, πεφυραμένον δὲ τῷ αἵματι, μονονυχὶ δὲ καὶ κοινωνῆσαν τοῦ πάθους, εἰς τὴν ἔρημον ἐξεπέμπετο, ἀναπεφοίτηκε γὰρ ἐν τοῖς ὐρανοῖς ὁ μονογβνὴς τοῦ Θεῦ * λόγος μετὰ τῆς ἐνωθείσης αὐτῷ σαρκός· καὶ ξένον ἦν ἐν ὐρανοῖς τὸ θέαμα. κατεπλήττετο γὰρ ἡ τῶν ἁγίων ἀγγέλων πληθὺς, ἐν εἴδει βλέπυσα τῷ καθ' ἡμᾶς τὸν βασιλέα τῆς δόξης, καὶ τὸν τῶν δυνάμεων κύριον. καὶ δὴ ἔφασκον· τίς ὅτος ὁ παραγβόμβος ἐξ Ἐδὼμ, τουτέστιν ἐκ τῆς γῆς, ἐρύθημα ἱματίων ἐκ Βοσόρ; ἐρμηνεύεται δὲ τὸ Βοσὸρ σὰρξ, ἤτοι σωοχὴ καὶ θλῖψις. εἶτα τᾶτο προσεπιθάνοντο· τί αὖται αἱ πληγαὶ ἀνὰ μέσον τῶν χειρῶν σε; ὁ δὲ πρὸς αὐτύς· ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῦ ἀγαπητῦ με. ὥσπερ γὰρ ἀπιστήσαντι τῷ Θωμᾷ οἰκονομικώτατα λίαν καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἐδείκνυ τὰς χεῖρας, καὶ τὰς ἐν αὐταῖς τῶν ἧλων τύπους, ἐκέλβσε δὲ ψηλαφᾶν καὶ τὰς ἐν τῇ πλευρᾷ διατρήσεις, ὅτω καὶ ἐν ὐρανῷ γεγονὼς πεπληροφόρηκε τὰς ἁγίας ἀγγέλας, ὅτι δικαίως τῆς πρὸς αὐτὰς οἰκειότητος ἐκβέβληται, καὶ ἀπώλιοσεν ὁ ἠγαπημένος Ἰσραήλ. διὰ τᾶτο πεφυρμένον αἵματι τὸ ἄμφιον, καὶ τὰς ἐν χερσὶν ἐπιδείκνυ πληγὰς, ὐκ ἀναποβλήτας ἔχων αὐτάς· ἐγηγερμένος γὰρ ἐκ νεκρῶν ἀπεδύσατο τὴν φθοράν, καὶ σὺν αὐτῇ πάντα τὰ ἐξ αὐτῆς· ἀλλ' ἵνα, ὡς ἔφην, οἰκονομικῶς γνωσθῇ νῦν ταῖς ἀρχαῖς, καὶ ταῖς ἐξεσίαις ἐν τοῖς ἐπουρανίοις

Ἰωάν. 8. 23. Ἰωάν. 3. 13. * τελείως

Ησαΐ. 63. * ταῖς

Ἰωάν. 20. 27. 1. Πετρ. 3 13. Ἐφεσ. 3. 10

διὰ

δμὰ τῆς ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τῦ Θεῦ, λῶ ἐποίησεν ἐν τῷ Χεισῷ κατὰ πρόθεσιν τῶν αἰώνων. γράφει γὰρ ὕτω τισὶν ὁ ἱερώτατος Παῦλος. ὥσπερ αὖ ἐν τοῖς χιμάροις ἐγράφετο σαφῶς τὸ τῦ Χεισῦ μυςήριον, ὅτω κ ἐν τοῖς δυσὶν ὀρνιθίοις. ἀλλ' ἴσως τις ἐρεῖ· πῶς αὖ ἕνα, κ τὸν αὐτὸν φῆς εἶναι υἱόν, & χύριον Ἰησοῦν Χεισόν, καίτοι δύο χιμάρων παρενλωεγμένων, ὀρνιθίων τε δύο; ἢ τάχα πυ καταδείξεισν ἂν ὐκ ἀσυμφανῶς ὁ νόμος, ὡς δύο πυ πάντως εἰσὶν υἱοὶ, κ Χεισοί; κ δυσεβείας μὴ εἰς τῦτο κατεβιβάσθησαν ἤδη τινὲς, ὡς οἴεσθαι, κ λέγειν, ἕτερον μὴ εἶναι Χεισὸν ἰδικῶς τὸν ἐκ Θεῦ παῖδος λόγον, ἕτερον δ' τὸν ἂυ ἐκ σπέρματος Δαυίδ. ἡμεῖς δὲ φαμὲν τοῖς ὧδε ταῦτ' ἔχειν ἐξ ἀμαθίας ὑπεληφόσιν. ὡς ὁ θεσπέσιος γράφει Παῦλος. ὅτι εἷς χύριος, μία πίσις, ἓν βάπτισμα. ἐκοιῦν εἰ δύο φασὶν υἱύς, δύο πυ πάντως εἶεν ἂν οἱ χύριοι; δύο δὲ κ πίσεις, τοσαῦτα δὲ κ βαπτίσματα. ψιλδομυθήσει δὴ οιῦ ὁ Χεισὸν ἔχων ἐν ἑαυτῷ λαλοιῦντα, καθάφησιν αὐτός. ἀλλ' ὐκ ἔσι ταῦτα. μὴ γένοιτο. ἐκοιῦν εἷς χύριος, κ μία πίσις, ἓν βάπτισμα. πισδόμεν γὰρ εἰς ἕνα χύριον Ἰησοῦν Χεισὸν, τυτέσι τὸν μονογενῆ τῦ Θεῦ λόγον ἀνθρωπήσαντα, κ σεσαρκωμένον. δμὰ τῦτο κ εἰς τὸν θάνατον αὐτῦ βαπτιζόμεθα, & μόνον ἴσμεν αὐτὸν χύριον ὡς Θεόν. ὐκ ἀνὰ μέρος τιθέντες ἄνθρωπον, κ Θεόν, ἀλλ' αὐτὸν, ὡς ἔφην, τὸν ἐκ Θεῦ πατρὸς λόγον ἄνθρωπον γενέσθαι δμαβεβαιύμενοι μὴ τῦ μεῖναι Θεόν· ἄτρεπτος γὰρ, κ ἀναλλοίωτος κατὰ φύσιν ἐσίν. ἐπεὶ φραζέτωσαν οἱ δι' ἐναντίας, εἰ δύο φασὶν υἱύς, ἕνα μὲν ἰδικῶς τὸν ἐκ σπέρματος τῦ Δαυίδ, ἕτερον δ' αὖ, κ ἀνὰ μέρος τὸν ἐκ Θεῦ πατρὸς λόγον. ἆρ' ὐκ ἀμείνων κατὰ φύσιν ὁ ἐκ Θεῦ πατρὸς λόγος, τῦ ἐκ σπέρματος τῦ Δαυίδ, κ ἀσυγχύτοις διαφοραῖς; τί γὰρ ἀνθρώπυ φύσις, ὡς πρὸς γε τὴν θείαν, κ ὑπερτάτην; ἀλλ' οἶμαι, κ ὐκ ἐκόντες ἐρῦσιν, ὡς ἀμείνων ἐσὶ κατὰ φύσιν ὁ ἐκ Θεῦ πατρὸς λόγος. εἶτα τί δράσομεν, τὰς χιμάρας ὁρῶντες ὐχ ἑτεροφυεῖς ὄντας ἀλλήλοις, ὁμοειδεῖς δὲ μᾶλλον, κ κατ' ὐδὲν ἀλλήλων διαφέροντας, κατά γε τὸ εἶναι τᾶθ' ὅπερ εἰσίν; ὁ αὐτὸς δ' ἂν γένοιτο λόγος, κ ἐπὶ τοῖς δυσὶν ὀρνιθίοις. ἐκεῖ συγχωρέπωσαν διὰ τὸ τῦ χιμάρων, ἢ γᾶν ὀρνιθίων ὁμοειδὲς, μηδὲν ἀνθρώπυ διαφέρειν τὸν τῦ Θεῦ λόγον· ἀλλ' ὐκ ἀνέξονται, καθάπερ ἐγ' ὠμαι, τᾶ τοιῦδε λόγυ· πλεῖσον γὰρ ὅσον τὸ μεταξὺ θεότητός τε, κ ἀνθρωπότητος. ἐφῶμεν δὴ ἐν τοῖς παραδείγμασι κατὰ τὸν αὐτοῖς πρέποντα νοῆσθαι λόγον· ἡττᾶται γὰρ λίαν τῦ ἀληθῶς, κ μεχλὶ ἔσθ' ὅτε ποιεῖται τῦ σημαινομένων τὴν ἔνδειξιν. φαμὲν δὲ, ὅτισχιὰ, κ τύπος ὁ νόμος λῶ, κ οἷόν τις γραφὴ παρατεθεῖσα πρὸς θέαν τοῖς ὁρῶσι τὸ πράγματι· αἱ δὲ σχιαὶ τῆς τῦ γραφέντων ἐν πίναξι τέχνης τὸ πρῶτα τῦ χαράγματων εἰσίν· αἷς εἴπερ ἐπενεχθεῖεν τῦ χρωμάτων τὰ ἄνθη, τότε δὴ τότε τῆς γραφῆς ἀπαστράπτει τὸ κάλλος. ἔδει δὲ οὖν, τὸν διὰ Μωσέως νόμον καταγράψαι σαφῶς ἐθέλοντα τὸ τοῦ Χεισῦ μυςήριον, ὐχ ἑνὶ τῦ χιμάρων, * ἤτοι τῶν ὀρνιθίων, ἀποθνήσκοντί τε ὁμῦ, κ ζῶντα καταδεικνύειν αὐτὸν, ἵνα μὴ πρατοποιὰ σκιωτικὴ δόξη πῶς εἶναι τὸ δρώμενον· ἀλλ' ἐδίκετο μὲν ὡς ἐν ἑνὶ παθόντα τινὶ σφαγεῖ, καταδείκνυ δὲ τὸν αὐτὸν ἐν ἑτέρῳ ζῶντά τε, κ ἀφιέμενον. ἀποφῆναι δὲ τὸν ἐπὶ τῷ δε λόγον οὐκ ἔξω βαίνοντα τῦ εἰκότος οἰήσομαι δεῖν, κμ ἑτέραν αἷς ἔφλυν * ἐπεισφρήσας εἰκόνα. γέγραπται τοίνυν ἐν τῷ τῆς κοσμοποιίας βιβλίῳ· Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραάμ, κ εἶπεν αὐτῷ· Ἀβραάμ, Ἀβραάμ· ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ. κ εἶπε· λάβε τὸν υἱόν σε τὸν ἀγαπητὸν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ· κ πορεύθητι εἰς τινὰ γῆν τινὰ ὑψηλὴν, κμ ἀνένεγκε αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν, ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι δείξω. ἀναστὰς δὲ πρωὶ, ἐπίσαξε τὴν ὄνον αὐτῦ· παρέλαβε δὲ μεθ' ἑαυτῦ δύο παῖδας, κμ Ἰσαὰκ τὸν υἱὸν αὐτῦ, κμ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν, ἀναστὰς ἐπορεύθη· κ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεὸς, τῇ ἡμέρᾳ τῇ τρίτῃ· κ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς, εἶδε τὸν τόπον μακρόθεν, κ εἶπεν Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ· καθίσατε αὐτῦ μετὰ τῦ ὄνυ, ἐγὼ δὲ κ τὸ παιδάριον διελεύσομεθα ἕως ὧδε, κ προσκυνήσαντες ἀναστρέψομεν πρὸς ὑμᾶς. ἔλαβε δὲ τὰ ξύλα τῆς ὁλοκαρπώσεως, κ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτῦ. ἔλαβε δὲ μετὰ χεῖρας τὸ πῦρ, κ τὴν μάχαιραν· κ ἐπορεύθησαν οἱ δύο ἅμα. κ μεθ' ἕτερα· κ ᾠκοδόμησεν Ἀβραὰμ ἐκεῖσε θυσιαςήριον, κ ἐπέθηκε τὰ ξύλα· κμ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαςήριον ἐπάνω τῶν ξύλων· κ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτῦ λαβεῖν τὴν μάχαιραν τῦ σφάξαι τὸν υἱὸν αὐτῦ. ἆρ' οὖν, εἴπερ τις τῶν καθ' ἡμᾶς ἐπεθύμησεν ἰδεῖν καταγεγραμμένω ἐν πίναξι τὴν ἐπὶ τῷ Ἀβραὰμ ἰσορίαν, πῶς ἂν αὐτὸν ἐχάραξεν ὁ ζωγράφος; ἆρα ἐν ἑνὶ πάντα δρῶντα τὰ εἰρημένα, ἢ ἀνὰ μέρος, κ ἑτεροίως, ἤγουν ἑτεροειδῶς, πλείσαχῦ τὸν αὐτόν; οἷον τί φημι, ποτὲ μὲν ἐφιζήσαντι τῇ ὄνῳ, συμπαραληφθέντος τῦ παιδαρίυ, κ ἑπομένων τῶν οἰκετῶν. ποτὲ δ' αὖ πάλιν ἀπομειάσης τῆς ὄνυ κάτω τοῖς οἰκέταις ὁμῦ, καταφορτίσαντα μὲν τοῖς ξύλοις τὸν Ἰσαάκ, ἔχοντα δὲ μετὰ χεῖρας τὴν μάχαιραν κ τὸ πῦρ· κ μὴν κ ἑτέρωθι τὸν αὐτὸν ἐν εἴδει πάλιν ἑτέρῳ συμποδίσαντι μὲν τὸ μηρύκιον ἐπὶ τὰ ξύλα, ὁπλίσαντα δὲ τῇ μαχαίρᾳ τὴν δεξιὰν, ἵνα ἐπαγάγῃ τὴν σφαγήν; ἀλλ' ἦν ὐχ ἕτερος, κ ἕτερος Ἀβραὰμ, πλείσαχου τῆς γραφῆς ὁρώμενος ἑτεροίως· ἀλλ' ὁ αὐτὸς πάντα χῶ, τοῖς τῶν πραγμάτων χρείαις συγκαθισαμένης ἀεὶ τῆς τὰ γράφοντος τέχνης· ὁ γὰρ λῶ εἰκὸς, * ἤγουν τῷ ἐνδεχομένῳ, ἐν ἑνὶ κατιδεῖν· * ε γρ. αὐτὸν πάντα δρῶντα τὰ εἰρημένα. γραφὴ τοιγαροῦν ὁ νόμος λῶ, κ τύποι * πραγμάτων, ᾠδίνοντες τινὰ * πραγμάτων, ἀλήθειαν. ὥστε ἂν * εἰ δύο χιμάρας παρεκόμισεν ἡ * ἡ χρεία πρὸς παράδειξιν τὰ κατὰ Χεισὸν μυςήρια, κἂν εἰ δυὰς ὀρνιθίων λῶ, ἀλλ' εἷς λῶ ὁ ἐν ἀμφοῖν, κ ὡς ἐν πάθει, κ ἔξω πάθος, κ ἐν θανάτῳ, κ ὑπὲρ θάνατον, κ ἀναβαίνων εἰς οὐρανὸς, ἀπαρχή τις ὥσπερ δευτέρα τῆς ἀνθρωπότητος ἀναπεφθείσης εἰς ἀφθαρσίαν. αὐτὸς γὰρ ἡμῖν ἀνεκαίνισε τινὰ εἰς τὰ ἄνω ξίβον,

βον, καὶ ἑψόμεθα κατὰ καιροὺς αὐτῷ· * πορεύσομαι γὰρ, φησὶν, ἑτοιμάσαι τόπον ὑμῖν, καὶ πάλιν ἔρχομαι, καὶ παραλήψομαι ὑμᾶς μετ' ἐμαυτοῦ. ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς μετ' ἐμοῦ ἦτε. ταύτας ἔχομεν τὰς ἀληθεῖς ἐλπίδας. Ἐγὼ μὲν οὖν ἅπερ ᾔδειν γέγραφα, τῆς δὲ σῆς θεοσεβείας ἐστὶν, ἀκριβεστέραν τοῖς γεγραμμένοις ἐπενεγκεῖν τὴν βάσανον· ἵνα εἴπερ τι τῶν ἀμεινόνων εὑρεθῆναι συμβῇ, ἡμᾶς τε, καὶ τοὺς αὐτόθι λαοὺς ὠφελῇ. Χριστὸς γάρ ἐστιν ὁ ἀποκαλύπτων βαθέα, καὶ ἀπόκρυφα, καὶ σύνεσιν * καρδίαις ἐνιείς· ἐν αὐτῷ γὰρ, καὶ παρ' αὐτοῦ πάντες εἰσὶν οἱ θησαυροὶ τῆς σοφίας, καὶ γνώσεως ἀπόκρυφοι· δι' αὐτοῦ τε, καὶ σὺν αὐτῷ τῷ Θεῷ καὶ πατρὶ δόξα, καὶ κράτος, σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

* πορεύομαι
Ἰωάν. 14. 2.
* καρδίας
Ματθ. 11.
Κολασ. 2.

ΥΠΟΜΝΗΣΤΙΚΟΝ ΕΥΛΟΓΙΩ

πρεσβυτέρῳ, παραμένοντι ἐν Κωνσταντινουπόλει, παρὰ τοῦ ἀρχιεπισκόπου Κυρίλλου.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας Εὐλογίῳ χαίρειν.

ΕΠΙΛΑΜΒΑΝΟΝΤΑΙ τινες τῆς ἐκθέσεως, ἧς πεποίηνται οἱ ἀνατολικοὶ, καὶ φασί· διὰ τί δύο φύσεις ὀνομαζόντων αὐτῶν ἠνέσχετο, ἢ καὶ ἐπῄνεσε ὁ τῆς Ἀλεξανδρείας; οἱ δὲ τὰ Νεστορίου φρονοῦντες λέγουσι κἀκεῖνον οὕτω φρονεῖν, συναρπάζοντες τοὺς οὐκ εἰδότας τὸ ἀκριβές. χρὴ δὲ τοῖς μεμφομένοις ἐκεῖνο λέγειν· ὅτι οὐ πάντα, ὅσα λέγουσιν οἱ αἱρετικοὶ, φεύγειν, καὶ παραιτεῖσθαι χρή· πολλὰ γὰρ ὁμολογοῦσιν ὧν καὶ ἡμεῖς ὁμολογοῦμεν. οἷον οἱ Ἀρειανοὶ ὅταν λέγωσι τὸν πατέρα, ὅτι δημιουργός ἐστι τῶν ὅλων, καὶ κύριος, μὴ διὰ τοῦτο φεύγειν ἡμᾶς ἀκόλουθον ταύτας τὰς ὁμολογίας; οὕτω καὶ ἐπὶ Νεστορίου· κἂν λέγῃ δύο φύσεις, τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς, καὶ τοῦ Θεοῦ λόγου· ἑτέρα γὰρ ἡ τοῦ λόγου φύσις, καὶ ἑτέρα ἡ τῆς σαρκός. οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. ἡμεῖς γὰρ ἑνώσαντες ταῦτα, ἕνα Χριστὸν, ἕνα υἱὸν τὸν αὐτὸν, ἕνα κύριον ὁμολογοῦμεν. καὶ λοιπὸν μίαν τὴν τοῦ * Θεοῦ φύσιν σεσαρκωμένην. ὁποῖόν ἐστι καὶ ἐπὶ τοῦ κοινοῦ εἰπεῖν ἀνθρώπου· ἔστι μὲν γὰρ ἐκ διαφόρων φύσεων, ἀπό τε σώματός φημι, καὶ ψυχῆς· καὶ ὁ μὲν λόγος, καὶ ἡ θεωρία, οἶδε τὴν διαφορὰν. ἑνώσαντες δὲ, τότε ποιοῦμεν μίαν ἀνθρώπου φύσιν. οὐκοῦν οὐ τὸ εἰδέναι τῶν φύσεων τὴν διαφορὰν, διατέμνειν ἐστὶν εἰς δύο τὸν ἕνα Χριστόν. Ἐπειδὴ δὲ πάντες οἱ ἐκ τῆς ἀνατολῆς νομίζουσιν ἡμᾶς τοὺς ὀρθοδόξους ταῖς Ἀπολιναρίου δόξαις ἀκολουθεῖν, καὶ φρονεῖν ὅτι σύγκρασις ἐγένετο, ἢ σύγχυσις· τοιαύταις γὰρ καὶ αὐτοὶ κέχρηνται φωναῖς, ὡς τοῦ Θεοῦ λόγου * μεταβεβληκότος εἰς φύσιν σαρκὸς, καὶ τῆς σαρκὸς τραπείσης εἰς φύσιν θεότητος, συνεχωρήσαμεν * αὐτοῖς, οὐ διελεῖν εἰς δύο τὸν ἕνα Χριστόν· μὴ γένοιτο· ἀλλ' ὁμολογῆσαι μόνον, ὅτι οὔτε σύγχυσις ἐγένετο, οὔτε σύγκρασις, ἀλλ' ἡ μὲν σὰρξ, σὰρξ ἦν, ὡς ἐκ γυναικὸς ληφθεῖσα, ὁ δὲ λόγος ὡς ἐκ πατρὸς γεννηθεὶς, λόγος ἦν πλὴν εἷς ὁ Χριστὸς, καὶ υἱὸς, καὶ κύριος κατὰ τὴν Ἰωάννου φωνὴν, ὡς γεγονότος σαρκὸς τοῦ λόγου. * παρεσκευάσθαι δὲ αὐτοὺς προσέχειν τῇ ἀναγνώσει τῆς ἐπιστολῆς τοῦ μακαρίου πάπα Ἀθανασίου· ὅτι ἐκεῖ φιλονεικούντων τινῶν, καὶ λεγόντων. ὅτι ἐκ τῆς ἰδίας φύσεως ὁ Θεὸς λόγος μετεποίησεν ἑαυτῷ σῶμα, ἄνω, καὶ κάτω ἰσχυρίζεται, ὅτι οὐχ ὁμοούσιον ἦν τῷ λόγῳ τὸ σῶμα. εἰ δὲ οὐχ ὁμοούσιον, ἑτέρα πάντως καὶ ἑτέρα φύσις, ἐξ ὧν ὁ εἷς, καὶ μόνος νοεῖται * Χριστός· κἀκεῖνο δὲ * μὴ ἀγνοείτωσαν· ὅπου γὰρ ἕνωσις ὀνομάζεται, οὐχ ἑνὸς πράγματος σημαίνεται σύνοδος, ἀλλ' ἢ δύο, ἢ πλειόνων, καὶ διαφόρων * ἀλλήλοις κατὰ τὴν φύσιν. εἰ τοίνυν λέγομεν ἕνωσιν, ὁμολογοῦμεν ὅτι σαρκὸς ἐμψυχωμένης νοερῶς, καὶ λόγου· καὶ οἱ δύο λέγοντες φύσεις, οὕτω νοοῦσι. πλὴν τῆς ἑνώσεως ὁμολογουμένης, οὐκέτι διΐστανται ἀλλήλων τὰ ἑνωθέντα, ἀλλ' εἷς λοιπὸν υἱὸς, μία φύσις αὐτοῦ, ὡς σαρκωθέντος τοῦ λόγου. ταῦτα ὡμολόγησαν οἱ ἐκ τῆς ἀνατολῆς. εἰ καὶ περὶ τὴν λέξιν ὀλίγον ἐσκοτίσθησαν. οἱ γὰρ ὁμολογοῦντες, ὅτι ὁ ἐκ Θεοῦ πατρὸς γεννηθεὶς μονογενὴς λόγος, ἐγεννήθη ὁ αὐτὸς καὶ κατὰ σάρκα ἐκ γυναικὸς, καὶ ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος, καὶ ὅτι ἐν αὐτοῦ τὸ πρόσωπον, καὶ ὅτι οὐ δύο υἱοὶ, οὐ δύο Χριστοὶ, ἀλλ' εἷς, πῶς ταῖς Νεστορίου συμφέρονται δόξαις; Νεστόριος μὲν γὰρ ἐν ταῖς ἑαυτοῦ ἐξηγήσεσι προσποιεῖται λέγειν, ὅτι υἱὸς εἷς, καὶ εἷς κύριος· ἀλλὰ ἀναφέρει τὴν υἱότητα, καὶ τὴν κυριότητα ἐπὶ μόνον τὸν τοῦ Θεοῦ λόγον· ὅταν δὲ ἔλθῃ εἰς τὴν οἰκονομίαν, πάλιν ὡς ἕτερον κύριον τὸν ἐκ γυναικὸς ἰδίᾳ ἄνθρωπόν φησι συναφθέντα τῇ ἀξίᾳ τῆς ἰσοτιμίας. τὸ γὰρ λέγειν· ὅτι διὰ τοῦτο ὁ Θεὸς λόγος Χριστὸς ὀνομάζεται, ὅτι ἔχει τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστὸν, πῶς οὐκ ἐναργές ἐστι δύο λέγειν Χριστούς, εἰ Χριστὸς πρὸς Χριστὸν ἔχει συνάφειαν, ὡς ἄλλος πρὸς ἄλλον; οἱ δὲ ἐκ τῆς ἀνατολῆς οὐδὲν εἰρήκασι τοιοῦτον. τὰς δὲ φωνὰς διαιροῦσι * μόνας. διαιροῦσι δὲ κατὰ τοῦτον τὸν τρόπον, ὡς τὰς μὲν θεοπρεπεῖς εἶναι λέγειν, τὰς δὲ ἀνθρωπίνας, τὰς δὲ κοινοποιηθείσας, ὡς ἐχούσας ὁμοῦ καὶ τὸ θεοπρεπὲς, καὶ τὸ ἀνθρώπινον, πλὴν εἰρημένας περὶ ἑνὸς, καὶ τοῦ αὐτοῦ, καὶ οὐχ ὡς Νεστόριος τὰς μὲν τῷ Θεῷ λόγῳ ἰδικῶς ἀπονέμει, τὰς δὲ τῷ ἐκ γυναικὸς ὡς ἑτέρῳ υἱῷ. ἕτερον δέ ἐστι τὸ φωνῶν εἰδέναι διαφορὰν, καὶ ἕτερον τὸ μερίζειν δύο προσώποις, ὡς ἑτέρῳ, καὶ ἑτέρῳ. ἡ δὲ ἐπιστολὴ ἡ πρὸς Ἀκάκιον μάλιστα, ἧς ἡ ἀρχή· χρῆμα μὲν ἀδελφοῖς ἡ πρόσρησις γλυκύ τε, καὶ ἀξιάγαστον, καλὴν ἀπολογίαν ἔχει περὶ πάντων. ἔχεις δὲ πλείστας ἐπιστολὰς * ἐν τῷ γλωσσοκόμῳ, ἃς ὀφείλεις σπουδαίως ἐπιδοῦναι *. προσάγαγε δὲ τῷ μεγαλοπρεπεστάτῳ πραιποσίτῳ, καὶ τὰ ἀποσταλέντα παρ' ἐμοῦ δύο βιβλία, ἓν μὲν κατὰ τῶν Νεστορίου δυσφημιῶν, ἕτερον δὲ ἔχον τὰ ἐν τῇ συνόδῳ πεπραγμένα κατὰ Νεστορίου, καὶ τῶν τὰ αὐτοῦ φρονούν-

* υἱοῦ
* μεταβεβηκότος.
* καταβεβηκότος.
* αὐτούς.
Ἰωάν. 1.
* παρασκευάζει.
* παρασκευάζεσθαι δι' αὐτὸς προσέχει.
* υἱός.
* μανθανίτωσαν.
* ἀλλήλων.
* μόνον.
* τοιαύτας ἐν γλωσσοκομείῳ,
* τῷ μεγαλοπρεπεστάτῳ Πρ.

ομύτων, καὶ ἀντιῤῥήσεις παρ' ἐμοῦ * γεγραμμένας πρὸς τοὺς γράψαντας κατὰ τῶν κεφαλαίων· δύο εἰσὶν ἐπίσκοποι, Ἀνδρέας καὶ * Θεοδώρητος. ἔχει δὲ ἐπὶ τέλει τὸ αὐτὸ βιβλίον, καὶ σωτόμως ἐκθέσεις περὶ τῆς κατὰ Χριστὸν οἰκονομίας, σφόδρα καλὰς, καὶ ὠφελῆσαι δυναμένας. προσάγαγε δὲ ὁμοίως αὐτῷ ἐκ τῶν ἐκκλησῶν δέρμα ἐπιστολὰς πέντε, μίαν μὲν τοῦ μακαρίου πάπα Ἀθανασίου πρὸς Ἐπίκτητον, καὶ ἄλλην πρὸς Ἰωάννην παρ' ἡμῶν, καὶ πρὸς Νεστόριον δύο, μίαν τὴν μικρὰν, καὶ μίαν τὴν μεγάλην, καὶ τὴν πρὸς Ἀχάκιον. * αὐτὰς γὰρ ἐζήτησε παρ' ἡμῶν.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ * ΔΟΝΑΤΟΝ ἐπίσκοπον Νικοπόλεως παλαιᾶς Ἤπειρα ἐπιστολή.

Τῷ κυρίῳ μου ἀγαπητῷ ἀδελφῷ, καὶ συλλειτουργῷ * Δονάτῳ Κύριλλος ἐν κυρίῳ χαίρειν.

ΔΕΙΝ ᾠήθην τῇ σῇ θεοσεβείᾳ τὰ παρακολουθήσαντα ἐπὶ τῇ εἰρήνῃ τῶν ἐκκλησιῶν κατασῆσαι γνώμενα. ἀφίκετο τοίνυν ὁ κύριός μου, ὁ θαυμασιώτατος ξιβῶν, καὶ νοτάριος, Ἀρισόλαος εἰς τὴν Ἀντιόχειαν, ἐπιφερόμενος καὶ βασιλικὰς συλλαβάς· αἳ παρεκελεύοντο τὸν δίλαβέσατον τῆς Ἀντιοχέων ἐκκλησίας ἐπίσκοπον Ἰωάννην ἀναθεματίσαι μὲν τὰ μιαρὰ τοῦ Νεστορίου δόγματα· καταψηφίσασθαι δὲ καὶ τῆς αἱρέσεως αὐτοῦ καθ' ὁμοιότητα τῆς ἁγίας συνόδου, ζητῆσαί τε ὅπως τὴν παρ' ἡμῶν κοινωνίαν. καὶ ἡ μὲν δύναμις τῶν γεγραμμένων αὕτη. τινὲς δὲ τῶν κατὰ τὴν ἀνατολὴν ἐπισκόπων, * ὅπως τάχα Νεστορίου καταγινώσκοντες, ἢ καὶ προσασίαν αὐτῷ νέμοντες, τὴν ὀρθὴν ἡμῶν λυπῆσι πίστιν. καὶ τῇ δόξῃ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ προσκρούσιν ὑ μετρίως· παρεσκεύασάν τε γράψαι πρός με τὸν θεοσεβέστατον, καὶ ὁσιώτατον τῆς Βεῤῥοιαίων ἐπίσκοπον Ἀχάκιον * εἰκαινά τινα, ὡς αὐτῶν αἰτούντων, χρῆναι μὲν ἅπαντα τὰ παρ' ἡμῶν γραφέντα κατὰ Νεστορίου παραλύεσθαι, ὡς ἄκυρα ῥίπτεσθαι· συνθέσθαι δὲ μόνῳ τῷ συμβόλῳ τῆς πίστεως τῆς ὁριθείσης παρὰ τῶν ἁγίων πατέρων ἐν τῇ Νικαίων πόλει. οἶδε δὲ καὶ ἡ σὴ ὁσιότης, ὅτι τοιαῦται πάλαι αὐτῶν αἱ προτάσεις ἦσαν κατὰ τὴν τῶν Ἐφεσίων πόλιν. ἐγὼ δὲ πρὸς ταῦτα γέγραφα, ὅτι πρᾶγμα αἰτεῖσιν οὐκ ἐνδεχόμενον. γεγράφαμεν γὰρ ὀρθῶς, ἃ γεγράφαμεν, τῇ ὀρθῇ, καὶ ἀμωμήτῳ συναγορεύοντες πίστει· καὶ οὐδὲν τὸ παράπαν τῶν ἰδίων ἀρνούμεθα. εἰ γάρ * εἴρηταί τι, καθάπερ αὐτοί φασιν, ἀτημελῶς, ἀλλὰ τῆς ὀρθότητος ἐχόμενα παντελῶς, καὶ παντοχῆ, καὶ τῇ τῆς ἀληθείας δυνάμει συνεχόμενα· χρῆναι δὲ μᾶλλον αὐτοὺς μὴ περιδρομαῖς τισι, καὶ ἀναβολαῖς χρῆσθαι τοιαύταις, μήτε μοὶ ἔξω φέρεσθαι τῶν ἀναγκαίων, ἀλλὰ κατὰ τὸ δόξαν εὖ ἔχειν καὶ αὐτῷ τῷ θεοσεβεστάτῳ, καὶ θεοφιλεστάτῳ βασιλεῖ, καὶ τῇ ἁγίᾳ συνόδῳ, τὰς Νεστορίου φλυαρίας, καὶ τὰς κατὰ Χριστοῦ ὑμνουμένας δυσφημίας ἀναθεματίσαι, ὁμολογῆσαί τε τοῖς καθαίρεσιν αὐτοῦ, καὶ συνθέσθαι τῇ χειροτονίᾳ τοῦ ὁσιωτάτου, καὶ θεοσεβεστάτου ἐπισκόπου Μαξιμιανοῦ. τούτων τοίνυν παρ' ἐμοῦ δηλαδὴ σὺν

τῶν αὐτοῖς τῶν γραμμάτων, συνωρακόπες, ὅτι οὐκ ἂν λάβοιεν τὴν κοινωνίαν, μὴ εἰς πέρας ἐλεγμένων ὧν ἔδει ποιεῖν αὐτούς, ἀποστέλλεται εἰς τὴν Ἀλεξάνδρειαν τὸν δίλαβέσατον, καὶ θεοφιλέστατον ἐπίσκοπον τῆς Ἐμεσηνῶν Παῦλον, ἐπακολουθοῦντα τοῖς μεγράμμασι, κοινωνικὰ μέν, ὑπαγορεύοντα * δὲ σφόδρα καθηκόντως. προσεποιοῦντο γὰρ καὶ μέμψεις προσάγειν, ὡς ἐκ ὀρθῶς ἡνωμένων εἰρημένων, καὶ πεπραγμένων ἐν τῇ ἁγίᾳ συνόδῳ. καὶ τὰς μὲν τοιαύτας ἐπιστολὰς οὐ προσκαλοῦμαι, ἀλλ' ἔφην· ὅτι σὺν καὶ συγγνώμην αἰτεῖν ὀφείλοντες ἐπὶ τοῖς φθάσασι, πῶς καὶ δικαίους ἐπάγεσιν ὕβρεις; ἀπολογουμένου δὲ τοῦ μνημονευθέντος θεοσεβεστάτου ἐπισκόπου, ὁμολόγως τε διαβεβαιουμένου, μὴ τοιοῦτον ἐσχηκέναι σκοπὸν αὐτούς, ἐξ ἁπλότητος δὲ μᾶλλον ἐπὶ τὸ γράμμα ἐλθεῖν, * παρακάμψαι, καὶ τοῦτο διὰ τὴν ἀγάπην. οὐ πρότερον δὲ συνεχωρήσαι αὐτῷ συγκεχώρηκα, εἰ μὴ βιβλίον * δὲς ἐγγράφως ἀνεθεμάτισε τὰ Νεστορίου δόγματα, καὶ ὡμολόγησεν ἔχειν αὐτὸν καθηρημένον, καὶ συντίθεσθαι τῇ χειροτονίᾳ τοῦ διλαβεστάτου ἐπισκόπου Μαξιμιανοῦ. καὶ τῆξις μὲν, ὡς ὑπὲρ πάντων τῶν κατὰ τὴν ἀνατολὴν ὄντων θεοσεβεστάτων ἐπισκόπων τὰ τοιαῦτα βιβλία δοῦς, μηδὲν ἕτερον ἡμᾶς προσαπαιτῆσαι. ἐμενέχομην δὲ οὐδαμῶς. ἀλλὰ γὰρ συνεξέπεμψα τῷ κυρίῳ μου τῷ θαυμασιωτάτῳ τριβούνῳ, καὶ νοταρίῳ, Ἀρισολάῳ δύο τῶν ἡμετέρων κληρικῶν εἰς τὴν Ἀντιόχειαν, ἐγχειρίσας, χάρτην, καὶ εἰπών· ὅτι ἐὰν ὑπογράψῃ ὁ θεοσεβέστατος ἐπίσκοπος Ἀντιοχείας Ἰωάννης, καὶ δέξηται τοῦτον, τότε ἀποδοτέα τὰ κοινωνικά. ἐδυσχέραινε * γὰρ ἐπὶ τῷ βράδει ὁ μνημονευθεὶς θαυμασιώτατος τριβούνος Ἀρισόλαος. ὑπογράψαντος τοίνυν τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἰωάννου, καὶ τῶν σὺν αὐτῷ ἐπιφανεστέρων, ἀναθεματισάντων * δὲ αὐτῶν τὰ Νεστορίου δόγματα, καὶ ὁμολογησάντων ἔχειν αὐτὸν καθηρημένον, συνθεμένων τε τῇ χειροτονίᾳ τοῦ διλαβεστάτου, καὶ θεοσεβεστάτου ἐπισκόπου Μαξιμιανοῦ, ἀποδεδώκαμεν τὴν κοινωνίαν. ταῦτα γὰρ αὐτοῖς καὶ κατὰ τὴν Ἐφεσίων μητρόπολιν προετέτατο παρὰ τῆς ἁγίας συνόδου. ἴσως δὲ χάριεν ἦν καὶ τῆς ὁσιότητος· ἐνέστη μὲν γὰρ ἐν ἀρχαῖς πλεῖσα παρακαλῶν ὁ δίλαβέστατος, καὶ θεοφιλέστατος ἐπίσκοπος Παῦλος τῶν καθηρημένων ἔσχα, * Παλλαδίου τε, καὶ Εὐθηρίου, καὶ Γαμεδίου, καὶ Δωροθέου, καὶ Τιμοθέου, τὰ ἐπ' αὐτοῖς ἀργῆσαι, διατεινόμενος, μὴ ἑτέρως δύνασθαι τὴν εἰρήνην τῶν ἐκκλησιῶν ἐνέχεσθαι πρὸς πέρας, εἰ μὴ προσεθέμην καὶ τοῦτο. ἐγὼ δὲ ἔφην, ἀδυνάτῳ πράγματι ἐπιχειρεῖν αὐτόν· καὶ τοῦτο οὐκ ἔσεσθαί ποτε παρ' ἡμῶν. μεμνήμεθα τοίνυν ἐν ᾧ καὶ νῦν εἰσι * χίσματι· καὶ οὐδεμία γέγονεν αὐτῷ μνήμη ἐν ταῖς συνθήκαις ταῖς περὶ τῆς εἰρήνης τῶν ἁγίων ἐκκλησιῶν. γεγράφασι δὲ τῷ αὐτὴν ἐπιστολήν, ἣν ἔπεμψαν πρός με, καὶ πρὸς τοὺς θεοσεβεστάτους, καὶ ὁσιωτάτους ἐπισκόπους, τόν τε τῆς μεγάλης Ῥώμης Ξύστον, καὶ τὸν τῆς ἁγίας Κωνσταντινοπολιτῶν ἐκκλησίας Μαξιμιανόν. καὶ ἦν ἀναγκαῖον ἀκριβῶς διδαχθῆναι ταῦτα τὴν σὴν τελειότητα· ὡς ἂν μή τινες ἕτερα ἀνθ' ἑτέρων φλυαρεῖν εἰωθότες, ταράξωσί τινας τῶν ἀδελφῶν ὡς ἡμῶν ἀρνησαμένων ἃ γεγράφαμεν κατὰ τῆς Νεστορίου δυσφημιῶν.

* Μετὰ τοῦ

* ἐπιπαρακάμψαι

* τοῦτο.

* Ἐλλείπει τι ὧδε, καὶ

* καὶ.

* χίσματι.

ἀπέστειλα δὲ καὶ τὰ ἴσα τῶν ἐπιστολῶν, τῆς τε παρ' ἐμοῦ γραφείσης πρὸς τὸν εὐλαβέστατον τῆς Ἀντιοχείας ἐπίσκοπον Ἰωάννην, καὶ τῆς παρ' αὐτοῦ γραφείσης πρός με ἐπὶ τῷ ἀναθεματισμῷ τῶν Νεστορίου δυσφημιῶν, καὶ τῇ καθαιρέσει αὐτοῦ, πρὸς εὐμάθειαν ἀκριβῆ τῆς σῆς τελειότητος. καὶ ἑτέρας ἐπιστολὰς παρὰ ταύτας προκομιζέτω μηδείς. πρόσειπε τὴν σύν σοι ἀδελφότητα. σὲ ἡ σὺν ἡμῖν ἐν * Χριστῷ προσαγορεύει.

* κυρίῳ.

ΚΥΡΙΛΛΟΥ ΕΠΙΣΚΟΠΟΥ

Ἀλεξανδρείας πρὸς Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως ἐπιστολή.

Τῷ ὁσιωτάτῳ, καὶ ἁγιωτάτῳ δεσπότῃ ἐμῷ, ἀρχιεπισκόπῳ, πατρὶ Μαξιμιανῷ, Κύριλλος ἐκ κυρίῳ χαίρειν.

ΟΥΚ' ἦν ἀμφίβολον, ὅτι πάντῃ τε, καὶ πάντως αἱ τῆς σῆς ὁσιότητος ἰσχύσουσι προσευχαί· κατανεύει γὰρ ἑτοίμως τοῖς ἀγαπῶσιν αὐτὸν ὁ πάντων ἡμῶν σωτήρ· ὥστε ἕκαστον καὶ ἐπὶ τούτῳ χαίροντά τε, καὶ ἀνασκιρτῶντα λέγειν· ἤκουσαν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μοῦ· καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ. ἰδοὺ γὰρ, ἰδοὺ τὰ διεσπασμένα μέλη τοῦ τῆς ἐκκλησίας σώματος συνήφθη πάλιν ἀλλήλοις· καὶ διατέμνει μὲν οὐδὲν εἰς διχόνοιαν τοὺς ἱερουργοῦντας τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. μιᾷ δὲ οἱ πάντες στεφανούμεθα πίστει, τὸν τῶν ἀνοσίων εὑρετὴν Νεστόριον ἔξω τῶν ἱερῶν * ἐλάσαντες περιβόλων, καὶ ἀγέλης εὐγενοῦς * ἀποστήσαντες τὸν ψευδοποιμένα. γέγονε δὲ καὶ * τοῦτο ἓν τῶν σῶν κατόρθωμα προσευχῶν. ἐπεὶ τοίνυν φροντὶς ἀναγκαία γέγονε καὶ τοῖς εὐσεβεστάτοις βασιλεῦσιν ἡ περὶ τῶν ἐκκλησιῶν εἰρήνη, εὐχόμεθα δὲ καὶ ἡμεῖς αὐτοὶ γενέσθαι μὲν ἐκ μέσου τὸ διατειχίζον, καὶ διατέμνον ἡμᾶς εἰς διαφορὰν, ἀναλάμψαι δὲ φωτὸς δίκην Θεῷ φιλτάτην εἰρήνην, ὁμολογησάντων ἐγγράφως, τοῦ θεοφιλεστάτου, καὶ θεοσεβεστάτου τῆς Ἀντιοχέων ἐκκλησίας Ἰωάννου, καὶ τῶν σὺν αὐτῷ εὐλαβεστάτων ἐπισκόπων, ὅτι καθῃρημένον ἔχουσι Νεστόριον, καὶ ἀναθεματίζουσι τὰς ἀνοσίους αὐτοῦ δυσφυμίας, πέπομφα γράμματα πρός τε τὴν θεοσέβειαν αὐτοῦ, καὶ τοὺς ἄλλους ἐπισκόπους, κοινωνικά· καὶ συνήφθημεν εἰς ὁμόνοιαν, συντρεχούσης πρὸς τοῦτο, καὶ τῆς σῆς ὁσιότητος, καὶ ἁπάντων τῶν ἄλλων, ἐξ ὧν τὸ τῆς ἁγίας συνόδου γέγονε πλήρωμα. οὐ γὰρ ἔρις, καὶ φιλονεικία κρατεῖ παρ' ἡμῖν, ἀλλ' ἕνα σκοπὸν ἅπαντες ἐσχήκαμεν πρὸς εἰρήνην βλέποντα. καὶ εἴπερ ἠθέλησαν οἱ ἐξ ἀρχῆς ἡμῖν διχονοήσαντες, καὶ ἑαυτοὺς ἡμῶν ἀποτεμόντες, οὐδ' ἂν ὅλως γέγονέ τις ἔρις, καὶ διαφορὰ τῶν ἐκκλησιῶν. πλὴν εὐλογητὸς ὁ σωτὴρ, ὁ τὸν χειμῶνα καταπαύσας, καὶ τὴν τῆς ὁμοψυχίας ἡμῖν ἁπλώσας γαλήνην εὐχαῖς, καὶ πρεσβείαις τῆς σῆς ὁσιότητος· καὶ τῶν ἄλλων δὲ πάντων, ὅσοι πίστιν ἔχοντες ὀρθὴν, καὶ εἰλικρινῆ τὴν ἐν πνεύματι, καὶ ἀληθείᾳ προσκύνησιν, καὶ λατρείαν τελοῦσιν αὐτῷ.

Ψαλ. 17. 7.

* ἐλάσαντες.
* ἀποστήσαντας.
τοῦτο τῶν.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΟΥΑΛΕΡΙΑΝΟΝ

ἐπίσκοπον, κατὰ τῶν τὰ Νεστορίου φρονούντων.

ΑΠΟΧΡΗ μὲν, ὡς διάκειμαι, μᾶλλον δὲ καὶ ὡς ἔχει φύσεως τὸ ἀληθὲς, καὶ ἡ νῆψις τῆς σῆς ὁσιότητος, εἴς γε τὸ δύνασθαι καὶ μάλα νεανικῶς, ἀνταναστῆσαι τὸ ἀκριβὲς ταῖς τινων εἰκαιομυθίαις. ψυχρολογοῦσι γὰρ γραοπρεπῶς, ἄνω τε, καὶ κάτω πάντα κυκῶντες, καὶ προσποιούμενοι μὲν περιεργάζεσθαι λεπτῶς τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς, καὶ κυρίου, τὸ μυστήριον, οὐ μὴν ἔτι καὶ συνιέντες αὐτὸ, παραξεπόμενοι δὲ, καὶ τοῦτο εὐκόλως, πρὸς ἃ μὴ θέμις, καὶ φρονοῦντες τὰ διεστραμμένα. τὸ δέ γε παγχάλεπον ἐκεῖνό ἐστιν ἐν τούτοις· ὑποπλάττονται μὲν γὰρ τὰ ὀρθὰ βούλεσθαι φρονεῖν, καὶ δόκησιν ἑαυτοῖς τῆς εἰς τοῦτο ῥοπῆς, καθάπερ τι προσωπεῖον ἐναρμόσαντες, τὸν τῆς Νεστορίου δυσσεβείας ἰὸν ἐκχέουσι ταῖς τῶν ἁπλουστέρων ψυχαῖς. ἐοίκασι δέ πως τοῖς τῶν ἀνθρωπίνων σωμάτων ἀκεσταῖς, ἤγουν ἰατροῖς, οἳ τοῖς τῶν φαρμάκων οὐχ ἡδέσι τὸ γλυκὺ προσπλέκουσι μέλι, τῇ τοῦ χρηστοῦ ποιότητι, τοῦ πεφυκότος λυπεῖν τὴν αἴσθησιν ὑποκλέπτοντες. ἀλλ' οὐ γὰρ αὐτῶν τὰ νοήματα ἀγνοοῦμεν, νοῦν ἔχοντες Χριστοῦ, κατὰ τὸν σοφώτατα εἰπόντα πάνσοφον Παῦλον. εἰ μὲν γὰρ ἦν τις ὁ λέγων· ὡς ὁ ἐκ Θεοῦ πατρὸς ἀπορρήτως γεννηθεὶς μονογενὴς Θεὸς λόγος, ὁ καὶ αὐτῶν τῶν αἰώνιων ποιητὴς, ἀρχὴν ὑπάρξεως ἔσχεν ἐκ τῆς ἁγίας παρθένου. ἔδοξεν ἂν αὐτοῖς οὐκ ἔξω φέρεσθαι σκοποῦ τὸ χρῆναι λέγειν· εἰ πνεῦμα κατὰ φύσιν ἐστὶν ὁ τοῦ Θεοῦ λόγος, πῶς ἂν ἀπὸ σαρκὸς ἐγεννήθη, τοῦ κυρίου λέγοντος· τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστὶν; ἐπειδὴ δὲ ὁ τοῦ κατὰ Χριστὸν μυστηρίου λόγος ἑτέραν οἶμον, ἤ τοι ὁδὸν, ἔρχεται τὴν εἰς εὐθύτε, καὶ ἀπλανῆ, καὶ οὐδὲν ἔχουσαν τὸ διάστροφον, ἀνθ' ὅτου βαττολογοῦσιν εἰκῆ, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μή τε περὶ τίνων διαβεβαιοῦνται; Φαμὲν γὰρ, ὅτι ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, πνεῦμα ὢν ὡς Θεὸς, κατὰ τὰς γραφὰς, ἐπὶ σωτηρίᾳ τῶν * ἀνθρώπων ἐσαρκώθη τε, καὶ ἐνηνθρώπησεν, οὐκ ἐκ τῆς ἰδίας φύσεως αὐτὸς ἑαυτῷ σῶμα * μετεβαλὼν, ἀλλ' οὐδὲ ἐκστὰς τοῦ εἶναι ὃ ἦν, ἢ τροπὴν, ἢ ἀλλοίωσιν ὑπομείνας, ἀλλ' ἐκ τῆς ἁγίας παρθένου τὸ ἄχραντον σῶμα λαβὼν ἐψυχωμένον νοερῶς, ἴδιον ἀποφήνας αὐτὸ καθ' ἕνωσιν ἀπερινόητον, καὶ ἀσύγχυτον, καὶ ἄφραστον παντελῶς, ὡς μὴ ἑτέρου τινὸς, ἀλλ' ἴδιον αὐτοῦ τοῦτο νοεῖσθαι. οὕτως εἰσῆλθεν εἰς τὸν κόσμον ὁ μονογενὴς, ὡς πρωτότοκος· καὶ ἐν πολλοῖς γέγονεν ἀδελφοῖς, ὁ ἀσύντακτος τῇ κτίσει, καθὸ νοεῖται Θεός. ὅταν τοίνυν γεγεννῆσθαι λέγειται, καὶ ἐκ γυναικὸς, ἀναγκαίως τὸ κατὰ σάρκα προσεπιφέρεται· ἵνα μὴ ὑπάρξεως ἀρχὴν νοοῖτο λαβὼν ἐκ τῆς ἁγίας παρθένου· καί τοι πρὸ παντὸς ὑπάρχων αἰῶνος ὁ συναΐδιος, καὶ ἀεὶ συνυφεστηκὼς τῷ ἰδίῳ πατρὶ Θεὸς λόγος· ἀλλ' ὅτε κατ' εὐδοκίαν τοῦ πατρὸς τὴν τοῦ δούλου μορφὴν ἠθέλησε λαβεῖν, τότε καὶ ἀπότεξιν τὴν ἐκ γυναικὸς κατὰ σάρκα μεθ' ἡμῶν ὑπομεῖναι λέγεται.

ται. οὐκοῦν ὁμολογουμένως μὲν τὸ ἀπὸ σαρκὸς σάρξ ἐστι, τὸ δὲ ἐκ Θεοῦ Θεός. * ἔστι δὲ κατὰ ταυτὸν ἀμφότερα Χριστὸς, εἷς ὢν υἱὸς, καὶ κύριος μετὰ τῆς ἰδίας σαρκὸς αὐτοῦ, οὐκ ἀψύχου μᾶλλον, ὡς ἔφην, ἀλλ' ἐψυχωμένης νοερῶς. μὴ τοίνυν διατεμνέτωσαν * ἡμῖν τὸν ἕνα υἱὸν, ἀνὰ μέρος ἱστάντες τὸν λόγον, καὶ υἱὸν ἕτερον ἰδικῶς τε, καὶ ἀνὰ μέρος ἄνθρωπον τὸν ἐκ Γυναικὸς, καθά φασιν αὐτοί. ἀλλ' ἐννοείτωσαν, ὅτι οὐκ ἀνθρώπῳ συνήφθη μᾶλλον ὁ Θεὸς λόγος, ἀλλ' αὐτὸς ἄνθρωπος γενέσθαι λέγεται, σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος κατὰ τὰς γραφὰς, καὶ ὁμοιωθεὶς κατὰ πάντα τοῖς ἀδελφοῖς, δίχα μόνης ἁμαρτίας. ἡ δὲ εἰσάπαν ὁμοίωσις ἔχοι ἂν εἰκότως, καὶ πρόγε τῶν ἄλλων, τὴν ἐκ γυναικὸς ἀπότεξιν· ἣ νοεῖται μὲν ἐφ' ἡμῶν ἀνθρωπίνως, καὶ καθ' ἡμᾶς, ἐπὶ δέ γε τοῦ μονογενοῦς ὑπὲρ τοῦτο. Θεὸς γὰρ ἦν σαρκούμενος. τοιγάρτι, καὶ θεοτόκος καλεῖται ἡ ἁγία παρθένος. ἐὰν δὲ λέγωσιν, ὅτι Θεὸς καὶ ἄνθρωπος συνελθόντες κατὰ ταυτὸν, ἀπετέλεσαν ἕνα Χριστὸν, φυλαττομένης δηλονότι τῆς ὑποστάσεως ἑκατέρου ἀσυγχύτως, τῷ δὲ λόγῳ διαιρουμένης, οὐδὲν ἀκριβὲς ἐπὶ τούτῳ φρονοῦντας, ἢ λέγοντας ἔνεστιν ἰδεῖν. οὐ γὰρ, καθά φασι, Θεὸς καὶ ἄνθρωπος συνελθόντες ἀπετέλεσαν ἕνα Χριστὸν, ἀλλ' ὡς ἔφην ἤδη Θεὸς ὢν ὁ λόγος, παραπλησίως ἡμῖν μετέσχεν αἵματος, καὶ σαρκὸς, ἵνα Θεὸς ἐνανθρωπήσας νοῆται, καὶ τὴν ἡμετέραν σάρκα λαβὼν, καὶ ἰδίαν αὐτὴν ποιησάμενος· ἵνα καθάπερ ὁ καθ' ἡμᾶς νοούμενος ἄνθρωπος ἐκ ψυχῆς, καὶ σώματος συνεστὼς εἷς ἐστιν, οὕτω καὶ αὐτὸς εἷς ὁμολογῆται ὑπάρχειν, καὶ υἱὸς, καὶ κύριος· μία γὰρ ὁμολογεῖται φύσις ἀνθρώπου, καὶ * ὑπόστασις, κἂν ἐκ διαφόρων νοῆται, καὶ ἐξ ἑτεροειδῶν πραγμάτων. ἑτεροφυὲς μὲν γὰρ ὁμολογουμένως ὡς πρόσγε ψυχὴν τὸ σῶμά ἐστιν, ἀλλ' ἴδιον αὐτῆς, καὶ συναποτελεστικὸν τῆς ὑποστάσεως τοῦ ἑνὸς ἀνθρώπου. καὶ νῷ μὲν, καὶ θεωρίᾳ, τὸ διάφορον τῶν ὠνομασμένων οὐκ ἀσυμφανές. ἡ δέ γε σύνοδος, ἤτοι συνδρομὴ, τὸ ἀδιάτμητον ἔχουσα ἓν ἀποτελεῖ ζῶον τὸν ἄνθρωπον. ὁ τοίνυν μονογενὴς τοῦ Θεοῦ λόγος, οὐκ ἄνθρωπον προσλαβὼν προῆλθεν ἄνθρωπος, ἀλλά καί τοι τὴν καὶ Θεοῦ πατρὸς ἀπόῤῥητον ἔχων γέννησιν, διὰ τοῦ ἁγίου, καὶ ὁμουσίου πνεύματος ἑαυτῷ δημιουργήσας ναὸν, γέγονεν ἄνθρωπος. τοιγάρτοι, καὶ εἷς νοεῖται, κἂν τῇ θεωρίᾳ τῇ κατὰ τὸν λόγον, ἑτεροφυὲς * ἦν παρ' αὐτὸν τὸ σῶμα αὐτοῦ. ὁμολογείσθω δὲ πανταχοῦ, ὅτι μὴ ἄψυχον ἦν, ἀλλ' ἐψύχωτο ψυχῇ νοερᾷ.

Ἤκειν γε μὴν εἰς τοῦτο ἀποπληξίας ἐπυθόμην τινὰς, ὡς μὴ * καταιδεῖσθαι λέγειν, ὡς ἔν τινι υἱῷ τῷ ἐκ παρθένου τεχθέντι ἐνοικήσαντα τὸν Θεὸν λόγον, τοῦτον ἀποθεῶσαι. ἀλλ' οὐ τοῦτό ἐστιν, ὦ βέλτιστοι, φαίην ἂν αὐτοῖς, τὸ σαρκωθῆναί τε, καὶ ἐνανθρωπῆσαι τὸν τοῦ Θεοῦ λόγον, * ἐγκατοικῆσαι δὲ μᾶλλον ἀνθρώπῳ, καθάπερ ἀμέλει, καὶ ἐνὶ τῶν ἁγίων προφητῶν. ὁ δέ γε τοῦ καθ' ἡμᾶς μυστηρίου λόγος, ὡς καὶ ἐν τοῖς * ἀνωτέροις βραχὺ προδεδήλωται, αὐτὸν βούλεται τὸν ἐκ Θεοῦ πατρὸς γεννηθέντα λόγον, σάρκα γενέσθαι κατὰ τὰς γραφὰς, οὐχ ὡς μετάστασιν φυσικὴν, ἤγουν τροπὴν, ἢ ἀλλοίωσιν ὑπομείναντα, τὴν εἰς σάρκα φημὶ, ἀλλ' ὅτι σάρκα ἐψυχωμένην νοερῶς, ἰδίαν ἐποιήσατο, καὶ αὐτὸς προῆλθεν ἄνθρωπος, οὐκ ἀνθρώπῳ συνήφθη, οὐ δὲ ἐνῴκηκε, καθὰ φασί. τὸ δὲ καὶ ἀποτεθεῶσθαι λέγειν τὸν ἐσχηκότα τὴν ἐνοίκησιν, ὡς αὐτοὶ διατείνονται, τοῦτο γὰρ παρ' ἡμῖν ἀπόβλητον παντελῶς, πῶς οὐχ ἁπάσης ἐμβροντησίας ἀπόδειξιν ἔχει; μάχεται γὰρ τῷ σκοπῷ τῆς * θείας γραφῆς. ὁ μὲν γὰρ θεσπέσιος Παῦλος τὸν τοῦ Θεοῦ λόγον, ἐν μορφῇ, καὶ ἰσότητι τῇ κατὰ πᾶν ὁτιοῦν τοῦ πατρὸς ὄντα, φησὶν, οὐχ ἁρπαγμὸν ἡγήσασθαι τὸ εἶναι ἴσα Θεῷ. ἑαυτὸν δὲ μᾶλλον κενῶσαι, καὶ μορφὴν δούλου λαβεῖν, καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι ὡς ἄνθρωπον, ταπεινῶσαί τε ἑαυτόν. οἱ δὲ πρὸς πᾶν τοὐναντίον μεθιστάντες τῶν πραγμάτων τὴν φύσιν, καὶ τῆς ἀληθείας τὴν δύναμιν ἀνοσίως ἐκκαπηλεύοντες, τεθεοποιῆσθαί φασιν ἄνθρωπον. εἶτα τίς ὁ κενώσας ἑαυτὸν, ὦ βέλτιστοι, καὶ πῶς τεταπείνωται; ποίαν, εἰπέ μοι, λαβὼν τοῦ δούλου μορφὴν; εἰσκομίζει γὰρ ἡμῖν, ὡς ἔοικεν, ὁ παρ' αὐτῶν λόγος ἐκ τῆς καθ' ἡμᾶς ταπεινότητος ὑψούμενον ἄνθρωπον, καὶ ἐκ τῆς καθ' ἡμᾶς κενώσεως εἰς τὸ πλῆρες τῆς θεότητος ἀναβαίνοντα, καὶ ἐκ τῆς τοῦ δούλου μορφῆς μεθιστάμενον εἰς δεσποτικήν. πῶς οὖν ἄρα κεκενῶσθαί φασι τὸν μονογενῆ, ἢ πῶς τὴν ἡμῶν ὑπέμεινε ταπείνωσιν, οὐκ ἔχω νοεῖν· εἰ μὴ ἄρα κεκενῶσθαί φασιν αὐτὸν, ὅτι τῇ ἰδίᾳ δόξῃ τετίμηκε τὸν ἄνθρωπον. καὶ εἰτιμῶν ἀδικεῖται, καὶ κενοῦται δοξάζων, πῶς οὐκ ἄμεινον ἐρεῖ τις εἶναι τὸ μηδὲ τιμὴν αὐτὸν, μήτε μὴν δόξαν τινὶ νέμειν; ἔμεινε γὰρ ἂν ἐν ἰδίαις ὑπεροχαῖς, μήτε τιμήσας, μήτε δοξάσας τὸν, ὡς αὐτοί φασιν, οἰκειωθέντα αὐτῷ ἄνθρωπον. ἆρ' οὐ γέλωτος ἄξια παντί που φανεῖται, καὶ ἀβελτηρίας ἔμπλεω τῆς ἐσχάτης, ἃ φρονεῖν ἐγνώκασι, καὶ θαρσοῦσι λαλεῖν; ἀλλ' ὅγε τῆς ἀληθείας λόγος οὐκ ἂν ὑποπτεύσειέ τι κεκενῶσθαι πώποτε, μὴ οὐχὶ πλῆρες ὂν κατ' ἰδίαν φύσιν. οὐδ' ἂν νοοῖτο * ταπεινοῦσθαί τι, μὴ οὐχὶ δὴ πάντως ὑψοῦ τε, καὶ ἀνωτάτω κείμενον, εἶτα καταφοιτῆσαν εἰς ὅπερ οὐκ ἦν· τὸν δέ γε δούλου λαβόντα μορφὴν, εἴσεταί που πάντως πρὸ αὐτῆς ἔχοντα τὸ κατὰ φύσιν ἐλεύθερον· καὶ τὸν γεγονότα ἄνθρωπον οὐκ οἶδεν ὄντα τοῦτο πρὶν γεγένηται. τῆς τοίνυν ἁγίας, καὶ θεοπνεύστου γραφῆς κενῶσιν ὀνομαζούσης, καὶ δούλου μορφὴν, καὶ μέν τοι, καὶ ἀνθρωπότητα, καὶ τὸν ταῦτα ἐθελουσίως ὑπομείναντα λεγούσης τὸν ἐκ Θεοῦ πατρὸς λόγον εἶναι, τί παρατρέπουσιν αὐτοὶ πρὸς τὸ ἐναντίον τῆς οὕτω τεθαυμασμένης οἰκονομίας τὸ εὐτεχνὲς, ἄνθρωπον τεθεοποιῆσθαι λέγοντες. ἵνα μηδὲν ἔτι διαφέρωσι χριστιανοὶ τῶν τῇ κτίσει λελατρευκότων παρὰ τὸν κτίσαντα; ἢ τάχα που πεπλανῆσθαι δώσουσι μεθ' ἡμῶν, καὶ αὐτοὺς τοὺς ἁγίους ἀγγέλους. οὓς δὴ προστετάχθαι φησὶ τὸ γράμμα τὸ ἱερὸν προσκυνῆσαι τὸν πρωτότοκον εἰσαχθέντα εἰς τὴν οἰκουμένην. τὸ δέ γε πρωτότοκος ὄνομα πως ἂν * ἁρμόσαιμεν μὴ ἐνανθρωπή-

Ἑβρ. 1. 6.

* ἁρμόσαιμι.

πήσαντι τῷ μονογενεῖ; εἰ γάρ ἐστιν ἀληθὲς
Ρωμ. 8. 25. τὸ, ὡς ἐν πολλοῖς ἀδελφοῖς, ἄρα εἰκότως νοεῖ-
ται πρωτότοκος, ὅτε κατέβη πρὸς ἀδελφότη-
τα, δηλονότι τὴν πρὸς ἡμᾶς, ὅτε καθ' ἡμᾶς
γέγονεν ἄνθρωπος, ὁμοιωθεὶς κατὰ πάντα, δίχα
Εβρ. 2. μόνης ἁμαρτίας. ἀπόχρη δὲ πρὸς εὐσέβειαν ἡμῖν
Εβρ. 2. τὸ λογίζεσθαι, καὶ νοεῖν, ὅτι Θεοῦ γενομένη σάρξ τοῦ
ζωογονοῦντος τὰ πάντα, τὴν ζωοποιὸν αὐτοῦ δύνα-
μιν, καὶ ἐνέργειαν ἔχει. καταπλουτεῖ δὲ καὶ δόξαν
ἄῤῥητον, καὶ ἀπρόσβλητον. ἀπεικὸς δὲ οὐδὲν * τοῖς
* τοῖς γε ταύτη φρονεῖν ἐγνώκασι. οἵγε ταῦτα φρονεῖν ἐγνώκασι, καὶ ἑτέρας τοῖς ἱεροῖς
δόγμασιν ἐπάγειν συκοφαντίας, ἀποφέροντας μὲν
τοῦ προσώπου τοῦ μονογενοῦς, ἃς ὑπομεμένηκεν ὑπὸ
τῶν Ἰουδαίων παροινίας, καὶ αὐτὸν ἐπὶ ταύταις τὸν
κατὰ σάρκα θάνατον, ἀπονέμοντας δὲ ὥσπερ υἱῷ
κατ' ἰδίαν ἑτέρῳ τῷ ἐκ γυναικός. δοκεῖ γάρ αὐτοῖς,
Παροι. 9. 16. οὐκ οἶδ' ὅπως, διὰ τῆς εἰς εὐσέβειαν οὐκ εὐθείας
ὁδοῦ πρὸς πέταυρον ᾅδου καταπηδᾶν, καὶ εἰς ᾅδου πυθ-
μένα, κατὰ τὸ γεγραμμένον. ἔστι μὲν γὰρ ὁμο-
λογουμένως ἀπαθὲς τὸ θεῖον, καὶ ἀνέπαφον παν-
τελῶς. ὅτι μὴ κατὰ σῶμά ἐστιν, ἀλλ' ἐπέκεινα πά-
σης κτίσεως ὁρατῆς τε, καὶ νοητῆς, καὶ ἐν ἀσω-
μάτῳ, καὶ ἀχράντῳ, καὶ ἀψαύστῳ, καὶ ἀπερινοήτῳ
φύσει. ἐπειδὴ δὲ ὁ μονογενὴς τοῦ Θεοῦ λόγος σῶ-
μα λαβὼν ἐκ τῆς ἁγίας, καὶ θεοτόκου παρθένου,
καὶ, ὡς ἔφην ἤδη πλειστάκις, ἴδιον αὐτὸ ποιησά-
μενος, ἑαυτὸν ὑπὲρ ἡμῶν προσκεκόμικεν εἰς ὀσ-
μὴν εὐωδίας τῷ Θεῷ, καὶ πατρὶ, ὡς ἄμωμον ἱε-
Εφεσ. 5. ρεῖον, ταύτη τοι, καὶ ὑπομεῖναι λέγεται πρὸς ἡ-
μῶν τὰ εἰς τὴν σάρκα αὐτοῦ γεγονότα. οὗ γὰρ
ἴδιόν ἐστι τὸ σῶμα, τούτῳ ἂν εἰκότως προσγρά-
φοιτο, καὶ τὰ αὐτοῦ πάντα, δίχα μόνης ἁμαρτίας.
οὐκοῦν ἐπειδήπερ ἐνανθρωπήσας ἦν ὁ Θεὸς λόγος,
μεμένηκε μὲν ἀπαθὴς θεϊκῶς, οἰκειούμενος δὲ
ἀναγκαίως τὰ τῆς ἑαυτοῦ σαρκὸς, παθεῖν λέγε-
ται τὰ κατὰ σάρκα, καί τοι τοῦ παθεῖν ἀπείρα-
στος ὤν, καθὸ νοεῖται Θεός. εὐσεβείας οὖν δό-
κησις ἀποφέρει τῆς ἀληθείας αὐτοὺς, οὐκ ἐννοοῦν-
τας, ὅτι τετήρηται μὲν τὸ ἀπαθὲς αὐτῷ, καθὸ
ὑπάρχει, καὶ ἔστι Θεὸς, προσγράφεται δέ, καὶ τὸ πα-
θεῖν ὑπὲρ ἡμῶν κατὰ σάρκα, καθὸ Θεὸς ὢν φύ-
σει, γέγονε σάρξ, ἤτοι τέλειος ἄνθρωπος. τίς
γὰρ ἦν ὁ λέγων πρὸς τὸν ἐν οὐρανοῖς πατέρα, καὶ
Θεόν. θυσίαν, καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶ-
μα δὲ κατηρτίσω μοί· ὁλοκαυτώματα, καὶ περὶ ἁμαρ-
Εβρ. 10. καὶ τίας οὐκ ηὐδόκησας· τότε εἶπον, ἰδοὺ ἥκω τοῦ ποιῆ-
Ψαλ. 39. σαι ὁ Θεὸς τὸ θέλημα σοῦ; ὁ γὰρ ἔξω σώματος
ὡς Θεὸς, ἑαυτῷ τὸ σῶμα κατηρτίσθαι φησὶν,
ἵνα τοῦτο ὑπὲρ ἡμῶν προσενέγκας, τῷ ἰδίῳ μώ-
λωπι πάντας ἡμᾶς θεραπεύσῃ, κατὰ τὴν τοῦ προ-
φήτου φωνήν. πῶς δὲ, καὶ εἷς ὑπὲρ πάντων ἀπέ-
θανεν, ὁ πάντων ἀντάξιος, εἰ ἁπλῶς τινος ἀν-
θρώπου νοεῖται τὸ πάθος; εἰ δὲ πέπονθεν ἀνθρω-
Ἡσαΐ. 53. πίνως, ὡς τὰ τῆς ἑαυτοῦ σαρκὸς οἰκειούμενος πά-
θη, τότε δὴ τότε φαμὲν, καὶ μάλα εἰκότως, ὡς
τῆς ἁπάντων ζωῆς ἀντάξιος ὁ ἑνὸς νοεῖται κατὰ
2. Κορ. 5. 14. σάρκα θάνατος. οὐχ ὡς ἑνὸς ὄντος τῶν καθ'
ἡμᾶς, εἰ καὶ γέγονε καθ' ἡμᾶς, ἀλλ' ὅτι Θεὸς
ὢν φύσει, σεσάρκωταί τε, καὶ ἐνηνθρώπησε κατὰ
τὴν τῶν πατέρων ὁμολογίαν· εἰ δὲ ἀποφέρουσί τινες

τοῦ μονογενοῦς, ὡς ἀκαλλὲς, καὶ ἀνάρμοστον, καὶ
ἀπεοικὸς αὐτῷ τὸ κατὰ σάρκα πάθος, ἀναιρείτω-
σαν ὁμοίως αὐτοῦ, καὶ τὴν ἐκ τῆς ἁγίας παρθέ-
νου κατὰ σάρκα γένησιν. εἰ γὰρ ἐστι τῶν ἀπεοι-
κότων αὐτῷ τὸ σαρκὶ λέγεσθαι παθεῖν, πῶς οὐ
πρόγε τούτου τὸ πρῶτον, τουτέστιν ἡ κατὰ σάρκα
γένησις, ἢ καὶ ἁπαξαπλῶς εἰπεῖν, ὁ τῆς ἐναν-
θρωπήσεως τρόπος; οἴχεται δὴ οὖν τὸ χριστιανῶν
μυστήριον· καὶ μεματαίωται λοιπὸν ἡ τῆς σωτη-
ρίας ἐλπίς.

Ἀλλὰ γάρ. πῶς, φησὶ, πάθοιαν ὁ παθεῖν κοὐ
εἰδώς; ἀπαθὴς μὲν οὖν, ὡς ἔφην, ὁμολογουμέ-
νως κατ' ἰδίαν φύσιν ὁ ἐκ Θεοῦ λόγος. λέγεται δ'
οὖν σαρκὶ τῇ ἰδίᾳ παθεῖν κατὰ τὰς γραφάς. ἦν
γὰρ αὐτὸς ἐν τῷ πάσχοντι σώματι. καὶ πιστώσεταί σε
γράφων ὁ Πέτρος περὶ αὐτοῦ· ὃς τὰς ἁμαρτίας ἡμῶν 1. Πέτρ. 2. 2.
ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον. οὐκοῦν
ἀπαθὴς μὲν ὁ λόγος, καθὸ φύσει νοεῖται Θεός.
αὐτοῦ γε μὴν νοεῖται κατ' οἰκείωσιν οἰκονομικὴν τὰ
τῆς σαρκὸς αὐτοῦ πάθη. ἐπεὶ τίνα τρόπον ὁ πρω- Κολασ. 1. 1.
τότοκος πάσης κτίσεως, ὁ δι' οὗ γεγόνασιν ἀρχαί τε
καὶ ἐξουσίαι, θρόνοι τε, καὶ κυριότητες, * ἐν ᾧ τὰ * ἐν ᾧ
πάντα συνέστηκε, πρωτότοκος ἐκ νεκρῶν, καὶ ἀπαρ-
χὴ γέγονε τῶν κεκοιμημένων, εἰ μὴ τὸ παθεῖν πε-
φηκὸς ἴδιον ἐποιήσατο σῶμα Θεὸς ὢν ὁ λόγος; 1. Κορ. 15. 20.
ὥσπερ δὲ γέγονε κατὰ σάρκα ἐκ γυναικὸς, τὴν
καθ' ἡμᾶς ἀνθρωπίνως ἀπότεξιν οἰκειούμενος, καί
τοι γένησιν ἰδίαν ἔχων τὴν ἐκ πατρὸς, οὕτω καὶ
σαρκὶ λέγεται παθεῖν καθ' ἡμᾶς τε, καὶ ἀνθρωπί-
νως, καίτοι φύσει * προσὸν αὐτῷ τὸ ἀπαθῶς. μὴ προσὸν αὐτῷ τὸ πάθος ἔχειν,
ἔχειν, καθὸ νοεῖται Θεός· οὕτω γὰρ νοεῖται Χρι-
στός· οὕτως ἐστὶ καὶ σύνεδρος τῷ πατρί. οὐχ ὡς ἄν-
θρωπος τῇ ἐνοικήσει τοῦ Θεοῦ λόγου τετιμημένος,
ἀλλ' ὡς υἱὸς ἀληθῶς καὶ ὅτε γέγονεν ἄνθρωπος.
τετήρηται γὰρ αὐτῷ τῆς οὐσιωδῶς ἐνυπαρχού-
σης ὑπεροχῆς τὸ ἀξίωμα, καὶ εἰ πέφηνεν οἰκο-
νομικῶς ἐν δούλου μορφῇ. οὐκοῦν * καθάφησιν, * ἵσ. καθάφημι, φύσιν,
εἰ καὶ κοινωνὸς τῆς ἡμετέρας φύσεως ἦν καθὸ ἄν-
θρωπος, ἀλλ' ἦν μετὰ τούτου καὶ ὑπὲρ πᾶσαν τὴν
κτίσιν ὡς Θεός.

Ἐπυθόμην δέ * τινος τῆς εἰς οὐρανοὺς ἀνόδου τὴν * τινάς
αἰτίαν * ἐξηγουμένου, εἰς χωρίον αὐτὸν ἀναφοιτῆ- * ἐξηγημένος,
σαι λέγειν, ἀσφαλές τε, καὶ ἄσυλον, ἠξιῶσθαι δὲ
καὶ τῆς πρὸς τὸν πατέρα συνεδρίας· ἔνθα, φησὶν,
ὁ ἐχθρὸς τῆς ἡμετέρας φύσεως οὐ δύναται πλησιά-
σας αὐτοῦ πάλιν ἐπιβουλεῦσαι. φρούριον οὖν, εἰπέ
μοι, γέγονεν ὁ οὐρανὸς αὐτῷ, καὶ φυγὴ μᾶλλον,
οὐκ ἀνάληψις ἡ ἀποδημία ἡ ἀφ' ἡμῶν γέγονεν,
ἐφ' ᾗ καὶ καυχώμεθα; ἐδεδίει δὲ κατὰ τὸ εἰκὸς,
μὴ ἄρα πως δευτέραν αὐτῷ συμπήξῃ πάγην ὁ πο-
νηρός· καὶ εἰ μὴ γέγονεν ἀνελθεῖν, ἐπεβουλεύθη
ἂν, ὡς ἔοικε, καὶ μετὰ τὴν ἀνάστασιν. τίς τῶν τοιού-
των ἐμέτων οὐκ ἀποφοιτήσει μακράν; ἢ τίς τῆς οὕ-
τως αἰσχρᾶς τερατολογίας οὐκ ἀπαναστήσεται, πολλὰ
χαίρειν εἰπὼν τοῖς τὰ τοιαῦτα τολμῶσι φρονεῖν, ἢ λέ-
γειν; ἄπαγε τῆς οὕτω μυσαρωτάτης καὶ χαμαιπετοῦς
ἐννοίας. οὐδὲν οἶμαι τούτων γραοπρεπέστερον, ἢ ἀμα-
θέστερον. ἥκει γὰρ εἰς τοῦτο χυδαιότητος ἐννοιῶν τὸ
χρῆμα αὐτοῖς, ὡς οὐδὲν εἶναι τὸ αἴσχιον. ἀποπερά-
νας γὰρ ὁ Χριστὸς τὴν καθ' ἡμᾶς οἰκονομίαν, καὶ

πα-

πατήσας τὸν σατανᾶν, καὶ πᾶσαν αὐτοῦ τὴν δύναμιν κατασείσας, καταλύσας δὲ καὶ αὐτοῦ τοῦ θανάτου τὸ κράτος, ἀνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον, καὶ ζῶσαν, ἀναφοιτήσας εἰς τὸν οὐρανὸν, καὶ ἐμφανισθεὶς ὑπὲρ ἡμῶν τῷ προσώπῳ τοῦ Θεοῦ καὶ πατρὸς, καθὰ γέγραπται. συνεδρεύει δὲ αὐτῷ καὶ μετὰ σαρκὸς, οὐχ ὡς ἄνθρωπος ἰδικῶς νοούμενος, καὶ ἕτερος υἱὸς παρὰ τὸν αὐτοῦ λόγον, οὐδὲ ὡς ἔνοικον ἔχων αὐτὸν, ἀλλ' ὡς υἱὸς ἀληθὼς εἷς τε, καὶ μόνος ὑπάρχων, καὶ ὅτε γέγονεν ἄνθρωπος. συνεδρεύει τοίνυν ὡς Θεὸς Θεῷ, καὶ κύριος κυρίῳ, καὶ υἱὸς πατρὶ τῷ κατὰ ἀλήθειαν, φύσει τοῦτο ὑπάρχων, κἂν νοοῖτο μετὰ σαρκός. Καὶ ἦν μὲν ἴσως οὐ χαλεπὸν, διὰ μακρῶν ἔτι λόγων τῆς * ἐκείνου ἀμαθίας καταδεῖξαι τὸ βάραθρον· τὸ δὲ τοῖς οὕτω ψυχροῖς ἀντιλέγειν διὰ πλειόνων ἔτι, τάχα που συναμαθαίνειν ἐστὶ τοῖς ἐκεῖνα πεφλυαρηκόσι. προσεπενεγκεῖν δὲ τοῖς εἰρημένοις ἀναγκαῖον οἶμαί που, τὰ δι' ὧν οἴονται καταπτοεῖν δύνασθαι τὴν συναγωγὴν κυρίου, κατὰ τὸ γεγραμμένον, καὶ κατατοξεύειν ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ, τουτέστι τοὺς ἐν ἁπλότητι γνώμης διαβιοῦν ἠρημένους, καὶ τῆς πίστεως τὴν παράδοσιν, καθάπερ τινὰ παρακαταθήκην λαβόντας εἰς νοῦν, ἁγίαν, καὶ ἀπαράφθορον τηροῦντας αὐτήν. οἱ γάρ τοι δεινοὶ πρὸς ἀπάτην, καὶ ἐννοιῶν εὑρήμασι, πολυπλόκως ἐξυφασμένοις τῆς τῶν ἀληθῶν ἀποκομίζοντες θήρας τοὺς ἀμαθεστέρους, οἱ τὰς τῶν ἑτέρων αἱρετικῶν κακίας ἀπομιμούμενοι, προτείνουσιν ἀμαθῶς, ἃ δὴ κἀκείνοις ἔθος, οὐκ ἐννοοῦντες τὸ γεγραμμένον· οὐαὶ * οἱ ποτίζοντες τὸν πλησίον * αὐτῶν ἀναστροπὴν θολεράν. οἱ μὲν γὰρ τῆς Ἀρείου δυσσεβείας ὑπασπισταὶ τὸν μονογενῆ τοῦ Θεοῦ λόγον ἑτεροούσιον εἶναί φασι, καὶ ἐν * δευτέρᾳ τίθενται τοῦ γεννήσαντος, κτιστόντε, καὶ γεννητὸν εἶναι διατείνονται, καὶ τῇ κτίσει συντάττουσι τὸν, δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα· εἶτα τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς πολυπραγμονοῦντες τὸ μυστήριον, κακουργότατα παραφθείρουσι τῆς ἀληθείας τὴν δύναμιν. καὶ τῆς Ἀπολιναρίου δόξης τὰ ἐγκλήματα προσαρρωστοῦντες αὐτοὶ, σάρκα μὲν λαβεῖν τὸν τοῦ Θεοῦ λόγον διϊσχυρίζονται, ἐμψυχωμένην γε μὴν νοερῶς ἥκιστά γε, εἶναι δὲ μᾶλλον αὐτὸν ἀντὶ νοῦ, καὶ ψυχῆς ἐν τῷ σώματι. πανουργότατα δὲ, ὡς ἔφην, τοῦτο δρῶντες ἁλίσκονται. ἵνα γὰρ τὰς ἀνθρωπίνας τοῦ κυρίου φωνὰς μὴ οἰκονομικῶς εἰρῆσθαι νομίζωμεν, καὶ κατὰ γε τὸ πρέπον τῇ ἀνθρωπότητι μέτρον, ἐπειδὴ γέγονεν ἄνθρωπος, ὑποκλέπτουσι τῆς σαρκὸς τὴν νοεράν τε, καὶ ἔνοικον αὐτῇ ψυχήν. οὕτως αὐτὸν καὶ ὑποβιβάζουσι, καὶ ἐν μείοσιν εἶναί φασιν οὐσιωδῶς τοῦ πατρὸς, τῆς κατ' αὐτοῦ συκοφαντίας τὰς ἀφορμὰς ἐκ τῶν ἱερῶν γραμμάτων ἀνοσίως ἐρανιζόμενοι. ἀλλ' ἰδοὺ δὴ καὶ νῦν τῆς ἐκείνων ἀμαθίας οἱ ζηλωταὶ κατεπιφύονται πικροὶ τῶν τὰς Νεστορίου * κενοφωνίας οὐ προσιεμένων, καὶ τὴν ὀρθὴν καὶ ἀμώμητον ἐκπολιορκοῦσι πίστιν, συρφετοὺς εἰκαίων συναγείροντες ἐννοιῶν, φασὶ μὲν γὰρ, τὸν θεσπέσιον Παῦλον εἰπεῖν περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ὅτι κε-

κένωκεν ἑαυτὸν, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος· ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. καὶ μὴν καὶ ἑτέρωθί που φησίν· ὅτι Θεὸς ἦν ἐν Χριστῷ, κόσμον ἑαυτῷ καταλλάσσων. καὶ πάλιν. ἐν ᾧ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. ἐφαρμόζονται δὲ καὶ ταῖς τοῦ Πέτρου φωναῖς, ποτὲ μὲν λέγοντος· Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει· ὃς διῆλθεν εὐεργετῶν, καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου. ὅτι Θεὸς ἦν μετ' αὐτοῦ. καὶ πάλιν· τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις, πάντας πανταχοῦ μετανοεῖν, καθότι ὥρισεν ἡμέραν κρίσεως, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παραχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ταῦτα παραθέντες, καὶ τὰ καθ' ἕτερον τρόπον ἀνθρωποπρεπῶς εἰρημένα, * προσερωτῶσιν εὐθὺς, ἐκ μοχθηρῶν ἐννοιῶν πικροὺς * ἀνάπτοντες λόγους· τίνι δέδωκεν ὁ Θεὸς, καὶ πατὴρ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; ἆρα τῷ ἰδίῳ λόγῳ; καὶ πῶς οὐκ ἀπίθανον κομιδῇ τὸ χρῆμα; φασίν· ἦν γὰρ ἀεὶ Θεὸς, ἐξ αὐτοῦ κατὰ φύσιν γεγεννημένος· ὄνομα δὲ τοῦτο τὸ ὑπὲρ πᾶν ὄνομα νοοῖτ' ἂν εἰκότως τί γὰρ ἐπέκεινα τοῦ κατὰ φύσιν Θεοῦ; τίνα δὲ καὶ κέχρικεν ἁγίῳ πνεύματι; ἢ μετὰ τίνος ἦν ὁ Θεός; προσεπάγοντες δὲ τούτοις τὰ ἕτερα, διακυκῶσι λίαν, καὶ θορύβου * πιμπλᾶσι τῶν ἀκεραιοτέρων τὸν νοῦν· διορίζοντες δὲ πανταχῇ, ψυχικοί εἰσι γὰρ, πνεῦμα μὴ ἔχοντες, καὶ * ἀποδιϊστάντες εἰς υἱοὺς δύο τὸν ἕνα Χριστὸν, καὶ υἱὸν, καὶ κύριον, ἐξ αὐτῶν ἁλώσονται τῶν ἰδίων ἐγχειρημάτων. ἕνα μὲν γὰρ Χριστὸν, καὶ υἱὸν, ὁμολογεῖν ὑποπλάττονται, καὶ ἓν αὐτοῦ πρόσωπον εἶναι φασί· διαιροῦντες δὲ πάλιν εἰς ὑποστάσεις δύο κεχωρισμένας τε, καὶ ἀποφοιτώσας ἀλλήλων, εἰς ἅπαν τὸν τοῦ μυστηρίου * παρασύρουσι λόγον. φασὶ μὲν γὰρ δὴ τὸν ἐκ γυναικὸς, ἤτοι τὴν τοῦ δούλου μορφὴν, ἰδίᾳ τε, καὶ καταμόνας τὸ ὑπὲρ πᾶν ὄνομα λαβεῖν, ὑπομεῖναι δὲ καὶ τὴν χρίσιν τοῦ ἁγίου πνεύματος, καὶ τὸ ἔχειν ἀεὶ συνόντα τὸν Θεὸν, τουτέστι τὸν ἐκ Θεοῦ πατρὸς λόγον. ἀβελτηρίας δὲ τῆς ἁπασῶν ἐσχάτης ἐξόζοντας ἐναρχῶς ἐρεύγονται λόγους. πονηροὶ γὰρ ὄντες ἀγαθὰ λαλεῖν οὐκ ἂν δύναιντο, κατὰ τὴν τοῦ σωτῆρος φωνήν. ἦν μὲν γὰρ ὁμολογουμένως, καὶ ἔστιν ἀεὶ Θεὸς, καὶ κύριος ὁ τὴν ἐκ Θεοῦ πατρὸς γέννησιν ἄποπτον τε, καὶ ἀπόρρητον ἔχων· ἐπειδὴ δὲ γέγονεν ἐκ γυναικὸς κατὰ σάρκα, παραδόξως δὲ, καὶ ὑπὲρ ἡμᾶς, ἐν ἐπιφοιτήσει πνεύματος ἁγίου, καὶ ἐπισκιασμῷ δυνάμεως Θεοῦ, τὴν γοῦν καθ' ἡμᾶς ἀπότεξιν ὑπομείνας· οὕτω γὰρ ἑαυτὸν κεκενῶσθαι λέγεται, ταπεινῶσαί τε, καὶ ἐν ὑπακοῇ γενέσθαι τῇ μέχρι θανάτου, καὶ σταυροῦ· ταύτῃ τοι, καὶ μάλα εἰκότως λέγεται λαβεῖν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. καὶ αὐτῷ κάμπτει πᾶν γόνυ, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι κύριος Ἰησοῦς

1. Κορ. 1. 13.
Κολασ. 1. 9.
Πράξ. 10. 38.
Πράξ. 17. 30.
* προσεπερωτῶσιν
* ἀναπτύοντες
* ἐμπλιπλῶσι
* ἀποδιϊστάντες
Γυδ.
* παρ εὐύνουσι, ἢ, διασύρουσι
Ματθ. 11. 34.
Λεκ. 1.
Φιλιππ. 2.

Χριστὸς εἰς δόξαν Θεοῦ πατρός. οὐ γὰρ ἠγνόησεν ἡ λογικὴ * φύσις, ὅτι Θεὸς ἦν ὁ ἐνανθρωπήσας· εἰ γὰρ καὶ γέγονεν ἐν τοῖς καθ' ἡμᾶς, καὶ παραπλησίως ἡμῖν μετέσχηκεν αἵματος, καὶ σαρκὸς, ἀλλ' οὖν οὐκ ἀποπεφοίτηκε τοῦ εἶναι Θεός. οὐδὲ ἀπόβλητον ἐποιήσατο * τὸ εἶναι ὃ ἦν. μεμένηκε γὰρ προσκυνητὸς εἰς δόξαν Θεοῦ πατρός. δόξα γὰρ αὐτῷ, συμβασιλεύοντα, καὶ συμπροσκυνούμενον ἑαυτῷ τὸν ἴδιον ἔχειν υἱόν· εἰ καὶ γέγονεν οἰκονομικῶς ἄνθρωπος, ἵνα σώσῃ τὴν ὑπ' οὐρανόν.

* κτίσις. Ἑβρ. 2.

* τοῦ

Οὐκοῦν, ὅτε παρά τε τῶν ἁγίων ἀγγέλων, καὶ ἡμῶν τῶν ἐπὶ τῆς γῆς ἐπιστεύθη, καὶ μετὰ σαρκὸς, ὡς εἴη Θεὸς φύσει τε, καὶ ἀληθῶς, τότε τὸ ὑπὲρ πᾶν ὄνομα νοεῖται λαβὼν, οὐκ ἐν προσθήκης μοίρᾳ τὸ χρῆμα κερδαίνων αὐτός. ὃ γὰρ ἦν τε, καὶ ἔστι, καὶ ἔσται ἀεὶ, πῶς ἂν ὡς οὐκ ἔχων λάβοι; ἐλλάμψαντος δὲ μᾶλλον ταῖς ἁπάντων διανοίαις τοῦ Θεοῦ, καὶ πατρὸς, καὶ τὸν σαρκωθέντα λόγον, ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ἀγνοῆσαι μὴ συγχωρήσαντος. οὐδεὶς γὰρ, φησὶ, δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν. γέγονε δὲ καὶ ἡ χρίσις αὐτῷ περὶ τὸ ἀνθρώπινον· ἅγιος γὰρ ὢν κατὰ φύσιν, καθάπερ ἀμέλει, καὶ ὁ πατὴρ, καὶ ὁ ἐξ αὐτοῦ * γεννηθεὶς υἱὸς μονογενὴς, κεχρίσθαι λέγεται καθ' ἡμᾶς, ἤγουν ἡγιάσθαι παρὰ τοῦ πατρὸς, καθὸ πέφηνεν ἄνθρωπος. γράφει γοῦν ὁ πάνσοφος Παῦλος περί τε αὐτοῦ, καὶ ἡμῶν· ὅ, τε γὰρ ἁγιάζων, καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. οὐκοῦν κατὰ φύσιν ἅγιος ὢν ὁ μονογενὴς, καὶ ἁγιάζων τὴν κτίσιν, ὅτε κεχρημάτικεν ἡμῶν ἀδελφὸς, τότε καὶ μεθ' ἡμῶν, ἀνθρωπίνως κεχρίσθαι λέγεται, τὸ τῇ ἀνθρωπότητι πρέπον τε, καὶ εἰκὸς οὐκ ἀτιμάσας μέτρον, διὰ τὴν οἰκονομίαν. οὕτω γάρ πού φησι καὶ πρὸς τὸν θεσπέσιον Βαπτιστήν· ὅτι πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην. εἰ δὲ δὴ λέγοιτο, καὶ ὁ Θεὸς εἶναι μετ' αὐτοῦ, πῶς ἠγνόησαν οἱ δεινοὶ σοφισταὶ, ὅτι σύνεστιν ἀεὶ φυσικῶς ὁ πατὴρ τῷ υἱῷ, αὐτός τε ὢν ἐν αὐτῷ, καὶ ἔχων αὐτὸν ἐν αὐτῷ; ἢ οὐ διαμέμνηνται λέγοντος τοῦ Χριστοῦ· τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν· οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ ἐστίν; ἔφη δὲ καὶ ἑτέρωθι, τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς προσλαλῶν· ἔρχεται ὥρα, καὶ ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια, καὶ ἐμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμι μόνος, ὅτι ὁ πατὴρ μου μετ' ἐμοῦ ἐστίν. οὐ γάρ τοι, καθὰ νομίζουσιν οἱ τῶν ἀλλοτρίων ἐμέτων ἀσυνέτως ἀναπιμπλάμενοι, θεὸς ὢν ὁ λόγος, ὡς ἕτερος ὢν υἱὸς, μεθ' ἑτέρου γέγονεν υἱοῦ, τοῦ ἀναληφθέντος ἀνθρώπου· τομὴ γὰρ τοῦτο, καὶ διαίρεσις, υἱῶν δυάδα παρακομίζουσα· ἀλλ' ἦν ὁ θεὸς, καὶ πατὴρ μετὰ τοῦ υἱοῦ, τουτέστι μετὰ τοῦ σαρκωθέντος τε, καὶ ἐνανθρωπήσαντος τοῦ θεοῦ λόγου· ἀχώριστος γὰρ ὁ πατὴρ τοῦ υἱοῦ.

Ἰωάν. 6. 44.

* πεφηνὼς

Ἑβρ. 2. 11.

Ψαλμ. 21.

Ματθ. 3. 15.

Ἰωάν. 14. 9.

Ἰωάν. 10. 3.

Ἰωάν. 10.

Ἰωάν. 16. 32

Εἰ δὲ δὴ μέλλει κρίνειν τὴν οἰκουμένην * ὁ Θεὸς ἐν ἀνδρὶ, ᾧ ὥρισεν, * οὐκ ἂν οἴοιτό τις εὖ φρονῶν ὅτι τὸν μονογενῆ φησι τὸ γράμμα τὸ ἱερὸν, ὡς ἐν ἀνδρὶ νουμένῳ κατὰ μόνας υἱῷ τῷ ἐκ γυναικὸς, δικάσειν τὴν ὑπ' οὐρανόν. ἐκεῖνο δὲ μᾶλλον εὐσεβὲς ὑπάρχειν διαβεβαιούμεθα, τὸ χρῆναι νοεῖν, ὅπερ ἔφη Χριστός· οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ υἱῷ· ἵνα πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα. ὁ γάρ τοι θεὸς λόγος γεγονὼς ἄνθρωπος, καὶ τελέσας ἐν ἀνδράσιν, ἤγουν τοῦτο μεθ' ἡμῶν ὀνομασθεὶς, οὐδὲν ἧττον ἔσται κριτὴς, ὡς θεὸς, καὶ κύριος, καὶ εἷς ὢν υἱὸς, ἐνόντος αὐτῷ καὶ τότε τοῦ θεοῦ, καὶ πατρός. ἔχει γὰρ, ὡς ἔφην, ἐν ἑαυτῷ τὸν γεννήσαντα· καὶ αὐτὸς δέ ἐστιν ἐν αὐτῷ. ὥσπερ δέ ἐστιν εἷς ὁ θεὸς, καὶ πατὴρ, ἐξ οὗ τὰ πάντα, οὕτω, εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. παρευθύνουσι δὲ οὐδὲν ἧττον ἐπὶ τὸ ἀκαλλὲς, καὶ τὸ ὀρθῶς εἰρημένον διὰ τῆς τοῦ μακαρίου Παύλου φωνῆς. ὁ μὲν γὰρ ἔφη, καὶ μάλα ὀρθῶς· ὅτι Θεὸς ἦν ἐν Χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ· οἱ δὲ πάλιν παχεῖάν τινα τῷ ἑνὶ Χριστῷ, καὶ υἱῷ τὴν τομὴν ἐπιφέροντες, ἀποδιϊστῶσιν, εἰς ἅπαν τὸν Θεὸν λόγον· καὶ ὡς ἐν ἑτέρῳ τινὶ νουμένῳ Χριστῷ καταμόνας εἶναί φασιν αὐτὸν, ἵνα μὴ μᾶλλον σεσαρκωμένος, ἀλλ' ἐνοικήσας ἀνθρώπῳ νοῆται. ἀλλ' ὅγε τῶν ἱερῶν γραμμάτων σκοπὸς οὐχ ὧδε ταῦτα ἔχειν ἐφίησιν, ὦ σοφοί. συγχεῖτε γὰρ τὴν ἀνάγνωσιν, τὴν τῶν ἐννοιῶν δύναμιν ἐφ' ἃ μὴ προσῆκεν ἀποκομίζοντες. καίτοι δέον, ἡμᾶς αἰχμαλωτίζειν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, καθὰ γέγραπται. ἦν γὰρ ὁ Θεὸς ἐν αὐτῷ, τὸν κόσμον καταλλάσσων ἐν Χριστῷ· καταλλαττόμενοι γὰρ τῷ Χριστῷ, τὰς πρὸς Θεὸν, καὶ πατέρα ποιούμεθα καταλλαγάς. ὅτι μὴ ἕτερος παρ' αὐτὸν κατά γε τὸ ἐν οὐσίᾳ ταυτὸν, ὁ ἐξ αὐτοῦ Θεὸς λόγος, ἀδικούμενος οὐδὲν, εἴς γε τὸ εἶναι κατὰ φύσιν υἱὸς, καὶ εἰ γέγονεν ἄνθρωπος· ἦν γὰρ τοῦτο καὶ μετὰ σαρκός. ὅτι δὲ τὴν καταλλαγὴν ἐσχήκαμεν ἐν Χριστῷ. καὶ αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, τίς ὁ μὴ φάναι τολμῶν; αὐτὸς γάρ ἐστιν ἡ θύρα, καὶ ἡ ὁδὸς, καὶ ἐν αὐτῷ κατῴκηκε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.

Ἰωάν. 5. 12.

Ἰωάν. 14. 10. 1. Κορ. 1. 6.

1. Κορ. 5. 13.

2. Κορ. 10. 5.

2. Κορ. 5. 19.

Ἐφεσ. 2. 14.

Ἰωάν. 10. 14. Κολασ. 2. 9.

Ἀλλ' ὀρθόν μοι πάλιν ἵστησι τὸ οὖς ὁ πικρὸς εἰς θεωρίας, καὶ δεινὸς εἰς συκοφαντίας· καὶ δὴ φησίν. εἰ ἕτερος ὁ κατοικῶν, ἕτερος δὲ ὁμοίως ὁ ἐν ᾧ κατοικῆσαι λέγεται, πῶς οὐκ ἀναγκαῖον διαιρεῖσθαι τὰς ὑποστάσεις, καὶ ὑφεστάναι λέγειν ἀνὰ μέρος * ἑκατέραν; εἶτα ὅποι ποτὲ λοιπὸν τὸ ἓν πρόσωπον; εἰπέ μοι, εἰ ἓν γὰρ πρόσωπον τοῦ Χριστοῦ προσποιοῦνται λέγειν, δύο δὲ ὑποστάσεων ἰδίᾳ τε, καὶ ἀνὰ μέρος κειμένων, ἔσονταί που πάντως καὶ πρόσωπα δύο. ἀλλ' εἰσβαίνουσιν ὡς νομοθέται, τὸ αὐτοῖς δοκοῦν, ὡς ὀρθῶς ἔχον, πάντῃ τε, καὶ πάντως κρατύνοντες. διαιροῦντες γὰρ, φασὶ, τὰς ὑποστάσεις, ἑνοῦμεν τὸ πρόσωπον. καὶ πῶς οὐκ ἀπίθανον τοῦτο, καὶ ἀμαθὲς, καὶ ἀμήχανον; * θεωρίᾳ μὲν γὰρ, ὡς ἔφην, ἑτεροούσιον οὖσαν τὴν σάρκα παρὰ τὸν ἑνωθέντα αὐτῇ λόγον κατίδοι τις ἄν. ἐπειδὴ δὲ υἱὸν ἕνα, καὶ Χριστὸν, καὶ κύριον αἱ θεόπνευστοι λέγουσι γραφαὶ, καὶ τῆς πίστεως ἡ παράδοσις

* ἑκάτερον;

* θεωρίαν

* ἀε Πράξ. 17. 31.

* πίστιν παραχών, ἐκ.

δοσις οὕτως ἔχει, καὶ οὐχ ἑτέρως, συνενεγκόντες ἡμεῖς εἰς ἀδιάτμητον ἕνωσιν ἐψυχωμένῃ νοερῶς τῇ σαρκὶ τὸν ἐκ Θεοῦ πατρὸς λόγον, ἕνα Χριστὸν, καὶ υἱὸν ὁμολογοῦμεν ὑπάρχειν. ὡς δὲ ἑνὸς ὄντος τοῦ υἱοῦ, καὶ ἓν αὐτοῦ φαμεν εἶναι πρόσωπον, ἑπόμενοι πανταχοῦ τῷ θείῳ τε, καὶ ἱερῷ κηρύγματι, καὶ τοῖς ἀπ' ἀρχῆς αὐτόπταις, καὶ ὑπηρέταις γενομένοις τοῦ λόγου. τοὺς δὲ ἕτερόν τι παρὰ τοῦτο φρονεῖν εἰωθότας, καὶ συλλογισμῶν ἀσυνέτων εὑρήμασιν, ἐφ' ἃ μὴ προσῆκεν, ἐκτεταμμένους, * ἀποπεμψόμεθα τῆς πρὸς ἑαυτοὺς κοινωνίας, λέγοντες· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ, ᾗ ἐξεκαύσατε. ἐπειδὴ δὲ μανθάνω, τῶν ἀσυνέτων τινὰς περινοστοῦντας λέγειν· ὡς κεκράτηκε παρὰ τοῖς κατὰ τὴν ἑῴαν ἅπασι θεοσεβεστάτοις ἐπισκόποις ἡ Νεστορίου κακοδοξία, καὶ εὖ ἔχειν ὑπείληπται παρ' αὐτοῖς, καὶ * ταύτῃ μᾶλλον ἕπεσθαι χρὴ, δεῖν ᾠήθην κἀκεῖνο μηνῦσαι· οἱ γάρ τοι κατὰ τὴν ἑῴαν πᾶσαν θεοσεβέστατοι ἐπίσκοποι, ἅμα τῷ κυρίῳ μου τῷ θεοσεβεστάτῳ τῆς Αντιοχέων ἐκκλησίας ἐπισκόπῳ Ιωάννῃ, δι' ἐγγράφου, καὶ σαφοῦς ὁμολογίας, φανερὸν ἅπασι κατέστησαν, ὅτι τὰς μὲν Νεστορίου βεβήλους * καινοφωνίας κατακρίνουσί τε, καὶ ἀναθεματίζουσι μεθ' ἡμῶν, καὶ οὐδενὸς ἠξίωσαν αὐτὰς πώποτε λόγου. ἀλλὰ τοῖς εὐαγγελικοῖς, καὶ ἀποστολικοῖς ἕπονται δόγμασι, καὶ τὴν τῶν πατέρων ὁμολογίαν κατ' οὐδένα λυποῦσι τρόπον. ὡμολόγησαν γὰρ καὶ αὐτοὶ μεθ' ἡμῶν, ὅτι καὶ θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος, καὶ οὐ προσέθεσαν, ὅτι χριστοτόκος ἐστὶν, ἢ ἀνθρωποτόκος, καθά φασιν οἱ Νεστορίου τὰ δύστηνα, καὶ ἀπόπτυστα δοξάρια θεραπεύοντες. ἀλλὰ γὰρ καὶ ἔφασαν ἐναργῶς, ἕνα εἶναι Χριστὸν, καὶ υἱὸν, καὶ κύριον τὸν ἐκ Θεοῦ μὲν πατρὸς πρὸ παντὸς αἰῶνος ἀπορρήτως γεννηθέντα Θεὸν λόγον, ἐν ὑστέροις δὲ καιροῖς τὸν αὐτὸν, καὶ ἐκ γυναικὸς κατὰ σάρκα. ὥστε τὸν αὐτὸν εἶναι Θεόν τε ὁμοῦ, καὶ ἄνθρωπον, τέλειον ἐν θεότητι, καὶ τέλειον ἐν ἀνθρωπότητι τὸν αὐτόν· καὶ ἓν αὐτοῦ τὸ πρόσωπον εἶναι πιστεύουσι, κατ' οὐδένα διαιροῦντες τρόπον εἰς δύο υἱοὺς, ἢ Χριστοὺς, ἢ κυρίους. ἐὰν τοίνυν καταψευδόμενοί τινες λέγωσιν ἕτερά τινα παρὰ ταῦτα φρονεῖν αὐτοὺς, μὴ πιστευέσθωσαν. ἀλλ' ὡς ἀπατεῶνες, καὶ ψεῦσται κατὰ τὸν αὐτῶν πατέρα τὸν διάβολον ἀποπεμπέσθωσαν· ἵνα μὴ ταράττωσι τοὺς ἐθέλοντας ὀρθοποδεῖν. ἐὰν δὲ καὶ ἐπιστολὰς ἑαυτοῖς συντιθέντες τινὲς * περιφέρωσιν, ὡς ἐκ προσώπου γραφείσας ἀνδρῶν ἐπιφανεστέρων, οὐκ ὀφείλουσι θαρσεῖσθαι. οἱ γὰρ ἅπαξ ἐγγράφως ὁμολογήσαντες τὴν πίστιν, πῶς ἕτερα γράφειν δύνανται, καθάπερ ἐκ μετανοίας εἰς τὸ μηκέτι βούλεσθαι φρονεῖν ὀρθῶς παρενηνεγμένοι; πρόσει πε τὴν σὺν σοι ἀδελφότητα. σὲ ἡ σὺν ἡμῖν ἐν κυρίῳ προσαγορεύει. ἐῤῥῶσθαί σε ἐν κυρίῳ εὔχομαι.

Ξύστου Πάπα πρὸς Κύριλλον.

ΗΣθην ἐπὶ τοῖς δηλωθεῖσί μοι δι' ἐπιστολῆς παρὰ τῆς σῆς ὁσιότητος περὶ τῶν ἁγίων, καὶ συνεπισκόπων μου, οὓς ὀλίγη χρῆσις, καὶ συντυχία οἷοί τε, καὶ ὅσοι εἶεν ἀπέδειξε. καὶ τάχα ἧττον ἂν τοῖς περὶ αὐτῶν γράμμασιν ἐπιστεύσαμεν, εἰ μὴ τὴν παρ' αὐτῶν μαρτυρίαν ἐνίκησεν ἑαυτῇ ματυροῦσα ἡ τῶν ἀνδρῶν παρουσία. εἴδομεν ἀληθῶς τοῦ κυρίου ἱερέας. εἴδομεν ἄνδρας μεστοὺς χάριτος πνευματικῆς, ἥ τις ἐν πρώτοις παρ' αὐτοῦ δίδοται τοῦ θεοῦ. ἔτι μὴν αὐτοὺς χαριεστέρους ἡμῖν ἡ τοῦ θεοῦ περὶ ἡμᾶς κρίσις ἀπέδειξεν. ἔχε γὰρ αὐτοὺς παρόντας ἡ ἡμετέρα χειροτονία. καὶ ἐν πᾶσι τοῖς ἀποτελοῦσιν ἱερέα κεκοσμημένοι, αὐτὴν ἡμῖν τὴν παρουσίαν ἐνέδειξαν τῆς σῆς ἁγιότητος, ἣν οὐκ ἄνευ πολλῆς τῆς ἀξίας, ἀδελφικῇ διαθέσει περιπλεκόμεθα. τοσοῦτον γάρ σοι ὀφείλη ἡ κοσμικὴ ἐκκλησία, ὅσον σοι πάντες εἰσὶν ὑποχείριοι, ὅς γε πανταχοῦ πάντας νενίκηκας. ἐπιμένοντος τοίνυν καὶ ὑγιῶς πάντα ὑποβάλλοντος τοῦ υἱοῦ ἡμῶν Θεμίσωνος τοῦ ἀρχιδιακόνου, τὰ πρέποντα δεδώκαμεν γράμματα πρὸς τοὺς ἀδελφοὺς, καὶ συνεπισκόπους ἡμῶν, πρὸς οὓς ἤτησαν οἱ προειρημένοι συνιερεῖς ἡμῶν. ἤρκει μὲν γὰρ κἀκεῖνα, ἃ πρὸ τούτου διάτε τῶν τῆς κατὰ Κωνσταντινουπόλεως ἐκκλησίας κληρικῶς, καὶ ὕστερον διὰ τῶν διακόνων τῆς σῆς ἁγιότητος ἔμπλεω πάντων ἀναγκαίων ἀπέστειλα· ἑπόμενος δὲ τὸ νῦν τῇ τε ὑπομονῇ τῆς σῆς ἀδελφότητος, καὶ τῷ ἡμετέρῳ ἔθει, οὐ παρέλειψα τὰ ὑγιῶς μοι, ὑποβληθέντα· χάριν ὁμολογῶν, καὶ ἐν εὐργεσίαις τιθέμενος τοῦτο, ὃ πέπεισμαί μοι οὐρανόθεν δεδωρῆσθαι, ἵνα περί τε τῆς ἐμῆς χειροτονίας, καὶ τῆς πίστεως, τὰ αὐτὰ πρὸς τὴν σὴν ὁμόνοιαν μίξωμεν ῥήματα.

Περὶ δὲ τοῦ Αντιοχείας, καὶ τῶν λοιπῶν, οἵ τινες μετ' αὐτοῦ ἀκόλουθοι γενέσθαι Νεστορίου ἠθέλησαν, καὶ περὶ πάντων δὲ τῶν παρὰ τὴν ἐκκλησιαστικὴν ἐπιστήμην ἐκκλησίας διοικούντων κατειληφότες, τοῦτο ὡρίσαμεν φυλακτέον· ἵνα εἰ ἀνανήψειαν, καὶ μετὰ τοῦ ἰδίου ἡγεμόνος ἀθετήσειαν ἅπαντα ἅπερ ἡ ἁγία σύνοδος ἡμῶν ἐπιβεβαιούντων ἠθέτησεν, ἐπανέλθοιεν εἰς τὸ τῶν ἱερέων συνέδριον. ὥσπερ γὰρ ἐπιμένοντες τοῖς προτέροις οὐκ ἠδυνήθησαν ἐν τῇ ἡμετέρᾳ εἶναι κοινωνίᾳ, οὕτως βουλόμεθα αὐτοὺς διὰ τὴν ἑνότητα, καὶ εἰρήνην τῶν ἐκκλησιῶν, ἀπολογουμένους ὡς εἰρήκαμεν ὑποδέχεσθαι. αὐτοὶ δὲ καθ' ἑαυτῶν εὑρεθήσονται τὴν ἴσην ἀπόφασιν ἐξενεγκάμενοι, εἰ ἔξω μένοντες δείξειαν ἑαυτοὺς πρὸς τὸν καταβληθέντα, καὶ ἐξωθησθέντα τοσαύτης ἀσεβείας κοινωνοὺς, καὶ μετόχους.

Ξύστου τοῦ μακαριωτάτου Πάπα Ρώμης διαδόχου Κελεστίνου, πρὸς Κύριλλον.

ΧΑριν ὁμολογοῦντες τῇ περὶ ἡμᾶς τοῦ θεοῦ ἡμῶν φιλανθρωπίᾳ, ὅτι κατὰ τὸν καιρὸν ἐν ᾧ ἡμᾶς εἰς τὸ ὑπερέχον τῆς ἱερωσύνης ἄκρον καλέσαι κατηξίωσεν, ἐδωρήσατο ἡμῖν κατὰ τὴν ἰδίαν εὐσέβειαν, τὴν παρουσίαν τῶν ἁγίων ἀδελφῶν, καὶ συνεπισκόπων ἡμῶν, Ερμογένους, καὶ Λαμπετίου, ἀναγκαίως πρὸς τὴν ὑμετέραν ἀδελφότητα δι' αὐτῶν ταῦτα τὰ γράμματα μαρτυρούντων ἡμῶν τῇ χειροτονίᾳ, δεδώκαμεν. ἐν τούτοις γὰρ πάντας ὑμᾶς, παρ' ὧν ἐκεῖνοι ἀπεστάλησαν παραγεγενῆσθαι πεπιστεύκαμεν· ἐπειδὴ οὐδαμῶς διαστήματι χωρίζονται, οὓς συνδεσμεῖ πνευματικὴ χάρις. μεθ' οἵας δὲ πάντων ὁμονοίας κατὰ οἰκονομίαν

μίαν θείας προνοίας αὕτη ἡ ἡμετέρα γεγένηται χειροτονία, μαθοῦσα καὶ ἡ ὑμετέρα ἁγιωσύνη ἐκ τῶν ἡμετέρων γραμμάτων, καὶ ἐκ τῆς ἀναφορᾶς τῶν ἀδελφῶν, πάντως τὸ δῶρον τῷ παραχόντι κυρίῳ ὑπὲρ ἡμῶν ὁμολογήσει, ἀδελφὸς ἀγαπητότατος· ἵνα τῆς ἰδίας ὢν δωρεᾶς φύλαξ, τὴν ἐκκλησιαστικὴν εἰρήνην τηρῆσαι καταξιώσει. ὁ θεὸς ἡμῶν, ὁ πάντα, εἰς αὐτὸν τὰ ἀνήκοντα οὕτως διοικῶν, ἵνα μηδὲ ἐν λεῖψαι συγχωρήσῃ, εὐεργεσίαν μοι ἐν τῇ ἀφορμῇ τῆς ἀδελφότητος δέδωκε. διὰ γὰρ τῶν ἁγίων συνιερέων ἡμῶν, Ερμογένους, καὶ Λαμπετίου, παραγενομένων τῇ ἡμετέρᾳ χειροτονίᾳ, ταῦτα τὰ γράμματα ἔδοξεν ἀποσταλῆναι πρὸς τὴν σὴν ἐλλάβειαν, οἷα δὴ πρὸς τὴν ἁγίαν σύνοδον ἀπεστείλαμεν, περὶ τῶν ἑπομένων Νεστορίῳ. ὁμολογῶ τοίνυν, σφόδρα ἥσθημεν ὅτι συνέβη ἡμῖν διὰ μιᾶς, καὶ τῆς αὐτῆς εὐκαιρίας, τάτε περὶ τῆς πίστεως, καὶ τὰ περὶ ἡμῶν αὐτῶν ἀνακοινώσασθαι. ἅπαντας γὰρ ἔσχε τοὺς ἀδελφοὺς παρόντας ἡ χειροτονία ἡμῶν. τίς γὰρ ἂν ἔδοξε μὴ παραγενέσθαι, ὁπότε ἡ ἀνατολὴ διὰ τῶν ἰδίων πρεσβυτέρων παρεγένετο, καὶ ἐθεάσαντο μίαν πάντων καρδίαν, καὶ μίαν ἐν πᾶσι ψυχὴν ἔγνωσαν, ὁμόφωνόν τε τοῦ θείου πλήθους φωνήν; οὕτως ἡ κατὰ Ρώμην ἐκκλησία μίαν ψῆφον ἐφύλαξε τῇ καταστάσει τοῦ τῆς πίστεως κήρυκος, ὥσπερ ἐν αὐτῷ τῷ τῆς πίστεως κηρύγματι μίαν ἀεὶ γνώμην * ἐτήρησαν. ἐπειδὴ τοίνυν ἀρκεῖ διὰ βραχέων δεδηλῶσθαί μου τὴν χειροτονίαν, λαλητέον λοιπὸν ἡμῖν, περὶ ὧν ὁ ἅγιος ἡμῶν ἀδελφὸς Κύριλλος ἀμνημονῶν τῆς ἰδίας ὕβρεως, ἐν τῶν καμάτων αἰτεῖ. ἀρκεῖ μὲν γὰρ τὰ ἤδη γραφέντα παρὰ τοῦ τῆς μακαρίας μνήμης τοῦ ἐμὲ προηγησαμένου, περὶ τῆς πίστεως, ὑπὲρ ἧς χαίρομεν θριαμβεύοντες κατὰ βοήθειαν τοῦ Χριστοῦ, τοῦ Θεοῦ ἡμῶν, καθ' οὗ ἡ ζήτησις ἐκεκίνητο. ὅμως ἐπειδὴ οὐκ ὀκνητέων ἀναλαμβάνειν πολλάκις τὰ ὑγιῶς ὁρισθέντα, ἀναγκαῖον ἡγησάμην γράφων νῦν πρὸς τὴν σὴν ἀδελφότητα διὰ τῶν ἁγίων ἀδελφῶν, καὶ συνεπισκόπων ἡμῶν Ἑρμογένους, καὶ Λαμπετίου, ταῦτα δηλοῦν διὰ βραχέων, ἅπερ πολλῷ ἤδη τῷ λόγῳ πάλαι ἡ ἀπόφασις τοῦ ἀποστολικοῦ θρόνου ὅρισε. καὶ μὴ ἀποκάμῃ ἀκούων, ἀλλὰ καὶ ἥδιστα ἀκουέτω, ὅτι νενίκηκεν. εἰ γὰρ Νεστόριος ὁ τῶν ἀνοσίων διατριβῶν διδάσκαλος βιβλία ἐκδέδωκε, κηρύττον τὰ καθαιρετέα, πόσῳ πᾶλλον ἡμᾶς δεῖ φαίνεσθαι τῆς πατρικῆς πίστεως φύλακας, πάντη ἀναιροῦντας τὰ καθῃρημένα; ὁ δὲ ἅγιος, καὶ συνεπίσκοπος ἡμῶν ἀδελφός, ὁ προστάτης τῆς Ἀλεξανδρέων ἐκκλησίας, δεικνύων ὅπως, καὶ ὅσον * φροντίζων τῆς πίστεως, καταφρονῶν τε τῶν ὕβρεων, ἃς ἐνδόξως κατὰ τὸν ἀπόστολον πέπονθε, μᾶλλον διοικηθῆναι τὰς ἐκκλησίας, ἢ ἑαυτὸν ἐκδικηθῆναι ἐπιθυμεῖ. αὐτίκα δὲ τοῖς ἐν ναυαγίῳ καμνοῦσιν αἰτεῖ ἀνοιχθῆναι λιμένα· ἐκείνου μόνου ἀρκούμενος τῷ θανάτῳ, ὃς δοκῶν εἶναι ἐν ἀπαιδευσίᾳ διδάσκαλος, ἐξεδίκει ἑαυτῷ τὰ τοῦ δεσποτικοῦ φόβου πιδάλια· ἀλλ' ἐπιμένειν τῷ θρόνῳ οὐκ ἠδυνήθη, διδάσκειν οὐκ εἰδώς. μόνος οὖν εἴη ναυαγήσας αὐτὸς, ὃν ἐν τοσαύτῃ ὁμίχλῃ τῶν ἰδίων διδαγμάτων μηδὲν ὁρῶντα, τὸ τῆς ἀσεβείας κῦμα προσέρρηξε τῷ σκοπέλῳ καὶ καθαιρέσεως. ἔσχε μὲν οὖν πάντας χειμὼν εἷς. ἀλλὰ βυθισθέντος τοῦ ταῦτα ἐπινοήσαντος, ὑγιασθῆναι βούλεται τοὺς λοιποὺς· ἔστι τοίνυν καὶ ἐν ἡμῖν ἡ αὐτὴ ψῆφος. εὐσεβεῖν γὰρ περὶ τούτους βέλτιον, εἰς θεὸν ἀσεβεῖν παυσαμένους. ὅθεν δεχθῶσιν οἱ βουλόμενοι εἰς τὴν εὐθεῖαν ἐπανελθεῖν. περὶ ὧν πολυλογεῖν οὐ χρὴ, τούτων τῶν ὀλίγων ἀρκούντων. γινωσκέτωσαν γὰρ ἔσεσθαι φροντίδα περὶ τὰς καταληφθείσας παρ' αὐτῶν ἐκκλησίας, εἰ μὴ αὐτοὶ ἑαυτοῖς βοηθήσουσι, τὰ αὐτὰ ἡμῖν φρονεῖν ἐθελήσαντες.

Περὶ δὲ τοῦ Ἀντιοχείας Ἰωάννου ταῦτα ὁρίζομεν ὀφείλειν φυλάττεσθαι, ἅπερ ἔγκειται ταῖς προαπεσταλμέναις ἐπιστολαῖς· ἵνα γνῷ ἐσόμενος εἰς τῶν καθολικῶν, εἰ πάντα παρὰ τῆς συνόδου καθαιρεθέντα καθαιρῶν, ἀποδείξειεν ἑαυτὸν καθολικὸν ἱερέα. κάτεχε οὖν ἰσχυρῶς τάτε συνοδικὰ, καὶ τὰ παρ' ἡμῶν ὡρισμένα, ἀδελφὲ ἀγαπητότατε. ἀφίησιν ὁ ἀδελφὸς τὰς ὕβρεις, αἵ τινες αὐτῷ χρησιμεύουσιν ἐνώπιον τοῦ κοινοῦ δεσπότου. ἡ γὰρ τοιαύτη ὕβρις νίκη ἐστίν. ὅθεν ἐπιεικῶς ἤνεγκε πάντων τῶν κέντρων τὰς πληγὰς, οὐδὲ ἐκεῖνα αὐτὸν ἐλύπησεν, ἐφ' οἷς νῦν ἥδεται, μεμνημένος ὅτι ἠγωνίσατο διὰ στέφανον. οἶδε γὰρ οἷα μένει νικητήρια τοὺς τοιαῦτα νικῶντας. ἀγαλλιάσθω ἐπὶ τῇ κοινωνίᾳ τοῦ τοιούτου θριάμβου, πᾶς ὁ παραγενόμενος, τῇ δὲ ψυχῇ συναινέσας· ταῦτα δὲ εἰς τὴν τῶν γειτνιόντων ἀδελφῶν γνῶσιν βούλομαι πεμφθῆναι διὰ τῆς σῆς ἐλλαβείας, ἵνα μάθωσι περὶ τοῦ τηλικούτου πράγματος· εἰ καὶ πάλαι πληρέστατα πάντα ὡρίσαντο, μὴ ἀργεῖν ὅμως τὸν ἀποστολικὸν θρόνον. οὐ γὰρ ἐπιτρέπει ἡμᾶς ἠρεμεῖν ἀπὸ τῶν τοιούτων φροντίδων ἡ ὑπὲρ πασῶν τῶν ἐκκλησιῶν μέριμνα.

Θεοδωρήτου πρὸς Ἰωάννην Ἀντιοχείας.

Ὁ Πάντα σοφῶς πρυτανεύων Θεὸς, καὶ τῆς ἡμετέρας προμηθούμενος ὁμονοίας, καὶ τῆς τῶν λαῶν κηδόμενος σωτηρίας, συναθροισθῆναι ἡμᾶς κατὰ ταυτὸν παρεσκεύασε, καὶ συμφώνους ἀλλήλοις τὰς ἁπάντων ἔδειξε γνώμας. ἐν κοινῷ γὰρ ἀναγνόντες τὰ Αἰγύπτια γράμματα, καὶ ἐξετάσαντες αὐτῶν ἀκριβῶς τὴν διάνοιαν, εὕρομεν σύμφωνα τοῖς εἰρημένοις (ἀφ' ἡμῶν) τὰ ἐκεῖθεν ἀπεσταλμένα, καὶ ἄντικρυς ἐναντία τοῖς δώδεκα κεφαλαίοις, οἷς μέχρι τοῦ παρόντος ὡς ἀλλοτρίοις τῆς εὐσεβείας πολεμοῦντες διετελέσαμεν. ἐκεῖνα μὲν γὰρ εἶχε, σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ Θεοῦ λόγον, καὶ καθ' ὑπόστασιν ἕνωσιν, καὶ συνόδον τὴν καθ' ἕνωσιν φυσικὴν, καὶ τὸν θεὸν λόγον πρωτότοκον γεγενημένον ἐκ νεκρῶν· ἀπηγόρευε δὲ καὶ τῶν περὶ τοῦ κυρίου φωνῶν τὴν διαίρεσιν. καὶ ἕτερα δὲ πρὸς τούτοις εἶχε, τῶν μὲν ἀποστολικῶν σπερμάτων ἀλλότρια, τῶν δὲ αἱρετικῶν ζιζανίων βλαστήματα. τὰ δὲ νῦν ἐπεσταλμένα, τῇ εὐαγγελικῇ εὐγενείᾳ καλλύνεται. Θεὸς γὰρ τέλειος, καὶ ἄνθρωπος τέλειος ὁ κύριος ἡμῶν Γησοῦς Χριστὸς ἐν αὐτοῖς ἀναγορεύεται. καὶ φύσεις δύο, καὶ τούτων, καὶ ἕνωσις ἀσύγχυτος· οὐ κατὰ κρᾶσιν, καὶ φυρμὸν, ἀλλ' ἀπορρήτως, καὶ θεοπρεπῶς γενομένη, καὶ τῶν φύσεων τὰς ἰδιότητας ἀκρατῶς διαφυλάξασα. καὶ ἀπαθὴς μὲν ὁ Θεὸς λόγος, καὶ ἄτρεπτος· παθητὸς δὲ ὁ ναὸς, καὶ τῷ θανάτῳ πρὸς ὀλίγον παραδοθεὶς, καὶ πάλιν τῇ δυνάμει τοῦ ἐνωθέντος Θεοῦ ἐγερθεὶς· καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἐξ υἱοῦ, οὐδὲ υἱοῦ τὴν ὕπαρξιν ἔχον, ἀλλ' ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ἴδιον δὲ υἱοῦ ὡς ὁμοέσιον ὀνομα-

* f. ἐτήρησεν

* f. φροντίζει.

νομαζόμβων. ταύτλω τλὼ ὀρθότητα ὲν τοῖς γράμμασι θεασάμβοι, ϗ ἐναντίαν ἐκ διαμέτρε τοῖς πάνυ πρότερον γραφεῖσιν ἄρόντες, ὑμνήσαμβ τὸν τὰς ψελλιζόσας γλώσσας ἰαξάμβοντα, ϗ τὸν ἀπηχῆ φθόγγον εἰς ἠχλὼ εἰδεῖαν μεταῤῥυθμίζοντα.

ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
Ἀλεξανδρείας εἰς τὸ ἅγιον σύμβολον.

Τοῖς ἀγαπητοῖς, ϗ ποθεινοτάτοις, Ἀνατασίῳ, Ἀλεξάνδρῳ, Μαρτινιανῷ, Ἰωάννῃ, Παρηγορίῳ πρεσβυτέρῳ, ϗ Μαξίμῳ διακόνῳ, ϗ λοιποῖς ὀρθοδόξοις πατράσι μοναχῶν, ϗ τοῖς σὺν ὑμῖν τὸν μονήρη βίον ἀσκοῦσι, ϗ ἐν πίστει Θεοῦ ἱδρυμβίοις, Κύριλλος ἐν κυρίῳ χαίρειν.

Τὸ φιλομαθὲς, ϗ φιλόπονον τῆς ὑμετέρας ἀγάπης ϗ νῦν ἐ μετρίως ἐπανίσαι ἔχω, ϗ ἄξιον εἶναί φημι τῷ παντὶ λόγῳ. τὸ γάρ τι θείων ἐφίεσθαι μαθημάτων, ϗ τῆς τῶν ἱερῶν δογμάτων ὀρθότητος μεταποιεῖσθαι φιλεῖν, πῶς ἐκ ἂν ὑπεραγάσαιτο τίς; ϗ γάρ ἐστι ζωῆς τῆς ἀπεράντου, ϗ μακαρίας τὸ χρῆμα προὔξενον. ϗ ἐκ ἄμισθος ἡ σὺν γε τούτοις σπουδή. φησί γάρ που πρὸς τὸν ἐν οὐρανοῖς πατέρα, ϗ θεόν, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, ϗ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. ὀρθὴ γάρ πίστις, ϗ ἀκατάσκωπτος. σύνδρομον ἔχουσα τλὼ ἐξ ἔργων ἀγαθῶν φαιδρότητα, παντὸς ἡμᾶς ἐμπίπλησιν ἀγαθοῦ, ϗ διαπρεπῆ λαχόντας τλὼ δόξαν ἀποφαίνει. σφαίξεων δὲ λαμπρότης, εἰ ἀμοιροῦσα φαίνοιτο δογμάτων ὀρθῶν, ϗ ἀδιαβλήτε πίστεως, ὀπίσειεν ἄν, ὡς γε οἶμαι, κατ' ἀδόκα ξόπον τλὼ τοῦ ἀνθρώπε ψυχλύ. ὥσπερ γάρ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν, ὅτως εἶναί φαμβ ἀληθὲς, ϗ τὸ ἔμπαλιν. ἐκεῖν συναναλαμπέπω τοῖς τῆς ζωΐας αὐχήμασι, ϗ τὸ ἀμώμητον ἐν πίστει· ἄρτιοι γάρ ἔτως ἐσόμεθα, κατὰ τὸν τοῦ παντόφε Μωϋσέως νόμον· τέλειος γάρ ἔση, φησίν, ἐναντι κυρίῳ *. οἱ δὲ τὸ πίστιν ἔχειν ὀρθλὼ ἐξ ἀμαθίας ὀλιγωρήσαντες, εἶτα ταῖς ἐπιτηδείαις τὸν ἑαυτῶν ἐπισεμυύνοντες βίον, ἐοικασί πως ἀνδράσιν δίφυᾶ μβὼ λαχοῦσι τὸ πρόσωπον τὸν χαρακτῆρα, πεπλανημβίλω δὲ ϗ διάτροφον τῶν ὀμμάτων τλὼ βολλύ· ὥστε ϗ πρέπειν αὐτοῖς τὸ διαφωνῆς Ἱερεμίε πρὸς τλὼ τῶν Ἰουδαίων μητέρα, φημὶ δὴ τλὼ Ἱερουσαλὴμ, εἰρημβίον παρὰ τοῦ Θεοῦ· ἰδοὺ ἐκεῖσιν οἱ ὀφθαλμοί σε ὀρθοὶ, ϗ ἡ καρδία σου καλή. χρὴ τοίνυν ὑμᾶς ὑγιαῖ ϗ πρόγε τῶν ἄλλων ἔχειν ἐν ἑαυτοῖς τὸν νοῦν, ϗ διαμεμνῆσθαι γράμματος ἱερᾶ πρσφωνοῦντος, ϗ λέγοντος· οἱ ὀφθαλμοί σε ὀρθαὶ βλεπέτωσαν· ὀρθὴ δὲ βλέψις ὀμμάτων τῶν ἔσω κεκρυμμβίων τὸ ἰσχνῶς, ϗ ἀπεξισμενῶς περιαθρεῖν δύναθαι, κατάγε τὸ ἐγχωρῶν, τὸς * εἴπερ ἀν γένοιντο, περὶ Θεοῦ λόγος. βλέπομβ γάρ ἐν ἐσόπτρῳ, ϗ αἰνίγματι, ϗ γινώσκομβ ἐκ μέρος. ὅταν μλὼ ἐκ σκότος ἀποκαλύπτων βαθέα, τὸ τῆς ἀληθείας εἴλικρινὲς φῶς τοῖς ἐθέλουσιν ὀρθῶς τλὼ περὶ αὐτοῦ γνῶσιν ἔλλειν. χρὴ τοιγαροῦν ἡμᾶς Θεῷ προσπίπτοντας, λέγοντας· φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον· τὸ γάρ τῆς ὀρθότητος

Ps. 1.

Deut. 27. 3.

Gal. 3.

Deut. 18. 13. * τὸ θεῖ σῦ

Ps. 12. 4.

Jerem. 22.

Prov. 4. 25.

* ἐκ ὑπερ.

1 Cor. 13.

Col. 2. 2. 3.

Isa. 11.

des ἱερῶν δογμάτων ἀπολισθῆσαι ἐκ ἂν ἕτερον ἔδοξε, πλλὼ ὅτι σαφῶς τὸ ὑπνοῦν εἰς θάνατον. ἐκ πίπτομβ δὲ τῆς ὀρθότητος, ὅτι μὴ ταῖς θεοπνεύστοις ἑπόμεθα γραφαῖς, ἀλλ' ἢ προλήψεσιν ἐκ ἐπισκεπτομένοις, ἢ κατὰ πρόσκλισιν τλὼ πρὸς γίνεσθαι ἐκ ὀρθοποδοῦντας περὶ τλὼ πίστιν, τὰς τῆς ἑαυτῶν διανοίας ἀποκλίνοντες ῥοπάς, ϗ πρόγε τῶν ἄλλων τὰς ἑαυτῶν ψυχὰς ἀδικοῦντες ἁλισκόμεθα. πιστὸν δὴ ἂν τοῖς τῆς ὀρθότητος ἐπιμελησταῖς πρὸς τὸ τῶν ἱερῶν κηρύγμασι δοκεῖν· ἃ ϗ διὰ πνεύματος ἁγίου παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται, ϗ ὑπηρέται γενόμβοι τοῦ λόγου· ὧν τοῖς ἴχνεσιν ἀκολουθεῖν ἐσπεύδοντες ϗ οἱ πανάγιοι πατέρες ἡμῶν, οἱ τὸ σεπτὸν τε, ϗ οἰκουμβικὸν τῆς πίστεως ὁρισάμβοι σύμβολον, ἐν τῇ Νικαίων συναγηγερμένοι κατὰ μέρος· οἷς δὴ ϗ αὐτὸς σὺν ἁγίοις ἦν ὁ Χριστός· ἔφη γάρ· ὅτι ὅπε εἰσὶν δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν· ὅτι γάρ πρόδρομος ἦν ἀοράτως τῆς ἁγίας, ϗ μεγάλης ἐκείνης συνόδου ὁ Χριστὸς, πῶς ἔστιν ἀμφιβάλλειν; κρηπὶς οὖν αὕτη, ϗ θεμέλιος ἀῤῥαγὴς, ϗ ἀκράδαντος τοῖς ἀνὰ πᾶσαν τλὼ γλῶ ἀνεβάλλετο, μᾶλλον δὲ κατεβάλλετο, τῆς ἀκραιφνοῦς, ϗ ἀμωμήτε πίστεως ἡ ὁμολογία. εἶτα πῶς ἁπλοῦς ὁ Χριστὸς, ὑπὲρ ἧν αὐτὸς ὁ θεμέλιος, κατὰ τλὼ τοῦ σοφωτάτε Παύλε φωνλύ; θεμέλιον γάρ ἄλλον, φησὶν, οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμβον. ὃς ἐστὶν Ἰησοῦς ὁ Χριστός. τλὼ τοίνυν ἐκτεθεῖσαν παρ' ἐκείνων, ϗ ὁριοθεῖσαν πίστιν τετηρήκασιν ἀδιαβλήτως ϗ οἱ μετ' αὐτοὺς γεγονότες ἅγιοι πατέρες, ϗ ποιμένες λαῶν, ϗ φωστῆρες ἐκκλησιῶν, ϗ διεχεῖς ατοι μυσαγωγοί. ἐλλειποῦς δὲ ὅλως ἔδοξε, ἦγον παρεωραμβόν τῆς ἀναγκαίων εἰς ὄπσιν κατιδοῦσις ἂν ἐν ταῖς τῶν πατέρων ὁμολογίαις, ἤγουν ἐκθέσεσιν. ἃς πεποίηνται περὶ τῆς ὀρθῆς, ϗ ἀκαπηλεύτε πίστεως, εἰς ἔλεγχον μβό, ϗ ἀναξοπλλὼ αἱρέσεως ἀπάσης, ϗ δυσεβοῦς ἀθυροσομίας, εἰς βεβαίωσιν δέ, ϗ ἀσφάλειαν τοῖς ὀρθοποδοῦσι περὶ τλὼ πίστιν· οἷς ὁ λαμπρὸς ἀνέτειλεν ἑωσφόρος, ϗ διέγασεν ἡ ἡμέρα κατὰ τὰς γραφὰς, ϗ τὸ τῆς ἀληθείας εἴνησι φῶς ἡ διὰ τοῦ ἁγίε βαπτίσματος χάρις.

Matth. 18. 20.

2 Cor. 3.

Ἐπειδὴ δὲ γίγραφεν ἡμῶν ἡ ἀλήθεια, ὡς παροχετεύσί τινες ἐφ' ἃ μὴ προσῆκε τὰ ἐν τῷ συμβόλῳ, τῆς ἐν αὐτῷ ῥημάτων τλὼ δυνάμιν ἢ ἐ συνιέντες ὀρθῶς, ἢ ϗ ἐκ τοῦ προσκεκλίσθαι ταῖς τινων συγγραφαῖς εἰς ἀδόκιμον ἀποφερόμβοι νοῦν, εἶτα χρῆναι κἀμὲ τοὺς περὶ τούτων αὐτῷ πρὸς ἡμᾶς ποιήσασθαι λόγους, ϗ διηρμηνεῦσαι σαφῶς τλὼ τῆς ἐκθέσεως δύναμιν, δεῦρο φάθλω, ἅπερ εἰς νοῦν ἦκε τὸν ἐμὸν, ἐαυτρομάδλω εἰπεῖν. ἐψόμεθα δὲ πανταχοῦ ταῖς τῶν ἁγίων πατέρων ὁμολογίαις τε, ϗ δόξαις, ὀρθῶς, ϗ ἀπροσκλινῶς βασανίζοντες τὸ παρ' αὐτῶν ἐῤῥημβία· ἦδη μβὼ γάρ ϗ ἡ αἰτία σύνοδος, ἡ κατὰ Ἔ, φημὶ, τῶν Ἐφεσίων συναθλήσασα μβρὶ κατὰ βέλτιστον Θεοῦ, τῆς Νεστορίε κακοδοξίας ὀστέον, ϗ ἀκεβῆ κατασκήψασα τλὶ ψῆφον, ϗ τὸς τῶν ἑτέρων * κηρυφονίας, εἴπερ ἂν ἦ γένοιντο μετ' αὐτὸν, ἢ ϗ ἀπὸ αὐτοῦ γίγενται, τὰ ἴσα φρονοῦντες αὐτῷ, ϗ εἰπεῖν, ἢ γράψαι τολμήσαντες, συγκατάθεσιν ἐκείνῳ, τὴν ἴσλω αὐτοῖς ἐπιθεῖσα δίκλω. ϗ γάρ ἐν ἀκόλυθον,

Matth. 18. 20.

* κηρυφονίας

ἑνὸς ἅπαξ ἐπὶ ταῖς οὕτω βεβήλοις καινοφωνίαις κατεγνωσμένου, μὴ καθ' ἑνὸς μᾶλλον ἐλθεῖν, ἀλλ' ἵν' οὕτως εἴπω, κατὰ πάσης αὐτῶν τῆς αἱρέσεως, ἤτοι τῆς συκοφαντίας. ἧς πεποίηνται κατὰ τῶν εὐσεβῶν τῆς ἐκκλησίας δογμάτων, δύο πρεσβεύοντες υἱοὺς, καὶ διατέμνοντες τὸν ἀμέριστον, καὶ ἀνθρωπολατρίας ἔγκλημα καταγράφοντες οὐρανοῦ τε, καὶ γῆς. προσκυνεῖ γὰρ μεθ' ἡμῶν ἡ τῶν ἄνω πνευμάτων ἁγία πληθὺς τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν. ὑπὲρ δὲ τοῦ μὴ ἀγνοεῖσθαι παρά τισι τοῦ συμβόλου τὴν δύναμιν, ὃ καὶ ἐν ἁπάσαις ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις καὶ κρατεῖ, καὶ κεκήρυκται, πατέρων ἁγίων δόξας, ἤγουν ἐκθέσεις, ἐνέταξα τοῖς αὐτόθι πεπραγμένοις ὑπομνήμασιν· ἵν' εἰδεῖεν οἱ ἐντυγχάνοντες αὐταῖς, τίνα προσήκει νοεῖσθαι τρόπον τῶν ἁγίων πατέρων τὴν ἔκθεσιν, ἤτοι τὸ ἀκραιφνὲς τῆς ὀρθῆς πίστεως σύμβολον. οἶμαι δὲ τὴν ἀγάπην ὑμῶν καὶ ἐντυχεῖν τῷ βιβλίῳ, ὃ περὶ τούτων αὐτῶν συγγεγράφαμεν. αὐτὸ δὲ καὶ νῦν, ὡς ἔφην, ἐπὶ λέξεως αὐτῆς παραθεὶς τὸ σύμβολον, τετράψομαι σὺν Θεῷ πρός γε τὸ δεῖν ἕκαστα τῶν ἐν αὐτῷ κειμένων διερμηνεῦσαι σαφῶς. γε-
1 Πέτρ. 3. 15. γραφότα γὰρ οἶδα τὸν παναοίδιμον Πέτρον· ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν οὔσης ἐλπίδος.

Τὸ σύμβολον τῶν ἐν Νικαίᾳ πατέρων

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε, καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς τὸν μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ. Θεὸν, ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν, ἐκ Θεοῦ ἀληθινοῦ. γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ πατρί· δι' οὗ τὰ πάντα ἐγένετο, τάτε ἐν τῷ οὐρανῷ, καὶ τὰ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· ἀνελθόντα εἰς οὐρανούς· ἐρχόμενον κρῖναι ζῶντας, καὶ νεκρούς. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. τοὺς δὲ λέγοντας· ὅτι ἦν ποτε, ὅτε οὐκ ἦν· καὶ πρὶν γεννηθῆναι, οὐκ ἦν· καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας φάσκοντας εἶναι, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ ἀποστολικὴ, καὶ καθολικὴ ἐκκλησία.

Πιστεύειν ἔφασαν εἰς ἕνα Θεὸν, ἐκ βάθρων ὥσπερ αὐτῶν κατασείοντες τὰς Ἑλλήνων δόξας· οἳ φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἠλλάξαν-
Ρωμ. 1. 22. το τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν τετραπόδων, καὶ ἑρπετῶν· προσεκύνησαν δὲ, καὶ τῇ κτίσει παρὰ τὸν κτίσαντα· καὶ τοῖς τοῦ κόσμου στοιχείοις δεδουλεύκα-
ὑποτυπώσαντες. σι, πολλοὺς καὶ ἀναριθμήτους ὑποτοπήσαντες εἶναι τοὺς Θεούς. οὐκοῦν εἰς ἀναίρεσιν τῆς πολυθέου πλάνης ἕνα Θεὸν ὀνομάζουσιν, ἑπόμενοι πανταχοῦ τοῖς ἱεροῖς γράμμασι, καὶ τῆς ἀληθείας τὸ κάλλος τοῖς ἀνὰ πᾶσαν τὴν ὑφ' ἥλιον κατασημαίνοντες. τοῦτο καὶ ὁ πάνσοφος ἕδρα Μωϋσῆς, σαφέστατα λέγων· ἄκουε
Δευτ. 6. 4. Ἰσραήλ· κύριος ὁ Θεός σου κύριος εἷς ἐστί. καὶ αὐτὸς δὲ πού φησιν ὁ τῶν ὅλων γενεσιουργός, καὶ δεσπότης,
Ἐξοδ. 20. 3. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. καὶ μὴν καὶ διὰ φωνῆς τῶν ἁγίων προφητῶν· ἐγὼ κύριος πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ. ἄριστα δὴ οὖν οἱ πανεύφημοι πατέρες κρηπῖδα τῇ πίστει καταβαλλόμενοι τὸ χρῆναι φρονεῖν, καὶ λέγειν, ὡς εἷς, καὶ μόνος ἐστὶ φύσει, καὶ ἀληθείᾳ θεὸς, πιστεύειν ἔφασαν εἰς ἕνα θεόν. Προσονομάζουσι δὲ αὐτὸν καὶ πατέρα παντοκράτορα, ἵνα συνεισφέρηται τῷ πατρὶ δήλωσις υἱοῦ, δι' ὃν ἐστι πατὴρ, συνυφεστῶτός τε, καὶ συνυπάρχοντος ἀεί. οὐδὲ γὰρ γέγονεν ἐν χρόνῳ πατὴρ, ἀλλ' ἦν ὅ ἐστιν ἀεὶ, τουτέστι πατὴρ, παντὸς ὑπάρχων ἐπέκεινα γενητοῦ, καὶ ἐν ὑπερτάτοις ὑψώμασι. τὸ γάρ τοι κρατεῖν, καὶ κυριεύειν τῶν ὅλων, λαμπρὰν οὕτω, καὶ ἀπαράβλητον αὐτῷ προσνέμει τὴν δόξαν. παρ' αὐτοῦ δέ φασι δεδημιουργῆσθαι τὰ πάντα, τάτε ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς· ἵνα κἀνταῦθα τὸ ἀσυμφυὲς αὐτοῦ πρὸς πᾶσαν κτίσιν νοοῖτο· ἀσύγκριτος γὰρ ἡ διαφορὰ ποιητοῦ, καὶ ποιήματος, ἀγενήτου, καὶ γενητοῦ, φύσεώς τε τῆς ὑπὸ ζυγὰ, καὶ δουλείας, καὶ τῆς τοῖς δεσποτικοῖς ἀξιώμασιν ἐξωραϊσμένης, θεοπρεπῆ τε, καὶ ὑπερκόσμιον λαχούσης τὴν δόξαν.

Υἱοῦ γε μὴν διαμνημονεύσαντες· ἵνα μὴ δοκοῖεν ὄνομα κοινὸν προσνέμειν αὐτῷ, ὅπερ ἂν ἴσως τάττοιτο καὶ ἐφ' ἡμῶν αὐτῶν. κεκλήμεθα γὰρ καὶ ἡμεῖς υἱοί· νουνεχέστατα προσεπάγουσι τὰ, δι' ὧν ἐστιν ἰδεῖν τῆς ἐνούσης αὐτῷ φαιδρότητος φυσικῆς τὸ ὑπὲρ κτίσιν ἀξίωμα. γεγεννῆσθαι γὰρ, καὶ οὐ πεποιῆσθαί φασιν, ἀσύντακτον μὲν οὐσιωδῶς τῇ κτίσει διὰ τὸ μὴ πεποιῆσθαι νοοῦντες αὐτὸν. ἐκφῦναι δὲ μᾶλλον διϊσχυριζόμενοι τῆς οὐσίας τοῦ Θεοῦ, καὶ πατρὸς ἀχρό-
Γαλ. 1. νως τε, καὶ ἀπερινοήτως· ἦν γὰρ ὁ λόγος ἐν ἀρχῇ. εἶτα τῆς ὠδῖνος τὸ γνήσιον· ἀνθρωπίνως δὲ καὶ τοῦτο εἰρήσθω, διὰ τὸ χρήσιμον· εὖ μάλα κατασημαίνοντες, Θεὸν ἔφασαν ἐκ Θεοῦ γεγεννῆσθαι τὸν υἱόν. ἔνθα γὰρ ὅλως γένησις ἀληθὴς, ἐκεῖπου πάντως ἕποιτο ἂν τὸ χρῆναι νοεῖν, καὶ λέγειν οὐκ ἀλλότριον τῆς οὐσίας τοῦ τεκόντος τὸ τεχθὲν, ἀλλ' ἴδιον αὐτῆς. ὅτι καὶ ἐξ αὐτῆς κατὰ τὸν αὐτῇ πρέποντά τε, καὶ ἐοικότα λόγον. οὐ γὰρ κατὰ σῶμα τέξεται τὸ ἀσώματον. οὕτω δὲ μᾶλλον, ὡς φῶς ἐκ φωτὸς, ἵνα ἐν τῷ ἀπαστράψαντι φωτὶ τὸ ἀπαυγασθὲν ἔνθεν νοοῖτο φῶς, καὶ ἐξ αὐτοῦ κατὰ πρόοδον ἀπόρρητόν τε, καὶ ἄφραστον, καὶ ἐν αὐτῷ καθ' ἕνωσιν, καὶ ταυτότητα φυσικήν. οὕτω γὰρ εἶναί φαμεν ἐν μὲν τῷ πατρὶ τὸν υἱὸν, ἐν δὲ τῷ υἱῷ τὸν πατέρα· ὑπογράφει γὰρ ὁ υἱὸς ἐν ἰδίᾳ φύσει τε, καὶ δόξῃ τὸν ἑαυτοῦ γενήτορα. καὶ γοῦν ἔφη σαφῶς πρὸς ἕνα τῶν ἁγίων μαθητῶν.
Γαλ. 14. Φίλιππος δὲ οὗτος ἦν· οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ
Γαλ. 10. πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν. οὐκοῦν ὁμοούσιος ὁ υἱὸς τῷ πατρί. ταύτῃ τοι, καὶ Θεὸς ἀληθινὸς ἐκ Θεοῦ ἀληθινοῦ γεγεννῆσθαι πιστεύεται. καὶ τὸ μὲν τῆς γενήσεως ὄνομα τεθὲν εὑρήσομεν, καὶ ἐπὶ τῶν κτισμάτων, κατά γε, φημὶ, τό· υἱοὺς ἐγένησα, καὶ
Ἡσαΐ. ὕψωσα, περὶ τῶν ἐξ αἵματος Ἰσραὴλ εἰρημένον παρὰ Θεοῦ· ἀλλ' ἐν χάριτος τάξει τὴν τοιάνδε κλῆσιν ἀποκερδένει τὸ ποιηθέν. ἐπὶ δέγε τοῦ κατὰ φύσιν υἱοῦ καταχρηστικῶς μὲν τῶν τοιούτων οὐδὲν, ἀληθῆ δὲ πάντα· καὶ διὰ τοῦτο μόνος ἐκ πάντων, ἐγώ εἰμι, φησίν, ἡ ἀλήθεια. ὥ-
Γαλ. 14. 6.

στε

σε χᾶν γλύνησιν, χᾶν υἱότητά τις ἐπ' αὐτῷ λέγῃ, ψευδῷ ποιήσειεν ἂν ἁδαμῶς· αὐτὸς γάρ ἐσιν ἡ ἀλήθεια. ἀσφαλίζονται τοίνυν τὰς ἡμετέρας ψυχὰς οἱ πανάφημοι μυσαγωγοὶ, πατέρα, καὶ υἱὸν παντυχῆ, καὶ γλύνησιν ὀνομάζοντες· καὶ Θεὸν ἀληθινὸν ἐκ Θεᾶ ἀληθινοῦ, καὶ φῶς ἐκ φωτὸς ἁπασράψαι λέγοντες· ἵνα καὶ τὸ ἀσώματον, καὶ τὸ ἁπλοιῶ ἡ γλύνησις ἔχῃ, καὶ τὸ ἐξ αὐτᾶ γε, καὶ ἐν αὐτῷ, καὶ ἑκάτερῳ· ὑπάρχων ἰδιοπροσώπως νοῆται. πατὴρ γάρ ἐσιν ὁ πατήρ, κ᾽ ἐχ υἱός· κ᾽ υἱὸς ὁ τεχθείς, κ᾽ ὁ πατήρ· κ᾽ ἐν ταυτότητι φύσεως ἴδιον ἑκατέρα τὸ εἶναι, ὅ ἐσίν.

Ἁπάντων δὲ ποιητιὶ ὁρατῶν τε, κ᾽ ἀοράτων ἀποφιώαντες τὸν πατέρα, δι' υἱᾶ τὰ πάντα δεδημιεργῆθαί φασιν, ὁ τὸ μεῖον ἐν δόξῃ, καθάπερ τινὰ χλῆρον αὐτῷ προέποντα προσνενεμηκότες, πολλοῦ γε, κ᾽ δεῖ· πᾶ γὰρ ὅλως ἐσὶ τὸ ἔλαττον, * ἢ γὰν τὸ μεῖζον ὁρᾶν ἐν ταυτότητι τῆς ὐσίας; ἀλλ' ὡς τᾶ Θεᾶ, κ᾽ παῖδὸς ὁ πεφυκότος ἑτέρως ἐργάζεθαί τι, κ᾽ εἰς τὸ εἶναι καλεῖν, πλιὼ ὅτι δι' υἱᾶ ἐν πνεύματι, ὡς ὄζᾳ δυνάμεως, κ᾽ σοφίας τῆς ἑαυτᾶ. γέγραπτιι γάρ· ὅτι τῷ λόγῳ χυείᾳ οἱ ὐρανοὶ ἐςερεώθησαν, κ᾽ τῷ πνεύματι τᾶ σόματος αὐτᾶ πᾶσα ἡ δυίαμις αὐτῶν. ναὶ μιὼ, ᾧ ὁ πάνσοφος Ἰωάννης, ἐν ἀρχῇ ἰῶ ὁ λόγῳ, εἰπών, κ᾽ ὁ λόγῳ ἰῶ προς τὸν Θεὸν, κ᾽ Θεὸς ἰῶ ὁ λόγος, προσεπιμύεγχεν ἀναγχαίως· πάντα δι' αὐτᾶ ἐγένετο, κ᾽ χωρὶς αὐτᾶ ἐγένετο ὐδέν.

Ὁμοὐσιον τοίνυν, ἰσοχλεᾶτε, καὶ ἰσοργὸν τῷ παῖδὶ τὸν υἱὸν ἀποδεδειχότες, δεδαμέμνιωται χρησίμως τῆς ἐνανθρωπήσεως αὐτᾶ. κ᾽ τῆς μῦ σαρκὸς οἰκονομίας διαξανῦσι τὸ μυς ήριον, τελεωτάτιω ἔσεθαι, ᾧ ἀπροσδεᾶ διὰ τὰτα τῆς φύσεως τιὼ παράδοσιν εὖ μάλα διεγνωκότες. ὁ γάρ τοι μόνον ἀπόχρη τοῖς πισεύσιν εἰς αὐτὸν τὸ διακεῖθαι, καὶ φρονεῖν, ὡς Θεὸς ἐκ Θεᾶ γεγλύνηται τᾶ παῖδὸς, ὁμοὐσιός τε αὐτῷ, κ᾽ χαρακτὴρ ὑπάρχων τῆς ὑποσάσεως αὐτᾶ· ἀλλ' ἰῶ ἀναγχαῖον εἰδέναι πρὸς τάτοις, ὡς τῆς ἁπάντων ἕνεχα σωτηρίας, κ᾽ ζωῆς χαθεὶς ἑαυτὸν εἰς χένωσιν, ἔλαβε δᾶλα μορφιὼ, κ᾽ προῆλθεν ἄνθρωπῳ, γλυνηθεὶς κατὰ σάρχα ἐκ γυναικός. διὰ τᾶτο φασί· τὸν δι' ἡμᾶς τὺς ἀνθρώπυς, κ᾽ διὰ τιὼ ἡμετέραν σωτηρίαν χατελθόντα, σαρχωθέντα, ἐνανθρωπίσαντα. ἄθρει δή, ὅπως ἐν χόσμῳ τῷ δέοντι, κ᾽ ἐν τάξει τῇ πρεπωδες άτῃ προέισιν ὁ λόγος αὐτοῖς. χατελθεῖν γὰρ ἔφασαν· ἵνα διὰ τᾶτα τὸν ἐπάνω πάντων χύριον ἐννοῶμυ φύσει τε, κ᾽ δόξῃ, κ᾽ πάλιν τᾶτον χαταφοιτήσαντα δι' ἡμᾶς, εἰς τὸ ἐθελῆσαι, φημὶ, τιὼ προς ἡμᾶς ὁμοίωσιν * ἐπελθεῖν, κ᾽ ἐπιλάμψαι τῷ χόσμῳ μῦ σαρχός· γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν· ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, κ᾽ ὁ παρασιωπήσεται. νοηθείη δ' ἂν, εἴπερ ἔλοιτότις, κ᾽ χαθ' ἕτερον ῥόπον ἡ χάθοδος· οἷον, ἐξ ὐρανᾶ, κ᾽ ἄνωθεν, ἢ κ᾽ ἀπ' αὐτᾶ τᾶ παῖδός. φωναῖς γὰρ ταῖς χαθ' ἡμᾶς κ᾽ τὰ ὑπὲρ νᾶν χαταδηλᾶν, ἔθος τοῖς ἱεροῖς γράμμασι. κ᾽ γᾶν ἔφη, ταῖς ἁγίοις προσδιαλεγόμυος μαθηταῖς· ἐξῆλθον ἀπὸ τᾶ παῖδός, κ᾽ ἐληλυθα εἰς τὸν χόσμον· πάλιν ἀφίημι τὸν χόσμον, κ᾽ πορεύομαι πρὸς τὸν πατέρα· κ᾽ πάλιν· ὑμεῖς ἐκ τῶν κάτω ἐσί, ἐγὼ ἐκ τῶν ἄνω εἰμί. ἔτι τε πρὸς τάτους· ἐγὼ ἐκ τᾶ παῖδὸς ἐξῆλθον, κ᾽ ἦκω. γράφει δὲ κ᾽ ὁ θεσπέσιος Ἰωάννης· ὁ ἄνωθεν ἐρχόμυος, ἐπάνω πάντων ἐσί. καὶ τοι γὰρ ὑπάρχων ἐν ὑπερτάταις ὑπεροχαῖς, κ᾽ ἐπάνω πάντων ὐσιωδῶς μῦ τᾶ ἰδίυ πατρὸς, ἅτε δὴ κ᾽ ἐν ταυτότητι φύσεως τῆς πρὸς αὐτὸν σεφανόμυος, ἐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφιὼ δέλυ λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γλυόμυος, κ᾽ σχήματι ἁρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν. ἐπειδὴ γὰρ Θεὸς ὢν ὁ λόγος τιὼ ἡμῶν ἠμπέχετο σάρκα, μεμύηκε δὲ κ᾽ οὕτω Θεὸς, ταύτῃ τοι Θεὸν ὁ ἱερώτατος Παῦλος ἐν ὁμοιώματι ἀνθρώπων γενέθαι φησὶν, ἁρεθιῶαί τε ὡς ἄνθρωπον σχήματι. Θεὸς γὰρ ἦν, ὡς ἔφιω, ἐν εἴδει τῷ καθ' ἡμᾶς, κ᾽ οὐχ ἁψυχόν γε τὴν σάρκα λαβών, καθά φρονεῖν ἔδοξέ τισι τ᾽ αἱρετικῶν. ἐψυχωμύμιω δὲ μᾶλλον ψυχῇ νοερᾷ. αὐτὸν οὖν ἄρα τ᾽ ἐκ τ᾽ ὐσίας τᾶ πατρὸς προελθόντα λόγον, κ᾽ υἱὸν μονογενῆ, τ᾽ θεὸν ἀληθινὸν ἐκ Θεᾶ ἀληθινᾶ, τὸ φῶς τὸ ἐκ τᾶ φωτὸς, τ᾽ δι' ὃ τὰ πάντα ἐγένετο, κατελθεῖν ἔφασαν οἱ πατέρες, σαρκωθῆναί τε, κ᾽ ἐνανθρωπῆσαι, τᾶτέςιν ὑπομεῖναι γλύνησιν τ᾽ κατὰ σάρκα ἐκ γυναικός, κ᾽ προελθεῖν ἐν εἴδει τῷ καθ' ἡμᾶς· τᾶτο γὰρ τὸ ἐνανθρωπῆσαι ἐσίν.

Εἷς οὖν ἄρα χύριος Ἰησᾶς Χρισὸς, αὐτὸς ὁ μονογενὴς τᾶ πατρὸς λόγος γενόμυος ἄνθρωπος, οὐχ ἀποβεβληχὼς τὸ εἶναι ὅ ἦν· ἀπομεμένηχε γὰρ κ᾽ ἐν ἀνθρωπότητι Θεὸς, κ᾽ ἐν μορφῇ δούλυ δεσπότης, κ᾽ ἐν χενώσει τῇ καθ' ἡμᾶς τὸ πλῆρες ἔχων θεϊχῶς, κ᾽ ἐν ἀσθενείᾳ σαρχὸς τῶν δυνάμεων χύριος, κ᾽ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις ἴδιον ἔχων τὸ ὑπὲρ πᾶσαν τὴν χτίσιν. ἃ μιᾷ γὰρ ἦν πρὸ σαρχὸς, ἀναποβλήτως ἔχει. Θεὸς γὰρ ἦν, κ᾽ υἱὸς ἀληθινὸς, μονογενής τε, κ᾽ φῶς, ζωὴ, κ᾽ δυίαμις· ἃ δὲ οὐκ ἦν, ταῦτα προσειληφὼς ὁρᾶται διὰ τὴν οἰκονομίαν· ἴδια γὰρ ἐποιήσατο τὰ τῆς σαρχός· ὁ γὰρ ἦν ἑτέρα τινὸς, αὐτῷ δὲ μᾶλλον ἢ ἀφράσως αὐτῷ, κ᾽ ἀπορρήτως σεωθῆσα σάρξ. ὅτω κ᾽ ὁ σοφὸς Ἰωάννης σάρκα φησὶ γλυέθαι τὸν λόγον. γέγονε δὲ σὰρξ ὁ κατὰ μετάσασιν, ἢ ῥοπιιὼ, ἢ ἀλλοίωσιν εἰς τιὼ τῆς σαρχὸς φύσιν μεταβαλών· ὅτε μιὼ φυρμὸν, ἢ σύγχυσιν, ἢ τιὼ θρυλλυμύιω παρά τισι σωυσίωσιν ὑπομείνας· ἀμήχανον γάρ. ἐπεὶ πέρ ἐσι κατὰ φύσιν ἀρρέπτως ἔχων· σὰρξ δὲ μᾶλλον ἐψυχωμύιω ψυχῇ νοερᾷ παρθενικᾷ, κ᾽ ἀγράντυ σώματος λαβών, κ᾽ ἰδίαν αὐτιὼ ποιησάμυος. ἔθος δὲ τῇ θεοπνεύσῳ γραφῇ, κ᾽ ἀπὸ μόνης ἔθ' ὅτε τῆς σαρχὸς ὅλον ἄνθρωπον ὑποδηλᾶν. ἐχχεῶ γάρ, φησὶν, ἀπὸ τᾶ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. ὁ γάρ τοι σαρξὶν οὐχ ἐψυχωμύοις ψυχῇ νοερᾷ ἐνήσειεν Θεὸς ἐπηγγέλλετο, ἀνθρώποις δὲ μᾶλλον τοῖς σωιεσῶσιν ἐχ ψυχῆς, κ᾽ σώματος. οὐκοιῦν οὐχ ἀποδραμὼν ὁ λόγος τᾶ εἶναι, ὅ ἰῶ, γέγονεν ἄνθρωπος, ἀλλ' κ᾽ ἐν εἴδει τῷ καθ' ἡμᾶς ἀπερίφιωὼς, ἀπομεμύηκε λόγος· κ᾽ ὁ πρότερον ἄνθρωπος νοεῖται Χρισὸς, εἶθ' ὕπω προελθὼν εἰς τὸ εἶναι Θεός. ἀλλ' Θεὸς ὢν ὁ λόγος γέγονεν ἄνθρωπος, ἵνα ἐν ταυτῷ νοῆται Θεὸς ὑπάρχων ἄνθρωπος,

χοο

Ἰσ. 9. 2. Ἰωάν. 8. 23. Ἰωάν. 8. 42. Ἰωάν. 3. 31. Φιλιπ. 2. Ἰωάν. 1. Ἰωάν. 1. Ἰωάν. 1. Ἰωάν. 1. Ἰωάν. 16. 28.

χων ὁμοῦ, καὶ ἄνθρωπος ὁ αὐτός. οἵγε μὴν αὐτὸν εἰς υἱοὺς μερίζοντες δύο, καὶ τολμῶντες λέγειν ὅτι τὸν ἐκ σπέρματος τοῦ Δαυὶδ ἄνθρωπον ἑαυτῷ συνῆψεν ὁ Θεὸς λόγος, καὶ μετέδωκεν αὐτῷ τῆς ἀξίας, καὶ τῆς τιμῆς, καὶ τοῦ τῆς υἱότητος ἀξιώματος, καὶ παρεσκεύασεν αὐτὸν ὑπομεῖναι σταυρὸν, ἀποθανεῖν, καὶ ἀναβιῶναι, καὶ ἀνελθεῖν εἰς τὸν οὐρανὸν, καὶ καθίσαι ἐν δεξιᾷ τοῦ πατρὸς. ἵνα προσκυνῆται παρὰ πάσης τῆς κτίσεως, ἀναφορᾷ Θεοῦ δεχόμενος τὰς τιμὰς, πρῶτον μὲν υἱοὺς πρεσβεύουσι δύο, εἶτα τοῦ μυστηρίου τὴν δύναμιν ἀντιστρέφουσιν ἀμαθῶς. οὐ γὰρ ἐξ ἀνθρώπου Θεὸς γέγονεν ὁ Χριστὸς, ὡς ἔφην, ἀλλὰ Θεὸς ὢν ὁ λόγος γέγονε σὰρξ, τουτέστιν ἄνθρωπος. κεκενῶσθαι δὲ λέγεται, ὡς πρὸ τῆς κενώσεως τὸ πλῆρες ἔχων ἐν ἰδίᾳ φύσει, καθὸ νοεῖται Θεός. οὐ γὰρ ἐκ τοῦ κενός εἶναί τις εἰς τὸ πλῆρες ἀνέβη. ἐταπείνωσε δὲ μᾶλλον ἑαυτὸν ἐξ ὑψωμάτων θεϊκῶν, καὶ ἀῤῥήτου δόξης, οὐ ταπεινὸς ὢν ἄνθρωπος, ὑψώθη δεδοξασμένος. ἔλαβε δὲ δούλου μορφὴν ὡς ἐλεύθερος, οὐχὶ δοῦλος ὢν εἰς τὴν τῆς ἐλευθερίας ἀνεπήδησε δόξαν. ἐν ὁμοιώματι ἀνθρώπων γέγονεν ὁ ἐν μορφῇ, καὶ ἰσότητι τοῦ πατρὸς, οὐκ ἄνθρωπος ὢν, τὸ ἐν ὁμοιώματι Θεοῦ γενέσθαι πεπλούτηκε μεθεκτῶς.

Τί τοίνυν ἀντιστρέφουσι τῆς οἰκονομίας τοὺς λόγους, καὶ παρασημαίνουσι τὴν ἀλήθειαν, ἁπάσαις ἀντανιστάμενοι ταῖς θεοπνεύστοις γραφαῖς, αἳ Θεὸν ὄντα γινώσκουσι, καὶ ἐνανθρωπήσαντα τὸν υἱὸν, ἔνα τε ὀνομάζουσι πανταχοῦ; καὶ γοῦν ἐν τῷ τῆς κοσμοποιΐας βιβλίῳ γέγραφεν ὁ Μωϋσῆς, ὡς διεβίβασε μὲν ὁ θεσπέσιος Ἰακὼβ τὸν χειμάῤῥουν Ἰαβὼκ τὰ παιδία αὐτοῦ, καὶ ἀπέμεινε μόνος· ἐπάλαιε δὲ μετ' αὐτοῦ ἄνθρωπος ἕως πρωΐ· καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου
Γένεσ. 32. ἐκείνου, εἶδος Θεοῦ· εἶδον γάρ, φησὶ, Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθημου ἡ ψυχή. ἀνέτειλε δὲ αὐτῷ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ. Ἰακὼβ δὲ ἐπέσκαζε τῷ μηρῷ αὐτοῦ. προανεδείκνυ γὰρ τῷ πατριάρχῃ Θεὸς, ὅτι καὶ ἐνανθρωπήσει κατὰ καιροὺς ὁ μονογενὴς αὐτοῦ λόγος, καὶ ἀντίπαλον ἕξει τὸν Ἰσραήλ· καὶ ὅτι περὶ αὐτὸν οὐκ ὀρθοποδήσουσι· χωλανοῦσι δὲ ὥσπερ, καθάφησιν αὐτὸς διὰ τῆς τοῦ ψάλλοντος λύρας·
Ψαλ. 17. 46. υἱοὶ ἀλλότριοι ἐψεύσαντόμοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. τουτὶ γὰρ οἶμαι καταδηλοῦν τὸ ἐπισκάσαι τὸν Ἰακὼβ τῷ μηρῷ αὐτοῦ. πλὴν ἐκεῖνο ἄθρει· ἀνθρώπου παλαίοντος πρὸς αὐτὸν, ἑωρακέναι φησὶ Θεὸν πρόσωπον πρὸς πρόσωπον· καὶ εἶδος αὐτὸν ὀνομάζει Θεοῦ. ἀπομεμένηκε γὰρ ὁ τοῦ Θεοῦ λόγος, καὶ ἄνθρωπος γεγονὼς, ἐν μορφῇ τοῦ πατρὸς, κατά γε, φημὶ, τὴν νοητὴν εἰκόνα, καὶ τὸ κατὰ
ἔχειν. πανοτιοῦν ἀπαραλλάκτως * ἔχον. καὶ γοῦν ἔφη πρὸς Φίλιππον, χαρακτῆρα τῆς ὑποστάσεως τοῦ
Γωάν. 14. πατρὸς ἑαυτὸν ἀποφαίνων, καὶ μετὰ σαρκός· ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. ἐπειδὴ δέ τινα τῶν ἐκ γενετῆς τεθεράπευκε τυφλὸν, εὑρὼν αὐτὸν ἐν
Γωάν. 9. 35. τῷ ἱερῷ· σὺ πιστεύεις, ἔφασκεν, εἰς τὸν υἱὸν τοῦ Θεοῦ; ἐκείνου γε μὴν πρὸς τοῦτο λέγοντος. τίς ἐστι, κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; καὶ ἀπεκρίνατο λέγων· καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνος ἐστί. τεθέαται δὲ ὁ τυφλὸς οὐ γυμνὸν, ἢ ἄσαρκον αὐτὸν, ἀλλ' ἐν εἴδει μᾶλλον τῷ καθ' ἡμᾶς· καὶ πεπίστευκεν εἰς τὸν ἑωραμένον, οὐχ ὡς υἱὸν υἱῷ συνημμένον ἑτέρῳ, ἀλλ' ὡς εἰς ἕνα τὸν φύσει τε, καὶ ἀληθῶς οὐ δίχα σαρκὸς ἐπιλάμψαντα τοῖς ἐπὶ τῆς γῆς. Μωϋσῆς γε μὴν ὁ θεσπέσιος ἐν εὐλογίαις φησί. δότε Λευὶ τὴν δήλωσιν αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ τῷ ἀνδρὶ τῷ ὁσίῳ· ὃν ἐξεπείρασαν ἐν πείρᾳ· ἐλοιδόρησαν αὐτὸν ἐφ' ὕδατος ἀντιλο-
γίας. ὁ λέγων τῷ πατρὶ, καὶ τῇ μητρὶ, οὐχ ἑώ- Δευτ. 33. 1. Ἐξοδ. 18.
ρακα σέ· καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω. προστέταχε μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς τὸν ποδήρη γενέσθαι τῷ Ἀαρὼν ποικίλως ἐξυφασμένον· φόρημα δὲ τοῦτο μόνῃ τῇ ἀρχιερωσύνῃ πρέπον, καὶ ἐκνεμηθὲν αὐτῇ. πρὸς δέγε τῷ στήθει τοῦ ἀρχιερέως λίθοι τινὲς ἦσαν ἀπηρτημένοι, τὸν ἀριθμὸν δώδεκα. ὧν ἐν μέσῳ τετάχατο δήλωσίς τε, καὶ ἀλήθεια, δύο πάλιν ἕτεροι λίθοι. αἰνιγματωδῶς δὲ διὰ τούτων ὁ τῶν ἁγίων ἀποστόλων διεδείκνυτο χορὸς, οἷον ἐν κύκλῳ περιέχων τὸν Ἐμμανουὴλ, ὅς ἐστι δήλωσις, καὶ ἀλήθεια· Γωάν. 14.
δεδήλωκε γὰρ ἡμῖν τὴν ἀλήθειαν, τὴν ἐν σκιαῖς, καὶ τύποις ἀποστήσας λατρείαν. ὅτι δὲ γέγονεν ἡμῶν ἀρχιερεὺς ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, ὅτε καὶ ἄνθρωπος γέγονε, πῶς ἐστιν ἀμφιβάλλειν, γεγραφότος ὡδὶ τοῦ θεσπεσίου Παύλου· κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν; τὸ γάρ τοι τῆς ἱερωσύνης ἀξίωμα τοῖς τῆς ἀνθρωπότητος μέτροις οὐκ Ἑβρ. 3.
ἀπεοικὸς νοοῖτ' ἂν εἰκότως, καὶ μεῖον μὲν, ἢ κατὰ τὴν τοῦ Θεοῦ λόγου φύσιν τε, καὶ δόξαν, οὐκ ἀνάρμοστον δὲ τῇ μετὰ σαρκὸς οἰκονομίᾳ. γεγόνασι γὰρ αὐτοῦ τὰ ἀνθρώπινα· δότε τοίνυν, φησὶ, τῷ Λευὶ, τουτέστι, τῷ ἱερεῖ, τὴν δήλωσιν, καὶ τὴν ἀλήθειαν. ποίῳ δὲ ἄρα φησὶ Λευὶ, ἤγουν ἱερεῖ, διεσάφησεν Δευ. 33.
εἰπών· τῷ ἀνδρὶ τῷ ὁσίῳ· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· γράφει οὖν ὁ Παῦλος περὶ αὐτοῦ· τοιοῦτος * ἡμῖν ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, 1. Πετρ. 2. Ἑβρ. 7. 26.
ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος. τοῦτον ἐξεπείρασαν ἐν πείρᾳ· ἐλοιδόρησαν αὐτὸν ἐφ' ὕδατος Ἀριθ. 20. 13.
ἀντιλογίας. ὦ παραδόξου πράγματος. ἄνδρα λέγων αὐτὸν, θεὸν ἀπέφηνεν εὐθύς· ὃν δὴ παρώξυνέ τε, καὶ ἐξεπείρασεν ὁ Ἰσραὴλ ἔν τε τῇ ἐρήμῳ, καὶ ἐπὶ ὕδατος ἀντιλογίας. καὶ πιστώσεται λέγων ὁ ψαλμῳδός. Ψαλ. 77. 15.
διέῤῥηξεν ἐν ἐρήμῳ πέτραν, καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ· καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα. καὶ τί μετὰ τοῦτο; καὶ ἐξεπείρασαν, φησὶν, αὐτὸν ἐν τῇ καρδίᾳ αὐτῶν· καὶ κατελάλησαν τοῦ θεοῦ, καὶ εἶπον· μὴ δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ, ὅτι ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν; μὴ καὶ ἄρτον * δυνήσεται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ; συνὲς οὖν, ὅπως διαλελοιδόρηνται θαυματουργοῦντι τῷ θεῷ. ὃν δὴ ἄνδρα φησὶν ὁ Μωϋσῆς. συνεὶς γὰρ οὕτω, καὶ ὁ θεσπέσιος Παῦλος, γράφει· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. οὐκοῦν ὁ λοιδορηθεὶς ἀνὴρ, αὐτὸς ἦν ἐκεῖ.

χεῖνός, ὃς ὕπω σεσαρκωμβύος ἐπειράζετο παρὰ τῆ ἐξ Ἰσραήλ. ὅτι γὰρ ἐχ ἕτερος ἰῶ υἱὸς ὁ πρὸ σαρκὸς, ἕτερος δὲ παρ' αὐτὸν ὁ ἐκ σπέρματος τῦ Δαυὶδ, καθὰ φάναι τολμῶσί τινες, ἀλλ' εἷς τε, κ) ὁ αὐτὸς, πρὸ μβῦ τῆς σαρκώσεως γυμνὸς ἔτι λόγος, μ) δέ γε τιῶ ἀπότεξιν τιῶ ἐκ τῆς ἁγίας παρθένυ σεσαρκωμβύος, κ) ἐναν-θρωπήσας, καθὰ γεγράφασιν οἱ ἅγιοι, κ) θεσπέσιοι πατέρες, σημείφ πάλιν ἑτέρφ πεπληροφόρηκεν ὁ Μωϋσῆς. ὥσπερ γὰρ ἑρμβύω τινὸς, κ) ἀναμαθεῖν ἐθέλοντος, περὶ ποίου γέγονεν ἀνδρὸς ὁ λόγος αὐτῷ. ὃν δὴ κ) ἐκπεπειρᾶσθαι, κ) λελοιδορῆσθαι φησι παρὰ τῆ ἐξ Ἰσραήλ, μονονυχὶ, κ) χεῖρα προτείνων κατιδείκνυσι τὸν Ἰησῦν, κ) φησίν· ὁ λέγων τῷ παρῖ, κ) τῇ μητρὶ, ἐχ ἑώρακά σε. κ) τὺς ἀδελφὺς αὐτῦ ἐκ ἐπέγνω. μεμνήμεθα γὰρ γεγραφότος ἑνὸς τῆ ἁγίων διαγγελισῶν, ὡς διδάσκοντός ποτε τῦ Χριστῦ, κ) μυσαγωγῦντος τινὰς, ἐπέστησαν ἡ μήτηρ αὐτῦ, κ) οἱ ἀδελφοὶ, εἶτα προσδραμόντος τινὸς τῆ μαθητῶν, κ) λέγοντος· ἰδὺ ἡ μήτηρ συ, ☩ οἱ ἀδελφοί συ ἐζήκασιν ἔξω, ἰδεῖν σε θέλοντες, ἐκτείνας τιῶ χεῖρα αὐτῦ ἐπὶ τὺς μαθητὰς, εἶπε· μήτηρ μυ, κ) ἀδελφοί μυ ὅτοί εἰσιν, οἱ ἀκύοντες τὸν λόγον τῦ Θεῦ, κ) ποιοιῦντες. ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τῦ πατρός μυ τῦ ἐν τοῖς ὐρανοῖς, ὗτος ἀδελφός μυ, κ) ἀδελφὴ, καὶ μήτηρ ἐστί. τῦτο, εἶμαι, ἐστὶν, ὅπερ ἔφη Μωϋσῆς· ὁ λέγων τῷ παρῖ, κ) τῇ μητρί· ὐχὶ ἑώρακά σέ· καὶ τὺς ἀδελφὺς αὐτῦ ὐκ ἐπέγνω. * κ) μιῶ, κ) ὁ πάνσοφ☩ Δανιὴλ ἐν εἴδει τῷ καθ' ἡμᾶς τεθεᾶσθαι φησὶ τὸν μονογβῆ τῦ Θεῦ λόγον. ἰδεῖν μβὺ γὰρ ἔφη παλαιὸν ἡμερῶν, καθήμβυον ἐπὶ θρόνυ, μυρίας τε μυριάδας τῆ παρεστάντων, κ) χιλίας χιλιάδας τῆ λειτυργῶν· κ) διὰ μέσυ τινὰ παρενθεὶς, ἕτερα τύτοις ἐπάγει· ἐθεώρυν γὰρ ἐν ὁράματι τῆς νυκτὸς, κ) ἰδὺ μ) τῆ νεφελῶν τῦ ὐρανῦ ὡς υἱὸς ἀνθρώπυ ἐρχόμβυος, κ) ἕως τῦ παλαιῦ τῆ ἡμερῶν ἔφθασε, κ) ἐώπιον αὐτῦ προσιώχθη, κ) αὐτῷ ἐδόθη ἡ τιμὴ, κ) ἡ βασιλεία. κ) πᾶσαι αἱ φυλαὶ, κ) γλῶσσαι αὐτῷ δυλεύσυσιν. ἰδὺ δὴ πάλιν σαφῶς τε, καὶ ἐναργῶς ἀναβαίνοντα πρὸς τὸν ἐν ὐρανοῖς πατέρα, κ) Θεὸν, τεθέατται τὸν Ἐμμανουήλ. νεφέλη γὰρ ὑπέλαβεν αὐτόν· ὃν δὴ, κ) οὐχ ἄνθρωπον ἁπλῶς, ἀλλ' ὡς υἱὸν ἀνθρώπυ φησί. Θεὸς γὰρ ἰῶ ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς γεγονὼς ὁ λόγος. ὕτω σωζεῖς, κ) ὁ πάνσοφος Παῦλος ἐν ὁμοιώματι ἀνθρώπων γβυέσθαι φησὶν αὐτὸν, δρεσθῆναι δὲ ὡς ἄνθρωπον ἐν σχήματι, κ) ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ὦφθαι τοῖς ἐπὶ τῆς γῆς. εἰ δὲ ἄνθρωπος ἰῶ, σωσφείᾳ τῇ πρὸς τὸν Θεὸν, ὡς Θεὸς, τιμώμβυος, ἔφη δ' ἂν ὁ προφήτης, ὡς Θεὸν, ἢ ὡς υἱὸν Θεῦ τεθεᾶσθαι τὸν μ) τ' νεφελῶν ἐρχόμβυον. ἀλλ' ὁ τῦτό φησιν, ἐκεῖνο δὲ μᾶλλον τὸ, ὡς υἱὸν ἀνθρώπυ. οἶδεν ἄρα Θεὸν ὄντα, κ) ἐναν-θρωπήσαντα τὸν υἱὸν, ἤγουν ἐν ὁμοιώματι ἀνθρώπυ γβυόμβυον, κατὰ τιῶ τῦ Παύλυ φωνιῶ. πλιῶ κ) ἐν σαρκὶ πεφηνὼς, ἕως τῦ παλαιῦ τῆ ἡμερῶν ἔφθασε. τυτέστιν, εἰς τὸν τῦ ἀϊδίυ πατρὸς ἀναπεφοίτηκε θρόνον· κ) αὐτῷ ἐδόθη ἡ τιμὴ, κ) ἡ βασιλεία. κ) πᾶσαι αἱ φυλαὶ, καὶ γλῶσσαι αὐτῷ δυλεύσυσι. κ) τῦτο ἰῶ ἄρα τὸ εἰρημένον παρ' αὐτῦ· πάτερ δόξασόν με τῇ δόξῃ, ᾗ εἶχον πρὸ τῦ τὸν κόσμον εἶναι παρὰ σοί. ὅτι δὲ σαρκωθεὶς ὁ τῦ Θεῦ λόγος συϊεδρός ἐστι, κ) ἰσοκλεὴς τῷ Θεῷ, κ) πατρὶ, κ) μ) σαρκὸς, ὡς εἷς ὑπάρχων υἱὸς, κ) ὅτε γέγονεν ἄνθρωπος, σαφιιεῖ γράφων ὁ πάνσοφος Παῦλος· τοιῦτον ἔχομβυ ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τῦ Ἑβρ. 8.
θρόνυ τ μεγαλωσιίνης ἐν τοῖς ὑψηλοῖς. ναὶ μιὺ, κ) αὐτὸς ὁ κύριος ἡμῶν Ἰησῦς Χριστὸς, ἐρομβύων αὐτὸν τῆ Ἰβδαίων, εἴπερ ἐστὶν αὐτὸς ἀληθῶς ὁ Χρι- Δαν. 12. 6?.
στὸς, ἐὰν εἴπω, φησὶν, ὑμῖν, ἃ μὴ πιστεύσητε· κ) ἐὰν ἐπερωτήσω, ἃ μὴ ἀποκριθῆτε. ἀφ' τῦ νῦν δὲ ἔσαι ὁ υἱὸς τῦ ἀνθρώπυ καθήμβυος ἐκ δεξιῶν τῆς δυνάμεως τῦ Θεῦ· ἐκεῖν ἐν τοῖς τῆς θεότητος θρόνοις, κ) ἐναν-θρωπήσαντα τὸν υἱὸν ὁ τῆ ἁγίων προφητῆ ἐθεᾶτο χορός. ἰδωμβυ δὲ ☩ τὺς τῆς νέας διαθήκης κήρυκας, τὺς τῆς ὑφ' ἥλιον μυσαγωγῆς, οἷς αὐτὸς ἔφη ὁ Χριστός. ἐχ ὑμεῖς ἐστε οἱ λαλῦντες, ἀλλὰ τὸ πνεῦμα τῦ πατρὸς ὑμῶν τὸ λαλῦν ἐν ὑμῖν. εἰρήσομβυ τοίνυν λέγοντα τὸν θεσπέσιον Βαπτισιιὴ· ὀπίσω μυ ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μυ γέγονεν, ὅτι πρῶτός μυ ἦν. εἶτα πῶς ὁ μετ' αὐτὸν ἰὼν, πρῶτος αὐτῦ ἦν; ὅτι γὰρ ὑστερίζει κατὰ τὸν τῆς σαρκὸς χρόνον Ἰωάννης ὁ Χριστὸς, πῶς ἐχ ἅπασιν ἐναργές; τί οὖν πρὸς τῦτο φαίη τις ἄν; ἔλυσεν ἡμῖν αὐτὸς ὁ σωτὴρ τὸ ζητύμβυον. ἔφη γὰρ Ἰβδαίοις προσλαλῶν· (ἀμιὼ, ἀμιὼ λέγω ὑμῖν,) πρὶν Ἀβραὰμ γενέσθαι ἐγὼ εἰμί. ἰῶ μβὺ γὰρ, κ) πρὸ Ἀβραὰμ θεϊκῶς, νοεῖται δὲ μετ' αὐτὸν, καθὸ πέφηνεν ἄνθρωπος. εἶτα τῦ θεῦ, κ) παρῖ βοῶντος ἀναφανδόν· τὴν δόξαν μυ ἑτέρῳ ὐ δώσω· Θεὸς γὰρ ἕτερος παρ' αὐτὸν ὐδεὶς, ἔφη πρὸς ἡμᾶς ὁ Χριστός· ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τῦ ἀνθρώπυ ἐν τῇ δόξῃ τῦ παρῖς αὐτῦ μ) τῆ ἁγίων ἀγγέλων. υἱῦ δὲ ἀνθρώπυ προσδοκωμβύς καταβαίνειν ἐξ οὐρανῶν, γράφει πάλιν ὁ πάνσοφος Παῦλος. ἐπεφάνη γὰρ ἡ χάρις τῦ Θεῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις· ἵνα ἀρνησάμβυοι τιῶ ἀσέβειαν, κ) τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως, κ) δικαίως, κ) ὁσίως βῶς ζήσωμβυ ἐν τῷ νῦν αἰῶνι, προσδεχόμβυοι τιῶ μακαρίαν ἐλπίδα, κ) ἐπιφάνειαν τῆς δόξης τῦ μεγάλυ Θεῦ, κ) σωτῆρος ἡμῶν Ἰησῦ Χριστῦ. ἔφη δὲ κ) ἑτέρωθι περὶ τῆ ἐξ αἵματος Ἰσραὴλ τὺς λόγους ποιύμβυ☩· ὅτι αὐτῆ αἱ ἐπαγγελίαι, κ) ἡ νομοθεσία, κ) ἡ διαθήκη, κ) ἐξ αὐτῆ τὸ κατὰ σάρκα Χριστὸς, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τὺς αἰῶνας. ἀμιύ.

Ἰωάν. 1. 20.
Ἰωάν. 1. 29.
Ματθ. 10. 20.
Ἠσαΐ. 42.
Ἠσαΐ. 45.
Μαρκ. 8. 38.
Τίτ. 2. 11.
Ῥωμ. 9. 4.

Οὐκοιῦ κατ' ἰσχ☩ εἰδότες ἀπροσκλινῶς τῆς τῆ πατέρων ὁμολογίας, αὐτὸν φαμβυ τὸν ἐκ τῦ Θεῦ παρῖς λόγον γβυνηθέντα υἱὸν μονογβῆ, σαρκωθιῦναί τε, καὶ ἐναν-θρωπῆσαι, παθεῖν, ἀποθανεῖν, ἀναστιῶναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ. ἀπαθὴς μβὺ γὰρ ὁμολογουμβίως τόγε ἦκον εἰς ἰδίαν φύσιν ὁ τῦ Θεῦ λόγ☩· κ) οὐδεὶς οὕτως ἐμβρόντητος, ὡς νομίσαι δύνασθαι πάθος εἶναι δεκτικιὸ τιῶ ὑπὲρ πάντα φύσιν. ἐπειδὴ δὲ γέγονεν ἄνθρωπ☩, ἰδίαν ποιησάμβυ☩ σάρκα τιῶ ἐκ τῆς ἁγίας παρθένυ, ταύτῃ τοι τοῖς τῆς οἰκονομίας ἑπόμενοι λόγοις, σαρκὶ τῇ ἰδίᾳ παθεῖν ἀνθρωπίνως διαβιβαιύμεθα τὸν ἐπέκεινα τῦ παθεῖν ὡς Θεόν. εἰ γὰρ Θεὸς ὑπάρχων γέγονέ ἄνθρωπ☩, ἀποπεφοίτηκε δὲ οὐδαμῶς τῦ εἶναι Θεὸς, εἰ γέγονε τῆς κτίσεως μέρος, κ) μεμι- Γαλατ. 4.

Γαλ. 1.
Διατ. 33.
Δευ. 8.
Ματθ. 12.
Λευ. 21. 9.
Δανιὴλ. 7. 9. vid.
Παλαιὸν ἡμερῶν
Ἐξ. 8. 3.
Ἰωὴλ 2.
Ψαλτ. 2.
Ἰωὴλ 2.
Ἰωὴλ 2.
Ἰωὴλ

νηκεν ὑπὲρ τὴν κτίσιν· εἰ νομοθέτης ὢν ὡς Θεὸς, γέγονεν ὑπὸ νόμον, καὶ νομοθέτης ἦν ἔτι· καὶ δεσπότης ὢν θεϊκῶς, δούλου μορφὴν ὑπέδυ, καὶ ἀναπόβλητον ἔχει τὸ τῆς δεσποτείας ἀξίωμα· εἰ μονογενὴς ὑπάρχων γέγονε πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, καὶ ἔστι μονογενὴς, τί τὸ παράδοξον, εἰ σαρκὶ παθὼν ἀνθρωπίνως, ἀπαθὴς καὶ οὕτω νοεῖται θεϊκῶς; καὶ γοῦν ὁ πάνσοφος Παῦλος, τὸν ἐν μορφῇ, καὶ ἰσότητι τοῦ θεοῦ, καὶ πατρὸς ὑπάρχοντα λόγον, τὸν αὐτὸν ὑπήκοον γενέσθαι φησὶ, καὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἐν ἑτέρᾳ δὲ τῶν ἰδίων ἐπιστολῶν περὶ αὐτοῦ φησίν· ὅστις ἐστὶν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τῷ οὐρανῷ, καὶ τὰ ἐπὶ τῆς γῆς· καὶ αὐτός ἐστι πρὸ πάντων· καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε· καὶ αὐτὸν δεδόσθαι φησὶ κεφαλὴν τῇ ἐκκλησίᾳ, γενέσθαι δὲ, καὶ ἀπαρχὴν τῶν κεκοιμημένων, καὶ πρωτότοκον τῶν νεκρῶν· καί τοι ζωὴ, καὶ ζωοποιὸς ὁ ἐκ Θεοῦ πατρός ἐστι λόγος, ἅτε δὴ καὶ ἐκ ζωῆς ἀναφὺς, τοῦ τεκόντος αὐτόν· εἶτα πῶς γέγονεν πρωτότοκος ἐκ νεκρῶν, καὶ ἀπαρχὴ τῶν κεκοιμημένων; ἐπειδὴ γὰρ τὴν τοῦ θανάτου δεκτικὴν ἰδίαν ἐποιήσατο σάρκα, χάριτι Θεοῦ, καθά φησιν ὁ πάνσοφος Παῦλος, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου τῇ παθεῖν αὐτὸν δυναμένῃ σαρκὶ, οὐκ ἀποβαλὼν αὐτὸς τὸ εἶναι ζωὴ. οὐκοῦν κἂν εἰ λέγοιτο σαρκὶ παθεῖν, οὐ φύσει θεότητος εἰσδέξεται τὸ παθεῖν, ἀλλ' ὡς ἔφην ἀρτίως, ἰδίᾳ σαρκὶ τῇ τοῦ πάθους δεκτικῇ. καὶ γοῦν ὁ μακάριος προφήτης Ἡσαΐας ἐνανθρωπήσαντα θεὸν τὸν σαρκὶ παθόντα γινώσκων, ἔφη που περὶ αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. καίτοι εἴπερ τις ἦν ἄνθρωπος, καὶ ἰδικῶς νοούμενος υἱὸς, συνημμένος δὲ θεῷ, καθάφασιν οἱ τῶν ἀνοσίων δογμάτων εἰσηγηταὶ, πῶς ἔτι δυσεύρετος ὁ τὴν γενεὰν αὐτοῦ διηγήσασθαι δυνάμενος; γέγονε γὰρ ἐκ σπέρματος Ἰεσσαὶ, καὶ Δαυίδ. τὴν δέ γε τοῦ θεοῦ λόγου γένησιν, ἤτοι τὸν τῆς γεννήσεως τρόπον, τίς ὁ φάναι δυνάμενος; αἴρεται γὰρ ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. τουτέστιν ἡ ὕπαρξις· τέθεικε γὰρ ἀντὶ τῆς ὑπάρξεως τὴν ζωήν. ὑψοῦ δὲ διάττει, καὶ ὑπερνήχεται τοὺς ἐπὶ τῆς γῆς. ἀπερινόητος γὰρ, καὶ ἀπρόσβλητος παντελῶς ταῖς ἀνθρώπων διανοίαις ὁ περὶ τῆς ἀῤῥήτου φύσεως λόγος. προσεποίσω τοῖς εἰρημένοις, καὶ τόδε. εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, καθάφησιν ὁ ἱερώτατος Παῦλος· ἑνὸς οὖν ὄντος κυρίου, πίστεώς τε μιᾶς, καὶ ἑνὸς βαπτίσματος, τίς ὁ κύριος, καὶ εἰς τίνα πεπιστεύκαμέν τε, καὶ βεβαπτίσμεθα; ἀλλ' ἴσως πρέπειν ὅτι μάλιστα φαίη τις ἄν, τῷ ἐκ θεοῦ πατρὸς ὄντι λόγῳ τήν τε κυριότητα, καὶ τὴν πίστιν τὴν πρὸς ἡμῶν, ἐπ' αὐτῷ δὲ τελεῖσθαι, καὶ τὸ σωτήριον βάπτισμα. οὕτω γάρ που τοῖς ἁγίοις ἀποστόλοις ἐνετείλατο λέγων· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. ὅγε μὴν θεσπέσιος Παῦλος τὴν τῆς κυριότητος δόξαν, καὶ τῆς πίστεως τὴν ὁμολογίαν, καὶ τὴν τοῦ ἁγίου βαπτίσματος δύναμιν ἐμφανῆ καθίστησι, λέγων· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σοῦ· τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι Χριστὸν ἀναγαγεῖν ἐκ νεκρῶν. ἀλλὰ τί λέγει ἡ γραφή; ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σοῦ· ὅτι ἐὰν εἴπῃς· κύριος Ἰησοῦς, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, σωθήσῃ. γράφει δὲ πάλιν· οὐκ οἴδατε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; ἰδοὺ δὴ σαφῶς περιΐστησιν εὐτέχνως τῆς τε κυριότητος, καὶ τῆς πίστεως τὴν ὁμολογίαν, καὶ αὐτὴν δὲ τὴν τοῦ ἁγίου βαπτίσματος χάριν, εἰς τὸν παθόντα τὸν θάνατον, καὶ ἐγηγερμένον ἐκ νεκρῶν. ἆρα οὖν εἰς υἱοὺς πιστεύομεν δύο; ἆρα τὸν ἐκ θεοῦ πατρὸς ἀπαστράψαντα παραδραμόντες λόγον, ὡς υἱῷ παρ' αὐτὸν ἑτέρῳ, τῷ παθόντι προσάψομεν τὴν τῆς κυριότητος δόξαν, καὶ αὐτῆς δὲ τῆς πίστεως τὴν ὁμολογίαν, καὶ τὸ οὐράνιον βάπτισμα; εἶτα πῶς οὐκ εὔηθες, μᾶλλον δὲ, καὶ ἀναμφιλόγως δυσσεβὲς, τὸ οὕτω φρονεῖν, ἢ λέγειν; τί οὖν ἐροῦμεν; εἷς κύριος ἀληθῶς, μία τε πίστις, καὶ ἓν βάπτισμα. καὶ γάρ ἐστιν εἷς υἱὸς, καὶ κύριος, οὐκ ἄνθρωπον κατὰ συνάφειαν λαβὼν ὁ λόγος, καὶ μέτοχον αὐτὸν ἀποφήνας καὶ ἰδίων ἀξιωμάτων, καὶ μεταδοὺς υἱότητός τε, καὶ κυριότητος αὐτῷ, καθά φασι, καὶ γεγράφασι ληροῦντες τινές· ἀλλ' αὐτὸς ἐνανθρωπήσας, καὶ σαρκωθεὶς ὁ ἐκ Θεοῦ λόγος, τὸ φῶς τὸ ἐκ φωτός. εἰς τὸν τούτου θάνατον βεβαπτίσμεθα, παθόντος μὲν ἀνθρωπίνως αὐτοῦ ἰδίᾳ σαρκὶ, μεμενηκότος δὲ ἀπαθοῦς θεϊκῶς, καὶ ζῶντος ἀεί. ζωὴ γάρ ἐστιν ἐκ ζωῆς τοῦ Θεοῦ, καὶ πατρὸς. οὕτω νενίκηται θάνατος, ἐπιπηδῆσαι τολμήσας τῷ σώματι τῆς ζωῆς· καταργεῖται δὲ οὕτω, καὶ ἐν ἡμῖν ἡ φθορὰ, καὶ αὐτοῦ τοῦ θανάτου τὸ κράτος ἀσθενεῖ. καὶ μὴν ἔφη Χριστὸς· ἀμὴν, ἀμὴν, λέγω ὑμῖν· ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ζωοποιὸν οὖν ἄρα τὸ ἅγιον σῶμα, καὶ αἷμα τοῦ Χριστοῦ. σῶμα γὰρ, ὡς ἔφην, ἐστὶν οὐκ ἀνθρώπου τινὸς μετόχου ζωῆς, ἴδιον δὲ μᾶλλον τῆς κατὰ φύσιν ζωῆς, δῆλον δὲ ὅτι τοῦ μονογενοῦς. ταῦτα φρονεῖ μεθ' ἡμῶν ὁ φιλόχριστος τῶν ἁγίων πατέρων χορὸς, καὶ αὐτὸς δὲ ὁ νυνὶ τὸν τῆς ἁγίας Κωνσταντινουπολιτῶν ἐκκλησίας κατακοσμήσας θρόνον, ὁσιώτατος, καὶ θεοσεβέστατος ἀδελφὸς, καὶ συνεπίσκοπος Πρόκλος. γέγραφε γὰρ, καὶ αὐτὸς πρὸς τοὺς τῆς ἑώας θεοφιλεστάτους ἐπισκόπους αὐταῖς λέξεσιν ὧδε· καὶ σαρκοῦται μὲν ἀτρέπτως ὁ ἀνείδεος· τίκτεται δὲ, καὶ κατὰ σάρκα ὁ ἄναρχος· προκόπτει δὲ τῇ κατὰ τὸ σῶμα ἡλικίᾳ ὁ φύσει παντέλειος· καὶ παθῶν ἀνέχεται ὁ παθῶν ἀνώτερος, οὐχ ᾧ ἦν ὑπομείνας τὰς ὕβρεις, ἀλλ' ᾧ γέγονε καταδεξάμενος τὰ τοῦ σώματος πάθη. ἐλέγχεται τοίνυν τῶν ἕτερα παρὰ ταῦτα φρονούντων, ἢ γεγραφότων, ἡ κακοπιστία, πανταχοῦ νοσοῦσα τὸ βέβηλον, καὶ τὸ τοῖς τῆς ἀληθείας ἀπᾷδον δόγμασι.

Διαπεράναντες δὲ τὸν περὶ Χριστοῦ λόγον οἱ τρισμακάριοι πατέρες, τοῦ ἁγίου πνεύματος διαμνημονεύο-

Ρωμ. 8. — Φιλιππ. 2. — Κολασ. 2.15. — 1. Κορίν. 15.21. — Κολασ. 1.18 — Ἑβρ. 2. 9. — Ἡσαΐ. 53.7. — Ἐφεσ. 4. — Ἐφεσ. 4. — Ματθ. 28 19 — Ρωμ. 10. — Διατ. 30.14. — Ρωμ. 6. 3. — Ρωμ. 6. 3. — Ἐφεσ. 4. — Ἰωάν. 6. 53. — Λεκ. 2.

νεύουσι, πιστεύειν γὰρ ἔφασαν εἰς αὐτὸ, καθάπερ ἀμέλει εἰς τὸν πατέρα, καὶ τὸν υἱόν· ὁμοούσιον γάρ ἐστιν αὐτοῖς· καὶ προχεῖται μὲν, ἤγουν ἐκπορεύεται, καθάπερ ἀπὸ πηγῆς τοῦ Θεοῦ, καὶ πατρὸς, χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ υἱοῦ. ἐνεφύσησε γοῦν τοῖς ἁγίοις ἀποστόλοις λέγων· λάβετε πνεῦμα ἅγιον. οὐκοῦν ἐκ
Γυάν. 20.22. Θεοῦ, καὶ Θεὸς τὸ πνεῦμά ἐστι, καὶ οὐκ ἀλλότριον τῆς ἀνωτάτω πασῶν οὐσίας, ἀλλ' ἐξ αὐτῆς τε, καὶ ἐν αὐτῇ, καὶ
Γυάν. 4. ἴδιον αὐτῆς. Αὕτη μὲν οὖν τῶν ἁγίων πατέρων ἡ εὐθυτενὴς, καὶ ἀπλανεστάτη πίστις, ἤτοι τῆς πίστεως ἡ ὁμολογία. ἀλλ' ὡς ὁ Παῦλος φησίν· ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ
1. Κορι. 4.4. αὐγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης Χριστοῦ. ἀφέντες γοῦν τὸ εὐθὺ τῆς ἀληθείας ἰέναι τινὲς, ἄττουσι κατὰ πετρῶν, μὴ νοοῦντες μήτε
1. Τιμ. 1.7. ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται. περιΐσταντες γὰρ τὴν τῆς υἱότητος δόξαν εἰς μόνον τὸν ἐκ Θεοῦ πατρὸς φύντα λόγον, ὡς υἱὸν ἕτερον τὸν ἐκ σπέρματος Δαυὶδ, καὶ Ἰεσσαὶ συνῆφθαί φασιν αὐτῷ, καὶ μετέχειν υἱότητος, καὶ τιμῆς θεοπρεποῦς, καὶ τῆς ἐνοικήσεως αὐτοῦ τοῦ λόγου, καὶ πάντα μᾶλλον ἐσχηκέναι παρ' αὐτοῦ, ἴδιον δὲ παντελῶς οὐδέν. περὶ τῶν τοιούτων, ὥσγε οἶμαι, γεγράφασι τοῦ σωτῆρος οἱ μαθηταί· παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ καὶ
Γάλας. 4. πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον δεσπότην, καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι· Ἰησοῦς δὲ Χριστὸς ὀνομάζοιτο ἂν εἰκότως ἐν ἀνθρώπου μορφῇ πεφηνὼς ὁ λόγος. ἐπεὶ φραζέτωσαν ἐρομένοις οἱ δι' ἐναντίας, οἱ τὰ Νεστορίου τε, καὶ Θεοδώρου φρονεῖν, καὶ λαλεῖν, ἐκ πολλῆς ἄγαν ἀσυνεσίας οὐ παραιτούμενοι· ἐκβάλλετε τοῦ εἶναι θεὸν, καὶ υἱὸν ἀληθινὸν τοῦ Θεοῦ, καὶ πατρὸς, τὸν ἐκ τῆς ἁγίας παρθένου, τὸ παθεῖν αὐτῷ προσνέμον-
* μόνον, τες * μόνῳ, καὶ ἀποσοβοῦντες αὐτὸν τοῦ Θεοῦ λόγου, ἵνα μὴ θεὸς λέγοιτο παθητός; ταῦτα γὰρ τῆς ἐκείνων ἐθελακριβείας τὰ εὑρήματα, καὶ ἡ τῶν ἐννοιῶν χυδαιότης; οὐκοῦν μὴ ὀνομαζέσθω Χριστὸς ἰδικῶς, ἢ κατὰ μόνας ὁ ἐκ Θεοῦ πατρὸς λόγος. ὥσπερ γὰρ ἐστιν ἀπεοικὸς αὐτῷ τὸ παθεῖν, ὅταν ἔξω νοοῖτο σαρκὸς,
Πράξ. 10. 3. οὕτω καὶ ἡ χρίσις ἀνάρμοστόν τι χρῆμα, καὶ ἀλλότριον αὐτοῦ. Ἰησοῦν γαρ τὸν ἀπὸ Ναζαρὲτ ἔχρισεν ὁ θεὸς πνεύματι ἁγίῳ· αὐτοτελὴς δὲ πάντως ὁ ἐκ Θεοῦ λόγος, καὶ οὐκ ἂν ἐδεήθη χρίσεως τῆς διὰ τοῦ ἁγίου πνεύματος. οὐκοῦν ἀρνήσασθε τὴν οἰκονομίαν· ἀποστήσατε τὸν μονογενῆ τῆς εἰς τὸν κόσμον ἀγάπης. μὴ ὀνομαζέσθω χριστὸς παρ' ὑμῶν. ἢ οὐ σμικρὸν αὐτῷ τὸ ἐν τοῖς καθ' ἡμᾶς γενέσθαι μέτροις; οὐκοῦν ἐπειδήπερ, καὶ τοῦτό ἐστιν ἀπεοικὸς αὐτῷ, ὁμολογείτω μηδεὶς ὅτι γέγονεν ἄνθρωπος· ἵνα καὶ αὐ-
Ματθ. 22.29. τοῖς εἴπῃ Χριστός. πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ. οὐκοῦν, ὡς τῆς ἀληθείας ἐχθροὺς, τοὺς ὧδε φρονεῖν ἠρημένους ἡγούμενοι, φεύγωμεν αὐτῶν τὰς ὀλεθρίους * καινοφωνίας.
* κενοφωνίας. καὶ ἑπώμεθα μᾶλλον ταῖς δόξαις τῶν ἁγίων πατέρων, καὶ τῇ παραδόσει τῶν ἁγίων ἀποστόλων, καὶ εὐαγγε-
1. Κορι. 13. λιστῶν· αὐτὸς γὰρ ἦν ἐν αὐτοῖς ὁ λαλῶν ὁ ἐνανθρωπήσας λόγος· δι' οὗ, καὶ μεθ' οὗ τῷ Θεῷ, καὶ πατρὶ, τιμὴ, δόξα, κράτος σὺν ἁγίῳ πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΚΥΡΙΛΛΟΥ ΕΠΙΣΚΟπου Ἀλεξανδρείας, πρὸς Ἰωάννην ἐπίσκοπον Ἀντιοχείας, καὶ τὴν συναχθεῖσαν ἐκεῖ σύνοδον.

ΟΥΚ ἠρέμησεν ὁ δράκων ὁ ἀποστάτης, τὸ παγχάλεπον ἀληθῶς, καὶ θεομάχον θηρίον. οὔτε μὴν κατέληξε πώποτε τῆς ἐνούσης αὐτῷ δυστροπίας. * ἀκατάπαυστον δὲ τὸν φθόνον τὸν κατὰ τῶν ἁγίων ἐκκλησιῶν ὠδίνων ἐνέαυτῷ, γλώσσας ἀκρατεῖς ἀνοσίων, καὶ βεβήλων ἀνθρώπων, κεκαυτηριασμένην ἐχόντων τὴν συνείδησιν, ἀνταναστῆσαι τετόλμηκε τοῖς τῆς ἀληθείας δόγμασιν. (ἀλλ' ἥλω πανταχοῦ, καὶ νενίκηται, ἄπρακτον αὐτοῦ τὴν σκαιότητα, καὶ τῶν ἐγχειρημάτων τὴν δύναμιν * ἀποφαίνοντος τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ.) πλεῖστοι μὲν οὖν οἱ πρὸ ἡμῶν τοῖς ἁγίοις ἡμῶν πατράσι μεμαχημένοι, καὶ κατὰ τῆς ἀῤῥήτου δόξης τὰ τῆς ἑαυτῶν ἀθυροστομίας ὅπλα κινήσαντες, ἀλλ' ἠλέγχοντο θρασεῖς ὄντες, καὶ ἀμαθεῖς, καὶ κενολογοῦντες μᾶλλον, ἢ γοῦν ἐγνωκότες τι κατὰ ἀλήθειαν τῶν, ὅσα ἐστὶν ἐξ αὐτῆς τῆς ἀληθείας μαρτυρούμενα, ὡς εἶεν ὀρθὰ, καὶ ἀμώμητα, καὶ διαβολῆς ἁπάσης * ὑπέρτερα. ἐπειδὴ δὲ πρὸς ἐκείνοις ὁ δυσσεβείας ἁπάσης εὑρετὴς, καὶ διδάσκαλος, ἤγειρεν ἡμῖν τὰς Νεστορίου * καινοφωνίας, ἰδοὺ δὴ σύμπαντες διὰ τὴν τοῦ Θεοῦ χάριν, καὶ τὴν δοθεῖσαν ἡμῖν παρ' αὐτοῦ σύνεσιν, μιᾷ γλώττῃ τὸν ἀποστάτην ἀναθεματίζομεν, τὸν εὐκλεᾶ τῶν πατέρων ἰχνηλατοῦντες ζῆλον, καὶ κατανδριζόμενοι τῶν ἐχθρῶν τοῦ σταυροῦ τοῦ Χριστοῦ, καὶ τὴν ἀληθῆ πρεσβεύοντες πίστιν, καὶ διδάσκοντες ἐν ἐκκλησίαις, μὴ ταῖς ἐκείνων δυσσεβείαις προστίθεσθαι μᾶλλον, δύο λέγοντος Χριστοὺς, καὶ υἱοὺς, ἕνα μὲν φύσει καὶ * ἀληθῆ, τὸν ἐκ Θεοῦ πατρὸς λόγον, ἕτερον δὲ θέσει, καὶ χάριτι, τὸν ἐκ σπέρματος τοῦ Δαυίδ· ἀλλὰ κατὰ τὴν ἄνωθεν καταβαίνουσαν εἰς ἡμᾶς ἀκραιφνῆ, καὶ ἀνεπίλυπτον πίστιν, ἕνα υἱὸν, καὶ κύριον Ἰησοῦν Χριστὸν, τὸν ἐκ Θεοῦ πατρὸς λόγον. ἐνανθρωπήσαντα, καὶ σεσαρκωμένον, κατὰ τὴν τῶν ἁγίων πατέρων ὁμολογίαν· ὥστε τὸν αὐτὸν εἶναί τε, καὶ λέγεσθαι ἐκ Θεοῦ πατρὸς θεϊκῶς, ὡς λόγον αὐτοῦ, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ προελθόντα φυσικῶς, καὶ ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα, ἤγουν ἐκ τῆς ἁγίας, καὶ θεοτόκου Μαρίας. οὐ γὰρ ἕτερον, καὶ ἕτερον, ὡς ἔφην, παρέδοσαν οἱ ἀπ' ἀρχῆς αὐτόπται, καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, ἀλλ' ἕνα, καὶ τὸν αὐτὸν Θεόν τε, ὁμοῦ καὶ ἄνθρωπον, μονογενῆ, πρωτότοκον. ἵνα τὸ μὲν ἔχοι θεϊκῶς, τὸ δὲ ἀνθρωπίνως· ὅτι γέγονεν ἐν πολλοῖς ἀδελφοῖς, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθὼν, καὶ οὐκ ἄνθρωπον ἄλλον συνάψας ἑαυτῷ, καθὰ φρονεῖν ἔδοξέ τισιν, ἀλλ' αὐτόχρημα γενόμενος ἄνθρωπος, καὶ οὐκ ἀποστὰς τοῦ εἶναι ὃ ἦν. Θεὸς γὰρ ὢν φύσει, καὶ ἀπαθὴς, διὰ τοῦτο σαρκὶ τῇ ἰδίᾳ πέπονθεν ἑκών. οὐ γὰρ τὸ ἑτέρου τινὸς σῶμα δέδωκεν ὑπὲρ ἡμῶν, ἀλλ' αὐτὸς ἑαυτὸν ὁ μονογενὴς τοῦ Θεοῦ λόγος γενόμενος ἄνθρωπος, ὡς ἄμωμον ἱερεῖον προσεκόμισε τῷ Θεῷ, καὶ πατρί.

* ἀκατηγόνιστον
* ἀκατάγνωστον.
1. Τιμ. 4. 2. absunt a ms. Seg.
* ἀποφήναντος.
* ὡς ἀνωτάτω
* κενοφωνίας
* ἀληθῶς.
Λακ. 1.
* Ρωμ. 5.

ἦν

λω ἦν ἀναγκαῖον λαμπρὰν ἡμᾶς ἐπὶ τούτοις ἄγειν ἑορτὴν, συνεχβεβλημμένης δηλονότι ταῖς Νεστορίου * κακοδοξίαις, καὶ φωνῆς ἁπάσης * παρ' ὁντιῶν, εἰ ταῖς ἐκείνου συμβαίνη ψευδηγορίαις. κεχώρηκε γὰρ κατὰ πάντων τῶν τὰ ἴσα φρονούντων ἐκείνῳ, * ἤγουν καὶ πεφρονηκότων πώποτε, τὸ ἀσυλύτους ἡμᾶς τε, καὶ τιμὴν ὁσιότητα ὑμῶν, εἰπεῖν· ὅτι ἀναθεματίζομεν τοὺς υἱοὺς λέγοντας δύο, καὶ δύο χριστούς· εἷς γὰρ, ὡς ἔφην, κηρύττεται παρ' ἡμῶν αὐτῷ, καὶ ὑμῶν Χριστὸς, καὶ υἱὸς, καὶ κύριος, ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς, ὡς ἄνθρωπος, κατὰ τὴν τοῦ σοφωτάτου Παύλου φωνήν. Φιλιπ. 2. ὅτι δὲ τὴν τοῦ κυρίου σάρκα ἐψυχῶσθαί φαμεν ψυχῇ νοερᾷ, δέδεικται πλείσαις ταῦται, καὶ ἐν τῇ παρὰ Ἀρμενίους ἐπιστολῇ τὸν τῆς ἀληθείας λόγον ὀρθοτομῶν, διεκήρυξε * σαφῶς ὁ ὁσιώτατος, καὶ θεοσεβέστατος ἀδελφὸς ἡμῶν, καὶ συνεπίσκοπος Πρόκλος, ἀνὴρ εὐσεβὴς, καὶ τοῖς τὰ ὀρθὰ διδασκαλίαις ἀνταποδίδεσθαι μεμελετηκώς. ὅτι καὶ νικᾶν ἔθος αὐτῷ παρεσβεύοντι τὴν ἀλήθειαν. διαβεβλημμένας δὲ δόξας, Διοδώρου τέφημι, καὶ Θεοδώρου, ἢ καὶ ἑτέρων τινῶν· ὃς ἦν ἄμεινον οὐκ ἐπαινεῖν, ἵνα μήτι λέγοιμι φορτικὸν, διὰ τὸ ὅλοις ὥσπερ ἰσίοις κατενεχθῆναι τῆς δόξης Χριστοῦ, μηδεὶς ἐπιφημιζέτω, παρακαλῶμεν, τοῖς ἁγίοις, καὶ ὀρθοδόξοις ἡμῶν πατράσιν, Ἀθανασίῳ τέφημι, καὶ Βασιλείῳ, Γρηγορίῳ τε, καὶ Θεοφίλῳ, καὶ τοῖς λοιποῖς. μὴ ἄρα πως σκανδάλου παρόφασις τὸ χρῆμα γένηταί τισιν, οἰηθεῖσιν κατὰ ἀλήθειαν ὕπω φρονῆσαι, καὶ διδάξαι τὰς ἁπάσης ὀρθότητος ἐπιμελητὰς· καὶ ὑ ταῖς Νεστορίου μόναις κακοδοξίαις. ἀντεγειρομένας ἀφέντας βίβλους, ἀλλ' καὶ ταῖς τῶν ἑτέρων, οἳ τὰ Νεστορίου παρ' αὐτῷ πεφρονήκασί τε, καὶ γεγράφασιν. ἀλλὰ μεθα δὲ, πάντας ἰδιοπραγεῖν, καὶ μήτε θορύβους ταῖς ἐκκλησίαις ἐγείρειν, τοὺς ἤδη κατηρεμήσαντας χάριτι τοῦ κυρίου, καὶ διὰ τῆς νήψεως τῶν ἁπανταχοῦ μυσαγωγῶν, μήτε μὴν ἀνασκαλεύειν ἑαυτοῖς, ἢ ἑτέροις πράγματα. χρὴ δὲ καὶ τοὺς τὰ Νεστορίου πεφρονηκότας πώποτε, μεταγινώσκοντας κατὰ ἀλήθειαν, καὶ ἀποφοιτῶντας μὴ τῶν ἐκείνου φλυαρειῶν, μεθορμιζομένους δὲ πρός τε τὸ ἐθέλειν τὴν ἀμώμητον ἐλέσθαι πίστιν, δεκτοὺς εἶναι, καὶ μὴ ὀνειδίζεσθαι τῶν παρῳχηκότων εἴνεκα. μὴ ἄρα πως ὄκνῳ προφάσιν τισὶ τῆς εἰς τὰ ἀμείνω μεταδρομῆς ἀπεργάσηται τοῦτο. εἰ γὰρ τοὺς ὄντας ἐν ἀρρωσίαις σωματικαῖς, ἀπαλλάττεσθαι τούτων δίχα μεθα, καὶ σωζόμεθα τοῦτο συμβάντος αὐτοῖς, πῶς οὐ * πολὺ μᾶλλον ἡθέλητις ἂν ἐπισπέσθαι τοὺς τῆς πεπλανημένου, καὶ πρὸς τὸ τῆς ἀληθοῦς γνώσεως μὴ συνειδήσεως ἀγαθῆς ἄπτοντος φῶς; ὅτι γὰρ τὴν ἐπὶ τούτοις ἑορτὴν ἐπιτελεῖν, ἔθος καὶ τοῖς ἀγγέλοις, οἶδεν ὑμῶν ἡ ὁσιότης, τοῦτο διδάσκουσα, καὶ ἐν ἁπάσαις ταῖς ἐκκλησίαις ἐξηγουμένη, καὶ τὰς τοῦ σωτῆρος ἡμῶν ἐκ ἀγγούσα φωνάς. ἐκεῖνο μέντοι παρακαλοῦμεν ὡς ἀδελφοὺς, καὶ συνδιδασκάλους, παρεγγυῆσαι τοῖς * κληρικοῖς, μὴ ἕτερα λαλεῖν, ἐν ἐκκλησίαις μάλιστα, παρὰ τὰ ὀρθὰ, καὶ δεδοκιμασμένα, καὶ εὖ ἔχειν δόξαντα· ἕπεσθαι δὲ μᾶλλον τῇ τῆς ὀρθῆς πίστεως ὁμολογίᾳ· καὶ μάλιστα μὲν μὴ ἐπιξέχεσθαι τοῖς περὶ τούτων λόγοις· εἰ δὲ δή πού τις ἀνάγκη γένοιτο, διά τοι τὸ χρῆναι μυσαγωγεῖσθαί τινας, μηδαμοῦ παρεκτρέπεσθαι τῆς ὀρθότητος ἕνεκεν τοῦ ἐπὶ τῇ πίστει λόγου. ἐπειδὴ δὲ τὰς τῶν θορύβων ἀφορμὰς ἀποκείρεσθαι χρὴ διὰ τῆς νήψεως τῆς ὑμῶν ὁσιότητος, ὅπερ νομίσαμεν εἶναι καλὸν, τοῦτο καὶ γεγράφαμεν. ἂν τοίνυν τινὲς ἢ κληρικῶν, ἢ μοναζόντων, ἐγκαλῶνται παρά τινων, ὡς κοινωνήσαντες μὲν τῇ ἐκκλησίᾳ, φρονοῦντες δὲ καὶ εἰς δεῦρο τὰ τοῦ δυσσεβοῦς Νεστορίου, προκείσθω τούτοις ἀκρόασις ἐν ταῖς ἐκκλησίαις μᾶλλον, καὶ παρ' ὑμῖν τοῖς ἰθύνουσιν αὐτὰς, καὶ ζήτησις ἀκριβὴς τῶν λεγομένων. εἰκὸς γὰρ, τοὺς ἐγκαλεῖν ἐθέλοντας, ὡς ὑδυνὸς ἀνεχομένου τοὺς παρ' αὐτῷ * προσίεσθαι λόγους, τοῖς ἔξω δικαστηρίοις παρενοχλεῖν. πολλῷ δὲ ἄμεινον, καὶ δικαιότερον τὰς ἐκκλησιαστικὰς ζητήσεις ἐν ταῖς ἐκκλησίαις κινεῖσθαι, καὶ τυποῦσθαι, καὶ μὴ παρ' ἑτέροις ἴσιν, οἷς ἂν εἴη, καὶ ἀνάρμοστος παντελῶς ἡ * ἐπὶ τούτοις δίαιτα. * προσήκει τοῦ παρὰ * σοὶ ἀδελφότητα· ὑμᾶς ἡ σὺν ἡμῖν ἐν χριστῷ προσαγορεύει.

* κακοφρονίαις. * παρ' ἀντιῶν. * ἤγουν. * σοφῶς. * πολλῷ. * πρὸς τὸν δίαιτα. * προσήκει ὑμῖν.

ΑΝΤΙΓΡΑΦΟΝ ΘΕΙΟΥ ΝΟΜΟΥ
κατὰ Νεστορίου.

Αὐτοκράτορες, Καίσαρες Θεοδόσιος, καὶ Οὐαλεντινιανὸς, νικηταὶ, Θριαμβευταὶ, ἀεὶ Αὔγουστοι.

Τὸ τῇ ἀσεβεστάτῃ θρησκείᾳ παρ' ἡμῶν ὀφηλόμενον σέβας τοὺς περὶ τὸ θεῖον ἀσεβῶς ἐχοντας δίκαις τε ἀξίαις κολάζεσθαι, καὶ ὀνόματι τῇ αὐτῇ φαυλότητι * πρέποντι προσαγορεύεσθαι βούλεται· ὡς ἂν ὀνείδεσι προβληθέντες αἰώνιον ὑποφέρωσιν * τιμωρίαν τῶν ἁμαρτημάτων· καὶ μήτε ζῶντας τιμωρίας, μήτε θανόντας ἀτιμίας ἐκτὸς ὑπάρχειν. Νεστορίου τοίνυν τοῦ τῆς τερατάδους διδασκαλίας ἡγεμόνος κατακεχειμμένου, λείπεται τοὺς ὁμογνώμονας αὐτοῦ, καὶ τῆς ἀσεβείας κοινωνοὺς, ὀνόματι * πειλαβεῖν κατεγνωσμένῳ· ἵνα μὴ τῇ τῶν χρησιανῶν ἀποχρώμενοι προσηγορίᾳ, τούτῳ ὀνόματι κοσμοῖντο, ὧν τοῦ δόγματος δυσσεβοῦντες ἐξέστησαν. διὰ ταῦτα νομοθετοῦμεν, τοὺς ἁπανταχοῦ τῆς Νεστορίου ἀθεμίτου δόξης κοινωνοὺς, Σιμωνιανοὺς ὀνομάζεσθαι· προσήκει γὰρ τοὺς ἐν τῇ τοῦ θείου * ἀποστροφῇ τὸ ἐκείνου μιμουμένους δυσσέβημα, τιμωρίαν. ὧν ἕπου τιμῶ ἐκείνῳ κληροῦσθαι προσηγορίαν. οὓς ξόπου Ἀρειανοὺς νόμῳ τοῦ τῆς θείας λήξεως Κωνσταντίνου, Πορφυριανοὺς, διὰ τὸ ὅμοιον τῆς ἀσεβείας ἐκ Πορφυρίου προσαγορεύονται· ὃς τῇ ἀληθῇ θρησκείαν ἐπιχειρήσας τῇ τοῦ λόγου δυνάμει καταγωνίσασθαι. βίβλους * ἑαυτῷ, καὶ * παιδιᾶς ὑπομνήματα καταλέλοιπε.

* ἀνάμεσα. * πρέποντι. * ἀτιμία. * καλουμένῳ λόγ. * ἀποστροφῇ. * Scripsisse videtur auctor ἀποστροφῇ τοῦ παρὰ τοῦ θείου κάτω καλουμένου Canonis Paschalis Cyrilli Alexandrini, qui in Concilio Ephesino Nestorium damnavit. Vide Natal. Alex. Tom. II.

Καὶ μηδεμίαν τολμᾶν, τὰς αὐτοῦ Νεστορίου τοῦ ἀθεμίτου, καὶ ἱεροσύλου ἀσεβεῖς βίβλους περὶ τῆς θείας διαγοῦς τῆς ὀρθοδόξων θρησκείας, καὶ κατὰ τῆς δογμάτων τῆς ἐν Ἐφέσῳ τῆς ἐπισκόπων ἁγίας συνό-

δν, κατέχειν, ἢ ἀναγινώσκειν, ἢ μεταγράφειν· ἃς δεῖ σπουδῇ πάσῃ ζητήσαντας, δημοσίᾳ, ἐμπίμπρασθαι. τούτῳ γὰρ τῷ τρόπῳ πάσης ἀσεβείας ῥιζόθεν ἐκκοπείσης, τὸ ἁπλοῦν, καὶ ἀπάτητον πλήθει ἐδὸν πλάνης σπέρμα ἀρρεῖν ποτε διωήσεται. μηδὲ μνήμιον τοῦ ὅτως ἀπολλυμένων ἀνθρώπων ἔν τινι τῆς θρησκείας διαλέξει ἑτέρῳ, ἢ τῷ Σίμωνος ὀνόματι ποιεῖσθαι, ἢ οἰκίαν αὐτοῖς, ἢ ἀγρὸν, ἢ προάστειον, ἢ ὁντινανοῦν ἄλλον τόπον σωσθῆναι ἕνεκα, λελῃθότως, ἢ φανερῶς παρασχεῖν. τοὺς γὰρ τοιούτους ὁρίζομαι πάσης σωσθῆναι ἀδείας στερίσκεσθαι, προδήλου ὄντος ἅπασιν, ὡς ὁ παραβαίνων τε τὸν νόμον τοῦτον, καὶ Νεστόριον μιμούμενος δημόσιον τοῦ ὑπαρχόντων τιμωρηθήσεται. ἡ μεγίστη τοίνυν, καὶ πιστοφανὴς σου ἐξουσία τούτῳ ἡμῶν τῷ διατάξει εἰς γνῶσιν ἁπάντων τῶν τὰς ἐπαρχίας οἰκούντων, διατάγμασι συνήθως ἐλθεῖν παρασκευάσει. τὸν νόμον δὲ τοῦτον τῇ τε * Ῥωμαίων, τῇ τε Ἑλλήνων τεθεῖ καμοῦ γλώττῃ, ὡς πᾶσι σαφῆ, καὶ γνώριμον εἶναι.

* Ῥωμαϊκῇ.

ΔΙΑ'ΤΑΓΜΑ ΤΩ'Ν Ε'ΠΑ'ΡΧΩΝ

* ὥστε μὴ ἀναγινώσκεσθαι τὰ Νεστορίου.

* περὶ τοῦ μή.

* ἐν. Φλάβιοι Βίκεντ.

Φλάβιος Ἀνθέμιος Ἰσίδωρος, * Φλήσβασος, καὶ Φλάβιος Σιμπλίκιος Ῥηγῖνος, οἱ ἔπαρχοι λέγουσι.

* Φλησβάσιος.

Οὐ'δὲν οὕτω φίλον τοῖς κρατοῦσιν, ὡς τὸ διὰ πάντων ἀσεβεῖν· οἳ δὴ * εἰ τῆς ὄν ταῖς πράξεσι διλωσεκῶς ἐπιμελεῖσθαι καθ' ἑκάστου, ὡς εἰπεῖν, * διαγῆς νύκτας ἡμέρας συνάπτοντες, οὐκ οἴδασιν ἐπὶ φρονήσει, τόσῳ μᾶλλον ἐπ' αὐτῆς τῆς ἀσεβείας, καὶ τῆς θρησκείας ὁ μὴ σπουδῆς ἅπασης παραφυλάττειν ἐγνώκασι; μελλήσης τοίνυν ἀναφύεσθαί τινα παραλόγως τε, καὶ ἀνοίας, καὶ τόλμης ἀναμέσου θρησκείας, μᾶλλον δὲ ὐδὲ μελλήσης, ἀλλὰ καὶ ἤδη τινὰ πλάνου αὐθεντίας ἐκδικησάσης, τῇ οἰκείᾳ * προθυμίᾳ. ἄνδρα τινὸς ταραχῆς, μὴ πάσης γαλήνης· ὅπερ ἔμφυτον αὐτοῖς ἐστιν ἀεὶ, καὶ διὰ πάντων φίλον· τοιούτῳ διόρθωσιν γενέσθαι * διέταξε, τοὺς μὲν ἀρχηγέτας τῆς παρανομίας ἐπιτιμίοις τοῖς καθήκουσι σωφρονίσαντες, τῶν δὲ λοιπῶν προνοίαν ποιησάμενοι· ὅπως ἂν βλαπτόμενοι μηδὲν, * νεθεσίᾳ δὲ μόνῃ ἐπὶ τὸ βέλτιον πειθόμενοι μεταρυθμισθέντες μηδὲν τῶν προσόντων ἀποκτήσαιντο, τὸ δὲ τέλειον, * καὶ ὅπερ αἴτιον, καὶ ἀίδιον, καὶ μετὰ * ἀποβίωσιν ὑπάρχει κτῆμα τὸ τῆς ἀσεβείας δίθεως ἐπιγνόντες βεβαίως φυλάξωσιν. ἀλλ' ἐπειδὴ τὸ ἀνθρώπινον * προληφθὲν ἅπαξ, καὶ σαγηνευθὲν δολεροῖς τε λόγοις, καὶ χείροσι λογισμοῖς, δυσπειθὲς, καὶ δεῖ πρὸς τοῦτο, καὶ φόβου πολλοῦ, καὶ βαρυτάτων ἐπιτιμίων, τοὺς μὲν παραχαράττοντας τὰ τῆς πίστεως δόγματα, προσάττουσιν ἡσυχάζειν τε τοῖς λοιποῖς, καὶ μεταβάλλεσθαι κάλλιον, καὶ μήτε αὐτοὺς εἰς τινα τόπον συνιέναι, μήτε ἑτέροις ῥάδιον ἀσεβείας ἀποδεικνύναί τι τῶν αὐτοῖς διαφερόντων χωρίων, ἢ * ἐν ἄστει δν, ἢ ἀφορισμένον, ἢ πλησιάζον πόλει, * ἢ ἁπλῶς ἅβατον εἶναι τοιαύτης συνόδου πᾶσαν τοῦ γλοῦ. τοὺς δέ γε ταῖς * φρενοβλαβείαις, καὶ συνθέσεσι Νεστορίου τεθραμμένους, καὶ ἐφόδια

* ἐν ἄστει, σημαίνει, ἐν πόλει, ἐν πόλει, ἐν πόλ

νες διδασκαλίας τινὰς συνέγραψαν, καὶ ἐξέθεντο ἀμφιβόλους, καὶ οὐκ ἀκριβῶς συμφωνούσας τῇ ἐκτεθείσῃ ὀρθοδόξῳ πίστει παρὰ τῆς ἁγίας συνόδου τῶν συνελθόντων ἐν Νικαίᾳ, καὶ ἐν Ἐφέσῳ ἁγίων πατέρων, καὶ Κυρίλλου τοῦ τῆς εὐσεβοῦς μνήμης, τοῦ γεγονότος τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἐπισκόπου, κελεύομεν, τὰ μὲν γεγονότα τοιαῦτα συγγράμματα, ἢ καὶ πρὸ τούτου, ἢ καὶ νῦν, ἐμπίμπρασθαι, καὶ τελείῳ ἀφανισμῷ παραδοθῆναι. ὥστε μήτε εἰς ἀνάγνωσίν τινος ἐλθεῖν τῶν τὰ τοιαῦτα συγγράμματα, ἢ βιβλία, ἔχειν καὶ ἀναγινώσκειν ἀνεχομένων, τὴν ἐσχάτην τιμωρίαν ὑφορωμένων. τοῦ δὲ λοιποῦ, μηδενὶ ἐξεῖναι, παρὰ τὴν ἐκτεθεῖσαν πίστιν, καθάπερ εἰρήκαμεν, ἔντε Νικαίᾳ, καὶ ἐν Ἐφέσῳ, λέγειν τι, ἢ διδάσκειν. δηλαδὴ τῶν παραβαινόντων τοῦτο ἡμῶν τὸ θεῖον θέσπισμα, τῇ ἐγκειμένῃ τιμωρίᾳ τῷ ἐκπεμφθέτι περὶ τῆς δυσσεβοῦς πίστεως Νεστορίου νόμῳ, ὑποβαλλομένων. ὥστε δὲ πάντας τῇ πείρᾳ μαθεῖν, ὡς ἡ ἡμετέρα θειότης ἀποστρέφεται τοὺς ζηλοῦντας τὴν ἀσεβῆ Νεστορίου πίστιν, θεσπίζομεν, Εἰρηναῖον, τὸν πάλαι διὰ τὴν αἰτίαν ταύτην παρ' ἡμῶν ἀγανακτήσει ὑποβληθέντα, καὶ μετὰ τοῦτο, οὐκ ἴσμεν ὅπως, μετὰ δύο γάμους, ὡς μεμαθήκαμεν, παρὰ τοὺς ἀποστολικοὺς κανόνας, τῆς Τυρίων πόλεως γεγονότα ἐπίσκοπον, τῆς μὲν ἐν Τύρῳ ἁγίας ἐκκλησίας ἐκβληθῆναι, ἐν δὲ τῇ αὐτοῦ μόνῃ πατρίδι διάγειν * ἡσυχάζοντα, παντελῶς τοῦ σχήματος, καὶ τοῦ ὀνόματος τοῦ ἱερέως ἐστερημένον. ταῦτα τοίνυν ἡ σὴ μεγαλοπρέπεια, ἀκολουθοῦσα τῷ σκοπῷ τῆς ἡμετέρας εὐσεβείας, παραφυλάξαι, καὶ πέρατι παραδοῦναι σπουδάσει.

1. Τιμ. 3.

* ἡσυχάζοντα πανηλῶς.

ΔΙΑΤΑΓΜΑ ΠΡΟΤΕΘΕΝ ΠΑΡΑ τῶν ἐπάρχων, μετὰ τοῦ θείου πραγματικοῦ, κατὰ Πορφυρίου, καὶ Νεστορίου, καὶ Εἰρηναίου.

ΚΑΙ νόμων, καὶ αὐτῆς τῆς πολιτείας σύστασιν εἶναι τὴν ὀρθόδοξον θρησκείαν, καλῶς δοκιμάσας ὁ θειότατος ἡμῶν αὐτοκράτωρ, διὰ ἰδίου θεσπίσματος πᾶν ἀσεβείας ἀνεῖλε σπέρμα· ἰώμενος μὲν διὰ σωφρονισμοῦ συμμέτρου τοὺς ταύτην νοσοῦντας. ὁδὸν δὲ εὐζωΐας πᾶσι ὑποδεικνύς. οἷα τοίνυν * κατά τε τῶν βιβλίων Πορφυρίου, τῶν κατὰ τῆς εὐαγοῦς τῶν χριστιανῶν θρησκείας συγγραφέντων, καὶ τῶν τὰς ἀθεμίτους Νεστορίου διδασκαλίας συγγραψαμένων ἐθέσπισε· καὶ ὡς οὐδὲν δόγμα περὶ τῆς θρησκείας δεῖ κρατεῖν, εἰ μὴ τὸ δοκιμασθὲν παρὰ τῶν συνελθόντων εὐβλαβεστάτων ἐπισκόπων πάλαι τε ἐν Νικαίᾳ, καὶ μετὰ ταῦτα ἅμα Κυρίλλῳ τῷ τῆς * εὐσεβοῦς μνήμης κατὰ τὴν Ἐφεσίων πόλιν· ἔτι μὴν καὶ περὶ τῆς καθαιρέσεως Εἰρηναίου τοῦ γεγονότος τῆς Τυρίων πόλεως ἐπισκόπου, ἅπαντες εἴσεσθε ἐκ τοῦ προλαβόντος θείου θεσπίσματος, δηλουμένου Ἑλληνίδι φωνῇ· ὥστε μηδένα τούτων ἄγνοιαν προφασίζεσθαι. προσήκει τοίνην, ἅπαντας μετὰ πάσης ἀκριβείας ταῦτα παραφυλάξαι, πρὸ ὀφθαλμῶν ἔχοντας τὴν τῷ θείῳ γράμματι περιεχομένην ἀγανάκτησιν.

* περίπ.

* εὐλαβοῦς

Ἀνεγνώσθη ἐν τῇ ἐκκλησίᾳ τῶν μοναζόντων ἐν τοῖς ἐρημικοῖς, * Φαρμουθὶ κγ'. ἰνδικτιῶνος α'. ἔτους Διοκλητιανοῦ ρξδ'.

* ἀπριλίου.

Τέλος τῶν πρακτικῶν τῆς τρίτης οἰκουμενικῆς ἐν ἐφέσῳ συνόδου.

ΠΡΟΚΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ Κωνστατινουπόλεως, πρὸς Ἀρμενίους, περὶ πίστεως.

Τοῖς θεοφιλεστάτοις, καὶ θεοσεβεστάτοις ἐπισκόποις καὶ πρεσβυτέροις, καὶ ἀρχιμανδρίταις τοῖς οὖσι κατὰ πᾶσαν τὴν Ἀρμενίαν τῆς ὀρθοδόξου ἁγίας ἐκκλησίας, Πρόκλος ἐν κυρίῳ χαίρειν.

ΟΥ μετρίως, ἀδελφοὶ, συνέχεεν ἡμῶν τὴν ψυχὴν, καὶ τὸν λογισμὸν τῇ τυράννῳ λύπῃ, καὶ ἔτρωσεν ἡ φήμη τῶν νεαρῶν τῆς ἀπάτης ζιζανίων, ἅπερ ἔναγχος τῇ ὑμετέρᾳ πανούργως ἐπέσπειρε χώρᾳ ὁ κοινὸς τῆς φύσεως ἐχθρός. πλήττειν γὰρ ἀφορήτως ἡ τῶν ἀπευκτῶν εἴωθεν ἀκοὴ τὴν μήπῳ προγυμνασθεῖσαν ἐν τῇ τοιαύτῃ μελέτῃ ψυχήν. καὶ τοσούτῳ πλέον χαλεπώτερον τοξεύει, κατὰ βάθους εἰσωθοῦσα τὰ βέλη, ὅσῳ τὸν κίνδυνον οὐ περὶ τὴν τοῦ σώματος ἵστησι παχύτητα, ἀλλὰ τὸν ἄϋλον πολιορκεῖ ταῖς φήμαις, τὸ ἔντιμον τῆς πίστεως διαθρυλλοῦσα, ἢ ἐλεεινῶς διερρῆχθαι, ἢ παντελῶς σεσυλῆσθαι ἱμάτιον. πᾶσα μὲν γὰρ ἀρετὴ περισπούδαστος ὑπάρχει, τοῖς τὸ λογικὸν μὴ ἀμαυρωθεῖσιν ὑπὸ τῆς ὕλης· πᾶσα δὲ κακία βδελυκτὴ οὐκ ἀπεικότως τοῖς εὐφρονοῦσι κρίνεται, οἷα δὴ κατ' ἐναντιότητα πολεμοῦσα τῇ φύσει τῷ παρὰ φύσιν. ὥσπερ γὰρ τὸ συμφέρον τοῖς αἱρουμένοις, ἀναγκαίως περιμάχητον, οὕτω τὸ μὴ τοιοῦτον, ἀλλ' ἀντικείμενον, ἢ παρὸν ἀποβολῆς ἄξιον, ἢ προσδοκώμενον τὸ μὴ συμβῆναι, φροντίδος οὐκ ἀλλότριον. Ἀρετῆς μὲν οὖν εἴδη πολλά. διαφόρως δὲ ὡρίσαντο περὶ ταύτης, οἵ τε ὑπὸ πλάνης * ἀγχόμενοι Ἕλληνες, καὶ τὸ ἀκριβὲς τῆς διακρίσεως ὑπὸ τῆς περὶ τὸ θεῖον ἀγνοίας ἐπισκοτούμενοι· καὶ οἱ διὰ πίστεως τοὺς ὀφθαλμοὺς τῆς διανοίας πεφωτισμένοι χριστιανοὶ, καὶ πρὸς τὸν τῆς δικαιοσύνης ἥλιον τρανῶς διὰ τῆς ὁμολογίας ἀτενίζειν δυνάμενοι· οἱ μὲν γὰρ τοῖς οἰκείοις λογισμοῖς ὥσπερ ἐν σκότει προσπταίοντες, καὶ ἀνηγεμόνευτον ἔχοντες ὑπὸ προλήψεως τὸν νοῦν, ἐπισφαλῶς ὁδεύουσι τοῖς λογισμοῖς. μόνην ἐν οἷς δογματίζουσι ψηλαφῶντες τὴν ῥέουσαν, καὶ ἄστατον τῶν ὁρωμένων φύσιν· τὸ δὲ τῆς ἀληθοῦς θεωρίας ὄμμα, ἢ ἀμβλυώττοντες ὑπὸ χρόνου, ἢ πυροθέντες ὑπὸ πλάνης ἀπώλεσαν· καὶ φασιν ἀρετῆς τέτταρα εἴδη εἶναι, δικαιοσύνην φημὶ, καὶ φρόνησιν, σωφροσύνην τε, καὶ ἀνδρείαν· ἅπερ εἰ καὶ καλὰ δοκεῖ τυγχάνειν, χθαμαλά τε ἕρπει, καὶ

* ἐπαγόμενοι.

περὶ

περὶ γῆν νήχεται, καὶ κατώτερα τῆς τοῦ οὐρανοῦ τυγχάνει ἀψίδος. ἀνδρείαν γὰρ φήσαντες τὴν πρὸς τὴν ὕλην πάλην· καὶ σωφροσύνην, τὸ κατὰ τῶν παθῶν κράτος· καὶ φρόνησιν, τὴν ἐν ταῖς πολιτείαις ἀριστοκράτειαν· καὶ δικαιοσύνην τὴν ἀρίστην τοῦ ἴσου μερίδα. τῷ βίῳ ὥς γε ἐνόμισαν, τάξιν ἐνομοθέτησαν· χαλινώσαντες τῷ ὅρῳ τὴν ἐφ' ἑκάτερα τοῦ πλείονος ἀμετρίαν· ὑψηλὸν δὲ καὶ τῆς παρούσης * λέξεως κρεῖττον· οὐδὲ νοῆσαι οὐδὲ ἐκθέσθαί τι ἠδυνήθησαν· ἀλλὰ τῷ ἀσυνέτῳ τῆς πεπωρωμένης καρδίας βιασάμενοι τό γε ἐπ' αὐτοῖς τὴν ἀρετὴν, τοῖς ὁρωμένοις αὐτὴν περιέκλεισαν μόνον, μηδὲν συγχωρήσαντες ἔχειν ὑψηλόν τε, καὶ τῆς τῶν οὐρανῶν εὐκοσμίας ἐφάμιλλον. οἱ δέ γε πεφωτισμένοι διὰ πίστεως τοὺς ὀφθαλμοὺς τῆς καρδίας, ὧν καθηγητὴς, καὶ διδάσκαλος, ὁ μακάριος ὑπάρχει Παῦλος, ἀρετὴν ὡρίσαντο τὴν πρὸς τὸν Θεὸν ἀναπτεροῦσαν, καὶ τὰ περὶ γῆν ἐν τάξει πηδαλιουχοῦσαν. τοιγαροῦν αὐτὸς οὗτος ὁ ἐν πᾶσιν ἀοίδιμος, πολλὰ μὲν ἀπηρίθμησεν ἀρετῆς εἴδη· τρία δὲ ταῦτα ἐξαίρετα ἀνεβόησε· πίστιν, ἐλπίδα, καὶ ἀγάπην. ὧν ἡ μὲν πίστις χαρίζεται τοῖς ἀνθρώποις τὰ ὑπὲρ φύσιν, τοῖς νοητοῖς ἤδη καταμιγνῦσα τὸν ἔτι φορούντα τὸ πολυπαθὲς τῆς ὕλης ἱμάτιον· ἃ γὰρ ἡ τῶν ἀγγέλων, καὶ τῶν λοιπῶν ἀσάρκων δυνάμεων ἠγνόησε διὰ μέγεθος φύσις, τούτων τοῖς χαμαὶ βαδίζουσιν, καὶ ἐπὶ γῆς κυλινδουμένοις ἀνθρώποις τὴν ἐπιστήμην χαρίζεται ἡ πίστις, προσάγουσά τε τῷ βασιλικῷ, καὶ ἀσχηματίστῳ θρόνῳ· καὶ ἀκριβῆ τὴν ἔλλαμψιν ἐνιεῖσα τῆς ἀνάρχου, καὶ ἀκτίστου φύσεως, τῇ τε οἰκείᾳ ἀστραπῇ, καὶ τὴν ἀχλὺν τῶν αἰσθήσεων ἀπελαύνουσα, καὶ εἴ τι παχὺ, καὶ νεφώδες τῶν τῇδε τοῦ νοῦ ἀποστήσασα. ποιεῖ γὰρ ξανῶς ἐκεῖνα ὁρᾶν, ἃ τῷ μὴ φθάνεσθαι ὁρᾶται, καὶ τῷ ἀπροσίτῳ καταλαμβάνεται. Ἡ δὲ ἐλπὶς οὐκ ὀνειροπολεῖν ἀξίως ὡς ἄν τις εἴποι, ἀλλὰ γενναίως κρατεῖν ἐν τοῖς παροῦσι παρασκευάζει τὰ μέλλοντα· τῆς ἀναμφιβόλου πληροφορίας τὸ μήπω παρὸν τῷ χρόνῳ, ὡς ἐνεστὼς ἤδη τῷ λογισμῷ ἐγχειριζούσης, καὶ σχεδὸν τὰ προσδοκώμενα ὑπ' ὄψιν ἀγούσης. ὑπερβᾶσα γὰρ ἡ ἐλπὶς τὰ ἐμποδὼν κωλύματα, συνάπτει τὸ ποθοῦν πρὸς τὸ ἐρώμενον, τὸ παραῤῥέον τοῦ χρόνου τῇ τοῦ μέλλοντος σχέσει νικῶσα. Ἡ δὲ ἀγάπη, τοῦ καθ' ἡμᾶς μυστηρίου ἐστὶ τὸ κεφάλαιον· αὐτὴ γὰρ τὸν Θεὸν λόγον ἐπὶ γῆς ἀεὶ παρόντα, ἐλθεῖν διὰ σαρκὸς ἐδυσώπησεν· ἑκάτερα τοίνυν ἀλλήλαις συμβαίνει. ἡ μὲν γὰρ πίστις ἔσοπτρόν ἐστιν ἀγάπης. ἡ δὲ ἀγάπη, βεβαίωσις ὑπάρχει πίστεως. πιστεύομεν ὅτι ὁ Θεὸς λόγος ἀπαθῶς ἐσαρκώθη, καὶ εὐσεβῶς πιστεύομεν αὕτη γὰρ τῆς ἡμετέρας σωτηρίας ἡ κρηπίς· ἀλλὰ, καὶ ἀγαπῶμεν τὸν δι' ἡμᾶς τὴν τοῦ δούλου μορφὴν λαβόντα· καὶ μήτε φύσεως τροπὴν ὑπομείναντα, μήτε προσθήκην τῇ τριάδι ἐργασάμενον. Πᾶς τοίνυν χριστιανὸς ὁ μὴ πλουτῶν πίστει, καὶ ἐλπίδι, καὶ ἀγάπῃ, οὐκ ἔστιν ὃ λέγεται. ἀλλ' εἰ καὶ δοκεῖ πολλάκις δουλαγωγεῖν τὸ σῶμα, καὶ τῶν τῆς ψυχῆς παθῶν ἐλευθεριάζειν τὴν ἠθικὴν μόνην ἀρετὴν κατορθώσας, τῶν τῆς νίκης στεφάνων οὐκ ἀξιοῦται, οἷα δὴ πρὸς ἐκεῖνον τῇ θεολογίᾳ μὴ φθάσας τὸν βραβευτὴν ὄντα τῶν στεφάνων. πίστις τοίνυν καθὰ προέφην, πασῶν τῶν ἀρετῶν ὑπάρχουσα κεφάλαιον, φυλαττέσθω ἀνόθευτος, μηδὲν κίβδηλον ἐπαγομένη ἐκ λογισμῶν ἀνθρωπίνων· μήτε μὴν βεβήλοις * κενοφωνίαις * ἐπιθολουμένη, ἀλλ' εἴσω τῶν εὐαγγελικῶν τε, καὶ ἀποστολικῶν μένουσα ὅρων· μηδενὸς τολμῶντος παρεγχειρεῖν τῇ δι' ἧς ἐσώθημεν, καὶ ἣν ἐν τῷ βαπτίσματι τῇ γλώττῃ ἐχειρογραφήσαμεν. ἀποπέμπεται γὰρ τὸ ὕψος τῆς πίστεως πᾶσαν ἔφοδον θράσους, καὶ τόλμαν, οὐ μόνον ἀνθρωπίνην, ἀλλὰ καὶ ὑπὸ φύσεως ἀσάρκου κορυφουμένην, τοῦ μακαρίου Παύλου βοῶντος· ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανῶν εὐαγγελίσηται ὑμᾶς παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. λειτουργεῖν γὰρ ἄγγελος ἐτάχθη, οὐ δογματίζειν. καὶ ἐπισφαλὲς τυγχάνει τὸ μὴ ἕκαστον ἐν οἷς ἐτάχθη ἐμμένειν, ἀλλ' ἐπιχειρεῖν τοῖς ὑπὲρ φύσιν· ὥστε εἰ καὶ τὸ τῆς φύσεως ὁ τολμῶν ἐπάγοιτο ἀξιόπιστον, ἀπαράδεκτος ἔστω ἡ καινοτομία τοῦ κηρύγματος· φυλάξωμεν τοίνυν ἀνυστάκτως ἃ παρελάβομεν, ἀμετεώριστον ἀεὶ ἐπὶ τῷ θησαυρῷ τῆς πίστεως, τὸ τῆς ψυχῆς διανοίγοντες ὄμμα. τί δὴ ἐκ τῶν γραφῶν παρελάβομεν, ἢ πάντως τοῦτο, ὅτι ὁ Θεὸς ἐδημιούργησε λόγῳ τὸν κόσμον, καὶ παρήγαγεν οὐ πρότερον οὖσαν τὴν κτίσιν· ὅτι νόμῳ φυσικῷ τὸ λογικὸν ἐτίμησε ζῶον· ὅτι δέδωκεν ἐντολὴν τῷ αὐτεξουσίῳ, ὑποδεικνὺς τὸ συμφέρον, ἵνα φύγῃ τῇ καλλίστῃ αἱρέσει τὸ βλάπτον· καὶ ὅτι ἡ ἐθελούσιος πρὸς τὸ χεῖρον τοῦ ἀνθρώπου ὁρμὴ ἐξόριστον ἐποίησε τὸν ἀπειθῆ τοῦ παραδείσου. ὅτι διὰ πατέρων, καὶ πατριαρχῶν, καὶ νόμου, καὶ κριτῶν, καὶ προφητῶν ἐπαίδευσεν ὁ πλάστης τὴν φύσιν, καταφρονεῖν μὲν τοῦ ἁμαρτάνειν, φροντίζειν δὲ τοῦ δικαιοπραγεῖν. ὅτι τέλος ὡς ἐπεκράτει βουλομένων ἡμῶν ἡ ἁμαρτία· ὁ δὲ διάβολος δίκην τοῦ πλημμελεῖν ἀπῄτει τὴν τῆς φύσεως πανωλεθρίαν, οἷα δὴ καὶ τοῦ φυσικοῦ νόμου ἀμαυρωθέντος, καὶ τοῦ γραπτοῦ φαυλισθέντος, καὶ τῶν προφητῶν ὡς ἀνθρώπων ὑπομνησάντων τοῦ πρακτέου, ἀλλ' οὐκ ἐξαρπασάντων τοῦ χείρονος· αὐτὸς ὁ Θεὸς ὁ ἀσχημάτιστος, καὶ ἄναρχος, καὶ ἀπερίγραπτος, καὶ παντοδύναμος λόγος, ἐλθὼν ἐσαρκώθη· τὸ γὰρ δυνατὸν παρὴν αὐτῷ βουλομένῳ· καὶ λαβὼν τὴν τοῦ δούλου μορφὴν, ἐγένετο σάρξ, καὶ ἐτέχθη ἐκ παρθένου, πανταχοῦ βουλόμενος δεῖξαι, ὅτι κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος· ἀναγκαίως γὰρ τῇ φύσει παρέπονται αἱ ἀρχαὶ, καὶ τὰ σχήματα, καὶ τὰ πάθη· οὐδὲ γὰρ λέγει ὁ εὐαγγελιστὴς ὅτι εἰσῆλθεν εἰς τέλειον ἄνθρωπον, ἀλλ' ἐγένετο σάρξ· ἐπ' αὐτὴν τὴν καταβολὴν τῆς φύσεως φθάσας, καὶ εἰς τὴν ἀρχὴν τῆς γενέσεως ἀναδραμὼν. ὥσπερ γὰρ ὁ τικτόμενος κατὰ φύσιν ἄνθρωπος, οὐκ εὐθὺς τέλειος ταῖς ἐνεργείαις πρόεισιν. ἀλλ' αὐτὴ ἡ καταβολὴ τῆς φύσεως, πρῶτον γίνεται σάρξ· εἶτα τῷ χρόνῳ κατὰ μικρὸν προσλαμβάνει τὰ πρὸς ἀπαρτισμὸν τῶν αἰσθήσεών τε, καὶ ἐνεργειῶν συντελούσας δυνάμεις· οὕτως ὁ Θεὸς λόγος ἐπ' αὐτὴν τὴν ἀρχὴν, καὶ ῥίζαν τῆς ἀνθρωπείας γενέσεως ἀναδραμὼν, πρῶτον γέγονε σάρξ· οὐ τραπεὶς εἰς σάρκα, μὴ γένοιτο· μένει γὰρ ἡ θεότης ἀλλοιώσεως ἀνωτέρα. ἐπείπερ τὸ τρεπτὸν, παραῤῥεούσης φύσεως πάθος· τῆς δὲ ἀϊδίου, καὶ ἀεὶ ὡσαύτως ἐχούσης τὸ ἄτρεπτον ἴδιον. φαμὲν οὖν ἑκατέραις κεχρημένοι ταῖς γρα-

φι-

φικαῖς φωναῖς· ὅτι καὶ ἐγλύετο σάρξ, καὶ ἔλαβε τὴν τοῦ δούλου μορφήν. καὶ ἑκάτερα ἀσεβῶς νοούμενα, σωτηρίας ἡμῖν τυγχάνει σπέρματα. διὰ μὲν γὰρ τοῦ, ἐγένετο, τὸ ἀδιαίρετον τῆς ἄκρας ἑνώσεως ὁ εὐαγγελιστὴς ὑπαινίττεται· ὥσπερ γὰρ ἡ μονὰς οὐκ ἀντιμηθεὶη εἰς μονάδας δύο· ἡ γὰρ εἰς ταῦτα διαιρεμοὴη, οὐκ ἂν εἴη μονὰς, ἀλλὰ δυάς. οὕτως τὸ ἓν κατὰ τὴν ἄκραν ἕνωσιν οὐκ ἂν διαιρεθείη εἰς δύο, τὸ δὲ, ἔλαβε, βοᾷ τὸ ἄῤῥεπτον τῆς φύσεως. ἐπειδὴ γὰρ πᾶν τὸ γινόμενον ἢ ἐξ ὄντος γίνεται ὡς ὁ οὐρανὸς μὴ πρότερον ὤν. ἢ ἐκ τοῦ ὑπάρχοντος ἀλλοιοῦται, ὡς τὸ Νειλῶον ῥεῖθρον ἐξ ὕδατος εἰς αἷμα μετεβλήθη· ἑκάτερα δὲ ἐπὶ τῆς θείας φύσεως ἀνάρμοστα· ὅτε γὰρ ἐξ οὐκ ὄντων παρήχθη ὁ ἀεὶ ἄναρχος. ὅτε ἐξ ὄντων ἐῤῥάπη ὁ ἀναλλοίωτος λόγος· διὰ τοῦτο δὲ ἑκατέρων καὶ τὸ ἄῤῥεπτον τῆς θεότητος, καὶ τὸ ἀδιαίρετον τοῦ μυστηρίου, ἡ θεία ὑπεμφαίνουσα γραφὴ τὸ, ἐγλύετο, εἶπε· καὶ τὸ, ἔλαβεν, ἐκήρυξεν· ἵνα διὰ μὲν τοῦ πρότερον, τὸ ἐνικὸν τοῦ προσώπου παραστήσῃ· διὰ δὲ τοῦ ἑτέρου, τὸ ἀναλλοίωτον τῆς φύσεως ἐκβοήσῃ. Ἐγλύετο τοίνυν ὁ θεὸς λόγος, τέλειος ἄνθρωπος· ἃ κολοβώσαντος τὸ ἄῤῥεπτον φύσιν τοῦ ὑπὲρ ἔννοιαν θαύματος. ἀλλὰ πίσει τὸ τοιοῦτο μεμαθήκαμεν, οὐκ ἐρίδῃ κατηλείφαμεν. καὶ γλυόμενον ἄνθρωπον, σώζει τῷ ὁμοιοπαθεῖ τὸ κατὰ σάρκα ὁμόφυλον γένος. ἐκτίσας μὲν τῆς ἁμαρτίας τὸ χρέος τῷ ὑπὲρ ἁπάντων ἀποθανεῖν ὡς ἄνθρωπος· καταργήσας δὲ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν διάβολον, ὡς μισοπόνηρος θεός. τοῦτε νόμου τὸ δυνατὸν ὑπέδειξε διὰ τοῦ πληρῶσαι πᾶσαν δικαιοσύνην. καὶ τῇ φύσει τὴν πρότερον ἀγλυΐαν ἀπέδωκεν διὰ τοῦ τιμῆσαι τῷ ἀνθρωπῆσαι τὴν ἐκ γῆς παρ' αὐτοῦ ἀγαπηλαθεῖσαν φύσιν. Εἷς τοίνυν ἐστὶν υἱός. ξιάδα γὰρ ὁμούσιον προσκυνοῦντες, τέταρτον τῷ ἀριθμῷ οὐκ ἐπεισφέρομεν· ἀλλ' ἔστιν εἷς υἱὸς ὁ ἀνάρχως ἐκ πατρὸς γεννηθεὶς, δι' οὓς τοὺς αἰῶνας πιστεύομεν γεγενῆσθαι· ὁ σωματοειδὴς τῆς ῥίζης κλάδος, ὁ ἀῤῥήτως ἐκ παρθένου ἐκλάμψας· ὁ ἀχωρίστως τοῦ νοῦ προϊών τε, καὶ μιγεὶς λόγος· εἰ γὰρ καὶ ἐπὶ γῆς ὤφθη, ἀλλὰ τοῦ γεννήσαντος οὐκ ἐχωρίσθη. ὅπερ ἠθέλησε σῶσαι ὃν ἔπλασε, καὶ ἔσωσέ γε, μίξας οἰκήσας τῷ κοινῷ τῆς φύσεως πτύλῳ, ᾧ καὶ τῇ οἰκήσει ἐπλογήσας, καὶ τῇ γεννήσει σφραγίσας, ἔδειξε τῷ ὑπὲρ φύσιν τόκῳ, ἑαυτὸν ὑπὲρ λόγον ἀνθρωπήσαντα. Οὐκ ἄλλος οὖν ὁ Χριστὸς, καὶ ἄλλος θεὸς, ὁ θεὸς λόγος· δύο γὰρ υἱοὺς ἡ θεία φύσις οὐκ οἶδεν· ὁ μόνος μονογενὴς ἐγλύνησεν. ἔνθα γὰρ οὐκ ἔστι συζυγία τῶν τικτόντων, ἐκεῖ οὐκ εἰσάγεται δυὰς τῶν τικτομένων. Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμπτει, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. εἰ δὲ ἄλλος ἐστὶν ὁ Χριστὸς παρὰ τὸν θεὸν λόγον, ἀναγκαίως ψιλὸς ἄνθρωπος ὁ Χριστὸς, κατὰ τὸν τῶν ἐμπλήκτων λόγον. εἰ δὲ ψιλὸς ἄνθρωπος ὁ Χριστὸς, πῶς τοῦ κατὰ φύσιν αὐτὸν προτιμᾷ τὰ ἐράνια, καὶ γονυπετεῖ τῷ ἐπωνυμίαν τοῦ ἥττονος; πῶς δ' ἂν δεξώμεθα τὰς προφητικὰς φωνὰς βοώσας. ὁ θεὸς ἡμῶν ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη; ὀπτασίαν γὰρ φησὶ τῷ κατὰ σάρκα φανέρωσιν· καὶ συναναστροφὴν

Εἰσ. 7.

Φιλιπ. 2.

Βαρὶχ 3.

ὀνομάζει τῷ ἐπὶ καιρὸν μετ' ἀνθρώπων πολιτείαν, ἐν ᾗ δημοσιεύων ὁ ἄφθονος τὸ παντοδύναμον ἔδειξεν, ὅτι ὡς παντοκράτωρ, καὶ ὃ ἦν ἔμεινε δι' ἑαυτὸν, καὶ ὃ ἠθέλησε γέγονεν δι' ἡμᾶς. Εἰ δέ τισι σκανδάλου παραίτια γίνεται τὰ σπάργανα, καὶ ἡ ἐν φάτνῃ ἀνάκλισις, καὶ ἡ ἐν χρόνοις κατὰ σάρκα αὔξησις, καὶ τὸ καθευδῆσαι ἐν πλοίῳ, καὶ τὸ κοπιάσαι ὁδοιπορήσαντα, καὶ τὸ πεινῆσαι ἐν καιρῷ, καὶ ὅσα τῷ κατὰ ἀλήθειαν γεγονότι συμβαίνει ἀνθρώπῳ. Ἴσωσαν ὡς κωμῳδοῦντες τὰ πάθη, ἀρνοῦνται τὴν φύσιν· ἀρνούμενοι δὲ τὴν φύσιν, οὐ πιστεύουσι τῇ οἰκονομίᾳ· μὴ πιστεύοντες δὲ τῇ οἰκονομίᾳ, ζημιοῦνται τὸ σωτήριον. εἰ μὲν γὰρ ἐξωλίσθησεν ἀπὸ γενέσεως κόσμου εἰς τὸν βίον ἄνθρωπος, ἑτέραν παρὰ ταύτην φύσεως βαδίσας ὁδὸν, δεικνύτωσαν οἱ φιλόνεικοι, καὶ τότε τὰς οἰκείας ὑφαινέτωσαν λήρους. εἰ δὲ αὕτη τῆς κοινῆς φύσεως ἡ ἀρχὴ, ὁ δὲ θεὸς λόγος κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος, τῷ χαίειν συνομολογοῦντες τὴν φύσιν σκώπτουσι τὰ πάθη; θάτερον οὖν ἑκατέρων ἐπιλεξάσθωσαν, ἢ ἐπαισχυνόμενοι τὰ πάθη, ἀρνείσθωσαν τὴν φύσιν, καὶ τὰ Μανιχαίων φρονοῦντες τοῖς ἀσεβέσι συντετάχθωσαν· ἢ εἰ προσίενται τὸ ἐκ τοῦ ἀνθρωπήσεως κέρδος, ὁμολογοῦντες τὴν φύσιν, μὴ αἰσχυνέσθωσαν τὰ τῇ φύσει συμβαίνοντα πάθη. Θαυμάζω δὲ καὶ τὴν φρενοβλάβειαν τῆς * κενὰς ὁδοὺς ἀπάτης ἀνατεμνόντων. ἐγὼ γὰρ ἕνα εἰδώς τε, καὶ διδαχθεὶς ἀσεβῶς υἱὸν, μίαν ὁμολογῶ τὴν τοῦ σαρκωθέντος θεοῦ λόγου ὑπόστασιν· ἑνός τε ὄντος τοῦτε τὰ πάθη ὑπομείναντος, καὶ τοῦ τὰ θαύματα τελεσιουργήσαντος, τοῦ χαίειν τὰ θειότερα σιωπῶντες, τὰ ἥττονα κωμῳδοῦσιν; ἵνα γὰρ πιστώσηται ὅτι θεὸς ὢν, καὶ λόγος ὑπάρχων, καὶ μείνας ὃ ἦν γέγονε σάρξ, καὶ βρέφος, καὶ ἄνθρωπος, μηδεμιᾶς ξοπῆς τὸ μυστήριον ὑβριζούσης, ὁ αὐτὸς, καὶ θαυματουργεῖ, καὶ πάσχει· διὰ μὲν τῶν σημείων, τὸ εἶναι ὃ ἦν αἰνιττόμενος· διὰ δὲ τῶν παθῶν, τὸ γενέσθαι ὃ ἔπλασε πιστούμενος. ἕνα τοίνυν, ὃν τὸν αὐτὸν ἀϊδίως τε, καὶ ἐπ' ἐσχάτων σαρκωθέντα ὁμολογοῦμεν υἱὸν, μηδὲν ἐπεισάγοντες τῇ φύσει νόθον· οὐδὲν γὰρ πεπτωκὸς τῷ θρόνῳ. ἀλλὰ πάντως ἐκεῖνο τὸ πολυθρύλλητον μυθεύουσι, πλέκοντες συλλογισμοὺς ἀράχνης ἀσθενέστερους. εἰ ἡ τειὰς φησὶν ὁμούσιος, ἡ ξιὰς ἀπαθής. ὁ δὲ θεὸς λόγος ἐν τῇ ξιάδι ὁρᾶται· καὶ ὁ λόγος ἄρα ἀπαθής. εἰ δὲ ὁ θεὸς λόγος ἀπαθής, εὑρεθήσεται ὁ σωρωθεὶς ἕτερος παρὰ τὸν θεὸν λόγον τὸν ἀπαθῆ. *ὅτως ἰσὸν ἀράχνης ὑφαίνουσιν οἱ ταῦτα λέγοντες, καὶ καθ' ὑδάτων γράφουσι τὰ κενὰ ταῦτα μελετῶντες προβλήματα. φάσκοντες γὰρ εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. λημῶν γὰρ ὀφθαλμὸς τὰς ἀκτῖνας καθαρῶς οὐ δέχεται, καὶ ἀθεσπέσια διανοίας πίστεως οὐ προσίεται ὕψος. τί τοίνυν φαμὲν ἡμεῖς; ὅτι κατὰ τὸν λόγον τῆς θεότητος, ἡ ξιὰς ὁμούσιός ἐστι, καὶ ἀπαθής. οὐδὲ γὰρ φάσκοντες αὐτὸν πεπονθέναι, τῷ λόγῳ τῆς θεότητος φαμὲν αὐτὸν πεπονθέναι. ἀνεπίδεκτος γὰρ ἡ θεία φύσις παντὸς πάθους· ἀλλ' ὁμολογοῦντες τὸν θεὸν λόγον τὸν ἓν τῇ τειάδι σεσαρκῶσθαι, διδόαμεν τῷ αἰτίαν τοῦ

Ἔκθ. 7.

Κεφ. 11.

Διατρ.

νοεῖν τοῖς μετὰ πίστεως ἐρωτῶσι δι' ὃ ἐσαρκώθη. ἐπειδὴ γὰρ ἠβούλετο Θεὸς λόγος καταργῆσαι τὰ πάθη, ὧν πέρας ἦν ὁ θάνατος· προσίεσθαι δὲ πάλιν τὰ πάθη ἡ ἀνόλεθρος φύσις οὐχ οἷά τε ἦν. εἰ γὰρ πᾶν πάθος στάσις ἐστὶ καὶ μάχη τῶν συνθέτων, περὶ δὲ τὸ ἄϋλον, καὶ μόνον οὐδεμία σύνθεσις, οὐκ ἄρα ἐκεῖ ἔφθανε πάθος ἔνθα οὐδὲ σύνθεσις τυγχάνει. βουληθεὶς τοιγαροῦν τὰ τυραννοῦντα τὴν λογικὴν σάρκα πάθη καταργῆσαι, καθὰ προέφημεν, ὧν ἀκρόπολις ὑπήρχεν ὁ θάνατος· σαρκοῦται ἐκ παρθένου ὡς οἶδεν ὁ Θεὸς λόγος· καὶ σχηματίζεται ὡς ἄνθρωπος. τοῦτο γὰρ ηὐδόκησε· καὶ κενοῖ ἑαυτὸν ἐν δούλου μορφῇ μηδεμίαν τῆς θεότητος περιγραφὴν ὑπομείνας· καὶ οὕτω σώζει πᾶν τὸ ἀνθρώπινον γένος. ἐν τῇ σαρκὶ μὲν αὐτοῦ καταργήσας τὰ πάθη· φυλάξας δὲ αὐτοῦ ἀπαθῆ τὴν θεότητα. διὰ τοῦτο, καὶ ὁ Γαβριὴλ εὐαγγελιζόμενος τὴν τοῦ τεχθέντος αὐθεντίαν, καὶ δύναμιν, ἐβόα πρὸς τὴν Μαριάμ· αὐτὸς γὰρ, φησὶν, σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἀνομιῶν αὐτῶν. λαὸς δὲ οὐκ ἂν εἴη ἀνθρώπου, ἀλλὰ Θεοῦ· οὐδ' ἂν ἀπαλλάξειε τὸν κόσμον ἁμαρτημάτων ὁμετὰ φθορᾶς εἰσπηδήσας εἰς τὸν βίον, καὶ τὴν ἀρχὴν τῆς γενέσεως οὐκ ἐσχηκὼς ἀκατηγόρητον. ἀλλὰ ἀναγκαίως ὁ αὐτὸς Θεός τε ὤν, καὶ ἄνθρωπος, οὐ διαιρούμενος εἰς δύο, ἀλλὰ μένων εἷς, διὰ μὲν τοῦ ἐκ γυναικὸς γεννηθῆναι, δεικνὺς ὅτι ἄνθρωπος. διὰ δὲ τοῦ ἀσυνδιάστως, καὶ φυλάξαι τὴν τεκοῦσαν παρθένον, μαρτυρούμενος ὅτι ἐστὶ Θεός. ἔσωσε τὸν * κόσμον Ἰησοῦς ὁ Χριστὸς, ἐλθὼν ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις συναναστραφείς. εἰ δὲ ὁ Χριστὸς ψιλός ἐστιν ἄνθρωπος, καὶ οὐκ αὐτὸς ὁ Θεὸς λόγος, πῶς ἔκτισε τὰ πάντα ἐν ἀρχῇ τότε οὐκ ὤν; εἰ γὰρ μεταγενέστερος τῆς δημιουργίας ὁ ἄνθρωπος, εὔδηλον ὡς τοῖς πρὸ αὐτοῦ τὴν γένεσιν οὐκ ἐχαρίσατο ὁ Χριστὸς, οἷα δὴ μεταγενέστερος προαχθεὶς ὡς ψιλὸς ἄνθρωπος. πῶς οὖν Παῦλος ἐβόα. εἷς κύριος Ἰησοῦς ὁ Χριστὸς, δι' οὗ τὰ πάντα; εἰ γὰρ διὰ Χριστὸν τὰ πάντα, εὔδηλον ὅτι Χριστὸς Θεός ἐστι λόγος, τοῦ εὐαγγελιστοῦ βοῶντος. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. πάντα δι' αὐτοῦ ἐγένετο. εἰ τοίνυν ὁ εὐαγγελιστὴς βοᾷ, ὅτι διὰ τοῦ λόγου τὰ πάντα ἐγένετο· καὶ ὁ Παῦλος τοῦτο ἑρμηνεύων λέγει· εἷς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα, εὔδηλον ὅτι Χριστὸς Θεός ἐστι λόγος. Εἰ δὲ προφέροιεν τὰς ἐν ταῖς θείαις γραφαῖς φωνὰς, ἐν αἷς κέκληται ἄνθρωπος, τοῦ Πέτρου λέγοντος· Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ ἄνδρα· καὶ τοῦ Παύλου λέγοντος· ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχών· καὶ αὐτοῦ τοῦ δεσπότου περὶ ἑαυτοῦ λέγοντος· τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον; ἴσωσαν ὡς ἢ διὰ νωθείαν ἀπελείφθησαν τῆς γραφικῆς ἐννοίας, ἢ διὰ πονηρίαν πρὸς τὴν ἑαυτῶν μοχθηρίαν διαστρέφουσι τὰ καλῶς γραφέντα. καὶ ἄνθρωπος γάρ ἐστι κατὰ ἀλήθειαν ὁ Χριστός. ἀλλὰ τοῦτο γέγονεν, οὐ πρότερον ὢν εἰ μὴ μόνον Θεός. ὥσπερ γὰρ Θεὸς ὁ κτιστὸς, οὕτως ὁ αὐτὸς, καὶ ἄνθρωπος ὁ φανταστός. καὶ ὥσπερ τῷ πατρὶ κατὰ τὴν θεότητα ὁμοούσιος, οὕτως ὁ αὐτὸς καὶ τῇ παρθένῳ κατὰ τὴν σάρκα ὁμόφυλος, πανταχοῦ τῆς ἀληθείας τοῦ μυστηρίου προλαμπούσης, καὶ πάσης ἀπάτης σχολαζούσης. εἰ δὲ μὴ ἔτεκε Θεὸν ἡ παρθένος, οὐδὲ πολλοῦ θαύματος ἀξία ἡ ἄφθορος· πολλαὶ γὰρ καὶ ἄλλαι γυναῖκες ἐκαρποφόρησαν τῷ βίῳ δικαίους. εἰ δὲ προφητῶν γλῶσσαι τὸ ἄῤῥητον προσαλπίζουσαι μυστήριον, βοῶσιν· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. ὁ ἑρμηνεύων ὁ Γαβριὴλ, φάσκει· μεθ' ἡμῶν ὁ Θεός. τοῦ χάριν διὰ τὴν τοῦ τεχθέντος συγκατάβασιν, τὴν δόξαν τῆς τεκούσης περικόπτουσιν; Ἀλλ' ἀντιτιθέασι πάντως τοῦτο. πᾶν τὸ τικτόμενον, φασὶν, ὁμόφυλον ὑπάρχει τῇ τικτούσῃ· εἰ τοίνυν ἄνθρωπος ἡ τεκοῦσα, ἄνθρωπος ἀναγκαίως καὶ ὁ τεχθείς. εὐλόγως φατὲ ὦ οὗτοι. ἀλλὰ τὸ ὁμόφυλον τίκτει ἡ ὠδίνουσα, ὅταν κατὰ φύσιν προβαίη ὁ τόκος. φυσικοῦ τε τόκου τὸ προοίμιον φθορά. ἐπειδὴ καὶ μίξις προηγεῖται τῆς φθορᾶς. ἐνθάδε δὲ τῆς ὕβρεως ταύτης, οὐδὲ ἔννοια· ἀλλ' ἐσχεδιάσθη ὑπὲρ λόγον τὸ θαῦμα. ὅπου ὑπὲρ φύσιν ὁ τόκος, ἐκεῖ ὁ τεχθεὶς Θεός. Ὁμολογοῦμεν τοίνυν τὸν αὐτὸν, καὶ τὸν κόσμον παραγαγόντα, καὶ τὸν νόμον δεδωκότα, καὶ ἐν προφήταις ἐμπνεύσαντα, καὶ ἐπ' ἐσχάτων σαρκωθέντα, καὶ τοὺς ἀποστόλους εἰς σωτηρίαν ἐθνῶν τε, καὶ λαῶν ἁλιεύσαντα. φύγωμεν οὖν τοὺς θολεροὺς, καὶ βορβορώδεις τῆς ἀπάτης ῥύακας· τὰς θεομάχους λέγω αἱρέσεις. τὴν Ἀρείου μανίαν διαιροῦσαν τὴν ἀμέριστον τριάδα· τὴν Εὐνομίου τόλμαν περικλείουσαν τῇ γνώσει τὴν ἀκατάληπτον φύσιν· τὴν Μακεδονίου λύσσαν χωρίζουσαν τῆς θεότητος τὸ ἀχωρίστως ἐκπορευόμενον πνεῦμα. καὶ τὴν νεότευκτον ταύτην, καὶ καινὴν βλασφημίαν, τὴν τὸν Ἰουδαϊσμὸν κατὰ πολὺ εἰς βλασφημίαν νικῶσαν. οἱ μὲν γὰρ τὸν ὄντα υἱὸν ἀθετοῦσι, ζημιοῦντες τὴν ῥίζαν τοῦ κλάδου· οἱ δὲ, τῷ ὄντι καὶ ἕτερον ἐπεισάγουσι, στηλιτεύοντες ὡς πολύγονον τὴν ἀκήρατον φύσιν. εἴπωμεν οὖν μετὰ Παύλου· Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν· Ἰουδαῖον γὰρ, καὶ Ἕλληνα διὰ τοῦ βαπτίσματος εἰς ἕνα καινὸν ἔκτισεν ἄνθρωπον, ἑνώσας τῇ δυνάμει τὰ τῆς πολιτείας διεστῶτα. φριττέτωσαν τὴν κατάκρισιν οἱ νεωτεροποιοὶ εἰς ἀσέβειαν. εἴ γε τὰ μὲν διεστῶτα εἰς συμφωνίαν ἠνώθη· ὁ δὲ ἑνώσας εἰς δυάδα τό γε ἐπ' αὐτοῖς διῃρέθη. Ἀλλὰ λοιπὸν τὸ μῆκος τῶν λόγων παρεὶς, ἐπὶ τὴν συντομίαν ἐλεύσομαι τοῦ ὀρθοῦ δόγματος. εἴ τις θέλει γνῶναι κατὰ ἀλήθειαν ὅτι αὐτός ἐστιν ὁ εἷς καὶ μόνος υἱός· ὁ πρινὴ τὸν Ἀβραὰμ γενέσθαι ὤν, καὶ ἐπ' ἐσχάτων προκόψας σοφίᾳ, καὶ ἡλικίᾳ κατὰ σάρκα. ἔχει γὰρ ἀεὶ ἡ θεότης αὐτοῦ τὸ τέλειον· ἐρωτάτω Παῦλον, καὶ αὐτὸς βροντήσει τὴν εὐσέβειαν, δεικνὺς ὅτι καὶ ἐξ Ἰουδαίων προελθὼν τὸ κατὰ σάρκα Θεὸς ὑπάρχει προαιώνιος. φάσκων γὰρ περὶ τῶν Ἰουδαίων, καὶ σεμνύνων τὸ ἀχάριστον, καὶ θεομάχον ἔθνος, διὰ τὴν ῥίζαν τὸν Ἀβραὰμ, καὶ τὸ σπέρμα τὸν δεσπότην Χριστὸν, οὕτως λέγει· ὧν, φησὶν, ἡ υἱοθεσία. ἐβόα γὰρ Θεὸς ἐν προφήταις· υἱὸς πρωτότοκός μου Ἰσραήλ. καὶ ἡ δόξα (μου.) ἄμετρον γὰρ προσώδευε δό-

Ἡσαΐ. 7. 14. Ματθ. 1. Ἐπιστ. 2. Γαλ. 8. Λουκ. 2. 18. Ῥωμ. 9. 3. Ἐξοδ. 4.

δόξαν τοῖς τροφοφορουμένοις τὰ ἐπάλληλα θαύματα. καὶ αἱ διαθῆκαι. αἳ πρὸς τὸν Ἀβραὰμ τὸ πλῆθος καὶ τὴν εὐλογίαν παρεγγυῶσαι. καὶ ἡ νομοθεσία. ἡ ἐν ὄρει δακτύλῳ Θεοῦ γραφεῖσα. * καὶ αἱ ἐπαγγελίαι. ἥτε γῆ τῆς Παλαιστίνης, καὶ τὸ διὰ σπέρματος τοῦ Ἀβραὰμ εὐλογηθῆναι πάντα τὰ ἔθνη· ὧν οἱ πατέρες· οἱ ἐν τῇ νυκτὶ τῆς πλάνης ἀνατείλαντες, ὡς πίστεως φωστῆρες. καὶ ἐξ ὧν ὁ Χριστός. καὶ οὐκ ἔστη μέχρι τούτων Παῦλος. οὐδὲ γὰρ ἀφ' οὗ ὁ ἐκ Μαρίας τόκος, ἔκ τοτε τοῦ ἀνάρχου λόγου ἡ ὕπαρξις· ἀλλ' εὐθὺς ἐπήγαγε, τὸ κατὰ σάρκα. ἵνα ὑποσημείνηται τὴν κατὰ σάρκα φανέρωσιν, ἀλλ' οὐ * κατὰ τὴν θεότητα γένησιν. τίς μὲν οὖν ἐστιν οὗτος ὁ Χριστὸς ὁ ἐκ παρθένου γεννηθεὶς, ὁ ἐν σπηλαίῳ χωρηθεὶς ὡς οἶδεν, ὁ ἐν φάτνῃ * ἀνακληθεὶς, ὁ τῷ χρόνῳ κατὰ σάρκα αὐξήσας, ὁ τῶν μέχρι κατωτάτω τῆς γῆς καταβὰς, ὁ πάντα τὰ τῆς σαρκὸς ὑπομείνας, ἵνα πιστώσηται ὅτι κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος, ὁ οὐκ ἄλλος ὢν παρὰ τὸν καταβάντα, ἀλλ' αὐτὸς ὢν καὶ ὁ καταβὰς, καὶ ὁ ἀναβάς· οὐ γὰρ ἀνέβη πρότετερον, ἀλλὰ κατέβη, οἷα δὴ οὐκ ἐκ προκοπῆς Θεὸς, μὴ γένοιτο, ἀλλὰ δι' εὐσπλαγχνίαν ἄνθρωπος. τούτου γὰρ ἐδεόμεθα. μὴ παρ' ἐμοῦ μάθης, ἢ παρ' ἄλλου τινός. ἀλλὰ παρὰ Παύλου τοῦ παρὰ πατρὸς ἐν ἀποκαλύψει μαθόντος τὸν υἱὸν, καὶ φάσκοντος· ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί. οὗτος γάρ σε διδάξει ἀληθῶς τίς ἐστιν Ἰησοῦς ὁ Χριστὸς, βοῶν· ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. ποίαν παρείσδυσιν συκοφαντίας οὐκ ἀποτειχίζει τὰ Παύλου ῥήματα τοῖς φιλολοιδόροις; εἶπεν αὐτὸν Χριστὸν, ἵνα δείξῃ ὅτι κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος· εἶπεν αὐτὸν ἐξ Ἰουδαίων τὸ κατὰ σάρκα, ἵνα δείξῃ ὅτι οὐκ ἀφ' οὗ ἐσαρκώθη ἔκ τοτε μόνον ὑπάρχει· εἶπεν αὐτὸν ὄντα, ἵνα ἄναρχον βροντίσῃ· εἶπεν αὐτὸν ἐπὶ πάντων, ἵνα τῆς κτίσεως δεσπότην κηρύξῃ· εἶπεν αὐτὸν Θεὸν, ἵνα μὴ πρὸς τὰ πάθη, καὶ τὸ σχῆμα δελεασθέντες, τὴν ἀνώλεθρον αὐτοῦ ἀρνησώμεθα φύσιν· εἶπεν αὐτὸν εὐλογητὸν, ἵνα ὡς παντοκράτορα προσκυνήσωμεν, ἀλλ' οὐχ ὡς σύνδουλον συκοφαντῶμεν· εἶπεν αὐτὸν εἰς τοὺς αἰῶνας, ἵνα δείξῃ ὅτι περ ὁ λόγῳ τούτους δημιουργήσας, ἀϊδίως ἐν αὐτοῖς θεολογεῖται. Ἔχοντες οὖν τὸν Χριστὸν, καὶ ὄντα Θεὸν, καὶ εὐλογητὸν, αὐτῷ προσκυνήσωμεν λέγοντες πρὸς τοὺς ἑτεροδόξους· εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν· διὸ καὶ προσδεχόμεθα τὴν δόξαν τοῦ μεγάλου Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἀποδώσει τοῖς μὲν εὐσεβοῦσι, τὰ τῆς δόξης ἔπαθλα· τοῖς δὲ ἀθετοῦσι, τὰ τῆς τόλμης ἐπίχειρα. Ταῦτα δὲ πρὸς τὴν ὑμετέραν ἐπεστείλαμεν ἀγάπην, ἐκ τῶν ὑμετέρων προτραπέντες λιβέλλων, ὧν πρὸς ἡμᾶς διεπέμψασθε φήσαντες λυμεῶνάς τινας, καὶ τερατολόγους ἀνθρώπους ἑαυτοὺς ἐπεισφρῆσαι τῇ ὑμετέρᾳ χώρᾳ, βουλομένους διὰ πονηρῶν γραμμάτων, καὶ τῶν ἀντιθέσεων τῆς ψευδωνύμου γνώσεως διαστρέφειν τὸ ἁπλοῦν, καὶ ἀμαγγάνευτον τῆς ὀρθοδόξου πίστεως κάλλος. ἀλλὰ τὰ τοῦ μακαρίου Παύλου, καὶ πάλιν φημὶ πρὸς ὑμᾶς· βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν εἰκαιοβούλων ἀνθρώπων, καὶ οὐ κατὰ Χριστόν. θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι εὐσεβοῦς πίστεως παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. στήκετε τοίνυν ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου· καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἀλλὰ φυλάττοντες τὰς παραδόσεις ἃς παρελάβετε τῶν ἁγίων, καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ τὴν ὀρθόδοξον πίστιν ἐκθεμένων, καὶ τῶν περὶ τὸν ἅγιον, καὶ μακάριον Βασίλειον, καὶ Γρηγόριον, καὶ τῶν λοιπῶν τῶν αὐτοῖς ὁμοφρόνων, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. πᾶσαν τὴν σὺν ὑμῖν ἀδελφότητα ἐγώ τε, καὶ οἱ σὺν ἐμοὶ προσαγορεύομεν.

* καὶ λατρεία ἐκ Θεοῦ ἐλάτρευον. Γεν. 22.

* ἵν. τὴν κατὰ θεότητα.

* ἵν. ἀνακληθείς. Ἐφεσ. 4.

Γαλάτ. 1

Ῥωμ. 9 5.

Κολασ. 1.

1. Κορ. 3.

Φιλιππ. 1.

ΒΑΣΙΛΙΚΟΣ ΝΟΜΟΣ ΠΕΡΙ ΤΩΝ προσφευγόντων ἐν ἐκκλησίᾳ.

ΑΡΧΑΙΑ τις καὶ ἀπὸ τῶν καιρῶν τῆς πλάνης συνήθεια, καὶ νόμου * φυσικὴ διάταξις δι' εὐσέβειαν ἀεί τις τοιαύτη κεκράτηκεν, ὥστε * τὰς θείας θρησκείας τῶν δημοσίων διοικήσεων, καὶ τῶν ἀνθρωπίνων χρήσεων ἐν παντὶ χρόνῳ, καὶ ἔθνει, διορισθῆναι. καὶ ταύτας οὐ μόνον ἐν τῷ ἀκροτάτῳ τῶν πραγμάτων, ἀλλ' ὥσπερ ἔν τινι ἐπὶ γῆς οὐρανῷ ἀνατίθεσθαι, καὶ ὅποι πλησιάζειν * μόνοις καθαροῖς, καὶ ὁσίοις θέμις. ἐντεῦθεν κἀκεῖνο συμβαίνει, τὸ πάντων φυσικῶς ταῖς διανοίαις ἐγκεῖσθαι, μηδενὶ τρόπῳ δύνασθαι τὰ τῷ Θεῷ ἀφιερωθέντα μιαίνεσθαι, μήτε κατὰ τῆς θείας δυνάμεως τὴν ἀνθρώπων ὕβριν χωρεῖν. πῶς γὰρ οἷόν τε μολύνεσθαι, ἅπερ ἀεὶ καθαρεύειν ἀνάγκη; ἢ πῶς οἷόν τε ῥυποῦσθαι, ἅπερ ἅπαξ ἁγιασθέντα, τοῦ τοιαῦτα εἶναι οὐ παύεται; ὅθεν εἰ καὶ πεπείσμεθα ὑπὸ τῶν ἔναγχος ἀθεμίτως ἐκ τῆς βαρβαρικῆς μανίας κατὰ τοῦ θείου τολμηθέντων θυσιαστηρίου, μήτε μολύνεσθαι τὸ καθαρὸν, μήτε κεχράνθαι, ὅπερ εἶναι πέφυκεν ἅγιον. ὅμως ἐπειδὴ γέγονεν, ὅπερ οὐδαμῶς ἠλπίσθη γενέσθαι, καὶ μέχρι τῆς εὐσεβείας ἡ τῶν μυσαρῶν ἔφθασε τόλμα· ὥστε μὴ τοῖς ἀνοσίοις γοῦν δοκεῖν βέβηλα εἶναι ταῦτα, ἅπερ θεία τυγχάνει, μήτε ἐν τοῖς ἁγιασθεῖσι, καὶ ἀφιερωθεῖσι τόποις ἐξῇ ταῦτα, ἅπερ οὐδὲ ἐν ἄλλοις χύδην ἀδίκως ἀνεκτὸν γίνεσθαι, καὶ ὑπὲρ τοῦ τὴν θρησκείαν, καὶ τῇ τῆς εὐσεβείας παραφυλακῇ ἀνόθευτον * παραμένειν, πᾶσαν ὕβριν * τῆς τοῦ Θεοῦ παντοκράτορος * ἐκκλησίας, τήν τε παρὰ τῶν τολμώντων, καὶ ἀκόντων ἐγγινομένην ἀπείργομεν. καὶ γὰρ εἰ ἐθνικῆς ἀρχαιότητος ἡ θρησκεία πλάνη, καὶ Θεὸς τὸ δοκοῦν, οὕτω τῆς οἰκείας δεισιδαιμονίας ἐξήσκει τὴν παρατήρησιν, ὥστε τοὺς βωμοὺς μὴ πᾶσιν, ἀλλὰ γάρ τισιν ἐπιτρέπειν τῶν ἱερέων, τούς τε ναοὺς, ὥσπερ καὶ διὰ τῆς γῆς ὑψουμένους, ἐν ταῖς ἀκροπόλεσι, καὶ τοῖς ὀχυρωτέροις τῶν πόλεων ἀναθεῖναι τόποις, τά τε κατασκευασθέντα εἴδωλα προσκυνεῖν, καὶ μετὰ σεπτῆς μεγίστης ἔχειν ματαιότητος, πόσῳ μᾶλλον ἡμᾶς προσήκει τὴν θρησκείαν μετὰ πάσης * φυλάττειν παρατηρήσεως· πρὸς οὓς ὁ Θεὸς μετὰ τῆς ἀλη-

* φυσικῶ.

* ταῖς θρησκείαις.

* νόμοις.

* διαμένειν.

* τῇ τοῦ.

* ἐκκλησίᾳ.

* παραφυλάττειν.

ἀληθοῦς θρησκείας, οὐρανὸς μὴ ἀπολιπών, καταβέβηκε, καὶ ὥσπερ τινὸς μεταξὺ θεοῦ τε, καὶ ἀνθρώπων ἀντιδόσεως γλυκυμυθίας, ἄνθρωπος θεὸν εἰς γλῶ ὑπεδέξατο, καὶ θεὸς εἰς οὐρανὸς ἀνήγαγεν ἄνθρωπον. * πρὸ δέ γε τῆς ἄλλων καὶ τούτῳ μάλιστα ἐξιλεοῦνται θεὸν οἱ τῆς ἄκρας ἐξουσίας πραγμάτων ἐπειλημμένοι, τῷ σωτηρίας, ζωῆς τε καὶ ἀμεριμνίας φροντίζειν ἀνθρώπων· ἅπερ κατὰ τὸ ἡμῖν ἔμφυτον οὐδαμῶς θάτερον τῷ * ἑτέρῳ δίχα τῆς ἑκατέρου βλάβης σωώσομεν. ὥστε * μήτε τοῖς ἐκκλησιαστικοῖς οἴκοις, ἢ τοῖς ἁγίοις θυσιαστηρίοις, ἐκ τῆς πολλῆς τῆς προσφυγόντων ἀπαγορεύσεώς τε, καὶ * ἀδειλίας. προπετείας τε, καὶ καταφρονήσεως, τόλμης, ἢ καὶ μανίας, ὕβριν παρὰ τὸ πρέπον γίνεσθαι τινα, καὶ τὸν τῆς ἀθλίων τε καὶ ἀβοηθήτων * μόνον ἔχατόν γε λιμοῦ * δίκην πέρας. τῆς. δυσὶ * μόνοις τοῖς πεποιημένοις ὑποδέξασθαι κόλποις. οὐδενία * τὸν τὸν κλύδωνα τῆς θαλάττης, καὶ τὰς σκοπέλους * ἐκκλίνοντα προσήκει τινὶ τῆς γῆς ἀφαιρεῖσθαι γαλήνῃ. πόλεμος καθ' ἕ συνέστηκε * παράταξις, τινὶ κατὰ τὸ * προσφεύγοντος ἀπειλῇ ἀποτίθεται. τὸ ἄσυλόν ποτε ὑπερήσπισε τῆς διαφόροις ἐνόχων ἐγκλήμασι, τινὶ τῆς νόμων παρωθούμενον * αὐθεντίαν· καὶ ὥστε μηδαμῶς τοῖς διλαβουμένοις ἀναιρεθῆναι φιλανθρωπίαν, βωμὸν σωτηρίας καὶ ἐν τοῖς ἡμετέροις ἀφιδρύμασιν ἡ ἀρχαιότης ἀνέθηκε· καὶ οἱ τὰ ἴχνη τῆς ἡμετέρων χαρακτήρων καταλαμβάνοντες, τῆς ἀπειλῶν τῆς σωμᾶς τύχης ἐλευθερωθέντες τε, ὡς ἀμεριμνοῦντες γεγήθασι. * τοσαύτης τοιγαροῦν τῆς ἀφῆς τοῦ ἱδρύματος διὰ τὸ βασιλικὸν σέβας τοῖς δεομένοις ἐπιχειρεῖν διδόσης, πόσῳ χρὴ τοῖς εἰς τὰ ἁγιώτατα καταφεύγουσι θυσιαστήρια ὑπάρχειν βοήθειαν; * Ἀνεῴχθησαν τοίνυν τοῖς δεδιόσιν οἱ ναοὶ τοῦ μεγάλου θεοῦ, καὶ τοὺς προσφεύγοντας ἱκέτας ὁ κοινὸς ὑποδεχέσθω βωμός· καὶ τινὶ θείαν βοήθειαν, τινὶ κοινῇ προσκομιζομένῳ ἅπασιν, ἐκ τῆς ταύτης οἴκων μηδεμία ὡς ὑπερτέρα διωθείτω ἀπειλή. ποῖος γὰρ ταῖς συμφοραῖς οἶκτος ὑπολειφθήσεται ἐν τοῖς ναυαγοῦσιν, εἰ τὸν αἰγιαλὸν ἀποκλείσεις, καὶ τινὶ πηγαὶ τοῖς διψῶσι θολώσεις; ἢ ποία ταῖς ἀνθρωπίναις περιέσαι συμφοραῖς θεραπεία, ἐὰν αὐτοῖς ὁ θεὸς ἀρνηθείη; ἐπὶ γὰρ τῆς ἡμετέρων ἡμερῶν ἃ μόνον τὰ θεῖα θυσιαστήρια, καὶ τὸ δίκτηριον τοῦ * λαοῦ, τὸ τεθραγώνων τοίχων περιβολῇ τειχιζόμενον, εἰς ἀσφάλειαν συντελεῖν τῆς προσφυγόντων θεσπίζομεν, ἀλλ' ἔτι καὶ περαιτέρω τούτου τυγχάνει, ἄχρι τῆς τελευταίων θυρῶν τῆς ἐκκλησίας, ὧν τοῖς εὐξασθαι προηρημένοις πρῶτον ἐπιβαίνειν συμβαίνει, * ἐλέου βωμὸν τοὺς προσφεύγουσιν εἶναι προσάττομεν. ὥστε μεταξὺ τοῦ ναοῦ * ἐν τῷ προειρημένῳ τόπῳ προσφυγὲς διεγράψαμεν, καὶ τῆς * πρώτων μὲν τοὺς * δημοσίους τόπους τῆς ἁγίας ἐκκλησίας θυρῶν τὰ περιεγκείμενα, εἴτε ἐν οἰκίαις, ἢ ἐν κήποις, εἴ τε ἐν αὐλαῖς, ἢ λαύραις, ἢ ὡς ἐν σοαῖς τυγχάνει, τοὺς εἰσδυομένους πρόσφυγας καθ' ὁμοιότητα τοῦ ἐνδοτάτου ναοῦ φυλάττειν. καὶ εἰ καὶ τὰ μάλιστα θρησκείας τε, καὶ διλαβείας λόγῳ τὰ μικρῷ * λόγων διεσῶται τῷ τόπῳ ὁμικρῷ τῷ τ' παρατηρήσεως * τόπῳ διωρίσαι. ὅμως ὑπὲρ τοῦ τινὶ ἀμεριμνίαν πλατύναι τοῖς προσφεύγουσι, καὶ τοῖς διλαβουμένοις βοήθειαν ἐκτεῖναι, πᾶσαν τινὶ προβεβλημένῳ περίοδον ἀδιάκριτον εἶναι λιμένα τῆς ἡσυχίας προσάττομεν· καὶ μηδένα εἰς τὸ ἐξωθεῖσθαι * τούτους ἱεροσύλους ἐπιβάλλειν χεῖρας. μὴ τοίνυν τοῦτο τολμῶν, ἐν συμφοραῖς ἑαυτὸν ἰδὼν, καὶ αὐτὸς ἐξαιτῆται βοήθειαν καταφύγῃ. τὸ δὲ τοιοῦτον τῆς ἁμαρτημάτων πλάτος ἐν καιρῷ τοῦ φόβου εἰς ἄδειαν τοῦ διάγειν, μᾶλλον δὲ τοῦ μετανοεῖν, φιλανθρώπως συνεχωρήσαμεν. ἵνα μή τινι τῆς * προσπεφυγότων ἐν τῷ τοῦ θεοῦ ναῷ, ἢ ἐν τοῖς ἁγίοις θυσιαστηρίοις μένειν, ἢ ἐσθίειν, ἢ καθεύδειν, ἢ παννυχίζεσθαι ἐξῇ. τοῦτο τῆς μὴ κλειόντων τῆς θρησκείας χάριν κωλυόντων, καὶ τῆς προσφύγων τῆς ἀσεβείας ἕνεκα φυλαττόντων· ἵνα μήτε οἱ προσφεύγοντες ὡς βεβήλωμένῳ προσφεύγειν δοκοῖεν, τῇ θρησκείᾳ καταμιγνύντες τὰς οἰκείας χρείας· μήτε οἱ τὰ ἔπος αἰχρὰ δυνάμενοι τὰ θεῖα ἀπείργειν οἴκοι, δόξωσι. τινὶ ἀσέβειαν, ἧς ὑποφῆται * τυγχάνουσι, καταβλάπτειν. προκειμένου δὲ τοῦ θατέρου πάντως προσχρῆσαι, αἱρετώτερον τὰς κληρικὰς τὰς ἀνθρωπίνας, καὶ φυσικὰς τῆς ἁγίων θυσιαστηρίων ἀποκλειομένους ὕβρεις, θρασεῖς μᾶλλον, ἢ ἀσεβεῖς νομίζεσθαι, καὶ περὶ ἄνθρωπον, ἢ περὶ θεὸν ἁμαρτάνειν· ὁπότε τοῦτο πεθέντος τοῦ νόμου, μήτε ἀπανθρωπίας τις ὑπόνοια δικαίως ἂν φθάσειεν εἰς τοὺς κληρικούς· ἐπειδὴ πολλὴ τοῦ τε φόβου, καὶ τῆς ἀμεριμνίας τῆς προσφυγόντων πρόνοια γέγονε. καὶ γὰρ καὶ τῇ ἀνθρωπίνῃ * φύσει τε, καὶ * χρείᾳ τῇ ἀνάγκῃ ῥυπτοῦσθαι τὸν τοῦ θεοῦ ναόν, καὶ τὸ θεῖον μυστήριον τῇ ἐφυβρίστῳ ἀσθενείᾳ καταμιγνυσθαι, τὰ θεῖα ὑπὸ βεβήλων χραίνεσθαι, τὰ ἱερὰ ὑπὸ τῆς σαθρῶν μολύνεσθαι μὴ βουλόμενοι, τοῦ αἰτεῖν βοήθειαν τοῖς προσφεύγουσιν οὐκ ἀπεκλείσαμεν· ἀλλὰ προσέτι ὡς πλατυτέροις διαστήμασι, μακροτέροις τε χωρήμασιν ἀσφαλιοῦσθαι * τούτους ἐψηφισάμεθα. τοῦ πρέποντος τῇ τε θειότητι, καὶ τῇ ἀνθρωπότητι φυλαττόντῳ.

Ὅπλα δὲ ἐν σιδήρῳ, ἢ ἐν ἑτέρῳ εἴδει * ἀμυντήρια τοὺς προσφεύγοντας ὡδαμῶς ἔχειν, ἢ ἐπιφέρεσθαι ἐντὸς τῆς ἁγίας ἐκκλησίας προσάττομεν. ταῦτα οὐ μόνον ἐκ τῶν θείων ναῶν τε, καὶ θυσιαστηρίων, ὡς τὰ λοιπά, κωλύοντες, ἀλλὰ καὶ τῆς οἰκημάτων, καὶ * ἑλῶν, καὶ κήπου, καὶ λαύρας, καὶ αὐλῶν, καὶ σοῶν. ἅπερ κατὰ τὸν προειρημένον λόγον ὑπερασπίζον τῆς προσφυγόντων ἐβουλώσαμεν. ὅτε γὰρ θέμις, τοῖς ἁγιωτάτοις ναοῖς, ἢ τοῖς ἐκκλησιαστικοῖς τόποις κατὰ περιεργίαν, διχονοίας, ἢ πολέμων ὕλας ἐπιφέρεσθαι. ἀρκείτω τοῖς προσφεύγουσιν ἡ τοῦ θεοῦ βοήθεια. ᾧ τά τε ὅπλα, καὶ οἱ νόμοι, καὶ ἡ βασιλεία ὑποτάττεται. καὶ γὰρ ἡμεῖς, ὃς ἀεὶ τῷ δικαίῳ τῆς ἡγεμονίας περιστοιχίζει τὰ ὅπλα, καὶ ὃς ὁ πρέπει δίχα δορυφόρων εἶναι, τῷ τοῦ θεοῦ ναῷ προσιόντες, ἔξω τὰ ὅπλα καταλιμπάνομεν ἀποτιθέμενοι τὸ διάδημα· καὶ * τῇ τῆς βασιλείας ἐλαττώσεως εἰκόνι μᾶλλον ἡμῖν τὸ τῆς βασιλείας σέβας ἐπαγγέλλεται. τοῦ ἁγιωτάτου δὲ θυσιαστηρίου διὰ μόνην τὴν τῶν δωρεῶν προσφορὰν ἐφαπτόμεθα. καὶ εἰς τινὶ τῆς θείων * κύκλων περιστοιχουμένην ἔπαυλιν ἅμα τῷ εἰσελθεῖν ὑπεκβαίνομεν· καὶ οὐδὲν ἐκ τῆς ἀγχιστάτης θειότητος ἑαυτοῖς ἀπο-

νέ-

* ἀνιχθῆναι. ἀνοιχθήτωσαν.
* ἐν τῷ προειρημένῳ τόπῳ προσφυγὲς διεγράψαμεν, τῆς πρώτων μὲν τοὺς δημοσίους τόπους τῆς ἁγίας ἐκκλησίας θυρῶν τὰ περιεγκείμενα, εἴτε ἐν οἰκίαις, ἢ ἐν κήποις, εἴ τε ἐν αὐλαῖς, ἢ λαύραις, ἢ ὡς ἐν σοαῖς τυγχάνει, τοὺς εἰσδυομένους πρόσφυγας καθ' ὁμοιότητα τοῦ ἐνδοτάτου ναοῦ φυλάττειν. καὶ εἰ καὶ τὰ μάλιστα θρησκείας τε, καὶ διλαβείας λόγῳ τὰ μικρῷ * λόγων διεσῶται τῷ τόπῳ ὁμικρῷ τῷ τ' παρατηρήσεως * τόπῳ διωρίσαι.
* ναῷ. * τῷ μεγάλου τοίχου. * τοῦ μὲν τοῦ τοίχου περιβολῆς.
* ὅλων. * ἑλῶν. * ἐν τρίτῳ.
* ἐν τῷ προειρημένῳ τρίτῳ περιεγράψαμεν.
* πρώτων. * ἐκκλησίας. * ἰδίων.
* τούτους.
* ἀμυντήρια deest vox ista in mf. Seg.
* ἀμυντῆρι,
* τῇ τῆς βασιλείας σέβας ἐν.
* κύκλων

νέμομεν. ὅθεν τὲς δίχα ὅπλων τῷ ἁγίῳ οἴκῳ τοῦ Θεοῦ, καὶ εἰς τὸ ὁσιώτατον θυσιαστήριον ἐν οἱῳδήποτε ἔθνει, ἢ * κατὰ ταύτην τὴν πόλιν προσφεύγοντας, ὑπνῶν ἐν τῷ ναῷ, ἢ καὶ ἐν τῷ θυσιαστηρίῳ, καὶ * ἐπ' αὐτῆς μεταλαμβάνειν, ἐκπός τινος ὕβρεως παρὰ τῶν κληρικῶν προσήκει κωλύεσθαι. καὶ ὅπω τοῦτο τυποῦσθαι χρὴ πρὸς αὐτὲς, ὥστε μὴ δοκεῖν ὕβριν εἶναι τὸ κωλύοντος, ἀλλὰ γὰρ τὸν λόγον τῆς θρησκείας ἀπαιτεῖν τὸ νομόμενον. τῆς ἁγιωσύνης, καὶ τῆς καθαρότητος τὸ πᾶν τὲς ἀλλαχθμένους ὑπομιμνησκέτωσαν, καὶ μηδὲν ταῖς θρησκείαις μετὰ τῶν ἀνθρωπίνων χρήσεων εἶναι κοινὸν διδασκέτωσαν· τὰ διαστήματα, τὰ ἐν τοῖς ἐκκλησιαστικοῖς περιβόλοις, τῇ αὐτῶν ἀσφαλείᾳ ἡσυχίᾳ τε ἀφορισθέντα, κατὰ μέρος δεικνυέτωσαν, * τιμωρίαν κεφαλικὴν κατὰ τῶν προπετῶς ἐπιόντων αὐτοῖς ὡρίσθαι. γνώτωσαν, ὡς ὐ χρὴ τὴν θρησκείαν τοῖς ἀνθρωπίνοις ῥύποις μιαίνειν, ἢ τῇ ὕβρει τῆς φυσικῆς ἀνάγκης χραίνειν, τὸν διὰ τῆς αὐτῆς θρησκείας ἀνύβριστον εἶναι βουλόμενον. εἰ τέτοις φασί τις μὴ * ἐπινεύοι, μήτε πείθεται, προτιμάσθω τῆς ἀρχότητος ἡ θρησκεία, καὶ ἐκ τῶν θείων εἰς τὲς προλεχθέντας πόπους * διωκέτω ἡ θρασύτης. * ἔσω γὰρ καὶ ὁ σφόδρα φοβηθεὶς ἐκτὸς κινδύνου, καὶ ὅπε ἡ θρησκεία τῇ τῶν ἀνθρωπίνων χρήσεων ἐπιμιξίᾳ μολυνθήσεται τὲς δὲ βοήθειαν ἐξαιτουμένους παρὰ τοῦ μεγίστου Θεοῦ, καὶ μεθ' ὅπλων εἰσιόντας εἰς τὲς ἁγιωτάτους νεὼς, ἢ καὶ * παρασκευῆς, ἢ τις φυσικῷ, ἢ ἐθνικῷ νομίμῳ τῆς θρησκείας ἀπείργεται, μὴ μόνον ἐπιφέρειν τῇ ταύτης βλαγείᾳ, ἀλλὰ γὰρ καὶ σωπᾶν ἐπιχειροῦντας, ὅπερ * βοηθηθῆναι, ἢ ἀκουσθῆναι, ἢ * ἀγριότητι ἰδεῖν, φορητὸν, πληρεστάτῳ αὐστηρίας προστάγματι, καὶ φοβεραῖς ἀπειλαῖς, προηγουμένως μὲν * τέτοις μὴ ποιεῖν παραινέσεις. ποίαν γὰρ ἐλπίδα ἐν τῇ θρησκείᾳ ἐντίθεται, ὃς ἐφ' ὕβρει ταύτης ὅπλα περικείμενος εἰσεισιν;

Ἐὰν δέ τινα μανίᾳ * τυφλώττουσα παροξυνθῇ τῶν ἡμετέρων * φειδεῖν τι θεσπισμάτων ἐν οἱῳδήποτε τόπῳ τῆς ἐκκλησίας, ἢ ἐντὸς τοῦ ναοῦ, ἢ περὶ τὸν ναὸν, ἢ καὶ ἐκτὸς τέτοις τυγχάνοντα, παραχρῆμα τὸν τὰ ὅπλα αὐθεντίᾳ τοῦ ἐπισκόπου παρὰ μόνων τῶν κληρικῶν, καὶ αὐστηρότερα ὑπὲρ τῆς αὐτῶν σωτηρίας, ἀποτίθεσθαι καταναγκαζέσθω προσάττομεν. δεδομένης αὐτοῖς ἐλπίδος καὶ * θάρσους, ὡς τῇ θρησκείᾳ μᾶλλον ἢ τῇ τῶν ὅπλων ἐπικουρίᾳ ὀχυρωθήσονται. ἐὰν δὲ τῇ τοῦ ἡμετέρου νόμου αὐθεντίᾳ, καὶ τῇ ἐκκλησιαστικῇ φωνῇ ὑπομονήσαντες, τῷ τόνῳ τῆς οἰκείας ἀγνοίας * ἐμμένωσι, καὶ ὅπλα μὴ ἀποθῶνται, ἅπερ παρὰ τὸ θεμιτὸν εἰς * σωτηρίας χάριν, ἀλλὰ τυραννίδος, καὶ ἱεροσυλίας θρασύτητι * ἐνεδέξαντο, γινωσκέτωσαν, ὡς διὰ ποσότων, καὶ τηλικούτων * παραγγελμάτων ὑβρισθείσης τῆς θρησκείας, παρά τε τῆς ἡμετέρας γαλήνης, καὶ τῶν ἐσκοπῶν Θεῷ τῆς ἀπολογίας δοθείσης, κατὰ τὸ οἰκεῖον πταῖσμα, καὶ παρ' ἑνόπλων εἰσχωρημένων ἀποσπασθήσονται. καὶ πάσαις ταῖς συμφοραῖς ὑποβληθήσονται· ἀσεβῶς τε τοῦτο εἰς αὐτὲς γνώσεται, ἅπερ χρὴ γνῶσθαι ὑπὲρ τὸ χαλεπὸν, καὶ τραγῳδίας ἄξια ἐξαμαρτάνειν αὐτές. τί γὰρ ἐκ τῶν τολμηθέντων ἔναγχος κατὰ τῆς θρησκείας, καὶ τῆς θειότητος παρὰ τῶν σφόδρα ἐλεημόνων ἀλλαβεῖσθαι,

ἢ ὑποπτεύειν ἡμᾶς, καὶ διὰ τοῦτο πᾶσαν ὁδὸν ἀφορμιεύ τε ἀποκινήσαι μανίας ἃ προσήκει; ἵνα μὴ, ὅπερ ἐξ ὑποδείγματος * ἡ ξαγικὴ μανία πρώτως ἐξήμαρτε, τὸ αὐτὸ καὶ αὖθις, ὅπερ ἀπεὶη, ἱεροσυλίας ξόπω τολμηθείη. ἀλλ' ὅτε δίχα γνώμης, ἢ κελεύσεως τῶν ἐπισκόπων, ἢ καὶ * ὑμῶν τῶν δικαστῶν τῶν κατὰ τήνδε τὴν πόλιν, ἢ καὶ ὁπωσδήποτε τυγχανόντων, τὴν ὁπλισμὸν ἐκ τῶν ἐκκλησιῶν χρὴ παραδίδοσθαι· ἵνα μὴ, ἐὰν κατὰ τὰ ἀθλίων πολλοῖς τοῦτο καὶ * διαφόροις ἐξῇ, σύγχυσις ἐκ τούτου ἐγγένηται. βλαβεῖσθαι γὰρ τὲς μεθ' ὅπλων φεύγοντας πρὸς διόρθωσιν βουλόμεθα, ἀφαιρεῖσθαι * τὰ ὅπλα, καὶ ὅτε σωτηρίαν ἐν * κεφαλαίῳ. καὶ τοῦτο μᾶλλον δὲ * προηγουμένως διὰ τὸ νόμου τοῦτο θεσπίζομεν· ἵν' αἱ τοιαῦται ἀθέμιτοί τε, καὶ ἱερόσυλοι κινήσεις, ἢ ἅμα τῷ ἄρξασθαι, ἐν αὐτοῖς τοῖς προοιμίοις τῶν ὅπλων ἀποτεθέντων, τῇ καλλίστῃ νυθεσίᾳ ἡσυχάσωσιν, ἢ τῷ φιλοτάτῳ πόνῳ ἐμμείνοντες, τῶν προειρημένων ἐπιχειρήσωσι λόγῳ τῆς ὑπερλάμποντος ἐξουσίας, διὰ τῆς * κοσμιότητος, δικαιοσύνης τε, καὶ ἀκεραιοσύνης * ἀσεβείας. ταῦτ' ἄρα περὶ τῆς θρησκείας σεβασμίως, καὶ μετὰ πάσης παρατηρήσεως, εὐλαβείας, τιμῆς, καθαρότητος, ἁγιωσύνης, αἰδοῦς, εὐσεβείας, καὶ μάλιστα παρὰ τῶν προσφευγόντων φυλάττεσθαι, μήτε διὰ τὴν θρησκείαν τῆς φιλανθρωπίας ἀποκλειομένης, μήτε μὴν διὰ φιλανθρωπίαν τῆς θρησκείας παρορωμένης, προσετάξαμεν, τῷ πρέποντι ὑμῖν τῇ * θεότητι, καὶ τῇ ἀνθρωπότητι ἀφορισθέντος, διαταγμάτων * προσαχθέντων, εἰς πάντα κόσμον, καὶ γνῶσιν πάντων περιελθεῖν * φροντίσει· ὥστε καὶ * τὲς προσφεύγοντας διὰ τῆς τῶν ὁρισθέντων φιλανθρωπίας ἀμερίμνους τυγχάνειν, καὶ μηδενὸς προπετείᾳ τὰ εἰς τιμὴν τῆς θρησκείας τυπωθέντα διακρατεῖν.

Νόμῳ προετέθη * ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτῃ, μηνὶ Φαρμουθὶ ιβ'.

ΣΥΝΟΔΟΣ ΕΝ ΕΦΕΣΩ

οἰκουμενικὴ τρίτη. χρόν. ἀπὸ χῦ 431.

Φώτιος. ἐπισ. πρὸς μιχαὴλ βουλγαρείας.

Ἡ δὲ ἁγία, καὶ οἰκουμενικὴ τρίτη συνόδῳ ἐν μὲν τῇ κατὰ τὴν Ἀσίαν Ἐφέσῳ συνεκροτήθη, εἰς ὀγδοήκοντα δὲ ἐπληθύνετο. ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο Κύριλλός τε ὁ ἐν παύσαις πεισώνυμος, ὃς διὰ ἀρετὴν, καὶ σοφίας πλοῦτον τῆς Ἀλεξάνδρου μεγαλοπόλεως ἐνθρόνων τὸν θρόνον, καὶ τὸ Ῥώμης Κελεστίνου ἐπλήρου τὴν καθέδραν, καὶ τὸ πρόσωπον, μεθ' ὧν καὶ Μέμνων ὁ τῆς ἐκκλησίας Ἐφεσίων ἐμπεπιστευμένος τὲς οἴακας, καὶ δὴ καὶ ὁ τῆς Ἱεροσολύμων Ἰουβενάλιος, οἵ τινες σὺν παντὶ τῷ τῆς συνόδου πληρώματι τὸν δυσσεβῆ Νεστόριον, ὧν ἠσέβει, δίκας εἰσεπράττοντο. ὃς ἐκ τῆς Ἀντιόχου τῆς πρὸς τῷ Ὀρόντῃ ὁρμώμενος τὸν τῆς Κωνσταντινουπόλεως θρόνον οὐκ ἄκλητος ἐπεχείρησε· ἀλλὰ ὄγε παλαίπωρος ὢν ἐκ τῆς Διοδώρου, καὶ Θεοδώρου θηλερῶν τῆς ἀσεβείας ἐκροφήσας νομάτων, καὶ εἰς

* κατὰ
* ἀπ' αὐτῆς τρεῖς μεταλαμβάνειν,
* κὴ διδασκέτωσαν τιμωρίαν
* βοηθηθῆναι
* ἀγριότητα
* τέτοις μὴ, * τοῦτο μὴ
* τυφλώττουσα
* περιόν
* ἐνστάσι,
* χαριζέσθω
* ἴσ ἴται
* παρασκευῆ
* ἐμμένωσι,
* ἐνεδέξαντο
* παραγγελίας,
* ἰνδικτιῶνος.
* ἡμῶν, τῶν δικαστῶν
* ἀδιαφόροις διαφόροις
* τῇ ἰσ. κεφαλαίᾳ ζητεῖν
* προηγουμένως
* σὺν, διὰ κοσμιότητος δικαιοσύνης * ξενίας, καὶ ἰδιότ.
* θεότητι,
* φροντίσαντες,

καὶ εἰς φρενῶν μέθην ἐμπεσὼν ἀπηχεῖς, καὶ ἐκτόπους φωνὰς ἐπὶ λύμῃ τοῦ ποιμνίου πολλῶν ἀκοαῖς ἐναπηρεύξατο. Χριστὸν γὰρ τὸν ἕνα υἱὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ὃς δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκὸς ἡμῖν παραπλησίως κοινωνήσας, καὶ αἵματος, καὶ εἰς ἑαυτὸν τὸ ἡμέτερον ὑποστησάμενος φύραμα, εἷς ἐκ δύο ἐχρημάτισε τῶν ἐναντίων, Θεὸς ὁ αὐτὸς ὑπάρχων, καὶ ἄνθρωπος, εἷς Χριστὸς, εἷς υἱὸς, ὁ αὐτὸς ἄνω ἐκ πατρὸς ἀμήτωρ, καὶ κάτω ἐκ μητρὸς ἀπάτωρ, ὁ αὐτὸς καὶ οὐκ ἄλλος, ἓν πρόσωπον, μία ὑπόστασις. τοῦτον δὴ τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν εἰς δύο τέμνειν, καὶ διαιρεῖν ὑποστάσεις ὁ τρισάθλιος ἐκεῖνος οὐ πεφρικὼς, τὸν μὲν ψιλὸν ἄνθρωπον καὶ χωρὶς τοῦ προσλαβόντος λόγου κατ' ἰδίαν ὑπόστασιν ἔπλαττε. τὸν δὲ Θεὸν ἀνὰ μέρος καὶ γυμνὸν τοῦ προσλήμματος· ὥσπερ δεδοικὼς ὁ ἀνόητος, μήτι Θεὸς πάθοι, τὸ οἰκεῖον πλάσμα δι' ἄφατον φιλανθρωπίαν εἰς θεραπείαν, καὶ ἀνάπλασιν ὑποδύομενος. οὐδὲ τοῦτο συνιδὼν, ὡς οἷς τὴν ἀνθρωπίνην φύσιν τὴν τοῦ λόγου ἐδίχαζεν ὑποστάσεως, ἀνίατον αὐτὴν καὶ ἀθεράπευτον ἀνεκήρυττε, καὶ τῆς ἰδίας ἔξαρνος σωτηρίας ἐγίνετο. ἀλλὰ γὰρ τοὺς λογισμοὺς ὅλως ἐκ τούτων διαστραφεὶς, οὐδὲ τὴν αὐτοῦ κατὰ σάρκα μητέρα τὴν παναγίαν παρθένον τὴν κυρίως ἀληθῶς τὸν Θεὸν λόγον σεσαρκωμένον τεκοῦσαν, οὐδὲ ταύτην καλεῖν θεοτόκον ἠνέσχετο. ἀλλὰ ὥσπερ τὸν υἱὸν ἀπεστέρει τῆς θεότητος, οὕτως ἠλλοτρίου καὶ τὴν γεννησαμένην τῆς θεοτόκου κλήσεως. διὸ τοῦτον ἀξίως τῆς τηλικαύτης ἀπονοίας, καὶ τῆς βλασφήμου γλώσσης τῶν μακαρίων πατέρων ὁ σύλλογος πάσης τε τῆς ἱερωσύνης ἐγύμνωσε, καὶ σὺν τῷ οἰκείῳ, καὶ βδελυρωτάτῳ φρονήματι τῷ αἰωνίῳ παρέπεμψεν ἀναθέματι, τὸν δὲ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν μιᾷ, καὶ τῇ αὐτῇ ὑποστάσει πατροπαραδότως, καὶ ὁσιοπρεπῶς προσκυνεῖσθαι, καὶ κηρύττεσθαι δογματίσαντες, ἀκολούθως καὶ τὴν πανάχραντον αὐτοῦ, καὶ ἀειπάρθενον μητέρα κυρίως, καὶ ἀληθῶς, καλεῖσθαι καὶ θεοτόκον παραδεδώκασιν· οἷς γὰρ τὸν Θεὸν λόγον σαρκὶ, γεννηθῆναι καταδεξάμενον, τέτοκε, θεοτόκος ἐνδίκως δοξολογεῖσθαι, καὶ ὀνομάζεσθαι ἐξωσίωται. ἀλλ' ἐπὶ τούτοις μὲν καὶ αὕτη τὸ τέλος ἔσχηκεν, ἡνίκα τὸν Θεοδόσιον ἡ Ρωμαϊκὴ πολιτεία γαληνοῖς ἑώρα ὀφθαλμοῖς, τὴν πατρῴαν, καὶ βασίλειον ἀρχὴν ἐκτριγονίας διανύοντα.

Η' αὐτὴ ἐκ τοῦ βιβλ. τοῦ Νείλου.

Η Ἁγία, καὶ οἰκουμενικὴ τρίτη σύνοδος ἡ ἐν Εφέσῳ γέγονεν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ συγκροτηθεῖσα ὑπὸ διακοσίων ἁγίων πατέρων κατὰ Νεστορίου πατριάρχου Κωνσταντινουπόλεως· ἡγοῦντο δὲ αὐτοῖς Κελεστῖνος Ρώμης, Κύριλλος Ἀλεξανδρείας, Ιουβενάλιος Ἱεροσολύμων, Μέμνων Εφέσου. ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη 5913. ἀπὸ δὲ Χριστοῦ 431. ἀπὸ δὲ τῆς τρίτης ἕως τῆς τετάρτης ἔτη τριάκοντα. ἡμεῖς παρελάβομεν, καὶ πιστεύομεν ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· οὕτω γὰρ ὁ Πέτρος εἶπεν, ἐρωτηθεὶς παρὰ τοῦ κυρίου περὶ αὐτοῦ, καὶ ἐπηνέθη παρὰ τῆς αὐτοαληθείας, καὶ ἐμαρτυρήθη, ὡς αὐτὴ ἡ γνῶσις ἐκ τοῦ Θεοῦ, καὶ πατρὸς ἀπεκαλύφθη. τῷ σὺν μὴ οὕτω φρονοῦντι, ἀνάθεμα.

Η' αὐτὴ ἐκ τοῦ βιβλ. ἀνωνύμου Τινός.

Ἀπέχει ἡ γ'. σύνοδος ἀπὸ τῆς β'. ἔτη κθ'. μῆνας γ'.

Η δὲ τρίτη ἁγία, καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Εφέσῳ, ἡ πρότερον ἐπὶ Θεοδοσίου τοῦ βασιλέως τοῦ μικροῦ συναθροισθεῖσα σ'. ἁγίων πατέρων ὑπάρχουσα κατὰ Νεστορίου τοῦ ἀνθρωπολάτρου, καὶ ἀσεβοῦς, πατριάρχου μὲν γενομένου Κωνσταντινουπόλεως, τὸν Χριστὸν δὲ διαιροῦντος, καὶ κατατέμνοντος· ψιλὸν μὲν γὰρ ἄνθρωπον εἶναι ἔλεγε, καὶ οὐ Θεὸν σεσαρκωμένον. ὅθεν οὐδὲ θεοτόκον, ἀλλὰ χριστοτόκον τὴν ἁγίαν παρθένον Μαρίαν τὴν τεκοῦσαν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὠνόμαζε. τούτου χάριν σὺν Κελεστίνῳ τῷ πάπᾳ Ρώμης, καὶ τῷ προμάχῳ τῆς εὐσεβείας Κυρίλλῳ τῷ πάπᾳ Ἀλεξανδρείας, ἡ ἁγία αὐτὴ σύνοδος ἐμμένοντα τῇ τοιαύτῃ βλασφημίᾳ καθεῖλεν ὡς ἰουδαιόφρονα τὸν ἀνθρωπολάτρην Νεστόριον. κυρίως δὲ, καὶ ἀληθῶς θεοτόκον τὴν ἁγίαν Μαρίαν ἀπέδειξεν, καὶ τὸν ἐξ αὐτῆς ἀσπόρως σαρκωθέντα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν υἱὸν τοῦ Θεοῦ, καὶ Θεὸν ἀληθινὸν ἀνεκήρυξεν. ἡ γὰρ ἐν αὐτῇ τῇ Εφέσῳ γενομένη σύνοδος ἐπὶ τοῦ αὐτοῦ βασιλέως Θεοδοσίου τοῦ μικροῦ, ὡς λῃστρικὴ ὑπάρχουσα, καὶ τὰ τοῦ κακόφρονος δὲ Διοσκόρου, καὶ τοῦ ματαιόφρονος Εὐιτυχοῦς φωραθεῖσα κρατεῖν, τελείως ἐκ τῆς ἁγίας καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας ἐκβέβλητο.

Η' αὐτὴ ἐκ τοῦ βιβλ. τοῦ συνοδικοῦ.

ΚΑΙ Νεστόριος ἐξ Ἀντιοχείας ὁ φρενοβλαβὴς πρεσβύτερος, διαδέχεται τὸν Σισίνιον. Ὅς τῆς ἀληθείας τὸν λόγον παρίθυνε, θεοτόκον λέγειν τὴν παναγίαν παρθένον μὴ προσιέμενος. καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν τοῦ σωτῆρος τῶν ὅλων Χριστοῦ δοξάζειν οὐκ ἀνεχόμενος. καθ' οὗ Κύριλλος ὁ μέγας ἀγωνισάμενος σύνοδον θείαν, καὶ ἱερὰν ἐν Ἀλεξανδρείᾳ συνήθροισεν. Ἥτις ὅρον κεφαλαίων δύο καὶ δέκα ἐκθεμένη, τῷ Νεστορίῳ ἀπέστειλεν. ὅντινα μᾶλλον ἀποσεισάμενος τῇ κιβδήλῳ ἑαυτὸν δόξῃ προσέθηκε, τῆς ἐκκλησίας ταράττων τὸ σύστημα.

Ἐν ἐφέσῳ σύνοδος οἰκουμενικὴ κατὰ Νεστορίου.

ΟΠΕΡ θεωρῶν βασιλεὺς ὁ μικρὸς Θεοδόσιος, ἐν Εφέσῳ τῶν διακοσίων μακαρίων πατέρων, τρίτην οἰκουμενικὴν σύνοδον συγκροτηθῆναι ἐκέλευσεν. Ἧς ἐξῆρχε Κύριλλος ὁ τῶν ἀποστόλων συνήγορος. Ιωάννης δὲ ὁ Ἀντιοχείας Συρίας, καὶ οἱ σὺν αὐτῷ, Νεστορίῳ χαριζόμενοι. Η' δὲ ἁγία σύνοδος χρονοτριβοῦσα, καὶ λιμοῦ γενομένη κατάβρωμα, τέλος Νεστόριον ἀπεκήρυξεν· ἀναθέματι καθυποβαλοῦσα τῷ πρέποντι· θεοτόκον τὴν

τῇ ἁγίαν παρθένον Μαρίαν κηρύξασα, καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν τοῦ σωτῆρος Χριστοῦ τοῦ ὅλων, καὶ Θεοῦ ἡμῶν.

Σύνοδος ἐν ἀντιοχείᾳ ὑπὸ Ἰωάννου.

ΙΩΑΝΝΗΣ γοῦν μετὰ ταῦτα, καὶ οἱ περὶ αὐτὸν, ἀμέσως πρὸς τὴν ἁγίαν σασιάσαντες συνοδον, ἐν Ἀντιοχείᾳ συνέδραμον ἅπαντες· καὶ θείαν, καὶ ἱερὰν ποιησάμενοι σύνοδον, ἀπεκήρυξαν τὸν Νεστόριον· καὶ δύο φύσεις ἐπὶ Χριστοῦ ἀσυγχύτους, ἀδιαιρέτους, θεοφρόνως πραγώσαντες, τὸν ὅρον αὐτῶν πρὸς τὸν μέγαν Κύριλλον ἐξαπέστειλαν. Οὗ δεξαμένου, Εὐφραινέσθωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ, ἀνεβόησε.

Σύνοδος ἐν Κωνσταντινουπόλει ὑφὸ Πρόκλου.

ΝΕΣΤΟΡΙΟΥ πίνων καθαιρεθέντος, Μαξιμῖνος ἐν τῷ θρόνῳ Κωνσταντινουπόλεως ἐμβιβάζεται· καὶ τοῦτον Πρόκλος δεξάμενος, θείαν, καὶ ἱερὰν ἐν Κωνσταντινουπόλει συνήθροισε σύνοδον. καὶ ὅλους τοὺς ἀνθισαμένους τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, καθυπέβαλεν ἀναθέματι.

Σύνοδος ἐν ἀντιοχείᾳ ὑπὸ Ἰωάννου.

ΠΡΟΣ τούτοις ἐξ Ἀρμενίας ἀλαβεῖς τινὲς μοναχοὶ, τὴν βασιλίδα κατέλαβον· ἀπαγγέλλοντες, ὡς Θεοδώρου βιβλία τοῦ Μοψουεστίας, βλασφημιῶν ὄντα ἀνάμεστα, οἱ ἐν τῇ ἀνατολῇ σεμνύνουσιν, ἀντὶ Νεστορίου κατέχοντες. Διὸ Πρόκλος Ἰωάννῃ τῷ Ἀντιοχείας, καὶ ὁ βασιλεὺς Θεοδόσιος γράφουσι κατὰ Θεοδώρου τοῦ μιαροῦ συνοδικῶς ἀποφήνασθαι. ὁ δὲ συνέδριον ἀσφαλὲς ποιησάμενος, ἀνεξετάστως μηδενὶ μόνον ἔχειν τὰ Θεοδώρου βιβλία, Θεοδοσίῳ, καὶ Πρόκλῳ ἀντέγραψεν.



ΘΕΟ-

Οὗτοι οἱ δύο λόγοι τοῦ Θεοδωρήτου νῦν πρῶτον εἰς φῶς ἤχθησαν ἔκτινος Κώδικος χειρογράφου παλαιοῦ. καὶ τοῦ θενται ἐνταῦθα.

ΘΕΟΔΩΡΗΤΟΥ

ΠΡΟΣ ΤΟΥΣ

Ἐν τῇ Εὐφρατισίᾳ, καὶ Ὀσροηνῇ, καὶ Φοινίκῃ, καὶ Συρίᾳ, καὶ Κιλικίᾳ μονάζοντας.

Ὁρῶν τὴν ἐν τῷ παρόντι καιρῷ τῆς ἐκκλησίας κατάστασιν, καὶ τὴν ἔναγχος ἐπαναστάσαν τῇ ἱερᾷ νηὶ ζάλην, καὶ τὰς σφοδρὰς καταιγίδας, καὶ τῶν κυμάτων τὴν προσβολὴν, καὶ τὴν βαθεῖαν σκοτομήνην, καὶ πρὸς τούτοις τῶν πλωτήρων τὴν ἔριν, καὶ τῶν ἐρέττειν λαχόντων τὴν μάχην, καὶ τὴν τῶν κυβερνητῶν μέθην, καὶ ἁπαξαπλῶς τὴν τῶν κακῶν ἀωρίαν· τῶν Ἱερεμίου θρήνων * ἀναμνήσκομαι, καὶ μετ' ἐκείνου βοῶ· τὴν κοιλίαν μου, τὴν κοιλίαν μου ἐγὼ ἀλγῶ, καὶ τὰ αἰσθητήρια τῆς καρδίας μου μεμάσσει, ἡ ψυχή μου σπαράσσεται, καὶ ἡ καρδία μου. καὶ πηγὰς δακρύων ἐπιζητῶ, ἵνα ταῖς λιβάσι τῶν ὀφθαλμῶν, τὸ πολὺ τῆς ἀθυμίας * ἀποσκευάσωμαι νέφος. δέον γὰρ ἐν οὕτως ἀγρίῳ χειμῶνι, καὶ τοὺς κυβερνήτας ἐγρηγορέναι, καὶ τῷ κλύδωνι μάχεσθαι, καὶ τῆς τοῦ σκάφους σωτηρίας φροντίζειν, καὶ τοὺς ναύτας τῆς κατ' ἀλλήλων ἔριδος ἀποστάντας, εὐχῇ, καὶ τέχνῃ τὰ δεινὰ διαλύειν, καὶ τοὺς πλωτῆρας ἡσυχῇ καθῆσθαι, καὶ μήτε ἀλλήλους, μήτε τοῖς κυβερνήταις ζυγομαχεῖν, τὸν δὲ τῆς θαλάττης ἱκετεύειν δεσπότην, ἵνα νεύματι μεταβαλῇ τὰ σκυθρωπά· τούτων μὲν οὐδεὶς οὐδὲν ἐθέλει ποιεῖν· ὡς ἐν νυκτομαχίᾳ δὲ ἀλλήλους ἀγνοήσαντες, καὶ τοὺς ἐναντίους καταλιπόντες, καθ' ἡμῶν αὐτῶν πάντα δαπανῶμεν τὰ βέλη, καὶ τοὺς ὁμοφύλους, ὡς πολεμίους τιτρώσκομεν· οἱ δὲ πλησίον ἑστῶτες, γελῶσιν ἡμῶν τὴν μέθην, καὶ τοῖς ἡμετέροις ἐπεντρυφῶσι κακοῖς, καὶ χαίρουσιν, ὑπ' ἀλλήλων ἡμᾶς ὁρῶντες δαπανωμένους. αἴτιοι δὲ τούτων οἱ τὴν ἀποστολικὴν διαφθεῖραι πίστιν φιλονεικήσαντες, καὶ τοῖς εὐαγγελικοῖς δόγμασιν ἀλλόκοτον διδασκαλίαν ἐπιθεῖναι τολμήσαντες, καὶ τὰ δυσσεβῆ κεφάλαια, ἃ μετὰ ἀναθεματισμῶν εἰς τὴν βασιλίδα πόλιν ἐξέπεμψαν, δεξάμενοι, καὶ ταῖς οἰκείαις ὑπογραφαῖς, ὡς ᾠήθησαν, βεβαιώσαντες· ἃ σαφῶς ἐκ τῆς πικρᾶς Ἀπολιναρίου βεβλάστηκε ῥίζης· μετέχει δὲ καὶ τῆς Ἀρείου, καὶ Εὐνομίου δυσσεβείας. εἰ δέ τις ἀκριβῶς κατιδεῖν ἐθελήσειεν, οὐδὲ τῆς Οὐαλεντίνου, καὶ Μαρκίωνος αμοιρα δυσσεβείας τυγχάνει· ἐν μὲν γὰρ τῷ πρώτῳ κεφαλαίῳ τὴν ὑπὲρ ἡμῶν γεγενημένην οἰκονομίαν ἐκβάλλει, οὐκ ἀνειληφέναι τὸν θεὸν λόγον φύσιν ἀνθρωπείαν, ἀλλ' αὐτὸν εἰς σάρκα μεταβληθῆναι διδάσκων, καὶ δοκήσει, καὶ φαντασίᾳ τὴν τοῦ Σωτῆρος ἡμῶν ἐνανθρώπησιν, ἀλλ' οὐκ ἀληθείᾳ γεγενῆσθαι δογματίζων. ταῦτα δὲ τῆς Μαρκίωνος, καὶ τοῦ Μάνεντος, καὶ Οὐαλεντίνου δυσσεβείας ὑπάρχει γεννήματα. ἐν δὲ τῷ δευτέρῳ καὶ τρίτῳ κεφαλαίῳ, ὥσπερ ἐπιλαθόμενος ὧν ἐν προοιμίοις ἐξέθετο, τὴν καθ' ὑπόστασιν ἕνωσιν, εἰσάγει καὶ σύνοδον καθ' ἕνωσιν φυσικὴν, κρᾶσίν τινα, καὶ σύγχυσιν διὰ τούτων τῶν ὀνομάτων γεγενῆσθαι διδάσκων, τῆς τε θείας φύσεως, καὶ τῆς τοῦ δούλου μορφῆς. τοῦτο τῆς αἱρετικῆς Ἀπολιναρίου καινοτομίας ἐστὶ κύημα. ἐν δὲ τετάρτῳ κεφαλαίῳ ἀπαγορεύει τῶν εὐαγγελικῶν, καὶ ἀποστολικῶν φωνῶν τὴν διαίρεσιν, καὶ οὐκ ἐᾷ κατὰ τὰς τῶν ὀρθοδόξων πατρῶν διδασκαλίας τὰς μὲν θεοπρεπεῖς φωνὰς, περὶ τῆς θείας ἐκλαμβάνεσθαι φύσεως· τὰς δὲ ταπεινὰς, καὶ ἀνθρωπίνως εἰρημένας, τῇ ἀναληφθείσῃ προσάπτειν ἀνθρωπότητι. καὶ ἐντεῦθεν τοίνυν ἐστὶν εὑρεῖν τοὺς εὐφρονοῦντας τὴν τῆς ἀσεβείας συγγένειαν. Ἄρειος γὰρ, καὶ Εὐνόμιος κτίσμα, καὶ ἐξ οὐκ ὄντων, καὶ δοῦλον τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ εἶναι φάσκοντες, τὰ ταπεινῶς ὑπὸ τοῦ δεσπότου Χριστοῦ, καὶ ἀνθρωπίνως εἰρημένα, τῇ θεότητι αὐτοῦ προσάψαι τετολμήκασι, τὸ ἑτερούσιον ἐντεῦθεν, καὶ τὸ ἀνόμοιον κατασκευάζοντες. πρὸς τούτοις, ἵνα συνελὼν εἴπω, αὐτὴν τὴν ἀπαθῆ, καὶ ἄτρεπτον τοῦ Χριστοῦ Θεότητα, καὶ παθεῖν, καὶ σταυρωθῆναι, καὶ ἀποθανεῖν, καὶ ταφῆναι διαγορεύει· τοῦτο δὲ, καὶ τῆς Ἀρείου, καὶ Εὐνομίου μανίας ἐπέκεινα. οὐδὲ γὰρ οἱ κτίσμα τολμῶντες ἀποκαλεῖν τὸν ποιητὴν τῶν ὅλων, καὶ δημιουργὸν, εἰς ταύτην ἐξώκειλαν τὴν ἀσέβειαν. βλασφημεῖ δὲ καὶ εἰς τὸ ἅγιον πνεῦμα, οὐκ ἐκ τοῦ πατρὸς αὐτὸ λέγων ἐκπορεύεσθαι, κατὰ τὴν τοῦ κυρίου φωνὴν, ἀλλ' ἐξ υἱοῦ τὴν ὕπαρξιν ἔχειν. καὶ οὗτος δὲ τῶν Ἀπολιναρίου σπερμάτων ὁ καρπός· γειτνιάζει δὲ καὶ τῇ Μακεδονίου πονηρᾷ γεωργίᾳ. τοιαῦτα τοῦ αἰγυπτίου τὰ κυήματα, πονηροῦ πατρὸς ἀληθῶς ἔγγονα πονηρότερα. ταῦτα δὲ, δέον ἢ ἀμβλωθρίδια ποιῆσαι κυοφορούμενα, ἢ εὐθὺς τεχθέντα διαφθεῖραι τοὺς τῶν ψυχῶν τὴν ἰατρείαν ἐγκεχειρισμένους, ὡς ὀλέθρια, καὶ τῆς ἡμετέρας φύσεως δηλητήρια, ἐκτρέφουσιν οἱ γεννάδαι, καὶ πολλῆς ἀξιοῦσι σπουδῆς, ἐπ' ὀλέθρῳ αὐτῶν, καὶ τῶν τὰς ἀκοὰς αὐτοῖς ὑπέχειν ἀνεχομένων. ἡμεῖς δὲ τὸν πατρῷον κλῆρον ἄσυλον φυλάττειν σπουδάζομεν, καὶ ἣν παρελάβομεν πίστιν, μεθ' ἧς καὶ ἐβαπτίσθημεν, καὶ βαπτίζομεν, ἀνέπαφον, καὶ ἀκήρατον διατηροῦμεν, καὶ ὁμολογοῦμεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον, ἐκ ψυχῆς λογικῆς, καὶ σώματος, πρὸ αἰώνων μὲν

ἐκ

ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα· ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν, δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου, τὸν αὐτὸν ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. * δι' ὃ γὰρ φύσεων ἕνωσις γέγονε. * δι' ὃ ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα κύριον ὁμολογοῦμεν· οὔτε γὰρ τὴν ἕνωσιν λύομεν, καὶ ἀσύγχυτον αὐτὴν γεγενῆσθαι πιστεύομεν, τῷ κυρίῳ πειθόμενοι, λέγοντι τοῖς Ἰουδαίοις· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. εἰ δὲ κρᾶσις ἐγεγόνει, καὶ σύγχυσις, καὶ μία φύσις ἐξ ἀμφοῖν ἀπετελέσθη, ἐχρῆν εἰπεῖν, λύσατέ με, καὶ ἐν τρισὶν ἡμέραις ἐγερθήσομαι. νῦν δὲ δεικνὺς, ὡς ἄλλο μὲν ὁ Θεὸς κατὰ τὴν φύσιν, ἄλλο δὲ ὁ ναὸς, εἷς δὲ Χριστὸς ἀμφότερα, λύσατε φησὶ τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν, σαφῶς διδάσκων, ὡς ὅτι οὐχ ὁ Θεὸς ἦν ὁ λυόμενος, ἀλλ' ὁ ναὸς, καὶ τοῦ μὲν ἡ φύσις τὴν λύσιν ὑπεδέχετο, τοῦ δὲ ἡ δύναμις ἤγειρε τὸ λυόμενον. Θεὸν δὲ καὶ ἄνθρωπον τὸν Χριστὸν ὁμολογοῦμεν ταῖς θείαις ἀκολουθοῦντες γραφαῖς· ὅτι μὲν γὰρ * ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ μακάριος Ἰωάννης ὁ εὐαγγελιστὴς βοᾷ, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονε. καὶ πάλιν. ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. * καὶ ὁ λόγος ἦν κύριος, διαρρήδην διδάσκει λέγων· ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα μου· καὶ ἐγὼ, καὶ ὁ πατὴρ ἓν ἐσμέν. κἀγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. καὶ ὁ μακάριος Παῦλος ἐν μὲν τῇ πρὸς Ἑβραίους φησὶν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ καρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ἐν δὲ τῇ πρὸς Φιλιππησίους· τοῦτο φρονείσθω ἐν ὑμῖν, φησιν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. ἐν δὲ τῇ πρὸς Ῥωμαίους· ἐν ᾧ οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν. ἐν δὲ τῇ πρὸς Τιμόθεον· προσδεχόμενος τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ Ἡσαΐας δὲ βοᾷ, ὅτι παιδίον ἐγεννήθη ἡμῖν υἱὸς, καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς, σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. καὶ πάλιν, ὀπίσω σου φησὶν ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις. καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ Θεός ἐστι. καὶ οὐκ ἔστι Θεὸς πλήν σου· σὺ γὰρ εἶ Θεός. καὶ οὐκ ἤδεισαν Θεὸς τοῦ ἰσραὴλ σωτήρ. καὶ τὸ Ἐμμανουὴλ δὲ ὄνομα Θεοῦ, καὶ ἀνθρώπου τυγχάνει σημαντικόν. ἑρμηνεύεται γὰρ κατὰ τὴν τοῦ εὐαγγελίου διδασκαλίαν, μεθ' ἡμῶν ὁ Θεὸς, τουτέστιν ἐν ἀνθρώπῳ Θεὸς, ἐν τῇ ἡμετέρᾳ φύσει Θεός. καὶ ὁ θεῖος δὲ

* γρ. δύο.
* ἰσ. δύο.
* Πρόσθες· Θεὸς ἀληθινός.
* γρ. καὶ ὅτι.

Ἱερεμίας προθεσπίζει λέγων· οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μετὰ ταῦτα, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνεστράφη. καὶ ἄλλας δ' ἄν τις μυρίας εὕροι φωνὰς, ἔκ τε τῶν θείων εὐαγγελίων, καὶ τῶν ἀποστολικῶν συγγραμμάτων, καὶ ἐκ τῶν προφητικῶν θεσπισμάτων, * δεικνύσας, ὅτι Θεὸς ἀληθινὸς, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. ὅτι δὲ καὶ ἄνθρωπος μετὰ τὴν ἐνανθρώπησιν προσαγορεύεται, διδάσκει μὲν αὐτὸς ὁ κύριος Ἰουδαίοις διαλεγόμενος, καὶ βοῶν· τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὅστις τὴν ἀλήθειαν ὑμῖν λελάληκα; καὶ ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Κορινθίους πρωτέρᾳ λέγων· ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν· καὶ δεικνὺς περὶ τίνος λέγει, ἑρμηνεύει τὸ εἰρήμενον οὑτωσὶ λέγων· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. καὶ Τιμοθέῳ δὲ γράφων ὁμοίως φησίν· εἷς Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς. καὶ ἐν ταῖς πράξεσιν, ἐν Ἀθήναις δημηγορῶν· τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεός, φησι, τὰ νῦν παραγγέλλει πᾶσι πανταχοῦ μετανοεῖν, καθ' ὅτι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παραχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. καὶ ὁ μακάριος Πέτρος Ἰουδαίοις διαλεγόμενος· ἄνδρες φησὶν Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους· Ἰησοῦν τὸν ναζωραῖον ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς σημείοις, καὶ τέρασι, καὶ δυνάμεσιν, οἷς ἐποίησεν ὁ Θεὸς δι' αὐτοῦ· καὶ ὁ προφήτης δὲ Ἡσαΐας, τοῦ δεσπότου Χριστοῦ τὰ πάθη προαγορεύων, ὃν πρὸ βραχέων ὠνόμασε Θεὸν, τοῦτον ἄνθρωπον ἀποκαλεῖ λέγων· ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν. οὗτος τὰς ἀνομίας ἡμῶν φέρει, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται· καὶ ἄλλας δ' ἂν ὁμοφώνους μαρτυρίας συλλέξας ἐκ τῆς ἁγίας γραφῆς, ἐνέθηκα ἂν τῇ ἐπιστολῇ, εἰ μὴ τὴν ὑμετέραν θεοσέβειαν ἠπιστάμην, βίον ἔχειν τὴν τῶν θείων λογίων μελέτην, κατὰ τὸν ἐν ψαλμοῖς μακαριζόμενον ἄνθρωπον. τῇ ὑμετέρᾳ τοίνυν φιλοπονίᾳ καταλιπὼν τὴν τῶν μαρτυριῶν συλλογὴν, ἐπὶ τὰ προκείμενα βαδιοῦμαι. Θεὸν τοίνυν ἀληθινὸν, καὶ ἄνθρωπον ἀληθινὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμολογοῦμεν, οὐκ εἰς δύο πρόσωπα διαιροῦντες τὸν ἕνα, ἀλλὰ δύο φύσεις ἀσυγχύτως ἡνῶσθαι πιστεύομεν. οὕτω γὰρ καὶ τὴν πολυσχεδῆ τῶν αἱρετικῶν βλασφημίαν ῥᾳδίως διελέγξαι δυνησόμεθα. πολλὴ, καὶ ποικίλη τῶν ἐπαναστάντων τῇ ἀληθείᾳ ἡ πλάνη, ὡς αὐτίκα δηλώσομεν. Μαρκίων μὲν γὰρ, καὶ Μάνης οὔτε ἀνειληφέναι ἀνθρωπείαν φύσιν τὸν Θεὸν λόγον φασὶν, οὔτε ἐκ παρθένου τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν γεγεννῆσθαι * πιστεύκασιν, ἀλλ' αὐτὸν τὸν Θεὸν λόγον σχηματισθῆναι εἰς εἶδος ἀνθρωπεῖον, καὶ φανῆναι ὡς ἄνθρωπον, φαντασίᾳ μᾶλλον, ἢ ἀληθείᾳ χρησάμενον. Βαλεντῖνος δὲ, καὶ Βαρδισάνης, τὴν μὲν γέννησιν δέχονται, τὴν δὲ ἀνάληψιν ἀρνοῦνται τῆς ἡμετέρας

* γρ. δεικνύσας, ἢ δεικνυούσας.
* γρ. πιστεύκασι.

ρας φύσεως, οἵόντινι σωλῆνι χρήσαθαι τῇ παρθενῴ λέγοντες τὸν υἱὸν τῦ Θεῦ. Σαβέλλιος δὲ ὁ Λίβυς, ϗ Φωτεινὸς, ϗ Μάρκελλος ὁ γαλάτης, ϗ Παῦλος ὁ Σαμοσατεὺς ἄνθρωπον ψιλὸν ἐκ τῆς παρθενίου γενιηθῆναι λέγυσι, τὸ δὲ ϗ Θεὸν εἶναι τὸν προαιώνιον Χριστὸν διαῤῥήδην ἀρνῦνται. Ἄρειος δὲ, ϗ Εὐνόμιος, σῶμα μόνον ἀνειληφέναι ἐκ τῆς παρθενίου τὸν Θεὸν λόγον φησίν· Ἀπολιναρίῳ δὲ, τῷ σώματι * προτίθησι ϗ ψυχῷ ἄλογον, ὡς τῆς ἀνανθρωπήσεως τῦ Θεῦ λόγυ, ὑπὲρ ἀλόγων, ὐχ ὑπὲρ λογικῶν γεγενημένης. ἡ δὲ ἀποστόλων διδασκαλία, τέλειον ἄνθρωπον ὑπὸ τελείυ Θεῦ ἀνειλῆφθαι διδάσκει. τὸ γάρ, ὃς ἐν μορφῇ Θεῦ ὑπάρχων, μορφὴν δούλου ἔλαβε, τῦτο δηλοῖ. ἀντὶ * φύσιν γὰρ, ἡ μορφὴ καὶ ὐσίαν προσκειται. δηλοῖ γὰρ ὅτι φύσιν ἔχων Θεῦ, φύσιν ἔλαβε δούλου. διὸ τοῖς μὲν πρώτοις τῆς ἀσεβείας Ἀρετιῖς Μαρκίωνι, ϗ τῷ Μάνεντι, καὶ Βαλεντίνῳ διαλεγόμενοι, ἀποδεικνύναι σπουδάζομεν ἐκ τῆ θείων γραφῶν, ὅτι ὐ μόνον Θεὸς, ἀλλὰ ὁ ἄνθρωπος ὁ δεσπότης Χριστός. Ἀρείυ δὲ ὁ Εὐνομίου, ϗ Ἀπολιναρίυ τὸ περὶ τὴν οἰκονομίαν ἁπλῆς δῆλον ποιῦντες τοῖς ἀγνοῦσι, τελείαν εἶναι τὴν ληφθεῖσαν ἀποφαινόμεθα φύσιν ἐκ τῶν θείων λογίων τῦ πνεύματος. Σαβελλίυ δὲ, ϗ Φωτεινῦ, ϗ Μαρκέλλυ, ὁ Παύλου τὴν ἀσέβειαν ἐλέγχομεν, μάρτυσι τῇ θείᾳ γραφῇ κεχρημένοι, ὁ δεικνύτες, ὡς ὐκ ἄνθρωπος μόνον, ἀλλὰ ϗ Θεὸς προαιώνιος, ϗ τῷ πατρὶ ὁμούσιος ὁ δεσπότης Χριστός. ὅτι γὰρ ψυχὴν ἀνέλαβε λογικὴν, αὐτὸς ὁ κύριος διδάσκει λέγων· νῦν ἡ ψυχή μυ τετάραχται, ϗ τί εἴπω; * πατὴρ σῶσόν με ἐκ τῆς ὥρας ταύτης. ἀλλὰ διὰ τῦτο * ἦλθον εἰς τὴν ὥραν ταύτην· ϗ πάλιν· περίλυπός ἐστιν ἡ ψυχή μυ ἕως θανάτυ, ϗ ἐτέρωθι· ἐξυσίαν ἔχω θεῖναι τὴν ψυχήν μυ, ϗ ἐξυσίαν ἔχω πάλιν λαβεῖν αὐτήν, ὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ· ϗ ὁ ἄγγελος πρὸς τὸν Ἰωσήφ· παράλαβε τὸ παιδίον, ϗ τὴν μητέρα αὐτῦ, ϗ πορεύυ εἰς γῆν Ἰσραήλ· τεθνήκασι γὰρ πάντες οἱ ζητῦντες τὴν ψυχὴν τῦ παιδίου· ϗ ὁ Εὐαγγελιστής· Ἰησοῦς δὲ προέκοπτεν ἡλικίᾳ, ϗ σοφίᾳ, ϗ χάριτι παρὰ Θεῷ, ϗ ἀνθρώποις. προκόπτει δὲ ἡλικίᾳ, καὶ σοφίᾳ, ἡ θεότης, ἡ ἀεὶ τελεία, ἀλλ' ἡ ἀνθρωπεία φύσις, ἡ χρόνῳ ϗ γινομένη, ϗ αὐξανομένη, ϗ τελειυμένη. οὗ χάριν τὰ μὲν ἀνθρώπινα πάντα τῦ δεσπότυ Χριστῦ, πεῖναν φημὶ, ϗ δίψαν, ϗ κόπον, ϗ ὕπνον, ϗ δειλίαν, ϗ ἱδρῶτα, ὁ προσευχὴν, ϗ ἄγνοιαν, ϗ ὅσα τοιαῦτα, τῆς ἡμετέρας ἀπαρχῆς εἶναι φαμὲν, ἐν ἀναλαβὼν ὁ Θεὸς λόγος ἤνωσεν ἑαυτῷ, τὴν ἡμετέραν πραγματευόμενος σωτηρίαν· τὸν δὲ τῶν χωλῶν δρόμον, ϗ τῶν νεκρῶν τὴν ἀνάστασιν, ϗ τὰς τῶν ἄρτων πηγὰς, ὁ τὴν τῦ ὕδατος εἰς οἶνον μεταβολὴν, καὶ πάσας τὰς ἄλλας θαυματυργίας, τῆς θείας εἶναι δυνάμεως ἔργα πιστεύομεν. ὡς τὸν αὐτὸν, φημὶ δὴ τὸν δεσπότην Χριστὸν, ϗ πάσχειν, ϗ πάθη λύειν· πάσχειν μὲν, κατὰ τὸ ὁρώμενον· λύειν δὲ τὰ πάθη, κατὰ τὴν ἀῤῥήτως ἐνοῦσαν θεότητα. δηλοῖ δὲ τῦτο σαφῶς ϗ τῶν ἱερῶν Εὐαγγελίων ἡ ἱστορία, ϗ μανθάνομεν ἐκεῖθεν, ὡς ἐν

* γρ. προτίθησι.

* γρ. ἀντὶ φύσεως γὰρ ϗ ὐσίαν μορφὴ ῥήσκεται.

* γρ. πάτερ.

* γρ. ἦλθον.

φάτνῃ κείμενος, ϗ σπάργανα περιβεβλημένος ὑπὸ ἀστέρος ἐκηρύττετο, ϗ ὑπὸ μάγων προσεκυνεῖτο, ϗ ὑπὸ ἀγγέλων ὑμνεῖτο, ὁ ὀφθεὶς μυρίοις ἔσεσθαι, ὅτι τὰ ῥάκη, ϗ σπάργανα, ϗ τῆς κλίνης ἡ ἀπορία, καὶ ἡ πολλὴ ἀτέλεια, τῆς ἀνθρωπότητος ἴδια· ὁ δὲ τῦ μάγων δρόμος, ϗ τὸ ἀστέρος ἡ ποδηγία, ϗ ἡ τῦ ἀγγέλων χορεία, κηρύττει τὴν τῦ κρυπτομένου θεότητα. οὕτως ἀποδιδράσκει μὲν εἰς Αἴγυπτον, ϗ τῇ φυγῇ τῆς Ἡρῴδου μανίας ἀπαλλάττεται· ϗ γὰρ ἄνθρωπος ἦν· συσείει δὲ κατὰ τῶν προφητῶν τὰ χειροποίητα Αἰγύπτυ· Θεὸς γὰρ ὑπῆρχε. περιτέμνεται, ϗ φυλάττει τὸν νόμον, ϗ καθαρσίυς προσφέρει θυσίας· ἐκ γὰρ τῆς Ἰεσσαὶ * βεβλαστήκει ῥίζης, ὁ ὑπὸ νόμον ὡς ἄνθρωπος ἦν, ϗ ἔλυσε τὸν νόμον μετὰ ταῦτα, ϗ δέδωκε τὴν καινὴν διαθήκην. νομοθέτης γὰρ ἦν, ϗ τούτῳ αὐτὸς δῶσειν διὰ τῶν προφητῶν ἐπηγγείλατο. ἐβαπτίσθη ὑπὸ Ἰωάννυ· τῦτο δείκνυσι τὸ ἡμέτερον· μαρτυρεῖται ἄνωθεν ὑπὸ τῦ πατρὸς, ϗ ὑπὸ τῦ πνεύματος δείκνυται· τῦτο κηρύττει τὸν προαιώνιον. ἐσείνησεν· ἀλλὰ ϗ πολλὰς χιλιάδας ἐκ πέντε ἄρτων ἐχόρεσε. τῦτο θεῖον, ἐκεῖνο ἀνθρώπινον· ἐδίψησε, ϗ ἤτησεν ὕδωρ, ἀλλὰ πηγὴ ἦν ζωῆς. ϗ τὸ μὲν ἦν, τῆς ἀνθρωπίνης ἀσθενείας· τὸ δὲ, τῆς θείας δυνάμεως. ἐκάθευδησεν ἐν τῷ πλοίῳ, ἀλλὰ ϗ τῆς θαλάττης τὸν ζάλον ἐκοίμησε. τῦτο τῆς παθητῆς φύσεως, ἐκεῖνο τῆς ποιητικῆς, ϗ δημιυργικῆς, ϗ τῆς πᾶσι τὸ εἶναι δωρησαμένης. ἐκοπίασε βαδίσας, ἀλλὰ ὁ χωλὸς ἀρτίποδας εἰργάσατο, ϗ νεκροὺς ἐκ τῶν τάφων ἀνέστησε· ϗ τὸ μὲν, ἦν τῆς ὑπερκοσμίυ δυνάμεως· τὸ δὲ, τῆς ἡμετέρας ἀσθενείας. ἐδειλίασε θάνατον, ϗ ἔλυσε θάνατον· ϗ τὸ μὲν, τῶ θνητῶ δηλωτικόν· τὸ δὲ, τῦ ἀθανάτυ, μᾶλλον δὲ ζωοποιῦ τυγχάνει σημαντικόν. ἐσαιρώθη κατὰ τὸν μακάριον Παῦλον ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεῦ κατὰ τὸν αὐτόν. τὸ τῆς ἀσθενείας ὄνομα διδασκέτω· ὐχ ὡς παντοδυνάμος, ϗ ἀπερίγραφος, ϗ ἄῤῥεπτος, ϗ ἀναλλοίωτος προσπαλῶθη, ἀλλ' ἡ ἐκ δυνάμεως Θείῦ ζωοποιηθεῖσα φύσις, κατὰ τὴν τῶ ἀποστόλυ διδασκαλίαν, ἀπέθανε, ϗ ἐτάφη, ἀμφότερα τῆς τῶ δούλυ μορφῆς. πύλας χαλκᾶς συνέῤῥιψε, ϗ μοχλὸς σιδήρυς συνέθλασε, ϗ κατέλυσε τῦ θανάτυ τὸ κράτος, ϗ ἐν ξισὶν ἡμέραις ἀνέστησε τὸν οἰκεῖον ναόν. ταῦτα τῆς τῦ Θεῦ μορφῆς τὰ γνωρίσματα κατὰ τὴν τῦ κυρίυ φωνήν· λύσατε τὸν ναὸν τῦτον, ϗ ἐν ξισὶν ἡμέραις ἐγερῶ αὐτόν. οὕτως ἐν τῷ ἑνὶ Χριστῷ διὰ μὲν τῶν παθῶν θεωρῦμεν τὴν ἀνθρωπότητα, διὰ δὲ τῶν θαυμάτων νοῦμεν αὐτῦ τὴν θεότητα· ὐ γὰρ εἰς δύο Χριστοὺς τὰς δύο φύσεις μερίζομεν, ϗ ἴσμεν, ὅτι μὲν ἐκ τῦ πατρὸς ὁ Θεὸς λόγος ἐγεννήθη, ϗ ἐκ σπέρματος Ἀβραὰμ, ϗ Δαβὶδ ἡ ἡμετέρα ἀπαρχὴ προσελήφθη. διὸ ϗ ὁ μακάριος Παῦλος φησὶ περὶ τῦ Ἀβραὰμ διαλεγόμενος. * ὐκ εἶπε ϗ τοῖς σπέρμασί σου, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός, ϗ τῷ σπέρματί συ· ὅς ἐστι Χριστός. ϗ Τιμοθέῳ δὲ γράφων· μνημόνευε φησὶν Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος Δαβὶδ κατὰ τὸ Εὐαγγέλιόν μου. ϗ Ῥωμαίοις

* γρ. τοῦτο δὲ τοῦ Παύλου ῥήματος, οὐκ εἶπε ϗ τοῖς σπέρμασι· ϗ τῷ σπέρματί σου.

ἐπιστέλλων, περὶ τοῦ υἱοῦ αὐτοῦ φησι τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ τὸ κατὰ σάρκα. καὶ πάλιν· ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα. καὶ ὁ εὐαγγελιστής· βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. καὶ ὁ μακάριος Πέτρος ἐν ταῖς πράξεσι· προφήτης φησὶν ὑπάρχων ὁ Δαβὶδ, καὶ εἰδὼς, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ ἀναστήσειν τὸν Χριστὸν, καὶ καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ, προειδὼς ἐλάλησε περὶ τῆς ἀναστάσεως αὐτοῦ. καὶ ὁ Θεὸς τῷ Ἀβραάμ φησιν· ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πάντα τὰ ἔθνη τῆς γῆς. καὶ ὁ Ἡσαΐας δέ. ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα σοφίας, καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως, καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτήν. καὶ μετ' ὀλίγα· καὶ ἔσται φησὶν ἡ ῥίζα τοῦ Ἰεσσαί. καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. δῆλον τοίνυν ἐκ τῶν εἰρημένων, ὡς τῷ μὲν κατὰ σάρκα ὁ Χριστὸς, τοῦ Ἀβραὰμ, καὶ Δαβὶδ ὑπῆρχεν ἀπόγονος, καὶ τὴν αὐτὴν αὐτοῖς περιέκειτο φύσιν· κατὰ δὲ τὴν θεότητα, τοῦ Θεοῦ προαιώνιός ἐστιν υἱὸς καὶ λόγος, ἀφράστως τε, καὶ ὑπὲρ ἄνθρωπον ἐκ τοῦ πατρὸς γεννηθεὶς, καὶ συναΐδιος ὑπάρχων, ὡς ἀπαύγασμα, καὶ χαρακτὴρ, καὶ λόγος. ὡς γὰρ λόγος πρὸς νοῦν, καὶ ἀπαύγασμα πρὸς τὸ φῶς ἀχωρίστως ἔχει, οὕτως ὁ μονογενὴς υἱὸς πρὸς τὸν ἑαυτοῦ πατέρα. φαμὲν τοίνυν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, υἱὸν εἶναι μονογενῆ τοῦ Θεοῦ, καὶ πρωτότοκον· μονογενῆ μὲν, καὶ πρὸ τῆς ἐνανθρωπήσεως, καὶ μετὰ τὴν ἐνανθρώπησιν· πρωτότοκον δὲ, μετὰ τὴν ἐκ παρθένου γέννησιν. τῷ γὰρ μονογενεῖ, τὸ πρωτότοκος ὄνομα ἐναντίον μὲν εἶναί πως δοκεῖ. διὸ μονογενὴς μὲν, ὁ μόνος ἔκ τινος γεννηθεὶς προσαγορεύεται· πρωτότοκος δὲ, ὁ πολλῶν ἀδελφῶν πρῶτος. τὸν δὲ Θεὸν λόγον, μόνον ἐκ τοῦ πατρὸς αἱ θεῖαι γραφαὶ γεννηθῆναι λέγουσι. γίνεται δὲ καὶ πρωτότοκος ὁ μονογενὴς, τὴν ἡμετέραν φύσιν εἰληφὼς ἐκ τῆς παρθένου, καὶ ἀδελφοὺς τοὺς εἰς αὐτὸν πεπιστευκότας προσαγορεῦσαι καταξιώσας, ὡς εἶναι τὸν αὐτὸν μονογενῆ μὲν, καθ' ὃ Θεός· πρωτότοκον δὲ, καθ' ὃ ἄνθρωπος. οὕτως ἡμεῖς τὰς δύο φύσεις ὁμολογοῦντες, τὸν ἕνα Χριστὸν προσκυνοῦμεν, καὶ μίαν αὐτῷ προσφέρομεν τὴν προσκύνησιν. τὴν γὰρ ἕνωσιν ἐξ αὐτῆς τῆς συλλήψεως ἐν τῇ ἁγίᾳ τῆς παρθένου νηδύϊ γεγενῆσθαι πιστεύομεν. διὸ καὶ θεοτόκον, καὶ ἀνθρωποτόκον τὴν ἁγίαν παρθένον προσαγορεύομεν. ἐπειδὴ καὶ αὐτὸς ὁ δεσπότης Χριστὸς Θεὸς, καὶ ἄνθρωπος ὑπὸ τῆς θείας καλεῖται γραφῆς, καὶ ὁ Ἐμμανουὴλ δὲ, τῶν δύο φύσεων κηρύττει τὴν ἕνωσιν. εἰ δὲ τὸν Χριστὸν Θεὸν, καὶ ἄνθρωπον ὁμολογοῦμεν, καὶ λέγομεν, τίς οὕτως εὐήθης, ὡς φυγεῖν τὴν ἀνθρωποτόκος φωνὴν μετὰ τῆς θεοτόκου τιθεμένην; ἐν γὰρ τῷ δεσπότῃ Χριστῷ, τὰς δύο τίθεμεν προσηγορίας. διὸ ἡ παρθένος τετίμηται, καὶ κεχαριτωμένη προσηγορεύθη. τίς οὖν ἂν εὖ φρονῶν παραιτήσαιτο ἀπὸ τῶν τοῦ σωτῆρος ὀνομάτων ἀποκαλέσαι τὴν παρθένον, ἢ δι' ἐκεῖνον παρὰ τῶν πιστῶν γεραίρεται; οὐ γὰρ ὁ ἐξ αὐτῆς δι' αὐτὴν σεβάσμιος, ἀλλ' αὐτὴ διὰ τὸν ἐξ αὐτῆς, ταῖς μεγίσταις προσηγορίαις καλλύνεται. εἰ μὲν οὖν Θεὸς μόνον ὁ Χριστὸς, καὶ ἐκ τῆς παρθένου τοῦ εἶναι τὴν ἀρχὴν εἴληφεν· ἐντεῦθεν μόνον ἡ παρθένος ὀνομαζέσθω, καὶ καλείσθω θεοτόκος, ὡς Θεὸν φύσει γεννήσασα· εἰ δὲ Θεὸς καὶ ἄνθρωπος ὁ Χριστὸς, καὶ τὸ μὲν, ἦν ἀεί· οὔτε γὰρ ἤρξατο τοῦ εἶναι· συναΐδιος γὰρ τῷ γεννήσαντι· τὸ δὲ, ἐπ' * ἐσχάτου τῶν καιρῶν ἐκ τῆς ἀνθρωπείας ἐβλάστησε φύσεως, ἑκατέρωθεν ὁ δογματίζειν ἐθέλων, πλεκέτω τῇ παρθένῳ τὰς προσηγορίας, δηλῶν ποῖα μὲν τῇ φύσει, ποῖα δὲ τῇ ἑνώσει προσήκει. εἰ δὲ πανηγυρικῶς τις λέγειν ἐθέλοι, καὶ ὕμνους ὑφαίνειν, καὶ ἐπαίνους διεξιέναι, καὶ βούλεται τοῖς σεμνοτέροις ὀνόμασιν ἀναγκαίως κεχρῆσθαι, οὐ δογματίζων, ὡς ἔφην, ἀλλὰ πανηγυρίζων, καὶ θαυμάζων ὡς οἷόν τε τοῦ μυστηρίου τὸ μέγεθος, ἀπολαυέτω τοῦ πόθου, καὶ τοῖς μεγάλοις ὀνόμασιν κεχρήσθω, καὶ * ἐπαινέτω, καὶ θαυμαζέτω· πολλὰ γὰρ τοιαῦτα παρὰ τοῖς ὀρθοδόξοις διδασκάλοις εὑρίσκομεν. πανταχοῦ δὲ τὸ μέτρον τιμάσθω· ἐπαινῶ γὰρ τὸν εἰρηκότα ἄριστον εἶναι τὸ μέτρον, εἰ καὶ τῆς ἡμετέρας ἀγέλης οὐκ ἔστιν. αὕτη τῆς ἐκκλησιαστικῆς πίστεως ἡ ὁμολογία· τοῦτο τῆς εὐαγγελικῆς, καὶ ἀποστολικῆς διδασκαλίας τὸ δόγμα· ὑπὲρ τούτου τρὶς, καὶ πολλάκις ἀποθανεῖν, τῆς τοῦ Θεοῦ δηλονότι χάριτος συνεργούσης, οὐ παραιτησόμεθα. * ταυτὰ καὶ τοὺς νῦν πλανωμένους διδάξαι προεθυμήθημεν, καὶ πολλάκις αὐτοὺς εἰς διάλεξιν προὐκαλεσάμεθα, ὑποδεῖξαι αὐτοῖς σπουδάζοντες τὴν ἀλήθειαν, καὶ οὐ πεπείκαμεν· ὑφορώμενοι γὰρ τῶν * ἐλεγχῶν τὸ προφανὲς, ἔφυγον τοὺς ἀγῶνας. σαθρὸν γὰρ ὡς ἀληθῶς τὸ ψεῦδος, καὶ τῷ σκότει συνεζευγμένον. πᾶς γάρ, φησιν, ὁ φαῦλα πράσσων, οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ φανερωθῇ ὑπὸ τοῦ φωτὸς τὰ ἔργα αὐτοῦ. ἐπειδὴ τοίνυν πολλὰ πεπονηκότες, οὐ πεπείκαμεν αὐτοὺς ἐπιγνῶναι τὴν ἀλήθειαν, εἰς τὰς οἰκείας ἐπανήλθομεν ἐκκλησίας ἀθυμοῦντες, καὶ χαίροντες, τὸ μὲν, διὰ τὸ ἡμέτερον ἀπλανές· τὸ δὲ, διὰ τὴν τῶν μελῶν ἡμῶν σηπεδόνα. διὸ τὴν ὑμετέραν ἁγιωσύνην παρακαλῶ ἐνθύμως, τὸν φιλάνθρωπον ἡμῶν ἱκετεῦσαι δεσπότην, καὶ πρὸς αὐτὸν βοῆσαι· φεῖσαι κύριε τοῦ λαοῦ σου, καὶ μὴ δὸς τὴν κληρονομίαν σου εἰς ὄνειδος· ποίμανον ἡμᾶς κύριε, ἵνα μὴ γενώμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρχες ἡμῶν, οὐδὲ ἐπεκέκλητο τὸ ὄνομά σου ἐφ' ἡμᾶς· ἴδε κύριε, ὅτι ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς, καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν, ὅτι εἰσῆλθε δόγματα πονηρὰ εἰς τὴν κληρονομίαν· ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ὅτι εὐφράνθησαν θυγατέρες ἀλλοφύλων ἐπὶ τοῖς ἡμετέροις κακοῖς, ὅτι ἐμερίσθημεν εἰς γλώσσας πολλὰς οἱ πρώην ὁμοφρονοῦντές τε, καὶ ὁμοφωνοῦντες· κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, ἣν ἀπωλέσαμεν, τῶν σῶν ἐντολῶν ἀμελήσαντες. κύριε ἐκτὸς σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν, ποίησον τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότειχον

* ἴσ. ἐσχάτων.

* γρ. ἐπαινείτω.

* ἴσ. ταῦτα.

* γρ. ἐλέγχων.

τοῦ

τοῦ φραγμοῦ λύσον τὴν ἀναφυεῖσαν ἀσέβειαν. συνάγαγε ἡμᾶς ἕνα καθ' ἕνα τὸν νέον σου Ἰσραὴλ, οἰκοδομῶν Ἱερουσαλὴμ, καὶ τὰς διασπορὰς Ἰσραὴλ ἐπισυνάγων. γενοίμεθα πάλιν μία ποίμνη, καὶ πάντες ὑπὸ σοῦ ποιμανθείημεν. σὺ γὰρ εἶ ὁ ποιμὴν ὁ καλὸς, ὁ τὴν ψυχὴν αὐτοῦ τεθεικὼς ὑπὲρ τῶν προβάτων. ἐξεγέρθητι, ἵνατί ὑπνοῖς κύριε. ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος. ἐπιτίμησον τοῖς ἀνέμοις, καὶ τῇ θαλάττῃ, καὶ δὸς γαλήνην τῇ ἐκκλησίᾳ σου, καὶ κυμάτων ἀπαλλαγήν. ταῦτα, καὶ ὅσα τοιαῦτα παρακαλῶ τὴν ὑμετέραν θεοσέβειαν βοᾷν πρὸς τὸν τῶν ὅλων Θεόν· ἀγαθὸς γὰρ ὢν, καὶ φιλάνθρωπος, καὶ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν ἀεὶ, τῆς * ἡμετέρας δεήσεως ἐπακούσεται, καὶ τὸν παρόντα ζόφον ἀποσκεδάσει, τὸν τῆς αἰγυπτιακῆς πληγῆς ζοφωδέστερον, καὶ τὴν αὐτοῦ φίλην χαριεῖται γαλήνην, καὶ συνάξει τοὺς διεσκορπισμένους, καὶ τοὺς ἀπωσμένους εἰσδέξεται, καὶ ἀκουθήσεται πάλιν φωνὴ ἀγαλλιάσεως, καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. τότε καὶ ἡμεῖς βοήσομεν πρὸς αὐτόν· ἐφρανθήσομεν, ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά. καὶ ὑμεῖς δὲ τῆς αἰτήσεως τυχόντες, ἀνυμνοῦντες αὐτὸν, ἐρεῖτε· εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχὴν ἡμῶν, καὶ τὸ ἔλεος αὐτοῦ ἀφ' ἡμῶν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

* Τ. ἡμετέρας.

ΟΤΙ ΚΑΙ ΜΕΤΑ ΤΗΝ ΕΝΑΝΘΡΩΠΗΣΙΝ

ΕΙΣ ΥΙΟΣ Ο ΚΥΡΙΟΣ ΗΜΩΝ

ΙΗΣΟΥΣ ΧΡΙΣΤΟΣ.

ΟΙ τὰς καθ' ἡμῶν συκοφαντίας συντεθεικότες, εἰς δύο μερίζειν ἡμᾶς ἔφασαν υἱοὺς τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ἡμεῖς δὲ τοσοῦτον ἀπέχομεν τοῦ ταῦτα φρονεῖν, ὅτι καὶ τοὺς ταῦτα τολμῶντας λέγειν, δυσσεβείας γραφόμεθα. ἕνα γὰρ υἱὸν παρὰ τῆς θείας γραφῆς προσκυνεῖν ἐδιδάχθημεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ, τὸν ἐνανθρωπήσαντα Θεὸν λόγον· τὸν γὰρ αὐτὸν ὁμολογοῦμεν καὶ Θεὸν προαιώνιον, καὶ ἄνθρωπον, διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν ἐπ' * ἐσχάτου τῶν ἡμερῶν γενόμενον· γενόμενον δὲ ἄνθρωπον, οὐ τῇ τροπῇ τῆς θεότητος, ἀλλὰ τῇ προσλήψει τῆς ἀνθρωπότητος. ἄτρεπτον γὰρ ἔχει τὴν τῆς θεότητος φύσιν, καὶ ἀναλλοίωτον, καθάπερ ὁ πρὸ τῶν αἰώνων γεννήσας αὐτὸν πατήρ. καὶ ὅπερ ἄν τις ἐπὶ τῆς τοῦ πατρὸς οὐσίας νοήσειε, καὶ ἐπὶ τῆς τοῦ μονογενοῦς τοῦτο πάντως εὑρήσει. ἐξ ἐκείνης γὰρ τῆς οὐσίας γεγέννηται. καὶ τοῦτο διδάσκων ὁ κύριος, ἔφη τῷ Φιλίππῳ, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πάτερα· καὶ πάλιν ἑτέρωθι, πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμὰ ἐστι· καὶ ἀλλαχοῦ, ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν· καὶ ἕτερα δὲ μυρία ἐστὶν εὑρεῖν τὸ ταυτὸν τῆς οὐσίας σημαίνοντα. Θεὸς μὲν οὖν οὐκ ἐγένετο, ἀλλ' ἦν· ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· ἄνθρωπος δὲ οὐκ ἦν, ἀλλ' ἐγένετο· ἐγένετο δὲ προσλαβὼν τὸ ἡμέτερον: τοῦτο γὰρ ὁ μακάριος ἔφη Παῦλος· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. καὶ πάλιν· οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. καὶ αὖθις· ἐπεὶ οὖν τὰ παιδία * ἐκεκοινώνηκε σαρκὸς καὶ αἵματος, παραπλησίως καὶ αὐτὸς μετέσχε τῶν αὐτῶν. οὕτω καὶ παθητὸς ἦν καὶ ἀπαθὴς, καὶ θνητὸς καὶ ἀθάνατος· παθητὸς μὲν καὶ θνητὸς, ὡς ἄνθρωπος· ἀπαθὴς δὲ καὶ ἀθάνατος, ὡς Θεός. ὡς γὰρ Θεὸς, τὴν σάρκα τὴν οἰκείαν τεθνηκυῖαν ἀνέστησεν. αὐτοῦ γάρ ἐστι φωνή· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· καὶ ὡς ἄνθρωπος δὲ, μέχρι τοῦ πάθους ἦν παθητὸς, καὶ θνητός· μετὰ γὰρ τὴν ἀνάστασιν, καὶ ὡς ἄνθρωπος ἔχει τὴν ἀπάθειαν, καὶ τὴν ἀθανασίαν, καὶ τὴν ἀφθαρσίαν, καὶ τὰς θεοπρεπεῖς ἀφίησιν ἀστραπὰς, οὐκ εἰς θεότητος φύσιν κατὰ τὴν σάρκα μεταβληθεὶς, ἀλλὰ τῆς ἀνθρωπότητος φυλάττων τοὺς χαρακτῆρας, οὐδὲ ἀπερίγραφον ἔχων τὸ σῶμα· τοῦτο γὰρ μόνον τῆς θείας φύσεως ἴδιον· ἀλλ' ἐν τῇ προτέρᾳ μένων περιγραφῇ. τοῦτο γὰρ διδάσκων, καὶ μετὰ τὴν ἀνάστασιν ἔφη τοῖς μαθηταῖς· βλέπετε τὰς χεῖράς μου, καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα, καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. οὕτως ὁρώμενος, εἰς οὐρανοὺς ἀνελήλυθεν· οὕτως ἥξειν αὖθις ὑπέσχετο· οὕτως αὐτὸν ὄψονται καὶ οἱ πιστεύσαντες, καὶ οἱ σταυρώσαντες· ὄψονται γάρ φησιν εἰς ὃν ἐξεκέντησαν. ἕνα τοιγαροῦν προσκυνοῦμεν υἱόν· ἑκατέραν δὲ φύσιν τελείαν ἐν αὐτῷ θεωροῦμεν, καὶ τὴν ληφθεῖσαν, καὶ τὴν ἐκ Θεοῦ, καὶ τὴν ἐκ Δαβίδ. τούτου γὰρ χάριν, καὶ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ υἱὸς τοῦ Δαβὶδ ὀνομάζεται, ἑκατέρας φύσεως τὴν ἁρμόττουσαν ἑλκούσης προσηγορίαν. διάτοι τοῦτο καὶ Θεὸν αὐτὸν, καὶ ἄνθρωπον ἡ θεία ὀνομάζει γραφή. καὶ ὁ μακάριος Παῦλος βοᾷ· εἷς Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ἀντὶ πάντων. ἀλλ' ἐνταῦθα αὐτὸν ἄνθρωπον ὀνομάσας, ἑτέρωθι προσαγορεύει Θεόν. προσδεχόμενος γάρ φησι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀλλαχοῦ δὲ ἀμφότερα κατὰ ταυτὸν τίθησιν. ἐξ ὧν γάρ φησιν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εἰς τοὺς αἰῶνας ἀμήν. καὶ τὸν αὐτὸν καὶ ἐξ Ἰουδαίων κέκληκε κατὰ σάρκα, καὶ ἐπὶ πάντων Θεὸν ὡς Θεόν. οὕτως ὁ προφήτης Ἡσαΐας εἰρηκὼς, ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν, οὗτος τὰς ἀνομίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται· ἐπήγαγε μετ' ὀλίγα· τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; τοῦτο δὲ οὐκ ἀνθρώπινον, ἀλλὰ θεῖον. οὕτω

* Ἰσ. ἐσχάτων.

* γρ. κεκοινώνηκε.

διὰ

διὰ τῦ Μιχαίυ φησὶν ὁ Θεός· καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μυ τὸν Ἰσραὴλ, καὶ αἱ ἔξοδοι αὐτῦ ἀπ' ἀρχῆς ἀφ' ἡμερῶν αἰῶνος. καὶ τῷ μὲν εἰπεῖν, ἐκ σοῦ γὰρ ἐξελεύσεταί μοι ἡγούμενος, τὴν τ ἀνθρωπήσεως οἰκονομίαν ὑπέδειξε· τῷ δὲ προσθεῖναι, αἱ ἔξοδοι αὐτῦ ἀπ' ἀρχῆς ἀφ' ἡμερῶν αἰῶνος, παρεδήλωσε πρὸ τῶν αἰώνων τὴν ἐκ τοῦ πατρὸς γεννηθεῖσαν Θεότητα. ταῦτα παρὰ τῆς θείας διδαχθέντες γραφῆς, τοὺς ἐν ὀλιγοστίχοις ὀλιγόστιχα τῆς ἐκκλησίας διδασκάλους ταῦτα φρονοῦντας ὁρῶντες, ἄσυλον φυλάττειν, ὃν παρελάβομεν, σπουδάζομεν κλῆρον, καὶ ἕνα μὲν προσκυνοῦμεν υἱὸν τοῦ Θεοῦ, ὡς ἕνα Θεὸν πατέρα, καὶ ἓν ἅγιον πνεῦμα. σαρκὸς μέν τοι, καὶ θεότητος τὸ διάφορον ἐπιστάμεθα. καὶ ὥσπερ τοὺς εἰς δύο υἱοὺς μερίζοντας τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἔξω βαίνειν φαμὲν τῆς ὑπὸ τῶν ἁγίων ἀποστόλων πεπατημένης ὁδοῦ· οὕτως καὶ τοὺς μίαν λέγοντας γεγεννῆσθαι φύσιν τὴν θεότητα τοῦ μονογενοῦς, καὶ τὴν ἀνθρωπότητα, εἰς τὸν ἕτερον κρημνὸν ἀποκλίνειν φαμέν. ταῦτα φρονοῦμεν, ταῦτα κηρύττομεν, ὑπὲρ τούτων ἀγωνιζόμεθα τῶν δογμάτων. ὅτι δὲ συκοφαντοῦσιν, οἱ δύο λέγοντες προσβάλλειν ἡμᾶς υἱοὺς, βοᾷ τῶν πραγμάτων ἡ μαρτυρία· τοὺς γὰρ τῷ παναγίῳ προσιόντας βαπτίσματι, τὴν ἐκτεθεῖσαν ἐν Νικαίᾳ πίστιν διδάσκομεν, καὶ τὸ τ παλιγγενεσίας ἐπιτελοῦντες μυστήριον, βαπτίζομεν τοὺς πιστεύοντας εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἐνικῶς ἑκάστῳ προσηγορίαν προσφέροντες. ὃ μέν τοι καὶ ταῖς ἐκκλησίαις διηνεκῶς λειτουργοῦντες, δοξάζειν εἰώθαμεν τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα· οὐχ υἱεῖς, ἀλλ' υἱόν. εἰ τοίνυν δύο φάμεν υἱοὺς, τίς ὁ παρ' ἡμῶν δοξαζόμενος; καὶ τίς ὁ μένων ἀγέρασος; οὐ γὰρ εἰς τοσοῦτον μανίας ἐληλάκαμεν, ὥς τε δύο μὲν λέγειν υἱοὺς, μηδεμιᾶς δὲ τιμῆς τὸν ἕτερον ἀξιοῦν. δῆλη τοιγαροῦν κἀντεῦθεν ἡ συκοφαντία γεγένηται. ἡμεῖς γὰρ ἕνα προσκυνοῦμεν υἱὸν μονογενῆ, τὸν ἐνανθρωπήσαντα Θεὸν λόγον· τὴν ἁγίαν δὲ παρθένον, Θεοτόκον ἀποκαλοῦμεν, ἐπειδὴ τὸν Ἐμμανουὴλ γεγέννηκεν, ὃς ἑρμηνεύεται μεθ' ἡμῶν ὁ Θεός· ὁ δὲ περὶ τοῦ Ἐμμανουὴλ προαγορεύσας προφήτης, μετ' ὀλίγα πάλιν τοιαῦτα περὶ αὐτοῦ γέγραφεν, ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. εἰ δὲ Θεὸς ἰσχυρὸς τὸ πεχθὲν ὑπὸ τῆς παρθένου προσηγόρευται βρέφος, εἰκότως ἄρα ἡ τεχοῦσα Θεοτόκος ὠνόμασται. μετέλαχε γὰρ ἡ τεχοῦσα τῆς τοῦ πεχθέντος τιμῆς, καὶ ἔστιν ἡ παρθένος, καὶ μήτηρ, ὡς ἀνθρώπου τοῦ δεσπότου Χριστοῦ, καὶ δῆλη πάλιν, ὡς δεσπότου, καὶ ποιητοῦ, καὶ Θεοῦ. διὰ ταύτην τῶν φωνῶν τὴν διαφοράν, καὶ ἀπάτωρ ὑπὸ τοῦ θεσπεσίου Παύλου, καὶ ἀμήτωρ καλεῖται, καὶ ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων. ἀπάτωρ μὲν γάρ ἐστι κατὰ τὸ ἀνθρώπινον, ἐκ μόνης γὰρ ὡς ἄνθρωπος ἐτέχθη μητρός· ἀμήτωρ δέ ἐστιν, ὡς Θεός. ἐκ μόνου γὰρ ἐκ τοῦ αἰώνων ἐγεννήθη πατρός. καὶ ἀγενεαλόγητος δὲ πάλιν, ὡς Θεός. ἀλλὰ καὶ γενεαλογεῖται ὡς ἄνθρωπος. βίβλος γάρ φησι γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. γενεαλογεῖ δὲ αὐτὸν καὶ Λουκᾶς ὁ θεσπέσιος οὕτω πάλιν· ὡς Θεὸς, ἀρχὴν ἡμερῶν οὐκ ἔχει· πρὸ γὰρ τοῦ αἰώνων γεγέννηται· οὔτε μὴν ζωῆς τέλος ἔχει· ἀθάνατον γὰρ ἔχει, καὶ ἀπαθῆ τὴν φύσιν. ὡς δὲ ἄνθρωπος, καὶ ἀρχὴν ἡμερῶν ἔχειν· ἐπὶ γὰρ Αὐγούστου καίσαρος ἐγεννήθη, καὶ ζωῆς τέλος ἔχειν· ἐπὶ γὰρ τοῦ Τιβερίου καίσαρος ἐσταυρώθη. ἀλλὰ νοῶ, ὡς ἔφην, καὶ ἀνθρωπείαν φύσιν ἀθάνατον ἔχει, καὶ ὡς ἀνελήφθη, πάλιν ἥξει κατὰ τὴν τ ἀγγέλων φωνήν· οὗτος γὰρ ἔφησαν ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τ οὐρανὸν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. ταύτην ἡμῖν τὴν διδασκαλίαν οἱ θεῖοι προφῆται προσηύξαντο. ταύτην ὁ τῶν ἁγίων ἀποστόλων χορός. ταύτην οἱ κατὰ τὴν ἑῴαν, καὶ τὴν ἑσπέραν ὁλαπρέψαντες ἅγιοι, Ἰγνάτιος ἐκεῖνος ὁ πολυθρύλλητος, ὁ διὰ τῆς τοῦ μεγάλου Πέτρου δεξιᾶς τὴν ἀρχιερωσύνην δεξάμενος, καὶ ὑπὲρ τῆς εἰς Χριστὸν ὁμολογίας θηρῶν γενόμενος ἀγρίων βορὰ, Εὐσέβιος ὁ μέγας ὁ τῆς σωσθροισθείσης συνόδου πρωτοστάσας, καὶ διὰ τὸν θερμὸν ὑπὲρ τῆς εὐσεβείας ζῆλον τὴν ὑπερορίαν οἰκήσας. ταύτην Μελέτιος, ὁ πάνυ, μετὰ τῶν ἴσων παθημάτων ἐκήρυξε. ἧς γὰρ καὶ αὐτὸς ὑπὲρ τῶν ἀποστολικῶν δογμάτων ἐξηλάθη τῆς ποίμνης. ταύτην Φλαβιανὸς, ὁ τὸν ἐκεῖ θρόνον ὁλοσμήσας. ταύτην Ἐφραὶμ ὁ θαυμαστὸς, τὸ τῆς θείας χάριτος ὄργανον, τῇ Σύρων γλώττῃ χρησάμενος, ἀνάγραπτον ἡμῖν τὴν ὠφέλειαν κατέλιπε. ταῦτα Κυπριανὸς ὁ πανόσιος, ὁ τὴν Χαλκηδόνα, καὶ τὴν Λιβύην ἅπασαν κυβερνήσας, καὶ τὸν διὰ πυρὸς ὑπὲρ Χριστοῦ καταδεξάμενος θάνατον, καὶ Δάμασος ὁ τὴν μεγάλην Ῥώμην ἰθύνας, καὶ Ἀμβρόσιος ὁ Μεδιολάνου τὸν θρόνον κοσμήσας, τῇ Ῥωμαίων χρώμενοι γλώττῃ, καὶ κηρύττοντες, καὶ συγγράφοντες διετέλεσαν. ταῦτα τῆς Ἀλεξανδρέων οἱ μεγάλοι φωστῆρες, Ἀλέξανδρος, καὶ Ἀθανάσιος, καὶ ὁμοφρονοῦντες, τὰς παρὰ πάντων ἀδομένους κινδύνους ὑπέμειναν. ταύτην καὶ οἱ τ βασιλευούσης πόλεως μεγάλοι διδάσκαλοι τὴν πόαν τοῖς ποιμνίοις προσηύξαντο Γρηγόριος ὁ λαμπρὸς τῆς εὐσεβείας σωτήρ, Ἰωάννης ὁ τῆς οἰκουμένης διδάσκαλος, Ἀττικὸς ὁ τοῦ ἐκείνων προεδρίαν, καὶ διδασκαλίαν δεξάμενος. *τούτοις Βασίλειος ὁ *φωνότατος τῆς εὐσεβείας λαμπτὴρ, καὶ Γρηγόριος ὁ τὰς αὐτοὺς ἐκείνῳ γεννήτορας αὐξήσας, καὶ Ἀμφιλόχιος, ὁ δι' ἐκείνου τῆς ἀρχιερωσύνης τὸ δῶρον λαβὼν, καὶ μόνον τοῖς ἐπ' αὐτῶν ἀνθρώποις τὴν διδασκαλίαν προσήνεγκαν, ἀλλὰ καὶ ἡμῖν διὰ τ συγγραμμάτων τ ὠφέλειαν κατέλειπον. ἀλλὰ γὰρ ἐπιλείψει με ἡ ἡμέρα, Πολύκαρπον, καὶ Εἰρηναῖον, καὶ Μεθόδιον, καὶ Ἱππόλυτον, καὶ τοὺς ἄλλους τῆς ἐκκλησίας διδασκάλους ἀπαριθμούμενον. σωτόμως τοίνυν φαμὲν, ὡς ὑμεῖς τοῖς θείοις λογίοις ἀκολουθοῦμεν, καὶ τούτοις ἅπασι τοῖς ἁγίοις· διὰ γὰρ τ τοῦ πνεύματος χάριτος εἰς τὸ τῆς θεοπνεύστου γραφῆς καταδύντες βάθος, αὐτοί τε τ αὐτῆς διάνοιαν ἔγνωσαν, καὶ τοῖς μαθεῖν βουλομένοις δῆλην ταύτην ἀπέφηναν. οὐδὲ γὰρ ἡ διαφορὰ τ γλωττῶν, διαφορὰν δογμάτων εἰργάσατο. χρυσοὶ γὰρ ἦσαν τῆς τοῦ θείου πνεύματος χάριτος ἐκ μιᾶς πηγῆς τὸ νᾶμα δεχόμενοι.

* ἴσ. ταύτην
* γρ. φαιδρότατος.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ.

ΕΛΕΓ-

Ε Λ Ε Γ Χ Ο Σ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΕΝ ΤΩ ΠΑΡΟΝΤΙ ΠΡΩΤΩ ΤΟΜΩ.

ΟΙ ΘΕΙΟΙ ΚΑΝΟΝΕΣ ΚΑΤ' ΕΠΙΤΟΜΗΝ.

Περὶ Ἐπισκόπων τμῆμα πρῶτον.

Ἐπιχειρὴ πρώτη.

Περὶ ψήφου, καὶ χειροτονίας αὐτῆς. φ: 1

Ἐπιχειρὴ δευτέρα.

Τὶς Ἐπίσκοπος γίνεται, καὶ τὶς οὐ γίνεται. 2

Ἐπιχειρὴ ξ΄ίτη.

Τίνα δεῖ ποιεῖν τὸν Ἐπίσκοπον. 2

Ἐπιχειρὴ δ΄.

Τίνα δεῖ μὴ ποιεῖν τὸν Ἐπίσκοπον. 3

Ἐπιχειρὴ ε΄.

Τίνες εἰς κατηγορίαν ἐπισκόπου δεκτοὶ, καὶ τίνες ἄδικοι, καὶ τίνες αὐτὸν, καὶ πῶς χρὴ κατηγορεῖσθαι. 7

Ἐπιχειρὴ ς΄.

Περὶ ἐπαρχιῶν. 7

Ἐπιχειρὴ ζ΄.

Περὶ συνόδων, καὶ Θρόνων. 7

Ἐπιχειρὴ η΄. 8

Ἐπιχειρὴ θ΄.

Περὶ χωρεπισκόπων. 9

Τμῆμα β΄.

Ἐπιχειρὴ α΄.

Περὶ πρεσβυτέρων, διακόνων καὶ ὑποδιακόνων. 9

Περὶ χειροτονίας αὐτῆς, καὶ τίνες Ἱερωθήσονται, καὶ τίνες οὔ. 9

Ἐπιχειρὴ β΄.

Τίνα δεῖ τὸν ἱερέα προσάγειν, καὶ τίνα μὴ προσάγειν. 10

Ἐπιχειρὴ, γ΄.

Τίνα δεῖ τὸν ἱερέα ποιεῖν, καὶ τίνα μὴ ποιεῖν. 10

Ἐπιχειρὴ, δ΄.

Περὶ Διακόνων. 14

Ἐπιχειρὴ ε΄.

Περὶ Διακόνων, καὶ ἐφορκιστῶν. 14

Ἐπιχειρὴ ς΄.

Οἱ ἐχόμενοι. 15

Τμῆμα γ΄.

Ἐπιχειρὴ α΄.

Περὶ Κληρικῶν, τίνες κληροῦνται, καὶ τίνες οὔ. 16

Ἐπιχειρὴ β΄.

Τίνα δεῖ κληρικὸν ποιεῖν, καὶ τίνα μὴ ποιεῖν. 16

Ἐπιχειρὴ γ΄.

Κανόνες κοινοὶ Κληρικοῖς, καὶ λαϊκοῖς. 19

Ἐπιχειρὴ δ΄.

Τίνες εἰς κατηγορίαν κληρικῶν ἄδικοι. 20

Ἐπιχειρὴ ε΄. 21

Τμῆμα δ΄.

Ἐπιχειρὴ α΄.

Περὶ μοναχῶν, καὶ μοναστηρίων πόσα, καὶ πῶς ὁ μονάσων μονάσει. 21

Ἐπιχειρὴ β΄.

Τίνα δεῖ ποιεῖν τοὺς μοναχοὺς, καὶ τίνα μὴ ποιεῖν. 22

Ἐπιχειρὴ γ΄.

Περὶ μοναστηρίων. 23

Τμῆμα ε΄.

Ἐπιχειρὴ α΄

Περὶ λαϊκῶν. 23

Περὶ τῶν φωτιζομένων, καὶ τίνες φωτίζονται. 23

Ἐπιχειρὴ β΄.

Τίνα δεῖ τοὺς λαϊκοὺς ποιεῖν, καὶ τίνα μὴ ποιεῖν. 24

Ἐπιχειρὴ γ΄.

Ἐπιτίμια τῶν ἐγκλημάτων. 27

Ἐπιχειρὴ δ΄.

Ἐπιτίμια τῶν παραπιπτόντων. 31

Ἐπιχειρὴ ε΄.

Κανόνες καθολικοὶ. 33

Ἐπιχειρὴ ς΄.

Περὶ Βασιλέως. 34

Τμῆμα ἕκτον.

Περὶ Γυναικῶν. 34

Τέλος ἐπιτομῆς τῶν ἱερῶν Κανόνων.

Κλήμεντος τῆ ῥώμης ἐπιστολὴ πρὸς Κορινθίους πρώτη. σελὶς. ε'.
Τῆ αὐτῆ Κλήμεντος ἐπιστολὴ πρὸς Κορινθίους δευτέρα. ις'.
Σύνοδος ἐν ἱεροσολύμοις ἀποστόλων. ιθ'.
Κανόνες τῆ ἁγίων ἀποστόλων. σελὶς. 1
Διαταγαὶ τῆ ἁγίων ἀποστόλων διὰ Κλήμεντος. 7
Περὶ τῆ βιβλίων, καὶ κεφαλαίων τῆ διαταγῶν ἰδὲ ἐν τῆ αὐτῆ σελίδι. 7
Κανόνες ἐκκλησιαστικοὶ τῶν ἁγίων ἀποστόλων ἐκ τῶν διαταγῶν. 94
σύνοδοι πλείσαι τοπικαὶ.
Σύνοδος ῥώμης ὑπὸ Τελεσφόρου κατ' Θεοδότου σκυτέως. 95
Σύνοδος ῥώμης ὑπὸ ἀνικήτου κατ' τῶν ἰουδαϊκῶς τῆ δεκάτη τεπάρτη τῆς σελήνης ἑορταζόντων τὸ πάσχα. 95
Σύνοδος ἐν λουγδούνῳ ὑπὸ εἰρηναίου κατ' τῶν προγεγραμμένων αἱρετικῶν. 95
Σύνοδος ἐν ἱεραπόλει ὑπὸ ἀπολιναρίου κατ' μοντανῦ, καὶ μαξιμίλας τὰς ψευδοπροφήτας, καὶ κατ' Θεοδότου σκυτέως. 95
Σύνοδος ἐν ἀγχιάλῳ ὑπὸ σωτᾶ κατ' τῆ αὐτῆ Θεοδότου, μοντανῦ, καὶ μαξιμίλας. 95
Σύνοδος ἐν γαλλίᾳ ὑπὸ τῶν ὁμολογητῶν κατ' τῶν ἄνωθεν αἱρετικῶν. 96
Σύνοδος ἐν ἐφέσῳ ὑπὸ πολυκράτους ὁρίζουσα ἄγειν τὸ μυστικὸν πάσχα τῆ δεκάτη τεπάρτη τῆς σελήνης ἰουδαϊκῶς. 96
Σύνοδος ἐν ῥώμῃ ὑπὸ βίκτωρος ἀπαγορεύουσα ἰουδαϊκῶς τελεῖν τὸ μυστικὸν πάσχα. 96
Σύνοδος ἐν ἱεροσολύμοις ὑπὸ Ναρκίσσου ὁρίσασα ὑπὲρ τῆ μυστικῆ πάσχα. 96
Σύνοδος ἐν καισαρείᾳ τῆς παλαιστίνης ὑπὸ Θεοφίλου ὑπὲρ τῆ ἁγίου πάσχα ὁρίσασα ὡσαύτως. 96
Σύνοδος ἐν λουγδούνῳ ὑπὸ Εἰρηναίου ὁρίσασα ὑπὲρ τῆ πάσχα ὁμοίως. 96
Σύνοδος ἐν Κορίνθῳ ὑπὸ βακχυλίδου ὁρίσασα περὶ τῆ πάσχα ὡσαύτως. 96
Σύνοδος ἐν ἀσίᾳ ὑπὸ Πλασμᾶ περὶ τῆ ἁγίου πάσχα ὁρίσασα ὁμοίως. 96
Σύνοδος ἐν ὀσροήνῃ ὁρίσασα περὶ τῆ πάσχα ὁμοίως. 96
Σύνοδος ἐν τῇ μεσοποταμίᾳ ὁρίσασα περὶ τῆ ἁγίου πάσχα ὁμοίως. 96
Σύνοδος ἐν ῥώμῃ ὑπὸ Βίκτωρος ἀποκρύξασα Θεόδοτον, καὶ ἀρτέμονα, οἵτινες ἀρχηγοὶ γεγόνασι Παύλου τῆ Σαμοσατέως, καὶ Νεσορίου, 97
Ἑτέρα ἐν ῥώμῃ ὑπὸ τῆ αὐτῆ ἀποκρύξασα σαβέλλιον, καὶ νόητον, καὶ ἀλκιβιάδην. 97
Σύνοδοι δύο ἐν Βόστρᾳ τῆς ἀραβίας ὑπὸ τῆ ὁσιογενοῦς, ὧν ἡμεῖν πρώτη γέγονεν ἐπὶ διορθώσει τῆ ἱεροσοφιστῆ Βηρύλλου, τῆ τῆς αὐτῆς πόλεως ἐπισκόπου, εἰς τότε σκυτέως Θεοδότου φρόνημα παρὰ σπουδαίους. ἡδὲ δευτέρα ἐπὶ τῇ τῶν πιστῶν διορθώσει, ἔκτινος λοιμώδους αἱρέσεως ἀναφανείσης οἰηθέντων συμφθείρεσθαι τὰς ψυχὰς τοῖς σώμασι, καὶ πάλιν σωζανίσασθαι. 97
Σύνοδος ἐν ῥώμῃ ὑπὸ κορνηλίου ἀποκρύξασα Ναύατον. 97
Σύνοδος ἐν καρθαγένῃ ὑπὸ Κυπριανῦ ἀποκρύξασα, καὶ αὐτὸ Ναύατον. 97
Σύνοδος ἐν ἀντιοχείᾳ ὑπὸ Δημητριανῦ καθελοῦσα Ναύατον. 97
Σύνοδος ἐν ῥώμῃ ὑπὸ στεφάνου ἀποκρύξασα τὰς παραλόγως ἐπιχειρικότας ἐν τῇ ἀφεικῇ συνόδῳ ἀναβαπτίζειν τὰς ἐκ πάσης αἱρέσεως προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ. 97
Σύνοδος χρομένη ἐπὶ Κυπριανῦ ἐπισκόπου Καρχιδόνος, καὶ μάρτυρος περὶ ζητήσεως γενομένης, εἰς τὰς ἐξ αἱρέσεως ἐπιστρέφοντας, καὶ τὰς σχισματικὰς, βαπτίζεσθαι δεῖ προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ. 98
Ἐπιστολὴ τῆ μεγάλου Κυπριανῦ πρὸς τὸν ἰουβαϊανὸν, καὶ ἐκεῖνου σωεπισκόπους, ἐρωτήσαντας ὡς ἄνωθεν περὶ ἀναβαπτισμῦ αἱρετικῶν, καὶ σχισματικῶν. ὅστις διάτης αὐτῆς ἐπιστολῆς χρᾶται καθάπαξ βαπτίζεσθαι. 98
Γνῶμαι τῆ ἐν τῇ συνόδῳ ἐπισκόπων σύμφωνοι πρὸ Κυπριανῷ. 99
Ἐπιστολὴ Διονυσίου Πάπα κατ' σαβελλιανῶν πρὸς Διονύσιον Ἀλεξανδρείας. 105
Σύνοδοι δύο ἐν ἀλεξανδρείᾳ ὑπὸ Διονυσίου καπάσαβελλίου, καὶ Νεποτιανῦ ἐπισκόπου αἰγύπτου, καὶ κατ' Κηρίνθου. 106
Ἐπιστολὴ τῆ μακαρίου Διονυσίου ἀλεξανδρείας πρὸς βασιλείδην ἐπίσκοπον, ἐρωτήσαντα περὶ διαφόρων Κεφαλαίων, πρὸς ἃ διὰ τῆς ἐπιστολῆς ἀποκρίσεις ἐποιήσατο, αἳ καὶ ὡς κανόνες ἐδέχθησαν. 106
Ἐπιστολὴ Κανονικὴ τῆ ἁγίου Γρηγορίου Νεοκαισαρείας τῆ θαυματουργῆ, περὶ τῆ ἐν τῇ καταδρομῇ τῆ βαρβάρων εἰδωλόθυτα φαγόντων, ἢ καὶ ἑτεράτινα πλημμελησάντων. 107
Ἔκθεσις πίστεως κατ' ἀποκάλυψιν Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας. 109
Ἀντίγραφον ἐπιστολῆς πεμφθείσης πάυλῳ τῆ σαμοσάτῳ ὑπὸ τῆ ὀρθοδόξων ἐπισκόπων, πρινὴ καθαιρεθῆναι αὐτὸν. 109
Ἐπιστολὴ Διονυσίου ἀλεξανδρείας πρὸς Παῦλον τὸν σαμοσάτων χρύμβον ἐπίσκοπον ἐν ἀντιοχείᾳ. 111
Παύλου σαμοσατέως αἱρετικῆ προπάσεις δέκα, ἃς προέτεινε τῷ Πάπα Διονυσίῳ. 113
Ἐπιστολὴ τῆς δευτέρας ἐν ἀντιοχείᾳ συνόδου. χρόνοι ἀπὸ χριστῆ 270. 123
Σύνοδος ἐν ἀντιοχείᾳ ὑπὸ ἑλενῆ ἐπισκόπου παρσῆ καπὰ παύλου σαμοσατέως. 125
Κλάσμα ἐπιστολῆς φίλικος Πάπα πρὸς μάξιμον ἐπίσκοπον, καὶ πρὸς τὸν κλῆρον ἀλεξανδρείας περὶ τῆς θεότητος, καὶ ἀνθρωπότητος τῆ χριστῆ 125
Σύνοδος ἐν μεσοποταμίᾳ ὑπὸ ἀρχελάου κατ' μάνητος, καὶ Διοδωριάδου πρεσβυτέρου. 125
Ἐπιστολὴ μανιχαίου πρὸς μάρκελλον. Ἐπι-

Ἐπιστολὴ μαρκέλλου πρὸς μανιχαῖον. 125
Κλάσμα ἀρχελάου σὺνμάνεντι. 128
Τοῦ μακαρίου Πέτρου ἀλεξανδρείας, καὶ μάρτυρος κανόνες ἐμφερόμενοι ἐν τῷ περὶ μετανοίας αὐτοῦ λόγῳ. χρὸν. ἀπὸ χριστοῦ 306. 129
Σύνοδος ἐν ῥώμῃ ὑπὸ μιλτιάδου ἐπὶ τῇ ἑνώσει τῶν ἐπισκόπων χρὸν. ἀπὸ χριστοῦ. 313. 133
Ἀντίγραφον βασιλικῆς ἐπιστολῆς δι' ἧς σύνοδον ἐπισκόπων ἐπὶ ῥώμης κελεύει γενέσθαι, ὑπὲρ τῆς τῶν ἐκκλησιῶν ἑνώσεώς τε, καὶ ὁμονοίας. 133
Ἀντίγραφον βασιλικῆς ἐπιστολῆς δι' ἧς προστάττει δευτέραν γενέσθαι σύνοδον, ὑπὲρ τοῦ πᾶσαν τῶν ἐπισκόπων περιελεῖν διχοστασίαν. 133
Σύνοδος ἐν ἀρελάτῳ ὑπὸ χρήστου συρακουσίων τῆς σικελίας ἐπὶ τῇ ἑνώσει τῶν ἐπισκόπων. 133
Κανόνες τῶν ἐν ἀγκύρα συνελθόντων πατέρων. 134.
Σύνοδος ἐν ἀγκύρᾳ ὑπὸ μαρκέλλου κανονικῶς τυπώσασα τὴν διόρθωσιν τῶν ἐν τῷ διωγμῷ παραπεσόντων. χρὸν. ἀπὸ χριστοῦ. 314. 136
Κανόνες τῶν ἐν Νεοκαισαρείᾳ συνελθόντων πατέρων. χρὸν. ἀπὸ χριστοῦ. 316. 136
Σύνοδος ἐν Καισαρείᾳ τοῦ πόντου ὑπὸ Βιταλίου, περὶ τῶν ἐν τῷ διωγμῷ ἐπιθυσάντων, ἢ ἐξομωσαμένων, ἢ εἰδωλοθύτων γευσαμένων. ἀνάλογον, καὶ τὴν διόρθωσιν κανονικῶς διετύπωσεν. 137
Καθαίρεσις Ἀρείου, καὶ τῶν σὺν αὐτῷ ὑπὸ Ἀλεξάνδρου ἀλελανδρείας. 137
Σύνοδος ἐν Ἀλεξανδρείᾳ, ὑπὸ Ἀλεξάνδρου κατὰ ἀρείου, καὶ τῶν σὺν αὐτῷ χρὸν. ἀπὸ χριστοῦ. 321. 137
Κανόνες τῶν ἐν Λαοδικείᾳ τῆς φρυγίας συνελθόντων πατέρων. περὶ τοῦ χρόνου ταύτης τῆς συνόδου ἐστὶ διαφωνία παρὰ τοῖς συγγραφεῦσι οἱ μὲν φασὶ ἀπὸ χριστοῦ 364. οἱ δὲ 367. 138

Ἡ ἐν Νικαίᾳ πρώτη ἁγία, καὶ οἰκουμενικὴ σύνοδος. 138
Ἐπιστολὴ ἀλεξάνδρου ἀλεξανδρείας. 141
Τοῦ αὐτοῦ ἀλεξάνδρου ἐπιστολὴ β'. 145
Ἐπιστολὴ Κωνσταντίνου Βασιλέως πρὸς τὴν σύνοδον περὶ εἰρήνης. 145
Σύμβολον τῆς αὐτῆς ἐν Νικαίᾳ συνόδου. 146
Κανόνες τῆς ἐν Νικαίᾳ πρώτης συνόδου κ'. 146
Βιβλίον εὐσεβίου ἐπισκόπου Νικομηδείας, καὶ θεογνίου Νικαίας. 149
Ἐπιστολὴ τῆς ἐν Νικαίᾳ πρώτης συνόδου. τῇ ἐκκλησίᾳ ἀλεξανδρέων, καὶ τοῖς κατὰ τὴν ἄγυπτον, καὶ λιβύην, καὶ πεντάπολιν. 149
Ἐπιστολὴ Κωνσταντίνου βασιλέως ταῖς ἐκκλησίαις. 149
Ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ τῇ ἐκκλησίᾳ ἀλεξανδρέων. 149
Ἑτέρα τοῦ αὐτοῦ ἐπισκόποις, καὶ λαοῖς. 150
Ἑτέρα τοῦ αὐτοῦ τῇ ἐκκλησίᾳ Νικομηδέων κατὰ εὐσεβίου, καὶ θεογνίου. 150
Ἡ αὐτὴ οἰκουμενικὴ πρώτη σύνοδος ἐκ τοῦ βιβλίου τοῦ συνοδικοῦ. 150
Ἡ αὐτὴ ἐκ τῆς ἐπιστολῆς φωτίου. 150
Ἡ αὐτὴ παρὰ Νείλου ῥωδίου. 151
Ἡ αὐτὴ ἐξ ἀνωνύμου τινὸς. 151
Παλαιῶν συγγραφέων μαρτυρίαι περὶ τοῦ συντάγματος Γελασίου τοῦ Κυζικηνοῦ. 151

Γελασίου τοῦ Κυζικηνοῦ σύνταγμα τῶν κατὰ τὴν ἐν Νικαίᾳ ἁγίαν σύνοδον πραχθέντων. 153

λόγος πρῶτος.

Κέφ. γ'.
Περὶ τοῦ βασιλέως Κωνσταντίνου, ὅπως κατὰ τοῦ τυράννου μαξεντίου ἐστρατοπεδεύσατο. 155

Κ'. δ'.
Περὶ τοῦ σταυροῦ τοῦ ὀφθέντος ἐν οὐρανῷ τῷ βασιλεῖ Κωνσταντίνῳ. 155

Κ'. ε'.
Περὶ τοῦ σίγνου οὗ ἐποίησεν ὁ βασιλ. Κωνσταντῖνος ἀντίτυπον τοῦ ὀφθέντος αὐτῷ σταυροῦ ἐν οὐρανῷ. 156

Κ'. ϛ'.
Περὶ τῆς κατὰ τοῦ ἀσεβοῦς μαξεντίου Νίκης τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου. 156

Κ'. ζ'.
Περὶ λικινίου πεμπομένου παρὰ τοῦ βασιλ. Κωνσταντ. κατὰ τοῦ ἐπ' ἀνατολῆς τυράννου. 156

Κ'. η'.
Περὶ τῆς τοῦ κατὰ ἀνατολὴν τυράννου μαξιμίνου ἀπονοίας. 157

Κ'. θ'.
Περὶ τῆς τῶν ἐκκλησιῶν ἀνανέωσεως; 157

Κ'. ι'.
Περὶ τῆς λικινίου κακοτροπίας 158

Κ'. ια'.
Περὶ τῆς κατὰ τοῦ ἀσεβοῦς λικινίου νίκης τοῦ θεοφιλοῦς βασιλέως Κωνσταντίνου. 160

λόγος β'.

Κ'. α',
Περὶ τῶν μετὰ τὴν ἀναίρεσιν τοῦ ἀσεβοῦς λικινίου, καὶ αὐτοκρατορίας τοῦ βασιλέως Κωνσταντίνου, καὶ εἰρήνης τῶν τοῦ θεοῦ Ἐκκλησιῶν. 160

Κ'. β'.
Περὶ τῆς ἐφευρεθείσης αἱρέσεως ὑπὸ τοῦ θεομάχου ἀρείου. 161

Κ. γ'.
Καθαιρετικὸν ἀρείου, καὶ τῶν σὺν αὐτῷ, διαπεμφθὲν παρὰ ἀλεξάνδρου ἀλεξανδρείας τοῖς ἁπανταχοῦ ἐπισκόποις. 161

Κ. δ'.
Ἐπιστολὴ Κωνσταντίνου βασιλέως πρὸς ἀλέξανδρον,

δρον, καὶ ἄρειον διαπεμφθεῖσα διὰ ὁσίου Ἐπισκόπου Κορδούβης. 164

Κ'. ε'.

Ὅπου ὁ θεοφιλέστατος βασιλεὺς Κωνσταντῖνος σύνοδον ἐπισκόπων ἐπὶ τῆς Νικαέων κελεύει γενέσθαι. 164

Κ'. ς'.

Ὅπου ὁ βασιλεὺς συνεδρεύει τοῖς ἐπισκόποις. 165

Κ'. ζ'.

Λόγος Κωνσταντίνου προσφωνητικὸς πρὸς τὴν ἁγίαν σύνοδον. 165

Κ'. η'.

Ὅπου τοὺς λιβέλλους τῶν ἐπισκόπων ὁ βασιλεὺς δέχεται. 168

Κ'. θ'.

Περὶ τοῦ ἁγίου Παφνουτίου. 168

Κ'. ι'.

Περὶ τοῦ ἁγίου Σπυρίδωνος. 169

Κ'; ια'.

Ὅπου τὴν θυγατέραν αὐτοῦ Τεθνεῶσαν ἐγείρῃ διὰ τὸν ἔμπορον. 169

Κ'. ιβ'.

Περὶ τοῦ δεῖν τρεῖς ὑποστάσεις νοεῖν, καὶ πιστεύειν ἀχωρίστως ἐπὶ τῆς ἀῤῥήτου τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος μιᾶς θεότητος. 169

Κ'. ιγ'.

Ὅπου τῶν φιλοσόφων ἀρείου κατὰ τῆς ἁγίας ἐκείνης τῶν ἀποστολικῶν τοῦ θεοῦ ἱερέων συνόδου πλεῖστα ὅσα ἀποφθέγγεται. 170

Κ'. ιδ'.

Πρότασις τοῦ φιλοσόφου πρὸς τὴν ἁγίαν σύνοδον εἰς τὸ ποιήσωμεν ἄνθρωπον. 171

Κ'. ιε'.

Ἀνταπόκρισις τῶν ἁγίων πατέρων, διὰ τοῦ ἐπισκόπου Εὐσταθίου. 171

Κ'. ις'.

Ἀντίῤῥησις τοῦ φιλοσόφου ὑπὲρ ἀρείου. καὶ ἀπόκρισις τῆς συνόδου. 171

Κ'. ιζ'.

Ἀντίῤῥησις τοῦ φιλοσόφου, καὶ ἀπόκρισις. 172

Κ'. ιη'.

Ἀντίῤῥησις τοῦ φιλοσόφου περὶ τοῦ Κύριος ἔκτισέμε ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. καὶ ἀπόκρισις τῶν ἁγίων πατέρων. 173

Κ'. ιθ'.

Ἀντίῤῥησις τοῦ φιλοσόφου. εἰς τὸ ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν οὐδὲ ἐμνήσθησαν τὰς τρίβους αὐτῆς. καὶ ἀπόκρισις τῶν πατέρων. 176

Κ'. κ'.

Ἀντίῤῥησις τοῦ φιλοσόφου κατὰ τοῦ ἁγίου πνεύματος. καὶ ἀπόκρισις τῶν πατέρων. 177

Κ'. κα'.

Ἀπόκρισις τοῦ φιλοσόφου πρὸς τὸ κοινὸν τῶν ἁγίων ἐπισκόπων κατὰ τοῦ ἁγίου πνεύματος, καὶ ἀποκρισις τῶν πατέρων. 179

Ὅπου πιστεύει ὁ φιλόσοφος εἰς τὴν ἁγίαν τριάδα. 180

Κ'. κβ'.

Οἱ πατέρες εἶπον πρὸς τὸν φιλόσοφον περὶ πηγῆς, καὶ ποταμοῦ, καὶ ὕδατος. 180

Κ'. κγ'.

Εὐχαριστία τοῦ φιλοσόφου, καὶ ἐπερώτησις περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως. 181

Κ'. κδ'.

Περὶ τῆς τῶν πατέρων ὁμοφωνίας τῆς εἰς τὸ ὁ μούσιον. 183

Κ'. κε'.

Ὅπου ὑπὸ τοῦ κοινοῦ τῆς συνόδου ἐκκηρύττεται ὁ ἀσεβὴς ἄρειος, καὶ οἱ σὺν αὐτῷ. 183

Κ'. κς'.

Ἔκθεσις τῆς καθολικῆς πίστεως, ἐκτεθείσης ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου. 183

Κ'. κζ'.

Αὐτῆς πίστεως ὑπογραφὴ τῶν ἐπισκόπων. 183

Κ'. κη'.

Ὅπου ὁ βασιλεὺς ἀναστὰς ἐκτοῦ θρόνου εὐχαριστηρίους φωνὰς ἀναπέμπειτῷ θεῷ. 184

Κ'. κθ'.

Περὶ ἀκεσίου ἐπισκόπου τῶν Ναυατιανῶν, καὶ τῶν σὺν αὐτῷ. 185

Κ'. λ'.

Περὶ τῶν ἐκκλησιαστικῶν διατυπώσεων λόγος διδασκαλικὸς. 185

Περὶ τῶν λεγόντων μήδεῖν χριστιανοὺς ἐργάζεσθαι. 185

Περὶ τῶν ἱερουμένων. 185

Περὶ τοῦ μήδεῖν λαϊκοὺς ἀνιέναι ἐντῷ ἄμβωνι. 185

Περὶ τοῦ ἁγίου βαπτίσματος. 185

Περὶ τῆς θείας τραπέζης, καὶ τοῦ ἐπ' αὐτὴν μυστηρίου τοῦ σώματος, καὶ τοῦ αἵματος τοῦ χριστοῦ. 185

Περὶ τῆς ἐκνεκρῶν ἀναστάσεως. 186

Ὅτι μία ἡ Ἐκκλησία τοῦ θεοῦ. 186

Περὶ τῆς τοῦ θεοῦ προγνώσεως, καὶ τοῦ κόσμου. Ὅροι ἐκκλησιαστικοὶ ὁρισθέντες παρὰ τῆς ἐν Νικαίᾳ συνόδου. 186

Κ'. λα'.

α'.

Περὶ εὐνούχων ἀποκοψάντων ἑαυτοὺς. 186

β'.

Περὶ τῶν ἀπὸ ἐθνικῶν εἰς χειροτονίαν πραχθέντων. 186

γ'.

Περὶ τῶν τὰς συνεισάκτους ἐχόντων. 186

δ'.

Περὶ καταστάσεως ἐπισκόπων. 187

Περὶ

ε'.

Περὶ τῶν ἀκοινωνήτων γινομένων. 187

ϛ'.

Περὶ τῶν ἐξαιρέτων τιμῶν, καὶ ἀρχαίων ἐθῶν τῶν πατριαρχικῶν θρόνων. 187

ζ'.

Περὶ τοῦ ἐν αἰλίᾳ ἐπισκόπου. 187

η'.

Περὶ τῶν ὀνομαζομένων καθαρῶν. 187

θ'.

Περὶ χειροτονίας πρεσβυτέρων. 187

ι'.

Περὶ τῶν παραπεπτωκότων, καὶ προχειρισθέντων κατὰ ἄγνοιαν. 187

ια'.

Περὶ τῶν παραβάντων χωρὶς ἀνάγκης. 187

ιβ'.

Περὶ τῶν ἀποταξαμένων, καὶ πάλιν εἰς κόσμον ἀναδραμόντων. 188

ιγ'.

Περὶ τῶν ἐν τῷ ἀποθνήσκειν κοινωνίαν ἐπιζητούντων. 188

ιδ'.

Περὶ τῶν κατηχουμένων, παραπεσόντων δὲ. 188

ιε'.

Περὶ τοῦ μήδεῖν μετατίθεσθαι ἀπὸ ἑτέρας πόλεως εἰς ἑτέραν. 188

ιϛ'.

Περὶ τῶν ἐν αἷς προυβλήθησαν ἐκκλησίαις οὐκ ἐμμενόντων. 188

ιζ'.

Περὶ κληρικῶν τοκιζόντων. 188

ιη'.

Περὶ πρεσβυτέρων λαμβανόντων παρὰ τῶν διακόνων τὴν εὐχαριστίαν. 188

ιθ'.

Περὶ τῶν ἐκ Παύλου τοῦ σαμοσατέως προσελθόντων, ἢ προσιόντων τῇ καθολικῇ ἐκκλησίᾳ. 188.

κ'.

Περὶ τῶν ἐν τῇ Κυριακῇ γόνυ κλινόντων. 189

Κ'. λβ'.

Περὶ τοῦ μὴ δεῖν τοὺς ἱερωμένους ἕκαστον τὴν ἑαυτοῦ γαμετὴν ἐκβάλλειν. 189

Κ'. λγ'.

Περὶ τοῦ ἀνοσίου μελητίου. 189

Ἐπιστολὴ γραφεῖσα ταῖς κατὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις παρὰ τῆς ἐν Νικαίᾳ συνόδου. 190

Κ'. λδ'.

Ἐγκύκλιος ἐπιστολὴ γραφεῖσα παρὰ Εὐσεβίου ἐπισκόπου Καισαρίας τῆς ἐν παλαιστίνῃ. 191

Καὶ ἔκθεσις τῆς αὐτοῦ πίστεως. 191

Κ'. λε'.

Ἡ ἐν τῇ συνόδῳ ὑπαγορευθεῖσα πίστις. 191

Κ'. λϛ'.

Ἐπιστολὴ βασιλέως Κωνσταντίνου ἐπισκόποις, καὶ λαοῖς. 192

Ἑτέρα ἐπιστολὴ Κωνσταντίνου τῇ καθολικῇ ἀλεξανδρέων ἐκκλησίᾳ. 192

Ἑτέρα ἐπιστολὴ Κωνσταντίνου ἣν ἀπὸ τῆς Νικαέων ἀπέστειλε τοῖς ἀπολειφθεῖσι τῇ συνόδῳ ἐπισκόποις. 193

Κατάλογος τῶν ἁγίων ἐπισκόπων. 194

Λόγος Τρίτος.

Κωνσταντῖνος σεβαστὸς ἀρείῳ, καὶ ἀρειανοῖς. 195

Κωνσταντῖνος σεβαστὸς τῇ καθολικῇ Ἐκκλησίᾳ Νικομηδέων. 197

Νικητὴς Κωνσταντῖνος σεβαστὸς θεοδότῳ. 199

Ἐπιστολὴ Κωνσταντίνου πρὸς ἀντιοχεῖς. μὴ ἀποσπᾶν εὐσέβιον Καισαρείας, ἀλλ' ἕτερον ζητῆσαι. 199

Κωνσταντίνου ἐπιστολὴ ἐγκωμιαστικὴ πρὸς εὐσέβιον ἐπὶ τῇ παραιτήσει τῆς ἀντιοχέων ἐπισκοπῆς. 200

Ἑτέρα ἐπιστολὴ Κωνσταντίνου πρὸς τὴν συνόδον. μὴ ἀποσπᾶσθαι Καισαρείας εὐσέβιον. 200

Σύνοδος κατὰ τοῦ θείου συμβόλου, καὶ εὐσταθίου τοῦ μάκαρος συναχθεῖσα, ἐν ἀντιοχείᾳ παρὰ τοῦ εὐσεβίου Νικομηδείας. 200

Κανόνες τῶν ἐν Γάγγρα συνελθόντων ἁγίων πατέρων. 201

Σύνοδος ἐν Γάγγρᾳ κατὰ μεσταλιανῶν. χρόνοι ἀπὸ χριστοῦ 325. ἢ 330. 203

Σύνοδος ἀρειανῶν ἐν Καισαρείᾳ τῆς παλαιστίνης κατὰ ἀθανασίου χρόν. ἀπὸ χριστοῦ 334. 203

Ἐπιστολὴ τοῦ ἰσχύρας πρὸς ἀθανάσιον. 203

Ἐπιστολὴ Κωνσταντίνου πρὸς τοὺς καθολικοὺς τῆς ἐν ἀλεξανδρείᾳ ἐκκλησίας. 203

Ἐπιστολὴ Κωνσταντίνου πρὸς ἀθανάσιον. 204

Ἐπιστολὴ ἀλεξάνδρου ἐπισκόπου θεσσαλονίκης πρὸς ἀθανάσιον. συγχαίρει ἐπὶ τῇ νίκῃ κατὰ εὐσεβιανῶν. 205

Ἐπιστολὴ ἀρσενίου ἐπισκόπου τῆς ὑψηλιτῶν πόλεως πρὸς ἀθανάσιον. 205

Ἐπιστολὴ Κωνσταντίνου πρὸς τὴν ἐν τύρῳ συνόδον. 205

Ἐπιστολὴ προσφερομένη ἐν τῇ ἐν τύρῳ συνόδῳ παρὰ τεσσαράκοντα, καὶ ἑπτὰ ὀρθοδόξων ἐπισκόπων τῆς αἰγύπτου σὺν ἀθανασίῳ. 206

Ἐπιστολὴ πρὸς Διονύσιον Κόμητα παρὰ τῶν αὐτῶν τεσσαράκοντα ἑπτὰ ἐπισκόπων. 206

Ἐπιστολὴ ἀλεξάνδρου ἐπισκόπου θεσσαλονίκης πρὸς Διονύσιον Κόμητα. 207

Ἐπιστολὴ Διονυσίου Κόμητος τοῖς περὶ εὐσέβιον. 207

Ἐπιστολὴ τῶν Κληρικῶν τῆς ἀλεξανδρείας ὑπὲρ ἀθανασίου. 207

Ἐπιστολὴ τῶν Κληρικῶν μαρεώτου ὑπὲρ ἀθανασίου. 208

Ἐπιστολὴ τῶν αὐτῶν, ὑπὲρ ἀθανασίου. 208

Ἡ ἐν τύρῳ συνόδος. χρόνοι ἀπὸ χριστοῦ 335. 209

Ἐπιστολὴ Κωνσταντίνου ἐντίμως ἄρειον πρὸς αὐτὸν

τὸν προσκαλῶν. 209
Λίβελλος πίστεως προσφερόμενος παρὰ ἀρείου, καὶ εὐζωΐου πρὸς τὸν αὐτοκράτορα Κωνσταντῖνον. 209
Ἐπιστολὴ συνοδικὴ περὶ τῶν πραχθέντων ἐν τῇ συνόδῳ ἐν ἱεροσολύμοις χρόνοι ἀπὸ χριστοῦ 335. σελις. 210
Σύνοδος μαρεωτικὴ κατὰ ἀθανασίου. χρόνοι ἀπὸ χριστοῦ 336. 210
Ἐπιστολὴ ἰουλίου ἐπισκόπου ῥώμης, πρὸς Διονύσιον τῆς ἀλλεξανδρείας ἐπίσκοπον. ὅτι θεὸς ἔνσαρκος ὁ χριστὸς, καὶ ἐξ οὐρανοῦ, καὶ γῆς. 211
Ἐπιστολὴ ἰουλίου πρὸς τοὺς ἀνατολικοὺς κατὰ ἀρειανῶν, καὶ ὑπὲρ ἀθανασίου. 213
Ἑτέρα ἐπιστολὴ ἰουλίου ῥώμης πρὸς τοὺς ἐν ἀλεξανδρείᾳ κληρικούστε, καὶ λαοὺς ὑπὲρ ἀθανασίου. 217
Ἐπιστολαὶ τρεῖς Κωνσταντίου πρὸς ἀθανάσιον. 218
Ἑτέρα ἐπιστολὴ Κωνσταντίου τοῖς ἐπισκόποις, καὶ πρεσβυτέροις τῆς καθολικῆς ἐκκλησίας. 218
Ἑτέρα τοῦ αὐτοῦ Κωνσταντίου τῷ λαῷ τῆς κατὰ ἀλεξανδρείαν καθολικῆς ἐκκλησίας. 219
Ἑτέρα τοῦ αὐτοῦ. Νεστορίῳ, καὶ τοῖς ἐν αὐγουστομνίκῃ, καὶ θηβαΐδι, καὶ λιβύῃ ἡγεμόσιν. 219
Ἑτέρα τοῦ αὐτοῦ, ἀθανασίῳ. 219
Ἐπιστολὴ ἰουλίου ῥώμης πρὸς προσδόκιον περὶ τῆς θείας ἐνσαρκώσεως. 220
Ἰουλίου ῥώμης ἐν τῷ λόγῳ τῷ περὶ ὁμοουσίου. 220
Κωνσταντίνου Καίσαρος τῷ λαῷ τῆς καθολικῆς ἐκκλησίας πόλεως ἀλεξανδρείας, ὑπὲρ ἀθανασίου. 220
Σύνοδος ἐν Κωνσταντινουπόλει ἀρειανῶν χρόν. ἀπὸ χριστοῦ 340. 221
Ἐπιστολὴ συνοδικὴ τῆς ἐν ἀλεξανδρείᾳ συνόδου τοῖς ἁπανταχοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόποις, ὑπὲρ ἀθανασίου. χρόνοι ἀπὸ χριστοῦ. 339. 221
Κανόνες τῶν ἐν ἀντιοχείᾳ συνελθόντων μακαρίων πατέρων. χρόνοι ἀπὸ χριστοῦ 341. 228
Ἐπιστολὴ περὶ πίστεως, ἣν ἐξέθεντο οἱ συνελθόντες ἐν ἀντιοχείᾳ ὑπὸ εὐσεβίου Νικομηδείας, τὰ τοῦ ἀρείου φρονοῦντος. 231
Ἔκθεσις πίστεως μάρκου ἀρεθουσίου οὐκ εὖ ἔχουσα. 232
Σύνοδος τῶν ἀρειανῶν ἐν ἀντιοχείᾳ. 233
Σύμβολον τοῦ μεγάλου ἀθανασίου. 233
Ἐκτῆς ἁγίας, καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Νικαίᾳ, περὶ πίστεως κατὰ συντομίαν, καὶ πῶς δεῖ πιστεύειν τὸν ἀληθῆ χριστιανὸν. 234
Ἔκθεσις πίστεως τῶν ἑώων ἐπισκόπων. ἣν οἱ ἀνὰ τὴν δύσιν ἱερεῖς οὐ προσεδέξαντο, ἐπεὶ οὐσίας μὲν ταύτῃ ἐν θεοῦ μνήμην οὐκ ἐποιήσαντο. 235
Κανόνες τῶν ἐν σαρδικῇ συνελθόντων μακαρίων πατέρων. 237
Ἐπιστολὴ τῆς ἐν σαρδικῇ συναχθείσης συνόδου τῇ ἐκκλησίᾳ ἀλεξανδρέων. 241
Ἐπιστολὴ τῆς ἐν σαρδικῇ συνόδου, τοῖς ἁπανταχοῦ ἐπισκόποις. 242
Προσθήκη τῆς τρίτης ἐπιστολῆς τῆς ἐν σαρδικῇ συνόδου. 245
Ἐπιστολὴ εὐσταθίου, θεοφίλου, καὶ σιλβανοῦ, πρὸς λιβέριον, ἐν ᾗ ὁμολογοῦσι τὴν σύνοδον τὴν γενομένην ἐν λαμψάκῳ, καὶ ἐν σμύρνῃ, καὶ ἐν ἑτέροις διαφόροις τόποις τῶν ὀρθοδόξων ἐπισκόπων. καὶ κρατεῖν τὴν πίστιν τῆς ἐν Νικαίᾳ. 246
Σύνοδος ἀρειανῶν ἐν φιλιππουπόλει δύσφημον ὅρον ἐκθέμενοι παῦλον, καὶ ἀθανάσιον ἀπεκήρυξαν. 247
Σύνοδος ἐν ἀντιοχείᾳ ἀρειανῶν. 247
Ἐπιστολὴ εἰρηνοποιὸς, καὶ κοινωνιτικὴ οὐρσακίου, καὶ οὐάλεντος πρὸς ἀθανάσιον. 247
Ἑρμηνεία ἀπὸ τοῦ ῥωμαϊκοῦ, τῆς πρὸς ἰούλιον ἐπιστολῆς, περὶ τῆς μετανοίας οὐρσακίου, καὶ οὐάλεντος. 247
Ἐπιστολὴ συνοδικὴ τῆς ἐν ἱεροσολύμοις συνόδου, πρὸς τοὺς ἀλεξανδρεῖς, ὑπὲρ ἀθανασίου. 248
Σύνοδος ἐν ἱεροσολύμοις ὀρθόδοξος, ἥτις προσεδέξατο παῦλον, καὶ ἀθανάσιον. 248
Σύνοδος ὑπὸ ἐπισκόπου Κουρδούβης, ἥτις κατέκρινεν οὓς ἡσαρδικὴ ἀπεκήρυξε σύνοδος, καὶ οὓς πάλιν ἐδικαίωσε προσεδέξατο. 248
Σύνοδος ἐν ἱεροσολύμοις τῶν ἀρειανῶν, ἥτις ἀπέβαλλε τὸν ὁμολογητὴν μάξιμον. 248
Σύνοδος ἐν συρμίῳ αἱρετικὴ κατὰ τοῦ θείου συμβόλου, καὶ ἀθανασίου. 248
Λιβερίου ῥώμης ἐπιστολὴ πρὸς τὸν ἀθανάσιον, ὅτι τέλειον ἄνθρωπον ἔλαβεν ὁ θεὸς λόγος. 249
Ἑτέρα ἐπιστολὴ λιβερίου πρὸς τοὺς ἐπισκόπους τῆς ἀνατολῆς τῶν μακεδονιανῶν. 249
Ἐπιστολὴ τοῦ ἁγίου ἀθανασίου πρὸς λιβέριον ῥώμης. ὅτι τέλειον ἄνθρωπον ἀνέλαβεν ὁ θεὸς λόγος ὑπὲρ τῆς ἡμετέρας σωτηρίας. 250
Διάλογος Κωνσταντίου βασιλέως, καὶ λιβερίου Παπα ῥώμης. 250
Ἐπιστολὴ ὁσίου πρὸς Κωνσταντίον αὐτοκράτορα. 251
Σύνοδος ἐν μεδιολάνῳ. καὶ πίστις ἀρειανῶν ἐκτεθεῖσα ἐν σιρμίῳ. 252
Ἑτέρα πίστις ἐκτεθεῖσα ἐν σιρμίῳ ἀρειανῶν. 253
Ἐπιστολὴ συνοδικὴ τῆς ἐν ἀγκύρᾳ συνόδου. 253
Ἐπιστολὴ Γεωργίου ἐπισκόπου λαοδικέας κατὰ εὐδοξίου, καὶ ἀετίου. ἥτις ἀνεγνώσθη ἐν αὐτῇ τῇ συνόδῳ. 258
Ἀπόφασις τῆς συνόδου. 258
Ἐπιστολὴ τῆς ἐν ἀριμίνῳ συνόδου πρὸς τὸν βασιλέα. 258
Ἐπιστολὴ Κωνσταντίου πρὸς τὴν σύνοδον. 258
Ἐπιστολὴ τῆς ἐν ἀριμίνῳ συνόδου πρὸς Κωνσταντίον. 259
Σύνοδος ἐν ἀριμίνῳ χρόνοι ἀπὸ χριστοῦ 359. σελὶς. 260
Πίστις ἐκτεθεῖσα ἐν νίκῃ τῆς θράκης, οὐκ εὖ ἔχουσα. 260
Σύνοδος ἐν νίκῃ τῆς θράκης αἱρετικὴ. 260
Σύνοδος ἐν Νικαίᾳ τῆς βιθυνίας αἱρετικὴ. 260
Διασάφυσις πίστεως ἡμιαρείων, καὶ ἀρειανῶν ἐκδοθεῖσα ἐν τῇ ἐν σελευκείᾳ συνόδῳ. 261
Σύνοδος ἀρειανῶν ἐν σελευκείᾳ. 261

Ἀντί-

Ἀντίγραφον τῶν γραφέντων ὑπὸ πάσης τῆς ἐν Κωνσταντινουπόλει συνόδου Γεωργίῳ ἀλεξανδρείας κατὰ ἀετίου Διακόνου αὐτοῦ, ἕνεκεν τῆς ἀθεμίτου αὐτοῦ βλασφημίας. 262
Σύνοδος ἐν Βυζαντίῳ. 263
Σύνοδος ἐν ἀντιοχείᾳ ἐπὶ Κωνσταντίου. 263
Ἐπιστολὴ ἀθανασίου πρὸς τοὺς ἀντιοχεῖς. 263
Σύνοδοι δύο ἐν ἀλεξανδρείᾳ ἀθανασίου. 266
Ἐπιστολὴ ἀθανασίου πρὸς μουφινιανὸν. 266
Ἑτέρα ἐπιστολὴ ἀθανασίου, πρὸς Ἰωβιανὸν, περὶ πίστεως. 266
Σύνοδος ἀθανασίου, δι' ἧς ὅρον συνοδικὸν πλήρη ἀληθείας, καὶ χάριτος ἀπέστειλεν ἰωβιανῷ τῷ φιλοχρίστῳ βασιλεῖ. 267
Ἐπιστολὴ τῆς ἐν ἀντιοχείᾳ συνόδου πρὸς τὸν αὐτοκράτορα ἰωβιανὸν. ἐν ᾗ δηλοῦσι κατέχειν, καὶ ἀποδέχεσθαι τὴν πίστιν τῆς ἐν Νικαίᾳ συνόδου. 267
Σύνοδος ἐν ἀντιοχείᾳ μελετίου τοῦ ἀοιδίμου. 268
Ἐπιστολὴ Λιβερίου πρὸς τοὺς ἐπισκόπους τῶν μαδονιανῶν. 268
Ἐπιστολὴ συνοδικὴ τῶν ἐπισκόπων τοῦ ἰλλυρικοῦ πρὸς τοὺς ἀνατολικοὺς. 269
Ἐπιστολὴ Αὐτοκρατόρων Βαλεντινιανοῦ, καὶ οὐάλη, καὶ Γρατιανοῦ, πρὸς τοὺς ἀσιανοὺς περὶ τοῦ ὁμουσίου. 269
Ἐπιστολὴ τοῦ μεγάλου βασιλείου τῇ βουλῇ τυάνων. 270
Σύνοδος ἐν τυάνοις ὀρθόδοξος. ἥτις ἐκύρωσε τὰ ἐν Νικαίᾳ. 270
Ἐπιστολὴ Δαμάτου τοῖς τὴν ἑῴαν ἰθύνουσαν. 270
Δύο σύνοδοι ἐν ῥώμῃ ἐπὶ Δαμάσου ὑπὲρ τοῦ ὁμουσίου κατὰ αὐξεντίου. 271
Σύνοδος ἐν λαμψάκῳ οὐκ εὖ ἔχουσα. 271
Σύνοδος ἐν πούζῃ ἀετιανῶν. ἥτις ἐκτίθεται ὅρον ἐκτελεῖν τὸ πάσχα μετὰ ἰουδαίων. 271
Σύνοδος ἐν τῷ ἰλλυρικῷ ὀρθόδοξος. ἥτις καλῶς ἐβεβαίωσε τὴν ἐν Νικαίᾳ πίστιν. ἀναθεματίσασα δὲ πολυχρόνιον, καὶ τοὺς αὐτοῦ ὁμόφρονας. 271
Σύνοδος Καισαρείας Καππαδοκίας, Βασιλείου. ἐν ᾗ ἀναθεματίζει Διάνιον, ἀστέριον, καὶ τοὺς λοιποὺς. 272
Οἱ ἐπίσκοποι οἱ ἐπὶ τῆς ῥωμαίων γράφουσι τοῖς ἀδελφοῖς τοῖς ἐν ἰλλυρικῷ καθεστῶσιν ἐπισκόποις ὁμολογοῦντες τὴν πίστιν τῆς ἐν Νικαίᾳ. 272
Ἔκθεσις πίστεως πρὸς ἀθανάσιον, ὑπὸ εὐγενίου Διακόνου. 272
Σύνοδος ἐν μεδιολάνῳ ἀμβροσίου. ἐν ᾗ ἀμβρόσιος ἀνηγορεύθη ἐπίσκοπος. 273
Ἀναθεματισμοὶ δέκα κατὰ ἀπολιναρίου. 274
Σύνοδος ἐν ῥώμῃ τρίτῃ ἐπὶ Δαμάσου. ἥτις τὸν ἄνουν ἀπολινάριον, καὶ στέφανον τὸν μαθητὴν αὐτοῦ ἀνεθεμάτισε. καὶ τὸν φόνιον λούκιον. 274
Τοῦ αὐτοῦ δαμάσου τετάρτη σύνοδος ἐν ῥώμῃ κατὰ ἀρειανῶν, καὶ πνευματομάχων. καὶ ἄλλων πλείστων αἱρετικῶν. 274
Σύνοδος ἐν ἀντιοχείᾳ ἐπὶ μελετίου. ἣ τὸ θεοποίον κυρώσασα σύμβολον, ἀνεθεμάτισε μάρκελον, φωτεινὸν, καὶ ἀπολινάριον. 274
Ὁμολογία τῆς καθολικῆς πίστεως ἣν ὁ πάπας Δάμασος ἀπέστειλεν πρὸς ἐπίσκοπον παυλῖνον θεσσαλονίκης. 274
Ἀμφιλοχίου ἐπισκόπου ἰκονίου, ἐπιστολὴ, περὶ τῆς ἐν Νικαίᾳ συνόδου. 275
Σύνοδος ἐν ἀντιοχείᾳ. 275
Ἐπιστολὴ συνοδικὴ πρὸς τοὺς ἐπισκόπους τῆς ἰταλίας, καὶ Γαλλίας. 276

Σύνοδος οἰκουμενικὴ δευτέρα. 276
Τοῦ ἐν ἁγίοις Γρηγορίου τοῦ Ναζιανζινοῦ συντακτήριος εἰς τὴν τῶν ἑκατὸν πεντήκοντα ἐπισκόπων παρουσίαν. 278
Κανόνες τῆς ἐν Κωνσταντινουπόλει δευτέρας οἰκουμενικῆς συνόδου. καὶ λόγος προσφωνητικὸς τῆς αὐτῆς πρὸς τὸν βασιλέα Θεοδόσιον, ᾧ ὑπέταξε τοὺς παρ' αὐτῆς ἐκτεθέντας κανόνας. 284
Σύμβολον τῆς αὐτῆς ἐν Κωνσταντινουπόλει συνόδου. 286
Ἐπιστολὴ τῶν ἐν Κωνσταντινουπόλει συνελθόντων ἐπισκόπων πρὸς Δάμασον, Ἀμβρόσιον, καὶ τοῖς λοιποῖς. 286
Σύνοδος ἐν Κωνσταντινουπόλει οἰκουμενικὴ δευτέρα. 288
Ἡ αὐτὴ ἐκτοῦ βιβλίου τοῦ φωτίου. 288
Ἡ αὐτὴ ἐξ ἀνωνύμου. 289
Σύνοδος ἐν ἀκυλίᾳ ἐπὶ ἀμβροσίου. 289
Εὐνομίου ἔκθεσις. 289
Σύνοδος ἐν Κωνσταντινουπόλει γ'. 290
Βίβλος Κανόνων τῆς ἐν ἀφρικῇ ἐκκλησίας. 291
Κανόνες διαφόρων τῆς ἐν ἀφρικῇ ἐκκλησίας συνόδων. 298
Ἐπιστολὴ ἀπὸ πάσης τῆς ἐν ἀφρικῇ συνόδου πρὸς βονηφάτιον τὸν ἐπίσκοπον ῥώμης. 320
Ἐπιστολὴ Κυρίλλου ἀλεξανδρείας πρὸς τὴν ἐν Καρχηδόνι σύνοδον. 321
Ἑτέρα ἐπιστολὴ ἀττικοῦ Κωνσταντινουπόλεως, πρὸς τὴν αὐτὴν σύνοδον. 321
Σύμβολον τῆς ἐν Νικαίᾳ συνόδου. 322
Ἐπιστολὴ τῆς ἐν ἀφρικῇ συνόδου πρὸς Κελεστῖνον ῥώμης. 322
Ἐκ τῶν πραχθέντων ὑπομνημάτων ἐν Κωνσταντινουπόλει περὶ ἀγαπίου, καὶ βαγαδίου, ἑκατέρου ἀντεχομένου τῆς ἐπισκοπῆς βόστρων. 323
Σύνοδος ἐν Καρθαγένῃ ἐπὶ Αὐρηλίου. 324
Συνοδικὴ ἐπιστολὴ κατὰ τῶν ὠριγένους δογμάτων. 324
Ἐπιστολὴ Ἰννοκεντίου ῥώμης πρὸς ἀρκάδιον αὐτοκράτορα. περὶ τοῦ Χρυσοστόμου. 324
Ἐπιστολὴ ἀρκαδίου πρὸς Ἰννοκέντιον. 325
Ἐπιστολὴ ὀνωρίου πρὸς ἀρκάδιον τὸν ἀδελφὸν. 325
Ἐπιστολὴ ἀρκαδίου πρὸς Ἰννοκέντιον ἑτέρα. 325
Ἐπιστολὴ Χρυσοστόμου πρὸς Ἰννοκέντιον. 326
Ἐπιστολὴ Ἰννοκεντίου πρὸς Θεόφιλον ἀλεξανδρείας, περὶ τῆς κοινωνίας τοῦ Χρυσοστόμου. 328
Ἐπιστολὴ Ἰννοκεντίου πρὸς τὸν κλῆρον, καὶ τὸν λαὸν τῆς Κωνσταντινουπόλεως, ὑπὲρ χρυσοστόμου.

ςόμου. 328
Ἐπιςολὴ ὀνωρίου αὐτοκράτορος πρὸς ἀρκάδιον βασιλέα. 329
Ἐπιςολὴ χρυσοςόμου πρὸς ἰννοκέντιον. 329
Ἐπιςολὴ ἰννοκεντίου πρὸς ἰωάννην τὸν χρυσόςομον. 330
Συνόδος ἡ κατὰ τοῦ ἐν ἁγίοις ἰωάννου παρανόμως συςάσα. χρόνοι ἀπὸ χριςοῦ. 403. 330
Ἐπιςολὴ τῆς παρανόμου συνόδου, καὶ ἀπόκρισις τοῦ χρυσοςόμου, καὶ ἀπόφασις κατ' αὐτοῦ τῆς συνόδου. 332
Συνόδος ἐν Κωνςαντινουπόλει κατὰ τοῦ χρυσοςόμου. 332
Ἑτέρα συνόδος ἐν Κωνςαντινουπόλει ὑπὲρ τοῦ χρυσοςόμου. 332
Ἐπιςολαὶ Κανονικαὶ, καὶ α'. ἐπιςολὴ τοῦ ἁγίου Ἀθανασίου, πρὸς ἀμοῦν μονάζοντα. 333
Τοῦ αὐτοῦ ἑτέρα ἐκτῆς λθ'. ἑορταςικῆς ἐπιςολῆς. 334
Τοῦ αὐτοῦ ἑτέρα πρὸς ῥουφινιανὸν. 335
Ἐπιςολὴ Κανονικὴ τοῦ ἁγίου βασιλείου Καισαρείας Καππαδοκίας πρὸς ἀμφιλόχιον ἥτις περὶ λαμβάνει πε'. Κανόνας. 335
Τοῦ αὐτοῦ περὶ ἐγκρατευτῶν. 345
Τοῦ αὐτοῦ πρὸς Διόδωρον ἐπίσκοπον Ταρσοῦ, περὶ τοῦ δύο ἀδελφὰς ἀγομένου εἰς γάμον. 345
Τοῦ αὐτοῦ πρὸς Γρηγόριον Πρεσβύτερον ὥςε χωρισθῆναι τοῦ συνοίκου γυναίου. 346
Τοῦ αὐτοῦ χωρεπισκόποις, ὥςε μὴ γίνεσθαι χωρὶς αὐτοῦ ὑπηρέτας παρὰ τοὺς κανόνας. 347
Τοῦ αὐτοῦ πρὸς τοὺς ὑφ' ἑαυτὸν ἐπισκόπους, ὥςε μὴ χειροτονεῖν ἐπὶ χρήμασι. 347
Τοῦ αὐτοῦ ἁγίου βασιλείου ἐκτοῦ κζ'. Κεφ. τῶν περὶ τοῦ ἁγίου πνεύματος, πρὸς τὸν μακάριον ἀμφιλόχιον. 348
Τοῦ αὐτοῦ ἐκτοῦ κθ'. Κεφ. τῆς αὐτῆς πραγματείας. 348
Ἐπιςολὴ Κανονικὴ Γρηγορίου Νύσσης, πρὸς λητόϊον ἐπίσκοπον μελιτινῆς. 349
Ἀποκρίσεις κανονικαὶ Τιμοθέου ἐπισκόπου ἀλεξανδρείας. 352
Θεοφίλου ἀλεξανδρείας προσφώνησις τῶν θεοφανίων ἐπιςάντων ἐν κυριακῇ. 353
Τοῦ αὐτοῦ ὑπομνιςικὸν ὅπερ ἔλαβεν ἀμμῶν, διὰ τὴν λυκῶ, ἥτις ἐςὶ χωρίον αἰγύπτου ἐν Κανόσι δέκα. 354
Τοῦ αὐτοῦ ἀφήγησις περὶ τῶν λεγομένων Καθαρῶν. 354
Τοῦ αὐτοῦ Ἀγάθωνι ἐπισκόπῳ. 355
Τοῦ αὐτοῦ μηνᾶ ἐπισκόπῳ. 355
Συνεσίου ἐπιςολὴ πρὸς τοὺς ἐπισκόπους. 355

Ἡ ἐν ἐφέσῳ οἰκουμενικὴ τρίτη συνόδος χρόνοι ἀπὸ χριςοῦ 431. 357
Ὑπομνηςικὸν τοῦ ἁγιωτάτου Κυρίλλου πρὸς ποσειδώνιον τῶν κατὰ Νεςόριον ἕνεκεν. 357
Ὁμιλία Πρόκλου ἐπισκόπου Κυζίκου, ὅτι θεοτόκος ἐςὶν ἡ ἁγία παρθένος μαρία. 358
Ἐπιςολὴ Κυρίλλου ἀλεξανδρείας πρὸς τοὺς ἐν αἰγύπτῳ μοναχοὺς. 360
Τοῦ αὐτοῦ Κυρίλλου προσφωνητικὸς πρὸς τὸν βασιλέα Θεοδόσιον, περὶ τῆς ὀρθῆς πίςεως τῆς εἰς τὸν Κύριον ἡμῶν ἰησοῦν χριςὸν. 367
Τοῦ αὐτοῦ Κυρίλλου προσφωνητικὸς ταῖς εὐσεβεςάταις βασιλίσσαις. 384
Ἀθανασίου ἀλεξανδρείας περὶ χριςοῦ. 386
Μαρτυρίαι ἑτέρων ἁγίων πατέρων περὶ χριςοῦ. 386
Ὅτι θεὸς ὁ χριςὸς μαρτυρίαι ἐκτῆς θείας γραφῆς. 389
Ὅτι ζωὴ, καὶ ζωοποιὸς ὁ χριςὸς μαρτυρίαι. 402
Ὅτι εἷς ὁ υἱὸς, καὶ κύριος ἰησοῦς χριςὸς. 402
Ὅτι εἰς χριςὸν ἡ πίςις ὡς εἰς θεὸν. 403
Ὅτι ζωὴ. 403
Ὅτι ἱλαςήριον διὰ πίςεως. καὶ ὅτι λελυτρώμεθα, καὶ τὴν καταλαγὴν πρὸς θεὸν ἐσχήκαμεν διὰ τοῦ αἵματος αὐτοῦ. καὶ ὅτι ὁ χριςοῦ θάνατος τῷ κόσμῳ σωτήριος. 404
Ὅτι εἷς υἱὸς ὁ τοῦ θεοῦ, καὶ κύριος ἰησοῦς χριςὸς. 406
Ὅτι εἰς χριςὸν ἡ πίςις ὡς εἰς θεόν. 411
Κυρίλλου ἀλεξανδρείας λόγος δεύτερος προσφωνητικὸς ταῖς εὐσεβεςάταις βασιλίσσαις, περὶ τῆς ὀρθῆς πίςεως. 415
Περὶ τῆς ὑπακοῆς τοῦ χριςοῦ. 423
Περὶ τοῦ ἡγιάσθαι τὸν χριςὸν, καὶ τῆς κατ' αὐτὸν νουμένης ἱερωσύνης. 424
Περὶ τοῦ λέγεσθαι δόξαν λαβεῖν τὸν κύριον ἡμῶν ἰησοῦν χριςὸν. 431
Περὶ τοῦ λέγεσθαι ἀναςῆναι χριςὸν ἐκ νεκρῶν ἐν δυνάμει τοῦ πατρὸς. 432
Ὅτι κἂν υἱὸς ἀνθρώπου λέγηται ὁ χριςὸς, ἀλλ' οὐδὲν ἧττον ἐςὶ θεὸς ἀληθινὸς. 435
Κυρίλλου ἐπισκόπου ἀλεξανδρείας ἐπιςολὴ πρὸς Νεςόριον ἡνίκα ἔμαθεν αὐτὸν κακῶς φρονεῖν. 436
Ἐπιςολὴ Νεςορίου πρὸς Κύριλλον, διὰ λάμπωνος πρεσβυτέρου, καὶ μονάζοντος. 436
Κυρίλλου ἑτέρα πρὸς Νεςόριον. 436
Ἴσον ἐπιςολῆς Νεςορίου πρὸς τὸν πάπαν Κύριλλον. 438
Ἐπιςολὴ Κυρίλλου πρὸς τοὺς ἐγγράφως αὐτὸν αἰτιασαμένους ὅτι περὶ οὐσεσίωπηκεν, ἐξ ἀκοῆς μαθῶν ἕρπειν ἐπὶ τὸ χεῖρον τὴν δυσσεβῆ τοῦ Νεςορίου διδασκαλίαν. 440
Ἐπιςολὴ Κυρίλλου πρὸς τιναζηλωτὴν περὶ Νεςορίου. 440
Τοῦ αὐτοῦ πρὸς τοὺς Κωνςαντινουπόλεως κληρικοὺς ςασιάζοντας. 440
Διαμαρτυρία προτεθεῖσα ἐνδημοσίῳ παρὰ τῶν Κληρικῶν Κωνςαντινουπόλεως, καὶ κατὰ ἐκκλησίαν ἐμφανισθεῖσαν, ὡς ὅτι ὁμόφρων ἐςὶ Νεςόριος Παύλου σαμοσατέως τοῦ ἀναθεματισθέντος πρὸ ἐτῶν ἑκατὸν ἑξήκοντα ὑπὸ τῶν ὀρθοδόξων ἐπισκόπων. 442
Κυρίλλου ἐπιςολὴ πρὸς Κελεςῖνον ἐπίσκοπον ῥώμης. 443
Ἐπιςολὴ Κελεςίνου πρὸς Κύριλλον. 444
Ἐπιςολὴ Κελεςίνου πρὸς Νεςόριον. 445
Τοῦ αὐτοῦ Κελεςίνου πρὸς τὸν κλῆρον, καὶ τὸν λαὸν

Κων-

Κωνσταντινουπόλεως. 448
Τοῦ αὐτοῦ Κελεστίνου ἐπιστολὴ πρὸς ἰωάννην ἐπίσκοπον ἀντιοχέων. 451
Ἐπιστολὴ Κυρίλλου πρὸς ἰωάννην ἀντιοχείας. σελίς. 452
Ἑτέρα ἐπιστολὴ Κυρίλλου πρὸς ἀκάκιον ἐπίσκοπον βερροίας περὶ τοῦ αἱρετικοῦ Νεστορίου. 452
Ἐπιστολὴ ἀκακίου βερροίας πρὸς Κύριλλον. 453
Ἐπιστολὴ Κυρίλλου πρὸς ἰουβενάλιον ἱεροσολύμων. 454
Ἐπιστολὴ ἰωάννου ἀντιοχείας πρὸς Νεστόριον. 454
Ἐπιστολὴ Κυρίλλου, καὶ τῆς ἐν ἀλεξανδρείᾳ συνόδου, πρὸς Νεστόριον περὶ τῆς ἀκοινωνησίας. 456
Τοῦ αὐτοῦ Κυρίλλου πρὸς τὸν κλῆρον, καὶ τὸν λαὸν Κωνσταντινουπόλεως. ἐν ᾗ γράφει, ὥστε μὴ προσέχειν αὐτοὺς τῇ δυσσεβεῖ διδασκαλίᾳ τοῦ αἱρετικοῦ Νεστορίου, μήτε μὴν κοινωνεῖν αὐτῷ. καὶ τὰ ἑξ. 460
Τοῦ αὐτοῦ, καὶ τῆς αὐτῆς συνόδου, πρὸς τοὺς ἐν Κωνσταντινουπόλει μοναχοὺς. 461
Δέησις βασιλείου διακόνου, καὶ λοιπῶν μοναχῶν, τοῖς εὐσεβεστάτοις βασιλεῦσι Θεοδοσίῳ, καὶ οὐαλεντινιανῷ κατὰ Νεστορίου. 462
Ἴσον σάκρας ἀποσταλείσης παρὰ τοῦ βασιλέως Θεοδοσίου πρὸς Κύριλλον ἀλεξανδρείας. 464
Θεῖον Γράμμα τῶν Αὐτοκρατόρων, ἀποσταλὲν ἐν ἀλεξανδρείᾳ Κυρίλλῳ ἐπισκόπῳ, καὶ τοῖς κατὰ χώραν τῶν μητροπόλεων ἐπισκόποις. 464
Πρὸ τῆς συνόδου ἐπιστολὴ Κυρίλλου ἀπὸ ῥώδου πρώτη. ἀποσταλεῖσα πρεσβυτέροις, καὶ διακόνοις, καὶ λαῷ ἀλεξανδρείας. 465
Τοῦ αὐτοῦ δευτέρα ἐπιστολὴ τοῖς αὐτοῖς. 466
Θεῖον Γράμμα τῶν αὐτοκρατόρων, ἀποσταλὲν τῇ ἁγίᾳ συνόδῳ διὰ κανδιδιανοῦ Κόμητος δομεστίκων, τοῦ καὶ τὴν εὐταξίαν τῆς συνόδου ἐγχειρισθέντος. 466
Ἐπιστολὴ ἰωάννου ἀντιοχείας πρὸς Κύριλλον. 467
Τόμος Δεύτερος ὁ περιέχων τὰ πρακτικὰ τῆς συνόδου. 468

Ἀρχὴ τῆς συνόδου πρᾶξις α'.

Μαρτυρίαι ἁγίων πατέρων περὶ τοῦ ὀρθοῦ δόγματος τῆς πίστεως. 483
Πέτρου ἐπισκόπου ἀλεξανδρείας. 483
Ἀθανασίου ἀλεξανδρείας. 483
Ἰουλίου ἐπισκόπου ῥώμης. 484
Φήλικος ἐπισκόπου ῥώμης, καὶ μάρτυρος. 484
Θεοφίλου ἐπισκόπου ἀλεξανδρείας. 484
Κυπριανοῦ ἐπισκόπου, καὶ μάρτυρος. 484
Ἀμβροσίου ἐπισκόπου μεδιολάνων. 484
Γρηγορίου τοῦ Ναζιανζοῦ. 485
Βασιλείου τοῦ μεγάλου. 485
Γρηγορίου Νύσσης. 485
Ἀττικοῦ ἐπισκόπου Κωνσταντινουπόλεως. 485
Ἀμφιλοχίου ἐπισκόπου ἰκονίου. 486
Τετράδια αἱρετικὰ ἐκτοῦ βιβλίου τοῦ Νεστορίου. 486
Ἐπιστολὴ Καπραιόλου ἐπισκόπου Καρθαγένης πρὸς τοὺς συνελθόντας ἐπισκόπους εἰς τὴν συνόδον. 489
Ἀπόφασις τῆς συνόδου ἐξενεχθεῖσα κατὰ Νεστορίου, καθαιροῦσα αὐτόν. 490
Καθαίρεσις πεμφθεῖσα αὐτῷ, τῇ ἐπαύριον τοῦ καθαιρεθῆναι αὐτόν. 493
Ἐπιστολὴ τῆς συνόδου πρὸς τοὺς κληρικοὺς, καὶ οἰκονόμους τῆς ἐκκλησίας Κωνσταντινουπόλεως. 494
Κυρίλλου ἐπιστολὴ πρὸς τινας ἐκτοῦ ἐν Κωνσταντινουπόλει κλήρου. 494
Ἀναφορὰ μετὰ ψεύδους Νεστορίου, καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων, πρὸς τοὺς βασιλέας, περὶ τῶν πεπραγμένων παρὰ τῇ ἁγίᾳ συνόδῳ. 495
Ἀναφορὰ πρὸς τοὺς εὐσεβεστάτους βασιλέας, περὶ τῆς καθαιρέσεως Νεστορίου, παρὰ τῆς ἁγίας συνόδου. 496
Ἐπιστολὴ τῆς συνόδου πρὸς τὸν κλῆρον, καὶ τὸν λαὸν Κωνσταντινουπόλεως. 497
Ἐπιστολὴ Κυρίλλου πρὸς τὸν κλῆρον, καὶ τὸν λαὸν ἀλεξανδρείας. 497
Τοῦ αὐτοῦ Κυρίλλου πρὸς τὸν αὐτὸν κλῆρον ἐπιστολὴ δευτέρα. 497
Ἐπιστολὴ Κυρίλλου γραφεῖσα ἀπὸ ἐφέσου πρὸς τοὺς πατέρας τῶν μοναζόντων. 498
Ῥηγίνου ἐπισκόπου Κωνσταντίας τῆς Κύπρου, ὁμιλία λεχθεῖσα ἐν ἐφέσῳ μετὰ τὴν καθαίρεσιν Νεστορίου. 498
Κυρίλλου ἀλεξανδρείας ὁμιλία λεχθεῖσα ἐφεσίοις, συνάξεων ἐπιτελουμένων, καθαιρεθέντος Νεστορίου. 499
Τοῦ αὐτοῦ πρὸς Νεστόριον, ἡνίκα κατῆλθον οἱ ἑπτὰ πρὸς τὴν ἁγίαν μαρίαν. 500
Ἐπιστολὴ πεμφθεῖσα πρὸς τὴν ἐν ἐφέσῳ συνόδον παρὰ Δαλματίου ἀρχιμανδρίτου. 501
Ἀντίγραφον πεμφθὲν παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν Κύριον Δαλμάτιον. 501
Τὰ πρακτικὰ τοῦ ἀποστατικοῦ συνεδρίου. 502
Ὑπομνήματα παρὰ τοῖς ἀνατολικοῖς ἐπισκόποις ἐν οἷς καθαιροῦσι Κύριλλον, καὶ μέμνονα. καὶ ἀκοινωνήτους ποιοῦσι πάντας τοὺς τῆς ἁγίας συνόδου. 502
Ψῆφος τῶν σχισματικῶν ἐπισκόπων. 504
Γράμμα τῶν αὐτῶν τὸ τῆς ἀκοινωνησίας σταλὲν τῇ ἁγίᾳ συνόδῳ. 504
Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν βασιλέα. δι' ἧς ἐμήνυσαν τὰ παρ' αὐτοῖς πραχθέντα, καὶ τὴν αἰτίαν τοῦ βράδους τῆς ἀφίξεως τοῦ ἀντιοχείας ἐπισκόπου. 505
Ἐπιστολὴ Ἰωάννου ἀντιοχείας, καὶ τῶν σὺν αὐτῷ, πρὸς τὸν Κωνσταντινουπόλεως Κλῆρον. 505
Ἐπιστολὴ τῶν αὐτῶν, πρὸς τὴν ἐν Κωνσταντινουπόλει σύγκλητον. 505
Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν ἐν Κωνσταντινουπόλει λαόν. 506
Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὰς Βασιλίδας. 506

Πρᾶξις Δευτέρα.

Ἴσον ὑπομνήματος πραχθέντος ἐπὶ τῇ παρουσίᾳ τῶν ἀπὸ ῥώμης ἐλθόντων ἐπισκόπων, καὶ πρεσβυτέρων. 507

Ἐπιστολὴ Κελεστίνου ῥώμης πρὸς τὴν ἐν ἐφέσῳ συνόδον. 508

Πράξις Τρίτη. 510

Ἴσον ἀναφορὰς πρὸς τοὺς εὐσεβεστάτους βασιλέας, περὶ τῶν ἀπὸ ῥώμης ἐλθόντων ἐπισκόπων, καὶ πρεσβευτῶν, διὰ τοῦ διακόνου εὐτυχοῦς παρὰ τῆς ἁγίας συνόδου. 512

Ἴσον ἐπιστολῆς γραφείσης παρὰ τῆς ἁγίας συνόδου, πρὸς τὸν κλῆρον, καὶ τὸν λαὸν Κωνσταντινουπόλεως, περὶ τῆς καθαιρέσεως Νεστορίου. 513

Πράξις Τετάρτη.

Λίβελλοι ἐπιδοθέντες τῇ ἁγίᾳ συνόδῳ, παρὰ τῶν ἁγιωτάτων ἐπισκόπων, Κυρίλλου ἀλεξανδρείας, καὶ μέμνονος ἐφέσου. 513

Πράξις Πέμπτη. 516

Ἴσον ἀναφορᾶς παρὰ τῆς ἁγίας συνόδου, πρὸς τοὺς εὐσεβεστάτους βασιλεῖς, περὶ τῶν ἀνατολικῶν. 518

Ἀναφορὰ τῆς συνόδου τῷ ἁγιωτάτῳ Κελεστίνῳ. 519

Κυρίλλου ἀλεξανδρείας ὁμιλία κατὰ Ἰωάννου τοῦ ἀντιοχείας ἀποσχίσαντος. 521

Πίστις ἣν ἐξέθετο ἡ ἐν Νικαίᾳ σύνοδος. 522

Ἀρχὴ τοῦ κατὰ χαρίσιον πρακτικοῦ ὅτε προσῆλθε τῇ ἁγίᾳ συνόδῳ κατὰ τῶν Τεσσαρεσκαιδεκατιτῶν. 522

Οἱ ἐπιδοθέντες λίβελλοι τῇ συνόδῳ, παρὰ χαρισίου πρεσβυτέρου. 523

Ὁμολογία πίστεως χαρισίου πρεσβυτέρου. 523

Ἴσον τῆς ἐκθέσεως τοῦ παραπλασθέντος συμβόλου. 523

Ὑπογραφὴ τῶν ἠπατημένων. 524

Ὅρος τῆς συνόδου περὶ τῆς πίστεως, ἐν ᾧ, καὶ περὶ ὧν ἀνήνεγκεν ὁ χαρίσιος. 527

Κυρίλλου ὁμιλία λεχθεῖσα ἐν ἐφέσῳ πρὶν συσχεθῆναι ὑπὸ τοῦ κόμητος, καὶ ὑπὸ στρατιωτῶν φυλαχθῆναι. 527

Ὧδε ἄρχονται τὰ πρακτικὰ τοῦ ἀποστατικοῦ συνεδρίου. 528

Ἀναφορὰ τῶν ἀνατολικῶν πρὸς τὸν βασιλέα, κατὰ Κυρίλλου τοῦ ἁγιωτάτου ἀλεξανδρείας, καὶ μέμνονος ἐφέσου. 528

Περὶ τῶν ἀποσχιστῶν. 529

Ἴσον βασιλικοῦ γράμματος, ἀποσταλέντος ἐν ἐφέσῳ πρὸς τὴν ἁγίαν σύνοδον, ἀναστρέποντος τὰ παρ' αὐτῶν πραχθέντα, καὶ τὰ ἑξ. 530

Ἀναφορὰ πρὸς τὸν βασιλέα, Ἰωάννου ἀντιοχείας, καὶ τῶν σὺν αὐτῷ. 530

Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν Ἔπαρχον, καὶ τὸν μάγιστρον ὁμοίως. 531

Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν Πραιπόσιτον, καὶ τὸν σχολαστικὸν ὁμοίως. 531

Ἀναφορὰ τῆς ἀνατολικῆς συνόδου πρὸς τὸν βασιλέα, δηλοῦσα, καὶ αὖθις τὴν γεγενημένην καθαίρεσιν Κυρίλλου, καὶ μέμνονος. 532

Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὸν βασιλέα. 533

Ἐπιστολὴ γραφεῖσα παρὰ τοῦ κόμητος εἰρηναίου, πρὸς τοὺς ἀνατολικοὺς περὶ τῶν ἐπὶ τῇ ὑποθέσει πραχθέντων, καὶ τὰ ἑξ. 533

Ἴσον σάκρας ἀποσταλείσης διὰ Ἰωάννου τοῦ Κόμητος τῶν σακρῶν παρὰ τῶν εὐσεβεστάτων βασιλέων τῇ ἁγίᾳ, καὶ μεγάλῃ συνόδῳ. 534

Ἴσον ἐντολῆς παρὰ τῶν ἀνατολικῶν, καὶ τὰ ἑξῆς. 534

Ἐπιστολὴ ἀνατολικῶν τινῶν, τῶν εἰς Κωνσταντινούπολιν πεμφθέντων, πρὸς ῥοῦφον ἐπίσκοπον. 535

Γράμματα τῶν ὀρθοδόξων δι' ὧν τὰ προλαβόντα τῶν ἀποσχιστῶν διελέγχονται τεχνάσματα. 535

Ἴσον ἀναφορᾶς τῆς ἁγίας συνόδου, ἀποσταλείσης πρὸς τοὺς βασιλεῖς διδάσκουσα ὡς ψευδῆ τὰ ἀνενεχθέντα παρὰ τοῦ Κανδιδιανοῦ. 537

Ἀντίγραφον τῶν εὑρεθέντων ἐν Κωνσταντινουπόλει ἐπισκόπων πρὸς τὸ παρὰ τῆς ἁγίας συνόδου ὑπομνηστικόν. 538

Δαλματίου ἀπολογία. 538

Ἴσον ἐπιστολῆς γραφήσης παρὰ τοῦ κλήρου Κωνσταντινουπόλεως πρὸς τὴν ἁγίαν σύνοδον. 539

Ἴσον ἐπιστολῆς Κυρίλλου ἀλεξανδρείας, γραφήσης πρὸς τὸν κλῆρον, καὶ τὸν λαὸν Κωνσταντινουπόλεως. 540

Ἴσον ἐπιστολῆς γραφείσης παρὰ μέμνονος ἐφέσου πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως. 541

Ἀναφορὰ σταλεῖσα παρὰ τῆς ἁγίας συνόδου, πρὸς τὸν βασιλέα Θεοδόσιον. 541

Ἐπιστολὴ γραφεῖσα παρὰ τῆς ἁγίας συνόδου, πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως. 542

Ἴσον ἐπιστολῆς γραφείσης παρὰ Κυρίλλου, τοῖς ἐν Κωνσταντινουπόλει ἐπισκόποις, ὑπὲρ ὧν ἔπαθε συσκευῶν τῶν κατὰ Νεστορίου, καὶ Ἰωάννου χαρτίων. 543

Ἴσον ἐπιστολῆς γραφείσης τῇ ἐν ἐφέσῳ ἁγίᾳ συνόδῳ, παρὰ τῶν εὑρεθέντων ἐν Κωνσταντινουπόλει ἐπισκόπων. 543

Ἀντίγραφον τῆς ἁγίας συνόδου πρὸς τοὺς αὐτοὺς ἐπισκόπους. 544

Δέησις, καὶ ἱκεσία ὑπὸ τοῦ Κλήρου Κωνσταντινουπόλεως, ὑπὲρ τῆς ἐν Ἐφέσῳ ἁγίας συνόδου. 544

Ἐντόλη πραχθεῖσα παρὰ τῆς ἁγίας συνόδου τοῖς ἀποσταλεῖσι παρ' αὐτοῖς ἐν Κωνσταντινουπόλει εὐλαβεστάτοις ἐπισκόποις, ὥστε αὐτοὺς δικάσασθαι τοῖς ἀπὸ τῆς ἀνατολῆς. 545

Ἀντίγραφον ἀναφορὰς παρὰ τῆς ἁγίας συνόδου πρὸς τοὺς βασιλεῖς. 546

Ἐπιστολὴ Ἀλυπίου πρὸς Κύριλλον. 547

Θεῖον γράμμα πρὸς τὴν ἐν ἐφέσῳ ἁγίαν σύνοδον ἀπολύον πάντας τοὺς ἐπισκόπους εἰς τὰ ἴδια, καὶ ἀποκαθιστῶν Κύριλλον, καὶ μέμνονα ταῖς ἰδίαις ἐκκλησίαις. 547

Ψῆφος τῆς αὐτῆς ἁγίας συνόδου. 547

Κανόνες τῶν διακοσίων ἁγίων, καὶ Μακαρίων Πατέρων τῶν ἐν ἐφέσῳ συνελθόντων. 548

Ἐπιστολὴ τῆς αὐτῆς ἐν ἐφέσῳ συνόδου, πρὸς τὴν ἐν παμφυλίᾳ σύνοδον, περὶ εὐσταθίου τοῦ γενομένου αὐτῶν μητροπολίτου. 549

ΜΕ'ΡΟΣ ΤΡΙΤΟΝ.

Ἐπίλυσις τῶν δώδεκα κεφαλαίων, ῥηθεῖσα ἐν ἐφέσῳ ὑπὸ Κυρίλλου, τῆς ἁγίας συνόδου ἀξιωτάσης αὐτὸν σαφέστερον αὐτοῖς ἐκτρανωθῆναι τὴν τούτων λύσιν. 549

Κυρίλλου ἀπολογητικὸς, ὑπέρτων δώδεκα κεφαλαίων, πρὸς τοὺς τῆς ἀνατολῆς ἐπισκόπους. 554

Κυρίλλου ἐπιστολὴ πρὸς Εὐόπτιον πρὸς τὴν παρὰ Θεοδωρήτου κατὰ τῶν δώδεκα κεφαλαίων ἀντίῤῥησιν. 570

Ἐπιστολὴ Θεοδωρήτου ἐπισκόπου Κύρου, πρὸς ἰωάννην ἀντιοχείας. 571

Κυρίλλου πρὸς τοὺς τολμῶντας συνηγορεῖν τοῖς Νεστορίου δόγμασιν ὡς ὀρθῶς ἔχουσι, Κεφάλαια δώδεκα. 571

Καὶ ἀναστροπὴ αὐτῶν παρὰ Θεοδωρήτου. 571

Κυρίλλου περὶ τῆς θείας ἐνσαρκώσεως. 585

Τίνος χάριν ὁλόγος ἐκλήθη ἄνθρωπος. 585

Τί α φησίλέγομεν εἶναι τὴν ἕνωσιν. 585

Περὶ ἄνθρακος τοῦ Ἡσαΐου. ὅτι τύπος ἦν, καὶ εἰκὼν τοῦ ἐνανθρωπήσαντος λόγου. 586

Ὅτι τῆς ἀσωμάτου θεότητος σῶμα γέγονεν ἡσάρξ ψυχὴν ἔχουσα λογικὴν. καὶ τὰ ἑξ. 586

Ὅτι καὶ πρὸς ἕνωσιν ἀληθινὴν, συνενεχθέντος τοῦ λόγου πρὸς τὸ ἀνθρώπινον, ἀσύγχυτα μεμενήκασιν τὰ ἡνωμένα. 586

Ὅτι εἷς ἐστὶν ὁθεὸς πρὸ τῆς ἐνανθρωπήσεως, καὶ ἐν ἀνθρωπότητι. 587

Πῶς νοεῖται τὸ, καὶ ὁλόγος σάρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. 587

Περὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως τοῦ χριστοῦ. 587

Κυρίλλου λόγος περὶ τῆς ἐνανθρωπήσεως τοῦ θεοῦ λόγου, τοῦ υἱοῦ, τοῦ πατρὸς. 587

Συζήτησις περὶ τοῦ αὐτοῦ. 588

Περὶ τῆς ἐνανθρωπήσεως τοῦ θεοῦ λόγου, ὅρος ἐπισκόπων τῶν ἐν Νικαίᾳ. καὶ ἔκθεσις τῆς αὐτῆς συνόδου πρὸς Παῦλον σαμοσατέα. 588

Ὁμιλία Κυρίλλου περὶ τῆς θείας ἐνανθρωπήσεως ὡραία πάνυ. 589

Ἀκακίου ἐπισκόπου μελιτινῆς, ὁμιλία λεχθεῖσα ἐν ἐφέσῳ, περὶ τῆς θείας ἐνανθρωπήσεως. 590

Θεοδότου ἀγκύρας ὁμιλία, περὶ τῆς θείας ἐνανθρωπήσεως. 591

Τοῦ αὐτοῦ Θεοδότου λόγος ὡραῖος πάνυ ἀναγνωσθεὶς ἐν τῇ συνόδῳ. 595

Ὁμιλία Κυρίλλου λεχθεῖσα ἐν ἐφέσῳ, ἐν ἡμέρᾳ τοῦ ἁγίου ἰωάννου τοῦ εὐαγγελιστοῦ. 599

Θεοδότου ἀγκύρας ὁμιλία λεχθεῖσα ἐν ἐφέσῳ πρὸς Νεστόριον. 600

Κυρίλλου λόγος ἀπολογητικὸς πρὸς τὸν Βασιλέα Θεοδόσιον. 601

Βασιλικὸν θέσπισμα τὸ δημοσιεῦον, καὶ ἐξορίζον Νεστόριον. 608

Ἀντίγραφον ἑρμηνείας Βασιλικοῦ θεσπίσματος, περὶ τῆς ἐξορίσεως Νεστορίου. 609

Ἐπιστολὴ συνοδικὴ, γραφεῖσα ἀπὸ Κωνσταντινουπόλεως πρὸς τοὺς ἐπισκόπους παλαιᾶς ἠπείρου. 609

Ἴσον ἐπιστολῆς παρὰ μαξιμιανοῦ Κωνσταντινουπόλεως, πρὸς Κύριλλον. 609

Ἐπιστολὴ Κυρίλλου πρὸς μαξιμιανὸν. 610

Ἴσον θείου γράμματος ἀποσταλεύτος δι' ἀριστολόου Τριβούνου, Ἰωάννῃ ἀντιοχείας, περὶ τῆς εἰρήνης, καὶ ἑνώσεως τῶν ἁγίων ἐκκλησιῶν. 611

Θεῖον γράμμα ἀποσταλὲν πρὸς τὸν μακάριον συμεῶνα τὸν στυλίτην. 612

Ἴσον σάκρας γραφείσης πρὸς Ἀκάκιον τὸν τῆς Βερροιαίων, καὶ Συμεῶνα τὸν Ἀντιοχείας ἀναχωρητὴν, καὶ ἄλλας ἐπαρχίας, ἰδίᾳ ἑκάστῃ. 613.

Ἰωάννου Ἀντιοχείας, καὶ τῶν λοιπῶν τῶν σύν αὐτῷ, ἐπιστολὴ, πρὸς Ξύστον ῥώμης, καὶ πρὸς Κύριλλον Ἀλεξανδρείας, καὶ Μαξιμιανὸν Κωνσταντινουπόλεως. 613

Λίβελλος ἐπιδοθεὶς τῷ Ἀρχιεπισκόπῳ Κυρίλλῳ παρὰ Παύλου ἐμέσης τοῦ ἀποσταλέντος παρὰ Ἰωάννου Αντιοχείας. 613

Ἐπιστολὴ Ἰωάννου Ἀντιοχείας πρὸς Κύριλλον 614.

Ὁμιλία Παύλου ἐμίσης, περὶ εἰρήνης. 615

Ὁμιλία Παύλου ἐμίσης λεχθεῖσα εἰς τὴν γέννησιν τοῦ Κυρίου, καὶ ὅτι Θεοτόκος ἡ ἁγία παρθένος, καὶ τὰ ἑξῆς. 615

Τοῦ αὐτοῦ ὁμιλία εἰς τὴν ἐνανθρώπησιν τοῦ χριστοῦ. 615

Κυρίλλου εἰς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου. 617

Ἐπιστολὴ Κυρίλλου πρὸς Ἰωάννην Ἀντιοχείας. 617.

Τοῦ αὐτοῦ Ἐπιστολὴ πρὸς Ἀκάκιον μελιτηνῆς μεμψάμενον ὡς συνθέμενον τοῖς ἀνατολικοῖς. 619

Ἴσον ἐπιστολῆς γραφείσης παρὰ τοῦ αὐτοῦ πρὸς Ἀκάκιον περὶ τοῦ ἀποπομπαίου. 623

Ὑπομνηστικὸν Εὐλογίῳ Πρεσβυτέρῳ, παραμένοντι ἐν Κωνσταντινουπόλει, παρὰ τοῦ Ἀρχιεπισκόπου Κυρίλλου. 628

Τοῦ αὐτοῦ Κυρίλλου πρὸς Δονάτον ἐπίσκοπον Νικοπόλεως παλαιᾶς Ἠπείρου ἐπιστολὴ. 629

Κυρίλλου πρὸς Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως ἐπιστολὴ. 630

Τοῦ αὐτοῦ πρὸς Οὐαλεριανὸν Ἐπίσκοπον, κατὰ τῶν τὰ Νεστορίου φρονούντων. 630

Ξύστου Πάπα ἐπιστολὴ πρὸς Κύριλλον. 635

Ἑτέρα ἐπιστολὴ ξύστου πρὸς Κύριλλον. 635

Θεοδωρήτου ἐπιστολὴ πρὸς Ἰωάννην Ἀντιοχείας. 636

Κυρίλλου ἀλεξανδρείας ἐξήγησις εἰς τὸ ἅγιον σύμβολον. 637

Τοῦ αὐτοῦ πρὸς Ἰωάννην ἀντιοχείας, καὶ τὴν συναχθεῖσαν ἐκεῖ σύνοδον. 643

Ἀντίγραφον θείου νόμου κατὰ Νεστορίου. 644

Δίαταγμα τῶν ἐπάρχων ὥστε μὴ ἀναγινώσκεσθαι τὰ Νεστορίου. 645

Ἴσον θείου θεσπίσματος τοῦ Βασιλέως Θεοδοσίου,

σίου, καὶ Πορφυρίου, καὶ Νεστοριανῶν, καὶ καὶ Εἰρηναίου τοῦ τυρίων ἐπισκόπου. 645
Διάταγμα προτεθὲν παρὰ τῶν Ἐπάρχων καὶ Πορφυρίου, καὶ τῶν ἑξῆς. 646
Πρόκλου Κωνσταντινουπόλεως πρὸς Ἀρμενίους περὶ πίστεως. 646
Βασιλικὸς νόμος Θεοδοσίου περὶ τῶν προσφευγόντων ἐν ἐκκλησίᾳ. 650
Σύνοδος ἐν ἐφέσῳ οἰκουμενικὴ τρίτη παρὰ φωτίῳ. 652
Ἡ αὐτὴ παρὰ Νείλῳ, καὶ ἄλλοις. 653
Θεοδωρήτου λόγοι δύο πρὸς τοὺς ἐν τῇ Εὐφρατισίᾳ, καὶ ὀσροηνῇ, καὶ φοινίκῃ, καὶ Συρίᾳ, καὶ Κιλικίᾳ μονάζοντας. 655
Ἕτερος τοῦ αὐτοῦ Θεοδωρήτου ὅτι, καὶ μετὰ τὴν ἐνανθρώπησιν εἷς υἱὸς ὁχριστὸς. 659

ΤΕ'ΛΟΣ.



Ἡδὲ θέσις ἑκάστης λέξεως ἐνταῦθα δὶς τίθεται. Πρῶτον δηλοῦσα ἡ ἐσφαλμένη, εἶτα ἡ ὀρθῶς ἔχουσα. ὁδὲ ἀριθμὸς τῆς εὑρέσεως τέτων Τριττὴν φέρει θέσιν. Πρώτην, τῆς σελίδος, δευτέραν, τῶ στίχω, καὶ τρίτην, τῆς σειρᾶς.

Εἰς τὴν ἐπιτομὴν τῶν Κανόνων.

μεταβῶντας	μεταβοῶντας	σελὶς	3	στίχος 1	σειρὰ 20	δι ἀδελφων	δι ἀναδελφων	σελὶς 46	στίχος 2 σειρὰ 36
δῆθεν	δηθεν		3	2	16	διογμὸν	διωγμὸν	46	2 51
ὕστερον	ὕστερον		6	1	35	ἀνεγερεῖ	ἀνεγερεῖ	49	1 36
κωνικὸς	κυνικὸς		8	2	41	ὑμῶν	ὑμῶν	49	2 31
κύρω	μύρω		11	2	11	κἀκείνω	κακείνω	50	2 44
ἐπαύθεν	ἐπεύθεν		13	2	7	φωτισθεὶς	φωτισθεὶς	51	2 17
κορῶν	κυρῶν		14	1	19	ἐγγράφη	ἐγράφη	51	2 36
σκιῶος	σκεῦος		18	2	6	σάββατων	σάββατον	51	2 48
ἀντεπιξιόντες	ἀντεπεξιόντες		19	2	18	θῶ	θεῷ	52	1 15
παλιμφομεύω	παραλημφομεύω		21	2	32	ἐντὸ κλίτος ω	ἐκτὸ κλίτος ω	52	1 18
μονάσειν	μονάσειν		21	2	46	πισδίσας	πισδύσας	52	1 32
πορνέωσας	πορνεῦσας		22	1	14	ὑπεισδύσης	ὑπεισδύντες	52	2 3
καπασάσεων	καπασάσεων		22	1	48	ὑμέρας	ἡμέρας	52	2 34
καπαπειρίσασιν	καπαπειρίσασιν		22	2	32	ὅτας	ὅταν	53	2 42
ἀρχὰ	ἀργυρὰ		25	1	45	δικαοσύνης	δικαιοσύνης	54	1 21
ἁρπαφεῖσαν	ἁρπαγεῖσαν		27	2	31	σώζον	σῴζων	54	1 38
διαθέσει	διαθέσει		32	2	20	μαρδοχαῖοις	μαρδοχαῖος	54	2 11
δίδωσι	δίδωσι		35	1	26	δ'φραν θῆκη	δ'φραν θῆναι	54	2 23
παδία	παιδία		35	1	26	ἰδίοις	ἰδίοις	65	2 1
ἐλολέγη	ἐλομεύη		36	2	3	ζωαρὰς	ζωναρὰς	98	1 4
						ἐκρώμη	ἐν ῥώμῃ	106	1 30
Εἰς τὰς Διατυγὰς τῆς ἀποστόλων καὶ τῆς ἑξῆς.						γεγηρακόπες	γεγαμηκόπες	107	1 43
						γοσόμενον	χρώμενον	108	2 13
						Διονισίω	Διονυσίω	111	1 2
	χειλέων	σελὶς	13	στίχος 2	σειρὰ 17	χηριττόμενος	χηρυττόμενος	112	1 15
ἐζητῆσαι	ἐκζητῆσαι		19	2	39	συμαινει	σημαίνει	119	2 34
δῶσι	δώσῃ		24	2	58	φίλικος	φίλιππος	125	1 15
πλυρώσαντες	πληρώσαντες		27	1	15	χρισῶ	ὡς δῆλοι χρισῶ	130	1 47
ἐξσίαν	ἐξουσίαν		27	1	23	καπὰ	μετὰ	130	2 46
ἀκασασίας	ἀκαταισασίας		30	1	34	ἱλασῶ	ἱλασμῷ	131	2 50
προσώσων	προσώπων		31	2	23	συλλιγὴ	συλλογὴ	133	1 50
ὑμῶν	ἡμῶν		32	2	28	ἀλεσανδρεία	ἀλεξανδρεία	137	2 31
ἐπαχῦει	ἐπαχύει		32	2	40	ξιαχεσίων	ξαχοσίων	150	1 29
Τρὶς	Τρεῖς		35	2	9	ἐγχαλκιώπισμα	ἐγχαλκώσισμα	150	2 40
ἑρμηνεύεται	ἑρμηνεύεται		35	2	38	ἐξκούσεως	ἐξηγήσεως	151	1 36
παρανομοῦντων	παρανομούντων		36	1	21	φλόνξ	φλόξ	156	1 10
ἴθυς	ἤθυς		38	1	23	ἑκκαιδέκατον	ἑκκαιδέκατον	164	2 57
κόκκω	κόκῳ		38	1	42	θεὸ	θεῷ	167	2 11
δὶ	δι'		41	1	15	οἰκείσας	οἰκείας	167	2 45
ὑμῶν	ἡμῶν		42	1	26	ὅπως	ὅπου	168	1 38
αὐτῶνμι	αὐτῶν		43	2	46	θαυμάσιον	θαυμάσιον	168	2 12
ἀγορασμῦς	ἀγορασμὺς		44	1	53	ἀλθείας	ἀληθείας	168	2 39
ζωγρῦναι	ζῳγρῦναι		45	1	1	ἑπάσης	ἑκάστης	170	2 2
ὡς διακόνος	ὡς θεῦ διακόνοις		45	1	25	ἤ	ἤ	171	1 46
παραινῦντες	παραινοῦντες		45	1	35	εἶνει	εἶναι	171	2 6
θλίβηται	θλίβηται		45	2	13	εἶπεν	εἶπον	171	2 47
δι ὅστε	διοστε		45	2	28	ἡμεῖς	ὑμεῖς	171	2 8
ζοὴν	ζωὴν		46	1	4	φρώπῳ	φροσώπῳ	173	1 10
ἡτοιμασμένων	ἡτοιμασμενον		46	1	6	ἀ	ἐν	180	1 47
πεινόντα	πεινῶντα		46	1	11	ἀναγαῖον	ἀναγκαῖον	186	2 32
ἐλιχθεὶς	ἐλεγχθεὶς		46	1	20	Πριοβύτερων	πρεσβυτέρῳ	186	2 50
ἐναγῆς	ἐναγὴς		46	2	12	ἤ	ἤ	187	1 10

πε-

ποιεῖσθα	ποιεῖσθαι	λὶς	187	ςύλος	1	σειρὰ	17	ἀγνοοίας	ἀγνοίας	σελὶς	441	ςύλος	2	σειρὰ	16
κάριτος	χάριτος		188		1		8	ἀκριριβεῖ	ἀκριβεῖ		445		1		54
ὑμετέρας	ὑμετέραις		190		2		11	ῥωμ:ου:40	ἰωάνν:ου:40		459		1		9
χαλαλεπωτάτη	χαλεπωτάτη		198		1		59	ὑμετέρας	ἡμετέρας		463		1		34
ἐπισκόπους	ἐπισκόπους		198		2		59	κακὰ	κρὶ		465		1		20
ἀντιοχῆς	ἀντιοχεῖς		199		1		29	περιχούσης	περιεχούσης		477		1		59
ἔγωγῇ	ἔγωγε		199		1		35	λογίζεσθω	λογιζέσθω		486		1		12
ἀποκυᾶσθαι	ἀποσπάσθαι		200		2		2	μέννησιν	γέννησιν		487		1		9
εὐσωίου	εὐζωίου		209		2		15	δεοσεβέςατος	θεοσεβέςατος		489		1		38
ἐρχόμενοτ	ἐρχόμενον		209		2		30	Καμπραίολος	Καπραίολος		489		1		46
πτεῦμα	πνεῦμα		209		2		31	ὁμίαν	ὁμοίαν		494		1		38
σανόδου	συνόδου		210		1		2	δυσφημίας	δυσφημίαις.		498		1		37
ἐπώμεθα	ἐπόμεθα		211		2		30	φιλοχρίσῳ	φιλοχρίςῳ		501		2		47
σικοφάντου	συκοφάντου		225		2		20	θεορύβων	θορύβων		503		2		21
ἀπαράκλλακτον	ἀπαράλλακτον		231		2		32	πολιοκρκηθῆναι	πολιορκηθῆναι		506		2		29
ἦ	οὗ		235		1		7	ὁμῶν	ὑμῶν		507		2		19
ἀαιςχυντοῖεν	ἀναιςχυντοῖεν		239		1		5	ἡμᾶς	ὑμᾶς		508		2		55
ἀριανῶν	ἀρειανῶν		252		2		25	ὑμῶν	ἡμῶν		509		1		29
τοῦς	τοῦ		253		2		21	ἡμῶν	ὑμῶν		510		1		30
συνελθόλτες	συνελθόντες		261		1		3	ὑμῖν	ἡμῖν		510		1		39
πνευαμτομάχον	πνευματομάχ:		273		2		34	ἀναδιδαθχῆναι	ἀναδιδαχθῆναι		512		2		20
ειθεὸς	εἷς θεὸς		281		2		1	ὑμῖν	ἡμῖν		515		2		31
ῳ	ᾧ		284		2		7	ἡμετέρας	ὑμετέρας		515		2		35
τειρώμενοι	πειρώμενοι		285		1		41	καθ' ὑμῶν	καθ' ἡμῶν		516		1		10
φωυίου	φωτίου		288		1		36	ἡμῶν	ὑμῶν		516		1		28
ἦν	ἦν		289		1		12	ὑμῶν	ἡμῶν		517		1		19
ἄλλα	ἀλλὰ		289		2		56	τῆς παρακλήσεων	τῆς παρακλήσεως		517		2		2
γναφῶν	γραφῶν		296		2		15	τῆς ὁσιότητος	τῆς σῆς ὁσιότητος		520		1		58
καλανδῶς	καλανδῶν		303		1		32	θέσπιμα	θέσπισμα		522		2		50
Ναξιμιανιςῶν	Μαξιμιανιςῶν		305		2		22	τὶ	τῇ		527		1		15
φυλαγχθῆναι	φυλαχθῆναι		321		1		27	ἀναγδαία	ἀναγκαία		530		2		18
σὺν	σὴν		321		1		37	ἡμέτερα	ὑμέτερα		530		2		30
ἀναγνώσκει	ἀναγνώσει		322		2		37	ὑμᾶς	ἡμᾶς		531		2		25
ἴασιν	ἴασεν		323		1		6	ἐξελέγξε	ἐξελέγξαι		531		2		26
ἐκφέρει	ἐκφέρειν		324		1		11	ἐκκλησίαι	ἐκκλησίαις		533		1		38
οὐκκρόασιν	οὐκακρόασιν		326		2		45	ἡμᾶς	ὑμᾶς		533		2		24
ἐπλμᾶτο	ἐτολμᾶτο		327		2		14	ὑμετέρας	ἡμετέρας		534		2		15
ῥεύματας	ῥεύματος		327		2		48	γεγρυμένην	γεγρυημένην		542		1		24
διετμήθησαι	διετμήθησαν		327		2		53	γεγεγραμμένον	γεγραμμένον		549		2		35
εἶνα	εἶτα		334		2		30	τῇ	τοῦ		550		2		3
ἡ	εἰ		382		1		40	ὄφθη	ὤφθη		550		2		44
εἰς	εἷς		388		1		49	ἐν χαὐταῖς ῥύσιμάτε	ἐν αὐταῖς χρήσιμάτε		559		2		10
νεκῶν	νεκρῶν		390		1		39	ἅπαπι	ἅπασι		562		1		11
οὐκ ἔσιν	οὐκέςιν		391		1		44	ἀχιερεὺς	ἀρχιερεὺς		566		1		40
δι' οὖν	δι' οὗ		392		1		17	τὸς	τὸν		572		2		55
τῇ υἱοῦ	τῇ τοῦ υἱοῦ		393		2		44	τῶν	τὸν		575		2		43
μαλῆσαι	λαλῆσαι		395		1		47	εὐτεβῆ	εὐσεβῆ		581		1		5
ἀτῖνα	ἀκτῖνα		399		2		6	Ἰακώβ	ἰαβὼκ		589		2		15
ὀνοτίμου	ὀνόματίμου		399		2		38	εἰλιρινῆ	εἰλικρινῆ		613		2		37
σιςεύοντες	πιςεύοντες		404		1		51	δ' τὸν αὖ	δ' αὖ τὸν		627		1		17
ἡμᾶ	ἡμᾶς		408		1		52	κοὐ εἰδὼς	οὐκ εἰδὼς;		632		2		11
εἰ	εἰς		409		1		40	ἐναρχῶς	ἐναργῶς		633		2		46
ξλου	ξύλου		417		1		12	κληρικῶς	κληρικῶν		635		2		20
ὀι	οὗ		424		2		23	πρότετερον	πρότερον		650		1		21
ἡμὴ	ἡ ἐμὴ		424		2		53	τοὺ θεντε	τίθενται		655				2
ὁ υἱὸν	ὁ υἱὸς		431		1		35								
κατεγνωμένην	κατεγνωσμένην		432		2		50								



Μ. Διονυσίου, Τῶν Ἁγ. Πατέρων ὁ χορός, (κῶδ. 587 μ.)



Μ. Δοχειαρίου, Ρίζα Ἰεσσαί, 16ου αι.





Μ. Δοχειαρίου, Ἁγία Τριάς, 16ου αἰ.

ΠΡΑΚΤΙΚΑ
ΤΩΝ
ΑΓΙΩΝ Κ' ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΣΥΝΟΔΩΝ



Ἔκδοσις
Καθ. Ἱερᾶς Μονῆς Προδρόμου
Ἱερᾶς Σκήτης Ἁγίας Ἄννης
Ἅγιον Ὄρος

ἀκρόασιν τῶν καθ' ἡμᾶς πραγμάτων, αὐτῷ τῷ εὐσεβεστάτῳ βασιλεῖ. καὶ γὰρ εὔλογον ἀποσταλέντα σε παρὰ τῆς βασιλείας αὐτοῦ, αὐτῷ τηρῆσαι τὸ πρᾶγμα. οὐκέτι γὰρ φέρομεν συσκευαζόμενοι καὶ ἐπιβουλευόμενοι διὰ τῶν περὶ Εὐσέβιον, τῶν προειρημένων, καὶ διὰ τοῦτο τῷ εὐσεβεστάτῳ καὶ θεοφιλεστάτῳ βασιλεῖ τηρηθῆναι τὸ πρᾶγμα ἀξιοῦμεν, παρ' ᾧ δυνάμεθα καὶ τὰ δίκαια τῆς ἐκκλησίας καὶ ἑαυτῶν παραθέσθαι. πιστεύομεν γὰρ ὅτι ἡ εὐσέβεια αὐτοῦ ἀκούσασα, οὐ καταγνώσεται ἡμῶν, καὶ πάλιν οὖν ὁρκίζομέν σε τὸν παντοκράτορα Θεόν. οὕτω τὸν εὐσεβέστατον βασιλέα ἀεὶ εἰς πολλὰς ἐτῶν περιόδους νικῶντα καὶ ὑγιαίνοντα μετὰ τῶν παίδων τῆς εὐσεβείας αὐτοῦ, μηδὲν πλέον πρᾶξαι, μὴ δὲ ἐπιτρέψαι τι σεαυτῷ ἐν τῇ συνόδῳ κινῆσαι περὶ τῶν καθ' ἡμᾶς πραγμάτων, ἀλλὰ τηρῆσαι τῇ εὐσεβείᾳ αὐτοῦ τὴν ἀκρόασιν, περὶ δὲ τῶν αὐτῶν, καὶ τοῖς κυρίοις μου ἐπισκόποις τοῖς ὀρθοδόξοις ἐδηλώσαμεν.

Ε'ΠΙΣΤΟΛΗ' Α'ΛΕΞΑ'ΝΔΡΟΥ

Ε'πισκόπου Θεσσαλονίκης πρὸς Διονύσιον Κόμητα.

Τῷ δεσπότῃ μου Διονυσίῳ Ἀλέξανδρος ἐπίσκοπος.

ΦΑνερὰν ὁρῶ κατὰ Ἀθανασίου συσκευὴν γενομένην· πάντας γὰρ οὓς παρῃτήσατο, οὐκ οἶδά τι πεπονθότες, ἀποστεῖλαι ἠθέλησαν, μὴ δὲ σημάναντες ἡμῖν. ἦν γὰρ δόξαν κατὰ τὸ αὐτὸ σκέψασθαι, τίνας δεήσει ἀποσταλῆναι. συμβούλευον οὖν μήτι προπετὲς γενέσθαι. ἐληλύθασι γὰρ πρός με τεθορυβημένοι, λέγοντες ἤδη τὰ θηρία ἐσφρίχθαι καὶ μέλλειν ἐξορμᾶν. περιηχήθησαν γὰρ ὡς Ἰωάννου τινὰς ἀποστείλαντος, μὴ προλαβόντες καττύουσιν ὡς ἂν ἐθέλοιεν. οἶδας γὰρ ὅτι καὶ Κολλουθιανοὶ τῆς ἐκκλησίας ἐχθροὶ ὄντες, καὶ Ἀρειανοὶ, καὶ Μελιτιανοὶ, οὗτοι πάντες ἀλλήλοις σύμψηφοι γενόμενοι, δύνανται μεγάλα κακὰ ἐργάσασθαι. σκέψαι οὖν τί συμφέρον, ἵνα μὴ ἀνακύψητι σκυθρωπόν. καὶ αἰτίᾳ ὑποβληθῶμεν ὡς οὐ κατὰ τὸ δίκαιον κρίναντες, κἀκεῖνοι μάλιστα ὑφορῶνται μὴ διοδεύοντες τὰς ἐκκλησίας ὧν οἱ ἐπίσκοποί εἰσιν. ἐνταῦθα φόβον ἐμποιήσαντες, ταράξωσι πᾶσαν τὴν Αἴγυπτον, ὡς τοῖς Μελιτιανοῖς παραδοθέντες. ἐκ τοῦ πλείστου γὰρ τοῦτο συνορῶσι γινόμενον.

ΕΠΙΣΤΟΛΗ' ΔΙΟΝΥΣΙ'ΟΥ

Κόμητος τοῖς περὶ Εὐσέβιον.

Πρὸς ταῦτα Διονύσιος ὁ κόμης ἔγραψε τοῖς περὶ Εὐσέβιον ταῦτα.

ΤΑῦτα ἦν ἃ νῦν διελεγόμην τοῖς κυρίοις μου τοῖς περὶ Φλάκιλλον, ὅτι Ἀθανάσιος ἐπιστὰς, ᾐτιάσατο οὓς παρῃτησάμην, λέγων, τούτους ἀποστέλλεσθαι, καὶ βοῶν ὡς ἀδικούμενος καὶ περιγραφόμενος. ταῦτα καὶ ὁ κύριός μου τῆς ψυχῆς Ἀλέξανδρος ἐπέστειλε. καὶ ἵνα γνῶτε ὅτι κατὰ λόγον ἔχει τὰ γραφέντα μοι παρὰ τῆς χρηστότητος αὐτοῦ, ὑπέταξα αὐτά. ἀναγνωσθησόμενα ὑμῖν, μέμνησθε δὲ καὶ τῶν ἄνωθεν παρ' ἐμοῦ γραφέντων. ἐπέστειλα γὰρ ὑμῶν τῇ χρηστότητι κύριοι, ὅτι χρὴ τοὺς ἀποστελλομένους, κοινῇ κρίσει καὶ δόγματι ἀποσταλῆναι. ὁρᾶτε τοίνυν μὴ ἐγκλήματι ὑποπέσῃ τὰ γινόμενα, μὴ δὲ δικαίας μέμψεως ἀφορμὴν τοῖς βουλομένοις ἡμᾶς αἰτιάσασθαι δῶμεν. ὥσπερ γὰρ βαρεῖσθαι τὸ μέρος τῶν κατηγόρων οὐ προσήκει, οὕτως οὐδὲ τὸ τῶν φευγόντων. νομίζω δὲ οὐ μικρὰν εἶναι ἀφορμὴν καθ' ἡμῶν μέμψεως, ὅταν φαίνηται ὁ κύριός μου Ἀλέξανδρος, μὴ συναινῶν τοῖς πραττομένοις.

Ε'ΠΙΣΤΟΛΗ' ΤΩ'Ν ΚΛΗΡΙΚΩ'Ν

τῆς Α'λεξανδρείας ὑπὲρ Α'θανασίου.

Θεογνίῳ, Μάρι, καὶ Μακεδονίῳ, Θεοδώρῳ, καὶ Οὐρσακίῳ, καὶ Οὐάλεντι, τοῖς ἀπὸ Τύρου ἐλθοῦσιν ἐπισκόποις παρὰ τῶν πρεσβυτέρων καὶ Διακόνων τῆς καθολικῆς ἐκκλησίας Ἀλεξανδρείας, ὑπὸ τὸν αἰδεσιμώτατον ἐπίσκοπον Ἀθανάσιον.

ΕΠρεπεν ὑμᾶς ἐρχομένους καὶ ἄγοντας μεθ' ἑαυτῶν τὸν κατήγορον, ἀγαγεῖν καὶ Μακάριον τὸν πρεσβύτερον, αἱ γὰρ κρίσεις οὕτως συνίστανται κατὰ τὰς ἁγίας γραφὰς, ὥστε τὸν κατήγορον, μετὰ τοῦ κατηγορουμένου ἑστάναι. ἐπειδὴ δὲ οὔτε Μακάριον ἠγάγετε, οὔτε ὁ αἰδεσιμώτατος ἡμῶν ἐπίσκοπος Ἀθανάσιος μεθ' ὑμῶν εἰσῆλθεν, ἠξιώσαμεν κἂν αὐτοὶ παρεῖναι ἐν τῇ κρίσει, ἵνα παρόντων ἡμῶν, ἀσφαλὴς ἡ ἐξέτασις γένηται, καὶ πεισθῶμεν καὶ ἡμεῖς. ἐπειδὴ δὲ οὐ τοῦτο συνεχωρήσατε, ἀλλὰ μόνοι μετὰ τοῦ ἐπάρχου τῆς Αἰγύπτου καὶ τοῦ κατηγόρου ἐθελήσατε πράττειν ἃ βούλεσθε, ὁμολογοῦμεν ὅτι ὑποψίαν εἴδομεν ἐν τῷ πράγματι πονηρὰν, καὶ ἐθεωρήσαμεν ὅτι συσκευὴ καὶ ἐπιβουλὴ μόνον ἐστὶν ἡ εἴσοδος ὑμῶν, διὰ τοῦτο ταύτην ὑμῖν ἐπιδίδομεν τὴν ἐπιστολὴν, μαρτύριον ἐσομένην εἰς ἀληθινὴν συνόδον, ἵνα γνωσθῇ πᾶσιν ὅτι κατὰ μονομέρειαν ἅπερ ἠθελήσατε, ἐπράξετε, καὶ οὐδὲν ἕτερον ἢ συσκευὴν ἠθελήσατε συνθεῖναι καθ' ἡμῶν. τούτων δὲ τὰ ἴσα ἐπιδεδώκαμεν καὶ Παλλαδίῳ τῷ κουριώσῳ τοῦ Αὐγούστου, ἵνα μὴ κρυβῇ παρ' ὑμῶν. ἃ γὰρ ἐπράξετε, τοιαῦτα λοιπὸν ἡμᾶς ὑποπτεύειν καὶ λογίζεσθαι ποιεῖ περὶ ὑμῶν. Διονύσιος πρεσβύτερος ἐπιδέδωκα, Ἀλέξανδρος πρεσβύτερος, Νειλᾶς πρεσβύτερος, Λόγγος πρεσβύτερος, Ἀφθόνιος πρεσβύτερος, Ἀθανάσιος πρεσβύτερος, Ἀμμύτιος πρεσβύτερος, Πιστὸς πρεσβύτερος, Πλουτίων πρεσβύτερος, Διόσκορος πρεσβύτερος, Ἀπολλώνιος πρεσβύτερος, Σαραπίων πρεσβύτερος, Ἀμμώνιος πρεσβύτερος, Γάϊος πρεσβύτερος, Ρῖνος πρεσβύτερος, Αἰθαλὴς πρεσβύτερος, Μαρκελλῖνος διάκονος, Ἀππιανὸς διάκονος, Θέων διάκονος, Τιμόθεος διάκονος, καὶ Τιμόθεος ἄλλος διάκονος.

Ε'ΠΙ-

ἦσαν οἱ πάσχοντες, καὶ οὐκ αἱ τυχοῦσαι ἐκκλησίαι αἱ πάσχουσαι, ἀλλ' ὧν αὐτοὶ οἱ ἀπόστολοι δι' ἑαυτῶν καθηγήσαντο· διατί δὲ περὶ τῆς Ἀλεξανδρέων [3] πόλεως μάλιστα οὐκ ἐγράφετε ἡμῖν; ἢ ἀγνοεῖτε, ὅτι τοῦτο ἔθος ἦν. πρότερον γράφεσθαι ἡμῖν, καὶ οὕτως ἔνθεν ἦν ὁρίζεσθαι τὰ δίκαια; εἰ μὲν οὖν τι τοιοῦτον ἦν ὑποπτευθὲν εἰς τὸν ἐπίσκοπον τὸν ἐκεῖ, ἔδει πρὸς τὴν ἐνταῦθα ἐκκλησίαν γραφῆναι. νῦν δὲ οἱ ἡμᾶς μὴ πληροφορήσαντες, πράξαντες δὲ αὐτοὶ ὡς ἠθέλησαν, λοιπὸν καὶ ἡμᾶς οὐ καταγνόντας βούλονται συμψήφους εἶναι. οὐχ' οὕτως αἱ Παύλου διατάξεις. οὐχ οὕτως οἱ πατέρες παραδεδώκασιν, ἄλλος τύπος ἐστὶν οὗτος καὶ καινὸν τὸ ἐπιτήδευμα. παρακαλῶ, μετὰ προθυμίας ἐνέγκατε, ὑπὲρ τοῦ κοινῇ συμφέροντός ἐστιν ἃ γράφω. ἃ γὰρ παρειλήφαμεν παρὰ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, ταῦτα καὶ ὑμῖν δηλῶ, καὶ οὐκ ἂν ἔγραψα φανερὰ ἡγούμενος εἶναι ταῦτα παρὰ πᾶσιν, εἰ μὴ τὰ γενόμενα ἡμᾶς ἐτάραξεν. ἐπίσκοποι ἁρπάζονται καὶ ἐκτοπίζονται. ἄλλοι δὲ ἀλλαχόθεν ἀντιτίθενται, καὶ ἄλλοι ἐπιβουλεύονται, ὥστε ἐπὶ μὲν τοῖς ἁρπασθεῖσιν, αὐτοὺς πειθεῖν, ἐπὶ δὲ τοῖς πεμπομένοις, ἀναγκάζεσθαι, ἵνα οὓς μὲν θέλουσι μὴ ἐπιζητῶσιν, οὓς δὲ μὴ βούλονται, δέχωνται. ἀξιῶ ὑμᾶς μηκέτι τοιαῦτα γίνεσθαι. γράψατε δὲ μᾶλλον κατὰ τῶν τὰ τοιαῦτα ἐπιχειρούντων, ἵνα μηκέτι τοιαῦτα πάσχωσιν αἱ ἐκκλησίαι, μηδέ τις ἐπίσκοπος ἢ πρεσβύτερος ὕβριν πάσχῃ, ἢ παρὰ γνώμην ὥσπερ ἐδήλωσαν ἡμῖν ἀναγκάζηταί τις ποιεῖν, ἵνα μὴ καὶ παρὰ τοῖς ἔθνεσι γέλλωτα ὀφλήσωμεν, καὶ πρό γε πάντων, τὸν Θεὸν παροξύνωμεν. ἕκαστος γὰρ ἡμῶν ἀποδώσει λόγον ἐν ἡμέρᾳ κρίσεως περὶ ὧν ἐνταῦθα ἔπραξε. γένοιτο δὲ πάντας κατὰ Θεὸν φρονῆσαι. ἵνα καὶ αἱ ἐκκλησίαι τοὺς ἐπισκόπους αὐτῶν ἀπολαβοῦσαι, χαίρωσι διαπαντὸς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, δι' οὗ τῷ πατρὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἐρρῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί.

ΕΠΙΣΤΟΛΗ ΙΟΥΛΙΟΥ ΡΩΜΗΣ, πρὸς τοὺς ἐν Ἀλεξανδρείᾳ κληρικούς τε καὶ λαούς.

Συκρ. ἐκκλ. ἱστορ. κεφ. 23.

Ἰούλιος ἐπισκόποις καὶ πρεσβυτέροις, καὶ διακόνοις, καὶ λαῷ παροικοῦντι Ἀλεξάνδρειαν, ἀγαπητοῖς ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν.

ΣΥΓΧΑΙΡΩ κἀγὼ ὑμῖν, ἀδελφοὶ ἀγαπητοὶ, ὅτι τὸν καρπὸν τῆς ἑαυτῶν πίστεως ἐπ' ὀφθαλμῶν λοιπὸν ὁρᾶτε. τοῦτο γὰρ ἀληθῶς ἄν τις ἴδοι γενόμενον ἐπὶ τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου μου Ἀθανασίου. ὃν διά τε τὴν καθαρότητα τοῦ βίου, καὶ διὰ τὰς ὑμετέρας εὐχὰς, ὁ Θεὸς ὑμῖν ἀποδίδωσιν. ἐκ δὴ τούτου συνορᾶν ἐστὶν καθαρὰς ὑμῶν καὶ μεστὰς ἀγάπης ἀεὶ τὰς εὐχὰς ἀνενηνοχέναι πρὸς τὸν Θεόν. μνήμονες γὰρ ὄντες τῶν οὐρανίων ἐπαγγελιῶν, καὶ τῆς πρὸς αὐτὰς ἀγάπης, ἣν ἐκ τῆς διδασκαλίας τοῦ προειρημένου ἀδελφοῦ μου ἐπαιδεύθητε, ἔγνωτε ἀληθῶς, καὶ κατὰ τὴν προσοῦσαν ὑμῖν ὀρθὴν πίστιν κατειλήφατε τοῦτο. ὡς οὐκ ἂν εἰς τέλος οὕτως ἀφ' ὑμῶν ἀποσχοινισθήσεται. ὃν ἐν ταῖς θεοσεβέσιν ὑμῶν ψυχαῖς ἐσχήκατε ὡς παρόντα ἀεί. οὐκοῦν, οὐ πολλῶν μοι χρεία λόγων πρὸς ὑμᾶς ἐπιστέλλοντι. ὅσα γὰρ ὑμῖν λέλεκται παρ' ἐμοῦ, ταῦτα ἡ ὑμετέρα πίστις προύλαβε, καὶ πεπλήρωται κατὰ Χριστοῦ χάριν τὰ τῆς κοινῆς ὑμῶν πάντων εὐχῆς. συγχαίρω τοίνυν ὑμῖν. πάλιν γὰρ ἐρῶ, ὅτι τὰς ψυχὰς ἀκαταμαχήτους ἐν τῇ πίστει τετηρήκατε. καὶ αὐτῷ δὲ τῷ ἀδελφῷ μου Ἀθανασίῳ οὐκ ἔλαττον συγχαίρω, ὅτι καίπερ πολλὰ πάσχων λυπηρὰ, οὐδεμίαν ὥραν ἐπιλήσμων γέγονε τῆς ὑμετέρας ἀγάπης, καὶ τοῦ ὑμετέρου πόθου. εἰ γὰρ καὶ τῷ σώματι πρὸς καιρὸν ἔδοξεν ἀφ' ὑμῶν ἀφελκυσθῆναι, ἀλλὰ τῷ πνεύματι διαπαντὸς, ὡς συνὼν ὑμῖν διῆγε. καὶ ἔγωγε ἀγαπητοὶ τὸν γενόμενον κατ' αὐτοῦ πάντα πειρασμὸν, οὐκ ἄδοξον ἡγοῦμαι γεγενῆσθαι· καὶ γὰρ καὶ ἡ ὑμετέρα καὶ ἡ τούτου πίστις ἐγνώσθη παρὰ πᾶσι καὶ δεδοκίμασται. εἰ γὰρ μὴ τοσαῦτα συμβεβήκει, τίς ἂν ἐπίστευσεν, ἢ εἰς ὑμᾶς τοσαύτην κρίσιν, καὶ τοσαύτην ἀγάπην περὶ τὸν τηλικοῦτον ἐπίσκοπον ἔχειν, ἢ ἐκεῖνον τοσαύταις ἀρεταῖς περιβεβλῆσθαι, δι' ἃς καὶ τῆς ἐν οὐρανοῖς ἐλπίδος οὐκ ἀλλότριος γένοιτο. ἐπέτυχε τοίνυν οἵῳ δήποτε τρόπῳ καὶ ἐν τῷ νῦν, καὶ ἐν τῷ μέλλοντι, καὶ ὁμολογίας ἔνδοξον μαρτυρίαν. διαφόρως γὰρ κατά τε γῆν καὶ κατὰ θάλατταν πολλὰ πειρασθεὶς, τὴν σκευωρίαν πάσαν τῆς Ἀρειανῆς αἱρέσεως κατεπάτησε. καὶ πολλάκις διὰ φθόνον, καὶ εἰς κίνδυνον ἐπιβουλευθεὶς, κατεφρόνησε θανάτου, φρουρούμενος, ὑπὸ τοῦ παντοκράτορος Θεοῦ, καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐλπίζων ἅμα καὶ τὰς ἐπιβουλὰς ἐκκλίνειν, καὶ ἀποκατασταθήσεσθαι πρὸς ἡμετέραν παράκλησιν, φέρων ὑμῖν ἅμα, ἐκ τῆς ὑμετέρας συνειδήσεως μείζονα τὰ τρόπαια. ἐν οἷς καὶ ἄχρι τερμάτων πάσης τῆς γῆς ἔνδοξος ἐγνώσθη δοκιμασθεὶς ἐκ τοῦ βίου, παρρησιασάμενος μὲν τῇ προθέσει καὶ τῇ οὐρανίᾳ διδασκαλίᾳ ἀποδειχθεὶς δὲ ἀθανάτῳ κρίσει παρ' ὑμῶν ἀγαπώμενος. Ἐπανέρχεται τοιγαροῦν πρὸς ὑμᾶς λαμπρότερος νῦν, ἢ ὅτε παρ' ὑμῶν ἀπεδήμησεν. εἰ γὰρ καὶ τὰς τιμίας ὕλας, χρυσὸν δὴ λέγω καὶ ἄργυρον, εἰς καθαρότητα τὸ πῦρ δοκιμάζει, τί ἂν τις εἴποι κατ' ἀξίαν τοῦ τοσούτου ἀνδρὸς ὃς τοσούτων θλίψεων πυρὰν, καὶ τοσούτους κινδύνους ἀποδεχθεὶς; ὑποδέξασθε τοίνυν ἀγαπητοὶ ἀδελφοί, μετὰ πάσης τῆς κατὰ Θεὸν δόξης τε καὶ χαρᾶς τὸν ἐπίσκοπον ὑμῶν Ἀθανάσιον, μετὰ τούτων οἵ τινες αὐτῶν κοινωνοὶ γεγόνασι. καὶ χαίρετε τῶν εὐχῶν ἀπολαύοντες οἳ τὸν ποιμένα τὸν ὑμέτερον, ἵν' οὕτως εἴπω, ποθοῦντα, καὶ διψῶντα τὴν ὑμετέραν θεοσέβειαν, σωτηρίαις γραφαῖς ἐθρέψατέτε καὶ ἐποτίσατε. καὶ γὰρ καὶ ἐπὶ τῆς ξένης αὐτοῦ διατριβῆς, ὑμεῖς παραμυθεία γεγόνατε. καὶ διωκόμενον, καὶ ἐπιβουλευόμενον ἐθάλψατε ταῖς πιστοτάταις ἑαυτῶν ψυχαῖς καὶ διανοίαις. ἐμὲ δὲ ἤδη εὐφραίνει, ἐννοούμενον καὶ προορῶντα τῷ λογισμῷ, τὴν ἐπὶ τῇ ἐπανόδῳ, ἑκάστου ὑμῶν χαρὰν, καὶ τοῦ πλήθους τὰς θεοσεβεστάτας ἀπαντήσεις, καὶ τὴν ἔνδοξον τῶν συντρεχόντων ἑορτήν. καὶ τίς ἐκείνη ἡ ἡμέρα ὑμῖν, καὶ ποία ἔσται, ἐπανερχομέ-